OPERVM

HIPPOCRATIS

COI, ET

GALENI

PERGAMENI, MEDICORVM

OMNIVM PRINCIPVM,

TOMVS XIII.

Τὰ Φαρμακευτικὰ, quæ ad Pharmaciam, & medicamenta ſpectant.

RENATVS CHARTERIVS VINDOCINENSIS,

Doctor Medicus Pariſ. REGIS Chriſtianiſſimi Conſ. Medicus, ac Profeſſor Ord. plurima interpretatus, vniuerſa emendauit, inſtaurauit, notauit, auxit, edidit.

ΜΕΓΑΣ ΙΠΠΟΚΡΑΤΗΣ ΚΩΟΣ



M. van Lochom fecit

LVTETIÆ PARISIORVM

M. DC. XXXIX.

OPERVM

HIPPOCRATIS

COI, ET

GALENI

PERGAMENI, MEDICORVM

OMNIVM PRINCIPVM,

TOMVS XIII.

Τὰ Φαρμακευτικὰ, quæ ad Pharmaciam, & medicamenta ſpectant.

RENATVS CHARTERIVS VINDOCINENSIS,

Doctor Medicus Pariſ. REGIS Chriſtianiſsimi Conſ. Medicus, ac Profeſſor Ord. plurima interpretatus, vniuerſa emendauit, inſtaurauit, notauit, auxit, edidit.



LVTETIÆ PARISIORVM.

M. DC. XXXIX.



TOMO XIII

Τὰ Φαρμακευτικὰ continentur.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ, ΒΙΒΛΙΑ ΕΝΔΕΚΑ.

ΠΡΩΤΟΝ.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS, LIBRI VNDECIM.

PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩ ΠΡΩΤΩ.

Διδάσκει τίσι λογισμοῖς πρὸς τὴν βάσανον τῆς δυνάμεως τῶν ἁπλῶν φαρμάκων ἀφικέσθαι χρή, προτεθειμένοις τοῖς τοῦ ὕδατός τε καὶ ὄξους παραδείγμασι.

ARGVMENTVM LIBRI PRIMI.

Docet quibus rationibus exploranda sint simplicium medicamentorum facultates, propositis exemplis aquæ, & aceti.

PROOEMIVM.

CAPVT PRIMVM.

Quid dicatur medicamentum, & quid facultas; & quomodo hæc quidem, actu; illa verò, potentia existat.



VANTVM conferat simplicium medicamentorum facultates accuratè cognoscere, tum ad variorum cõpositionem, tum ad inuentorũ opportunum vsum, non opus habeo nunc ostendere. Nam id partim in opere De medicamentorum compositione, partim in medendi methodo demonstrabitur. Verùm quod deinceps ad temperamentorum sequitur tractationem, id hîc dicetur; vbi videlicet priùs dictionum & vocabulorum, quibus in hoc vtemur libro, significata definierimus. Medicamentum sanè omne id dicimus, quod naturam nostram alterat; sicut, puto, & nutrimentum, quicquid substantiam auget; refertur enim vtrunque ad aliquid. At medicamentum simplex, & ipsum per oppositionem ad compositum nuncupatum est. Est autem id quod secundum naturam suam syncerum est. At facultas, causa quædam est effectrix. Eaque partim actu, partim in futuro est; actu quidem, vt calefaciendi

ΠΡΟΟΙΜΙΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Τί λέγεται τὸ φάρμακον, καὶ τί ἡ δύναμις, καὶ πῶς τὰ μὲν ἐνεργείᾳ, τὰ δὲ δυνάμει ὑπάρχει.

A 

ΑΣ τῶν ἁπλῶν φαρμάκων δυνάμεις ἀκριβῶς ἐπίστασθαι, πηλίκον ὄφελός ἐστιν, εἴς τε τὴν τῶν ποικίλων σύνθεσιν, καὶ τὴν τῶν εὑρημένων ἤδη χρῆσιν εὔκαιρον, οὐ νῦν δέομαι δεικνύναι. τὸ μὲν γάρ, ἐν τοῖς τῆς περὶ φαρμάκων συνθέσεως ἀποδειχθήσεται, τὸ δέ, ἐν τοῖς θεραπευτικῆς μεθόδου γράμμασιν. ἀλλ᾽ ὅπερ ἐστὶν ἐφεξῆς τῆς περὶ κράσεων πραγματείας, τοῦτο ἐνταῦθα λεχθήσεται, πρότερόν γε διαστειλαμένων ἡμῶν, τὰ σημαινόμενα τῶν λέξεων καὶ τῶν ὀνομάτων οἷς χρησόμεθα κατὰ τόνδε τὸν λόγον. φάρμακον μὲν δὴ πᾶν ὅ, τίπερ ἂν ἀλλοιωτικὸν ᾖ τῆς φύσεως ἡμῶν ὀνομάζομεν. ὥσπερ, οἶμαι, καὶ τροφήν, ὅ, τίπερ ἂν
B αὐξητικὸν ᾖ τῆς οὐσίας, ἄμφω γὰρ ἐν τῷ πρός τι. τὸ δὲ ἁπλοῦν φάρμακον, ὠνόμασται μὲν καὶ αὐτὸ κατὰ τὴν πρὸς τὸ σύνθετον ἀντίθεσιν. ἔστι δὲ τὸ κατὰ τὴν ἑαυτοῦ φύσιν ἔχον εἰλικρινῶς. ἡ δὲ δύναμις, αἰτία τίς ἐστιν δραστική. ταύτης δὲ δή, ἡ μέν, κατ᾽ ἐνέργειαν, ἡ δὲ ἐν τῷ μέλλειν ἐστίν. κατ᾽ ἐνέργειαν μέν, ἡ τοῦ

A θερμαίνειν ἐν πυρί, καὶ τοῦ ψύχειν, ἐν κρυστάλλῳ. ἐν τῷ μέλλειν δέ, ἣν τοῦ μὲν θερμαίνειν, ἐν πυρέθρῳ, καὶ καστορίῳ, καὶ τοῖς ὁμοίοις. τοῦ δὲ ψύχειν, ἐν ὑοσκυάμῳ, καὶ μανδραγόρᾳ, καὶ τοῖς παραπλησίοις. τὸ μὲν οὖν εἶναί τινα δύναμιν, ἔν τε τοῖς καθαρτικοῖς φαρμάκοις, καθαρτικήν, καὶ τοῖς ἐμετικοῖς, ἐμετικήν, καὶ τοῖς πταρμικοῖς πταρμικήν, καὶ τοῖς βηχικοῖς βηχικήν, καὶ καθ' ἕκαστον δὴ τῶν ἔργων ἐπώνυμον τῷ γιγνομένῳ πρὸς αὐτῆς, σχεδὸν οὐδεὶς ἀμφισβητήσει. τίς δέ ἐστιν ἡ οὐσία τῆς δυνάμεως ταύτης, ἔνιοι μὲν ἄγνωστον ὑπέλαβον, ὥσπερ οἵ τε σκεπτικοὶ φιλόσοφοι, καὶ τῶν ἰατρῶν οἱ κληθέντες ἐμπειρικοί. B διενεχθήσονται δὲ πρὸς ἀλλήλους, καὶ οἱ γνωστὴν εἶναι φάντες. τινὲς μὲν γὰρ εἴς τε τὰ μεγέθη, καὶ τὰ σχήματα, καὶ τὰς θέσεις τῶν ὄγκων τε καὶ πόρων ἀναφέρουσιν. ἔνιοι δέ, εἰς θερμότητα, καὶ ψυχρότητα, καὶ ὑγρότητα, καὶ ξηρότητα, κατὰ τὴν στοιχείωσιν ἑκάτεροι τὴν ἑαυτῶν, ὥς τε καὶ ἡμεῖς, διὰ τοῦ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐδείξαμεν, ἐκ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, τά τε τῶν ἄλλων ἁπάντων σώματα, καὶ τὰ τῶν ζώων γεγονέναι. ταύτας οὐσίας θησόμεθα τῶν δραστικῶν δυνάμεων, ἔν τε τοῖς ἄλλοις ἅπασι κἀν τοῖς φαρμάκοις. οὕτω γὰρ κἀν τῷ τρίτῳ περὶ κράσεων ἐδέδεικτο. C καὶ χρὴ γε τὸν βουλόμενον ἕπεσθαι τοῖς νῦν λεγομένοις, ἐν ἐκείνῃ γεγυμνάσθαι τῇ πραγματείᾳ, καὶ γὰρ δὴ καὶ λέλεκται πλὴν ὅσα χρὴ καθόλου περὶ φαρμάκων ἐπίστασθαι, δι' ἐκείνου τοῦ συγγράμματος. καὶ νῦν μὲν οὐδὲν ἐροῦμεν ἐν ὅλῳ τῷ γένει καινότερον. ὅσα δ' ἐν ἐκείνῳ γέγραπται γενικῶς, ταῦτα ἐν τοῖσδε τοῖς ὑπομνήμασιν ἰδικῶς ἐξεργασόμεθα.

in igne, & refrigerandi in glacie; in futuro autem, vt calefaciendi & in pyrethro, & castoreo, & similibus; refrigerandi in alterco, & mandragora, & assimilibus. Sanè quandam esse facultatem in purgatoriis quidem medicamentis purgatoriam, vomitoriis vomitoriam, sternutatoriis sternutatoriam, tussiculariis tussiculariam & in vnoquoque alio opere peragendo, quæ denominetur ab eo quod ipsa efficit, ferè non est qui ambigat. At quæ sit huius facultatis essentia, quidam certè non posse cognosci existimarunt, quales sunt sceptici philosophi, & qui inter medicos vocati sunt empirici. Sed & qui nosci posse arbitrantur, inter sese dissident. Quidam enim ad magnitudines, & figuras, & posituras corpusculorum, ac meatuum referunt; alij ad caliditatem, frigiditatem, humiditatem, ac siccitatem, pro sua videlicet vtrique prima elementorum constitutione, vt & nos, in libro de elementis secundum Hippocratem ex calido, frigido, sicco, & humido, cùm aliorum omnium corpora, tum animantium, constare ostendimus; has effectricium facultatum essentias, tum in aliis omnibus, tum in medicamentis statuemus. Sic autem & in tertio De temperamentis demonstratum est. Ac qui volet, quæ nunc dicenda sunt, assequi; in eo tractatu se prius exerceat oportet; quippe quum illic, quæ vniuersim de medicamentis nouisse conueniat, exposita sint. Nec hîc toto vtrique in genere quicquam noui dicemus; verùm, quæ illic generatim sunt scripta, ea hîc speciatim elaborabimus.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πῶς χρὴ κρίνειν ἑκάστην δύναμιν.

ΠΡῶτον μὲν δὴ καὶ μάλιστα τὴν βάσανον τῆς κρινομένης δυνάμεως, ἀπ' αὐτοῦ χρὴ ποιεῖσθαι τοῦ πράγματος πρὸς ὃ λέγεται. οὐδὲ γὰρ εἰ ἀνθρώπῳ ψυκτικὸν τὸ κώνειον, ἤδη καὶ ψάρῳ, οὐδ' εἰ ψαρὶ τρόφιμον, ἤδη καὶ ἀνθρώπῳ. κατὰ ταῦτα δέ, οὐδ' εἰ καθαρτικὸς ἀνθρώπων ὁ ἐλλέβορος, ἤδη καὶ ὀρτύγων, οὐδ' εἰ τρόφιμος ἐκείνοις, ἤδη καὶ ἀνθρώποις. ἐφεξῆς δέ, τὸ κατὰ συμβεβηκὸς, διορίζεσθαι τοῦ πρώτως τε, καὶ καθ' ἑαυτό. τὸ μὲν γὰρ ψυχρὸν ὕδωρ, θέρμης ἐπανάκλησίν ποτε ποιεῖται, τῷ ψύχειν τὸ δέρμα, καὶ συνάγειν, E καὶ πυκνοῦν. ἕπεται γὰρ τούτῳ θέρμης ἐπανάκλησις, ὡς ἐν τῷ τρίτῳ περὶ κράσεων ἐδείκνυτο. τὸ δ' αὖ θερμόν, ψύχει πολλάκις, τῷ διαφορεῖν τὸν θερμαίνοντα χυμόν. εἰ γὰρ ταῦτά τις διορισάμενος ἀκριβῶς, ἐπὶ τὴν ἐξέτασιν ἀφίκοιτο τῆς ζητουμένης δυνάμεως, οὐκ ἄν μοι δοκῇ σφαλῆναι ῥᾳδίως. ἀλλὰ τὸ μὲν ἀπὸ μηδενὸς ἄλλου ποιεῖσθαι τὴν κρίσιν, ἢ τοῦ πρὸς ὃ λέγεται, καὶ πάνυ ῥᾴδιον. οὔτ' εἰ φθαρτικόν ἐστι τῶν ἐντόμων ζώων τοὔλαιον, οὔτ' εἰ λιπαρόν, ἢ γλίσχρον, ἢ κοῦφον, ἐπισκοποῦντας, ὁπότε ζητοῦμεν εἰ θερμαίνειν πέφυκεν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν τὸ ἀνθρώπειον σῶμα. F κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὔτ' εἰ τὴν χροιὰν ἐρυθρόν ἐστι τὸ ῥόδον, οὔτ' εἰ λευκὸν τὸ ψιμμύθιον. οὐ γὰρ ἐξ ἀνάγκης, οὔτε τὸ ἐρυθρὸν θερμόν, οὔτε τὸ λευκὸν ψυχρόν ἐστιν. ἀλλ' εἰ προσφερόμενα τοῖς σώμασιν ἡμῶν ἐκθερμαίνει πρώτως καὶ καθ' ἑαυτά, καὶ μήτε διὰ μέσου τινὸς ἑτέρου, μήτε κατὰ

CAPVT II.

D *Quo pacto quamque iudicare facultatem oporteat.*

IN primis quidem, ac maximè sumendum est iudicandæ facultatis experimentum ab ea re, ad quam dicitur. Siquidem non protinus, si hominem refrigeret cicuta, & sturnum refrigerabit: aut si sturnum nutriat, nutriet & hominem. Eadem ratione neque si hominem purget veratrum, iam purgabit & coturnices; neque etiam si hos nutrire valeat, consequens statim est vt & homines. Proximum est vt quod ex accidenti est, distinguatur ab eo quod primariò ac per se. Nam aqua frigida calorem quandoque reuocat, cutem refrigerando, contrahendóque, ac condensando; ad id enim caloris consequitur reuocatio, velut in tertio de temperamẽtis ostendimus. Rursum calida quoque ipsa sæpenumero refrigerat, calefacientem humorem discutiendo. Nam si quis his ad amussim distinctis ad eius quæ inquiritur facultatis explorationem accesserit, haud facilè, mea quidem sententia, falli queat. Cæterùm à nullo alio desumi iudicium, quàm ab eo ad quod dicitur, id quidem perfacile est; non an insecta animalia oleum interimat, neque an pingue, aut lentum, aut leue sit considerantes, quum an calefacere, aut refrigerare, aut humectare, aut siccare corpus humanum valeat, inquiritur: eundem in modum, neque an colore sit rubro rosa, neq; an albo cerussa; siquidem necessarium non est quicquid rubrum sit, esse calidum; neq; quicquid albũ, esse frigidum: sed an admota corporibus nostris primariò, ac per se excalefaciant, ac neq; interueniẽte quopiam alio, neq; ex accidente

accidente; ac si ita quidem, facultate esse calida; vt si refrigerent, frigida. Nam per Deos vndenam dicere possumus, an calidum sit facultate album piper, & granum cnidium, & cnicus, & calx, & veratrum album? aut vnde, quòd frigidus sit Samius aster, & terra Selinusia, & cerussa, & nix, & lac? omnia enim ista narrata colore quidem alba sunt, facultatibus verò maximè contraria. Sunt ergo nix & calx colore simillima, facultatibus autem maximè contraria; sed repugnantiam sensus diiudicat. Siquidem niuem applicatam protinus; ac primo statim occursu frigidam percipimus; & quoad tangatur, magis semper magísque frigefacere sentimus; videmus autem ipsam neque durare, neque seruari posse, si vel leuis calor eam occupet. At calx neque primo occursu refrigerare percipitur; & vsque dum applicata manet, perspicuò magis, ac magis calefacit. Ex quo constat ex eo quòd semper vnum idémque efficiat, quoad nos contingit medicamentum, propriam eius iudicandam esse facultatem.

CAPVT III.

Quo pacto discernatur quod ex accidente quid faciat, ab eo quod propria facultate.

ETenim quod ab initio ad finem vsque dum applicatum est, magis semper calefacit, id non ex accidente, sed ex sua natura est tale. Sic etiam quod à principio ad finem vsque refrigerat, ex sua facultate est frigidum, non ex accidente. At sanè si nihil moratus, atque ex posteriore, ac post ablutionem, facultatem eius expendere voles, sæpenumero falleris. Ac fortè nonnunquam aquam frigidam, non frigidam modò, sed & calidam possidere facultatem dices; vbi videlicet frigefacere perpetuò dum nos contigerit apparebit, frigidam; vbi verò sæpenumero calorem reuocabit, calidam. Quare hæc indefinita relinquenda non sunt. Dandáque insuper opera, vt quodcunque medicamentum in iudicium vocare velis (id quod in libris de temperamentis monuimus) omnis sit expers alienæ tum frigiditatis, tum caliditatis; ne videlicet natiuam eius facultatem adscititia qualitas adulteret. Ad hæc (quæ & ipsa præcepimus) nutrimentum à medicamento distinguito, atque ea vtraque ad aliquid dici memento; tum circa eandem sæpe substantiam consistere, velut etiam id quod demonstrauimus. Nec secius, quòd quædam tota substantia in sese mutuò & agant, & patiantur; quædam verò vna duntaxat, aut duabus qualitatibus. Ad hæc, alia itidem esse tenuium partium, alia crassarum; tenuia quidem, quæ facilè in tenues comminui partes possint; crassa verò quæ contra. Atque, vt semel dicam, omnium meminisse distinctionum oportet, quas in tertio de temperamentis posuimus, vt secundum illas medicamentorum omnium speciei facultas explorari valeat.

A συμβεβηκὸς εἴη. κἂν οὕτω γε, θερμὰ τὴν δύναμιν; ὥσπερ εἰ καὶ ψύχοι, ψυχρά. ἐπεὶ πόθεν, ὦ πρὸς θεῶν, ἔχομεν εἰπεῖν, εἰ θερμόν ἐστιν τὴν δύναμιν τὸ λευκὸν πέπερι, καὶ ὁ κόκκος ὁ κνίδιος, καὶ ὁ κνῆκος, καὶ ἡ τίτανος, καὶ ὁ λευκὸς ἐλλέβορος; ἢ πόθεν ὅτι ψυχρὸς ὁ Σάμιος ἀστὴρ, καὶ γῆ Σελινουσία, καὶ ψιμμύθιον, καὶ χιὼν, καὶ γάλα; λευκὰ μὲν τὴν χρόαν ἐστὶ σύμπαντα τὰ εἰρημένα, κατὰ μέν τοι τὰς δυνάμεις αὐτῶν, ἐναντιώτατα. ἔστι μὲν οὖν ἥ τε χιὼν καὶ ἡ τίτανος τὴν χροιὰν ὁμοιότατα, κατὰ δὲ τὰς δυνάμεις αὐτῶν ἐναντιώτατον, ἀλλὰ τὴν ἐναντίωσιν ἡ αἴσθησις κρίνει. τῆς μὲν γὰρ χιόνος προσαγομένης, B εὐθύς τε κατὰ πρώτην προσβολὴν, ψυχρᾶς αἰσθανόμεθα, καὶ μέχρι περ ἂν ἅπτηται, ψυχούσης ἀεὶ καὶ μᾶλλον. ὁρῶμεν δὲ, μήθ' ὑπομένουσαν ἔτι, μήτε σωζομένην, εἰ βραχείας ἐπιλάβηται θερμότητος. ἡ δὲ τίτανος, οὔτε κατὰ τὴν πρώτην προσβολὴν φαίνεται ψύχουσα, καὶ μέχρι περ ἂν ἡμῖν πλησιάζῃ, θερμαίνει σαφῶς ἀεὶ καὶ μᾶλλον. ᾧ καὶ δῆλον, ὡς τῷ διὰ παντὸς ἕν τι ποιεῖν, ἄχρι περ ἂν ἡμῶν ἅπτηται τὸ φάρμακον, ἡ οἰκεία αὐτοῦ δύναμις κριθήσεται.

C

ΚΕΦΑΛΑΙΟΝ. Γ'.

Πῶς διακρίνομεν τὸ κατὰ συμβεβηκός τι ποιοῦν τοῦ κατὰ τὴν οἰκείαν ἐνεργοῦντος δύναμιν.

ΤΟ γὰρ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἔστ' ἂν ὁμιλῇ, θερμαῖνον ἀεὶ καὶ μᾶλλον, οὐ κατά τι συμβεβηκὸς, ἀλλὰ κατὰ τὴν ἑαυτοῦ φύσιν ἐστὶ τοιοῦτον. οὕτω δὲ καὶ τὸ ψῦχον ἀπ' ἀρχῆς, μέχρι τέλους ψυχρόν ἐστιν κατὰ τὴν ἑαυτοῦ δύναμιν, οὐ κατὰ συμβεβηκός. εἰ δὲ μήτε ἀναμείνας χρόνον, ἐξ ὑστέρου τε μετὰ τὴν πλύσιν ἐξετάσεις τὴν δύναμιν αὐτοῦ, σφαλήσῃ D πολλαχόθεν. καὶ ἴσως δέ ποτε καὶ τὸ ψυχρὸν ὕδωρ, οὐ ψυχρὸν μόνον ἐρεῖς τὴν δύναμιν, ἀλλὰ καὶ θερμόν. ὅτε μὲν ψυχρὸν φαίνεται, διὰ παντὸς ἔστ' ἂν ἡμῖν πλησιάζῃ, ψυχρὸν, ὅτε δὲ πολλάκις ἐπανάκλησιν θερμότητος ἤνεγκεν, θερμόν. οὔκουν χρὴ ταῦτα παραλιπεῖν ἀδιόριστα, καὶ τῶν κρινομένων ἕκαστον φαρμάκων, ὡς κἀν τοῖς περὶ κράσεως ἐλέγετο. μηδὲ μιᾶς ἐπικτήτου ψύξεως, ἢ θερμότητος ἔστω μετέχον, ἵνα μὴ νοθεύσῃ τὴν φυσικὴν αὐτοῦ δύναμιν ἡ ἐπίκτητος ποιότης. ἔτι τε πρὸς τούτοις, ὡς καὶ ταῦτ' ἐλέγετο, διωρίσθω σοι καὶ τροφὴ φαρμάκου, καὶ μνημονευέσθω E πρός τι μὲν ἄμφω λεγόμενα, πολλαχόθι δὲ περὶ μίαν οὐσίαν συνιστάμενα, καθ' ὅ, τι καὶ τοῦτο ἐπεδείξαμεν. οὐδὲν δὲ ἧττον, ὅτι τὰ μὲν ὅλαις ταῖς οὐσίαις εἰς ἄλληλα δρᾷ καὶ πάσχει, τὰ δὲ κατὰ μίαν, ἢ δύο ποιότητας· καὶ πρὸς τούτοις, τὰ μὲν εἶναι λεπτομερῆ, τὰ δὲ παχυμερῆ. λεπτομερῆ μὲν, ὅσα ῥᾳδίως εἰς λεπτὰ καταθραύεται. παχυμερῆ δὲ, τἀναντία. ἁπλῶς δὲ εἰπεῖν, ἁπάντων μεμνῆσθαι χρὴ τῶν ἐν τῷ τρίτῳ περὶ κράσεων, εἰρημένων διορισμῶν, ἵνα κατ' ἐκείνους ἐξετάζηται τῶν πάντων εἴδους φαρμάκων ἡ δύναμις.

F

A

ΚΕΦΑΛΑΙΟΝ. Δ'.

Περὶ δυνάμεως ὕδατος.

ΕΣΤΩ δὴ πρῶτον ἡμῖν ὕδωρ εἰς σκέψιν προβεβλημένον, ὅτι καὶ κοινότατον ἅπασιν ἀνθρώποις ἐστὶν, ὑγιαίνουσί τε καὶ νοσοῦσιν, καὶ ἀναγκαιότατον εἰς τὴν ζωήν. καὶ πρῶτον μὲν εὐκράτῳ σώματι προσφερέσθω, μήτε ψυχρὸν ἐπισήμως, μήτε θερμόν. ἐφεξῆς δὲ, καὶ τοῖς δυσκράτοις φύσει, καὶ τρίτοις τοῖς κατὰ πάθος. οὕτω γὰρ ἀκριβῶς ἐπὶ πάντων ἐξετάσαιμεν ἂν αὐτοῦ τὴν οἰκείαν δύναμιν. τῷ

B

μὲν οὖν εὐκράτῳ προσφερόμενον, ἐν χρόνῳ πλείονι καταψύξει πάντως αὐτό. τῷ δὲ δυσκράτῳ, θᾶττον μὲν τὸ ψυχρότερον ψύξει, βραδύτερον δὲ, τὸ θερμότερον. ἀεὶ δὲ πάντα ψύξει, κἂν εἰ μὴ πολλαῖς ἐφεξῆς ἡμέραις, ἀλλὰ μιᾷ τις αὐτῷ χρήσαιτο, ἢ πλείοσιν ὥραις. οὐδὲ γὰρ ἐπανάκλησιν ἐπ' οὐδενὸς αὐτῶν, τό γε τοιοῦτον, ποιήσεται θερμότητος. ἀκραιφνὲς γὰρ ψυχρὸν, εὐσάρκῳ καὶ νέᾳ φύσει σώματος ὀλιγοχρονίως ὁμιλῆσαν, ἀνακαλεῖται θερμασίαν· ἄλλως δὲ χρωμένων, ἀεὶ καταψύξει. καὶ μὲν δὴ κἂν εἰ τοῖς ἁπλῷ τινι νοσήματι νοσοῦσιν, ἤτοι θερμῷ τὴν κρᾶσιν, ἢ ψυχρῷ

C

προσαχθείη τὸ τοιοῦτον ὕδωρ, ἐμψύξει καὶ τούτους σαφῶς· ἁπλοῦν γὰρ εἶναι χρὴ τὸ πάθος, ὡς κἀν τῷ τρίτῳ περὶ κράσεων διώριστο, χάριν τοῦ μὴ κατὰ συμβεβηκὸς, ἀλλὰ διὰ τὴν ἑαυτοῦ φύσιν ἐμψύχειν τὸ προσαγόμενον. ἐπεί τοι πολλάκις συνθέτου τῆς διαθέσεως οὔσης, πρώτως μὲν, ἄλλο τι γίνεται πρὸς τοῦ φαρμάκου, κατὰ συμβεβηκὸς δὲ ἄλλο, καθάπερ ἐν ταῖς φλεγμοναῖς. ἔγγονον μὲν γάρ ἐστι θερμοῦ ῥεύματος καὶ πολλοῦ, τὸ πάθος. ὅσα δὲ θερμαίνει μετρίως φάρμακα, κενοῦντα τὸ περιττὸν, εὐθὺς οἶμαι καὶ ψυχρότερον τὸ πεπονθὸς ἐργάζεται. ἀλλ' ὅταν ἁπλῆ καὶ μία διάθεσις

D

ᾖ, τὸ κατὰ συμβεβηκὸς, ἐπ' αὐτῆς οὐκ ἐγχωρεῖ γενέσθαι. οὕτω γοῦν ἐξεταζόντι σοι πανταχόθεν, φαίνεται τὸ πότιμον ὕδωρ ψυχρόν. οὐ μὴν τῶν ἄλλων γε ὑδάτων τῶν αὐτοφυῶν, ὅσα δὴ θειώδη τε, καὶ ἀσφαλτώδη, καὶ νιτρώδη ταῖς ποιότησιν, ἐστὶν ἡ αὐτὴ δύναμις. οὐδὲν γὰρ αὐτῶν ὅταν ἐπικτήτου θερμότητος, ἢ ψυχρότητος χωρισθὲν προσφέρηται, ψύχειν φαίνεται. καὶ μέν γε καὶ ἡ θάλαττα καὶ αὐτὴ, πρὶν ἐπίκτητον ψῦξιν ἀκραιφνῆ προσλάβῃ, οὐ πάνυ τι φαίνεται ψύχουσα. κατὰ μὲν γὰρ τὸ πότιμον ὕδωρ, εἴ τις δι' ὅλης ἡμέρας ἐννήχοιτο, μὴ πάνυ ψυχρὸν ὑπάρχον, ἀλλ' ὡς ἐξ ἡλίου,

E

χλιαρὸν, ἐξ ἀνάγκης ψυγήσεται. θάλατταν δ' ἀλύπως ἤνεγκαν, οὐ δι' ὅλης ἡμέρας μόνον, ἀλλὰ καὶ διὰ νυκτὸς ἐνίοτε πάμπολλοι τῶν νέων. ᾧ δῆλον, ὡς τὸ μὲν ὕδωρ τὸ γοῦν πότιμον καὶ γλυκὺ, κατὰ τὴν ἑαυτοῦ φύσιν, ἀεὶ ψυχρόν ἐστιν, ἡ θάλαττα δ' οὐχ ὁμοίως. εἰ δὲ καὶ μὴ προσθείην μέν ποτε ἐν τῷ λόγῳ, τὸ πότιμον, ἀλλ' ἁπλῶς εἴποιμεν, ὅσον ἑαυτὸ, ψυχρὸν εἶναι τὸ ὕδωρ, οὐ χρὴ συκοφαντεῖν ὡς ἐλλιπῶς, ἢ ἀδιορίστως εἰρηκότας. ὅ τι γὰρ ἂν ἀκριβῶς τε, καὶ εἰλικρινῶς ὕδωρ ᾖ πάσης ἑτέρας οὐσίας ἄμικτον, ἐξ ἀνάγκης ἐκεῖνο ψυχρόν ἐστι κατὰ τὴν ἑαυτοῦ δύναμιν. εἰ δή τι δι' ἀσφαλ-

F

τώδους, ἢ θειώδους, ἢ νιτρώδους, ἢ στυπτηριώδους χωρίου διηθούμενον, ῥύπτοιτό τι τῆς οὐσίας αὐτοῦ, καὶ ἅμα ἑαυτῷ παρασύροι, μικτὸν ἤδη τὸ τοιοῦτόν ἐστι, καὶ οὐκ ἀκριβῶς ὕδωρ. ὥσπερ εἰ καὶ σὺ βουληθείης αὐτὸς, ἢ ἁλῶν, ἢ στυπτηρίας, ἢ τινος ἑτέρου τοιούτου μῖξαι συχνὸν ὕδατι ποτίμῳ,

CAPVT IV.

De aqua facultate.

ESto sanè prima nobis in contemplationem proposita Aqua; quod & communissima hominibus omnibus sit, tum sanis tum ægrotis; & ad vitam maximè necessaria. Primùmque temperato corpori admoueatur neque frigida insigniter, neque calida. Deinde & natura intemperatis. Tertiò ex affectu intemperatis. Nam hoc pacto exactè in omnibus propriam eius facultatem vtique perpenderimus. Igitur temperato admota plusculo tempore ipsum omninò refrigerabit; Intemperato verò, citiùs quidem frigidior refrigerabit, tardiùs verò calidior. Semper autem omnes refrigerabunt, etiamsi non multis deinceps diebus, sed vel vna quis hora, aut pluribus ea vtatur; nec enim talis in vllo ipsorum calorem reuocare poterit. Nam quæ summè frigida est, si quadratæ, ac iuuenili corporis naturæ pauculo tempore adhibeatur, caloris molietur reuocationem; sin aliter vtaris, semper refrigerabit. Quin etiam si iis quoque qui simplici laborant morbo, siue calido temperatura siue frigido, eiusmodi admoueatur aqua, hos etiam manifestò refrigerabit; nam simplex sit affectio oportet (quemadmodum in tertio de temperamentis definitum est) quo videlicet, quæ adhibetur, ex sua natura refrigeret, non ex accidente; quippe quum frequenter, vbi compositus fuerit affectus, aliud primariò medicamentum efficiat, aliud ex accidente, velut in phlegmone, est enim ea affectio calidæ, copiosæque fluxionis soboles. At quæ modicè calefaciunt medicamenta; quum superfluitatem euacuant, protinus, opinor, & quod affectum est, frigidius efficiunt. Verùm quum simplex vnaque fuerit affectio, quod ex accidente fit, in ea prouenire non potest. Ergo tibi hac ratione expendenti, aqua poculenta vndequaque videbitur frigida. Non est tamen aliarum aquarum natiuarum, quæ sulfur, bitumen, aut nitrum, qualitatibus suis referunt, facultas. Nam earum nulla, vbi alienæ, tum caliditatis tum frigiditatis expers adhibita fuerit, refrigerare conspicitur. Quinimò nec marinam ipsam, prius quàm adscititium frigus summum acceperit, admodum refrigerare apparet. Nam si quis in poculenta aqua totum diem innatet, vt etiam non admodum sit frigida, sed velut ex Sole tepens, necessariò tamen refrigerabitur; at mare complures iuuenum interdum citra noxam pertulere non per diem modò totam, sed etiam per noctem. Ex quo liquet aquam potulentam certè, & dulcem, secundum naturam suam semper esse frigidam; mare verò non æquè. Quòd si non semper in sermone adiiciam, poculentam, sed dicam simpliciter, quantùm ex se est, aquam esse frigidam, haud calumniari oportebit, tanquam non plenè, & indistinctè loquutum. Nam quæ exactè, ac syncerè aqua est, omnis alterius substantiæ mixtione vacans, ea ex necessitate, sua facultate est frigida; si qua verò per bituminosa, sulfurosa, nitrosa, aut aluminosa loca distillans, substantiæ eius aliquid absterserit, secúmque traxerit, mixta iam ea est, non autem exactè aqua; Velut si ipse quoque volueris, aut salem, aut alumen, aut aliud id genus affatim aquæ miscere poculentæ; sicut

A sicut sanè sæpenumero facimus in marinæ inopia, quando muriam facere volumus, tunc enim salem aquæ indimus. Ac tantùm ipsa facultate iam dissidet, vt si aqua dulcis, videlicet quæ neque insigniter, aut calida, aut frigida sit, sed velut ex Sole tepida, erysipelati perfundatur, noxam omninò nullam hominis corpori sit allatura; at si marinam aquam, aut muriam, aut id genus aquam mixtam, bituminosam videlicet, aut sulfurosam admoueas, vsque adeo hominem offenderis, vt partem ipsam sis adusturus. Aqua igitur ipsa ex sese frigida est facultate. B Verùm si extraneum sibi calorem adeptam corpori humano perfundas, putabis forsan simplex quoddam & naturale adhibitum medicamen; at ea quodam vtique modo composita est, aut igneæ essentiæ partem aliquam nacta, aut certè omninò ipsam qualitatem. Vt enim, si salem illi miscueris, ex confesso fuerit composita: sic multò magis, quum igneam aut essentiam, aut qualitatem adieceris, compositam quodammodo & nunc effeceris. Est porrò etiam aqua limosa quadantenus composita, velut est aqua Nili quæ in Ægypto est; sed ea per fictilia vasa percolata planè pura efficitur. C Oportet autem non semel, sed bis, & ter percolare, quando ne sic quidem forsan adamussim puram queas efficere; verùm quando, qui aquæ infertur, limus omnem effugerit sensum, satis tunc est vt queas dicere tales, vt ad vsus, puras & synceras esse aquas.

καθάπερ καὶ ποιοῦμεν πολλάκις, ὅταν ἀποροῦντες θαλάττης, ἅλμην σκευάσαι βουληθῶμεν. ἐμβάλλομεν γὰρ τηνικαῦτα τοὺς ἅλας τῷ ὕδατι, καὶ τοσοῦτον ἄρα τὸ διαλλάττον ἐστὶ τῆς δυνάμεως, ὥστε τὸ μὲν ὕδωρ αὐτὸ, τὸ γλυκὺ δηλονότι, τὸ μήτε ψυχρὸν ἐπιφανῶς, μήτε θερμὸν, ἀλλ' οἷον τὸ καλούμενον εἱληθερὲς, εἰ προσφέροις ἐρυσιπέλατι, βλάβην οὐδεμίαν ἐργάσῃ περὶ τὸ σῶμα τοῦ ἀνθρώπου. θάλατταν δὲ, ἢ ἅλμην, ἤ τι τοιοῦτον ὕδωρ ἐπίμικτον, ἀσφαλτῶδες, ἢ θειῶδες εἰ προσενέγκῃς, οὕτως βλάψαις τὸν ἄνθρωπον, ὡς ἐπικαῦσαι τὸ μέρος. ὕδωρ μὲν οὖν αὐτὸ, καθ' ἑαυτὸ, ψυχρὸν τὴν δύναμίν ἐστιν. εἰ δ' ἐπίκτητον αὐτῷ θερμότητα προσάψας ἐθέλοις καταντλεῖν ἀνθρώπου σῶμα, νομίζεις μὲν ἴσως ἁπλοῦν τι, καὶ φυσικὸν προσενηνοχέναι. τὸ δ' ἄρα σύνθετόν πώς ἐστι, ἤτοι μετέχον τινὰ τῆς οὐσίας τοῦ πυρὸς, ἢ τήν γε ποιότητα πάντως προσειληφός. ὡς γὰρ, εἰ καὶ τοὺς ἅλας ἐμεμίχεις αὐτῷ, σύνθετον ἂν ἦν ὁμολογουμένως, οὕτω καὶ μᾶλλον, ἐπειδὴ πυρὸς ἔμιξας. εἴτ' οὖν ποιότητος, εἴτ' οὐσίας εἰργάσω πως καὶ νῦν σύνθετον. ἔστι δὲ δή που καὶ τὸ ἰλυῶδες ὕδωρ, σύνθετόν πως ὡς καὶ τὸ τοῦ Νείλου τοῦ κατ' Αἴγυπτον, ἀλλὰ διὰ τῶν κεραμίων ἀγγείων διηθούμενον, ἀκριβῶς γίνεται καθαρόν. χρὴ δὲ μὴ ἅπαξ, ἀλλὰ καὶ δὶς, ἢ τρὶς διηθεῖν αὐτὸ, καίτοι καὶ οὕτως ἴσως ἀδύνατον ἀκριβῶς ἐργάσασθαι καθαρὸν, ἀλλ' ὅταν ἐκφύγῃ πᾶσαν αἴσθησιν ἡ ἐπιφερομένη τοῖς ὕδασιν ἰλὺς, ἀρκεῖ πρός γε τὴν τοιαύτην χρείαν, τὰ τοιαῦτα καθαρὰ, καὶ εἰλικρινῆ λέγειν ὕδατα.

CAPVT V.

Quo pacto iudicemus aquas puras.

D IVdicantur autem hæ tribus sensibus, nempe gustu, visu, & odoratu. Gustu pura est, si nullā offerat qualitatem, sed ad vnguem qualitatis expers appareat; Visu pura est, quum syncera fuerit, ac planè perlucida. Sic nec odoratu vllam præ se ferre qualitatem debet, vt sunt quædam extremæ prauitatis, quæ aut aciditatem, aut acrimoniā, aut salsedinē, aut putredinē aut aliud abditū aliquod vitium præferunt. Igitur aqua quæ absque his est omnibus, vt ad naturam certè, ne ipsa quidem adamussim syncera fuerit, sicut nec aliud vllum ex quatuor elementis sensibilibus, E sed vt ad sensum, & vsum syncera est. Talis ergo, vt est dictum, secundum suam naturam frigida etiam est; quippe si valde calefactam non modò aquam, sed vel mandragoram, vel altercum, vel cicutam, vel meconium admoueris, non solum excalefeceris, sed etiam vsseris corpus humanum. Omnia itaque quæ examinanda venient medicamenta, omnis extraneæ valentisque, tum caliditatis, tum frigiditatis aliena sunto, nedum aqua.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Πῶς κρίνομεν τὸ καθαρὸν ὕδωρ.

ΤΡΙΣΙ δ' αἰσθήσεσιν κρίνεται ταῦτα, γεύσει, καὶ ὄψει, καὶ ὀσφρήσει. γεύσει μὲν καθαρὸν, εἰ μηδεμιᾶς προσλάβοι ποιότητος, ἀλλ' ἀκριβῶς ἄποιον φαίνοιτο. τῇ δ' ὄψει καθαρὸν, ὅταν εἰλικρινὲς ᾖ, καὶ διαυγὲς ἀκριβῶς. οὕτω δὲ καὶ πρὸς τὴν ὀσμὴν, οὐδεμίαν ἐμφαίνειν αὐτῷ χρὴ ποιότητα, καθάπερ ἔνια τῶν ἐσχάτως μοχθηρῶν, ὀξύτητος, ἢ δριμύτητος, ἢ ἅλμης, ἢ σηπεδόνος, ἤ τινος ἄλλης κακίας ἀῤῥήτου προσβάλλει. τὸ τοίνυν ἐκτὸς ἁπάντων τούτων ὕδωρ, ἔστι μὲν οὐδ' αὐτὸ, πρός γε τὴν φύσιν, εἰλικρινὲς ἀκριβῶς, ὥσπερ οὐδ' ἄλλο τι τῶν τεττάρων στοιχείων τῶν αἰσθητῶν, ὡς μέντοι πρὸς αἴσθησίν τε καὶ χρείαν, εἰλικρινὲς ὑπάρχει. τὸ γοῦν τοιοῦτόν ἐστι καὶ ψυχρὸν, ὡς εἴρηται, κατὰ τὴν ἑαυτοῦ φύσιν. ἐπεί τοι θερμήνας σφοδρῶς, οὐχ ὕδωρ μόνον, ἀλλὰ καὶ μανδραγόραν, καὶ ὑοσκύαμον, καὶ κώνειον, καὶ μηκώνιον, οὐ μόνον ἂν ἐκθερμήνειας προσφέρων, ἀλλὰ καὶ καύσειας ἀνθρώπειον σῶμα. πάντ' οὖν τὰ δοκιμαζόμενα φάρμακα, πάσης ἐπικτήτου τε καὶ σφοδρᾶς θερμότητός τε, καὶ ψύξεως ἐκτὸς ἔστωσαν, μὴ μόνον ὕδωρ.

CAPVT VI.

Demonstratio qua ostenditur, aquam refrigerare ex cerati, quod ex eâ conficitur, effectu.

F AT quòd aqua omnis dulcis manifestè refrigeret, hinc quoque didiceris.Ceratū humidum si ex aqua frigida subactum, accuratéq; ma-

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ἀπόδειξις τοῦ ψύχειν τὸ ὕδωρ ἐκ τῆς ἐνεργείας τῆς δι' αὐτοῦ σκευαζομένης κηρωτῆς.

ΟΤΙ δὲ ψύχει σαφῶς ἅπαν ὕδωρ γλυκὺ, μάθοις ἂν κἀντεῦθεν. κηρωτὴν ὑγρὰν, εἰ δι' ὕδατος ψυχροῦ μαλάξας, καὶ ἀναδεύσας ἐπιμελῶς, ἐπι-

θείης θερμῷ τινι παθήματι, παραχρῆμα καταψύξεις αὐτό. χρὴ δ' ὡς ὅτι πλεῖστον μιγνύναι τοῦ ὕδατος, γίνοιτο δ' ἂν ἡ μίξις ὧδέ πως ἄριστα. καθαρὸν ὡς ἔνι μάλιστα κηρὸν, ἐλαίῳ χρὴ τήξαντας, ὑγρὰν ποιῆσαι κηρωτὴν, ἔπειτα ψύξαντάς τε, καὶ ξύσαντας, ἐν θυείᾳ μαλάττειν διὰ τῶν χειρῶν, ὕδωρ ψυχρὸν παραχέοντας, εἰς ὅσον ἂν ἡ κηρωτὴ δύνηται δέχεσθαι, καὶ μήπως περιρρέῃ τὸ ὕδωρ. ἐμψύχει τοῦτο καὶ τοὺς ἐν πυρετοῖς καυσουμένους, εἰ κατὰ τῶν ὑποχονδρίων ἐπιτεθείη, καὶ φλεγμονὴν ἅπασαν. ὡσαύτως ἕρπητάς τε καὶ ἄνθρακας, ἐρυσιπέλατα, καὶ φύγεθλα, καὶ πάντα ἁπλῶς εἰπεῖν τὰ θερμὰ νοσήματα. μὴ τοίνυν ὕδωρ γλυκὺ, ἀλλὰ καὶ θάλατταν, ἢ ἅλμην αὐτῷ παραμίξας ἐφ' ἑνὸς τῶν εἰρημένων, ὅτου βούλει χρήσασθαι, θεάσῃ γὰρ αὐτίκα διαφορὰν οὐ σμικρὰν, οὐ μόνον οὐκ ἐμψύχοντος ἔτι τοῦ γενομένου φαρμάκου, τῶν εἰρημένων διαθέσεων οὐδεμίαν, ἀλλὰ καὶ προσεκκαίοντος. οὕτως ἄρα πολλὴ διαφορὰ τῶν ποτίμων ὑδάτων ἐστὶ πρὸς ἅλμην τε καὶ θάλατταν. οὐχ ἧττον δ' ἅλμης καὶ θαλάττης τὰ θειώδη καὶ ἀσφαλτώδη, νιτρώδη, καὶ χαλκάνθου, καὶ μίσυος, καὶ χαλκίτεως, ἤ τινος ἁπλῶς τῶν φύσει θερμῶν φαρμάκων ἐμφαίνοντος τῇ γεύσει. πολέμια πάντα ταῖς θερμαῖς τοῦ σώματος ἡμῶν διαθέσεσιν ὑπάρχει. ᾧ δῆλον, ὡς ταυτὶ μὲν ἅπαντα, θερμαῖς ταῖς δυνάμεσίν ἐστιν. τὸ δὲ πότιμον ὕδωρ μόνον ψυχρόν.

A defactum calido alicui affectui imponas, protinus ipsum refrigerabis. Oportet autem quamplurimum admiscere ipsius aquæ, mixtióque hoc maximè modo optimè perficitur. Ceram quantum fieri maximè potest purissimam, oleo liquantes humidum facere ceratum oportet; deinde refrigeratum ac rasum, in mortario manibus subigere, aquam effundendo frigidam quãtum nimirum ceratum accipere valet, ac nondum aqua circunfluat. Id refrigerat, & eos, qui in febre vruntur, si hypochondriis superponatur, & omnem phlegmonem, similiter herpetes quoque, & carbunculos, tum erysipelata, & phygethla, ac breuiter omnes morbos calidos. B Ergo si non aquam dulcem, sed marinam, aut muriam illi admiscens in vno prædictorum quouis vti volueris, non paruam omninò differentiam conspicies; quippe quum id medicamentum adeo nullam propositarum affectionum ampliùs refrigerabit, vt insuper accendat potius. Adeo multa est diuersitas inter potulentas aquas, & muriam, marinámque aquam; æquè autem ac muria, marináque aqua sulfurosæ aquæ, & bituminosæ, & nitrosæ, & quæ chalcanthum, & misy, & chalcitim, vel aliquod simpliciter ex natura calidis medicamentis gustu referunt, inimicæ sunt omnes calidis corporum nostrorum C affectibus. Ex quo constat has omnes facultatibus esse calidas, solam verò aquam potulentam frigidam.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὅτι καὶ δυνάμει ὑγρὸν ὑπάρχει τὸ πότιμον ὕδωρ.

ΟΤΙ δὲ καὶ ὑγρὸν τοῦτο μόνον τῶν εἰρημένων ὑδάτων, ἀκριβῶς ἐκ τῆς αὐτῆς ἐπιγνώσῃ μεθόδου. τά τε γὰρ ἕλκη, τὰ πέρα τοῦ δέοντος αὐχμώδη, καὶ ξηρὰ, τούτῳ τέγγων, αὐτίκα μάλα ποιήσεις ὑγρὰ, καὶ πλαδαρὰ, τῶν ἄλλων ἁπάντων ὑδάτων ξηραινόντων τὰ ἕλκη, τά τε τῶν ἁλιέων ξηρά τε καὶ τεταριχευμένα φαίνεται, τά τε τῶν βαλανέων, ὑγρὰ καὶ πλαδαρά. κἂν εἰ βουληθείης δὲ βρέχων μοτὸν, ἐπιτιθέναι τοῖς ἕλκεσιν, ὑγρὰ μὲν ὑπὸ τοῦ ποτίμου, ξηρὰ δὲ ὑφ' ἅλμης τε καὶ θαλάττης εὑρήσεις γινόμενα, τὰ μέντοι στυπτηριώδη τῶν ὑδάτων, οἷα τὰ κατὰ τὴν Ἰταλίαν Ἄλβουλα προσαγορευόμενα, καὶ τοῖς ἄλλοις μὲν ἕλκεσίν ἐστιν ἐπιτήδεια, καὶ τὰ ῥευματικὰ δὲ πάντα ξηραίνει ῥᾳδίως. οὕτως ἄρα τῶν ἄλλων ὑδάτων οὐδὲν ὑγραίνειν πέφυκεν, ὅτι μηδ' ὕδωρ ἐστὶν ἀκριβῶς, ἀλλ' ἐπίμικτόν τε, καὶ νόθον, ἤτοι στυπτηρίας τε, καὶ χαλκίτεως, ἢ ἁλῶν, ἤ τινος ἄλλου τοιούτου προσειληφός. ὅθεν αὐτῶν ἔνια παροξυντικὰ τῶν ἑλκῶν ἐστιν, ὅσα τε δριμέα ἱκανῶς ὑπάρχει, καὶ δακνώδη. καὶ μὲν δὴ καὶ διψῶντι, τὸ μὲν ὕδωρ πρηϋντικὸν ἴαμα, τὰ δ' ἄλλα πάντα παροξυντικά, καὶ τοῖς ὑδερικοῖς, ἐναντιώτατον μὲν καὶ πόμα καὶ λουτρὸν, τὸ ὕδωρ τὸ γλυκύ. τὰ δ' ἁλμυρώδη, καὶ νιτρώδη, καὶ θειώδη, καὶ ἀσφαλτώδη πάντα χρηστά. καὶ μιμήσασθαι δ' ἂν δύναιο, καθάπερ θάλατταν, οὕτω καὶ τῶν ἄλλων ἕκαστον, ἐπιμιξίᾳ τῆς οὐσίας, ἥτις ἂν ἐν ἑκάστῳ φαίνηται κρατεῖν. θεῖον μὲν γὰρ ἐμβαλὼν ὕδατι γλυκεῖ, θειῶδες ὕδωρ ἐργάσῃ, στυπτηρίαν δὲ, στυπτηριῶδες, καὶ τῶν ἄλλων ἕκαστον.

CAPVT VII.

Quòd aqua potulenta facultate humida sit.

QVòd autem hæc quoque propositarum omnium aquarum sola sit humida, planè ex eadem disces methodo. Nam vlcera quæ supra mo- D dum squallida siccáque sunt, si hac irriges, statim admodum humida flaccidáque reddes, quum aliæ aquæ vniuersæ vlcera desiccent; tum piscatorum vlcera adeo videntur sicca, ac si forent salita; contrà eorum qui in balneis versantur, humida apparent, ac flaccida. Quin si imbutum linamentum vlceribus imponere libeat, humida quidem à potulenta, sicca verò à muria, marináq; reddi comperies. Aquæ quinetiam aluminosæ, quales sunt in Italia vocatæ Albulæ, cùm aliis vlceribus idoneæ sunt; tum verò quæcunque fluxionibus tentantur, ea perfacilè desiccant. Sic nec cæterarum E aquarum vlla humectare potest, quod videlicet non sit exactè aqua, sed mixta & adulterata, accepto nimirum aut alumine, aut chalcite, aut sale, aut id genus aliquo. Quocirca earum nonnullæ vlcera quoque exasperant, nempe quæ acres admodum sunt, & mordaces. Quinetiam sitienti dulcis aqua leniens remedium est; cæteræ verò acerbiorem etiam sitim relinquunt. Tum aqua inter cutem laborantibus aduersissimum est, & poculum, & lauacrum aqua dulcis: salsæ verò, ac nitrosæ, & sulfurosæ, bituminosæque omnes sanè perutiles. Imitari autem potes sicut marinam, sic aliarum F quamlibet, substantia videlicet admixta, quæ in quaque vincere conspicitur; nam sulfure in aquam dulcem indito sulfurosam effeceris; alumine, aluminosam; ac eodem modo aliarum vnamquamque.

CAP. VIII.

A

CAPVT. VIII.

Quod aqua aduentitium calorem nacta semper quidem humectet, non autem semper calefaciat; verùm in ipso quidem perfusionis tempore calefacere, postea verò refrigerare consueuerit.

HÆc ergo propria aquæ natura humida est & frigida. Aduentitium autem acquisititiúmque calorem adepta, calefacit quidem & humectat eos quibus est admota; verùm haud similiter ambo præstare simul potest, sed summè quidem humectat, seu tepida sit, seu temperata, seu etiam calidior; summè verò non calefacit, nisi quæ extremè ferueat. Quod dico, in temperata primùm exploremus natura. Igitur si huic aquam afferas temperatè calidam, siue laues, siue perfundas partem aliquam, in ipso quidem perfusionis tempore humidiorem scipsa ac calidiorem efficies. Quod si deinde quiesces, nec corpus frigidæ vsu postea contrahes, constipabis, ac densabis paulo post se ipso frigidius fieri conspicies; quippe quum corpus rarefactum, transpirante immoderatiùs calore natiuo, frigidius efficiatur. Non tamen sicut frigidius postea calidæ vsus, ita & siccius corpus efficit; quanquam profectò videri id possit; tum ob meatuum raritatem; tum ob corporis mollitiem, tum ob substantiæ fusionem; plusculum siquidem in his affectibus euaporetur necesse est; atqui vapor humor est extenuatus. Verùm non ita habet rei veritas. Nam mollities quam calidæ aquæ lotionibus acquirunt corpora, solius humiditatis proprium ac inseparabile signum est, in animantis videlicet corpore, velut in opere de Temperamentis est demonstratum. Sanè vlceratarum partium caro id ipsum perspicuò ostendit, vt quæ in istis ex aqua calida perfusionibus flaccida atque algæ ritu fluida efficitur; quanquam sanè corpus illiusmodi affectionibus inanitur, vt minus tunc in sese habeat humoris quàm antea. Viderique venia digni possunt qui per calidas lotiones, atque aquæ moderatè calidæ perfusiones siccari corpus existimant; nam similis horum est error, atque illorum qui credunt, senes adolescentibus esse humidiores. Pluribus nanque senes excrementis humidis redundant, sed genuinæ organicæque partes adolescentibus magis sunt humidæ; vt id quoque in secundo de temperamentis monstrauimus. Perinde se res habet in perfusionibus, ac lauacris, omníque adeo ex aqua calida irrigatione. Siquidem humores qui in vasis aliisque inanibus spatiis sunt, exhauriuntur omnes; at ipsa vasorum corpora, & vniuersum genus carnosum se ipso fit humidius. Atque hanc solam facultatem, vt consentaneum est, nunquam aqua dulcis deponit. Neque enim quum feruens corpora exurit, quæ vsta sunt redduntur sicca, vti quæ ab igne sunt assa: rursum nec quum summam adepta frigiditatem per diem totum, aut etiam longiori tempore parti cuipiam perfunditur, eam sicciorem efficit, tametsi rugosa atque admodum exilis relinquitur. Verùm hæc eueniunt, quod qui in vasis aliisque spatiis est humor, exhaustus sit:

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι ὕδωρ θερμότητα προσλαβὸν ἐπίκτητον ἀεὶ μὲν ὑγραίνει, θερμαίνει δ' οὐκ ἀεί· ἀλλ' ἐπ' αὐτὸν μὲν τὸν τῆς καταντλήσεως χρόνον θερμαίνειν, ὕστερον δὲ ψύχειν πέφυκε.

ΑΥΤΗ μὲν οὖν ἡ οἰκεία φύσις τοῦ ὕδατος, ὑγρά τε ἐστὶ καὶ ψυχρά. προσλαμβάνον δ' ἐπίκτητον θερμότητα, θερμαίνει μὲν καὶ ὑγραίνει τὰ πλησιάζοντα, πλὴν οὐχ ὁμοίως ἄμφω πέφυκε δρᾶν ἅμα, ἀλλ' ὑγραίνει μὲν ἄκρως, ἄν τε χλιαρὸν, ἄν τ' εὔκρατον, ἄν τε καὶ θερμότερον ὑπάρχῃ. θερμαίνει δ' οὐκ ἄκρως, τό γε μὴ ζέον ἐσχάτως. ἐξεταζέσθω δ' ὁ λόγος ἐπὶ τῆς εὐκράτου φύσεως πρότερον. ἂν τοίνυν ταύτῃ προσφέρῃς ὕδωρ εὐκράτως θερμὸν, εἴτε λούων, εἴτε καταντλῶν ὅ, τι δή ποτε μέρος, ὑγρότερον ἀποδείξεις ἑαυτοῦ καὶ θερμότερον ἐν αὐτῷ τῷ χρόνῳ τῆς καταντλήσεως. εἰ δ' ἐπὶ τούτῳ παύσαιο, μὴ συναγαγὼν, καὶ πιλήσας, καὶ πυκνώσεις τὸ σῶμα ψυχροῦ χρήσει, μικρὸν ὕστερον εὑρήσεις αὐτὸ ψυχρότερον ἑαυτοῦ γεγονέναι· ἀραιούμενον γάρ τι τὸ σῶμα, ψυχρότερον γίνεται, διαπνεομένης ἀμετρότερον τῆς ἐμφύτου θερμασίας. οὐ μὴν, ὥσπερ ψυχρότερον ἐς ὕστερον ἡ τοῦ θερμοῦ χρῆσις, οὕτω καὶ ξηρότερον ἀποδείκνυσι τὸ σῶμα. καίτοι καὶ τοῦτ' ἂν δόξῃ γίνεσθαι, διά τε τὴν ἀραίωσιν τῶν πόρων, καὶ μαλακότητα τοῦ σώματος, καὶ χύσιν τῆς οὐσίας. ἀτμίζειν γὰρ ἀνάγκη πλέον ἐπὶ ταῖς τοιαύταις διαθέσεσιν. ὁ δ' ἀτμὸς, ὑγρόν ἐστι λελεπτυσμένον. ἀλλὰ γὰρ, οὐχ ὧδ' ἔχει τἀληθές. ἥ τε γὰρ μαλακότης, ἣν ἐπὶ ταῖς θερμολουσίαις ἐπικτᾶται τὰ σώματα, μόνης ὑγρότητος ἴδιον καὶ ἀχώριστον σημεῖον ἐν ζώου σώματι, καθάπερ ἐν τοῖς περὶ κράσεων ἐδείξαμεν. ἥ τ' ἐν τοῖς ἡλκωμένοις μορίοις σὰρξ, ἐναργῶς τὸ τοιοῦτον ἐμφαίνει, πλαδαρὰ, καὶ βρυώδης ἐπὶ ταύταις ταῖς δι' ὕδατος θερμοῦ καταντλήσεσιν ἀποτελουμένη. κενοῦται μέντοι τὸ σῶμα κατὰ τὰς τοιαύτας διαθέσεις, ὡς ἔλαττον ἴσχειν ὑγρότητος ἐν ἑαυτῷ νῦν ἢ πρόσθεν. καὶ συγγνοίη τις ἂν τοῖς οἰομένοις, ἐπί τε ταῖς θερμολουσίαις, καὶ ταῖς καταντλήσεσιν τοῦ συμμέτρου θερμοῦ ξηραίνεσθαι τὸ σῶμα. παραπλήσιον γάρ τι σφάλλονται, τοῖς ὑπολαμβάνουσι τοὺς γέροντας, τῶν νεανίσκων ὑγροτέρους εἶναι. περιττώματα μὲν γὰρ ὑγρὰ, πλείω τοῖς γέρουσιν, αὐτὰ δὲ τὰ πεφυκότα καὶ ὀργανικὰ μόρια, τοῖς νεανίσκοις ὑγρότερα, καθ' ὅτι δέδεικται καὶ διὰ τοῦ δευτέρου περὶ κράσεων. οὕτω δὲ κἀπὶ τῶν καταιονήσεών τε καὶ λουτρῶν ἔχει, καὶ πάσης ἁπλῶς τῆς δι' ὕδατος θερμοῦ τέγξεως. αἱ μὲν γὰρ ἐν τοῖς ἀγγείοις καὶ ταῖς ἄλλαις χώραις ταῖς κεναῖς ὑγρότητες, ἐκκενοῦνται πᾶσαι. τὰ σώματα δ' αὐτὰ τῶν ἀγγείων, καὶ σύμπαν τὸ σαρκῶδες γένος, ὑγρότερον ἑαυτοῦ γίνεται: καὶ ταύτην μόνην, ὡς ἔοικεν, οὐδέποτε ἀποβάλλει τὴν δύναμιν τὸ ὕδωρ τὸ γλυκὺ δηλονότι. οὐδὲ γὰρ ὅταν ζέον κατακαύσῃ τὰ σώματα, ξηρὰ τὰ καυθέντα γίνεται, ὡς ἐν τοῖς ὑπὸ πυρὸς ὀπτηθεῖσιν. ὡσαύτως οὐδ' ἐπειδὰν ἄκρως ψυχρὸν γενόμενον, δι' ὅλης ἡμέρας, ἢ καὶ πλείονι χρόνῳ, καταντλῆται τινος μορίου, ξηρότερον ἀπεργάζεται τοῦτο, καίτοι ῥυσόν γε φαίνεται, καὶ πάνυ μικρόν. ἀλλὰ ταῦτα μὲν αὐτῷ, διὰ τὸ κεκενῶσθαι τὴν ἐκ τῶν ἀγγείων τε, καὶ τῶν ἄλλων

B C D E F

χωρίων ὑγρότητα συμβαίνῃ, τὰ πεφυκότα δ' αὐτὰ, κατ' οὐδὲν ἑαυτῶν γίγνεται ξηρότερα. καὶ χρὴ μεμνῆσθαι καὶ τούτου, καὶ παρ' ὅλον ἀεὶ φυλάττειν τὸν λόγον, ὡς ἔκ τε τῶν ἐναργῶς φαινομένων συλλογίζεσθαι τὴν δύναμιν ἑκάστου τῶν φαρμάκων, ἀεί τε πρὸς ὃ λέγεται θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν εἶναι, πρὸς τοῦτο δοκιμάζειν.

A at partes genuinæ solidæque, nulla sua parte sicciores euadunt. Huiúsq; semper meminisse oportet; tum toto sermone perpetuò obseruandum, ex euidenter apparentibus colligendam, cuiusque medicamenti facultatem; Ac semper ad quod quid dicitur calidum, frigidum, humidum, aut siccum, ad id esse æstimandum.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι ὥσπερ εἰ ἄρα χρὴ ἀπὸ τῶν ἔξωθεν συλλογίσασθαί τι περὶ τῆς τῶν φαρμάκων δυνάμεως, καὶ ἀπὸ τῆς πρὸς τὸ πῦρ ὁμιλίας χρὴ ποιεῖσθαι τὴν κρίσιν.

Ἐξ ἐπιμέτρου δ', εἰ βούλοιτό τις ἀπὸ τῶν ἔξωθεν ἐπάγειν τὰς πίστεις, οὐ κωλύω μὲν οὐδὲ τοῦτο. προσέχειν δ' ἀκριβῶς τὸν νοῦν αὐτῷ συμβουλεύω. παραλογισμοὺς γὰρ ἴσχει συχνούς. ἀλλὰ τούτους μὲν ἐν τοῖς ἐφεξῆς ἐρῶ. ὃ δὲ μόνον ἄν τις ἀπὸ τῶν ἔξωθεν, εἰς πίστιν τοῦ θερμαίνειν, ἢ ψύχειν, τὸ κρινόμενον φάρμακον λαμβάνοι, τὸ κατὰ τὴν τοῦ πυρὸς ὁμιλίαν ἐστίν. οὐ γὰρ ἀπὸ τρόπου τὸ ῥᾳδίως ἐκπυρούμενον ὑπολαμβάνειν θερμὸν εἶναι δυνάμει. μεμνήμεθα γὰρ, οἶμαι, τῶν τοῦ δυνάμει σημαινομένων ἁπάντων, ἐν τῷ τρίτῳ περὶ κράσεων διῃρημένων. ἓν οὖν ἐξ αὐτῶν ἦν, καὶ τὸ κατὰ τὴν οἰκείαν ὕλην τοῦ λεγομένου, τόδε τι κατὰ δύναμιν ὑπάρχειν. εἰ δ' εἴ τι ῥᾳδίως εἰς πῦρ μεταβάλλοι, δυνάμει τοῦτο πῦρ ἐστι, οὐκ ἐνεργείᾳ δηλονότι. τουτὶ μὲν γὰρ τὸ, δυνάμει, τῷ κατ' ἐνέργειαν ἀντιδιαιρεῖται, θάτερον δὲ τὸ καθ' αὑτὸ, τῷ κατὰ συμβεβηκός. ἐν τούτῳ τοίνυν τῷ τρόπῳ τῆς κρίσεως, ἐπισκέπτεσθαί τε καὶ διορίζεσθαι προσήκει.

CAPVT IX.

B *Si à rebus exteris de medicamentorum facultate colligi quid oporteat, ex ignis cum illis commercio faciendum esse iudicium.*

POrrò si quis velit ex superabundanti à rebus externis probationes ducere, ne id quidem prohibeo: verùm, animum diligenter aduertat, consulo. Nam multos obtinet paralogismos. Sed hos in consequentibus edisseram. Cæterùm quod solum quis ab externis rebus sumpserit, vt id quod iudicium subit medicamentum, aut excalfacere, aut refrigerare probet, id in ignis cõmercio contactúq; cõspicitur. Neq; enim vsq; adeo absurdum est, quod facilè in ignẽ vertitur, id calidum facul- C tate putare. Memoria enim, opinor, tenemus omnia huius vocis, facultate significata, quæ in tertio De temperamẽtis definiuimus. Vnum igitur ex iis erat & id quod ex propria eius, quod dicitur, materia, tale est facultate; si quid enim facilè in ignem vertitur, id facultate est ignis, non actu scilicet: Nam hoc quod est facultate, ex aduerso ei diuiditur quod est actu; alterum verò quod est per se, ei quod est ex accidente. Hanc ergo iudicij rationem considerare, ac distinguere conuenit.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Πόσα καὶ τίνα χρὴ προσδιοριζόμενον ἀπὸ τῆς πρὸς τὸ πῦρ σχέσεως, ἐπὶ τὴν πρὸς ἡμᾶς τῆς ὕλης μεταβαίνειν σχέσιν.

Μεταβαίνειν δὲ ἀσφαλῶς βουλόμενον ἀπὸ τῶν ἔξωθεν ἐπὶ τὰ τῶν ζώων σώματα, σκοπεῖσθαι πρῶτον μὲν εἰ λεπτομερές ἐστιν, ἢ παχυμερὲς τὸ δοκιμαζόμενον φάρμακον. δεύτερον δὲ, εἰ συνεχὲς αὐτῷ καὶ πυκνὸν ὅλον, ἢ διαλείμματ' ἔχον, καὶ ἀραιόν. καὶ διὰ τοῦτο χρὴ πλείονα καὶ περὶ τούτου ποιήσασθαι λόγον. ἀρχὴ γάρ τις ἔοικεν εἶναι καὶ αὐτὸ, καὶ οἷον στοιχεῖόν τι παμπόλλης θεωρίας δεόμενον.

D

CAPVT X.

Quot & quæ præfiniri oporteat, vt liceat ex alicuius affectione quæ ad ignem est, quo pacto aduersum nos id ipsum afficiatur, colligere.

AT quibus consiliũ est tutò à rebus extraneis ad corpora transire animalium, videre primũ debent, an tenuis sit essentiæ, an crassæ, quod explorandum venit. Secundò, an sibi continuum densúmque ac solidum, an interuallis intercep- E tum ac rarum. Quocirca his immorandum prolixius est; videtur enim id quoddam esse principium, ac velut elementum, multam consideratione postulans.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι τὰ λεπτομερέστερα τῶν φαρμάκων θᾶττόν τε καὶ μᾶλλον ἐπιδείκνυται τὴν οἰκείαν ἐνέργειαν, τῶν τῆς αὐτῆς δυνάμεως παχυμερῶν.

Φαίνεται τοίνυν οὐδὲν τῶν ὁμολογουμένων θερμῶν ταῖς δυνάμεσιν, ἡμᾶς θερμαῖνον, πρὶν εἰς λεπτὰ καταθραυσθῆναι. πέπερι οὖν ἁδρομερὲς εἴ τις ἐπιπάττοι τῷ δέρματι, θερμότητος οὐκ ἂν οὐδεμιᾶς αἴσθοιτο. κατὰ ταὐτὰ δὲ, κἂν εἰ κατὰ γλώττης ἐπιθείη, κἂν εἰ καταπίοι, κἂν ὁπωσοῦν ἄλλως ἁδρομερεῖ χρήσαιτο, μὴ λειώσας ἀκριβῶς, καὶ διασήσας καὶ πάνυ λειώσας, ὡς χνοῶδες γενέσθαι. τὸ μὲν γὰρ ὡς χνοῦς λεπτὸν, κατὰ τοῦ δέρματος ἐπιπαττόμενον, θερμαίνει, καὶ μᾶλλον, εἰ ἀνατρίψαις αὐτὸ, καὶ κατὰ τὴν

CAPVT XI.

Quòd quæ subtiliorum sunt partium, promptiùs propriam exerant actionem quàm quæ crassiorum, tametsi eandem cum illis facultatem obtineant.

IGitur eorum quæ in confesso est facultate esse calida, nullum omninò apparet nos excalfacere, priusquam in tenuia sit commi- F nutum. Nam si quis piper solidum cuti inspergat, nullam planè caliditatem percipiat; eadem ratione si quis vel linguæ imponat, aut deglutiat, aut alio pacto vtatur integro, haudquaquam diligenter trito, & cribrato, ac non adeò comminuto, vt pollinem tenuitate referat. Nam quod pollinis instar tenue cuti inspergitur, excalfacit, ac maximè si affricueris; præterea quod linguæ

A guæ admotum fuerit, aut in ventrem deuoratum; aut quod ſolidum, integrúmque imponitur, nec cutem calfacit, & linguæ ventríque exiguum duntaxat caliditatis ſenſum mouet. Itaque quum tenuium eſſe partium dicantur quæ facilè in tenues partes comminuuntur, craſſarum verò partium quæ contrà; tum dura viſcoſáque ægrè ac difficile, aut omninò in tenues comminui non poſſint; friabilia verò & quæ citra viſcoſitatem mollia ſunt, promptè in tenuiſſimas ſoluantur; hinc conſtare arbitror, multa eſſe facultate calida, ac facilè accendi, verùm nos haud facilè excalfacere. B Nam ignis, vt qui omnium eſt tenuiſſimus ſimúlque calidiſſimus, & in profundum facilè penetrat, & comminuit, & extenuat vincitque, & tranſmutat atque in ſuam denique naturam conuertit, vndequaque ſcilicet ſimile reddens, atque exuperans id quod contingit. At noſtra caliditas, ſupraquam quod craſſæ ſit eſſentiæ, & halituoſa, inſuper infirma eſt, vt non facilè mutet quod contingit. Oſtenſum eſt autem in tertio de Temperamentis (quo ſine, quæ hic dicuntur, aſſequi eſt impoſſibile) nullum eorum quæ nos calefacere apparent, perinde vt ignem poſſe calfacere, verùm vt materiam accendi facilem; C ſiquidem mutationis principium à noſtra caliditate accipientia, vt calami aridi ab igne, nos contrà recalfaciunt, & velut partes fiunt quædam caloris natiui, ſicut illi ignis: nam quod prius erat calamus, id nunc fit ignis, vt mutantis ipſum ignis eſſentiam totam adaugeat. Monſtrauimus autem quædam, vbi vel leuem fuerunt mutationem extrinſecus adepta, ſecundum naturam deinde ſuam ad plurimam mutationem procedere. Quamobrem mirandum non eſt, ſi quædam medicamenta primæ quidem mutationis principium à noſtro calore nacta, D inde iam pergant eum quoque, qui mutabat ſuperare. Nam quum corporis cuiuſque proprietas alia habilis ſit ad ſuſcipiendum calorem, alia inhabilis, fit vt paria principia non ſequatur par incrementum.

CAPVT XII.

Quòd pharmaca quæ paruam ſortita ſunt molem corpoream, magis agant quàm quæ magnam.

E

QVin etiam quòd corpus admodum exile faciliùs alteratur, mutatúrque ab eo cui admotum eſt; quod autem grandius eſt, non niſi temporis ſpatio, ac vix tandem etiam ſenſibilem alterationem ſuſtinet: id quum non modo à phyſicis naturam ſcrutantibus ſit demonſtratum, ſed cuiuis etiam homini rei ipſius experientia notum: ſatis magnum adfert teſtimonium iis quæ modò dicebamus. Quippe ſi piperis particulæ à nobis accipere debent mutationis initium, eóque accipiant facilius quò fuerint minutiores: mirandum non eſt, ſi eas tantò citius excalfacere F experiamur, quantò accuratius in minimas fuerint comminutæ.

γλῶτταν ἐπιβαλλόμενον, ἢ εἰς τὴν γαστέρα καταπινόμενον. ὁλοσχερὲς δὲ, καὶ ἁδρομερὲς ἐπιτιθέμενον, οὔτε δέρμα θερμαίνει, καὶ τῇ γλώττῃ, καὶ τῇ γαστρὶ βραχεῖαν θερμότητος αἴσθησιν ἐπιφέρει. ἐπεὶ τοίνυν λεπτομερὲς μὲν καλεῖται, τὸ ῥᾳδίως εἰς λεπτὰ καταθραυόμενον, ἁδρομερὲς δὲ, τὸ ἐναντίον. ὑπάρχει δὲ τοῖς μὲν σκληροῖς, καὶ γλίσχροις, ἢ μόγις καὶ χαλεπῶς, ἢ οὐδ' ὅλως εἰς λεπτὰ καταθραύεσθαι. τοῖς δὲ κραύροις, καὶ μαλακοῖς ἄνευ γλισχρότητος, ἑτοίμως εἰς λεπτότατα λύεσθαι. πρόδηλον, οἶμαι, τοὐντεῦθεν, ὡς πολλὰ δυνάμει μὲν ἐστι θερμὰ, καὶ ῥᾳδίως ἐκπυροῦται, θερμαίνει δὲ οὐ ῥᾳδίως ἡμᾶς. τὸ μὲν γὰρ πῦρ, ἁπάντων λεπτομερέστατόν τε ἅμα, καὶ θερμότατον ὑπάρχον, εἴς τε τὸ βάθος αὐτοῦ διικνεῖται ῥᾳδίως, καὶ καταθραύει, καὶ λεπτύνει, καὶ μεταβάλλει, καὶ πρὸς τὴν ἑαυτοῦ μεθίστησι φύσιν, ὁμοιοῦν πάντῃ, καὶ κρατοῦν τοῦ πλησιάζοντος, ἡ δ' ἡμετέρα θερμασία, πρὸς τῷ παχυμερὴς εἶναι, καὶ ἀτμώδης, ἔτι καὶ ἀσθενής ἐστιν, ὡς μὴ ῥᾳδίως μεταβάλλειν τὸ πλησιάζον. ἐδείχθη δὲ ἐν τῷ τρίτῳ περὶ κράσεων, οὗ χωρὶς, ἕπεσθαι τοῖς ἐν τῷδε λεγομένοις ἀδύνατον, ὡς οὐδὲν τῶν θερμαίνειν ἡμᾶς φαινομένων, ὁμοίως τῷ πυρὶ θερμαίνειν πέφυκεν, ἀλλ' ὡς εὐέξαπτος ὕλη. τὴν γὰρ ἀρχὴν τῆς μεταβολῆς ἐκ τῆς ἐν ἡμῖν θερμότητος λαμβάνοντα, καθάπερ οἱ ξηροὶ κάλαμοι παρὰ τοῦ πυρὸς, ἀντιθερμαίνει τε ἡμᾶς, καὶ οἷον μόρια ἄττα τῆς ἐμφύτου γίνεται θερμασίας, ὡς ἐκεῖνοι τοῦ πυρός. ὃ γὰρ ἦν πρότερον κάλαμος, τοῦτο νῦν γίνεται πῦρ, ὥστε καὶ τὴν οὐσίαν ὅλην αὐξάνειν τοῦ μεταβάλλοντος αὐτὸ πυρός. ἐδείχθη δὲ καὶ ὡς ἔνια, βραχείας μεταβολῆς ἔξωθεν τυχόντα, κατὰ τὴν ἑαυτῶν ἤδη φύσιν, ἐπιπλεῖστον ἀλλοιώσεως προέρχεται. ὥστ' οὐδὲν θαυμαστὸν, εἰ τὴν μὲν ἀρχήν τι τῶν φαρμάκων τῆς πρώτης μεταβολῆς, ἐκ τῆς ἐν ἡμῖν ἴσχει θερμασίας, ἐπιπλέον δ' ἐντεῦθεν καὶ αὐτοῦ τοῦ μεταβάλλοντος προέρχεται. ἡ γὰρ ἰδιότης ἑκάστου τῶν σωμάτων ἡ μὲν εὐφυὴς ἡ δ' ἀφυὴς εἰς θερμασίαν ὑπάρχουσα, ταῖς ἴσαις ἀρχαῖς, οὐκ ἴσην τὴν αὔξησιν ἑπομένην ἴσχει.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Ὅτι τὰ σμικρὰ κατὰ τὸν σωματικὸν ὄγκον φάρμακα, τῶν μειζόνων μᾶλλον ἐνεργεῖν πέφυκε.

ΚΑΙ μὴν, ὅτι γε τὸ μὲν σμικρὸν πάνυ σῶμα, ῥᾳδίως ἀλλοιοῦσθαί τε καὶ μεταβάλλεσθαι πρὸς τοῦ πλησιάζοντος, τὸ δὲ μεῖζον, ἐν χρόνῳ τε, καὶ μόλις αἰσθητὴν ἴσχει τὴν ἀλλοίωσιν, οὐ τοῖς φυσικοῖς μόνοις ἀνδράσιν ἀποδεδειγμένον, ἀλλὰ καὶ πρὸς ἁπάντων ἀνθρώπων ἐξ αὐτῆς τῆς τοῦ γινομένου πείρας πεπιστευμένον, ἱκανῶς μαρτυρεῖ τοῖς νῦν λεγομένοις. εἰ γὰρ τὰ τοῦ πεπέρεως μόρια, δεῖται ἀρχήν τινα μεταβολῆς λαβεῖν ἐξ ἡμῶν, λαμβάνειν δὲ ῥᾷον ὅσωπερ ἂν ᾖ σμικρότερα, θαυμαστὸν οὐδὲν, εἰ θᾶττον αὐτῶν αἰσθανόμεθα θερμαινόντων, ὅσωπερ ἂν ἐπιμελέστερον εἰς ἐλάχιστα καταθραύσωμεν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓʹ.

Ὅτι τὰ τῆς ἴσης δυνάμεώς τε καὶ ὑποστάσεως φάρμακα ἀραιοτέροις πλησιάζοντα σώμασι, θᾶττον ἐνεργεῖν πέφυκε.

ΑΛΛΑ μὴν, ὅτι γε τὸ μὲν ἐκτὸς πέρας τοῦ δέρματος, καὶ τυλῶδές ἐστι, καὶ σκληρὸν, καὶ ψυχρὸν, τὸ δ' ὑπ' αὐτὸ βάθος ἅπαν, ὅσονπερ ἂν εἴσω προερχώμεθα, τοσούτῳ θερμότερον, οὐδεὶς ἀμφισβητεῖ. προσθεὶς δὴ τούτῳ τῷ λόγῳ δύο ἑτέρας ἀρχὰς, ἐν ἄλλαις ἡμῖν πραγματείαις ἀποδεδειγμένας, οὕτως ἤδη συλλογίζεσθαι δυνήσῃ τὸ πᾶν. ἡ μὲν ἑτέρα, τῶν εἰς τὴν ἀπόδειξιν ἀρχῶν, ἢ λημμάτων ἢ ἀξιωμάτων, ἢ προτάσεων, ἢ ὅπως ἂν ἐθελήσῃς ὀνομάζειν, ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἀποδέδεικται, συνεχὲς μὲν ἑαυτῷ τὸ πᾶν εἶναι δέρμα, κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν, ἐν χρόνῳ δὲ κατατιτρᾶσθαί τε, καὶ πόρους ἔχειν παμπόλλους ὁμοίως τοῖς κοσκίνοις. ἡ δ' ἑτέρα, τῶν εἰς τὸν συλλογισμὸν χρησίμων προτάσεων, ἐστὶ τὸ ἔκπνουν εἶναι, καὶ εἴσπνουν τὸ σῶμα πᾶν ὡς Ἱπποκράτης ἔλεγεν. εἴρηται δὲ καὶ περὶ ταύτης ἐπιπλέον, ἐν τῷ περὶ χρείας σφυγμῶν, ἐπιδεικνύντων ἡμῶν, ὡς ἐπειδὰν εἰς ἑαυτὰς ἕλκωσιν αἱ ἀρτηρίαι διαστελλόμεναι πανταχόθεν, καὶ διὰ πάντων ἐπισπώμεναι τῶν πόρων, οὐκ ἀέρα μόνον ἢ ἀτμὸν ἕλκουσιν, ἀλλὰ καὶ πᾶν, ὅ, τι ἂν εὔελκτόν τε καὶ λεπτομερὲς ὑπάρχον, τῇ ῥύμῃ τῆς πνευματικῆς οὐσίας ἑτοίμως ἕπεσθαι. τούτων οὕτως ἐχόντων, πολλαὶ φλέβες καὶ ἀρτηρίαι ἀναστομοῦνται, εἴς τε τοὺς πόρους τοῦ δέρματος, καὶ εἰς τὴν ἐντὸς αὐτοῦ ἐπιφάνειαν, εἴς τε τὰς τῶν πόρων κατατρήσεις, οὐκ ὀλίγα στόματα διήκειν ἀρτηριῶν τε καὶ φλεβῶν ὑποληπτέον. οὐχ ἧττόν τε πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν ὡς περαίνειν τοῖς στόμασιν. ὅσον δὲ ἀκριβῶς χνοῦς ἐγένετο τοῦ πεπέρεως, ἐπισπᾶσθαι τὰς ἀρτηρίας ἅμα τῷ πέριξ ἀέρι, εὐθὺς δὲ καὶ τοῦτο, καὶ μεταβάλλεσθαι ὑπὸ τῆς ἐμφύτου θερμότητος, διά τε σμικρότητα, καὶ σύμφυτον ἐπιτηδειότητα, πρὸς τὴν ὑπὸ τῆς θερμασίας ἀλλοίωσιν. οὐ γὰρ ἄλλο γέ τι ἦν αὐτῷ τὸ θερμῷ κατὰ δύναμιν ὑπάρχειν, ἔξω τοῦ πεφυκέναι θερμαίνεσθαι ῥᾳδίως. εἰ δ' ἅπαξ ὑπάρξει τοῦτ' αὐτῷ, θαυμαστὸν οὐδέν ἐστι, πάντη τοῦ σώματος ἐν τῷ χρόνῳ φερόμενον, ἀντιθερμαίνειν αὐτό, καὶ διὰ τοῦτο, πρῶτα μὲν καὶ μάλιστα, πρὸς τῶν τοιούτων φαρμάκων θερμαίνεσθαι τὰ πρώτως ψαυόμενα μόρια· δεύτερα δὲ τὰ τούτοις συνεχῆ, καὶ οὕτως ἐφεξῆς ἤδη, τρίτα τε, καὶ τέταρτα κατὰ τὴν τῆς θέσεως ἐγγύτητα, συνεκθερμαίνεσθαι τοῖς πρώτως θερμανθεῖσι. ταῦτα ἐπιστημονικὴν μὲν ἔχει τὴν ἀπόδειξιν, οὐ μὴν πιστήν γε τοῖς ἀγυμνάστοις περὶ τὰ πρῶτα. χρὴ γὰρ κἀν τοῖς περὶ στοιχείων λογισμοῖς γεγυμνάσθαι, κἀν τοῖς περὶ κράσεών τε, καὶ περὶ χρείας σφυγμῶν ὑπομνήμασιν, καὶ πρὸ τούτων ἁπάντων, ἐν ταῖς ἀποδεικτικαῖς ἠσκῆσθαι μεθόδοις. ὀλίγοι μὲν εἶσιν οἱ διὰ πάντων ἰέναι δυνάμενοι. πλὴν καὶ τούτοις ἀρκέσει, κατά γε τὴν ἐμὴν γνώμην ἐν αὐτοῖς τοῖς ἐναργέσιν ἀναστρέφεσθαι, βραχέων ἐπιλογισμῶν ἁπτομένοις. ὥς τε τὴν μὲν αἰτίαν, δι' ἣν οὐ θερμαίνει τὰ τῶν ἀνθρώπων σώματα τὰ παχυμερῆ προσαγόμενα, κἂν θερμὰ τὴν φύσιν ὑπάρχῃ, μόνοις τοῖς ἕπεσθαι δυναμένοις εἰρῆσθαι νομιζέτωσαν, αὐτοὶ δὲ διαρκείσθωσαν τῷ φαινομένῳ διὰ τῶν αἰσθήσεων ἐναργῶς. φαίνεται δὲ ἐναργῶς μηδὲν τῶν παχυμερῶν, πρὶν ἀκριβῶς

CAPVT XIII.

Medicamenta parem etiam sortita, tum facultatem, tum consistentiam, quantò rarioribus applicentur corporibus, tantò ocyus actionem suam exercere.

QVin etiam quod extima cutis superficies callosa sit, duráque & frigida, tum quòd sub ea est, quantò profundius subeas, tantò sit calidius, nemo ambigit. Huic sanè rationi, si duo etiam principia in aliis à nobis tractationibus demonstrata adiecero, ita denique vniuersum possis colligere. Alterum quidem ad demonstrationem principiorum, siue lemmatum, siue axiomatum, siue propositionum, siue vtcunque nuncupare libebit, in commentariis de temperamentis demonstratum est, cutem videlicet omnem in primo statim ortu sibi esse continuam; at temporis spatio perforari, ac plurima nancisci spiramenta ritu cribrorum. Alterum vtilium ad ratiocinationem propositionum est, Corpus vniuersum expirabile esse, ac inspirabile, vt inquit Hippocrates. Fusius autem de hac dictum est in libro de vsu pulsuum, vbi demonstrauimus, arterias, vbi se dilatantes vndequaque, & per omnes meatus attrahunt, non aërem modò halitúmque attrahere, sed quicquid etiam trahi facile ac tenue sit, ad spiritalis essentiæ impetum expeditè consequi. Quibus sic se habentibus, multæ venæ, arteriæque aperiuntur in cutis meatus; & in ipsius superficiem internam: ac in meatuum perforationes haud pauca peruenire venarum, arteriarúmque oscula existimandum est, nihilóque secius ad extimam superficiem, ita vt ipsæ osculis ibi finiant ac terminentur. Tum quicquid piperis ad exactissimum redactum fuerit pollinem, simul cum ambiente aëre ab arteriis attrahi, ipsúmque protinus à calore natiuo transmutari, idque tum ob paruitatem, tum ob ingenitam, vt à calore alteretur, aptitudinem; siquidem haud aliud illi erat facultate esse calido, quàm facilè posse incalescere. Quòd si semel id illi insit, mirum non est per omne corpus tempore perlatum, ipsum recalfacere: ac proinde primum maximéque ab id genus medicamentis incalescere partes, quas primùm contigerit: deinde quæ his sunt proximæ, & continentes; ac sic deinceps iam tertio, quartóque loco, pro situs videlicet vicinitate, cum iis quæ primò incaluerant, incalescere. Hæc scientifica constant demonstratione, non tamen iis satis credibili, qui in primis non fuerint exercitati. Oportet enim in iis quæ de elementis sunt, ratiocinationibus esse versatum, atque in commentariis de temperamentis, & Vsu pulsuum; & ante hæc omnia in demonstrandi methodis peritum. Sanè paucis datum est omnia percurrere. Verùm his quidem suffecerit (mea sententia) in euidentibus duntaxat versari paucis attactis communibus rationibus; siue epilogismis. Itaque causam, quamobrem non excalfaciunt corpora humana ea quæ crassa adhibentur, etiam si natura sint calida, iis duntaxat qui rationem assequi valeant, dictam esse reputent: sibíque satis esse persuadeant, quod euidenter sensibus apparet. Apparet autem euidenter crassorum omnium nullum prius quàm ad vnguem commi-

comminuatur extenuetúrque, neque ipsum à corpore nostro quicquam perpeti, neque rursum in nos posse agere. Nec enim solum in pipere, napy, canchry, cæterísque omnibus quæ nos excalfaciunt, ita se res habet, sed æquè item in facultate frigidis. Nam si quis radicis mandragoræ corticem in magnas partes confractam cuti imponat, aut illinat, aut deglutiat, planè nihil efficiet; at si admodum sit comminuta, refrigerare potest. Sic etiam papaueris semen, & cicutæ, tametsi hoc sit omnium refrigerantium valentissimum, tamen antequam exactè comminuatur, cuti nostræ impositum planè est imbecillum. Ne te ergo magna teneat admiratio, quod calami aridi, pilíque tametsi accendi promptissimi sunt, non tamen nos contactu excalfaciant; quippe qui planè à nostro calore mutari nequeant, vt sic recalfaciant, quod videlicet pollinis ritu comminui non valeant; quandoquidem calamus Indicus, quem & aromaticum appellitant, quum tundi, cribrari, ac planè magis quàm qui apud nos nascitur, comminui valeat, clarè nos excalfacere conspicitur, sicut vno ore omnes qui ætate nobis maiores sunt medici, confitentur.

A καταθραυσθῆναί τε καὶ λεπτυνθῆναι, μήτ᾽ αὐτὸ πάσχειν ὑπὸ τοῦ σώματος ἡμῶν, μήτ᾽ ἀντιδρᾶσαί τι δυνάμενον. οὐ γὰρ μόνον ἐπὶ πεπέρεως, ἢ νάπυος, ἢ κάγχρυος, ἢ τῶν ἄλλων ἁπάντων τῶν θερμαινόντων ἡμᾶς, ἀλλὰ καὶ ἐπὶ τῶν ψυχραῖς ταῖς δυνάμεσιν, ὡσαύτως ἔχει. μανδραγόρου γοῦν ῥίζης φλοιὸν, εἴ τις εἰς μεγάλα καταθραύσας ἐπιθείη κατὰ τοῦ δέρματος, ἢ καταπλάττοι ἢ καταπίοι παντελῶς, οὐδὲν ἀνύσει, λεπτουργηθεὶς δ᾽ ἱκανῶς ψύχειν πέφυκε. οὕτω δὲ, καὶ τὸ τῆς μήκωνος σπέρμα, καὶ τὸ τοῦ κωνείου, καίτοι τοῦτό γε σφοδρότατον ὑπάρχει τῶν ψυχόντων πρὶν ἀκριβῶς καταθραυ-
B σθῆναι, πλησιάζον ἡμῶν τῷ δέρματι, παντάπασιν ἀσθενὲς ὑπάρχει. μὴ τοίνυν θαυμάσῃς, εἰ κάλαμοι ξηροὶ, καὶ τρίχες, εὔκαυστα μὲν, οὐ μὴν ἡμᾶς γε θερμαίνει πλησιάζοντα. τὴν ἀρχὴν γὰρ, οὐδὲ μεταβάλλεται πρὸς τῆς ἐν ἡμῖν θερμασίας, ἵνα ἀντιθερμήνῃ, διὰ τὸ μὴ δύνασθαι καταθραυσθῆναι χνοωδῶς. ἐπεί γε κάλαμος ὁ ἐξ Ἰνδίας, ὃν καὶ ἀρωματίτην ὀνομάζουσιν, τῷ κόπτεσθαί τε, καὶ διαττᾶσθαι, καὶ ὅλως τῷ καταθραύεσθαι, μᾶλλον τοῦ παρ᾽ ἡμῖν, ἐναργῶς φαίνεται θερμαίνων, ὡς καὶ τοῖς πρεσβυτέροις ἡμῶν ἰατροῖς ὡμολόγηται πᾶσιν.

C

CAPVT XIV.

Quòd corpora rariora citiùs ab igne accendantur, quàm quæ sunt crassiora.

POrrò considerandũ est (quemadmodũ proposui) nõ solũ crassarum sit partium, an tenuium, explorãdum medicaminũ substantia, verùm etiam raráne, an densa. Voco sanè rarum, cuius partes spatiis inanibus intercepta sunt, intelligentibus videlicet nobis, ac semper recordantibus, quo pacto dicatur spatium inane ab iis qui vnitam esse dicunt substantiam, non quemadmodum Epicuro, & Asclepiadi est visum, imò aëre plenum est in raris corporibus spatium inane. Vbi ergo eiusmodi spatiis multis corpus fuerit distinctũ, facilius quàm densum accenditur, etiam si quod ad caliditatis frigiditatísque attinet temperiem, similiter illi sit affectum. Nam qui in iis spatiis continetur aër, quum sit ad patiendum promptissimus, primo statim ignis occursu accenditur atque inflammatur; vnà verò secum corpus vniuersum accendit, vnamquamque eius partem nimirum vndequaq; occupans. Ergo si parua corpora, cingente ea circunquaque flamma, promptè accenduntur (nam id clare conspicimus) non sine ratione corpus rarum celeriter accenditur, vt potè quum profundas eius partes omnes flamma contingat. Sic itaque calamos aridos ignis celeriter exurit, tametsi minus sint alia substantia calidi, idque ob meatuum multitudinem, quos aër quidem prius occupabat: vbi verò ignis contigit, flãma depascitur: Aër enim accensus, flamma est, terra verò carbo. Porrò quod aëris plenos meatus multos aridus calamus obtineat, summum argumentum est ipsius leuitas; nam siccum natura corpus leue esse alioqui nequeat, nisi inanitate sit præditum. Eundem in modum pumex, & spongia sicca, atque omnia adeò quæcunque fistulosa sunt multúmq; vacui obtinẽt, põdere sunt leuia; Sic sanè & calamus non eò duntaxat quod siccus est, sed quod plurimi aëris est particeps, promptè accenditur; at à nostro corpore ægrè proinde calefieri potest, quòd essentiæ sit crassæ.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ὅτι ἀραιότερα τῶν σωμάτων θᾶττον ὑπὸ τοῦ πυρὸς ἐκπυροῦται τῶν πυκνῶν.

ΕΠισκέπτεσθαι δὲ, ὡς εἴρηται, μὴ μόνον εἰ παχυμερής ἐστι, ἢ λεπτομερὴς, ἡ τῶν ἐξεταζομένων φαρμάκων οὐσία, ἀλλ᾽ εἰ καὶ ἀραιὰ, καὶ πυκνή. λέγω δὴ ἀραιὰν, ἧς τὰ μόρια διαλαμβάνεται χώραις κεναῖς. ἐπισταμένων ἡμῶν δηλονότι καὶ μεμνημένων ἀεὶ, πῶς λέγεται χώρα κενὴ,
D πρὸς τῶν ἡνῶσθαι φασκόντων τὴν οὐσίαν, ὅτι μὴ καθάπερ Ἐπικούρῳ καὶ Ἀσκληπιάδῃ δοκεῖ, ἀλλ᾽ ἔστιν ἀέρος πλήρης ἐν ἅπασι τοῖς ἀραιοῖς σώμασιν ἡ κενὴ χώρα. τοιαύταις οὖν εὐρυχωρίαις πολλαῖς, ὅταν ᾖ διειλημμένον τὸ σῶμα, ῥᾷον ἐκπυροῦται τῶν πυκνῶν, κἂν ὁμοίως αὐτοῖς τῆς κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἔχει κράσεως. ὁ γὰρ ἐν ταῖς εὐρυχωρίαις ἀὴρ εὐπαθέστατος ὑπάρχων, ἐκφλογοῦται μὲν αὐτὸς εὐθέως κατὰ τὴν πρώτην τοῦ πυρὸς προσβολήν. συνεκκαίει δ᾽ αὑτῷ, καὶ τὸ πᾶν σῶμα, πανταχόθεν ἕκαστον αὐτοῦ μόριον περιλαμβάνον. εἴπερ οὖν τὰ σμικρὰ σώ-
E ματα περιεχομένης αὐτοῖς ἐν κύκλῳ φλογὸς ἐξάπτεται ἑτοίμως, φαίνεται γὰρ τοῦτο ἐναργῶς, εὐλόγως, τὸ ἀραιὸν σῶμα ταχέως ἐκπυροῦται, τῶν ἐν τῷ βάθει μορίων ἁπάντων αὐτοῦ, ψαυούσης τῆς φλογός. οὕτως οὖν καὶ τοὺς ξηροὺς καλάμους τὸ πῦρ ἐκκαίει ταχέως, κἂν ἧττον ἑτέρας οὐσίας ὦσι θερμοὶ, διὰ τὸ πλῆθος τῶν πόρων, οὓς πρότερον μὲν ἀὴρ κατειλήφει. ψαύσαντος δὲ τοῦ πυρὸς, ἡ φλὸξ ἐπινέμεται. ἀὴρ μὲν γὰρ ἐκπυρωθεὶς, φλόξ ἐστι, γῆ δὲ, ἄνθραξ. ὅτι δ᾽ ἀερώδεις πόρους παμπόλλους, ὁ ξηρὸς κάλαμος ἔχει, μέγιστον τεκμήριον ἡ κουφότης αὐτοῦ. ξηρὸν γὰρ φύσει σῶμα,
F κοῦφον ἄλλως οὐκ ἐγχωρεῖ γενέσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον κίσσηρις καὶ σπογγιὰ ξηρά, καὶ γὰρ πάνθ᾽ ὅσα σηραγγώδη, καὶ πολύκενα, κοῦφα τοῖς σταθμοῖς ἐστιν. οὕτω μὲν καὶ ὁ κάλαμος, οὐχὶ τῷ ξηρὸν εἶναι μόνον, ἀλλὰ καὶ τῷ πλείστου μετέχειν ἀέρος, ἑτοίμως ἐκφλογοῦται. τῷ δ᾽ ἡμετέρῳ σώματι, δυσθέρμαντός ἐστιν, διὰ τὸ παχυμερὲς τῆς οὐσίας.

ὅταν οὖν τινος τῶν φαρμάκων, ἐκ τῆς πρὸς τὸ πῦρ ὁμιλίας τεκμαιρόμενοι τὴν κρᾶσιν, εἰ καὶ πρὸς ἡμᾶς φαίνεται τοιοῦτον, ἐθέλωμεν ἐξευρεῖν, εἰς τὴν τῆς οὐσίας αὐτοῦ σύστασιν ἀποβλεπτέον. εἰ μὲν γὰρ λεπτομερής ἐστι, καὶ συνεχὴς ἑαυτῇ, τὴν αὐτὴν καὶ πρὸς ἡμᾶς ἐπιδείξεται φύσιν, ἥνπερ καὶ πρὸς τὸ πῦρ. εἰ δὲ ἀραιά τε καὶ παχυμερὴς, ἐνδέχεται πρὸς μὲν τοῦ πυρὸς, ἀλλοιοῦσθαι ῥᾳδίως αὐτὴν, οὐ μὴν πρός γε τῆς ἐν ἡμῖν θερμασίας, καὶ διὰ τοῦτο μηδὲ ἀντιθερμαίνειν ἡμᾶς.

A Quando igitur medicamenti cuiuspiam ex ignis commercio temperiem colligentes, scrutari statuimus, an aduersum nos eodem modo se gerat, substantiæ eius respicienda constitutio est. Nam si tenuis quidem sit, sed sibipsi continua, eandem & in nos naturam ostendet, quam prius in ignem: sin autem rara sit & crassa, fieri potest, vt ab igne quidem perfacilè alteretur, non tamen à calore nostro, ac proinde nec nos recalfaciat.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅτι λεπτομερὲς ὑπάρχει τὸ ὕδωρ, καὶ οὐδέποτε θερμαίνει ἡμᾶς κατὰ τὴν ἑαυτοῦ φύσιν.

ΟΤΕ τοίνυν ταῦθ᾽ οὕτω διώρισται, πάλιν ἐπανέλθωμεν ἐπὶ τὸν περὶ τοῦ ὕδατος λόγον. ὅτι μὲν γὰρ λεπτομερές ἐστι, ἐκ τοῦ διαῤῥεῖν ἑτοιμότατα καὶ πλοκάμων, καὶ ὑφασμάτων, ἔνεστι τεκμήρασθαι. διά τε γὰρ ὑγρότητα, καὶ μαλακότητα, καὶ τὸ μηδὲν ἔχειν γλίσχρον, εὔθραυστα κέκτηται τὰ μόρια, καὶ μέχρι σμικροτάτου, ῥᾳδίως διαιρούμενα. τοιοῦτον δὲ ὄν, ὅμως οὐδ᾽ ἡμᾶς θερμαίνει κατὰ τὴν ἑαυτοῦ φύσιν, οὔτ᾽ ἔστιν οἰκεία τροφὴ πυρὸς, ἀλλὰ πολὺ τοὐναντίον, ἀντίκειταί τε καὶ στασιάζει, καὶ κατασβέννυσιν, ὡς ἐναντιώτατον ὑπάρχον αὐτοῦ. καὶ οὐδὲν θαυμαστὸν, εἰ θερμοτάτῳ καὶ ξηροτάτῳ τὴν φύσιν ὑπάρχοντι τῷ πυρὶ ψυχρὸν καὶ ὑγρὸν ὄν, ἀντιτέτακται τὸ ὕδωρ. στοχάζεσθαι τοίνυν, ὡς εἴρηται, κἀκ τῆς πρὸς τὸ πῦρ ὁμιλίας, ὅπως ἔχει θερμότητος ἢ ψύξεως ἕκαστον τῶν φαρμάκων. οὐ μὴν εὐθύς γε καὶ πρὸς ἡμᾶς νομίζειν φαίνεσθαι τοιοῦτον, εἰ καὶ μὴ λεπτομερὲς εἴη καὶ πυκνόν. οὕτω γοῦν καὶ τοὔλαιον, καίτοι ῥᾳδίως ἐκφλογούμενον, οὐ πάνυ τοι ταχέως, οὐδ᾽ ἐναργῶς ἡμᾶς θερμαίνει, τῷ γλίσχρῳ καὶ παχυμερεῖ τῆς οὐσίας, δυσαπολύτως ἐμπλαττόμενον οἷς ἂν ὁμιλήσῃ πρώτοις. καὶ διὰ τοῦτο μέχρι πλείστου παραμένει πᾶσιν οἷς ἂν ἐπαλείφηται, μήθ᾽ ὑπὸ τοῦ περιέχοντος λεπτυνθῆναί τε καὶ διαφορηθῆναι ῥᾳδίως δυνάμενον, ἀλλὰ μηδ᾽ εἴσω τοῦ σώματος ἑτοίμως μεταληφθῆναι. τὸ ὕδωρ τοὐναντίον εἰς ἀτμοὺς τάχιστα διαλυόμενον, ἑτοίμως διαφορεῖται. καὶ διὰ τοῦτο, κἂν ἕψῃς, εἰς ταὐτὸν ἀγγεῖον ἐμβάλλων, ἔλαιον ὕδατι, πρότερον διαφορεῖται καὶ ἐκδαπανᾶται τὸ ὕδωρ. οὕτω κἂν λιθάργυρον, ἢ ψιμμύθιον, ἢ ὁτιοῦν ἄλλο μίξας ἀκριβῶς, ἀμφότερα ἕψειν ἐθελήσῃς, πρότερον ὄψει διαφορούμενον τὸ ὕδωρ.

CAPVT. XV.

B *Aquam tenuium esse partium, nec vnquam nos ex sua natura excalfacere.*

POstea quàm igitur hæc eum in modum definita sunt, rursum ad sermonem de aqua redeamus. Nam quod tenuis sit essentiæ argumento est quod promptissimè per pilos, & vestimenta perfluat; nam propter humiditatem mollitiémque, quódque nihil habeat adiunctum viscositatis, diuisibiles partes obtinet, & quæ facilè in minimas possint distrahi. Talis quum sit, tamen neque nos ex sua natura C calfacit, neque proprium est ignis nutrimentum, imò omninò contra aduersatur, & dissidet, atque extinguit, vt quæ illi sit aduersissima: nec mirum est, si cum igne natura, tum calidissimo, tum siccissimo, pugnet aqua, quæ frigida est & humida. Coniectura igitur, vt dictum est & ex ignis sumenda commercio, quo pacto quodque medicamentum in calore, frigoréque se habeat: non tamen protinus existimandum tale, & ad nos videri, nisi tenuium sit partium, & spissum. Sic oleum tametsi facilè in flammam vertitur, non tamen admodum celeriter nos excalfa- D cit, nimirum lenta crassáque substantia sua tenaciter iis inhærens, quæ primùm contigit; proindéque longissimè omnibus perdurat, quibus fuerit illitum, scilicet nec ab ambiente facilè aut extenuari, aut digeri potens, nec intrò in corpus promptè transumi. Aqua verò è contrario, & celerrimè in halitum soluitur, atque expeditè discutitur proinde etiam si in idem vas coniectam aquam oleumque decoquas, prior tamen aqua resoluitur & absumitur. Sic item si lithargyro, aut cerussa, aut id genus aliquo cum aqua diligenter commixto, simul ambo decoquere voles, priorem digeri E aquam experiere.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Ὅτι οὐ πάντως τὸ θᾶττον ἐκπυρούμενον ὑπὸ τοῦ πυρὸς τοῦτο καὶ πρὸς ἡμᾶς φαίνεται θερμότερον.

ΟΥκοῦν ἁπλῶς ὅτι περ ἂν ἐκπυροῦται θᾶττον, εὐθὺς τοῦτο καὶ πρὸς ἡμᾶς φαίνεται θερμότερον. ἐδείχθη γὰρ καὶ πρόσθεν, ὡς τῶν ἐνεργείᾳ θερμαινόντων, τὸ μὲν ἁπλῶς ἦν θερμὸν, ὥσπερ τὸ πῦρ. τὸ δ᾽ ἐπικρατείᾳ θερμὸν, ὥσπερ τὸ ἐν ἡμῖν. οὕτω καὶ τῶν δυνάμει θερμῶν, τὸ μὲν ὡς πρὸς τὸ πρῶτόν τε καὶ ἁπλῶς θερμὸν εἶναι τοιοῦτον, τὸ δ᾽ ὡς πρὸς τὸ κατ᾽ ἐπικράτειαν λεγόμενον. ὥστ᾽ οὐχ ἁπλῶς ἀπὸ τῆς πρὸς τὸ πῦρ σχέσεως τῶν κρινομένων φαρμάκων, προσήκει μεταβαίνειν ἐφ᾽ ἡμᾶς, ἀλλὰ μετὰ τὸ διορίσασθαι τὸν εἰρημένον διορισμόν.

CAPVT XVI.

Non simpliciter quod citiùs ab igne accenditur, id ad nos quoque apparere calidius.

NOn ergo simpliciter quod citius accenditur, protinus id etiam ad nos apparet calidius. Siquidem antè ostensum est, vt calefacientium actu, aliud simpliciter erat calidum, vt ignis: aliud exuperantia calidum, velut qui in nobis est calor; Sic F eorum quę facultate sunt calida, aliud esse eiusmodi, vt ad id quod primò & absolutè est calidum; aliud verò vt ad id quod per exuperãtiam dicitur. Quamobrem non absolutè ab ea quæ aduersus ignem est, in iudicium venientium medicamentorum dispositione, ad nos transire expedit, sed adiecta limitatione proposita.

A

CAPVT XVII.

Non quod citius à frigore congelascit, eo quod tardiùs, absolutè frigidius existimare licere, sed inter ea quæ parem sortita sunt consistentiam.

EAdem hæc limitatio itidẽ necessaria est, quoniam ex eo quod quid facilè conglaciatur, frigidũ esse colligimus. Nam in iis, quæ eandẽ habent aut tenuitatem, aut crassitudinẽ consistentiæ, quod ocyus à frigore congelatur, temperamenti est frigidioris. Nam si alterum sit tenuius, putà exempli causa, vinum: alterum crassius, vt oleum: nõ est necesse aut citius, aut magis concrescere quod est frigidius. Verùm si quantò alterum est frigidius, tantò alterum quoque crassius sit, sic similiter ambo concrescent. Cæterùm magis cõcretum videatur, ipsa videlicet consistentiæ duritia, quod fuerit essentiæ crassioris. Nam rationabile est, reor, similiter congelatorum, quod crassioris fuerit essentiæ, itidem fieri durius. At si vel alterum plus sit frigidius quam reliquum essentiæ crassioris: aut contrà minus frigidius quidem ipsorum alterum, reliquum verò crassioris essentiæ; haud etiam pari tempore congelascere est possibile; verùm quod plus est frigidius, quàm alterum essentiæ crassioris, minori temporis spatio; quod verò minus est frigidius, quã reliquum essentiæ crassioris, maiori. Sic magis, minúsque vtrumuis ipsorum videri durum, id pro excessus proportione euenire est necesse.

ΚΕΦΑΛΑΙΟΝ. ΙΖ'.

Ὅτι οὐχ ἁπλῶς τὸ θᾶττον πηγνύμενον ὑπὸ τοῦ ψυχροῦ, ψυχρότερον ἡγεῖσθαι χρὴ τοῦ βραδίον πηγνυμένου, ἀλλὰ τῶν ἴσων κατὰ σύστασιν.

Ὁ δ' αὐτὸς οὗτος διορισμὸς, ἀναγκαῖός ἐστι κἀπειδὰν ἐκ τοῦ πήγνυσθαί τι ῥᾳδίως, ψυχρὸν εἶναι συλλογιζώμεθα. τῶν γὰρ ὡσαύτως ἐχόντων κατὰ λεπτομερὲς, ἢ παχυμερὲς τῆς συστάσεως, τὸ θᾶττον ὑπὸ τοῦ ψυχροῦ πηγνύμενον, ψυχρότερόν ἐστι τὴν κρᾶσιν. ὡς εἴη τὸ μὲν λεπτο-
B τομερέστερον, ὡς οἶνος εἰ τύχοι· τὸ δὲ παχυμερέστερον, ὡς ἔλαιον, οὐκ ἀναγκαῖόν ἐστι, θᾶττον ἢ μᾶλλον πήγνυσθαι τὸ ψυχρότερον. ἀλλ' εἰ μὲν ὅσῳ θάτερόν ἐστι ψυχρότερον, τοσούτῳ θάτερον εἴη παχυμερέστερον, ἅμα μὲν ἄμφω παγήσεται. μᾶλλον δ' ἂν δόξειε πεπῆχθαι τῇ σκληρότητι τῆς συστάσεως τὸ παχυμερέστερον. εὔλογον γὰρ οἶμαι τῶν ὁμοίως πεπηγότων, τὸ παχυμερέστερον, καὶ σκληρότερον γίνεσθαι. εἰ δ' εἴ τοι πλέον ψυχρότερον εἴη θάτερον, ἢ παχυμερέστερον τὸ λοιπὸν, ἢ ἔμπαλιν ἧττον ψυχρότερον τὸ ἕτερον αὐτῶν, παχυμερέστερον δὲ τὸ λοιπὸν, οὐκ ἔτ' ἐν ἴσῳ χρόνῳ πήγνυσθαι
C τούτοις δυνατὸν, ἀλλὰ τὸ μὲν πλέον ψυχρότερον, ἢ παχυμερέστερον θάτερον, ἐν ἐλάττονι χρόνῳ, τὸ δ' ἧττον ψυχρότερον ἢ παχυμερέστερον, τὸ λοιπὸν ἐν πλείονι. οὕτω δὲ καὶ τὸ μᾶλλον ἢ ἧττον φαίνεσθαι σκληρὸν ὁπότερον αὐτῶν, ἀνάλογον τῷ μεγέθει τῆς ὑπεροχῆς, ἀναγκαῖον ἀποβαίνειν.

CAPVT XVIII.

Quo differat congelatio à refrigeratione.

Hæc ergo memoriæ mandare oportet; tũ quòd nõ idem sint congelari, & refrigerari, & quòd illud maximè à refrigeratione proueniat. Nam refrigerari est frigidam accipere qualitatem, at congelari est durescere præ frigore. Ergo quæcunque corpora tenuis sunt essentiæ, quum facilè perpetiantur, promptè tum incalescunt, tum refrigerantur; at non æquè promptè congelantur, vt aër & ignis. Nam hic planè non congelatur: ille autem nempe aër, non perinde vt vitrum, vt pix, vt cera, resina, bitumen; tametsi bitumen sit vel calidissimum, verùm quod eius crassum est ac terreum, ad congelationis celeritatem adiuuat; ac si tetigeris, calidum etiamnum, planè tamen congelatum reperias: sicut (puto) & plumbum, & stannum non aliter concreta sunt etiamnum feruentia. Sic aquam Hippocrates, quæ celeriter & incalesceret, & refrigeraretur, semper esse leuissimam retulit: nam quantò tenuior fuerit, tantò pati promptior est: atqui quæ tenuior est, minimùm habet limi terrestris. Non ergo absolutè, nec temerè ex materiæ passionibus ad ignem, coniicere eius ad nos facultatem oportet, verùm adiunctis limitationibus suprapositis. Quare nec æquè securum hoc iudicium, ac id, quo ad nos ipsos quid examinamus: at, qui hoc etiam vlterius transeunt, planè in multis errorum periculis versantur. Quanquam id faciunt medicorum complures, alij omne quod viscosum est, calidum asserentes: alij, quicquid astringit: nonnulli, quicquid est dulce, quidam verò etiam quod austerum acerbúmue est: sunt autem qui singulis illorum contraria defendant. Sed qui in istis errores cõmittãtur, postea narrabo.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Τίνι διαφέρει τὸ πήγνυσθαι τοῦ ψύχεσθαι.

ΤΟΥΤΩΝ οὖν μεμνῆσθαι χρὴ, καὶ ὡς οὐ ταὐτό
D ἐστι τὸ ψύχεσθαι, τῷ πήγνυσθαι, κἂν ὅτι μάλιστα διὰ τὸ ψύχεσθαι γίγνηται. τὸ μὲν γὰρ ψύχεσθαι, ψυχρὰν ἐστὶν ἐπιδέχεσθαι ποιότητα, τὸ δὲ πήγνυσθαι, σκληρύνεσθαι διὰ ψῦξιν. ὅσα τοίνυν ἐστὶ λεπτομερῆ σώματα, ὥστε πάσχειν ῥᾳδίως, ἑτοίμως μὲν θερμαίνεταί τε καὶ ψύχεται, πήγνυται δὲ οὐκ ἔθ' ἑτοίμως, ὥσπερ ἀήρ τε καὶ πῦρ. τὸ μὲν γὰρ ὅλως οὐ πήγνυται, ὁ δ' οὐχ ὁμοίως ὑάλῳ καὶ πίττῃ, καὶ κηρῷ, καὶ ῥητίνῃ, καὶ ἀσφάλτῳ, καίτοι θερμοτάτη γε ἡ ἄσφαλτος, ἀλλὰ τὸ παχυμερὲς αὐτῆς, καὶ γεῶδες, εἰς τὸ τάχος τῆς πήξεως συντελεῖ. καὶ ἀ-
E ψάμενος ἂν εὕροις ἔτι θερμὴν, ἤδη πεπηγυῖαν τελέως, ὥσπερ, οἶμαι, καὶ ὁ μόλυβδος, καὶ ὁ κασσίτερος, ἔτι ζέοντα, πέπηγεν ὁμοίως. οὕτω τοι καὶ τὸ ὕδωρ Ἱπποκράτης ἔλεγεν, τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, ἀεὶ κουφότατον. ὅσῳ γὰρ ἂν ᾖ λεπτομερέστερον, τοσούτῳ ῥᾷον πάσχει. λεπτομερέστερον δὲ, τὸ γεώδους ἰλύος ἥκιστα μετέχον. οὐχ ἁπλῶς οὖν οὐδ' ὡς ἔτυχεν, ἐκ τῶν πρὸς τὸ πῦρ παθῶν τῆς ὕλης τεκμαίρεσθαι χρὴ τὴν πρὸς ἡμᾶς δύναμιν αὐτῆς, ἀλλὰ μετὰ τῶν εἰρημένων διορισμῶν. ὅθεν οὐδ' ἀσφαλὴς ἡ κρίσις ὁμοίως, τῆς πρὸς ἡμᾶς αὐτούς.
F ἡ δὲ καὶ ταύτης ἔτι περαιτέρω μετάβασις, παντάπασιν σφαλερά· καίτοι γε χρῶνται ταύτῃ πάμπολλοι τῶν ἰατρῶν. οἱ μὲν, πᾶν τὸ γλίσχρον θερμὸν εἶναι λέγοντες, οἱ δὲ πᾶν τὸ στύφον, οἱ δὲ πᾶν τὸ γλυκύ· τὸ δ' αὐστηρὸν, ἢ τὸ στρυφνὸν, ἕτεροι. τινὲς δὲ καθ' ἕκαστον αὐτῶν τἀναντία τιθέμενοι. περὶ μὲν δὴ τῶν ἐν τούτοις σφαλμάτων, ἐφεξῆς ἐρῶ.

νυνὶ δὲ συντελέσαι βούλομαι τὸν ἐνεστῶτα λόγον, ὡς εἰ κἀκ τῆς πρὸς τὸ πῦρ κοινωνίας ἐθέλοι τις κρίνειν τὴν ὕλην, οὐχ ἁπλῶς οὐδ' ἀορίστως προσήκει κρίνειν, οὐδ' ὡσαύτως ἔχειν ἡγεῖσθαι τῶν κρινομένων ἕκαστον, πρός τ' ἄνθρωπόν τε καὶ πῦρ. ὕδωρ μὲν οὖν ἐναντιώτατόν ἐστιν πυρί, ψυχρὸν καὶ ὑγρὸν ὑπάρχον τὴν δύναμιν. ἅλμη δέ, καὶ θάλαττα, καὶ τὸ ἀσφαλτῶδες ὕδωρ, καὶ τὸ θειῶδες οὐκέτ' ὡσαύτως. ἀποκεχώρηκε γὰρ ἅπαντα τὰ τοιαῦτα τοῦ ὕδατος, ἐπὶ τὸ θερμότερον. ἀλλὰ περὶ μὲν τῶν αὐτοφυῶν ὑδάτων, ἱκανὰ καὶ ταῦτα. καθ' ἕκαστον γὰρ τῶν φαρμάκων, ὧν τὰς ποιότητας αὐτὸ τὸ ὕδωρ δέδεκται, τὸν λόγον ποιούμενοι, κἂν εἴ τι νῦν ὑπὲρ αὐτῶν ἀσαφέστερον, ἢ ἐλλιπέστερον εἴρηται, προσθήσομεν.

A Nunc autem præsentem sermonem consilium est absoluere: nempe vt siquis ex ignis commercio materiam iudicare volet, non absolutè, neque citra limitationem id faciendum: neque perinde ad ignem & hominem habere, quicquid iudicatur, putandum. Nam aqua igni aduersissima est, vt quæ facultatem sortita sit frigidam, & humidam: muria verò, marina, bituminosaque & sulfurosa aqua, non æquè, quippe quum id genus omnes ab aqua ad calidius recesserint. Verùm de sponte natis aquis vel hæc sufficiant. Siquidem vbi medicaminum vniuscuiusque quo-
B rum qualitates accipere aquam ostensum est, sermonem sigillatim tractabimus, si nunc aut obscurius quippiam, aut imperfectius sit dictum, id tunc adiicietur.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ ὄξους.

ΕΠΙ δὲ τὰ λοιπὰ τῶν ὑγρῶν φαρμάκων ἤδη μεταβαίνωμεν, ὧν ἐν τοῖς μάλιστα, περὶ ὄξους ἀμφισβητεῖται, τῶν μὲν, ψυχρὸν εἶναι λεγόντων αὐτό, τῶν δὲ θερμόν, ἐνίων δέ, τινὰ μὲν θερμότητα διδόντων αὐτῷ, τινὰ δὲ ἀφαιρουμένων. ὥσπερ οἱ λέγοντες οἶνον τεθνεῶτα καὶ νεκρὸν εἶναι τὸ ὄξος. οὗτοι γὰρ ἀπολωλεκέναι μὲν αὐτό φασι τὴν οἰκείαν οἴνου θερμότητα, σηπεδονώδη δέ τινα προσειληφέναι. καὶ ἔγωγ' ἂν ἐπῄνεσα τὴν γνώμην αὐτῶν, καὶ ἐξ ἑτοίμου προσηκάμην, καὶ συνεκινδύνευσα περὶ τὴν ἀπόφασίν τε καὶ δόξαν, εἴ τινα μηχανὴν ἐξευρεῖν ἠδυνάμην, ὥσπερ ἐν γάλακτι τῶν ἐναντίων μορίων τῆς διακρίσεως, οὕτω κἀνταῦθα. νυνὶ δ' ὅτι μὲν τὸ γάλα μὴ σύμπαν ὁμοιομερές ἐστι, μηδὲ ταὐτὸν ἑαυτῷ πάντῃ, σαφῶς ἐπιδείκνυσιν ἡ σχίσις αὐτοῦ, πολλῶν τοῖς ἀνθρώποις ἐξευρημένων τρόπων εἰς τὴν διάκρισιν τῶν τυρωδῶν μορίων, ἀπὸ τῶν ὀρρωδῶν. οὐ μὴν ἐπί γε τοῦ ὄξους, οὐδ' εὕρηταί τι τοιοῦτον, οὔτ' ἐναργῶς ἀποδεῖξαι δυνατὸν ὡς ὅσον μὲν αὐτοῦ λεπτὸν καὶ ὑγρὸν ἀκριβῶς ἐστιν, τοῦτο μὲν ψύχει, τὸ δὲ κατὰ τὴν τρυγὸς οὐσίαν ἐμφερόμενον αὐτῷ, καθάπερ κἀν τοῖς οἴνοις θερμαίνει· μόνως γὰρ ἂν οὕτως ἐναργῶς ἐπιδείξειέ τις ἐξ ἐναντίων ταῖς δυνάμεσι συγκείμενον αὐτὸ μορίων, ὥσπερ τὸ γάλα. πᾶσι μὲν οὖν τοῖς ἐκ καρπῶν ἀποθλιβομένων γιγνομένοις ὑγροῖς, ἐμφέρεταί τι παχυμερές, ὃ δὴ καὶ ὑφιζάνει τῷ χρόνῳ. τρὺξ μὲν ἐπὶ τῶν οἴνων, ἀμόργη δ' ἐπ' ἐλαίου καλούμενον. ἀνάλογον δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων ὑπάρχει, κἂν εἰ μὴ τέτευχεν ἰδίων ὀνομάτων, ἢ οἷον τρὺξ ἐν αὐτοῖς. ἔστι δή τι τοιοῦτον κἀν τῷ ὄξει, καὶ τάχα, τὸ μὲν τῆς θερμότητος μετέχον ἐστὶ τοῦτο, τὸ δὲ τῆς ψύξεως, τὸ λεπτόν. ἴσως δέ, καὶ κατ' αὐτὸ τὸ λεπτόν, ἐμφέρεταί τι σμικρὸν ἐν πολλῷ προεσκευασμένον, τῆς ἑτέρας φύσεως ἢ τὸ ὅλον ἐστίν. ὅτι μὲν γὰρ πλείονι μοίρᾳ ψυχρόν, ἢ θερμόν ἐστιν, ἐναργῶς οἶμαι φαίνεσθαι τοῖς ἀληθῶς ἐξετάζουσιν τὴν αὐτοῦ δύναμιν.

CAPVT XIX.

De aceto.

SEd ad reliqua nunc liquidorum medicaminum transibimus, inter quæ vel maxima est controuersia de aceto, aliis frigidum, aliis contrà calidum adstruentibus: nonnullis calorem quidem
C quendam illi concedentibus, sed quendam etiam auferentibus, velut qui acetum vinum esse mortuum asserunt. Nam hi propriam vini caliditatem perdidisse quidem, verùm putredinosam assumpsisse aliam quandam contendunt. Atque ego sanè non multum abest, quin illorum laudem sententiam, in eámque promptè accedam, próque hac assertione, atque opinione pericula omnia subeam, siquam machinam, aut artem inuenire queam, sicut in lacte contrariarum partium separationis, ita hîc quoque. Nunc autem, quod lac vniuersum non sit homœomeres, & similare, neque
D vndequaque sibi idem, clarè monstrat eius scissio, excogitata videlicet multis hominibus ratione, qua partes caseosæ à serosis separari possint. Atqui neque tale quid repertum in aceto est: neque manifestò demonstrare possis, quod quantum eius est tenue atque humidum exactè, hoc quidem refrigeret: quod verò secundum fæcis substantiam in eo defertur, velut in vinis calefaciat; nam ea solum ratione apertè quis probauerit ipsum ex partibus facultate contrariis consistere, sicut lac. Sanè in omnibus liquoribus, quos exprimēdis fructibus conficiunt, crassum defertur quippiam, quod & tē-
E poris spatio subsidit: fæx vocatur in vino, in oleo autem amurca; sed & in omnibus aliis inest, quod illis proportione respondet, tametsi proprium nomen sortitum non sit, quod velut fæx est in illis; vtique & in aceto est eiusmodi quippiam, & forsan ipsum est, quod caloris est particeps: quod verò frigoris, id quod tenue est; fortassis verò, & in ipso tenui exiguum quiddam defertur multo tempore præparatū alterius naturæ quàm ipsum sit totum; nam quòd maiori parte frigidius sit quàm calidius, liquidò iis apparere arbitror, qui verè facultatem eius expenderint.

F

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ὅτι κακῶς τινες δίκην καυτηρίου θερμὸν εἶναι τὸ ὄξος ἀπεφήναντο.

ΚΑΙ θαυμάζω γε ὅπως εἰς τοσοῦτόν τινες ἀπεφήναντο θερμὸν εἶναι τὸ ὄξος, ὡς καυτῆρι προσεοικέναι.

CAPVT XX.

Perperam multos cauterij instar pronunciasse acetum calidum.

AC miror qua ratione ducti quidā ita calidū esse acetū dixerint, vt cauterio ipsū assimilarint; nam

nam hac, inquiunt, ratione sanguinis eruptiones reprimit. Primùm enim tanta caliditas sensum nostrum non fugeret. Deinde ad illorum calidorum imaginem omninò vtique crustam efficeret, calidis medicamentis similiter. Nam id planè in his conspicimus, vbi per ea sanguinem sistere statutum est, crustam relinqui haud exiguam; siquidem, nisi crustam effeceris, sanguinem haud represseris, nam ea velut operculum fit corporibus sanguinem profundentibus. Proinde sanè etiam cauteria planè candentia illis applicare consueuimus, compertum nimirum habentes, quæ non sunt eiusmodi, præterquam quod nihil proficiant, insuper lædere, ac sanguinis profluuium irritare. Nec sanè ignis ex sua ratione, aut quòd calfaciat, ipsum sistere potest: verùm idcirco, quia quum vrat quæ contigerit, quod ex vstione reliquum est, operculum subiectis partibus relinquat, id quod Græcis appellari consueuit ἐσχάρα. At acetum haud perinde vt crustam facientia medicamenta, sed potius vt adstringentia, & refrigerantia, citra crustam, sanguinis fluores cohibet: itaque hac quidem ratione non calefacere extremè sed refrigerare putetur. Præstat tamen, vt & supra monuimus, à talibus coniecturis recedere, vtpotè, quæ iudicium ad sensum haud referant, neque ex propè positis, aut vicinis, sed è longinquo, & longis sumptionibus rationem colligant. Aperiam autem copiosius illarum absurditatem in libris sequentibus.

A ταύτῃ γοῦν φασι, καὶ τὰς αἱμοῤῥαγίας ἐπέχειν αὐτό. πρῶτον μὲν γὰρ οὐκ ἂν ἐλάνθανε τὴν αἴσθησιν ἡμῶν ἡ τοσαύτη θερμότης. ἔπειτα δὲ, καὶ κατὰ τὴν αὐτῶν ἐκείνων τῶν θερμῶν εἰκόνα πάντως ἄν που τοιοῦτον ὑπάρχον ἐσχάραν εἰργάζετο τοῖς θερμοῖς φαρμάκοις ὁμοίως. ὁρῶμεν γὰρ ἐπὶ τούτων ἐναργῶς, ὅταν αἷμα δι' αὐτῶν ἐπισχεῖν βουληθῶμεν, ἐσχάραν οὐ μικρὰν γινομένην, ὡς εἴ γε μὴ ποιήσῃς ἐσχάραν, οὐδ' ἐπέχεις τὸ αἷμα. γίνεται γὰρ οἷον ἐπίθεμά τι τῶν αἱμοῤῥαγούντων σωμάτων αὕτη. καὶ διὰ τοῦτο, καὶ τὰ καυτήρια προσφέρομεν αὐτοῖς, ἀκριβῶς ἐκπεπυ-
B ρωμένα, γινώσκοντες, οἶμαι, τὰ μὴ τοιαῦτα, πρὸς τῷ μηδὲν ἀνύειν, ἔτι καὶ βλάπτοντα, καὶ παροξύνοντα τὰς αἱμοῤῥαγίας. οὐ γὰρ δὴ κατὰ τὸν ἑαυτοῦ λόγον, οὐδὲ τῷ θερμαίνειν τὸ πῦρ ἐφίστησιν αὐτὰς, ἀλλὰ τὸ κατακαῦσαν, οἷς ἂν ἐπιπέσοι, τὸ οἷον ὑπόλειμμα τῆς καύσεως ἀπεργάζεται πῶμα τῶν ὑποκειμένων, ὅπερ ἔθος ὀνομάζειν ἐστὶ τοῖς Ἕλλησιν ἐσχάραν. ἀλλὰ τό γε ὄξος, οὐδενὶ τῶν ἐσχαρούντων φαρμάκων ὁμοίως, ἀλλὰ μᾶλλον, ὡς τὰ στύφοντα, χωρὶς ἐσχάρας ἐπέχει τὰς αἱμοῤῥαγίας, ὥστε ταύτῃ μὲν οὖν οὐ θερμαίνειν ἄκρως, ἀλλὰ ψύχειν ὑπο-
C ληφθείη. κάλλιον μέν τοι, καθότι καὶ πρόσθεν εἴρηται, τῶν τοιούτων ἀποχωρῆσαι τεκμηρίων. οὐ γὰρ ἐπὶ τὴν αἴσθησιν ἀνάγει τὴν κρίσιν, οὐδ' ἐκ τῶν παρακειμένων, οὐδ' ἐγγύθεν, ἀλλὰ πόῤῥωθέν τε, καὶ διὰ μακρῶν λημμάτων συλλογίζεται. καὶ δείξω τὴν ἀτοπίαν αὐτῶν ἐπὶ πλέον, ἐν τοῖς ἑξῆς λόγοις.

CAPVT XXI.

Qua methodo cognoscere liceat, an calidum sit acetum.

NOs autem secundum methodum ab initio positam, vim eius experiemur, primum in iis quibus inculpata constat sanitas, mox in intemperatis, deinde & in ægrotantibus. Itaque spongiam, aut lanam aceto madentem cuiuis sani corporis parti superponemus: deinde, vt ante est positum, protinus rogabimus, idiotas scilicet, atque ex plebe aliquem (nam illorum in istiusmodi incorruptum est iudicium, quia nulli videlicet dogmati seruiliter sunt addicti) nunquid calorem, an frigus percipiant. Id verò satis constat, quod illud nec summè frigidum, nec calidum admouebimus: nam & de hoc supra verba fecimus. Sanè si tale fuerit quod applicatur acetum; potissimùm si non admodum inueteratum, neque extremè acre, manifestum principio frigus percipient; itidem & post vnam, duas, tresve ac quatuor horas: postea verò, post sublationem scilicet sensim nascentis in parte caloris opinionem habebunt. Porrò si vehementer acre acetum extiterit, & hoc etiam refrigerari se principio dicent; celeriter tamen recurrentem calorem sentient, non autem longo post tempore, velut in recentiore, ac non valde acri aceto. Ex quibus constat, omninò frigidum quidem esse acetum, sed quendam etiam obtinere calorem, qui acrimoniæ ratione per aliquod accidens spatio temporis mediocriter corpora excalfaciat, tametsi id non vbique sed in quibusdam duntaxat, possit efficere. Nam laxis, ac doloris expertibus tumoribus, neque

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Τίνι μεθόδῳ χρώμενοι γνωρίζομεν ὅτι ψυχρὸν ὑπάρχει τὸ ὄξος.

D ΗΜεῖς μὲν οὖν, κατὰ τὴν ἐξ ἀρχῆς μέθοδον, ἐπί τε τῶν ἀμέμπτως ὑγιαινόντων, πειρασόμεθα τῆς δυνάμεως αὐτοῦ. κἄπειτ' ἐφεξῆς ἐπὶ τῶν δυσκράτων, εἶτα καὶ τῶν νοσούντων. σπόγγον οὖν ἢ ἔριον ὄξει βρέξαντες, ἐπιθήσομεν ὁτῳδήποτε μορίῳ τῶν ὑγιαινόντων σωμάτων, εἶθ' ὥσπερ εἴρηται ἔμπροσθεν, ἔν τε τῷ παραχρῆμα πευσόμεθα τῶν ἰδιωτῶν, ἀδεκάστως γὰρ ἐκεῖνοι τὰ τοιαῦτα κρίνουσιν, τῷ μὴ δουλεύειν δόγματι, πότερα ψύξεως, ἢ θερμασίας αἰσθάνονται. δῆλον δ' ὡς οὔτε ψυχρὸν ἄκρως, οὔτε θερμὸν αὐτὸ προσ-
E οίσομεν. εἴρηται γὰρ ἤδη καὶ περὶ τούτου πρόσθεν. εἰ δὴ τοιοῦτον εἴη τὸ προσφερόμενον ὄξος, καὶ μάλιστα εἰ μὴ παλαιὸν σφόδρα, μηδ' ἐσχάτως δριμὺ, σαφοῦς αἰσθήσονται ψύξεως, ἐκ τοῦ παραχρῆμα, καὶ μετὰ μίαν ὥραν, καὶ δύο, καὶ τρεῖς, καὶ τέτταρας, ἐξ ὑστέρου μέντοι, καὶ θερμασίας τινὸς ἤδη καταβραχὺ γινομένης ἐν τῷ μορίῳ, φαντασίαν τινὰ ἕξουσιν. δριμέος δ' ἰσχυρῶς ὄντος τοῦ ὄξους, κατὰ μὲν τὴν ἀρχὴν, κἀπὶ τούτῳ ψύχεσθαι φήσουσιν, ταχέως μέντοι τῆς ὑποστρεφομένης αἰσθήσονται θερμασίας, καὶ οὐ μετὰ πολὺν χρόνον, ὡς ἐπὶ τοῦ νεω-
F τέρου τε καὶ μὴ πάνυ δριμέος ὄξους. ἐξ ὧν δῆλον, ὡς ἐστι ψυχρὸν μὲν πάντως, ἤδη δὲ καὶ θερμασίας τινὸς ὀλίγης μετέχον ἐν τῷ λόγῳ τῆς δριμύτητος, κατά τι συμβεβηκὸς, ἐν τῷ χρόνῳ, μετρίως ὑποθερμαίνει τὰ σώματα, καίτοι γ' οὐδὲ τοῦτο διαπαντὸς, ἀλλ' ἐπ' ἐνίων πέφυκε δρᾶν. ὅσα οὖν χαῦνα, καὶ ἀνώδυνα τῶν οἰδημάτων, οὔτ' ἐν

τοῦ παραχρῆμα θερμασίας αἴσθησιν, οὔτ' εἰς ὕστερον ἔχει, χρωμένων ὄξει. κνῆσις μέντοι ἐπ' αὐτῷ γίγνεται, δι' ἣν καὶ πολλάκις τοῖς ἄκρως χρωμένοις ἔρευθος ἐπιτρέχει λεπτόν, ὡς οὔτε πρώτως, οὔτε κατὰ τὴν οἰκείαν τάξιν ὑποθερμαίνειν δόξειεν ἄν, ἀλλ' ἐρεθίζειν τῇ δήξει τῆς δριμύτητος. ἐπεὶ δὲ ἅπαξ ἐπὶ τὰ παθήματα μετέβημεν ἀπὸ τῶν ὑγιαινόντων σωμάτων, ἀναμνήσωμεν, ὅσα πέφυκε δρᾶν ἐπὶ ταῖς θερμοτάταις τε καὶ ψυχροτάταις διαθέσεσιν. ὅταν οὖν τις ὑπὸ θαψίας ἐπαλειφθείσης διακαίηται, κατασβέννυσι τὸ ὄξος τὸ καῦμα. καὶ τοῦτ' ἔξεστι τῷ βουλομένῳ πείρᾳ μαθεῖν, ὥσπερ καὶ ἡμεῖς ἐποιήσαμεν ἐφ' ἡμῶν αὐτῶν, ἐπὶ τῷ βάσανον ἀκριβῆ λαβεῖν τῆς τοῦ φαρμάκου δυνάμεως, ἐπαλείψαντες πολλαχόθι τὰς κνήμας, ἡνίκα μετὰ τέτταρας ὥρας, καὶ πέντε, διακαίεσθαί τε καὶ φλεγμαίνειν ὑπήρξαντο, τῷ μὲν ὄξος, τῷ δ' ὕδατος προσεῤῥαίνομεν, ἑτέρῳ δ' ἔλαιον, ἄλλῳ δὲ ῥόδινον ἐπηλείφομεν, ἄλλῳ δ' ἄλλο τι τῶν ἢ δριμύτητας ἀμβλύνειν, ἢ θερμότητας ἐμψύχειν πεπιστευμένων, καὶ πάντων αὐτῶν ἐνεργέστερον τὸ ὄξος ηὑρίσκετο. δῆλον οὖν, ὡς οὐχὶ τῷ τὰς δριμύτητάς τε καὶ δήξεις ἀμβλύνειν ὁμοίως ἐλαίῳ τε καὶ ῥοδίνῳ, καὶ γὰρ καὶ αὐτὸ πέφυκε ποιεῖν ταῦτα, ἀλλὰ τῷ ψύχειν. εἰ γὰρ οὐκ ἐνδέχεται μὲν ἄλλως ἰᾶσθαι τὰς ἀπὸ τῆς θαψίας φλεγμονὰς αὐτό, πλὴν ἢ τῷ ψύχειν, ἢ τῷ τὰς δήξεις τε καὶ δριμύτητας ἀμβλύνειν, οὐχ ὑπάρχει δ' αὐτῷ θάτερον, ἀνάγκη ἄρα κατὰ τὸ λοιπὸν ἰᾶσθαι. καὶ τῶν ἄλλων δὲ τῶν θερμῶν ἁπάντων παθημάτων, τῶν μὲν μᾶλλον, τῶν δ' ἧττον ἐμψυκτικὸν ὑπάρχει, φλεγμονῶν, ἑρπήτων, φυγέθλων, ἐρυσιπελάτων, ἀνθράκων. ὥστε εἰ μὴ τὸ σφοδρόν τε καὶ τραχὺ τῆς δυνάμεως αὐτῷ λυπηρὸν ἦν, οὐκ ἂν ἄλλῳ τινὶ πρὸς ἔμψυξιν ἐχρώμεθα.

ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

Τίσι λογισμοῖς κέχρηνται οἵ τε θερμὸν ἄκρως καὶ οἵ τε ψυχρὸν ἀποφαίνοντες εἶναι τὸ ὄξος.

Καὶ τοί τινες αὐτὸ δὴ τοῦτο μέγιστον γνώρισμα τίθενται τῆς θερμότητος αὐτοῦ. μὴ γὰρ ἄν φασιν, μήτε δριμὺ μήτε δακνῶδες εἶναι, μήτε διαβρωτικόν, μήτε τραχυντικόν, εἰ μὴ καὶ θερμότητος αὐτῷ μέτεστι δαψιλοῦς. ὡς γὰρ τοῦ ψυχροῦ, τὸ συνάγειν τε καὶ πυκνοῦν· οὕτω τοῦ θερμοῦ τὸ τέμνειν τε καὶ διαιρεῖν ὑπάρχειν ἴδιον, ὅπερ οὐχ ἥκιστα προσεῖναι τῷ ὄξει. τέμνειν γὰρ αὐτό, καὶ διαβιβρώσκειν, οὐ τὰ τῶν ζώων σώματα μόνον, ἀλλὰ καὶ θρόμβους καὶ πώρους, καὶ λίθους, καὶ κέραμον, καὶ χαλκόν, καὶ σίδηρον, καὶ μόλυβδον, καὶ σχεδὸν ὥσπερ τῷ πυρί, καὶ τούτῳ πάντ' εἶναι βάσιμά τε καὶ πόριμα, μηδεμιᾶς οὐσίας ὑπομενούσης αὐτό, μηδ' ἀντισχεῖν οἵας, ἢ ἀντιτείνειν τῷ βιαίῳ τῆς διεξόδου δυναμένης. εἶναι γὰρ δὴ καὶ λεπτομερὲς αὐτό, παραπλησίως τῷ πυρὶ καὶ τούτου μαρτύριον, οὐ σμικρὸν μέν, οὐδὲ τὴν ἁφὴν ὑπάρχειν, ἀλλὰ γευομένοις τοιοῦτον φαίνεσθαι, καὶ διηθεῖσθαι τῶν λεπτοτάτων ὑφασμάτων, ἑτοιμότερον ὕδατος, καὶ πάντα διαβιβρώσκειν, ὡς ὀλίγῳ πρόσθεν εἴρηται. καὶ τί γὰρ ἄλλο, ἢ πῦρ, τῷ λόγῳ, τὸ ὄξος ἀποφαίνουσιν; ὥσπερ, ἀμέλει, καὶ οἱ τῇ ψύξει φάσκοντες αὐτὸ διαλύειν τοὺς θρόμβους, ἐκ τοῦ θλίβειν τε, καὶ πιλεῖν, καὶ σφίγγειν, ἁπάντη πανταχόθεν, ὥσπερ ἂν εἰ καὶ τοῖς δακτύλοις τις τοῖς ἑαυτοῦ ἔθλασε λαμβάνων.

A protinus, neque postea, caloris sensum aceti vsus commouet, mordicatio tamen in illis quædam percipitur, ob quam sæpenumero iis, qui vehementer vtuntur, tenuis quidam recurrit rubor. Itaque neque primariò, neque proprio ordine calefacere videri possit, sed acrimoniæ morsu irritare. Porrò quandoquidem à sanis corporibus ad affectus semel delapsi sumus, suggeramus quæ in calidissimis & frigidissimis affectibus efficere queat. Ergo si quis ab illita thapsia vratur, ardor aceto restinguitur: id quod, cui libitum est, experientia discere licet, velut nos profectò fecimus in nobis ipsis, quò accuratè medicamenti potentiam experiremur. Illitis enim
B multis in locis tibiis, vbi post quatuor quinquéue horas accendi, & inflammari cœpissent, huic quidem parti acetum, illi aquam inspersimus; alij verò oleum, alij rosaceum inunximus; & aliis atque aliis, alia atque alia quæ aut acrimoniam hebetare, aut calorem refrigerare creduntur; sed eorum omnium acetum compertum est efficacissimum. Quocirca manifestum est, non eò quod acrimoniam ac mordacitatem obtundat, sicut oleum, & rosaceum, (nam id præstare hæc possunt) sed quia refrigeret, tale esse.
C Quippe si excitatas à thapsia phlegmonas aliter sanare non liceat, nisi aut refrigerando, aut morsum, siue acrimoniam obtundendo: nec alterum præstare valeat acetum: consequitur vtique necessariò per reliquam vim sanasse. Alias porrò reliquas calidas passiones omnes, phlegmonas puta, herpetes, phygethla, erysipelata, carbunculos, aliàs plus, aliàs minus refrigerare consueuit. Quapropter nisi vehementia illi atque asperitas facultatis molesta inesset, haud alio sanè vtendum ad refrigerandum foret.

D

CAPVT XXII.

Quibus rationibus sint vsi tum ij qui summè calidum, tum ij qui summè frigidum esse acetum pronunciarunt.

TAmetsi quidam reperiantur qui maximum id caliditatis eius argumentum constituunt. Non enim, inquiunt, neque acre, neque mordax, neque asperum, neque erodens foret, nisi affatim illi inesset caliditas. Nam sicut frigidi proprium est contrahere ac con-
E densare, ita calidi secare, atque diuidere: id quod in primis efficere acetum valet, quippe quod secet atque erodat non modò animantium corpora, sed & grumos, callos, lapides, fictile, æs, ferrum, plumbum; ac tantum non velut ignis cuncta peruadat ac penetret, nec vlla possit substantia penetrationis eius vehementiam, aut sustinere, aut illi reluctari ac resistere; nam subtile haud secus esse, atque ignem, non leui testimonio illi tactum esse: quin & gustantibus ita videri, & per subtilissima vestimenta promptius aqua perfluere,
F omniáque exedere, vti paulò supra diximus. Et quidnam, obsecro, aliud ipsum actum his verbis, quam ignem pronunciant? Non aliter quàm qui frigore grumos ipsum soluere contendunt, premendo videlicet, densando, ac omnia vndequaque stringendo, ac siquis digitis amplectens compresserit.

Nam

Nam hi rursum adeo excedunt, vt & niue frigidius ipsum adstruant. Sed vtrorumque castiganda immoderatio est. Neque enim vt frigidum sit, iam niue frigidius; neque vt calidum, omnium calidissimum pronunciandum est; siquidem nisi iuxta medium foret, ac longè ab extremorum vtroque dissitum, non tanta incidisset de facultate eius controuersia. Nam de cicutæ, aut mandragoræ viribus nemo ambigit, neq; de nasturtij & canchryos: verùm illa omnibus medicis in confesso est facultate esse frigida, hæc verò calida: Eundem in modum altercum, & meconium frigida, piper & napy calida. Ad hæc innumera sunt alia, quæ facultate aut esse calida, aut frigida, vno ore medici omnes fatentur.

A ὑπερεκπίπτουσι δὲ καὶ αὖθις πάλιν εἰς τοσοῦτον, ὡς καὶ τῆς χιόνος ἀποφαίνειν αὐτὸ ψυχρότερον. ἀλλὰ τῆς μὲν ἀμετρίας ἑκατέροις ἐπιτιμῆσαι δίκαιον. οὔτε γὰρ εἰ ψυχρὸν ἤδη, καὶ χιόνος ἀποφαίνειν αὐτὸ ψυχρότερον· οὔτε εἰ θερμὸν, θερμότατον. οὐδὲ γὰρ οὐδ' ἂν ἠμφισβητεῖτο περὶ τῆς δυνάμεως αὐτοῦ, μὴ παρὰ τὸ μέσον πως τεταγμένου, καὶ πολὺ τῶν ἄκρων ἑκατέρων ἀποκεχωρηκότος. οὔτε γὰρ περὶ κωνείου τις, ἢ μανδραγόρου τῆς δυνάμεως ἠμφισβήτησεν, οὐθ' ὑπὲρ καρδαμώμου, καὶ κάγχρυος, ἀλλὰ τὰ μὲν ἅπασι τοῖς ἰατροῖς ὡμολόγηται ψυχρὰ, τὰ δὲ θερμά. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὑοσκύαμος μὲν, καὶ μηκώνιον, ψυχρά, πέπερι δὲ
B καὶ νάπυ, θερμά. καὶ πρὸς τούτοις ἕτερα μυρία, τὰ μὲν δυνάμει θερμὰ, τὰ δὲ ψυχρὰ, πᾶσι τοῖς ἰατροῖς συμπεφώνηται.

CAPVT XXIII.

Quod acetum neutrum esse dicimus, vt ad summè calida, & summè frigida, quia vtriusque extremorum est particeps.

CÆterùm acetum, sicut vtique & rosaceum, neque esse summè calidum, neque rursum summè frigidum; ex ipsa dubitatione satis constat: neutrum verò quodam modo, vtrumque horum sit necesse est. Siquidem quum neutra tripliciter dicantur, vti diuisit Herophilus, partim amborum extremorum participatione, partim neutrius, partim nunc illius, nunc huius, omnino & hæc aut aliquo significatorum, aut aliquibus, ex neutrorum natura fuerint. Mihi sanè magis videntur vtriusque extremorum participatione; & quod nunc sensibiliter calefacere videantur, nunc rursum refrigerare. Sic ergo neutra dici possint acetum, & rosaceum. Quòd si quis ea neutra ostendere conetur, quia neutrum extremorum participent, ne illi quidem etiam fortè probabiles quædam rationes deerunt, sed non erunt demonstratoriæ ac scientificæ. Id me exactè compertum habere confido, & maximè de aceto. Nam quod suæ vtrisque sint rationes probabiles, tum iis qui frigidissimum demonstrant, tum iis qui calidissimum, non paruum indicium est, ipsum vtriusque esse particeps: admodum tamen difficile est rationi, contrariorum participationem concedere, quum non liceat substantiam eius, aut soluere, aut scindere, velut in lacte facimus, & aliis compluribus quæ omnia sermonis progressus aperiet. Proinde euidentius, magisque periculo vacans principium optamus assequi. Porrò vt mihi quidem videntur, indagandum illud principium est ex naturæ tum tenuitate, tum crassitie, de qua dictum quidem supra est: verùm nunc quoque copiosiùs de illa disserere expedit, quandoquidem & Plato de principiis longum haberi sermonem oportere prodidit.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ὅτι τὸ ὄξος οὐδέτερον εἶναί φαμεν, ὡς πρὸς τὰ ἄκρως θερμὰ, καὶ ἄκρως ψυχρὰ, τῷ οὐδετέρων μετέχειν τῶν ἄκρων.

ΤΟ δ' ὄξος, ὥσπερ οὖν καὶ τὸ ῥόδινον, ὅτι μὲν οὔτ' ἄκρως ψυχρὸν, οὔτε θερμόν ἐστιν, ἐξ αὐτοῦ τοῦ διστάζεσθαι πρόδηλον.
C οὐδέτερον δέ πως ἑκάτερον αὐτῶν ἀναγκαῖον εἶναι. τριχῶς δὲ τῶν οὐδετέρων λεγομένων, ὥσπερ καὶ Ἡρόφιλος διῄρητο, τῶν μὲν, τῷ μετέχειν ἴσον ἀμφοτέρων τῶν ἄκρων· τῶν δὲ, τῷ μηδ' ἑτέρου, τῶν δὲ, νῦν μὲν τοῦδε, νῦν δὲ τοῦδε, πάντως που καὶ ταῦτα, ἢ κατά τι τῶν σημαινομένων, ἤ τινα, τῆς τῶν οὐδετέρων ἐστὶ φύσεως. ἐμοὶ μὲν δὴ μᾶλλον δοκεῖ, τῷ μετέχειν ἑκατέρων τῶν ἄκρων, καὶ τῷ, νῦν μὲν θερμαίνειν αἰσθητῶς δοκεῖν, αὖθις δὲ ψύχειν. οὕτως οὖν οὐδέτερα λεχθείη ἂν καὶ ὄξος καὶ ῥόδινον. εἰ δέ τις, καὶ τῷ μηδ' ἑτέρου τῶν ἄκρων μετέχειν, ἐπιχειρήσειεν οὐδέτερα
D δεικνύειν, εὐπορήσει μὲν ἴσως καὶ οὗτός τινων λόγων πιθανῶν, οὐ μὴν ἀποδεικτικῶν τε καὶ ἐπιστημονικῶν, ἀκριβῶς τοῦτο γινώσκειν μοι δοκῶ, καὶ μάλιστα περὶ ὄξους. τὸ μὲν γὰρ ἑκατέρους εὐπορεῖν ἐπιχειρημάτων πιθανῶν, τούς τε ψυχρότατον ἀποδεικνύντας αὐτὸ, καὶ τοὺς, θερμότατον, οὐ σμικρὸν τεκμήριόν ἐστι τοῦ μετέχειν ἀμφοτέρων αὐτό. χαλεπὸν μὴν ἱκανῶς πιστώσασθαι τῷ λόγῳ τὴν τῶν ἐναντίων μέθεξιν, οὐκ ἔχοντας λῦσαι καὶ σχίσαι τὴν οὐσίαν αὐτοῦ, καθάπερ ἐπί τε γάλακτος ἐργαζόμεθα, καὶ ἄλλων παμπόλλων, ἃ προϊὼν ὁ λόγος ἐνδείξει πάντα.
E καὶ διὰ τοῦτο ἐναργεστέρας καὶ ἀκινδυνοτέρας ἀρχῆς ἐπιλαβέσθαι ποθοῦμεν. ἔστι δὲ, ὡς ἐμοὶ φαίνεται, τὴν ἀρχὴν ἐκείνην θηρατέον, ἐκ τῆς λεπτομεροῦς τε καὶ παχυμεροῦς φύσεως, ὑπὲρ ἧς εἴρηται μέν τοι μοι καὶ πρόσθεν, ἀλλὰ καὶ νῦν ἄμεινον ἐπιπλέον ὑπὲρ αὐτῆς διελθεῖν. ἐπειδὴ καὶ Πλάτων φησὶ, περὶ τῶν ἀρχῶν χρὴ τοὺς πλείστους γίνεσθαι λόγους.

CAPVT XXIV.

Quo pacto aërem dicamus tenuium esse partium, & nec omnem ignem esse tenuium partium, nec quicquid tenuium est partium, esse ignem.

IGitur nemo aërem non dicit esse tenuiũ partiũ quod videlicet in tenues facilè partes cõminuatur, quódq; per corpora dẽsissima expeditè penetret,

ΚΕΦΑΛΑΙΟΝ. ΚΔ'.

F Πῶς λέγομεν τὸν ἀέρα λεπτομερῆ ὑπάρχειν, καὶ ὅτι οὐδὲ πᾶν πῦρ λεπτομερὲς, οὔτε πᾶν λεπτομερὲς πῦρ.

ΤΟΝ ἀέρα τοίνυν, οὐκ ἔστιν ὅστις οὐκ εἶπε λεπτομερῆ, τῷ καταθραύεσθαι δηλονότι ῥᾳδίως εἰς λεπτὰ μόρια, καὶ διὰ πυκνοτάτων σωμάτων ἑτοίμως διέρχεσθαι

ἢ, εἴπερ ἐξ ἄλλου τινὸς ἐπιφέρουσιν αὐτῷ τὸ λεπτομερὲς ὄνομα, διδασκόντων ἡμᾶς σαφῶς. οὐ γὰρ δὴ ἐξ ὄγκων γε λεπτῶν, ὡς οἱ τῆς ἑτέρας αἱρέσεως εἴποιεν ἂν ἡγεμόνες, ἐροῦμεν καὶ ἡμεῖς συγκεῖσθαι τὸν ἀέρα. συνεχὴς γάρ ἐστιν καὶ εἷς ὅλος, οὐδαμόθι κενὸν ἐν ἑαυτῷ περιέχων οὐδέν. ἐν δὲ τοιαύτῃ φύσει σώματος, ἡ λεπτομέρεια, τῷ τάχει τῆς εἰς μικρὰ διαιρέσεως ἐπινοεῖται μόνῳ. ἀλλ' εἴπερ διὰ τοῦτο λεπτομερὴς ὁ ἀήρ, οὐχ ἅπαν πῦρ ἔσται λεπτομερές. ἔστι μὲν γὰρ δήπου, καὶ χαλκὸς, καὶ σίδηρος, καὶ λίθος, καὶ ξύλον, καὶ πᾶν ὅσπερ ἀνθρακωθῇ, πῦρ, οὐ μὴν λεπτομερέστερον νῦν, ἢ πρόσθεν. αἱ μέντοι φλόγες, ἕτερόν τι γένος πυρὸς, ὄντως εἰσὶ λεπτομερεῖς. οὔτ' οὖν πᾶν πῦρ λεπτομερὲς, οὔτε λεπτομερὲς ἅπαν, πῦρ. ὅ τε γὰρ ἄνθραξ, πῦρ μὲν, οὐ λεπτομερὲς δὲ, ὅ,τε ἀὴρ λεπτομερὴς μὲν, οὐ πῦρ δέ. τί ποτε ἐξ ἑτοίμου λαμβάνουσιν, ὀλίγου δεῖν, ἅπαντες ἰατροί τε καὶ φιλόσοφοι τὰς προτάσεις πάσας, τήν τε τὸ πῦρ ἅπαν ἀποφαίνουσαν λεπτομερὲς, τήν τε τὸ λεπτομερὲς ἅπαν πυρῶδες; εἰ γὰρ ἐπιστήσει τις ἀκριβῶς καὶ προσέχοι τοῖς πράγμασι τὸν νοῦν, οὐκ ἂν εἴποι τὸν ἄνθρακα λεπτομερέστερον ἀέρος. ἀναμνησθῶμεν γὰρ ἐν κρύει σφοδρῷ, καὶ βορείᾳ καταστάσει, τὸ καθαρὸν τοῦ περιέχοντος ἡμᾶς ἀέρος, καὶ παραβάλλωμεν αὐτὸν, εἰ βούλει, σιδήρῳ διαπύρῳ· γνωσόμεθα γὰρ ἐκ τῶν τοιούτων παραδειγμάτων, ὡς ἔστι τι καὶ ψυχρὸν, ἀκριβῶς λεπτομερὲς, καὶ θερμὸν, παχυμερές.

A aut si ex alia re quapiam tenuitatis partium, vocabulum illi attribuant, clarè nos doceat. Nec enim ex corpusculis exilibus tenuibusque, vt alterius sectę principes asserunt, & nos quoque aërem constitui fatebimur: nam cōtinuus est, totúsque vnus, nihil vsquam in se vacui continens. Porrò in eiusmodi corporis natura tenuitas partium intelligitur ex sola in tenuia diuisionis celeritate. Verùm si ea ratione aër est tenuium partium, haud omnis ignis tenuium erit partium; quippe quum æs, ferrum, lapis, lignum, atque adeo quicquid in carbonem verti potest, sit ignis, non tamen quàm antea tenuiorum partium: flammæ tamen, quum aliud sint ignis B genus, re vera tenuiū partiū sunt. Quocirca nō omnis ignis est tenuiū partiū, neq; quicquid tenuium partiū, protinus & ignis fuerit: siquidē & pruna ignis quidem est, sed nō tenuium partiū: & aër tenuium partium, verùm non ignis. Quid ergo, tam in prōptu habent hasce propositiones vtrasq; tum medici, tum philosophi paulominus omnes, omnē ignē esse tenuiū partium, & quicquid tenuiū partiū sit, esse igneū? Nam si acrius quis attēderit, animúmq; diligēter aduertat, haudquaquā dixerit prunā aëre tenuiorū esse partium. Memoria nanq; repetamus ambientis nos aëris puritatem, ac partium tenuita- C tem in vehementi frigore, & boreali constitutione: ipsamq; si lubet, cum ferro cōponamus ignito: manifestò enim ex illiusmodi exemplis cognoscemus frigidum quid esse, quod sit exactè tenuium partium, & calidum, quod sit crassarum.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὅτι οὐ πᾶν δακνῶδες, λεπτομερὲς ἢ θερμὸν ὑπάρχει.

ΩΣΘ' ὅταν ἐπὶ τοῦ δακνῶδες εἶναι τὸ ὄξος, ὅτι λεπτομερές ἐστι, καὶ ὅτι θερμὸν ἀναλογίζονταί τινες, οὐ συγχωρητέον αὐτοῖς. οὐ γὰρ ἅπαν τὸ λεπτομερὲς θερμὸν, ἴσως μὲν οὕτω, οὐδὲ τὸ δακνῶδες ἅπαν λεπτομερές. ἀλλ' ἔν γε τῷ παρόντι συγκεχωρήσθω, καίτοι γ' εἴχομεν λέγειν, καὶ χιὼν, καὶ βορρᾶς, καὶ ὕδωρ ψυχρὸν, οὐκ ὀφθαλμοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἕλκεσι, καὶ πᾶσι τοῖς ἀραιοῖς σώμασιν ὑπάρχει δακνῶδες. καθό καὶ Ἱπποκράτης ἔλεγεν, τὸ μὲν ψυχρὸν, δακνῶδες· ἀλλ' εἰ καὶ τοῦτό τις, ὡς ἔφην, συγχωρήσειε, τὸ πᾶν δακνῶδες εἶναι, καὶ λεπτομερὲς, οὐκ εὐθὺς καὶ θερμὸν εἶναι συγχωρήσει. οὐκοῦν τὸ ὄξος, ὅτι δακνῶδες, διὰ τοῦτο καὶ θερμὸν, ἀλλὰ λεπτομερὲς μὲν, ὥσπερ ἀὴρ βόρειος οὐ μὴν θερμόν γε.

CAPVT XXV.

Nom omne quod mordax est, tenuium partium esse aut calidum.

QVocirca haud concedendum arbitror qui- D busdam qui acetum ex eo quod mordax sit, tenuiū partium & calidum esse colligunt: nec enim quidquid tenuium partium fuerit, id & calidum est: fortè verò nec quicquid mordax fuerit, & tenuium partium. Verùm in præsens id illis detur, tametsi afferre liceret niuem, boream, aquam frigidam, non oculis duntaxat, sed & vlceribus, & raris corporibus omnibus, mordaces, vti Hippocrates inquit, *Vlceribus frigidum mordax*. Verùm etiam siquis & illud, vt dixi, concedat, quicquid mordax fuerit, esse tenuium partium, non statim & calidum concesserit. Itaque nec acetum proinde quod mordax sit, calidum fuerit, sed tenuium partium, E vti aër borealis, non tamen calidum.

ΚΕΦΑΛΑΙΟΝ Κϛ'.

Κατὰ τίνα τρόπον θερμαίνειν ἡμᾶς ἀμυδρῶς φαίνεται τὸ ὄξος.

ΠΟΘΕΝ οὖν ἐνίοις αἴσθησις γίνεται θερμότητος ἀμυδρᾶς, τάχα μὲν, ὡς ἔφην καὶ πρόσθεν, ἐξ ἐναντίων σύγκειται δυνάμεων, ὁμοίως τῷ γάλακτι, τάχα δὲ καὶ τῇ θερμότητος ἐπανάκλησιν ποιεῖσθαι. δύναιτο δ' ἂν καὶ τὸ τραχεῖάν τε, καὶ ἀνιαρὰν ἔχειν τὴν διέξοδον, ἄλγημα ποιεῖν, ἐπισπᾶσθαί τε ῥεῦμα θερμὸν τῷ τόπῳ. καὶ γάρ, τοῦτο ἐναργές ἐστι, ὡς ἐπιρρεῖ τι τοῖς ὀδυνωμένοις μορίοις. ἀλλὰ πολὺ μὲν οὐκ ἂν ἐπιρρυῇ, τῷ ψυχρὸν εἶναι τὸ ὄξος, καὶ ἀποκρούεσθαι τὸ ἐπιφερόμενον. ὅσον δ' ἀκριβῶς λεπτόν ἐστι,

CAPVT XXVI.

Quomodo acetum obscurè videatur calfacere.

VNdenam igitur quibusdam obscuræ cuiusdam caliditatis sensus oboritur? Fortassis, vt ante dixi, ex contrariis facultatibus compositum est, perinde vt lac. Fortè verò caloris ipsius reuocatione. Possit etiam quum aspe- F rum, molestumque habeat transitum, dolorem inde ciere, atque eum in locum calidam elicere fluxionem, siquidem id palàm est, partibus dolentibus quippiam influere. Verùm multum influere nequeat, quandoquidem acetum frigidum est, & proinde id quod accurrit, repellens. At quod planè tenue est, id

A id medicamenti ansas effugiens, præterlabitur, atque in parte figitur, haud etiam retrorsum, sicut id quod crassum est, repulsum. Sanè ad vnguem tenuis quidam efflorescere rubor in partibus ab aceto irritatis conspicitur. Fortè verò alia causa est, quæ comprehendi nequeat. Nam ob id ipsum procul ordiendam facultatum explorationem prohibuimus, quia in naturalia incidere problemata necesse est, eáque non leuibus ambiguitatibus perplexa. Nobis autem haud statutum nunc est, sicut iis qui naturam rerum scrutantur, omnes omnium rerum causas exquirere, verùm medicaminum facultates cognoscere, quò & illis dextrè vti, & boni B compositorum euadere artifices possimus. Nam quod sit impossibile, aut probè ipsum medicamentum componere, aut eo quod ab alio compositum est, idoneè vti, antequam simplicium medicaminum facultates pernoueris, abundè in libris tum de curandi ratione, tum de medicaminum compositione conscriptis ostenditur. Quum ergo is nobis in hac tractatione propositus sit scopus, vbi primùm quod ab illis vtile est inuenerimus, à physicis problematis recedendum est, quæ innumeris dubitationibus sunt intricata; quippe quum in qua in vniuersum temperatura, aciditas, dulcedo, lentor, amaritudo, salsedo, austeritas, acrimonia, & aliarum C qualitatum singulæ prouenire sunt natæ, physici viri scrutari nituntur, hæsitationes, tum plurimæ, tum maximæ, in oratione existere assolent. Has ego non secus vitandas censco, quam quædam præcipitia, quum præsertim ad manum sit via regia, qua medicamenta iudicare liceat. Primúmque, quod paulo ante præcepi, perpendendum, nullam in ambiguo esse facultatem eorum medicamentorum, quæ vehementer, aut excalfaciunt, aut frigefaciunt: verùm de quibus ambigitur, neutra sint, necesse esse: deinde plera- D que, vt ad sensum simplicia, ex pugnantibus constare facultatibus; non enim solum lac, sed etiam sulfurosæ, bituminosæ, nitrosæ, & quæcunque eius sunt generis sponte prouenientium aquarum, ex pugnantium facultatum mixtura nascuntur; siquidem aqua ex sua natura frigida est & humida; bitumen autem, sulfur, misy, chalcitis, & eius generis alia, calida. Meminisse verò etiam oportet calidorum haud pauca, crassæ esse essentiæ: nec pauciora frigidorum, tenuis: ac secundum hæc principia tutò de medicaminum viribus pronunciare. Sat igitur fuerit, tenuium partium, refrigeratorium, E exiccatoriúmque acetum dixisse, omissis super illis rationibus nimis physicis, nam ex illorum scientia, quo pacto aliis medicamentis misceri ipsum liceat, cognoueris.

CAPVT XXVII.

Veteres medicos perperam indefinitam reliquisse facultatis eiusdem generis medicamentorum qualitatem.

F QVocirca non possum eos non culpare, qui de viribus eius prolixa quædam nugantur, & garriunt: magis etiam paulo minus medicos omnes quibus curæ non fuit simplicium omniũ medicamentorũ in maioris, minorísq; ratione vires discernere; sed satis eis fuit, hæc quidem, verbi causa, calfacere dixisse, illa verò refrigerare; tum hæc humectare, ista exiccare. Nec enim absolutè sic no-

A διαφεύγον τοῦτον τὰς λαβὰς τοῦ φαρμάκου, παραρρεῖ τε καὶ ἐνίζεται κατὰ τὸ μόριον, οὐκέτι παλινδρομοῦν, ὥσπερ τὸ παχύτερον, ὀπίσω. φαίνεται γὰρ οὕτω δὴ καὶ λεπτὸν ἀκριβῶς ἐπανθοῦν ἔρευθος, τοῖς ὑπ᾽ ὄξους ἐρεθισθεῖσι μορίοις. ἴσως δὲ καὶ ἄλλη τίς ἐστιν αἰτία, γνωσθῆναι μὴ δυναμένη. δι᾽ αὐτὸ γὰρ δὴ τοῦτο, καὶ πόρρωθεν ἄρχεσθαι τῆς τῶν δυνάμεων ἐξετάσεως ἐκώλυον, ὅτι περιπίπτειν, ἀναγκαῖον ἐστὶ φυσικοῖς προβλήμασιν, οὐ σμικρὰς ἔχουσιν ἀπορίας, ἡμῖν δὲ νῦν, οὐχ ὡς φυσικοῖς ἀνδράσι, πρόκειται πάντων τῶν πραγμάτων τὰς αἰτίας ἐξευρίσκειν, ἀλλὰ τὰς δυνάμεις B τῶν φαρμάκων ἐπιγνῶναι, πρὸς τὸ χρῆσθαί τε δεξιῶς αὐτοῖς, ἀγαθούς τε δημιουργοὺς γίνεσθαι τῶν συνθέτων. ὅτι γὰρ οὐχ οἷόν τε καλῶς οὔτ᾽ αὐτὸν συνθεῖναι φάρμακον, οὔθ᾽ ὑπ᾽ ἄλλου συγκειμένῳ χρῆσθαι, πρὶν τὰς τῶν ἁπλῶν φαρμάκων δυνάμεις εἰδέναι, διά τε τῶν τῆς θεραπευτικῆς μεθόδου, καὶ τῆς περὶ συνθέσεως φαρμάκων, ἱκανῶς ἐπιδείκνυται. τοῦτον οὖν τὸν σκοπὸν ἐχούσης τῆς ἐνεστώσης πραγματείας, ἐπειδὰν πρῶτον εὕρωμεν τὸ πρὸς αὐτὴν χρηστόν, ἀποχωρεῖν δεῖ προβλημάτων φυσικῶν, ἀπορίας ἐχόντων συχνάς. ὑπὸ τίνος γὰρ κράσεως ἐν τῷ καθόλου πέφυκεν, ὀξύτης, καὶ γλυ- C κύτης, καὶ πικρότης, ἁλυκότης τε καὶ αὐστηρότης, καὶ δριμύτης, ἑκάστη τε τῶν ἄλλων ποιοτήτων, γίνεσθαι· καὶ αὐτοῖς τοῖς φυσικοῖς ἀνδράσι ζητοῦσιν ἀπορίαι μέγισταί τε καὶ πάμπολλαι κατὰ τοὺς λόγους ἀναφαίνονται. ταύτας οὖν ἐγὼ φυλάττεσθαι παραινῶ, καθάπερ τινὰ κρημνόν, ἔχοντάς τε λεωφόρον ὁδόν, ᾗ κρίνειν ἐγχωρεῖ τὰ φάρμακα, καὶ πρῶτον μέν, ὅπερ ἤδη μοι καὶ μικρὸν ἔμπροσθεν εἴρηται, λογίζεσθαι τὸ μηδεμίαν ἀμφισβητεῖσθαι δύναμιν τῶν ἰσχυρῶς θερμαινόντων, ἢ ψυχόντων φαρμάκων, ἀλλ᾽ οἷς τοῦτο συμβέβηκεν, οὐδετέρας ὑπάρχειν. ἔπειτα δέ, ὡς ἐξ ἐναν- D τίων δυνάμεων σύγκειται πολλὰ τῶν ἁπλῶν ὡς πρὸς αἴσθησιν. οὐ γὰρ τὸ γάλα μόνον, ἀλλὰ καὶ τὰ θειώδη, καὶ τὰ ἀσφαλτώδη καὶ τὰ νιτρώδη, καὶ πάνθ᾽ ὅσα τοιαῦτα τῶν αὐτοφυῶν ὑδάτων ἐστίν, ἐξ ἐπιμιξίας ἐγένετο τῶν ἐναντίων δυνάμεων. εἴ γε ψυχρὸν μὲν καὶ ὑγρόν ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν τὸ ὕδωρ, ἄσφαλτος δέ, καὶ θεῖον, καὶ μίσυ, καὶ χαλκῖτις, καὶ τ᾽ ἄλλα τὰ τοιαῦτα, θερμά. μεμνῆσθαι δὲ καὶ τοῦ, πολλὰ μὲν τῶν θερμῶν, εἶναι παχυμερῆ, πολλὰ δὲ τῶν ψυχρῶν, λεπτομερῆ, καὶ κατὰ ταύτας τὰς ἀρχάς, ἀσφαλῶς ἀποφαίνεσθαι περὶ τῆς τῶν φαρμάκων δυνάμεως. αὐτίκα γὰρ ἀρκεῖ λε- E πτομερὲς εἰπεῖν. καὶ ψυκτικόν, καὶ ξηραντικὸν τὸ ὄξος, ἀποχωρήσαντα τῶν φυσικωτέρων, ὑπὲρ αὐτοῦ λογισμῶν. ἐκ γὰρ τοῦ ταῦτα γινώσκειν, εἴσεταί τις ὅπως χρὴ μιγνύναι τοῖς ἄλλοις φαρμάκοις αὐτό.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Ὅτι κακῶς οἱ παλαιοὶ τῶν ἰατρῶν ἀδιόριστον τὸ ποσὸν τῆς δυνάμεως τῶν ὁμογενῶν φαρμάκων καταλελοίπασιν.

ΤΑΥΤΑ μὲν οὖν μέμφομαι τοῖς ἀδολεσχήσασιν F περὶ τῆς δυνάμεως αὐτοῦ μακρά, καὶ τούτων ἔτι μᾶλλον ὀλίγου δεῖν ἅπασι τοῖς ἰατροῖς, ὅτι μὴ διεστήσαντο κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἁπάντων τῶν ἁπλῶν φαρμάκων ἤρκεσεν αὐτοῖς, ταυτὶ μέν, εἰ τύχοι θερμαίνειν φάναι, ταυτὶ δὲ ψύχειν, καὶ ταυτὶ μέν, ξηραίνειν, ταυτὶ δὲ ὑγραίνειν, οὐ γὰρ τοῦτο χρήσι-

μον ἁπλῶς οὑτωσὶ γνωσθὲν, ἀλλὰ μέχρι πόσου μὲν ψύλλιον ψύχει, μέχρι πόσου δὲ στρύχνος, ἢ σκάνδιξ, ἢ ψιμμύθιον, ἀνδράχνη τε, καὶ θριδακίνη, καὶ μέχρι πόσου μὲν κασία θερμαίνει, μέχρι δὲ πόσου κινάμωμον, ἢ ἄμωμον, ἢ ἀμάρακον. οὕτω δὲ καὶ ἐπὶ τῶν ξηραινόντων τε καὶ ὑγραινόντων ταῖς δυνάμεσι φαρμάκων, οὐ τὸ καθόλου μόνον ἐπίστασθαι χρὴ, ἀλλὰ τί μὲν πρῶτον ἀποκεχώρηκεν τοῦ συμμέτρου τε καὶ μέσου τῶν ἐναντίων ταῖς δυνάμεσιν· τί δ᾽ ἐφεξῆς ἐκείνῳ, καὶ τρίτην δὴ, καὶ τετάρτην, καὶ πέμπτην, εἰ δυνατὸν, ἀπόστασιν, οὕτω διαστείλασθαι, σαφέσιν ὅροις ὁρισάμενον. ἐν γὰρ τῇ τοιαύτῃ τῶν δυνάμεων ἐπιγνώσει, τό τε τοῖς ἁπλοῖς αὐτοῖς χρῆσθαι τεχνικῶς, καὶ τὸ συνθεῖναι δύνασθαι, κατὰ μέθοδον ἡμῖν ὑπάρξει. καὶ πρὸς τούτοις, καὶ αὐτοῖς ἤδη συγκειμένοις, ὀρθῶς χρήσασθαι. ἔστι μὲν οὖν χαλεπώτατον τοῦτο, καὶ πολλῆς ἀκριβείας τε καὶ τριβῆς δεόμενον, ἄρχεσθαι μὲν γὰρ ἀπὸ τῆς πείρας ἐν ἅπασι τοῖς τοιούτοις ἀναγκαῖόν ἐστιν, ὥσπερ ἤδη εἴρηται, ἀσφαλῶς δὲ συλλογίσασθαι, φυλαττόμενον ἐμπλέκειν ἑαυτὸν ἀπόροις ζητήμασιν. ᾧ καὶ θαυμάσειεν ἄν τις τῶν τὰ τοιαῦτα ζητησάντων, ὁρῶν περιπίπτοντας ἑαυτοὺς ἑαυτῶν χερσὶν ἐν τοῖς πλείστοις, οἷς ζητοῦσί τε καὶ γράφουσιν, ὥσπερ Ἡρόδοτον.

A uisse expedit, sed quatenus psylliũ refrigeret, quatenus solanum, aut scandix, aut cerussa, aut portulaca, aut lactuca: tum quatenus excalfaciat casia, quatenus cinnamomum, aut amomum, aut cardamomum, aut maiorana. Sic & in humectantibus, & exiccantibus facultate pharmacis; non enim vtile est generale solum nouisse, verùm quid primùm recesserit à symmetro & medio contrariorum facultatibus: deinde quid illi proximum, tum tertium, quartum, quintúmque, si fieri potest, recessum, siue ordinem, planis limitibus discernentem definire oportet. Quãdoquidem in tali facultatum notitia, tum artificialis simplicium vsus constitutus est, tũ B à ratione proficiscens, ac methodo compositio. Facítque præter hæc, vt quæ composita iam sunt, ritè vsui accommodare possis. Sanè id quidem difficultatis, atque laboris plenissimum est, multámq; poscens, tum diligentiã, tum vsum. Ab experientia verò auspicari in id genus omnibus necesse est, velut iam propositum est: tum tutò, ac diligenter colligere ambiguis quæstionibus se implicare cauendo. Eóque mirari quispiam possit eos qui talia exquirunt, quum illos implicantes sese quęstionibus, scriptísque animaduertat, quemadmodum consueuit Herodotus.

C

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Ὅτι κακῶς οἱ πρὸ ἡμῶν ἀπὸ τῶν συνθέτων φαρμάκων ὁρμώμενοι, τῶν ἐν αὐτοῖς ἁπλῶν τὰς δυνάμεις ἔκρινον.

Ἐξ ἁπάσης γὰρ τῆς παλαιοτάτης ἱστορίας ἀρξάμενοι τῶν συνθέτων φαρμάκων, ἐπὶ τὴν ἐξέτασιν ἔρχονται τῶν ἐν αὐτοῖς ἁπλῶν. ἐπειδὴ τοῖσδέ τισι τῶν φαρμάκων θερμαίνουσιν, εἰ τύχοι, μέμικται τὸ ὄξος, οὕτως ἤδη καὶ αὐτὸ θερμὸν ἀποφαίνοντες. οὔτε γὰρ εἰ καλῶς μέμικται, δῆλον πρὶν D ἐξευρεῖν αὐτοῦ μόνου τὴν δύναμιν. οὔτ᾽ εἰ καὶ συγχωρηθείη, γινώσκομεν ἤδη τὴν μέθοδον τῆς συνθέσεως τῶν φαρμάκων, ᾗ κρίνοντες ἐξευρήσομεν, ᾧ τινι μέμικται λόγῳ, θερμαίνουσιν πολλοῖς φαρμάκοις ἓν ἐμψυχον, ἢ δὴ διαψύχουσιν θερμαῖνον. ὅτε δὲ καὶ διαθέσεων ἀδήλων μνημονεύωσιν, πρὸς ἃς ἁρμόττειν δοκεῖ, κἄπειτα δογματικαῖς ὑπολήψεσιν συνάπτωσιν παραλογισμοὺς ἑτέροις, ἐκ ζητουμένων ζητούμενα, καὶ ἐξ ἀδήλων ἄδηλα δι᾽ ἀλλήλων συλλογιζόμενοι, τότε δὴ καὶ μάλιστα καταμαθεῖν ἐστιν αὐτῶν τὴν ἀδολεσχίαν.

CAPVT XXVIII.

Perperam superioris sæculi homines à compositis medicamentis orsos, eorum quæ in illa ingrederentur simplicium pharmacorum indicasse facultates.

SIquidem ab omni vetustissima compositorum medicaminum historia orsi, ad expẽdenda quæ in illis sunt simplicia transeũt. Ac quoniam his, exempli causa, calfacientibus medicamẽtis admixtũ inuenitur acetum, proinde & ipsũ esse calidum cõ-D tendunt. Neque enim an rectè admixtum fuerit, constare potest priusquam eius seorsum vim totam perspexeris. Neque si id detur, etiam nota est componendorum medicaminum ratio, per quam iudicantes inueniemus, qua ratione multis excalfaciẽtibus medicamentis vnum admixtum sit frigidum: aut certè refrigerantibus, quod calfaciat. Porrò vbi etiam latentes affectus memorant, ad quos congruere videantur, ac deinde dogmaticis opinionibus paralogismos connectunt, ex quærendis quærenda, ex obscuris obscura, inuicem colligentes, tum profectò vel maximè aliis suas produnt ineptias ac nugas.

E

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Ὅτι καὶ τοῖς Ἐμπειρικοῖς ἀφορμὴν ἀντιλογίας παρέχουσιν οἱ ἀκρίτως καὶ ἁπλῶς πιστεύοντες ταῖς συνθέτοις δυνάμεσι.

Τῷ γὰρ λέγειν ὅτι καὶ τοῖς ἐμπειρικοῖς ἀφορμὴν ἀντιλογίας παρασκευάζουσιν, ἐξ ὧν ἑτοίμως πιστεύουσιν ἁπάσαις ταῖς συνθέτοις δυνάμεσιν, ὥσπερ οὐκ ἐγχωροῦν ἡμαρτῆσθαί γε πολλὰς αὐτῶν, καὶ μοχθηρῶς F συγκεῖσθαι. φήσουσι γὰρ οἶμαι καθάπερ καὶ λέγουσι, μάτην ἡμῖν ζητεῖσθαι τὰς πρώτας τε καὶ δραστικὰς δυνάμεις ἑκάστου τῶν φαρμάκων, φθανούσης τῆς ἐμπειρίας, ἀναρίθμητόν τι ἔχειν φαρμάκων ἁπλῶν καὶ συνθέτων, ἃ καὶ περὶ αὐτοῖς πεπίστευται τοῖς μάτην ζητοῦσι

CAPVT XXIX.

Quod & empiricis contradicendi præbeant occasionem, qui citra iudicium ac discrimen, & simpliciter compositis omnibus facultatibus fidem habent.

NAm omitto, quod empiricis etiam reprehensionis locum ipsi exhibent, ex quo promptè compositis facultatibus omnibus fidem habeant: tanquam fieri non posset, vt pars magna earum errore non vacaret, perperámque esset composi-F ta. Dicent enim arbitror, sicut sanè dicunt frustra nos primas effectricésque cuiusque medicaminis facultates exquirere, quum ab experientia inuenta iam antea sit, tum compositorum, tum simplicium medicamentorum innumera multitudo, quibus & ipsi fidem habent qui frustra primas

primas facultates exquirũt. Quippe si particulares eorum vsus omnes cōperti sint, eósque vnanimiter omnes prædicent; cæterùm de causis ob quas agunt, nondum conueniant; liquet non ex primarum facultatum notitia medicamentorum, tum compositionem, tum vsum, esse inuenta; sed ea cōposuisse experiētiam, at rationem ad probabilitatē vsq; duntaxat procedere. Hæc atque eiusmodi alia multa, qui experientiā profitentur medici, ritè in illos dicere videbũtur, qui omnibus quomodocunque conscriptis pharmacis fidem habere non verentur, causas tamen probabiles interim titulis virium, ac promissis eorum aptare nituntur. At ego nec illud quoque in illos addere grauabor, Herodotum alias sectas omnes prauas reputare, præter eam quæ spiritibus omnia tribuit. Metrodorum omnes præter Asclepiadeam; & Zenonem præterquam quæ ab Herophilo inuenta est; & Hermogenem præter eam quæ Erasistratum authorem habet; & alium atque alium omnes damnantem extra suam. De compositis tantum medicamentis citra probationem, atque experimentum scriptis omnibus fidem tribuere, siue à sectæ suæ hominibus sint scripta, siue diuersæ, siue etiam à quopiam ex plebe. Quin verò etiam causas subinde reddere conantur probabiles medicamentorum pessima ratione compositorum, & (quod hoc est mirabilius) etiam si nullum eorum quæ laudant, fecerint periculum, sed aliis duntaxat credant; quemadmodũ quum quidam nuper magnas multásque podagrici medicamēti laudes iactasset, atq; eo etiānũ loquēte forte fortuna aduenisset podagricus quidā, quitā mediocriter laborabat vt incedere etiā posset: nósq; iussissemus in illo primũ præberet experimētum, ille acquiescēs pedi pharmacum apposuit. At vir ille noctē totā insomnē egit, ac postero die tantũ abest vt cōmodè sicut antea incederet, vt ne gestari quidē posset. Adeo citra vllā explorationē, ac temerè, tum aliis quidem fidem habent, tum alios alij scientes ac sponte fallere gaudent. Porrò etiā si omnes medicamentorum, quæ memorant, compositiones probè essent comparatæ, tamē speculationis eorum vsum iis, quæ factitant euertunt. Aiunt enim ad præparanda medicamenta composita, eáque ritè vtenda, simplicium facultates inspici ac considerari, ínque eorum testimonium tantum non omnes veterum citant, Erasistratum, Herophilum, Philotimum, Dioclem, Praxagoram, & ipsum etiam Hippocratem. Porrò vbi ad exploranda ea accedunt, ita nobiscum agunt, ac si omnes perspectas iam haberemus facultates compositas. Atqui inquiet, opinor, ad eos quispiam: quo pacto non frustra simplicium quæratis facultates, si omnes compositorum iam noscitis? nam si quorum gratia simpliciũ facultates inquiritis, eas omnes iā nouistis, superuacaneũ est illas exquirere. Cæterũ si vel hoc quoque quis illis concedat, saltē id quod & supra positum est nescio quo pacto quis perferat, quum pugnantia cum euidenter apparentibus, prolixis rationibus adstruere conantur.

CAPVT XXX.

Sensus haud contemnendos esse, tanquam ad explorandas simplicium medicaminum facultates sint insufficientes.

SIquidem in quendam etiam iam incidi tantæ stupiditatis hominem, vt contemnendos esse sensus existimaret. Quem quum rogasset quis, nũ ipsi piper album videretur calidum, itáque, vt par erat, annuisset; rursúmque alter percontaretur

A τὰς πρώτας δυνάμεις. εἰ γὰρ ἅπασαι μὲν αἱ κατὰ μέρος χρήσεις αὐτῶν γινώσκονταί τε, καὶ συμφωνοῦνται πᾶσιν, αἱ δὲ αἰτίαι καθ' ἃς ἐνεργεῖ, μήπω συμπεφώνηνται, δῆλον ὡς οὐκ ἐκ τῆς τῶν πρώτων δυνάμεων γνώσεως, οὔθ' ἡ σύνθεσις, οὔθ' ἡ χρῆσις εὕρηται τῶν φαρμάκων, ἀλλ' ἡ μὲν ἐμπειρία ταῦτα συνέθηκεν, ὁ λόγος δὲ ἄχρι τοῦ πιθανοῦ προέρχεται μόνον. ταῦτα μὲν οὖν καὶ τοιαῦθ' ἕτερα πολλά, καλῶς δόξουσι λέγειν οἱ ἀπὸ τῆς ἐμπειρίας ἰατροί, πρὸς τούς, ἅπασι τοῖς ὁπωσοῦν γεγραμμένοις φαρμάκοις πιστεύοντας, αἰτίας τε πιθανὰς ἐφαρμόττειν ταῖς ἐπαγγελίαις αὐτῶν προαιρουμένους. B ἐγὼ δὲ πρὸς τούτοις ἔτι κἀκεῖνο εἴποιμ' ἄν, ὡς Ἡρόδοτος μέν, ἁπάσας τὰς ἄλλας αἱρέσεις μοχθηρὰς ὑπολαμβάνων, πλὴν τῆς πνευματικῆς. Μητρόδωρος δὲ πλὴν τῆς Ἀσκληπιάδου, καὶ Ζήνων, πλὴν τῆς Ἡροφίλου, καὶ Ἑρμογένης, πλὴν τῆς Ἐρασιστράτου, καὶ ἄλλος τις ἄλλος, ἁπάσας πλὴν τῆς ἑαυτοῦ, περὶ τῶν συνθέτων φαρμάκων μόνων ἀβασανίστως πιστεύουσιν ἅπασι τοῖς συγγράμμασιν, εἴθ' ὁμοδόξων, εἴτε καὶ τῶν ἐπιτυχόντων εἴη, καὶ πολλάκις γε αἰτίας ἀποδιδόναι πειρῶνται πιθανάς, κάκιστα συγκειμένων φαρμάκων· καὶ τὸ τούτου θαυμασιώτερον, ὅτι μηδεμίαν ἔχοντες ὧν ἐπαινοῦσι πεῖραν, C ἀλλ' ἑτέροις πεπιστευκότες, ὥσπερ τις ἔναγχος, ἐπαίνους μὲν διῆει πολλοὺς καὶ μεγάλους φαρμάκου ποδαγρικοῦ, μεταξὺ δὲ αὐτοῦ λέγοντος, ἐπιστάντος τινὸς ποδαγρικοῦ, μετρίως οὕτως ἔχοντος ὡς βαδίζειν δύνασθαι, καὶ ἡμῶν κελευσάντων ἐπ' ἐκείνου πρώτου πεῖραν αὐτοῦ παρασχεῖν. ὁ μὲν ἐπέθηκε τῷ ποδὶ τὸ φάρμακον, ὁ δὲ ἄνθρωπος ἄγρυπνός τε τῆς νυκτὸς ὅλης ἐγένετο, καὶ κατὰ τὴν ὑστεραίαν, οὐ μόνον οὐ βαδίζειν ὡς πρόσθεν, ἀλλ' οὐδὲ φέρεσθαι δυνατὸς ἦν. οὕτως ἀβασανίστως τε καὶ προπετῶς, οἱ μὲν ἑτέροις πιστεύουσιν, οἱ δὲ ἑκόντες ἄλλους ἐξαπατῶσιν. εἰ δὲ καὶ πᾶσαι καλῶς εἶχον αἱ D συνθέσεις τῶν φαρμάκων ὧν μνημονεύουσιν, ἀλλά τήν γε χρείαν τῆς θεωρίας αὐτῶν ἀνατρέπουσιν ἐξ ὧν πράττουσιν. φασὶ γάρ, ἕνεκα τῆς τῶν συνθέτων φαρμάκων κατασκευῆς τε καὶ χρήσεως ἐπισκέπτεσθαι τῶν ἁπλῶν τὰς δυνάμεις, καὶ τούτων μάρτυρας ἐπικαλοῦνται σχεδὸν ἅπαντας τοὺς παλαιούς, Ἐρασίστρατον, Ἡρόφιλον, Φιλότιμον, Διοκλέα, Πραξαγόραν, καὶ αὐτὸν Ἱπποκράτην. παραγενόμενοι δὲ ἐπὶ τὴν ἐξέτασιν αὐτῶν, ὡς γινώσκουσιν ἡμῖν ἤδη τὰς συνθέτους δυνάμεις ἁπάσας, οὕτω διαλέγονται. καὶ πῶς οὐ μάτην ζητεῖτε τὰς τῶν ἁπλῶν, E εἴποι τις, οἶμαι, πρὸς αὐτούς, εἰ τὰς τῶν συνθέτων ἤδη γινώσκετε; εἰ γὰρ ὧν ἕνεκα τὴν ζήτησιν τῶν ἁπλῶν ἐνεστήσασθε, ταύτας ἤδη γινώσκετε, περιττὸν τὸ ζητεῖν ἐκείνας. εἰ καὶ τοῦτό τις αὐτοῖς συγχωρήσειεν, ἀλλά τό γε καὶ πρόσθεν ἤδη λελεγμένον, οὐκ οἶδ' ὅπως ἀνάσχοιτ' ἄν τις, ὅταν ἐναντία τοῖς ἐναργῶς φαινομένοις, ἐκ λόγων μακρῶν ἐπιχειρῶσι κατασκευάζειν.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

F Ὅτι οὐ χρὴ καταφρονεῖν τῶν αἰσθήσεων, ὡς οὐχ ἱκανῶν οὐσῶν ἐπὶ βάσανον τῶν ἁπλῶν δυνάμεων.

ΗΔΗ γάρ τινος εἰς τοσοῦτον ἐμπληξίας ἥκοντος ἐπειράθην, ὡς καταφρονεῖν ἀξιοῦντος τῶν αἰσθήσεων. τοῦ εὐθὺς μὲν ἤρετό τις, εἰ τὸ λευκὸν αὐτῷ πέπερι δοκοίη θερμὸν ὑπάρχειν. ὁ δ', ὡς τὸ εἰκός, ὡμολόγησεν, εἶτ' αὖθις ἐρωτη-

θεὶς ὁπόθεν γινώσκεις τοῦτο; καὶ ψυχρὸν φαίνεσθαι φήσας, εἰκότως ὑπὸ τῶν παρόντων κατεγελάσθη, μὴ συνιεὶς ὅπερ ἐφθέγγετο. τοῦτο γὰρ αὐτὸ τὸ φαίνεσθαι, πίστιν αὐτῷ τῇ αἰσθήσει ἀπέφαινεν, ἧς ὀλίγον ἔμπροσθεν ὡς ἀπίστου κατεγίνωσκεν. ἐπεὶ, πόθεν, ὦ πρὸς θεῶν, ὅτι θερμόν ἐστι τὸ πῦρ ἴσμεν, ἐκ τίνος συλλογισμοῦ μαθόντες; ἢ διὰ ποίας ἀποδείξεως πιστούμενοι; πόθεν δ' ὅτι ψυχρὸς ὁ κρύσταλλος, ἄλλοθεν ἢ ἐκ τῆς αἰσθήσεως ἐμάθομεν; εἶτα τις ταύτην ἐάσας, ἀναπίμπλησι τὰ βιβλία προβλημάτων φυσικῶν, ἀλλ' οὐκ ἐξ ἐκείνων ἐστὶ καὶ τὸ, διὰ τίνα αἰτίαν ἀναζυμοῖ τὴν γῆν τὸ ὄξος; ἔνεστι γὰρ, οἶμαι, λέγειν ἡμῖν ὡς ἀγνοοῦμεν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν τοιούτων προβλημάτων. ἢν δέ τις ἐκ προχείρου λαμβάνῃ, διότι θερμὸν, ἢ διότι ψυχρὸν, ἑκάτερα γὰρ λέγουσιν, εἰς ἀμφισβητουμένους, καὶ εἰς ἀσαφεῖς ἑαυτὸν ἐμβαλεῖ λόγους.

A vnde id sciret, ac ille responderet, tale apparere: meritò ab iis qui præsentes erant derisus est, qui quod diceret non intelligeret. Ipsum enim hoc apparere, fidem haberi ab illo sensui indicabat quem paulo antè tanquam fallacem contempserat. Nam per Deos, vnde ignem scimus calidum? aut quo syllogismo docti, aut qua demonstratione persuasi? tum vnde glaciem frigidam esse didicimus, nisi ex sensu? Ac postea reperiantur, qui ipso sensu neglecto physicis problematis libros impleant. At non illo ex genere est, quam ob causam acetum terram fermentet: licet enim nobis dicere, quod nos lateat, sicut B talium problematum pleraque. Si verò quis promptè dicat, quia aut calidum sit aut frigidum (vtrunque enim dicunt) in ambiguas obscurásque rationes se ipsum coniiciet.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'

Πότερον ἐν τῷ πίνειν ἡμᾶς ὀξύκρατον, τὸ ὄξος ὡς ποδηγοῦ μόνον τῷ ὕδατι παραμέμικται, ἢ ὡς καὶ αὐτὸ ἐμψύχον.

Ἐγὼ δὲ ἀγαπήσαιμ' ἂν, εἰ καὶ τὰ παρακείμενα τοῖς διὰ τῶν αἰσθήσεων φαινομένοις ἐξευρεῖν ἀκριβῶς δυναίμην, ἀφορίζων ἐν αὐτοῖς καὶ διακρίνων τὸ καθ' ἑαυτὸ, τοῦ κατὰ συμβεβηκὸς, οἷον αὐτίκα θέρους ὥρᾳ πιόντες ὀξύκρατον ἔνιοι, σαφῶς ἐμψύχονταί τε καὶ ἄδιψοι διατελοῦσιν, ἀλλ' οὔπω δῆλον εἰ διὰ τὸ ὄξος, ὀλίγον γὰρ πολλῷ τῷ ὕδατι κεραννύντες αὐτὸ, καὶ οὐδὲ θερμὸν, ἀλλὰ ψυχρὸν ὡς ἔνι μάλιστα προσφέρονται. τάχα οὖν τις φαίη, διότι βραδύτερόν ἐστι τὸ ὕδωρ, καὶ πλεῖστον χρόνον ἐν τοῖς ὑποχονδρίοις διαμένει, μήθ' ὑποβιβαζόμενον, μήτ' ἀναδιδόμενον, διὰ τοῦτο αὐτῷ μίγνυσθαι τὸ ὄξος, οἷον ὄχημά τι τῆς πάντη φορᾶς γενησόμενον. οὕτω δὲ κἂν μετ' οἴνου ποθῇ τὸ ὕδωρ, ἀδιψότερον ὑπάρχειν, ἤπερ καθ' αὐτὸ, ποδηγοῦντος αὐτὸ πρὸς τὴν ἀνάδοσιν, τοῦ οἴνου. τὴν μὲν οὖν ἔμψυξίν τε καὶ τὴν τοῦ δίψους ἴασιν, ἐπὶ τῷ ὕδατι γίγνεσθαι, ψυχρῷ καὶ ὑγρῷ τὴν φύσιν ὑπάρχοντι. βοήθημα δ' αὐτῷ, καὶ οἷον πτέρωμα, τῆς εἰς πάντα τὰ μόρια τοῦ ζώου φορᾶς, τὸν οἶνόν τε γίγνεσθαι καὶ ὄξος, οὐκ αὐτὰ ψύχοντά τε καὶ ὑγραίνοντα. μόνα γὰρ δὴ οὕτω γε δίδοσθαι μᾶλλον, ἢ μετὰ ὕδατος, ὅτι ῥᾳδίως ὑπὸ λεπτότητος ἀναδίδοται, καὶ ἀποχωρεῖ τῶν ὑποχονδρίων. ἐπεὶ δ' ἅπαξ εἰς τοῦτον ἀφικόμεθα τὸν λόγον, οὐ χεῖρον, ἀκριβῶς ἅπαντα διελθεῖν αὐτόν. ὅτι μὲν γὰρ ἐγχωρεῖ, καὶ ποδηγεῖν τῷ ὕδατι τὸ ὄξος, οὐκ ἐμψύχειν αὐτὸ, καὶ μὴ ποδηγεῖν μόνον, ἀλλὰ καὶ ψύχειν, ἀντικρυς δῆλον. ὁπότερον δ' ἀληθές ἐστιν, ἐπισκέψεως δεῖται. διορισθείη δ' αὐτό γε τοιοῦτον, εἰ δοίη μέν τινι καὶ οἶνον καὶ ὄξος, ἑκάτερον ἰδίᾳ καθ' αὐτό. φαίνεται γὰρ, ἐπὶ μὲν τῷ οἴνῳ, διψωδέστερος ἀεὶ γιγνόμενος ὁ ἄνθρωπος, ἐπὶ δὲ τῇ τοῦ ὄξους πόσει, ποτὲ μὲν διψωδέστερος ἐστιν, ποτὲ δὲ ἀδιψότερος.

CAPVT XXXI.

Vtrum in oxycrati potu acetum admixtum sit duntaxat vt aquam deducat, an etiam vt ipsum quoque refrigeret.

C Mecum certè probè actũ putem, si quæ sensui apparentibus vicina sunt, atque in propinquo posita, exactè inuenire possim, discernẽs in eis ac separãs quod ex se est, ab eo quod ex accidẽte prouenit: velut exẽpli gratia quoniã æstiuo tẽpore oxycrati potu quidã planè refrigerãtur, atq; expertes sitis permanẽt; sed nõdũ cõstat, an id aceti gratia eueniat; pauculũ siquidẽ eius copiosæ aquæ mixtũ, non calidum, sed quàm fieri posset maximè frigidũ ebibunt. Nam dixerit fortè quispiam, quia tardiusculè permeet aqua, & plurimum tẽporis moretur in hypochõdriis, nec deorsum concedens, nec in D corpus se diffundens, idcirco illi acetum misceri tanquam in omnem partem ferendæ futurum vehiculum: sic etiam si cum vino bibatur aqua, sitim efficacius extinqui, quàm si sola, vino scilicet ipsam ad distributionem promouente: itaq; refrigerationẽ, sitísque sedationem ab aqua prouenire, vt quæ frigidæ naturæ sit & humidæ; cæterum adminiculo esse, ac velut alas illi ad omnes corporis partes permeandas addere, tum vinũ tũ acetum, quæ ipsa nequaquam frigida sunt, & humida: siquidem præstare, sic sola exhiberi potius, quam cum aqua, quòd ea facilè præ tenuitate in corpus distribuantur, & ab hypochondriis recedant. Porrò quoniã semel in E hunc sermonem deuenimus, nihil obstat quò minus omnẽ exactè perficiamus. Nam quod fieri possit, vt & aquam acetum deducat, nec tamen ipsummet refrigeret & non deducat solum, sed etiam refrigeret, certò certius est; verùm vtrum cum veritate coniunctum sit, id considerationem postulat. Distingui autem id possit tantummodo, sicut exhibeas acetum, & vinum, vtrumque seorsum, & per se. Apparet enim a vino homini semper sitim increscere, ab aceto verò epoto interim quidem augeri, interim verò sedari.

F

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Τίς αἰτία δίψους.

Ὅτι καὶ τὸ δίψος αὐτὸ, διττῶς γίγνεται· τὸ μὲν ὑγρότητος ἐνδείᾳ, τὸ δὲ πλεονεξίᾳ θερμότητος, ὥστ' οὐδὲν θαυμαστὸν εἰ τὸ μὲν πρότερον οὐκ ἰᾶται, θάτερον δ' ἰᾶται. ὑγραίνει μὲν γὰρ

CAPVT XXXII.

Quæ sit sitis causa.

Qvippe quum & sitis duplici ratione prouenire soleat, partim humoris inopia, partim caloris copia. Quamobrẽ mirũ videri nõ debet, si priorem quidẽ sanare nequeat, alterã possit; siquidem hume-

humectare nequit, ac refrigerat nō instrenuè. Quapropter neq; à sicca dispositione prouenientē sitim, neq; à calida, & sicca vnquam sanare queat epotū acetum; at si quando in vnū coëant humiditas, atq; caliditas, eiusce quidem sitis optima medela acetū est. Rara sanè eiusmodi affectio est, in aquæ inter cutem affusionibus nonnunquā proueniēs, comgesta nimirum in ventre salsi humoris copia; tum etiā si quibus pituita salsa vētri illita inhæserit. At qui aliter siti premuntur, putà in febribus ardentibus, & aliis omnibus exurentibus febribus, quique æstate laborant, ac graui æstu, cōposita iis est affectio, ex caliditate videlicet & siccitate; quare non iniuria composita illis medela est acetum, vt quod strenuè refrigeret, & quouis expeditè permeet; & aqua, quæ suprà quàm quod refrigeret, omnium sit vel humidissima; nihil est enim aqua humidius.

A οὐ δύναται· ψύχει δὲ οὐκ ἀληθινῶς. οὔκουν οὔτε τὴν ἐπὶ ξηρᾶς διαθέσεως δίψαν, οὔτε τὴν ἐπὶ θερμῇ καὶ ξηρᾷ δύναιτ' ἄν ποτε ἰᾶσθαι πινόμενον ὄξος. εἰ δὲ συνδράμῃ ποτὲ εἰς ταὐτὸν ὑγρότης θερμότητι, τῆς τοιαύτης δίψης ἄριστον ἴαμα τὸ ὄξος ἔσται. σπανία δὴ τοιαύτη διάθεσις· ἐν ὑδρωπικαῖς ἐνίοτε περιχύσεσιν γιγνομένη, πλήθους ὑγροῦ ἁλμώδους ἠθροισμένου κατὰ τὴν γαστέρα, καὶ ὅσοις ἁλμυρὸν φλέγμα κατ' αὐτὴν ἐμπέπλασται. τοῖς δ' ἄλλως διψώδεσιν, ἔν τε καύσοις πυρετοῖς, καὶ τοῖς περικαέσιν ἅπασιν, καὶ τοῖς ἐν θέρει καὶ θάλπει σφοδρῷ, σύνθετος ἡ διάθεσίς ἐστιν, ἐκ θερμότητός τε καὶ ξηρότητος, ὥστ' εἰκότως αὐτοῖς ἐστι σύνθετον καὶ τὸ ἴαμα, τὸ B μὲν ὄξος, οὐκ ἀληθινῶς γε ψυχρὸν, καὶ πάντῃ ῥᾳδίως διιόν. τὸ ὕδωρ δὲ, πρὸς τῷ ψύχειν ἔτι καὶ ὑγρότατον ἁπάντων ὑπάρχον, οὐδὲν γάρ ἐστιν ὑγρότερον ὕδατος.

CAPVT XXXIII.

Medicamentum quod in iudicium venit, non mixtum sed simplex esse oportere.

QVemadmodum ergo haud satis secura est procul à sēsu ducta de explorādo medicamēto ratiocinatio, ita nec ipsius alteri cuipiā permixti vsus. Siquidem ipsū per se solum quod iudicādum venit, expendere oportet, tum in sanis corporibus, iisque temperatis, & intemperatis, tum in morbo alicui obnoxiis. In temperatis quidem, velut supra positum est; in intēperatis, sicut dixit Hippocrates, *naturis picrocholis, vtilissimum esse acetum; qui verò tēperaturam sortiti fuerint melāncholicam, aduersissimum.* Porrò in morbo aliquo affectis, si simplex fuerit, in simplici exploretur affectu: sin mixtū alicui, necesse est quod commiscetur, tēperatura sit medium, sicut in aqua & cerato simplici superius declaratum est. Rationabile quippe arbitror, quod nulli diuersi temperamēti sit mixtū, sed quàm fieri queat medio coniunctum, ipsū eorum quæ perficiuntur, causam existere. Nam simplici cerato quod neq; calefaciebat, neq; refrigerabat, aqua admixta frigida refrigerauit, quippe quæ tēperiem habebat frigidā. Quòd si calefacientium quippiam eiusmodi cerato commiscuisses, profectò calidum id medicamentum euasisset; quemadmodum in affectibus cōpluribus sæpenumero euphorbium, aut castorium temperauimus. Sic, si acetum simplici adamussim cerato cōmisceas, cerato ipso lōgè frigidius medicamē effeceris: tanquā nimirū, quod admixtū est, sit frigidū. Eritq; tibi id remedium vel optimū ad erysipelata, phlegmonas, herpetes, carbunculos. Sin autē quod mixtum est, tanquā simplex expēdas (nam id etiam moliūtur) lōgè maximè hallucinaberis. Nam vlcerū glutinatoriū non acetum, sed oxycratum, dicendum est, aliam multo naturā ab aceto obtinens. Siquidem quemadmodum carnem producere in vlceribus nequit ærugo, sed ceratum exiguum quiddam habēs æruginis: ad eundem modum neq; acetum conglutinat, sed aqua aceti pauxillū accipiens. Ipsum verò per se, ac syncerum acetum vlcera, quę glutinationem desiderant, mirū in modum exasperat, vt pote partium tenuitate erodens, ac dolorem excitans. Quamobrem haud meritò, nec conuenienter talia dictitant, nec melius item faciunt, quum ignotis ignota connectunt.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Ὅτι χρὴ τὸ κρινόμενον φάρμακον ἄμικτον εἶναι καὶ ἁπλοῦν.

ΩΣπερ οὖν οὐκ ἀσφαλής ἐστιν, ὁ πόῤῥω τῆς αἰσθήσεως τοῦ δοκιμαζομένου φαρμάκου συλλογισμὸς, οὕτως C οὐδ' ἡ τοῦ μιχθέντος ἑτέρῳ χρῆσις. αὐτὸ γὰρ χρὴ καθ' αὑτὸ μόνον ἐξετάζεσθαι τὸ κρινόμενον, ἐπί τε τῶν ὑγιαινόντων σωμάτων, εὐκράτων τε καὶ δυσκράτων, ἐπί τε τῶν νοσούντων. εὐκράτων μὲν οὖν, ὥσπερ καὶ πρόσθεν εἴρηται· δυσκράτων δὲ, ὥσπερ Ἱπποκράτης ἔλεγε, πικροχόλοις μὲν φύσεσιν, χρηστότατον ὑπάρχει ὄξος, ἐναντιώτατον δ' εἶναι μελαγχολικοῖς τὴν κρᾶσιν. ἐπὶ δ' αὐτῶν νοσούντων, εἰ ἁπλοῦν ἐξ ἁπλῆς ἐξετάζοιτο διαθέσεως. εἰ δὲ καὶ μίγνυτό ποτε μετ' ἄλλου, χρὴ τὸ μιγνύμενον αὐτῷ μέσον D εἶναι τὴν κρᾶσιν, ὡς ἐφ' ὕδατός τε καὶ κηρωτῆς ὁ πρόσθεν λόγος ἀπέδειξεν. εὐλόγως γὰρ, οἶμαι, τὸ, τῷ μηδ' ἑτέρῳ τῶν ἄκρων κατὰ τὴν κρᾶσιν, ἀλλ' ὡς οἷόν τε μέσῳ συμπεπλεγμένον αὐτὸ, τῶν ἀποτελουμένων αἴτιον γίγνεσθαι. τῇ γοῦν ἁπλῇ κηρωτῇ μήτε θερμαινούσῃ, μήτε ψυχούσῃ, τὸ ψυχρὸν ὕδωρ μιχθὲν, ἔψυξεν ὅτι ψυχρὸν ἦν τῇ κράσει. εἰ δέ γε τῶν θερμαινόντων ἔμιξάς τι τῇ τοιαύτῃ κηρωτῇ, θερμαῖνον ἂν σοι τὸ φάρμακον ἐγένετο, καθάπερ πολλάκις εὐφόρβιον, ἢ καστόριον ἐπεμίξαμεν ἐπὶ πολλῶν διαθέσεων. οὕτως οὖν, εἴπερ ὄξος ἀναμίξαις ἀκριβῶς ἁπλῇ κηρωτῇ, ψυχρότερον ἐργάσῃ πολλῷ E τῆς κηρωτῆς τὸ φάρμακον, ὡς ἂν ψυχροῦ τοῦ μιχθέντος ὑπάρχοντος. καί σοι τοῦτο πρὸς ἐρυσιπέλατα, καὶ φλεγμονὰς, ἕρπητάς τε, καὶ ἄνθρακας, ἀγαθὸν ἔσται φάρμακον, εἰ δέ γε τὸ μικτὸν ὡς ἁπλοῦν ἐξετάζοις, καὶ γὰρ αὖ καὶ τοῦτο ποιοῦσιν, ἁμαρτήσεις τὰ μέγιστα. κολλητικὸν γὰρ ἑλκῶν, οὐκ ὄξος χρὴ λέγειν, ἀλλ' ὀξύκρατον, ἕτερόν τι παρὰ πολὺ τὴν φύσιν ὄξους ὑπάρχον. ὥσπερ γὰρ οὐδὲ σαρκωτικὸν ἑλκῶν ἰὸς, ἀλλ' ἡ κηρωτὴ προσλαβοῦσα βραχύ μόριον ἰοῦ, κατὰ τὸν αὐτὸν τρόπον, οὐδ' ὄξος κολλητικὸν, ἀλλ' ὕδωρ ὄξους ἐλάχιστον προσλαβὸν, αὐτὸ δὲ καθ' ἑαυτὸ μόνον καὶ ψιλὸν ὄξος, ἱκανῶς προξύνει τὰ κολλήσεως δεόμενα τῶν ἑλκῶν, ὡς ἂν F τῇ λεπτομερείᾳ, διαβρωτικόν τε καὶ ὀδυνηρὸν ὑπάρχον. οὔτ' οὖν τὰ τοιαῦτα δεόντως λέγουσιν, οὔθ' ὅταν ἀγνώστοις ἄγνωστα συνάπτωσιν.

A

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Ὅτι οὔτε πάντα τὰ στύφοντα κολλητικά ἐστιν, οὔτε πάντα τὰ κολλητικὰ στύφοντα.

Οὐδὲν γὰρ ἀποδείξαντες ἰδίᾳ περὶ τῶν κολληθησομένων, ἢ σαρκωθησομένων, ἢ ἐπουλωθησομένων ἑλκῶν, ἐξ ἐπαγωγῆς συλλογίζονται, τὰ στύφοντα πάντα φάσκοντες ἑλκῶν εἶναι κολλητικά. χρὴ δ' οὐκ ἐξ ἐπαγωγῆς, ἀλλὰ δι' ἀποδείξεως ἐν τῷ καθόλου τὰ τοιαῦτα λαμβάνεσθαι, καθάπερ ἡμεῖς ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου ποιήσομεν ὑπομνήμασιν, ἀλλ' ἁπλῶς γε οὕτως ῥηθὲν ὁτιοῦν τῶν τοιούτων, οὐ μόνον ἀναπόδεικτον, ἀλλὰ καὶ ψεῦδός ἐστιν. οὔτε γὰρ χαλκῖτις, οὔτε κηκὶς, οὔτε αὐτὰ τὰ λέμματα τῶν ῥοιῶν, οὔτε ὀμφάκιον, οὔτε στυπτηρία, πολὺ δὲ μᾶλλον, οὔτε χαλκὸς κεκαυμένος, οὔτε λεπὶς, οὔτε μίσυ, κολλᾶν ἕλκη πέφυκεν, ἕτερά τε μυρία τῶν στυφόντων ἐστὶν ἀδύνατα κολλᾶν. εἰ δ' ἄρα καὶ μὴ τοῦτό τις, ἀλλὰ τὰ κολλητικὰ πάντα στυπτικὰ λέγοι, ἐλεγχθήσεται κἀνταῦθα πολλὰ κολλῶντα χωρὶς τοῦ στύφειν. οὐδέτερος οὖν ἀληθὴς λόγος, ἁπλῶς καὶ ἀδιορίστως λεχθεὶς, οὔθ' ὅταν ἅπαντα φάσκωσι τὰ στύφοντα κολλᾶν ἕλκος, οὔθ' ὅταν πάντα τὰ κολλώμενα διὰ τῶν στυφόντων κολλᾶσθαι. πολὺ δὲ δὴ καὶ τούτων ἔτι μᾶλλον ἄτοπά τε καὶ ψευδῆ λέγουσιν ἤδη καὶ περὶ τὴν αἴσθησιν, ὅταν καὶ τὰ δακνώδη, καὶ τὰ δριμέα, καὶ τὰ πικρὰ, καὶ τὰ ἁλυκὰ, καὶ πρὸς τούτοις ἔτι τὰ μαλακώτατα, καὶ ἥδιστα ταῖς ποιότησι στύφειν λέγουσιν, ὥσπερ οὐ τῆς γεύσεως αἰσθητὸν τὸ στύφον ὑπάρχον, ἀλλ' ἐκ τῆς ἐκείνων νομοθεσίας λαμβανόμενον. ἡ μὲν γὰρ ῥοιὰ, καὶ τὸ μῆλον, εἰ τύχοι, καὶ τὸ μέσπιλον, ἀπίων τέ τινα γένη, καὶ μύρτα, καὶ οὖα, καὶ οἶνος ἀμιναῖος, καὶ μάρσος, ἐναργῶς ἡμᾶς στύφει. πυροὶ δὲ, καὶ ζειαὶ, καὶ κέγχροι, Ἡρόδοτον μὲν ἴσως ἔστυφον, τῶν δ' ἄλλων ἀνθρώπων οὐδένα. μυρίων γὰρ ἐπυθόμην ἐγὼ, καὶ περὶ τούτων, καὶ πολὺ μᾶλλον ἔτι περὶ ἀμύλου, καὶ γὰρ καὶ τοῦτο στύφειν Ἡρόδοτός φησιν. ὥσπερ οὖν καὶ τὸ πέπερι, στύφον μηδ' αὐτὸ μηδένα τῶν ἄλλων ἀνθρώπων, ὅσοι καθαρῶς καὶ ἀδεκάστως ἐξετάζουσι τὰς ποιότητας. ἀλλ' Ἡρόδοτος μὲν συνέχεεν εἰς ταὐτὸν ἅπαντα καὶ τὰ δριμύτατα ταῖς δυνάμεσιν, καὶ τὰ ἄκρως διαβρωτικὰ, καὶ τὰ μαλακώτατα, καὶ τὰ προσηνέστατα πάντα στύφειν ἔφησεν ὡς ἐν τῷ καταψεύσασθαί τισι τῆς αἰσθήσεως, τὸ τοῦ νικᾶν ὑπάρχοντος· ἀλλ' οὐκ αὐτὸ δὴ τοῦτο μέγιστον δεῖγμα τῆς τῶν λόγων αὐτοῦ μοχθηρίας ἐσόμενον.

CAPVT XXXIV.

Quòd neque adstrictoria omnia conglutinent, neque conglutinatoria item omnia adstringant.

Qvippe quum nihil seorsum de glutinãdis, aut carne implendis, aut cicatrice obducendis vlceribus demonstrarint, ex inductione tamen colligunt, adstringentia omnia dicentes vlcerum esse conglutinatoria. Oportet autem non inductione, sed per demonstrationem in genere talia accipere, B quemadmodum nos facturi sumus in curandi rationis commentariis. Imò absolutè quiduis tale dictum non modò indemonstratum est, sed etiã falsum. Neque.n. chalcitis, neq; galla, neque malorum punicorum putamina, neque omphacium, neque alumen, multóque minus æs vstum, neque æris squama, neque misy, vlcera glutinare possunt; aliáque innumera sunt inter adstringentia quæ glutinare nequeant. Porrò siquis non hoc, sed glutinatoria omnia adstringentia dixerit, proferentur & hîc quoque non pauca quæ citra adstrictionem conglutinent. Neutra igitur vera oratio est, C si simpliciter atque indefinitè efferatur, neque quum dicunt adstringentia omnia vlceris glutinatoria: neque quum aiunt, quæcunque glutinantur, adstringentium beneficio glutinari. Porrò multo sanè etiam magis, his tum absurda, tum falsa, ad hæc quæ mollissimas iucundissimásque sortita sunt qualitates, adstringere dictitant: tanquam ad sensorium gustus non pertineat quod adstringit, sed ex illorum impositione, atque arbitrio debeat accipi. Malum enim granatum, & malum, verbi causa, & mespilum, & pyrorum quædam genera, & myrta, & sorba, vinúmque tum amynæum, tum marsum, euidenter nos adstringunt; D at triticum, & zea, & milium, Herodotum forsan adstringebant, aliorum autem omnium neminem. Sexcentos enim quãdoque super his sum percontatus, & in primis super amylo; nam ipsum adstringere ait Herodotus, sicut & piper: quod nec ipsum vllum omninò aliorum hominum, qui syncerè, & incorruptè qualitates expendunt, adstringit. At Herodotus cuncta confundere in idem non est veritus, aitque, & quæ acerrima sunt facultate, & quæ summè rodunt, & quæ mollissima sunt ac mitissima, omnia adstringere: tanquam in hoc, vt quosdam sensu defraudaret, victoriam statueret. E Verùm non ita se res habet, quum ea vel maxima futura sit prauitatis dictorum eius probatio.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'

Ὅτι οὐ πάντα τὰ στύφοντα ψύχει.

Ὥσπερ δ' ὑπερβάλλεσθαι βουλόμενος αὐτὸν τοῖς κατὰ τῶν αἰσθήσεων ψεύσμασιν ὁ Ἀσκληπιάδης Μητρόδωρος, ἄλλα τε καὶ ῥητίνην, καὶ ἄσφαλτον οὐχ ὁμολογεῖ θερμαίνειν ἡμᾶς, ἅπαντά τε τὰ στύφοντα, καὶ ψύχειν φησὶν, εἰ καὶ μηδενὸς ἄλλου, χαλκίτεώς τε, καὶ χαλκάνθης, καὶ μίσυος ἱκανῶς μὲν στυφόντων, εἰς τοσοῦτον δ' ἡκόντων θερμότητος, ὥστε καίειν ἡμᾶς. οὔκουν ἔτι θαυμαστὸν οὐδὲν, εἰ ληροῦσί τε πολλὰ καὶ παραλογίζονται σφᾶς αὐτοὺς οἱ ἄνθρωποι, μηδὲ περὶ τῶν ἐναργῶς φαινομένων ὁμολογῆσαι τἀληθὲς τολμῶντες.

CAPVT XXXV.

Quòd non omnia adstringentia refrigerant.

Qvin verò & Asclepiades Metrodorus, tanquam illum etiam superare contenderet afferendis de sensu mendaciis, cùm alia quædam, tum resinam, & bitumen calefacere non denegat, atque adstringentia omnia refrigerare F dictitat; quum, si nihil aliud, saltem chalcitis, calchantos, & misy, quæ valenter astringunt, tantam assequuta sint caliditatem, vt nos etiam exurant. Nihil est ergo mirandum, si prolixa quædam nugentur, seipsósque nonnulli homines fallant, quum de manifestò apparentibus verum fateri non audent,

CAP. XXXVI.

CAPVT XXXVI.

Perperam Herodotum ac Dioscoridem, quæcunque aut profluuiis aut dysenteriis mederentur, astringentia censuisse.

ITaque ex iis quidam, putà Herodotus & Dioscorides, medicamenta quædam ex eo, quòd diarrhœis, ac dysenteriis medentur, astringere ea colligunt, quanquam ne minimum quidem habeant astrictionis, imò prorsum cōtrà rarefacientia nimirum sint, & laxantia, quum alioqui, quæ astringunt, corpora contrahant, condensent, constipent, atque constringant. Nam semel sensibus pro nihilo habitis, euerterunt cōfuderuntque omnia quæ planè sensu dignoscere est, hæc praua ratione asserentes. Nam adeps caprinus omnibus quæ aut gustu, aut facultate sunt astringentia, aduersissimus est, velut etiam farina triticea, & amylum, & innumera eorum quę vim habent tum emplasticam, tum mitigatoriam, atq; acrimonias hebetandi, eaq; ratione iis qui acria mordaciaq; per aluū excernunt, auxiliātur. Quòd si ob hæc astringāt, esto sanè & oleum ex astringentium numero, quoniam sæpius iis, qui grauiter mordicabātur, infusum profuit. Esto verò etiam & cera, & adeps suillus, tū gallinaceus, & anserinus, chondri tragiq; succus: Nam hæc quoque infundimus, & ceratum quandoque iis qui vehemēter mordicantur, sicuti & adipem caprinū. Verùm efficacius auxiliū affert caprinus, quia scilicet facilius, & cōcrescit, & intestinis inungitur, plurimoq; tēpore inhæret. Porrò siue ob crassitiem, siue aliā ob causam celeriter cōcrescat, non est opus in præsentia inquirere, reipsa euidenter apparente. Verùm quemadmodū quòd ocyssimè concrescat, atq; intestinorū morsus obtundat, ex rei euidētia credibilius est, sic sanè etiā quòd ei nulla insit aut frigiditas, aut astrictio. Atq; hi quidē ex obscuris ratiocinantur de apparētibus, imò autē si verùm fatendū est, seipsos potius decipiunt. At nos tātò decet magis ad sensum accedere, tantóq; diligentius perpetuò illi attēdere, quātò plura in eo peccent sophistæ omnes, falsáq; de eo asserant. Rursum ergo vbi prius in memoriam reuocauerimus quæ idiotas non fugiunt, ipsisque haud ignota erant, quum nondum contendendi libidine in sensus peruenissent contemptum, postea autem per superuacaneam sapientiam amiserunt, ad id quod continuum orationi est, transibimus.

CAPVT XXXVII.

De propriis sensus cuiusque sensoriis.

VNaquæque sensilium natura priuatim subiecta est, tactui quidem caliditas, ac frigiditas, durities, & mollities; albedo verò, nigredo, flauedo, rubor, atque, vt summatim dicam, vniuersum colorum genus, visui: amaror, dulcedo, austeritas, acerbitas, aciditas, salsedo, acrimonia, gustui: planeque demens videatur, siquis gustu colores iudicare tentet, aut sapores visu, eodem modo de tactu cognoscendum est, reliquisque sensibus, si quidem tactu iudicandæ sunt differentiæ tangibiles, auditu audibiles, odoratu odorabiles. Quæ quum sic sese habeant, audiamus, quæso, Platonem gustabiles differentias exponentem. Haud tamen animus ipsius physiologiæ attendendus est. Nec enim nunc tempestiuè eius meminero,

ΚΕΦΑΛΑΙΟΝ Λϛ'.

Ὅτι κακῶς οἱ περὶ Ἡρόδοτον καὶ Διοσκουρίδην, πάντα τὰ διαῤῥοίας, ἢ δυσεντερίας ὠφελοῦντα, στύφοντα φάρμακα εἶναι ἀπεφήναντο.

ΕΙτά τινες ἐξ αὐτῶν, ὥσπερ Ἡρόδοτος, καὶ Διοσκουρίδης, ἐκ τοῦ φάρμακα ἄττα, διαῤῥοίας τε καὶ δυσεντερίας ὠφελεῖν, συλλογίζονται στύφειν αὐτά, καίτοι μηδὲ ἐλαχίστης μετέχοντα στύψεως, ἀλλ᾽ οὐδὲ τοὐναντίον, ἀραιότερα καὶ χαλαστικὰ ταῖς δυνάμεσιν ὑπάρχοντα τῶν στυφόντων, συναγαγόντων τε καὶ πιλούντων, καὶ πυκνούντων, καὶ σφιγγόντων τὰ σώματα. καταφρονήσαντες γὰρ ἅπαξ τῆς αἰσθήσεως, ἀνέτρεψαν ἅπαντα καὶ συνέχεαν, ἃ σαφῶς ἐστιν αἰσθήσει διαγνῶναι, ταῦτα μοχθηρῷ λόγῳ πιστούμενοι. τὸ γοῦν αἴγειον στέαρ, ἐναντιώτατόν ἐστι τοῖς στύφουσιν ἅπασι, καὶ γεύσει, καὶ δυνάμει, καθάπερ καὶ τὸ τῶν πυρῶν ἄλευρον, ἄμυλόν τε, καὶ ἄλλα μυρία τῶν ἐμπλαστικῶν τε καὶ παρηγορούντων, καὶ δριμύτητας ἀμβλυνόντων, καὶ ταύτῃ τοῖς δακνώδη τε καὶ δριμέα διαχωροῦσιν ἀρηγόντων. καὶ εἰ διὰ ταῦτα στύφει, ἔστω δὴ καὶ τὸ ἔλαιον ἡμῖν τῶν στυφόντων, ὅτι δὴ καὶ πολλάκις ὠφέλησεν τοὺς σφοδρῶς δακνομένους ἐνεθέν. ἔσται δὲ καὶ κηρὸς, καὶ στέαρ χοίρειον, ὀρνίθειόν τε καὶ χήνειον, καὶ χόνδρου, καὶ τράγου χυλός. ἐνιέμεν γὰρ καὶ ταῦτα, καὶ κηρωτὴν ἐνίοτε τοῖς δακνομένοις ἰσχυρῶς, ὥσπερ καὶ τὸ αἴγειον στέαρ. ἐναργεστέραν δὲ τὴν ὠφέλειαν τὸ αἴγειον ἐπιδείκνυται, τῷ ῥᾳδίως πήγνυσθαι ἐπαλείφεσθαί τε τοῖς ἐντέροις, καὶ παραμένειν ἐπὶ πλεῖστον. εἴτε δὲ διὰ πάχος, εἴτε δι᾽ ἄλλην τινὰ αἰτίαν πήγνυται ταχέως, οὐδὲν δέομαι, τά γε νῦν, ζητεῖν, ἐναργῶς φαινομένου τοῦ πράγματος. ἀλλ᾽ ὥσπερ, ὅτι καὶ πήγνυται τάχιστα, καὶ τὰς δήξεις τῶν ἐντέρων ἀμβλύνει, τῷ φαίνεσθαι πιστότερόν ἐστιν, οὕτω δὴ καὶ ὅτι μηδεμιᾶς αὐτῷ μέτεστι ψύξεως, ἢ στύψεως. οὗτοι μὲν οὖν ἐξ ἀδήλων ὑπὲρ τῶν φαινομένων συλλογίζονται. μᾶλλον δ᾽ εἰ χρὴ τἀληθὲς εἰπεῖν, παραλογίζονται σφᾶς αὐτούς, ἡμᾶς δὲ, τοσῷδε μᾶλλον ἐπὶ τὴν αἴσθησιν ἀνέρχεσθαι προσήκει, ἐπιμελῶς τε προσέχειν αὐτῇ διὰ παντὸς, ὅσῳ καὶ μᾶλλον οὐκ ὀλίγα καταψεύδονται πάντες αὐτῆς οἱ σοφισταί. πάλιν οὖν ἀναμνήσαντες αὖθις, ὅτι ἃ τοῖς μὲν ἰδιώταις ἐστὶ δῆλα, καὶ τούτοις ἦν, ὅτ᾽ οὔπω διὰ φιλονεικίαν ὑπερεφρόνουν τῶν αἰσθήσεων, ὕστερον δ᾽ ἀπώλετο διὰ περιττὴν σοφίαν, ἐπὶ τὸ συνεχὲς τοῦ λόγου μεταβησόμεθα.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Περὶ τῶν καθ᾽ ἑκάστην αἴσθησιν ἰδίων αἰσθητῶν.

ΕΚάστη τις φύσις τῶν αἰσθητῶν, ἰδίᾳ ὑποβέβληται· θερμότης μὲν καὶ ψυχρότης, καὶ σκληρότης, καὶ μαλακότης, ἁφῇ· λευκότης δὲ, καὶ μελανότης, καὶ ξανθότης, ἐρυθρότης τε καὶ συλλήβδην εἰπεῖν, ἅπαν τὸ τῶν χρωμάτων γένος ὄψει. πικρότης τε καὶ γλυκύτης, αὐστηρότης τε καὶ στρυφνότης, ὀξύτης τε καὶ ἁλυκότης, καὶ δριμύτης, γεύσει, καὶ μαίνεσθαι δόξει σαφῶς εἴ τις, ἢ τὰς χροιὰς τῇ γεύσει κρίνειν ἐπιχειρήσειεν, ἢ τοὺς χυμοὺς τῇ ὄψει. κατὰ ταὐτὰ δὲ, καὶ περὶ τῆς ἁφῆς χρὴ γινώσκειν, καὶ περὶ τῶν ἄλλων αἰσθήσεων, ὡς τὰς μὲν ἁπτὰς διαφορὰς ἁφῇ κριτέον ἐστὶ, τὰς δ᾽ ἀκουστὰς ἀκοῇ, τὰς δ᾽ ἐν ἀτμοῖς, ὀσφρήσει. τούτων οὖν οὕτως ἐχόντων, ἀκούσωμεν εἰ βούλεσθε καὶ Πλάτωνος ὑπὲρ τῶν γευστῶν διαφορῶν ἐξηγουμένου. χρὴ δὲ οὐ τῇ φυσιολογίᾳ προσέχειν αὐτοῦ τὸν νοῦν. οὐ γὰρ ἂν ἐν καιρῷ μοι νῦν εἴη μνημονεύειν αὐτῆς,

A οὐ δὴ εἰς τοῦτο καλῶ μάρτυρα τὸν ἄνδρα, μόνον δὲ ὑπὲρ τοῦ δεῖξαι, κατὰ τίνος πράγματος ἕκαστον τῶν ὀνομάτων ἔθος ἐστὶν ἐπιφέρειν τοῖς Ἕλλησιν. ἄκουε τοίνυν τοῦ Πλάτωνος λέγοντος. ὅσα μὲν γὰρ εἰσιόντα περὶ τὰ φλεβία, οἷόνπερ δοκίμια τῆς γλώττης, τεταμένα δὴ ἐπὶ τὴν καρδίαν εἰς τὰ νοτερὰ τῆς σαρκὸς καὶ ἁπαλὰ ἐμπίπτοντα γήϊνά τινα μέρη κατατηκόμενα, ξυνάγει τὰ φλεβία καὶ ἀποξηραίνει. τραχύτερα μὲν ὄντα, στρυφνά, ἧττον δὲ τραχύνοντα, αὐστηρὰ λέγεται. τὰ δὲ τούτων ῥυπτικά, καὶ πᾶν τὸ περὶ τὴν γλῶτταν ἀποπλύνοντα, πέρα μὲν τοῦ μετρίου τοῦτο δρῶντα, καὶ προσεπιλαμβανόμενα, ὥστε ἀποτήκειν αὐτῆς τι τῆς φύσεως, οἷον ἡ τῶν νίτρων δύναμις, πικρὰ πάνθ᾽ οὕτως ὠνόμασται. B τὰ δὲ ὑποδεέστερα τῆς νιτρώδους ἕξεως, ἐπὶ τὸ μέτριόν τε τῇ ῥύψει χρώμενα, ἁλυκὰ ἄνευ πικρότητος τραχείας, καὶ φίλα μᾶλλον ἡμῖν φαντάζεται. τὰ δὲ τῇ τοῦ στόματος θερμότητι κοινωνήσαντα, καὶ λεαινόμενα ὑπ᾽ αὐτοῦ συνεκπυρούμενα, καὶ πάλιν αὐτὰ ἀντικάοντα τὸ διαθερμῆναν, φερόμενά τε· καὶ ὑπὸ κουφότητος ἄνω πρὸς τὰς τῆς κεφαλῆς αἰσθήσεις, τέμνοντά τε πάνθ᾽ ὁπόσα ἂν προσπίπτῃ διὰ ταύτας τὰς δυνάμεις, δριμέα πάντα τὰ τοιαῦτα ἐλέχθη. τῶν δὲ αὐτῶν προλελεπτυσμένων μὲν ὑπὸ σηπεδόνος, εἰς δὲ τὰς στενὰς φλέβας ἐνδυομένων, καὶ ἐνοῦσιν αὐτόθι μέρεσι γεώδεσιν, καὶ ὅσα ἀέρος συμμετρίαν ἔχοντα, ὥστε κι- C νήσαντα περὶ ἄλληλα ποιεῖν κυκᾶσθαι, κυκώμενα δὲ περιπίπτειν τε, καὶ εἰς ἕτερα ἐνδυόμενα, ἕτερα κοῖλα ἀπεργάζεσθαι περιτεινόμενα τοῖς εἰσιοῦσιν, ἃ δὴ νοτίδος περὶ ἀέρα κοίλης περιταθείσης, ποτὲ μὲν γεώδους, ποτὲ δὲ καὶ καθαρᾶς, νοτερὰ ἀγγεῖα ἀέρος ὕδατα κοῖλα περιφερῆ τε γίνεσθαι. καὶ τὰ μὲν τῆς καθαρᾶς εἰς διαφανεῖς περιστῆναι, κληθείσας ὄνομα πομφόλυγας. τὰ δὲ τῆς γεώδους, ὁμοῦ κινουμένης τε καὶ αἰρομένης, ζέσιν τε καὶ ζύμωσιν ἐπίκλην λεχθῆναι. τὸ δὲ τούτων αἴτιον τῶν παθημάτων, ὀξὺ προσρηθῆναι. ξύμπασι δὲ τοῖς περὶ ταῦτα εἰρημένοις, πάθος ἐναντίον ἀπ᾽ ἐναντίας ἐστὶ προφάσεως. D ὁπόταν ἡ τῶν εἰσιόντων ξύστασις ἐν ὑγροῖς, οἰκεία τῇ τῆς γλώττης ἕξει πεφυκυῖα, λεαίνῃ μὲν ἐπαλείφουσα τὰ τραχυνθέντα, τὰ δὲ παρὰ φύσιν συνεστῶτα, ἢ κεχυμένα, τὰ μὲν συνάγῃ, τὰ δὲ χαλᾷ, καὶ πάνθ᾽ ὅτι μάλιστα ἱδρύῃ κατὰ φύσιν, ἡδὺ καὶ προσφιλὲς παντὶ, πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων γιγνόμενον, κέκληται γλυκύ. διὰ ταύτης ἁπάσης τῆς ῥήσεως ὁ Πλάτων ἐξηγήσατο, τίνα μὲν ἔθος ἐστὶν ἡμῖν ὀνομάζειν αὐστηρά, τίνα δὲ στρυφνά, καὶ τινα μὲν ἁλυκά, καὶ νιτρώδη, τίνα δὲ πικρά, καὶ τίνα μὲν δριμέα, τίνα δὲ ὀξέα, τίνα δὲ γλυκέα. τὸ δὲ πρὸς ἡμῶν στῦφον, αὐστηρὸν δηλονότι προσαγορεύων, οὕτω γὰρ ὠνομάζετο παρὰ τοῖς παλαιοῖς E Ἕλλησιν. οὐ μὴν εἰς ταυτόν γε συγχεῖ πάντα, καθάπερ οὗτοι, καὶ τὸ πέπερι στύφειν φάσκοντες, ἐκ τῆς τῶν δριμέων φύσεως ὑπάρχον, καὶ τὸ ὄξος ἐκ τῆς τῶν ὀξέων. οὐκ αἰδούμενοι δὲ καὶ τῶν γλυκυτάτων ἔνια τοῖς στύφουσι προσνέμειν. ἅτ᾽ οὖν ἁπάντων αὐτοῖς συγκεχυμένων, εὐθὺς κατ᾽ ἀρχὰς οὐδὲ δυνάμεις εὑρεθῆναι δύνανται. πάσης γὰρ εὑρέσεώς τε καὶ ἀποδείξεως ἀρχαί, τὰ πρὸς αἴσθησίν τε καὶ νόησίν ἐστιν ἐναργῆ. ταράττουσι δὲ οὗτοι ταῦτα ἀμφότερα, καὶ συγχέουσιν εἰς ταυτὸν ἅπαντα, τά τε τῶν αἰσθήσεων ἔργα τε καὶ πάθη, καὶ πολὺ δὴ μᾶλλον ἔτι τὰ τῆς νοήσεως, ἅτε μὴ γεγυμνασμένα κατὰ λογικὴν θεωρίαν, ὥστ᾽ ἔργον εἶναι φυλάξασθαι τὴν F ἀδολεσχίαν αὐτῶν, καὶ μὴ συναπολαῦσαί τι τῆς αὐτῶν οὕτω πολλῆς καὶ ματαίας φλυαρίας. ἔργον δὲ οὐ σμικρὸν, καὶ τὸ μεταδιδάξαι, καὶ μεταλλάξαι τοὺς διεστραμμένους ὑπ᾽ αὐτῶν εἰς τοσοῦτον, ὡς καταφρονεῖν τε τῶν αἰσθήσεων, ἀγυμνάστους τε κατὰ λογικὴν εἶναι θεωρίαν, ἀνηκόους τε καὶ τῶν περὶ φύσεως λογισμῶν, οὓς οἱ φιλόσοφοι διασκέ-

neque in hoc viri testimonium cito, sed tantum vt ostendam, qua de re quodque nomen efferre Græcis mos est. Ausculta ergo disserentem Platonem. *Tenduntur à lingua venulæ ad cor, saporum nunciæ, in quas si quæ ita inciderint, vt humidam mollemque carnis partem penetrantia, terrestri sua natura liquefacta, venulas contrahant atque desiccent, siquidem asperiora sint, acerba, si minus aspera, austera nuncupantur. Cæterùm quæ eas abstergunt, totamque linguam abluunt, si quidem id supra modum efficiant, simulque aliquid absumant, vt de natura aliquid colliquent (qualis est nitrorum facultas,) amara omnia appellantur. At quæ nitri virtute inferiora sunt, ac moderata vtuntur abstersione, salsa citra asperam amaritudinem, & grata nobis magis apparent. Quæ verò vbi oris caliditati applicata, ab eoque mollita, & feruefacta, ipsum vicissim recalefaciunt, atque accendunt, præque leuitate ad capitis feruntur sensus, ac quæque obuia incidunt, talia omnia has ob vires acria nuncupata sunt. Eadem verò ista interdum à putredine attenuata, & angustas ingredientia venas, partes inibi, tam terrenas, quàm quodammodò aërias, mutuo incursu mouent, ac misceri compellunt, commixta verò circumlabi alias, & alias ingredi, ingressu suo penetratas concauas circuntensasque afficere, easque humore circumfuso concauo, interim terreno, interim puro vascula aëris ex aqua concaua, rotundaque effici: ac quæ ex puro constant, perlucida sunt, & vocantur ampullæ, quæ verò ex terrestri agitato elatoque, ebullitio fermentatioque nuncupatur. Harum affectionum causa acidum cognominatur. Omnibus verò quæ de istis dicuntur, affectio contraria ab occasione nascitur contraria. Porrò vbi ingredientium constitutio in humidis familiaris linguæ habitui existit, quæ exasperata quidem fuerint, lenit, quæ verò præter naturam aut coierint constiterintque, aut fusa laxaque fuerint, partim contrahit, partim laxat, omniaque quàm maximè ad naturæ statum reducit, quicquid eiusmodi est, iucundum suaueque, & cognatum est omnibus, violentarumque passionum remedium ac medela, nominaturque dulce.* His verbis Plato quæ nos vocare solemus austera, quæ acerba, quæ salsa, & nitrosa, quæ amara, quæ acria, quæ acida, quæ dulcia, exposuit. Id videlicet quod à nobis astringens dicitur, ipse austerum nuncupans: nam sic à vetustioribus Græcis appellari solet. Non tamen omnia in vnum confundit, sicut ij faciunt qui & piper astringere dictitant, quum ex acrium sit natura, & acetum quod ex acidis est, nec sanè etiam veriti dulcissimorum quædam astringentium numero ascribere. Ex quo fit, quum omnia confundant, vt protinus nec facultates inuenire omninò valeant. Omnis enim inuentionis demonstrationisque principia sunt, quæ sensui atque intellectui euidentia sunt. At isti hæc ambo perturbant, atque omnes in vnum confundunt quum sensuum actus, & passiones, tum multò etiã magis intellectus ac rationis, nimirum haudquaquam in speculatione logica versati. Itaque operæ pretium est nugacem illorum loquacitatem omnibus modis effugere, ne quid nobis quoque attribuatur vitij ex tam prolixa illorum futilique nugacitate. Porrò haud leue negotium est dedocere ac transmutare eos qui ab illis vsque adeò peruersi sunt, vt & sensum contemnant, & nequaquam in speculatione logica se exercuerint, planéque rudes sint rationum quas de natura philosophi considerant.

Omninò

Omninò enim saltem vel id didicissent, quæ in illis sunt ambiguitates fugiendas esse, cautéque obseruandas; tum sensibus magis super simplicium medicaminum facultatibus, quam rationibus haud satis integris, committendum esse iudicium.

CAPVT XXXVIII.

De propriis linguæ sensoriis.

VErùm tales dedocere, ac velut transformare est impossibile. At aliorum tamen gratia nimirum quos conatus noster iuuare poterit, resumenda est, diligenterque definienda tota de propriis linguæ sensoriis oratio. Nuncupatur igitur tum à Theophrasto, tum ab Aristotele, tum à Mnesitheo medico gustandi facultas, χυμὸς secunda syllaba à μ littera incipiente, at ex humido siccóque consistentia, eorum videlicet quæ à calore concocta sunt, χυλὸς à littera λ secunda incipiente syllaba. Tametsi ab ætate illis maioribus, non modò Atheniensibus, sed & Ionibus vtrunque per μ litteram scribi consueuerit. Siquidem & apud Platonem, & apud Hippocratem, veterésque comicos sic scriptum reperitur. Vocetur autem à nobis in præsenti quidem sermone, clarioris doctrinæ gratia gustatoria facultas, siue qualitas, siue vtcunque cuique appellare libet per litteram μ, χυμός. Humor autem incrassatus tum in animantibus, tum in plantis, χυλὸς, secundâ syllaba à littera λ incipiente. Sciendum ergo sapores, qui tum in vnoquoque animali ac planta, tum in terra inueniuntur, plurimos esse, nec facilè specierum numero comprehensibiles, cæterùm differentias gustabiles aliis octo visas, aliis numero septem, nonnullis autem & his quoque pauciores. At Plato in Timæo in suprapositа dictione primum duos sapores memorat eiusdem speciei, sed in ratione maioris ac minoris differentes; eorum alterum austerum, alterum acerbum nominat. Fuerit autem austerus is, quem astringentem nuncupamus: porrò acerbus huius intensione prouenit, velut & ipse Plato significauit; atque hos sanè pro vna specie numerabimus. Altera est eorum quæ illis opposita sunt, nitrosorum videlicet, salsorum & amarorum. Et in his quoque amarus ex nitrosi prouenit intensione: salsus verò aut nitroso imbecillior, aut astrictionis quoque assumens aliquid. Deinde à Platone acris expositus est, mox acidus, postremò dulcis. At à Theophrasto additus est pinguis, à Platone quidem in sermone de propriis linguæ sensoriis præteritus, verùm paulò ante plantarum succis ascriptus vbi vinosum ab oleoso & melleo discernebat. Porrò in illo sermone tribus nunc memoratis quartum adiecit succi genus vna appellatione comprehensum, liquorem nominans. Vbi autem ad gustus sensoria transiit, protinus in iis dulcem memorauit (nihil enim retulerit, dulce an melleum dicas, velut nec pingue an oleosum) omisit autem pinguem, vt qui ad gustum nihil attineret.

CAPVT XXXIX.

Quo differat astringens ab austero & acerbo reliquique inter se sapores.

QValis autem eorum sit vnusquisque, exponere quidem exactè est impossibile, quandoquidem nec aliam vllam sensoriam passionem:

A πλον). πάντως γὰρ ἄν που τό γε τοσοῦτον ἐπεγίνωσκον, ὡς δεδιέναι χρὴ καὶ φυλάττεσθαι τὰς ἐν αὐτοῖς ἀπορίας, καὶ ταῖς αἰσθήσεσιν ἐπιτρέπειν, μᾶλλον ἢ λόγοις κιβδήλοις, ὑπὲρ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως.

ΚΕΦΑΛΑΙΟΝ ΛΗʹ.

Περὶ τῶν ἰδίων αἰσθητῶν τῆς γλώττης.

Ἀλλὰ τοὺς μὲν τοιούτους, οὐκ ἐγχωρεῖ μεταδιδάξαι. τῶν δ᾽ ἄλλων ἕνεκα τῶν ὠφεληθῆναι δυναμένων, ἀναληπτέον ἐστὶν, καὶ διοριστέον ἀκριβῶς τὸν περὶ τῶν ἰδίων τῆς γλώττης αἰσθητῶν λόγον. ὀνομάζεται μὲν οὖν ὑπὸ τῶν περὶ Θεόφραστόν τε καὶ Ἀριστοτέλην, καὶ Μνησίθεον τὸν ἰατρὸν ἡ γευστικὴ δύναμις χυμὸς, ἀπὸ τοῦ μ στοιχείου τῆς δευτέρας συλλαβῆς ἀρχομένης. ἡ δ᾽ ἐξ ὑγροῦ καὶ ξηροῦ σύστασις, ὑπὸ θερμότητος πεφθέντων, χυλὸς, ἀπὸ τοῦ λ τῆς δευτέρας ἀρχομένης συλλαβῆς. παρά γε μέντοι τοῖς παλαιοτέροις αὐτῶν, οὐκ Ἀττικοῖς μόνον, ἀλλὰ καὶ Ἴωσιν ἑκάτερα διὰ τοῦ μ γέγραπται. καὶ γὰρ καὶ παρὰ Πλάτωνι τῷ φιλοσόφῳ, καὶ τῷ Ἱπποκράτει, καὶ παρὰ τοῖς παλαιοῖς κωμικοῖς οὕτως εὑρίσκεται. λελέχθω δ᾽ ἔν γε τῷ παρόντι λόγῳ πρὸς ἡμῶν, ἕνεκα σαφοῦς διδασκαλίας, ἡ μὲν γευστικὴ δύναμις, ἢ ποιότης, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, διὰ τοῦ μ στοιχείου χυμός. ἡ δ᾽ ἔν τε τοῖς ζώοις, καὶ φυτοῖς ὑγρότης πεπαχυσμένη, χυλὸς, ἀπὸ τοῦ λ τῆς δευτέρας ἀρχομένης συλλαβῆς. ἰστέον οὖν, ὡς οἱ μὲν καθ᾽ ἕκαστον φυτόν τε καὶ ζῶον, ἤδη δὲ καὶ οἱ κατὰ τὴν γῆν εὑρισκόμενοι χυμοὶ, πάμπολλοί τινές εἰσι, καὶ οὐκ εὐαρίθμητοι ταῖς ἰδέαις. αἱ δ᾽ ἐν αὐτοῖς γευσταὶ διαφοραὶ, τοῖς μὲν ὀκτὼ τὸν ἀριθμὸν ἔδοξαν εἶναι, τοῖς δὲ, ἑπτά, τοῖς δὲ, καὶ τούτων ἐλάττους. ὁ μὲν οὖν Πλάτων ἐν Τιμαίῳ διὰ τῆς προγεγραμμένης ῥήσεως, πρῶτον μὲν δυοῖν μέμνηται χυμῶν, ὁμοειδῶν μὲν, ἀλλὰ τῷ μᾶλλόν τε, καὶ ἧττον διαφερόντων. ὀνομάζει δ᾽ αὐτῶν τὸν μὲν αὐστηρὸν, τὸν δὲ στρυφνόν. εἴη δ᾽ ἂν ὁ μὲν αὐστηρὸς, κατὰ τὸν ὑφ᾽ ἡμῶν στύφοντα προσαγορευόμενος, ὁ δὲ στρυφνὸς ἐπιτάσει τούτου γιγνόμενος, ὥσπερ οὖν καὶ αὐτὸς ὁ Πλάτων ἐδήλωσεν· τούτους μὲν οὖν, ὡς ἓν εἶδος ἀριθμητέον. ἕτερον δὲ τὸ τῶν ἀντικειμένων αὐτοῖς τῶν νιτρωδῶν τε, καὶ ἁλυκῶν, καὶ πικρῶν. ἔστι δὲ κἀν τούτοις ὁ μὲν πικρὸς, ἐξ ἐπιτάσεως τοῦ νιτρώδους γινόμενος, ὁ δὲ ἁλυκὸς, ἤτοι τοῦ νιτρώδους ἀσθενέστερος, ἢ καὶ στυφῶς τι προσλαμβάνων. ἑξῆς δὲ ὑπὸ Πλάτωνος μὲν ὁ δριμὺς εἴρηται, καὶ μετ᾽ αὐτὸν ὁ ὀξὺς, καὶ τελευταῖος, ὁ γλυκύς. ὑπὸ Θεοφράστου δὲ καὶ ὁ λιπαρὸς πρόσκειται, παραλελειμμένος μὲν ὑπὸ τοῦ Πλάτωνος ἐν τῷ περὶ τῶν τῆς γλώττης ἰδίων αἰσθητῶν λόγῳ, γεγραμμένος δ᾽ ἐν τοῖς τῶν φυτῶν χυλοῖς ἔμπροσθεν εὐθὺς, ἐν οἷς διῃρεῖτο τὸν οἰνώδη τοῦ ἐλαιώδους τε καὶ μελιτώδους. ἀλλ᾽ ἐν ἐκείνῳ μὲν τῷ λόγῳ πρὸς τοῖς τρισὶν οἷς εἴρηκα, νῦν τέταρτον ἔτι γένος χυμοῦ περιλαμβάνων ἑνὶ προσρήματι, καὶ καλῶν ὀπόν. ἐν οἷς δὲ ἐπὶ τὰ τῇ γεύσει αἰσθητὰ μετέβη, τοῦ μὲν γλυκέος εὐθὺς ἐν αὐτοῖς ἐμνημόνευσεν. οὐδὲν γὰρ διαφέρει δήπου γλυκὺ, ἢ μελιτῶδες φάναι, καθάπερ οὐδὲ λιπαρὸν, ἢ ἐλαιῶδες. παραλέλοιπε δὲ τὸν λιπαρὸν, ὡς οὐδὲν προσήκοντα τῇ γεύσει.

F

ΚΕΦΑΛΑΙΟΝ ΛΘʹ.

Τίνι διαφέρει τὰ στύφοντα τῶν αὐστηρῶν τε καὶ στρυφνῶν, οἵ τε ἄλλοι κατ᾽ ἀλλήλους χυλοί.

Ἑρμηνεῦσαι μὲν ἀκριβῶς οὐχ οἷόν τε, διότι μηδ᾽ ἄλλο τι τῶν αἰσθητῶν παθῶν, ἀναμνῆσαι μέντοι τὸν τῆς αὐτῆς

αἰσθήσεως κεκοινωνηκότα δυνατόν. Εἰ δέ τις ἐγεύσατό ποτε A κυδωνίων, ἢ μήλων, ἢ μύρτων, ἢ μεσπίλων, οἶδε μὲν σαφῶς ἑτέραν μὲν τὴν ἀπὸ τούτων αἴσθησιν ἡμῖν ἐν τῇ γλώττῃ γιγνομένην, ἑτέραν δὲ τὴν ἀπὸ τῶν στυφόντων σωμάτων. τὰ μὲν γὰρ στύφοντα, ἢ ψύχοντα, συνωθεῖν ἔσω φαίνεται τὸ ψαῦον ἡμῶν μόριον ἐκ παντὸς μέρους ὁμαλῶς, οἷον ὠθοῦντά τε καὶ πιλοῦντα, καὶ συνάγοντα. τὰ δ᾽ αὐστηρὰ κατὰ βάθους τε διαδύεσθαι δοκεῖ, καί τινα τραχεῖάν τε καὶ ἀνώμαλον αἴσθησιν ἐπάγειν, ὡς ἀναξηραίνοντα, καὶ πᾶσαν ἐκβοσκόμενα τὴν ἰκμάδα τῶν αἰσθητικῶν σωμάτων, ὥσθ᾽ ἑτέραν εἶναι τὴν τῶν παθῶν ἰδιότητα, μηδὲ ῥηθῆναι σαφῶς δυναμένην, ἀπό τε τῶν στυφόντων B ἡμᾶς σωμάτων, καὶ τῶν αὐστηρῶν χυμῶν. ἀλλ᾽ ὅστις γε ἄνθρωπος νοῦν ἔχει, οἶδεν ὃ λέγω. ὅταν δὲ τὸ πλησιάζον τῇ γλώττῃ σῶμα, σφοδρῶς ξηραίνῃ, καὶ ξυνάγῃ, καὶ τραχύνῃ μέχρι βάθους πλέονος αὐτὴν, ὥσπερ ἀχράδες ἄωροι, καὶ κράνες, στρυφνὸν ἅπαν τὸ τοιοῦτον ὀνομάζεται, τῶν αὐστηρῶν ἐπιτάσει διαφέρον. ὃ δὲ καλοῦμεν ἡμεῖς στῦφον, οὐ πάνυ μέντοι πρὸς τῶν περὶ τὸν Θεόφραστον εὑρεῖν ἐστιν εἰρημένον. ἔοικε δή τι ταὐτὸν δηλοῦν τῷ αὐστηρῷ, ἢ κοινὸν εἶναί τι γένος, τούτου τε καὶ τοῦ στρυφνοῦ. ὅσα δ᾽ ἐν τῷ ψαύειν τῆς γλώττης, οὐ συνάγει μὲν αὐτὴν, οὐδὲ σφίγγει, καθάπερ τὰ στύφοντα, τὸ δ᾽ C ἐναντίον ἅπαν φαίνεται ποιοῦντα, ῥύπτοντα καὶ ἀποπλύνοντα, κἂν εἴ τι τῶν στυφόντων παρακέοιτο, ταῦτα σύμπαντα προσαγορεύομεν ἁλυκά. τὰ δ᾽ ἔτι μᾶλλον τούτων ῥύπτοντα, μέχρι τοῦ καὶ τραχύνειν ἀνιαρῶς, πικρὰ προσαγορεύεται. τὰ δέ γε δάκνοντά τε, καὶ διαβιβρώσκοντα μετὰ θερμότητος ἰσχυρᾶς, δριμέα. τὰ δ᾽ ἄνευ αὐτῆς δάκνοντα, καλεῖται μὲν ὀξέα, προσέτι δὲ αὖθις, καὶ τὸ ζυμοῦν. ὅσα δ᾽ οἷον ἐπαλείφει τε, καὶ ἀναπληροῖ, καὶ καθίστησι τὰ τετραχυμένα τε, καὶ οἷον διαβεβρωμένα τῆς γλώττης μόρια, ταῦτα μετὰ μὲν ἡδονῆς ἐναργοῦς ψαύοντα, γλυκέα, χωρὶς δὲ ταύτης, λιπαρὰ D προσαγορεύεται. ἐγὼ μὲν οὖν, ὡς οἷόν τέ μοι μάλιστα λόγῳ διελθεῖν, ἐπεχείρησα δυσερμήνευτα πράγματα. θαυμάζω δὲ τῶν ἑτοίμως ἅπαντα στύφοντα προσαγορευόντων, καὶ τὰ δριμέα, καὶ τὰ πικρὰ, καὶ τὰ γλυκέα, καὶ τὰ λιπαρὰ, καὶ τὰ ὀξέα. καὶ γὰρ ὀνόματα διαφέροντα κεῖται τοῖς πράγμασιν εὐθὺς ἐκ παλαιοῦ, καὶ τῶν αἰσθητῶν παθῶν. οὐ σμικρά τις ἡμῖν ἐστιν ἡ διαφορά. βέλτιον δ᾽ ἦν ἴσως, εἴπερ ἐβούλοντο φυσιολογεῖν, οὐκ ἀνατρέπειν τὰ φαινόμενα, καὶ συγχεῖν τὰς προσηγορίας, ἀλλὰ ζητῆσαι, τίνος μὲν κράσεως, ἢ διαθέσεως, ἢ κατασκευῆς σώματος, ἢ ὅπως ὀνομάζειν ἐθέλωσιν, ἔγ- E γονος γίνεται στύψις, τίνος δ᾽ ἁλυκότης, καὶ πικρότης, ὀξύτης τε, καὶ δριμύτης, καὶ γλυκύτης, καὶ λιπαρότης, ἅπερ οἱ περὶ Πλάτωνά τε, καὶ Ἀριστοτέλην, καὶ Θεόφραστον, ἐπειράθησαν διορίσασθαι. δῆλον γὰρ, ὡς εἴπερ ἐκ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ συνιόντων κέκραται πάντα, καὶ τῶν εἰρημένων ἑκάστη ποιότης ἐκ τῆς τούτων κράσεώς ἐστιν. εἰ μὲν οὖν, ὅπως τῶν εἰρημένων ἕκαστος γίνηται χυμῶν ἐπιχειροῖεν ἐξηγεῖσθαι, κἂν ἡδέως ἐπακούσαιμι, καὶ χάριν γνοίην αὐτοῖς οὐ μικράν. εἰ δὲ οὐδὲ τοῦτο ποιοῦσιν, ἔτι τε συγχέουσιν εἰς ταὐτὸν ἁπάσας τὰς αἰσθητὰς διαφορὰς, ὡς κινδυνεύειν ἅπαντα τὰ F σώματα στύφοντα προσαγορεύειν, οὔτ᾽ ἂν αὐτοῖς ἐπακούειν ἐθέλοιμι, κἀκείνους ἂν εὐξαίμην παύσασθαι ματαίου φιλονεικίας.

verùm ei qui eodem ſenſu communicauerit, licet ſuggerere. Ergo ſi quis aut cydonia, aut mala, aut meſpila, aut myrta guſtauerit, proculdubio cognoſcet alium nobis ab his in lingua moueri ſenſum, alium ab aſtringentibus corporibus. Nam quæ aſtringunt aut refrigerant, introrſum pellere contactam noſtri partem ex omni parte apparent, idque æquabiliter, velut pellentia, ac ſtipantia, contrahentiaque. At auſtera in profundum etiam ſubire videntur, atque aſperum quendam, inæquabilemque mouere ſenſum, tanquam reſiccantia, & humorem omnem corporum ſenſilium depaſcentia. Ex quo fit vt alia ſit paſſionum proprietas, quæque haud facilè lucidéque explicari poſſit tum ab aſtringentibus nos corporibus, tum ab auſteris ſaporibus. Sed quiſquis homo mentem habet, facilè, quod dico, comprehenderit. Porrò quando quod linguæ noſtræ admotum fuerit corpus, valdè deſiccat, contrahit, & in multam profunditatem vſque illam exaſperat, ſicut pyra ſylueſtria immatura, & corna, eiuſmodi omne acerbum appellatur, ab auſteris intenſione duntaxat diuerſum. At quod nos aſtringens vocitamus, haud temerè à Theophraſto dictum reperias. Videtur autem idem ſignificare, quod auſterum, aut certè commune eſſe genus tum huius, tum etiam acerbi. Quæcunque verò linguam, dum contingunt, non contrahunt eam, neque conſtipant, velut aſtringentia, imò contrà planè agere apparent, nempe detergentia & abluentia, etiam ſi aſtringentium quippiam adiunctum ſit, hæc omnia ſalſa cognominamus. At quæ his etiam magis detergunt, adeò vt etiam moleſtè exaſperent, amara nominantur. Porrò quæ mordicant roduntque, idque cum valida quadam caliditate, acria vocantur, ſin hæc abſit, acida, cæterùm hæc fermentandi quoque vim obtinent. At quæ velut inungunt atque implent, ac in ſtatum ſuum reſtituunt exaſperatas, ac veluti eroſas linguæ partes, hæc ſi cum voluptate manifeſta contingant, dulcia; ſin hac ſine, pinguia vocitantur. Atque hoc quidem pacto, quantùm in me fuit, res explicatu longè difficillimas verbis exponere ſum conatus. Miror autem quí tam promptè omnia aſtringentia nominent, ſiue acria ſint, ſiue amara, ſiue dulcia, ſiue pinguia, ſiue acida, quum iam olim rebus ipſis impoſita ſint nomina, atque affectuum ſenſibilium non exigua in nobis differentia ſit. Præſtitiſſet fortaſſis ſi quidem naturales ſcrutari rationes voluerint, apparentia non euertere, nec appellationes confundere; verùm inquirere cuius temperamenti, aut diſpoſitionis, aut corporis conſtitutionis, aut quomodocunque nominare velint, ſoboles ſit aſtrictio, cuius ſalſedo, amaror, aciditas, acrimonia, dulcedo, pinguitudo, quæ Plato, Ariſtoteles, ac Theophraſtus conati ſunt definire. Clarum quippe eſt, ſi ex calido, frigido, humido, ſiccoque coëuntibus omnia ſunt mixta, etiam dictarum quanque qualitatum ex horum conſtare mixtione. Itaque ſi quemadmodum dictorum ſaporum quiſque proueniat, exponere conarentur, lubens equidem auſcultarer, gratiamque haberem non exiguam. At ſi neque hoc efficiant, imò inſuper ſenſorias omnes differentias in vnum confundant, vt parum abſit quin corpora omnia aſtringentia nuncupent, ſanè nec audire ipſe velim, illoſque obſecrarem, vt inanem contentionem relinquerent.

A

CAPVT XL.


Non ad totam rerum naturam iudicandas medicamentorum facultates, sicut naturales philosophi faciunt, sed ad nostram naturam.

AT nos equidem in sequentibus ostendere conabimur, cuiusnam temperamenti saporum quisque sit soboles. In præsenti autem discipulos ad experientiam accessuros assuescere velim, vt id solum quod ad artem est vtile, prius seligant, vbi iudicare velint quo pacto vnumquodque nos medicamentorum afficiat. Quippe non quale ex se sit, & ad totam naturam consideramus. Nam hoc pacto, neque acetum, neque marinam aquam nos exiccare posse, aut sicca esse facultate dici manifestum est; siquidem vtrumque illorum actu est humidum. Verùm si nos exiccare appareant, sicca dicentur, ad nos videlicet & nostram naturam, parem siccandi potestatem obtinentia. Quin etiam & calida, & frigida, & humida eodem dicentur modo, vbi nos scilicet calefaciant, refrigerent, atque humectent; eaque ad nos, non ad totam substantiam nec ex se. Atqui si huius duntaxat meminerimus, certissima omnium erit iudicatrix sola experientia, quam qui relinquunt, atque aliunde ratiocinantur, non solùm falluntur, sed etiam tractationis vtilitatem subuertunt. Proinde nobis propositum non est, quale suâ naturâ quodque sit medicamentum exquirere, verùm quid in nobis efficere possit. Atque hîc primi libri finis esto. At in secundo deinceps, oleo ac rosaceo, exemplorum vice, in sermone positis, prauas, & inibi ratiocinandi vias monstrabimus, quibus quum medicorum complures vtantur, in primis quidem se ipsos decipiunt, secumque alios multos in errorem pertrahunt. At vbi id erit absolutum, ad tertium commentariorum transiens quæstiones logicas, quæ vniuersam de simplicibus medicamentis enarrationem antecedunt, explicare conabor. Vt videlicet in quarto ipsas iam facultates omnium definire liceat, quas protinus à principio tetigissem, nisi plena paralogismis, atque erroribus omnium propè iuniorum medicorum essent volumina, quos prius extergere, atque ex animis discentium delere oportet, ne quid veritati obsistat. Nam vt Hippocrates inquit, sic etiam ait Plato; *Non solùm impura corpora quantò plus nutrias, tantò magis lædas, verùm etiam impuris animis si nutrientes sermones offeras, non modò nihil prosis, verùm etiam magnopere obfueris.* Itaque his de causis, tum etiam quia amicorum plerisque visum est, vt iuniorum medicorum argueremus parologismos, non tantum in congressibus quos quotidie cum illis habemus, sed etiam hisce commentariis, necesse mihi fuit diutius prioribus istis duobus immorari; quò videlicet in tertio purum animi auditorem nactus, quique veras assequi rationes possit, tum ea exponam quæ de huius speculationis principiis nouisse oportet, tum deinceps omnes medicamenti cuiusque facultates enarrem. Id autem fiet in vniuersum, vt reor, libris vndecim, ea fermè magnitudine constantibus, cuius est hic, qui est omnium primus. Qui quum conuenientem nunc nactus sit modum, finem per hanc dictionem accipiat.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Ὅτι οὐχ, ὡς πρὸς τὴν ὅλην φύσιν χρὴ κρίνειν τὰς δυνάμεις τῶν φαρμάκων, ὡς οἱ φιλόσοφοι οἱ φυσικοί, ἀλλ' ὡς πρὸς τὴν ἡμετέραν φύσιν.

Ἀλλ' ἡμεῖς μὲν ἐν τοῖς μετὰ ταῦτα πειρασόμεθα δεῖξαι, τίνος ἕκαστος τῶν χυμῶν ἐστι κράσεως ἔκγονος. ἐν δὲ τῷ παρόντι τὸ χρήσιμον εἰς τὴν τέχνην, αὐτὸ μόνον ἐθίσαι βούλομαι, πρότερον ἐκλέγειν τοὺς μανθάνοντας ἐπὶ τὴν πεῖραν ἐρχομέ- B νους, ἐπειδὰν κρῖναι βουληθῶσιν, ὅπως ἡμᾶς ἕκαστον τῶν φαρμάκων διατίθησιν. οὐ γὰρ δὴ καθ' αὑτό γε, καὶ πρὸς τὴν ὅλην φύσιν ὁποῖόν ἐστιν ἐπισκεπτόμεθα. δῆλον γάρ, ὡς οὕτω μὲν οὔτ' ἂν ὄξος, οὔτε θάλαττα λέγοιτο ξηραῖνον ἡμᾶς, ἢ ξηρὸν εἶναι τὴν δύναμιν. ἐνεργείᾳ γάρ ἐστιν ἑκάτερον αὐτῶν ὑγρόν, ἀλλ' ἐὰν ξηραίνειν ἡμᾶς φαίνηται, ξηρὰ λεχθήσεται πρὸς ἡμᾶς δηλονότι, καὶ τὴν ἡμετέραν φύσιν, ἐν ἴσῳ τῷ ξηραντικά. καὶ δὴ καὶ θερμά, καὶ ψυχρά, καὶ ὑγρὰ κατὰ τὸν αὐτὸν τρόπον, ὅταν ἡμᾶς θερμαίνῃ, καὶ ψύχῃ, καὶ ὑγραίνῃ, λεχθήσεται. πρὸς ἡμᾶς, οὐ πρὸς τὴν ὅλην οὐσίαν, οὐδὲ καθ' ἑαυτά. καὶ μὴν εἴπερ τούτου μόνου μνημο- C νεύοιμεν, ἡ πεῖρα μόνη κριτήριον ἁπάντων ἔσται βεβαιότατον, ὥσθ' ὅσοι ταύτην καταλιπόντες ἑτέρωθεν ἐπιχειροῦσιν, οὐ ψεύδονται μόνον, ἀλλὰ καὶ τὸ χρήσιμον ἀνατρέπουσι τῆς πραγματείας. ἡμῖν γὰρ οὐχ ὅτι κατὰ τὴν ἑαυτοῦ φύσιν ἕκαστον τῶν φαρμάκων ἐστί, πρόκειται ζητεῖν, ἀλλ' ὅτι τί δρᾷν πέφυκεν εἰς ἡμᾶς. ὁ μὲν δὴ πρῶτός μοι λόγος ἐνταυθοῖ τελευτάτω. κατὰ δὲ τὸν ἐφεξῆς ἔτι τὸν δεύτερον, ἔλαιόν τε καὶ ῥόδινον ἐν παραδείγματι τῷ λόγῳ προχειρισάμενος, ἐπιδείξω κἀνταῦθα τὰς μοχθηρὰς ὁδοὺς τῶν ἐπιχειρημάτων, αἷς οἱ πολλοὶ τῶν ἰατρῶν χρώμενοι, παραλογίζονται σφᾶς μὲν αὐτοὺς πρῶτον, σὺν ἑαυτοῖς δ' ἤδη D καὶ ἄλλους πολλούς. ἐπειδὰν δὲ τοῦτο πραχθῇ, μεταβὰς ἐπὶ τὸ τρίτον τῶνδε τῶν ὑπομνημάτων, ὅσα λογικὰ ζητήματα προηγεῖται τῆς περὶ τῶν ἁπλῶν φαρμάκων ἁπάσης διεξόδου, ταῦτα πειράσομαι διελθεῖν, ὥστε κατὰ τὸ τέταρτον αὐτὰς ἤδη τὰς δυνάμεις ἁπάντων ἀφορίζειν, ὧν εὐθὺς ἂν ἀπ' ἀρχῆς ἡψάμην, εἰ μὴ μεστὰ παραλογισμῶν ἦν σχεδὸν ἅπαντα τὰ τῶν νεωτέρων ἰατρῶν βιβλία. τούτους οὖν ἐκκαθᾶραί τε, καὶ ἀποσκεδάσασθαι χρὴ πρῶτον ἐκ τῆς τοῦ μανθάνοντος ψυχῆς, ὅπως μηδὲν ἐμποδίζοιεν τοῖς ἀληθέσιν. ὡς γὰρ Ἱπποκράτης φησίν, οὕτω καὶ Πλάτων ἔλεγεν. οὐ μόνον τὰ μὴ καθαρὰ σώματα, ὁπόσῳ ἂν θρέ- E ψῃς, μᾶλλον βλάψεις, ἀλλὰ καὶ ταῖς ἀκαθάρτοις ψυχαῖς, εἰ τροφίμους προσφέρεις λόγους, οὐ μόνον οὐδὲν ὠφελήσῃς ἄν, ἀλλὰ καὶ βλάψεις οὐ σμικρά. διὰ ταῦτα μὲν οὖν αὐτά, καὶ ὅτι πολλοὶ τῶν ἑταίρων ἐξελεγχθῆναι τοὺς παραλογισμοὺς τῶν νεωτέρων ἰατρῶν ἠβουλήθησαν, οὐκ ἐν ταῖς συνουσίαις μόνον, ἃς ἑκάστοτε ποιούμεθα συνδιατρίβοντες αὐτοῖς, ἀλλὰ καὶ διὰ τῶνδε τῶν ὑπομνημάτων, ἀνάγκην ἔσχον ἐπιπλέον ἐγχρονίσαι τοῖς πρώτοις δύο βιβλίοις, ἵνα ἐν τῷ τρίτῳ, καθαρὰν ἤδη τῇ ψυχῇ τὸν ἀκροατὴν ἔχων, καὶ δυνάμενον ἕπεσθαι τοῖς ἀληθέσι λόγοις, ὅσα τε χρὴ περὶ τῶν ἀρχῶν τῆς προκειμένης ἡμῖν θεωρίας F ἐγνωκέναι, διέλθω, μετὰ ταῦτά τε τῶν φαρμάκων ἑκάστου πάσας ἐπέλθω τὰς δυνάμεις. ἔσται δὲ τοῦτο διὰ βιβλίων, ὡς οἶμαι τῶν πάντων ἕνδεκα, τηλικούτων μάλιστα τὸ μέγεθος, ἡλίκον καὶ τοῦτό ἐστι τὸ πάντων πρῶτον. ᾧ μέτρον ἤδη τὸ δέον ἔχοντι, τελευτὴν ἐπιτίθημι ταύτην αὐτῷ τὴν ῥῆσιν.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ, ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΒΙΒΛΙΟΝ Β'.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Β' ΒΙΒΛΙΩι.

Ἐξηγεῖται πόθεν οἱ παλαιοὶ τῶν ἰατρῶν τὴν τοῦ σφάλματος ἀφορμὴν παρέλαβον ἄν, καὶ μοχθηροὺς αὐτῶν ἐξελέγχει λόγους· καὶ ἐπὶ παραδείγματος τοῦ ἐλαίου τε, καὶ ῥοδίνου τὸν ἀληθῆ τῆς τῶν φαρμάκων κρινομένης δυνάμεως λόγον ἐκδιδάσκει.

ARGVMENTVM LIBRI SECVNDI.

Exponit vnde errandi occasionem veteres medici sumpserint; prauasque ipsorum ratiocinationes confutat; ac olei & rosacei exemplo veram docet rationem facultatis medicamentorum iudicandæ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅτι οἱ ἀπιστοῦντες σοφισταὶ ταῖς αἰσθήσεσι, τὰς ἀρχὰς τῆς ἀποδείξεως ἀπιστοτέρας τῶν ἀποδεικνυμένων ἀποφαίνουσιν.



Ι τοὺς οἰκείους ὅρους ὑπερβαίνοντες σοφισταὶ, μακρὸν ἡμῖν ποιοῦσιν τὸν περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως λόγον. πόῤῥωθεν γὰρ ἀρχόμενοι, καὶ τὴν αἴσθησιν ἀτιμάζοντες, ἐμβάλλοντές τε σφᾶς αὐτοὺς εἰς τὰ καὶ ἐν τοῖς φιλοσόφοις ἠπορημένα, προσαπολλύουσιν οἷς ἀγνοοῦσιν, καὶ τὰ σαφῶς γινωσκόμενα. καὶ ταῦτα ποιοῦσιν οἱ πλείους αὐτῶν ἀμαθεῖς ὑπάρχοντες, οὐ τῆς φυσικῆς θεωρίας μόνον, ἀλλὰ καὶ τῶν λογικῶν μεθόδων, αἷς ἀναγκαῖόν ἐστιν χρῆσθαι τὸν ὁτιοῦν ἀποδείξαντα, ὥστε μήθ' ὅσα καλῶς εὕρηται τοῖς φυσικοῖς ἀνδράσιν, μήθ' ὑπὲρ ὧν αὐτῶν εὐλόγως ἠπόρηται γινώσκοντες, ἑκατέροις πολλάκις ἀποφαίνεσθαι τολμῶσι τἀναντία. Φέρε δὲ, ὦ πρὸς θεῶν, εἴπερ ἐγὼ νῦν ἀρξάμενος, ὡδέπως λέγειν, ὡς τεττάρων ὄντων στοιχείων, ἀέρος καὶ γῆς, ὕδατός τε καὶ πυρὸς, ὡς οὐδενὸς ἄλλου ξύμφυτόν ἐστι τὸ λευκὸν καὶ λαμπρὸν χρῶμα, πλὴν αὐγῆς καὶ πυρὸς, εἶτα καὶ τὸν Ἐμπεδοκλέα, καὶ τοὺς ἄλλους τινὰς τῶν φυσικῶν ἐπὶ τῷ λόγῳ καλέσας μάρτυρας, ἅπαντα τὰ λαμπρὰ

CAPVT PRIMVM.

Quòd sophistæ qui fidem sensibus abrogant, demonstrationis principia incertiora quàm quæ demonstrantur, efficiant.

A 

ROLIXA nobis vt sit de simplicium medicamentorũ facultatibus oratio, limites suos excedentes sophistæ efficiunt. Nam quum procul principia ducant, sensumque pro nihilo habeant, seseque in illa conijciant quæ philosophis etiam ambigua sunt, simul cum iis quæ ipsi ignorant, & ea quæ apertè cognoscuntur, subuertunt. Eaque plerique eorum faciunt non modò naturalis speculationis, sed etiam logicarum methodorum imperitiâ, quibus vtatur necesse est quisquis demonstrare quid aggreditur. Itaque quum nesciant tum ea
B quæ benè à physicis viris sunt inuenta, tum etiam ea de quibus non iniuria illi dubitarunt, vtrisque tamen contraria asserere sæpenumero audẽt. Sed Deum immortalẽ, age obsecro, si nunc ego sic orsus dicere, quòd quum quatuor sint elementa, aër, terra, aqua, & ignis, nulli tamen congenita sit albedo, ac splendidus color, nisi luci & igni, ac deinde citato Empedoclis, ac nonnullorum physicorum aliorum testimonio, splendida corpora omnia plu-

rimùm

rimùm in se ignis habere dicam, haud curans aut niuem, aut cerussam, aut glaciem, aut alia innumera tum splendidissima, tum frigidissima inspicere; ac mox illa suggerente quopiam, procedente à sensu confutationem tergiuersatus, ad rationẽ accedi iubeam; ac per eam de rerum natura considerandũ, haudquaquam sensibus ratione carentibus vniuersum committendũ censeam, nunquid mentem habentibus insanire videar, haud intelligens vnde rationis desumpsissem initium? Nam mea quidem sententia ex sensu, & per sensum omnia id genus cognosci didicimus axiomata, nẽpe Solem esse splendidum, flammas subflauas, carbones plerosq; flauos. Ergo si à sensibus recedendũ est, nulla suppetet demonstratio, neque nobis eorum quæ modò diximus, neque Empedocli quum ait,

Vndique splendentem Solem calidúmque videre.

Quæ si vera sunt, perspicuum est multò ante illa fidem habendam sensibus. Imò, inquiunt, mortales quum simus, à sensibus auspicemur necesse est, verùm illis haudquaquam perpetuò immorandũ, sed ad partem diuiniorem accedendum, nempe rationẽ: Nam sensum, & animantibus rationis expertibus inesse, rationẽ solam hominibus esse cum diis communẽ. Atq; hinc exorsi in longũ orationem extendunt. Quinetiam ex illis quidã, & Anaxagoram in testimonium euocant, qui niuem pronunciarit nõ esse albam; *Hic* inquiunt, *vir physicus supra sensum est, atq; eius contemnit phantasmata; ad rationem ire pergit, eaque duce rerum naturã scrutatur.* At si me quod in mentem venit fari oportet, qui liber sim & in tota adeo vita veritatem coluerim, ad insaniæ extremum, & vltra, peruenisse illos arbitror qui talia nugantur. Nam si quæ per sensus euidenter apparent, euertant, vnde sumant demonstrationum principia, non habebunt. Sin autem ab iis, tanquam à fide dignis exordiantur, quo iure iisdem postea diffident? Nam demonstrationum principia certiora sunt quàm ea quæ per illa demonstrantur, quippe quum ista aliundè fidem mutuentur, demonstrationum verò principia non solùm ipsa per sese, verùm etiam ad quæsitorum inuentionem quibus credatur, idonea sint.

CAPVT II.

Quòd abundè sufficiat iudicandis medicamentorum facultatibus, quæ per sensum accipitur experientia, iunctis duntaxat paucis epilogismis. Et quo pacto rationem experientiæ subscribere oporteat.

EQuidem optarim nullas non res clarè sub sensus nostros cadere, nec quicquam esse quod illos fugeret, hoc enim pacto nihil dubium, nihil ambiguum, aut anceps vsquam foret. Verùm quoniam illos quædam effugiunt, rationem illis superinducere conandum est, sic tamen vt non procul, vt illi factitant, nec infinita colligamus. Verùm ante omnia nominum significata diligenter definiamus, ne quis postea per æquiuocationem falli possit; Deinde, quod ex se quid agit, ab eo quod per accidens, separetur. De quibus ambobus supra accuratè disseruimus, significataque eorum quæ potestate aut calida, aut frigida, aut sicca, aut humida, aut quiduis aliud esse dicuntur, discreuimus. Tum quo pacto propriam cuiusque medicamenti facultatem ab iis quæ ex accidenti sunt, segregans inuenire quis possit, vniuersum quidem in tertio De temperamentis expositum est, atque in hoc tractatu parti-

A σώματα πυρὸς πλείστου μετέχειν, ἀποφηναίμην, ἀμελήσας ἐμβλέψαι χιόνι καὶ ψιμμυθίῳ, καὶ κρυστάλλῳ, ἑτέροις τε μυρίοις τῶν λαμπροτάτων τε ἅμα καὶ ψυχροτάτων, εἶτά τινος αὐτὰ προχειριζομένου, τὸν ἀπὸ τῆς αἰσθήσεως ἔλεγχον ἀποδιδράσκων, ἀξιοίην ἐπὶ τὸν λόγον ἰέναι, καὶ τούτῳ σκοπεῖσθαι περὶ φύσεως πραγμάτων, οὐκ αἰσθήσεσιν ἀλόγοις ἐπιτρέπειν τὸ πᾶν. ἆρ᾽ οὐκ ἂν τοῖς νοῦν ἔχουσιν μαίνεσθαι δόξαιμι, μηδ᾽ ἀφ᾽ ὧν ἄρχομαι τοῦ λόγου γινώσκων; ἐξ αἰσθήσεως γάρ, οἶμαι, καὶ δι᾽ αἰσθήσεως ἅπαντα τὰ τοιαῦτα τῶν ἀξιωμάτων ἐμάθομεν. ὡς ὁ μὲν ἥλιος λαμπρός ἐστιν, αἱ δὲ φλόγες ὑπόξανθοι, τῶν δ᾽ B ἀνθράκων οἱ πλεῖστοι ξανθοί. εἰ μὲν οὖν ἀπιστητέον ἐστὶ ταῖς αἰσθήσεσιν, οὐδεμίαν ἕξομεν ἀπόδειξιν, οὔθ᾽ ἡμεῖς ὧν νῦν εἰρήκαμεν, οὔτε Ἐμπεδοκλῆς ὧδε γράφων.

Ἠέλιον μὲν θερμὸν ὁρᾶν, καὶ λαμπρὸν ἁπάντῃ:

Εἰ δέ ἐστιν ἀληθῆ ταῦτα, δῆλον, ὡς πολὺ πρότερον αὐτῶν, τῇ αἰσθήσει εἶναι χρὴ πίστιν. ἀλλ᾽ ἄρχεσθαι μὲν φασὶν ἀπὸ τῶν αἰσθήσεων ἀναγκαῖόν ἐστιν ἀνθρώποις γε οὖσι, οὐ μὴν ἐπ᾽ αὐτὴν γε προσήκει καταμένειν διὰ παντός, ἀλλ᾽ ἐπὶ τὸ θειότερον ἰέναι τὸν λόγον. αἰσθήσεως μὲν γάρ, καὶ τοῖς ἀλόγοις ζώοις μετεῖναι, λόγου δὲ μόνον τοῖς θεοῖς. κἀντεῦθεν ἀρξάμενοι, δο- C λιχὸν ἀποτείνουσι τὸν λόγον. καί τινες ἐξ αὐτῶν, καὶ τὸν Ἀναξαγόραν ἐπικαλοῦνται μάρτυρα, περὶ τῆς χιόνος ἀποφηνάμενον, ὡς οὐκ εἴη λευκή. οὗτος ἄρα, φασί, φυσικὸς ἀνήρ, ὑπὲρ τὴν αἴσθησίν ἐστιν, καὶ καταφρονεῖ μὲν τῶν ταύτης φαντασμάτων. ἐπὶ δὲ τὸν λόγον ἀνέρχεται, καὶ τούτῳ τὴν τῶν ὄντων θηρᾶται φύσιν. ἐμὲ δ᾽ εἰ χρὴ τὸ παριστάμενον εἰπεῖν, ὡς ἐλευθέριόν τε, καὶ παρ᾽ ὅλον τὸν βίον ἀλήθειαν σπουδάσαντα, μελαγχολίας ἐπέκεινα προεληλυθέναι νομίζω τοὺς τὰ τοιαῦτα ληροῦντας. εἰ μὲν γὰρ ἀνατρέψουσι τὰ διὰ τῶν αἰσθήσεων ἐναργῶς φαινόμενα, πόθεν ἄρξονται τῶν ἀποδείξεων, οὐχ ἕξουσιν. εἰ δ᾽, ὡς D ἀπὸ πιστῶν ἄρξονται, πῶς ὕστερον εὐλόγως ἀπιστήσουσιν; αἱ γὰρ τῶν ἀποδείξεων ἀρχαὶ πιστότεραι τῶν ἀποδεικνυμένων, ἃ τῆς ἐξ ἑτέρων δεῖται πίστεως. αἱ δ᾽ ἀρχαὶ τῶν ἀποδείξεων, οὐ μόνον αὐταὶ καθ᾽ ἑαυτάς, ἀλλὰ καὶ πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν ὑπάρχουσι πισταί.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Ὅτι ἱκανὸν κριτήριον τῆς τῶν φαρμάκων δυνάμεως, ἐστὶν ἡ διὰ τῆς αἰσθήσεως πεῖρα μετὰ βραχέων ἐπιλογισμῶν· καὶ πῶς χρὴ τὸν λόγον τῇ πείρᾳ ἐπιμαρτυρεῖν.

E

ΚΑὶ ἔγωγ᾽ ἂν εὐξαίμην ἅπαντα τὰ πράγματα ταῖς αἰσθήσεσιν ἡμῶν ἐναργῶς ὑποπίπτειν, καὶ μηδὲν εἶναι τὸ διαφεῦγον αὐτάς, ὡς οὕτως ἂν οὔτ᾽ ἄπορον, οὔτ᾽ ἀμφισβητούμενον ἦν οὐδέν. ἐπεὶ δ᾽ ἐκφεύγει τινά, πειρατέον ἐπάγειν αὐτοῖς τὸν λόγον, ἀλλ᾽ οὔτε πόρρωθεν, ὡς ἐκεῖνοι ποιοῦσιν, οὔτ᾽ ἀπέραντα συλλογιζομένους, ἀλλὰ πρῶτον μὲν τὰ σημαινόμενα τῶν ὀνομάτων ἀκριβῶς διαιρουμένους, ἵνα μή τις παρὰ τὴν ὁμωνυμίαν ἐν τοῖς μετὰ ταῦτα ἀπάτη γίγνηται. δεύτερον δὲ τὸ καθ᾽ αὑτό τι δρῶν, τοῦ κατὰ συμβεβηκὸς ἀφορίζοντας. εἴρηται δ᾽ ἐν F τοῖς ἔμπροσθεν ὑπὲρ ἀμφοῖν ἀκριβῶς. καὶ τὰ σημαινόμενα τῶν δυνάμει θερμῶν, ἢ ψυχρῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν, ἢ ὁπωσοῦν ἄλλο λεγομένων εἶναι διῄρηται. καὶ ὅπως ἄν τις εὑρίσκοι τὴν οἰκείαν ἑκάστου φαρμάκου δύναμιν ἀφορίζων τοῖς κατὰ συμβεβηκός, ἔν τε τῷ τρίτῳ περὶ κράσεων βιβλίῳ καθόλου διεληλύθαμεν, ἔν τε τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ διὰ τῶν κατὰ μέρος ἐπε-

ξίωμεν, ὡς ἤδη κἀν τῷ πρώτῳ βιβλίῳ πεποιήκαμεν ἐφ' A
ὕδατος, καὶ ὄξους· ἐνταυθοῖ δὲ πάλιν, ἐπ' ἐλαίου τε καὶ ῥοδίνου πράξομεν, ἐνδειξάμενοι πρότερον ἡλίκον ἁμαρτάνουσιν, οἱ πόῤῥωθεν τῶν ἰατρῶν ἀποδείξεων ἀρχόμενοι. τί γὰρ ἔδει τὴν χρόαν ἐλαίου σκοπεῖν, ἢ ῥόδων ἔχοντάς γε αὐτοῖς χρῆσθαι τοῖς πράγμασι πολυειδῶς, οὐκ ἐπὶ τῶν ὑγιαινόντων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν νοσούντων σωμάτων; καὶ γὰρ αὐτὰ καθ' ἑαυτὰ ῥόδα, καὶ τὸν χυλὸν αὐτῶν ἔνεστι λαμβάνοντας ἐπιτιθέναι τῷ σώματι, καὶ ὑγιαίνοντι, καὶ νοσοῦντι νόσον ἁπλῆν, ὡς ἔμπροσθεν εἴρηται, καὶ μιγνύντας ἐλαίῳ γλυκεῖ, κατά τε τῶν ἰσχυρῶς ἐψυγμένων, ἢ τεθερμασμένων σωμάτων ἐπιφέρειν, ἀνατρίβοντάς τε, καὶ κα- B
ταντλοῦντας, καὶ καταβρέχοντας, εἴσω τε τοῦ σώματος λαμβάνειν, ἢ ἄνωθεν διὰ τοῦ στόματος, ἢ κάτωθεν διὰ τῆς ἕδρας, εἶθ' ὁρᾶν τὸ γιγνόμενον ἐφ' ἑκάστῃ χρήσει. καὶ γὰρ δὴ καὶ τούτου χάριν, ἐπισκεπτόμεθα τὴν δύναμιν πάντων τῶν φαρμάκων, ἵνα ἔχωμεν οἷς δεῖ χρῆσθαι, διακαιομένων ὑποχονδρίων, καὶ κεφαλῆς, ἢ κατεψυγμένων, ἢ ἡλκωμένων, ἢ φλεγμαινόντων, ἤ τι τοιοῦτον ἕτερον πασχόντων, αὐτῶν τε τούτων, καὶ τῶν ἄλλων ἁπάντων μελῶν τοῦ σώματος. εἶθ' οὕτως ἐναργῆ τε ἅμα, καὶ συντόμους ὁδοὺς ἔχοντες ἐφ' ἃ ζητοῦμεν, ἔτι χρόας ἐξετάσομεν, ἢ ὀσμὰς, ἢ συστάσεις, ἢ ψόφους ἑκάστου τῶν φαρμάκων, ὅμοιόν τι δρῶντες, C
τοῖς ἐξ εἰκόνος ἤτοι πλαστῆς, ἢ γραπτῆς, ἄνθρωπόν τινα διαγνῶναι βουλομένοις ἐνὸν, αὐτὸν θεάσασθαι τὸν γνωρισθησόμενον.

A culatim enarrabimus, ceu in primo iam libro etiam fecimus in aqua, & aceto, & hic rursus in oleo, & rosaceo facturi sumus, indicantes priùs, quantùm delinquant medicorum nonnulli qui longè demonstrationum ducunt principia. Nam quid oportuit olei aut rosæ respexisse colorem, quando rebus ipsis variè vti liceat, nec in sanis solùm corporibus, sed & ægrotantibus? quippe quum ipsas per se rosas, aut succum earum expressum, corpori tum sano, tum simplici affecto morbo, vt supra diximus, liceat imponere, atque oleo dulci miscentes corporibus aut valenter re-
B frigeratis, aut excalefactis, applicare siue fricando, siue perfundendo, ac irrigando, tum in corpus quoque assumere, idque aut supernè per os, aut infernè per sedem; ac sic tandem, quid ad vnumquenque vsum proueniat, inspicere. Nam hoc sanè nomine medicamentorum omnium vires contemplamur, vt sit quo vti oporteat, hypochondriis, aut capite ardore afflictis, aut refrigeratis, aut exulceratis, aut phlegmone occupatis, aut id genus aliud perpessis, tum ipsis, tum aliis omnibus corporis partibus. Ergo quum tam perspicua simul, ac compendiosa adsit via ad ea quæ inquirimus, etiamne colores æstimabimus, aut
C odores, aut consistentias, aut strepitus medicamenti cuiusque? perinde factitantes, atque ij qui ex imagine, aut ficta, aut picta cognoscere quempiam volunt, quum ipsum aspicere non denegetur, quem agnoscere cupiunt.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅτι οὐ χρὴ οὔτ' ἀπὸ χροιᾶς, οὔτ' ἀπὸ ὀδμῆς, ἢ συστάσεως, ἢ πήξεως, ἢ σκληρότητος, ἢ τραχύτητος, ἢ λειότητος συλλογίζεσθαί τι περὶ τῆς τῶν φαρμάκων δυνάμεως.

Ταύτῃ τοίνυν ἁμαρτάνειν μοι δοκοῦσιν οὐ σμικρὰ, καὶ τού- D
των ἔτι μᾶλλον, ἐν οἷς ἀσαφῆ τε καὶ ἀναπόδεικτα φλυαροῦσιν, ἀμαθεῖς ὑπάρχοντες ἀποδεικτικῆς μεθόδου. ὑποκείσθω γὰρ τὸ πῦρ, εἴτε ξανθὸν, εἴτε ἐρυθρὸν, ἢ ὡς ἂν ἐθέλωσιν, οὐ γάρ μοι διαφέρει, τί οὖν τοῦτο πρὸς τὸ, πᾶν ἐρυθρὸν, θερμὸν εἶναι; πᾶν μὲν γὰρ πῦρ, εἰ οὕτως ἔτυχεν ἐρυθρὸν εἶναι, λεκτέον ἐστίν. πᾶν δὲ τὸ ἐρυθρὸν, πῦρ εἶναι φάναι, καταγέλαστον, ἔτι δὲ μᾶλλον, εἰ πᾶν τὸ ἐρυθρὸν θερμὸν εἶναι λέγοι τις. εἰ μὲν ἐξ ἀρχῆς εἰλήπτο κατὰ τὸν λόγον, ὡς πᾶν τὸ θερμὸν ἐρυθρόν ἐστιν, ἦν ἴσως διαστρέψαντα τὸ ἀξίωμα, τὸ ἐρυθρὸν ἅπαν ἀποφῆναι θερμὸν, ἁμαρτάνοντα μὲν κἀν E
τούτῳ περιφανῶς. οἱ γὰρ ἀντιστρέφοντες, οὐχ οἱ ἀναστρέφοντες ἀλλήλοις λόγοι συναληθεύονται, ἀλλ' ὅμως ἦν ἂν οἶμαι πλησίον ὁ παραλογισμός. ἐπεὶ δὲ οὐδ' αὐτὸ τοῦτο κατ' ἀρχὰς εἴληπται, λέγω δὴ τὸ πᾶν εἶναι τὸ θερμὸν ἐρυθρὸν, οὐδ' ἀναστρέψαντα δυνατὸν εἰπεῖν ἅπαν εἶναι τὸ ἐρυθρὸν θερμόν. τριχῶς οὖν ἁμαρτάνουσι κατὰ τὸν λόγον, οἱ φάσκοντες τὰ ῥόδα θερμὰ τὴν κρᾶσιν ὑπάρχειν, ὅτι καὶ ἐρυθρά. πρῶτον μὲν, ὅτι μὴ δείξαντες, ὅτι πᾶν πῦρ ἐρυθρὸν ἀντιστρέφειν αὐτὸ, ὅτι πᾶν ἐρυθρὸν πῦρ, πειρῶνται λόγον ἕτερον, ὡς ἀληθῆ· δεύ- F
τερον δ', ὅτι μὴ γινώσκουσι τοὺς ἀντιστρέφοντας, οὐ τοὺς ἀναστρέφοντας τοῖς ἀληθέσι λόγοις ἀληθεῖς εἶναι καὶ αὐτούς. καὶ τρίτον ὅτι κἂν ἀντιστρέφωσιν, οὐ τὸ πᾶν εἶναι τὸ τῇ χρόᾳ ἐρυθρὸν θερμὸν, ἐκ τῆς ἀντιστροφῆς περανθήσεται, ἀλλ' ἕτερον αὐτῷ τι τοιοῦτον ἀξίωμα, τὸ ἐρυθρὸν ἅπαν πῦρ ἐστιν. ὅτι δ' οὐ μόνον ἄχρηστον εἰς τὰ παρόντα τὸ τοιοῦτον, ἀλλὰ καὶ περιφανῶς

CAPVT III.

Quòd neque à colore, neque ab odore, neque à consistentia, aut conglaciatione, aut duritie, aut asperitate, aut leuitate ratiocinari de medicamentorum facultate oporteat.

D Atque hac vtique parte non leuiter peccare mihi videntur: multò etiam magis quum inconclusa atque indemonstrata nugantur, demonstrandi rationis planè imperiti. Nam dicamus ignem aut flauum, aut rubrum esse, aut vtcunque voluerint, nec enim refert, quid ergo id facit ad hoc vt omne rubrum sit calidum? Nam omnem ignem, verbi causa, rubere dicendum est; at omne rubrum ignē dicere, ridiculum est, multoq; etiam plus, si omne rubrum calidum quis dixerit. Nam si principio assumptum esset in oratione, omne calidum esse rubrum, licuisset fortassis mutua axiomatis conuersione, rubrū omne calidum concludere,
E licet non obscurè & illic peccetur. Nam quæ mutuò conuertuntur non quæ simpliciter conuertuntur orationes, verè de se mutuò dicuntur. Verumtamen propinquus is fuerit paralogismus. Atqui quoniam nec illud orationis initio assumptum erat nempe omne calidū esse rubrū, haud licet mutua conuersione omne rubrum calidum esse colligere. Tribus ergo modis in sermone peccant qui aiunt rosas temperamēto calidas quòd sint rubræ. Primùm quòd nō demōstrata hac propositione, omnis ignis rubet, conuertere ex hac aliam, videlicet omne rubrum est ignis tanquam veram conantur.
F Secundò, quòd nesciunt propositiones, quæ mutuò cum veris conuertuntur, non autem quæ simpliciter conuertuntur, esse veras. Tertiò quòd etiā si mutuò conuerterentur, non tamen omne quod colore sit rubro, calidum esse, ex mutua illa cōuersione sequatur, sed aliud huiusmodi axioma, rubrū omne esse ignem. Porrò quòd talia in rem præsentem nō modò sint inutilia, sed etiam palā falsa,

cuiuis

cuiuis notum est. Debemus enim nō an omne rubrum sit ignis, sed quòd omne rubrum calidū sit, ostēdere. Nam si quicquid rubet, ignis fuerit, erit nimirū & rosa nobis ignis. Cæterùm logicas methodos ignorantes, opinor, medici primùm in hoc maximè peccant, quòd propriis finibus excedant, nimirū quum sufficiens sit experiētia, iunctis saltē paucis quibusdā epilogismis, medicaminum vires exquirere. Deinde tam fœdè in rationibus hallucinantur, quàm pueri modò speculationem logicā ingressi. Eisdē erroribus tenentur qui ex odoribus medicamentorum facultates conijciūt. Nec enim quicquid bene olet, calidū est (quod quidā dictitant, haud intelligentes quo pacto inaudire oporteat quæ ab Aristotele, & Theophrasto super hac re sunt prodita, ea quæ nos in quarto harum commentationum definiemus) neque quicquid calidū est, bene olet. Quin etiam neq; si quid graue olens est, calidū etiam fuerit; neq; si calidum, etiā graue olens. Sic nec siquis quicquid grauiter oleat, frigidum dicat, nec si quicquid frigidum sit, grauiter olere, verum dixerit. Siquidem calidorum innumera sunt partim bene olētia, partim grauiter olētia, partim neutra; similiter quoq; frigidorū. Quāquam quid calida dico, ac frigida? quum debeā dicere calefacientia nos ac refrigerantia, quæ vtiq; etiam inquirimus. Nec enim quod absolutè calidū est, aut quod ad hoc expēditur, nunc considerare propositū est, sed quod corpus humanū excalefaciat, nec sanè etiā quod absolutè frigidū, sed quod hominē refrigeret. Denuo ergo hic hallucinantur in homonymia haud distinctis nominū significatis tanquā siquis de cane terrestri disserens, ad marinum se oratione transferat, existimans vt animātis vtriusq; nomen vnū, ita & naturam quoq; ipsorū vnā esse. At nobis demonstratū apertè est in commentariis De tēperamentis (quos & hanc antecedere tractationē protinus initio cōmonefecimus) aliud esse facultate calidū, aliud actu: & huius quod actu videlicet calidum est, aliud absolutè dici calidum, aliud per exuperantiā, aliud ad symmetrum sui generis, aliud ad quiduis obuium collatū. Quin & hominem non absolutè calidum, vt ignem, sed exuperantia calidum diximus, siquidem maiorem in eo calidi portionem esse, quàm frigidi. Ergo & quæcunq; ad hunc dicuntur calida potestate, illū excalefacere dicuntur; facileque de illis initur iudicium, & per experientiam expenditur, paucis indigens (vt supra commonui) epilogismis. Quos quū sophistæ excedant, & tempus adolescentulorū frustra terunt, & sophismatis cauillisq; homines seducentes eorū soluendorum imperitos, falsis eos dogmatis opinionibusq; implent. Debebant enim neque colores memorare, neq; odores, imò neque consistentiam, neque læuitatem, aut asperitatem, aut eius generis quodcunque. Nam quid refert, oleum an lentum sit, aut læue, aut splendens, aut liquidum, aut pallidum, aut pingue, aut lubricum, ægréque corporibus illitum exiccare possit? quippe quum ex nullo omniū eiusmodi colligere possis, ipsum esse facultate, aut calidum, aut frigidum, aut humidum, aut siccum. Siquidem ex genere splendentium, læuiumque, & lentorum partim sunt quæ planè nos calefaciant, partim quæ refrigerent, tum alia quæ exiccent, alia item quæ humectent. Et eorum omnium quæ accidunt non oleo solùm, sed aliis omnibus; nullum est reperire quod solidum perpetuumque sit, vt in eo generalem constituere propositionem liceat.

A ψεῦδός ἐστιν, δῆλον παντί. δεόμεθα γάρ, οὐκ εἰ τὸ ἐρυθρὸν ἅπαν πῦρ ἐστιν, ἀλλ' ὅτι θερμὸν ἀποδεῖξαι. ὡς εἴ γε πῦρ ἐστι πᾶν τὸ ἐρυθρόν, ἔσται δηλονότι, καὶ τὸ ῥόδον ἡμῖν πῦρ. ἀλλ' οἱ μὴ γινώσκοντες οἶμαι τὰς λογικὰς μεθόδους ἰατροί, πρῶτον μὲν ἐπ' αὐτῷ τούτῳ μέγιστα σφάλλονται, τῷ τοὺς οἰκείους ὅρους ὑπερβαίνειν. ἱκανὴ γὰρ ἡ πεῖρα, μετὰ βραχέων ἐπιλογισμῶν ἐξευρίσκειν τὰς δυνάμεις τῶν φαρμάκων. εἶτα καὶ κατὰ τοὺς λόγους ἁμαρτάνουσιν ὅμοια τοῖς ἀρτιμαθέσι λογικῆς θεωρίας παισί. τῆς δ' αὐτῆς πλημμελείας ἔχονται, καὶ ὅσοι ταῖς ὀσμαῖς τεκμαίρονταί τι περὶ δυνάμεως φαρμάκων.
B οὐδὲ γὰρ ἅπαν εὐῶδες θερμόν, ὡς λέγουσί τινες, ἀγνοοῦντες ὅπως ἀκούειν χρὴ τῶν ὑπ' Ἀριστοτέλους, καὶ Θεοφράστου περὶ τούτων εἰρημένων, ἃ κατὰ τὸ τέταρτον τῶνδε τῶν ὑπομνημάτων ἡμεῖς διοριούμεθα, οὔθ' ἅπαν θερμὸν εὐῶδες, οὐ μὴν οὐδὲ δυσῶδες ἅπαν θερμόν, οὐδ' εἴ τι θερμὸν ὑπάρχει, δυσῶδες. οὕτω κἂν εἰ τὸ δυσῶδες ἅπαν φαίη τις ψυχρόν, ἢ τὸ ψυχρὸν δυσῶδες, οὐκ ἀληθεύει. καὶ γὰρ καὶ τῶν θερμῶν μυρία, τὰ μὲν εὐώδη, τὰ δὲ δυσώδη, τὰ δ' οὐδέτερα, καὶ τῶν ψυχρῶν ὡσαύτως. καίτοι τί λέγω ψυχρά, καὶ θερμά; δέον θερμαίνοντα καὶ ψύχοντα λέγειν ἡμᾶς, ἅπερ καὶ ζητοῦμεν. οὐ γὰρ δὴ τό γε
C ἁπλῶς θερμόν, ἢ τὸ πρὸς τοῦτο ἐξεταζόμενον ἐπισκέπτεσθαι πρόκειται νῦν, ἀλλὰ τὸ θερμαῖνον ἀνθρώπειον σῶμα. καὶ δὴ καὶ ψυχρὸν οὐχ ἁπλῶς, ἀλλ' ὅτι περ ἂν ἄνθρωπον ψύχῃ. πάλιν οὖν ἐνταῦθα, μὴ διελόμενοι τὰ σημαινόμενα τῶν ὀνομάτων, σφάλλονται παρὰ τὴν ὁμωνυμίαν. ὥσπερ εἰ καὶ περὶ χερσαίου τις κυνὸς διαλεγόμενος, ἐπὶ τὸν θαλάττιον μεταβαίνοι τῷ λόγῳ, νομίζων, ὥσπερ τοὔνομα τῶν ζώων ἀμφοτέρων ἕν ἐστιν, οὕτω καὶ τὴν φύσιν αὐτῶν μίαν ὑπάρχειν. ἀλλ' ἡμῖν δέδεικται σαφῶς ἐν τοῖς περὶ κράσεως ὑπομνήμασιν, ἃ καὶ κατ' ἀρχὰς εὐθὺς ἡγεῖσθαι τῆσδε τῆς πραγματείας
D ἔφαμεν, ἄλλο μὲν εἶναι τὸ δυνάμει θερμόν, ἄλλο δὲ τὸ ἐνεργείᾳ. καὶ τούτου τοῦ ἐνεργείᾳ θερμοῦ, τὸ μὲν ἁπλῶς λέγεσθαι θερμόν, τὸ δὲ κατ' ἐπικράτησιν, τὸ δὲ πρὸς τὸ σύμμετρον ὁμογενές, τὸ δὲ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. καὶ δὴ καὶ τὸν ἄνθρωπον, οὐχ ἁπλῶς θερμόν, ὥσπερ τὸ πῦρ, ἀλλ' ἐπικρατήσει θερμὸν ὑπάρχειν ἐλέγομεν. εἶναι γὰρ ἐν αὐτῷ πλείονα τοῦ θερμοῦ μοῖραν, ἢ τοῦ ψυχροῦ. καὶ τοίνυν καὶ ὅσα πρὸς τοῦτον λέγεται θερμὰ δυνάμει, τῷ τοῦτον θερμαίνειν λεχθήσεται. καὶ ἡ κρίσις αὐτῶν, ῥᾴστη τέ ἐστι καὶ διὰ τῆς ἐμπειρίας ἐξετασθήσεται, βραχέων, ὡς εἴρηται καὶ πρόσθεν ἐπιλογισμῶν δεομένη. τούτους
E οὖν ὑπερβαίνοντες οἱ σοφισταί, τόν τε χρόνον ἀναλίσκουσι τῶν μειρακίων, καὶ σοφίσμασι περιάγοντες ἀνθρώποις ἀγυμνάστοις λύσεως σοφισμάτων, ἀναπιμπλᾶσι ψευδῶν δογμάτων. ἐχρῆν γὰρ μήτε χρόας μνημονεύειν αὐτούς, μήτ' ὀσμῆς, ἀλλὰ μηδὲ συστάσεως, ἢ λειότητος, ἢ τραχύτητος, ἤ τινος ἑτέρου τοιούτου. τί γὰρ ὅτι γλίσχρον τοὔλαιον, ἢ ὅτι λεῖον, ἢ ὅτι στίλβον, ἢ ὑγρόν, ἢ ὠχρόν, ἢ λιπαρόν, ἢ ὀλισθηρόν, ἢ δυσξήραντον ἐπαλειφόμενον τοῖς σώμασιν; οὔτε γὰρ εἰ θερμόν, οὔτε εἰ ψυχρόν, οὔτ' εἰ ξηρόν, οὔτ' εἰ ὑγρόν ἐστιν τὴν δύναμιν, ἐξ οὐδενὸς ἔνεστι τῶν τοιούτων συλλογίσασθαι. καὶ γὰρ τῶν γλίσχρων, καὶ τῶν
F λείων, καὶ τῶν στιλβόντων, τὰ μὲν θερμαίνει φανερῶς ἡμᾶς, τὰ δὲ ψύχει, καὶ τὰ μὲν ξηραίνει, τὰ δὲ ὑγραίνει. καὶ καθ' ἕκαστον τῶν συμβεβηκότων, οὐκ ἐλαίῳ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, οὐδέν ἐστιν εὑρεῖν πάγιον, οὐδὲ διηνεκές, ὡς ἐπ' αὐτῷ συστήσασθαί τινα καθόλου πρότασιν.

A

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Ὅτι οὐδ' ἐπιστημονικοῖς κέχρηνται λόγοις οἱ σοφισταὶ πρὸς τὰ λήμματα, ἐξ ὧν συλλογίζονται τὸ περὶ τῆς τῶν φαρμάκων δυνάμεως, ἀλλ' ἐπαγωγικοῖς τε καὶ παραδειγματικοῖς.

ἘΩ γὰρ λέγειν, ὅτι οὐδὲ ἐπιστημονικοῖς ἐν ἅπασι τοῖς τοιούτοις λόγοις οἱ σοφισταὶ χρῶνται πρὸς τὴν τῶν λημμάτων εὕρεσιν, ἀλλ' ἐξ ἐπαγωγῆς, καὶ τὸ χεῖρον ἁπάντων, ὅτι μηδ' ἐπισκεψάμενοί ποτε περὶ φύσεως ἐπαγωγῆς. μηδ' ἂν τις αὐτοὺς εἰς τοῦτο προκαλῆται, τολμῶντες ἀκολουθεῖν, ἀλλὰ B καὶ τοῖς περὶ ἀποδείξεώς τι πραγματευομένοις, ἐπιτιμῶντες. ἔτι δὲ χεῖρον, ὅτι μηδ' ἐξ ἐπαγωγῆς μόνον, ἀλλ' ἐκ παραδειγμάτων ἐνίοτε συλλογίζονται, καθάπερ οἱ ῥήτορες. ὅ τε γὰρ φάσκων ψυχρὸν εἶναι τοὔλαιον, ὅτι καὶ γλίσχρον, ὥσπερ καὶ τὸ φλέγμα, διὰ παραδείγματος συλλογίζεται, τὴν ἴσην ἰσχὺν τῆς ἀποδείξεως παρέχων, ὁμοίως τῷ λέγοντι θερμὸν ὑπάρχειν αὐτό, διότι γλίσχρον ἐστίν, ὡς ὁ ἰξός. ὅ τε φάσκων θερμὸν εἶναι, ὅτι ῥᾳδίως ἐκφλογοῦται, καθάπερ ἄσφαλτος, τῷ λέγοντι ψυχρὸν εἶναι, διότι ῥᾳδίως πήγνυται, καθάπερ ὕδωρ. τὸ γὰρ ἐκ παραδείγματος, ἢ ἐκ παραδειγμάτων πιστοῦσθαί τι, διαφέρει C τοῦ δι' ἐπαγωγῆς πιστουμένου. τῷ τὸ μὲν ἐκ παραδειγμάτων πιστούμενον, ἓν μὲν, ἢ δύο τῶν ὁμογενῶν λέγειν, ἢ πάντως γε ὀλίγα, τὰ πλείω παραλείποντα. τὸ δ' ἐξ ἐπαγωγῆς ἅπαντα περιλαμβάνειν πειρᾶσθαι, τὰ διὰ τῆς ἐμπειρίας ἐγνωσμένα, καὶ μηδέν, ὡς οἷόν τε παραλιπεῖν, ὃ προφανές τε καὶ δῆλον τοῖς πολλοῖς, ἀλλὰ ἀποκεκρυμμένον τε, καὶ ὀλίγοις γνωστόν. ὅθεν καὶ βίαιός ἐστιν, καὶ πείθει σφοδρῶς, ἡ διὰ πάντων τῶν ἐξ ἐμπειρίας γινωσκομένων ἐπαγωγή, καὶ μόνοις αὐτοῖς ἡ ἀλαζονεία καταφωρὸς γίνεται τοῖς γεγυμνασμένοις ἐν ἀποδεικτικαῖς μεθόδοις. καὶ διὰ τοῦθ' ἡμεῖς ἐπιπλέον ὑπὲρ αὐτῆς ἐν τοῖς περὶ τῆς D ἀποδείξεως ὑπομνήμασιν διήλθομεν. ἴσως δ' ἄν ποτε, καὶ κατὰ μόνας ἓν ὑπὲρ αὐτῆς ἰδίᾳ συνθείημεν γράμμα.

CAPVT IV.

Quod ſophiſtæ rationibus haud vſi ſint ſcientificis ad ea lemmata, ex quibus perperam de medicamentorum facultatibus colligunt, ſed aut inductionibus, aut exemplis.

NAm omitto, quòd nec ſcientificis in omnibus id genus ſint vſi rationibus ſophiſtæ ad inuenienda lemmata, ſed ex inductione, & quod omnium peſſimum eſt, quòd nec quæ ſit inductionis natura vnquam inſpexerint. Quòd ſiquis eos in id prouocet, neque ſequi audent; & ſi de demonſtratione quis quid agat, increpant. Imò quod etiam deterius eſt, non ex inductione ſolùm ratiocinari aſſueuerunt, ſed nonnunquam etiam ab exemplis, tanquam rhetores. Nam qui frigidum eſſe oleum aſſerit, proinde quòd lentum ſit vt pituita, is per exemplum concludit, par robur præbens demonſtrationis atque is qui ipſum calidum contendit, quia lentum ſit vt viſcum. Nec ſecus is qui calidum dicit, quoniam facilè in flammam vertatur vti bitumen, atque is qui frigidum probat, quòd facilè cogatur ac concreſcat, vt aqua. Nam differt ex exemplo aut exemplis quid ſuadeas, an ex inductione. Siquidem qui ex exemplis fidem facit, vnum aut duo generis eiuſdem adfert, aut certè planè paucula, pleriſque ſcilicet præteritis; qui verò ex inductione, omnia comprehendere nititur quæ per experientiam ſunt cognita, nec quidquam præterire quoad eius fieri poteſt, quod apertum vulgo, ac perſpicuum ſit, ſtudet, ſed quod occultum eſt & paucis comprehenſum. Quamobrem violenta eſt & vehementer perſuadet quæ ab omnibus quæ experientia ſunt cognita ducitur inductio, ſoliſque iis arrogantia perſpici poteſt qui in demonſtratiuis methodis ſunt exercitati. Quare nos de ea copioſius in Demonſtrationis libris diſſeruimus, ac fortè etiam ſeorſum de ea librum componemus.

ΚΕΦΑΛΑΙΟΝ Εʹ.

Περὶ ἐλαίου πρὸς Ἀρχίδαμον.

ΦΑνεῖται δὲ καὶ νῦν οὐδὲν ἧττον ἡ φύσις αὐτῆς τε τῆς ἐπαγωγῆς, καὶ πολὺ δὴ μᾶλλον ἡ τοῦ παραδείγματος. ἅπαντα γὰρ ἐπελθεῖν ἔγνωκα διὰ κεφαλαίων, ὅσα τοῖς ἰατροῖς εἴρηται περὶ δυνάμεως ἐλαίου, πιθανῶς μὲν τῷ δοκεῖν, οὐ μὴν ἀλη- E θῶς γε, καὶ πρῶτον τὸ ὑπὸ Διοκλέους ἐν Ἀρχιδάμῳ λελεγμένον, ὡς σκληρύνεσθαι, καὶ ἐπικαίεσθαι τὸ δέρμα τοῖς ἐν ἐλαίῳ τριβομένοις, ὑπελάμβανεν ὁ Ἀρχίδαμος, καὶ διὰ τοῦτο τὴν ξηροτριβίαν προὔκρινε. συνεκπυροῦσθαί τε γάρ, φησί, καὶ ἐπικαίειν τὸ ἔλαιον ὑπὸ τῆς τρίψεως θερμαινόμενον ἐνόμιζεν, καὶ κατὰ τοῦτο ἐξικμάζειν, καὶ ξηραίνειν ἰκμάδας, ὥσπερ τῶν ὀπτωμένων τὰ χριόμενα. καὶ γὰρ καὶ ταῦτα σκληρύνεσθαι μᾶλλον, ἢ εἰ χωρὶς ἐλαίου τις ὀπτήσειεν. αὐτὴν δὲ ἴσως ἄμεινον ὅλην παραγράψαι τοῦ Διοκλέους τὴν ῥῆσιν. ἔχει δὲ ὧδε. τὸ δὲ μετ' ἐλαίου τρίβειν, οὐχ ὁμοίως ἐδοκίμαζε. πρῶτον μὲν γὰρ ἀνώμαλον F ᾤετο γίνεσθαι τὴν τοιαύτην τρῖψιν, παρὰ τὸ τὰς χεῖρας ὀλισθαίνειν, καὶ μὴ δύνασθαι τῆς σαρκὸς ὁμοίως ἀντιλαμβάνεσθαι διὰ τὸ λίπος. ἔτι δὲ καὶ σκληρύνεσθαι, καὶ ἐπικαίεσθαι τὸ δέρμα, τοῖς οὕτω τριβομένοις ἔφη μᾶλλον, ἢ τοῖς ξηροῖς. συνεκπυροῦσθαι γὰρ καὶ ἐπικαίειν τὸ ἔλαιον θερμαινόμενον ὑπὸ τῆς τρίψεως,

CAPVT V.

De oleo aduerſus Archidamum.

PAlàm autem fiet nihilo ſecius, & nunc quoque inductionis natura multoque magis & exempli. Nam omnia in ſumma percurrere ſtatutum eſt quæ de olei facultate à medicis ſunt prodita, eaque probabiliter quidem, quòd ita viderentur, at non verè. Ac primùm illud quod à Diocle in Archidamo ſcriptum eſt, quòd Archidamus dureſcere, vrique cutem iis qui oleo fricarentur, exiſtimarit, quapropter etiam ſiccam frictionem prætulit, oleum enim accendi atque exurere quum à frictione incaleſceret, putabat, ac propterea admodum humorem exhaurire atque ſiccare, non ſecus atque ea aſſorum quæ vngi ſolent; nam & ipſa magis dureſcere quàm ſi citra oleum aſſaueris. Præſtat autem totam aſcribere dictionem Dioclis. Habet autem ea hunc in modum. *At cum oleo fricare non perinde probabat. Primùm enim inæqualem fieri eiuſmodi frictionem putabat, quòd manus laberentur ſcilicet nec æquè carnem apprehendere propter pinguedinem poſſent. Præterea dureſcere, atque aduri cutem in illis magis, qui ſic fricarentur exiſtimabat, quàm qui ſicca vterentur frictione. Oleum quippe accendi, & vrere à frictione incaleſcens, quem-*

quemadmodum in aßis quæ uncta sunt magis quàm non uncta, vbi oleo accenso incalescunt, & valdè exiccantur, indurescuntque. Similiter quæ in oleo coquuntur, & exusta & friabilia effici eandem ob causam. Ad hæc, quemadmodum ligna & coria & alia complura quæ ex oleo fricantur, oleum intrò imbibunt, ita putabat & corpora. Quod quum fieret, multa quæ solita essent cum spiritu effluere, ac foràs prorumpere, tunc concludi arbitrabatur, ceu quum cribris, linteis, lana, omnibusque adeo per quæ percolari quid assolet, perfunditur ac inungitur, non æquè liquores fluere per ea valent. Porrò vbi ea excretio intercepta est, quædam intrò recurrere, quædam aceruata inuicemque implicita meatus opplere, retenta, scilicet ab oleo, quòd visco quid simile habeat: sicut in aliis omnibus apparet, quod pingue est, pulueres, ac festucas, omniaque eiusmodi consectari. Denique vbi obstructi iam meatus fuerint, perpetuò ac sensim omnia deterius perfici, esse necesse, quàm in iis quæ pro consueto geruntur naturæ modo. Putauit quoque oleo inesse aliquam mordacitatem, cuius vi oculi illachrymarent, & guttur in tußim cieretur, tum aluus raderetur, excrementaque redderentur sanguinolenta, eo bibito. Proinde qui citra frictionem vngerentur, nihil affligi; infirmiorem enim esse mordicationem, quam quæ sensum aliquem mouere posset. At si per frictionem carnem subintret, mordicationem moliri maligniorem: velut multa medicamentorum, vbi enim illinuntur, minus valent, at compressa introque subeuntia, magis agunt, sicut sanè si vrticis, & aliis multis sensim quempiam contingas, nihil læseris, sin ferias aut premas, vtique offenderis. Hæc ergo sunt quæ Diocles in Archidamo prodidit, quorum simul tum probabilitatem, tum prauitatem conspicere est. Siquidem quòd quicquid in oleo coquitur, propriam amittat humiditatem, ac friabile fragileque celeriter reddatur, quum alioqui nihil in aqua tale perpetiatur, ipsa nos docuit experientia. Quamobrem hac vtique parte nihil Archidamus mentitus est. Debebat tamen, sicut Aristoteles, & Theophrastus, aliique non pauci philosophi, eiusmodi problemata in physicis quæstionibus & proponunt & soluunt, ipse quoque (si quidem omnium rerum, quæ fiunt, causas scrutari voluit) perinde, vt illi, vti proponere, sic quoque soluere. At quum id minus facere apparet, in hoc vel maximè mihi delinquere videtur. Nam quod apparet euidenter, id semper primum ponendum est; ac deinde, si cui libeat, causam eius inspicere debet, physica problemata hunc in modum componens. Cur oleum, quæ in ipso coquuntur, sicca, & friabilia, & fragibilia efficiat: aqua verò humida, & mollia, aut: Quamobrem oleo cocta siccescant; at quæ aliter in eo madefacta sunt, magis propriam seruent humiditatem, quàm si omninò non essent madefacta. Qua ratione scillæ, & vrticæ morsus sanet, qua de causa his medeatur, quum ipsum oculos mordicet? Qui fiat, vt reliquum corpus vniuersum non mordicet, sed oculos duntaxat? Quare guttur exasperet, vlcera verò leniat? Quo pacto ventrem subducat? Quo modo lassitudines sanet? Quamobrem inunctos tueatur à frigore? Quare animalia insecta interficiat? Cur lora, & coria emolliat, at quæ in ipso concoquuntur, duriora omnia efficiat? Atque hoc vnum est problematum genus ad physicum duntaxat attinens.

A καθάπερ τῶν ὀπτωμένων, τὰ χριόμενα, τῶν μὴ χριομένων, ἐκπυρουμένου τοῦ ἐλαίου, θερμαινόμενα καὶ ὀξικμαζόμενα λίαν σκληροῦσθαι μᾶλλον. ὁμοίως δὲ καὶ τὰ ἐν τῷ ἐλαίῳ ἑψόμενα, κραῦρα καὶ κάπυρα γίνεσθαι διὰ τὴν αὐτὴν αἰτίαν. πρὸς δὲ τούτοις, ὥσπερ τὰ ξύλα, καὶ τὰ δέρματα, καὶ τὰ ἄλλα τὰ μετ' ἐλαίου τριβόμενα, συνδιαδίδωσιν εἴσω τὸ ἔλαιον, οὕτως ᾤετο καὶ τὰ σώματα. τούτου δὲ γιγνομένου, πολλὰ τῶν εἰθισμένων διὰ τῆς σαρκὸς μετὰ τοῦ πνεύματος ῥεῖν, καὶ ἔξω διαπίπτειν ἀποστέγεσθαι, ὥσπερ καὶ διὰ τῶν ἠθμῶν, καὶ τῶν ὀθονίων καὶ ἐρίων, καὶ πάντων δι' ὧν ἠθεῖταί τι ἐγχεόμενον, καὶ χριό-
B μενον, οὐ δύνασθαι τὰ ὑγρὰ ῥεῖν ὁμοίως. ἀπολαμβανομένης δὲ τῆς τοιαύτης ἐκκρίσεως, τὰ μὲν παλίρροιαν εἴσω, συμπληρούμενα ἀθροιζόμενα τοὺς πόρους ἀλλήλοις πλεκόμενα, καὶ ὑπὸ τοῦ ἐλαίου περιλαμβανόμενα διὰ τὸ ἔχειν τι ἰξῶδες τὸ ἔλαιον, ὥσπερ ἐπὶ τῶν ἄλλων φαίνεται τὸ λιπαρὸν τοὺς κονιορτοὺς, καὶ τὰ κάρφη, καὶ τὰ ἄλλα τὰ τοιαῦτα συνθηρεύειν. ἐμφραττομένων δὲ τῶν πόρων ἀεὶ καὶ κατὰ μικρὸν, ἀναγκαῖον εἶναι πολλὰ χεῖρον ἀποτελεῖσθαι τῶν εἰθισμένων γίγνεσθαι κατὰ φύσιν. ὑπελάμβανε δέ τι καὶ δηκτικὸν ἔχειν αὐτὸ, παρ' ὃ καὶ τοὺς ὀφθαλμοὺς δακρύειν, καὶ τὴν φάρυγγα κέρχειν, καὶ τὴν κοιλίαν ξύειν, καὶ αἱμα-
C τώδεις ποιεῖν διαχωρήσεις πινόμενον. ἄνευ μὲν οὖν τρίψεως ἀλειφομένους, οὐδὲν λυπεῖν. ἀσθενεστέραν γὰρ εἶναι τὴν δῆξιν, ἢ ὥστε ποιεῖν τινα αἴσθησιν. μετὰ δὲ τῆς τρίψεως εἰσδυόμενον εἰς τὴν σάρκα, κακουργεῖν μᾶλλον τῇ δήξει, καθάπερ πολλὰ τῶν φαρμάκων, οὕτω μὲν ἐπιχρισθέντα ἧττον ἰσχύειν, πιεζόμενα δὲ καὶ εἰσδυόμενα εἴσω, μᾶλλον ἐνεργεῖν. καὶ δὴ καὶ τὰς ἀκαλήφας, καὶ ἄλλοις πολλοῖς ἡσυχῇ μὲν ψαύοντας, οὐδὲν ἐνοχλεῖν, τύπτοντας δὲ καὶ πιεζοῦντας λυπεῖν. ἃ μὲν οὖν ὁ Διοκλῆς ἐν Ἀρχιδάμῳ λέγει, ταῦτ' ἐστιν. πάρεστι δὲ σκοπεῖν ἅμα τό τε πιθανὸν αὐτῶν, καὶ μοχθηρόν. ὅτι μὲν γὰρ ἐν
D ἐλαίῳ πᾶν ὁτιοῦν ἑψόμενον, ἀπόλλυσι τὴν οἰκείαν ὑγρότητα, καὶ ψαθυρὸν, καὶ κραῦρον γίγνεται ταχέως, οὐδὲν τοιοῦτον πάσχον ἐν ὕδατι, πρὸς τῆς ἐμπειρίας ἐδιδάχθημεν, ὥστε ταύτῃ μὲν οὐδὲν ὁ Ἀρχίδαμος ἐψεύσατο. δέον δὲ, ὥσπερ ὁ Ἀριστοτέλης, καὶ Θεόφραστος, ἕτεροί τέ τινες ἄνδρες φιλόσοφοι, τὰ τοιαῦτα τῶν προβλημάτων ἐν τοῖς φυσικοῖς ζητήμασιν προβάλλουσί τε καὶ λύουσι, καὶ αὐτὸς εἴπερ ἐβούλετο, τὰς αἰτίας ἁπάντων τῶν γιγνομένων ζητεῖν, ὁμοίως ἐκείνοις προβάλλειν τε καὶ λύειν. εἰ δ' οὐ φαίνεται τοῦτο ποιῶν, ἐν τούτῳ καὶ μάλιστα δοκεῖ μοι σφάλλεσθαι. τὸ μὲν γὰρ φαινόμενον ἐναρ-
E γῶς, ἀεὶ χρὴ τίθεσθαι πρῶτον, ἐπισκέπτεσθαι δὲ ἐφεξῆς, εἴ τις ἐθέλοι, τὴν αἰτίαν αὐτοῦ, φυσικὰ προβλήματα συντιθέντα τρόπῳ τοιῷδε. διὰ τί τὸ μὲν ἔλαιον, ξηρὰ, καὶ ψαθυρὰ, καὶ κραῦρα τὰ ἐν αὐτῷ καθεψόμενα ποιεῖ, τὸ δὲ ὕδωρ, ὑγρὰ καὶ μαλακά; ἢ διὰ τί τὰ μὲν ἑψόμενα κατὰ τοὔλαιον ἀποξηραίνεται, τὰ δ' ἄλλως ἐν αὐτῷ βρεχόμενα, φυλάττει τὴν οἰκείαν ὑγρότητα μᾶλλον, ἢ εἰ μηδ' ὅλως ἐβρέχετο; διὰ τί δὲ τὰς ἀπὸ σκίλλης, καὶ ἀκαλήφης δήξεις ἰᾶται; διὰ τί δὲ τούτων μὲν ἰατρικόν ἐστιν, αὐτὸ δὲ δάκνει τοὺς ὀφθαλμούς; διὰ τί τὸ μὲν ἄλλο σῶμα πᾶν οὐ δάκνει, τοὺς ὀφθαλμοὺς δὲ δά-
F κνει; διὰ τί τὴν μὲν φάρυγγα τραχύνει, τὰ δὲ ἕλκη παρηγορεῖ; διὰ τί γαστρὸς ὑπαγωγόν ἐστι; διὰ τί κόπων ἰατικόν; διὰ τί τοὺς ἀλειφομένους ἀπεψυγμένους τηρεῖ; διὰ τί τῶν ἐντόμων ζώων ἀναιρετικόν ἐστι; διὰ τί τῶν ἱμάντων, καὶ βυρσῶν μαλακτικὸν ὑπάρχει, τῶν δ' ἑψομένων ἐν αὐτῷ σχεδὸν ἁπάντων σκληρυντικόν; ἓν μὲν εἶδος σοι προβλημάτων τοῦτο, φυσικῷ προσῆκον μόνῳ.

A Τὸ δ' ἕτερον ὃ κοινὸν ἤδη, καὶ τοῖς ἀπὸ τῆς τέχνης, ἐστὶ τοιόνδε. διὰ τίνα αἰτίαν, ἐπαλείφουσιν ἐλαίῳ πρότερον ὀπτῶντες οἱ μάγειροι τοὺς ἰχθῦς, καὶ τὰ κρέα; διὰ τί τρίβουσιν ἐλαίῳ τοὺς ἀθλητὰς οἱ γυμνασταί; διὰ τί δὲ, καὶ οἱ παιδοτρίβαι τοὺς παῖδας; ἔνεστι γὰρ ἑκάστου τῶν τοιούτων προβλημάτων, ἐμπειρικὴν αἰτίαν ἀποδοῦναι. τοὺς μὲν ἰχθῦς καὶ τὰ κρέα, διὰ τοῦτο ἐπαλείφειν τῶν μαγείρων ἐρούντων δὴ, ὅτι ξηρὰ καὶ περικεκαυμένα τὰ ἐκτὸς αὐτῶν γίγνεται, χωρὶς τοῦ λίπους ὀπτωμένων. τοὺς δ' ἀθλητὰς ἐν ἐλαίῳ τρίβειν, τῶν γυμναστῶν φησόντων αὖ, ὅτι καὶ τοὺς προϋπάρχοντας κόπους λύει τοῦτο, καὶ τοὺς μέλλοντας πραΰνει, καὶ αὐτὴν B τὴν τρῖψιν ὁμαλὴν, καὶ πρᾳεῖαν τελέως ἀπεργάζεται, καὶ πρὸς τὰς μελλούσας κινήσεις παρασκευάζει τὸ σῶμα. διὰ τὰ αὐτὰ δὲ ταῦτα, καὶ οἱ παιδοτρίβαι τοὺς παῖδας ἀλείφειν ἐροῦσι, καὶ πρὸ τῶν γυμνασίων, καὶ μετὰ τὰ γυμνάσια. διὰ τί μέντοι τὸ ἔλαιον ἴαμα κόπων ἐστὶν, οὐκ ἔτι οὔτε γυμναστὴς, οὔτε παιδοτρίβης, οὔτ' ἰατρὸς ἐμπειρικὸς ἐπίσταται. οὐ μὴν οὐδ' ὅτι μὴ γινώσκουσιν, ἀφίστανται τῶν ἐναργῶς φαινομένων. οὐδὲ γὰρ διὰ τί λευκὸς μὲν ἐλλέβορος ἄνω καθαίρει, μέλας δὲ κάτω γινώσκοντες, οὐδὲ διὰ τί κνίκος μὲν φλέγματος ἀγωγόν ἐστιν, ἐπίθυμον δὲ μελαίνης οὐκ εἰδότες, ὅμως χρῶνται τοῖς φαρμάκοις εἰς ἅπερ ἐδί- C δαξεν ἡ πεῖρα, καὶ θεραπεύουσι τοὺς δεομένους, καὶ πιστεύουσι τοῖς ἐναργῶς φαινομένοις, καὶ καταγελῶσι τῶν τῷ λόγῳ τἀναντία κατασκευαζόντων.

A Alterum verò, quod commune quoque eorum est, qui artem quamuis exercent, est tale. Quam ob causam carnes piscesque assantes coci oleo prius illinant? Quid sit, quòd athletas oleo fricent gymnastæ? Quid etiam, quòd pueros pædotribæ? Nam cuiusque talium problematum ab experientia profectam causam assignare liceat, Cocis nimirum responsuris, propterea se pisces ac carnes oblinere, quòd siccæ adustæque externæ eorum reddantur partes, si citra pinguedinem assentur. Athletas verò se ex oleo fricare dicturis Gymnastis, tum quòd quæ ante inerant lassitudines ipsum B exoluat, & quæ futuræ sunt mitiget, tum quòd frictionem æqualem, & mitem planè efficiat, corpusque ad motus futuros præparet. Eas ob res ipsi quoq; Pædotribæ pueros se, & ante, & post exercitia inungere dicent. Cur autem oleum lassitudini medeatur, haud etiam nouit, nec gymnastes, nec pædotriba, nec medicus experientia curans, nec tamen quia id nesciant ab euidenter apparentibus recedent. Siquidem tametsi ignorant, quamobrem veratrum album sursum purget, nigrum deorsum detrahat, neque compertum habentes, quare cnicus pituitam ducat, atrā verò bilem epithymum; tamen medicamentis ad ea vtuntur ad quæ C vtenda docuit experientia, & eos quibus opus curant, & euidenter apparentibus fidem habent, eosque qui contraria rationi astruunt derident.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ὅτι καὶ πρὸς τῷ μαχόμενα λέγειν περὶ ἐλαίου δυνάμεως, ἔτι καὶ ἀνοικείοις παραδείγμασι κέχρηται ὁ Ἀρχίδαμος.

Ἀλλ' Ἀρχίδαμος μὲν πρὸς τῷ καταφρονεῖν ἐν πολλοῖς τῶν ἐναργῶς φαινομένων, ἔτι μοι δοκεῖ καὶ ταύτῃ δικαίως ἂν ψέγεσθαι. λέγει μὲν γὰρ ἀμείνω τὴν ξηρὰν τρῖψιν εἶναι τῆς D μετ' ἐλαίου, διότι τὸ σῶμα σκληρότερόν τε καὶ ξηρότερον τοῖς ἀλειφομένοις ἐργάζεται, μαλακώτερον δὲ τοῖς ξηροῖς τριβομένοις γίγνεται. λέγει δ' οὐδὲν ἧττον ἐν αὐτῷ τῷ λόγῳ τούτῳ προελθὼν βραχὺ, καὶ τὰ ξύλα, καὶ τὰ δέρματα, καὶ τὰ ἄλλα τὰ μετ' ἐλαίου τριβόμενα, διαδιδόναι μέχρι τοῦ βάθους αὐτὸ, καὶ τοῦτο εἶναι μέγιστον μαρτύριον, ὅτι κἂν τοῖς ἡμετέροις σώμασιν εἴσω χωρεῖ, ἐμπλάττει τε τοὺς πόρους, καὶ κωλύει τὰς τῶν ὑγρῶν ἐκροάς. κἀγὼ μὲν οὐκ οἶδα πῶς τάδε συμφωνεῖ. εἰ γὰρ τοὔλαιον κωλύει τὰς τῶν ὑγρῶν ἐκροὰς, οὐκ ἂν δήπου λέγοιτο ξηραίνειν, ὥστε μάτην ὡς ξηραῖνον αὐτὸ κατὰ τὰς τρίψεις φυλάττεται. σφάλ- E λεσθαι δέ μοι δοκεῖ, κἂν τῷ τοῖς ἑψομένοις ἐν ἐλαίῳ παραπλησίως διατίθεσθαι, νομίζειν τοὺς ἐν αὐτῷ τριβομένους. οὐ γὰρ δὴ ταὐτά γέ φησι ποιεῖν θερμὸν, ἢ ψυχρὸν, ἢ εὔκρατον, ἢ χλιαρὸν, ἢ ζέον ἔλαιον, ὥσπερ οὐδὲ τὸ ὕδωρ αὐτό. φαίνεται γὰρ καὶ τοῦτο ψυχρὸν μὲν εἰ προσφέροιτο, πυκνοῦν καὶ πιλοῦν, καὶ συστέλλον, καὶ σφίγγον τὸ ἀποκρινόμενον, ὥσπερ εἰ καὶ ζέον ἐσχάτως, καῖον. εἰ δ' εὔκρατόν τε καὶ συμμέτρως θερμὸν προσενεχθείη, χαλᾷν, καὶ ἀραιοῦν, καὶ χέον, καὶ διαφορεῖν. εἰ δὲ μήτε ψυχρὸν ἐπισήμως εἴη, μήτε θερμὸν, ἀλλ' οἷόν τι τὸ λεγόμενον ὑπὸ τῶν πολλῶν κρηναῖον, οὐδὲν μὲν τῶν εἰρημένων F ποιεῖν τηνικαῦτα, διαδείκνυσθαι δὲ τὴν οἰκείαν ἑαυτοῦ δύναμιν. οὕτως οὖν καὶ τοὔλαιον εἴ τις ἐξετάζειν ἐθέλοι, πάσης ἐπικτήτου ψύξεώς τε καὶ θερμότητος ἐλεύθερον ἐργασάμενος αὐτὸ πρότερον, οὕτω τὴν βάσανον ποιείσθω. τὸ μὲν γὰρ ἄκρως ψυχρὸν, οὐ κατὰ τὴν ἑαυτοῦ μόνον ἔτι δύναμιν, ἀλλὰ καὶ διὰ τὴν τῆς ὀθνείας ποιότητος ἐπικράτησιν, ἐνεργήσει τι περὶ τοῖς πλησιάζουσιν.

CAPVT VI.

Quòd præterquamquod pugnantia de olei facultate Archidamus afferat, insuper impropriis vtatur exemplis.

At Archidamus supraquamquod in multis quæ perspicuò apparent contemnit, insuper & hac quoque parte arguendus mihi iure videtur, quòd dicat meliorem esse frictionem siccā quàm D quæ cum oleo adhibetur, quia corpus durius & sicciusiis qui vnguntur, efficiatur, mollius autem iis qui fricantur sicci. Dicit porrò nihilo secius, & illa ipsa dictione, paulum progressus, ligna, pelles, aliaque quæ ex oleo fricantur, ipsum in profundum transmittere, idque maximum esse testimonium, quòd in corporibus nostris intrò subiens meatus oblinat, ac humidorū prohibeat effluxus. Atque ego quidem quomodo hæc consonent, nescio. Si enim humorum effluxus prohiberet oleum, haudquaquam siccum dicendum foret; ac proinde frustra id tanquam desiccans in frictioni- E bus repudiat. Falli præterea in hoc mihi videtur, quòd similiter affici putet tum ea quæ in illo coquuntur, tum eos qui fricantur. Nec enim eadem agere dixerim oleum calidum, frigidum, temperatum tepidum, aut feruens, sicut nec aquā ipsam. Apparet enim & ipsam, si frigida applicetur, condensare, constipare, contrahere, constringereque & repellere, sicut si extremè feruida, adurere, at si temperata adhibeatur, & moderatè calida, laxare, rarefacere, fundere, digerere; porrò si nec insigniter calida, nec frigida admoueatur, sed velut quæ fontana vulgò dicitur, tunc propositorum nihil F efficiet, verùm propriam suam facultatem exeret. Sic si quis oleum expendere volet, ab omni prius liberum alieno tum calore, tum frigore ipsum efficiat, atque ita demum ad explorandum accedat, quippe quod summè frigidum fuerit, non ex sua duntaxat facultate, sed ex alienæ qualitatis excessu nonnihil in contactis operabitur, ita quoque, quod magnopere calidum; at si

at si vtroque ipsum liberans sic demum examinare voles, hoc duntaxat pacto propriam olei vim inueneris. Quapropter quum quis ex more oleo fricatur, sicut gymnastici omnes, in solo fricatur oleo, quod nimirum absque omni sit aliena qualitate; at si admodum excalefacto, aut summè vtatur refrigerato, iam compositam edi actionem necesse est, nempe ex propria olei facultate, & aliena qualitate. Sæpe verò propriam cuiusque medicamenti facultatem obscurari necesse est, vbi valentem aliunde qualitatem asciuerit. Itaque quî simile fuerit herbas in oleo feruente coquere, ac exercitantium corpora fricare? maximè siquidem, vti supra ostendimus, extrinsecus ductas probationes fugere oportet, quum liceat nimirum propriam cuique adhibere experientiam. Quòd si quando tamen id quispiam facere volet, certè similia comparare conabitur, sicut in coriis faciebat, & loris, nec enim quispiam oleo in igne præcalefacto, neque in niue refrigerato, sed obuio quoque accepto corium ac lora confricat. Ità puto, & pædotribæ factitant, quolibet obuio oleo pueros fricantes, neutiquam aut in igne excalefacto, aut in niue refrigerato. Alioqui sanè & nos non rarò caput ardore grauatum olei admodum frigidi perfusione refrigerauimus. Porrò si salis nihil oleo sit inditum, tantò magis refrigerabit. Sin etiam crudum fuerit, multò profectò etiam amplius.

CAPVT VII.

Quomodo frigidum paremus oleum.

PORrò præparare illud solemus non aliter atque aquam, nempe prius excalefacientes, ac deinde aqua mergentes summè frigida. At si etiam fons in ipsum cum strepitu decidat, vasculo nimirum, cui inest oleum, antè diligenter occluso, magis quoque ac magis ita reddetur frigidum. Multum item frigefeceris, si præcalefactũ in puteum ita demittas, vt aquam contingat: quanquam quod aquam nondum tangit, frigidum item euaserit, sed minus. Atque hoc pacto præparando, frigidum reddimus oleum; contrario autem modo calidum. Quo sanè modo etiam vtimur in refrigeratis corporibus, in alueum olei calidi dimittentes, quibus pars quæpiam obstupuit, aut tremuli sunt, aut conuulsione, aut palpitatione tentantur, aut motu sensuve priuantur, aut etiam ægrè sentire possunt, aut eiusmodi quippiam perpessos. Ergo siquis ex vniuerso vsu de medicamentorum facultate pronunciet, putabit, nunquid excalefacere, & refrigerare, tum exiccare, & humectare nos oleum queat, velut Dioclis Archidamus, siquidem pugnantias non animaduertat. Nam quum exiccari, & fragilia effici, quæ in oleo coquuntur dicit, exsiccantem & digerentem eius facultatem ostendit. At vbi intrò in coria subire, porosque nostros oblinere, ac naturales humorum effluxus prohibere, rursum sanè maximè contrariam eius facultatem demonstrat tum digerentibus, tũ exiccantibus, atq; in istis vel adhuc quæ apparent proferens, de illis nõ rectè ratiocinatur. At vbi de mordicatione agitur, nõ ea omnia commemorat. Nã quòd oculos mordicet, quòd guttur exasperet, siue ad tussim prouocet, quòd vẽtrẽ radat, atq; deiectiones sanguinolẽtas efficiat, abũdè magna testimonia sunt mordacẽ illi inesse facultatẽ.

A οὕτως δὲ καὶ τὸ θερμὸν ἱκανῶς. εἰ δ' ἀμφοτέρων ἔξω καταστήσας αὐτὸ βασανίζειν ἐθέλοις, ἐξευρήσεις ἂν οὕτως μόνως τὴν οἰκείαν ἐλαίου δύναμιν. ὥσθ' ὅτε μὲν ἐλαίῳ συνήθως τρίβεταί τις, ὥσπερ οἱ γυμναστικοὶ πάντες, ἐν ἐλαίῳ μόνῳ τρίβεται, πάσης ἄνωθεν τῆς ποιότητος ἔξωθεν. ὅταν δ' ἤτοι ζέον, ἢ θερμὸν ἱκανῶς ἐργασάμενος, ἢ καὶ ψυχρὸν ἐσχάτως αὐτὸ, χρῷτο τηνικαῦτα, σύνθετον ἀνάγκη γίνεσθαι τὴν ἐνέργειαν, ἔκ τε τῆς οἰκείας ἐλαίου δυνάμεως, καὶ τῆς ἐπικτήτου ποιότητος. καὶ πολλάκις δὲ κατακρύπτεσθαι τελέως ἀναγκαῖόν ἐστιν τὴν οἰκείαν δύναμιν ἑκάστου τῶν φαρμάκων, ὅταν ἰσχυρὰν πάνυ προσλάβῃ τὴν ἔξωθεν ποιότητα.
B τί τοίνυν ὅμοιον, ἢ ἕψειν ἐν ἐλαίῳ ζέοντι βοτάνας, ἢ τὰ τῶν γυμναζομένων ἀνατρίβειν σώματα; μάλιστα μὲν γὰρ, ὡς καὶ πρόσθεν ἐπιδέδεικται, φεύγειν χρὴ τὰς ἀπὸ τῶν ἔξωθεν πίστεις, ἔχοντάς γε τὴν οἰκείαν ἑκάστῳ προσφέρειν πεῖραν. εἰ δ' ἄρα ποτὲ, καὶ τοῦτο πράττειν ἐθελήσειέ τις, ἀλλ' ὅμοιά γε παραβάλλειν πειρᾶσθαι, καθάπερ ἐπὶ τῶν βυρσῶν ἐποίησεν, καὶ τῶν ἱμάντων. οὔτε γὰρ προθερμήνας ἔλαιον, οὔτ' ἐν χιόνι προψύξας οὐδεὶς, ἀλλὰ τὸ ἐπιτυχὸν ἕκαστος λαμβάνων, ἱμάντας ἀνατρίβει, καὶ βύρσας. ὥσπερ, οἶμαι, καὶ τοὺς παῖδας οἱ παιδοτρίβαι, κατὰ τὸ ἐπιτυχὸν ἔλαιον ἀνατρίβουσιν, οὔτε προθερμήναντες ἐπὶ πυρὸς,
C οὔτε προψύξαντες ἐπὶ χιόνος. ἐπεί τοι καὶ ἡμεῖς οὐκ ὀλιγάκις ἐγκαιομένην κεφαλὴν ἐλαίῳ πάνυ ψυχρῷ καταντλήσαντες, ἐνεψύξαμεν. εἰ δὲ μηδ' ἁλῶν ἔχοι τοὔλαιον, ἔτι καὶ μᾶλλον ἐμψύξει. εἰ δὲ καὶ ὠμοτριβὲς εἴη, πολὺ δὴ καὶ μᾶλλον ἔτι.

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Πῶς ἂν ψυχρὸν σκευάζωμεν ἔλαιον.

ΣΚευάζομεν δὲ καὶ τοῦτο παραπλησίως τῷ ὕδατι, θερμήναντες γὰρ αὐτὸ πρότερον, οὕτως ἐνιστῶμεν ἀκραιφνεῖ ψυχρῷ.
D εἰ δὲ καὶ κρουνὸς ὑπερκείμενος ἐπ' αὐτῷ καταρράττων εἴη, περιεστεγνωμένου δηλονότι τοῦ περιέχοντος ἀγγείου τοὔλαιον, ἔτι καὶ μᾶλλον ἂν οὕτω ψυχρότερον ἐργασθείη. ψυχρὸν δ' ἱκανῶς γίνεται, κἀπειδὰν προθερμανθὲν ἐν φρέατι κρεμασθὲν ψαύῃ τοῦ ὕδατος. γίνεται μὲν γὰρ καὶ τὸ μὴ ψαῦον ψυχρὸν, ἀλλ' ἧττον. αἱ μὲν δὴ τοιαῦται παρασκευαὶ, ψυχρὸν ἀποδεικνύουσι τοὔλαιον, αἱ δ' ἐναντίαι θερμόν. χρώμεθα δὲ κἀκείναις, ἐπὶ τῶν κατεψυγμένων σωμάτων, εἰς δεξαμενὴν ἐμβιβάζοντες ἐλαίου θερμοῦ τοὺς ἀπονεναρκωμένους τι μέρος, ἢ τρομώδεις, ἢ σπασμώδεις, ἢ παλμώδεις, ἢ ἀκινήτους, ἢ ἀναισθήτους, ἢ δυσαισθήτους, ἢ τι τοιοῦτον
E ἕτερον πάσχοντας. εἴ τις τοίνυν ἐξ ἁπάσης χρήσεως ἀποφαίνοιτο περὶ τῆς τῶν φαρμάκων δυνάμεως, οὐκ ἂν φθάνοι καὶ θερμαντικὸν ἡμῶν καὶ ψυκτικὸν οἰόμενος εἶναι τοὔλαιον, ὑγραντικόν τε καὶ ξηραντικὸν, ὥσπερ καὶ ὁ τοῦ Διοκλέους Ἀρχίδαμος, εἰ καὶ μὴ παρακολουθεῖ ταῖς ἐναντιολογίαις. ὅταν μὲν γὰρ ξηραίνεσθαι, καὶ κραῦρα γίνεσθαι λέγῃ τὰ ἐν τῷ ἐλαίῳ ἑψόμενα, ξηραντικήν τινα καὶ διαφορητικὴν ἐπιδείκνυσιν αὐτοῦ τὴν δύναμιν. ὅταν δ' εἴσω τῶν βυρσῶν δύεσθαι, καὶ τοὺς ἡμετέρους ἐμπλάττειν πόρους, καὶ κωλύειν τὰς φυσικὰς τῶν ὑγρῶν ἐκροὰς, ἐναντιωτάτην δήπου πάλιν ἐκ τούτων ἐπιδείκνυσι τὴν δύναμιν αὐτοῦ, τοῖς διαφοροῦσί τε
F καὶ ξηραίνουσιν. ἀλλ' ἐν τούτοις μὲν ἔτι, τὰ γοῦν φαινόμενα λέγων, οὐκ ὀρθῶς ὑπ' αὐτῶν συλλογίζεται. κατὰ δὲ τὸν περὶ τῆς δήξεως αὐτοῦ λόγον, οὐδὲ ταῦτα διέρχεται πάντα. τὸ μὲν γὰρ τοὺς ὀφθαλμοὺς δάκνειν, καὶ κερχνώδη τὴν φάρυγγα ποιεῖν, καὶ καταξύειν τὴν γαστέρα, καὶ τὰς διαχωρήσεις αἱματώδεις ἐπιφέρειν, ἱκανὰ μαρτύρια τοῦ δακνώδη δύναμιν ὑπάρχειν αὐτῷ.

ὃ δὲ καὶ τοῖς ἕλκεσιν ἀνώδυνον εἶναι, καὶ τὰς τῆς γαστρὸς δήξεις, ἐπιβρεχόμενόν τε καὶ ἐνιέμενον πάντως ἰᾶσθαι, καὶ τοὺς ἀπὸ τῶν ὀδαξισμῶν ἐρεθισμοὺς πραΰνειν, οὐ σμικρὰ πάλιν, οὐδ᾽ αὐτὰ τῆς ἐναντίας αὐτοῦ δυνάμεως γνωρίσματα, παραλέλειπται τελέως. Εἰ δ᾽ ἀμφοτέρων λεχθέντων ἐφεξῆς ἐθέλοι τις συλλογίσασθαι δυοῖν θάτερον, ἢ ὡς ἐμπειρικὸς ἐν τῷ πρός τι φήσει τὴν δύναμιν ἑκάστου τῶν φαρμάκων ἐξ ἐμπειρίας γινώσκειν, αὐτοῦ δὲ καθ᾽ ἑαυτὸ τὴν οἰκείαν φύσιν ἀγνοεῖν. ἢ ὡς λογικὸς τὰς ἐναντίας δυνάμεις ὑπάρχειν ταὐτῷ φαρμάκῳ, δακνώδη τε καὶ πραϋντικήν, εἶτ᾽ οἶμαι μεγίστην ἀπορίαν ἕξει τὴν αἰτίαν ἀποδιδοὺς, τοῦ ποτὲ μὲν τὴν ἑτέραν αὐτῶν ἐνεργεῖν αἰσθητῶς, ποτὲ δὲ τὴν ἑτέραν, ἢ ἀπολωλυίας, ἢ μὴ σαφῶς γε φαινομένης τῆς ἑτέρας. Εἰσὶ δὲ τῶν τοιούτων ἁπασῶν ἀποριῶν αἱ λύσεις, εἰ μὲν ὡς φυσικὰ προβλήματα προβάλλοιντο, παγχάλεποί τινες. εἰ δ᾽ ὡς πρὸς τὴν χρείαν τῆς τέχνης ἀναφέροιντο, πείρας μὲν πολλῆς, ἐπιλογισμῶν δὲ, οὐ πολλῶν μὲν, ἀκριβῶν δὲ καὶ διωρισμένων δεόμεναι. πρῶτον μὲν γὰρ, εἰ πᾶν ἔλαιον τοῖς ὀφθαλμοῖς δακνῶδές ἐστιν, ἢ μὴ, τῇ πείρᾳ διορίσασθαι βέλτιον, οὐκ αὐτοσχεδιάζειν, ὥσπερ ῥήτορας ἐπιχειροῦντας εἰς ἑκάτερον. Εἶθ᾽ ἑξῆς, εἰ πᾶν ὁμοίως κερχνῶδες, ἢ γαστρὸς ὑπαγωγὸν, ἢ καταξύον αὐτὴν, ὡς αἱματώδεις ἐνίοτε κινεῖν ἐκκρίσεις, ἢ τὸ μέν τι ποιεῖ τῶν ἐλαίων ταῦτα, τὸ δ᾽ οὐ ποιεῖ, καὶ τὸ μὲν μᾶλλον, τὸ δ᾽ ἧττον. ἐλαίου δὲ διαφορὰς λέγω νῦν, οὐχ ὡς ἄν τις ὑπονοήσῃ τὰς ἑτερογενεῖς, οἷον τοῦ κικίνου τε, καὶ ῥαφανίνου, καὶ καρυΐνου, καὶ βαλανίνου, καὶ τῶν ὁμοίων. εἰδέναι μὲν γὰρ χρὴ, καὶ τὰς τούτων δυνάμεις τὸν ἰατρόν. ἀλλ᾽ οὐκ ἔν γε τῷ παρόντι προσήκει μνημονεύειν αὐτῶν. ἀρκεῖ γὰρ, οἶμαι, τήν γε πρώτην, αὐτὸ τὸ κυριώτατον, καὶ μάλιστα τὸ ὑπὸ πάντων ἀνθρώπων ὀνομαζόμενον ἔλαιον ἐπισκέψασθαι. καὶ γὰρ ὁ καρπὸς ἐξ οὗ γίνεται τοῦτο, μόνος τῶν ἄλλων ἐλαία, καὶ τὸ δένδρον ἐλαία προσαγορεύεται. καὶ τοῦτο μὲν ἔλαιον ἁπλῶς γε, καὶ πρώτως ὀνομάζεται. τὰ δ᾽ ἄλλα πάντα, κατὰ μεταφοράν τινα, καὶ κατάχρησιν.

A At quòd vlcera dolore liberet, & ventris mordicationes, aut irrigatum, aut infusum omninò sanet, quique dentium prurigine irritantur, mitiget; quum & ipsa non parua sint contrariæ ipsius facultatis indicia, planè omissa sunt. Cæterùm si vtrisque propositis quis ratiocinari volet, duorum alterum eueniet: Aut enim id faciet, vt Empiricus, dicetque se in collatione ad aliquid cuiusque medicamenti facultatem per experientiam cognoscere, ipsius autem per se propriam ignorare naturam, aut vt rationalis, contrarias inesse medicamento facultates, & mordicantem, & lenientem; B ac deinde ingenti tenebitur anxietate causam dicturus, cur interim altera earum agat sensibiliter, interim alterâ aut perditâ aut non clarè apparente. Quarum omnium dubitationum solutiones, si quidem, vt physica proponantur problemata, sanè quàm difficiles sunt, sin vt ad vsum referantur artis, multam requirunt experientiam, epilogismos autem non ita multos, sed exactos ac definitos. Nam primùm, an omne oleum oculis mordax sit, necne, experientia incunctanter definire præstat, haudquaquam ex tempore in vtramque partem rhetorum more disserere: tum an omne æquè guttur exasperet, aut ventrem subducat, aut radat, C vt nonnunquam cruentas moueat excretiones, an oleorum hoc quidem hæc faciat, illud verò non, & aliud magis, aliud minus. Olei differentias nunc dico non eas (vt quispiam suspicaretur) quæ sunt heterogeneæ sicut cicini, rhaphanini, caryini, balanini, ac similium, nam & horum vires medicus norit oportet, sed in præsentia eas memorare non expedit. Satis est enim mea quidem sententia, principio propriissimum, & quod maximè ab omnibus hominibus vocatur oleum, considerasse: quando & ipse fructus ex quo fit oleum, solus ex omnibus oliua nuncupetur, & arbor olea D (græcè vtrunque ἐλαία vocatur, ipsum oleum ἔλαιον) ipsumque simpliciter, ac primario oleum dicitur, at reliqua omnia per translationem & abusum.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν διαφορῶν τοῦ κυρίως λεγομένου ἐλαίου.

Αὐτοῦ δή φημι τοῦ κυρίως προσαγορευομένου ἐλαίου, περὶ οὗ τὸν σύμπαντα λόγον ἐν τῷ παρόντι ποιούμεθα, πλείους εἶναι τὰς διαφορὰς, κατὰ μὲν τὴν ἡλικίαν, ὅταν ἤτοι πρόσφατόν ἐστιν, καὶ οἷον γλεῦκος, ἢ ἀκμάζον, ἢ παλαιὸν ὑπάρχῃ. κατὰ δὲ τὸν τρόπον τῆς σκευασίας, ὅταν ἤτοι ψιλὸν ᾖ, καὶ ἁπλοῦν, καὶ μόνον, ἢ μεθ᾽ ἁλῶν γεγονός. κατὰ δὲ τὴν ἐν αὐτῷ τῷ καρπῷ διαφορὰν, ὅταν ἤτοι πέπειρος, ἢ ὠμὸς ὑπάρχῃ. κατὰ δὲ τὴν ἐξ ἐπιτεχνήσεως ἀλλοίωσιν, ὅταν ἤτοι φυλάττηται τοιοῦτον, οἷον ἐξ ἀρχῆς ἔτυχε σκευασθὲν, ἢ ἐλευκάνθη. γέγραπται δὲ ὑπὲρ τῆς λευκάνσεως αὐτοῦ, καὶ ἄλλοις μὲν οὐκ ὀλίγοις, εἰρήσεται δὲ καὶ πρὸς ἡμῶν ἐν τοῖς ἐφεξῆς. τούτων ἁπάντων τῶν ἐλαίων, αὐτὸς ἐγὼ ἐσπούδασα πειραθῆναι τῆς δυνάμεως. καὶ τί μὲν ἐφ᾽ ἑκάστῳ ἐφώρασα, μετὰ ταῦτα διηγήσομαι. νυνὶ δὲ τέλος ἐπιθεῖναι βούλομαι πρότερον, οἷς ἐνεστησάμην. οὐκ ὀρθῶς γὰρ δοκοῦσιν οἱ πλεῖστοι τῶν ἰατρῶν, οὔτε πειραθῆναι φαρμάκων, οὔτε συλλογίζεσθαι περὶ τῆς δυνάμεως αὐτῶν.

CAPVT VIII.

De differentiis propriè vocati olei.

HVius sanè quod propriè oleum appellant, de quo omnis in præsenti sermo habetur, plures dico esse differentias. Secundum ætatem quidem, quum aut recens est, & velut mustum, E aut ætate vigente, aut vetus. Secundum præparandi modum, quum aut simplex solumque & impermixtum fuerit, aut cum sale præparatum. Secundum fructus ipsius diuersitatem, quum is aut immaturus, aut maturus extiterit. Secundum inductam arte alterationem, quum aut quomodo ab initio præparatum fuit, ita seruatur, aut candidum efficitur. Scriptum verò est de eius dealbatione, & ab aliis non paucis, & nos quoque in sequentibus trademus. Horum omnium oleorum facultates ipse quidem experiri studui: quid autem in quoque fieri deprehenderim, postea F exponam. At nunc absoluere statui primum quod erat in manibus. Perperam enim mihi videntur medicorum plerique tum experiri medicamenta, tum de viribus eorum ratiocinari.

A

CAPVT IX.

Quomodo cuiusque medicamenti facultatem experiri oporteat.

QVippe quum experiri solum oporteat quæ impermixta sunt, & ab omni extranea qualitate aliena, eaque primum in optima corporis constitutione, deinde in intemperatis, demum in morbis simplicibus: sicut in libro hunc antecedente, & in tertio de Temperamentis definitum est; ratiocinari verò id quod ex accidente est, semper ab eo quod per se est, distinguentem.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Πῶς δὲ τίνα τρόπον χρὴ πειρᾶσθαι τῆς ἑκάστου τῶν φαρμάκων δυνάμεως.

Πειρᾶσθαι μὲν γὰρ χρὴ μόνων τῶν ἀμίκτων, καὶ ἔξω πάσης ἐπικτήτου ποιότητος. ἐπὶ μὲν γὰρ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος πρῶτον, ἐφεξῆς δὲ κἀπὶ τῶν δυσκράτων, εἶθ' οὕτως ἐπὶ τῶν ἁπλῶν νοσημάτων, ὡς ἔν τε τῷ πρὸ τούτου λόγῳ, κἂν τῷ τρίτῳ περὶ κράσεως διήρηται. συλλογίζεσθαι δὲ τὸ κατὰ συμβεβηκὸς ἀεὶ διορίζοντας, τοῦ πρώτως τε

B

καὶ καθ' αὑτό.

CAPVT X.

Quod non solum in explorandis medicamentis medici hallucinentur, sed etiam in opinionibus quas habent de affectibus.

AT nonnulli medicorum non in istis modò hallucinantur, verùm etiam in opinionibus, quas habent de affectibus. Nam oleum quòd lassitudinibus remedio sit omnes propemodum fatentur: cæterùm quis affectus sit lassitudo, non consentiunt. Hic enim articulorum esse ait siccitatem, ex motionibus desiccatorum. Alter & musculorum, adiicit. Alius porrò contraquam hi, humiditatem multam, & tensionem, & caliditatem, fluxione nimirum partibus vehementer agitatis affusa. Alius non humorum multitudinem, sed qualitatem solam causatur, prouenire inquiens in motionibus immoderatis pinguedinis carnisque teneræ colliquationes quasdam, quarum pars foràs transpiret, pars verò retineatur in corpore, & hoc, quum acre mordaxque sit, affectionem efficere veluti vlcerosam. Itaque etiam si in hoc consentiamus, quòd lassitudines sanet oleum, attamen ob ancipitem atque ambiguum corporis affectum, nihil queat certi de olei facultate colligi. Atque id sanè non tantum in lassitudine vsu venit, verùm etiam vbi doloris causa, aut mordicationis, aut phlegmones gratia, bibendum oleum exhibemus, aut per sedem infundimus, aut itidem perfundimus. Siquidem vlceribus phlegmone affectis non solum, sed & cum aqua moderatè calida perfundimus: vt in lassitudinibus cum lauacro aquæ dulcis. Sed nec quæ sit in phlegmone affectio, consentiunt. Porrò vbi per sedẽ ipsum ingerimus, aut bibendum offerimus, ne tunc quidem cognoscimus euidẽter, cuinã corpori ipsum applicemus, an pituitæ, an bilis, an aliorum aliquorum excrementorum pleno. Constat enim non perinde hominem affecturum, vbi pituitæ viscosæ intestinum omne simul cum ventre plenum offendet, atque vbi biliosis excremẽtis refertum, aut aliis quibusdam acribus humoribus, aut stercore multo, aut horum quidem nullo, sed incidat in ventrem, intestináque vndequaque pura, aut præterquam quòd pura etiam exasperata reperiat.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ὅτι οὐ μόνον περὶ τὴν δοκιμασίαν τῶν φαρμάκων ἐσφάλησαν οἱ ἰατροί, ἀλλὰ καὶ περὶ τὰς τῶν παθῶν δόξας.

Σφάλλονται δ' ἔνιοι τῶν ἰατρῶν οὐ περὶ ταῦτα μόνον, ἀλλὰ κἂν ταῖς περὶ τῶν παθημάτων δόξαις. αὐτίκα τοὔλαιον, ὅτι μὲν ἴαμα κόπων ἐστὶν, ἅπαντες σχεδὸν ὁμολογοῦσιν. ὁποῖον δέ τι πάθος ὁ κόπος ἐστὶν, οὐκέτι ὁμοδοξοῦσιν. ὁ μὲν γάρ τις ξηρό-

C

τητα τῶν ἄρθρων εἶναί φησιν, ἐξικμασθέντων ἐν ταῖς κινήσεσιν, ὁ δέ τις, καὶ τῶν μυῶν, προστίθησιν. ἕτερος δέ τις, ἔμπαλιν τούτοις ὑγρότητα πολλὴν, καὶ τάσιν, καὶ θερμασίαν, ἐπελθόντος γε ῥεύματος τοῖς σφοδρῶς κινηθεῖσι μέρεσιν. ἄλλος δὲ, οὐ πλῆθος ὑγρῶν, ἀλλὰ ποιότητα μόνην αἰτιᾶται, συντήξεις τινὰς φάμενος ἐν ταῖς ἀμετροτέραις κινήσεσιν γίγνεσθαι, πιμελῆς τε ἅμα καὶ σαρκὸς ἁπαλῆς, ὧν μέρος μέντοι διαπνεῖσθαι εἰς τοὐκτὸς, μέρος δ' ἴσχεσθαι κατὰ τὸ σῶμα, καὶ τοῦτο δριμὺ, καὶ δακνῶδες ὑπάρχον, τὴν οἷον ἑλκώδη διάθεσιν ἐργάζεσθαι. ὥστ' εἰ καὶ τὸ θεραπεύεσθαι τοὺς κόπους ὑπὸ τοῦ ἐλαίου συμφωνεῖται, τό γε

D

τῆς διαθέσεως τοῦ σώματος ἀμφισβητούμενον, οὐδὲν ἐᾷ συλλογίζεσθαι βέβαιον περὶ ἐλαίου δυνάμεως. οὐ μόνον δὲ ἐπὶ κόπου τοῦτο συμβέβηκεν, ἀλλὰ κἀπειδὰν ἀλγήματος ἕνεκεν, ἢ δήξεως, ἢ φλεγμονῆς ἔλαιον ποτίζωμεν, ἢ δι' ἕδρας ἐγχέωμεν, ἢ καταντλῶμεν. ἐπὶ μὲν γὰρ τῶν φλεγμαινόντων ἑλκῶν οὐ μόνον, ἀλλὰ μεθ' ὕδατος αὐτὸ συμμέτρως θερμοῦ καταχέομεν, ὥσπερ ἐν τοῖς κόποις ἅμα τοῖς διὰ τῶν γλυκέων ὑδάτων λουτροῖς. ὁμολογεῖται δ' οὐδ' ἐπὶ τῆς φλεγμονῆς, ἡ διάθεσις ὁποία τίς ἐστιν. ἐνιέντες δὲ διὰ τῆς ἕδρας, ἢ ποτίζοντες, οὐδ' οὕτω οὐδὲ τότε γινώσκομεν ἐναργῶς ὁποίῳ τινὶ σώματι προσ-

E

φέρομεν αὐτὸ, πότερα φλέγματος, ἢ χολῆς, ἢ τινων ἄλλων περιττωμάτων μεστῷ. δῆλον γὰρ, ὡς οὐχ ὁμοίως διατεθήσεται ὁ ἄνθρωπος, ἐπειδὰν φλέγματος γλίσχρου μεστὸν εὕρῃ τὸ ἔντερον ἅπαν, ἅμα τῇ γαστρὶ, κἀπειδὰν χολωδῶν περιττωμάτων, ἢ τινων ἄλλων δριμέων χυμῶν, ἢ κόπρου πολλῆς, ἢ τούτων μὲν μηδενὸς, καθαρᾷ δ' ἀκριβῶς ἐπιτύχῃ τῆς τε γαστρὸς ἁπάσης, καὶ τῶν ἐντέρων, ἢ πρὸς τῷ καθαρὸν εἶναι τοῦτο, καὶ τετραχυσμένον ὑπάρχῃ.

CAPVT XI.

F

Quòd & qui probè de olei facultate ratiocinetur, debeat etiam affectionem hominis æstimare, & de ipso oleo quale sit præfinire.

ITaque negligenter admodum & segniter de his omnibus medicorum plerique ratiocinantur, haud indicantes nec quo pacto affecto homini

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι εἰ μέλλει τις καλῶς συλλογίζεσθαι περὶ τῆς τοῦ ἐλαίου δυνάμεως, ὀφείλει καὶ περὶ τῆς διαθέσεως ἀνθρώπου τὴν δοκιμασίαν ποιεῖσθαι. προσδιορίσασθαι δὲ καὶ περὶ αὐτοῦ τοῦ ἐλαίου ὁποῖόν ἐστιν εἰπεῖν.

Ἀμελῶς οὖν πάνυ, καὶ ῥαθύμως ὑπὲρ ἁπάντων τούτων οἱ πολλοὶ τῶν ἰατρῶν συλλογίζονται, μηδ' ὅπως ἔχοντι τῷ ἀνθρώπῳ

δίδοται τοὔλαιον εἰπόντες, ἀλλὰ μηδ' ὁποῖον αὐτό· κἄπειτα φάσκοντες, οἱ μὲν δάκνειν καὶ ξύειν πάντως τὰ ἐντὸς, οἱ δὲ καὶ εἴ τις αὖ εἴη δῆξις ἤδη προϋπάρχουσα, καὶ ταύτην πραΰνειν. οὐ γὰρ σμικρὸν δήπου διήνεγκεν, ἢ τὸ παντάπασιν ἄναλον ὀνομαζόμενόν τε, καὶ ὄντως ὑπάρχον ἔλαιον εἰς φλεγματώδη κοιλίαν ἐμβαλεῖν, ἢ τὸ πλείστων ἁλῶν μετέχον, εἰς καθαράν. ἄμφω μὲν γὰρ λαπάξει τὴν γαστέρα, διαφερούσαις μέντοι ταῖς δυνάμεσιν. τὸ μὲν γὰρ ἄναλον, ἐν φλεγματώδει διὰ τὸ ὄλισθον, ὁμοίως μαλάχαις τε, καὶ βλίτοις, καὶ μόροις. τὸ δὲ ἡλισμένον ἐν καθαρᾷ, διὰ τὴν δριμύτητα παραπλησίως ἅλμῃ καὶ θαλάττῃ. καὶ δὴ καὶ ξύσει μὲν τοῦτο, θάτερον δ' οὐ ξύσει. μή τοίνυν μήτε ξύειν ἁπλῶς λέγομεν τοὔλαιον πάντως τὰ ἐντὸς, ἢ διαχωρήματα ποιεῖν αἱματώδη, μήτε πραΰνειν δήξεις, ἀλλὰ τὸ μὲν ἁλῶδες, ἐν καθαρᾷ ξύειν, τὸ δ' ἄναλον, ἐν φλεγματώδει μὴ ξύειν.

A oleum exhibeant, ne qualénam ipsum. Ac mox tamen dicunt alij mordicare & radere prorsum partes corporis internas: alij verò etiam si præfuerit mordicatio, & hanc lenire. Nec enim parum interest, an iniiciatur in ventrem pituita scatentem oleum expers salis & quod re vera oleum est, an quod plurimum accepit salis, in ventrem purum. Vtrunque enim aluum subducit, diuersis tamen facultatibus. Nempe illud quod sale vacabat in pituitoso ventre per lubricitatem, simili modo cum maluis, blitis, moris; quod verò salem habet, in puro per acrimoniam, perinde vt muria, & marina aqua. Et sanè hoc quidem
B radet, alterum non radet. Ergo nec absolutè oleum quoduis interna omninò radere diximus, aut deiectiones moliri cruentas, neque mordicationes lenire, verùm id cui sal est inditus, in puro ventre radere; cui autem non, in pituitoso non radere.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὅτι καὶ τὰ ἁλμώδη, καὶ δριμέα κατὰ συμβεβηκὸς ἰᾶταί ποτε δῆξιν, ἅμ' ἑαυτοῖς συνεξάγοντα τὸ δάκνον. καὶ τὰ γλυκέα, καὶ ἐπικεραστικὰ παροξύνει πάλιν τὴν δῆξιν κατὰ συμβεβηκὸς, τὸ συνδιαφθείρεσθαι, καὶ τρέφειν τὴν κακοχυμίαν.

Ἐνίοτε δὲ κατὰ συμβεβηκὸς ἰᾶσαι αἱ δήξεις τὸ ἁλμῶδες, ὥσπερ καὶ τὸ μελίκρατον, καὶ ἅλμη, καὶ γάλακτος ὀρρός. συνεξάγονται γὰρ σὺν αὐτοῖς ἐνίοτε ταῦτα τὸν τὴν δῆξιν ἐργαζόμενον χυμὸν, ἴαμά τε γίγνεται δήξεως, ὁμοίως τοῖς ἄλλοις ἅπασιν, τοῖς ἀποπλύνουσί τε, καὶ ῥύπτουσιν. ἀλλὰ μετὰ τὴν ἔνεσιν, οὐχ ὅπως παύει τὰ τοιαῦτα φάρμακα τὴν δῆξιν εὐθὺς, ἀλλὰ καὶ προσπαροξύνει. τῷ γὰρ τῆς κενώσεως λόγῳ τὴν ἴασιν, οὐ τῷ τῆς ἐπικράσεως, ἐργάζεται. κηρωτὴ μέντοι πολλάκις ἐνεθεῖσα διὰ ῥοδίνου, καὶ στέατος, ἢ πιμελῆς, ἐν τῷ παραχρῆμα τὰς δήξεις ἰάσατο τῷ τῆς ἐπικράσεως λόγῳ. καὶ μὲν δὴ καὶ ἔλαιον αὐτὸ μόνον γλυκύτατον, τοῦτο πολλάκις ἔδρασεν, ὥσπερ οὖν καὶ στέαρ τράγου, ἢ χόνδρου χυλὸς, ἢ κηρωτὴ δι' ἐλαίου γλυκέος. ἡμεῖς δὲ καὶ τοῖς διά τινα ψύξιν ἀλγοῦσι τὰ ἐντὸς, ἐνιέντες ἐλαίου θερμοῦ, παραχρῆμα πολλάκις ἀνωδύνους εἰργασάμεθα. καὶ εἰ μείζονα δὲ τὴν ψύξιν εἶναι στοχαζόμεθα, προσεπιβάλλομεν ἄνηθον, θερμαίνοντες τοὔλαιον, εἰ δ' ἔτι μείζονα, καὶ πήγανον, καὶ ἄσφαλτον. τοιαῦτα οὖν ἅπαντα τοῖς πολλοῖς τῶν ἰατρῶν, οὐκ εἰδόσιν οὔτε τὴν ὑπὸ δυσκρασίας γινομένην ὀδύνην διορίσασθαι τῆς ὑπὸ κακοχυμίας, οὐδ' ὅτι τῶν ἐνιεμένων φαρμάκων ὀδύνης ἕνεκα, τὸ μὲν τῷ θερμαίνειν, τὸ κατεψυγμένον μόριον ἰᾶται, τὸ δὲ, τῷ κενοῦν τὸν δάκνοντα χυμὸν, τὸ δὲ, τῷ κατακεραννύναι. πολλάκις δὲ καὶ μικταὶ γίνονται διαθέσεις, ἔκ δυσκρασίας τε ἅμα, καὶ δήξεως, ἐφ' ὧν ἡμεῖς εἰώθαμεν ἀνήθινον, ἢ πηγάνινον ἔλαιον ἐγχεῖν, ἐναποτήξαντες αὐτῷ χήνειον στέαρ. εἰ δὲ μὴ παρείη τοῦτο, τὸ γοῦν ὀρνίθειον. εἰ δὲ μηδὲ τοῦτο, τῶν ἄλλων τι. μηδενὸς δὲ παρόντος τούτων, ἀδήκτου μίγνυμεν κηροῦ, καλῶ δ' οὕτως τὸν πεπλυμένον, ἢ καὶ νὴ Δία, τοὔλαιον αὐτὸ τὸ λελευκασμένον ἐγχεόμενον. ἀνάλογον γάρ ἐστιν ἀδήκτῳ κηρῷ, καὶ τοῦτο. προπετὴς οὖν ἀπόφασίς ἐστι, καὶ ἀδιόριστος, ἥ τε τῶν δακνῶδες ἐν παντὶ καιρῷ πᾶν ἔλαιον,

CAPVT XII.

Quod salsuginosa, & acria ex accidente quandoque morsui medeantur, nempe secum quod mordicat educentia. Dulcia verò & epicerastica, contrà morsum etiam aliquando ex accidente exasperant;
C *nimirum quum vnà corrumpantur, & foueant alántque cacochymiam.*

Nonnunquam verò mordicationes ex accidente quod salsuginosum est, sanauerit, velut & melicratum, salsugo, serum lactis. Educunt enim secum hæc nonnũquam succum mordicationem facientem, ac mordacitatis reddũtur medela, perinde vt cætera omnia quæ abluunt, & abstergunt. Sed non statim vbi immissa sunt hoc genus medicamenta, morsum sanant, quin potius tunc etiã exasperant; siquidẽ euacuationis, haud mixtionis ratione, sanationem moliuntur. Quippe ceratum ex
D rosaceo, & adipe aut pinguedine infusum sæpenumero morsibus continuò succurrit idq; temperationis ratione; sed & oleum ipsum solùm, sed dulcissimum, id frequenter præstitit: sicut certè etiam adeps hirci, aut succus chondri, aut ceratũ ex oleo dulci. Nos autem sæpenumero quibus ex frigore interna dolore torquebantur, ingesto oleo calido, dolore mox liberauimus; ac si maius esse frigus cõijciebamus, addidimus & anethum, oleum excalefacientes, si verò adhuc etiam maius, rutam quoq; & bitumen. Eiusmodi igitur auxilia omnia quòd frigori medeantur, dolores mitigant, nõ propterea
E quòd lædentẽ humorem attemperent, aut educãt. At in idem vniuersa confusa sunt à plerisq; medicorum, qui nec norunt dolorem ab intemperie natum, ab eo qui ex cacochymia oritur distinguere: nec quòd medicamentorum, quæ doloris gratia iniiciuntur, alia excalefaciendo partem refrigeratam sanant, alia humorem mordicantem euacuando; alia temperando. Sed & subinde mixtæ existunt affectiones, ex intemperie videlicet, & mordicatione: in quibus nos consueuimus anethinum, aut rutæ oleum infundere, anserino in eo liquato adipe: is si non adsit, saltem gallinaceo, si nec
F is quoque, vel aliorum aliquo; quòd si horum nullus ad manum fuerit, ceram miscemus mordacitatis expertem, voco autem sic eam quæ lota est: aut certè oleum ipsum, quod effectum est candidum, infundimus: nam id ceræ mordacitatis experti proportionale est. Temeraria itaque pronunciatio est, atque indefinita tum eorum qui oleum omni tempore mordicans astruunt, tum

tum eorum qui leniens; nam quod salem accepit, mordax est; quod autẽ eo caret, & dulce est, quod quidem ex se est, lenire potest: nã videri possit, & ipsum quandoque pro affectibus quibus applicatur, haud etiam esse eiusmodi. Vnumquodq; enim temperantium medicamentorum, vbi valentius euasit humoribus mordicantibus, morsum eorum retundit; verùm si aut valentioribus facultatibus, aut multis, paucum mixtum fuerit, vna & ipsum corrumpitur, alitque cacochymiam. Quamobrem protinus euacuandi sunt qui ab iis quæ temperandi naturam habent, irritantur, vtpotè qui multa nec facilè mobili corruptione sint repleti.

CAPVT XIII.

De lacte.

SIc sanè lac frequenter simulatque sumptum fuerit, aliis acescit, aliis in nidorem vertitur prius quam probè concoctum corruptionem temperet. In quibus vtiq; primùm maxima cacochymiæ pars euacuari debet, atque inde sumendus chondrus, & ptisana, & lac, & alia quæ vbi probè fuerint cocta, conferunt ad euchymiam. Non tamen quod ad hoc attinet, omnia existimare oportet, aut deteriores, aut contrarias in sese obtinere facultates, neque in sermone sciẽtem, eorum quæ eueniunt, partem alteram omittere, id quod fecit Archidamus in oleo. Si quidem memorabat oculos ab eo mordicari, guttur ad tussim excitari, & ventrem radi; cæterùm quòd stomachum sæpe quum valenter morderetur, oleum protinus dulcissimum epotum sanauit, & iniectũ totius ventris mordicationes leniit, & à thapsia, vrtica, & scilla in cute excitatas inunctum sedauit: eorum mentionẽ non fecit. Ego verò non ambigo, neque fidem nõ habeo iis qui aiunt, rebus propemodum omnibus multas, ac diuersas inesse facultates, quin ostensurum me id ipsum polliceor in libro sequenti. Attamen non proinde astruo, eam quæ in quoque exuperat, nõ posse cognosci; verùm si quod ex accidente est, ab eo quod per sese, distinxeris, omnia clarè cognosces. Contemplator enim vtrũque in exemplis, propositis videlicet, exempli causa, duobus hominibus, quibus similiter os ventris mordicetur, & qui pariter aut succum ptisanæ, aut chondrum, aut panem lotum sumpserint, deinde alteri mordicationem restinctam, alteri verò inauctam ponito, obsecro, nunquid succus ptisanæ, aut chõdrus, aut panis ex se mordax est, per accidens autem in altero hominum morsum non modò non inauxit, sed mitigauit, an quantùm ex se quidẽ erat mitigauit, per accidẽs verò in altero irritauit? Ego sanè ex sua natura epicerasticum esse dico succum ptisanæ, & chondrum, & panem, & per Iouem lac quoque, cæterùm in altero homine morsum auxisse, quòd properasset à corruptione superari. Atque ea vtique est (certo scio) veterum propè omnium sententia, sed & recentiorum optimi quique ita sapiunt. Verùm, si quis fuerit, quem ego nesciã (nec enim quicquam est, quod non audeat iuniorum medicorũ quidam) qui contẽdat ex sua natura corruptiones augere chondrum, panem, aut ptisanam, cæterùm in quibusdam ex accidente nimirum mitigare, is, inquam, qui talia iactabit, nullam assertionis suæ demonstrationem afferre poterit. At nos dicimus quòd si ptisana naturâ foret mali succi, haud vnquam mordicationem mitigaret.

A ἤ τε τῶν πρηγορικὸν ἀποφηναμένων. τὸ μὲν γὰρ ἁλμῶδες, δακνῶδες, τὸ δ' ἄναλον καὶ γλυκὺ, πρηγορικὸν ὅσον ἐφ' ἑαυτῷ. δόξειε γὰρ ἄν ποτε, καὶ τοῦτο παρὰ τὰς διαθέσεις αἷς προσφέρεται, μηκέτι εἶναι τοιοῦτον. ἕκαστον γὰρ τῶν ἐπικεραννύντων φαρμάκων, ἰσχυρότερον γιγνόμενον τῶν δακνόντων χυμῶν, ἀμβλύνει τὴν δῆξιν αὐτῶν. ἀλλ' ἂν ἰσχυροτέραις ταῖς δυνάμεσιν, ἢ πολλαῖς ὀλίγον ἀναμιχθῇ συνδιαφθείρεταί τε καὶ τρέφει τὴν κακοχυμίαν, ὅθεν καὶ κενοῦν δεῖ παραχρῆμα τοὺς ἐκ τῶν ἐπικεραστικῶν παροξυνομένους, ὡς ἂν πολλῆς καὶ δυσκινήτου διαφθορᾶς πεπληρωμένους.

B

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ γάλακτος.

ΟΥτως οὖν καὶ τὸ γάλα, πολλάκις ἅμα τῷ προσενεχθῆναι, τοῖς μὲν ὀξύνεται, τοῖς δὲ κνισοῦται, πρὶν καλῶς πεφθὲν, ἐπικεράσαι τὴν διαφθοράν. καὶ χρὴ τούτων πρότερον, ἐκκενώσαντας τὸ πολὺ τῆς κακοχυμίας, οὕτω προσφέρειν καὶ χόνδρον, καὶ πτισάνην, καὶ γάλα, καὶ τἄλλα ὅσα καλῶς πεφθέντα πρὸς εὐχυμίαν συντελεῖ. μὴ μέντοι μήτε τὰς χείρους, C μήτε τὰς ἐναντίας ἔχειν δυνάμεις ὅσον ἐπὶ τούτῳ νομίζειν ἅπαντα, μήτε παραλιπεῖν ἐν τοῖς λόγοις ἑκόντα τῶν γιγνομένων θάτερα, καθάπερ Ἀρχίδαμος ἐπ' ἐλαίου. τῶν μὲν δακνομένων ὀφθαλμῶν ἐμνημόνευσεν, καὶ τῆς κερχνώδους φάρυγγος, καὶ τῆς ξυομένης γαστρός. ὅτι δὲ πολλάκις καὶ στόμαχον ἰσχυρῶς δακνόμενον, ἔλαιον γλυκὺ ποθὲν ἰάσατο παραχρῆμα, καὶ τὰς καθ' ὅλην τὴν γαστέρα δήξεις ἐνεθὲν ἐπράϋνε, καὶ τὰς ἀπὸ θαψίας τε, καὶ ἀκαλήφης, καὶ σκίλλης κατὰ τὸ δέρμα γιγνομένας, ἐπαλειφθὲν ἔπαυσεν, οὐκ ἔτ' ἐμνημόνευσεν. ἐγὼ δ' οὐκ ἀμφισβητῶ μὲν οὐδ' αὐτὸς, οὐδ' ἀπιστῶ τοῖς φάσκουσιν, D ἐν ἅπασι σχεδὸν τοῖς οὖσι πολλὰς, καὶ διαφερούσας περιέχεσθαι δυνάμεις, ἀλλὰ καὶ δείξειν ἐπαγγέλλομαι τοῦτο κατὰ τὸν ἑξῆς λόγον. οὐ μὴν τούτου γε ἕνεκα, καὶ τὴν ἐν ἑκάστῳ κρατοῦσαν, ἄγνωστον εἶναι φημι. διοριζομένῳ δέ σοι τὸ καθ' αὑτὸ τοῦ κατὰ συμβεβηκὸς, ἐπιγνωσθήσεται σαφῶς ἅπαντα. θέασαι γὰρ ὡδί πως ἑκάτερον ἐπὶ παραδειγμάτων, ὑπόδειγμα θέμενος ἐν τῷ λόγῳ, δύο τινὰς ἀνθρώπους δακνομένους μὲν ὁμοίως τὸ τῆς γαστρὸς στόμα, προσφερομένους δὲ χυλὸν πτισάνης, ἢ χόνδρον, ἢ ἄρτον πλυτὸν, εἶτα τῷ μὲν ἑτέρῳ παυομένην τὴν δῆξιν, αὐξανομένην δὲ θατέρῳ, πότερον οὖν ὅσον ἐφ' ἑαυτῷ E δακνώδης ἐστὶν ὁ χυλὸς τῆς πτισάνης, ἢ ὁ χόνδρος, ἢ ὁ ἄρτος, κατὰ δέ τι συμβεβηκὸς ἐπὶ θατέρου τῶν ἀνθρώπων, οὐχ ὅπως ηὔξησεν, ἀλλὰ παρηγόρησεν τὴν δῆξιν; ἢ παρηγόρησεν μὲν ἔσω ἐφ' ἑαυτῷ, κατὰ δέ τι συμβεβηκὸς ἐπὶ θατέρου παρώξυνεν; ἐγὼ μὲν ἐπικεραστικὸν ὑπάρχοντα, κατά γε τὴν ἑαυτοῦ φύσιν, φημὶ τὸν χυλὸν τῆς πτισάνης, ἢ τὸν χόνδρον, ἢ τὸν ἄρτον, ἢ νὴ Δία τὸ γάλα, παροξύνεσθαι δὲ θατέρῳ τῶν ἀνθρώπων τὴν δῆξιν, τῷ φθάσαι νικηθῆναι πρὸς τῆς διαφθορᾶς. οὕτω δὲ καὶ τοὺς παλαιοὺς ἰατροὺς σχεδὸν ἅπαντας οἶδα γιγνώσκοντας, ὥσπερ γε καὶ τῶν νεωτέρων τοὺς ἀρίστους, εἴη δ' ἄν τις ἴσως ἐμὲ λανθάνων. F οὐδὲν γὰρ ἀτόλμητόν ἐστιν ἐνίοις τῶν νεωτέρων ἰατρῶν, ὡς ἀποφῆναι τῇ μὲν αὐτοῦ φύσει τὰς διαφθορὰς αὐξάνειν τὸν χόνδρον, ἢ τὸν ἄρτον, ἢ τὴν πτισάνην, ἐπ' ἐνίων μέντοι κατὰ τὸ συμβεβηκὸς πραΰνειν. ἀλλ' ὁ μὲν ταῦτα λέγων, οὐδεμίαν ἀπόδειξιν εἰπεῖν ἔχει τῆς ἀποφάσεως. ἡμεῖς δὲ λέγομεν, ὡς εἴπερ ἡ πτισάνη φύσει κακόχυμος ἦν, οὔ ποτ' ἂν ἐπράϋνε δήξεις.

ἀλλὰ μὴν ὁρᾶται καὶ ἄνωθεν λαμβανομένη, καὶ διὰ τῆς ἕδρας A ἐνιεμένη πραΰνουσα πολλάκις, ᾧ δῆλον, ὅτι κατὰ μὲν τὴν ἑαυτῆς φύσιν εὔχυμός ἐστιν. συνδιαφθειρομένη δ' ἐνίοτε τοῖς τὰς δήξεις ἐργαζομένοις χυμοῖς, αὔξει τὸ σύμπτωμα.

Atqui conspicitur frequenter tum supernè sumpta, tum per sedem iniecta, mitigare; ex quo patet per suam quidem naturam boni esse succi, verùm interdum vnà cum iis succis qui mordicationes excitant, corrũpi, & ipsum augere symptoma.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Τίνι διακριτέον τὴν ἀπὸ τῶν κακοχύμων ἴασιν τῆς δήξεως, τῆς ἀπὸ τῶν ἐπικεραστικῶν ἰάσεως.

Τάχ' οὖν ἔροιτό τις ἡμᾶς, εἰ μηδὲν τῶν κακοχύμων ἰάσατό ποτε δῆξιν; ἐγὼ δὲ τοῦτο μὲν οἶδα οὐκ ὀλιγάκις B γιγνόμενον, ἀλλ' οὐκ ἐπικεραννῦντά φημι, ἀλλὰ τὸ δάκνον ἅμ' ἑαυτοῖς συνεξάγοντα τὰ τοιαῦτα τῶν φαρμάκων ἰᾶσθαι τὰς δήξεις. καὶ διὰ τοῦτο παραχρῆμά τε, καὶ μέχρι περ ἂν ἐκκενωθῇ, δάκνειν τε τὸν ἄνθρωπον, ἀπολιπεῖν τέ τινα τραχεῖαν αἴσθησιν ἐν τοῖς μέρεσιν, ἑτέρου φαρμάκου δεομένην, οὐ μὴν τά τε εὔχυμα καὶ γλυκύχυμα. καὶ γὰρ καὶ ἐν τῷ παραχρῆμα πραΰνει, καὶ χωρὶς τοῦ κένωσιν ἐργάζεσθαι, καὶ τραχεῖαν οὐδεμίαν αἴσθησιν ἐπάγει, τοὐναντίον δ' ἅπαν αὐτὰ τῶν τραχειῶν ἐστιν αἰσθήσεων ἰατικά. τὸν γοῦν χόνδρον, καὶ τὸ γάλα, καὶ τὴν πτισάνην ἐπὶ τῶν τοιούτων διαθέσεων, ἐσθίειν C τε δίδομεν, ἐνίεμέν τε διὰ τῆς ἕδρας, ἐπειδὰν ἤτοι διὰ μέλιτος, ἢ ἄλλου τινὸς τῶν τοιούτων ἀπορρύψωμεν τὸ λυποῦν. ἐν τούτῳ δὲ τῷ καιρῷ, καὶ στέαρ ἡμῖν γίγνεται χρήσιμον, καὶ κηρωτὴ γλυκεῖα, καὶ ἔλαιον γλυκύ. λέγειν δέ με νόμιζε καὶ νῦν, καὶ κατὰ τὸν ἑξῆς λόγον, ἅπαντα γλυκέα, καὶ χωρὶς ἁλῶν σκευαζόμενα, καὶ τὰ πεπλυμένα. τέτταρσι τοίνυν γνωρίσμασιν ἔχων διορίσασθαι τὸ καθ' ἑαυτό, τοῦ κατὰ συμβεβηκὸς πραϋντικοῦ, ῥᾳδίως ἐξευρήσεις ἑκάστου τῶν τοιούτων φαρμάκων τὴν δύναμιν. ἔστι δὲ τὰ τέτταρα γνωρίσματα ταῦτα. πρῶτον μέν, τὸ παραχρῆμα πραΰνειν, ἢ μή. καὶ δεύτερον, τὸ D συνεκκενοῦσθαι τὰ λυποῦντα, ἢ μή. καὶ τρίτον, τὸ καταλιπεῖν τινα τραχύτητα περὶ τοῖς σώμασιν, ἢ μή. καὶ τέταρτον, εἰ μὴ τοῖς οὕτως ἔχουσι χρηστὸν φαίνοιτο. τὸ μὲν γάρ, μήτε ἐν τῷ παραχρῆμα πραΰνειν τὰς δήξεις, ἀλλὰ μετὰ πλείονός γε σφοδρότητος ἐκκρινόμενον, μήτε μένειν ἔνδον ἰώμενον, ἀπολειπόν τέ τινα περὶ τοῖς σώμασιν ἀνιαρὰν τραχύτητα, παροξῦνόν τε ταύτην εἰ προσαχθείη δεύτερον, ἀναβρωτικὸν μέν ἐστιν, καὶ δακνῶδες τῇ φύσει, κατὰ συμβεβηκὸς δέ ποτε δήξεις ἰᾶται, τὸ δὲ κἂν τῷ παραχρῆμα πραϋντικόν, ἔκκρισίν τε μηδεμίαν ἐρεθίζον, ἀλλὰ μηδὲ τραχῦνον ἐν τῷ μένειν, ἴαμά τε E τῶν τετραχυμένων γιγνόμενον, αὐτὸ μὲν φύσει χρηστόν ἐστι, δακνῶδες δ' ὑπὸ τῆς ἀλλοιούσης αὐτό, καὶ διαφθειρούσης κακοχυμίας, ἔστιν ὅτε γίγνεται. ταῦτ' εἴρηταί μοι, καὶ ἅμα τε τὸν καιρόν, ἢ τὸν τρόπον τῆς χρήσεως ἑκατέρου τοῦ γένους τῶν φαρμάκων, ἅμα τε τὴν τῆς δυνάμεως εὕρεσιν ὁ λόγος ἐδίδαξεν. ἀπέδειξέ τε καὶ πτισάνης χυλόν, καὶ χόνδρον, καὶ τράγον, καὶ γάλα, καὶ ἄρτον πλυτόν, ἐκ τῶν εὐχύμων ὑπάρχοντα, καὶ μὲν δὴ καὶ πιμελήν, καὶ στέαρ, ἔλαιόν τε γλυκύ, καὶ κηρὸν γλυκύν, ἐκ τῆς τῶν παρηγορικῶν ὄντα φύσεως. εἴη δ' ἂν καὶ γλυκὺς κηρός, ὁ τῇ φύσει τοιοῦτος, ὡς ἔνιοί γε πικροὶ F γευομένοις εἰσί, καὶ ὁ πρὸς τῷ τοιοῦτος εἶναι, καὶ πεπλυμένος ἐν ὕδατι χρηστῷ.

CAPVT XIV.

Quomodo discernendum sit à cacochymisne mordicatio sanata sit, an ab epicerasticis.

Fortè igitur nos roget quispiam, an vllum vnquam eorum, quæ mali succi mordicationem B curauerit? Equidem id non raro factum cognoui; verùm ea dico non temperando, verùm id quod mordicabat vnà secum educendo, mordicationes sanasse. Ac proinde & statim, & vsque dum euacuentur, hominem mordicare, & insuper euacuata asperum relinquere sensum in partibus aliud medicamen requirentem. Quod non faciunt quæ boni sunt succi & dulcis; etenim & protinus mitigant, & præterquam quòd euacuationem non faciunt, etiam sensum asperum nullum indueunt; quin potius ipsa contrà, sensuum medentur asperitati. Itaque chon- C drum, lac, ptisanam in eiusmodi affectibus, & edenda præbemus, & per sedem inijcimus, vbi videlicet melle, aut quopiam eiusmodi, quod infestabat, exterserimus; quo tempore opportunus est & adeps, & ceratum dulce, & oleum dulce. Porrò & in præsenti, & in sequenti deinceps sermone omnia me dulcia dicere existimato, tum ea quæ salem non sunt experta, tum ea quæ sunt elota. Quatuor itaque indiciis quum possis quod per se lenit distinguere ab eo quod per accidens, facilè cuiusque talium medicamentorum facultatem inuenies. Primum indi- D cium est, an statim mitiget, an non. Secundum, an simul vacuet molestantia, an non. Tertium, an asperitatem quandam in corporibus relinquat, an non. Et quartum, an ita affectis vtile, & commodum videatur, nec ne. Nam quum nec protinus mordicationem sanat, verùm maiore cum vehementia excernitur, neque intus medendo remanet & molestam corporibus asperitatem relinquit, quam, si denuò offeratur, exasperat; argumentum est rodentis ac mordicantis esse naturæ, cæterùm ex accidente quandoque morsus sanare. At quod & E continuò mitigat, & nullam excretionem prouocat: sed nec exasperat dum intus manet, imò exasperatorum medela existit, ipsum quidem natura bonum est, verùm interdum à cacochymia, quæ ipsum alterat corrumpitque, mordax efficitur. Atque hæc ita à me dicta sunt, vt simul vtriusque medicamentorum generis, & tempus, & vtendi modum, simulque facultatis inueniendæ rationem docuerit oratio: demonstraueritque, & ptisanæ succum, & chondrum, & tragum, & lac, & panem elotum, ex genere esse euchymorum; quin & pinguedinem, & adipem, & oleum dulce, & ceram dulcem, ex mitigantium esse natura. Fuerit autem cera dulcis, quæ & natura est talis (nam quædam gustantibus amaræ sunt) & quæ præterquam quòd est talis, in aqua bona elota est.

A

CAPVT XV.

De ratione abluendi & candida faciendi medicamenta.

Lauanda porrò est non tantummodo cera, sed & pix, & resina, & oleum, & quicquid aliud aquæ non miscetur. Primumque modicè concalefactum, mox in vas lati oris, ac magnum, cuique insit aquæ copia purissimæ simul, & omnis qualitatis maximè expertis, infundito: nam in ea, quicquid sit id quod abluitur, acrimoniam suam exuit. Deinde conterito, tundito, frangito, B manibusque impensè subigito, vt vnaquæque videlicet abluendi medicamenti particula aquam possit contingere. Denique effusa priore aqua, rursum quod lauatur excalefaciens, in aliam aquam æquè syncerám iniicito, rursumque diutissimè contundito, donec qualitatem suam in aquam deponat; id autem gustanti datur cognoscere, mox verò & tertio, & quarto, & sæpius deinceps idem faciendum, donec aqua nullam etiam ex abluto medicamento qualitatem recipiat. Atque hunc in modum omnia quæ excalefieri, & fundi sustinent, lauabis. At si qua sint lapidosa, & dura, velut cadmia, & æris squama, C & æs vstum, ea exactè in tenuia comminuentem, plurimum in aqua terere fontali purissimaque oportet, subinde priore effusa, quoad nihil in aqua innatet, maneatque aqua prorsum à contriti medicamenti qualitate immunis. Nam quandiu aut qualitatis eius quippiam in gustu appareat, aut aliquid innatet, tandiu terendum, atque effundendum est: nam si hoc pacto quiduis eorum quæ lauari possunt, abluas, mordacitatis expers euadet. Et sanè oleum non tantum mordacitatem exuit, sed etiam candidius interea efficitur. Oportet verò ipsum non perinde vehementer D verberare, vt picem, aut ceram, aut resinam, ne videlicet adeò aquæ misceatur, vt ægrè postea separari possit, sed ita vt vbi quiescere paulisper siueris, facilè possis innatans detrahere. Sunt & alij modi quibus oleum efficere possis candidum, quos scriptos inuenies apud eos qui præparationum libros conscripsere, & qui de materia prodidere, vt & apud Dioscoridem in primo. Verùm plerique eorum consumentes, quod in oleo aqueum ac rufum est, reliquum candidum efficiunt. At hic abluendo, veluti ipsum abstergendo ac detergendo, candidum efficit.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς τῶν πλυτῶν, καὶ λευκαινομένων φαρμάκων σκευασίας.

Χρὴ δὲ πλύνειν οὐ κηρὸν μόνον, ἀλλὰ καὶ πίτταν, καὶ ῥητίνην, ἔλαιόν τε, καὶ πᾶν ὁτιοῦν ἄλλο τοιοῦτον τὸ μὴ κεραννύμενον ὕδατι, προθερμαίνοντας συμμέτρως, εἶτα καταρροῦντας εἰς ἀγγεῖον πλατὺ καὶ μέγα, πλῆθος ὕδατος ἔχον ἐν ἑαυτῷ, καθαρωτάτου τε ἅμα καὶ ἀποιοτάτου. τούτῳ γὰρ ἐναποτίθεται τὸ πλυνόμενον ὅ τι περ ἂν εἴη, τὴν ἑαυτοῦ δριμύτητα. B χρὴ δὲ καὶ ἀνατρίβειν αὐτὸ, καὶ κόπτειν, καὶ θλᾶν, καὶ μαλάττειν ταῖς χερσὶν ἱκανῶς, ἵνα πᾶν μόριον ὁμιλήσῃ τοῦ πλυνομένου φαρμάκου τῷ ὕδατι, καὶ τοῦτο ποιήσαντας ἀποχεῖν μὲν τὸ πρότερον ὕδωρ. αὖθις δὲ θερμαίνοντας τὸ πλυνόμενον, εἰς ἕτερον ὕδωρ ἐμβάλλειν ὁμοίως καθαρὸν, ἀνακόπτειν δὲ χρὴ μέχρι πλείστου πάλιν, ἄχρις ἂν ἐναπόθηται τῷ ὕδατι τὴν ἑαυτοῦ ποιότητα. πάρεστι δέ σοι τοῦτο καὶ γευομένῳ διαγινώσκειν, εἶτα καὶ τρίτον, καὶ τέταρτον, καὶ πολλάκις ἐφεξῆς τοῦτο ποιεῖν, ἄχρι περ ἂν μηκέτι μηδεμίαν ἐκ τοῦ πλυνομένου φαρμάκου ποιότητα δέχηται τὸ ὕδωρ. οὕτω μὲν οὖν ἅπαντα τὰ θερμαίνεσθαί τε, καὶ C χεῖσθαι δυνάμενα πλύνειν. εἰ δέ τι λιθῶδες εἴη καὶ σκληρὸν, ὡς ἡ καδμεία, καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, ὅ τε κεκαυμένος χαλκὸς, ἀκριβῶς ἐκεῖνα καταθραύσαντας εἰς λεπτὰ, τρίβειν ἐπὶ πλεῖστον ἐν ὕδατι πηγαίῳ τε καὶ καθαρωτάτῳ, πολλάκις ἀποχέοντας τὸ πρότερον, ἔστ' ἂν μήτ' ἐφίστηται μηδὲν, εἰ καταστάίη τὸ ὕδωρ, ἄποιόν τε τοῦ τριβομένου φαρμάκου γίγνηται· μέχρι δ' ἂν ἤτοι τῆς ποιότητος αὐτοῦ τι φαίνοιτο γευομένοις, ἢ ἐφίστηταί τι, μέχρι τοσοῦδε, καὶ τρίβειν, καὶ ἀποχεῖν. ἂν γὰρ οὕτω πλυθῇ τι ὁτιοῦν τῶν πλυθῆναι δυναμένων, ἄδηκτον γίγνεται. καὶ δὴ καὶ τοὔλαιον, οὐκ ἄδηκτον μόνον, ἀλλὰ καὶ λευκότερον D ἐν τῷδε φαίνεται γιγνόμενον. χρὴ δὲ μὴ ἀνακόπτειν ὁμοίως αὐτὸ πίττῃ, καὶ κηρῷ, καὶ ῥητίνῃ σφοδρῶς, ἵνα μὴ δύσλυτος ἡ πρὸς τὸ ὕδωρ αὐτοῦ γένηται μίξις, ἀλλ' ἐασάντων ἀτρεμῆσαι, ῥᾳδίως λαβεῖν ἐποχούμενον. εἰσὶ δὲ ἕτεροι τρόποι λευκάνσεως ἐλαίου, παρὰ τοῖς τά τε τῶν σκευασιῶν βιβλία γεγραφόσι, καὶ τὰ περὶ τῆς ὕλης, ὥσπερ καὶ τὰ παρὰ τῷ Διοσκουρίδῃ κατὰ τὸ πρῶτον. ἀλλ' ἐκείνων μὲν οἱ πλείους ἐκδαπανῶντες τὸ ὑδατῶδες, καὶ τὸ πυῤῥὸν τοῦ ἐλαίου, τὸ ὑπόλοιπον ἀποφαίνουσι λευκὸν, ὁ δὲ διὰ τῆς πλύσεως, οἷον ἀποῤῥύπτων αὐτὸ, καὶ ἀπομάττων.

E

CAPVT XVI.

Quòd non colligatur, oleum ex eo quòd tussim cieat, proinde esse mordax: neque enim omne quod tussim ciet, mordax est, neque solùm quod mordax est, tussim mouet, sed & quæ pinguia sunt.

De medicamentorum quæ lauari candidaque effici solent, dispositione, rursus etiam dicetur. Nunc ad propositum reuertor. Oleum quod non sit omphacinum vocatum, (id enim astringit) neque cum sale præpatatum, neque recens, ac velut etiamnum feruens, ad hæc omnia E accuratè lotum, id neque epotum, neque infusum, morsum efficiet. Quòd si guttur ad tussim prouocet, non idcirco mordax dicendum erit. Nam quicquid mordax est & acre, tussim etiam prouocat; non tamen quicquid tussim prouocat mordax est & acre. Hoc enim duntaxat pacto mor-

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Ὅτι οὐ συνάγεται ἐκ τοῦ κερχνῶδες εἶναι τὸ ἔλαιον, δακνῶδες ὑπάρχειν αὐτό· οὔτε γὰρ πᾶν τὸ κερχνῶδες, δακνῶδες· οὔτε μόνα τὰ δακνώδη, κερχνώδη· ἀλλὰ καὶ τὰ λιπαρά.

Περὶ μὲν δὴ τῆς τῶν πλυτῶν φαρμάκων καὶ λευκαινομένων διαθέσεως, καὶ αὖθις εἰρήσεται. ἐπὶ δὲ τὸ προκείμενον ἐπάνειμι. ἔλαιον εἰ μήτε τὸ καλούμενον ὀμφάκινον εἴη, στυπτικὸν γὰρ τοῦτό γε, μήτε μεθ' ἁλῶν ἐσκευασμένον, ἀλλὰ μηδὲ πρόσφατόν τε, καὶ οἷον ζέον ἔτι, καὶ πρὸς τούτοις ἅπασιν ἐπιμελῶς εἴη πεπλυμμένον, οὔτε πινόμενον, οὔτε ἐνιέμενον ἐργάσεται δῆξιν. εἰ δὲ κερχνῶδές ἐστι τοῦ φάρυγγος, οὐδὲν ἂν εἴη τοῦτό γε πρὸς τὸ δακνῶδες ὑπάρχειν αὐτό. πᾶν μὲν γὰρ τὸ δάκνον, καὶ δριμὺ, καὶ κερχνῶδες, οὐ μὴν ἅπαν τὸ κερχνῶδες, δάκνον καὶ δριμύ. μόνως γὰρ οὕτως

ἐὰν ἀπεδείχθη τοὔλαιον δακνῶδες, εἰ πᾶν τὸ κερχνῶδες ὡμολόγητο δακνῶδες ὑπάρχειν. ἥκει τοίνυν πάλιν ἐνταῦθα τὸ παρὰ τὴν ἀναστροφὴν τοῦ συνημμένου, σφάλμα τὸ μικρόν τοῦτο καὶ φαῦλον. ἁπλῶς μὲν γὰρ ὡμολόγηται τὸ δάκνον εἶναι κερχνῶδες. ὡμολόγηται δὲ καὶ τοὔλαιον ὑπάρχειν κερχνῶδες. ἀλλ' ἐκ τῶν ὑποκειμένων τούτων, οὐ φαίνεται δακνῶδες εἶναι τοὔλαιον, οὔτε κατηγορικὰς, οὔτε ὑποθετικὰς ἡμῶν ποιησάντων τὰς προτάσεις, τῷ μήτ' ἐκ δύο καθόλου καταφατικῶν ἐν δευτέρῳ σχήματι περαίνεσθαί τι, μήτε τὸ συνημμένον ἐξ ἀνάγκης ἀληθὲς εἶναι. γενήσονται δὴ ἐν μὲν τῷ κατηγορικῷ συλλογισμῷ, δύο προτάσεις αἵδε, πᾶν τὸ δάκνον, κερχνῶδες, πᾶν ἔλαιον κερχνῶδες, ἐξ ὧν ὁμολογηθέντων, οὐδὲν περανθήσεται. τὴν δὴ ὑποθετικὴν πρότασιν, ἣν οἱ περὶ τὸν Χρύσιππον, ἀξίωμα συνημμένον ὀνομάζουσιν, οὐκ ἔχομεν ἀληθῆ λαβεῖν, οὔτ' ἐξ αἰσθήσεως, οὔτ' ἐξ ἀκολουθίας λογικῆς. οὐ μὲν γὰρ, ἢ δι' αἰσθήσεως, ἢ ἀπ' αἰσθήσεως, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθελήσῃ, τὰ τοιαῦτα τῶν ἀξιωμάτων εἴληπται. πᾶν τὸ δακνῶδες, καὶ κερχνῶδές ἐστι. καὶ εἴ τι δακνῶδες, τοῦτο καὶ κερχνῶδές ἐστιν. οὔτ' εἰ πᾶν τὸ δακνῶδες, καὶ κερχνῶδές ἐστιν, ἤδη καὶ τὸ κερχνῶδες ἅπαν ὑπάρχει δακνῶδες, οὔτε τῷ πᾶν εἴ τι δακνῶδές ἐστιν, τοῦτο καὶ κερχνῶδες ὑπάρχειν, ἕπεται τὸ πᾶν εἴ τι κερχνῶδές ἐστιν, καὶ δακνῶδες ὑπάρχειν. ἀλλὰ τὸ μὲν εἰ μὴ κερχνῶδες, οὐδὲ δακνῶδες ἀληθές. ἀντιστρέφει γὰρ, οὐ μὴν εἴ τι κερχνῶδες, εὐθὺς καὶ δακνῶδες, ἀναστρέφει γὰρ τοῦτο. δέδεικται δὴ ἐν τοῖς λογικοῖς μεθόδοις, ὡς οἱ μὲν ἀντιστρέφοντες τοῖς ἀληθέσι λόγοις ἀληθεῖς εἰσιν. οἱ δὲ ἀναστρέφοντες, οὐκέτι πάντως ἀληθεῖς. εἰ γὰρ οὕτω οὐκ ἐξ ἀνάγκης ἀληθές ἐστιν, τὸ εἴ τι κερχνῶδές ἐστιν, τοῦτο εἶναι εὐθὺς καὶ δακνῶδες, οὐδ' ἂν τὸ ἔλαιον ἐκ τοῦ κερχνῶδες εἶναι, καὶ δακνῶδες δεικνύοιτο. μόνως γὰρ ἂν εἴπερ ὡμολόγητο, πᾶν τὸ κερχνῶδες, δακνῶδες ὑπάρχειν, ἀληθῶς ἂν εὑρέθη τὸ τοιοῦτον συνημμένον, εἰ κερχνῶδές ἐστι τὸ ἔλαιον, καὶ δακνῶδές ἐστιν, ἵνα ἕπηται τούτῳ τῷ λόγῳ προσλήψεως τοιᾶσδε γενομένης. ἀλλὰ μὴν κερχνῶδές ἐστι τὸ ἔλαιον, ἕπεται τὸ συμπέρασμα κατὰ τὸν πρῶτον ἀναπόδεικτον τοιοῦτον, δακνῶδες ἄρα ἐστὶ τὸ ἔλαιον. ἀλλὰ γὰρ οὐχ οὕτως ἐπιχειρητέον ἦν αὐτοῖς, ὡς εἴ τι δακνῶδες, εὐθὺς ἐστὶ τοῦτο καὶ κερχνῶδες, ἀλλ' ὅτι μόνα τὰ δακνώδη, κερχνώδη, εἴη γὰρ ἂν οὕτω τὰ κερχνώδη πάντα δακνώδη. τοῦτο δ' αὐτὸ, τὸ μόνα τὰ δακνώδη, κερχνώδη φαίνεσθαι, παρά τε τὴν αἴσθησιν εἴρηται. φαίνεται γὰρ καὶ τὰ λιπαρὰ κερχνώδη, καὶ τὸ ζητούμενον ἑτοίμως εἴληπται, μήτ' ἐξ αἰσθήσεως, μήτ' ἐξ ἀποδείξεως πιστωθέν. ἔτι τε πρὸς τούτοις ἀγνοούντων ἐστὶν ἀνθρώπων, ὁποία τις ἡ τοῦ κέρχνειν ἐστὶ διάθεσις ἣν ἴσως ἄμεινον αὐτοῖς ἐξηγήσασθαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Πῶς καὶ διὰ τίνων τὸ κέρχνειν γίνεται.

F Συμβαίνει δὲ τὸ κέρχνειν, ἀνωμαλίας τινὸς ἐν τῇ φάρυγγι συνισταμένης παρὰ φύσιν. εἰθισμένον γὰρ τὸ πνεῦμα διὰ καθαρᾶς, καὶ λείας ἀεὶ φέρεσθαι τῆς ὁδοῦ, ἐπειδὰν προσκόπτῃ τισὶν ἐξοχαῖς κατ' αὐτὴν, κλόνον τέ τινα, καὶ οἷον ἀνώμαλον σεισμὸν ἐργάζεται κατὰ τὴν φάρυγγα, καὶ οὕτως ἐρεθίζεται πρὸς βῆχα τὸ ζῷον. ὥσπερ γὰρ

A dax esse oleum ostensum est, si quicquid tussim mouet, mordax esse concessum fuerit. Occurrit itaque denuo hic error non leuis, sed perniciosus in conclusi conuersione commissus. Concessum enim est, omne mordax tussim mouere, & concessum est, oleum omne tussim mouere; verùm his suppositis non conficitur oleum esse mordax, neque si categoricas, neque si hypotheticas efficiamus propositiones; quòd scilicet ex duabus vniuersalibus affirmatiuis nihil concludi in secunda figura possit, neque conclusio ex necessitate sit vera. Fient autem in syllogismo categorico duæ B propositiones istæ: Omne mordax tussim ciet; omne oleum tussim ciet; ex quibus concessis nihil concludi poterit. Hypotheticam verò propositionem, quàm Chrysippus axioma conclusum nuncupat, veram accipere non licet, neque à sensu, neque ex consequentia logica. A sensu enim aut per sensum, aut vtcunque nominare placebit, id genus axiomata desumpta sunt, *nempe*, Omne mordax tussim ciet; &, Siquid mordax est, itidem & tussim ciet; & non, Si omne mordax tussim ciet, protinus quicquid tussim ciet, mordax erit. Neque omninò ad hoc, si quid mordax est, hoc & tussim ciet, sequitur C in vniuersum istud, Si quid tussim ciet, ipsum & mordax esse; sed id quidem, Si non ciet tussim, haudquaquam mordax esse, id verum est, quippe quum mutuò conuertantur. Non tamen, si quid tussim ciet, continuò & mordax est; *simpliciter* enim hoc conuertitur. Demonstratum autem in methodis logicis est, quæ ex mutuò veris conuertuntur orationes, ipsas quoque veras esse, at quæ simpliciter conuertuntur, non perpetuo esse veras. Igitur si non ex necessitate verum est, Si quid tussim mouet, idem statim mordax esse, neque sanè oleum, proinde quod D tussim moueat, mordax esse concludi poterit. Hoc enim duntaxat pacto, nempè si in confesso esset, Omne quod tussim moueat, itidem mordax esse, verè talem confici conclusionem inueniretur, Si tussim mouet oleum, vtique & mordax est; quò ad hanc sequatur orationem, facta tali assumptione; Atqui tussim mouet oleum; sequitur ergo, iuxta primam orationem indemonstratam, conclusio, Mordax igitur oleum est. Verumenimuerò non hoc pacto colligendum illis fuerit, quòd si quid mordax esset, continuo & tussim moueret; sed quòd sola mordacia tussim prouocant ita enim cōcluderetur, quicquid tussim moueret, esse mor-E dax. At hoc ipsum, Sola videlicet mordacia tussim ciere videri, & aliena à sensu dicitur, quippe quum & pinguia mouere tussim appareant; & quod quæritur, promptè assumptum est, neque ex sensu, neque ex demonstratione confirmatū. Præterea hominum ignorantium, quænam sit tussim mouendi affectio, quam fortassis ipsis exponere præstiterit.

CAPVT XVII.

Quomodo & per quæ tussim cieri contingat.

Contingit autem tussim cieri inæqualitate quadam in gutture præter naturam proueniente, quippe quum spiritus per puram læuemque semper ferri viam consuetus, si quando in eminentia quædam impingat, tumultum quendam, ac veluti inæqualem concussionem in gutture efficit, atq; ita ad tussim animal prouocat. Nam vt

vt alias quoque multas natura hominibus salutis gratia ingenitas indidit passiones, ad eundem modum & sternutationem, & tussim; Sternutationem quidem, vti ea quæ in naribus infesta molestaque sunt, propelleret; tussim verò, vt quæ in gutture. Porrò duplex ea affectio est, aut resiccata exasperatáve quæ in arteria est membrana, aut inæquali in ea corpore delato, siue id liquidum sit, siue solidum. Hinc seu panis micula, aut alterius cuiuspiam edulij, nobis inuitis in spiritus meatum decidat, tussire adigimur: seu si bibentibus affatim, ipsius potus quippiam eo influat; similiter irritamur, atque ad tussim compellimur. Percolatur enim perpetuò per asperam arteriam in pulmonem ipsius pótus tam exile quippiam, vt protinus ab instrumentis raptum perfacilè quocunque distribuatur, nec tamen vspiam aceruatim in spiritus semita consistat, neque animal ad tussim irritet: At vbi vel id ipsum plusculum, vel aliud quodpiam, seu liquidum, seu solidum corpus, in aspera defertur arteria, iam inde tussire necesse est, donec à spiritus vehementia, quod molestat propulsatum eiiciatur. Proportionale quippiam huic accidit, vbi in membranam ipsam internam arteriæ exasperatam spiritus impingit, nisi quòd hæc affectio alia à iam dicta sit. Nunc enim ab arteriæ membrana aufertur abraditurque quippiam; intus verò adhæret aliquid in priore affectu. Porrò vtrique communis est spiritalis viæ inæqualitas de quibus fusius in causis symptomatum disseruimus. Cæterùm in præsentia cognouisse sufficit, quòd mordacia, gutturis exasperatione; oleosa verò & pinguia illitu, inæqualitatem & ad tussim impetum efficiant. Quicquid enim extra naturam in arteriæ incidit tunicam, tenaciterque illi inhæret, tum organis ipsis, & qui per ea defertur spiritui, insolens est, tum animanti quoque molestum. Nec id nunc dico, quin pleraque ex oleis qualitate mordicantia sint. Nam & quæ admixtum habent salem, & prorsus recentia sunt, ea omninò mordacia quoque sunt, non propria sua essentia, sed quantum omnibus plantarum succis geminum insit excrementum (quod abundè indicauit Theophrastus, & nos postea commonstrabimus) alterum crassius, ac velut terrestrius, alterum tenuius, & velut aquosius. Sanè & oleo ambo hæc insunt, ad concoctionem & secretionem tempus postulantia. Porrò tempore quidem alterum residet, alterum verò consumitur. Ac primum quidem, quod videlicet & terrestre est & crassum, subsidit, amurca nuncupatum; alterum verò tenuius, ac velut aquosius, quodammodo & ipsum compositum est, ex aërea scilicet essentia & tenui serosa.

CAPVT XVIII.

Quot modis aqueum & tenue excrementum ab oleo separari queat.

CÆterùm serosum istud rufi coloris est, à crasso illo terrestrique subsidente scilicet qualitate abstersa. At oleum ipsum tum minimè mordax, tum candidū sua natura existit. Quapropter vbi tenue hoc excrementum separatum fuerit, candidius etiam dulciusque efficitur. Separatur

A καὶ ἄλλα πολλὰ σωτηρίας ἕνεκα τοῖς ζώοις ἡ φύσις ἐναπειργάσατο σύμφυτα πάθη, κατὰ τὸν αὐτὸν τρόπον, καὶ πταρμὸν, καὶ βῆχα. πταρμὸν μὲν, ὑπὲρ τοῦ διώσασθαι τὰ κατὰ τὰς ῥῖνας ἐρεθίζοντά τε καὶ λυποῦντα. βῆχα δὲ, ὑπὲρ τοῦ τὰ κατὰ τὴν φάρυγγα. διττὴ δ' ἐστὶν ἡ τοιαύτη διάθεσις, ἢ αὐτοῦ παρὰ τὴν ἀρτηρίαν ὑμένος ἀναξηραινομένου τε, καὶ τραχυνομένου, ἢ τινος ἀνωμάλου ἐν αὐτῷ φερομένου σώματος, εἴτ' οὖν ὑγροῦ τὴν φύσιν, εἴτε καὶ στερεοῦ. διὰ τοῦτο κἂν ἄρτου τι μόριον σμικρὸν, ἢ τινος ἄλλου τῶν ἐδεσμάτων, ἀκόντων ἡμῶν παραδράμῃ ποτ' εἰς τὸν τοῦ πνεύματος πόρον, ἀναγκαζόμεθα βήττειν, κἂν πινόντων
B ἡμῶν ἀθρόον τι παραρρυῇ τοῦ πόματος, ὁμοίως ἐρεθίζεται, καὶ βῆχα προσκαλεῖται. παρηθεῖται μὲν γὰρ ἀεί τι κατὰ τὴν τραχεῖαν ἀρτηρίαν εἰς τὸν πνεύμονα τοῦ πινομένου σμικρὸν οὕτως, ὡς ἀναρπάζεσθαί τε πρὸς τῶν ὀργάνων αὐτίκα, καὶ διαδίδοσθαι πάντη ῥᾳδίως. οὐ μὴν οὐδ' ἵσταταί γε ἀθρόον οὐδαμόθι κατὰ τὰς ὁδοὺς τοῦ πνεύματος, οὐδ' ἐρεθίζεται πρὸς βῆχα τὸ ζῷον. ἐπειδὰν δ' ἤτοι τοῦτο πλέον, ἢ ἄλλο τι τοιοῦτον, ὑγρὸν, ἢ στερεὸν σῶμα κατὰ τὴν τραχεῖαν ἀρτηρίαν ἐμφέρηται, βήττειν ἀναγκαῖον ἤδη τοὐντεῦθεν, ἄχρι περ ἂν ὑπὸ τῆς σφοδρότητος τοῦ πνεύματος ἐκβρασθῇ τὸ λυποῦν. ἀνάλογον δέ τι τῷδε συμβαίνει, κἀ-
C πειδὰν αὐτῷ τῷ κατὰ τὴν ἀρτηρίαν ἔνδον ὑμένι τραχυνθέντι, προσκόπτῃ τὸ πνεῦμα, πλὴν, ἀλλ' ἥ γε διάθεσις αὕτη, τῆς προειρημένης ἐστὶν ἑτέρα. αὕτη μὲν γὰρ ἀφαιρεῖταί τι, καὶ ἀποξύεται τοῦ τῆς ἀρτηρίας ὑμένος, ἔσωθεν δὲ προσπίπτει κατὰ τὴν προτέραν διάθεσιν. τὸ κοινὸν δ' ἀμφοῖν ἐστιν, ἡ ἀνωμαλία τῆς τοῦ πνεύματος ὁδοῦ. λέλεκται δ' ἐπιπλέον ὑπὲρ αὐτῶν ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις. ἀλλ' εἴς γε τὸ παρὸν ἀπόχρη γινώσκειν, ὡς τὰ μὲν δακνώδη πάντα, τῷ τραχύνειν τὴν φάρυγγα, τὰ δ' ἐλαιώδη, καὶ λιπαρὰ, τῷ περιπλάττεσθαι τὴν ἀνωμαλίαν τε, καὶ τὴν κέρχνον ἐργάζεται. πᾶν γὰρ ὅ,τι περ ἂν ἔξω
D τῆς φύσεως ἐπιπίπτῃ τῷ χιτῶνι τῆς ἀρτηρίας, ἐμπλάσσεταί τε δυσαπολύτως, ἀηθὲς μὲν τοῖς ὀργάνοις, καὶ τῷ δι' αὐτῶν φερομένῳ πνεύματι, λυπηρὸν δὲ τῷ ζώῳ γίγνεται. καὶ οὐ τοῦτό φημι νῦν, ὡς οὐχὶ καὶ τῇ ποιότητι δακνώδη τὰ πλεῖστα τῶν ἐλαίων ἐστί. τά τε γὰρ ἁλῶν μετέχοντα, καὶ τὰ παντάπασι νέα, δακνώδη πάντως ἐστὶν, οὐ διὰ τὴν ἰδίαν αὐτῶν οὐσίαν, ἀλλ' ὅτι πᾶσι τοῖς ἐκ τῶν φυτῶν χυλοῖς, ἐμφέρεται περίττωμα διττὸν, ὡς καὶ Θεόφραστος μὲν ἱκανῶς ἐπέδειξε, καὶ ἡμεῖς δ' ἐν τοῖς ἑξῆς ἐπιδείξομεν, ἕτερον μὲν τὸ παχύτερον, καὶ οἷον γεωδέστερον, ἕτερον δὲ τὸ λεπτότερον, καὶ ὑδατωδέστερον. ἔστι δὲ καὶ κατὰ τοὔ-
E λαιον ταῦτ' ἄμφω, χρόνου δεόμενα πρὸς σύμπεψίν τε καὶ διάκρισιν, ἀλλ' ἐν τῷ χρόνῳ, τὸ μὲν ὑφίσταται, τὸ δ' ἐκδαπανᾶται. καὶ πρότερόν γε τὸ γεῶδες, καὶ παχύτερον ὑφίσταται τὸ καλούμενον ἀμόργη, θάτερον δὲ τὸ λεπτότερον, καὶ οἷον ὑδατωδέστερον, ἔστι πως καὶ τοῦτο σύνθετον, ἐξ ἀερώδους τέ τινος οὐσίας, καὶ λεπτῆς ὀρρώδους.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Κατὰ πόσους τρόπους τὸ ὑδατῶδες, καὶ λεπτὸν περίττωμα χωρίζομεν τοῦ ἐλαίου.

F
ΤΟ δ' ὀρρῶδες τοῦτο πυρρὸν μὲν τὴν χρόαν ἐστὶ, τοῦ δ' ὑφισταμένου, καὶ παχέος, καὶ γεώδους, ἀπομέμακται τὴν ποιότητα. αὐτὸ γὰρ τοὔλαιον, ἄδηκτόν τε, καὶ λευκόν ἐστι κατά γε τὴν ἑαυτοῦ φύσιν, ὅθεν ἐπειδὰν ἀποχωρισθῇ τὸ λεπτὸν τοῦτο περίττωμα, λευκότερόν τε καὶ γλυκύτερον ἑαυτοῦ γίγνεται. ἀποχωρίζεται δὲ ἔρ-

τοῖς πολλοῖς. ἢ γὰρ ἐν ἡλίῳ θερμῷ θέντες ἀγγεῖον εὐρύστομον ἐλαίου μεστὸν, αἴροντες κόγχαις ἐξ αὐτοῦ πολλάκις ἄνωθεν καταράττουσιν, ἢ θερμὴν ὑποτιθέασι τέφραν τοῖς περιέχουσιν ἀγγείοις τοὔλαιον, ἡλιώδη θερμασίαν, ὡς ἔνι μάλιστα μιμούμενοι. φυλάττονται γὰρ τὴν πλείονα, μεταβάλλουσαν αὐτὸ κατὰ ποιότητα, καὶ κνισσοῦσαν ἑτοίμως, ἢ πυρῆνας ἐλαιῶν, ἢ σῖτον ἐν κύκλῳ περιτιθέασιν, ἢ ἐπεμβάλλουσί τινα φάρμακα τοῖς ἀγγείοις αὐτοῖς, ἑνὶ δὲ λόγῳ, τὸ μὲν ὑδατῶδες ἐξάγουσι, καὶ δαπανῶσι, τὸ λοιπὸν δὲ φυλάττουσιν. ἐὰν οὖν οὕτω γλυκὺ, καὶ λευκὸν ἔλαιον λαβὼν, ᾧ μηδ' ἀπ' ἀρχῆς ὑπῆρχε μετέχειν ἁλῶν, ἔτι δὲ καὶ πλυνῇς, ὡς εἴρηται πρόσθεν, ἀδηκτότατόν ἐστί σοι τοῦτο πάντων φαρμάκων. καὶ ἡμεῖς τοι πολλάκις τοιοῦτόν τισιν ἔλαιον ἐδώκαμεν πιεῖν, καὶ αὐτοί τε προσηνεγκάμεθα πείρας ἕνεκα, καὶ ἦν ἄδηκτόν τε κατ' ἔντερον ἀκριβῶς, καὶ τῆς φάρυγγος ἥκιστα κερχνῶδες, ἐγχεόμενόν τε τοῖς ὀφθαλμοῖς, βραχεῖαν αἴσθησιν ἔφερεν, αὐτῷ μόνῳ τῷ ξένῳ, καὶ ἀήθει μᾶλλον, ἢ τῇ δριμύτητι διοχλοῦν. τὸ μὲν δὴ τοιοῦτον ἔλαιον, ἀκριβῶς ὑπάρχον ἔλαιον, ὑγραίνει τε πάντα, καὶ μαλάττει, μήτε ψυχρὸν ἄκρως, ὡς εἴρηται, μήτε θερμὸν προσφερόμενον. ᾧ δὲ καὶ τῶν ἁλῶν μέτεστιν, ἔχει τι καὶ δήξεως ἐξ ἀνάγκης, ἀλλὰ θαυμάσαιμ' ἂν, εἴ τις οὕτω πολλοὺς ἐμβάλλει τοὺς ἅλας, ὡς ἰσχυρότερον γενέσθαι τῆς ἐλαιώδους τε, καὶ λιπαρᾶς οὐσίας, καὶ ἵνα τις ἀποδείξηται τὸν Ἀρχίδαμον, ἐπικαίεσθαι λέγοντα τὸ δέρμα τοῖς ἐν ἐλαίῳ τριβομένοις, ἐπεί τοι καὶ τοῦτο γιγνόμενον οἶδα πολλάκις, ἄλλων τέ τινων ἕνεκα, καὶ ποδάγρας, καὶ ἀρθρίτιδος. ἀνατρίβουσι γὰρ ἔνιοι τὰ πεπονθότα μόρια σὺν ἐλαίῳ βραχεῖ λείοις ἁλσὶν, ἐν τοῖς διαλείμμασι δηλονότι, καὶ οὐκ ἐν τοῖς παροξυσμοῖς, ὑπὲρ τοῦ ξηρᾶναι, καὶ διαφορῆσαι τὸ περιττὸν ἅπαν, εὐεξίαν τέ τινα, καὶ ῥώμην ἐνθεῖναι τοῖς ἀσθενέσι μορίοις. ἀλλ' ἐν τούτῳ μὲν οἱ ἅλες κρατοῦσιν, ἐν ἐλαίῳ δὲ κρατοῦνται. καὶ χρὴ τὸν ἐπαλειφόμενον, καὶ ἀνατριβόμενον πρὸς τὰ βρεχόμενα μᾶλλον ἐν ἐλαίῳ παραβάλλειν, ἤπερ τὰ ἑψόμενα, μὴ μέλλοντάς γε καθεψήσειν ἐν ἐλαίῳ ζέοντι τὸν ἄνθρωπον, ἀλλ' ἐπαλείφειν εὐκράτῳ. κάλλιον γὰρ ἦν, ὡς πολλάκις εἴρηταί μοι καὶ πρόσθεν, αὐτὸ τὸ γιγνόμενον ὁρᾶν, αἰσθητόν τε ὂν καὶ σαφὲς ἀκριβῶς. οὐ γὰρ δήπου δεῖ τῶν ἔξωθεν παραδειγμάτων, ἐν τοῖς οὕτω γνωσθῆναι δυναμένοις. εἰ δ' ἄρα ποτὲ καὶ ἄδηλον εἴη τὸ ζητούμενον, ὡς τῆς ἐξ ἑτέρων δεῖσθαι πίστεως. οὐδ' οὖν οὐδ' ἐνταῦθα πορρωτάτω τε καὶ ἀνομοιότατα τίθεσθαι μαρτύρια τῆς τοῦ ζητουμένου δυνάμεως, ὑπερβαίνοντας τὸ πλησιάζον. ἐναργὲς δήπου καὶ σαφὲς πᾶσίν ἐστιν, ὡς ἡ μετ' ἐλαίου τρῖψις, ἀκοπωτέρα γε πολὺ τῆς ξηρᾶς ἐστιν, καὶ μαλάττει τὰ σώματα, συνέχουσα καὶ ἀποστέγουσα μᾶλλον, ὅσον ἀποῤῥεῖν πέφυκεν ἡμῶν ἐκτὸς, οὐ διαφοροῦσα, καὶ ξηραίνουσα. τοῦτο δὲ καὶ ὁ Διοκλῆς αὐτὸς ὡμολόγησεν, ἐμπλαστικόν τε τῶν πόρων τοὔλαιον ἀποφηνάμενος εἶναι, καὶ τῶν ἀποῤῥεόντων ἐφεκτικὸν, καὶ βυρσῶν μαλακτικόν. εἰ δ' οὐκ ἤρκει τὸ φαινόμενον αὐτῷ, καὶ διὰ τοῦτο τῶν ἔξωθέν τι τεκμηρίων ἐπάγειν τῷ λόγῳ βέλτιον ἐνόμιζε, τῶν ἐν ἐλαίῳ ψυχρῷ διαβρεχομένων ἐχρῆν αὐτὸν μνημονεύειν, οὐ τῶν ἐν τῷ ζέοντι καθεψομένων.

A verò multis modis. Aut enim in Sole feruente lati oris vasculo olei pleno deposito, conchis in altum sublatis subinde id cum strepitu desuper conturbant; aut calidos vasculis oleum continentibus cineres subiiciunt, solarem quàm fieri possit maximè calorem imitati, maiorem enim idcirco vitant, quòd ipsum in qualitate transmutet, promptéque nidorem excitet; aut nucleos oliuarum, aut frumentum circuncirca apponunt, aut medicamenta quædam vasis ipsis iniiciunt. In summa, quod aqueum est, exigunt atque consumunt, reliquum autem seruant. Itaque si tam dulce candidumque B acceptum oleum, cuique nec ab initio sal inditus est, ipsum insuper, vt ante positum est, laues, id tibi medicamentorum omnium minimè mordax erit. Ac nos quidem persæpe oleum eiusmodi bibendum nonnullis exhibuimus, nosque ipsi experimenti gratia sumpsimus, prorsumque nullam intestinis mordacitatem attulit, guttturique minimè ad tussim impetum commouit, quumque oculis esset infusum, sensum mouit exiguum, ipsa potius nouitate atque insolentia, quàm acrimonia molestum. Atque eiusmodi sanè oleum, ad vnguem oleum existens, cuncta tum humectat, tum emollit, vbi nec summè (vt monui- C mus) frigidum, nec calidum applicetur. Porrò cui iniectus sal est, nonnulla quoque inest necessariò mordacitas. Verùm mirer sanè, si quis tantùm indat salis, vt oleosam pinguemque substantiam exuperet: vtque Archidamum scilicet referat, qui ait, cutem aduri iis qui in oleo fricantur, quandoquidem & id sæpenumero factum vidi, quum aliorum nonnullorum gratia, tum podagræ, & arthritidis; Fricant enim quidam partes affectas trito in pauculo oleo sale multo, idque per intermissiones, haudquaquam in paroxysmis, tum vt superfluum omne exic- D cent, atque discutiant, tum vt partibus infirmis bonam comparent habitudinem ac robur. Atque in hoc quidem sal exuperat, in oleo verò superatur; potiusque eorum quæ in oleo rigata sunt, facienda comparatio est, quàm quæ in eo decocta, vtpotè qui hominem feruenti nequaquam oleo decocturi sumus, verùm temperato vncturi. Præstat enim (id quod aliquoties supra monuimus) ipsum rei euentum sensu perceptibilem, & exactè manifestum inspicere, neque enim sanè extrinsecus quæsitis opus exemplis est, in rebus nimirum, quæ tam clarè cognosci E possunt. Quin siquando fortè obscurum sit quod quæritur, adeò vt ex aliis sibi fidem poscat, neque illic sanè remotissima dissimillimaque, propinquis præteritis, accersenda sunt quærendæ facultatis testimonia. Sanè euidens lucéque clarius omnibus hominibus est, quòd frictio ex oleo magis quàm sicca lassitudinem aufert, corporaque emollit, cohibens occludensque quicquid è nobis foràs effluere est natum, haudquaquam digerens & exiccans. Id ipsum & Diocles confessus est, vt qui oblinere poros oleum dixerit, quæque effluunt cohibere, tum coria emollire. Quòd si rerum euidentia illi non sufficiebat, ac F proinde extrinsecus adducere coniecturas potius illi visum est, ea quæ in oleo frigido rigantur, memorare, non quæ in feruenti decoquuntur afferre debebat.

A

CAPVT XIX.

Quòd perperam Archidamus inæqualem ex oleo frictionem asseruit.

QVemadmodum in talibus, rerum transgressus est euidentiam, ita illic quoque, dum ait inæqualem esse ex oleo frictionem, manibus videlicet lubricè labentibus. Nam contrarium omnes manifesto percipimus, nimirum quum quæ ex oleo fit frictio, æqualis existat, inæqualis verò sicca. Cutem enim in frictionibus siccis manus coadducunt, ac velut duplicant, violenterque ac præter naturam complicant; dein vbi non amplius prior velut duplicatio labentes sequi manus potest, ipsa quidem recurrit, atque ad continuum reuellitur, manus verò semel, ac vno impetu in alteram cutis partem transeunt, inferiorem transgressæ duplicationis partem. Ac proinde inæqualem, duram, laboriosam talem sentimus frictionem. Duram quidem, quantum cutis violenter & tenditur & concutitur: eisdem de causis & laboriosam, porrò inæqualem, quandoquidem non in omnes cutis partes fricantes incidunt manus, verùm infernam duplicationis partem perpetuò transiliunt, id quod fit tum ob naturales cutis asperitates, idque potissimum in natu grandioribus, tum quòd laxa est cum aliis propè omnibus cutis, tum gracilibus maximè & senibus. Quippe si læuis æquabiliter tota, & tensa exactè cutis foret, haud facilè plicari posset, nec inæquales in se manuum efficere decursus; verùm facilè, reor, antrorsum percurrerent, à primis ad reliqua promptè delabentes, nimirum quum nullam secum cutis partem ducerent. Atqui quum laxa sit & aspera, externo quopiam medicamento indiget, quod & rugas eius impleat, & fricantibus manibus lubricitatem præbeat, quas ad res oleo nihil aptius inuenias. Mirerisque profectò Archidamum qui nec rei sit veritus euidentiam, nec quæ eius sit causa inuenerit, sed in vtrisque pronunciarit contraria; quippe quum inæqualis sicca appareat frictio, æqualis verò quæ administratur cum oleo: nec minimè ea testimonio suo adstruit ratio, quæ causam exponit.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

Οτι κακῶς ὁ Ἀρχίδαμος ἀνώμαλον ἔλεγε τὴν μετ' ἐλαίου τρῖψιν.

ΩΣπερ ἐν τοῖς τοιούτοις ὑπερβαίνει τὸ φαινόμενον, οὕτω κἀν τῷ φάσκειν ἀνώμαλον γίγνεσθαι τὴν ἐν ἐλαίῳ τρῖψιν, ὀλισθαινουσῶν τῶν χειρῶν. αὐτὸ γὰρ δὴ τοὐναντίον ἅπαντες ἐναργῶς αἰσθανόμεθα, τῆς μὲν δι' ἐλαίου τρίψεως ὁμαλοῦς γιγνομένης, ἀνωμάλου δὲ τῆς ξηρᾶς. συνεπάγονται γὰρ ἐν ταῖς ξηραῖς τρίψεσιν αἱ χεῖρες τὸ δέρμα, καὶ οἷον διπλοῦσί τε, καὶ B ἐπιπτύσσουσιν ἐν αὐτῷ, βεβαίως τε καὶ παρὰ φύσιν. εἶθ' ὅταν μηκέτι τὸ πρότερον οἷον ἐνδίπλωμα παραπτομέναις ταῖς χερσὶν ἕπεσθαι δύνηται, τοῦτο μὲν ἀνατρέχει, καὶ ἀνασπᾶται πρὸς τὸ συνεχές, αἱ χεῖρες δ' ἀθρόως ἐφ' ἕτερον τοῦ δέρματος μετέρχονται μόριον, ὑπερβαίνουσαι τὸ κάτωθεν μέρος τῆς ἐνδιπλώσεως, καὶ διὰ τοῦτο, καὶ σκληρᾶς, καὶ ἀνωμάλου, καὶ κοπώδους τῆς τοιαύτης τρίψεως αἰσθανόμεθα. σκληρᾶς μὲν, ὅτι τε τείνεται βιαίως, καὶ θλᾶται τὸ δέρμα. διὰ δὲ ταὐτὰ, καὶ κοπώδους, ἀνωμάλου μὲν διότι μὴ παντὶ μορίῳ τοῦ δέρματος αἱ τρίβουσαι χεῖρες ἐπιπίπτουσιν, ἀλλ' ὑπερβαίνουσιν ἀεὶ τὸ κάτωθεν μέρος τῆς ἐνδιπλώσεως, καὶ γίνεται C τοῦτο, διά τε τὰς φυσικὰς τοῦ δέρματος τραχύτητας, καὶ μάλιστα ἐν τοῖς παρηβῶσι σώμασιν, καὶ ὅτι χαλαρόν ἐστι τοῖς ἄλλοις σχεδὸν ἅπασι, τοῖς τε ἰσχνοῖς καὶ πρεσβύταις μάλιστα. λεῖον μὲν γὰρ, εἴπερ ἦν ὅλον ὁμαλῶς τὸ δέρμα καὶ τεταμένον ἀκριβῶς, οὐκ ἂν ἐπτύσσετο ῥᾳδίως, οὔτ' ἀνωμάλους εἰργάζετο τὰς τῶν χειρῶν ἐπ' αὐτοῦ φορὰς, ἀλλ' ἔθεον ἂν οἶμαι ῥᾳδίως, εἰς τὸ πρόσθεν ἀπὸ τῶν προτέρων ἑτοίμως ὀλισθαίνουσαι πρὸς ἕτερα, τῷ μηδὲν ἅμ' ἑαυταῖς συνεπάγεσθαι τοῦ δέρματος μόριον. ἐπεὶ δὲ χαλαρόν τέ ἐστιν καὶ τραχὺ, δεῖταί τινος ἔξωθεν φαρμάκου, τάς τε ῥυτίδας ἀναπληρώσοντος αὐτοῦ, καὶ τὸ ὄλισθον ταῖς τριβούσαις χερσὶν παρέξοντος, D εἰς ταῦτα δὲ οὐδὲν ἂν εὕροις ἐπιτηδειότερον ἐλαίου. καὶ θαυμάσειεν ἄν τις Ἀρχιδάμου, μήτε τὸ φαινόμενον ἐναργῶς αἰσθανθέντος, μήτε τὸν ἐπ' αὐτῷ λόγον ἐξευρόντος, ἀλλ' ἐν ἀμφοτέροις ἀποφηναμένου τἀναντία. φαίνεται γὰρ ἀνώμαλος μὲν ἡ ξηρὰ τρῖψις, ὁμαλὴ δὲ, ἡ σὺν τῷ ἐλαίῳ, μαρτυρεῖ τε τούτοις ὁ λόγος, οὐχ ἥκιστα τὴν αἰτίαν ἐξηγούμενος.

CAPVT XX.

Redarguit prauam medicamentorum facultates inueniendi rationem.

VErùm de Archidamo & Diocle satis in præsentia. Volo enim (quandoquidem semel aggressus sum prauam facultatis inueniendæ viam ostendere, oleo pro exemplo vsus) omnem celerrimè orationem absoluere. Igitur quum veteres philosophi calidum esse oleum asseuerant, non paruo (vt putant) argumento, quòd celeriter scilicet in flammam vertatur, contradicentes quidam id illi accidere aiunt, quoniam tenue est, & aëreum: cæterùm frigiditatem eius inde adeo monstrari, quòd hyeme ocyssimè concrescat; nec enim vino solum acetoque, sed etiam aqua ipsa, promptius à frigore deuinci. Ad ea rursus obiicientes alij, quòd aëreum quidem sit non negant, idque ex leuitate perspicuò apparere dicunt: non tamen frigidum esse fatentur,

ΚΕΦΑΛΑΙΟΝ Κʹ.

E

Ἔλεγχος τῆς τῶν φαρμάκων δυνάμεως εὑρέσεως μοχθηρᾶς ὁδοῦ.

ΑΛλὰ περὶ μὲν Ἀρχιδάμου τε, καὶ Διοκλέους, ἅλις εἴς γε τὰ παρόντα. βούλομαι γὰρ, ἐπειδήπερ ἅπαξ ἐπὶ τὸ δεικνύναι τὴν μοχθηρὰν ὁδὸν τῆς τῶν δυνάμεων εὑρέσεως ἧκον ἐλαίῳ παραδείγματι χρώμενος, ἐπεξελθεῖν τάχιστα τὸν λόγον ἅπαντα. λεγόντων οὖν τῶν φιλοσόφων θερμὸν εἶναι τοὔλαιον, καὶ τεκμήριον τούτου τιθεμένων οὐ σμικρὸν, ὡς οἴονται, τὸ τάχος τῆς εἰς τὴν φλόγα μεταβολῆς, ἀντιλέγοντες ἔνιοι, τοῦτο μὲν ὑπάρχειν αὐτῷ φασιν, ὅτι λεπτόν τ' ἐστὶ, καὶ ἀερῶδες. ἐκ δὲ F τοῦ πήγνυσθαι ταχέως ἐν τῷ χειμῶνι, σαφῶς ἐνδείκνυσθαι τὴν ψύξιν. οὐ μόνον γὰρ οἴνου, καὶ ὄξους, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὕδατος, ἑτοιμότερον ὑπὸ τοῦ ψυχροῦ νικᾶσθαι. πρὸς ταῦτα δὲ ἀντιλέγοντες ἕτεροι, τὸ μὲν ἀερῶδες ὑπάρχειν αὐτῷ συγχωροῦσιν, καὶ φαίνεσθαί γε σαφῶς τοῦτό φασιν ἐκ τῆς κουφότητος, οὐ μὴν καὶ ψυχρόν γε εἶναι τὴν δύναμιν ὁμολογοῦσιν.

A ἀέρα γὰρ ἅπαντα θερμὸν ὑπάρχειν τὴν φύσιν, ὡς δηλοῖ καὶ ἡ γένεσις αὐτοῦ. λεπτυνθὲν οὖν, καὶ λυθὲν ὑπὸ θερμότητος ὕδωρ, ἀέρα γίγνεσθαι. καὶ δῆλον, ὡς ἐντεῦθεν αὖθις διαδέχεται μέγιστον ζήτημα, ὃ καὶ τοῖς ἐνδοξοτάτοις φιλοσόφοις ἠμφισβητημένον. Ἀριστοτέλους μὲν καὶ τῶν ἀπ' αὐτοῦ, θερμὸν ὑπολαμβανόντων εἶναι τὸν ἀέρα, τῶν δ' ἀπὸ τῆς στοᾶς, ψυχρόν. ἀλλὰ καὶ περὶ τοῦ πήγνυσθαι ταχὺ τὸ ἔλαιον, ὅπερ ἐδόκει τοῖς ψυχρὸν ἀποφαίνουσιν αὐτὸ, τὸ μὴ σφοδρῶς πήγνυσθαι, καθάπερ τὸ ὕδωρ, ἀντιπαρατείνουσιν οἱ θερμὸν ὑπάρχειν αὐτὸ φάσκοντες. οὐδὲ γὰρ οὐδὲ πῆξιν εἶναι τὸ γινόμενον ἐπ' αὐτοῦ φασιν, ἂν ἀκριβῶς ἐξετάζωμεν, ἀλλ' οἷον σύστασίν τινα, καὶ πάχυνσιν, καὶ γίγνεσθαι τοῦτο B λέγουσιν, ὅτι παχὺ καὶ γλίσχρον ἐστὶν, οὐχ ὅτι ψυχρὸν, ὥστε κἀνταῦθα πάλιν ὁ λόγος ἑκατέρωθεν εἰς ἀπορίαν ἀφικνεῖται. τῶν μὲν ἐκ τοῦ θᾶττον ὕδατος ὑπὸ τῆς ψύξεως νικᾶσθαι τοὔλαιον, τῶν δ' ἐκ τοῦ μᾶλλον ὕδωρ ἐλαίου πήγνυσθαι, κατασκευαζόντων τἀναντία. πρὸς τῷ τοίνυν ἐν τούτοις ἀμφισβητεῖν, οὐδ' ὡς ἀερῶδές ἐστιν ὁμολογοῦσιν ἅπαντες. ἡ μὲν γὰρ κουφότης τούτου, φασὶ, σύμβολον, ἡ μέντοι παχύτης οὐ σμικρὸν τεκμήριον τοῦ γεῶδες ὑπάρχειν αὐτό. συνθέντες δ' ἄμφω τινὲς ἀερῶδές τε ἅμα, καὶ γεῶδες εἶναι φασιν. εἰσὶ δ' οἱ καταγελῶσι τούτων, C ὡς τὸ μάλιστα ὑπάρχον ἐλαίῳ, τὴν ὑγρότητα τελέως ἀφαιρουμένων τῷ λόγῳ. πρὸς τοίνυν τούτοις ἐκ τοῦ γλίσχρον ὑπάρχειν αὐτὸ, τινὲς μὲν ψυχρὸν ἐπιδεικνύουσιν, τινὲς δὲ θερμὸν, καί τινες μὲν ξηρὸν, ἔνιοι δ' ὑγρόν. εἰ μὴ γὰρ συνῆκτο, καὶ πεπύκνωτο τὰ μόρια, καὶ ἀλλήλων ἀκριβῶς εἴχετο, μὴ ἂν γενέσθαι γλίσχρον, ἔργα δ' εἶναι ταῦτα σύμπαντα ψυχροῦ. διαχεῖν γὰρ, καὶ λύειν, καὶ λεπτύνειν, καὶ ἀπ' ἀλλήλων χωρίζειν τὰ μόρια τὴν τοῦ θερμοῦ φύσιν. οἱ δ' αὖ τοὐναντίον οὐδ' ἂν γενέσθαι τι γλίσχρον φασὶν, ἄνευ θερμότητος κρατούσης, ὡς κἀν ταῖς ἑψήσεσι δηλοῦσθαι τῶν χυλῶν ἁπάντων, ὅσοι τε βοτανῶν ἐκθλίβονται, καὶ D ὅσοι καρπῶν. ὑδατώδεις γὰρ ὄντας τὰ πρῶτα, καὶ λεπτοὺς τὴν σύστασιν, καὶ διαρρέοντας ἐπειδὰν ἑψηθῶσιν, παχεῖς καὶ γλίσχρους γίνεσθαι. καὶ μὲν δὴ κἀκ τῶν κατὰ μέρος παραδειγμάτων ἑκάτεροι τἀναντία πιθανῶς κατασκευάζουσιν, οἱ μὲν ἰξὸν, καὶ μέλι, καὶ πίτταν ὑγρὰν, καὶ ῥητίνην, ἕτερά τε τοιαῦτα τῶν ὁμολογουμένων γλίσχρων τε ἅμα, καὶ θερμῶν προτείνοντες. οἱ δὲ κωνείου, καὶ ψυλλίου, καὶ ἀνδράφαξυος, καὶ βλίτου χυλοῦ μνημονεύοντες, ἔτι δὲ πρὸς τούτοις οἷον κολοφῶνά τινα τῷ λόγῳ τὸ φλέγμα προσχειριζόμενοι· σαφῶς γὰρ αὐτοῖς τοῦτο, καὶ γλίσχρον εἶναι δοκεῖ, καὶ ψυχρόν. ἀλλὰ κἀκ τοῦ τοῖς φλεβοτομουμένοις ἐπισταζόμενον E ἔλαιον εὔρουν ἐργάζεσθαι τὸ αἷμα, τἀναντία κατασκευάζοντας ἐστιν ἰδεῖν ἑκατέρους. οἱ μὲν γὰρ, ὡς τῇ θερμότητι χέον, οἱ δ', ὡς τῇ ψυχρότητι τὸ ὀλισθηρὸν παρέχον, ὁμοίως κρυστάλλῳ τὴν εὔροιαν ἐργάζεσθαί φασιν αὐτό. κἄπειτ' ἐντεῦθεν ἐκτραπόμενοι περὶ τῆς τῶν ὀλισθηρῶν ἁπάντων φύσεως διαλέγονται, μέχρι τῆς ἐσχάτης φιλολογίας ἀνιόντες τῷ λόγῳ. καταγινώσκοντες δὲ τῆς τούτων ἄλης, ὥς φασιν ἕτεροι, τὴν πιμελὴν τῷ λόγῳ προσχειρίζονται, πλησιαίτατα μὲν ἐλαίῳ τὴν φύσιν ὑπάρχουσαν. ἐναργῶς δ' εὑρεθῆναι δυναμένην, ὁποία τίς ἐστι τὴν κρᾶσιν, ἐν αὐτοῖς γὰρ ἡμῖν συνισταμένην, οὐκ ἂν δύνασθαι λαθεῖν. αὐτίκα γέ τοί φασιν ἐν τοῖς ὑγιεινοῖς, καὶ εὐτραφέσι σώμασι F γεννᾶσθαι πιμελὴν πολλὴν, ἃ μηδὲ μανέντα τινὰ φάναι ψυχρά. γίνεσθαι γὰρ τοιαῦτα τῆς φύσεως ἐρρωμένης, ἣν δὴ θερμόν τι χρῆμα πάντες ὡμολογήκασιν οἱ φυσικοὶ φιλόσοφοι. τούτοις δ' ἀντιλέγοντές τινες, ἐν ψυχροτέραις κράσεσι γεννᾶσθαι πιμελὴν φασιν, ὡς δηλοῦν τάς τε γυναῖκας, καὶ τοὺς ἀργῶς διαιτωμένους.

quippe quum aër omnis sit natura calidus, vti generatio quoq; eius indicio est, nimirum extenuata solutaque calore aqua aër efficiatur. Constatque iam inde maximam eos ingredi quæstionem clarissimis philosophis dubitatam. Siquidem Aristoteles, quique eum sectantur, calidum esse aëra existimant, at Stoici frigidum. Porrò ad celerem olei congelationem, quod visum est illis, qui frigidum ipsum asserunt, hi qui calidum contrà contendunt, non tam validè concrescere, vt aquam, contra opponunt, neque enim congelationem in eo esse aiunt, si quis rectè expendat, sed velut consistentiam, & incrassationem, hocque fieri aiunt, quia crassum est, & viscosum, non quia frigidum. Itaque rursum vtrinque in ambiguum oratio perducitur; illis quidem ex eo quòd celerius à frigore vincatur oleum, quàm aqua: his verò ex eo quòd aqua oleo plus congeletur, contraria astruētibus. Ad hoc itaque quòd de his addubitent, neque quòd aëreum sit, omnibus confessum est. Etenim leuitas quidem, inquiunt, huius indicium foret: at crassities non paruam adfert coniecturam ipsum esse terreum. Porrò quidem ambo componentes, aëreum simul & terreum constituunt. Sunt qui hos deridentes, id quod præcipuè oleo inest, nempe humiditatem, adimere perfectè ipsos oratione dicant. Ad hæc nonnulli ex eo quod viscosum sit, frigidum esse contendunt, alij verò calidum nonnulli siccum, postremo quidam etiam humidum. Etenim nisi contractæ compactæque partes eius forent, & inuicem exactè adhærerent, viscosum haud fore; atqui illos omnes frigiditatis esse effectus, nam fundere, extenuare, soluere, partes à se inuicem separare, esse calidi naturam. At alij contrà viscosum nihil fieri pronunciant citra calidi victoriam, veluti in succorum omnium patet decoctione, tum eorum qui ex herbis exprimuntur, tum qui ex fructibus, quippe qui quum aquei principio sint, ac consistentia tenui liquidaque, vbi decocti fuerint, crassi viscosique euadant. Quin & ex particularibus vtrique exemplis contraria probabiliter astruunt. Alij viscum, mel picem liquidā resinam, & alia id genus, quæ viscosa fatemur, & calida proponentes. Alij cicutæ, psyllij, atriplicis, blitique succum memorantes; & ad hæc veluti colophonem quendam orationi pituitam proferentes, liquidò enim ipsis ea, & viscosa esse & frigida videtur. Quin ex eo quòd quibus venæ sectione sanguis detrahitur, oleum instillatum fluidum reddat sanguinem, vtrosque contraria astruere videre est. Alij enim tanquam calore fundens, alij verò tanquam frigore lubricitatem præbens, non secus ac glaciem fluxibilitatem ipsum facere asserunt. Atque inde aliò versi, de lubricorum omnium natura disceptant, ad extremam vsque garrulitatem orationem promouentes. Condemnantes autem horum errorem vt aiunt alij, pinguedinem proponunt, quæ proximè olei naturam accedit, & euidenter deprehendi potest cuius sit temperamenti, quippe quæ in nobismetipsis consistat, nec fallere nos queat. Nam in sanis, inquiunt, & benè curatis corporibus multa prouenit pinguedo, quæ ne insanus quidem frigida dixerit, talia enim fieri robusta naturâ, quam omnes naturales philosophi calidam esse rem confitentur. Sed his è diuerso quidam in frigidis temperamentis pinguedinem prouenire aiunt, velut fœminæ indicant, quíque ociosam vitam transigunt.

Iam

Iam verò & inter gentes vbi frigus quidem superat, pingues; vbi verò calor, graciles prouenire homines asserunt, proferuntque exempla. Celtas, Thraces, Bithynos, Ponticos, Galatas, sicut frigidæ regionis incolas, ita quoque in vniuersum pingues; Arabes verò, Libyos, Ægyptios, Æthiopes, quique terram inhabitant calidam, graciles & aridos omnes. Nonnulli verò citra particularia exempla vniuersali inter sese ratione contendunt, partim pinguem in nobis succum prouenire non posse, nisi probè à natura cibi conficiantur, asserentes; partim in cibis quidem contineri confitentes, à nostro tamen calore consumi, velut à flamma oleum, qui vbi infirmior est redditus, in corpore aceruari. Sunt qui animantia quoque in medium afferant, vt quæ natura frigidiora sunt, pinguiora omnia reperiantur, vt vrsi, oues, sues; quæ calidiora, itidem & sicciora, graciliora que, & pinguitudine vacantia, vt leones, pardales, canes. Præterea inde adeò, quòd madefactæ oleo apes, muscæ, vespæ, formicæque intereant, alij quidem calidum, alij frigidum comprobare ipsum tentant; ac rursum alij humidum, atque alij siccum. Etenim quum iam dictæ animantes exangues sint, ac proinde frigidæ, quidam eas celeriter refrigerari aiunt, atque ita mori; quidam contra, dum excalefiunt, haud posse in contrarium mutationem perferre. Quin & quòd immoderatè exiccantur, alij, quippe quum natura iam antea exiccata sint, immoderationis ratione offendi: alij verò quòd humectentur, idque naturæ contrarietate. Atque quòd in insectis animantibus contraria inuicem colligant, mirum fortassis videri non debet: sed quòd ex iis quæ nobismetipsis accidunt, in vtranque partem differunt, id verò admiratione dignum est. Quippe aliis plus, aliis minus, sudare nos inquiunt, siquis in balneo vngatur. Nec tamen hi qui plus asserunt, de facultate eius vniuersali inter sese conueniunt, neque hi qui minus. Verùm ex iis qui plus nos sudare asserunt, quidam calori acceptum referunt, quidam verò viscositati, priores quidem calidum sudores prouocare natum dicentes, viscosum verò alteri: quippe venandi, & aceruandi eorum, quæ hactenus celeriter defluebant, proindeque sensum fallebant, facultatem obtinens, manifestam ita sudorum copiam efficere. Porrò qui minus sudare volunt eos qui aut in balneis, aut exercitiis vnguntur, alij quidem illinendi facultatem, alij verò refrigerandi vim illi attribuunt. Quinetiam ex apparentibus, alij resiccare, alij humectare ipsum dicunt: humectare quidem, quotquot plus sudare inunctos censent; resiccare verò alij. Quinimò & quòd à frigore tueatur inunctos, aliis quidem crassitie viscositateque, instar vestimenti aut munimenti, frigus arcere; alij verò per calorem naturalem contracta concalefacere referunt. Porrò etiam ex eo quòd quæ in libris de atramento conscripta sunt, nihil vitiet aut deleat, haud aliter quàm arena cinisque, quum reliqua liquida omnia deleant, quidam siccam, & velut exuccam eius naturam adstruunt; quidam verò partium crassiorum, ac minus elaboratarum. Sic & quòd aliis non commisceatur, hoc alij quidem leuitati, partiumque tenuitati, alij verò crassitudini viscositatique adscribunt, quum succis sui similibus misceatur, vt maluæ decocto.

A ἤδη δὲ καὶ τῶν ἐθνῶν, ἔνθα μὲν τὸ ψυχρὸν κρατεῖ, πιμελώδεις, ἔνθα δὲ τὸ θερμὸν, ἰσχνοὺς φασὶ γίνεσθαι τοὺς ἀνθρώπους, καὶ προχειρίζονται παράδειγμα τοῦ λόγου, Κελτοὺς μὲν καὶ Θρᾷκας, καὶ Βιθυνοὺς, καὶ Ποντικοὺς, καὶ Γαλάτας, ἅμα μὲν ψυχρᾶς χώρας οἰκήτορας, εὐθὺς δὲ καὶ πιμελώδεις τοὐπίπαν. Ἄραβας δὲ καὶ Λίβυας, Αἰγυπτίους τε καὶ Αἰθίοπας, ὅσοι τ᾽ ἄλλοι θερμὴν ἐποικοῦσι γῆν, ἰσχνοὺς, καὶ ξηροὺς ἅπαντας. εἰσὶ δ᾽ οἳ, καὶ χωρὶς κατὰ μέρος παραδειγμάτων, αὐτῷ τῷ καθόλου λόγῳ πρὸς ἀλλήλους ἀμφισβητοῦσιν. οἱ μὲν μηδ᾽ ἂν γίνεσθαι τὸν λιπαρὸν ἐν ἡμῖν χυμὸν, εἰ μὴ καλῶς ὑπὸ τῆς φύσεως αἱ τροφαὶ κατεργασθεῖεν. B οἱ δὲ τοῦτον μὲν ἐν ταῖς τροφαῖς περιέχεσθαι, καταναλίσκεσθαι δ᾽ ὑπὸ τῆς ἐν ἡμῖν θερμασίας, ὥσπερ τοὔλαιον ὑπὸ τῆς φλογὸς, ἧς ἀρρώστου γινομένης, ἀθροίζεσθαι κατὰ τὸ σῶμα. τινὲς δὲ αὐτῶν, καὶ τὰ ζῶα παρατίθενται τῷ λόγῳ, τὰ μὲν φύσει ψυχρότερα, πιμελωδέστερα πάντα ὑπάρχοντα, καθάπερ ἄρκτοι, καὶ ὄϊες, καὶ σύες. τὰ δ᾽ αὖ θερμότερα, ξηρότερά τε, καὶ ἰσχνότερα, καὶ ἀπίμελα, καθάπερ λέοντές τε, καὶ παρδάλεις, καὶ κύνες. ἔτι τοίνυν ἀπὸ τοῦ διαφθείρεσθαι βρεχομένας ἐλαίῳ μελίττας τε καὶ μυίας, καὶ σφῆκας, καὶ μύρμηκας, οἱ μὲν ψυχρὸν, οἱ δὲ θερμὸν ἐπιδεικνύναι πειρῶνται τοὔλαιον, C καί τινες μὲν ὑγρὸν, τινὲς δὲ ξηρόν. ἄναιμα γὰρ ὄντα τὰ εἰρημένα ζῶα, καὶ διὰ τοῦτο ψυχρὰ, τινὲς μὲν ἑτοίμως ὑπὸ ἐλαίου καταψύχεσθαί φασιν, καὶ διὰ ταῦτ᾽ ἀποθνήσκειν. ἔνιοι δ᾽ ἐκθερμαινόμενα, μὴ φέρειν τὴν εἰς τοὐναντίον μεταβολήν. καὶ δὴ καὶ ξηραινόμενα ἀμέτρως ἕτεροι, διὰ τὸ φύσει προεξηράνθαι, τῷ τῆς ἀμετρίας βλάπτεσθαι λόγῳ. ὑγραινόμενα δ᾽ ἕτεροι, τῇ πρὸς τὴν φύσιν αὐτῶν ἐναντιότητι. τὸ μὲν οὖν ἐπὶ τῶν ἐντόμων ζώων εἰς τοὐναντίον ἀλλήλοις ἐπιχειρεῖν αὐτοὺς, οὐδὲν ἂν ἴσως εἴη θαυμαστόν. ὅτι δὲ κἀκ τῶν ἡμῖν αὐτοῖς συμβαινόντων εἰς ἑκάτερον ἐπιχειροῦσιν, ἄξιον ἤδη θαυμάζειν. D οἱ μὲν γὰρ μᾶλλον, οἱ δ᾽ ἧττον ἱδροῦν φάσκοντες, εἴ τις ἀλείψαιτο λουόμενος, οὔθ᾽ οἱ μᾶλλον εἰπόντες, ὁμολογοῦσιν ἀλλήλοις ὑπὲρ τῆς καθόλου δυνάμεως, οὔθ᾽ οἱ ἧττον. ἀλλὰ τῶν μὲν μᾶλλον ἱδροῦν φασκόντων ἡμᾶς, ἔνιοι μὲν εἰς θερμότητα τὴν αἰτίαν ἀναφέρουσιν, ἔνιοι δ᾽ εἰς γλισχρότητα. τὸ μὲν θερμὸν τῇ φύσει προκλητικὸν ἱδρώτων φάσκοντες ὑπάρχειν οἱ πρότεροι. τὸ δὲ γλίσχρον, οἱ δεύτεροι, θηρατικόν τε καὶ ἀθροιστικὸν γιγνόμενον τῶν τέως ἀπορρεόντων ἐν τάχει, καὶ διὰ τοῦτο λανθανόντων τὴν αἴσθησιν, ἐπίδηλον οὕτως ἐργάζεσθαι τὸ πλῆθος τῶν ἱδρώτων. οἱ δ᾽ ἧττον ἱδροῦν φάσκοντες τοὺς ἀλειψαμένους E ἐν λουτροῖς, καὶ γυμνασίοις, οἱ μὲν ἐμπλαστικὴν, οἱ δὲ ψυκτικὴν αὐτῷ δύναμιν ἀνατιθέασιν. καὶ μὲν δὴ κἀκ τῶν φαινομένων, οἱ μὲν ξηραίνειν, οἱ δ᾽ ὑγραίνειν αὐτό φασιν· ὑγραίνειν μὲν ὅσοι πλέον ἱδροῦν ὑπολαμβάνουσι τοὺς ἠλειμμένους, ξηραίνειν δὲ οἱ ἕτεροι. καὶ δὴ καὶ ἀπὸ ψύχους διαφυλάττειν τοὺς ἀλειψαμένους, οἱ μὲν τῷ πάχει τε, καὶ τῇ γλισχρότητι, δίκην ἀμφιέσματός τινος, ἢ προβλήματος εἶργον τὸ κρύος, οἱ δὲ τῇ φυσικῇ θερμότητι, καὶ τὰ πλησιάζοντα συνεκθερμαῖνον. ἔτι τοίνυν ἐκ τοῦ μὴ βλάπτειν, μηδ᾽ ἐξαλείφειν αὐτὸ, τὰ διὰ τοῦ μέλανος ἐν τοῖς βιβλίοις γραφόμενα, καίτοι τῶν γε ἄλλων F ὑγρῶν ἁπάντων ἐξαλειφόντων, οἱ μὲν ξηρόν τε, καὶ οἷον ἄνικμον αὐτοῦ τὴν φύσιν εἶναί φασιν, ὁμοίως ψάμμῳ τε καὶ σποδιᾷ, τινὲς δὲ καὶ παχυμερέστερον, καὶ ἀκατέργαστον. οὕτω δὲ καὶ τὸ μὴ μίγνυσθαι τοῖς ἄλλοις, οἱ μὲν εἰς κουφότητα, καὶ λεπτομέρειαν, οἱ δὲ εἰς γλισχρότητα, καὶ πάχος ἀναφέρουσιν, ἐπεὶ τοῖς γε ὁμοίως χυλοῖς μίγνυσθαι, καθάπερ καὶ τῷ τῆς μαλάχης ἀφεψήματι.

A τὰ δ' αὐτὰ, καὶ περὶ τοῦ μὴ καλῶς ἐλαίῳ δεύεσθαι τὴν γῆν, καίτοι τοῖς ἄλλοις ὑγροῖς βρεχομένην, οἷον ὕδατι, καὶ οἴνῳ, καὶ ὄξει. τινὲς μὲν κἀνταῦθα τὸ ξηρὸν τῆς οὐσίας, ἔνιοι δὲ τὸ λεπτομερὲς, εἰσὶ δ' οἳ τὸ παχυμερὲς αἰτιῶνται. διεξέρχεσθαι μὲν τοὺς πόρους τῆς γῆς ἀψαυστὶ φάσκοντες, οἱ τὴν λεπτομέρειαν αἰτιώμενοι. τὴν ἀρχὴν δὲ μηδ' ἐμπίπτειν εἰς αὐτοὺς, οἱ τὴν παχυμέρειαν. ἔστι δ' οὐδετέρους ἐλέγξαι, κατ' ἀμφοτέρας τὰς αἰτίας δυναμένων τινῶν, καὶ μὴ μίγνυσθαι τοῖς πέλας. εἴ γε καὶ τῶν φυσικῶν ἐνίοις ἡ συμμετρία τῶν πόρων, αἰτία τῆς μίξεως εἶναι δοκεῖ. κἀγὼ μὲν νῦν ἐπὶ κεφαλαίων αὐτὰ διέρχομαι, τὰς ἀφορμὰς τῶν ἐπιχειρημάτων B ἀναμιμνήσκων μόνας. εἰ δέ τις ἐκτείνειν ἕκαστον ἐθέλοι, καὶ κατασκευάζειν ἑκατέρωθεν, οὐ μίαν οὕτω γε βίβλον, ἀλλὰ παμπόλλας ἂν οἶμαι πληρώσειν αὐτόν. πάρεστι δὲ ἤδη σκοπεῖν, ὡς οὐ μακρὰ μόνον, ἡ τοιαύτη πλάνη τῶν λόγων, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ καὶ μέχρι τῆς ἄκρας ἀνερχομένη φυσιολογίας, ἐνίοτε δὲ καὶ δύσκριτον. εἰ δ', ὅτι καὶ παντάπασιν ἄχρηστος ἰατροῖς, εἰδείη τις, ἔτι καὶ μᾶλλον, οἶμαι, φεύξεται τὴν τοιαύτην ὁδὸν τῶν λόγων. οὔτε γὰρ ἁπλῶς εἰ θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν ἐστιν ἕκαστον τῶν φαρμάκων, ζητοῦμεν. οὔτ' εἰ μυρμήκων, ἢ σφηκῶν, ἢ μελιττῶν, ἢ C τινος ἄλλου τῶν ζώων ὑγραντικὸν, ἢ ξηραντικὸν, ἢ θερμαντικὸν, ἢ ψυκτικόν ἐστιν, ἀλλ' ὅπως ἔχει πρὸς ἀνθρώπινον σῶμα. παρὸν οὖν ἐπ' ἀνθρώπων ποιεῖσθαι τὴν βάσανον, οὐ καλῶς ἐκτρέπονται πρὸς ἕτερα.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Τίς ὀρθὴ βάσανος τῆς ἐλαίου δυνάμεως.

Βάσανος δ' ὀρθὴ πρῶτον μὲν, ἡ ἐπὶ τῶν εὐκράτων σωμάτων, ἐφεξῆς δ' ἡ ἐπὶ τῶν δυσκράτων, εἶθ' ὡς εἴρηται πολ- D λάκις ἡμῖν καὶ πρόσθεν, ἡ ἐπὶ τῶν θερμῶν, καὶ ψυχρῶν, καὶ ξηρῶν, καὶ ὑγρῶν νοσημάτων. ἐν οἷς προσέχειν τὸν νοῦν ἠξιοῦμεν, καὶ ὡς διορίζεσθαι τὸ καθ' ἑαυτό τι δρῶν, τοῦ κατὰ συμβεβηκός. ἔσεσθαι δὲ τοῦτο πρῶτον μὲν, εἰ ἁπλοῖς, ὡς ἔνι μάλιστα προσφέροιτο πάθεσιν. δεύτερον δὲ, εἰ εὐθὺς τοῦτο ἐξ ἀρχῆς αἰσθητῶς ἐμφαίνοι τὴν ἑαυτοῦ δύναμιν, ἢ μετὰ χρόνον, ἢ καὶ τελέως ἀρθὲν, ὥσπερ τὸ τῆς θερμασίας ἐπανάκλησιν ἐργαζόμενον ὕδωρ ψυχρόν. ἔτι τε πρὸς τούτοις ἄμικτον ἑτέρας ποιότητος, εἰς ὅσον οἷόν τε δυνατὸν ἐργάσασθαι τὸ τοιοῦτον. πῶς μὲν οὖν ἄν τις ἔλαιον ἐργάζηται τοιοῦτον, λέλεκται καὶ πρόσθεν. πῶς δ' ἄν τις ἁπλῷ E νοσήματι προσφέροι, νῦν εἰρήσεται. τοσοῦτον ἀναμνησθέντων ἡμῶν πρότερον, ὡς ἐν ταῖς τῶν νοσημάτων διαφοραῖς ἐδείκνυτο, τινὰ μὲν ἐπὶ τὸ θερμότερον ἐκτετράφθαι σώματα, χωρὶς κακοχυμίας τινὸς, ἢ στήθους, ἢ σπλάγχνου φλεγμονῆς, ὥσπερ ἐν ταῖς σφοδραῖς ἐγκαύσεσιν εἴωθεν γίγνεσθαι. τινὰ δὲ ἐπὶ τὸ ψυχρότερον, ὡς ἐν τοῖς καλουμένοις ἤδη συνήθως ὑπὸ πάντων ἀνθρώπων, ψυγμοῖς. ἐν δὴ ταῖς τοιαύταις διαθέσεσιν ἔλαιον προσφέρων, ἐξευρήσεις ἐναργῶς, εἴτε θερμαίνειν ἡμᾶς πέφυκεν, εἴτε καὶ ψύχειν. ἔστω δὲ δηλονότι πάσης ἐπικτήτου ποιότητος ἰσχυρᾶς ἀπηλλαγμένον. ἀεὶ γὰρ ἐπὶ παντὸς φαρμάκου, μεμνῆσθαι χρὴ τούτου. τὸ μὲν F κεφάλαιον τοῦ λόγου τουτί. τὸ δ' ἔργον αὐτὸ τὸ γιγνόμενον, ἡ πεῖρα δείκνυσιν. οἱ μὲν ἐγκεκαυμένοι πρὸς τὸ μὴ παύεσθαι τῆς θέρμης, ἔτι καὶ ἀσωδέστεροι γίγνονται, καὶ τοῦ χρόνου προϊόντος θερμότεροι· τοῖς ἐψυγμένοις δὲ, σαφὲς οὐδὲν εἰς ὠφέλειαν, ἢ βλάβος ἐξ ἐλαίου χρίσεως ἀποβαίνει. ᾧ καὶ δῆλον, ὡς εἰ καὶ θερμαίνει

Eadem asserunt & de hoc, quòd terra non probè oleo irrigetur, tametsi aliis liquoribus madescat, vt vino, aqua, aceto. Ac nonnulli quidem hîc essentiæ causantur siccitatem, alij tenuitatem, sunt qui crassitiem. Etenim qui tenuitatem pro causa afferunt, intactos transire meatus aiunt: at, qui crassitiem, omninò ne ingredi quidem illos asserunt. Neutros verò arguere queas, quum vtraque de causa quædam ne propinquis commisceantur, prohiberi possint: siquidem physicorum nonnullis meatuum commoderatio, mixtionis esse causa videtur. Atque ego nunc sanè illa, in summa tantum relatis solis ratiocinationum occasionibus, commemoro. Quòd si quis sigillatim vnumquodque extendere velit, atque hinc inde in vtranque partem disserere, non vnum ille volumen, sed etiam complura, meo iudicio explebit. Licet enim vel iam nunc prospicere quod non longus solùm orationis hic euasurus sit error (tolerari enim posset) verùm quòd summam etiam interim attinget physiologiam, quandoque verò & difficilis qui discernatur. Porrò si cui etiam constaret omninò inutilem esse medicis, longè etiam magis eam rationum viam, arbitror, effugeret. Non enim absolutè an calidum, frigidum, humidum, siccumve vnumquodque medicamentorum sit, inquirimus: neque an formicas, apes, vespas, aut aliud animalium humectare valeat, aut reficcare, calefacere, aut frigefacere; sed quomodo ad corpus se habeat humanum. Quum liceat igitur in hominibus ipsis experimentum capere, non rectè ad alia conuertuntur.

CAPVT XXI.

Quæ sit recta experiundæ olei facultatis ratio.

At recta experiundi ratio, in primis quidem ea est quę in corporibus habetur temperatis, deinde ea quæ in intēperatis; mox vt sæpenumero antea monuimus, quæ in calidis, frigidis, humidis, ac siccis morbis. Vbi animum aduertere iussimus, vt quod per sese quid ageret ab eo quod ex accidenti, distingueretur. Id quod futurū est primùm quidem si quàm fieri potest simplicibus affectibus admoueas; Deinde si an protinus ab initio, quod sensu possit percipi, suā vim exerat, consideres, an post temporis aliquantum, aut deniq; vbi ablatum fuerit, velut aqua frigida, quæ caloris efficit reuocationē; Ad hæc alienæ qualitatis mixturæ expers vt sit, danda quàm maximè opera est. Quomodo ergo oleū quis tale efficiat, supra positū est: verùm quomodo simplici morbo applicari queat, nūc dicemus, id modò prius commemorantes quod in morborum differentiis ostēsum est, corpora quædam ad calidius versa videri, citra aut cacochymiā quandam, aut pectoris viscerisue inflammationē, velut in ingētibus exustionib. euenire solet. Quædam verò ad frigidius, vt in vocatis iam passim cōsueto nomine perfrictionibus. In talibus vtiq; affectionibus si oleum adhibeas, manifestò comperies, refrigerare nos, an calefacere sit natum. Sed illud tamen constet, vt omni prorsum aliena vacet qualitate vehemēti; id enim perpetuò in omni medicamēto memoria tenere oportet. Atq; hæc quidē summa est rationis. At opus ipsum quod perficitur, experiētia cōmonstrat. Nā qui ardore tenētur, tantū abest vt à calore liberentur, vt etiā fastidiosiores, & procedente tēpore calidiores euadāt. At algētib[9], ex olei inūctione clara nulla, aut noxa, aut vtilitas affertur; vnde liquet quod & si calefacere sit

sit natum, certè non admodum id posse, nec euidenter, sicuti resina, pix, bitumen. Inaudienda est nunc pix non sicca: itidem nec resina, nec bitumen siccum: nec enim in ipsis inungi quis possit. neque item quæ Sol liquarit, quippe hæc nec simplicia, nec sponte nata sunt medicamenta, verùm resina quæ sponte fluens dicitur, aut terebenthina, aut lentiscina, quæ liquida etiamnum, ac recens sit, aut ex pinea, quæ in fictilibus supernè, olei ritu innatat: pix autem liquida, aut potius quod oleosum in ea supernè fluitat, quod vtique picis florem nuncupant, est enim re vera tanquam picis flos; sic bitumen adhuc liquidum, quod ex Medea exportatur, omnia enim hæc pinguia sunt plurimúmque oleosæ naturæ possident veluti myrrha, stacte, & picinum, iuniperinum, cedrinum, laurinumque oleum, & alia eiusmodi clarissimè refrigeratos recalefaciunt, exæstuantes verò summè excruciant. Atque hæc quidem vtrisque excalefacere confessum est. At oleum neutris admodum, neque refrigeratos scilicet excalefacere, nec excalefactos offendere. Non tamen obscurè iis qui ex ardore febricitant, fastidij cuiusdam causa est, caloremque augere apparet, quemadmodum in exquisitis erysipelatis, quippe quæ biliosæ sunt fluxiones, manifestò enim in his calorem adauget, etiamsi applicetur vel frigidissimum. Etenim in arboribus, si salis sit expers, & alioqui etiam candidum, nonnullum sanè solatium, si modò frigidum perfundatur, affert; In erysipelatis autem, quantumuis sit frigidum nihil iuuerit. Cæterùm lædere omnes quæ ex pura bile sunt fluxiones, vel maximè est natum, at quæ ex sanguine illi permixto constant, has quidem minus, non tamen vulgariter. Porrò istis etiam minus, sed tamen perspicuò, affligit inflammationes etiamnum feruentes. Ex quibus omnibus coniecturam ducenti visum est tandem calorem parem eis quibus applicatur, accendere. Apparet enim corporibus mediocriter calidis, admotum moderatè illa excalefacere; vehementer autem calidis, validum accendere calorem.

CAPVT XXII.

Quòd oleum ex eorum sit numero quæ ex æquo nos recalefaciant.

DIctum est igitur in tertio De temperamentis, venitque nunc iterum dicendum, quòd vnumquodq; medicamentorum quæ corpori applicantur, quæ quidem calida esse facultatibus diximus, caloris sui principium à nobis accipiēs, partim similiter nos recalefacit, partim valentius. Atque ex iis quæ nos æqualiter recalefaciunt, oleum mihi esse visum est, particulares eius vires inspicienti; comperi enim perpetuò calorē efficere tepidū in iis quæ mediocriter essent calida, feruentē in feruentibus. Proindeq; mihi est visum neque conuulsiones, neque tremores, neque sensum tum difficilem, tum deperditum, magnopere aut iuuare aut lædere. quippe iuuare nequibat, quum valenter excalefacere non posset, nec lædere item valebat, quum omninò non refrigeraret. At vbi adscititiū comparasset calorem vehementem, multū prodesse, nempe vbi in alueolos olei calidi, in quo radices quædam, aut herbæ calefaciendi facultate pollentes incoctæ erant, ita affectos demisisse-

A ἡμᾶς πέφυκεν, ἀλλ' οὐκ ἔτι γε σφοδρῶς, ἢ ἐναργῶς, ὥσπερ ῥητίνη, καὶ πίττα, καὶ ἄσφαλτος. ἀκούειν δέ σε χρὴ νῦν, οὔτε ξηρὰν ῥητίνην, ἢ πίτταν, ἢ ἄσφαλτον, οὐ γὰρ ἂν οὐδὲ ἀλείψαιτό τις αὐταῖς, οὐ μὴν οὐδὲ τὰς ἐν ἡλίῳ τετηκυίας, οὐ γὰρ ἁπλοῦν ἔτι τό γε τοιοῦτον, οὐδ' αὐτοφυὲς ἂν εἴη φάρμακον, ἀλλὰ ῥητίνην μὲν, ἤτοι τὴν αὐτόρρυτον ὀνομαζομένην, ἢ τὴν τερμινθίνην τε, καὶ σχινίνην, ὑγρὰν ἔτι καὶ πρόσφατον, ἢ τῆς πευκίνης τὴν ἐφισταμένην ἄνωθεν τοῖς κεραμίοις ἐλαιώδη· πίττης δὲ, τὴν ὑγράν. καὶ μᾶλλον ἔτι τὸ κατ' αὐτῆς ἐποχούμενον ἐλαιῶδες, ὃ δὴ πισσάνθον ὀνομάζουσιν. ἔστι γὰρ ὄντως, οἷον ἄνθος τι πίττης, οὕτω δὲ καὶ ἄσφαλτον τὴν ὑγρὰν ἔτι τὴν ἐκ
B Μηδείας. ἅπαντα γὰρ ταῦτα, λιπαρὰ μέν ἐστιν, καὶ πλεῖστον τῆς ἐλαιώδους ἔχοντα φύσεως, ἐναργῶς μέντοι θερμαίνει, καθάπερ ἥ τε στακτὴ, σμύρνα, καὶ τὸ πεύκινον, ἢ ἀρκεύθινον, ἢ τὸ κέδρινον, καὶ τὸ δάφνινον ἔλαιον, ἕτερά τε τοιαῦτα, σαφῶς μὲν ἐκθερμαίνει τοὺς ἐψυγμένους, ἐσχάτως δ' ἀνιᾷ τοὺς ἐγκεκαυμένους. ταῦτα μὲν οὖν, ἑκατέρωθεν ὁμολογεῖται θερμαίνειν. ἔλαιον δὲ, οὐδ' ἑτέρωθεν ἰσχυρῶς, οὔτε τοὺς κατεψυγμένους ἐκθερμαίνειν, οὔτε βλάπτειν τοὺς ἐγκεκαυμένους. οὐ μὴν οὐδ' ἀσαφῶς γε τοῖς ἐπ' ἐγκαύσει πυρέξασιν, ἄσης γέ τινος αἴτιον
C γίγνεται, καὶ τὴν θερμότητα παραύξειν φαίνεται, καθάπερ κἀν τοῖς ἀκριβέσιν ἐρυσιπέλασιν. ἔστι δὲ δήπου ταῦτα, χολώδη ῥεύματα, σαφῶς γὰρ δήπου καὶ ἐν αὐτοῖς τούτοις αὐξάνειν τὴν θερμασίαν, εἰ καὶ ψυχρὸν ἐσχάτως αὐτὸ προσάγοις. ἐπὶ μὲν γὰρ τῶν ἐγκαύσεων, εἰ χωρὶς ἁλῶν εἴη, καὶ ἄλλως λελευκασμένον, ἔχει τινὰ παραμυθίαν ψυχρὸν καταντλούμενον. ἐπὶ δὲ τῶν ἐρυσιπελάτων, ὅπως ἂν ᾖ ψυχρὸν, οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ βλάπτειν πέφυκε, τὰ μὲν ἐκ χολώδους ῥεύματος ἀκριβῶς ἅπαντα, μεγίστας βλάβας. τὰ δ' ἐξ αἵματος αὐτῇ μεμιγμένου, μικροτέρας μὲν, οὐ μὴν τὰς ἐπιτυχούσας γε, οὐδὲ
D ταύτας. ἧττον δὲ τούτων, ἐναργῶς δ' οὖν ἔτι καὶ τὰς ζεούσας ἀνιᾷ φλεγμονὰς, ἐξ ὧν ἁπάντων τεκμαιρομένῳ μοι, θερμότητα παραπλησίαν ἀνάπτειν ἔδοξεν, οἷσπερ ἂν ὁμιλήσειν τύχῃ. φαίνεται γοῦν τοῖς μὲν μετρίως θερμοῖς σώμασι προσφερόμενον μετρίως θερμαίνειν αὐτὰ, τοῖς δ' ἰσχυρῶς, ἰσχυρὰν τὴν θερμασίαν ἀνάπτον.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Ὅτι τὸ ἔλαιον τῶν εἰς ἴσον ἡμᾶς ἀντιθερμαινόντων ὑπάρχει.

E Εἴρηται μὲν οὖν ἤδη κἀν τῷ τρίτῳ περὶ κράσεων, εἰρήσεται δὲ καὶ νῦν, ὡς ἕκαστα τῶν προσφερομένων τῷ σώματι φαρμάκων, ἃ δὴ καὶ θερμὰ ταῖς δυνάμεσιν ὑπάρχειν ἔφαμεν, ἀρχὴν τοῦ θερμαίνεσθαι παρ' ἡμῶν λαμβάνοντα, τὰ μὲν ὡσαύτως ἡμᾶς ἀντιθερμαίνει, τὰ δὲ σφοδρότερον. ἐκ δὴ τῶν εἰς ἴσον ἀντιθερμαινόντων, ἐφάνη μοι τοὔλαιον ἐπισκοποῦντι τὰς κατὰ μέρος αὐτοῦ δυνάμεις. εὕρισκον γὰρ ἀεὶ χλιαρὰν μὲν ἐν τοῖς μετρίως θερμοῖς σώμασιν ἀπεργαζόμενον αὐτὸ θερμότητα, ζέουσαν δ' ἐν τοῖς ζέουσιν. ἐφαίνετο δέ μοι διὰ τοῦτο, καὶ σπασμοὺς, καὶ τρόμους, ἀναισθησίας τε καὶ δυσαι-
F σθησίας, μήτ' ὠφελεῖν μηδὲν ἀξιόλογον, μήτε βλάπτειν. ὠφελεῖν μὲν γὰρ οὐκ ἠδύνατο, τῷ μὴ θερμαίνειν ἰσχυρῶς, βλάπτειν δ' οὐκ ἦν ἱκανὸν, ὅτι μηδ' ὅλως ἔψυχεν, ἐπικτήτου μὲν θερμότητος ἰσχυρᾶς λαβόμενον, ἱκανῶς ὠφελεῖν· ἐπειδὰν εἰς πυέλους ἐλαίου θερμοῦ ῥίζας τινὰς, ἢ πόας θερμαντικὰς ἐναφεψημένας ἔχοντας, τοὺς οὕτω πεπονθότας ἐμβιβά-

ζοιμεν. ὅθεν εὐλόγως οἷον ὕλη τίς ἐστιν τῶν ἄλλων φαρμάκων. A ἄν τε γὰρ ψυχρὰ μίξῃς αὐτῷ, ψυχρὸν ἔσται τὸ μικτόν· ἄν τε θερμά, θερμόν. ὃ γὰρ ἂν ἐκ τῆς μέσης ὑπάρχῃ κράσεως, ὑπηρετεῖ τοῖς ἄκροις ἑκατέροις, ὡς μήτ' εἰ θερμῷ μιχθείη ψυχρόν, τὸ μιχθὲν ἐξ ἀμφοῖν ἀπεργάσασθαι δυνάμενον, ὅτι μηδ' αὐτὸ ψυχρόν ἐστιν, μήτ' εἰ ψυχρῷ θερμόν, οὐδὲ γὰρ θερμὸν ὑπάρχει. καὶ κατὰ τοῦτο εὐλόγως, οἱ μὲν θερμαίνειν αὐτὸ φάσκουσιν ἡμᾶς, οἱ δὲ οὐ θερμαίνειν. θερμαίνειν μὲν γὰρ ἂν δόξειε, εἰς ἴσην τῷ θερμαίνοντι σώματι θερμασίαν ἀφικνούμενον, ἀντιθερμαίνειν γοῦν δύναται ταύτῃ. τῷ δὲ μὴ προσαυξάνειν ἣν κατέλαβε θέρμην, οὐκ ἂν δόξειε B θερμαίνειν. οὐ γὰρ τὸ φυλάττειν ἣν εὗρεν, ἀλλὰ τὸ παραύξειν ἔργον εἶναι τοῦ θερμαίνοντος.

mus. Vnde meritò velut materia quædam cæterorum fuerit medicamentorum: nam si frigida illi commisceas, frigidum efficietur quod mixtum erit, sin calida, calidum. Quod enim ex media temperie est, vtrisque summis inseruit, vtpotè quod si calido commisceatur, id quod ex ambobus mixtum erit, frigidum efficere non valeat, nempe quum ipsum non sit frigidum, neque si frigido, calidum, quippe quum ipsum non sit calidum. Itaque non immeritò alij calefacere ipsum aiunt, alij verò negant. Calefacere enim videatur, quum ad parem calefacienti corpori calorem peruenit, hac enim ratione recalefacere rursum potest, quòd verò quam acceperat augere caliditatem non potest, haudquaquam calefacere videatur, quippe quum non quam acceperit, seruare, sed augere calefacientis sit opus.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Τίνες ἀρχαὶ τῆς τοσαύτης ἀμφισβητήσεως, περὶ τὰς τῶν φαρμάκων δυνάμεις γεγόνασι τοῖς ἰατροῖς.

Ἀρχαὶ δὲ τῆς τοιαύτης ἀμφισβητήσεως, τρεῖς εἰσι. τό τε μὴ διῃρεῖσθαι τὰ γένη τῶν θερμαίνειν ἡμᾶς λεγομένων, καὶ τὸ ταῖς ὁμωνυμίαις χρῆσθαι συγκεχυμένως, καὶ C τὸ μηδεμίαν ἀπολιπεῖν μεσότητα. θερμαίνειν μὲν οὖν ἡμᾶς λέγεται, τά τ' ἐνεργείᾳ θερμά, καθάπερ τὸ πῦρ αὐτό, καὶ τὰ δυνάμει· καὶ τῶν δυνάμει θερμῶν, τὰ μέν, ὡς τροφαί, τὰ δ', ὡς φάρμακα, τὰ δ', ὡς σκεπάσματα. τὸ θερμὸν δ' αὐτό, τό τε κατ' ἐνέργειαν ἤδη τοιοῦτον, οὕτως ὀνομάζειν εἰθίσμεθα, καὶ τὸ κατὰ δύναμιν, ὡς πολλάκις εἴρηται καὶ πρόσθεν. ἀλλὰ τὸ μὲν κατ' ἐνέργειαν, τό θ' ἁπλῶς θερμόν, οἷον τὸ πῦρ, καὶ τὸ κατ' ἐπικράτησιν, οἷον τὸ ζῶον, καὶ τὸ πρὸς τὸ σύμμετρον ὁμογενὲς παραβαλλόμενον, καὶ τὸ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. τὸ δὲ κατὰ δύναμιν, πρῶτον D μὲν ἀντιδιαιρεῖται τοῦ κατὰ συμβεβηκός, εἶθ' ἑξῆς τοσαύτας ἔχει σημαινομένων διαφοράς, ὅσας περ καὶ τὸ κατ' ἐνέργειαν θερμόν. οἷον γὰρ ὕλη τις ἐπιτήδειος ὑπάρχουσα τῷ κατ' ἐνέργειαν θερμῷ, τὸ μέν τι τοῖς ἁπλῶς ὀνομαζομένοις θερμοῖς, τὸ δέ τι τοῖς κατ' ἐπικράτησιν. ἄλλο δέ τι πρὸς τὸ σύμμετρον ὁμογενές, ἢ ὁμοειδές, ἢ ὁτιοῦν τὸ ἐπιτυχὸν παραβαλλομένοις, οἰκεία γίνοιτ' ἂν ὕλη. διὸ καὶ τὰ πρὸς ἄνθρωπον σκοπουμένοις, ἠξιοῦμεν ἀποχωρῆσαι τῶν ἄλλων ἁπάντων. ἐν τούτοις τε οὖν ἅπασιν ἁμαρτάνουσιν οἱ περὶ E φαρμάκων δυνάμεως ἐπισκεψάμενοι, καὶ πρὸς τούτοις ἔτι παρερχόμενοι τὰς μεσότητας, ἔν τε ταῖς κατὰ φύσιν ἡμῶν κράσεσιν, ὡς ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἐδείξαμεν, ἔν τε ταῖς τῶν φαρμάκων ἐξετάσεσιν. ὡς γὰρ ἤτοι θερμὸν εἶναι δέον ἐξ ἀνάγκης, τὸ δοκιμαζόμενον φάρμακον, ἢ ξηρόν, ἢ ὑγρόν, ἢ ψυχρόν. οὕτω ποιοῦνται τοὺς λόγους, ὥσπερ οὐκ ἐνδεχόμενον ἐν τῷ μεταξύ τι τῶν θερμαινόντων τε, καὶ ψυχόντων ἡμᾶς τετάχθαι, καί τι ἕτερον ἐν τῷ μεταξὺ τῶν ξηραινόντων τε, καὶ ὑγραινόντων. οὕτω δ' εἰσὶν ἠλίθιοί τινες, ὡς μηδ' ἀκούσαντες τἀληθὲς ἀκολουθῆσαι F δύνασθαι. τινὰς γοῦν οἶδα, καὶ ἀντιλέγειν ἐπιχειροῦντας, ὡς οὐδὲν εἴη μέσον τὴν κρᾶσιν.

CAPVT XXIII.

Quænam fuerint medicis principia tantæ de medicamentorum facultatibus ambiguitatis.

EIusmodi porrò ambiguitatis tria sunt principia; Quòd non distinxerint genera eorum, quæ nos excalefacere dicuntur, & quòd homonymiis vtantur confusè, & quod nihil relinquant medium. Itaque calefacere nos dicuntur & quæ energia sunt calida, vt ignis, & quæ potestate. Tum quæ potestate sunt calida, partim alimenta sunt, partim medicamenta, partim tegumenta. Porrò calidum quoque ipsum, & quod actu tale est, ita nominare consueuimus, & quod potestate, velut subinde ante monuimus. Sed & calidum actu est, & quod simpliciter est calidum, vt ignis; & quod per exuperantiam, vt animal; & quod ad sui generis symmetrum comparatur; & quod ad quid obuium. At quod potestate dicitur, primum quidem distinguitur contra id, quod est ex accidenti; deinde totidem habet significationum differentias, quot actu calidum. Etenim quum sit velut apta quædam materia ei quod est actu calidum, partim ad ea quæ absolutè calida nuncupantur, partim ad ea quæ per excellentiam quandam, tum ad quiddam sui generis, aut speciei, denique & ad obuium quiduis collatum, propria vtique fuerit materia. Quocirca quum ea consideremus calida quæ referuntur ad hominem, vt alia prorsum omittantur, æquum existimamus. In istis ergo omnibus peccare solent, qui de medicamentorum facultatibus considerant: & præterea quòd mediocritates, tum in naturalibus nostris temperamentis (vt in opere De temperamentis ostendimus) tum in medicamentis expendendis prætereant. Siquidem tanquam necessariò id cuius perpenditur facultas, medicamentum aut calidum, aut frigidum, aut humidum, aut siccum esse debeat, ita verba ipsi faciunt, ac si non fieri posset vt in calefacientium nos, ac refrigerantium medio quiddam consistat, atque aliud rursus inter exiccantia & humectantia. A deò inuenire est quosdam stupidos, vt ne vbi audierint quidem veritatem, assequi possint. Itaque quosdam etiam noui, qui contrà contendere astruereque conarentur, nihil temperamento esse medium.

CAPVT XXIV.

Quod compluribus nos modis calefacere oleum appareat, nempe vt alimentum, vt medicamentum, vt tegumentum: Et quòd calefacientium nos, ac refrigerantium, medium quodammodo obtineat.

VErùm hos in libris De temperamentis iustis confutauimus rationibus, nihil secius idem in sequentibus facturi. Huic autem libro finem iam imponere studens, ad oleum reuertor. Accidit enim illi, vt fortassis tanquam alimentum nos calefaciat, vbi scilicet intra corpus assumitur: probatis enim quibusdam, tum medicis, tum philosophis, sicut ex cibis, ita ex oleo corpori fieri appositionem visum est. Accidit verò illi, vt tanquam medicamentum medium sit nos calefacientium, & refrigerantium: tum etiam velut tegmen nos calefaciat, naturæque eius, vel maximè propria esse imago videtur eiusmodi. Nam quemadmodum vestimenta à nobis ipsis calefacta, rursum nos recalefacere consueuerunt, ita & oleum. Sed quemadmodum illa calefaciente corpore calidiora non euadunt, ita quoque nec oleum. Rectè autem perpendas rem totam, non ad præsens modò, sed & ad futura omnia vtilem, si aëris nos ambientis memineris, qui interim eo qui in nobis est calore vsque adeo redditur frigidior; vt munimentis quibusdam aduersus eum, tegminibusque sit opus: Interdum verò vsque adeo rursum calidior euadit, vt ferre nequeas, fugiasque sub tectum aliquod vel vmbram. Est autem etiam quando tanta est moderatione præditus, vt neque tepefacientia, neque refrigerantia exposcas, sed citra omnem molestiam sensumque in eo verseris. Tertiam hanc temperiem, quam modò dicebam, symmetram moderatamque voco, atque aliarum mediam esse statuo; ac corpus nostrum, neque calefacere, neque refrigerare quum aliarum duarum altera nos calefaciat, altera verò refrigeret. Similemque esse dico mediæ aëris nos ambientis temperiei, tum qui à vestimentis, tum qui ab oleo prouenit, calorem. Porrò si ne sic quidem etiam clarum euasit, quod indicare volo, at illo saltem modo apertius opinor intelliges. Duos mihi animo intelligito homines corpore similiter temperatos, mutuò sese contingentes, vel pectore & ventre solo, vel manibus & cruribus. Quòd si eandem duobus istis hominibus nactus sit temperiem aër illos ambiens, vt in tribus his corporibus par insit calor, neuter ab altero tunc calefieri dici queat; nam quæ similia vndequaque corpora sunt, à sese mutuò nullam accipiunt mutationem. At si frigidus sit ambiens, mutuò se calefacere hi homines dicentur, tametsi haudquaquam calefaciant, sed frigus modo arceant. Vulgo itaque assueti abuti vocibus, id quod frigus arcet, calefacere aiunt: haud sanè rectè. Atqui permittendum ipsis est, vt prout velint appellent; cæterùm per calefaciendi verbum in vtraque dictione idem significari, id verò neutiquam concedendum; haud enim idem est, an ex se quid cuipiam calorem præbeat, an frigus prohibeat. Quibus sic se habentibus, quæcunque foris nobis iniecta eandem corpori caliditatem obtinent, siue à sese ipsis, siue ab aliis, siue à nobismetipsis, eam nacta

ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

Ὅτι κατὰ πλείονας τρόπους φαίνεται θερμαῖνον ἡμᾶς τοὔλαιον, καὶ ὡς τροφή, καὶ ὡς φάρμακον, καὶ ὡς σκέπασμα, καὶ ὅτι μέσον πώς ἐστι τῶν θερμαινόντων, καὶ ψυχόντων ἡμᾶς.

A Ἀλλὰ πρὸς μὲν τούτους, ἔν τε τῷ περὶ κράσεων εἴρηται τὰ προσήκοντα, κἀν τοῖς ἐφεξῆς, οὐδὲν ἧττον εἰρήσεται. τέλος δ' ἐπιθεῖναι σπεύδων τῷ παρόντι λόγῳ, πάλιν ἐπὶ τοὔλαιον ἐπάνειμι. συμβέβηκεν γὰρ αὐτῷ, καὶ ὡς
B τροφῇ μὲν ἴσως θερμαίνειν ἡμᾶς, ἐπειδὰν εἴσω τοῦ σώματος λαμβάνηται. δοκεῖ γάρ τισιν οὐκ ἀδοκίμοις ἰατροῖς, καὶ φιλοσόφοις γίγνεσθαί τις, ὥσπερ ἐκ τῶν σιτίων, οὕτω καὶ ἐξ ἐλαίου πρόσθεσις τοῦ σώματος. συμβέβηκε δέ, καὶ ὡς φαρμάκῳ μέσῳ πως εἶναι τῶν θερμαινόντων τε καὶ ψυχόντων ἡμᾶς, ὑπάρχει δ' αὐτῷ, καὶ ὡς σκεπάσματι θερμαίνειν ἡμᾶς, καὶ ἥ γε κυριωτάτη μάλιστα εἰκὼν τῆς φύσεως αὐτοῦ, τοιαύτη τις εἶναί μοι δοκεῖ. ὡς γὰρ καὶ τῶν ἀμφιεσμάτων ἕκαστον, ὑφ' ἡμῶν αὐτῶν θερμαινόμενον, ἀντιθερμαίνειν ἡμᾶς πέφυκεν, οὕτω καὶ τοὔλαιον. ἀλλ' ὥσπερ ἐκείνων οὐδὲν αὐτοῦ τοῦ θερ-
C μαίνοντος σώματος γίγνεται θερμότερον, οὕτως οὐδὲ τοὔλαιον. ὅλον δ' ἄν σοι τὸ πρᾶγμα νοηθείη καλῶς, οὐκ εἰς τὰ παρόντα μόνον, ἀλλὰ καὶ εἰς τὰ μέλλοντα σύμπαντα χρήσιμον ἐσόμενον, εἰ ἀναμνησθείης αὐτοῦ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ποτὲ μὲν ψυχροτέρου γιγνομένου τῆς ἐν ἡμῖν θερμότητος εἰς τοσοῦτον, ὡς προβλημάτων τέ τινων καὶ σκεπασμάτων δεῖσθαι πρὸς αὐτόν. ἐνίοτε δὲ θερμοτέρου πάλιν εἰς τοσοῦτον, ὡς μὴ δύνασθαι φέρειν, ἀλλ' ἀποφεύγειν εἰς σκέπην τέ τινα καὶ σκιάν. ἔστι δ' ὅτε οὕτως ἔχοντος συμμέτρως, ὡς μήτε τῶν θαλπόντων ἡμᾶς, μήτε τῶν ψυχόντων ἐπιθυμεῖν, ἀλλ' ἄλυπόν τε καὶ ἀναίσθητον εἶναι τὴν ὁμιλίαν αὐτοῦ. τὴν μὲν δὴ
D τρίτην κρᾶσιν τὴν δὲ τὴν νῦν εἰρημένην, σύμμετρον καλῶ, καὶ μέσην εἶναι τῶν ἄλλων φημί, καὶ μήτε θερμαίνουσαν ἡμῶν τὸ σῶμα, μήτε ψύχουσαν. τῶν δ' ἄλλων δυοῖν, τὴν μὲν θερμαίνειν ἡμᾶς, τὴν δὲ ψύχειν. ἐοικέναι δέ φημι τῇ μέσῃ τε καὶ συμμέτρῳ κράσει τοῦ περιέχοντος ἡμᾶς ἀέρος, τήν τ' ἐκ τῶν ἀμφιεσμάτων, καὶ τὴν ἐξ ἐλαίου γινομένην θερμασίαν. εἰ δὲ μηδ' οὕτω σαφές ἐστιν ὃ βούλομαι δηλοῦν, ἐκείνως ἄν σε μᾶλλον οἶμαι συνήσειν. δύο μοι νόησον ἀνθρώπους, ὁμοίως μὲν κεκραμένους τὸ σῶμα, ψαύοντας δ' ἀλλήλων, ἢ τοῖς στέρνοις τε
E καὶ τῇ γαστρὶ μόνοις, ἢ καὶ ταῖς χερσί, καὶ τοῖς σκέλεσιν. εἰ μὲν δὴ τὴν αὐτὴν ἔχοι τοῖς δύο τούτοις ἀνθρώποις ὁ περιέχων αὐτοὺς ἀὴρ κρᾶσιν, ὡς εἶναι τὴν ἐν τοῖς τρισὶ σώμασιν ἴσην θερμασίαν, οὐδὲν ἂν ὑπ' οὐδενὸς οὕτω γε θερμαίνεσθαι λέγοιτο· τὰ γὰρ ὅμοια πάντῃ σώματα, πρὸς ἀλλήλων οὐδεμίαν ἀλλοίωσιν ἴσχει. ψυχροῦ δ' ὄντος τοῦ περιέχοντος, ἀλλήλους ἂν οἱ ἄνθρωποι θερμαίνειν λέγοιντο, καίτοι γε οὐ θερμαίνοντες, ἀλλ' εἴργοντες τὸ ψυχρόν. εἰθικότες οὖν οἱ πολλοὶ καταχρῆσθαι τοῖς ὀνόμασιν, τὸ κωλυτικὸν τοῦ ψύχεσθαι, θερμαῖνον ὀνομάζουσιν οὐκ ὀρθῶς. ὀνομάζειν μὲν οὖν αὐτοῖς συγχωρητέον, ὡς ἂν
F ἐθέλωσιν, ταὐτὸν δὲ σημαίνειν ἐκ τοῦ θερμαίνειν ῥήματος ἐν ἑκατέρᾳ τῇ ῥήσει, κατ' οὐδένα τρόπον ἔτι συγχωρητέον. οὐ γὰρ δὴ ταὐτόν γέ ἐστι, ἐξ αὑτοῦ τινι παρέχειν θερμασίαν, ἢ κωλύειν τὸ ψυχρόν. οὕτω δὴ τούτων ἐχόντων, ὅσα περ ἂν ἡμῖν ἔξωθεν προσπίπτοντα, τὴν αὐτὴν ἔχει τῷ σώματι θερμασίαν, εἴτε ἐξ ἑαυτῶν, εἴτε παρ' ἄλλων, εἴτε καὶ ἐξ ἡμῶν αὐτῶν εἰληφότα

ταῦτα, κατὰ μὲν τὸν ἀκριβῆ λόγον, οὔτε θερμαίνειν ἡμᾶς, A οὔτε ψύχειν λεκτέον· εἰ δὲ καταχρῆσθαί τις βούλοιτο, συγχωρητέον, ἀναμιμνήσκοντα μόνον ἐν τῇ ῥήσει τὴν διαφορὰν τῶν σημαινομένων. ἄλλως μὲν γὰρ ὁ θερμότερος ἀὴρ θερμαίνειν ἡμᾶς λέγεται, κατ' ἄλλον δὲ τρόπον ὁ σύμμετρος. ἀνάλογον δ' ἔχει τῷ μὲν θερμοτέρῳ, πύρεθρόν τε καὶ νάπυ, καὶ πέπερι, τῷ συμμέτρῳ δὲ, πιμελή τε καὶ ἔλαιον. ἐνεργείᾳ μὲν γὰρ οἱ ἀέρες θερμοὶ, δυνάμει δὲ τὰ φάρμακα. τὸν μὲν γὰρ ἀέρα θερμὸν, οὐχ ἡμεῖς αὐτοὶ ποιοῦμεν, ἀλλ' ὅτι τοιούτῳ πλησιάζομεν. τὰ φάρμακα δὲ, ὡς κἀν τῷ τρίτῳ περὶ κράσεων ἐδείκνυμεν, τὴν ἀρχὴν τῆς ἐπὶ B τὸ θερμαίνεσθαι μεταβολῆς, ἐξ ἡμῶν λαμβάνοντα, τὰ μὲν εἰς ἴσον ἡμᾶς ἀντιθερμαίνειν πέφυκεν, τὰ δὲ μᾶλλον, τὰ δ' ἧττον. ἐκ δὴ τῶν ἴσων ἀντιθερμαινόντων, ἐστὶ τὸ ἔλαιον. ὑπάρχει δ' αὐτῷ, κἀκ τοῦ γλίσχρῳ τε εἶναι, καὶ δυσαπορρύτῳ, καὶ τῶν πόρων ἐμφρακτικῷ, κατὰ διττὸν τρόπον ἐπαύξειν, ὡς δοκεῖν τὴν θερμασίαν. ἐκ μὲν δὴ τοῦ περιπλάττεσθαι δίκην ἀμφιέσματος, ἢ προβλήματος, ἐκ δὲ τοῦ τοὺς πόρους ἐμφράττειν, τὸ κωλύειν ἀπορρεῖν ἔνδοθεν τὸ πολὺ τῆς ἀτμώδους θερμότητος. κατὰ ταῦτ' οὖν οὐδὲ ξηραίνεσθαι τοῖς σώμασιν ἡμῶν ἐπιτρέπει, πλὴν εἰ θερμόν C τε προσάγοιτο, καὶ χρόνῳ πλείονι· καὶ ταύτην αὐτοῦ τὴν δύναμιν ἅπαντες ἄνθρωποι τῇ πείρᾳ μεμαθηκότες, οἳ ἂν ἱδρῶσαι δαψιλέστερον ἐθέλωσιν, ἢ λελουμένοις, ἢ ἀλούτοις, οὐ προσφέρουσιν αὐτοῖς εὐθὺς κατ' ἀρχὰς ἔλαιον, ἀλλ' ἐπὶ μὲν τῶν νενοσηκότων, ἐπειδὰν ἱδροῦν ὑπάρξωνται, θερμήναντες περιχέουσι. ἐπὶ δὲ τῶν νοσούντων, ἐπειδὰν αὐτάρκως ἱδρώσωσιν, ἐπὶ δὲ τῶν ὑγιαινόντων, ὅσοι μὲν ἐξ ὁδοιπορίας μακρᾶς εἰσι, καὶ γυμνασίων πλειόνων, ἢ ὁπωσοῦν ἄλλως ἐξηραμμένοι τὸ σῶμα, τούτοις μὲν ἀλείφεσθαι, καὶ πρὶν ἱδρῶσαι συγχωροῦσιν. ὅσοι δ' ἠπεπτηκότες, ἢ πληθω- D ρικὸν τὸ σῶμα ἔχοντες, τούτοις οὐδὲ λουομένοις ἐπιτρέπουσιν ἐλαίῳ χρῆσθαι.

fuerint, exacta loquendi ratione, neque calefacere, neque refrigerare dicendum; at sicuti abuti libeat, non repugnandum, modò in dictione significationum differentiam commemoret: siquidem alio quodammodo calefacere nos dicitur aër calidior, atque alio modo qui sit moderatus. Respondet autem proportione aëri calidiori pyrethrum, napy, piper; moderato autem pinguedo, & oleum; actu enim aëres sunt calidi, potentia verò medicinæ. Aëra enim calidum haud ipsi efficimus, sed quoniam in eo versando talem ipsum experimur, ita nuncupamus: At medicamenta, sicuti in tertio De temperamentis demonstratum est, principium calefactionis à nobis accipientia, partim æquè nos recalefacere sunt nata, partim plus, partim minus. Ex genere autem eorum quæ æquè nos recalefaciunt, oleum est; Cui eidem quoque à viscositate, ac quòd difficulter item defluat, tum quòd meatus infarciat obstruatque, duplici ratione, vt augere calorem videatur euenit, tum inde adeo, quòd instar vestimenti, aut munimenti illinatur: tum quòd meatus infarciat, prohibeatque foràs effluere magnam vaporosi intus caloris partem. Eadem ratione, nec vt resiccentur corpora nostra permittit, nisi sanè applicetur calidum idque plusculo tempore. Has itaque vires eius quum homines omnes experientia compertas habeant, quos largius sudare volunt, siue à balneo, siue balnei expertes, iis non protinus ab initio oleum admouent. Verùm in iis qui morbo laborarunt, vbi sudare inceperint, tum calefactum perfundunt; In iis verò qui etiamnum laborant, vbi abundè iam satis sudarint. Porrò in sanis, siquidem ex longo itinere, aut exercitatione, alióve quouis pacto corpus ipsis exhaustum est, eis inungi & ante sudorem permittunt. Verùm qui non concoxerint, aut corpus habent plethoricum, his neque in balneo inungi concedunt.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὅτι μέσον ἐστὶ τῶν ὑγραινόντων, καὶ ξηραινόντων ἡμᾶς τὸ ἔλαιον.

ΚΑί μοι δοκεῖ κἀνταῦθα μέσον τῶν ὑγραινόντων, καὶ ξηραινόντων ἡμᾶς εἶναι τοὔλαιον, ὥσπερ ὀλίγον ἔμπροσθεν ἐδείχθη τῶν θερμαινόντων, καὶ ψυχόντων. ὑγραίνει μὲν γὰρ E ὕδωρ, ξηραίνει δὲ δάφνινόν τε, καὶ κέδρινον ἔλαιον. τό γ' οὖν ἔλαιον ἁπλῶς οὑτωσὶ προσαγόμενον, ἄνευ γε τοῦ προθερμανθῆναι πρὸς ἡμῶν αὐτὸν ἐξ ἐπιτεχνήσεως, ἢ ψυχθῆναι. τούτου γὰρ ἐπὶ πάντων ἀεὶ χρὴ μεμνῆσθαι, τοιαύτην φυλάττει τὴν κρᾶσιν ἡμῶν, οἵαν περ παρέλαβεν, εἶργον ὡς ἔνι μάλιστα, καὶ κωλῦον κενοῦσθαι τοῦ σώματος ἁπάσας τὰς ἀτμώδεις διαπνοάς. εἰ δ' ἀνατρίβεις ἐπιπλέον ἐλαίῳ τὰ μέλη, θερμότητά τέ τινα γεννήσεις ἐκ τῆς τρίψεως ἐπίκτητον, ὠφελήσεις τε τοὺς κεκοπωμένους ἐν τῷδε, τοῦτο μὲν εἴσω τοῦ σώματος, εἰς τοὺς κατὰ λεπτὸν πόρους εἰσδυομένου τοῦ F λίπους, ὡς μαλάττειν τὰ κατεσκληρυμμένα. τοῦτο δὲ τῇ θερμότητι διαφοροῦντος, ὅτι δριμὺ καὶ λεπτὸν ὑγρὸν, ἐν τοῖς κόποις ἐκ συντήξεως γεννηθὲν ὑπὸ τοῦ δέρματος ἐστέγετο. φαίνονται γὰρ κἀκτὸς ἀπορρέοντες ἱδρῶτες τοῖς γυμναζομένοις, φαίνονται δ' οὐκ ὀλίγα κἀντὸς εἰς τὴν γαστέρα συρρέοντα

CAPVT XXV.

Quod medium sit oleum inter humectantia nos & exiccantia.

ATque hic quoque mihi videtur oleum esse medium inter humectantia nos & resiccantia, velut inter calefacientia & refrigerantia medium consistere supra demonstrauimus, humectat enim aqua, exiccat verò tum laurinum, tum cedrinum oleum. At quod simpliciter sic admouetur, citra vllam videlicet ex arte conciliatam à nobis, aut caliditatem, aut frigiditatem (huius enim vsque meminisse oportet) talem seruat nostram temperiem, qualem scilicet accepit, quam fieri possit maximè vaporosas omnes corporis expirationes prohibens. Porrò si plusculum membra frices oleo, calorem ex frictione adscititium comparabis. Atque hac interim ratione lassos non parum iuuabis, partim quòd in minutos corporis meatus pingue ingrediatur, & quæ indurata sunt emolliat, partim quòd humiditatem acrem, ac subtilem, quæ in lassitudine ex colliquatione proueniens, sub cute latebat, per halitum caliditate digerat. Conspiciuntur enim exercentibus, tum foràs affluere sudores, tum intus in ventrem non pauca

defluere

defluere excrementa, quæ velut colliquationes ſunt. Ex hiſce autem colligendum eſt, complura toto in corpore eiuſmodi relinqui, quæ euacuationem depoſcant, quippe duplex in laſſitudinibus affectio naſcitur, ſicut alibi oſtendimus. Nam ſimilares quidem animantis partes reſiccantur, humectantur verò vacua ſpatiola non vtili, & naturali humore (nam ſic foret plethora) ſed tenui, & acri, mordacique: proindeque remediis indigent duplicibus, tum iis, quæ ſiccitatem corporis irrigent, tum iis, quæ humorem acrem euacuent. Itaque ad hæc aptiſſima ſunt dulcium aquarum lauacra, nimirum quæ humiditate ſua inſtrumentorum corrigant ſiccitatem, & caliditate tenuem atque acrem humorem digerant. At ſi corporibus inhærere poſſet aqua, nec facilè deflueret, ipſa quidem per ſe ſufficeret. Atqui quum ea, quæ foris circumfunditur, facilè defluat: & quæ in poros ingreſſa corporis, nullam habens anſam promptè effluat: in hoc ſanè ipſum vtiliter miſcetur oleum, maximéque iuuat, ſi ex vtroque quis diutius fricetur, id quod veteres Græci χυτλοῦσθαι nominabant: cui oppoſitum impoſuerunt vocabulum ξηραλοιφεῖν quod eſt ſicca vti frictione. Eſt ſanè & hoc quoque quodammodo laſſitudinem ſanare potens, ſed multum relinquitur ab eo, quod χυτλοῦσθαι nuncupant. Nam vt reliqua taceam, vbi cum oleo aqua contunditur, teriturque, haud facilè ſolubili mixtione coit, vt quibus ita corporibus inungatur oleum, neceſſe ſit, & pluſculum inhærere aquam. Quare hic item velut materia eſt quædam oleum humectantium exiccantiumque, ſicut ante oſtenſum eſt calefacientium, & refrigerantium. Quippe quod, ſi exiccanti commiſceas, totum effeceris exiccans: ſin humectanti, & ipſum humectans reddideris: ſæpeque quod ex ambobus conſtat, maiorem adipiſcitur humectandi facultatem, quam id, quod primario eſt humectans: quod in aqua accidit. Nam ea primariò madefacit: verùm quum haud ita diu inhæreat, nec actionem obtineat diutinam, leuiter vtique prodeſt. Quum ergo illic velut vinculum fiat oleum, cogatque plurimum, quibus auxilio eius opus eſt, inhærere, longè omnium optimum redditur remedium exiccatis, ſqualidiſque corporibus. Sed ſi exiccans oleo medicamentum commiſceas, puta chalcitin, pyrethrum, gallam, ſtruthion, ſiccans erit quod ex vtroque commixtum fuerit. Itaque quum omnibus quæ ſibi commiſcentur, ſubſeruiat oleum, recta ratione velut omnium exiſtit materia: tametſi vtique neceſſariò propriam eorum actionem retundit quidem, ac minuit, non tamen vtilitatem: imò eſt vbi eam quoque adaugeat. Haud eſt enim idem (quod fortè quis autumet) actionem augere cuiuſpiam, & vtilitatem: quippe cum actio ſecundum propriam cuiuſque facultatem, vtilitas verò nonnunquam ex accidenti agat. Diſſeremus autem poſtea vberius de vtilitate, quæ per accidens euenit, & nunc quoque hactenus de ea dicetur, quatenus in præſenti eſt commodum. Quippe contuſa cum oleo aqua, quod hydrelæum vocant, magis auxilio eſt laſſitudinibus, quàm ſi eſſet ſola: non quidem quòd ſuæ vires intendantur, ſed quòd quibus opus eſt diutius inhæreat.

A περιττώματα, καὶ δὴ συντήγματα. λογίζεσθαι δ᾽ ἐκ τούτων χρή, κἂν μὴ φαίνηται, καταλείπεσθαί τινα, καὶ καθ᾽ ὅλον τὸ σῶμα πολλὰ τοιαῦτα κενώσεως δεόμενα. διττὴ γὰρ ἐν τοῖς κόποις γίγνεται διάθεσις, ὡς ἐν ἑτέροις ἀποδέδεικται. ξηραινομένων μὲν τῶν ὁμοιομερῶν τοῦ ζώου μορίων, ὑγραινομένων δὲ τῶν κενῶν χωρῶν, οὐ χρηστῇ, καὶ κατὰ φύσιν ὑγρότητι (πληθώρα γὰρ ἦν) ἀλλὰ λεπτῇ, καὶ δριμείᾳ, καὶ δακνώδει, καὶ διὰ τοῦτο, καὶ τῶν ἰαμάτων δέονται διττῶν, τῶν τε τὴν ξηρότητα τεγγόντων, καὶ τῶν τὴν δριμεῖαν ὑγρότητα κενούντων. καὶ διὰ τοῦτο πρὸς ἄμφω ταῦτα, τὰ διὰ τῶν
B γλυκέων ὑδάτων λουτρὰ χρησιμώτατα τετύχηκεν ὄντα, τῇ μὲν ὑγρότητι τὴν ξηρότητα τῶν ὀργάνων ἐπανορθούμενα, τῇ δ᾽ αὖ θερμότητι, τὸ λεπτὸν, καὶ δριμὺ διαφοροῦντα. καὶ εἴ γε παραμένειν τοῖς σώμασιν ἐδύνατο, καὶ μὴ ῥᾳδίως ἀπορρεῖν τὸ ὕδωρ, αὔταρκες ἂν ὑπῆρχε μόνον. ἐπεὶ δὲ τό τε περιχεόμενον ἔξωθεν ἀπορρεῖ ῥᾳδίως, τό τ᾽ εἰς τοὺς πόρους τοῦ σώματος εἰσδυόμενον ἐκρεῖ, λαβὴν οὐδεμίαν ἔχον, εἰς τοῦτ᾽ αὐτὸ χρησίμως ἔλαιον μίγνυται, καὶ μᾶλλόν γε ἢν ἐπιπλέον ἐξ ἀμφοῖν ἀνατρίβηταί τις, ὅπερ ὠνόμαζον οἱ παλαιοὶ χυτλοῦσθαι, καὶ ἀντετίθεσάν γε αὐτῷ τὸ ξηραλοιφεῖν. ἔστι μὲν καὶ τοῦτό
C πως αὐτὸ καθ᾽ αὑτὸ κόπων ἰατικὸν, ἀλλ᾽ ἀπολείπεται πάμπολυ τοῦ χυτλώσασθαι. τά τε γὰρ ἄλλα, κἀπειδὰν ἀνακόπτηται καὶ ἀνατρίβηται μετ᾽ ἐλαίου τὸ ὕδωρ, δύσλυτον ἱκανῶς ἔχει τὴν μίξιν, ὥσθ᾽ ὅσοις ἂν ἐπαλείφηταί τε καὶ περιπλάττηται σώμασι τὸ ἔλαιον, ἀναγκάζεσθαι τούτοις ἐπιπλέον ὁμιλεῖν καὶ τὸ ὕδωρ. ἔστι τοίνυν κἀνταῦθα, ὥσπερ τις ὕλη, τῶν ὑγραινόντων τε, καὶ ξηραινόντων τὸ ἔλαιον, ὡς ἔμπροσθεν ἐδείχθη, τῶν θερμαινόντων τε καὶ ψυχόντων. ἄν τε γὰρ ξηραίνοντι μιχθῇ, ξηραῖνον τὸ σύμπαν ἀπετέλεσεν, ἄν θ᾽ ὑγραίνοντι, καὶ τοῦθ᾽ ὑγραῖνον εἰργάσατο, καὶ πολλάκις, καὶ μᾶλλον ὑγραῖνον
D ἀπετελέσθη τὸ μικτὸν ἐξ ἀμφοῖν αὐτοῦ τοῦ πρώτως ὑγραίνοντος, ὥσπερ ἐφ᾽ ὕδατος ἔχει. τοῦτο γὰρ, ὑγραίνει μὲν πρώτως, ἀλλὰ τὸ μὴ παραμένειν ἐπιπλέον, ὀλιγοχρόνιον ἴσχον τὴν ἐνέργειαν, ἀσθενῶς ὠφελεῖ. δεσμὸς οὖν αὐτῷ τοὔλαιον γιγνόμενον, ἀναγκάζον γε τοῖς χρήζουσι τῆς ἀπ᾽ αὐτοῦ βοηθείας ἐπιπλεῖστον ὁμιλεῖν, ἄριστον ἰαμάτων πάντων ἀπετελέσθη, τοῖς ἐξηραμμένοις τε αὐχμώδεσι σώμασιν. οὕτω δὲ κἂν ξηραῖνον ἐλαίῳ μίξῃς φάρμακον, οἷον χαλκῖτιν, ἢ πύρεθρον, ἢ κηκῖδα, ἢ στρούθιον, ξηραῖνον ἔσται τὸ μικτὸν ἐξ ἀμφοῖν. ἅπασιν οὖν ὑπηρετοῦν τοῖς ἑαυτῷ μιγνυμένοις τὸ ἔλαιον,
E εὐλόγως οἷον ὕλη τις ἁπάντων ἐστί. τὴν μὲν οὖν οἰκείαν αὐτῶν ἐνέργειαν ἐξ ἀνάγκης μειοῦν, οὐ μὴν τήν γε ὠφέλειαν, ἀλλ᾽ ἔστιν ὅτε, καὶ προσαυξάνον. οὐ γὰρ δὴ ταὐτόν γ᾽ ἐστὶν, εἰ καὶ δόξει τισὶν ἐνέργειάν τέ τινος αὐξῆσαι, καὶ ὠφέλειαν. ἡ μὲν γὰρ ἐνέργεια, κατὰ τὴν οἰκείαν ἑκάστου δύναμιν, ἡ δ᾽ ὠφέλεια, καὶ κατὰ συμβεβηκὸς ἐνίοτε. λεχθήσεται μὲν οὖν ἐπιπλέον ἐν τοῖς ἑξῆς, ὑπὲρ τῆς κατὰ συμβεβηκὸς ὠφελείας. εἰρήσεται δὲ καὶ νῦν εἰς τοσοῦτον, εἰς ὅσον δεῖ τοῖς παροῦσιν. ἐλαίῳ γὰρ ἀνακοπτόμενον ὕδωρ, ὡς τὸ καλούμενον ὑδρέλαιον ἐργάσασθαι, τοῖς κεκοπωμένοις ἀρήγει μᾶλλον, ἢ εἰ μόνον
F ὑπῆρχεν, οὐ τῷ τὴν οἰκείαν ἐπιτείνεσθαι δύναμιν, ἀλλὰ τὸ παραμένειν ἐπιπολὺ τοῖς δεομένοις.

A

ΚΕΦΑΛΑΙΟΝ Κϛʹ.

Ὅτι δεῖ τὸ τῆς ὕλης λόγον ἐπέχον παρὰ τὰ μιγνύμενα μέσον εἶναι τὴν κρᾶσιν, εἰ μὴ μέλλοι ἀντιπράττειν τῇ τῶν μιγνυμένων αὐτῷ ἐνεργείᾳ.

Ὅτι δ' εἰ μὴ μέσον εἴη τῇ κράσει τὸ ξυνδοῦν, τοῖς πρώτως βοηθοῦσι τοῖς δεομένοις, ἐναντιώσεται πολλάκις αὐτῶν ταῖς ἐνεργείαις, ἐξ αὐτῆς γε τῆς τῶν φαρμάκων φύσεως ἔνεστί σοι καθόλου διδαχθῆναι, κἀκ τῆς κατ' εἶδος τῶν φαρμάκων ἱστορίας. ἀπὸ μὲν τῆς τοῦ καθόλου, διότι τὸ μιγνύμενον εἰ ἐπὶ τοὐναντίον ἀπάγῃ τὴν δύναμιν τοῦ κραθέντος αὐτῷ φαρμάκου, δύναταί ποτε καὶ νικῆσαι, καὶ τελέως εἰς ἕτερον εἶδος μεταστῆσαι τὸ μικτὸν ἐξ ἀμφοῖν. οὐδεμίαν γὰρ, οὔτε ἰδέαν ἐπίσημον, οὔτε δύναμιν ἐμφαίνεσθαι χρὴ τοῦ λόγον ὕλης ἔχοντος ἐν τῇ μίξει. κατὰ δὲ τὴν ἀπὸ τῶν ἐν μέρει πεῖραν, ὧδ' ἂν μάθοις, ὡς οὐ χρὴ τὸ λόγον ὕλης ἔχον, οὔτε θερμαίνειν, οὔτε ψύχειν, οὔτε ξηραίνειν, οὔθ' ὑγραίνειν. εἰ πρῶτον μὲν ἀναμνησθείης ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα ἐπὶ πίττης ὑγρᾶς, καὶ ῥητίνης, καὶ σμύρνης, ἀσφάλτου τε, καὶ κεδρίνου, καὶ δαφνίνου, καὶ τῶν ἄλλων ὅσα θερμαίνει. ταῦτα γὰρ ἅπαντα μεθ' ὕδατος ἀνατριβόμενα, παραπλησίως ἐλαίῳ θερμαίνει μᾶλλον, ἢ ψύχει, καὶ ξηραίνει μᾶλλον, ἢ ὑγραίνει, διὸ καὶ τὰς κοπώδεις αἰσθήσεις, οὐ πάνυ τι λύειν πέφυκεν. οὔτε γὰρ τῆς αὐτῆς ἐστιν ὕδατι δυνάμεως, ὡς συνεργάζεσθαί τι μᾶλλον, ἢ ἀντιπράττειν, οὔτε τῆς μέσης τῶν ἄκρων, ἵν' ὡς ὕλη τις ὑπηρετῇ τῷ πρώτως ἐνεργοῦντι. ξηραίνει γὰρ καὶ θερμαίνει μᾶλλον, οὐχ ὑγραίνει, καὶ ψύχει, καθάπερ ὕδωρ. εἰ δέ τινι τῶν ἰσχυρῶς ξηραινόντων τε, καὶ θερμαινόντων ἀναμίξαις ὕδωρ, οὐ μόνον οὐδὲν ὧν πέφυκε δρᾶν ὄψει γιγνόμενον, ἀλλὰ καὶ τελέως ἀμαυρούμενον, ὡς εἰ μηδὲ τὴν ἀρχὴν ἐμέμικτο. χαλκῖτις οὖν, καὶ σανδαράχη, καὶ μίσυ, καὶ τἆλλ' ὅσα θερμαίνει τε σφοδρῶς ἡμᾶς, καὶ ξηραίνει, φυλάττει τὴν ἑαυτῶν ἔτι δύναμιν ἰσχυρὰν, ὕδατι μιχθέντα. πανταχόθεν οὖν δῆλον, ὡς μέσον εἶναι χρὴ τὴν κρᾶσιν, ὅ τι περ ἂν ἑκατέροις τοῖς ἄκροις ὑπηρετήσειν μέλλῃ, καθάπερ ὕλη τις, ὥσπερ καὶ τοὔλαιον ἐν τῇδε τῇ χώρᾳ τιθεὶς, οὐκ ἂν ἁμάρτοις. ὁμολογήσει γὰρ ἅπαντά σοι τὰ κατὰ μέρος ἔργα, καὶ μέμψῃ τοῦ μήκους τῶν λόγων οὐχ ἡμᾶς, ἀλλ' ὅσοι τὴν ὀρθὴν ὁδὸν ὑπερβαίνοντες, ἐπὶ μοχθηράς τε καὶ μακρὰς ἐκτρέπονται. δι' οὓς καὶ τοῦτον ἠναγκάσθην ἐγὼ μηκῦναι τὸν λόγον, ἐπεὶ τό γ' ἀληθὲς αὐτὸ, ταχίστην ἔχει τὴν εὕρεσιν, ὡς ἂν ἐξ αὐτῶν τῶν ἐναργῶς φαινομένων ὁρμώμενον. οὐ μὲν οὐδ' εἰς τοσοῦτον ἐμήκυνα τὸν λόγον εἰς ὅσον ἐγχωρεῖ, τῷ καὶ πάντα τὰ κακῶς ὑπ' αὐτῶν εἰρημένα γράψαι παρειρημένως, καὶ τὰς αἰτίας τῶν σφαλμάτων ἐκδιδάξαι. καίτοι γε τὰς αἰτίας εἰπεῖν ἴσως ἀναγκαῖόν ἐστιν, ὑπὲρ τοῦ φυλάττεσθαί τε τοὺς ἐξ αὐτῶν παραλογισμοὺς, ἐν ἁπάσῃ τῇ κρίσει τῶν κατὰ μέρος φαρμάκων, ἔχεσθαί τε τῆς ἀληθοῦς διδασκαλίας ἐπιστημονικώτερον. αὐξάνονται γὰρ ἡμῖν αἱ περὶ τῶν πραγμάτων πίστεις, ὅταν μὴ μόνον αὐτὸ γιγνώσκωμεν τἀληθὲς, ἀλλὰ καὶ τῶν παραλογισμῶν ἁπάντων τὰς αἰτίας ἐκμάθωμεν. τοῦτο μὲν οὖν ἐν τοῖς ἑξῆς ἐργασόμεθα.

CAPVT XXVI.

Quod materiæ rationem obtinet, in mixtis mediam tenere temperiem debere, alioquin enim futurum, vt mixtorum sibi aduersetur actioni.

QVod autem nisi mediam habeat temperiem id quod ea quæ primario quibus opus est auxiliantur, velut deuinciet, sæpenumero ipsorum repugnabit actionibus, ex ipsa medicamentorum natura generatim addiscere liceat, speciatim autem ex medicamentorum historia. Generatim B quidem quoniam id quod miscetur, si in contrarium retrahat, admixti sibi facultatem medicamenti vincere interim poterit, & in aliam planè speciem, quod ex ambabus miscetur, transferre. Siquidem quod materiæ rationem in mixtione præstabit, nullam insignem neque speciem, neque facultatem exerat oportet. In particularibus verò experiundis hoc maximè pacto addisces, non debere id quod materiæ rationem obtinebit, aut calefacere, aut frigefacere, aut humectare, aut resiccare, si primum quidem in memoriam reuoces, quæ supra de resina, & pice liquida, myrrha, bitumine, tum cedrino, & C laurino, cæterisque quæ calefaciunt, commemorauimus. Hæc enim omnia in aqua trita ad modum olei calefaciunt magis, quàm refrigerant: desiccant plus, quàm humectant: quamobrem lassitudinis sensus non admodum soluere valent: Haud enim eandem cum aqua vim obtinent, quò scilicet auxilio magis sint, quàm aduersentur: Neque mediam inter extrema naturam sortita sunt, vt videlicet tanquam materia quædam inseruiant primario agenti: desiccant enim, & calefaciunt potius, non humectant, ac refrigerant, velut aqua. Si verò calefacien- D tium admodum resiccantiumque cuipiam aquam commisceas, non modò nihil eorum, quæ agere nata est, fieri videbis, sed prorsum obscuratam, tanquàm omninò admixta non esset. Siquidem chalcitis, sandarache, misy, cæteraque quæ nos vehementer, tum calefaciunt, tum resiccant, validas etiamnum suas vires etiam aquæ permixta obtinent. Omninò ergo constat mediam obtinere temperiem debere, quod vtrisque extremis tanquam materia inseruiet: quem in ordinem oleum si statuas, nihil vtique peccaueris, quippe quum omnia sigillatim opera tibi consen- E tiant. Et accusabis prolixitatis non nos vtique, sed qui recta via præterita prauam prolixamque sectantur: quorum sanè causa hunc nos sermonem extendere sumus coacti. Ipsa enim veritas celerrimam inuentionem obtinet, vt quæ ab euidenter apparentibus exoriatur. Haudquaquam tamen eo vsque orationem produxi, quousque licuerat, ei qui omnia quæ prauè ab iis prodita erant, scripturum se, causasque errorum edocturum fuerat pollicitus. Sanè causas dixisse necesse fortassis fuerit, nempe quò, qui ex ipsis proueniunt, paralogismos in tota particularium medicamentorum iudicandi ratione cauere possis, F veramque doctrinam cum maiori scientia percipere. Crescit enim nobis de rebus fides, vbi non solum ipsam veritatem cognorimus, sed etiam paralogismorum omnium causas edidicerimus: quod sanè in sequentibus efficiemus.

A

CAPVT XXVII.

De rosaceo.

NVnc autem vbi pauca de rosaceo ad ea, quæ ab initio sunt dicta adiecerimus, orationem hoc in loco sistemus. Igitur dictum est, quòd neque odoribus, neque coloribus, neque aliis omninò accidentium, animum adhibere in expendendis facultatibus rationabile sit, sed iis, quæ perspicuò apparent, tum in sanis corporibus, tum in ægris. Ostensum etiam est oleum, vbi salis expers, purumque ad vnguem fuerit, ex media esse materia. Conficiendum itaque rosaceum, quod exactum simul, ac simplex, reque vera rosaceum erit ex hoc videlicet oleo: dandaque opera, ne quid in se medicamentosi contineat: vti apparare solent vnguentarij, quo videlicet tamen magis duret, tum odoratius euadat, oleum videlicet prius, quàm rosas inijciant, odoramentis præcondientes. Ac præstiterit fortassis ipsis etiam nominibus ea distinguere, quod veteres fecisse constat. Oleum etenim rosaceum nominare adsolent, quod absque odoramentis præparatum est: cui autem & horum aliquid inditum fuerit, non id etiam oleum, sed vnguentum, cognominant. Itaque quum oleum velut materia quædam sit excalefacientium, refrigerantiumque medicamentorum ex media videlicet temperie, constetque ex oleo, & rosarum succo rosaceum, est vtique & ipsum talis temperiei, qualis est rosarum succus. Sanè verò facillimum fuerit, non modò rosarum succi per se, sed oleo quoque rosaceo confecto, in sanis pariter, atque ægrotis (vt iam frequenter monuimus) virium eius periculum facere. Experieris ergo eos, qui adustione tentantur, ab eo refrigerari protinusque vtilitatem aliquam percipere, qui verò refrigerati sunt, omnes euidenter lædi: facilè ex vtroque intelligas, vires eius refrigerare magis, quàm excalefacere. Non tamen valida à rosaceo apparet tibi refrigeratio, sed quæ proxima videatur temperiei mediæ. Voco autem id genus medicamenta, lucidioris doctrinæ gratia, ex prima natura ordinéque refrigerantium: sicut rursum, quæ paululum à media temperie ad calidiorem declinarunt, ex primo recessu, & ordine excalefacientium. Atque hæc quidem in præsentiarum de rosaceo nouisse oportet. Necesse enim erit, & in sequenti libro ipsius medicamenti meminisse, & quæ reliqua sunt, dictis adiicere.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ ῥοδίνου.

ΝΥνὶ δὲ περὶ ῥοδίνου βραχέα προσθεὶς ἐπὶ τοῖς κατ' ἀρχὰς εἰρημένοις, ἐν τῷδε καταπαύσω τὸν λόγον. εἴρηται μὲν οὖν, ὡς οὔτ' ὀσμαῖς, οὔτε χρόαις, οὔτ' ἄλλῳ τινὶ τῶν συμβεβηκότων εὔλογόν ἐστι προσέχειν τὸν νοῦν ἐν ταῖς τῶν δυνάμεων ἐξετάσεσιν, ἀλλὰ τοῖς ἐναργῶς φαινομένοις ἐπί τε τῶν ὑγιαινόντων, καὶ νοσούντων σωμάτων. ἀποδέδεικται δὲ, καὶ ὡς
B τοὔλαιον, ὅταν ἄναλον ᾖ, καὶ καθαρὸν ἀκριβῶς, ἐκ τῆς μέσης ὕλης ἐστίν. ὥστε καὶ τὸ ῥόδινον χρὴ τὸ ἀκριβὲς, καὶ ἁπλοῦν, καὶ ὄντως ῥόδινον, ἐξ ἐλαίου τε τούτου κατεσκευάσθαι, καὶ μηδὲν ἐν ἑαυτῷ φαρμακωδέστερον ἔχειν, ὥσπερ εἰώθασιν οἱ μυρεψοὶ σκευάζειν, ὑπὲρ τοῦ μόνιμόν τε καὶ εὐωδέστερον γενέσθαι, προστύφοντες ἀρώμασι τοὔλαιον πρὶν ἐμβαλεῖν τὰ ῥόδα. κάλλιον δὲ ἴσως ἐστὶ, καὶ τοῖς ὀνόμασιν διαστέλλειν αὐτὰ, καθότι καὶ τοὺς παλαιοὺς οἶδα ποιοῦντας. ἔλαιον μὲν γὰρ ῥόδινον ὀνομάζουσιν, τὸ χωρὶς τῶν ἀρωμάτων σκευασθέν. ὅτῳ δ' ἐπεμβέβληταί τι καὶ τούτων, οὐκ ἔλαιον ἔτι τὸ τοιοῦτον, ἀλλὰ μύρον ἤδη προσα-
C γορεύουσιν. ὥστ' ἐπειδὴ τὸ μὲν ἔλαιον οἷον ὕλη τίς ἐστιν, τῶν θερμαινόντων τε καὶ ψυχόντων φαρμάκων ἐκ τῆς μέσης κράσεως ὑπάρχον, ἐξ ἐλαίου δὲ καὶ ῥόδων χυλοῦ σύγκειται τὸ ῥόδινον, ἔστι δήπου καὶ αὐτὸ τοιοῦτον τὴν κρᾶσιν, οἷός περ καὶ ὁ τῶν ῥόδων χυλός. ἔστι δὲ δήπου ῥᾷστον, οὐ ῥόδων χυλοῦ μόνον αὐτοῦ καθ' ἑαυτὸν, ἀλλὰ καὶ συνθέντας ἔλαιον ῥόδινον, ἐπί τε τῶν ὑγιαινόντων, καὶ νοσούντων, ὡς ἤδη πολλάκις εἴρηται, τὴν βάσανον αὐτοῦ ποιήσασθαι τῆς δυνάμεως. εὑρήσεις οὖν ἐμψυχομένους μὲν ὑπ' αὐτοῦ τοὺς ἔτι κεκαυμένους, καὶ παραχρῆμά τινος ὠφελείας αἰσθανομένους, βλαπτομένους δ' ἐναργῶς ἅπαντας τοὺς ἐψυγμένους, ὥστε σε σαφῶς ἑκατέρωθεν συνιέναι τῆς δυ-
D νάμεως αὐτοῦ, ψυχούσης μᾶλλον, ἢ θερμαινούσης. οὐ μὴν ἰσχυρά γε ἡ ἀπὸ ῥοδίνου φαίνεταί σοι ψύξις, ἀλλ' ἐγγυτάτω πως εἶναι δόξει τῆς μέσης κράσεως. ὀνομάζω δὲ τὰ τοιαῦτα φάρμακα, σαφοῦς ἕνεκα διδασκαλίας, ἐκ τῆς πρώτης φύσεώς τε καὶ τάξεως τῶν ψυχόντων. ὥσπερ αὖ καὶ ὅσα βραχὺ τῆς μέσης κράσεως ἐπὶ τὸ θερμότερον ἀποκεχώρηκεν, ἐκ τῆς πρώτης ἀποστάσεώς τε καὶ τάξεως τῶν θερμαινόντων. ταῦτα μὲν ἐν τῷ παρόντι περὶ ῥοδίνου χρὴ γινώσκειν. ἀναγκαῖον γὰρ ἔσται μοι, καὶ κατὰ τὸν ἑξῆς λόγον, ἔτι μνημονεῦσαί τε τοῦ φαρμάκου, καὶ προσθεῖναι τὰ λείποντα ὧν εἴπομεν.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ, ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΒΙΒΛΙΟΝ Γ'.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM FACVLTATIBVS. LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Γ' ΒΙΒΛΙΩι.

Τὰ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων ἐνεργείας ἀποτελεῖ ζητήματα λογικὰ, ἅπερ οἷον ἐστὶ στοιχεῖα τῆς ἁπάσης περὶ τῆς τῶν αὐτῶν δυνάμεως πραγματείας.

ARGVMENTVM LIBRI TERTII.

Quæstiones logicas de actione medicamentorum simplicium absoluit, quæ quasi elementa sunt totius tractationis de ipsorum facultate.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἥτις τοῦ τῶν αὐτῶν τούτων συγγραμμάτων μήκους αἰτία· τί ἐν τοῖς πρὸ τούτου εἴρηται, τί ἐν τῷδε λεκτέον.



ΓΩ μὲν ὅτι χρήσιμον αὐτὸ πρὸς τὰς ἰάσεις μόνον ἐν τῇδε τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ γράφειν ἐγνώκειν, πρώτους καὶ μάλιστα τοὺς θείους ἔχω μάρτυρας, εἶτα καὶ τοὺς παρακαλέσαντας ἑταίρους, ἐπιμνησθῆναί με καθ' ὅσον ἐγχωρεῖ τῶν οὐκ ὀρθῶς ἀποφηναμένων περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. Εἰ δέ τις ἄχθεται τῷ μήκει τῶν λόγων, οὐχ ἡμῖν χρὴ μέμφεσθαι τοῦτον, ἀλλὰ τοῖς τὰ πιθανὰ μὲν, οὐκ ἀληθῆ δὲ γράψασιν ἰατροῖς. ὡς ἔγωγε καὶ νῦν ἔτι δέδοικα, μὴ διὰ τὸ τάχος τῆς πρὸς αὐτοὺς ἀντιλογίας, ἔνια τῶν σοφισμάτων παρακρούσηται τοὺς ὁμιλοῦντας αὐτοῖς νέους. Εἰ μὲν γὰρ γεγυμνασμένοι κατὰ τὰς λογικὰς μεθόδους, καὶ γινώσκοντες ὡς χρὴ λύειν σοφίσματα, προσήρχοντο ταῖς τῶν βιβλίων ἀναγνώσεσιν, οὐκ ἂν ἔλαθον αὐτοὺς, οὔθ' οἱ παραλογιζόμενοί τι κατὰ τὰς ἀποδείξεις, οὔθ' ἡμεῖς συντόμως αὐτὸ τἀληθὲς ἐκδιδάσκοντες. ἐπεὶ δ' ἀγύμναστοί τέ εἰσιν οἱ πλείους τῶν ἰατρῶν αὐτῶν ἐν τοῖσδε, καί τινες πρὸς τούτῳ καὶ ἀργότεροι φύσει τὸν λογισμὸν, εἰ μὴ τῆς παρ' ἡμῶν ἐπιτύχοιεν οὗτοι βοηθείας ἐλεγχόντων τὰ σοφίσματα, πεισθήσονται ῥᾳδίως ὑπὸ τῶν σοφιστῶν, ὥστε ὅσῳ μὲν ἐπὶ τοῖσδε, κἂν λείπειν τι δόξαι τῇ πραγματείᾳ. ἀλλὰ γὰρ ἐπεὶ μὴ δυνατόν ἐστιν ἁπάντων στοχάζεσθαι τῶν ἀνεγνωσμένων,

CAPVT PRIMVM.

Quæ causa prolixitatis horum librorum, quid prioribus actum sit, quid hoc agendum.

A 

VOD equidem nihil, nisi quod vtile curandis morbis foret, hoc tractatu describere decreuerim, primò potissimúmq; Deos huius rei testes habeo: deinde & amicos meos, qui me, tum vt hoc opus aggrederer, tum vt quæ ab aliis perperam de medicamentorum facultatibus sunt prodita, quoad licet commemorarē, assiduè hortari non destiterunt. At si quis erit, qui orationis nimia grauetur prolixitate, non id mihi iure imputauerit, sed iis medicis, qui probabilia quidem, at non vera scripserunt. Nam & ego nunc quidem etiā magnopere vereor, ne quia paucioribus illos B confutauimus, sophismata quędā conuersantes cū illis adolescētulos à recta opinione deijciāt. quandoquidē si in dialecticis methodis exercitati, aut captionū soluendarū periti, ad libros legendos accederent, tum sanè eos cognoscerent qui perperā ratiocinātur in demōstrationibus, & nos qui veritatē compēdio tradimus. Quoniam verò vel ipsorum medicorū pleriq; nequaquā in istis sunt exercitati: tū inter illos quoq; nōnulli reperiūtur ingenio naturā tardiusculo; hi nisi nostris suppetiis, qui sophismata arguimus, iuuētur, nō ægrè persuasi, in sophistarū sentētiā perducētur. Itaq; quod ad istos attinet deesse huic etiā operi quippiam videatur. Verùm enimuerò quandoquidem ad omnes mihi

orationem

orationem accommodare non licet, quum tanta sit eorum qui hæc legent, non modò naturarum, sed etiam ætatis & habituum diuersitas, quod vtique visum est fore maximæ parti vtilissimum orationis genus, id superioribus duobus commentariis sequuti sumus. In quorum priore quidem de aquæ acetique viribus contemplati sumus. In secundo maximam partem de oleo peregimus, pauculis postea de rosaceo adiectis. At in hoc tertio libro eiusmodi vtemur oratione, qualem ab initio protinus habere institueramus, idque definitis primùm vocis cuiusque significatis. Deinde tractatus huius velut elementa tradituri, mox velut ad syllabas accedemus; ex quibus operis finis, ad quem contendimus, promptè sequetur.

CAPVT II.

Quot modis dicatur calidum, humidum, frigidum, siccum.

CÆterùm vocum diuisio nihil accuratius edocebit, quàm quæ in tertio De temperamentis, simulque in primo commentariorum istorum sunt prodita; repetam tamen eam nihilo secius & in præsentia. Corporum vnumquodque, aut calidum, aut frigidum, aut humidum, aut siccum & dicitur & apparet, interdum quidem ex sua natura, interdum autem aduentitia qualitate assumpta. Consueuimus autem, quod ex sua natura est, primariò & secundũ se, & per se potentiâ tale & esse & videri dicere; quod verò adscititiam acquisierit qualitatem, ex accidenti quopiam esse, viderique eiusmodi. Porrò eorum quæ propria sua natura, aut calida, aut frigida, aut sicca, aut humida dicũtur quędam actu, seu energia talia existunt, alia potentia; differente quidem hoc potentiæ modo, quem nunc diximus, ab eo quem paulò antè dicebamus; illic enim ex aduerso diuidebatur ei quod ex accidenti dicitur; hîc verò ei quod actu. Sed & eorum quæ actu dicuntur, aliud quidem absolutè est calidum, frigidum, siccum, aut humidum, velut elementa; aliud excessu, vt homo, equus, bos, canis, & vniuersa animalia; aliud ad symmetrum, seu generis sui, seu speciei, vt verbi causa, leo cum homine comparatus, homo autem ætate florens cum puero; aliud ad quiduis obuium, vt Dion ad Theonẽ. Quin & corpora quæ potẽtia talia, vt talia dicũtur, vnumquodque vt ad id, quod est actu relatũ, dici necessariò monuimus; id quidem quod facilè accenditur, ad id quod actu est absolutè calidũ; hoc verò quod alia calefacit, ad id quod per exuperantiam; sic quod hominem calefacit, esse vt ad hominem potẽtia calidum; quod verò bouẽ aut equum, vt ad bouem & equum; similiter hoc huic, verbi causa, homini, illud verò illi calidum, frigidum, siccum, aut humidum est, illius naturæ comparatum.

CAPVT III.

Ad quid & quæ nominum distinxisse significata conduxerit.

EX hac nominum distinctione, & ad assequendam temperamenti cognitionem sumus adiuti. Siquidem si ad hominẽ quid dicatur calidum, à cæteris omnibus animalibus recedendum, & in ipso duntaxat homine periculum sumendum, explorandumq. censuimus. Si verò quid ad equum, bouem, ceruum, aut aliorum animaliũ quoduis, in ipso rursum periculũ faciendum erit. Interim verò

A ἀνομοίων ὑπαρχόντων, οὐ ταῖς φύσεσι μόνον, ἀλλὰ καὶ ταῖς ἡλικίαις, καὶ
ταῖς ἕξεσιν, ὃ μάλιστα τοῖς πλείστοις ἐδόκει χρήσιμον ἔσεσθαι λόγων
εἶδος, ἐν τοῖς πρὸ τούτου δυοῖν ὑπομνήμασιν ἐποιησάμην. ἐν
μὲν τῷ πρώτῳ περὶ ὄξους, καὶ ὕδατος δυνάμεως ἐπισκεψά-
μενος. ἐν δὲ τῷ δευτέρῳ, τὰ πλεῖστα μὲν ὑπὲρ ἐλαίου διῆλθον,
ὀλίγα δέ τινα καὶ περὶ ῥοδίνου προσθείς. ἐν δὲ τῷ τρίτῳ τῷδε
ποιήσομεν τοιοῦτον τὸν λόγον, ὁποῖον εὐθὺς ἐξ ἀρχῆς ἐγνώκειν
μεταχειρίσασθαι, διελόμενος μὲν τὰ σημαινόμενα πρῶτον ἑκά-
στου τῶν ὀνομάτων· ἐφεξῆς δὲ τὰ οἷον στοιχεῖα τῆς πραγματείας
ἁπάσης διελθὼν, εἶθ' οὕτως ἐπὶ τὰς οἷον συλλαβὰς ἀφικόμενος,
B ἐξ ὧν ἤδη τὸ τέλος αὐτὸ τῆς πραγματείας, ἐφ' ὃ σπεύδομεν,
ἑτοίμως ἕψεται.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ποσαχῶς λέγομεν τὸ θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρόν.

Η Μὲν δὴ τῶν ὀνομάτων διαίρεσις, οὐδὲν ἀκριβέστερον ἐκ-
διδάσκει, τῆς ἐν τῷ τρίτῳ περὶ κράσεως εἰρημένης, κἂν
τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων, ἀναμνήσω δ' αὐτῆς, καὶ
νῦν. ἕκαστον τῶν σωμάτων, ἤτοι θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν
C λέγεταί τε καὶ φαίνεται, ποτὲ μὲν κατὰ τὴν ἑαυτοῦ φύσιν ὄν, ποτὲ
δὲ ἐπίκτητόν τινα ποιότητα προσειληφός. ἔθος δ' ἐστὶν ἡμῖν
λέγειν, τὸ μὲν κατὰ τὴν ἑαυτοῦ φύσιν, πρώτως τε, καὶ καθ' ἑαυτὸ,
καὶ δι' ἑαυτὸ δυνάμει τοιοῦτον ὑπάρχειν τε καὶ φαίνεσθαι· τὸ δὲ
τὴν ἐπίκτητον προσειληφὸς ποιότητα, κατά τι συμβεβηκὸς εἶναι
καὶ φαίνεσθαι τοιοῦτον. αὐτῶν δὲ τῶν κατὰ τὴν οἰκείαν φύσιν, ἤτοι
θερμῶν, ἢ ψυχρῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν εἶναι λεγομένων, τὰ μὲν
ἐνεργείᾳ τοιαῦτα ὑπάρχει, τὰ δὲ δυνάμει. διαφέροντος τοῦδε
τοῦ νῦν εἰρημένου δυνάμει, παρὰ τὸ μικρῷ πρόσθεν ῥηθέν·
ἐκεῖνο μὲν γὰρ τῷ κατὰ συμβεβηκὸς ἀντιδιῄρητο, τουτὶ δὲ, τῷ
D κατ' ἐνέργειαν. αὐτῶν δὲ τῶν κατ' ἐνέργειαν, τὸ μὲν ἁπλῶς λέ-
γεται θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, ὥσπερ τὰ στοιχεῖα. τὸ
δὲ κατ' ἐπικράτειαν, ὥσπερ ἄνθρωπος, καὶ ἵππος, καὶ βοῦς, καὶ
κύων, καὶ ὅλα τὰ ζῷα· τὸ δέ τι πρὸς τὸ σύμμετρον, ὁμογενὲς, ἢ
ὁμοειδὲς, ὥσπερ εἰ τύχοι λέων μὲν ἀνθρώπῳ παραβαλλό-
μενος, ἄνθρωπος δ' ἀκμάζων παιδί. τὸ δὲ πρὸς ὁτιοῦν τὸ
ἐπιτυχὸν, οἷον ὁ Δίων πρὸς τὸν Θέωνα. καὶ δὴ καὶ τῶν δυνάμει λε-
γομένων σωμάτων εἶναι τοίων, ἢ τοίων, ἀναγκαῖον ἔφαμεν ἕκαστον,
ὡς πρὸς τὸ κατ' ἐνέργειαν ἀναφερόμενον λέγεσθαι. τὸ μὲν, ὅτι
ῥᾳδίως ἐκπυροῦται, πρὸς τὸ κατ' ἐνέργειαν ἁπλῶς θερμόν. τὸ
E δ', ὅτι τὰ ζῷα θερμαίνει, πρὸς τὸ κατ' ἐπικράτειαν. οὕτω δὲ καὶ
τὸ μὲν ἄνθρωπον θερμαῖνον, ὡς πρὸς ἄνθρωπον εἶναι δυνάμει
θερμόν. τὸ δὲ βοῦν, ἢ ἵππον, ὡς πρὸς βοῦν, ἢ ἵππον. ὁμοίως δὲ
καὶ τὸ μὲν, τῷ δέ τινι τῷ ἀνθρώπῳ, τὸ δὲ θερμὸν, ἢ ψυχρὸν, ἢ
ὑγρὸν ὑπάρχον, ἐκείνου μόνον τῇ φύσει παραβαλλόμενον.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Εἰς πόσα καὶ τίνα χρήσιμον ἐγένετο τὸ διαστείλασθαι τὰ σημαινόμενα τῶν ὀνομάτων.

ΕΚ τῆς διακρίσεως ταύτης τῶν ὀνομάτων, ὠφελήθημεν
F εἰς τὴν τῆς κράσεως αὐτῶν ἐπίγνωσιν. εἰ μὲν τι πρὸς ἄν-
θρωπον λέγοιτο θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, ἀποχωρεῖν
μὲν ἀξιοῦντες τῶν ἄλλων ἁπάντων ζῴων, ἐπ' αὐτοῦ δὲ μόνου
τὴν πεῖράν τε, καὶ τὴν βάσανον τοῦ ἀνθρώπου ποιεῖσθαι. εἰ δέ τι
πρὸς βοῦν, ἢ ἵππον, ἢ ἔλαφον, ἢ τι τῶν ἄλλων τινῶν ζῴων, ἐπ'
ἐκείνου πάλιν αὖ μόνου γίγνεσθαι τὴν πεῖραν. ἐν τούτοις δὲ, καὶ

τοὺς ἀπὸ συστάσεως, ἢ χροιᾶς, ἢ βάρους, ἢ κουφότητος, ἢ τῆς A
περὶ τὴν γεῦσιν, ἢ τὴν ὀσμὴν ἑκάστου τῶν φαρμάκων ποιότητος
ἐξευρίσκειν πειρωμένους αὐτῶν τὰς δυνάμεις ἐμεμψάμεθα.
ταυτὶ μὲν οὖν ἅπαντα, τῇ τῶν ὀνομάτων ὀρθῇ διαιρέσει φαίνεται
συνακολουθήσαντα, τὰ δ' οἷον στοιχεῖα τῆς προκειμένης θεω-
ρίας, ἐν τῇ γνώσει τῶν πρώτων εἶναι ποιοτήτων ἐδείκνυμεν, ἃς ἐν
τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἀπεδείξαμεν, ὑγρό-
τητα, καὶ ξηρότητα, θερμότητα, καὶ ψυχρότητα, σχεδὸν δὲ καὶ ἡ
τούτων εὕρεσις, ὑπῆρξεν ἡμῖν ἐκ τοῦ τὰ σημαινόμενα τῶν ὀνο-
μάτων ὀρθῶς διαστείλασθαι. φάρμακον γὰρ τροφῆς διορίσασθαι,
τῷ, τὸ μὲν ἀλλοιοῦν κατὰ ποιότητα, τὴν δ' ἐξομοιοῦσθαι τῇ B
τοῦ σώματος οὐσίᾳ, κατὰ τὸν λόγον ἐντεῦθεν ἐποδηγήθημεν, εἰς
τὴν τῶν ἀλλοιουσῶν ἡμᾶς ποιοτήτων εὕρεσιν.

A & illos quoque castigabimus qui ex consistentia, colore, odore, sapore, grauitate, leuitateque cuiusque medicamenti existentem in singulis facultatẽ inuenire tentarunt. Atq; hæc vtique rectæ nominum distinctioni consentanea videntur. At quæ velut elementa huius esse speculationis proposuimus, in primarum consistere qualitatum cognitione ostendimus. Quas quidem in libro De elementis secundum Hippocratem, humiditatem, siccitatem, caliditatem, frigiditatemq; esse demonstrauimus; propéque harum quoque inuentionem assequebamur ex significatis nominum rectè distinguendis. B Etenim quum medicamentum ab alimento discerneremus, quòd medicamentum in qualitate alteraret, alimentum verò substantiæ corporis adsimilaretur, rectè hinc ad alterantium nos qualitatum inuentionem perducti sumus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅτι διττῶν οὐσῶν ἀλλοιώσεων κατὰ γένος, τῶν μὲν εἰδοποιῶν, τῶν δ' οὐκ εἰδοποιῶν, αἱ τῶν φαρμάκων δυνάμεις ἐν ταῖς εἰδοποιοῖς περιέχονται.

Διττῶν δ' οὐσῶν τῶν ἀλλοιώσεων κατὰ γένος, τῶν μὲν εἰδο-
ποιῶν, αἳ δὴ καὶ κυρίως, καὶ πρώτως ἀλλοιώσεις ὀνομά-
ζονται, τῶν δὲ καταθραυουσῶν τε καὶ συναγουσῶν τὰ μόρια τοῦ C
σώματος ἡμῶν, ἃς καταχρώμενοι μᾶλλον ἢ κυρίως ὀνομάζον-
τες, ἀλλοιώσεις καλοῦσιν, τὰς τῶν φαρμάκων δυνάμεις ἐν ταῖς
πρώταις φαμὲν περιέχεσθαι. μηδενὶ γὰρ δύνασθαι μετα-
βάλλειν ἐξ εἴδους εἰς εἶδος, ἄνευ τοῦ θερμανθῆναί τε καὶ ψυ-
χρανθῆναι, καὶ ξηρανθῆναι, καὶ ὑγρανθῆναι. λέγω δὲ ἐξ εἴ-
δους εἰς εἶδος, ὅταν ἐξ ἄρτου, καὶ πτισάνης, καὶ φακῆς, αἷμα
καὶ φλέγμα, καὶ χολὴ γίγνηται, ξανθή τε καὶ μέλαινα, κἀκ
τούτων πάλιν, ὀστοῦν καὶ πιμελή, καὶ νεῦρον, καὶ σάρξ, ἀρτηρία
τε καὶ φλέψ, ἕκαστόν τε τῶν ἄλλων τοῦ ζώου μορίων. εἰ δέ τι
τέμνον ἡμᾶς, ὥσπερ ὕαλος, ἢ ξίφος· ἢ θλῶν, ὡς λίθος καὶ μό- D
λυβδος· ἢ συνάγων τὰ κεχωρισμένα, καθάπερ ἐπίδεσις, ἀλ-
λοιοῖ πως τὰ μόρια ταῦτα, οὐκ εἶναι φάρμακα, μηδὲ γὰρ τὴν
τοιαύτην ἀλλοίωσιν ἐξιστάναι τῆς οἰκείας φύσεως ἕκαστον τῶν ὄν-
των. ἄν τε γὰρ θραύσῃς εἰς πολλά, καὶ κατατέμῃς ἄρτον, ἄν τε
ἐκ πολλῶν καὶ σμικρῶν ἀθροίσῃς εἰς ἕν, οὐκ ἐξίσταται τῆς οἰ-
κείας ἰδέας, οὐδὲ σὰρξ μὲν ἂν τ' ἄρτου γίγνεται καταθραυό-
μενος, ὀστοῦν οὐδ' εἰ οὕτως ἔτυχε συναγόμενος, ἀλλ' ἐν τῷ
πέττεσθαι κατά τε τὴν γαστέρα, καὶ τὰς φλέβας εἰς αἷμα καὶ
φλέγμα μεταβάλλων, εἶτ' ἐκ τούτων, εἰς ὀστοῦν καὶ σάρκα, καὶ
τἄλλα τοῦ σώματος μόρια, κατὰ τὴν οὐσίαν ὅλην ἀλλοιοῦται, καὶ E
τῆς ἀρχαίας ἐξίσταται φύσεως, εἰς ἕτερον εἶδος μεθιστάμενος. οὐ
μὴν ἐξ ἄλλου τινός, ἢ ἐκ τοῦ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ
ὑγροῦ τὰς εἰς ἕτερον εἶδος οὐσίας ἀλλοιώσεις τε, καὶ μεταβολὰς
ἐδείχθη δεχόμενα τὰ πάθη τοῦ σώματος σύμπαντα. καὶ κατὰ τοῦτο
τὰς πρώτας τε, καὶ στοιχειώδεις εἰδοποιοὺς ποιότητας ἔφαμεν εἶναι
τέτταρας, ὑγρότητα, ξηρότητα, θερμότητα, ψυχρότητα, καὶ ζη-
τοῦμεν ἕκαστον τῶν φαρμάκων, ἥν τινά ποτε, καὶ τούτων ἐν τῇ
κράσει κέκτηται πλεονεκτοῦσαν. εὐθέως οὖν ἐν τούτῳ πρώτῳ,
οἱ πλεῖστοι τῶν ζητησάντων αὐτὰς ἐσφάλθαι μοι δοκοῦσιν, ἐν τῷ
τὴν πλεονεκτοῦσαν ἁπλῶς ἐπισκέπτεσθαι, καθάπερ τινὲς φυ- F
σικοὶ φιλόσοφοι. καὶ δὴ καὶ παραλογίζεσθαί τε πολλοὺς αὐτῶν
ἀμεθόδως ἀναγινώσκοντας, τὰ Θεοφράστου, καὶ Ἀριστοτέλους
συγγράμματα.

CAPVT IV.

Quòd quum duplicia sint genere quæ alterant, alia specifica, alia minimè, in specificorum genere consistant medicamentorum facultates.

PORRÒ quum duplices sint in genere alterationes, aliæ specificæ, quæ propriè sanè & primariò dicuntur alterationes: aliæ verò quæ C contendunt & contrahunt corporis nostri partes, quas vtique potius per abusum, quàm propriè nominantes, alterationes vocant, in primo genere medicamentorum contineri facultates diximus. Nec enim quicquam ex specie in speciem mutari queat citra calefactionem, refrigerationem, humectationem, & exiccationem. Dico autem ex specie in speciem, velut quum ex pane, ptisana, lente; sanguis, pituita, bilis tum flaua, tum atra, atque ex his iterum adeps, os, neruus, caro, arteria, vena, atque adeò cæterarum animantis partium vnaquæque gignitur. At si secando nos quippiam, D velut vitrum, & ensis; aut contundendo, vt lapis, & plumbum; aut segregata coarctando, vt vinculum, quadantenus partes alteret; ea haud pharmaca fuerint, quippe quum eiusmodi alteratione nullæ rerum omnium ex propria recedant natura. Etenim siue minutim panem frangas concidasque, siue minutim concisum colligas in vnum, non tamen propriam ideò formam exuet, neque caro ex pane fiet per contusionem, neque os, exempli gratia, per coarctationem; verùm dum in ventre venisque concoquitur, in sanguinem pituitamque abit, atque inde ex istis in os, carnem, & alias cor- E poris partes, tota sua substantia alteratur, veteremque naturam exuit, in aliam transiens speciem. Nec tamen ab alio quopiam, quàm calore, frigore, humiditate, siccitateque eas, quæ fiunt in aliam essentiæ speciem, alterationes mutationesque, singuli affectus corporis accipiunt, vt demonstratum est. Atque hac ratione primas & elementarias specificas qualitates quatuor esse diximus, humiditatem, siccitatem, caliditatem & frigiditatem; quærimusque quam harum medicamentum vnumquodque in mixtione pollentem possideat. Atque protinus in hoc primum pleri- F que eas inquirentium lapsi videntur, quòd videlicet pollentem absolutè, tanquam naturales quidam philosophi, considerarent. Præterea complures quoque eorum decipi videntur, quòd sine certa methodo Aristotelis Theophrastique libros perlegant.

CAPVT V.

Quod solis philosophis conueniat de calido, frigido, humido, & sicco, vt ad totam naturam distinguere; medicis verò, vt ad homines distinguentibus solùm per se ab accidenti.

SIquidem permagni refert, an totius naturæ respectu, an hominum duntaxat, de calido, frigido, humido, siccoque definiamus. Nam totius naturæ respectu bifariam horum vnumquodque dicitur, partim absolutè, partim per exuperantiam; absolutè quidem vnumquodque elementorum, homo verò, equus, & bos per exuperantiam. Iam autem quum ad aliquid respiciendo exploratio fiat illud modo considerandum erit, quodnam sit illud ad quod dicitur. Nos verò non id quærimus, an in aqua marina humidi simpliciter plus sit, quam sicci (id enim clarè conspicimus) sed si ad hominem conferendo; neque tamen rursum ad hunc simpliciter, ac si leonem illi compares; quippe quũ sic homine humidior marina fuerit. Quonam igitur pacto scrutabimur, an sicca sit facultate marina? quonam alio, obsecro, quàm an corpus humanum inæqualitate quadam exiccare valeat? Itaque in hoc vnum modò cæteris relictis intendendum. Atqui contrà faciunt medicorum plerique, nam ad quiduis potius respiciunt, quàm ad hoc. Quomodo ergo ad hominem conuersi, reliquis prætermissis, quanam in hoc agendi facultate polleat marina, cognoscemus an videlicet corpori applicantes, sicque eius periculum sumentes lauando in marina, rigando, fouendoque, tum subinde lanam aut spongiam marina madentem partibus applicando; ad hæc emplastris ceratisque miscendo; atque in his omnibus ab eo quod ex accidenti quandoque euenit, id quod à propria medicamenti vi proficiscitur, distinguendo? Nam in hoc omnis inuentionis summa consistit, quam vix quisquam illorum attingit: sed eos philosophorum verba decipiunt haud potentes homonymiam percipere.

CAPVT VI.

Quod per exuperantiam dici, bifariam apud philosophos accipiatur, nempe vbi aut mole quid exuperat, aut qualitate.

NAm non solum, vt modò diximus, aliud simpliciter, aliud per exuperantiam ab ipsis dicitur; simpliciter enim ignis calidus est, per exuperantiam homo. Verùm quod per exuperantiam dicitur, bifariam quoque dici autumant, partim secundum substantiæ molem, velut & nos quoque in libris de temperamentis diuisimus; vt si cados duos aquæ summè feruentis vni cado aquæ maximè algentis permiscueris; partim verò secundum qualitatum effectum. Atque hoc quod ad dogma consequitur, ita dicunt, non ex iis quæ euidenter apparent, accipientes. Nam supponentes frigidum omne contrahere constipareque, & substantiam reddere immobilem, aut ægrè mobilem; calidum verò rarefacere, fundere, coquere, mouere: rationabiliter in plantis omnibus vincere calidum pronunciant, siquidem haud aliter, neque nutrimenti ex terra digestionem longissimam, neque alterationem eiusdem, neque concoctionem, quin, nec incrementum prorsum plantarum, neque germinationem, neque fructuum generationem perfici posse, nisi calidum superaret;

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Ὅτι μόνοις τοῖς φιλοσόφοις προσήκει πρὸς τὴν ὅλην φύσιν ὑπὲρ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ διαιρεῖσθαι, ἰατροῖς δὲ ὡς πρὸς ἀνθρώπους μόνον διοριζομένοις τὸ καθ' ἑαυτὸ τοῦ κατὰ συμβεβηκός.

ΚΑίτοι πάμπολυ τὸ διαφέρον ἐστίν, ἢ ὡς πρὸς τὴν ὅλην φύσιν ἀποβλέποντας, ἢ ὡς πρὸς ἀνθρώπους μόνον ὑπὲρ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, διαιρεῖσθαι. πρὸς μὲν γὰρ τὴν ὅλην φύσιν ἀποβλεπόντων, διχῶς ἕκαστον τούτων λέγεται, τὸ μὲν ἁπλῶς, τὸ δ' ἐπικρατείᾳ. τῶν μὲν στοιχείων ἕκαστον, ἁπλῶς, ἄνθρωπος δὲ καὶ ἵππος, καὶ βοῦς κατ' ἐπικράτησιν. ἐν δὲ τῷ πρός τι γιγνομένης τῆς ἐξετάσεως, ἐκεῖνο χρὴ μόνον ἐπισκέπτεσθαι, πρὸς ὃ λέγεται. ζητοῦμεν δ' ἡμεῖς, οὐκ εἰ πλέον ἁπλῶς ἐστιν ἐν θαλάττῃ τὸ ὑγρὸν τοῦ ξηροῦ, τοῦτο μὲν γὰρ ἐναργῶς ὁρῶμεν, ἀλλ' εἰ πρὸς ἄνθρωπον. οὐδ' οὖν οὐδὲ πρὸς τοῦτον ἁπλῶς οὑτωσὶ παραβαλλόμενον, ὡς εἰ καὶ λέοντα παραβάλλοις αὐτῷ, καὶ γὰρ καὶ οὕτως, ὑγροτέρα ἀνθρώπου θάλαττα. πῶς οὖν ἔτι ζητοῦμεν, εἰ ξηρὰ τὴν δύναμίν ἐστιν ἡ θάλασσα; πῶς δ' ἄλλως, ἢ ἐν ἴσῳ τῷ, ξηραντικὴ σώματος ἀνθρωπείου; εἰς τοῦτ' οὖν ἀποβλέπειν χρὴ μόνον, ἐάσαντας τἄλλα. ποιοῦσι δ' ἔμπαλιν οἱ πλεῖστοι τῶν ἰατρῶν, ἀποβλέπουσι γὰρ εἰς πάντα τἄλλα μᾶλλον, ἢ εἰς τοῦτο. πῶς οὖν εἰς ἄνθρωπον ἐπιστραφέντες, ἀποχωρήσαντές τε τῶν λοιπῶν, ὅπως ἔχει πρὸς τοῦτον ἐνεργείας ἡ θάλαττα γνωσόμεθα; ἢ δηλονότι προσφέροντες τῷ σώματι, καὶ πεῖραν τοῦ γιγνομένου λαμβάνοντες, ἔν τε τῷ λούειν ἐν θαλάττῃ, καὶ καταβρέχειν, ἢ καταντλεῖν, ἐπιτιθέναι τε πολλάκις μορίοις, ἔριά τε καὶ σπόγγους θαλάττῃ δεύσαντας, ἐπιπλάσμασί τε μιγνύναι, καὶ κηρωταῖς, κἀν τούτοις ἅπασιν διαιρεῖσθαι τοῦ κατὰ συμβεβηκὸς ἀποβαίνοντός ποτε, τὸ κατὰ τὴν οἰκείαν αὐτοῦ τοῦ φαρμάκου δύναμιν, ἀποτελούμενον; ἐν τούτῳ γάρ ἐστι τὸ πᾶν κῦρος τῆς εὑρέσεως, οὗ μόνου σχεδὸν οὐδεὶς αὐτῶν ἅπτεται. ἀλλ' αἱ τῶν φιλοσόφων ἀποφάσεις, ἐξαπατῶσιν αὐτούς, οὐ δυναμένους αἰσθάνεσθαι τῆς ὁμωνυμίας.

ΚΕΦΑΛΑΙΟΝ ϛ΄.

Ὅτι καὶ τὸ κατ' ἐπικράτειαν παρὰ τοῖς φιλοσόφοις λέγεται, ἢ κατὰ τοὺς ὄγκους, ἢ κατὰ τὰς ποιότητας.

ΟΥ μόνον γάρ, ὡς ἀρτίως εἴρηται, τὸ μὲν ἁπλῶς, τὸ δ' ἐπικρατείᾳ λέγεται πρὸς αὐτῶν. ἁπλῶς μὲν γὰρ τὸ πῦρ θερμόν, ἐπικρατείᾳ δ' ἄνθρωπος, ἀλλὰ καὶ τὸ κατ' ἐπικράτειαν αὖθις διχῶς λέγεσθαι νομίζουσιν. τὸ μὲν κατὰ τοὺς ὄγκους τῆς οὐσίας, ὡς κἀν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἡμεῖς διῃροῦμεν, οἷον εἰ δύο χοᾶς ὕδατος ἄκρως ζέοντος ἀναμίξαις ἑνὶ χοῒ ψυχροῦ παντάπασιν ὕδατος, ἕτερον δὲ τὸ κατὰ τὴν τῶν ποιοτήτων ἐνέργειαν. τοῦτο δ' ἤδη δόγματος ἐχόμενον λέγουσιν, οὐκ ἔτ' ἐκ τῶν ἐναργῶς φαινομένων λαμβάνοντες. ὑποθέμενοι γὰρ τὸ μὲν ψυχρὸν συνάγειν καὶ πιλεῖν, καὶ ἀκίνητον ἐργάζεσθαι τὴν οὐσίαν. τὸ δὲ θερμόν, ἀραιοῦν καὶ διαχεῖν, καὶ πέττειν, καὶ κινεῖν, εὐλόγως ἐν ἅπασι τοῖς φυτοῖς κρατεῖν ἀποφαίνονται τὸ θερμόν. μηδὲ γὰρ ἂν μήτε τὴν ἐκ τῆς γῆς ἀνάδοσιν τῆς τροφῆς ἐπὶ μήκιστον ἄλλως γενέσθαι, μήτ' ἀλλοίωσιν αὐτῆς, μήτε πέψιν, ἀλλὰ μηδὲ τὴν αὔξησιν ὅλως τῶν φυτῶν, ἢ τὴν βλάστησιν, ἢ τῶν καρπῶν τὴν γένεσιν, εἰ μὴ τὸ θερμὸν ἐκράτει.

καὶ οὕτως ἤδη πάλιν ἐν αὐτοῖς τοῖς φυτοῖς, τὸ μὲν θερμότερον A
ἀποφαίνουσιν, τὸ δὲ ψυχρότερον. ἐκ ταύτης οὖν τῆς ὑπο-
θέσεως ἤρτηται, καὶ ὁ περὶ τῶν ῥόδων αὐτῶν λόγος, ὅτι θερμά.
κρατεῖ γὰρ ἐπὶ πλέον ἐν αὐτοῖς τὸ θερμὸν, ἢ ἐν ἄλλοις τισὶ
φυτοῖς. ἐξ ἑτέρας δ' αὖ πάλιν ὑποθέσεως, ὁ περὶ ἐλαίου
τε καὶ πιμελῆς. ὅτι γὰρ ἂν ἐκφλογοῦται τάχιστα, διὰ τοῦτο
θερμὰ τὴν δύναμιν εἶναί φασιν αὐτά. καὶ καθ' ἕτερον δ'
αὖ τρόπον ὅσα γλυκέα, διότι γὰρ οἰκειότατα καὶ ὁμοιότατα
ταῖς κράσεσιν ἡμῶν φύσει θερμῶν ὑπαρχόντων, διὰ τοῦτο
καὶ ταῦτα θερμὰ εἶναί φασι. τοῖς μὲν οὖν φιλοσόφοις, ὡς
ἂν περὶ τῆς ὅλης φύσεως ἀποφαινομένοις, ὀρθῶς τὰ τοιαῦτα B
ζητεῖται καὶ λέγεται. τοῖς δ' ἰατροῖς ἕτερον ἔχουσι σκοπὸν,
οὐκ ὀρθῶς, οὔτε γὰρ ὅτι ἐν ταῖς ἐνεργείαις ἐπικρατεῖ τὸ θερ-
μὸν ἐν τοῖς ῥόδοις, οὐθ' ὅλως, ὅτι τῷ γένει φυτὸν ὑπάρχει,
θερμὸν ἤδη διὰ τοῦτον ἐστίν. οὐ γὰρ οὕτως ἐζητοῦμεν ἡμεῖς
τὸ θερμὸν, ἀλλ' ὡς πρὸς ἄνθρωπον. ἐπεὶ κατά τε τὸ κρα-
τεῖν ἐν ταῖς ἐνεργείαις τὸ θερμὸν, ἅπαν φυτὸν ἔσται θερμὸν,
ἔτι δὲ μᾶλλον τὰ ζῶα πάντα. καὶ μήκωνα τοίνυν, καὶ μαν-
δραγόραν, καὶ κώνειον, καὶ σαλαμάνδραν θερμὰ λεγόντων
ὑπάρχειν, ἀλλ' οὐ λέγουσιν, ἀλλ' ὥσπερ ἐξ ἑνὸς στόματος
ἅπαντες ἀποφαίνονται ψυχρὰ ταῦτ' εἶναι πάντα. καίτοι C
ζῶόν τ' ἐστὶν ἡ σαλαμάνδρα, τρεφόμενον δήπου, καὶ αὐξό-
μενον, καὶ κινούμενον, ἅπερ δὴ τοῦ θερμοῦ κρατοῦντος ἐν τῇ
κράσει γίνεσθαί φασι. πῶς οὖν ἐν τούτοις μὲν, ὡς πρὸς
ἄνθρωπον ἀποβλέπουσιν, ἐν ἄλλοις δὲ, ὡς πρὸς τὴν ὅλην
φύσιν, ἢ τὰς τῶν πρώτων ποιοτήτων ἐνεργείας; ἐγὼ μὲν
οὖν φημι, μὴ σαλαμάνδραν μόνην, ἢ κώνειον ἀποφαίνε-
σθαι χρῆναι ψυχρὰ ταῖς δυνάμεσιν ὑπάρχειν, ὡς πρὸς
ἄνθρωπον, ἀλλὰ καὶ τἄλλα πάντα κρίνειν ὡσαύτως. ἐπεὶ τό
γε κώνειον, οὐ μόνον οὐ καταψύχει τοὺς ψάρας, οὐδ' ἀναιρεῖ
καθάπερ ἡμᾶς, ἀλλὰ καὶ τρέφει, καὶ θερμαίνει δηλονότι. πᾶν D
γὰρ τὸ τρέφον οὐσίαν θερμὴν, ἐπαύξει δήπου τὸ θερμὸν αὐ-
τῆς, καὶ φυλάττει. θερμὴ δέ ἐστιν ἡ τοῦ σώματος οὐσία τῶν
ψάρων, οὐχ ὡς ζώων μόνον, ἀλλὰ καὶ ὡς ἐναίμων. ἐμοὶ μὲν
οὖν ἐπιδέδεικται πολλάκις, ἐν πολλαῖς ἤδη πραγματείαις,
ὡς οἰκειότητές τινές εἰσι, καὶ μάχαι ποιοτήτων ἐν ἅπασι
τοῖς οὖσι, καὶ τὸ μὲν οἰκεῖον, ἑτοίμως ἐξομοιοῦται, τὸ δ'
ἐναντίον, εἰς φθορὰν ἐνίοτε μεταβάλλει, τά τε φυτὰ, καὶ
τὰ ζῶα. καὶ μὲν δὴ καὶ ὡς αἱ οἰκειότητες αὐτῶν, κατὰ τὴν
ἰδιότητα τῆς ὅλης οὐσίας γίνονται, καὶ τοῦτο εἴρηταί μοι, καὶ
δέδεικται πολλάκις. οἱ δὲ οὐ δύνανται κατιδεῖν αὐτό, καὶ διὰ E
τοῦτο, ῥαθύμως τε ἅμα καὶ ψευδῶς περὶ τῶν πλείστων ἀπο-
φαίνονται φαρμάκων. ἓν γάρ ἐστι μόνον ἀσφαλὲς κριτή-
ριον ἐν αὐτοῖς, ἡ πρὸς ἄνθρωπον πεῖρα, διοριζομένων ἡμῶν
ἐν αὐτῇ, τὸ κατὰ συμβεβηκὸς τοῦ καθ' αὑτό. καὶ ταύτῃ προσέ-
χων τὸν νοῦν, οὔτ' ὄξος, οὔτε ῥόδινον ἐρεῖ τις θερμὸν, ψύχει
γὰρ ἡμᾶς ἀμφότερα, πρώτως καὶ καθ' ἑαυτά, τὸ μὲν ὄξος,
ἰσχυρῶς, ἐπ' ὀλίγον δὲ τὸ ῥόδινον. εἰ δέ τι τοῦτ' ἐστιν τὸ ἐπ'
ὀλίγον, ἐγὼ διηγήσομαι. συγκατοφθήσεται γὰρ αὐτῷ, καὶ ὁ
περὶ τῆς μέσης κράσεως ἁπάντων τῶν φαρμάκων λόγος, οὗ
κἀν τῷ πρὸ τούτου βιβλίῳ μνήμην ἐποιησάμην ὑπὲρ F
ἐλαίου διαλεγόμενος.

atque ita rursum inter plantas, alias calidiores, alias frigidiores constituunt. Ex eadem ista hypothesi pendet ea ratio, qua rosas esse calidas contenderunt: siquidem in illis, si in aliis vllis plantis, plurimum vincit caliditas. Ex altera rursum hypothesi dependet quod de oleo & adipe astruunt. Nam quod ocyssimè inflammentur, idcirco calida esse ea facultate iudicant. Et alio rursum modo quæcunque dulcia sunt, calida esse dicunt, siquidem quòd familiarissima sint simillimaque naturis nostris quæ calida sunt, ideo & ipsa quoque calida esse volunt. Atque philosophis quidem, vtputa qui de tota natura scrutantur, rectè talia & quæruntur & dicuntur, at medicis, quibus alius est scopus propositus, haud perinde rectè, quippe quum in rosarum effectibus calidum non vincat, neque sanè quoduis aliud plantæ genus, eo quòd plantæ est, calidum dici debet, quoniam nos haud ita calidum quærimus, sed vt ad hominem; siquidem si, quia in actionibus superat caliditas, propterea calidum quid dices, planta vnaquæque calida erit, multoque magis animalia omnia. Dicant igitur, si lubet, papauer, mandragoram, cicutam, salamandram esse calida, verùm nemo id dicit, sed velut vno ore omnes esse frigida pronunciant. Atqui animal est salamandra, quod & nutritur, & crescit, & mouetur, quæ sanè calido in mixtione vincente prouenire asserunt. Quid ergo in istis quidem ad hominem respiciunt, in aliis verò ad totam naturam, aut primarum qualitatum actiones? At ego non salamandram modò, aut cicutam, vt ad hominem frigida esse dici oportere censeo, sed alia omnia ad eundem modum iudicanda. Siquidem cicuta sturnos non modò non refrigerat & enecat vti nos, sed & alit quoque, & nimirum etiam calefacit. Quicquid enim substantiam alit calidam, calorem eius quadantenus & auget, & tuetur, atqui corporis sturnorum calida est substantia, non modò quà animalia sunt, sed etiam quà sanguine prædita. Sanè subinde in aliis tractatibus demonstratum à nobis est familiaritates quasdam pugnantiasque qualitatum omnibus rebus inesse; ac quod familiare est, expeditè assimilari, quod verò contrarium, ad internecionem ducere tum animantia, tum plantas. Præterea familiaritates illas à totius substantiæ proprietate oriri; id quod sæpenumero à me & dictum est, & ostensum. At isti quum ægrè id capere possint, segniter & falsò de complurium medicamentorum viribus pronunciant. Vna enim duntaxat illorum examinandorum regula est, nempe ea quæ ad hominem fit exploratio, id quod secundum accidens, ab eo, quod est per se, semper distinguendo. Cui siquis animum intendat, is, nec acetum, nec rosaceum, calidum vnquam dixerit: quippe quum vtrumque nos primariò, & per se refrigeret: acetum quidem validè, leuiter autem rosaceum. Porrò quidnam hoc sit leuiter, ego exponam: vnà enim cum eo tota medij temperamenti medicamentorum omnium ratio conspicietur, cuius & in præcedente libro mentionem fecimus, vbi de oleo disserebatur.

A

CAPVT VII.

Quomodo iudicanda sint quæ ex media sunt temperie, nempe si mediæ temperaturæ similem ipsa temperaturam obtineant.

SI quippiam est ex applicatis nobis, seu corporibus, seu medicamentis, quod actu sic calidum sit, vt nos, aut ex contactu similiter calidum euadat, id ex media est temperie, cum nobis nimirum collatum, siquidem secundum se queat per exuperantiam dici calidum, velut & nos quoque. At si quid nondum adeò calidum est, vt nos, neque admodum tale redditur, id temperie humana frigidius est, quantumcunque in eo caliditas exuperet: etenim admotum calorem, qui in nobis præerat, auferet detrahetque. Quippe si datis duabus aquis calidis, quarum altera plus, altera minus caleat, misceas minus calentem magis calenti, huius certè caliditatem exolueris. Sic si in caliditatem rosacei, quæ tepida est, vt ad temperiem humanam, caliditatem indideris humanam, prorsum ab hac quid detrahes, & refrigerabis.

CAPVT VIII.

Quòd sæpenumero pro corporis nostri dispositione, quod per se calidum erat, refrigerare est visum: quodque per se erat frigidum, calefacere.

NOn ergo mirari oportet, si quicquam eorum, quæ propriè, & per se sunt calida, cum calidiore commixtum, frigidius efficere ipsum queat. Ea est enim communis alterabilium corporum omnium natura, vti in se se & agant, & patiantur admota, quodque minus est calidum à magis calido calidius euadit: quod verò magis calidum, à minus calido contrà afficitur. Nam id, vel ex ipso tactu clarissimè discas: etenim eadem subinde illi tum calida, tum frigida esse videntur; calidiori quidem facto, frigida; frigidiori verò, calida. Proposuit autem mihi dudum quispiam, quamobrem in balneis frigidum meiamus, foris verò calidum, haud intelligens in balneis vrinam quidem perinde, ac foris tepidam esse, verùm nos non æquè extrinseca corporis superficie, & dum lauamur, & ante, affectos esse. Nam in balneo ipso calidior ea nobis est, quàm vrina, extra autem frigidior: quare & vrina non absre illi calida extra balneum apparet, in balneo autem frigida: quod enim minus quam ipsa calidum sentitur, velut refrigerans habet: quod autem magis calidum, tanquam calefaciens. Liceat verò tibi, periculi faciundi causa, postquam abundè lauando incalueris, pelui aquæ modicè tepidæ intrò iussu tuo allata, in eam manum, aut pedem immittere: apparebit enim aqua non tepida, sed admodum frigida: At si protinus balneum ingressus, aquam peluis tetigeris, minus videbitur frigida: perpetuò enim quanto plus fueris præcalefactus, tanto apparebit frigidior. Nec mirum videri debet, si putealium aquarum pleræque, quæ videlicet fontes profundos admodum habeant, contactæ hyeme videantur tepidæ. At si à balneo manibus contingas calidis, multoque magis si etiamnum in lauacro consistens, haud profectò apparebit tepida. Itaque tactum calidi, frigidique dignoscendi normam ponentes, ac eius dispositioni iudicium omne tribuentes,

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τί κριτήριον ἐκ τῆς μέσης ὑπαρχόντων κράσεων φαρμάκων τὸ ὁκοῖον τὴν κρᾶσιν ὑπάρχει τῷ μέσῳ τὴν κρᾶσιν.

ΕΙ δή τι τῶν ὁμιλούντων ἡμῖν σωμάτων, ἢ φαρμάκων ἐνεργείᾳ θερμὸν οὕτως ἐστὶν, ὡς ἡμεῖς, ἢ γίνεται πλησιάζον ὁμοίως ἡμῖν θερμὸν, ἐκ τῆς μέσης τὸ τοιοῦτον ὑπάρχει κράσεως, ὥς γε ἡμῖν παραβάλλειν, ἐπεί τοι καθ' ἑαυτὸ δύναιτ' ἂν κατ' ἐπικράτειαν λέγεσθαι θερμὸν, ὥσπερ καὶ ἡμεῖς. εἰ δέ τι
B μήτε ἤδη θερμὸν οὕτως ἐστὶν, ὡς ἡμεῖς, μήτε ἐν τῷ πλησιάζειν γίνεται τοιοῦτον, ψυχρότερόν ἐστιν ἀνθρώπου κράσεως τοῦτο, κἂν ὁπωσοῦν ἐν αὐτῷ κρατῇ τὸ θερμόν. καὶ δὴ κἂν τῷ πλησιάζειν ἡμῖν, ἀφαιρήσει τι, καὶ καθαιρήσει τῆς ἐνυπαρχούσης ἡμῖν θερμότητος. ὥσπερ γὰρ εἰ δυοῖν μὲν ὑδάτοιν ἀμφοῖν μὲν θερμοῖν, ἀλλὰ τοῦ μὲν μᾶλλον, τοῦ δ' ἧττον ἐπιμίξαις τῷ μᾶλλον θερμῷ τὸ ἧττον ἐκλύσεις αὐτοῦ τὴν θερμασίαν. οὕτως εἰ εἰς τὴν ἀπὸ τοῦ ῥοδίνου θερμότητα χλιαρὰν ὑπάρχουσαν, καὶ πρὸς τὴν ἀνθρώπου κρᾶσιν ἀναμίξαις ἀνθρωπείαν θερμότητα, καθαιρήσεις τι πάντως αὐτῆς, καὶ καταψύξεις.

C

ΚΕΦΑΛΑΙΟΝ Η'.

Οτι πολλάκις παρὰ τὴν διάθεσιν τοῦ σώματος ἡμῶν, καὶ τὸ θερμὸν οὐ καθ' ἑαυτὸ ψύχειν ἔδοξε, καὶ τὸ μὴ θερμὸν καθ' ἑαυτὸ θερμαίνειν.

ΜΗ τοίνυν θαυμάζειν, εἴ τι τῶν ἰδίᾳ τε καὶ καθ' αὑτὰ θερμῶν, ἑτέρῳ θερμοτέρῳ προσαγόμενον, ἐμψύχειν αὐτὸ δύναται. φύσις γὰρ αὕτη κοινὴ πάντων ἐστὶ τῶν ἀλλοιωτῶν σωμάτων, ὡς εἰς ἄλληλα δρᾶν καὶ πάσχειν πλησιάζοντα, τὸ μὲν ἧττον θερμὸν ὑπὸ τοῦ μᾶλλον θερμοῦ θερμότερον γιγνόμενον, τὸ δὲ μᾶλλον θερμὸν ὑπὸ
D τοῦ ἧττον ἔμπαλιν διατιθέμενον. ἐναργῶς γὰρ αὐτὸ καὶ δι' αὐτῆς καταμάθοις τῆς ἁφῆς. φαίνεται γὰρ αὐτῇ πολλάκις τὰ αὐτὰ, ποτὲ μὲν θερμὰ, ποτὲ δὲ ψυχρὰ, θερμοτέρᾳ μὲν γιγνομένῃ ψυχρὰ, ψυχροτέρᾳ δὲ θερμά. καί τις ἔναγχος ἡμῖν προὔβαλε, διὰ τί ψυχρὸν μὲν ἐν τοῖς βαλανείοις οὐροῦμεν, ἔξω δὲ θερμὸν, οὐ παρακολουθῶν, ὅτι τὸ μὲν οὖρον αὐτὸ χλιαρὸν ὁμοίως ἐστὶν, ἔν τε τοῖς βαλανείοις κἀκτός. ἡμεῖς δὲ οὐχ ὡσαύτως διακείμεθα τὴν ἐπιφάνειαν τοῦ σώματος, ἔν τε τῷ λούεσθαι, καὶ πρὸ τούτου. λουόμενοι μὲν γὰρ, θερμοτέραν ἔχομεν αὐτὴν, ἢ κατὰ τὸ οὖρον, ἔξω δὲ ψυχροτέραν, ὥστε εὐλόγως αὐτῇ, καὶ τὸ οὖρον ἔξω μὲν τοῦ βαλα-
E νείου θερμὸν, ἔνδον δὲ ψυχρὸν φαίνεται. καὶ μὲν γὰρ ἧττον ἑαυτῆς θερμοῦ τὴν αἴσθησιν, ὡς ἀποκαταψύχοντος ἴσχει, τοῦ δὲ μᾶλλον, ἢ καθ' ἑαυτὴν, ὡς ἐκθερμαίνοντος. ἔξεστι δέ σοι πείρας ἕνεκα τοῦ λελεγμένου, κάδισκον τινὰ χλιαροῦ μετρίως ὕδατος, ἐπειδὰν ἱκανῶς ἤδη τεθερμασμένος ᾖς, λουόμενος εἰσενεχθῆναι κελεύσαντι, καὶ θεῖναι τὰς χεῖρας, ἢ τοὺς πόδας εἰς αὐτό. φανεῖται γάρ σοι τὸ ὕδωρ οὐ χλιαρὸν, ἀλλ' ἱκανῶς ψυχρόν. εἰ δὲ εὐθὺς εἰσελθὼν εἰς τὸ βαλανεῖον, ἅψαιο τοῦ κατὰ τὸν κάδισκον ὕδατος, ἧττόν σοι φανεῖται ψυχρόν. ἀεὶ γὰρ εἰς ὅσον ἂν ᾖς προτεθερμασμένος, εἰς τοσοῦτον ψυχρὸν φανεῖται. καὶ οὐδὲν θαυμαστὸν, εἴ γε καὶ τὰ
F πολλὰ τῶν φρεατιαίων ὑδάτων, ὅσα βαθείας ἔχει τὰς πηγὰς ἐν τῷ χειμῶνι ψαυόμενα, χλιαρὰ φαίνεται. ἀλλ' εἰ λελουμένος ἅψαιο θερμαῖς ταῖς χερσὶν, οὐκ ἄν σοι φανείη χλιαρὰ, καὶ πολὺ μᾶλλον εἰ λουόμενος ἔτι. γνώμονα τοίνυν ἔχοντες τὴν ἁφὴν ἐν ταῖς τῶν θερμῶν, καὶ ψυχρῶν διαγνώσεσι, καὶ πρὸς τὴν ἐκείνης διάθεσιν ἀναφέροντες αὐτῶν τὰς κρίσεις,

εὐλόγως παραλογιζόμεθα πολλάκις, ὡς καὶ τὸ μὴ ψυχρὸν, A
ὅσον ἐφ' ἑαυτῷ ψυχρὸν εἰπεῖν, καὶ τὸ μὴ θερμὸν, ὅσον ἐφ' ἑαυτῷ
θερμόν. καὶ διὰ τοῦτο λουόμενοι μὲν, ψυχρὸν τὸ οὖρον, ἐῤῥι-
γωκότες δ' ἐν κρύει, τὸ φρεατιαῖον ὕδωρ θερμὸν εἶναι νομίζομεν.
καὶ εἴπερ τῶν διαθέσεων, ἐν αἷς ὄντες ἀμφοτέρων ἐψαύ-
σαμεν ἐπιλαθοίμεθα, μόνης τῆς γεγενημένης ἡμῖν αἰσθήσεως
μεμνημένοι, τάχ' ἀποφηναίμεθα ἄν ποτε τὸ μὲν ὕδωρ, ἁ-
πλῶς θερμὸν εἶναι, τὸ δ' οὖρον, ψυχρόν. ἔστι δ' οὐδέτερον ἁ-
πλῶς, οὔτε θερμὸν, οὔτε ψυχρὸν, ἀλλ' ὡς πρὸς ἡμᾶς· καὶ
οὐδὲ πρὸς ἡμᾶς αὖ πάλιν ἁπλῶς, ἀλλ' ὡδί πως ἔχοντας.
ἁπλῶς δ' αὖ πρὸς ἡμᾶς, ὁποῖόν ἐστιν ἑκάτερον λέγοιτο, B
πρὸς τὴν μέσην καὶ ἀρίστην ἡμῶν κρᾶσιν ἐξεταζόμενον,
ὥσπερ εἰ καὶ πρὸς ἄνθρωπον ἁπλῶς ἐδοκιμάζετο, πάντως
ἄν που πρός γε τὸν εὔκρατον ἡ ἐξέτασις ἐγίγνετο. ἤρτηται τοί-
νυν καὶ ταῦτα πάντα τὰ σφάλματα τῆς τῶν ὀνομάτων διαι-
ρέσεως, ἧς ὀλίγου δεῖν ἅπαντες καταφρονοῦσιν. ἐπεὶ γὰρ ψυ-
χρὸν καὶ θερμὸν, τὸ μὲν ἁπλῶς λέγεται, τὸ δ' ἐπικρατείᾳ, τὸ
δὲ τῇ πρὸς τὸ σύμμετρον ὁμογενὲς παραβολῇ, τὸ δὲ πρὸς
ὁτιοῦν τὸ ἐπιτυχὸν, εὐλόγως ἐν ταῖς ὁμωνυμίαις σφαλλό-
μεθα πολλάκις, ἐπιλανθανόμενοι μὲν, ὁποῖόν τι θερμὸν κρί-
νομεν, ἐφ' ἕτερον δὲ μεταβαίνοντες. ἀλλὰ μυριάκις ἤδη λέ- C
λεκταί τε καὶ λεχθήσεται, κατὰ τὸ τέταρτόν τε καὶ ἔσχατον τῶν εἰ-
ρημένων ἄρτι σημαινομένων, ἐπισκέπτεσθαι χρῆναι περὶ τῆς
τῶν φαρμάκων δυνάμεως.

meritò sanè crebrò fallimur, vt qui, quod haud ex
se est frigidum, id frigidum esse dicamus; quod
verò calidum ex se non est, id esse calidum pro-
nunciemus. Hinc fit vt dum lauamur, frigidam
esse vrinam credamus; contraque frigore rigentes,
aquam è puteis haustam calidam existimemus. At
si affectionum, in quibus eramus, dum vtranque
contingeremus, obliuiscamur: ac solius eius, qui in
nobis factus est sensus, meminerimus; periculum
est, ne fortè aquam aliquando absolutè dicamus
calidam, vrinam verò absolutè frigidam. Atqui
neutra absolutè, aut calida, aut frigida est, sed vt ad
nos: nec vt ad nos rursum absolutè, verùm hoc vi-
delicet pacto affectos. Absolutè autem vtraque,
qualis ad nos est, dici possit, ad mediam, eandemq;
optimam nostri temperiem collata: vt si ad homi-
nem absolutè expendatur, omninò sanè ad tem-
peratum, & eucratum expendi oporteat. Sanè &
hæc quoq; peccata omnia à nominum distinctio-
ne pendent, quam paulò minus omnes habent cō-
temptui. Etenim quum calidum, & frigidum par-
tim absolutè dicatur, partim per exuperantiā, par-
tim vt ad symmetrum sui generis comparatum,
partim vt ad quiduis obuium collatū, iure optimo
in homonymiis identidem fallimur, nescij quidē
quonam horum modorū quid calidum iudicemus
ad alterum tamen transeuntes. Verùm sexcenties
iam dictū est, diceturq;, quod in quarto & vltimo
eorum, quæ modò recensuimus, significatorū, de
medicamentorum viribus considerare oporteat.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι τῇ πείρᾳ χρὴ διαγινώσκειν τε καὶ κρίνειν τὰς τῶν φαρμάκων δυνάμεις.

ΟΥτε γὰρ ἁπλῶς θερμὸν ἕκαστον αὐτῶν ἐστιν, ὥσπερ τὸ
πῦρ· τοῦτο μὲν γὰρ ἂν καὶ ἀδύνατον, οὔτ' εἰ κατ' ἐπι- D
κράτησιν, ὥσπερ τὸ αἷμα πρόκειται σκοπεῖν. ἀλλ' οὐδ' εἰ
πρὸς τὸ σύμμετρον ὁμογενὲς, ἢ ὁμοειδὲς λέγεται θερμόν·
ὥσπερ λέων μὲν ἐν ζώοις, τὸ δ' ἀκμάζον ἐν ἑκάστῳ τῶν εἰ-
δῶν πρὸς τὸ γεγηρακός. ἀλλ' εἰ πρὸς ἄνθρωπόν ἐστι θερ-
μὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν ἕκαστον τῶν φαρμάκων, ἡ ζή-
τησίς ἐστιν. καὶ οὐδὲ πρὸς τοῦτον, ὡς τὸ πρός τι παραβαλ-
λόμενον. ἀλλ' εἰ τῇ δυνάμει, τοῦτο δ' ἐστὶν εἰ πλησιάζον
αὐτῷ θερμότερον ἀπεργάζεται τὸ μόριον, ἢ ψυχρότερον, ἢ
ὑγρότερον, ἢ ξηρότερον οὗ περ καὶ ψαύει. ὥστε ἐν τῇ πείρᾳ,
καὶ τὰ τῆς κρίσεως ἔσται, καὶ τὰ τῆς διαγνώσεως, ἣν ἀφέντες E
οἱ πολλοὶ τῶν ἰατρῶν, εἰ ἐρυθρόν ἐστιν τὸ ῥόδον, ἢ εὐῶδες
ἐπισκοποῦνται, παρέντες ὅταν ἐγκαυθῶσι τὴν κεφαλὴν,
ἐπιτιθέντες αὐτῇ ῥόδων στεφάνους, ἢ τὸν χυλὸν αὐτῶν, ἢ ῥό-
δινον ἔλαιον, οὕτω τῇ πείρᾳ μαθεῖν τὸ γιγνόμενον. εἰ μὲν
γὰρ ἐκθερμαίνονται, μᾶλλον ἂν εἴη θερμὸν, εἰ δὲ ψύ-
χονται, ψυχρόν. ἐν ἴσῳ τὸ ψυκτικὸν εἶναι ἀνθρώπου φύσεως,
ἀεὶ γὰρ τούτου χρὴ μεμνῆσθαι, καίτοι μυριάκις μὲν ἐγὼ
διατελῶ λέγων αὐτὸ, παρακούουσι δ' οἱ πολλοὶ, καὶ συγ-
γνώσκειν αὐτοῖς χρὴ διεστραμμένοις ὑπὸ τῶν σοφιστῶν λη-
ρούντων μακρά· τὰ μὲν δὴ τῆς πείρας οὕτω ῥᾴδια, καὶ F
περὶ ῥόδων δυνάμεώς ἐστι, καὶ περὶ τῶν ἄλλων ἁπάντων
φαρμάκων. ἔξεστι γὰρ δήπου καὶ στεφανώσασθαι ῥόδοις, καὶ τρί-
ψαντί ποτε καταπλάσαι τὸ στόμα τῆς κοιλίας ἀνθρώπου
καυσουμένου, καὶ ἀποθλίψαντι τὸν χυλὸν αὐτῶν ἐκροφῆσαι,
καὶ μίξαντι μεθ' ὕδατος, ἢ ἐλαίου, τῶν τοῦ σώματός τι

CAPVT IX.

Quòd experientia cognoscere iudicaréque medicaminum facultates oportet.

NOn enim an absolutè vnumquodque cali-
dum sit, vt ignis, nam id omninò etiam foret
impossibile: aut an per exuperantiam, vt sanguis,
considerare propositum est: neque an vt ad sym-
metrum sui generis, aut speciei dicatur calidum,
vt leo in animantibus, & quod florentis ætatis est
in quauis specie ad ætate prouectum: sed an ad
hominem sit calidum, frigidum, humidum, aut
siccum medicamentorum vnumquodque inqui-
rere statutum est. Neque rursum ad hunc, tan-
quam id, quod ad aliquid aliud comparatur, sed si
facultate, hoc est si admotum ipsi, eam partem
quam tetigerit reddat, aut calidiorem, aut frigi-
diorem, aut humidiorem, aut sicciorem. Itaque in
experientia, & iudicandi, & dignoscendi consistet
ratio, licet reperiantur medicorum plerique, qui
experientia post habita, an rubra sit rosa, an bene
olens, considerant negligentes vbi caput ipsis ex-
æstuat, coronis ex rosa contextis, capitique impo-
sitis, aut succo eius, aut oleo rosaceo, sic, vel ipsa ex-
perientia id quod res est discere. Nam si calefiant,
magis etiam calida fuerit: sin refrigerentur, frigi-
da, quod perinde est, atque refrigerandæ humanæ
naturæ facultate pollere; nam id perpetuò me-
moria tenere oportet, quod tametsi sexcenties di-
cere non grauatus sim, tamen multi ne sic quidem
id capiunt, atque ignoscendum sanè illis est, vt
quos sophistæ prolixis suis nugis peruerterunt. Et
profectò experientiæ quidem ratio tam facilis est,
quum in rosarum, tum in cæterorum medicamē-
torum omnium facultate. Nam rosis, aut coronari
liceat, aut eis contritis hominis æstuantis os ven-
triculi illinere, aut succum earum expressum ebi-
bere, aut oleo aquæve mixtis aliquam corporis

partem confricare. Sed quid hæc multis commemoro, quum nonnulli mixtum opobalsamo rosarum succum sub Canis ardoribus refrigerij causa corporibus inungant, vsu videlicet ipso docti, cum hoc fecerint, abundè refrigerare? At Herodotus medicus præ eximia videlicet sapientia, ne mixtum quidem aceto rosaceum, quod propriè oxyrhodinon vocant, refrigerare nos concesserit. Postea memor illo se vti in principiis morborum phreniticorum, nec ignorans quantam sibi contradicêtium turbam inde cieret (quippe omnibus prope medicis confessum est, adeò, vt vel Thessali sequaces, hominis impudentissimi, negare non audeant repellendum refrigerandumque in principiis esse potius, quàm calefaciendum, aut laxandum) non refrigerare ipsum inquit, sed astringere. Atqui difficile sanè illi neutiquam fuisset, siquando æstu nimio affligebatur (nã & homo erat, eisdem obnoxius passionibus, quibus & nos) caput oxyrhodino perfundere, sicque experientia medicamenti effectum cognoscere. Imò facilius puto fuerat refrigeratum eo vti, caput perfundendo, auribusque instillando, ac naribus infundendo, totamque adeò frontem perfricando, quemadmodum amaracino, irino, cæterisque eius generis vnguentis calidis vti assueuimus, quum non mediocriter quidem secundum eum calefaciat oxyrhodinon, ex duobus calidissimis scilicet confectum medicamentis. Cæterùm si Herodotus eo vti ausus non est; æquum arbitror, vt qui nunc viuunt, eius in sese periculum faciant, vbi, aut algent, aut æstu laborant, velut nos sæpe in nobismetipsis experti sumus, aliorumque complurium æstuantium caput perfudimus. Præstat enim ipsos prius in sese, quæ proferunt expertos, ita denique ea nobis consulere, ac litteris posteritati prodere.

A μορίων ἀνατεῖψαι. καίτοι τί λέγω τούτοις, ὁπόσοι ὀποβαλσάμῳ μιγνύντες ἔνιοι ῥόδων χυλὸν ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἀνατρίβονται τὰ σώματα χάριν ἐμψύξεως, αὐτῇ τῇ πείρᾳ μεμαθηκότες, ὡς ἱκανῶς ἀναψύχουσιν; ἀλλ᾽ ὑπὸ περιττῆς σοφίας Ἡρόδοτος ὁ ἰατρὸς, οὐδὲ τὸ ξὺν ὄξει ῥόδινον, ὃ δὴ καλοῦσιν ἰδίως ὀξυρρόδινον, ὁμολογεῖ ψύχειν ἡμᾶς. εἶτ᾽ ἀναμνησθεὶς τό γε τοσοῦτον, ὡς ἐν ταῖς ἀρχαῖς τῶν φρενιτικῶν νοσημάτων, αὐτὸς αὐτῷ χρῆται, καὶ συνεὶς τῆς ἐναντιολογίας, (ὡμολόγηται γὰρ ὑπὸ πάντων σχεδὸν τῶν ἰατρῶν, ἄχρι καὶ τῶν ἀμφὶ τὸν ἀναισθητότατον Θεσσαλὸν,
B ὡς ἀποκρούεσθαι χρὴ, καὶ ψύχειν ἐν ἀρχῇ μᾶλλον, ἢ θερμαίνειν, καὶ χαλᾷν) οὐ ψύχειν φησὶν, ἀλλὰ στύφειν αὐτό. καίτοι χαλεπὸν οὐδὲν ἦν ἐγκαυθέντα ποτὲ καὶ αὐτὸν, ἄνθρωπος γὰρ ἦν ὁμοιοπαθὴς ἡμῖν, ὀξυρροδίνῳ τὴν κεφαλὴν ἐπιβρέξασθαι, καὶ γνῶναι τῇ πείρᾳ τὴν ἐνέργειαν τοῦ φαρμάκου. ῥᾷον δ᾽ ἦν, οἶμαι, καὶ ψυχθέντα, χρῆσθαί ποτ᾽ αὐτῷ, κατά τε τῆς κεφαλῆς ἐπιχέοντα, καὶ τοῖς ὠσὶν ἐνστάξαντα, καὶ ταῖς ῥισὶν ἐγχέοντα, καὶ τὸ μέτωπον ὅλον ἀνατρίψαντα, καθάπερ ἀμαρακίνῳ, καὶ ἰρίνῳ, καὶ τοῖς ἄλλοις ἀλείμμασι τοῖς θερμαίνουσι χρώμεθα. καίτοι γὰρ οὐδὲ
C μετρίως θερμαίνει κατ᾽ αὐτὸν ὀξυρρόδινον, ἐκ δυοῖν θερμοτάτων φαρμάκων συγκείμενον. ἀλλ᾽ εἴπερ Ἡρόδοτος οὐκ ἐτόλμησε χρήσασθαι, δίκαιον οἶμαι τοὺς νῦν ἐστι πειραθῆναι τῆς τοῦ φαρμάκου δυνάμεως ἐφ᾽ ἑαυτῶν, ὅταν ἤτοι ψυχθῶσιν, ἢ ἐγκαυθῶσιν, ὥσπερ ἐγὼ πολλάκις ἐπειράθην ἐπ᾽ ἐμαυτοῦ, καὶ ἄλλων οὐκ ὀλίγων ἐγκεκαυμένων ἐπιβρέξας τὴν κεφαλήν. ἄμεινον γάρ ἐστιν αὐτοὺς πρότερον ὧν λέγουσι πειραθέντας, οὕτως ἡμῖν τε συμβουλεύειν, ἔν τε ταῖς βίβλοις ἀναγράφειν.

CAPVT X.

De rosis, & quod ex eis conficitur, rosaceo: tum chamæmelo, & lini semine.

VErùm enimverò tametsi contradicere nemini statueram, tamen nescio quo pacto huc illorum me impudentia adegerit. Rursum itaque redeo ad id, quod ab initio proposueram, nempe experientia iudicandas medicamentorum facultates, idque tum in iis, qui inculpata sanitate fruuntur, illis vtendo, tum in iis, qui quoad fieri licet, quàm maximè simplicibus tenentur morbis, aut calidis, aut frigidis, aut humidis, aut siccis. Ita enim si iudicaueris, oleum, neque calidum, neque frigidum, vt ad hominem temperatum, inuenies, rosaceum verò aliquatenus iam eò frigidius, non autem vehementer frigidum: verùm vt ego nominare consueui, in primo recessu & ordine refrigerantium. Nam vt aqua, verbi causa, alia ad vnguem temperata est: alia, aut calidior, aut frigidior, non adeò tamen, vt possis extremè frigidam, aut calidam dicere: ita in medicamentis quoque oleum quidem ex media existit temperie: at rosarum succus ex frigidiore quidem, sed non ita multo, verùm caloris est, vt diximus, tepidi. Eiusdem cum illo ordinis est, quod ad calorem tepidum attinet, Linospermon quod vocant: verùm essentiæ suæ crassitie non paruo discrimine ab illius natura recedit, quum rosarũ succus exquisitè tenuis sit essentiæ: cui rei indicio est, quòd celerrimè arescat, nec quicquã obtineat viscositatis,

D ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ ῥόδων, καὶ τοῦ χυλοῦ, καὶ χαμαιμήλου, καὶ λινοσπέρμου.

Ἀλλὰ γὰρ οὐκ οἶδ᾽ ὅπως, καίτοι φυλαττόμενος ἀντιλογίας ἅψασθαι, πρὸς τῆς ἀναισχυντίας αὐτῶν ἠναγκάσθην. αὖθις οὖν ἐπάνειμι πάλιν ἐφ᾽ ὅπερ ἐξ ἀρχῆς προὐθέμην, ὡς τῇ πείρᾳ κριτέον ἐστὶ τὰς τῶν φαρμάκων δυνάμεις, ἐπί τε τῶν ὑγιαινόντων ἀμέμπτως χρώμενον, ἐπί τε τῶν νοσούντων ἁπλᾶς, ὡς ἔνι μάλιστα νόσους, ἤτοι θερ-
E μὰς, ἢ ψυχρὰς, ἢ ξηρὰς, ἢ ὑγράς. οὕτω γάρ σοι κρίνοντι, τὸ μὲν ἔλαιον, οὔτε θερμὸν, οὔτε ψυχρὸν, ὡς πρὸς ἄνθρωπον εὔκρατον εὑρεθήσεται. τὸ δὲ ῥόδινον, ἤδη μέν πω ψυχρότερον, οὐ μὴν ἰσχυρῶς γε ψυχρὸν, ἀλλ᾽ ὡς ὀνομάζειν εἴωθα τῆς πρώτης τῶν ψυχόντων ἀποστάσεώς τε καὶ τάξεως. ὥσπερ γὰρ ὕδωρ εἰ τύχοι, τὸ μὲν ἀκριβῶς ἐστιν εὔκρατον, τὸ δ᾽ ἤτοι θερμότερον, ἢ ψυχρότερον, οὐ μὴν ἤδη γέ πως θερμὸν, ἢ ψυχρὸν, ἀπολελυμένως εἰπεῖν, οὕτω κἀν τοῖς φαρμάκοις ἔλαιον μὲν ἐκ τῆς μέσης ὑπάρχει κράσεως. ὁ δὲ τῶν ῥόδων χυλὸς, ἐκ τῆς ψυχροτέρας μὲν, ἀλλ᾽ οὐ πολλῷ τινι
F κατὰ τὴν χλιαρὰν, ὡς εἴρηταί μοι καὶ πρόσθεν ὑπάρχων θερμασίαν. ἐκ δὲ τῆς αὐτῆς ἐστιν αὐτῷ τάξεως τὸ καλούμενον λινόσπερμον, ὅσον ἐπὶ τῷ χλιαρῷ τῆς θερμασίας, ἀλλὰ τῷ παχυμερὲς ὑπάρχειν, οὐκ ὀλίγῳ δή τινι παραλλάττεται. λεπτομερὴς γὰρ ἀκριβῶς ἐστιν ὁ τῶν ῥόδων χυλὸς, ὡς δηλοῖ, τό τε ξηραίνεσθαι ῥᾳδίως αὐτὸν, καὶ τὸ μηδεμιᾶς μετέχειν γλισχρότητος,

καὶ τὸ τὰς τῶν ἄλλων μύρων ἐκλύειν ὀσμάς. οὐδὲ γὰρ οὐδὲ τοῦτο ἑτέρῳ τινὶ φαίνεται ποιεῖν, ἢ τῷ φθάνειν ἐμπιπλάναι τοὺς ὀσφρητικοὺς πόρους. ἐπεὶ γὰρ μελλόντων διιέναι, καὶ διαδύεσθαι τῶν ἄλλων αὐτούς, προκαταλαμβάνει τε καὶ πληροῖ. ἔστι δὲ καὶ τὸ χαμαίμηλον, ὅσον μὲν ἐπὶ λεπτομερείᾳ ῥόδῳ παραπλήσιον, ὅσον δ' ἐπὶ θερμότητι, τῆς ἐλαίου μᾶλλον δυνάμεως, οἰκείας τε τῷ ζώῳ, καὶ συμμέτρου, διὸ καὶ κόπου φάρμακόν ἐστιν εἴπερ τι καὶ ἄλλο, καὶ ἀλγημάτων πραϋντικόν, ἀνίησί τε καὶ χαλᾷ τὰ τεταμένα, καὶ μαλάττει τὰ μετρίως σκληρά, καὶ ἀραιοῖ τὰ πεπυκνωμένα. καὶ πυρετῶν ὁπόσοι χωρὶς σπλάγχνου φλεγμονῆς ἐνοχλοῦσι, λυτικὸν ὑπάρχει, καὶ τούτων μάλιστα τῶν ἐπὶ χολώδεσι χυμοῖς, ἢ πυκνώσει δέρματος συνισταμένων. ταύτῃ τοι καὶ τῶν Αἰγυπτίων τοῖς σοφωτάτοις, ἡλίῳ τε καθιέρωται, καὶ πυρετῶν ἁπάντων ἴαμα νενόμισται. ἀλλὰ ἐν τούτῳ μὲν οὐκ ἀληθεύουσιν. μόνων γὰρ ὧν εἴρηκα πυρετῶν ἐστὶν ἴαμα, καὶ τούτων ἤδη πεπεμμένων. ὀνίνησι μέντοι καλῶς, καὶ τοὺς ἄλλους ἅπαντας, ὅσοι τε μελαγχολικοί, καὶ ὅσοι φλεγματώδεις εἰσί, καὶ σπλάγχνου φλεγμονῆς ἔκγονοι. καὶ γὰρ καὶ τούτων ἴαμα γενναιότατόν ἐστιν τὸ χαμαίμηλον, ὅταν ἤδη πεπεμμένοις προσφέρηται, καὶ διὰ τοῦτο, καὶ ὑποχονδρίοις εὐμενὲς εἴπερ τι ἄλλο. καὶ τὸ λινόσπερμον γοῦν τοιοῦτον ὁ παλαιὸς λόγος εἶναί φησι. καὶ γάρ ἐστιν ὄντως κἀκεῖνο τοῖς κατ' ὑποχόνδρια σπλάγχνοις εὐμενές, ἀλλ' ἧττον χαμαιμήλου. καὶ γὰρ καὶ θερμὸν ἧττόν ἐστιν, ὡς εἴρηται, καὶ πρὸς τούτῳ, καὶ παχυμερὲς ὑπάρχει, οὐ μὴν τό γε ῥόδον ἐγγὺς αὐτοῖς εἰς ταῦτα, καίτοι γ' ὅσον ἐπί τε τὸ χλιαρὸν τῆς θερμότητος, καὶ τὸ λεπτομερὲς χρήσιμον ἂν ἦν ἱκανῶς καὶ τοῦτο, ταῖς καθ' ὑποχόνδρια φλεγμοναῖς, ἀλλ' ἡ συνοῦσα στύψις αὐτῷ πολλαχῇ παραβλάπτει, καὶ μάλιστ' ἐν οἷς εὐδόκιμόν ἐστι χαμαίμηλον, ἢ τὰ πεπυκνωμένα τῶν σωμάτων ἀραιοῦν, ἢ τὰ κατεσκληρυμμένα μαλάττον, ἢ τὰ τεταμένα χαλῶν. εἰς γὰρ τὰ τοιαῦτα πάντα, πολέμιον ἡ στύψις. εἰς μέντοι τὰς ἀναβάσεις τε καὶ αὐξήσεις τῶν φλεγμονῶν, καὶ μάλιστα τῶν προχείρων, ἄμεινον χαμαιμήλου τὸ ῥόδινον, ὅτι καὶ χλιαρᾶς αὗται δέονται θερμασίας, καὶ βραχείας στύψεως. ἐν ἀρχῇ μὲν γὰρ τὰ ψύχοντα, καὶ στύφοντα, κατὰ δὲ τὰς ἐπιδόσεις, ὅσα χλιαρά τ' ἐστί, καὶ μετρίως στύφοντα. κατὰ δὲ τὰς ἀκμὰς τῶν φλεγμονῶν, ὅσα συμμέτρως θερμαίνειν τε μᾶλλον, καὶ ἰσχυρῶς διαφορεῖν χρηστά. λεχθήσεται δ' ὑπὲρ ἁπάντων τούτων ἐπὶ πλέον, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. νῦν δὲ ἐπὶ τὸ προκείμενον αὖθις ἐπάνειμι.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι παρὰ τὰς διαθέσεις τῶν σωμάτων, ἄλλοτ' ἄλλως ἐνεργεῖν πέφυκεν τά τε τῆς μέσης κράσεως φάρμακα, καὶ τὰ ἐφ' ἑκάτερα βραχὺ παραλλάττοντα.

ΤΑ γάρ τοι τῆς μέσης κράσεως, καὶ τὰ ἐφ' ἑκάτερα βραχὺ παραλλάττοντα φάρμακα, καὶ θερμαίνειν ἂν δόξειέ ποτε, καὶ ψύχειν αὖθις, ἐνίοτε δὲ μήτε θερμαίνειν, μήτε ψύχειν, ἀλλ' οἷα παρέλαβε τὰ σώματα, διαφυλάττειν, καὶ τοῦτο εὐλόγως πέπονθεν. εἴ γε τὸ χλιαρὸν ὕδωρ καὶ τὸ οὖρον, ἐν μὲν τοῖς βαλανείοις ψυχρά, τοῖς δ' ἐψυγμένοις θερμὰ φαίνεται. εἴπερ οὖν παρὰ τὸ πως ἔχειν τὰ διατιθέμενα, καὶ τὸ διατιθὲν οὐχ ὁμοίως ἐνεργεῖν φαίνεται,

A tum cæterorum vnguentorum odores exoluat. Neque enim alia re efficere id videtur, quam quòd odoratus meatus opplere præoccupet: nam quum transire, ac penetrare illa cunctantur, ante ipse occupat, atque illos implet. Est & Chamæmelum tenuitate quidem rosæ persimile, calore verò ad olei vires magis accedens, homini tum familiares, tum temperatas. Quapropter lassitudini, vt si quid aliud, cum primis confert, doloresque mitigat: præterea tensa remittit, & laxat, quæque mediocriter dura sunt emollit, quæque constipata rarefacit. At hæc febres quæ citra B visceris alicuius inflammationem infestant, soluit: ac præsertim quæ ex humoribus biliosis, aut cutis densitate proueniunt. Qua de re & ab Ægyptiorum sapientissimis Soli consecratum est, febriumque omnium putatur remedium. Verùm hac quidem in re à veritate aberrant. Solas enim quas dixi febres sanare potest, easque percoctas: licet sanè pulchrè etiam reliquas omnes adiuuet, quæ melancholicæ sunt, aut pituitosæ, aut ex visceris inflammatione prognatæ. Nam & harum remedium chamæmelum est, vel strenuissimum, vbi concoctis adhibetur scilicet: quapropter, & hypochondriis, vt si quid aliud, gratum existit. C Quin & tale quoque esse lini semen vetus sermo prædicat. Nam & ipsum quoque re vera, quæ circa hypochondria sunt visceribus gratum est, minus tamen chamæmelo: quippe quum & minus calidum sit, vt est dictum, & præterea essentiæ crassæ. Verùm rosa illis nequaquam his in rebus propinqua est: tametsi quod ad caloris tepiditatem, & essentiæ tenuitatem attinet, perquam sanè & ipsa inflammationibus in hypochondriis consistentibus vtilis esse possit, nisi astrictio (quæ vnà quoque illi inest) multifariam læderet: quæ maximè iis obest, in quibus chamæmelũ præcel- D lit, nempe condensata corpora rarefaciens, indurata molliens, tensa relaxans: nam iis omnibus inimica astrictio est. Attamen ad ascensus augmentaque inflammationum, ac potissimum earum, quæ in exterioribus membris extant, chamæmelo rosaceum præfertur: quippe quum hæ tepida caliditate cum leui astrictione indigeant. In principio enim quæ refrigerant, atque astringunt, per incrementa verò tepida, & mediocriter constringentia: at in vigoribus inflammationum quæcunque tum moderatè calefacere laxaréque: per declinationes autem, quæ tum calefacere, tum valenter discutere valent, magis com- E petunt. Ac de istis omnibus fusius in libris de medendi methodo tractabimus. Nunc ad propositum reuertor.

CAPVT XI.

Quòd pro diuersis corporum affectibus aliàs aliter agere sunt nata, tum quæ mediæ temperaturæ medicamenta sunt, tum quæ paulum in alterutram partem declinant.

ETenim quæ mediæ sunt temperiei, & quæ vtramuis in partem leuiter declinant medicamenta, interim calefacere videbuntur, rursum- F que refrigerare: interim verò neque calefacere, neque refrigerare, sed sicuti corpora acceperunt, ita ea seruare. Nec id illis abs re accidit: siquidem aqua tepida, & vrina in balneis quidem frigidæ, algentibus verò calidæ nobis apparent. Quum ergo ex eo quòd affecta corpora variis subinde modis disponantur, ipsum quod afficit, variè quoque agere

agere contingat, liquet ex hoc non rosam, non oleum, non chamæmelum, non lini semen, sed neque anethum, neque farinam aut fœnigræci, aut triticeam, neque alia sexcenta, quæ partim ad amussim mediam temperiem sortiuntur, partim paulum ab ea recedunt, eandem vbique editura esse actionem: quando nec sani eandem omnes temperiem obtinemus, nec eisdem morbis affligimur ægroti. Iam rosaceum mediam inter oleum, & rosarum succum temperiem possidens (illo enim minus est calidum, hoc autem magis) refrigerat quidem exustos, idque caliditatis suæ tepore: algentes verò paulum etiam calefacit, quòd videlicet, is quoque effectus caloris sit tepidi: quemadmodum balneæ rigentes quidem calefaciunt, æstuantes verò frigefaciunt.

CAPVT XII.

Quòd ex æquo, & quod curatur, & quod curat, à medio dissidere debeat, idque vtroque in contraria recedente.

QVocirca si aut refrigerantibus medicamentis, aut calefacientibus, rosaceum indideris, sicut nec magnopere obfueris, ita nec admodum profueris, nam caliditas tepida, nec est sufficiens quæ refrigerata sunt, lædere, nec eadem curare potens. Etenim quicquid curari debet, tanquam quod ab immoderatione, ad commoderationem, reducitur, non id quod benè temperatum sit requirit, verùm id, quod contrariam habeat intemperiem. Siquidem si aquam frigidam temperatam efficere studes, temperatam ei misceri nõ oportet, sic enim tepidũ euadet quod ex vtrisq; commixtum erit, sed feruens petenda est, eaq; frigidæ miscenda: hactenusq; moderata calidior esse debet ea qua frigidam temperare voles, quatenus videlicet & frigida ipsa symmetram frigiditate exuperat. Nam sicut quæ leuiter tantum symmetra frigidior est, ab ea, quæ multo est calidior, mediam non recipiet temperiem, sic nec quæ longè frigidior, ab ea, quæ paulò calidior. Verùm si quod curationẽ postulat, multo est frigidius, necesse est, quod ipsũ curabit, multò quoq; calidius existat, sin paulò frigidius, paulò etiam, quod curabit, calidius erit. Vt autem vno verbo exprimam, tanto abesse à medio quod medebitur, quanto ipsum, cui medela adhibebitur, oportet, nimirum quum in contrarium vtriusque vergat excessus. Nam quod eandem in partem cum corpore curando, idq; æquo temperamento recessit, id quidem idoneũ non est, quod alterationem vllam inuehat, quare affectum, neq; lædet, neque iuuabit, quod autem minus, aut plus recessit, alterabit quidem omninò affectum: sed quod plus distat, protinus etiam nocebit: at quod minus est, iuuabit quidem, non tamen persanabit. Ergo si affectio quidem frigida sit, at calor medicamenti tepidus, omninò necesse est affectum iuuet quidem, verùm haudquaquam ad naturalem symmetriam reducere poterit, quare nec persanabit. Rursum si affectio quidem sit parua, nempe, vt à symmetra naturæ caliditate ad tepiditatem declinet, sitque medicamen frigidum, omninò refrigerari affectum, lædique à frigore necesse erit. Eodem quoque modo si calidior sit moderata tẽperie affectus, à similibus ipsius medicamentis in eodem statu seruabitur; lædetur autem à calidioribus: porro iuuabitur quidem ab iis quæ se sunt minus calida, non tamen penitus persanabitur.

A δῆλον, ὡς οὔτε τὸ ῥόδον, οὔτε τοὔλαιον, οὔτε τὸ χαμαίμηλον, οὔτε τὸ λινόσπερμον, ἀλλ' οὐδὲ τὸ ἄνηθον, οὔτε τὸ τήλινον ἄλευρον, ἀλλ' οὐδὲ τὸ πύρινον, οὐδ' ἄλλα μυρία, τά τε ἀκριβῶς μέσα ταῖς κράσεσιν, τά τε βραχὺ παραλλάττοντα, τὴν αὐτὴν ἐνέργειαν ἐπιδείξεται διὰ παντός. οὔτε γὰρ ὑγιαίνοντες ὁμοίως κεκράμεθα πάντες, οὔτε τὰς αὐτὰς νοσοῦμεν νόσους. αὐτίκα γέ τοι τὸ ῥόδινον ἐν τῷ μεταξὺ τὴν κρᾶσιν κεκραμένον, ἐλαίου τε καὶ τοῦ τῶν ῥόδων χυλοῦ. τοῦ μὲν γὰρ ἧττον ὑπάρχει θερμὸν, τοῦ δὲ μᾶλλον. ἀναψύχει μὲν γὰρ τοὺς ἐγκεκαυμένους τῷ χλιαρῷ δηλονότι τῆς θερμότητος, ὀλίγον δέ τι καὶ B τοὺς κατεψυγμένους θερμαίνει. διότι καὶ τοῦτο ἔργον ἐστὶ χλιαρᾶς θερμασίας, ὥσπερ γε καὶ τὰ βαλανεῖα, καὶ τοὺς ῥιγῶντας θερμαίνει, καὶ τοὺς ἐγκεκαυμένους ἀναψύχει.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὅτι χρὴ ἐπ' ἴσης τῷ θεραπευομένῳ τὸ θεραπεῦον ἀφεστάναι τοῦ μέσου τῆς ἀποστάσεως, ἐπὶ τἀναντία δηλονότι ὑπαρχούσης ἑκατέρῳ.

ΚΑὶ διὰ τοῦτο κἂν τοῖς ψύχειν, ἢ θερμαίνειν πεφυκόσι φαρμάκοις, ἐὰν ἀναμίξῃς τὸ ῥόδινον, οὐδὲν ἐργάσῃ C μέγα κακὸν, ὥσπερ δ' ἀξιόλογον ἀγαθὸν οὐδέν. ἡ γὰρ χλιαρὰ θερμασία, βλάπτειν μὲν οὐκ ἔστιν ἱκανὴ τὰ κατεψυγμένα, θεραπεύειν δ' οὐ δύναται. δεῖται γὰρ τὸ θεραπευόμενον ἅπαν, ὡς ἂν ἐξ ἀμετρίας τινὸς εἰς συμμετρίαν ἀγόμενον, οὐκ αὐτοῦ τοῦ συμμέτρου τὴν κρᾶσιν, ἀλλὰ τῆς ἐναντίας ἀμετρίας. εἰ γοῦν τὸ ψυχρὸν ὕδωρ βουληθείης εὔκρατον ποιῆσαι, τὸ μὲν εὔκρατον ἤδη μιγνύειν οὐ χρὴ, χλιαρὸν γὰρ οὕτως ἔσται τὸ μικτὸν ἐξ ἀμφοῖν. ἔρχεσθαι δ' ἐπὶ τὸ ζέον προσήκει, καὶ τοῦτο μιγνύναι τῷ ψυχρῷ. καὶ τοσούτῳ γε θερμότερον εἶναι χρὴ τοῦ συμμέτρου, τὸ τῷ ψυχρῷ μι- D γνύμενον, ὅσῳ περ ἂν καὶ τὸ ψυχρὸν αὐτὸ ψυχρότερον ᾖ τοῦ συμμέτρου. οὔτε γὰρ τὸ βραχὺ τοῦ συμμέτρου ψυχρότερον ὑπὸ τοῦ πολὺ θερμοτέρου, τὴν μέσην ἀπολήψεται κρᾶσιν, οὔτε τὸ πολλῷ ψυχρότερον ὑπὸ τοῦ βραχὺ θερμοτέρου. ἀλλ' εἴ τε πολλῷ ψυχρότερόν ἐστι τὸ τῆς θεραπείας δεόμενον, ἀνάγκη καὶ τὸ θεραπεῦσον αὐτὸ, πολλῷ θερμότερον ὑπάρχειν. εἴ τ' ὀλίγῳ ψυχρότερον, ὀλίγῳ χρὴ καὶ τὸ θεραπεῦον εἶναι θερμότερον. ἑνὶ δὲ λόγῳ τοσοῦτον ἀπέχειν χρὴ τοῦ μέσου τὸ θεραπεῦσον, ὅσον περ καὶ τὸ θεραπευθησόμενον, ἐπὶ τἀναντία δηλονότι τῆς ἀποστάσεως ὑπαρχούσης ἑκα- E τέρῳ. τὸ γὰρ ἐπὶ τὰ αὐτὰ παραπλησίως ἀφεστηκὸς, ὅμοιον τῇ κράσει τῷ θεραπευομένῳ καθεστηκὸς, οὐδεμίαν ἀλλοίωσιν ἐπιφέρειν ἱκανὸν, ὥστε οὔτε βλάψει τι τὸ πάθος, οὔτ' ὠφελήσει. τὸ δ' ἔλαττον, ὠφελήσει μὲν οὐ μὴν ἰάσεταί γε πάντως. εἰ τοίνυν τὸ μὲν πάθος εἴη ψυχρὸν, ἡ δὲ τοῦ φαρμάκου θερμότης χλιαρὰ, πάντως μέντοι προσωφελήσει τὸ πάθος, οὐ μὴν εἰς τὴν κατὰ φύσιν γε πάντως ἐπανήξει συμμετρίαν, ὥστ' οὐδὲν ἐξιάσεται. πάλιν δὲ εἰ μὲν τὸ πάθος εἴη μικρὸν, ὡς ἂν ἀπὸ τῆς συμμέτρου θερμασίας τῆς κατὰ φύσιν, εἰς δή χλιαράν τινα μεταπεπτω- F κέναι, τὸ δὲ φάρμακον εἴη ψυχρὸν, ἀνάγκη ἐπιψυχθῆναί τε καὶ βλαβῆναι τὸ πάθος ὑπὸ τοῦ ψυχροῦ. τὸ δ' αὐτὸ κἂν θερμότερον ᾖ τῆς συμμετρίας τὸ πάθος, ὑπὸ μὲν τῶν ὁμοίων αὐτοῦ φαρμάκων, ἐν ταὐτῷ φυλαχθήσεται, βλαβήσεται δὲ ὑπὸ τῶν θερμοτέρων. ὠφεληθήσεται δ' ὑπὸ τῶν ἧττον ἑαυτοῦ θερμῶν, οὐ μὴν ἐκθεραπευθήσεταί γε πάντως.

ἥκει δὴ κἀνταῦθα πάλιν ὁμωνυμία τις εἰς ὅλον ἐκτεταμένη τὸν βίον, καὶ πολλαχόθι σφάλλουσα. καὶ γὰρ τὸ συμμέτρως κεκραμένον, ὀνομάζομεν ἐνίοτε θερμὸν, ὥσπερ καὶ τὸ βαλανεῖον τὸ τοιοῦτον, καὶ τὸ πόμα, καὶ τὸ τούτου λειπόμενον οὐ πολλῷ, καὶ πρὸς τούτοις ἔτι τὸ θερμότερον ἁπάντων. εἰ δέ γε τοῖς ὀνόμασιν ἀκριβῶς ἐχρώμεθα, τὸ μὲν σύμμετρον οὐ θερμὸν, ἀλλ' εὔκρατον ἂν ἐκαλοῦμεν. ὅσον δ' ἂν ἀμετρότερον τούτου, τὸ μὲν ἐπὶ τὸ θερμότερον ἄμετρον, ἧττόν τε καὶ μᾶλλον θερμόν. τὸ δ' ἐπὶ τὸ ψυχρότερον, ἧττόν τε καὶ μᾶλλον ψυχρόν. οὕτω δ' ἂν, οἶμαι, καὶ περὶ τῶν φαρμάκων ἀκριβῶς ὀνομάζοντες, εὔκρατον ἂν ἐκαλέσαμέν τι, καὶ μέσον, ὥσπερ τοὔλαιον. εἰ δέ τι θερμότερον αὐτοῦ, θερμὸν, ὥσπερ τὴν τῆλιν. εἰ δέ τι ψυχρότερον αὐτοῦ, ψυχρὸν, ὥσπερ τὸ ῥόδον. ἀλλὰ τοῦ μὴ χρῆσθαι τοῖς ὀνόμασι τοῦτον τὸν τρόπον, αἴτιον ὑπάρχει τὸ μὴ ψύχεσθαι πάντα τὰ σώματα πρὸς τῶν τοιούτων φαρμάκων, οἷόν καὶ τὸ ῥόδινόν ἐστι. τά τε γὰρ ὁμοίως αὐτῷ ψυχρὰ, καὶ μᾶλλον ψυχρὰ, τὰ μὲν οὐδ' ὅλως ἀλλοιοῖ, τὰ δὲ καὶ θερμαίνει. δόξειεν ἂν οὖν ἄλογον ὑπάρχειν, εἴ τι θερμαίνειν ὁμολογοῦντες, εἶτα ψυχρὸν προσαγορεύομεν, ὥσπερ εἰ καὶ τὸ φρεατιαῖον ὕδωρ ἐν χειμῶνι, τὸ ταῖς κατεψυγμέναις χερσὶ χλιαρὸν φαινόμενον, ὀνομάζοι τις ψυχρόν. ἐξ οὖν τούτων τῶν προφάσεων ἡ τῶν ὀνομάτων χρῆσις ταραχθεῖσα, καὶ τὴν τῶν πραγμάτων ἐπιταράττει γνῶσιν. ὡσαύτως δὲ καὶ περὶ ξηροῦ, καὶ ὑγροῦ τῶν ὀνομάτων συγχυθέντων, καὶ ἡ τῶν πραγμάτων γνῶσις συνεχύθη. καίτοι σμικρὸν εἶναι δοκοῦν τὸ διελέσθαι καλῶς τὰ σημαινόμενα τῶν ὀνομάτων, τὴν μεγίστην ἔχον εὑρίσκεται δύναμιν εἰς τὴν τῶν πραγμάτων γνῶσιν. ἀλλὰ περὶ μὲν ὑγροῦ, καὶ ξηροῦ μετ' ὀλίγον ἐροῦμεν, ἐπειδὰν τὸν περὶ τοῦ θερμοῦ, καὶ ψυχροῦ συμπερανώμεθα λόγον. οὐδὲ γὰρ οὐδὲ λείπειν ἔοικέ τι πολὺ τῶν ἐν αὐτῷ διορισμῶν, ἅπαξ γε σαφῶς πεφηνότος, ὡς οὐδὲν θαυμαστὸν ὑφ' ἑνὸς φαρμάκου διαφέροντα σώματα, τὰ μὲν θερμαίνεσθαι, τὰ δὲ ψύχεσθαι, τὰ δὲ μηδ' ἕτερον αὐτῶν πάσχειν. ἐν μὲν γὰρ τῷ πρός τι, ῥᾷστον ἐπὶ τὰ κατὰ μέρος ἐλθόντα λέγειν, ὡς τοιούτῳ μὲν σώματι προσαγόμενον ῥόδινον, ἐν ᾗ παρέλαβεν αὐτὸ κράσει φυλάττειν πέφυκε, ἑτέρῳ δέ τινι τοιῷδε θερμαίνει προσφερόμενον, ἄλλῳ δὲ ψύχει. καθόλου δ' ἀποφήνασθαι περὶ τῆς δυνάμεως αὐτοῦ, χαλεπὸν, ἄνευ τοῦ διαστείλασθαί τε καὶ συνθέσθαι περὶ τῶν ὀνομάτων. εἴη δ' ἂν ὅ τε διορισμὸς ἥτε συνθήκη τοιήδε, ἐπειδὴ τὰ σώματα τῶν ἀνθρώπων, καὶ ταῖς ἐξ ἀρχῆς κράσεσιν, καὶ ταῖς κατὰ τὰς ἡλικίας αὐτοῖς προσγινομέναις, καὶ ταῖς κατὰ τοὺς ἐθισμοὺς τοῦ βίου πάμπολυ διενήνοχε, ἀνάγκη δήπου πρὸς τῶν αὐτῶν φαρμάκων, αὐτὰ διαφόρως ἀλλοιοῦσθαι. νέον γοῦν τινα, φύσιν θερμὸν, ἐργάτην τῷ βίῳ, πρεσβύτιδι γυναικὶ, καὶ φύσει ψυχροτέρᾳ παραβάλλων, οὐκ ἂν ἐλάττονα τὴν ὑπεροχὴν εὕροις, ἤ τινος τῶν θερμαινόντων ἰσχυρῶς φαρμάκων πρὸς τὰ ψύχοντα.

A Sanè & hic quoque rursum homonymia in totam extensa vitam, crebroque nos fallens occurrit. Etenim quod symmetro temperamento est præditum, id subinde calidum appellamus, sicut balneũ quod est eiusmodi, ac poculum: tum id quod ab hoc non multum etiam deficit, ad hæc quoque, & quicquid calidius est. At si exquisita nominũ vteremur appellatione, quod symmetrum est, non calidum, sed temperatum, nuncuparemus: Quod autem ab huius excederet modo, si ad calidius quidẽ immoderatione sua accederet, tum plus, tum minus calidum: sin ad frigidius, plus minusque frigidum. Sic opinor in medicamentis, si exquisitè loqueremur, quiddam vocaremus temperatum exquisitè, & medium, velut oleum: siquid autem eo B esset calidius, calidum, vt fœnumgræcum: sin frigidius frigidum, vt rosam. Cæterum huiusmodi nominum abusus causa extitit, quòd non omnia corpora ob id genus medicamentis refrigerentur, quale est videlicet rosaceum. Nam quum alia peræquè ac illud frigida sint, alia etiam frigidiora, illa quidem prorsum nealterat quidem, hæc verò etiã calefacit, sanéque absurdum videri possit, si quum quid calefacere fateamur, tamen frigidum vocitemus, ac siquis aquam putealem, quæ hyeme manibus refrigeratis tepida videtur, frigidã appellitet. C His ergo occasionibus perturbatus nominũ vsus, rerum quoque vnà perturbat notitiam. Similiter verò, & de sicco, & humido, confusis ipsorum nominibus rerum quoque notitia confusa est. Ac tametsi exile videatur nominum significata probè distinguere, attamen maximum habere momentum, & facultatem ad rerum cognitionem deprehenditur. Sed de humido, & sicco, paulò post dicetur, vbi videlicet omnẽ de calido, & frigido sermonem perfecerimus. Nam nõ multum etiam de eius distinctionibus reliquum esse videtur, vbi vi- D delicet iam semel apparuit nihil miri esse, ab eodẽ medicamento corpora diuersa, alia quidem calefieri, alia verò refrigerari, alia autem neutrũ omnino perpeti. Etenim in eo, quod ad aliquid, facillimum est ad particularia accedentem dicere, quòd eiusmodi corpori admotũ rosaceum, in qua ipsum temperie natũ est, in ea seruare potest: alteri verò illiusmodi applicatum, calefacere: alij autem, refrigerare. At in vniuersum de facultate eius pronunciare, id verò difficile est, nisi nomina distinguas, atque de iis conuenias. Fuerit autem tum distinctio, tum conuentio talis. Quandoquidem corpora E humana, tum ea, quam ab ortu nacta sunt, temperie, tum ea, quam ex ætate postea acquirunt, tum ea, quæ ex vitæ consuetudine, plurimum inter se differunt, ab eisdem ea medicamentis variè alterentur necesse est. Quippe si iuuenem natura calidum, ex vitæ instituto artificem exercentem, vetulæ mulierculæ eidemque natura frigidæ compares, non minus illum excellere comperies, quàm si validè calefacientium medicamentorum quippiam cum refrigerantibus componas.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ὅτι χρὴ τὰς καθ' ὅλον δυνάμεις τῶν φαρμάκων πρὸς τὴν μέσην ἀναφέροντας κρᾶσιν ἐξετάζειν.

ΜΕσον οὖν τινα νόησόν μοι τῶνδε, τήν τε φύσιν εὐθὺς ἐξ ἀρχῆς εὔκρατον, ἔθεσί τε προσήκουσιν τὴν εὐκρασίαν ταύτην διαφυλάττοντα. καὶ τρεῖς τούτους, ὥσπερ σκοποὺς κράσεως ἐν τῇ διανοίᾳ παραθέμενος, ἐπίσκεψαι τὸ καθόλου

CAPVT XIII.

F *Quòd generales medicamentorum facultates, ad mediam referentes temperiem, expendere oporteat.*

MEdium ergo horum mihi quempiam intelligas, qui & natura sit temperatus, & moribus, ac consuetudine conuenienti hanc tueatur eucrasiam. Dein tres hosce tanquam temperiei scopos animo commendes, ac circunspicias, quod in genere

A genere calidum est, aut frigidum, aut siccum, aut humidum, cuius ex ipsis, temperiei respectu, tale appellare sit melius; nonne ad temperatissimam, quæ vnica est paritérque reliquarum media, an ad immoderatas & intemperatas atque indefinitas ac propemodum numero infinitas? Sanè mihi ne conferenda quidem distinctio videtur, neque vlla propè consideratione indigere, sed homini, vel paulum etiam ingenij habenti perspicuum esse, corpus omnibus numeris absolutum, & decorum, simplexque, & vnum, velut regulam quandam, & scopum proponendum, ac ad ipsum alia omnia dirigenda B esse. Esto ergo nobis corpus hoc, medicamentorum facultatis regula: quodque similem illius temperiei caliditatem accendit, vocetur temperatum, etiamsi, vel maximè calefacere senem refrigeratum videatur: quod verò calefacit, aut refrigerat corpus eiusmodi, illud quidem calidum, hoc verò vocetur frigidum. Ego autem, quo hæc dilucidius tradantur, ipsorum excessuum ordo, ad frigidum quidem primus, cuius esse dicas rosaceum; secundus, cuius sit ipsa rosa: post hunc tertius, & quartus, quoad sermone ad frigidissima peruenerimus, nempe cicutam, succum C papaueris, mandragoram, hyoscyamum. Rursum ad calidum, anethum quidem, & fœnumgræcum, primus: secundus verò deinceps, quicunque videatur secundus, tertiusque, & quartus, donec ad exurentia peruentum sit. Ad eundem modum in medicamentis humectantibus, ac siccantibus rursus à symmetro exorsi, ordines deinceps ad summa vsque constituamus, nam huius notitiæ ad medendi methodum non paruus est vsus: imò nisi quis hoc pacto definiat, officiet magis legentibus, quàm proderit. Siquidem medici, qui nunc quidem simplicium medicamentorum vires exponunt, præter alia mul- D ta, quæ delinquunt, hoc maximè noxium est cernere, nempe, quòd in calidis, verbi gratia, anethum, & fœnumgræcum, & misy, & calcem, indifferenter numerent, in frigidis rosaceum, mandragoram, & cicutam: tanquam scilicet propinquum sit, aut calci fœnumgræcum, aut cicutæ rosaceum, ac non multis eorum quæ in medio sunt medicamentorum ordinibus disiuncta. Verùm nos pro viribus rem tam immensam, tamque operosam in ordinem redigere tentemus, & exponamus quæ viribus propinqua sunt, quæque longè dissita. Atque id quidem E efficiamus, non probabiles sermones, sed certam, ac definitam experientiam pro iudice sumentes, velut & id quoque superius sæpenumero admonuimus. Enimverò eiusmodi iudicium, vt tutissimum quidem erit, ita prolixum quoque, ac plenum laboris, dum propositi finem consequamur: eos tamen, qui hæc relegere volent, hoc vnicum, ac solum efformare, atque artificiosos reddere poterit, ac velut oculum, quo veritatem agnoscant, præbere. Ergo quæ adhuc reliqua sunt, ad totam velut elementarem constitutionem, postquam ea hoc libro confecerimus, in quarto de saporum viribus F differemus: quandoquidem, & hoc quoque ita visum amicis est: In quinto autem de omnibus in genere simplicium medicamentorum secundis quidem, ac compositis facultatibus: Atque ita ad particularia in iis, quæ dehinc sequentur, libris transibimus.

θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν φάρμακον, ὡς πρὸς ποίαν ἐξ αὐτῶν κρᾶσιν ἀποβλέποντα, προσαγορεύειν ἐστὶ βέλτιον. ἆρά γε πρὸς τὴν εὐκρατοτάτην, ἥπερ δὴ καὶ μία τίς ἐστι, καὶ μέση τῶν ἄλλων ἁπασῶν; ἢ πρὸς τὰς ἀμέτρους καὶ δυσκράτους, καὶ ἀδιορίστους, καὶ σχεδὸν ἀπείρους τὸ πλῆθος; ἐμοὶ μὲν γὰρ οὐδὲ παραβλητέον εἶναι δοκεῖ τὸ τῆς διαιρέσεως, οὐδὲ σκέψεώς τινος ἐπιδεές. ἀλλ' ἄντικρυς φαίνεσθαι τῷ καὶ σμικρὸν νοῦν ἔχοντι τὸ κατωρθωμένον σῶμα, καὶ ἁπλοῦν, καὶ ἓν εἶναι κανόνα τινὰ, καὶ σκοπὸν ὑποθέμενον ἀπευθύνειν, οὕτω κρῖναι καὶ τἄλλα πρὸς τοῦτο. κείσθω τοίνυν ἡμῖν τὸ τοιοῦτον σῶμα, τῆς τῶν φαρμάκων δυνάμεως κανών. καὶ τὸ μὲν ὁμοίαν τῇ τούτου κράσει θερμασίαν ἀνάπτον, εὔκρατον ὀνομαζέσθω, κἂν ὅτι μάλιστα θερμαίνειν ἐπιφανῶς δοκῇ πρεσβύτην κατεψυγμένον. τὸ δ' ἤτοι θερμαῖνον, ἢ ψῦχον τὸ τοιοῦτον σῶμα, καλείσθω τὸ μὲν θερμαῖνον, θερμὸν, τὸ δὲ ψῦχον, ψυχρόν. γινέσθω δὲ τούτων αὐτῶν εὐσήμου διδασκαλίας ἕνεκα, τάξις τῶν ἀποστάσεων, ἐπὶ μὲν τὸ ψυχρὸν ἡ πρώτη μὲν, ἐξ ἧς ἄν τις θείη τὸ ῥόδινον. ἡ δευτέρα δ' ἐξ ἧς ἔσται τὸ ῥόδον αὐτὸ, καὶ τρίτη τις ἐπὶ ταύτῃ, καὶ τετάρτη μέχριπερ ἂν ἐπὶ τὰ ψυχρότατα τῷ λόγῳ παραγενώμεθα, κώνειόν τε καὶ μηκώνειον, καὶ μανδραγόραν, καὶ ὑοσκύαμον, ἐπὶ δ' αὖ τὸ θερμὸν, ἄνηθον μὲν καὶ τῆλιν πρῶτα. δεύτερα δ' ἐφεξῆς ἅττα ἂν φαίνηται δεύτερα, καὶ τρίτα δὴ καὶ τέταρτα, μέχριπερ ἂν ἐπὶ τὰ καίοντα παραγενώμεθα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐπί τε τῶν ὑγραινόντων φαρμάκων, ἀρξάμενοι πάλιν ἀπὸ τοῦ συμμέτρου, τάξεις ἐφεξῆς ἄχρι τῶν ἄκρων ποιησώμεθα. τῆς γὰρ τοιαύτης γνώσεως εἰς τὴν θεραπευτικὴν μέθοδον, οὐ σμικρά τις ἡ χρεία. μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, εἰ μή τις οὕτω διορίσειε, βλάψει μᾶλλον, ἢ ὠφελήσει τοὺς ἀναγινώσκοντας. ὡς νῦν γε καὶ πρὸς τοῖς ἄλλοις οἷς ἁμαρτάνουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, τὰς τῶν ἁπλῶν φαρμάκων δυνάμεις ἐξηγούμενοι, καὶ τοῦτό ἐστιν εὑρεῖν τὸ βλαβερώτερον. ἐν μὲν τοῖς θερμαίνουσιν εἰ τύχοι γεγραμμένον, ἄνηθόν τε καὶ τῆλιν, καὶ μίσυ, καὶ τίτανον, ἐν δὲ τοῖς ψύχουσι, ῥόδινόν τε καὶ μανδραγόραν, καὶ κώνειον, ὥσπερ ἐγγὺς ὑπαρχούσης, ἢ τῆς τιτάνου τὴν τῆλιν, ἢ τοῦ κωνείου τὸ ῥόδινον, ἀλλ' οὐ πολλαῖς ταῖς μεταξὺ τῶν φαρμάκων τάξεσι διωρισμένα. ἀλλ' ἡμεῖς γε πειρασόμεθα, καθάπερ οἷοί τέ ἐσμεν, οὕτω μέγα καὶ χαλεπὸν ἔργον εἰς τάξιν τινὰ καταστήσασθαι, καὶ γράψαι τά τε πλησίον ἀλλήλων ταῖς δυνάμεσι, καὶ τὰ πόρρω. καὶ τοῦτο ποιήσωμεν, οὐ λόγοις πιθανοῖς ἐπιτρέψοντες αὐτῶν τὴν κρίσιν, ἀλλὰ τῇ διωρισμένῃ πείρᾳ, καθότι καὶ τοῦτο πολλάκις εἴρηται διὰ τῶν ἔμπροσθεν. ἔστι δὲ δή που πρόδηλον, ὡς ἡ τοιαύτη κρίσις, ἀσφαλὴς μέν ἐστιν, ἀλλὰ μακρά τε ἅμα καὶ πόνον ἔχουσα πολὺν ἡμῖν, τοῖς μέλλουσι δι' αὐτῆς ἐπὶ τὸ τέλος ἀφικέσθαι τοῦ προκειμένου, τοῖς μέντοι βουλομένοις ἀναλέγεσθαι ταυτὶ τὰ γράμματα, μόνη τεχνῶσαι δυναμένη, καὶ παρασχεῖν εἶναι ὀφθαλμόν τινα διαγνωστικὸν τῆς ἀληθείας. ὅσα τοίνυν ἔτι λείπει πρὸς τὴν ὅλην στοιχείωσιν, ἐν τῷδε τῷ λόγῳ προσθέντες, ἐν μὲν τῷ τετάρτῳ, περὶ τῆς τῶν χυλῶν δυνάμεως ἐροῦμεν· ἐπεὶ καὶ τοῦτο τοῖς ἑταίροις ἔδοξεν, ἐν δὲ τῷ πέμπτῳ, περὶ τῶν ἐν ἅπασι καθόλου τοῖς ἁπλοῖς φαρμάκοις, δευτέρων τε καὶ συνθέτων δυνάμεων, εἶθ' οὕτως ἐπὶ τὰ κατὰ μέρος ἐν τοῖς ἐφεξῆς ὑπομνήμασι μεταβησόμεθα.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ὅτι πολλὰ τῶν πρὸς αἴσθησιν ἁπλῶν φαρμάκων συνθέτους ἔχει δυνάμεις, καὶ πολλάκις γε καὶ ἐναντίας.

ΛΕίπει δὴ πρῶτον μὲν, οὗ πολλάκις ἤδη καὶ πρόσθεν ὁ λόγος ἠναγκάσθη μνημονεῦσαι, τελέως δ' οὐκ ἐπεξῆλθεν. ἔστι δὴ τοῦτο σχεδὸν ἅπαντα τὰ φάρμακα, κἂν ἁπλᾶ πρὸς αἴσθησιν φαίνηται, τῇ φύσει γοῦν ὑπάρχει σύνθετα, καὶ πολλάκις γε καὶ τὰς ἐναντιωτάτας ἐν αὑτοῖς ἔχει δυνάμεις, οἷον ἐκκριτικήν τε καὶ σταλτικήν, παχυντικήν τε καὶ λεπτυντικήν, B ἀραιωτικήν τε καὶ πυκνωτικήν, ἐμπλαστικήν τε καὶ διαρρυπτικήν, συντατικήν τε καὶ χαλαστικήν, ἁπάσας τε τὰς ἄλλας ἀντιθέσεις, ὡς ἐν τοῖς μετὰ ταῦτα λόγοις δείξομεν. οὐδὲν δὲ θαυμαστὸν, εἰ ἐπὶ τῶν τοιούτων δυνάμεων, ἑνὶ καὶ ταὐτῷ φαρμάκῳ, θερμαντική τε καὶ ψυκτική φαίνοιτο, ἢ ξηραντική τε καὶ ὑγραντική, λεπτομερής τε καὶ παχυμερής. εἰ μὴ γὰρ αἱ πρῶται, καὶ δραστικώταται τὴν τοιαύτην εἶχον συμπλοκήν, οὐδ' ἂν αἱ μετὰ ταύτας ὁμοίως συνεπλάκησαν. ἀλλ' ἡμεῖς ἐὰν αὖθις μίξωμεν, εἰ οὕτως ἔτυχεν, ῥοῦ χυλὸν μέλιτι, τὸ μικτὸν ἐξ ἀμφοῖν, συγχωροῦμεν οὐ στυπτικὴν μόνην, ἀλλὰ καὶ ῥυπτικὴν C ἔχειν δύναμιν, οὐδ' ἐφεκτικὴν γαστρὸς μόνον, ἀλλὰ καὶ κενωτικήν. ἐν δὲ τῷ γάλακτι τὰς δύο περιέχεσθαι δυνάμεις, ἐκκριτικήν τε ἅμα, καὶ σταλτικὴν γαστρὸς, οὐκ ἔθ' ὁμοίως συγχωροῦμεν. καίτοι τοῦτο μὲν καὶ διακρίνεται ῥᾳδίως εἰς ὀῤῥὸν, καὶ τυρὸν, καὶ πᾶσιν ὁμολογεῖται, τὸ μὲν ὑπάγειν τὴν γαστέρα, τὸ δὲ ἐπέχειν.

CAPVT XIV.

Quòd quæ sensu simplicia videntur medicamina, persæpe composita obtineant vires, imò verò etiam nonnunquam contrarias.

REliquum autem est id, cuius subinde iam ante necessariò mentionem quidem fecimus, verùm absolutè nondum exposuimus. Est autem istud, nempe omnia propemodum medicamenta, licet sensu simplicia appareant, naturâ tamen esse composita: quin & subinde quoq; aduersissimas in sese continere facultates, nempe excernendi, & sistendi, incrassandi, & extenuandi, rarefaciendi, & condensandi, illinendi, atque abstergendi, contrahendi, & laxãdi, cæterasq; oppositiones vniuersas: vt in sequenti hũc libro patebit. At mirum hoc videri minimè debet in id genus facultatibus, quum vni, & eidẽ medicamento vim calefaciendi, & refrigerandi inesse appareat, aut exiccãdi, & humectandi, aut tenuium partiũ, & crassarũ: quippe nisi primæ, efficacissimæq; virtutes hoc pacto cõplicarentur, haud sanè quæ ex illis sequuntur, similiter cõplicatæ forent. Quin si nos ipsi rhu succũ, verbi gratia, melli commisceamus, quod ex ambobus mixtis confectũ est, nõ modò astringendi, sed etiã abstergendi, possidere facultatẽ concedemus: nec cohibendi solum ventris, sed & euacuandi. At in lacte duas contineri facultates, nempe proritandi, ac ventrem sistendi, haud itidem concedimus, tametsi id perfacile in serum, ac caseum segregetur, confessumque sit omnibus, illud quidem ventrem subducere, hunc verò eundem cohibere.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅτι καὶ ἡ κράμβη διττὰς, καὶ ἐναντίας ἔχει δυνάμεις.

D

ΤΟῦτ' οὐκ ἔτι συγχωροῦμεν ἑτοίμως καὶ ἐν τῇ κράμβῃ. ἐκθλίβοντες μὲν γὰρ αὐτῆς τὸν χυλὸν, καὶ μόνον, ἢ μετὰ μέλιτος καταῤῥοφοῦντες, ὁρῶμεν καθαρτικόν, οὐ μὴν ἐσθίειν γε δυνάμενοι τὸ λοιπὸν, ἀπιστοῦμεν ὅτι σταλτικόν ἐστιν. ἀλλ' ἄν τις ὅλην ἑψήσας αὐτὴν, ἀποχέῃ τὸ πρότερον ὕδωρ ἐν ᾧ τὸν χυλὸν ἀπέθετο, κἄπειτα αὖθις ἐμβαλὼν ἑτέρῳ καθαρῷ, καὶ πάλιν ἑψήσας ἀποχέῃ καὶ τοῦτο, τὸν μὲν χυλὸν εὑρήσει καθαίροντα, τὴν δὲ κράμβην αὐτὴν ἐπέχουσαν τὴν γαστέρα, καὶ πολὺ μᾶλλον, εἰ μὴ δὶς, ἀλλὰ τρὶς, ἢ τετράκις ἀποχέῃ τις τὸ ὕδωρ. ὅσῳ γὰρ ἂν ἀκριβέστερον ἀποθῆται τὸν χυλὸν αὐτοῦ, καθαρτικώτερον μὲν E ἐκεῖνο ποιήσει, τὴν δὲ ὑπόλοιπον αὐτῆς οὐσίαν τὴν οἷον σάρκα τοῦ λαχάνου σταλτικὴν ἐπιδείξεται. οὕτω δὲ καὶ ἐπὶ τῶν τεύτλων ἔχει, καὶ σχεδὸν ἁπάντων τῶν ἄλλων, ὧν ἤτοι δριμὺς, ἢ νιτρώδης, ἢ ἁλυκὸς ὁ χυλός ἐστιν. ἐπεί τοι καὶ τοῖς φακοῖς, καίτοι στῦψιν ἱκανὴν ἔχουσι κατὰ τὴν γεῦσιν, ὅμως ὑπάρχει τι τοιοῦτον. ἔστι γὰρ καὶ τὸ τούτων ἀφέψημα, λαπακτικὸν τῆς γαστρὸς, ἀλλ' οὗτος μὲν ὁ χυλὸς ἐπίμικτος, σαφῶς ἐστι κατὰ τὴν γεῦσιν, ὡς εἰ καὶ νιτρῶδές τι μίξαις αὐστηρῷ. ὁ δὲ τῶν θαλαττίων κογχαρίων, ἁπάντων τε τῶν ἄλλων ὀστρέων χυμὸς, ἁπλῶς ἁλυκός ἐστι καὶ λαπακτικός. αὐτὴ μέντοι γε, καὶ τούτων ἡ σὰρξ ἐπέχει γα- F στέρα, καὶ πειραθήσῃ δὲ ἀληθοῦς τοῦ λεγομένου, σκευάσας ὁμοίως ταῖς κράμβαις αὐτά. καὶ γάρ τοι καὶ ὁ τῶν πρεσβυτέρων ἀλεκτρυόνων ζωμὸς, ὑπάγει τὴν γαστέρα, καίτοι τῆς σαρκὸς σταλτικῆς οὔσης. ἔστι δὲ κἂν τῇ λεπίδι τοῦ χαλκοῦ δύναμις διττὴ, καθάπερ καὶ ποιότης, καὶ γὰρ στύφει καὶ δάκνει· καὶ διὰ τοῦτο τῇ μὲν

CAPVT XV.

Quòd & brassica duas, easque contrarias, in sese facultates obtineat.

NEque id quidẽ etiam in brassica facilè concedimus. Nã si succũ eius expressum, aut solum aut cũ melle, hauserimus, purgare ipsum cernimus: attamen quoniã quod reliquũ est, edere nequeamus, astrictoriũ esse diffidimus: Sed si totam ipsam cõcoquas, primamq; eius aquã, in quam succũ deposuit, effundas, iterumq; eam alteri aquę puræ inijcias, rursumq; concoctã effundas, succum quidẽ purgare offendes, brassicã verò ipsã ventrẽ astringere, multoq; magis si non bis dũtaxat, sed ter, aut quater aquam effuderis, nã quantò exquisitius in aquam succũ suum deposuerit, tantò & illi quidem maiorẽ purgãdi vim adijciet, & reliquã suam substantiã, quæ velut oleris ipsius caro est, restringentem efficiet. Eadem est ratio in beta, atque adeò in omnib. fermè, quibus sapor, aut acris, aut nitrosus, aut salsus inest. Quippe & lenticula ipsa, tametsi satis magnã astringendi potentiam gustu referat, tamen eiusmodi quid sortita est; nam & huius decoctũ, ventris soluẽdi vim obtinet. Verùm hic succus etiam, si degustes, perspicuã misturã repræsentat, tanquã si nitroso austerũ quid cõmisceas. Sed & conchularũ maris, cæterorumque ferè ostreorũ succus planè, tum salsus est, tũ ventrẽ soluendi vim obtinet, quamuis eorũ caro ventrẽ reprimat. Verùm quod dico deprehẽdes, si ea quoq; quomodo brassicã censuimus, præparare non grauaueris. Nã & gallorũ veterũ ius ventrẽ ducit, tametsi caro eundẽ sistere potest. In æris autẽ squama sicut duplex qualitas, ita gemina quoque facultas inest, nam & astringit, & mordicat: quare astrictione quidem siccatas

siccatas vlceratarum carnium cicatrice obducit, mordicatione verò præhumidas colliquat. Quòd si intrò in corpus sumatur, purgat quidem ventrem, verùm non cohibet: vincitur enim ea astringendi facultas ab acri purgatoriaque potentia, tanquam si rhu succum scammonio commisceas, nam quod ex ambobus mixtum erit, soluet ventrem, haud sistet, licet gustu austeritas exuperet. Sic autem non pauca purgantium medicamentorum cum carne mali cydonij exhibita, gustu quidem fallunt, at effectu solo quid valent commonstrant. Dantur verò quædam cum palmulæ carne, alia autem cum myrtis, alia cum mastice chia, aut alio quopiā eorum, quæ tum grata sunt stomacho, tum astringunt, quo scilicet gustum fallant simulque stomachum minus euertāt. Verùm tametsi ea, quæ gustu percipitur qualitate, purgantia ab astringentibus vincantur, alia tamen facultate ipsa vincunt: persæpe enim lingua à materiæ victa est copia, cæterùm actio pro facultatis viribus, ac robore perficitur. Itaque cùm substantia exigua quidem, sed validis prædita viribus, mixta alteri substātiæ plurimæ, eidemque imbecillæ, in corpus intrò peruenit, gustum quidem fallit, attamen effectum, quàm illa efficaciorem exhibet. Sanè permultos huius rei admiratio detinet, remque rationis expertem absurdamque existimant, si corpus quodpiam astringens purgare queat, velut aloë, & æris squama, atque æs vstum: nam contrarium potius oportebat, nempe ventrem reprimere, haudquaquam ciere. Cæterùm quòd malum, verbi causa, cui inditum est scammonium astringens purget, nemo miratur: tametsi hinc orsis facilius erat, & in aloë mixtam inesse facultatem colligere. Ac si quod ex ea purgat, ab eo quod non purgat, segregari posset, sicuti in lacte facimus, & brassica, aliisque permultis, non etiam admiratione afficeret: quanquam id sanè quodammodo præstari queat. Nam si aloë accuratè lauetur, aut debiliter, aut planè nihil ventrem subducit. Idem vsu venit æris squamæ, ærique vsto, quippe quæ nos diligenter elota obscurā modò purgandi vim retinuisse sumus experti. Quinimò ipsius quoque qualitatis medicamentis sapor primo statim gustu facultatis mixtionem demonstrat. Nam si vnica semper qualitas vnicuique gustu astringentium medicamentorum inesset, haud sanè inter ipsa alia esui apta, alia medicamentosa forent, sed tantum in eo quod magis vel minus astringant differrent. At non ita se res habet. Nam hæc quidem astrictio mitis, ac suauis apparet, alia ingrata, & medicamentosa, velut pyri quidem mali, & mali punici, suauis, squamæ verò æris, & aloës, ingrata, atque medicamentosa, tametsi malo cydonio æris squama minus astringat. Quāobrem, nec astrictionis vehementia eam qualitatis absurditatem inuehit: quādo innumera propè alia eorum, quæ edendo sunt, aloë, æris squama, & ipso etiam ære vsto, plus astringant. Atque in hisce, vtique substantiæ mistura clarè perspicitur. At in aliis etiam si non appareat, tamen eam ratione colligere oportet, ac nō putare aliud in aloë astrictionem moliri, aliud in malo: vnum enim in omnibus efficere pro sua natura non adstrictionem modò, sed & aliarum qualitatum vnamquamque, rationi consentaneum est. Cæterùm quia nullum omninò ab aliis qualitatibus syncerum reperitur, idcirco diuersi effectus ab aliis, atque aliis astringentium edi conspiciuntur. Nam alius est effectus mespili, alius æris, alius aloës, alius mororum, exempli gratia, aut

A στύφειν ἐπούλοι τὰς ξηρὰς τῶν ἡλκωμένων σαρκῶν, τὰς δ' αὖ δάκνειν τὰς πλαδαρὰς συντήκει. εἰ δ' εἴσω τοῦ σώματος ληφθείη, καθαίρει μὲν, οὐκ ἐπέχει δὲ τὴν γαστέρα. νικᾶται γὰρ ἡ στυπτικὴ δύναμις, ὑπό τε τῆς δριμείας, καὶ καθαρτικῆς, ὥσπερ εἰ καὶ ῥοῦ χυλὸν ἀναμίξαις σκαμμωνίᾳ. καθαρτικὸν γὰρ ἔσται τὸ ἐξ ἀμφοῖν, οὐκ ἐφεκτικὸν τῆς γαστρὸς, καίτοι γε πρὸς τὴν γεῦσιν, ὁ αὐστηρὸς χυλὸς ἐπικρατήσει μᾶλλον. οὕτω δὲ καὶ μετὰ μήλου κυδωνίου σαρκὸς, οὐκ ὀλίγα τῶν καθαιρόντων δίδομεν, τῇ μὲν γεύσει λανθάνει, τῇ δ' ἐνεργείᾳ μόνον φαίνεται. δίδοται δὲ καὶ διὰ φοίνικος ἔνια σαρκὸς, ἄλλα δὲ διὰ μύρτων,

B ἢ μετὰ χίας μαστίχης, ἢ μετ' ἄλλου τινὸς τῶν εὐστομάχων τε καὶ στυπτικῶν, ὡς καὶ τὴν γεῦσιν λαθεῖν, καὶ τὸν στόμαχον ἧττον ἀνατρέψαι. ἀλλ' εἰ καὶ τῇ πρὸς τὴν γεῦσιν ποιότητι κρατοίη τὰ στύφοντα τῶν καθαιρόντων, τῇ γε ἄλλῃ δυνάμει κρατεῖται. πολλάκις γὰρ ἡ μὲν γλῶττα κατὰ τὸ πλεονάζον ἐνικήθη τῆς οὐσίας. ἡ δὲ ἐνέργεια, κατὰ τὴν ἰσχὺν γίνεται τῆς δυνάμεως. ὅταν οὖν οὐσία σμικρὰ, σφοδρὰν ἔχουσα δύναμιν, ἀναμιχθεῖσα μεθ' ἑτέρας οὐσίας πολλῆς, ἀσθενῆ δύναμιν ἐχούσης εἴσω τοῦ σώματος ἀφίκηται, τὴν μὲν γεῦσιν λανθάνει, τὸ δὲ ἔργον ἐνεργέστερον ἐκείνης διαπράττεται. θαυμάζεται δὲ καὶ

C ταῦτα πρὸς τῶν πολλῶν, καὶ νομίζουσιν ἄπορον ὑπάρχειν, εἰ στύφον τι σῶμα καθαίρειν πέφυκεν, οἷον ἀλόη, καὶ λεπὶς χαλκοῦ, καὶ χαλκὸς κεκαυμένος· ἐχρῆν γὰρ, φασὶ, τοὐναντίον μᾶλλον ἐπέχειν αὐτὰ, οὐ προτρέπειν τὴν γαστέρα. ὅτι δὲ τὸ μῆλον, εἰ οὕτως ἔτυχεν, τὸ μετὰ τῆς σκαμμωνίας στύφον καθαίρει, τοῦτό γε οὐδεὶς θαυμάζει, καίτοι γε ἐντεῦθεν ὁρμηθέντα, ῥᾷστον ἦν, οἶμαι, κἀπὶ τῆς ἀλόης συλλογίσασθαι μικτήν τινα δύναμιν ὑπάρχειν. καὶ εἴπερ ἦν οἷόν τε διακρῖναι τὸ καθαῖρον ἐν αὐτῇ τοῦ μὴ καθαίροντος, ὥσπερ ἐπὶ γάλακτος ἐργαζόμεθα καὶ κράμβης, ἑτέρων τε παμπόλλων, οὐκέτ' ἂν ἐθαυμάζετο. καὶ μὴν δὴ καὶ ποιῆσαι τοῦτό πως δυνατόν. ἐπιμελῶς

D γὰρ ἀλόη πλυθεῖσα, παντάπασιν ἀσθενῶς, ἢ οὐδ' ὅλως ὑπάγει γαστέρα. ταὐτὸ δὲ τοῦτο καὶ λεπὶς χαλκοῦ, καὶ αὐτὸς ὁ κεκαυμένος χαλκὸς πέπονθεν, ὡς καὶ ἡμεῖς ἀκριβῶς πλύναντες ἐπειράθημεν, ἀμυδρῶς αὐτῶν καθαιρόντων. ἀλλ' οὖν καὶ τὸ τῆς ποιότητος εὐθὺς ἅμα τῷ γεύσασθαι φαρμακῶδες, ἐμφαίνει τὸ μικτὸν τῆς δυνάμεως. εἴπερ γὰρ ἦν ἀεὶ μία ποιότης ἐν ἑκάστῳ τῶν τὴν γεῦσιν στυφόντων φαρμάκων, οὐκ ἂν ἦν ποτε αὐτῶν, τὰ μὲν ἐδώδιμα, τὰ δὲ φαρμακώδη, ἀλλὰ μόνον ἐν τῷ μᾶλλον, ἢ ἧττον στύφειν ἀλλήλων διέφερον. νυνὶ δὲ οὐχ οὕτως ἔχει. φαί-

E νεται γὰρ ἡ μέν τις ἡδεῖα καὶ προσηνὴς στύψις, ἡ δέ τις, ἀηδής τε καὶ φαρμακώδης, ἀπίου μὲν καὶ μήλου, καὶ ῥοιᾶς, ἡδεῖα λεπίδος δὲ χαλκοῦ καὶ ἀλόης, ἀηδής τε καὶ φαρμακώδης. καίτοι γε ἧττον στύφει κυδωνίου μήλου λεπὶς χαλκοῦ, ὥστε μηδὲ τῷ σφοδρῷ τῆς στύψεως ἔχειν ἂν ἐνεγκεῖν, τὸ τῆς ποιότητος ἀλλόκοτον. ὁμοίως δὲ καὶ ἄλλα τῶν ἐδωδίμων, ἀλόης καὶ λεπίδος χαλκοῦ, καὶ αὐτοῦ τοῦ κεκαυμένου χαλκοῦ στύφει μᾶλλον. ἐπὶ μὲν δὴ τῶν τοιούτων ἄντικρυς φαίνεται τὸ μικτὸν τῆς οὐσίας. ἐπ' ἄλλων δὲ κἂν μὴ φαίνηται, συλλογίζεσθαι χρὴ, καὶ μὴ νομίζειν ἄλλο μέν τι κατὰ τὴν ἀλόην ἐργάζεσθαι τὴν στύψιν, ἄλλο δέ τι κατὰ

F τὸ μῆλον. ἓν γὰρ ἐν ἅπασι ποιεῖν εὔλογόν ἐστι κατά γε τὴν ἑαυτοῦ φύσιν, οὐ τὴν στύψιν μόνην, ἀλλὰ καὶ τῶν ἄλλων ποιοτήτων ἑκάστην. τῷ δὲ μηδὲν εὑρίσκεσθαι καθαρὸν ἀκριβῶς, μηδὲ ἄμικτον ἑτέρων ποιοτήτων, αἱ διαφοραὶ τῶν ἐνεργειῶν ἄλλαι κατ' ἄλλο τῶν στυφόντων εἰσίν. ἄλλο μὲν γὰρ μεσπίλου τοὔργον ἐστὶν, ἄλλο δὲ λεπίδος, ἄλλο δὲ ἀλόης, ἕτερον δὲ μόρων, εἰ οὕτως ἔτυχεν, ἢ

κηκῖδος, ἢ σιδίων, ἢ στυπτηρίας, ἢ ῥοῦ, καὶ βέλτιον ἦν, ὅσοι περὶ τῶν στυφόντων φαρμάκων τῆς ἐνεργείας ἐτόλμησαν ἀποφήνασθαι, καθόλου περὶ τῆς στύψεως αὐτῆς μᾶλλον, ἢ περὶ τῶν στυφόντων εἰρῆσθαι. τὸ μὲν γὰρ στῦφον, οὐ στύφει μόνον, ἀλλ' ἤτοι δριμὺ πρὸς τὸ στύφειν ἐστὶν, ἢ λιπαρὸν, ἢ γλυκὺ, ἢ πικρὸν, ἢ ἁλυκὸν, ἢ ὀξῶδες. ἡ δὲ στύψις ἓν τοῦτο μόνον ἐστὶ διὰ παντὸς ὅπερ ἐστὶ, ὥσπερ καὶ ἡ γλυκύτης, καὶ ἡ ἁλυκότης, ἑκάστη τε τῶν ἄλλων ποιοτήτων. εἰ δ' ὥσπερ ἡ στύψις μία, καὶ τὸ στῦφον ἓν ὑπῆρχεν, ἓν ἂν ἦν αὐτοῦ διὰ παντὸς τοὔργον. ἐπεὶ δὲ πρὸς τὸ στύφειν, ἔτι καὶ ἄλλας δέδεκται ποιότητας οὐκ ὀλίγας, ἀεὶ μὲν ἐνεργήσει κατὰ πάσας, ἀλλ' ἐπιφανῶς ἄλλοτε κατ' ἄλλην τὴν ἐπικρατοῦσαν, ὡς πρὸς τὴν τοῦ πλησιάζοντος σώματος διάθεσιν. φαίνεται γοῦν, καὶ τὸ γάλα, καὶ ἡ φακὴ, καὶ ἡ κράμβη, τῶν μὲν ὑπάγοντα, τῶν δὲ ἴσχοντα τὴν γαστέρα. τὴν μὲν οὖν αἰτίαν τοῦ μὴ διὰ παντὸς ἐνεργεῖν ἐπιφανῶς, καὶ καθ' ἕκαστον τῶν σωμάτων μίαν ἡντιναοῦν ποιότητα, καὶ δύναμιν τοῦ φαρμάκου, κατὰ τὸν ἑξῆς ἐρῶ λόγον. νυνὶ δὲ ἀναμνῆσαι τοῦ γινομένου πρόκειταί μοι μόνον, ἵνα μή τις ἀπιστήσῃ κατὰ τὰ πλεῖστα τῶν φαρμάκων, ἐναντίας εἶναι ποιότητάς τε καὶ δυνάμεις. ἀλλὰ καὶ αὐτὸ τοῦτο πολλῆς ἐπισκέψεως ἔχεται, καὶ διορισμῶν οὐκ ὀλίγων, εἰ καὶ πᾶσιν ἔδοξε ῥᾴδιον εἶναι τὰς ἐναντίας ἀλλήλαις ποιότητάς τε καὶ δυνάμεις ἐξευρεῖν. ἐξ ἑτοίμου γοῦν ἅπαντες σχεδὸν, ἐναντίον εἶναι τίθενται τὸ στύφειν τῷ καθαίρειν. ἔστι δὲ οὐδαμῶς ἐναντίον, ὡς ἐγὼ προϊόντος ἐπιδείξω τοῦ λόγου. κατὰ μέντοι τὸ πρὸν ἐκ περιουσίας ὁ λόγος ἐπεράνθη μοι δηλοῦντι, κἂν ἐναντία τις ὑπάρχειν αὐτὰ τίθεται, μηδὲν συμβαίνειν ἄτοπον, ἐνδεχομένου γε ὄντος εἰς μίαν οὐσίαν, ἐνίοτε ἐναντιωτάτας συνέρχεσθαι ποιότητάς τε καὶ δυνάμεις. ἐπὶ μὲν γε τῶν χυλῶν ἐλέχθη καὶ πρόσθεν, ἕτερον μὲν εἶναι τὸ βαρύτατον ἐν αὐτοῖς, ἕτερον δὲ τὸ κουφότατον, ἄλλο δὲ τρίτον ἀναμεμιγμένον τῷ χυλῷ ὅλῳ. καὶ θαυμαστὸν οὐδὲν, εἰ κἂν τῷ τοῦ ῥόδου χυλῷ τὸ μέν ἐστι βαρύτατον ἀνάλογον ἀμόργῃ, καὶ τρυγί. τὸ δὲ κουφότατον ἀνάλογον, καὶ τοῦτο τοῖς ἐποχουμένοις ἄνθεσιν ἑκάστῳ τῶν χυλῶν. ἄλλο δὲ τρίτον, οἷον ἐν τῷ γλεύκει τὸ ζέον, ἐφ' οἷς τέταρτον, αὐτὸ τὸ εἰλικρινέστατον καὶ καθαρώτατον, οὗ ταῦτά ἐστι τὰ τρία περιττώματα. συμβαίνει δὲ τοὺς μὲν ἄλλους ἅπαντας χυλοὺς, ὀξύνεσθαί τε καὶ σήπεσθαι διαφθειρομένους, μόνα δὲ τοὔλαιον, καὶ τὸ μέλι, καὶ τὸν οἶνον, ἐξαρκεῖν εἰς μακρόν. ὥστ' οὐδὲ τῇ ζέσει, καὶ διακρίσει τῶν ἄλλων χυλῶν ἐναργῶς ἐστιν ἐξευρεῖν ἑκάστου τῶν περιττωμάτων τὴν ἰδέαν, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ἑψήσεώς τέ τινος αὐτοῖς δεῖ, καὶ μίξεως τῆς πρὸς ἕτερόν τινα τῶν διαμενόντων χυλῶν. οὕτως οὖν καὶ τὸν τοῦ ῥόδου χυλὸν ἀποτιθέμεθα μέλιτι μιγνύντες, ἢ ἐλαίῳ συνέψοντες, ἢ ἐναποβρέχοντες ὅλα τὰ ῥόδα. ἀλλ' ὅτι γε κἂν τούτῳ πιθανὸν ἐνυπάρχειν τὰ τέτταρα γένη, τό τε οἰκεῖον αὐτοῦ τοῦ χυλοῦ, καὶ τὰ τρία περιττώματα, πρόδηλον συνιδεῖν. καὶ μάλιστα ὅτι τὸ τῆς ποιότητος αὐτῶν οὐχ ἁπλοῦν ἐστιν, ἀλλὰ ἔχειν μέν τινά σοι δόξει, καὶ στύψιν τὸ ῥόδον, εἰ διαμασήσασθαι βουληθείης αὐτό. ἔχει δὲ καὶ γλυκύτητά τινα, καὶ πικρότητα, καὶ οἷον δῆξιν βραχεῖαν. ἤρκει δὲ κἂν μηδὲν τούτων ἐφαίνετο γευομένοις, ἐκ τοῦ μὴ τελέως εἶναι στῦφον αὐτὸ, τὰς τῶν ἄλλων χυλῶν ἐννοῆσαι μίξεις.

A gallæ, aut corticis mali granati, aut aluminis, aut rhu: præstitisset que forsitan, qui de astringentium medicamentorum viribus pronunciare sunt ausi, in genere de ipsa potius astrictione, haudquaquam de astringentibus dixisse. Nam quod astringit, non astringit modò, sed & præter astrictionem, acre est, aut pingue, aut dulce, aut amarum, aut salsum, aut acidum: at astrictio vnum id solum perpetuò est quod est, vti & salsitas, & dulcor, & aliarum qualitatum vna quælibet. Quòd si, vt astrictio vna, ita astringens vnum esset, sanè vnum quoque perenniter eius esset opus. Verùm quum præter astrictionem, insuper alias qualita- B tes recipiat non paucas, semper quidem omnibus illis aget, sed euidentibus aliàs per aliam, nempe vincentem, idque vt ad corporis scilicet, cui admotum est, affectionem: quippe quum & lac, & lens, & brassica, horum interim ciere aluum, illorum verò sistere cernantur. Et causam quidem quamobrem non perpetuò euidenter agat in corpore vnoquoque vnica duntaxat qualitas, visque medicamenti, eam quidem iam mox in sequenti sermone edisseram: In præsentia verò id quod res habet, commemorare solummodo proposui, ne quis plerisque medicamentis contrarias, tum C qualitates, tum facultates inesse diffidat. Sed & id quoque multam considerationem, & distinctiones non paucas requirit, tametsi omnibus perfacilè videatur, contrarias inuicem, & qualitates, & facultates inuenire. Ergo citra controuersiam omnes propemodum astringens contrarium ei, quod purgat, esse statuunt. Verùm neque illud huic contrarium est, quod nos procedente sermone declarabimus. At in præsentia ex superabundanti illud quoque monstrauimus, etiam si ea quis esse contraria ponat, nihil inde sequi absurdum, cùm fieri possit, vt in vnam substantiam conueniant, vel maximè contrariæ, tum qualitates, tum D facultates, quippe cùm supra ostenderimus, in succis aliud esse quod grauissimum est, aliud quod leuissimum, aliud tertium toti succo permixtum. Nec miri quicquam est, si & in rosæ succo aliud quidem est grauissimum, amurcæ, & fæci proportionale, aliud leuissimum, & ipsum proportione respondens floribus in quoque succo supernatantibus: aliud tertium, quale est quod in musto feruet, ad hæc quartum, ipsum videlicet purissimum, ac syncerissimum, cuius hæc tria excrementa existunt. Euenit autem alios quidem succos, & acescere, & corruptos putrescere, sola verò, oleum, E mel, & vinum, in longum temporis spatium perdurant. Itaque neque per ebullitionem, neque per secretionem, in aliis succis has excrementorum differentias inuenire perspicuò licet: verùm protinus ab initio coctione quadam illis est opus, aut saltem alicuius perdurantis succi mixtura: nam sic rosæ succum melli miscentes, aut oleo incoquentes, aut totas ei immergentes, reponimus. Cæterùm quòd & in his quoque probabile sit, quatuor illa inesse genera, proprium ipsius succi videlicet, & tria excrementa, intellectu clarum est, ac potissimum, quia qualitas earum non F simplex est, imò astrictionem quoque quandam obtinere, si rosam dentibus mandere voles, videtur. Habet autem, & dulcedinem, & amaritudinem, quasique mordicationem quandam leuem. Verùm satis erat, etiamsi horum nihil gustantibus deprehendi posset, tamen ex eo quòd non extremè astringat, aliorum quoque saporum mixturam intelligere.

intelligere. Etenim si solus sit austerus, summus itidē fuerit: at si nō summus, sequitur quòd neq; etiam solus. Quā enim proposui adstrictionis generationē, eam si solā citra alias inesse cogites, summa hęc sit necesse est: quo modo si sola corpori cuipiam caliditas summè inesset, id ignis vtique foret: nam cōtrariorum mixturæ, summitates ipsas frangunt.

A εἴπερ γὰρ ὁ αὐστηρὸς μόνος, ἄκρος ἂν ἦν, ὥστε εἴπερ οὐκ ἔστιν ἄκρος, οὐδὲ μόνος ἐστίν. ἣν γὰρ ἂν ὑπέθην τῆς στύψεως γένεσιν, ἂν μόνην τῶν ἄλλων ἐγγίγνεσθαι νοήσαις, ἄκραν ἀναγκαῖόν ἐστιν ἀπεργάσασθαι ταύτην, ὥσπερ εἰ καὶ μόνη θερμότης ἐγγίγνοιτο σώματί τινι, τελέως ἔσται τὸ τοιοῦτον πῦρ. αἱ γὰρ τῶν ἐναντίων ἐπιμιξίαι, τὰς ἀκρότητας θραύουσιν.

CAPVT XVI.

Quamobrem lingua, tangentibus ipsam dissimilaribus corporibus, ac per diuersas eius partes simul agentibus, non quam in omnes illa partes inferunt, percipit affectionem, sed ea ex parte primò affecta in totam ipsius diffunditur substantiam.

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

B Διὰ τί ἡ γλῶττα τῶν ψαυόντων αὐτῆς ἀνομοιομερῶν σωμάτων ἐνεργούντων ἅμα κατὰ τὰ διαφέροντα αὐτῆς μόρια, οὐ τῆς ἀπὸ πάντων ἀντιλαμβάνεται διαθέσεως, ἀλλ' ἐκ τοῦ πρώτου παθόντος μορίου εἰς ὅλην αὐτῆς τὴν οὐσίαν ἀναδίδοται.

Atque in similaribus quidem corporibus calor, frigiditas, siccitas, humiditas, particulares differentias efficiunt: in dissimilaribus verò, acrimoniæ, aciditates, austeritates, acerbitates, dulcedines, amaritates, salsitates, aquositates, & vnctuositates. Itaque vnaquæque similarium in ipsis partium non multas, sed vnam qualitatem obtinet: quòd verò totum est dissimilare, complures. Nam si mille, exempli gratia, hoc in cyatho huius succi corpora contineantur similaria, fieri potest, vt centum adstringant, sexaginta mordicent, sexcenta sint dulcia, ducenta amara, quadraginta salsa; sicque mutua mixtione omnia temperata, vt partem nullam accipere sit quantumuis paruam, quæ non sit omnium particeps, vt in linguæ contactu omnes quidem agant, diuersa tamen vnaquæque eius parte, nempe cui ipsam appropinquare contigerit: ipsa verò affectio, ex eo quod primo affectum est, in totam eam diffundatur: veluti si in frigore ingenti digitum in aquam gelidam repentè immittas, tota interim manu horrebis, sæpenumero verò, & corpore toto. Nam velox est ex eo, quod primo affectum est in corporibus sensilibus, in totum animal diffusio, vt videlicet cum calefacto vnà concalescat: refrigerato, simul refrigescat: siccato, pariter siccescat: humectato, cohumescat: atq; adeò frequenter etiam contraria vno tempore perpetiatur. Quò autem id facilius, quod dicitur intelligas, alteri etiam exemplo adhibere animum præstiterit. Vidisti opinor quandoque, coniecto in aquam quietam lapide, ex hoc quidem moueri aquam incipientem, in orbem autem motum extendentem, tanquam centrum sit id quod percussit. Quum ergo vno tempore in diuersas placidæ tranquillæque aquæ partes duo lapides coniecti duos effecerint circulos, qui per sese inuicem ferantur, contrarios conspicies in quauis aquæ particula motus. Quæ res viris etiam naturæ studiosis dubitationem non paruam attulit, num aliæ partes ab vtroque motuum, an eædem ab vtroque, mouerentur: nam quòd circulus circulum non sistat, nec vltra prorsumque ferri prohibeat, id manifestissimè cernitur. Id ipsum item fieri mihi intellige, quum eodem tempore pedes quidem in calidam, manus verò in frigidam indideris: in totum enim corpus vtriusque affectionis motus peruadit, subcontrariique inuicem occurrunt: referátque forsan nihil, etiam si contraria non incedant semita, sed vnus ab vno, alter ab altero pede, proficiscatur. Tunc enim, nec nihil pati corpus, nec ab altero duntaxat dicere queas: nam & manifestò patitur, & ab ambobus patitur, incalescens, ac frigescens.

ΕΝ μὲν δὴ τοῖς ὁμοιομερέσι σώμασι, θερμότης γέ ἐστι καὶ ψυχρότης, ὑγρότης τε καὶ ξηρότης, αἱ δημιουργοῦσαι τὰς κατὰ μέρος ἁπάσας διαφοράς. ἐν δὲ τοῖς ἀνομοιομερέσι δριμύτητές τε καὶ ὀξύτητες, αὐστηρότητές τε καὶ στρυφνότητες, καὶ γλυκύτητες, καὶ πικρότητες, ἁλυκότητες καὶ γλυκύτητες, καὶ λιπαρότητες, ὥσθ' ἕκαστον μὲν τῶν ὁμοιομερῶν ἐν αὐτοῖς τοῖς μορίοις, μὴ πολλάς, ἀλλὰ μίαν ἔχειν ποιότητα. τὸ δὲ ὅλον ἀνομοιομερές, C παμπόλλας. χιλίων γάρ, εἰ οὕτως ἔτυχεν, ἐν τῷ κυάθῳ τοῦδέ τινος τοῦ χυλοῦ περιεχομένων ὁμοιομερῶν σωμάτων, ἑκατὸν μὲν ἐξ αὐτῶν ἐνδέχεται στύφειν, ἑξήκοντα δὲ δάκνειν, ἑξακόσια δὲ εἶναι τὰ γλυκέα, διακόσια δὲ τὰ πικρά, τεσσαράκοντα δὲ τὰ ἁλυκά, πάντα δὲ ἀλλήλοις ἀναμεμίχθαι ταῦτα, καὶ μηδὲν δύνασθαι λαμβάνειν αἰσθητὸν μόριον οὕτω μικρόν, ὅτῳ μὴ πάντων μέτεστιν. ὥστε ἐν τῷ ψαύειν τῆς γλώττης, ἐνεργεῖν μὲν ἅπαντα, κατὰ τὸ διαφέρον ἕκαστον αὐτῶν μόριον, ὅπερ ἂν ὁμιλῆσαι τύχῃ, διαδίδοσθαι δὲ τὴν διάθεσιν, ἐκ τοῦ πρώτου παθόντος, εἰς ὅλην αὐτήν, ὥσπερ ὅταν εἰς ὕδωρ ψυχρόν, ἕνα δάκτυλον ἀθρόως κα- D θέντες ἐν ψύχει σφοδρῷ, φρίξωμεν ὅλην τὴν χεῖρα, πολλάκις δὲ καὶ σύμπαν τὸ σῶμα· ταχεῖα γὰρ ἡ διάδοσις ἐν τοῖς αἰσθητικοῖς σώμασιν, ἐκ τοῦ πρώτου παθόντος εἰς ὅλον γίνεται τὸ ζῶον, ὥστε καὶ θερμαινομένῳ συνθερμαίνεσθαι, καὶ ψυχομένῳ συμψύχεσθαι, καὶ ξηραινομένῳ συγξηραίνεσθαι, καὶ ὑγραινομένῳ συνυγραίνεσθαι, καὶ πολλάκις τἀναντία πάσχειν ὅλον ὑφ' ἕνα καιρόν. ἵνα δὲ μᾶλλον εἰς ἔννοιαν ἀφίκῃ τοῦ λεγομένου, βέλτιον ἴσως ἐστὶ τῷ παραδείγματι προσέχειν ἑτέρῳ τὸν νοῦν. εἶδες οὖν, οἶμαι, ποτὲ λίθου τινὸς ἐμβληθέντος εἰς ὕδωρ ἀτρεμίζον, ἀρξάμενον μὲν ἐκ τούτου κινεῖσθαι τὸ ὕδωρ, ἐν κύκλῳ δὲ τὴν κίνησιν ἐκτεῖνον, ὥσπερ εἰς κέντρον, E τὸ πλῆξαν. ὅταν οὖν ὑφ' ἕνα καιρόν, εἰς διαφέροντας τόπους ἀτρεμίζοντος ὕδατος ἐμβληθέντες δύο λίθοι, γεννήσωσι δύο κύκλους δι' ἀλλήλων φερομένους, ἐναντίας ὄψει κινήσεις ἐν ἅπαντι μορίῳ τοῦ ὕδατος, ὅθεν καὶ ἀπορίαν παρέσχε τὸ φαινόμενον τοῦτο καὶ αὐτοῖς τοῖς φυσικοῖς ἀνδράσιν, εἴθ' ἕτερα μόρια πρὸς ἑκατέρας τῶν κινήσεων, εἴτε καὶ ταὐτὰ κινεῖται πρὸς ἀμφοτέρων. ὅτι μὲν γὰρ οὐχ ἵστησιν ὁ κύκλος τὸν κύκλον, οὔτε κωλύει φέρεσθαι πρόσω, προδήλως ὁρᾶται. ταὐτὸν δὴ τούτῳ νόει μοι, ὅταν ὑφ' ἕνα καιρὸν ἐμβάλλωμεν εἰς μὲν ψυχρὸν ὕδωρ τοὺς πόδας, εἰς δὲ θερμὸν, τὰς χεῖρας. εἰς ὅλον μὲν γὰρ τὸ σῶμα, τοῦ πάθους ἑκατέρου F διέρχεται ἡ κίνησις, ἀπαντῶσι δὲ ἀλλήλαις ὑπεναντίαι. διαφέρει δὲ ἴσως οὐδέν, οὐδ' εἰ μὴ τὴν ἐναντίαν ἴοιεν, ἀλλ' ἡ μὲν ἀπὸ θατέρου τῶν ποδῶν, ἡ δ' ἀπὸ θατέρου, τὴν ὁρμὴν λαβοῦσα, προσέρχοιντο. τηνικαῦτα γάρ, οὔτε μηδὲν πάσχειν ὅλον τὸ σῶμα δυνατὸν εἰπεῖν, οὔθ' ὑπὸ θατέρου μόνου πάσχειν. καὶ γὰρ πάσχει σαφῶς, καὶ ὑπ' ἀμφοῖν πάσχει θερμαινόμενόν τε ἅμα καὶ ψυχόμενον.

ὥσπερ οἶμαι κἀν ταῖς λειπυρίαις, καὶ τοῖς ἠπιάλοις συμπίπτουσι πυρετοῖς, πλὴν οὐκ ἔξωθέν γε ἐν ἐκείνοις, ἀλλ' ἐξ αὐτοῦ τοῦ σώματος, ἥ τε τῆς ψύξεως, καὶ ἡ τῆς θέρμης ὁρμᾶται διάθεσις. Εἰ δὲ μηδὲ νῦν ἕπηταί τις τῶν λεγομένων, ἀλλ' ἐκ τοῦ λεχθησομένου ῥᾷστον αὐτῷ τὴν πεῖραν λαβεῖν. καὶ γὰρ οὐδὲ πόρρω τῶν ζητουμένων ἐστίν, ἀλλ' ἐξ αὐτῶν τι τῶν τῆς γλώττης ὑπάρχει παθῶν. Εἰ γὰρ ἀναμίξας ἀκριβῶς ἴσον ἀψινθίου καὶ μέλιτος ὄγκον, ἐπιθείης τῇ γλώττῃ, γλυκύπικρον, ὥσπερ οἱ ποιηταὶ τὸν ἔρωτα προσαγορεύουσι, φανεῖταί σοι τὸ μικτὸν ἐξ ἀμφοῖν, οὐκ ἐν ἄλλῳ μὲν τινὶ χρόνῳ, μέλιτος αἰσθανομένης τῆς γλώττης, ἐν ἄλλῳ δὲ, ἀψινθίου, οὔτε θατέρου μόνον, ἀλλὰ διὰ παντὸς ἀμφοῖν ἀήθη τινὰ μίξιν μεμιγμένην. τοιόνδε τι γίγνεται κἀν τῷ συνελθεῖν εἰς ἕνα χυμὸν αὐστηρὰν καὶ νιτρώδη δύναμιν, ἤτοι τῆς φύσεως αὐτῆς ἀναμιξάσης, ἤ τινος ἰατροῦ συνθέντος. ἥ τε γὰρ γλῶττα τῆς ἑκατέρου τῶν χυμῶν ποιότητος ὑφ' ἕνα χρόνον αἰσθάνεται. καὶ εἴπερ αἰσθάνεται, δηλονότι καὶ διατίθεται κατὰ τὰς οἰκείας αὐτῶν δυνάμεις. ἕκαστόν τε τῶν ἄλλων τοῦ σώματος μορίων, ἀνάγκη πάσχειν ὡσαύτως, εἰ καὶ μὴ τῶν ποιοτήτων αἰσθάνηται, οὐ γὰρ δὴ τῷ γε πάσχειν, ἢ μὴ, διαφέρειν τῶν ἄλλων ὑποληπτέον τὴν γλῶτταν, ἀλλὰ τῷ μὴ λανθάνειν αὐτὴν μηδὲν τῶν οἰκείων παθῶν, ἀκριβείᾳ δυνάμεως αἰσθητικῆς, συντελεῖ μὲν οὖν εἰς τοῦτο καὶ ἡ μανότης αὐτῆς. ῥᾷον γὰρ εἰς τὸ βάθος οἱ χυλοὶ καταπίνοντες, ἐνεργοῦντές τε περὶ τὰ μαλακὰ τῶν μορίων, ἰσχυρὰν μὲν τὴν διάθεσιν, ἐναργεστέραν δὲ καὶ τὴν αἴσθησιν αὐτῆς ἀπεργάζονται. ἀλλ' ἡ μείζων δύναμις, ἐν τῷ τῆς αἰσθήσεως ἐστὶν ἀκριβεῖ μᾶλλον, οὐκ ἐν τῷ τῆς διαθέσεως ἰσχυρῷ, τὸ μὲν γὰρ τῆς διαθέσεως ἰσχυρὸν, οὐδὲν ἧττον κἀν τοῖς ἡλκωμένοις γίγνεται μορίοις, ἀλλὰ τῷ τὴν ἀκρίβειαν τῆς αἰσθήσεως ἀπεῖναι, λανθάνουσιν αἱ τῶν χυλῶν ποιότητες. ἔνεστι μέντοι καὶ κατ' ἐκεῖνα, καὶ πρὸ ἐκείνων ἔτι, μήπω τοῦ δέρματος ἡλκωμένου, συλλογίσασθαι τὴν μικτὴν ἐνέργειαν ἐκ τῶν ἐναντίων δυνάμεων, ἅμα τοῖς σώμασιν ἐγγινομένην. εἰ γὰρ ἐπιθείης φλεγμαίνοντι μορίῳ στρύχνου χυλὸν, ὄψει πυκνούμενον αὐτὸ, καὶ πιλούμενον, καὶ τὰς διαπνοὰς ἐπεχόμενον. ὥστ' εἰ καὶ μέχρι πλείονος οὕτω ποιήσαις, οὐδ' ἐρυθρὸν ἔτι φυλάξαις τὸ μόριον, ἀλλ' ἤτοι πελιδνὸν, ἢ μέλαν ἐργάσῃ, ὁποῖόν τι κἀν τοῖς ἐρυσιπέλασι ποιοῦσι συνεχῶς οἱ πλεῖστοι τῶν ἰατρῶν. καὶ γὰρ καὶ ταῦτα μελαίνουσι, καὶ σκληρύνουσιν ἐν τῷ χρόνῳ, καταψύχοντες ἀμέτρως. εἰ τοίνυν μὴ στρύχνον, ἀλλ' ἀνθεμίδα κατὰ τοῦ φλεγμαίνοντος ἐπιθείης μέρους, ὄψει πάντα τἀναντία πάσχον αὐτό. καὶ γὰρ ἀραιὸν, καὶ κεχυμένον, καὶ μαλακὸν, καὶ χαλαρὸν ἔσται, καὶ διαπνευσθήσεται πολὺ τοῦ κατ' αὐτὸ περιττοῦ, καὶ πελιδνὸν, καὶ μέλαν οὐδέ ποτ' ἔσται, κἂν πολλαῖς ἐφεξῆς ἡμέραις χρήσῃ τῷ χαμαιμήλῳ, χεῖν γὰρ τοῦτο πέφυκε, καὶ διαφορεῖν, οὐ συνάγειν, οὐδὲ πυκνοῦν, οὐδ' εἴργειν τὰς διαπνοάς. ὅτι μὲν οὖν ἐστὶν ἐναντίας δυνάμεως τῷ στρύχνῳ τὸ χαμαίμηλον, ἐκ τῶνδε δῆλον. ὅτι δ' εἰ, κἂν μίξαις ἄμφω, σαφῶς τὰς ἑκατέρου θεάσῃ δυνάμεις, ἐγὼ μὲν πειραθεὶς, σοὶ λέγω. βουλοίμην δ' ἂν καὶ σε διὰ τῆς πείρας αὐτῆς εἰς γνῶσιν ἀφικέσθαι, τῶν γιγνομένων μᾶλλον, ἢ διηγουμένῳ μοι πιστεῦσαι. τοῦτο μὲν οὖν οἶδα ὅτι ποιήσει, πᾶς ὡς ἂν ἀληθείας ὑπάρχῃ ἐραστής. χρὴ δὲ, ὡς ἤδη πεφηνότα, τὸν ἐφεξῆς λόγον ἐμὲ περαίνειν. Εἰ γὰρ ἐπιτιθέντων ὁμοῦ στρύχνου τε καὶ ἀνθεμίδος, οὔθ' οὕτως πυκνὸν καὶ σκληρὸν, καὶ περιτεταμένον, καὶ πελιδνὸν, ὡς εἰ καὶ στρύχνῳ μόνον ἐχρῆτό τις, οὔθ' οὕτως ἀραιὸν καὶ μαλακὸν, καὶ χαλαρὸν, καὶ ἐρυθρὸν, ὡς εἰ τῷ χαμαιμήλῳ μόνον ἐχρῆτό τις, ἀλλὰ τὴν μέσην ἑκατέρων τῶν εἰρημένων διάθεσιν ὁρᾶται λαμβάνον τὸ μόριον,

A Quod vtique & in febribus lypeiriis, & hepialis euenire autumo, nisi quòd in illis non extrinsecus, sed ex ipso corpore, caliditatis frigiditatisque affectus exoritur. Quòd siquis dicta assequi nequeat, certè ex eo quod iam dicetur, facillimè periculum facere possit: etenim non longè ab iis, quæ inquirimus abest, sed ex linguæ affectuum numero existit. Nam si parem absinthij portionem melli exquisitè commixtam, linguæ imponas, dulcamarum (quemadmodum poëtæ amorem cognominant) quod ex ambobus mixtum fuerit, videbitur: nimirum quum haud alio tempore mellis saporem lingua sentiat, alio verò ab-B synthij, neque alterum solum, verùm perpetuò ex vtrisque insolentem quandam mixtionem permixtam. Tale quid euenit quum in vnum succum coierint austera, & nitrosa facultas, siue id natura miscuerit, siue à medico fuerit compositum. Nam eodem tempore lingua vtriusque succi qualitatem percipit: ac si percipit, nimirum & afficitur, idque pro familiaribus illorum viribus: Necesséque est quanque aliarum corporis partium similiter affici, etiam si qualitates ipsas non sentiat: neque enim in patiendo, aut non patiendo, ab aliis linguam differre putandum, verùm C eo quòd ipsam nihil familiarium affectuum ob exquisitam sentiendi facultatē latere possit. Quod si ad id nonnihil faciat ipsius raritas: quippe succi facilius in profundum penetrantes, atque in molliculas partes actionem exerentes, tum validam quidem affectionem, tum verò sensum eius imprimunt euidentiorem: verumtamen maior vis in sensu accurato potius, quàm in affectionis robore consistit: quum affectionis robur nihilo secius, & in exulceratis partibus fiat, sed quia exacta sentiendi vi carent, idcirco succorum qualitates non percipiunt. Liceat verò quum in illis, tum etiam ante illas, nondum videlicet cute exulcera-D ta, mixtam ex contrariis facultatibus actionem simul in corpore fieri, colligere. Etenim si parti inflammatæ solani succum imponas, densari eam, constiparíque, & cohiberi transpiratus conspicies. Itaque si plusculo id ipsum tempore facias, non rubram seruabis particulam, sed, aut liuidam, aut atram efficies: id quod assiduè in erysipelatis à medicis plerisque fieri videre est; nam & ea tempore dura atráque, immodicè refrigerando efficiunt. Quòd si ergo non solanum, sed anthemida, parti inflammatæ imposueris, eam prorsum contra effici videbis: quippe quæ rara, fusa, mollis, laxáque E euadet, multúmque illius superfluitatis, quæ sub ipsa continetur, transpirabit, nec liuida amplius atráve erit, etiam si, vel plurimis deinceps diebus chamæmelo vtaris. Fundere enim hoc, ac digerere per halitum potest, haudquaquam contrahere, condensaréve, aut transpiratus prohibere. Quòd ergo solano, chamæmelum contrarium sit, illinc liquet: quòd verò etiam si vtranque commisceas, euidenter tamen vtriusque vires perspicias, ego sanè expertus edisseram: quanquā te quoq; malim ipsa experientia euentū cognoscere, quam narranti mihi fidem habere: id quod, scio, efficiet quis-F quis veritatis amore tenetur. Oportet verò, vt in re iam patenti orationē absoluere. Si enim simul impositis solano, & anthemide, neque ita densa, dura, tensa, liuidáque reddatur, atque si solo vsus solano esses: neque adeò rara, mollis, laxa, rubénsque, ac si chamæmelo solo vsus fores, sed dictorum mediam accipere affectionem particula conspiciatur,

consen-

consentaneum est vtrunque medicamentum secundum suam operatum esse facultatem. Nam si neutrum quicquam egisset, sed quieuisset vtrunque, quam ab initio affectioné particula habebat, eam haud dubiè seruasset, non secus, ac si omnino nihil impositum foret: sin autem alterum quidem eorum operatum fuisset, alterũ verò penitus deuictum, non mediam affectioné, sed extremarum alteram perpessa particula esset. At si vtrunque agit, eáque cõtraria facultatibus fuere, cõtraria vtique eodé tépore corpus perpessum est: nec enim partitis inter se agendi viribus operabantur, tanquam si vtrisq; exempli causa totum diem impositis, sex horis prioribus medicamentorũ alterum, reliquis verò sex alterum, suo vicissim munere fungeretur: nugax enim hæc est hypothesis, nec solũ demonstratione, sed probabilitate quoq; omni destituta. Quáque profectò, nec ita quidé fundi contrahíq; subiectã contingit substantiam, velut in iis, qui in balneis lauantur, posteáq; ingrediuntur frigidam: sed potius ita, vt si lauanti frigidam aquam adspergas: sic enim non diuersis téporibus, sed eodé contraria perpetietur. Igitur quemadmodum in medicamentis compositis mirum non est, si contrarij simul affectus corporibus infligantur, ita neque in simplicibus quum & ipsa sensu quidem omni, atq; cognitione simplicia appareant, verùm natura sint composita. Quin etiam quemadmodũ in iis, quæ nos componimus, ac cõmiscemus, interim, si ita visum est, plus adstringentis succi indimus: interim plus dulcis, aut amari, aut salsi, aut acris, aut alterius cuiuspiam cõtrariorum: nonnunquam verò vtrosque partibus paribus: ita quoque naturam in arboribus, fruticibus, herbis, & animalibus, & in ipsa quoque terra, contrarios téperare succos paribus, aut portionibus, aut viribus alienũ non est: potest etiam quandoq; alterum vincenté efficere. Itaque actiones eorũ in misturis paribus similes euadent, in imparibus autem diuersæ. Ne quis ergo putet (quod & supra monuimus) nihil referre, adstringenté succum dicas, an adstrictioné: nam adstrictio vna res simplex intelligitur, corpus autem adstringés duplex: sicut & calefaciés partim simplex, & summũ, vt ignis: partim per exuperantiam caloris, vt sanguis. Si adstringens quoque aliud summum est, vt exempli causa, alumen, & melanteria, siue attramentũ sutorium, & galla, & rhus: aliud, quia adstrictionis cuiusdã est particeps, velut pyrum, vinum, malum, rosa: nam minimũ omnino est in rosa quod adstringit, multis numeris eo, quod non est eiusmodi superante. Quapropter non ab re exigui quoque adstrictionis effectus sunt, tanti, scilicet dum à relaxandi facultate, quæ rosæ inest, corporum illi admotorum robur non exoluatur. Itaque mirandum non est, medelam esse eam inflammationum, ac potissimum dum increscũt adque augentur, plúsque etiam dum incipiunt.

CAPVT XVII.

Quod rosaceum, vtpotè olei, rosæque mediam ad vnguem naturam obtinens, inflammationum optimum in augmento remedium sit.

ROsaceũ verò (vtpotè cuius natura olei, rosæque in medio est) in inflãmationũ augmentis optimum est remedium. At oleum cõ modum est, vbi inflãmationes maximè vigét; id quod experimenta docent: causam auté nos in tractationibus

A εὔλογόν ἐστιν ἀμφότερα τὰ φάρμακα κατὰ τὴν ἑαυτῶν ἐνεργῆσαι δύναμιν. εἴτε γὰρ μηδέτερον ἔδρασεν, ἀλλ' ἡσύχασεν ἄμφω, τὴν ἐξ ἀρχῆς ἂν ἐφύλαττε τὸ μέρος διάθεσιν, ὡς εἰ καὶ μηδὲν ὅλως ἐπετέθη καμένω. εἴ τε τὸ μὲν ἕτερον αὐτῶν ἐνήργησε, τὸ δὲ ἕτερον ἐνικήθη τελέως, οὐκ ἂν τὴν μέσην διάθεσιν, ἀλλὰ τὴν ἑτέραν τῶν ἄκρων ἐπεπόνθει τὸ μέρος. καὶ μὴν εἴπερ ἑκάτερον ἐνήργησεν, ἦν δὲ ταῦτα ἐναντία ταῖς δυνάμεσιν, ἔπασχε δὴ τἀναντία κατὰ τὸν αὐτὸν χρόνον τὸ σῶμα. οὐ γὰρ δὴ μερισάμενά γε τοὺς χρόνους ἐνήργησεν, ὥστε εἰ τύχοι, δι' ὅλης ἡμέρας ἐπιτεθέντων ἀμφοῖν, ἓξ μὲν ταῖς B προτέραις ὥραις θάτερον τῶν φαρμάκων, ἓξ δὲ ταῖς ὑπολοίποις θάτερον ἐνεργῆσαι. ληρώδης γὰρ ἡ ὑπόθεσις αὕτη, καὶ πάσης οὐκ ἀποδείξεως μόνον, ἀλλὰ καὶ πιθανότητος ἔρημος, οὔκουν οὐχ οὕτως συνέβη χυθῆναί τε καὶ συναχθῆναι τὴν ὑποκειμένην οὐσίαν, ὡς τοῖς λουσαμένοις μὲν ἐν βαλανείῳ, μετὰ ταῦτα δὲ εἰς ψυχρὸν ὕδωρ ἐμβᾶσιν, ἀλλὰ μᾶλλον ὡς εἴ τῳ λουομένῳ προσραίνοις ὕδατος ψυχροῦ. οὕτω γὰρ οὐκ ἐν διαφέρουσι χρόνοις, ἀλλὰ καθ' ἕνα τἀναντία πείσεται. ὡς οὖν ἐπὶ τῶν συνθέτων φαρμάκων, οὐδέν ἐστι θαυμαστὸν, ἐναντίας ἅμα διαθέσεις ἐγγίγνεσθαι τοῖς σώμασιν, C οὕτως οὐδ' ἐπὶ τῶν ἁπλῶν, ὅταν καὶ ταῦτα πρὸς μὲν τὴν ἄλλην αἴσθησίν τε καὶ διάγνωσιν ἁπλᾶ φαίνηται, πρὸς δὲ τὴν φύσιν αὐτὴν ὑπάρχῃ σύνθετα. καὶ μὴν δὴ καὶ ὡς ἐφ' ὧν ἡμεῖς αὐτοὶ συντίθεμέν τι καὶ μίγνυμεν, ἐνίοτε μὲν, εἰ οὕτως ἔτυχε, πλέονα μὲν τὸν στύφοντα χυλὸν ἐμβάλλοντες, ἐνίοτε δὲ τὸν γλυκὺν, ἢ πικρὸν, ἢ ἁλυκὸν, ἢ δριμὺν, ἤ τινα ἕτερον τῶν ἐναντίων, ἐνίοτε δ' ἴσους ἀμφοτέρους, οὕτως ἐγχωρεῖ καὶ τὴν φύσιν, ἐν δένδροις, καὶ θάμνοις, καὶ πόαις, καὶ ζώοις, καὶ κατ' αὐτὴν τὴν γῆν μιγνύναι τοὺς ἐναντίους χυμοὺς, ἢ τοῖς ὄγκοις, ἢ ταῖς δυνάμεσιν. ἔστι δ' ὅτε καὶ τὸν ἕτερον ἐπικρατέστερον, ὥστε καὶ τὰς D ἐνεργείας αὐτῶν, ἐν μὲν ταῖς ἴσαις μίξεσιν ὁμοίας ὑπάρχειν, ἐν δὲ ταῖς ἀνίσοις, διαφερούσας. μὴ τοίνυν, ὥσπερ εἴρηται καὶ πρόσθεν, ἤδη ταὐτὸν εἶναί τις ὑπολαμβανέτω, περί τε στύφοντος χυλοῦ διαλέγεσθαι, καὶ περὶ στύψεως αὐτῆς. ἡ μὲν γὰρ στύψις ἓν ἁπλοῦν νοεῖται πρᾶγμα, τὸ δὲ στῦφον σῶμα, διττόν ἐστιν, ὥσπερ καὶ θερμαῖνον, τὸ μὲν ἁπλοῦν καὶ ἄκρον, οἷον περ τὸ πῦρ, τὸ δ' ἐπικρατείᾳ θερμότητος, οἷον τὸ αἷμα. καὶ στῦφον ἤδη, τὸ μὲν ἐστιν ἄκρον, οἷον εἰ τύχοι στυπτηρία καὶ μελαντηρία, καὶ κηκὶς, καὶ ῥοῦς, τὸ δὲ τῷ μετέχειν τι, καὶ τῆς στυφούσης ποιότητος, οἷον ἄπιόν τε καὶ οἶνος, E καὶ μῆλον, καὶ ῥόδον. ὀλίγιστον γὰρ τὸ στῦφον, ἐν πολλαπλασίῳ τῷ μὴ τοιούτῳ μέμικται κατὰ τὸ ῥόδον, ὥστε καὶ τὰ τῆς στύψεως ἔργα βραχέα κατὰ λόγον ἐστὶν, ἄχρι τοῦ μὴ διαλύεσθαι τὸν ὁμιλούντων αὐτῷ σωμάτων τὸν τόνον, ὑπὸ τῆς ἐν τῷ ῥόδῳ χαλαστικῆς δυνάμεως. οὐδὲν οὖν θαυμαστὸν, ἄκος αὐτὸ φλεγμονῶν ὑπάρχειν, καὶ μάλιστα ἐν ἐπιδόσει τε καὶ αὐξήσει, μᾶλλον δὲ καὶ ἀρχομένων ἔτι.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

F Ὅτι τὸ ῥόδινον, ὡς ἂν ἐλαίου τε καὶ ῥόδου μεταξὺ τὴν φύσιν ἀκριβῶς ὑπάρχον, ἐν ταῖς αὐξήσεσι τῶν φλεγμονῶν καταλληλότατον ὑπάρχει.

ΤΟ δὲ ῥόδινον, ὡς ἂν ἐλαίου τε καὶ ῥόδου μεταξὺ τὴν φύσιν ὑπάρχον ἐν ταῖς αὐξήσεσι τῶν φλεγμονῶν, ἄριστον εἶναι φάρμακον. αὐτὸ μὲν γὰρ τοὔλαιον ἐν ταῖς ἀκμαῖς τῶν φλεγμονῶν χρηστὸν, ὡς ἥ τε πεῖρα δείκνυσι, κἀν τοῖς τῆς θεραπευτικῆς

μεθόδου γράμμασιν ἐροῦμεν τὴν αἰτίαν. τὸ δὲ ῥόδινον ἐν τῷ μεταξὺ τῶν ἁπλῶν, ἐξ ὧν ἐγένετο, κερασθὲν, ἐν τῷ μεταξὺ καιρῷ τὴν ὠφέλειαν ἐπιδείκνυται. κατὰ μὲν γὰρ τὰς ἀρχὰς, ἀποκρούεσθαι χρὴ μᾶλλον, καὶ στέλλειν τὰς ἐπιῤῥοὰς, κατὰ δὲ τὰς ἀκμὰς, ἀδήκτως διαφορεῖν, κατὰ δὲ τὰς ἐπιδόσεις, ἀποκρούεσθαί τε ἅμα καὶ διαφορεῖν. ὃ χωρὶς μὲν τῶν προειρημένων λογισμῶν ἀκούσας τις, ἴσως ἀπιστήσειεν. νυνὶ δ' οὐκ οἶδα εἴ τις οὕτως ἐστὶν ἀνεὸς, ὡς μήπω πεπεῖσθαι τῷ λόγῳ. καὶ γὰρ τὰς ἐνδείξεις ἐν ταῖς ἀναβάσεσι τῶν φλεγμονῶν, ἀναγκαῖον ἐναντίας ὑπάρχειν. ἀθρόως γὰρ ἀπὸ τῶν στυφόντων καὶ συναγόντων τὴν οὐσίαν, ἐπὶ τὰ χαλῶντα καὶ χέοντα μεταβαίνειν ἄτοπον, ἔν τε τῷ μεταξὺ τῆς ἀκμῆς τε καὶ ἀρχῆς, αὐξανομένων ἔτι τῶν νοσημάτων, οὔθ' ἁπλῶς ἀποκρούεσθαι δίκαιον ὡς ἐν ἀρχαῖς, οὔτ' ἤδη διαφορεῖν ὡς ἐν ἀκμαῖς, ἀλλ' ὥσπερ ἡ κατάστασις τοῦ πάθους μέση τῶν ἐναντίων ἐστὶν, οὕτω χρὴ καὶ τὴν ἴασιν μέσην εἶναι, μήτε στύφουσαν ὡς ἐν ταῖς ἀρχαῖς, μήτε διαφοροῦσαν, ὡς ἐν ταῖς ἀκμαῖς. καὶ δὴ ἅπαν τὸ μέσον ἐκ τῶν ἐναντίων μικτόν ἐστιν, ἤτοι δι' ὅλων ἀλλήλοις κεραννυμένων αὐτῶν, ἢ κατὰ σμικρὰ μόρια, καὶ τὴν αἴσθησιν ἐκφεύγοντα τῶν παρακειμένων. εἴτ' οὖν οὕτως εἴτ' ἐκείνως βούλει κεκρᾶσθαι τὸ ῥόδινον ἐκ τῶν ἐναντίων, ἐμοὶ μὲν οὐδὲν διαφέρει, δείκνυται γὰρ ἑκατέρως τὸ προκείμενον. οἶδα δὲ ὅτι τοῖς περὶ τούτων λογισμοῖς ἅπασιν, οἷς τε ὁ Θεόφραστος ἔγραψε, καὶ οἷς ἡμεῖς ἐν ὅλῃ τῇδε τῇ πραγματείᾳ λέγομεν, ἐπὶ πλέον ὁμιλήσας, εὑρήσεις τὸν δεύτερον τρόπον τῆς μίξεως. καὶ μὴν καὶ τὸ δύεσθαι κατὰ τοῦ βάθους, καὶ μᾶλλον ὑγραίνειν ἐλαίου τὰ ξηρὰ τῶν σωμάτων, ὑπάρχει τῷ ῥοδίνῳ. καί τινας οἶμαι τεθεᾶσθαί σε πολλάκις ἀνατρίβοντας ῥοδίνῳ τὰς πυκνὰς τῶν δερματίνων ἐφεστρίδων. ἔλαιον γὰρ, καὶ ὑδρέλαιον, οὐ τέγγει καλῶς αὐτὰς, ἁδρομερέστερον ὑπάρχον, ἢ ὡς εἴσω δύεσθαι δύνασθαι. τῷ δὲ ῥοδίνῳ συμβέβηκεν πρὸς τοῖς ἄλλοις οἷς ἔχει, καὶ τὴν στύψιν ὀλίγην οὖσαν, οὐ σμικρὰ συντελεῖν εἰς τοῦτο. τὰ μὲν γὰρ σφοδρῶς αὐστηρὰ, καὶ στρυφνὰ, πυκνοῦντα τὴν ἔξωθεν ἐπιφάνειαν, εὐθὺς ἅμα τῷ προσάπτεσθαι αὐτῇ, κωλύει τὰς ὑγρότητας εἴσω φέρεσθαι: τὰ δ' ἐπ' ὀλίγον μὲν στύφοντα, τὸ πλεῖστον δ' ἐν αὑτοῖς ἔχοντα λεπτομεροῦς τε ἅμα καὶ χλιαρᾶς οὐσίας, οὐχ ὅπως οὐ κωλύεται πρὸς τῆς στύψεως ἐγκαταβαίνειν τῷ βάθει τῶν πλησιαζόντων σωμάτων, ἀλλὰ καὶ συνεργεῖται μᾶλλον ἐπωθούμενα πρὸς αὐτῆς. ὅσα μὲν γὰρ ἁπλῶς ἐστι λεπτομερῆ καὶ θερμὰ, διαφορεῖ μᾶλλον ἐκ τῶν σωμάτων οἷς πλησιάζει, τὰς ὑγρότητας, καὶ οὐ προστίθησιν ἑτέρας. ὅσα δὲ παχυμερῆ τε ἅμα, καὶ ψυχρὰ, τὴν ἀρχὴν, οὐδ' εἰσάγειν οὐδεμίαν ὑγρότητα πέφυκεν. ἐν οἷς δ' ἐστὶν ὑγρότης, χλιαρά τε ἅμα καὶ λεπτομερὴς, ταῦτ' οὐδὲν κωλύει, διὰ μὲν τὸ λεπτομερές τε ἅμα καὶ χλιαρὸν τῆς οὐσίας ἑτοίμως κινούμενα, διεξέρχεσθαι τοὺς πόρους τῶν κινουμένων σωμάτων. ὅτι δὲ οὐχ ἱκανῶς θερμαίνει, δῆλον ἐκ τοῦ, τὴν ὑπάρχουσαν αὐτοῖς ὑγρότητα μὴ διαφορεῖν. εἰ δὲ πρὸς τῷ τοιαῦτα τυγχάνειν ὄντα, καὶ βραχείας τινὸς μετέχει στύψεως, οἵας ἐπωθεῖν τε καὶ πρὸς τὸ βάθος ὅσον ἔφθασεν εἰσδῦναι τοῖς πόροις λεπτομερὲς, σφίγγειν τέ πως καὶ πυκνοῦν τὴν ἔξωθεν ἐπιφάνειαν, πάντων ταῦτα τῶν ὑγραινόντων ἄριστα δραστήρια. ἡ μὲν γὰρ στύψις ἀποκλείειν φθάνουσα τοὺς πόρους,

A de medendi ratione exponemus. Porrò rosaceum, vt quod in medio eorum, ex quibus confectum est, consistit, vtique & in medio tempore vtilitatem ostendit. Nam per initia repellere, comprimereque influxus oportet; in vigore autem ita per halitum digerere, vt morsus absit; at in incrementis repellere simul ac digerere. Id quod siquis nudum, citráque iam dictas ratiocinationes audiat, fortassis fidem non habebit: nunc autem mirer, siquis adeo sit stupidus, vt rationi nondum acquiescat. Etenim indicationes in inflammationum incrementis contrarias esse necesse est: nam semel, vnóque impetu ab adstrin-
B gentibus contrahentibúsque substantiam, ad laxantia fundentiáque transire planè absurdum est: sicuti sanè æquum est in intermedio principij, statúsque spatio, dum videlicet morbi adhuc increscunt, nec planè repellere sicut in principiis, nec itidem digerere sicut in vigoribus: sed perinde vt morbi conditio media est inter contraria, ita medicinam quoque mediam esse oportet, quæ videlicet non vt in principiis adstringat, nec vt in vigoribus, digerat. Atqui medium omne ex contrariis mixtum est, iisque totis per tota temperatis, aut per exiguas particulas sensum effugientes
C eorum, quibus apponuntur. Porrò, hoc, an illo modo rosaceum mixtum esse velis, mea quidem certè nihil refert: nam vtroque modo propositum demonstrari potest. Satis autem certò scio, si ratiocinationes omnes, tum quas Theophrastus memoriæ prodidit, tum quas nos toto hoc tractatu complectimur, multum animo versaueris, te secundum mixtionis modum reperturum. Quin & in profundum penetrare, & corpora arentia magis quàm oleum humectare, rosaceum potest: arbitrórque subinde rosaceo te prędésas coriaceas tunicas teri vidisse: quoniam neque oleum, neq; hydrelæum, quod ex aqua & oleo mixtis constat, eam probè
D mollire, ac madefacere possit, quia videlicet crassiorum sunt partium, quàm vt penitus imbibi ac penetrare queant: rosaceo verò præter cætera, quæ potest, paucula quædam inest adstrictio, haud parum huic rei conferens. Nam quæ magnopere austera acerbáque sunt, primo statim contactu superficiem condensantia, humorem ingredi imbibíque prohibent: at quæ paulum quidem adstringunt, cæterùm plurimum in se continent essentiæ tum tenuis, tum tepidæ, tantum abest vt præ adstrictione ingredi altius corpora admota prohibean-
E tur, vt etiam ab ea, magis scilicet impellente, iuuentur. Quæ autem penitus tenuia, calidáque sunt, magis digerunt discutiúntque humores ex corporibus, quibus admouentur, quàm alios ipsa apponant. Porrò quæ frigida sunt & crassioris essentiæ, omnino nullum introducere humorem queunt. In quibus verò humiditas inest tenuis pariter, & tepida, hæc per essentiæ quidem tenuitatem & tepiditatem promptè mobilia, corporum quæ contingunt, meatus subire nihil prohibet. Quòd verò non admodum calefaciunt, ex eo liquet, quòd existentem in illis humiditatem non digerant. Si verò præterquam quòd sint eiusmodi,
F insuper exiguam adstrictionem possideant, quæ tenues particulas meatum iam ingressas in profundum propellere valeat, ipsámque extrinsecus superficiem quadantenus constringere ac condensare, ea inter omnia humectantia efficacissimè humectant. Adstrictionis enim natura est, vt meatus occludere præoccupans, vicinámque-

vicinámque substantiam ad se contrahens, consti- A pánsque iis, quæ humectare valent, impedimento existat. At quæ adeo infirma est, vt in rosaceo, quæ vincatur ipsa potius, quàm vincat, tenues calidásq; rosacei particulas præuertere quidem nequit, sed vbi illæ altius penetrauerint, in ipsam iam tum superficiem agere incipit, pro viribus constipando, contrahendo, ac condensando. Ex quo necessariò sequitur, vt quæ ingredi meatus anteuerterint exigua corpuscula, intrò propellantur, ac meatibus præclusis foras regredi inhibeantur.

εἰς ἑαυτὴν τε συνάγουσα καὶ πιλοῦσα τὴν πλησιάζουσαν οὐσίαν, ἐμποδὼν ἵσταται τοῖς τέγγειν πεφυκόσιν. ἡ δὲ οὕτως ἀσθενὴς, ὡς ἐν τῷ ῥοδίνῳ νικωμένη μᾶλλον, ἢ νικῶσα, φθάσαι μὲν οὐχ οἷά τέ ἐστι τὰ λεπτομερῆ καὶ λεπτὰ τοῦ ῥοδίνου μόρια, δυνόντων δ' εἰς τὸ βάθος ἐκείνων ἐνεργεῖν ἄρχεται περὶ τὴν ἐκτὸς ἐπιφάνειαν, πιλοῦσα, καὶ συνάγουσα, καὶ πυκνοῦσα καθ' ὅσον οἷά τέ ἐστιν. ἐξ ὧν ἀνάγκη προωθεῖσθαι μὲν εἴσω τὰ φθάσαντα τοῖς πόροις εἰσδῦναι σμικρομερῆ σώματα, κωλύεσθαι δὲ ἔξω παλινδρομεῖν ἀποκλεισθέντων τῶν πόρων.

B

CAPVT XVIII.

Quòd quæ frigiditate interimunt, deleteriis, ex mutationis celeritate vti corrumpant, euenit: ac proinde alienam requirant caliditatem, quæ velut manu in totum deducat corpus.

Sanè ad opera eiusmodi non mediocriter confert innata corporibus nostris caliditas, quippe quæ intrò ad sese attrahat, & comminuendo extenuet. Hinc est, quòd & quæ natura frigida sunt, medicaméta, népe quæ deleteria nũcupantur, vtputa cicuta, papauer, hyoscyami semen, mádragora, & quæ eius sunt generis, citius magisq; in calidis naturis vim suam exerant: cuius & tu, tametsi vnũ ex ambiguorũ difficiliúmq; problematũ numero habitũ id fuerit, haud difficulter, modò non segniter iis quæ dicimus aduerteris animũ, solutionem inueneris. Etenim quum sit impossibile vt talia interficiant, nisi prius cor refrigerẽt, sanè intrò cõminuta extenuatáq; ingrediantur necesse est: id quod ex sua natura pręstare nequeunt, quippe quę crassarum sunt partium, nec facilè moueri possũt: nec vt minutim cõcidantur, prorsumq; ferãtur ex sua natura obtinẽt: verũ adscititiam caliditatẽ requirunt, quæ in minuta secet, extenuet, atq; comminuat, quæq; velut manu ducat, atque in subtiles partium omniũ meatus deducat. Itaq; si quando ea absit, cunctãtur, tardántq; in maioribus meatibus hærentia, & venis, atq; arteriis velut innatantia, ac tẽporis spatio interim per lõgos errores, ac multas iactationes ab humoribus, quæ in eis sunt, vicissim nonnihil perpetiuntur. Ostensum est enim iam sæpenumero in sese mutuò qualitates omnes quadãtenus agere; nam & lapis ab assiduo aquę stillicidio excauatur; gladiúsq; cerã secãdo hebetatur. Monstratũ etiam est actiones à solidis animantium partibus perfici; quare cùm hæ nondũ à refrigerantibus medicamẽtis refrixerint, animans supersit necesse est. Porrò refrigerari nequeunt priùs, quàm illa in proprios istarũ meatus subierint, atqui ex sua id natura crassioribus frigidísq; medicamentis datũ non est, nisi succurrat quod velut deducat. Deducit porrò, vt causa primaria, arteriarũ attractio; ostendimus enim ipsas inter dilatandũ vicinũ omne attrahere, vt secundaria verò, & materialis, essentiæ tenuitas; quam quum ex natura sua non obtineant frigidiora, crassiorũque partium medicamenta, iis vtiq; opus habent, quæ præbeant. Corpora itaque quęcũq; tẽperamenti sunt frigidioris, ea arteriarũ tractu imbecilliorẽ possident (id quod etiam demonstratũ est) atque in minutas particulas medicamentorum substantiam redigere nequeunt. Proinde medicamentũ, & ipsum cũctando tardãdóque tẽporis spatio aliquid perpetiatur par est. Itaq; interim accidit vt concoquatur, velut lactucæ succus; nam & is tempore concoquitur:

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Ὅτι τοῖς κατὰ ψύξιν ἀναιροῦσι τῶν δηλητηρίων ἐν τῷ τάχει τῆς μεταβολῆς ἐστι τὸ εἶναι φθαρτικοῖς, καὶ διὰ τοῦτο ἐπικτήτου χρῄζει θερμότητος τῆς ποδηγούσης τε καὶ παραγούσης αὐτὰ εἰς ὅλον τὸ σῶμα.

ΕΙΣ δὲ δὴ τὰ τοιαῦτα τῶν ἔργων, καὶ ἡ τῶν ἡμετέρων σωμάτων ἔμφυτος θερμότης, οὐ σμικρὰ συνεργάζεται. καὶ γὰρ εἴσω τε πρὸς ἑαυτὴν ἐπισπᾶται, καὶ λεπτύνει καταθραύουσα, ταύτῃ, καὶ τὰ φύσει ψυχρὰ φάρμακα, τὰ δηλητήρια καλούμενα, κώνειον, καὶ μήκων, καὶ ὑοσκυάμου σπέρμα, καὶ μανδραγόρας, C καὶ ὅσα ἄλλα τοιαῦτα, θᾶττόν τε καὶ μᾶλλον ἐν ταῖς θερμαῖς φύσεσιν ἐνεργεῖ. καί σοι καὶ τοῦτο τῶν ἀπόρων ὑποληφθὲν ἓν εἶναι προβλημάτων, εἰ μὴ ῥαθύμως προσέχοις τοῖς λεγομένοις, ἑτοίμως ἕξει τὴν λύσιν. εἰ γὰρ δὴ τὸ μὲν ἀποκτεῖναι τοῖς τοιούτοις ἀδύνατον, εἰ μὴ καὶ τὴν καρδίαν αὐτὴν καταψύξαιεν, εἴσω δήπου βαδίζειν αὐτὰ χρὴ καταθραυόμενα καὶ λεπτυνόμενα. τοῦτο δ' ἐκ μὲν τῆς οἰκείας οὐκ ἔχει φύσεως, ἁδρομερῆ τε γάρ ἐστι καὶ δυσκίνητα, καὶ τὴν εἰς λεπτὰ τομὴν, καὶ πρόσω φορὰν, ἐξ αὑτῶν οὐκ ἄν ποτε σχόντα, ἐπικτήτου τέ τινος δεῖται θερμότητος, τεμνούσης καὶ λεπτυνούσης, D καὶ καταθραυούσης εἰς μικρὰ, καὶ οἷον ποδηγούσης τε καὶ παραγούσης, εἰς τοὺς κατὰ λεπτὸν πόρους ἁπάντων τῶν μορίων. ἔστ' ἂν οὖν ἀπορῇ τοιαύτης, μέλλει, καὶ βραδύνει τοῖς τε μεγάλοις τῶν πόρων ἰσχόμενα, καὶ ταῖς φλεψὶ, καὶ ταῖς ἀρτηρίαις οἷον ἐννηχόμενα, καί πού τι κἂν τῷ χρόνῳ κατὰ τὴν πολλὴν ἄλην, ὑπὸ τῶν ἐν αὐταῖς χυμῶν ἀντιπάσχοντα. δέδεικται γὰρ ἤδη πολλάκις, ὡς εἰς ἀλλήλας αἱ ποιότητες πᾶσαι δρῶσι κατά τι, καὶ λίθος ἔπαθεν ὑπὸ συνεχοῦς πληγῆς ὕδατος σταλαγμοῦ, καὶ ξίφος ἠμβλύνθη τέμνον κηρόν, ἐπιδέδεικταί τε τὰς ἐν τοῖς ζώοις ἐνεργείας, ὑπὸ τῶν στερεῶν σωμάτων ἐν E αὐτοῖς γίνεσθαι, ἐπειδὰν μηδέπω ταῦτ' ᾖ κατεψυγμένα πρὸς τῶν ψυχόντων φαρμάκων, ἀναγκαῖόν ἐστι περιεῖναι τῷ ζώῳ· οὐ καταψύχεται δὲ, πρὶν εἰς τοὺς οἰκείους αὐτῶν πόρους ἐνδῦναι. τοῦτο δ' ἐξ αὑτῶν οὐχ ὑπάρχει τοῖς ἁδρομερέσι καὶ ψυχροῖς φαρμάκοις, εἰ μὴ τύχῃ τοῦ ποδηγοῦντος. ποδηγεῖ δὲ, ὡς τὸ μὲν πρῶτον αἴτιον, ἡ ὁλκὴ τῶν ἀρτηριῶν. ἐδείχθησαν γὰρ, ἐν τῷ διαστέλλεσθαι, πᾶν ἕλκουσαι τὸ πλησιάζον· ὡς δὲ τὸ δεύτερόν τε, καὶ ὑλικὸν, ἡ λεπτομέρεια τῆς οὐσίας, ἣν ἐξ ἑαυτῶν οὐκ ἔχοντα τὰ ψυχρότερα, καὶ παχυμερέστερα φάρμακα, δεῖται τῶν παρεξόντων. ὅσα τοίνυν ἐστὶ τῶν F σωμάτων ψυχρὰ ταῖς κράσεσι, τήν τε ὁλκὴν τῶν ἀρτηριῶν ἀσθενεστέραν ἔχει ταῦτα, τῶν θερμῶν, ἐδείχθη γὰρ καὶ τοῦτο καταθραύειν ταχέως εἰς μικρὰ, τὰς τῶν φαρμάκων οὐσίας ἀδυνατεῖ; κἀκ τούτου βραδύνον τὸ φάρμακον, ἐν τῷ χρόνῳ τι καὶ αὐτὸ πάσχειν εἰκὸς, ὥστ' ἔστιν ὅτε καὶ πεφθῆναι, καθάπερ καὶ ὁ τῆς θριδακίνης χυλός. ἐν γὰρ τῷ χρόνῳ καὶ οὗτος πέττεται·

φθάσας δὲ εἰς τὴν καρδίαν ἀκραιφνὴς ἐξικέσθαι, παραπλησίως ἀναιρεῖ κωνείῳ. πάσχουσι δὲ τοῦτο, καὶ οἱ ἄλλοι πάντες σφοδρῶς ψύχοντες χυλοί. εἰ γὰρ μὴ δυνηθεῖεν ἐν τάχει διαφθεῖραι, τουτέσθεν ἤδη παντάπασιν ἄπρακτοι καθίστανται. τοῖς δὲ κατὰ διάβρωσίν τε καὶ σῆψιν ἀναιροῦσιν, ἰσχυροῖς ὑπάρχει γίγνεσθαι χρονίζουσι. σήπεται γὰρ ἐν τῷ χρόνῳ πάντα, καὶ ἔτι μᾶλλον, ἐν ὑγρῷ καὶ θερμῷ χωρίῳ. δεόντως οὖν, οἷς μὲν ἐκ τοῦ ψύχειν ἡ βλάβη, τὸ τάχος τῆς ἐνεργείας εἰς ὄλεθρον συντελεῖ. θερμαινόμενα γὰρ τῷ χρόνῳ, τὴν δύναμιν ᾗ τὸ δρᾶν εἶχεν ἀπόλλυσιν. οἷς δ᾽ ἐκ τοῦ σήπεσθαι τὸ δρᾶν ἐστιν, αὐξάνει τὴν ἐνέργειαν ὁ χρόνος, ὅτι καὶ τὴν σῆψιν. ἀπολέσθαι μὲν γὰρ ζῷον οὐκ ἐγχωρεῖ οὐδέν, ἄνευ τοῦ παύσασθαι τὴν καρδίαν ἐνεργοῦσαν, οὐκ ἐνδέχεται δὲ παύσασθαι ταύτην, ἄνευ μεγίστης τινὸς δυσκρασίας. οὐ γὰρ δὴ ἁπλῶς θερμοτέρα τοῦ δέοντος εἰς ὅσον ἔτυχεν, ἢ ψυχροτέρα γενηθεῖσα, παύσεται κινουμένη. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδ᾽ εἰ ξηρὰ μετρίως, ἢ ὑγρὰ γένοιτο. χεῖρον μὲν γὰρ ἐνεργήσει διὰ τὰς τοιαύτας δυσκρασίας, ἀκίνητος δὲ οὐκ ἔσται, πρὶν ἐξαίσιόν τινα θερμασίαν, ἢ ψύξιν, ἢ τῶν ἄλλων τινὰ τῶν δραστικῶν ποιοτήτων ἀναδέξασθαι. παραπλήσιον δέ τι συμβαίνει τοῖς κατὰ ψύξιν ἀναιροῦσι φαρμάκοις, ὅταν ἐν τῷ πρὸς μὲν καρδίαν ἔρχεσθαι βραδύνῃ, τῷ πολλάκις ἐπὶ τῶν ὑγρῶν τε καὶ χλωρῶν ξύλων γιγνομένῳ. καὶ γὰρ καὶ ταῦτα, πολλὰ μὲν ἀθρόως ἐπιτιθέντα τῷ πυρὶ, κατασβέννυσιν ἐν τάχει, περιτεθέντα δ᾽ ἐν κύκλῳ πάντα, καὶ προξηρανθέντα, καὶ προθερμανθέντα, κἄπειτα τιθέμενα κατ᾽ ὀλίγον, οὐ μόνον οὐ κατασβέννυσιν, ἀλλὰ καὶ τροφὴ γίγνεται τοῦ πυρός. οὕτως οὖν καὶ τὸ κώνειον, ἄνθρωπον μὲν ἀναιρεῖ, τῇ τε τῶν πόρων εὐρύτητι, καὶ τῷ πλήθει τῆς θερμότητος, καὶ τῇ ῥώμῃ τῆς τῶν ἀρτηριῶν ὁλκῆς, ἰσχυρὸν ἔτι πρὸς τὴν καρδίαν ἀφικνούμενον. οὐκ ἀναιρεῖ δὲ τοὺς ψᾶρας, ἐπὶ τοῖς ἐναντίοις αἰτίοις, ἐπεχόμενόν τε καὶ βραδῦνον, καὶ φθάνον ἐν τῷ χρόνῳ προπέττεσθαι, καὶ προπαρασκευάζεσθαι, καθάπερ ἑστίᾳ τινὶ, τῇ καρδίᾳ προθερμαινόμενον, ὡς ἔξω τὸ ξύλον, ὥστε οὐδὲ τοῦτο θαυμαστὸν οὐδὲ ἄπορον, ἀλλ᾽ οἷόν τι καὶ ταῖς θριδακίναις ὑπάρχει. τρέφουσι γὰρ αὗται τοὺς ἀνθρώπους ἐσθιόμεναι συμμέτρως. εἰ δὲ καὶ θλίψας αὐτῶν τὸν χυλὸν, καταρροφήσειέ τις δαψιλῆ, τὸν αὐτὸν τρόπον τεθνήξεται τοῖς τὸ κώνειον, ἢ μηκώνειον προσενεγκαμένοις. ὡς οὖν ἡ θριδακίνη, φθάσασα μὲν ἀποψύξαι τὴν καρδίαν ἀναιρεῖ, πεφθεῖσα δὲ, τροφὴ γίνεται τοῦ ζῴου, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, καὶ τὸ κώνειον, ἄνθρωπον μὲν ἀναιρεῖ τῷ φθάνειν, ψᾶρας δὲ τρέφει, τῷ βραδύνειν. ἀναιρήσει δὲ οὐδὲ ἄνθρωπον, ἂν ὀλίγον ληφθείη. καὶ τοῦτο καὶ ἡ Ἀττικὴ γραῦς ἔδειξεν, ἧς ἅπαντες μνημονεύουσιν, ἀπ᾽ ἐλαχίστου μὲν ἀρξαμένη κωνείου, προελθοῦσα δὲ ἀλύπως ἐπὶ πλῆθος ἱκανόν. ἐξ ἀρχῆς μὲν γὰρ ἐνικήθη τὸ βραχὺ δι᾽ αὐτὴν τὴν ὀλιγότητα, τῷ δὲ ἐθισμῷ σύμφυτον ἐγένετο. καὶ οὐ νῦν καιρὸς ἀποδιδόναι τὴν αἰτίαν τοῦ πλεῖστον δύνασθαι τὰ ἔθη, καὶ φύσεις ἐπικτήτους, ὥσπερ οὖν εἴρηται πρὸς τῶν παλαιῶν, ὑπάρχειν. οὕτω γὰρ ἄν μοι τὸ πάρεργον μεῖζον τοῦ ἔργου γένοιτο, πρὸς τῷ καὶ γεγράφθαι κατὰ μόνας ὑπὲρ αὐτοῦ. συνάπτειν δὲ χρὴ καὶ περαίνειν τὸν ἐνεστῶτα λόγον.

A at si integer ad cor pergere properaret, non secus, atque cicuta hominem interficeret. Euenit autem id ipsum aliis quoque omnibus admodum refrigerantibus succis; nam nisi celeriter interimere possint, sanè ex hoc omnino nullius effectus redduntur. At quæ aut erosione, aut putredine enecant, iis vt tempore inualescant accidit; siquidem temporis spatio putrescunt omnia, idque magis in humido, calidóque loco. Meritò ergo fit, vt quæ frigore suo noxam inferunt, iis actionis celeritas ad perniciem proficiat; quippe quæ alioqui spatio excalefacta, vim, per quam agebant, deperdant: at quibus actio consistit in putredine, iis B tempus actionem adauget quoniam scilicet & putredinem. Nec enim animal vllum interire potest, quin cor ab agendi munere cesset; fieri porrò, vt cesset nequit, citra maximam intemperiem, siquidem non simpliciter quàm par est, aut calidius, aut frigidius, moueri desinet; eodem modo, si modicè siccum, aut humidum euadat. Minùs enim suo fungetur ob hasce quidem intemperies munere; cæterùm motu non vacabit prius, quàm immensam, aut caliditatem, aut frigiditatem, aut reliquarum qualitatum aliquam acceperit. Porrò C medicamentis, quæ frigore occidunt, vbi ad cor pergere cunctantur, simile quid accidit, quod lignis humidis viridibus frequenter euenit. Hæc siquidem si multa aceruatim in ignem coniiciantur, eum celerrimè extingunt; sin vndequaque in orbe composita priùs siccentur, ac incalescant, & deinde sensim iniiciantur, tantum abest, vt extinguant, vt etiam alimento illi efficiantur. Sic hominem quidem cicuta necat tum ob meatuum amplitudinem; calorísque multitudinem, tum ob attractionis arteriarum robur validum etiamnum ad cor pertingens; sturnos verò ob causas contrarias haud enecat, vtpotè cùm & retineatur, & cunctetur, ac sese temporis tractu concoqui præparaříque à corde, tanquam à foco incalescens sinat, D non secus, ac ligna extrinsecus. Quare nec id quidem mirum dubiúmque relinquitur, sed est quale lactucis accidit, quippe quæ moderato esu hominem nutriant; at si quispiam expressum earum succum largiter hauserit, non secus profectò morietur, quàm qui, aut cicutam, aut papauer sumpserit. Sicuti ergo lactuca si cor refrigerauit, interimit; sin concoquatur, alimentum animali efficitur, ad eundem, arbitror, modum cicuta hominem quidem celeritate distributionis interficit, E sturnos verò tarditate ipsa nutrit. Si verò exiguum quiddam sumatur, mortem homini nequaquam inferet. Id quod anus Atheniensis experimento docuit, cuius apud omnes percelebris memoria est. Etenim ea à minima cicutæ portione auspicata, nullo detrimento ad permagnam progressa est copiam; principio enim paucum exiguitate ipsa deuictum est, at consuetudo naturale reddidit. Nec enim nunc locus est, vt cur plurimum possit consuetudo, curque velut altera, ac adscititia natura sit, vt à veteribus proditum est, causam reddam; nam ita maius euaderet operis accessorium, quàm ipsum opus; vt omittam quòd separatim de hoc tractauimus. Verùm connectendus est perficiendúsque præsens sermo.

CAP.

A

CAPVT XIX.

Quòd medicamentorum, quæ frigiditate sua interimunt, nullum prorsus genere lethale sit, ac deleterium, sed sola quantitate.

EOrũ ergo medicamentorũ, quæ frigore interimunt, nullũ genere lethale est, sed sola quantitate; at in erodentibus, putrefacientibus, atq; calefacientibus haud ita se res habet; sed de his paulo post dicetur. Quæcunq; autẽ frigiditate occidunt, ea exigua quantitate sumpta mortẽ non afferent, non magis quã si copiosæ flãmæ pauxillũ aquæ instilles, aut lignũ iniicias humidũ, ac viride. Quemadmodũ itaq; nisi calorẽ habeant abundantẽ, qui tum cõminuat, tum ad cor vsq; perducat, interficere non poterunt: sic si quod cõminuit, ac deducit, multo valentius fuerit, prorsum deuincet, mutabitq; ac alimẽto, vt sibi sit medicamẽtũ, efficiet.

CAPVT XX.

Quòd medicamenta quæ natura sunt frigida, iure à veteribus potestate frigida appellentur.

QVamobrẽ eius quoque nũc protinus meminisse oportet, veteres medicamenta natura frigida, potestate dixisse frigida; nã ea quoq; quadantenus refrigerandi potẽtiam à nobis accipiũt, sicut calefaciendi calida. Quòd si alio modo illa, alio verò ista, nihil vtiq; refert; generale enim idẽ, cõmuneq; vtrisq; est, nẽpe alterationis principiũ ex passuro corpore in actũrũ medicamentũ procedẽs. Nam quæ potestate quidẽ sunt calida, alterantur eo duntaxat, quòd incalescant à nobis; at quæ natura frigida, tum quòd cõminuantur, tum quòd adscititium accipiant motũ. Quum itaq; ipsis tanquã frigidis agere absq; corporis patientis auxilio non licet, iure potestate frigida dicũtur; nã vt actu nos refrigerẽt, non prorsum ex sese obtinent, verũ à nobis priùs perpetiantur, vt refrigerent, oportet; etenim in minuta cõteri, & aduẽtitium motũ accipere, affectus sunt medicamentorũ. Attamẽ sicui libeat ea actu frigida nominare, haud equidem repugnẽ, modò omnis in verbo dissensio sit, res autẽ vtrisq; cõfessa; siquidẽ (quod paulo supra monuimus) id genus omnia calidum corpus, quo agere possint, postulant. Ea propter meconium hoc est succus papaueris, & cicuta, si vino mixta bibantur, ocyus necant, licet non quouis tẽperata modo. Si enim ipsa paucissima plurimo vino misceantur, prorsum deuinci possint; si verò pauculo multa, deducũtur quidẽ ad cor, vinci autẽ nequeunt. Siquis verò papaueris succũ, quantus interficere potest, hauserit, ac etiamnum tamen supersit, recta ratione & hunc quoque sanabit largẽ epotũ vinum vetus, magisq; etiam si generosum fuerit, nam id quoq; magis calefacit. Quòd verò cor nondũ admodũ refrixerit, quandoquidẽ adhuc homo viuit, tum autẽ distributionis in corpus tarditate quadãtenus mutatũ iam à corpore esse medicamentũ, sicuti lignum viride, vbi proximẽ ignem aliquandiu iacuerit, nec id quidẽ obscurum est. Calidum itaque id tẽporis vinum ebibitum præsentissimũ est remedium; nósque etiam quendam extremè iam refrigeratũ vini lesbij potione seruauimus. Potestque idem falernum, surrentinum, ariusium, tmolites austerum; ac quotquot calida simul exquisitè vinosa fuerint vina, eundem cum lesbio præstare valent effectum. In summa quod tenui perlucidá-

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι τῶν κατὰ ψύξιν ἀναιρούντων φαρμάκων, οὐδὲν ὑπάρχει τῷ γένει δηλητήριον, ἀλλὰ τῷ ποσῷ μόνον.

ΤΩν τοίνυν ἀναιρούντων κατὰ ψύξιν φαρμάκων, οὐδὲν ὑπάρχει τῷ γένει δηλητήριον, ἀλλὰ τῷ ποσῷ μόνον. ἐπὶ δέ γε τῶν διαβιβρωσκόντων τε, καὶ σηπόντων, καὶ θερμαινόντων, οὐχ ὡσαύτως ἔχει. ἀλλὰ περὶ μὲν τούτων, ὀλίγον ὕστερον ἐροῦμεν. ὅσα δὲ τῷ ψύχειν ἀναιρεῖ, ταῦτα οὐκ ἀναιρήσει, σμικρὰ τῷ πλήθει ληφθέντα, καθάπερ οὐδ' εἰ πολλῇ φλογὶ βραχὺ καταχέεις
B
ὕδωρ, ἢ ξύλον ἐνεπιθείης ὑγρόν τε καὶ χλωρόν. ὥσπερ γὰρ εἰ μὴ θερμασίαν ἔχοι δαψιλῆ, καταθραύουσάν τε καὶ ποδηγοῦσαν αὐτὸ μέχρι τῆς καρδίας, ἀδύνατον ἀναιρεῖν ἐστιν. οὕτως εἰ τὸ καταθραῦον αὐτὸ καὶ ποδηγοῦν, ἰσχυρότερον εἴη πολλῷ, τελέως ἐκνικήσει καὶ μεταβαλεῖ, καὶ τροφὴν ποιήσει αὐτῷ, τὸ φάρμακον.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ὅτι δὲ τὰ φύσει ψυχρὰ φάρμακα εἰκότως ὑπὸ τῶν ἀρχαίων δυνάμει ψυχρὰ προσαγορεύεται.

C
ΕΥθὺς μὲν οὖν ἐν τῷδε κἀκείνου μεμνῆσθαι χρή, τοῦ καὶ τὰ ψυχρὰ τῇ φύσει φάρμακα, δεόντως ὑπὸ τῶν ἀρχαίων εἰρῆσθαι δυνάμει ψυχρά. λαμβάνει γάρ πως καὶ ταῦτα τὸ ψύχειν ἐξ ἡμῶν, ὥσπερ καὶ τὸ θερμαίνειν, τὰ θερμά. εἰ δὲ καθ' ἕτερον μὲν ἐκεῖνα, καθ' ἕτερον δὲ καὶ ταῦτα τρόπον, οὐδὲν διαφέρει. τὸ γὰρ καθόλου, καὶ κοινὸν ἐν ἀμφοτέροις ταὐτόν, ἡ ἀρχὴ τῆς ἀλλοιώσεως ἐκ τοῦ μέλλοντος πάσχειν σώματος, εἰς τὸ μέλλον δρᾶσαι φάρμακον. ἀλλοιοῦται δὲ τὰ μὲν τῇ δυνάμει θερμά, τῷ θερμαίνεσθαι μόνον ὑφ' ἡμῶν, τὰ δὲ τῇ φύσει ψυχρά, τῷ καταθραύεσθαί τε, καὶ κίνησιν προσλαμβάνειν ἐπίκτητον. ἐπεὶ τοί-
D
νυν, ὡς ψυχροῖς αὐτοῖς δρᾶν, οὐκ ἄνευ τοῦ πάσχοντος σώματος ὑπάρχει, δεόντως εἴρηται δυνάμει ψυχρά. τὸ γὰρ ἐνεργείᾳ ψύχειν ἡμᾶς, οὐκ ἔχει τελέως ἐξ αὑτῶν, ἀλλὰ πρότερον ὑφ' ἡμῶν δεῖται παθεῖν, ἵνα ψύξῃ. τό τε γὰρ εἰς μικρὰ καταθραυσθῆναι, καὶ τὸ κίνησιν ἐπίκτητον προσλαβεῖν, πάθη τῶν φαρμάκων ἐστίν. τῷ μέντοι βουλομένῳ καλεῖν ἐνεργείᾳ ψυχρά, καὶ τὰ τοιαῦτα, συγχωρητέον, ἐν ὀνόματι λοιπὸν ἐσομένης τῆς διαφωνίας, ἐὰν ὁμολογῆται τὸ πρᾶγμα. δεῖται γάρ, ὡς ἄρτι δέδεικταί μοι, τὰ τοιαῦτα πάντα, θερμοῦ σώματος εἰς τὸ δρᾶσαι. καὶ διὰ τοῦτο δὲ τὸ μηκώνειον, καὶ τὸ κώνειον οἴνῳ μιχθέντα, θᾶττον ἀναιρεῖν
E
πέφυκεν, ἀλλ' οὐκ ἐν ἁπάσῃ συμμετρίᾳ. παμπόλλῳ μὲν γὰρ ἐλάχιστα κραθέντα, κἂν νικηθείη τελέως. ὀλίγῳ δὲ πολλά, ποδηγεῖται μὲν ἐπὶ τὴν καρδίαν, νικᾶσθαι δὲ οὐ δύναται. εἰ δὲ καὶ φθάνοι μέν τις ἤδη πεπωκὼς ὀπὸν μήκωνος ὃς ἀναιρεῖν μὲν πέφυκεν. ἔτι δὲ εἴη ζῶν, εὐλόγως καὶ τοῦτον ἰᾶται ὁ παλαιός, καὶ πολὺς οἶνος πινόμενος, καὶ μᾶλλον εἰ τῶν εὐώδων εἴη, καὶ γὰρ καὶ θερμαίνει μᾶλλον. ὅτι μὲν γὰρ οὔπω κατέψυκται σφοδρῶς ἡ καρδία, δῆλον ἐκ τοῦ ζῆν ἔτι τὸν ἄνθρωπον. ὅτι δὲ πάντως ἐν τῷ βραδεῖ τῆς ὁδοιπορίας, προμεταβέβληταί πως ἤδη τὸ φάρμακον ὑπὸ τοῦ σώματος, ὥσπερ τὸ χλωρὸν ξύλον ὅταν ἐγγὺς εἴη κεί-
F
μενον τοῦ πυρός, οὐδὲ τοῦτο ἄδηλον. οἶνος οὖν ἐν τούτῳ θερμὸς πινόμενος, ἄριστον ἴαμα, καὶ ἡμεῖς ἤδη τινὰ κατεψυγμένον ἐσχάτως ἀνεσώσαμεν οἴνῳ Λεσβίῳ. δύναιτο δ' ἄν, καὶ Φαλερῖνος, καὶ Σουρρεντῖνος, Ἀριούσιός τε καὶ Τμωλίτης ὁ αὐστηρός, οἵ τε ἄλλοι πάντες θερμοί, καὶ ἀκριβῶς οἰνώδεις οἶνοι τὴν αὐτὴν ἐνέργειαν ἐπιδείξασθαι τῷ Λεσβίῳ. καθόλου γὰρ ὃς ἂν ᾖ λεπτὸς μὲν

καὶ διαυγὴς τὴν σύστασιν, κιῤῥὸς δὲ, ἢ ξανθὸς τὴν χρόαν, εὐώδης τε κατὰ τὴν ὀσμὴν, κἂν τῷ κεράννυσθαι πλείστου δεόμενος ὕδατος, ἱκανῶς θερμαίνειν πέφυκε, καὶ πάντη τοῦ σώματος ῥᾳδίως φέρεσθαι. τοιοῦτος οὖν οἶνος τῇ φύσει, καὶ παλαιὸς τὴν ἡλικίαν, ἀκρατέστερος κεραννύμενος, ἰᾶται καὶ τοὺς ἤδη κατεψυγμένους, οὐχ ὑπὸ μήκωνος ὀποῦ μόνον, ἤ τινος ἄλλου τῶν τοιούτων ψυχόντων φαρμάκων, ἀλλὰ καὶ τοὺς ἤτοι στομαχικῶς, ἢ καρδιακῶς ἐν νόσοις συγκοπτομένους. ὁ δὲ σὺν αὐτοῖς τοῖς ψύχουσι φαρμάκοις πινόμενος, ὑπὲρ τοῦ θᾶττον ἀναιρεῖν, οὔτε πολύς ἐστιν, οὔτ' εὐγενής, ἀλλ' ὅσον εἰς τὸ καταθραῦσαί τε, καὶ παραπέμψαι μόνον ἐπὶ τὴν καρδίαν αὐτὰ, τῇ ῥύμῃ τῆς ἀναδόσεως. καὶ περὶ μὲν τούτων ἀρκείτω ταῦτα.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῆς ἐνεργείας τῶν κατὰ σηπεδόνα, καὶ διάβρωσιν ἀναιρούντων φαρμάκων.

Ἐπεὶ δὲ καὶ περὶ τῶν κατὰ σηπεδόνα, καὶ διάβρωσιν ἀναιρούντων φαρμάκων ἐρεῖν ὑπεσχόμην, ὡς ἐν τῷ χρόνῳ χείρω γίγνεται, καὶ τῷ γένει φθαρτικὰ τῆς ἡμετέρας ὑπάρχει φύσεως, οὐχ ὡς τὰ ψύχοντα τῷ πλήθει μόνον, ἤδη μοι καιρὸς ἂν εἴη, καὶ περὶ τούτων εἰπεῖν. καὶ γάρ πως καὶ συνῆπται κατά τι, τοῖς περὶ τῶν δυνάμει θερμαινόντων φαρμάκων ὁ λόγος αὐτῶν. εἰκὸς μὲν γὰρ εἶναι τά γε πλεῖστα τῶν τοιούτων ἤδη θερμὰ, καὶ κατ' ἐνέργειαν, ἀλλ' ἡμᾶς λανθάνειν, ἢ ὅτι πλείονος αὐτοὶ μετέχομεν θερμασίας, ἢ ὅτι παχυμερὴς αὐτῶν ἐστιν ἡ οὐσία. πάλιν γὰρ τῶν αὐτῶν ἀναμνησθῶμεν, ὡς ἐν τῷ βαλανείῳ ψυχρὸν ἡμῖν φαίνεται τὸ οὖρον. ἀναμνησθῶμεν δὲ, καὶ ὡς εἰς δεξαμενὴν θερμὴν ἐνίοτε καταβῆναι μὴ δυνάμενοι, προκαταβάντες εἰς ἑτέραν ἧττον αὐτῆς θερμὴν, ἀλύπως ἐχρησάμεθα τῇ τέως ἀφορήτῳ φαινομένῃ. καὶ μὲν δὴ καὶ τὸ πηγαῖον ὕδωρ ἐν χειμῶνι, τοῖς μὲν ψυχρὰς ἔχουσι τὰς χεῖρας φαίνεται χλιαρὸν, τοῖς δὲ ἄλλοις οὐ φαίνεται τοιοῦτον. καθόλου γὰρ, ὡς καὶ πρόσθεν ἐλέγετο, κατὰ τὴν ἑαυτοῦ διάθεσιν, ἕκαστον τῶν σωμάτων αἰσθάνεται τῶν πλησιαζόντων. οὕτω γοῦν ἐὰν μὲν ψυχρὰν ἔχων τὴν χεῖρα καθήσῃ εἰς σωρὸν πυρῶν, αἰσθήσῃ σαφῶς θερμότητος, ἐὰν δὲ θερμὴν, οὐκ αἰσθήσῃ. σωρῷ μέντοι κόπρου περιστερῶν, καὶ μάλιστα τῶν ἀγρίων, κἂν θερμὴν ἐνθῇς τὴν χεῖρα, σαφοῦς αἰσθήσῃ θερμασίας. οὕτω δὲ καὶ μίσυ, καὶ σῶρυ, καὶ χαλκῖτις, ἰός τε, καὶ τίτανος, καὶ ἕτερα μυρία τῶν τοιούτων, εἰ σεσωρευμένοις αὐτοῖς ἐμβάλῃς τὴν χεῖρα, παραχρῆμά σοι φανεῖται θερμά. βῶλον μέντοι λαβὼν ἐξ αὐτῶν τινα, τὴν ἐκτὸς ἐπιφάνειαν ὑπὸ τοῦ ἐκτὸς καὶ πέριξ ἀέρος κατεψυγμένην, εὐλόγως οὐδεμιᾶς αἰσθήσῃ θερμότητος. ἐκ γὰρ τῶν κατεψυγμένων αὐτῆς ἅψῃ μορίων, καὶ πρὶν εἰς λεπτὰ καταθραῦσαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐν χειμῶνι πολλάκις, ἢ φρεατιαῖον ὕδωρ, ἢ ἄλλως πηγαῖον, ἔφαινε θερμὸν τοῖς ἁπτομένοις, ἀλλ' εἰ προθερμήνας τις τὰς χεῖρας ἅπτοιτο, φανεῖται ψυχρόν. ἕτερά τε μυρία τοιαῦτα δυνατὸν ἀναμιμνήσκειν ἐστὶν, ἐξ ὧν οὐκ ἄν τις ἀπιστήσειεν, ὡς τὰ δυνάμει θερμὰ τῶν φαρμάκων, ὡς πρὸς ἡμᾶς, ἑτέρῳ γένει ζώων ἐστὶν ἐνεργείᾳ θερμά.

A que substantia est, colore vermiculo aut flauo, odore gratum, quódque dum temperatur, plurimam aquam exposcit, id tum admodum excalefacere est natum, tum facilè vndique per corpus vniuersum deferri. Tale ergo natura vinum, ætate vetus, meracius temperatum, eos etiam qui refrigerati iam sunt persanat, nec solùm à papaueris succo, aut alio quopiam refrigerantium medicamentorum, verùm etiam qui in morbis aut ex stomachi, aut ex cordis affectu, syncopen patiuntur. At quod cum refrigerantibus medicamentis, quò celeriorem mortem afferant, bibitur, id nec multum est, nec generosum, sed quod B comminuere ea, ac distributionis sui impetu in cor perducere modò valeat. Atque de his quidem hæc sufficiant.

CAPVT XXI.

De actione medicamentorum, quæ putrefactione & erosione nos enecant.

QVoniam autem de iis etiam medicamentis quæ erosione ac putredine interimere sunt nata, dicturum me, quòd tempore perniciosiora C reddantur, & ipso genere naturam nostram corrumpere possint, non vt refrigerantia duntaxat multitudine, sum pollicitus, tempus nunc est promissis satisfacere. Coniuncta est enim quadantenus quæ de his habetur oratio, iis, quæ de medicamentis potestate calidis dicuntur; verisimile siquidem est pleraq; eorum etiam actu esse calida, sed iccirco nos fugere, quoniam aut ipsi plurimum habeamus caloris, aut crassa eorum essentia sit. Redigamus enim eadem rursum in memoriam, nempe quòd in balneo frigida videatur vrina; itidémque memoria repetamus, quòd quum in solium calidum descendere non valeremus, aliud D prius minus calidum ingressi, nullo negocio, quod antea intolerandum videbatur, postea pertulerimus. Quin & aqua fontium tempore hyberno quibus manus algent, tepida apparet, quum aliis minimè videatur eiusmodi. In summâ enim (id quod antea quoque diximus) pro suo vnũquodque affectu corpora admota sentire consueuit; sic ergo si manum habens frigidam, eam in tritici aceruum immiseris, luculenter calorem percipies; sin calidam, nequaquam. At si stercori columbino accumulato, potissimum syluestrium columbarum, manum inseras, etiam si calidam, manife- E stam tamen senties caliditatem. Sic misy, sory, chalcitis, ærugo, calx, aliáque id genus innumera, si illis aceruatis manum altiùs injicias, protinus videbuntur esse calida. Cæterùm si bolum ex eis vnam acceperis, cuius extrinseca superficies ab ambiente extrinsecus aëre sit refrigerata, meritò nullum percipies calorem, quippè qui refrigeratas tantum eius partes contingas, idque antequam in minutas redactæ sint. Ad eũdem modum hyeme sæpenumero tum putealis, tum magis fontalis, calida tangentibus est visa, verùm si quis calefactis priùs manibus contigerit, frigida videbi- F tur. Memoraríque sanè possint alia id genus infinita, quibus facile adduci quiuis possit, vt credat, medicamenta potestate vt ad nos calida, alteri animantium generi actu esse calida.

CAPVT XXII.

Quòd rectè quæ erodendo putrefaciendóque interimunt medicamenta, genere non qualitate deleteria sunt dicta; & quòd quantò in corpore morantur diutius, tantò & magis agere sunt nata.

At quehæc quidem obiter dicta sunt. Cæterùm quæ nos contactu, aut per putredinem, aut per erosionem, interficiunt (nam de his habebatur oratio) ea rectà quidem ratione humanæ naturæ deleteria toto genere existimata sunt, non vt refrigerantia duntaxat quantitate; hæc interdum vincuntur, & nutrimentum animali redduntur; putrefacientia autem, etiam si quantitate minima sumantur, omnino tamen corrumpunt, quia videlicet, quæ putredini obnoxia sunt, calore humiditatéque putrescere solent; atqui calidus humidúsque sanguis est. Itaque putrescere nunquam cessare possunt simúlque vicissim putrefacere, quæ σηπεδονώδη à putrefactione vocantur medicamenta. Proinde lõgo etiam post tẽpore, à quo sũpta sunt, nõnulla interimũt, potissimũ quæ crassa terrenáq; essentia sunt. Hæc enim corporibus nostris inhærentia insidẽtiáque, dein tẽporis spatio putrescentia, erodunt corrũpuntq; vicinas corporis partes.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Ὅτι εὐλόγως τὰ κατὰ διάβρωσιν ἢ σῆψιν ἀναιροῦντα φάρμακα, τῷ γένει καὶ οὐ τῷ ποσῷ δηλητήρια ὑπάρχειν εἴρηται, καὶ ὅτι ὅσῳ ἂν χρονίζῃ ἐν τῷ σώματι, τοσούτῳ καὶ μᾶλλον ἐνεργεῖν πέφυκεν.

Τοῦτο μὲν οὖν, οἷον ὁδοῦ τι πάρεργον λελέχθω. τὰ δὲ ἐν τῷ πλησιάζειν ἡμῖν, ἤτοι κατὰ διάβρωσιν, ἢ κατὰ σῆψιν ἀναιροῦντα (περὶ τούτων γὰρ ἦν ὁ λόγος) εὐλόγως ὑπείληπται τῷ γένει δηλητήρια τῆς ἀνθρωπίνου συστάσεως ὑπάρχειν, οὐχ ὥσπερ τὰ ψύχοντα τῷ ποσῷ μόνον. ταῦτα μὲν γὰρ καὶ νικᾶταί ποτε, καὶ τροφὴ γίγνεται τοῦ ζώου, τὰ δὲ σηπόμενα, κἂν ἐλάχιστα τοῖς ὄγκοις ληφθῇ, πάντως διαφθείρεται. τῷ σήπεσθαι μὲν ἅπαντα τὰ σηπτά, θερμαινόμενά τε καὶ ὑγραινόμενα, θερμὸν δὲ ἐστὶ καὶ ὑγρὸν τὸ αἷμα. παύσασθαι τοίνυν οὐδέποτε δύναται σηπόμενά τε καὶ αἴτια σήποντα, τὰ σηπεδονώδη φάρμακα. καὶ διὰ τοῦτο μετὰ πάμπολυν ἔνια χρόνον ἀναιρεῖ τοῦ ληφθῆναι, καὶ μάλισθ᾽ ὅσα παχυμερῆ καὶ γεώδη ταῖς οὐσίαις ἐστίν. ἐνιζάνοντα γὰρ ταῦτα τοῖς σώμασιν ἡμῶν, εἶτα ἐν τῷ χρόνῳ σηπόμενα, διαβιβρώσκει τε καὶ συνδιαφθείρει τὰ πλησιάζοντα τοῦ ζώου μόρια.

CAPVT XXIII.

Qua causa putrefacientia medicamenta, licet genere lethalia sint, non tamen perpetuò occidant.

At quæ tenuiora sunt, etiam excerni interim cum excrementis possint; feréque accidit vt duas ob causas istas quandoq; medicamenta putredine, erosionéve necantia non interficiant; vnã videlicet, quam modò admodũ dicere desij, nẽpe quum vnà cũ excrementis excernuntur priùs, quã iniuria corpus afficiant; alterã, si cui accipienti bona faueat fortuna, videlicet, aut cibis, aut quæ alioqui cõferunt, vtenti; aut medicũ qui curando pręsit, nacto: nam, vbi grauis ab iis noxa illata est, malum, neq; victus ratione, neq; generosorũ medicamentorum, medicíque auxiliantis ope, sisti potest. Quòd si prorsũ exile sit deleteriũ, nihil repugnat, quò minùs quoque nihil perficiat, propterea quòd cũ recremẽtis excerni possit, aut idonea victus ratione superari; vtputa si cantharidis sit centesima drachmæ particula; nã id priusquam noxam animali inferat, vnà cum vrinis excernitur. Sanè cantharides vrinã cientibus medicinis miscẽtur, sicut pleraq; alia lethalia alexipharmacis, hoc est amuletis. Atque id genus medicamenta cõposita si aptè mixta fuerint, omninò efficacissima sunt, quoniam admodũ quod ex catharide cõficitur, vrinæ mouendæ accommodum est. Feruntur enim alioqui spontè sua cãtharides per vrinã ad vesicam, atque sic rodẽdo eam exulcerant; verũ vbi paucum ex illis, multis miscetur bonis, atq; vtilibus, illa quidẽ velut manu ducũt, rodere tamen nequeunt. Opus est enim vt quicquid agat, etiam si sit valentissimũ, aliquam tamen & magnitudinem habeat; quando nimirum & ignis ipse si prorsum minimus sit, pręterquam quòd non vret, nec calefaciet quidem; quippe quũ & cẽtesima scintillæ portiuncula sensu nobis sit imperceptibilis. Ex quibus patet, quæcunq; frigiditate interimunt, si paucula sumantur,

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Διὰ ποίαν αἰτίαν τὰ σηπεδονώδη τῶν φαρμάκων, τῷ γένει ὄντα δηλητήρια οὐκ ἀεὶ ἀναιρεῖ.

Τὰ μὲν γὰρ λεπτομερέστερα, κἂν ἐκκριθείη ποτὲ μετὰ τῶν περιττωμάτων, καὶ σχεδὸν διὰ δύο ταύτας αἰτίας, οὐκ ἀνεῖλέ ποτε, τῶν κατὰ σηπεδόνα καὶ διάβρωσιν ἀναιρούντων, ἔνια. μίαν μέν, ἣν νῦν πέπαυμαι λέγων, ὅταν ἅμα τοῖς περιττώμασιν ἐκκριθέντα τύχῃ, πρὶν ἀδικῆσαι τὸ σῶμα. τὴν δὲ ἑτέραν, ὅταν εὐτυχήσῃ πως ὁ λαβὼν αὐτά, χρώμενος ἐδέσμασιν, ἢ τοῖς ἄλλως ἂν ὠφελήσασιν, ἢ τινος ἐπιστατοῦντος, εἰ οὕτως ἔτυχεν, ἰατροῦ. μεγάλης μὲν γὰρ οὔσης τῆς βλάβης ἀπ᾽ αὐτῶν, οὐκ ἐγχωρεῖ καταστῆναι, διαίτῃ, καὶ χρείᾳ γενναίων τε φαρμάκων, καὶ ἰατροῦ βοηθοῦντος. εἰ δὲ παντελῶς ὀλίγον εἴη τὸ δηλητήριον, ἐνδέχεται καὶ τοῦτο μηδὲν ἀνύσαι, τῷ γε μετὰ τῶν περιττωμάτων ἐκκριθῆναι, καὶ τῇ δεούσῃ διαίτῃ χρήσασθαι τὸν ἄνθρωπον, οἷον εἰ κανθαρίδος εἴη μέρος ἑκατοστὸν τῆς δραχμῆς. ἐκκριθήσεται γὰρ ἅμα τοῖς οὔροις τοῦτο, πρὶν ἀδικῆσαι τὸ ζῷον. ἀμέλει καὶ μίγνυται κανθαρίδος, οὐρητικοῖς φαρμάκοις, ὥσπερ καὶ πλείστων ἄλλων θανασίμων, τοῖς ἀλεξιφαρμάκοις. καὶ τά γε τοιαῦτα τῶν συνθέτων φαρμάκων ὅταν ἐπιτηδείως μιχθῇ, δραστικώτατα γίνεται, καθάπερ καὶ τὸ διὰ τῆς κανθαρίδος οὐρητικόν. ἔστι μὲν γάρ πως καὶ ἄλλως ἡ ὁρμὴ ταῖς κανθαρίσιν ἐπὶ κύστιν δι᾽ οὔρων, οὕτω γοῦν αὐτὴν ἑλκοῦσιν ἀναβιβρώσκουσαι. ἀλλ᾽ ὅταν ὀλίγον αὐτῶν πολλοῖς χρηστοῖς μίγνυται, ποδηγεῖ μὲν ἐκεῖνα, διαβιβρώσκειν δὲ οὐ δύναται. δεῖ γάρ, οἶμαι, παντὶ τῷ δράσοντι κἂν ἰσχυρότατον ᾖ, ποσοῦ τινος μεγέθους, ὅπου γε καὶ τὸ πῦρ εἰ παντελῶς ἐλάχιστον εἴη, πρὸς τῷ μὴ καίειν, οὐδὲ θερμαίνειν δύναται. τὸ γοῦν ἑκατοστὸν μέρος τοῦ σπινθῆρος, ἀναίσθητον ἡμῖν ἐστιν. ἐξ ὧν ἁπάντων εὔδηλον, ὡς ὅσα μὲν τῷ ψύχειν ἀναιρεῖ, βραχέα ληφθέντα,

δύναιτ' ἂν θρέψαι τὸ σῶμα, καθάπερ καὶ ὁ τῆς θριδακίνης χυλός. ὅσα τε τῷ διαβιβρώσκειν, ἢ σήπειν, οὐχ οἷά τε τρέφειν ἐστὶν, οὐδ' ἂν ὑπὸ σμικρότητος ἀλύπως διεξέλθῃ τὸ σῶμα. τῷ γένει γάρ ἐστι τὰ τοιαῦτα τῆς ἀνθρώπου συστάσεως ἐναντία.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Ὅτι κἀν τοῖς φαρμάκοις ἡ ἑτερομιξία τῶν ἑτερογενῶν οὐσιῶν εὑρίσκεται, καὶ διὰ τοῦτο κἀν ταῖς ἀποτυχίαις τῶν καθαρτικῶν, ποτὲ μὲν ἔσχατον ἐβλάβημεν, ποτὲ δ' οὐδ' ὅλως. φαρμακώδη μὲν γὰρ δύναμιν ἐπιμεμιγμένην ἔχοντα, εἰς τὸ φθαρτικὸν ἐκτρέπεται. μὴ ἔχοντα δὲ, δηλητήριον δύναμιν πέττεται καὶ γεννᾷ τοιοῦτον χυμὸν οὗπερ ἑλκτικά.

ΚΑθάπερ ἐπὶ τῶν χυλῶν ἔμπροσθεν εἴπομεν, ὡς σχεδὸν οὐδεὶς αὐτῶν ἐστιν ἄμικτος ἀλλοτρίας ποιότητος, ἀλλὰ κἀν δένδροις κἀν ταῖς πόαις κἀν τοῖς καρποῖς ἀναμεμιγμένοι τοῖς ἑτερογενέσιν εἰσὶν, οὕτω χρὴ νοῆσαι, κἀν τοῖς φαρμάκοις ἀναμεμίχθαι πολλῶν ἑτερογενῶν οὐσίας. εὕροις γοῦν ἂν, εἰ λογίζοιο, κόκκον Κνίδιον διαφέροντα κνίκου, τῷ πλείστης μετέχειν θερμότητος. τὴν μὲν γὰρ ὁμοιότητα τῶν οὐσιῶν ἀμφοτέρων, ἔνεστί σοι καὶ διὰ τῆς ἁφῆς, καὶ τῆς ὄψεως καταμαθεῖν. καὶ τρίτον ἐπὶ τούτοις, ὡς ἐστὶν ἀμφότερα φλέγματος ἀγωγά. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ὡς οἰκειότητι τῶν ἐν ταῖς οὐσίαις ποιοτήτων, αἱ ὁλκαὶ συντελοῦνται. μέμικται μὲν γὰρ θερμότητος ἱκανῆς τῷ κόκκῳ, καὶ ταύτῃ τοῦ κνίκου διαφέρει. καὶ διὰ τοῦτο ἔνια τῶν καθαρτικῶν φαρμάκων ὅταν ἀποτύχῃ καθαίροντα, τὰ μὲν πρὸς τῷ μηδὲν βλάπτειν τὸ σῶμα, καὶ τροφὴ γίγνεται τοῦ ζώου, τὰ δὲ εἰς τὸ φθαρτικόν τι καὶ δηλητήριον ἐκτρέπεται. πάντως μὲν γὰρ ὁμοιότητά τινα ἔχει τὸ καθαῖρον φάρμακον ἑνί γέ τῳ τῶν ἐν ἡμῖν χυμῶν, οὐκ ἐξ ἅπαντος δὲ ἐπιμέμικταί τις αὐτῷ δηλητήριος δύναμις, ὥστ' οὐδ' ἐξ ἅπαντος ἀδικήσει μὴ καθᾶραν, ἀλλὰ πεφθήσεταί τε, καὶ γεννήσει τοιοῦτον χυμὸν οἷόυπερ ἦν ἑλκτικόν.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Διὰ τί καθάπερ τῇ τῶν ποιοτήτων οἰκειότητι αἱ ὁλκαὶ γίνονται, καὶ τὰ καθαρτικὰ αὐτὰ μὲν ἀεὶ ἕλκει τοὺς οἰκείους χυμοὺς, αὐτὰ δ' ὑπὸ τῶν οἰκείων χυμῶν οὐχ ἕλκεται, ἢ ὅτι δραστικώτερά πώς ἐστι τὰ καθαρτικὰ ὡς ἕλκειν μᾶλλον ἢ ἕλκεσθαι.

ΟΥΚ ἀγνοῶ δὲ ὅτι τοῖς τοιούτοις λόγοις ἱκανῶς ἀκολουθεῖν οὐκ ἐγχωρεῖ, μὴ προγεγυμνασμένοις ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν. ἐδείχθησαν γὰρ ἐν ἐκείνοις, ὡς ἐν οἰκειότητι ποιοτήτων, ὁλκαὶ πλεῖσται γίνονται, καὶ διὰ τοῦτο, καὶ τῶν τοῦ ζώου μορίων ἕκαστον, εἰς ἑαυτὸν τὴν οἰκείαν ἐπισπᾶται τροφήν. ἕπεται δὲ τῷ δόγματι τούτῳ, καὶ τὰ καθαίροντα φάρμακα, τοῖς μὲν ἑλκομένοις χυμοῖς ὑπάρχειν οἰκεῖα, δραστικώτερα δέ πως εἶναι τὰ ἕλκοντα, καθάπερ καὶ ἡ Μαγνῆτις λίθος τοῦ σιδήρου. σιδηρίζει μὲν γὰρ καὶ αὐτὴ, κἀν τοῖς τοῦ σιδήρου μετάλλοις εὑρίσκεται, καὶ δεινῶς αὐτῷ προσέοικεν τὴν ἰδέαν, ἀλλ' ἰσχυροτέρα πώς ἐστιν, ὡς ἕλκειν μᾶλλον, ἢ ἕλκεσθαι. καὶ μὲν δὴ καὶ τὸν κνίκον οὐκ ἀπελπιστέον εἶναι φλεγματώδη,

A nutrire corpus posse, velut lactucæ succum; at quæ putrefaciendo, erodendóque, ea nunquam nutrire, ne si præ paruitate quidem innoxiè corpus permeent; genere namque talia humanæ aduersantur naturæ.

CAPVT XXIV.

Quòd in medicamentis dissimilaris substantiæ sit mixtura, ac proinde vbi sine suo purgantia frustrantur, interdum quidem extremè lædimur, interdum verò nequaquam; quæ namque permixtam veneno habent facultatem, in corruptiuum vertuntur; quæ verò non habent, deleteriam facultatem B *coquunt, talemq; succũ generant, qualẽ attractoria.*

QVemadmodũ autem in saporibus antè monuimus, nullũ propè eorum alienæ esse qualitatis expertem, verùm, siue in arboribus, siue in herbis, siue in fructibus, mixtos semper alterius generis esse saporibus: ita in medicamentis intelligere oportet, multas diuersi generis mixtas esse substantias; id quod inuenias, si consideres granum cnidium hoc à cnico differre, quòd plurimũ habeat caliditatis. Nam similitudinẽ vtriusq; substantiæ tactu, visúq; cognoscere liceat; C præterquęea, tertium est, quòd ambo pituitam detrahant, ostensum est siquidẽ nobis in cõmentariis de naturalibus facultatibus, quòd qualitatũ, quæ in substantiis sunt, proprietatibus attractiones perficiantur. Attamen grano cnidio multum permixtũ caloris est, qua re à cnico distat. Idcirco purgantium medicamentorum, vbi fortè purgatione frustrantur, quædã extra quàm quòd noxam corpori nullam afferunt, etiam alimentum homini præbent; alia verò in corruptionẽ, ac tanquam in venenum vertuntur. Prorsum enim medicamentũ purgans, D vel cum vno saltem humorum, qui in corpore sunt nostro, similitudinem obtinet, non autem perpetuò permixta est vis aliqua venenosa; quamobrem, nec perpetuò, licet non purget, iniuria afficiet, verùm concoctionem recipiet, talémque producet humorem, qualem trahere natum erat.

CAPVT XXV.

Quamobrem quum qualitatum proprietate attractiones perficiantur, purgantia medicamenta perpetuò humores attrahant familiares, nec tamen vnquam E *à familiaribus attrahantur; aut quod purgantia medicamenta efficaciora quodammodo sint, vt trahant potius quàm trahantur.*

NOn autem me fugit, qui in naturalium facultatum commentariis exercitatus ante non sit, hasce ratiocinationes non satis consequi posse. Demonstratum enim ibi est plerasque perfici attractiones qualitatum familiaritate; proinde quanque sigillatim animantis particulam familiare sibi nutrimentum attrahere. Ad quam sententiam, seu dogma sequitur medicamenta purgantia esse quidem detrahendis humoribus familiaria, F verùm quæ attrahunt, quodãmodo esse efficaciora, valentioráque sicuti magnes lapis ferro: quippe qui ad ferri naturam accedat, ínque ferri metallis reperiatur, eíque magnopere specie persimilis sit; verùm fortior est quodam modo, vt attrahere sit aptior, quàm attrahi. Quin nec cnicum quoque à pituitæ natura alienum esse diffidendum est, vti

vti colore suo præsefert; sed tamen calore ipso quàm pituita valentior est, vt trahere, quàm trahi magis par sit. Ad eundem modũ granum cnidium si quãdo fortè à corpore nostro vincatur (id quod assiduè cnico vsu venit, rarius autem grano cnidio, nimirum ob robur) vice purgationis alimentum efficitur; velut veratrũ semper coturnicibus. Volo autem (quandoquidem in hunc sermonẽ descendimus) logici cuiuspiam meminisse theorematis quod & in cõmentariis de demonstratione monstrauimus, cæterùm in rem præsentem haud inutilis. Est autem theorema eiusmodi. Demonstrationum aliæ, quòd ex necessitate hoc illi insit, concludunt; aliæ quòd inesse possibile est. Harum ipsarum quædam in id, quod ex necessitate inest, recidunt, quãdo videlicet ex necessariis cõsequuntur principiis, velut in hoc ipso quod modo monstrauimus. Siquidem in grano cnidio, & cnico pituitosum inesse succum euidenter monstrare non est; tamen posse esse, ac probabile verisimileque esse, ratione colligitur. Sed quia attractiones substantiarum fieri similitudine ostendimus (demonstratum enim subinde est, in purgationibus attractionem esse eorum, quæ purgantibus medicamẽtis similia sunt, haud verò omnium simul succorũ alterationẽ) similitudinem inesse quandam vtrisque substantiis, & eius videlicet quod purgat, & eius quod purgatur, necesse est. Porrò quum, quod purgatur, pituita est, quod trahit, pituitosum sit oportet. Pituitosum autem esse oportere quod trahit diximus, non autem planè pituitam; etenim similitudinem inesse substantiis diximus, non identitatem; contrarium enim cernimus. Nam neque ferrum attrahit ferrum, neque caro carnem, sed lapis sideritis ferrum, caro sanguinem. Differunt enim, mea quidẽ sententia, idem & simile; quippe pituitæ pituita eadem est, & cnicum cnico, similis autem pituitę cnicus, non tamen idem. Neq; enim quæcunque edulia aut biliosa, aut pituitosa dicimus, perinde tanquam bilem, aut pituitam continerent sic nuncupamus. Huius enim opinionis absurditatem deteximus quum in naturalium facultatum commentariis, tum multis alibi locis.

A ὡς ἐν τῇ χρόᾳ δείκνυσιν, ἀλλ' ὑπὸ θερμότητος ἰσχυρότερος φλέγματος, ὡς ἕλκειν μᾶλλον, ἢ ἕλκεσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ὁ Κνίδιος κόκκος, ἀλλ' ἐὰν ποτε νικηθείη ὑπὸ τοῦ σώματος ἡμῶν (συμβαίνει δὲ κνίκῳ μὲν συνεχῶς τοῦτο, τῷ κόκκῳ δ' οὐ πάνυ τοι, διὰ τὴν ἰσχὺν) ἀντὶ τοῦ καθαίρειν γίνεται τροφὴ, καθάπερ ὁ ἐλλέβορος, ὀρτύγων ἀεί. βούλομαι δὲ, ἐπεὶ κατὰ τούτου τοῦ λόγου γέγονα, καί τινος θεωρήματος ἀναμνῆσαι λογικοῦ, δεδειγμένου κἀν τοῖς περὶ ἀποδείξεων ὑπομνήμασιν, εἰς τὰ παρόντα χρησίμου. ἔστι δὲ τὸ θεώρημα τοιόνδε. τῶν ἀποδείξεων, αἱ μὲν ὡς ἐξ ἀνάγκης ὑπάρ-
B χει τόδε τῷδε, περαίνουσιν, αἱ δὲ, ὡς ὑπάρχειν ἐνδέχεται. τούτων δὲ αὐτῶν μεταπίπτουσί τινες εἰς τὸ ἐξ ἀνάγκης ὑπάρχειν, ὅταν ἀναγκαίαις ἀρχαῖς ἕπωνται, καθάπερ καὶ ἐν αὐτῷ τούτῳ τῶν νῦν ἡμῖν ἀποδεδειγμένων. ἐν γὰρ τῷ κόκκῳ καὶ τῷ κνίκῳ, τὸν φλεγματώδη περιεχόμενον χυμὸν, ἐναργῶς μὲν οὐκ ἔστι δεῖξαι, τὸ δυνατὸν δὲ, καὶ εἰκὸς, καὶ ἐνδεχόμενον ὑπάρχει τῷ λόγῳ. ἀλλ' ἐπεὶ καὶ τὰς ὁλκὰς ταῖς τῶν οὐσιῶν ὁμοιότησιν ἐδείξαμεν γίνεσθαι (δέδεικται γὰρ πολλάκις, ὡς ἐν ταῖς καθάρσεσιν, ὁλκὴ τῶν οἰκείων τοῖς καθαίρουσι φαρμάκοις ἐστὶν, οὐ πάντων ὁμοῦ τῶν χυμῶν ἀλλοίωσις) ἀναγκαῖον ὁμοιό-
C τητά τινα ταῖς οὐσίαις ὑπάρχειν ἀμφοτέραις, τῇ τε τοῦ καθαίροντος, καὶ τῇ τοῦ καθαιρομένου. ἐπεὶ τοίνυν τὸ καθαιρόμενόν ἐστι φλέγμα, πάντως δή που καὶ τὸ ἕλκον ἀνάγκη φλεγματῶδες ὑπάρχειν. φλεγματῶδες δ' εἶπον χρῆναι ὑπάρχειν τὸ ἕλκον, οὐκ ἄντικρυς αὐτὸ φλέγμα. καὶ γὰρ ὁμοιότητα ταῖς οὐσίαις ὑπάρχειν ἔφαμεν, οὐ ταυτότητα. τοὐναντίον γὰρ ἅπαν, οὔτε σίδηρος σίδηρον, οὔτε σὰρξ ἕλκει σάρκα, ἀλλ' ἡ μὲν σιδηρῖτις λίθος, τὸν σίδηρον, ἡ δὲ σὰρξ, τὸ αἷμα. διαφέρει γὰρ, οἶμαι, τὸ ταὐτὸ καὶ τὸ ὅμοιον. φλέγμα μὲν γὰρ φλέγματι ταὐτὸν, καὶ κνίκος κνίκῳ, φλέγματι δὲ
D ὅμοιον, κνίκος, οὐ μὴν ταὐτόν γε. οὐδὲ γὰρ ὅσα χολώδη τῶν ἐδεσμάτων, ἢ φλεγματώδη λέγομεν, ὡς ἤδη χολὴν, ἢ φλέγμα περιέχοντα, τοιαῦτα προσαγορεύομεν. ἐδείχθη γὰρ καὶ ἡ τῆσδε τῆς δόξης ἀτοπία, κατά τε τὰ τῶν φυσικῶν δυνάμεων ὑπομνήματα, καὶ ἄλλοθι πολλαχόθι.

CAPVT XXVI.

Quod in purgantibus medicinis duplex insit similitudo, nempe quædam actu, & quædam potentiâ.

QVapropter prætereunda sunt omnia huiusmodi. Illud verò rursus repetendũ est, quod purgantium medicamentorum quædã iam etiam possident idoneam ad attractionem similitudinẽ; quædam non perfectè quidem eam obtinent, verùm in animantis corpore accipiunt, non secus atque vrentia medicamenta, quæ caustica Græci vocant. Itaque duplex quoque in his similitudo est, vna actu, altera potentia, velut & in aliis omnibus. Quin & permixtæ sunt similibus in vnoquoque succis alij dissimiles, qui partim quidem medicamentosi sunt, partim non. Quare vbi purgationem haud assequuntur, quædam purgantium malum corporibus nostris inferunt, quædam verò alimentum exhibent.

ΚΕΦΑΛΑΙΟΝ Κϛ'.

Ὅτι δ' ἐπὶ τῶν καθαιρόντων φαρμάκων ἡ ὁμοιότης διττὴ ὑπάρχει, ἡ μὲν ἐνεργείᾳ, ἡ δὲ δυνάμει.

E ΤΑῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα πάντα παρετέον, ἐκεῖνο δὲ αὖθις ἀναληπτέον, ὡς αὐτῶν τῶν καθαιρόντων φαρμάκων, ἔνια μὲν ἤδη κέκτηται τὴν εἰς ὁλκὴν ἐπιτηδείαν ὁμοιότητα, τινὰ δ' οὔπω μὲν ἔχει τελέως. ἐν δὲ τῷ τοῦ ζώου σώματι προσλαμβάνει, τοῖς καυστικοῖς ὁμοίως φαρμάκοις, ὥστε καὶ ἐπὶ τούτων διττὴν εἶναι τὴν ὁμοιότητα, τὴν μὲν ἐνεργείᾳ, τὴν δὲ δυνάμει, καθάπερ κἀπὶ τῶν ἄλλων ἁπάντων, καὶ δὴ καὶ μεμίχθαι τοῖς ὁμοίοις ἐν ἑκάστῳ χυμοῖς, ἑτέρους ἀνομοίους, τοὺς μὲν φαρμακώδεις, τοὺς δὲ μή. καὶ οὕτως ἐν ταῖς ἀποτυχίαις τῶν
F καθάρσεων, τὰ μὲν κακόν τι δρᾶν εἰς ἡμᾶς τῶν καθαιρόντων, τὰ δὲ τροφὴν ἄλυπον γίνεσθαι.

A

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τῶν ὑπερκαθάρσεων.

Ἐπεὶ δὲ ἅπαξ εἰς τὸν περὶ τῶν καθαιρόντων φαρμάκων ἀφικόμεθα λόγον, οὐ χεῖρον ἴσως εἰπεῖν τι, καὶ περὶ τῶν καλουμένων ὑπερκαθάρσεων. αὗται τοίνυν γίγνονται μὲν ἐπειδὰν ἱκανῶς κατισχύσῃ τὸ καθαρτικὸν φάρμακον, εἰς τὰ στόματα τῶν εἰς τὴν γαστέρα καθηκόντων ἀγγείων, δῆξίν τε ἅμα καὶ ἀναστόμωσιν ἐργάσηται πλείονα, καὶ συνεχῶς ἐρεθίζον, καὶ σπαράττον τὰ σώματα, B καταλύσῃ τὴν ἐν τοῖς ἀγγείοις δύναμιν. ὅπερ γάρ τοι κἀπὶ τῆς γαστρὸς ὁρᾶται συμβαῖνον, ὅταν εἰς ἐσχάτην ἀρρωστίαν ἡ δύναμις αὐτῆς καταπέσῃ, τοιοῦτον ἡγητέον γίγνεσθαι κἂν ταῖς φλεψί. τί δὴ τὸ συμβαῖνον ἐπὶ τῆς γαστρός ἐστιν; ἔμετοι μὲν ἄπεπτοι τοῦ καταποθέντος, ἐπειδὰν ἐν τοῖς ἄνω μέρεσιν αὐτῆς ἡ ἀρρωστία συμπέσῃ, λειεντερίαι δὲ, ἐπειδὰν ἐν τοῖς κάτω. δείκνυται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον ἐν ταῖς τῶν κενουμένων αἰτίαις. τοιοῦτόν τι πάθος ἡγητέον γίνεσθαι ταῖς φλεψὶν ἐν ταῖς ὑπερκαθάρσεσιν. οὔσης δὲ κατ' ἀρχὰς μὲν ἔτι, καὶ τῆς ἀναστομώσεως, καὶ τῆς ἀρρωστίας μετρίας, C τὸ λεπτότατόν τε καὶ ἧττον οἰκεῖον ἐκκρίνεται, ἐπὶ πλέον δὲ προηκόντων ἀμφοτέρων ἤδη, καὶ τὰ παχέα, καὶ τὰ οἰκειότατα τῷ ζώῳ κενοῦται. διὰ τοῦτο οὖν, ἡ μὲν ξανθὴ χολὴ πρώτη, τὸ δὲ φλέγμα δεύτερον, ἡ δὲ μέλαινα, τρίτη, καὶ τούτων ὕστατον ἁπάντων ἐν ταῖς ὑπερκαθάρσεσιν ἐκκρίνεται τὸ αἷμα. τοῦτο μὲν ὡς οἰκειότατος τῇ φύσει χυμὸς, ἔμπροσθεν δὲ αὐτοῦ, πρῶτος μὲν ὁ λεπτότατος, ὕστατος δὲ ὁ παχύτατος. εἴρηται μὲν οὖν καὶ πρὸς Ἱπποκράτους ἐν τῷ περὶ φύσεως ἀνθρώπου βιβλίῳ, περὶ τῆς κατὰ τὴν κένωσιν αὐτῶν τάξεως, εἰρήσεται δὲ καὶ νῦν, D ὡς μηδὲν λείπειν τῷ λόγῳ. φλέγματος μὲν γὰρ ἀγωγὸν εἰ δοίης φάρμακον, ἡ ξανθὴ μὲν πρῶτον κατὰ τὰς ὑπερκαθάρσεις, δευτέρα δὲ ἡ μέλαινα, τελευταῖον δ' ἐκκενοῦται τὸ αἷμα. χολῆς δὲ ξανθῆς ἀγωγὸν εἴπερ εἴη τὸ φάρμακον, ἕψεται μὲν τὸ φλέγμα, τρίτη δὲ ἡ μέλαινα, καὶ τέταρτον τὸ αἷμα. καὶ μὲν δὴ εἰ μελαίνης χολῆς εἴη καθαρτικὸν, ἐκείνην μὲν πρώτην ἐκκενώσει, μετὰ ταύτην δὲ τὴν ξανθὴν, εἶθ' οὕτως τὸ φλέγμα, καὶ πάντων ὕστατον ἀκολουθήσει τὸ αἷμα, καθάπερ ἐξ ἀψύχων ἤδη ἀγγείων ἐκρέον, ἀρρωστίας τε μεγάλης αὐτὰ καταλαβούσης, καὶ τῶν στομάτων E εἰς ἐσχάτην διάστασιν ἀφικομένων. ἐξ ὧν δῆλον, ὡς ὕστατος μὲν ἐν ταῖς ὑπερκαθάρσεσιν, ὁ τοῖς ἀνθρώποις οἰκειότατος κενοῦται χυμὸς· τῶν δ' ἄλλων ἕκαστος, ὡς ἂν αὐτοῦ συμβαίνῃ λεπτότητος, ἢ πάχους.

CAPVT XXVII.

De superpurgationibus.

PОrrò quoniam semel sermonem de purgantibus medicamentis attigimus, præstiterit fortassis nonnihil quoque dicere de nimiis purgationibus, quas ὑπερκαθάρσεις Græci vocant, quasi superpurgationes dicas. Euenire igitur eæ solent, quum purgans medicamentum vsque adeo inualuit, vt in vasorum ad ventrem pertinentium osculis mordicationem apertionémque multam relinquat; assiduéque irritans, conuellénsque corpora, quæ in vasis sunt vires dissoluat. Nam quod in ventre euenire conspicimus, vbi vires eius in extremam inciderunt infirmitatem, idem in venis accidere putandum. Quid porrò est quod in ventre euenit? vomitus totius eius, quod deglutiit, vbi videlicet superiores eius partes debilitas occupauit, intestinorum verò læuitas, vbi inferiores. Ostensum est autem & de hisce latiùs in tractatu de vacuandorum causis. Huiusmodi affectum existere in venis existimandum est in superpurgationibus. Quum autem per initia modica etiamnum sit & apertio & imbecillitas, tum quod & tenuissimum est, miniméque naturæ familiare, excernitur; sed vbi vtraque adaucta est, iam tum etiam crassa, & quæ naturæ familiarissima sunt, euacuantur; quamobrem flaua bilis primo, pituita secundo loco, tertio loco atra bilis, post hæc postremus omnium in superpurgationibus effunditur sanguis, vtpotè qui naturæ succus sit familiarissimus. Ante hunc verò primus quidem qui tenuissimus, postremus qui crassissimus. Disseruit autem & Hippocrates in libro qui de natura humana inscribitur, de ordine, qui in istis euacuandis seruari solet. Ac nunc quoque ne quid huic sermoni desit, dicendum est. Etenim si quod pituitam ducat, medicamentum exhibeas, prima quidem in superpurgationibus flaua, mox atra, tertio loco sanguis eiicitur. At si quod flauam bilem detrahat, pituita consequetur, tertia atra, quartus demum reddetur sanguis. Quin & si atram bilem purgare sit natum, eam quidem primam euacuabit, post quam flauam; deinde pituitam, omniúmque postremus sequetur sanguis, tanquam ex inanimis iam vasculis effluens, vt quæ summa iam debilitas occupet, quæque ad extremam osculorum apertionem peruenerint. Ex quibus manifestum est, postremum in superpurgationibus euacuari humorem, qui idem & familiarissimus est; aliorum autem vnumquemque, prout aut crassus est, aut tenuis.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Διὰ ποίαν αἰτίαν αἱ χυμῶν ὑπερκαθάρσεις γίνονται; διὰ τὴν ἀρρωστίαν τῶν ἀγγείων, διὰ τὴν τῶν στομάτων εὐρύτητα, διὰ τὴν δῆξιν τοῦ καθαίροντος.

F

ΗΔΕ αἰτία τοῦ μὲν ὅλως ἐκκρίνεσθαι, καὶ τοὺς ἀνοικείους τῷ καθαίροντι φαρμάκῳ χυμοὺς ἐν τρισὶ τούτοις κεῖται, τῇ τε ἀρρωστίᾳ τῶν ἀγγείων, καὶ τῇ τῶν στομάτων εὐρύτητι, καὶ τῇ δήξει τοῦ καθαίροντος. ὅταν γὰρ τὰ

CAPVT XXVIII.

Quam ob causam humorum superpurgationes fiunt? ob vasorum imbecillitatem, osculorum amplitudinem, & purgantis medicamenti mordicationem.

CÆterùm causæ quamobrem omnino & qui alieni sunt à purgante medicamento succi, vnà excernantur, in hisce tribus consistunt, vasculorum scilicet imbecillitate, osculorum laxitate, & purgantis mordicatione. Quum enim vascula

vascula non amplius in sese continere succos possint, & oscula eorum reclusa fuerint, nec irritare medicamentum desinat, possitque non amplius familiarem trahere succum, necesse omnino est reliquos quoque, quo dicimus ordine, excerni. Satis enim erat vnica mordicatio, quæ organa ad excretionem excitare posset; multo ergo magis id fiet, vbi & apertio, & imbecillitas vasorum coierit. Fit autem, vt supra diximus, apertio ob medicamenti facultatem, ob quam videlicet mordicatio item prouenit; vasorum autem imbecillitas tum ob ingentem defatigationem, quam scilicet, dum à purgante medicamento mordicarentur, ac veluti emulgerentur, acquisierant; tum ob intemperantiam, quæ in superpurgationibus occupat. Quemcunque enim humorum penitus euacuaueris, intemperantiam consequatur necesse est. Itaque quòd à purgante & alieni quoque vacuentur succi, eas habeto causas, quòd verò supradicto ordine, vacuandorum humorum tum tenuitas, tum crassitudo in causa est; & ad hæc prout magis & minùs animantium constitutioni succus quilibet familiaris est.

A μὲν ἀγγεῖα μηκέτι καταλέγειν ἐν ἑαυτοῖς δύνηται τοὺς χυμοὺς· ἀναπεπταμένα δ' αὐτῶν ᾖ τὰ στόματα, μένῃ δ' ἐρεθίζον τὸ φάρμακον, ἕλκειν δὲ μηκέτι τὸν οἰκεῖον ἔχῃ χυμὸν, ἀνάγκη πᾶσα τοὺς ἄλλους ἐκκρίνεσθαι κατὰ τὴν εἰρημένην τάξιν. ἤρκει μὲν γὰρ ἴσως καὶ ἡ δῆξις μόνη οὖσα, πρὸς τὴν ἔκκρισιν ἐπεγείρειν τὰ ὄργανα, πολὺ δὲ δὴ μᾶλλον, ὅταν ἀναστόμωσίς τε ἅμα, καὶ ἀρρωστία τῶν ἀγγείων συνδράμῃ. γίνεται δὲ ἡ μὲν ἀναστόμωσις, ὡς εἴρηται, διὰ τὴν ἰσχὺν τοῦ φαρμάκου, δι' ἥνπερ καὶ ἡ δῆξις. ἡ δὲ τῶν ἀγγείων ἀρρωστία, διά τε τὸν σφοδρὸν κάματον, ὃν ἐν τῷ δάκνεσθαί τε καὶ οἷον βδάλλεσθαι πρὸς τοῦ καθαίροντος φαρμάκου γίνεσθαι συμβαίνει, καὶ προσέτι διὰ τὴν καταλαμβάνουσαν αὐτὰ δυσκρασίαν ἐν ταῖς ὑπερκαθάρσεσιν. ὃν γὰρ ἂν τῶν χυμῶν ὅλον ἐκκενώσῃς, ἀνάγκη πᾶσα δυσκρασίαν ἀκολουθεῖν. τοῦ μὲν δὴ κενοῦσθαι καὶ τοὺς ἀνοικείους τῷ καθαίροντι,
B ταῦτα τὰ αἴτια. τοῦ δὲ ἐν τῇ προειρημένῃ τάξει, λεπτότης τε καὶ παχύτης αὐτῶν ἐστι τῶν κενουμένων χυμῶν αἰτία, καὶ πρὸς τούτοις ἡ μᾶλλόν τε καὶ ἧττον οἰκειότης ἑκάστου τῶν χυμῶν, τῇ τοῦ ζώου συστάσει.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ, Η ΠΕΡΙ ΧΥΜΩΝ, ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS, VEL DE SAPORIBVS, LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Δ'. ΒΙΒΛΙΩι.

Περὶ λεπτομερῶν τε καὶ παχυμερῶν, καὶ περὶ τῆς τῶν χυμῶν τε καὶ ὀσμῶν οὐσίας καὶ δυνάμεως, ἅπερ ἐπὶ τῶν ἁπλῶν φαρμάκων φαίνεται.

ARGVMENTVM LIBRI QVARTI.

De tenuibus & crassis partibus, saporúmque & odorum essentia & facultate, quæ in medicamentis simplicibus cernuntur.

CAPVT PRIMVM.

Quid tractatum fuerit, quid reliquum sit tractandum, ac de differentia sensus linguæ, & cæterarum partiũ.



QVo pacto igitur dicatur frigidum, vel calidum, vel siccum, vel humidum facultate medicamentũ; tum qua ratione id explorare oporteat, supra definitum est. Quum autem nonnullum emolliens dicatur, relaxans, rarefaciens, condensans, emplasticum, ac discutiens, aliáque permulta his similia, præstiterit & de his disserere; vnà verò cum istis, aut etiam ante ea, de saporum omnium, & essentia, & facultate, de qua & in fine primi horũ commentariorum verba fecimus, quando scilicet Platonis ex Timæo dictionem adscripsimus. Verùm ibi quidem gratia passionum sensibilium, quas lingua in quoque eorum perpeti est nata; at hîc de essentia, & facultate sermo habebitur; quandoquidem & aliæ animantis partes similiter vt lingua perpetiuntur, sed passionum sensum non exactè percipiunt. At lingua præterquam quòd perpetiatur, sensus etiam perfectionem possidens, earum omnium naturas dignoscere potest.

ΚΕΦΑΛΑΙΟΝ Α'.

C Τί ἐστι τὸ εἰρημένον, τί ἐφεξῆς ῥητέον· καὶ περὶ διαφορᾶς τῆς γλώττης τε καὶ ἄλλων μορίων αἰσθητῶν.



ΟΠΩΣ μὲν οὖν λέγεται ψυχρὸν, ἢ θερμὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν τῇ δυνάμει φάρμακον, ᾧ τινί τε τρόπῳ δεῖ δοκιμάζειν αὐτὸ, διήρηται πρόσθεν. ἐπεὶ δὲ καὶ μαλακτικόν τι λέγεται, καὶ χαλαστικὸν, ἀραιωτικόν τε, καὶ πυκνωτικὸν, ἐμπλαστικόν τε, καὶ διαφορητικὸν, ἕτερά τε πάμπολλα παραπλήσια τούτοις, κάλλιον ἂν εἴη καὶ περὶ τῶν τοιούτων διελθεῖν· ἅμα δὲ αὐτοῖς, ἢ καὶ πρὸ αὐτῶν ἔτι, καὶ περὶ τῆς τῶν χυμῶν ἁπάντων οὐσίας τε ἅμα καὶ δυνάμεως, ὑπὲρ
D ἧς εἴρηται μὲν, κἂν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων ἐπὶ τῆς τελευτῆς, ὁπότε καὶ τὴν τοῦ Πλάτωνος ἐκ Τιμαίου παρεθέμην ῥῆσιν· ἀλλ' ἐκεῖ μὲν, ἕνεκα τοῦ τῶν αἰσθητῶν ἀναμνῆσαι παθῶν, ὧν ἡ γλῶττα πέφυκε καθ' ἕκαστον αὐτῶν πάσχειν, ἐνταυθοῖ δὲ περὶ τῆς οὐσίας τε καὶ δυνάμεως ὁ λόγος ἔσται μοι. πάσχει μὲν γὰρ δήπου καὶ τἄλλα τοῦ ζώου μόρια τῇ γλώττῃ παραπλησίως, οὐ μὴν ἀκριβῶς αἰσθάνεται τῶν παθῶν, ἡ δὲ γλῶττα πρὸς τῷ πάσχειν, ἔτι καὶ τὸ τῆς αἰσθήσεως ἀκριβὲς κεκτημένη, διαγνωστικὴ τῆς φύσεως ἁπάντων τούτων ἐστίν

οὐ καὶ δὴ τό τε θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, τὴν μὲν γλῶτταν ἤτοι ψύχειν, ἢ θερμαίνειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν, οὐχὶ δέ γε καὶ τῶν ἄλλων ἕκαστον πέφυκεν, ἀλλ᾽ ὥσπερ ταύτην, οὕτω καὶ τἆλλα διατίθησί τε καὶ ἀλλοιοῖ, κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐν αὐτοῖς γιγνομένης τῆς διαφορᾶς, οὐ κατὰ τὸ πάσχειν, ἢ μὴ πάσχειν. ὅλη μὲν γὰρ καὶ ξηροῦ, καὶ ὑγροῦ, καὶ θερμοῦ, καὶ ψυχροῦ σώματος, οὐδὲν ἧττον ἁπτομένη τῶν ἄλλων τοῦ ζώου μορίων ἡ γλῶττα πέφυκεν εἶναι διαγνωστική, πρόδηλον παντί. πικρότητας δὲ, καὶ γλυκύτητας, ἁλυκότητάς τε, καὶ ὀξύτητας, αὐστηρότητάς τε καὶ στρυφνότητας, καὶ δριμύτητας, αὕτη μόνη διακρίνειν πεπίστευται, καί τοι τήν γε ὁμοιότητα τῶν παθῶν ἔστιν εὑρεῖν κἂν τοῖς ἄλλοις ἅπασι μέρεσιν, καὶ μάλιστα ἐν τοῖς ἡλκωμένοις. ἡ γάρ τοι τοῦ δέρματος σκληρότης, καὶ πυκνότης ἀποστέγει, καὶ ἀπομάχεται, καὶ κωλύει διέρχεσθαι πρὸς τὴν σάρκα τὰς τῶν ἔξωθεν αὐτῇ προσπιπτόντων δυνάμεις. A B

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πῶς καὶ τίνα τρόπον δακνῶδες φαίνεται τὸ ψυχρὸν τῷ σώματι ἡμῶν, καὶ τίνι διαφέρει τῶν διὰ θερμότητα δακνόντων, τῷ διασπᾶν τὸ συνεχὲς ὅπερ ποιεῖ τὰς λεπτὰς ὑγρότητας ἐκκρίνειν τῇ θλίψει καὶ χώρας κενὰς ἀποτελεῖν, καὶ τῷ τὴν μαλακὴν οὐσίαν εἰς ἐλάττονα τόπον συνάγειν· τὸ δὲ θερμὸν, τῷ διαβιβρώσκειν τὸ συνεχὲς τῆς οὐσίας. C

Οὕτω γὰρ εἴρηται κἀκεῖνο πρὸς Ἱπποκράτους, ἕλκεσι, τὸ μὲν ψυχρὸν δακνῶδες, καί τοι γε τῷ δέρματι πρὶν ἑλκωθῆναι, δακνῶδες οὐκ ἦν. ἔστι δὲ καὶ ὀφθαλμοῖσι, καὶ μυκτῆρσι, καὶ τῷ στόματι μέρεσι τοῦ ζώου, δακνῶδες τὸ ψυχρόν. οὐχ ἥκιστα δὲ γαστρός τε, καὶ ἐντέρων τοῖς ἔνδον, ὥστε καὶ χαλεπὸν εἶναι διακρῖναι πολλάκις, εἴ τε κατεψυγμένος τις, εἴ τε καὶ διὰ χυμοῦ δριμύτητα δάκνοιτο. συμβαίνει δὲ ταῦτα εὐλόγως· ἐπειδὴ γὰρ τὸ ψυχρὸν, ὧν ἂν ψαύσῃ, συνάγει τε τὴν οὐσίαν αὐτῶν, καὶ πυκνοῖ, καὶ σφίγγει, πρῶτον μὲν ἀναγκαῖον ἐν τῷδε τὰς λεπτὰς ὑγρότητας ἐκκρίνεσθαι, καθάπερ ἐξ ὀφθαλμῶν μὲν, τὸ δάκρυον, ἐκ δὲ τῶν ῥινῶν, τὴν κόρυζαν, ἔπειτα δὲ καὶ δακνῶδες αὐτοῖς φαίνεσθαι, καθ᾽ ἕτερον μὲν τρόπον τοῦ θερμοῦ. οὐ γὰρ τῷ διαβιβρώσκειν τὸ συνεχὲς, ἀλλὰ τῷ διασπᾶν, ἀνιαρόν θ᾽ ἅμα καὶ δακνῶδες ὑπάρχει τὸ ψυχρὸν, ὅθεν οὐδὲ τοῖς σκληροῖς σώμασι φαίνεται τοιοῦτον. ἐν γὰρ τῷ συνάγεσθαι, καὶ θλίβεσθαι τὰ μαλακὰ, τό θ᾽ ὑγρὸν αὐτῶν ἐκπιέζεσθαι συμβαίνει, καὶ διασπᾶσθαι τὰ μόρια, τὸ μὲν ὑγρὸν ὡς ἐν τῇ συναγομένῃ τε καὶ πρὸς ἡμετέρων χειρῶν θλιβομένῃ σπογγιᾷ, τὸ διασπᾶσθαι δὲ, ὡς ἐν τοῖς διαιρουμένοις καὶ διασπωμένοις, εἴτ᾽ οὖν ὑφ᾽ ἡμῶν ἑλκόντων ταῖς χερσὶν, εἴθ᾽ ὑπό τινος ἑτέρου. τοιοῦτον γάρ τι καὶ τοῖς ἀραιοῖς τε καὶ μαλακοῖς σώμασιν ὑπὸ τοῦ ψυχροῦ πάσχειν ἀναγκαῖον, ὑποδεχομένης μὲν εἴσω τὴν ψύξιν τῆς ἀραιότητος ἑτοίμως, ἔτι δὲ ἑτοιμοτέρως τῶν ἐν τῷ βάθει μορίων τῶν μαλακῶν, ὑπ᾽ αὐτῆς πηγνυμένων. καθ᾽ ἕκαστον οὖν τῶν πόρων, εἰσιὸν τὸ ψυχρὸν ἐν τοῖς ἀραιοῖς σώμασιν, οἷάπερ τά θ᾽ ἡλκωμένα πάντα ἐστὶ, καὶ ὀφθαλμοὶ, καὶ μυκτῆρες, καὶ στόμα, καὶ τὰ κατὰ τὴν γαστέρα, ἐπιλαμβάνει πάντα τῶν ψυχομένων σωμάτων τὰ μόρια, καὶ τρόπον τινὰ πολλαῖς ἐν κύκλῳ λαβαῖς, αὐτὰ συνάγον, καὶ πιλοῦν, τῶν συνεχῶν ἀποσπᾷ. χώρας οὖν ἀναγκαῖον ἐν τῷδε τῷ πάθει γίνεσθαι κενὰς οὐκ ὀλίγας, οὐ μόνον διὰ τὰς λεπτὰς ὑγρότητας ἐκκρίνεσθαι πιεζομένας, ἀλλὰ καὶ τῷ τὴν μαλακὴν οὐσίαν εἰς ἐλάττονα τόπον συνάγεσθαι. χώραν δὲ κενὴν ἐν συνεχέσι σώμασιν, οὐκ ἐγχωρεῖ συστῆναι, φυλαττομένης τῆς συνεχείας. εἴπερ οὖν συνίσταται, δῆλον ὡς φθείρεται μὲν αὕτη, διασπᾶται δὲ τὸ συνεχὲς σῶμα, κἂν τούτῳ τῆς αἰσθήσεως ἀνιαρόν τε ἅμα καὶ δακνῶδες ὑπαντᾷ πάθος, D E F

A Nec enim hoc dicendum est, calidum, frigidum, humidum, siccúmque linguam calefacere, refrigerare, siccare, aut humectare posse, aliarum verò quamuis non posse; imò vti hanc, ita & alias omnes singula afficiunt, & alterant, tantum diuersitate in ipsis existente pro minoris, maiorisque ratione, haudquaquam in ipso, vt sic dicam, affici, aut non affici. Quippe quòd lingua non secus, atq; alia quæuis animantis partium calidum, frigidum, siccum, humidúmque dignoscere corpus valeat, cuiuis clarum est; amarorem verò, dulcedinem, salsedinem, aciditatem, austeritatem, acerbitatem, acrimoniam, hæc sola discernere creditur; tametsi B passionum similitudinem inuenire est cùm in partibus omnibus, tum maximè in vlceratis. Nam cutis durities, densitásque excludit, resistit, prohibétque quo minùs foris incidentium facultates intrò in carnem ipsam penetrent.

CAPVT II.

Quonam modo frigidum corporibus nostris mordax appareat; & qua differat ab iis, quæ caliditate mordicant, nempe quòd continuum diuellat quod tenues humiditates exprimat, & inania faciat spatia, & mollem substantiam in arctum contrahat; at calidum, quòd substantiæ continuitatem erodat.

Sic enim & illud ab Hippocrate dictum est, *Vlceribus frigidum mordax*, tametsi cuti priusquam vlceraretur, mordax nequaquam esset. Est verò, & oculis, & naribus, & ori, externis partibus animalis, frigidum mordax; nec minus internis, ventri, & intestinis; vt difficile sit nonnunquam discernere, an à frigore quis, an ab humorum mordicetur acrimonia. Eueniunt autem hæc non ab re. Siquidem quum frigidum quæcunque contingit, eorum & contrahat substantiam, & condenset constringátque, primùm tenues, tum excernantur humiditates necesse est, sicut ex oculis lachryma, ex naribus mucus; postea verò etiam mordax appareat, licet alia ratione quàm in calido. Nec enim erodendo, quod continuum est, sed diuellendo, molestum, ac mordax est frigidũ. Quare nec duris corporibus tale apparet. Nam dum mollia contrahuntur, comprimuntúrque, humidum exprimi contingit, simúlque partes diuelli; humidum quidem, sicut in spongia à manibus nostris contracta compressáque, diuelli autem, sicut in iis, quæ distrahuntur, diuelluntúrque siue à nostris manibus, siue aliundè. Tale quid rara molliáque corpora à frigido perpetiantur necesse est, raritate frigus promptè intrò recipiente, multóque etiam promptius partibus in ea mollibus, quæ in profundo sunt, à frigore concrescentibus. Frigidum itaque spiramenta cuncta in raris corporibus subiens, qualia sunt vlcerata omnia, oculíque, & nares, ac os venterque, omnes refrigerandorum corporum partes circunquaque amplectitur, & quodammodo multis circunquaque ansis eas contrahens, atque condensans, à continuis auellit. Quæ dum patiuntur, multa fieri spatia inania necesse est, non tantùm quia tenues exprimantur humiditates, verùm etiam quia substãtia mollis in arctum cõtrahatur. Atqui spatium inane in sibi continuis corporibus, seruata etiamnum continuitate, fieri non potest. Ergo si fieri id constet, clarum est illam deperdi, ac corpus continuum distrahi, ex quo molesta, mordáxque sensus exoritur affectio. Tametsi

A Tametsi non eadem vtrisque qualitas est tum iis, quæ frigore mordicant, tum iis, quæ calore; sed in illis protinus, & contractionis, condensationísque sensus percipitur, in his dissolutionis, & fusionis. Quin nec par est vtriusq; affectus celeritas, verùm in refrigerantibus quodammodo tardior, & cunctantior est mordacitas, at in excalefacientibus celerrimè penetrat. Quando igitur abundè definitū est, tum ipsa rerum natura, tum etiam qui in nobis fit sensu; claréque expositum est, quo pacto calidum, quóque frigidum, mordax appareat; colligere quemque apud sese nūc oportet, vel antequam à nobis id audiat, mordicantium medicamentorū, B alia calida facultate, alia frigida necessariò esse. A nobis autem distinctiones eorum exactè addiscere licebit, vbi priùs commonefecerimus poculum, & balneum, quum temperata sunt, calida à nobis dici nonnunquam appellationis abusu, quandoquidem temperata dici debebant, ac symmetra potius quàm calida. Ergo quę sic calida sunt, grata amicáque sunt; funditur enim quod in corporibus nostris constiterat, atq; concretum fuerat; quo maximè affectu voluptas animantibus constat: at si moram etiam trahant, sensim quoq; & ipsa molesta euadunt; ad tātam enim fusionis immoderationem sic recidūt, vt substantiam nostram etiam di-C gerant, dissoluant, atque dispergant. Verùm nec sic quidē mordicatione infestant, sed animi afferunt deliquium, virésq; deiiciunt, vt mors quoque tandem sequatur. At quæ his magis sunt calida, secāt, distrahunt, diuidúntq; substantiam, quare necessariò mordacia videntur velut aqua feruens, ac ipse ignis. Eundem in modum frigida quæ contrahunt, nondū tamen contracti corporis continuitatem diuellunt, frigida duntaxat sunt, haud etiam mordacia. At quæ supra quam quòd contrahunt, etiam conuellunt, ea vtiq; omnia violenta condēsatione vtuntur, quocirca & mordacia apparēt. Igi-D tur subiectam materiam cōtrahere, & condensare frigidi semper proprium est; fundere autē, atq; liquare, calidi; vtriusque verò immoderatius aucti, cōmunis est mordicatio. Etenim quæ summè frigida, calidáq; fuerint, pręter omnes alias, quas modo memorabam, raras, mollésq; partes, cutē etiam nostram inuadunt. Memini me quandoque per niuem iter fecisse, tā altam & copiosam, vt nulla terræ pars nuda conspiceretur; aër exactissimè purus erat, spirabátq; à niue quidā ventus adeò frigidus, vt non oculos modo, & nares, & totam adeo faciem mordicaret, verùm etiam si quis fortè manū E protulisset, similiter illam afficeret. At quæ à summa frigiditate, aut caliditate absunt, cutem non mordicant; frigida quidem, quoniam continuitatem eius ob duritiem distrahere nequeant, nec in profundum subire præ superficiei densitate valeant; calida autem, tum quòd non erodant, sed duntaxat fundant, tum quòd interdum meatus promptè penetrent. Plurimum autem ad id genus passiones facit essentiæ medicamentorum vel tenuitas, vel crassities. Siquidem frigida quæ tenuium partium sunt, quum magis in profundum transeant, vehementius etiam proinde mordicant; F calida verò quæ crassarum sunt partium, quoniam plùs vlcerant, violentius idcirco etiam affligunt. Tenuiorum itaque partium aër est, crassiorum terra, medium eorum tenet aqua. Sed aër accensus, fit flamma; terra autem, pruna; at aqua vehementem sanè caliditatem accipit, sed nec flamma, nec pruna propter innatam humiditatem efficitur.

A οὐ μὴν ἥγε ποιότητος ἀμφοῖν ἡ αὐτὴ, τῶν τε διὰ τὸ ψύχειν δακνόντων ἐστὶν, καὶ τῶν διὰ τὸ θερμαίνειν, ἀλλ' ἐπὶ μὲν τῶν προτέρων, εὐθέως, καὶ τὸ συνάγεσθαί τε, καὶ σφίγγεσθαι τὴν οὐσίαν, αἴσθησις ἡμῖν ἐστιν, ἐπὶ δὲ τῶν δευτέρων, ἡ τοῦ διαλύεσθαί τε καὶ χεῖσθαι. καὶ δὴ καὶ τὸ τάχος οὐχ ὅμοιον ἐπ' ἀμφοτέρων τῶν παθῶν, ἀλλ' ἐπὶ μὲν τῶν ψυχόντων βραδεῖά πως μᾶλλον ἡ δῆξις, ἐπὶ δὲ τῶν θερμαινόντων, ὠκύτατα διεξέρχεται. ὁπότ' οὖν αὐτάρκως ἤδη διώρισται, καὶ τῇ φύσει τῶν πραγμάτων αὐτῇ, καὶ τῇ πρὸς ἡμᾶς αἰσθήσει, καὶ λέλεκται σαφῶς, ὅπως μὲν τὸ θερμὸν, ὅπως δὲ τὸ ψυχρὸν δακνῶδες φαίνεται. χρὴ μὲν δήπου καὶ λογίζεσθαί τινα, B καὶ πρὶν ἀκοῦσαι παρ' ἡμῶν, ὡς τῶν δακνόντων φαρμάκων, τὰ μὲν θερμὰ ταῖς δυνάμεσιν ἀναγκαῖον εἶναι, τὰ δὲ ψυχρά. καὶ παρ' ἡμῶν δὲ ἐπιμαθεῖν ἐστι τοὺς διορισμοὺς αὐτῶν ἀκριβῶς, ἀναμνησθέντας πρότερον, ὡς καὶ τὸ πόμα, καὶ τὸ βαλανεῖον, ὅταν εὐκράτως ἔχῃ, θερμὰ λέγομεν, ἐνίοτε καταχρώμενοι τῇ προσηγορίᾳ. εὔκρατα γὰρ ἐχρῆν αὐτὰ λέγεσθαι, καὶ σύμμετρα μᾶλλον, ἢ θερμά. τὰ μὲν οὖν οὕτω θερμὰ προσηνῆ τ' ἐστὶ, καὶ φίλια. διαχεῖται γὰρ, ἡμῶν τὸ συνεστός τε καὶ πεπηγὸς ἐν τοῖς σώμασιν, ἐν ᾧ μάλιστα πάθει τὸ ἥδεσθαι τοῖς ζώοις ἐστίν. χρονίζοντα δὲ καὶ ταῦτα, κατ' ὀλίγον ἀνιαρὰ γίνονται. μεταπίπτει γὰρ C εἰς ἀμετρίαν οὕτω γε χύσεως, ὡς καὶ διαφορεῖσθαι, καὶ διαλύεσθαι, καὶ σκεδάννυσθαι τὴν οὐσίαν ἡμῶν. ἀλλὰ κἀν τούτῳ χωρὶς τοῦ δάκνειν ἀνιᾷ, λειποψυχίαν τε ἐμποιοῦντα, καὶ κατάπτωσιν δυνάμεως, ὥστε καὶ τὸν θάνατον ἕπεσθαι. τὰ δ' ἔτι μᾶλλον τῶνδε θερμὰ, τέμνει καὶ διαιρεῖ καὶ διΐστησι τὴν οὐσίαν, ὥστ' ἐξ ἀνάγκης δακνώδη φαίνεσθαι, καθάπερ καὶ τὸ ζέον ὕδωρ, καὶ τὸ πῦρ αὐτό. καὶ τῶν ψυχρῶν δὲ κατὰ τὸν αὐτὸν τρόπον, ὅσα μὲν συνάγει, οὔπω δὲ διασπᾷ τὸ συνεχὲς τοῦ πλησιάζοντος σώματος, ψυχρὰ μόνον ἐστὶν, οὐ μὴν ἤδη γέ πως δακνώδη. τὰ δὲ πρὸς τῷ συνάγειν διασπῶντα (βιαίως δὲ δηλονότι πάντα τὰ τοιαῦτα χρῆται τῇ πιλήσει) δακνώδη φαντάζεται. τὸ μὲν οὖν συνάγειν τε, καὶ πηγνύειν τὴν D ὑποβεβλημένην ὕλην, ἴδιον ἀεὶ τοῦ ψυχροῦ. τὸ δὲ διαχεῖν τε καὶ τήκειν, τοῦ θερμοῦ, κοινὸν δ' ἀμφοῖν, ἀμετρότερα αὐξηθέντων, τὸ δάκνειν. ὅσα μὲν οὖν ἀκριβῶς ἐστι ψυχρὰ καὶ θερμὰ, πρὸς τοῖς ἄλλοις ἅπασιν οἷς ἔμπροσθεν εἴπομεν, ἀραιοῖς τε καὶ μαλακοῖς μέλεσιν, ἤδη καὶ τοῦ δέρματος ἡμῶν ἅπτεται. μέμνημαι δ' ἐγώ ποτε διὰ χιόνος ὁδοιπορήσας οὕτω πολλῆς, ὡς μηδὲν τῆς γῆς φαίνεσθαι γυμνόν· ἦν δὲ καθαρὸς ὁ ἀὴρ ἀκριβῶς φαινόμενος, καί τι πνεῦμα τῆς χιόνος ἀπέπνει, ψυχρότατον οὕτως, ὡς οὐ τοὺς ὀφθαλμοὺς μόνους δάκνειν, ἢ καὶ τοὺς μυκτῆρας, ἀλλὰ καὶ E τὸ πρόσωπον ὅλον. εἰ δὲ καὶ χεῖρά τις ἔξω προὔβαλε, καὶ ταύτης ὁμοίως ἁπτόμενον. ὅσα δ' ἀπολείπεται τῆς ἄκρας ψύξεως, ἢ θερμότητος, οὐ δάκνει τὸ δέρμα, τὰ μὲν ψύχοντα μήτε διασπᾶσθαί τι τῆς συνεχείας αὐτοῦ δυνάμενα διὰ τὴν σκληρότητα, μήτ' εἰς τὸ βάθος ἐνδῦναι φθάνοντα τῇ πυκνώσει τῆς ἐπιφανείας. τὰ δὲ θερμαίνοντα, τῷ τε μὴ διαβιβρώσκειν, ἀλλὰ διαχεῖν μόνον, τῷ τε διεξέρχεσθαι τοὺς πόρους ἐνίοτε ἑτοίμως. μέγιστον δ' εἰς τὰ τοιαῦτα παθήματα συμβάλλεται, τὸ τῆς οὐσίας τῶν φαρμάκων, ἤτοι παχυμερὲς, ἢ λεπτομερές. ἐπὶ μὲν γὰρ τῶν ψυχόντων, τὰ λεπτομερῆ μᾶλλον ἐξικνεῖται πρὸς τὸ βάθος, καὶ F διὰ τοῦτο δάκνει σφοδρότερον. ἐπὶ δὲ τῶν θερμαινόντων, τὰ παχυμερῆ μᾶλλον ἑλκοῖ, καὶ διὰ τοῦτο ἀνιᾷ βιαιότερον. λεπτομερέστερον μὲν οὖν ὁ ἀὴρ, παχυμερέστερον δὲ γῆ· μεταξὺ δ' ἀμφοῖν, τὸ ὕδωρ. ἀλλ' ἀὴρ μὲν ἐκπυρωθεὶς, φλὸξ γίνεται, γῆ δὲ ἄνθραξ, τὸ δ' ὕδωρ δέχεται μὲν ἰσχυρὰν θερμασίαν, ἀλλ' οὔτε φλὸξ, οὔτ' ἄνθραξ γίνεται, διὰ τὴν σύμφυτον ὑγρότητα.

φλὸξ μὲν γὰρ, καὶ ἄνθραξ, εἴδη πυρός. ἅπαν δὲ πῦρ ἐστιν θερμὸν καὶ ξηρόν, οὐκ ἐγχωρεῖ δὲ τῷ ὕδατι γενέσθαι ξηρῷ, καὶ διὰ τοῦτο, οὐ δέχεται τὴν τοῦ πυρὸς ἀκριβῶς ποιότητα, καθάπερ ἡ γῆ τε καὶ ὁ ἀήρ. φάρμακον μὲν οὖν οὐδὲν οὕτω θερμόν ἐστιν ὡς φλὸξ, ἢ ἄνθραξ, ἢ ζέον ὕδωρ, ἀλλὰ κἂν θερμότατον ᾖ, πάντως που γοῦν τούτων ἀπολείπεται πάμπολυ. μέχρι μέν τοι τοῦ καίειν, ἡ θερμότης αὐτῶν προέρχεται, ὅταν ἐν οὐσίᾳ περιέχηται παχυμερεῖ. τὰ δ' ἐν ταῖς λεπτομερέσιν, ἐνίοτε μὲν, οὐδὲ δάκνει τὴν ἀρχὴν, ἀλλὰ θερμαίνει μόνον. ἔστι δ' ὅτε δακνῶδες μὲν ἐστιν, οὐ μὴν ἤδη καὶ καίει.

A Siquidē flāma, & pruna ignis sunt genera, ignis autem omnis calidus est & siccus; at aqua sicca vt sit, fieri nequit, proindéq; ipsius ignis exactè qualitatem sicut aër & terra non accipit. Nullū est itaque æquè calidū pharmacū, vt aut flāma, aut pruna, aut feruens aqua; imò vt sit vel calidissimum, omnino tamen plurimùm ab illis vincitur. Procedit autem ad vstionem vsque medicamentorum caliditas, vbi videlicet in crassa consistit essentia; quæ verò tenuium partium sunt calida, nonnunquam omnino non mordicant, sed calefaciunt duntaxat. Est autem vbi & mordicent, non tamen vrant.

B

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίνα καλοῦμεν λεπτομερῆ, καὶ τίνα παχυμερῆ.

Μεμνῆσθαι δὲ χρὴ τῆς ἐννοίας τῶν λεπτομερῶν τε καὶ παχυμερῶν, ὡς τὰ μὲν εἰς λεπτὰ μόρια ταχέως διαλυόμενα, λεπτομερῆ προσαγορεύομεν. ὅσα δ' οὐ δύναται πάσχειν τοῦτο, παχυμερῆ. τὸ μὲν οὖν διαλῦον αὐτὰ, τὸ κατὰ τὸ σῶμα τοῦ ζώου θερμόν ἐστιν, ὥσπερ ἂν ἑκάστοτε τύχῃ προσφερόμενα. τὸ δ' εἰς λεπτὰ καὶ παχέα μόρια θραύεσθαι παρὰ τῆς ἑαυτῶν ἔχει φύσεως, ὥστε καὶ τῶν ψυχόντων φαρμάκων, ὅσα μὲν ἐστὶ παχυμερῆ, δάκνειν οὐ δύναται, μὴ φθάνοντά γε διαδύεσθαι τὴν ἔξωθεν τοῦ δέρματος ἐπιφάνειαν. ὅσα δὲ λεπτομερῆ, καὶ διαδύεται ῥᾳδίως, καὶ πρὸς τὸ βάθος ἐξικνεῖται, καὶ δάκνει τὰ μαλακὰ τοῦ ζώου μόρια, μᾶλλον δ' ἔτι δάκνει τὰ λεπτομερῆ τε, ἅμα καὶ τὴν κρᾶσιν ἀνώμαλα. δέδεικται δ' ἐν τοῖς πρόσθεν, ὡς σχεδὸν ἅπαντά ἐστιν ἀνώμαλα. ἢ γὰρ ἀδύνατον, ἢ πάνυ χαλεπὸν ἐξευρεῖν οὐσίαν ἡντιναοῦν ἀκριβῶς ὁμοιομερῆ. τὸν γοῦν οἶνον ἐλέγομεν ἓν μὲν ἔχειν ἐν αὑτῷ περίττωμα παχυμερές, ὃ ἐξ οὗ τῷ χρόνῳ διακρινόμενόν τε καὶ καταφερόμενον, συνίσταται τὴν τρύγα. ἕτερον δ', ὅπερ ἄνθος ὀνομάζεται, κατὰ μὲν τὸν τῆς ζέσεως χρόνον, ἐπιπολάζον, ὕστερον δ' εἰς τὴν τρύγα καταφερόμενον. ἄλλο δὲ τρίτον ὑδατῶδες, ἀναμεμιγμένον ἅπαντι τῷ οἴνῳ, οὗ καὶ τὴν ζέσιν εἶναι, πρῶτον καὶ μάλιστα. τέταρτον δ' ἐπὶ τούτοις ἐστὶν, αὐτὸς ὁ ὄντως οἶνος. δέδεικται δ', ὡς καὶ κατὰ τοὔλαιον, καὶ τὸ γάλα, καὶ τοὺς ἄλλους ἅπαντας χυλοὺς, ὁμοία φύσις ἐστὶ περιττωμάτων, ἔτι δὲ μᾶλλον ἐν ὅλοις τοῖς φυτοῖς τε, καὶ τοῖς μεταλλευομένοις ἅπασιν. ὧν ἀναμνησθέντας χρὴ νῦν ἐπισκέψασθαι περὶ τῶν φαρμάκων ἁπάντων, καὶ πρῶτον μὲν φυλάξασθαι, παθεῖν ὅπερ οἱ πλεῖστοι τῶν τὰ τοιαῦτα ζητησάντων ἔπαθον. ὡς γὰρ ὁμοιομερῶν ἁπάντων ὄντων, οὕτω ποιοῦνται τὸν λόγον, οὐ συγχωροῦντες, οὔτε τὸν οἶνον, οὔτε τοὔλαιον, οὔτε τῶν ἄλλων οὐδὲν, ἐκ διαφερόντων τὴν δυνάμεσι συγκεῖσθαι μορίων, ἔτι δὲ τούτων μᾶλλον ἐπὶ ὄξους θαυμάζουσιν εἰ τολμῷμεν αὐτὸ λέγειν, ἀπολωλεκέναι μὲν τὴν ἔμφυτον τοῦ οἴνου θερμότητα, τὴν δ' ἐκ σήψεως ἔχειν, ὅπερ δὴ καὶ Ἀριστοτέλει καὶ Θεοφράστῳ δοκεῖ. τὰ μὲν γὰρ οἰνώδη μόρια τοῦ οἴνου, κατὰ τὴν εἰς ὄξος μεταβολὴν ἀποψύχεται, τὸ δ' ὑδατῶδες περίττωμα σηπόμενον, ἐπίκτητόν τινα ἴσχει θερμότητα, ὥσπερ καὶ τἄλλα πάντα τὰ σηπόμενα. καὶ γίγνεται συναμφότερον τὸ ὄξος, ἐξ ἐναντιωτάτων τὴν δυνάμεσι μορίων, τῶν μὲν ἀπεψυγμένων, τῶν δὲ θερμῶν, ὥσπερ αἱ τῶν καυθέντων ξύλων τέφραι πᾶσαι. καὶ γὰρ ἐν ἐκείναις, τὸ μὲν οἷον ἐμπύρευμα κατὰ μικρὰ μόρια παρέσπαρται, καὶ τοῦτο μὲν ἱκανῶς ἐστι θερμὸν, τὸ δ' ἄλλο πᾶν, γεῶδές τε καὶ ψυχρόν. καὶ διὰ τοῦτο, ἐπειδὰν ὕδατι βρεχθεῖσα τέφρα, διά τινων σωμάτων ἀραιῶν συμμέτρως ἠθῆται, συναποφέρεται μὲν ἐν τῷδε τὰ θερμὰ καὶ δριμέα μόρια, τὸ δ' ὑπόλοιπον

CAPVT III.

Quæ vocemus tenuium partium, & quæ crassarum.

Sed quid tenuiū partiū, quídve crassarū esse intelligamus, cōmemorare oportet. Nēpe quæ celeriter in tenuia soluūtur, tenuiū appellātur partium; at quæ id perpeti nequeunt, crassarū. Quod ergo ea soluātur, calor qui est in animātis corpore, cui vnumquodque applicari contingit, in causa est; quòd autē in tenues crassásve partes cōminuātur, id à sua ipsorū natura obtinēt. Quocirca refrigerā- C tiū medicamentorū, ea quæ crassarū sunt partium, mordicare nequeunt, vtpotè quæ extimā cutis superficiē penetrare non valeant. At quæ tenuium sunt partiū, & perfacilè penetrare possūt, & in profundū subeuntia, molles animantis partes mordicāt. Mordicāt etiam magis, quæ quū tenuium sint partiū, insuper inæquabilē obtinēt tēperiem. Sed supra demonstratū est inæquabilia esse propemodū omnia; quippe aut impossibile est, aut perdifficile vllā inuenire substātiam, quę adamussim similarium sit partiū. Vinū nāq; diximus vnū quidem habere in se recrementū crassarū partium, vnde, D dū tēporis spatio secernitur, fertúrq; deorsum, fęx cōsistit; aliud verò secundū, quod florē nuncupāt, quod dū vinū feruet, supernatat, sed postea ad fæces subsidit; tertiū, aqueū, quod toti vino permixtū est, hoc primario potissimumq; feruet: quartum præter hæc est ipsum reuera vinū. Ostensum verò etiam est, quòd tū in oleo, tū in lacte, tū in aliis omnibus succis, eadē sit recrementorū natura, multóque magis in totis plantis, metallicisque omnibus. Quæ memoria tenētes, nūc tēpestiuum est de medicamentis omnibus cōsiderare. Ac primū omniū cauendū est, ne nobis quoque, quod plerisq; omnibus, qui talia scrutātur, accidat. Nā quasi omnia E similarium forent partium, ita disserunt, nec cōcedunt neq; vinum, neq; oleum, neq; reliquorum vllum, ex diuersis facultate partibus consistere; imò multo magis mirantur, si de aceto audeamus dicere, ipsum ingenitā vini caliditatē perdidisse, cæterū ex putredine aliā adeptum; cuius sanè sentētiæ est, tum Aristoteles, tū Theophrastus. Nam vinosæ vini partes, dū ipsum in acetum transit, refrigerantur; at aqueum recrementū putrescens adscititiam caliditatē obtinet, velut cætera omnia quæ putrescunt; fitq; acetum quiddā ex contrariæ facultatis partibus cōpositum, partim refrigerātibus, partim F calidis, sicuti vstorum lignorum omnes cineres. Etenim in illis aliquid velut fomes quidā igneus per exiguas partes dispersum est, quod & valde calidū est; reliquum omne tum terreum est, tum frigidum. Iccirco quum cinis aqua maceratur, ac per quædā corpora modicè rara colatur, fit vt calidæ acresque partes vnà ferantur; reliquum quod est, non

nō ampliùs calidū est, nēpe quod igneas suas particulas in aquā deposuerit. Vocāt eā aquā homines lixiuiū; idq; proportione quadā, aquæ marinæ, & murię, dispositionis, generationis, & facultatis ergo respōdet; illa enim ex aqua saléq; constāt, at aqua quę cinerē abluit, tū ex ipsa, tū ex partibus quas secū rapuit, cōposita, hoc pacto effecit nominatū lixiuiū; quod nisi antea scias ex aqua, ac fuliginosis cineris partibus effectū, forsitā simplex, & incōpositū esse corpus existimes. Eiusmodi quiddā in aceto nobis euenit. Nā quū nequeamus sensu cernere ipsius generationē, rationi diffidimus. Cæterùm si nihil aliud, saltē cōsiderātes omphacis cū eo differētiā, æquū esse credere sciemus, quòd nō acidus modò, sed & acris quidā alius ei permixtus sit sapor. Quamobrem perfectè omphacis succus refrigerat; hinc est, quòd summè ardoribus prosit, siue ori ventris impositum, siue totis hypochondriis, siue cuilibet alij, quod refrigerare libeat. Secùs verò habet acetum; nec enim ad vnguem vnum est, neque tantum acidum, sed & acris alius quidam ei sapor permixtus est. Itaq; quod tantum est acidū, quicquid id fuerit, planè frigidū est, siue pyrū, siue malum, siue acinus vuæ, siue rubi, siue ipsius mori, siue fructus mali punici, siue quiuis alius tum fructus, tum succus, tum planta, vt oxylapathum, & oxalis, quam eandem oxyda quoque nominant. Quippe si gustanti vehemens atque manifesta illi inesse aciditas appareat, nec quicquam præseferat acrimoniæ, omnino hunc succum refrigerantem reperies; quin confidenter vtitor, siue ad ardores vti consilium est hypochondriis impositio, siue ad erysipelas, siue ad alium affectum calidum. Similiter quoque frigidos morbos ab eo omnes palam lædi comperies. Porrò vbi mixta tibi qualitas appareat cum acrimonia, coniiciendū est, caliditatem quoque inesse; sin iuncta sit astrictio, aliud est frigiditatis genus; nam acida frigiditas tenuium est partium, at adstringens crassarum.

CAPVT IV.

Quomodo exerceri oporteat in agnoscenda cuiúsque saporis facultate.

Sed horum paulo post probationes afferemus in medium. At quod prius consilium dari oportet iis, qui talia absque sophistica arrogantia, imò vnius veritatis gratia scrutantur, id nunc tempestiuum est exprimere; nempe quòd non sola ratione exerceri per eas methodos logicas, ad quas nunquam hortari desino, quásque in cōmentariis De demonstratione tradidi, sed etiam gustandi exercere sensum in saporibus oporteat; principióque in iis exquirēdis solicitos esse, quę vnā quampiam habeant qualitatem manifestissimam. Vt si acrimoniam cogitatione cōplecti clarè velis, id in allio, cępis, & quæ ipsis similia sunt, efficies, assiduè gustando, plurimúmque dentibus mandendo, tum ita longo vsu passionis existentis sensum memorię diligenter mandando, atque infigendo: Sin adstrictionem, in galla, rhu, & similibus. Si verò amarorem, nitri fellísque gustu: Sin autem dulcedinem, gustu siræi, & mellis. Ad hæc siue insipidum; siue qualitate, quod ad gustum attineat, medium voles comprehendere, aquam gustare iubeo, & hanc vbi gustaueris diligenter memoriæ cōmendare, eamque potissimum, quæ nullam dictarum præferat qualitatum, neque dulcedinem, neque amarorem, neque acrimoniam, neque aciditatē; præter hæc,

A οὐκ ἔτι θερμόν ἐστιν, ἐναποθέμενον τῷ ὕδατι τὰ πυρώδη μόρια. καλοῦσι δὲ τὸ τοιοῦτον ὕδωρ οἱ ἄνθρωποι, κονίαν, ἀνάλογον τῇ θαλάττῃ καὶ ἅλμῃ, διαθέσεως καὶ γενέσεως ἕνεκα, καὶ δυνάμεως. ἐκεῖνα μὲν γὰρ ἐξ ὕδατος, καὶ ἁλῶν σύγκειται, τὸ δὲ περιπλυνὸν ὕδωρ τὴν τέφραν, συνθετὸν ἐξ αὐτοῦ, καὶ ὧν ἐπηνέγκατο μορίων γενόμενον, οὕτως ἀπειργάσατο τὴν ὀνομαζομένην κονίαν, ἣν εἰ μὴ φθάνοντες ἐγινώσκομεν, ὡς ἐξ ὕδατός τε καὶ τῶν αἰθαλωδῶν μορίων τῆς τέφρας ἐγένετο, τάχ᾽ ἂν ὑπελαμβανόμεθα, ἁπλοῦν καὶ ἀσύνθετον ὑπάρχειν σῶμα. τοιοῦτον γάρ τι κἀπὶ τοῦ ὄξους πεπόνθαμεν, οὐ δυνάμενοι δι᾽ αἰσθήσεως ἰδεῖν αὐτοῦ τὴν γένεσιν, ἀπιστοῦμεν τῷ λόγῳ. ἀλλ᾽ εἰ μηδὲν B ἄλλο, τὴν γοῦν τῆς ὄμφακος διαφορὰν πρὸς αὐτὸ κατανοήσαντες, δίκαιοι πιστεύειν ἐσόμεθα, ὡς οὐκ ὀξὺς μόνον, ἀλλὰ δριμύς τις ἕτερος ἀναμέμικται χυμὸς αὐτῷ, καὶ διὰ τοῦτο, τελέως ὁ τῆς ὄμφακος ἐμψύχει χυλὸς, ὥστε καὶ πρὸς καύσους ἄκρως ἁρμόττει, κατὰ τοῦ στόματος τῆς γαστρὸς, ἢ τῶν ὑποχονδρίων ὅλων ἐπιτιθέμενος, καὶ πρὸς ἅπαν, ὅτι περ ἂν ἐμψύξαι βουληθῶμεν, οὐχ ὁμοίως δ᾽ ὄξος. οὐ γὰρ ἀκριβῶς ἕν, οὐδ᾽ ὀξὺ μόνον ἐστὶν, ἀλλὰ καὶ δριμύ. τὸ μὲν οὖν ὀξὺ μόνον, ὅτι περ ἂν ᾖ, ψυχρὸν πάντως ἐστὶν, εἴτ᾽ οὖν ἄπιος, εἴτε μῆλον, εἴτε ῥοῦς, εἴτε ὁ ἀπὸ τῶν βάτων καρ- C πὸς, εἴτε ὁ ἀπὸ τῆς μορέας, εἴθ᾽ ὁ ἀπὸ τῆς ῥοιᾶς, εἴθ᾽ ὅστις οὖν ἄλλος, ἢ καρπὸς, ἢ χυλὸς, ἢ φυτὸν ὡς ὀξυλάπαθον, καὶ ὀξαλὶς, ἣν δὴ καὶ ὀξύδα προσαγορεύουσιν. ἂν γάρ σοι γευομένῳ, σφοδρὰ μὲν καὶ σαφὴς ἡ ὀξύτης ἐν αὐτῷ καταφαίνηται, μηδὲν δ᾽ ἐμφαίνηται δριμύτητος, πάντως τοῦτον εὑρήσεις ἐμψύχοντα τὸν χυμὸν, καὶ χρῶ θαῤῥῶν, εἴτε πρὸς καύσους ἐθέλοις χρῆσθαι καθ᾽ ὑποχονδρίων ἐπιτιθεὶς, εἴτε πρὸς ἐρυσίπελας, εἴτε πρὸς ἄλλο τι πάθος θερμόν. ὡσαύτως δὲ καὶ τὰ ψυχρὰ πάντα νοσήματα, βλαπτόμενα πρὸς αὐτοῦ σαφῶς εὑρήσεις. ὅταν δ᾽ ἐπίμικτος ἡ ποιότης φαίνηταί σοι, μετὰ μὲν δριμύτητος, καὶ ὑποτοπεῖ- D σθαι χρὴ θερμότητα. μετὰ δὲ στύψεως, ἕτερόν τι γένος ψυχρότητος. ἡ μὲν γὰρ ὀξεῖα ψυχρότης, λεπτομερής· ἡ δὲ στύφουσα, παχυμερής.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Πῶς καὶ τίνα τρόπον χρὴ γυμνάζεσθαι περὶ τὴν διάγνωσιν τῆς ἑκάστου τῶν χυμῶν δυνάμεως.

Ἀλλὰ τούτων μὲν ὀλίγων ὕστερον ἐροῦμεν τὰς πίστεις. ὃ δὲ χρὴ πρότερον συμβουλεῦσαι τοῖς τὰ τοιαῦτα, χωρὶς ἀλαζονείας σοφιστικῆς, αὐτῆς ἕνεκεν τῆς ἀληθείας ἐπισκοπουμένοις, ἤδη μοι καιρὸς εἰπεῖν, ὡς οὐ χρὴ μόνῳ τῷ λόγῳ γεγυμνάσθαι, E δι᾽ ὧν ἀεὶ παρακελεύομαι μεθόδων λογικῶν, ἃς ἐν τοῖς περὶ τῶν ἀποδείξεων ὑπομνήμασιν εἶπον, ἀλλὰ καὶ τὴν αἴσθησιν τὴν γευστικὴν ἐπὶ τῶν χυμῶν γυμνάζειν ἐπιμελῶς, ἀρχομένους ἀπὸ τῶν ἐναργεστάτην ἐχόντων ἥντινα οὖν ποιότητα μίαν. εἰ μὲν τὴν δριμύτητα κατανοῆσαι σαφῶς ἐθέλοις, ἐπὶ σκορόδου, καὶ κρομμύου, καὶ τῶν ὁμοίων αὐτοῖς, ἀπογευόμενός τε συνεχῶς, καὶ διαμασώμενον ἐπὶ πλεῖστον, καὶ τὴν μνήμην πειρώμενον ἀκριβῶς παραλαμβάνεσθαι τοῦ γιγνομένου πάθους, τὴν αἴσθησιν. εἰ δὲ τὴν στύψιν, ἐπὶ κηκῖδός τε, καὶ ῥοῦ, καὶ τῶν ὁμοίων, εἰ δὲ τὴν πικρότητα, νίτρου καὶ χολῆς γευόμενον. εἰ δὲ τὴν γλυκύτητα, F σιραίου καὶ μέλιτος, ἔτι δὲ πρὸς τούτοις, εἴτ᾽ οὖν ἄποιον ἐθέλοις, εἴτε μέσον ἐν ποιότητι τῇ πρὸς τὴν γεῦσιν ὑπολαμβάνειν, τὸ ὕδωρ ἀξιῶ σε, καὶ τούτου γευσάμενον, ἀκριβῶς ἔχειν ἐν τῇ μνήμῃ, καὶ μάλιστά γε τοῦ μηδεμίαν, ὧν νῦν εἴρηκα, ἐμφαίνοντος ποιότητα, μήτε γλυκύτητα, μήτε δριμύτητα, μήτ᾽ ὀξύτητα, μήτε πικρότητα, καὶ πρὸς τούτοις ἔτι

A μήτ᾽ ἰσχυρῶς θερμοῦ, μήτ᾽ ὑπερβαλλόντως ψυχροῦ. ἐντεῦθεν γὰρ ὁρμώμενος, ἑτοιμότερον ἐπί τε τὴν τῶν ἄλλων ἁπάντων ἀμυδρῶν χυμῶν ἀφίξῃ διάγνωσιν, ἐπί τε τὴν τῶν, ὡς ἐγὼ μὲν φημὶ, γλυκέων, ὡς δ᾽ ἄλλοι τινὲς, ὑδατωδῶν, οἷος ὅ τε τῶν καλάμων ἐστὶ τῶν χλωρῶν, καὶ ἀγρώστεως, καὶ προσέτι πυρῶν, καὶ κριθῶν, καὶ ζειῶν, καὶ ἄλλων πολλῶν, ὧν καὶ Θεόφραστος μέμνηται, ζητῶν εἴτ᾽ εἴδη πλείονα θετέον ἐστὶ τῶν γλυκέων χυμῶν, εἴτε τῷ μᾶλλόν τε καὶ ἧττον, αὐτοὺς ὑποληπτέον διαφέρειν ἀλλήλων. ἀλλὰ περὶ μὲν τούτων αὖθις διαιρήσομαι.

quæ neque supra modum sit, aut calida, aut frigida. Nam hinc exorsus promptiùs, & ad aliorum obscurorum omnium saporum agnitionem peruenies, & ad eorum quos ego quidem dulces, alij verò quidam aqueos appellitant: qualis vtique est calamorum viridium, & graminis, ad hæc tritici, hordei, zeæ, aliorúmque multorum, quæ Theophrastus recenset; inquirens an plures sint ponendæ dulcium saporum species, an verò in maioris tantùm, ac minoris inter se differre ratione existimandi sint. Sed de his alibi definiam.

B

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅτι τὰ ἐμπλαστικὰ τῶν φαρμάκων μέσα ὄντα κατὰ θερμότητα καὶ ψυχρότητα, γεώδη τέ ἐστι, καὶ ξηραίνει ἀδήκτως.

Ὁποίαν δ᾽ αὖ σοι τὸ ἀποιότατον ὕδωρ αἴσθησιν παρέχῃ, τοιαύτην ὅταν ἔν τινι τῶν ξηρῶν εὑρίσκῃς, ἔξω δηλονότι πάσης τὸ τοιοῦτον θερμότητός τε καὶ ψυχρότητος ἐπιφανοῦς ἐστι μέσον, ὡς οἷόν τε μάλιστα, κατάστασιν ἔχον, ἢ καὶ μικρόν τι ῥέπον ἐπὶ τὸ ψυχρόν. ἀλλ᾽ εἴπερ οὕτως ἔχον ἐν τῇ κατὰ θερμότητα, καὶ ψυχρότητα διαφορᾷ, ξηρὸν εἴη τὴν σύστασιν, C ἀνάγκη γεῶδες ὑπάρχειν αὐτὸ καὶ ξηραίνειν ἀδήκτως. ὀνομάζεται δὲ πρὸς τῶν ἰατρῶν ἅπαντα τὰ τοιαῦτα τῶν φαρμάκων ἐμπλαστικά, καθάπερ τὰ πλεῖστα τῶν ἀκριβῶς πεπλυμένων ἄμυλος, πομφόλυξ, καὶ ψιμμύθιον, καὶ τίτανος, καὶ καδμεία, καὶ γῆ ἡ Κρητική, καὶ Κιμωλία, καὶ χόνδρος, καὶ Σάμιος ἀστὴρ, καὶ ἡ τῶν γναφέων γῆ τῶν ἐμπλαστικῶν ἐστι φαρμάκων. τινὰ δ᾽ ἐξ αὐτῶν, οὐ γεώδη μόνον, ἀλλὰ καὶ ὑδατώδη τὴν φύσιν ἐστὶν, ἔνια δὲ, καὶ ἀέρα οὐκ ὀλίγον ἐν αὑτοῖς περιέχει, γλίσχρα μέν τοι ταῦτα πάντα, καὶ διὰ τοῦτο ἐμπλαστικά.

CAPVT V.

Quòd pharmacorum emplastica, quum media sint in caliditate ac frigiditate, terrestria quoque esse, ac sine morsu siccare oporteat.

Porrò si qualem præbet sensum aqua planè qualitatis omnis expers, talem in re sicca inuenias, ea nimirum extra omnem est insignem tum caliditatem, tum frigiditatem, mediam, quoad fieri queat, constitutionem obtinens, aut certè paulùm ad frigidius declinans. At si talis quum sit in caloris frigorísque differentia, insuper consistentiam nacta sit siccam, terrestris sit, ac citra morsum deficcet, necesse est. Appellitant eius generis medicamenta omnia medici Emplastica, velut pleraque quæ exactè lota sunt, amylum, pompholyx, cerussa, calx, cadmeia, terra Cretensis, Cimolia, chondrus, Samius aster, & fullonum terra, ex emplasticis sunt pharmacis. Sunt verò ex eis nonnulla non terrena solùm, sed aquea natura. Quin etiam quædam non parum in se aëris continent, omnia quidem glutinosa, ac proinde emplastica.

D

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ὅτι διττή τίς ἐστιν ἡ τῶν ἐμπλαστικῶν φαρμάκων φύσις, τὰ μὲν γὰρ γεώδη τε καὶ ξηρά ἐστιν ἀκριβῶς· τὰ δὲ γλίσχρα μὲν πάντως, μικτὰ δ᾽ ὕδατος καὶ γῆς, καὶ τὰ πολλὰ καὶ ἀέρος· κοινῇ δὲ πάντα ἄδηκτα.

Διττὴ γὰρ ἡ τῶν ἐμπλαστικῶν ἐστι φύσις, ἡ μὲν ἑτέρα γεώδης ἀκριβῶς, καὶ ξηρά, ἡ δ᾽ ἑτέρα γλίσχρα μὲν πάντως, μικτὴ δ᾽ ἐξ ὕδατος καὶ γῆς, καὶ τὰ πολλὰ, καὶ ἀέρος, ὥσπερ καὶ τοὔλαιον τὸ γλυκύ. λέλεκται δ᾽ ἔμπροσθεν ὁποῖον λέγω τὸ γλυκύ. τουτὶ μὲν οὖν ἐξ ἀερώδους τε ἅμα καὶ γεώδους, καὶ ὑδατώδους οὐσίας μέμικται. E τὸ δὲ τοῦ ᾠοῦ λευκὸν, ἐκ τῶν αὐτῶν μέν πως, γεωδέστερον δὲ ἐστὶν ἐλαίου, καὶ μὲν δὴ καὶ τὸ τυρῶδες τοῦ γάλακτος, ἐμπλαστικόν ἐστιν, καὶ ἡ τοῦ ὑὸς πιμελή. ταύρου μὲν γὰρ καὶ τράγου πιμελὴ, δριμύτητα πολλὴν ἔχει, καὶ πυρώδη· βοὸς δὲ, καὶ αἰγὸς, ἧττον μὲν, ἤδη δέ πως καὶ τούτων τὸ στέαρ δριμύ. καὶ γὰρ δὴ καὶ στέαρ ὀνομάζεται τῶν τοιούτων ζῴων ἡ πιμελή, διὰ τὸ πάχος. ἔστι γὰρ οὐ θερμοτέρα μόνον, ἀλλὰ καὶ γεωδεστέρα τῆς τῶν ὑῶν. χηνὸς δὲ, καὶ ἀλεκτρυόνος, ἐστὶ μὲν καὶ θερμοτέρα καὶ ξηροτέρα τῆς τῶν ὑῶν, ἀλλὰ καὶ λεπτομερής τε, καὶ ἥκιστα γεώδης. οὕτω δὲ καὶ πάντων τῶν πτηνῶν, ὅτι καὶ ἡ F οὐσία τοῦ σώματος αὐτῶν, οὐκ ὀλίγον ἔχει τὸ ἀερῶδες. ἀλλὰ περὶ μὲν τούτων ἕτερος λόγος. ὅσαι δ᾽ οὖν πιμελαὶ, μήπω δριμύτητά τινα ἔχουσιν, ἐμπλαστικαὶ τῶν πόρων εἰσὶν, καὶ μᾶλλον αἱ ξηρότεραι καὶ γεωδέστεραι. τοιοῦτος δ᾽ ἐστὶν, καὶ ὁ πεπλυμένος κηρός. ἀποτίθεται γὰρ καὶ αὐτὸς τὴν ἐκ τοῦ μέλιτος δριμύτητα.

CAPVT VI.

Quòd duplex sit emplasticorum medicamentorum natura; nam quædam terrena sunt exactè, & sicca: quædam planè viscosa, & lenta, sed mixta aqua terráque atque vt plurimùm etiam aëre. Communiter verò omnia morsu vacant.

Dvplex siquidē est emplasticorū medicamētorū natura, altera exactè terrea, & sicca, altera viscosa quidē omnino, sed ex aqua, & terra, & plerūq; etiā aëre mixta, sicut oleū dulce. Dictū autē retrò est, quid dulce vocitē. Ergo hoc ex aërea, terrea, aqueáq; substātia temperatū est. At oui albumē ex iisdē quodāmodo, sed magis tamē terrenū oleo est. Quin & quod lactis est caseosum, emplasticū quoq; est, & suillus adeps. Nā tauri sanè, & hirci pinguedo acrimoniam, & multā, & igneā possidet; bouis autē capræq; minùs quidē, iam verò quodāmodo, & horum adeps acris est; nam talium animantium pinguedo ob crassitiem adeps appellatur; est enim non calidior tantū, sed & magis terrena suum pinguedine; anseris autē, & gallinacei calidior est pinguedo, & siccior, quàm suum, quin, & tenuium partium, & minimū terrestris, sicut & auium omnium; quandoquidē & corporis ipsarum substantia non parum habet aëris. Sed de his alibi tractabitur. Quæcunq; ergo pinguedines nondū vllam nactę sūt acrimoniam, emplasticam, & illinendi poros facultatem obtinent, eámq; tanto efficaciorem, quanto ficciores, magísque terrenæ fuerint. Huiusmodi est cera elota, deponit siquidē & ipsa quam habebat à melle acrimoniam.

Satis

Satis verò constat, hæc à me non dicta esse de cera, quæ natura sua amara est, qualis est pontica; ex absynthio namque ea amaritudinem obtinet, ac si, vel sexcenties eam laueris, prorsum tamen omnem amarorem haud elueris. Fugienda verò etiam illa cera est, quæ ex acri, & thymoso melle conficitur, quum planè ab omni mordacitate alienum præparare voles medicamentum. Quocirca ad lauandum idonea est, quæ ex melle facta est tum aquosiore, tum minimè mordaci.

CAPVT VII.

Quòd adstringentia medicamenta acidáq; licèt vtraque qualitate sint frigida; inde tamen differunt, quòd adstringentia terrena sint crassæque substantiæ; acida verò tenuis.

ATque emplastica quidem medicaméta eiusmodi sunt; sed ad acida adstringentiáque reuertor. Adstringentia certè terrena sunt, & crassâ corporis consistentiâ, qualitate verò frigida; acida autem tenuitate pollent corporis, sed perinde, vt adstringentia refrigerant. Vtrique gemina probatio est, nempe ex sensu, quæ ab inductione est; & ex ratione, quæ ex substantia eorum colligitur. Prior autem probatio ea dicetur, quæ vulgo quidem est apertior, cæterùm ad scientificam demonstrationem minus habet virium. Arborum fructus quotquot nobis, vbi maturuerint, dulces apparent, nuper enati, acerbi siccíque sunt consistentia, pro generantis arboris, quisque natura (ceu quodam ait loco Theophrastus) oliuæ, vuæ, mala punica, mora, palmulæ, pyra; at progressu temporis humidiores redduntur, adiiciunt acerbitati aciditatem, quam sensim exuentes, postea dum maturescunt, ac perficiuntur, dulces euadũt. Sunt qui non in arboribus, sed postea quum decerpti conditíque aliquandiu fuerint, dulcedinem accipiunt. Alij sunt, qui non interueniente aciditate, sed palam ab acerbitate in dulcedinem transeunt, sicut oliuæ. Quin quòd calido maturescunt coquuntúrque omnes, clarum est. Tum quod id ipsum duplex sit, alterum proprium, & cuique ingenitum; alterum externum, à Sole videlicet, sed tamen naturæ ipsorum conueniens, ac familiare; alterum externum, à Sole videlicet, sed tamen naturæ ipsorum conueniens, ac familiare; si quidem meminimus, quæ nobis perpetuò proposita sunt elementa; & ipsum vtique clarè cognouimus. Porrò si quum initio acerbi essent, tempore maturescentes dulcescũt, sequitur ex calore ipsis prouenire dulcedinem, acerbitatem verò aciditatémque constitisse ex frigore. Quum autem principio lignosi quum sint (vt & Theophrastus dixit) sicci quoque sint, simúlque acerbi, verùm affluentis postea humoris copia acidos efficiat, palàm est saporem acerbum magis esse terrenum, acidum autem magis esse terrenum, acidum autem magis humidum. Itaque & Plato rectè definiit dicens, Quæcunque partes eiusmodi in succis deferuntur terrestres, eæ liquefactæ contrahunt, atque exiccant humidas linguæ sensibiles partes; ac si exasperant, acerbæ, sin minus id faciant, austeræ apparent. Rectè autem, & nos præter hæc dicemus frigidum esse temperie saporem eiusmodi. Nam si terrenus fuisset duntaxat, emplasticus, non acerbus foret. Iámque oratio quodammodo ad essentiam ipsam trãsgressa saporum, demonstrationem

A πρόδηλον δ' ὡς οἱ περὶ τοῦ πικροῦ τῇ φύσει κηροῦ λέγεται ταῦτα, καθάπερ ὁ Ποντικός ἐστιν. ἐξ ἀψινθίου γὰρ ἐκεῖνος ἔχει τὴν πικρότητα, καὶ εἰ πλύνας αὐτὸν μυριάκις, οὐκ ἂν ἐκνίψαις τελέως τὴν πικρότητα. φυλάττεσθαι δὲ καὶ τὸν ἐκ δριμέος καὶ θυμώδους μέλιτος, κηρὸν, ὅταν ἄδηκτον ἀκριβῶς ἐθέλοις σκευάσαι φάρμακον. ἐπιτήδειος οὖν, ὁ ἐξ ὑδατωδεστέρου, καὶ ἥκιστα δριμέος μέλιτος, εἰς τὸ πλυνέσθαι.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

B *Ὅτι τὰ στύφοντα φάρμακα καὶ ὀξέα ἄμφω μὲν ψυχρὰ ταῖς ποιότησι, διαφέρει δὲ τῷ τὰ μὲν στύφοντα, γεώδη τε εἶναι καὶ παχυμερῆ· τὰ δ' ὀξέα, λεπτομερῆ τοῖς σώμασιν.*

ΤΑ μὲν οὖν ἐμπλαστικὰ φάρμακα τοιαῦτα. περὶ δὲ τῶν στυφόντων τε καὶ ὀξέων, αὖθις ἐπάνειμι. τὰ μὲν στύφοντα, γεώδη μέν ἐστι, καὶ παχυμερῆ ταῖς τῶν ὄγκων συστάσεσι, ψυχρὰ δὲ ταῖς ποιότησι. τὰ δ' ὀξέα λεπτομερῆ μέν ἐστι τοῖς σώμασι, ψυχρὰ δ' ὡσαύτως τοῖς στύφουσι. πίστις δ' ὑπὲρ ἀμφοῖν διττὴ, κατὰ μὲν τὴν αἴσθησιν ἐξ ἀπαγωγῆς, κατὰ δὲ τὸν λόγον, ἐκ τῆς οὐσίας
C αὐτῶν. εἰρήσεται δὲ προτέρα τῶν πίστεων, ἡ σαφεστέρα μὲν τοῖς πολλοῖς, ἀσθενεστέρα δ' ὡς πρὸς ἀπόδειξιν ἐπιστημονικήν. οἱ ἀπὸ τῶν δένδρων καρποὶ πάντες, ὅσοι γλυκεῖς ἡμῖν φαίνονται πεπανθέντες, ἄρτι γεννώμενοι, στρυφνοί τέ εἰσι καὶ ξηροὶ ταῖς συστάσεσι, καὶ κατὰ τὴν τοῦ γεννῶντος δένδρου φύσιν ἕκαστος, ὥς που καὶ Θεόφραστος ἔλεγεν... ἐλαῖαι, σταφυλαὶ, μῆλα, ῥοιαὶ, μόρα, φοίνικες, ἄπιοι. προϊόντες δὲ τῷ χρόνῳ, γίγνονται μὲν ὑγρότεροι, προσλαμβάνουσι δὲ ὀξύτητα τῇ στρυφνότητι, καὶ ταύτην
D ἀποτιθέμενοι, κατὰ βραχὺ γλυκεῖς αὖθις γίνονται τελειούμενοι. τινὲς δ' οὐδ' ἐπὶ τοῖς δένδροις, ἀλλ' ἀφαιρούμενοι, μετὰ χρόνον ἀπολαμβάνουσι τὴν γλυκύτητα. ἄλλοι δέ τινες, οὐδὲ διὰ μέσης τῆς ὀξύτητος, ἀλλ' ἄντικρυς ἀπὸ τῆς στρυφνότητος, ἐπὶ τὴν γλυκότητα παραγίνονται, καθάπερ καὶ ὁ τῆς ἐλαίας. καὶ μὴν ὅτι γε τῷ θερμῷ πέττονται πάντες, δῆλον. ὅτι τε διττόν ἐστι τοῦτο, τὸ μὲν ἴδιον ἔμφυτον ἑκάστου, τὸ δ' ἔξωθεν μὲν ἀπὸ τοῦ ἡλίου, σύμφυτον δὲ καὶ οἰκεῖον αὐτοῖς, εἴπερ μεμνήμεθα τῶν ὑποκειμένων ἡμῖν ἀεὶ στοιχείων, ἴσμεν δήπου σαφῶς. ἀλλ' εἴ-
E περ στρυφνότεροι μέν εἰσι κατ' ἀρχὰς, πεπαινόμενοι δὲ, γίνονται γλυκεῖς, ἐκ θερμασίας ἡ γλυκύτης αὐτοῖς, ἐκ ψύξεως δὲ ἡ ὀξύτης τε καὶ στρυφνότης ὑπῆρξεν. ἐπεὶ δὲ καὶ κατ' ἀρχὰς μὲν ἔτι ξυλώδεις ὄντες, ὡς καὶ Θεόφραστος ἔλεγε, ξηροί τέ εἰσιν ἅμα καὶ στρυφνοί. τὸ πλῆθος δ' αὖθις τῆς ἐπιρρεούσης ὑγρότητος ὀξεῖς ἐργάζεται, πρόδηλον, ὡς γεωδέστερος μέν ἐστιν ὁ στρυφνὸς χυμὸς, ὑγρότερος δ' ὁ ὀξὺς, ὥστε καὶ Πλάτων ὁρίζων ὀρθῶς ἔλεγεν. ὅσα τοιαῦτα τοῖς χυλοῖς ἐμφέρεται γεώδη μόρια, κατατηκόμενα ταῦτα καὶ συνάγοντα, καὶ ἀποξηραίνοντα τὰ νοτερὰ τῶν
F τῆς γλώττης αἰσθητικῶν μορίων, τραχύτερα μὲν ὄντα στρυφνὰ, ἧττον δὲ τραχύνοντα, αὐστηρὰ φαίνεται. καὶ ἡμεῖς δὲ πρὸς τούτοις, ὅτι καὶ ψυχρός ἐστιν τὴν κρᾶσιν ὁ τοιοῦτος χυμὸς, ὀρθῶς ἐροῦμεν. ἂν γὰρ γεώδης ᾖ μόνον, ἐμπλαστικὸς, οὐ στρυφνὸς ἔσται, καί πως ὁ λόγος ἐπὶ τὴν οὐσίαν αὐτὴν ἤδη μεταβὰς τῶν χυμῶν, ἐπιστημονικῆς

ἀποδείξεως ἅπτεται. εἰ γὰρ τῷ στρυφνῷ χυλῷ, συνάγειν, καὶ ξηραίνειν καὶ τραχύνειν τὴν γλῶτταν ὑπάρχει σαφῶς, ἐδείχθη δ' ἐν τοῖς ἔμπροσθεν λόγοις, ὑπὸ ψυχροῦ μόνου συνάγεσθαι, καὶ σφίγγεσθαι, καὶ πιλεῖσθαι τὰ σώματα, πρόδηλον, ὡς πάντως ψυχρός ἐστιν ὁ στρυφνὸς χυμός· ἐπεὶ δὲ καὶ ἀνωμάλως ξηραίνει (τοῦτο γὰρ ἦν τὸ τραχύνειν) εἴη ἂν πάντως καὶ γεώδης. ὁμαλῶς γὰρ ἅπαντα ὁ ὑδατώδης διεξέρχεται. ὑπάρχει γὰρ ἀχώριστον αὐτῷ, κἂν διασπασθῇ, τὸ πάλιν ἑνοῦσθαι, τῷ δὲ γεώδει σώματι τῷ κατὰ τοὺς χυμοὺς ἐμφερομένῳ, καὶ τὸ διεσπάσθαι μὲν ἤδη πάρεστιν, καὶ τὸ μηκέτι δὲ συνιέναι ῥᾳδίως ὑπάρχει. καὶ μέν τοι καὶ τὸ τῆς αἰσθήσεως ἴδιον ἑκατέρου πάθους ἀναμνησθέντι σοι, τοῖς αὐτοῖς μαρτυρήσει. ταχεῖα μὲν γὰρ ἡ τῶν ὀξέων χυμῶν διέξοδος, ἐν τοῖς αἰσθητικοῖς σώμασι φαίνεται γιγνομένη, βραδεῖα δ' ἡ τῶν στρυφνῶν. καὶ τὰ μὲν ὀξέα διὰ βάθους ἐνεργεῖν φαίνεται μᾶλλον, ἐπιπολῆς δὲ τὰ στρυφνά. ταῦτ' οὖν ἅπαντα παχυμερῆ μὲν εἶναι ἐνδείκνυνται τὰ στρυφνὰ σώματα, λεπτομερῆ δὲ ὑπάρχειν τὰ ὀξέα. ταυτὶ μὲν οὖν ἱκανῶς ἀλλήλοις ὡμολόγηται, τά τ' ἀπὸ τῆς οὐσίας αὐτῆς τῶν πραγμάτων εἰρημένα, καὶ τὰ διὰ τῆς τῶν εὑρημένων κατὰ τὴν αἴσθησιν ἐπαγωγῆς. οὐδὲν δ' ἂν εἴη χεῖρον, ἔτι καὶ ταῦτα προσθεῖναι, μεμνημένους πάλιν κἀνταῦθα τῆς τῶν ὀνομάτων χρήσεως, ὡς στύφειν μὲν ἄμφω λέγεται, τό τ' αὐστηρὸν καὶ τὸ στρυφνόν, ἐν δὲ τῷ μᾶλλον καὶ ἧττον, διαφέρει. καὶ μὴν καὶ ὅτι πολλαὶ τοῖς φαρμάκοις ὑπάρχουσι ποιότητες, οὐ διάφοροι μόνον, ἀλλὰ καὶ μαχόμεναι πρὸς ἀλλήλας, ἐνίοτε δὲ καὶ παντάπασιν ὑπεναντίαι. δέδεικται μὲν ἔμπροσθεν αὐτάρκως, ἄρξασθαι δ' ἀπ' αὐτοῦ καὶ νῦν ἀναγκαῖον. εἰ μὲν γάρ σοι φαίνοιτο γευομένῳ, καὶ στρυφνὸν ἅμα καὶ δάκνον ταὐτό, τουτὶ μὲν ἀπολιπεῖν σε κελεύσω τὸ φάρμακον, ἔρχεσθαι δ' ἐπὶ τὸ στρυφνὸν ἄνευ τοῦ δάκνειν. εἰ δὲ μήτ' ὀξὺ φαίνοιτο, μηδὲ γλυκύ, μηδὲ πικρόν, ἀλλ' ὡς οἷόν τε μάλιστα μίαν ἔχον ἄμικτον ποιότητα τὴν τῆς στύψεως, οὕτως ἤδη βασανίζειν αὐτὸ τῇ πείρᾳ, καθ' ὃν πολλάκις ἔμπροσθεν ὑπεθέμην σοι τρόπον. ἐὰν γὰρ ἅμα τό τε στύφειν ἔχῃ, καὶ τὸ δάκνειν ἤ τινα ἄλλην ἐναργῆ ποιότητα, καὶ δύναμιν ἐπιμεμιγμένην τῇ στύψει, περιττὸν καὶ μάταιον εἰς πεῖραν ἄγειν τὸ τοιοῦτον φάρμακον, ἐπειδὰν δοκιμάζῃς ἐνέργειαν στύψεως. ἄδηλον γάρ, εἴτε διὰ τὴν στύψιν, εἴτε διά τινα τῶν ἀναμεμιγμένων αὐτῇ ποιοτήτων, εἴ τε καὶ δι' ἀμφοτέρας ἐνήργησεν ὁπωσοῦν περὶ τὸ πλησιάζον αὐτῷ σῶμα. χαλκῖτις οὖν, καὶ μίσυ, καὶ χάλκανθος, καὶ λεπὶς χαλκοῦ, καὶ σῶρυ, στύφοντά τε ἅμα καὶ δάκνοντα, δρᾷ μὲν κατ' ἀμφοτέρας τὰς ποιότητας εἰς ἕκαστον τῶν ὁμιλούντων σωμάτων. οὐ μὴν διδάξαι γε ἡμᾶς δύναται σαφῶς, εἴτε διὰ τὴν στύψιν ἔχει τὸ καίειν, εἴ τε διὰ τὴν δριμύτητα. καταλιπεῖν οὖν ἄμεινον αὐτὰ καὶ γεύεσθαι, πολλῶν ἐφεξῆς ἄλλων ἐπισκοπούμενον εἰλικρινῆ στύψιν ἰδίαν, καὶ καθ' ἑαυτὴν ὡς οἷόν τ' ἐστὶ μάλιστα, κἀπειδὰν τοιαύτην εὕρῃς, οὕτως ἤδη κρίνειν τὸ φάρμακον, αἷς πολλάκις ἔμπροσθεν ἤκουσας μεθόδοις, οἷον, εἴ σοι γευομένῳ φαίνοιτο βαλαύστιον, ἢ κηκίς, ἢ κύτινος, ἢ ὑποκυστίς, ἢ στρύχνος, ἢ γλαύκιον, ἢ ἀκακία, ἢ ῥοῦ χυλός, ἤ τι τοιοῦτον ἕτερον, ἀκριβῶς μὲν εἶναι στρυφνόν, ἔκδηλον δ' ἑτέραν ποιότητα μηδεμίαν ἔχον, ἐξετάζειν ἐπὶ τῶν τοιούτων ἤδη, καὶ βασανίζειν ἀκριβῶς ἐνέργειαν στύψεως. ἡ δὲ ἐξέτασις, ὡς εἴρηται πολλάκις, ἐπί τε τῶν ἐν ἀρίστῃ κατασκευῇ σωμάτων ἀκριβῶς ὑγιαινόντων, ἐπί τε τῶν ἁπλῶν γινέσθω σοι παθῶν, ἤτοι θερμῶν, ἢ ψυχρῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν.

A attingit scientificam. Quippe si acerbo sapore manifestè linguam contrahi, siccari, asperarique contingit; ostensúmque superioribus libris est ab vnico frigido contrahi, densarique corpora; liquet planè frigidum esse saporem acerbum. Quoniam porrò inæquabiliter desiccat (idest enim, quod exasperat) fuerit sanè omnino etiam terrenus. Siquidem aqueum corpus omnia æquabiliter penetrat, atque peruadit, eique inseparabile est, etiámsi diuulsum sit, vt rursum vniatur; at terreno corpori quod in saporibus defertur, iam antea inest diuulsio, simulque vt nunquam deinceps facilè B coëat. Quin si eius recorderis, quod vtriusque singulatim passionis est proprium, iisdem ipsum subscribet, ac testificabitur. Velox siquidem acidorum saporum transitus in sentientibus partibus fieri conspicitur, acerborum autem tardus; tum acida quidem in alto magis agere apparent, in superficie autem acerba. Hæc itaque omnia crassarum esse partium acerba indicant; acida verò tenuium. Multum ergo inter se hæc conueniunt, tum ea, quæ à rerum dicta sunt essentia, tum ea, quæ per inductionem eorum, quæ sensu sunt inuenta. Porrò nihilo deterius fuerit, mentionem rursum de nominum vsu facientes, hæc quoque C adiicere, nempe quòd vtraque adstringere dicantur, tum quæ acerba sunt, tum quæ austera; sed in maioris minorisque ratione inter se differant; tum quòd multæ insint medicamentis qualitates, non diuersæ tantùm, sed & pugnantes, atque interim etiam omnino subcontrariæ. Id quòd retrò satis ostensum est, cæterùm ab eo nunc rursus ordiri necesse est. Nam si gustanti tibi idem adstringens, & mordax appareat, id missum facias medicamentum, iubeo, atque illud quæras, quod absque mordacitate adstringat. Ac si neque acidum appareat, neque dulce, neque amarum, sed quàm fieri ma- D ximè possit vnam possideat qualitatem à mixtione alienam, nempe adstrictionem, ita denique experientia examinabis, quomodo sæpenumero faciendum ante proposui. Sin adstringit simul, ac mordicat, aut aliam quãuis qualitatem, seu facultatẽ adstrictioni iunctam habeat, frustra est, ac superuacaneum, vbi adstrictionis actionẽ explorare consilium est, ad experimentum tale ducere pharmacum; incertũ est enim, num ob adstrictionem, an ob aliam quampiam admixtarum illi qualitatũ, an ob vtrasque, sic in corpore sibi applicato egerit. Etenim chalcitis, misy, chalcanthos, sori, æris E squama, cùm simul adstringant, & mordicent, secundũ vtrasque qualitates in quouis admotorum corporum actionẽ exerunt, nec tamen docere nos apertè queunt, an ab adstrictione vrendi vim habeant, an ab acrimonia. Mittere itaq; illa præstiterit, & multa deinceps alia gustare, synceram seorsum adstrictionẽ intuentem, ac quoad fieri possit per sese existentẽ; ac vbi tandem quampiam repereris, ita deniq; medicamentũ iudicare iis methodis quas supra à me frequenter audiuisti. Vtpote si gustanti tibi balaustium, aut galla, aut cytinus, aut hypocystis, aut solanum, aut glaucium, aut acacia, aut succus rhu, aut id genus aliud, exactè quidem F esse appareat adstringẽs, nec vllam manifestã habens aliam qualitatem, in hoc iam expendere, ac diligenter explorare adstrictionis actionem oportet. Porro exploratio ipsa fieri (vt sæpe diximus) debet tum in optima corporum constitutione ad vnguem sanorum, tum in simplicibus affectibus, seu calidis, seu frigidis, seu humidis, seu siccis.

Nam si corpus sanum manifestò refrigerare cernatur, & calidis prosit affectibus, & euidentem quoque laboranti ipsi frigidam afferat qualitatem, audendum erit de adstrictione, quòd refrigeret, pronunciare; sin contra appareat, sanáque ab eo corpora incalescant, & calidi affectus exasperentur, frigidique iuuentur, non refrigerare, sed excalefacere medicamentum eiusmodi putandum est. Eodem modo de acribus, sumendum experimentum in cæpis, allio, pipere, pyrethro, zinzibere, struthio, helenio, calce. Etenim quemadmodum, qui solani succum piperi miscuit, neutrum satis explorare potest; sic nec quæ à natura sunt mixta. Eundem in modum contemplandum de acida qualitate, de amara, de dulci censeo, vehementes nimirum, & quæ quantum licet solæ sint, in explorationem ducendo, & experientia vires eorum scrutando. Quippe quiduis te, quo modo sit, aut acerbum, aut austerum, aut amarum, in experimentum ducere, tanquam in eo acerbitatis, austeritatis, vel amaroris facturum periculum, planè absurdum arbitror. Nam si vnam duntaxat qualitatem possideat, idem erit medicamenti ipsius, & qualitatis experimentum; sin multas, ex omnibus nimirum mixtam medicamentorum actionem edet; quare vnius adhuc eius, quæ in iudicium veniebat, actio obscura, & incerta permanet. Itaque si vt prius dictum est, iudicare oporteat, non rectè senserunt, qui nihil prorsum pronunciari posse de saporum facultatibus, existimarunt, quique aliter iudicium ineundum censent; siquidem & de ipsis aliquid asseri potest, nec iudicium aliter, quàm nunc est dictum, iniri conueniat. Sanè si id modò dixissent, planè opus non esse saporum consideratione, quum vires medicamentorum expendimus (nam absque his medicamentorum vires experientia inuenire licet) laude illos potius quàm vituperatione, dignos putarem; verùm vbi tanquam de re, necessaria quidem illa, sed incomprehensibili, disserunt, bis reprehendendos iudico, tum quòd rem non necessariam habeant pro necessaria, tum quòd consequi eam se posse desperent. Nam facultatis medicamenti cuiusuis iudicium abundè citra saporum dignotionem sola reperitur experientia, cum in modum habita, quem sexcenties iam antea posui. Atque ego sanè non, quasi aliter inueniri, quod inuestigatur, non posset, ad sermonem de saporibus descendi, sed partim propter eam, quæ ad principia est, sequelam, vt videlicet ostenderem omnia ad alimentorum rationes cōsequi, nec quicquam vsquam inueniri pugnans; partim verò etiam, vt illos coarguerem, qui adstringentia omnia excalefacere contendunt. Quinimo fuerit etiam nonnullus eius ad præsens negocium vsus. Sed hæc postea monstrare conabor. At nunc ad rem propositam reuertor; & hortor qui veritatis sunt amatores, vt ipsimet adstringentia omnia degustent, vti nos fecimus; ac vbi inuenerint aliquo in corpore perfectam adstrictionē, quoad liceat, ab aliarum qualitatum mixtione alienam, tum denique experientia expendere tentent, frigidum sit, an calidum, humidum, an siccum, corpus eiusmodi. Sed hoc quisquis sapiet, seorsum ipse faciet. Ego verò, vt aliquid de mea afferam; pronunciémque experientia fortassis necessarium fuerit, atque in hoc quidem libro in genere, singillatim autem in commentariis sequentibus. Fuerit autem generalis de omnibus sermo eiusmodi.

A Εἰ μὲν γὰρ αὐτό τε τὸ ὑγιαῖνον σῶμα φαίνοιτο σαφῶς ἐμψῦχον, ἐπί τε τῶν θερμῶν ἁρμόττει παθῶν, ἐναργῆ δὲ καὶ αὐτῷ τῷ κάμνοντι τὴν ψυχρὰν προσβάλλει ποιότητα, τολμᾶν ἤδη τι περὶ τῆς στύψεως ὡς ψυχούσης ἀποφαίνεσθαι. Εἰ δ' ἔμπαλιν ἔχον εὑρίσκοιτο, καὶ τῶν ὑγιαινόντων σωμάτων ὑπ' αὐτοῦ θερμαινομένων, καὶ τῶν θερμῶν νοσημάτων παροξυνομένων, καὶ τῶν ψυχρῶν ὠφελουμένων, οὐ ψύχειν, ἀλλὰ θερμαίνειν ἡγεῖσθαι χρὴ τὸ τοιοῦτον φάρμακον. οὕτω δὲ καὶ περὶ τῶν δριμέων αὐτῶν καθ' ἑαυτὰ ποιεῖσθαι τὴν βάσανον, ἐπί τε κρόμμυον ἰόντα, καὶ σκόροδον, καὶ πέπερι, καὶ πύρεθρον, καὶ ζιγγίβερι, καὶ στρουθίον, B ἐλένιόν τε, καὶ τίτανον. ὥσπερ γὰρ ὁ μίξας στρύχνου χυλῷ πέπερι, δοκιμάζειν οὐδέτερον αὐτῶν ἱκανός ἐστιν, οὕτως οὐδὲ τὰ πρὸς τῆς φύσεως μεμιγμένα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἀξιῶ σε καὶ τὴν ὀξεῖαν ποιότητα, καὶ τὴν πικρὰν, καὶ τὴν γλυκεῖαν ἐπισκέπτεσθαι, σφοδρὰς καὶ μόνας, ὡς οἷόν τ' ἐστὶν, εἰς τὴν δοκιμασίαν ἄγοντα, καὶ τῇ πείρᾳ τὰς δυνάμεις αὐτῶν ἐξευρίσκοντα. τὸ δὲ πᾶν ὅτι περ ἂν ᾖ στρυφνὸν, ἢ αὐστηρὸν, ἢ πικρὸν, ἄγειν εἰς πεῖραν. ὡς ἤτοι στρυφνότητος, ἢ αὐστηρότητος, ἢ πικρότητος ἐν αὐτῷ βάσανον ληψόμενον, ἄτοπον εἶναι νομίζω. Εἰ γὰρ μιᾶς μόνης μετέχει ποιότητος, τὴν αὐτὴν τοῦ C φαρμάκου πεῖραν ἕξεις, καὶ τῆς ποιότητος. Εἰ δὲ πλειόνων, ἐξ ἁπασῶν ἤδη δηλονότι μικτὴν ἐνέργειαν ἐνεργήσει τὸ φάρμακον, ὥσθ' ἡ τῆς μιᾶς τῆς κρινομένης, ἔτ' ἄδηλος μένει. Εἴπερ οὖν, ὡς προείρηται χρὴ κρίνειν, οὐκ ὀρθῶς ὑπέλαβον, οἵ τε μηδ' ὅλως ἀποφήνασθαί τι δυνατὸν εἶναι νομίσαντες, ὑπὲρ τῆς τῶν χυμῶν δυνάμεως, οἵ θ' ἑτέρως τὴν κρίσιν ποιησάμενοι. καὶ γὰρ ἀποφήνασθαί τι δυνατὸν ὑπὲρ αὐτῶν ἐστιν, καὶ τὴν κρίσιν οὐκ ἄλλως, ἢ ὡς εἴρηται νῦν προσήκει ποιεῖσθαι. Εἰ μὲν οὖν ὅλως μηδὲν δεῖσθαι τῆς κατὰ τοὺς χυμοὺς ἐπισκέψεως εἰρήκεισαν, ἐπειδὰν τὰς δυνάμεις τῶν φαρμάκων D ἐξετάζωμεν, ἐγχωρεῖ γὰρ καὶ χωρὶς τούτων ἐξευρίσκειν τῇ πείρᾳ τὴν δύναμιν αὐτῶν, ἐπῄνουν ἂν μᾶλλον ἢ ἐμεμφόμην αὐτούς. ἐπεὶ δ' ὡς ὑπὲρ ἀναγκαίου μὲν, ἀγνώστου δὲ διέρχονται, διχῇ μέμψασθαι τοὺς ἄνδρας δίκαιον, ὅτι τε τὸ μὴ ἀναγκαῖον ὑπέλαβον ὡς ἀναγκαῖον, ὅτι τε προαπέγνωσαν αὐτοῦ τῆς εὑρέσεως. ἡ γάρ τοι κρίσις ἑκάστου τῶν φαρμάκων τῆς δυνάμεως, ἄνευ τῆς τῶν χυμῶν διαγνώσεως αὐτάρκως εὑρίσκεται τῇ πείρᾳ μόνῃ βασανιζομένη, καθ' ὃν εἴρηκα μυριάκις ἤδη τρόπον. κἀγὼ νῦν, οὐχ ὡς οὐκ ἐνὸν ἄλλως ἐξευρεῖν τὸ ζητούμενον, ἀλλὰ διά τε τὸ πρὸς τὰς ἀρχὰς ἀκόλουθον, E ἵν' ἐπιδείξαιμι πάντα τοῖς τῶν στοιχείων λογισμοῖς ἑπόμενα, καὶ μηδὲν μηδαμόθι μαχόμενον, ἐξελέγξαιμί τε τοὺς ἅπαντα τὰ στύφοντα θερμαίνειν εἰπόντας, ἐπὶ τὸν περὶ τῶν χυμῶν ἀφικόμην λόγον. εὑρεθείη δ' ἄν τις αὐτοῦ καὶ χρεία πρὸς τὴν ἐνεστῶσαν ἡμῖν πραγματείαν, ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπιδεῖξαι πειράσομαι. νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπάνειμι, παρακελεύομαί τε τῆς ἀληθείας ὀρεγομένοις, αὐτοῖς γευομένοις ἁπάντων τῶν στυφόντων, ὥσπερ ἡμεῖς ἐποιησάμεθα, ὅταν εὕρωσιν ἀκριβῶς κατά τι σῶμα τὴν στύψιν, ἄμικτον ὡς οἷόν τε μάλιστα τῶν ἄλλων ποιοτήτων, τηνικαῦτα διὰ τῆς πείρας F ἐξετάζειν, εἴ τε θερμὸν, εἴ τε ψυχρὸν, εἴτε ξηρὸν, εἴ τε ὑγρὸν ὑπάρχει τὸ τοιοῦτον σῶμα. τοῦτο μὲν οὖν ἕκαστος, ἅπερ σωφρονῇ, ποιήσει καταμόνας αὐτός. ἐμοὶ δ' ἀναγκαῖον ἴσως ἀποφαίνεσθαί τι περὶ τῆς ἐμαυτοῦ πείρας, ἐν μὲν τῷ νῦν ἐνεστῶτι λόγῳ καθόλου, κατὰ μέρος δὲ διὰ τῶν ἑξῆς ὑπομνημάτων. ἔστω δ' οὖν ὁ μὲν καθόλου λόγος ὑπὲρ ἁπάντων τοιόσδε.

A Πᾶν στῦφον σῶμα, τό γε τῶν ἄλλων καθαρεῦον, ὥσπερ πρὸς τὴν αἴσθησιν ποιοτήτων, εὗρον ἀεὶ πειρώμενος, ψυχρόν. ἤδη δὲ καὶ τῶν ἐπιμίκτων ταῖς ποιότησιν ἔνια, τά τε μετρίως γλυκέα, καὶ πικρὰ, καὶ δριμέα, σαφῶς εὑρέθη ψύχοντα, κρατούσης γὰρ ἐν αὐτοῖς δηλονότι τῆς τοῦ στύφειν τε καὶ ψύχειν δυνάμεως, ὡς ἀμαυροῦσθαι τὰς ἄλλας. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὰ ὀξέα πάντα, τά θ' ἁπλῶς ὀξέα καθάπερ ὀξαλίδα, καὶ ὀξυλάπαθον, ἔνιά τε τῶν ἐπιμίκτων ἑτέραις ποιότησιν, ἤτοι γλυκείαις, ἢ δριμείαις, ἢ πικραῖς, οὐδὲν ἧττον εὑρίσκεται ψύχοντα, καὶ ῥοιαὶ, καὶ μῆλα, καὶ κοκκύμηλα, καὶ σταφυλαὶ, καὶ σῦκα, καὶ συκάμινα, καὶ κεράσια, καὶ αὐτὸ τὸ ὄξος. B ἀλλὰ τούτῳ μὲν, ὡς εἴρηται πρόσθεν, ἐπιμέμικταί τις δριμύτης, ταῖς δ' ὀπώραις, γλυκύτητές τε καὶ στρυφνότητες, καί τισιν αὐτῶν, καὶ πικρότητες ἀμυδραί. καὶ μὲν τοι καὶ ὅσα στύφει τε ἅμα, καὶ ὀξέα ταῖς ποιότησίν ἐστιν, ἅπαντα καὶ ταῦτά μοι εὑρέθη πειρωμένῳ, σαφῶς ψύχοντα. τὰ δὲ γλυκέα μόνον ἅπαντα, κατὰ τὸ ποσὸν τῆς γλυκύτητος, εὐθὺς καὶ τῆς θερμότητος μετέχει, ὥστ' οὐδὲν μὲν τῶν λίαν γλυκέων, ψυχρόν. εἴη δ' ἄν τι καὶ μετρίως γλυκὺ ψυχρὸν, ἐπειδὰν τὸ πλεῖστον αὐτοῦ τῆς τοῦ σώματος οὐσίας ὑδατῶδες ᾖ, οὐ μὴν οὕτω γε ψυχρὸν, ὡς τὸ στρυφνὸν ἰσχυρῶς, ἢ τὸ ὀξὺ, ἀλλ' ὡς καὶ πρόσθεν που λέλεκται C περὶ τῶν χλιαρᾶς θερμασίας μετεχόντων. καὶ τὰ πικρά γε πάντα θερμὰ, καθάπερ ἥ τε χολὴ καὶ τὸ νίτρον, καὶ οἱ πάνυ παλαιοὶ τῶν οἴνων, καὶ τῶν σπερμάτων μυρία. καὶ γὰρ τὸ τοῦ πηγάνου καὶ μάλιστα τὸ τοῦ ἀγρίου, καὶ τὸ τοῦ τορδύλου, καὶ τὸ τοῦ σφονδύλου, καὶ τὸ τοῦ μελανθίου, καὶ οἱ θέρμοι, καὶ μᾶλλον οἱ ἄγριοι, καὶ οἱ ὄροβοι, καὶ τούτων οἱ ἄγριοι μᾶλλον, ὅ τε προσαγορευόμενος πελεκῖνος. εὑρίσκεται δὲ ἐν τοῖς πυροῖς. ἀμυγδαλαί τε τινὲς, αἳ δὴ καὶ δι' αὐτὸ τοῦτο προσαγορεύονται πικραὶ, καὶ σικύων ἄττα σπέρματα, καὶ τὸ τοῦ μήλου τοῦ Μηδικοῦ, καὶ πρὸς τούτοις ἕτερα μυρία πικρὰ φαίνεται τοῖς γευομένοις. D

A Corpus omne adſtringẽs ab aliis, quod ſenſu animaduerti poſſet, qualitatibus ſyncerum, perpetuò cõperi experiendo, refrigerare. Quin etiam nonnulla ex iis, quæ qualitatibus mixta erant, nempe quæ modicè dulcia, aut amara, aut acria, apertè quoque refrigerantia reperi, ſcilicet quum in eis adſtringendi refrigerandíque facultas ita vincerent, vt alias obſcurarent. Eadem ratione acida vniuerſa, tum ea, quæ ſimpliciter acida eſſent, ſicut oxalida, & oxylapathum: tum mixtis quoque aliis qualitatibus quædam ſiue dulcibus, ſiue acribus, ſiue amaris, nihilo ſecius refrigerantia expertus ſum, qualia ſunt mala punica, mala, pruna, vuę, B mora, ficus, ceraſa, ipſúmque adeo acetum: Sed huic, vt ſupra dictum eſt, permixta eſt quædã acrimonia; fructibus autem dulcedines quædam, & acerbitates; quibuſdam verò etiam amarores quidam obſcuri, ac leues. Tum item quæ adſtringunt pariter, atque acida ſunt, ea omnia quoque manifeſtò refrigerare experientia cognoui. Sola verò dulcia omnia pro dulcedinis modo protinus etiam calorem continent; quocirca eorum quæ admodum dulcia ſunt, nullum omnino eſt frigidum. Fuerint tamen quædam modicè dulcia itidem frigida, ſcilicet quando plurima corporis ipſius ſubſtãtia aquea extiterit, ſed non adeo tamen frigida, vt id quod valdè acerbum eſt, aut acidũ, ſed ſicut alicubi retrò diximus de illis, quæ tepidũ calorem poſſident. Porrò amara omnia calida ſunt, vt bilis, nitrum, vina valdè vetuſta, ac numeroſa ſeminum copia. Nam & ſemen rutæ, potiſſimum ſylueſtris, & tordili, & ſpondyli, melanthiique, & lupini, magiſque agreſtes; orobi, & inter hos potius agreſtes, quique à ſecure pelecinus nuncupatus eſt, reperitur autem in tritico; amygdalæ quædam, quæ ob id ipſum amaræ vocitantur; cucumerum quædam ſemina, & ſemen mali medici, & ad hæc infinita alia, amara apparent guſtantibus.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι ἐκλυομένου τοῦ στρυφνοῦ χυμοῦ ὅ, τ' αὐστηρὸς χυμὸς γίνεται, καὶ ὁ ὀξὺς, καὶ ὁ γλυκὺς, καὶ ὁ λιπαρός· ἐκλύεται δὲ ὁ στρυφνὸς χυμὸς ψυχρὸς ὢν καὶ γεώδης, ἢ θερμαινόμενος, ἢ ὑγραινόμενος, ἢ κατὰ τὸ συναμφότερον.

ΑΛΛΑ περὶ μὲν τῶν πικρῶν, ἐπὶ πλέον ἐφεξῆς εἰρήσεται. τὸν δὲ περὶ τῶν στυφόντων, καὶ ὀξέων αὖθις ἀναλαβόντες λόγον, ἐπιθῶμεν ἤδη τὴν προσήκουσαν αὐτῷ τελευτήν. τὸ τοίνυν αὐστηρὸν, ὅτι μὲν ἐκλελυμένον ἐστὶ στρυφνὸν, ἀναμνησθῆναι χρὴ τῆς E αἰσθήσεως. ἡ δὲ γένεσις αὐτοῦ, νῦν εἰρήσεται. ἐπεὶ τὸ στρυφνὸν σῶμα, γεῶδές τε καὶ ψυχρόν ἐστιν, ἐκλυθήσεται κατ' ἀνάγκην τριχῶς, ἢ θερμαινόμενον, ἢ ὑγραινόμενον, ἢ συναμφότερον ἅμα πάσχον. ἀλλ' εἰ μὲν οὖν θερμαίνοιτο μόνον, οὐκ ἔστι μὲν οὔθ' ὑγρότερον, οὔτε μαλακώτερον, ἀλλὰ σκληρὸν μένον, ἐπικτήσεται γλυκύτητα, καθάπερ αἱ τῶν δρυῶν βάλανοι καὶ μάλιστα αἱ ὀνομαζόμεναι καστάνειαι. ἐὰν δ' ὑγραίνηται μόνον, ἐὰν μὲν παχυμερὴς, καὶ ὑδατώδης ἡ ὑγρότης, αὐστηρὸν ἀποτελεσθήσεται. παντὸς γὰρ χυμοῦ δύναμιν, ἡ ὑδατώδης ὑγρότης ἀμβλύνει. ἐὰν δὲ λεπτομερής F τε καὶ ἀερώδης, ὀξυνεῖ. δέδεικται γὰρ ὡς τὸ λεπτομερὲς ψυχρὸν, ὀξεῖαν ἀπεργάζεται ποιότητα. εἰ δὲ ὑγραίνηταί τε ἅμα καὶ θερμαίνηται, μετὰ μὲν ὑδατώδους ὑγρότητος, εἰς γλυκύτητα, τὴν μετάπτωσιν ἕξει, μετὰ δ' ἀερώδους, εἰς λιπαρότητα. καὶ πρόδηλον ἤδη γέγονεν, ὅπως οἱ καρποὶ κατ' ἀρχὰς ὄντες στρυφνοὶ, προϊόντος τοῦ χρόνου, τινὲς μὲν ἀκριβῶς γίνονται γλυκεῖς, τινὲς δὲ ὀξεῖς, τινὲς

CAPVT VIII.

Quòd per acerbi ſaporis exolutionem naſcatur auſterus ſapor, & acidus, & dulcis, ac pinguis; ſoluitur autem acerbus ſapor, quum frigidus ſit, & terrenus; aut calefactione, aut humectatione, aut ſimul vtra.

SEd infrà copioſiùs de amaris agemus. Nunc rurſum reſumpto de adſtringentibus, atq; acidis ſermone, conuenientem ei finem imponamus. Ergo auſterum, quòd ſit acerbum exolutum, ſenſum ad memoriam reuocare oportet. At quæ ſit eius generatio, nunc dicam. Quandoquidem corpus acerbum terreum eſt, ac frigidum; tripliciter neceſſariò exoluitur, aut incaleſcens, aut humeſcens, aut vtrunque ſimul perpetiens. Itaque ſi caleſcat duntaxat, id nec humidius eſt, nec mollius, ſed durum manens ſolam acquiret dulcedinem, velut quercinæ glandes, ac potiſſimũ quæ vocantur caſtaneæ. Sin tantũ humeſcat, ſiquidẽ ea craſſarum ſit partium, & aquea humiditas, auſterũ euadet; cuiuſque enim ſaporis vires aquea retundit, ac hebetat humiditas. Si verò tenuium partium, & aërea ſit, aceſcet; oſtenſum namque eſt frigidum ſubtile acidam efficere qualitatem. At ſi pariter, & humeſcat, & calefiat, humiditate quidem aquea in dulcedinem, aërea verò tranſibit in pinguedinẽ. Perſpicuum ergo hinc iam euaſit, quo pacto fructus principio acerbi quum ſint, proceſſu temporis quidam planè dulceſcant, quidam aceſcant, nonnulli

nulli fiant austeri, aliqui etiam acerbi permaneant, tum quidam etiam pingues reddantur. Et sanè secundum propositarũ qualitatum mixturas variam sortiuntur mutationẽ. Acerbus ad extremum perseuerat fructus ilicis, arbuti, fagi, corni; siquidẽ frigidus siccúsq; qualis erat ab initio, permanet, tantummodo mole increscens, nulla præterea magna accedente alteratione; nam & arbores ipsę tũ densissimæ sunt, tum siccissimæ, ac frigidissimæ. Acerbus simul, & dulcis myrti fructus est, & pyri agrestis, ac roboris. Magis tamen dulcis quàm acerbus, fructus castaneæ quem nominant: Tantũ austerus, vitis amineæ tum fructus, tum vinum, ac quotquot his similia sunt. Austerus vnáq; dulcis fructus palmæ; & inter vina Surrentinũ, Sabinũ, Albates, vt vocant, & quæ eius sunt generis; Solummodo dulce, Theræum, & Scybeliticum, & Syræum, & alia quæcunque cum istis conueniunt. Pinguis exactè, tum fructus, tum succus oleæ, tum etiam alij omnes, ex quibus oleum conficitur, sicut ricini, raphanidis, & ipsa sesama, nucésque, & amygdala. Nam id genus omnia vetustate prorsum efficiuntur pinguia, quippe in quibus aquea quidẽ excrementitiáque humiditas digeritur, propria verò à calore natiuo elaboratur, atque exactè concoquitur.

CAPVT IX.

Quòd amara ab immodico nascantur calore, & immodicè sint calida; dulcia verò omnia calida sint miti calore, qui non supra modum nostrum exuperet calorem.

QVicunq; ergo fructus oleosi sunt solũmodo, edendo ij sunt, & dulces: quibus verò dum alterantur amaror quidam aduenit, ij edi non possunt. Quippe amarum omne esui ineptum est; taléque efficitur à caloris excessu, sicuti postea docebimus. Verùm dulce omne calidũ est, nec immodicè calorem nostrum exuperat; imò sicut aqua calida, cuius contactus voluptati est, maximè vbi frixerimus, hactenus videlicet nos excalefaciens, dum concretas frigore in nobis particulas fundat, non tamen soluat, aut secet, distrahátve cõtinuum; ea, inquam, vt summa afficit voluptate, ac vtilissima est; sic omne edulium dulce, calidum sanè omnino est, sed non tantum calore excedit, vt is lędat, ac molestus sit; sed inter limites se cõtinet fundentis, læuigantis, ac mollientis. Rursum mihi hîc memoria repete, quæ sæpe ante dixi, quædã esse, quæ vel vna, vel duabus in sese qualitatibus, & agunt, & patiuntur; quædã verò, quæ totis substantiis suis, quorum in numero, & medicamẽta non pauca dixi, & nutrimenta vniuersa. Horum duplex esse genus apparet, prout significauit & Theophrastus. Nam quædã sunt pinguia, velut pinguedo; quædã dulcia magis minúsve, velut fructus omnes, quibus vescimur, & animalium carnes, tum herbæ item multæ, ac radices, floresque, & germina. Nam tametsi sunt inter ea, quædam acerba, sicut pyra sylvestria, & corna, omnino tamen dulcedine participant, nisi sũmè sint acerba, velut galla, rhus: verùm ob hæc iam pro medicamentis iis magis, quàm pro cibis vtimur. Apparent enim, quæ pica laborant mulieres, quique impleti sunt, & quibus exolutus est stomachus, ea appetere degustare; alioqui si esuriant, contra respuunt potius tum acerba, tum acida; expetunt autẽ, ac sumunt quæ dulcia sunt, & pinguia, hisque expleri desiderant.

A δ' αὐστηροί, τινὲς δ' ἀεὶ μένουσι στρυφνοί, τινὲς δ' ἀποτελοῦνται λιπαροί. καὶ δὴ καὶ κατὰ τὰς τῶν εἰρημένων ποιοτήτων ἐπιμιξίας, παμπόλλην ἔχουσι τὴν ποικιλίαν. στρυφνὸς μὲν οὖν ἄχρι τέλους ἐστὶν, ὁ τῆς πρίνου, καὶ κομάρου, καὶ φηγοῦ, καὶ κρανίας, ὅτι καὶ ψυχρὸς, καὶ ξηρὸς οἷός περ ἦν ἐξ ἀρχῆς παραμένει, μόνον μὲν αὐξανόμενος, οὐδεμίαν δὲ μεγάλην ἀλλοίωσιν ἑτέραν ἐπικτώμενος. ἔστι γὰρ καὶ αὐτὰ ταῦτα τὰ δένδρα πυκνότερά τε ἅμα καὶ ξηρότερα, καὶ ψυχρότερα. στρυφνὸς δὲ ἅμα καὶ γλυκὺς, ὅ, τε τῆς μυρσίνης, καὶ ὁ τῆς ἀχράδος, καὶ ὁ τῆς δρυὸς, καὶ πλέον μὲν γλυκὺς, ἢ στρυφνὸς ὁ τῆς καστανείας ὀνομαζόμενος. αὐστηρὸς δὲ μόνον ὁ τῶν ἀμιναίων ἀμπέλων, καὶ καρπὸς, καὶ οἶνος, ὅσοι τε παραπλήσιοι τοῖσδε. αὐστηρὸς δὲ ἅμα καὶ
B γλυκὺς, ὁ τῆς φοίνικος καρπὸς, καὶ τῶν οἴνων ὁ Συῤῥεντῖνος, καὶ ὁ Σαβῖνος, καὶ ὁ Ἀλβάτης ὀνομαζόμενος, ὅσοι τε ἄλλοι τοιοῦτοι. γλυκὺς δὲ μόνον ὁ Θηραῖός τε, καὶ ὁ Σκυβελλίτης, καὶ τὸ σίραιον, ὅσα τἄλλα τούτοις ἔοικεν. λιπαρὸς δ' ἅμα καρπὸς καὶ χυλὸς, ἀκριβῶς μὲν ὁ τῆς ἐλαίας ἐστὶν, ἤδη δὲ καὶ οἱ ἄλλοι πάντες, ἐξ ὧν ἔλαιον σκευάζεται, οἷος ὅ τε τοῦ κίκεως, καὶ ὁ τῆς ῥαφανίδος, καὶ τὰ σήσαμα δὲ αὐτὰ, καὶ τὰ κάρυα, καὶ τὰ ἀμύγδαλα. πάντα γὰρ τὰ τοιαῦτα παλαιούμενα, τελέως γίνεται λιπαρὰ, τῆς μὲν ὑδατώδους καὶ περιττωματικῆς ὑγρότητος ἐν αὐτοῖς ἀποπνεούσης, τῆς δὴ οἰκείας ὑπὸ τοῦ συμφύτου
C θερμοῦ κατεργαζομένης τε, καὶ ἀκριβῶς ἐκπεττομένης.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι τὰ μὲν πικρὰ ὑπὸ τῆς ἀμέτρου γίνεται θερμότητος, καὶ ἀμέτρως ἐστὶ θερμά· τὰ δὲ γλυκέα πάντα θερμὰ ὑπάρχει θερμότητι προσηνεῖ, οὐκ ἀμέτρως ὑπερβαλλούσῃ τὴν ἐν ἡμῖν θερμότητα.

ΟΣοι μὲν οὖν τῶν καρπῶν ἐλαιώδεις γίγνονται μόνον, ἐδώδιμοί τέ εἰσι καὶ γλυκεῖς. ὅσοις δ' ἐν τῇ μεταβολῇ προσγίνεταί τις πικρότης, ἄβρωτοι καθίστανται. τὸ γὰρ πικρὸν ἅπαν, ἄβρωτόν ἐστι, καὶ γίνεται δι' ὑπερβολὴν θερμασίας, ὡς ἐφε-
D ξῆς ἀποδείξομεν. ἀλλὰ τὸ μὲν γλυκὺ πᾶν, θερμόν τέ ἐστι, καὶ οὐκ ἀμέτρως ὑπερβάλλει τὴν ἐν ἡμῖν θερμότητα, ἀλλ' ὥσπερ τὸ ὕδωρ τὸ θερμὸν, οὗ ψαύοντες ἡδόμεθα, καὶ μάλισθ' ὅταν ὦμεν ἐῤῥιγωκότες, ἄχρι μὲν τοῦ διαχεῖν τὰ πεπηγότα πρὸς τοῦ ψυχροῦ μόρια τοῦ σώματος, ἐκθερμαῖνον ἡμᾶς, οὐ μὴν διαλύον γε οὐδὲ τέμνον αὐτῶν τὸ συνεχὲς, καὶ διιστῶν, ἥδιστόν ἐστι καὶ ὠφελιμώτατον. οὕτω καὶ πᾶν ἔδεσμα γλυκὺ, θερμὸν μὲν ὑπάρχει πάντως, οὐ μὴν ἐπὶ πλέον γε ἥκει θερμότητος ὡς ἀνιᾷν, ἀλλ' ἐν τοῖς ὅροις μένει τοῦ διαχέοντος, καὶ ὁμαλύνοντος, καὶ μαλάττοντος. ἀναμνήσθητι δὲ πάλιν κἀνταῦθα τῶν πολλάκις ἡμῖν ἔμπροσθεν εἰρημέ-
E νων, ὡς τινὰ μὲν, ἤτοι κατὰ μίαν ἢ δύο ποιότητας, ἐνεργεῖ τε καὶ πάσχει πρὸς ἄλληλα, τινὰ δὲ καθ' ὅλας ἑαυτῶν τὰς οὐσίας, ἐν οἷς καὶ φάρμακα μὲν οὐκ ὀλίγα, καὶ τὰς τροφὰς δὲ πάσας ὑπάρχειν ἔφαμεν, ἔοικε δὲ διττὸν εἶναι τὸ γένος αὐτῶν, ὡς καὶ Θεόφραστος ἐπεσημήνατο. τινὲς μὲν γάρ εἰσι λιπαραὶ καθάπερ ἡ πιμελή. τινὲς δὲ γλυκεῖαι μᾶλλον ἢ ἧττον, ὥσπερ οἵ τε καρποὶ πάντες οὓς ἐσθίομεν, αἵ τε τῶν ζώων σάρκες, ἤδη δὲ καὶ βοτάναι πολλαὶ, καὶ ῥίζαι, καὶ ἄνθη, καὶ βλαστοί. καὶ γὰρ εἴ τι τῶν τοιούτων στρυφνόν ἐστιν, ὥσπερ αἱ ἀχράδες καὶ κράνια. πάντως μέν τοι καὶ αὐτὰ μετέχει γλυκύτητος, εἴπερ γε μὴ ἀκριβῶς ἐστι στρυφνὰ, καθάπερ ἡ κηκίς τε, καὶ
F ὁ ῥοῦς, οὐ μὴν ἀλλὰ καὶ διὰ ταῦτα ἤδη, καὶ ὡς φαρμάκων μᾶλλον, ἢ τροφῆς αὐτῶν ἡ χρεία φαίνονται γοῦν αἵ τε κιττῶσαι, καὶ οἱ πεπληρωμένοι, καὶ οἷς ὁ στόμαχος ἔκλυτος, ἀπογεύεσθαι τῶν τοιούτων ὀρεγόμενοι, πεινῶντες δὴ ἔμπαλιν, ἀποστρέφονται μὲν καὶ τὰ στρυφνὰ, καὶ τὰ ὀξέα, προσίενται δὲ τά τε γλυκέα, καὶ τὰ λιπαρὰ, καὶ τούτων ἐπιπλησθῆναι ποθοῦσιν.

A

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ὅτι καὶ τὰ λιπαρὰ, καὶ τὰ τρέφοντα πάντα, ἐκ τοῦ γένους ἐστὶ τῶν γλυκέων.

Ἔστι δὲ δήπου καὶ τὸ λιπαρὸν αὐτὸ γλυκὺ, καὶ τὸ τρέφον δὲ πᾶν ἐκ τοῦ γένους ἐστὶ τῶν γλυκέων. καὶ τοῦτ' εὐλόγως αὐτοῖς ὑπάρχει, καὶ κατ' αὐτὴν ὡς οἷόν τέ ἐστι τὴν οὐσίαν τῆς τροφῆς. ἀναπλήρωσις γάρ ἐστι τοῦ κενωθέντος ἡ θρέψις. οἰκεῖον δ' ἦν τὸ κενωθὲν, ὥστε καὶ τὸ τρέφον οἰκεῖον ὑπάρχειν ἀναγκαῖον. Εἰ δ' οἰκεῖον, εἶναι ἀνάγκης ἡδὺ καὶ φίλιον, εὐθὺς δὲ καὶ συμμέτρως θερμὸν, ὡς πρὸς τὸ τρεφόμενον. ἀλλ' ἐν τούτῳ τε, τὸ μᾶλλόν τε καὶ ἧττον οὐκ ὀλίγον, ὅτι μηδ' ἀκριβῶς κατὰ φύσιν ἔχοντες ἐπὶ τὰς τροφὰς ἀφικνούμεθα. μόνον μὲν γὰρ χρὴ κεκενῶσθαι τὸ σῶμα τῶν τῆς τροφῆς δεομένων, εἰ μέλλοιεν εὐγνώμονες ἀκριβεῖς ἔσεσθαι τῆς οἰκείας αὐτῶν ποιότητος. αἱ δὲ πρὸς τούτῳ θερμότεροι τοῦ δέοντος, ἢ ψυχρότεροι γενηθῶσιν, ἢ τὸ σύμπαν σῶμα, ἢ τοὺς περὶ τὴν γλῶτταν, ἢ τὴν γαστέρα τόπους, οὐ τῶν θρεψόντων μόνον, ἀλλὰ καὶ τῶν ἤτοι ψυχόντων, ἢ θερμαινόντων δεήσονται. καὶ διὰ τοῦτο, καὶ τῶν σιτίων ἄλλοτε ἄλλο τοῖς τοιούτοις ἥδιον φαίνεται. διττοῦ γὰρ ὄντος τοῦ γένους τοῦ ἡδέος, ἑτέρου μὲν τοῦ τὸ κεκενωμένον ἀναπληροῦντος, ὅπερ ἦν ἡ τροφὴ, ἑτέρου δὲ τοῦ τὸ ἠλλοιωμένον ἐξιωμένου. φάρμακον δ' ἤδη τοῦτο συμβαίνει τοῖς ἐδέσμασιν, ὅταν μὴ μόνον τοῖς σώμασι κεκενωμένοις, ἀλλὰ καὶ κατὰ ποιότητα μεταβεβλημένοις προσφέρηται, κατὰ διττὸν ἡδύνεσθαι ἤδη τρόπον, ὡς τροφαῖς τε ἅμα καὶ φαρμάκοις. ἀλλ' ὡς μὲν φάρμακα ψύχοντά τινα, καὶ θερμαίνοντα, καὶ ξηραίνοντα, καὶ ὑγραίνοντα, κατὰ λόγον ὀνήσει τε ἅμα καὶ ὠφελήσει. ὡς τροφαὶ δὲ, μόνα τὰ σύμφυλα, καὶ οἰκεῖα ταῖς ὅλαις τῶν τρεφομένων οὐσίαις. εὐθὺς τούτοις ὑπάρχει δηλονότι συμμέτρως εἶναι θερμοῖς, ὡς πρὸς τὰ τρεφόμενα. καὶ διὰ τοῦτο, καὶ τῶν ἐδεσμάτων, καὶ τῶν φαρμάκων, οὐχ ἓν εἶδος ἅπασι τοῖς ζώοις ἐστί. κατὰ γὰρ τὴν οἰκείαν ἕκαστον αὐτῶν οὐσίαν τε, ἅμα καὶ διάθεσιν, ἥδεταί τε καὶ ὠφελεῖται πρὸς ἀμφοῖν. ἀλλ' εἴπερ οὕτω ταῦτ' ἔχει, τὸ μὲν ἧττον γλυκὺ τῶν ἐδεσμάτων, ἧττον ἔσται καὶ θερμόν. τὸ δὲ μᾶλλον γλυκὺ, τοσούτῳ θερμότερον, ὅσωπερ καὶ γλυκύτερον. εἰ δ' εἰς ἀμετρίαν ἐμπέσοι θερμότητος, οὐδὲ γλυκὺ τὸ τοιοῦτο, ἀλλ' ἤδη φαίνεται πικρὸν, ὥσπερ τό τε μέλι παλαιούμενον, καὶ καθεψόμενον, ἕκαστόν τε τῶν ἄλλων γλυκέων.

CAPVT X.

Quòd pinguia, atque adeo quæcunque nutriunt, ex dulcium sint genere.

Est autem fortassis & pingue ipsum, dulce; & quicquid nutrit, ex genere est dulcium. Euenit autem id illis non absre, sed secundum ipsam quantum fieri potest nutrimenti substantiam: quippe nutritio est euacuati repletio. Atqui quod euacuatum est familiare erat, quamobrem, & quod nutrit, familiare sit necesse est. Porrò si
B familiare, necessariò iucundum amicúmq; fuerit, protinus etiam, vt ad id, quod nutritur, moderatè calidum. Sed in hoc non parua est maioris, minorisque ratio, quando nimirum nec ad cibos accedimus planè secundum naturam affecti; solū enim corpus eorum, qui cibum desiderant, inanitum sit oportet, si exacti futuri sint familiaris ipsorum qualitatis cognitores. Nam si præter id calidiores, quàm conueniat, aut frigidiores euaserint, seu toto corpore, seu pertinentibus ad linguam, ac ventrem locis, non solùm, quæ nutriant, verùm etiam, quæ refrigerent, aut excalefaciant, postulabunt. Proin-
C de sanè cibi quoque illi aliàs alij videntur iucundiores. Nam quum duplex sit genere iucundum, alterum quod impleat id, quod euacuatum est, cuiusmodi est nutrimentum; alterum quod medeatur ei, quod alteratū est, id quod iam medicamentum est; euenit vtique cibis, vbi non modo vacuatis exhibentur corporibus, sed etiam qualitate aliqua mutatis, vt duobus nominibus delectent, vt cibi scilicet, & vt medicinæ. Sed vt medicamenta quidem refrigerando quædam, & excalefaciendo, & exiccando & humectando, ex ratione iuuabūt, & proderunt; vt nutrimenta verò sola ea, quæ cognata sunt, & familiaria totis nutriendorum
D substantiis. Protinus verò istis adest, vt moderatè scilicet sint ad ea, quæ nutriuntur, calida. Quamobrem nec eduliorum, nec medicamentorum, vna est animantibus omnibus species; siquidem pro sua quæque familiari substantia simul, & affectione tum delectantur, tum iuuantur ab vtrisque. Sed si hæc sic habent, id quod in cibis minus erit dulce, minus quoque erit calidum; quod dulcius, tanto nimirum erit calidius, quanto videlicet dulcius. Sin ad immodicum recidat calorem, nec eiusmodi dulce erit, sed iam amarum apparebit, velut mel vetustum, atque decoctum, itidémque
E aliorum dulcium vnumquodque.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι τῶν πικρῶν καὶ γλυκέων τὰ μὲν ἐπικτήτῳ θερμῷ γίνεται, τὰ δὲ οἰκείῳ τε καὶ συμφύτῳ.

Ὡς γὰρ ὑπὸ συμμετρίας θερμοῦ, διττὴ ἑκάστῳ τῶν σωμάτων ἡ γλυκύτης ἐγγίνεται. τὰ μὲν γὰρ οἰκείῳ τε καὶ συμφύτῳ θερμῷ γλυκέα, τὰ δὲ ἐπικτήτῳ, κατὰ τὸν αὐτὸν τρόπον, καὶ τὰ πικρὰ, τὰ μὲν ἀμέτρως ὑφ' ἑαυτῶν ἐκθερμαινόμενα κατὰ τὰς ἐν τῷ χρόνῳ μεταβολὰς, ἔνια δ' ὑπὸ τῆς ἐπικτήτου θερμασίας ἐκπυρούμενα, παρὰ τοῦτο. περὶ μὲν δὴ τῶν πικρῶν, ἐφεξῆς ἐροῦμεν. ἅπαντα δὲ τὰ γλυκέα, τῇ μὲν θερμότητι πλησίον ἥκει τῶν σωμάτων οἷς φαίνεται γλυκέα, κατὰ διττὸν δὲ τρόπον, ὡς εἴρηται, γίνεται τοιαῦτα. τινὰ μὲν οἰκείῳ θερμῷ καθάπερ τὸ μέλι, τινὰ δὲ ἐπικτήτῳ καθάπερ ἅπαντα τὰ διὰ πυρὸς σκευαζόμενα.

CAPVT XI.

Quò amara, dulciáque partim ascititio calore fiant, partim proprio, & congenito.

Etenim, vt à moderato calore bifariam cuique corpori dulcedo prouenit; partim enim sunt proprio, & insito calore dulcia, partim verò ascititio: ad eundem modum amara. Alia enim sunt, quæ suaptè natura immoderatè excalefaciunt per
F eas, quæ temporis spatio eueniunt, mutationes; aliis autem id accidit ab acquisititio calore accensis. At de amaris postea dicetur. Cæterùm dulcia calore proximè accedunt ad ea, quibus apparent dulcia. Fiunt autem talia (vt dictum est) bifariam: quædam proprio calore, vt mel; quædam ascititio, vt sunt omnia, quæ ab igne præparantur,

ac proinde dum calida sunt, suauiora iis, quibus opus est instauratione apparent. Porrò mustum non suo modo, sed & acquisititio calore dulce esse videtur. Multum enim ceu ardoris vestigia, vt Aristoteles, & Theophrastus censuere, ex solari calore tum acinis, tum aliis inest fructibus; à quo id quod illis aqueum, ac velut etiamnum semicoctum reliquum est, ad concoctionem ducitur, conficitúrque, & transmutanti simile redditur. Nam ex quibuscunque pomis, si succum exprimas, eum protinus non secus atque mustum feruere deprehendes; tanto tamen feruoris discrimine, quanta erit vnius fructus ab alio in calore diuersitas. Sed vbi iam quod aquosum, ac semicoctum erat, transmutatum fuerit, atque confectum, & is qui feruorem concitabat calor euanuerit, iam tum denique quæ propriæ sunt succorum proprietates, syncerae conspiciuntur. Itaque tunc, quæ propria vinorum natura sit agnoscimus. Qua in re animum diligenter aduerte, austera sensim austeritatem deponant; semper enim, quæ inueterantur vina dulcedinem quandam, & acredinem adsciscunt; quæ verò prius inerat illis adstrictio, eam tempore abiiciunt. Est autem in quibusdam vinis, postquam efferbuerint, dulcedo quædam syncera, suauis, & propria ipsius succi naturæ, non qualis ante erat, mixta scilicet ex proprio, atque eo, qui circa semicoctum aquosúmque excrementum erat, feruore. Igitur si confessum est, vina omnia vetustate fieri calidiora; austera verò primùm quidem tempore dulcedinem quandam, atque acrimoniam, deposita adstrictione acquirere, ac deinde increscente acrimonia sensim dulcedinem deponere; ac subinde rursum maiori tempore acria admodum euadere, assiduéque amarescere; ac denique vbi crassescunt, penitus fieri amara: sanè constat dulce acerbo esse calidius, ac dulci amarum. Atqui verum est dulcedinem à moderatione prouenire caloris, patet acerbitatem à frigido vincente perfici.

CAPVT XII.

Quòd & acidi succi ex frigore generationem habeant.

QVòd autē & aciditas à frigore procreetur, & antea ostēdimus. Veruntamē, quādoquidē in præsenti disputatione de naturali vinorum, quæ temporis spatio fiat, alteratione docuimus, non nihil quoque, & de non naturali dicamus. Itaque vt vinū acerbum, tempore dulcius primum, mox acrius, amariúsque efficitur, denique planè etiam amarum redditur; ad eundem modum, quod rigorem perpessum est, acidius protinus redditur; ac si prorsum refrigeretur, penitus acescit. Itémque quod in fructuum collectione vindemiáq; per assiduam pluuiam aliena humiditate impletū fuerit, quódque alio quouis modo humiditatem acceperit, leui occasione ea omnia promptè acescunt. Contra euenit iis, quæ igni admouentur. Nam & protinus statim, & tēporis progressu postea semper dulciora euadunt. Quòd si multò etiam tempore durauerint, & ipsa nihilominus quàm cætera amarescunt; videtúrque id sibi quodammodo secundum naturalem consentaneum esse rationem.

καὶ διὰ τοῦτό περ, ἄχρις ἂν ᾖ θερμά, μέχρι τοσοῦδε καὶ ἥδιω φαίνεται τοῖς ἀναθρέψεως δεομένοις. ἔοικε δὲ καὶ τὸ γλεῦκος οὐκ οἰκείᾳ μόνον, ἀλλὰ καὶ ἐπικτήτῳ θερμασίᾳ φαίνεσθαι γλυκύ. πολὺ γὰρ ὡς καὶ Θεόφραστος, καὶ Ἀριστοτέλης ἔλεγε, τὸ ἐκ τῆς ἡλιακῆς θερμασίας, οἷον ἐμπύρευμά τι ταῖς τε ῥαξὶ, καὶ τοῖς ἄλλοις ὑπάρχει καρποῖς, ὑφ' οὗ, τὸ ὑδατῶδες ἐν αὐτοῖς ἔτι, καὶ οἷον ἡμιπέπτον, εἰς πέψιν ἄγεται, καὶ κατεργάζεται, τῷ μεταβάλλοντι συνεξομοιούμενον, ὥστε κἂν ἀποθλίψῃς τὸν χυλὸν ὁπώρας ἧστινος οὖν, εὑρήσεις μὲν εὐθέως ζέοντα καθάπερ τὸ γλεῦκος. ἐν δὲ τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρουσαν τὴν
B ζέσιν, εἰς ὅσον ἂν καὶ ὁ καρπὸς τοῦ καρποῦ διαφέρῃ θερμότητος. μεταβληθέντος δὲ, καὶ κατεργασθέντος τοῦ ὑδατώδους τε καὶ ἡμιπέπτου, καὶ τῆς τὴν ζέσιν ἐργαζομένης θερμασίας διαπνευσάσης, αἱ τῶν χυλῶν οἰκεῖαι φαίνονται ποιότητες εἰλικρινεῖς, ὥστε καὶ τοὺς οἴνους τηνικαῦτα διαγινώσκομεν ὁποῖοί τινές εἰσι κατὰ τὴν οἰκείαν αὐτῶν φύσιν. ἐν ᾧ δὴ καὶ προσέχειν σε μάλιστα τὸν νοῦν ἀξιῶ, τῷ πάντας τοὺς αὐστηροὺς κατὰ βραχὺ παύεσθαι τοιούτους ὄντας. ἀεὶ γὰρ παλαιούμενοι, δριμύτητα μέν τινα, καὶ γλυκύτητα ἐπικτῶνται, τὴν δ' ἔμπροσθεν ὑπάρχουσαν αὐτοῖς στύψιν, ἀποβάλλουσι τῷ
C χρόνῳ. ἔστι μὲν δὴ μετὰ τὴν ζέσιν ἔν τισι τῶν οἴνων, γλυκύτης εἰλικρινὴς, ἡδεῖά τε ἅμα καὶ οἰκεία τῆς αὐτοῦ τοῦ χυλοῦ φύσεως, οὐχ ὥσπερ ἡ πρόσθεν, μικτή τις, ἔκ τε τῆς οἰκείας, καὶ τῆς κατὰ τὸ ἡμίπεπτόν τε καὶ ὑδατῶδες περίττωμα ζέσεως, ὥστ' εἴπερ ὡμολόγηται μὲν ἅπαντας τοὺς οἴνους χρονίζοντας γίνεσθαι θερμοτέρους· συμβαίνει δὲ τοῖς αὐστηροῖς αὐτῶν ἐν τῷ παλαιοῦσθαι, πρῶτον μὲν γλυκύτητά τινα, καὶ δριμύτητα προσλαμβάνειν, ἀποτιθεμένοις τὴν στύψιν, ἐφεξῆς δὲ παραύξεσθαι μὲν τῇ δριμύτητι, παύεσθαι δὲ κατὰ βραχὺ τῆς γλυκύτητος, κἄπειτ' αὖθις ἐν τῷ πλείονι χρόνῳ δρι-
D μεῖς θ' ἱκανῶς γίνεσθαι, καὶ πικρότητα ἀεὶ προσλαμβάνειν· καὶ τελευτῶντας, ἡνίκα παχύνονται, παντελῶς ἐκπικροῦσθαι. καὶ πρόδηλον ὡς τὸ μὲν γλυκὺ, θερμότερόν ἐστι τοῦ στρυφνοῦ, τὸ δὲ πικρὸν, τοῦ γλυκέος. ἀλλ' εἴπερ ἡ γλυκύτης ὑπὸ συμμετρίας θερμοῦ γίνεται, δῆλον ὡς ἡ στρυφνότης ὑπὸ τοῦ ψυχροῦ κρατοῦντος ἀποτελεσθήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὅτι καὶ οἱ ὀξεῖς τῶν χυμῶν ἐκ ψύξεως τὴν γένεσιν ἴσχουσι.

E ΟΤΙ δὲ καὶ ἡ ὀξύτης ὑπὸ ψύξεως δημιουργεῖται, δέδεικται μὲν καὶ πρόσθεν ἡμῖν. ἀλλ' ἐπεὶ κατὰ τὸν παρόντα λόγον ὑπὲρ τῆς κατὰ φύσιν ἐν χρόνῳ μεταβολῆς τῶν οἴνων ἐδηλώσαμεν, εἴπωμέν τι καὶ περὶ τῆς παρὰ φύσιν. ὡς οὖν ὁ στρυφνὸς οἶνος, ἐν τῷ χρόνῳ γλυκύτερος μὲν πρῶτον, ἐφεξῆς δὲ δριμύτερός τε, καὶ πικρότερος ἀποτελεῖται, καὶ τελευτῶν ἐκπικροῦται. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὅ, τε ῥιγώσας, ὀξύτερος εὐθὺς γίνεται, καὶ εἰ τελέως ἀποψυγείη, τελέως ὀξοῦται, ὅ τ' εὐθέως ἐν τῇ συγκομιδῇ τῶν καρπῶν ὑετοῦ καταρρέοντος, ὀθνείας ὑγρότητος ἀναπλησθεὶς, ὅ τ' ἄλλως ὕδα-
F τος προσλαβὼν, ὀξεῖς ἑτοίμως οἱ τοιοῦτοι πάντες ἐπὶ μικραῖς προφάσεσιν ἀποτελοῦνται. ἔμπαλιν δ' αὖθις οἱ πυρὶ πλησιάζοντες, ἔν τε τῷ παραχρῆμα, καὶ εἰς ὕστερον ἀεὶ καὶ μᾶλλον γίνονται γλυκεῖς. εἰς χρόνον δὲ πάμπολυν ἐκπίπτοντες, καὶ οὗτοι μεταπίπτουσιν οὐδὲν ἧττον τῶν ἄλλων, εἰς πικρότητα, καί πως ἔοικε τοῦτο καὶ κατὰ τὸν φυσικὸν λόγον ὁμολογεῖν ἑαυτῷ.

A εἰ γὰρ ἡ ὄμφαξ μὲν ὀξεῖα, γλυκεῖα δὲ ἡ σταφυλή, καὶ τὸ πεπαίνεσθαι τοῖς καρποῖς ἅπασι παρὰ τῆς ἡλιακῆς ἐγγίνεται θερμότητος, εὔδηλον ὡς τὸ μὲν ἀτελέστερον καὶ ψυχρότερον, ὀξύ· τὸ δὲ τελεώτερον, καὶ θερμότερον ὑπάρχει γλυκύ. ὅταν οὖν ὁ οἶνος ἐν τῷ ψύχεσθαι πάλιν ἀποξυνῆται, πρόδηλον ὡς εἰς τὸν αὐτὸν πάλιν ἐπανέρχεται χυλὸν ἐξ οὗ περ ἐγένετο. διενήνοχε μέντοι τὴν δύναμιν κατὰ τοσόνδε ὄμφακος χυλὸς ὄξους, ὅτι τῷ μὲν ὄξει προσέρχεταί τις ἐκ σηπεδονώδους θερμότητος δριμύτης. καὶ διὰ τοῦτο καλῶς ἔλεγεν Ἀριστοτέλης αὐτό, τὸ μὲν οἰκεῖον τοῦ οἴνου θερμόν, ψυχρὸν ὑπάρχειν· τὸ δ' ἐπίκτητον, θερμόν. ὁ δὲ τῆς ὄμφακος χυλός, οὐκ ἔχει τὴν θερμότητα, καὶ διὰ τοῦτο, B οὐδὲ τὴν δριμύτητα. προσέρχεται δή τις αὖθις κἀκ τοῦ μᾶλλόν τε, καὶ ἧττον, ἐν τῷ λεπτομερεῖ τῆς οὐσίας διαφορά. λεπτομερέστερον γάρ ἐστι τὸ ὄξος, ὄμφακος χυλοῦ, καὶ δὴ καὶ ἡ αἴσθησις τῷ λόγῳ μαρτυρεῖ. διενήνοχε γὰρ ἡ ἀπὸ τοῦ ὄξους ἔμψυξις τῆς ἀπὸ τοῦ χυλοῦ τῶν ὀμφάκων, τῷ σφοδρῷ καὶ ἐπιμίκτῳ. ἀσθενεστέρα μὲν γὰρ ἡ ἀπὸ τῆς ὄμφακος ψύξις, οὐ μὴν μετέχουσά γε θερμότητος ἀλλοτρίας, οὐδ' ὀλίγον. ἡ δὲ ἀπὸ τοῦ ὄξους, ἰσχυροτέρα μὲν εἰς τοσοῦτον, εἰς ὅσον καὶ λεπτομερεστέρα. μέτεστι δ' αὐτῷ καὶ δριμύτητος θερμαινούσης, οὐχ ἱκανῆς μὲν ἐκνικῆσαι τὴν ἀπὸ τῆς ὀξύτητος ψύξιν, εἰς δὲ τὸ τῆς διεξόδου τάχος ὑπηρετούσης. C εἰς ὅσον γάρ ἐστι τὸ θερμὸν τοῦ ψυχροῦ ποριμώτερον, εἰς τοσοῦτον καὶ ὁ δριμὺς χυμὸς τοῦ ὀξέος ἑτοιμότερον διέρχεται τῶν αἰσθητικῶν σωμάτων τοὺς πόρους. ὥσθ' ὁ μέν, οἷον ὁδοποιεῖ φθάνων, ὁ δ', οὐκ εἰς μακρὰν ἕπεται, κἀν τούτῳ τὸ τῆς αἰσθήσεως ἐπίμικτόν τε καὶ δυσερμήνευτον ἀποτελεῖται, οὔθ' ἁπλῶς ψυχρὸν ἀποφήνασθαι τὸ ὄξος δυναμένης. αἰσθάνεται γὰρ ἐν αὐτῷ πυρώδους τινὸς δριμύτητος, οὔθ' ἁπλῶς θερμόν. ἐπικαταλαμβάνουσα γὰρ ἀεὶ τὴν ἐκ τῆς προηγουμένης δριμύτητος θάλψιν, ἡ ἐκ τῆς ἑπομένης ὀξύτητος ψύξις, ἀμαυροῖ καὶ καταστέννυσι παραχρῆμα. καὶ διὰ τοῦτο, πολὺ πλείων ἐστὶν ἡ ἐκ τῆς ψύξεως αἴσθησίς τε καὶ διάθεσις, ἤ D περ ἡ ἐκ τῆς θερμότητος. εἰ δέ γε τῷ μέλιτι πλείονι μίξαις ὄξος ὀλίγον, αἰσθήσῃ σαφῶς αὐτίκα ψύξεως τε καὶ θερμότητος. εἰ μὲν γὰρ ὀλίγον τὸ μέλι πολλῷ τῷ ὄξει κεράσαις, πλέονι μέτρῳ ψυχρόν, ἢ θερμὸν φανεῖταί σοι τὸ μιχθέν. εἰ δὲ πολλῷ τῷ μέλιτι ὀλίγον τὸ ὄξος, μᾶλλον θερμαῖνον ἢ ψυχρόν, κἂν τοῖς ὄγκοις δ'· εἰ μίξαις ἴσα, τῇ γοῦν δυνάμει κρατοῦν εὑρήσεις τὸ ὄξος ἔτι. εἰ δ' ὡς εἴρηται, πλέον εἴη πολλῷ τὸ μέλι, πάλιν ἰσάζουσαν εὑρήσεις ἐν τῇ τοιᾶδε κράσει τὴν ψύξιν τῇ θερμότητι. πολλαπλασίῳ γάρ τινι τῶν συμμέτρως θερμῶν, ἐπὶ τὴν ψύξιν ἀποκεχώρηκε τὸ ὄξος, ἤπερ ἐπὶ τὴν θερμότητα τὸ μέλι. δέδεικται γοῦν καὶ πρόσθεν, ὡς οὐκ ἐγ- E χωρεῖ βιαίαν θερμότητα συνεῖναι γλυκύτητι. καὶ καλῶς εἴρηται πάλαι, τό, πάντ' ἀλλήλοις ὁμολογεῖν τἀληθῆ. καὶ γὰρ οὖν καὶ καθ' ὑποχονδρίων ἐγκαιομένων, ἀμείνων ὁ τῆς ὄμφακος χυλός, ὄξους αὐτοῦ, τῷ μήτε βίαιον καὶ πληκτικὴν ἔχειν τὴν ψύξιν, μήτ' ἐπίμικτον δακνώδει θερμότητι. δέονται δὲ οἱ πάσχοντες ὧδε, παρηγορηθῆναι μὲν ἀβιάστως, ὡς εἴρηται, ἔξωθεν δέ, μηδεμίαν ἐπικτήσασθαι δακνώδη θερμότητα, ἢ δριμύτητα. ταυτὶ μὲν οὖν ἤδη πως ἅπτεται θεραπευτικῆς μεθόδου, κοινωνούσης πολλαχόθι τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ, καὶ διὰ τοῦτο καταλιπόντες αὐτά, F πάλιν ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ὁ τοίνυν τῆς ὄμφακος χυλός, οὐκ ὀξὺς μόνον ἐστίν, ἀλλὰ καὶ στρυφνός. ὡς γὰρ καὶ πρόσθεν εἴρηται σχεδὸν ἅπαντες οἱ τῶν δένδρων καρποὶ κατὰ τὴν πρώτην γένεσιν, ὡς καὶ Θεόφραστος ἔλεγε, στρυφνοὶ γευομένοις εἰσίν, εἶτ' ἐπειδὰν ὑγρότητος πληρωθῶσι, προσλαμβάνουσι μὲν ὀξύτητος, ἀφαιροῦσι δὲ τῆς στρυφνότητος.

Nam si vua acerba acida est, vua verò dulcis; ac fructibus omnibus maturatio à solari prouenit calore, planum est imperfectius, & frigidius esse, quod acidum, perfectius verò, & calidius, quod dulce fuerit. Quum ergo vinum perfrictione rursum acescat, manifestum est, in eum illud humorem conuerti, ex quo prouenerat. Diuersis tamen hactenus viribus vuæ acerbæ succus, acetúmque constant, quòd aceto accedat ex putrido calore acrimonia quædam; proinde Aristoteles rectè dixit, acetum proprio quidem vini calore esse frigidum, adscititio calidum. At vuæ acerbæ succus calorem adscititium non habet, ac proinde nec acrimoniam. Accedit verò, & in substantiæ tenuitate diuersitas. Siquidem vuæ acerbæ succo acetum tenuius est; cui rei, & sensus adstipulatur; excellit enim quæ ab aceto infigitur frigiditas, eam quæ ab vuæ acerbæ succo, vehementia, & mixtione. Imbecillior enim est, quæ ab vua acerba fit refrigeratio, quum etiam alienæ in se caliditatis ne minimũ quidem contineat. At quæ ab aceto proficiscitur, tanto est validior, quanto & tenuior; inest verò & illi acrimonia quædam excalefaciens, quæ tamen satis non sit ad superandam ab aciditate prouenientẽ frigiditatem, verùm quæ ad transitus celeritatẽ subseruiat. Nam quanto calidũ frigido facilius penetrat, tanto acris succus aptior est, qui sensibilium corporũ meatus trãseat, quàm acidus. Itaque ille velut præcedens viam sternit; hic verò haud longè insequitur; quo tempore sensus perficitur mixtus, & qui ægrè exponi queat. Vtpotè qui nec planè frigidũ esse acetum denunciet, quippe quum in eo ignea quædã percipiatur acrimonia, nec planè calidũ; nam perpetuò, quod ex præcedente fit acrimonia calefactionem frigus ab insequẽte aciditate occupans, obscurat, protinusq; extinguit. quo fit, vt maior multò ex frigore percipiatur sensus, quã ex calore. Porrò si plurimo melli aceti paulum admisceas, statim, & calorem, & frigus manifestè percipies. Nam si paulũ mellis aceto permisceas, magis frigidum, quod fuerit mixtum, quàm calidum videbitur, sin multò melli pauxillum misceas aceti, plus calefacere, quàm refrigerare cõspicietur, & si pari mole vtraque miscueris, acetum tamen etiam viribus superare comperies. Quòd si, vt est dictum, plus sit multò mellis, quàm aceti æqualia rursum frigus, ac calorem in ea mixtura conspicies, multis enim numeris acetum plus ab iis, quæ moderatè sunt calida, ad frigiditatem recessit, quàm mel ad caliditatem. Proinde & supra demonstrauimus fieri non posse, vt vehemens coëat cum dulcedine caliditas, vetúsque illud verbum pulchrè dictũ est, vera inter sese omnia consentanea esse ac conuenire. Etenim ad hypochondria ardentia præstantior est succus vuæ acerbę, quàm ipsum acetum, quòd nec violentam, ac ferientem habeat frigiditatem, nec eam mordaci admixtam caliditati. Debent enim, qui sic laborant, sine violentia mitigari, vt est dictũ, nec foris vllam adsciscere mordacem caliditatẽ, aut acrimoniam. Atque hæc quidẽ iam curandi attingunt methodũ, quæ multis in locis huic tractationi cõmunis est, quare iis denuo relictis, ad propositum reuertamur. Itaque vuæ acerbæ succus non acidus modo est, sed & acerbus. Nam vt supra propositum est, omnes propè arborum fructus ortus sui principio, testimonio etiam Theophrasti, gustantibus acerbi sunt; dein, vbi humore implentur, accedit quidem aciditas, decedit verò acerbitas.

Haud tamen, & quod accedit, & quod amittitur, par est in fructibus omnibus, neque si speciem, neque si genus respicias. Etenim inter vuas acerbas aliæ plus acerbitatis, aliæ aciditatis obtinent; sunt & quæ pari portione ambas sortitæ sint; omnes tamen ad refrigerandos ardores non abs re conueniunt, quippe quum non solùm, quod acidum est, frigidum sit, sed & quod acerbum, velut & ante à nobis dictum est. Recedit sanè, & hîc rursum oratio ad curandi methodum; quare & rursum ad propositum illam reuocemus. Porrò propositum, vt reor, ab initio in hoc libro fuerat, de saporibus omnibus disserere; ac nunc quidem fere de omnibus verba fecimus, interim tamen orationis affinitate, & alia attingere coacti. Nec enim de acerbo modo, & austero, & acido iam diximus, sed, & persæpe de dulci, & amaro, & acri; reliqua tamen, quo tota oratio perfecta euadat, adiicienda etiam sunt. Atque in adstringentibus haud ita multum etiam reliquum est, quod non ex iam dictis clarum euadat.

CAPVT XIII.

Vnde arbitrati sint quidam, à calore acidum prouenire saporem; nempe ex eo, quod vina nequaquam fortia vere, æstatéque mutentur.

AT in acidis deesse fortassis etiamnum videatur, quod eximios quosdam medicos fefellit. Nam eo quòd vina inualida vere, atque æstate alterentur, atque acescant, hyeme verò suas seruent qualitates, hinc adeo quibusdam à calore aciditatem nasci visum est. Quorum auget opinionem, & quod vehementius motum est vinum, & quod longius in nauigiis aduectum: talia enim omnia quum infirma fuerint, celerrimè acescunt. Quin etiam quidam, qui de rustica scripsere, dolia in ædibus ad Aquilonem expositis defodienda censent; tanquam frigus scilicet qualitatem eorum seruet, mutet autem caliditas. Sanè verum, & id sæpenumero ipsa experientia comprobatum constat; acescunt enim vina quædam promptè, vbi in meridianis, & Soli expositis locis reposita fuerint. Videórque dictorum hinc iam orsus solutionem. Etenim quòd non omnia caliditate acescant, sed quæ initio tantum frigidiora sunt, nec id veteri alicui accidat, id nobis ad veritatem viam inueniet.

CAPVT XIV.

Qua de causa ab externo calore vinum natura frigidum, imbecillúmque arguatur; quia scilicet res quælibet in propria natura proprio seruatur calore, ab externa verò immoderatione corrumpitur.

QVippe causam sermo scrutabitur, propter quam vinum natura frigidum atque inualidum ab extrinseco arguatur calore: Quanquam per verbum, arguatur, iam dictum, omnes priùs dictæ ambiguitates dissoluantur. Persimile enim quid vinis accidit, quæ natura frigidiora aquosioráque sunt, quale flammis exiguis, & imbecillis: quippe si eas ad Solem feruidum exponas, aut prorsus obscurari, aut denique etiam extingui, conspicies.

A ἔστι δ' οὔτε τὸ προσγινόμενον, οὔτε τὸ ἀφαιρούμενον ἴσον ἐν ἅπασι τοῖς καρποῖς, οὔτε καὶ εἶδος αὐτῶν, οὔτε κατὰ γένος οὐδέν. αὐτίκα γέ τοι τῶν ὀμφάκων, ἔνιαι μὲν τῆς στρυφνότητος πλέον, ἔνιαι δὲ τῆς ὀξύτητος πλέον, ἔνιαι δὲ ἀμφοτέρων ἰσαζουσῶν μετέχουσιν. ἀλλὰ πρός γε τὸ καῦσον ἐμψύχειν, εὐλόγως ἁρμόττουσιν ἅπασαι. οὐ μόνον γὰρ τὸ ὀξὺ ψυχρόν ἐστιν, ἀλλὰ καὶ τὸ στρυφνόν, ὡς καὶ πρόσθεν ἐλέγομεν. Ἀποχωρεῖ δὴ κἀνταῦθα πάλιν ὁ λόγος ἐπὶ τὴν θεραπευτικὴν μέθοδον, αὖθις οὖν αὐτὸν ἐπὶ τὸ προκείμενον ἀναγάγωμεν. ἦν δ' ἐξ ἀρχῆς, ὡς οἶμαι, προκείμενον, ἐν τῷδε τῷ γράμματι περὶ τῶν χυμῶν ἁπάντων διελθεῖν, καὶ σχεδὸν μὲν ἤδη B περὶ τῶν πλείστων εἴρηται. κατὰ δὲ τὴν τοῦ λόγου κοινωνίαν, ἐφάψασθαι καὶ τῶν ἄλλων ἡμῶν ἀναγκασθέντων. οὐ γὰρ περὶ στρυφνοῦ, καὶ αὐστηροῦ, καὶ ὀξέος εἴρηται μόνον, ἀλλὰ καὶ περὶ γλυκέος ἤδη πολλάκις, καὶ πικροῦ, καὶ δριμέος. προσθεῖναι δ' ἀναγκαῖόν ἐστι τὰ λείποντα πρὸς τὴν τοῦ παντὸς λόγου τελειότητα. λείπει δ' ἐπὶ μὲν τῶν στυφόντων, οὐδέν τι μέγα καὶ ἀξιόλογον, ὃ καὶ μὴ διὰ τῶν ἤδη λελεγμένων ἔσται δῆλον.

ΚΕΦΑΛΑΙΟΝ ΙΓʹ.

C *Πόθεν ᾠήθησάν τινες ὑπὸ θερμότητος γίνεσθαι τὸν ὀξὺν χυμόν. ἐκ τοῦ τοὺς ἀσθενεῖς τῶν οἴνων ἐν τῷ ἦρί τε καὶ τῷ θέρει μεταβάλλεσθαι.*

ΕΠεὶ δὲ τῶν ὀξέων ἴσως ἄν τῳ δόξειε λείπειν, ὅ τινας καὶ τῶν ἐλλογίμων ἰατρῶν ἐξηπάτησεν· τῷ γὰρ τοὺς οἴνους τοὺς ἀσθενεῖς, ἔν τε τῷ ἦρί τε, καὶ τῷ θέρει μεταβάλλειν τε καὶ ὀξύνεσθαι, χειμῶνος δ' ἐν ταῖς οἰκείαις φυλάττεσθαι ποιότησιν, ὑπὸ θερμοῦ τισιν ἔδοξεν ἡ ὀξύτης γεννᾶσθαι. συναύξει δ' αὐτῶν τὴν ὑπόληψιν, ὅ τε κινηθεὶς σφοδρότερον οἶνος, ὅ τ' ἐν τοῖς πλοίοις μετακομισθεὶς πορρώτερον. καὶ γὰρ οἱ τοιοῦτοι πάν- D τες, ὅταν ἀσθενεῖς ὦσιν, ὀξύνονται τάχιστα. καὶ μέν τοι τοὺς πίθους, ἔνιοι τῶν τὰ γεωργικὰ γραψάντων, ἀξιοῦσιν ἐν οἴκοις κατορύττεσθαι, πρὸς ἄρκτον ἐστραμμένοις, ὡς τῆς μὲν ψύξεως φυλαττούσης αὐτῶν τὴν ποιότητα, τῆς δὲ θερμότητος μεταβαλλούσης. ἀτὰρ οὖν καὶ φαίνεται τοῦτο πολλαχόθι γιγνόμενον, αὐτῇ τῇ πείρᾳ βασανισθέν. ὀξύνονται γὰρ ἔνιοι τῶν οἴνων ἑτοίμως, ὅταν ἐν μεσημβρινοῖς, καὶ προσηλίοις χωρίοις ἀποκέωνται, καί μοι δοκεῖ τὴν ἀρχὴν τῆς τῶν εἰρημένων λύσεως ἐντεῦθεν ποιήσασθαι. τὸ γὰρ μήτε πάντας ὀξύνεσθαι θερμαινομένους, ἀλλ' ὅσοι ψυχρότεροι κατ' ἀρχὰς εὐθέως εἰσί, μήτε τῶν παλαιωθέντων τινὶ E συμπίπτειν τοῦτο, τὴν ἐπὶ τἀληθὲς ὁδὸν ἡμῖν εὑρήσει.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Διὰ ποίαν αἰτίαν ὑπὸ τῆς ἔξωθεν θερμότητος ὁ φύσει ψυχρὸς καὶ ἀσθενὴς οἶνος ἐλέγχεται, ὅτι φυλάττεται μὲν ἕκαστος τῶν ὄντων ὑπὸ τῆς οἰκείας φύσεως οἰκείῳ θερμῷ, διαφθείρεται δὲ πρὸς ἔξωθεν ἀμετρίας καὶ ἀποσβέννυται.

ΖΗτήσει γὰρ ὁ λόγος τὴν αἰτίαν, δι' ἣν ὑπὸ τῆς ἔξωθεν θερμότητος, ὁ φύσει ψυχρὸς καὶ ἀσθενὴς οἶνος ἐλέγχεται, F καί τοι τοῦτό γε αὐτὸ τὸ ῥῆμα τὸ, ἐξελέγχεται, ῥηθὲν, ἁπάσας τὰς εἰρημένας ἀπορίας ἐπιλύεται. παραπλήσιον γάρ τοι συμβαίνει τοῖς οἴνοις, ὅσοι φύσει ψυχρότεροι, καὶ ὑδατωδέστεροι τυγχάνουσιν ὄντες, οἷόν τι καὶ ταῖς μικραῖς, καὶ ἀσθενέσι φλοξί. καὶ γὰρ καὶ ταύτας ἐν ἡλίῳ καταθεὶς ἰσχυρῷ, τελέως ἀμυδρὰς ὄψει γιγνομένας, ἢ καὶ παντάπασιν ἀποσβεννυμένας.

οὕτω δὲ καὶ λύχνον καιόμενον, εἴπου ἄλλῃ φλογὶ σφοδρᾷ καὶ μεγάλῃ παραθείης, εἴτ' ἐν ἡλίῳ καταθείης ἰσχυρῷ, μαραινόμενόν τε καὶ διαφορούμενον αὐτίκα θεάσῃ. καὶ μὲν δὴ κἂν εἰ ῥιπίζοις ἰσχυρῶς ἀσθενῆ καὶ μικρὰν φλόγα, θᾶττον ἀποσβέσεις αὐτὴν, ἢ αὐξήσεις. οὔτε γὰρ κίνησιν, οὔτε θερμασίαν ἰσχυρὰν ἀσθενὴς ὑπομένει φύσις, ἀλλὰ διαφορεῖται πρὸς αὐτῆς μᾶλλον, ἢ αὐξάνεται, ἐπεί τοι κἀξεπίτηδες ἐν πολλοῖς χωρίοις κινοῦσί τε καὶ μεταφέρουσι τοὺς οἴνους. ὥσπερ οὖν καὶ ἡλιοῦσί γε καὶ θερμαίνουσιν, ὡς ἐνίους αὐτῶν ἀηδεῖς γίγνεσθαι τὴν ἀπὸ τοῦ καπνοῦ δεδεγμένους ποιότητα. καὶ παρ' ἡμῖν γε κατὰ τὴν Ἀσίαν, ἐπὶ τοὺς κεράμους τῶν οἰκιῶν, ὅταν ἥκῃ θέρους ὥρα, λαγύνοις ἐγχεόμενοι σχεδὸν ἅπαντες ἐπιτίθενται, καὶ μετὰ ταῦτα καθαιροῦντες ἐν ὑπερῴοις οἰκήμασιν ὧν ἐν τοῖς κατωγέοις μέλλει καυθήσεσθαι φλὸξ πολλὴ κατατίθενται, καὶ ὅλως πρὸς μεσημβρίαν τε καὶ πρὸς ἥλιον ἀεὶ στρέφουσι τὰς ἀποθήκας, οἷς μέλλει θᾶττον αὐτοὺς ἐκπέψαι τε, καὶ ποτίμους ἐργάσασθαι. ὃ γὰρ ἐν χρόνῳ πολλῷ τοῖς ἄλλοις, τοῦτο τοῖς οὕτω θερμανθεῖσιν ἐν ἐλαχίστῳ παραγίγνεται. τῶν δὲ τὰ γεωργικὰ συγγραψάντων, οὐδὲν θαυμαστὸν ἐνίους ὑπὸ τῆς κατὰ τὰ σφέτερα χωρία πείρας, ὑπὲρ ἁπάντων οἴνων ἀποφήνασθαι προπετέστερον. ἀλλ' ὅ γε περὶ Θεόφραστον καὶ Ἀριστοτέλην τήν τ' ἐμπειρίαν ἐπὶ πλέον ἐκτείναντες, καὶ διὰ τὴν ἐν φυσιολογίᾳ γυμνασίαν ἀκριβέστερον ἅπαντα διαρθρώσαντες, ἄλλα τε τοιαῦτα πολλὰ, καὶ περὶ τῶν οἴνων ἡμᾶς ἐδίδαξαν, ὡς ὅμοιόν τι τοῖς ἡμετέροις αὐτῶν πάσχει σώμασιν. ἢ γὰρ οὐχὶ καὶ ταῦτα θεώμεθα παρὰ τὸ πως ἔχειν ἀσθενείας ἢ ῥώμης, ὑπὸ τῶν αὐτῶν ὀνινάμενα καὶ βλαπτόμενα; καὶ γὰρ καὶ γυμνάσια σφοδρὰ, καὶ ἥλιος, ἰσχυρότερα μὲν ἐργάζεται τὰ θερμὰ, ἐρρωμένα σώματα. καταβάλλει δὲ, καὶ διαφορεῖ, καὶ καταψύχει τὰ μὴ τοιαῦτα, καὶ τῶν οἴνων τοὺς μὲν θερμοὺς φύσει, καὶ κίνησις ῥιπίζουσα, καὶ ἥλιος ἐκθερμαίνων, καὶ φλόγες πλησίον καιόμεναι, πεπαίνουσι θᾶττον. ὅσοι δὲ ψυχρότεροί τέ εἰσι καὶ ὑδατωδέστεροι, τούτους ἐξελέγχει τε τὰ τοιαῦτα πάντα, καὶ θᾶττον ἀναγκάζει πάσχειν, ἃ μικρὸν ὕστερον ἔμελλε πείσεσθαι. φυλάττεται μὲν γὰρ ἕκαστον τῶν ὄντων ἐπὶ τῆς οἰκείας φύσεως, οἰκείῳ θερμῷ, διαφθείρεται δὲ πρὸς τῆς ἔξωθεν ἀμετρίας, ἤτοι θερμότητος ὀθνείας, ἢ ψύξεως πλεονεξίᾳ. καὶ τὸ μὲν ἀποτελούμενον ὑπ' ἀμφοῖν ἕν, ὁ δὲ τρόπος αὐτοῦ τῆς γενέσεως, οὐχ εἷς. ὅθεν οὐδ' ὁμοίως ἅπασι τοῖς ἰδιώταις εὐφώρατος ὁ τρόπος ὅδε τῆς διαφορᾶς. ἐπειδὰν μὲν ὑπὸ τοῦ ψυχροῦ νικηθῇ τὸ καθέκαστον τῶν ὄντων θερμῶν, εὔδηλόν ἐστι καὶ τοῖς ἐπιτυχοῦσιν. ἐπειδὰν δ' ὑπὸ τοῦ σφοδροτέρου θερμοῦ περιεστῶτος ἔξωθεν διαφορηθῇ, λανθάνει τοὺς ἀγυμνάστους περὶ φύσιν, οὐκ εἰδότας, ὡς τὸ μὲν σύμμετρον θερμὸν, ἅπασιν ὠφέλιμον ὑπάρχει, τὸ δ' ἄμετρον, οὐχ ἧττον τοῦ ψυχροῦ βλαβερόν.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ.

Ὅτι ἡ ἐν τοῖς χυμοῖς ὀξύτης γίνεται ἀρχομένου μὲν μεταβάλλειν τε πέττειν αὐτοὺς τοῦ θερμοῦ, μὴ ἰσχύσαντος δὲ τελέως μεταβάλλειν καὶ ἀλλοιῶσαι.

ΑΛλὰ καθόλου μὲν τοῦτο γιγνώσκειν καλὸν, ὡς ἡ ἐν τοῖς χυμοῖς ὀξύτης, ἐν τῷ μεταβάλλεσθαι μὲν ὑπὸ τοῦ θερμοῦ, μὴ κρατεῖσθαι δὲ τελέως μάλιστα ἔοικε γίγνεσθαι, τεκμήραιο δ' ἄν τις οὐχ ἥκιστα κἀν ταῖς ὀξυρεγμίαις, ὡς αὗταί γε τῶν μὲν μηδ' ὅλως ἐν τῇ γαστρὶ μεταβαλλομένων σιτίων οὐχ ἕπονται, καθάπερ οὐδὲ τῶν ἀκριβῶς πεφθεισῶν, μόναις δὲ ταῖς ἡμιπέπτοις, ὡς ἂν οὕτω τις εἴποι καλῶ δ' ἡμιπέπτους, ὅσαι δεξάμεναι τὴν ὑπὸ τῆς ἐν τῇ γαστρὶ θερμότητος ἀλλοίωσιν οὐκέτι εἰς τέλος ὑπ' αὐτῆς ἐκρατήθησαν.

A Sic quoque si ardentem lucernam, aut iuxta flammam vehementem, magnámque deponas, aut ad Solem feruidum exponas, marcescere vtique, ac dissipari protinus videbis; quin etiam si validius ventilaueris infirmam paruámque flammam, citiùs eam extinxeris, quàm inauxeris; natura enim infirma validum neque motum, neque calorem sustinet, verùm ab iis dissipatur potiusquam augetur. Quanquam ex industria multis in locis vina, & commouent, & transportant; sicuti sanè, & in Solem efferunt, atque excalefaciunt, vt etiam quædam insuauia fiant, fumi contrahentia qualitatem. B Apud nos sanè in Asia in tecta ædium æstate omne propè in lagenas transfusum imponunt, postea in ædita cubicula, sub quibus infernè multa flamma luceat, transportant. In summa autem ad meridiem, Solémque cellas obuertunt, in quibus, & citiùs ea maturescant, & potui idonea euadant; nam quod multo tempore aliis, hoc iis, quæ sic excalefacta sunt, breuissimo aduenit. Porrò nihil mirum est eos, qui de colendis agris scripserunt ob eam, quam de sua regione habebant, experientiam, audaciùs, atque inconsiderantiùs de vinis omnibus definiuisse. At Theophrastus atque Aristoteles experientiam etiam vlteriorem C nacti, & in perscrutandis naturæ rationibus exercitatiores, ac diligentiùs omnia distinguentes, cùm multa huiusmodi, tum verò de vinis nos docuerunt, quòd simile illis, atque corporibus nostris accidat. An non enim, & ipsa quoque, prout, aut robusta sunt, aut imbecilla, ab iisdem tum iuuari; tum lædi conspicimus? Etenim vt exercitia valida, & Sol, calida atque robusta corpora etiam validiora efficiunt; prosternunt autem, & digerunt, refrigerantque quæ non sunt eiuscemodi: sic vina naturâ calida motus velut ventilans, Sol excalefaciens, flammæque iuxta ardentes, celeriùs concoquunt. D Quæ verò frigidiora sunt, & dilutiora, eorum arguunt omnia id genus imbecillitatem, celeriúsque perpeti cogunt, quæ alioqui post passura essent. Quippe quum ita comparatum sit, vt res quælibet in propria seruetur natura calore proprio; corrumpatur autem ab immoderatione extrinseca, nempe caloris alieni, aut frigoris abundantia. Atque quod ab vtroq; efficitur, vnum est, non tamen vnus generationis modus: quare non æquè idiotis omnibus facilis cognitu est hæc corruptionis ratio. Etenim vbi quid rerum calidarum à frigore deuictũ est, ne vulgo quidem ignotum est: E At vbi à circunsistente foris calore validiore digestum, ac dissipatum est, eos sanè qui circa naturam exercitati non sunt, latet, ignorantes, caliditatem moderatam omnibus esse vtilem, immoderatam verò non minùs frigiditate noxiam.

CAPVT XV.

Quod in saporibus aciditas proueniat, calore ipsos quidẽ incipiente alterare & concoquere, non autẽ perfectã mutationem, atque alterationem afferre potente.

CÆterũ in genere hoc nosse pulchrũ est, quòd aciditas in saporibus nasci potissimũ videtur, dũ à calido quidẽ mutatur, vt tamen non superet; id quod ex acidis ructibus, vel maximè coniicias. F Nam haudquaquã, vbi nulla prorsum facta in ventre est ciborũ alteratio, prouenire solent; quemadmodum nec vbi optimè concocti; sed tantum vbi semicocti, vt ita dixerim, fuerint. Voco autem semicoctos, qui à ventriculi calore alterationẽ perpessi; non etiam perfectè ab eo superati fuerint.

Sic

Sic lac, ptissanæ succus, & quæcunque eius sunt generis, tẽpore æstiuo citiùs acescunt quàm hyeme; postulantque ædes frigidas, vt in iis reposita, plusculo tempore perdurent. Ex quibus omnibus patet, quòd à calore mutante quidem, non tamen prorsum vincente, aciditatis generetur qualitas; atque ob id plerisque inest fructibus priusquam maturuerint; idq; etiam iis, quæ ab initio de saporibus acidis diximus, consentaneum videtur. Etenim si simile quid illis vsu venit, quod borealibus constitutionibus accidit, vt tenuium partium sint; simúlque frigidi, nasci eos haud sine calore satis cõstat, sicut nec illum ipsum aërem. Proinde quoque quæ summè nos refrigerant, ac interimunt, veluti cicuta, papaueris succus, hyoscyamus, mandragora, minimè omnium acida sunt; quippe licet frigidi sint sapores acidi omnes, haud tamen eousque refrigerant, vt interficiant; non enim tenuis forent essentiæ, si extremè essent frigidi. Itaque non modò iam, quòd frigidus sit sapor acidus, sed & quatenus, iam apparuit. Exploranda porrò eius natura est in oxylapatho, & oxalide, quam etiam oxyda nuncupant; est autem hæc olus syluestre, in istis enim maximè mihi syncerus est visus, ac simplex, nullius particeps acerbitatis, vt solent arborũ fructus; perspicuò enim hi cum acerbitate quadam admixtam habent aciditatem sicut cum acrimonia acetum. Itaque quod propriè in saporibus appellatur acidum, à sola lingua percipi potest, sicut & acre: cæterùm quod vtrique commune est, nempe mordacitas, etiam à tactu sentitur. Vtraque verò lingua agnoscere est: nam quæ communia sunt, sicut & reliqua corpora sensilia; quæ verò propria, tanquam gustus organum, percipit. Id que mihi videtur illi eximium, ac peculiare esse, iuxta totarum substantiarum tum proprietatem, tum alienitatem. Dictum autem, demonstratúmque sæpenumero est, nec secius aliàs quoque repetam, quid sit secundum totas substantias agere, aut pati; imò verò, & hactenus eius nunc meminero, quod in rem præsentem satis sit, hinc sumpto initio. Ex quatuor elementis, particulatim corporibus omnibus constant generationes impares mixtura, ac diuersæ. Siquidem quædam ignis, quàm aliorum elementorum in se plus continent, quædam aquæ, sicut alia, si sors ita tulit, terræ, nonnulla aëris. Et eiusmodi itaque imparitate proprietates corporum particularium sunt perfectæ; ex elementis quidem, plantarum; ex his autem, animalium, sicut in libris De elementis demonstratum est. Porrò transeunt quædam quidem protinus in sese mutuò, nonnulla verò mediantibus aliis; velut terra in triticum, hordeum, & alia id genus; rursum horum vnumquodque in carnem humanam; quum tamen ipsa terra caro, vt fiat, sit impossibile, eam videlicet, quæ in medio est, mutationem transiliendo. Attamen eorum, quæ in sese mutuò transeunt, quædam promptam celerémque, quædam diuturnam alterationem obtinent, at quæ similitudinibus propinqua sunt, celerem; quæ verò remotiora, tardiorem. Oportebat itaque meo quidẽ iudicio, innasci animantibus organũ, quod naturæ similitudines, ac dissimilitudines discernendi potestate polleret, quod agnoscens rerum naturas, familiaria quidem eligeret, aliena verò refugeret. Eiusmodi ergo lingua est, quæ exuberanti sensu non calida modò, frigidáque, humida, atque sicca, sed etiam, quę familiaria, queq; non familiaria sunt agnoscit.

A οὕτως δὲ καὶ γάλα, καὶ πτισάνης χυλὸς, καὶ τἆλλα πάντα τὰ τοιαῦτα, κατὰ τὴν θερινὴν ὥραν ὀξύνεται θᾶττον ἢ ἐν χειμῶνι, καὶ δεῖται ψυχρῶν οἰκημάτων, ἐν οἷς ἀποκείσεται πρὸς τὸ διαμεῖναι μέχρι πλείονος. ἐξ ὧν ἁπάντων δῆλον, ὡς ἐν τῷ μεταβάλλεσθαι μὲν ὑπὸ τοῦ θερμοῦ, μηδέπω μὴν τοι κεκρατῆσθαι τελέως ἡ γένεσίς ἐστι τῆς ὀξείας ποιότητος. διὰ τοῦτο καὶ τῶν καρπῶν τοῖς πλείστοις ὑπάρχει πρὶν πεπανθῆναι. καί πως ἔοικεν καὶ τοῦθ' ὁμολογεῖν τοῖς ἐξ ἀρχῆς εἰρημένοις περὶ τῶν ὀξέων χυμῶν. εἴπερ γὰρ ὅμοιόν τι πεπόνθασι ταῖς βορείαις καταστάσεσιν, ὡς λεπτομερεῖς ὑπάρ-
B χειν ἅμα καὶ ψυχρὰς, πρόδηλον ὡς ἡ γένεσις αὐτῶν οὐκ ἄνευ θερμότητος, ὥσπερ οὐδὲ τῷ ἀέρι. καὶ διὰ τοῦτο τελέως ἡμᾶς καταψύχοντα καὶ νεκροῦντα, καθάπερ κώνειόν τε, καὶ μηκώνιον, ὑοσκύαμος, καὶ μανδραγόρα, ἥκιστά ἐστιν ὀξέα. ψυχροὶ μὲν ἅπαντες οἱ ὀξεῖς χυμοὶ, οὐ μὴν εἰς τοσοῦτόν γε ψύχουσιν ὡς ἀναιρεῖν. οὐδὲ γὰρ ἂν οὐδὲ λεπτομερεῖς ὑπῆρχον, εἰ ἦσαν ἄκρως ψυχροί, ὥστε οὐ μόνον ὅτι ψυχρὸς ὁ ὀξὺς χυμὸς, ἀλλὰ καὶ εἰς ὅσα ψυχρὸς, ἤδη πέφανται. βασανίζειν δὲ αὐτὸν ὁποῖός τίς ἐστιν τὴν φύσιν ἐπὶ ὀξυλαπάθου, καὶ ὀξαλίδος, ἣν δὴ καὶ ὀξίδα προσαγορεύουσιν. ἔστι δ' αὕτη λά-
C χανον ἄγριον, ἐν τούτοις γὰρ ἐφάνη μοι μάλιστά πως εἰλικρινὴς καὶ μόνος, οὐδεμιᾶς μετέχων στρυφνότητος, ὥσπερ οἱ τῶν δένδρων καρποί. φανερῶς γὰρ οὗτοι μετὰ στρυφνότητός τινος ἐπίμικτον ἔχουσι τὴν ὀξύτητα, καθάπερ μετὰ δριμύτητος τὸ ὄξος. τὸ μὲν οὖν ἰδίως ὀνομαζόμενον ἐν τοῖς χυμοῖς ὀξὺ, μόνης τῆς γλώττης ἐστὶν αἰσθητὸν, ὥσπερ καὶ τὸ δριμύ. τὸ δὲ κοινὸν ἀμφοῖν, τὸ δακνῶδες, ἤδη καὶ τῆς ἁφῆς. ἑκατέρων δ' ἐστὶν ἡ γλῶττα διαγνωστική. τῶν μὲν γὰρ κοινῶν, ὡς καὶ ἄλλο τι τῶν αἰσθητικῶν σωμάτων, τῶν δ' ἰδίων, ὡς γεύσεως ὄργανον. καί μοι δοκεῖ τοῦτ' αὐτῇ τὸ ἐξαίρετον ὑπάρχειν, κατὰ τὴν οἰκειότητά τε καὶ τὴν ἀλ-
D λοτριότητα τῶν ὅλων οὐσιῶν. εἴρηται γὰρ ἤδη καὶ δέδεικται πολλάκις, οὐδὲν δ' ἧττον εἰρήσεται καὶ αὖθις, ὅ τί ποτε τὸ καθ' ὅλας τὰς οὐσίας ἐνεργεῖν, ἢ πάσχειν ἐστίν. ἔοικε δὲ καὶ νῦν αὐτοῦ μνημονεῦσαι εἰς ὅσον ἀρκεῖ τοῖς παροῦσιν, ἔνθενδέ ποθεν ἀρξάμενος. ἐκ τῶν δὲ στοιχείων, αἱ γενέσεις ἅπασι τοῖς κατὰ μέρος σώμασιν ὑπάρχουσιν, ἄνισοί τε καὶ διαφέρουσαι ταῖς μίξεσιν. ἔνια μὲν γὰρ πυρὸς ἔχει πλέον, ἢ τῶν ἄλλων στοιχείων, ἔνια δὲ ὕδατος, ἄλλα δ' εἰ οὕτως ἔτυχε, γῆς, ἔνια δὲ ἀέρος. ἐξ οὖν τῆς τοιαύτης ἀνισότητος, αἱ τῶν κατὰ μέρος σωμάτων ἰδιότητες ἀπετελέσθησαν. ἐκ μὲν τῶν στοιχείων αὐτῶν αἱ τῶν
E φυτῶν, ἐκ τούτων δὲ, αἱ τῶν ζώων, ὡς ἐν τοῖς περὶ στοιχείων δέδεικται λόγοις. μεταβάλλει δὲ, τὰ μὲν εὐθὺς εἰς ἄλληλα, τὰ δὲ διὰ μέσων ἑτέρων, οἷον αὐτίκα ἡ γῆ μὲν, εἰς πυροὺς καὶ κριθὰς, καὶ τἆλλα τὰ τοιαῦτα. τούτων δ' αὖ πάλιν ἕκαστον εἰς ἀνθρώπου σάρκα, οὐ μὴν αὐτή γε ἡ γῆ, σάρκα γενέσθαι δυνατὸν, ὑπερβᾶσα τὴν ἐν τῷ μέσῳ μεταβολήν. ἀλλὰ μὲν τοι καὶ τῶν εἰς ἄλληλα μεταβαλλόντων ἔνια μὲν ἑτοίμην τε καὶ διὰ ταχέων, ἔνια δὲ καὶ χαλεπὴν, καὶ χρόνιον ἔχει τὴν ἀλλοίωσιν. ὅσα μὲν ἐστιν ἐγγὺς ταῖς ὁμοιότησι, ταχεῖαν ἔχει, ὅσα δὲ πορρωτέρω, βραδυτέραν. ἐχρῆν οὖν,
F οἶμαι, γενέσθαι τι τοῖς ζώοις ὑπὸ τῆς φύσεως ὄργανον ὁμοιότητος, καὶ ἀνομοιότητος τῶν οὐσιῶν διακριτικὸν, ὃ διαγινώσκον τὰς φύσεις, τὸ μὲν οἰκεῖον αἱρήσεται, τὸ δ' ἀλλότριον φεύξεται. τοῦτ' οὖν ἐστιν ἡ γλῶττα, τῷ περιττῷ τῆς αἰσθήσεως, οὐ ψυχρῶν μόνον, ἢ θερμῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν, ἀλλὰ καὶ τῶν οἰκείων τε καὶ οὐκ οἰκείων ἔχειν διάγνωσιν.

A εἰς τουτὶ γὰρ μόνον τὸ μόριον ἓξ ἐμφύονται νεῦρα. τῶν δ᾽ ἄλλων ἕκαστον, ἢ ἑνός, ἢ δυοῖν μετείληφεν, οὐδ᾽ οὖν οὐδὲ τούτων αὐτῶν οὕτω μεγάλων. ἐπεὶ δὲ τὰ μὲν μᾶλλόν ἐστιν οἰκεῖα τῇ τοῦ σώματος ἡμῶν φύσει, τὰ δ᾽ ἧττον, καὶ τὰ μὲν ἐν τῇδε τῇ συζυγίᾳ τῆς κράσεως, τὰ δὲ ἐν τῇδε, πλέονες ἐξ ἀνάγκης αἱ γευσταὶ ποιότητες ἀπετελέσθησαν. ἀλλὰ τῶν μὲν τρεφόντων ἁπάντων κοινὸν τὸ γλυκύ. πᾶν γὰρ τὸ τρέφον, ἢ μᾶλλον, ἢ ἧττόν ἐστι γλυκύ. τῶν δὲ μὴ τρεφόντων, κοινὸν μὲν τὸ κατ᾽ ἀπόφασιν τοῦ γλυκέος, ἢ στερητικῶς ὀνομαζόμενον, οἷον οὐ γλυκύ, καὶ ἄλυκον. αἱ κατὰ μέρος δέ, πλείους αἱ διαφοραὶ κατὰ λόγον ἐγένοντο, τὸ, τῷ μὲν οἰκεῖον ἑκάστῳ τῶν ὄντων ἓν ὑπάρχειν, ὅτι καὶ μία φύσις ἡ ἰδία αὐτοῦ, B τὰ δ᾽ ἀλλότρια πάμπολλα. τὰ μὲν μᾶλλον ἀποκεχωρισμένα τῆς οὐσίας αὐτοῦ, τὰ δὲ ἧττον. ὅσα μὲν οὖν ἐστιν ἀκριβῶς ὀξέα, καὶ στρυφνά, καὶ πικρά, καὶ ἁπλῶς ἥν τινα οὖν ἄλλην ἔχοντα ποιότητα παρὰ τὴν γλυκεῖαν, ἄτροφα πάντ᾽ ἐστίν, ὥσπερ ὅσα γλυκέα μόνον, τρόφιμα πάντα. τῶν δ᾽ ἐπιμίκτων ταῖς ποιότησιν, ὅσα μὲν ἅμα γλυκέα τέ ἐστι καὶ στρυφνά, παχυμερέστερα ταῖς οὐσίαις ἐστί, καὶ ψυχρὰ ταῖς κράσεσιν, ὥσπερ καὶ μικρὸν ἔμπροσθεν ἐδείκνυμεν. ὅσα δ᾽ ὀξέα τε ἅμα καὶ γλυκέα, λεπτομερέστερα μέν, ἢ τὰ στρυφνά, ψύχει δ᾽ αὖ καὶ αὐτά. καὶ δὴ καὶ τὰ μὲν πικρὰ θερμά, τὰ δὲ δριμέα, καὶ τούτων ἔτι θερμότερα. C τρέφει δ᾽ οὖν ἅπαντα τὰ τοιαῦτα μετὰ γλυκύτητος. αὐτὸ δὲ καθ᾽ ἑαυτὸ τῶν εἰρημένων οὐδὲν ἱκανὸν τρέφειν ἐστίν. ἐπίμικτα δὲ γίγνεται κατὰ τρόπον διττόν, ἢ ἀνομοιομερῆ ταῖς οὐσίαις ὑπάρχοντα, καὶ διαφερούσας κατὰ τὰ μόρια ποιότητας ἔχοντα, ἢ ἁπλᾶ μὲν ὄντα καὶ ὁμοιομερῆ, κατὰ δὲ τὴν εἰς ἄλληλα τῶν πολὺ διαφερόντων γιγνόμενα μεταβολήν. οὔτε γὰρ τὸ μέλι ἐξαίφνης γίγνεται πικρόν, ἀλλ᾽ εἴθ᾽ ἑψόμενον ἐπὶ πλέον, εἴτε παλαιούμενον, εἰς πικρότητα μεταβάλλει, κατὰ βραχὺ πάσχον τὸ τοιοῦτο. οὔθ᾽ ὅσοι τῶν καρπῶν ἀποτελοῦνται γλυκεῖς, ὥσπερ ἔνιοι τῶν σικύων τε καὶ μηλοπεπόνων, οὐδ᾽ αὐτοὶ τὴν ἐξ ἀρχῆς ἀθρόως D ἀποβάλλουσι ποιότητα. κατὰ βραχὺ γὰρ ἅπασι τοῖς ὑπὸ φύσεως ἀλλοιουμένοις, αἱ μεταβολαὶ συμπίπτουσι, καὶ μάλισθ᾽ ὅταν εἰς πολὺ διαφερούσας, ἢ καὶ παντάπασιν ἐναντίας ποιότητας, ἡ ἀλλοίωσίς τε καὶ μετάστασις αὐτῶν ἀποτελῆται. ὥσπερ οὖν τὸ μὲν ἀκριβῶς γλυκύ, τρόφιμόν ἐστι, τὸ δ᾽ εἰλικρινῶς πικρόν, ἄτροφον, οὕτως τὸ μεταξύ, τρέφει μέν, ἀλλ᾽ ἧττον τοῦ γλυκέος. ὡσαύτως δὲ καὶ κατὰ τὰς ἄλλας ἔχει ποιότητας. ἄτροφοι γάρ εἰσι, πλὴν τῆς γλυκείας, ἅπασαι. καὶ μὲν δὴ καὶ αὐτὰ τὰ στοιχεῖα πολὺ μᾶλλον ἄτροφά τε καὶ ἄποια πρὸς τὴν γεῦσίν εἰσιν. καὶ διὰ τοῦτο καὶ ἡ γῆ, καὶ τὸ ὕδωρ, ἄμφω γὰρ καὶ ταῦτα ἄποια E πρὸς τὴν γεῦσίν εἰσι καὶ ἄτροφα, καθάπερ ὁ ἀήρ, καὶ τὸ πῦρ, ὥστε καὶ κατὰ τὴν ποιοτήτων ἐπιμιξίαν, ἐκλύεται πολλάκις ἡ τῶν γλυκέων ποιότης, ὑδατώδους μὲν οὐσίας ἐπικρατούσης ἐν τοῖς τῶν ἐπιγείων σχεδὸν ἁπάντων καρποῖς. καὶ γὰρ πυροί, καὶ κριθαί, καὶ κύαμοι, καὶ ἐρέβινθοι, καὶ τἄλλα ὅσα τοιαῦτα, διὰ ὑγρότητα κατ᾽ ἀρχὰς ἐγγὺς ἀποίων ὄντα τὴν γεῦσιν, ἐν τῷ χρόνῳ πεπαινόμενά τε καὶ ξηραινόμενα, γίγνεται γλυκύτερα, γεώδους δὲ καὶ ξηρᾶς ἐν ἀχύροις, καὶ χόρτῳ, καὶ ἀγρώστει, καὶ καλάμοις ξηροῖς, καὶ ξύλοις, ὧν ἔνια πρὶν ἀποξηρανθῆναι, γλυκέα τε ἡμῖν ἐστι, καὶ τροφὴν τῷ σώματι δίδωσιν ἐνίοτε, οἷον ὅ τε F τοῦ φοίνικος ἐγκέφαλος, οὕτω γὰρ ὀνομάζουσι τὸ ἀνώτατον μόριον αὐτοῦ, καὶ τῆς ἀγρώστεώς τε, καὶ τῶν καλάμων αἱ μαλακαὶ ῥίζαι, καὶ μάλιστα τῶν κατ᾽ Αἴγυπτον. ἤδη δὲ καὶ τῶν πλείστων δένδρων αἱ βλάσται. ὁμοιότητι μὲν γὰρ ἀεὶ τῇ πρὸς τὸ τρεφόμενον, γλυκὺ φαίνεται τὸ τρέφον, ἀνομοιότητι δ᾽ οὐ γλυκύ.

In hanc enim duntaxat particulam sex inseruntur nerui, quum aliæ omnes, aut vnius tantum, aut duorum sint participes, nec ita magnorum tamen. Porrò quum quædam naturæ nostræ magis sint familiaria, quædam minùs; ac partim in hac temperamenti coniugatione, partim in illa; necessariò plures gustus qualitates extiterunt. Cæterùm omnium, quæ nutriunt, communis dulcedo est; nam quicquid nutrit, aut plus, aut minus est dulce. His verò, quæ non nutriunt, commune est, id quod per negationem dulcis, aut priuationem sic dicitur, velut non dulce, & indulce. Particulares autem differentiæ complures meritò euaserũt, quia id, quod cuique rerum familiare est, vnum est, nempe quia, & natura eius familiaris vna; aliena verò plurima, partim plus, partim minus, à substantia eius dissidentia. Quæ itaque summè acida sunt, acerba, aut amara, aut simpliciter aliam quamuis qualitatem præter dulcem sortita sunt, ea omnia nutrire nequeunt; sicut, quæ solùm dulcia sunt, omnia nutriunt. Inter ea autem, quæ mixta sunt, quotquot dulcia simul, & acerba sunt, & crassioris sunt essentiæ, & temperiei frigidæ, velut paulò ante ostendimus. Quotquot verò acida simul, ac dulcia, tenuiora quidem sunt, quàm acerba, sed & ipsa tamen refrigerant. Quin etiam amara quidem calida sunt, sed acria, his etiam calidiora. Nutriunt ergo hæc omnia, si iunctam habeant dulcedinem; cæterùm per se dictorum nullum, vt nutriat, satis est. Porrò duplici ratione mixta esse assolent, nempe, vt dissimilaria sint, & diuersas habeant qualitates in diuersis partibus: aut simplicia, & similaria, sed quæ in mutua eorũ, quæ multũ dissident, alteratione consistãt. Neq; enim mel extemplo fit amarum, sed aut multa coctione, aut vetustate amaritudinẽ induit; nec id tamen illi nisi pedetẽtim accidit. Neque quotquot ex fructibus dulces ex amaris euadunt, sicut quidam cucumeres, & melopepones, & ipsi repente, semélque ab initio qualitatẽ abiiciunt: nam iis omnibus, quæ à natura mutantur sensim fiunt mutationes, potissimũ vbi in multũ dissidentes, aut planè cõtrarias qualitates alteratio, transitúsq; perficitur. Sicut ergo quod est summè dulce, aptum esui est; quod verò sincerè amarum, esui ineptum: sic quę in medio sunt eorum, nutriunt quidem etiam, verùm minùs quàm dulce. Eadem ratio est in aliis qualitatibus; nam nutrire, præter dulcẽ, nullæ omnino possunt. At elemẽta multò sanè etiam minus nutriunt, nullámque gustui qualitatem offerunt; proinde, & terra, & aqua (sunt enim ambo gustui insipida) minimè nutrire idonea sunt, sicut nec aër, nec ignis. Itáque pro horum admixtione, dulcium sæpe qualitas exoluitur, aquea ferè essentia in terrestrium plantarum prope omnium fructibus superante (nam triticum, hordeum, fabæ, cicer, & quæ eius sunt generis; quum propter humiditatẽ principio qualitatum propè expertia sint, temporis successu maturata, ac siccata dulciora euadũt) terrestri verò, & sicca in paleis, fœno, gramine, & arundinibus siccis, & lignis. Quorum tamen quædam priusquã aruerint, dulcia nobis sunt, nutrimentúmque interdum corpori exhibent, velut palmæ cerebrũ, sic enim nominant summam eius particulam, & gramen, & molles maluarum radices, maximè quæ in Ægypto proueniunt; ad hæc plerarumque arborum germina. Siquidem, quod nutrit, à similitudine, quæ illi est ad id, quod nutritur, dulce apparet, dissimilitudine verò non dulce.

Porrò

Porrò multæ quum sint dissimilitudines, multas proinde necesse est qualitates esse nō dulces, quas verbis quidem efferri est impossibile; attamen memoriam earum mouere, suggerereque quodammodo licet, quum omnes homines certissimè norint, alium fieri in lingua sensum, atque affectum ab acerbis, alium ab acidis, & alium à salsis, aliúmque ab amaris.

CAPVT XVI.

Qua de causa, quæ igni admouentur edulia, alia suauissima, alia insuauia efficiantur; & qua de causa edulia quædam quum per sese edi non possint, suauitatem tamen iis præbeant quæ per ipsa præparantur.

ITaque quemadmodum edulia, quæcunque nutriendorū naturæ simillima sunt, ea & dulcedinem summam præ se ferunt, nec vllam præparationem postulant; sic quæ temperiem nacta sunt remotiorem, alia condimentis, alia coctione, alia vtroque indigent. Nec verò mirum est, quum cōdimentorū nullum edendo sit, ad suauitatē tamen iis conferre, quæ per ipsa præparantur; quippe quū fieri possit, vt immoderatis duobus coëuntibus, id quod ex ambobus mixtum sit, commoderatū euadat, ac proinde quoque dulce appareat, quum immoderata minimè sint talia. Postea verò quam, & per elixationē, & per assationē, & omnino per calidum quiddam, præparatio fit ciborū, nihil etiam absurdum est, aut ambiguum, quæ priùs non erant suauia, tunc fieri suauissima; apparet enim calidi natura, quibus admota fuerit, ea celeriter alterare, atque in aliam speciem mutare. Quocirca nec id quoque dubium est, quædam suauiora, quædam verò insuauiora effici igni applicata; tum quædam tempore minimo, quædam plurimo coqui debere. Etenim quæ nutriendorum corporum temperamentis simillima sunt, ea vel citra coctionem, aut præparationem iam dulcia apparent, quæ verò dissimilia sunt, omnia insuauia sunt antequam preparentur. Porrò quæ nimis quàm calida sunt frigido corrigi debent; quæ verò multum frigida, calidorum mixtura ciborum, & igni: ad eundem modum humiditate, quæ terrea sunt, & sicca; siccitate, quæ plus quam conueniat aquea sunt, & humida. Siccitates ergo, humidorum admixtio; humiditates verò, siccorum mixtura, ignísque emendant. Maximam rei dictæ fidem affert, quæ in ore fit mutatio. Nam qui plusculum sustinuerunt ieiunium, iis saliua salsa redditur; qui verò plurimum, non salsa modo, sed & amara; sic etiam corpus vniuersum, biliosum habitum contrahit, ac si perinde, vt lingua sensu polleret, salcedinem quoque quæ in ipso est, atq; amaritudinem perfacilè, reor, perciperet; ad hæc etiam ipsam dulcedinem, quæ naturali inest sanguini. At nunc, vbi vase quopiam, aut rupto, aut aperto affatim calidus sanguis in linguam effunditur, dulcissimus apparet, vtique si secundum naturam, vt dictum est, habuerit; nam morbidus, amarus, aut salsus est, aliámve eius generis qualitatem præsefert. At qui in toto est corpore nos fugit, non aliter quàm, aut bilis, aut pituita; quanquam & bilis quidem flaua, vel minima quapiam parte linguam contingens, perpetuò amara appareat; atra verò, acida. Porrò vbi pituita linguam attingit, partim quidem dulcis, partim acida, partim salsa, sæpè est manifestò visa; quum & ipsa in toto animali incognita sit.

A πολλῶν δ᾽ οὐσῶν ἀνομοιοτήτων, πολλὰς ἀναγκαῖον ἐν τῷδε καὶ τὰς μὴ γλυκείας γίγνεσθαι ποιότητας, ἃς ἑρμηνεῦσαι μὲν ἀμήχανον. ἀναμνῆσαι δ᾽ ἐγχωρεῖ, πάντων ἀνθρώπων ἀκριβῶς εἰδότων, ἑτέραν μὲν τινὰ ἐκ τῶν στρυφνῶν, αἴσθησίν τε καὶ διάθεσιν ἐν τῇ γλώττῃ γιγνομένην, ἑτέραν δὲ τινὰ ἐκ τῶν ὀξέων, καὶ ἄλλην μὲν τινὰ ἐκ τῶν ἁλμυρῶν, ἄλλην δὲ τινὰ ἐκ τῶν πικρῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙϚʹ.

B Διὰ ποίαν αἰτίαν τῶν τῷ πυρὶ πλησιαζόντων ἐδεσμάτων τὰ μὲν ἥδιστα, τὰ δὲ ἀηδῆ γίνεται, καὶ διὰ ποίαν αἰτίαν ἔνια τῶν ἐδεσμάτων καθ᾽ ἑαυτὰ ἄβρωτα ὄντα ἡδύτητα παρέχει τῷ δι᾽ ἑαυτοῦ σκευασθέντι.

ΩΣπερ οὖν ὅσα τῶν ἐδεσμάτων ὁμοιότατα ταῖς τῶν τρεφομένων ὑπάρχει φύσεσιν, γλυκύτητά τ᾽ ἐμφαίνεται, καὶ σκευασίας οὐδεμιᾶς προσδεῖται, κατὰ τὸν αὐτὸν τρόπον, ὅσα πορρώτερα τὴν κρᾶσίν ἐστιν, τὰ μὲν ἡδυσμάτων, τὰ δὲ καὶ συναμφοτέρων προσδεῖται, καὶ οὐδέν γε θαυμαστόν, αὐτοῦ τῶν ἡδυσμάτων μηδὲν ἐδώδιμον ὑπάρχον, εἰς ἡδονὴν συντελεῖν τῷ δι᾽ ἑαυτῶν σκευασθέντι. δυοῖν γὰρ ἀμέτροιν συνελθόντοιν, C ἐγχωρεῖ τὸ μικτὸν ἐξ ἀμφοῖν σύμμετρον ἀποτελεσθῆναι, καὶ διὰ τοῦτο, γλυκὺ φανῆναι, τῶν ἀμέτρων οὐκ ὄντων τοιούτων. ὅταν δὲ δὴ καὶ δι᾽ ἑψήσεως, ἢ ὀπτήσεως, ἢ ὅλως ὑπὸ θερμοῦ τινος, ἡ σκευασία γίγνηται τῶν ἐδεσμάτων, οὐδὲν οὔτ᾽ ἄπορον, οὔτ᾽ ἄλογον, ἃ πρότερον οὐκ ἦν ἡδέα γίγνεσθαι, νῦν ἥδιστα. φαίνεται γὰρ ἡ τοῦ θερμοῦ φύσις οἷς ἂν ὁμιλήσῃ, ταχέως ἀλλοιοῦν αὐτά, καὶ μεταβάλλειν εἰς ἕτερον εἶδος, ὥστ᾽ οὐκέτι οὐδὲ τοῦτ᾽ ἄπορον, εἰ τινὰ μὲν ἡδίω, τινὰ δὲ ἀηδέστερα γίγνεται τῷ πυρὶ πλησιάζοντα, καί τινα μὲν ἐλαχίστου χρόνου, τινὰ δ᾽ ἐπὶ πλεῖστον ἑψηθῆναι χρήζει. τὰ μὲν γὰρ ὁμοιότατα ταῖς κράσεσι τῶν D τρεφομένων σωμάτων, χωρὶς ἑψήσεώς τε καὶ σκευασίας, ἤδη φαίνεται γλυκέα. τὰ δ᾽ ἀνόμοια, πάντα μὲν ἀηδῆ, πρὶν σκευασθῆναι. δεῖται δὲ τὰ μὲν ὑπέρθερμα, τῷ ψυχρῷ κολασθῆναι, τὰ δ᾽ ἱκανῶς ψυχρά, ταῖς τε τῶν θερμῶν ἐδεσμάτων μίξεσιν, καὶ πυρί. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὑγρότητι μέν, ὅσα γεώδη καὶ ξηρά, ξηρότητι δέ, τὰ πλέον ἢ προσῆκεν ὑδατώδη τε καὶ ὑγρά. τὰς μὲν οὖν ξηρότητας, αἱ τῶν ὑγρῶν ἐπιμιξίαι, τὰς δ᾽ ὑγρότητας αἱ τῶν ξηρῶν, καὶ τὸ πῦρ ἐπανορθοῦται. μεγίστη δὲ τοῦ λεγομένου πίστις, ἡ κατὰ τὸ στόμα γιγνομένη μεταβολή. τοῖς γοῦν ἐπὶ πλέον ἀσιτήσασιν, ἁλυκὸν φαίνεται τὸ πτύελον, εἰ δ᾽ ἐπὶ πλεῖστον, E οὐχ ἁλυκὸν μόνον, ἀλλ᾽ ἤδη καὶ πικρόν. οὕτω δὲ καὶ πᾶν ἐκχολοῦται τὸ σῶμα, καὶ εἴπερ ἦν αἰσθητικὸν ἅπαν ὁμοίως τῇ γλώττῃ, καὶ τῆς ἁλυκότητος ἄν, εἰ μή, τῆς ἐν αὐτῷ ῥᾳδίως ἠσθάνετο, καὶ τῆς πικρότητος, ἔτι τε πρὸς τούτῳ, καὶ αὐτῆς τῆς γλυκύτητος, ὑπαρχούσης γε ἀεὶ τῷ κατὰ φύσιν αἵματι. νυνὶ δὲ ἐπειδὰν ἤτοι ῥαγέντος, ἢ ἀναστομωθέντος ἀγγείου τινός, ἀθρόον τε καὶ θερμὸν αἷμα κατὰ τῆς γλώττης ἐκχυθῇ, φαίνεται γλυκύτατον, ὅταν, ὡς εἴρηται, κατὰ φύσιν ἔχῃ. ἐπεὶ τό γε νενοσηκός, πικρὸν ἢ ἁλυκόν ἐστιν, ἢ τινα τοιαύτην ἑτέραν ἐμφαίνει ποιότητα, ὃ μέντοι καθ᾽ ὅλον τοῦ ζώου τὸ σῶμα λανθάνει, καθά- F περ αἱ χολαὶ καὶ τὸ φλέγμα. καί τοι τῶν χολῶν, ἡ μὲν ἀεὶ πικρὰ φαίνεται κἂν μικρῷ μορίῳ ψαύσῃ τῆς γλώττης, ἡ μέλαινα δ᾽, ὀξεῖα. καὶ τοῦ φλέγματος καὶ τῇ γλώττῃ πλησιάζοντος, τὸ μὲν γλυκύ, τὸ δὲ ὀξύ, τὸ δὲ ἁλμυρὸν ἐναργῶς ἐφάνη πολλάκις, ἄδηλον ὑπάρχον καὶ τοῦτο καθ᾽ ὅλον τὸ ζῶον.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Διὰ ποίαν αἰτίαν τὸ μὲν μέλι ὑπὸ τῆς ἰσχυροτέρας θερμασίας ἐκπικροῦται, τὸ δὲ γάλα καὶ γλυκύτερον γίνεται πολλάκις, καίτοιγε ἀμφότερα ὡς πρὸς τὴν γεῦσιν γλυκέα τυγχάνει.

Οὐδὲν οὖν θαυμαστὸν, οὐδὲ διότι τὸ γλυκύτατον ἁπάντων μέλι, τὸν πικρότατον γεννᾷ χυμὸν, καὶ διὰ τί μάλιστα τοῖς ἀκμάζουσί τε καὶ φύσει θερμοῖς, καὶ πυρέττουσιν. ὡς γὰρ κἀκτὸς ἐπὶ πλέον ὁμιλῆσαν τῷ πυρὶ πικρὸν ἀποτελεῖται, κατὰ τὸν αὐτὸν τρόπον, κἀν τοῖς τῶν ζώων σώμασιν, ὅταν ἀκραιφνεῖ πλησιάζῃ θερμότητι, τὸν χολώδη γεννᾷ χυμόν. ἐν δὲ ταῖς ψυχροτέραις κράσεσιν, ἢ διὰ ἡλικίαν, ἢ διὰ φύσιν σώματος, ἢ διὰ νόσον, εἰς χρηστὸν καὶ σύμμετρον αἷμα μεταβάλλει ῥᾳδίως. οὐ γὰρ ὑπερθερμαινόμενον, οὐδ' ἀλλοιούμενον ἐπὶ πλέον ἐν τοῖς τοιούτοις σώμασιν, ἀλλ' ὅμοιόν τι τῷ μετρίως ἑψηθέντι πάσχον, ἐξομοιοῦται τελέως αὐτοῖς, καὶ διαφυλάττει τὴν γλυκύτητα· καὶ τί θαυμαστὸν ὑπὸ τῆς σφοδροτέρας ἐν τοῖς ζώοις θερμότητος, ἢ πλείονος ἑψήσεως, ἐξίστασθαι τῆς ἀρχαίας γλυκύτητος τὸ μέλι, καὶ χωρὶς τούτων ὑπὸ τῆς ἐν αὐτῷ θερμότητος, ἐν χρόνῳ πλέονι πικρὸν ἀποτελούμενον; ἐν γὰρ τῷ τάχει τῆς μεταβολῆς, ἡ διαφορὰ μόνον, οὐκ ἐν τῷ πάσχειν ἕτερον πάθος ὑφ' ἑτέρας αἰτίας. καὶ γὰρ τὸ πάθος αὐτὸ, καὶ τὸ μεταβάλλον αἴτιον ὂν, τὸ πάθος μὲν ἡ πικρότης, τὸ δ' αἴτιον, ἡ ἀμετρία τῆς θερμότητος, ἀμετρίας δὲ τῆς εἰς ἀλλοίωσιν ἀγούσης, διττῆς ὑπαρχούσης τῷ γένει, ῥώμης τοῦ πλησιάζοντος, ἢ μήκους τοῦ χρόνου, τὴν μὲν ἑτέραν ἐξ ἡμῶν τε καὶ τοῦ πυρὸς, τὴν δ' ἑτέραν ἐξ αὐτοῦ λαμβάνει τὸ μέλι. καὶ δεόντως ἐν χρόνῳ πλείονι γίγνεται τοῦτο τὴν ἐξ αὐτοῦ, ὅτι καὶ τὸ μεταβάλλον ἀσθενέστερον. ὅπερ οὖν ὑπ' ἐλάττονος αἰτίας ἐν χρόνῳ πλείονι γίγνεται, τοῦθ' ὑπὸ μείζονος ἐν ἐλάττονι γίγνεσθαι τί θαυμαστόν; ἀλλ' οὐ τό γε γάλα, καίτοι γλυκὺ πρὸς τὴν γεῦσιν ὑπάρχον, ἐξ αὑτοῦ ποτε γίνεται πικρόν. κρατεῖται γὰρ ἐν αὐτῷ τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ μᾶλλον, ἢ κρατεῖ, καὶ διὰ τοῦτο ὀξύνεται κείμενον. ἐκ τριῶν μὲν γὰρ οὐσιῶν διαφερουσῶν ταῖς ποιότησι σύγκειται, καθότι καὶ πρόσθεν ἔλεγον, πρώτης μὲν τῆς παχείας, ἐξ ἧς ὁ τυρὸς γίνεται, δευτέρας δὲ, τῆς λιπαρᾶς, ἐξ ἧς ὁ βούτυρος, καὶ τρίτης τῆς ὑδατώδους, ἣν ὀῤῥὸν ἐπονομάζομεν. ἀλλὰ τούτων, ἡ μὲν λιπαρὰ, μάλιστα εὔκρατος, ἡ δὲ παχεῖα, μικρὸν ταύτης ἀποδέουσα. τὸ δ' ὀῤῥῶδες περίττωμα, ψυχρόν τ' ἐστὶ καὶ ὑγρὸν, ὥστε τὸ μὲν σύμπαν γάλα τοῦ συμμέτρου τῇ θερμότητι σώματος ἀπολείπεσθαι συχνῷ, καὶ διὰ τοῦτο εἰς ὀξύτητα μεταβάλλει ἐξ ἑαυτοῦ, μᾶλλον ἢ πικρότητα. καὶ εἴπερ οἷόν τε ἦν αὐτοῦ γεύσασθαι πεφθέντος ἔν τε τῇ γαστρὶ καὶ κατὰ τὰς φλέβας, εὑρίσκοιτο ἂν οἶμαι γλυκύτερον μέλιτος. ὃ γὰρ ἔξωθεν ἔχει καὶ παρ' ἑαυτοῦ τὸ μέλι, τοῦτ' ἐν τῷ πέττεσθαι λαμβάνει τὸ γάλα. καὶ ὅταν γε θερμὸν ἱκανῶς ὑπάρχῃ τὸ τοῦ ζώου σῶμα, τοσοῦτον ἐπικτᾶται τὸ γάλα τῆς γλυκύτητος, ὅσον ἀπόλλυσι τὸ μέλι. καὶ οὐκ ἀλόγως γίνεται. τῷ μὲν γὰρ ἄκρως γλυκεῖ, καὶ διὰ τοῦτο μηκέτ' ἐγχωροῦν τινὰ προσθήκην γλυκύτητος, εἰς τὴν ἐφεξῆς ἀνάγκη μεταβάλλειν ποιότητα. τῷ δέ γε ἐνδεεῖ, τὸ τέλεον ἐκ τῆς πέψεως προσγίνεται. ταῦτ' ἄρα καὶ διττὰς, ἀπεπτούμενον ἐν τῇ γαστρὶ τὸ γάλα, τὰς ἀλλοιώσεις ἐπιδέχεται. κατὰ μὲν τὴν ψυχροτέραν κοιλίαν ὀξυνόμενον, ἐν δὲ τῇ θερμοτέρᾳ κνισῶδές τε καὶ πικρὸν ἀποτελούμενον. οὐ μὴν τό γε μέλι τὴν εἰς ὀξύτητά ποτε μεταβολὴν δέχεται ἐν τῷ πέττεσθαι, θερμότερον γάρ ἐστιν ἢ ὥστε μὴ κρατούμενον ὀξύν-

CAPVT XVII.

Qua de causa mel à calore validiore amarorem contrahat; lac verò frequenter etiam dulcius efficiatur, quum tamen vtraque gustui sint dulcia.

Nihil mirum igitur, neque cur rerum omnium dulcissimũ mel succum generet amarissimum; neque cur id maximè ætate florentibus, & calidis natura, & febrientibus accidat. Nam vt foris, quum plusculum igni admouetur, amarum efficitur, ad eundem modum, & in animantium corporibus, vbi syncerum validúmque nactum calorem fuerit, biliosum succum procreat. At in temperamentis frigidioribus, siue propter ætatem, siue propter naturam corporis siue etiam ob morbum, facilè in bonum, & moderatum sanguinem conuertitur. Quippe quum neque nimirum in iis corporibus, aut excalefiat, aut alteretur; verum ei quod modicè coctum fuerit, simile quiddam perpetiatur; planè illis assimilatur, prorsúmque seruat dulcedinem. Et quid obsecro miri, si à valentiore animantis calore, aut longiore coctione veterem mel dulcedinem exuat, quum etiam citra hæc, per suum ipsius calorem spatio temporis amarum euadat? Nam in mutationis duntaxat celeritate, haudquaquam quòd aliam perpetiatur passionem ab alia causa, differentia consistit; quippe & passio est eadem, & causa, quæ mutat; passio quidem amaror, causa verò caliditas immodica. Porrò immodicum, quod ad alterationem ducit, duplex est; aut enim in admoti consistit robore, aut in temporis diuturnitate; alterum ex nobis, & igni, alterum ex se ipso mel accipit. Et meritò sanè tempore maiore id fit ex ipso, siquidem quod mutat, imbecillius est. Ergo quod à minore causa longiori fit tempore, quid mirum est à maiore breuiori perfici? Cæterùm lac, etsi gustu sit dulce, tamen ex sese nunquam amarum efficitur; vincitur enim in eo à frigore magis caliditas, quàm ipsa vincat; proinde etiam repositum acescit. Ex tribus enim substantiis qualitate dissidentibus (velut supra quoque dictum est) constat; prima quidem crassa, ex qua caseus conficitur; altera pinguis, ex qua butyrum, & tertia aquea, quod serum nuncupamus. Verùm ex hisce pinguis quidem, vel maximè temperata est; crassa verò paulùm ab ea declinat; at excrementum illud serosum, & frigidum, & humidum est. Quare lac vniuersum à modicæ caliditatis corpore longo interuallo relinquitur; quapropter ex se acescit potiusquam amarescit. Ac si gustari posset, vbi in ventre, & per venas concoctum est, ipso etiam melle dulcius inueniretur; nam quod foris, & ex sese mel obtinet, id dum coquitur, lac accipit, & quum admodum ingens in animante calor extiterit, tantam acquirit lac dulcedinem, quantam mel deperdit; rectáque id ratione euenit. Etenim quod summè dulce est, ac proinde etiam nihil apponi ad eius dulcedinem potest, id vt in consequentem verti pergat qualitatem necesse est; at cui quid deest, id per concoctionem acquirit. Proinde sanè lac vbi cruditatem in ventre perpetitur, duplicem suscipit alterationem, in frigidiore namque ventre acescit, in calidiore nidorosum, amarúmque efficitur. Non tamen mel coquendo vnquam aciditatem admittit, quippe quum calidius sit, quàm vt vbi non superetur, acescat.

Itaque

Itaque vtraque linguam mordicant, tum quod acidum est, tum quod amarum; non tamen id tanquam proprium linguæ sensus possidet; quippe si in aliam quamuis carnem cute spoliatam ipsa inieceris, & illam sanè etiam mordebit. Ex quo constat, mordacitatem à tactu propriè, non à gustu sentiri. Quin & quæ acria appellantur, velut pyrethrum, allium, cæpa, non linguam modo mordicant, sed & omnem reliquam nostram carnem. Communisque est mordicatio tribus istis saporibus, acido, amaro, acri; verùm acido quidem, vt frigido simul & subtili, nam & id sæpè monstratum est; amaro verò & acri, vt calidis.

CAPVT XVIII.

Quòd sapores acres omnium sint calidissimi.

QVòd itaque sapor amarus calidus sit, modo ostendimus. At de acri vocato, principio ne demonstratione quidem est opus; præuenit enim sensus euidentia, rationis fidem. Quare nec quisquam de ipso dubitauerit; imò & Plato de eo tanquam omnium calidissimo pronunciat, tum Aristoteles quoque, & Theophrastus. Atque adeo nec veterum, nec recentiorum medicorum quisquam est, qui secus sentiat, quippe quum excalefactio ex essentiæ eius sit ratione. Itaque si vel ex plebe quempiam roges, quid vocet edulium acre, dixerit sanè, puto, quod fortiter, dum gustatur, excalefacit, velut piper, pyrethrum, nasturtium, allium, cæpa, & id genus omnia; videtúrque id adeo saporum genus, cùm appellatione careret propria, communi per excellentiam vsum. Nam quum & sapor amarus, & sapor acidus, ambo etiam acres sint, in quocunque tamen corpore vehementem comperimus, acrimoniam, tametsi neque amarum sit, neque acidum, acre appellare consueuimus; quanquam multa in specie sint corpora eiusmodi; alia enim edi possunt, alia esui sunt inepta. Ea igitur quæ idonea sunt esui dulcem quandā, saltem obscuram admixtam habeant qualitatem necesse est; proinde multis ipsorum pro opsonio vtimur, multis verò, vt condimentis tantum; at vt cibo, ipsorum omnino nullo, idque ob virium vehementiam. Porrò eorum, quæ non eduntur, alia mortifera sunt, alia simpliciter medicamenta, omnia saltem cuti nostræ imposita vlcus celeriter moliuntur. Quin & horum quoque nonnulla qualitatem quandam amaram præ se ferunt, quemadmodum esculentorum quædam dulcem; non tamen vocantur amara, quandoquidem hæc in eis leuis est, & infirma, valida autem vis acrimoniæ Sunt & quæ ne gustare quidē audeas, cuiusmodi est, vel thapsia, vel cantharides, vel aliquod aliud eorum, quæ erosione, aut putrefactione interimunt; sed & horum gustū esse acrem ex iis conijcere licet, quæ in toto agunt corpore. Multa verò etiam ipso statim odore aliena sunt, planéque pugnantiam cum homine indicant, velut & hæc ipsa, quæ nunc dicta sunt, & cicutæ, papaueris, mādragoræ, & hyoscyami succus. Quin & nuper quoque herbam quandam conspeximus, quam Centurio quidam ex barbarica circa Ægyptum regione comportauerat, odore adeo graui, adeóque inamœno, vt ne gustare quidē auderem, sed lethalē esse conijcerem. Vtebatur autem ad vrgentes articulorū dolores: atq; ipsis etiam laborantibus refrigerādi pollere facultate est visa.

A θῆναι. δακνώδη μὲν γὰρ ἄμφω τῇ γλώττῃ, τό τε ὀξὺ καὶ τὸ πικρόν, οὐ μὴν ὡς ἴδιον γλώττης αἴσθησις τοῦτο κέκτηται. καὶ γὰρ εἰ καὶ κατ᾽ ἄλλης σαρκὸς ἧς τινος οὖν γυμνῆς τοῦ δέρματος, ἐπιβάλλοις αὐτά, δάκνει κἀκείνην, ᾧ δῆλον ὡς τὸ δακνῶδες, τῆς ἁφῆς ἴδιον αἰσθητόν, οὐ γεύσεώς ἐστιν· καὶ μὴν καὶ τοῖς δριμέσιν ὀνομαζομένοις, οἷον πυρέθρῳ τε, καὶ σκορόδῳ, καὶ κρομμύῳ, ὑπάρχει τὸ δάκνειν, οὐ τὴν γλῶτταν μόνον, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν ἡμῶν σάρκα. καὶ κοινὸν ἄρα τοῦτο τὸ δάκνειν τριῶν ἐστι χυμῶν, ὀξέος, πικροῦ, δριμέος, ἀλλὰ τοῦ μὲν ὀξέος, ὡς ψυχροῦ τε ἅμα καὶ λεπτομεροῦς (ἐδείχθη γὰρ τοῦτο πρόσθεν) τοῦ πικροῦ δὲ καὶ
B δριμέος, ὡς θερμῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

Ὅτι οἱ δριμεῖς χυμοὶ θερμότατοι ὑπάρχουσι.

ΟΤΙ μὲν οὖν ὁ πικρὸς χυμὸς θερμός ἐστιν, ἀρτίως μοι δέδεικται. περὶ δὲ τοῦ δριμέος ἰδίως ὀνομαζομένου, τὴν ἀρχὴν, οὐδ᾽ ἀποδείξεώς ἐστι χρεία. φθάνει μὲν γὰρ ἡ ἐκ τῆς αἰσθήσεως ἐνάργεια, τὴν ἐκ τοῦ λόγου πίστιν, ὡς οὐδ᾽ ἠμφισβήτησεν οὐδεὶς ὑπὲρ αὐτοῦ, ἀλλὰ καὶ Πλάτων, ὡς περὶ θερ-
C μοτάτου πάντων ἀποφαίνεται, καὶ Ἀριστοτέλης καὶ Θεόφραστος, καὶ τῶν ἰατρῶν οὐδείς ἐστιν, οὔτε τῶν παλαιῶν, οὔτε τῶν νεωτέρων, ὃς ἕτερόν τι γιγνώσκει. κατὰ γὰρ τὸν τῆς οὐσίας αὐτοῦ λόγον ἐστὶ τὸ θερμαίνειν, ὥστ᾽ εἰ καὶ τῶν ἰδιωτῶν ὀντιναοῦν ἔροιο, τί καλεῖ δριμὺ βρῶμα, φαίη ἂν οἶμαι, τὸ θερμαῖνον ἰσχυρῶς ἐν τῷ γεύεσθαι, καθάπερ τὸ πέπερι, καὶ τὸ πύρεθρον, καὶ τὸ κάρδαμον, καὶ τὰ σκόροδα, καὶ τὰ κρόμμυα, καὶ πάνθ᾽ ὅσα τοιαῦτα. καί μοι δοκεῖ μόνον τοῦτο τὸ γένος τῶν χυμῶν ἰδίας ἀπορῆσαν προσηγορίας, τῇ κοινῇ συγχρήσασθαι καθ᾽ ὑπεροχήν. ὄντος γὰρ καὶ τοῦ πικροῦ χυμοῦ, καὶ τοῦ ὀξέος, δριμέων ἀμφοῖν, ἐν ᾧ
D περ ἂν σώματι σφοδρὰν εὑρίσκωμεν τὴν δριμύτητα, κἂν μήτε πικρὸν ᾖ, κἂν μήτε ὀξύ, δριμὺ προσαγορεύειν εἰθίσμεθα, καίτοι πολλῶν ὄντων κατ᾽ εἶδος τῶν τοιούτων σωμάτων. τὰ μὲν γὰρ αὐτῶν ἐστιν ἐδώδιμα, τὰ δ᾽ οὔ. τὰ μὲν οὖν ἐδώδιμα, γλυκεῖαν ἐξ ἀνάγκης ἔχει τινὰ μεμιγμένην ἀμυδρὰν ποιότητα. καὶ διὰ τοῦτο πολλοῖς ἐξ αὐτῶν ὡς ὄψῳ χρώμεθα, πολλοῖς δ᾽, ὡς ἡδύσματι μόνῳ. ὡς σιτίοις μὲν γάρ, αὐτῶν οὐδενὶ διὰ τὸ σφοδρὸν τῆς δυνάμεως. τῶν δ᾽ οὐκ ἐσθιομένων, τὰ μέν ἐστι θανάσιμα, τὰ δ᾽ ἁπλῶς φάρμακα· πάντα δ᾽ οὖν ἐπιτιθέμενα κατὰ τοῦ δέρματος ἡμῶν, ἕλκος ἐργάζεται ῥᾳδίως. ἐμφαίνει δὲ καὶ τούτων ἔνια πι-
E κρὰν ποιότητα, ὥσπερ τῶν ἐδωδίμων οὐκ ὀλίγα, γλυκεῖαν, οὐ μὴν ὀνομάζεταί γε πικρά. διότι βραχεῖα μὲν αὕτη, καὶ ἀσθενής ἐστιν ἐν αὐτοῖς, ἰσχυρὰ δέ, ἡ τῆς δριμύτητος. ἐνίων δ᾽ οὐδὲ γεύσασθαι τολμῶμεν, οἷον ἤτοι θαψίας, ἢ κανθαρίδων, ἢ τινος ἑτέρου τῶν κατὰ διάβρωσιν ἢ σῆψιν ἀναιρούντων· ἀλλ᾽ ἔστι καὶ τούτων εἰκάσαι δριμεῖαν εἶναι τὴν γεῦσιν, ἐξ ὧν ἐργάζεται περὶ τὸ σύμπαν σῶμα. πολλὰ δὲ καὶ ταῖς ὀσμαῖς εὐθύς ἐστιν ἀλλόκοτα, καὶ σαφῶς ἐνδεικνύμενα τὴν πρὸς ἀνθρωπίνην ἐναντιότητα, καθάπερ αὐτά γε ταῦτα τὰ προειρημένα, καὶ ὁ τοῦ κωνείου, καὶ ὁ τοῦ μήκωνος, ἔτι τε μανδραγόρου καὶ ὑοσκυάμου χυλός. καὶ γὰρ δὴ
F νῦν ἐθεασάμεθα ἕνα τινὸς βοτάνης χυλόν, ὃν Ἑκατόνταρχός τις ἐκ τῆς πρὸς Αἴγυπτον βαρβάρου χώρας ἐκόμισεν, οὕτως δ᾽ ἦν βαρύς, καὶ ἀηδὴς τὴν ὀσμήν, ὡς μήτε γεύεσθαι τολμᾶν, ἀλλ᾽ εἰκάζειν θανάσιμον ὑπάρχειν, ἐχρῆτο δ᾽ αὐτῷ πρὸς τὰς ἀρθριτικὰς ὀδύνας ἀκμαζούσας, καὶ σαφῶς ἐδόκει, καὶ αὐτοῖς τοῖς κάμνουσιν, ψυκτικὴν ἔχειν τὴν δύναμιν.

A ἔστι δ' ὑπόξανθος μὲν τὴν χρόαν, οὕτως δὲ βαρὺς κατὰ τὴν ὀσμὴν, ὡς τὸ κωνείου, πλὴν ὅσα βραχείας ἀρωματιζούσης τινὸς εὐωδίας παρεμβάλλει. τὸ δ' ὄνομα τῆς βοτάνης ἐξ ἧς ὁ χυλὸς γίγνεται, λυκοπέρσιον ἔφασκεν εἶναι. ἀλλὰ περὶ μὲν τῶν δηλητηρίων φαρμάκων, αὖθις εἰρήσεται. τοὺς δὲ δριμεῖς ἅπαντας χυμούς, (περὶ τούτων γὰρ ἦν ὁ λόγος) ἄκρως θερμοὺς χρὴ γινώσκειν ὄντας. ἐφεξῆς δ' αὐτῶν τοὺς πικρούς, εἶτα τούτων ἑξῆς, τοὺς γλυκεῖς. ἐν ἅπασι δ' αὐτοῖς ἱκανοῦ τοῦ πλάτους ὑπάρχοντος, ὁ μὲν μᾶλλον δριμὺς καὶ πικρὸς, καὶ γλυκὺς, μᾶλλον δηλονότι καὶ θερμός ἐστιν. ὁ δ' ἧττον, εἰς τοσοῦτον ἀπολείπεται θερμότητος, εἰς ὅσον καὶ τῆς ἀκριβοῦς κατὰ τὴν γεῦσιν ποιότητος. B ὅρος δὲ, τοῦ μὲν πικροῦ χυμοῦ, τὸ ῥύπτειν ἐστίν, τοῦ δὲ δριμέος, τὸ καίειν, τοῦ δὲ γλυκέος, τὸ τρέφειν. ὅταν γε τελέως ἔχωσι κατὰ τὴν ἑαυτῶν ἕκαστον φύσιν, τουτέστιν, ὅταν ὡς οἷόν τε μάλιστα ὑπάρχωσιν ἑτέραις ποιότησιν ἄμικτοι, οἷον ὁ πικρός. ἔστι μὲν πάντως θερμός, ἀλλ' ὁ μὲν ἄρτι γιγνόμενος, ἐκ τῆς τοῦ γλυκέος μεταβολῆς, ἧττόν τε πικρός ἐστι καὶ ἧττον θερμός. ὁ δὲ ἐπὶ πλεῖστον ἐξηλλαγμένος, ἔσχατός τε πικρός ἐστι, καὶ ἤδη πλησίον ἥκει τοῦ δριμέος, ὡς μὴ ῥύπτειν ἔτι μόνον, ἀλλὰ καὶ διαβιβρώσκειν, καὶ δάκνειν. οἷον ἀριστολοχία μὲν, καὶ ἶρις, καὶ πάναξ, αὐτὸ τοῦτο μόνον, ἀπορρύπτουσί τε καὶ καθαροποιοῦσι τὰ ἕλκη. ἀγρία δὲ σταφὶς, C οὐδὲν μὲν ἧττον τούτων δριμεῖά ἐστιν, εἰ μὴ ἄρα, καὶ μᾶλλόν ἐστι πικρά. δριμεῖα γὰρ ἤδη καὶ μάλα, καὶ θερμὴ σφοδρῶς, ὅθεν οὐδὲ τὸν ῥύπον ἀφαιρεῖ τῶν ἑλκῶν μόνον, ἀλλὰ καὶ αὐτὴν κατατήκειν πέφυκε τὴν σάρκα. τοιοῦτο δέ τι, καὶ τοῦ σώματος εἴσω λαμβανόμενοι, πεφύκασι δρᾶν οἱ πικροὶ χυμοὶ πάντες, οἷόν τι καὶ κατὰ τὰ ἕλκη. ῥύπτουσί τε γὰρ καὶ διακαθαίρουσιν αὐτά, καὶ τὴν ἐν ταῖς φλεψὶ τῶν χυμῶν παχύτητα τέμνουσιν, ὅθεν ἐπιμήνιά τε κινοῦσι, καὶ ταῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναγωγαῖς τοῦ πύου συναίρονται. καὶ ὅλως, εἴ τε παχὺ φλέγμα περιεχόμενον ἐν αὐτοῖς, εἴ τε πύον, εἴτ' ἄλλο τοιοῦτο εἴη διακαθαίρουσιν, ἐπιληψίαις D τε κατὰ τοῦτο βοηθοῦσιν, ὅσοι γε μὴ δηλητήριοι τὴν φύσιν ὑπάρχουσιν. ἐκεῖνοι γὰρ ὅλῳ τῷ γένει παρὰ φύσιν εἰσίν. οὕτω δὲ καὶ τοῖς πτύουσιν αἷμα, βλάπτειν πεφύκασιν. τῶν στυφόντων γὰρ ἐκεῖνοι, καὶ γλίσχρων, οὐ τῶν τεμνόντων, καὶ διαιρούντων δέονται. ταυτὶ μὲν οὖν ἤδη πως ἅπτεται τῆς θεραπευτικῆς μεθόδου.

Eſt autem colore ſubflauo, odore tam graui, quam cicuta, niſi quòd leuem quandam, inſtar aromatum, odoris adferat gratiam. Nomen herbæ ex qua ſuccus hic exprimitur, Lycoperſium eſſe dicebat. Verùm de facultatibus deleteriis rurſus tractabitur. Scire autem oportet, acres ſapores omnes (nam de iſtis agebatur) ſummè eſſe calidos, ac deinceps poſt illos eſſe amaros, deinde verò dulces. Quum verò in omnibus ampla ſit latitudo, is, qui magis, aut acris, aut amarus, aut dulcis eſt, magis quoque eſt calidus; qui verò minus, tantum amittit caloris, quantum abeſt ab exacta guſtus qualitate. Terminus autem, ſeu finis ſaporis amari eſt abſtergere; acris verò vrere, at dulcis nutrire, vbi videlicet in ſua quiſque natura abſolutus fuerit, hoc eſt, vbi quoad fieri poſſit, minimè alienis permixti ſint qualitatibus; velut amarus prorſum quidem eſt calidus, verùm, qui modo admodum ex dulci mutatione natus eſt, & minùs amarus eſt, & minùs calidus: at qui iam diu mutatus eſt, ſummè amarus eſt, & proximè ad acrem pertingit, vt non abſtergat ſolùm, ſed etiam exedat, & mordicet, velut ariſtolochia quidem, iris, & panax, id modo poſſunt, nempe vlcera abſtergere, atque expurgare. At vitis agreſtis, nihilo ab iſtis amarore vincitur, niſi vel ipſa quoque vincat, eſt enim iam etiam acris, idque valde, tum multùm quoque calida, vt non ſordem vlceribus auferat modo, ſed & ipſam quoque carnem colliquare poſſit. Porrò quod in vlceribus nati ſunt præſtare amari ſapores, id ipſum in corpus aſſumpti efficere valent. Abſtergunt enim expurgántque, & quæ in venis eſt, craſſitiem incidunt. Quamobrem menſes mouent, educendóque ex pectore pulmonéque puri auxiliantur; & in ſumma, ſiue craſſa in eis pituita, ſiue pus, ſiue aliud quippiam contineatur eiuſmodi, expurgant; eáque ratione, & comitiali morbo competunt, quicunque certè naturam non habent deleteriam; illi enim toto genere præter naturam ſunt. Sed & iis, qui ſanguinem ſpuunt, noxij ſunt; quippe quum iſti adſtringentia, & viſcoſa, non incidentia diuidentiáque, expoſcant. Atque hæc quidem iam quadantenus curandi attingunt methodum.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Τίνι διαφέρουσιν ἀλλήλων ὁ πικρὸς καὶ ὁ δριμὺς χυμός; ὅτι ὁ μὲν πικρὸς πρὸς τῷ θερμὸς εἶναι, καὶ ξηρός ἐστιν. ὁ δὲ δριμὺς, ὅ γε οὐκ ἀκριβὴς μεθ' ὑγρότητος δαψιλοῦς.

ΠΕρὶ δὲ τῶν πικρῶν χυμῶν τῆς δυνάμεως ἀφορισάμενοι, καὶ τμητικοὺς αὐτοὺς εἰπόντες εἶναι, καὶ λεπτυντικούς, καὶ ῥυπτικούς, καὶ δηλονότι θερμοὺς εἰς τοσοῦτον, ὡς μήπω καίειν. ἐπὶ τοὺς δριμεῖς αὖθις ἴωμεν τῷ λόγῳ, καὶ πρῶτον μὲν θερμοὺς ἀκριβῶς αὐτοὺς εἴπωμεν, εἶτα διαβρωτικούς τε καὶ καυστικούς, καὶ ἐσχαρωτικούς, καὶ συντηκτικούς. ἐπὶ μὲν τοῦ δέρματος ἐπιτιθεμένους ἅπαντας τοὺς τοιούτους εἶναι, εἴσω δὲ τοῦ σώματος λαμβανομένους, F ὅσοι μὲν ὅλαις ταῖς οὐσίαις ἐναντιώτατα διάκεινται πρός τινα ζῷα, σηπτικούς τε πάντας εἶναι καὶ δηλητηρίους ἐκείνων τῶν ζῴων. ὅσοι δὲ κατὰ τὴν ἀμετρίαν τῆς θερμότητος μόνον, εἰ μὲν παχυμερεῖς καὶ γεώδεις εἶεν, ἑλκωτικοὺς τῶν ἐντός. εἰ δὲ λεπτομερεῖς, διουρητικούς τε καὶ ἱδρωτικούς, καὶ ἁπλῶς εἰπεῖν τμητικούς τε καὶ διαφορητικούς. συναίρονται δέ τινες αὐτῶν, ταῖς τε ἐκ τοῦ θώρακος ἀναπτύσεσι,

CAPVT XIX.

E *Qua differunt amarus acríſque ſapor? quòd ſcilicet amarus præterquam quod calidus ſit, etiam eſt ſiccus; at acris, vtique qui non exactus eſt, vberem quandam humiditatem obtinet.*

POſtea verò quā de ſaporibus amaris definiuimus diximúſq; quòd incidēdi vim habeāt, & extenuandi, tū abſtergēdi, ac nimirū etiam calefaciēdi hactenus tamē vt nō vrāt; rurſū ad acres orationē vertamus. Ac primū exactè ipſos calidos dicimus, deinde exedētes, vrētes, cruſtā molientes, ac deniq; etiam colliquātes, eóſq; omnes, vel cuti impoſitos eſſe huiuſmodi; ſin intrò in corpus ſumātur, ſiquidē tota ſubſtātia animāti cuipiā ſūmè aduerſentur, putrefacientes omnes, deleterióſque eius generis animantium; ſin caloris duntaxat immoderatione, ſi craſſæ terreæque ſint eſſentiæ interiora exulcerādi pollere facultate; ſin tenuis, vrinam mouendi, ſudoréſque ciendi vim habere; in ſumma autē, incidendi & digerendi per halitū; ex quo genere quidā, tum expuitionibus ex thorace,

tum

tum mensium motibus auxiliantur. Cæterùm quando sit, quo modo, & qua methodo vtendum, non est præsentis tractationis exponere; de omnibus siquidem eiusmodi in curandi methodo disseretur. Quare de acrium saporum natura plura scribere supersedebo: sat enim fuerit distinctiones adijcere exactiores, quibus ab amaris differunt. Nec enim sola caliditate vehementi ab illis diuersi esse consueuerant, sed quòd amari omnes non modo calidam habeant facultatem, sed & siccam, cineri (vti eos quis optimè comparet) assimiles. Acres autem quicunque vtique amari non sunt, multam interim humiditatem admixtam habent, proindéque corporum eiusmodi non pauca à nobis esitantur. Porrò quòd non calidus modo, sed & siccus est omnis sapor amarus, in primis nos, maximéque discreta docet experientia, de qua sæpenumero verba supra fecimus; iis verò, qui præter experientiam per rationem etiam scrutantur, similiter accidit. Admodum itaque calefactis dulcibus, siue id ab igne, siue à calore ingenito, amarorum corporum constare generationem indicauimus, quæ protinus consistentia quoque sicciore apparent; tum verò quoniam absumatur semper ac defluat ab eis humor in vaporem à calore solutus, necesse est reliquum terrenius sicciúsque effici, quippe quum dulce præterquam quod calidum fit, siue plus, siue minus, necessariò sanè, & humidum plus, minúsve existat. Si autem corporis nostri naturæ maximè est simile, ipsa verò sit temperatè, tum calida, tum humida, id quod ex dulci superassato prouenit, perinde vt calx cinísque, calidum siccúmque necessariò efficitur; proinde abstergere quoque, comminuere, secare crassos, viscosósque humores, sicut cinis, & nitrum, est natum. Nec enim aërea est, neque tenuis, neque aquea eorum consistentia, sed, vt paulo ante dictum est, terrena, exactè à calore elaborata, ac velut superassata ipsorum essentia. In comparatione ergo adstringentium quidem, non parum iis tenuiora sunt medicamenta amara, vt ad acria verò, crassiora; quamobrem neque facilè crassos viscosósque humores pertranseunt, velut ea quæ sunt tenuiore essentia, nec incidere, perinde vt crassiora, nequeunt. In medio autem vtriusque excessus sint oportet, quæ incisura sunt, nempe vt neque promptè penetrent perinde, vt flamma; neque dum cunctantur, tardántque dissecare non possint. Verùm de istis in sequenti libro, qui ex ordine est quintus, tractabitur. Nunc autem tantùm nouisse suffecerit, quòd qualitas omnis amara calidis simul, siccísque substantiis accidit, & præter hæc tenuibus, & terrenis. Inaudiendum est autem totum, quod dicitur, coniunctim, haudquaquam vtrunque separatim legendum; nam sic pugnare cum terreno videatur tenue. Verùm non simpliciter tenue, sed vt in terrena consistentia tale esse amarum assero, velut calx, & cinis, & quicquid exactè perassatum fuerit, cinísque redditum; fortè autem verius assimiles fuligini, ac ipsius flammæ fauillæ, quippe quæ gustantibus apparet amara. Ergo crassum, & terrenum est corpus, ferrum ac lapis; fauilla autem, & cinis, tenue. Ignita itaque ferrum, lapísque, calce, cineréque sunt crassiora, multóq; magis quàm fauilla, ad hæc quoque & calidiora. Sed ferro lapidique ignito, ea quæ per erosionem interimunt medicamenta, similia sunt, quæ à corporis nimirum calore huc perducuntur;

A καὶ ταῖς τῶν καταμηνίων φοραῖς. ἀλλὰ πότε, καὶ πῶς, καὶ τίνι μεθόδῳ χρωμένων, οὐ τῆς νῦν ἐνεστώσης πραγματείας διελθεῖν. περὶ ἁπάντων γὰρ τῶν τοιούτων ἐν τῇ θεραπευτικῇ μεθόδῳ λεχθήσεται, ὥστε καὶ περὶ τῶν δριμέων χυμῶν τῆς φύσεως ἤδη παύσομαι τὰ πλείω γράφων. ἀρκεῖ δὲ μόνον ἔτι διορισμοὺς ἀκριβεστέρους αὐτοῖς προσθεῖναι, καθ' οὓς διαφέρουσι τῶν πικρῶν. οὐ μόνον γὰρ ἰσχυρᾷ θερμότητι διαλλάττειν αὐτῶν πεφύκασιν, ἀλλὰ καὶ τῷ τοὺς πικροὺς μὲν ἅπαντας ὑπάρχειν, οὐ θερμοὺς μόνον, ἀλλὰ καὶ ξηροὺς τὴν δύναμιν, ὡς ἄν τις μάλιστα σαφῶς εἰκάσειε τέφρᾳ παραπλησίως. ἐν δὲ τοῖς δριμέσιν,
B ὅσοι γε οὐκ εἰσὶ πικροὶ, πολλὴν ἐνίοτε μεμίχθαι τὴν ὑγρότητα, καὶ διὰ τοῦτό γ' ἐσθίειν ἡμᾶς οὐκ ὀλίγα τῶν τοιούτων σωμάτων. ὅτι δ' οὐδὲ θερμὸς μόνον, ἀλλὰ καὶ ξηρός ἐστι τὴν κρᾶσιν ὁ πικρὸς ἅπας χυμὸς, ἥ τε διωρισμένη πεῖρα πρώτως καὶ μάλιστα διδάσκει, περὶ ἧς ἔμπροσθεν εἴρηταί μοι πολλάκις, ἔτι τε, πρὸς τῇ πείρᾳ τῷ λόγῳ προσχρωμένοις, ὡσαύτως συμβαίνει. θερμαινομένων γοῦν ἐπὶ πλέον τῶν γλυκέων, εἴθ' ὑπὸ πυρὸς, εἴθ' ὑπὸ τῆς ἐμφύτου θερμότητος, ἡ τῶν πικρῶν σωμάτων ἐδείκνυτο γένεσις. εὐθὺς δὲ ταῦτα, καὶ τῇ συστάσει μὲν ξηρότερα φαίνεται, καὶ τῷ δαπανᾶσθαι δ' ἀεὶ, καὶ ἀπορρεῖν αὐτῶν τὸ ὑγρὸν, ἐξατμιζόμενον ὑπὸ τῆς
C θερμότητος, ἀναγκαῖόν ἐστι τὸ καταλειπόμενον ἀποδείκνυσθαι γεωδέστερόν τε καὶ ξηρότερον. αὐτὸ μὲν γὰρ τὸ γλυκὺ πρὸς τῷ θερμὸν ὑπάρχειν, ἢ μᾶλλον, ἢ ἧττον, ἐξ ἀνάγκης δήπου καὶ ὑγρὸν, ἢ μᾶλλον, ἢ ἧττόν ἐστιν. εἰ δέ γε τῇ τοῦ σώματος ἡμῶν φύσει μάλιστα οἰκεῖον ὑπάρχει, αὕτη δ' ἦν εὔκρατος, ὑγρὰ, καὶ θερμὴ, τὸ δ' οἷον ὑπεροπτηθέντος τούτου γιγνόμενον, ὁμοίως τιτάνῳ καὶ τέφρᾳ, ξηρὸν καὶ θερμὸν ἐξ ἀνάγκης ἀποτελεῖται. καὶ μέντοι καὶ δι' αὐτὸ τοῦτο, ῥύπτειν τε πέφυκε καὶ καταθραύειν, καὶ τέμνειν τοὺς γλίσχρους καὶ παχεῖς χυμοὺς, ὥσπερ ἡ τέφρα, καὶ τὸ νίτρον. οὐδὲ γὰρ ἀερώδης αὐτῶν ἐστιν, οὐδὲ λεπτομερὴς, ἀλλ' οὐδὲ ὑδατώδης ἡ σύστασις, ἀλλ' ὥσπερ καὶ
D μικρῷ πρόσθεν εἴρηται, γεωδεστέρα, κατειργασμένη ἀκριβῶς ὑπὸ τοῦ θερμοῦ, καὶ οἷον ὑπερωπτημένης αὐτῶν τῆς οὐσίας. ὡς μὲν οὖν τοῖς στύφουσι παραβάλλειν εἴη ἂν, οὐκ ὀλίγῳ τινὶ λεπτομερέστερα τὰ πικρὰ τῶν φαρμάκων, ὡς δὲ τοῖς δριμέσι, παχυμερέστερα, καὶ διὰ τοῦτ', οὔτε διεξέρχεται ῥᾳδίως τῶν γλίσχρων τε καὶ παχέων χυμῶν, ὥσπερ ὅσα λεπτομερέστερα ταῖς οὐσίαις ἐστὶν, οὔτ' ἀδυνατεῖ τέμνειν ὁμοίως τοῖς παχυμερέσιν. ἐν δὲ τῷ μέσῳ χρὴ τετάχθαι τὸ μέλλον τέμνειν, ἑκατέρας τῶν ὑπερβολῶν, ἵνα μήθ' ἑτοίμως ὡς αὐτὴ ἡ φλὸξ διεξέρχηται, μήτ' ἐν τῷ μέλλειν, καὶ βραδύνειν, ἀδυνατῇ διαιρεῖν. ἀλλὰ περὶ μὲν τούτων κἀν τῷ μετὰ ταῦτα λόγῳ ῥη-
E θήσεται τῷ πέμπτῳ. νυνὶ δ' ἀρκεῖ γινώσκειν τό γε τοσοῦτον, ὡς ἡ πικρὰ ποιότης ἅπασα, θερμαῖς τε ἅμα καὶ ξηραῖς οὐσίαις συμβέβηκε, καὶ πρὸς τούτοις γ' ἔτι λεπτομερέσι, καὶ γεώδεσιν. ἀκούειν δ' ὅλου χρὴ τοῦ λεγομένου συνάπτοντας εἰς ταὐτὸ, καὶ μὴ κατὰ μόνας ἑκάτερον ἀναγινώσκοντας. καὶ γὰρ ἂν μάχεσθαι δόξειεν οὕτω γε τῷ γεώδει τὸ λεπτομερὲς, ἀλλ' οὐχ ἁπλῶς λεπτομερὲς, ἀλλ' ὡς ἐν γεώδει συστάσει τοιοῦτον εἶναί φημι τὸ πικρὸν, οἷον τίτανος καὶ τέφρα, καὶ πᾶν ὅ τι περ ἂν ἀκριβῶς κατοπτηθῇ καὶ γένηται σποδῶδες, μᾶλλον δ' ἂν ἴσως ἀληθέστερον εἰκάζοιτο λιγνύϊ τινὶ καὶ αἰθάλῃ φλογὸς, ἣ καὶ γευομένοις πικρὰ φαίνεται. παχυμερὲς μὲν
F οὖν σῶμα γεῶδες, ὅ τε σίδηρός ἐστιν, καὶ ὁ λίθος, αἰθάλη δὲ, καὶ τέφρα, λεπτομερές. ὁ μέντοι διάπυρος, ἤτ' οὖν λίθος, ἢ σίδηρος, παχυμερέστερός ἐστι τιτάνου καὶ τέφρας, καὶ πολὺ μᾶλλον αἰθάλης, καὶ πρὸς τούτοις γε θερμότερος, ἀλλὰ διαπύρῳ μὲν σιδήρῳ καὶ λίθῳ, τὰ κατὰ διάβρωσιν ἀναιροῦντα φάρμακα προσέοικεν ὑπὸ τῆς ἐν αὐτῷ σώματι θερμασίας, εἰς τοῦτ' ἀγόμενα δηλονότι,

καθάπερ ἥ τε χαλκῖτις, καὶ τὸ μίσυ, καὶ τὸ σῶρυ, καὶ πρὸς τούτοις, A ἀρσενικὸν, ὑδράργυρος, λιθάργυρος καὶ ἕτερα μυρία. παχυμερῆ μὲν γάρ ἐστιν τὰ τοιαῦτα πάντα, καὶ δυνάμει θερμά, καὶ διὰ τοῦτ' ἐκπυρούμενα τῷ χρόνῳ κατὰ τὴν ἐν τῷ ζώῳ μεταβολὴν, ὁμοίως διαπύροις λίθοις ἢ σιδήροις, ἑλκοῖ καὶ καίει τὰ κατὰ τὴν γαστέρα, μηδ' ἀναδοθῆναι δυνάμενα διὰ τὸ βάρος. τούτων δὲ ἤδη λεπτομερέστερα, καί τοι γεώδη ταῖς συστάσεσιν ὑπάρχοντα, τίτανός τε καὶ κανθαρὶς, καὶ ὁ θαλάττιος λαγωὸς· ὧν τινα μὲν ἄχρι τῶν καθ' ἧπαρ ἀνέρχεται χωρίων, ἔνια δὲ καὶ μέχρι κύστεως, καὶ θώρακος, ἐν τῷ τοσούτῳ διαστήματι τῆς φορᾶς, τὸ πυρῶδες προσκτώμενα, ἀριστολοχία δὲ, καὶ ἶρις, B ἔτι καὶ τούτων αὐτῶν λεπτομερέστερά ἐστιν. καὶ γὰρ καὶ ὑγρᾶς οὐσίας μᾶλλον τούτων μετέχει, καὶ ἀερώδους, δῆλον δ' ἐκ τοῦ μήτε οὕτως εἶναι ξηρὰ, καὶ κραῦρα, μήτε οὕτως βαρέα, καὶ διὰ τοῦτ' ἐξέφυγε τὸ γένος τῶν δηλητηρίων. καὶ μὲν δὴ καὶ ἡ κανθαρὶς ὀλίγη ποτὲ ληφθεῖσα, καὶ οἷς προσῆκε μιχθεῖσα, πρὸς τῷ μηδὲν ἀδικεῖν τὴν κύστιν, ἔτι καὶ διακαθαίρει νεφρούς, καὶ τά γε δραστικώτερα τῶν οὐρητικῶν φαρμάκων, ἔχει τι καὶ κανθαρίδος. ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἕτερος λόγος.

ΚΕΦΑΛΑΙΟΝ Κ'. C

Ὅτι καὶ ὁ πικρὸς χυμὸς τοῖς ξηροῖς τῇ κράσει σώμασι συνυπάρχει· καὶ παντάπασιν ἄβρωτος, ἂν ἀκριβῶς τύχῃ πικρὸς ὤν.

ὍΔΕ πικρὸς χυμὸς, ὅτι τοῖς ξηροῖς τῇ κράσει σώμασι συνυπάρχει, κἀκ τοῦ δυσσηπτότατα πάντων εἶναι τὰ πικρὰ, καὶ ἥκιστα σκώληκάς τε καὶ ἄλλ' ἄττα ζῶα γεννᾶν, οἷα δὴ πέφυκεν ἐν ῥίζαις καὶ βοτάναις, καὶ καρποῖς σηπομένοις ἐγγίγνεσθαι, πάρεστι συλλογίσασθαι. μάλιστα γὰρ ὁρῶμεν ἐν τοῖς ὑγροῖς σώμασι, καὶ σκώληκας, καὶ σηπεδόνας ἐγγιγνομένας. D τὰ δ' ἀκριβῶς πικρὰ, (καλῶ δ' οὕτως ὅσα μηδεμιᾶς ἑτέρας ποιότητος αἰσθητῆς μετέσχηκεν) ἅπασι σχεδὸν τοῖς ζώοις, οὐκ ἀνθρώποις μόνοις ἐστὶν ἄβρωτα, τῷ πᾶν μὲν ζῶον, ὑγρὸν, ἢ μᾶλλον, ἢ ἧττον ὑπάρχειν, ξηρὰ δ' εἶναι τὰ πικρὰ, τέφρᾳ καὶ κονίᾳ παραπλήσια. οὔτ' οὖν τέφραν, ἢ κονίαν, ἢ αἰθάλην, ἢ τίτανον ἐσθίει ζῶον οὐδὲν, οὔτε τῶν ἀκριβῶς πικρῶν. ἀψίνθιον μὲν γὰρ, οὐ πικρὸν μόνον, ἀλλὰ καὶ στρυφνόν ἐστιν, ἡ θάλαττα δ' ἁλμυρὰ μᾶλλον ἢ πικρὰ, καὶ πλείστου μετέχουσα τοῦ ποτίμου, καθάπερ καὶ Ἀριστοτέλει πάλαι τοῦθ' ἱκανῶς ἐπιδέδεικται. E τὸ δὲ τῆς ἐν Παλαιστίνῃ Συρίᾳ λίμνης ὕδωρ, ἣν ὀνομάζουσιν, οἱ μὲν θάλασσαν νεκρὰν, οἱ δὲ λίμνην ἀσφαλτῖτιν, ἔστι μὲν καὶ γευομένοις οὐχ ἁλυκὸν μόνον, ἀλλὰ καὶ πικρόν. ἔχει δὲ καὶ τοὺς ἐξ ἑαυτοῦ γεννωμένους ἅλας, ὑποπίκρους ὁμοίως, καὶ κατὰ τὴν ὄψιν εὐθὺς, ἁπάσης θαλάσσης λευκότερόν τε, καὶ παχύτερον φαίνεται, ἅλμῃ κατακορεῖ προσεοικὸς, εἰς ἣν οὐδ' ἂν ἐμβάλῃς ἅλας ἔτι τακήσονται, πλεῖστον γὰρ τούτων μετέχει. καὶ εἴ τις εἰς αὐτὴν καταδὺς ἀνακύψειεν, ἄχνην ἁλῶν εὐθέως ἐν κύκλῳ περὶ πᾶν ἴσχει τὸ σῶμα, καὶ διὰ τοῦτό γε βαρύτερόν ἐστι τῆς ἄλλης θαλάττης τὸ ὕδωρ ἐκεῖνο τοσοῦτον, F ὅσον ἡ θάλαττα τῶν ποταμῶν, ὡς οὐδ' εἰ βούλοιο κατὰ τοῦ βάθους καθεὶς ἑαυτὸν φέρεσθαι κάτω, δυνηθείης ἂν οὕτως ἐξαίρει τε καὶ κουφίζει τὸ ὕδωρ, οὐχ ὡς φύσει κοῦφον ὑπάρχον, ὅπερ ἤδη τις εἶπε τῶν παλαιῶν σοφιστῶν, ἀλλ' ὡς Ἀριστοτέλης ἔλεγε, διὰ βαρύτητα, δίκην πηλοῦ βαστάζον τὰ κουφότερα.

velut chalcitis, mysi, sori; ad hæc arsenicum, hydrargyros, lithargyros, & alia innumera. Crassarum enim sunt partium id genus omnia, ac potestate calida, ac proinde temporis spatio accensa, per eam, quæ est in animante mutationem, non aliter quàm lapis ferrúmque ignitum ventrem, tum exulcerant, tum exurunt, quum scilicet in corpus distribui præ grauitate haud possint. Istis autem tenuiora sunt, tametsi & ipsa terrenæ sint consistentiæ, calx, cantharis, lepus marinus, quorum quædam vsque ad iecoris pertingunt regionem; quædam verò vsque ad vesicam, & pectus, in tanto interim itineris spatio igneam acquirentia naturam. Porrò aristolochia, & iris his etiam subtiliores sunt; quippe quæ tum humidæ essentiæ, tum aëriæ plus quàm illa obtinent; quod hinc constat, quod neque adeo sint sicca duráque neque adeo grauia, quapropter, & deleterium effugêre genus. Sanè verò, & cantharis, parcè interim sumpta, quibúsque oporteat admixta, præterquam quòd vesicam nihil offendat etiam renes expurgat, imò & quæ efficaciora conficiuntur ad vrinas mouendas medicamenta, nonnihil habent cantharidis. Sed de hisce aliàs habebitur sermo.

CAPVT XX.

Quod sapor amarus insit corporibus temperie siccis, & si planè amarus sit, esculentus non sit.

AT amarus sapor quòd siccis temperie corporibus insit, hinc colligere licet quòd & minimè omnium amara putrescant; miniméque vermes, aliaque nonnulla animalcula, qualia in radicibus herbísque, ac fructibus putrescentibus prouenire solent, procreent; maximè namque videmus in humidis nasci corporibus vermes, ac putrilaginem. At quæ exactè amara sunt (voco autem ita, quæ nulla sensu notabili alia participant qualitate) omnibus propè animantibus, nedum hominibus, esui inepta sunt; quippe quum animal omne plus minúsque sit humidum; amara autem, sicca, haud aliter quàm cinis, & puluis. Itaque neque cinerem, neque puluerem, neque fauillam, neq; calcem animal vllum esitat, neque eorum, quæ planè amara sunt quicquam. Absynthium enim non solū amarum est, sed & adstringit; marina verò aqua salsa potius est, quàm amara, plurimum in se habens aquæ potabilis; id quod & ab Aristotele olim satis est demonstratum. At aqua, quæ est in lacu Palæstinæ in caua Syria, quem alij quidem mare vocant mortuum, alij stagnum bituminosum, gustantibus non salsa modo, sed & amara est. Salem verò etiam habet ex sese natum, perinde amarum. Primóque statim aspectu vnà cum vniuerso mari, tum candidior, tum crassior apparet, meræ salsugini seu muriæ, similis; in quam si salem iniicias, ne liquari quidem etiam possit; plurimum enim eius in se habet, ac siquis in eam se mergat, continuò sale tenuissimo velut conspersus vndique emergere cōspicitur. Quapropter etiam aqua illa, quàm alia marina grauior est, idq; tanto pondere, quanto fluuiali marina. Itaque ne si teipsum quidem dimittere velis in profundum, deferri deorsum possis, ita attollit eleuatque aqua: non sanè quia natura leuis sit, quod quidam veterum sophistarum prodidit, sed, vt censuit Aristoteles, propter grauitatem, instar luti, quæ leuiora sunt gestans. Proinde

Proinde si hominem ligatis manibus pedibúsque in stagni illius aquam conieceris, deorsum haud feretur. Quin verò, sicut naues in mari onera plura, quàm in fluuiis citra submersionem portare valent, eundem in modum in stagno mortuo multo plura, quàm in mari; tanto enim est quæ in illo est aqua, marina grauior, quanto marina lacustri, aut fluuiali; inest enim ei salis substantia, quæ terrea grauísque est. Ipsique tibi marinam, si lubet, efficere licet, sale in aqua fluuiali colliquato, cognoscerėque quanto grauior reddatur aqua eiusmodi, quàm sit dulcis. Quin & modum iam inuenerunt, moderatam ad saliendum conficiendi salsuginem, si ouum in ea videatur natare; nam vbi etiamnum sidit, ac nondum super salsuginis superficiem innatat, aquosa magis est & dulcis; grauiter verò salsa est, vbi tanta est salis copia indita, vt amplius liquari qui postea adiicitur nequeat. Quam aquam si pendere non grauaberis, omnium aquarum comperies grauissimam. Itaque ego quandoque inanem esse diuitis cuiusdam ambitionem ostendi, qui tantam in Italiam maris mortui aquam deuexit, quæ cisternam implere posset; nam id ipsum ego expeditè præstiti, sale plurimo in aquam potabilem coniecto. Longè etiam grauiorem eiusmodi effeceris aquam, si quamplurimum salis liquatum sub Canis exortum, vbi potissimum æstus iam fuerit valentissimus, torreri siueris, haud aliter quàm in stagno bituminoso; sic enim hæc aqua perinde, vt illa grauis efficietur, ac si ligatum hominem, aut aliud animal, in ipsam conieceris, instar nauis super aquam fertur. Quin verò & amarior protinus quoque eiusmodi erit aqua, si decoquere ipsam super ignem lubeat; nam quicquid salsum plusculum excalefeceris, amarum tibi euadet. Sic & ipsius bituminosi lacus aqua in caua, calidáque regione contenta, dum Sole torretur, amara efficitur; proindéque æstate, quàm hyeme amarior est. Ac siquid eius haustum in vase cauo regionéque aprica (quemadmodum nos effecimus) æstiuo tempore deponas, continuo amarior sese reddita videbitur. Verùm hæc omnia iis, quæ paulo superius de amari generatione diximus, abundè subscribunt. Cæterùm cuius gratia oratio ad bituminosum digressa est stagnum, id nondum omne expositum est. Nullum enim in eo neque animal, neque planta inesse conspicitur; imò quum duo in eum fluuij confluant longè maximi, pisciúmque copia scatentes, maximè qui propè Ierichontem fluit, quem Iordanem nominant, nullus omnino piscium fluuiorum ostia excedit; ac si captos quis in lacum iniiciat, celeriter mori conspicit, adeo est omnibus tum hominibus, tum plantis inimicum, quod exactè amarum est, & quod squallidum pariter, & siccum est, atque natura velut fuliginem ab exassatione referens. Quanquam ne illius quidem stagni aqua exactè amara sit; quippe quum nec ipse sal (vocant autem eum Sodomenum, à circumiacentibus stagnum montibus, quos Sodoma appellitant) multique ipsum accolæ ad omnia, ad quæ nos alio vtimur sale, accommodant. Vis eius non modo plus quàm cuiusuis alterius salis exiccatoria est, sed & extenuare nata, quia scilicet plusquam alius exassatus est. Omni enim sali obscura quædam adstringendi vis inest, qua eas, quæ condiuntur carnes constringit, densátque, potissimum vbi durus, & minimè fragilis extiterit.

A καὶ κατὰ τοῦτό γέ τοι, κἂν εἰ συνδήσας ἄνθρωπου τὼ χεῖρε, καὶ τὼ πόδε, μεθείης εἰς τὸ τῆς λίμνης ἐκείνης ὕδωρ, οὐκ οἰχήσεται κάτω. καὶ μὲν δή, καὶ ὡς ἐν τῇ θαλάττῃ, πλείονα φορτία τῶν ἐν ταῖς λίμναις τε καὶ ποταμοῖς, βαστάζει τὰ πλοῖα μὴ βυθιζόμενα, κατὰ τὸν αὐτὸν τρόπον ἐν τῇ νεκρᾷ λίμνῃ πολλαπλάσια τῶν ἐν τῇ θαλάττῃ. τοσούτῳ γάρ ἐστι τὸ κατ' αὐτὴν ὕδωρ τοῦ θαλαττίου βαρύτερον, ὅσον τὸ θαλάττιον τοῦ λιμναίου τε καὶ ποταμίου. πρόσεστι γὰρ ἡ τῶν ἁλῶν οὐσία, γεώδης τε καὶ βαρεῖα. καί σοι καὶ αὐτῷ γενῆσαι θάλατταν ἔξεστιν, ἅλας ὕδατι ποτίμῳ διατήξαντι, καὶ γνῶναι πόσῳ βαρύτερον ἀποτελεῖται τὸ τοιοῦτο ὕδωρ τοῦ γλυκέος. ἀλλὰ καὶ μέτρον ἤδη τι πεποίηνται τοῦ τὴν ἅλμην εὔκρατον ὑπάρχειν εἰς τὰς ταριχείας, εἰ φαίνοιτο κατ' αὐτὴν
B ἐπιπλέον ᾠόν, ὡς, ἔτι γε καταφερομένου καὶ μήπω περὶ τὴν ἐπιφάνειαν τῆς ἅλμης ἐποχουμένου, μᾶλλον ὑδατώδης ἐστὶ καὶ γλυκεῖα. ἀκριβῶς δ' ἁλμυρὰ γίνεται, τοσούτων ἐμβληθέντων ἁλῶν, ὡς μηκέτ' ἐγχωρεῖν ἐπιτήκεσθαι τοῖς ἐπεμβαλλομένοις. καὶ τοῦτό σοι στήσαντι τὸ ὕδωρ, ἁπάντων ὑδάτων εὑρεθήσεται βαρύτερον. ὡς ἔγωγέ ποτε μάταιον ἀπέδειξα τοῦ πλουσίου τὴν φιλοτιμίαν ἐκ τῆς νεκρᾶς θαλάττης, τοσοῦτο ὕδωρ κομίσαντος εἰς Ἰταλίαν, ὡς πληρῶσαι δεξαμενήν. ἑτοίμως γὰρ ἐποίησα
C ταὐτό, ἅλας παμπόλλους ἐμβαλὼν ὕδατι ποτίμῳ. μᾶλλον δ' ἂν ἔτι βαρύτερον ἐργάσαιο τὸ τοιοῦτο ὕδωρ, εἰ τήξας τοὺς ἅλας ὡς πλείστους, ὑπὸ κυνὸς ἐπιτολήν, ἡνίκα μάλιστα θάλπος ἐστὶ σφοδρότατον, ἐάσαις ἐξοπτηθῆναι, παραπλησίως τῷ κατὰ τὴν ἀσφαλτῖτιν λίμνην. οὕτω γὰρ ἔσται, καὶ τοῦτο βαρὺ τὸ ὕδωρ, ὡς ἐκεῖνο. καὶ εἰ ἐνδήσειας, ἢ ἄνθρωπον, ἢ ὁτιοῦν ἄλλο ἐμβάλλοις ζῶον εἰς αὐτό, παραπλησίως τοῖς πλοίοις ἐποχήσεται τῷ ὕδατι. καὶ μὲν δὴ καὶ πικρότερον εὐθὺς ἔσται τὸ τοιοῦτο ὕδωρ, ὡς εἰ καὶ καθέψειν ὑπὸ πυρὸς αὐτὸ βουληθείης· ὅ τι γὰρ ἂν ἁλυκὸν ἐπὶ πλέον ἐκθερμήνῃς, ἔσται σοι πι-
D κρόν. οὕτω γοῦν καὶ αὐτὸ τὸ τῆς ἀσφαλτίτιδος λίμνης ὕδωρ, ἐν κοίλῳ καὶ θερμῷ χωρίῳ περιεχόμενον, ἐξοπτώμενόν θ' ὑπὸ τοῦ ἡλίου, γίγνεται πικρόν. διά τοῦτό γέ τοι, καὶ τοῦ θέρους μᾶλλον, ἢ χειμῶνος, ἐστὶ πικρόν. καὶ εἰ ἀρυσάμενος αὐτοῦ τι, καταθεὶς ἐν ἀγγείῳ κοίλῳ, καὶ προσηλίῳ χωρίῳ, καθάπερ καὶ ἡμεῖς ἐποιήσαμεν ὥρᾳ θέρους, αὐτίκα μάλα πικρότερον αὐτοῦ φαίνεταί σοι γεγονός. ἀλλὰ ταῦτα μὲν ἅπαντα τοῖς ὀλίγον ἔμπροσθεν ὑπὲρ τῆς τοῦ πικροῦ γενέσεως εἰρημένοις ἱκανῶς μαρτυρεῖ. οὗ δ' ἕνεκεν ὁ λόγος ἐπὶ τὴν ἀσφαλτῖτιν ἐξετράπετο λίμνην, οὔπω μοι πᾶν λέλεκται. φαίνεται γὰρ ἐν ἐκείνῳ τῷ ὕδατι, μήτε ζῶον
E ἐγγινόμενόν τι, μήτε φυτόν, ἀλλὰ καὶ τῶν εἰς αὐτὴν ἐμβαλλόντων ποταμῶν ἀμφοτέρων, μεγίστους καὶ πλείστους ἐχόντων ἰχθύας, καὶ μάλιστα τοῦ πλησίον Ἱεριχοῦντος, ὃν Ἰορδάνην ὀνομάζουσιν, οὐδ' εἷς τῶν ἰχθύων ὑπερβαίνει τὰ στόματα τῶν ποταμῶν. κἂν εἰ συλλαβὼν δέ τις αὐτοὺς ἐμβάλοι τῇ λίμνῃ, διαφθειρομένους ὄψεται ταχέως. οὕτως τ' ἀκριβῶς πικρὸν ἅπασίν ἐστι, καὶ ζώοις καὶ φυτοῖς πολέμιον, αὐχμῶδές τε καὶ ξηρόν, καὶ τὴν φύσιν οἷόν περ αἴθαλος ὑπὸ τῆς κατοπτήσεως γεγενημένον. καίτοι γε οὐδὲ τὸ τῆς λίμνης ἐκείνης ὕδωρ ἀκριβῶς ἐστι πικρόν, ὅτι μηδ' οἱ ἅλες αὐτοῦ. προσαγορεύουσι δ' αὐτοὺς Σοδδομηνοὺς ἀπὸ τῶν περιεχόντων τὴν λίμνην ὀρῶν, ἃ
F καλεῖται Σόδδομα, καὶ χρῶνται πολλοὶ τῶν περιοίκων, εἰς ὅσα περ ἡμεῖς τοῖς ἄλλοις ἁλσί. δύναμις δ' αὐτῶν, οὐ ξηραντικὴ μόνον ἐπὶ μᾶλλόν ἐστι τῶν ἄλλων ἁλῶν, ἀλλὰ καὶ λεπτυντική, διότι μᾶλλον τῶν ἄλλων ἐξώπτηνται. πᾶσι μὲν γὰρ τοῖς ἁλσίν, ὑπάρχει τι καὶ στυπτικὸν ἀμυδρόν, ᾧ δὴ καὶ σφίγγουσι, καὶ πιλοῦσι τὰ ταριχευόμενα τῶν κρεῶν, καὶ μάλισθ' ὅταν ὦσι χόνδροι τε καὶ δύσθραυστοι.

ποιοῦτοι δ' εἰσὶν ἀκριβέστατοι μὲν οἱ πλεῖστοι τῶν ὀρυκτῶν, ἧττον δ' αὐτῶν, οἵ τ' ἐκ τῆς θαλάττης καὶ πολλαχόθι τῆς γῆς ἐξ ὑδάτων ἐλαφρῶν ἀναξηρανθέντων γινόμενοι. τρίτοι δ' ἐπὶ τούτοις ὑπάρχουσιν οἱ ὀρυκτοὶ, ῥύπτειν μᾶλλον, ἢ στύφειν τε καὶ συνάγειν πεφυκότες. ἑξῆς δὲ τούτων εἰσὶ κατὰ τὴν δύναμιν οἱ Σοδομηνοὶ σκληροὶ μὲν ὄντες ὁμοίως τοῖς θαλαττίοις, ἀλλὰ διὰ τὴν ἀναμεμιγμένην αὐτοῖς πικρότητα ῥυπτικώτεροί τε καὶ διαφορητικώτεροι τῶν ἐκ τῆς θαλάττης ὑπάρχοντες. οὕτω δὲ δὴ καὶ τὸ νίτρον αὐτὸ, καὶ ἀφρὸς αὐτοῦ, καὶ τὸ συνθέτῳ προσηγορίᾳ καλούμενον ἀφρόνιτρον, ἔτι μᾶλλον τῶν ἄλλων πέφυκε ῥύπτειν, ὡς ἂν ἥκιστα μὲν στύφοντα, πικρὰ δ' ἀκριβῶς ὑπάρχοντα. A B

A Talis est exactissimus quidem fossilis ferè omnis; minus autem illo marinus, tum qui multis in locis aquis leuiter salsis arescentibus prouenit, tertium locum obtinet, abstergere magis, quàm adstringere contraherẽque potens. proximas his vires habet Sodomiticus, æquè atque marinus durus; cæterùm ob admixtum amarorem facultatem valentiùs abstergentem, ac digerentem, quàm marinus possidet. Sic & nitrum ipsum, & ipsius spuma, & quod composita appellatione vocatur aphronitrum, cæteris magis extergere possunt, nempe quia minimè adstringunt, & exactè sunt amara. B

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ὅτι καὶ ὁ ἁλυκὸς χυμὸς θερμός ἐστι καὶ γεώδης, πλησιάζων πως κατὰ τοῦτο τῷ πικρῷ χυμῷ.

Πλησίον μὲν γάρ ἐστιν ὁ ἁλυκὸς χυμὸς τοῦ πικροῦ, καὶ γὰρ γεώδεις ἀμφότεροι, καὶ θερμοί. διαφέρουσι δ' ὅμως οὐκ ἀσαφεῖ διαφορᾷ, ἐν τῷ λεπτύνεσθαί τε καὶ κατειργάσθαι μᾶλλον ὑπὸ θερμότητος ξηρᾶς τὸν πικρόν. οὕτω δὲ δὴ καὶ αὐτῶν τῶν ἁλῶν, ὅσοι σκληρότεροι, καὶ πυκνότεροι καὶ γεωδέστεροι, τοιοῦτοι δ' ὑπάρχουσιν ὀλίγου δεῖν οἱ ὀρυκτοὶ πάντες, ἧττον θερμοί τ' εἰσὶ καὶ λεπτομερεῖς, ὅσοι δ' εὔθρυπτοι, καὶ χαῦνοι, λεπτομερέστεροί τε ἅμα καὶ θερμότεροι τὴν δύναμίν εἰσι. καί τινες ἐξ αὐτῶν ὑπόπικροι μεταξύ πως ὑπάρχοντες, ἁλῶν τε τῶν σκληρῶν καὶ ἀφρονίτρου. ἔστι μὲν οὖν δὴ καὶ αὐτῶν τῶν ἀφρονίτρων ἔνια σκληρὰ καὶ παχυμερῆ, καὶ οὐδὲ τήκεται ῥᾳδίως ἐφ' ὕδατος. ἀλλ' οὐ περὶ τῶν μοχθηρῶν ὁ λόγος μοι νῦν, ἀλλ' ὅσα κατὰ τοὔνομα πέφυκεν ἀφρώδη τὴν οὐσίαν, οἷός περ ἐστὶ, καὶ αὐτὸς ὁ ἀφρὸς τοῦ νίτρου. λεπτομερέστατος γὰρ οὗτος ἁπάντων τῶν εἰρημένων, ὥσπερ γε καὶ τὸ τῆς Ἀσίας πέτρας ἄνθος ἱκανῶς γὰρ καὶ τοῦτο λεπτομερὲς, ἀλλ' ἧττον θερμὸν ἀφρονίτρου. διὸ καὶ τὰς ὑπεραυξανομένας σάρκας ἀλυπότερον ἀποτήκει. δάκνει δ' αὐτὰς ἤδη τὸ ἄνθος τοῦ νίτρου, δάκνει δὲ καὶ τὸ ἀφρόνιτρον, οὐδὲν δὲ ἧττον, καὶ τὸ νίτρον αὐτὸ, καί τοί γε ἧττον ἐκείνων ὑπάρχον θερμόν. ἀλλ' εἴρηται καὶ πρόσθεν, ὡς ἡ παχυμερὴς οὐσία διαβιβρώσκει μᾶλλον, ὅταν γε μετέχῃ δηλονότι θερμότητός τινος. οὐδὲν γὰρ αὐτῆς μόριον, ἀλύπως καὶ ταχέως διεξέρχεται, καθάπερ τῆς λεπτομεροῦς, ἀλλ' ἰσχόμενον, καὶ μένον ἀεὶ, καὶ βραδῦνον, ἐν χρόνῳ τε πλέονι προσεδρεῦον ἑνὶ τόπῳ τοῦ σώματος ἡμῶν, ἀνιαρὸν εἰκότως γίγνεται, δίκην σκόλοπος ἐμπεπηγότος τῇ σαρκί. C D E

CAPVT XXI.

Quòd sapor salsus calidus sit, & terrestris, eáque ratione quadantenus sapori amaro similis.

Etenim propinquus est sapor salsus amaro, quippe terreni ambo sunt, & calidi non obscura tamen diuersitate diffidẽt, quòd videlicet amarus à calore arido plus sit extenuatus, & elaboratus. Sic in genere salis, qui durior est, & densior, C terrestriorque, qualis ferè est vniuersus fossilis, minùs calidus est, subtiliúmque minus partium; qui verò rumpi facilis, laxúsque, tenuior simul, & calidior est; in quo genere est, & qui subamarus est, mediam quodammodo naturam inter salem durum, & aphronitrũ obtinens. Sanè & inter aphronitra quædam sunt duræ crassæque essentiæ, quæque nec facilè liquari in aqua queant. Verùm de prauis non est in hoc loco nobis sermo, sed de iis, quæ iuxta nominis rationem essentiam habẽt spumosam, qualis vtique est, & ipsa nitri spuma. Est enim ea omnium modo dictorum tenuissima, ve- D lut & Asiæ petræ flos; multum enim & hic quoque tenuis est, sed aphronitro minus calidus. Quare vtique carnium excrescentiam minore cruciatu colliquat; mordicat autem eas nitri flos; mordicat verò & aphronitrum; nec secius quoque & ipsum nitrum, tametsi illis sit minùs calidum. Verùm supra monuimus, essentiam crassam plus erodere, vbi nimirum calorem quendam nacta fuerit. Nulla enim eius pars sine cruciatu celeritérque transit, sicut eius, quæ subtilis est, verùm retenta, & immorans, ac tardans, plusculóque tempore vni corporis nostri particulæ inhærens, haud immerito E molesta redditur, instar pali carni infixi.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Ὅτι τὰ ἀτμώδη πάντα θερμά ἐστι.

Ἐπεὶ δὲ περὶ τῶν χυμῶν ἁπάντων εἴρηται τὰ εἰκότα, λείποιτ' ἂν ἔτι καὶ περὶ τῶν ἀτμῶν εἰπεῖν. ἐπὶ τούτῳ γὰρ τῷ γένει τῶν αἰσθητικῶν τὴν τῆς ὀσμῆς αἴσθησιν ἡ φύσις ἐδημιούργησεν. οἱ μὲν δὴ πλεῖστοι, τοῖς χυμοῖς αὐτοῖς ὁμοίως ἡμᾶς διατιθέασιν. τά γε γὰρ ὀξέα πάντα, καὶ πρὸ τούτων ὄξος αὐτὸ, τὴν ὄσφρησίν τε καὶ τὴν γεῦσιν ὡσαύτως κινεῖ. F τά τε δριμέα καθάπερ σκόροδα, καὶ κρόμμυα, καὶ ταῦτ' οὐδὲν ἧττον τῆς γεύσεως ἀνιᾷ τε καὶ δάκνει τὴν ὄσφρησιν. οὕτω δὲ καὶ καθ' ἕκαστον τῶν ἄλλων ὁμοία σχεδὸν ἡ τῆς ὀσμῆς αἴσθησίς ἐστι τῇ τῆς γεύσεως, ὥστε ἐνίων σωμάτων, οὐδὲ γευσάμενοί ποτε καθάπερ τῆς κόπρου, γιγνώσκομεν τὴν ποιότητα, καὶ κατὰ τοῦτό γε,

CAPVT XXII.

Quòd odorata omnia calida.

Cæterùm vbi de saporibus omnibus, quæ cõuenire visa sunt, exposuimus, reliquum fuerit de vaporibus disserere; quippe quum huius sensibilium generis gratia, odoris sensum natura crearit. Sanè plerique similiter saporibus nos afficiunt. Siquidem acida omnia, & ante ista ipsum adeo F acetum similiter odoratum, gustúmque mouet; tum acria quoque, velut allia, cæpæ, & ipsa non minùs quàm gustum, odoratum quoque offendunt, mordicántque. Sic in aliis sigillatim similis propemodum est odoris sensus, sensui gustus. Itaque quorundam corporum, etiam non gustantes, qualitatem cognoscimus, veluti fimi; proinde

omnino

omnino ne gustare quidẽ aggredimur, quia scilicet admodũ fides habeatur odoratui. Quin etiam si qua boni odoris edulia, putrilagine corrupta, odore nos suo offendũt, protinus ea abiicimus, haud gustare dignati. Fereq; in omnibus mutuo cõsentiunt odoratus, & gustus; attamen in odore suauissimis, velut rosa, plurimũ differunt dissidéntq; tantum enim abest, vt gustantibus suauia sint, vt amaritudinẽ non paucam præ se ferant, tametsi amarũ nunquã odoratum est, neque vt medicamentũ nobis suaue, neq; vt cibus: Quænã igitur huius sit dissonantiæ causa, licet Theophrastus quæsierit, tamen præstiterit, & quę nos de ea cognoscimus exponere. Amari saporis generationẽ ex dulcibus à calore extenuatis prouenire iam clarè docuimus; apparuítq; calidiora simul, & tenuiora tẽperie esse amara, quã dulcia. Sed & odoris sensus in ipsis cerebri est ventriculis, velut & id quoq; alibi à nobis demonstratũ est; & odorabilium vaporosa est substantia. Ea enim quæ à corporibus defluunt, ambienti permixta, ac deinde per narium inspirationẽ in cerebrũ delata, sensum mouent. Recta ergo ratione, quæcunq; odorata, eadem & calida sunt; quippe quum vaporum copia à calore proueniat; non tamen protinus, quicquid odoratũ est, suaue esse colligitur; siquidẽ non omne id spiritui in cerebri ventriculis contento familiare est. Etenim quẽadmodũ qui linguæ obueniunt sapores, ij qui familiarissimi, iidem & dulces erant; qui verò non familiares, cõplures habebãt differentias; ita odores, qui familiares sunt cerebri spiritui, iidẽ & grati sunt, & suaues; qui verò non familiares, multis differentiis à sese mutuò dissidẽt; cæterũ non omnibus imposita sunt nomina, perinde vt saporibus. Dicimus enim quippiam acidũ acrémque habere odorẽ, sed austerũ acerbũ, salsum, aut amarũ haud etiam dicimus. Verùm in hasce duas appellationes odorabilium pleraque reducimus, beneolentia, & graueolentia appellantes; beneolentia quidẽ proportione quadã ad ea quæ linguæ sunt dulcia; graueolentia verò, ad ea quæ non dulcia; vno enim nomine totũ hoc in saporibus genus appellari nequit. Videtur autẽ à corporibus non odoratis, aut omnino paucũ defluere, aut quod pro mole sua sit immoderatũ, sicut in iis, quæ exactè tum salsa, tum acerba sunt. Exactè autẽ quum tale, aut tale quid dicimus, syncerũ & quãtũ fieri possit, alterius qualitatis expers dicimus. Siquidẽ crassa vtrisq; essentia est, & præter hoc acerborũ etiam frigida; quare verisimile est, quod ab iis defluit, paucum esse, & crassum, & mole sua terreum, ac proinde per inspirationem in cerebrum non incidere.

CAPVT XXIII.

Quòd neque ex odore, neque ex colore certum quid definiri de medicamentorum temperie possit.

ITaque haud tutum est ex odore de sensibilium temperie coniicere perinde, vt ex gustu. Nam quæ odore carent, crassam quidẽ essentiam obtinent; cæterùm quæ sit eorum in calore frigoreque natura, id verò nondum constat. At quæ odorata sunt tenuia vtique sunt quadantenus, & calida; verùm eius tenuitatis caliditatísque quantitas haud etiam indicatur. Porrò maxima potissimáq; causa, cur in odoratis nihil euidens de temperie indicari queat, inæqualitas est substantiæ, de qua sæpenumero verba mihi iam habita sunt, vbi demonstrabam corpora pleraque dissimilari esse subsistentia.

A τὴν ἀρχήν, οὐδ' ἐπιχειροῦμεν γεύεσθαι, τῷ πάνυ σφόδρα πιστεύειν τῇ ὀσφρήσει. καὶ μέντοι καὶ τῶν εὐωδῶν ἐδεσμάτων, ὅσα διασαπέντα, κατὰ τὴν ὀσμὴν ἡμᾶς ἀνιᾷ, καὶ ταῦτ' εὐθέως ἀπορρίπτομεν, οὐδ' ἐπιχειροῦντες γεύεσθαι, καὶ σχεδὸν ἐπὶ πολὺ τῶν ὁμολογοῦσιν ἀλλήλαις, ὄσφρησίς τε καὶ γεῦσις. ἐπὶ μέντοι τῶν ἡδίστων, οἷά περ καὶ τὰ ῥόδα διαφέρονταί τε, καὶ πάμπολυ διεστήκασιν. οὐ μόνον γὰρ οὐχ ἡδέα γευομένοις ἐστίν, ἀλλὰ καὶ πικρότητος οὐκ ὀλίγην ἐμφαίνει. καίτοι τό γε πικρόν, οὐδέποτ' ἦν εὐῶδες, οὐδ' ὡς φάρμακον, οὐδ' ὡς τροφὴ ἡμῖν ἡδύ τις οὖν ἡ τῆς διαφωνίας ταύτης αἰτία, διὸ καὶ Θεόφραστος μὲν ἐζήτησεν, ἄμει-
B νον δ' ἴσως καὶ ἡμᾶς ὅσα γιγνώσκομεν ὑπὲρ αὐτῆς εἰπεῖν. ἡ τοῦ πικροῦ γένεσις χυμοῦ, ἐκ τῶν γλυκέων ὑπὸ θερμότητος λεπτυνομένων ἐφαίνετο συνίστασθαι, καὶ εἶναι δηλονότι θερμότερά τε καὶ λεπτομερέστερα τῇ κράσει τὰ πικρὰ τῶν γλυκέων, ἀλλὰ καὶ ἡ τῆς ὀσμῆς αἴσθησις, ἔν τε ταῖς κοιλίαις αὐταῖς γίγνεται τοῦ ἐγκεφάλου, καθότι καὶ δέδεικταί μοι περὶ τούτων ἑτέρωθι, καὶ οὐσία τῶν ὀσφρητῶν ἀτμώδης ἐστί. τὰ γὰρ ἀπορρέοντα τῶν σωμάτων, ἀναμιγνύμενα τῷ περιέχοντι, κἄπειτα διὰ τῆς κατὰ τὰς ῥῖνας εἰσπνοῆς εἰς τὸν ἐγκέφαλον ἐνεχθέντα, κινεῖ τὴν αἴσθησιν. εὐλόγως οὖν ὅσα μὲν ὀσμώδη, πάντα καὶ θερμά. τὸ γὰρ τῶν ἀτμῶν πλῆθος ἐπὶ θερ-
C μότητι. οὐ μὴν εὐθὺς καὶ πᾶν ὀσμῶδες ἡδύ, διότι μηδὲ οἰκεῖον ἐστιν ἅπαν τοῦ κατὰ τὰς κοιλίας τοῦ ἐγκεφάλου πνεύματος. ὥσπερ γὰρ τῶν προσπιπτόντων τῇ γλώττῃ χυμῶν, οἱ μὲν οἰκειότατοι γλυκεῖς ἦσαν, οἱ δὲ οὐκ οἰκεῖοι, πολλὰς ἐκέκτηντο διαφοράς, οὕτω καὶ τῶν ἀτμῶν, οἱ μὲν οἰκεῖοι τῷ κατὰ τὸν ἐγκέφαλον πνεύματι, φίλιοί τ' εἰσὶ καὶ ἡδεῖς, οἱ δὲ οὐκ οἰκεῖοι, διαφέρουσι μὲν ἀλλήλων οὐκ ὀλίγαις διαφοραῖς. ὀνόματα δὲ αὐταῖς ἁπάσαις οὐ κεῖται καθάπερ ἐπὶ τῶν χυμῶν. ὀξεῖαν μὲν γάρ τινα, καὶ δριμεῖαν ὀσμὴν ἔχειν τόδε τι φαμέν, αὐστηρὰν δέ, ἢ στρυφνήν, ἢ ἁλυκήν, ἢ πικράν, οὐκέτι λέγομεν, ἀλλ' εἰς δύο ταύτας ἀνάγομεν
D προσηγορίας τὰ πλεῖστα τῶν ὀσφρητῶν, εὐώδη τε καὶ δυσώδη προσαγορεύοντες. εὐώδη μὲν, ἀνάλογον τοῖς πρὸς τὴν γλῶτταν γλυκέσι. δυσώδη δέ, τοῖς μὴ γλυκέσιν. ἀνώνυμον γὰρ, ὅσον ἐπί γε τῶν χυμῶν ἐστιν, ἑνὶ προσρήματι τὸ τούτων γένος. ἔοικε δὲ τῶν οὐκ ὀσμωδῶν σωμάτων, ἤτοι παντελῶς ὀλίγον ἀπορρεῖν, ἢ τοῖς ὄγκοις ἀσύμμετρον, ὡς ἐπὶ τῶν ἀκριβῶς ἁλυκῶν καὶ στρυφνῶν. ἀκριβῶς δ' ὅταν εἴπω τι τοῖον, ἢ τοῖον ὑπάρχειν, εἰλικρινὲς, καὶ ἄμικτον αὐτό, καθόσον οἷόν τε, ποιότητος ἑτέρας εἶναι φημι. παχυμερής τε γὰρ ἀμφοῖν ἡ οὐσία, καὶ πρὸς τούτῳ ψυχρὰ τῶν στρυφνῶν. ὥστ' εἰκὸς, καὶ τὸ ἀπορρέον αὐτῶν ὀλίγον τε εἶναι καὶ παχύ, καὶ οἷον
E γεῶδες τοῖς ὄγκοις, καὶ διὰ τοῦτο μηδὲ ἐμπίπτειν ἐν ταῖς ἀναπνοαῖς εἰς τὸν ἐγκέφαλον.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ὅτι οὔτε ἐξ ὀσμῆς, οὔτε ἐκ χροιᾶς ἀσφαλές ἐστι διορίσασθαι περὶ τῆς κράσεως τῶν φαρμάκων.

ΟΘεν οὐδ' ἀσφαλές, ἐξ ὀσμῆς τεκμαίρεσθαι περὶ τῆς κράσεως τῶν αἰσθητῶν, ὥσπερ ἐκ τῆς γεύσεως. τὰ μὲν γὰρ ἄοσμα, παχυμερῆ ταῖς οὐσίαις, ἀλλ' οὔπω δῆλον ὅπως ἔχει
F θερμότητος καὶ ψύξεως. τὰ δὲ ὀσμώδη, λεπτομερῆ τέ πώς ἐστι καὶ θερμά. τὸ μέντοι ποσὸν τῆς λεπτομερείας, ἢ τῆς θερμότητος, οὐκέτ' ἐνδείκνυται. τὸ δὲ δὴ μέγιστον ἅπασι τοῖς ὀσμώδεσιν, εἰς τὸ μηδὲν ἐνδείκνυσθαι σαφὲς ὑπὲρ τῆς κράσεως, ἡ ἀνωμαλία τῆς οὐσίας ἐστίν, ὑπὲρ ἧς εἴρηταί μοι πολλάκις ἤδη. δεικνύοντι τὰ πλεῖστα τῶν σωμάτων ἀνομοιομερῆ ταῖς ὑποστάσεσιν ὑπάρχοντα.

λεχθήσεται δὲ καὶ νῦν ἕνεκα σαφηνείας ἕν τι παράδειγμα. τὸ ῥόδον τοίνυν, οὐ ταύτῃ μόνον ἀνομοιομερές ἐστιν, ᾗ τὸ μέν τι περιέχον ἐν αὐτῷ, τὸ δέ τι περιεχόμενόν ἐστι, περιέχον μὲν, τὸ σκληρὸν καὶ γεῶδες. ἐν τούτῳ δὲ περιεχόμενος ὑγρός τις χυλός. ἀλλ᾽ ὅτι καὶ αὐτοῦ τοῦ χυλοῦ τρία περιττώματα, καθότι καὶ πρόσθεν ἐδείκνυμεν, ἀναγκαῖον ὑπάρχειν, ἓν μὲν γεῶδες, οἷόνπερ ἐν τοῖς οἴνοις ἡ τρύξ, ἕτερον δὲ ἀερῶδες, ἀνάλογον δὲ καὶ τοῦτο, τῷ κατὰ τοὺς οἴνους ἄνθει, τὸ τρίτον ὑδατῶδες, ὅπερ ἐν ἅπασι τὴν ζέσιν αὐτὴν ἔφαμεν ἐργάζεσθαι, καὶ τὴν φθορὰν ἐπειδὰν μὲν μὴ κρατηθῇ, μηδ᾽ ἀλλοιωθῇ τελέως ἐν τῷ χρόνῳ τῆς ζέσεως. ἕνεκά γε τοιούτου τοῦ περιττώματος, ἔνιοι μὲν ἑψήσαντες ἀποτίθενται τοὺς χυλούς, ἔνιοι δ᾽ ἐν ἡλίῳ σφοδρῷ προξηράναντες. ἕνεκα μὲν γὰρ τοῦ γεώδους τε καὶ ἀερώδους, οὐ πάνυ τι δεδίασι φθαρῆναι τοὺς χυλούς, ὁρῶντες αὐτὰ καὶ διακρινόμενα, καὶ δύσσηπτα ταῖς οὐσίαις ὑπάρχοντα, διότι καὶ ξηρὰ ταῖς κράσεσιν. ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς εἴρηται πρόσθεν. ἐν δὲ τῇ τοῦ ῥόδου φύσει, τὸ μέν ἐστι στρυφνὸν γευομένοις, ὅπερ ἀναγκαῖον εἶναι γεῶδές τε, καὶ παχυμερές, καὶ ψυχρόν, ἕτερον δὲ πικρόν, ὃ δὴ λεπτομερές τ᾽ ἐστὶ καὶ θερμόν, καὶ τρίτον ἐπὶ τούτοις, τὸ ὑδατῶδες, ψυχρὸν μὲν ἐξ ἀνάγκης, ἀλλ᾽ ἐν τῇ κατὰ τὸ λεπτομερές τε καὶ παχυμερὲς ἀντιθέσει, μέσον πως ὑπάρχον τῶν ἄκρων, οὗ τῇ μίξει, καὶ τὸ στρυφνόν, καὶ τὸ πικρόν, οὐκ ἔστιν ἄκρως τοιοῦτον ἑκάτερον οἷόνπερ λέγεται. πάσας γὰρ ἐκλύει τὰς ποιότητας ἡ τοῦ ὑδατώδους ἐπιμιξία. τοῦτ᾽ οὖν αὐτὸ τὸ ὑδατῶδες, ἔοικέ πως ἤδη τε καὶ κατειργάσθαι καὶ λελεπτύνθαι, καὶ τεθερμάνθαι, καὶ διὰ τοῦτο ῥᾳδίως εἰς ἀτμοὺς ἄγεσθαι, καὶ ταύτῃ, τὸ ῥόδον ὀσμῶδές τε εἶναι, καὶ ξηραίνεσθαι τάχιστα. καὶ ταῦθ᾽ ὑπὲρ αὐτοῦ πάντα, διὰ μὲν τῆς γεύσεως ἔνεστι τεκμήρασθαι. διὰ δὲ τῆς ὀσμῆς, οὐχ οἷόν τε τῷ μήθ᾽ ὁμοίως ἀτμίζειν ἅπαντ᾽ αὐτοῦ τὰ μόρια, μήθ᾽ ὁμοίως κινεῖν τὴν αἴσθησιν. ἐπὶ δὲ τῆς γεύσεως ἅπανθ᾽ ὁμοίως τὰ μόρια τῶν γευστῶν σωμάτων προσπίπτει τῇ γλώττῃ, καὶ κινεῖ τὴν αἴσθησιν ἕκαστον αὐτῶν κατὰ τὴν ἑαυτοῦ φύσιν, ὥστ᾽ οὐκ ἀσφαλές, ὡς εἴρηται, περὶ τῆς τῶν φαρμάκων δυνάμεως ἁπάσης, ἐξ ὀσμῆς τεκμαίρεσθαι. ταυτὶ γὰρ μόνα διαγνῶναι δυνατόν, ὅσα περ εἴρηται νῦν. ἔτι δὲ μᾶλλον οὐδ᾽ ἐκ τῶν χρωμάτων ἔνεστι στοχάσασθαί τι περὶ τῆς τῶν φαρμάκων δυνάμεως. καθ᾽ ἑκάστην γὰρ χρόαν, εὑρίσκεται καὶ θερμά, καὶ ψυχρά, καὶ ξηρά, καὶ ὑγρά, καθότι κἀν τοῖς πρώτοις ὑπομνήμασι τῆσδε τῆς πραγματείας ἀποδέδεικταί μοι. καθ᾽ ἕκαστον μέν τοι γένος, ἢ σπέρματος, ἢ ῥίζης, ἢ χυλοῦ, δυνατόν ἐστι κἀκ τῆς χρόας ἔνδειξίν τινα λαβεῖν τῆς κράσεως, οἷον αὐτίκα καὶ κρόμμυον, καὶ σκίλλα, καὶ οἶνος, εἰς ὅσον ἂν ᾖ λευκότερα, καὶ ἧττόν ἐστι θερμά. τὰ δ᾽ ὑπόξανθά τε καὶ κιρρά, θερμότερα, καὶ πυροὶ δέ, καὶ κέγχροι, καὶ ὦχροι, καὶ φάσηλοι, καὶ ἐρέβινθοι, καὶ ἡ τῆς ἴρεως ῥίζα, καὶ ἡ τοῦ ἀσφοδέλου, καὶ πολλῶν ἄλλων, ὅμοιόν τι πεπόνθασιν. ἐν ἑκάστῳ γὰρ γένει τοὐπίπαν, ὅσα κιρρά, καὶ ξανθά, καὶ ἐρυθρά, θερμότερα τῶν λευκῶν ἐστιν, ὥστ᾽ εἴ τι κἀντεῦθεν ἐγχωρεῖ περὶ φαρμάκων δυνάμεως τεκμαίρεσθαι, προσκείσθω τῷ λόγῳ, κάλλιστον μέν, ὡς εἴρηταί τε καὶ λέλεκται πολλάκις, ἐκ τῆς διωρισμένης πείρας ἐξευρίσκειν τὰς δυνάμεις. οὐ γὰρ ἂν σφαλείης οὐδὲ ἐν τῇδε, πρὶν μέν τοι τῇ πείρᾳ διαγνῶναι τὴν δύναμιν, ἡ γεῦσις ἐνδείκνυται τὰ πολλά, συνεπιμαρτυρούσης, ὡς εἴρηται, βραχέα καὶ τῆς ὀσμῆς.

A Ac nunc quoque etiam claritatis gratia vnum exemplum proponam, nempe Rosam, quæ non ea modò ratione dissimilaris est, qua pars quidem eius continet, pars verò continetur (continens quidem durum & terreum, quod continetur succus est humidus) imò, & succi ipsius tria sunt excrementa quemadmodum supra necessarium esse demonstratum est, vnum terreum, quale est in vinis fæx; alterum aëreum, quod ipsum quoque vini flori proportione respõdet; tertium aqueum, quod in omnibus ebullitionem efficere, corruptionémque diximus, vbi nimirum, neque deuictum, neque planè alteratum ebullitionibus tempore B fuerit. Sanè huius excrementi gratia quidam succos non nisi coctos reponunt, alij in Sole feruenti præsiccatos; nam propter terrenum aëreumque non admodum corrumpendos metuunt, quum ea, & separari videant, ægréque corruptibilem sortita substantiam, quãdoquidem temperamentum nacta sunt siccum. Sed de istis suprà abundè disseruimus. Cæterùm in rosæ natura aliud gustantibus acerbum est, quod terreum, vt sit, & crassum frigidúmque, necesse est; aliud verò amarum, quod tenue est, & calidum; & tertium in iis aqueum, necessariò quidem fri- C gidum, sed in tenuitatis crassitieique oppositione quadantenus summorum medium, cuius mixtura, neque ipsum illud acerbum, neque ipsum amarum, summè est tale, quale dicitur, qualitates enim omnes exoluit aquæ admixtio. Ipsum itaque hoc aqueum elaboratum, extenuatúmque, atque excalefactum quodammodo videtur, ac proinde facilè in vaporem solui, & hac ratione rosa, tum odorata esse, tum celerrimè resiccari. Atque hæc omnia de eo ex gustu coniicias, at per odorem haud æquè: quippe quum non æquè omnes eius partes euaporent, nec perinde sensum D moueant. In gustu autem omnes similiter gustabilium corporum particulæ in linguam incidunt, sensúmque mouent pro sua natura singulæ. Quare certum, tutúmque, vt diximus, non est, de tota medicamentorum facultate ex odore coniicere; nam ea sola agnosci possunt, quæ modo posuimus. Multo minùs ex coloribus de medicamentorum viribus colligere quid valeas; quippe quum in singulis coloribus calida, frigida, humida, siccaque reperias, quemadmodam in primis huius operis commentariis ostendimus. In quoque tamen sigillatim genere, aut seminis, aut E radicis, aut succi ex colore indicationem quandam liceat sumere; vtpote cæpa, scilla, vinum, quanto fuerint albidiora, tanto & minus sunt calida; quæ verò subflaua fuluáque, calidiora. Idem vsu venit tritico, milio, ochris, phaselis, ciceri, ireos radici asphodelíque, aliísque compluribus; in quoque enim genere in vniuersum fulua, flaua, rubráque omnia albis sunt calidiora. Itaque etsi hinc quoque de medicamentorum viribus coniectura fieri queat, tamen sermoni adiiciatur, optimum sanè esse (vt & dictum, & ostensum sæpenumero est) per experientiam discretam facultates inuenire, in hac F enim falli non possint quanquam prius, quàm experientiâ virtutem agnoscas, gustus pleraque indicet, pauculum etiam (vt dictum est) approbante ipso odore.

GALENI



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ, ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS, LIBER QVINTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Ε'. ΒΙΒΛΙΩι.

Διέρχεται ὑπὲρ τῶν ἄλλων ἀρχῶν τῶν δυνάμεων, τῶν μετὰ τὰς πρώτας θερμαινούσας τε καὶ ψυχούσας, καὶ ὑγραινούσας, καὶ ξηραινούσας, ἐν τοῖς φαρμάκοις ὑπαρχουσῶν· καὶ ἀπ' ἔργων, ἃ περὶ τὸ σῶμα ἐνεργοῦσιν, παρονομαζομένων.

ARGVMENTVM LIBRI QVINTI.

De reliquis agit principiis earum facultatum quæ post primas calefaciendi, refrigerandi, humectandi, & siccandi, medicamentis insunt, & ex operibus, quæ edunt in corpus, denominantur.

CAPVT PRIMVM.

Recapitulatio prædictorum, quæ veluti suppositiones ad dicenda erunt.

QVINTVM librum De simplicium medicamētorum facultatibus orsurus, ea primum repetam, quæ supra demonstrata in rem præsentem censentur accōmoda, sumpto ab elementis principio, aqua videlicet, igne, aëre, ac terra, quæ nonnulli à qualitatibus denominantes, humidum, calidum, siccum, & frigidum esse aiunt. Sunt ergo qualitates hę, humiditas, siccitas, caliditas, frigiditas. Quæ verò ab illis denominantur corpora, ea sunt tum cōmunia omnium elementa, tum ea quæ per harum excellentiam, aut humida, aut sicca, aut calida, aut frigi- B da nuncupantur; tum ea quæ ad symmetrum generis eiusdem, aut speciei conferuntur, quæque ad quiduis obuium. Sanè de horū differentia frequenter tractauimus. Nec minùs diximus, quatenus differat nutrimentū à medicamento; & quòd nutrimentū vincitur ac superatur ab eo quod nutritur; medicamentum autem contrà; ipsum enim vincit atque superat corpus, cuius fuerit medicamentum, quippe quum vtriusque referatur ad aliquid notio. Ostensum præterea est medicamentū alterare natū esse, aut vna quapiam qualitate, nēpe C aut calefaciendo, aut refrigerando, aut humectando, aut siccando, aut dictorum coniugatione quapiam; aut tota sua substātia, sicuti cōplura deleteriorum, seu lethalium medicamentorū, nec pauca alexiteriorum, seu amuletorū, tum purgantia omnia, ac pleraq; eorum, quæ attrahentia nuncupant. Sed de istis, quæ reliqua sunt, infra adiiciam.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἀνακεφαλαίωσις τῶν προειρημένων, ἅπερ ἔσονται οἷον ὑποθέσεις πρὸς τὰ μέλλοντα λεχθήσεσθαι.

A ΠΕΜΠΤΟΝ τοῦτον ἐνιστάμενος λόγον, ὑπὲρ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἀναμνήσω πρῶτον, ὧν ἐν τοῖς ἔμπροσθεν ἀπέδειξα χρησίμων εἰς τὰ παρόντα, ποιησάμενος τὴν ἀρχὴν ἀπὸ τῶν στοιχείων, ὕδατός τε καὶ πυρὸς, ἀέρος τε καὶ γῆς ἅπερ ἔνιοι προνομάζοντες ἀπὸ τῶν ποιοτήτων, ὑγρὸν καὶ ξηρὸν, καὶ θερμὸν καὶ ψυχρὸν εἶναι φασιν. αὗται μὲν οὖν αἱ ποιότητες, ὑγρότης τε καὶ ξηρότης, θερμότης τε καὶ ψυχρότης εἰσί. τὰ δ' ἀπ' αὐτῶν προνομαζόμενα σώματα, τά τε κοινὰ πάντων ἐστὶ στοιχεῖα, καὶ τὰ κατ' ἐπικράτησιν τινος τούτων, ὑγρὰ καὶ ξηρὰ, καὶ ψυχρὰ, καὶ θερμὰ προσαγορευόμενα· καὶ τὰ πρὸς τὸ σύμμετρον ὁμογενὲς, ἢ ὁμοειδὲς παραβαλλόμενα, καὶ τὰ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. περὶ μὲν δὴ τῆς ἐν τούτοις διαφορᾶς, εἴρηται πολλάκις, εἴρηται δ' οὐδὲν ἧττον καὶ ὅπῃ διαφέρει τροφὴ φαρμάκου, καὶ ὡς ἡ μὲν τροφὴ κρατεῖταί τε καὶ νικᾶται πρὸς τοῦ τρεφομένου. τὸ φάρμακον δὲ, ἔμπαλιν αὐτὸ νικᾷ καὶ κρατεῖ τοῦ σώματος, οὗπερ ἂν ὑπάρχῃ φάρμακον, ἐν τῷ πρός τι γὰρ ἑκατέρων ἐστὶ τὴν νόησιν. ἐδείχθη δὲ καὶ ὡς ἤτοι κατὰ μίαν ἡντιναοῦν ποιότητα, τὸ φάρμακον ἀλλοιοῦν πέφυκεν, ἢ θερμαῖνον, ἢ ψῦχον, ἢ ξηραῖνον, ἢ ὑγραῖνον, ἢ κατὰ συζυγίαν τινὰ τῶν εἰρημένων, ἢ καθ' ὅλην αὐτοῦ τὴν οὐσίαν, ὥσπερ τῶν τε δηλητηρίων ἔνια, καὶ τῶν ἀλεξιτηρίων οὐκ ὀλίγα, καὶ τὰ καθαίροντα πάντα, καὶ τῶν ἐπισπαστικῶν ὀνομαζομένων πολλά. περὶ δὲ τούτων ἔτι μοι δοκῶ προσθήσειν ἐν τοῖς ἑξῆς τὰ λείποντα.

τὰ δὲ κατὰ μίαν ἢ δύο ποιότητας ἐνεργοῦντα περὶ τὸ σύμπαν A ἡμῶν σῶμα, κατὰ τόδε τὸ γράμμα δίειμι, λαβὼν κἀνταῦθα πάλιν ὑπόθεσιν ἀποδεδειγμένην ἐν τοῖς ἔμπροσθεν, ὡς τὰ πλεῖστα τῶν ἁπλῶν φαρμάκων ἀνομοιομερῆ τε, καὶ σύνθετα, κατά γε τὴν ἀλήθειάν ἐστιν, ὀνομάζεται δὲ ἁπλᾶ, τῷ φύσει τοιαῦτα ὑπάρχειν οἷάπερ ἐστὶν, οὐδὲν ἐξ ἐπιτεχνήσεως ἡμετέρας προσειληφότα. καὶ μὲν δὴ, καὶ ὡς τὰ μέν τινα, παχυμερῆ τε καὶ γεώδη ταῖς οὐσίαις ἐστὶν, τὰ δὲ λεπτομερῆ, καὶ ἀερώδη, τὰ δ' οἷον ὑδατώδη τε, καὶ μέσα τῶν εἰρημένων. ἐπιδεδειγμένα καὶ ταῦτ' ἐν τοῖς ἔμπροσθεν λόγοις, ὑποθέσεις ἔστωσάν μοι πρὸς τὰ μέλλοντα λεχθήσεσθαι. τούτων οὖν ὑποκειμένων, ἀρκτέον ἤδη τοῦ λόγου. B

Quæ verò vna duabúsve qualitatibus in vniuersum corpus nostrum agunt, ea hoc in libro exponam, rursum hîc sumpta hypothesi superius demonstrata, quòd simplicium medicamentorum pleraque dissimilarium sint partium, réque vera composita, cæterùm appellantur simplicia, quòd cuiusmodi sunt, talia natura sint, nec quicquam ex nostra industria assumpserint; quin etiam quòd quædam crassarum sint partium, & terrena suis substantiis, quædam tenuia, & aërea, alia verò aquea, & dictorum media. Hæc quum sint superioribus libris demonstrata, hypotheses mihi sunto ad ea, quæ nunc dicenda veniunt. His ergo suppositis ordienda iam oratio est.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς χρείας τῶν φαρμάκων.

Ἡ χρεία τῶν φαρμάκων τοῖς ἀνθρώποις γίγνεται, πολλάκις μὲν ὡς αὐτοῦ τούτου μόνου, ἤτοι θερμαινόντων, ἢ ψυχόντων, ἢ ὑγραινόντων, ἢ ξηραινόντων, ἢ κατὰ συζυγίαν τινὰ τούτων ἐνεργούντων, ἐνίοτε δὲ, ὡς ἤδη τὸ πέρας τοῦ μετρίου κεχαλασμένον, ἐπιτεινόντων τε καὶ συναγόντων, ἢ τὸ συντεταμένον χαλώντων, ἢ ἀραιούντων τὸ πεπυκνωμένον, ἢ πυκνούντων τὸ C μανὸν, ἢ μαλαττόντων τὸ σκληρὸν, ἢ σκληρυνόντων ἀμέτρους μαλακότητας, ἢ κενούντων τὸ πλῆρες, ἢ πληρούντων τὸ κενὸν, ἤ τι τοιοῦτον ἕτερον ἐργαζομένων. ὁ μὲν γὰρ ἐψυγμένος, οὐκ ἰατρὸς μόνον, ἀλλὰ καὶ ἰδιώτης ὁστισοῦν, ὑπ' αὐτῆς τοῦ πράγματος τῆς φύσεως ἀγόμενος, ἐξευρεῖν ἐπιθυμεῖ θερμαῖνον φάρμακον, οὕτω ὑπὸ καυσώδους πυρετοῦ διακαιόμενος ἐμψῦχον. οὕτω δὲ καὶ πλαδαρὸν ἕλκος ἔχων ἰδιώτης ὁστισοῦν, ξηρᾶναι κελεύει τὸν ἰατρὸν αὐτὸ, καὶ εἰ ξηρὸν εἴη, καὶ ἄικμον, ὑγρᾶναι. καὶ δὴ καὶ ξηρότητος ἅμα θερμότητι καθ' ὅλον αἰσθανόμενοι τὸ σῶμα, ὥσπερ καὶ οἵ τε ἐγκαυθέντες, καὶ κοπωθέντες, λούεσθαί τε D ποθοῦσι, καὶ πίνουσιν ὕδατος ψυχροῦ, καὶ πᾶν ὅτι περ ἂν ὑγραίνειν τε ἅμα καὶ ψύχειν ἱκανὸν ᾖ, τοῦτ' ἐξευρίσκειν μηχανῶνται, καὶ πορίζονταί γε πολλάκις ὑπ' αὐτῆς τῆς φύσεως ἀγόμενοι πολλοὶ τῶν ἰδιωτῶν, τὰ τούτων ἰάματα. φλεγμονῆς μέντοι, καὶ σκίρρου, καὶ οἰδήματος, ἐρυσιπέλατός τε, καὶ σηπεδόνος, ἕρπητός τε καὶ γαγγραίνης, οὐκέτ' οὐδεὶς αὐτῶν ἐπιχειρεῖ ζητεῖν τὴν ἴασιν ἑαυτῷ, ὡς μείζονος ἤδη τῶν τοιούτων ἑκάστου ὑπάρχοντος, ἢ κατὰ γνώμην ἰδιώτου, καί τινος ἐπιστήμης σεμνοτέρας δεομένου. ὀνομάζουσι δὲ τὴν τοιαύτην ἐπιστήμην, ἰατρικὴν, καὶ τὸν ἐργαζόμενον αὐτὴν, ἰατρόν. καὶ μέχρι μὲν τοσούτου καὶ E αὐτοὶ προΐασιν, ὡς γινώσκειν, ὅτι τὸ μὲν κοῖλον ἕλκος, δεῖται σαρκώσεως, τὸ δὲ ῥυπαρὸν, καθάρσεως, τὸ δ' ὁμαλὸν, ἐπουλώσεως· οὐ μὴν τό γε σαρκοῦν, ἢ καθαῖρον, ἢ ἐπουλοῦν φάρμακον ἴσασιν. οὕτω δὲ κἂν εἰ μῦν, ἢ τένοντα σκληρὸν, ἢ τεταμένον, ἢ χαλαρὸν ἔχοιεν, ὅτι τῷ μὲν σκληρῷ, χρεία τῶν μαλαττόντων ἐστὶν, τῷ δὲ τεταμένῳ, τῶν χαλώντων, τῷ δὲ χαλαρῷ, τῶν συντεινόντων, ἀκριβῶς ἴσασιν, οὐ μὴν τό γε μαλάττον, ἢ χαλῶν, ἢ συντεῖνον ἐπίστανται φάρμακον, ἀλλ' ἰατροῦ μόνου τὰ τοιαῦτα εὑρίσκειν ἔργον. ἄχρι μὲν γὰρ τῶν θερμαινόντων καὶ ψυχόντων, ὑγραινόντων τε καὶ ξηραινόντων, ἐστὶν εὑρεῖν ἐνίους τῶν F ἰδιωτῶν κοινωνοῦντας τῆς τῶν φαρμάκων εὑρέσεως τοῖς ἰατροῖς, ἐν οἷς δ' εἴρηται νῦν, ἤδη πάντας ἀπείρως ἔχοντας. ἔστι μὲν οὖν, ὡς καὶ πρόσθεν ἐδείκνυτο, καὶ αὐτῶν τῶν θερμαινόντων τε, καὶ ψυχόντων, ὑγραινόντων τε καὶ ξηραινόντων ἡ εὕρεσις, οὐχ ὡσαύτως ἁπάντων ἑτοίμη. νᾶπυ μὲν γὰρ καὶ

CAPVT II.

De vsu medicamentorum.

Vsus est frequenter hominibus medicamentorũ ob id ipsum tantummodo, vt aut refrigerent, aut humectent, aut calefaciant, aut siccent, aut per coniugationẽ horum quid agant. Interim verò, vt quod supra modum laxatum est contendant, atque contrahant, aut quòd intensum est laxent, aut quod condensatum est rarefaciant, aut rarum condensent, aut durum emolliant, aut immodicam mollitiem ad duritiem reuocent, aut plenum euacuent, aut vacuum impleant, aut generis eius aliud quid agant. Nam quisquis perfrixerit, non medicus tantum sed quiuis etiam ex plebe ab ipsa rei natura ductus calefaciens medicamentum inuenire desiderat, aut ardenti febre æstuans quod refrigeret. Sic priuatus quispiam si vlcus habeat nimis molle, ac humidũ, id medicum desiccare iubet, aut si siccum, & exuccum, humectare. Quin etiam quum siccitatem pariter, atque caliditatem toto corpore percipiunt, ceu & qui æstuãt, siue vsti sunt, & qui defatigati sunt, lauari expetunt, frigidámque bibunt, tum quicquid refrigerare simul, & humectare potest, studiosè exquirunt, votique sæpe compotes fiunt. Atque ipsa natura duce eorum remedia pleriq; idiotarum inueniunt, at phlegmones, scirrhi, œdematis, erysipelatis, putredinis, herpetis, gangrænæ, nullus ex illis sibi remedium peruestigandum sumit, tãquam vnumquodq; eorum maius iam fit quàm pro captu hominis plebei, ac scientiam requirat venerabiliorem. Eam scientiam nuncupant Medicinam, & qui eam exercet, Medicum; atque hucusque, & ipsi procedunt, vt sciant vlcus cauum carne impleri, sordidum purgari debere, æquabile cicatrice induci; non tamen norunt quid carne impleat, quid purget, quid cicatricẽ inducat. Sic sanè etiam si musculum habeant durum, ac tensum laxúmve, quòd duro quidem mollientibus sit opus, tenso autem laxantibus, laxo verò contendentibus, id satis perspiciunt; non tamen compertum habent medicamentum, quod aut emolliat, aut laxet, aut contendat, sed ea inuenire opus est medici. Siquidem inuenias ex plebe quosdam, qui non secus, atque medici medicamentorum pollent inuentione, sed hactenus, dum calida modò, ac frigida, humida ac sicca perquiruntur: verùm in iis, quæ modò dicebamus, prorsum rudes reperias. Tametsi ceu ante monuimus, haud omnium, tum calefacientium, tum refrigerantium, tum humectantium, atque exiccantium, æquè facilis est atque expedita inuentio. Quippe quòd napy, pyre-

pyrethrumque calefaciunt & portulaca solanumque refrigerant, tum aqua & oleum humectant, & acetum, & marina aqua desiccant, penè omnibus non medicis duntaxat: sed & idiotis confessum est; At rosaceum an calefacere, an refrigerare dicendum, similiter acetum, oleum, & eius generis non pauca, ingenti controuersia iactata sunt. Verùm de talium facultate in quatuor ante hunc libris disputauimus; in primo ac secundo sophistarum redarguentes argumenta, monstrantésque veram methodum cuius quis ductu medicamentorum facultates inueniat. In tertio missis sophistis, omnes ab initio logicas exposuimus quæstiones quibus maximè insistas, quibúsque vt sic dicam, artificiosè efformatus idoneus sis, ac sufficiens, qui medicamentorum omnium facultates inuestiges. In quarto, de propriis linguæ sensoriis disserui, quos sapores appellitant, id indicans, quo pacto hinc orsus primas inuenias, tũ qualitates, tum facultates. Attigi porrò etiam in extremo libro qualitates odoratus, docens quantũ itidẽ & hinc iuuari queas ad primarum inuentionẽ facultatũ. At in hoc quinto libro aliud mihi propositum est facultatum genus expromere, quas vocare potes secundas, ac tertias post primas, & omnium cõmunes. Siquidẽ quum particulatim vnũquodq; non pari modo ex illis tẽperatum sit, aliud, puto, ex iis laxás euasit, aliud cõstringens, aliud emolliens, aut indurans, aut rarefaciens aut cõdensans. Tum ex operibus, quæ edere nata sunt, facultates in se habere dicta sunt rarefaciendi, cõdensandi, emolliendi, indurandi, illinendi, extergendi, attrahẽdi, repellendi, ad hæc laxandi, cõstringendi, ora reserandi, ac contrahendi, incrassandi, extenuandi, dolores sedandi, ac ciendi, concoquendi, puris mouendi; digerendi per halitum, sudoris prouocandi, soporis conciliandi, stupefaciendi, somni prouocandi animum alienandi, putrefaciendi, vrendi, erodendi, crustam faciendi, fundendi, densandi, succum prauum procreandi, temperandi, purgandi, sistendi, exasperandi, leniendi, obstruendi, deobstruendi. Ac quum vlterius etiam procedunt, ac propè particulatim opera appellant, vrinas ciendi, vomitus proritandi, subducendi ventris, ac lubricandi, per nares, & os purgandi, menses mouendi, aut comprimendi, similiter lactis, ac seminis tũ generandi, & extinguendi, tum prouocandi & reprimẽdi; Magísque etiam quum quasdã hepaticas, splenicas, oticas, ophthalmicas, odonticas, ischiadicas nephriticas, podagricas, arthriticas, pleuriticas, bechicas, lapides cõminuentes facultates vocitant, ad particulares perueniunt. Pari modo quædã dicta est à procreanda in vlceribus carne facultas, sarcotica, ab inducenda cicatrice epulotica, à glutinando colletica, à purgatione cathartica, ab excrescentia carnis detrahenda cathæretica, fereque numerari nequeant omnes particulatim facultates, si ab vnoquoque sigillatim eorum, quæ perficiuntur, deducta illis imponere nomina aggrediantur. Sed præclarius sanè, ac methodo dignius est, si missam facientes orationem, tum prolixam tum confusam, cõmodis speciebus cõpositas medicamentorũ facultates compendio definiamus, non puris mouendi, aut mitigandi, aut doloris sedandi, aut per halitũ digerendi, aut laxandi, in triticeæ farinæ cataplasmate facultatem inesse dictitantes, sed modicè tum humidam tum calidam, superius namque dictum est, in quo significato eiusmodi dictionem efferamus.

A πύρεθρον, ὅτι θερμαίνει, καὶ ἀνδράχνη, καὶ στρύχνον ὅτι ἐμψύχει, καὶ τὸ μὲν ὕδωρ, καὶ τοὔλαιον, ὑγραίνει, τὸ δὲ ὄξος καὶ ἡ θάλαττα ξηραίνει, σχεδὸν ἅπασιν οὐχὶ ἰατροῖς μόνον, ἀλλὰ καὶ τοῖς ἰδιώταις ὁμολογεῖται. τὸ μὲν τοι ῥόδινον, εἴτε θερμαίνειν, εἴτε ψύχειν φατέον, ὡσαύτως δὲ καὶ ὄξος καὶ ἔλαιον, ἕτερά τε πολλὰ τοιαῦτα, συχνὴν ἀμφισβήτησιν ἔσχηκεν. ὑπὲρ μὲν δὴ τῶν τοιούτων τῆς δυνάμεως, ἐν τοῖς πρὸ τούτου τέτταρσιν ὑπομνήμασι διῆλθον. ἐν μὲν τῷ πρώτῳ, καὶ δευτέρῳ, τὰ τῶν σοφιστῶν ἐξελέγχων ἐπιχειρήματα, καὶ δεικνὺς τὴν ἀληθῆ μέθοδον, ᾗ χρώμενος ἄν τις, εὑρίσκοι τὰς τῶν φαρμάκων δυνάμεις, ἐν δὲ
B τῷ τρίτῳ, τῶν σοφιστῶν ἀποχωρήσας, ἅπαντα διῆλθον ἐξ ἀρχῆς τὰ λογικὰ ζητήματα, δι᾽ ὧν ἄν τις μάλιστα διελθὼν, καὶ ὡς ἄν τις εἴποι, τεχνωθεὶς, ἱκανὸς ἔσται πάντων τῶν φαρμάκων εὑρίσκειν τὰς δυνάμεις. ἐν δὲ τῷ δ᾽ περὶ τῶν τῆς γλώττης ἰδίων αἰσθητῶν ἐποιησάμην τὸν λόγον, ἃ δὴ χυμοὺς ὀνομάζουσιν, ἐπιδεικνύων, ὡς ἄν τις ἐντεῦθεν ὁρμώμενος, εὑρίσκοι τάς τε πρώτας ποιότητάς τε, καὶ δυνάμεις. ἡψάμην δ᾽ εἰς ὅσον ἡ χρεία προὐκαλεῖτο, καὶ τῶν ὀσφρητῶν ποιοτήτων ἐπὶ τελευτῇ τοῦ βιβλίου, δεικνύων ὁπόσον τι κἀντεῦθεν ἐγχωρεῖ λαβεῖν εἰς τὴν τῶν πρώτων δυνάμεων εὕρεσιν. ἐν δὲ δὴ τῷδε τῷ λόγῳ τῷ
C ε᾽, γένος ἄλλο μοι πρόκειται δυνάμεων ἐξηγήσασθαι, δευτέρων ὡς ἄν εἴποι τις, καὶ τρίτων, ἐπὶ ταῖς πρώταις τε καὶ κοιναῖς ἁπάντων. ἐπειδὴ γὰρ ἕκαστον τῶν κατὰ μέρος, οὐχ ὡσαύτως ἐξ ἐκείνων κέκραται, τὸ μὲν, οἶμαι, χαλαστικὸν, αὐτῶν ἐγένετο, τὸ δὲ στυπτικὸν, ἢ μαλακτικὸν, ἢ σκληρυντικὸν, ἢ ἀραιωτικὸν, ἢ πυκνωτικόν. ἔτι δὲ ἐκ τῶν ἔργων ἃ πέφυκε δρᾷν, ἐλέχθη δυνάμεις ἔχειν ἐν αὑτοῖς ἀραιωτικάς τε καὶ πυκνωτικὰς, μαλακτικάς τε καὶ σκληρυντικὰς, ἐμπλαστικάς τε καὶ ῥυπτικὰς, ἑλκτικάς τε καὶ ἀποκρουστικὰς, ἔτι τε πρὸς τούτοις χαλαστικὰς, στυπτικὰς, ἀναστομωτικὰς, συναγωγικὰς, παχυντικὰς, λε-
D πτυντικὰς, ἀνωδύνους, ὀδυνηρὰς, πεπτικὰς, ἐκπυητικὰς, διαφορητικὰς, ἱδρωτικὰς, καρωτικὰς, ναρκωτικὰς, ὑπνωτικὰς, ἐκστατικὰς, σηπτικὰς, καυστικὰς, διαβρωτικὰς, ἐσχαρωτικὰς, χυτικὰς, πηκτικὰς, κακοχύμους, ἐπικεραστικὰς, καθαρτικὰς, σταλτικὰς, τραχυνούσας, λεαινούσας, ἐμφρακτικὰς, καὶ ἐκφρακτικάς. ὡς πορρωτέρω προϊόντων ἔτι, καὶ τὰς κατὰ μέρος ἐφ᾽ ἑκάστῳ τῶν ἔργων ὀνομαζόντων, οὐρητικὰς, ἐμετικὰς, ὑπακτικὰς, λαπακτικὰς, ἐῤῥίνους, ἀποφλεγματικὰς, ἐμμηνίων ἀγωγοὺς, ἢ ἐπισχετικάς. ὡσαύτως δὲ καὶ γάλακτος, καὶ σπέρματος ἤτοι γεννητικὰς, ἢ σβεστικὰς, ἢ προκλητικὰς, ἢ ἐπισχετικάς.
E ἔτι δὲ μᾶλλον ὅταν ἡπατικάς τινας, ἢ σπληνικὰς, ἢ ὠτικὰς, ἢ ὀφθαλμικὰς, ἢ ὀδοντικὰς, ἢ ἰσχιαδικὰς, ἢ νεφριτικὰς, ἢ ποδαγρικὰς, ἢ ἀρθριτικὰς, ἢ πλευριτικὰς, ἢ βηχικὰς, ἢ λίθων θρυπτικὰς ὀνομάζουσι δυνάμεις, ἐπὶ τὰς κατὰ μέρος ἀφικνοῦνται. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἴρηται, καὶ σαρκωτική τις ἑλκῶν εἶναι δύναμις, καὶ ἐπουλωτικὴ, καὶ κολλητικὴ, καθαρτική τε καὶ καθαιρετικὴ, καὶ σχεδὸν οὐδ᾽ ἀριθμεῖσθαι δυνατὸν ἁπάσας τὰς κατὰ μέρος δυνάμεις, ἐὰν ἑκάστου τῶν ἀποτελουμένων ἐπιχειρῶμεν αὐτὰς προσονομάζειν. ἀλλὰ καὶ κάλλιον οἶμαι, καὶ μεθοδικώτερον, ἀποχωρήσαντα τοῦ μακροῦ λόγου, καὶ
F ἀτάκτου, χρησίμοις εἴδεσιν ἀφορίζεσθαι τὰς συνθέτους τῶν φαρμάκων δυνάμεις, οὐ διαπυητικὴν λέγοντας, ἢ παρηγορικὴν, ἢ ἀνώδυνον, ἢ διαφορητικὴν, ἢ χαλαστικὴν, ἐν τῷ δι᾽ ἀλεύρου πυρίνου καταπλάσματι δύναμιν ὑπάρχειν, ἀλλὰ συμμέτρως ὑγρὰν, καὶ θερμήν. ἐῤῥέθη γὰρ ἐν τοῖς πρόσθεν, ἐπὶ τίνος σημαινομένου, τὴν τοιαύτην ἐπιφέρομεν λέξιν.

A οὕτω δὲ καὶ ἶριν, οὐκ οὔρων, οὐκ ἐμμηνίων κινητικὴν, ἢ βηχικὸν εἶναι φάρμακον, ἢ πλευριτικοῖς, ἢ περιπνευμονικοῖς, ἢ ἐμπύοις ἁρμόττειν, ἢ ἐπιληψίαις καὶ σπασμοῖς, καὶ παλμοῖς, καὶ τρόμοις, καὶ ῥήγμασι, καὶ σπάσμασιν ἀρήγειν. οὐδὲ σαρκοῦν, καὶ καθαίρειν ἕλκη, καὶ κόλπους, καὶ πλευρᾶς, καὶ ἥπατος, καὶ σπληνὸς ἀλγήματα παύειν, οὐδὲ χοιράδας διαφορεῖν, ἢ ἐξ ὀστῶν ἄγειν σάρκας. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδ' ἐπὶ γονορροίας ἁρμόττειν, ἢ εἰς ὑστερῶν πυρίας ὠφελίμως μίγνυσθαι, μαλάττουσάν τε καὶ ἀναστομοῦσαν, οὐ μὴν οὐδ' ὅτι φακοὺς, ἢ ἐφήλεις ἀποκαθαίρει, καὶ κεφαλαλγίας ἰᾶται χρονίας, ἢ διαφθείρειν ἔμβρυα, καὶ καταβάλλειν πέφυκεν. B ἀλλ' ἀρκεῖ θερμὴν εἰς τοσόνδε, καὶ ξηρὰν εἰς τοσόνδε, καὶ λεπτομερῆ μέχρι τοσοῦδε τὴν κρᾶσιν αὐτῆς εἰπόντα, τά τε νῦν εἰρημένα πάντα ἐνδεδεῖχθαι, καὶ τούτων ἄλλα πλείω. καθ' ἕτερον δὲ αὖ τρόπον ἀρκεῖ περὶ αὐτῆς εἰπεῖν, ὡς πικρὰ μέν ἐστιν, οὐ μὴν ἐσχάτως, ἀλλ' ὥστε δοκεῖν ἐπιμεμίχθαι τινὰ γλυκύτητα. ὁ μὲν οὖν πρότερος τρόπος τῆς διδασκαλίας, ἐμπειρικῶν ἴδιός ἐστιν. ὁ δὲ δεύτερος, ἀνδρὶ λογικῷ προσήκει μάλιστα, καὶ τοῦτον ἡμῖν πρόκειται νῦν διελθεῖν.

ΚΕΦΑΛΑΙΟΝ Γʹ. C

Περὶ τῶν διαπυισκόντων καὶ μαλαττόντων φαρμάκων.

Ἔστι δὲ τὰ μὲν ἄλλα σύμπαντα τὰ πρόσθεν εἰρημένα, διὰ τῶν δ' ὑπομνημάτων, αὐτῆς τῆς περὶ τῶν φαρμάκων θεωρίας ἴδια, πλὴν εἴ που κατὰ κοινωνίαν ὁ λόγος ἥψατο μεθόδου θεραπευτικῆς. ὁ δὲ νῦν ἐνεστὼς, ἐκείνης μᾶλλον οἰκεῖός ἐστιν, ὡς ἐγὼ πολλάκις ἐβουλευσάμην ὑπερβῆναι τελέως αὐτόν. ἀλλ' ὅτι τε προγυμνάζειν ἔδοξέ μοι τοὺς μέλλοντας ἀκολουθήσειν τοῖς τῆς θεραπευτικῆς μεθόδου λογισμοῖς, οἵ τε πλεῖστοι τῶν ἑταίρων, καὶ μάλιστα οἷς χαριζόμενος ἐπὶ τήνδε D τὴν πραγματείαν ἧκον, οὕτως ἠξίωσάν με διαπρᾶξαι, διὰ τοῦτο μεταχειριοῦμαι τὸν λόγον ἐν τῷδε τῷ γράμματι, τὴν ἀρχὴν ἀπὸ τῶν διαπυϊσκόντων τε, καὶ μαλαττόντων ποιησάμενος. ἐπειδὴ θερμὰ μέν ἐστιν ἀμφότερα, καὶ ὑγρὰ, καθ' ἕτερον μὴν ἑκάτερον τρόπον. τὰ μὲν γὰρ ὡς ὁμοιοτάτην τῷ διαπυϊσκομένῳ σώματι θερμότητα γεννῶντα, πρὸς τῷ μήτ' ἀφαιρεῖν τι τῆς οὔσης ἐν αὐτῷ ὑγρότητος, μήτε προστιθέναι, τὰ δ' ὡς καὶ πλέονα τῆς κατὰ φύσιν ἀνάπτοντα, καὶ συνάγοντά τι τῆς ὑγρότητος. ἀλλ' ἡ μὲν τῶν διαπυϊσκόντων ἔννοια, σαφής τε ἅμα καὶ γνώριμος ὑπάρχει πᾶσιν. εἰς πύον γάρ ἐστιν ἡ E διαπύησις μεταβολή.

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Τριχῶς λέγεται μαλακὸν καὶ σκληρόν· τὸ μὲν, ὡς ἄκρως τοιοῦτον ὄν, τὸ δὲ, ὡς κατ' ἐπικράτειαν, τὸ δὲ ὡς πρὸς τὸ σύμμετρον ὁμογενὲς ἢ ὁμοειδὲς, ἢ πρὸς ὁποιοῦν τὸ ἐπιτυχόν.

Περὶ δὲ τῶν μαλαττόντων φαρμάκων, καὶ αὐτῆς τῆς διαμαλάξεως, οὐκέθ' ἁπλῶς οὕτως εἰπεῖν ἐγχωρεῖ, διότι μηδὲ περὶ τοῦ σκληροῦ, καὶ μαλακοῦ σώματος. F εἴ γε δὴ τὸ μὲν ἁπλῶς σκληρὸν λέγεται καθάπερ ἡ γῆ, τὸ δὲ κατ' ἐπικράτειαν, ὡς ὄνυξ, καὶ πλῆκτρον, καὶ κέρας. τὸ δὲ πρὸς τὸ σύμμετρον ὁμογενὲς, ἢ ὁμοειδὲς, παραβαλόντα ὡς τόδε τι ζῷον, οἷον ἐλέφας, ἢ ὅδε τις ἄνθρωπος, οἷον ὁ Ἡρακλῆς, τὸ δὲ πρὸς ὁποιοῦν παραβαλλόμενον, ὡς ὁ Διογένης πρὸς τὸν Ἀριστοτέλη.

Similiter quoq; & irim nõ vrinas, aut mẽses prouocans, aut bechicũ esse medicamentũ, aut pleuriticis, aut peripneumonicis, aut purulentis congruere; aut morbis comitialibus, & conuulsionibus, & palpitationibus, & tremoribus, & ruptionibus, & euulsionibus prodesse; neque carne implere, aut purgare sinuosa vlcera; aut lateris, iecoris, lienísve dolores sedare; neq; strumas discutere, aut ex ossibus carnes educere; ad eundẽ modũ, neq; seminis effluuio congruere, aut in vteri fomenta vtiliter misceri emollientem, & reserantem; quin nec quòd neruos, & ephelides detergat, & inueteratum capitis dolorem sanet aut fœtum corrumpat, excutiatque. Sed sufficit hactenus dixisse calidam, hactenus siccam, & eatenus tenuium partium illis obuenisse tẽperiem; sicque tum omnia, quæ nunc memorata sunt, tum longè item plura indicasse; quin alio quoque modo de ea dixisse sat est amaram esse, sed non extremè, imò ita vt dulcedo quædam admixta appareat. At primus doctrinæ modus Empiricorum proprius est; secundus virum potissimum rationalem decet; atque hunc mihi nunc exponere statutum est.

CAPVT III.

De pus mouentibus, atque emollientibus medicamentis.

CÆterùm vniuersa ea, quæ quatuor superioribus libris sunt dicta, propria sunt ipsius de medicamentis, speculationis, nisi si quando per affinitatem curandi methodum sermo attigit. At in quo nunc versamur, ad illam magis pertinet; quapropter sæpe consilium mihi fuit, omnino intactum præterire. Verùm quandoquidem visum est præexercendos eos, qui assequi deberent curandi rationis intentiones; & plerique ex amicis, potissimumque ij, quorum in gratiam hunc tractatum conscribere sum aggressus, ita me facere censuerunt; idcirco sermonem hunc hoc in libro absoluam, sumpto exordio ab emollientibus, & pus mouentibus; quum vtraque sint calida, humidaque, diuerso tamen vtraque modo; hæc enim ceu simillimum corpori in pus mouendo calorem producentia, absque vlla existentis in eo humiditatis, aut consumptione, aut adiectione; illa verò ceu maiorem, quàm pro natura accedentia, ac nonnihil quoque humiditatis contrahentia. Porrò perspicua est, notáque omnibus pus mouentium notio: siquidem suppuratio in pus est mutatio.

CAPVT IV.

Tribus modis dicitur molle, & durum, partim vt extremè tale, partim vt per excellentiam, partim vt ad symmetrum generis eiusdem, aut speciei, aut quiduis obuium.

SEd de emollientibus medicamentis, ipsáque adeo emollitione, non perinde simpliciter loqui licet, quia videlicet, nec de duro mollíque corpore. Siquidem partim absolutè durum dicitur, vt terra; partim per excessum, vt vnguis, calcar, cornu; partim ad symmetrum sui generis, aut speciei, vt hoc animal, puta elephas, aut hic homo, puta Hercules; partim ad quiduis obuium collatum, vt Diogenes ad Aristotelem.

Pari

A Pari modo dicitur molle, aut vt summè eiusmodi, aut per excessum, aut ad symmetron sui generis, aut speciei, aut ad quiduis obuium. Quòd verò tripliciter quoque id genus omnia dicere liceat, partim vt à mixtura aliena, summásque habentia qualitates, à quibus nuncupata sunt, partim vt ad symmetron sui generis, aut speciei, partim ad quiduis obuium collata; & quod nihil retulerit, illo, an hoc modo dixeris; frequenter mihi ostensum est. Omissis itaque cæteris significatis, de mollibus durísque, vt ad optimè comparatum hominem, contemplemur; quem sanè regu-
B lam, ac mensuram statuimus omnium, quæ eum in modum dicuntur; nec tamen ad illius partem quamcunque, puta os, adipémve, sed quæ temperie media est, nempe cutem, maximéque eam, quæ in manibus est, vbi perfecta est tangendi potentia. In vnum autem redit, si quod per excessum ad totam substantiam dicitur, sic molle durúmque appellites, quandoquidem medium quoddam est tactus noster; vti & Aristoteli visum est, & Plato quoque sensisse videtur, quum ait; *Dura quidem, quibus caro nostra cedit; mollia verò, quæ cedunt carni.* Nam
C cutem hominis eo ipso in libro, Timæo scilicet, genere esse carnem ostendit. Quin & Aristoteles quum ait *molle esse; quod in se cedit, durum quod non cedit*, idem quod Plato sensisse videtur, & maximè quòd ad tactum ea iudicanda censet, tanquam ad medium. Quod verò in comparatione ad quiduis obuium durum est, ac molle, id in eo quòd magis minúsque cedat, aut non cedat, iudicari videtur. Quin & ipsam cutem nostram, aut musculum, aut partem aliam quamlibet quum induratam dicimus, cum naturali eius statu aduentitium affectum conferentes, ita nomina-
D mus. Sanè corporum hoc pacto affectorum ad statum naturalem reditus emollitio est.

CAPVT V.

Quot modis fiunt dura? Nempe aut resiccatione, aut concretione, aut nimia impletione, aut harum coniugatione quapiam.

PORrò quum variè quidque durius efficiatur, nempe aut siccescens, aut concrescens, aut nimia repletione adeo, vt vehementer distendatur,
E aut coniugatione quapiam, sequitur vt & propria suáque cuique emolliendi sit ratio. Itaque de omnibus deinceps distinguamus, interim illud priùs cómonefacientes, nominū verborúmq; copiam plerunq; non esse indecoram, sed potius eius contrarium esse illiberale, quando scilicet non est necesse de illis distinguere. Nam ita & Plato prodidit. Et nobis in presens necessitas incumbit de duri significatis definire, principio rursum ab iis desumpto; quæ modo dicere desiimus. Nam quod in se cedit, molle est, si quidem corpus simplex fuerit; siquidē quod ex pluribus constat, aut sese con-
F tingentibus, sicut tritici aceruus; aut inuicē implicatis, vt lana & pili; simul & cedere potest, nec tamen esse molle. Contra in iis, quæ summè plena sunt, velut vtres vesicæque, neutrum latus in se cedit, nec tamen quod continetur durū est; sicut nec quod cótinet vbi impletum est, durius se ipso euasit, aut aduentitium alium affectum est adeptum,

A κατὰ δὲ τὸν αὐτὸν τρόπον λέγεται καὶ τὸ μαλακὸν, ἢ ὡς ἄκρως τοιοῦτον, ἢ κατ' ἐπικράτειαν, ἢ πρὸς τὸ σύμμετρον ὁμογενὲς, ἢ ὁμοειδὲς, ἢ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. ὅτι δὲ καὶ τριχῶς ἐγχωρεῖ λέγειν τὰ τοιαῦτα πάντα, τὰ μὲν ὡς ἀμίκτους τε καὶ ἄκρας ἔχοντα τὰς ποιότητας, ἀφ' ὧν παρονομάζεται, τὰ δὲ, ὡς πρὸς τὸ σύμμετρον ὁμογενὲς, ἢ ὁμοειδὲς, τὰ δ' ὡς πρὸς ὁτιοῦν τὸ ἐπιτυχὸν παραβαλλόμενα, καὶ ὡς οὐδὲν διενήνοχεν, ἢ ἐκείνως, ἢ οὕτως εἰπεῖν, ἔτι ἐπιδέδεικταί μοι πολλάκις. ἐάσαντες οὖν τὰ λοιπὰ πάντα σημαινόμενα, περὶ τῶν πρὸς τὸν ἄριστα κατεσκευασμένον ἄνθρωπον ἐπισκεψώμεθα μαλακῶν
B καὶ σκληρῶν, ὃν δὴ κανόνα καὶ μέτρον ἐποιησάμεθα τῶν οὕτω λεγομένων ἁπάντων, οὐδὲ τούτου πρὸς τὸ ἐπιτυχὸν μόριον, οἷον ὀστοῦν, ἢ πιμελὴν. ἀλλὰ τὸ μέσον τῇ κράσει, τὸ δέρμα, καὶ τούτου μάλιστα τὸ κατὰ τὰς χεῖρας, ἵνα περ ἡ ἁπτικὴ δύναμις ἀκριβοῦται· συμβαίνει δ' εἰς ταὐτὸ καὶ τὸ κατ' ἐπικράτησιν, ὡς πρὸς τὴν ὅλην οὐσίαν, οὕτως ὀνομάζεσθαι μαλακὸν ἢ σκληρὸν, ἐπειδὴ μεσότης τίς ἐστιν ἡμῶν ἡ ἁφὴ, καθ' ὃ καὶ Ἀριστοτέλης ἐδίδασκεν. οὕτω δέ πως καὶ ὁ Πλάτων ἔοικε γινώσκειν ὅταν ἔφη. σκληρὰ μὲν ὅσοις ἂν ἡμῶν σὰρξ ὑπείκει, μαλακὰ δ' ὅσα ἂν ὑπείκει τῇ σαρκί. τὸ γὰρ δέρμα τοῦ ἀν-
C θρώπου, κατ' αὐτὸ τοῦτο τὸ σύγγραμμα τὸν Τίμαιον, ἐδείκνυεν εἶναι τῷ γένει σάρκα. καὶ μὲν δὴ καὶ Ἀριστοτέλης, ὅταν εἴπῃ μαλακὸν μὲν εἶναι τὸ ὑπεῖκον εἰς αὐτὸ, σκληρὸν δὲ τὸ μὴ ὑπεῖκον, ὡσαύτως ἔοικεν ἀποφαίνεσθαι τῷ Πλάτωνι, καὶ μάλιστα ὅτι πρὸς τὴν ἁφὴν τὰ τοιαῦτα κρίνεσθαί φησιν, ὡς πρὸς μεσότητα. τὸ δ' ἐν τῇ πρὸς ὁτιοῦν παραβολῇ σκληρὸν, ἢ μαλακὸν, ἐν τῷ μᾶλλον ἢ ἧττον ὑπείκειν, ἢ μὴ ὑπείκειν, φαίνεται κρίνεσθαι. καὶ δὴ καὶ αὐτὸ τὸ δέρμα τὸ ἡμέτερον, ἢ τὸν μῦν, ἢ τι μόριον ἕτερον, ὅταν εἴπωμεν ἐσκληρῶσθαι, τῇ κατὰ φύσιν αὐτοῦ καταστάσει, τὴν ἐπίκτητον διάθεσιν παραβάλλοντες οὕτως ὀνο-
D μάζομεν. ἔστι δὲ δήπου τῶν οὕτως ἐχόντων σωμάτων, ἡ εἰς τὸ κατὰ φύσιν ἐπάνοδος μάλαξις.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Κατὰ πόσους τρόπους γίνεται τὰ σκληρά; ἢ ξηραινόμενα, ἢ πηγνύμενα ἢ ὑπερπληρούμενα, ἢ κατὰ συζυγίαν τινὰ τούτων.

ΕΠεὶ δὲ πολυειδῶς ἕκαστον γίνεται σκληρότερον, ἢ ξηραινόμενον, ἢ πηγνύμενον, ἢ ὑπερπληρούμενον, ὡς διατείνεσθαι σφο-
E δρῶς, ἢ κατὰ συζυγίαν τινὰ πάσχον, κατ' αὐτὰ καὶ τὸ μαλάττεσθαι καθ' ἕκαστον αὐτῶν ἴδιον ἔσται· διελώμεθα οὖν ὑπὲρ ἁπάντων ἑξῆς, ἀναμνήσαντες πρότερον, ὡς τὸ τῶν ὀνομάτων τε καὶ ῥημάτων εὐχερὲς, τὰ μὲν πολλὰ οὐκ ἀγεννές, ἀλλὰ μᾶλλον τὸ τούτου ἐναντίον ἀνελεύθερόν ἐστιν, ὅτε μὴ ἀναγκαῖον γίγνεται διαστέλλεσθαι περὶ αὐτῶν. οὕτω γὰρ, ὅτε Πλάτων ἔλεγεν, ἡμῖν τε νῦν εἰς τὰ παρόντα, διελέσθαι περὶ τῶν τοῦ σκληροῦ σημαινομένων ἀναγκαῖόν ἐστιν, αὖθις ἀπὸ τῶν αὐτῶν, ὧν ἀρτίως εἰρήκαμεν, ἐπαρξαμένοις. τὸ μὲν γὰρ ὑπεῖκον εἰς ἑαυτὸ, μαλακόν ἐστιν, ἐάν γε ἁπλοῦν ὑπάρχῃ σῶμα. τὸ δ' ἐκ πλειόνων συγκείμενον, ἤτοι ψαυόντων, ὡς ὁ τῶν πυ-
F ρῶν σωρὸς, ἢ ἐπιπεπλεγμένων πως, ὡς ὁ πόκος ἢ τὰ πλόκαμα, δύναιτ' ἂν ὑπείκειν τε ἅμα καὶ μὴ εἶναι μαλακόν. ἔμπαλιν δ' ἐπὶ τῶν πεπληρωμένων ἀκριβῶς, οἷον ἀσκῶν, ἢ κύστεων, οὐχ ὑπείκει μὲν εἰς αὐτὸ τὸ συναμφότερον, οὐ μὴν σκληρόν γέ ἐστι τὸ περιεχόμενον, ἀλλ' οὐδὲ τὸ περιέχον ὁπότε πεπλήρωται, σκληρότερον ἑαυτοῦ γέγονεν, ἤ τινα ἐπίκτητον ἑτέραν εἴληφε διάθεσιν,

ὅτι μὴ τέταται μόνον ἐκ τοῦ τέως κεχαλασμένου. τὸ μὲν οὖν τοιοῦτον, ἀντίτυπον ἔγωγε καλῶ, καὶ οὐ σκληρόν, ὅταν ἀκριβολογεῖσθαι προέλωμαι. συγχωρῶ μέντοι, εἴ τις ἐθέλοι καὶ σκληρὸν ὀνομάζειν, καὶ αὐτὸς οὕτω καλῶ πολλάκις ἐκεῖνο μόνον ἀναμιμνήσκων, ὅτι μήτε μία φύσις ἐστὶ τῶν ἐσκληρυμμένων, μήθ' ἓν ἴαμα. τὸ μὲν γὰρ ὑπὸ ξηρότητος σκληρωθὲν, ὑγρανθῆναι δεῖται, τὸ δὲ ὑπὸ πήξεως, θερμανθῆναι, τὸ δ' ὑπὸ πληρώσεως, κενωθῆναι, τὸ δ' ὑπὸ ξηρότητος, ἅμα καὶ πήξεως, ὑγρανθῆναί τε καὶ θερμανθῆναι. τὸ δ' ὑπὸ πήξεως ἅμα καὶ πληρώσεως, θερμανθῆναί τε καὶ κενωθῆναι. ξηραίνεται μὲν οὖν ἄνευ πήξεως, ἔν τε γυμνασίοις ἀμέτροις τὰ σώματα, καὶ ἡλίῳ σφοδρῷ, καὶ ἐνδείαις ἰσχυραῖς, καὶ πυρετοῖς καυσώδεσι, καὶ φαρμάκοις τισὶν, ὅσα ξηραίνει μὴ ψύχοντα. πήγνυται δ' ὑπὸ μόνης ψύξεως ἰσχυρᾶς, ὥσπερ καὶ πληροῦται δι' ἐπιρροὴν ὑγρότητος δαψιλοῦς. ξηραίνεται δὲ ἅμα καὶ πήγνυται, συνδραμόντων ἐς ταὐτὸ τῶν συμπῆξαι δυναμένων αἰτίων, οἷον εἴ τις ὑπερπονήσειεν ἐν κρύει. οὕτω δὲ καὶ πληροῦται, καὶ πήγνυται διὰ ῥεῦμα ψυχρὸν, ἤ τινα ψύξιν τοῦ μορίου. τῆς ψύξεως δ' αὖ πάλιν αἰτία τριττή, μία μὲν ἐκ τῶν ἔξωθεν προσπιπτόντων, οἷον ἀέρος, ὕδατος, ἢ φαρμάκου, καθάπερ ἐπὶ τῶν ἐρυσιπελάτων ἐργάζονται πολλάκις, ἑτέρα δὲ ἡ τοῦ πάσχοντος μέρους οἰκεία κρᾶσις. ἄλλη δ' ἐπ' αὐταῖς τρίτη παρὰ τοῦ ῥεύσαντος εἰς αὐτὸ χυμοῦ γινομένη, πολλάκις γὰρ ἐκεῖνος μὲν ἤδη θερμότερος ἑαυτοῦ γέγονεν, ἤτοι σηπόμενος, ἢ ἐκ τῶν ψαυόντων αὐτοῦ μορίων τὴν φύσιν θερμῶν, μεταβαλλόμενος, ἣν δὲ προσεπετείνατό τινι μορίῳ τὴν φύσιν ψυχροτέρῳ ψύξιν, ἕως πολλοῦ παραμένει. κατὰ τοσούτους μὲν τρόπους σκληρύνεταί τε καὶ μαλάττεται τὰ σώματα. τὸ μέν τοι μαλακτικὸν φάρμακον, οὐκ ἐπὶ πάντας ἔοικε φέρειν τοὺς τρόπους, ἀλλ' ἐξαιρέτως ἐπὶ τοὺς διὰ πῆξιν ἐσκληρυμμένους, ἔτι δὲ μᾶλλον, εἰ καὶ περιεχομένη τις ὑγρότης ἐν αὐτοῖς εἴη παρὰ φύσιν, ὡς ἐπὶ τῶν ἐσκιρρωμένων. εἰ γὰρ διὰ ξηρότητα, σκληρὸν εἴη γεγονὸς, ὑγραίνειν μᾶλλον, οὐ μαλάττειν τὸ τοιοῦτον κελεύουσιν, ὥσπερ γε καὶ τὰ πεπληρωμένα, κενοῦν οὐ μαλάττειν. ἀλλὰ περὶ μὲν τῶν ὀνομάτων, οὔτ' ἐρίζειν καλὸν, οὔτ' ἀκριβοῦν ἀναγκαῖον. ἐπὶ δὲ ταῖς ἐν τοῖς πράγμασι διαφοραῖς ἰέναι βέλτιον, ἐν αἷς καὶ τὸ σφάλμα, μεγάλην τοῖς ἀρρωστοῦσι φέρει τὴν βλάβην. τὸ μὲν οὖν ἐξηρασμένον, τῶν ὑγραινόντων δεῖται φαρμάκων, ὑπὲρ ὧν καὶ ἤδη μοι πρόσθεν αὐτάρκως εἴρηται, τὸ δὲ πεπηγὸς ὑπὸ ψύξεως, θερμαινόντων. οὐκ ἀγνοεῖται δὲ οὐδὲ ταῦτα, τὸ μέν τοι γε πεπληρωμένον, ἢ ψυχόντων ἢ θερμαινόντων, ἢ τῶν ἰδίως ὀνομαζομένων ξηραινόντων. ἐκκενοῖ γὰρ τὴν περιττὴν ὑγρότητα ταῦτα σύμπαντα, καθ' ἴδιον ἕκαστον λόγον. ὅσα μὲν ψύχει κατὰ διττὸν τρόπον, ἀποκρουόμενά τε ἅμα καὶ συνεξάγοντα τῷ θερμῷ νοτίδα πολλὴν, ὡς Ἀριστοτέλης ἐδίδασκεν. ὅσα δὲ θερμαίνει, τῷ λύειν εἰς ἀτμοὺς μὲν τὸ περιεχόμενον ὑγρὸν ἐν τοῖς θερμαινομένοις σώμασιν, ὅσα δὲ ξηραίνει, καθάπερ τὰ διαφορητικὰ προσαγορευόμενα κατὰ διττὸν καὶ ταῦτα τρόπον, ἢ ἀναπίνοντα τὰς ὑγρότητας, ὅταν ἐν πόροις τισὶν ὑπάρχωσιν, ἢ ὅλον ἀλλοιοῦντα τὸ μόριον. ὅστις δ' ἑκάστου ὁ καιρὸς τῆς χρήσεως, οὐ τῆς ἐνεστώσης πραγματείας, ἀλλὰ τῆς θεραπευτικῆς ἐστι μεθόδου. ὅσα δ' ὑπὸ ψύξεώς τε ἅμα καὶ ξηρότητος ἐσκλήρυνται, θερμαίνειν ὁμοῦ ταῦτα, καὶ ὑγραίνειν προσήκει, οὐχ οἷάπερ τὰ διαπυΐσκοντα, θερμότητι ἅμα καὶ ὑγρότητι συμμέτρῳ κατὰ φύσιν, ἀλλ' ἐπὶ τοσοῦτον μὲν εἶναι χρὴ τὸ φάρμακον θερμότερον, ἐφ' ὅσον ἡ ψύξις ἐκράτησεν, ἐπὶ τοσοῦτον δ' ὑγρότερον, ἐφ' ὅσον ἡ ξηρότης. ἔστι δὲ καὶ τούτων μέτρον ὁρίσαι, τῆς θεραπευτικῆς μεθόδου.

A nisi quòd nunc tensum est, quod hactenus fuerat laxum. Quamobrem ego id renitens, non durum appello, quando nimirum accuratiùs loqui propono; permitto tamen qui velit durũ appellare; quin & ipse persæpè sic nuncupo. Sed illud tamen moneo, non vnam esse induratorum naturam, neque vnam medelam; nam quod à siccitate induratum est, humectari postulat; quod verò à congelatione, excalefieri, quod autem à repletione, inaniri; quod denique à siccitate simul concretionéque, humectari simul, ac concalescere, quod verò à congelatione pariter, & impletione, pariter quoque, & calefieri, & euacuari. Siccantur itaque corpora citra B congelationem, tum in validis exercitiis, tum in Sole feruenti, tum in inedia ingenti, tum in febre ardenti, & medicamentis, quæ ita siccant, vt non refrigerent quoque. Congelantur à vehementi duntaxat frigore; sicut sanè & implentur à largi humoris affluxu. At siccantur simul, & congelantur, coëuntibus, quæ simul conuenire possunt causis, vt si quis supra modum laboret in frigore. Sic quoq; replentur simul, & congelantur ab influxu frigido, aut partis refrigeratione. Frigoris rursus ipsius causa triplex est: Vna foris incidentibus, puta aëre, aqua, medicamento, quemadmodũ sæpè C factitant in erysipelatis; altera est propria patientis particulæ tẽperies, tertia ab influente in ipsam humore prouenit; nam is sæpenumero se ipso calidior effectus est, aut putrescens, aut contactu calidarum natura partium alterascens; quum interim, quod partibus natura frigidioribus effricuit frigus, plurimo perduret tẽpore. Atque tot quidem modis corpora, tum indurantur, tum molliuntur. At medicamentũ emolliens, non de omnibus his modis efferre videntur, sed peculiariter de iis, quę congelatione induruerunt, magísque etiam si in eis contentus sit humor præter naturam, velut in D scirrhosis. Quippe si à siccitate induruerit, humectare potiùs, non mollire id præcipiunt, sicut impleta euacuare, non emollire. Sed de nominibus, neque contendere honestum est, neque curiosum esse est necesse; verùm rerum insistere diuersitatibus præstat; in quibus si quid peccatur, ingens ægrotis damnum malúmque prouenit. Itaque quod resiccatum est, humectantia poscit remedia, de quibus supra abundè disserui. At quod à frigore congelatum est, excalefacientia postulat; quæ nec ipsa obscura sunt. At quod impletum est, aut refrigerãtia requirit, aut calefacientia, aut quæ propriè E vocantur siccantia; vniuersa siquidẽ hæc humorẽ superfluum euacuant, sed sua, ac peculiari quodq; ratione; frigida quidem duobus modis, nempe repellentia, simúlque cum calore multam educentia humiditatẽ, sicut Aristoteles docuit; quæ verò excalefaciunt, dum contentũ in calescentibus corporibus humorẽ in vapores dissoluunt quæ autẽ desiccant, velut quæ vocantur diaphoretica, hoc est per halitum digerentia, & ipsa duplici ratione, aut humores ebibentia, quum poris quibusdã insunt, aut totã alterantia partẽ. Verùm quãdo tẽpestiuus, cuiusque sit vsus, non est præsentis negocij definire, sed ad curandi attinet methodũ. Quæ verò à F frigore pariter, & siccitate induruere, ea excalefacere pariter, & madefacere expedit, non sicut pus mouẽtia, calore, & humiditate secundũ naturã tẽperatis, sed tanto esse medicamentũ expedit calidius, quanto exuperauit frigiditas; tantóque humidius, quanto & vicit siccitas; in quibus mensuram finire ad curandi itidem methodum pertinet.

Sufficiat

Sufficiat autem hîc medicamentorum speciei formulam quandam exponere, idque pauculis exemplis. Igitur oleum, & aqua calida humectant simul, & excalefaciunt. Quòd si ambo in vnum misceantur, multo magis, tum excalefaciet, tum humectabit, quod ex ambobus erit mixtum, sicut aquæ potabilis balnea cum oleo copioso. Idem efficit eduliorum qualitas, si similiter habeat. Itaque ingentis famis illiusmodi sunt remedia; est enim ea affectio frigiditas iuncta siccitati, & sanatio eius per contraria perficitur. Enim verò cataplasma quod ex farina triticea conficitur, in temperatis naturis pus mouens, nec quicquam naturalis partium humiditatis aufert, quod quidem relatu sit dignum, multóque magis, nec apponit; sicut nec calorem intendere potest, nec hebetare, sed tantùm in substantia ipsa augere. Cæterùm non idem est, qualitatem intendere, & augere substantiam. Sed hæc paulo post accuratiùs ostendam. Attamen id genus medicamenta humida, calidáque dicimus, non ceu calidiora humidioráque, quàm nostra sit substantia, sed ceu similem habentia nobis temperiem, quæ calida, & humida est iuxta veterum sermonem, velut in libris De temperamentis ostendimus. Nec tamen, sic aquam humidam, aut galbanum calidum dicimus; sed illam, tanquam quæ carnem nostram riget, hoc tanquam quod calefaciat. Nam tametsi aqua calida euacuare partes, quę per humorum influxum contumuerunt, valeat, similares tamen saltem omnino humectat, sicut in primo libro à me monstratum est.

CAPVT VI.

De medicamentis pus mouentibus.

Medicamēta itaq; quæ pus mouent, eo quòd perinde, vt aqua calida excalefaciāt, superfluum in spatiis vacuis contētum humorem discutiunt, sicut in libello De inæquali intēperie monstrauimus. Ipsis tamē similaribus corporibus secūdū naturā affectis, humiditatis nihil, neq; adiiciūt, neque adimūt, quod quidē manifestū sit, & sentiri queat, quippe quū tēperiē possideāt æqualē, earū substantiā tueri potius, quā alterare possunt. Nā in suppurationibus humiditas quidē alteratur, itēq; si qua sit caro cōtusa; cætera verò, quæ secūdū naturā habēt substātiā suā seruāt. Etenim quū tres in animaliū corpore fiāt alterationes, vnà planè secūdū naturā est, quū videlicet in ventre cibus coquitur, aut in visceribus, & vasis, qui inibi generatur succus, vnde rursū pars vnaquæq; nutriatur; altera contra planè præter naturam, nēpe in putrescentibus omnibus, atque hæ quodāmodo inuicem sibi cōtrariæ sunt; tertia ex vtraq; mixta, & media est, partim quicquā obtinens primæ, ac secundū naturam, partim huius contrariæ, quæ est præter naturam. Siquidem alterationi secundū naturam duo hæc insunt, vt & ex familiari animantis materia fiat alteratio, & ab ingenito calore planè superetur; ei verò, quæ præter naturam est, & ab aliena caliditate mutatio prouenit, & ad nihil vtile; at media earū, quæ scilicet suppurationes comitatur, ab ingenito quidem fit calore, sed non planè vincente; neq. enim ex materia peragitur, quæ prorsum benigna sit, neque tamen ex omnino aliena. Itaque quēadmodū alterationes secundū naturā, quæ ab innato proueniūt calore, à simili extrinsecus iuuātur, pari modo, & quæ in mouēdo pure cōspicitur.

A τύπον δ᾽ ἀρκέσει τινὰ τῆς τῶν φαρμάκων ἰδέας ἐνταυθοῖ διελθεῖν, ἐπὶ παραδειγμάτων ὀλίγων. ὑγραίνει τοίνυν καὶ θερμαίνει τὸ ὕδωρ τὸ θερμὸν, καὶ τοὔλαιον. εἰ δὲ καὶ μιχθείεν εἰς ταὐτὸ ἀμφότερα, πολὺ δὴ μᾶλλον ὑγραῖνον ἅμα καὶ θερμαῖνον ἔσται τὸ μικτὸν ἐξ αὐτῶν, ὥσπερ καὶ λουτρὰ τῶν ποτίμων ὑδάτων, σὺν ἐλαίῳ δαψιλεῖ. ταὐτὸ δὲ τοῦτο ἐργάζεται, καὶ ἡ τῶν ἐδεσμάτων ποιότης ὡσαύτως ἔχουσα, διὰ τοῦτο καὶ τῶν βουλιμιῶν ἰάματα τοιαῦτα τετύχηκεν ὄντα. ψύξιν γὰρ ἅμα ξηρότητι τὸ πάθος ἔχει, καὶ ἡ ἴασις αὐτῶν, διὰ τῶν ἐναντίων. τὸ μέν τοι δι᾽ ἀλεύρου πυρίνου κατάπλασμα, τὰς εὐκράτους φύσεις διαπυΐσκον, οὔτ᾽ ἀπάγει τι τῆς κατὰ φύσιν ἐν τοῖς μορίοις ὑγρότητος, ὅτι καὶ ἄξιον λόγου, καὶ πολὺ μᾶλλον οὐδὲ προστίθησιν, ὥσπερ οὐδὲ τὴν θερμασίαν, οὔτε ἐπιτείνειν πέφυκεν, οὔτ᾽ ἀμβλύνειν, ἀλλὰ κατὰ μόνην αὐξάνειν τὴν οὐσίαν. ἔστι δὲ οὐ ταὐτὸ ἐπιτεῖναι τὴν ποιότητα, καὶ τὴν οὐσίαν αὐξῆσαι. διελθήσεται δὲ καὶ ταῦτα ἀκριβέστερον ὀλίγον ὕστερον. τὰ μὲν δὴ τοιαῦτα τῶν φαρμάκων, ὑγρὰ καὶ θερμὰ λεγόμενα, οὐχ ὡς ὑγρότερα καὶ θερμότερα τῆς ἡμετέρας οὐσίας, ἀλλ᾽ ὡς παραπλησίας ἡμῖν ὑπάρχοντα κράσεως, ὑγρᾶς καὶ θερμῆς οὔσης κατὰ τὸν παλαιὸν λόγον, ὡς ἐν τοῖς περὶ κράσεων εἴπομεν. οὐ μὴν οὕτως, ἢ τὸ ὕδωρ ὑγρὸν, ἢ τὴν χαλβαίνην θερμὴν εἶναί φαμεν, ἀλλὰ τὸ μὲν, ὡς τέγγον τε καὶ διαβρέχον ἡμῶν τὴν σάρκα, τὴν δὲ, ὡς θερμαίνουσαν. εἰ γὰρ καὶ θερμὸν εἴη τὸ ὕδωρ, ὡς κενοῦν ἐνίοτε δύνασθαι τὰ καθ᾽ ἐπιρροὴν ὑγρῶν εἰς ὄγκον ἐξηρμένα, τά γε οὖν ὁμοιομερῆ πάντως ὑγραίνει, καθότι κἀν τῷ προτέρῳ μοι δέδεικται λόγῳ.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῶν ἐκπυϊσκόντων φαρμάκων.

Τὰ τοίνυν ἐκπυΐσκοντα φάρμακα, τῷ μὲν θερμαίνειν ὁμοίως ὕδατι θερμῷ, διαφορεῖ τὴν περιττὴν ὑγρότητα, τὴν ἐν ταῖς κεναῖς χώραις περιεχομένην, ὡς ἐν τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας ἐπιδέδεικται γράμματι. τοῖς μέν τοι κατὰ φύσιν ἔχουσι σώμασιν αὐτοῖς τοῖς ὁμοιομερέσιν, οὐδὲν προστίθησιν ὑγρότητος, ὥσπερ οὐδ᾽ ἀφαιρεῖ τι σαφὲς, οὐδ᾽ αἰσθητόν. ἴσα γὰρ ὑπάρχοντα ταῖς κράσεσι, φυλακτικὰ τῆς οὐσίας αὐτῶν ἐστιν, ὡς κατὰ μηδὲν ἀλλοιοῦν. ἐν γοῦν ταῖς ἐκπυήσεσιν, ἡ μὲν ὑγρότης ἀλλοιοῦται, κἂν εἴ πού τις εἴη σὰρξ τεθλασμένη, τὰ δ᾽ ἄλλα πάντα τὰ κατὰ φύσιν ἔχοντα, διασώζει τὴν ἑαυτῶν οὐσίαν. τριῶν γὰρ γινομένων ἀλλοιώσεων ἐν τοῖς τῶν ζώων σώμασιν, ἡ μέν τις ἀκριβῶς ἐστι κατὰ φύσιν ἔχουσα, ὅταν ἐν τῇ γαστρὶ πέττηται τὸ σιτίον, ἢ ἐν τοῖς σπλάγχνοις, καὶ ἀγγείοις ὁ γεννηθεὶς ἐνταῦθα χυλὸς, ἵνα ἐκ τούτου πάλιν τρέφηται ἕκαστον μέλος· ἡ δέ τις ἀκριβῶς παρὰ φύσιν, ἐν ἅπασι τοῖς σηπομένοις. αὗται μὲν οὖν ἐναντίαι πως ἀλλήλαις εἰσίν. ἡ τρίτη δ᾽ ἐπίμικτος ἐξ ἀμφοῖν, καὶ μέση, τὸ μέν τι τῆς πρώτης τε καὶ κατὰ φύσιν ἔχουσα, τὸ δὲ τῆς ἐναντίας αὐτῆς, τῆς παρὰ φύσιν. ὑπάρχει γὰρ τῇ μὲν κατὰ φύσιν, δύο ταῦτα, τό τε ἐξ οἰκείας ὕλης τῷ ζώῳ τὴν ἀλλοίωσιν γίγνεσθαι, τό δ᾽ ὑπὸ τῆς ἐμφύτου θερμότητος ἀκριβῶς κρατεῖσθαι. τῇ δὲ παρὰ φύσιν, ὑπ᾽ ἀλλοτρίας τε θερμότητος ἡ μεταβολὴ, καὶ εἰς οὐδὲν χρηστόν. ἡ μέση δ᾽ αὐτῶν, ἡ κατὰ τὰς ἐμπυήσεις ἑπομένη, ὑπὸ μὲν τῆς ἐμφύτου γίνεται θερμότητος, οὐ μὴν ἀκριβῶς γε κρατούσης· οὐδὲ γὰρ ἐξ ὕλης ἀκριβῶς χρηστῆς οὔσης ἐπιτελεῖται, ὥσπερ οὐδὲ παντάπασιν ἀλλοτρίας. ὡς οὖν αἱ κατὰ φύσιν ἀλλοιώσεις ὑπὸ τῆς ἐμφύτου γινόμεναι θερμότητος, ὑπὸ τῆς ὁμοίας ἔξωθεν ἐπικουροῦνται, κατὰ τὸν αὐτὸν τρόπον, καὶ ἡ περὶ τὰς διαπυήσεις.

ἴσμεν γοῦν οὐδὲν οὕτως τὴν κατὰ γαστέρα πέψιν συντελοῦν, ὡς A ἀνθρώπειον σῶμα, ψαῦον αὐτῆς. καί τινες παιδία περιτιθέμενοι νύκτωρ, ἐναργεστάτης ὠφελείας αἰσθάνονται ἀναπαυόμενοι. συμφυλοτέρα γὰρ ἥδε, καὶ οἰκειοτέρα πολὺ τῆς διὰ τῶν πυριάσεών ἐστιν. ἔνιοι δὲ καὶ κυνίδια σμικρὰ, τῆς αὐτῆς ἕνεκεν ὠφελείας ἀναπαυόμενοι περιτίθενται τῇ γαστρὶ, τὸ πλῆθος αὔξοντες τῆς πεττούσης τὰ σιτία θερμότητος, οὐ τὴν ποιότητα. τοιοῦτον οὖν εἶναι χρὴ καὶ τὸ τῇ διαπυήσει συλληψόμενον φάρμακον, οἷόν περ καὶ αὐτὸ τὸ ἔμφυτον ὑπάρχει θερμὸν ἐν ταῖς εὐκράτοις φύσεσιν. εἰ δὲ θερμοτέρα τοῦ δέοντος ἡ φύσις ὑπάρχει, τὸ διαπυΐσκον φάρμακον ἐν ἐκείνῳ τῷ σώματι, θερ- B μότερον εἶναι δεήσει, καὶ τοσούτῳ γε τοῦ συμμέτρου θερμότερον, ὅσῳ καὶ ἡ φύσις ἐστὶ τῆς εὐκράτου θερμοτέρα, ὥστε καὶ τοῦτο μὲν ἤδη πρόδηλον ἐκ τῆς θεραπευτικῆς ὑπάρχει μεθόδου, τὸ καθ' ἕκαστον ἄνθρωπον ἴδιον εἶναι τὸ διαπυΐσκον φάρμακον. οὐχ ἥκιστα δὲ καὶ τὸ πολλάκις ἡμῖν ἀποδεδειγμένον ὑπὸ τούτων μαρτυρεῖται, τὸ χρῆναι πάσας τῶν φαρμάκων τὰς δυνάμεις, πρὸς τὸν ἄριστα κεκραμένον ἄνθρωπον ἐξετάζεσθαι. μηδὲ γὰρ συστῆναι δύνασθαι τέχνην μηδεμίαν, εἰ μὴ πρότερον εἶναι κανόνα τινὰ καὶ σκοπὸν τῷ γένει τῆς ὕλης ἐν ᾗ καταγίνεται θέμενος, πρὸς ἐκεῖνον ἤδη τὰ κατὰ μέρος ἀπευθύνοι πάντα. πάλιν οὖν ὑποθέμενοι τῷ C λόγῳ τὸν ἄριστα κεκραμένον ἄνθρωπον εἶναι σκοπόν τινα, πρὸς ἐκεῖνον ἀναφέροντες, ἐκπυΐσκον τι λέγομεν εἶναι φάρμακον ἕτερον τοῦ μαλάττοντος τὰ σκιρρούμενα, τάς τε κράσεις αὐτῶν ὑπάρχειν οἵας ἔμπροσθεν ἔφαμεν εἶναι, τοῦ μὲν εἰς πύου γένεσιν συντελοῦντος τῇ φύσει, σύμμετρόν τε καὶ ὁμοίαν τῷ προσάγεται σώματι. τῷ δὲ εἶναι τὴν φύσιν ἡμῶν ὑγρὰν καὶ θερμὴν, ὑγρὰ καὶ θερμὰ τὰ τοιαῦτα πολλάκις ὀνομάζεσθαι φάρμακα. τοῦ δὲ μαλάττοντος τὸ σκιρρούμενον, πολὺ μὲν θερμότερον τῆς εὐκράτου φύσεως, οὐ μὴν ἰσχυρῶς γε ἤδη θερμήν.

A Nam nihil æquè concoctioni ventris conferre nouimus, atque corpus humanum illum contingens. Proinde quidam puellos noctu admouentes per quietem, longè euidentissimum adiumentum sentiunt; confert siquidem amplius, magísque multo familiaris est eo calore, qui à fomentis paratur. Eiusdem gratia vtilitatis quidam paruos catellos per quietem ventri imponunt, copiam coquentis cibos caliditatis adaugentes, non qualitatem. Tale esse debet quod ad mouendum pus adhibebitur medicamentum, qualis est in naturis temperatis calor natiuus. At si iusto calidior natura fuerit, in eo corpore, quod pus mouebit medicamentum, calidius sit oportet, tanto nimirum temperato calidius, quanto & natura eius temperatam in caliditate exuperat. Itaque clarum iam illud est ex curandi methodo, cuiusque sigillatim hominis suum, ac proprium esse puris mouendi medicamentum. Nec minùs illud constat, quod sæpenumero iam demonstratum horum comprobatur testimonio, omnes medicamentorum facultates, vt ad optimè temperatum hominem explorandas. Siquidem nulla constitui ars possit, nisi priùs velut regula, ac scopo generi materiæ, in qua id versatur, constituto, ad illum iam particularia omnia C dirigantur. Rursum ergo proposito tanquam scopo quodam in hoc sermone, optimè temperato homine, eius respectu aliud esse dicimus medicamentum pus mouens, quàm quod indurata emollit; esséque eorum temperaturas, quas superiùs esse posuimus, eius quidem, quod naturæ in mouendo pure auxilio est, commoderatam, & similem ei corpori, cui admouetur; ac proinde quod natura nostra humida sit, & calida, humida calidáque medicamenta eiusmodi frequenter appellari; eius verò quod indurata emollit, temperata natura multo calidiorem, non tamen iam valdè calidam.

D

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἀρχὴ τοῦ σκίρρου.

Ἄρχεται μὲν γὰρ ἡ τῶν σκιρρουμένων διάθεσις ἐκ ῥεύματος γλίσχρου τε καὶ παχέος ἐν μικροῖς πόροις τοῦ μορίου σφηνωθέντος. διαφορηθείσης δὲ τῆς ἐν αὐτῷ λεπτομεροῦς ὑγρότητος, εἶτα τῆς ὑπολοίπου, ψυχθείσης τε, καὶ εἰς πῆξίν τινα λαβούσης, ἡ καλουμένη σκίρρωσις ἕπεται, καὶ διὰ τοῦτο, καὶ ψυχρὸν εἶναι τὸ πάθος φασὶν, καὶ ἴασις αὐτοῦ διὰ τῶν θερμαινόντων. ἀλλ' ἐπεὶ μετὰ ψύξεως ἡ ὑγρότης περιττὴ, σύνθετον ἔσται καὶ τὸ E ἴαμα, διὰ μὲν τὴν ψύξιν, τῶν θερμαινόντων δεομένης τῆς διαθέσεως, διὰ δὲ τὴν ἀλλοτρίαν τε, καὶ περιττὴν ὑγρότητα, τῶν ἐκκενούντων. ὅθεν οὐδὲ θεραπεύεται τῶν σκιρρουμένων οὐδὲν, οὔθ' ὑπὸ τῶν σφοδρῶς ξηραινόντων, οὔθ' ὑπὸ τῶν ἰσχυρῶς θερμαινόντων, οὔθ' ὑπὸ τῶν ταῦτ' ἄμφω δυναμένων. τὰ μὲν γὰρ σφοδρῶς θερμαίνοντα, διαφορήσαντα βιαίως τὸ παρακείμενον, καὶ περιεχόμενον ἐν τοῖς μορίοις ὑγρὸν, ἀποξηραίνει τὸ ὑπόλοιπον, ὡς ἀνίατον γενέσθαι· τὰ δὲ σφοδρῶς ξηραίνοντα, κἂν μὴ θερμαίνῃ, ταῦτα, οὐδὲ διὰ μέσου, τοῦ κενοῦντος τὸ λεπτομερὲς, ἀλλ' ἄντικρύς τε, καὶ κατὰ τὴν ἑαυτῶν φύσιν, εἰς ἄκρον ξηρότητος προσά- F γει τὸ ἐσφηνωμένον ἐν τοῖς σκιρρουμένοις ῥεῦμα. μόνα τοίνυν ὅσα θερμαίνει μὲν οὐ μὴν σφοδρῶς, ἅμα τῷ μηδὲ ξηραίνειν ἰσχυρῶς, ἰᾶται τὰς τοιαύτας διαθέσεις, καὶ καλεῖται τὰ τοιαῦτα φάρμακα μαλακτικὰ, καθ' ἕνα καιρὸν ἄμφω δρῶντα, καὶ χέοντα τὸ πεπηγὸς, καὶ κατὰ βραχὺ διαφοροῦντα,

CAPVT VII.

De ortu scirrhi.

ORitur autẽ induratorũ affectio ex fluxione lenta, & crassa, paruis particulæ poris siue meatibus impacta; digesta verò per halitũ, quæ in ea parte est, tenui humiditate, ac deinde quod reliquũ est refrigerato, ac velut cõgelato, vocata sequitur scirrhosis. Ac proinde frigidũ affectũ aiunt, & per calefacientia curari. Porrò quoniam cum frigiditate humiditas redundat superflua, idcirco etiam cõpositam eius esse medelã, ob refrigerationem scilicet calefacientia poscẽte affectu, ob alienã verò, & superuacaneam humiditatẽ, euacuantia. Vnde fit vt eorũ, quæ scirrhi in morem indurata sunt, nullũ curari valeat, neque à validè exiccantibus, neque à fortiter excalefacientibus, neq; ab iis, quæ vtraq; hæc præstare possunt. Nã quæ validè excalefaciunt hærens, ac contentũ in particula humidũ violenter digerentia, atq; elicientia, reliquum omne exiccãt, & incurabile cõstituunt; quę verò fortiter exiccant, etiamsi non excalefaciant, tamen ipsa non per medium, euacuando scilicet quod subtile est, sed ex professo ac ex natura sua, ad summã duritiem infixã particulæ fluxionẽ adigunt. Sola igitur ea, quæ calefaciunt, sed non admodũ vnáq; exiccant non magnopere, eiusmodi sanare affectus possunt; vocatúrq; ea medicamẽta emolliẽtia eodẽ tẽpore vtrũq; agẽtia, nẽpe quod cõgelatũ est fũdẽtia, & sẽsim per halitũ digerẽtia.

CAP.

A

CAPVT VIII.

Emollientia medicamenta in hoc à pus mouentibus differunt, quòd emollientia calida sint, & moderatè desiccent humiditatem in partibus; pus autem mouentia nostris corporibus similem calorem obtineant, & quæ in eis est humiditatem seruent.

QVapropter calida sunt id genus medicamēta, nec admodum sicca, atque à pus mouentibus eo dissidentia, quòd calidiora sint, & ficciora. Illa enim cognatam, ac simillimam corporibus nostris caliditatē possidēt; emollientia verò licèt validiorē habeant, non tantam tamen, vt attractionis violentia reliquum desiccent. Præterea ea quæ pus mouent, humorem qui præfuit in partibus induratis, seruant; emollientia verò paulum quiddā eius absumunt. Proinde quamuis innumera sint calefacientia simul, atque exiccantia medicamenta, sola tamen ea, quæ conuenientem, ac symmetrum calorem possident, vnáque illi respondentem sortita sunt ficcitatem, mollire, quæ scirrhi instar indurata sunt, possunt; quale est bdellium, styrax, galbanum, ammoniacum, thymiama, medulla, tum ceruina, tum vitulina, adeps caprinus, & taurinus, & quæ eius sunt generis. Nam nunc consilium non est omnem expromere materiam sed solùm de id genus facultatibus omnibus generalem constituere doctrinam. Præstat namq; in genere de pus mouentibus, atque emollientibus cognoscere, quòd illa æqualē accendunt calorem ei, qui est in homine secundum naturam; quæ verò emolliunt, multo maiorem. Quocirca illa quidem quantitate potius, quàm qualitate caloris agere sunt nata; at quæ indurata emolliunt, qualitate potius. Itaque si in parte, quæ suppuratione indiget, assiduè impositas seruare manus, aut aliam quamuis partem possibile foret, celerrimè sic suppuratio procederet. Pari quoque modo si medicamentum hominis temperiei sit quamsimillimū, ocyssimè concoquet, quod in pus verti debet; vt est nonnunquam caro, nimirum vbi contusa fuerit, interdum verò humor, qui phlegmonē produxit.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Διαφέρει τὰ μαλακτικὰ τῶν διαπυισκόντων, ὅτι τὰ μὲν μαλακτικὰ θερμά τε ἐστὶ καὶ μετρίως ἀναξηραίνει τὴν ἐν αὐτοῖς τοῖς μορίοις ὑγρότητα· τὰ δὲ διαπυΐσκοντα ὁμοίαν μὲν ἔχει θερμότητα τοῖς ἡμετέροις σώμασι, φυλάττει δὲ τὴν ἐν αὐτοῖς προϋπάρχουσαν ὑγρότητα.

Θερμὰ τοίνυν ἐστὶ, καὶ οὐ πάνυ τι ξηρὰ πάντα τὰ τοιαῦτα φάρμακα, διαφέροντα τῶν ἐκπυϊσκόντων, τῷ θερμότερα παρ' ἀρχὴν αὐτῶν καὶ ξηρότερα. τὰ μὲν γὰρ σύμφυλόν τε, καὶ ὁμοιοτάτην ἔχει τοῖς σώμασιν ἡμῶν τὴν θερμότητα, τὰ
B
δὲ μαλάττοντα, σφοδρότερα μὲν, οὐ μὴν ὥστε τῷ βιαίῳ τῆς ὁλκῆς καταξηραίνειν τὸ ὑπόλοιπον. ἔτι δὲ τὰ μὲν ἐκπυΐσκοντα, τὴν προϋπάρχουσαν ἐν τοῖς σκιρρουμένοις μορίοις ὑγρότητα φυλάττει, τὰ δὲ μαλακτικὰ, βραχύ τι μέρος αὐτῆς ἀναλίσκει. καὶ διὰ τοῦτο, μυρίων ὄντων τῶν θερμαινόντων, καὶ ξηραινόντων φαρμάκων, ὅσα συμμέτρου τε ἅμα θερμότητος μετέχει, ἀνάλογόν τε ταύτῃ ξηρότητος ἔτυχε, ταῦτα μόνα μαλακτικὰ τῶν σκιρρουμένων ἐστὶν, οἷον βδέλλιον, καὶ στύραξ, καὶ χαλβάνη, καὶ ἀμμωνιακὸν θυμίαμα, καὶ μυελὸς ἐλάφου τε
C
καὶ μόσχου, καὶ στέαρ αἴγειόν τε, καὶ ταύρειον, ὅσα τ' ἄλλα τοιαῦτα. νῦν γὰρ οὐ πρόκειται τὴν ὕλην ἐπεξιέναι πᾶσαν, ἀλλὰ καθόλου μίαν ὑπὲρ ἁπασῶν τῶν τοιούτων δυνάμεων ποιήσασθαι διδασκαλίαν. τί δὴ τὸ καθόλου, ὃ περί τε τῶν ἐκπυϊσκόντων καὶ μαλαττόντων ἐστὶ γνῶναι βέλτιον; ὡς τὰ μὲν ἴσην ἀνάπτει θερμότητα τῇ τοῦ ζώου κατὰ φύσιν. ὅσα δὲ μαλάττει, πολὺ πλείονα, καὶ ὡς τὰ μὲν, οὐ τῷ ποιῷ τῆς θερμότητος, ἀλλὰ τῷ ποσῷ μᾶλλον, ἐνεργεῖν πέφυκεν, ὅσα δὲ τῶν σκιρρουμένων ἐστὶ μαλακτικὰ, τῷ ποιῷ μᾶλλον. ὥσπερ γὰρ εἰ κατὰ τὸ τῆς ἐκπυήσεως δεόμενον, μορίου δυνατὸν ἦν ἐπιβεβλημένας ἔχειν ἀεὶ τὰς
D
χεῖρας, ἢ τι μέλος ἄλλο, τάχιστα ἂν οὕτως διεπύησε. κατὰ τὸν αὐτὸν τρόπον, εἰ καὶ τὸ φάρμακον ὁμοιότατον εἴη τῇ κράσει τοῦ ἀνθρώπου, τάχιστα συμπέψει, τὸ δεόμενον εἰς πύον μεταβληθῆναι. δεῖται δέ ποτε μὲν ἡ σὰρξ ὅταν θλασθῇ, ποτὲ δὲ ὁ τὴν φλεγμονὴν ἐργαζόμενος χυμός.

CAPVT IX.

Quòd pus mouentia etiam emplastica esse conueniat.

QVin etiam quòd emplasticū esse debeat eius generis medicamentū, vt exactè suppuratorium sit; & ipsum liquidò mihi apparere videtur. Nā si substātiam innati caloris augere, non intendere qualitatē ipsam, cōueniat, poros corporis obstructos esse necessum est, quò videlicet halituosos trāspiratus includāt. Siquidē ea cataplasmata quæ aut detergentia, aut validiùs calefacientia, halitus difflari permittunt, exiccant quidem, sed pus non mouent. Talis est hordeacea, cicerū, fœnigræci, fabaceáque farina, amplius etiam Lolij, erui, panici, lupinorū, milij, omniúmq; adeò exiccantiū: quippe quum tum per ea, quæ detergunt, etiamsi non admodū calefaciant, sed quia obstructione liberant, reserántq; meatus, vnà quoq; calor particulę euolet, vt naturalis haudquaquam seruetur cōmoderatio; tum ab admodum calefacientibus huius etiam non parum vacuetur, & qui reliquus est incalescat; ex quo fit, vt natiui caloris substantia minuatur, sed qualitas intendatur; quorum neutrum

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι τὰ διαπυΐσκοντα καὶ ἐμπλαστικὰ εἶναι προσήκει.

E
ΚΑὶ μὲν γε ὡς ἐμπλαστικὸν εἶναι χρὴ τὸ τοιοῦτον φάρμακον, ἵν' ἀκριβῶς ᾖ διαπυητικὸν, ἤδη μοι καὶ τοῦτο δοκῶ φαίνεσθαι σαφῶς. εἰ γὰρ τὴν οὐσίαν αὐξῆσαι τῆς ἐμφύτου θερμότητος, οὐκ ἐπιτεῖναι προσήκει τὴν ποιότητα, πεφράχθαι χρὴ τοὺς πόρους τοῦ σώματος, ἵν' ἔνδον ἀποστέγωσι τὰς ἀτμώδεις διαπνοάς. ὡς ὅσα γε τῶν καταπλασμάτων, ἢ τῷ ῥύπτειν, ἢ τῷ θερμαίνειν σφοδρότερον, ἐπιτρέπει διαφορεῖσθαι τοῖς ἀτμοῖς, ξηραίνει μὲν, οὐ μὴν ἐμπυΐσκει γε. τοιαῦτα δ' ἐστὶ τό τε τῶν κριθῶν, καὶ τῶν ἐρεβίνθων, καὶ τὸ τῆς τήλεως, καὶ τὸ τῶν κυάμων ἄλευρον. ἔτι δὲ μᾶλλον τῶν αἰρῶν, ὀρόβων, ἐλύμου, θέρμων, κέγχρου, καὶ πάντων τῶν ξηραινόντων. ὑπό τε γὰρ τῶν
F
ῥυπτόντων, εἰ καὶ μὴ θερμαίνει σφοδρῶς, ἐκφραττομένων τε καὶ ἀνοιγνυμένων τῶν πόρων, συναπάγεται καὶ τὸ τοῦ μορίου θερμὸν, ὥστε μὴ σώζεσθαι τὴν κατὰ φύσιν αὐτοῦ συμμετρίαν. ὑπό τε τῶν σφοδρῶς θερμαινόντων, ἐκκενοῦται μέντοι καὶ ταύτης οὐκ ὀλίγον, ὑποθερμαίνεται δὲ ἡ λοιπὴ, καὶ οὕτω συμβαίνει τὴν μὲν οὐσίαν τῆς ἐμφύτου θερμότητος ἐλάττονα γίγνεσθαι, τὴν ποιότητα δ' ἐπιτείνεσθαι. χρὴ δὲ οὐδέτερον

εἶναι τούτων, ἀλλὰ τὸ μὲν ἀτμῶδες καὶ θερμὸν πνεῦμα περιέ- A
χεσθαι πλεῖστον. ἀκριβῶς δ' εἶναι σύμμετρον τῇ θερμότητι, τοῦτο
γάρ τοι κἂν τοῖς παισὶν ὑπάρχον πλεῖστον, ἅπαντα συναύξει
τὰ φυσικὰ τῶν ἔργων. εἰσὶ μὲν οὖν οἳ μηδ' αὐτὸ τοῦτο γιγνώ-
σκουσιν, καὶ πρὸς τῷ μὴ γιγνώσκειν, ἐγκαλοῦσιν Ἱπποκράτει,
τὰ αὐξανόμενα πλεῖστον ἔχειν εἰπόντι τὸ ἔμφυτον θερμόν. ἀλλ'
ἡμᾶς χρὴ, μήτε παρακούειν αὐτοῦ, καὶ γιγνώσκειν ἔμφυτον εἰ-
ρῆσθαι θερμὸν, ὅπερ καὶ πνεῦμα ἑκάστῳ τῶν ζώων ὀνομάζομεν,
ὑπὲρ οὗ καὶ Ἀριστοτέλης ἔγραψεν. οὐδὲν δὲ κωλύει καὶ τὴν
αἱματικὴν οὐσίαν, καὶ ἀερώδη, θερμὸν ἔμφυτον ἀκούειν ἅμα τῷ
πνεύματι. οἱ μὲν οὖν Στωϊκοὶ τοῦτ' αὐτὸ τὸ πνεῦμα, τὴν οὐ- B
σίαν τῆς ψυχῆς εἶναι δοξάζουσιν. ἡμεῖς δὲ περὶ οὐσίας ψυχῆς, οὔτε
πάνυ τι τολμῶμεν ἀποφαίνεσθαι, καὶ πρὸς τὰ παρόντα περιττὸν
ὑπολαμβάνομεν. ὅτι μέντοι τὸ σύμφυτον πνεῦμα, κἂν εἰ μὴ
τῆς ψυχῆς ἐστιν ἡ οὐσία, ἀλλὰ τὸ πρῶτόν γ' αὐτῆς ὄργανον ὑπάρχει,
φθάνομεν ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων
ὑπομνήμασιν ἀποδεδειχέναι. καὶ δὴ καὶ περιέχεσθαι μὲν ἐν ἅ-
πασι τοῖς τοῦ ζώου μέλεσι τοῦτο τὸ πνεῦμά φαμεν, οὐχ ὅμοιον δ'
εἶναι πανταχόθεν, καθάπερ οὐδὲ τὸ αἷμα ἀναγκαῖον. περιέχεσθαι
δὲ κἂν ταῖς κεναῖς χώραις οὐκ ὀλίγην οὐσίαν αὐτοῦ, μᾶλλον δὲ
εἶναι ὕλην τινὰ βραχείας μὲν ἔτι μεταβολῆς δεομένην εἰς γένε- C
σιν ἐμφύτου πνεύματος ἠκριβωμένου κατὰ τὰς οἰκείας ποιότητας,
ἤδη μέντοι πρός γε τὰ φυσικὰ τῶν ἔργων ἱκανῶς συντελοῦ-
σαν. ἔστι δὲ δήπου τῶν φυσικῶν ἔργων ἕν τι, καὶ ἡ εἰς τὸ πύον μετα-
βολή. πέψις γάρ τίς ἐστι καὶ κατὰ τόδε. χρὴ δ', οἶμαι, τὸ πνεῦμα
φυλάττειν ἔνδον ὡς ἔστι πλεῖστον, ὁπότε πέττειν τι πρόκειται.
διαφορεῖται δὲ ὑπό τε τῶν ῥυπτόντων οἷά πέρ ἐστιν τό τε
τῶν κριθῶν, καὶ τὸ τῶν κυάμων ἄλευρον, ὑπό τε τῶν ξηραι-
νόντων, οἷα ἐλύμου τε, καὶ κέγχρου, καὶ θέρμων, ὑπό τε τῶν θερ-
μαινόντων οἷάπερ ἡ τῆλίς ἐστιν, ἔτι δὲ δὴ καὶ μᾶλλον ὑπό τε
τῶν θερμαίνειν, καὶ ξηραίνειν ἅμα πεφυκότων, οἷα αἰρῶν, καὶ D
ὀρόβων, ἐρεβίνθων τε καὶ ὤχρων, ἐπιτηδειότατον δὲ εἰς πύου
γένεσίν ἐστιν. τῶν μὲν καταντλουμένων, ὕδωρ εὔκρατον, ἢ ὑ-
δρέλαιον, τῶν δ' ἐπιβρεχομένων, ἔλαιον εὔκρατον. κατα-
πλασμάτων δὲ, τό τε πύρινον ἄλευρον δι' ὑδρελαίου, καὶ ὁ
ἄρτος αὐτὸς, ἕψεσθαι δὲ καὶ τοῦτο χρὴ συμμέτρως. τὸ μὲν γὰρ
ἐπιπλεῖστον ἡψημένον, ξηραντικώτερόν πως ἐστὶ, καὶ ταῖς δυ-
σπεπτοτέραις ἁρμόττει φλεγμοναῖς. τὸ δ' ἔλαττον, ἐπὶ τῶν
πάνυ θερμῶν, καὶ ὡς ἄν εἴποι τις, ζεουσῶν. καὶ τὸ μὲν ἐλαίου
πλέον ἔχον, ἐπὶ τῶν δυσπεπτοτέρων, τὸ δ' ἧττον, ἐπὶ τῶν ζεου-
σῶν. καὶ δὴ καὶ τὸ μὲν ἐξ ἄρτου κατάπλασμα, ταῖς δυσπεπτοτέ- E
ραις ἁρμόττει φλεγμοναῖς. ἔχει γάρ τι καὶ ἁλῶν, καὶ ζύμης
ὁ ἄρτος. τὸ δ' ἐξ ἀλεύρου πυρίνου, ταῖς θερμοτέραις. αὐτοῦ
δ' αὖ πάλιν τοῦ πυρίνου ἀλεύρου, μᾶλλον τὸ καθαρὸν, καὶ
ἄρτου μᾶλλον ὁ καθαρὸς ἐκπυΐσκει. τὸ μὲν γὰρ πίτυρον, ἧττόν
τ' ἐστὶ θερμὸν, καὶ μᾶλλον ξηρόν. τὸ δὲ καθαρόν τε καὶ θρέψιμον ἄ-
λευρον, ὑγρόν τ' ἐστὶ καὶ θερμόν. ἐδείχθη δὲ τὰ τοιαῦτα συνερ-
γοῦντα πρὸς τὴν τοῦ πύου γένεσιν. οὕτως οὖν καὶ τῶν φαρμάκων τῶν
ἐπιτιθεμένων τοῖς φλεγμαίνουσι μέρεσιν, ὅσα θερμά τ' ἐστὶ καὶ
ὑγρά, συντελεῖ ταῦτα πρὸς τὴν ἐκπύησιν, οἷα τό τε χοί-
ρειον στέαρ, καὶ τὸ μόσχειον. τὸ μὲν γὰρ ταύρου, καὶ τῆς αἰγὸς, ἐδεί- F
χθη δριμύτερα, καὶ διὰ τοῦτο ταῖς ψυχροτέραις, καὶ σκιρρω-
δεστέραις φλεγμοναῖς ἐπιτήδεια. τὸ δὲ χοίρειον καὶ μόσχειον
αὐταῖς ταῖς ὀνομαζομέναις κυρίως φλεγμοναῖς, οἰκειό-
τατον. ἔστι δὲ καὶ τὸ τῶν ἀλεκτρυόνων στέαρ οἰκειότατον, ἔτι
δὲ μᾶλλον τὸ τοῦ χηνὸς ἤδη πως διαφορητικώτερον.

fieri expedit; verū halituosum, & calidum spiritum contineri quamplurimū, & ad vnguem caliditate symmetrum, quippe quum hic in pueris copiosissimus, omnes actiones naturales adaugeat. Sed sūt, quos id fugit; & cum hoc quòd ignorent, Hippocratē insuper accusare non verētur, quòd dixerit, quæ crescūt plurimum habere caloris innati. Sed nos dicta eius haud perperā capere oportet; ac cognoscere innatū dixisse calorē, quē in quoq; animātium, & natiuum spiritū nominamus, de quo & Aristoteles scriptū reliquit. Verū nihil prohibet, sanguineam substātiam simulq; aëream vnà cum spiritu calidū inaudire innatū. Ac Stoici quidē hūc ipsum spiritū animæ esse substātiam autumāt. Nos sanè de animæ substātia non admodū pronunciare quippiam audemus, & ad pręsens superuacaneū arbitramur; quanquā nos iam ante spiritū innatū, etiam si non sit animæ essentia, saltem primū eius esse instrumentum in cōmentariis de Hippocratis Platonísq; placitis demonstrauimus. Et certè dicimus eū spiritū in omnibus animantis cōtineri partibus, sed non vndequaq; esse sui similē, veluti nec sanguinē, esse necesse; tum in spatiis inanibus non paruā eius inesse substātiam, imò potius velut materiam quandā, leuiculā etiamnū mutationem exposcentē ad innati spiritus qualitatibus suis absoluti generationē, nihilo secius tamen iam, tū etiam admodū ad naturalia opera conducentē. Porrò autē vnū ex naturalibus operibus est ea, quæ in pus fit conuersio; nam & illic quędā perficitur coctio; quum autē quicquā coquere consilium est, quamplurimū, meo iudicio, spiritū seruari intus oportet. Atqui digeritur tum à detergentibus, qualis est hordeacea, fabaceáq; farina; tum à resiccantibus, qualis est panici, lupinorum, milij; tum à calefacientibus, qualis est fœnigręci; quin multo etiam magis ab iis, quæ simul, & calefacere, & resiccare possunt, puta lolio, eruo, cicere, ochris. Igitur omnium ad puris generationē aptissimū est, ex iis vtique, quæ perfundūtur, aqua tēperata; aut cui additum oleum est, quod hydrelæum Græci vocāt. Ex iis verò, quæ irrigantur, oleum temperatum; at ex cataplasmatibus tum farina triticea ex hydrelæo, tum panis ipse, sed id modicè coctum sit, oportet; Nam quod plurimum coctum est, quodammodo siccius est, aptumque phlegmonis, quæ ægrius cōcoctionē admittāt; quod verò minus, iis quę admodū calidæ sunt, atq; vt sic dixerim, feruēt, congruit. Tū cui plus additū olei fuerit, pertinacius coctioni aduersantibus cōuenit; cui minùs, feruentibus magis cōpetit. Et sanè quod ex pane cōficitur cataplasma, difficulter coctioni cedentibus phlegmonis idoneū est, siquidē pani, tū sal, tū fermentū admixtū est; quod verò ex triticea farina præparatū est, calidioribus vtilius est. Et ipsius etiā triticeæ farinæ, quæ pura est, tū panis quoq; qui purus est, puri mouēdo cōpetentior est, nimirū quum furfur minus sit calidū, & magis desiccet; farina autē pura, quæq; alere est nata, humida est, & calida; qualia certè ad pus producendum cōferre ostēdimus. Itaq; medicamēta, quæ phlegmone tētatis imponūtur partibus, si calida sint, & humida, ad pus mouēdū conducūt, vt adeps suillus. & vitulinus. Nam tauri, & capræ acriores esse ostēdimus; quàobrem phlegmonis, tū frigidioribus, tū durioribus magis congruunt. At suillus, & vitulinus, iis quæ propriè phlegmonæ appellantur familiarissimus est. Est & adeps gallinaceorū familiarissimus, magísq; etiam anserū, quodāmodo tamē ad digerendū potētior;

est

est enim substantia sua tenuior, sicut & bubulus, & caprarum crassior, & terrenus magis. Quin & agrestium animalium omnium acrior est adeps, simulque siccior multo quam domesticorum, maximéque pardalis, & leonis; quare horum nullus omnino puri mouendo idoneus est, sed, vt dixi, suillus, & vitulinus. Porrò pus mouent, & pix, & resina, nempe oleo quopiam, aut rosaceo subactæ. Sed & hic ad feruentes phlegmonas ex rosaceo eas liquare oportet; ad frigidiores verò calefacientium quopiam, puta cicino, raphanino, veteri, & sicyonio. Quòd siquando sola vtaris cera, aliis ad manum nullis, ad pus mouendum, & ipsam in calefacientium quopiam dissoluere oportebit; quippe quum ipsa per se minus sit calida, quàm vt pus mouere possit; siquidem illinendi certè vim obtinet. Solis itaque feruentibus phlegmonis apta est, ex calidorum oleorum quopiam liquata. Verùm quemadmodum hæc mediocritate inferior est, vt ad medias temperie phlegmonas, hominúmque & partium naturas, sic paulum quiddam excedunt resina, & pix. Quapropter hæc omnia simul mixta moderatè pus mouent. Sed hæc iam ad tractatum de medicamentorum compositione attinent; quem vt aliquatenus attingeremus, speculationis ipsius nos sequela adegit. Rursum ergo ad propositum reuertor; est autem propositum definire, quæ sit in genere pus mouentium natura. Dictum verò est, quòd modicè humectantem, & calefacientem esse eam oporteat; quod aliis verbis est, vt neque excellat, neque inferior sit temperie corporis ipsam immutantis, sed quoad fieri possit simillima. Cæterùm quòd medicamentum puri mouendo idoneum tale sit facultate, & actu siue energia fiat eiusmodi, dum corpori nostro admotum est; sæpenumero iam antè dictum est; sed nunc nihil secius id repetimus, quandoquidem vtrobique eius meminisse oportet. Atque eiusmodi est pus mouentis medicamenti temperies. Porrò corporis ipsius constitutio emplastica est; qua maximè pollent, quæ lenta, & viscosa sunt, velut adeps porcinus, butyrum, thus, & quod ex farina triticea conficitur cataplasma; quippe quæ moderatè, tum calida, tum humida, lentaque sunt, ac proinde puri mouendo idonea. Chondrus tamen farina triticea siccior est, quanquam nihilominus lentus sit, nisi fortè etiam amplius; vnde fit, vt in mediis temperie phlegmonis puri mouendo ineptior, in humidioribus etiam triticea farina præstantior sit. Verùm & hæc iam præsentis commentationis limites excedunt. Itaque denuò ad medicamenta duritiem emollientia reuertor, hactenus & hic curandi methodum attingens, quantum dicendorum claritati conducat. Scirrhum vocant tumorem præter naturam, doloris expertem, sed durum. Sunt autem inter eos quidam, qui vbi plurimum increuerint, simulátque indurati fuerint, non modo dolore carent, verùm etiam sensum exiguum, aut etiam nullum habent reliquum. Porrò nascuntur ex humore crasso, & frigido, quales sunt in animalium corporibus duntaxat duo, bilis videlicet atra, & superexiccata pituita. Proinde tumores scirrhosi omnino, aut pituitosæ sunt substantiæ, aut atrabilariæ, aut ex vtraque mixti. Sed de agnitione eorum non est nunc tempestiuum disserere; verùm de medicamentis emollientibus illud, vt nunc dicam, opportunum est.

A λεπτομερέστερα γάρ ἐστι ταῖς οὐσίαις, ὥσπερ καὶ τὸ τῶν βοῶν καὶ αἰγῶν, παχυμερέστερα τε καὶ γεωδέστερα. καὶ μὲν δή, καὶ τὸ τῶν ἀγρίων ζώων πάντων στέαρ, δριμύτερόν τέ ἐστι, καὶ ξηραντικώτερον, πολὺ τῶν ἡμέρων, καὶ μάλιστα τὸ τῶν παρδάλεών τε καὶ λεόντων, ὥστ' οὐδὲν τούτων ἐκπυΐσκειν ἐπιτήδειον, ἀλλ' ὡς εἴρηται, τὸ χοίρειόν τε καὶ μόσχειον. ἐκπυΐσκει δὲ πίττα, καὶ ῥητίνη, διηθεῖσαι δηλονότι μετ' ἐλαίου τινὸς, ἢ ῥοδίνου. χρὴ δὲ κἀνταῦθα πρὸς τὰς ζεούσας φλεγμονὰς, διὰ ῥοδίνου τήκειν αὐτάς. πρὸς δὲ τὰς ψυχροτέρας, διά τινος τῶν θερμαινόντων, οἷόν ἐστι τὸ κίκινον, καὶ τὸ ῥαφάνι-
B νον, καὶ τὸ παλαιὸν, καὶ τὸ σικυώνιον. εἰ δὲ καὶ κηρῷ ποτε μόνῳ χρῷ διαπυήσεως ἕνεκα, τῶν ἄλλων μὴ παρόντων, ἔν τινι τῶν θερμαινόντων ἐλαίων, καὶ τοῦτον τήκειν. αὐτὸς μὲν γὰρ καθ' ἑαυτὸν, ἧττόν ἐστι θερμὸς, ἢ ὥστε διαπυΐσκειν, ἐπεὶ τό γε ἐμπλάττειν ἔχει. μόναις οὖν ταῖς ζεούσαις φλεγμοναῖς ἐπιτήδειος ἔν τινι τῶν θερμαινόντων ἐλαίων διηθείς. ὥσπερ δ' οὗτος ἐνδεῖ τῆς συμμετρίας, ὡς πρὸς τὰς μέσας τῇ κράσει φλεγμονὰς, καὶ φύσεις ἀνθρώπων τε καὶ μορίων, οὕτως ὑπερβάλλουσι βραχύ τι, ῥητίνη καὶ πίττα. καὶ διὰ τοῦτο, μιγνύμενα ταυτὶ πάντα τὰ νῦν εἰρημένα, διαπυΐσκει συμ-
C μέτρως. ἀλλὰ ταῦτα μὲν ἤδη τῆς περὶ φαρμάκων συνθέσεώς ἐστι πραγματείας, ἧς ἐφάψασθαί πως ἠνάγκασεν ἡμᾶς ἡ τῆς θεωρίας ἀκολουθία. πάλιν δ' ἐπὶ τὸ προκείμενον ἐπάνειμι. πρόκειται δὲ ἀφορίσαι τὴν καθόλου φύσιν, ὁποία τίς ἐστι τῶν ἐκπυϊσκόντων. ἐρρέθη δ' ὅτι συμμέτρως εἶναι χρὴ θερμαίνουσάν τε καὶ ὑγραίνουσαν αὐτὴν, ὅπερ ἑτέρως ἑρμηνευόμενόν ἐστι, μήθ' ὑπερβάλλειν, μήτ' ἐνδεῖν τῆς τοῦ μεταβάλλοντος αὐτὸ σώματος κράσεως, ἀλλ' ὡς οἷόν τε μάλιστα παραπλήσιον ὑπάρχειν. τὸ δ' ὅτι δυνάμει μὲν τοιοῦτόν ἐστι τὸ διαπυΐσκον φάρμακον. ἐνεργείᾳ δὲ γίγνεται τοιοῦτον ἐν
D τῷ πλησιάζειν ἡμῖν, εἴρηται πολλάκις ἔμπροσθεν, ἀναμνήσομέν τε καὶ νῦν, ὥστε μνημονεύειν αὐτοῦ διὰ παντός. ἡ μὲν δὴ κρᾶσις τοιαύτη τις ὑπάρχει τοῦ διαπυΐσκοντος, ἡ δὲ σώματος αὐτοῦ σύστασις ἐμπλαστική τίς ἐστιν. μάλιστα δὲ τοῦτο τοῖς γλίσχροις συμβέβηκεν, ὥσπερ τῷ στέατι τῷ χοιρείῳ, καὶ βουτύρῳ, καὶ λιβανωτῷ, καὶ τῷ δι' ἀλεύρου πυρίνου καταπλάσματι. καὶ γὰρ συμμέτρως θερμὰ ταῦτά ἐστι, καὶ συμμέτρως ὑγρὰ, καὶ γλίσχρα, καὶ διὰ τοῦτο πρὸς τὰς ἐκπυήσεις ἐπιτήδεια. χόνδρος μέντοι, ξηραντικώτερος μέν ἐστιν ἀλεύρου πυρίνου. γλίσχρος δ' οὐδὲν ἧττόν ἐστιν, εἰ μή τι ἄρα καὶ μᾶλλον, ὅθεν ἐπὶ μὲν τῶν μέσων
E φλεγμονῶν, ἧττον ἐπιτήδειός ἐστιν εἰς ἐκπύησιν. ἐπὶ δὲ τῶν ὑγροτέρων, ἀμείνων ἀλεύρου πυρίνου. προέρχεται δ' οὖν ἐπὶ πλέον ἤδη καὶ ταῦτα τῆς ἐνεστώσης πραγματείας. ἐπανέλθωμεν οὖν αὖθις ἐπὶ τὰ μαλακτικὰ τῶν σκιρρουμένων φάρμακα, τοσοῦτον πάλιν κἀνταῦθα τῆς θεραπευτικῆς ἐφαψάμενοι πραγματείας, ὅσον εἰς τὸ σαφῆ γενέσθαι τὰ λεχθησόμενα συντελέσει. σκίρρον μὲν οὖν ὀνομάζουσι, τὸν παρὰ φύσιν ὄγκον ἀνώδυνόν τε καὶ σκληρόν. ἔνιοι δ' αὐτῶν ὅταν ἐπὶ πλεῖστον αὐξηθῶσί τε καὶ σκληρυνθῶσιν, οὐκ ἀνώδυνοι μόνον, ἀλλὰ καὶ δυσαίσθητοι, ἢ ἀναίσθητοι γίγνονται. γένεσις δ' αὐτῶν, ἐκ πα-
F χέος, καὶ ψυχροῦ χυμοῦ. τοιοῦτοι δ' εἰσὶν ἐν τοῖς τῶν ζώων σώμασι δύο μόνοι, χολὴ μέλαινα, καὶ τὸ ὑπερξηρανθὲν φλέγμα. καὶ διὰ τοῦτο, καὶ οἱ σκιρρώδεις ὄγκοι, πάντως ἢ φλεγματικοὶ τὴν οὐσίαν εἰσὶν, ἢ μελαγχολικοὶ, ἢ ἐξ ἀμφοῖν μικτοί. περὶ μὲν δὴ τῆς διαγνώσεως αὐτῶν, οὐ τοῦ παρόντος καιροῦ διελθεῖν. περὶ δὲ τῶν μαλακτικῶν φαρμάκων, ἤδη μοι λέγειν καιρός.

τὰς ἰδίως ὀνομάζουσι μαλακτικὰ τὰ τῶν γεγονότων ὑπὸ φλέγματος ἐξηρασμένου, καὶ παχέος χυμοῦ, ὄγκων σκιρρωδῶν ἰατικά. συνίστανται δ᾽ οὗτοι μάλιστα, περί τε τὰς κεφαλὰς τῶν μυῶν, καὶ τοὺς ἐκφυομένους αὐτῶν τένοντας. ὅσα μὲν γὰρ ὑπὸ μελαγχολικοῦ σκιρροῦται χυμοῦ, καρκινώδη τε πάντα ἐστὶν, καὶ παροξύνονται ὑπὸ τῶν μαλακτικῶν φαρμάκων. ἀλλὰ τούτων μὲν ὅπως χρὴ μεμνῆσθαι, διὰ τῶν τῆς θεραπευτικῆς μεθόδου λεχθήσεται γραμμάτων. ὅσα δ᾽ ὑπὸ γλίσχρου, καὶ παχέος χυμοῦ παγέντος ἐσκιρρώθη, θερμαινόντων μὲν δεῖται, καὶ ξηραινόντων φαρμάκων, οὐ μὴν ἰσχυρῶν τε καὶ βιαίων, ἀλλ᾽ ἀρκεῖ τῆς δευτέρας μὲν, ἢ καὶ τῆς τρίτης ἐνίοτε τάξεως τῶν θερμαινόντων, τῆς πρώτης δ᾽ εἶναι τῶν ξηραινόντων αὐτά. πλάτους δ᾽ ὑπάρχοντος οὐ μικροῦ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τοῖς ἐσκληρυμμένοις σώμασιν, ἀνάγκη δήπου, καὶ τῶν ἰωμένων αὐτὰ φαρμάκων οὐκ ὀλίγον εἶναι τὸ πλάτος, οἷον αὐτίκα, καὶ τὸ αἴγειόν ποτε στέαρ ὠφέλησε τὰ οὕτως ἐσκληρυμμένα, καὶ τὸ τῆς ἀλεκτορίδος. ἀλλὰ ταῦτα μὲν ἀσθενέστερά ἐστι, καὶ τὰς μετρίας μαλάττει σκληρότητας. ἰσχυρότερον μέντοι τῶν ἀλεκτορίδων τε, καὶ ἀλεκτρυόνων, τὸ χήνειόν ἐστι, τοῦ δὲ τῶν αἰγῶν, τὸ τράγειον, ἰσχυρότερόν τε καὶ τὸ ταύρειον, ἀλλ᾽ ἧττον τοῦ τραγείου. καὶ μὲν δὴ καὶ ὁ ἐλάφειος μυελὸς, ἱκανῶς μαλάττει, καὶ μετ᾽ αὐτὸν ὁ μόσχειος. θερμὰ γάρ ἐστι πάντα τὰ τοιαῦτα φάρμακα, καὶ μετρίως ξηρὰ, καὶ πολύ γε μᾶλλον θερμαίνειν πέφυκεν, ἢ ξηραίνειν. ὅθεν εἰ καί τις αὐτὰ θερμὰ καὶ ὑγρὰ ταῖς δυνάμεσιν εἴποι ποτὲ, συγχωρητέον. ὀλίγον γὰρ ἀφέστηκε μήτε ξηραινόντων μήθ᾽ ὑγραινόντων. ἐκ ταύτου δὲ γένους ἐστὶ τοῖς εἰρημένοις, ἀλλ᾽ ἰσχυρότερα, τό τ᾽ ἀμμωνιακὸν θυμίαμα, καὶ ὁ στύραξ, καὶ ἡ χαλβάνη, καὶ τὸ βδέλλιον τὸ Σκυθικόν. κάλλιω δ᾽ ἐξ αὐτῶν εἰς τὸ μαλάττειν τὰ νέα, παλαιούμενα γὰρ, ἰσχυροτέρως ἢ χρὴ, ξηραίνει. τοῦτο μέν γε καὶ μυελὸς, καὶ στέαρ ἔχουσι. καὶ γὰρ καὶ ταῦτα παλαιούμενα δριμύτερα γίγνεται σφῶν αὐτῶν, καὶ ξηρότερα. καὶ μὲν δὴ καὶ τὸ σικυώνιον ἔλαιον ἐκ τοῦ γένους ἐστὶ τούτου, καὶ τὸ παλαιὸν οὐχ ἥκιστα, καὶ τῶν σκευαζομένων, τὸ σούσινον. ἀλλὰ γὰρ, οὐ περὶ τῶν συνθέτων λέγειν ἐν τῷδε πρόκειται. ἔπειτα καὶ ἀλθαίας ῥίζα, καὶ ἀγρίου σικύου, καὶ ἄλλα ἄττα φυτὰ καθεψηθέντα, τὰ μὲν ἐν ἐλαίῳ, τὰ δὲ ἐν ὕδατι, τῆς τῶν φαρμάκων γίγνεται τῶν μαλακτικῶν δυνάμεως, ὥσπερ οὖν καὶ τῆς ἀγρίας μαλάχης τὰ φύλλα, καὶ ὠμὰ καὶ ἑφθά. τοῦτο μὲν οὖν ἐστιν ἁπλοῦν φάρμακον, ὥσπερ τὸ στέαρ τὸ χοίρειον, τὸ παλαιωθέν. οὐ χρὴ δὲ ἔχειν ἅλας οὐδὲ τοῦτο, καθάπερ οὐδὲ τἄλλα ὅσα μαλάττει, ξηραίνουσι γὰρ σφοδρῶς οἱ ἅλες. ὅσα δ᾽ ἄλλα μαλάττειν πέφυκεν, ἁπλᾶ τε καὶ σύνθετα φάρμακα, λεχθήσεται γὰρ αὖθις κἀκεῖνα, θερμὰ μέν ἐστιν ἐκ τῆς δευτέρας, ἢ τρίτης ἐνίοτε τάξεως, ἀτρέμα δὲ ξηρά. χρὴ μὲν δὴ καὶ τούτοις ἐμπλαστικὸν ὑπάρχειν ὥσπερ καὶ τοῖς διαπυητικοῖς, ἀλλ᾽ ὅσῳ κενωτικώτερα προσῆκεν ὑπάρχειν αὐτὰ, τοσούτῳ καὶ ἧττον ἐμπλάττεσθαι τοῖς πόροις.

A Nempe quod propriè vocantur emollientia, quæ medentur scirrhosis tumoribus ex pituita resiccata, crassáque prognatis; consueuerunt autem ij potissimum in musculorum capitibus, & qui ex eis prodeunt tendonibus consistere. At quæ ab atrabilario succo indurantur, cancrosa sunt omnia, & ab emollientibus medicinis asperantur; sed his quo pacto prospicere oporteat, in commentariis methodi curandi docebimus. Quæ verò à lento crassóque humore congelato indurata sunt, calida poscunt siccáque medicamenta, sed non tamen, quæ valida sunt, ac violenta; sed sufficit interim vt secundi, aut tertij sint ordinis excalefacientium, primi exiccantium. Porrò quum
B non exigua sit in corporibus sic induratis maioris minorísque latitudo, necesse vtique est & medicamentorum illis medentium non paruam esse latitudinem. Siquidem adeps caprinus, & gallinarum, quæ sic indurata fuere, iuuarunt. Verùm illi quidem imbecilliores sunt, & moderatam duritiem emolliunt. Valentior gallinarum, gallorúmque adipe anserinus est, caprarum verò hircinus, validior quoque & taurinus, sed minus tamen quàm hircinus. Quin etiam medulla ceruina modicè emollit, & post eam vitulina; quippe quum
C id genus omnia medicamenta calida sint, & mediocriter sicca, multóq; magis excalefacere, quàm exiccare nata. Vnde si quis fortè ea quandoque calida dicat, & humida, non repugnandum; nam paulum absunt ab iis, quæ neque humectant, neque desiccant. Eodem ex genere sunt, quanquam validiora, ammoniacum, thymiama & styrax, & galbanum, & bdellium Scyticum. Sed ad emolliendũ præstantiora ex iis sunt, quæ recentia sunt, siquidẽ inueterata validius quàm oportet desiccant. Id ipsum vsu venit in medulla, & adipe, quippe quæ & ipsa vetustate se ipsis, tum acriora, tum ficciora
D euadunt. Quin & oleum quoque sicyonium ex hoc est genere; nec in postremis id, quod inueteratum est; & ea quæ præparantur, vt susinum. Sed de compositis hic dicere statutum non est. Porrò radix althææ, & cucumeris agrestis, nonnullæque aliæ plantæ, partim in oleo, partim in aqua decoctæ emollientium medicamentorum facultatem induunt, sicut maluæ agrestis folia, tum cruda, tum cocta; atque hoc simplex medicamentum est, sicut porcinus adeps vetustatem passus; sed salis nihil oportet adiicere, sicut nec aliis, quæ emolliunt; valdè enim desiccat sal. Porrò quæcunque alia emollire possunt, seu simplicia, seu composita
E sint medicamenta (alibi enim ea recensebimus) calida sunt ex secundo, & interdum ex tertio ordine, leuiter verò sicca; sed & his sanè illinendi vis, insit necesse est, non aliter quàm iis, quæ pus mouent. Sed quanto maiore euacuandi facultate pollere debent, tanto vtique minus etiam meatus illitu obstruere.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Ὅτι τὰ σκληρύνοντα φάρμακα ψυχρὰ καὶ ὑγρὰ τὴν κρᾶσίν ἐστιν.

Ἡ μὲν δὴ τῶν μαλαττόντων φαρμάκων δύναμις, αὐτάρκως μοι δεδήλωται, περὶ δὲ τῶν σκληρυνόντων, ἐφεξῆς δίειμι. χρὴ τοίνυν εἶναι ταῦτα ψυχρὰ καὶ ὑγρὰ, καθάπερ ἀείζωόν τέ ἐστι, καὶ ἀνδράχνη, καὶ ψύλλιον, ὅ τ᾽ ἐπὶ τῶν τελμάτων φακὸς, ἢ τὸ στρύχνον. ἢ τοῦτο μὲν, οὐδὲ ὑγρόν ἐστι τὴν κρᾶσιν,

CAPVT X.

Quòd medicamenta indurantia humido frigidóque sint temperamento.

F Sanè emollientium facultas medicamentorum abundè iam exposita est; proinde deinceps de indurantibus verba faciam. Frigida itaque hęc sint oportet, & humida, velut semperuiuum, portulaca, psyllium, lenticula palustris, solanum; aut hoc quidem certè non est temperamento humido, sed

ſed medium abſolutè humectantis, & exiccantis, ex contrariis facultatibus cōpoſitum, exiccante videlicet, & humectante, nimirum quum & duplicē in ſe habeat ſubſtātiam, terrenam, & aqueam. Sed iam non eſt mihi conſilium ad particularem materiam ſermonē deducere, verùm generales duntaxat breuiter facultates definire. Sanè ſiquid ſimul, & refrigeret, & deſiccet, & ipſum profectò omnino indurabit; ſed non eſt ex iis, quæ propriè indurant, ſiquidem cōgelatione potius, quàm euacuatione durū efficitur corpus, prout ſupra poſuimus. At ſiquid ſit quod proinde, quia natiuum humorē non retinet, induratum eſt, id ſiccum potius, quàm durum appellabimus; cōſtātque eius ſanatio rigatione, & humectatione, non emollitione; ſicut certè, & tenſio curatur laxatione, & laxatio, tenſione.

A ἀλλὰ μέσον ὑγραίνοντος ἁπλῶς, καὶ ξηραίνοντος ἐξ ἐναντίων συγκείμενον δυνάμεων, ὑγραινούσης τε, καὶ ξηραινούσης, ὅτι καὶ διττῆς οὐσίας μετέχει, γεώδους τε καὶ ὑδατώδους. ἀλλ' οὐ πρόκειταί μοι νῦν ἐπὶ τὴν κατὰ μέρος ὕλην ἀπάγειν τὸν λόγον, ἀλλὰ τὰς γενικὰς μόνον ἀφορίσασθαι δυνάμεις. εἰ μὲν δή τι, καὶ ψύχει, καὶ ξηραίνει, σκληρυνεῖ μὲν καὶ τοῦτο πάντως, ἀλλ' οὐκ ἔστι τῶν ἰδίων σκληρυντικῶν. πήξει γὰρ μᾶλλον, ἢ κενώσει, τὸ σκληρὸν γίγνεται σῶμα, καθότι καὶ πρόσθεν ἐλέγομεν. εἰ τι δὲ ἐκ τοῦ τὴν σύμφυτον ὑγρότητα μὴ κατέχειν, σκληρωθῇ, ξηρὸν μᾶλλον τοῦτο προσαγορευόμενον ἢ σκληρόν,
B καὶ ἡ ἴασις αὐτοῦ, διάβρεξίς τε, καὶ ὑγρανσίς ἐστι, καὶ οὐ μάλαξις. ὥσπερ καὶ τοῦ συντεταμένου μὲν, ἡ ἴασις, χάλασίς ἐστι, τοῦ κεχαλασμένου δὲ σύντασις.

CAPVT XI.

De tendentibus laxantibúſque medicamentis.

SEd hæc vt ſe habeant liquido conſpiciuntur, quum in cute, quemadmodum & ab Hippocrate dictum eſt; *Cutis duræ mollificatio, tenſæ laxatio*; tum etiam frequenter in articulis. Igitur laxatio prouenit humectatis immodicè, quæ circa eos ſunt ligamentis pariter, & tendonibus; tenſio verò non etiam ſimpliciter, ſed aut pluſculum exiccatis, aut refrigeratis, aut phlegmone affectis, aut ſcirrho. Atque ita quidem in articulis, in cute verò non tantum ita, ſed muſculis quoque, qui ei ſubiecti ſunt, quoquo modo in tumorem ſublatis, nam & præ carnis ſæpe copia quibuſdam tenditur; quod verò, & in phlegmonis id ipſum illi accidat, ſupra poſitum eſt. Quamobrem non ſimpliciter vna eſt ſpecies laxantium remediorum, vtpotè quum alia humectando, alia calefaciendo, alia verò emolliendo, quædam euacuando, nonnulla tumores præter naturam purgando, alia etiam per coniugationem horum quædam agentia, laxare aſſolent. At Theſſalus, ferèq; ſequaces eius vniuerſi, ficut in aliis multis, ita & in his appellationes ſimul cum rebus confundunt, quicquid obuium eſt, citra vllam examinationē conſcribentes. Quamobrem vbi quæ in manibus ſunt abſoluerimus, neceſſe nobis forſan fuerit aliquando in eos ſtylum conuertere; In præſenti autem quod dicta continuo ſequitur, perſequamur, rurſum ſumpto principio ab iis medicamentis, quæ vocantur emplaſtica, quia ſæpe iam ante, & de iis diximus. Breuiter ergo emplaſticum medicamentum eſt, quod tenaciter corporis poris, ſiue meatibus illitum inhæret. Porrò abundè dictum eſt nobis de pororum, quos nos ſtatuimus, natura, in libris De temperamentis. Demonſtratum autem eſt, & in libro hunc præcedente, mordacitate vacare omnino debere medicamentum emplaſticum; nam ſi qua illi inerit mordacitas, hærere in poris non poterit, ſed omnino facilè excernetur, aut partium aliquam liquando, aut certè humorem aliquem ex alto attrahendo. Sed & illud ſatis conſtat, terrenæ conſiſtentiæ, aut viſcoſum eſſe oportere emplaſticum.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν συντεινόντων καὶ χαλώντων φαρμάκων.

ΤΑῦτα δὲ ὁρᾶται σαφῶς, πῶς ἐστι, καὶ ἐπὶ τοῦ δέρματος μὲν, ὥσπερ καὶ πρὸς Ἱπποκράτους εἴρηται. δέρματος σκληροῦ, μάλθαξις, συντεταμένου δὲ χάλασις. οὐ μὴν ἀλλὰ
C κἀπὶ τῶν ἄρθρων πολλάκις. ἡ μὲν οὖν χάλασις, ὑγρανθέντων ἀμέτρως τῶν ἀμφ' αὐτὰ συνδέσμων ἀποτελεῖται, καὶ τῶν τενόντων. ἡ δὲ σύντασις, οὐκέτι ἁπλῶς, ἀλλ' εἴ τι ξηραινομένων ἐπιπλέον, ἢ ψυχομένων, ἢ φλεγμαινόντων, ἢ σκιρρουμένων. κατὰ ἄρθρα μὲν οὕτως. ἐπὶ δὲ τοῦ δέρματος, οὐχ οὕτω μόνον, ἀλλὰ καὶ τῶν ἐντὸς αὐτοῦ μυῶν, καθ' ὁντιναοῦν τρόπον εἰς ὄγκον αὐξανομένων, ὥστε καὶ διὰ πολυσαρκίαν, τισὶν ἐκτείνεται πολλάκις. ὅτι δὲ κἀν ταῖς φλεγμοναῖς ταὐτὸ τοῦτο παρακολουθεῖ, λέλεκται πρόσθεν, ὅθεν οὐδ' ἁπλῶς ἕν τι τῶν χαλαστικῶν ἐστιν εἶδος βοηθημάτων, ἀλλὰ τὰ μὲν ὑγραίνοντα χαλᾷ, τὰ δὲ
D θερμαίνοντα, τὰ δὲ μαλάττοντα, τὰ δὲ κενοῦντα, τὰ δὲ τοὺς παρὰ φύσιν ὄγκους καθαίροντα, τὰ δέ τινα τούτων, κατὰ συζυγίαν ἐργαζόμενα. Θεσσαλὸς δὲ, καὶ οἱ ἀπ' αὐτοῦ σχεδὸν ἅπαντες, ὥσπερ ἐν ἄλλοις πολλοῖς, οὕτω κἀν τούτοις, συγχέουσι καὶ τὰς προσηγορίας, καὶ τὰ πράγματα, ὅ, τι ἐπέλθοι, ἀβασανίστως γράφοντες. ὅθεν καὶ ἡμῖν, ἐπειδὰν τὰ προκείμενα συντελέσωμεν, ἀναγκαῖον ἴσως γράψαι ποτὲ πρὸς αὐτούς. ἐν δὲ τῷ παρόντι, τὰ συνεχῆ τοῖς εἰρημένοις διερχώμεθα, τὴν ἀρχὴν αὖθις ἀπὸ τῶν ἐμπλαστικῶν ὀνομαζομένων ποιησάμενοι φαρμάκων. ἐπεὶ, καὶ περὶ αὐτῶν εἴ-
E ρηται πολλάκις· συνελόντι μὲν οὖν εἰπεῖν, ἐμπλαστικὸν ἐστὶ φάρμακον, ὅπερ ἂν ἐμπλάσσηται δυσαπολύτως, τοῖς κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου πόροις. εἴρηται δέ μοι περὶ τῆς φύσεως, ὧν ἡμεῖς ὑποτιθέμεθα πόρων, αὐτάρκως ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν. ἀπεδείχθη δὲ ἐν τῷ πρὸ τοῦδε, ὡς καὶ ἄδηκτον εἶναι χρὴ πάντως τὸ ἐμπλαστικὸν φάρμακον. εἰ γάρ τι προσείη δακνῶδες αὐτῷ, μένειν οὐ δυνήσεται κατὰ τοὺς πόρους, ἀλλ' ἐκκριθήσεται ῥᾳδίως, ἢ συντήξαι τι τῶν μορίων, ἢ πάντως ἐπισπασάμενον ἐκ τοῦ βάθους ὑγρότητα.
F δῆλον δὲ ὡς καὶ τῇ συστάσει γεῶδες, ἢ γλίσχρον γε πάντως εἶναι χρὴ τὸ ἐμπλαστικόν.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Ὅτι τῶν ἐκκαθαιρόντων τοὺς πόρους φαρμάκων, καὶ ἔτι τῶν ῥυπτόντων ἕκαστον θερμόν τέ ἐστι καὶ λεπτομερές. πικρὰ γὰρ καὶ νιτρώδη τυγχάνει πάντα.

Ἀλλὰ περὶ μὲν τούτων, καὶ πρόσθεν αὐτάρκως εἴρηται. τὸ δ' ἐναντίον αὐτῷ, λέγοιτο μὲν ἂν ἐκκαθαρτικὸν, ἢ ἐκφρακτικὸν τῶν πόρων, ὥσπερ γε καὶ αὐτὸ τὸ ἐμπλαστικὸν, οὐκ ἐμπλαστικὸν μόνον, ἀλλὰ καὶ ἐμφρακτικόν. εἴη δ' ἂν ὥσπερ τοῖς ἔργοις ἐναντίον, οὕτω καὶ τῇ φύσει τοῦ σώματος, οὔτε γλίσχρον, οὔτε ἄδηκτον, ἀλλὰ νιτρῶδές τε καὶ λεπτομερές. ἐν γὰρ δὴ τῷ μᾶλλόν B τε καὶ ἧττον, ἀλλήλων διαφέρει, τῷ γένει τῆς οὐσίας οὐ διαφέροντα τά τ' ἐμπλαστικὰ, καὶ τῶν ῥύπων ἐπιτρεφόντων, καὶ τὰ τῶν πόρων ἀνακαθαρτικὰ, τῶν ῥυπτικῶν. ὅσα μὲν γὰρ τὸν ἐπιπολῆς ἀφαιρεῖ ῥύπον, εἴτ' οὖν ἑλκῶν, εἴτε καὶ τοῦ δέρματος αὐτοῦ, ῥυπτικὰ προσαγορεύεται. τὰ δὲ καὶ τοὺς πόρους ἐκκαθαίροντα, λεπτομερέστερά τέ ἐστιν τούτων, καὶ τοῖς ἐμπλαστικοῖς ἐναντία, καὶ διὰ τοῦτο ἐκφρακτικά τε, καὶ καθαρτικὰ τῶν πόρων ὀνομάζεται. ἔστι δὲ ταῦτα νιτρώδη τε καὶ πικρὰ, καὶ κατὰ μὲν τοῦ δέρματος ἔξωθεν ἐπιτιθέμενα, τὴν νιτρώδη ποιότητα μόνον ἀκριβῆ κεκτῆσθαι δεῖται, πρὸς τὸ δύνασθαι δρᾶν ἅπερ εἴρηται, εἴσω δὲ τοῦ σώματος λαμβανόμενα, C κἂν εἰ στύψεώς τι μετέχῃ, δύναιτ' ἂν εἶναι καὶ οὕτως ἔτι καθαρτικά τε καὶ διαρρυπτικὰ τῶν μειζόνων πόρων, οἷοίπερ κἂν τοῖς ἀγγείοις εἰσίν. ἔξωθεν μὲν γὰρ ἡ σμικρότης τῶν πόρων ὑπὸ τῆς στύψεως τυφλοῦσθαι φθάνουσα, πρὶν ἐκκαθαρθῆναι καλῶς, οὔτε παραδέχεται τοὐντεῦθεν ἔτι τὴν ῥυπτικὴν οὐσίαν εἰς τὸ βάθος, οὔτ' ἐκκαθαίρεται. τὰ δὲ κατὰ τὴν γαστέρα μόρια πάντα, καὶ τὰ καθ' ἧπαρ, καὶ σπλῆνα, καὶ τἆλλα πάντα σπλάγχνα, μεγίστους ἔχοντα πόρους, ἐν αὐτοῖς εἰς ῥώμην τῶν ἀγγείων ὠφελεῖται πλέον, ἢ εἰς τὴν τῶν στομάτων σμικρότητα βλάπτεται. καὶ διὰ τοῦτο, ἔνδοθεν μὲν ἀψίνθιον διακαθαίρειν πέφυκεν, ἔξωθεν δ' οὔ. D συνθέτου δὲ ὑπάρχει, ὡς εἴρηται πρόσθεν, ἐκ πικρᾶς, καὶ στρυφνῆς δυνάμεως. οὔκουν οὐδὲ τὰ κατὰ μέρος δέομαι προσγράφειν οὐδὲν τῶν τοιούτων φαρμάκων. ὅσα γὰρ ἂν εὑρίσκῃς νιτρώδη, καὶ πικρὰ, ταῦτ' ἐκκαθαίρειν ἴσθι δυνάμενα τοὺς πόρους πάντας. ῥύπον δὲ ἑλκῶν, ἢ καὶ τοῦ δέρματος, οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ μετριώτερα ταῖς δυνάμεσιν ἀφαιρεῖν πέφυκεν, οἷάπερ ἐστὶ τὰ λεπτομερῆ γλυκέα, καθάπερ τὸ μέλι καὶ τῶν σιτηρῶν σπερμάτων ἔνια, καθάπερ ὄροβοι, καὶ κύαμοι, καὶ κριθαὶ, καὶ θέρμοι. καί τοι κἂν τούτοις αὐτοῖς, τὸ μὲν τῶν κυάμων, καὶ τῶν κριθῶν ἄλευρον ἀπορρύπτει μόνον, οὐ μὴν ἐκφράττει γε τοὺς πόρους. E τὸ δὲ τῶν ὀρόβων τε, καὶ θέρμων, καὶ μάλιστα ὅταν ὦσι πικροὶ, πρὸς τὸ ῥύπτειν, ἤδη τι καὶ τῶν πόρων ἐκκαθαρτικὸν ἔχει. παραπλήσιον δὲ καὶ τοῖς ἀμυγδάλοις συμβέβηκεν. καὶ γὰρ καὶ τούτων ὅσα μὲν ἐστὶ πικρὰ, καὶ ῥύπτει, καὶ διακαθαίρει τοὺς πόρους, ὅσα δὲ ἐδώδιμα, ῥύπτει μὲν οὐκ ἐκφράττει δέ. τὸ μέν τοι τῆς ἀκαλήφης σπέρμα, καθαίρει τοὺς πόρους ὁμοίως τοῖς πικροῖς ὀρόβοις τε καὶ ἀμυγδάλοις. ἐκ ταὐτοῦ δ' ἐστὶ γένους δηλονότι, καὶ ἡ σκίλλα, καὶ ἡ ἶρις, ὅσα τἆλλα, καθάπερ εἴρηται, κρατοῦσαν ἐν ἑαυτοῖς ἔχει τὴν πικρὰν ποιότητα, καὶ γὰρ καὶ τὸ νίτρον, αὐτὸ καθ' ἑαυτὸ, καὶ τὸ ἀφρόνιτρον, ὅ, τ' ἀφρὸς τοῦ νίτρου, καὶ τὸ σέριφον, καὶ τὸ ἀ- F βρότονον, ὅσα τἆλλα τοιαῦτα σὺν ἐδέσμασί τε καὶ πόμασι λαμβανόμενα τῆς αὐτῆς ἐστι δυνάμεως. εὐθὺς δὲ τούτοις ὑπάρχει πᾶσι καὶ λεπτυντικοῖς εἶναι, παχέων τε καὶ γλίσχρων χυμῶν, ὥσπερ τοῖς ἐμπλαστικοῖς ἅπασι, παχεῖς καὶ γλίσχρους ἐργάζεσθαι τοὺς κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου χυμούς.

CAPVT XII.

Quod poros purgantium medicamentorum praetereaq; extergentium, vnumquodq; calidum sit, & tenuium partium; nam amara omnia, & nitrosa sunt.

SEd de istis suprà abundè dictum est. Quod verò illi contrarium est, dici queat poros repurgans, & infarctu liberans; sicut & ipsum emplasticum non modò emplasticum dicitur, sed & emphracticum, idest, *infarciens*. Fuerit autem id sicut effectu contrarium, ita & corporis natura, neque viscosum, neque mordacitatis expers, sed nitrosum, & subtile. Nam in ratione maioris, ac minoris inter se differunt, substantiae genere minimè diuersa, tum emplastica ab iis, quae sordem nutriunt; tum poros repurgantia ab extergentibus. Nam quae in superficie sordem auferunt, siue in cute, siue in vlceribus, ea extergentia, rhyptica nominantur. Quae verò poros etiam expurgant, ea subtiliorum his partium sunt, & emplasticis contraria; proinde pororum infarctu liberantia & expurgantia appellantur; sunt autem haec tum nitrosa tum amara. Atque cuti extimae imposita solam nitrosam qualitatem possideant exactam est opus ad ea peragenda, quae dicta sunt; at intrò in corpus assumpta, etiamsi adiuncta sit quaedam astrictio, possint tamen sic quoque magnos purgare abstergereque meatus, cuiusmodi sunt in vasis. Nam foris meatuum exiguitas priùs ab astrictione occlusa, quàm probè queat expurgari, non etiam inde in altum abstergentem substantiam recipit, nec expurgatur; at quae circa ventrem sunt partes omnes, quaeque in iecinore, liene, aliisque omnibus visceribus, quum maximos in se meatus habeant, maius accipiunt commodum ex vasorum corroboratione; quàm propter osculorum exiguitatem laedantur. Proin intus absynthium repurgare potest, foris non potest; quippe quod compositum est, vt suprà dixi, ex amara, acerbâque facultate. Quamobrem eius generis medicamenta particulatim, vt persequar, non est necesse. Quaecunque enim repereris nitrosa, & amara, ea ad purgandos meatus omnes valere noueris. At cutis vniuersae, ac vlcerum sordes non haec tantùm, sed viribus minora auferre possunt, qualia sunt dulcia, quae tenuium sunt partium, puta mel; & ex cerealibus seminibus quaedam, vt eruum, fabae, hordeum, lupini; quanquam in ipsis fabacea, hordeaceáq. farina tantùm extergit, non etiam meatus farctu liberat; erui autem, & lupinorum potissimum si amara fuerint, supra quam quòd extergunt, nonnihil quoque meatus purgare valent. Simile quiddam amygdalis accidit; nam & horum ipsorum ea, quae amara sunt. & detergunt, & meatus expurgant, quę verò edendo sunt, detergunt quidem, non tamen infarctu liberant. Quin & vrticae semen, non secus, atque eruum, amygdaláq; amara, meatus purgat. Ex eodem genere scilicet sunt scilla, & iris, & quaecunque alia vincentem in se qualitatem amaram possident. Siquidem nitrum ipsum per se, & spuma nitri, & seriphon, & abrotonum, & id genus reliqua, cum cibo potúq; assumpta eandem vim obtinent. Protinus enim his inest, vt crassos lentósq; humores extenuãdi vim obtineant, sicut emplasticis omnibus crassos, lentósq; corporis succos reddendi,

Quam-

Quamobrem lentis, ac pituitosis thoracis, pulmonisque humoribus, aut puri, & incidendis, & extenuandis, & educendis, aptiora inuenire alia præ istis medicamenta nequeas. Iisdem istis, & iecinoris obstructiones expurges, & modicas etiam lienis; nam quæ maiores sunt, vehementiora desiderant, nempe capparis corticem, radices tamaricis, scolopendrium, & scillam, & eam quæ id ipsum nomine repræsentat, asplenos appellata. Sed tamen istis vtendum in quoque viscerum est, ad iecur, ipsis per sese duntaxat; ad lienem verò, mixtis aceto, aut ei incoctis; ad thoracem pulmonémque, melicrato, ptissanæ, oxymeliti, aut dulcium vinorum cuipiam. Sed hæc ad curandi pertinent mothodum; proinde in præsens rationibus ea confirmare omitto. Nam & in illo opere, & in alio, quod de componendis medicamentis inscribetur, eas explicabo.

CAPVT XIII.

Quòd vrinam cientia ex acrium genere sint, ac proinde calida, & sicca; tum quòd sanguinem serosum segregent, crassum verò cogant.

Porrò quæ necesse est, vt dictis adiiciam, ea duntaxat expromam, nempe quum plurimam mouere vrinam volumus, non admodum dictis vtendum pharmacis, sed quæ acriora sunt, & magis calefaciunt; dictum siquidem supra est, acre omne esse calidum. Eius generis sunt semen apij, petroselini, fœniculi, dauci, agrioselini, smyrnij, & sanè ipsum quoque seseli, & ammi, & phu, & meon, & asaron, & acoron; à quibus sanguis non extenuatur duntaxat, sed & funditur, ac secernitur, non secus, atque lac quod coagulatur, seroso videlicet, & tenui seorsum segregato, crasso vero in sese coëunte. Siquidem quò facillimè ad se attrahunt renes, quod in sanguine aqueum tenuéque, ac serosum est, vtraque hæc conferunt, nempe totius sanguinis primum fusio, deinde segregatio; quorum neutrum absque valido calore peragi queat. Quamobrem puris ex thorace expuitioni ea omnia aduersa sunt; quippe quum natura eorum sit tum calefactoria exiccatoriáque, tum etiam coactoria, & secretoria. Cogitur quidem in sese quod crassum est; excernitur verò, ac secernitur in ipso coactu, quod in sanguine serosum ac tenue, defertur; atque hoc ad sese trahere renes anteuertunt; quod verò coactum est, atque exiccatum, haud etiam facilè expuitur. Proinde vt modo dixi, incidendi vim habeat eiusmodi medicamentum oportet, sed non tamen insigniter calidam, ne videlicet validè desiccet; ac eiusdem profectò commoditatis gratia cum sorbitionibus potionibúsque humectantibus exhiberi postulat; at quæ renes expurgant, & ipsa quidem incidentia sunt, verùm larga humiditate non indigent. Porrò quæ callosas, siue tophaceas consistentias incidere sunt idonea, & ipsa vtique admodum incidunt, sed minimum caloris possident; quandoquidem caliditas porum exiccando contrahit, non incidit, neque diuidit. At quæ minus sunt calida, cum hoc quod incidere valeant, meliora quoque sunt, velut radices regiorum asparagorum, & rubi, & betonica, & polium, tum ochra, & vitrum vstum & ex scilla confectum acetum, & quæ sunt eius generis.

A ὥστ᾽ οὐδὲ τῶν ἐκ θώρακός τε καὶ πνεύμονος, ἤτοι φλεγματωδῶν, ἢ γλίσχρων, ἢ πύου τμητικώτερα, καὶ λεπτυντικώτερα, καὶ πρὸς τὴν ἀναγωγὴν ἐπιτηδειότερα δύναιο ἂν εὑρεῖν ἕτερα παρὰ τούτων φάρμακα. τοῖς δ᾽ αὖθις τούτοις καὶ τὰς καθ᾽ ἧπαρ ἐμφράξεις ἐκκαθαίρειν ὑπάρχει, καὶ τὰς κατὰ σπλῆνα, τὰς μετρίας. αἱ δ᾽ ἰσχυρότεραι, σφοδροτέρων φαρμάκων προσδέονται. καππάρεως φλοιοῦ, καὶ μυρίκης ῥιζῶν, σκολοπενδρίου τε, καὶ σκίλλης, καὶ τῆς δι᾽ αὐτὸ δὴ τοῦτο προσαγορευομένης ἀσπλήνου πόας. διαφόρως δὲ καὶ αὖθις τούτοις ἐστὶ χρηστέον, ἐφ᾽ ἑκάστου τῶν σπλάγχνων. ἐπὶ μὲν ἥπατος, αὖθις καθ᾽ ἑαυτὰ μόνοις, ἐπὶ δὲ σπληνὸς, ὄξει μιγνύντας,
B ἢ ἐναφέψοντας, ἐπὶ δὲ τῶν κατὰ θώρακα, καὶ πνεύμονα, καὶ μελικράτῳ, καὶ πτισάνῃ, καὶ ὀξυμέλιτι, καὶ τῶν οἴνων τοῖς γλυκέσιν. ἔστι δὲ καὶ ταῦτα τῆς θεραπευτικῆς ἤδη μεθόδου, διὸ καὶ παρίημι, τό γε νῦν ἔχειν, τοὺς ὑπὲρ αὐτῶν λογισμούς. ἔν τε γὰρ ἐκείνῃ τῇ πραγματείᾳ, κἂν τῇ περὶ συνθέσεως φαρμάκων, εἰρήσονται.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Οτι τῶν διουρητικῶν ἕκαστον, ἐκ τοῦ γένους ἐστὶ τῶν δριμέων, καὶ διὰ τοῦτο θερμόν τε καὶ ξηρόν. καὶ πρόσετι διακριτικὸν μὲν τοῦ ὀρρώδους αἵματος, συναγωγικὸν δὲ τοῦ παχέος.

C Ἅπερ δ᾽ ἐστὶν ἀναγκαῖον ἔτι προσεπισημήνασθαί με τοῖς λεγομένοις, εἰρήσεται μόνον, ὡς ἐπειδὰν πλείονα οὔρησιν κινῆσαι βουληθῶμεν, οὐ πάνυ τι τοῖς εἰρημένοις φαρμάκοις χρηστέον ἐστὶν, ἀλλὰ τοῖς δριμυτέροις τε ἅμα καὶ μᾶλλον θερμαίνουσιν. εἴρηται γὰρ ἔμπροσθεν, ὡς τὸ δριμὺ πᾶν, θερμόν ἐστιν. ἔστι δὲ τοιαῦτα, σελίνου σπέρμα, καὶ πετροσελίνου, καὶ μαράθου, καὶ δαύκου, καὶ ἀγριοσελίνου, καὶ σμυρνίου καὶ δὴ καὶ τὸ σέσελι, καὶ τὸ ἄμμι, καὶ τὸ φοῦ, καὶ τὸ μέον, ἄσαρόν τε, καὶ ἄκορον, ὑφ᾽ ὧν οὐ λεπτύνεται μόνον, ἀλλὰ καὶ χεῖται, καὶ διακρίνεται τὸ αἷμα παραπλησίως τῷ γάλακτι, τοῦ μὲν ὀρρώδους, καὶ
D λεπτοῦ, ἀποχωριζομένου καθ᾽ ἑαυτὸ, τοῦ δ᾽ αὖ παχυτέρου συνισταμένου τε πρὸς ἑαυτὸ καὶ ἀκριβῶς ἑνουμένου. πρὸς γὰρ δὴ τὸ ῥᾳδίως ἐπισπᾶσθαι τοὺς νεφροὺς, ὅσον ὑδατῶδές τ᾽ ἐστὶ καὶ λεπτὸν, καὶ ὀρρῶδες ἐν αἵματι, ταῦτ᾽ ἄμφω συντελεῖ. χύσις μὲν αὐτοῦ τοῦ αἵματος ὅλου τὸ πρῶτον, ἐφεξῆς δ᾽ αὐτῇ διάκρισις, ὧν οὐδὲν ἄνευ θερμότητος ἰσχυρᾶς ἐνδέχεται γενέσθαι, καὶ διὰ τοῦτο, ταῖς ἐκ τοῦ θώρακος ἀναπτύσεσι τοῦ πύου, τὰ τοιαῦτα πάντα ἀντιπράττει. φύσις γὰρ αὐτῶν, ὡς εἴρηται νυνὶ, θερμαντική τε καὶ ξηραντικὴ, καὶ προσέτι συναγωγική τε, καὶ διακριτική. συναγομένου μὲν εἰς ταὐτὸ τοῦ παχέος, ἀποκρινομένου δὲ, καὶ
E διακρινομένου κατὰ τὴν τοιαύτην σύνοδον, ὅσον αὖ ὀρρῶδές τε καὶ λεπτὸν ἐμφέρηται τῷ αἵματι. τοῦτο μὲν οὖν οἱ νεφροὶ φθάνουσιν ἐφ᾽ ἑαυτοὺς ἕλκοντες, τὸ δὲ συνιστάμενόν τε, καὶ ἀποξηραινόμενον, οὐκέτι εὐπετῶς ἀναπτύεται. καὶ διὰ τοῦτο καθάπερ ἀρτίως ἐλέχθη, τμητικὸν μὲν εἶναι χρὴ τὸ τοιοῦτον φάρμακον, οὐ μὴν ἐπιφανῶς γε θερμὸν, ἵνα μὴ ξηραίνῃ σφοδρῶς, δίδοσθαί τε σὺν τοῖς ὑγραίνουσι, ῥοφήμασί τε, καὶ πόμασι τῆς αὐτῆς χρείας ἕνεκα. τὰ μέντοι τοὺς νεφροὺς ἐκκαθαίροντα, τμητικὰ μὲν ὁμοίως ἐστὶ, δεῖ δ᾽ εἰς οὐδὲν ὑγρότητος δαψιλοῦς. ὅσα δὲ τὰς ἐν αὐτοῖς πωρώδεις συστάσεις ἐπιτήδεια τέμνειν ἐστὶν, τμητικὰ μὲν ἱκανῶς ὑπάρχει καὶ ταῦτα, θερμότητος δ᾽ ἥκιστα μετέχει. συνίστησι γὰρ ἀπο-
F ξηραίνουσα τὸν πῶρον ἡ θερμότης, οὐ τέμνει, καὶ διαιρεῖ. τὰ δ᾽ ἧττον θερμὰ, μετὰ τοῦ τέμνειν δύνασθαι βελτίω, καθάπερ αἵ τε ῥίζαι τῶν βασιλικῶν ὀνομαζομένων ἀσπαράγων, αἵ τε τοῦ βάτου, καὶ τὸ κέστρον, καὶ τὸ πόλιον, ὤχρα τε, καὶ ὕαλος ἡ κεκαυμένη, καὶ τὸ διὰ τῆς σκίλλης ὄξος, ὅσα τ᾽ ἄλλα τοιαῦτα.

Θεσσαλὸς δ' ὁ σκαιότατος, ὥσπερ εἰς τἆλλα τῆς τέχνης ὑβρίζει πλημμελῶς, οὕτω καὶ ταῦτα διασύρειν ἐπιχειρεῖ, μηδὲν εἶναι νομίζων φάρμακον ἰδίως ἡπατικὸν, ἢ νεφριτικὸν, ἢ πλευριτικόν.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ὅτι μὲν τῶν ἀραιωτικῶν ἡ κρᾶσίς ἐστι σύμμετρος κατὰ θερμότητα καὶ ξηρότητα, λεπτομερὲς δὲ κατὰ σύστασιν. ἡ δὲ τῶν ἀναστομωτικῶν, θερμοτέρα, καὶ δηκτικὴ, δριμεῖά τε καὶ παχυμερής. ἡ δὲ τῶν πυκνωτικῶν στυπτική τε καὶ ὑδατώδης μᾶλλον· ἡ δὲ τῶν στεγνωτικῶν παχυμερὴς καὶ ψυχρά.

Ἀλλὰ τὰ μὲν ἐκείνου πλημμελήματα, δι' ἑτέρων γραμμάτων ἐπεδείξαμεν. ἐν δὲ τῷ παρόντι λόγῳ, τὰς ὑπολοίπους τῶν ἁπλῶν φαρμάκων ἐξηγησόμεθα δυνάμεις, ἀπὸ τῶν ἀραιωτικῶν τε καὶ ἀναστομωτικῶν, αὖθις ἀρξάμενοι. δοκεῖ γὰρ δὴ καὶ ταῦτα πλησιάζειν μέν πως τοῖς προειρημένοις, ὅσα ῥύπτειν, καὶ τέμνειν, ἐκφράττειν τε, καὶ διαιρεῖν ἔφαμεν, οὐ μὴν πάντῃ γε ὡμοιῶσθαι. πρῶτον μὲν οὖν καὶ τούτων τὰς ἐννοίας διοριστέον, εἶθ' οὕτως τὰς οὐσίας ζητητέον. ὅσα μὲν δὴ τοὺς κατὰ τὸ δέρμα πόρους ἀνοίγνυσιν, ἀραιωτικὰ προσαγορεύουσιν. ὅσα δὲ τὰ στόματα τῶν ἀγγείων, ἀναστομωτικά. καὶ δὴ καὶ τῶν ἐναντίων αὐτοῖς, εἰ μέν τι συνάγει τοὺς πόρους, πυκνωτικὸν ὀνομάζουσιν. εἰ δέ τι κλείει τὸ στόμιον, ἰδίῳ μὲν οὐκέτι προσαγορεύουσιν ὀνόματι, γενικωτέροις δέ τισι συνάγον τε, καὶ κλεῖον, καὶ σφίγγον, καὶ στεγνοῦν ὀνομάζοντες. ἡ δὲ φύσις ἑκατέρων ἐστὶν, τῶν μὲν ἀραιωτικῶν, μετρίως θερμὴ, καὶ ἥκιστα ξηραίνουσα, καὶ λεπτομερής· τῶν δ' ἀναστομωτικῶν, παχυμερὴς, δριμεῖα, καὶ δηκτική. τῶν δ' ἐναντίων αὐτοῖς, ἡ μὲν πυκνωτικὴ, ψυκτικὴ μὲν οὐ μὴν οὔτε γεώδης, οὔτε ἀερώδης, ἀλλ' ὑδατώδης μᾶλλον. ἡ δὲ τὰς ἀναστομώσεις κλείουσα, παχυμερὴς, ψυχρά. παράδειγμα δὲ τούτων. ἀραιωτικῆς μὲν φύσεως, χαμαίμηλόν τε καὶ ἀλθαία, καὶ τὸ δι' αὐτῶν ἔλαιον, οὐχ ἥκιστα δὲ, καὶ τὸ διὰ τῶν ἀγρίων σικύων. ἀλλὰ καὶ τὸ παλαιὸν, καὶ τὸ κίκινον, καὶ τὸ ῥαφάνινον ἔλαιον, ἐκ τῆς αὐτῆς ἐστιν ἰδέας. ἀναστομωτικῆς δὲ δυνάμεως, ὅσα δριμέα τέ ἐστιν, καὶ γεώδη πάντα, κυκλάμινος, σκόροδα, κρόμμυα, τῶν ταύρων αἱ χολαί. τῶν μύρων ἁπάντων παχυμερῶν τε ἅμα καὶ θερμῶν αἱ ὑποστάσεις, οἷόν περ καὶ τὸ ἴρινόν ἐστιν, καὶ τὸ ἀμαράκινον, ἃ δὴ καὶ τὰς τυφλωθείσας αἱμορροΐδας ἀναστομοῖ. τὰ δέ γε, τὸ τῆς μήτρας στόμιον ὑπὸ φλεγμονῆς τινος, ἢ ξηρότητος, ἢ σκίρρου μεμυκὸς, ἀναστομοῦν λεγόμενα, κατὰ συμβεβηκὸς ἂν, οὐ πρώτως, οὐδὲ καθ' ἑαυτὰ, τοιαῦτα ἂν εἴη τινὸς δυνάμεως. ὥσπερ οὐδ' ὅσα μεμυκότων ὑπὸ φλεγμονῆς, ἤτοι χειλῶν, ἢ βλεφάρων, ἢ μυκτήρων, ἢ φάρυγγος, ἢ πόσθης, ἢ ἕδρας, ἢ τινος ἑτέρου τοιούτου στόματος ὀργάνου τὴν φλεγμονὴν ἰασάμενα, καὶ τὴν μύσιν ἐπηνωρθώσαντο. καὶ γὰρ καὶ ταῦτα φλεγμονῆς εἶναι λυτικὰ λέγοιντ' ἄν, ἀναστομωτικὰ δ' οὐδαμῶς. ἁμαρτάνει δ' ἐν αὐτοῖς ὁ Διοσκουρίδης, ἀναστομωτικῆς ἐνίοτε λέγων εἶναι δυνάμεως, ἤτοι χαλαστικόν τι φάρμακον, ἢ μαλακτικὸν, ἢ ὑγραντικὸν, ἢ φλεγμονῆς λυτικόν. αἱ μὲν δὴ τῶν ἀραιωτικῶν τε καὶ τῶν ἀναστομωτικῶν οὐσίαι τοιαίδε. τῶν δ' ἐναντίων αὐταῖς, ἡ μὲν τῶν πυκνωτικῶν ὕδατός τέ ἐστι τοῦ ψυχροῦ, καὶ ἀειζώου, καὶ ἀνδράχνης, καὶ τριβόλου χλωροῦ, καὶ ψυλλίου, καὶ τῆς πόας ἣν μυὸς ὦτα προσαγορεύουσιν, καὶ φακοῦ τοῦ ἀπὸ τῶν τελμάτων, καὶ ἁπλῶς εἰπεῖν, ὅσα ψύχει μὴ στύφοντα. διὸ καὶ μανδραγόρας, καὶ

A At Thassalus insulsissimus, atque imperitissimus, sicut pleraq; alia artis cõtumeliis, ac probis immeritò afficit: ita & hæc quoq; discerpere contendit, nullũ esse medicamentum censens, quod propriè sit, aut hepaticum, aut nephriticum, aut pleuriticũ.

CAPVT XIV.

Quòd rarefacientium temperies moderatæ sit caliditatis, & siccitatis, consistentiæ verò tenuium partium; anastomoticorum autem calidior, mordax, atq; acris, ac crassarũ partium; porrò condensantium, astringens, & aquea potius; stipantium verò, crassarum partium, & frigida. B

Sed illius errores aliis libris detexi. In præsenti autem libro reliquas simplicium medicamentorum facultates edisseram, exordio rursus ab aperientibus, ac rarefacientibus desumpto. Videntur enim & hæc quodam sanè modo iam dictis esse vicina, nempe quæ extergere, incidere, obstructiones tollere, diuidereque diximus; quanquam non vndequaque esse similia. Sanè & horum ante omnia distinguenda notio est, ac sic inquirenda substantia. Quæ cutis mea- C tus referant, rarefacientia dicimus; quæ verò vasorum oscula, aperientia. Quin & illis contrariorum, si quod poros contrahit, condensans appellitant; si quod autem osculum occludit, haud etiam proprio designant nomine, sed generalioribus quibusdam, & contrahens, occludens, constringens, atque obstruens nominant. Porrò vtriusque natura sic habet; rarefacientium quidem tum modicè calida est, tum minimè desiccans, tum tenuium partium; aperientium verò, tum crassarum partium, tum acris, ac mordax. His porrò contrariorum, condensantium quidem frigida sanè, sed non terrea, D neque aërea, sed potius aquea; eorum autem, quæ apertiones, siue anastomoseis occludũt, crassarum partium, & frigida. Exempla horum sunt, rarefacientis quidem naturæ chamæmelum & althea, & quod ex ipsis præparatur oleum; nec minus quod ex agrestibus cõficitur cucumeribus, quin & vetus, & cicinum, & raphaninũ oleum ex eadẽ sunt notã. Aperientis verò facultatis, quæcunq; omnia acria sunt simulque terrena, cyclaminus, allia, cæpe, fel taurinũ, vnguentorũque omnium subsidẽtiæ, quæ simul crassarum sunt partium, & calida, cuiusmodi est irinum, & amaracinũ, quæ vtique, & occæcatas E aperiũt hemorrhoidas. Porrò quę vteri os à phlegmone, aut scirrho, aut ariditate occlusum, aperire dicuntur, ex accidenti, non autem primario, & per se eiusmodi habere facultatẽ censentur, velut nec ea, quæ labiorũ à phlegmone occlusorũ, aut genarũ, aut narium, aut gutturis, aut præputij, aut sedis, aut alterius eiusmodi osculi instrumenti, phlegmonẽ sanant, atque occlusionẽ corrigunt; ea namque phlegmonẽ soluere dici possint, haudquaquã aperientia, siue anastomatica. Peccat sanè in istis Dioscorides, nonnunquã aperientis inquiens facultatis medicamentum quod laxat, aut emollit, aut hu- F mectat, aut phlegmonẽ soluit: Atque rarefacientium, & aperientiũ eiusmodi sunt essentiæ. At eorũ quæ ipsis cõtraria sunt, cõdensantium quidem, aquæ est frigidæ, semperuiui, portulacæ, tribuli viridis, psyllij, herbæ quã muris aurẽ vocitant, lenticulæ palustris, & vt semel dicã, quæcunque refrigerãt, sed non adstringunt. Proinde & mandragora,

cicuta, altercum, papauer (ipsas nunc dico herbas) siquis modicè vtatur, condensandi vim obtinent, sin liberalius, non modo condensandi, sed & obstupefaciendi; si verò etiam plurimum, non tantum obstupefaciendi, sed & enecandi. At eorum quæ aperientibus aduersantur; substantia quum sit crassarum partium, & frigida, astringentium est omnium, quæ quidem admixtam non habent acrimoniam. Quorum sanè materiæ abundè multa posuimus in quarto huius exempla, in quo & essentiam eiusmodi medicamentorũ, terrenam frigidámque exposuimus. Mirum ergo videri non debet, si sola contrahere occluderéque possit aperta præter naturam vasorum oscula; soli enim huic, quæcunque requirunt ea, quæ contrahi debent, omnia adsunt; nimirum quæ consistentiæ crassitie foris incumbat, nec paruos meatus penetrare possit; tum frigiditate sua intrò premat, atque vndequaque in sese contacta vicináque corpora cogat, ac contrahat; ac proinde quod desiccet (eiusmodi enim esse ostensum est, quicquid astringit,) humorem depascatur, & partem roboret. Itaque si hæc omnia conueniant, osculum claudetur, ceu à manibus foris, ipsis nimirum astringentis substantiæ partibus contractum. Ea verò medicamenta, quæ frigida quidem sunt, aut æquè, aut amplius, sed substantiam sortita sunt aqueam, ea inquam, debiliter, & contrahunt, & constringunt, nimirum propter mollitiem; quippe quicquid valenter tum constipare, tum constringere debet, robur quoddam renitens, & durum habeat oportet; quo quum careant medicamenta naturæ magis aqueæ, tenues quidem poros in vnoquoque corpore contrahunt, atque condensant, cæterùm instrumentum vndequaque totum constringere nequeunt. Quamobrem meritò talia condensantia quidem sunt, non tamen obstruentia. Intelligas nunc velim obstruentia, siue stegnotica me dicere corpora, quæ sensibiles excretiones cohibent; corpus enim stegnoticum, quod στέγει, siue claudit, ac continet in se, nec quicquam quod sensu queat percipi, ex sese emittit, Græcè στεγνὸν nuncupatur. Atque hæc eiusmodi sunt, tum temperamenti, tum facultatis. Ac rarefacientia prorsum quidem calefaciunt; nec enim aliter diffundere, & laxare possent substantiam; ad quod consequitur, vt & pori dilatentur. Debent autem non admodum esse calida temperie, siquidem ea iam acria sunt, & inhorrere faciunt; neque item exiccatoria, nam & hæc sensilia corpora colliquant, dolorémque in ipsis excitant.

CAPVT XV.

Quòd escharotica crassæ sint consistentiæ, ac vehementer caustica adeò vt corpus sensibiliter colliquent. Ac septica, quæ non dicuntur propriè caustica, & ipsa colliquant, non tamen ita valenter, vt escharotica. Ad hæc consistentia sunt tenui, ac proinde latentem moliuntur colliquationem.

F Itaque quæ citra molestiam calefaciunt, ea sola omnium sunt rarefacientia. Si verò non modò calida fuerint, sed etiam consistentia crassa; siquidé vehemẽtia sint, & caustica, hoc est, vrentia; & ignis instar corpus colliquant, & sæpe crustas, ritu cauterij efficiunt. Porrò si debilius, quàm vt vrere possint, calefaciant, anastomoticam,

A κώνειον, ὑοσκύαμός τε, καὶ μήκων, αὐτὰς δὲ λέγω νῦν τὰς πόας, εἰ μὲν μετρίως τις χρήσαιτο, πυκνωτικαὶ ταῖς δυνάμεσιν ὑπάρχουσιν. εἰ δ' ἐπὶ πλέον, οὐ πυκνωτικαὶ μόνον, ἀλλ' ἤδη καὶ ναρκωτικαί. εἰ δ' ἐπὶ πλεῖστον, οὐκέτι ναρκωτικαὶ μόνον, ἀλλ' ἤδη καὶ νεκρωτικαί. ἡ δὲ τῶν ἐναντίων τοῖς ἀναστομωτικοῖς οὐσία, παχυμερὴς οὖσα καὶ ψυχρά, τῶν στυφόντων ἁπάντων ἐστί, χωρὶς ἐπιμίκτου δριμύτητος, εἴρηται δὲ τῆς ὕλης αὐτῶν ἱκανὰ παραδείγματα κατὰ τὸ δ' γράμμα, δι' οὗ καὶ τὴν οὐσίαν ἐξήγημαι τῶν τοιούτων φαρμάκων, γεώδη, καὶ ψυχρὰν οὖσαν. οὐκοῦν ἔτι θαυμαστὸν οὐδέν, εἰ μόνη συνάγειν καὶ κλείειν πέφυκε τὰ παρὰ φύσιν ἀναπεπταμένα τῶν ἀγγείων στόματα. μόνῃ γὰρ αὐτῇ, πάνθ' ὅσα δεῖται τὰ συναχθησόμενα, πάρεστι, διὰ μὲν τὸ παχυμερὲς τῆς συστάσεως, ἔξωθεν μὲν περιπλαττούσῃ, διεξέρχεσθαι δὲ τοὺς λεπτοὺς πόρους ἀδυνατούσῃ, διά τε τὴν ψύξιν εἴσω τε πιλούσῃ, καὶ συναγούσῃ πάντοθεν εἰς ἑαυτά, τὰ πλησιάζοντα. ὅτι δὲ ξηραίνει, τοιοῦτον γὰρ ἐδείχθη πᾶν τὸ στῦφον, ἐκβοσκομένη τε τὴν ἰκμάδα, καὶ τονοῦσα τὸ μόριον. ἀλλ' εἴπερ ἅπαντα συνέλθῃ ταῦτα, κλεισθήσεται τὸ στόμιον, ὡς ὑπὸ δακτύλων τινῶν ἔξωθεν, τῶν μορίων τῆς στυφούσης οὐσίας, συναγόμενον. ὅσα δὲ τῶν φαρμάκων ψυχρὰ μέν ἐστιν, ἢ ὁμοίως ἢ μᾶλλον, ὑδατώδη δ' ἐστὶ ταῖς οὐσίαις, ἀσθενῶς τὰ τοιαῦτα, καὶ συνάγει τε καὶ σφίγγει, διὰ μαλακότητα. δεῖται γάρ τινος ἰσχύος ἀντιβατικῆς, καὶ σκληρᾶς, ἅπαν τὸ μέλλον πιλήσειν τε καὶ συνάξειν ὁπωσοῦν ἰσχυρῶς, ἧς οὐκ ἔχοντα τὰ ὑδατωδέστερα ταῖς οὐσίαις φάρμακα, τοὺς μὲν λεπτοὺς πόρους ἐν ἑκάστῳ σώματι συνάγει καὶ πυκνοῖ, τὸ δ' ὅλον ὄργανον, ἀδυνατεῖ σφίγξαι πανταχόθεν, ὥστ' εὐλόγως τὰ τοιαῦτα, πυκνωτικὰ μέν ἐστι, στεγνωτικὰ δὲ οὐκ ἔστιν. ἄκουε δέ μου νῦν στεγνωτικὰ λέγοντος, ὅσα τὰς αἰσθητικὰς ἐκκρίσεις ἐπέχει. καὶ γὰρ τὸ στεγνωτικὸν σῶμα, τὸ στέγον ἐν αὐτῷ, καὶ μηδὲν ἔξω μεθιέναι αἰσθητῶς, ὑπὸ τῶν Ἑλλήνων προσηγόρευται στεγνόν. ταυτὶ μὲν οὖν τοιαῦτα ταῖς κράσεσί τ' ἐστί, καὶ ταῖς δυνάμεσιν. τὰ δὲ ἀραιωτικά, θερμαίνει μὲν πάντως. οὐδὲ γὰρ ἂν ἄλλως δύναιτο διαχέαι τε ἅμα καὶ χαλάσαι τὴν οὐσίαν, οἷς ἕπεται τὸ καὶ τοὺς πόρους εὐρυνθῆναι. χρὴ μέντοι, μήτ' ἄγαν αὐτὰ θερμὰ ταῖς κράσεσιν εἶναι, δριμέα γὰρ ἤδη ταῦτα, καὶ φρίττειν ἀναγκάζει, μήτε ξηραντικά. καὶ γὰρ καὶ ταῦτα συντηκτικά τ' ἐστί, καὶ ὀδυνηρὰ τῶν αἰσθητικῶν σωμάτων.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅτι τὰ μὲν ἐσχαρωτικὰ παχυμερῆ τε ὑπάρχει ταῖς συστάσεσι, καὶ καυστικὰ σφοδρῶς ὡς αἰσθητὴν τῶν σωμάτων ποιεῖσθαι τὴν σύντηξιν. τὰ δὲ σηπτικά, οὐ κυρίως λεγόμενα καυστικά, καὶ αὐτὰ τε συντηκτικὰ ὑπάρχει, οὔτε μέντοι οὕτω σφοδρῶς ὡς τὰ ἐσχαρωτικά. καὶ προσέτι λεπτομερῆ ταῖς συστάσεσι, καὶ διὰ τοῦτο λανθάνουσαν ποιεῖται τὴν σύντηξιν.

Ὅσα τοίνυν ἀλύπως θερμαίνει, ταῦτα ἀραιωτικὰ μόνον ὑπάρχει τῶν πάντων. εἰ δὲ μὴ θερμὰ μόνον, ἀλλὰ καὶ παχυμερῆ ταῖς συστάσεσιν εἴη, σφοδρὰ μὲν ὑπάρχοιτ' ἄν, καὶ καυστικά, συντήκει τε τὰ σώματα δίκην πυρός, ἐσχάρας τε πολλάκις ὁμοίας ταῖς ἀπὸ τῶν καυστήρων ἐργάζεται. ἧττον δ', ἢ ὥστε καίειν θερμαίνοντα, τῆς ἀναστομωτικῆς

ἐστὶ δυνάμεως, ὥστ' εἶναι πάνυ ἀναστομωτικὸν φάρμακον, τῇ μὲν οὐσίᾳ γεῶδές τε ἅμα, καὶ πυρῶδες, εἰς τοσοῦτον δ' ἧκον θερμότητος, ὡς μήπω καίειν. εἰ δὲ καυστικόν τε ἅμα, καὶ μὴ μέντοι σφοδρῶς εἴη, καὶ προσέτι λεπτομερές, ἤτοι παντάπασιν ἄδηκτον ἔσται τὸ τοιοῦτον, ἢ μετ' ὀλίγης δήξεως, καὶ ὀδύνης, ἀποτήξει τι τῶν σαρκωδῶν μορίων. παρὰ γὰρ μὴ τὸ ἀλλοιοῦν ἀθρόως, ὥσπερ τὰ σφόδρα θερμὰ, μήτε μόλις διεξέρχεσθαι, καθάπερ τὰ παχυμερῆ, λανθάνουσαν ἔχει τὴν ἐνέργειαν. εἴ γε τῶν ἀλλοιώσεων αἱ ἀθρόαι μεταβολαὶ μάλιστα αἰσθητικαὶ, καὶ τῶν διεξόδων, αἱ βίαιοι. τὸ γὰρ παχυμερὲς καυστικὸν, ὥσπερ ἂν ἐνιζήσῃ μορίῳ, σκόλοπος δίκην ἐμπεπαρμένον ἀνιᾷ. ἀλλ' ἐκεῖνο μὲν ἐσχαρωτικόν ἐστιν ὁμοίως τοῖς καυστικοῖς. ὑπὲρ ὧν δὲ νῦν ὁ λόγος ἐνέστηκεν, οὔτε ἐσχάραν ἐργάζεται, καὶ καλεῖται σηπτικὰ, οὐκ οἰκείας μὲν τῆς προσηγορίας τετυχηκότα. τὰ γὰρ ὄντως σηπτικὰ, ὑγραίνοντα μετὰ τοῦ θερμαίνειν ἐστίν. ὅμως δ' οὖν, οὕτω καλούμενα τῇ τοῦ συμπτώματος ὁμοιότητι, φθορὰ γὰρ ἀνώδυνος ὑπ' ἀμφοτέρων γίγνεται· πλείους μὲν οὖν εἰσιν οἱ τῶν φθειρομένων τρόποι. τά τε γὰρ ὑπερψυχθέντα, καὶ ὑπερθερμανθέντα, καὶ ὑπερυγρανθέντα, καὶ ὑπερξηρανθέντα, φθείρεται. ἀλλ' οὐ πάντα γε τὰ φθειρόμενα σήπεσθαί φαμεν, ἀλλ' ὅσα μετὰ δυσωδίας τοῦτο πάσχει. περὶ μὲν δὴ τῶν ὀνομάτων οὐ πάνυ χρὴ σπουδάζειν. χρὴ δ' εἰδέναι τὰ καλούμενα φάρμακα σηπτὰ, καὶ σηπτικὰ, καθάπερ ἀρσενικὸν, καὶ σανδαράχη καὶ χρυσοκόλλα, δρυοπτερίς τε καὶ πιτυοκάμπη, καὶ ἀκόνιτον, τήκειν τε, καὶ συντήκειν ἅπαντα, καὶ μάλιστα τῆς μαλακῆς σαρκὸς, ὀδύνης χωρίς. Ἔνια δ' ἐξ αὐτῶν ἰδίως ὀνομάζουσι καθαιρετικὰ, καὶ χρῶνταί γε πρὸς τὰς ἐπουλώσεις τῶν ὑπερσαρκούντων ἑλκῶν. ἔστι δὲ καὶ ταῦτα, τῆς μὲν αὐτῆς τοῦ γένους τῆς σηπτικῆς ὀνομαζομένης δυνάμεως, ἀσθενεστέρας δ' εἰς τοσοῦτον, ὡς τὸ μὲν ἐπιπολῆς μόνον ᾧ προσάπτει, καθαιρεῖν, εἰς βάθος δ' ἀδυνατεῖν προσέρχεσθαι, καθάπερ καὶ τὸ τῆς Ἀσίας πέτρας ἄνθος, οὐ μὴν τῆς γε αὐτῆς τῆς ὄντως ἐπουλωτικῆς δυνάμεώς ἐστι τὰ τοιαῦτα. ἐκεῖνα γὰρ, οὐ καθαιρεῖν, οὐδ' ἀποτήκειν τι τῆς σαρκὸς, ἀλλὰ σκληρύνειν τε καὶ ξηραίνειν πέφυκεν, ἥ τε στυπτηρία, καὶ ἡ κηκὶς, ἣν ὀμφακῖτιν ὀνομάζουσιν, ὅ τε κεκαυμένος χαλκὸς, καὶ μάλιστα ὁ πεπλυμένος. ὁ μὲν γὰρ ἄπλυτος, ἔχει τι καθαιρετικὸν, ὥσπερ καὶ ἡ τοῦ χαλκοῦ λεπίς. ὁ πεπλυμένος δὲ, τὸ κάλλιστον τῶν ἐπουλωτικῶν φαρμάκων ἐστί. χρὴ γὰρ καὶ στύφειν μετρίως, καὶ ξηραίνειν, τὸ μέλλον ἐπουλώσειν καλῶς. ὅθεν καὶ ὁ τῆς Αἰγυπτίας ἀκάνθης καρπὸς, καὶ τὰ τῆς ῥοιᾶς λέμματα ξηρὰ, καὶ πάνθ' ὅσα τοιαῦτα, τῶν ἐπουλωτικῶν φαρμάκων ἐστίν.

A siue aperiendi vim obtinent. Itaque medicamentum omne anastomoticum essentiæ quidem terreæ, simúlque igneæ est, hactenus tamen calefaciens, vt nondum vrat. Si porrò causticum sit, non tamen vehementer præterea essentiæ tenuioris, id planè ab omni aberit mordacitate; aut cum exiguo, tum dolore, tum morsu carnosas partes eliquabit. Nam quod non confertim alterat, vti quæ vehementer sunt calida; quódque non ægrè penetrat; sicut quæ crassæ sunt essentiæ, latentem ea actionem obtinent. Siquidem alterationes quæ subitæ confertæque sunt, mutationes maximè sensibiles sunt; tum penetrationes, B quæ violentæ sunt. Quippe quòd in crassa essentia causticum est; id cuicunque inhæserit parti, stipitis ritu infixum excruciat; verùm hoc quidem escharoticum est, perinde, vt caustica. Cæterùm de quibus nunc agitur, crustam non faciunt, & vocantur septica, hoc est putrefacientia, haud quidem appellatione propria, nam quæ verè sunt septica, humectant simul, & calefaciunt; veruntamen symptomatis similitudo, vt sic appellemus, efficit, vtpotè quum ab vtrisque nullo doloris sensu fiat corruptio. Multis enim modis corrumpi quid potest. Siquidem C quæ nimio plus refrigerata sunt, aut calefacta, tum exiccata, aut humectata, ea omnia corrumpuntur; cæterùm non quicquid corrumpitur, putrescere dicimus, sed quibus id cum fætore accidit. Sed de nominibus non admodum esse sollicitum oportet; verùm nouisse expedit ea medicamenta, quæ septa & septica nuncupantur, vt sunt arsenicum, sandaraca, chrysocolla, dryopteris, pityocampe, aconitum, omnia tum eliquare, tum colliquare, ac potissimum carnem tenellam, ídque absque dolore. Sed sunt inter ea quædam, quæ propriè vocant cathæretica, eisque vtuntur ad inducendam vlceribus excrescen-D tibus cicatricem. Sunt tamen & ipsa eiusdem generis facultatis, septices scilicet; verùm tantulo imbecillioris, quòd extimam modo superficiem, quam contigerint, detrahant, non tamen in altum subire valeant; velut Asiæ petræ flos. Quanquam nec talia ipsius reuera facultatis cicatricem inducentis, sunt. Siquidem quæ huius sunt facultatis, non detrahere, neque liquare carnem sunt nata, verùm indurare, & desiccare; cuiusmodi sunt alumen, galla omphacitis vocata, æs combustum, præsertim lotum; nam quod lotum non est, quiddam obtinet cathæreticum, E velut & æris squama; quod autem lotum est, omnium medicamentorum cicatricem inducentium longè præstantissimum est, quippe, quod probè cicatricem inducit, modicè astringat oportet, atque desiccet. Quapropter spinæ Ægyptiæ fructus, & mali granati putamina sicca, & eius generis vniuersa cicatrici inducendæ sunt medicamenta.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Ὅτι τὰ ἐπουλωτικὰ φάρμακα στυπτικὰ καὶ ξηραντικὰ εἶναι προσήκει, τὰ δὲ ἀναπληρωτικὰ τῶν κοίλων ἑλκῶν, ῥυπτικά τε μετρίως καὶ ἄδηκτα.

ΣΥγκέχυται δὲ παρὰ τοῖς πολλοῖς τῶν ἰατρῶν, οὐχ ἡ προσηγορία μόνον, ἀλλὰ καὶ ἡ τῆς δυνάμεως γνῶσις, ἁπάντων τῶν τοιούτων φαρμάκων. ἐπουλω-

CAPVT XVI.

F *Quòd cicatricem inducentia medicamenta astrictoria esse, & desiccatoria conueniat; quæ verò vlcerum caua implent, mediocriter extergentia, & morsu vacantia.*

CÆterùm confusa est apud plerosque medicorũ non solum appellatio, verùm etiam omniũ id genus medicamentorũ facultatis cognitio. Siquidem

Siquidem quæ carnem detrahere, ac colliquare ſunt nata, ea nonnunquam nominant epulotica, ſcilicet quòd horum ſæpe vſu vlcera ad cicatricem perueniant; ſed id neque primario, neque peculiari ipſorum facultate, neque in omni vſu ſequitur. Siquidem ad exactum pulueris læuorem redacta id genus medicamenta per ſpecilli cuſpidem carnem leuiter contingentia ad cicatricem vlcera perducunt; at ſi paulo largius vtare, mordicant colliquántque carnem, & vlcus cauum efficiunt, contra quam in iis, quæ reuera ſunt epulotica; ſiquidem niſi ſatis magnam eorum quantitatem imponas, nihil proficies. Id enim eſt in planis vlceribus ad cicatricem ducendis conſilium, vt caro alteretur, fiátque cutis; id quod perficitur per ea, quæ illam contrahere, conſtringere, conſtipare, denſare, præterea ſiccare, & calli inſtar indurare valeant, quippe quum cutis velut in callum durata caro ſit. Quæ igitur medicamenta ſic agere poſſunt, primario propriéque dicuntur epulotica, ſiue ad cicatricem perducentia; cætera verò nempe cathæretica, ſecundariò, & per accidens, ſicut & ea, quæ abſque aſtrictione deſiccandi vim habent mordacitatis expertem. Nam & hæc quoque ex accidente cicatricem inducunt; cuiuſmodi vtique medicamentum eſt myrrha, & lithargyrus, & combuſtum oſtreum, & diphryges; quandoquidem & ipſa ſæpenumero cicatricem inducunt ſicca illita. Cæterùm ſcire oportet, vbi tum in his libris, tum aliis omnibus hanc vocem, ſæpenumero, adiicio, id me velle ſignificare, quòd aliquando promiſſa fruſtrentur, propterea quòd nec primariò, nec ſua facultate efficiant. Porrò epulotica medicamenta vlcus omne planum claudere cicatrice valent; ſicut mediocriter citraque morſum abſtergentia cauitates implere. Cæterùm de hoc genus medicamentorum facultate fuſiùs dicetur in commentariis De ratione curandi, cum quo multis locis magna eſt huius libri affinitas, ceu etiam ab initio præfatus ſum. Proinde ſuſpenſo de iſtis ſermone, ad alterum genus facultatum, nempe attrahentium, & dictarum repellentium, tranſeundum cenſeo.

A λωτικὰ γὰρ ὀνομάζουσιν ἐνίοτε, καὶ τὰ καθαιρετικά, καὶ συντηκτικὰ τῆς σαρκός, ὅτι χρωμένων ἡμῶν καὶ τούτοις πολλάκις, εἰς οὐλὴν ἀφικνεῖται τὰ ἕλκη, ἀλλ᾽ οὔτε προηγουμένως, οὔτε κατὰ τὴν οἰκείαν αὐτῶν δύναμιν, οὔτ᾽ ἐπὶ πάσῃ χρήσει τοῦτο γίνεται. χνοώδη γὰρ ἀκριβῶς τὰ τοιαῦτα φάρμακα διὰ τοῦ τῆς μήλης πυρῆνος ἐπικυλιομένου ταῖς σαρξὶν, εἰς οὐλὴν ἄγει τὰ ἕλκη. εἰ δὲ βραχεῖ πλείονι χρήσαιο, καὶ δάκνει, καὶ συντήκει τὴν σάρκα, καὶ κοῖλον ἐργάζεται τὸ ἕλκος, ἐναντίον τοῖς ὄντως ἐπουλωτικοῖς. εἰ μὴ γὰρ ἀξιόλογον ἐκείνων ἐπιθείης, οὐδὲν ἀνύσεις. πρόκειται B μὲν γὰρ ἐν ταῖς τῶν ἰσοπέδων ἑλκῶν ἐπουλώσεσιν, ἀλλοιῶσαί τε τὴν σάρκα, καὶ δέρμα ποιῆσαι. γίγνεται δὲ τοῦτο διὰ τῶν συνάγειν αὐτὴν, καὶ σφίγγειν, καὶ πιλεῖν, καὶ πυκνοῦν, καὶ ξηραίνειν, καὶ τυλοῦν δυναμένων. οἷον γὰρ τετυλωμένη τίς σάρξ ἐστι τὸ δέρμα. τὰ μὲν οὖν οὕτως ἐνεργεῖν δυνάμενα φάρμακα, προηγουμένως τε καὶ κυρίως ἐπουλωτικὰ λέγεται. τὰ δ᾽ ἄλλα τὰ καθαιρετικά, δευτέρως τε καὶ κατὰ συμβεβηκός, ὥσπερ καὶ ὅσα χωρὶς τοῦ στύφειν, ἀδήκτως ξηραίνει. καὶ γὰρ ταῦτα εἰς οὐλὴν ἄγει κατὰ συμβεβηκός, οἷόν τι φάρμακόν ἐστιν, καὶ ἡ σμύρνα, καὶ ἡ λιθάργυρος. καὶ εἰ C καυθείη τό, τε ὄστρεον, καὶ τὸ διφρυγές, ἐπιπαττόμενα γὰρ καὶ ταῦτα ξηρὰ, πολλάκις ἐπούλωσεν. εἰδέναι δὲ χρὴ κἀν τούτοις τοῖς λόγοις, κἀν τοῖς ἄλλοις ἅπασιν, ἔνθα τὸ, πολλάκις, προστίθημι, τοῦτό με δηλοῦν ἐθέλειν, ὅτι καὶ ἀποτυγχάνει τῆς ἐπαγγελίας ἐνίοτε τὰ τοιαῦτα, διὰ τὸ μὴ προηγουμένως αὐτὴν, μηδὲ κατὰ τὴν ἑαυτῶν δύναμιν ἐργάζεσθαι. τὰ δ᾽ ἐπουλωτικὰ φάρμακα, πᾶν μὲν ἕλκος ἰσόπεδον, ἐπουλοῦν τι δύναται, καθάπερ καὶ τὰ ῥυπτικὰ μετρίως, καὶ ἀδήκτως, τῶν κοίλων ἐστὶ πληρωτικά. λεχθήσεται δ᾽ ἐπὶ πλεῖστον ὑπὲρ τῆς τῶν τοιούτων δυνάμεως, D ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ᾗ κεκοινώνηκε πολλαχόθι τουτὶ τὸ βιβλίον, ὡς καὶ κατὰ τὴν ἀρχὴν αὐτοῦ προείρηται. διό μοι δοκῶ καταπαύσας ἤδη τὸν περὶ τούτων λόγον, ἐφ᾽ ἕτερόν τι γένος δυνάμεων μεταβήσεσθαι τῶν ἑλκτικῶν τε καὶ ἀποκρουστικῶν ὀνομαζομένων.

CAPVT XVII.

Quòd attrahentium eſſentia, & calida ſit, & tenuium partium; repellentium verò, & frigida, & craſſarum.

IGitur attrahentes ſunt, quæ ex alto vehementius extrahunt; repellentes verò, quæ in altum occurrentes ſibi ſuccos repellunt. At eſſentia illis quidem calida eſt, & tenuium partium; his verò frigida, & craſſarum. Attrahit enim perpetuò calidum, repellit verò frigidum; verùm quod cum caliditate coniunctam habet partium tenuitatem, trahit vehementius; quod verò cum frigiditate partium craſſitudinem, veluti aſtringens, id violentius propellit. Itaque ex actionis vehementia nomen vtrique impoſitum eſt. Atque aſtringentium quidem nota eſt eſſentia. Attrahentium autem alia ſponte nata eſt; alia verò ex putrefactione aceſcente generationem ſortita, ſponte nata, vt dictamni eſſentia, & propoleos, & thapſiæ, & ſagapeni, & ſuccorum Cyrenaici, & Medici, & ſi qua his ſimilis extiterit; ex putrefactione, qualis eſt fermenti, & pſorici quod vocant.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Ὅτι τῶν ἑλκτικῶν ἡ οὐσία θερμή τε καὶ λεπτομερής ἐστι· τῶν δὲ ἀποκρουστικῶν, ψυχρά τε καὶ παχυμερής.

E Ἑλκτικὰ μὲν οὖν εἰσιν, ὅσα τὰ κατὰ βάθος ἐπισπῶνται σφοδρότερον. ἀποκρουστικὰ δὲ, ὅσα πρὸς τὸ βάθος ἀπελαύνουσι τοὺς πλησιάζοντας ἐν αὐτοῖς χυμούς. ἡ δ᾽ οὐσία, τῶν μὲν, θερμή τ᾽ ἐστὶν, καὶ λεπτομερής. τῶν δ᾽ ἔμπαλιν, ψυχρά τε καὶ παχυμερής. ἕλκει μὲν γὰρ ἀεὶ τὸ θερμὸν, ἀποκρούεται δὲ τὸ ψυχρόν. ἀλλὰ τὸ μὲν λεπτομερὲς, θερμὸν ἕλκει σφοδρότερον, τὸ δὲ παχυμερὲς, ψυχρόν. οἷον περ τὸ στύφον, ὠθεῖ βιαιότερον. ἐξ οὖν τοῦ σφοδροῦ τῆς ἐνεργείας, ἑκατέρῳ τοὔνομα. ἡ μὲν δὴ τῶν στυ- F φόντων ὕλη πρόδηλος. ἡ δὲ τῶν ἑλκτικῶν, ἡ μέν τις αὐτοφυής ἐστιν, ἡ δ᾽, ἐκ σηπεδόνος ὀξυνούσης ἔχει τὴν γένεσιν, αὐτοφυὴς μὲν ἥ τε τοῦ δικτάμνου, καὶ ἡ τῆς προπόλεως, καὶ θαψίας, καὶ ἡ τοῦ σαγαπηνοῦ, καὶ ἡ τῶν ὀπῶν τοῦ Κυρηναίου τε καὶ Μηδικοῦ, καὶ εἰ δή τις ἄλλος ὅμοιος τούτοις ἐστίν. ἐκ σηπεδόνος δὲ, ἥ τε τῆς ζύμης, καὶ ἡ τοῦ ψωρικοῦ καλουμένου,

ἤδη δὲ καὶ ἡ κόπρος ἡ ἐκ σηπεδόνος, ἅπασι μὲν αἳ οὕτω γε τῆς ἑλκτικῆς εἶεν δυνάμεως, οὐ μικρὰ δ' ἐν αὐταῖς ἡ διαφορά. ἡ μὲν γὰρ τῆς περιστερᾶς, ἱκανῶς ἑλκτική, τὸ δ' ἴσον ἀφ' ἑκατέρας ταύτης ἀφεστήκασιν, ἐπὶ μὲν τὸ θερμότερον, ἡ τοῦ χηνός, ἐπὶ δὲ τὸ ψυχρότερον, ἡ τοῦ ἀλεκτρυόνος. ἀπολείπεται δὲ ταύτης ἔτι μᾶλλον, ἥ τε τῶν ἀνθρώπων, καὶ τῶν ὑῶν. ἡ δὲ τῶν κυνῶν, οἷά περ τὰ ῥυπτικὰ φάρμακα, καὶ μᾶλλον ὅταν ὀστᾶ κατεσθίωσι. καὶ ἡ τῶν κροκοδείλων δὲ τῶν χερσαίων, ἔτι καὶ μᾶλλον ἀκριβοῖ τοῦτο. ἔστι δὲ καὶ ἕτερόν τι γένος ἑλκτικῶν φαρμάκων, οἰκειότητι ποιότητος ἐπισπώμενον, ὅπερ οὐδὲν ἄλλο ἐστίν, ἢ ὁμοιότητι τῆς ὅλης οὐσίας, ὥσπερ καὶ τὰ τρεφόμενα, τὰς οἰκείας τροφὰς ἐπισπᾶται. τῶν τοιούτων δ' ἐστὶ φαρμάκων, καὶ τὰ καθαίροντα μὲν πάντα, καὶ τῶν ἀλεξιτηρίων δ' ἔνια. θερμὰ δ' εἶναι χρὴ πάντα τὰ τοιαῦτα. τῶν γὰρ ὁμοίων ταῖς οὐσίαις, τὸ θερμότερον ἑλκτικώτερον ὑπάρχει, καὶ ὡς ἂν προσειληφὸς σύμμαχον τῇ ὁμοιότητι τὴν θερμότητα. δυοῖν γὰρ αἰτίαις ἕλκον τὸ τοιοῦτον, πλεονεκτήσει τοῦ κατὰ τὴν ἑτέραν μόνην ἐπισπωμένου. διοίσει δ' οὐδὲν ἐπισπαστικὴν λέγειν, ἢ ἑλκτικήν, ἢ ἑλκυστικὴν δύναμιν.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Ὅτι τῶν ἀλεξιτηρίων καὶ ἀλεξιφαρμάκων δυνάμεων αἱ μὲν τῷ ἀλλοιοῦν τὸ θανάσιμον ὠφελοῦσιν, αἱ δὲ τῷ κενοῦν. καὶ τῶν ἀλλοιουσῶν, αἱ μὲν κατὰ ποιότητα μίαν ἢ δύο ἐνεργοῦσιν, αἱ δὲ καθ' ὅλας τὰς οὐσίας. ὁμοίως δὲ καὶ τῶν ἐκκενουσῶν, αἱ μὲν τῇ τῆς ὅλης οὐσίας ὁμοιότητι, αἱ δὲ τῇ λεπτομερεῖ θερμότητι.

ΑΛΛ' ἐπεὶ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, μεταβῶμεν ἐπὶ τὰς ἀλεξιτηρίους τε, καὶ ἀλεξιφαρμάκους ὀνομαζομένας δυνάμεις. ἔστι δὲ καὶ τούτων ἡ φύσις διττή. τῶν μὲν ἀλλοιούντων, τῶν δ' ἐκκενούντων τοῦ πεπονθότος σώματος, ἢ τὸν φθαρτικὸν ἰόν, ἢ τὸ δηλητήριον φάρμακον. ἀλλοιοῦσι μὲν οὖν, ἤτοι κατά τινα ποιότητα μίαν, ἢ συζυγίαν ἐκ δυοῖν, ἢ κατὰ τὰς ὅλας οὐσίας. ἐκκενοῦσι δὲ τῇ τῆς ὅλης οὐσίας ὁμοιότητι, καὶ τῇ λεπτομερεῖ θερμότητι. τέτταρες οὖν αἱ πᾶσαι διαφοραὶ γενήσονται τῆς ἐξ αὐτῶν ὠφελείας, δύο μὲν ἀλλοιωτικαί, καὶ δύο κενωτικαί. καὶ ἡ μὲν δὴ τῇ τῆς ποιότητος ἐναντιώσει βοηθοῦσα, πρόδηλος. εἰ μὲν γὰρ ψυχρὸν εἴη τὸ δηλητήριον φάρμακον, ἢ ὁ ἰὸς ὁ τοῦ ζώου, πρὸς τῶν θερμαινόντων ὠφεληθήσονται φαρμάκων. εἰ δὲ θερμόν, ὑπὸ τῶν ψυχόντων, καὶ εἰ μὲν ξηρόν, ὑπὸ τῶν ὑγραινόντων, εἰ δὲ ὑγρόν, ὑπὸ τῶν ξηραινόντων· οὕτω δὲ καὶ εἰ μὲν ψυχρὸν ἅμα καὶ ὑγρόν, ὑπὸ τῶν ξηραινόντων καὶ θερμαινόντων. εἰ δὲ θερμὸν καὶ ξηρόν, ὑπὸ τῶν ὑγραινόντων, καὶ ψυχόντων, καὶ κατὰ τὰς λοιπὰς δύο συζυγίας ἀνάλογον. οὐκ ἄδηλος δὲ οὐδὲ ἡ διὰ τῆς καθ' ὅλην τὴν οὐσίαν τῶν δυνάμεων ἀλλοίωσίς ἐστιν, τοῖς μεμνημένοις τῶν προαποδεδειγμένων ἔν τε τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, καὶ προσέτι τοῖς περὶ κράσεων. αἱ γὰρ ἀλλοιοῦσαι τὰ δηλητήρια φάρμακα δυνάμεις, ἐν τῷ μέσῳ τὴν φύσιν εἰσί, τῶν τε πασχόντων σωμάτων, καὶ ἀδικούντων αὐτὰ φαρμάκων, ὥστ' ἀνάλογον ἔχειν, ὡς τὸ σῶμα πρὸς τὴν ἀλεξιτήριον δύναμιν, οὕτως ἐκείνην πρὸς τὸ δηλητήριον, ὡσαύτως δὲ καὶ ὡς τὸ δηλητήριον πρὸς τὸ ἀλεξιτήριον, οὕτως καὶ τὸ ἀλεξιτήριον πρὸς τὸ σῶμα. καὶ διὰ τοῦτο, τὰ τοῖς δηλητηρίοις ἐναντιούμενα σχεδὸν ἅπαντα πλείω ληφθέντα,

A Quòd si fimis quoque ex putrefactione generatio constat, vtique omnes attrahendi facultate pollebunt. Sed non parua illis inest diuersitas. Nam columbinus admodum attrahit; ex æquo autem vtrinque ab hoc recesserunt, ad calidius quidem anserinus, ad frigidius verò gallinaceus; hoc etiam magis vincuntur humanus, & suillus. At canum stercus simile est medicamentis extergentibus, maximè, si vescantur ossibus. Crocodilorum autem terrestrium stercus magis etiam id perficit, atque absoluit. Sed & aliud est attrahentium genus medicamentorum, quod qualitatis familiaritate attrahit; id quod aliud est B nihil, quàm totius essentiæ similitudine; ceu quæ nutriuntur, familiaria nutrimenta attrahunt. Talium medicamentorum sunt purgantia omnia, & nonnulla alexiteriorum, siue amuletorum. Cæterùm calida, vt sint id genus omnia necesse est. Nam inter ea quæ essentiis similia sunt, quod calidius est, id potentius attrahit, vtpotè quod similitudini auxiliarium adiunxerit calorem; siquidem quum ipsum duabus causis attrahat, superabit id quod vna duntaxat trahit. Porrò nihil refert attrahentem, siue attractoriam, vel allicientem facultatem dicas.

C

CAPVT XVIII.

Alexiteriarum, & alexipharmacarum facultatum, quædam alterando quod mortiferum est, iuuant; quædam euacuando. Et alterantium, aliæ vna, aut duabus qualitatibus agunt, aliæ tota essentia. Similiter euacuantium, quædam totius substantiæ similitudine euacuant, quædā caliditate tenuium partiū.

VErùm quandoquidem de istis abundè dictū est, transeamus ad facultates, quas vocant D alexiterias, & alexipharmacas. Est autem harum natura duplex. Siquidem quædam alterant; quædam verò euacuant ex corpore patiente, seu venenum corrumpens, seu deleterium medicamentum. Alterant igitur, aut vna qualitate, aut duarum coniugatione, aut denique tota substantia; euacuant totius substantiæ similitudine, & caliditate tenuium partium. Quatuor itaque sunt vniuersæ differentiæ proficiscentis ab illis vtilitatis, duæ alterantes, & duæ vacuantes. Atque ea sanè, quæ qualitatis contrarietate auxilio est, manifesta est. Nam si frigidum sit medicamentum deleterium, aut venenum animantis, ab excalefacien- E tibus petendum remedium; sin calidum, à refrigerantibus; si verò humidum, ab exiccantibus; sin siccum, ab humectantibus: sic etiam si humidum sit, & frigidum, ab exiccantibus, & calefacientibus: sin calidum, & siccum, ab humectantibus, & refrigerantibus; & in reliquis duabus coniugationibus ex proportione. Sed nec obscura est alteratio, quæ fit per totius substantiæ facultatem, vtique iis qui memoria tenent, quæ demonstrata sunt in commentariis De naturalibus facultatibus, & in illis, quæ inscribuntur De temperamentis. Siquidem facultates quæ deleteria medicamenta F alterant, naturam habent mediam inter corpora perpetientia, & medicamenta ipsa lædentia; vt videlicet eadem sit proportio corporis ad facultatem alexiteriam, quæ illius ad deleteriam; & rursum deleterij ad alexiterium, quæ alexiterij ad corpus. Ea propter propemodum omnia, quæ deleteriis aduersantur, si largius sumpta fuerint, grauiter

grauiter animantis corpus oblædunt. Quamobrem ea moderatione quantitatis omnes id genus facultates exhibere oportet, vt neque copia nimia corpus offendant, neque exiguitate sua à deleteriis vincantur. Sed hoc iam attinet ad curandi methodum, nunc autem quæ reliqua sunt persequamur. Omne deleterium venenum à foris impositis medicamentis euacuatur, nempe aut caliditate attractionem molientibus, aut totius substantiæ similitudine. Sed & hic quoad fieri poterit, maximè medium natura alexiterium sit oportet, corporis videlicet quod curatur, & veneni lædentis: nam si aduersissimum foret corpori, in ipsum ageret potius, ceu deleterium, haud euacuaret venenum. Etenim vt claritatis gratia summam repetàmus, scire oportet, deleterias facultates vniuersas temperie esse aduersissimas corporibus, quæ ab ipsis læduntur. Itaque si à similibus temperie medicamentis euacuentur, erunt & hæc corporum naturis contraria. Sanè & sunt quadantenus contraria, non tamen adeò, vt interimant, sed ambigant potius, in medio sita eorum quæ apertè corpus animantis lædunt, & quæ iuuant. Porrò nihil intererit deleterias facultates, an corruptiuas, an corruptionem efficientes, an alio quouis modo appellare voles; similiter nec an alexiterias, an alexipharmacas. Attamen si qui ea quæ venenatarum bestiarum ictus, aut venena sanant alexiteria nominare velint; quæ verò medentur deleteriis, alexipharmaca, ceu quidam censuere; disceptandum cum istis, ac pugnandum de nominibus non est; nec enim ex istis comparatur curandi morbos peritia, sed ex rerum ipsarum cognitione.

CAPVT XIX.

Quòd dolorem sedantium, & lenientium, quædam re vera sunt eiusmodi, velut calida cum partium tenuitate; alia verò nomine duntaxat, veluti stupefacientia, huiusmodi autẽ omnia sunt refrigerantia.

PORrò quandoquidem & de his, quod ad præsens conueniat, satis iam expositum est, transeundum deinceps est ad sermonem de facultatibus dolorem sedantibus, & lenientibus, aut mitigantibus, aut vtcunque nuncupare libebit. Facultas igitur anodyna, alia re vera est; alia tantùm dicitur, tanquam si quisquam hominem mortuum dicat anodynon, quia dolore vacet. Cæterùm facultas re vera Anodyna, est eorum, quæ primo ordine calefaciunt, si vtique in essentia tenui contineatur; at facultas eorum, quæ dicuntur, frigidorum est, quæ absoluto vtentia frigore partem obstupefaciunt; est autem stupor paulo minus quàm sensus priuatio. Porrò quæ affectum sanando, dolorem sedant, nec ea meritò anodyna dici possunt; nam id commune est omnium, quæ curant. Itaque quæ re vera sunt anodyna, partium sint tenuium, & calidiora quàm quæ symmetra sunt, necesse est, vt scilicet euacuent, ac digerant, tum rarefaciant, extenuent, concoquant, & æquabile reddant, quicquid in partibus dolore vexatis, aut humorum acrium, aut lentorum, aut crassorum, aut multorum, tenuibus spiramentis infarctorum; aut etiam vaporosi, aut crassi, aut admodum frigidi spiritus, exitum commodum non inuenientis inhæsit, atque inclusum est.

A μεγάλως ἀδικεῖ τὸ τοῦ ζώου σῶμα. χρὴ τοίνυν ἐν τοσαύτῃ δίδοσθαι συμμετρίᾳ ποσότητος, πάσας τὰς τοιαύτας δυνάμεις, ὡς μήτε τῷ πλήθει βλάπτειν τὸ σῶμα, μήτε δι᾽ ὀλιγότητα νικᾶσθαι πρὸς τῶν δηλητηρίων. ἀλλὰ τοῦτο μὲν ἤδη τῆς θεραπευτικῆς ἐστι μεθόδου, νυνὶ δὲ, τῶν ἐφεξῆς ἐχώμεθα. πᾶς δηλητήριος ἰὸς, ὑπὸ τῶν ἔξωθεν ἐπιτιθεμένων ἐκκενοῦται φαρμάκων, εἴτ᾽ ἤτοι θερμότητι τὴν ὁλκὴν ποιουμένων, ἢ τῇ τῆς ὅλης οὐσίας ὁμοιότητι. χρὴ δὲ κἀνταῦθα μέσον, ὡς ἔνι μάλιστα, τῇ φύσει, τὸ ἀλεξητήριον ὑπάρχειν, τοῦ τε σώματος τοῦ θεραπευομένου, καὶ τοῦ βλάπτοντος ἰοῦ. εἰ γὰρ ἐναντιώτατον ᾖ τοῦ σώματος, δράσει μᾶλλον εἰς αὐτὸ, καθάπερ τι δηλητήριον, οὐ

B κενώσει τὸν ἰόν. ἵνα γὰρ ἀναλάβωμεν ἕνεκα σαφηνείας αὖθις τὸ σύμπαν, εἰδέναι χρὴ, τὰς δηλητηρίας ἁπάσας δυνάμεις, ἐναντιωτάτας οὔσας τῇ κράσει, τοῖς βλαπτομένοις ὑπ᾽ αὐτῶν σώμασιν. εἴπερ οὖν ὑπὸ τῶν ὁμοίων τῇ κράσει κενοῦνται φαρμάκων, εἴη ἂν δήπου, καὶ ταῦτα ταῖς τῶν σωμάτων φύσεσιν ἐναντία. καὶ μὲν δὴ καὶ ἔστιν ἐναντία πως, οὐ μὴν εἰς τοσοῦτόν γε, ὡς ἀναιρεῖν, ἀλλ᾽ ἐπαμφοτερίζειν μᾶλλον ἐν τῷ μέσῳ καθεστηκότα, τῶν τε βλαπτόντων ἀντικρυς τὸ τοῦ ζώου σῶμα, καὶ τῶν ὠφελούντων. εἴ τε δὲ δηλητηρίους δυνάμεις,

C εἴ τε φθαρτικὰς, εἴ τε φθοροποιοὺς, εἴ τε ὁπωσοῦν ἐθέλοις ἄλλως καλεῖν, οὐ διοίσει. κατὰ ταῦτα δὲ κἂν ἀλεξιτηρίους, ἢ ἀλεξιφαρμάκους. οὐ μὴν οὐδ᾽ εἰ τὰς μὲν τῶν ἰοβόλων θηρίων ἰατικὰς, ἀλεξιτηρίους ἐθέλοι τις ὀνομάζειν, τὰς δὲ τῶν δηλητηρίων ἀλεξιφαρμάκους, ὥσπερ ἤδη τινὲς ἠξίωσαν, οὐδὲ πρὸς τούτους ἀμφισβητητέον ὑπὲρ τῶν ὀνομάτων. οὐ γὰρ ἐκ τούτων τὸ προσηκόντως ἰᾶσθαι τὰς νόσους, ἀλλ᾽ ἐκ τῆς τῶν πραγμάτων παραγίγνεται ἐπιστήμης.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ′.

D *Ὅτι τῶν ἀνωδύνων τε καὶ παρηγορικῶν ὀνομαζομένων, τὰ μὲν ὄντως τοιαῦτα, καθάπερ τὰ λεπτομερῆ θερμά. τὰ δὲ λέγεται μόνον, καθάπερ τὰ ναρκωτικὰ, τοιαῦτα δὲ πάντα τὰ ψυκτικά.*

ΕΠεὶ δὲ καὶ περὶ τούτων, ὅσον εἰς τὰ παρόντα, συμμέτρως εἴρηται, ἤδη μεταβῶμεν ἑξῆς ἐπὶ τὸν τῶν ἀνωδύνων τε καὶ παρηγορικῶν, ἢ πραϋντικῶν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι δυνάμεων, λόγον. ἀνώδυνος οὖν δύναμις, ἡ μέν τις, ὄντως ἐστὶν, ἡ δὲ, λέγεται μόνον,

E ὡς εἰ καὶ τὸν νεκρὸν ἄνθρωπον, ἀνώδυνον εἴποι τις. ἡ μὲν οὖν ὄντως ἀνώδυνος, ἡ τῶν θερμαινόντων ἐστὶ κατὰ τὴν πρώτην τάξιν, ὅταν ἐν οὐσίᾳ λεπτομερεῖ περιέχηται. ἡ δὲ τῶν λεγομένων ψυχρῶν, ὅταν ἀκραιφνεῖ ψύξει χρώμενα, ναρκώσῃ τὸ μόριον· ἔστι δ᾽ ἡ νάρκη μικροῦ δεῖν ἀναισθησία. τὰ δὲ τῷ τὴν διάθεσιν ἰᾶσθαι, παύοντα τὰς ὀδύνας, οὐκ ἂν εὐλόγως ἀνώδυνα λέγοιτο. κοινὸν γὰρ τοῦτο πᾶσι τοῖς θεραπεύουσιν ὑπάρχει. τὰ τοίνυν ὄντως ἀνώδυνα, λεπτομερῆ τε εἶναι χρὴ, καὶ οὐ πολλῷ θερμότερα τῶν συμμέτρων, ἕνεκα τοῦ κενῶσαί τε, καὶ διαφορεῖν,

F καὶ ἀραιῶσαι, καὶ λεπτῦναι, καὶ συμπέψαι, καὶ ὁμαλῦναι πᾶν ὅσον ἐν τοῖς ὀδυνωμένοις μορίοις, ἢ χυμῶν δριμέων, ἢ γλίσχρων, ἢ παχέων, ἢ πολλῶν ἐμπεφραγμένων ἐν πόροις λεπτοῖς, ἢ καί τινος ἀτμώδους τε, καὶ παχέος, ἢ ἱκανῶς ψυχροῦ πνεύματος ἐναπείληπται τε καὶ καταχέκλεισται, διέξοδον οὐκ ἐπιτηδείαν ἔχοντος.

A οὐδὲν οὖν αὐταῖς ὅλως χρὴ προσεῖναι στυφούσης δυνάμεως, οὐδ' ἂν ὁ τόπος, ἢ τὸ πάθος προσδέηται. ἐξ ὧν δῆλον, ὡς ἐνίοτε μὲν, οὐδὲν ὠφελήσει τὴν διάθεσιν, ἀλλὰ τὴν ὀδύνην παρηγορήσει μόνον, ἡνίκα καὶ ὄντως ἀνώδυνα λεχθήσεται. ἐνίοτε δὲ, καὶ τὴν διάθεσιν αὐτὴν ἐπωφελήσει τι, καὶ δύναμιν ἕξει διττὴν, ἀνώδυνόν τε ἅμα, καὶ ἰωμένην φαρμάκων. ἐπὶ πλέον δὲ καὶ περὶ τῶν τοιούτων ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου λεχθήσεται γράμμασιν. ἐν δὲ τῷ παρόντι, ἐπαρκεῖ διελθεῖν, ὡς τούτων τῶν ἀνωδύνων ἰδίως ὀνομαζομένων φαρμάκων, ἔνια μὲν, ὥσπερ εἴρηται, τῆς πρώτης ἐστὶ τῶν θερμαινόντων τάξεως, ἅπερ δὴ καὶ ὄντως ἐστὶν ἀνώδυνα, καθάπερ τὸ B ἀνήθινον ἔλαιον. ἔνια δὲ παραπλησίως αὐτῷ τῷ ἡμετέρῳ σώματι, καθάπερ τὰ διαπυητικὰ προσαγορευόμενα, περὶ ὧν τῆς ὕλης ἔμπροσθεν εἴρηται. διορισθήσεται δὲ περὶ τῆς χρήσεως αὐτῶν, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. τὰ δὲ καταφορὰν ἐργαζόμενα, ποθέντα, καὶ διὰ τοῦτο, ἀνώδυνά τε, καὶ ὑπνωτικὰ πρὸς τῶν πολλῶν προσαγορευόμενα, τῆς ἐναντιωτάτης ἐστὶ κράσεως, τοῖς ὄντως ἀνωδύνοις. ψύχει γὰρ ἅπαντα τὸ σῶμα, καὶ ναρκοῖ τὴν αἴσθησιν εἰς τοσοῦτον, ὥστ' εἰ βραχεῖ πλείω ποθείη, θάνατον ἐπιφέρει. ἄριστα δ' αὐτῶν ἐστιν εἰς τὴν προκειμένην χρείαν, ὅσα ξηραίνει. καὶ ὅσα γε πλῆθος C ὑγρότητος ἔχει ψυχρᾶς, ὥσπερ καὶ τὸ κώνειον, οὐκ ἀγαθὰ πινόμενα· τοιοῦτος δ' ἐστὶν, καὶ ὁ μανδραγόρας, πλὴν τοῦ φλοιοῦ τῆς ῥίζης ξηροῦ, καὶ ὑοσκύαμος, πλὴν τοῦ σπέρματος. ἄμεινον δὲ ἐν τούτοις τὸ λευκὸν σπέρμα, τοῦ μέλανος. ἔνια δὲ, ὅλαις ταῖς οὐσίαις ἐστὶν ἡμῖν ἐναντία, καὶ διὰ τοῦτο, κἂν ἐλάχιστα ληφθῇ, βλάπτει πάντως, οἷον ἥ τε δρυοπτερὶς, καὶ ἡ πιτυοκάμπη, καὶ ἡ θαψία, καὶ τὸ στρύχνον τὸ μανικὸν, καὶ ὑδράργυρος, ἔνιοί τε τῶν μυκήτων, καὶ τὸ σίαλον καὶ χολαὶ τῶν ἰοβόλων ζώων. τὰ γὰρ τοιαῦτα πάντα, τῷ γένει δηλητήρια καθέστηκεν, οὐ τῷ ποσῷ. καὶ διὰ τοῦτο, οὐδὲν ἐξ αὐτῶν εἰς τὰς ἀλεξητη- D ρίους ἀντιδότους ἐμβάλλεται, καθάπερ ὁ τοῦ μήκωνος ὀπὸς, καὶ ἡ σμύρνα, καὶ ὁ στύραξ, καὶ ὁ κρόκος. ταῦτα γὰρ, εἰ μὲν πλείω ποθείη, τὰ μὲν ἐκμαίνει, τὰ δὲ θάνατον ἐπιφέρει. μετὰ συμμετρίας δέ τινος ἐπιμιγνύμενα τοῖς ἄλλοις, ἀρήγει. ὅσα δ' ἐξ αὐτῶν βλάπτει τὴν διάνοιαν, εὐθὺς μὲν ἐστὶ τὰ πλεῖστα καρηβαρικὰ, πλήθους ἀτμῶν μοχθηρῶν ἐμπιπλάντα τὴν κεφαλήν. ἅπτεται δ' ἔνια καὶ τοῦ στόματος τῆς γαστρὸς, ὡς συμπάσχειν τὰ κατὰ τὴν κεφαλήν. κοινῇ δὲ, σύμπαντα κατὰ διττὸν τρόπον ἀδικεῖ τὸν ἐγκέφαλον, ἢ ταῖς ὅλαις οὐσίαις ἐναντία καθεστῶτα, ἢ κατὰ μίαν E ἢ δύο ποιότητας ὑπαλλάττοντα τὴν κρᾶσιν.

Itaque nihil prorsum astrictionis habeant oportet, ne si pars quidem, aut etiam affectus exposcant. Ex quibus liquet, quòd interdum affectionem non iuuabunt, sed dolorem tantummodò mitigabunt, quando videlicet re vera dicentur anodyna; interdum verò etiam affectum ipsum adiuuabunt, & facultatem habebunt duplicem, nempe anodynam, & sanantem. Sed de talibus copiosiùs agetur in curandi voluminibus. At in præsenti hoc dixisse sufficiat, nempe quod horum anodynorum propriè nuncupatorum medicamentorum quædam, vt est antè dictum, primi sunt ordinis calefacientium, quæ sanè propriè sunt anodyna, ceu oleum anethinum; quædam verò similiter, vt corpus nostrum, velut pus mouentia nuncupata, de quorum materia supra dissertum est. Sed de ipsorum vsu in libris de curandi ratione definietur. At ea quæ soporem, epota moliuntur, ac proinde anodyna, & somnum conciliantia, à plerisque appellantur, temperiem sortiuntur, vel summè aduersam iis, quæ re vera sunt anodyna. Refrigerant siquidem omnia corpus, & sensum eousque obstupefaciunt, vt si paulo liberaliùs ebibantur, mortem afferant. Cæterùm ad vsum propositum optima sunt, quæ desiccant; nam quæ frigida quum sint, humiditatis item copiam obtinent, ceu cicuta, ea potui non sunt vtilia; talis est mandragora excepto cortice eius sicco; & altercum, præter semen; sed tamen & in his candidum semen atro præstat. At sunt quæ tota essentia nobis contraria sunt, proinde si vel minimum eorum assumptum fuerit, omnino lædat necesse est, ceu dryopteris, & pityocampe, & thapsia, & solanum manicum, & hydrargyros, & fungorum nonnulli, præterea saliua, & fel venenatorum animalium; nam talia omnia genere sunt deleteria, non quantitate; ac proinde nihil eorum in alexiterias antidotos inditur, veluti papaueris succus, & myrrha, & styrax, & crocus. Siquidem hæc si largius bibantur, quædam dementant, quædam mortem inferunt; verùm conuenienti quadam mensura aliis admixta, adiuuant. Porrò quæcunque inter ea mentem lædunt, continuò etiam pleraque caput degrauant, vaporum prauorum congerie ipsum implentia. Sed & quædam os ventriculi tentant, atque affligunt, vt & inde caput per consensum lædatur. Communiter verò vniuersa duobus modis cerebrum affligunt læduntque, aut quum tota substantia sunt contraria, aut quum vna, duabúsve qualitatibus temperiem immutant.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ποσαχῶς λέγεται καθαρτικὴ δύναμις; διχῶς, ἤτοι ὁπωσοῦν ἐκκαθαίρουσα τὰ τοῦ ζώου περιττώματα, ἤτοι δύναμιν ἑλκτικὴν ἔχειν οἰκείων χυμῶν.

Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, πρός γε τὰ παρόντα, καιρὸς ἂν εἴη τὰ κεφάλαια τῶν εἰρημένων ἀναλαβόντα, προσθεῖναι τὰ δοκοῦντα λείπειν τῷ λόγῳ. κατὰ μὲν γὰρ F αὐτὴν τὴν ἀλήθειαν, οὐδὲν ὑπόλοιπόν ἐστι· πασῶν μὲν ἤδη τῶν δευτέρων δυνάμεων εἰρημένων, ὁποῖαι τινές εἰσι κατὰ γένος, οὐκ ὀλίγων δὲ καὶ τῶν κατ' εἶδος, αὐταῖς προσκειμένων ὥσπερ παραδείγματα, ἀφ' ὧν ἄν τις ὁρμώμενος, ἐπιχειρεῖν δύναιτο τὰς ὑπολοίπους. ἀλλ' ἕνεκα σαφηνείας, οὐδὲν ἂν εἴη χεῖρον

CAPVT XX.

Quot modis dicitur purgans facultas? duobus; aut quocunque modo expurgans animalis excrementa; aut quia vim attractoriam familiarium succorum obtinet.

CÆterũ quoniam de his sufficienter dictũ iam est, quod quidẽ ad præsentia faciat, tempestiuum nunc est, resumptis dictorum capitibus, ea adiicere, quæ sermoni reliqua esse videantur. Nã in veritate quidẽ nihil est reliquum, nimirũ quum secundæ iam facultates omnes sint expositæ, quales sint genere scilicet; nec paucæ speciatim superius explanatæ, ceu exempla, vnde quis orsus, quorũmq; auxilio reliquas ipse queat assequi. Verùm nihilo sese res deterius habebit, si claritatis gratia,

breuibus iterum capitibus ea fuero complexus. Primum enim facultatem omnes purgatoriam in ore habent; non tamen omnes perinde intelligunt, quòd vocabulum duo significat, alterum commune omnium, quæ quouis modo animalis excrementa expurgant; alterum verò quod per excellentiam de iis tantummodo dicitur, quæ aut per vomitum, aut per ventris deiectionem, purgent; neque quod eiusdem est generis, tum ea, quæ fit per nares, tum ea, quæ per os fit purgatio. Vocant ea medicamenta, quæ naribus, capitis purgandi gratia infunduntur, Errhina; at quæ in ore colluuntur, aut dentibus manduntur, omnia vna nomenclatura comprehendentes, apophlegmatizonta nuncupant; ac eorum facultates, apophlegmaticas appellant. Eiusdem cum istis sunt generis, quæ vuluæ admota expurgant. Quæcunque siquidem purgare memoraui, ea trahendi vim possident, alia vnum quempiam succum, alia duos, aut etiam plures; & id illis inter sese commune est. Nam quæ crassis, lentisque humoribus extenuandis, aut vrinam ciere possunt, aut ex pectore pulmonéque eiiciendis excreationibus auxiliari, purgant sanè & ea quidem quodammodo, verùm antedictis non similiter nuncupantur; sed alia vocantur diuretica, alia bechica, alia menses mouentia, hac re à superioribus diuersa, quòd non habeant vim familiarium succorum attractricem, vt illa. Quamobrem & in hisce sermo aliam distinctionem postulat, nempe huiusmodi. Quæ in pessis, aut fomentis, aut quouis modo similia, vuluæ admouentur, ea duplici ratione agere consueuerunt. Nam alia calefaciendo duntaxat prouocant; alia facultatibus attractoriis & purgatoriis, quas vocant, quas demonstrauimus trahendorum familiaritate vacuationes peragere. At quæ hoc nomine bibuntur, vt sanguinem extenuent, & meatus obstructione liberent aperiántque, ea trahendi facultate vacuationem non perficiunt. Atque priora quidem cum purgantibus eiusdem sunt generis; secunda verò cum iis, quæ lac & sanguinem generant; de quibus paulò infra verba faciemus, vbi priùs de bechicis dissertum à nobis fuerit; quandoquidem & hæc bifariam nominata sunt, partim quia tussim prouocent, partim quia sedent. Atqui contrariæ horum facultates sunt; alia enim extenuandi naturam habent, alia incrassandi. Atque extenuandi quidem facultas, in calidis & tenuium partium substantiis sita est; incrassandi verò, in frigidis & crassarum partium essentiis inest. Atque hic sermo hoc in loco finem habeat. Conuenit autem transire ad id quod paulo ante distulimus. Est enim societas & similitudo quædam tum operum tum facultatum in iis quæ prouocant sedántque menses, lac, & semen. Sed & affinia illis quodammodo vicináque sunt, quæ vrinas mouent, & bechica. Proinde de quolibet seorsum disserendum est.

A ἐν κεφαλαίοις βραχέσιν ἀναλαβεῖν ὑπὲρ αὐτῶν. αὐτίκα γέ τι, καὶ καθαρτικήν τινα δύναμιν ὀνομάζουσιν ἅπαντες, οὐ μὴν παρακολουθοῦσί γε πάντες ὁμοίως, ὅτι δύο σημαίνει τοὔνομα. τὸ μέντοι κοινὸν, ἐπὶ πᾶσι τοῖς ὁπωσοῦν ἐκκαθαίρουσι τὰ τοῦ ζώου περιττώματα. τὸ δέ τι κατ' ἐξοχὴν, ἐπὶ τοῖς δι' ἐμέτων, ἢ ὑπαγωγῆς γαστρός. οὐδ' ὡς ὁμογενής ἐστι ταῖς τοιαύταις καθάρσεσιν, ἤτοι διὰ ῥινῶν καὶ στόματος γιγνομένη. καλοῦσι δὲ τὰ μὲν διὰ τῶν ῥινῶν ἐγχεόμενα φάρμακα, τοῦ καθῆραι τὴν κεφαλὴν ἕνεκεν, ἔρρινα. τὰ δ' ἀνακογχυλιζόμενα, καὶ
B μασώμενα, πάντ' ἑνὶ περιλαβόντες ὀνόματι, προσαγορεύουσιν ἀποφλεγματίζοντα, καὶ τὰς δυνάμεις δ' αὐτῶν ἀποφλεγματικὰς ὀνομάζουσιν. ὁμογενῆ δὲ τούτοις ἐστὶ καὶ ὅσα ταῖς μήτραις προστιθέμενα, καθαίρει. πάντα γὰρ ὅσα καθαίρειν κατέλεξα, δύναμιν ἑλκτικὴν ἔχει. τὰ μὲν ἑνός τινος χυμοῦ, τὰ δὲ δυοῖν, ἢ καὶ πλειόνων, καὶ τοῦτο αὖθις κοινόν. ὡς ὅσα γε τῷ λεπτύνειν τοὺς παχεῖς, καὶ γλίσχρους χυμοὺς, ἢ οὖρα κινεῖν πέφυκεν, ἢ ταῖς ἐκ θώρακος, καὶ πνεύμονος ἀναπτύσεσιν ἀρήγειν, ἐκκαθαίρει μὲν καὶ αὐτά· καλεῖται δ' οὐχ ὁμοίως τοῖς
C προειρημένοις. ἀλλὰ, τὰ μὲν οὐρητικὰ, καὶ βηχικὰ, τὰ δ' ἐμμηνίων ἀγωγὰ, διαλλάττοντα τῶν προειρημένων, ὅτι δύναμιν ἑλκτικὴν οἰκείων χυμῶν οὐκ ἔχει, καθάπερ ἐκεῖνα. δεῖται δὲ οὖν κἀν τούτοις ὁ λόγος ἑτέρου διορισμοῦ τοιοῦδε. τὰ μὲν ἐν πεσσοῖς, ἢ πυρίαις, ἤ τινι τοιούτῳ τρόπῳ ταῖς μήτραις προστιθέμενα, κατὰ διττὴν αἰτίαν ἐνεργεῖ. τὰ μὲν, τῷ θερμαίνειν μόνον προκαλούμενα, τὰ δὲ ταῖς ὀνομαζομέναις ἑλκτικαῖς τε καὶ καθαρτικαῖς δυνάμεσιν, ἃς ἐπεδείξαμεν, οἰκειότητι τῶν ἑλκομένων, τὰς κενώσεις ἐργάζεσθαι. ὅσα δὲ πίνεται, τῷ λεπτύνειν μὲν
D τὸ αἷμα, τοὺς πόρους δ' ἐκφράττειν τε καὶ ἀναστομοῦν, οὐ μὴν ἑλκτικῇ γέ τινι δυνάμει τὰς κενώσεις ποιεῖται. τὰ μὲν δὴ πρότερα τοῖς καθαίρουσιν ἐστὶν ὁμογενῆ, τὰ δὲ δεύτερα τοῖς γάλα καὶ σπέρμα γεννῶσιν, περὶ ὧν ὀλίγον ὕστερον εἰρήσεται, διελθόντων ἡμῶν πρότερον περὶ τῶν βηχικῶν. ἐπειδὴ καὶ ταῦτα διττῶς ὠνόμασται, τὰ μὲν τῷ ποιεῖν βῆχας, τὰ δὲ τῷ παύειν μόνον. δυνάμεις δ' αὐτῶν ἐναντιώταται. τὰ μὲν γὰρ τῆς λεπτυντικῆς ἐστι φύσεως, τὰ δὲ τῆς παχυντικῆς. ἡ μὲν οὖν λεπτυντικὴ δύναμις, ἐν θερμαῖς καὶ λεπτομερέσιν οὐσίαις, ἡ πα-
E χυντικὴ δὲ, ψυχραῖς καὶ παχυμερέσιν ἐγγίγνεται. ἔστω μὲν οὖν ὁ λόγος ἐνταῦθα τελευτάτω. μεταβαίνειν δὲ προσήκεν ἐπὶ τὸν ὀλίγον ἔμπροσθεν ἀναβληθέντα. κοινωνία γάρ τίς ἐστι καὶ ὁμοιότης ἔργων τε καὶ δυνάμεων, ἔν τε τοῖς προτρέπουσι, καὶ παύουσι καταμήνιά τε καὶ γάλα, καὶ σπέρμα. παράκειται δέ πως αὖθις τά τ' οὐρητικὰ, καὶ τὰ βηχικά, διὸ καὶ λεκτέον ὑπὲρ ἑκάστων ἐν μέρει.

CAPVT XXI.

Quòd lac generantium, aut semen prouocantium facultas moderatè sit calida, & humida; alimentorum verò in totius essentiæ consistat similitudine.

LActis & seminis effectrices facultates sunt partim in medicamentis tantùm, partim in alimentis; in medicamentis, quũ succos pituitosos

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

F Ὅτι τῶν γάλα γεννώντων ἢ προκαλουμένων τὸ σπέρμα φαρμάκων ἡ δύναμις συμμέτρως θερμή τε καὶ ὑγρὰ, ἡ δὲ τῶν τροφῶν, κατὰ τὰς τῆς ὅλης οὐσίας ὁμοιότητα.

ΓΑλακτος, καὶ σπέρματος ποιητικαὶ δυνάμεις εἰσὶν, αἱ μὲν ἐν φαρμάκοις μόνον, αἱ δὲ καὶ ἐν τροφαῖς. ἐν φαρμάκοις μὲν, ἐπειδὰν τοὺς φλεγματικοὺς χυμοὺς

ἐκθερμαίνοντες, εἰς αἷμα μεταβάλλομεν, ἐν τροφαῖς δὲ, κατὰ τὴν τῆς ὅλης οὐσίας ὁμοιότητα. κἀπειδὰν εὔχυμοί τε καὶ ὑγραὶ μετρίως ὦσι, καὶ θερμότητος χλιαρᾶς, οἵας περ ἐστὶ καὶ τὸ γάλα. συμμέτρου μὲν γὰρ τῷ ζώῳ θερμότητος τὸ αἷμα μετέχει, πλείονος δὲ, ἢ κατὰ τὸ μέτριον, ἡ ξανθὴ χολὴ, καθάπερ τὸ φλέγμα, ψυχρότητος. ἐν τῷ μέσῳ δ' ἐστὶ φλέγματός τε, καὶ αἵματος, ὅσον ἐπὶ τῇ θερμότητι, τὸ γάλα. οὐ μὴν ἴσον γε ἀφέστηκεν ἑκατέρου, ἀλλ' ἐστιν πορρώτερον μὲν τοῦ φλέγματος, ἐγγύτερον δὲ τοῦ αἵματος. ὅταν οὖν ἐνδεῶς ἀθροίζηται τὸ γάλα κατὰ τοὺς μαστοὺς, ἐθέλῃς δὲ πλέον γενέσθαι, διασκέψασθαι περὶ τοῦ αἵματος, ἤτοι γὰρ ἔλαττόν ἐστι τοῦ προσήκοντος, ἢ μοχθηρότερον. τὸ μὲν οὖν ἔλαττον, ὑγραινούσης τε, καὶ θερμαινούσης, δεῖται τῆς συμπάσης διαίτης. τὸ δὲ μοχθηρότερον, εἰ μὲν χολῶδες ὑπάρχει, καθάρσεως μὲν πρότερον, εἶθ' οἵας εἴρηται διαίτης. εἰ δὲ φλεγματικὸν, φαρμάκων θερμαινόντων μὲν, ἤτοι κατὰ τὴν πρώτην, ἢ δευτέραν τάξιν, οὐ μὴν ξηραινόντων. κάλλιω δ' αὐτῶν, ὅσα μὴ φάρμακα μόνον ἐστὶν, ἀλλὰ καὶ τροφαὶ, εὔζωμα, καὶ μάραθρα, καὶ ἄνηθα. λέγω δὲ καὶ ταύτας τὰς πόας αὐτὰς χλωρὰς ἔτι, καὶ ὑγράς. καὶ γὰρ ξηραὶ, ξηραίνουσί τε καὶ θερμαίνουσι πλέον ἢ δεῖ. τούτου δὲ τοῦ γένους ἐστὶ, καὶ σμύρνιον, καὶ σέλινον, καὶ σίον, καὶ πόλιον, καὶ ταῦτα χλωρὰ, πρὶν ξηρανθῆναι. τὰ γάρ τοι ξηραίνοντα πάντα, τὴν ἰκμάδα τοῦ αἵματος ἐκβοσκόμενα, παχύτερον αἷμα, καὶ ἔλαττον αὐτὸ καθίστησι. καὶ θερμότερον μὲν τοῦ δέοντος, εἰ θερμὰ τὴν φύσιν ὑπάρχει, ψυχρότερον δ' εἰ ψυχρά. δεῖται δὲ δή που συμμέτρως τε εἶναι θερμὸν, καὶ οὐδαμῶς παχὺ, πρὸς τὴν τοῦ γάλακτος γένεσιν, ὅθεν ὅσα μὲν τοιαῦτα, σβέννυσι μᾶλλον, ἢ γεννᾷ τὸ γάλα. τὰ δὲ θερμαίνοντα μὲν, ὡς εἴρηται, ξηρότητος δ' ἐπιφανοῦς μηδεμιᾶς μετέχοντα, γάλακτος ἔχειν γεννητικὰς δυνάμεις εἰκότως ἐλέχθη. ταῦτα μὲν οὖν, ὀλίγα τὸν ἀριθμόν, οὐδὲ γὰρ οὐδὲ ῥᾴδιός ἐστι τῆς προειρημένης ἐν τῇ κράσει συμμετρίας ἐπιτυχεῖν. ἄπειρα δὲ, ὡς ἂν οὕτω τις εἴπῃ, καὶ ἀπερίληπτα, ὅσα βλάπτει γάλα, καὶ γὰρ ὅσα πλέον ἢ χρὴ θερμαίνει, καὶ ὅσα ξηραίνει, καὶ ὅσα ψύχει, τὰ μὲν τῇ ποιότητι τοῦ αἵματος λυμαινόμενα, τὰ δὲ τὴν οὐσίαν ὅλην ἐλάττονα ποιοῦντα, κωλύει γενέσθαι τὸ γάλα.

A excalefacientes in sanguinem vertimus; in alimentis autem secundum substantiæ totius similitudinem, vbi videlicet boni sunt succi, & moderatè humida, ac tepidè calida, ceu ipsum lac. Siquidem sanguis caloris est particeps animali mediocris; plus quàm verò mediocris, flaua bilis, sicut pituita, frigiditatis. In medio autem pituitæ & sanguinis est lac, vtique quod ad calorem attinet; non tamen æquè ab vtroque abest, sed longius abest à pituita, propius accedit ad sanguinem. Quum ergo minus quàm expediat ad vbera lac venit, velis autem copiosè prouenire, ipsum contemplator sanguinem. Aut enim paucior est quàm
B conueniat, aut deterior. Itaque qui paucior est, vniuersam victus rationem exposcit humectantem & calefacientem; qui autem deterior est, siquidem biliosus fuerit, primùm purgationem desiderat, mox victum quem modo dicebamus; sin pituitosus, medicamenta requirit calefacientia aut primo, aut secundo ordine, non tamen desiccantia. Verùm inter ea potiora sunt, quæ non tantum sunt medicamenta, sed & nutrimenta, velut eruca, fæniculum, anethum. Dico autem ipsas herbas etiamnum virentes, & humidas; nam siccæ, plus quàm oporteat & calefaciunt, & desiccant.
C Huius generis & smyrnium, apium, sion, polium, eáque virentia, prius quàm siccentur; quippe quum ea quæ desiccant, humorem sanguinis depascentia, ipsum crassiorem simul pauciorémque efficiant; tum si natura quoque sint calida, iusto etiam calidiorem; sin frigida, frigidiorem; debet enim esse modicè calidus, ac neutiquam crassus, vt lac generet. Quocirca quæ sunt huiusmodi, extingunt magis lac, quàm procreant; at quæ sic vt dictum est calefaciunt, nullamque insignem adiunctam habent siccitatem, lactis procreatricem habere facultatem meritò dicta sunt. Verùm eo
D numero sunt perquam exigua. Nec enim profectò facile inuentu est, quod propositam in temperie sortitum sit mediocritatem; cæterùm infinita sunt, vt ita quispiam dicat, & multitudine incomprehensa, quæ lac lædant. Etenim quæcunque plus quàm expediat calefaciunt, quæque desiccant aut refrigerant, partim qualitatem ipsius sanguinis vitiantia, partim ipsum minorem reddentia, lac prouenire prohibent.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Ὅτι τῶν ἐπιμηνίων κινούντων φαρμάκων ἡ δύναμις θερμοτέρα τέ ἐστι καὶ μετρίως ξηραίνει, τῶν δὲ τροφῶν κατὰ τὴν τῆς ὅλης οὐσίας ὁμοιότητα.

ΠΑραπλησίαν δὲ τοῖς εἰρημένοις ἔχει δύναμιν, ὅσα προτρέπειν, ἢ παύειν ἐπιμήνια πέφυκεν. ὕλη γὰρ ἀμφοῖν κοινὴ, τὸ ἐν ταῖς φλεψὶν αἷμα. τοῦτο οὖν ὅταν εὔρουν τε ᾖ, καὶ τῇ ποσότητι σύμμετρον ὑπάρχῃ, χορηγίαν ἄφθονον ἑκατέρῳ παρέχει. καὶ μὲν δὴ καὶ διότι κοιναὶ μαστοῖς τε καὶ ὑστέραις οὐ μικραὶ φλέβες εἰσὶν, καὶ τίνες αὗται τυγχάνουσιν οὖσαι, λέλεκται δι' ἑτέρων. ταῦτά τοι κἀπειδὰν ἐπὶ θάτερα τῶν μορίων φέρηται τὸ αἷμα, ξηραίνεται θάτερα. καὶ διὰ τοῦτ', ὅσαις τὰ καταμήνια φέρεται συμμέτρως, οὐκ ἀθροίζουσιν ἐν μαστοῖς τὸ γάλα. καὶ ὅσαις ἄφθονον τοῦτο, τὰ καταμήνια τελέως ἴσχεται. θαυμαστὸν οὖν οὐδὲν, εἰ τὰ διαιτήματα, καὶ τὰ φάρμακα παραπλήσια, τά τε γεννῶντα, καὶ τὰ παύοντα τὴν ἐφ' ἑκάστῳ μηνὶ κάθαρσιν ἐξ ὑστερῶν, καὶ τὴν ἐν μαστοῖς

CAPVT XXII.

E *Quòd menses mouentium medicamentorum facultas calidior est, & modicè desiccat; alimentorum verò est secundum totius substantiæ similitudinem.*

POrrò dictis similem vim obtinent, quæcunque prouocare, aut sedare menses possunt; vtrorumque enim communis materia est, nempe sanguis in venis contentus. Itaque vbi hic fluxilis fuerit, & quantitate contemperatus, vtique abundantem suppeditat copiam. Communes quin etiam vberibus, vteróque venæ sunt non exiles; at quænam eæ sint, alibi dictum est. Itaque vbi ad alterutram partium sanguis defer-
F tur, altera siccescit. Proinde quibus menses mediocriter feruntur, iis lac in mamillis non colligitur; quibus verò hoc largè suppetit, iis planè menses supprimuntur. Itaque mirandum non est, si tum victus, tum medicamenta similia sint, nempe & ea, quæ generant, sedántque in menses singulos ex vtero purgationem; & ea quæ lactis in vberibus

vberibus generationem prouocant, ac supprimũt. Quanquam hactenus differant, quòd & calidioribus & magis incidentibus purgatio menstrua non nunquam indigeat; quippe quum ea parte sitæ venæ magis aperiri debeant, quàm quæ tendunt in mammas; & sanguinem fluxilem magis requirant, nimirum quum vterus ad delationem eius nihil conferat. Mittuntur enim in venas, quæ illi committuntur, haud attrahuntur menses. At sanguis in vbera non tantum mittitur, sed & attrahitur; ac proinde leuiore subsidio medicamentorum opus habet, quum non abundè in mammas confluit. Et medicinæ, quæ iuuant, vt sanguis in mammillas eat, deficientes, atque imperfectas purgationes etiam adiuuant. Sin autem multum oblæsæ sint, aut planè retentæ, nulla ex eiusmodi eas sanare potest: verùm sabina & meium, & iris, & calamintha, & pulegium, tum dictamnum, asaron, costus, cassia, cinnamomum, amomum, aristolochia, bunium, & eius generis reliqua, absolutas vteri purgationum retentiones sanant; nam talia quoque vrinam promouent. Sed ab ipsis diureticis vocatis medicamentis hoc solo differunt quòd non vehementer desiccent. Siquidem calefactio tribus generibus medicamentorum communis est, puta quæ lacti procreando succurrunt, quæque mensibus ciendis, & vrinæ conueniunt. Differunt tamen caloris mensura; tum etiam quòd quædam desiccant, quædam non. Siquidem quæ non desiccant, & modicè calefaciunt, lacti generando vtilia sunt; quæ verò plus calefaciunt, non tamen valenter desiccant, mensibus eliciendis sunt congrua. Verùm & vtraque hæc vrinas prouocant, & ad hæc cum primis ea, quæ calefaciunt, & desiccant. Et propter hoc ea peculiariter dicuntur diuretica, siue vrinam mouentia, non quia sola moueant vrinas; sed quia solas, & non etiam menses, aut lac. Nam præter alia, & reddendis ex pectore pulmonéque excreationibus incommoda sunt desiccantia; poscunt enim & ipsa incidi quidem, at non siccari, ceu & renum, vesicæque calculi. Verũ de talibus medicamentis supra disserui.

A τοῦ γάλακτος γένεσιν. τοσόνδε μέντοι διαφέρουσιν, καθ' ὅσον θερμοτέρων τε, καὶ τμητικωτέρων ἐνίοτε τὰ κατὰ τὰς μήτρας χρήζει. καὶ γὰρ ἀνεστομῶσθαι δέονται μᾶλλον αἱ τῇδε φλέβες, ἤπερ αἱ κατὰ τοὺς μαστούς, καὶ τοῦ αἵματος διερυστέρου χρήζουσιν, ὡς ἂν μηδὲν αὐτῆς τῆς μήτρας συντελούσης εἰς τὴν φορὰν αὐτοῦ. πέμπεται γὰρ εἰς τὰς ἐν αὐτῇ φλέβας, οὐκ ἕλκεται τὰ καταμήνια. εἰς μαστοὺς δ' οὐ πέμπεται μόνον, ἀλλὰ καὶ ἕλκεται, καὶ διὰ τοῦτο, βραχυτέρας ἐπικουρίας ἐκ φαρμάκων προσδεῖται, τὸ μὴ παραγινόμενον αὐτάρκως εἰς μαστοὺς αἷμα. καὶ ὅσα γε τὸ αἷμα ὑπάρχεσθαι προτρέπει, ταῦτα καὶ B τὰς ἐλλιπεῖς καθάρσεις ὠφελεῖ. τὰς δ' ἐπὶ πλέον βεβλαμμένας, ἢ καὶ παντάπασιν ἰσχομένας, οὐκέτ' οὐδὲν τῶν τοιούτων ἰᾶται, ἀλλὰ βράθυ, καὶ μεῖον, ἶρίς τε, καὶ καλαμίνθη, καὶ γλήχων, καὶ δίκταμνον, ἄσαρόν τε, καὶ κόστος, ἥ τε κασία, καὶ τὸ κιννάμωμον, ἄμωμόν τε καὶ ἀριστολοχία, καὶ τὸ βούνιον, ὅσα τ' ἄλλα τοιαῦτα, τὰς παντελεῖς ἐπισχέσεις τῶν κατὰ μήτρας καθάρσεων ἰᾶται. τὰ γὰρ τοιαῦτα, καὶ τοῖς οὔροις ποδηγεῖ. ἀλλὰ τῶν αὐτῶν δή, τοῦτο μόνον, οὐρητικῶν ὀνομαζομένων φαρμάκων, διαλλάττει, τῷ μὴ ξηραίνειν ἰσχυρῶς. τὸ μὲν γὰρ θερμαίνειν, ἐν τρισὶ γένεσι τῶν φαρμάκων κοινόν, ὅσα γε τῇ τοῦ γάλακτος C γενέσει συνεργεῖ, καὶ ὅσα ταῖς τῶν καταμηνίων τε καὶ οὔρων φοραῖς. διαφέρει δὲ τῷ τε ποσῷ τῆς θερμότητος, καὶ τῷ τὰ μὲν ξηραίνειν, τὰ δὲ μή. ὅσα μὲν γὰρ οὔτε ξηραίνει καὶ θερμαίνει μετρίως, εἰς γάλακτος γένεσιν χρηστά. τὰ δ' ἐπὶ πλέον θερμαίνοντα, μὴ μέντοι γε ἰσχυρῶς ξηραίνοντα, ταῖς τῶν καταμηνίων φοραῖς ἀγαθά. οὔρησιν δὲ καὶ ταῦτα μὲν ἀμφότερα προτρέπει, καὶ πρὸς τοῦτο δέ, οὐδὲν ἧττον ὅσα θερμαίνει ξηραίνοντα. καὶ διὰ τοῦτο ἐξαιρέτως οὐρητικὰ τὰ τοιαῦτα κέκληται, οὐ διὰ τὸ μόνα κινεῖν τὴν οὔρησιν, ἀλλὰ τὸ μόνην αὐτὴν τοῦ καταμήνια καὶ γάλα. πρὸς γὰρ αὖθις ἄλλοις, οὐδὲ ταῖς ἐκ θώρακος D καὶ πνεύμονος ἀναπτύσεσιν ἐπιτήδεια τὰ ξηραίνοντα. δεῖται γὰρ κἀκεῖνα τέμνεσθαι μέν, μὴ ξηραίνεσθαι δέ, καθάπερ γε οἱ κατὰ νεφροὺς καὶ κύστιν λίθοι. λέλεκται δὲ ὑπὲρ τῶν τοιούτων φαρμάκων ἔμπροσθεν.

CAPVT XXIII.

Quòd quæ semen generant aut prouocant, quorundam vt medicamentorum quidem, facultas est flatuosa, & calida; aliorum verò, vt ciborum, flatuosa quidem etiam, sed tota substantia familiaris.

VT lac, ita & semen quædam generare dicuntur, & quæ his sunt contraria, extinguere; tum quædam prouocare, & ipsis contraria supprimere; ac generare quidem, quæ procreant, quod antea non erat; extinguere verò, quæ corrumpunt: prouocare autem, quæ quod in alto delitescebat, in apertum proferunt; & his contraria, quæ supprimunt. Igitur semen generant cibi quidem, qui bene nutriunt, & flatuosi sunt, totísque substantiis familiares; medicamenta verò flatuosa, & calida: extinguunt autem desiccantia & refrigerantia omnia, & quæ totis substantiis sunt contraria. Porrò prouocant quæcunq; calida sunt, & flatuosa absque desiccatione; supprimunt verò contraria. Etenim quum seminis substantia ex vtili recremento generationem sortiatur; sitq; etiam flatuosa, bene nutriant, & flatuosa sint necesse est, quæcunque semen, aut procreare, aut prouocare possunt. Itaq; bulbi, cicer, fabæ, polypodes, conus,

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ὅτι τῶν γεννώντων ἢ παρακαλουμένων τὸ σπέρμα, τῶν μὲν ὡς φαρμάκων ἡ δύναμις πνευματώδης ἐστὶ θερμή, τῶν δὲ ὡς τροφῶν οὖσα φυσώδης ἐστὶ ταῖς οὐσίαις οἰκεία.

E ὩΣπερ δὲ γάλακτος, οὕτω καὶ σπέρματος εἰώθασιν ὀνομάζειν, ἔνια μὲν γεννητικά, καὶ τούτοις ἐναντία τὰ σβεστικά, παρακλητικὰ δ' ἕτερα, καὶ τούτοις ἐναντία, τὰ ἐπισχετικά. γεννητικὰ μὲν οὖν ἐστι, τὰ γεννῶντα τὸ μὴ πρότερον ὑπάρχον, σβεστικὰ δέ, τὰ φθείροντα. παρακλητικὰ δέ, τὰ τὸ συνηθροισμένον ἐν βάθει, πρὸς τοὐμφανὲς ἄγοντα, καὶ τούτοις ἐναντία, τὰ ἐπισχετικά. γεννητικὰ μὲν οὖν σπέρματός ἐστιν ἐδέσματα, ὅσα εὔτροφά τε ἅμα, καὶ φυσώδη, καὶ ταῖς ὅλαις οὐσίαις ἐστὶν οἰκεῖα. φάρμακα δ', ὅσα πνευματώδη, καὶ θερμά· σβεστικὰ δέ, τὰ ξηραίνοντα πάντα, καὶ τὰ ψύχοντα πάντα, καὶ ταῖς οὐσίαις ἐναντία, καὶ μὲν δὴ καὶ F παρακλητικὰ μέν, ὅσα φυσώδη τ' ἐστί, καὶ θερμὰ χωρὶς τοῦ ξηραίνειν, ἐπισχετικὰ δέ, τὰ ἐναντία. τῆς γὰρ τοῦ σπέρματος οὐσίας ἐκ χρηστοῦ περιττώματος ἐχούσης τὴν γένεσιν, οὔσης δὲ καὶ πνευματώδους, εὔτροφά τε ἅμα, καὶ πνευματώδη χρὴ πάντως ὑπάρχειν, ὅσα γεννᾶν καὶ παρακαλεῖσθαι δύνανται σπέρμα. βολβοὶ μὲν οὖν, ἐρέβινθοί τε, καὶ κύαμοι, καὶ πολύποδες, καὶ κῶνος,

ἐδέσματα πολύσπερμα λέγεται, καί ἐστι. σκίγκος δέ, καὶ σατύριον, φάρμακα. τροφαὶ δ' ἅμα καὶ φάρμακα πολύσπερμα, τό τε τῆς λίνου σπέρμα, καὶ τὸ εὔζωμον. ὅσα δὲ ψύχειν πέφυκεν ἐδέσματά τε, καὶ φάρμακα, παχύνοντά τε καὶ πηγνύντα, καὶ στάσιμον ἐργαζόμενα τὸ σπέρμα, τὴν τῶν ἐπισχόντων αὐτὰ δύναμιν, οὐ τὴν τῶν φθειρόντων ἔχει. θριδακίναι μὲν γάρ, καὶ βλίτα, καὶ ἀτραφάξιες, καὶ κολοκύνθαι, καὶ μόρα, καὶ μηλοπέπονές τε, καὶ σίκυοι, ἤν τε καὶ πέπονες, ἤν τε καὶ μὴ πέπονες ὦσιν. ὅσα δὲ ξηραίνει, τὴν ἀρχὴν, οὐδ' ἐπιτρέπει γενέσθαι τὸ σπέρμα, κἂν θερμὰ τὴν φύσιν ὑπάρχῃ καθάπερ τὸ πήγανον. Εἰ δὲ καὶ μὴ θερμαίνει, πολὺ μᾶλλον, ὡς ἡ νυμφαία. ταῦτα μέν γε, καὶ κατὰ τὴν ἰδιότητα τῆς οὐσίας, εὔλογον ἐναντίως ἔχειν σπέρματι. τὴν δ' αὐτὴν ἀναλογίαν ἐδεσμάτων τε, καὶ φαρμάκων, ἐπί τε γάλακτος ἐστιν εὑρεῖν, καὶ καταμηνίων. καθ' ἕτερον δὲ τρόπον ὑπὸ ταὐτὸ πέπτωκε γένος αὖθις, ὅσα ταῖς ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων ἀναπτύσεσι τιμωρεῖται, καὶ ὅσα κινεῖν οὔρησιν πέφυκεν. ἅπαντα γὰρ ταῦτα λεπτυντικῆς ἐστι δυνάμεως, ὥσπερ οὖν τὰ ἐναντία, παχυντικῆς. ἀλλὰ περὶ μὲν τῆς λεπτυντικῆς διαίτης, ἰδίᾳ γέγραπται δηλουμένων οὐδὲν ἧττον ἐν ταὐτῷ βιβλίῳ, καὶ τῶν παχυνόντων. τὰ δὲ λεπτύνοντα καὶ παχύνοντα φάρμακα, τῶν ἐφεξῆς τῶνδε τριῶν βιβλίων ἐκλέγου, ἐπὶ μὲν τῶν λεπτυνόντων, σκοπὸν ἔχων τὰ θερμότητα καὶ λεπτομέρειαν ἔχοντα, ἐπὶ δὲ τῶν παχυνόντων, τὰ ἐναντία. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς ἔμπροσθεν ὡς ἰδία τίς ἐστιν ἡ τῶν λεπτομερῶν φαρμάκων φύσις, οὐ μόνον τοῖς θερμαίνουσιν ὑπάρχουσα. κατ' αὐτὰ δέ, καὶ ἡ τῶν παχυμερῶν, οὐ μόνον τοῖς ψύχουσιν. ὥσπερ δὲ καὶ ἐπὶ τῶν τοιούτων ἀναλογία τις ἐν ταῖς δυνάμεσιν ὑπάρχει, κατὰ τὸν αὐτὸν τρόπον, ἐπὶ πάντων ζητεῖν, εἰ καὶ μὴ κείμενον ὄνομα τύχῃ. λέγονται γοῦν τινες ὀξυδερκικαὶ δυνάμεις, αἱ τοὺς ὀφθαλμοὺς ἐπειδὰν μηδὲν ἔχοντες αἰσθητὸν πάθημα, φαύλως ἐνεργῶσιν, ἐπανορθούμεναι. καὶ χρὴ δηλονότι, καὶ κατὰ τὰ ὦτα, καὶ τὰς ῥῖνας, ἑκάστην τε τῶν ἄλλων αἰσθήσεων, ἀνάλογον ὑπάρχειν τινὰ τοιαύτην δύναμιν. οὐ μὴν ὠνόμασταί γε ὀξυήκοος τις δύναμις, ὥσπερ οὐδὲ κατὰ τὴν ὄσφρησιν, ἢ τὴν γεῦσιν, ἢ τὴν ἁφὴν, καί τοί γε ἐν αὐτοῖς τοῖς αἰσθητοῖς πράγμασιν ἀναλόγως ὑπαρχούσης. Εἰ δ' ἐπὶ πλέον ἐκτείνοι τις τὴν ὁμοιότητα, καὶ καθ' ἕκαστον ἡμῶν μόριον, ἀναγκαῖον εἶναι τοιαύτην τινὰ δύναμιν φαρμάκων, ὑφ' ἧς δηλονότι βέλτιον γίγνεται τὸ τοῦ μέρους ἔργον, ὥσπερ, εἰ οὕτως ἔτυχε, τὸ τῆς γαστρός. ἔστι γὰρ οὖν κἀνταῦθα πολλάκις εὑρεῖν ἀτονίαν τινὰ τοιαύτην αὐτῆς, οἷα κατ' ὀφθαλμούς ἐστιν ἡ ἀμβλυωπία, μήτε φλεγμαίνοντας, μήτε ῥευματιζομένους, μήθ' ἡλκωμένους, μήτ' ἄλλο τι φανερὸν ἔχοντας κακόν. καὶ δὴ καὶ τὰ φάρμακα τὴν τοιαύτην διάθεσιν τῆς γαστρὸς ἐπανορθούμενα, κέκληται πεπτικά, τῷ μὲν σχήματι τῆς προσηγορίας, οὐκ ἀνάλογον ἔχοντα τοῖς ὀξυδερκικοῖς, τῷ δ' ἔργῳ καὶ τῇ δυνάμει παραπλήσια.

A edulia dicuntur multi seminis, & sunt; at scincus, & satyrion medicamenta sunt; porrò simul cibi, ac medicamenta multi seminis sunt lini semen, & eruca. Cæterùm quæ refrigerare sunt nata tum edulia, tum medicamenta, semen cogentia, incrassantia, & stabile reddentia, vim habent ipsum supprimentem, non autem corrumpentem, nempe lactuca, blitum; atriplex, cucurbita, mora, melopepones, cucumeres, seu pepones, seu non pepones. Porrò quæ resiccant, prorsum ne esse quidem semen permittunt, etiam si calida sint natura, velut ruta. Si autem non B calefaciunt, multo minus, vt nymphæa, atque hæc sanè rationi consentaneum est, substantiæ proprietate contrariè affecta esse semini. Eandem proportionem, tum esculentorum, tum medicamentorum est inuenire in lacte, & mensibus. Porrò alio modo sub idem genus cadunt, quæ respirantium instrumentorum excreationibus auxiliantur, quæque vrinam ciere possunt: hæc enim omnia extenuandi facultatem obtinent, vti contraria incrassandi. Sed de victu extenuante priuatim conscriptum est, nihilo secius in eodem volumine indicatis, quæ incrassant. Verùm extenuantia, & incrassantia medicamen- C ta ex libris, qui deinceps sequentur, seligito; in extenuantibus quidem scopum habens caliditatem iunctam partium tenuitati, in incrassantibus verò contraria. Ostensum enim est in superioribus libris, quòd propria quædam sit medicamentorum essentiæ tenuis natura, non solis calefacientibus coniuncta. Eadem ratione, & incrassantium natura non solis inest refrigerantibus. Cęterùm vt talibus facultatibus proportio quædam inest, eundem in modum quærendum in omnibus, etiam si nomen non sit impositum. Vocantur enim quædā oxydercicæ facultates visum acuentes, quæ oculos, vbi nullum illis insit sensibile D pathema, malè tamen munere suo fungentes, corrigunt, & in integrum restituunt. Ac nimirum, & in auribus, & in naribus, & per quemque aliorum sensuum sigillatim proportione talis quædam sit facultas, necesse est; nec tamen facultas nominata est ab acumine auditus oxyecoos, sicut nec in olfactu, nec in gustu, nec in tactu, quum tamen in rebus ipsis sensilibus ex proportione insit. Porrò siquis similitudinem plus etiam extendat, per quanque nostri particulam, talem existere medicamentorum facultatem necesse E est, à qua videlicet melior reddatur partis ipsius actio; vt, verbi causa, ventris actio. Siquidem talem eius imbecillitatem inuenire est sæpenumero, qualis est in oculis Amblyopia, idest, *hebetudo visus*, quum ij, nec phlegmone teneantur, nec influxu torqueantur, nec vlcerati sint, nec aliud quiduis mali perpessi. Et sanè in medicamentis, quæ affectum ventris eiusmodi emendant, peptica, siue concoquentia nuncupantur, appellationis quidem figura nihil proportionale habentia oxydercicis, cæterùm opere ipso, & facultate similia.

F

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ τῶν ἀπὸ τῶν μορίων τοῦ σώματος ὀνομαζομένων δυνάμεων.

Ἐπεὶ δὲ καὶ ἀπὸ μορίων τοῦ σώματος, τινὰς ἐλέγομεν ὠνομάσθαι δυνάμεις, οὐ χεῖρον ἂν εἴη, καὶ περὶ τούτων διελθεῖν. οὔτε γάρ,

CAPVT XXIV.

De facultatibus à partibus corporis cognominatis.

Porrò quoniam & quasdā appellatas à corporis partibus facultates esse diximus, nihilo fuerit deterius, & de his disserere. Nec enim (quod quispiam

quiſpiam forſan exiſtimet) omnibus partis affectibus congruunt; nec ita vni, vt alij nihil proſint; ſed quoniam frequentiſſimè, aut maximè agant ea in parte, à qua nomen ſunt mutuatæ. Ophthalmicæ quidem, quandoquidem maximè ac plurimum ad oculos ipſas vſurpamus, velut collirium διὰ ῥόδων, & aliud διὰ πομφόλυγος, & cnicus appellatus, & libanium, & alia omnia; quibus vti quidem liceat, & ad aures affectas, aut os, aut nares, præterea pudendum, & anum; verùm non ita frequenter, nec tanto cum fructu. Rurſus autem alias nuncupamus hepaticas, alias ſplenicas, pleuriticáſque, & ſtomachicas; nimirum quum & ipſas ei parti, quam nomine deſignant, ſæpiſſimè ſimul ac potiſſimè prodeſſe conſpiciamus. Porrò quæ ſit profectus & adiumenti cauſa, in opere de curandi ratione explicabimus, in quo cætera quoque, omnia de medicamentorum vſu exponentur. Itaque nihil etiam hîc hærendum, atque immorandum eſt, niſi quòd vocabulorum nonnihil declarandus eſt vſus: quem cum aliis nonnulli recentiorum medicorum, tum præſertim qui vocantur methodici, inaniter innouarunt.

CAPVT XXV.

De inani nominum vſurpatione, quam medici recentiores & inter eos maximè methodici induxerunt.

NAm quòd ſtalticas quaſdam facultates, hoc eſt ſiſtentes ſeu ſupprimentes, & conſtringentes, & contrahentes, & repellentes, aut alias id genus proferant, id nequaquam abſurdum eſt, nec obſcurum. At quum metaſyncriticas tum materias, tum facultates nominant, nec apertum eſt quod dicunt, nec verùm; nec etiam ſectæ congruens eorum, qui ſe fugitare profitentur, quæ à dogmaticis opinionibus proficiſcitur, indicationem. Sufficere namque aiunt ſibi apparentes communitates. Atqui excedentibus corporis meatibus ex ſtatu naturali in ſtatum præter naturam, in proprietate excedendi exiſtere quoſdam affectus, ea dogmatica opinio eſt. Sequitur verò ad hanc, quaſdam eſſe facultates, eiuſmodi affectuum, metaſyncriticas, videlicet quæ commutent meatuum alienam à natura cõfuſionem, nam ſic vſurpant nomina Theſſali ſequaces; atque ad ea quæ diutina fluxione vexantur, facultates eiuſcemodi adhibent, quum nec monſtrarint meatuum alterationes in talibus prouenire affectibus; neque quòd hæc medicamenta tranſmutare vitiatum meatuum ſtatum poſſunt, demonſtrare valeant. Nam per Deos immortales, cur obſecro napy, thapſia, pyrethrum, capparis radix, & abſolutè quæcunque vrere poſſunt, ſi diutius corpori inhæreant, meatuum ſtatum commutant? Nam quòd partes, quæ tentantur aſſidua fluxione, ab hoc genus medicamentis iuuentur, perſpicuò videtur; at quamobrem iuuentur, naturalis ſpeculationis problema eſt. Ac nos quidem dicimus earum frigidam ſimul, atque humidam eſſe temperiem, ac proinde poſcere medicamenta, quæ ſimul & calefaciant & deſiccent. Atque aliam cauſam proferent, pro opinione nimirum, quam conceperunt de corporis elementis. Nec tamen vſurpari conuenit metaſyncriſeos vocabulum à quoquam alterius ſectæ, præterquam eorum qui animantium corpora & exiſtimant, & appellitant ſyncrimata, ſeu confuſiones

A ὡς ἂν οἰηθείη τις, ἐπὶ πάντων ἁρμόττουσι τῶν παθῶν τοῦ μέρους, οὔτ' ἐφ' ἑνὸς οὕτω τινὸς, ὡς ἑτέρῳ ὀνῆσαι μηδὲν, ἀλλ' ἤτοι τὸ πλειστάκις, ἢ τῷ μάλιστα ἐνεργεῖν ἐπὶ τοῦδέ τινος τοῦ μέρους, ἀπ' αὐτοῦ τὴν προσηγορίαν ἔχον. ὀφθαλμικαὶ μὲν, ἐπεὶ καὶ μάλιστα, καὶ πλειστάκις ἐπ' ὀφθαλμῶν αὐταῖς χρώμεθα, καθάπερ τῷ γε διὰ ῥόδων κολλυρίῳ, καὶ τῷ διὰ πομφόλυγος, καὶ τῷ κνίκῳ προσαγορευομένῳ, καὶ τῷ λιβανίῳ, καὶ τοῖς ἄλλοις ἅπασιν, οἷς ἔνεστι μὲν χρήσασθαι, καὶ ὤτων παθόντων, καὶ στόματος, καὶ ῥινὸς, αἰδοίου τε, καὶ ἕδρας, οὐ μὴν οὔθ' οὕτω πολλάκις, οὔθ' οὕτως ὠφελίμως. ἡπατικὰς δ' αὖ καὶ σπληνικὰς
B καὶ πλευριτικὰς, καὶ στομαχικὰς, ἐπεὶ καὶ ταύτας, ἕκαστον τῶν εἰρημένων ὠφελούσας ὁρῶμεν μάλιστά τε, καὶ πλειστάκις. ἡ τίς δ' αἰτία τῆς ὠφελείας ἐστὶν, ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ ῥηθήσεται, καθ' ἣν καὶ τἄλλα πάντα περὶ τῆς τῶν φαρμάκων χρήσεως ἐπέξιμεν, ὥστ' οὐδὲν ἔτι μηκύνειν ἐνταῦθα, πλὴν εἴπερ ἄρα περὶ τῆς τῶν ὀνομάτων βραχὺ ἐπισημήνασθαι χρήσεως, ἣν ἄλλοι τέ τινες τῶν νεωτέρων ἰατρῶν ἐποιήσαντο καινοτομοῦντες, οὐχ ἥκιστα δὲ καὶ οἱ καλούμενοι μεθοδικοί.

C

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Περὶ τῆς καινοτομίας τῶν παρὰ τοῖς νεωτέροις καὶ μάλιστα τοῖς μεθοδικοῖς ὀνομάτων.

ΤΟ μὲν γὰρ σταλτικάς τινας ὑπ' αὐτῶν λέγεσθαι δυνάμεις, ἢ σφιγγούσας, ἢ συναγούσας, ἢ ἀπωθουμένας, ἤ τι τοιοῦτον ἕτερον, οὔτ' ἄτοπον, οὔτ' ἀσαφές. ὅταν δὲ μετασυγκριτικάς τινας εἶναι λέγωσιν ὕλας, ἢ δυνάμεις, οὔτε σαφές ἐστι τὸ λεγόμενον, οὔτ' ἀληθές, οὔτε τῆς αἱρέσεως αὐτῶν οἰκεῖον, οἵγε φεύγειν φασὶ τὴν ἀπὸ τῶν δογματικῶν ὑπολήψεων ἔνδειξιν, ἀρκεῖν γὰρ αὐτοῖς τὰς φαι-
D νομένας κοινότητας. τὸ δ', ἐκτρεπομένων τῶν πόρων τοῦ σώματος, ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν, ἐν ἰδιότητι τῆς τροπῆς αὐτῶν συνίστασθαί τινα πάθη, δογματική τις ὑπόληψίς ἐστιν. ἕπεται δὲ ταύτῃ, καὶ τὸ, τῶν τοιούτων παθῶν μετασυγκριτικάς τινας εἶναι δυνάμεις, ἀλλοιούσας δηλονότι τὴν παρὰ φύσιν τῆς συγκρίσεως ἡμῶν ποροποιΐαν. οὕτως γὰρ δὴ καὶ χρῶνται τοῖς ὀνόμασιν οἱ περὶ τὸν Θεσσαλὸν, εἶτ' ἐπὶ τῶν χρονίως ῥευματιζομένων παραλαμβάνουσι τὰς τοιαύτας δυνάμεις, οὔθ' ὅτι τῶν πόρων ἀλλοίωσις
E ἐν τοῖς τοιούτοις γίνεται πάθεσιν ἀποδείξαντες, οὔθ' ὅτι τάδε τὰ φάρμακα μετασυγκρίνειν πέφυκεν, τὴν ἡμαρτημένην ποροποιΐαν ἐπιδεῖξαι δυνάμενοι. διὰ τί γὰρ, ὦ πρὸς θεῶν, τὸ νάπυ, καὶ ἡ θαψία, καὶ τὸ πύρεθρον, ἥ τε τῆς καππάρεως ῥίζα, καὶ ἁπλῶς ὅσα καίειν πέφυκεν, εἰ χρονίσειεν ὁμιλοῦντα τῷ σώματι, μετασυγκρίνει τὴν ποροποιΐαν; ὅτι μὲν γὰρ ὠφελεῖται τὰ ῥευματικὰ μόρια πρὸς τῶν τοιούτων φαρμάκων, ἐναργῶς φαίνεται. διὰ τί δ' ὠφελεῖται, πρόβλημά ἐστι τῆς φυσικῆς θεωρίας. ἡμεῖς μὲν οὖν φαμεν, ὑγρὰν καὶ ψυχρὰν εἶναι τὴν κρᾶσιν
F αὐτῶν, καὶ διὰ τοῦτο δεῖσθαι τῶν θερμαινόντων τε, καὶ ξηραινόντων. ἄλλοι δ' ἄλλην τὴν αἰτίαν ἐροῦσιν, ὡς ἂν καὶ τύχωσι περὶ τῶν στοιχείων τοῦ σώματος ὑπολαμβάνοντες. οὐ μὴν προσήκει γε φθέγγεσθαι τὸ τῆς μετασυγκρίσεως ὄνομα τῶν ἀφ' ἑτέρας αἱρέσεως ἀγομένων οὐδενὶ, πλὴν ὅσοι τὰ τῶν ζώων σώματα συγκρίματα νομίζουσί τε καὶ ὀνομάζουσιν,

ἐξ ὄγκων ἀτόμων, ἢ ἐλαχίστων, ἢ ἀμερῶν, ἢ ὁμοιομερῶν, καὶ οὐδὲ τούτοις ἅπασι, ἀλλ' ὅσοι, καθάπερ ὁ Θεσσαλὸς ἐν τῷ κανόνι τῆς τῶν πόρων ἀλλοιώσεως, τὰ τοιαῦτα τῶν νοσημάτων ἀνατιθέασιν, οὐ γὰρ ᾗ μεθοδικός ἐστι, τοῦτο λέγων ὁ Θεσσαλός. ἀποχωρεῖ γὰρ, ὅταν ὡς μεθοδικὸς ἡμῖν διαλέγηται, τῆς ἀπὸ τῶν ἀδήλων ἐνδείξεως, ἀλλ' ᾗ δογματικὸς, ἀπὸ μὲν τῶν αὐτῶν Ἀσκληπιάδῃ στοιχείων ἀρξάμενος, οὐ μὴν ἀκολουθῶν γε πάντη, ἀλλ' οὐ νῦν γε καιρὸς ὑπὲρ τῶν τοιούτων ἐπὶ πλέον διεξέρχεσθαι. τὰ μὲν γὰρ αὐτῶν ἐστιν οἰκειότερα τῇ θεραπευτικῇ μεθόδῳ, τὰ δ' ἐν τοῖς περὶ τῆς κατὰ Θεμίσωνα, καὶ Θεσσαλὸν αἱρέσεως ἀκριβέστερον εἰρήσεται. καιρὸς οὖν ἤδη καταπαύειν ἐνταῦθα καὶ τόνδε τὸν λόγον, ἔτι δύο προσθέντας αὐτῷ κεφάλαια, ὃ μὲν ἕτερον ἐν τῇ τῶν ἔμπροσθεν ἀναβληθέντων, ὑπὲρ τῶν ἐναντίων δυνάμεων, ὃ δ' ἕτερον ἀναγκαῖον μὲν εἰς τὸν ἐφεξῆς λόγον, ὁρίζον δὲ τὴν τάξιν ἑκάστου τῶν θερμαινόντων τε καὶ ψυχόντων, ὑγραινόντων τε καὶ ξηραινόντων φαρμάκων.

A ex corpusculis insecabilibus, minimísque, & partitionis expertibus, ac similaribus; quanquam nec istis omnibus, sed iis duntaxat, qui, vti Thessalus in canone, meatuum alterationi id genus morbos ascribunt. Non enim qua methodicus est Thessalus id dicit (siquidem vbi tanquam methodicus disserit, illic ab obscurorum recedit indicatione) sed qua dogmaticus, scilicet ab iisdem, quæ Asclepiades ponit, elementis exorsus, cæterum haud vbique sequens. Sed nunc tempus non est super talibus prolixiùs disserere, nam quædam curandi Methodo magis sunt propria, quædam verò in opere de Themisonis, & Thessali B secta exactiùs expromentur. Tempestiuum itaque nunc est, huncce librum hîc finire, si modo duo illi præterea capita adiecero, alterum superius dilatum, nempe de facultatibus contrariis; Alterum ad insequentem sermonem necessarium, definiturus, scilicet cuiusque tum calefacientium, tum refrigerantium, tum exiccantium, atque humectantium medicamentorum ordinem.

ΚΕΦΑΛΑΙΟΝ Κϛʹ.

Πῶς κριτέον ἐναντίας δυνάμεις.

Τὰς μὲν οὖν ἐναντίας δυνάμεις ἐκ τῶν ἔργων κριτέον, ὥσπερ ἐν ὅλῳ τῷδε τῷ γράμματι πολλάκις ἐδείξαμεν, ἐμπλαστικάς τέ τινας εἰπόντες εἶναι δυνάμεις ἐναντίας ταῖς ῥυπτικαῖς, ἐκφρακτικάς τε ταῖς ἐμφρακτικαῖς, καὶ μαλακτικὰς ταῖς σκληρυνούσαις, καὶ χαλαστικὰς ταῖς συντεινούσαις. στυπτικὰς γὰρ, ἢ δριμείας, ἢ πικρὰς, ἢ γλυκείας, ἢ ὀξείας οὐ δυνάμεις φαρμάκων, ἀλλὰ γευστὰς ποιότητας ἐδείκνυμεν οὔσας, ὥστε, ἢ οὐ ζητητέον ὅλως ἐν ταύταις τὴν ἐναντίωσιν, ἢ οὐχ ὡς ἐν δυνάμεσι ζητητέον. ὁ σκοπὸς δὲ κἂν ταύταις διττὸς, αἵ τ' ἐνέργειαι, καὶ αἱ κράσεις αὐτῶν. ἐνέργειαι μὲν ἐν τῷ πυκνοῦν, καὶ ἀραιοῦν, ἢ ἐπισπᾶσθαί τι τῶν ἐκ τοῦ βάθους, ἢ ἀπωθεῖσθαι, παχύνειν τε τὰς ὕλας, ἢ λεπτύνειν, ἢ φράττειν τε τοὺς πόρους, ἢ ἐκφράττειν. αἱ κράσεις δὲ, κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρόν, ὑπὲρ ὧν αὐτάρκως ἁπάντων τῷ τετάρτῳ βιβλίῳ, διήρηται, δεικνύντων ἡμῶν, ὡς τὸ μὲν στύφον, γεῶδές τέ ἐστι καὶ ψυχρὸν, τὸ δὲ ὀξὺ, λεπτομερὲς ψυχρὸν, τὸ δὲ πικρὸν, γεῶδες λεπτομερὲς, τὸ δ' ἄνευ τινὸς ἐπισήμου ποιότητος ψυχρὸν, ὑδατῶδες. οὕτω μὲν, καὶ τὸ μὲν δριμὺ, πυρῶδες ἐδείκνυτο, τὸ δ' ἁλυκὸν, γεῶδες θερμὸν, οὐ μὴν ἤδη γέ πω πυρῶδες. ὡσαύτως δὲ καὶ τὸ γλυκὺ, θερμὸν μὲν ἀλλ' οὐδέ πω καυστικόν. ὅσα δ' ἐλαιώδη, πάνθ' ὑδατώδη τέ ἐστι καὶ ἀερώδη, εἵπετο δὲ δήπου καὶ τὰ ἔργα ταῖς κράσεσιν αὐτῶν. τὸ μὲν γὰρ στύφον, συνάγειν, καὶ πιλεῖν, καὶ πυκνοῦν, καὶ ἀποκρούεσθαι, καὶ παχύνειν, ἔτι τε πρὸ τούτων ἁπάντων, ψύχειν καὶ ξηραίνειν πέφυκεν, τὸ δ' ὀξὺ, τέμνειν, καὶ διαιρεῖν, καὶ λεπτύνειν, ἐκφράττειν τε, καὶ διακαθαίρειν ἄνευ τοῦ θερμαίνειν. τὸ δὲ δριμὺ, παραπλησίως μὲν ὀξεῖ δρᾶν, κατά γε τὸ διαλεπτύνειν τε καὶ διακαθαίρειν. διαφέρει δὲ τῷ, τὸ μὲν ὀξὺ, ψύχειν, τὸ δὲ δριμὺ, θερμαίνειν, καὶ προσέτι τῷ τὸ μὲν, ἀποκρούεσθαι, τὸ δ', ἐπισπᾶσθαι, καὶ διαφορεῖν. οὕτω δὲ καὶ τὸ μὲν πικρὸν διακαθαίρει τε τοὺς πόρους, καὶ διαρρύπτει, καὶ λεπτύνει, καὶ τέμνει τὸ πάχος τῶν χυμῶν, ἄνευ φανερᾶς θερμότητος. τὸ δ' ὑδατῶδες ψυχρὸν, παχύνει, καὶ συνίστησι, καὶ συνάγει, καὶ πιλεῖ, καὶ νεκροῖ, καὶ ναρκοῖ.

CAPVT XXVI.

C *Quo pacto contrarias iudicare facultates oporteat.*

IGitur contrarias iudicare facultates ex operibus oportet, sicut toto hoc libro sæpenumero ostendimus, dicentes quasdam facultates emplasticas & his contrarias extergentes, tum farctu liberantes, & infarcientes, præterea emollientes, & indurantes, ac laxantes, & contendentes; nam astringentes, aut acres, aut amaras, aut acidas, aut dulces, non facultates medicamentorum, sed gustus esse qualitates monstrauimus. Itaque in his, aut prorsus quærenda non est contrarietas, aut non vt in facultatibus quærenda. Scopus autem D in istis duplex est, nempe earum actiones, & temperamenta. Actiones quidem, in densando & rarefaciendo, aut quippiam ex alto extrahendo, aut repellendo; incrassando materias, aut extenuando, aut meatus obstruendo, aut ipsorum obstructiones expediendo. Temperamenta verò in calido, frigido, humido, & sicco. De quibus omnibus abundè in quarto libro determinatum est, monstrantibus nobis, quòd astringens, terrestre sit & frigidum; acidum verò, tenue frigidum; amarum autem, terrestre tenue; quod verò est absque vlla insigni qualitate, frigidum E aqueum. Sic acre, igneum ostendimus; salsum verò, terrestre calidum, nondum tamen igneum; similiter dulce, calidum, sed nondum vrens; quæ verò oleosa sunt, omnia aquea sunt & aëria. Sequuta sanè sunt temperamenta eorum, & opera. Nam astringens contrahere, constringere, densare, repellere, & incrassare, & ante hæc omnia refrigerare, exiccaréque natum est; acidum verò incidere, extenuare, diuidere, obstructiones expedire, expurgare, citra calefactionem; acre verò similiter, vt acidum agere, quòd ad extenuationem, expurgationémque attinet: cæterùm F hoc differt, quòd acidum refrigeret, acre verò calefaciat; ad hæc, quòd illud repellat, hoc attrahat, & digerat. Sic amarum quoque meatus expurgat, abstergit, extenuat, incidit humorum crassitiem absque manifesta calefactione; frigidum verò aqueum incrassat, cogit, contrahit, constringit; obstupefacit, atque extinguit.

Porrò

Porrò acre extenuat, expurgat, digerit, disrumpit, attrahit, & crustam efficit. At salsum contrahit, constringit, condiendo seruat, desiccat citra apertam, aut caliditatem, aut frigiditatem. Dulce verò concoquit, laxat, rarefacit, Oleosum denique humectat, emollit, laxat. Facilius itaque iam erit ex modo dictis ponderantem sapores, inuenire qui temperamento, quique operibus sint contrarij.

A τὸ δὲ δριμὺ, λεπτύνει, διακαθαίρει, διαφορεῖ, καὶ ἐκρήσσει, καὶ ἐπισπᾶται, καὶ ἐσχαροῖ. τὸ δὲ ἁλυκὸν, συνάγει, καὶ σφίγγει, ταριχεύει, ξηραίνει, χωρὶς ἐπισήμου θερμότητος ἢ ψύξεως. τὸ δὲ γλυκὺ, πέττει, χαλᾷ, ἀραιοῖ. τὸ δὴ ἐλαιῶδες, ὑγραίνει, μαλάττει, χαλᾷ. ῥᾷδιον οὖν ἤδη τοῖς εἰρημένοις σταθμώμενον, ἐξευρίσκειν, τῶν χυμῶν, ὅσοι τε ταῖς κράσεσιν, καὶ ὅσοι τοῖς ἔργοις εἰσὶν ἐναντίοι.

CAPVT XXVII.


De limitatione, ac finitione ordinis cuiusque calefacientium, frigefacientium, humectantium, & desiccantium.

POrrò congruens iam tempus est, definitis temperamentorum, & facultatum, quæ in medicamentis sunt, ordinibus, hunc librum absoluere. Igitur symmetrum medicamentum, & quod sit similis temperamenti cum eo, cui admouetur, quum neque calefaciat, neque frigefaciat, neque exsiccet, neque humectet, id nec calidum, nec frigidum, nec siccum, nec humidum appellare cõuenit. Quod verò, aut calidius, aut humidius, aut frigidius, aut siccius est, à vincente, seu excedente cognominatur facultate. Porrò per vnumquemque excessum quatuor posuisse ordines, quod ad vsum spectat sufficit, calidum quidem nominantes primi ordinis, quod nos calefacit, non tamen euidenter, verùm vt opus sit insuper aliqua demonstratione rationali: sic frigidum, humidum, & siccum, quod demonstrationem requirat etiam, nondum actionem valentem, neque euidentem adeptum. Quæ verò manifestè, aut calefacere, aut frigefacere, aut humectare, aut exsiccare possunt, ea secundi esse ordinis dicentur. At quæ iam vehementes quidem, non tamen summè, tertij. Qui autem adeò calefacere possunt, vt escharam moliantur, & vrant, quarti; sic quoque quæ vehementiùs refrigerant, adeò vt extinguant, & ipsa quarti sunt ordinis. Cæterùm nullum inuenire est, quod quarto ordine exiccet, quod non etiam vrat; nam quod summè exiccat, omninò id etiam deurit. Attamen tertij ordinis exiccantium esse quippiam queat, quod non vrat, ceu omnia, quæ vehementer astringunt, ex quibus est omphacion, rhus, alumen, balaustium, galla omphacitis. In his autem ipsis quædam vicina iam sunt adurentibus, vt squama æris, & æs vstum, quasi inter tertium, quartúmque ordinem dubiè hæreant. In medio tertij est æs vstum, si lotum sit. In principio tertij hypocystis. Sic autem, & in secundo, & quarto differentias constituere licet triplices; nec enim perinde exiccat cauterium, & napy, licet ambo quarti sint ordinis. De his sanè omnibus in sequentibus libris per singula seorsum medicamenta determinabitur.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ.

B *Περὶ τοῦ ὅρου τῆς τάξεως ἑκάστου τῶν θερμαινόντων τε καὶ ψυχόντων, ὑγραινόντων τε καὶ ξηραινόντων.*

ΕΜοὶ δὲ καιρὸς ἂν εἴη πρέπων, ἀφορισαμένῳ τὰς τάξεις τῶν ἐν τοῖς φαρμάκοις κράσεών τε καὶ δυνάμεων, ἐνταῦθα καταπαύειν ἤδη τὸν λόγον. τὸ μὲν δὴ σύμμετρον φάρμακον, ὡς ὁμοίας εἶναι κράσεως ᾧ προσάγεται, καὶ τὸ μήτε ξηραῖνον, μήθ᾽ ὑγραῖνον, μήτε ψῦχον, μήτε θερμαῖνον, οὔτε ξηρὸν οὔθ᾽ ὑγρὸν, οὔτε ψυχρὸν, οὔτε θερμὸν ὀνομάζειν προσήκει. τὸ δ᾽ ἤτοι ξηρότερον, ἢ ὑγρότερον, ἢ θερμότερον, ἢ ψυχρότερον, ἀπὸ τῆς ἐπικρατούσης καλεῖται δυνάμεως. ἀρκεῖ δὲ
C καθ᾽ ἑκάστην ἐπικράτειαν, τέσσαρας, ὡς πρὸς τὴν χρείαν, ποιήσασθαι τάξεις, θερμὸν μὲν ὀνομάζοντας κατὰ τὴν πρώτην τάξιν, ὅ τι ἂν ἡμᾶς θερμαίνῃ, μὴ μέντοι γε ἐναργῶς, ἀλλὰ μετὰ τοῦ προσδεῖσθαί τινος ἀποδείξεως λογικῆς. οὕτω καὶ ψυχρὸν, καὶ ὑγρὸν, καὶ ξηρὸν, ὅτι περ ἂν ἀποδείξεως δέηται, μηδέπω τὴν ἐνέργειαν ἰσχυρὰν, μηδ᾽ ἐναργῆ κεκτημένον, ὅσα μέντοι σαφῶς ἤδη θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν πέφυκε, δευτέρας τὰ τοιαῦτα τάξεως εἶναι λεχθήσεται. τὰ δ᾽ ἤδη μὲν σφοδρῶς, οὐ μὴν εἰς ἄκρον γε, τῆς τρίτης. ὅσα δ᾽ οὕτω θερμαίνειν πέφυκεν, ὡς ἐσχαροῦν τε, καὶ καίειν, τετάρ-
D της. οὕτω δὴ καὶ ὅσα σφοδρότερον ψύχειν πέφυκεν, ὡς ἤδη νεκροῦν, τετάρτης καὶ ταῦτα. ξηραῖνον δ᾽ οὐδέν ἐστιν εὑρεῖν τετάρτης τάξεως, ἄνευ τοῦ καίειν, ὅ τι γὰρ ἄκρως ξηραίνει, πάντως τοῦτο καὶ καίει. τῆς τρίτης μέντοι τάξεως τῶν ξηραινόντων, δύναταί τι καὶ μὴ καῖον εἶναι, καθάπερ ὅσα στύφει σφοδρῶς ἅπαντα, ἐξ ὧν ἐστιν ὀμφάκιον, καὶ ῥοῦς, καὶ στυπτηρία, καὶ βαλαύστιον, καὶ κηκὶς ἡ ὀμφακῖτις. ἐν αὐτοῖς δὲ τούτοις τὰ μὲν ἐγγύς ἐστι τῶν καιόντων, οἷον ἥ τε λεπὶς τοῦ χαλκοῦ, καὶ ὁ κεκαυμένος χαλκὸς, ὡς ἐν τῷ ἀσαφεῖ που κεῖσθαι τῆς τρίτης τε καὶ τετάρτης τάξεως. τὰ δ᾽ ἐν τῷ μέσῳ, καθάπερ ὁ κεκαυμένος
E χαλκὸς, εἰ πλυθείη, τὰ δ᾽ ἐν ἀρχῇ, καθάπερ ὑποκιστίς. οὕτω δὲ καὶ κατὰ τὴν δευτέραν τε, καὶ τετάρτην τάξιν, ἔνεστι διαφορὰς ποιεῖσθαι τριττάς. οὐ γὰρ ὡσαύτως δή που τὸ καυτήριον ξηραίνει τῷ νάπυϊ, καίτοι γε ἄμφω τῆς τετάρτης τάξεώς ἐστιν. ὑπὲρ ἁπάντων δὴ τούτων, ἐν τοῖς ἑξῆς διορισθήσεται καθ᾽ ἕκαστον ἁπλοῦν φάρμακον ἰδίᾳ.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ, ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS, LIBER SEXTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ϛʹ. ΒΙΒΛΙΩι.

Διέρχεται ὑπὲρ τῶν ἐνεργουσῶν δυνάμεων ἑκάστου τῶν φαρμάκων, ἅπερ ἐστὶ φυτά, ἢ τὰ αὐτῶν μέρη ὧνπερ ἱστορία ἐπὶ τὸ θʹ. βιβλίον ἀφίκεται.

ARGVMENTVM LIBRI SEXTI.

Agit de effectricibus qualitatibus singulorum medicamentorum, quæ plantæ, aut ipsarum partes existunt; quorum historia ad nonum vsque librum continetur.

ΠΡΟΟΙΜΙΟΝ.

Τί ἐν τοῖς ὑπολοίποις τῶν ἁπλῶν φαρμάκων βιβλίοις ποιητέον· καὶ τίνες μὲν ὀρθῶς, τίνες δὲ κακῶς περὶ αὐτῶν διέλεγον.

ΠΕΡΙ τῆς τῶν ἁπλῶν φαρμάκων ἰδέας καὶ δυνάμεως ἐγχειρήσαντες γράφειν, ἐν μὲν τοῖς πρώτοις δύο βιβλίοις ἐπιδεῖξαι προειλόμεθα, τοὺς μοχθηροὺς τρόπους τῶν ἐπιχειρημάτων, οἷς πλεῖστοι τῶν νεωτέρων ἰατρῶν χρώμενοι, σφάλλονται μέγιστα. κατὰ δὲ τὸ τρίτον οἷόν τινα στοιχείωσίν τινα, τῆς συμπάσης ἐποιησάμεθα διδασκαλίας, εἶτα ἑξῆς, κατὰ τὸ τέταρτον, περὶ τῆς τῶν χυμῶν φύσεως ἐζητήσαμεν ἐξευρεῖν σπουδάσαντες ἅπαν ὅσον οἷόν τ' ἐστὶν, ἐξ αὐτῶν εἰς τὴν τῶν δυνάμεων γνῶσιν ὠφεληθῆναι, διελέχθημεν δὲ ἐπὶ τῆς τελευτῆς τοῦ βιβλίου, καὶ περὶ τῶν πρὸς τὴν ὄσφρησιν, ἐν τοῖς ἁπλοῖς φαρμάκοις ποιοτήτων. ἐν δὲ τῷ πέμπτῳ, μεταβάντες ἐπὶ τὸ λοιπὸν γένος τῶν δυνάμεων, ὃ παρονομάζεται ἀπὸ τῶν ἔργων αὐτῶν ἃ πεφύκασι δρᾷν, ἐπεδείξαμεν κἀνταῦθα ἑκάστου τὴν φύσιν καὶ οὐσίαν. οἱ μὲν δὴ καθόλου λόγοι πάντες, περὶ τῆς τῶν ἁπλῶν δυνάμεως, ἐοίκασιν ἤδη τέλος ἔχειν. ἐπὶ δὲ τοὺς κατὰ μέρος, ἢ κατ' εἶδος, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, μετιέναι καιρός. εἶεν δ' ἂν οὗτοι, καθ' ἕκαστον φάρμακον ἴδια περαινόμενοι, καθάπερ καὶ κατ' ἀρχὰς εὐθὺς ἐποιησάμεθα, ἐν μὲν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων, περὶ ὕδατός τε καὶ ὄξους ἐπισκεψάμενοι. κατὰ δὲ τὸ δεύτερον, περὶ ἐλαίου καὶ ῥοδίνου, πλὴν ἐν ἐκείνοις μὲν, ἐπὶ παραδειγμάτων ὁ λόγος ἡμῖν ἐγίγνετο πρὸς τοὺς οὐκ ὀρθῶς περὶ τῆς δυνάμεως αὐτῶν ἀποφηναμένους. ἐνταῦθα δὲ, διὰ βραχέων, περὶ ἑκάστου δίειμι, μηκέτι φροντίζων, εἴ τις μὴ καλῶς ἀπεφήνατο περί τινος αὐτῶν, ἀλλ' ὅπερ ἀληθέστατον μοι φαί-

PROOEMIVM.

Quid agendum cæteris libris simplicium medicamentorum; & qui authores rectè, qui perperam, de ipsis tractarint.

A DE simplicium medicamentorum forma pariter, & facultate scribere quum suscepissemus, primis duobus libris ante omnia paruos modos ratiocinationum, quibus recentiorum medicorum pleriq; vsi grauissimè hallucinantur, indicare est visum. In tertio velut elementa, quædam totius doctrinæ tradidimus. Deinde verò in quarto de saporum natura disquisiuimus, studio inueniendorum omnium, quæ ex illis ad facultatum conducere cognitionem possent; disseruimus autem in extre-
B mo ipsius libri de qualitatibus medicamentorum, quæ ad odoratum attinent. Porrò in quinto ad reliquum facultatum genus transgressi, quod quidem ab ipsis operibus, quæ peragere natæ sunt, denominatur, & illic quoque cuiusque substantiam ostendimus. Et sanè vniuersalis sermo de simplicium medicamentorum facultate vniuersus iam finem sortitus videtur. Tempus verò est ad sermones particulares, seu speciales, seu vtcunque nominare cuique visum erit, transire. Et sanè hi priuatim in vnoquoque
C medicamento peragentur, ceu protinus initio fecimus, in primo quidem horum commentariorum de aqua & aceto contemplati; in secundo verò de oleo & rosaceo; nisi quòd illic velut in exemplis sermonem transegimus aduersus eos, qui non rectè de illorum facultate quid protulissent; hîc autem breuiter de vnoquoque differam, non amplius curans, siquis malè de quouis eorum quippiam pronunciarit, id tantum scripturus, quod mihi videbitur verissimum, omissa

omissa aduersus illos, qui quid peccarunt, concertatione. Porro quòd non modo obscura futura est oratio iis, qui superiora ignorant, verùm demonstrationis destituta quoque fide, vel me tacente clarum arbitror. Sed tamen & in memoriam reduxisse forsan præstiterit, primùm quidem quod in natura temperatissima faciendum est medicamentorum facultatis periculum, deinde in intemperata, postea deinceps in morbis simplicibus. At si quis ex qualitatibus quæ gustu percipiuntur indicatoriè coniectari velit de eorum facultate, in quarto monstrauimus quænam sit in his methodus. Si quis ergo aut negligenter lectis superioribus, aut planè non lectis, statim ad hunc librum pergat, festinans quamprimum medicamentorum facultatis peritus effici, haud certam eorum habebit notitiam. Cæterùm quoniam medicamenta omnia partim sunt partes animaliũ, aut plantarũ, aut fructuum, aut horũ liquores, aut succi; partim verò ex metallis sumũtur; melius mihi visum est de plantis ante omnia disserere, tum quòd numerosissimum illarum est genus, tum quòd virium robore præcellentissimum; inde de metallicis tractare, atque hinc ad animalium partes transire. Quin etiam eo illas ordine perscribere decreui, qui in elementis visitur, eas plantarum primo loco collocans, quarum nomina initium habent ab elemento A. secundo verò loco quæ à B incipiunt, & sic tertio, quarto, quintóque loco, atque ita deinceps, pro literarum videlicet ordine. Nam & Pamphilus eum in modum tractatum de herbis composuit. Verùm is ad fabulas versus aniles est, simúlque præstigias quasdam delitas Ægyptias, iunctis nonnullis incantationibus, quas quum herbas colligunt, admurmurant. Et sanè vtitur ad periapta, & veneficia non solum curiosa & à medicina aliena, sed etiam falsa vniuersa. At nos neque horum quicquam, neque nugaces istorum narrabimus transformationes; nec enim vel paruis admodũ pueris vtiles tales esse fabulas existimamus, nedum iis, qui medicinæ opera properant obire. Et profectò protinus in aphorismorum initio ab Hippocrate dictum mihi videtur; *vita breuis, ars verò longa*; ne tempus in inutilibus tereremus, verùm quàm maximo studio festinaremus viam incedere compendiosissimam, nempe per ea quæ sunt in arte vtilissima. Pleraque verò ista herbarum nomina, aut Ægyptiaca, aut Babylonia, quæque nonnulli aut priuatim, aut notæ gratia illis imposuerunt, hic adscribere mihi visum est superuacuum. Nam præstat, si quis hæc volet curiosiùs persequi, seorsum, & per se apud illos legere, qui transtulere; nam ita & libros illos inscribunt, vt qui eos non composuerint, velut Xenocrates Aphrodisiensis fecit, vir cùm in aliis supra modum curiosus, tum à præstigiis non alienus. At Pamphilus, is, scilicet qui libros de herbis composuit, planè ex iis, quæ vel ipse scribit, præ se fert grammaticum, indicátque se nec conspexisse herbas, de quibus conscribit, nec vires earum expertum, sed iis, qui ante ipsum scripsêre, fidem habuisse citra vllam explorationem. Sic sanè libros expleuit, addito ad quamque herbam nominum aceruo; deinde etiam exponens, si qua ex homine ferebatur transformatio; tum incantationes, & libationes, atque thymiamata, quæ in colligendis illis adhibebantur, ascribens, nec non & alias eiusmodi præstigias nugaces.

A γίνεται γράφων, ἀλλὰ τῆς πρὸς τοὺς διαφωνοῦντας ἀντιλογίας. ὅτι δὲ οὐ μόνον ἀσαφὴς ὁ λόγος ἔσται τοῖς ἐπιλανθανομένοις τῶν ἔμπροσθεν, ἀλλὰ καὶ τὸ τῆς ἀποδείξεως πιστὸν οὐχ ἕξει, δῆλον μὲν οἶμαι, κἂν ἐγὼ μὴ λέγω. κάλλιον δ᾽ ἐστὶν ἴσως. ἀναμνῆσαι κἀμέ, πρῶτον μὲν ὡς ἐπὶ τῆς εὐκρατοτάτης φύσεως τὴν πεῖραν χρὴ ποιεῖσθαι τῆς τῶν φαρμάκων δυνάμεως, εἶτ᾽ ἐφεξῆς, ὡς ἐπὶ τῶν ἁπλῶν νοσημάτων. εἰ δὲ δὴ κἀκ τῶν πρὸς τὴν γεῦσιν ποιοτήτων ἐθέλοι τις ἐνδεικτικῶς τεκμαίρεσθαι περὶ τῆς δυνάμεως αὐτῆς, ἐδείξαμεν ἐν τῷ τετάρτῳ, καὶ τὴν ἐν τούτοις μέθοδον. ἐὰν οὖν τις, ἤτοι ῥαθύμως ἀναγνοὺς
B τὰ πρόσθεν, ἢ καὶ μηδ᾽ ὅλως ἀναγνούς, ἐπὶ τουτὶ τὸ βιβλίον εὐθέως ἀφίκηται, σπεύδων ὅτι τάχιστα ἐπιστήμων γενέσθαι τῆς τῶν φαρμάκων δυνάμεως, οὐχ ἕξει βεβαίαν τὴν γνῶσιν αὐτῶν. ἐπεὶ δὲ τὰ φάρμακα πάντα, τὰ μέν ἐστι μόρια ζῴων, ἢ φυτῶν, ἢ καρπῶν, ἢ τινες ὀποὶ τούτων, ἢ χυλοί, τὰ δὲ ἐκ τῶν μετάλλων λαμβάνεται, κάλλιον ἔδοξέ μοι περὶ τῶν φυτῶν πρῶτον διελθεῖν, ὅτι τε πλεῖστον αὐτῶν ἐστὶ τὸ γένος ἰσχυρότατόν τε καὶ τὴν δύναμιν, εἶτ᾽ ἐφεξῆς περὶ τῶν μεταλλευόντων εἰπεῖν, ἔπειθ᾽ οὕτως ἐπὶ τὰ τῶν ζῴων ἀφικέσθαι μόρια. καὶ μέντοι καὶ τὴν τάξιν αὐτῶν τῆς γραφῆς, ἔγνων χρῆναι κατὰ στοι-
C χεῖον ποιήσασθαι, πρῶτα μὲν ἐκεῖνα γράψας τῶν φυτῶν, ὧν αἱ προσηγορίαι τὴν ἀρχὴν ἔχουσιν, ἀπὸ τοῦ ἄλφα στοιχείου, δεύτερα δέ, ὅσα ἀπὸ τοῦ β, καὶ οὕτως ἤδη τρίτα τε, καὶ τέταρτα, καὶ πέμπτα, καὶ τἄλλα ἐφεξῆς ἅπαντα, κατὰ τὴν τῶν γραμμάτων τάξιν. οὕτω δὴ καὶ Πάμφιλος ἐποιήσατο τὴν περὶ τῶν βοτανῶν πραγματείαν. ἀλλ᾽ ἐκεῖνος μὲν εἴς τε μύθους γραῶν τινας ἐξετράπετο, καί τινας γοητείας Αἰγυπτίας ληρώδεις ἅμα τισὶν ἐπῳδαῖς, ἃς, ἀναιρούμενοι τὰς βοτάνας, ἐπιλέγουσι. καὶ δὴ κέχρηται πρὸς περίαπτα, καὶ ἄλλας μαγγανείας, οὐ περιέργους μόνον, οὐδ᾽ ἔξω τῆς ἰατρικῆς τέχνης, ἀλλὰ καὶ ψευ-
D δεῖς ἁπάσας. ἡμεῖς δὲ οὔτε τούτων οὐδέν, οὔτε τὰς τούτων ἔτι ληρώδεις μεταμορφώσεις ἐροῦμεν. οὐδὲ γὰρ τοῖς μικροῖς παισὶ κομιδῇ χρησίμους ὑπολαμβάνομεν εἶναι τοὺς τοιούτους μύθους, μή τί γε δὴ τοῖς μετιέναι σπεύδουσι τὰ τῆς ἰατρικῆς ἔργα. καί μοι δοκεῖ πρὸς Ἱπποκράτους, εὐθέως ἐν ἀρχῇ τῶν ἀφορισμῶν, εἰρῆσθαι, ὁ βίος βραχύς, ἡ δὲ τέχνη μακρά, χάριν τοῦ μὴ καταναλίσκειν τοὺς χρόνους εἰς ἄχρηστα, σπεύδειν δέ, ὡς οἷόν τε, τὴν ἐπιτομωτάτην ἰέναι δι᾽ αὐτῶν τῶν χρησιμωτάτων τῆς τέχνης. καὶ μὲν δὴ καὶ τὰ πολλὰ τῶν βοτανῶν ὀνόματα ταῦτα, Αἰγυπτιακά, καὶ Βαβυλώνια, καὶ ὅσα τινὲς ἰδίως,
E ἢ συμβολικῶς ἐπ᾽ αὐταῖς ἔθεντο, περιττὸν ἔδοξέ μοι προσγράφειν ἐνταῦθα. κάλλιον γάρ, εἴ τις ἐθέλοι καὶ ταῦτα πολυπραγμονεῖν, ἰδίᾳ καὶ καθ᾽ ἑαυτόν, ἀναγινώσκειν τὰς τῶν ἀντιφραζόντων βίβλους. οὕτως γὰρ καὶ αὐτὰς ἐπιγράφουσιν οἱ συντιθέντες αὐτάς, καθάπερ καὶ Ξενοκράτης ὁ Ἀφροδισιεὺς ἐποίησεν, ἄνθρωπος τἄλλα περίεργος ἱκανῶς, καὶ γοητείας οὐκ ἀπηλλαγμένος. ὁ δέ γε Πάμφιλος, ὁ τὰ περὶ τῶν βοτανῶν συνθείς, εὔδηλός ἐστι κἀξ αὐτῶν ὧν γράφει γραμματικὸς ὤν, καὶ μήθ᾽ ἑωρακὼς τὰς βοτάνας ὑπὲρ ὧν διηγεῖται, μήτε τῆς δυνάμεως αὐτῶν πεπειραμένος, ἀλλὰ τοῖς πρὸ αὐτοῦ
F γεγραφόσιν ἅπασιν, ἄνευ βασάνου πεπιστευκώς. ἐπεὶ μὲν ἐξέγραψε βιβλία, πλῆθος ὀνομάτων ἐφ᾽ ἑκάστῃ βοτάνῃ μάτην προσθείς, εἶτ᾽ ἐφεξῆς, εἴ τις αὐτῶν ἐξ ἀνθρώπου μετεμορφώθη διηγούμενος, εἶτα ἐπῳδάς, καὶ σπονδάς δή τινας, καὶ θυμιάματα, τὰς ἐπὶ τούτων ἐκ τῆς γῆς ἀναιρέσεσι παραγράφων, ἑτέρας τε γοητείας τοιαύτας ληρώδεις·

ὁ δὲ Ἀναζαρβεὺς Διοσκουρίδης ἐν πέντε βιβλίοις τὴν χρήσιμον ἅπασαν ὕλην ἔγραψεν, οὐ βοτανῶν μόνον, ἀλλὰ καὶ δένδρων, καὶ καρπῶν, καὶ χυλῶν, καὶ ὀπῶν, ἔτι τε τῶν μεταλλευομένων ἁπάντων, καὶ τῶν ἐν τοῖς ζώοις μορίων μνημονεύσας. καί μοι δοκεῖ τελεώτατα πάντων, οὗτος τὴν περὶ τῆς ὕλης τῶν φαρμάκων πραγματείαν ποιήσασθαι. πολλὰ μὲν γὰρ καὶ τοῖς ἔμπροσθεν ὑπὲρ αὐτῶν γέγραπται καλῶς, ἀλλ' ὑπὲρ ἁπάντων οὕτως οὐδενί, πλὴν εἰ τολμήσειέ τις ἐπαινεῖν τὸν Ἀσκληπιάδου. καὶ γὰρ καὶ τούτῳ τἄλλα τε καλῶς εἴρηται, χωρὶς τῶν κατὰ τὰς αἰτίας λογισμῶν. ταῦτά τε οὖν ἀναγινώσκειν χρὴ τὸν ἔμπειρον γενέσθαι ὕλης βουλόμενον, ἔτι τε πρὸς τούτοις, τὰ θ' Ἡρακλείδου τοῦ Ταραντίνου, καὶ Κρατεύα, καὶ Μαντίου. γέγραπται δὲ οὐχ ὁμοίως οὕτως ἐκείνοις, οὐδ' εἰς ἓν ἠθροίσται πάντα, καθάπερ τῷ Διοσκουρίδῃ, περὶ ὕλης γε ἐπιγέγραφεν τὰς πέντε βίβλους, ἀλλ' ἰδίᾳ μὲν, εἰ οὕτως ἔτυχε, περὶ σκευασίας τε, καὶ δοκιμασίας φαρμάκων ἔγραψαν, ὥσπερ Ἡρακλείδης ὁ Ταραντῖνος, ἰδίως δὲ περὶ καθαρτικῶν, ἢ προποτισμῶν, ἢ κλυσμῶν, ὥσπερ ὁ Μαντίας ἐποίησεν. ἰδίᾳ δ' εὐπορίστων βοηθημάτων, ὡς Ἀπολλώνιος, ἢ τῶν κατὰ τόπους, ὡς Μαντίας. ἡ δὲ πλείστη τῶν φαρμάκων χρῆσις, ἐν αὐταῖς ταῖς θεραπευτικαῖς πραγματείαις ὑπό τε τῶν παλαιῶν γέγραπται, καὶ προσέτι τῶν νεωτέρων ἁπάντων σχεδόν. καὶ γὰρ πρὸς Ἱπποκράτους εἴρηται πολλά, καὶ πρὸς Εὐρυφῶντος, καὶ Διεύχους, καὶ Διοκλέους, καὶ Πλειστονίκου, καὶ Πραξαγόρου, καὶ Ἡροφίλου, καὶ οὐκ ἔστιν οὐδεὶς ἀνὴρ παλαιὸς, ὃς οὐ συνεβάλλετό τι τῇ τέχνῃ, μεῖζον, ἢ μεῖον, εἰς ἐπιστήμην φαρμάκων. ἄνευ γοητείας τε, καὶ ἀλαζονείας, ἣν ὕστερον Ἀνδρέας ἐπεδείξατο, ὥσθ' ὅτῳ σχολὴ χρησίμοις ὁμιλεῖν βιβλίοις, περὶ φαρμάκων γεγραμμένοις, ἔχει πολλὰ καὶ τῶν παλαιῶν μὲν, ὡς εἴρηται, καὶ τῶν νεωτέρων δὲ, οὐκ ὀλίγα, μέχρι καὶ τοῦ περὶ Πάμφιλόν τε καὶ Ἀρχιγένην. καὶ μὲν δὴ καὶ Ῥοῦφος ὁ Ἐφέσιος, πολλὰ μὲν κἀν τοῖς θεραπευτικοῖς βιβλίοις γέγραπται φάρμακα, καὶ περὶ βοτανῶν δὲ δι' ἑξαμέτρων ἐπῶν σύγκειται τέτταρα, καὶ οὐδεὶς φόβος ἐπιλείπειν χρήσιμα βιβλία, κἂν ἐν ἅπαντι τῷ βίῳ, βούληταί τις ἄλλο μηδὲν, ἢ περὶ φαρμάκων ἀναγινώσκειν. Ἀνδρέου δὲ καὶ τῶν ὁμοίως ἀλαζόνων, ἀφίστασθαι χρὴ, καὶ πολὺ μᾶλλον ἔτι Παμφίλου, τοῦ μηδ' ὄναρ ἑωρακότος ποτὲ τὰς βοτάνας, ὧν τὰς ἰδέας ἐπιχειρεῖ γράφειν. οἱ γὰρ τοιοῦτοι τῶν ἀνθρώπων, ὥσπερ οὖν καὶ ὁ Ταραντῖνος Ἡρακλείδης εἴκαζεν αὐτοὺς, ὁμοιότατοι τοῖς κήρυξίν εἰσιν, ὅσοι τὰ τῆς ἰδέας γνωρίσματα κηρύττουσιν, ἀποδεδρακότος ἀνδραπόδου, αὐτοὶ μηδεπώποτε θεασάμενοι. λαμβάνουσι μὲν γὰρ τὰ γνωρίσματα παρὰ τῶν εἰδότων, λέγουσι δὲ, ὡς ἐπῳδὴν αὐτὰ, ἃ μηδ' εἰ παρεστὼς ὁ κηρυττόμενος τύχῃ, διαγνῶναι δυνάμενοι. ἐγὼ μὲν γὰρ, ἐμεμφόμην τοῖς πρώτοις γράψασι τὰς ἰδέας τῶν βοτανῶν, ἄμεινον ἡγούμενος αὐτόπτην γενέσθαι παρ' αὐτῷ τῷ διδάσκοντι, τὸν μανθάνοντα, καὶ μὴ τοῖς ἐκ τοῦ βιβλίου κυβερνήταις ὁμοιωθῆναι. καὶ γὰρ ἀληθέστερον οὕτω, καὶ σαφέστερον ἡ διδασκαλία γίγνοιτ' ἂν ὑπὸ διδασκάλων, οὐ βοτανῶν μόνον, ἢ θάμνων, ἢ δένδρων, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων φαρμάκων. εἰ δὲ ἄρα καὶ δέοιτο τοῦ βιβλίου, τίς οὕτως ἄθλιος, ὡς παρελθεῖν τὰ Διοσκουρίδου, καὶ Νίγρου, καὶ Ἡρακλείδου, καὶ Κρατεύα, καὶ ἄλλων μυρίων ἐν τῇ τέχνῃ καταγηρασάντων, βιβλία γραμματικὰ γράφοντος ἐπῳδὰς, καὶ μεταμορφώσεις, καὶ δεκανῶν, καὶ δαιμόνων ἱερὰς βοτάνας ἀνάσχοιτ' ἄν;

A At Anazarbensis Dioscorides quinque libris materiam omnem vtilem absoluit, non herbarum tantùm, sed & arborum, & fructuum, & succorum, & liquorum; memorans insuper & metallica omnia, & partes animalium. Et mihi vtique videtur omnium perfectissimè tractatum de materia medicamentorum confecisse. Nam licet à maioribus eo, plurima de illis bene scripta extent, tamen à nemine omnium æque de omnibus, nisi siquis Tanitrum prædicet Asclepiadis; nam & huic cætera rectè dicta esse probantur extra ratiocinationes, quas super causis affert. Atque hæc nimirum perlegere debet quisquis peritus medi-
B camentorum materiæ euadere studet; ad hęc quoque quæ scripta reliquit Heraclides Tarantinus, & Crateuas, & Manteias. Verùm illi non similiter scripserunt, nec in vnum congesserunt omnia, ceu Dioscorides, qui de materia quinque libris fecit titulum; verùm seorsum, verbi causa, de præparatione, aut probatione medicamentorum scripserunt, vt Heraclides Tarantinus; seorsum verò de purgantibus, aut propotismis, aut clysmis, vt fecit Manteias; separatim de facilè parabilibus remediis, vti Apollonius; aut de iis, quæ secundum locos, vt Manteias. Porrò plerunque
C medicamentorum vsum veteres in curandi tractatibus prodiderunt, vt & iuniorum medicorum, propè omnes. Nam & ab Hippocrate dicta sunt multa, & ab Euryphonte, & Dieuche, & Diocle, & Plistonico, & Praxagora, & Herophilo. Nec est veterum medicorum quisquam, qui non aliquid plus minúsve arti contulerit ad medicamentorum scientiam, idque citra præstigias, aut mendacium, quæ postea inuexit Andreas. Itaque cui ocium suppetit legendis vtiliter de medicamentis scriptis libris, multos quidem habet, vt est dictum, antiquorum, sed nec paucos iuniorum, adusque Pamphilum, & Archige-
D nem. Quin & Rufus Ephesius, quum multa medicamenta in curandi libris conscripserit, tum de herbis versibus hexametris quatuor libros composuit. Nec metus est defecturos libros vtiles, etiamsi, in tota vita quis aliud nihil, quàm de medicamentis legere volet. Verùm abstinendum ab Andrea est, aliísque similiter mendacibus; multóque etiam magis fugiendus Pamphilus, qui ne per somnium quidem herbas vidit, quarum aggreditur figuras perscribere. Nam id genus hominum (quo modo assimilauit eos Heraclides Tarantinus) simillimum est præconibus,
E qui formam, ac notas fugitiui mancipij, licet ipsi non viderint vnquam, præconio tamen publicant; notas enim ab aliis qui norunt accipiunt, & ceu cantilenam eas proferunt; vt si fortè is, quem præconio indicant, propè adsisteret, agnoscere tamen non possent. Equidem non possem non accusare, & illos quoque, qui primi herbarum formas scriptis docere sunt conati, quum melius existimem ab ipso præceptore oculis discere, ac non assimilari iis, qui ex libris prodeunt gubernatores; nam sic, & verior, & manifestior esset doctrina, non herbarum modo, & fruticum ar-
F borúmque, sed & aliorum omnium medicamentorũ. Verùm enim verò si omnino libris est opus, quis adeò miser est vt præteritis scriptis Dioscoridis, Nigri, Heraclidis, Crateuæ, & aliorũ innumerorũ, qui in arte ipsa consenuerũt, libros grãmaticos, scribẽtis incãtationes, trãsformationes, & decanorũ, dæmoniorúmque herbas sacras perferat?

Nam

Nam quòd hominibus istis præstigiatoribus vnicum fuerit studium, vt vulgus imperitum talia scribentes in sui admirationem verterent, vel ex ipsis Pamphili libris discere liceat, qui primam inter herbas conscripsit Abrotonon omnibus nobis cognitam; ac deinde viticem, & ipsam admodum notam; inde Agrostin herbam, nec vulgò ignotam: mox anchusam, quam nec ipsam quispiam ignorat; sicut nec adianton, quæ illi deinceps scripta legitur; atque in his vtique nihil, quod quidem sciam, supervacuum scribit. Verùm postea herbæ meminit nomine, vt ait, aquilæ, de qua fatetur, Græcorum nulli quicquam esse proditum, verùm scriptam se reperisse in libello quopiam ex iis, qui inscribuntur Mercurio Ægyptio, continente triginta sex sacras horoscoporum herbas. Quas clarum est esse omnes nugas meras, atque authoris ipsius figmenta, similia Ophionicis Conchlacis; nec enim prorsum quispiam extitit Conclax, ad risum enim fictum nomen est, sicut pleraque alia in libro eius conscripta: nec triginta sex herbæ illæ vltra nomen ipsum quicquam sunt, nec vlla ipsis res subiacet. Verùm Pamphilo, sicut & plerisque aliis, ocium fortassis superarat inutiles fabulas libris intexere; at nos nunc quoque tempus nos perdidisse arbitramur, qui prolixius eorum meminimus. Itaque quæ vtilia sunt iam nunc ordiamur.

A ὅτι γὰρ γόητες ἄνθρωποι, ἐκπλήττειν τὸν πολὺν ὄχλον ἔργον πεποιημένοι, τὰ τοιαῦτα συνέθεσαν, ἐξ αὐτῶν ἔνεστί σοι γνῶναι τῶν Παμφίλου βιβλίων, ὃς πρῶτον μὲν ἐν ταῖς βοτάναις ἔγραψεν ἀβρότονον, ἅπασιν ἡμῖν γνώριμον τυγχάνουσαν, εἶθ' ἑξῆς ἄγνον, ἱκανῶς καὶ τοῦτο γνώριμον θάμνον, εἶτ' ἄγρωστιν, οὐδὲ τοῖς ἰδιώταις ἄγνωστον πόαν, εἶτ' ἄγχουσαν, ἣν οὐδὲ αὐτὴν ἀγνοεῖ τις, ὥσπερ οὖν οὐδὲ τὸ ἀδίαντον, ἐφεξῆς αὐτῇ γεγραμμένον. ἐν μὲν δὴ τούτοις, οὐδὲν ὧν ἴσμεν, περιττότερον γράφει. μετὰ δὲ ταῦτα, βοτάνης μέμνηται καλουμένης, ὡς αὐτός φησιν, ἀετοῦ, περὶ ἧς ὁμολογεῖ μηδένα τῶν Ἑλλήνων εἰ-
B ρηκέναι μηδὲν, ἀλλ' ἔν τινι τῶν εἰς Ἑρμῆν τὸν Αἰγύπτιον ἀναφερομένων βιβλίων ἐγγεγράφθαι, περιέχοντι τὰς λϛ΄. τῶν ὡροσκόπων ἱερὰς βοτάνας. αἳ εὔδηλον, ὅτι πᾶσαι λῆροί εἰσι καὶ πλάσματα τοῦ συνθέντος, ὁμοιότατα τοῖς Ἀφιονίκοις τοῖς Κόγχλας. οὔτε γὰρ ὅλως ἐγένετό τις Κόγχλας, ἀλλ' εἰς γέλωτα σύγκειται τοὔνομα, καθάπερ καὶ τἄλλα πάντα, τὰ κατὰ τὸ βιβλίον αὐτοῦ γεγραμμένα. καὶ αἱ λϛ΄. αὗται βοτάναι, μέχρι τῶν ὀνομάτων προέρχονται, μηδενὸς αὐταῖς ὑποκειμένου πράγματος. ἀλλὰ Πάμφιλος μὲν, ὥσπερ ἄλλοι πολλοὶ, σχολὴν ἴσως ἦγεν, ἀχρήστοις μύθους ἐγγράφειν βιβλίοις.
C ἡμεῖς δὲ καὶ νῦν, ἡγούμεθα τὸν χρόνον ἀπολλύναι, μνημονεύοντες αὐτῶν ἐπιπλέον. ἀρξώμεθα οὖν ἤδη τῶν χρησίμων.

CAPVT PRIMVM.

1. *De abrotono, & absynthio, & vtriusque speciebus.*

ABrotoni herbæ nec speciem formámve scribere, post tot tantósque viros, oportet, nec particulares actiones, ceu illi factitarunt; quas si non definitè distinctéque, saltem clarè significarunt; verùm & nos quoque eas copiosiùs exponemus in opere de componendis pharmacis, simúlque de paratu facilibus; interim verò etiam in curandi methodi libris, nimirum vbi exposcet vsus. Verùm quod vnicum ab initio propositum fuit, nempe vniuersales duntaxat medicamentorum omnium facultates inspicere, id quidem & in aliis consentaneum est, & nunc sanè etiam faciendum; dicendúmque, Abrotonon esse calidum, & siccum facultate, in tertio ordine, siue recessu à symmetria situm. discutientem quandam ac incidentem habens facultatem (cuius facultatis est pulvis huius sumptus) tum sarcoticam, tum mordentem. Porrò quòd eiusmodi ordo, vt ad temperatam naturam expenditur, sępe antè diximus. Sed & inueniemus temperamentum eius non minimè quidē, & ex gustu ducta coniectura, vtpote quum sit admodum amarum. Porro saporem eiusmodi, quum terrenæ sit essentiæ, à largo calore extenuatū ostēdimus; ita vt non instrenuè calefaciat pariter, & desiccet. Quinimò & cum distincta illa experientia, de qua supra frequenter dictum est, diligenter explorassemus ex eadem temperie medicamentum hoc comperimus. Nam siue comam cum floribus (nam reliqua eius palea inutilis est) contusam vlceri puro illinas, mordax & irritans videbitur; siue eo in oleo macerato caput voles, aut ventrem perfundere, admodum calefacere reperies. Quin & si qui per circuitum rigoribus corripiuntur, eos ante inuasionem hoc voles confricare, minus vtique rigore cōcutientur; imò & sensus quidem protinus, vbi admotum fuerit, ipsum calefacere percipit.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

α΄. Περὶ Ἀβροτόνου τε καὶ ἀψινθίου, καὶ τῶν ἑκατέρου εἰδῶν.

ΑΒροτόνου ταύτης τῆς πόας, οὔτε τὴν ἰδέαν χρὴ γράφειν, ἐπὶ τοσούτοις τε, καὶ τοιούτοις ἀνδράσιν, οὔτε τὰς κατὰ μέρος ἐνεργείας ὡς ἐκεῖνοι, κἂν εἰ μὴ διωρισμένως ἀλλὰ σαφῶς γοῦν ἐδήλωσαν. εἰρήσεται δὲ καὶ ἡμῖν
D ἐπιπλέον ὑπὲρ αὐτῶν ἐν τῇ περὶ συνθέσεως φαρμάκων πραγματείᾳ, καὶ τῇ τῶν εὐπορίστων. ἔστι δ' ὅτε κἂν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὅταν ἡ χρεία καλῇ. μόνον δὲ, ὅπερ ἐξ ἀρχῆς πρόκειται, τὰς καθόλου δυνάμεις ἁπάντων τῶν φαρμάκων ἐπισκέψασθαι, τοῦτο κἀπὶ τῶν ἄλλων μὲν ἕπεται, καὶ νῦν δὲ ἤδη ποιητέον αὐτὸ, καὶ λεκτέον, ὡς θερμόν τέ ἐστι, καὶ ξηρὸν τὴν δύναμιν τὸ ἀβρότονον, ἐν τρίτῃ που τάξει, καὶ ἀποστάσει μετὰ τὰς συμμετρίας τεταγμένον. διαφορητικήν τέ τινα καὶ τμητικὴν ἔχον δύναμιν,
E τῆς αὐτῆς δ' ἐστὶ δυνάμεως καὶ ἡ τέφρα αὐτοῦ εἰληφυῖα, ὥσπερ τὸ σαρκωτικόν τε καὶ δακνῶδες. ὅτι δὲ καὶ ὡς πρὸς τὴν εὔκρατον φύσιν ἡ τοιαύτη τάξις ἐξετάζεται, πρόσθεν εἴρηται πολλάκις. ἐξεύρομεν δ' αὐτοῦ τὴν κρᾶσιν, οὐχ ἥκιστα μὲν καὶ τῇ γεύσει τεκμηράμενοι, πικρὸν γὰρ ἱκανῶς ἐστιν. ὁ δὲ τοιοῦτος χυμὸς, ἐδείκνυτο γεώδης μὲν ὢν τὴν οὐσίαν, ὑπὸ θερμότητος δαψιλοῦς λεπτύνεσθαι, ὥστε καὶ θερμαίνειν, καὶ ξηραίνειν οὐκ ἀγεννῶς. οὐ μὴν ἀλλὰ καὶ τῇ διωρισμένῃ πείρᾳ, περὶ ἧς ἔμπροσθεν εἴρηται πολλάκις, ἀκριβῶς βασανίσαντες, ἐκ τῆς αὐτῆς εὕρομεν τὸ φάρμακον τοῦτο κράσεως. εἴτε γὰρ κόψας τὴν κόμην ἅμα τοῖς ἄνθεσιν (ἄχρηστον γὰρ αὐτοῦ τὸ λοι-
F πὸν κάρφος) ἐπιπάττοις ἕλκει καθαρῷ, δακνῶδές τε καὶ ἐρεθιστικὸν φαίνεται. εἴ τε ἀποβρέξας ἐν ἐλαίῳ, καταντλεῖν ἐθελήσαις ἤτε κεφαλὴν, ἢ γαστέρα, θερμαῖνον σφοδρῶς εὑρεθήσεται. καὶ μὲν δὴ καὶ ὅσοι κατὰ περιόδους ἁλίσκονται ῥίγεσιν, εἰ καὶ τούτους ἀνατρίβοις πρὸ τῆς εἰσβολῆς, ἧττον ῥιγῶσιν, ἀλλ' οὐδὲ τὴν αἴσθησιν, εὐθὺς ἅμα τῷ προσφέρεσθαι, λανθάνει θερμαῖνον.

ὅτι δὲ ἕλμινθας ἀναιρεῖ εἰκός ἐστι, πικρὸν ὑπάρχον αὐτό, καὶ πρὸ τῆς πείρας εὔδηλον, εἴ τι μεμνήμεθα τῶν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένων, ὑπὸ τῆς πικροῦ χυμοῦ τῆς φύσεως. εἰδήσεις δὲ αὐτὸς, ὡς καὶ διαφορητικήν τινα, καὶ τμητικὴν ἔχει δύναμιν. ἀλλὰ καὶ ὡς μᾶλλον ἀψινθίου τοῦτο ὑπάρχειν ἀναγκαῖον αὐτῷ, συλλογίσασθαι σοι πάρεστι. πρῶτον μὲν ἐκ τῆς γεύσεως. ἐλαχίστης γὰρ τινος μετέχει στρυφνότητος τὸ ἀβρότονον, ἀψίνθιον δὲ, οὐκ ὀλίγης, ἔπειτα δὲ, κακ τοῦ κακοστόμαχον εἶναι τὸ ἀβρότονον, ὥσπερ οὖν καὶ τὸ σέριφον, εὐστόμαχον δὲ τὸ ἀψίνθιον. ἐδείχθη γὰρ καὶ περὶ τούτων πρόσθεν, ὡς τὸ μὲν πικρὸν, αὐτὸ καθ' αὑτὸ παντελῶς εἴη κακοστόμαχον, τὸ δὲ αὐστηρὸν, ἢ στρυφνὸν, ἢ ὅλως στῦφον, εὐστόμαχον. ἐπιμιγνυμένων δὲ τῶν ποιοτήτων ἀλλήλαις, ἡ σφοδροτέρα ἂν ἐπικρατοίη. ταῦτ' οὖν ἀρκεῖ σοι γινώσκειν ἐν τῇδε τῇ πραγματείᾳ. δειχθήσεται γὰρ ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὡς ἄν τις τοιούτῳ φαρμάκῳ κάλλιστα χρῷτο. καὶ διὰ τοῦτο μηκέτι ἐπιζήτει ἀκούειν, μήθ' ὅτι σὺν ἑφθῷ μήλῳ κυδωνίῳ καταπλασθὲν, ἢ ἄρτῳ, φλεγμονὰς ὀφθαλμῶν ἰᾶται, μήθ' ὅτι διαφορεῖ φύματα, σὺν ὠμῇ λύσει ἀλφίτων ἑψηθέν. οὐδὲ γὰρ τούτων οὐδέτερον, οὔτε τῶν ἄλλων οὐδὲν, τῆς νῦν πραγματείας ἴδιόν ἐστιν, ἀλλὰ τοῖς μὲν ἐμπειρικὴν διδασκαλίαν ποιουμένοις, ἐν τοῖς εὐπορίστοις γράφεται φαρμάκοις. ὅσοι δὲ λογικῶς ἀσκῆσαι τὴν τέχνην βούλονται, τῆς θεραπευτικῆς ἐστι χρεία τούτοις μεθόδου. τά τε γὰρ ἄλλα, καὶ βλαβείη τις ἂν μᾶλλον, ἢ ὠφεληθείη πρὸς τῆς τοιαύτης ἱστορίας. Ἱπποκράτει μὲν οὖν ἐν ἀφορισμοῖς γράφοντι, ὀδύνας ὀφθαλμῶν ἀκρατοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη, λύει. μὴ μέντοι προσθέντι, ποίας μὲν οὖν ὀδύνας ἀκρατοποσία, ποίας δὲ λουτρὸν, καὶ τίνας μὲν πυρία, τίνας δὲ φλεβοτομία, τίνας δὲ φαρμακεία, συγχωρήσειεν ἄν τις, εἰ μὴ, διὰ τρεῖς αἰτίας. καὶ γὰρ ἀφοριστικὴν ἐποιεῖτο διδασκαλίαν, ἐν ᾗ, διὰ τὸ σύντομον οὕτω λέγεσθαι συγκεχώρηκε τὰ πολλὰ, καὶ πάντα τὰ ἰατικὰ τῶν ὀδυνῶν ἔγραψεν, εἰ καὶ μὴ διωρίσατο πρὸς ὁποίαν ὀδύνην, ποῖον αὐτῶν ἁρμόττει, ἢ καὶ πολλαχόθι τῶν ἄλλων συγγραμμάτων, ἀφορμὰς ἡμῖν ἔδωκε, τῶν ἐν τοῖς οὕτω ῥηθεῖσι διορισμῶν. ὅσοι δὲ μήτ' ἐν ἑτέροις βιβλίοις ἔγραψαν ὑπὲρ τῶν τοιούτων ἀφορισμῶν, μήτε ἐν διεξοδικῇ τε, καὶ μακρᾷ πραγματείᾳ, γράφουσιν ἀφοριστικῶς τε καὶ βραχέως, εἴ τε τὸ πρὸς τούτοις ἓν ἐκ πολλῶν δηλοῦσιν, εἰς πλείω δὲ βλάπτουσιν ἡμᾶς, ἢ ὠφελοῦσι. πολλῶν γὰρ οὐσῶν διαφορῶν ἐν ταῖς ὀφθαλμίαις, καὶ μιᾶς μὲν ἐξ αὐτῶν, χρῃζούσης τοῦ προειρημένου καταπλάσματος, τῶν δ' ἄλλων βλαπτομένων, ὁ χρώμενος ἐπὶ πασῶν ἀδιορίστως, πολὺ πλείους βλάψει, ἢ ὠφελήσει. κατὰ τοῦτον οὖν τὸν τρόπον, οὐ περὶ ἀβροτόνου μόνον, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων γραπτέον ἡμῖν ἐστι, τὰς μὲν κατὰ τὸ θερμαίνειν, καὶ ψύχειν, ἢ ὑγραίνειν, ἢ ξηραίνειν δυνάμεις, ἐξ ὧν πολλάκις εἴρηκα μεθόδων εὑρίσκουσιν. ὅσα δὲ, κατὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας, ἀποτελοῦνται τῇ πείρᾳ μόνῃ δέδεικται καὶ περὶ τῶν τοιούτων ὡς δηλητήριοί τε εἰσι, καὶ δηλητηρίων ἀλεξιτήριοι, καὶ καθαρτικοί. τούτων γὰρ οὐχ οἷόν τε λογικὴν ποιήσασθαι τὴν εὕρεσιν, ἀλλ' ἢ μόνον ὑπόνοιάν τινα πιθανὴν ἐστιν εὑρεῖν ἐπί τινων. οὐ γὰρ δὴ ἐπὶ πάντων γε, καθάπερ καὶ αὐτὸ τοῦτο δεδήλωται διὰ τῶν ἔμπροσθεν.

A Porrò quòd lumbricos interimat, par est, nimirum quum sit amarum, ac proinde, vel antequam experiaris, manifestum, si quidem memoria teneas, quæ in horum commentariorum quarto de amari saporis natura prodidimus. Sciésque protinus, quòd & digerendi, & incidendi quandam vim habeat. Sed & quòd magis, quàm Absynthio id ipsi necessariò insit, in promptu erit colligere, primùm quidem ex gustu (paucissimæ siquidem acerbitatis particeps abrotonon est, non paucæ verò absynthium) deinde ex eo, quòd inimicum quidem sit stomacho abrotonon, velut etiam

B seriphon; gratum verò, & amicum absynthium. Siquidem de istis supra ostensum est, quòd amarum ipsum per se omnifariam infensum sit stomacho, austerum verò, aut acerbum, aut in summa astringens, stomacho amicum. Porrò vbi qualitates hæ inuicem permixtæ fuerint, quæ vehementior fuerit, ea vtique vicerit. Atque hæc satis est in hoc tractatu nouisse. Monstrabitur autem in libris de ratione curandi, quo pacto quis optimè medicamento eiusmodi vti possit. Ac proinde quærendum haud etiam est, quamobrem cum malo cydonio cocto illitum, aut pane, oculorum sanet phlegmonas: neque quid cum farina hordeacea tritum,

C ac coctum digerat phymata; neutrum siquidem horum, nec aliorum quiduis, huic proposito nobis tractatui proprium est; sed qui empiricam profitentur doctrinam, ij in paratu facilibus medicamentis ea conscribunt; at qui ex ratione artem tractare volunt, iis opus est methodo curandi; nam alioqui damnum magis, quàm vtilitatem ex tali consequantur narratione. Sanè Hippocrati, qui in aphorismis scripsit; *Dolores oculorum soluit meri potio, aut lauacrum, aut fotus, aut sanguinis missio, aut purgatio*; nec adiecit, quosnam dolores vini potio, quos lauacrum, quos fotus, quos sanguinis missio, & quos purgatio; ignoscendum for-

D san quis arbitretur, tribus, vt arbitror, de causis. Siquidem aphoristicam faciebat doctrinam, in qua, propter breuitatem & compendium, pleraque ita dici concessum est. Et omnia quæ dolore soluunt enumerauit, tametsi non definiit, ad quem dolorem quodnam ex illis congrueret. Tum multis in locis aliorum librorum occasiones nobis præstitit, distinctiones in iis, quæ hoc pacto dicuntur, inueniendi. At qui neque in aliis libris de talibus scripsere distinctionibus, aut in enarratorio, & prolixo tractatu aphoristicè tamen ac breuiter scribunt, aut insuper etiam ex multis

E vnum tantum indicant, ij plus nos lædunt, quàm iuuant. Nam quum sint multæ in ophthalmiis differentiæ, atque vna duntaxat ex eis prædictum poscat cataplasma, aliæ verò omnes ab eo lædantur; si quis id ad omnes sine discrimine adhibeat, multo plus lædet, quàm iuuabit. Ad hunc itaque modum non tantùm de abrotono, sed de aliis quoque omnibus scribendum nobis est, eas quidem facultates quæ sunt in calefaciendo, frigefaciendo, humectando, siccandóque iis, quas sæpenumero memorauimus methodis, reperientibus; quæ verò secundum totius substantiæ proprietatem perficiuntur, sola experientia.

F Et de his ostensum est, quòd deleteriæ sint, & deleteriarum alexiteriæ, & purgatoriæ. Nam has ex ratione inuenire est impossibile, præterquam quòd in quibusdam suspicionem duntaxat probabilem inuenire liceat; neque enim in omnibus, sicut hoc in superioribus monstratum fuit.

At

At de facultatibus, quæ hoc pacto inueniuntur, separatim postea disseremus, vbi videlicet prius sigillatim per quodque medicamentum de iis, quæ calefaciendo, frigefaciendo, humectando, siccandóque agunt; tum de iis, quæ ad has consequuntur; narrationem absoluero. Porrò vbi vnum modò adiecero, finem faciam de abrotono dicendi, nempè quòd summè suspiciendus ille Pamphilus, etiamsi hanc primam herbarum recensuit, ac forsan vt nullam deinceps aliam, tamen hanc saltem oculis suis conspicari voluerit; attamen vel maximè hallucinatur, existimans hanc herbam à Romanis appellari Santonicum; differt enim ab abrotono santonicum, velut etiam Dioscorides exactissimè scripsit in tertio de materia, & omnes id norunt tum medici, tum pharmacopolæ. Nam abrotoni duæ sunt species, altera quam marem, altera quam fœminam nuncupant; quod ipsum definitum est, tum apud Dioscoridem, tum apud ipsum Pamphilum, aliósque innumeros. At aliud est ab eo absynthium, cuius rursum tres statuendæ sunt species; quarum vnam eodem cum genere ipso nomine appellitant, cuiusmodi potissimum est ponticum; alterum, santonicum; tertium, seriphum. Si verò aliud placet appellare absynthium, aliud verò seriphum, aliud autem santonicum, nihil interest, quod ad præsens certè attinet; nec enim nomen diuisuri venimus, sed studium nobis est ipsis de rebus. Porrò quoniam hæc tum specie, tum gustu, tum facultatibus inter sese diuersa sunt, non obscurè vno, si ita lubet, omnia nomine nuncupes, verùm exactè vires eorum edoceas. Ac nos sanè sufficienter ipsas formas à Dioscoride explicatas esse, aliisque non paucis, iam diximus; itaque denuo eadem scribenda non sunt, quæ maioribus rectè sunt prodita. At siquid illi in facultatibus omisere indistinctum, cuius profectò gratia ad hanc narrationem venimus, ea nos adiicere tentabimus. Absynthium quidem dictis minus est calidum, nempe plurimam obtinens astrictionem; quod quum sit, & minus quoque tenuium quàm illa partium, & vtique minori etiam, quàm illa ad eundem modum extenuandi facultate, attamen non minus desiccatorium est. At cæterorum santonicum quidẽ, à Santonia regione, in qua nascitur, nomen sortitum, proximam habet facultatem, seripho paulo imbecillius in calefaciendo, & extenuando desiccandóque. Porrò ipsum seriphon, abrotono minus est calidum, verùm calidius absynthio; stomacho impédio inimicum, nempe cum amarore salsedinem quandam præ se ferens; sed & quandam, licet minimam, astrictionem obtinet. Sic & abrotonon, & santonicum admodum infesta sunt stomacho. Solùm autem inter ea absynthium, & maximè ponticum, gratum est stomacho, quia plurimam astrictionem continet. Abrotonum verò vstum, calidum, siccúmque facultate est, magis etiam quàm cucurbita sicca vsta, & anethi radix. Illa enim vlceribus humidis simul & citra phlegmonem callo induratis conueniunt; ac proinde maximè vlceribus, quæ in pudendorum præputiis fiunt, competere videntur. At cinis abrotoni vlceribus omnibus mordax est; ac idcirco cum oleo tenui, cicino scilicet aut raphanino, aut sicyonio, aut veteri, & maximè sabino, ad alopecias accommodatur. Tum barbam segnius tardiúsque enascentem cum aliquo dictorum oleorum elicit, sed nec minus illis lentiscino maceratũ.

A ἀλλὰ περὶ μὲν τῶν οὕτως εὑρισκομένων δυνάμεων, ἰδίᾳ ποιήσομαι τὸν λόγον ἐν τοῖς ἐφεξῆς, ἐπειδὰν πρότερον ὑπὲρ τῶν κατὰ τὸ θερμαίνειν καὶ ψύχειν, ὑγραίνειν τε, καὶ ξηραίνειν, καὶ ὅσα ταύταις ἕπεται, διέλθω καθ' ἕκαστον εἶδος φαρμάκου. τοσόνδε μέντοι προσθεὶς ἔτι περὶ ἀβροτόνου, καταπαύσω τὸν λόγον, ὡς, ὁ θαυμασιώτατος Πάμφιλος, καί τοι ταύτην πρώτην πόαν γράφων, καὶ τάχ' ἂν εἰ μηδενὸς τῶν ἐφεξῆς, ἀλλὰ ταύτης γοῦν ἐθελήσας αὐτόπτης γενέσθαι, ὅμως ἔσφαλται μέγιστα, νομίζων ὑπὸ Ῥωμαίων Σαντόνικον ὀνομάζεσθαι τὴν βοτάνην. δια- B φέρει γὰρ ἀβρότονον σαντονίκου, καθότι καὶ Διοσκουρίδης ἔγραψεν ἐν τῷ τρίτῳ περὶ ὕλης ἀκριβέστατα; καὶ πάντες ἴσασι τοῦτό γε ἰατροὶ, καὶ ῥωποπῶλαι. τοῦ μὲν γὰρ ἀβροτόνου δύο ἐστὶν εἴδη, τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ νομιζόμενον, ὡς καὶ τοῦτο διώρισται παρὰ τῷ Διοσκουρίδῃ τε, καὶ τῷ Παμφίλῳ, καὶ ἄλλοις μυρίοις. ἕτερον δέ ἐστιν αὐτῶν, τὸ ἀψίνθιον, οὗ πάλιν εἴδη χρὴ τίθεσθαι καὶ αὐτὰ τρία; ὧν τὸ μὲν τῷ γένει ὁμωνύμως προσαγορεύονται ἀψίνθιον, ὁποῖον μάλιστά ἐστι τὸ Ποντικὸν, τὸ δὲ σέριφον, τὸ δὲ σαντόνικον. εἰ δ' ἄλλο μὲν ἀψίνθιον, ἄλλο δὲ σέριφον, ἄλλο δὲ C σαντόνικον λέγοι, οὐδὲν εἰς τὰ παρόντα διαφέρει. οὐδὲ γὰρ ὄνομα διαιρήσοντες ἥκομεν, ἀλλ' ὑπὲρ αὐτῶν τῶν πραγμάτων σπουδάζομεν. ἐπεὶ τοίνυν καὶ ταῦτα, καὶ ταῖς ἰδέαις, καὶ ταῖς γεύσεσι, καὶ ταῖς δυνάμεσιν ἕτερα σαφῶς ἀλλήλων ἐστὶν, ὀνομαζέτω μὲν, εἰ βούλοιτό τις ἅπαντα διὰ μιᾶς προσηγορίας, ἐκδιδασκέτω δὲ ἀκριβῶς τὰς δυνάμεις. ἡμεῖς οὖν τὰς μὲν ἰδέας αὐτάρκως ἔφαμεν εἰρῆσθαι Διοσκουρίδῃ τε, καὶ ἄλλοις οὐκ ὀλίγοις, ὥστ' οὐ χρὴ γράφειν αὖθις, ὅσα τοῖς πρόσθεν ὀρθῶς εἴρηται. εἴ τι δ' ἐν ταῖς τούτου δυνάμεσιν ἀδιόριστον ἐκεῖνοι παρέλιπον, οὗ D δὴ χάριν ἐπὶ τήνδε τὴν ἔξοδον ἀφικόμην, ἐγὼ προσθεῖναι πειράσομαι. Τὸ μὲν ἀψίνθιον, ἧττόν ἐστι τῶν εἰρημένων θερμὸν, ὡς ἂν πλείστης μετέχον τῆς στύψεως. εἰ δὲ καὶ τοῦτο λεπτομερὲς ἧττον ἐκείνων, καὶ λεπτυντικὸν δὴ κατὰ τὸν αὐτὸν τρόπον ἧττον ἐκείνων, οὐ μὴν ἧττόν γε ξηραντικόν. Τῶν δ' ἄλλων, τὸ μὲν σαντόνικον, ἀπὸ σαντονείας χώρας, ἐν ᾗ φύεται, τὴν προσηγορίαν ἔχον, ἐγγυτάτω τὴν δύναμίν ἐστι τοῦ σερίφου, βραχεῖ τινι λειπόμενον ἐν τῷ λεπτύνειν τε, καὶ θερμαίνειν, καὶ ξηραίνειν. Αὐτὸ δὲ τὸ σέριφον ἧττον μὲν θερμὸν τοῦ ἀβροτόνου, θερμότερον δὲ ἀψινθίου, κα- E κοστόμαχον δὲ ἰσχυρῶς, καὶ ὡς ἂν ἁλμυρίδα τινὰ σὺν πικρότητι ἀποφαῖνον, ἔτι τε τῆς στρυφνότητος ὀλίγον μετέχον. οὕτω δὲ καὶ ἀβρότονον, καὶ σαντόνικον; ἰσχυρῶς ἐστι κακοστόμαχον. μόνον γὰρ ἐν αὐτοῖς τὸ ἀψίνθιον, καὶ μάλιστα τὸ Ποντικὸν, εὐστόμαχόν ἐστιν, ὅτι πλείστης μετέχει στύψεως. Ἀβρότονον δὲ κεκαυμένον, θερμὸν καὶ ξηρόν ἐστι τὴν δύναμιν, ἔτι μᾶλλον κολοκύνθης ξηρᾶς κεκαυμένης, καὶ ἀνήθου ῥίζης. ἐκεῖνα γὰρ, ἕλκεσιν ὑγροῖς τε ἅμα καὶ χωρὶς φλεγμονῆς τετυλωμένοις ἁρμόττει, καὶ διὰ τοῦτο μάλιστα τοῖς ἐπὶ ποσθαῖς αἰδοίου συμπεφωνηκέναι δοκεῖ. τοῦ δὲ ἀβροτόνου F ἡ τέφρα, δακνώδης ἅπασιν ἕλκεσιν ὑπάρχει. καὶ διὰ τοῦτο, καὶ πρὸς ἀλωπεκίας ἁρμόττει, σὺν ἐλαίῳ λεπτομερεῖ, κικίνῳ δηλονότι, ἢ ῥαφανίνῳ, ἢ σικυωνίῳ, ἢ παλαιῷ, καὶ μάλιστα τῷ Σαβίνῳ. καὶ γένεια δὲ βραδέως ἀνιόντα προκαλεῖται μετά τινος τῶν εἰρημένων ἐλαίων ὅτου δὴ, καὶ οὐδὲν δ' ἧττον ἐκείνων, σχινίνῳ δευόμενον.

ἀραιωτικὸν γάρ ἐστι πρὸς τῷ λεπτομερὲς εἶναι, καὶ δακνῶδες, καὶ θερμόν, ἃς δὴ καὶ μάλιστα χρὴ γινώσκειν τὰς δυνάμεις αὐτοῦ, καὶ μηδὲν ἔτι τῶν κατὰ μέρος ἐν τῇδε τῇ πραγματείᾳ δεῖσθαι.

β'. Περὶ ἄγνου ἢ λύγου.

Ἄγνος δὲ, ἢ λύγος, τὸ θαμνῶδες φυτὸν, θερμὸς μέν ἐστι καὶ ξηραντικὸς κατὰ τὴν τρίτην που ἀπόστασιν, λεπτομερὴς δὲ ἱκανῶς, καὶ γευόμενος δριμὺς τε ἅμα καὶ στύφων ἄγνος, ἢ λύγος. αὐτὰς μὲν δὴ τὰς λύγους ἀχρήστους ἔχει πρὸς ἰατρείαν, τὰ δὲ φύλλα, καὶ τὸ σπέρμα, ξηρὰ, καὶ θερμὰ τὴν δύναμίν ἐστι, καὶ κατὰ τὴν οὐσίαν λεπτομερῆ. καὶ γὰρ χρωμένων οὕτω φαίνεται, καὶ γευομένων, δριμύ τε ἅμα καὶ ὑπόστυφον ἐστὶ καὶ τὸ φύλλον, καὶ τὸ ἄνθος, καὶ ὁ καρπός. ἔστι δὲ καὶ ἐδώδιμος ὁ καρπὸς, καὶ θερμαίνει σαφῶς, μετὰ τοῦ κεφαλαλγὴς ὑπάρχειν. εἰ δὲ φρυχθείη, καὶ γὰρ καὶ οὕτως ἐσθίεται μετὰ τραγημάτων, ἧττον ἅπτεται τῆς κεφαλῆς. ἄφυσος δὲ κατὰ γαστέρα, καὶ ὁ ἄφρυκτος μὲν, ἔτι μᾶλλον δὲ πεφρυγμένος. ἐπέχει δὲ καὶ τὰς πρὸς ἀφροδίσια ὁρμὰς, ὅ,τε πεφρυγμένος, καὶ ὁ ἄφρυκτος καρπὸς, καὶ τὰ φύλλα, καὶ τὰ ἄνθη τοῦ θάμνου, ταὐτὸ τοῦτο δύναται δρᾶν, ὥστε οὐ μόνον ἐσθιόμενα, καὶ πινόμενα πρὸς ἁγνείαν πεπίστευται συντελεῖν, ἀλλὰ καὶ ὑποστρωννύμενα. ταῦτ᾽ ἄρα καὶ τοῖς Θεσμοφορίοις αἱ γυναῖκες, Ἀθήνησιν ὑποστρωννύουσιν ἑαυταῖς ὅλον τὸν θάμνον, ἐντεῦθεν δὲ καὶ τοὔνομα αὐτοῦ. ἐξ ὧν ἁπάντων δῆλον, εἴ γε τῶν ἐν τοῖς ἔμπροσθεν ὑπομνήμασιν εἰρημένων μεμνήμεθα, θερμαίνειν τε ἅμα, καὶ ξηραίνειν, καὶ ἀφυσότατον ὑπάρχειν ἄγνον. ὅτι δὲ λεπτομερὴς ἀκριβῶς ἐστιν ἡ δύναμις αὐτοῦ, τεκμήριον. καὶ γὰρ τὸ πρὸς κεφαλὴν ἅπτειν, οὐ διὰ πλῆθος ἀτμώδους πνεύματος ὑπ᾽ αὐτοῦ γεννωμένου μᾶλλον, ἤπερ διὰ θερμότητα, καὶ λεπτομέρειαν, εὔλογον γίνεσθαι. εἰ γὰρ ἦν φυσώδους πνεύματος γεννητικὸν, ἐνεφύσησέ τε ἂν τὴν γαστέρα, καὶ τὰς πρὸς ἀφροδίσια παρώξυνεν ὁρμὰς, ὥσπερ εὔζωμον. ἐπεὶ δὲ οὐ μόνον οὐ παροξύνει, ἀλλὰ καὶ καταστέλλειν πέφυκεν, εἴη ἂν κατὰ τὴν πηγάνου μάλιστα δύναμιν ἐν τῷ θερμαίνειν, καὶ ξηραίνειν, οὐ μὴν ἴσον γ᾽ ἐστὶν αὐτῷ· βραχὺ γὰρ ἀπολείπεται κατ᾽ ἄμφω, καὶ γὰρ θερμαντικώτερον αὐτοῦ, καὶ ξηραντικώτερόν ἐστι τὸ πήγανον. διενήνοχε δὲ καὶ τῷ τῆς ποιότητος, καὶ δυνάμεως ἐπιμικτῷ. τὸ γὰρ τοῦ ἄγνου σπέρμα, καὶ οἱ βλαστοὶ, στύψιν τινὰ μετρίαν ἐπιφέρουσι. τὸ δὲ πήγανον ὅταν μὲν ξηρὸν ᾖ, πικρὸν ἀκριβῶς ἐστι, καὶ δριμὺ, ὅταν δὲ ὑγρὸν, ὑπόπικρον. οὐ μὴν αὐστηρόν τε, ἢ στρυφνόν τι πρόσεστιν αὐτῷ, ἢ εἰ καὶ προσεῖναί τῳ δόξειεν, ἀμυδρὸν παντάπασιν οἶδ᾽ ὅτι δόξει, καὶ οὐδαμῶς ἴσον τῷ τοῦ ἄγνου. ταῦτ᾽ ἄρα, καὶ πρὸς ἧπαρ, καὶ σπλῆνα, σκληρούμενά τε, καὶ ἐμφραττόμενα, τὸ τοῦ ἄγνου σπέρμα, μᾶλλον ἢ πήγανον ἁρμόττει. τῆς θεραπευτικῆς δέ ἐστιν ἤδη ταῦτα μεθόδου, ἧς τὸ μὲν μηδ᾽ ὅλως προσάπτεσθαι φαρμάκων δυνάμεως ἀποφαινόμενον, ἀδύνατόν ἐστι. τὸ δὲ ταχέως ἀπολείποντα, πάλιν ἐπανέρχεσθαι πρὸς τὸ προκείμενον, ἀνδρὸς ἔργον ἂν εἴη σώφρονος. ἔτι δὲ μᾶλλον ἐπὶ τῶν ἑξῆς φαρμάκων, αὐτὸ δὴ τοῦτο πρᾶξαι πειράσομαι. λέγω δὴ τὸ τὴν καθόλου δύναμιν ἔκ τινων ὀλίγων ἐναργῶν ἐπιλογισάμενος, ἀποχωρεῖν τῶν κατὰ μέρος ἐνεργειῶν. ἀρκεῖ γὰρ τοῦτο μόνον, εἰς τὰ παρόντα γινώσκειν, ὡς θερμὸς μὲν καὶ ξηρὸς ἄγνος τὴν δύναμίν ἐστιν οὐ μετρίως, ἀλλὰ κατὰ τὴν τρίτην που τῶν ἀποστάσεων, λεπτομερὴς δὲ ἱκανῶς.

A Quippe pro eo quòd tenuium est partium, rarefaciendi vim obtinet, & mordax est, & calidum; quas vtique maximè eius facultates nouisse oportet, nec quicquam etiam particulare in hoc tractatu requirere.

---

2. *De agno casto, seu vitice.*

Agnus Castus, vel vitex, planta fruticosa, calidus quidem est, & siccus tertio ordine, verùm multum tenuis substantiæ, tum gustu acris simul & astringens, ipsas quidem vitices ad medicinam habet inutiles; B cæterùm folia seménque calida siccáque facultate sunt, substantia verò tenui. Nam & vtentibus ita apparet, & gustantibus acre simul & subastringens percipitur tum folium, tum flos, tum fructus. Edendo tamen etiam fructus est; verumtamen perspicuò calefacit, & simul capiti dolorem parit. At si frigatur (nam & sic editur cum tragematis) minus caput tentat. Porrò flatus ventris discutit & quum non frictus, & multo magis quum frictus fuerit. Cohibet porrò impetus in venerem, tum frictionis expers, tum etiam ipsam expertus. C Folia item, floresque ipsius fruticis id ipsum præstare possunt; itaque non tantum esa potáque ad castitatem conferre creduntur, verùm etiam substrata. Hinc est, quòd Athenis in Thesmophoriis, idest, *sacris Cereris*, mulieres totum sibi fruticem substernunt. Hinc illi quoque nomen inditum agni casti. Ex quibus omnibus manifestum est, siquidem memoria teneamus, quæ superioribus commentariis sunt dicta, agnum calefacere, simúlque exiccare, tum omnium maximè flatus discutere. Porrò quòd tenuium sit partium, facultas eius indicio est. Nam quòd caput tentat, non magis à D multitudine vaporum ab eo prognatorum, quàm à caliditate eius, ac tenuitate partium fieri rationabile est. Nam si flatuosum spiritum procreare posset, sanè & ventrem inflaret, & venerem stimularet, perinde, vt eruca; verùm quum non tantùm non excitare, imò etiam reprimere queat, fuerit profectò secundum rutæ maximè facultatem tum in calefaciendo, tum in resiccando. Non tamen illi par est, nam vtroque paulo est inferior siquidem ruta tum magis est calefactoria, tum magis desiccatoria. Differt etiam qualitatis simul, ac facultatis mixtione. Nam agni E semen, ac germina modicam ferunt astrictionem, at ruta vbi aruerit, exactè amara est, & acris; vbi verò humida, subamara. Non tamen austeritas, aut acerbitas illi inest; aut si cui videatur inesse, ea vtique omnino obscura, scio, videbitur, nec par ei, quæ est in agno. Quocirca & ad iecur, & lienem indurata, & obstructa, agni semen potiùs quàm ruta competit. Sed hæc ad curandi iam methodum pertinent; quam quidem, vt omnino non attingam de medicamentorum pronuncians facultatibus, fieri non potest; verùm celeriter his omissis, ad rem propositam reuerti, viri est vtique temperati. Ma- F gísque etiam id in sequentibus medicamentis efficere conabor; hoc est, vbi ex quibusdam paucis euidentibus vniuersalem facultatem collegero, particulares postea actiones omittam. Nam in præsens id nouisse sufficit, quod Agnus calidus est, & siccus facultate, idque non mediocriter, sed tertio excessu, tum admodum tenuium partium.

Hæc qui norit, ac posteà methodum curandi didicerit, ipsemet inueniet, quo pacto menses hinc cieat; quo pacto partes induratas digerat; quo pacto lassitudinem soluens, acopum, & calefactorium ex eo vnguentum præparetur.

A ὁ γὰρ ταῦτα εἰδὼς, εἶτα προσμαθὼν τὴν θεραπευτικὴν μέθοδον, αὐτὸς ἐξευρήσει, πῶς μὲν καταμήνια κινήσει δι' αὐτοῦ, πῶς δὲ τὰ σκληρυνόμενα μόρια διαφορήσει, πῶς δὲ ἄκοπον, ἢ θερμαντικὸν ἄλειμμα, δι' αὐτοῦ κατασκευάσει.

---

3. *De Agrosti seu gramine.*

GRaminis radix modicè frigida est, & sicca, mordacitatem quandam exiguam, & partium tenuitatem obtinens. At herba ipsa primo quidem excessu refrigerat, in humiditate verò, & siccitate moderata. Porrò semen alibi quidem imbecillum est, in Parnasso verò desiccatorium, & tenuium partium, & subacerbum. Gramen esculentam habet radicem, vbi mollis fuerit, dulcis quidem aquosa, sed acre quiddam exiguum, & subacerbum obtinens. Hæc herba planè aquea gustantibus est. Ex quibus apertum est radicem modicè esse tum frigidam, tum siccam, ac proinde cruenta vlcera glutinare. At ipsa herba illita non vehementer refrigerat, in medio constituta humiditatis, & siccitatis. Porrò mordacitas, & tenuitas, quæ radici inest, exigua est quidem, sed interdum tamen lapidem frangere assolet, siquis eam decoctam ebibat. At semen alterius quidem imbecillum est; eius verò, quæ in Parnasso nascitur, vrinam ciet, & fluxus ventris, & stomachi resiccat; vis enim eius est exiccatoria, tenuium partium, & subacerba.

γ'. Περὶ ἀγρώστεως.

ΤΗς δὲ ἀγρώστεως, ἡ μὲν ῥίζα συμμέτρως ἐστὶ ψυχρὰ, καὶ ξηρὰ, ἔχουσά τι ὀλίγον δακνῶδες, καὶ λεπτομερές. ἡ δὲ πόα, ψύχει μὲν κατὰ τὴν πρώτην ἀπόστασιν, σύμμετρος δ' ἐστὶ κατὰ ὑγρότητα, καὶ ξηρότητα. B ὁ δὲ σπέρμα τῆς μὲν ἄλλης, ἀσθενὲς ὑπάρχει, τῆς δ' ἐν τῷ Παρνασσῷ ξηραντικόν, τε καὶ λεπτομερὲς, καὶ ὑπόστρυφνον. Ἄγρωστις, ἐδώδιμον ἔχει τὴν ῥίζαν, ἐς αὐτὴ μαλακὴ, γλυκεῖα μὲν ὑδατώδης, δριμὺ δέ τι καὶ ὑπόστρυφνον ὀλίγον ἔχουσα. αὕτη δὲ ἡ πόα τελέως ἐστὶν ὑδατώδης γευομένοις. ἐξ ὧν δῆλον, ὡς μετρίως μὲν ἐστὶν ἡ ῥίζα ψυχρὰ, καὶ ξηρὰ, καὶ διὰ τοῦτο κολλητικὸν τῶν ἐναίμων ἑλκῶν. αὐτὴ δὲ ἡ πόα καταπλασσομένη, ψύχει μὲν οὐκ ἰσχυρῶς, ὑγρότητος δὲ καὶ ξηρότητος ἐν τῷ μέσῳ καθέστηκε. τὸ δὲ ἐν τῇ ῥίζῃ δακνῶδες, καὶ λεπτομερές ἐστι μὲν ὀλίγον. C εἴωθε δ' οὖν, ἔστιν ὅτε καὶ λίθους θρύπτειν, εἴ τις αὐτὴν ἀφεψήσας πίνοι. τὸ δὲ σπέρμα τῆς μὲν ἄλλης ἀσθενές ἐστιν, τῆς δ' ἐν τῷ Παρνασσῷ, διουρητικόν τέ ἐστι, καὶ ῥεύματα ξηραίνει γαστρὸς καὶ στομάχου. δύναμις γάρ ἐστιν αὐτοῦ ξηραντική τε, καὶ λεπτομερὴς, καὶ ὑπόστρυφνος.

---

4. *De Anchusa, & anchusis quatuor.*

ANchusæ quadruplex species est. Quarum Onocleia quidem radicem habet admodum refrigerantem, & desiccantem, tum astringentem, & subamaram, tum quæ sufficiat extenuandis, & extergendis humoribus biliosis, corporibúsque condensandis. Cæterùm folia habet imbecilliora quidem radice, astringunt tamen & ipsa & desiccant. Porrò lycopsos cognominata refrigerat, & desiccat, magisque eius radix, quàm onoclea astringit. At Onocheilos calidior est, & magis medicata, nam plusculum habet, & gustu ipso protinus acrimoniæ. Hac verò etiam calidior est reliqua, & parua, quæ & amarior, & magis etiam medicata est. Anchusæ non omnes easdem vires obtinent. Nam Onocleia quam vocant, radicem habet simul astringentem, & subamaram, corporibus condensandis, & modicè extenuandis idoneam, tum abstergendis quoque, & abluendis biliosis, & salsis succis. Dictum enim supra est, quòd qualitas acerba mixta amaritudini ea præstare queat. Sic sanè aurigini, & lienosis, & renum affectibus est vtilis. Sed & refrigerare idonea est: & sanè cum polenta illita iuuat erysipelata. Et abstergit non modo epota, sed & foris imposita; proinde vitiligines, & lepras sanat cum aceto. Ac radicis quidem hæc opera sunt, & operum facultates quas diximus. At folia ipsius herbæ radice quidem sunt imbecilliora, non tamen aliena sunt à resiccatione, & astrictione. Itaque etiam diarrhœam sanant pota cũ vino. Et quæ lycopsos nominatur, eodem modo erysipelatis congruit; & radicem habet, quã Onocleia, magis astringentem. At Onocheili, & Alcibiadiæ cognominatæ vis magis est medicata. Nam & gustu protinus maio-

δ'. Περὶ ἀγχούσης, καὶ τεττάρων ἀγχουσῶν.

ΤΗς δὲ ἀγχούσης, τέταρτόν ἐστιν εἶδος, ὧν ἡ μὲν ὀνόκλεια ψύχουσαν ἱκανῶς, καὶ ξηραίνουσαν ἔχει τὴν ῥίζαν, στύφουσάν τε ἅμα, καὶ ὑπόπικρον, ἱκανὴν δὲ καὶ λεπτῦναι, καὶ D ἀπορρύψαι τοὺς χολώδεις χυμοὺς, καὶ πυκνῶσαι τὰ σώματα. τὰ δὲ φύλλα, ἀσθενέστερα μὲν ἔχει τῆς ῥίζης, στύφει δὲ αὐτὰ καὶ ξηραίνει. καὶ ἡ λύκοψις δὲ προσαγορευομένη, ψύχει μὲν καὶ ξηραίνει, ῥίζαν δ' ἔχει στυπτικωτέραν τῆς ὀνοκλείας. ἡ δὲ ὀνόχειλος θερμοτέρα τέ ἐστι, καὶ φαρμακωδεστέρα. πλέον γὰρ ἔχει, καὶ πρὸς τὴν γεῦσιν εὐθὺς τὸ δριμύ. ταύτης δ' ἔτι θερμοτέρα, ἡ μικρὰ καὶ πικροτέρα, καὶ πλέον ἔτι φαρμακωδεστέρα τυγχάνει. Ἄγχουσαι δὲ οὐ τῆς αὐτῆς ἅπασαι δυνάμεως. ἡ μὲν γὰρ ὀνόκλεια προσαγορευομένη, στύφουσάν τε ἅμα καὶ ὑπόπικρον ἔχει τὴν ῥίζαν E ἱκανὴν καὶ πυκνῶσαι τὰ σώματα, καὶ μετρίως λεπτῦναι, καὶ ἀπορρύψαι, καὶ ἀποπλῦναι τοὺς χολώδεις, καὶ ἁλμυρώδεις χυμούς. ἐρρέθη γὰρ ἐν τοῖς ἔμπροσθεν, ὡς ἡ στρυφνὴ ποιότης ἐπιμεμιγμένη τῇ πικρᾷ, ταῦτα ἐργάζεσθαι πέφυκεν. οὕτω τέ τοι καὶ ἰκτερικοῖς, καὶ σπληνικοῖς, καὶ νεφριτικοῖς ὠφέλιμος ὑπάρχει. ἔστι δὲ καὶ ψύχειν μὲν ἱκανὴ, καὶ καταπλασσομένη γε σὺν ἀλφίτοις, ἐρυσιπέλατα ὠφελεῖ, καὶ ἀπορρύπτει δὲ, οὐ πινομένη μόνον, ἀλλὰ καὶ ἔξωθεν ἐπιτιθεμένη, καὶ διὰ τοῦτο ἀλφοὺς, καὶ λέπρας ἰᾶται σὺν ὄξει. τὰ μὲν τῆς ῥίζης ἔργα ταῦτα, καὶ αἱ τῶν ἔργων δυνάμεις αἱ εἰρημέναι. τὰ δὲ φύλλα τῆς F βοτάνης ἐστὶν μὲν ἀσθενέστερα τῆς ῥίζης. οὐκ ἀπήλλακται δὲ τοῦ ξηραίνειν τε, καὶ στύφειν, ὥστε καὶ διαρροίας ἰᾶται σὺν οἴνῳ πινόμενα. καὶ ἡ λύκοψις δὲ προσαγορευομένη, τοῖς ἐρυσιπέλασιν ὁμοίως ἁρμόζει, καὶ ῥίζαν ἔχει στυπτικωτέραν τῆς ὀνοκλείας. τῆς δὲ ὀνοχείλεώς τε καὶ Ἀλκιβιαδείου καλουμένης, ἡ μὲν δύναμις ἐστι φαρμακωδεστέρα. πλέον γοῦν ἔχει τὸ πρὸς τὴν γεῦσιν

εὐθὺς τὸ δριμὺ, καὶ ἐχιοδήκτοις ἱκανῶς ἁρμόττει καταπλαττομένη, καὶ περιαπτομένη, καὶ ἐσθιομένη. ἡ λοιπὴ δὲ τετάρτη, καὶ μικρὰ, καὶ σχεδὸν ἀνώνυμος ἐξ αὐτῶν μόνη, παραπλησία μὲν ἐστὶ τῇ Ἀλκιβιαδείῳ, πικροτέρα δὲ, καὶ πλέον ἐστὶ φαρμακωδεστέρα, καὶ διὰ τοῦτο, πρὸς τὰς πλατείας ἕλμινθας ἐπιτηδεία, πλῆθος ὀξυβάφου, σὺν ὑσσώπῳ τε καὶ καρδάμῳ πινομένη.

A rem habet acrimoniam: & eos qui à viperis morſi ſunt, admodum iuuat tum illita, tum ſuſpenſa, tum eſa. Reliqua verò, nempe quarta, quæ parua eſt, & ferè nomine caret ex illis ſola, Alcibiadiæ quidem perſimilis eſt, verùm & amarior, & magis medicamentoſa; ac proinde ad latos lumbricos idonea, oxybaphi menſura cum hyſſopo, & naſturtio epota.

ε΄. Περὶ ῥίζης ἀγαρικοῦ.

Ἀγαρικοῦ ῥίζα τοῦτ᾽ ἔστιν ἐπιφυομένη πρέμνῳ, κατὰ μὲν τὴν πρώτην γεῦσιν γλυκεῖά τις, ὑπόπικρος δὲ ὀλίγον ὕστερον φαινομένη, καί τινος ἐν τῷ χρόνῳ δριμύτητος ἔμφασιν ἐπάγουσα, καὶ βραχείας στύψεως. ἔστι δὲ καὶ χαύνη τὴν σύστασιν. ἐξ ὧν ἁπάντων εὔδηλον, εἴπερ τῶν ἐν τοῖς ἔμπροσθεν ὑπομνήμασιν εἰρημένων μνημονεύομεν, ὡς σύνθετόν ἐστι τὸ φάρμακον, ἐξ οὐσίας ἀερώδους τε καὶ γεώδους, ὑπὸ θερμότητος λελεπτυσμένης, ἥκιστα δὲ τῆς ὑδατώδους μετέχει. ταῦτ᾽ ἄρα διαφορητικήν τε καὶ θερμαντικὴν τὴν δύναμιν ἔχει, καὶ πάχους τμητικὴν, καὶ διακαθαίρει τὰς ἐν τοῖς σπλάγχνοις ἐμφράξεις, καὶ διὰ τοῦτο, ἰκτεριῶντας ἰᾶται, τοὺς ἐπ᾽ ἐμφράξει τῶν καθ᾽ ἧπαρ οὕτω κάμνοντας. ὀνίνησι δὲ καὶ τοὺς ἐπιλήπτους, διὰ τὴν αὐτὴν δύναμιν, καὶ ῥίγη τὰ κατὰ περίοδον, ὅσα παχέων ἢ γλίσχρων ἐστὶ χυμῶν ἔκγονα, καὶ ταῦτα ἰᾶται. ὠφελεῖ δὲ καὶ τοὺς ὑπὸ κατὰ ψύξιν ἀδικούντων θηρίων δηχθέντας, ἢ νυχθέντας, ἔξωθέν τε κατὰ τοῦ πεπονθότος ἐπιτιθέμενον, εἴσω τε τοῦ σώματος λαμβανόμενον ὁλκῇ δραχμῆς μιᾶς μετ᾽ οἴνου κεκραμένου. ἔστι δὲ καὶ καθαρτικόν.

5. *De Agarici radice.*

B Agarici radix, hoc eſt, quæ trunco innaſcitur, primo quidem guſtu dulcis quodammodo, ſed paulo poſt ſubamara apparet, & acrimoniæ quandam ſpeciem temporis ſpatio inducit, leuiculæque aſtrictionis. Eſt & conſiſtentia laxa. Ex quibus omnibus manifeſtum eſt, ſiquidem quę in ſuperioribus commentariis dicta ſunt, meminerimus, quod medicamentum hoc compoſitum eſt ex ſubſtantia aërea, & terrea à caliditate extenuata; porrò minimum habet eſſentiæ aqueæ. Hac ratione & digerendi vim habet, & craſſitiem incidendi, tum infarctus viſcerum expurgandi. Proinde regio morbo laborantes ſanat, C eos vtique, qui ſic ab infarctu iecoris laborant. Iuuat & comitiali obnoxios eadem facultate; tum rigores per circuitum recurrentes ex craſſis, aut viſcoſis humoribus natos ſanat. Iuuat & morſos à beſtiis frigore lædentibus, aut compunctos, tum foris in affecta parte impoſitum, tum intrò in corpus ſumptum pondere drachmæ vnius cum vino diluto. Eſt & purgatorium.

ϛ΄. Περὶ ἀγηράτου.

Ἀγήρατόν ἐστι δυνάμεως διαφορητικῆς τε, καὶ ἀτρέμα πως ἀφλεγμάντου.

6. *De Agerato.*

D Ageratum facultatem digerendi habet, & leuiter quadantenus phlegmone liberandi.

ζ΄. Περὶ ἀδιάντου.

Τὸ δὲ ἀδίαντον, κατὰ μὲν θερμότητα καὶ ψυχρότητα, σύμμετρόν ἐστι, ξηραίνει δὲ καὶ λεπτύνει, καὶ διαφορεῖ. καὶ γὰρ ἀλωπεκίας δασύνει, καὶ χοιράδας, καὶ ἀποστήματα διαφορεῖ, καὶ λίθους θρύπτει πινόμενον, καὶ ταῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναγωγαῖς τῶν γλίσχρων καὶ παχέων χυμῶν οὐ σμικρὰ συντελεῖ, καὶ ῥεῦμα κοιλίας ἵστησιν. οὐ μὴν θερμότητά γέ τινα προσβάλλει σαφῆ, καθάπερ οὐδὲ ψύξιν. ἀλλὰ θείη τις ἂν αὐτὸ κατὰ τὴν ἐν τούτοις ἀντίθεσίν τε καὶ κρᾶσιν ἐν τῇ μέσῃ τάξει.

7. *De Adianto.*

Adiantum in caliditate quidem, & frigiditate ſymmetrum eſt, verùm deſiccat, & extenuat, & digerit. Etenim caput ex alopecia glabrum capillis conueſtit, & ſtrumas, & abſceſſus digerit, lapidéſque frangit epotum, & viſcoſorum craſſorúmque è pectore pulmonéque humorum excreationibus non mediocriter confert, E & ventris profluuium ſiſtit; non tamen vllam manifeſtam caliditatem affert, ſicut nec frigiditatem. Verùm poſuerit ipſum quiſpiam ſecundum hanc oppoſitionem, & temperiem, in ordine medio.

η΄. Περὶ ἀειζώου.

Ἀείζωον ἑκάτερον, καὶ τὸ μικρὸν, καὶ τὸ μέγα, ξηραίνει μὲν ἐπ᾽ ὀλίγον, ὅτι καὶ στύφει μετρίως, ἀπηλλαγμένον ἁπάσης ἄλλης ἰσχυρᾶς ποιότητος, ὡς ἐπικρατεῖν ἐν αὐτῷ τὴν ὑδατώδη μᾶλλον οὐσίαν. ἐμψύχει δὲ οὐ μετρίως. ἔστι γὰρ τῆς τρίτης ἀποστάσεώς τε, καὶ τάξεως τῶν ψυχόντων. ταῦτ᾽ ἄρα καὶ πρὸς ἐρυσιπέλατα μὲν, ἀλλὰ καὶ πρὸς ἕρπητας, καὶ πρὸς τὰς ἐκ ῥευμάτων φλεγμονὰς ἁρμόττει.

8. *De Aeizoo ſeu ſemperuiuo.*

Semperuiuum vtrumque, tum maius, tum minus, deſiccat quidem leuiter, quandoquidem & mediocriter aſtringit, omnis alterius vehementis qualitatis expers. Quare in eo plus cæteris F abundat eſſentia aquea: cæterùm non mediocriter refrigerat. Eſt enim ex tertio ordine, & receſſu refrigerantium. Hinc etiam ad eryſipelata, & herpetes, & phlegmonas à fluxione natas accommodatur.

9. De ægilope.

ÆGilops digerendi vim possidet, id quod ex gustu patet: leuiter enim est acris. Verùm & ex eo liquet, quòd phlegmonas induratas, & ægilopas sanat.

10. De æra lolio.

LOlium desiccat, & calefacit efficaciter, vt propinqua sit acribus, magis quàm iris; sed non est perinde, vt illa tenuium partium, verùm multum in hoc deficit. Secundum hoc ponat ipsum quispiam in principio tertij ordinis calefacientium, extremo verò secundi exiccantium.

11. De Aegyro populo nigra.

POpuli nigræ flores calidi quidem sunt primo recessu à temperatis, at in differentia, quæ habent in siccando, & humectando, paulum quiddam ad siccius deflexerunt. sed & tenuiorum potius, quàm crassiorum sunt partium. Et folia quoque ipsius quodammodo floribus similia sunt, nisi quòd ad omnia imbecilliora, minúsque efficacia. Sed & resina eius, floribus similem facultatem obtinet, atque etiam calidiorem. Porrò semen tum resinâ tum floribus, & subtiliorum est partium, & magis exsiccans, non tamen admodum calidius.

12. De Acacia.

D τέρας τάξεως ἀπὸ τῶν μέσων. ψυχρὰ δὲ, πρώτης ἣν περ δὴ χλιαρὰν ἐλέγομεν εἶναι θερμασίαν, οἵαπερ καὶ τοῖς ῥόδοις ἐστί. πλὴν οὐ μετέχει στύψεως. ἀλλ' ἔστιν ὑδατώδης, καὶ ἥκιστα γεώδης, ὁμοίως τῇ μαλάχῃ, καὶ δὴ καὶ κατὰ γαστέρα διεξέρχεται ταχέως, ὥσπερ ἐκείνη, διὰ γλισχρότητα. βραχὺ δέ τι παντάπασιν ὑπάρχει διαφορητικὸν αὐτῆς. εἰσὶ δ' αἱ κηπευόμεναι μαλάχαι καὶ ἀτραφάξιες, ὑγρότεραί τε πολὺ καὶ ψυχρότεραι τῶν ἀγρίων. διὸ καὶ φλεγμοναῖς, καὶ φυγέθλοις, τοῖς μὲν ἀρχομένοις τε καὶ αὐξανομένοις, καὶ μαλακοῖς ἔτι, καὶ οἷον ζέουσιν αἱ κηπευόμεναι, ἀκμάζουσιν δὲ, καὶ παρακμάζουσι, καὶ σκληρυνομένοις, αἱ ἄγριαι
E συμφορώτεραι. ὁ δὲ καρπὸς αὐτῆς ῥυπτικῆς ἐστι δυνάμεως, ὅθεν καὶ πρὸς ἰκτέρους, τοὺς ἐπὶ ἥπατος ἐμφράξεις χρήσιμος ὑπάρχει.

74. *De Aphace.*

APhace vim habet astringendi, sicut & ipsa lenticula. Sed & similiter, vt lenticulæ edi solet, cæterùm ægrius, quàm illæ concoquitur. Valentius autem desiccat, & moderati caloris est.

οδ'. Περὶ ἀφάκης.

Ἀφάκη, δυνάμεώς ἐστι στυπτικῆς, ὥσπερ καὶ ὁ φακὸς, ἀλλὰ καὶ τοῖς φακοῖς ὁμοίως ἐσθίεται. καὶ δυσπεπτοτέρα μέν ἐστιν αὐτῶν, ἰσχυροτέρως δὲ ξηραίνει, θερμότητος δὲ μετέχει συμμέτρου.

F

75. *De Absynthio.*

ABsynthium astrictoriam, & amaram, & acrem simul qualitates possidet; calefaciens pariter & extergens, & roborans, & desiccans. Proinde biliosos ventris humores per egestionem infernam propellit, ac per vrinas euacuat.

οε'. Περὶ ἀψινθίου.

Ἀψίνθιον, στυπτικὴν, καὶ πικρὰν, καὶ δριμεῖαν ἅμα ποιότητα κέκτηται, θερμαῖνόν τε ἅμα, καὶ ῥύπτον, καὶ τονοῦν, καὶ ξηραῖνον. διὰ τοῦτο καὶ τοὺς ἐν τῇ κοιλίᾳ χολώδεις χυμοὺς ἐπί τε τὴν κάτω διαχώρησιν ἀπάγει, καὶ δι' οὔρων ἐκκενοῖ.

μᾶλλον δ' ἔτι, τὸ ἐν ταῖς φλεψὶ χολῶδες, ἐκκαθαίρει δι' οὔρων. διὰ ταῦτα, καὶ φλέγματα ἐν τῇ κοιλίᾳ περιεχόμενα, προσφερόμενον οὐδὲν ὀνίνησιν. οὕτω δὲ καὶ εἰ κατὰ θώρακα, καὶ πνεύμονα τύχοι. ἡ γὰρ στυπτικὴ δύναμις ἐν αὐτῷ, τῆς πικρᾶς ἐστὶν ἰσχυροτέρα τῷ δὲ καὶ δριμύτητός τινος μετέχειν, πλείονι μέτρῳ θερμόν ἐστιν, ἤπερ ψυχρόν. Εἰ δὲ δέοι καθόλου περιλαμβάνοντι τὴν κρᾶσιν αὐτοῦ κατὰ τὰς πρώτας ἀφορίσαι δυνάμεις, καί τοι γ' ἀνομοιομεροῦς ὄντος, θερμὸν μὲν ἂν ὑπάρχειν αὐτὸ τῆς πρώτης ἀποστάσεως, εἴποιμεν, ξηρὸν δὲ, τῆς τρίτης. ὁ δὲ χυλὸς αὐτοῦ, πολὺ τῆς πόας θερμότερος.

A Magis autem, quod in venis est biliosum, per vrinas expurgat. Ob hæc contentam in ventre pituitam nihil adiuuat sumptum, sic sanè si in thorace, aut pulmone contineatur: nam astringens in eo facultas, quàm amara valentior est. Porrò quòd insit quoque acrimonia, idcirco maiori portione calidum est, quàm frigidum. At si opus est vniuersaliter comprehensam eius temperiem secundum primas circunscribere facultates (etsi dissimilare sit) calidum ipsum dixerim primi excessus, siccum tertij. Succus autem eius longè quàm herba ipsa calidior est.

ΚΕΦΑΛΑΙΟΝ Β'.

α'. Περὶ βαλάνου μυρεψικῆς.

ΒΑλανος μυρεψικὴ κομίζεται μὲν ἐκ τῆς βαρβάρου, χρῶνται δ' οἱ μυρεψοὶ τῷ τῆς σαρκὸς αὐτῆς χυλῷ, θερμῷ τὴν δύναμιν ὄντι. τὸ δ' ὑπόλοιπον ἀπόθλιμμα, τὸ γεῶδες, καὶ σκληρὸν, ἐπικρατοῦσαν μὲν ἔχει τὴν πικρὰν ποιότητα. μέμικται δέ τι καὶ στύψεως αὐτῷ, καὶ διὰ τοῦτο, ῥυπτικὴν τε ἅμα, καὶ τμητικὴν, καὶ συναγωγικὴν τε, καὶ πιλητικὴν ἔχει τὴν ἐνέργειαν, ὥστε καὶ πρὸς ἰόνθους, καὶ φακοὺς, ἔφηλίν τε, καὶ κνῆσιν, ἤδη δὲ καὶ πρὸς ψώραν, καὶ λέπραν ἁρμόττει, οὐ μὴν ἀλλὰ καὶ σπλῆνας τήκει καὶ ἧπαρ σκιρρούμενον. Εἰ δέ τις τῆς σαρκὸς αὐτῆς πίοι δραχμῆς ὁλκὴν μετὰ μελικράτου, ἐμετηρίου πειράσεται τοῦ φαρμάκου. πολλάκις δὲ, καὶ διὰ τῆς κάτω κοιλίας ὑπάγει δαψιλῶς. ὅθεν ἐπειδὰν, ὑπὲρ τοῦ διακαθῆραί τι τῶν σπλάγχνων, καὶ μάλιστα ἧπαρ, ἢ σπλῆνα, τῷ φαρμάκῳ χρώμεθα, μετ' ὀξυκράτου δίδομεν αὐτό. καὶ πρὸς τὰς ἄλλας δὲ τὰς ἐκτὸς ἐνεργείας, ὄξει χαίρει μάλιστα. γίνεται γὰρ δραστικὸν οὕτως, ὡς καὶ ψώρας, καὶ λέπρας ἀπορρύπτειν, καὶ πολὺ δὴ μᾶλλον ἔτι, τὰ τούτων ἐλάττω, φακοὺς, ἀλφοὺς, ἰόνθους, ἔφηλιν, ἀχώρας, ἐξανθήματα τὰ ἑλκώδη, καὶ παχύχυμα πάντα. λαμπρύνει δὲ καὶ οὐλάς· ὅτι κἂν τῷ καταπλάττειν αὐτῇ τὸν σπλῆνα, κάλλιόν ἐστι μιγνύναι τι τῶν ξηραντικῶν ἀλεύρων, οἷόν ἐστιν ὀρόβινόν τε καὶ αἴρινον ἄλευρον, ἐκ τῆς περὶ συνθέσεως ἤδη φαρμάκων, εἴη ἂν τοῦτο πραγματείας μᾶλλον, οὐ τῆς νῦν ἐνεστώσης, εἰρήσεται δὲ κἀν τοῖς εὐπορίστοις. ἀρκεῖ δ' ἐν τῷ παρόντι, ῥυπτικήν τε, καὶ τμητικὴν, ἅμα στύψει τινὶ, τὴν δύναμιν εἰπόντα τοῦ προειρημένου φαρμάκου, μεταβαίνειν ἐφ' ἕτερον. ὁ μέν τοι φλοιὸς αὐτοῦ, πάνυ στυπτικός ἐστιν, ὥστε καὶ τούτῳ δύναιτ' ἄν τις, εἰς ὅσα περ ἰσχυρᾶς ἐστι χρεία στύψεως, εἰς ταῦτα χρῆσθαι.

B

CAPVT II.

1. *De Balano myrepsica, glande vnguentaria.*

GLans vnguentaria adfertur ex Barbarica regione. Vtuntur vnguentarij carnis eius succo, qui facultate calidus est. Reliquiæ autem, vnde expressus est succus, terrestres scilicet, & duræ vincentem habent qualitatem amaram. Sed & admixta est quædam astrictio. Proinde extergentem simul, & incidentem, contrahentémque, & stipantem effectum possident. Itaque ad ionthos, C lentes, ephelin & pruritum, deinde, & ad psoram, & lepram conueniunt. Verùm enimuerò, & lienes liquant, iecúrque indurescentia. Quòd si quis carnem eius drachmæ pondere cum melicrato bibat, medicamentum experietur vomitorium. Sæpe etiam per infernam aluum largiter subducit. Itaque quum hoc medicamento vtimur ad viscerum expurgationem, & maximè iecinoris, lienísque, ex oxycrato ipsum exhibere consueuimus. Gaudet verò vel maximè alioqui aceto ad actiones extrinsecas. Adeo enim efficax efficitur, vt & psoras, & lepras extergeat; & multò etiam D magis, quæ his sunt minora; lentes, vitiliginem, ionthos, ephelin, exanthemata, achoras; tum vlcerosa, & quæ crassi sunt succi omnia. Sed & cicatricibus decorem affert. Porrò quòd quum illinenda est lieni, præstet admixtam esse farinarum quampiam exiccantium, cuiusmodi est erui, ac lolij farina, id iam potius ad componendorum medicamentorum tractationem, haudquaquam ad præsens institutum pertinet; sed & in paratu facilibus ipsum dicetur. Verùm in præsens sufficit abstergentem, & incidentem cum astrictione quapiam propositi medicaminis dixisse facultatem, ac sic ad aliud transgredi. Cortex tamen eius E admodum astringit. Itaque & hunc quoque possis, vbi validę vsus est astrictionis, accommodare.

β'. Περὶ βαλσάμου.

ΒΑλσαμον, ξηραίνει, καὶ θερμαίνει κατὰ τὴν δευτέραν ἀπόστασιν. ἐστὶ δὲ καὶ λεπτομερὲς, ὡς ἀρωματίζειν. ὁ δὲ ὀπὸς αὐτοῦ λεπτομερεστέρας ἐστὶ δυνάμεως, ἢ καὶ αὐτὸ τὸ φυτόν. οὐ μὴν εἰς τοσοῦτόν γε θερμὸς, ὡς οἴονταί τινες, ὑπὸ τῆς λεπτομερείας ἐξαπατώμενοι. ὁ δὲ καρπὸς αὐτοῦ παραπλησίας μέν ἐστι κατὰ τὸ γένος δυνάμεως, ἀπολείπεται δὲ μακρὸν κατὰ τὸ λεπτομερές.

2. *De Balsamo.*

BAlsamum desiccat, & calefacit secundo excessu. Est autem & tenuium partium, adeo, vt odoratum sit. Sed liquor eius tenuiorum etiam partium est quàm ipsa planta, non tamen adeo calidus, vt quidam existimant, tenuitate partium falsi. Porrò fructus eius persimilis genere F facultatis est, cæterùm longè in tenuitate partium inferior.

γ'. Περὶ βαλαυστίου.

ΒΑλαύστιον μὲν, ἄνθος ἀγρίας ῥοιᾶς, οἷόν περ τῶν ἡμέρων, ὁ κύτινος. ἰσχυρῶς δὲ στύφει, τὴν γεῦσιν.

3. *De Balaustio.*

BAlaustiū flos est agrestis punicæ, sicut domesticarum Cytinus. Valenter gustum astringit.

Et

Et sanè desiccantis, & refrigerantis facultatis est, & nimirum etiam crassæ essentiæ, siquidem memores sumus eorum, quæ in quarto horum commentariorum sunt prodita; vbi ostendimus omne astringens, terrestre esse frigidum. Aliarum autem qualitatum nullius præ se fert indicium. Proinde ipsum quis censeat strenuè, & exiccare, & refrigerare. Siquidem non perperam in quarto horum voluminum terreis frigidis corporibus astringentem inesse qualitatem demonstratum est. Sanè verò, & euentus ipse comprobat. Nam si intertriginibus, & aliis vlceribus ipsum illinas, celerrimè illa videbis cicatricem contrahere. Hoc sanè nomine, & ad sanguinem reiicientes, & ad dysenteriam, tum ad ventris vterique profluuia, non est quispiam medicorum, qui curandi tractatus conscripsêre, qui hoc non vtatur medicamento.

A καὶ δὴ καὶ ξηραντικῆς, καὶ στυπτικῆς ἐστι δυνάμεως, καὶ δηλονότι καὶ παχυμεροῦς, εἴ γε μεμνήμεθα τῶν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένων, ἡνίκα ἐδείκνυμεν ἅπαν τὸ στῦφον, γεῶδες εἶναι ψυχρόν. οὐδεμιᾶς δὲ ἔμφασιν ἔχει ποιότητος ἑτέρας, καὶ διὰ τοῦτο ἄν τις αὐτὸ θείη, ξηραίνειν, καὶ ψύχειν οὐκ ἀγεννῶς. εἴγε δὴ μὴ κακῶς ἡμῖν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων ἐδείκνυτο, τοῖς γεώδεσι ψυχροῖς σώμασιν ὑπάρχειν ἡ στύφουσα ποιότης. ἀτὰρ οὖν καὶ τὰ φαινόμενα μαρτυρεῖ. καὶ γὰρ εἰ παρατρίμμασι, καὶ εἰ τοῖς ἄλλοις ἕλκεσιν ἐπιπάττοις αὐτό, τάχιστ' ἂν ἴδοις εἰς οὐλὴν ἰόντα, ταῦτά τοι κἀπὶ
B τῶν ἀναγόντων αἷμα δυσεντερικῶν, ἔτι τε τῶν κατὰ γαστέρα καὶ μήτραν ῥευμάτων, οὐκ ἔστιν ὅστις οὐ χρῆται τῷ φαρμάκῳ τούτῳ, τῶν τὰς θεραπευτικὰς πραγματείας γραψάντων ἰατρῶν.

---

4. *De bato Rubo.*

RVbi folia, germina, flos, fructus, & radix qualitatis astringentis participes sunt, eiusque non obscuræ. Sed hoc inter se differunt, quòd folia, ac præcipuè mollia, & recens nata plurimum in se habeant substantiæ aqueæ, paucum verò astrictionis; eadem ratione, & germina. Itaque si mandantur, aphthas & alia oris vlcera sanant. Quin & alia vulnera glutinare valent; est enim eorum temperies, & ex terrea frigida essentia, & aquea tepida. At fructus, siquidem maturus fuerit, non parum habet succi calidi temperati, qui dulcis est, vti monstrauimus. Itaque ob hoc, & modicam astrictionem, esui non insuauis est. At immaturus à frigida substantia terrea vincitur, ac proinde acerbus est, & valdè exiccatorius. Et sanè vterque siccatus reconditur, validius quàm recens desiccans. Sed & flos eandem vim fructui immaturo possidet. Vtraque ad dysenterias, & ventris profluuium, & imbecillitates, & sanguinis expuitionem idonea remedia. Porrò Radix præter astrictionem, non paucam habet substantiam in sese tenuem, per quam, & lapides renum comminuit.

δ΄. Περὶ βάτου.

Βάτου, καὶ τὰ φύλλα μὲν, καὶ οἱ βλαστοὶ, καὶ τὸ ἄνθος, καὶ ὁ καρπὸς, καὶ ἡ ῥίζα, στυπτικῆς μετέχουσι ποιότητος, οὐκ ἀσαφῶς. ἀλλήλων δὲ διαφέρουσιν ἐν τῷδε, τῷ, τὰ μὲν φύλ-
C λα, καὶ μάλιστα τὰ μαλακὰ καὶ νέα, πλείστου τοῦ ὕδατος μετέχοντα, βραχέως ἐστὶ στυπτικά. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ οἱ βλαστοὶ, ὥστε καὶ διαμασώμενοι ἄφθας τε, καὶ τἄλλα, τὰ ἐν τῷ στόματι, θεραπεύειν ἕλκη, καὶ μέντοι καὶ τἄλλα τραύματα δύναται κολλᾶν. ἔστι γὰρ ἡ κρᾶσις αὐτῶν, ἐκ γεώδους ψυχρᾶς οὐσίας, καὶ ὑδατώδους χλιαρᾶς. ὁ δὲ καρπὸς, εἰ μὲν εἴη πέπειρος, οὐκ ὀλίγου μετέχει, καὶ τοῦ συμμέτρως θερμοῦ χυμοῦ, γλυκέος ὑπάρχοντος, ὡς ἐδείξαμεν, ὥστε καὶ διὰ τοῦτό τε, καὶ τὴν μετρίαν στύψιν, ἐδώδιμος οὐκ ἀηδής ἐστιν. ὁ δὲ ἄωρος, ὑπὸ ψυχρᾶς γεώδους οὐσίας ἐπικρατεῖται, καὶ διὰ τοῦτο, στρυφνός τέ ἐστι καὶ ἰσχυρῶς ξηραντικός,
D καὶ μὲν δὴ καὶ ξηρανθεὶς ἑκάτερος ἀποτίθεται, ξηραντικώτερος ὢν τοῦ προσφάτου. καὶ τὸ ἄνθος δὲ τῆς αὐτῆς ἐστι τῷ ἀώρῳ καρπῷ δυνάμεως, εἰς δυσεντερίας, καὶ ῥεύματα γαστρὸς, καὶ ἀτονίας, καὶ τὰς τοῦ αἵματος πτύσεις, ἐπιτήδεια φάρμακα. ἡ δὲ ῥίζα, πρὸς τῷ στύφειν, ἔτι καὶ λεπτομεροῦς οὐσίας οὐκ ὀλίγης μετείληφε, δι' ἣν καὶ τοὺς ἐν τοῖς νεφροῖς διαθρύπτει λίθους.

---

5. *De Batrachio.*

BAtrachium quatuor habet speciatim differẽtias. Omnia verò vehementer acrem qualitatem possident, adeo vt cum dolore exulcerent. Hac ratione, si moderatè vtare, psoras, & lepras excoriant, & vngues diuellunt; tum leprosis stigmata digerunt, & acrochordonas, & myrmecias detrahunt. Quin & alopecias iuuant pauco tempore admota; nam si diutius inhæreant, non excoriatur solum ipsa cutis, sed & in crustam vritur. Atque hæc omnia caulis, & foliorum sunt opera, si imponas virentia. Porro radix arefacta sternutationem prouocat, similiter aliis omnibus, quæ valenter desiccant. Sed & dentes dolentes iuuat, vt & frangat eos, valenti scilicet exiccatione. Et vt semel dicam, calida, & sicca valdè est tum radix, tum vniuersa adeo herba.

ε΄. Περὶ βατραχίου.

Βατράχιον, τέσσαρας μὲν ἔχει τὰς κατ' εἶδος διαφο-
E ράς. πάντα δὲ, δριμείας ἰσχυρῶς ἐστι δυνάμεως, ὡς ἑλκοῦν μετὰ πόνου. ταῦτ' ἄρα συμμέτρως χρωμένῳ, καὶ ψώρας, καὶ λέπρας ἀποδέρει, καὶ ὄνυχας ἀφίστησι, τοῖς λεπροῖς, καὶ στίγματα διαφορεῖ, καὶ ἀκροχορδόνας, καὶ μυρμηκίας ἀφαιρεῖ. καὶ μέντοι καὶ ἀλωπεκίας ὠφελεῖ, πρὸς ὀλίγον χρόνον ἐπιτεθέντα. χρονιζόντων γὰρ, οὐκ ἐκδέρεται μόνον, ἀλλὰ καὶ ἐσχαροῦται τὸ δέρμα. ταυτὶ μὲν οὖν ἅπαντα, τοῦ καυλοῦ, καὶ τῶν φύλλων ἔργα, χλωρῶν καταπλαττομένων. ἡ δὲ ῥίζα ξηρανθεῖσα, πταρμικόν ἐστι φάρμακον, ὁμοίως τοῖς ἄλλοις ἅπασι, τοῖς ἰσχυρῶς ξηραίνουσι. καὶ ὀδόντων δὲ ὀδύνας ὠφελεῖ, μετὰ τοῦ θραύειν
F αὐτούς, τῷ ξηραίνειν ἰσχυρῶς δηλονότι. καὶ συνελόντι φάναι, θερμὴ καὶ ξηρὰ σφοδρῶς ἐστιν, ἥ τε ῥίζα, καὶ ἡ σύμπασα πόα.

---

6. *De Bdellio.*

BDellium, quod Scythicum nominant, quod sanè, & atrius est, & resinosum, magis emol-

ϛ΄. Περὶ βδελλίου.

Βδέλλιον, τὸ μὲν Σκυθικὸν ὀνομαζόμενον, ὃ δὴ καὶ μελάντερόν ἐστιν, καὶ ῥητινωδέστερον, μαλακτικῆς ἐστιν

ἱκανῶς, καὶ δραστηρίου δυνάμεως. τὸ δ' ἕτερον, τὸ Ἀραβικὸν, ὃ δὴ καὶ διαυγέστερόν ἐστι, μᾶλλον ξηραίνει τῶν μαλακτικῶν. ὅσον οὖν ἐστι νέον αὐτοῦ, καὶ ὑγρόν ἐστι, καὶ κοπτόμενον μαλάττεται ῥᾳδίως, ἐπιτήδειον εἰς ὅσα περ καὶ τὸ Σκυθικόν. ὅσον δὲ παλαιότερόν τέ ἐστι, καὶ πικρὸν ἱκανῶς ἐν τῇ γεύσει, καὶ δριμὺ, καὶ ξηρὸν, ἐκπέπτωκεν ἤδη τούτου τῆς τῶν μαλαττόντων τὰ σκιρρούμενα συμμετρίας. χρῶνται δ' αὐτοῖς τινες, καὶ μάλιστα τῷ Ἀραβικῷ, ἐπί τε βρογχοκηλῶν καὶ ὑδροκηλῶν, ἀσίτῳ πτυέλῳ διαλύοντες, ὡς ἐμπλαστρώδη σύστασιν ἔχειν. τὸ δὲ Ἀραβικὸν, καὶ τοὺς ἐν νεφροῖς λίθους δοκεῖ θρύπτειν πινόμενον, οὖρά τε προτρέπειν, καὶ τὰς τῶν ἀπέπτων πνευμάτων διαδρομὰς ἐξιᾶσθαι, καὶ πόνους πλευρῶν, καὶ ῥήγματα.

A lientis admodum, & efficacis facultatis est. At alterum, nempe Arabicum, quod dilucidius est, magis desiccat, quàm emollientia. Igitur recens, & humidum est, & contusum facilè mollescit, ad omnia, ad quæ Scythicum, idoneum; at quod antiquius est, & admodum gustu amarum, & acre, & siccum, ab eorum, quæ indurata molliunt, mediocritate excidit. Vtuntur autem quidam illis, & potissimum Arabico, & ad bronchocelas, & hydrocelas, saliua matutina ieiunáque subigentes, vt emplastri consistentiam accipiat. Porrò arabicum, & calculos renum in potu sumptum frangere apparet; B tum vrinas ciere, & crudorum flatuum discursus; præterea laterum dolores, & rupturas persanare.

ζ'. Περὶ βηχίου.

Βήχιον ὠνόμασται μὲν οὕτως, ἀπὸ τοῦ πεπιστεῦσθαι βῆχάς τε καὶ ὀρθοπνοίας ὠφελεῖν, εἴ τις, ἤτοι τὰ φύλλα ξηρὰ λαβὼν, ἢ τὴν ῥίζαν ἐπ' ἀνθράκων θυμιάσας, εἰσπνέοι τὴν ἀναφερομένην λιγνύν. ἔστι δὲ δριμεῖα συμμέτρως, ὥστε καὶ ῥήσσειν ἀλύπως πεπιστεῦσθαι τὰ κατὰ τὸν θώρακα πάντα ἀποστήματα. τὰ μὲν δὴ χλωρὰ φύλλα, καὶ τὰ φλεγμαίνοντα μόρια δυσπέπτως ὀνίνησιν ἔξωθεν καταπλασσόμενα, διὰ τὴν ἐπιμιξίαν τῆς ὑδατώδους ὑγρότητος, ἧς ἅπαντα τὰ χλωρὰ καὶ ἁπαλὰ, τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον μετέχει. τὰ γὰρ ἤδη ξηρὰ φύλλα τοῦ βηχίου, δριμυτέρας ἐστὶν, ἢ κατὰ τὰ φλεγμαίνοντα δυνάμεως.

7. *De Bechio tussilagine.*

Bechium inde adeo sic nuncupatum est, quòd bechas hoc est tusses, & orthopnœas, iuuare sit creditum, siquis folia arida, aut radicem in prunis vrens ascendentem inde fuliginem inspiratu attrahat. Est autem modicè acris, vt sine molestia noxáve omnes thoracis abscessus credita sit rumpere. Sanè folia virentia partes cruda phlegmone C obsessas illitu extrinsecus adiuuant, nempe ob aqueæ humiditatis admixtionem, quam omnia viridia teneráque obtinent, alia plus, alia minùs; nam sicca bechij folia acriora sunt, quàm vt phlegmonis conueniant.

η'. Περὶ βλίτου.

Βλίτον ἐδώδιμόν ἐστι λάχανον, ὑγρὸν, καὶ ψυχρὸν τῇ κράσει, ἐν τῇ δευτέρᾳ μάλιστα τῶν εὐκράτων ἀποστάσει.

8. *De Blito.*

Blitũ olus est esculentũ, humidæ frigidæq; tẽperiei, in secundo maximè excessu à tẽperatis.

θ'. Περὶ βολβοῦ ἡμέρου.

Βολβὸς ἐσθιόμενος μὲν, ψυχρότερός τ' ἐστὶ, καὶ παχύτερος, καὶ γλίσχρου χυμοῦ γεννητικός. καὶ γὰρ δύσπεπτός τ' ἐστὶ, καὶ φυσώδης, καὶ ἀφροδισιαστικός. ἐπιπλαττόμενός γε, διὰ τὸ πικρότητός τε ἅμα καὶ στύψεως μετέχειν, ῥυπτικός τε, καὶ κολλητικός γίνεται, καὶ δηλονότι ξηραντικός. ἐδείχθη γὰρ, ὡς ἡ μὲν πικρότης, ἐν ταῖς ῥυπτικαῖς οὐσίαις ἐστίν. ἡ δὲ στύψις, ἐν ταῖς κολλητικαῖς, ἡ δὲ ξηρότης ἀμφοτέραις ἠκολούθηκεν.

D

9. *De Bulbo satiuo.*

Bulbus esculentus quidem frigidiorem, & crassiorem lentúmque succum procreat. Nam & coctu difficilis est, & flatuosus, & venerem prouocans. Attamen illitus ob amarorem simul, & astrictionem abstergit simul, & glutinat, & nimirum etiam exiccat. Est enim ostensum amarorem in extergentibus esse substantiis, astrictionẽ verò in glutinantibus. At siccitas vtramq; consequitur.

ι'. Περὶ βολβοῦ ἐμετικοῦ.

Βολβὸς ἐμετικὸς, θερμότερός ἐστι πολὺ τῆς τοῦ προειρημένου βολβοῦ κράσεως.

10. *De Bulbo Vomitorio.*

E Bulbus Vomitorius multo est calidioris temperiei, quàm superior.

ια'. Περὶ βουβωνίου.

Βουβώνιον ἢ ἀστὴρ Ἀττικὸς, ὠνόμασται μὲν ἀπὸ τοῦ πεπιστεῦσθαι βουβῶνας ἰᾶσθαι, καταπλαττόμενόν τε, καὶ περιαπτόμενον. ἔστι δὲ διαφορητικῆς μετρίως δυνάμεως, ὅτι καὶ θερμόν ἐστι μετρίως, καὶ οὐ σφοδρῶς, οὐδὲ συντατικῶς ξηραίνει, καὶ μάλιστα ὅταν ἔτι μαλακὸν ᾖ, καὶ νέον.

11. *De Bubonio.*

Bubonium, aut Aster Atticus, nuncupatum est ita, quia creditum est bubonas sanare, tum illitum, tum inguini alligatum. Est autem mediocriter digerentis facultatis, quia videlicet & modicè calidum est; nec vehementer, nec ita desiccat, vt contendat, maximè quum etiamnum molle, ac recens fuerit.

F

ιβ'. Περὶ βουγλώσσου.

Βούγλωσσον, ὑγρὸν καὶ θερμόν ἐστι τὴν κρᾶσιν, ὅθεν καὶ τοῖς οἴνοις ἐμβαλλόμενον, εὐφροσύνης αἴτιον εἶναι πεπίστευται. ἁρμόζει δὲ καὶ τοῖς διὰ τραχύτητα φάρυγγος βήττουσιν, ἐν μελικράτῳ ἀφεψόμενον.

12. *De Buglosso.*

Buglossum humidæ calidæque temperiei est. Itaque vinis iniectum lætitiæ, ac hilaritatis causa esse creditum est. Sed & iis, qui ob pharyngis asperitatem tussiunt, coctum in melicrato conuenit.

A

13. *De Bunio.*

BVnium, alij Arcticum, adeo calefacit, vt & vrinam moueat, & menses prouocet. Sed & Pseudobunium similis illi caliditatis est.

14. *De Buphthalmo.*

BVphthalmum sic appellatum est à floribus, qui figura quidem boum oculis videantur assimiles, colore autem anthemidis floribus simillimi sunt, sed multo tum maiores, tum acriores. Proinde & vehementiùs digerunt, adeo vt & duritias sanent, cerato mixti.

15. *De Brathy sabina.*

SAbina ex numero est fortiter exiccantium, idque secundum tres qualitates, quas in gustu præ se fert, similiter vt cupressus, nisi quòd ea & acrior est, & vt sic dixerim, odoratior. Igitur huius, quam modò dixi qualitatis est particeps, nempe acrimoniæ consistentis in temperamento calido, præterea amaroris, & astrictionis obscurioris, quàm in cupresso: quantum enim ipsa cupressum superat in acrimonia, tantum ab ipso superatur in astrictione. Quo manifestum est, quòd omnino calidior est cupresso & ob id etiam potentiùs digerit. Itaque glutinare nequit vulnera ob siccitatis, & caliditatis robur; nam illi tantum vtriusque inest, vt etiam contendat, & inflammationem afferat: At putredinibus similiter, vt cupressus accommodari potest, maximè vbi rebelliores fuerint, & diuturniores; nam hæ citra noxam vim medicamenti perferunt. Quin & quæ atra sunt reddita, & admodum sordida, ea cum melle expurgat. Carbunculos item soluit. Porrò partium tenuitate menses quoque prouocat, vt siquid aliud; & sanguinem per vrinas mouet. Fœtum etiam viuentem interficit, & mortuum educit. Esto autem hoc medicamentum tertij ordinis, tum calefacientium, tum desiccantium, ex numero eorum, quæ vel maximè tenuium sunt partium. Et hoc vtique nomine vnguentis inditur, & maximè gleucino, & in multas antidotos iniicitur. Quidam verò etiam cinnamomi vice duplum eius subiiciunt. Est enim extenuandi, & digerendi facultatis, si epotum fuerit.

16. *De Britanica.*

BRitanicæ herbæ folia astringentia sunt, & vulnerum glutinatoria, similia agrestium lapathorum foliis, nisi quatenus acriora sunt, & hirsutiora. Sed & expressus ex illis succus perinde natus est astringere; itaque coctum quidam reponunt tanquam inter ori dicata medicamenta efficacissimum. Videtur enim sanare iam etiam putrescentia.

17. *De Bromo.*

BRomus vnum est ex leguminibus; verùm vt medicamentum, similem hordeo vim obtinet. Nam illitum desiccat, & digerit mediocriter, & sine morsu. Temperiem autem habet paulo frigidiorem. Nonnihil etiam astrictionis obtinet, vt ventris profluuia iuuet.

ιγ'. Περὶ βουνίου.

ΒΟύνιον, οἱ δὲ ἀρκτικόν, τῶν θερμαινόντων ἐστὶν εἰς τοσοῦτον, ὡς οὐρητικόν τε εἶναι, καὶ καταμηνίων ἀγωγόν. καὶ τὸ ψευδοβούνιον δὲ, παραπλησίως αὐτῷ θερμόν ἐστιν.

ιδ'. Περὶ βουφθάλμου.

ΒΟύφθαλμον ὠνόμασται μὲν οὕτως ἀπὸ τῶν ἀνθῶν ἐοικέναι δοκούντων κατὰ τὸ σχῆμα βοὸς ὀφθαλμῷ, ἐπεί τε
B τήν γε χρόαν τοῖς τῆς ἀνθεμίδος ἐστὶν ὁμοιότατα. μείζω δ' ἐστὶν αὐτῶν συχνῷ καὶ δριμύτερα, καὶ διὰ τοῦτο, καὶ διαφορητικώτερα, μέχρι τοῦ καὶ σκληρείας ἰᾶσθαι μιγνύμενα κηρωτῇ.

ιε'. Περὶ βράθυος.

ΒΡάθυ τῶν ἰσχυρῶς ξηραινόντων ἐστὶ, κατά γε τὰς τρεῖς ποιότητας, ἃς καὶ τῷ γεύεσθαι διασημαίνει, παραπλησίως κυπαρίσσῳ, πλὴν ὅτι δριμύτερον αὐτῆς ἐστι, καὶ ὡς ἂν εἴποι τις ἀρωματικώτερον. αὐτῆς τε οὖν ταύτης μετέχει τῆς ποιότητος, ἧς εἴρηκα νῦν τῆς δριμείας, ἐπὶ
C θερμῇ κράσει συνισταμένης, ἔτι τε πικρότητός τε, καὶ στύψεως ἀμυδροτέρας, ἢ κατὰ κυπάρισσον. ὅσον γὰρ ἐν δριμύτητι πλεονεκτεῖ κυπαρίσσου, καὶ διὰ τοῦτο καὶ διαφορητικώτερον. κολλῆσαι μὲν οὖν οὐ δύναται διὰ ῥώμην ξηρότητος, καὶ θερμότητος. εἰς τοσοῦτον γὰρ ἀμφοῖν τούτων μετείληφεν, ὡς ἤδη συντατικὸν, καὶ φλογῶδες ὑπάρχειν. εἰς δὲ τὰς σηπεδόνας, ὁμοίως ἁρμόττει κυπαρίσσῳ, καὶ μάλισθ' ὅσαι κακοηθέστεραί τ' εἰσὶ, καὶ χρονιώτεραι. φέρουσι γὰρ ἀλύπως αὗται τὴν ἰσχὺν τοῦ φαρμάκου. καὶ τοίνυν, καὶ τὰ μεμελασμένα, καὶ τὰ λίαν ῥυπαρὰ μετὰ μέ-
D λιτος ἀποκαθαίρει, καὶ ἄνθρακας ἀπολύει. διὰ δὲ τὴν λεπτομέρειαν, καὶ καταμηνίων ἐστὶν ἀγωγὸν, εἴπερ τι καὶ ἄλλο, καὶ δι' οὔρων αἷμα κινεῖ, καὶ τὰ ζῶντα τῶν ἐμβρύων διαφθείρει, τὰ νεκρὰ δ' ἐκβάλλει. κείσθω δὴ καὶ τοῦτο τὸ φάρμακον ἐν τῇ τρίτῃ τῶν ἀποστάσεων, κατά τε τὸ θερμαῖνον, καὶ τὸ ξηραῖνον, ἐν τοῖς μάλιστα λεπτομερέσιν ὑπάρχον. ταῦτ' ἄρα καὶ μύροις μίγνυται, καὶ μάλιστα τῷ γλευκίνῳ, καὶ εἰς ἀντιδότους ἐμβάλλεται παμπόλλας. ἔνιοι καὶ ἀντὶ κινναμώμου διπλάσιον αὐτὸ βάλλουσι, λεπτυντικῆς τε γάρ ἐστι, καὶ διαφορητικῆς, εἰ ποθείη, δυνάμεως.

E

ις'. Περὶ βρετανικῆς.

ΒΡετανικῆς τῆς πόας ἐστὶ μὲν, καὶ τὰ φύλλα στυπτικά τε, καὶ κολλητικὰ τραυμάτων, ὅμοια τοῖς τῶν ἀγρίων ὄντα λαπάθων, πλὴν ὅσον μελάντερά τε, καὶ δασύτερα φαίνεται. ἔστι δὲ ὁ ἐξ αὐτῶν χυλὸς ὁμοίως στυπτικὸς, ὥστε καὶ ἕψοντες αὐτὸν ἀποτίθενταί τινες, ὡς δραστικώτατον τῶν στοματικῶν φαρμάκων. ἰᾶσθαι γὰρ δοκεῖ, καὶ τὰ ἤδη σηπόμενα.

F

ιζ'. Περὶ βρόμου.

ΒΡόμος ἐστὶ μὲν ἕν τι τῶν ὀσπρίων, ἀλλ' ὡς φάρμακον ὁμοίαν ἔχει δύναμιν κριθῇ. καταπλασσόμενον γὰρ ξηραίνει, καὶ διαφορεῖ μετρίως τε, καὶ ἀδήκτως. ἔστι δὲ καὶ ψυχρότερον ἀτρέμα τῇ κράσει, καί τι καὶ στύψεως ἔχων, ὥστε καὶ τὰς κατὰ γαστέρα διαρροίας ὠφελεῖν.

A

ιη'. Περὶ βρύου.

Βρύον θαλάττιον σύνθετόν ἐστιν, ἐκ γεώδους τε ἅμα, καὶ ὑδατώδους οὐσίας ἀμφοτέρων ψυχρῶν. στύφει τε γὰρ γευόμενον, καὶ πάνθ' ὅσα θερμὰ, καταπλαττόμενον ἐναργῶς ἐμψύχει τε καὶ ὠφελεῖ.

18. *De Bryo Alga.*

ALga composita est ex terrena, & aquea essentia, vtraque frigida. Siquidem & gustum astringit, & calidis quibusuis illitum, ea euidenter refrigerat, & adiuuat.

ιθ'. Περὶ βρύου, ἢ καὶ σπλάγχνου.

Βρύον, ἔνιοι δὲ σπλάγχνον. εὑρίσκεται μὲν ἐπὶ δρυσί, καὶ πεύκαις, καὶ λεύκαις. ἔχει δὲ καὶ δύναμιν στυπτικὴν οὐκ ἰσχυράν. οὐδὲ γὰρ ψυχρόν ἱκανῶς ἐστιν, ἀλλ' ἐγγύς πως τοῖς μέσοις, ὅτι καὶ διαφορητικῆς τε καὶ μαλακτικῆς μετείληφε δυνάμεως, καὶ μάλιστα τὸ ἐπὶ κεδρίνων εὑρισκόμενον ξύλων.

19. *De Bryo musco.*

MVscus, quidã verò Splãchnũ. Inuenitur autẽ in quercubus, & piceis, & populis albis. B Vim habet astringentẽ inualidã. Nec enim multũ est frigidũ sed proximè ferme mediis, quia videlicet, & digerendi, & molliendi facultatis est particeps, maximè quod in cedrinis lignis reperitur.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

α'. Περὶ γαλλίου.

Γάλλιον, ὠνόμασται μὲν ἀπὸ τοῦ τὸ γάλα πηγνύναι. παραπλήσιον δ' ἐστὶν ἀπαρίνῃ, δύναμιν ἔχον ξηραντικὴν, καὶ ὑπόδριμυν. τὸ δὲ ἄνθος αὐτοῦ, πρὸς αἱμορραγίας ἁρμόττειν δοκεῖ, καὶ πυρίκαυστα ἰᾶσθαι. ἔστι δὲ εὔοσμόν τε, καὶ τῇ χροιᾷ μήλινον.

CAPVT III.

1. *De Gallio.*

GAllium inde adeo nomen sortitum est suum, quod lac coagulet. Assimile autem est Aparinæ, facultatem obtinens exiccatoriam, & subacrem. Flos eius sanguinis profluuiis competere C videtur, & combustis mederi. Est autem boni odoris, & coloris lutei.

β'. Περὶ γεντιανῆς.

Γεντιανή· ταύτης τῆς πόας ἡ ῥίζα δραστήριος ἱκανῶς ἐστιν, ἵνα χρὴ λεπτῦναί τε καὶ ἀποκαθῆραι, καὶ ἀπορρύψαι, καὶ ἐκφράξαι, καὶ οὐδὲν θαυμαστὸν εἰ ταῦτα δύναται, πικρὰ σφοδρῶς ὑπάρχουσα.

2. *De Gentiana.*

GEntiana. Huius herbæ radix multum est efficax, quum opus est extenuatione, purgatione, abstersione, obstructionis liberatione. Nec mirum si hæc possit, quum impensè sit amara.

γ'. Περὶ γιγάρτων.

Γίγαρτα, ξηρὰ μὲν ἐστι κατὰ τὴν δευτέραν τάξιν, ψυχρὰ δὲ κατὰ τὴν πρώτην. ἡ δ' οὐσία παχυμερὴς αὐτῶν ἐστι, καὶ γεώδης, ὡς τῇ γεύσει δηλοῦται, στρυφνὰ γὰρ φαίνεται, καὶ ἡ πεῖρα διδάσκει. πᾶσι γὰρ τοῖς κατὰ γαστέρα πάθεσι τοῖς ῥοώδεσιν, ἱκανῶς ἁρμόττει.

3. *De Gigartis, acinorum vuæ nucleis.*

D ACinorũ vuæ nuclei ex secundo ordine sunt exiccantium, refrigerantium verò primo. Substantia eorum crassarum partium est, & terrena; cui gustus indicio est, nimirum quum acerbi appareant. Quin & experientia comprobat. Nam omnibus ventris cum profluuio iunctis affectibus impendio conferunt.

δ'. Περὶ γιγγιδίου.

Γιγγίδιον, ὥσπερ τῇ γεύσει πικρότητός τε, καὶ στύψεως μετέχει, οὕτως καὶ τῇ κράσει θερμότητός τε, καὶ ψύξεως. ξηραντικὸν δ' ἐστὶν κατ' ἀμφοτέρας τὰς ποιότητας. καὶ μέντοι καὶ εὐστόμαχον, ὅτι στύψεως οὐκ ὀλίγης μετείληφε. θερμασίαν μὲν οὖν, οὐ πάνυ τι σαφῆ κέκτηται. ξηραίνει δὲ κατὰ τὴν δευτέραν ἀπόστασιν.

4. *De Gingidio.*

GIngidium, sicut gustu amarorẽ, & astrictionẽ præfert, sic temperie quoque ipsa caliditatem, & frigiditatem. Secundum vtranque verò E qualitatẽ desiccatorium est. Sed enim stomacho amicũ est, vtpote non paruam obtinens astrictionem. Quamobrem non admodũ conspicuam caliditatem possidet; secundo autẽ recessu desiccat.

ε'. Περὶ γλαυκίου.

Γλαύκιον, στύφει μετά τινος ἀηδίας, ἀλλὰ καὶ ψύχει σαφῶς οὕτως, ὥστε θεραπεύειν μόνον ἐρυσιπέλατα πολλάκις, ὅσα γε μὴ ἰσχυρά. καὶ ἔστιν ἡ κρᾶσις αὐτοῦ σύνθετος ἐξ ὑδατώδους τε καὶ γεώδους οὐσίας, ψυχρῶν μὲν ἀμφοῖν, οὐ μὴν ἄκρως, ἀλλ' οὕτως ὡς ὕδωρ κρηναῖον.

5. *De Glaucio.*

GLaucium astringit cum quadam insuauitate. Tum adeo manifestè refrigerat, vt solùm sæpè erysipelata, vtique si valentia non fuerint, curare possit. Mixtura eius composita est ex aquea F terreáque substantia, vtraque sanè frigida, verùm non summè, sed ceu aqua fontana.

ϛ'. Περὶ γλαυκός.

Γλαὺξ ἡ πόα· καὶ αὐτὴ γάλακτος εἶναι δοκεῖ γεννητική. καὶ εἴπερ τοῦτο οὕτως ἔχει, θερμὴ ἄν πως εἴη, καὶ ὑγρὰ τὴν κρᾶσιν.

6. *De Glauce.*

GLaux herba. Et ipsa lactis generandi vim obtinere videtur. Quòd si sit, calida quodammodo, humidáque temperamento fuerit.

7. De

7. De Glico, Pulegio.

PVlegium. Et hæc herba, quãdoquidem acris, & subamara est, valde tum calefacit, tum extenuat. Porrò quòd calefaciat, abundè magnum est indicum, quòd illa lubrificat; & siquis diutius toleret, exulcerat quoque. Quòd verò extenuet, satis indicat, quum humida crassa, & lenta, ex thorace, & pulmone excreatu facilia faciat, mensésque moueat.

8. De Glæo, strigmentis balneorum.

GLœos modicè emolliendi vim obtinet.

9. De Glycyrhiza, dulci radice.

GLycyrhiza. Huius fruticis radicum succus in primis vtilis est, similiter vt eius radices, dulcis simulque leuiter adstringens. Proinde asperitates lenire potest, nec modò in arteria, verùm etiam vesica scabra, idq; temperiei mediocritate. Quocirca fuerit sanè natura eius familiaris nostræ temperiei; nam tale monstratum est esse dulce: sed quum adstrictio quædam adiuncta sit, vniuersum eius temperamentum quantum ex caliditate, & adstrictione est, tepidæ potissimum caliditatis fuerit, quàm proximè accedens ad temperamentum. Porrò quoniam temperie quoque est humidum id quod modicè est dulce, iure sanè etiam siti congruens medicamentum est, nimirum modicè humidum, simul & humana natura frigidius. Refert Dioscorides radicem siccam ad læuorem redactam, pterygiorum *vnguium oculorum* idoneum esse illitu remedium.

10. De Glycyside, Pæonia.

GLycysida, quam pentorobon & pæoniam nuncupant, radicem habet leuiter adstringentem cum quadam dulcedine; ac si plusculum dentibus mandas, acrimoniam item quampiam subamaram subesse percipies. Proinde menses ciet ex melicrato, amygdali pota quantitate; sanè tundere eam necesse est, ac ita cribratam inspergere. Expurgat porrò etiam iecur obstructum, & renes; sed hæc efficere nata est, qua acris, & subamara est; qua verò quiddam etiam adstrictorium obtinet, in ventre prouenientes fluxiones sistere potest; cæterùm eam tunc in austerorum vinorum quopiam decoctam potare conuenit. Est porrò omnino resiccatoria. Eapropter haud desperauerim, eam (quod merito creditũ est) ex collo pueris suspensam comitialem morbum sanare. Equidem vidi puellum quandoque octo totis mensibus morbo comitiali liberum, ex quo hanc radicẽ gestauit; ac postea fortè fortuna quum, quod à collo suspensum erat, decidisset, protinus denuo cõuulsione correptum; rursusque suspenso in locũ illius alio, inculpatè postea egisse. Porrò visum est mihi satius esse rursũ id collo detrahere, certioris experiẽtiæ gratia. Id quum fecissem, ac puer iterũ esset cõuulsus, magnã recẽtis radicis partẽ ex collo eius suspendimus; ac deinceps prorsũ sanus effectus est puer, nec postea conuulsus est. Rationabile itaque erat, aut partes quaspiã à radice defluentes, ac deinde per inspirationem attractas, affectos ita locos curare; aut aërẽ à radice assiduè mutari, & alterari.

A

ζʹ. Περὶ γλήχωνος.

Γλήχων, καὶ αὕτη ἡ πόα ὡς ἂν δριμεῖά τε καὶ ὑπόπικρος οὖσα, θερμαίνει τε, καὶ λεπτύνει σφοδρῶς. ἱκανὸν δὲ τεκμήριον, τοῦ μὲν θερμαίνειν, ὅτι καταπλαττομένη, φοινίσσει. καὶ εἰ ἐπιμείνοι ἐπὶ πλέον, ἑλκοῖ· τοῦ δὲ λεπτύνειν, ὅτι τά τ' ἐκ θώρακος, καὶ πνεύμονος ὑγρὰ παχέα καὶ γλίσχρα, ῥᾳδίως ἀναπτύεσθαι ποιεῖ, καὶ καταμήνια προτρέπει.

B

ηʹ. Περὶ γλοιοῦ.

Γλοιός, μετρίως ἐστὶ καὶ μαλακτικός.

θʹ. Περὶ γλυκυῤῥίζης.

Γλυκύῤῥιζα. τούτου τοῦ θάμνου τῶν ῥιζῶν ὁ χυλὸς, μάλιστ' ἐστὶ χρήσιμος, ὁμοίως ταῖς ῥίζαις αὐτοῦ γλυκὺς ὑπάρχων, ἅμα βραχείᾳ τινὶ στύψει. διὸ καὶ τραχύτητας ἐκλεαίνειν πέφυκεν, οὐκ ἐν ἀρτηρίᾳ μόνον, ἀλλὰ καὶ ἐν ψωρώδει κύστει, τῷ μετρίῳ τῆς κράσεως. εἴη μὲν οὖν ἡ φύσις αὐτοῦ οἰκεία τῆς ἡμετέρας κράσεως, τοιοῦτον γὰρ ἐδείχθη τὸ γλυκύ. C προσούσης δέ τινος καὶ στύψεως, ἡ σύμπασα κρᾶσις αὐτῆς, ὅσον ἐπὶ θερμότητι, καὶ στύψει, κατὰ τὴν χλιαρὰν μάλιστα ἂν εἴη θερμασίαν, ἔγγιστα τοῦ συμμέτρου. ἐπεὶ δὲ καὶ ὑγρόν ἐστι τῇ κράσει τὸ μετρίως γλυκύ, δεόντως ἄδιψόν ἐστι τὸ φάρμακον, ὑγρόν τε ἅμα μετρίως, καὶ ψυχρότερον ὑπάρχον τῆς ἀνθρώπου φύσεως. φησὶ δ' ὁ Διοσκουρίδης τὴν ῥίζαν ξηρὰν λεανθεῖσαν, πτερυγίων ἐπιτήδειον γίνεσθαι καταπάστον φάρμακον.

D

ιʹ. Περὶ γλυκυσίδης.

Γλυκυσίδην, ἣν καὶ πεντόροβον ὀνομάζουσι, καὶ παιονίαν, ῥίζαν ἀτρέμα στύφουσαν ἔχει μετά τινος γλυκύτητος, ἐπὶ πλέον δὲ μασωμένη, καὶ δριμύτητος ὑποπίκρου. ταῦτ' ἄρα, καταμήνιά τε κινεῖ, μέγεθος ἀμυγδάλου σὺν μελικράτῳ πινομένη. κόπτειν δὲ δηλονότι χρὴ, καὶ διαττᾶν αὐτὴν, καὶ οὕτως ἐπιπάττειν. ἐκκαθαίρει δὲ καὶ ἧπαρ ἐμπεφραγμένον, καὶ νεφρούς. ἀλλὰ ταῦτα μὲν, ᾗ δριμεῖά τέ ἐστι, καὶ ὑπόπικρος, ἐργάζεσθαι πέφυκεν, ᾗ δ' ἔχει τι καὶ E στυπτικὸν, ἵστησι τὰ κατὰ τὴν γαστέρα ῥεύματα. χρὴ δ' αὐτὴν ἐν οἴνῳ τηνικαῦτα τῶν αὐστηρῶν τινι καθεψήσαντα πίνειν. ὅλως δὲ ξηραντικὴ τὴν δύναμίν ἐστιν ἰσχυρῶς, ὥστ' οὐκ ἂν ἀπελπίσαιμι, καὶ περιαπτομένην αὐτὴν εὐλόγως πεπιστεῦσθαι παιδίων ἐπιληψίας ἰᾶσθαι. καὶ οἶδά γέ ποτε, παιδίον ὀκτὼ μησὶ μηδ' ὅλως ἐπιληφθὲν ἐξ ὅτου τῆς ῥίζης ἐφόρει, ὡς δ' ἀπέρρυει πως ἀπὸ τοῦ τραχήλου τὸ περίαπτον, εὐθὺς ἐπελήφθη. καὶ αὖθίς τε περιαφθέντος ἑτέρου, πάλιν ἀμέμπτως εἶχεν. ἔδοξε δέ μοι κάλλιον εἶναι, καὶ αὖθις ἀφελεῖν αὐτὸ, πείρας ἕνεκα, καὶ οὕτω πράξαντες, F ἐπειδὴ πάλιν ἐσπάσθη, μέγα τε καὶ πρόσφατον μέρος τῆς ῥίζης ἐξηρτήσαμεν αὐτοῦ τοῦ τραχήλου, κἀντεῦθεν ἤδη τοῦ λοιποῦ, τελέως ὑγιὴς ἐγένετο ὁ παῖς, καὶ οὐκέτ' ἐπελήφθη. εὔλογον οὖν ἦν, ἢ ἀποῤῥέοντά τινα τῆς ῥίζης μόρια, κἄπειτα διὰ τῆς εἰσπνοῆς ἑλκόμενα, θεραπεύειν οὕτω τοὺς πεπονθότας τόπους, ἢ καὶ τοῦ ἀέρος αὐτοῦ τρεπομένου καὶ ἀλλοιουμένου πρὸς τῆς ῥίζης.

οὕτω γάρ τοι καὶ ὁ Κυρηναῖος ὀπὸς, ὀνίνησι γαργαρεῶνα φλεγ- A
μαίνοντα, καὶ τὸ πεφρυγμένον μελάνθιον ἐναργῶς ξηραίνει κα-
ταῤῥόους, καὶ κορύζας, εἴ τις δήσας αὐτὸ θερμὸν, εἰς ὀθόνιον ἀραιὸν,
ἐπισπῷτο συνεχῶς τὴν ἐξ αὐτοῦ θερμότητα διὰ τῆς κατὰ τὰς
ῥῖνας εἰσπνοῆς. καὶ μὴν δὴ εἰ λίνα πλείονα, καὶ μάλιστα ἀπὸ
θαλασσίας πορφύρας περιβαλὼν ἐχίδνης τραχήλῳ πνίξειας
αὐθις τὴν ἔχιδναν, εἶτα περιάπτοις ἕκαστον τῶν λίνων τῷ
τραχήλῳ, θαυμαστῶς ὀνίνησι παρίσθμιά τε, καὶ ὅσα περὶ
τράχηλον ἐκβλαστάνει. περὶ μὲν οὖν τῶν τοιούτων, κἂν ἰδίᾳ ποτὲ
διέλθοιμι. τῆς δὲ παιονίας τὴν κρᾶσιν ἰστέον εἶναι λεπτομερῆ τε,
καὶ ξηραντικὴν, οὐ μὴν ἐπιφανῶς γε θερμὴν, ἀλλ' ἤτοι B
σύμμετρον, ἢ βραχεῖ τινι θερμοτέραν.

ια'. Περὶ γναφαλίου.

ΓΝαφάλιον. ὠνόμασται μὲν οὕτως ἀπὸ τοῦ φύλλοις αὐτοῦ μαλακοῖς οὖσιν, ἀντὶ γναφάλων χρῆσθαι. ἔστι δὲ λευκὰ, καὶ μετρίως στύφοντα, καὶ διὰ τοῦτο, τινὲς αὐτὸ διδόασι δυσεντερικοῖς, μετά τινος τῶν αὐστηρῶν οἴνων.

ιβ'. Περὶ γογγυλίδος. C

ΓΟγγυλίδος τὸ σπέρμα, πρὸς ἀφροδίσια παροξυντικὸν, φυσώδους πνεύματος ὑπάρχον γεννητικόν. οὕτω δὲ καὶ ἡ ῥίζα, δύσπεπτός τε, καὶ φυσώδης ἐστὶ, καὶ σπέρματος γεννητική.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

α'. Περὶ δαμασωνίου.

ΔΑμασώνιον, ἢ καὶ ἄλισμα. περὶ ταύτης τῆς πόας, ἐν τῷ τρίτῳ Διοσκουρίδης λέγει, ὡς τῆς ῥίζης, εἰ ποθείη, δυσεντερίας ἰωμένης, καὶ κοιλίαν ἱστάσης, καὶ οἰδήματα πραϋνούσης. ἡμεῖς δὲ, τούτων μὲν οὐκ ἐπειράθημεν. ὅτι δὲ τοὺς ἐν νεφροῖς συνισταμένους λίθους θρύπτει τὸ ὕδωρ πινόμενον, ἐν ᾧ περ ἂν ἑψηθεῖσα τύχῃ, πεπειράμεθα. δῆλον οὖν, ὅτι ῥυπτικήν τινα δύναμιν ἔχει. D

β'. Περὶ δαύκου.

ΔΑῦκος, ὃν δή τινες σταφυλῖνον ὀνομάζουσιν. ὁ μὲν ἄγριος, ἧττον ἐδώδιμος τοῦ ἡμέρου, σφοδρότερος δ' ἐν πᾶσιν. ὁ δὲ ἥμερος, ἐδώδιμος μὲν, ἀσθενέστερος δὲ, δριμείας δέ ἐστι, καὶ θερμαντικῆς δυνάμεως, καὶ διὰ τοῦτο, καὶ λεπτυντικῆς. ἡ μὲν οὖν ῥίζα, πρὸς τοῖς εἰρημένοις, καὶ φυσῶδές τι κέκτηται, καὶ ἀφροδισιαστικόν. τὸ δὲ σπέρμα, τὸ μὲν τοῦ ἡμέρου, ἔχει μέν τι καὶ αὐτὸ παροξυντικὸν εἰς ἀφροδίσια· τὸ δὲ τοῦ ἀγρίου, τελέως ἐστὶν ἄφυσον, καὶ διὰ τοῦτο διουρητικόν τε καὶ καταμηνίων ἐστὶ κινητικόν. E

γ'. Περὶ τοῦ δαύκου σπέρματος.

ΔΑύκου τῆς πόας τὸ σπέρμα, θερμαντικὸν ἱκανῶς ἐστιν, ὡς οὐρητικόν τε φάρμακον ὑπάρχειν ἐν τοῖς μάλιστα δραστήριον, ἐμμηνίων τε κινητικόν. ἔστι δὲ καὶ διαφορητικὸν ἱκανῶς, ἔξωθεν ἐπιτιθέμενον. καὶ ἡ πόα δ' αὐτῆς παραπλησίας μέν ἐστι δυνάμεως, ἀσθενεστέρας δὲ, ἢ κατὰ τὸ σπέρμα, διὰ τὴν τῆς ὑδατώδους ὑγρότητος ἐπιμιξίαν. ἔστι γε μὴν καὶ αὕτη, θερμὴ τὴν κρᾶσιν. F

Nam hoc pacto succus Cyrenaicus columellam phlegmone affectam iuuat; & Melanthium frictum palam catarrhos, & coryzas desiccat, siquis id in calidum linteum rarum liget, assiduéque calorem ex eo per inspirationem in nares attrahat. Quinetiam si compluribus linis, & maximè marinæ purpuræ, collo viperæ iniectis, illis viperam præfoces, eáque postea cuiuspiam collo obuincias, mirificè profuerit, tum paristhmiis, tum omnibus iis, quæ in collo expullulant. Sanè de talibus priuatim aliquando fortè conscribam. Ac nunc pæoniæ cognoscendum temperamentum est, tum exiccatorium, tum tenuium esse partium, haud tamen insigniter calidum, sed aut symmetrum, aut pauxillo calidius.

---

11. *De Gnaphalio.*

GNaphalium inde adeo nominatum est, quòd foliis eius mollibus pro fomento vtantur. Sunt autem candida, & modicè astringunt. Ac proinde quidam id exhibent ex austerorum vinorum quopiam dysentericis.

---

12. *De Gongylide, rapa.*

GOngylidis semen venerem excitat, vtpotè spiritum flatuosum procreans. Sic & radix coctu difficilis est, inflatque, & semen generat.

CAPVT IV.

1. *De Damasonio seu alismate.*

DAmasonium, aut alisma. De hac herba in tertio libro tradit Dioscorides, quòd radix eius epota dysenterias sanet, & aluum sistat, atque œdemata mitiget. Sed nos ea quidem experti non sumus: Quod autem constitutos in renibus calculos aqua, in qua decocta fuerit, pota comminuat, id certè experti sumus. Ex quo liquet, quòd abstersoriam quandam facultatem obtinet.

---

2. *De Dauco.*

DAucus quem quidam etiam Staphylinum nuncupant, agrestis quidem domestico minus est esui idoneus, cæterùm in omnibus vehementior, at domesticus esui aptior, sed imbecillior. Acrem & calefaciendi facultatem obtinet, ac proinde etiam extenuandi. Certè radix, præter iam comprehensa, flatuosum quiddam obtinet, ac venereum. Semen autem domestici quidem & ipsum quandam ad venerem ciendi potentiam possidet. Agrestis verò planè flatu caret, ac proinde vrinam mensésque ciet.

---

3. *De Dauci semine.*

DAuci herbæ semen calefaciendi vehementer facultatē habet, adeo vt inter prima efficax sit tū vrinæ mouendæ medicamentū, tū mensibus prouocandis. Multum etiam digerere per halitum foris impositum valet. Ipsa verò herba similem quidem vim obtinet, tamen semine infirmiorem, nimirum ob aqueæ humiditatis mixturam, quanquam vtique & ipsa calida sit temperie.

4. De

A

4. *De daphne, lauro.*

LAuri arboris, & folia, & fructus deſiccant, & calefaciunt vehementer, pluſque etiam fructus quàm folia. At radicis cortex minùs quidem acris eſt, & calidus, plus tamen amarus, habétque etiam aſtrictionis nonnihil. Quamobrem & calculos confringit, & iecori prodeſt. Bibitur ex vino fragrante trium obolorum pondere.

B

5. *De daphne herba.*

DAphnes herbæ, quã & Daphnen Alexandrinã appellitant, tẽperamentum euidenter eſt calidũ; & guſtãtibus ea acris ſimul eſt, & ſubamara; potáque, tum vrinas, tum menſes prolicit. Porrò Chamædaphnes germina tenera edi quoque aſſolent. Eſt autẽ perſimilis viribus Daphnæ Alexandrinæ, ſicut ſanè & quod Daphnoides nuncupant.

6. *De dictamno.*

DIctamnum tenuiore eſſentia conſtat, quàm Pulegium, cætera illi ſimile. At quod vocant Pſeudodictamnum, C ad omnia imbecillius dictamno eſt.

7. *De dipſaco.*

DIpſaci ſpinæ radix eſt ſecundo ordine exiccatoria, habétque nonnihil & abſterſorium.

8. *De dorycnio.*

DOrycnium temperamento papaueri ſimile eſt, & mãdragoræ, ac cęteris, quæ parẽ habẽt refrigerandi potẽtiam, excellit, & frigiditate aquea D admodũ efficaci. Quamobrẽ pauculũ quidem ſoporem conciliat, pluſculũ verò ſumptũ interimit.

9. *De dracunculo.*

DRacontium quiddam Aro perſimile obtinet, tum foliis, tum radice, cæterùm illo tum acrius eſt, tum amarius; ac proinde calefactorium magis, & tenuiorum partium. Habet etiam leuiculam quandam aſtrictionem, quæ quandoquidem cum comprehenſis duabus qualitatibus, acri & amara coniuncta eſt, E medicamentum factum eſt, vt quæ maximè, efficax. Nam radix viſcera omnia expurgat, craſſos potiſſimum, & lentos ſuccos extenuans; optimúmque remedium eſt contumacium vlcerum. Expurgat quoque extergitque profectò ſtrenuè tum alia, quæ exterſionem deſiderant, tum vitiliginem cum aceto, tum folia item, vtpote ſimilem facultatem habentia, vlceribus vulneribúſque recens inflictis accommoda ſunt; & quanto minus fuerint ſicca, tanto magis conglutinant. Nam quæ ſicciora ſunt, viribus ſunt acrioribus, quàm vt vulneribus conueniant. F Creditum quoque eſt caſeum humidum, ſi illis foris tectus reponatur, ob temperiei illorum ſiccitatem à putredine conſeruari. Fructus valentior eſt non foliis tantum, ſed & radice. Itaque & cancros, & polypodas eliquare creditus eſt. Succus quoque eius vitia oculorum expurgat.

δ'. Περὶ δάφνης τοῦ δένδρου.

ΔΑφνης τοῦ δένδρου, καὶ τὰ φύλλα, καὶ ὁ καρπός, ξηραίνει, καὶ θερμαίνει σφοδρῶς, καὶ μᾶλλον ὁ καρπὸς αὐτῆς τῶν φύλλων. ὁ δὲ φλοιὸς τῆς ῥίζης, ἧττον μὲν ἐστὶ δριμὺς, καὶ θερμός, μᾶλλον δὲ πικρός, καί τι καὶ στύψεως ἔχει. ταῦτ' ἄρα, καὶ λίθους θρύπτει, καὶ ἥπατι ὠφελεῖ. πίνεται δὲ σὺν οἴνῳ εὐώδει, τριωβόλου σταθμός.

ε'. Περὶ δάφνης τῆς πόας.

ΔΑφνης τῆς πόας, ἣν καὶ Ἀλεξανδρείαν ὀνομάζουσιν, ἡ κρᾶσις ἐναργῶς ἐστὶ θερμή. καὶ γὰρ γευομένοις ἐστὶ δριμεῖά τε καὶ ὑπόπικρος, καὶ πινομένοις, ἔμμηνά τε καὶ οὖρα προτρέπει. τῆς δὲ χαμαιδάφνης, καὶ ἐσθίονται οἱ ἁπαλοὶ κλῶνες. παραπλησία δὲ καὶ ἥδε τὴν δύναμίν ἐστι τῇ Ἀλεξανδρείᾳ δάφνῃ, καθάπερ καὶ τὸ δαφνοειδὲς ὀνομαζόμενον.

ϛ'. Περὶ δικτάμνου.

ΔΙκταμνον ἐκ λεπτομερεστέρας ἐστὶν οὐσίας, ἢ κατὰ γλήχωνα. τὰ δ' ἄλλα, παραπλήσιον αὐτῇ. τὸ δὲ καλούμενον ψευδοδίκταμνον, ἀσθενέστερον εἰς ἅπαντα τοῦ δικτάμνου.

ζ'. Περὶ διψάκου.

ΔΙψάκου τῆς ἀκάνθης ἡ ῥίζα, ξηραντικὴ τάξεως δευτέρας ἐστίν. ἔχει δέ τι, καὶ ῥυπτικόν.

η'. Περὶ δορυκνιδίου.

ΔΟρυκνίδιον ὅμοιον τῇ κράσει, μήκωνι, καὶ μανδραγόρᾳ, καὶ τοῖς οὕτω ψυκτικοῖς ἐστιν, ἐπικρατούμενον, ὑδατώδει ψυχρότητι πάνυ δραστηρίῳ. καρεῖ μὲν γὰρ ὀλίγον, ἀναιρεῖ δὲ πλέον συλληφθέν.

θ'. Περὶ δρακοντίου.

ΔΡακόντιον ἔχει μέν τι παραπλήσιον ἄρῳ, καὶ τοῖς φύλλοις, καὶ τῇ ῥίζῃ. δριμύτερον δέ ἐστιν αὐτοῦ, καὶ πικρότερον, καὶ διὰ τοῦτο, καὶ θερμαντικώτερόν τε, καὶ λεπτομερέστερον. ἔχει δέ τινα καὶ στύψιν βραχεῖαν, ἧς συνιούσης ταῖς προειρημέναις δύο ποιότησι, τῇ τε δριμείᾳ, καὶ τῇ πικρᾷ, δραστήριον γίγνεται τὸ φάρμακον ἐν τοῖς μάλιστα. καὶ γὰρ ἡ ῥίζα διακαθαίρει τὰ σπλάγχνα πάντα, τοὺς παχεῖς μάλιστα, καὶ γλίσχρους λεπτύνουσα χυμούς, καὶ τῶν κακοήθων ἑλκῶν ἄριστόν ἐστι φάρμακον, ἀποκαθαίρει τε καὶ ἀπορρύπτει γενναίως τά τ' ἄλλα τὰ ῥύψεως δεόμενα, καὶ ἀλφοὺς σὺν ὄξει. τά τε φύλλα παραπλήσιον ἔχοντα δύναμιν, ἕλκεσί τε καὶ τραύμασι νεοτρώτοις ἁρμόττει, καὶ ὅσῳ ἂν ἧττον ᾖ ξηρά, τοσοῦτον μᾶλλον κολλᾷ. τὰ γὰρ ξηρότερα, δριμύτερα τὴν δύναμίν ἐστιν, ἢ ὡς τραύμασι πρέπει. πεπίστευται δέ, καὶ τυρὸν ὑγρὸν ἄσηπτον διαφυλάττειν, ἔξωθεν αὐτῷ περιτιθέμενον, διὰ τὴν τῆς κράσεως ξηρότητα. ὁ δὲ καρπὸς ἰσχυρότερος, οὐ τῶν φύλλων μόνον, ἀλλὰ καὶ τῆς ῥίζης ἐστίν, ὥστε καὶ καρκίνους, καὶ πολύποδας ἐκτήκειν πεπίστευται. καὶ ὁ χυλὸς δ' αὐτοῦ, τὰ ἐν ὀφθαλμοῖς ἀποκαθαίρει.

A

ι'. Περὶ δρυοπτερίδος.

Δρυοπτερὶς, μικτῆς ἐστι γευομένῳ ποιότητος γλυκείας, δριμείας, ὑποπίκρου. κατὰ δὲ τὴν ῥίζαν, καὶ στρυφνῆς, δύναμιν δ' ἔχει σηπτικὴν, ὅθεν καὶ τρίχας ψιλοῖ.

10. De Dryopteride, filicula.

Dryopteris gustu mixtam qualitatem præfert, dulcem, acrem, subamaram; in radice verò item acerbam. Facultatem habet septicam; proinde etiam pilis glabram cutem efficit.

ια'. Περὶ δρυός.

Δρυὸς ἅπαντα μὲν τὰ μόρια, στυφούσης μετέχει ποιότητος. ἐπιπλέον δὲ τὸ ἐν τῷ φλοιῷ τοῦ πρέμνου τὸ ὑμενῶδες, καὶ τὸ ὑπὸ τῷ κελύφει τῆς βαλάνου, τὸ ἐπὶ τῇ σαρκὶ τοῦ καρποῦ. διὸ καὶ πρὸς ῥοῦν γυναικεῖον, αἵματός τε πτύσεις, καὶ δυσεντερίας, καὶ γαστρὸς ῥεύματα χρόνια, χρήσιμον εἶναι πεπίστευται, μάλιστα δ' ἀφέψοντες αὐτὰ χρῶνται. σφοδρότερον δ' ἐπιστύφει φηγὸς, καὶ πρῖνος. εἴτ' οὖν εἴδη δρυὸς ὀνομάζειν αὐτά τις, εἴτε καὶ διαφέρειν ὅλῳ τῷ γένει βούλοιτο. καὶ δὴ καὶ τὰ φύλλα τὰ μὲν τούτων τῶν φυτῶν ἁπαλὰ καταπλασσόμενα, ξηραίνειν οὐκ ἀμυδρῶς πέφυκε. τὰ δὲ τῆς ἑτέρας δρυὸς ἧττον, εἰς ὅσον καὶ στύψεως ἧττον μετείληφεν. ἔγωγ' οὖν οἶδα, καὶ κολλήσας ποτὲ τραῦμα δρεπάνῳ γεγονὸς, οὐδαμῶς ἑτέρου παρόντος φαρμάκου, τοῖς φύλλοις τῆς δρυός. ἔτριψα δ' ἐπὶ πέτρας λείας αὐτὰ, καὶ τὸ τραῦμα μετὰ τοῦ πέριξ χωρίου παντὸς κατέπλασα. ἔστι δὲ τῆς αὐτῆς τοῖς φύλλοις δυνάμεως, καὶ ὁ καρπὸς τῆς δρυός. καὶ κέχρηνταί γε τούτῳ, τινὲς τῶν ἰατρῶν ἐπὶ τῶν ἀρχομένων, ἔτι καὶ αὐξανομένων φλεγμονῶν. ὅσαι γὰρ ἤδη σφοδραὶ, τῶν στυφόντων οὐ δέονται. τὰ μὲν δὴ τοιαῦτα, θεραπευτικῆς μᾶλλον, ἢ τῆς ἐνεστώσης ἐστὶ πραγματείας. ἀπόχρη δ' εἴς γε τὰ παρόντα γιγνώσκειν, ὡς στυπτικῆς μὲν εἰς ὅσον εἴρηται, μετείληφε δυνάμεως δρῦς, καὶ διὰ τοῦτο ξηραντικῆς τε, καὶ στυπτικῆς. θερμῆς δ' ἐπ' ὀλίγον εἶναι κατωτέρω τῶν μέσων, ἐν τοῖς, ὡς ἂν οὕτω τις εἴποι, χλιαροῖς.

11. De Drye, quercu.

Quercus partes omnes astringentis qualitatis participes sunt; sed plus tamen habet, quæ
B in trunci cortice membrana subest; tum quæ sub glandis ipsius caliculo, ea videlicet, quæ fructus carnem conuestit. Quamobrem ad profluuium muliebre, & sanguinis expuitiones, tum dysenterias, & diuturnos ventris fluxus commodam esse credunt. Maximè verò ea vtuntur decocta. Valentiùs tamen astringunt fagus, & ilex, seu quis eas species esse roboris velit, seu toto genere diuersas. Quin & folia harum plantarum tenella illita non instrenuè desiccare valent; minùs autem quæ sunt alterius roboris, nimirum quanto minùs sortita sunt astrictionis. Siquidem ego quandoque glutinasse me vulnus memini securi inflictum, quum
C nullum adesset ad manum medicamentū præter ipsius quercus folia. Triui ea in læui petra, & vulnus, omnémque vicinum locum contexi. Eandem foliis vim habet & fructus roboris; eóque medici nōnulli ad incipientes, & crescentes vtuntur phlegmonas, nam quæ iam vehementes sunt, astringentia respuunt. Sed talia ad curandi potius rationem, quàm præsentem tractatum attinent. Cæterùm in præsentia nouisse, quòd eatenus astringentem, quatenus dictum est, facultatem quercus obtineat, sufficit; ac proinde desiccandi, atque astringendi; calefaciendi autem paulo infra
D media, in genere scilicet eorum, quæ (vt sic dicam) tepida sunt.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

α'. Περὶ ἐβίσκου.

Ἐβίσκος, ἡ ἀλθαία. ἔστι δὲ μαλάχη ἡ ἀγρία, διαφορητικὴ, χαλαστικὴ, ἀφλέγμαντος, πραϋντικὴ, πεπτικὴ φυμάτων δυσπέπτων. καὶ ἡ ῥίζα δὲ αὐτῆς, καὶ τὸ σπέρμα, τὰ μὲν ἄλλα ὁμοίως ἐνεργεῖ τῇ πόᾳ χλωρᾷ, λεπτομερεστέραν δὲ ἐκείνης, καὶ ξηραντικωτέραν, καὶ προσέτι ῥυπτικωτέραν ἐπιδείκνυνται τὴν δύναμιν, ὥστε καὶ ἀλφοὺς ἀπορρύπτειν, καὶ τὸ σπέρμα τοὺς ἐν νεφροῖς λίθους διαιρεῖν. τὸ δὲ τῆς ῥίζης ἀφέψημα, καὶ πρὸς δυσεντερίαν, καὶ διάῤῥοιαν, καὶ πρὸς αἵματος ἀναγωγὴν ὠφέλιμόν ἐστιν, ἐχούσης τινὰ δύναμιν στυπτικήν.

CAPVT V.

1. De Ebisco, Althæa.

Ebiscus, siue althæa. Habet autē malua agrestis, facultatem digerendi, laxandi, phlegmone leuandi, mitigandi, concoquendi difficilia coctu phymata. Radix porrò eius & semen cætera quidem pari foliis viridibus modo agunt, verū tenuio-
E rum partium, magísque exiccatoriam, ad hæc magis extersoriam, facultatē ostendunt, vt & vitiligines detergant, & semen renum calculos confringat. At radicis decoctum ad dysenteriam, diarrhœam, & sanguinis reiectionē, aptum est, nempe quum astringentem quandam facultatē possideat.

β'. Περὶ ἐβένου.

Ἔβενος, τῶν εἰς χυλὸν ἀναλυομένων ἐστὶ ξύλων, εἰ παρατρίβοιτο μεθ' ὕδατος, ὥσπερ ἔνιοι τῶν λίθων. ἡ δὲ δύναμις θερμαντική τέ ἐστι, καὶ ῥυπτικὴ, καὶ λεπτομερὴς, ὅθεν καὶ τὰ ταῖς κόραις ἐπισκοτοῦντα πεπίστευται ῥύπτειν. ταῖς τε ἄλλαις ὀφθαλμικαῖς μίσγεται δυνάμεσιν, ὅσαι πρὸς ἕλκη παλαιὰ καὶ ῥεύματα, καὶ φλυκταίνας ἁρμόττουσιν.

2. De Ebeno.

Ebenus ex iis lignis est, quæ trita cum aqua in succum soluuntur, sicuti nonnulli lapides. Facultas ei inest calefaciendi, extergendi, & tenuium
F partium. Quamobrem quæ pupillas obscurant, extergere creditur. Miscetur aliis remediis ocularibus, quæ ad vlcera antiqua, fluxiones, & bullas, siue pustulas, accommoda sunt.

A

3. *De Elæa, olea.*

OLiuæ rami quantum habent astrictionis, tantæ & frigiditatis participes sunt. Fructus verò, si quidem ad vnguem maturuit, moderatè calidus est; sin immaturus est, magis tum astringit, tum refrigerat.

4. *De Elæo, oleo.*

OLeum quod ex oliuis conficitur, quòd sanè propriissimo nomine oleum appellamus, cuiusmodi sit tẽperiei, superioribus libris definitum est. Quippe humectatorium esse, & moderatè calidum ostendimus. Eiusmodi est, quod est dulcissimum; fitque potissimum ex fructu oleæ. Cæterùm quòd omotribes, & omphacinum nuncupãt, id quantum in se habet astrictionis, tantum etiam illi inest frigiditatis. Porrò oleum vetus, quod quidem ex dulci inueterato efficitur, & calidius est, & ad discutiendum potentius; quod verò ex crudo, id dum reliquum quippiam seruauerit astrictionis, mixtæ permanet facultatis: vbi verò illam prorsum abiecerit, reliquo fit simile. Quin etiam quicunque in præparando ramos iniiciunt, ij & ipsi omphacino simile oleum efficiunt. Cæterùm rogandum non est, quo pacto sit præparatum, sed gustandum est potius; ac si præ se ferat astrictionis quippiam, eatenus etiam frigidum esse existimandum, ceu illud quod ab Iberia portatur, quod Hispanicum nominant. Quòd si nequaquam gustantibus astringere appareat, sed adamussim videatur dulce, id modicè esse calidum putandum. Porrò si tenue quoque cernatur (tale est, quod purum est, quódque intuenti transflucidum videtur) ac modicum eius latissimè per cutem extensum sibi maneat continuum, celeritérque à cute combibatur, id vtique pro optimo ducendum, ac olei virtute, quammaximè pollere, quale est Sabinum. Porrò quòd oleum lotum minimè omnium mordacitatẽ continet, supra etiam dictum est. Cæterùm quo potissimũ modo id probissimè leues, in sequenti tradam opere, quod inscribetur de medicamentorum compositione; vbi & de sicyonio, & si quod eius generis præterea oleum est, agetur; nunc sermo mihi est de simplicibus, adiiciámque, & de aliis olei speciebus. Vocatur enim quoddam cicinum oleum, in Ægypto maximè proueniens ex fructu ricini; tum raphaninum, sesaminum, amygdalinum, caryinum; ad hęc sinapinum, lentiscinum, laurinum, melanthinum, terebinthinũ, mastichinũ, myrtinum, balaninum, hyoscyaminũ; nec pauca præter hæc ex fructibus expressa omnia, cæterùm tãtùm inter sese discrepantia, quantũ & fructus ipsi à se inuicem dissidẽt. Est enim cicinum, tum tenuiorum partium, tum ad discutiendũ potentius, quàm simillimum oleo ex oliua vetusto. Quamobrem siquando in medicamenti cõpositione cicinum oleum ascriptum fuerit, si ipsum non adsit, cõmuni vtendũ oleo, maximè si fuerit sabinũ. Raphaninum autẽ cætera huic simile est, sed calidius tamen, at hoc etiam calidius sinapinum. Huic simile est, quod ex melanthio, hoc est gith, conficitur. Pugnant cum istis myrtinum, & sesaminum, tum quòd astringant, tum quòd crassarum sint partium. Mixtæ facultatis est lentiscinum, & terebinthinum, & mastichinum; non enim tantum emolliunt, sed & astringunt.

γ΄. Περὶ ἐλαίας.

ΕΛαίας οἱ μὲν θαλλοὶ, τοσούτῳ μετέχουσι ψύξεως, ὅσῳ καὶ στύψεως. ὁ δὲ καρπὸς, ὁ μὲν ἀκριβῶς πέπειρος, θερμὸς συμμέτρως ἐστὶν, ὁ δ᾽ ἄωρος, στυπτικώτερός ἐστι, καὶ ψυχρότερος.

δ΄. Περὶ ἐλαίου.

B ΕΛαιον τὸ μὲν ἐκ τῆς ἐλαίας, ὅπερ καὶ κυριώτατον καλοῦμεν ἔλαιον, ὁποῖόν τε τὴν κρᾶσίν ἐστιν, ἐν τοῖς ἔμπροσθεν λόγοις διώρισται. ὑγραντικόν τε γὰρ ἐδείκνυτο, καὶ συμμέτρως θερμόν. τοιοῦτο δ᾽ ἐστὶν τὸ γλυκύτατον, ἐκ δρυπετοῦς μάλιστα τοῦ καρποῦ γινόμενον. τὸ δ᾽ ὠμοτριβὲς, καὶ ὀμφάκινον ὀνομαζόμενον, εἰς ὅσον στύψεως μετείληφεν, εἰς τοσοῦτον καὶ ψύξεως. τὸ δὲ παλαιὸν ἔλαιον, τὸ μὲν ἐκ τοῦ γλυκέος παλαιουμένου γινόμενον, θερμότερόν τε, καὶ διαφορητικώτερόν ἐστι. τὸ δ᾽ ἐξ ὠμοτριβοῦς, ἄχρι μὲν ἀποσώζει τι τῆς στύψεως, μικτῆς ὑπάρχει δυνάμεως. ἐπειδὰν δ᾽ ἀποβάλλῃ τελέως αὐτὴν, ὁμοιοῦται τῷ ἄλλῳ.
C καὶ μὲν δὴ, καὶ ὅσοι κατὰ τὴν σκευασίαν ἐπεμβάλλουσι θαλλὸν, καὶ οὗτοι παραπλήσιον ὀμφακίνῳ τὸ ἔλαιον ἀπεργάζονται. χρὴ δ᾽, οὐχ ὅπως ἐσκεύασται πυνθανόμενον, ἀλλ᾽ αὐτὸν γευόμενον, εἰ μὲν ἐμφαίνοι τι στύψεως, εἰς ὅσον ταύτης μετείληφεν, εἰς τοσοῦτον, καὶ ψύξεως αὐτὸ μετέχειν ὑπολαμβάνειν, ὥσπερ καὶ τὸ ἀπὸ τῆς Ἰβηρίας κομιζόμενον, ὅπερ Σπανὸν ὀνομάζουσιν. εἰ δὲ μηδ᾽ ὅλως, γευόμενον φαίνοιτο στῦφον, ἀλλ᾽ ἀκριβῶς εἴη γλυκὺ, θερμὸν ἡγεῖσθαι τοῦθ᾽ ὑπάρχειν συμμέτρως. εἰ δὲ καὶ λεπτομερὲς φαίνοιτο, τοιοῦτο δ᾽ ἐστὶ τό τε καθαρὸν, καὶ διαυγὲς ὁρῶντι, κἀπειδὰν
D ὀλίγον ληφθὲν ἐπιπλεῖστον ἐκτείνηται τοῦ σώματος, καὶ ἑαυτῷ μένῃ συνεχὲς, ἀναπίνηταί τε πρὸς τοῦ χρωτὸς, ἡγεῖσθαι τοῦτο κάλλιστόν τε καὶ τὴν ἐλαίου μάλιστα κεκτημένον ἀρετὴν, οἷόν περ ἐστὶ τὸ Σαβῖνον· ὅτι δὲ τὸ πεπλυμμένον ἔλαιον ἀδηκτότατόν ἐστιν, εἴρηται καὶ πρόσθεν. ὅπως δ᾽ ἄν τις κάλλιστα πλύνοι, διὰ τῆς ἐφεξῆς ἐρῶ πραγματείας, τῆς περὶ συνθέσεως φαρμάκων. ἔνθα καὶ περὶ σικυωνίου, καὶ εἴ τι τοιοῦτόν ἐστιν ἔλαιον, εἰρήσεται. νυνὶ δὲ περὶ τῶν ἁπλῶν διέξειμι, καὶ προσθήσω ἤδη τὸν περὶ τῶν ἄλλων ἐλαίων λόγον. ὀνομάζεται γὰρ δή τι, καὶ κίκινον ἔλαιον, ἐν Αἰγύπτῳ μάλιστα γινόμενον,
E ἐκ τοῦ καρποῦ τοῦ κίκεως, καὶ ῥαφάνινον δὴ, καὶ σησάμινον, ἀμυγδάλινόν τε, καὶ καρύϊνον, ἔτι τε σινάπινον, σχίνινον, δάφνινον, μελάνθινον, τερμίνθινον, μαστίχινον, μύρσινον, βαλάνινον, ὑοσκυάμινον, ἄλλα τε πρὸς τούτοις οὐκ ὀλίγα τῶν καρπῶν ἐκθλιβόμενα πάντα. διαφέρει δ᾽ ἀλλήλων ταῦτα τὰς αὐτὰς διαφορὰς, ἅσπερ καὶ οἱ καρποί. τὸ μὲν γὰρ κίκινον λεπτομερέστερόν τε, καὶ διαφορητικώτερόν ἐστιν, ὅμοιον μάλιστα τῷ ἐκ τῆς ἐλαίας ἐλαίῳ τῷ παλαιῷ. διὸ καὶ χρηστέον, ἔνθ᾽ ἂν ᾖ κίκινον ἔλαιον γεγραμμένον ἔν τινι συνθέσει φαρμάκου, μὴ παρόντος αὐτοῦ, τῷ κοινῷ ἐλαίῳ, καὶ
F μάλιστ᾽ εἰ Σαβῖνον εἴη. τὸ δὲ ῥαφάνινον, ὅμοιον μὲν τἄλλα τῷδε, θερμότερον δὲ, καὶ τούτου μᾶλλον ἔτι τὸ σινάπινον. ὅμοιον δὲ αὐτῷ τὸ ἐκ τοῦ μελανθίου. ἔμπαλιν δὲ τούτοις τὸ μύρσινόν τε, καὶ σησάμινον, τὸ μὲν τῷ στύφειν, τὰ δ᾽, ὅτι παχυμερῆ. μικτῆς δὲ ἐστι δυνάμεως τό τε σχίνινον, καὶ τὸ τερμίνθινον, καὶ τὸ μαστίχινον, οὐ γὰρ μαλάττει μόνον, ἀλλὰ καὶ στύφει.

A Τὸ δὲ ἀμυγδάλινον, ἐπικρατοῦσαν μὲν ἔχει τὴν πικρότητα. μετέχει δέ τινος καὶ στύψεως· οὐ μὴν τό γε καρύϊνον, ἀλλ' ἁπλῆς μάλιστα δυνάμεώς ἐστι τοῦτο τῆς διαφορητικῆς. θερμότερον δὲ αὐτοῦ, καὶ διαφορητικώτερον ὑπάρχει τὸ δάφνινον, καὶ τούτου μᾶλλον ἔτι τὸ κέδρινον. ἐγγὺς δὲ αὐτῷ τὸ ἀπὸ τῆς ὑγρᾶς πίττης τὸ δάδινον, ἧττον μὲν τοῦ δαφνίνου θερμὸν, ξηραίνει δὲ μᾶλλον. τὸ δὲ ὑοσκυάμινον μικτῆς ἐστι δυνάμεως, μαλακτικῆς τε ἅμα, καὶ ψυκτικῆς· τὸ δὲ κίκινον ἔλαιον, ὑπάγει γαστέρα. τούτου δὲ ἔτι μᾶλλον, τὸ ἐκ τοῦ κνιδίου κόκκου, καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ ὁ κόκκος αὐτοῦ τοῦ κίκεως καθαρτικώτερος ὑπάρχει. B ἔστι δὲ καὶ τὸ ἐκ τῆς ἀγρίας ἐλαίας ἔλαιον, οὐχ ἁπλῆς κράσεως, ἀλλὰ ῥυπτικόν τε ἅμα, καὶ στυπτικόν. αὐχμηρότερον δὲ, ὡς ἐν ἐλαίοις τοῦτο, καὶ μετὰ τοῦτο τὸ Ἰστρικόν. ἐφεξῆς δὲ αὖθις τὸ Σπανόν. λιπαρώτατον δὲ τό τε Λιβυκόν ἐστι, καὶ τὸ Κιλίκιον, ἅμα δὲ λιπαρόν τε, καὶ λεπτομερὲς τὸ σαβῖνον. ἐν τῷ μέσῳ δὲ τῶν εἰρημένων ἁπάντων, τό τε κατὰ τὰς κυκλάδας νήσους ἐστὶ, καὶ τὴν Ἑλλάδα, καὶ τὴν Ἀσίαν. κρίνεται δὲ τὸ μὲν λιπαρὸν ἔλαιον τῇ γλισχρότητι, τὸ δὲ λεπτομερὲς, τῷ τε διαυγεῖ, καὶ καθαρῷ, καὶ τῷ πλεῖστον ἀλείφεσθαι τοῦ σώματος ὑπ' ἐλαχίστου, καὶ τῷ πρὸς τοῦ χρωτὸς ἀναπίνεσθαι ῥᾳδίως. ἐκ δὲ τῶν εἰρημένων, ἔνεστί σοι καὶ περὶ τῶν C ἄλλων ἐλαίων, ὁπόσα τοῖς μύροις ὁμωνύμως λέγεται, γιγνώσκειν ἤδη. λέγω δὲ ῥοδίνου τε καὶ μηλίνου, καὶ κρινίνου, καὶ ὅσα τοιαῦτα καρπῶν, ἢ ἀνθῶν, ἢ βλαστῶν, ἢ φύλλων ἐναποβρεχομένων ἐν ἐλαίῳ γίγνεται. τούτων γὰρ ἕκαστον, ὅταν ἅμα τοῖς ἀρώμασι σκευασθῇ, μύρον ἀποτελεῖται. λεχθήσεται δὲ ἐπιπλέον ὑπὲρ αὐτῶν, ἐν τῇ περὶ συνθέσεως φαρμάκων πραγματείᾳ. τὸ δὲ εἰς τὰ παρόντα χρήσιμον εἰπὼν, ἀπαλλάξομαι. κατὰ φύσιν ἑκάστου τῶν ἐμβληθέντων, ἀλλοιωθήσεται τὸ ἔλαιον. ἐξ ὧν οὖν ὑπὲρ ἑκάστου τῶν ἐμβαλλομένων ἐν τῷδε τῷ λόγῳ παντὶ καθόλου μανθάνεις, ἐκ τούτων ἂν εἴη σοι, καὶ περὶ τοῦ D καθέκαστον αὐτῶν ἐλαίου γιγνώσκειν.

A Amygdalinum porrò amarorem exuperantem possidet, cæterùm cuiusdam etiam astrictionis est particeps; non tamen caryinum, sed id vel maximè simplicis est digerendi facultatis. Calidius eo est, ac magis digerens Laurinum, & hoc etiam magis cedrinum. Proximum ei est, quod ex nigra pice conficitur Dadinum, minus quidem laurino calidum, verùm valentius desiccans. Hyoscyaminum verò mixtæ facultatis est, emolliendi videlicet, & refrigerandi. Oleum porrò cicinum ventrem subducit. Hoc verò magis, quod fit ex Cnidio grano, tanto nimirum, quanto granum B potentiorem purgandi vim obtinet, quàm ricinus. Iam quòd ex agresti oliua oleum exprimitur, non simplicem temperiem obtinet, sed extergit, simúlque astringit. Squalidissimum id est ex omni olei genere; & post, Istricum quoque, deinceps post illa est Hispanum. Pinguissimum est Lybicum, & Cilicium, simul autem pingue tenue Sabinum. In medio comprehensorum omnium sunt, tum id quod per Cyclades insulas nascitur, tum quod per Græciam, Asiámque. Porrò oleum pingue æstimatur iudicatúrque viscositate; tenue verò, si perluceat, si purū sit, si plurimū à minima eius portione inungatur, si facilè à cute com- C bibatur. Ex dictis cognoscere iam liceat, & de aliis olei generibus, quæ æquiuocè ipsis dicuntur vnguentis, puta rosaceo, melino, liliaceo: & quæcunque id genus floribus, fructibus, germinibus, foliis in oleo maceratis, conficiuntur. Horum quodque vbi vnà cum aromatibus præparantur, vnguentum efficitur. De his copiosius dicetur in opere De componendis medicamentis. Porrò vbi quod in præsentia vtile est exposuero, desinam. Pro cuiusque iniectorum natura oleum variari contingit. Ex iis ergo quæ in toto hoc opere de quoque iniiciendorum vniuersaliter disces, D sigillatim quoque confectum ex iisdem oleum cognoscere dabitur.

ε'. Περὶ ἐλατίνης.

Ἐλατίνη, μετρίως ἐστὶ ψυκτική τε καὶ στυπτική.

5. *De Elatine.*

Elatine modicè, tum refrigerat, tum astringit.

ς'. Περὶ ἐλαφοβόσκου.

Ἐλαφόβοσκος, θερμῆς καὶ λεπτομεροῦς ἐστι δυνάμεως, καὶ διὰ τοῦτο, καὶ ξηραντικῆς κατὰ τὴν δευτέραν που μάλιστα τῶν ἀποστάσεων.

6. *De Elaphobosco.*

Elaphoboscus facultatis est calefactoriæ, & tenuium partium, ac proinde exiccatoriæ secundo maximè excessuum ordine. E

ζ'. Περὶ Ἑλενίου.

Ἑλενίου τῆς πόας ἡ ῥίζα ἐστὶ μάλιστα χρήσιμος, οὐκ εὐθὺς κατὰ τὴν πρώτην προσβολὴν θερμαίνουσα, καὶ διὰ τοῦτο λεκτέον αὐτὴν οὐ θερμὴν, καὶ ξηρὰν ἀκριβῶς, ὥσπερ τὸ μέλαν, καὶ λευκὸν πέπερι, ἀλλὰ σὺν ὑγρότητι περιττωματικῇ, καὶ διὰ τοῦτο, καὶ τοῖς ἐκλείγμασι τοῖς εἰς τὰς ἀναγωγὰς τῶν γλίσχρων, καὶ τῶν παχέων ἐν θώρακι καὶ πνεύμονι χυμῶν, ἐπιτηδείως μίγνυται. καὶ φοινίσσουσιν αὐτὴ τὰ μόρια, ψυχροῖς καὶ χρονίοις ἐνοχλούμενα πάθεσιν, ὥσπερ ἰσχιάδες τέ τινές εἰσι, καὶ ἡμικρανίαι, καὶ συνεχεῖς ἄρθρων τινῶν ἐκπτώσεις δι' ὑγρότητος. F

7. *De Elenio, enula campana.*

Elenij herbæ radix maximè est vtilis, non primo statim occursu calefaciens; ac proinde dicenda est non calida, & sicca exactè, ceu piper tum atrum, tum candidum, sed cum excrementitio humore. Quapropter Eclegmatis, quæ faciunt ad educendos ex pectore pulmonéque crassos lentósque humores, conuenienter commiscetur. Rubrificant illa quoque partes frigidis, ac diuturnis vexatas affectibus, cuiusmodi sunt nonnullæ coxarum passiones, ischiadas vocant, & hemicraniæ assiduæque articulorum quorundam præ humiditate procidentiæ, ac luxationes.

A

8. *De Elelisphaco, saluia.*

SAluia euidenter calefacit, ac leuiter substringit.

η΄. Περὶ ἐλελισφάκου.

ΕΛελίσφακος θερμαντικῆς ἐναργῶς ἐστὶ κράσεως, ὑποστυφούσης ἀτρέμα.

9. *De Elleboro, veratro.*

ELleborus vterque tum albus, tum niger, extergentis est, & calefacientis facultatis. Quamobrem ad alphos, lichenas, psoras, leprásque accommodi sunt. Quin etiam niger si in fistulam callo induratam immissus fuerit duobus tribúsve diebus, callum detrahit. Dentibus prodest cum aceto colluentibus. Sunt autem in tertio ordine calefacientium, & desiccantium. Porrò niger gustu calidior est, candidus subamarus.

θ΄. Περὶ ἐλλεβόρου.

ΕΛλέβορος ἑκάτερος, ὅ τε λευκὸς, καὶ ὁ μέλας, ῥυπτικῆς τε ἅμα, καὶ θερμαντικῆς εἰσι δυνάμεως. διὸ καὶ πρὸς ἀλφοὺς, καὶ λειχῆνας, καὶ ψώρας, καὶ λέπρας ἁρμόττουσι, καὶ μὲν δὴ
B καὶ εἰς σύριγγα τετυλωμένην ὁ μέλας, καθιέμενος ἐν δύο που, καὶ τρισὶν ἡμέραις ἀφίστησιν αὐτῆς τὸν τύλον, καὶ ὀδόντας δὲ σὺν ὄξει διακλυζόμενος, ὀνίνησι. καὶ κεῖσθον ἐν τῇ τρίτῃ τάξει τῶν θερμαινόντων τε, καὶ ξηραινόντων. ἔστι δὲ τῇ γεύσει θερμότερος μὲν ὁ μέλας, ὑπόπικρος δὲ ὁ λευκός.

10. *De Helxine.*

HElxine. Alij Perdicium nominant, alij parthenium, alij sideritin, sunt qui heracleam appellitent. Cæterùm facultas ei inest abstergendi, & leuiter constringendi cum humiditate subfrigida. Quamobrē phlegmonas omnes in initio, & augmento sanat vsque ad statum, & maximè si calidæ fuerint. Quin etiam incipientibus phygethlis cataplasmatis ritu illinitur. Tum etiam ad aurium dolores phlegmonosos succus eius cum rosaceo mediocriter profuerit. Gargarizandū item nonnulli exhibet ad paristhmia. Sunt verò etiam ex medicis quidam, qui iis, qui diutina tussi vexantur, illam exhibuerint. Certè euidens extergendi experimentum præbet, & in vasis vitreis.

ι΄. Περὶ ἑλξίνης.

ΕΛξίνη, ἔνιοι δὲ περδίκιον ὀνομάζουσιν, ἄλλοι δὲ παρθένιον, ἄλλοι δὲ σιδηρῖτιν, εἰσὶ δ᾽ οἳ Ἡρακλείαν. δύναμις δ᾽ αὐτῆς ῥυπτική τε καὶ ἀτρέμα στυπτική, μεθ᾽ ὑγρότητος ὑπο-
C ψύχρου. ὅθεν ἰᾶται φλεγμονὰς ἁπάσας, ἐν ἀρχῇ τε, καὶ ἐν ἀναβάσει μέχρι τῆς ἀκμῆς, καὶ μάλιστα τὰς θερμὰς, καὶ μὲν δὴ καὶ ἀρχομένοις φυγέθλοις ἐπιπλάττεται. καὶ ὁ χυλὸς δ᾽ αὐτῆς μετὰ ῥοδίνου πρὸς ὤτων ἀλγήματα φλεγμονώδη, μετρίως ἥρμοσεν. ἀνακογχυλίζονται δ᾽ αὐτὴν ἔνιοι, καὶ πρὸς παρίσθμια, καί τινες τῶν ἰατρῶν τοῖς χρονίως βήττουσιν ἔδοσαν αὐτήν. τοῦ ῥύπτειν δ᾽ ἐναργῆ πεῖραν παρέχεται, καὶ ἐπὶ τῶν ὑαλίνων σκευῶν.

D

11. *De Helxine nigra.*

HElxine quæ & Cissampelos nuncupatur, digerendi facultatem obtinet.

ια΄. Περὶ ἑλξίνης μελαίνης.

ΕΛξίνη, ἡ καὶ κισσάμπελος ὀνομαζομένη, δυνάμεώς ἐστι διαφορητικῆς.

12. *De Elymo, panico.*

PAnicum. Vocatur autem, & Meline, ex leguminum genere est, milio specie simile, facultate certè pauci nutrimenti, & exiccatoria. Sistit quoque nonnihil ventris fluxus, ceu ipsum etiam milium. Si verò foris illinatur, exiccat atque refrigerat.

ιβ΄. Περὶ ἐλύμου.

ΕΛυμος, καλεῖται δὲ καὶ μελίνη. ἔστι μὲν ἐκ τῶν ὀσπρείων, ὅμοιον κέγχρῳ, τήν τε ἰδέαν, καὶ τὴν δύναμιν ὀλιγότροφόν τε καὶ ξηραντικόν. ἵστησί τε τι, καὶ τὰ κατὰ γαστέρα ῥεύματα, καθάπερ καὶ ὁ κέγχρος. εἰ δ᾽ ἔξωθεν ἐπιπλασθείη, ξηραίνει
E τε καὶ ψύχει.

13. *De Empetro.*

EMpetron ad solas purgationes esse videtur commodum, bilem, ac pituitam educens. Gustu salsum est; proinde ad alia quoque vtaris licet, ad quæ pollere ostendimus substantiam salsam. Nominatur item Prasoeides.

ιγ΄. Περὶ ἐμπέτρου.

ΕΜπετρον εἰς καθάρσεις μόνας δοκεῖ χρήσιμον. ὑπάγει δὲ ἄνω φλέγμα, καὶ χολήν. ἔστι δὲ ἁλυκὸν τῇ γεύσει, ὥστε καὶ εἰς ἄλλα χρήσαιτ᾽ ἄν τις αὐτῷ, εἰς ἅπερ καὶ τὴν ἁλυκὴν οὐσίαν ἐδείκνυμεν δυναμένην, ὀνομάζεται δὲ καὶ πρασοειδές.

14. *De Epithymo.*

EPithymum thymi facultatem habet; ad omnia efficacius. Exiccat & calefacit in tertio gradu.

F

ιδ΄. Περὶ ἐπιθύμου.

ΕΠίθυμον τῆς θύμου δυνάμεώς ἐστιν ἰσχυρότερον, τὰ πάντα ξηραινούσης τε, καὶ θερμαινούσης κατὰ τὴν τρίτην ἀπόστασιν.

ιε'. Περὶ ἐπιμηδίου.

Ἐπιμηδίου ἡ δύναμις ψυκτική μετρίως ἐστί, μεθ' ὑγρότητος ὑδατώδους. οὐδεμίαν γοῦν ἐπίσημον ἔχει ποιότητα, δύναται δὲ καταπλαττομένη μαστοὺς ὀρθίους διαφυλάττειν, φασὶ δὲ καὶ ἀτόκιον εἶναι πινομένην.

15. *De Epimedio.*

Epimedij facultas est moderatè refrigeratoria cum aquea humiditate; quare nullam habet insignem qualitatem. Vberibus illitum ea recta seruare potest. Aiunt verò, si potu hauriatur, sterilitatem parere.

ιϛ'. Περὶ ἐπιμηλίδος.

Ἐπιμηλίς· στρυφνὸν τοῦτο τὸ φυτόν ἐστι, καὶ ὡς ἂν εἴποι τις ἀγρία μηλέα. καλεῖται δ' ὑπὸ τῶν κατὰ τὴν Ἰταλίαν ἀγροίκων, οὐνέδων, πλεῖστον δὲ ἐν τῇ Καλαβρίᾳ γίγνεται. ὁ καρπὸς δ' αὐτῆς στρυφνὸς μέν, κακοστόμαχος δέ, καὶ κεφαλαλγής. ἀναμέμικται γὰρ αὐτῷ τις ἀλλόκοτος ποιότης.

16. *De Epimelide, mispilo, vnedone.*

Mespilus. Acerba hæc plãta est, vtq, dixerit quispiã, pomus syluestris. Vocatur autẽ ab Italiæ rusticis Vnedon. Ingẽs eius in Calabria prouẽtus. Fructus eius acerbus quidẽ est, nihilo minus tamẽ stomacho ingratus, & capitis mouẽs dolores. Admixta siquidẽ ei est aliena quæpiam qualitas.

ιζ'. Περὶ ἐρεβίνθου.

Ἐρέβινθος, ὄσπριον φυσῶδες, τρόφιμον, εὐκοίλιον, οὐρητικόν, γάλακτος καὶ σπέρματος γεννητικόν, προτρέπει δὲ καὶ καταμήνια. εἰσὶ δ', οἱ κριοὶ καλούμενοι τῶν ἄλλων οὐρητικώτεροι. τὸ δ' ἀφέψημα αὐτῶν, τοὺς λίθους τοὺς ἐν νεφροῖς θρύπτει. τὸ δ' ἕτερον γένος τῶν ἐρεβίνθων, καλοῦνται μὲν ὀροβίαι, τῆς δ' αὐτῆς ἐστι δυνάμεως, ἐπισπαστικῆς, διαφορητικῆς, τμητικῆς, ῥυπτικῆς. εἰσὶ γὰρ θερμοὶ μέν, καὶ μετρίως ξηροί. μετέχουσι δέ τι καὶ τῆς πικρότητος, δι' ἣν καὶ σπλῆνα, καὶ ἧπαρ, καὶ νεφροὺς ἐκκαθαίρουσι, καὶ ψώρας, καὶ λειχῆνας ἀπορρύπτουσι, καὶ παρωτίδας, καὶ διδύμους σκιρρουμένους διαφοροῦσι, καὶ τὰ κακοήθη δὲ τῶν ἑλκῶν ἰῶνται μετὰ μέλιτος.

17. *De Erebintho, cicere.*

Cicer legumẽ est flatuosum, copiosi nutrimẽti, aluo mouẽdæ habile, ciendę vrinę idoneum, lacti & semini generando aptum; proiicit verò & menses. Porrò quod vocatur arietinũ, cæteris efficacius vrinã prouocat. Decoctũ eius calculos renũ cõfringit. Reliquum autẽ cicerum genus (vocatur autẽ Orobiæum) eadẽ vi pollet, putà, attrahẽdi, digerendi, incidẽdi, extergendi. Sunt enim calidi, & modicè sicci; participes itẽ sunt amaroris; cuius vi lienẽ, & iecur, & renes expurgãt, psorásq; & lichenes extergũt, tum abscessus post aures prouenientes, & testes induratos discutiunt. Tum etiam vlcera, maligna, cum melle sanant.

ιη'. Περὶ ἐρεβίνθου ἀγρίου.

Ἐρέβινθος ἄγριος, ἰσχυρότερος εἰς πάντα τοῦ ἡμέρου, τουτέστι θερμότερός τε, καὶ ξηραντικώτερος, ὅσον περ καὶ δριμύτερός τέ ἐστι καὶ πικρότερος.

18. *De Erebintho cicere egresti.*

Cicer agreste ad omnia efficacius domestico est, hoc est tum calidius, tum siccius, quanto & acrius, & amarius.

ιθ'. Περὶ ἐρείκης.

Ἐρείκη, διαφορητικῆς ἐστι δυνάμεως. τῷ δ' ἄνθει μάλιστα, καὶ τοῖς φύλλοις αὐτῆς χρηστέον.

19. *De Erice.*

Erice digerendi per halitum facultatẽ obtinet. Flore eius potissimum, ac foliis vtendum.

κ'. Περὶ ἑρπύλλου.

Ἕρπυλλος θερμαντικῆς εἰς τοσοῦτόν ἐστι δυνάμεως, ὡς καταμήνιά τε, καὶ οὖρα κινεῖν. ἔστι δὲ καὶ πρὸς τὴν γεῦσιν, ἱκανῶς δριμύς.

20. *De Erpyllo, Serpyllo.*

Serpyllum vsque adeo calefacit, vt & menses, & vrinas moueat. Gustu multum est acre.

κα'. Περὶ ἐρυσίμου.

Ἐρυσίμου τὸ σπέρμα, καθάπερ τῇ γεύσει παραπλήσιον φαίνεται καρδάμῳ, οὕτω καὶ τῇ δυνάμει πυρῶδές τε, καὶ θερμαντικὸν ὑπάρχει. ἐπειδὰν δὲ ἐκλείγματι δέῃ χρῆσθαι αὐτῷ, βέλτιόν ἐστιν ὕδατι προβρέξαντας φῶξαι, ἢ εἰς ὀθόνιον ἐνδήσαντας, εἶτα στατὶ περιπλάσαντας ὀπτῆσαι. χρήσιμον δ' ἐστὶ μετὰ τῶν ἐκλειγμάτων εἰς τὰς τῶν κατὰ θώρακα, καὶ πνεύμονα γλίσχρων τε, καὶ παχέων χυμῶν ἀναπτύσεις. ἀλλὰ καὶ παρωτίδας σκιρρουμένας, καὶ σκληρίας παλαιὰς ἐν μαστοῖς, καὶ διδύμοις ὠφελεῖ. φησὶ δὲ Διοσκουρίδης, ὡς καταπλαττόμενον μεθ' ὕδατος, ἢ μέλιτος, ὀνίνησι τοὺς κρυπτοὺς καρκίνους.

21. *De Erysimo.*

Erysimi semen sicut gustu nasturtio apparet simile, ita facultate igneum est, & calefactorium. Porrò vbi in eclegmate vti ex vsu est, præstat aqua maceratum refrigerare, aut linteolo inuolutum, & crusta pistoria circumlitum torrere. Vtile est cum eclegmatis ad promouendas crassorum, lentorúmque pectoris, pulmonisque humorum expuitiones. Quin & parotides induratas, & duritiem antiquam vberum, & testiculorum iuuat. Refert Dioscorides, quòd cum aqua, & melle cataplasmatis in morem illitum occultis prosit cancris.

A

22. *De Erythrodano rubia paßiua.*

ERythrodanum. Eſt autem tinctorum rubia radix acerba guſtu, & ſubamara. Itaque quæcunque agere dicta ſunt ſuperiore libro, vbi in vnum eiuſmodi coiuerint facultates, ea omnia in hac radice luculenter conſpicies. Quippe quum & lienem, & iecur expurget: & vrinas craſſas multáſque, ac nonnunquam etiam ſanguinolentas vacuet. Quin & menſes ciet; & mediocriter, quæ exterſionem poſtulant extergit, proinde vitiligines albas cum aceto illita iuuat. Sunt qui eam iſchiadicis, & reſolutis, in potu cum melicrato exhibeant. B

23. *De Eupatorio.*

EVpatorium herba ipſa tenuium partium, incidendi extergendíque facultatem citra manifeſtam caliditatem obtinet. Quocirca obſtructiones iecoris expurgat. Ineſt itidem ei, & aſtrictio quædam, per quam robur viſceri addit.

24. *De Euphorbio.*

EVphorbium cauſticæ, ſiue vrentis facultatis eſt, & tenuium partium aliis ſuccis ſimiliter. C

25. *De Ephemero.*

EPhemerum, non illud lethale, ac deleterium, quod & Colchicum nominãt, ſed alterũ, quod & irin agreſtem cognominant, folia & caulẽ lilio ſimilem obtinet; radicẽ oblongã, non rotundam, ceu Colchicũ, digiti potiſſimũ craſſitudine, aſtringentem, & boni, ſuauiſq; odoris. Ex quibus palam fit facultatis tẽperieiq; eſſe mixtę, nẽpe repellẽtis & per halitũ digerentis. Teſtantur opera quæ particulatim edit. Siquidẽ non inefficaciter radix eius in dentium doloribus colluitur. Tum phymatum augmento & ſtatui folia cõgruunt; oportet autẽ ea in vino decocta priùs, quàm pus moueas, illinere. D

26. *De Echino herba.*

EChini herbæ fructus acerbus eſt, ac proinde repellentis, & exiccatoriæ facultatis. Vtuntur eo ad oculorum fluxiones, & ad aures.

E

CAPVT VI.

1. *De Zeia.*

ZEia vniuerſa ſua facultate quodammodo in medio eſt tritici, & hordei. Itaque ex illis cognoſcatur.

2. *De Zingibere.*

ZIngiberis radix vtilis eſt, vtique quam ex Barbaria ad nos conuehunt. Calefacit valenter, ſed non primo ſtatim occurſu velut piper; vnde ſanè & minus eſſe ſubtilium partium, quàm piper exiſtimandum, ſiquidem in tenues ſolueretur partes, & celerrimè actu, vt illud, fieret calidum. Apparet enim illaborata, & craſſior adhuc quædam ei ineſſe ſubſtantia, nec ea F

κβ'. Περὶ ἐρυθροδάνου.

Ἐρυθρόδανον. ἔστι δὲ ἡ τῶν βαφέων ἐρυθρὰ ῥίζα, στρυφνή, καὶ πικρὰ τὴν γεῦσιν, ὅθεν ὅσα περὶ εἴρηται κατὰ τὸ περὶ τούτου γράμμα ποιεῖν ἐς ταὐτὸν ἀλλήλαις, αἱ τοιαῦται συνελθοῦσαι δυνάμεις, ἅπαντα σαφῶς ἐν τῇδε τῇ ῥίζῃ θεάσῃ. καὶ γὰρ καὶ σπλῆνα, καὶ ἧπαρ διακαθαίρει, καὶ οὖρα παχέα, καὶ πολλά, καί ποτε καὶ αἱματώδη κενοῖ, καὶ δὴ καὶ καταμήνια προτρέπει, καὶ ἀπορρύπτει συμμέτρως, ὅσα δεῖται ῥύψεως. ἀλφοὺς γοῦν λευκοὺς ὠφελεῖ, μετ' ὄξους ἐπαλειφόμενον. διδόασι δ' αὐτὴν τινὲς, καὶ τοῖς ἰσχιαδικοῖς, καὶ τοῖς παραλελυμένοις πίνειν μετὰ μελικράτου.

κγ'. Περὶ εὐπατορίου.

Εὐπατόριον ἡ πόα, λεπτομεροῦς καὶ τμητικῆς, καὶ ῥυπτικῆς ἐστι δυνάμεως, ἄνευ θερμότητος ἐπιφανοῦς, ὅθεν καὶ τὰς καθ' ἧπαρ ἐμφράξεις ἐκκαθαίρει. μετέχει δὲ καὶ στύψεως βραχείας, δι' ἣν καὶ τόνον ἐντίθησι τῷ σπλάγχνῳ.

κδ'. Περὶ εὐφορβίου.

Εὐφόρβιον, καυστικῆς ἐστι καὶ λεπτομεροῦς δυνάμεως, ὁμοίως τοῖς ἄλλοις ὀποῖς.

κε'. Περὶ ἐφημέρου.

Ἐφήμερον οὐ τὸ δηλητήριον, ὃ καὶ Κολχικὸν ὀνομάζουσιν, ἀλλὰ τὸ ἕτερον, ὃ δὴ καὶ ἶριν ἀγρίαν καλοῦσι. φύλλα μὲν καὶ καυλὸν ἔχει ὅμοιον κρίνῳ, ῥίζαν δὲ μακρὰν οὐ στρογγύλην, ὥσπερ τὸ Κολχικόν. ἔστι δὲ δακτύλου μὲν μάλιστα τὸ πάχος, στύφουσα δὲ καὶ εὐώδης. ἐξ ὧν δῆλον, ὡς μικτῆς ἐστι δυνάμεώς τε καὶ κράσεως, ἀποκρουστικῆς τε καὶ διαφορητικῆς. μαρτυρεῖ δὲ καὶ τὰ κατὰ μέρος ἔργα. καὶ γὰρ ὀδονταλγίας ἐστὶν οὐκ ἄπρακτον ἡ ῥίζα διάκλυσμα, καὶ φυμάτων ἀναβάσεσί τε καὶ ἀκμαῖς ἁρμόζει τὰ φύλλα. χρὴ δ' ἕψοντας ἐν οἴνῳ, πρὶν ἐκπυῆσαι καταπλάττειν.

κϛ'. Περὶ ἐχίνου.

Ἐχίνου τῆς πόας ὁ καρπὸς στρυφνὸς, καὶ διὰ τοῦτο ἀποκρουστικὸς καὶ ξηραντικός. χρῶνται δ' αὐτῷ, πρός τε τὰ τῶν ὀφθαλμῶν ῥεύματα, καὶ πρὸς ὦτα.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

α'. Περὶ ζειᾶς.

Ζειά, μεταξύ πως ἐστὶ τὴν δύναμιν ἅπασαν, πυρῶν τε καὶ κριθῶν, ὡς ἐξ ἐκείνων γινωσκέσθω.

β'. Περὶ ζιγγιβέρεως.

Ζιγγιβέρεως ἡ ῥίζα χρήσιμος ἐστὶν ἣν περ δὴ κομίζουσιν, ὡς ἡμᾶς ἐκ τῆς βαρβάρου. θερμαίνει μὲν οὖν ἰσχυρῶς, ἀλλὰ οὐ κατὰ τὴν πρώτην προσβολήν, ὡς τὸ πέπερι. ταύτῃ τοι, καὶ λεπτομερέστερον ἧττον αὐτὸ πεπέρεως ὑποληπτέον ὑπάρχειν. ἐλύετο γὰρ ἂν εἰς λεπτὰ μόρια, καὶ διὰ ταχέων ἐνεργείᾳ θερμὸν ἐγίγνετο, καθάπερ ἐκεῖνο. φαίνεται γοῦν ἀκατεργάστου τινὸς ἔτι καὶ παχυμερεστέρας οὐσίας μετέχον, καὶ ταύτης

οὐ ξηρᾶς καὶ γεώδους, ἀλλ' ὑγρᾶς καὶ ὑδατώδους μᾶλλον. διὰ τοῦτό γέ τοι, καὶ τιτρᾶται ῥᾳδίως, ὅτι μέτεστιν αὐτῇ περιττωματικῆς ὑγρότητος. οὐδὲν γοῦν τοῦτο πάσχει τῶν ἤτοι ξηρῶν ἀκριβῶς, ἢ ὑγρῶν μὲν, ἀλλὰ τὴν κατειργασμένην τε καὶ οἰκείαν ἐχόντων ὑγρότητα. ταὐτὸν τούτῳ καὶ τὸ μακρόπεπερι πέπονθε, καὶ διὰ τοῦτο παραμένει μέχρι πλείονος, ἡ ἀπὸ ζιγγιβέρεως, καὶ μακροπεπέρεως θερμότης, ἤπερ ἡ ἀπὸ λευκοῦ τε καὶ μέλανος. ὡς γὰρ ἡ ἀπὸ τῶν ξηρῶν καλάμων φλὸξ ἀνάπτεται μὲν ἅμα, καὶ πάντη σκίδναται τάχιστα, κατὰ τὸν αὐτὸν τρόπον, καὶ ἡ ἀπὸ τῶν ξηρῶν τῇ δυνάμει φαρμάκων. ἡ δ' ἀπὸ τῶν ὑγροτέρων ἀνάλογον τοῖς χλωροῖς ξύλοις, καὶ βραδύτερον ἐξάπτεται, καὶ παραμένει μέχρι πλείονος, ὅθεν καὶ ἡ χρεία διάφορος ἑκατέρου τῶν φαρμάκων. ὅταν μὲν γὰρ τὸ πᾶν σῶμα ἐκθερμῆναι βουλώμεθα διὰ ταχέων, ὅσα ταχέως μὲν ἐκθερμαίνει πλησιάζοντα τῷ τοῦ ζώου θερμῷ, ταχέως δὲ πάντη φέρεται δοτέον. ἐπειδὰν δέ τι μόριον ἐψυγμένον ἐκθερμῆναι βουληθῶμεν, ἔμπαλιν πρακτέον, ὅσα βραδέως θερμαινόμενα μέχρι πλείστου παραμένει, ταῦτα προσφέροντα. τὸ μὲν οὖν ζιγγίβερι, καὶ τὸ μακρόπεπερι, κἂν εἰ διαφέρει ταύτῃ τοῦ μέλανος πεπέρεως, ἀλλ' ἐπ' ὀλίγον. κάρδαμον δὲ καὶ νάπυ, καὶ θαψία, καὶ ὁ τῶν ἀγρίων περιστερῶν ἀπόπατος, ἐν χρόνῳ τε πλείονι τελέως ἐκπυροῦται, καὶ μέχρι πλείστου παραμένει.

A sicca, & terrestris, sed humida potius, atque aquea. Quo fit vt facilè perforetur, quum scilicet excrementitia insit humiditas; neque enim quicquam eorum quæ aut planè sicca sunt, aut humida, sed elaboratam & familiarem continent humiditatem, tale aliquid patitur. Idem vsu venit piperi longo. Atque hinc est, quòd diutius perseuerat, quæ proficiscitur à zingibere, aut pipere longo caliditas, quàm quæ ab albo, aut nigro. Nam sicut ab aridis calamis flamma simul celerrimè accenditur, & vndequaque dispergitur, eundem in modum, quæ à siccis potestate medicamentis editur caliditas; at quæ prodit ab humidio- B ribus, ceu ligna sunt viridia, & tardiùs accenditur, & durat diutius. Ex quo fit, vt vtriusque medicamenti diuersus sit vsus. Siquidem vbi totum corpus celeriter calefacere consilium est, ea tunc exhibenda sunt, quæ & celerrimè à caloris nostri contactu incalescant, & promptissimè vndequaque ferantur. Verùm vbi partem quamuis refrigeratam calefacere studemus, contra agendum, nimirum quæ tardè calescentia plurimo tempore perdurent, ea præbendo. Cæterùm licet zingiber, & piper longum hac ratione à nigro pipere differant, non magna tamen est differentia; at na- C sturtium, napy, tapsia, & agrestium columbarum stercus maiori tempore perfectè accenduntur, & plurimo tempore perdurant.

γ'. Περὶ ζύθου.

Ζῦθος δριμύτερός ἐστι τῶν κριθῶν οὐ σμικρῷ, κακόχυμος ὡς ἂν ἐκ σηπεδόνος γεγεννημένος. ἔστι δὲ καὶ φυσώδης, καὶ τὸ μέν τι δριμὺ, καὶ θερμαῖνον ἔχον. τὸ πλεῖστον δὲ ψυχρὸν, ὑδατῶδες, καὶ ὀξύ.

3. De Zytho.

Zythus acrior est non paulo hordeo, & succi praui, vtpote qui ex putredine proueniat; est & flatuosus; tum partim acris est, & calidus: partim verò plurimum frigidus, aqueus, acidus.

δ'. Περὶ ζύμης.

Ζύμη λεπτομερὴς μέν ἐστι, καὶ μετρίως θερμή. διὰ τοῦτο τοίνυν ἀλύπως τε, καὶ ἀδήκτως ἐπισπᾶταί τε ἅμα τὰ ἐκ τοῦ βάθους, καὶ διαφορεῖ. μέμικται δὲ ἐξ ἐναντίων καὶ ἥδε δυνάμεων, ὥσπερ καὶ ἄλλα πολλά. καὶ γὰρ ὀξύτητος μετέχει ψυχρᾶς, καὶ σηπεδονώδους θερμότητος, καὶ πρόσεστι τῆς ἀπὸ τῶν ἁλῶν, καὶ τῆς ἀπὸ τοῦ ἀλεύρου κατὰ φύσιν.

4. De Zyme, fermento.

D Fermentum tenuium est partium, & mediocriter calidum. Proinde sanè sine molestia, ac mordacitate, quæ in profundo sunt, tum extrahit, tum digerit. Cæterùm ex contrariis, & ipsum facultatibus temperatum est, sicut alia multa. Particeps namque est aciditatis cuiusdam frigidæ, & caliditatis putredinosæ, cui accidit, & ea quæ ex sale & farina prouenit, quæ secundum naturam est.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

α'. Περὶ ἡδυόσμου.

Ἡδύοσμον, ἔνιοι δὲ μίνθην προσαγορεύουσιν. ἔστι γὰρ ἑτέρα τις οὐκ εὐώδης μίνθη, ἣν καὶ καλαμίνθην καλοῦσι. δριμεῖαι δ' εἰσὶ γευομένοις ἀμφότεραι, καὶ θερμαὶ τὴν δύναμιν ἐκ τῆς τρίτης που τάξεως τῶν θερμαινόντων. ἀσθενεστέρα μὲν ἡ εὐώδης μίνθη τῆς καλαμίνθης ἐστὶ, καὶ ἧττον θερμαντική. καθόλου γὰρ εἰπεῖν, ἡ μὲν, ὥσπερ ἀγρία τίς ἐστιν, ἡ δ' ἥμερος, ὥστε διὰ τὴν ἐκ τοῦ κηπεύεσθαι προσοῦσαν ὑγρότητα, καὶ πρὸς ἀφροδίσια παρορμᾷ μετρίως. ὑπάρχει δὲ τοῦτο κοινὸν ἅπασιν οἷς μέτεστιν ὑγρότητος ἡμιπέπτου τε, καὶ φυσώδους. διὰ δὲ τὴν τοιαύτην τῆς πόας κρᾶσιν, καὶ κατὰ τῶν ἀποστημάτων ἐπιτιθέασιν ἔνιοι μετ' ἀλφίτων αὐτὴν, ὅπερ ἡ καλαμίνθη ποιεῖν οὐ δύναται τῷ σφοδρότερον, ἢ τὰ τοιαῦτα θερμαίνειν, καὶ ξηραίνειν. ἔχει δέ τι καὶ πικρὸν, καὶ στρυφνὸν ἐν ἑαυτῇ, καὶ τῷ μὲν πικρῷ τὰς ἕλμινθας ἀναιρεῖ. τῷ δὲ στρυφνῷ μεθ' ὀξυκράτου πινομένη, τὰς προσφάτους αἵματος ἀναγωγὰς ἐπέχει. λεπτομερὴς δ' ἐστὶ τὴν οὐσίαν, εἴπερ τις καὶ ἄλλη πόα.

CAPVT VII.

De Hediosmo, Mentha.

E Hedyosmus. Alij verò Minthen odoratam nuncupant. Est enim & alia quædam Minthe non odorata, quàm Calaminthen vocant. Vtraque gustu acri, & facultate calida est, ex tertio ordine calefacientium. Infirmior tamen est mentha odorata, quàm calamintha: & minus calefacit. Vt enim in vniuersum dicã, hæc ceu syluestris quędã est, illa ceu domestica. Quamobrem sanè ob eam, quę ex cultu accedit humiditatẽ, mediocriter item ad venerẽ excitat: Id quod omnibus cõmune est, quæ humiditatem semicoctam, & flatuosam continent. Ob talem ipsius herbæ temperiem in ab- F scessibus ea quidem cum polenta mixta vtuntur; id quod in calamintha facere nequeas, propterea quod valẽtius, tum calefaciat, tum desiccet, quàm id genus poscant. Habet verò etiam quoddam amarum in se, & acerbum: illo quidem lumbricos interficit; acerbitate verò, si cum oxycrato bibatur, recentes sanguinis reiectiones reprimit. Substantiæ est, vt si qua alia herba, tenuium partium.

2. *De Hedysaro.*

HEdysarum, aut Pelecinus. Huius fruticis semen colore rufum est, vtrinque anceps, vti secures. Amarum & subacerbum apparet. Quamobrem potum gratum est stomacho, & viscerum obstructiones expurgat. Idem præstant totius fruticis germina.

3. *De Hemerocalle.*

HEmerocalles radicem habet lilij radici similem, non figura tantum, sed & facultatibus. prodest non secus, atque illa, igni ambustis, quippe quæ leuiter digerentem facultatem habeat, & cum hoc nonnihil repellentis.

4. *De Hemionitide.*

HEmionitis simul, & astrictionem, & amarorem possidet. Quamobrem cum aceto pota lienosis auxilio est.

5. *De Herigeronte.*

HErigeron facultatem mixtam obtinet, simul refrigeratoriam, & modicè digerentem.

6. *De Eryngio.*

ERyngium caliditate, aut parum, aut nihil, quod temperatum est, superat. Cæterùm non paruam habet siccitatem in tenui essentia consistentem.

CAPVT VIII.

1. *De Thalictro.*

THalictrum folia habet coriandro similia, caulem crassitudine rutæ. Vis ei inest exiccatoria citra morsum. Itaque vlcera inueterata ad cicatricem perducit.

2. *De Thapsia.*

THapsia acrem habet, ac valenter calefacientem facultatem cum humiditate coniunctam. Quamobrem ex alto violenter extrahit, & quod extraxit, digerit. Verùm plusculum ad ea efficienda tempus postulat, vt quæ larga humiditate excrementitia impleta est; cuius vitio etiam fit, vt celeriter corrumpatur.

3. *De Thermo, lupino.*

LVpinus edi potest coctus, multis ante diebus per macerationem amarore in aqua deposito. Fitque tunc nutrimentum succi crassi. Cæterùm hic, vt medicamentum quidem, ex genere est emplasticorum. At vbi natiuus etiamnum manet amaror, extergendi digerendíque vim obtinet. Interficit lumbricos, tum illitus, tum addito melle linctus, tum ex posca epotus. Quin & decoctum eius lumbricos eiicere potest; tum etiam foris itidē perfusum vitiligines, achoras, pustulas, psoras,

A

β΄. Περὶ ἡδυσάρου.

Ἡδύσαρον, ἢ πελεκῖνος. τούτου τοῦ θάμνου τὸ σπέρμα πυῤῥὸν μὲν τὴν χρόαν, ἀμφίστομον δὲ καθάπερ οἱ πελέκεις· πικρὸν καὶ ὑπόστρυφνον φαίνεται, ὅθεν εὐστόμαχόν τε ἐστὶ πινόμενον. ἐκκαθαίρει τε τὰς ἐν τοῖς σπλάγχνοις ἐμφράξεις. οὕτω καὶ οἱ κλῶνες ὅλου τοῦ θάμνου δρῶσιν.

γ΄. Περὶ ἡμεροκάλλους.

B Ἡμεροκάλλους ἡ ῥίζα παραπλησία τῇ τοῦ κρίνου κατά τε τὴν ἰδέαν οὖσα, καὶ κατὰ τὴν δύναμιν, ὠφελεῖ παραπλησίως ἐκείνῃ τὰ πυρίκαυτα. καὶ γὰρ διαφορητικῆς ἀτρέμα δυνάμεώς ἐστι, μετὰ τοῦ καὶ ἀποκρουστικὸν ἔχειν τι.

δ΄. Περὶ ἡμιονίτιδος.

Ἡμιονῖτις στύψεως ἅμα σὺν πικρότητι μετέχει, διὸ καὶ σπληνικοὺς ὠφελεῖ, σὺν ὄξει πινομένη.

C

ε΄. Περὶ ἠριγέροντος.

Ἠρίγερων δύναμιν ἐπίμικτον ἔχει, ψυκτικήν τε ἅμα, καὶ μετρίως διαφορητικήν.

ϛ΄. Περὶ ἠρυγγίου.

Ἠρύγγιον θερμότητι μὲν, ἢ βραχὺ τῶν συμμέτρων, ἢ οὐδὲν ὑπερέχει, ξηρότητος δὲ λεπτομεροῦς οὐκ ὀλίγης μετέχει.

D

ΚΕΦΑΛΑΙΟΝ Η΄.

α΄. Περὶ θαλίκτρου.

Θαλίκτρον κοριάννῳ μὲν ἔχει τὰ φύλλα παραπλήσια, τὸν καυλὸν δὲ πηγάνου τὸ πάχος. ἡ δύναμις δ' αὐτοῦ ξηραντικὴ χωρὶς δήξεως, ἐπουλοῖ γοῦν τὰ χρόνια τῶν ἑλκῶν.

β΄. Περὶ θαψίας.

E Θαψία δριμείας ἐστὶ, καὶ ἰσχυρῶς θερμαντικῆς δυνάμεως, σὺν ὑγρότητι. ἕλκεται γὰρ οὕτω ἐκ βάθους βιαίως, καὶ αὐτὸ διαφορεῖ τὸ ἑλχθέν. χρόνῳ δὲ ἐργάζεται πλείονι ταῦτα, διὰ τὸ περιττωματικῆς ὑγρότητος ἐμπεπλῆσθαι δαψιλεῖς, δι' ἣν καὶ ταχέως διαφθείρεται.

γ΄. Περὶ θέρμου.

Θέρμος, ἐσθίεται μὲν ἑψηθείς τε, καὶ πολλαῖς ἡμέραις ἐναποθέμενος ὕδατι τὴν πικρότητα, καὶ γίγνεται τηνικαῦτα τροφὴ παχύχυμος. ὡς φάρμακον δὲ, ὁ μὲν τοιοῦτος
F ἐκ τῶν ἐμπλαστικῶν ἐστιν, ὁ δὲ τὴν σύμφυτον πικρότητα ἔχων, ῥυπτικός τε, καὶ διαφορητικὸς ὑπάρχει. ἀναιρεῖ δὲ καὶ ἕλμινθας ἐπιπλαττόμενός τε, καὶ μετὰ μέλιτος ἐκλειχόμενος, ἢ μετ' ὀξυκράτου πινόμενος, οὐ μὴν, ἀλλὰ καὶ τὸ ἀφέψημα αὐτοῦ, τὰς ἕλμινθας ἐκβάλλειν πέφυκε. καὶ μέν γε καὶ καταντλούμενον ἔξωθεν, ὀνίνησιν ἀλφοὺς, ἄχωρας, ἐξανθήματα, ψώρας,

γαγγραίνας, ἕλκη κακοήθη, τὰ μὲν τῷ ῥύπτειν, τὰ δὲ τῷ διαφορεῖν, καὶ ξηραίνειν ἀδήκτως. ἐκκαθαίρει δὲ καὶ ἧπαρ, καὶ σπλῆνα, μετὰ πηγάνου καὶ πεπέρεως, ἡδονῆς ἕνεκα λαμβανόμενον. ἐπισπᾶται δὲ καὶ καταμήνια, καὶ ἔμβρυα, σὺν σμύρνῃ καὶ μέλιτι προστιθέμενον. ἔστι δὲ καὶ τὸ ἄλευρον τῶν θέρμων, ἀδήκτως διαφορητικόν. οὐ γὰρ τὰ πελιδνὰ μόνον, ἀλλὰ καὶ χοιράδας, καὶ φύματα σκληρὰ θεραπεύει, ἐν ὄξει δὴ ἕψειν αὐτὸ χρὴ τηνικαῦτα, ἢ ὀξυμέλιτι, ἢ ὀξυκράτῳ, κατά τε τὰς κράσεις δηλονότι τῶν καμνόντων, καὶ τοῦ πάθους τὴν διαφορὰν ἐξευρίσκοντα τὸ δέον. οὐκ ἔστι δὲ τῆς προκειμένης νῦν ἡμῖν πραγματείας, τὰ τοιαῦτα διαιρεῖσθαι. διαφορεῖ δὲ καὶ τὰ πελιδνά· καὶ τἄλλα ὅσα πρόσθεν εἴρηται τὸ ἀφέψημα δρᾶν, πάντα καὶ τὸ ἄλευρον ἐργάζεσθαι πέφυκε. καταπλάσσουσι δ' ἔνιοι, καὶ τοὺς ἰσχιαδικοὺς αὐτῷ.

A gangrænas, vlcera maligna, iuuat, partim extergendo, partim citra mordacitatem digerendo siccandóque. Expurgat iecur, & lienem cum ruta, & pipere suauitatis gratia assumptum. Elicit menses, ac fœtum cum myrrha, & melle impositum. Porrò lupinorum farina sine mordicatione digerit. Nec enim liuida tantum, sed & strumas, & phymata dura curat; sed tunc in aceto, aut oxymelite, aut posca coquatur oportet, idque pro laborantium temperamento, & affectus diuersitate, quod ex vsu est, eligendo. Sed non est præsentis instituti talia distinguere. Digerit item quæ liuida sunt. B Et quæcunque modo diximus præstare posse decoctum, eadem omnia efficit, & farina. Sunt verò etiam qui eam ischiadicis cataplasmatis modò illinunt.

δ'. Περὶ θέρμου ἀγρίου.

Θέρμος ἄγριος πικρότερος, καὶ ἰσχυρότερος εἰς ἅπαντα τοῦ ἡμέρου ἐστὶ, τῆς αὐτῆς ὑπάρχων αὐτῷ κατὰ γένος δυνάμεως.

4. *De Thermo, lupino agresti.*

LVpinus agrestis amarior est, & ad omnia valentior domestico, eiusdem generis cum ipso facultatis.

C

ε'. Περὶ θλάσπεως.

Θλάσπι σπέρμα. δριμὺ, καὶ τοῦτ' ἔστι τὴν δύναμιν, ὥστε καὶ τὰ ἐντὸς ἀποστήματα ῥήσσει ποτιζόμενον, καὶ καταμήνια κινεῖ, καὶ ἔμβρυα κτείνει, καὶ δι' ἕδρας ἐνιέμενον, ἰσχιάδας ὀνίνησιν αἱματώδη κενοῦν. ἔστι γὰρ καὶ ἄλλως καθαρτικὸν, ἄνω τε καὶ κάτω χολωδῶν, ὀξυβάφου πλῆθος πινόμενον.

5. *De Thlaspi.*

THlaspi semē. Habet & ipsum facultatē acré, adeo vt internos abscessus potum disrumpat. Menses ciet, & fœtū necat. Per sedē infusum sanguinolēta euacuans, ischiadibus prodest. Est enim alioqui tum supernè, tum infernè biliosorū humorum euacuatorium, oxybaphi mensura epotum.

ϛ'. Περὶ θρίδακος.

Θρίδαξ ὑγρὸν καὶ ψυχρὸν λάχανον, οὐ μὴν ἐσχάτως γε, οὐδὲ γὰρ ἂν ἐδώδιμον ἦν, ἀλλὰ κατὰ τὴν τῶν κρηναίων ὑδάτων, ὡς ἄν εἴποι τις μάλιστα δύναμιν, ἤτοι ψυχρότητα. διὸ τοῦτο πρὸς μὲν τὰς θερμὰς φλεγμονὰς ἁρμόττει, καὶ πρὸς τὰ μικρὰ, καὶ κοῦφα τῶν ἐρυσιπελάτων, οὐ μὴν τοῖς γε μείζοσιν ἐπαρκεῖν ἱκανή. ἔστι δὲ, καὶ ἄδιψον ἔδεσμα. τὸ δὲ σπέρμα πινόμενον ἐπέχει γονοῤῥοίας, ὅθεν καὶ τοῖς ὀνειρώττουσι δίδοται. οὕτω καὶ ὁ τῆς ἀγρίας, ἧς καὶ τὸν ὀπὸν ἀθροίζουσιν, ἄργεμά τε καὶ ἀχλῦς ἀποκαθαίρων τε, καὶ πρὸς τὰ ἐπικαύματα, μετὰ γυναικείου γάλακτος ὑπαλειφόμενον.

6. *De Thridace, lactuca.*

LActuca humidum est, frigidúmque olus, non tamen extremè (siquidē edendo non foret) D verùm maximè secundū aquæ, vt sic dicam, fontanæ frigiditatem. Proinde ad calidas phlegmonas accommodum est, & ad parua & leuia erysipelata; non tamen maioribus satisfacere idonea est. Est etiam edulium siti aduersum. At semen potum, genituræ profluuium cohibet; quamobrem etiam iis, qui libidinosis somniis vexantur, datur, sic & agrestis lactucæ semen, cuius colligitur succus, argemas & caligines expurgans, tum ad adustiones cum lacte mulierum inungi solitus.

E

ζ'. Περὶ θύμου.

Θύμος τέμνει καὶ θερμαίνει σαφῶς, διὰ τοῦτο, καὶ οὖρα, καὶ καταμήνια κινεῖ, καὶ ἔμβρυα κατασπᾷ, καὶ τὰ σπλάγχνα διακαθαίρει πινόμενος, καὶ τοῖς τε ἐκ θώρακος, καὶ πνεύμονος ἀναγωγαῖς συναίρεται. καὶ τοίνυν ἔν τε τῷ ξηραίνειν, καὶ θερμαίνειν, ἐν τῇ τρίτῃ τάξει θετέον αὐτόν.

7. *De Thymo.*

THymum incidit, & calefacit vehementer. Ob id & vrinam, & menses prouocat, fœtum euellit, viscera potum expurgat, educendis ex thorace, & pulmone confert. Itaque in calefaciendo exiccandóque in tertio ordine statuendum est.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

α'. Περὶ ἰδαίας ῥίζης.

Ἰδαία ῥίζα, καὶ γευομένη μὲν ἐστι σφόδρα στρυφνὴ, καὶ τοῖς ἔργοις δὲ πειρωμένῳ τὴν αὐτὴν ἐπιδείκνυται δύναμιν, αἱμοῤῥαγίας τε καὶ κοιλίας ῥεύματα, καὶ δυσεντερίας, καὶ ῥοῦν γυναικεῖον, καὶ ὅσα τἄλλα τοιαῦτα θεραπεύουσα, πινομένη τε, καὶ ἔξωθεν ἐπιτιθεμένη.

CAPVT IX.

F

1. *De Idæa radice.*

IDæa radix gustu admodum acerba est; ac si opere periculum facias, eandem vim præfert: Nimirum sanguinis profluuia, alui fluxus, dysenterias, profluuium mulierum, & quæcunque eius sunt generis, tum pota, tum foris imposita curans.

A

2. *De Ixo, visco.*

VIscum ex plurima aërea, & aquea calida, paucissima terrena substantia constat. Nam acrimonia in eo amarorem excellit. Itaque etiam effectus ei secundum essentiam insunt. Siquidem valenter ex alto humores extrahit, nec eos tantum tenues, sed & crassiores, eósque diffundit, ac digerit. Est autem ex eorum genere, quæ non protinus admota calefaciunt, sed quæ tempus requirunt, velut thapsia; sed & supra hoc commonuimus inesse calidis facultate medicamentis, vbi largum continent humorem excrementitium.

β'. Περὶ ἰξοῦ.

Ἰξὸς ἐκ πλείστης μὲν ἀερώδους τε, καὶ ὑδατώδους οὐσίας θερμῆς, ἐλαχίστης δὲ γεώδους σύγκειται. τὸ γοῦν δριμὺ, πλέον ἐστὶν ἐν αὐτῷ τοῦ πικροῦ, καὶ τοίνυν καὶ τὰ ἔργα κατὰ τὴν οὐσίαν αὐτοῦ. ἕλκει γὰρ ἐκ τοῦ βάθους ἰσχυρῶς ὑγρότητας, οὐ τὰς λεπτὰς μόνον, ἀλλὰ καὶ τὰς παχυτέρας, καὶ ταύτας διαχεῖ τε καὶ διαφορεῖ. ἔστι δὲ τῶν οὐκ εὐθὺς θερμαινόντων φαρμάκων, μετὰ τὴν πρώτην ἐπίθεσιν, ἀλλὰ χρόνου δεομένων, ὥσπερ ἡ θαψία. τοῦτο δὲ εἴρηται καὶ πρόσθεν, ὡς τοῖς θερμοῖς κατὰ δύναμιν ὑπάρχει φαρμάκοις, ὅταν ὑγρότητα περιττωματικὴν ἔχῃ δαψιλῆ.

B

3. *De Io, viola.*

VIolæ folia aqueam & subfrigidam substantiam superantem possident. Proinde tum per se, tum cum polenta illita calidas phlegmonas mitigant. Imponuntur & ori ventriculi æstuanti, & oculis.

γ'. Περὶ ἴου.

Ἴου τὰ φύλλα τὴν ὑδατώδη, καὶ ὑπόψυχρον οὐσίαν ἐπικρατοῦσαν κέκτηται, καὶ διὰ τοῦτο, καὶ καθ᾽ ἑαυτά, καὶ μετὰ ἀλφίτων ἐπιπλαττόμενα, τὰς θερμὰς φλεγμονὰς πραΰνουσιν. ἐπιτίθεται δὲ καὶ κατὰ τοῦ στόματος τῆς γαστρὸς ἐκκαιομένου, καὶ κατ᾽ ὀφθαλμῶν.

4. *De hippuride, cauda equina.*

C

CAuda equina astringentē cum amarore qualitatem possidet; ac proinde valenter, simulque citra mordacitatem, exiccantem. Itaque vulnera, vel maxima illita conglutinat, etiamsi præsectos esse neruos contigerit; præterea vocatas enterocelas glutinat. Ad hæc ad sanguinis reiectionem, ad profluuium muliebre potissimum rubrum, ad dysenterias, & reliquos ventris fluxus, strenuum, ac generosum est remedium herba ipsa, aut ex aqua, aut ex vino epota. Sunt qui de ea scriptum reliquerunt, quòd nonnunquam etiam vesicæ, ac tenuium intestinorum vulnera sanauit. Eius verò succus prodest etiam profluuio sanguinis prorumpenti è naribus, tum fluxibilibus in ventre passionibus ex austerorum vinorum quopiam potus, ac si febre teneantur, ex aqua.

δ'. Περὶ ἱππούριδος.

Ἱππουρὶς στυπτικὴν μετὰ πικρότητος ἔχει ποιότητα, καὶ διὰ τοῦτο ξηραντικὴν ἰσχυρῶς τε ἅμα, καὶ ἀδήκτως. τραύματα γοῦν τὰ μέγιστα, καταπλαττομένη κολλᾷ, κἂν νεῦρα διατετμημένα τύχῃ, καὶ τὰς καλουμένας ἐντεροκήλας, ἀλλὰ καὶ πρὸς τὰς ἀναγωγὰς τοῦ αἵματος, καὶ πρὸς ῥοῦν τὸν γυναικεῖον, καὶ μάλιστα τὸν ἐρυθρόν, ἔτι τε δυσεντερίας, καὶ τἄλλα τὰ κατὰ τὴν γαστέρα ῥεύματα, γενναῖόν ἐστι φάρμακον ἡ πόα πινομένη δι᾽ ὕδατος, ἢ οἴνου. γράφουσι δὲ περὶ αὐτῆς τινες, ὡς καὶ κύστεως ἰάσατό ποτε, καὶ τῶν λεπτῶν ἐντέρων τραύματα ὁ χυλὸς αὐτῆς. αἱμοῤῥαγίας τε τὰς ἐκ ῥινῶν ὠφελεῖ, καὶ κατὰ τὴν γαστέρα ῥοώδη πάθη, σύν τινι τῶν αὐστηρῶν οἴνων πινόμενος, καὶ δι᾽ ὕδατος, εἰ πυρέττοντες τύχωσιν.

D

5. *De Hippomarathro.*

HIppomarathrum. Vnà cum fœniculo & de ipso disseremus.

ε'. Περὶ ἱππομαράθρου.

Ἱππομάραθρον· ἅμα τῷ μαράθρῳ περὶ τούτου ῥηθήσεται.

5. *De Isatide.*

E

ISatis domestica quidem, qua vtuntur tinctores, facultatis est valenter exiccantis nondum tamen mordentis; est enim simul amara, atque astringens. Proinde magna vulnera corporum durorum glutinat, etiamsi in capitibus musculorum fuerint; & sanguinis profluuio laborantibus partibus vtiliter illinitur. Tumores œdematodeis mirificè digerit simul, ac reprimit; & aduersus omnia vlcera maligna, mirabiliter resistit, etiamsi putrescant, etiamsi exedantur, ac erodantur. Quòd si quando, quàm pro laborantis natura valentior appareat, foliis eius tritis miscere oportebit, aut panem, aut hordeaceam farinam, aut triticeam, aut polentam, pro vincente nimirum in vnoquoque affectu. At Isatis Syluestris manifestè iam acre quiddam, tum gustu, tum actione præfert. Proinde quàm domestica valentiùs desiccans, valentius humidis etiam putredinibus obsistit: Ad cætera verò iam comprehensa deterior;

F

ϛ'. Περὶ ἰσάτιδος.

Ἰσάτις ἡ μὲν ἥμερος, ᾗ οἱ βαφεῖς χρῶνται, ξηραντικῆς ἰσχυρῶς ἐστι δυνάμεως, οὐδέπω δακνούσης. ἔστι γὰρ πικρά τε ἅμα, καὶ στυπτική. ταῦτά τοι, καὶ τὰ μεγάλα τραύματα τῶν σκληρῶν σωμάτων κολλᾷ, κἂν ἐν ταῖς τῶν μυῶν ᾖ κεφαλαῖς, καὶ κατὰ τῶν αἱμοῤῥαγούντων ὠφελίμως ἐπιπλάττεται, καὶ τοὺς οἰδηματώδεις ὄγκους, θαυμαστῶς διαφορεῖ τε ἅμα καὶ προστέλλει, καὶ πρὸς πάντα τὰ κακοήθη ἕλκη, θαυμαστῶς ἀνθίσταται, κἂν σήπηται, κἂν διαβιβρώσκηται. εἰ δέ ποτε τῆς τοῦ κάμνοντος φύσεως ἰσχυροτέρα φαίνοιτο, μιγνύναι χρὴ τοῖς φύλλοις αὐτῆς λεανθεῖσιν, ἢ ἄρτον, ἢ κρίθινον ἄλευρον, ἢ πύρινον, ἢ ἄλφιτα κατὰ τὴν ἐπικρατοῦσαν ἐν ἑκάστῳ διάθεσιν. ἡ δὲ ἀγρία ἰσάτις, ἔχει τι δριμὺ σαφὲς ἤδη, κατά τε τὴν γεῦσιν, καὶ κατὰ τὴν ἐνέργειαν, καὶ διὰ τοῦτο τῆς ἡμέρου ξηραντικωτέρα γινομένη, πρὸς τὰς ὑγρὰς σηπεδόνας, ἰσχυροτέρως ἀνθίσταται. τὰ δ᾽ ἄλλα, τὰ προειρημένα χείρων ἐστὶν,

ἀμετροτέρως γὰρ ἤδη, καὶ μετὰ τοῦ δάκνειν ξηραίνει. τὰ τοιαῦτα δ' A ἐρεθίζεται, καὶ φλεγμονώδη γίγνεται. διὰ δὲ τὸ ἰσχυρὸν τῆς δυνάμεως, καὶ τοῖς σπληνικοῖς ὑπάρχει χρήσιμος, οὔπω τῆς ἑτέρας ὠφελούσης.

immoderatiùs enim iam mordacitérque desiccat; talia autem irritantur hoc pacto, & phlegmone grauari incipiunt. Cæterùm ob facultatis robur lienosis quoque vtilis fuerit, quum altera nondum prodesse possit.

ζ. Περὶ ἰσοπύρου.

Ἰσόπυρον, ἢ φασίολον, σπέρμα πικρὸν καὶ ὑπόστρυφνον ἔχει. ῥύπτει τοιγαροῦν, καὶ τέμνει τοὺς παχεῖς χυμοὺς, μετὰ τοῦ συνάγειν, καὶ σφίγγειν τὰ σώματα. καὶ διὰ τοῦτο, καὶ ταῖς ἐκ θώρακος ἀναπτύσεσι συναίρεται, καὶ ἧπαρ ἐκκαθαίρει, καὶ αἱμοπτυϊκοῖς οὐκ ἀντιπράττειν, ἀλλ' ἔτι καὶ προσωφελεῖν πεπίστευται. διὰ γὰρ τὸ μικτὸν τῆς κράσεως, ἁρμόττειν δοκεῖ, καὶ πρὸς B τὰ ἐναντία.

7. *De Isopyro.*

Isopyrum aut phasiolum semen habet amarum & subacerbum. Extergit itaque & incidit humores crassos, cum hoc vt corpora contrahat, & constringat. Quamobrem excreationibus pectoris conducit, & iecur expurgat; & sanguinem spuentibus non est aduersum, imò etiam iuuare creditur, nam propter temperiei mixtionem contrariis etiam congruere videtur.

η. Περὶ ἰτέας.

Ἰτέας χρήσαιτο μὲν ἄν τις καὶ τοῖς φύλλοις εἰς τραυμάτων ἐναίμων κόλλησιν, οὐ μὴν, ἀλλὰ τοῖς ἄνθεσι μάλιστ' αὐτῆς, ἅπαντες σχεδὸν οἱ ἰατροὶ χρῶνται πρὸς ἐμπλάστρου ξηραινούσης σκευασίαν. ἔστι γὰρ ἡ δύναμις αὐτῶν ξηραντικὴ καὶ ἄδηκτος, ἔχει δὲ καὶ στύψιν. ἔνιοι δὲ καὶ χυλὸν ἐξ αὐτῶν ποιοῦντες, ἄδηκτον καὶ ξηραῖνον ἴσχουσι φάρμακον εἰς πολλὰ χρήσιμον. οὐδὲν γάρ ἐστι πολυχρηστότερον, ἀδήκτου, καὶ ξηραίνοντος φαρμάκου, στύφοντος ὀλίγον, ὡς κἀν τοῖς περὶ συνθέσεως τῶν φαρμάκων, ἀκριβέστερον δειχθήσεται. καὶ ὁ φλοιὸς δὲ τοῦ C δένδρου παραπλήσιος ὑπάρχει, τῇ τε τῶν ἀνθῶν, καὶ τῶν φύλλων δυνάμει. πλὴν ὅσα ξηρότερός ἐστι τὴν κρᾶσιν, ὥσπερ ἀμέλει, καὶ πάντες οἱ φλοιοί. ἀλλὰ τοῦτόν γε καίουσιν ἔνιοι, καὶ χρῶνται τῇ τέφρᾳ πρὸς ὅσα περ ἂν ἰσχυρῶς δέωνται ξηραίνειν. τοὺς γοῦν καλουμένους ἥλους, καὶ τύλους, ἔτι τε μυρμηκίας ἐξαιροῦσιν αὐτὴν δεύοντες ὄξει δριμεῖ. ἔνιοι δὲ κατὰ τὸν καιρὸν τῆς ἀνθήσεως ἐντέμνοντες τὸν φλοιὸν, ὀπὸν ἀθροίζουσί τινα, καὶ χρῶνται πρὸς τὰ ταῖς κόραις ἐπισκοτοῦντα, ῥυπτικῷ τε ἅμα, καὶ λεπτομερεῖ φαρμάκῳ. χρήσαιτο δ' ἄν τις, καὶ εἰς ἄλλα πολλὰ τοιούτῳ γε ὄντι αὐτῷ.

8. *De itea, salice.*

Salicis foliis ad cruenti vulneris glutinationem vti possis. Verùm floribus eius maximè propè omnes vtuntur medici ad exiccantis emplastri præparationem; est enim facultas eorum, desiccatoria, & morsus expers; habent verò etiam quandam astrictionem. Sunt verò etiam qui succum ex eis expressum, medicamentum seruent mordacitatis expers, & exiccatorium, ad multas res vtile. Haud enim inuenias quid ad plures res vtilius medicamento citra mordacitatem exiccante, quod paulum etiam astringat; sicut in opere de medicamentorum compositione exactiùs docebimus. Porrò arboris cortex similem facultatem obtinet, tum floribus, tum foliis, nisi quòd temperiei sit siccioris, velut omnes cortices. Sed hunc quidam comburunt, eiúsque cinere vtuntur ad ea omnia, quæ valenter desiccare oportet. Nam clauos quos vocant, callos, myrmecias tollunt, aceto acri ipsum macerantes. Nonnulli autem dum floret salix, corticem eius incidunt, & succum quendam colligunt, vtuntúrque ad ea, quæ pupillas offuscant, extergente videlicet simúlque tenuium partium medicamento. Vti verò illo ad multa quis possit, siquidem talis fuerit.



ΓΑΛΗΝΟΥ



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ, ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS, LIBER SEPTIMVS.

PROOEMIVM.

Quòd hi libri haud negligenter legendi; ac de quatuor gradibus simplicium medicamentorum.



SEPTIMVM de simplicium medicamentorum facultatibus commentarium scripturus, necessarium duxi præfari, solis iis apertum, ac clarum forè, qui in superioribus libris non velut aliud agentes, aut obiter, fuerint versati; alios verò potius perperam inauditúros, quàm eorum, quæ in eo dicenda sunt, aliquid percepturos existimo; tum sese falsuros; & nos forsan, tanquam non rectè quædam scripserimus, calumniaturos, atque conuiciis laceraturos. Itaque qui sanioris mentis sunt, monitis, scio, auscultabunt; ac si qua illis cura est præsentis huius speculationis, ab initio totum opus perlegent; at qui præ curiositate potius, quàm discendi studio huc accesserint, monita nostra contemnent. Enimuero mirum fortasse videri non debet, si inuenti sunt, qui mysteriorum libros à mysteriis alieni legere non sunt reueriti; verùm illos sui authores non scripserant prophanis; nec ego mehercule iis, qui in principiis non sunt exercitati. Exponentur hoc in libro, & eo qui hunc subsequitur, reliquarum plantarum primæ facultates eo doctrinæ ordine, qui in literis, à quibus incipiunt, visitur. Antecedente itaque libro vsque ad iota progressi sumus. Hic autem principium sumemus à κ, id modo præmonentes etiam, quòd ad ante demonstrata principia totum referemus. Siquidem hinc omnis sigillatim medicamentorum in agendo prouenit diuersitas, quòd hactenus eorum vnumquodque, aut calidum est, aut frigidum, aut siccum, aut humidum, aut tenuium partium, aut crassarum. Cæterùm quatenus in comprehensorum vnoquoque processum sit, iuxta exactissimam veritatem, explicatu certè est impossibile. Sed nos id tamen

ΠΡΟΟΙΜΙΟΝ.

Ὅτι τοιούτοις τούτοις τοῖς βιβλίοις οὐκ ἐν παρέργῳ ὁμιλητέον, καὶ περὶ τεττάρων τάξεων τῶν φαρμάκων.



A ΕΒΔΟΜΟΝ τοῦτο περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπόμνημα γράφοντες, ἀναγκαῖον ἡγούμεθα προειπεῖν, ὡς μόνοις ἔσοιτο σαφὲς, ὅσοι τοῖς ἔμπροσθεν ὡμίλησαν, οὐκ ἐν παρέργῳ. τοὺς δ᾽ ἄλλους ἡγοῦμαι παρακούσεσθαι μᾶλλον, ἢ μαθήσεσθαί τι τῶν ἐν αὐτῷ λεχθησομένων, καὶ αὖθίς τε σφαλήσεσθαι. καὶ ἡμᾶς ἴσως ἐπηρεάσειν, ὡς οὐκ ὀρθῶς τινα γράφοντας. ὅσοι μὲν οὖν σώφρονές εἰσιν, οἶδ᾽ ὅτι πεισθήσονται. καὶ εἴπερ ὅλως πεφροντίκασι
B τῆς προκειμένης θεωρίας, ἀπὸ τῆς ἀρχῆς ἀναλέξονται τὴν ὅλην πραγματείαν. ὅσοι δὲ περίεργοι μᾶλλον, ἢ φιλομαθεῖς ὑπάρχουσιν, ἀπειθήσουσι τῇ προρρήσει. καὶ οὐδὲν ἴσως θαυμαστὸν, εἴ γε καὶ μυστηρίων βίβλοις ἐτόλμησαν ἔνιοι τῶν ἀμυήτων ἀναγινώσκειν, ἀλλ᾽ οὔτ᾽ ἐκείνας ἔγραψαν οἱ γράψαντες τοῖς βεβήλοις, οὔτ᾽ ἐγὼ ταῦτα, τοῖς μήπω περὶ τὰ πρῶτα γεγυμνασμένοις. εἰρήσονται δ᾽ ἐν τούτῳ τῷ βιβλίῳ, καὶ τῷ μετ᾽ αὐτὸ τῶν ὑπολοίπων φυτῶν αἱ πρῶται δυνάμεις, τὴν τάξιν τῆς διδασκαλίας, κἀνταῦθα κατὰ τὴν τάξιν τῶν
C γραμμάτων ποιησαμένων ἡμῶν, ἀφ᾽ ὧν ἄρχονται. ἐν μὲν οὖν τῷ πρὸ τοῦδε, μέχρι τοῦ ι, προήλθομεν. ἐνταυθοῖ δὲ τὴν ἀρχὴν, ἀπὸ τοῦ κ ποιησόμεθα, τοσοῦτον ἔτι προαναμνήσαντες, ὡς εἰς τὰς προαποδεδειγμένας ἀρχὰς ἀνάξομεν ἅπαντα. τῷ γὰρ ἐπὶ τοσόνδε θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, ἢ λεπτομερὲς, ἢ παχυμερὲς ὑπάρχειν ἕκαστον τῶν φαρμάκων, αἱ διαφοραὶ τῶν κατὰ μέρος ἐνεργειῶν αὐτῶν γίγνονται. ὃ δ᾽ ἐπὶ τοσόνδε προήκειν ἐν ἑκάστῳ τῶν προειρημένων ἄρρητόν ἐστι, πρός γε τὴν ἀκριβεστάτην ἀλήθειαν. ἀλλ᾽ ἡμεῖς καὶ τοῦτο

περιλαβεῖν ἐπειράθημεν ὅροις σαφέσιν, ἱκανοῖς εἰς τὴν A χρείαν τῆς τέχνης, ἓν μὲν εἶναι γένος φαρμάκων ἐπιδείξαντες, εἰς ὁμοίαν τοῖς σώμασιν ἡμῶν ἀφικνούμενον κρᾶσιν, ἐπειδὰν ὑπὸ τῆς ἐν αὐτοῖς θερμότητος ἀρχήν τινα δέξηται μεταβολῆς τε καὶ ἀλλοιώσεως. ἕτερον δὲ, θερμότερον ἢ καθ' ἡμᾶς γινόμενον, οὗ τέτταρας ἔδοξε ποιήσασθαι τάξεις. πρώτην μὲν τὴν ἀσαφῆ πρὸς αἴσθησιν, ὡς λόγου δεῖσθαι τοῦ φωράσοντος, ἑτέραν δ' ἐπ' αὐτῇ δευτέραν, ἤδη πως σαφῆ πρὸς αἴσθησιν, ἄλλην δὲ τρίτην θερμαίνουσαν μὲν ἰσχυρῶς, οὐ μὴν ἤδη γέ πως καίουσαν, ἐφ' ᾗ τετάρτην τε καὶ ὑστάτην, τὴν καυστικήν. οὕτω δὲ καὶ τῶν ψυ- B χόντων, πρώτην μὲν τὴν τάξιν τῶν λόγου δεομένων εἰς ἀπόδειξιν τοῦ ψύχειν, δευτέραν δὲ τῶν αἰσθητῶς ψυχόντων, καὶ τρίτην τῶν ἰσχυρῶς, καὶ τετάρτην τῶν νεκρούντων. ἀνάλογον δὲ ταύταις, καὶ περὶ τῶν ὑγραινόντων, καὶ ξηραινόντων.

ΚΕΦΑΛΑΙΟΝ Ι.

α΄. Περὶ καλαμίνθης.

Καλαμίνθη λεπτομερὴς τὴν οὐσίαν ἐστὶ, καὶ θερμὴ, καὶ C ξηρὰ τὴν κρᾶσιν, ἐκ τῆς τρίτης που τάξεως, κατ' ἀμφοτέρας τὰς ποιότητας. ἐναργῆ δὲ τούτων τὰ γνωρίσματα, τά τε τῇ γεύσει φαινόμενα, καὶ τὰ διὰ τῆς πείρας γινωσκόμενα. τῇ μὲν γὰρ γεύσει, δριμεῖά τε καὶ θερμὴ σαφῶς ἐστὶ, καὶ βραχύ τι παντελῶς ὑπόπικρον ἔχει. πειρωμένοις δ' αὐτῆς, καὶ προσάγουσι τῷ σώματι, πρῶτον μὲν ἔξωθεν ἐπιτιθεμένη, λίαν θερμαίνει τε καὶ δάκνει, καὶ ἀμύττει τὸ δέρμα, καὶ τελευτῶσα ἕλκος ἐργάζεται. λαμβανομένη δὲ εἴσω τοῦ σώματος, αὐτή τε καθ' ἑαυτὴν ξηρὰ, καὶ διὰ μελικράτου, θερμαίνει τε σαφῶς, καὶ ἱδρῶτας κινεῖ, καὶ διαφορεῖ, καὶ ξη- D ραίνει τὸ πᾶν σῶμα. διὰ τοῦτο γοῦν αὐτῇ τινες ἐχρήσαντο, καὶ πρὸς τὰ κατὰ περίοδον ῥίγη, ἔξωθεν μὲν ἐναφέψοντες ἐλαίῳ, καὶ συναλείφοντες ὅλον τὸ σῶμα μετὰ τρίψεως γενναίως, ἔσωθεν δὲ λαμβάνοντες, ὡς εἴρηται. καὶ μὲν γε καὶ κατὰ τῶν ἰσχίων καταπλάττουσί τινες αὐτὴν, ἐπὶ τῶν ἰσχιαδικῶν ἀρρωστημάτων, ὡς γενναῖον βοήθημα. καὶ γὰρ ἕλκει τὰ ἐκ τοῦ βάθους εἰς τὴν ἐκτὸς ἐπιφάνειαν, καὶ θερμαίνει σύμπαν τὸ ἄρθρον, ἐπικαίει τε σαφῶς τὸ δέρμα, καὶ καταμήνιά τε πινομένη, καὶ προστιθεμένη προσκαλεῖται πάνυ δραστηρίως. ἀγαθὸν δὲ καὶ τῶν ἐλεφαντιώντων φάρμακον, οὐ μόνον τῷ E γενναίως διαφορεῖν τοὺς λεπτοὺς χυμοὺς, ἀλλὰ καὶ τῷ λεπτύνειν, καὶ τέμνειν ἰσχυρῶς τοὺς παχεῖς, οἷοί περ εἰσὶν, οἱ τὸ τοιοῦτο νόσημα γεννῶντες, οὕτω δὲ καὶ οὐλὰς μελαίνας λαμπρύνει, καὶ ὑπώπια διαφορεῖ. κάλλιον δ' ἐπὶ τῶν τοιούτων χλωρὰν ἐν οἴνῳ ἑψηθεῖσαν, καταπλάττειν αὐτὴν μᾶλλον, ἢ ξηράν. ἰσχυροτέρα γὰρ ξηρανθεῖσα γίγνεται, καὶ καίειν ἑτοιμοτέρα. τῷ δ' εἶναι τοιαύτη, καὶ πρὸς τὰ τῶν ἰοβόλων θηρίων δήγματα παραλαμβάνεται, καθάπερ τά τε καυτήρια, καὶ ὅσα τῶν φαρμάκων ἐστὶ θερμὰ, καὶ δριμέα, καὶ λεπτομερῆ, καὶ ῥᾳδίως ἐκ τοῦ βάθους ἐπισπώμενα πρὸς ἑαυτὰ, τὴν παρακειμένην F ἅπασαν ὑγρότητα. ἡ δὲ συνοῦσα πικρότης αὐτῇ, βραχεῖα μὲν ἐστὶ παντελῶς· δρᾷ δ' ἅπερ ἡ ἰσχυροτάτη πρὸς ἔνια, διὰ τὸ συνεῖναι σφοδρᾷ θερμότητι μετὰ λεπτομεροῦς οὐσίας. οὕτω γοῦν ἀσκαρίδας τε καὶ ἕλμινθας, ὁ χυλὸς αὐτῆς ἐνιέμενός τε, καὶ πινόμενος ἀναιρεῖν πέφυκε. κατὰ δὲ τὸν αὐτὸν

claris limitibus circunscribere sumus conati, qui quidem ad artis vsum sufficerent, vnum esse medicamentorum genus monstrantes, quod ad similem corporibus nostris temperiem pertingeret, quum à calore, qui in ipsis est, mutationis alterationísque acciperet principium; alterum quod calidius quàm nos efficeretur; cuius quatuor constituendos esse ordines visum est, primum, qui sensu obscurus sit, adeo vt ratione sit opus, quæ verum deprehendat; alterum ab eo secundum quodammodo iam sensu clarum; tertium deinde alium, qui valenter quidem calefaciat, sed nondum vrat: quem sequitur quartus & postremus iam adurens. Sic quoque refrigerantium, primum quidem eorum, quæ rationis subsidio indigent, vt refrigerare demonstrentur: secundum eorum quæ sensibiliter refrigerant; tertium eorum, quæ valenter: quartum eorum, quæ extinguunt, ac mortem inducunt. Proportione istorum, & de humectantibus, ac siccantibus.

CAPVT X.

1. *De Calaminthe.*

Calamintha essentia est tenuium partium, & calida siccáque temperie, ex tertio quodammodo ordine vtraque qualitate. Horum manifesta sunt indicia, partim gustu apparentia, partim experientia cognita. Gustu siquidem acris, & calida palam est, ac paulum omnino subamari obtinet. Periclitantibus autem, & corpori admouentibus extrinsecus imposita, primùm quidem valdè calefacit, & mordicat, cutémque exugit, postremo etiam vlcus efficit; in corpus autem intrò assumpta tum ipsa per sese sicca, tum etiam ex melicrato, perspicuò calefacit, & sudores ciet, omnéque corpus tum digerit, tum exiccat. Ea ratione ducti quidam, ipsam contra corporis concussiones rigorésque per circuitum repetentes adhibuerunt, foris quidem oleo incoctam toti corpori inungentes cum frictione non segni; intrò verò assumentes sicuti est dictum. Quin etiam & coxendicibus eam quidam in morbis ischiadicis tanquam strenuum remedium illinunt; trahit enim quæ in profundo hærent, ad extimam superficiem, totúmque adeo articulum calefacit, cutémque non obscurè adurit. Mensésque tum epota, tum apposita, admodum efficaciter prouocat. Bonum etiam elephanticorum remedium, non eo tantum, quòd strenuè tenues humores digerat, verùm etiam quia extenuet, & incidat valenter crassos, qui talem morbum procreant. Sic & cicatricibus atris candorem reddit, & sugillata digerit; sed ad talia in vino concoquentes, emplastri modo ipsam imponere, & virentem magis, quàm arentem, præstat, quippe arefacta vehementior redditur, & ad vrendum promptior. Porrò talis quum sit, ad venenatarum bestiarum morsus assumitur, velut etiam cauteria, & quæcunque medicamenta calida sunt & acria, tenuiúmque partium, quæque facilè ex alto ad sese circumiacentem omnem humiditatem possunt attrahere. Cæterùm qui illi inest amaror, planè exiguus est, verùm ad quædam ita efficaciter agit, vt quæ valentissima est, nimirum quum coniuncta sit vehementi calori cum essentia tenuium partium. Quare & ascaridas, & lumbricos succus eius, aut infusus, aut epotus enecat: Eadem

ratione

ratione aurium vermes: aut ſicubi in vlcere putredinoſo in alia corporis parte talis prouenerit affectus. Sic & conceptus ſeu pota, ſeu admota, interimit, & eiicit. Igitur incidendi quidem ei vis adeſt propter calorem eius, tenuitatem partium, & amarorem; abſtergendi verò propter vnicum amarorem. Itaque aſthmaticis ad omnia antedicta prodeſt; regio verò morbo laborantibus, potiſſimum ob amarorem, ſicut alia ferè omnia amara, vtpotè abſtergentia, & expurgantia in iecinore prouenientes obſtructiones. Ad omnia iam dicta efficacior eſt montana.

A λόγον καὶ τοὺς ἐν ὠσὶ σκώληκας, ἢ εἴ που καθ' ἕλκους σηπεδονώδους ἑτέρωθι τοῦ σώματος, ἡ τοιαύτη γίνοιτο διάθεσις. οὕτω δὲ καὶ τὰ κυούμενα, πινομένη τε καὶ περιτιθεμένη, διαφθείρει τε καὶ ἐκβάλλει. ἡ μὲν οὖν τμητικὴ δύναμις ὑπάρχει διά τε τὸ θερμὸν αὐτῆς, καὶ λεπτομερὲς, καὶ πικρὸν, ἡ δὲ ῥυπτικὴ, διὰ τὸ πικρὸν μόνον. καὶ τοίνυν ὀνίνησι τοὺς μὲν ἀσθματικοὺς, διὰ πάντα τὰ εἰρημένα. τοὺς δ' ἰκτεριώδεις, διὰ τὴν πικρότητα μάλιστα, καθάπερ καὶ τἄλλα σχεδὸν ἅπαντα τὰ πικρὰ τῷ ῥύπτειν τε, καὶ καθαίρειν τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις. ἔστι δ' εἰς ἅπαντα τὰ εἰρημένα δραστικωτέρα ἡ ὄρειος.

B

2. *De calamo aromatico.*

CAlamus odoratus leuiculam quandam aſtrictionem, ac minimam acrimoniam poſſidet. Maxima ex parte eſſentia eius terrena eſt, & aërea, in caliditatis frigiditatíſque coniugatione temperata. Quamobrem moderatè vrinam mouet; & facultatibus, quæ iecori ſtomachóque imponuntur, miſceri poteſt; tum in fomenta quoque vteri, quæ phlegmones gratia, aut irritandis menſibus, aſſumuntur, vtiliter admiſcetur. Ponatur itaque, habeatúrque ſecundi ordinis eorum, quæ calefaciunt, & deſiccant, valentiùs tamen deſiccant, quàm calefaciunt. Ineſt quoque ei quædam partium tenuitas, velut aliis omnibus odoratis, ſiue aromatibus; cæterùm illorum compluribus tenuium partium plurimum, calamo verò non multum adeſt.

β'. Περὶ καλάμου ἀρωματικοῦ.

ΚΑλαμος ἀρωματικὸς, καὶ στύψεως βραχείας, καὶ δριμύτητος ἐλαχίστης μετέχει. τὸ δὲ πλεῖστον αὐτοῦ, γεώδους οὐσίας ἐστὶ καὶ ἀερώδους, εὔκρατον ἐν τῇ κατὰ θερμότητα, καὶ ψυχρότητα συζυγίᾳ. ὅθεν οὐρητικός τε μετρίως ἐστὶν, καὶ ταῖς πρὸς ἧπαρ, καὶ στόμαχον ἐπιτιθεμέναις μίγνυται δυνάμεσιν. εἴς τε τὰς τῆς ὑστέρας πυρίας, ὅσαι
C φλεγμονῆς ἕνεκεν, ἢ καταμηνίων ἐρεθισμοῦ, παραλαμβάνονται, χρησίμως μίγνυται. κείσθω τοίνυν δευτέρας τάξεως τῶν θερμαινόντων, καὶ ξηραινόντων, καὶ σφοδρότερόν γε ξηραινόντων, ἢ θερμαινόντων. ἔχει δέ τι καὶ λεπτομερὲς, ὥσπερ καὶ τἄλλα σύμπαντα ἀρώματα. ἀλλ' ἐκείνων μὲν τοῖς πλείστοις, πάμπολυ τὸ λεπτομερὲς ὑπάρχει, τῷ καλάμῳ δ' οὐ πολύ.

3. *De calamo phragmite, ſiue de canna.*

CAlami phragmitis radicem cum bulbis aculeos, & ſtipites ex alto extrahere quidam ſcripſere, ceu trahendi quædam vis ei ineſſet. Nos tamen eius rei periculum non fecimus. Verũ quantũ guſtu liceat coniicere, abſtergentẽ facultatẽ poſſidet non paucam, miniméq; acrem. Quinetiam folia ipſa abſtergentis ſunt facultatis. Cortex verò eius combuſtus admodum tenuium partium, & digerentis facultatis efficitur, adiunctum habens abſterſorium quiddam, vt exiccet, & calefaciat tertio quodammodo ordine, plus tamen deſiccet, quàm calefaciat. Vitandus eſt eius flos, quem anthelen vocant. Nam ſi in aures incidat, adeo tenaciter adhærens affigitur, vt auelli non poſſit, auditúmque vitiet; quamobrem ſæpiſſimè ſurditates efficit.

γ'. Περὶ καλάμου φραγμίτου.

D

ΚΑλάμου φραγμίτου τὴν ῥίζαν, σὺν βολβοῖς ἀκίδας καὶ σκόλοπας ἐκ βάθους ἐπισπᾶσθαί τινες ἔγραψαν, ὡς ἂν ἑλκτικῆς τινος ὑπαρχούσης αὐτῇ δυνάμεως. οὐ μὴν ἡμεῖς γε ἐπειράθημεν, ὅσον μέντοι τῇ γεύσει τεκμήρασθαι, ῥυπτικῆς μετέχει δυνάμεως οὐκ ὀλίγης, ἥκιστα δριμείας. τὰ μέντοι φύλλα τὰ χλωρὰ μετρίως ἐμψύχει, μετέχοντα τῆς ῥυπτικῆς καὶ ταῦτα δυνάμεως. ὁ φλοιὸς δὲ αὐτοῦ καυθεὶς, λεπτομεροῦς ἱκανῶς καὶ διαφορητικῆς γίνεται δυνάμεως, ἔχων τι καὶ ῥυπτικὸν, ὥστε καὶ ξηραίνειν, καὶ θερμαίνειν κατὰ τὴν τρίτην που τάξιν, καὶ
E πλέον γε ξηραίνειν, ἢ θερμαίνειν. φυλάττεσθαι δ' αὐτοῦ προσήκει τὴν καλουμένην ἀνθήλην. ἐμπίπτουσα γὰρ τοῖς ὠσὶν, ἐμπλάττεται ἀπολύτως, καὶ κακοῖ τὴν ἀκοὴν, ὥστε κωφώσεις ἐργάζεσθαι πολλάκις.

4. *De cancano, cacalia.*

CAncani radix facultatem habet mordacitatis expertem, & modicè exiccantem; eſſentiam craſſarum partium, & emplaſticam. Quapropter macerata vino, ficut tragacantha, & lincta arteriæ aſperitates ſanat. Nec minus ſiquis eam commandat, ſuccus eius defluens prodeſt arteriæ ſimiliter, vt glycyrhizæ ſuccus.

δ'. Περὶ καγκάνου.

ΚΑγκάνου ἡ ῥίζα δυνάμεως μέν ἐστιν ἀδήκτου τε, καὶ μετρίως ξηραντικῆς, οὐσίας δὲ παχυμεροῦς ἐμπλαστικῆς. ὅθεν οἴνῳ βρεχομένη, καθάπερ ἡ τραγάκανθα, καὶ ἐκλειχομένη,
F τὰς τῆς ἀρτηρίας ἰᾶται τραχύτητας, οὐδὲν δ' ἧττον, εἰ καὶ διαμασήσαιτό τις αὐτὴν, ὁ παραρρέων χυλὸς, ὀνίνησι τὴν ἀρτηρίαν, ὁμοίως τῷ τῆς γλυκυρρίζης.

A

ε'. Περὶ καννάβεως.

Καννάβεως ὁ καρπὸς ἄφυσός τε, καὶ ξηραντικὸς εἰς τοσοῦτόν ἐστιν, ὡς εἰ πλείων βρωθείη, ξηραίνειν τὴν γονήν. ἔνιοι δὲ χλωρὸν αὐτὸν χυλίζοντες, εἰς ὤτων ἀλγήματα χρῶνται τὰ κατ' ἔμφραξιν, ὡς ἐμοὶ δοκεῖ γινόμενα.

5. *De cannabe.*

CAnnabis semen flatus extinguit, adeóq; desiccat, vt si plusculũ edatur genituram exiccet. Sunt qui viridem succum exprimentes ad aurium dolores ab obstructione, opinor, natos, eo vtantur.

ϛ'. Περὶ καπνίου.

Κάπνιος οἱ δὲ καπνὸν ὀνομάζουσι, δριμείας ἅμα, καὶ πικρᾶς μετέχει ποιότητος, οὐκ ἀπήλλακται δὲ παντάπασιν οὐδὲ τῆς στρυφνῆς, ὅθεν οὖρά τε χολώδη προτρέπει πολλά, καὶ τὰς καθ' ἧπαρ ἐμφράξεις τε, καὶ ἀτονίας ἰᾶται, καὶ ὁ χυλὸς δὲ αὐτῆς ὀξυδερκής ἐστι, καὶ ἐπισπώμενος οὐκ ὀλίγον δάκρυον, ὥσπερ ὁ καπνός, ἐντεῦθεν δὲ αὐτῇ καὶ τοὔνομα. ἐχρῆτο δὲ αὐτῇ τις ἰδιώτης, καὶ ὡς στόμαχον ῥωννυούσῃ μετὰ τοῦ καὶ γαστέρα λαπάσσειν. ἐξήραινε γὰρ τὴν πόαν πρότερον, καὶ ἀπετίθετο, καὶ οὕτως ἀπέπασσεν ὑπαγωγῆς μὲν ἕνεκα μελικράτῳ. ῥωννύναι δὲ βουλόμενος τὸν στόμαχον, οἴνῳ κεκραμένῳ δηλονότι.

6. *De capnio, fumo.*

B CApnios, alij capnos, acris simul, & amaræ qualitatis est particeps; nec tamen planè expers est acerbæ. Quamobrem vrinam biliosam multámque prouocat, sanátque iecinoris obstructiones, & debilitates. Succus eius oculorum aciem acuit, non paulum trahens lachrymarum, velut ipse fumus. nam hinc ei appellatio indita. Plebeius quidam ea vti solebat ad stomachum roborandum, vnáque ventrem lubricandum. Siquidem herbam primum desiccatam condebat; porrò quum vti volebat, subductionis quidem gratia, melicrato inspergebat; roborandi verò stomachi causa, vino nimirum diluto.

C

ζ'. Περὶ καππάρεως.

Καππάρεως ὁ μὲν τῆς ῥίζης φλοιὸς ἐπικρατοῦσαν ἔχει τὴν πικρὰν ποιότητα, δευτέραν δὲ τὴν δριμεῖαν, ἐφεξῆς δὲ ταύτῃ τὴν στρυφνήν. ᾧ καὶ δῆλον, ὡς ἐκ διαφόρων τε, καὶ μαχομένων σύγκειται δυνάμεων. ῥύπτειν μὲν γὰρ δύναται, καὶ διακαθαίρειν τε, καὶ τέμνειν τῇ σπευδούσῃ πικρότητι, θερμαίνειν δέ, καὶ τέμνειν, καὶ διαφορεῖν τῇ δριμύτητι, συνάγειν δέ, καὶ πιλεῖν, καὶ σφίγγειν τῇ στρυφνότητι. καὶ διὰ τοῦτο σπλῆνας μὲν σκιρρώδεις, εἴπερ τι καὶ ἄλλο, καὶ τοῦτο τὸ φάρμακον ὀνίνησιν, ἔξωθεν δὲ τοῖς ἐπιτηδείοις καταπλάσμασι μιγνύμενον, εἴσω δὲ τοῦ σώματος λαμβανόμενον. ἤτοι ἀφεψημένον ἐν ὄξει, ἢ ὀξυμέλιτι, καὶ τοῖς τοιούτοις, ἢ ξηρὸν κεκομμένον ἀναμιγνύμενον αὐτοῖς. καὶ γὰρ δὴ καὶ κενοῖ φανερῶς τοὺς γλίσχρους, καὶ παχεῖς χυμοὺς οὕτω ληφθέν, οὐ δι' οὔρων μόνον, ἀλλὰ καὶ κατὰ γαστέρα. πολλάκις δὲ καὶ αἱματώδη διαχωρεῖ, ἐφ' οἷς οἵ τε σπλῆνες ὀνίνανται, καὶ αἱ κατ' ἰσχίον ὀδύναι. καὶ μὲν δὴ καὶ καταμήνια κινεῖ, καὶ ἀποφλεγματίζει, καὶ ῥήγμασι, καὶ σπάσμασι βοηθεῖ. τὸ δὲ ὅτῳ χρὴ πόματι μιγνύειν αὐτὴν ἐφ' ἑκάστου τῶν παθῶν, οὐ τῆς προκειμένης πραγματείας ἐστίν, ἀλλ' ἤτοι τῆς περὶ συνθέσεως φαρμάκων, ἢ τῆς θεραπευτικῆς μεθόδου, καὶ καταπλαττόμενος δὲ τοῖς κακοήθεσιν ἕλκεσι τῆς ῥίζης ὁ φλοιός, ἀγαθὸν φάρμακον, ὡς ἂν ἀπορρύπτειν τε δυνάμενος αὐτά, καὶ ξηραίνειν ἰσχυρῶς. καὶ τοὺς τῶν ὀδόντων τε πόνους κατὰ τὰς προειρημένας ὠφελεῖ ποιότητας· ἐνίοτε μὲν ὄξει συνεψηθείς, ἐνίοτε δὲ οἴνῳ, πολλάκις δὲ αὐτὸς μόνος ἐνδακνόμενος. ἔστι δὲ οὐδὲ τούτων τοὺς καιροὺς διελεῖσθαι τῆς ἐνεστώσης πραγματείας. οὐ γὰρ τοῦτο πρόκειται νῦν, ἀλλ' ἐξ ἑκάστου τῶν κατὰ μέρος ἔργων, ἔνδειξίν τινα λαβεῖν τῆς δυνάμεως αὐτῆς, ἀναγαγόντα τὸν λόγον ἐπὶ τὰς ἐξ ἀρχῆς ὑποκειμένας ἀρχάς. ὡς δῆλον οὖν ἐκ τῶν εἰρημένων ὡς τμητική τις ἐν αὐτῷ δύναμίς ἐστι, καὶ ῥυπτική, καὶ διαφορητική, καὶ συνακτική. καὶ γὰρ δὴ καὶ ἀλφοὺς ἀφαιρεῖ σὺν ὄξει, καὶ χοιράδας, καὶ ὄγκους σκληροὺς διαφορεῖ, τοῖς ἐπιτηδείοις πρὸς ταῦτα φαρμάκοις μιγνύμενον. τῷ δὲ φλοιῷ τῆς ῥίζης ὁ καρπὸς ἀνάλογον ἔχει δυνάμεως, πλὴν ὅσον ἀσθενέστερός ἐστιν εἰς ἅπαντα.

7. *De cappare.*

CApparis radicis cortex vincentẽ habet qualitatem amaram, proximam acrem, deinde acerbam. Ex quo liquet, quòd diuersis pugnantibúsque constet facultatibus; quippe abstergere, expurgare, incidere potest amarore; calefacere, incidere, digerere acrimonia: porrò contrahere, densare, constringere acerbitate. Itaque lienes induratos, siquid aliud, hoc medicamentum iuuare
D valet, tum foris idoneis illinendis remediis admixtum, tum intrò in corpus assumptum, siue decoctum in aceto aut oxymelite, & id genus, siue aridum contusum, illísque permixtum; quippe quum apertè crassos lentósque humores hoc pacto sumptũ euacuet, nec eos tantum per vrinas, sed & per ventrem; sæpe etiam sanguinolentos defert, vnde, & lienes adiuti sunt, & coxarum dolores. Quin etiam menses promouet; & è capite pituitam euocat, auxiliatúrque ruptis atque conuulsis. Cæterùm cuinam ipsum potioni in quoque affectuum misceri conueniat, non est præsentis instituti per-
E sequi, sed aut eius, vbi de componendis agitur medicamentis, aut vbi curandi traditur methodus. Porrò radicis eius cortex vlceribus malignis cataplasmatis modo impositus nõ malũ est remedium, vt qui illa extergere valeat, nec segniter desiccare. Præterea dentium labores prædictarum qualitatũ ratione adiuuat, interdũ cum aceto coctus, interdum cum vino, sæpe etiam solus dentibus mansus, ac morsus. Sed non pertinet ad præsens negocium quando quodque horum tẽpestiuum sit, definire; nec enim id nunc propositum est, sed ex quoque particularium eius operum, virium eius quandã sumere indicationẽ, sermonem ad princi-
F pia ab initio proposita reducendo. Ex dictis ergo clarum est, incidendi quandã ei facultatẽ inesse, itémque extergendi, digerendi, cõtrahendi. Vitiligines siquidẽ cum aceto detrahit, & strumas, & duros tumores digerit idoneis ad ea medicamẽtis mixtus. Radicis cortici, fructus proportione virium respõdet, nisi quòd ad omnia sit imbecillior.

Imò

Imò & folia, & caules eius similem vim obtinent. Meminíque me foliis quandoque paucis diebus duritiem, strumæ naturam referentem discussisse. Sed admiscenius scilicet illis quippiam, quod eorum virium obtundat vehementiam. Nec mirũ est, quòd succus aurium vermes amarore occidat suo. Porrò capparis, quæ in admodum feruentibus regionibus prouenit, vt quam fert Arabia, multo est nostrate acrior, adeo, vt plurimum etiam habeat facultatis adurentis.

A καὶ μὴν δὴ καὶ τὰ φύλλα, καὶ ὁ καυλὸς αὐτῶν, ὁμοίας εἰσὶ δυνάμεως, καὶ ἔγωγέ ποτε, τοῖς φύλλοις, οἶδα διαφορήσας ἐν ὀλίγαις ἡμέραις χοιραδώδη σκληρότητα. μίγνυμεν δ' αὖθις δηλονότι τῶν ἀμβλυνόντων τι τὸ σφοδρὸν τῆς δυνάμεως. οὐδὲν δὲ θαυμαστὸν, εἰ καὶ τοὺς ἐν ὠσὶ σκώληκας, ὁ χυλὸς ἀναιρεῖ διὰ τὴν πικρότητα. ἡ δ' ἐν τοῖς θερμοῖς πάνυ χωρίοις γινομένη κάππαρις, ὥσπερ καὶ ἡ ἐν Ἀραβίᾳ, πολὺ τῆς παρ' ἡμῖν ἐστι δριμυτέρα, ὥστε καὶ τῆς καυστικῆς ἐπιπλέον μετέχει δυνάμεως.

8. *De cardamo.*

NAsturtij semen, adurentis seu causticæ facultatis particeps est, velut napy. Proinde coxendicis, & capitis dolores, atque adeo quodcunque aliud rubrificationem postulat, eo calefaciunt, sicut napy. Miscetur quoque remediis, quæ exhibentur asthmaticis, tanquam valenter crassos succos incidere valeat, velut, & napy; nam omnino ei simile est. Porrò & herba arefacta similem semini vim possidet; humida verò adhuc, ac viridis, propter aqueæ humiditatis admixtionem, multò, semine inferior est, adeóque tunc mordacitas eius moderata est, vt cum pane ea vti liceat, ceu obsonio.

η'. Περὶ καρδάμου.

B ΚΑρδάμου τὸ σπέρμα καυστικῆς μετέχει δυνάμεως, ὥσπερ τὸ νάπυ, καὶ διὰ τοῦτο ἰσχιάδας, κεφαλαλγίας, καὶ ὁτιοῦν ἄλλο τῶν δεομένων φοινίξεως ἐκθερμαίνουσιν αὐτῷ, καθάπερ τῷ νάπυϊ. μίγνυται δὲ καὶ τοῖς πρὸς τοὺς ἀσθματικοὺς διδομένοις φαρμάκοις, ὡς ἂν δηλονότι τέμνειν ἰσχυρῶς τοὺς παχεῖς χυμοὺς δυνάμενον, ὥσπερ καὶ τὸ νάπυ. προσέοικε γὰρ ἐκείνῳ τὰ πάντα. καὶ ἡ πόα δὲ ξηρὰ μὲν γινομένη, παραπλησίας ἐστὶ τῷ σπέρματι δυνάμεως. ὑγρὰ δὲ ἔτι, καὶ χλωρὰ, διὰ τὴν ἐπιμιξίαν τῆς ὑδατώδους ὑγρότητος ἀπολείπεται πάμπολυ, C καὶ οὕτως ἐστὶ μέτριος ἐν τῷ τοιῷδε τὴν δῆξιν, ὥστε καὶ μετ' ἄρτου δυνατὸν αὐτῇ χρῆσθαι, καθάπερ ὄψῳ.

9. *De cardamomo.*

CArdamomum est, & ipsum sanè facultatis admodum calidę, non tamen vsque adeo, vt nasturtium, sed quanto suauius, ac odoratius est nasturtio, tanto & imbecillior ei calida facultas inest; nec enim vlcerare idoneum est, vel ipsum per se illitum. Porrò adiunctum habet quiddam etiam amaroris, quo lumbricos interficit, & cum aceto valenter psoras detergit.

θ'. Περὶ καρδαμώμου.

ΚΑρδάμωμον. ἔστι μὲν ἀμέλει καὶ τοῦτο θερμῆς ἱκανῶς δυνάμεως, οὐ μὴν οὕτως ἰσχυρῶς, ὡς τὸ κάρδαμον, ἀλλ' ὅσον ἥδιόν τε, καὶ ἀρωματικώτερον ὑπάρχει καρδάμου, τοσοῦτο καὶ τῆς θερμῆς δυνάμεως ἀσθενεστέρας μετείληφεν. οὐ μὴν ἑλκοῦν ἱκανόν ἐστι, καὶ αὐτὸ καθ' αὑτὸ καταπλαττόμενον, ἔχει δέ τι καὶ πικρότητος ἐμφερόμενον ἑαυτῷ, δι' ἣν καὶ τὰς ἕλμινθας D ἀναιρεῖ, καὶ ψώρας ἰσχυρῶς ἀπορρύπτει, καὶ σὺν ὄξει.

10. *De caro.*

CAri semen calefacit, & exiccat tertio quodammodo ordine, moderatè acrem qualitatem possidens. Itaque & flatus extinguit, & vrinas ciet non semen tantum, sed & planta.

ι'. Περὶ κάρου.

ΚΑρου τὸ σπέρμα, θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην που τάξιν δριμεῖαν μετρίως ἔχον τὴν ποιότητα. ταῦτά τοι καὶ ἄφυσόν ἐστι, καὶ οὐρητικὸν, οὐ τὸ σπέρμα μόνον, ἀλλὰ τὸ φυτόν.

11. *De casia.*

CAsia exiccat & calefacit tertio quodammodo ordine, sed & tenuium admodũ partium est; gustu verò plurimũ habet acrimoniæ, leuiter quoque nonnihil astringens. Quamobrem ob hęc omnia incidit, simulque digerit, quæ in corpore sunt excrementa, & ad hæc robur etiam instrumentis addit. Idoneum verò etiam suppressis mensibus, quum videlicet ob copiam simul, & crassitiem excrementorum, quod sufficiat, euacuari nequit.

ια'. Περὶ κασίας.

E ΚΑσία ξηραίνει καὶ θερμαίνει κατὰ τὴν τρίτην που τάξιν. ἔστι δὲ καὶ λεπτομερὴς ἱκανῶς. ἐν δὲ τῇ γεύσει, πλεῖστον μὲν ἐν αὐτῇ τὸ δριμὺ, βραχὺ δέ τι καὶ στῦφον, ὥστε καὶ διὰ πάντα ταῦτα τέμνει τε ἅμα, καὶ διαφορεῖ τὰ κατὰ τὸ σῶμα περιττὰ, καὶ πρὸς τούτοις ἔτι ῥώμην ἐντίθησι τοῖς ὀργάνοις. ἐπιτήδειος δὲ καὶ πρὸς τὰς τῶν καταμηνίων ἐπισχέσεις ἐστὶν, ὅταν ὑπὸ πλήθους τε ἅμα, καὶ πάχους τῶν περιττωμάτων, αὐτάρκως κενοῦσθαι κωλύηται.

12. *De caryis, nucibus.*

NVx. Arbortum in foliis, tum in germinibus, astrictionẽ quandam possidet, cæterùm euidentẽ plurimáque in nucis putamine recenti pariter, & sicco; proinde eo tinctores quoq; vti solent. At nos eius expressi succo, similiter, vt mororum, & ruborum, in melle decocto, vice stomatici medicamẽti vtimur; & ad omnia reliqua adhibemus.

ιβ'. Περὶ καρύων.

F ΚΑρυα. τὸ δένδρον, ἔχει μέν τι, κἀν τοῖς βλαστοῖς, κἀν τοῖς φύλλοις, στυπτικόν. ἐναργὲς δὲ καὶ πλεῖστον ἐν τῷ τοῦ καρύου λέμματι προσφάτῳ τε καὶ ξηρῷ, χρῶνται γοῦν αὐτῷ διὰ τοῦτο, καὶ οἱ βαφεῖς. ἡμεῖς δὲ καὶ ἐκθλίβοντες αὐτὰ, καὶ τὸν χυλὸν, ὁμοίως τῷ τῶν μόρων τε, καὶ βάτων ἕψοντες σὺν μέλιτι, στοματικῷ χρώμεθα φαρμάκῳ, καὶ πρὸς τἄλλα πάντα,

A πρὸς ἅπερ ἁρμόττουσιν οἱ προειρημένοι χυλοί. τοῦ καρύου δ᾽ αὐτοῦ, τὸ μὲν ἐδώδιμον, ἐλαιῶδές τ᾽ ἐστι, καὶ λεπτομερές, ὥστε διὰ τοῦτο, καὶ ἐκθλίβεται ῥᾳδίως, καὶ μᾶλλον, ὅσῳ περ ἂν ἀποκείμενον χρονίζῃ, τοιοῦτο γίγνεται. ἔλαιον γοῦν ἐκθλίψαι δυνατόν ἐστιν, ἐξ αὐτοῦ παλαιουμένου. τηνικαῦτα δὲ, καὶ διαφορητικὸν ἱκανῶς γίγνεται. ὥστε τινὲς καὶ γαγγραίνας αὐτῷ, καὶ ἄνθρακας, καὶ αἰγίλωπας ἰῶνται. τινὲς δὲ, καὶ πρὸς τὰ νευρότρωτα χρῶνται. πρόσφατον δ᾽ ὑπάρχον, ἔχει τι καὶ τῆς στυφούσης ποιότητος. τὸ δ᾽ ἀτελὲς ἔτι, καὶ μηδέπω ξηρὸν, ὁμοίως τοῖς ἄλλοις καρποῖς, ὅσοι χλωροὶ, πλῆρές ἐστιν ὑγρότητος ἡμιπέπτου. B τὸ μέν τοι λέπος αὐτοῦ τὸ ξηρὸν καυθὲν, λεπτομερές τε γίγνεται, καὶ ξηραντικὸν, καὶ ἄδηκτον φάρμακον. ἔστι δὲ καὶ ἕτερόν τι γένος καρύων μικροτέρων, ἃ δὴ Ποντικὰ προσαγορεύεται, πλείονος μετέχον τῆς γεώδους οὐσίας ψυχρᾶς, ὥστε καὶ αὐστηρότερον γευομένῳ, τό τε φυτὸν αὐτὸ, καὶ ὁ καρπὸς, καὶ ὁ φλοιὸς φαίνεται. τὰ δ᾽ ἄλλα, παραπλήσιον ὑπάρχει τῷ μεγάλῳ καρύῳ, τῷ καλουμένῳ πρός τινων, βασιλικῷ. προσαγορεύεται δὲ τὸ μικρὸν τοῦτο κάρυον, ὑπὸ τῶν πολλῶν, λεπτοκάρυον.

ad quae modo dicti succi conuenire censentur. Porrò ipsius nucis, id quod edendo est, oleosum est, & tenue; itaque etiam facilè exprimitur, & quo diutius reconditum fuerit, magis tale efficitur. Quamobrem oleum ex eo inueterato exprimere liceat; tunc autem admodum etiam fit per halitum euaporatorium. Itaque quidam eo gangrænas, & carbunculos, & ægilopas sanant. Ac nonnulli ad neruorum vulnera, vtuntur. Cæterùm si recens sit, astringentis nonnihil qualitatis etiam obtinet. At quod imperfectum est etiam dum, ac nondum siccum, veluti reliqui fructus omnes, qui viridés sunt, plenum est semicoctæ humiditatis. Putamen tamen eius vbi inaruit, ac vstum sit, tenuium partium, & exiccatorium est medicamentum, morsus expers. Est & aliud genus nucum minorum, quæ nimirum Ponticæ nuncupantur, plus habens essentiæ terrestris, ac frigidæ; itaque etiam gustanti austerior tum cortex, tum planta, tum fructus apparet, in cæteris magnæ nuci similes sunt, quæ à quibusdam vocatur iuglans. Appellatur autem parua hæc nux à multis auellana.

C

ιγ΄. Περὶ καυκαλίδος.

Καυκαλίς. ἔνιοι δὲ, τοῦτο δαῦκον ἄγριον ὀνομάζουσιν. ἔστι γὰρ ὅμοιον αὐτῷ, καὶ κατὰ τὴν γεῦσιν, καὶ κατὰ τὴν δύναμιν. θερμαίνει τε γὰρ, ὡς ἐκεῖνο, καὶ ξηραίνει, καὶ διουρεῖται, καὶ ταριχεύεταί γε εἰς ἀπόθεσιν.

13. *De caucalide.*

Caucalis. Quidam daucum syluestrem nuncupant; est enim ei assimilis gustu simul, ac viribus. Calefacit enim, vt ille, & desiccat. Tum vrinam ciet, & sale ad repositionem conditur.

ιδ΄. Περὶ καρπησίου.

D Καρπήσιον, ὅμοιον μὲν ὑπάρχει τῷ καλουμένῳ φοῦ, κατά τε τὴν γεῦσιν, καὶ τὴν δύναμιν. ἐπιπλέον δ᾽ ἐστὶ λεπτομερὲς, διὸ καὶ μᾶλλον ἐκείνου, ῥύπτει τὰς τῶν σπλάγχνων ἐμφράξεις, καὶ οὖρα κινεῖ, καὶ νεφροὺς ἐκκαθαίρει λιθιῶντας. οὐ μὴν εἰς τοσοῦτόν γε λεπτομερές ἐστιν, ὡς ἀντὶ κινναμώμου χρῆσθαι μὴ παρόντος, ὥσπερ ὁ Κοΐντος ἔπραττεν. ἄμεινον μὲν οὖν ἐστι, τὸ Ποντικὸν καρπήσιον τοῦ Λαερτικοῦ, οὐ μὴν οὐδ᾽ αὐτὸ πλησίον κινναμώμου τὴν δύναμιν, ἀλλὰ καὶ τῆς ἀρίστης κασίας, οὐκ ὀλίγῳ λειπόμενον. ὠνόμασται δ᾽ ἑκάτερον, ἀπό τινων ὀρῶν τῆς Παμφυλίας, ἐν οἷς γεννᾶται, καὶ πλείστων αὐτῶν εὐπορήσαις ἂν ἐν Συρίῃ.

14. *De carpesio.*

Carpesium simile est vocato phu, hoc est valerianæ, non gustu tantum, sed & facultate, sed plus habet tenuitatis; proinde magis eo etiam viscerum obstructiones extergit, & vrinam mouet, renésque calculis degrauatos expurgat. Non tamen eatenus tenuium est partium, vt liceat loco cinnamomi, si non ad manum sit, vsurpare, sicuti faciebat Quintus. Præstantius est Ponticum carpesium Laërtio, non tamen, vel ipsum cinnamomi viribus vicinum est, imò non paruo deterius optima casia. Nuncupatur vtrumque à montibus quibusdam Pamphyliæ, E in quibus nascitur. Ingensque eius prouentus est in Syria.

ιε΄. Περὶ κέγχρου.

Κέγχρος ψύχει μὲν κατὰ τὴν πρώτην τάξιν, ξηραίνει δὲ, ἤτοι κατὰ τὴν τρίτην ἐκλελυμένην, ἢ τὴν δευτέραν ἐπιτεταμένην. ἔστι δέ περ καὶ λεπτομερὴς ἐπ᾽ ὀλίγον. ἐξ οὖν τῆς τοιαύτης συστάσεώς τε, καὶ κράσεως, ἐσθιόμενος μὲν, ὡς ἔδεσμα, παντελῶς ὀλιγότροφόν ἐστιν, ἁπάντων σχεδόν τι τῶν σιτηρῶν ἐδεσμάτων. ἀτὰρ οὖν καὶ τὴν κοιλίαν ἐπιξηραίνει, ἔξωθεν δὲ ἐπιτιθέμενος, διά τε μαρσύπων, ἐπιτήδειός ἐστι πυρία τοῖς ἀδήκτως ξηρανθῆναι δεομένοις, καὶ καταπλαττόμενος δὲ, ξηραίνειν πέφυκεν, ἱκανῶς μέν τοι ψαθυρὸν, καὶ διὰ τοῦτο δύσχρηστον γίγνεται τὸ δι᾽ αὐτοῦ κατάπλασμα.

15. *De cenchro, milio.*

Milium primo ordine refrigerat, exiccat verò tertio exoluto, aut certè secundo intenso; paululum etiam habet tenuitatis partium. Ex hac tum consistentia, tum temperatura, esu quidem planè inter omnia frumentaria edulia minimum confert nutrimenti. Sed & ventrem desiccat. Porrò foris impositum in sacculis F idoneum est fomentum iis, quæ citra morsum exiccari postulant. Et cataplasmatis modo illitum exiccare potest; attamen admodum friabile est, proinde difficilis est eius in cataplasmatis vsus.

16. *De*

A

16. *De Cedro.*

CEdrus ſpecie duplex eſt, altera fruticoſa iuniperis aſſimilis, altera arbor non exigua. Vtraque eſt calidi ſiccique temperamenti, tertij quodammodo ordinis ſecundum vtramque. Cæterùm cedrea (vocatur ita cedri oleum) quartum etiam ordinem videtur attingere, admodum calida ſimul, & tenuium partium. Mollem itaque carnem promptè, citraque dolorem putrefacit, ſicut alia omnia, quæ quum eiuſdem ſint in calefaciendo ordinis, adiunctam etiam habent ſubſtantiæ tenuitatem; at in duris, pluſculo tempore, & vix, effectum poteſt conſequi. Porrò talia omnia medicamenta ſeptica vocantur, & ſepta; ſed inter ſeſe maioris minoríſque ratione diffident. Eſt autem in hoc genere medicamentorum ex primo, & infirmiſſimo ordine cedrea; pleraque enim eorum admodum ſunt efficacia. Talia itaque, & mortuorum corporum carnes corrumpunt; at cedrea exiccat, ſimúlque à corruptione tuetur corpora demortua, vtpotè humiditates eorum ſuperfluas depaſcens, cæterùm ſolida corpora haud attingens. At in viuentibus calor ipſe, qui in corporibus eſt, cedreæ vires adaugens, cauſa efficitur, vt teneræ ab ea carnes deurantur. Nec mirum videri debet, ſi quum tanta polleat facultate, lendes, pediculos, & tineas, & in auribus natos vermes, interficere valeat: tum fœtum viuentem quidem appoſita interimat, mortuum autem eiiciat; ſicut ſanè etiam in coitu ſemen, pudendo circumlita. Proinde partui aduerſum eſt medicamentum, ſi ſic vtaris, nulli ſecundum. Aliáque multa eiuſmodi particulatim efficit. Itaque argumentum eſt ipſum valenter calefacere, ſicut vbi dentium foraminibus inſtillatur; ſiquidem dolores eorum mitigat, ſed & ipſos confringit. Extenuat quoque oculorum cicatrices, & viſus hebetudini ab humorum craſſitie ortæ medetur. Porrò quod eius eſt pinguiſſimum, & ad vnguem oleoſum, quod ſuſpenſis ſupra eam, dum coquitur, lanis excipitur, ac colligitur, tota cedrea tenuius quidem eſt, ſed minus acre, quanquam non minus calefaciens. Eandem quippe rationem habet ad id, quod reliquum eſt cedreæ, craſſius illud videlicet, quàm oleum ad amurcam; proinde illud, vtpotè craſſius, mordax eſt, & maiore aperiendi facultate præditum. Itaque vlcera irritat, phlegmonémque illis excitat. Porrò oleoſa illa cedrea adeo clementibus eſt viribus, vt etiam plebei experientia docti, vulnera ouibus dum tunduntur à forfice facta, illa illita ſanent, ſicut etiam pice humida. Vtuntur autem ea, & ad ouium ſcabiem, & ricinos. Porrò cedrides (nam ita fructum cedri nuncupant) moderatiores vires obtinent, adeo vt comedi quoque poſſint. Attamen ſi liberalius iis vtare, capiti dolorem inferent, ardorémque, ac morſum in ventre percipies.

ιϛʹ. Περὶ κέδρου.

ΚΕδρος, ἔστι μὲν διττὴ κατ' εἶδος. ἡ μὲν ἑτέρα θαμνώδης, ὁμοίως ταῖς ἀρκεύθοις, ἡ δ' ἑτέρα δένδρον οὐ μικρόν. εἰσὶ δ' ἀμφότεραι, θερμῆς καὶ ξηρᾶς κράσεως, ἐκ τῆς τρίτης που τάξεως κατ' ἄμφω, ἡ μέντοι κεδρέα, καλεῖται δ' οὕτω τὸ ἔλαιον τὸ ἐκ τῆς κέδρου, καὶ τῆς τετάρτης ἂν ἤδη δόξειεν ἐφάπτεσθαι τάξεως, ἱκανῶς θερμή τε ἅμα, καὶ λεπτομερὴς ὑπάρχουσα. τὰς μὲν B οὖν ἁπαλὰς σάρκας, ἑτοίμως τε ἅμα, καὶ ἀνωδύνως σήπει, καθάπερ καὶ τἄλλα, τὰ τῆς μὲν αὐτῆς τάξεως ὑπάρχοντα κατὰ τὸ θερμαίνειν, λεπτομερῆ δὲ ταῖς οὐσίαις ὄντα. ἐπὶ δὲ τῶν σκληρῶν, ἐν χρόνῳ τε πλείονι, καὶ μόγις ἐνεργεῖ. καλεῖται μὲν οὖν τὰ τοιαῦτα φάρμακα πάντα σηπτικά τε, καὶ σηπτά. διαφέρει δ' ἀλλήλων, κατὰ τὸ μᾶλλόν τε, καὶ ἧττον. ἔστι δὲ καὶ αὐτῶν τῶν τοιούτων φαρμάκων ἐκ τῆς πρώτης τε, καὶ ἀσθενεστάτης τάξεως ἡ κεδρέα. τὰ πλεῖστα γὰρ αὐτῶν, ἐστὶν ἱκανῶς δραστήρια. τὰ μὲν οὖν τοιαῦτα, καὶ τὰς τῶν νεκρῶν σωμάτων διαφθείρει σάρκας. ἡ μέντοι κε-C δρέα, ξηραίνει τε, καὶ ἄσηπτα διαφυλάττει τὰ τεθνεῶτα σώματα, τὰς μὲν ὑγρότητας αὐτῶν ἐκβοσκομένη τὰς περιττάς, τῶν στερεῶν δ' οὐχ ἁπτομένη σωμάτων. ἐπὶ δὲ τῶν ζώντων, ἡ θερμότης, ἡ ἐν τοῖς σώμασι, συναυξάνουσα τὴν δύναμιν τῆς κεδρέας, αἰτία γίγνεται τοῦ τὰς ἁπαλὰς σάρκας ὑπ' αὐτῆς διακαίεσθαι. θαυμαστὸν δ' οὐδὲν, εἰ τοσαύτην δύναμιν, καὶ φθεῖρας, καὶ κονίδας, καὶ ἀσκαρίδας, καὶ τοὺς ἐν τοῖς ὠσὶ σκώληκας ἀναιρεῖν πέφυκεν, ἔμβρυά τε προστιθεμένη, τὰ μὲν ζῶντα κτείνει, τὰ δὲ νεκρὰ ἐκβάλλει. καθάπερ οὖν καὶ αὐτὸ τὸ κατὰ συνουσίαν σπέρμα, D περιαλειφομένη τῷ αἰδοίῳ, καὶ διὰ τοῦτ' ἀτόκιόν ἐστι φάρμακον, οὕτω χρωμένοις οὐδενὸς δεύτερον, ἄλλα τε πολλὰ κατὰ μέρος ἐργάζεται τοιαῦτα. τεκμήριον γοῦν τοῦ θερμαίνειν ἰσχυρῶς, ὥσπερ κἀπειδὰν τοῖς τῶν ὀδόντων ἐνσταχθῇ τρήμασι. τὸ μὲν γὰρ ἄλγημα πραΰνει, θραύει δ' αὐτούς. λεπτύνει δὲ καὶ τὰς τῶν ὀφθαλμῶν οὐλάς, καὶ τὰς διὰ πάχος ὑγρῶν ἀμβλυωπίας ἰᾶται. τὸ δὲ λιπαρώτατον ἐξ αὐτῆς, καὶ ἀκριβῶς ἐλαιωδέστατον, ὃ διὰ τῶν ὑπεραιωρουμένων ἐρίων ἑψομένης ἀθροίζεται, λεπτομερέστερον μὲν γίγνεται τῆς ὅλης κεδρέας, ἧττον δὲ δριμύ, καίτοι θερμαῖνον οὐχ ἧτ-E τον. ἔχει γὰρ, ὡς πρὸς τὸ ὑπολειπόμενον τῆς κεδρέας, τὸ παχυμερέστερον τὸν αὐτὸν λόγον, ὅνπερ καὶ τὸ ἔλαιον πρὸς τὴν ἀμόργην. ὅθεν ἐκεῖνο μὲν, ὡς ἂν παχυμερὲς ὑπάρχον, δακνῶδές τ' ἐστὶ, καὶ ἀναστομωτικόν, καὶ διὰ τοῦτο τῶν ἑλκῶν ἐρεθιστικόν τε ἅμα, καὶ φλεγμονῶδες. ἡ δ' ἐλαιώδης κεδρέα πραεῖα τὴν δύναμίν ἐστιν εἰς τοσοῦτον, ὥστε τῇ πείρᾳ μαθόντες οἱ ἰδιῶται, τὰ γιγνόμενα τραύματα τοῖς κειρομένοις προβάτοις, ὑπὸ τῶν ψαλίδων ἐπαλείφοντες αὐτὴν θεραπεύουσιν, ὥσπερ καὶ τὴν ὑγρὰν πίσσαν. χρῶνται δ' αὐτῇ, καὶ πρὸς τὰς ψώρας F τῶν προβάτων, καὶ τοὺς κρότωνας. αἱ δὲ κεδρίδες, οὕτω γὰρ ὀνομάζουσι τὸν καρπὸν τῆς κέδρου, μετριωτέραν ἔχουσι τὴν δύναμιν, ὥστε καὶ ἐσθίεσθαι δύνασθαι. πλείους μέντοι καὶ τούτων, εἴ τις προσενέγκαιτο, τήν τε κεφαλὴν ἀλγεῖ, καὶ θερμαίνεται, καὶ δάκνεται κατὰ τὴν γαστέρα.

ιζ΄. Περὶ κενταυρίου τοῦ μεγάλου.

Κενταυρείου τοῦ μεγάλου ἡ ῥίζα, ὥσπερ ἐν τῇ γεύσει ποιότητας ἐναντίας, οὕτω κἀν τῇ χρείᾳ τὰς ἐνεργείας ἐπιδείκνυται. κατὰ μὲν οὖν γεῦσιν δριμεῖά τε ἅμα, καὶ στύφουσα φαίνεται μετά τινος βραχείας γλυκύτητος. κατὰ δὲ τὰς ἐνεργείας, ἡ μὲν δριμύτης, τὰ τῆς θερμότητος ἔργα διαδείκνυται, προτρέπουσα καταμήνια, καὶ ἔμβρυα νεκρὰ κατασπῶσα, καὶ ζῶντα διαφθείρουσά τε, καὶ ἐκβάλλουσα, ἡ δὲ στύψις, τὰ τῆς παχυμεροῦς, καὶ γεώδους ψυχρότητος, ἔν τε τῷ κολλᾶν τὰ τραύματα, καὶ τοὺς αἷμα πτύοντας ὠφελεῖν. δίδονται δ᾽ αὐτῆς δραχμαὶ δύο, τοῖς μὲν πυρέσσουσι μεθ᾽ ὕδατος, τοῖς δὲ ἀπυρέτοις μετ᾽ οἴνου. κατὰ δὲ τὴν ἐξ ἁπασῶν τῶν ποιοτήτων ἐνέργειαν, καὶ ῥήγμασι, καὶ σπάσμασι, καὶ δυσπνοίᾳ, καὶ ταῖς πεπαλαιωμέναις ἁρμόττει βηξίν. οὐ γὰρ ἐκκενῶσαι χρὴ μόνον ἐπὶ τούτων τὸ παρὰ φύσιν, ἀλλὰ καὶ ῥῶσαι, καὶ τονῶσαι τὰ ἐκκαθαρθέντα. εἰς μὲν οὖν τὸ κενῶσαι χρήσιμος ἡ δριμύτης, ὅταν μὴ μόνη μηδ᾽ εἰλικρινὴς ὑπάρχει, ἀλλ᾽ ἤτοι γλυκύτητί τινι μίγνυται, ἢ οὐ πάντως γε πικρότητι. τὸ γὰρ ἰσχυρὸν, οὕτω γε καὶ τὸ βίαιον οὐχ ἕξει, μεμιγμένης αὐτῇ τινος οὐσίας εὐκράτου. τοιαύτη γὰρ ἡ γλυκεῖα. εἰς δὲ τὸ ῥῶσαι, καὶ τὸ συναγαγεῖν τὰ κενωθέντα, τῆς στύψεως ἡ χρεία. τὰ δ᾽ αὐτὰ τῇ ῥίζῃ, καὶ ὁ χυλὸς αὐτῆς ἐργάζεται, καί τινες ἀντὶ λυκίου χρῶνται τῷ φαρμάκῳ.

17. *De centaurio maiore.*

Centaurij magni radix ſicut guſtu contrarias qualitates, ita in vſu contrarios effectus præſtat. Guſtu itaque acris ſimul, aſtringénſque apparet cum leuicula dulcedine. At in actionibus acrimonia quidem caliditatis opera oſtentat, menſes prouocans, & fœtum mortuum euellens, viuúmque corrumpens, atque eiiciens; aſtrictio verò, eſt, craſſæ terrenæque frigiditatis, quum vlcera glutinet, & ſanguinem reiicientibus proſit; B exhibentur autem eius drachmæ duæ, febrientibus quidem cum aqua, febri verò liberis cum vino. Porrò ſecundum omnium ſimul qualitatum actionem, ruptis, conuulſis, diſpnœæ ſiue ſpirandi difficultati, tum inueteratæ tuſſi, conuenit. Nec enim talibus euacuare ſolùm, quod præter naturam eſt, oportet, ſed partem quoque euacuatam roborare, ac confirmare. Vacuationi itaque accommoda eſt acrimonia, vtique quum non ſola ſit, ac pura, ſed aut dulcedini iuncta, aut certè non prorſum amarori; ſiquidem vehementiam tunc atque violentiam, mixta illi temperata quadam ſubſtantia, cuiuſmodi eſt dulcis, non obtinebit. C Porrò ad ea, quæ euacuata ſunt, roboranda contrahendáque aſtrictione eſt opus. Eadem quæ radix, & ſuccus ipſius efficit. Vtuntúrque eo quidam vice Licij.

ιη΄. Περὶ κενταυρίου μικροῦ.

Κενταυρείου τοῦ μικροῦ μὲν ἡ ῥίζα παντάπασιν ἄπρακτος. οἱ δὲ κλῶνές γε, καὶ μᾶλλον τὰ φύλλα, τὰ ἐπ᾽ αὐτῶν, καὶ τὰ ἄνθη χρησιμώτατα. κρατεῖ δ᾽ ἐν αὐτοῖς ἡ πικρὰ ποιότης, ὀλίγον τι καὶ στύψεως μετέχουσα, καὶ διὰ τὴν τοιαύτην κρᾶσιν, ἰσχυρῶς ξηραντικόν ἐστι τὸ φάρμακον, ἄνευ δήξεως. ὅτι δὲ πάντα τὰ τοιαῦτα χρησιμώτερα, καὶ πρόσθεν μὲν εἴρηται, καὶ νῦν δ᾽ οὐδὲν ἧττον ἀναμνῆσαι καιρὸς, ἁπάσας αὐτοῦ τὰς κατὰ μέρος ἐνεργείας διελθόντες. τά τε οὖν μεγάλα τραύματα κολλᾶται καταπλαττόμενα, τῆς πόας αὐτῆς ἔτι προσφάτου, καὶ τὰ παλαιὰ δὲ, καὶ τὰ δυσκατούλωτα τῶν ἑλκῶν ἐπουλοῦται, κατὰ τὸν αὐτὸν τρόπον χρωμένων. καὶ ξηρανθεῖσα δὲ, ταῖς κολλητικαῖς τε, καὶ ξηραντικαῖς μίγνυται δυνάμεσιν, ὅσαι κόλπους, καὶ σύριγγας ἰᾶσθαι πεφύκασι. καὶ τὰς παλαιὰς σκληρότητας μαλάσσειν, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶσθαι. μίγνυται δὲ τοῖς τὰς ῥευματικὰς διαθέσεις ἰωμένοις, ἐφ᾽ ὧν ἄριστα φάρμακά ἐστιν, ὅσα ξηραίνοντα σφοδρῶς, ἅμα τινὶ στύψει μηδεμίαν ἔχει δῆξιν. τὸ δ᾽ ἀφέψημα τῆς πόας ἐνιᾶσί τινες ἰσχιαδικοῖς, ὡς ἄγον χολώδη τε, καὶ παχέα, καὶ γὰρ καθαίρει τοιαῦτα. καὶ μὲν δὴ καὶ ὅταν ἐνεργήσῃ σφοδρῶς, ὡς αἱματώδη κενοῦν, ὠφελεῖ μᾶλλον. ὁ δὲ χυλὸς αὐτοῦ πλησίας ὑπάρχων δυνάμεως, τουτέστι τῆς ξηραντικῆς τε, καὶ ῥυπτικῆς, τά τε ἄλλα τὰ προειρημένα καλῶς ἐργάζεσθαι πέφυκε, καὶ μετὰ μέλιτος ὑπαλείφεται τοῖς ὀφθαλμοῖς, ἔμμηνά τε προστιθέμενος ἄγει, καὶ ἔμβρυα. διδόασι δ᾽ αὐτοῦ πίνειν ἔνιοι, καὶ τοῖς τὰ νεῦρα πεπονθόσιν, ὡς κενοῦντός τε καὶ ξηραίνοντος ἀλύπως τὰ ἐμπεπλασμένα. καὶ γὰρ οὖν καὶ τῶν καθ᾽ ἧπαρ ἐμφράξεων, ἄριστόν ἐστι φάρμακον. ἀγαθὸν δὲ καὶ σπληνὶ σκιρρουμένῳ, καὶ ἔξωθεν μὲν ἐπιτιθέμενον, οὐδὲν δὲ ἧττον, εἰ καὶ πίνειν τις ἐθέλει.

18. *De centaurio minore.*

Centaurij minoris radix planè inefficax eſt, ſed caules eius extremi, & potius folia, quæ illis inhærent, & flores, vtiliſſima ſunt. Vincit in eis qualitas amara, paululum habens, & aſtrictionis, atque ob eiuſmodi temperamentum admodum exiccatorium eſt medicamentum, D expers mordacitatis. Porrò quòd omnia talia vtiliſſima ſint, ſupra commonui, & nunc nihilo ſecius tamen nos repetere tempeſtiuum eſt, omnes eius ſigillatim actiones memorantes. Vulnera itaque magna herbæ ipſius recentis illitu glutinantur; & vetuſta, quæq; ægrè ad cicatricem perduci queunt, cicatrice eodem modo vtentibus includuntur; arefacta verò glutinatoriis, & deſiccatoriis miſcetur facultatibus, iis videlicet, quæ ſinus, & fiſtulas ſanare ſunt natæ, veteréſque duritias emollire, tum vlcera maligna ſanare. Miſcetur etiam iis, E quæ rheumaticis affectibus medentur; in quibus ea medicamenta præſtantiſſima ſunt, quæ vehementer deſiccantia cum quadam aſtrictione nullam habent mordacitatem. Decoctum herbæ quidam iſchiadicis infundunt, ceu biliosa, & craſſa ducens; nam & talia purgat; quanquam quum adeo vehementer operabitur, vt cruenta euacuet, tunc plus proderit. Succus porrò eius, quum aſſimilis ſit facultatis, hoc eſt exiccatoriæ, & abſterſoriæ, & cætera iam comprehenſa pulchrè præſtare poteſt; & cum melle oculis illinitur; menſéſque, & fœtum appoſitus euocat. Sunt qui ipſum bibendum præbeant, & iis quibus nerui affecti F ſunt, vt qui euacuet, & deſiccet innoxiè, quæ impleta ſunt; quippe quum iecinoris quoque obſtructiones optimè expediat; bonúmque ſit lieni indurato remedium foris impoſitum, nec ſecius ſi quis bibere velit.

19. De

19. *De ceraso.*

CErasus arbor fructum fert non paris astrictionis in omnibus sigillatim plantis participem. Nam & in harum, sicut etiam in malorum granatorum, & malorum, quibusdam austera qualitas, quibusdam verò dulcis, nonnullis autem acida exuperat. Quinetiam ipsorum dulcium ea, quæ nondum cocta sunt, ac matura, quædam admodum sunt acerba, quædam similiter moris acida. Sed in moris immaturis acida qualitas acerbam exuperat, in cerasiis non semper. Ergo quæ dulciora sunt, magis quæ in intestinis sunt, subducunt, sed minùs grata stomacho sunt; contra austera. Acida pituitosis excrementosisque stomachis sunt apta; siquidem austeris magis desiccat, & nonnihil etiam incidunt. Porrò ipsius arboris gummi communem quidem omnibus viscosis, & mordacitatis expertibus medicamentis, facultatem obtinet, quæ & ad arterias exasperatas accommoda est; propriam autem siquidem quod quidam scribunt verum est, quòd cum vino bibitum calculis vexatos adiuuat. Nam sic illi tenuium partium inesset facultas quædam.

20. *De ceratonia.*

CEratonia exiccantis est, & astringentis facultatis, sicut & fructus eius, quæ ceratia vocant, nonnihil etiam dulcedinis cõtinens. Accidit autẽ istis quiddã simile cerasiis. Nam si humida sumas, magis ventrem subducunt; sicca verò magis sistũt; vtpotè quum humiditatem expirent, & quod essentiæ est crassioris, tantùm reliquum habeant.

21. *De cestro, betonica.*

CEstrum aut Psychotrophon, Romanè verò Betonica, vim habet incidendi, vt gustus indicat. Amariuscula enim est, & subacris ipsa herba; id quod ostendit, & particulatim edita actio. Nam consistentes in renibus calculos rumpit; & pulmonem, pectus, & iecur expurgat abstergitque; menses quoque ciet, & comitialibus prodest; tum rupta conuulsáque curat, & omnibus bestiarum morsibus, vlceri illita, auxiliatur. Postremò acidum ructantibus, & ischiadicis bibita auxilio est.

22. *De cecide, galla.*

GAlla quæ omphacitis nuncupatur, admodum acerbum est medicamentum, pleraque sui parte essentiæ terrenæ, & frigidæ, per quam desiccat, & repellit fluxiones; ad hæc constringit contrahitque partes laxas, ac languidas: omnibúsque fluxionum affectibus strenuè resistit. Esto verò tertij in desiccando, secundi autem in refrigerando, ordinis. Altera autem galla, flaua illa, & magna laxáque, & ipsa desiccat quidem, sed tanto minus, quanto minus acerbæ qualitatis est particeps. Cocta itaque per se, ac deinde trita, cataplasma est non instrenuum sedis phlegmonarum, ac procidentiarum. Porrò coquenda est, si modica opus sit astrictione, in aqua; sin vehementiore, in vino; ac si augere insuper astrictionem sit opus, vino vtare etiam austeriore. Hanc rustici nostrates, vinigallam, nominant.

ιθʹ. Περὶ κεράσου.

ΚΕρασος τὸ δένδρον, καρπὸν φέρει, στύψεως οὐκ ἴσης, ἐν ἅπασι τοῖς κατὰ μέρος φυτοῖς μετέχοντα. καὶ γὰρ καὶ τούτων, ὥσπερ καὶ τῶν ῥοιῶν, καὶ τῶν μήλων, ἐν τισὶ μὲν ἡ αὐστηρὰ ποιότης, ἐν τισὶ δὲ ἡ γλυκεῖα, ἐν τισὶ δὲ ἡ ὀξεῖα κρατεῖ. καὶ μὲν δὴ καὶ αὐτῶν τῶν γλυκέων, ὅσα μήπω πέπειρα, τὰ μὲν ἱκανῶς στρυφνὰ τετύχηκεν ὄντα, τὰ δὲ ὀξέα τοῖς μόροις ὡσαύτως. ἀλλ' ἐν μὲν τοῖς μόροις τοῖς ἀώροις, ἡ ὀξεῖα ποιότης ἐπικρατεῖ τῆς στρυφνῆς, ἐν δὲ τοῖς κερασίοις οὐκ ἀεί. τὰ μὲν οὖν γλυκύτερα, μᾶλλον μὲν ὑπάγει τὰ κατὰ τὸ ἔντερον, ἧττον δ' ἐστὶν εὐστόμαχα. τὰ δ' αὐστηρὰ, τοὔμπαλιν· ὅσα δὲ ὀξέα, φλεγματώδεσι, καὶ περιττωματικοῖς στομάχοις ἁρμόττει. ξηραίνει τε γὰρ μᾶλλον τῶν αὐστηρῶν, καί τι καὶ τμητικὸν ἔχει. τὸ δὲ κόμμι τοῦ δένδρου, τὴν μὲν τινα κοινὴν ἔχει δύναμιν ἅπασι τοῖς γλίσχροις τε ἅμα, καὶ ἀδήκτοις φαρμάκοις, ἣ καὶ πρὸς τὰς τετραχυσμένας ἀρτηρίας ἁρμόττει. τὴν δ' ἰδίαν, εἴ γε ἀληθές ἐστιν ὃ γράφουσί τινες, ὡς μετ' οἴνου πινόμενον, ὀνίνησι λιθιῶντας. ὑπάρχει ἂν γὰρ οὕτω γέ τις αὐτῷ λεπτομερὴς δύναμις.

κʹ. Περὶ κερατωνίας.

ΚΕρατωνία ξηραντικῆς ἐστι, καὶ στυπτικῆς δυνάμεως, ὥσπερ καὶ ὁ καρπὸς αὐτῆς τὰ κεράτια καλούμενα, μετέχων δηλονότι καὶ γλυκύτητός τινος. πέπονθε δέ τι καὶ ταῦτα, τοῖς κερασίοις παραπλήσιον. ὑγρὰ μὲν γὰρ μᾶλλον ὑπάγει τὴν γαστέρα, ξηρὰ δ' ἵστησι μᾶλλον, ὡς ἂν ἀποπνέοντα μὲν τὴν ὑγρότητα, τὸ γεωδέστερον δὲ τῆς οὐσίας ὑπολειπόμενον ἔχοντα.

καʹ. Περὶ κέστρου.

ΚΕστρον, ἡ ψυχότροφον, Ῥωμαϊστὶ δὲ βετονίκη, δύναμιν ἔχει τμητικὴν, ὡς ἡ γεῦσις δηλοῖ. πικροτέρα γάρ ἐστι, καὶ ὑπόδριμυς ἡ πόα, ὡς δηλοῖ καὶ ἡ κατὰ μέρος ἐνέργεια. καὶ γὰρ τοὺς ἐν νεφροῖς λίθους διαιρεῖ, καὶ πνεύμονα, καὶ θώρακα, καὶ ἧπαρ καθαίρει τε, καὶ διαρρύπτει, καὶ καταμήνια κινεῖ, καὶ ἐπιληπτικοῖς ὠφελεῖ, καὶ ῥήγματα, καὶ σπάσματα θεραπεύει. καὶ πᾶσι τοῖς τῶν θηρίων δήγμασιν ἐπιπλαττομένη τῷ ἕλκει βοηθεῖ, καὶ ὀξυρεγμιῶντάς τε, καὶ ἰσχιαδικοὺς ὀνίνησι πινόμενον.

κβʹ. Περὶ κηκίδος.

ΚΗκὶς ἡ μὲν ὀμφακῖτις ὀνομαζομένη, στρυφνὸν ἱκανῶς ἐστὶ φάρμακον, οὐσίας γεώδους ψυχρᾶς τὸ πλεῖστον μετέχουσα, δι' ἣν ξηραίνει, καὶ ἀποκρούεται ῥεύματα, καὶ συνάγει, καὶ σφίγγει τὰ χαλαρὰ, καὶ ἄρρωστα μόρια, καὶ πᾶσι τοῖς ῥοώδεσι πάθεσι γενναίως ἀνθίσταται. καὶ κείσθω τῆς τρίτης μὲν ἐν τῷ ξηραίνειν, τῆς δευτέρας δὲ ἐν τῷ ψύχειν τάξεως. ἡ δ' ἑτέρα κηκὶς, ἡ ξανθὴ, καὶ χαύνη, καὶ μεγάλη, ξηραίνει μὲν καὶ αὐτὴ, ἀλλ' εἰς τοσοῦτον ἧττον, εἰς ὅσον καὶ τῆς στρυφνῆς ποιότητος ἧττον μετείληφεν. ἑψομένη τοίνυν αὐτὴ καθ' αὑτὴν, εἶτα λειουμένη, κατάπλασμα τῶν ἐν ἕδρᾳ φλεγμονῶν ἐστι, καὶ προπτώσεων οὐκ ἀγεννές. ἕψειν δὲ χρὴ, μετρίας μὲν τῆς στύψεως δεόμενον ἐν ὕδατι, σφοδροτέρας δ' ἐν οἴνῳ. καὶ εἰ μᾶλλον ἔτι δέοιτο προσαυξῆσαι τὴν στύψιν, ἔστω σοι καὶ ὁ οἶνος αὐστηρότερος. οἰνοκηκῖδα ταύτην ὀνομάζουσιν οἱ παρ' ἡμῖν ἀγροῖκοι.

καυθεῖσαι δὲ αἱ κηκίδες ἰσχαίμου δυνάμεως γίγνονται, καὶ δηλονότι θερμότητος, καὶ δριμύτητος ἐκ τῆς καύσεως μεταλαμβάνουσι. καὶ λεπτομερέστεραι τῶν ἀκαύστων εἰσί, καὶ ξηραντικώτεραι. χρὴ δὲ ὅταν ἰσχαίμους αὐτὰς ποιῆσαι βουληθῇς, διαπύρους ἐπ' ἀνθράκων ἐργασάμενον, ἢ οἴνῳ, ἢ ὄξει σβεννύναι.

A Denique gallæ cõbustæ sanguinis reprimendi facultatem acquirunt, ac nimirum etiam calorem, & acrimoniam ex vstione assumunt, súntque iis, quæ ignem expertæ non fuerint, tum tenuiorum partium, tum maiore desiccandi potestate. Cæterùm quum ad sanguinis suppressionem præparare eas voles, carbonibus impositas, dum vndequaque candeant, aceto, aut vino extinguere oportebit.

κγ΄. Περὶ κηροῦ.

ΚΗρὸς ἐν τῷ μέσῳ πώς ἐστι τῶν θερμαινόντων τε, καὶ ψυχόντων, ὑγραινόντων τε, καὶ ξηραινόντων. ἔχει δέ τι καὶ παχυμερὲς, καὶ ἐμπλαστικόν. διὸ οὐ μόνον οὐ ξηραίνειν, ἀλλὰ καὶ κατὰ συμβεβηκὸς ὑγραίνειν ἂν ἴσως δόξειε, κωλύων τὰς διαπνοάς, ὅθεν καὶ ὕλη τῶν ἄλλων ἐστὶ φαρμάκων τῶν θερμαινόντων τε, καὶ ψυχόντων. αὐτὸς δὲ καθ' ἑαυτὸν ἐκ τῶν πεπτικῶν ἂν εἴη τῶν ἀσθενῶν, οὔτ' εἴσω τοῦ σώματος λαμβανόμενον, ἀλλὰ τῶν ἔξωθεν ἐπιτιθεμένων. ἔχει γάρ τι βραχὺ διαφορητικῆς τε, καὶ θερμῆς δυνάμεως, ἧς πλείστης τὸ μέλι μετείληφε.

23. *De cera.*

CEra quodãmodo mediũ tenet calefacientiũ, refrigerantiũ, humectantiũ, & desiccantium. Habet verò quiddã etiã crassarũ partiũ, atq; em- B plasticũ: quamobrẽ non modo exiccare, sed & per accidens humectare videri fortassis poterit perspirationes videlicet prohibens. Quamobrem aliorũ medicamentorum, tum calefacientium, tum refrigerantium, materia est; ipsa autem per se ex genere fuerit debiliter concoquentium: nec tamen intrò in corpus assumptorum, sed foris impositorum. Habet enim paulum quiddam digerentis calidæque potentiæ, quæ plurima melli inerat.

κδ΄. Περὶ κίκεως.

ΚΙκεως ὁ καρπὸς, ὥσπερ καὶ καθαίρει, ῥυπτικὴν τε καὶ διαφορητικὴν ἔχει δύναμιν, οὕτω καὶ τὸ φύλλον, ἀλλὰ πολὺ τι ἀσθενέστερον. τὸ γ' ἔλαιον, τὸ ἐκ τοῦ καρποῦ, θερμότερόν τε καὶ λεπτομερέστερόν ἐστι τοῦ κοινοῦ ἐλαίου, καὶ διὰ τοῦτο, καὶ διαφορητικόν.

24. *De cice, ricino.*

C RIcini fructus quemadmodum purgat, detergit, ac digerit, sic quoque folium, sed vndequaque debilius. Oleum quod ex semine conficitur, tum calidius est, tum tenuiorum partium, quàm est oleum commune, ac proinde quoque discutit.

κε΄. Περὶ κινναμώμου.

ΚΙννάμωμον ἄκρως ἐστὶ λεπτομερές, οὐ μὴν ἄκρως γε θερμὸν, ἀλλ' ἐκ τῆς τρίτης τάξεως. οὐδὲν δ' οὕτω ξηραίνει τῶν ἐξ ἴσου θερμαινόντων αὐτῷ, διὰ τὸ λεπτομερὲς τῆς οὐσίας. ἡ μέντοι κινναμωμὶς οἷον ἀσθενές τι ἐστὶ κιννάμωμον, ἔνιοι δ' αὐτὴν ψευδοκιννάμωμον ὀνομάζουσιν.

25. *De cinnamomo.*

CInnamomum summè tenuium est partium, non summè tamen calidũ, sed ex tertio ordine. Nihil autẽ æquè desiccat eorum, quæ pari sunt D calefaciẽdi facultate, propter tenuitatẽ scilicet essẽtię. At cinnamomis est velut imbecillũ cinnamomũ; nõnulli ipsam pseudocinnamomũ nuncupant.

κϛ΄. Περὶ κιρκαίας.

ΚΙρκαίας τῆς πόας τὴν μὲν ῥίζαν φησὶ Διοσκουρίδης, σὺν οἴνῳ γλυκεῖ πινομένην ὑστέρας ἐκκαθαίρειν, οὖσαν εὐώδη τε καὶ θερμαντικήν. τὸν δὲ καρπὸν ἐν ῥοφήματι διδόμενον, εἰς γένεσιν γάλακτος συνεργεῖν.

26. *De circea.*

CIrceæ herbæ radicem scribit Dioscorides ex vino dulci potam secundas purgare; est enim boni odoris, & calefactoria. Semen autem eius in sorbitione exhibitum ad lactis generationem conducit.

E

κζ΄. Περὶ κίστου.

ΚΙσὸς, ἢ κίσθαρος, στυπτικὸς θάμνος ἐν τῇ γεύσει, καὶ ἅπασι τοῖς κατὰ μέρος ἔργοις. τὰ μέντοι φύλλα, καὶ οἱ μικροὶ βλαστοὶ, λειωθέντες, εἰς τοσοῦτο ξηραίνουσι, καὶ στύφουσι, ὡς κολλᾶν τραύματα. τὰ δ' ἄνθη δραστικώτερα, ὡς μετ' οἴνου πινόμενα, δυσεντερίας, καὶ γαστρὸς ἀτονίας, καὶ ῥεύματα, καὶ ὑγρότητας ἰᾶσθαι. καταπλαττόμενα δὲ, τὰ σηπεδονώδη τῶν ἑλκῶν ὀνίνησιν. ἔστι γὰρ ἡ δύναμις αὐτῶν οὐκ ἀγεννῶς ξηραντικὴ, σχεδόν που κατὰ τὴν δευτέραν ἀπόστασιν, ἀπὸ τῶν συμμέτρων ἤδη που συμπληρουμένων. ἔστι δὲ ψυχρὸς εἰς τοσοῦτον ὁ θάμνος, ὡς χλιαρᾶς μετέχειν θερμότητος. ἡ δὲ ὑποκιστὶς ὀνομαζομένη, πολύ δή τι καὶ τῶν φύλλων ἐστὶ στυπτικωτέρα, δραστικὸν ἱκανῶς φάρμακον εἰς ἅπαντα τὰ ῥοώδη πάθη, οἷον αἵματος ἀναγωγὰς, ῥοῦς γυναικείους, κοιλιακάς τε, καὶ δυσεντερικὰς διαθέσεις.

27. *De cisto.*

CIstus, aut cistatus, frutex ex gustu astringens, omnibúsque particulatim operibus. Porrò folia, & parua germina trita adeo desiccant astringúntque, vt vulnera glutinare valeant. At flores magis sunt efficaces, adeo vt cum vino poti dysenterias, ventris imbecillitates, fluxúsque, ac humiditates sanent. Cataplasmatis ritu illita vlcerum putredinosa iuuant: est enim facultas eorum non instrenuè desiccans, feréque secundi excessus à F temperatis absoluti. Adeo verò frutex hic frigidus est, vt tepidi caloris sit particeps. Porrò hipocisthis, quam vocant, multò est magis astrictoria, quàm folia, admodum efficax remedium ad omnes fluxionum affectus, puta sanguinis reiectiones, profluuia muliebria, cœliacos, dysentericósque affectus.

Quin

Quin si quam partem roborare consilium sit, quæ videlicet plusculo humore exoluta fuerit, robur, ac firmitatem illi non segniter addit. Sic sanè stomachicis epithematis, hepaticísque, commiscetur; & ex viperis confectis antidotis inditur, nimirum quo corpora confirmet, ac roboret.

28. *De cistho.*

CIsthus aut ladanum. In calidioribus regionibus hic cisthus proueniens, tametsi haud alius sit genere, quàm qui apud nos nascitur, præcipuam tamen à regione, ac peculiarem, digerentémque caliditatẽ nactus est; atque vtroque à nostrate differt, tum quia frigiditatẽ deposuit, tũ quia calorẽ assumpsit. Itaque cætera quidẽ huius cisthi, illis quæ in nostrate visuntur, similia sunt. Verũ ladanũ, quod vocant, ex eo prouenit, medicamentũ primo excessu iam quodãmodo cõpletè calidũ, vt videlicet, & secundũ attingat, habens etiam astrictionis paululum; ad hæc substantia tenuium partium, ac propter hæc emolliens siue malacticum, paritérq; moderatè digerẽs, ac videlicet etiam cõcoquens. Itaq; mirandũ non est, si peculiariter ad vteri vitia conueniat, quandoquidẽ ad dicta paulũ quiddã astrictionis obtinet. Quocirca defluentes capillos retinet; nam quicquid ad radices eorum praui humoris sederit, id omne absumit; tum meatus, quibus infixi sunt, cõstringit, contrahítq; astrictione. Cæterũ alopecias, & ophiases, sanare non potest, vtpotè grauiores vires, quã quæ ladano insunt, poscentes; quippe proueniunt ista ex prauis succis lentis crassisque, quos incidentia ac discutientia medicamenta potissimũ euocant, atq; euacuant. Cæterùm tenuium partium sint facultatis oportet, & minimè astringentis, non tamen vsque adeo tenuium partium, & desiccatoriæ, vt nimio plus desiccent, vnáque cum collectis inibi succis præter naturã, naturalem quoque humiditatẽ incrementa pilis suppeditantem, absumant. Nam sic non magis alopecia liberabunt, quàm & caluitiem afferent. Sed hæc ad curandi rationem pertinent.

29. *De cisso, hedera.*

HEdera ex contrariis cõposita est facultatibus. Habet enim quiddã astringentis substantiæ, quam terrenam, & frigidam esse ostendimus; habétque etiam nonnihil acris, quam calidã esse, vel gustus cõprobat; nec deest tertia, aqueam namque substantiam quandam tepidam obtinet certè, si viridis sit. Siquidem dum arescit, hęc prima exhalet necesse est; manétque quæ terrea, & frigida astringẽsque, & ea quæ calida, & acris. Viridis autẽ foliis eius in vino decoctis, vulnera grandia conglutinat; queque maligna sunt, ad sanitatẽ reducit; tum igne factas exulcerationes cicatrice includit. Porrò cum aceto decocta folia lienosis prosunt. Flores autem quodammodo validiores sunt, vt ad læuorem redacti cum cerato ambustis cõueniant. Præterea succus medicamentum est naribus inditum caput purgans, tum vetustas aurium fluxiones sanat; ad hæc vlcera vetera, tum in auribus, tum in naribus. Porrò si acrior appareat, aut rosaceo, aut dulci oleo miscetur. Lachryma eius pediculos interimit, pilis nudat, vsqueadeo calidæ potestatis, vt obscurè adurat; est enim velut aqueus quidam liquor, sicut aliæ omnes lachrymæ.

A ἀλλὰ καὶ ῥωννύναι τι μόριον εἰ βουληθείης μὲν, ἔκλυτον ὑγρότητι πλείονι γεγενημένον, ἐντίθησιν αὐτῷ τόνον οὐκ ἀγεννῶς. οὕτω τοι καὶ στομαχικοῖς ἐπιθέμασι, καὶ ἡπατικοῖς μίγνυται, καὶ εἰς τὴν διὰ τῶν ἐχιδνῶν ἀντίδοτον, ἐμβάλλεται, ῥώσεως ἕνεκα, καὶ τόνου τῶν σωμάτων.

κη΄. Περὶ κίσθου.

Κίσθος, ἢ λάδανον. ἐν μὲν τοῖς θερμοτέροις χωρίοις ὢν ὁ κίσθος γεννώμενος, οὐχ ἕτερος ὢν τῷ γένει τοῦ παρ' ἡμῖν, ἐξαίρετον ἐκτήσατο διὰ τὸ χωρίον, ἰδίαν καὶ διαφορητικὴν θερμότητα, καὶ κατ' ἄμφω τοῦ παρ' ἡμῖν διήλλαξε,
B τῷ τε τὴν ψύξιν ἀποθέσθαι, καὶ τῷ προσλαβεῖν θερμότητα. τὰ μὲν οὖν ἄλλα τοῦ κίσθου, παραπλήσια τοῖς ἐπὶ τοῦ παρ' ἡμῖν. τὸ δὲ καλούμενον λάδανον, ἐξ αὐτοῦ γίγνεται, φάρμακον, θερμὸν μὲν κατὰ τὴν πρώτην ἀπόστασιν, ἤδη που συμπεπληρωμένην, ὡς καὶ τῆς δευτέρας ἅπτεσθαι. μετέχον δὲ καὶ στύψεώς τινος βραχείας, ἔστι δὲ καὶ λεπτομερὲς τὴν οὐσίαν, καὶ διὰ ταῦτα μαλακτικόν τέ ἐστι μετρίως, καὶ διαφορητικὸν ὡσαύτως, καὶ δηλονότι, καὶ συμπεπτικόν. οὐδὲν οὖν θαυμαστὸν τοῖς κατὰ μήτρας, ἐξαιρέτως ἁρμόττειν αὐτὸ διότι πρὸς τοῖς εἰρημένοις,
C ἔχει τι καὶ στυπτικὸν βραχὺ, διὸ καὶ τὰς ῥεούσας κρατύνει τρίχας. ὅσα μὲν γὰρ ὑγρὰ μοχθηρὰ κατὰ τὰς ῥίζας αὐτῶν ἐστιν, ἐκδαπανᾷ, συνάγει δὲ, καὶ σφίγγει τῇ στύψει τοὺς πόρους, οἷς ἐμπεπήγασιν. ἀλωπεκίας δὲ, καὶ ὀφιάσεις ἀδύνατόν ἐστιν ἰᾶσθαι, κἂν διαφορητικωτέρας δυνάμεως, ἢ κατὰ λάδανον χρῄζοντα παθήματα. γίγνεται γὰρ ταῦτα διὰ μοχθηροὺς χυμοὺς, γλίσχρους καὶ παχεῖς, οὓς τὰ τέμνοντα, καὶ διαφοροῦντα φάρμακα, μάλιστα ἐξάγει καὶ κενοῖ. λεπτομερεῖς δ' εἶναι χρὴ δυνάμεως αὐτὰ, καὶ ἥκιστα στυπτικῆς. οὐ μὴν εἰς τοσοῦτόν γε λεπτομερεῖς καὶ ξηραντικῆς, ὡς ὑπερξηραίνειν τε, καὶ συνεκβό-
D σκεσθαι τοῖς παρὰ φύσιν ἠθροισμένοις αὐτόθι χυμοῖς, τὴν φυσικὴν ὑγρότητα αὔξουσαν τὰς τρίχας. οὕτω γὰρ οὐκ ἀλωπεκίας ἰάσεται μᾶλλόν περ, ἢ φαλάκρωσιν ἐργάσεται. τῆς θεραπευτικῆς δέ ἐστιν ἤδη ταῦτα μεθόδου.

κθ΄. Περὶ κισσοῦ.

Κισσὸς ἐξ ἐναντίων σύγκειται δυνάμεων, ἔχει μὲν γάρ τι καὶ στυπτικῆς οὐσίας, ἣν δὴ γεώδη ψυχρὰν ἐδείκνυμεν ὑπάρχειν, ἔχει δὲ καὶ δριμείας, ἣν θερμὴν εἶναι καὶ ἡ γεῦσις μαρτυρεῖ. καὶ
E τρίτην δ' ἐπὶ ταύταις ὑδατώδους οὐσίας μετέχει χλιαρᾶς, ὅ γε χλωρός. ἐν γὰρ τῷ ξηραίνεσθαι ταύτην μὲν ἀνάγκη διαφορεῖσθαι πρώτην, ὑπολείπεσθαι δὲ τὴν γεωδεστέραν, τήν τε ψυχρὰν, καὶ τὴν στύφουσαν, καὶ τὴν θερμὴν, τὴν δριμεῖαν. ἀλλ' ὅ γε χλωρὸς, ἑψηθέντων τῶν φύλλων σὺν οἴνῳ, καὶ τῶν μεγάλων τραυμάτων ἐστὶ κολλητικὸς, καὶ τῶν κακοηθευομένων ἰατικός. ἐπουλοῖ δὲ καὶ τὰς ἐκ πυρὸς ἑλκώσεις. σὺν ὄξει δ' ἑψηθέντα τὰ φύλλα, σπληνικοὺς ὠφελεῖ. τὰ δὲ ἄνθη αὐτοῦ ἰσχυρότερα πώς ἐστιν, ὡς μετὰ κηρωτῆς λεούμενα, τοῖς πυρικαύτοις ἁρμόττειν. ὁ δὲ χυλὸς, ἔστι μὲν καὶ ἔρρινον φάρμακον, καὶ τὰ χρόνια δὲ τῶν ὤτων ἰᾶται
F ῥεύματα, καὶ τῶν ἑλκῶν τὰ παλαιὰ κατά τε τὰ ὦτα, καὶ τὰς ῥῖνας, ὡς ἂν δὲ δριμύτερος φαίνηται ῥοδίνῳ, ἢ ἐλαίῳ γλυκεῖ μίγνυται. τὸ δὲ δάκρυον αὐτοῦ φθεῖρας κτείνει, καὶ τρίχας ψιλοῖ, θερμῆς εἰς τοσοῦτον ὑπάρχον δυνάμεως, ὡς καίειν ἀμυδρῶς. ἔστι γὰρ δὴ ὑδατώδης τις ὀπὸς, ὥσπερ καὶ τὰ ἄλλα δάκρυα.

λ΄. Περὶ κλινοποδίου.

ΚΛινοπόδιον θερμαντικῆς ὑπάρχει δυνάμεως, οὐδέ πω καυστικῆς. ἔστι δὲ καὶ λεπτομερὲς τὴν οὐσίαν, καὶ θείη ἄν τις αὐτὸ τῆς τρίτης τάξεως, ἔν τε τῷ θερμαίνειν καὶ ξηραίνειν.

30. *De clinopodio.*

CLinopodium calefaciendi vim obtinet, sed nondum adurendi; est verò etiam essentiæ subtilium partium; ponátque ipsum quispiam in tertio ordine, tum calefacientium, tum resiccantium.

λα΄. Περὶ κληματίδος.

ΚΛηματίδος τὰ φύλλα δριμείας τε, καὶ καυστικῆς ἐστι δυνάμεως, ὥστε καὶ λέπρας ἀποδέρειν. εἴη ἂν οὖν ἐκ τῆς τετάρτης τάξεως τῶν θερμαινόντων ἀρχομένης. ὀνομάζεται δὲ κληματὶς, καὶ τὸ δαφνοειδὲς, ὅπερ ἔνιοι μυρσινοειδὲς, ἔνιοι δὲ πολυγονοειδὲς καλοῦσιν. ἀλλ' οὐκ ἔστιν ἑλκωτικὸν, οὐδὲ δριμὺ, καθάπερ τὸ προειρημένον, ἀλλὰ διαῤῥοίας, καὶ δυσεντερίας ὠφελεῖ μετ' οἴνου πινόμενον. ὀδόντων τε ἀλγήματα διαμασώμενον πραΰνει, καὶ τὰς τῶν ὑστερῶν ὀδύνας ἐν πεσσῷ προστιθέμενον ὠφελεῖ, τοσοῦτον ἀποδεῖ τοῦ καίειν, ἢ ἑλκοῦν, ὡς τὸ πρότερον. ἀλλ' ὅγε θαυμασιώτατος Πάμφιλος, ὥσπερ τὰ ἄλλα πάντα ληρεῖ, περὶ ὧν οὐκ οἶδε γράφων, οὕτω καὶ ταῦτα ἄμφω συνέχεεν ἐς ταὐτόν. Διοσκουρίδης δ' ἀμφοῖν ἐν τῷ τετάρτῳ μέμνηται, τοῦ μὲν ἁπλῶς ὀνομαζομένου κληματοειδοῦς, ἐπὶ τῇ τελευτῇ τοῦ βιβλίου, θατέρου δὲ κατὰ τὴν ἀρχήν. ὅθεν οὐδ' ἐμὲ χρὴ γράφειν ἔτι τὰς ἰδέας ἀμφοῖν, ὥσπερ οὐδ' ἐπὶ τῶν ἄλλων ἐποίησα.

31. *De clematide.*

CLematidis folia acrem, & adurentem siue causticam facultatem obtinent, adeo vt & lepras excorient. Fuerit itaque in quarti ordinis calefacientium initio. Vocatur autem clematis, & daphnoides, quod quidam myrsinoides, alij polygonoides appellitant. Cæterùm id nequaquam exulceratorium est, aut acre, sicut quod ante dictum est; imò profluuiis, ac dysenteriis cum vino potum prodest, dentiúmque dolores mansum mitigat, tum vteri quoque doloribus in pesso admodum vsui est; tantum abest, vt perinde vrat, aut vlceret, ceu illud superius. Sed summè nobis suspiciendus Pamphilus ille sicuti in reliquis, nugatur de iis, quæ nunquam vidit, literis ea mandans, sic hæc ambo in vnum confudit. At Dioscorides vtriusque in quarto meminit, & eius quæ simpliciter vocatur clematoides, idque in fine libri; & alterius, sed in principio. Quamobrem non est necesse vt ego rursum notis suis vtrumque depingam, sicut nec in aliis feci.

λβ΄. Περὶ κνίκου.

ΚΝίκου τῷ σπέρματι, πρὸς τὰς καθάρσεις μόνον χρώμεθα. τῆς τρίτης γάρ ἐστι τάξεως τῶν θερμαινόντων, εἴ τις ἔξωθεν αὐτῷ χρῆσθαι βούλοιτο. D

32. *De cnico.*

CNici semine duntaxat ad purgationes vtimur; tertij est ordinis calefacientium, siquis foris eo vti volet.

λγ΄. Περὶ κόκκου κνιδίου.

ΚΟκκος κνίδιος, καθαίρει μὲν καὶ αὐτὸς, δριμείας δ' ἐστὶ, καὶ καυστικῆς δυνάμεως.

33. *De Gocco cnidio, seu grano gnidio.*

GRanum gnidium, & ipsum quoque purgat; sed acris est adurentisque facultatis.

λδ΄. Περὶ κόκκου βαφικοῦ.

ΚΟκκος βαφικὸς, στυπτικὴν μὲν ἔχει, καὶ πικρὰν ἅμα τὴν ποιότητα, ξηραίνει δ' ἀμφοτέραις ἀδήκτως, καὶ διὰ τοῦτο, πρός τε τὰ μεγάλα τῶν τραυμάτων ἁρμόττει, καὶ πρὸς τὰς τῶν νεύρων τρώσεις. λειοῦσι δ' αὐτὴν ἔνιοι μὲν σὺν ὄξει τηνικαῦτα, σὺν ὀξυμέλιτι δ' ἄλλοι. E

34. *De cocco baphico, grano tinctorio.*

GRanum tinctorium astringentem simulque amaram qualitatem possidet. Vtraque sine morsu desiccat. Proinde ad ingentia vulnera congruit, & ad neruorum vulnera. Sed tunc ipsum quidam cum aceto terunt, alij cum oxymelite.

λε΄. Περὶ κοκκυμηλέας.

ΚΟκκυμηλέας ὁ καρπὸς ὑπάγει γαστέρα, καὶ πρόσφατος μὲν ὑπάρχων μᾶλλον, ξηρανθεὶς δ' ἧττον. Διοσκουρίδης δ', οὐκ οἶδ' ὅπως, τὰ Δαμασκηνὰ κοκκύμηλα, ξηρανθέντα φησὶν ὑπέχειν γαστέρα. ὑπάγει μὲν γὰρ καὶ ταῦτα σαφῶς, ἀλλ' ἧττον τῶν ἐκ τῆς Ἰβηρίας. ἔστι δὲ τὰ μὲν Δαμασκηνὰ στυπτικώτερα, τὰ δ' ἐκ τῆς Ἰβηρίας γλυκύτερα, καὶ δὴ καὶ τὰ δένδρα τοῖς καρποῖς ἀνάλογον. ἧττον μὲν στυπτικὰ τὰ κατὰ τὴν Ἰβηρίαν, μᾶλλον δὲ τὰ κατὰ τὴν Δαμασκόν. ἁπλῶς δ' εἰπεῖν, ὧν ἐν τοῖς φύλλοις, ἢ τοῖς βλαστοῖς, ἐμφαίνεταί τις στύψις σαφὴς, ταῦτα ἀφεψόμενα, διάκλυσμα γίγνεται τῶν περὶ γαργαρεῶνα καὶ παρίσθμια φλεγμονῶν. F

35. *De coccymelea, seu pruno.*

PRuni fructus ventrem subducit, recens quidem olus, aridus minus. Cæterùm haud scio, cur Dioscorides pruna Damascenæ siccata ventrem sistere dicat, quum & ipsa palam etiam subducant, minùs tamen quàm quæ importantur ex Iberia; siquidem damascena magis astringunt; at quæ Iberia fert, dulciora sunt, quin & ipsæ arbores fructibus proportione respondent. Minùs enim astringunt, quæ in Iberia nascuntur, magis verò, quæ Damasci. Cæterùm vt in summa dicam, quorum in foliis, aut germinibus astrictio quædam inesse apparet manifesta, iis decoctis phlegmonæ in columella, aut tonsillis existentes idoneè colluuntur.

Porrò agrestium fructus euidenter astrictorius est, ventrémque sistit, nominatur autem hæc planta in Asia Prumnum. Gummi autem arboris, sunt, qui dicant cum vino potum lapides confringere; cum aceto, puerorum sanare lichenas. Ac si id præstat, clarum est incidentem, tenuiumque partium illi facultatem inesse.

A ὁ δὲ τῶν ἀγρίων καρπὸς, στυπτικὸς ἐναργῶς ἐστι, καὶ σταλτικὸς γαστρός. ὀνομάζεται δὲ τὸ φυτὸν τοῦτο, κατὰ τὴν Ἀσίαν, προῦμνον. τὸ δὲ κόμμι τοῦ δένδρου, φασὶν ἔνιοι, μετ᾽ οἴνου πινόμενον, λίθων εἶναι θρυπτικὸν, σὺν ὄξει δὲ, λειχῆνας ἰᾶσθαι παίδων. καὶ εἴπερ αὐτὸ ποιεῖ, δῆλον ὡς τμητικῆς τε, καὶ λεπτομεροῦς μετέχει δυνάμεως.

36. De *Colla*, *glutine*.

GLuten, quod ad libros præparant ex similagine, & garo, emplasticæ, concoctoriæque facultatis est, quibuscunque ipsum partibus illinas.

λϛʹ. Περὶ κόλλας.

B Κόλλα, ἣν εἰς τὰ βιβλία σκευάζουσιν, ἐκ σεμιδάλεώς τε, καὶ γύρεως, ἐμπλαστικῆς τε, καὶ πεπτικῆς ἐστι δυνάμεως, οἷς ἂν καταπλασθῇ μέρεσιν.

37. De *Colocynthe*, *cucurbita*.

CVcurbita humidæ, frigidæque temperiei est, vtraque qualitate secundi ordinis. Quocirca ramentorum eius succus ad aurium dolores cum phlegmone iunctos cum rosaceo vtilis est. Sic tota quoque illita calidas phlegmonas mediocriter refrigerat. In esu autem humida est, & sitim propellens.

λζʹ. Περὶ Κολοκύνθης.

Κολοκύνθη, ὑγρᾶς καὶ ψυχρᾶς ἐστι κράσεως, κατὰ τὴν δευτέραν ἐν ἀμφοῖν τάξιν, ὅθεν καὶ τῶν ξυσμάτων αὐτῆς ὁ χυλὸς, πρὸς ὠταλγίας τὰς κατὰ φλεγμονὴν ἁρμόττει, σὺν ῥοδίνῳ χρωμένοις. οὕτω δὲ καὶ ὅλη καταπλαττομένη, τὰς θερμὰς φλεγμονὰς ἐμψύχει μετρίως. ἔστι δὲ καὶ ἐσθιομένη, πλαδώδης, καὶ ἄδιψος.

38. De *Colocynthide*.

C

COlocynthis gustu amara est. Sed quæ illi amaroris, dum potatur, adsunt opera, ea euidenter efficere nequit, ob purgatoriam facultatem, quam validam in sese continet; nimirum cum iis, quæ purgat, ante, & ipsa per aluum excerni præuertens. Viridis ipsius succus intritus ischiadibus prodest.

ληʹ. Περὶ κολοκυνθίδος.

Κολοκυνθὶς, πικρὰ μὲν ἐστι τὴν γεῦσιν, ἀλλ᾽ ὅσα πικρότητος ἔργα πρόσεστι πινομένῳ φαρμάκῳ, ταῦτ᾽ οὐ δύναται δρᾶν ἐναργῶς, ἀπὸ τῆς καθαρτικῆς δυνάμεως, ἣν ἰσχυρὰν ἐν αὑτῇ κέκτηται, φθάνουσα μεθ᾽ ὧν καθαίρει διὰ τῆς γαστρὸς ἐκκρίνεσθαι. χλωρᾶς δὲ αὐτῆς ὁ χυλὸς ἀνατριβόμενος, ἰσχιάδας ὀνίνησι.

39. De *Comaro*, *arbuto*.

ARbutus arbor ipsa qualitate acerba vnà cum fructu est. Eum Memecylum nuncupant. Est autem hic, & infensus stomacho, & capiti dolorem commouens.

λθʹ. Περὶ κομάρου.

D Κόμαρος, στρυφνὸν τῇ ποιότητι τὸ δένδρον, ἅμα τῷ καρπῷ, μημέκυλον δὲ ὀνομάζουσιν αὐτόν. ἔστι δὲ καὶ κακοστόμαχος οὗτος, καὶ κεφαλαλγής.

40. De *Gummi*.

GVmmi lachryma est congelata concretaque in truncis arborum ipsam producentium; velut resina quoque in multis visitur, quæ resinam proferre possunt. Est autem exiccatoriæ emplasticæq; facultatis. Proptereaq; asperitatib. medetur.

μʹ. Περὶ κόμμεως.

Κόμμι, δάκρυόν ἐστιν ἐπιπηγνύμενον τοῖς στελέχεσι τῶν γεννώντων αὐτὸ δένδρων, ὥσπερ καὶ ἡ ῥητίνη, πολλῶν, ὅσα ῥητίνην πέφυκε γεννᾶν. ἔστι δὲ ξηραντικῆς τε, καὶ ἐμπλαστικῆς δυνάμεως, καὶ δῆλον ὅτι καὶ τραχυτήτων ἰατική.

41. De *Conia*, *lixiuio*.

E

LIxiuium, quod velut ablutio est cineris, sic nominatur. Porrò omnium maximè, tum absterforium, tum exiccatorium illud est, quod ex cinere ficus, & tithymallorum efficitur; feréque septicæ, seu putrefacientis est facultatis; quæ cuiusmodi sit, in quinto volumine exposui.

μαʹ. Περὶ κονίας.

Κονία, τὸ οἷον περίπλυμα τῆς τέφρας, οὕτως ὀνομάζεται. ῥυπτικωτάτη δ᾽ ἐστὶ, καὶ ξηραντικωτάτη πασῶν ἡ ἐκ τῆς συκίνης τέφρας, καὶ τῶν τιθυμάλλων, καὶ σχεδὸν ἤδη, τῆς καλουμένης σηπτικῆς δυνάμεως, ἣν οἷα τίς ἐστιν, ἐν τῷ πέμπτῳ λόγῳ διῆλθον.

42. De *Conyza*.

COnyza, & maior, & minor assimilis sunt, tum temperiei, tum facultatis, gustu amaræ, & acres apparentes. Calefaciuntque admodum luculenter, siue quis folia cum teneris ramulis (est enim fruticosa planta) parti cuipiam illinat; siue vbi in oleo coxerit, eo vtatur, siquidem rigores per circuitum redeuntes tale sanare oleum videtur.

μβʹ. Περὶ κονύζης.

F Κόνυζα, καὶ ἡ μείζων, καὶ ἡ μικρὰ, παραπλησίας εἰσὶ κράσεώς τε, καὶ δυνάμεως. ἐν μὲν τῇ γεύσει δριμεῖαι καὶ πικραὶ φαινόμεναι, θερμαίνουσί τε πάνυ σαφῶς, ἤν γέ τις λειώσας τὰ φύλλα, σὺν τοῖς ἁπαλοῖς κλαδίσκοις, θαμνῶδες γὰρ τὸ φυτὸν, ἐπιπλάσῃ τι μέρος, ἄν τε καὶ ἀφεψήσας ἐν ἐλαίῳ, χρήσαιτο τούτῳ. δοκεῖ γοῦν καὶ τῶν κατὰ περίοδον ῥιγῶν, ἀλεξιτήριον εἶναι τὸ τοιοῦτον ἔλαιον.

καὶ τὰ ἄνθη δ' αὐτῶν, παραπλησίας ἐστὶ δυνάμεως, ὥστε τινὲς καὶ ταῦτα σὺν τοῖς φύλλοις τρίψαντες, σὺν οἴνῳ ποτίζουσιν, ὑπὲρ τοῦ καταμήνια κινῆσαι βιαίως, καὶ ἔμβρυα ἐκβαλεῖν. ἔστι δὲ καὶ τρίτον εἶδος κονύζης, ἐν ὑγροτέροις χωρίοις φυόμενον, ἀμφοῖν δυσωδέστερον, καὶ ἀσθενέστερον. ἀλλ' αἵ γε πρότεραι ῥηθεῖσαι, τῆς τρίτης εἰσὶ τάξεως, ἐν τῷ ξηραίνειν τε καὶ θερμαίνειν.

A Flores quoque eorum assimilis sunt facultatis. Itaque quidam, & ipsos cum foliis tritos in vino bibendos exhibent ad menses fortiter ducendos, eijciendumque fœtum. Est & tertium conyzæ genus in locis humidioribus proueniens, vtrisque illis tum graueolentius, tum imbecillius. Sed primæ memoratæ tertij sunt ordinis in calefaciendo exiccandoque.

μγ. Περὶ κοριάνου.

Κορίανον, ἢ κόριον, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν, οἱ μὲν γὰρ Ἕλληνες οἱ παλαιοὶ, κορίανον καλοῦσιν, οἱ νεώτεροι δ' ἰατροὶ πάντες, ὀνομάζουσιν κόριον, ὥσπερ καὶ Διοσκορίδης ψυκτικὴν λέγων εἶναι τὴν πόαν, οὐκ ὀρθῶς. σύγκειται γὰρ ἐξ ἐναντίων δυνάμεων, πολὺ μὲν ἔχουσα πικρᾶς οὐσίας, ἥ τις ἐδείκνυτο λεπτομερὴς ὑπάρχειν καὶ γεώδης. οὐκ ὀλίγον δὲ καὶ ὑδατώδους ὑγρότητος χλιαρᾶς, κατὰ δύναμιν, ἔχει δέ τι καὶ στύψεως ὀλίγης. ἐξ ὧν ἁπάντων, ἐνεργεῖ μὲν ποικίλως, ὅσα περ ὁ Διοσκορίδης ἔγραψεν, οὐ μὴν τῷ ψύχειν γε μόνῳ. ἀλλ' ἐγὼ τὴν αἰτίαν ἑκάστης τῶν κατὰ μέρος αὐτῆς ἐνεργειῶν διηγήσομαι, καίτοι προὔκειτό μοι τὴν ἐμαυτοῦ γνώμην ἐν τῷ παρόντι λόγῳ διέρχεσθαι μόνην. ἀλλ' ἴσως οὐδὲν κωλύσει, μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὠφελήσει τέ τι, καὶ ἀναμνήσει τῶν ἔμπροσθεν μεθόδων τὰ κατὰ τοῦτον τὸν τρόπον ἐπ' ὀλίγων φαρμάκων λεγόμενα. πρῶτον μὲν οὖν οὐχ ὁ Διοσκορίδης μόνον, ἀλλὰ καὶ ἄλλοι πολλοὶ τῶν ἰατρῶν, ἀδιορίστως ἀποφαίνονται περὶ τῶν νοσημάτων, ὥσπερ ἀμέλει καὶ τῶν νῦν ἐστιν εὑρεῖν οὐκ ὀλίγους ἰατροὺς εὐδοκίμους, παρὰ τὰ ἄλλα ταύτῃ μέγιστα σφαλλομένους. ἐνίοτε μὲν γὰρ μέλανος, καὶ πελιδνοῦ, καὶ ψυχροῦ γεγενημένου τοῦ τὸ ἐρυσίπελας ἐσχηκότος μορίου, καὶ δεομένου μηκέτι τῶν ψυχόντων φαρμάκων ὡς πρόσθεν, ἀλλ' ἤδη τῶν ἐκκενούντων τὸν παρὰ φύσιν ἐμπεπλασμένον ἐν τῷ χωρίῳ χυμὸν, οἱ δὲ ψύχουσιν ἔτι, ἐνίοτε δὲ μεταβαίνουσιν ἐπὶ τὰ διαφοροῦντα, λέγουσι δὲ ἐρυσίπελας ἰᾶσθαι. καὶ δὴ καὶ γράφουσιν, ἀρχομένων μὲν ἔτι, καὶ αὐξανομένων τῶν ἐρυσιπελάτων, ἕτερα φάρμακα, παρακμαζόντων δ' ἕτερα. τὸ δ' οὐχ οὕτως ἔχει. οὔτε γὰρ ἐρυσίπελας ἔτι κλητέον, ὅταν οἴχεται τὸ φλογῶδες αὐτοῦ, καὶ ζέον, καὶ χολῶδες, οὔτε ψυχρὰ ταῖς δυνάμεσιν, οὔτε τὰ τῶν τοιούτων διαθέσεων ἰάματα νομιστέον, ἀλλ' ὥσπερ εἰ καὶ κατ' ἀρχὰς εὐθὺς, ἢ πληγέντων, ἢ ὁπωσοῦν ἄλλως, ὄγκος ἐν μορίῳ τινὶ πελιδνὸς, ἢ μέλας ἐγεγόνητο, καὶ ψυχρὸν ἂν ἐνόμιζετο πάθος εἶναι, καὶ δεῖσθαι τῶν διαφορούντων τε, καὶ θερμαινόντων φαρμάκων, κατὰ τὸν αὐτὸν εἶναι τρόπον, εἰ μεταπέσοι ποτὲ θερμὴ διάθεσις εἰς ψυχρὰν, ἐπιλαθέσθαι μὲν τῆς προτέρας, ὀνομάζειν δ' ἑτέρῳ τὴν δευτέραν ὀνόματι, ἢ εἰ μὴ τό γε ὄνομα μεταβάλλειν ἐθέλοις, ἀλλ' ὥσπερ ἔνιοι, τῆς μὲν ἀρχῆς ἕτερα, τῆς παρακμῆς δ' ἄλλα γράφουσι βοηθήματα, μήτοι γε καὶ ψυχρὰ νομίζειν εἶναι τὰ τῆς παρακμῆς φάρμακα, συγχωρητέον μὲν ἐρυσίπελας ὀνομάζειν, εἴ τις βούλοιτο τὴν τοιαύτην διάθεσιν, οὐ μὴν θερμήν γ' ἔτι καλεῖν αὐτὴν συγχωρητέον, ὁπότε κατέψυκται. μὴ τοίνυν μηδὲ τὸ τηνικαῦτα βοηθοῦν αὐτῇ, ψυκτικὸν εἶναι νομίζωμεν, ὥσπερ ὁ Διοσκορίδης τὸ κορίανον, ὅτι καταπλαττόμενον, ὡς αὐτός φησι, μετ' ἄρτου, ἢ ἀλφίτων, ἰᾶται τὸ ἐρυσίπελας. ἀκριβὲς γὰρ ἐρυσίπελας, ὃ δὴ φλογῶδές τε, καὶ ξανθόν ἐστιν, οὐκ ἄν ποτε ἰάσαιτο σὺν ἄρτῳ κορίανον, ἀλλὰ τὸ ἀποψυχόμενον ἤδη.

43. De *Coriandro*.

Coriandrum, siue Corion, aut vtcunque vocare lubet. Vetustiores Greci Coriannon nominabant; B at recẽtiores medici omnes corion appellitant, sicut & Dioscorides, refrigeratoriam esse herbam ipsam dictitans, sed perperam. Siquidem ex contrariis facultatibus constat, & composita est, plurimum habens essentiæ amaræ, quam ostendimus esse tenuium partium, & terrenam calidam; nec parum etiam aqueæ humiditatis obtinet, quæ tepentis est facultatis; his adiunctum est quoque astrictionis pauxillum. Ex quibus omnibus variè quidem agit ea, quæ scribit Dioscorides, sed non tantùm ex refrigeratione. Cæterum ego cuiusque particulatim actionis causam enarrabo, tametsi C propositum fuerat mihi meam vnius duntaxat hoc in libro sententiam expromere. Sed fortè nihil obstabit, imò, si verum fatendum est, proderit nonnihil, superiores methodos, quæ in paucis medicamentis sunt dictæ, hic repetere. Primùm ergo non Dioscorides tantum, sed & alij complures medicorum indeterminatè de morbis pronunciant; sicut sanè hac quoque tempestate non paucos inuenias medicos, vel insignes præter alia, hac in re turpissimè hallucinantes. Interdum enim atra, liuida, frigidaque reddita parte quæ erysipelas habuit, nec amplius refrigerantia poscente D pharmaca, ceu antea, sed ea, quæ infixum parti præter naturam humorem eliciant, hi refrigerare perseuerant; interdum autem ad digerentia transeunt, eaque erysipelas sanare dicunt. Et sanè etiam scribunt incipientibus quidem etiamnum, atque gliscentibus, crescentibusve erysipelatis alia medicamenta, declinantibus verò ac flaccescentibus alia. Sed ita res non habet. Neque enim erysipelas etiam vocari debet, postea quàm inflammatio eius, & feruor, ac biliosum illud abierint: neque quæ has affectiones sanant, facultate frigida esse putandũ. Sed velut si vel in initio protinus, E aut percussis, aut alia de causa quauis, tumor in parte quapiam, aut liuidus, aut niger extiterit, eum esse frigidum affectũ existimabis, & quæ digerant, calefaciantque, poscere; ad eundẽ, opinor, modum, si calida affectio in frigidam reciderit, negligenda quidem prior est, sed secunda alio appellanda nomine; aut si displicet nominis mutatio, saltem, sicut quidam alia scribunt principij, alia declinationis remedia, haud sanè censendum frigida esse declinationis remedia. Concedendum sanè est, si cui ita placet, vt talis affectio etiam erysipelas vocetur sed eam etiam calidam dicere vbi iam F refrigerata est, id verò neutiquam concedendum. Itaque ne, quod tunc ei auxilio est, refrigeratorium esse credamus, sicut Dioscorides coriandrum, quòd cum pane, aut polenta, aut ipse inquit, erysipelas curet illitum. Nam quod ad vnguem est erysipelas, quod vtique inflammatum est & flauum, haud vnquam sanare queat cum pane coriandrum, sed illud quod iam refrigeratum est. Proinde

Proinde nos superioribus voluminibus, cum determinata, ac definita experientia, cuiusque medicamenti facultatem explorandum censuimus, quàm maximè fieri posset simplicissimum eligi affectum consuluimus. At plerique medici, neque quòd vel plurimi morborum protinus ab initio compositi inuadant, norunt; neque quòd alius affectus sit erysipelas exactum; alius verò is, qui vocatur ab omnibus nobis vsitatè, vt à veteribus quoque, phlegmone, alij autem inter hos medij plurimi, partim, vt sic dicam, erysipelata phlegmonode, partim phlegmonæ erysipelatodes, ac inuenias nonnunquam vbi neutrum vincat, sed ad vnguem paria sint; quin etiam nonnunquam œdematodes esse erysipelas conspicitur, sicut aliud scirrhodes; vt compositorum morborum non paruus aceruetur numerus. De quibus copiosius cum alibi disseruimus, tum in curandi rationis voluminibus. Dicetur autem, & nunc, quoad saltem eorum meminisse necesse est, quòd exactum erysipelas haud vnquam ab antedicto cataplasmate curari possit. Voco autem exactum, quum à biliosa fluxione pars impleta fuerit. Porrò quòd longè à refrigeratione absit coriandrum, vel ex iis, quæ ipse scripsit Dioscorides, discere liceat. Nam strumas cum lomento, inquit, discutit. Porrò quòd nullum refrigerantium medicamentorum idoneum sit discutiendis strumis, vel ipsum Dioscoridem non dubitaturum arbitror, quippe qui sexcenta scripserit medicamenta strumas sanare potentia, quæ omnia tum temperie calida tum actionibus digerentia esse confessus est.

A διὰ τοῦθ', ἡμεῖς ἐν τοῖς ἔμπροσθεν λόγοις, ὁπότε τῇ διωρισμένῃ πείρᾳ δοκιμάζειν ἑκάστου τῶν φαρμάκων τὴν δύναμιν ἠξιοῦμεν, ἁπλούστατον; ὡς ἔνι μάλιστα, τὸ πάθος ἐκλέγεσθαι συνεβουλεύομεν. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν, οὐδ' ὅτι τὰ πλεῖστα τῶν νοσημάτων, εὐθὺς ἀπ' ἀρχῆς εἰσβάλλει, σύνθετα γιγνώσκουσιν, οὐδὲ ὡς, ἄλλο μέν τι πάθος, ἐρυσίπελάς ἐστιν ἀκριβές, ἄλλο δ' ἡ καλουμένη πρὸς ἁπάντων ἡμῶν ἤδη συνήθως, ἢ πρός γε τῶν παλαιῶν, φλεγμονή. ἀλλὰ δ' ἐν τῷ μεταξὺ πάμπολλα, τὰ μὲν, ὡς ἂν εἴποι τις, ἐρυσιπέλατα φλεγμονώδη, τὰ δ' αὖ φλεγμοναί τινες ἐρυσιπελατώδεις. εὕροις δ' ἄν ποτε, καὶ μηδέτερον
B ἐπικρατοῦν, ἀλλ' ἀκριβῶς ἰσάζοντα. καίτοι, καὶ οἰδηματῶδες ἐνίοτε φαίνεται γιγνόμενον ἐρυσίπελας, ὥσπερ ἕτερον σκιρρῶδες, ὥστε καὶ τῶν συνθέτων νοσημάτων, οὐκ ὀλίγον ἀθροίζεσθαι πλῆθος. ὑπὲρ ὧν, ἐπὶ πλέον μὲν, ἐν ἄλλοις τέ τισιν εἴρηται, καὶ τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασι. λεχθήσεται δὲ καὶ νῦν, τό γε τοσοῦτον ἀναγκαῖον αὐτῶν μνημονεῦσαι, ὡς ἀκριβὲς ἐρυσίπελας, οὐκ ἄν ποτε τὸ προειρημένον ἰάσαιτο κατάπλασμα. καλῶ δ' ἀκριβὲς, ἐπειδὰν ὑπὸ χολώδους ῥεύματος ἐμπλησθῇ τὸ μόριον. ὅτι δὲ πόρρω τοῦ ψύχειν ἐστὶ κορίανον, ἔνεστί σοι κἀξ αὐτῶν ὧν Διοσκορίδης ἔγραψε, καταμαθεῖν. χοιράδας γοῦν
C φησι διαλύειν αὐτὸ, μετ' ἐρεγμοῦ. ὅτι δ' οὐδὲν τῶν ψυχόντων φαρμάκων ἱκανόν ἐστι διαλύειν χοιράδας, οὐδ' αὐτὸν οἶμαι τὸν Διοσκορίδην ἀμφισβητήσειν, μυρία μὲν ἀναγράψαντα φάρμακα χοιράδων ἰατικὰ, πάντα δ' ὁμολογοῦντα, καὶ θερμὰ ταῖς κράσεσι, καὶ διαφορητικὰ ταῖς ἐνεργείαις ὑπάρχειν.

44. De Coronopode.

Coronopodis radix cœliacis prodesse creditur manducata.

μδ'. Περὶ κορωνόποδος.

Κορωνόποδος ἡ ῥίζα, πεπίστευται κοιλιακοὺς ὠφελεῖν, ἐσθιομένη.

65. De Costo.

D

Costus leuiculam planè amaram, plurimam autem acrem, & calidam in se qualitatem simul, & facultatem continet, adeo vt etiam exulceret. Vnde ex oleo corpus eorum, quibus per circuitum rigor inuadit, ante accessionem illo confricant: sic verò etiam in resolutis, & ischiadicis; atque in summa, in quibus calefacere partem, quamuis, aut ex alto in superficiem extrahere quippiam est opus, ad costum confugitur. Eadem de causa vrinas mensésque prouocat; & ad rupta, conuulsa, ac laterum dolores congruit. Porrò ob amarorem, qui illi inest, lumbricos latos necat. Ob eandem, & ad contractas velut ex sole maculas, cum aqua, aut melle vsurpant. Inest item flatuosa quædam illi temperiei humiditas, per quam & ventrem excitat cum vino mulso.

με'. Περὶ κόστου.

Κόστος, βραχείας μὲν πάνυ τῆς πικρᾶς, πλείστης δὲ τῆς δριμείας, καὶ θερμῆς μετέχει ποιότητός τε, καὶ δυνάμεως, ὡς ἤδη καὶ ἑλκοῦν, ὅθεν διατρίβουσιν αὐτῷ μετ' ἐλαίου, τὸ σῶμα πρὸ τῆς καταβολῆς, ἐπὶ τῶν κατὰ περίοδον ῥιγούντων. οὕτω δὲ κἀπὶ τῶν ἰσχιαδικῶν καὶ παραλελυμένων τε, καὶ ὅλως ἐφ' ὧν, ἤτοι θερμῆναί τι πρόκειται μόριον, ἢ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν ἕλξαι τινὰ χυμὸν, ἐπὶ τὸν κόστον ἔρχονται. διὰ δὲ τὴν αὐτὴν αἰτίαν, οὐρητικός τ' ἐστι, καὶ ἐμμηνίων ἀγωγὸν,
E καὶ πρὸς ῥήγματά τε, καὶ σπάσματα, καὶ πόνους πλευρῶν ἁρμόττει. διὰ δὲ τὴν συνοῦσαν πικρότητα, καὶ πλατείας ἕλμινθας ἀναιρεῖ, δι' ἣν ὑπὲρ καὶ πρὸς τὰς ἐφήλεις αὐτῷ χρῶνται, μεθ' ὕδατος, ἢ μέλιτος. ἐνυπάρχει δ' αὐτῷ τις τῇ κράσει φυσώδης ὑγρότης, δι' ἣν, καὶ πρὸς ἀφροδίσια παρορμᾷ μετ' οἰνομέλιτος.

46. De Cotyledone, vmbilico veneris.

Cotyledon facultatis mixtæ est, nempe humidæ subfrigidæ, & cuiusdam obscurè subastringentis, & cum ea leuiter amaræ. Vnde refrigerat, repercutit, abstergit, & discutit. Itaque phlegmonas erysipelatodes, & erysipelata phlegmonode, curat; & maximè stomachi ardore æstuantis admodum vtile est cataplasma. Putantur folia cum radice manducata calculos confringere, & vrinam mouere.

μϛ'. Περὶ κοτυληδόνος.

Κοτυληδὼν, μικτῆς ἐστι δυνάμεως ὑγρᾶς, ὑποψύχρου, καὶ
F τινὸς ἀμυδρῶς ὑποστυφούσης, καὶ σὺν αὐτῇ βραχείας πικρᾶς, ὅθεν ἐμψύχει, καὶ ἀποκρούεται, καὶ ῥύπτει, καὶ διαφορεῖ. φλεγμονάς τε οὖν, τὰς ἐρυσιπελατώδεις, καὶ ἐρυσιπέλατα φλεγμονώδη θεραπεύει, καὶ μάλιστα στομάχου καυσουμένου χρήσιμον ἱκανῶς ἐστιν ἐπίπλασμα. πεπίστευται δὲ, τὰ φύλλα σὺν τῇ ῥίζῃ ἐσθιόμενα, λίθους τε θρύπτειν, καὶ οὐρα κινεῖν.

A

μζ. Περὶ κρανίας.

Κρανίας τοῦ δένδρου, καὶ ὁ καρπὸς, στρυφνὸς ἱκανῶς ἐστιν, ἐδώδιμος ὑπάρχων, ὥστε οὐδὲν θαυμαστὸν, ἕλκειν, καὶ ἰσχυρῶς ἐπέχειν αὐτὸν τὴν γαστέρα, καθάπερ καὶ τὰ μέσπιλα. καὶ τὰ φύλλα δὲ, καὶ οἱ βλαστοὶ, στρυφνοὶ γευομένοις εἰσὶ, καὶ ξηραίνουσιν ἰσχυρῶς, ὥστε καὶ τὰ μέγιστα τραύματα κολλᾷν δύνανται, καὶ μάλιστα τῶν σκληρῶν σωμάτων. μικροῖς δὲ τραύμασιν, ἢ μαλακοῖς σώμασιν, ἐναντίοι μᾶλλόν εἰσιν, συντείνουσι γὰρ ταῦτα ξηραίνοντα ἐπιπλέον τοῦ δέοντος.

47. *De Corno.*

Corni arboris fructus admodum acerbus est, esui aptus. Itaque mirum videri non debet, ipsum valenter ventrem restringere, sicut, & mespila. Folia quoque & germina gustu acerba sunt, valentérque desiccant. Itaque maxima vulnera glutinare possunt, potissimum durorum corporum: At paruis vulneribus & mollioribus corporibus potius contraria sunt; nam nimium ea contendunt, ac plus satis desiccant.

B

μή. Περὶ κράμβης.

Κράμβη ἐδώδιμος, ξηραντικῆς ἐστι δυνάμεως, ἐσθιομένη τε, καὶ ἔξωθεν ἐπιτιθεμένη. οὐ μὴν ἤδη γέ πως δριμείας ἱκανῶς, ἀλλ' ὥς τε καὶ τραύματα κολλᾷ, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶται. καὶ τὰς φλεγμονὰς τὰς ἤδη σκιρρουμένας τε καὶ δυσλύτους, καὶ τῶν ἐρυσιπελάτων τὰ τοιαῦτα. κατὰ δὲ τὴν αὐτὴν δύναμιν ἐπινυκτίδας, καὶ ἕρπητας ἰᾶται. ἔχει δέ τι καὶ ῥυπτικὸν ἐν αὐτῇ, καθ' ὃ καὶ λέπρας θεραπεύει. τὸ δὲ σπέρμα πινόμενον, ἕλμινθας ἀναιρεῖ, καὶ μάλιστα τῆς Αἰγυπτίας κράμβης, ὅσῳπερ καὶ ξηροτέρα τὴν κρᾶσιν ἐστί. καὶ δηλονότι πικρᾶς μετέχει ποιότητος τὸ σπέρμα, ὥσπερ καὶ τἄλλα πάντα φάρμακα, τὰ πρὸς ἕλμινθας ἁρμόττοντα, κατὰ τὴν αὐτὴν δύναμιν. ἐφηλίδας τε, καὶ φακοὺς ὅσα τε ἄλλα μετρίας δεῖται ῥύψεως, ὀνίνησιν. οἵ τε καυλοὶ τῆς κράμβης καυθέντες, ἰσχυρῶς ξηραίνουσαν ποιοῦσι τέφραν, ὡς ἤδη τι καὶ τῆς καυστικῆς μετέχειν δυνάμεως. κατὰ τοῦτ' οὖν, αὐτῇ καὶ μιγνύντες στέαρ παλαιὸν, εἴς τε τὰ τῶν πλευρῶν ἀλγήματα χρόνια, κἂν εἴ που τι τοιοῦτον ἕτερον εἴη, χρῶνται. διαφορητικὸν γὰρ ἰσχυρῶς ἀποτελεῖται τὸ φάρμακον.

48. *De Crambe, Brassica.*

Brassica esculenta desiccandi vim habet tum esa, tum foris imposita, non tamen etiam admodum acrem. Alioqui, & vulnera glutinat, & maligna vlcera sanat, præterea phlegmonas iam induratas, ac ægrè solubiles, & id genus quoque erysipelata. Eadem facultate epinyctidas, & herpetes sanat. Habet quiddam etiam in se abstersorium, quo lepras curat. Porrò semen eius potum lumbricos interficit, maximè brassicæ Ægyptiæ, quanto scilicet temperie siccior est. Sanè amaræ qualitatis particeps semen est, sicut videlicet omnia alia medicamenta, quæ ad lumbricos idonea sunt. C Secundum eandem facultatem ephelidas, & lentes, & quæcunque modicam abstersionem postulant, adiuuat. Porrò caules brassicæ combusti, cineres efficiunt admodum desiccantes, vt videlicet iam, & causticam siue adurentem vim participent. Hac ratione ei veterem adipem commiscentes, ad inueteratos laterum dolores, & si quid eius fuerit generis, adhibent; nam valenter digerens pharmacum efficitur.

D

μθ΄. Περὶ κράμβης ἀγρίας.

Κράμβη ἀγρία, θερμοτέρα καὶ ξηροτέρα τῆς ἡμέρου, τὴν κρᾶσιν ἐστὶν, ὥσπερ καὶ τὰ ἄλλα σύμπαντα, σχεδὸν τὰ ἄγρια, τῶν ὁμογενῶν ἡμέρων ἰσχυρότερα κατ' ἀμφοτέρας ἐστὶ τὰς δυνάμεις. ὅθεν οὐδὲ ἐντὸς τοῦ σώματος, ἀλύπως λαμβάνεται, πορρωτέρω τῆς ἀνθρωπίνης κράσεως ἀποκεχωρηκυῖα. δι' αὐτὸ δὲ τοῦτο, καὶ πικροτέρα γευομένοις ἐστὶ τῆς ἡμέρου. ἔχει μὲν γάρ τι καὶ ἡ ἥμερος, ὑπόπικρον, καὶ δριμὺ, ἀλλ' ἰσχυρὸν ἑκάτερον ἡ ἀγρία, διὸ καὶ διαφορεῖ, καὶ ἀπορρύπτει τῆς ἡμέρου σφοδρότερον.

49. *De Crambe agria, brassica agresti.*

Brassica agrestis quodammodo calidior siciorque domestica est, ceu alia propemodum omnia agrestia sui generis domesticis secundum vtranque hanc facultatem valentiora sunt. Quamobrem neque intra corpus citra noxam sumitur, vt quæ longius ab humana recesserit temperie. Eadem de causa, & gustantibus amarior est, quàm domestica; quanquam domestica quoque acrimoniæ nonnihil, & subamaroris contineat, sed vtranque habet agrestis validam; quare etiam extergit, & digerit, quàm domestica valentius. E

ν΄. Περὶ κράμβης θαλαττίας.

Κράμβη θαλαττία, πρὸς τὸ τὴν γαστέρα λαπάττειν, ὑφαλμυρός τε, καὶ ὑπόπικρος οὖσα τὴν γεῦσιν, εἴη ἂν καὶ εἰς τὰς ἔξωθεν τοῦ σώματος χρείας, εἰς ὅσαπερ, αἱ τοιαῦται ποιότητες ἁρμόττουσιν, ἐπιτήδειος.

50. *De Crambe, brassica marina.*

Brassica marina supra quam quòd ventrem deijciat, vtpotè subsalsa, & subamara gustu, fuerit sanè etiam ad externos corporis vsus, & ad omnia ea, ad quæ tales qualitates accommodantur, idonea.

να΄. Περὶ κραταιογόνου.

Κραταιογόνου τῆς πόας ὁ καρπὸς, καὶ δριμὺς γευομένοις ἐστὶ, καὶ σφοδρῶς χρωμένοις, κέγχρῳ παραπλήσιος ὑπάρχων.

51. *De Cratæogono.*

F Cratæogoni herbæ fructus, & acris gustanti est, & vtenti vehementer, similis milio.

νβ΄. Περὶ κρήθμου.

Κρῆθμον, ἁλμυρόν πως ἐστὶ γευομένοις, ἅμα βραχείᾳ πικρότητι, διὸ καὶ ἡ δύναμις αὐτοῦ, ῥυπτική τε ἅμα, καὶ ξηραντική. ἀσθενέστερον δὲ ἐστι κατ' ἄμφω, τῶν πικρῶν.

52. *De Crethmo.*

Crethmon gustantibus salsum quodammodo est cum pauculo amarore: quamobrem vis eius est exiccatoria, & abstersoria. Vtraque tamen imbecillior ei est, quàm in amaris.

A

53. De crithe, Hordeo.

HOrdeum primi est ordinis in exiccando, & refrigerando; habet etiam pauxillum abstersionis. Paulo etiam plus desiccat, quàm farina fabacea, cui non insint cortices; cætera verò similia sunt foris vtentibus; in cibo autem hoc fabis præstat, quòd flatuosam naturam exuat; fabis, quantumcunque coxeris, flatuosa natura remanet, sunt enim crassioris essentiæ, quàm hordeum, quamobrem eo plus etiam alunt. Porrò, quoniam vtrumque paulum modò à medio recessit, multo sunt vsui; nam talia medicamenta multis aliis miscentur, ceu materiæ quædam. Itaque etiam cera, & oleum non paucis medicamentis coniunguntur. Polenta verò multo plus hordeo desiccat.

νγ'. Περὶ κριθῆς.

Κριθαὶ, τῆς πρώτης εἰσὶ τάξεως, ἐν τῷ ξηραίνειν τε, καὶ ψύχειν, ἔχουσι δέ τι καὶ ῥυπτικὸν ὀλίγον. εἰσὶ δὲ τοῦ τῶν κυάμων ἀλεύρου, τοῦ χωρὶς τοῦ λέμματος βραχεῖ τινὶ ξηραντικώτεραι. τὰ δ' ἄλλα πάντα, παραπλήσια χρωμένοις ἔξωθεν. ἐσθιόμεναι δὲ, ταύτῃ πλεονεκτοῦσι κυάμων, ὅτι τὸ φυσῶδες ἀποτίθενται. κύαμοι δ' ὅπως ἂν ἑψηθῶσι, παραμένουσι φυσώδεις. παχυμερεστέρας γάρ ἐστιν οὐσίας, ἢ κατὰ κριθὴν, διὰ τοῦτο, καὶ τροφιμώτεροι αὐτῆς εἰσιν. ἐπεὶ δ' ὀλίγον ἄμφω τῆς μεσότητος ἀποκεχωρήκασι, διὰ τοῦτό εἰσι πολύχρηστοι. τὰ γὰρ τοιαῦτα φάρμακα πολλὰ, ἑτέροις μίγνυται, καθάπερ τινὲς ὗλαι, καὶ διὰ τοῦτο, καὶ ὁ κηρὸς, καὶ τὸ ἔλαιον, οὐκ ὀλίγοις ἐπιπλέκεται φαρμάκοις. τὰ δ' ἄλφιτα, πολὺ, καὶ τῶν κριθῶν αὐτῶν, ἐστὶ ξηραντικώτερα.

B

54. De Crimno, crassiore farina.

CRassior farina. Quòd crassarum partium est, tum in tritici, tum in zeæ farina, ita appellari consueuit. Plus nutrit quàm polenta, sed ægriùs concoquitur. Porrò sorbitio, quam ex eo conficiũt, puls nuncupatur, eáque si ex zea conficiatur, leniter ventrem sistit, ac magis si frigatur.

νδ'. Περὶ κρίμνου.

Κρίμνον. τὸ παχυμερὲς οὕτως ὀνομάζεται, τοῦ τε πυροῦ, καὶ τοῦ ἐκ τῶν ζεῶν ἀλεύρου. ἔστι δὲ τροφιμώτερον μὲν ἀλφίτου, δυσπεπτότερον δέ. καλεῖται δὲ τὸ ἐξ αὐτοῦ ῥόφημα, πόλτος, καὶ ἔστιν ὁ ἀπὸ τῆς ζειᾶς, στατικὸς ἠρέμα τῆς κοιλίας, καὶ μᾶλλον εἰ φρυχθείη.

C

De crino, Lilio.

LIlij Flos temperiem mixtam obtinet, partim ex essentia tenuium partium, ac terrena, ex qua vtique habet, vt gustu sit amara; partim ex aquea, eaque temperata. Itaque etiam quod ex eo conficitur oleum, ac vnguentum, citra morsum digerendi, simulque emolliendi facultatem obtinet; vnde fit, vt vteri duritiebus sit aptissimum. Porrò radix foliáque per se trita desiccant, & abstergunt, & digerunt moderatè; proinde quoque ambustis competunt, siquidem hæc quoque moderatè desiccantem, extergentemque facultatem postulant. Radicem ergo tostam, ac deinde cum rosaceo cõtritam ambustis, quoad obducatur cicatrix, imponunt; quippe quum alioqui, & aliorũ vlcerum omnium bonum sit inducendæ cicatrici remedium. Quin etiam vteros emollit, mensesque prouocat. Folia verò præcoquentes, & ipsa ad obductam vsque cicatricem imponunt, non in ambustionibus duntaxat, sed aliis quoque vlceribus. Sed & sunt, qui aceto ea condientes ad vulnera suo tempore vtantur. Plus tamen inest abstergentis facultatis in radice, quàm in foliis, quanquam tamen nec in ea ipsa multum insit, sicut prædiximus, nam primi ordinis abstergentiũ est medicamentũ. Itaq; quum aut vitiligines, aut psorã, aut leprã, aut achoras, aut aliquid id genus, extergere volumus, cõmiscemus illi aliquid aliorũ medicamentorũ validius extergẽtiũ, cuiusmodi est & mel. Cæterùm si id moderatè illi, ac conuenienter admisceatur, & ad neruorum diuisiones cõpetit, & ad alia vniuersa, quæ valenter exiccari postulant absque morsu. Reposuimus verò etiam quandoque, & foliorum succũ cum aceto, & melle coctum; succus quinque partibus plus vtroq; erat. Erátq; insigne medicamentũ ad omnia ea, quæ valenter exiccari postulãt absq; morsu, ceu vulnera omnia ingẽtia, & maximè quę in capitibus musculorum eueniunt; tum ad ea vlcera, quæ nimis mollia sunt, & diuturna, atque ægrè ad cicatricem perducuntur. Sed hæc iam ad medicamentorum componẽdorum institutum attinẽt,

νε'. Περὶ κρίνου.

Κρίνου, τὸ μὲν ἄνθος, κρᾶσιν μικτόν ἐστιν ἐκ λεπτομεροῦς τέ τινος, καὶ γεώδους οὐσίας, ἐξ ἧς περ ἔχει, καὶ τὴν ἐν τῇ γεύσει πικρότητα, καί τινος ὑδατώδους εὐκράτου. ὅθεν καὶ τοὔλαιον, τὸ ἐξ αὐτοῦ, καὶ τὸ μύρον, ἄδηκτον, διαφορητικῆς τε, καὶ μαλακτικῆς ἐστι δυνάμεως, ἐξ ὧν περ, καὶ ταῖς ἐν μήτραις σκληρότησιν ἐπιτηδειότατόν ἐστιν. καὶ ἡ ῥίζα δὲ καὶ τὰ φύλλα, καθ' ἑαυτὰ λειούμενα, ξηραίνει, καὶ ῥύπτει, καὶ διαφορεῖ μετρίως. οὕτω γοῦν κἀπὶ τῶν κατακαυμάτων ἁρμόττει. δεῖται γὰρ καὶ ταῦτα, μετρίως ξηραντικῆς τε ἅμα, καὶ ῥυπτικῆς δυνάμεως. τὴν μὲν οὖν ῥίζαν ὀπτήσαντες, εἶτα ἅμα ῥοδίνῳ λειώσαντες, ἐπιτιθέασι τοῖς κατακαύμασιν, ἄχρι συνουλώσεως. ἔστι γὰρ καὶ ἄλλως ἁπάντων ἑλκῶν, εἰς ἐπούλωσιν, ἀγαθὸν φάρμακον. οὐ μὴν ἀλλὰ, καὶ ὑστέρας μαλάττει, καὶ καταμήνια προκαλεῖται. τὰ δὲ φύλλα προσέψοντες, ἐπιτιθέασιν καὶ αὐτὰ, μέχρι κατουλώσεως, οὐ τοῖς καύμασι μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἕλκεσιν, καὶ ταριχεύουσι δέ τινες ἐν ὄξει, καὶ χρῶνται τραυματικοῖς. πλεῖον δ' ἐν τῇ ῥίζῃ, τῆς ῥυπτικῆς ἐστι δυνάμεως, ἤπερ ἐν τοῖς φύλλοις, οὐ μὴν οὐδ' ἐν ταύτῃ πολὺ, καθὰ προείρηται. τῆς πρώτης γάρ εἰσι τάξεως τῶν ῥυπτικῶν φαρμάκων, ὅθεν ὅταν ἀλφοὺς, ἢ ψώραν, ἢ λέπραν, ἢ ἀχῶρας, ἤ τι τοιοῦτον ἀπορρύψαι βουληθῶμεν, ἐπιμίγνυμεν αὐτῇ τῶν ἄλλων τι τῶν ἰσχυροτέρων φαρμάκων, οἷόν περ ἐστὶ, καὶ τὸ μέλι. συμμέτρως δὲ αὐτῇ τούτου μιχθέντος, καὶ πρὸς τὰς τῶν νεύρων ἁρμόττει διαιρέσεις, καὶ πρὸς τὰ ἄλλα σύμπαντα, ὅσα δεῖται ξηραίνεσθαι σφοδρῶς, ἄνευ δήξεως. ἀπεθέμεθα δέ ποτε, καὶ τὸν τῶν φύλλων χυλὸν, ἑψήσαντες σὺν ὄξει καὶ μέλιτι. πενταπλάσιος δ' ἦν ὁ χυλὸς ἑκατέρου, καὶ ἦν εὐδόκιμον τὸ φάρμακον εἰς πάντα τὰ ξηραίνεσθαι σφοδρῶς δεόμενα χωρὶς τοῦ δάκνεσθαι, καθάπερ ὅσα τε τραύματα μεγάλα, καὶ μάλιστα κατὰ τὰς κεφαλὰς γίγνεται τῶν μυῶν, ὅσα τε πλαδαρὰ, καὶ χρόνια, καὶ δυσεπούλωτα τῶν ἑλκῶν ἐστί. ταῦτα μὲν οὖν ἤδη τῆς περὶ συνθέσεως φαρμάκων πραγματείας ἐστί,

D E F

A ἧς ἀπέχεσθαι μὲν ὡς οἷόν τε πειρῶμαι, τό γε νῦν εἶναι, πολλάκις δ' αὐτῆς τῶν πραγμάτων ἡ φύσις ἀναγκάζει προσάπτεσθαι, καὶ ἀποχωρεῖν τε χρὴ ταχέως αὖθις αὐτῶν, ἐπανέρχεσθαί τε πρὸς τὰ νῦν ἡμῖν προκείμενα.

à quo, quantum licet, abstinere in præsentia adnitor; cæterùm rerum ipsarum natura sæpenumero vt attingam adigit; celeriter verò relinquenda sunt, atque ad propositum reuertendum.

νϛ'. Περὶ κροκοδειλίου.

Κροκοδειλίου τὸ σπέρμα, δριμὺ μέν ἐστι, καὶ ἀρωματίζον, οὐρητικόν τε, καὶ καταμηνίων κινητικόν, ὥστε καὶ θερμῆς ἂν εἴη δυνάμεως, καὶ διαφορητικῆς, καὶ ξηραντικῆς. καὶ ὁ χυλὸς δὲ τοῦ τε καυλοῦ, καὶ τοῦ σπέρματος, ὁμοίας ὢν δυνάμεως μὲν, ὠφελεῖ τοὺς νεφριτικούς. ἡ δὲ ῥίζα ταῖς τοῦ B θώρακος ἀναπτύσεσιν ἰσχυρῶς συνεργεῖ, δριμεῖα μὲν ἧττον ὑπάρχουσα τοῦ σπέρματος, πικρὰ δ' οὐχ ἧττον οὖσα. ἄγει δὲ καὶ διὰ ῥινῶν αἷμα.

56. *De Crocodilio.*

Crocodilij semen acre est, atque odoratum, vrinam mensesque ciens. Itaque facultatem habuerit calidam, digerentem, & exiccantem. Succus tum caulis, tum seminis, vt quæ similis sint facultatis, nephriticos adiuuat. Radix pectoris excreationibus valenter conducit, minus quidem, quàm semen, acris, non tamen minus amara. Trahit verò etiam per nares sanguinem.

νζ'. Περὶ κρόκου.

Κρόκος, ἔχει μέν τι καὶ στῦφον ὀλίγον, ὅπερ ἐδείχθη γεῶδες ψυχρόν. ἐπικρατεῖ δ' ἐν αὐτῷ, θερμαίνουσα ποιότης τε καὶ δύναμις, ὥστε τὴν ὅλην οὐσίαν αὐτοῦ, τῆς δευτέρας μὲν εἶναι τῶν θερμαινόντων τάξεως, τῆς πρώτης δὲ τῶν ξηραινόντων, καὶ διὰ τοῦτο, καὶ πεπτικὸν ἔχει τι, συντελούσης C εἰς τοῦτο καὶ τῆς βραχείας στύψεως. οἷς γὰρ ἂν μὴ σφοδρῶς θερμαίνουσι φαρμάκοις, ὀλίγη προσῇ στύψις, ἴσον δύναται ταῖς ἐμπλαστικαῖς καλουμέναις οὐσίαις, ἃς, ὅταν θερμότητι συνυπάρχωσι, μὴ σφόδρα πεπτικὰς ἐδείκνυμεν ὑπάρχειν.

57. *De Croco.*

Crocus paulum etiam astringens quid obtinet, quod terreum frigidum ostendimus; sed superat in eo calefaciens, & qualitas, & facultas; vt tota eius essentia secundi sit ordinis calefacientium, & primi exiccantium. Proinde concoquendi quoque vim quandam obtinet; adiuuante scilicet in hoc & paucula illa astrictione. Quippe quibus medicamentis, quum non admodum calefaciant, paucula adest astrictio, ea parem facultatem habent essentiis emplasticis vocatis; quas quum iunctas esse caliditati non vehementi contigerit, concoquentes esse ostendimus.

νη'. Περὶ κρομμύου.

Κρόμμυον, ἐκ τῆς τετάρτης ἐστὶ τάξεως τῶν θερμαινόντων. ἡ δ' οὐσία παχυμερὴς ἐστὶν αὐτοῦ μᾶλλον, ὅθεν καὶ D τὰς αἱμοῤῥοΐδας ἀναστομοῖ προστιθέμενον, καὶ σὺν ὄξει καταχριόμενον ἐν ἡλίῳ, τοὺς ἀλφοὺς ἀποῤῥύπτει, καὶ παρατριβόμενον ἀλωπεκίαις, θᾶττον ἀλκυονίου προρμᾷ τὰς τρίχας. εἰ δ' ἀποχωρίσειεν αὐτοῦ τις τὸν χυλὸν, ὅσον μὲν ὑπόλοιπον, ἱκανῶς ἐστὶ γεώδους οὐσίας θερμῆς, αὐτὸς δ' ὁ χυλὸς, ὑδατώδους τε καὶ ἀερώδους θερμότητος. οὕτω γοῦν, καὶ τοὺς ὑποχεομένους, καὶ ἀμβλυώττοντας ἐπὶ πάχει χυμῶν, ὀνίνησιν ὑπαλειφόμενος. ἐκ δὲ τῆς τούτου κράσεως, ὅλον τὸ κρόμμυον φυσῶδές ἐστιν ἐσθιόμενον, καὶ διὰ τοῦτο, ὅσα ξηρότερα τὴν κρᾶσιν, ἀφυσότερα.

58. *De Capa.*

Cæpa ex quarto est ordine calefacientium; essentia eius potius crassarum est partium; vnde etiam hæmorrhoidas aperit, tum apposita, tum cum aceto inuncta. In sole alphos abstergit tum alopeciis attrita pilos alcyonio citiùs restituit. Porrò si succum eius exprimas, quod reliquum est admodum terreæ substantiæ est, eiusque calidæ; at succus aqueæ, aëreæque caliditatis. Hic igitur iis, qui suffusi sunt, & aciem oculorum obtusam præ crassitudine humorum obtinent inunctus prodest. Ex huius temperamento tota cæpa flatuosa est manducata. Itaque quæ temperamento sunt ficciore, minus flatuum generant.

E

νθ'. Περὶ κυάμου.

Κύαμος, καθ' ἑκάτερα τῆς μέσης κράσεώς ἐστιν, ἐγγυτάτω κατὰ τὸ ξηραίνειν, καὶ κατὰ τὸ ψύχειν. μετέχει δέ τινος ἐπ' ὀλίγον, καὶ ῥυπτικῆς δυνάμεως, ἡ σὰρξ αὐτοῦ, καθάπερ τὸ λέμμα τῆς στυπτικῆς, καὶ διὰ τοῦτο τῶν ἰατρῶν ἔνιοι, τὸν κύαμον ὅλον ἑψήσαντες σὺν ὀξυκράτῳ, τοῖς δυσεντερικοῖς, καὶ τοῖς κοιλιακοῖς, καὶ τοῖς ἐμετικοῖς ἔδοσαν. ἔστι δὲ ὡς ἔδεσμα μὲν, εἴπερ τι καὶ ἄλλο, φυσῶδές τε, καὶ δύσπεπτον, ἀναπτύσεσι μέντοι ταῖς ἐκ θώρακός τε, καὶ πνεύμονος, ἐπιτήδειον. ὡς F φάρμακον δ', ἔξωθεν ἐπιτιθέμενον, ἀλύπως ξηραίνει. ἐπὶ μέντοι ποδαγρικοῖς, ἐχρησάμεθα πολλάκις αὐτῷ, δι' ὕδατος ἑψήσαντες, εἶτα μίξαντες ὕειον στέαρ. ἐπὶ δὲ τῶν κατὰ νεῦρα θλασμάτων τε καὶ ἑλκῶν, δι' ὀξυμέλιτος τὸ ἄλευρον ἐπεθήκαμεν. ἐπὶ δὲ τῶν ἤδη φλεγμαινόντων ἐκ πληγῆς, σὺν ἀλφίτοις, καὶ διδύμων δ' ἐστὶ, καὶ μαστῶν ἀγαθὸν κατάπλασμα.

59. *De cyamo, faba.*

Faba in vtroque medij temperamenti proximè est in exiccando & refrigerando. Caro eius paulum quoque abstergentis facultatis continet, sicut putamen nonnihil astringentis. Idcirco medicorum nonnulli totam fabam cum oxycrato decoctam dysentericis, cœliacis, vomentibus, exhibuerunt. Porrò vt edulium, flatulenta est, ac coctu difficilis, siquid aliud; excretionibus ex thorace, & pulmone idonea; vt medicamentum verò, foris imposita, desiccat innoxiè. In podagricis ea sæpenumero vsi sumus ex aqua decocta, & ita adipi suillo admixta. Ad neruorum tum contusiones, tum vlcerationes, farinam eius ex oxymelite imposuimus. Ad eos, quos ex ictu iam phlegmone occupauerat, cum polenta. Sed & testium, & vberum aptum est cataplasma; nam

nam hæ partes cum phlegmone tenentur, moderatè refrigerari amant, maximè quum vbera ex lacte in ipsis concreto phlegmonen patiantur. Quin lac quoque ab eo cataplasmate extinguitur; sicut puerorum pubes farina fabacea illita plurimo tempore glabra, seu impubis permanet.

A φιλεῖ γὰρ ταῦτα τὰ μόρια, μετρίως ψύχεσθαι φλεγμαίνοντα, καὶ μάλιστα, ὅταν ἐκ γάλακτος ἐν αὐτοῖς τυρωθέντος, οἱ μαστοὶ φλεγμαίνωσι. τοιγαροῦν καὶ τὸ γάλα, σβέννυται πρὸς τοῦ τοιούτου καταπλάσματος, ὥσπερ καὶ τὸ τῶν παίδων ἐφήβαιον ἐπιπλαττόμενον ἀλεύρῳ κυαμίνῳ, μέχρι πλέονος ἄνηβον διαμένει.

60. *De Cyclamino, pane porcino.*

CYclaminus varias facultates possidet. Nam & abstergit, & incidit, & ora venarum aperit, & attrahit, & digerit. Clarum id est ex particularibus operibus; nam succus eius hæmorroidas reserat, violenterque ad secessum prouocat in floccis appositus. Sic etiam facultatibus, phymata, strumas, aliasque omnes durities digerentibus, commiscetur; ac suffusis cum melle illitus competit, ad hæc quoque per nares expurgat. Adeo vehemens eius facultas est, vt abdomine illito, ventrem subducat, & fœtus interimat; nam, & aalioqui validum interimendo conceptui medicamentum est, in pesso appositus. Tota autem radix succo imbecillior est, quanquam & ipsa vehemēs sit. Nam & menses siue epota, siue apposita euocat: & aurigini prodest, non modò ipsum viscus expurgans, sed etiam quæ in toto corpore bilis fuerit, eam per sudorem eiiciens. Proinde sanè post potionem, sudoris adiuuanda omninò prouocatio est. Modus eius bibendi est drachmarum trium, siue cum melicrato, siue cum passo. Cutem detergit quum in aliis, tum quòd alopecias, ephelidas, omniaque exanthemata curet. Lienem quoque induratum iuuat emplastri modò illita, tum recens, tum arida. Sunt, qui radicem siccam asthmaticis, seu anhelantibus exhibent. Porrò altera cyclaminus, quam quidam cissanthemon nominant, propterea quod hederæ, flore sit assimilis, radicem quidem inutilem habet, sed fructum admodum efficacem. Nam hic cum vino albo pluribus diebus duobus cyathis potus lienes sanat, vrinas mouens, ac ventrem subducens; secundas quoque eiicit, & asthmaticis prodest. Qualitas eius gustanti acris est, & sublenta.

ξ'. Περὶ κυκλαμίνου.

ΚΥκλάμινος, ποικίλος τὴν δύναμίν ἐστι. καὶ γὰρ καὶ ῥύπτει, καὶ τέμνει, καὶ ἀναστομοῖ, καὶ ἐπισπᾶται, καὶ διαφορεῖ. δῆλον δὲ ἐκ τῶν κατὰ μέρος ἔργων. ὁ μὲν γὰρ χυλὸς αὐτῆς, αἱμορροΐδας ἀναστομοῖ, B καὶ προκαλεῖται βιαίως εἰς ἀπόπατον, ἐν κροκύδι προστιθέμενος. οὕτω δὲ καὶ ταῖς τὰ φύματα, καὶ τὰς χοιράδας, ἁπάσας τε τὰς ἄλλας σκληρότητας διαφορούσαις δυνάμεσι μίγνυται· καὶ τοῖς ὑποχεομένοις ἁρμόττει μετὰ μέλιτος ὑπαλειφόμενος, καὶ πρὸς τούτοις ἔτι, διὰ ῥινῶν καθαίρει. σφοδρὰ δ' οὕτως ἐστὶν ἡ δύναμις αὐτοῦ, ὥστε καὶ τοῦ ἐπιγαστρίου καταχριομένου, κοιλίαν ὑπάγει, καὶ ἔμβρυα διαφθείρει. καὶ γὰρ, καὶ ἄλλως φθόριον ἰσχυρὸν, ἐν πεσσῷ προστιθέμενος. ἡ δ' ὅλη ῥίζα, τοῦ χυλοῦ μὲν ἐστιν ἀσθενεστέρα, σφοδρὰ δ' ἐστὶ καὶ αὐτή. καὶ γὰρ ἔμμηνα κινεῖ, πινομένη τε, καὶ προστιθεμένη, καὶ ἰκτεριῶντας ὀνίνησιν, οὐ μόνον ἐκκαθαί- C ρουσα τὸ σπλάγχνον, ἀλλὰ τὴν ἐν ὅλῳ τῷ σώματι χολὴν, ἐκκρίνουσα δι' ἱδρώτων. ὅθεν ἐπὶ τῇ πόσει, συνεργεῖν δεῖ παντὶ τρόπῳ τῇ τῶν ἱδρώτων γενέσει. χρὴ δ' εἶναι τὸ πινόμενον πλῆθος αὐτῆς, ἄχρι τριῶν δραχμῶν, ἤτοι μετὰ γλυκέος, ἢ μελικράτου. ῥύπτει δὲ καὶ τὸ δέρμα, κατά τε τὰ ἄλλα κἀν ταῖς ἀλωπεκίαις, καὶ τὰς ἐφηλίδας, ἅπαντά τε τὰ ἐξανθήματα θεραπεύει. ὀνίνησι δὲ καὶ τοὺς σκληροὺς σπλῆνας, ἐπιπλαττομένη, πρόσφατός τε καὶ ξηρά. διδόασι δ' ἔνιοι τὴν ξηρὰν ῥίζαν, καὶ τοῖς ἀσθματικοῖς. ἡ δ' ἑτέρα κυκλάμινος, ἣν ἔνιοι κισσάνθεμον ὀνομάζουσι, διὰ τὸ κισσῷ κατὰ τὸ ἄνθος ἐοικέναι, τὴν ῥίζαν ἄχρηστον ἔχουσα, D τὸν καρπὸν ἔχει δραστικὸν ἱκανῶς, ὥστε καὶ μετ' οἴνου λευκοῦ κυάθων δυοῖν πινόμενος, ἐπὶ πλείους ἡμέρας, ἰᾶται σπλῆνας, κινῶν οὖρα, καὶ τὴν κοιλίαν ὑπάγων, ἐκβάλλει δὲ καὶ τὰ χόρια, καὶ τοῖς ἀσθματικοῖς ἀρήγει. ἡ ποιότης δ' αὐτοῦ, γευομένῳ δριμεῖά τε καὶ ὑπόγλισχρός ἐστι.

61. *De Cumino.*

CVmini Semine maximè vtimur, quemadmodum anisi, ligustici, cari, petroselini. Est verò & facultatis calefacientis, sicut illorum vnumquodque, tum vrinam mouentis, & flatum extinguentis, ex tertio ordine calefacientium.

ξα'. Περὶ κυμίνου.

ΚΥμίνου τῷ σπέρματι μάλιστα χρώμεθα, καθάπερ ἀνίσου τε καὶ λιβυστικοῦ, καὶ κάρου καὶ πετροσελίνου. ἔστι δὲ καὶ θερμαντικῆς δυνάμεως, ὥσπερ κἀκείνων ἕκαστον, οὐρητικῆς τε καὶ ἀφύσου, E κατὰ τὴν τρίτην τάξιν ὑπάρχων τῶν θερμαινόντων.

62. *De Cynosbato, rubo canino.*

CYnosbatus. Huius fruticis fructus non segniter astrictorius est, folia verò mediocriter. Itaque particularis eius vsus haud ignotus est. Cauendum ab eo, quod in fructu eius laneum est ceu quod arteriæ vitiosum.

ξβ'. Περὶ κυνοσβάτου.

ΚΥνόσβατος. τούτου τοῦ θάμνου ὁ μὲν καρπὸς οὐκ ἀγεννῶς στυπτικός ἐστι, τὰ δὲ φύλλα, μετρίως, ὥστε καὶ ἡ κατὰ μέρος αὐτῶν χρῆσις πρόδηλος. φυλάττεσθαι δὲ τὸ ἐν τῷ καρπῷ ἐριῶδες, ὡς ἀρτηρίας κακωτικόν.

63. *De Cupresso.*

CVpressi Folia, germina, pilulæ recentes, & molles magna vulnera conglutinant in duris corporibus. Ex quo clarum est, quòd resiccandi vim habeat absque insigni acrimonia, aut caliditate, sicut certè & gustus testificatur; apparet enim in ea leuis quidem acrimonia, sed plurimus amaror, multoque etiam plus acerbitatis in tota planta. Tanta ei inest acrimonia calidi-

ξγ'. Περὶ κυπαρίσσου.

ΚΥπαρίσσου τὰ φύλλα, καὶ οἱ βλαστοὶ, καὶ τὰ σφαιρία, τὰ F νέα, καὶ μαλακὰ, μεγάλων τραυμάτων ἐν σκληροῖς σώμασίν ἐστι κολλητικά. ἐξ οὗ δῆλον, ὡς ξηραντικῆς ἐστι δυνάμεως, οὐδὲν ἐπιφανὲς ἐχούσης δριμὺ, καὶ θερμὸν, ὥσπερ οὖν καὶ ἡ γεῦσις μαρτυρεῖ. φαίνεται γὰρ ἐν αὐτῇ, βραχὺ μέν τι τὸ δριμὺ, πλεῖστον δὲ τὸ πικρὸν, καὶ πολὺ πλέον ἔτι τὸ στρυφνὸν, ἐν ὅλῳ τῷ φυτῷ. τοσοῦτον δ' ἐστὶν ἐν αὐτῇ τὸ δριμὺ, καὶ τὸ θερ-

μὲν, ὅσον ποδηγεῖν μὲν τὴν στρυφνότητα πρὸς τὸ βάθος, οὐδεμίαν δ' αὐτοῦ θερμότητα, καὶ δῆξιν ἐργάζεσθαι τοῖς σώμασιν. διὰ τοῦτο τὰς κατὰ τὸ βάθος ὑγρότητας ἐν ταῖς πλαδαραῖς, καὶ σηπεδονώδεσι διαθέσεσιν, ἀλύπως τε ἅμα καὶ ἀσφαλῶς ἐκβόσκεται, τῶν θερμαινόντων, καὶ ξηραινόντων ἐκδαπανώμενα μὲν τὰς περιεχομένας δυνάμεων, ἑτέρας δ' ἐπισπωμένων, τῇ δριμύτητι, καὶ θερμότητι. οὕτω δὲ καὶ τοὺς ἐντεροκηλικοὺς ὠφελεῖ. καὶ γὰρ ξηραίνει, καὶ τόνον ἐντίθησι τοῖς δι' ὑγρότητα χαλαροῖς σώμασιν, ὡς ἂν τῆς στύψεως εἰς βάθος καταδυομένης, τῷ ποδηγεῖσθαι πρὸς τῆς μεμιγμένης αὐτῇ θερμότητος, εἰς τοσοῦτον ἡκούσης μέτρον, ὡς ποδηγεῖν μὲν δύνασθαι, δάκνειν δ' οὐδέπω δύνασθαι. χρῶνται δ' αὐτῇ τινες, καὶ ἐπ' ἀνθράκων, καὶ ἑρπήτων, ἀλφίτοις μιγνύντες ὡς ἐκδαπανώσῃ, χωρὶς τοῦ θερμαίνειν, τὰς ἐργαζομένας ὑγρότητας τὰ τοιαῦτα νοσήματα. ἔνιοι δὲ, καὶ πρὸς ἐρυσιπέλατα χρῶνται, μιγνύντες ἀλφίτου μεθ' ὕδατος, ἢ ὀξυκράτου ὑδαροῦς.

ξδ'. Περὶ κυπέρου.

Κυπέρου, χρήσιμοι μάλιστά εἰσιν αἱ ῥίζαι, θερμαίνουσαι καὶ ξηραίνουσαι, χωρὶς δήξεως. ὅθεν τὰ δι' ὑγρότητα πολλὴν ἕλκη δυσεπούλωτα θαυμαστῶς ὀνίνησιν. ἔχουσι γάρ τι καὶ στυπτικόν, καὶ διὰ τοῦτο, καὶ τοῖς ἐν στόμασιν ἕλκεσίν εἰσιν ἐπιτήδειοι, καὶ μὴν, καὶ τμητικήν τινα δύναμιν αὐταῖς μαρτυρητέον ἐστίν, ᾗ καὶ λιθιῶσιν ἁρμόττουσιν, καὶ οὖρα καὶ καταμήνια κινοῦσι.

ξε'. Περὶ κύπρου.

Κύπρος. τούτου τοῦ δένδρου τὰ φύλλα, καὶ οἱ ἀκρέμονες, εἰς χρείαν ἥκουσι, μάλιστα μικτῆς ὄντα δυνάμεώς τε, καὶ κράσεως. ἔχει μὲν γάρ τι καὶ διαφορητικόν, ἐξ ὑδατώδους οὐσίας θερμῆς συμμέτρως, ἔχει δέ τι στυπτικόν, ἐκ τῆς ψυχρώσεως γεώδους, ὅθεν ἀφέψοντες μὲν αὐτά, καταντλοῦσι τῷ ὕδατι τὰ πυρίκαυτα. χρῶνται δὲ καὶ κατὰ τῶν πυρωδῶν φλεγμονῶν, καὶ ἀνθράκων. ἔστι γὰρ ἀλύπως τε, καὶ ἀδήκτως ξηραντικά. καὶ μὴν καὶ τοῖς ἐν τῷ στόματι γιγνομένοις ἕλκεσιν αὐτομάτοις, καὶ μάλιστα τοῖς ἀφθώδεσιν, αὐταῖς τε τῶν παίδων ταῖς ἄφθαις, ἁρμόττει διαμασώμενα.

ξϛ'. Περὶ κυτίσου.

Κυτίσου τὰ φύλλα, διαφορητικῆς τ' ἐστὶ δυνάμεως, ἐπιμεμιγμένης ὑδατώδους χλιαρᾶς, καθάπερ καὶ τὰ τῆς μαλάχης.

ξζ'. Περὶ κωνείου.

Κώνειον, ὅτι τῆς ἄκρως ψυκτικῆς ἐστι δυνάμεως, ἅπαντες ἴσασι.

ξη'. Περὶ κώνου.

Κώνου ὁ καρπὸς ὃν δὴ καὶ κόκκαλον ὀνομάζουσι, καὶ στρόβιλον, ὅλος μὲν χλωρός, ἔχει τι μεθ' ὑγρότητος πικρόν, καὶ δριμύ, καὶ διὰ τοῦτο, καὶ τοῖς ἐμπύοις, ὅσοι τ' ἄλλοι

tásque, quanta satis sit deducendæ in altum acerbitatis, ac nullam tamen mordicationem, aut caliditatem in corporibus efficiat. Proinde in alto latentes in flaccidis putrescentibusque affectibus humiditates, innoxiè tutóque depascitur, atque absumit, quum quæ calefaciunt simul desiccantque, eas quidem, quæ contentæ sunt, absumant, cæterùm acrimonia, & caliditate alias attrahant. Sic & enterocelicos iuuat; siquidem exiccat, roburque addit corporis partibus præ humiditate laxis; vtpote quum astrictio in altum subeat deducente ipsa caliditate, quæ admixta est, eum seruante modum, vt deducere quidem valeat, non tamen mordicare queat. Quidam ea vtuntur ad carbunculos, & herpetes, polentæ miscentes; tanquam absumat citra calefactionem, eos morbos facientem humiditatem. Sunt qui & ad erysipelata vtuntur, admixta nimirum polenta cum aqua, aut oxycrato aquoso.

64. De *Cypero.*

Cyperi radices maximè vsui sunt, calefacientes pariter, & exiccantes absque mordacitate. Itaque vlceribus, quæ præ nimia humiditate cicatricem difficulter admittunt, mirificè prosunt; habent enim quiddam etiam astringens. Quapropter vlceribus etiam oris conueniunt. Quin & incidendi vim quampiam illis inesse testificandum, qua & calculo vexatis congruunt, & vrinam, mensesque prouocant.

65. De *Cypro, ligustro.*

Cyprus. Huius arboris folia, summaque germina in vsum veniunt, & facultatis, & qualitatis mixtæ. Habent enim quiddam digerens cum aquea substantia modicè calida; habentque etiam astrictorium quiddam ex terrena substantia frigida. Itaque eorum decocto quidam ambusta fouent. Vtuntur verò etiam aduersus igneas phlegmonas, & carbunculos; nam absque molestia, & morsu desiccant. Quin etiam sponte prouenientibus in ore vlceribus, ac maximè quæ aphthas referunt, & ipsis etiam puerorum aphthis, commansa accommoda sunt.

66. De *Cytiso.*

Cytisi folia digerendi facultatem obtinent aqueæ & temperatæ mixtam, sicut & maluæ.

67. De *Cicuta.*

Cicuta quod extremè refrigerantis sit facultatis, omnes norunt.

68. De *Cono, nuce pinea.*

Coni Fructus, quem quidam Cocalon nuncupant, & Strobilon, viridis totus, habet cum humiditate amarorem quempiam, & acrimoniam. Proinde purulentis, & quibuscunque adeo, quæ

quæ in thorace, & pulmone ſunt, facilè extuſſire, & expuere expedit, accommodus eſt. Porrò fructus ex eo eſculentus, nutrimentum eſt coctu difficile, & validum. At vt medicamentum aſperitati leniendæ congruit, quum videlicet in aqua maceratus omnem in ea acrimoniam reliquerit; nam reliquum omne minimè mordax, maximéque emplaſticum redditur, in medio calidæ, & frigidæ qualitatis conſiſtens, ex aquea, & terrea mixtum ſubſtantia, minimum participans aëreæ.

CAPVT XI.

1. *Lagopode.*

LAgopus facultatis eſt deſiccantis, adeo vt fluxus alui probè exiccet.

2. De *Lathyride.*

LAthyris. Sunt qui dicant, & hanc eſſe Tithymali ſpeciem, tum quòd ſimiliter illis ſuccum habeat, tum quod eodem modo purget, totáque illis facultate aſſimilis ſit, niſi quod ſemen guſtantibus videatur dulce; quod ſanè etiam purgatoriam vim maximè poſſidet.

3. De *Lampſano.*

LAmpſane eſa quidem ſuccos prauos procreat; cæterùm illita abſtergendi nonnullam digerendique facultatem poſſidet.

4. *De Lapatho.*

LApathum moderatè diſcutientem ſortitum facultatem eſt, at oxylapathum mixtam; nam cum eo quod diſcutit, nonnihil quoque repercutit. Semen eorum manifeſtam quoque quandam aſtrictionem obtinet, vt & dyſenterias, & diarrhœas ſiue profluuia, ſanet, & maximè oxylapathi. Porrò Hippolapathum, quod in totum paludibus prouenit, eaſdem dictis facultates obtinet, ſed imbecilliores.

5. De *Leimonio.*

LEimonij fructum, vtpote auſterum, exhibent cum vino cœliacis, & dyſentericis, hæmoptoiciſque ſiue ſanguinem ſpuentibus. Iuuat & profluuium muliebre. Satis eſt oxybaphi menſura.

6. De *Lichene.*

LEichen, qui in petris naſcitur, eſt velut muſcus quidam, ſed rectè ex plantarum cenſeri genere poteſt. Porrò ita nominatus videtur, quòd lichenas curet. Extergentem habet, ac modicè refrigerantem facultatem, vtranque verò reſiccantem. Atque abſtergentem quidem, atque exiccantem à petra obtinet; refrigerantem verò ab humore aqueo, naſcitur enim in humidis, & roridis ſaxis. Porrò quod ex talibus componitur, aduerſum eſſe phlegmonæ nihil mirum eſt. Cæterùm an hæmorrhagias ſiſtat, vt refert Dioſcorides, id verò neutiquam dicere queam.

A δέονται τὰ κατὰ θώρακα, καὶ πνεύμονα, ῥᾳδίως ἀναβήττειν τε καὶ ἀναπτύειν, ἐπιτήδειός ἐστιν. ὁ δ' ἐδώδιμος ἐξ αὐτοῦ καρπὸς, ἔστι μὲν τροφὴ, δύσπεπτός τε, καὶ ἰσχυρά. ἔστι δὲ καὶ ὡς φάρμακον ἐκλεαίνειν τραχύτητας ἐπιτήδειον, καὶ μάλιστα ὅταν ἐν ὕδατι βρεχθεὶς, ἀποθῆται κατ' αὐτὸ πᾶν ὅσον ἔχει δριμύ. τὸ γὰρ λοιπὸν ἅπαν, ἀδηκτότερόν τε, καὶ ἐμπλαστικώτερον γίνεται, θερμῆς μὲν, καὶ ψυχρᾶς ποιότητος ἐν τῷ μέσῳ καθεστηκὸς, ἐξ ὑδατώδους τε, καὶ γεώδους οὐσίας κεκραμένον, ἀερώδους δ' ἥκιστα μετέχον.

B

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

α'. Περὶ λαγώποδος.

ΛΑγώπου, ξηραντικῆς δυνάμεώς ἐστιν ὡς τὰ κατὰ γαστέρα ῥεύματα καλῶς ἐπιξηραίνειν.

β'. περὶ λαθυρίδος.

ΛΑθυρίς. καὶ ταύτην τινὲς εἶδος τιθυμάλλου φασὶν, ὅτι τε παραπλησίως ἐκείνοις ὀπὸν ἔχει, καὶ ὅτι καθαίρει τὸν αὐτὸν ἐκείνοις τρόπον, ὁμοία τε τὴν ὅλην δύναμιν ἐκείνοις ἐστὶ, πλὴν ὅσον τὸ σπέρμα, γλυκὺ γευομένοις φαίνεται, ὃ δὴ καὶ μάλιστα τὴν καθαρτικὴν ἔχει δύναμιν. C

γ'. Περὶ Λαμψάνης.

ΛΑμψάνη, ἐσθιομένη μὲν, κακόχυμός ἐστι, καταπλασσομένη δὲ, ῥυπτικόν ἔχει τι, καὶ διαφορητικόν.

δ'. Περὶ λαπάθου.

D ΛΑπαθον, διαφορητικῆς μετρίως ἐστὶ δυνάμεως, τὸ δὲ ὀξυλάπαθον, μικτῆς. ἅμα γὰρ τῇ διαφορητικῇ, καὶ ἀποκρουστικῆς τι μετέχει. τὸ δὲ σπέρμα αὐτῶν, ἔχει τι σαφῶς καὶ στυπτικὸν, ὡς καὶ δυσεντερίας, καὶ διαῤῥοίας ἰᾶσθαι, καὶ μάλιστα τὸ τοῦ ὀξυλαπάθου. τὸ δ' ἱππολάπαθον, ἐν ἕλεσι μὲν γεννᾶται τουπίπαν· ἔστι δὲ τῆς αὐτῆς μὲν τοῖς εἰρημένοις, ἀσθενεστέρας δὲ δυνάμεως.

ε'. Περὶ λειμωνίου.

E ΛΕιμωνίου τὸν καρπὸν αὐστηρὸν ὑπάρχοντα, μετ' οἴνου διδόασι, κοιλιακοῖς τε, καὶ δυσεντερικοῖς, καὶ αἱμοπτυϊκοῖς. ὀνίνησι δὲ καὶ ῥοῦν γυναικεῖον. ἀρκεῖ δὲ πλῆθος ὀξυβάφου.

ς'. Περὶ λειχῆνος.

ΛΕιχὴν, ὁ ἐπὶ τῶν πετρῶν, ἔστι μὲν οἷον βρύον τι. τοῦ γένους δ' ἂν ὀρθῶς ὀνομάζοιτο τῶν φυτῶν. ὠνομάσθαι δ' οὕτω δοκεῖ, διὰ τὸ λειχῆνας θεραπεύειν. ἔστι δὲ ῥυπτικῆς τε ἅμα, καὶ μετρίως ψυχούσης δυνάμεως, ξηραντικῆς μέν τοι κατ' ἄμφω. τὸ μὲν δὴ ῥυπτικόν τε, καὶ ξηραντικὸν, ἀπὸ τῆς πέτρας ἴσχει, τὸ δὲ ψυκτικὸν, ἀπὸ τοῦ ὑδατώδους. ἐπὶ γὰρ ταῖς F ὑγραῖς καὶ δροσώδεσι πέτραις φύεται. τὸ δ' ἐκ τῶν τοιούτων οὐσιῶν συγκείμενον, ἀφλέγμαντον ὑπάρχειν οὐδὲν θαυμαστόν. εἰ δὲ καὶ αἱμοῤῥαγίας ἵστησιν, ὡς Διοσκουρίδης φησὶν, οὐκ ἔχω φάναι.

A

ζ'. Περὶ λεοντοπετάλου.

Λεοντοπετάλου τῇ ῥίζῃ μάλιστα χρώμεθα, διαφορητικῇ, καὶ ξηραντικῇ, καὶ θερμαντικῇ κατὰ τὴν τρίτην ὑπαρχούσῃ τάξιν.

η'. Περὶ λεπιδίου.

Λεπίδιον, ἐκ τῆς τετάρτης ἐστὶ τάξεως τῶν θερμαινόντων, ὅμοιον τῷ καρδάμῳ κατὰ τὴν ὀσμὴν, καὶ τὴν γεῦσιν, καὶ τὴν δύναμιν ὑπάρχον, ἧττον δ' αὐτοῦ ξηραίνει.

B

θ'. Περὶ λευκάδος.

Λευκὰς, δριμείας ἐστὶ ποιότητος ἐπικρατούσης, κράσεως δὲ, θερμῆς, καὶ ξηρᾶς κατὰ τὴν τρίτην που τάξιν.

ι'. Περὶ λευκακάνθου.

Λευκάκανθον, οἱ δὲ πολύγονατον, οἱ δὲ ἰσχιάδα καλοῦσι, πικρὰ ταύτης ἡ ῥίζα, καὶ διὰ τοῦτο, τέμνει τε, καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. ἐν δὲ τῷ θερμαίνειν, ἐκ τῆς πρώτης ἐστὶ τάξεως.

C

ια'. Περὶ λευκοΐου.

Λευκοΐου, καὶ σύμπας μὲν ὁ θάμνος, ῥυπτικῆς ἐστι, καὶ λεπτομεροῦς δυνάμεως, ἐπὶ μᾶλλον δ' αὐτῆς μετέχει τὰ ἄνθη, καὶ τούτων τὰ ξηρότερα τῶν χλωρῶν μᾶλλον, ὥστε καὶ τὰς ἐπ' ὀφθαλμοῖς οὐλὰς τὰς παχείας λεπτύνει, καὶ καταμήνιά τε, τὸ ἀφέψημα αὐτῶν προτρέπει, καὶ χόρια, καὶ ἔμβρυα τεθνεῶτα προκαλεῖται, καὶ εἰ ποθείη δὲ, φθόριόν ἐστι φάρμακον. καὶ γὰρ οὖν, καὶ πικρόν ἐστιν, εἴπερ τι καὶ ἄλλο, καὶ εἴ τις αὐτοῦ τὸ σφοδρὸν τῆς δυνάμεως, ὕδατος ἐπιμιξίᾳ πολλοῦ πραΰνειεν, ἤ τινι τῶν τοιούτων, ἕξει καὶ πρὸς φλεγμονὴν ἀγαθὸν φάρμακον. οὕτω γοῦν καὶ τὸ ἀφέψημα αὐτοῦ, εἰ μὴ ἄκρατον εἴη, τὰς ἐν μήτρᾳ φλεγμονὰς ἰᾶται, προσαντλούμενον, καὶ μάλιστα ὅσαι κεχρονίκασι σκιρρωδῶς. οὕτω δὲ καὶ μετὰ κηρωτῆς, ἕλκη δυσεπούλωτα θεραπεύει. χρῶνται δ' αὐτῷ τινες, σὺν μέλιτι, καὶ πρὸς ἄφθας. ὁ δὲ καρπὸς τῆς αὐτῆς ὢν δυνάμεως, ἐπιτηδειότατός ἐστι, πινόμενος ὅσον δυοῖν δραχμῶν πλῆθος ἢ προστιθέμενος σὺν μέλιτι, καταμήνιά τε κινεῖν πεπίστευται, καὶ ἔμβρυα τὰ μὲν ζῶντα διαφθείρειν, τὰ νεκρὰ δ' ἐκβάλλειν. αἱ δὲ ῥίζαι παραπλησίας οὖσαι δυνάμεως, πλὴν ὅσον παχυμερέστεραί τ' εἰσὶ, καὶ γεωδέστεραι, μετ' ὄξους ἰῶνται σπλῆνας σκιρρουμένους. ἔνιοι δὲ, καὶ τὰς σκιρρουμένας φλεγμονὰς ἰῶνται δι' αὐτοῦ.

D

E

ιβ'. Περὶ λεύκης.

Λεύκη τὸ δένδρον μικτόν πώς ἐστι τὴν κρᾶσιν, ἐξ ὑδατώδους τε χλιαρᾶς, καὶ γεώδους λελεπτυσμένης οὐσίας, ὅθεν καὶ τῆς ῥυπτικῆς μετέχει δυνάμεως.

F

ιγ'. Περὶ λιβανωτοῦ.

Λιβανωτὸς, θερμαντικὸς μέν ἐστι, κατὰ τὴν δευτέραν τάξιν, ξηραντικὸς δὲ κατὰ τὴν πρώτην. ἔχει δέ τι καὶ ὑπόστυφον ὀλίγον, ἥκιστα δὲ σαφὴς ἡ στύψις ἐστὶν ἐν τῷ λευκῷ, κατὰ τὴν χρόαν. ὁ δὲ φλοιὸς αὐτοῦ, (στυπτικὴν δύναμιν ἐναργῶς κέκτηται), διὸ καὶ ξηραίνει γενναίως, ὡς ἐν τῇ δευτέρᾳ τάξει συμπληρουμένῃ τῶν ξηραινόντων

7. *De Leontopetalo.*

Leontopetali radice maximè vtimur; quæ discutiendi facultatem, & exiccandi, calefaciendique in tertio ordine possidet.

8. *De Lepidio.*

Lepidium ex quarto est ordine calefacientium, simile nasturtio, tum odore, tum gustu, tum facultatibus, sed minus eo desiccat.

9. *De Leucade.*

Leucas acrem possidet qualitatem exuperantem, temperamentum verò calidum, siccumque in tertio quodammodo ordine.

10. *De Leucacantho, Alba spina.*

Spina alba, quidam autem polygonaton, alij, Ischiada nuncupant. Huius amara radix est; ac proinde incidit, & exiccat in tertio ordine; in calefaciendo autem ex primo est ordine.

11. *De Leucoio.*

Leucoij, Frutex vniuersus extergentem facultatem possidet, ac tenuium partium; plus tamen flores, & inter hos, qui sunt sicciores, magis etiam quàm virides; adeo vt & oculorum cicatrices crassas extenuent. Tum menses quoque decoctum eorum mouet; & secundas, fœtusque emortuos elicit: ac si bibatur, abortum facit. Est ergo id medicamentum, vt si quod aliud, amarum. Ac si quis facultatum eius vehementiam multa aqua admixta retundat, ac mitiget, aut certè id genus aliquo, habebit & ad phlegmonen non malum medicamentum. Sic & decoctum eius, si non merum fuerit, vteri phlegmonas itidem perfusum sanat, potissimum quæ diutino tempore ad scirrhi modum induruere. Sic & cum cerato vlcera ægrè ad cicatricem peruenientia curat. Sunt verò etiam, qui cum melle, & ad aphthas adhibeant. Semen quum eiusdem facultatis sit, aptissimum est duarum drachmarum mensura potum, tum mensibus ciendis appositum cum melle conuenire creditur, fœtusque viuentes interficere, ac mortuos eijcere. Radices similis quoque facultatis, nisi quatenus crassiorum sunt partium, & magis terrenæ, cum aceto lienes induratos sanant. Nonnulli verò & phlegmonas induratas iis curant.

12. *De Leuce, populo alba.*

Leuce arbor mixtæ quodammodo temperiei est ex aquea tepida, & terrena extenuata essentia; quamobrem & abstergentis facultatis est particeps.

13. *De Libanoto, thure.*

Thus calefacit ordine secundo, desiccat primo, habet quoque subastringens pusillum; sed minimum manifesta astrictio est candido. Cortex eius euidenter astringit; proinde sanè strenuè quoque desiccat, adeo vt ex secundo sit ordine completo desiccantium,

Est

Eſt autem craſſiorum partium, quàm ipſum thus, & minimè particeps acrimoniæ. Ob has ergo tum facultates, tum qualitates, multus eſt eius vſus apud medicos in hæmoptoicis, ſtomachicis, cœliacis, ac dyſentericis, non tantùm iis, quæ extrinſecus applicantur, ipſum admiſcentes, ſed & iis quæ intrò in corpus ſumuntur. Fumus eius tum ſicciorıs, tum calidioris eſt facultatis, quàm ipſum thus, adeo vt tertium vſque exceſſum perueniat. Habet verò etiam abſterſorium quiddam. Itaque eo nomine, & expurgare, & implere, quæ in oculis conſiſtunt vlcera videtur, velut & qui ex myrrha, & qui è ſtyrace.

14. De *Libanotidibus*.

LIbanotides tres ſunt, vna ſterilis, duæ fructum ferentes; omnes verò eiuſdem facultatis, emollientis, & diſcutientis. Succus tum radicis, tum herbæ, mixtus melli obtuſam oculorum aciem ab humorum craſſitie emendat. Porrò eius libanotidis, quæ ad coronas eſt vtilis, quam Romani Roſmarinum nuncupant, decoctum regio morbo laborantes potum adiuuat. Omnes enim libanotides abſtergentis, & incidentis facultatis participes ſunt.

15. De *lignye, fuligine*.

FVligo omnis exiccatoria eſt, ac proinde terreſtris eſt eſſentiæ, habens quaſdam etiam ignis, qui materiam combuſſit, reliquias; ſed id puſillum eſt. Porrò tota natura terrena eſt, tenuium partium. Sed quæ ſpeciatim in ea differentiæ ſunt, eæ pro vſta materia eueniunt, ex acriore, & calidiore, tali etiam proueniente fuligine, ex dulciore ſimili quoque, & hinc fuligine proueniente. Primùm enim thuris fuligine vtuntur ad oculis dicatas medicinas mixta, eas videlicet, quæ ad oculos etiamnum phlegmone tentatos accommodantur, atque etiamnum fluxione vexatos, & vlcera habentes; nam & illa expurgat, & carne implet. Ad hæc vſurpant quoque eam ad facultates quas vocant calliblepharas, id eſt, ad ornatum & venuſtatem palpebrarum facientes. Præterea terebinthinæ, myrrhæque fuligo moleſtia caret, non aliter quàm thuris; ſed ſtyracis quodammodo valentior eſt; magis etiam picis liquidæ; quâ etiam magis cedri. Porrò acrioribus vtuntur ad vitia palpebrarum vocata pilorum defluuia, & eroſos oculorum angulos humidosque citra phlegmonem; at mollioribus mitioribuſque tum ad hæc, tum ad ea, ad quæ competere paulò ſuperiùs diximus thuris fuliginem.

16. De *Libyſtico*.

LIbyſtici Radix, & ſemen ex genere calefacientium ſunt, adeo vt & menſes cieant, & vrinas prouocent, flatuſque extinguant.

17. De *Lini ſemine*.

LIni Semen eſum flatuoſum eſt, etiam ſi frigatur, adeo ſanè excrementitia humiditate plenum eſt. Eſt verò etiam in primo ordine quodammodo calidum, ac humiditatis, & ſiccitatis quodammodo in medio eſt ſitum.

A ὑπάρχων. ἔστι δὲ καὶ παχυμερέστερος τοῦ λιβανωτοῦ, καὶ ἥκιστα δριμύτητος μετέχων. διὰ ταύτας γοῦν αὐτοῦ τὰς ποιότητάς τε καὶ δυνάμεις, ἱκανὴ χρῆσίς ἐστι παρὰ τοῖς ἰατροῖς, ἐπί τε τῶν αἱμοπτυϊκῶν, καὶ στομαχικῶν, καὶ κοιλιακῶν, καὶ δυσεντερικῶν, οὐ τοῖς ἔξωθεν μόνοις ἐπιτιθεμένοις μιγνυμένων αὐτὸν, ἀλλὰ καὶ τοῖς εἴσω τοῦ σώματος μεταλαμβανομένοις. ὁ δὲ θαλλὸς αὐτοῦ, ξηροτέρας ἐστὶ, καὶ θερμοτέρας, ἢ κατ' αὐτὸν τὸν λιβανωτὸν δυνάμεως, ὡς εἰς τὴν τρίτην ἀπόστασιν ἀφικνεῖσθαι. ἔχει δέ τι καὶ ῥυπτικὸν, ὥστε διὰ τοῦτο, καὶ ἀνακαθαίρειν δοκεῖ, καὶ πληροῦν τὰ κατὰ τοὺς ὀφθαλμοὺς ἕλκη, καθάπερ καὶ ὁ ἐκ τῆς σμύρνης, καὶ ὁ ἐκ τοῦ στύρακος.

B

ιδ'. Περὶ λιβανωτίδων.

ΛΙβανωτίδες τρεῖς εἰσι. μία μὲν ἄκαρπος, αἱ δὲ δύο φέρουσαι καρπὸν, ὁμοίας ἅπασαι δυνάμεως, μαλακτικῆς τε καὶ διαφορητικῆς. ὁ δὲ χυλὸς ὅ, τε τῆς ῥίζης, καὶ ὁ τῆς πόας μέλιτι μιγνύμενος, ἀμβλυωπίας, ὅσαι διὰ πάχος ὑγρῶν γίνονται, θεραπεύει. τῆς δὲ εἰς τοὺς στεφάνους χρησίμης λιβανωτίδος, ἣν Ῥωμαῖοι καλοῦσι ῥουσμαρῖνον, τὸ ἀφέψημα, τοὺς ἰκτεριῶντας ὀνίνησι πινόμενον. μετέχουσι γὰρ αἱ λιβανωτίδες ἅπασαι, ῥυπτικῆς τε, καὶ τμητικῆς δυνάμεως. C

ιε'. Περὶ λιγνύος.

ΛΙγνὺς, ἅπασα μὲν ἐστὶ ξηραντικὴ, διὸ καὶ γεώδους ὑπάρχει τῆς οὐσίας, ἔχουσά τι καὶ τοῦ κατακαύσαντος τὴν ὕλην πυρὸς λείψανον, ἀλλὰ τοῦτο μὲν ὀλίγον· ἡ δ' ὅλη φύσις αὐτῆς, γεώδης ἐστὶ λεπτομερής. αἱ κατ' εἶδος δ' ἐν αὐτῇ διαφοραὶ, παρὰ τὴν καυθεῖσαν ὕλην γίγνονται, ἐκ μὲν τῆς δριμυτέρας, καὶ θερμοτέρας, τοιαύτης καὶ τῆς λιγνύος ἀποτελουμένης, D ἐκ δὲ τῆς γλυκυτέρας, ὁμοίας κἀνταῦθα τῆς λιγνύος γιγνομένης. αὐτίκα γέ τοι, τοῦ λιβανωτοῦ τῇ λιγνύϊ χρῶνται, μιγνύντες εἰς τὰς ὀφθαλμικὰς δυνάμεις, ἔτι τὰς ἐπὶ φλεγμαινόντων ἔτι τῶν ὀφθαλμῶν ἁρμοττούσας, καὶ ῥευματιζομένων, καὶ ἕλκη ἐχόντων. καὶ γὰρ ἀνακαθαίρεται ταῦτα, καὶ σαρκοῦται πρὸς αὐτῶν, ἔτι τε, καὶ εἰς τὰς καλλιβλεφάρους ὀνομαζομένας δυνάμεις αὐτῇ χρῶνται, καὶ ἡ τῆς τερμίνθης τε, καὶ ἡ τῆς σμύρνης, ἄλυπός ἐστι, παραπλησίως τῇ τοῦ λιβανωτοῦ, ἡ δὲ τοῦ στύρακος, ἰσχυροτέρα τούτων, ἔτι δὲ μᾶλλον, ἡ τῆς ὑγρᾶς πίττης, καὶ ταύτης ἔτι μᾶλλον, ἡ τῆς κέδρου. χρῶνται δὲ τοῖς δριμυτέροις μὲν, E ἐπί τε τῶν πτίλων ὀνομαζομένων βλεφάρων, καὶ τῶν περιβεβρωμένων κανθῶν, καὶ ὑγρῶν ὀφθαλμῶν ἄνευ φλεγμονῆς. ταῖς μαλακωτέραις δὲ, καὶ πρὸς ταῦτα μὲν, ἀλλὰ καὶ πρὸς ἃ, μικρῷ πρόσθεν εἴρηται ἁρμόττειν τοῦ λιβανωτοῦ τὴν λιγνύν.

ιϛ'. Περὶ λιβυστικοῦ.

ΛΙβυστικοῦ καὶ ἡ ῥίζα, καὶ τὸ σπέρμα, θερμαινόντων εἰς τοσοῦτόν ἐστιν, ὡς ἔμμηνά τε κινεῖν, καὶ οὖρα προτρέπειν, ἔτι δὲ καὶ ἄφυσα.

F

ιζ'. Περὶ λινοσπέρμου.

ΛΙνόσπερμον ἐσθιόμενον, φυσῶδές ἐστι, κἂν φρυχθῇ, οὕτως ἄρα περιττωματικῆς ὑγρότητος ὑπάρχει μεστόν. ἔστι δὲ καὶ θερμὸν, ἐν τῇ πρώτῃ που τάξει, καὶ ὑγρότητός τε, καὶ ξηρότητος, ἐν τῷ μέσῳ που τέτακται.

A

ιη'. Περὶ λινοζώστιδος.

Λινοζώστιδι χρῶνται μὲν ἅπαντες εἰς τὰς τῆς γαστρὸς καθάρσεις μόνον. οὐ μὴν ἀλλ' εἰ καὶ πειραθῆναί τις βούλοιτο, καταπλάττων αὐτὴν, εὑρήσει διαφορητικῆς ἱκανῶς δυνάμεως.

18. De *Linosostide, Mercuriali.*

Mercuriali vtuntur omnes ad ventris purgationes duntaxat. Verumenimuero, si quis eius facere periculum volet in cataplasmate, sanè admodum eam esse discutientis experietur facultatis.

ιθ'. Περὶ λογχίτιδος.

B Λογχίτιδος, τῆς μὲν τὸ σπέρμα τρίγωνον ἐχούσης, ἐοικὸς λόγχῃ κατὰ τὸ σχῆμα, παραπλησία μάλιστά πως ἡ ῥίζα, τῇ τοῦ δαύκου τετύχηκεν οὖσα, καὶ διὰ τοῦτο, καὶ οὐρητικόν ἐστι φάρμακον. τῆς δὲ τῷ σκολοπενδρίῳ παραπλησίας, τὰ φύλλα, χλωρὰ μὲν, εἰς κόλλησιν τραύματος ἐπιτήδεια, ξηρὰ δὲ, μετ' ὄξους πινόμενα, σπλῆνας ἰᾶται σκιρρουμένους.

19. De *Lonchitide, lanceola.*

Lonchitidis eius videlicet, quæ semen habet triangulare, cuspidis figura, radix potissimum quodammodo similis est radici dauci; proinde vrinam ciet. Porrò eius, quæ scolopendriæ similia habet folia, ea ad glutinanda vulnera idonea sunt viridia, sed sicca cum aceto bibita lienes induratos sanat.

κ'. Περὶ λυκίου.

C Λύκιον, ἢ πυξάκανθον, ἀκανθῶδες δένδρον, ἐξ οὗ καὶ τὸ καλούμενον γίγνεται λύκιον. τοῦτο δὴ τὸ ὑγρὸν φάρμακον ᾧ πρὸς ὑπώπιά τε χρῶνται καὶ πρὸς τὰς ἐν ἕδρᾳ, καὶ στόματι φλεγμονὰς, καὶ ἑλκώσεις, ἕρπητάς τε, καὶ σηπεδόνας, καὶ τὰ κακοήθη τῶν ἑλκῶν, καὶ ὦτα πυορροοῦντα, καὶ παρατρίμματα, καὶ παρωνυχίας. ἔστι γὰρ ξηραντικῆς δυνάμεως ἐξ ἑτερογενῶν οὐσιῶν συγκείμενον, τῆς μὲν ἑτέρας, λεπτομεροῦς τε, καὶ διαφορητικῆς, καὶ θερμῆς, τῆς δ' ἑτέρας, γεώδους ψυχρᾶς, ἐξ ἧς ἔχει τὴν στῦψιν. ἀλλ' αὐτὴ μὲν ἡ ποιότης, ὀλίγη παντάπασιν ὑπάρχει τοῦ φαρμάκου, τὸ διαφορεῖν δὲ, καὶ ξηραίνειν, οὐκ ὀλίγον, ἀλλὰ κατὰ τὴν δευτέραν ἀπόστασιν, ἐν θερμότητι δὲ, περὶ τὰ μέσα πως τέτακται, καὶ σύμμετρα. διὸ καὶ πρὸς διάφορα πάθη, χρῶνται τοῦ φαρμάκου, ὡς ῥυπτικοῦ μὲν, πρὸς τὰ ἐπισκοτοῦντα τὴν κόρην, ὡς στυπτικοῦ δὲ, κοιλιακοῖς τε, καὶ δυσεντερικοῖς, καὶ ῥῷ γυναικείῳ προσφέροντες. τοῦτο μὲν οὖν τὸ λύκιον ἐν Λυκίᾳ τε καὶ Καππαδοκίᾳ πλεῖστον γίγνεται. τὸ δ' ἕτερον, τὸ Ἰνδικὸν, ἰσχυρότερον ἐστιν εἰς ἅπαντα.

20. De *Lycio.*

Lycion siue pyxacanthon, arbor spinosa, ex qua lycium, quod vocant, conficitur, id videlicet medicamentum liquidum, quo ad sugillata vtuntur, & sedis orisque phlegmonas, vlcerationesque, tum herpetas, putredines, & vlcera contumacia, & aures pure fluentes, & intertrigines. ac paronychias. Est autem facultatis exiccatoriæ, compositum ex diuersi generis substantiis, altera quidem tenuium partium, digerente atque calida; altera terrestri frigida, ex qua astrictionem obtinet. Porrò hæc qualitas pusilla medicamento inest; digerit verò, & desiccat, non parum, nempe in secundo ordine; in calore autem mediis, & symmetris proximum est. D Proinde ad varia hoc vtuntur medicamento, vt abstergente quidem ad ea quæ pupillam obtenebrant; vt contrahente verò, cœliacis, dysentericis, ac muliebri profluuio adhibentes. Lycium hoc, in Lycia, & Cappadocia plurimum prouenit. Sed Indicum ad omnia valentius est.

κα'. Περὶ λυσιμαχίου.

E Λυσιμάχιος, ἐπικρατοῦσαν ἔχει τὴν στυπτικὴν ποιότητα, δι' ἣν καὶ τραύματα κολλᾷ, καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας ἵστησιν ἐμπλαττόμενος, καὶ τῶν ἄλλων δὲ αἱμορραγιῶν ἴσχαιμόν ἐστι φάρμακον, αὐτή τε καὶ ὁ χυλὸς αὐτῆς, ἔτι καὶ μᾶλλον ὁ πινόμενος, δυσεντερίας τε καὶ αἵματος ἀναγωγὰς, καὶ ῥοῦν γυναικεῖον ἰᾶται.

21. De *Lysimachio.*

Lysimachios superantem habet qualitatem astrictoriam, per quam & vulnera glutinat, erumpentemque ex naribus sanguinem emplastri modo illita reprimit. Quin & reliquas sanguinis eruptiones sistere potest tum ipsa, tum succus eius multo magis. Pota dysenterias, sanguinis reiectiones, ac muliebre profluuium sanat.

κβ'. Περὶ λυχνίδος.

F Λυχνίδος, τῆς εἰς τοὺς στεφάνους, τὸ σπέρμα θερμόν ἐστι, κατὰ τὴν δευτέραν που τάξιν, ἢ καὶ τρίτην ἤδη, καὶ δὴ καὶ ξηρὸν κατὰ τὸν αὐτὸν τρόπον.

22. De *Lychnide.*

Lychnidos Coronariæ semen calidum est secundo quodammodo ordine, aut iam etiam tertio; siccum sanè eodem modo.

κγ'. Περὶ λωτοῦ ἡμέρου.

Λωτὸς ὁ ἥμερος, ὃν ἔνιοι τρίφυλλον ὀνομάζουσι, ῥυπτικῆς μετρίως ἐστὶ δυνάμεως, οὕτως δὲ καὶ ξηραντικῆς. ἐν δὲ τῇ κατὰ θερμότητα, καὶ ψύξιν συζυγίᾳ, μέσος πώς ἐστιν

23. De *Loto Herba.*

Lotus domestica, quam quidam trifolium nominant, vt mediocriter abstergendi vim possidet, sic etiam exiccandi. In caliditatis frigiditatisque coniugatione media quodammodo est,

&

& temperata. Lotus autem agrestis plurima in A Libya prouenit. Semen eius secundi est ordinis calefacientium, habétque nonnihil astersorium. Porrò Ægyptiæ loti semen etiam in panes fingitur.

καὶ εὔκρατος. ὁ δ' ἄγριος λωτὸς, ἐν Λιβύῃ μὲν πλεῖστος γίνεται. τὸ σπέρμα δ' αὐτοῦ, τῆς δευτέρας τάξεώς ἐστι τῶν θερμαινόντων, ἔχει δέ τι καὶ ῥυπτικόν. τοῦ δ' Αἰγυπτίου τὸ σπέρμα καὶ ἀρτοποιοῦνται.

24. *De loto arbore.*

Lotus arbor non ita multæ astrictoriæ qualitatis est particeps, sed & tenuium partium est, & exiccatoria. Itaque lignorum eius assulæ derasæ muliebri accommodantur profluuio, & dysenteriis, & cœliacis affectibus. Decoquuntur verò in- B terdum in aqua, interdum in vino, nimirum prout vsus poposcerit; nec infunduntur tantum, sed & bibuntur. Quin etiam quòd pilos defluentes cohibeat, non mediocre signum est ipsum astringentis esse cuiusdam, similiter mediocriter desiccantis, facultatis. Dictum quippe est & in sermone de ladano eiusmodi esse facultatis oportere, quod fluentes capillos esset cohibiturum.

κδ'. Περὶ λωτοῦ τοῦ δένδρου.

Λωτὸς τὸ δένδρον, στυπτικῆς μὲν οὐ πολλῆς μετέχει ποιότητος, ἔστι δὲ καὶ λεπτομερὲς, καὶ ξηραντικόν. τὰ γοῦν ῥινήματα τῶν ξύλων αὐτοῦ, πρός τε ῥοῦν γυναικεῖον ἁρμόττει, καὶ δυσεντερίας, καὶ κοιλιακὰς διαθέσεις. ἐναφέψεται δὲ, ποτὲ μὲν ὕδατι, ποτὲ δὲ οἴνῳ, ὡς ἂν καὶ ἡ χρεία κελεύῃ, καὶ οὐκ ἐνίεται μόνον, ἀλλὰ καὶ πίνεται. καὶ μὴν καὶ τὸ τὰς ῥεούσας τρίχας ἐπέχειν αὐτὸν, ὅτι στυπτικῆς τινος ἅμα τῷ μετρίως ξηραίνειν ἐστὶ δυνάμεως, οὐ μικρὸν σημεῖον. ἐρρέθη γὰρ κἀν τῷ περὶ λαδάνου λόγῳ, τοιᾶσδε δεῖν εἶναι δυνάμεως τὸ μέλλον ἐφέξειν ῥεούσας τρίχας.

CAPVT XII.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. *De macere.*

C

Macer Cortex est, qui ex India conuehitur, gustu multum acerbo, cum leuicula quadam acrimonia odorata, iucundum sanè redolens, vt pleraque aromata, siue odorata, quæ ex India conuehuntur. Videtur itaque & ipse ex mixta constare essentia, pleraque terrena frigida, paucula verò calida, & tenuium partium. Quamobrē valenter desiccat, astringitque; proinde cœliacis, & dysentericis miscetur facultatibus, in tertio exiccantium consistens ordine; in caloris frigorisque differentia neutrum insigniter efficiens.

α'. Περὶ μάκερος.

Μάκερ φλοιός ἐστιν ἐκ τῆς Ἰνδικῆς κομιζόμενος, ἐν μὲν τῷ γεύεσθαι στρυφνὸς ἱκανῶς, μετά τινος βραχείας δριμύτητος ἀρωματιζούσης. ὀσμώμενος δὲ ἡδὺς ὁμοίως τοῖς πλείστοις ἀρώμασι, τοῖς Ἰνδικοῖς. ἔοικεν οὖν καὶ αὐτὸς ἐκ μικτῆς οὐσίας συνεστάναι, τῆς πλείστης μὲν γεώδους ψυχρᾶς, ὀλίγης δέ τινος θερμῆς τε καὶ λεπτομεροῦς, ὅθεν ἰσχυρῶς ξηραίνει, καὶ στύφει, καὶ διὰ τοῦτο κοιλιακαῖς τε καὶ δυσεντερικαῖς μίγνυται δυνάμεσιν. ἐν μὲν τῇ τρίτῃ τάξει τῶν ξηραινόντων ὑπάρχων, ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψυχρότητα διαφορᾷ, μηδ' ἕτερον ἐπιφανῶς ἐργαζόμενος.

D

2. *De malabathro.*

Malabathri Folium spicæ nardi similem facultatem obtinet.

β'. Περὶ μαλαβάθρου.

Μαλαβάθρου φύλλον, νάρδου στάχυϊ παραπλήσιόν ἐστι τὴν δύναμιν.

3. *De malua, & althæa.*

Malua, Agrestis quidem, discutientis paululum & emollientis leuiter est facultatis; hortensis verò quanto plus habet aqueæ humiditatis, tanto facultate imbecillior est. Fructus eius tanto validior est, quanto & sic- E cior. Porrò huius generis est, & ea quæ malua arborescens nuncupatur, sed efficacissima comprehensarum in digerendo. Appellatur etiam Althæa.

γ'. Περὶ μαλάχης, καὶ ἀλθαίας.

Μαλάχη ἡ μὲν ἀγρία, διαφορητικῆς ἀτρέμα, καὶ μαλακτικῆς ἐπὶ βραχὺ μετέχει δυνάμεως. ἡ δὲ κηπευομένη, καθ' ὅσον ὑδατώδους ὑγρότητος μετείληφε, κατὰ τοσοῦτον, καὶ ἀσθενεστέρα τὴν δύναμιν ὑπάρχει. ὁ δὲ καρπὸς αὐτῆς, εἰς τοσοῦτον ἰσχυρότερός ἐστιν, εἰς ὅσον καὶ ξηρότερος. ἔστι δὲ καὶ ἡ δενδρομαλάχη καλουμένη, τούτου τοῦ γένους, ἀλλὰ διαφορητικωτάτη τῶν εἰρημένων. ὀνομάζεται δὲ καὶ ἀλθαία.

4. *De mandragora.*

Mandragora vincentem habet facultatem refrigeratoriam, adeo vt tertij sit ordinis refrigerantium. Veruntamen nonnihil etiam caloris inest, & in pomis humiditatis. Proinde soporem ea conciliandi vim habent. Radicis cor- F tex quum sit valentissimus, non tantùm refrigerat, sed & desiccat; reliquum quod intus est, imbecillum est.

δ'. Περὶ μανδραγόρας.

Μανδραγόρας, ἐπικρατοῦσαν μὲν ἔχει τὴν ψυκτικὴν δύναμιν, ὡς τῆς τρίτης εἶναι τῶν ψυχόντων τάξεως. οὐ μὴν, ἀλλὰ καὶ θερμότητός τινος μετέχει, καὶ κατά γε τὰ μῆλα, καὶ ὑγρότητος, ὅθεν καὶ κωματώδη τὴν δύναμίν ἐστι ταῦτα. τῆς ῥίζης δ' ὁ φλοιὸς ἰσχυρότατος ὢν, οὐ ψύχει μόνον, ἀλλὰ καὶ ξηραίνει. τὸ δ' ἄλλο, τὸ ἔνδον, ἀσθενὲς ὑπάρχει.

A

ε'. Περὶ μαράθρου.

ΜΑραθρον θερμαίνει μὲν ἰσχυρῶς, ὡς ἐκ τῆς τρίτης ἤδη δύνασθαι τάξεως εἶναι. ξηραίνει δ' οὐχ ὁμοίως, ἀλλὰ κατὰ τὴν πρώτην ἄν τις αὐτὸ θείη ἐν τῇ δε τάξιν, καὶ διὰ τοῦτο γάλακτος γεννητικόν ἐστιν, οὐκ ἂν γεννῆσαν εἴπερ ἐξήραινεν ἰσχυρῶς, ὑποχεομένοις τε βοηθεῖ κατὰ τὸν αὐτὸν λόγον. ἔστι δὲ καὶ οὐρητικὸν, καὶ καταμηνίων ἀγωγόν. ἔστι δὲ καὶ ἕτερον μάραθρον ἄγριον, ὃ καλοῦσιν διὰ τὸ μέγεθος ἱππομάραθρον, οὗ ἡ ῥίζα, καὶ τὸ σπέρμα, ξηραντικωτέρας ἐστὶ δυνάμεως, ἢ κατὰ τὸ ἥμερον, ὥς τέ μοι δοκοῦσι, καὶ τὴν γαστέρα κατὰ τοῦθ' ἱστάναι. οὐ γὰρ δὴ στύψεώς γε σαφοῦς αὐτοῖς μέτεστι. τούτου μὲν οὖν οὐχ ἡ ῥίζα μόνον, ἀλλὰ καὶ πολὺ μᾶλλον τὸ σπέρμα, κάχρυϊ παραπλήσιον ὑπάρχει, καὶ δύναται, καὶ λίθους θρύπτειν, καὶ ἰκτεριῶντας ἰᾶσθαι, καὶ καταμήνια κινεῖν, καὶ οὔρησιν προτρέπειν, οὐ μὴν ἀθροίζειν γάλα, καθάπερ τὸ πρότερον. ἕτερον δ' ἐστὶν ἱππομάραθρον, οὗ τὸ σπέρμα στρογγύλον ἐστὶ καὶ δριμὺ, τῷ τοῦ κοριαννου παραπλήσιον. ὅμοιον μὲν τῇ δυνάμει τῷ τοῦ ἱππομαράθρου, ἀσθενέστερον δέ.

5. *De marathro, fœniculo.*

FOEniculum tam valenter calefacit, vt ex tertio ordine calefacientium censeri promereatur; desiccat verò non æquè, sed ipsum quispiam in hoc primi esse ordinis posuerit. Proinde lac procreat; quod si admodum desiccaret, non sanè efficeret; suffusis eadem ratione auxiliatur; vrinas mensésque ciet. Porrò est & alterum fœniculum agreste, quod præ magnitudine hippomarathrum nuncupant; cuius radix ac semen amplius quàm domestici, B desiccandi vim obtinet; quocirca ventrem quoque eo nomine sistere videtur; nec sanè manifesta illis inesse videtur astrictio. Huius non radix modo, sed & multo magis semen cachryi assimile est; potéstque, & calculos frangere, & auriginosos sanare, menséſque & vrinas mouere; non tamen lac congerere, sicut illud superius. Aliud est Hippomarathrum, cuius semen rotundum est, & acre, simile semini coriandri, facultate quidem hippomarathro simile, sed debilius.

C

ϛ'. Περὶ μαστίχης.

ΜΑστίχη ἡ μὲν λευκὴ, καὶ Χία συνήθως ὀνομαζομένη, σύνθετός πώς ἐστιν ἐξ ἐναντίων δυνάμεων, στυπτικῆς, καὶ μαλακτικῆς. διὸ καὶ στομάχου, καὶ κοιλίας, καὶ ἐντέρων, καὶ ἥπατος φλεγμοναῖς ἁρμόττει, κατὰ τὴν δευτέραν ἀπόστασιν, θερμαίνουσα καὶ ξηραίνουσα. ἡ δὲ μέλαινα, ἡ Αἰγυπτία προσαγορευομένη, ξηραίνει τε μᾶλλον αὐτῆς, καὶ ἧττον τῆς στυπτικῆς μετέχει δυνάμεως, ὅθεν ἐπιτηδειοτέρα πώς ἐστι, πρὸς τὰ τῆς διαφορήσεως ἰσχυροτέρας δεόμενα. ταύτῃ γοῦν, καὶ τῶν δοθιήνων ἀγαθόν ἐστι φάρμακον. τὸ μέντοι μαστίχινον, ἔλαιόν τε καὶ μύρον, ἐκ μὲν τῆς Χίας σκευάζουσιν, ἐκ δὲ τῆς Αἰγυπτίας οὐ πάνυ τι. παραπλησίας δ' ἐστὶ, καὶ αὐτὸ δηλονότι τῇ μαστίχῃ δυνάμεως.

6. *De mastiche.*

MAstiche Candida quidem; & Chia consueto more cognominata, quodammodo ex contrariis composita facultatibus est, astringente videlicet, & emolliente. Proinde stomachi, ventris, intestinorum, iecorísque inflammationibus competit, vtputa, secundo ordine calefaciens, & desiccans. Nigra verò, quæ Ægyptia cognominatur, tum magis desiccat, tum minus astringit; quamobrem aptior quodammodo est ad ea, quæ validiorem digestionem per halitum exposcunt. Hac ratione, & D furunculis bonum est remedium. Porrò oleum vnguentúmque mastichinum ex Chia conficitur, non admodum sanè ex Ægyptia. Cæterùm similis est & ipsum mastichæ facultatis.

ζ'. Περὶ μελανθίου.

ΜΕλάνθιον, θερμαίνει μὲν καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. ἔοικε δὲ καὶ λεπτομερὲς ὑπάρχειν, οὕτω γοῦν καὶ καταῤῥοις ἰᾶται, θερμὸν ἐν ὀθονίῳ προσφερόμενον, ὡς ὀσμᾶσθαι συνεχῶς. καὶ μὲν δὴ καὶ ἀφυσότατόν ἐστιν, εἴσω τοῦ σώματος λαμβανόμενον, ᾧ δῆλον, ὡς λεπτομεροῦς τέ ἐστι, καὶ ἀκριβῶς ὑπὸ θερμότητος εἰργασμένης οὐσίας. διὰ τοῦτό γέ τοι, καὶ πικρόν ἐστιν. ἐδείκνυτο δ' ἐν τῷ τετάρτῳ τῶν δε τῶν ὑπομνημάτων, ὡς εἰς ἐσχάτην λεπτότητα, καὶ κατεργασίαν ἀφικνουμένης τῆς γεώδους οὐσίας ἡ πικρὰ γίνεται ποιότης. οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ τὰς ἕλμινθας ἀναιρεῖν πέφυκεν, οὐ μόνον ἐσθιόμενον, ἀλλὰ καὶ κατὰ τῆς γαστρὸς ἔξωθεν ἐπιτιθέμενον. ἐδείχθη γὰρ, ὡς καὶ τοῦτο πέφυκε δρᾶν ὁ πικρὸς χυμός. οὐ μὴν οὐδ' ὅτι λέπρας, καὶ ἥλους, καὶ μυρμηκίας ἐκβάλλει, θαυμαστόν ἐστι τῷ μεμνημένῳ τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων. οὕτω καὶ ὀρθόπνοιαν ὀνίνησι, καὶ καταμήνια προτρέπει, τὰ διὰ πάχος, ἢ γλισχρότητα χυμῶν ἐπεχόμενα, καὶ ὅλως ἔνθα τεμεῖν, καὶ ῥύψαι, καὶ ξηρᾶναι, καὶ θερμῆναι δεόμεθα, χρηστότατον ὑπάρχει τὸ φάρμακον.

7. *De melanthio, nigella.*

MElanthium calefacit, atque desiccat tertio ordine. Videtur etiam tenuium esse partium; hoc enim nomine catarrhos sanat calidum in linteo admotum, atque assiduò olefactum. Quin E etiam si intro in corpus sumatur, vel maximè flatus extinguit. Vnde constat essentiæ ipsum esse subtilium partium, & ad vnguem à caliditate elaboratæ; propterea sanè etiam amarum est. Ostensum verò in quarto horum voluminum est, quòd quum ad extremam tenuitatem, atque elaborationem terrena pertingit substantia, amara proueniat qualitas. Itaque mirum non est, si lumbricos interimat non esum modò, sed etiam foris ventri impositum; siquidem & id præstare posse saporem amarum monstratum est. Nec sanè etiam mirandum, si lepras, clauos, myrmecias eiiciat, ei præsertim, qui in superioribus libris comprehenF sorum haud est immemor. Sic verò etiam orthopnœam iuuat; & menses prouocat, qui vtique ob crassitiem, aut viscositatem humorum retenti fuerint. In summa verò, vbi sectione, extersione, desiccatione, calefactione est opus, præstantissimum id remedium est.

8. De

8. *De meliloto.*

MElilotum mixtæ facultatis est; habet enim quiddam astringens; sed & digerit, & concoquit; copiosior enim in eo est substantia calida, quàm frigida.

9. *De melle.*

MEl desiccat & calefacit ordine secundo. Est autem simplicis, quoad fieri potest, tum facultatis, tum temperamenti, extergentis, vt nobis appellare mos est, medicamentorum speciei existens. Porrò coctum minus acre abstersoriúmque redditur. Itaque ad sinuosorum vlcerum glutinationes eo vtũtur. Cæterũ si quod mel amarum est, ceu Sardoum, clarum est, & ipsum mixtæ esse facultatis; tanquam si nostrum quispiam ei absinthium admiscuisset. Sed & saccharum, vt vocant, quod ex India, atq; felici Arabia cõuehitur, concrescit quidẽ vt aiunt, circa calamos, & ipsum mellis est species minus certè nostrate dulcis, sed assimiles ei vires obtinens, quod ad abstergendũ, desiccandum, & digerendum attinet; porrò quatenus nec inimicum stomacho est, ceu nostras, nec sitim afferens, eatenus ab illo substantia differt.

10. *De melissophyllo, citragine.*

MElissophyllum Marrubio simile est facultate, sed plurimum ab eo vincitur. Quamobrem nec vtitur eo quispiam; superuacaneum siquidem foret, præsente marrubio, cuius tantus est vbique terrarum prouentus, velle vti melissophyllo. Cæterùm si cui fortè ad manum quandoque marrubium non fuerit, illo vti liceat, modò non exciderit, quod ab hoc exuperetur.

11. *De mespilo.*

MEspilum, alij Tricoccum nominant, quòd tria intus in vniuersum gerat grana, quorum vnumquodque arboris est semen, ceu ea, quæ in malis inueniuntur, ipsius mali; & quæ acini vuæ, vitis; & ficus grana, ceu Cenchramides. Arboris huius fructus admodum acerbus est, vixque edi potest, ventrem strenuè coërcens. Quin & in germinibus, & foliis acerba hæc qualitas non pauca reperitur.

12. *De medio trifolio odorato.*

MEdij radicem contra, atque fructum ipsum temperatam esse contigit: nam illa quidem austera est, & fluxiones cohibet quum alias, tum verò etiam profluuium muliebre quod vocant. At semen tantum abest, vt tale quid efficiat, vt etiam menses cieat, nimirum tenuium partium, & incidendi facultatis.

13. *De mecone, papauere.*

PApauer alterum rhoeas nuncupatum est, quòd scilicet celeriter flos eius defluat; alterũ domesticũ, quandoquidẽ colitur. Quin & aliæ duæ præter has sunt species syluestris papaueris, alterum velut insidentẽ calicem sustinens, alterũ longiorẽ,

A

η΄. Περὶ μελιλώτου.

ΜΕλίλωτον, μικτῆς ἐστι δυνάμεως. ἔχει μὲν γάρ τι καὶ στυπτικὸν, ἀλλὰ καὶ διαφορεῖ, καὶ συμπέττει. πλέον γὰρ ἐν αὐτῷ τὸ τῆς θερμῆς οὐσίας ἐστὶν, ἤπερ τὸ τῆς ψυχρᾶς.

θ΄. Περὶ μέλιτος.

ΜΕλι, καὶ ξηραίνει, καὶ θερμαίνει κατὰ τὴν δευτέραν τάξιν. ἔστι δ᾽ ἁπλῆς, ὡς ἔνι μάλιστα, δυνάμεώς τε

B καὶ κράσεως, τῆς ῥυπτικῆς ὀνομαζομένης ἡμῖν συνήθως ἰδέας ὑπάρχον τῶν φαρμάκων. ἑψηθὲν δὲ ἧττον μὲν δριμὺ, καὶ ῥυπτικὸν, ὅθεν εἰς τὰς τῶν κόλπων κολλήσεις αὐτῷ χρῶνται. εἰ δέ τι μέλι πικρόν ἐστιν, ὥσπερ καὶ τὸ ἐν Σαρδόνι, πρόδηλον, ὅτι καὶ τοῦτο μικτῆς ἐστι δυνάμεως, ὡς εἰ καὶ ἡμῶν τις ἀψίνθιον ἔμιξεν αὐτῷ. καὶ τὸ σάκχαρ δὲ καλούμενον, ὅπερ ἐξ Ἰνδίας τε καὶ τῆς εὐδαίμονος Ἀραβίας κομίζεται· περιπήγνυται μὲν, ὥς φασι, καλάμοις, ἔστι δέ τι καὶ αὐτὸ μέλιτος εἶδος. ἧττον μὲν ὄντο ἐστιν, ἢ τὸ παρ᾽ ἡμῖν γλυκύ. τὴν δύναμιν δὲ παραπλήσιον αὐτῷ, καθ᾽ ὅσον ἀπορρύπτει, καὶ ξηραίνει, καὶ διαφορεῖ, καθ᾽ ὅσον οὔτε

C κακοστόμαχόν ἐστιν, ὡς τὸ παρ᾽ ἡμῖν, οὔτε διψῶδες, ἀποκεχώρηκε τῆς οὐσίας αὐτοῦ.

ι΄. Περὶ μελισσοφύλλου.

ΜΕλισσόφυλλον πρασίῳ μὲν ἐστὶ παραπλήσιον τὴν δύναμιν, ἀπολείπεται δ᾽ αὐτοῦ πάμπολυ. διὰ τοῦτο, οὐδὲ κέχρηταί τις αὐτῷ. περιττὸν γὰρ πρασίου παρόντος, οὕτως ἀφθόνου πανταχόθεν τῆς γῆς, μελισσοφύλλῳ χρῆσθαι. εἰ μέντοι ποτὲ μὴ παρείη πράσιον, ἔνεστιν εἰς ὅσα περ ἐκείνῳ χρῆσθαι, γινώσκοντι τὸ τῆς ἐνεργείας ἐλλιπές.

D

ια΄. Περὶ μεσπίλου.

ΜΕσπιλον ἐνίοτε τρίκοκκον ὀνομάζουσιν, ὅτι τρεῖς ἔχει τοὺς πάντας κόκκους ἔνδον αὐτοῦ. σπέρμα δέ ἐστιν ἕκαστος αὐτῶν τοῦ δένδρου, καθάπερ καὶ τὰ ἐν τοῖς μήλοις ἐγκατασκήμματα τῆς μηλέας, καὶ τὰ γίγαρτα τῆς ἀμπέλου, καὶ κεγχραμίδες τῆς συκῆς. στρυφνὸς ἱκανῶς ὁ καρπὸς τοῦ δένδρου, καὶ μόγις ἐδώδιμος, ἐφεκτικὸς ἱκανῶς τῆς γαστρός. ἔστι δὲ κἂν τοῖς βλαστοῖς αὐτοῦ, κἂν τοῖς φύλλοις ἡ στρυφνὴ ποιότης οὐκ

E ὀλίγη.

ιβ΄. Περὶ μηδίου.

ΜΗδίου τὴν ῥίζαν πρὸς τὸν καρπὸν, ὑπεναντίως κεκρᾶσθαι συμβέβηκεν. ἡ μὲν γὰρ αὐστηρά τ᾽ ἐστὶ, καὶ ῥευμάτων ἐφεκτικὴ, τῶν τε ἄλλων, καὶ δὴ καὶ τοῦ καλουμένου ῥοῦ γυναικείου. τὸ δὲ σπέρμα, τοσοῦτον δεῖται τοιοῦτόν τι ποιεῖν, ὥστε καὶ προτρέπει καταμήνια, λεπτομεροῦς καὶ τμητικῆς ὑπάρχον δυνάμεως.

F

ιγ΄. Περὶ μήκωνος.

ΜΗκων, ἡ μὲν τις ῥοιὰς ὀνομάζεται, διότι ταχέως αὐτῆς ἀπορρεῖ τὸ ἄνθος. ἡ δέ τις ἥμερος, ἐπεὶ κηπεύεται, καὶ μὴν καὶ δύο ἐπ᾽ αὐταῖς εἰσιν ἕτεραι μήκωνες ἄγριαι, ἡ μὲν οἷον ἐγκαθημένην ἔχουσα τὴν κωδύαν, ἡ δὲ ἐπιμηκεστέραν μὲν

ταύτης, ὅλη δ' αὐξανεστέρα, καὶ αὐχμηροτέρα. ταύτης τῆς A μήκωνος ὁ ὀπὸς ἀπορρεῖ, διὸ δὴ καί τινες ὀνομάζουσιν αὐτὴν ῥοιάδα. ἡ δὲ δύναμις ἁπασῶν, ψυκτική. ἀλλὰ τῆς μὲν κηπευομένης, ἣν δὴ καὶ θυλακῖτιν προσαγορεύουσι, μετρίως ἐστὶν ὑπνῶδες τὸ σπέρμα λευκὸν ὀφθῆναι. ταῦτα ἄρα, καὶ τοῖς ἄρτοις ἐπιπάττουσιν αὐτὸ, καὶ σὺν μέλιτι δεύσαντες ἐσθίουσι. τῆς δὲ προτέρας ῥηθείσης, ἧς ταχέως ἀπορρεῖν φαμὲν τὸ ἄνθος, ἰσχυρότερον ψύχει τὸ σπέρμα, ὥστε οὐκ ἂν αὐτῷ μόνῳ χρήσαιτό τις ἀλύπως, ὥσπερ τῆς κηπευομένης μέλιτι μιγνύων. ὑπνῶδες δέ ἐστιν ἱκανῶς οὕτω ληφθὲν, ἀλλ' ὀλίγον ἐπιπάττουσιν αὐτὴν, τοῖς τε διὰ μέλιτος πέμμασι, καὶ ἰτρίοις, καὶ τοῖς B ἄρτοις. τῆς δὲ τρίτης ῥηθείσης τὸ σπέρμα μέλαν ὑπάρχον, ἤδη φαρμακῶδές ἐστιν ἱκανῶς ψυχρόν. ἡ δὲ τετάρτη ῥηθεῖσα φαρμακωδεστάτη πασῶν ἐστι, καὶ κατὰ τὸ σπέρμα, καὶ κατὰ τὰς κωδείας, καὶ κατὰ τὰ φύλλα, καὶ κατὰ τὸν ὀπόν· ἰσχυρῶς γὰρ ψύχει, μέχρι νάρκης ἄγουσα, καὶ νεκρώσεως, ὅθεν ἰατροὶ τὸ χρήσασθαι καλῶς αὐτῇ, μιγνύντα φαρμάκοις, ἀμβλύνουσι τὸ τῆς ψύξεως ἰσχυρόν. ἔστι γὰρ ἐκ τῆς τετάρτης ἐσχάτης τε τάξεως τῶν ψυχόντων, ὡς δ' ἄν τις μάλιστα μεθόδῳ ποιοῖτο τὴν μίξιν, οὐ τῆς ἐνεστώσης πραγματείας ἴδιον, ἀλλὰ τῆς περὶ συνθέσεως φαρμάκων, ἣν ἐφεξῆς τῇδε γράφομεν. C

quã illud calicẽ obtinens, totum autẽ procerius, ac squallidius. Ab hoc succus defluit; atque hinc est, quòd hãc speciem quidã rhœada nominẽt. Porrò omniũ facultas refrigeratoria est. Cæterũ satiui semen, quod & thylacite cognominãt, mediocriter somnũ cõciliat, visu candidũ; proinde pani ipsum inspergũt, ac melle maceratũ edunt. At eius, quod primo loco recensuimus, cuius florẽ celeriter decidere posuimus, validius semen refrigerat; itaq; nequaquã eo quis innoxiè solo vti possit, sicut satiuo, siue domestico, melli admiscẽs. Admodũ verò, si ita sumptũ sit, somnũ conciliat. Cæterùm pusillum eius inspergũt iis, quæ ex melle cõficiuntur, bellariis, atq; itriis, panibúsque. Porrò tertio loco dicti semen atrũ, etiam medicamentosum est, admodũ refrigerans. At quod quarto loco positum est, omnium est medicatissimũ, tum in semine, tum in caliculis, tum in foliis, tum in succo. Validè enim refrigerat, ad stuporẽ vsque, & mortẽ perducẽs. Sed medici, quo probè eo vtantur, medicamentis miscentes, frigiditatis vehementiam retundunt. Est enim ex quarto & vltimo refrigerantium ordine. Porrò quo pacto maximè ex methodo mixtionẽ facere oporteat, non est præsentis tractationis proprium, sed eius, quæ de componendis medicamentis agit, quæ post hoc opus à nobis exponetur.

ιδ'. Περὶ μήκωνος κερατίτιδος.

Μήκων κερατῖτις, ὠνόμασται μὲν ἀπὸ τοῦ καρποῦ βραχεῖαν ἐπιστροφὴν ἔχοντος, ὥσπερ καὶ ἡ τῆλις, ὡς ἐοικέναι βοὸς κέρατι. καλεῖται δὲ ὑπό τινων παραλία μήκων, ἐπειδὴ τὰ πολλὰ πλησίον τῆς θαλάττης φύεται. δύναμιν δ' ἔχει τμητικὴν, καὶ ῥυπτικὴν, ὥστε ἡ μὲν ῥίζα τῆς πόας ἐν ὕδατι καθεψηθεῖσα, μέχρι ἡμίσεος, ἡπατικὰς ὠφελεῖ διαθέσεις. τὰ δὲ φύλλα, καὶ τὰ ἄνθη, τὰ ῥυπαρὰ σφόδρα, καὶ κακοήθη τῶν ἑλκῶν ὀνίνησιν. D ἀφίστασθαι δὲ αὐτῶν χρὴ καθαρῶν γινομένων τῶν ἑλκῶν. εἰς τοσοῦτον γὰρ ῥύπτειν πέφυκεν, ὥστε καὶ αὐτῆς τῆς καθαρᾶς σαρκὸς ἀποτήκειν τι. διὰ ταύτην γέ τοι τὴν ἰσχὺν, οὐ τὸν ῥύπον μόνον, ἀλλὰ καὶ τὰς ἐσχάρας ἀφαιρεῖ τῶν ἑλκῶν.

14. *De mecone seratitide, papauere corniculato.*

Papauer corniculatum, nominatum quidẽ sic est à fructu leuem inuersionẽ habente, velut & fœnum Græcum, vt bouis cornu esse videatur simile. Vocatur porrò à quibusdã Paralium, quandoquidem vt plurimum iuxta mare nascitur. Vim habet incidendi, & abstergendi. Itaque radix herbæ in aqua decocta ad dimidium, hepaticos affectus adiuuat. Porrò folia, & flores sordida admodum, & contumacia vlcera iuuant; sed ea reiicere oportet, vlceribus iam expurgatis; adeo enim abstergere valent, vt & puræ quoque carnis nonnihil eliquent. Hoc virium robore non sordem duntaxat, sed & crustam vlceribus detrahit.

ιε'. Περὶ μήκωνος ἡρακλείας.

Μήκων ἡρακλεία, καλεῖται δὲ καὶ ἀφρώδης, ὅτι σύμπασα λευκή τ' ἐστὶ, καὶ ἀφρώδης οὖσα σμικρά. καθαρτικὸν δ' ἔχει φλέγματος τὸ σπέρμα.

15. *De mecone heraclio, papauere herculeo.*

Papauer Herculeum. Vocatur verò spumosum, eo quod totum candidum est, & spumosum, exile. Semen habet pituitam expurgans.

E

ις'. Περὶ μηλέας.

Μηλέα οὐ πᾶσά ἐστι μιᾶς φύσεως, ὥσπερ οὐδὲ τοῦ καρποῦ. τὰ μὲν γάρ ἐστι γλυκέα τῶν μήλων, τὰ δ' αὐστηρὰ, τὰ δὲ στρυφνὰ, τὰ δ' ὀξέα, τὰ δὲ τελέως ἔκλυτα, καὶ ὑδατώδη, καὶ δὴ καὶ κρατεῖ τὸ μὲν ὑδατῶδες ἐν τούτοις, ὡς εἶναι τὴν κρᾶσιν αὐτῶν ὑγροτέραν τε καὶ ψυχροτέραν, τὸ γεῶδες ψυχρὸν ἐν τοῖς στρυφνοῖς, ἐν δὲ τοῖς αὐστηροῖς, τοῦτό τε καὶ τὸ ὑδατῶδες ψυχρὸν, ὥσπερ ἐν τοῖς γλυκέσι τὸ ὑδατῶδες εὔκρατον. οὕτω δὲ καὶ τὰ φύλλα, καὶ οἱ χυλοὶ, καὶ οἱ φλοιοὶ τῶν δένδρων ἀλλήλων διαφέρουσιν, ὥστ' ἔχοις αὐτοῖς μὲν αὐστηροτέ- F ροις τε καὶ ὀξυτέροις, τραύματά τε κολλᾶν, καὶ τῶν ἐν γινομένῃ φλεγμονῶν ἀναστέλλειν τὸ ἐπιρρέον, καὶ στόμαχον ἔκλυτον, καὶ γαστέρα ῥωννύναι. τοῖς δ' ὑδατωδεστέροις τὰς μετρίας φλεγμονὰς, ἀρχομένας τε καὶ ἐπιδιδούσας ἀνιέναι. τῆς θεραπευτικῆς δ' ἐστὶν ἤδη ταῦτα μεθόδου, διὸ καὶ θᾶττον ἀπολειπτέον αὐτά.

16. *De malo.*

Malus non omnis vnius naturæ est, velut nec eiusdem fructus. Quippe quædam mala dulcia sunt, quædam austera, nonnulla acerba, nonnulla acida, alia extremè exoluta, & aquea. Et sanè in istis aqueum exuperat, vt temperies eorum sit, tum humidior, tum frigidior; in acerbis, tum terrenum frigidum; in austeris verò, tum istud, tum aqueum frigidum; sicut in dulcibus aqueum temperatum. Sic quoque succi, cortices, foliáque arborum inter sese dissident. Itaque si austeriora sint, atque acidiora, vulnera illis glutinare possis, tum in phlegmonarum principio fluxionem repercutere, ac stomachum ventrémque exolutum, ac languidum roborare; at aquosioribus, mediocres phlegmonas incipientes & gliscentes remittere. Sed hæc iam ad curandi rationem attinẽt; proinde ea citiùs etiam relinquenda.

Porrò

A Porrò quòd plurima pomis omnibus excrementitia frigidáq; insit humiditas, vel hinc liqueat, quòd eorũ omnium nullus omnino succus durare, ac vetustatẽ ferre possit, verùm acescant, corrũpantúrq; vniuersi. Solus enim cydoniorũ, & struthiorũ (vtpote quæ propter vincentẽ astrictionẽ minus cæteris sunt humida) succus coctus cum melle durare potest; tametsi ipse per se non ita durare queat.

ὅτι δὲ παμπόλλη τις ἅπασι τοῖς μήλοις ὑγρότης ἐμφέρεται περιττωματικὴ καὶ ψυχρὰ, δῆλον κἀκ τοῦ μηδενὸς αὐτῶν τὸν χυλὸν διαμένειν, ἀλλ' ὀξύνεσθαί τε καὶ φθείρεσθαι πάντας. μόνον γὰρ τῶν κυδωνίων, καὶ στρουθίων, ἃ δὴ διὰ τὴν ἐπικρατοῦσαν στύψιν, ἧττόν ἐστιν ὑγρὰ τῶν ἄλλων, ὁ χυλὸς ἑψηθεὶς μετὰ μέλιτος οἷός τε διαμένειν ἐστίν. αὐτὸς δὲ καθ' ἑαυτὸν, οὐδ' οὕτως μόνιμος.

17. *De malo persica.*

B Malus Persica. Hæc vulgò nunc ab omnibus vocantur Persica tantum, illo videlicet omisso malo. Ipsa igitur arbor in germinibus, & foliis vincentem habet amaram qualitatem. Proinde folia eius trita, & super vmbilicum imposita lumbricos necant. Alioqui sanè etiam discutiens medicamentum est, fructus eius, nempe esculentum hoc persicum, humidior est, & frigidior temperie.

ιζ'. Περὶ μηλέας Περσικῆς.

Μηλέα περσικὴ καλεῖται συνήθως ὑπὸ πάντων ἤδη περσικὴ μόνον, αὐτὸ δὴ τοῦτο παραλιπόντων τὸ μῆλον. τὸ δένδρον ἔν τε τοῖς βλαστοῖς, καὶ τοῖς φύλλοις, ἐπικρατοῦσαν ἔχει τὴν πικρὰν ποιότητα, καὶ διὰ τοῦτο αὐτοῦ τὰ φύλλα τὰς ἕλμινθας ἀποκτείνει λειωθέντα, καὶ κατὰ τοῦ ὀμφαλοῦ ἐπιτεθέντα. καὶ ἄλλως δὲ, διαφορητικόν ἐστι φάρμακον. ὁ δὲ καρπὸς αὐτοῦ, τοῦτο δὴ ἐδώδιμον περσικὸν, ὑγρότερόν τ' ἐστὶ, καὶ ψυχρότερον τὴν κρᾶσιν.

18. *De malo Armenica.*

C Malus Armenica. Huius vetus nomen deficit; vocant enim omnes, tum fructum, tum arborem, præcocion. Fructus humidior frigidiórque est, vtrumque secundo quodammodo excessu perpessus.

ιη'. Περὶ μηλέας Ἀρμενιακῆς.

Μηλέα ἀρμενιακή. ταύτης ἐκλέλειπται τὸ παλαιὸν ὄνομα. καλοῦσι γὰρ ἅπαντες, καὶ τὸν καρπὸν, καὶ τὸ δένδρον πρεκόκκιον. ἔστι δὲ ὑγρός τε, καὶ ψυχρὸς ὁ καρπὸς, ἄμφω κατὰ δευτέραν που μάλιστα πεπονθὼς ἀπόστασιν.

19. *De malo Medica.*

Malus Medica. Huius fructus non amplius malum Medicum, sed ab omnibus citrium nuncupari assolet. In semine quidem vincentem habens qualitatem acidam, & siccam, vt ipsum tertij sit ordinis resiccantium, refrigerantiúmque; in cortice verò itidem desiccantem temperiem est sortitus, non parum tamen habentem acrimoniæ, proinde desiccat hic secundo excessu, non tamen frigidus est, sed aut temperatus, aut paulo infrà. Porrò caro eius pariter crassi succi est, & pituitosa, frigidáque; nam & ipsa editur sicut & cortex. Semen omni ineptum est, tum humidum illud, & acidum, de quo primum disserui, & nucleus, qui in illo inuenitur, id quod re vera semen est, hic amarus est, & digerendi videlicet, siccandíque facultatem obtinens, secundo quodammodo ordine à temperatis recedens. Folia verò denique exiccandi, ac discutiendi vim obtinent.

ιθ'. Περὶ μηλέας Μηδικῆς.

Μηλέα Μηδική. ταύτης ὁ καρπὸς οὐκέτι μῆλον Μηδικὸν, ἀλλὰ κίτριον ὑπὸ πάντων ὀνομάζεται, κατὰ μὲν τὸ σπέρμα, τὴν ὀξεῖαν ποιότητα, καὶ ξηραντικὴν D δύναμιν ἐπικρατοῦσαν ἔχον, ὡς τῆς τρίτης εἶναι τάξεως ἀπὸ τῶν ξηραινόντων τε καὶ ψυχόντων. κατὰ δὲ τὸν φλοιὸν, ξηραινούσης κἀνταῦθα μετείληφε κράσεως, ἀλλ' οὐκ ὀλίγον ἐχούσης τὸ δριμὺ, διὸ καὶ ξηραίνει τοῦτο, κατὰ δευτέραν ἀπόστασιν. οὐ μὴν ψυχρόν γ' ἐστὶν, ἀλλ' ἤτοι σύμμετρον, ἢ βραχύ τι κατωτέρω. ἡ δὲ σὰρξ αὐτοῦ παχύχυμός τέ ἐστι, καὶ φλεγματικὴ, καὶ ψυχρὰ, αὐτὴ μὲν γὰρ ἐσθίεται, καθάπερ καὶ ὁ φλοιός. τὸ δὲ σπέρμα πάνυ ἄβρωτον, τό θ' ὑγρὸν, καὶ ὀξῶδες, ὑπὲρ οὗ πρώτου διείλεγμαι, καὶ ὁ ἐν αὐτῷ πυρὴν εὑρισκόμενος, ὅσπερ ὄντως ἐστὶ σπέρμα. πικρὸς δ' οὗτος ἐστὶ, καὶ δηλονότι διαφορητικὸς, E καὶ ξηραντικὸς κατὰ τὴν δευτέραν που τάξιν ἀφεστηκὼς τῶν συμμέτρων. καὶ τὰ φύλλα δὲ ξηραντικῆς τέ ἐστι, καὶ διαφορητικῆς δυνάμεως.

20. *De meo.*

Meum. Huius radices perutiles sunt, calidæ tertio ordine, siccæ secundo. Proinde vrinam mensésque ciere volentes hoc vtuntur pharmaco. Sed si plusculum sumatur, capiti dolorem mouet, vtpote quum plusculum sit calidum, quàm siccum, quippe quum humiditatem crudiusculam etiamnum & flatuosam caliditas, quæ F in ipso est, ad caput deferat, atque ita ipsum afficiat, lædátque.

κ'. Περὶ μήου.

Μῆον. αἱ ῥίζαι τούτου χρήσιμοι, θερμαὶ μὲν κατὰ τὴν τρίτην ἀπόστασιν ὑπάρχουσαι, ξηραὶ δὲ κατὰ τὴν δευτέραν. διὰ τοῦτο γοῦν οὖρά τε κινῆσαι βουλόμενοι, καὶ καταμήνια προσκαλέσασθαι, χρῶνται τῷ φαρμάκῳ. κεφαλαλγές τ' ἐστὶ πλεῖον λαμβανόμενον, ὡς ἂν ἐπὶ πλέον ὑπάρχον θερμὸν, ἢ ξηρόν. ὑγρότητα γὰρ ἀπεπτοτέραν τε ἔτι, καὶ φυσωδεστέραν ἡ ἐν αὐτῇ θερμότης ἀναφέρουσα πρὸς τὴν κεφαλὴν, οὕτως αὐτὴν ἀδικεῖ.

A

κα΄. Περὶ μίλακος τραχείας.

ΜΙλαξ ἡ τραχεῖα, κληματώδης ἐστὶν, ὡς ἑλίττεσθαι περὶ τὰ δένδρα πολυειδῶς, ἄνω καὶ κάτω. τὰ δὲ φύλλα καὶ γευσάμενα, δριμύ τι ἔχει, καὶ ἄλλως χρώμενα θερμαίνει.

κβ΄. Περὶ μίλακος λείας.

ΜΙλαξ ἡ λεία. παραπλησία πώς ἐστι τῇ προειρημένῃ, κατὰ τὴν δύναμιν.

B

κγ΄. Περὶ μορέας.

ΜΟρέας ὁ καρπὸς, ὁ μὲν πέπειρος ὑπάγει γαστέρα, ὁ δὲ ἄωρος ξηρανθεὶς, στεγνωτικὸν ἱκανῶς γίνεται φάρμακον, ὥστε καὶ πρὸς δυσεντερίας ἁρμόττει, καὶ κοιλιακὰς διαθέσεις, καὶ τὰς ἄλλας ὅσαι ῥοώδεις. κόπτεται δὲ, καὶ τοῖς ὄψοις μίγνυται, καθάπερ καὶ ὁ τῆς ῥοῦ καρπὸς, ἢ εἴ τις ἐθέλει δι' ὕδατος, ἢ οἴνου πίνεται. ὅτι δὲ ὁ τῶν πεπείρων χυλὸς εἰς τὰ στοματικὰ φάρμακα χρήσιμος ὑπάρχει, διὰ τὴν συνοῦσαν αὐτῷ στύψιν, οὐδεὶς ἀγνοεῖ. καὶ πρὸς ἄλλα δὲ δηλονότι πολλὰ τῶν κατὰ μέρος, ὅσα μετρίας δεῖται στύψεως ἁρμόττει. τὰ δὲ ἄωρα, πρὸς τῇ στρυφνότητι, καὶ ὀξύτητος μετέχει. καὶ τὸ σύμπαν δένδρον, ἐν ἅπασι τοῖς αὐτοῦ μέρεσι μικτήν τινα δύναμιν ἔοικεν ἔχειν, ἔκ τε στυπτικῆς τε καὶ καθαρτικῆς συγκειμένην. ἐπικρατεῖ δὲ, ἐν μὲν τῷ φλοιῷ τῆς ῥίζης, ἡ καθαρτικὴ μετά τινος πικρότητος, ὥστε καὶ πλατεῖαν ἕλμινθα κτείνει. ἐν δὲ τοῖς ἄλλοις μορίοις, ἡ στυπτική. κατὰ δὲ τὰ φύλλα, καὶ τοὺς βλαστοὺς, μέση πως ἀμφοῖν ἐστιν ἡ κρᾶσις.

κδ΄. Περὶ μυάγρου.

ΜΥάγρου τὸ σπέρμα λιπαρόν ἐστιν, ὥστ' εἰ καὶ θλασθείη, μεθιέναι ἐλαιῶδές τι, δυνάμεως ἐμπλαστικῆς ὑπάρχον.

κε΄. Περὶ μυκήτων.

ΜΥκης, ψυχρὸν καὶ ὑγρὸν ἱκανῶς φυτὸν, ὅθεν καὶ δηλητηρίου δυνάμεως ἐγγὺς ἥκει. καὶ τινές γε ἐξ αὐτῶν, καὶ ἀναιροῦσι, καὶ μάλιστα ὅσοι τὴν φύσιν ἐπίμικτον ἔχουσιν σηπεδονώδει τινὶ ποιότητι.

κϛ΄. Περὶ μύλης.

ΜΥλης ἡ ῥίζα μικρῷ βολβῷ παραπλήσιος ὑπάρχουσα, συνακτικῆς ἐστι δυνάμεως, ὥστε καὶ μετ' αἰρίνου ἀλεύρου προστιθεμένην αὐτὴν, ἀνεστομωμένην μήτραν ἰᾶσθαί φησι Διοσκορίδης.

κζ΄. Περὶ μυὸς ὠτός.

ΜΥος ὠτίς. ἔνιοι δὲ μυὸς ὦτα. ξηραίνει μὲν κατὰ τὴν δευτέραν τάξιν. θερμότητα δὲ οὐδεμίαν ἐπιφανῆ κέκτηται.

F

κη΄. Περὶ μυρίκης.

ΜΥρίκη, ῥυπτικῆς, καὶ τμητικῆς ἐστι δυνάμεως, ἄνευ τοῦ ξηραίνειν ἐπιφανῶς, ἔχει δέ τινα καὶ στύψιν. καὶ διὰ ταύτας τὰς ποιότητάς τε, καὶ δυνάμεις, σπλῆνα μὲν ἱκανῶς ὀνίνησιν ἐσκιρρωμένον, σὺν ὄξει, ἢ οἴνῳ τῶν ῥιζῶν, ἢ τῶν ἀκρεμόνων, ἢ τῶν φύλλων ἀφεψομένων. ἰᾶται

21. De *milace aspera.*

MIlax aspera clauiculis plena est; variè namque arboribus circumuoluitur sursum deorsum. Folia leuiter acria gustantibus sunt, & alioqui vtentibus calida.

22. De *milace leui.*

MIlax læuis quodammodo iam dictæ similes vires obtinet.

23. De *moro.*

MOri fructus maturus quidem ventrem subducit; immaturus verò vbi aruerit, admodum restringit. Itaque ad dysenterias accommodus est, & affectiones cœliacas, & quascunq; alias fluentes. Contunditur autem, ac obsoniis commiscetur, velut Rhoi fructus; aut si cui ita videatur, ex aqua, aut vino bibat. Porrò quod maturorum succus ad stomatica medicamenta sit vtilis, propter eam videlicet quæ inest illi astrictionem, neminem latet. Præterea ad alia complura particularia, quæ mediocrem poscunt astrictionem competit.

C

At immatura mora præter acerbitatem, & aciditatem sortitá sunt. Et tota adeo arbor in omnibus suis partibus mixtam aliquam vim obtinere videtur ex restringente, & purgante compositam; attamen in radicis cortice purgatoria cum quadam amaritudine exuperat, adeo, vt & latum lumbricum interficiat; In aliis autem partibus restringens vincit; In foliis tamen & germinibus quodammodo media vtrisque temperies est.

24. De *myagro.*

D

MYagri semẽ pingue est; nã si tũdatur, oleosũ quid effũdit, quod emplasticã vim obtinet.

25. De *myectibus, fungis.*

FVngus frigida humidáque admodum planta est; quamobrem etiam proximè ad deleteriam, & enecantem facultatem accedit. Et sanè inter eos sunt, qui interficiant, potissimum qui ex natura mixtam habent qualitatem putredinosam.

26. De *myle, mola.*

E

MOlæ radix paruo bulbo similis est, facultatis contrahentis. Nam cum farina lolij apposita, apertam vuluam sanare scribit Dioscorides.

27. De *myosotide, auricula muris.*

AVricula muris, quidam verò myos ota, desiccat secundo ordine; cæterùm nullam euidentem caliditatem possidet.

28. De *myrice, tamarice.*

TAmarix abstergentis est, ac incidentis facultatis, absque perspicua desiccatione; habet verò etiam astrictionem nonnullam. Has ob qualitates, facultatésque admodum prodest lieni indurato decocta cum aceto, aut vino; siue radice, siue foliis, siue extremis ramulis decoctis. Sanat porrò

porrò dentium dolores. Cæterùm fructus & cortex non paucam sortita sunt astrictionem, adeo vt gallæ omphacitidi proxima sint; nisi quod acerbitas euidens est in galla; sed myricæ fructui temperies inest inæqualis; immixta est enim naturæ eius multa vis abstergendi, atq; partium tenuitas, quod sanè gallæ non accidit. Attamen vbi galla fortè ad manum non erit, eo vti liceat ad omnia ad quæ illa vtimur; ad eadem & cortice. Porrò tamaricis combustæ cinis admodum desiccatoriæ facultatis est, plurimam habens abstergendi, & incidendi facultatem, pauxillam astringendi.

A δὲ καὶ ὀδονταλγίας. ὁ καρπὸς δέ, καὶ ὁ φλοιός, οὐ βραχεῖαν στύψιν προσειλήφασιν, ὥστε καὶ κηκῖδος ὀμφακίτιδος ἐγγὺς ἥκειν, πλὴν ὅσῳ μὲν ἡ στρυφνότης ἐναργής ἐστιν ἐν τῇ κηκῖδι. τοῦ δὲ καρποῦ τῆς μυρίκης, ἡ κρᾶσις ἀνώμαλος. ἀναμέμικται γὰρ αὐτοῦ τῇ φύσει πολὺ τὸ ῥυπτικόν τε, καὶ λεπτομερές, ὃ μὲν οὐχ ὑπάρχει τῇ κηκῖδι. χρήσασθαι μέντοι τις αὐτῷ δύναται, μὴ παρούσης κηκῖδος εἰς ὅσα περ ἐκείνη, κατὰ τὰ αὐτὰ καὶ τῷ φλοιῷ. καὶ ἡ τέφρα δὲ καυθείσης τῆς μυρίκης, ξηραντικῆς ἱκανῶς ἐστι δυνάμεως, ἐχούσης πλεῖστον μὲν τὸ ῥυπτικόν τε καὶ τμητικόν, ὀλίγον δὲ τὸ στυπτικόν.

B

29. *De millefolio.*

MIllefolium vsque eo desiccatoriæ facultatis est, vt vulnera glutinet.

κθ΄. Περὶ μυριοφύλλου.

ΜΥριόφυλλον, ξηραντικῆς ἐστιν εἰς τοσοῦτο δυνάμεως, ὡς κολλᾶν τραύματα.

30. *De myrrhide.*

MYrrhis, quidam Myrrhan nominant, radicem habet odoris iucundi, & dulcem, quæque menses moueat, tum ea quæ thoracem, ac pulmonem grauant, expurgantem. Itaque ex secundo ordine fuerit calefacientium, adiuncta quadam partium tenuitate.

λ΄. Περὶ μύῤῥιδος.

ΜΥῤῥις, ἔνιοι δὲ μύῤῥαν ὀνομάζουσιν, εὐώδη, καὶ γλυκεῖαν ἔχει τὴν ῥίζαν, ἐπιμηνίων τε κινητικήν, καὶ τοῦ θώρακος, καὶ πνεύμονος ἀνακαθαρτικήν, ὥστ' εἴη ἂν ἐκ τῆς δευτέρας τῶν θερμαινόντων τάξεως, ἔχουσά τι καὶ
C λεπτομερές.

31. *De myrto.*

MYrtus. Ex contrariis substantiis hæc planta constat; vincit tamen in ea frigidum terrenum. Habet verò etiam quiddam tenuium partium calidum. Itaque valenter desiccat. Porrò tum folia, tum germina, tum fructus, tum succus, non parum inter se in astrictione diffident. Porrò quod ramis, & trunco adnascitur tuberosum, quam quidam Myrtada nuncupant, quanto dictis siccius est, tanto & desiccat, & astringit vehementius. Quidam id reponunt tundentes, postea vino subigentes, ac in pastillos formantes. Folia item arida viridibus plus desiccant; miscetur enim virentibus humiditas quædam. Porrò succus non tantum ex virentibus foliis exprimitur, sed & ex fructu. Constipandi vim hæc omnia habent, tum foris imposita, tum intrò sumpta in corpus, quòd scilicet nondum vllam deleteriam, aut purgatoriam substantiam habeant admixtam.

λα΄. Περὶ μυῤῥίνης.

ΜΥῤῥίνη. ἐξ ἐναντίων, καὶ τοῦτο τὸ φυτὸν, οὐσιῶν σύγκειται. ἐπικρατεῖ δ' ὅμως ἐν αὐτῷ γεῶδες ψυχρόν, ἔχει δὲ καὶ λεπτομερὲς θερμόν, ὅθεν ἰσχυρῶς ξηραίνει. ἔστι δὲ καὶ τὰ φύλλα, καὶ οἱ βλαστοί, καὶ ὁ καρπός, καὶ ὁ χυλός, οὐ πολλῷ τινι διαφέροντα, κατὰ τὴν στύψιν. ἡ μέντοι τοῦ στελέχει τε, καὶ τοῖς κλάδοις αὐτῆς ἐπίφυσις ὀζώδης, ἣν ἔνιοι μυρτάδα ὀνομάζουσιν. εἰς ὅσον δὲ
D ἐστι ξηροτέρα τῶν εἰρημένων, εἰς τοσοῦτο, καὶ ξηραίνει, καὶ στύφει σφοδρότερον. ἀποτίθενται δ' αὐτὴν ἔνιοι κόπτοντες, κἄπειτ' ἀναλαμβάνοντες οἴνῳ, καὶ τροχίσκους ἀναπλάττοντες. ἔστι δὲ καὶ τὰ ξηρὰ φύλλα τῶν χλωρῶν ξηραντικώτερα, μέμικται γάρ τις ὑγρότης δηλονότι τοῖς χλωροῖς. ὁ δὲ χυλὸς οὐκ ἐκ τῶν φύλλων μόνον ἐκθλίβεται τῶν χλωρῶν, ἀλλὰ καὶ ἐκ τοῦ καρποῦ. στεγνωτικῆς δ' ἐστὶν ἅπαντα ταῦτα δυνάμεως, ἔξωθέν τε τοῦ σώματος ἐπιτιθέμενα, καὶ εἴσω λαμβανόμενα, διὰ τὸ μηδεμίαν ἀναμεμιγμένην ἔχειν ἤδη δηλητήριον, ἢ καθαρτικὴν οὐσίαν.

E

32. *De moly.*

MOly. Hoc quidam vocant rutam syluestrem. Nonnulli Harmolam, Syri Besasan sicut Cappadoces moly, quia radicem habeat nigram, & florem lacteum. Vis eius tenuium partium est, & calida tertio ordine. Vnde & crassos, & viscosos humores incidit, ac discutit, & vrinam mouet.

λβ΄. Περὶ μώλυος.

ΜΩλυ. τινὲς τοῦτο πήγανον ἄγριον ὀνομάζουσιν, ἔνιοι δὲ ἅρμαλαν, Σύροι δὲ βησασάν, ὥσπερ δὴ καὶ οἱ Καππαδόκαι μῶλυ, διότι τῇ ῥίζῃ μέν ἐστι μέλαν, ἄνθος δ' ἔχει γαλακτῶδες. ἡ δύναμις δ' αὐτοῦ λεπτομερής τ' ἐστί, καὶ θερμὴ κατὰ τὴν τρίτην ἀπόστασιν, ὅθεν καὶ τέμνει τοὺς παχεῖς, καὶ γλίσχρους χυμούς, καὶ διαφορεῖ, καὶ ἐπ' οὔρησιν παρατρέπει.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ, ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS, LIBER OCTAVVS.

ΠΡΟΟΙΜΙΟΝ.

Τὰς μόνας τῶν ἁπλῶν φαρμάκων δραστικὰς ποιότητας ἐν τοῖσδε τοῖς βιβλίοις λέγεσθαι· καὶ τί ἀναμνηστέον ἐστὶν ἐκ τῶν πρόσθεν εἰρημένων.



ΟΣΟΝ μὲν οὖν ὑπόλοιπόν ἐστι τῆς κατὰ φυτὰ δυνάμεως, ἐν τῷδε λεχθήσεται, οὐδὲ τοῦτο ἅπαν, ἀλλ' αἱ τῶν δραστικῶν ποιοτήτων ἐνέργειαι μόναι. τὰ γὰρ ὅλης ἔργα τῆς οὐσίας τῶν φυτῶν, ὕστερον αὐτὰ καθ' αὑτὰ δίειμι. ἀναμνήσαντες οὖν πάλιν κατ' αὐτὰ τοὺς ἀνεγνωκότας τὰ πρόσθεν, ὡς καθ' ἑκάστην δύναμιν ἁπλῆν εἰς τάξεις τέτταρας ἐποιησάμεθα τὴν ἐν τῷ μᾶλλόν τε, καὶ ἧττον διαίρεσιν, ὅπῃ τε σαφέσιν ὅροις ἑκάστης τάξεως τὸ πλάτος ἀφωρισάμεθα, καὶ αὐτῆς τῶν δυνάμεων εὑρέσεως ἐδιδάξαμεν τινα μέθοδον, ἁπάντων τε τούτων ἀποδείξεις ἐποιησάμεθα, καὶ σκοποὺς ἐθέμεθα, καὶ κριτήρια καθ' ἑκάστην δύναμιν ἴδιά τε, καὶ κοινά, προσθήσομεν οὕτως ἤδη τὰ λείποντα, παρακαλέσαντες, εἴ τις οὐχ ὡμίλησε τοῖς ἔμπροσθεν, ἤτοι καὶ τούτων ἀφίστασθαι παντάπασιν, ἢ εἴπερ ἐστὶ φιλόπονος, ἐξ ἀρχῆς πρότερον ἀναλέξασθαι τὴν πραγματείαν. ἀσαφῆ τε γὰρ ἅμα, καὶ ἀναπόδεικτα πάντ' αὐτῷ φανεῖται τὰ λεχθησόμενα, πρὶν ἐν ἐκείνοις γυμνάσασθαι.

PROOEMIVM.

Qualitates tantùm effectrices simplicium medicamentorum hisce libris tractari; ac quid ex iis quæ ante tractata sunt, in memoriam reducendum.



A QVANTVM itaque reliquum est facultatis in plantis, id hoc libro dicetur; nec id quidem omne, sed tantum effectricium qualitatũ actiones. Nam totius substantiæ plantarum opera postea per se exponam. Commonefactis itaque lectoribus de iis quę supra tractauimus, nempe quòd cuiusque simplicis facultatis in maioris minorísque ratione discrimen quatuor ordinibus notauimus; quódque perspicuis limitibus cuiusque ordinis latitudinem circumscripsimus; tum quòd inueniendarum facultatum rationem quandam, ac viam docuimus, horúmque omnium de- B monstrationes confecimus, ac scopos posuimus, & cuiusque facultatis iudicandi normas, tum peculiares, tum communes, sic iam reliqua adiiciemus, hortantes, si quis sit, qui in superioribus versatus non sit, vt aut hæc omnino relinquat, aut si amans laboris est, ab initio prius totum opus perlegat. Siquidem priusquam in illis exercitatus fuerit, obscura omnia & demonstrationis expertia videbuntur ducenda.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

α'. Περὶ νάρδου στάχυος.

ΝΑρδου στάχυς, θερμαίνει μὲν κατὰ τὴν πρώτην ἀπόστασιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν συμπληρουμένην. σύγκειται δὲ ἔκ τε στυφούσης αὐτάρκως οὐσίας, καὶ δριμείας θερμῆς οὐ πολλῆς, καί τινος ὑποπίκρου βραχείας. ἐκ τοιούτων δ' ἡ ῥίζα συγκειμένη δυνάμεων, καὶ πρὸς ἧπαρ, καὶ πρὸς στόμαχον εὐλόγως ἁρμόζει, πινομένη τε, καὶ ἔξωθεν ἐπιτιθεμένη, καὶ οὖρα κινεῖ, καὶ δήξεις ἰᾶται στομάχου, καὶ τὰ κατὰ τὴν γαστέρα, καὶ τὰ ἔντερα ῥεύματα ξηραίνει, καὶ πρὸς τούτοις ἔτι τὰ κατὰ τὴν κεφαλήν, καὶ τὸν θώρακα. ἰσχυροτέρα δ' ἐστὶν ἡ Ἰνδικὴ προσαγορευομένη, μελαντέρα τῆς Συριακῆς καλουμένης ὑπάρχουσα.

CAPVT XIII.

1. *De nardi spica.*

C NArdi Spica calefacit excessu primo, desiccat secundo iam completo. Composita est ex astringente sufficienter substantia, & acri calida non multa, & quadam leuiter subamara. Ex his constans facultatibus radix & ad iecur & ad stomachum, meritò conuenit, tum pota, tum extrinsecus imposita. Vrinam ciet, morsus stomachi sanat, in ventre, ac intestinis consistentes fluxiones desiccat, ad hæc & eas, quæ in capite & thorace. Valentior est vocata Indica, quæ nigrior est, quàm Syriaca vocata.

2. De

A

2. *De nardo Celtica.*

NArdus Celtica iam dictis similis quadantenus in genere facultatis est, cæterùm ad omnia imbecillior, præterquam ad prouocandam vrinam. Siquidem calidior illis est, sed minùs astringit.

β'. Περὶ νάρδου Κελτικῆς.

ΝΑρδος Κελτικὴ, παραπλησίας πώς ἐστι κατὰ γένος δυνάμεως ταῖς προειρημέναις, ἀσθενεστέρα δ' εἰς ἅπαντα, πλὴν εἰς οὖρα. θερμοτέρα μὲν γὰρ ἐκείνων ἐστὶν, ἧττον δὲ στύφει.

3. *De nardo montana.*

NArdus montana, quæ & Thylacitis, & Pyritis nuncupatur, plurima in Cilicia nascitur, sed prædictis debilior.

B

γ'. Περὶ νάρδου ὀρείας.

ΝΑρδος ὀρεία, ἥτις καὶ θυλακῖτις, καὶ πυρῖτις ὀνομάζεται, γεννᾶται μὲν ἐν Κιλικίᾳ πλείστη. ἔστι δ' ἀσθενεστέρα τῶν προειρημένων.

4. *De nartice, ferula.*

FErulæ semen calefacit & attenuat. Cæterùm id quod intus inest, dum adhuc viridis est, quod medullam vocant, astringentem qualitatem participat; cuius nomine sanguinem spuentibus, & cœliacis conuenit.

δ'. Περὶ νάρθηκος.

ΝΑρθηκος τὸ μὲν σπέρμα θερμαίνει, καὶ λεπτύνει. τὸ δ' ἐντὸς ἔτι χλωροῦ, τὸ λεγόμενον ἐντεριώνη, στυπτικῆς τινος μετέχει ποιότητος, δι' ἣν αἱμοπτυϊκοῖς τε, καὶ κοιλιακοῖς ἁρμόττει.

5. *De napy.*

NApy calefacit, & desiccat ordine quarto.

C

ε'. Περὶ νάπυος.

ΝΑπυ θερμαίνει, καὶ ξηραίνει κατὰ τὴν τετάρτην τάξιν.

6. *De narcisso.*

NArcissi Radix vsq; adeo exiccandi facultate pollet, vt & maxima vulnera conglutinet, vel ad incisiones vsque, quæ circa tendones accidunt. Habet verò quiddã abstersoriũ, & attractorium.

ϛ'. Περὶ ναρκίσσου.

ΝΑρκίσσου ἡ ῥίζα, ξηραντικῆς ἐστι δυνάμεως εἰς τοσοῦτον, ὡς κολλᾶν τραύματα μέγιστα, μέχρι καὶ τῶν περὶ τοὺς τένοντας διακοπτῶν. ἔχει δέ τι καὶ ῥυπτικὸν, καὶ ἐπισπαστικόν.

7. *De neurade, poterio.*

NEuras, quidam poterium vocant. Desiccandi absque morsu facultatem possidet, adeo vt & neruos incisos glutinare credatur. Radices eius potissimum eiusmodi vim obtinent. Quin & decoctum earum quidam exhibent iis, quibus affecti sunt nerui.

D

ζ'. Περὶ νευράδος.

ΝΕυρὰς, ἔνιοι δὲ ποτήριον ὀνομάζουσι, ξηραντικῆς ἀδήκτου δυνάμεώς ἐστιν, ὡς καὶ νεῦρα διακοπέντα πιστεύεσθαι κολλᾶν. αἱ ῥίζαι δ' αὐτῆς μάλιστα τοιαῦται. καὶ μὲν δὴ καὶ τὸ ἀφέψημά τινες αὐτῶν διδόασι, τοῖς τὰ νεῦρα πεπονθόσιν.

8. *De nerio.*

NErium, aut Rhododaphne, notus omnibus frutex, foris quidem illitus digerendi vim obtinet; porrò si intrò in corpus assumatur, perniciosus, ac venenosus non tantum hominibus, sed plerisque etiam pecudibus est.

E

η'. Περὶ νηρίου.

ΝΗριον, ἡ ῥοδοδάφνη, γνώριμος ἅπασι θάμνος. ἔξωθεν μὲν τοῦ σώματος εἰ καταπλασθείη, διαφορητικῆς ἐστι δυνάμεως, εἴσω δὲ λαμβανομένη, ὀλέθριός τε καὶ δηλητήριος, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς πλείστοις τῶν βοσκημάτων.

9. *De nymphæa.*

NYmphææ tum radix, tum semen, desiccandi vim habet citra morsum. Itaque ventris profluuia cohibet; semênque, siue per insomnia, siue alio pacto immodicè profluens, retinet. Iuuat porrò etiam dysentericos. Cæterùm Nymphæa, quæ candidam habet radicem, potentioris est facultatis, vt & muliebri medeatur profluuio. Verùm & hæc, & ea quoque quæ atram habet radicem, ex vino nigro austero bibitur. Porrò nonnullam habent quoque, & abstergendi facultatem. Itaque & alphos sanant. & alopecias, cæterùm ad alphos macerantur aqua, ad alopecias, pice liquida. Sed ad hæc aptior est ea, cuius radix nigra est; sicut ad alia, cuius alba.

F

θ'. Περὶ νυμφαίας.

ΝΥμφαίας ἥ τε ῥίζα, καὶ τὸ σπέρμα δύναμιν ἔχει ξηραντικὴν ἄδηκτον. ἐπέχει τοιγαροῦν καὶ τὰ τῆς γαστρὸς ῥεύματα, καὶ σπέρμα κατά τε τοὺς ὀνειρωγμοὺς, καὶ ἄλλως ἀμέτρως φερόμενον, ὀνίνησι δὲ καὶ δυσεντερικούς. ἡ δὲ τὴν λευκὴν ἔχουσα ῥίζαν νυμφαία, σφοδροτέρας ἐστὶ δυνάμεως, ὥστε ῥοῦν γυναικεῖον ἰᾶσθαι. πίνεται δὲ καὶ αὐτὴ, καὶ ἡ τὴν μέλαιναν ἔχουσα ῥίζαν ἐν οἴνῳ μέλανι αὐστηρῷ. μετέχουσι δέ τι καὶ ῥυπτικῆς δυνάμεως, ὥστε καὶ ἀλφοὺς ἰῶνται, καὶ ἀλωπεκίας. ἀναδεύονται δὲ πρὸς μὲν τοὺς ἀλφοὺς ὕδατι, πρὸς δὲ τὰς ἀλωπεκίας ὑγρᾷ πίττῃ. κρείττων δ' εἰς ταῦτα ἡ τὴν μέλαιναν ἔχουσα ῥίζαν, ὥσπερ ἐς θάτερα ἡ τὴν λευκήν.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

α'. Περὶ ξανθίου.

ΞΑνθίον. καλεῖται δὲ καὶ φασγάνιον, ὁ καρπὸς διαφορητικῆς ἐστι δυνάμεως.

β'. Περὶ ξυρίδος.

ΞΥρὶς, ἔνιοι δὲ ξυρίδα, λεπτομεροῦς, ἑλκτικῆς τε καὶ διαφορητικῆς, καὶ δηλονότι, καὶ ξηραντικῆς ἐστι δυνάμεως, ἥ τε ῥίζα, καὶ πολὺ μᾶλλον αὐτῆς ὁ καρπὸς, ὅς γε καὶ οὐρητικός τε καὶ σπληνῶν σκιῤῥουμένων ἐστὶν ἰατικός.

γ'. Περὶ ξιφίου.

ΞΙφίου ἡ ῥίζα, καὶ μάλιστα ἡ ἑτέρα ἡ ἄνωθεν, ἑλκτικῆς τ' ἐστὶ, καὶ διαφορητικῆς, καὶ δηλονότι, καὶ ξηραντικῆς δυνάμεως.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

α'. Περὶ ὄης.

ΟΗ τὸ δένδρον ἧς ὁ καρπὸς ὄα καλεῖται, ὑπὸ δὲ τῶν πολλῶν οὖα μετὰ τοῦ υ, στυπτικῆς μετέχει ποιότητος, ἀλλ' ἀσθενεστέρας πολὺ μεσπίλου. διὸ δὴ καὶ ἡδὺς ἐσθιομένη ἐστὶ, καὶ ἧττον, ἢ κατὰ μέσπιλον στεγνωτικὴ τῆς γαστρός.

β'. Περὶ οἴνου.

ΟΙνος, ἐκ τῆς δευτέρας τάξεώς ἐστι τῶν θερμαινόντων. ὁ δ' ἱκανῶς παλαιὸς, τῆς τρίτης, ὥσπερ ὁ γλεῦκος ὀνομαζόμενος τῆς πρώτης τάξεως. ἀνάλογον δὲ ταῖς θερμότησιν, καὶ αἱ ξηρότητες αὐτοῦ.

γ'. Περὶ ὀλύνθων.

ΟΛυνθοι, δριμείας εἰσὶ, καὶ διαφορητικῆς δυνάμεως, διὰ τὸν ἐμφερόμενον αὐτοῖς ὀπὸν, παντὸς τοῦ δένδρου κοινόν. ἑψηθέντες μὲν οὖν τοὺς σκληροὺς ὄγκους διαφοροῦσιν, ὠμοὶ δὲ, καὶ μυρμηκίας, καὶ θύμους ἐκβάλλουσιν.

δ'. Περὶ ὀλοστίου.

ΟΛόστιον, ξηραντικῆς ἐστι δυνάμεως, μετὰ τοῦ στύφειν, ὅθεν αὐτὸ καὶ πρὸς τὰ ῥήγματα ποτίζουσιν.

ε'. Περὶ ὀλύρων.

ΟΛυρα μεταξὺ πυροῦ τε, καὶ κριθῆς φύσεώς ἐστι, καὶ ὡς τροφὴ, καὶ ὡς φάρμακον. ἐξ ἐκείνων οὖν, καὶ περὶ τῆσδε λογίζου.

ϛ'. Περὶ ὀνάγρου.

ΟΝαγρον, ἢ ὀνοθήρα, ἢ ὀνοθουρίς. τούτου ἡ ῥίζα ξηραινομένη, οἰνῶδές τι ὄζει. ἔστι δὲ καὶ τῇ δυνάμει κατ' οἶνον μάλιστα.

CAPVT XIV.

1. *De xanthio.*

XAnthium, vocatur etiam Phasganium. Fructus discutiendi vim obtinet.

2. *De xyride, iride agresti.*

XYris, quidam Xyrida, tenuium partium, attractoriæ, digerendi, ac nimirum etiam desiccandi est facultatis quum radix, tum multo B etiam amplius fructus: Qui quidem, & vrinam ciet, & lienes induratos sanare potest.

3. *De xiphio, gladiolo.*

XIphij radix, & maximè altera illa, quæ superior est, attrahentem, discutientem, & desiccantem scilicet etiam facultatem possidet.

CAPVT XV.

C

1. *De OE, sorbo.*

SOrbus arbor, cuius fructus Oæ vocantur, & à plerisq; Οὖα cum υ hoc est sorba, nominantur, astringentē obtinet qualitatē, sed multo imbecilliorē, quàm mespilus. Proinde sanè etiam esui iucūda est, minúsq; quā mespilus vētrē cōstringēs.

2. *De æno, vino.*

VInum ex secundo est ordine calefacientium; sed quod admodum vetus est, ex D tertio; sicut mustum quod vocant, ex primo. Caliditati eius proportione respondet siccitas.

3. *De olynthis, grossis.*

GRossi acrem, & discutientem vim possident, propter succum totius arboris communem, qui illis inest. Cocti itaque duros tumores discutiunt, crudi verò myrmecias, & thymos eiiciunt.

E

4. *De olostio.*

OLostium desiccādi vim habet cum astrictione; quamobrē ipsum ad rupta potui exhibēt.

5. *De olyra, siligine.*

OLyra mediam tritici, & hordei naturam possidet, tam vt nutrimentum, quàm vt medicamentum. Ex illis igitur de istis colligito.

F

6. *De onagro.*

ONagron, aut onothera, aut onothyris. Huius radix arefacta vinosum quiddam redolet. Sed & facultatis vini est maximè.

A

7. *De onosmate.*

ONosma, vel osmas, vel phlonitis, vel ononis, ex acri, & amara constat substantia. Proinde quoque creditur fœtus necare, & eiicere, foliis eius in vino potis.

ζ΄. Περὶ ὀνόσματος.

ΟΝοσμα, ἢ ὄσμας, ἢ φλονῖτις, ἢ ὄνωνις, ἐκ δριμείας, καὶ πικρᾶς οὐσίας σύγκειται. διὸ καὶ πεπίστευται κτείνειν τε καὶ ἐκβάλλειν ἔμβρυα, τῶν φύλλων αὐτοῦ σὺν οἴνῳ πινομένων.

8. *De onobrychide.*

ONobrychis rarefaciendi, discutiendíque vim obtinet. Proinde folia eius virentis etiamnum, illita ad morem cataplasmatis, phymata discutiunt; arefactæ verò, si cum vino bibantur, strangurias sanant. Quin etiam sudores elicit cum oleo iuncta.

η΄. Περὶ ὀνοβρυχίδος.

B ΟΝοβρυχὶς, ἀραιωτικῆς τε καὶ διαφορητικῆς ἐστι δυνάμεως. ταῦτ᾽ ἄρα, καὶ χλωρᾶς μὲν αὐτῆς τὰ φύλλα καταπλαττόμενα, διαφορεῖ φύματα· ξηρᾶς δὲ, μετ᾽ οἴνου πινόμενα, στραγγουρίας ἰᾶται. καὶ μὲν δὴ καὶ ἱδρῶτας προσεκκαλεῖται, σὺν ἐλαίῳ ἀλειφομένη.

9. *De ononide.*

ONonis radicem habet tertio quadantenus ordine calefacientem. Cortex eius maximè est vtilis, habens quippiam, & abstersorium, & incisorium. Itaque non tantùm vrinas prouocat, sed & lapides confringit. Eadem facultate, & crustas citò detrahit. Vtuntur porrò ea quoque & ad dentium dolores, collui videlicet eam in oxycrato coctam præcipientes.

θ΄. Περὶ ὀνώνιδος.

ΟΝωνις, ῥίζαν ἔχει θερμαντικὴν ἤδη που κατὰ τὴν τρίτην τάξιν. ὁ δὲ φλοιὸς αὐτῆς μάλιστ᾽ ἐστὶ χρήσιμος, ἔχων τι καὶ ῥυπτικὸν, καὶ τμητικὸν, ὅθεν οὐκ οὐρητικὸς μόνον ἐστὶν, ἀλλὰ καὶ λίθων θρυπτικός. τῇ δ᾽ αὐτῇ δυνάμει, καὶ τὰς ἐσχάρας ταχέως ἀφίστησιν. χρῶνται δ᾽ αὐτῷ, καὶ πρὸς ὀδόντων ἀλγήματα καθέψοντες ἐν ὀξυκράτῳ, καὶ διακλύζεσθαι κελεύοντες. C

10. *De aceto.*

ACetum in primo horum commentariorum mixtæ esse substantiæ, nempe frigidæ pariter, & calidæ, eiúsque vtriusque tenuium partium, demonstratum est. Cæterùm calidam frigida exuperat. Porrò magnam desiccandi facultatem obtinet, adeo, vt sit tertij ordinis desiccantium iam completi, vtique quum validum extiterit.

ι΄. Περὶ ὄξους.

ΟΞος, ἐν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων δέδεικται μικτῆς οὐσίας ὑπάρχον ψυχρᾶς καὶ θερμῆς, ἀμφοῖν λεπτομερῶν. ἐπικρατεῖ δὲ τῆς θερμῆς ἡ ψυχρά. ξηραντικὸν δ᾽ ἱκανῶς ἐστὶ τὸ φάρμακον, ὡς τρίτης εἶναι τάξεως ἤδη συμπληρουμένης, ὅτ᾽ ἂν δ᾽ ἰσχυρὸν ὑπάρχῃ.

D

11. *De oxyacantho, spina acuta.*

OXyacanthus. Hæc arbor, vt pyro syluestri similem habet speciem, ita & vires non dissimiles. Quin & ipsi fructus; pyri quidem syluestris, absolutè acerbus est; cæterùm qui oxyacanthes, & tenuium est partium, & paulum quiddam incisiuum obtinet. Porrò arboris huius fructus, pyri syluestris fructui similis non est, verùm myrtis, scilicet rubens, & rarus. Habet verò, & nucleos. Porrò non esus tantùm, sed & bibitus, affectus omnes fluxionum cohibet.

ια΄. Περὶ ὀξυακάνθου.

ΟΞυάκανθος. τοῦτο γὰρ τὸ δένδρον, ὥσπερ ἀχράδι παραπλήσιόν ἐστι τὴν ἰδέαν, οὕτω καὶ τὴν δύναμιν, καὶ μέν γε καὶ οἱ καρποί. ὁ μὲν τῆς ἀχράδος, ἁπλῶς στρυφνὸς, ὁ δὲ τῆς ὀξυακάνθης, καὶ λεπτομερής ἐστι, καὶ τμητικὸν ὀλίγον ἔχει. ὁ δὲ καρπὸς τοῦ δένδρου, τῷ μὲν τῆς ἀχράδος οὐκ ἔοικεν, ὅμοιος δ᾽ ἐστὶ τοῖς μύρτοις, ἐρυθρός τε καὶ ἀραιὸς ὑπάρχων. ἔχει δὲ καὶ πυρῆνας. οὐ μόνον δ᾽ ἐσθιόμενος, ἀλλὰ καὶ πινόμενος ἐφεκτικός ἐστιν ἁπάντων τῶν ῥοωδῶν παθῶν.

E

12. *De opo, succo.*

SVccus, Cyrenaicus quidem omnes, & caliditate, & tenuitate exuperat, ac proinde etiam omnium maximè per halitū discutit; quanquā sanè, & reliqui admodū calidi sunt, & spirituosi; siquidem plurima eorum pars essentiæ aëriæ est, & igneæ. Porrò complures habentur succi. Quauis namque radice incisa, aut caule, quod ex vulnere crassum, ac lentum effluit, succus est; cæterùm specialius, & velut per excellentiam quandam, Cyrenaicum ita nuncupant, & Medicum, & Syriacum.

ιβ΄. Περὶ ὀποῦ.

ΟΠὸς, ὁ μὲν Κυρηναῖος ἁπάντων ἐστὶ θερμότατός τε καὶ λεπτομερέστατος, καὶ διὰ τοῦτο, καὶ διαφορητικώτατος· οὐ μὴν, ἀλλὰ καὶ οἱ ἄλλοι, θερμοί τ᾽ εἰσὶν ἱκανῶς, καὶ πνευματώδεις. τὸ πλεῖστον γὰρ ἐν αὐτοῖς, ἀερώδους τε καὶ πυρώδους οὐσίας ἐστίν. εἰσὶ δὲ πάμπολλοι μὲν ὀποί. ῥίζης γὰρ ἧς τινος οὖν, ἢ καυλοῦ τμηθέντος, τὸ ῥέον ἐκ τῆς τομῆς παχὺ καὶ γλίσχρον, ὀπός ἐστιν. εἰδικώτερον δὲ οἷον καθ᾽ ὑπεροχήν τινα τὸν Κυρηναῖον οὕτως ὀνομάζουσιν, καὶ τὸν Μηδικὸν, καὶ τὸν Συριακόν.

F

13. *De origano.*

ORiganus, Heracleotica quidem efficacior est Onitide; sed agrestis, quam quidam panaces Heraclium, alij conylen cognominant, valentior vtraque est. Omnes verò incidendi, extenuandi,

ιγ΄. Περὶ ὀριγάνου.

ΟΡίγανος, ἡ μὲν Ἡρακλεωτικὴ, δραστικωτέρα τῆς ὀνίτιδος. ἀμφοῖν δὲ ἀγρία, ἣν πάνακες Ἡράκλειον, οἱ δὲ κονύλην καλοῦσιν. ἅπασαι δὲ τμητικῆς τε καὶ λεπτυντικῆς, καὶ

A θερμαντικῆς εἰσι δυνάμεως, κατὰ τὴν τρίτην ἀπόστασιν ἔχουσαι ταῦτα. ἡ δὲ τραγορίγανος ὀνομαζομένη, προσείληφέ τι καὶ στύψεως.

exiccandi, calefaciendique facultatem possident: hæcque tertio excessu obtinent. Porrò ea quam Tragoriganum appellitant, assumpsit etiam astrictionis quippiam.

ιδ'. Περὶ ὀρόβου.

Ὄροβος, ξηραίνει μὲν κατὰ τὴν δευτέραν ἀπόστασιν ἐπιτεταμένην, θερμαίνει δὲ κατὰ τὴν πρώτην. εἰς ὅσον δὲ πικρότητος μετείληφεν, εἰς τοσοῦτον τέμνει, καὶ ῥύπτει, καὶ ἐκφράττει. πλέον δὲ ληφθεὶς, αἷμα δι' οὔρων ἄγει.

14. *De orobo, eruo.*

Orobus desiccat quidem excessu secundo intenso, calefacit verò primo. Porrò quatenus amaroris est particeps, eatenus incidit, extergit, atque obstructiones expedit. Cæterùm si sumatur copiosè, sanguinem per vrinas euocat.

B

ιε'. Περὶ ὀροβάγχης.

Ὀροβάγχη, ξηρᾶς καὶ ψυχρᾶς ἐστι κράσεως, κατὰ τὴν πρώτην τάξιν.

15. *De orobanche, eruangina.*

Orobanche siccæ frigidæque temperiei est in primo ordine.

ιϛ'. Περὶ ὀρύζης.

Ὄρυζα ἔχει τι στυπτικὸν, διὸ καὶ τὴν γαστέρα μετρίως ἐπέχει.

16. *De oryza.*

Oryza habet astrictorium quippiam, quare mediocriter ventrem sistit.

ιζ'. Περὶ ὄρχεως τοῦ κυνός.

C Ὄρχις ὀνομάζεται, καὶ κυνὸς ὄρχις ἡ αὐτὴ βοτάνη. δύναμις δὲ τῆς ῥίζης αὐτοῦ βολβοειδοῦς οὔσης, καὶ διπλῆς, ὑγρὰ καὶ θερμή. διὸ καὶ γευομένοις γλυκύτερος φαίνεται. ἀλλ' ἡ μὲν μείζων ῥίζα, πολλὴν ἔοικεν ἔχειν ὑγρότητα, περιττωματικήν τε καὶ φυσώδη, διὰ τοῦτο, καὶ πρὸς ἀφροδίσια πινομένη προτρέπει. ἡ δ' ἑτέρα, ἡ ἐλάττων, ἔμπαλιν κατειργασμένη ἱκανῶς, ὡς εἶναι τὴν κρᾶσιν αὐτῆς ἐπὶ τὸ θερμότερόν τε, καὶ ξηρότερον ῥέπουσαν, ὅθεν οὐ μόνον οὐ προτρέπει τὰς πρὸς συνουσίας ὁρμὰς ἥδε ἡ ῥίζα, ἀλλὰ καὶ τοὐναντίον ἄπαν ἐπέχει τε καὶ καταστέλλει. ἐσθίονται δέ, δίκην βολβῶν ὀπτώμεναι. D

17. *De orche, testiculo canis.*

Testiculus. Nuncupatur & herba hæc testiculus canis. Radici eius bulbosæ, ac geminæ vis inest humida & calida; ac gustantibus dulciuscula est. Cæterùm maior radix multam videtur habere humiditatem excrementitiam, & flatuosam; quapropter epota venerem excitat. Altera verò, minor videlicet, è contra, nimirum admodum elaborata; vt sit eius temperamentum ad calidius, & siccius vergens. Itaque hæc radix tantum abest, vt ad coitum stimulet, vt etiam planè contra cohibeat, ac reprimat. Eduntur bulborum more, tostæ.

ιη'. Περὶ ὄρχεως τοῦ σεραπιάδος.

Ὄρχις ὃν καὶ σεραπιάδα καλοῦσιν, ξηροτέρας δυνάμεώς ἐστιν, ἢ κατὰ τὴν προτέραν, ὅθεν εἰς τὰ ἀφροδίσια μὲν οὐχ ὁμοίως ἐπιτήδειός ἐστιν. οἰδήματα δὲ καταπλαττόμενος διαφορεῖ, καὶ ἕλκη ῥυπαρὰ καθαίρει, καὶ ἕρπητας ἰᾶται. ξηρανθεῖσα δέ, πολὺ δὴ μᾶλλον ἔτι ξηραίνει, ὥστε καὶ τὰ σηπεδονώδη, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶται. καὶ γάρ τι καὶ ὑπόστυφον ἔχει, καὶ διὰ τοῦτο κοιλίαν ἐπέχει μετ' οἴνου πινομένη.

18. *De orche, serapiade.*

Orchis quem & serapiada nuncupant, siccioris facultatis est quàm prior, quocirca nec similiter ad venerem accommodus est. Oedemata illitus discutit, vlcera sordida expurgat, & herpetes sanat. Siccatus multo amplius desiccat. Nam & putrescentia contumaciaque vlcera sanitati restituit; quippe quum quid & subastringens habeat; ac proinde etiam ventrem ex vino potus sistit. E

ιθ'. Περὶ ὀσίριδος.

Ὀσίριδος τῆς πόας, ἐξ ἧς καὶ τὰ κορήματα γίνεται, πικρὰ μὲν ἡ ποιότης, ἐκφρακτικὴ δὲ ἡ δύναμις, ὅθεν καὶ τὰς καθ' ἧπαρ ἐμφράξεις ὠφελεῖ.

1. *De osiride.*

Osiridi herbæ, ex qua fiunt, & scopæ, amara inest qualitas, & obstructiones expediendi facultas. Quare & in iecinore consistentes adiuuat obstructiones.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

α'. Περὶ παγκρατίου.

F Παγκράτιον. ἡ ῥίζα τούτου σκίλλῃ κατά τε τὴν γεῦσιν ἔοικεν, καὶ κατὰ τὴν δύναμιν, ὥστε καὶ χρῶνταί τινες αὐτῷ μὴ παρούσης σκίλλης. ἐνεργεῖ γὰρ ἅπαντα, κατὰ γένος μὲν ὡσαύτως, ἀσθενέστερα δὲ μακρῷ.

CAPVT XVI.

1. *De pancratio.*

Pancratium. Radix huius scillæ gustu, & facultate similis. Quare eâ quidam pro scilla, si ea non adsit, vtuntur; efficit enim omnia in genere quidem similiter; sed longè imbecillius.

2. *De paliuro.*

PAliuri folia, & radix adeò non obſcuram habent aſtringendi facultatem, vt & ventrem fluentem cohibeant; adeóque diſcutiunt, vt & phymata curent, quæ quidem non admodum phlegmonode ſunt, & calida. Fructus porrò tantam obtinet incidendi vim, vt & calculos veſicæ comminuat, & thoracis pulmoníſque excreationibus auxilietur.

3. *De papyro.*

PApyrus ipſa quidẽ per ſe in vſum medicinalẽ haud ingreditur. At macerata, aut vſta vtilis efficitur. Igitur oxycrato vinóve macerata, recentia vlcera glutinat, maximè in circulum circumpoſita; verùm hic quidem eſt, ceu materia, quæ medicamenta ſanantia accipiat. At vbi vſta fuerit, medicamentũ eſt exiccatorium, velut & chartę cõbuſtæ cinis, niſi quatenus infirmior eſt papyri cinis.

4. *De panace heracleio.*

PAnaces heracleium. Ex hoc fit vocatus Opopanax, radicibus eius, & caulibus ſcilicet exciſis. Porrò opopanax ipſe longè eſt ad plurimos vſus aptiſſimus, vtpotè calefaciens, emolliens, & digerens; ponátque ipſum quiſpiam in calefaciendo tertij ordinis, in deſiccando verò ſecundi. Cortex radicis exiccatorium ſimul, & calefactorium eſt medicamentum, ſed minus quàm ſuccus; quin & nonnullam habet abſtergendi facultatem. Quare eo quoque vtimur, & ad nuda oſſium, & ad vlcera maligna, & contumacia. Sufficienter enim talia carnem procreant, ſcilicet abſtergendo ſimul, ac deſiccando, nec ita magnopere calefaciendo; quæ omnia ad carnem generandam neceſſaria ſunt, velut in libris De curandi ratione oſtendimus. Fructus calidus, & ipſe eſt, ac menſibus mouendis medicamentum accommodum. Cæterùm neſcio quo pacto nunc omnes ex more non panaces, ſed panaca herbam hanc vocitent.

5. *De panace Aſclepio.*

PAnaces Aſclepium minus eſt calidum ſupra dicto panace; quamobrem floribus eius, & fructu melli mixtis, ad vlcera, phymata, & phagedænas vtuntur.

6. *De panace cheironeio.*

PAnaces cheironeium, & ipſum ſimilem prædicto facultatem poſſidet.

7. *De paronychia.*

PAronychia ab effectu nominata eſt; ſanat enim paronychias, vt & refert Dioſcorides, fauos quoque. Vis eius eſt tenuium partium, & exiccatoria, morſu vacans. Talia enim ſint oportet, quæ paronychias ſanant. Porrò ſatis conſtat tale eſſe idoneum ad diſcutiendos affectus omnes, qui diſcuti poſtulãt. Talia enim ſunt, quæ quum ex tertio

A

β'. Περὶ παλιούρου.

ΠΑλιούρου τὰ φύλλα, καὶ ἡ ῥίζα, στυπτικῆς μὲν οὐκ ἀσαφοῦς μετείληφε δυνάμεως, ὡς καὶ τὴν ῥέουσαν ἐπέχειν γαστέρα. διαφορητικῆς δ' εἰς τοσοῦτον, ὡς καὶ τὰ φύματα θεραπεύειν, ὅσα γε μὴ λίαν ὑπάρχει φλεγμονώδη τε, καὶ θερμά. ὁ δὲ καρπὸς τμητικῆς ἐπὶ τοσοῦτο μετέχει δυνάμεως, ὡς καὶ τοὺς ἐν κύστει λίθους θρύπτειν, καὶ ταῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναπτύσεσι βοηθεῖν.

B

γ'. Περὶ παπύρου.

ΠΑπυρος αὐτὴ μὲν καθ' ἑαυτὴν, οὐδ' εἰς χρείαν ἰατρικὴν ἥκει. βραχεῖσα δὲ, ἢ καυθεῖσα, χρησίμη γίνεται. ὀξυκράτῳ μὲν οὖν, ἢ οἴνῳ βραχεῖσα, κολλᾷ τὰ πρόσφατα τῶν ἑλκῶν, καὶ μάλιστα ἐν κύκλῳ περικειμένη. ἀλλ' ἐνταῦθα μὲν, οἷον ὕλη τίς ἐστι, δεκτικὴ τῶν ἰωμένων φαρμάκων. ἐπειδὰν δὲ καυθῇ, φάρμακον ἤδη γίνεται ξηραντικὸν, ὥσπερ καὶ ἡ τέφρα τοῦ κεκαυμένου χάρτου, πλὴν ὅσον ἀσθενεστέρα ἐστὶν ἡ τῆς παπύρου.

C

δ'. Περὶ πάνακος τοῦ Ηρακλείου.

ΠΑνακες Ηράκλειον· ἐκ τούτου καὶ ὁ καλούμενος ὀποπάναξ γίνεται τῶν ῥιζῶν αὐτοῦ, καὶ τῶν καυλῶν ἐκτεμνομένων. ἔστι δὲ ὁ μὲν ὀποπάναξ αὐτὸς πολυχρηστότατος, θερμαίνων καὶ μαλάττων, καὶ διαφορῶν. καὶ θείη ἄν τις αὐτὸν, κατὰ μὲν τὸ θερμαίνειν ἐκ τῆς τρίτης τάξεως, κατὰ δὲ τὸ ξηραίνειν ἐκ τῆς δευτέρας. ὁ δὲ φλοιὸς τῆς ῥίζης ξηραντικόν τε ἅμα, καὶ θερμαντικόν ἐστι φάρμακον, ἀλλ' ἧττον τοῦ ὀποῦ. καὶ μέντοι τι καὶ ῥυπτικὸν ἔχει. διὸ καὶ χρώμεθ' αὐτῷ πρός τε τὰ γυμνὰ τῶν ὀστῶν, καὶ τὰ κακοηθευόμενα τῶν ἑλκῶν. ἱκανῶς γάρ ἐστι

D τὰ τοιαῦτα σαρκοῦντα, κἂν τῷ ῥύπτειν τε ἅμα, καὶ ξηραίνειν, καὶ μὴ πάνυ σφοδρῶς θερμαίνειν, ὧν ἁπάντων δεῖ τῷ μέλλοντι σαρκοῦν, ὡς ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν ἐπιδείκνυμεν. ὁ δὲ καρπὸς αὐτοῦ, θερμὸς ὢν καὶ αὐτὸς, ἐμμηνίων ἀγωγόν ἐστι φάρμακον. εἴθισται δ' οὐκ οἶδ' ὅπως, ἤδη σχεδὸν ἅπασιν, οὐ πάνακες, ἀλλὰ πάνακα προσαγορεύειν τὴν πόαν ταύτην.

ε'. Περὶ πάνακος τοῦ Ασκληπείου.

E ΠΑνακες Ασκλήπειον. ἧττόν ἐστι τοῦτο θερμὸν τοῦ προγεγραμμένου πάνακος, ὅθεν αὐτῷ, καὶ τοῖς ἄνθεσι, καὶ τῷ καρπῷ πρὸς ἕλκη, καὶ φύματα, καὶ φαγεδαίνας χρῶνται μέλιτι μιγνύντες.

ϛ'. Περὶ πάνακος τοῦ χειρωνείου.

ΠΑνακες χειρώνειον· καὶ τοῦτο παραπλησίας ἐστὶ τῷ προγεγραμμένῳ δυνάμεως.

ζ. Περὶ παρωνυχίας.

F ΠΑρωνυχία ὠνόμασται μὲν ἀπὸ τῆς ἐνεργείας, ἰᾶται γὰρ παρωνυχίας. ὡς δὲ Διοσκορίδης φησὶ, καὶ κηρία. δύναμις δ' αὐτοῦ, λεπτομερής τ' ἐστὶ, καὶ ξηραντικὴ, καὶ ἄδηκτος. τοιαῦτα γὰρ εἶναι χρὴ, καὶ τὰ τῆς παρωνυχίας φάρμακα. δῆλον δ' ὅτι τό γε τοιοῦτον, καὶ διαφορεῖν ἱκανόν ἐστιν, ἅπανθ' ὅσα παθήματα διαφορεῖσθαι δεῖται. τοιαῦτα γάρ ἐστιν, ὅσα τῆς τρίτης

τάξεως ὑπάρχοντα, κατά τε τὸ θερμαίνειν καὶ ξηραίνειν, ὥσπερ A
καὶ τοῦτο λεπτομεροῦς οὐσίας ἐστίν.

η΄. Περὶ πενταφύλλου.

Πεντάφυλλον. ἡ ῥίζα ξηραίνει μὲν ἰσχυρῶς, ἥκιστα δ' ἐστὶ δριμεῖα. διὸ καὶ πολύχρηστος ὑπάρχει, καθάπερ καὶ τἄλλα πάνθ' ὅσα λεπτομερῆ ὄντα ξηραίνει χωρὶς δήξεως. ἔστι γὰρ καὶ ἥδε ἡ ῥίζα ξηραντικὴ μὲν ἐκ τῆς τρίτης ἤδη που τάξεως, ἥκιστα δὲ θερμότητος ἐπιφανοῦς μετέχουσα.

B

θ΄. Περὶ πέπλου.

Πέπλος, ἔνιοι δὲ μήκωνα ἀφρώδη. καὶ ἔστιν ὁ θαμνίσκος ὀπὸν ἔχει παραπλησίως τοῖς τιθυμάλλοις, τῇ τε ἄλλῃ, καὶ ὅτι καθαίρει, καθάπερ ἐκεῖνοι.

ι΄. Περὶ πεπλίου.

Πέπλιον. ὀπὸν ἔχει, καὶ ἔστιν ὁ θαμνίσκος, ὥσπερ καὶ οἱ τιθύμαλλοι, καὶ φύεται τὰ πολλὰ παρὰ τῇ θαλάττῃ, τὴν μὲν ῥίζαν ἄχρηστον ἔχων, ὥσπερ καὶ ἡ πέπλος. ὀπὸν δὲ ἰσχυρὸν, οὐ πάνυ τι χρήσιμον οὐδ' αὐτόν. ἀλλά τό γε σπέρμα χρήσιμον, καὶ C
φυσῶδες ὁμοίως τῷ τοῦ πέπλου σπέρματι καθαῖρον.

ια΄. Περὶ πεπέρεως.

Πεπέρεως, ἡ μὲν ῥίζα κόστῳ μάλιστα κατὰ τὴν δύναμιν ἔοικεν. ὁ δὲ καρπὸς, ὁ μὲν ἄρτι βλαστάνοντος αὐτοῦ, τὸ μακρόν ἐστι πέπερι, διὸ καὶ ὑγρότερον ὑπάρχει τοῦ πεπείρου. σημεῖον δὲ τῆς ὑγρότητος αὐτοῦ, τό τε ῥᾳδίως ἀποτιθέμενον τιτρᾶσθαι, καὶ τὸ μὴ παραχρῆμα δάκνειν, ἀλλὰ μετ' ὀλίγον μὲν ἄρχεσθαι, παραμένειν δὲ ἐπιπλέον. ὁ δ' οἷον ὄμφαξ καρπὸς D
τὸ λευκόν ἐστιν πέπερι, δριμύτερον ὑπάρχον τοῦ μέλανος. ἐκεῖνο γὰρ, οἷον ὑπερωπτημένον ἐστὶν ἤδη καὶ ὑπερεξηραμμένον. ἀμφότερα δὲ ἰσχυρῶς θερμαίνει τε, καὶ ξηραίνει.

ιβ΄. Περὶ περσέας.

Περσέας τὰ φύλλα, στυπτικῆς μετείληφε συμμέτρως δυνάμεως, ὡς δύνασθαί ποτε, καὶ τοῖς αἱμοῤῥαγοῦσι μορίοις ἐπιτίθεσθαι συμφερόντως.

E

ιγ΄. Περὶ περικλυμένου.

Περικλυμένου χρήσιμος ὅ τε καρπός ἐστι, καὶ τὰ φύλλα, τμητικῆς τε ἅμα, καὶ θερμαινούσης ὑπάρχοντα δυνάμεως εἰς τοσοῦτον, ὥστε καὶ τὸ οὖρον αἱματῶδες ἐργάζεσθαι, πινόμενα μέχρι πλείονος. ἐν ἀρχῇ μέντοι οὐρητικὸν μόνον ἐστὶν, ἔξωθεν δὲ μετ' ἐλαίου συναλειφόμενον, θερμαίνει. ὠφελεῖ δὲ καὶ σπληνώδεις, καὶ δυσπνοοῦντας. ἡ δὲ συμμετρία τῆς πόσεως, δραχμῆς μιᾶς πλῆθος σὺν οἴνῳ. ξηραίνει δὲ καὶ σπέρμα. καί τινές φασιν εἰ ἐπὶ πλέον πίνοιτο, παντάπασιν ἀγόνους γίνεσθαι F
τοὺς πίνοντας. ὁρίζουσι δ' ἔνιοι, καὶ προθεσμίαν ἡμερῶν ἐπὶ τῇ τοιαύτῃ πόσει, καθάπερ καὶ Διοσκορίδης ἑπτὰ καὶ τριάκοντα λέγων ἱστορεῖσθαι αὐτάς. ἔστι δὲ καὶ τὸ οὖρον αἱματῶδες γίνεσθαί φησιν, ἀπὸ τῆς ἕκτης τῶν ἡμερῶν.

sint ordine calefacientium, & desiccantium, velut & hoc essentiæ insuper tenuis sunt.

8. *De pentaphyllo.*

Pentaphylli radix desiccat vehementer, minimum verò acris est. Quare multo est vsui, velut alia quoque omnia, quæ quum sint tenuium partium, citra morsum desiccant. Est enim hæc radix desiccatoria ex tertio ordine, minimum habens euidentis caliditatis.

9. *De peplo.*

Peplos; quidam verò papauer spumeum. Et hic fruticulus succum habet similem tithymallis, cùm in aliis, tum quia purgat ceu illi.

10. *De peplio.*

Peplium. Et hic quoque fruticulus succum obtinet sicut tithymalli; nascitúrque plerunque ad mare. Radicem habens inutilem, vt & peplos; succum verò validum, nec ipsum admodum vtilem; sed semen vtile est, & flatuosum, similiter, vt semen pepli purgans.

11. *De pipere.*

Piperis radix vires costo similes potissimum obtinet. Porrò fructus nuper quidem admodum germinantis, longum piper est; quare etiam maturo humidius est. Humiditatis eius indicium est, quòd facile repositum perforetur, ac non protinus mordicet, sed post paulo incipiat, verùm plusculum duret. Porrò fructus, qui velut omphax est, piper album est; nigro quidem acrius. Nam illud iam quasi superassatum est, & superexiccatum. Verùm vtrunque valenter tum calefacit, tum desiccat.

12. *De persea.*

Perseæ folia astringentem vim modicè participant, adeò vt queant etiam nonnunquam vtiliter sanguinis eruptione affectis partibus imponi.

13. *De periclymeno.*

Periclymeni vtilis est, tum fructus, tum folia, adeò vehementer incidentis pariter, & calefacientis facultatis, vt si plusculum bibantur vrinam sanguinolentam efficiant, principio quidem vrinam duntaxat mouentia. Porrò foris cum oleo illita calefaciunt. Iuuant & lienosos, & difficulter spirantes. Competens potionis mensura est drachmæ vnius cum vino. Porrò desiccat quoque semen; & quidam aiunt, si copiosius bibatur, sterilitatem omnimodam bibentibus afferre. Sed & sunt qui certum dierum numerum ad talem potionem præfiniunt, vt & Dioscorides, qui septem, & triginta tradi eos refert. Hic etiam vrinam cruentam reddi à sexto die memorat.

A

14. *De peristereone, verbena.*

Peristereon. Appellata est inde adeò, quòd in ea columbæ versentur. Vim habet hactenus desiccantem, vt vulnera conglutinet.

15. *De petasite.*

Petasites ex tertio est ordine desiccantium. Quamobrem ad cacoëthe, & phagedænica vlcera ea vtuntur.

16. *De petroselino.*

Petroselini semen maximè vsui est, quum tota etiam herba vnà cum radice similem, sed imbecilliorem facultatem sortiatur. Est autem, vt gustu acre cum amarore, sic & in operibus calidum, vnà cum incidendi effectu. Hinc menses, & vrinas affatim prouocat; quin & flatus extinguit. Fuerit itaque, & ipsum tertij ordinis, tum calefacientium, tum desiccantium. Porrò Cilices id modò petroselinon appellant, quod natum est in Amano; sed id smyrnium potius fuerit, quàm petroselinum; non tamen ita multum à petroselini viribus abest.

17. *De peucedano.*

Peucedani radice quidem maximè, sed tamen etiam succo, & liquore vtimur. Sunt autem omnia hæc eiusdem speciei facultatis; sed valentior succus, admodum calefaciens, & digerens. Quare affectibus omnibus citra neruos consistentibus conuenire creditur, tum morbis in pulmone thoracéque ex crassitie, & lentore humorum prouenientibus. Atque intrò quidem in corpus sumptus, sed tamen etiam olfactu prodest. Porrò quòd incidat, & extenuet, sæpe etiam dentium perforatorum dolores cauitati impositus protinus sedauit; quia videlicet tenuium est partium, & calefactorius. Quin etiam lienes induratos iuuat, nempe incidendo, discutiendo, atque extenuando crassos humores. Sed & radice ad hæc vti liceat; quæ & squamas celerrimè ab ossibus separat, quia videlicet validè desiccat, minus tamen, quàm succus calefaciens. Et vlceribus contumacibus remedium est optimum arida illita; ipsa enim expurgat, carnem inducit, & ad cicatricem perducit, calefaciens quidem ordine secundo iam completo, desiccans verò tertio iam incipiente.

18. *De pegano, ruta.*

Ruta agrestis ex quarto est ordine calefacientium, & siccantium; Domestica verò ex tertio. Est autem non solum gustu acri, sed & amaro. Ex quo sanè etiam discutere, atque incidere crassos lentósque humores potest. Ob eam vim & vrinas mouet. Quin & tenuium est partium, flatúsque extinguit. Quare ad inflationes competit, ac veneris appetitum cohibet; discutitque, atque exiccat sanè strenuè; est enim eorum ex numero medicamentorum, quæ valenter desiccant. Porrò quod superius moly, & besasan nominari diximus, & ipsum vtique fuerit ruta syluestris.

ιδʹ. Περὶ περιστερεῶνος.

Περιστερεὼν, ὠνόμασται μὲν ἀπὸ τοῦ τὰς περιστερὰς διατρίβειν ἐν αὐτῷ. δύναμιν δὲ εἰς τοσοῦτον ἔχει ξηραντικὴν, ὡς κολλᾶν τραύματα.

ιεʹ. Περὶ πετασίτου.

Πετασίτης, ἐκ τῆς τρίτης τάξεώς ἐστι τῶν ξηραινόντων, ὅθεν ἐπί τε τῶν κακοήθων, καὶ φαγεδαινικῶν ἑλκῶν αὐτῷ B χρῶνται.

ιϛʹ. Περὶ πετροσελίνου.

Πετροσελίνου τὸ σπέρμα μάλιστ' ἐστὶ χρήσιμον, οὔσης καὶ ὅλης τῆς πόας ἅμα ταῖς ῥίζαις, ὁμοίας μὲν, ἀσθενεστέρας δὲ δυνάμεως. ἔστι δ', ὥσπερ ἐν τῇ γεύσει δριμὺ μετὰ πικρότητος, οὕτω κἀν τοῖς ἔργοις θερμὸν ἅμα τῷ τέμνειν, καὶ διὰ τοῦτο καταμήνιά τε, καὶ οὖρα προτρέπει δαψιλῶς. ἔστι δὲ καὶ ἄφυσον. εἴη ἂν οὖν καὶ αὐτὸ τῆς τρίτης τάξεως τῶν θερμαινόντων τε, καὶ ξηραινόντων. οἱ δ' ἐν Κιλικίᾳ πετροσέλινον μόνον ὀνομάζουσιν C τὸ ἐν τῷ Ἀμάνῳ γεννώμενον. ἔστι δὲ σμύρνιον μᾶλλον, ἢ πετροσέλινον, οὐ μὴν παραλλάττει γε πολὺ τὴν πετροσελίνου δύναμιν.

ιζʹ. Περὶ πευκεδάνου.

Πευκεδάνου τῇ ῥίζῃ μὲν μάλιστα, χρώμεθα δὲ καὶ τῷ ὀπῷ, καὶ τῷ χυλῷ. ἔστι δὲ πάντα μὲν ταῦτα τῆς αὐτῆς τῷ εἴδει δυνάμεως. ἰσχυρότερος δ' αὐτῶν ὁ ὀπὸς ἱκανῶς θερμαίνων, καὶ διαφορῶν, ὅθεν καὶ τοῖς κατὰ τὰ νεῦρα πάθεσιν ἅπασιν ἁρμόττειν πεπίστευται. καὶ τὰ κατὰ πνεύμονά τε καὶ θώρακα, D νοσήματα τὰ διὰ πάχος, ἢ γλισχρότητα χυμῶν γινόμενα. καὶ εἴσω μὲν τοῦ σώματος λαμβανόμενος, ἀλλὰ καὶ ὀσμώμενος ὠφελεῖ. τῷ δὲ λεπτύνειν, καὶ τέμνειν, καὶ ὀδόντων τετρημένων ἐνίοτε παραχρῆμα τὰς ὀδύνας ἔπαυσεν, ἐντεθεὶς τῷ βρώματι, διότι λεπτομερής τ' ἐστὶ, καὶ θερμαντικός. καὶ μὲν δὴ καὶ σπλῆνας ἐσκιρρωμένους ὠφελεῖ, τῷ τέμνειν, καὶ διαφορεῖν, καὶ λεπτύνειν τοὺς παχεῖς χυμούς. τῇ δὲ ῥίζῃ, πρὸς ταῦτα μὲν ἐστι χρῆσθαι. καὶ λεπίδας δὲ ὀστῶν ἀφίστησι τάχιστα, διότι ξηραίνει σφοδρῶς, ἔλαττον δὲ, ἢ κατὰ τὸν ὀπὸν θερμαίνουσα. καὶ τοῖς κακοήθεσιν ἕλκεσιν ἄριστόν ἐστι φάρμακον ἐπιπαττομένη ξηρά. E αὐτὴ γὰρ καθαίρει, καὶ σαρκοῖ, καὶ μέχρι τῆς ἐπουλώσεως ἄγει. θερμαίνουσα μὲν κατὰ τὴν δευτέραν τάξιν ἤδη που συμπληρουμένην, ξηραίνουσα δὲ κατὰ τὴν τρίτην ἀρχομένην.

ιηʹ. Περὶ πηγάνου.

Πήγανον, τὸ μὲν ἄγριον ἐκ τῆς τετάρτης ἐστὶν ἤδη τάξεως τῶν θερμαινόντων. τὸ δ' ἥμερον ἐκ τῆς τρίτης, ἔστι δ' οὐ μόνον δριμὺ γευόμενον, ἀλλὰ καὶ πικρόν, ᾧ καὶ τὸ τέμνειν τε, καὶ διαφορεῖν ἔχει τοὺς παχεῖς, καὶ γλίσχρους χυμούς. διὰ δὲ τὴν αὐτὴν δύναμιν, καὶ δι' οὔρων κινεῖ, καὶ μὲν δὴ καὶ λεπτο- F μερές ἐστι, καὶ ἄφυσον, καὶ διὰ τοῦτο πρός τε τὰς ἐμπνευματώσεις ἁρμόττει, καὶ τὰς πρὸς ἀφροδίσια προθυμίας ἐπέχει, καὶ διαφορεῖ, καὶ ξηραίνει γενναίως. ἔστι γὰρ τῶν ἰσχυρῶς ξηραινόντων φαρμάκων. ὃ δ' ἐν τοῖς ἔμπροσθεν λόγοις μῶλυ, καὶ βησασὰν ἔφαμεν ὀνομάζεσθαι, εἴη ἂν καὶ αὐτὸ πήγανον ἄγριον.

ιθʹ. Περὶ πίττης.

Πίττα ἡ μὲν ξηρὰ ξηραίνει, καὶ θερμαίνει κατὰ τὴν δευτέραν ἀπόστασιν ἀπὸ τῶν συμμέτρων, καὶ πλέον γε ξηραίνειν πέφυκεν, ἢ θερμαίνειν. ἡ δ' ὑγρὰ, τοὔμπαλιν θερμαίνει πλέον, ἢ ξηραίνει. ἔχει δέ τι καὶ λεπτομερὲς, ᾧ καὶ τοὺς ἀσθματικοὺς, καὶ τοὺς ἐμπυϊκοὺς ὠφελεῖ. πλῆθος δ' ἐκλαβεῖν ἀρκεῖ κύαθον μέλιτος μιγνύντας, ἀλλὰ καὶ ῥυπτικὸν ἔχουσί τι, καὶ συμπεπτικὸν, καὶ διαφορητικὸν, ὥσπερ γε καὶ κατὰ τὴν γεῦσιν ὑπόπικρόν τε καὶ δριμύ. οὕτως γέ τοι, καὶ λεπροὺς ὄνυχας ἐξαίρουσιν μιγνύμεναι κηρῷ, καὶ λειχῆνας ἀπορρύπτουσι. συμπέττουσι δὲ καὶ τοὺς σκληροὺς, καὶ ἀπέπτους ὄγκους ἅπαντας ἐπεμβαλλόμεναι τοῖς καταπλάσμασιν, ἰσχυροτέρα δ' εἰς ἅπαντα τὰ τοιαῦτα ἡ ὑγρά. ἡ δὲ ξηρὰ πίττα πρὸς μὲν ταῦτα χείρων, εἰς δὲ τὰς κολλήσεις τῶν τραυμάτων ἐπιτηδειοτέρα. δῆλον οὖν ἐκ τούτων, ὡς ὑγρότητος θερμῆς ἀναμέμικταί τι δαψιλὲς, τῇ ὑγρᾷ πίττῃ.

19. *De pice.*

Pix sicca quidem desiccat, & calefacit secundo à mediocribus excessu, ac plus desiccare potest quàm calefacere. Humida verò è contra, plus videlicet calefacit, quàm desiccat; habétque nonnullam partium tenuitatem, qua & asthmaticos, & purulentos adiuuat. Satis est autem cyathi linxisse mensuram melli mixtæ. Sed & abstergendi quandam vim habent, atque concoquendi, digerendíque; veluti & in gustu subamarum quiddam, & acre. Sic leprosos vngues eximunt mixtæ cum cera, lichenásque detergunt. Concoquunt item duros, & incoctos tumores omnes cataplasmatis inditæ. Ad ea omnia humida valentior est. Arida verò pix, tametsi ad hæc quidem deterior est, glutinandis tamen vulneribus magis congruit. Ex his itaque clarum est, humidæ pici calidam humiditatem affatim esse admixtam.

κʹ. Περὶ πιττελαίου.

Πιττέλαιον ἐκ τῆς ὑγρᾶς γίνεται πίττης, ὅμοιον μὲν ὑπάρχον αὐτῇ τῷ γένει, λεπτομερέστερον δὲ κατὰ τὴν οὐσίαν.

20. *De oleo picino.*

Pisselæum ex humida pice efficitur, genere quidem illi simile, sed essentię tenuiorum partium.

καʹ. Περὶ πιστακίου.

Πιστάκιον. ἐν Συρίᾳ πλεῖστον γίνεται τοῦτο τὸ φυτόν. ὁ καρπὸς δ' αὐτοῦ λεπτομερεστέρας πώς ἐστιν οὐσίας, ὑπόπικρόν τι καὶ ἀρωματίζον ἐχούσης. ἐκφράττει τοιγαροῦν, καὶ διακαθαίρει μάλιστα μὲν τὰ καθ' ἧπαρ. ἤδη δὲ καὶ τὰ κατὰ τὸν θώρακα, καὶ πνεύμονα.

21. *De pistacio.*

Pistacium. In Syria vbertim hæc planta nascitur. Fructus eius quodammodo tenuioris essentiæ est, subamarum quiddam, & odoratum habens. Obstructiones itaque liberat, sed maximè iecoris, veruntamen etiam thoracis, pulmonisque.

κβʹ. Περὶ πιτυΐδων.

Πιτυΐδες. ὀνομάζεται δ' οὕτως ὁ καρπὸς τῶν πιτύων. ἔνιοι δὲ καταχρώμενοι, καὶ τὸν τῆς πεύκης, ὡσαύτως προσαγορεύουσιν, μικτῆς εἰσὶ δυνάμεως, ὡς ἂν καὶ στύφουσαι, καὶ δριμύτητά τινα κεκτημέναι μετὰ πικρότητος. ὅθεν καὶ ταῖς ἐκ θώρακος, καὶ πνεύμονος ἀναπτύσεσιν συναίρονται.

22. *De pityidibus, fructibus picearum.*

Pityides. Nominatur ita fructus picearum. At quidam per abusum similiter quoque pini fructum nuncupant. Mixtam vim obtinent, vtpotè astringentes, & acrimoniam quandam cum amarore possidentes. Quamobrem thoracis pulmonisque expuitionibus conferunt.

κγʹ. Περὶ πίτυος.

Πίτυος ὁ φλοιὸς ἐπικρατοῦσαν ἔχει τὴν στυπτικὴν δύναμιν εἰς τοσοῦτον, ὡς παρατρίμματά τε καταπλαττόμενα ἰᾶσθαι κάλλιστα, καὶ κοιλίαν ἐπέχειν εἰ ποθείη, καὶ τὰ κατακαύματα δὲ ἐπουλοῖ. καὶ ὁ τῆς πεύκης δὲ φλοιὸς ὅμοιος μὲν αὐτῷ, μετριώτερος δὲ κατὰ τὴν δύναμιν. ἐν δὲ τοῖς φύλλοις ἀμφοτέρων τῶν δένδρων, ὡς ἂν ὑγροτέροις οὖσι πολὺ τοῦ φλοιοῦ, δύναμίς ἐστι κολλητικὴ τραυμάτων. ἐν μέντοι τῷ κώνῳ, κἂν εἰ παραπλήσια τούτοις, ἀλλ' ἰσχυροτέρα τε ἡ δύναμίς ἐστιν, ἔν τε τῷ φλοιῷ, καὶ τοῖς φύλλοις, ὡς μηδὲν ἔτι τῶν προειρημένων καλῶς δύνασθαι ποιεῖν, ἀλλ' ἤδη τι δακνῶδες ἔχειν ἀνιαρόν. ἡ δὲ λιγνὺς, ἡ ἐκ τῶν εἰρημένων, πρὸς ψίλα βλέφαρα, καὶ μυδραίνοντας κανθοὺς, καὶ περιβεβρωμένους, καὶ δακρύοντας ἐστὶ χρήσιμος.

23. *De picea.*

Piceæ cortex vincentem habet facultatem astrictoriam vsque adeò vt & intertrigines bellissimè illitus sanet, & ventrem potus sistat. Sed & ambusta cicatrice includit. Porrò tedæ cortex illi assimilis est, sed viribus tamen moderatioribus. In foliis arboris vtriusque, vt quæ multo sunt cortice humidiora, vis inest vlcerum glutinatoria. In Cono, quanquam his similis sit, validior tamen facultas est, tum in cortice, tum in foliis, adeò vt dictorum nihil probè efficere queat, verùm molestam quampiam habeat mordacitatem. Porrò fuligo quæ ex dictis colligitur ad depilatas palpebras accommoda est; itémque ad angulos oculorum erosos, lippientes, ac lachrymantes.

κδʹ. Περὶ πιτυούσης.

Πιτυοῦσα· καὶ ταύτην τινὲς εἶδος εἶναι τιθυμάλλου νομίζουσιν, ὅτι τὸν ὀπὸν ἔχει, καθάπερ ἐκεῖνοι, καὶ ὅτι καθαίρει παραπλησίως ἐκείνοις, καὶ τὰ ἄλλα πάντα, κατὰ τὴν δύναμιν, ἔοικεν αὐτοῖς.

24. *De pityusa.*

Pityusa. Et hanc quidam speciem putant esse tithymali, quòd succum habeat, vt illæ, quodque similiter illis purget, cæteráque omnia viribus illis sit assimilis.

A

25. *De platano.*

PLatanus humidioris frigidiorísque essentiæ est non ita multo, quàm moderata. Proinde folia viridia trita, & illita, non obscurè phlegmonas nascentes adiuuant. Cortex autem, & pilulæ magis desiccantem vim obtinent, vt ille quidem in aceto coctus ad dentium adhibeatur dolores, pilulæ verò cum adipe ad vlcera ambusta. Sunt autem qui cortice combusto medicamentum desiccatorium, & abstersorium efficiunt, vt cum aqua lepras sanet; per sese autem illitum, ob humorem nimium, vlcera vetera, & sordida. Vitandus est puluis foliis arboris incidens; alioqui si spiritu attrahatur, arteriam offendit, valenter desiccans, & exasperans; vocémque lædit, sicut sanè etiam visum, & auditum, si in oculos, aut aures inciderit.

κέ. Περὶ πλατάνου.

Πλάτανος, ὑγροτέρας ἐστὶ, καὶ ψυχροτέρας οὐσίας, οὐ πολλῷ τινι τῆς συμμέτρου. διὰ τοῦτο, καὶ τὰ φύλλα, τὰ χλωρὰ, λεωθέντα, καὶ καταπλασθέντα, τὰς ἐν γενέσει φλεγμονὰς ὀνίνησιν οὐκ ἀσαφῶς. ὁ δὲ φλοιὸς αὐτοῦ, καὶ τὰ σφαιρία ξηραντικωτέρας ἤδη δυνάμεώς ἐστιν, ὡς τὸν μὲν ἐν ὄξει καθεψόμενον, εἰς ὀδόντων ἀλγήματα παραλαμβάνεσθαι. τὰ δὲ σφαιρία, μετὰ στέατος ἐπὶ τῶν πυρικαύτων ἑλκῶν. εἰσὶ δ' οἱ καὶ καύσαντες τὸν φλοιὸν, ξηραντικόν τε καὶ ῥυπτικὸν ἀπεργάζονται φάρμακον, ὡς

B

μεθ' ὕδατος μὲν ἰᾶσθαι λέπρας. αὐτὸ δὲ καθ' ἑαυτὸ ἐπιπλαττόμενον, τὰ δι' ὑγρότητα πολλὴν ἕλκη παλαιὰ καὶ ῥυπαρά. φυλάττεσθαι δὲ τὸν ἐπὶ τοῖς φύλλοις τοῦ δένδρου χνοῦν, καὶ γὰρ τὴν ἀρτηρίαν εἰσπνευσθεὶς ἀδικεῖ, ξηραίνων τε καὶ τραχύνων σφοδρῶς, καὶ κακοῖ τὴν φωνὴν, ὥσπερ γε καὶ τὴν ὄψιν, καὶ τὴν ἀκοὴν ὀφθαλμοῖς, καὶ ὠσὶν ἐμπεσών.

26. *De polygono, seminali.*

POlygonon vti astrictionem quandā obtinet, ita sanè vincit in eo aqueum frigidum; vt videlicet secundi sit ordinis medicamentorū refrigerantium, aut etiam quodāmodo in initio tertij. Proinde sanè, quibus stomachus æstu feruet, foris frigidum illitum prodest, velut etiam erysipelata, & calidas phlegmonas iuuat. Porrò tale quum sit, & fluxiones repercutit, & hac ratione videtur esse exiccatorium. Quare cùm herpetū, tum vlcerum, tum aliorū, bonum est remedium, tum etiam efficacissimū in inflammatis, & fluxione tentatis partibus. Est & cruentorū vulnerum glutinatorium. Sed & aurium vlceribus prodest; ac si vel plurimū insit puris, hoc tamen etiam desiccat. Easdem ob facultates sistit profluuium muliebre, ac dysenteriam, & sanguinis eiectiones, & vndecunque aliundè immoderatius quippiā feratur. Refert Dioscorides, quòd & vrinā prouocet exhibitū stillicidio, & strāguria affectis; non tamen exactè dispositionē discriminat, in qua ipsū dari expediat. Porrò mas ad omnia dicta quā fœmina validioris est effectus.

κϛ'. Περὶ πολυγόνου.

Πολύγονον, ἔχει μέν τι καὶ στύφον. ἐπικρατεῖ δ' ἐν αὐτῷ τὸ ὑδατῶδες ψυχρὸν, ὡς εἶναι κατὰ τὴν δευτέραν τάξιν ἐν

C

τοῖς ψύχουσι φαρμάκοις, ἢ καὶ τῆς τρίτης που κατὰ τὴν ἀρχήν. ὀνίνησι γοῦν τοὺς ἐγκαιομένους τὸν στόμαχον, ἔξωθεν ἐπιπλαττόμενον ψυχρὸν, ὥσπερ καὶ τὰ ἐρυσιπέλατα, καὶ τὰς θερμὰς φλεγμονάς. ἅτε δὲ τοιοῦτον ὑπάρχον, καὶ ἀποκρούεται ῥεύματα, καὶ ταύτῃ δοκεῖ ξηραντικὸν ὑπάρχειν. διὸ καὶ τῶν ἑρπήτων ἀγαθόν ἐστι φάρμακον, ἑλκῶν τε καὶ τῶν ἄλλων, ἐναργέστατα δὲ τῶν φλεγμονωδῶν τε καὶ ῥευματικῶν. ἔστι δὲ καὶ τῶν ἐναίμων τραυμάτων κολλητικόν. ὀνίνησι δὲ καὶ τὰ ἐν τοῖς ὠσὶν ἕλκη, κἂν πύον ἱκανὸν ἐν αὐτοῖς ᾖ, καὶ τοῦτο ξηραίνει. διὰ δὲ τὰς αὐτὰς δυνάμεις, καὶ ῥοῦν γυναικεῖον ἵστησι, καὶ δυσεντερίαν, καὶ τὰς τοῦ αἵ-

D

ματος ἀναγωγὰς, καὶ ὁπόθεν οὖν ἑτέρωθεν ἀμετροτέρας φοράς. φησὶ δὲ Διοσκορίδης, καὶ οὖρα προκαλεῖσθαι αὐτὸ τοῖς στραγγουριῶσιν διδόμενον, οὐ μὴν διαιρεῖταί γε τὴν διάθεσιν ἀκριβῶς ἐφ' ἧς χρὴ διδόναι. ἔστι δὲ εἰς ἅπαντα τὰ εἰρημένα, τὸ ἄρρεν τοῦ θήλεος ἰσχυρότερον.

27. *De polygalo.*

POlygalon modicè austera folia obtinet. Videntur autem, si bibantur, lac generare. Itaque superauerit in eo calidum, ac humidum.

κζ'. Περὶ πολυγάλου.

Πολύγαλον, αὐστηρὰ μετρίως ἔχει τὰ φύλλα. δοκεῖ δὲ πινόμενα γάλα γεννᾶν, ὡς ἐπικρατοίη ἂν ἐν αὐτῷ, τὸ θερμὸν καὶ ὑγρόν.

E

28. *De polygonato.*

POlygonatum mixtam habet, tum facultatem, tum qualitatem; habet enim astrictionis pariter, & acrimoniæ quippiam, nec non fastidiosum quendam amarorem explicatu difficilem. Quocirca, nec admodum est vsui, sed tantùm, quòd radicem eius quidam vulneribus illinunt. Sunt etiam, qui næuos in facie illo detergant.

κη'. Περὶ πολυγονάτου.

Πολυγόνατον, μικτῆς ἐστι δυνάμεώς τε, καὶ ποιότητος. ἔχει γάρ τι καὶ στύψεως, καὶ δριμύτητος, καὶ πικρότητος, καί τινος ἀηδίας ἀρρήτου. ταῦτ' ἄρα οὐδὲ πολύχρηστόν ἐστιν, ἀλλ' ἢ μόνον, ὅτι τὴν ῥίζαν ἐπιπλάττουσι τραύμασιν ἔνιοι. εἰσὶ δ' οἳ, τοὺς ἐν προσώπῳ σπίλους ἀπορρύπτουσιν δι' αὐτοῦ.

29. *De polemonio.*

POlemonium, quidam Philetærium; quidam veluti Cappadoces, Chiliodynamion; tenuium partium est, & desiccantis facultatis. Quamobrem quidam radicem eius cum vino ad ischiadicos, dysenteriam, lienémque induratum, potui exhibent.

F

κθ'. Περὶ πολεμωνίου.

Πολεμώνιον, οἱ δὲ φιλεταίριον, ἔνιοι δὲ, ὥσπερ καὶ Καππάδοκαι, χιλιοδύναμιν, λεπτομεροῦς τ' ἐστὶ, καὶ ξηραντικῆς δυνάμεως, ὅθεν ἔνιοι πρὸς ἰσχιάδας, καὶ δυσεντερίαν, καὶ σκιρρούμενον σπλῆνα, διδόασι πίνειν τὴν ῥίζαν αὐτοῦ μετ' οἴνου.

A

λ'. Περὶ πολίου.

ΠΟλιον πικρὸν γευομένοις ἐστὶ, καὶ μετρίως δριμύ. ἐκφράττει τοιγαροῦν ἅπαντα τὰ σπλάγχνα, καὶ οὖρα, καὶ ἔμμηνα κινεῖ, καὶ χλωρὸν μὲν ὑπάρχον ἔτι, κολλᾷ τὰ μεγάλα τραύματα, καὶ μάλιστα τὸ θαμνῶδες εἶδος αὐτοῦ. ξηρὸν δὲ γινόμενον, ἰᾶται τὰ κακοήθη τῶν ἑλκῶν ἐπιπαττόμενον, καὶ μᾶλλον τοῦτο δρᾷ τὸ μικρότερον.

30. *De polio.*

POlium amarum est gustantibus, & modicè acre. Obstructione itaque liberat viscera omnia; vrinámque, & menses ciet. Ac viride existens etiamnum magna vulnera glutinat, & maximè species eius fruticosa; aridum quum fuerit, maligna vlcera sanat illitum; & magis hoc præstat, quod minus est.

B

λα'. Περὶ πολίου μικροῦ.

ΠΟλιον τὸ μικρὸν, ᾧ καὶ εἰς τὰς ἀντιδότους χρώμεθα· καὶ γὰρ καὶ δριμύτερον, καὶ πικρότερόν ἐστι τοῦτο τοῦ μείζονος, ὡς ἐκ μὲν τῆς τρίτης τάξεως εἶναι τῶν ξηραινόντων, ἐκ δὲ τῆς δευτέρας συμπεπληρωμένης τῶν θερμαινόντων.

31. *De polio minore.*

POlium minus; quo etiam vtimur ad antidotos, nam & acrius, & amarius est maiore, adeò, vt ex tertio sit ordine desiccantium, ex secundo autem completo calefacientium.

λβ'. Περὶ πολυκνήμου.

ΠΟλύκνημον, ξηραίνει καὶ θερμαίνει κατὰ τὴν δευτέραν ἀπόστασιν, ὥστε καὶ διὰ τοῦτο τραυμάτων ἐστὶ κολλητικόν.

32. *De polycneno.*

POlycnemon desiccat, & calefacit secundo excessu, propterea que vulnera glutinat.

C

λγ'. Περὶ ποταμογείτονος.

ΠΟταμογείτων, στύφει καὶ ψύχει παραπλησίως πολυγόνῳ. παχυμερεστέρα δ' ἐστὶν ἡ οὐσία αὐτοῦ, τῆς πολυγόνου.

33. *De potamogeitone.*

POtamogeiton astringit, & refrigerat similiter polygono, sed substantia eius crassior, quàm polygoni est.

λδ'. Περὶ πολυποδίου.

ΠΟλυπόδιον τὴν γλυκεῖαν ἅμα, καὶ αὐστηρὰν ἐπικρατοῦσαν ἔχει ποιότητα, ὡς εἶναι δυνάμεως ξηραντικῆς ἱκανῶς ἀδήκτου.

34. *De polypodio.*

POlypodium dulcem simul, & austeram habet vincentem qualitatem; vt facultatis sit admodum quidem desiccantis, citra morsum tamen.

D

λε'. Περὶ πρασίου.

ΠΡάσιον, ὥσπερ τῇ γεύσει πικρόν ἐστιν, οὕτω καὶ χρωμένοις ὁμολογοῦσαν ἔχει τῷ τοιούτῳ χυμῷ τὴν ἐνέργειαν, ἐκφράττον καὶ ἧπαρ, καὶ σπλῆνα, καὶ τὰ κατὰ θώρακα, καὶ πνεύμονα διακαθαῖρον, ἔμμηνά τε προτρέπον. ἀλλὰ καὶ καταπλασσόμενον, ῥύπτει τε καὶ διαφορεῖ. καὶ θείη ἄν τις αὐτὸ, κατὰ μὲν τὴν θερμότητα τῆς δευτέρας που τάξεως ἤδη συμπληρουμένης, κατὰ δὲ τὴν ξηρότητα τῆς τρίτης, ἤτοι μεσούσης, καὶ συμπληρουμένης. τῷ χυλῷ δ' αὐτοῦ, καὶ πρὸς ὀξυδερκίαν μὲν χρῶνται μετὰ μέλιτος. οὐ μὴν, ἀλλὰ καὶ διὰ ῥινῶν ἰκτέρους καθαίρουσι, καὶ πρὸς ὤτων ὀδύνας ἤδη κεχρονισμένας αὐτὸ παραλαμβάνουσι, ἐφ' ὅσον ἐκφράξαι, καὶ διακαθῆραι τόν τε πόρον αὐτὸν, καὶ τὰς τῶν μηνίγγων ἀποφύσεις ἐστὶ χρεία.

35. *De prasio, marrubio.*

PRasium, sicut gustu amarum est, ita siquis vtatur, conuenientem huic sapori actionem possidet, iecur, ac lienem obstructione liberans, & thoracem pulmonémque expurgans, ac menses promouens. Sed & illitum detergit, ac discutit. Ac siquis ipsum ponat in calore quidem secundi ordinis iam completi, in siccitate tertij, medij, aut completi. Succo eius ad aciei oculorum claritatem vtuntur cum melle. Quin etiam & per nares auriginem purgant; & ad aurium dolores inueteratos adhibent, vtique in quibus obstructionem discutere, meatúmque ipsum, & ramos meningum, seu membranarum expurgare, est vsus. E

λϛ'. Περὶ προπόλεως.

ΠΡόπολις, ῥυπτικῆς μέν ἐστιν, οὐκ ἰσχυρᾶς δυνάμεως, ἑλκτικῆς δ' ἱκανῶς ἰσχυρᾶς. ἔστι γὰρ λεπτομερὴς τὴν οὐσίαν. θερμαίνει δὲ κατὰ τὴν δευτέραν ἀπόστασιν, ἤδη συμπληρουμένην, καὶ τρίτην ἀρχομένην.

36. *De propoli.*

PRopolis detergentis non ita valentis est facultatis, cæterùm admodum valenter attrahentis; est enim essentia tenuium partium; calefacit autem ordine secundo completo, aut tertio incipiente. F

λζ'. Περὶ πταρμικῆς.

ΠΤαρμικῆς, τὰ μὲν ἄνθη, πταρμικῆς ἐστι δυνάμεως, ὅθεν περ καὶ τῇ πόᾳ τοὔνομα. ὅλον δὲ θαμνίον, ὑπώπιά τε καὶ τὰς ἄλλας ἐκχυμώσεις διαφορεῖ. ἔστι γὰρ ἡ κρᾶσις

37. *De ptarmice.*

PTarmices flores quidem ciendæ sternutationis vim obtinẽt; vnde & herbæ nomẽ obuenit. Totus autem frutex si cõtundatur viridis, sugillata, & reliquas ecchymoseis discutit; est enim temperies

eius

eius calida, & sicca, viridis etiamnum ordine secundo, si siccata, tertio.

38. De ptelea, vlmo.

VLmi foliis quandoque recens vulnus glutinauimus, confidentes astringentem pariter, & detergentem inesse illis facultatem. Cortex amplius etiam subamarus est, & astrictorius. Itaque cum aceto, & lepram sanat. Porrò viridis etiamnum, ac recens, si vulneribus vinculi vice circunligetur, ea glutinare potest. Radices eandem facultatem obtinent; nam & decocto earum quidam perfundunt fracturas, quæ callo inducto opus habent.

39. De pteride filice, & thelypteride, filice fœmina.

FIlix radicem habet maximè vtilem; latum enim lumbricum interficit, si quis eam quatuor drachmis in melicrato ebibat. Ad eundem modum partum viuum quidem necare, mortuum autem eiicere, mirum non est. Est enim amara, paulum habens astrictionis. Quamobrem vlceribus imposita vim habet valenter desiccandi; non tamen mordax est. Similem ei vim habet filix fœmina nominata.

40. De pycnocomo.

PYcnocomi radix, fructus, & folia, discutientis attrahentisque sunt facultatis, quum & gustu sint acria. Folia itaque phymata, & furunculos discutiunt. Fructus valentior est, & hæc quidem efficere potest mixtus alicui discutientium cataplasmatum, cuiusmodi est quod ex hordeacea farina conficitur. Palos & alia id genus infixa ad extimam cutem elicit; radix autem ad supradicta quidem deterior est, & infirmior, cæterùm bilem flauam purgat.

41. De pyrethro.

PYrethri radice potissimum vtimur, causticam vrentémve facultatem obtinente, qua vtique etiam dentium refrigeratorum dolores mitigat. Et ad rigores ante periodũ cum oleo confricatur. Ad hæc stupidos quoque, & resolutos iuuat.

42. De pyro, tritico.

TRiticum, vt alimentum quidem, quam habeat naturam, non est huius instituti exponere; vt medicamentum verò foris impositum primi est ordinis calefacientium; non tamen, nec resiccare, nec humectare manifestò potest; habet verò etiam quid lentum, obstruentísque facultatis. Porrò quod ex eo conficitur amylum, eo tum frigidius est, tum siccius. Quod verò ex pane fit cataplasma, vim habet magis discutientem, quàm quod ex tritico; nimirum quum & salem, & fermentum panis adiuncta habeat; quippe quum fermentum vim habeat attrahendi discutiendíque ea, quæ in alto resident.

A αὐτοῦ, θερμὴ καὶ ξηρά. χλωρὰ μὲν ἔτι κατὰ τὴν δευτέραν τάξιν, εἰ δὲ ξηρανθείη, κατὰ τὴν τρίτην.

λη'. Περὶ πτελέας.

Πτελέας τοῖς φύλλοις ἐκολλήσαμέν ποτε πρόσφατον τραῦμα, θαῤῥήσαντες τῷ συμπλεκτικήν τε ἅμα, καὶ ῥυπτικὴν δύναμιν ἐμφέρεσθαι αὐτοῖς. ὁ δὲ φλοιὸς ἔτι, καὶ μᾶλλον ὑπόπικρός τέ ἐστι, καὶ στυπτικός, ὥστε καὶ λέπραν ἰᾶται σὺν ὄξει, καὶ χλωρὸς δὲ ὢν ἔτι, καὶ πρόσφατος, ἐὰν ὡς ἐπίδεσμος περιελιχθῇ τοῖς τραύμασι, κολλᾶν αὐτὰ δύναται. καὶ αἱ ῥίζαι δὲ τῆς
B αὐτῆς εἰσι δυνάμεως, ὥστε καὶ τῷ ἀφεψήματι καταντλοῦσίν τινες, ὅσα πωρώσεως δεῖται κατάγματα.

λθ'. Περὶ πτέριδος, καὶ θηλυπτέριδος.

Πτέρις, ῥίζαν μάλιστ' ἔχει χρήσιμον. ἀναιρεῖ γὰρ ἕλμινθα πλατεῖαν, εἰ τεσσάρων δραχμῶν ὁλκὴν τις αὐτῆς ἐν μελικράτῳ λάβοι. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἔμβρυα τὰ μὲν ζῶντα διαφθείρειν, τὰ νεκρὰ δὲ ἐκβάλλειν, οὐδὲν θαυμαστόν. ἔστι γὰρ πικρά, βραχύ τι στύψεως μετέχουσα. διὸ καὶ κατὰ τῶν
C ἑλκῶν ἐπιτιθεμένη, δυνάμεώς ἐστιν ἰσχυρῶς ξηραντικῆς, οὐ μέντοι δακνώδης. ὁμοίαν δὲ αὐτῇ, καὶ ἡ θηλυπτερὶς ὀνομαζομένη, τὴν δύναμιν ἔχει.

μ'. Περὶ πυκνοκόμου.

Πυκνοκόμου, καὶ ἡ ῥίζα, καὶ ὁ καρπός, καὶ τὰ φύλλα, διαφορητικῆς ἐστι, καὶ ἑλκτικῆς δυνάμεως, ὄντα καὶ πρὸς τὴν γεῦσιν δριμέα. τὰ μὲν οὖν φύλλα, φύματά τε καὶ δοθιῆνας διαφορεῖ. ὁ δὲ καρπὸς ἰσχυρότερος ὑπάρχει, καὶ ταῦτα μὲν ἐργάζεσθαι πέφυκε, μιγνύμενός τινι τῶν διαφορητικῶν
D καταπλάσματι, οἷόν περ ἐστι, καὶ τὸ διὰ τοῦ κριθίνου. καὶ σκόλοπας δέ, καὶ ὅσα τοιαῦτα πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν ἐπισπᾶται. ἡ δὲ ῥίζα, πρὸς τὰ μὲν προειρημένα χείρων ἐστὶ καὶ ἀσθενεστέρα, χολῆς μέντοι τῆς ξανθῆς καθαρτική.

μα'. Περὶ πυρέθρου.

Πυρέθρου τῇ ῥίζῃ χρώμεθα μάλιστα καυστικὴν ἐχούσῃ δύναμιν, καθ' ἣν ὀδόντων τε ἐψυγμένων ὀδύνας παραμυθεῖται, καὶ πρὸ τῶν κατὰ περίοδον ῥιγῶν ἀνατρίβεται μετ' ἐλαίου,
E καὶ τοὺς ναρκώδεις, καὶ παρειμένους ὠφελεῖ.

μβ'. Περὶ πυροῦ.

Πυρός, ὡς ἔδεσμα μὲν ὁποίας ἐστὶ φύσεως, οὐ τῆς νῦν ἐνεστώσης πραγματείας. ὡς φάρμακον δέ, ἔξωθεν ἐπιτιθέμενος, ἐκ τῆς πρώτης ἐστὶ τάξεως τῶν θερμαινόντων, οὐ μὴν οὔτε ξηραίνειν, οὔθ' ὑγραίνειν ἐπιφανῶς πέφυκεν. ἔχει δέ τι, καὶ γλίσχρον, καὶ ἐμφρακτικόν. τὸ δὲ ἐξ αὐτοῦ σκευαζόμενον ἄμυλον, ψυχρότερόν τε καὶ ξηραντικώτερον αὐτοῦ γε, καὶ τὸ ἐξ
F ἄρτου δὲ κατάπλασμα, διαφορητικωτέρας ἐστὶ δυνάμεως, ἤπερ τὸ ἐκ τῶν πυρῶν, ὡς ἂν καὶ ἁλῶν, καὶ ζύμης προσειληφότος τοῦ ἄρτου. δυνάμεως γὰρ ἐπισπαστικῆς τε, καὶ διαφορητικῆς τῶν ἐκ τοῦ βάθους ἐστὶν ἡ ζύμη.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

α'. Περὶ ῥάμνου.

Ῥάμνος, ξηραίνει μὲν καὶ διαφορεῖ κατὰ τὴν δευτέραν ἀπόστασιν· ψύχει δὲ κατὰ τὴν πρώτην συμπληρουμένην, ἢ τὴν δευτέραν ἀρχομένην. διὰ τοῦτο καὶ ἕρπητας ἰᾶται, καὶ ἐρυσιπέλατα μὴ σφόδρα θερμά. χρηστέον δ' αὐτῆς τοῖς ἁπαλοῖς φύλλοις, εἰς ταῦτα.

β'. Περὶ ῥαφανίδος.

Ῥαφανὶς, θερμαίνει μὲν κατὰ τὴν τρίτην ἀπόστασιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν. ἡ δ' ἀγρία, δραστικωτέρα κατ' ἄμφω· καὶ μὲν δὴ καὶ τὸ σπέρμα, δραστικώτερον αὐτοῦ τοῦ φυτοῦ. διαφορητικὴ δ' ἐστὶν ἐν αὐτῷ ἡ δύναμις, ὥστε καὶ πρὸς ὑπώπια, καὶ τἄλλα τὰ πελιδνά, διὰ τὴν τοιαύτην δύναμιν ὠφέλιμα τετύχηκεν ὄντα.

γ'. Περὶ ῥήου.

Ῥῆον, ἔνιοι δὲ προσαγορεύουσιν αὐτὸ ῥᾶ, μικτῆς ἐστι κράσεώς τε καὶ δυνάμεως. ἔχει μὲν γάρ τι καὶ γεῶδες ψυχρόν, ὡς ἡ στύψις δηλοῖ. σύνεστι δέ τις αὐτῷ καὶ θερμότης, ὑπόδριμυ γὰρ ἐπιπλέον διαμασώμενον φαίνεται, καὶ μὴν ὡς ἀερώδους τινὸς οὐσίας μετέχει λεπτομεροῦς, δηλοῖ μὲν καὶ ἡ χαυνότης τε καὶ ἡ κουφότης, ἀτὰρ οὐχ ἥκιστα, καὶ τὰ ἔργα. δι' αὐτὸ γάρ τοι τοῦτο, καί τοι στῦφον ὅμως, οὐ σπάσματα μόνον, ἀλλὰ καὶ ῥήγματα, καὶ ὀρθόπνοιαν ὠφελεῖ. οὕτω δὴ καὶ πελιώματα, καὶ λειχῆνας ἰᾶται μετ' ὄξους ἐπαλειφόμενον. ὅτι δὲ καὶ τὰ τῆς στύψεως ἔργα γενναῖα, καταμαθεῖν ἐστιν, ἐξ ὧν ὀνίνησιν αἱμοπτυϊκούς, καὶ κοιλιακούς, καὶ δυσεντερικούς. οὐ γὰρ ἀντιπράττει τῷ γεώδει ψυχρῷ, τὸ λεπτομερὲς ἀερῶδες. ἀλλ' οὕτω τὸ ποδηγοῦν τε, καὶ πρὸς βάθος ἄγον, αἴτιον ἰσχυροτέρας ἐνεργείας γίνεται.

δ'. Περὶ ῥητινῶν.

Ῥητῖναι πᾶσαι, ξηραίνουσι καὶ θερμαίνουσι. διαφέρουσι δ' ἀλλήλων τῷ τε πλέον, ἢ ἔλαττον ἔχειν, ἔν τε τῇ γεύσει δριμύ, κἀν τῇ δυνάμει θερμαῖνον, καὶ τῷ τὰς μὲν ἧττον αὐτῶν εἶναι λεπτομερεῖς, τὰς δὲ μᾶλλον, καὶ τῷ τὰς μὲν στύψεως μετέχειν, τὰς δ' οὔ. προκέκριται δ' εἰκότως ἐξ ἁπασῶν ἡ σχινίνη, μαστίχην δ' αὐτὴν ὀνομάζουσι. πρὸς γὰρ τῷ στύψεως ὀλίγης μετέχειν, ὡς καὶ ταῖς κατὰ τὸν στόμαχον, καὶ τὴν γαστέρα, καὶ τὸ ἧπαρ ἀτονίαις, καὶ φλεγμοναῖς ἁρμόττειν, ἔτι καὶ τὸ ξηραίνειν, καὶ ἀλύπως αὐτῇ πάρεστιν. ἥκιστα γὰρ ἐστι δριμεῖα, καὶ μάλιστα λεπτομερής. τῶν δ' ἄλλων, ἡ τερμινθίνη πρωτεύει σαφῆ μὲν οὐχ ὁμοίως τῇ μαστίχῃ τὴν στύψιν ἔχουσα, πικρότητα δέ τινα κεκτημένη, δι' ἣν καὶ μᾶλλον τῆς μαστίχης διαφορεῖ. διὰ δὲ τὴν αὐτὴν ταύτην ποιότητα, καὶ τὸ ῥύπτειν αὐτῇ πάρεστιν ἐπὶ τοσοῦτον, ὥστε καὶ ψώρας ἰᾶσθαι, καὶ μὲν δὴ καὶ τὰ ἐκ βάθους ἕλκει μᾶλλον τῶν ἄλλων ῥητινῶν, ὅτι καὶ λεπτομερὴς ἐκείνων μᾶλλόν ἐστι. ἥ γε τοι πευκίνη, καὶ ταύτης ἔτι μᾶλλον ἡ στροβιλίνη, δριμύτεραι μὲν αὐτῆς εἰσιν, οὐ μήν, οὔτε διαφοροῦσι μᾶλλον, οὔτ' ἐπισπῶνται. μέσαι δ' αὐτῶν εἰσι, ἡ πιτυίνη, καὶ ἐλατίνη, δριμύτεραι μὲν οὖσαι τῆς τερμινθίνης, ἧττον δὲ δριμεῖαι τῆς πευκίνης τε καὶ στροβιλίνης. ἔχει δὲ καὶ μαλακτικόν, ἡ τερμινθίνη ῥητίνη. δευτέρα δ' ἐστὶν ἐν τῷ μαλάσσειν ἡ σχινίνη, καθάπερ ἡ κυπαρισσίνη δριμεῖα.

CAPVT XVII.

1. *De rhamno.*

Rhamnus desiccat, & discutit excessu secundo; refrigerat in primo completo, aut secundo incipiente. Proinde herpetes sanat, & erysipelata non magnopere calida. Cæterùm ad hæc teneris vtendum est eius foliis.

B

2. *De raphano, radicula.*

Radicula calefacit quidem excessu tertio, desiccat verò secundo. Agrestis autem in vtroque efficacior est. Quin & semen ipsum planta efficacius est. Facultas ei inest discutiendi; itaque ad sugillata, & alia id genus liuida ob talem facultatem accommoda existunt.

3. *De rheo, rha pontico.*

Rheum, quidam id rha nuncupant, mixtam habet tum temperiem, tum facultatem; habet enim quiddam terrestre frigidum, ceu indicio est astrictio; & adiuncta est quædam caliditas, siquidem si plusculum mandatur, subacre conspicitur. Quin etiam aëreæ cuiusdam substantiæ tenuis est particeps: quod indicat tum laxitas, tum leuitas; non minimè verò, & opera. Ob id enim licet astringens, non tantum conuulsis, sed & ruptis, & orthopnœæ prodest. Sic quoque liuentia, & lichenas sanat illitum cum aceto. Porrò quòd astrictionis opera haud instrenua sunt, hinc discere liceat, quòd sanguinem expuentibus, cœliacis, & dysentericis conferat. Nec enim reluctatur terrestri frigido tenue aëreum; imò eo quòd deducat, & in altum perducat, valentioris effectus causa existit.

C

D

4. *De resinis.*

Resinæ omnes desiccãt, & calefaciunt. Cęterũ inter se discrepãt, quòd plus, ac minus habeãt in gustu quidẽ acrimoniæ, in facultate verò caliditatis; tũ quòd aliæ plus, aliæ minus, sortitæ sũt partiũ tenuitatis; præterea quòd nõ nullæ astrictionis sunt participes, alię nequaquã. Primas meruit omniũ nõ iniuria Lentiscina; eã vocãt mastichẽ. Nam præter quã quòd paucula ei adest astrictio, adeò vt stomachi ventrisque, & iecoris imbecillitatibus, & phlegmonis cõueniat, insuper illi inest mordacitate vacãs desiccatio. Minimũ enim acris est, & maximè tenuiũ partiũ. Inter alias præfertur terebinthina, manifestã quidẽ, nõ similiter, atq; mastiche, astrictionẽ possidẽs, cæterũ adiunctũ habẽs amarorẽ quẽdã, per quẽ magis etiã quã mastiche digerit. Ob eandẽ qualitatẽ inest & abstersio, tãta quidẽ, vt & psoras sanet. Quin etiã quæ in profundo residẽt, cæteris resinis magis attrahit, nimirũ quũ illis maiorẽ habeat partiũ tenuitatẽ. Attamen pinea, & hac etiã magis strobilina, acriores quidẽ eã sunt, sed non magis tamen discutiunt, neque attrahũt. Mediæ inter has sunt picea, & abietina, acriores quidẽ quàm terebinthina, minùs tamẽ quàm, aut pinea, aut strobilina. Habet porrò etiam emolliens quiddã terebinthina. Secundũ locũ habet in emolliendo lentiscina, sicut & cyparissina acris.

E

F

A

5. De rosa.

ROsarum facultas superioribus libris pluribus verbis exposita est, nēpe quòd ex aquea substātia calida mixta duabus aliis qualitatibus, astringenti videlicet, & amara, composita sit; quin etiam cuius sit naturæ vtraque, amara scilicet, & astringens, in horum commentariorum quarto declarauimus. Flos earum magis etiam ipsis rosis astringit; ac proinde sanè etiam exiccatorius est.

B

6. De radice rhodia.

RHodia radix, ea videlicet, quæ in Macedonia nascitur, tenuium partium, & discutientis est facultatis. In calefaciendo verò secundi ordinis censenda est, aut certè tertij incipientis.

7. De rhododaphne.

RHododaphne tota sua essentia venenum est, nec tantum homini, sed plerisque pecoribus. At temperie sanè tertij est ordinis calefacientium, incipientis vtique, primi autem desiccantium. C

8. De rhœa, malo punico.

MAlū granatū omne, astringentē qualitatem obtinet, non tamen in omnibus ea exuperat. Sūt enim inter ea quædā acida, quædā plus dulcia, quā austera. Et sanè quæ ab vnoquoque eorū procedit vtilitas, secundū vincentē eueniat qualitatē necesse est. Dictū autem in quarto horum cōmentariorum est super dulci sapore, austero, & acido. Itaq; ex illis de malorū punicorum differentia liceat colligere. Porrò acini succo ipsorum tū astringentiores, tum exiccantiores sunt; his etiam magis putamina, vocantur autem sidia. Assimilē illis vim habent Cytini, sic enim eorum appellantur flores. D

9. De rhu.

RHus fruticosa planta astringit, & desiccat. Nam & coriarij ad desiccandum, & astringendum coria, planta vtuntur; ac proinde à medicis coriaria appellata est. Porrò in vsu sunt in primis fructus eius, & succus multum austeræ qualitatis. Consentaneus est vsus particularis ipsi gustus sensui. Fuerit itaque, & hoc medicamentum ex tertio ordine exiccantium, ex secundò verò refrigerantium. E

10. De rhypo, sorde.

SOrdes à gymnasiorum statuis, in quibus largum oleum inhæret, discutiendi emolliendíque vim obtinet: In palæstris autem, quantum accepit pulueris, tantum etiam diuersa est; hanc sordem πάτον vocant. Prior cruda phymata digerit. Secunda optimum est phlegmones mamillarum remedium. Siquidem feruorem earum veluti igneum extinguit; & quod affluit, repellit; denique & quod continetur, halitu digerit; constat enim ex puluere, oleo, sorde humana, & sudore. Ac puluis quidem empla- F

έ. Περὶ ῥόδου.

ΡΟδων ἡ δύναμις ἐν τοῖς ἔμπροσθεν εἴρηται διὰ πλειόνων, ὡς ἐξ ὑδατώδους οὐσίας θερμῆς ἀναμεμιγμένης δύο ποιότησιν ἑτέραις, τῇ τε στυφούσῃ, καὶ τῇ πικρᾷ σύγκειται. καὶ μὴν δὴ καὶ ὁποία τίς ἑκατέρα τὴν φύσιν ἐστὶν, ἥτε πικρὰ, καὶ ἡ στύφουσα, λέλεκταί μοι κατὰ τὸ τέταρτον τῶνδε τῶν ὑπομνημάτων. τὸ δὲ ἄνθος αὐτῶν ἔτι, καὶ μᾶλλον αὐτῶν τῶν ῥόδων, στυπτικόν ἐστι, καὶ δηλονότι διὰ τοῦτο ξηραντικόν.

ϛʹ. Περὶ ῥοδίας ῥίζης.

ΡΟδία ῥίζα ἡ ἐν Μακεδονίᾳ γινομένη, λεπτομερής ἐστι καὶ διαφορητικῆς δυνάμεως. ἐν δὲ τῷ θερμαίνειν κατὰ τὴν δευτέραν που θετέον ἀπόστασιν αὐτὴν, ἢ καὶ τὴν τρίτην ἀρχομένην.

ζ. Περὶ ῥοδοδάφνης.

ΡΟδοδάφνη, κατὰ μὲν τὴν ὅλην οὐσίαν, δηλητήριός ἐστιν, οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῶν πλείστων βοσκημάτων, κατὰ δὲ τὴν κρᾶσιν, τῆς τρίτης μέν ἐστι κράσεως τῶν θερμαινόντων ἀρχομένης, τῆς πρώτης δὲ τῶν ξηραινόντων.

ή. Περὶ ῥοιῶν.

ΡΟιὰ πᾶσα τῆς στυφούσης μετέχει ποιότητος, οὐ μὴν ἐπικρατούσης γε πάντων. ἔνιαι μὲν γὰρ αὐτῶν εἰσιν ὀξεῖαι, τινὲς δὲ γλυκεῖαι πλέον, ἢ αὐστηραὶ, καὶ δὴ καὶ τὰς ὠφελείας ἑκάστης αὐτῶν, κατὰ τὴν ἐπικρατοῦσαν ἀνάγκη γίνεσθαι ποιότητα. λέλεκται δ' ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων περὶ τοῦ γλυκέος χυμοῦ, καὶ αὐστηροῦ, καὶ ὀξέος, ὥστ' ἐξ ἐκείνων ἐστί σοι, καὶ περὶ τῆς τῶν ῥοιῶν διαφορᾶς συλλογίσασθαι. ἐστι δὲ τὰ μὲν γίγαρτα, τοῦ χυλοῦ στυπτικώτερα, καὶ ξηραντικώτερα. τούτων δ' ἔτι τὰ λέμματα, καλεῖται δὲ σίδια. παραπλησίας δ' αὖθις εἰσὶ δυνάμεως, οἱ κύτινοι.

θʹ. Περὶ ῥοός.

ΡΟῦς τὸ θαμνῶδες φυτὸν στύφει, καὶ ξηραίνει, ὥσπερ καὶ οἱ βυρσοδέψαι, πρὸς τὸ ξηρᾶναι, καὶ στύψαι τὰ δέρματα χρῶνται τῷ φυτῷ, καὶ διὰ τοῦτο ὀνομάζεται βυρσοδεψικὴ τοῖς ἰατροῖς. ὅ τε καρπὸς αὐτῆς μάλιστα, καὶ ὁ χυλὸς εἰς χρείαν ἥκουσιν, ἱκανῶς αὐστηρᾶς ὄντες ποιότητος. ὁμολογεῖ δὲ καὶ ἡ κατὰ μέρος ἅπασα χρῆσις, τῇ κατὰ τὴν γεῦσιν αἰσθήσει. εἴη ἂν οὖν καὶ τοῦτο τὸ φάρμακον, ξηραντικὸν μὲν ἐκ τῆς τρίτης τάξεως, ψυκτικὸν δὲ ἐκ τῆς δευτέρας.

ί. Περὶ ῥύπου.

ΡΥπος, ὁ μὲν ἀπὸ τῶν ἐν τοῖς γυμνασίοις ἀνδριάντων, ἐν οἷς ἂν ἄφθονον ἔλαιον κεῖται, διαφορητικός τέ ἐστι, καὶ μαλακτικός. ὁ δ' ἐν ταῖς παλαίστραις, ἐφ' ὅσον τῆς κόνεως μετείληφε, ἐπὶ τοσοῦτον διενήνοχεν. ὀνομάζουσι δὲ τοῦτον τὸν ῥύπον, πάτον. ὁ μὲν δὴ πρότερος, ἀπέπτων φυμάτων ἐστὶ διαφορητικός. ὁ δὲ δεύτερος, ἄριστον ἴαμα φλεγμονῆς τιτθῶν ἐστι. καὶ γὰρ τὸ πυρῶδες αὐτῶν σβέννυσι, καὶ τὸ ἐπιρρέον ἀναστέλλει, καὶ τὸ περιεχόμενον διαφορεῖ· σύγκειται γὰρ ἐκ κόνεως, καὶ ἐλαίου, καὶ ἀνθρωπείου ῥύπου, καὶ ἱδρῶτος. ἡ μὲν οὖν κόνις ἐμπλα-

A σικόν τέ ἐστι, καὶ ψυκτικόν, καὶ ἀποκρουστικόν, τὸ δ' ἔλαιον, μαλακτικόν. ὁ δ' ἱδρὼς, καὶ ὁ ῥύπος, διαφορητικά. ὁ δ' ἀπὸ τῶν ἀνδριάντων, οὔτε τὴν κόνιν ἔχον, καὶ τοῦ χαλκοῦ τινα προσειληφὸς ἰόν, εἰκότως δριμύτερός ἐστιν. ἐμνημονεύσαμεν δὲ τούτου καὶ νῦν, ὅτι τὸ πλεῖστον ἐν αὐτῷ τῆς ἐλαιώδους οὐσίας ἐστὶν, ἐκ φυτοῦ τὴν γένεσιν ἐχούσης. ἀναγκαῖον δ' ἔσται, κἂν τοῖς ἀπὸ ζώων αὐτοῦ μνημονεῦσαι διὰ τὸν ἱδρῶτα.

sticã vim habet, & refrigeratoriã, repercussoriãq; oleũ verò emollit; porrò sudor, & sordes digerẽtia sunt. Ceterũ quæ à statuis corraditur, quũ puluerẽ non habeat, & ab ære æruginẽ quandã sumpserit, nõ iniuria acrior est. Porrò huius mentionẽ modò fecimus, quod plurimũ in se ipso sit oleosæ substãtiæ, quæ ex plãta originẽ sortitur Sed & vbi de iis, quæ ab animalibus proueniunt, verba faciemus, eius tum quoq, meminisse erit propter sudorem.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

CAPVT XVIII.

α'. Περὶ σαγαπηνοῦ.

B Σαγαπηνὸν, ὀπός ἐστι θερμὸς, καὶ λεπτομερὴς, ὡσαύτως τοῖς ἄλλοις ὀποῖς. ἔχει δέ τι καὶ ῥυπτικὸν, ᾧ καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς ἀποκαθαίρει τε καὶ λεπτύνει οὐ μὴν, ἀλλὰ καὶ ὑποχύσεσι, καὶ ἀμβλυωπίαις ταῖς διὰ πάχος ὑγρῶν γινομέναις, ἀγαθόν ἐστι φάρμακον. αὐτὸ δὲ τὸ φυτὸν ἐξ οὗ γὰρ, νάρθηκι παραπλήσιον ὑπάρχον, ἀσθενές τε, καὶ ἄχρηστόν ἐστιν, ὀνομάζεται δὲ δηλονότι προτέρως ἐκεῖνο σαγαπηνόν. ὁ γὰρ ὀπὸς αὐτοῦ καταχρωμένοις οὕτω προσαγορεύεται, καθάπερ καὶ ἄλλα πολλὰ, δι' ἔλλειψιν λέξεως ὀνομάζομεν ἐκ καταχρήσεως. τελεώτερον γὰρ ἦν λέγειν αὐτὸν, οὐ σαγαπηνὸν, ἀλλ' ὀπὸν σαγαπηνοῦ. C

1. *De sagapeno.*

SAgapenum succus est calidus, & tenuium partium, sicut & alij succi. Sed & abstersionem quandam possidet, qua oculorum cicatrices expurgat, atque extenuat. Quin & suffusionibus, & hebetudinibus oculorum, quæ ob humorum proueniunt crassitiem, non malum est medicamentum. At ipsa Planta ex qua proueniunt, ferulæ assimilis, imbecilla, & inutilis est. Sanè ipsa primum sagapenum appellatur; at liquor eius absolutè hoc nomen obtinet; ceu alia quoque multa ex nominis defectu per abusum nuncupamus. Perfectius namque foret ipsum cognominare non sagapenum, sed sagapeni succum.

β'. Περὶ σαμψύχου.

Σάμψυχον λεπτομερείας ἐστὶ, καὶ διαφορητικῆς δυνάμεως. ξηραίνει τε γὰρ, καὶ θερμαίνει κατὰ τὴν τρίτην τάξιν.

2. *De sampsuco, maiorana.*

SAmpsucum tenuium partium, & digerentis est facultatis; desiccat enim & calefacit ordine tertio.

γ'. Περὶ σαπρότητος τῶν ξύλων.

Σαπρότης ξύλων, καὶ μάλιστα ὅσα μετέχει στύψεώς τε ἅμα, καὶ ῥύψεως, ὥσπερ καὶ ἡ πτελέα, καθαίρει καὶ ἀναπληροῖ τὰ ὑγρὰ τῶν ἑλκῶν. D

3. *De saprotite, carie lignorum.*

CAries lignorum, & maximè, quæ participant astrictionis simul, & abstersionis, velut vlmus, expurgat implétque vlcera humida.

δ'. Περὶ σαρκοκόλλης.

Σαρκοκόλλα, δάκρυόν ἐστι δένδρου περσικοῦ, μικτὴν ἔχουσα δύναμιν ἔκ τε ἐμπλαστικῆς τινος οὐσίας, καὶ βραχείας πικρᾶς, ὅθεν ἀδήκτως ξηραίνει, καὶ διὰ τοῦτο τραύματα δύναται κολλᾶν.

4. *De sarcocolla.*

SArcocolla lachryma est arboris persicæ. Mixtam vim habet ex emplastica quadam substantia, & paucula amara. Itaque citra morsum desiccat, ac proinde glutinare vulnera valet.

ε'. Περὶ σατυρίου.

E Σατύριον, ἢ τρίφυλλον, ὑγρόν ἐστι καὶ θερμὸν τὴν κρᾶσιν, διὸ καὶ γευομένοις φαίνεται γλυκύ. περιττωματικὴν μέντοι, καὶ φυσώδη τὴν ὑγρότητα κέκτηται, καὶ διὰ τοῦτο παρορμᾷ πρὸς ἀφροδίσια. ταῦτα δὲ, καὶ ἡ ῥίζα τῆς βοτάνης δρᾶν πέφυκεν. ὡς δέ τινες γράφουσι, καὶ ὀπισθότονον ἰᾶται, μετ' οἴνου μέλανος αὐστηροῦ πινόμενον.

5. *De satyrio.*

SAtyrium, aut trifolium humidum, & calidum temperamento est; quamobrem gustu quoque apparet dulce, attamen excrementitiam, & flatuosam humiditatem possidet. Quocirca ad venerem incitat. Hæc verò, & herbæ ipsius radix præstare potest. Porrò vt quidam aiunt, ex vino nigro austero potum sanat opisthotonon.

ϛ'. Περὶ σελίνου.

F Σέλινον εἰς τοσοῦτον θερμόν ἐστιν, ὡς οὖρά τε καὶ καταμήνια κινεῖν. ἔστι δὲ καὶ ἄφυσον, καὶ μᾶλλον τῆς πόας τὸ σπέρμα, καὶ τοῦ ὀρεοσελίνου δὲ, καὶ τοῦ ἱπποσελίνου παραπλήσιος ἡ δύναμις. ἀσθενέστερον δὲ τὸ ἱπποσέλινον, ὥσπερ ἰσχυρότερον τὸ ὀρεοσέλινον.

6. *De selino, apio.*

APium vsque adeò calidum est, vt & vrinas, & menses eiceat. Flatus quoque discutit: & magis semen, quàm herba ipsa. Sed & Oreoselini, & Hipposelini similis vis est; verùm Hipposelinon imbecillius est, oreoselinon valentius.

A

7. *De seride, cichorio.*

SEris olus est subamarum, & magis quod agreste est, quod ob id ipsum amaram, quidam nuncupant, quidam verò cichorium appellant. Est autem ea siccæ frigidæque temperiei, vtrunque primo excessu. Porrò domestica magis etiam quàm agrestis refrigerat; sed & humiditatis multæ admixtio siccitatem extinguit. Verùm vtraque astringentis qualitatis est particeps, velut & Chondrila; nam & ipsa est sereos species.

ζ'. Περὶ σέρεως.

ΣΈρις ὑπόπικρόν ἐστι λάχανον, καὶ μᾶλλον τὸ ἄγριον. ὅπερ καὶ δι' αὐτὸ τοῦτο πικρίδα προσαγορεύουσιν ἔνιοι, τινὲς δὲ κιχώριον ὀνομάζουσιν. ἔστι δ' αὕτη ξηρᾶς μὲν, καὶ ψυχρᾶς κράσεως ἀμφότερα κατὰ τὴν πρώτην ἀπόστασιν ἔχουσα. ἡ δ' ἥμερος, ἐπὶ μᾶλλον μὲν ψύχει τῆς ἀγρίας. ἐπιμιξία δὲ πολλῆς ὀθνείας ὑγρότητος, ἀπόλλυσι τὸ ξηραίνειν. ἀμφότεραι δὲ μετέχουσι τῆς στυφούσης ποιότητος, ὥσπερ καὶ ἡ χονδρίλη, καὶ
B γὰρ αὐτὸ σέρεως εἶδός ἐστιν.

8. *De seripho.*

SEriphum. Dictum sanè de hoc est, & in sexto libro in sermone de absinthio; est enim absinthio tum specie, tum gustu simile. Attamen discrepat, gustu quidem, quandoquidem non æquè, vt illud astringat, plúsque calefaciat, amaroremque quendam cum salsedine resipiat. Facultate verò, tum quòd stomacho infestum sit, magísque absinthio lumbricos necet, siue foris impositum, siue intrò in corpus assumptum. Et sanè calefacere ipsum in secundo ordine intenso censendum est, exiccare in tertio.

η'. Περὶ σερίφου.

ΣΈριφον. εἴρηται μὲν περὶ τούτου κατὰ τὸ ἕκτον βιβλίον, ἐν τῷ περὶ ἀψινθίου λόγῳ. παραπλήσιον μὲν γάρ ἐστιν ἀψινθίῳ κατὰ τὴν ἰδέαν, καὶ τὴν γεῦσιν, ὅμως μὴν διαλλάττει. κατὰ μὲν τὴν γεῦσιν, τῷ μήθ' ὁμοίως ἐκείνῳ στύφειν, καὶ μᾶλλον θερμαίνειν τε, καὶ πικράζειν μετά τινος ἁλυκότητος. ἐν δὲ τῇ δυνάμει τῷ κακοστόμαχον εἶναι, καὶ μᾶλλον ἀψινθίου κτείνειν ἕλμινθας, ἔξωθέν τε ἐπιτιθέμενον, καὶ εἴσω τοῦ σώμα-
C τος λαμβανόμενον. καὶ δὴ καὶ θερμαίνειν μὲν, ἐκ τῆς δευτέρας τάξεως ἐπιτεταμένης θετέον αὐτὸ, ξηραίνειν δὲ κατὰ τὴν τρίτην.

9. *De seseli.*

SEseli. Et radix quidem, sed & fructus vsque adeò calefacit, vt admodum vrinam mouere queat. Sed & tenuium est partium, vt & comitiali morbo, & orthopnœis competat.

θ'. Περὶ σεσέλεως.

ΣΈσελι. καὶ ἡ ῥίζα μὲν, ἔτι δὲ καὶ ὁ καρπὸς τῶν θερμαινόντων εἰς τοσοῦτόν ἐστιν, ὡς ἱκανῶς οὐρητικὸν ὑπάρχειν φάρμακον. ἔστι δὲ καὶ λεπτομερὲς, ὡς καὶ πρὸς ἐπιληψίας τε καὶ ὀρθοπνοίας ἁρμόττειν.

D

10. *De sesamo.*

SEsamon non parum in se continet viscosum, & pingue; quare emplasticum est, & emolliens, ac modicè calidum. Eiusdem facultatis est, quod ex eo conficitur oleum. Et herbæ quoque decoctum similem vim obtinet.

ι'. Περὶ σησάμου.

ΣΉσαμον, οὐκ ὀλίγον ἔχει τὸ γλίσχρον ἐν αὐτῷ, καὶ λιπαρὸν, ὅθεν ἐμπλαστικόν τ' ἐστὶν ἅμα, καὶ μαλακτικὸν, καὶ μετρίως θερμόν. τῆς δ' αὐτῆς δυνάμεώς ἐστι, καὶ τὸ ἔλαιον τὸ ἐξ αὐτοῦ. καὶ τῆς πόας δὲ τὸ ἀφέψημα, παραπλησίας ἐστὶ δυνάμεως.

11. *De sesamoide magno.*

SEsamoides magnum, quod & Anticyricus helleborus appellatum est, propterea videlicet quia semen eius, vt helleborus purgat, hoc & reliqua facultate helleboro simile est. Nam & in abstergendo, calefaciendo, desiccandóque, similem illi vim obtinet.

ια'. Περὶ σησαμοειδοῦς.

ΣΗσαμοειδὲς τὸ μέγα, ὅπερ καὶ Ἀντικυρικὸς ἐλλέβορος
E ὠνόμασται, διὰ τὸ καθαίρειν αὐτοῦ τὸ σπέρμα παραπλησίως ἐλλεβόρῳ. τοῦτο καὶ τῇ ἄλλῃ δυνάμει, παραπλήσιόν ἐστιν ἐλλεβόρῳ. καὶ μέντοι, καὶ κατὰ τὸ ῥύπτειν τε, καὶ θερμαίνειν, καὶ ξηραίνειν, ὅμοιον ἐκείνῳ τὴν δύναμίν ἐστιν.

12. *De sesamoide albo.*

SEsamoidis albi semen nonnullam item acrem qualitatem continet; sed multum amarum est. Calefacit itaque, rumpit, & extergit.

ιβ'. Περὶ σησαμοειδοῦς τοῦ λευκοῦ.

ΣΗσαμοειδοῦς τοῦ λευκοῦ τὸ σπέρμα, μετέχει μέν τινος καὶ δριμείας ποιότητος. πικρὸν δ' ἱκανῶς ἐστι. θερμαίνει τοιγαροῦν, καὶ ῥήσσει, καὶ ῥύπτει.

F

13. *De sideritide.*

SIderitis habet quidē etiam abstergēdi quādam facultatē, sed plurima eius pars humida est, & mediocriter frigida; paucula verò inest astrictio. Quare phlegmonē sedat, & glutinat. Quidā etiam vocāt Achilleam sideritim, quæ propositæ quidē,

ιγ'. Περὶ σιδηρίτιδος.

ΣΙδηρῖτις, ἔχει μέν τι καὶ ῥυπτικὸν, ἀλλὰ τό γε πλέον αὐτῆς ὑγρόν ἐστι, καὶ μετρίως ψυχρὸν, ὀλίγης δέ τινος μετείληφε στύψεως, ὅθεν ἀφλέγμαντός τ' ἐστὶ, καὶ κολλητικός. καλοῦσι δ' ἔνιοι καὶ τὴν Ἀχίλλειον σιδηρῖτιν, ἐμφερῆ μὲν τῇ

προειρημένῃ κατὰ τὴν δύναμιν οὖσαν, εἰς γε τὰ νῦν εἰρημένα, πλεονεκτούσης δ' αὐτῆς τῇ στύψει. διὸ καὶ πρὸς αἱμοῤῥαγίας τε καὶ δυσεντερίας, καὶ τοὺς γυναικείους ἁρμόττει ῥοῦς.

A quòd ad iam dicta attinet, viribus est non dissimilibus, cæterùm astrictione exuperat. Quare ad sanguinis eruptiones, dysenterias, & muliebre profluuium congruit.

ιδ'. Περὶ σικύου ἐδωδίμου.

Σίκυος ἐδώδιμος, ὁ μὲν ἤδη πέπων λεπτομερεστέρας ἐστὶν οὐσίας, ὁ δὲ μὴ τοιοῦτος παχυμερεστέρας. οὐ μὴν, ἀλλὰ καὶ ῥυπτικῆς τε, καὶ τμητικῆς μετειλήφασι δυνάμεως, ὅθεν οὐρητικοί τ' εἰσὶ, καὶ λαμπρύνουσι τὸ σῶμα, καὶ μᾶλλον εἰ ξηράνας τις τὸ σπέρμα, κἄπειτα κόψας τε καὶ σήσας ῥύμματι χρῷτο. κρατεῖ δὲ ἐν αὐτοῖς ὑγρὰ, καὶ ψυχρὰ κρᾶσις, οὐ μὴν ἰσχυρῶς, ἀλλ' ὡς ἐν τῇ δευτέρᾳ που τάξει τίθεται. εἰ μέντοι τις τὸ σπέρμα ξηραίνειεν, ἢ τὴν ῥίζαν, οὐκέτ' οὐδὲ τῆς ὑγρᾶς ἐστὶ φύσεως, ἀλλ' ἤδη τῆς ξηραινούσης κατὰ τὴν πρώτην που τάξιν, ἢ καὶ τὴν δευτέραν ἀρχομένην. ἔστι δὲ καὶ τὸ ῥυπτικὸν ἐν τούτοις πλέον, ἢ ἐν τῇ σαρκὶ τοῦ καρποῦ.

14. *De cucumere esculento.*

Cucumis Esculentus, maturus quidem, tenuioris essentiæ est; qui immaturus est, crassioris. Sed & abstergendi, & incidendi facultas eis inest; quare & vrinam mouent, & corpus splendidum reddunt; ac magis quoque si quis semine, arefacto contusóque, atque cribrato vice pulueris abstersorij, vtatur. B Superat in eis humida frigidáque temperies, non tamen magnopere, sed quasi in secundo censetur ordine. Attamen si quis, aut semen, aut radicem arefaciat, haud etiam humidæ fuerit naturæ, sed iam desiccantis, idque in primo quodammodo ordine, aut etiam secundo, sed incipiente. Est & in istis maior abstergendi facultas, quàm in fructus ipsius carne.

ιε'. Περὶ σικύου ἀγρίου.

Σικύου ἀγρίου, καὶ ὁ τοῦ καρποῦ χυλὸς, ὃν ἐλατήριον ὀνομάζουσιν, οὐχ ἥκιστα δὲ, καὶ ὁ τῆς ῥίζης τε, καὶ τῶν φύλλων, ἐπιτήδειοι τυγχάνουσιν ὄντες εἰς τὰς ἰάσεις. τὸ μὲν οὖν ἐλατήριον, ἔμμηνα προκαλεῖται, καὶ τὰ κυούμενα διαφθείρει προστιθέμενον, ὥσπερ καὶ τὰ ἄλλα, τὰ πικρά τε ἅμα, καὶ λεπτομερῆ, μάλιστα εἰ καὶ θερμότητός τινος μετέχει, καθάπερ οὖν καὶ τὸ ἐλατήριον. ἄκρως μὲν γὰρ ἐστὶ πικρὸν, ἐπ' ὀλίγον δὲ θερμὸν, ὡς ἐκ τῆς δευτέρας τάξεως εἶναι κατὰ θερμότητα, εὐθὺς δὲ τὸ τοιοῦτον, καὶ διαφορητικῆς ἐστὶ δυνάμεως. οὕτω γοῦν αὐτῷ, καὶ συναγχικοὺς διαχρίουσιν ἔνιοι μετὰ μέλιτος, ἢ ἐλαίου παλαιοῦ. ἀγαθὸν δὲ, καὶ τοῖς ἰκτερικοῖς ἐγχεόμενον μετὰ γάλακτος ταῖς ῥισίν. οὕτω δὲ χρώμενον, καὶ κεφαλαλγίας ἰᾶται. τὸ μὲν οὖν ἐλατήριον τοιοῦτον. ὁ δὲ τῆς ῥίζης χυλὸς, ὥσπερ γε καὶ ὁ τῶν φύλλων, ὅμοιοι μὲν ἐλατηρίῳ τὴν δύναμιν, ἀσθενέστεροι δέ. καὶ αὐτὴ δὲ ἡ ῥίζα παραπλησίας ἐστὶ δυνάμεως. καὶ γὰρ ῥύπτει, καὶ διαφορεῖ, καὶ μαλάττει, ξηραντικώτερος δ' αὐτῆς ἐστὶν ὁ φλοιός.

15. *De cucumere agresti.*

Cucumeris agrestis, tum fructus ipsius succus, quem vocant elaterium, tum non minimè C radicis & foliorum ad medicationes perutilis est. Elaterium itaque menses ciet; & fœtum interimit appositum, ceu alia omnia amara, & subtilium partium, maximè si quam habeant caliditatem, velut nimirum elaterium; summè siquidem amarum est, leuiter calidum; vt ex secundo sit ordine calefacientium: Porro tale protinus quoque digerendi vim possidet. Sic igitur eo angina laborantes inungunt quidam cum melle, aut oleo vetere. Bonum item est regio morbo affectis fusum cum lacte in nares. Sed & dolores capitis sanat hoc D vsu. Atque elaterium quidem eiusmodi est; at radicis succus, vt & foliorum, licet elaterio similem vim habeat; imbecilliorem tamen. Sed & ipsa radix assimilem facultatem possidet; abstergit namque, digerit, atque emollit. Porrò cortex ea potentius desiccat.

ιϛ'. Περὶ σιλφίου.

Σιλφίου, θερμότατος μὲν ἐστὶν ὁ ὀπὸς, οὐ μὴν, ἀλλὰ καὶ τὰ φύλλα, καὶ ὁ καυλὸς, καὶ ἡ ῥίζα θερμαίνει γενναίως. ἔστι δὲ φυσωδεστέρας οὐσίας ἅπαντα, καὶ κατὰ τοῦτο δύσπεπτα. ἔξωθεν μέντοι κατὰ τοῦ σώματος ἐπιτιθέμενα, δραστηριωδέστερα, καὶ μάλιστα πάντων ὁ ὀπὸς, ἑλκτικῆς ἱκανῶς ὑπάρχων δυνάμεως. καὶ μὲν δὴ καὶ καθαιρετικὸν καὶ ἀποτηκτικόν τι ἔχει, διὰ τὴν προειρημένην αὐτοῦ κρᾶσιν.

16. *De lacerpicio.*

Silphij liquor calidissimus est; verùm enim verò, & folia, & caulis, & radix sat strenuè calefaciunt. Sed omnia flatulentæ magis essentiæ sunt, E ac proinde coctu difficilia; foris tamen imposita corpori, efficaciora & omnium potissimum liquor, admodum trahentem facultatem possidens. Attamen & excrescentias emolliendi, & liquandi vim quandam, propter propositam temperiem, obtinet.

ιζ'. Περὶ σίσωνος.

Σίσων, θερμὸς καὶ ὑπόπικρός ἐστι τὴν γεῦσιν. ὅθεν οὐρητικός τ' ἐστὶ καὶ πεπτικὸς, ἐμμήνων τε προκλητικὸς, ἐκφρακτικός τε τῶν κατὰ τὰ σπλάγχνα πασῶν ἐμφράξεων.

17. *De sisone.*

Sison calidus, & subamarus gustu est; quare & vrinam mouet, & concoquit, mensésque prouocat, omnésque viscerum obstructiones disiicit.

F

ιη'. Περὶ σίου.

Σίον, εἰς ὅσον ἀρωματίζει πως κατὰ τὴν γεῦσιν, εἰς τοσοῦτον, καὶ θερμαινούσης πως μετείληφε δυνάμεως. ἔστι δὲ διαφορητικόν τε καὶ διουρητικὸν, καὶ λίθων τῶν ἐν νεφροῖς θρυπτικὸν καὶ ἐμμηνίων ἀγωγόν.

18. *De sione.*

Sion, quantum gustu quodammodo odoratum est, tantum etiam calefacientis facultatis est particeps. Sed & digerit, & vrinam mouet, & calculos renum frangit, & menses euocat.

A

19. *De sisari radice.*

SIsari radix cocta stomacho grata est; & vrinam mouet secundo ordine calefaciens, aliquid habens amaroris cum leui astrictione.

20. *De sisymbrio.*

SIsymbrium tenuium partium, digerentis, calefacientis, & resiccantis facultatis est, & temperiei in tertio ordine. Sed & semen eius tenuium partium est, & calidum; quocirca ipsum quidam cum vino exhibent singultientibus, & tormina patientibus.

B

21. *De sisymbrio, cardamine.*

SIsymbrium, quod quidam cardaminen vocant, quandoquidem cardamomo simile quiddam gustu præfert; quum siccum est, tertij est ordinis calefacientium, & desiccantium: quum humidum, & viride, secundi.

C

22. *De scandice.*

SCandix ex agrestium olerum genere est, subacre, & amarum, adeò, vt in siccando, & calefaciendo sit secundi ordinis intensi, aut tertij incipientis. Vrinam valenter ciet, & viscera obstructione liberat, ex dictis qualitatibus constans.

23. *De scilla.*

D

SCilla admodum incidentem facultatem obtinet, non tamen admodum calidam. Sed secundum hoc eam quispiam secundi ordinis censeat calefacientium. Præstat autem, aut assam, aut elixam sumere; sic enim virium eius vehementia exoluitur.

24. *De scolymi radice.*

E

SColymi radix copiosam vrinam graueolentem elicit; siquis eam in vino coctam bibat; ac proinde graueolentiam sanat, tum alarum, tum totius corporis. Atque hoc sanè, medicamento ex tota inest essentia, nimirum quum succus sit purgatorius. At quæ secundum qualitates editur actio, calidum in secundo ordine completo, aut tertio incipiente, medicamentum indicat, siccum verò in secundo.

25. *De scordio.*

F

SCordium. Ex variis id tum saporibus, tum facultatibus constat, nam & amarum quid obtinet, & acerbum, & acre; & maximè scorodo *allio* assimilis eius est acrimonia; vnde sanè, mea sententia, nomenclaturam sortitum est. Expurgat igitur simúlque calefacit viscera; tum menses vrinamque prouocat. Præterea conuulsa ruptaque, & laterum dolores ab obstructione, & frigore natos sanat epotum. Denique viride quidem illitum magna vulnera conglutinat; sed sordida perpurgat, & contumacia ad cicatricem perducit, illitum aridum.

ιθʹ. Περὶ σισάρου ῥίζης.

ΣΙσάρου ἡ ῥίζα ἑψηθεῖσα, εὐστόμαχός τέ ἐστι καὶ οὐρητική, θερμαίνουσα κατὰ τὴν δευτέραν τάξιν, ἔχουσα δέ τι καὶ πικρότητος, καὶ τι στύψεως βραχείας.

κʹ. Περὶ σισυμβρίου.

ΣΙσύμβριον, λεπτομεροῦς, διαφορητικῆς, θερμαινούσης, καὶ ξηραινούσης κατὰ τὴν τρίτην τάξιν ἐστὶ δυνάμεώς τε καὶ κράσεως. καὶ τὸ σπέρμα δ᾽ αὐτοῦ, λεπτομερές τε καὶ θερμόν ἐστιν, ὅθεν σὺν οἴνῳ τινὲς αὐτὴν διδόασι τοῖς τε λύζουσιν, καὶ τοῖς στροφουμένοις.

καʹ. Περὶ σισυμβρίου.

ΣΙσύμβριον, ὅπερ ἔνιοι καρδαμίνην ὀνομάζουσιν, ἐπειδὴ καρδαμώμου τι παραπλήσιον ἔχει κατὰ τὴν γεῦσιν, ὅταν μὲν ξηρὸν ᾖ, τῆς τρίτης ἐστὶ τάξεως τῶν ξηραινόντων τε ἅμα, καὶ θερμαινόντων. ὅταν δ᾽ ὑγρόν τε καὶ χλωρόν, τῆς δευτέρας.

κβʹ. Περὶ σκάνδικος.

ΣΚάνδιξ, τῶν ἀγρίων ἐστὶ λαχάνων, ὑπόδριμύ τε καὶ πικρόν, ὡς εἶναι ἐν τῷ ξηραίνειν τε καὶ τῷ θερμαίνειν, ἤτοι τῆς δευτέρας τάξεως ἐπιτεταμένης, ἢ τρίτης ἀρχομένης. οὐρητικὸν δ᾽ ἱκανῶς ἐστι, καὶ τῶν σπλάγχνων ἐκφρακτικόν, ἐκ τῶν εἰρημένων ποιοτήτων συγκείμενον.

κγʹ. Περὶ σκίλλας.

ΣΚίλλα, τμητικῆς ἱκανῶς ἐστι δυνάμεως, οὐ μὴν ἰσχυρῶς γε θερμῆς, ἀλλὰ κατά γε τοῦτο, θείη ἄν τις αὐτὴν ἐν τῇ δευτέρᾳ τάξει τῶν θερμαινόντων. ἄμεινον δ᾽ ὀπτῶντας, ἢ ἕψοντας λαμβάνειν· ἐκλύεται γὰρ οὕτως αὐτῆς τὸ σφοδρὸν τῆς δυνάμεως.

κδʹ. Περὶ σκολύμου ῥίζης.

ΣΚολύμου ἡ ῥίζα, πλῆθος οὔρων ἄγει δυσωδῶν, εἴ τις αὐτὴν ἐν οἴνῳ καθεψήσας πίνοι. καὶ διὰ τοῦτο καὶ τὰς δυσωδίας ἰᾶται τῶν τε μασχαλῶν, καὶ ὅλου τοῦ σώματος. τοῦτο μὲν οὖν, ὡς καθαρτικῷ τοιούτου χυμοῦ τῷ φαρμάκῳ, καθ᾽ ὅλην ὑπάρχει τὴν οὐσίαν. ἡ δὲ κατὰ τὰς ποιότητας ἐνέργεια, θερμὸν μὲν κατὰ τὴν δευτέραν τάξιν ἤδη πληρουμένην, ἢ τρίτην ἀρχομένην, ἐνδείκνυται τὸ φάρμακον, ξηρὸν δὲ κατὰ τὴν δευτέραν.

κεʹ. Περὶ σκορδίου.

ΣΚόρδιον, ἐκ πολυειδῶν τοῦτο, καὶ χυμῶν, καὶ δυνάμεων σύγκειται. καὶ γὰρ καὶ πικρὸν ἔχει τι, καὶ στρυφνόν, καὶ δριμύ, καὶ μάλιστά γε σκορόδῳ προσέοικεν αὐτοῦ τὸ δριμύ, ὅθεν οἶμαι καὶ τὴν προσηγορίαν ἀπηνέγκατο. διακαθαίρει τοιγαροῦν ἅμα, καὶ θερμαίνει τὰ σπλάγχνα, καὶ καταμήνια, καὶ οὖρα κινεῖ, καὶ σπάσματα, καὶ ῥήγματα, καὶ πλευρῶν ἀλγήματα κατ᾽ ἔμφραξιν, καὶ ψῦξιν ἰᾶται πινόμενον, κολλᾷ μὲν τὰ μεγάλα τραύματα χλωρὸν ἐπιπλαττόμενον. ἀνακαθαίρει δὲ τὰ ῥυπαρά, καὶ εἰς οὐλὴν ἄγει τὰ κακοήθη, ξηρὸν ἐπιπαττόμενον.

A

κϛ΄. Περὶ σκορόδου.

Σκόροδον, ξηραίνει καὶ θερμαίνει κατὰ τὴν τετάρτην ἀπόστασιν. τὸ δὲ ὀφιοσκόροδον ὀνομαζόμενον, ἄγριόν ἐστι σκόροδον ἰσχυρότερον τοῦ ἡμέρου, ὥσπερ καὶ τὰ ἄλλα τὰ ἄγρια.

26. *De scorodo, allio.*

Allium desiccat, & calefacit quarto excessu. Porrò Ophioscorodon agreste allium est, domestico valentius, ceu reliqua agrestia omnia.

κζ΄. Περὶ σκοροδοπράσου.

Σκοροδόπρασον, ὥσπερ ἐν τῇ γεύσει τε, καὶ τῇ ὀσμῇ μικτὴν σκορόδου τε, καὶ πράσου κέκτηται ποιότητα, κατὰ τὸν αὐτὸν τρόπον, κἂν τῇ δυνάμει.

27. *De scorodopraso.*

Scorodoprasson sicut gustu, & odore mediam scorodi, *allij*, & prassi, *porri*, qualitatem possidet, ita & viribus.

B

κη΄. Περὶ σκορπιοειδοῦς.

Σκορπιοειδὲς, θερμαίνει μὲν κατὰ τὴν τρίτην τάξιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν.

28. *De scorpioide.*

Scorpioides calefacit ordine tertio, desiccat secundò.

κθ΄. Περὶ σμίλακος.

Σμίλαξ, ἡ τάξος, δένδρον ἐστὶ δηλητηρίου δυνάμεως.

29. *De smilace.*

Smilax aut Taxus, arbor est venenosæ facultatis.

C

λ΄. Περὶ σμύρνης.

Σμύρνα τῆς δευτέρας ἐστὶ τάξεως, τῶν θερμαινόντων τε καὶ ξηραινόντων. ἐπιπλαττομένη γοῦν τοῖς ἐν κεφαλῇ τραύμασι, κολλᾶν αὐτὰ δύναται. μετέχει δὲ καὶ πικρότητος οὐκ ὀλίγης, δι᾽ ἣν ἔμβρυα, καὶ ἕλμινθας κτείνει τε καὶ ἐκβάλλει. ὑπάρχει δὴ αὐτῇ, καὶ τὸ ῥυπτικὸν ἐντεῦθεν. οὕτω γοῦν καὶ ταῖς ὀφθαλμικαῖς μίγνυται δυνάμεσιν, ὅσαι πρὸς ἕλκη καὶ οὐλὰς παχείας συντίθενται. κατὰ δὲ τὴν αὐτὴν αἰτίαν, ἐπιμίγνυται τοῖς πρὸς βῆχα χρονίαν, καὶ ἆσθμα διδομένοις φαρμάκοις. οὐ μὴν τραχύνει γε τὴν ἀρτηρίαν, ὡς ἔνια τῶν ῥυπτόντων, ἀλλ᾽ οὕτως ἔχει μετρίαν τὴν ῥύψιν, ὥστ᾽ ἔνιοι, καὶ τοῖς ἀρτηριακοῖς ὀνομαζομένοις φαρμάκοις μιγνύουσιν αὐτὴν, ὡς θερμαῖνόν τε καὶ ξηραῖνον αὐτάρκως φάρμακον, οὐδὲν εὐλαβούμενοι τὴν ἐκ τῆς πικρότητος ῥύψιν.

30. *De smyrna, myrrha.*

Myrrha secundi ordinis est tũ calefacientium, tum desiccantium. Itaque capitum vulneribus illita, glutinare ea potest. Inest & amaror non paucus, per quem fœtum, & lumbricos tum enecat, tum eiicit. Adest hinc ei, & abstergendi facultas. Sic igitur ocularibus miscetur facultatibus, vtique quæ ad vlcera, & crassas cicatrices præparantur. Eadem de causa inditur & medicamentis, quæ ad tussim veterem, & asthma, exhibentur. Non tamen arteriam exasperat sicut abstergentium nonnulla; verùm adeò moderatam obtinet abstersionem, vt nonnulli eam arteriacis, quæ vocant medicamentis commisceant, tanquam sufficienter calefaciens, & desiccans medicamentum; scilicet abstersionem proficiscentem ab amarore nihil verentes.

D

λα΄. Περὶ σμύρνης βοϊκῆς.

Σμύρνα βοϊκὴ, δύναμιν ἔχει θερμαντικὴν, διαχυτικὴν, μαλακτικήν.

31. *De myrrha bœotia.*

Myrrha bœotia vim habet calefaciendi, fundendi, emolliendi.

E

λβ΄. Περὶ σμυρνίου.

Σμύρνιον, οἱ δ᾽ ἱπποσέλινον ὀνομάζουσιν ἄγριον, ἐκ ταὐτοῦ γένους ἐστὶ, καὶ τοῦτο τῷ σελίνῳ τε, καὶ πετροσελίνῳ, καὶ εἴη ἂν σελίνου μὲν ἰσχυρότερον, πετροσελίνου δὲ ἀσθενέστερον. ἐμμήνων τε οὖν ἀγωγόν ἐστι, καὶ οὐρητικὸν, καὶ θερμὸν, καὶ ξηρὸν κατὰ τὴν τρίτην τάξιν. οἱ δ᾽ ἐν Κιλικίᾳ, πετροσέλινον ὀνομάζουσιν ἐν τῷ Ἀμανῷ γινόμενον. ἔστι μέντοι, καὶ αὐτὸ σμύρνιον, ἧττον δ᾽ ἐστὶν δριμὺ πετροσελίνου, καὶ σμυρνίου, καὶ διὰ τοῦτο, καὶ κατὰ τραυμάτων ἐπιτήδειον δύναται τῷ ξηραίνειν ἀλύπως. ἀλλὰ καὶ διαφορητικόν ἐστι τῶν ἐσκληρυσμένων. ἡ δ᾽ ἄλλη δύναμις αὐτοῦ, παραπλησία σελίνῳ τ᾽ ἐστὶ, καὶ πετροσελίνῳ, διὸ καὶ τῷ σπέρματι χρώμεθα πρὸς τὰ καταμήνιά τε καὶ οὖρα, καὶ ἄσθματα.

32. *De smyrnio.*

Smyrnium, quidam Hipposelinum agreste cognominant. Ex eodem genere & ipsum cum apio est, & petroselino. Fueritque apio quidem validius, imbecillius petroselino. Menses itaque & vrinas mouet, calidum siccumque tertio ordine. Cilices petroselinum nominant, quod in Amano nascitur. Est sanè & ipsum smyrnium, verùm minus acre petroselino, smyrnióque. Proinde sanè vlceribus imponi potest, quia videlicet sine molestia desiccet. Sed & discutere, F quæ indurata sunt, potest. Reliqua vis eius apio, & petroselino similis est. Quocirca & semine eius vtimur ad menses, vrinas, & asthmata.

33. *De soncho.*

SOnchus vbi adoleuerit, ex spinosis plantis est. Cæterùm viridis etiamnum & tener estur perinde, vt cætera agrestia olera. Temperamentum eius quodammodo mixtum est; constat enim ex aquea terreaque essentia, vtraque leuiter frigida. Nam & astrictionis cuiusdam est particeps; & siue cataplasmatis in morem illinatur, siue edatur, manifestò refrigerat. Postea verò quàm planè resiccatus fuerit, terrestre eius temperamentum redditur, modicam habens caliditatem.

A

λγ'. Περὶ σόγχου.

ΣΌγχος, ἐπειδὰν μὲν τελειωθῇ, τῶν ἀκανθωδῶν ἐστι φυτῶν. χλωρὸς δ' ἔτι καὶ ἁπαλὸς ἐσθίεται, τοῖς ἄλλοις ἀγρίοις λαχάνοις ὡσαύτως. ἡ κρᾶσις δ' αὐτοῦ μικτή πώς ἐστι· σύγκειται γὰρ ἐξ ὑδατώδους τε καὶ γεώδους οὐσίας, ἀμφοῖν ἀτρέμα ψυχρῶν. καὶ γὰρ στύψεώς τι μετέχει, καὶ σαφῶς ἐμψύχει καταπλαττόμενός τε καὶ ἐσθιόμενος. ὅταν δὲ τελέως ξηρανθῇ, γεώδης ἡ κρᾶσις αὐτοῦ γίνεται, μετρίως θερμότητα ἔχουσα.

B

34. *De spargania.*

SParganium, & ipsum desiccantis est facultatis.

λδ'. Περὶ σπαργανίου.

ΣΠαργάνιον, ξηραντικῆς καὶ τοῦτο δυνάμεώς ἐστι.

35. *De sparto, genista.*

SParti, quo & vites alligant, tum fructus, tum virgarum succus, non imbecilliter trahentis est facultatis.

λε'. Περὶ σπάρτης.

ΣΠάρτη, ᾧ τὰς ἀμπέλους παρ' ἡμῖν δεσμοῦσιν, ὅ τε καρπὸς, καὶ ὁ τῶν ῥάβδων χυλὸς, ἑλκτικῆς οὐκ ἀγεννῶς ἐστι δυνάμεως.

C

36. *De staphilino, pastinaca.*

STaphilinus satiuus imbecillior, agrestis ad omnia potentior est. Vrinas mensésque prouocat cùm herba quidem tota, tum maximè semen, ac radix. Habet porrò etiam abstersorium in se quippiam. Quamobrem vlcerum phagedænica quidam foliis eius viridibus cum melle, quo pura reddant, illinunt.

λϛ'. Περὶ σταφυλίνου.

ΣΤαφυλῖνος, ὁ μὲν ἥμερος ἀσθενέστερος, ὁ δ' ἄγριος ἰσχυρότερος εἰς ἅπαντα. οὖρα δὲ κινεῖ, καὶ καταμήνια προτρέπει. καὶ σύμπασα μὲν ἡ πόα, μάλιστα δὲ τὸ σπέρμα, καὶ ἡ ῥίζα. ἔχει δέ τι καὶ ῥυπτικὸν ἐν ἑαυτῷ, διὸ καὶ τὰ φαγεδαινικὰ τῶν ἑλκῶν, ἔνιοι τοῖς φύλλοις αὐτοῦ χλωροῖς, μετὰ μέλιτος καταπλάττουσιν ὑπὲρ τοῦ καθαρὰ ποιῆσαι.

37. *De stachy.*

STachys, frutex ille Marrubio similis, gustu acri, & amaro, tertij est ordinis calefacientium. Quamobrem rationabiliter non menses solùm prouocat; sed & abortum affert, & secundas eiicit.

D

λζ'. Περὶ στάχυος.

ΣΤάχυς, ὁ παραπλήσιος τῷ πρασίῳ θάμνος, δριμὺς γευομένοις ἐστὶ, καὶ πικρὸς τῆς τρίτης τάξεως ὑπάρχων τῶν θερμαινόντων, ὥστ' εὐλόγως οὐ καταμήνια κινεῖ μόνον, ἀλλὰ καὶ ἀμβλωθρίδιόν ἐστι φάρμακον, ἐκβάλλει τε χόρια.

38. *De stæbe.*

STœbes fructus, & folia maximo sunt vsui, astringendi vim habentia mordacitatis expertem. Sed & desiccant euidenter in tertio fere ordine incipiente. Quamobrem decoctum eorum dysentericis iniicitur, & auribus pure fluentibus; tum vulnera magna conglutinat. Euidentiùs hæc præstat cum vino atro austero; valenter enim desiccat omnes præter naturam humiditates. Præterea folia viridia si illinantur, vim habent erumpentis sanguinis supprimendi. Denique & oculorum ex ictu suffusiones illita iuuant.

E

λη'. Περὶ στοιβῆς.

ΣΤοιβῆς ὁ καρπὸς, καὶ τὰ φύλλα μάλιστ' ἐστὶ χρήσιμα, στυπτικὴν ἔχοντα δύναμιν ἄδηκτον. ἔστι δὲ κἂν τῷ ξηραίνειν ἐναργῶς κατὰ τὴν τρίτην που τάξιν ἀρχομένην, ὅθεν αὐτῶν τὸ ἀφέψημα, καὶ δυσεντερικοῖς ἐνίεται, καὶ ὠσὶ πυορροοῦσι, καὶ κολλητικὸς ὑπάρχει μεγάλων τραυμάτων. ἐναργέστερον δὲ ταῦτα ποιεῖ μετ' οἴνου μέλανος αὐστηροῦ, ξηραίνει γὰρ ἰσχυρῶς ἁπάσας τὰς παρὰ φύσιν ὑγρότητας. ἔτι δὲ χλωρὰ τὰ φύλλα καταπλαττόμενα δύναμιν ἐφεκτικὴν αἱμορραγίας ἔχει, καὶ τὰς ἐκ πληγῆς δὲ συγχύσεις τῶν ὀφθαλμῶν, ὀνίνησι καταπλαττόμενος.

39. *De stæchade.*

STœchadis gustu quidem qualitas amara est, & mediocriter subastringens; cæterùm temperies composita, nempe ex terrena essentia frigida exigua, vnde sanè astringit; & extenuata altera terrena copiosiore, à qua vtriq; amara est. Ob vtrorũq; verò cõuenientiam, & coitũ, obstructione liberare, extenuare, extergere, roborareq; tum viscera omnia, tum totũ corpus, est nata. Supra nãque ostensum est, quòd quæ ex eiusmodi essentiis constant medicamenta, dictos effectus reddere possint.

F

λθ'. Περὶ στοιχάδος.

ΣΤοιχάδος, ἡ μὲν πρὸς τὴν γεῦσιν ποιότης, πικρά τ' ἐστὶ, καὶ ὑποστύφουσα μετρίως. ἡ δὲ κρᾶσις σύνθετος ἔκ τε ψυχρᾶς γεώδους οὐσίας ὀλίγης ἀφ' ἧς στύφει, καὶ λελεπτυσμένης, ἑτέρας γεώδους πλείονος, ἀφ' ἧς πικρά ἐστι. διὰ δὲ τὴν ἀμφοτέρων σύνοδον ἐκφράττειν, καὶ λεπτύνειν, καὶ ἀπορρύπτειν, καὶ ῥωννύναι πέφυκε, τά τε σπλάγχνα πάντα, καὶ ὅλου τοῦ ζώου τὴν ἕξιν. ἐδείχθη γὰρ ἐν τοῖς ἔμπροσθεν, ὡς ὅσα σύγκειται φάρμακα πρὸς τῶν τοιούτων οὐσιῶν, τὰς εἰρημένας ἐνεργείας ἐνεργεῖ.

A

μ'. Περὶ στρατιώτου.

Στρατιώτης, ὁ μὲν ἔνυδρος, ὑγρὸς καὶ ψυχρὸς τὴν δύναμιν. ὁ δὲ χερσαῖος, ἔχει τι καὶ στύψεως, ὥστε διὰ τοῦτο, καὶ τραύματα δύναται κολλᾶν, καὶ τοῖς ἕλκεσιν εἶναι χρήσιμος. ἔνιοι δ' αὐτῷ, καὶ πρὸς αἱμορραγίας χρῶνται, καὶ πρὸς σύριγγας.

μα'. Περὶ στρουθίου.

Στρουθίου τῇ ῥίζῃ μάλιστα χρώμεθα, δριμεία μὲν οὔσῃ κατὰ τὴν γεῦσιν, θερμῇ δὲ καὶ ξηρᾷ κατὰ τὴν κρᾶσιν, ἐκ τῆς τετάρτης δήπου τάξεως. ἔστι δὲ καὶ ῥυπτική, καὶ ἐρεθιστική, διὰ τοῦτο καὶ πταρμοὺς κινεῖ τοῖς ἄλλοις ὡσαύτως, ὅσα δριμέα τε ἐστὶ γευόμενα, καὶ θερμὰ ταῖς κράσεσιν.

μβ'. Περὶ στύρακος.

Στύραξ, θερμαίνει, μαλάττει, συμπέττει, διὸ καὶ βῆχας, καὶ καταρρόους, καὶ κορύζας, καὶ βράγχους ὀνίνησιν, ἔμμηνά τε προτρέπει, πινόμενόν τε καὶ προστιθέμενον, ἡ δὲ λιγνὺς καυθέντος αὐτοῦ, παραπλησία πώς ἐστι τῇ τοῦ λιβάνου.

μγ'. Περὶ σύκων.

Σῦκα τὰ μὲν ξηρά, θερμὰ τὴν δύναμίν ἐστι, κατὰ τὴν πρώτην που τάξιν, ἤδη συμπληρουμένην, ἢ τὴν δευτέραν ἀρχομένην, ἔχει δέ τι καὶ λεπτομερές. ἐξ ἀμφοῖν τούτων, ἱκανὰ συμπέττειν ἐστὶ τοὺς σκληροὺς τῶν ὄγκων, εὐθὺς δ' αὖθις διαφορεῖ. καὶ αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ καταπλαττόμενα, τοιαύτης ἐστὶ δυνάμεως. καὶ τὸ ἀφέψημα δ' αὐτῶν, ὁμοίας ὑπάρχει φύσεως. χρὴ δὲ ὅπου καὶ συμπέψαι βούλει μᾶλλον, πύρινον ἄλευρον μιγνύειν, ὅπου δὲ διαφορῆσαι, κρίθινον. ὁ δὲ ἄρτος, ἐν τῷ μέσῳ τούτων ἐστίν. ἀλλὰ μὲν τοιαῦτα τῆς περὶ φαρμάκων συνθέσεώς ἐστι, καὶ τῆς θεραπευτικῆς οἰκειότερα μεθόδου. πρὸς δὲ τὸ παρόν, ἀρκεῖ καὶ ταῦτα γινώσκειν ὑπὲρ ἰσχάδων. εἰδέναι δέ, καὶ ὡς αἱ μὲν ῥυπαρώτεραι, πέττειν μᾶλλον, αἱ δριμύτεραι δ' ἐν τῷ γεύεσθαι, ῥύπτειν τε καὶ διαφορεῖν πεφύκασι, τὸ δ' ἐπιπλεῖστον αὐτῶν ἑψηθεισῶν ἐν ὕδατι γιγνόμενον, ὅμοιόν ἐστιν, οὐ τὴν σύστασιν μόνον, ἀλλὰ καὶ τὴν δύναμιν μέλιτι. τὰ δὲ χλωρὰ σῦκα ἐσθιόμενα, διὰ τὴν ἐπιμιξίαν τῆς ὑγρότητος, ἀσθενεστέρας ἐστὶ δυνάμεως. ὑπάγει μέντοι κοιλίαν ἄμφω, καὶ τὰ ὑγρά, καὶ τὰ ξηρά. τὰ δὲ τῶν ἐρινεῶν σῦκα δριμείας ἐστί, καὶ διαφορητικῆς δυνάμεως. οὕτω δὲ καὶ τῶν ἡμέρων οἱ ὄλυνθοι, μετέχουσι γὰρ ἔτι τοῦ τῆς συκῆς ὀποῦ.

μδ'. Περὶ συκῆς.

Συκῆ θερμῆς, καὶ λεπτομεροῦς ἐστι κράσεως, ὡς ὅ, τε ὀπὸς αὐτῆς δηλοῖ, καὶ τῶν φύλλων ὁ χυλός. ἰσχυρῶς γὰρ ἑκάτερον αὐτῶν ἐστὶ θερμόν, ὥστε οὐδὲ δάκνει μόνον, ἢ ῥύπτει σφοδρῶς, ἀλλὰ καὶ ἑλκοῖ, καὶ ἀναστομοῖ, καὶ μυρμηκίας ἐκβάλλει. ἔστι δὲ καὶ καθαρτικόν. ὁ δὲ τῆς ἀγρίας συκῆς, ἣν ἐρινεὸν ὀνομάζουσιν, ὀπός τε καὶ χυλός, ἰσχυρότερος εἰς ἅπαντα τοῦ τῆς ἡμέρου. καὶ αἱ κράδαι δ' αὐτῶν οὕτως εἰσὶ θερμαί, καὶ λεπτομερεῖς τὴν κρᾶσιν, ὥστε καὶ τοῖς βοείοις κρέασι, τοῖς σκληροῖς ἑψομένοις ἐμβαλλόμεναι, τακερὰ ποιοῦσιν αὐτά.

40. *De stratiote.*

Stratiotes aquaticus quidem, humida, & frigida facultate est; terrestris verò nonnihil habet astrictionis; proinde sane, & vulnera glutinare potest, & vlceribus esse vtilis. Sunt qui eo, & ad sanguinis eruptiones vtantur, & ad fistulas.

41. *De struthio.*

B Struthij radice potissimum vtimur, vtpote gustu acri, & calida siccáque temperamento, ex quarto quodammodo ordine. Sed & abstergit, & irritat, proinde quoque sternutationem prouocat, ceu cætera omnia, quæ calida sunt temperie, & gustu acria.

42. *De styrace.*

Styrax calefacit, emollit, concoquit. Quamobrem tussibus, catarrhis, pituitæ destillationibus, raucedinibúsque prodest. Tum menses seu potum, seu admotum prolicit. Combusti eius fuligo, C thuris fuligini quodammodo est similis.

43. *De sycis, ficis.*

Fici aridi vim habent calefaciendi ordine primo etiam completo, aut secundo incipiente. Habent verò, & partium tenuitatem quandam. Ex istis duobus idonei sunt, qui tubercula dura concoquant; statim verò etiam ea digerunt. Atque ipsi per se illiti eiusmodi vim obtinent. Sed & decoctum eorum eiusdem vtique naturæ est. Verùm vbi magis concoquere consilium est, miscenda est D farina triticea; vbi verò plus digerere, hordacea; panis horum in medio. Sed hæc magis sunt propria tractatus de medicamentorum compositione, & rationis curandi; verùm in præsentia hæc de caricis, nouisse sufficiat. Porrò scire oportet, quòd qui pinguiores sunt, magis possunt concoquere, qui verò gustu acriores, magis tum extergere, tum digerere. Cæterùm quod ex iis plurimum in aqua coctis efficitur, simile est melli, non solùm consistentia, sed & facultate. Porrò ficus virides comesi, propter admixtam humiditatem, facultatis sunt imbecillioris; subducunt tamen aluum vtrique E tum humidi, tum ficci. Porrò ficus caprifici acris, & discutientis facultatis sunt. Sic etiam domesticorum Grossi, inest enim illis nonnihil etiam succi ex ficu arbore.

44. *De ficu arbore.*

Ficus arbor calidæ tenuiúmque partium temperiei est, ceu indicant tum liquor eius, tum foliorum succus. Valenter enim eorum vterque calidus est. Itaque non mordicat tantum, aut vehementer abstergit, sed & vlcera; & ora vasorum F reserat, & verrucas, quas myrmecias vocant, eiicit; sed & purgare potest. Porrò ficus agrestis, quam caprificum, nominant, tum liquor, tum succus, ad omnia quàm satiuæ valentior est. Sed & rami earũ adeo sunt calidi, tenuiúmque partium, vt carnes bubulas duras, si coquendis adiiciantur, friabiles ac teneras efficiant.

45. De

A

45. *De symphyto petræo.*

SYmphytum petræum ex cõtrariis constat viribus; habet enim incidendi vim quampiam, qua collectum in thorace pulmonéque pus expurgare potest; habétque etiam quandam contrahendi vim, qua eiectionibus sanguinis auxiliatur; & tertia ad eas inest humiditas quædam non immodicè calida, per quam gustantibus dulce apparet, & odoratu iucundum. Mansum sitim extinguit, & arteriæ asperitates sanat. Porrò secundũ omnium dictarum facultatum mixtionem simul discutere abundè potest, simúlque corpora contrahere, constringeréque; proinde enterocelis imponitur; & ad conuulsa, & rupta cum oxymelite bibitur. Porrò qui ipsum in vino decoctum ad dysenteriam exhibent, & muliebre profluuium rubrum, vtuntur tanquam desiccante, & contrahente; qui verò ad nephritim, tanquam expurgante, & incidente.

με'. Περὶ συμφύτου πετραίου.

Σύμφυτον πετραῖον, ἐξ ἐναντίων σύγκειται δυνάμεων. ἔχει μὲν γάρ τι καὶ τμητικὸν, ᾧ, καὶ τὸ περιεχόμενον ἐν θώρακι καὶ πνεύμονι πύον, ἐκκαθαίρειν πέφυκεν. ἔχει δέ τι καὶ συνακτικὸν, ᾧ, καὶ πρὸς τὰς τοῦ αἵματος ἀναγωγὰς ἐπιβοηθεῖ, καὶ τρίτην ἐπ' αὐτοῖς ὑγρότητά τινα θερμὴν οὐκ ἀμέτρως, δι' ἣν καὶ γλυκὺ φαίνεται γευομένοις, καὶ ἡδὺ πρὸς τὴν ὄσφρησιν. ἄδιψον δ' ἐστὶ διαμασώμενον, καὶ τὰς ἐν ἀρτηρίᾳ τραχύτητας ἰᾶται. κατὰ δὲ τὴν ἐξ ἁπασῶν τῶν εἰρημένων δυνάμεων B μίξιν ἅμα τε, καὶ διαφορεῖν ἱκανόν ἐστιν, καὶ συνάγειν, καὶ σφίγγειν τὰ σώματα. καὶ διὰ τοῦτο, καὶ ταῖς ἐντεροκήλαις ἐπιτίθεται, καὶ πρὸς σπάσματα, καὶ ῥήγματα σὺν ὀξυμέλιτι πίνεται. ὅσοι δ' αὐτὸ, καὶ πρὸς δυσεντερίαν, καὶ ῥοῦν ἐρυθρὸν, ἕψοντες ἐν οἴνῳ διδόασιν, ὡς ξηραίνοντί τε καὶ συνάγοντι χρῶνται. καὶ ὅσοι πρὸς νεφρῖτιν, ὡς ἐκκαθαίροντι καὶ τέμνοντι.

46. *De symphyto magno.*

SYmphytum alterum, puta magnum, similem dicto vim habet; non tamen gustantibus dulce est, aut odorantibus odoratum, sed his sanè à C modo scripto diuersum est. Cæterùm quatenus viscositatem quandam, & mordacitatem obtinet, scillæ simile est. Vtunturque ad omnia, ad quæ iam dicto.

μϛ'. Περὶ συμφύτου τοῦ μεγάλου.

Σύμφυτον ἕτερον τὸ μέγα παραπλησίας ἐστὶ τῷ προειρημένῳ δυνάμεως, οὐ μὴν γλυκὺ γευομένοις, οὐδὲ εὐῶδες ὀσμωμένοις φαίνεται, ἀλλὰ κατὰ ταῦτα μὲν ἀποκεχώρηκεν τοῦ προγεγραμμένου. καθὸ δὲ γλίσχρον τι καὶ δακνῶδες ἔχει, σκίλλῃ παραπλήσιον ὑπάρχει. χρῶνται δ' αὐτῷ πρὸς ὅσα τῷ προειρημένῳ.

47. *De sphondylio.*

SPhondylij fructus acris, & incidentis est facultatis. Itaque ad asthma, & comitialem morbum, aptum est medicamentum. Prodest & aurigini. Et radix, nimirum similis facultatis, ad eadem accommodatur. Sed & insuper fistularum D callos tollit; cæterùm imponere eam oportet circumrasam. Porrò floris etiam succus ad diuturniora aurium vlcera conueniens reponitur.

μζ'. Περὶ σφονδύλου.

Σφονδύλου, ὁ μὲν καρπὸς δριμείας ἐστὶ, καὶ τμητικῆς δυνάμεως, ὥστε καὶ πρὸς ἄσθμα, καὶ πρὸς ἐπίληψιν ἀγαθόν ἐστι φάρμακον. ὀνίνησι δὲ καὶ τοὺς ἰκτερικούς. καὶ ἡ ῥίζα δὲ παραπλησίας ὑπάρχουσα δυνάμεως, ἐπὶ τῶν αὐτῶν ἁρμόττει, προσέτι δὲ καὶ τοὺς ἐν συρίγγων τύλους ἀφαιρεῖ. χρὴ δὲ περιξύσαντας ἐντιθέναι. καὶ τοῦ ἄνθους δὲ ὁ χυλὸς ἀποτίθεται, τοῖς κατὰ τὰ ὦτα χρονιωτέροις ἕλκεσιν ἁρμόττων.

48. *De schino, lentisco.*

LEntiscus. Frutex hic ex aquea essentia leuiter calida viribus, & terrena frigida non multa, compositus est, ob quam moderatè astringit. Desiccat igitur secundo ordine completo, aut tertio incipiente; in caliditatis, & frigiditatis differentia quodammodo est me- E dius, & moderatus. Similem omnibus suis partibus astrictionem obtinet in radicibus, ramis, extremis turionibus, germinibus, ac foliis, præterea fructu, & cortice; ac si succum ex foliis eius viridibus exprimas, similis hic ordinis est, moderatè astringens. Itaque bibitur & per se, & cum aliis medicamentis, quæ dysenterias, & cœliacos affectus sanant, quin & ad sanguinis expuitiones, sanguinisque ex vtero eruptiones, tum sedis vuluæque procidentias, idoneus est, vtpotè ad hypocystida nonnihil F propè accedens.

μη'. Περὶ σχίνου.

Σχῖνος. ὁ θάμνος οὗτος ἐξ ὑδατώδους οὐσίας, ἀτρέμα θερμῆς τῇ δυνάμει, καὶ γεώδους ψυχρᾶς, οὐ πολλῆς σύγκειται, δι' ἣν, καὶ στύφει μετρίως. ξηραίνει μὲν οὖν κατὰ τὴν δευτέραν τάξιν, ἤδη συμπληρουμένην, ἢ τὴν τρίτην E ἀρχομένην. ἐν δὲ τῇ κατὰ θερμότητα, καὶ ψυχρότητα διαφορᾷ, μέσος πώς ἐστι, καὶ σύμμετρος. ὁμοίαν δὲ ἐν ἅπασιν ἔχει τοῖς ἑαυτοῦ μέρεσι τὴν στύψιν, ἐν ῥίζαις, ἐν κλάδοις, ἐν ἀκρέμοσιν, ἐν βλαστοῖς, ἐν φύλλοις, ἔτι δὲ καρπῷ τε καὶ φλοιῷ. καὶ εἰ χυλὸν δ' ἐκ τῶν φύλλων αὐτοῦ χλωρῶν ἐκθλίψαις, ὁμοίας μὲν καὶ οὗτος ἐστὶ τάξεως, στύφων μετρίως, ὅθεν καὶ πίνεται καθ' ἑαυτόν τε, καὶ σὺν τοῖς ἄλλοις φαρμάκοις, ὅσα δυσεντερίας τε καὶ κοιλιακὰς διαθέσεις ἰᾶται. καὶ μὴν δὴ καὶ πρὸς τὰς τοῦ αἵματος πτύσεις, καὶ τὰς ἐκ μήτρας αἱμορραγίας, καὶ προπτώσεις ἕδρας τε καὶ ὑστέρας, ἐπιτήδειός ἐστιν ἐγ- F γύς τι τῆς ὑποκυστίδος ὑπάρχων.

49. *De schini flore.*

SChini flos modicè calefacit, modicéq; etiam astringit, nec planè à tenuitatis natura alienus est.

μθ'. Περὶ σχίνου ἄνθους.

Σχίνου ἄνθος, θερμαίνει μετρίως, καὶ στύφει μετρίως ἔτι, καὶ τῆς λεπτομεροῦς φύσεως οὐκ ἀπήλλακται.

A τοιγαροῦν διὰ ταῦτα, καὶ οὐρητικόν ἐστι τὸ φάρμακον, καὶ καταμηνίων ἀγωγὸν, ἐν πυρίαις τε, καὶ πόμασι παραλαμβανόμενον. ὠφελεῖ δὲ καὶ τὰς καθ' ἧπαρ, καὶ στόμαχον, καὶ κοιλίαν φλεγμονάς. ἔστι δ' αὐτοῦ στυπτικωτέρα μὲν ἡ ῥίζα, τὸ δὲ καλούμενον ἄνθος θερμότερον. ἐν ἅπασι δὲ τοῖς μορίοις αὐτοῦ, τοῖς μὲν μᾶλλον, τοῖς δ' ἧττον ἐμφαίνεταί τι γευόμενον στύψεως, δι' ἣν καὶ πρὸς τοῖς αἱμοπτυϊκοῖς διδομένοις μίγνυται φαρμάκοις.

Quocirca his de cauſis vrinam mouet, menſéſque ciet adhibitum, ſiue in fomentationem, ſiue in potionem. Prodeſt & iecoris, & ſtomachi, ac ventris phlegmonis. Magis eo aſtringit radix. Quod verò florem vocant, calidius eſt. Porrò in omnibus ſuis partibus, in aliis magis in aliis minùs, guſtantibus apparet aſtrictio; proinde medicinis, quæ ſanguinem reiicientibus exhibentur, commiſcetur.

ν'. Περὶ σχοίνου λείας, ὀξυσχοίνου, καὶ ὁλοσχοίνου.

B ΣΧοίνου, ἡ μὲν λεία, ἡ δ' ὀξύσχοινος, ἡ δ' ὁλόσχοινος ὀνομάζεται. ἰσχνοτέρα μὲν, καὶ σκληροτέρα ἡ ὀξύσχοινος. παχυτέρα δὲ καὶ χαυνοτέρα, ἡ ὁλόσχοινος. ὁ καρπὸς δὲ τῆς ὁλοσχοίνου μὲν ὑπνωτικὸς, τῆς δ' ὀξυσχοίνου δύο εἰσὶν εἴδη. τὸ μὲν ἄκαρπον, οὗ χρῆσις οὐδεμία πρὸς τὰς ἰάσεις, τὸ δ' ἕτερον καρποφόρον· ὑπνώδης δὲ καὶ ταύτης ὁ καρπὸς, ἀλλ' ἧττον, ἢ τῆς ὁλοσχοίνου. ἔστι μὴν οὗτος, καὶ κεφαλαλγής. ἀμφότεροι δὲ εἰ φρυγέντες μετ' οἴνου πίνοιντο, τὰ κατὰ τὴν γαστέρα ξηραίνουσι ῥεύματα, καὶ ῥοῦν τὸν ἐρυθρὸν ἐπέχουσιν. ἐξ ὧν δῆλον, ὡς ἡ κρᾶσις αὐτῶν ἐστι σύνθετος ἐκ γεώδους οὐσίας ἀτρέμα ψυχρᾶς, καὶ ὑδατώδους ἀτρέμα θερμῆς, ἵνα ξηραίνειν τε τὰ κάτω C δύνωνται, καὶ πρὸς τὴν κεφαλὴν ἀτμοὺς ἀναπέμπειν ἠρέμα ψυχρούς, οἷς καὶ ὑπνώδεις ἐργάζονται.

50. *De ſchœno leui, acuto, & mariſco.*

IVnci alius læuis, alius acutus, alius mariſcus. Gracilior durióque oxyſchœnos acutus, craſſior laxiórque holoſchœnos mariſcus. Fructus holoſchœni ſomnum affert. At oxyſchœni duæ ſunt ſpecies; altera ſterilis, cuius quidem in medicina nullus vſus eſt; altera verò fructum fert; conciliat verò, & huius fructus ſomnum, ſed minùs quàm holoſchœni, quanquam tamen hoc caput tentet. Vterque ſi fructus cum vino bibatur, ventris fluxus ſiccat, & muliebre profluuium rubrum ſiſtit. Ex quibus clarum eſt, quòd compoſita eorum temperies eſt, ex terrena videlicet eſſentia leuiter frigida, & aquea leuiter calida; vt & inferna deſiccare poſſint, & ſenſim frigidos ad caput vapores ſubmittere, quibus ſomnolentos efficiant.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

α'. Περὶ τερμίνθου.

ΤΕρμίνθου, καὶ ὁ φλοιὸς, καὶ τὰ φύλλα, καὶ ὁ καρπὸς ἔχουσί τι στυπτικόν. ἀλλὰ καὶ θερμαίνουσι κατὰ τὴν δευτέραν τάξιν, ὥστ' ἤδη δῆλον, ὡς καὶ ξηραίνουσι πρόσφατοι μὲν ὑπάρχοντες ἔτι καὶ ὑγροὶ μετρίως, ξηρανθέντες δὲ κατὰ τὴν δευτέραν D τάξιν. ὁ δὲ καρπὸς ὁ ξηρὸς, ἐγγὺς καὶ τῆς τρίτης ἐστὶ τάξεως τῶν ξηραινόντων. ἔστι γὰρ οὕτω θερμὸς, ὡς καὶ τοῖς μασσωμένοις εὐθὺς εὔδηλον γίνεσθαι τὴν θερμότητα. ταῦτ' ἄρα, καὶ οὐρητικά ἐστι, καὶ σπλῆνας ὀνίνησι.

CAPVT XIX.

1. *De therebinto.*

TErebinthi tum cortex, tum folia, tum fructus, aſtrictorium quiddam obtinent. Sed & ſecundo ordine calefaciunt. Itaque quòd etiam deſiccent manifeſtum eſt, recentes quidem etiamnum humidíque modicè; ſicci verò ordine ſecundo. Cæterùm fructus aridus propinquus eſt etiam tertio ordine deſiccantium; eſt enim adeò calidus, vt mandentibus protinus eius caliditas percipiatur. Itaque etiam vrinam prouocat, & lienibus prodeſt.

β'. Περὶ τεύτλου.

ΤΕῦτλον νιτρῶδες τινὸς μετείληφε δυνάμεως, ᾗ καὶ ῥύπτει, καὶ διαφορεῖ, καὶ διὰ ῥινῶν καθαίρει. ἑψηθὲν δὲ, τὸ μὲν νιτρῶδές τε, καὶ δριμὺ πᾶν ἀποτίθεται. γίγνεται δ' ἀφλεγμάντου δυνάμεως, καὶ ἀτρέμα διαφορητικῆς. E ἰσχυρότερον δ' εἴς τε τὸ ῥύπτειν, καὶ διαφορεῖν ἐστι τὸ λευκὸν τεῦτλον, ὡς τό γε μέλαν ἔχει τι καὶ στύψεως, καὶ μᾶλλον κατὰ τὴν ῥίζαν, ἤπερ τὰ ἄλλα μόρια.

2. *De teuthlo, beta.*

BEta nitroſæ cuiuſdam facultatis particeps eſt, qua tum diſcutit, tum extergit, & per nares purgat. Cæterùm cocta nitroſitatem omnem, ac acrimoniam exuit, fitq; facultatis phlegmonis aduerſæ, leuiter digerentis. Porrò ad detergendum digerendúmque validior eſt beta alba; nam nigra adiunctum habet aſtrictionis quippiam, & magis in radice, quàm aliis partibus.

γ'. Περὶ τευκρίου.

ΤΕύκριον, τμητικῆς καὶ λεπτομεροῦς ἐστι δυνάμεως, ὅθεν καὶ σπλῆνας ἰᾶται. καὶ θείη ἄν τις αὐτὴν ἐν τρίτῃ μὲν τάξει τῶν ξηραινόντων, τῇ δευτέρᾳ δὲ τῶν θερμαινόντων.

3. *De teucrio.*

TEucrium incidendi, & tenuium partium facultatis eſt; quare lienes ſanat; ponátque ipſum quiſpiam in tertio exiccantium, ſecundo verò calefacientium.

F

δ'. Περὶ τέφρας.

ΤΕφρα. τῶν κατακαυμένων ξύλων τὸ λείψανον οὕτω προσαγορεύεται, σύνθετον ὑπάρχον ἐξ ἐναντίων οὐσιῶν τε καὶ ποιοτήτων. ἔχει γὰρ ἐν αὐτῇ, τὸ μέν τι γεῶδες, τὸ δ' οἷον αἰθαλῶδες, ἢ λιγνυῶδες, ἢ ὅπως ἂν ἐθέλῃ τις καλεῖν.

4. *De tephra, cinere.*

CInis. Cõbuſtorum lignorum reliquię ſic nuncupantur, compoſitæ ex contrariis tum qualitatibus, tum ſubſtantiis. Habet enim in ſe partim terrenum, partim velut fauilloſum, ſiue fuliginoſum, ſiue quomodocunque quis appellare volet.

Atque hæ sanè partes sunt tenuium partium, & A quæ maceratis aqua cineribus, & percolata vnà asportantur, atque abeunt: quod verò reliquum est, terreum est, & infirmum, & morsu vacans, in lixiuium calida facultate deposita. Sed non omnis Cinis eadem temperie præditus est, sed pro combustæ materiæ diuersitate variatur. At nescio, quo pacto Dioscorides omnes cineres astringendi habere vim prodiderit, quum ficulneus eiusmodi omnis qualitatis sit expers, vtpotè quum & ipsa arbor nulla sua parte acerbam qualitatem præferat, ceu quercus, ilex, arbutus, fagus, lentiscus, hedera, & hoc genus alia, verùm plena succo valido tota sit, eóque acri, & calido. Ergo ex acerbis vtique lignis factus cinis non parum astringit; meminíque me quandoque, quum aliud ad manum non esset medicamentum, per hunc sanguinis suppressisse eruptionem. Verùm nullus vnquam ad tale vti ficulneo audeat; siquidē hic acrimoniæ multū adurentísque facultatis obtinet, mixtæ abstersioni: & vtroq; differt ab eo, qui ex quercinis lignis conficitur, tum quòd in eo fuligineum multo est acrius, tum quòd illis terrenum quodammodo subastringens est, in hac abstergens, veluti in cinere tithymallorū. Est & calx cineris quædam species, cæterùm essentiæ, tenuiorum partium, quàm qui ex lignis fit, nimirū quanto lapides exactiùs torreri, vt cinis fiant, postulant. Sed tamen multas & ipsa reliquias in se habet naturæ igneæ. Proinde elota medicamentum est citra morsum desiccans, magisque si bis terve lauetur. Cæterùm si marina aqua abluta sit, admodum discutit. Dicetur porrò de ea, vbi de metallicis sermo habebitur.

A ταυτὶ μὲν οὖν τὰ μόρια λεπτομερῆ τέ ἐστι, καὶ βρεχομένης ὕδατι τῆς τέφρας, καὶ διηθουμένης, συναποφέρεται. ὅσον δ' ὑπολείπεται γεῶδες, ἀσθενές, καὶ ἄδηκτον γίνεται ἐν τῇ κονίᾳ τὴν θερμὴν δύναμιν ἀποτιθέμενον. οὐχ ἅπασα δ' ἡ τέφρα τὴν αὐτὴν ἀκριβῶς ἔχει κρᾶσιν, ἀλλὰ κατὰ τὴν τῆς καυθείσης ὕλης διαφορὰν ὑπαλλάττεται. Διοσκορίδης δὲ οὐκ οἶδ' ὅπως, στυπτικὴν αὐτὴν ἔχειν φησὶ τὴν δύναμιν. καίτοι γε ἡ συκίνη πάσης ἀπήλλακται τοιαύτης ποιότητος, ὅτι καὶ αὐτὸ τὸ δένδρον, οὐχ ὥσπερ δρῦς, καὶ πρῖνος, καὶ κόμαρος, καὶ φηγὸς, καὶ σχῖνος, καὶ κισσὸς, ὅσα τ' ἄλλα τοιαῦτα τὴν στρυφνὴν ἐπιφαίνει ποιότητα, κατ' οὐ-
B δὲν ἑαυτοῦ μέρος, ἀλλ' ἐστὶν ὀποῦ πλῆρες ὅλον ἰσχυροῦ, καὶ θερμοῦ, καὶ δριμέος. ἐκ μὲν δὴ τῶν στρυφνῶν ξύλων ἡ τέφρα, στυπτικὸν οὐκ ὀλίγον ἔχει, καὶ ἔγωγέ ποτε δι' αὐτῆς ἐπισχὼν αἱμορραγίας οἶδα, μηδενὸς ἑτέρου παρόντος φαρμάκου. τῇ συκίνῃ δ' οὐκ ἄν τις εἰς τοῦτο χρήσαιτό ποτε, πολὺ γὰρ αὐτή γε τὸ δριμὺ, καὶ τὸ καυστικὸν ἔχει τῷ ῥυπτικῷ μεμιγμένον, καὶ κατ' ἄμφω διενήνοχε τῆς ἐκ τῶν δρυΐνων ξύλων, ὅτι τε τὸ αἰθαλῶδες ἐν αὐτῇ πολλῷ δριμύτερόν ἐστι, καὶ ὅτι τὸ μὲν γεῶδες, ἐν ἐκείναις μὲν ὑπόστυφόν πώς ἐστιν, ἐν ταύτῃ δὲ ῥυπτικόν. ὥσπερ ἐν τῇ τῶν τιθυμάλλων. ἔστι δὲ καὶ ἡ τίτανος εἶδός τι τέ-
C φρας, λεπτομερεστέρα μὲν οὖσα τῆς ἐκ τῶν ξύλων, παρ' ὅσον ἀκριβέστερον οἱ λίθοι κατοπτᾶσθαι δέονται πρὸς τὸ γενέσθαι τέφραν, ὅμως μὴν ἔχουσα καὶ αὐτὴ τὸ μὲν ἐμπύρευμα πολύ. καὶ διὰ τοῦτο πλυθεῖσα, ξηραντικὸν ἀδήκτως γίνεται φάρμακον, καὶ μᾶλλον, εἰ δὶς, ἢ καὶ τρὶς πλυθείη. διαφορητικὴ δ' ἱκανῶς γίνεται, θαλάσσῃ πλυθεῖσα. λεχθήσεται δὲ ὑπὲρ αὐτῆς, κἀπειδὰν περὶ τῶν μεταλλευομένων ὁ λόγος ἡμῖν γίνηται.

---

5. *De telephio.*

TElephium exiccandi, & detergendi facultate est præditum, non tamen insigniter calida; verùm in hoc forsan quispiam ipsum primi esse ordinis censeat. Desiccat tamen secundo ordine intenso, aut certè principio tertij. Proinde ad putrida vlcera conuenit, & vitiliginem vtramque sanat cum aceto.

ε'. Περὶ τηλεφίου.

D ΤΗλέφιον, ξηραντικῆς ἐστι καὶ ῥυπτικῆς δυνάμεως, οὐ μὴν ἐπιφανῶς γε θερμῆς, ἀλλὰ κατὰ τοῦτ' ἄν τις ἴσως αὐτὸ θείη τῆς πρώτης τάξεως. ξηραίνει μέντοι κατὰ τὴν δευτέραν ἐπιτεταμένην, ἢ τὰ πρῶτα τῆς τρίτης. καὶ διὰ τοῦτο πρός τε τὰ σηπεδονώδη τῶν ἑλκῶν ἁρμόττει, καὶ λεύκας, καὶ ἀλφοὺς ἰᾶται σὺν ὄξει.

---

6. *De teli, fænograeco.*

FOEnumgræcum calidum est secundi ordinis, siccum primi. Proinde feruentes phlegmonas irritat acerbátque; quæ verò minus sunt calidæ, & magis duræ, eas discutiendo curat.

ς'. Περὶ τήλεως.

ΤΗλις, θερμὴ μέν ἐστιν ἐκ τῆς δευτέρας τάξεως, ξηρὰ δ' ἐκ τῆς πρώτης, καὶ διὰ τοῦτο τὰς μὲν ζεούσας φλεγ-
E μονὰς παροξύνει, τὰς δ' ἧττον θερμὰς, καὶ ὅσαι σκιρρωδέστεραι διαφοροῦσα, θεραπεύει.

---

7. *De Tithymallis.*

TIthymalli omnes vincentem habent acrem calidámque facultatem; inest verò ipsis amaror. Validissimus itaque eorum est liquor; secundum locum tenent fructus, & folia. Sed & radix dictarum facultatum particeps est; sed non ex æquo. Sanè ipsa cum aceto decocta dolores sanat dentium, maximè qui illis erosis proueniunt; at liquores, vt qui valentiorem vim habeant, in foramina quidem ipsa dentium induntur; cæterùm si aliam corporis partem contigerint, continuo adurunt, vlcerántque; proinde foris illis cera circumlinitur; quippe cùm ex quarto sint calefacientium ordine, quem esse adurentium posuimus. sic pilos quoq; succus inunctus tollit; porrò quum vehementior sit, oleo miscetur;

ζ'. Περὶ τιθυμάλλων.

ΤΙθύμαλλοι πάντες ἐπικρατοῦσαν μὲν ἔχουσι τὴν δριμεῖαν, καὶ θερμὴν δύναμιν, ὑπάρχει δ' αὐτοῖς, καὶ πικρότης. ἰσχυρότατος μὲν οὖν αὐτῆς ὁ ὀπὸς, ἐφεξῆς δὲ ὅ, τε καρπὸς, καὶ τὰ φύλλα. μετέχει δὲ καὶ ἡ ῥίζα τῶν εἰρημένων δυνάμεων, ἀλλ' οὐκ ἐπίσης. αὐτὴ μὲν οὖν ἑψομένη σὺν ὄξει, τὰ τῶν ὀδόντων ἀλγήματα, καὶ μάλιστα ὅσα βεβρωμένοις αὐτοῖς γίνεται θεραπεύει. οἱ
F δ' ὀποὶ σφοδροτέραν ἔχοντες δύναμιν, εἰς μὲν τὸ τρῆμα τῶν ὀδόντων ἐντίθενται. τῶν δ' ἄλλων τοῦ σώματος εἰ ἅψαιντο μορίων, εὐθὺς ἐπικαίουσί τε καὶ ἑλκοῦσι, διόπερ ἔξωθεν αὐτοῖς περιπλάττεται κηρός. εἰσὶ γὰρ ἐκ τῆς τετάρτης τάξεως τῶν θερμαινόντων, ἣν δὴ τῶν καυστικῶν ἔφαμεν ὑπάρχειν. οὕτως δὲ καὶ τὰς τρίχας ἀφαιρεῖ περιχριόμενος ὁ ὀπός. ἐπεὶ δὲ σφοδρότερός ἐστιν, ἐλαίῳ μίγνυται.

καὶ εἰ πολλάκις τοῦτο γίνοιτο, τελέως αἱ ῥίζαι τῶν τριχῶν ἀπόλλυνται καυθεῖσαι, καὶ ψιλὸν αὐτῶν γίνεται τὸ σῶμα. κατὰ δὲ τὴν αὐτὴν δύναμιν ἀκροχορδόνας, καὶ μυρμηκίας, καὶ πτερύγια, καὶ θύμους ἀφαιροῦσιν. ἀπορρύπτουσι δὲ καὶ λειχῆνας, καὶ ψώρας, ὅτι καὶ τῆς ῥυπτικῆς αὐτοῖς μέτεστι δυνάμεως διὰ τὴν πικρότητα, καὶ τὰ φαγεδαινικά τε τῶν ἑλκῶν, καὶ τὰ ἀνθρακώδη, καὶ τὰ γαγγραινώδη, διότι θερμαίνουσί τε σφοδρῶς, καὶ ῥύπτουσιν, ὠφελεῖν πεφύκασιν ἄν τις ἐν καιρῷ καὶ μέτρῳ χρώμενος αὐτοῖς τύχῃ· καὶ γὰρ δὴ, καὶ συρίγγων τοὺς τύλους κατὰ τὴν αὐτὴν δύναμιν ἐξαιροῦσιν. ἅπαντα δὲ ταῦτα κατὰ γένος μὲν ὁμοίως, ἀσθενέστερον δὲ καὶ τὰ φύλλα, καὶ ὁ καρπὸς ἐργάζεσθαι πεφύκασιν. οἷς δὴ καὶ πρὸς τοὺς ἐν τοῖς στασίμοις ὕδασιν ἰχθύας, εἰώθασι χρῆσθαι. τάχιστα γὰρ ὑπ᾿ αὐτῶν σκοτωθέντες τε, καὶ ἡμιθνῆτοι γενόμενοι, πρὸς τὴν ἐπιφάνειαν ἀναφέρονται τοῦ ὕδατος. ἑπτὰ δὲ ὄντων αὐτῶν, ἰσχυρότατος μὲν ὅ,τε χαρακίας ὀνομαζόμενος, ὃν δὴ καὶ ἄρρενα προσαγορεύουσιν ἔνιοι, καὶ ὁ θῆλυς ὁ μυρσινίτης καλούμενος, καὶ ὁ ἐν ταῖς πέτραις ὁ δενδροειδής. ἐφεξῆς δὲ ὅ,τε τῷ φλόμῳ προσεοικὼς, καὶ ὁ κυπαρισσίας, εἶθ᾿ οὕτως ὁ παράλιος, εἶτα ὁ ἡλιοσκόπος. κατὰ ἀναλογίαν δὲ τῆς εἰρημένης αὐτῶν δυνάμεως ἡ τέφρα, καὶ ἡ ἀπ᾿ αὐτῆς κονία.

A & si id identidē, ac sæpe fiat, tandē prorsum pilorum radices adustæ corrumpentur, corpusque depile reddetur. Eadē facultate verrucas, quas acrochordonas nominant, & myrmecias, & pterygia *oculorum vngues*, & thymos auferunt. detergentque lichenas, & psoras, quia scilicet, & abstergendi facultas inest propter amarorē. Præterea vlcerum phagedænica, anthracode, & gangrænode, quia valenter tum excalefaciunt, tum detergunt, si in tēpore & moderatè vtare, iuuare aliquando poterunt. Verùm enimuero & fistularum callos eadem facultate eximunt. Cæterùm hæc omnia genere quidē similiter, imbecillius tamen & folia, & fru- B ctus præstare possunt. Quibus sanè & ad pisces in aqua stagnali capiendos vti assolent. Celerrimè namque ab illis in vertiginem acti, ac semimortui redditi, ad aquę superficiem ferūtur. Porrò quum septem sint eorum genera, valentissimus est quem characian nominant, quem vtique etiam quidam marem cognominant; & fœmina nuncupata myrsinites; & qui in petris nascitur ad modum arboris; deinceps qui phlomo assimilis est; & cyparissias; deinde marinus; denique helioscopius. Proportione verò comprehensæ illorum facultatis, & cinis, & lixiuium ex ipsis erit.

C

η'. Περὶ τραγακάνθας.

Τραγάκανθα παραπλησίαν ἔχει τῷ κόμμι δύναμιν, ἐμπλαστικήν τέ τινα καὶ δριμύτητα ἀμβλυωτέραν, καὶ δὴ καὶ ξηραίνει παραπλησίως ἐκείνῳ.

8. *De tragacantha.*

Tragacantha similem gummi vim obtinet emplasticam quandam, & quæ acrimoniam hebetat. Et sanè similiter vt illud desiccat.

θ'. Περὶ τραγίου.

Τραγίου, καὶ τὰ φύλλα, καὶ ὁ καρπὸς, καὶ τὸ δάκρυον, ἑλκτικῆς τε καὶ διαφορητικῆς ἐστι δυνάμεως. ἔστι δὲ καὶ λεπτομερὲς, καὶ θερμὸν τὴν δύναμιν ἐκ τῆς τρίτης ἤδη που τάξεως κατ᾿ ἀρχάς. σκόλοπάς τε συνάγει, καὶ λίθους θρύπτει, καὶ καταμήνια κινεῖ δραχμῆς ὁλκῇ πινόμενον. γίνεται δ᾿ ἐν Κρήτῃ μόνῃ τοῦτο τὸ τράγιον, ἐοικὸς σχίνῳ. τὸ δ᾿ ἕτερον τράγιον τὸ τούτου μικρότερον, οὗ τὰ φύλλα τῷ σκολοπενδρίῳ προσέοικε, φαίνεται μὲν πολλαχόθι. στυπτικῆς δ᾿ οὐκ ὀλίγης μετέχον δυνάμεως, ὡς καὶ πρὸς τὰ ῥοώδη τῶν παθημάτων ἁρμόττειν.

9. *De tragio.*

Tragij folia, fructus, lachrymaque, trahentis discutientisque sunt facultatis. Est verò & tenuium partium, & facultate in prin- D cipio tertij iam quoquo modo ordinis calida. Stipites & hærentia corporibus extrahit, lapides frangit, menses mouet drachmæ pondere potum. Porrò in Creta sola nascitur, Lentisco assimile. Cæterùm alterum tragium hoc minus, cuius folia Scolopendrio similia sunt, visitur quidem multis in locis; sed non parum habet facultatis astringentis, vt & ad fluxionum affectus conueniat.

ι'. Περὶ τραγοριγάνου.

Τραγορίγανος. ἐν τῷ περὶ ὀριγάνου λόγῳ πρόσθεν εἴρηται.

10. *De tragorigano.*

E De Tragorigano in sermone de Origano supra est dictum.

ια'. Περὶ τριβόλου.

Τρίβολος ἐξ ὑγρᾶς οὐσίας μετρίως ψυχρᾶς, καὶ ξηρᾶς οὐ μετρίως καὶ ταύτης ψυχρᾶς συνέστηκεν. ἐπικρατεῖ δ᾿ ἐν μὲν τῷ χερσαίῳ τὸ γεῶδες ψυχρὸν, ὅπερ καὶ στύφον ἐδείξαμεν. ἐν δὲ τῷ ἐνύγρῳ, τὸ ὑδατῶδες, καὶ διὰ τοῦτο ἀμφότερον, καὶ πρὸς τὰς γενέσεις τῶν φλεγμονῶν, καὶ ὅλως πρὸς ἁπάσας τὰς ἐπιρροὰς ἁρμόττουσι. τοῦ δὲ χερσαίου λεπτομερὴς ὁ καρπὸς ὑπάρχων, τοὺς ἐν νεφροῖς λίθους θρύπτει πινόμενος.

11. *De tribolo.*

Tribolus ex humida essentia modicè frigida, & sicca non mediocriter, & ipsa frigida, componitur. In terrestri tamen superat terreum frigidum, quod astringens ostendimus; in aquatico verò aqueum. Proinde ambo, & contra phlegmonarum generationes, & omnino contra omnes fluxus, congruunt. Porrò terrestris ipsius fructus, F quum tenuium sit partium, potus lapides in renibus comminuit.

ιβ'. Περὶ τριπολίου.

Τριπόλιον. ἡ ῥίζα δριμεῖα γευομένῳ, καὶ θερμὴ τὴν δύναμίν ἐστι κατὰ τὴν τρίτην ἀπόστασιν.

12. *De tripolio.*

Tripolium. Radix gustanti acris est, & facultate calida in tertio excessu.

13. *De triphyllo.*

TRiphyllum, quidam asphaltion, quidam oxyphyllon, nōnulli minyanthes, sunt & qui cnicium vocitent. Prima quidem tria, ab accidentibus frutici; reliqua duo nomina, haud scio vnde. Vis plantæ est calida, & sicca vt bituminis, cui odore est similis, vtrinque tertio ordine. Proinde pota laterum dolores ab obstructione natos iuuat, & vrinam mensésque prouocat.

14. *De trichomane.*

TRichomanes eadem pręstat, quæ Adianthum.

15. *De trychno, solano.*

TRychnon quidā pręposito, S. strychnū vocāt. Esculentum quidem, quod in hortis nascitur, notū est omnibus: vtunturq; ad omnia ea, quæ refrigerari astringiq; postulant. Potest enim hęc duo ordine secundo. Cæterorū non esculentorū vnū quidem nuncupatur halicacabum, fructum habēs rufum, acino vuæ tum figura, tum magnitudine assimilē, quo & ad coronas vtuntur; alterū verò fruticosum, à conciliando somno Hypnoticū; & tertium, quòd insaniam afferat, manicum appellitāt. Halicacabum igitur in foliorum facultate hortensi solano simile est, fructū habens ciendæ vrinæ idoneum; proinde compluribus facultatibus compositis, quæ ad iecur, ad vesicam, & renes accommodantur, adiungitur. Solani verò Hypnotici, cortex radicis, si cùm vino bibatur, somnū accersit drachmæ pondere sumptus. Sed & cætera quoque papaueris succo persimilis est, nisi quòd hactenus imbecillior est quòd ipse tertij habeatur ordinis refrigerantium, quum hic positus sit in quarto. Huius solani semen vrinam ciendi facultatē habet. Cæterū si plus duodecim corymbis hauseris, dementiam quoque ascifcet. Porrò quod reliquum est ex propositis solanis, ad medicationes, quæ intrò in corpus adhibentur, inutile est. Nam si quatuor eius drachmæ offerantur, mortem inferent; si pauciores insaniam; vna certè innoxiè sumitur, cæterùm nec ipsa vtile quid obtinet. Verùm si foris corpori emplastri modo illinatur, vlcera maligna, & depascentia curat. Sed ad talia radicis cortex præfertur, desiccans secundo ordine iam completo & tertio incipiente; refrigerans secundo incipiente.

CAPVT XX.

1. *De hyacintho.*

HYacinthi radix bulbosa est, ordinis primi in desiccando; secundi verò completi, aut certè tertij incipientis, in refrigerando. Itaque pueros diutissimè seruare impuberes vino illita creditur. Fructus leuiter extergit & astringit. Quamobrem & ipse regio morbo laborantibus exhibetur in vino, ordine quidem tertio quadantenus desiccans, cæterùm in medio consistens caliditatis, ac frigiditatis.

ιγ΄. Περὶ τριφύλλου.

ΤΡίφυλλον, οἱ δὲ ἀσφάλτιον, οἱ δ᾽ ὀξύφυλλον, ἔνιοι δὲ μινυανθές. εἰσὶ δ᾽ οἱ κνίκιον ὀνομάζουσιν· ἀπὸ μὲν τῶν συμβεβηκότων τῷ θάμνῳ, τὰ πρῶτα τρία. τὰ δὲ ὑπόλοιπα δύο, οὐκ οἶδ᾽ ὁπόθεν. ἔστι δὲ ἡ δύναμις τοῦ φυτοῦ θερμὴ, καὶ ξηρὰ κατὰ τὴν ἄσφαλτον, ᾗ παραπλήσιόν ἐστι κατὰ τὴν ὀσμὴν, τῆς τρίτης τάξεως κατ᾽ ἄμφω. καὶ διὰ τοῦτο πινόμενον, καὶ πλευρῶν ἀλγήματα ἐπ᾽ ἐμφράξεσιν ὀνίνησι, καὶ οὖρα κινεῖ, καὶ καταμήνια.

ιδ΄. Περὶ τριχομανοῦς.

ΤΡιχομανὲς, ὅσα περ ἀδίαντον δύναται.

ιε΄. Περὶ τρύχνου, ἢ στρύχνου.

ΤΡύχνον, ἔνιοι δὲ μετὰ τοῦ σίγμα, στρύχνον ὀνομάζουσι. τὸ μὲν ἐδώδιμον ἐν τοῖς κήποις φυόμενον ἅπαντες γινώσκουσι, καὶ χρῶνται πρὸς ὅσα ψῦξαι τε, καὶ στῦψαι δέονται. δύναται γὰρ ἄμφω ταῦτα, κατὰ τὴν δευτέραν τάξιν. τῶν δ᾽ ἄλλων τῶν οὐκ ἐδωδίμων, τὸ μὲν ἁλικάκκαβον ὀνομάζεται, πυῤῥὸν ἔχον τὸν καρπὸν, ἐοικότα ῥαγὶ σταφυλῆς κατὰ τὸ σχῆμα, καὶ τὸ μέγεθος, ᾧ καὶ πρὸς τοὺς στεφάνους χρῶνται. τὸ δ᾽ ἕτερον, τὸ θαμνῶδες, τὸ ὑπνωτικὸν, καὶ τρίτον ἐστὶν ἐπ᾽ αὐτοῖς, τὸ μανικόν. τὸ μὲν οὖν ἁλικάκκαβον, ἐν τῇ τῶν φύλλων δυνάμει παραπλήσιον ὑπάρχει τῷ κηπευομένῳ τρύχνῳ, τὸν καρπὸν οὐρητικὸν ἔχον. διὸ καὶ πολλαῖς τῶν συνθέτων δυνάμεων, ὅσαι πρὸς ἧπαρ, ἢ κύστιν, ἢ νεφροὺς ἁρμόττουσι μίγνυται. τοῦ δ᾽ ὑπνωτικοῦ στρύχνου τῆς ῥίζης ὁ φλοιὸς μετ᾽ οἴνου πινόμενος ὑπνωτικὸς ὑπάρχει, δραχμῆς σταθμῷ λαμβανόμενος. ἔστι δὲ καὶ εἰς τὰ ἄλλα, τῷ τοῦ μήκωνος ὀπῷ παραπλήσιος. ἀσθενέστερος δ᾽ εἰς τοσοῦτον, ὡς τῆς τρίτης εἶναι τάξεως τῶν ψυχόντων, ἐκείνου κατὰ τὴν τετάρτην τεταγμένου. τὸ σπέρμα τούτου τοῦ τρύχνου, δύναμιν οὐρητικὴν ἔχει. μανιῶδες δ᾽ ἐστὶ, πλέον τῶν δώδεκα κορύμβων πινόμενον. τὸ δ᾽ ὑπόλοιπον τῶν εἰρημένων τρύχνων, ἄχρηστόν ἐστιν εἰς τὰς τῶν ἔνδον ἰάσεις. εἰ μὲν γὰρ τέτταρες δραχμαὶ ληφθεῖεν αὐτοῦ, θάνατον ἐπιφέρουσιν, εἰ δ᾽ ἐλάττους, μανίας. ἄλυπος δ᾽ ἡ μία, πλὴν οὐδ᾽ αὕτη τι χρηστὸν ἔχουσα. ἔξωθεν δὲ τοῦ σώματος ἐπιπλαττομένου, ἕλκη κακοήθη, καὶ νομώδη θεραπεύει. ἄριστος δ᾽ εἰς τοσοῦτον τῆς ῥίζης ὁ φλοιὸς, ξηραίνων μὲν κατὰ τὴν δευτέραν που τάξιν ἤδη συμπληρουμένην, καὶ τρίτην ἀρχομένην, ψύχων δὲ κατὰ τὴν δευτέραν ἀρχομένην.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

α΄. Περὶ ὑακίνθου.

ΥΑκίνθου ἡ μὲν ῥίζα βολβοειδὴς ὑπάρχουσα, τάξεώς ἐστι τῆς πρώτης μὲν ἐν τῷ ξηραίνειν, δευτέρας δὲ ἐν τῷ ψύχειν, ἤδη που συμπληρουμένης, ἢ καὶ τρίτης ἀρχομένης. ἀνήβους γοῦν ἐπιπλεῖστον πεπίστευται διαφυλάττειν τοὺς παῖδας, ἐν οἴνῳ καταπλαττομένη. ὁ δὲ καρπὸς, ἀτρέμα τε ῥύπτει, καὶ στύφει, καὶ διὰ τοῦτο, καὶ αὐτὸς ἰκτερικοῖς δίδοται σὺν οἴνῳ, ξηραίνων μὲν ἤδη που κατὰ τὴν τρίτην τάξιν, θερμότητος δὲ καὶ ψύξεως ἐν τῷ μέσῳ καθέστηκε.

β'. Περὶ ὕδνου.

Ὕδνα πᾶσι γνώριμα γεωδεστέρας οὐσίας ἐπικρατούσης, ἐν τῇ συστάσει κέκτηται, βραχέος τινὸς αὐτῇ μεμιγμένου τοῦ λεπτομεροῦς.

γ'. Περὶ ὑδροπεπέρεως.

Ὑδροπέπερι, κέκληται μὲν ἀπὸ τῶν χωρίων ἐν οἷς φύεται, καὶ τῆς κατὰ τὴν γεῦσιν ὁμοιότητος, πρὸς τὸ πέπερι. ἔστι δὲ θερμὸν, ἀλλ' οὐκ εἰς ὅσον πέπερι, καὶ μέντοι καὶ χλωρὸν ἔτι τὸ βοτάνιον, ἅμα τῷ καρπῷ καταπλασθὲν, ὑπώπιά τε, καὶ τοὺς σκιρρουμένους ὄγκους διαφορεῖ.

δ'. Περὶ ὑοσκυάμου.

Ὑοσκύαμος, ὁ μὲν τὸ μέλαν ἔχων σπέρμα, μανιώδης τε καὶ καρωτικὸς ὑπάρχων. πλησίον δὲ αὐτοῦ τὴν δύναμίν ἐστι, καὶ οὗ τὸ σπέρμα μετρίως ξανθόν ἐστι, φεύγειν δὴ ἀμφοτέρους, ὡς ἀχρήστους τε καὶ δηλητηρίους. ἐπιτηδειότατος δὲ πρὸς τὰς ἰάσεις, οὗ καὶ τὸ σπέρμα, καὶ τὸ ἄνθος λευκὸν ἐκ τῆς τρίτης που τάξεως ὑπάρχων τῶν ψυχόντων. ἄνθος δὲ τοῦ μὲν τὸ μέλαν ἔχοντος σπέρμα μετρίως πορφυρίζον, τοῦ δὲ τὸ ὑπόξανθον, ἀτρέμα μηλίζον.

ε'. Περὶ ὑπερικοῦ.

Ὑπερικὸν, θερμαίνει, καὶ ξηραίνει, λεπτομεροῦς οὐσίας ὑπάρχον, ὡς καταμήνιά τε, καὶ οὖρα προκαλεῖσθαι. χρὴ δὲ ὅλον εἰς ταῦτα λαμβάνειν τὸν καρπὸν, οὐ τὸ σπέρμα μόνον, ἀλλὰ μετὰ τῶν φύλλων ἐπιπλαττόμενος χλωρὸς, εἰς οὐλὴν ἄγει δύναται τά τ' ἄλλα, καὶ πυρίκαυτα. ξηρανθέντα δ' εἰ κόψας ἐπιπάττοις, ἰᾶσαι τὰ πλαδαρὰ, καὶ σηπεδονώδη τῶν ἑλκῶν. ἔνιοι δὲ καὶ τοῖς ἰσχιαδικοῖς πίνειν αὐτὴν διδόασιν.

ϛ'. Περὶ ὑπηκόου.

Ὑπήκοον, ψυκτικῆς ἐστι δυνάμεως, ἐκ τῆς τρίτης που τάξεως τῶν ψυχόντων, ὡς μήκωνος ὀλίγον ἀποδεῖν.

ζ'. Περὶ ὑπογλώσσου.

Ὑπόγλωσσον, ὠνόμασται μὲν οὕτως, ὅτι παραφύσεις ἐπ' ἄκροις τοῖς κορύμβοις ποιεῖται γλωσσαρίων. ἔστι δ' ἡ ῥίζα, καὶ ὁ χυλὸς τοῦ θαμνίσκου μαλακτικῆς δυνάμεως.

η'. Περὶ ὑσσώπου.

Ὕσσωπον, θερμαίνει, καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν, ἔστι δὲ καὶ λεπτομερές.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

α'. Περὶ φακῶν.

Φακοὶ, στύφουσι μὲν ἰσχυρῶς, θερμότητος δὲ καὶ ψύξεως ἐν τῷ μέσῳ καθεστήκασι. καὶ μέντοι καὶ ξηραίνουσι κατὰ τὴν δευτέραν τάξιν. αὐτὸ μὲν οὖν αὐτῶν τὸ σῶμα, ξηραίνει, καὶ ἵστησι γαστέρα. τὸ δ' ἀφέψημα προτρέπει, διὸ καὶ ἀποχεῖται τὸ πρότερον ὕδωρ, ὅταν ἐπισχέσεως ἕνεκα λαμβάνωνται.

A

2. *De hydno, terræ tubere.*

Tubera terræ omnibus nota sunt. Substantiam habent vincentem terrestrem quidem consistentia, sed tamen cum paucula quadam partium tenuitate mixtam.

3. *De hydropipere.*

Hydropiper à locis in quibus nascitur, & à similitudine, quæ illi cũ pipere in gustu est, nomen sortitum est; cæterùm non vsque adeo calidũ est, quàm piper. Et sanè herba ipsa etiamnum viridis vnà cum fructu cataplasmatis in modum imposita, sugillata, & tumores induratos digerit.

B

4. *De hyoscyamo, alterco.*

Hyoscyamus, cui semen atrum est, insaniam, ac soporem affert: Sed is cui semen mediocriter flauum est, propinquam ei facultatem possidet. Verùm vtrique fugiendi sunt, vt inutiles, & venenosi, seu deleterij. Cæterùm cuius semen, ac flos candidus est, ad sanationes, vel maximè idoneus est, ex tertio quodammodo ordine refrigerantium. Porrò flos eius quidem, cui semen est nigrum, mediocriter purpureus est; eius verò, cui est subflauum, leuiter mali colorem refert.

C

5. *De hyperico.*

Hypericum calefacit, & deficcat, essentia tenuium partium, adeò vt & menses, & vrinas prouocet; sed ad hæc totus sumendus est fructus, non tantùm semen. Porrò cum foliis illitus viridis ad cicatricem ducit cùm alia, tum etiam ambusta. Cæterùm si sicca contusa inspergas, sanabis & mollia nimis, humidáque, & putredinosa vlceruni. Sunt & qui ischiadicis bibendum exhibeant.

D

6. *De hypecoo.*

Hypecoon refrigerãdi vim habet, ex tertio ordine refrigerantium, vt parũ absit à papauere.

7. *De hypoglosso.*

Hypoglosson inde adeò nuncupata est, quòd summis corymbis velut ligulæ quædam exeunt. Cæterùm radix & succus fruticis emolliendi vim possident.

E

8. *De hyssopo.*

Hyssopum desiccat, & calefacit ordine tertio, sed & tenuium est partium.

CAPVT XXI.

1. *De facis, lentibus.*

F

Lentes valenter astringunt; medium tenent caliditatis, & frigiditatis; desiccant sanè in secundo ordine. Ipsum itaque earum corpus desiccat, & sistit ventrem; cæterùm decoctum prouocat. Proinde etiam prior aqua abiicitur, vbi retentionis causa adhibentur.

2. De

A

2. *De phaco, lenticula paluſtri.*

LEnticula paluſtris humidę frigidæq; tēperiei eſt, vtrinq; ex ſecũdo quodammodo ordine.

3. *De phaleride.*

PHaleridis herbæ, tum ſiccus, tum ſemen, tum folia potari vtiliter credũtur ad veſicæ dolores, ceu in ſeſe habeant quiddam tenuium partium, & calidum.

B

4. *De phalangite.*

PHalangites, ſic appellata eſt, quòd morſis à phalangiis auxilietur. Eſt autem facultatis tenuium partium, deſiccantis; quamobrem & tormina patientibus ſuccurrit.

5. *De phlomo, verbaſco.*

PHlomos. Quidam per p literam, & ſcribunt, & proferunt. Quædam foliis alba eſt, quædam verò nigra. Et albæ quidem mas eſt, cuius folia anguſtiora; fœmina, cuius maiora. Et C præter has eſt alia Phlomos, agreſtis cognominata; flores habet aureos, & luteos. Sed & alia præter has eſt, quam propriè Phlomida nominant, & Thryallida. Priorum itaque duarum radix acerba guſtu eſt, & fluxionis affectibus prodeſt; ſed & ad dentium dolorem eam quidam colluunt. Sanè folia digerendi vim habent: ſic & aliarum folia, & maximè eius, quæ aurei coloris flores obtinet, qua etiam capillos flauos reddunt. Omnium enim folia deſiccandi, & mediocriter detergendi vim poſſident.

D

6. *De phœnice, palma.*

PHœnix arbor aſtrictoriæ facultatis omnibus ſui partibus eſt particeps. Igitur ramorum ſuccus auſterus eſt ex aquea ſubſtantia tepida, & terrea frigida, conſtans. Similis naturæ eſt encephalos pars ſuprema quam vocant cerebrum, eſui aptus. At fructus eius, & maximè dulcis, non paucam obtinet caliditatem. Cæterùm quum edendo ſit, multo eſt vſui, non tantùm foris impoſitus, vbi quid roborare, & deſiccare, contrahere, ſtipare, denſaréque conſilium eſt; ſed E & tanquam cibus ſumptus, & ſimul cum aliis, & per ſe. Porrò quod Elaten vocant, nempe tenerum illud palmæ germen, eandem cum cerebro eius facultatem poſſidet. Quod verò velut tegumentum eius eſt, aſtringentem, & ipſum qualitatem habet, verùm pluſquam dicta omnia exiccat; vtpotè quod & eſſentiæ conſiſtentia illis ſiccius eſt, & minimum habet humiditatis. Itaque iure vtuntur illo ad vlcera putreſcentia; miſcéntque medicamentis articulos plus iuſto laxatos contrahentibus; ad hæc facultatibus hepaticis, & ſtomachicis, ſeu intrò ſumantur, ſeu foris admoueantur. F Sed & radix plantæ deſiccatoriæ citra morſum facultatis eſt, adiunctum habens, & ipſa aſtrictionis quippiam.

β'. Περὶ φακοῦ.

ΦΑκὸς ὁ ἐπὶ τῶν τελμάτων, ὑγρᾶς καὶ ψυχρᾶς ἐστι κράσεως, ἐκ τῆς δευτέρας που τάξεως ὑπάρχων κατ' ἄμφω.

γ'. Περὶ φαληρίδος.

ΦΑληρίδος τῆς πόας, καὶ ὁ χυλὸς, καὶ τὸ σπέρμα, καὶ τὰ φύλλα πινόμενα, πρὸς τὰ τῆς κύστεως ἀλγήματα πεπίστευται βοηθεῖν, ὡς ἐχούσης τι λεπτομερὲς, καὶ θερμόν.

δ'. Περὶ φαλαγγίτου.

ΦΑλαγγίτης. ὠνόμασται μὲν οὕτως, ἐκ τοῦ βοηθεῖν τοῖς ὑπὸ φαλαγγίων δακνομένοις. ἔστι δὲ λεπτομεροῦς δυνάμεως ξηραντικῆς, ὅθεν καὶ στροφουμένοις ἀρήγειν δοκεῖ.

ε'. Περὶ φλόμου.

ΦΛόμος, ἔνιοι δὲ διὰ τοῦ π, γράφουσί τε καὶ λέγουσιν. ἡ μέν τις ἐστι τοῖς φύλλοις λευκὴ, ἡ δὲ μέλαινα. καὶ τῆς λευκῆς, ἡ μὲν ἄρρην, ἧς τὰ φύλλα στενότερα, ἡ δὲ θήλεια, ἧς μείζω. καὶ πρὸς ταύταις ἑτέρα φλόμος ἀγρία προσαγορευομένη, χρυσοειδὴς δ' ἐστι, καὶ μηλίζουσα τοῖς ἄνθεσιν. ἄλλη δέ τις ἐπὶ ταύταις, ἣν ἰδίως φλομίδα, καὶ θρυαλλίδα προσαγορεύουσι. τῶν μὲν οὖν προτέρων δυοῖν, ἡ ῥίζα στρυφνὴ γευομένη οὖσα, τοῖς ῥοώδεσι πάθεσιν ἀρήγει. διακλύζονται δ' αὐτὴν ἔνιοι, καὶ πρὸς ὀδόντων ἀλγήματα. τὰ μέντοι φύλλα, διαφορητικῆς ἐστι δυνάμεως. οὕτω δὲ καὶ τὰ τῶν ἄλλων φύλλα, καὶ μάλιστα τῆς χρυσιζούσης τοῖς ἄνθεσιν, ἣ καὶ τὰς τρίχας ξανθίζουσιν. ἁπασῶν γὰρ τὰ φύλλα, ξηραντικῆς τε καὶ μετρίως ῥυπτικῆς ἐστι δυνάμεως.

ς'. Περὶ φοίνικος.

ΦΟῖνιξ τὸ δένδρον, στυπτικῆς μετέχει δυνάμεως ἐν ἅπασι τοῖς ἑαυτοῦ μέρεσιν. ὁ μὲν οὖν τῶν κλάδων χυλὸς, αὐστηρός ἐστιν ἐξ ὑδατώδους οὐσίας χλιαρᾶς, καὶ γεώδους ψυχρᾶς συγκείμενος. ὁμοίας δὲ τούτου φύσεώς ἐστι, καὶ ὁ καλούμενος ἐγκέφαλος ἐδώδιμος ὑπάρχων. ὁ δὲ καρπὸς αὐτοῦ, καὶ μάλιστα ὁ γλυκὺς οὐκ ὀλίγης μετείληφε θερμότητος. ἐδώδιμος δ' ὤν, εἰς πολλὴν ἔρχεται χρῆσιν. οὐ μόνον ἔξωθεν ἐπιτιθέμενος, ἵνα τονῶσαί τι, καὶ ξηρᾶναι, καὶ συναγαγεῖν, καὶ πιλῆσαι, καὶ πυκνῶσαι χρῄζομεν, ἀλλὰ καὶ ὡς σιτίον λαμβανόμενος ἅμα τε τοῖς ἄλλοις, καὶ αὐτὸς καθ' ἑαυτόν. ὃ δὲ καλοῦσιν ἐλάτην, τὸ ἁπαλὸν ἐκβλάστημα τοῦ φοίνικος, τὴν αὐτὴν τῷ κατ' αὐτὴν ἐγκεφάλῳ δύναμιν ἔχει. τὸ δ' οἷον ἀμφίεσμα αὐτοῦ, στυπτικὴν μὲν καὶ αὐτὸ κέκτηται ποιότητα. ξηραίνει δ' ἐπιπλέον ἁπάντων τῶν εἰρημένων, ὡς ἂν καὶ τῇ τῆς οὐσίας συστάσει, ξηρότερον αὐτῶν ὑπάρχον, καὶ ἥκιστα μετέχον ὑγρότητος, ὥστε δεόντως ἐπὶ τῶν σηπεδονωδῶν ἑλκῶν αὐτῷ χρῶνται. καὶ τοῖς συνάγουσι τὰ κεχαλασμένα τῶν ἄρθρων φαρμάκοις μιγνύουσι, καὶ ταῖς ἡπατικαῖς τε, καὶ στομαχικαῖς δυνάμεσιν, ἔξωθέν τε καὶ ἔσωθεν. ἔστι δὲ καὶ ἡ ῥίζα τοῦ φυτοῦ, ξηραντικῆς ἀδήκτως δυνάμεως, ἔχουσά τι καὶ αὐτὴ στύψεως.

A

ζ'. Περὶ φορβίου.

Φορβίου τῷ σπέρματι πρὸς λευκώματα χρῶνται μετὰ μέλιτος, ἀλλὰ καὶ σκόλοπας ἐξάγειν πεπίστευται. καὶ ἡ πόα δὲ ταὐτὸν τούτῳ δοκεῖ δύνασθαι, ἐξ ὧν δῆλον, ὡς λεπτομεροῦς τε, καὶ ἑλκτικῆς, καὶ ῥυπτικῆς μετέχει δυνάμεως.

η'. Περὶ φοῦ.

Φοῦ. ἀρωματώδης πώς ἐστιν ἡ τῆσδε τῆς πόας ῥίζα, νάρδῳ παραπλησία τὴν δύναμιν, ἀλλ' εἰς μὲν τὰ πλεῖστα καταδεεστέρα. προτρέπει δ' οὖρα, τῆς μὲν Ἰνδικῆς, καὶ Συριακῆς νάρδου μᾶλλον, ὁμοίως δὲ τῇ Κελτικῇ.

θ'. Περὶ φύκου.

Φύκος, ὑγρὸν ἔτι καὶ χλωρὸν ἐξαιρούμενον τῆς θαλάττης, καὶ ψύχει, καὶ ξηραίνει κατὰ τὴν δευτέραν τάξιν, ἔχει γάρ τι καὶ στρυφνὸν μετρίως.

ι'. Περὶ φυλλίτιδος.

Φυλλίτις, στρυφνῆς οὖσα ποιότητος, οὐκ ἀπὸ τρόπου διαῤῥοίας τε καὶ δυσεντερίας ὀνίνησι πινομένη.

ια'. Περὶ φύλλου μαλαβάθρου.

Φύλλον μαλαβάθρου, νάρδῳ παραπλήσιόν ἐστι τὴν δύναμιν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

α'. Περὶ χαλβάνης.

Χαλβάνη, ὀπὸς ἐστὶ ναρθηκώδους φυτοῦ, μαλακτικῆς τε καὶ διαφορητικῆς ὑπάρχουσα δυνάμεως. καὶ εἴη ἂν ἐν μὲν τῷ θερμαίνειν, ἐκ τῆς τρίτης που τάξεως ἀρχομένης, ἢ τῆς δευτέρας συμπληρουμένης. ἐν δὲ τῷ ξηραίνειν, ἐκ τῆς δευτέρας ἀρχομένης.

β'. Περὶ χαμαίδρυος.

Χαμαίδρυς ἐπικρατοῦσαν ἔχει τὴν πικρὰν ποιότητα, ἔστι δὲ καὶ δριμεῖά πως. ἐξ ὧν δηλονότι δεόντως σπλῆνα τήκει, καὶ οὖρα, καὶ καταμήνια κινεῖ, καὶ πάχος χυμῶν τέμνει, καὶ τὰς ἐν τοῖς σπλάγχνοις ἐμφράξεις ἐκκαθαίρει. καὶ θείη ἄν τις αὐτὴν ἐν τῇ τρίτῃ τάξει, κατὰ τὸ ξηραίνειν καὶ θερμαίνειν, καὶ πλέον γε κατά γε τὸ ξηραίνειν, ἢ θερμαίνειν.

γ'. Περὶ χαμαικισσοῦ.

Χαμαικισσοῦ, τὸ ἄνθος πικρὸν ἱκανῶς ὑπάρχον, ἐκφράττει τὰ καθ' ἧπαρ. ἔνιοι δὲ καὶ τοῖς ἰσχιαδικοῖς αὐτὸ διδόασιν.

δ'. Περὶ χαμελαίας.

Χαμελαίας τὴν πικρὰν ἐπικρατοῦσαν ἔχει ποιότητα. διὸ καὶ τὰ ῥυπαρὰ λίαν ἕλκη, καὶ ὅσα μεγίστας ἐσχάρας ἔχει, μετὰ μέλιτος ἀνακαθαίρειν δύναται.

7. *De phorbio.*

PHorbij ſemen ad albugines, cum melle applicant. Sed & ſpicula extrahere creditur. Porrò & ipſa herba idem præſtare videtur. Ex quibus conſtat, quòd tenuium partium, & attrahendi diſcutiendíque potentiam obtinet.

8. *De phu.*

PHu. Odorata quodam modo eſt huius herbæ radix, nardo viribus ſimilis; ſed tamen B ad pleraque infirmior. Vrinas mouet plus quàm aut Indica, aut Syriaca nardus, perinde, vt Gallica.

9. *De fuco, alga.*

PHycos humens etiamnum, & virens ex mari exemptus deſiccat, & refrigerat ordine ſecundo; habet enim quiddam modicè acerbum.

10. *De phyllitide.*

C PHyllitis, quum qualitatis ſit acerbæ, non abs re diarrhœas, & dyſenterias, pota iuuat.

11. *De malabatri folio.*

FOlium malabathri nardo ſimilem vim poſſidet.

CAPVT XXII.

1. *De galbano.*

D GAlbanum ſuccus eſt plantæ ferulaceæ, quæ emollientis & digerentis eſt facultatis. Fuerítque ſanè ex tertio ordine calefacientium incipiente, aut ſecundo completo; in deſiccando verò, ex ſecundo incipiente.

2. *De chamædry.*

CHamædrys vincentem habet qualitatem amaram; eſt & quodammodo acris. Quocirca meritò lienes colliquat, & vrinas ac men- E ſes prouocat, craſſitudinem humorum incidit, & viſcerum obſtructiones expurgat. Ponátque eam quiſpiam in tertio ordine calefacientium, & deſiccantium; plus tamen deſiccat, quàm calefacit.

3. *De chamæciſſo, hedera terreſtri.*

CHamæciſſi flos, quum ſit admodum amarus, iecur obſtructione liberat. Datúrque ex coxendice laborantibus.

4. *De chamelæa, oleagine.*

F CHamelæa vincentem habet qualitatem amaram. Quamobrem admodum ſordida vlcera, & quæ maximas habent cruſtas, cum melle perpurgare poteſt.

5. *De chamæleuce, tußilagine.*

CHamæleuce calidæ facultatis est tertio quodammodo ordine, siccæ primo.

ε'. Περὶ χαμαιλεύκης.

ΧΑμαιλεύκη, θερμὴ τὴν δύναμίν ἐστι, κατὰ τὴν τρίτην που τάξιν, καὶ ξηρὰ κατὰ τὴν πρώτην.

6. *De chamæleonte.*

CHamæleontis radix, nigri quidem, lethale quiddam obtinet. Quamobrem foris vtique vsus eius ad psoras adhibetur, & lichenas, & vitiligines, & in summa, quæ detersionem postulant; præterea digerentibus, & emollientibus pharmacis commiscetur; & phagedænica vlcera sanat illita. Est enim sicca tertio ordine, calefacit verò secundo ordine absoluto. Porrò albi chamæleontis radix ad latos lumbricos potui datur cum vino austero mensura oxybaphi. Exhibent sanè etiam aqua inter cutem laborantibus assimilem habentem temperiem ipsius nigri radici, nisi quatenus amarior, quàm illa est.

ϛ'. Περὶ χαμαιλέοντος.

ΧΑμαιλέοντος ἡ ῥίζα, τοῦ μὲν μέλανος, ἔχει τι δηλητήριον, ὅθεν ἔξωθεν ἡ χρῆσις αὐτοῦ πρὸς ψώρας, καὶ λειχῆνας, καὶ ἀλφούς, καὶ ὅλως, ὅσα ῥύψεως δεῖται, καὶ τοῖς μαλακτικοῖς, καὶ διαφορητικοῖς μίγνυται φαρμάκοις. καὶ τὰ φαγεδαινικὰ τῶν ἑλκῶν ἰᾶται καταπλασθεῖσα. ἔστι γὰρ ξηρά, κατὰ τὴν τρίτην ἤδη που τάξιν. ἐν δὲ τῷ θερμαίνειν, ἐκ τῆς δευτέρας συμπληρουμένης. ἡ δὲ τοῦ λευκοῦ χαμαιλέοντος ῥίζα, πρὸς ἕλμινθας πλατείας δίδοται, πλῆθος ὀξυβάφου μετ' οἴνου αὐστηροῦ. προσφέρουσι δ' αὐτὴν, καὶ τοῖς ὑδερικοῖς παραπλησίαν οὖσαν καὶ αὐτὴν τῇ κράσει τῇ τοῦ μέλανος ῥίζῃ, πλὴν ὅσα πικροτέρα ἐκείνης ἐστίν.

7. *De chamæpity, aiuga, ibiga.*

CHamæpitys gustu quidem amarum saporem validiorem acri obtinet, effectu verò expurgat abstergitque viscera plus, quàm calefacit. Proinde auriginosis, & omnino quibus facilè iecur obstruitur, bonum est remedium. Quin & menses ducit tum pota, tum apposita cum melle. Sed & vrinæ mouendæ medicamentum est. Sunt autem etiam, qui eam exhibent decoctam in melicrato iis, qui coxendicis doloribus torquentur. Herba porrò ipsa viridis vulnera magna conglutinat, & vlcera putrescentia sanat; præterea vberum durities discutit. Est enim in siccando ordinis tertij, in calefaciendo verò secundi.

ζ'. Περὶ χαμαιπίτυος.

ΧΑμαιπίτυς, κατὰ τὴν γεῦσιν μὲν ἰσχυρότερον ἔχει τὸν πικρὸν χυμὸν τοῦ δριμέος, κατὰ τὴν ἐνέργειαν δὲ διακαθαίρει, καὶ ῥύπτει τὰ σπλάγχνα πλέον, ἢ θερμαίνει. διὰ τοῦτο καὶ τοῖς ἰκτεριῶσι, καὶ ὅλως οἷς ἐμφράττεται ῥᾳδίως τὸ ἧπαρ, ἀγαθόν ἐστι φάρμακον. ἄγει δὲ καὶ καταμήνια πινομένη τε, καὶ μετὰ μέλιτος προστιθεμένη. ἔστι δὲ καὶ οὐρητικὸν φάρμακον. ἔνιοι δὲ καὶ ἰσχιαδικοῖς αὐτὴν διδόασιν, ἀφέψοντες ἐν μελικράτῳ. χλωρὰ δ' ἡ πόα, καὶ τὰ μεγάλα τραύματα κολλᾶν δύναται, καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν ἰᾶται, καὶ τὰς ἐν μαστοῖς σκληρότητας διαφορεῖ. ἔστι γὰρ ἐν τῷ ξηραίνειν τῆς τρίτης τάξεως, ἐν δὲ τῷ θερμαίνειν τῆς δευτέρας.

8. *De chamæsyce.*

CHamæsyce abstergendi simul, & acrem vim possidet. Itaq; acrochordonas, & myrmecias, caules eius teneriores in modum cataplasmatis admoti, quique ex eis profluit liquor, auferunt. Cum melle verò crassas oculorum cicatrices detergunt. Sed & hebetudines visus à crassitie natas adiuuant, sicut sanè & suffusionum principia.

η'. Περὶ χαμαισύκης.

ΧΑμαισύκη, ῥυπτικήν τε ἅμα, καὶ δριμεῖαν ἔχει δύναμιν, ὥστε καὶ ἀκροχορδόνας, καὶ μυρμηκίας, οἵ τε κλῶνες αὐτῆς καταπλαττόμενοι, καὶ ὁ ἐξ αὐτῶν ὀπὸς ἀφαιροῦσιν. ἀπορρύπτουσι δὲ σὺν μέλιτι, καὶ τὰς ἐν ὀφθαλμοῖς παχείας οὐλάς. ὠφελοῦσι δὲ καὶ τὰς διὰ πάχος ἀμβλυωπίας, ὥσπερ οὖν καὶ ἀρχὰς ὑποχύσεων.

9. *De chelidonio.*

CHelidonium extergentis admodum, & calidæ, facultatis est. Sed & succus eius ad acuendum visum commodus est, vtique in quibus crassum quiddam in pupilla colligitur, digestione atque discussione indigens. Vsi sunt radice eius quidam ad auriginem ab obstructione iecoris proficiscentem, in vino eam albo potui exhibentes cum aniso. Similiter mansa confert dentium doloribus. Porrò chelidonium minus quum acrius sit maiore, celeriter illitum cutem exulcerat, vnguésque scabros eiicit. Succus eius per nares purgat, vtpotè admodum acer. Itaque hæc herba quarti quodammodo ordinis fuerit calefacientium incipientis; maius autem chelidonium tertij est ordinis absoluti iam, idque tum in calefaciendo, tum in siccando.

θ'. Περὶ χελιδονίου.

ΧΕλιδόνιον, ῥυπτικῆς ἰσχυρῶς ἐστι, καὶ θερμῆς δυνάμεως· καὶ μέντοι καὶ ὁ χυλὸς αὐτῆς, εἰς ὀξυωπίας ἐστὶν χρήσιμος ἐφ' ὧν ἀθροίζεται παχύ τι κατὰ τὴν κόρην, διαφορεῖσθαι δεόμενον. ἐχρήσαντο δ' ἔνιοι τῇ ῥίζῃ, καὶ πρὸς τοὺς ὑπ' ἐμφράξεως ἥπατος ἰκτεριῶντας, ἐν οἴνῳ λευκῷ διδόντες πίνειν σὺν ἀνίσῳ. διαμασωμένη χρήσιμός ἐστιν ὀδόντων ἀλγήμασι. τὸ δὲ μικρότερον χελιδόνιον δριμύτερον ὑπάρχον τοῦ μείζονος, ἑλκοῖ ταχέως τὸ δέρμα καταπλασσόμενον, ὄνυχάς τε λεπρούς ἐκβάλλει. καθαίρει δ' ὁ χυλὸς αὐτοῦ, διὰ ῥινῶν ἰσχυρῶς ὑπάρχων δριμύς, ὥστε εἴη ἂν καὶ ἥδε ἡ πόα τῆς τετάρτης ἤδη που τάξεως συμπληρουμένης ἤδη, καὶ κατὰ τὸ θερμαίνειν καὶ ξηραίνειν.

ί. Περὶ χονδρίλης.

Χονδρίλη, καὶ ταύτην ἔνιοι σέριν ὀνομάζουσιν. ἔστι γὰρ που τῆς αὐτῆς ἐκείνης δυνάμεως, πλὴν ὅσον πλέον ἔχει τὸ ὑπόπικρον ἐν τῇ γεύσει, καὶ διὰ τοῦτο ξηροτέρα τὴν δύναμίν ἐστιν.

10. *De chondrila.*

CHondrila. Et hanc quidam serin nominant. Est enim eiusdem ferè cum illa facultatis; nisi quòd gustu amariuscula est, ac proinde facultate siccantiore.

ια΄. Περὶ χόνδρου.

Χόνδρος, ἔστι μὲν δήπου καὶ τροφὴ βελτίστη, καθάπερ καὶ πυρός. ἀλλ' οὐ τῆς νῦν πραγματείας ἐστὶ περὶ τροφῆς διαιρεῖσθαι, ὡς φάρμακον δὲ τῆς ἐμπλαστικῆς ἐστι δυνάμεως. ἐν δὲ τῇ κράσει παραπλήσιός ἐστι πυρῷ, πλέον ἐκείνου τὸ γλίσχρον ἔχων, ᾧ καὶ τρόφιμος αὐτοῦ μᾶλλόν ἐστι, καὶ οἷον ὕλη τις εἰς ὑποδοχὴν ἐπιτήδειος ὄξους τε γίγνεται, καὶ θαλάττης, καὶ ἅλμης, ὅσα τἄλλα τοιαῦτα σφοδρῶς ξηραίνοντα· καὶ διὰ τοῦτό τινες, ἐκ τῶν ἰσχυρῶς ξηραινόντων ἐνόμισαν εἶναι καὶ τοῦτο τὸ σπέρμα. ἔστι δ' αὐτὸς ὁ χόνδρος ἐκ τῶν συμπεπτικῶν δυναμένων μᾶλλον, ὥσπερ καὶ ὁ πυρός, ἅπερ ἥκιστα ξηραίνει. διὰ δὲ τὴν τῶν ξηραινόντων φαρμάκων μῖξιν, τὸ σύνθετον ἐξ αὐτῶν ξηραντικὸν γινόμενον, ἐξαπατᾷ τοὺς πολλοὺς τῶν ἰατρῶν, ὡς αὐτῷ τῷ χόνδρῳ τὴν τοῦ ξηραίνειν αἰτίαν ἀνατιθέναι, παρέντας τὰ μιγνύμενα.

11. *De chondro, alica.*

CHondrus est sanè nutrimentum optimum, sicuti & triticum. Sed huius instituti non est de nutrimento distinguere. Verùm vt medicamentum emplasticæ facultatis est, temperie tritico similis, plus tamen illo viscosus; quare sanè etiam illo plus nutrit. Estque ceu materia quædam idonea excipiendis aceto, marina aqua, muria, & id genus aliis valenter desiccantibus; proinde quidam ex genere admodum exiccantium esse & hoc semen autumarunt. Cæterùm chondrus ex numero est potius concoquentium, vt & triticum, quæ minimè profectò desiccant. At ob exiccantium medicamentorum admixtionẽ, quum quod ex illis compositum est, exiccatorium fit, medicorum complures in errorem inducti sunt, vt falsò putarent desiccationem chondro acceptam ferendam, iis quæ admixta erant, præteritis.

ιβ΄. Περὶ χρυσοκόμης.

Χρυσοκόμη, καλεῖται δὲ καὶ χρυσίτης· τὴν δριμεῖαν ἅμα, καὶ στύφουσαν ἐπικρατούσας ἔχει ποιότητας ἡ ῥίζα. διὸ μηδὲ πολύχρηστός ἐστιν. ἡ γε μὴν χρῆσις αὐτῆς, ἐν μελικράτῳ καθεψηθείσης, ἐν περιπνευμονίαις τε, καὶ ἡπατικοῖς νοσήμασιν. ἔχει δέ τι, καὶ τῆς ἐμμήνου καθάρσεως προτρεπτικόν.

12. *De chrysocome.*

CHrysocome, vocatur & Chrysites. Radix vincentes habet acrẽ simul, & astringentem qualitates; quare non admodũ multi vsus est. Vsui tamen est decocta in melicrato in peripneumoniis, & morbis hepaticis siue iecorariis. Sed & mẽstruæ purgationis prouocandæ vim quandam obtinet.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

α΄. Περὶ ψευδοδικτάμνου.

Ψευδοδίκταμνον, ἀσθενοῦς δικτάμνου δύναμιν ἔχει.

CAPVT XXIII.

1. *De pseudodictamno.*

PSeudodictamnum imbecillis dictamni vim habet.

β΄. Περὶ ψυλλίου.

Ψυλλίου τὸ σπέρμα μάλιστ' ἐστὶ χρήσιμον, ἐκ τῆς δευτέρας ὑπάρχον τάξεως τῶν ψυχόντων· ἐκ τῆς κατὰ τὸ ξηραίνειν, καὶ ὑγραίνειν συζυγίας μέσον πώς ἐστι, καὶ σύμμετρον.

2. *De psyllio.*

PSyllium semen habet admodum vtile, ex secundo refrigerantium ordine; in desiccando verò, & humectando medium quodammodo est, & symmetrum.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

α΄. Περὶ ὠκίμου.

Ὤκιμον, ἐκ τῆς δευτέρας μέν ἐστι τάξεως τῶν θερμαινόντων, ἔχει δ' ὑγρότητα περιττωματικήν. ὅθεν οὔτε χρήσιμόν ἐστιν εἴσω τοῦ σώματος λαμβανόμενον, καταπλαττόμενον δ' ἔξωθεν, εἰς τὸ διαφορεῖν, καὶ συμπέττειν ἐστὶ χρήσιμον.

CAPVT XXIV.

1. *De ocimo.*

OCimum ex secundo est ordine calefacientium; habet autem excrementitiam humiditatem. Proinde nec commodum est, quòd in corpus sumatur; cæterùm foris illitum ad digerendum, & concoquendum idoneum est.

β΄. Περὶ ὠκιμοειδοῦς.

Ὠκιμοειδὲς· ἔνιοι δὲ φιλεταίρειον ὀνομάζουσιν· ἄχρηστος μὲν ἡ ῥίζα. τὸ δὲ σπέρμα, λεπτομερεῦς τε καὶ ξηραντικῆς ἀδήκτως ὑπάρχει δυνάμεως.

2. *De ocimoide.*

OCimoides. Quidam Philitærium cognominant. Radix inutilis est; at semen tenuium partium, & desiccantis citra mordicationem facultatis est.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ, ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS, LIBER NONVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Θ'. ΒΙΒΛΙΩι.

Διέρχεται ὑπὲρ τῆς δυνάμεως τῆς τε γῆς, καὶ τῶν μετάλλων.

ARGVMENTVM LIBRI NONI.

Agit de terrarum, ac metallicorum facultate.

PROOEMIVM.

Referuntur quæ de astringentibus, & combustis medicamentis quarto libro demonstrata sunt.

QVOTQVOT plantarum partes sunt, & fructus, & succi, atque liquores, supra dicta sunt omnia. Nunc autem de reliquis medicamentis, quæ metallorum genere censentur, quæque ipsius terræ species sunt, differere propositum est, post quæ deinceps nonnihil tractabitur de partibus animalium, vtique quibus, ceu medicamentis, ad curationes vtimur. Cæterùm præstare mihi videtur, communiter de illis omnibus præfari, quo videlicet, tum clarius intelligi possint, tum quæ dicenda sunt, distinctè, ceu in articulos inaudiantur. Nam si quis in omnibus sequatur scriptores, siue medicamentorum, siue materiarum, siue illorum præparandorum, in multis profectò turpissimè hallucinabitur, & ea quę determinatè à me posita sunt, perperam accipiet. Cæterùm quum duo sint capita cōmunis orationis iam proponendæ; alterū est, an spontè nascentium medicamentorum, quæ cōbusta sunt, calidiora arbitrari oporteat, an frigidiora; alterum de medicamentis astringentibus, quorum in genere ésse supra ostensum est, tum austera, tum acerba. Itaq; super his quidē in quarto horū cōmentariorum verba fecimus; sed & modò commemorare satius fuerit, medicamentis astringentibus facultatē, & qualitatem inesse cum acribus pugnantissimam. Astringunt enim acacia, balaustium, hypocystis, cytini, galla, rheon, rhus, omphacium, mespila, corna, malicorium, myrtha. Acria verò sunt euphorbium, allium, cæpa, porrū, napy, piper, gingiberi, smyrnium, origanum, pulegium, calamenthe, & thymus. Reuocandū itaque in memoriam duntaxat, qualem cuiusque dictorum percipimus sensum, & protinus sequetur qualitatis eorum diuersitas, quam in quarto libro exposui vnà cum aliis omnibus gustus differentiis.

ΠΡΟΟΙΜΙΟΝ.

Αναφέρεται τὰ περὶ τῶν στυφόντων τε, καὶ κεκαυμένων φαρμάκων ἐν τῷ τετάρτῳ βιβλίῳ ἀποδεδειγμένα.

A ΟΣΑ μὲν τῶν φυτῶν ἐστι μόρια, καὶ καρποὶ, καὶ χυλοὶ, καὶ ὀποὶ, πρόσθεν εἴρηται. νυνὶ δὲ τῶν ὑπολοίπων φαρμάκων ὅσα μεταλλεύεται, καὶ ὅσα τῆς γῆς αὐτῆς ἐστιν εἴδη, πρόκειται διελθεῖν, ἐφεξῆς δ' αὐτῷ εἰρήσεταί τι καὶ περὶ τῶν ἐν τοῖς ζώοις μορίων, οἷς ἐν λόγῳ φαρμάκων χρώμεθα πρὸς τὰς ἰάσεις. κοινὸν δέ τινα περὶ πάντων αὐτῶν λόγον ἄμεινον εἶναί μοι δοκεῖ προτάξαι σαφηνείας τε ἅμα, καὶ τοῦ διηρθρωμένως ἀκούειν ἕνεκα τῶν εἰρημένων. ἐὰν γὰρ ἕποιτό τις τοῖς πάντα τοῖς γεγραφόσιν ἤτοι τὰς περὶ τῶν φαρμάκων πραγματείας, ἢ τὰς περὶ ὕλης, ἢ τὰς περὶ σκευασίας αὐτῶν, ἐν πολλοῖς σφαλήσεται μέγιστα, καὶ παρακούσει τῶν ὑπ' ἐμοῦ διωρισμένως λεγομένων. δυοῖν δ' ὄντων κεφαλαίων, τοῦ μέλλοντος λεχθήσεσθαι λόγου κοινοῦ, τὸ μὲν ἕτερόν ἐστιν εἰ τῶν αὐτοφυῶν φαρμάκων τὰ κεκαυμένα, θερμότερα χρὴ νομίζειν, ἢ ψυχρότερα. τὸ δ' ἕτερον ὑπὲρ τῶν στυφόντων φαρμάκων, ὧν ἐν εἴδει πρόσθεν ἐδείχθη τὰ αὐστηρὰ, καὶ τὰ στρυφνά. λέλεκται μὲν οὖν ἤδη περὶ τούτων ἐν τῷ τετάρτῳ τῶνδε τῶν βιβλίων, ἀναμνῆσαι δὲ καὶ νῦν ἄμεινον, ὡς ἐναντιωτάτη φαίνεται ποιότης, καὶ δύναμις εἶναι τοῖς στύφουσι φαρμάκοις πρὸς τὰ δριμέα. στύφει μὲν γὰρ ἀκακία, καὶ βαλαύστιον, ὑποκιστίς τε καὶ κύτινοι, καὶ κηκὶς, καὶ ῥῆον, καὶ ῥοῦς, ὀμφάκιόν τε καὶ μέσπιλα, καὶ κρανία, καὶ ῥοιᾶς λέμματα, καὶ μύρτα. δριμέα δ' ἐστὶν εὐφόρβιον, καὶ σκόροδα, καὶ κρόμμυα, καὶ πράσα, καὶ νᾶπυ. καὶ πέπερι, καὶ ζιγγίβερι, καὶ σμύρνιον, ὀρίγανόν τε καὶ γλήχων, καὶ καλαμίνθη, καὶ θύμος. χρὴ τοίνυν ἀναμνησθῆναι μόνον ἡμᾶς ὁποίαν αἴσθησιν ἔχομεν ἑκάστου τῶν εἰρημένων. ἀκολουθήσει γὰρ εὐθέως ἡ διαφορὰ τῆς ποιότητος αὐτῶν, ἣν ἐν τῷ τετάρτῳ λόγῳ διῆλθον ἅμα ταῖς ἄλλαις γευστικαῖς ἁπάσαις διαφοραῖς.

(Margin letters in the Greek column: B at "τὰς περὶ ὕλης"; C at "στύφει μὲν γὰρ ἀκακία".)

συνάγει μὲν οὖν καὶ σφίγγει, καὶ πιλεῖ τὴν οὐσίαν ἡμῶν τὰ στύφοντα, καὶ διὰ τοῦτο ἐπιτιθέμενα, καθ' ὅ,τι ἂν ἐθελήσῃς μέλος ἔξωθεν, εὐθέως ἀποδείκνυσιν αὐτὸ ῥυσσόν τε καὶ προσεσταλμένον. ἔμπαλιν δὲ τούτοις τὰ δριμέα κατὰ τοῦ δέρματος ἐπιτιθέμενα, θερμαίνει τε σαφῶς αὐτὸ, καὶ εἰς ὄγκον συναίρει σὺν ἐρυθρῷ χρώματι, καὶ εἰ χρονίσειεν, ἑλκοῖ. ταῦτα μὲν οὖν ἐναργῶς φαίνεται, τέμνοντά τε καὶ θερμαίνοντα, καὶ διὰ τοῦθ' ἕλκοντα πρὸς ἑαυτὰ τὸ ἐκ τῶν πλησιαζόντων μορίων αἷμα. τὰ στύφοντα δὲ ἀποκρουόμενα τὸ περιεχόμενον ἐν αὐτοῖς, τῷ ψύχειν τε καὶ συνάγειν, καὶ πιλεῖν πέφυκεν. ἡ δύναμίς τε οὖν ἐναντιωτάτη τοῖς στύφουσίν ἐστι πρὸς τὰ δριμέα, καὶ ἡ κατὰ τὴν γεῦσιν ποιότης, οὐδὲν ὅμοιον ἔχουσα. πῶς οὖν ἔνιοι καὶ τὸ πέπερι, καὶ τὰ σκόροδα, καὶ πάντα τὰ δριμέα στύφειν λέγουσιν, οὐδ' ἐπινοῆσαι δυνατόν. εἰ μὲν γὰρ, ὥσπερ ταῦτα στύφειν, οὕτω καὶ ῥοῦν, καὶ βαλαύστιον ὀμφάκιόν τε καὶ μέσπιλον, ὅσα τἄλλα τοιαῦτα δριμέα προσηγόρευον, ὑπαλλάττοντες τὸ τῶν Ἑλλήνων ἔθος ἐν τοῖς ὀνόμασιν, ἀγνοεῖν μὲν ἂν αὐτοὺς ὑπελαβόμην τὰς φωνὰς τῶν Ἑλλήνων, ἅμα τοῖς ὑπ' αὐτῶν σημαινομένοις, οὐ μὴν ἀναισθήτους τε κατὰ τὴν γευστικὴν εἶναι δύναμιν, ἢ τὴν ὀσφρητικήν· ἐπεὶ δὲ ἑνὶ προσαγορεύουσιν ὀνόματι πράγματα δύο, καὶ τῇ κατὰ τὴν ὄσφρησιν αἰσθήσει, καὶ τῇ κατὰ τὴν γεῦσιν, οἷς τε φαίνονται πράττοντα φύσιν ἐναντιωτάτην ἀλλήλοις ἔχοντα, θαυμάσαι προσήκει τοὺς ἀνθρώπους, ἢ ἕνεκεν τῆς ἀναισθησίας, ἢ τῆς ἀνοίας, ἢ καὶ ἀμφοτέρου ἅμα. παραπλήσιον γάρ τοι ποιοῦσιν, τῷ λέγοντι τὴν χιόνα τῷ πυρὶ τὴν αὐτὴν αἴσθησιν ἐργάζεσθαι, καί τις ὑπὸ συνηθείας τῆς εἰς τοσοῦτον ἀλλοκότου χρήσεως τῶν ὀνομάτων, ἔφη μοί ποτε, μηδὲν κωλύειν φάναι τὴν αὐτὴν ἔχειν ποιότητά τε, καὶ δύναμιν τῷ πυρὶ τὴν χιόνα. καὶ γὰρ καὶ ταύτην ὦφθαι πολλάκις ἀποκαίουσαν τοὺς πόδας τῶν δι' αὐτῆς ἐπὶ πολὺ βαδισάντων. τῶν μὲν δὴ τοιούτων ἀνθρώπων οὐ σμικροῦ χρόνου χρεία τὸν ῥύπον ἀποκαθῆραι τῆς ψυχῆς. ὅσοι δ' οὐχ οὕτως ἠτύχησαν, ὡς ἐν ἀμαθίᾳ τελέᾳ διαβιῶναι, προανεγνωκόσι τὸ τέταρτον τῶνδε τῶν ὑπομνημάτων, ἀρκεῖ τούτοις ἀναμνήσεως ἕνεκα τὰ μέχρι δεῦρο λελεγμένα, χάριν τοῦ διηρθρωμένως ἀκούειν τῶν ὀνομάτων ἐφ' ἑκάστου τῶν οἰκείων πραγμάτων, ὡς ἅπαντες Ἕλληνες εἰώθασι χρῆσθαι. μεταβήσομαι δ' ἐπὶ τὸ δεύτερον ἤδη σκέμμα, μηκέθ' ὑπὲρ ὀνόματός τε καὶ τοῦ κατ' αὐτὸ σημαινομένου γιγνόμενον, ἀλλὰ περὶ φύσεως πράγματος. οἱ μὲν γὰρ πλεῖστοι νομίζουσι τὰ καυθέντα πάντα ψυχρότερα γίγνεσθαι σφῶν αὐτῶν, ἔνιοι δ' ἔμπαλιν αὐξάνεσθαι τὴν θερμασίαν οἴονται τῶν καυθέντων ἁπάντων, ἁμαρτάνοντες ἑκάτεροι. φαίνονται γὰρ ἐναργῶς ἔνια μὲν θερμότερα γινόμενα, κατά τε τὴν γεῦσιν καὶ τὴν ἁφὴν, καὶ τὴν ἐν τῇ χρήσει θεωρουμένην δύναμιν, ὡς ἔμπροσθεν εἶπον ἐπί τε τῶν δριμέων, καὶ τῶν στυφόντων. ἔνια δ' ἔμπαλιν ἧττον θερμὰ φαινόμενα μετὰ τὸ καυθῆναι· καὶ τοῦτο διαγινώσκομεν σαφῶς, τῇ τε αἰσθήσει, καὶ τῇ χρήσει. λέγω δὲ χρῆσιν, ὥσπερ ἐπὶ τῶν ἔμπροσθεν εἶπον, ὅταν ἐπιτιθέντα τῷ δέρματι, τὰ μὲν ἐρυθρότερά τε καὶ θερμότερα αὐτὰ ποιῇ, τὰ δὲ ἄναιμά τε καὶ ψυχρά, καὶ τὰ μὲν εἰς ὄγκον ἐξαίρει, τὰ δὲ προστέλλει. τὰ μὲν οὖν δριμέα, πολὺ τῆς θερμότητος ἀπόλλυσι καυθέντα, τὰ δὲ μὴ τοιαῦτα, προσλαμβάνει, τελέως δὲ ψυχρὸν οὐδὲν τῶν καυθέντων ἐστίν. ἐγκαταλείπεται γὰρ αὐτοῖς οἷον ἐμπύρευμά τι, καὶ γὰρ προσηγόρευεν οὕτως Ἀριστοτέλης αὐτὸ, καὶ τοῦτ' ἔστι τὸ κατὰ τὰς πλύσεις ἀπορρυπτόμενον. ἔστι δὲ τὸ λεπτομερέστατον τῆς τῶν καυθέντων οὐσίας, οὗ συναπελθόντος τῷ ὕδατι, τὸ λοιπὸν τοῦ καυθέντος οὐσία γεώδης ἐστί.

A Sanè contrahunt, constipántque, atque condensant substantiam nostram astringentia; ac proinde in quamuis corporis nostri partem extrinsecus imposita, continuò illam rugosam, & contractam efficiunt, contra quam acria, quæ imposita cui perspicuò eam calefaciunt, atque in molem attollunt, rubente colore; ac si diutiùs immorentur, etiam vlcerant. Hæc itaque euidenter apparent, tum incidere, tum calefacere, tum etiam à vicinis partibus ad sese sanguinem attrahere; at astringentia refrigerando, contrahendo, constringendoque, in illis etiam contentum repellere. B Facultas itaque aduersissima est astringentibus cum acribus; nec quæ in gustu apparet qualitas, simile quippiam obtinet. Quid ergo nonnullis in mentem venerit, vt piper, allium, atque adeò acria omnia, astringere dicerent, sanè cogitatione assequi nequeo. Nam si vt hæc astringere dictitant, ita rhu, balaustium, omphacium, mespilum, & quotquot eius generis, acria cognominarent, diuersa, ac commutata in nominibus Græcorum consuetudine, ignaros profectò illos vocum Græcarum, & earum significatuum, non tamen gustandi, aut olfaciendi carere iudicio, dicerem. Nunc verò quum res duas, & C olfactu, & gustu, & effectibus suis, contrariam inter sese naturam ostentantes, vnà appellatione nuncupent, admiranda profectò hominum, aut stupiditas est, aut dementia, aut simul vtraque; perinde enim faciunt, atque illi, qui & ignis, & niuis eundem esse sensum aiunt. Atque adeò in quendam quondam incidi, qui præ tam aliena, atque absurda vsurpandorum vocabulorum consuetudine, diceret nihil prohibere, quo minùs diceretur nix eandem cum igne habere tum qualitatem, tum facultatem; quia videlicet & hæc quandoque visa sit pedes diutius per eam ambu- D lantium adussisse. Sanè non paruo tempore opus est, vt illis hominibus sordem animi expurges. At quibus non in tam profunda ignorantiæ caligine degere contigit, ac quartum horum commentariorum perlegerint, iis, quæ iam dicta sunt, memoriæ causa repetita sufficiunt, quò distinctè nomina de quaque propriarum rerum ita inaudiant, quemadmodum efferre Græcis mos est. Transibo verò ad secundam speculationem, haud etiam de nomine, & significato eius habendam, verùm de rei natura. Nam plerique existimant combusta omnia se ipsis effici frigidiora; alij è contra, combustorum E omnium augeri caliditatem existimant; vtrique sanè falluntur. Conspiciuntur enim liquidò quædam calidiora reddita, & ad gustum, & ad tactum, & ad eam, quæ in vsu cernitur, facultatem; velut supra dicebam de acribus, & astringentibus. Quædam contra ab vstione minus apparent calida; idque clarè discernimus tum tactu, tum vsu. Dico autem vsum, ceu ante dixi, quum cuti imposita, alia calidiorem rubentiorémque partem efficiunt, alia exanguem & frigidam; & alia molem attollunt, alia contrahunt. Igitur acria multum caloris amittunt vsta; F at quæ eiusmodi non sunt, assumunt. Sanè combustorum omnium nullum planè est frigidum; relinquuntur enim in illis velut reliquiæ quædam ignis, nam ita vocabat Aristoteles. Atque id est, quod per ablutiones detergitur, ex combustorum substantia subtilissimum; quod vbi cum aqua abierit, quod vsti reliquum est, substantia terrena est; siquidem

siquidem humidum omne combustio absumit, reliquum autẽ terrenum est vnà cum empyreumate ab Aristotele vocato. Hoc ergo vbi per lotionem ablatum, ac semotum fuerit, aqua, in qua medicamentũ ablutum est, calidam asciuit facultatẽ, eámq; tenuium partium; quod reliquum verò est, terreum simul & frigidum est, desiccare citra mordacitatem potens. De his & quidem & supra diximus; cæterùm nihilo deterius est in memoriam nunc ea reuocasse, vt repetita illorum memoria, simul quæ dicenda sunt, exactiùs quis assequatur.

CAPVT I.

De terris.

1. De terræ differentiis.

QVum duæ sint res, quæ terræ vocabulo significantur, necessarium duxi prius eas distinguere, vt clariora sint, quæ dicenda veniunt. Altera sanè omnibus Græcis maximè consueta est. Siquidem vbi triticum, hordeum, aut aliud quodpiam seminum, quæ cerealia nuncupantur, seminãt mediocriter humidam esse terram oportere aiunt. At vbi vites, ficus, oleas, aut aliam quamuis arborem plantant, fugiendam præcipiunt tum eam, quæ vliginis planè expers sit, & arida, tum quæ humida sit, & lutosa; nam lutum vocant terram humore maceratã. Tum qui de colendis agris conscribunt, in regionum differentiis atram terram, argillosam, arenosámque, discriminantes efferunt; sed & pinguem terram vocant, ex qua lutum fit viscosum, ac lentum; alteram verò contra quàm hæc dispositam, quæ lutum efficiat pinguitudinis expers, & friabile, vt sic dicam. Atque hoc est vnum terræ vocabuli significatum, omnibus vsitatum. Alterum est solis philosophis vsurpatum, quum aiunt, elementa corporum esse terram, aquam, aërem, & ignem. Corpus namque extremè siccum, ac frigidum terram nuncupant. Secundum hos ergo nullum compositorum corporum terra censetur elementaris; aiunt tamen ea plurimum habere terræ, puta adamantem, & saxa; & quanto corpore fuerint duriore, tanto magis ea dicunt esse terrea, contra quàm agricolæ. Haud enim quò durior sit corporum consistentia, eo plus terream esse dictitant, verùm lapides, & petras planè ad agriculturam esse ineptissima contendunt. Cæterùm eam esse terram dicunt exactissimam, quæ quàm longissimè recessit à saxi consistentia; quippe quum & argillosam, & arenosam ad pleraque damnent inutilem. Secundum itaque significatum quod à philosophis celebratur, tribus finietur generibus terræ differentiæ. Siquidem vnum eius genus lapis est, Alterum corpus metallicum, Tertium verò terra, quæ colitur; facta apud eos differentia de metallicis corporibus, quæ fundi possunt, velut ære, stanno, plumbo; hæc enim quidam aiunt non terræ, sed aquæ plus continere. Attamen cæteri homines omnes eam duntaxat terram nominant, quæ humore macerata lutum efficitur; de qua vtique & ego nunc statui differentias exponere, id modò præfatus, quòd proposita sectio corporum terrenorum in lapides, metallica, & terram quæ colitur, absque corporibus, quæ propriè naturalia nominant, dicta est. Nam si ea accedant, tum ligna omnia, & fructuum partes complures, velut etiam animalium, essentia esse terrena dicentur;

A τὸ μὲν γὰρ ὑγρὸν ἅπαν ἡ καῦσις ἐκδαπανᾷ, τὸ δ' ὑπολειπόμενον γεῶδές ἐστιν ἅμα τῷ πρὸς Ἀριστοτέλους ἐμπυρεύματι κληθέντι. τοῦτ' οὖν ὅταν τις ἀφέληται, καὶ χωρίσῃ τῇ πλύσει, τὸ μὲν ὕδωρ, ᾧ τὸ φάρμακον ἐπλύθη, θερμὴν δύναμιν ἐπεκτήσατο λεπτομερῆ, τὸ δ' ὑπόλοιπον γεῶδες ψυχρὸν, ξηραίνειν ἀδήκτως δυνάμενον. εἴρηται μὲν οὖν μοι καὶ περὶ τούτων ἔμπροσθεν, ἀλλ' οὐδὲν χεῖρον ἀναμνῆσαι καὶ νῦν, ἵνα τις ὑπόγυον ἔχων τὴν ἀνάμνησιν αὐτῶν, ἕπηται τοῖς λεχθησομένοις ἀκριβέστερον.

B

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν γῶν.

α'. Περὶ τῶν τῆς γῆς διαφορῶν.

ΔΥοῖν σημαινομένων πραγμάτων ἐκ τοῦ τῆς γῆς ὀνόματος, ἀναγκαῖόν ἐστι διαστεῖλαι πρότερον αὐτὰ, σαφηνείας ἕνεκα τῶν λεχθησομένων. τὸ μὲν οὖν ἕτερον αὐτῶν συνήθές ἐστιν ἅπασι τοῖς Ἕλλησιν. ὅταν τε γὰρ σπείρωσι πυροὺς, ἢ κριθὰς, ἤ τι τῶν ἄλλων σπερμάτων, ἃ δημήτρια καλεῖται, μετρίως ὑγρὰν εἶναι χρῆναί φασι τὴν γῆν. ὅταν τε C φυτεύωσιν ἀμπέλους, ἢ συκᾶς, ἢ ἐλαίας, ἤ τι τῶν ἄλλων δένδρων, φυλάττεσθαι κελεύουσι τήν τ' ἄνικμον ἐσχάτως, καὶ ξηρὰν, τήν θ' ὑγρὰν καὶ πηλώδη. καὶ γὰρ οὖν ὀνομάζουσι πηλὸν, τὴν γῆν ὑγρῷ φυραθεῖσαν, οἵ τε τὰ γεωργικὰ γράψαντες, ἐν ταῖς τῶν χωρίων διαφοραῖς, τά τε μελάγγαια, καὶ ἀργιλώδη, καὶ ψαμμώδη διαστελλόμενα λέγουσιν. καλοῦσι δὲ καὶ λιπαρὰν γῆν, ἐξ ἧς ὁ πηλὸς γίνεται γλίσχρος. ἑτέραν τε κατὰ τοὐναντίον τῇδε διακειμένην ἄλιπη, καὶ ψαθυρὰν, ὡς ἂν εἴπῃ τις ἐργαζομένην τὸν πηλόν. ἓν μὲν δὴ τοῦτο σημαινόμενόν ἐστι τοῦ τῆς γῆς ὀνόματος ἅπασι συνήθες. ἕτερον D δὲ μόνον τοῖς φιλοσόφοις, ἐπειδὰν λέγωσι τῶν σωμάτων στοιχεῖα γῆν, καὶ ὕδωρ, καὶ ἀέρα, καὶ πῦρ. τὸ γὰρ ξηρὸν ἐσχάτως σῶμα, καὶ ψυχρὸν, ὀνομάζουσι γῆν. κατὰ τούτους οὖν οὐδὲν μὲν τῶν συνθέτων τούτων σωμάτων ἐστὶν ἡ στοιχειώδης γῆ. πλεῖστον μέντοι τῆς γῆς ἔχειν αὐτά φασιν, οἷον τόν τε ἀδάμαντα, καὶ τὰς πέτρας, καὶ ὅσῳ γ' ἂν ᾖ σκληρότερον τὸ σῶμα, τοσούτῳ μᾶλλον αὐτὰ εἶναί φασι γεωδέστερα, ἔμπαλιν τοῖς γεωργοῖς. οὐ γὰρ τὴν σκληροτέραν σύστασιν τῶν σωμάτων ὀνομάζουσιν οὗτοι γεωδεστέραν, ἀλλὰ λίθους μὲν καὶ πέτρας τὰ τοιαῦτα καλοῦσιν, ἀνεπιτηδειότατα πρὸς γεωργίαν. ἀκριβεστάτην δὲ γῆν εἶναί φασι τὴν πορρωτάτω E τῇ συστάσει τῆς πέτρας, ὅπου γε καὶ τὴν ἀργιλώδη τε, καὶ τὴν ψαμμώδη μέμφονται πρὸς τὰ πλεῖστα. κατὰ μὲν οὖν τὸ παρὰ τοῖς φιλοσόφοις σημαινόμενον, αἱ τῆς γῆς διαφοραὶ, τρισὶν ὁρισθήσονται γένεσιν. ἔστι γὰρ τὸ μέν τι λίθος αὐτῆς, τὸ δὲ μεταλλευτόν τι σῶμα. τὸ δὲ τρίτον, ἡ γεωργουμένη γῆ. διαφωνίας γεγονυίας παρ' αὐτοῖς περὶ τῶν χεομένων μεταλλευτῶν σωμάτων, οἷον χαλκοῦ, καὶ κασσιτέρου, καὶ μολύβδου. ταῦτα γὰρ ἔνιοί φασιν οὐ γῆς, ἀλλ' ὕδατος ἔχειν τὸ πλέον. οἵ γε μὴν ἄλλοι πάντες ἄνθρωποι, γῆν ὀνομάζουσιν ἐκείνην μόνην τὴν οὐσίαν, ἥ τις ὑγρῷ φυραθεῖσα, πηλὸς γίνεται. περὶ ἧς κἀγὼ F νῦν ἔγνωκα τὰς διαφορὰς εἰπεῖν, ἐκεῖνο μόνον ἔτι προσθεὶς, ὡς ἡ προειρημένη τομὴ τῶν γεωδῶν σωμάτων, εἴς τε λίθους, καὶ τὰ μεταλλευόμενα, καὶ τὴν γεωργουμένην γῆν, ἄνευ τῶν φυσικῶν ἰδίως ὀνομαζομένων σωμάτων εἴρηται. τούτων δὲ προσιόντων, καὶ τὰ ξύλα πάντα, καὶ καρπῶν μόρια πολλὰ, καθάπερ καὶ ζώων, ὀνομασθήσεται γεώδη τὴν οὐσίαν εἶναι.

καρπῶν μὲν μόρια, πυρῆνες ἐλαιῶν, καὶ γίγαρτα σταφυλῶν, καὶ A καρύων λέμματα, καὶ κώνων, ἕτερά τε πολλὰ τοιαῦτα. τῶν ζώων δὲ τά τε ὀστέα, καὶ τὰ κέρατα, καὶ οἱ ὀδόντες. ἀλλὰ περὶ μὲν τῶν ἐν τοῖς φυτοῖς μορίων ὅσα γεώδη καὶ σκληρά, τὸ μέν πού τι καὶ πρόσθεν εἴρηται, τὸ δ᾽ ἤδη καὶ νῦν ῥηθείη. περὶ δὲ τῶν ἐν τοῖς ζώοις ἐφεξῆς εἰρήσεται, πρότερον διελθόντος μου τὰ κατὰ τὴν γῆν εἴδη. καλεῖν μὲν γὰρ ἔξεστί σοι καὶ διαφορὰς αὐτά, καὶ εἴδη, καὶ γένη. λέγω δὴ ταῦτα· λίθους τε καὶ τὰ μεταλλευτὰ σώματα, καὶ τὴν εἰς πηλὸν λυομένην γῆν, καὶ πρῶτόν γε τὰς διαφορὰς ἐρῶ τῆς ὑπὸ πάντων Ἑλλήνων ὀνομαζομένης γῆς, ἥ τις ἔχει κοινὸν ὕδατι πλησιάσασα, διαλύεσθαι παραχρῆμα, καὶ πηλὸν B γίνεσθαι. τὸ γὰρ τῆς παρὰ τοῖς φιλοσόφοις οὕτω καλουμένον, οὐ κοινὸν ἅπασιν, ἀλλ᾽ ἐκείνοις μόνοις συνήθες ἔχει τὸ σημαινόμενον.

β´. Περὶ τῶν διαφορῶν τῆς συνήθως ὀνομαζομένης γῆς.

Γῆν ἔφην ὀνομάζεσθαι συνήθως ἅπασιν Ἕλλησιν, ἥ τις ἂν εἰς τὸ ὑγρὸν ἐμβληθεῖσα, παραχρῆμα διαλύεταί τε καὶ πηλὸς γένηται. ταύτης οὖν ἡ μέν τίς ἐστιν ἣν γεωργοῦσιν οἱ ἄνθρωποι, διαφορὰς ἔχουσά τινας μὲν κατὰ τὸν ἴδιον λόγον ἐν τῷ λιπαρά τε εἶναι καὶ γλίσχρος, ἥ τις πάντως ἐστὶ καὶ μέλαινα τὴν C χρόαν. ἡ δὲ ψαθυρωτέρα τε καὶ ἀλιπής, ἣν καλοῦσιν ἀργιλλώδη οὖσα, καὶ ἥδε λευκοτέρα πως· ἐναντιώταται μὲν αὗται διαφοραί. αἱ δ᾽ ἄλλαι μεταξὺ τούτων, ἤτοι τῇ ἑτέρᾳ πλησιάζουσαι μᾶλλον, ἢ τῇ ἑτέρᾳ. τινὲς δὲ κἀν τῷ μέσῳ δοκεῖν ἀκριβῶς εἶναι, τὴν ἴσην ἀμφοῖν ἀφεστηκυῖαι διάστασιν. αἱ δ᾽ ἐξ ἐπιμιξίας ἑτερογενῶν σωμάτων διαφοραὶ τῆς γῆς εἰσι, καθὸ λιθώδεις τε καὶ ψαμμώδεις ὀνομάζουσιν, καὶ χωρίζουσί γε τὴν τοιούτων τὴν μεμιγμένην οὐσίαν, ἀναδεύσαντες καὶ ἀναφυράσαντες ὕδατι πολλῷ, μέχρι τοῦ πᾶν ὑγρὸν ἐργάσασθαι. καθισταμένου γὰρ τούτου τὸ μὲν τῆς λιθώδους τε καὶ ψαμμώδους ἐμφερόμενον ὑφι- D ζάνει πᾶν, ἐποχεῖται δὲ ἡ ἀκριβὴς γῆ. τοιοῦτον γάρ τι καὶ κατὰ τὴν Λημνίαν γίνεται γῆν, ἣν μίλτον ὀνομάζουσιν, ἔνιοι Λημνίαν, καὶ τινὲς ἄλλοι σφραγῖδα Λημνίαν, διὰ τὴν ἐπιβαλλομένην αὐτῇ σφραγῖδα τῆς Ἀρτέμιδος ἱεράν. ταύτην γάρ τοι τὴν γῆν ἡ ἱέρεια λαμβάνουσα μετά τινος ἐπιχωρίου τιμῆς, οὐ ζώων θυομένων, ἀλλὰ πυρῶν, καὶ κριθῶν ἀντιδιδομένων τῷ χωρίῳ, κομίζει μὲν εἰς τὴν πόλιν ἀναφυράσασα ὕδατι, καὶ πηλὸν ὑγρὸν ἐργασαμένη, καὶ τοῦτον ταράξασα σφοδρῶς, εἶτ᾽ ἐάσασα καταστῆναι, πρῶτον μὲν ἀφαιρεῖ τὸ ἐπιπολῆς ὕδωρ, εἶθ᾽ ὑπ᾽ αὐτῷ τὸ λιπαρὸν τῆς γῆς λαβοῦσα, καὶ μόνον ἀπολιποῦσα τὸ ὑφιζηκὸς λι- E θῶδές τε καὶ ψαμμῶδες, ὅπερ καὶ ἄχρηστόν ἐστιν, ἄχρι τοσούτου ξηραίνει τὸν λιπαρὸν πηλόν, ἄχρις ἂν εἰς σύστασιν ἀφίκηται μαλακοῦ κηροῦ, καὶ τούτου λαμβάνουσα μόρια σμικρὰ τὴν ἱερὰν τῆς Ἀρτέμιδος ἐπιβάλλει σφραγῖδα, κἄπειτα πάλιν ἐν σκιᾷ ξηραίνει, μέχρις ἂν ἀκριβῶς ἄνικμος ἀποτελεσθῇ, καὶ γίνεται τοῦτο δὴ τὸ γινωσκόμενον ἰατροῖς ἅπασι φάρμακον ἡ Λημνία σφραγίς. οὕτω γὰρ αὐτὴν ὀνομάζουσιν, ὡς ἔφην, ἔνιοι διὰ τὴν ἐπιβαλλομένην αὐτῇ σφραγῖδα, καθάπερ γε καὶ διὰ τὴν χρόαν, ἔνιοι Λημνίαν μίλτον. ἔχει μὲν οὖν τὴν χρόαν τὴν αὐτὴν τῇ μίλτῳ. διαφέρει δ᾽ αὐτῆς τῷ μὴ μολύνειν ἁπτομένην, κα- F θάπερ ἐκείνην, καὶ κατά γε τὸν λόφον ἐν τῇ Λήμνῳ τὸν ὅλον ὄντα κιρρὸν τῇ χροιᾷ, καθ᾽ ὃν οὔτε δένδρον ἐστίν, οὔτε πέτρα, οὔτε φυτόν, μόνη δ᾽ ἡ τοιαύτη γῆ. τρεῖς δ᾽ αὐτῆς εὑρίσκονται διαφοραί. μία μὲν ἡ προειρημένη τῆς ἱερᾶς γῆς, ἧς οὐδεὶς ἄλλος ἅπτεται πλὴν τῆς ἱερείας. δευτέρα δ᾽ ἑτέρα τῆς ὄντως μίλτου, χρῶνται δ᾽ οἱ

fructuum quidem partes, vt nuclei oliuarum, & vinacei vuarum, putamina nucum, & conorum, & eius generis multa alia; animalium verò ossa, cornua, dentes. Verùm de plantarum partibus, quæ terrenæ vtique sunt & duræ, partim iam supra dictum est, partim etiam nunc dicetur; at de iis quæ animantium sunt, infra tractabitur, vbi priùs terræ species absoluero; licet enim ea tibi aut differentias, aut species, aut etiam appellare genera. Dico autem hæc, lapides, metallica corpora, terram in lutum solubilem. Ac primum omnium dicam à Græcis nuncupatæ terræ differentias, quæ commune hoc habet, vt addita aqua continuò soluatur, & fiat lutum. Nam quod à philosophis sic appellatur, non habet omnibus commune, sed illis tantum consuetum, ac celebratum significatum.

---

2. *De differentiis nominatæ passim terræ.*

Terram vsitatè Græcis vocari dixi, quæ iniecta aqua statim soluitur, & fit lutum. Huiusmodi ergo est, quā homines ad culturam elaborāt, differentias habens quasdam sanè secundū propriam rationē, dum pinguis est, & viscosa, quæ vtiq; omnino, & atra colore est; alia verò friabilior, & pinguedinis expers, quam vocant argillam, quæ sanè quodāmodo candidior est. Atq; hæ maximè contrariæ sunt differentiæ; aliæ harum in medio sunt, alteri atque alteri magis accedentes; atque adeo quædam etiam, quæ ex æquo ad vnguem in medio, pari interuallo ab vtraque distant. At aliæ sunt terræ differentię ex diuersi generis corporum natæ cōmixtione; qua ratione lapidosę, & arenosæ habentur. Atque admixtam talium substātiam segregāt largæ aquæ effusione, ac maceratione, dum totum humidū efficiatur; quum enim id effectum est, id quod defertur, atque inest lapidosum, atque arenosum, id omne subsidit, & terra exacta supernatat. Tale quiddā, & in Lemnia terra visitur, quā cognominant quidā Milton, alij Lemniam; & alij quidam sigillū Lemnium, ob impressum videlicet illi sigillū Dianæ sacrum. Siquidē hanc terram sacerdos cum patrio quodam honore sumens, haud mactatis animalibus, sed tritico, atque hordeo piamenti gratia terræ redditis, in vrbem comportat. Quam deinde aqua maceratam, atque in lutum redactam, vbi valenter conturbauit, paulúmque inde quiescere sinit, aquam, quæ supernatat, primum aufert; & mox quod sub ea est, pingue terræ tollit, ac reliquum duntaxat, quod ad imum subsedit, lapidosum scilicet & arenosum relinquit, vt inutile, ac superuacaneum. Porrò lutum illud pingue vsque eo desiccat, dum mollis ceræ consistentiam accipiat; huiúsque exiguis acceptis particulis, sacrū Dianæ signum imprimit; ac postea rursum in vmbra siccandum reponit, donec omnem planè humiditatem mittat, fiatque, illud medicis omnibus cognitū medicamentū Lēnium sigillum; sic enim quidā illam cognominant ob impressum illi sigillū: ceu etiam nonnulli ob colorē, Lemniam rubricā appellitant. Eundē ergo quē rubrica colorem obtinet, verùm ab ea differt, quòd contactu non cōtaminet atq; illa; & secundū collē in Lemno, qui totus colore fuluo est, & in quo neq; arbor, neq; saxū, neq; planta nascitur, tantùm huiusmodi terra visitur. Porrò tres eius signantur differentiæ, vna quam posuimus terræ sacræ, quam alij nemini pręter vnum sacerdotem contingere fas est; altera verò eius, quę re vera est rubrica; vtuntur autem ea potissimum

potissimũ fabri; Demum tertia eius quæ extergit, qua vtuntur, qui lintea, & vestes lauant, quibus vtique collibitũ est. Ceterùm quum, & apud Dioscoridem, & alios quosdam scriptũ legissem, Lemniæ terræ hircinum misceri sanguinem, atque ex luto, quod ea mixtione conficiebatur, sacerdotem lemnia quæ vocant sigilla tum conformare, tum consignare, cupiebam profectò, & ipse mixtionis modum inspicere, atque commoderationem. Itaque quemadmodũ in Cyprum nauigaueram videndorum, quæ in ea sunt, metallorum gratia, in cauam Syriam Palestinæ partem profectus fueram, bituminis, & aliorum quorundam inspiciendorũ causa, ita nec in Lemnum enauigare piguit, vt quantũ sanguinis terræ admisceretur, conspicerem. Nam quum iterum ex Asia Romã pedestri peterem itinere per Thraciam, & Macedoniam, potius à Troade Alexandria in Lemnũ adnauigaui, nactus illic nauem, quæ ad Thessalonicam cursum destinabat. Conueniebã autẽ cum nauclero, vt in cursu Lemnum appelleret. Et sanè ille præstitit, sed non ad eã ciuitatẽ, ad quàm oportebat. Antea enim nesciueram duas esse in insula ciuitates, sed credebam, vt Samus, Chius, Cos, Andrus, Tenus, & omnes adeo quæ in Ægeo sunt mari, vnam duntaxat ciuitatem habent toti insulæ cognomine, ita & Lemnum nominis sui vnam habere ciuitatẽ. Porrò vt ex naui descenderam, intellexi ciuitati nomen esse Myrinæ, nec in regione ciuitatis illius, aut Philoctetis tẽplum esse, aut sacrum Neptuni collem, sed in altera, quæ vocaretur Hephæstias; nec ciuitatem eam Myrinæ esse propinquam. Quumque me Nauclerus expectare non posset, distuli, vt quum Romã in Asiam redirem, tum Hephæstiada visere; id quod feci, prout speraueram, & proposueram. Nam vbi ex Itala in Macedoniam traiecissem, eámq; penè totam pedestri itinere pertransiissem; peruenissémq; Philippos, quæ ciuitas est finitima Thraciæ; inde ad mare descendi, quod proximũ aberat centum viginti stadiis, primúmque Thason transmisi, distantem plus minus ducentis stadiis, atq; illinc in Lemnum septingentis, ac rursum fermè septingentis in Alexandriam Troada traieci. Ac proinde sanè ex industria tum de nauigatione, tum de stadiis ascripsi, vt si quem eadem, quæ me, caperet Hephæstiada visendi cupiditas, cognito eius situ sic nauigationem institueret. In tota namque insula Lemno orientem spectat Hephęstias, occidentem verò Myrina. Et quod à poëta dictum de Vulcano est, Decidit in Lemnum, propter collis naturam occasionẽ sumpsisse fabulæ crediderim; apparet enim cõbusto simillimus tum colore ipso, tũ etiam quia nihil in eo nascitur. In hunc itaq; collẽ sacerdos, quo tempore ego ad insulã accesseram, egressa, certo quodã tritici hordeique numero in terrã cõiecto, aliisq; quibusdã pro religione patria perpetratis, plaustrũ totũ terra impleuit. Atq; vbi in vrbẽ conuexisset, quo dixi modo, illas fama hominũ adeo celebratas, Lẽnias sphragidas præparabat. Visum ergo mihi erat percontari, nunquid vnquam antea hircinũ, aut caprinũ sanguinẽ huic misceri solitũ memoriæ proditũ accepisset. Quo audito omnes in risũ soluti sunt, nec ij sanè quiuis ex vulgo, sed viri oppido quã eruditi cũ in aliis, tũ præcipuè in vniuersa patriæ historia. Quin & à quodã librũ accepi quondã ab incolarũ quopiam cõscriptũ, qui omnẽ Lẽniæ terræ vsum edocebat. Quamobrem nec me quoq; piguit huius medicamenti periculum facere, acceptis phragidũ viginti

A τέκτονες αὐτῇ μάλιστα. τρίτη δὲ ἡ τῆς ῥυπούσης, ᾗ χρῶνται τῶν πλυνόντων ὀθόνας τε καὶ ἐσθῆτας οἱ βουληθέντες. ἀναγνοὺς δ' ἐγὼ παρά τε Διοσκουρίδῃ, καὶ ἄλλοις τισὶ μίγνυσθαι τράγειον αἷμα τῇ Λημνίᾳ γῇ, κἀκ τοῦ διὰ μίξεως ταύτης γινομένου πηλοῦ τὴν ἱέρειαν ἀναπλάττειν τε καὶ σφραγίζειν, ἃς ὀνομάζουσι Λημνίας σφραγῖδας, ὠρέχθην αὐτὸς ἱστορῆσαι τὴν συμμετρίαν τῆς μίξεως. ὥσπερ οὖν εἰς Κύπρον ἕνεκα τῶν ἐν αὐτῇ μετάλλων, εἴς τε τὴν κοίλην Συρίαν μόριον οὖσαν τῆς Παλαιστίνης, ἕνεκεν ἀσφάλτου, καί τινων ἄλλων κατ' αὐτὴν ἀξίων ἱστορίας ἐπορεύθην, οὕτως καὶ εἰς Λῆμνον οὐκ ὤκνησα

B πλεῦσαι, θεασόμενος ὁπόσον μίγνυται τοῦ αἵματος τῇ γῇ. καὶ τό γε δεύτερον ἐξ Ἀσίας εἰς Ῥώμην ἀφικέσθαι πεζῇ πορευόμενος διὰ Θράκης τε καὶ Μακεδονίας, ἔπλευσα πρότερον ἀπὸ Τρωάδος Ἀλεξανδρείας εἰς Λῆμνον, ἐπιτυχὼν εἰς Θεσσαλονίκην ἀναγομένου πλοίου, συνθέμενος τῷ ναυκλήρῳ παραβάλλειν πρότερον τῇ Λήμνῳ. ὁ δὲ προσέσχε μὲν, οὐ μὴν ἧς γ' ἐχρῆν πόλει. τὴν ἀρχὴν γὰρ οὐδ' ἠπιστάμην δύο πόλεις εἶναι κατὰ τὴν νῆσον, ἀλλὰ ᾤμην, ὡς Σάμον, καὶ Χίον καὶ Κῶ, Ἄνδρον τε καὶ Τῆνον, καὶ πάσας τὰς κατὰ τὸ Αἰγαῖον, οὕτω καὶ τὴν Λῆμνον ὁμώνυμον ἔχειν πόλιν ὅλῃ τῇ νήσῳ μίαν. ὡς δὲ ἀποβὰς τῆς νεὼς, ἔγνων

C Μυρίνην μὲν ὀνομάζεσθαι τὴν πόλιν, εἶναι δ' οὔτε κατὰ Φιλοκτήτην, οὔτε κατὰ τὸν ἱερὸν τοῦ Ἡφαίστου λόφον ἐν τῇ χώρᾳ τῆς πόλεως ἐκείνης, ἀλλ' ἐν ἑτέρᾳ τῇ Ἡφαιστιάδι καλουμένῃ, καὶ οὐδ' ἐγγὺς εἶναι τὴν πόλιν ἐκείνην τῆς Μυρίνης. ὁ τε ναύκληρος οὐκ ἠδύνατό με περιμένειν, ἀνεβαλλόμην εἰσαῦθις, ὅταν ἀπὸ Ῥώμης εἰς Ἀσίαν ἀφίκωμαι, θεάσασθαι τὴν Ἡφαιστιάδα, καί μοι τοῦτ' ἐπράχθη, καθάπερ ἤλπισά τε καὶ προὐθέμην. ὡς γὰρ ἀπὸ τῆς Ἰταλίας διαβαλὼν εἰς τὴν Μακεδονίαν, καὶ σχεδὸν ὅλην αὐτὴν ὁδοιπορήσας ἐν Φιλίπποις ἐγενόμην, ἥπερ ἐστὶν ὅμορος τῇ Θράκῃ πόλις, ἐντεῦθεν ἐπὶ τὴν πλησίον θάλατταν, εἴκοσιν ἐπὶ τοῖς ἑκα-

D τὸν ἀπέχουσαν στάδια κατελθὼν, ἔπλευσα πρότερον μὲν εἰς Θάσον ἐγγύς που διακοσίους σταδίους. ἐκεῖθεν δ' εἰς Λῆμνον ἑπτακοσίους, εἶτ' αὖθις ἀπὸ Λήμνου τοῖς ἴσοις ἑπτακοσίοις εἰς Ἀλεξάνδρειαν Τρωάδα, καὶ διὰ τοῦτ' ἐξεπίτηδες ἔγραψα περί τε τοῦ πλοῦ, καὶ τῶν σταδίων, ὅπως εἴ τις ἐθέλῃ θεάσασθαι, καὶ αὐτὸς ὁμοίως ἐμοὶ τὴν Ἡφαιστιάδα διαγινώσκων τὴν θέσιν αὐτῆς, οὕτως παρασκευάζοιτο πρὸς τὸν πλοῦν. ἐν γάρ τοι τῇ ὅλῃ νήσῳ τῇ Λήμνῳ, κατὰ μὲν τὸ πρὸς ταῖς ἀνατολαῖς μέρος αὐτῆς ἐστιν Ἡφαιστιάς. κατὰ δὲ τὸ πρὸς ταῖς δυσμαῖς, ἡ Μυρίνα, καὶ τό γε ὑπὸ τοῦ ποιητοῦ λεγόμενον ἐπὶ τοῦ Ἡφαίστου, κάππεσεν ἐν Λήμ-

E νῳ, διὰ τὴν φύσιν τοῦ λόφου δοκεῖ μοι τὸν μῦθον ἐπισπάσασθαι. φαίνεται γὰρ ὁμοιότατος κεκαυμένῳ κατά γε τὴν χρόαν, καὶ διὰ τὸ μηδὲν ἐν αὐτῷ φύεσθαι. εἰς τοῦτον οὖν τὸν λόφον ἡ ἱέρεια παραγινομένη, καθ' ὃν ἐγὼ καιρὸν ἐπέβην τῆς νήσου, καί τινα πυρῶν τε καὶ κριθῶν ἀριθμὸν ἐμβάλλουσα τῇ γῇ, καὶ ἄλλα τινὰ ποιήσασα κατὰ τὸν ἐπιχώριον σεβασμὸν, ἐπλήρωσε μὲν ὅλην ἅμαξαν τῆς γῆς. κομίσασα δ' εἰς τὴν πόλιν, ὡς εἶπον ἀρτίως, ἐσκεύασε τὰς πολυθρυλλήτους Λημνίας σφραγῖδας. ἔδοξεν οὖν μοι πυθέσθαι μή τι πρότερόν ποτε τράγειον, ἢ αἴγειον αἷμα τῇ γῇ ταύτῃ μιγνύμενον ἐν ἱστορίᾳ παρειλήφασιν. ἐφ' ᾧ παρ' αὐτίκα

F πάντες οἱ ἀκούσαντες ἐγέλασαν, οὐχ οἱ τυχόντες ἄνδρες ὄντες, ἀλλὰ καὶ πάνυ πεπαιδευμένοι τά τ' ἄλλα, καὶ τὴν ἐπιχώριον ἱστορίαν ἅπασαν. ἀλλὰ καὶ βιβλίον ἔλαβον παρά τινος αὐτῶν, γεγραμμένον ὑπό τινος τῶν ἐπιχωρίων ἀνδρῶν ἔμπροσθεν, ἐν ᾧ τὴν χρῆσιν ἅπασαν ἐδίδασκε τῆς Λημνίας γῆς, ὅθεν οὐκ ὤκνησα κἀγὼ πειραθῆναι τοῦ φαρμάκου, δισμυρίας λαβὼν

σφραγῖδας. ἐχρῆτο δὲ καὶ αὐτὸς ὁ δοὺς τὸ βιβλίον, ἐν τοῖς πρώτοις ἀριθμούμενος τῆς Ἡφαιστιάδος εἰς πολλὰ τῷ φαρμάκῳ. καὶ γὰρ ἐπὶ τραυμάτων, καὶ παλαιῶν, καὶ δυσεπουλώτων ἑρπετοδήκτων τε, καὶ ὅλως θηριοδήκτων, ἐπί τε τῶν θανασίμων φαρμάκων, οὐ προδιδοὺς μόνον, ἀλλὰ καὶ ἐπιδιδοὺς, ἐχρῆτο τῇ σφραγῖδι. ἔφασκε δὲ καὶ τοῦ διὰ τῶν ἀρκευθίδων φαρμάκου πεῖραν ἔχειν, εἰς ὃ καὶ τῆς Λημνίας ἐμβάλλεται κινοῦντος ἔμετον, εἴ τις ἔτι κατὰ τὴν κοιλίαν ὄντος τοῦ θανασίμου φαρμάκου, πίοι τὸ ἀλεξιτήριον. ἀλλὰ τούτου μὲν, καὶ ἡμεῖς ἔχομεν πεῖραν ἐπί τε λαγωοῦ θαλαττίου, καὶ κανθαρίδων, ὑποπτευσάντων μὲν εἰληφέναι τι τοιοῦτον τῶν ἀνθρώπων, ἐμεσάντων δ' αὐτίκα πάντων ἐπὶ τῷ διὰ τῆς Λημνίας σφραγῖδος φαρμάκῳ, καὶ μηδὲν μετὰ ταῦτα παθόντων σύμπτωμα τῶν ἑπομένων λαγωῷ τε καὶ κανθαρίσι, καίτοι τῆς δόσεως τῶν ὀλεθρίων φαρμάκων ἐλεγχθείσης. εἰ δὲ καὶ πρὸς τἄλλα θανάσιμα φάρμακα, ταῦτα δὴ τὰ δηλητήρια καλούμενα, τὴν αὐτὴν δύναμιν ἔχει τὸ διὰ τῶν ἀρκευθίδων, καὶ τῆς Λημνίας φάρμακον, ἐμοὶ μὲν ἄδηλον. ὁ δ' ἐκ τῆς Ἡφαιστιάδος, ἐπηγγείλατο μέχρι τοῦ καὶ λυττῶντος κυνὸς ἰᾶσθαι δήγματα φάσκειν αὐτὴν, πινομένην δι' οἴνου κεκραμένου, κατὰ δὲ τοῦ ἕλκους ἐπιτιθεμένην δι' ὄξους πάνυ δριμέος. ἀλλὰ δι' ὄξους μὲν, καὶ τὰ τῶν ἄλλων θηρίων ἔλεγεν αὐτὴν ἰᾶσθαι δήγματα, φύλλων βοτανῶν ἔξωθεν ἐπιτιθεμένων, ἃς ἐμάθομεν ἀντιπεπονθέναι σηπεδόσιν. μάλιστα δ' ἐπῄνει σκόρδιον, εἶτα κενταύριον τὸ λεπτὸν, εἶτα πράσιον. ἐπί γε μὴν κακοήθων καὶ σηπεδονωδῶν ἑλκῶν, εἴ ποτ' ἐχρησάμην τῇ Λημνίᾳ, μεγάλως ὠφέλησε. ἡ δὲ χρῆσις γίνεται κατὰ τὸ μέγεθος τῆς τοῦ ἕλκους κακίας. τὸ μὲν γὰρ δυσῶδες, καὶ λίαν πλαδαρόν τε καὶ ῥυπαρὸν, ἀνέχεται δι' ὄξους δριμυτάτου τῆς λημνίας λελυμένης εἰς πηλώδη σύστασιν ὁμοίως τοῖς τροχίσκοις, ὧν ἄλλος ἄλλῳ χρῆται, Πολυείδου λέγω, καὶ Πασίωνος, καὶ Ἄνδρωνος, καὶ τούτῳ τῷ νῦν εἰρημένῳ, προσαγορευομένῳ δὲ Βητίνῳ. καὶ γὰρ οὗτοι πάντες ἰσχυρῶς ξηραίνοντες, ὠφελοῦσι τὰ κακοήθη τῶν ἑλκῶν, ἀνιέμενοί ποτε μὲν οἴνῳ γλυκεῖ, ποτὲ δὲ σιραίῳ, ποτὲ δ' οἰνομέλιτι, ποτὲ δὲ τῶν λευκῶν οἴνων ἐνίοις, ἢ τῶν κιῤῥῶν, ἢ ξανθῶν, ὡς ἂν ἡ χρεία κελεύῃ. διαιρεθήσεται γὰρ ὑπὲρ τούτων ἐν ἑτέροις. ὡσαύτως δὲ καὶ δι' ὄξους ἀνίενταί ποτε, καὶ δι' οἴνου, ἢ ὕδατος, ἢ ὀξυμέλιτος, ἢ ὀξυκράτου τε, καὶ μελικράτου. καὶ ἡ λημνία δὲ γῆ δι' ἑκάστου τῶν εἰρημένων ἀνιεμένη, φάρμακον ἐπιτήδειόν ἐστιν εἴς τε τὴν τῶν προσφάτων τραυμάτων κόλλησιν, εἴς τε τὴν τῶν χρονίων, ἢ δυσεπουλώτων, ἢ κακοήθων ἴασιν. ὡσαύτως δὲ, καὶ ἡ ἄλλη πᾶσα φαρμακώδης γῆ. διελέσθαι γὰρ δεήσει, καθάπερ ἔμπροσθεν ἀπὸ τῆς στοιχειώδους γῆς, ἐν ᾗ καὶ οἱ λίθοι περιείχοντο τὴν εἰς πηλὸν λυομένην, οὕτω νῦν ἀπὸ τῆς γεωργουμένης τὴν φαρμακώδη. καλέσαι γὰρ οὐδὲν χεῖρον οὕτως, ᾗ πρὸς τὰς θεραπείας χρώμεθα, καίτοι καὶ τῆς γεωργουμένης ἡ λιπαρὰ, χρήσιμος εἰς θεραπείαν ἐστὶν ἁπάντων τῶν ξηρανθῆναι δεομένων μορίων, ὅθεν αὐτῇ κατὰ Ἀλεξάνδρειάν τε καὶ Αἴγυπτον χρῶνται, πολλοὶ μὲν ἰδίᾳ προαιρέσει, πολλοὶ δ' ἐξ ὀνειράτων. εἶδον γοῦν ἐπὶ τῆς Ἀλεξανδρείας, ὑδερώδεις τε καὶ σπληνώδεις ἐνίους χρωμένους τῷ πηλῷ τῆς Αἰγυπτίας γῆς. πολλοὶ δὲ καὶ κνήμας, καὶ μηροὺς, καὶ πήχεις, καὶ βραχίονας, καὶ νῶτα, καὶ πλευρὰς, καὶ στέρνα τῷ πηλῷ τῆς γῆς ταύτης χριόμενοι, σαφῶς ὠφε-

A millibus. Sed & is à quo librum dono accepi, inter principes habitus, ad multa hoc vtebatur medicamento. Siquidem ad vulnera tum vetera, tum quæ difficilè cicatrice obducuntur; ad hæc ad morsus viperæ, atque adeo omnes ferarum morsus; nec non aduersus medicamenta lethalia; non antè modò exhibere, sed & post sphragide vti cõsueuerat; addebat porrò, sese periculũ fecisse medicaměti, quod quia fructum iuniperi accipit, Διὰ τῶν ἀρκευθίδων nuncupatur, cui vtique indebatur, & terra Lemnia; vomitúmque ciere aiebat, siquis quum etiamnum in ventre lethale venenũ hæreret, alexiterium siue amuletũ ebibisset. Et sanè nos quoque B huius fecimus periculum in lepore marino. & cantharidibus, quum sese tale quippiam accepisse homines suspicarentur; verùm hausto, quod Lemniam sphragida habebat, medicamento, protinus omne euomuerunt, nec postea vllum illis accidit symptoma eorum, quæ leporẽ, & cantharides comitari cõsueuerunt, tametsi coniuncta esset perniciosorũ medicamentorũ exhibitio. Cæterũ an ad alia mortifera medicamenta, hęc inquam quæ vocant deleteria, eandẽ vim habeat medicamentum, quod ex fructu iuniperi, & terra Lẽnia conficitur, mihi vtiq; ignotũ est. At ille ab Hephæstiade pro-C fectò asserebat adeo, vt & rabientis canis morsum eam sanare diceret in vino diluto epotam; vlceri autem ex aceto impensè acri impositã. Sed & aliarum ferarum ictus ex aceto sanare referebat, extrinsecus foliis insuper impositis, quæ putredini resistere didicimus. In primis verò prædicabat Scordium, deinde Centaurium exile, inde Marrubium. Porrò siquando nos sanè ad vlcera maligna, & putrida terram Lemniam adhibuimus, magnificè profuit. Vsus autẽ est pro prauitatis vlceris magnitudine. Quippe id quod grauiter olet, impendióque laxum, mólleq́, est ac sordidũ, sustinet, vt D vel per acerrimum acetũ Lemnia terra in lutosam soluatur consistentiam, aliorum more pastillorum, quorum alius alio vtitur; dico autem Polyidæ, & Pasionis, & Andronis, & qui nunc dictus est, quem Betinum vocant. Siquidẽ hi omnes valenter desiccantes prosunt vlceribus cõtumacibus, soluti interdũ quidem in vino dulci, interdũ sapa, interdum œnomelite, nonnunquam etiam alborum vinorum quopiam, aut fuluorum, aut flauorum prout nimirum vsus postulat; nam de talibus alibi definietur. Similiter verò quandoq; soluuntur, aut ex aceto, aut vino, aut aqua, aut oxymelite, aut oxycrato, aut melicrato. Porrò Lemnia terra ex aliquo E cõprehensorum soluta, medicamentũ fit idoneum tum recentibus glutinandis vulneribus; tum medendis inueteratis, ægrè ad cicatricem venientibus, & contumacibus. Similiter autẽ, & alia quæuis terra medicamentosa. Necesse enim erit distinguere, sicuti supra, ab elementari terra, in qua, & lapides cõprehendebantur, eam quæ in lutum soluitur: sic nunc ab ea, quæ colitur, medicamentosam. Nihilo enim deterius erit ita eam cognominasse, qua ad curationes vtimur; tametsi eius quoque, quæ colitur, si qua pinguis est, commoda est ad curationem earum omnium partium, quæ F desiccari poscunt. Vnde sanè ea, & Alexandriæ, & per Ægyptum vtuntur multi sua vtique sponte ac iudicio, multi verò etiam moniti somniis. Vidi enim Alexandriæ quosdam hydrope laborantes, ac lienosos, Ægyptiæ terræ luto vtentes, multos, qui sibi suras, femora, cubitos, brachia, tergum, latera pectúsque inungerent, ac perspicuò iuuarentur.

rentur. Eundem in modũ, & veteres phlegmonas, & laxa œdemata adiuuat lutum hoc. Noui siquidẽ quosdã, qui ex immodica per hæmorrhoidas euacuatione turgentes effecti, ac tumidi, non obscurè fuere adiuti. Sed & quidam diutinos fixósque parte quapiam dolores perpessi, luto hoc planè persanati sunt; desiccandi namque vim terra quæuis possidet. Quoniam verò corpus eius natura siccum est, & quando prorsum igneæ substantiæ mixtionis est expers, ita desiccat, vt minimè sit mordax, ad quod tamen etiam proficit si lauetur.

A λούσθω. κατὰ δὲ τὸν αὐτὸν τρόπον τάς τε παλαιὰς φλεγμονάς, καὶ τὰ χαῦνα τῶν οἰδημάτων ὀνίνησιν ὁ πηλὸς οὗτος, ὥστ' ἐνίους οἶδα, καὶ ὅλην τὴν ἕξιν οἰδαλέους ἐξ αἱμορροΐδων ἀμέτρου κενώσεως γενομένους, ὠφεληθέντας ἐναργῶς. καί τινες ἀλγήματα χρόνια κατά τι μόριον ἐστηριγμένα τῷ πηλῷ τούτῳ τελέως ἐξιάσαντο, ξηραντικὴν γὰρ ἔχει πᾶσα γῆ δύναμιν. ἐπεὶ καὶ φύσει ξηρὸν αὐτῆς ἐστι τὸ σῶμα, καὶ ὅτε γε ἀκριβῶς ᾖ πυρώδους ἄμικτος οὐσίας, ἀδηκτότατα ξηραίνει, συντελεῖ δὲ εἰς τοῦτο αὐτῇ τὸ πεπλύσθαι.

B

3. *De terræ lotione.*

CÆterùm lauatur terra omnis ad eundẽ modum, quo propositũ est de Lemnia. Primùm quidem maceratur aqua, quæ nullam habet medicamentosæ qualitatis suspicionem. At vbi lutum consederit, effunditur, quæ innatat aqua; deinde quod post ipsam erat, segregatur à lapidosis atque arenosis, que ad imum resederunt. Ac si exercitatum habeas gustandi sensum, ipse iudex eris accuratus, quam oporteat terram lauare, quam non. Nam quædam lauari non desiderant, quædam etiam bis térque elui exposcunt. Ac Lemniam quidem paratam accipis semel à sacerdote lotam, quæ iterum ablui non exigit.

γ΄. Περὶ πλύσεως γῆς.

ΠΛύνεται δὲ κατὰ τὸν αὐτὸν τρόπον ἅπασα γῆ τῷ προειρημένῳ περὶ τῆς Λημνίας, ὕδατι μὲν πρῶτον ἀναφυραθεῖσα, μηδεμιᾶς φαρμακώδους ποιότητος ἔμφασιν ἔχοντι. καταστάντος δὲ τοῦ πηλοῦ, καὶ περιαιρεθέντος ἄνωθεν τοῦ ὕδατος, εἶτα τοῦ μετ' αὐτὸ χωρισθέντος ἀπὸ τῶν ὑφισταμένων κάτω λιθωδῶν τε καὶ ψαμμωδῶν. εἰ δὲ καὶ γεγυμνασμένην ἔχεις τὴν γευστικὴν αἴσθησιν, αὐτὸς ἔσῃ κριτὴς ἀκριβής, ἧς τε δεῖ πλύνειν γῆς, ἧς τε μή. τινὲς μὲν γὰρ οὐ δέονται πλύσεως, τινὲς δὲ δίς, ἢ
C τρὶς δέονται πλυθῆναι. τὴν μὲν οὖν Λημνίαν, ἑτοίμην λαμβάνεις ἅπαξ πεπλυμένην ὑπὸ τῆς ἱερείας, ἐκ δευτέρου δὲ πλυθῆναι μὴ δεομένην.

4. *De terra Samia.*

AT Samiam ne lauari quidẽ opus est. Vtimur autem altera eius specie magis, quã Samium Astera cognominãt, ad sanguinis expuitiones vndecunque natas velut etiam Lemnio sigillo. Eadẽ vi iuuant sanguinis ex vtero profluuia, & vocatum fluxum muliebrem. Quin & prosunt exulcerationibus dysentericis, antequam putrescentia euadãt vlcera; Nomas id genus affectus appellare medicis mos est, ab eo, quod putredo depascat, & ad vicinas partes serpat, vnà cum primùm vitiata, & ipsas corrumpens. Tametsi etiam istis quandoque sum vsus Lemnia, & palam profuit tum per sedem infusa, tum epota; vtiq; antea, quod facere solemus, vlceribus melicrato meraciore priùs ablutis, posterius verò muria. Iniiciebatur ergo per succum arnoglossi; bibebatur verò ex oxycrato aquoso. Sed nec paulo quopiam efficacioribus videtur esse viribus Lemnia terra, quàm Samia; quare nec ea, quę iam phlegmone tentari cœperint, vim eius perferunt, sed clarè irritantur, atq; exasperantur, potissimum si vir sit habitus mollioris. At à Samia adeo non exasperatur vlla sic affectarũ partium, vt etiam mitigentur, maximè, quæ humidiores sunt, & laxiores, velut vbera, testes, adenes. Idoneè autem vtaris terra eiusmodi, si vbi ad læuorem redegeris per aquam, tantùm admisceas olei rosati boni, quod mixtione sua medicamentum à reficcatione prohibeat. Sed & commodum vtiléque est, vbi sic præparatum fuerit, ad alias quoque phlegmonas calidas, & bubonas incipientes, & fluxiones podagricas, & summatim vbi refrigerare statutum est mediocriter cum mitigatione, ac lenitione; vt euidenter appareat vim Samiæ mediocriter esse refrigeratoriam. Quin & magis quodammodo aërea est eius essentia collata ad Lemniam; cuius argumentum est leuitas. His itaque notis, & omnem aliam

δ΄. Περὶ Σαμίας γῆς.

Η Σαμία δ' οὐδὲ δεῖται πλυθῆναι. χρώμεθα δ' αὐτῆς θατέρῳ τῶν εἰδῶν μᾶλλον, ὃ δὴ καὶ Σάμιον ἀστέρα καλοῦσιν, εἰς τὰς τοῦ αἵματος πτύσεις, ὁπόθεν ἂν γιγνόμεναι τύχωσιν, ὥσπερ καὶ τῇ Λημνίᾳ σφραγῖδι. κατὰ δὲ τὴν αὐτὴν δύνα-
D μιν ὠφελοῦσι, καὶ τὰς ἐκ μήτρας αἱμορραγίας, καὶ τὸν ὀνομαζόμενον ῥοῦν γυναικεῖον, καὶ μέντοι καὶ τὰς δυσεντερικὰς ἑλκώσεις, πρὸ τοῦ σηπεδονώδη γενέσθαι τὰ ἕλκη, καλεῖν δ' ἔθος ἐστὶν τοῖς ἰατροῖς τὰς τοιαύτας διαθέσεις νομάς, ἀπὸ τοῦ νέμεσθαι τὴν σηπεδόνα πρὸς τὰ πλησιάζοντα μόρια, συνδιαφθείρουσαν αὐτὰ τῷ πρώτῳ κακωθέντι. τῇ γε μὴν Λημνίᾳ κἀπὶ τοιούτων ἐχρησάμην ἐνίοτε, καὶ σαφῶς ὤνησεν, ἐνεθεῖσά τε δι' ἕδρας καὶ ποθεῖσα, προαποκλυσθέντων τῶν ἑλκῶν, ὡς εἰώθαμεν πράττειν, μελικράτῳ μὲν ἀκρατεστέρῳ πρότερον, δευτέρῳ δ' ἅλμῃ. ἐνέθη μὲν οὖν δι' ἀρνογλώσσου χυλοῦ, δι' ὀξυκράτου δ' ὑδα-
E ρεοῦς ἐπόθη. φαίνεται δ' οὐκ ὀλίγῳ τινὶ δραστικωτέραν δύναμιν ἔχειν ἡ Λημνία γῆ τῆς Σαμίας, ὅθεν οὐδὲ τὰ φλεγμαίνειν φθάσαντα, φέρει τὴν δύναμιν αὐτῆς, ἀλλὰ τραχύνεται σαφῶς, καὶ μάλιστα ὅταν ὁ ἄνθρωπος ᾖ μαλακόσαρκος. ὑπὸ δὲ τῆς Σαμίας οὐ μόνον οὐ παροξύνεταί τι τῶν οὕτως ἐχόντων μορίων, ἀλλὰ καὶ παρηγορεῖται, καὶ μάλιστά γε τὰ θερμότερα, καὶ χαυνότερα, καθάπερ οἵ τε τιτθοί, καὶ οἱ ὄρχεις, καὶ οἱ ἀδένες. ἐπιτηδείως δ' ἂν χρῷο τηνικαῦτα τῇ τοιαύτῃ γῇ, μετὰ τὸ λειῶσαι δι' ὕδατος, ἐπιμιγνὺς ῥοδίνου καλοῦ τοσοῦτον, ὅσον τὸ μιχθὲν οὐκ ἐάσει ξηρανθῆναι τὸ φάρμακον. ἀγαθὸν δὲ τὸ οὕτως σκευασθὲν
F ἐστί, καὶ πρὸς τὰς ἄλλας φλεγμονὰς ὅσαι θερμαί, καὶ βουβῶνας ἀρχομένους, καὶ ποδαγρικὰ ῥεύματα, καὶ ὅλως ὅπου ψῦξαι βουλόμεθα μετρίως μετὰ τοῦ παρηγορεῖν, ὡς ἐναργῶς φαίνεσθαι τῆς Σαμίας τὴν δύναμιν μετρίως ψυκτικήν. ἔστι δὲ καὶ ἀερωδεστέρα πως αὐτῆς ἡ οὐσία παραβαλλομένη τῇ Λημνίᾳ, δηλοῖ δ' ἡ κουφότης. ἐκ τούτων οὖν τῶν γνωρισμάτων, καὶ πᾶσαν ἄλλην φαρ-

A μακώδη γῆν δοκίμαζε. λέγω δὲ γνωρίσματα τήν τε ἐν τῇ συστάσει κουφότητά τε καὶ βαρύτητα, καὶ τὴν ἐν τῇ γεύσει τραχύτητα, καὶ λειότητα, καὶ προσέτι τὸ κολλῶδές τε, καὶ ῥυπτικόν. ἔγκολλος μὲν γάρ ἐστι, καὶ γλίσχρος ὁ Σάμιος ἀστήρ, ἐχούσης τι καὶ τῆς Λημνίας σφραγῖδος ὀλίγον τοιοῦτον. ῥυπτικὴν τε δύναμιν ἔχει, καὶ μετρίαν Σελινουσία τε γῆ, καὶ Χία, διὸ καί τινες τῶν γυναικῶν ἐπὶ τὸ πρόσωπον αὐταῖς χρῶνται. δέδεικται δὲ ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου τὸ βραχέως ῥυπτικὸν ἅπαν, εἰς σάρκωσιν ἑλκῶν ἐπιτήδειον, ἐὰν δὲ ξηραίνῃ, καὶ πρὸς ἐπούλωσιν ἀγαθόν· ἐπιτηδειότατα δ᾽ ἐξ αὐτῶν ἐστι τοῖς τε ἐπιπολῆς B ἕλκεσι, καὶ πυρικαύτοις, ὅσα πρὸς τῷ ξηραίνειν ἀδήκτως, οὔτε θερμαίνει σαφῶς, οὔτε ψύχει. ὅθεν ἥ τε Σελινουσία καὶ ἡ Χία γῆ, κάλλιστα φάρμακα πρὸς τὰ πυρίκαυτα τῶν ἑλκῶν ἐστι. δεῖται γὰρ ταῦτα μετριωτάτων ῥυπτόντων φαρμάκων, ἄνευ θάλψεως, ἢ ψύξεως ἐπιφανοῦς, ὅπερ ὑπάρχει καὶ τῇ Σελινουσίᾳ, καὶ τῇ Χίᾳ, καὶ τῇ Σαμίᾳ γῇ. λέλεκται δὲ ὅτι καὶ ταύτης εἶδός ἐστιν ὁ ἀστὴρ ὀνομαζόμενος, παρέχων τῆς ἄλλης γῆς, τῷ γλίσχρον τι καὶ κολλῶδες ἔχειν, ὅθεν οὔτε πρὸς τὰ ἄλλα τῶν ἑλκῶν, οὔτε πρὸς τὰ πυρίκαυτα ταῖς ἄλλαις ἐνάμιλλός ἐστιν, ὅσαι τε κολλῶδες οὐκ ἔχουσιν. ἐμπλαστικωτέραν γὰρ ἐργάζεται τὴν οὐσίαν τὸ κολλῶδες, ὡς μὴ ῥύπτειν, ὅταν γε δηλονότι μηδεμία δριμύτης ἄλλη C προσῇ τῷ γλίσχρῳ τε καὶ κολλώδει σώματι, καθάπερ ἐν τοῖς ἰξοῖς ἐστιν. ἥ γε μὴν Χία, καὶ ἡ Σελινουσία γῆ, τῆς μὲν Σαμίας λείπονται πρὸς τὰς περὶ τιτθούς, καὶ ὄρχεις, καὶ βουβῶνας ἀρχομένας φλεγμονάς. ὅμως δ᾽ οὐκ ἀνάρμοστοι τυγχάνουσιν οὖσαι, μηδενὸς ἄλλου τῶν ἄκρως ποιούντων παρόντος. ἡ δὲ Κιμωλία μικτῆς οὖσα δυνάμεως, ἔχει μέν τι καὶ ψυκτικόν, ἔχει δέ τι καὶ διαφορητικὸν βραχύ, διὸ πλυθεῖσα μὲν ἀποτίθεται τοῦτο. χωρὶς δὲ τοῦ πλυθῆναι κατ᾽ ἀμφοτέρας ἐνεργεῖ τὰς δυνάμεις, καθάπερ καὶ ἄλλα πολλὰ τῶν συνθέτων φαρμάκων διαφοροῦντά τε καὶ ἀποκρουόμενα. παρὰ δὲ τὴν τῶν μιγνυ- D μένων ὑγρῶν αὐτῇ φύσιν ἐναργῶς ἐπιδείκνυται τῶν δυνάμεων ἑκατέραν. τοῖς μὲν γὰρ ἀποκρουομένοις, καὶ ψύχουσι μιχθεῖσα, τὸν γινόμενον ἐξ αὐτῆς τε κἀκείνων πηλὸν ἐργάζεται ψύχοντά τε καὶ ἀποκρουόμενον, τοῖς δὲ διαφορητικοῖς διαφοροῦντα καὶ αὐτόν. οὕτω γοῦν καὶ τοῖς πυρικαύτοις ἁρμόττει, καί τινες τῶν ἰδιωτῶν ἐπιχρίουσιν αὐτήν, παραχρῆμα φυράσαντες ὄξει. χρὴ δ᾽ ἐν τῇ τοιαύτῃ χρήσει μὴ λίαν εἶναι δριμὺ τὸ ὄξος. εἰ δὲ τοιοῦτον εἴη, βέλτιον ὕδατος αὐτῷ μιγνύναι. μέμνησο γε μὴν τοῦτο κοινὸν ἐπὶ πάσης γῆς εἶναι τῆς κούφης. ἅπασαι γὰρ E ὀνίνασι τὰ πυρίκαυτα παραχρῆμα περιχριόμεναι δι᾽ ὄξους, ἢ ὀξυκράτου, κωλύουσαι φλυκταινοῦσθαι. προσεπιβλέπειν δ᾽ ἐν τούτῳ, καὶ τὴν φύσιν τοῦ θεραπευομένου σώματος, εἰ μαλακόν, ἢ σκληρόν. εἰδὼς ἀεὶ καθόλου τοῦτο, τὰ μὲν μαλακὰ σώματα μὴ φέρειν τὴν δύναμιν τῶν ἰσχυρῶν φαρμάκων, τὰ δὲ σκληρὰ φέρειν. οὐ μὴν τῆς γ᾽ ἐνεστώσης πραγματείας ἴδια ταῦτα. ῥηθήσεται γὰρ ἐπιπλέον ἔν τε τοῖς περὶ συνθέσεως φαρμάκων, κἂν τοῖς περὶ τῶν εὐπορίστων. ἡ δὲ παροῦσα διέξοδος, ἀπ᾽ ἀρχῆς ἐσπούδακε τὰς καθόλου δυνάμεις τῶν φαρμάκων εὑρεῖν, αἷς προσέχων τις τὸν νοῦν, εἰς τὴν τῶν κατὰ μέρος χρῆσιν, εὐπορίαν ἕξει παμπόλ- F λην ἐπιμαθὼν δηλονότι τὴν μέθοδον τῆς χρήσεως αὐτῶν, ὥστ᾽ οὐκέτι προσήκει μηκύνειν, ἀλλ᾽ ὅπερ εἴρηται, καὶ πρόσθεν ἀναμνῆσαι καὶ νῦν αὐτὴν μὲν τὴν ἄμικτον γῆν ἄλλῃ τινὶ τῶν ἑτερογενῶν οὐσιῶν, ξηραντικῆς ἀδήκτως εἶναι δυνάμεως. ἐπεὶ δ᾽ ἀδύνατόν ἐστιν ἄμικτον εὑρεῖν ἀκριβῶς τι σῶμα,

terrã medicamentoſam æſtimato. Dico autẽ notas cõſiſtentiæ, tum leuitatẽ, tum grauitatẽ, prætereaque in guſtu aſperitatẽ ac læuitatẽ, ad hæc tenacitatẽ, & abſtergẽdi, potentiam. Tenax enim, & viſcoſus eſt Samius aſter, quum & Lemnia ſphragis eiuſmodi paululũ quiddam habeat. Abſterſoriam quoque facultatẽ moderatã obtinent, & Selinuſia terra, & Chia; quamobrem mulieres quædã ad faciem iis vtuntur. Oſtenſum autẽ eſt in tertio libro de ratione curãdi, quicquid leuiter abſterget, producendæ vlcerũ carni eſſe idoneum. Id autem ſi etiam deſiccet, cicatrici inducendæ eſt accommodum; porrò omnium ex his aptiſſima ſunt, & ad vlcera, quæ in ſumma cute cõſiſtunt, & ad ambuſta illa, quæ cùm citra morſum exiccant, tum neq; manifeſtò calefaciunt, neque refrigerãt. Quocirca terra Selinuſia, & terra Chia pulcherrima ſunt ad ambuſta vlcerũ remedia. Expoſcunt enim ea moderatiſſimè extergentia medicamenta, abſq; inſigni, aut calefactione, aut refrigeratione; quod vtiq; ineſt, tum Selinuſiæ, tum Chiæ, tum Samiæ terræ. Dictũ eſt autẽ, quòd & huius ſpecies eſt aſter quẽ vocãt, reliqua terra hoc præſtans, quòd viſcoſum quiddã, ac tenax obtineat. Quocirca quòd cùm ad alia vlcera, tũ ad ambuſta pertinet, aliis terris, quæ tenacitatẽ non habent, cõferendus non eſt. Siquidẽ ſubſtantiam tenacitas magis reddit emplaſticã, quàm vt ſinat abſtergere; ſcilicet vbi nulla vtique alia adſit acrimonia viſcoſo, tenaciq; corpori; vt in viſco cernere eſt. Attamen Chia, & Selinuſia terra inferiores ſunt Samia ad phlegmonas, in mãmillis, teſtibus, atque inguinibus incipientes; tametſi vbi inopia eſt aliorũ quę ſummè proſunt, nec ipſę planè ineptæ ſunt, & incõmodæ. Porrò Cimolia quum mixtæ ſit facultatis, partim refrigerat, partim etiam digerit, ſed leuiter. Proinde dũ lauatur, hanc facultatẽ deponit, atq; exuit; abſque ablutione verò ſecundũ vtraſque agit facultates, ceu alia quoq; cõpoſitorum medicamentorũ plurima, digerentia pariter, & repercutientia. Porrò vtramq; facultatẽ facilè indicat, dũ illi miſcentur humores naturæ contrariæ. Nam ſi mixta ſit repercutientibus, refrigerantibúſque, lutũ quod ex ipſa, & illis conficitur, refrigerans repercutiénſq; efficit; ſin digerentibus, & ipſum digerens. Sic ambuſtis conuenit. Atque idiotæ quidam protinus aceto maceratam illinunt. Sed in tali vſu non impenſè acre ſit acetũ oportet; ac ſi tale ſit, aquam miſcere præſtat. Et illud mihi ſemper memoria teneto, ceu cõmune omnis terrę leuis. Omnes enim ambuſta iuuant, continuò illitæ ex aceto, aut oxycrato, nimirum bullas exiſtere prohibentes. Cęterùm contẽplandum inſuper eſt, corporis curandi, quæ ſit natura ſiue habitudo, durane an mollis; id in vniuerſum præ oculis habendo, corpora mollia valentium medicamentorum vim haud poſſe perferre, dura verò poſſe. Sed hæc huius inſtituti non ſunt, verùm copioſius exponentur, tum in tractatu De cõponendis pharmacis, tum in libris de facilè parabilibus. Præſens autem narratio à principio id ſtuduit, vt generales inueniret facultates. Quibus animum intendens quiſpiam, complura habiturus eſt ad particularis vſus copiam, vtique ſi vtendi eorum viam ac rationem inſuper adiunxerit, atque edidicerit. Quare immorandũ non eſt. Verũ quod antea dictũ eſt, nunc in memoriam reuocare oportet, nempe terram ipſam expertem mixtionis ſubſtantiæ generis alterius, vim habere citra morſum deſiccandi. Atqui quum nullum reperire corpus

queas

queas mixtionis ad vnguem expers, inspicienda item est eorum, quæ illi accidunt commixtio, idque secundum leuitatis, & grauitatis differentias, eásque quæ in gustu visuntur. Nam siqua eluceat astrictio, tantùm assumpsit frigiditatis, quantum habet & astrictionis. Sin etiam acrimonia quædam appareat, tantùm inesse scito caliditatis, quantum & acrimoniæ. Similiter in leui, & graui videndum; quum leuitas illi inde proueniat, quòd larga, & copiosa in tota eius temperie aërea insit substantia; grauitas verò quanto maior sit, tanto itidem synceriot terra existat. Terræ proprium est, quòd igni admota non fundatur, aut liquescat; id quod accidit plumbo, stanno, argento, & auro. Itaque quum terram audis nominari argyriten, vel chrysiten, vel sideriten (nam ita nuncupant quidam illas, quæ ex metallis sumuntur) haud putes per totum terræ immixtum esse argentum, aurum, aut ferrum; sed contingere, coniunctásque esse paruis terræ particulis immixtas particulas paruas; in chrysite quidem, auri; in argyrite, argenti; in Siderite, ferri; eásque ab igne in fornacibus fusas coire ad inuicem. Eundem in modum, quæ vitrum continet terra, arenosa est; in arena enim potissimum eiusmodi substantiæ frustula reperiuntur sæpenumero parua Et qui earum rerum periti sunt, conspectis arenis talibus, haud difficulter cognoscunt, quantum ex eis colligi queat vitri. Sed & auri quoque frustula exigua frequenter non paruo numero in quibusdam inueniuntur arenis. Verùm non ex quauis arena, qui negotio huic sunt dediti, aurum vitrúmque extrahunt; sed eas eligunt arenas, quæ quamminimo impendio plurimum congerunt. Siquidem post multos sumptus, quos in fornacibus instruendis facere necesse est, si paulùm modò colligeretur substantiæ, damnosum id ipsis esset. Itaque quum in plurimis arenis auri vitríque frustula parua contineantur, qui talia callent, non ad quasuis accedunt. Ad eundem modum neque æs, aut argentum, aut ferrum, aut stannum, plumbúmve ex quauis terra colligunt. Nec tamen vbi dictorum quodque ab admixta terra separauerint, quæ reliqua est, aliis terris est similis, quas passim sic ab omnibus nuncupari proposui, quæ communem habent notam, quòd irrigatæ facilè soluantur in lutum; nam terræ quæ in metallis est, reliquiæ lapideæ fiunt, nec liquari, rigariue possunt. Dico autem rigari, per totam substantiam humectari; madescere verò, extima tantum superficie madefieri, haud etiam in altum penetrante humore. Sic fit Cadmia, quam vocant, lapidea, nec ipsa rigari potis. Sed de talibus corporibus infra differetur. Nunc rursum ad medicamentosam terram reuertor, quæ proinde, quòd aqua irrigata facilè in lutum soluitur, terra appellatur; quia verò ea vtimur velut aliis medicamentis, idcirco non iniuria medicamentosa sola vocatur: nempe quia aut sola est eiusmodi, aut euidentiorem quàm aliæ, vim medicamentosam possidet; id quod sanè verum est. Nominatur autẽ Ampelites, non quòd vitem in ea serere præstet, sed quòd viti circunlita interimat nascentes in ea vermes, quos scnipas apud nos vinitores cognominant. Nascuntur porrò hi ineunte vere, quum germinare vites, turgeréque earum pars vnde germen exit (quem oculum nominant) incipiunt.

A προσεπισκέπτεσθαι προσήκει τὴν μίξιν τῶν συμβεβηκότων αὐτῇ, κατά τε τὰς ἐν κουφότητι καὶ βαρύτητι διαφοράς, καὶ τὰς ἐν τῇ γεύσει. στύψεως μὲν γὰρ τινος ἔμφασιν ἔχουσα, τοσοῦτον προσείληφε ψύξεως, ὅσον καὶ στύψεως. εἰ δὲ δριμύτητος ἐμφαίνοιτό τι, τοσοῦτον ἔχει θερμότητος, ὅσον δριμύτητος. ὡσαύτως δὴ ἐπὶ τῆς κούφης, καὶ βαρείας σκοπεῖσθαι. τῆς μὲν κούφης τοιαύτης γινομένης, ὅταν ἀερώδους οὐσίας μετέχῃ δαψιλοῦς ἐν τῇ δι' ὅλης ἑαυτῆς κράσει, τῆς δὲ βαρείας ὅσῳ περ ἂν ᾖ μᾶλλον τοιαύτη, τοσούτῳ μᾶλλον εἰλικρινεστέρας γῆς ὑπαρχούσης. ἴδιον δὲ γῆς ἐστι, τὸ μὴ χεῖσθαι πυρὶ πλησιάζουσαν, B ὥσπερ ὅ, τε μόλυβδος, καὶ κασσίτερος, ἄργυρός τε καὶ χρυσὸς ἔχουσιν, ὥσθ' ὅταν ἀργυρῖτιν, ἢ χρυσῖτιν, ἢ σιδηρῖτιν ἀκούσῃς γῆν, ὀνομάζουσι γὰρ οὕτως ἔνιοι τὰς ἐκ τῶν μετάλλων λαμβανομένας, μὴ νόμιζε δι' ὅλου κεκρᾶσθαι τὸν ἄργυρον, ἢ τὸν χρυσόν, ἢ τὸν σίδηρον τῇ γῇ· πλησιάζειν δὲ μορίοις μικροῖς τῆς γῆς ἀναμεμιγμένα μόρια μικρά, κατὰ μὲν τὴν χρυσῖτιν χρυσοῦ, κατὰ δὲ τὴν ἀργυρῖτιν ἀργύρου, κατὰ δὲ τὴν σιδηρῖτιν, σιδήρου, καὶ ταῦτ' ἐν ταῖς καμίνοις ὑπὸ τοῦ πυρὸς χεόμενα συνέρχεσθαι πρὸς ἄλληλα. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἡ τὴν ὕαλον ἔχουσα ψάμμιός ἐστιν, ἐν ψάμμῳ γὰρ μάλιστα τῆς τοιαύτης C οὐσίας εὑρίσκεται ψήγματα πολλάκις μικρά. καὶ ὅσοι τούτων ἔμπειροι θεασάμενοι τὰς τοιαύτας ψάμμους, γνωρίζουσιν ὁπόσον ἐξ αὐτῶν ἀθροῖσαι δύνανται τῆς ὑάλου, καὶ χρυσοῦ δὲ ψήγματα μικρὰ πολλὰ κατά τινας εὑρίσκεται ψάμμους, ἀλλ' οὐκ ἐξ ἁπάσης ψάμμου τὸν χρυσὸν ἐξαίρουσι, καὶ τὴν ὕαλον οἱ περὶ ταῦτ' ἔχοντες, ἐκλεγόμενοι δηλονότι τὰς μετ' ὀλίγης δαπάνης ἀθροιζούσας πλεῖστον, ὡς τό γ' ἐν ταῖς καμίνοις ἀναλώσαντας πολλά, βραχύ τι αἱρεῖν τῆς διαθροιζομένης οὐσίας, ἀκερδὲς αὐτοῖς εἶναι δοκεῖ. διὰ τοῦτο μὲν οὖν καίτοι γε πολλαῖς ψάμμοις χρυσοῦ, καὶ ὑάλου ψηγμάτων περιεχομένων, οὐκ D ἐπὶ πάσας οἱ περὶ ταῦτα δεινοὶ παραγίνονται. κατὰ δὲ τὸν αὐτὸν λόγον οὐδὲ χαλκόν, ἢ ἄργυρον, ἢ σίδηρον, ἢ κασσίτερον, ἢ μόλυβδον ἐκ πάσης γῆς ἐκλέγουσιν. οὐ μὴν οὐδ' ὅταν χωρίσωσιν ἕκαστον τῶν εἰρημένων ἀπὸ τῆς ἀναμεμιγμένης γῆς, ἡ καταλειπομένη παραπλησία ταῖς ἄλλαις γαῖς ἐστιν, ἃς συνήθως ἔφην ὀνομάζεσθαι πᾶσιν Ἕλλησιν, ἐχούσαις γνώρισμα κοινόν, τὸ τέγγεσθαί τε καὶ διαλύεσθαι ῥᾳδίως εἰς πηλόν. τῆς γὰρ ἐν τοῖς μετάλλοις γῆς ὑπόλειμμα λιθῶδες γίγνεται, ἄτηκτόν τε καὶ ἄτεγκτον. λέγω δὲ τέγγεσθαι μὲν τὸ δι' ὅλης τῆς οὐσίας ὑγραίνεσθαι, βρέχεσθαι δὲ τὸ κατὰ τὴν ἔξωθεν ἐπιφάνειαν μόνην, E οὐ διϊκνουμένης εἰς τὸ βάθος αὐτῆς τῆς ὑγρότητος. οὕτως οὖν καὶ ἡ μεταλλευομένη καδμεία γίνεται, λιθώδης οὖσα, καὶ ἄτεγκτος, ἀλλὰ περὶ μὲν τῶν τοιούτων σωμάτων, ἐφεξῆς εἰρήσεται. νυνὶ δ' ἐπανήξω πάλιν ἐπὶ τὴν φαρμακώδη γῆν, ἥτις, ὅτι μὲν εἰς πηλὸν λύεται ῥᾳδίως ἐν ὕδατι τεγγομένη, διὰ τοῦτ' ὀνομάζεται γῆ. διότι δὲ χρῄζομεν αὐτῆς, ὥσπερ καὶ ἄλλων φαρμάκων, διὰ τοῦτο φαρμακῖτις εἰκότως ἂν λέγοιτο. καίτοι τήν γ' ἀμπελῖτιν ὀνομαζομένην γῆν, ἔνιοι φαρμακῖτιν ὀνομάζουσι μόνην, ἤτοι γ', ὡς μόνην τοιαύτην οὖσαν, ἢ ὡς ἐνεργεστέραν τὴν φαρμακώδη δύναμιν ἔχουσαν, ὅπερ καὶ F ἀληθές ἐστιν. ὀνομάζεται δ' ἀμπελῖτις, οὐχ ὅτι φυτεύειν ἀμπέλους ἐν ταύτῃ βέλτιον, ἀλλ' ὅτι περιχριομένη ταῖς ἀμπέλοις, φθείρει τοὺς γινομένους ἐπ' αὐτῶν σκώληκας, οὓς σκνῖπας ὀνομάζουσιν οἱ παρ' ἡμῖν ἀμπελουργοί. γίνονται δ' οὗτοι τοῦ ἦρος εἰσβάλλοντος ἡνίκα βλαστάνουσιν αἱ ἄμπελοι, καὶ τό γ' ἐνοιδισκόμενον αὐτῶν μέρος, ὅθεν ὁ βλαστὸς φύεται, ὃ καλοῦσιν ὀφθαλμόν.

τούτους οὖν τοὺς ὀφθαλμοὺς διεσθίοντες οἱ σκνίπες, οὐ μικρὰ A βλάπτουσι τὰς ἀμπέλους, διὸ καὶ τὰς ῥίζας τῶν ὀφθαλμῶν τούτων περιχρίουσιν οἱ περὶ ταῦτα δεινοί. κατὰ τοῦτο μὲν οὖν ἀμπελῖτίς τε καὶ φαρμακῖτις ἡ τοιαύτη γῆ προσαγορεύεται, δηλοῦσα κἀκ τοῦ φθείρειν τοὺς σκνίπας ὅσον αὐτῇ μέτεστι δυνάμεως φαρμακώδους. ἀφέστηκε δὲ πολὺ καὶ τῶν ἄλλων εἰδῶν τῆς γῆς, οἷς χρώμεθα πρὸς τὰς ἰάσεις, ἐγγὺς ἤδη τῆς λιθώδους ἥκουσα. διὸ καὶ μιγνυμένην αὐτὴν ἐν ταῖς τῶν φαρμάκων γραφαῖς εὑρήσεις, ἔνθα ξηρᾶναι τι καὶ διαφορῆσαι προσήκει. τὸ γὰρ ἄδηκτον καὶ μέτριον, καὶ παρηγορικὸν, οὐκ ἔχει καθάπερ ἡ Χία τε καὶ Σαμία, καὶ Σελινουσία. καὶ περὶ B τῆς Κιμωλίας δὲ προείρηται βραχὺ τούτων οὔσης ἰσχυροτέρας, ἀδήκτου δ' ἔτι καὶ αὐτῆς, καὶ μάλιστα εἰ πλυθείη. καὶ ἡ Κρητικὴ δὲ γῆ παραπλησία πώς ἐστι ταύταις, ἀλλ' ἱκανῶς ἀσθενὴς ὑπάρχει, πολὺ τὸ ἀερῶδες ἔχουσα. τὸ μέντοι ῥυπτικὸν ἔχει, διὸ καὶ οἱ ἄνθρωποι λαμπρύνουσιν αὐτῇ τὰ ῥυπαρὰ τῶν ἀργυρωμάτων, ὥστ' ἔχοις ἂν καὶ ταύτην, ἐς ὅσαπερ καὶ τὰς ἄλλας τὰς ἀδήκτως ῥυπτούσας προειρήκαμεν ἐπιτηδείους εἶναι. τούτων δ' ἁπασῶν ἡ Λημνία δύναμιν ἰσχυροτέραν ἔχει, πρόσεστι γὰρ αὐτῇ τι καὶ στύψεως. ἡ δ' Ἐρετριὰς ἔτι καὶ ταύτης ἰσχυροτέρα, οὐ μὴν ὥστ' ἤδη δάκνειν, ἐὰν δὲ καὶ C πλυθῇ, πάνυ μετρία γίνεται παραπλησίως ταῖς προειρημέναις. ἐγχωρεῖ δὲ τὴν γῆν ταύτην οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς, ἢ τρὶς πλυθῆναι, καθάπερ καὶ τὴν Κιμωλίαν. καὶ μέντοι καὶ καίουσιν αὐτὴν ἔνιοι ποιοῦντες δηλονότι λεπτομερεστέραν τε καὶ δριμυτέραν, ὥστ' εἰς τὴν διαφορητικὴν μεταπίπτειν δύναμιν. εἰ δὲ πλυθείη καυθεῖσα, τὸ μὲν δριμὺ καταλιποῦσα τῷ ὕδατι, τὸ δ' ἐκ τῆς ὀπτήσεως λεπτομερὲς ἔχουσα, ξηραντικωτέρα γίνεται. διὸ τῆς ἀκαύστου τῷ κοινῷ λόγῳ γῆς ἁπάσης ἐπὶ τῶν ἑλκῶν οὔσης χρησίμης, ἔτι μᾶλλον ἡ μετὰ τὸ καυθῆναι πλυθεῖσα, καὶ πρὸς τὰ δυσσαρκωτά τε καὶ δυσε- D πούλωτα χρήσιμός ἐστιν. ὄντων δ' αὐτῆς δυοῖν εἰδῶν ἡ τεφρώδης κατὰ τὴν χρόαν, ἀμείνων ἐστὶ τῆς πάνυ λευκῆς. ἔστι δὲ καὶ ἄλλη γῆ πνιγῖτις ὀνομαζομένη, κατὰ μὲν τὴν ὅλην δύναμιν ἐοικυῖα τῇ κιμωλίᾳ, κατὰ δὲ τὴν χρόαν ἀφεστηκυῖα. μέλαινα γάρ ἐστιν ὁμοίως τῇ ἀμπελίτιδι. τὸ δὲ γλίσχρον, καὶ κολλῶδες οὐχ ἧττον ἔχει Σαμίας γῆς, ἀλλ' ἔστιν ὅτε καὶ μᾶλλον. ἐδόθη δ' ἡμῖν ἐν τῷ μεγάλῳ τούτῳ λοιμῷ, καὶ ἄλλη τις ἐξ Ἀρμενίας τῆς ὁμόρου Καππαδοκίας γῆ ξηραντικωτέρα, τὴν χρόαν ὠχρά. λίθον δ' αὐτὴν ὠνόμαζεν, οὐ γῆν ὁ δοὺς, καὶ ἔστιν εὐλειοτάτη, καθάπερ καὶ ἡ τίτανος. ὀνο- E μάζω δ' οὕτω δηλονότι τὴν κεκαυμένην πέτραν. ἀλλὰ καὶ ὥσπερ ἐκείνης οὐδὲν ἐμφέρεται ψαμμῶδες, οὕτως οὐδὲ τῆς Ἀρμενίας. μετὰ γὰρ τὸ θραυσθῆναι τῷ δοίδυκι κατὰ τὴν θυίαν, οὕτως ἐστὶ λεία καὶ ἄλιθος, ὥσπερ ἡ τίτανος καὶ ὁ Σάμιος ἀστήρ· οὐ μὴν ὁμοίως γε κούφη τῷ ἀστέρι. διὸ καὶ πεπύκνωται μᾶλλον αὐτοῦ, καὶ ἧττον ἀερώδης ἐστὶν, καὶ διὰ τοῦτο φαντασίαν ἀποφαίνει τοῖς ἀμελέστερον ὁρῶσι λίθος εἶναι. διαφέρει δ' οὐδὲν, ὡς πρὸς τὰ παρόντα λίθον, ἢ γῆν αὐτὴν ὀνομάζειν, εἰδότας ἄκρως ξηραίνουσαν. ἐπί τε γὰρ δυσεντεριῶν, καὶ τῶν κατὰ γαστέρα ῥευμάτων, αἵματός τε πτύσεως, καὶ κα- F ταῤῥου, καὶ προσέτι τῶν κατὰ τὸ στόμα σηπεδονωδῶν ἑλκῶν ἁρμόττει μάλιστα. καὶ μέντοι καὶ τοὺς ἀπὸ κεφαλῆς εἰς θώρακα ῥευματιζομένους ὀνίνησι μεγάλως, ὥστε καὶ τοὺς διὰ τὴν τοιαύτην αἰτίαν συνεχῶς δυσπνοοῦντας, ἰσχυρῶς ὠφελεῖ. καὶ μέντοι καὶ ὅσοι φθόῃ κάμνουσιν, καὶ τούτους ὀνίνησιν.

Hos igitur oculos ſcnipes depaſcentes, non leuem viti noxam afferunt; ac proinde oculorum iſtorum radices, qui hæc ſapiunt, inungunt, ac illinunt. Hac itaque ratione ampelites, & pharmacites, id genus terra appellata eſt, vel ex eo quòd ſcnipas perdat, quantũ habeat facultatis medicamentoſæ indicãs. Sed & à reliqua terra, qua ad curationes vtimur, multum diuerſa eſt, quippe quæ proximè ad lapideam perueniat; quamobrem miſceri eam in medicamentorũ ſcriptionibus comperies, vbi exiccare atque digerere quid opus eſt. Nec enim mordacitatis expers eſt, nec moderata, nec mitigãdi vim obtinet, velut chia, ſamia, & ſelinuſia. Atque de cimolia quidem dictũ eſt, quòd illis paulo ſit valentior, veruntamen etiam morſus expers, maximè ſi elota ſit. Cretica verò terra iſtis quodammodo aſſimilis eſt; verùm admodũ imbecilla eſt, multum habens ſubſtantiæ aëreæ. Ineſt tamen ei vis extergendi; quamobrẽ ea homines vaſis argenteis ſordidis ſplendorẽ reſtituunt. Itaque & hæc tibi vſui fuerit ad ea omnia, ad quæ alias ſine morſu extergentes idoneas eſſe poſuimus. Harum omnium Lemnia valentiſſimas vires obtinet; ſiquidem & aſtrictio ei quædam ineſt. Porrò Eretrienſis hac etiam valentiorem poſſidet, hactenus tamen, vt nondum mordicet. Quòd ſi lauetur, valdè moderata efficitur, non ſecus atque ſupradictæ. Expedit verò hanc terram non ſemel, ſed bis terque lauare, vt & Cimoliam. Quin & vrunt eam quidã, quò videlicet eſſentiæ reddant ſubtilioris, & acrioris, vt & ad digerendi potentiam tranſeat. Cæterũ ſi vſta lauetur, tunc depoſita in aquam acrimonia ſubtilitatem quidem, quam ex toſtione acquiſiuerat, retinens, deſiccantior conſtituitur. Quocirca quum vſtionẽ non experta, communi ratione terræ cuiuſlibet, vlceribus ſit accommoda, magis certè iam congruit, & ad ea quæ carnem ſibi reſtitui ægrè patiuntur; & ad ea quæ ad cicatricem difficulter perueniunt, ſi poſtquam combuſta fuerit, abluatur. Porrò quum duæ eius ſpecies ſint, ea quæ colore eſt cinericio, illi quę admodũ albida eſt, pręfertur. Eſt & alia terra dicta pnigites, tota quidem facultate cimoliæ aſſimilis, cæterùm colore diuerſa. Eſt enim atra, perinde vt ampelites. Porrò viſcoſitatem, & tenacitatem non minorẽ quàm ſamia terra obtinet, imò nonnunquam etiam maiorem. Cęterùm durante hac immani, & graui peſte, allata ad me, & alia quædam terra eſt ex Armenia, ea, quæ Cappadociæ finitima eſt, ſiccantior, colore pallido. Lapidem qui donarat, non terram, appellabat: promptiſſiméque in læuorem ſoluitur, ceu etiam calx, ſic enim videlicet nũcupo petram cõbuſtam. Verũ vti nec in illa arenoſum quippiam apparet, ita nec in Armenia. Nam poſteaquam in mortario piſtillo cõminuta eſt, adeo eſt læuis, nec plus eſt lapidea, quàm aut calx, aut Samius aſter; tametſi non æquè, vt aſter læuis eſt. Itaq, illo etiam magis conſpiſſata eſt, minuſq; aëria; quamobrem opinionẽ, ac phantaſiam præbet iis, qui negligentius intuentur, quaſi lapis eſſet. Cæterùm quod ad præſentia attinet, nihil intereſt, lapidem an terram vocites, ſi id modò teneamus, quòd ſummè deſiccat. Siquidem ad dyſenterias, & ventris profluuia, tum ſanguinis expuitiones, & catarrhos, ad hæc ad putreſcentia oris vlcera in primis competit. Quin & eos magnificè iuuat, quibus ex capite in thoracem fluxio decumbit, quamobrem illis, quibus ex tali occaſione aſſiduo difficilis eſt anhelitus, validè prodeſt. Sed & eos, qui phthoë laborant, adiuuat:

vlcus

vlcus enim eorum deficcat, vt haud etiam tussiant, nisi in victu peccetur non leuiter, aut ambiens derepente ad intemperiem recidat. Ac mihi videtur, quòd sicut in fistulis sæpe conspeximus, nõ in aliis partibus duntaxat, sed in ipso etiam ano, vt citra collyrij immissionem, quod sordem, & callum auferent, ipso duntaxat deficcante medicamento contraherentur, ac clauderentur, ita quoque in pulmonis eueniat vlcere. Siquidem & ipsum ab exiccantibus iuuari medicamentis perin de conspicitur, vtique quum mediocre est non admodum magnum. Itaque visi sunt quidam eorum, qui talia habebant, prorsum esse liberati. Ac quidam, qui Roma in Libyam talem ob causam profecti sunt, planè se sanos esse credidere; & sanè vsque ad annos aliquot inculpatè transigebant; postea verò quum non pari degerent cura, & cautione, reditus morbi apparuit. Hos ergo, vt dixi, bolus Armenia euidenter adiuuit. Quin & eos, qui Romæ agunt, qui assiduò difficultate spirandi discruciantur, magis etiam. Porrò in magna hac peste, cuius eadem facies fuit, atque eius, quæ Thucydidis memoria grassabatur, quotquot hoc medicamentum bibere, celeriter curati sunt. At quibus non profuit, omnes interiere, scilicet quum nec alio quouis iuuarentur. Vnde colligitur, quod iis duntaxat non fuerit auxilio, qui planè erant incurabiles. Cæterùm bibitur ex vino albo, consistentia tenui modicè diluto, si aut planè febri careat, aut leuiter ea teneatur; sin grauius febriat, admodum aqueo. Non tamen calore vehementes sunt febres pestilentiales. Porrò de vlceribus resiccari postulantibus quid attinet dicere, quantam vim habeat bolus hæc Armenica? Liberum est autem vtcunque appellare velis siue lapidem, vt is qui mihi donauit; siue terram, vt ego, quandoquidem humidis rigari patitur.

A ξηραίνει γὰρ αὐτῶν τὸ ἕλκος, ὡς μηδὲ βήττειν ἔτι, πλὴν εἰ κατὰ τὴν δίαιταν ἁμαρτάνοιεν ἀξιολόγως, ἢ τὸ περιέχον ἐξαιφνίδιον εἰς δυσκρασίαν μεταπέσοι. καί μοι δοκεῖ, καθάπερ ἐπὶ τῶν συρίγγων ἐθεασάμεθα πολλάκις, οὐ μόνον ἐν ἄλλοις μορίοις, ἀλλὰ καὶ κατὰ τὴν ἕδραν αὐτὴν τοῦ κολλύριον καθεῖναι, τὸν ῥύπον, ἢ τὸν τύλον ἐξαιρεῖν τῆς σύριγγος, αὐτοῖς μόνοις τοῖς ξηραίνουσι φαρμάκοις περιστελλομένας τε καὶ κλειομένας αὐτάς, οὕτω κἀπὶ τοῦ κατὰ τὸν πνεύμονα συμβαίνειν ἕλκους. φαίνεται γὰρ καὶ τοῦτο διὰ τῶν ξηραινόντων φαρμάκων ὁμοίως ὀνινάμενον, ὅταν τε μέτριον ᾖ, καὶ μὴ μέγα λίαν, ὥστε ἔδοξαν B ἔνιοι τῶν ἐχόντων αὐτὰ, τελείως ἀπηλλάχθαι, καὶ τῶν γ' εἰς τὴν Λιβύην ἀπὸ Ῥώμης διὰ τοιαύτην αἰτίαν πορευθέντων ἔνιοι, τελείως ἐπείσθησαν ὑγιεῖς εἶναι, καὶ μέχρι γε τινῶν ἐτῶν ἀμέμπτως διήγαγον, εἶθ' ὕστερόν ποτε πάλιν ἀφυλακτότερον αὖθις διαιτηθεῖσιν, ὑποστροφὴ τοῦ νοσήματος ἐγένετο. τούτοις οὖν, ὡς ἔφην, ἡ ἐκ τῆς Ἀρμενίας βῶλος, ἐναργῶς ὠφέλησε, καὶ τοί γ' ἐν Ῥώμῃ διατρίβοντας, ἔτι τε μᾶλλον τοὺς δυσπνοοῦντας συνεχῶς. ἐν δὲ τῷ μεγάλῳ τούτῳ λοιμῷ παραπλησίῳ τὴν ἰδέαν ὄντι τῷ κατὰ Θουκυδίδην γενομένῳ, πάντες οἱ πιόντες τούτου τοῦ φαρμάκου, διὰ ταχέων C ἐθεραπεύθησαν, ὅσοις δ' οὐδὲν ὤνησεν, ἀπέθανον πάντες, οὐδ' ὑπ' ἄλλου τινὸς ὠφεληθέντες, ᾧ καὶ δῆλον, ὅτι μόνους τοὺς ἀνιάτως ἔχοντας οὐκ ὠφέλησε. πίνεται δὲ μετ' οἴνου λεπτοῦ τὴν σύστασιν, κεραννύμενος μετρίως μὲν, εἰ ἀπύρετος εἴη παντάπασιν ὁ ἄνθρωπος, ἢ βραχὺ πυρεταίνοι, πάνυ δ' ὑδαρῶς, εἰ πυρέττοι μειζόνως. οὐ μὴν οὐδὲ σφοδροὶ κατὰ τὴν θερμασίαν εἰσὶν οἱ λοιμώδεις πυρετοί. περὶ δὲ τῶν ξηρανθῆναι δεομένων ἑλκῶν, τί δεῖ καὶ λέγειν ὁπηλίκην ἔχει δύναμιν ἡ Ἀρμενικὴ βῶλος αὕτη; καλεῖν δ' ἔξεστί σοι, καθάπερ ἔφην, καὶ λίθον αὐτὴν, ὡς ὁ δοὺς ὠνόμαζεν, καὶ γῆν, ὡς ἂν ἐγὼ φαίην, ἐπεὶ καὶ τέγγεται τοῖς ὑγροῖς.

D

CAPVT II.
De Lapidibus.

1. *De Lapidum qualitatibus effectricibus.*

EX spontè natis corporibus sunt & lapides, hoc diuersi à nũcupata vulgo terra, quòd rigari nõ sustinent. Vires habent partim secundũ totius substantiæ proprietatem, partim secundum qualitates effectrices. Porrò vt hæc inter se differãt, superius docui. Nunc autẽ sermo nobis esto de illis, quæ secundũ effectrices agunt qualitates; in quibus sanè est, & vtendi ratio, ac methodus. Siquidẽ, vt ostendimus, facultates quæ proprietatis totius substãtiæ ratione insunt, à methodo, ac ratione alienæ sunt, & per solam noscuntur experiẽtiam. Nam cur hic lapis, tacto vulnere, vnde sanguis prorũpit, cursum eius reprimat, ac sistat, haud nouimus; Ac cur lapis quem vocant Hæmatitẽ, in oculares facultates indatur, haud latet; nam id rationis inuentum est. Si enim in cote oculari eum teras cum aqua, donec mellis crassitiem accipiat, astringentem facultatẽ, si gustare volueris, percipies. Atqui didicisti, quòd phlegmonas etiamnum gliscentes, potissimum, quæ contingunt in partibus neruosis, restringentibus medicamentis repercutere oporteat; at vbi haud etiam sanguis in partem affluit, astringentibus medicinis, quæ digerant adiungere, & sensim ad ipsa sola transire. Atque de huiusmodi quidem facultatibus in lapidibus disseremus, vbi ea priùs in memoriam reuocarimus, de quibus fusè loquuti sumus in libro contra eos conscripto, qui insultant iis, qui voce solœcismum committunt,

ΚΕΦΑΛΑΙΟΝ Β'.
Περὶ λίθων.

α'. Περὶ ἐνεργουσῶν ποιοτήτων τῶν λίθων.

ΤΩν αὐτοφυῶν σωμάτων εἰσὶ καὶ αἱ λίθοι, διαφέρουσαι τῆς συνήθως ὀνομαζομένης γῆς, τῷ μὴ τέγγεσθαι. δυνάμεις δ' ἔχουσι, τὰς μὲν κατὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας, τὰς δὲ, κατὰ τὰς δραστικὰς ποιότητας. ὅπως δ' ἀλλήλων διαφέρει ταῦτα, πρόσθεν εἴρηται. νῦν οὖν ὁ λόγος ἡμῖν ἔστω περὶ τῶν κατὰ τὰς δραστικὰς ποιότητας ἐνεργουσῶν, ἐν αἷς E ἔστι καὶ ἡ τῆς χρήσεως αὐτῆς μέθοδος. ἐδείκνυντο γὰρ αἱ κατὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας δυνάμεις, ἀμέθοδοί τ' εἶναι καὶ ἄλογοι, καὶ δι' ἐμπειρίας μόνης γινωσκόμεναι. διὰ τί γὰρ ἥδε ἡ λίθος ἁψαμένη, τραύματος αἱμορραγοῦντος ἐπέχει τὴν φορὰν, οὐκ ἴσμεν. διὰ τί μὲν τὸν αἱματίτην καλούμενον λίθον ἐμβάλλουσιν ὀφθαλμικαῖς δυνάμεσιν, ἴσμεν, ἔστι γὰρ εὕρημα λόγου τὸ τοιοῦτον. ἐὰν γοῦν ἐπ' ἀκόνης ὀφθαλμικῆς ἀποτρίψας μεθ' ὕδατος αὐτὸν εἰς πάχος μέλιτος, ἐθελήσῃς γεύσασθαι, στυφούσης αἰσθήσῃ δυνάμεως. ἔμαθες δ' ὅτι τὰς αὐξανομένας ἔτι φλεγμονὰς, καὶ μάλιστα ἐν νευρώδεσι μο- F ρίοις, ἀποκρούεσθαι δεῖ τοῖς στύφουσι φαρμάκοις. ὅταν δὲ μηκέτ' ἐπιρρέῃ τὸ αἷμα τῷ μέρει, προσμιγνύναι τοῖς στύφουσιν τὰ διαφοροῦντα, καὶ κατὰ βραχύ γε μεταβαίνειν ἐπ' αὐτὰ μόνα. περὶ μὲν οὖν τῶν τοιούτων δυνάμεων ἐν ταῖς λίθοις ἐροῦμεν, ἀναμνήσαντες πρότερον ὧν ἐπὶ πλεῖστον διήλθομεν ἐν τοῖς πρὸς τοὺς ἐπιτιμῶντας τοῖς σολοικίζουσιν τῇ φωνῇ,

τούτων γὰρ ἔνιοι λίθον ἀρρενικῶς οὐκ ἐπιτρέπουσι λέγειν, A ἀλλ' ἐὰν εἴπῃς, ἔμβαλον τὸν λίθον ἐπὶ τὸν κυώα, κεκράγασιν ὡς αὐτοὶ πεπληγμένοι λίθῳ τὴν κεφαλήν. ὥσπερ γε καὶ ἂν τὴν δρῦν εἴπῃ τις, ὡς ξύλῳ πεπληγότες ἐκβοῶσιν. ἐὰν οὖν ἐκείνοις τις πειθόμενος, τὰ συνήθη τοῖς ἰατροῖς ὀνόματα μεταρρυθμίζῃ, τὴν λίθον λέγων, τὴν αἱματίτην, καὶ τὴν πυρίτην, καὶ τὴν γαλακτίτην, καὶ τὴν χιστὴν, ὡς περίεργός τε καὶ παράσημος καταγνωσθήσεται, πάντων δὲ ἔθους ἤδη παλαιῶν λεγόντων ἀρρενικῶς τὰς διαφορὰς αὐτῶν, αἱματίτην, πυρίτην, γαλακτίτην, μελιτίτην, γαγάτην, χιστὸν, φρύγιον, Ἀράβιον, B μεμφίτην. ἔμπαλιν δὲ τὴν πέτραν λέγουσι θηλυκῶς, οὐ τὸν πέτρον ἀρρενικῶς. Ἀσίαν οὖν πέτραν ὀνομάζουσιν, οὐκ Ἄσιον πέτρον, τὸν λίθον Ἄσιον. οὕτως δὲ καὶ Ἀσίας πέτρας ἄνθος, ἐκ πέτρας δὲ κεκαυμένης φασὶ γίνεσθαι τὴν τίτανον. ὅ γε μὴν Ταραντῖνος Ἡρακλείδης, καὶ ἄλλοι τινὲς οὐκ ἐκ πάσης λίθου φασὶ γίνεσθαι τὴν τίτανον, ἀλλ' ἐκ μόνης γε τῆς πέτρας, ὀνομάζοντες οὕτως κατ' ἐξοχὴν τῶν λίθων μίαν τὴν σκληροτάτην. ἐγὼ γοῦν ἐξεπίτηδες εἴωθα, μεταβάλλων τὰ ὀνόματα, λέγειν ἑκατέρως ἅπαντα τὰ τοιαῦτα, περὶ ὧν ἀχρήστως ἐρίζουσιν ἔνιοι, δεικνὺς ἔργῳ μηδὲν βλα- C πτομένην τὴν σαφήνειαν τῆς ἑρμηνείας, ὁποτέρως ἄν τις εἴπῃ. θαυμαστὸν δ' οὐδὲν, τοὺς ἀγνοοῦντας ὅτι τῆς κατὰ φύσιν ἑρμηνείας, ἤτοι μίαν μόνην ἀρετὴν θετέον εἶναι τὴν σαφήνειαν, ἢ πρώτην γε τῶν ἄλλων ἁπασῶν, καὶ ἀρίστην, εἰς τοσούτους λήρους ἐκτρέπεσθαι. περὶ πρώτων οὖν ἐρῶ λίθων ὅσοι παρατριβόμενοι θήγαις ἢ ἀκόναις, εἰς χυλὸν ἀναλύονται.

Nam horum quidam λίθον masculino genere efferri non sinunt, verùm si dicas ἔμβαλον τὸν λίθον ἐπὶ τὸν κυώα, non aliter vociferantur, quàm si ipsis in caput lapis esset coniectus; velut etiam siquis dixerit τὸν δρῦν *quercum sonat*, exclamant tanquam fuste percussi. Itaque siquis eorum suasu consueta medicis nomina mutare in animum inducat; dicens τὴν λίθον, τὴν αἱματίτην, & τὴν πυρίτην, & τὴν γαλακτίτην, & τὴν χιστὴν, vt curiosus sanè, & stolidus damnabitur; nimirum quum veteres ex more omnes masculinè efferant eorum differentias, αἱματίτην, πυρίτην, γαλακτίτην, μελιτίτην, γαγάτην, χιστὸν, φρύγιον, Ἀράβιον, μεμφίτην. E contrariò vero τὴν πέτραν fœmininè pronunciant, non τὸν πέτρον masculinè. Nam Ἀσίαν πέτραν, non Ἄσιον πέτρον nominant λίθον Ἄσιον; lapidem Asium, ceu etiam Asiæ petræ florem. Porrò ex petra combusta calcem fieri dicunt. Attamen Heraclides Tarentinus, & alij nonnulli non ex quouis lapide calcem fieri volunt, sed ex sola petra, nuncupantes ita per excellentiam solum, qui sit lapidum durissimus. Equidem ego, vel ex industria, & studio consueui, mutatis inuicem nominibus, vtroque modo talia efferre, de quibus inutiliter nonnulli rixantur, id re ipsa commonstrans, nihil offendi enarrationis claritatem, vtrouis modo quis dixerit. Cæterùm mirandum non est, qui ignorant enarrationis secundum naturam, aut vnam solam habendam virtutem, ipsam scilicet perspicuitatem, ac claritatem, aut certè omnium aliarum primam, atque optimam, si ad tantas vertantur nugas. Itaque de iis lapidibus primùm disseram, qui mortarij aut cotis attritu in liquorem succúmve soluuntur.

β'. Περὶ αἱματίτου, γαλακτίτου, καὶ μελιτίτου.

D

Εἷς δέ τις ἐστὶ τῶν τοιούτων, καὶ ὁ καλούμενος αἱματίτης, ἀπὸ τῆς κατὰ τὴν χροιὰν ὁμοιότητος οὕτως ὠνομασμένος, ὥσπερ γε καὶ ὁ γαλακτίτης, ἐπειδὴ κἀκεῖνος εἰς χυλὸν λυθεὶς, ὅμοιος φαίνεται γάλακτι. παραπλήσιον δ' αὐτῷ κατὰ τὴν χροιὰν τὸν χυλὸν ἐργαζόμενος ὁ μελιτίτης, ἀπὸ τῆς κατὰ τὴν γεῦσιν ὁμοιότητος οὕτως ὠνόμασται. δέδεικται δ' ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων, ὁ μὲν γλυκὺς ἅπας χυλὸς, ὑπὸ συμμέτρου θερμασίας τοιοῦτος γινόμενος, ὁ δὲ στύφων, ὑπὸ ψύξεως. ἕξει τοιγαροῦν ὁ μὲν αἱματίτης λίθος τοσοῦτον τῆς ψύξεως, ὅσον καὶ τῆς στύψεως. ὁ δὲ μελιτίτης, σύμμε- E τρον θερμότητα, μέσην δ' ἀμφοῖν κρᾶσιν ὁ γαλακτίτης. εἰκότως οὖν ἐτόλμησαν οἱ ἰατροὶ ταῖς ὀφθαλμικαῖς δυνάμεσιν μιγνύναι τὸν αἱματίτην λίθον. καὶ μόνῳ δ' ἂν αὐτῷ χρήσαιο τραχέων γεγονότων βλεφάρων, εἰ μὲν ἅμα φλεγμονῇ τοιαῦτ' εἴη γεγονότα, δι' ᾠοῦ τὴν ἄνεσιν ποιούμενος, ἢ μᾶλλον ἔτι διὰ τήλεως ἀφεψήματος. εἰ δὲ χωρὶς φλεγμονῆς, δι' ὕδατος ἄρχου δ' ἀεὶ μὲν ἀπὸ μετρίως ὑγροῦ διὰ τῆς μήλης ἐγχέων, ὅταν δ' ὅτι φέρει τὴν δύναμιν αὐτοῦ θεάσῃ, παχύτερον ἀεὶ καὶ μᾶλλον ἐργάζου. καὶ τελευτῶν, οὕτω παχὺ ποιήσεις, ὡς διὰ μήλης πυρῆνος ὑπαλείφειν καθ' ὑποβολὴν ἢ ἐκτροπὴν τοῦ βλεφάρου. ὁ δ' αὐτὸς οὗτος λίθος ὁμοίως ἐπ' ἀκόνης ἀποτριβόμενος, αἵματος πτύσεσιν ἁρμόττει, καὶ πᾶσιν ἕλκεσιν. ξηρὸς δὲ λειωθεὶς, ὡς χνοώδης γενέσθαι, καταστέλλει τὰ ὑπερσαρκοῦντα. χρῆται μὲν οὖν οὐδεὶς αὐτῷ μόνῳ καθ' αὐτόν. ἐγὼ δ' ἐφ' ὧν εἶπον ἐχρησάμην,

2. *De Aematite, galactite, & melitite.*

PORrò talium quoque vnus est Hæmatites quem vocant, a coloris similitudine ita nominatus, sicut, quòd Galactites, quando & ipse in succum solutus, lacti similis conspicitur. Huic autem colori adsimilem succum efficiens, Melitites à mellis similitudine, quod gustu repræsentat, nuncupatus est. Porrò ostensum in quarto horum commentariorum est, quòd succus omnis dulcis à temperato calore talis eueniat; astringens verò à frigore. Habebit ergo lapis Hæmatites tantum frigiditatis, quantum habet astrictionis; Melitites verò calorem temperatum; mediam autem vtrisque temperiem Galactites. Meritò itaque ausi sunt medici ocularibus facultatibus lapidem miscere Hæmatiten. Ac solo eo vti possis palpebris exasperatis; si quidem quum phlegmonæ asperæ sint redditæ, ex ouo ipsum diluens; ac si magis, etiam per decoctum fænugræci: sin verò citra phlegmonen, ex aqua. Incipito verò semper à modicè humido per specillum infundens; vbi autem, quòd vires eius ferat conspexeris, magis ac magis crassum efficies; ac tandem adeo crassum facies, F vt specilli cuspide inungas secundum subiectionem, aut euersionem palpebræ. Hic idem lapis similiter in cote contritus sanguinis expuitioni competit, omnibúsque vlceribus. Porrò siccus si ad tantum redactus fuerit læuorem, vt pollinem tenuitate æquet, reprimit excrescentia. Atque eo nullus solo, atque per se se vtitur. Ego verò ad ea, quæ dixi, vsus sum,

facultate

facultate eius ex gustus qualitate comperta, quum mox experientia periclitari vellem nunquid rectè coniecissem. Et ipsa quidem oculorum vlcera solus per se cicatrice includit, vt paulò ante comprehensum est, attritus, cæterum aut affusus, aut inunctus: nam, & id experientia exploratum habeo.

3. *De Schisto, ac multis aliis lapidibus.*

HVic lapidi persimilem vim obtinet, verùm infirmiorem, is qui vocatur Schistus, ac post eum Galactites. At Melitites caliditatis etiam nonnihil, vt dixi, adiunxit. Vt itaque vnusquisque leuiter, ac sensim ab Hæmatitis facultate recedit, ita ad oculos in vsum ducitur; est tamen mitior. Porrò mitiora remedia partibus etiamnum phlegmone affictis semper gratiora sunt, atque iucundiora; cæterùm liberis iam phlegmone partibus, infirmiora, quàm quæ persanare valeant. Porrò quum lapidibus omnibus commune sit, vt desiccent, quotquot ex iis in succum soluti, aut alioqui ad læuorem triti, nullam euidentem qualitatem in gustu obtinent, hos putandum est esse tum infirmissimos, tum mitissimos, tum minimè mordaces. At qui manifestam gustui qualitatem offerunt, hi pro qualitatis proportione potentiam possident; ac si quidem astringant, ad comprimendum, constringendum, spissandum, & contrahendum; si verò mordicent, ad calefaciendum, digerendum, & liquandum; medij eorum sunt, qui abstergent citra astrictionem, aut mordicationem. Igitur Hæmatites, Schistus, Galactites, ac Melitites, in succum soluuntur, quo posui modo, ad cotem, aut mortarium attriti, quum sint, & alij lapides in succum solubiles, vt qui in Ægypto nascitur, quò vtuntur ad splendorem linteis conciliandum. Est autem omnium dictorum minimè qualitatis particeps, nec astrictionem, nec morsum, nec abstersionem præ se ferens. Quocirca hoc ipsum duntaxat lapidi huic inest, quòd desiccet videlicet. Proinde cerato eum miscentes, ad cicatricem vlceribus inducendam in mollibus corporibus vsurpant. Sed & ocularibus miscetur facultatibus perinde, vt modò dicti; At quanto est maiore emolliendi vi, quàm prædicti, quòd nullam videlicet effectricem qualitatem habeat, tanto etiam moderatior est, magisque dolorem leuat. Hunc lapidem quidam Moroxum, nonnulli leucographida nuncupant.

4. D. *Thyite Dioscoridis.*

OMnium dictorum lapidum valentissimam vim habet is, qui ex Æthiopia affertur, quadantenus subuiridis, vt iaspis quem vocant. Soluitur hic lapis in succum colore lacteum, gustu verò mordacem; ac proinde illum nemo ocularibus miscet facultatibus, nec fluxiones repercutientibus, neque vlcera sanantibus; sed tantùm ad purgandum, & abstergendum quæ pupillam obtenebrant absque phlegmone, ex quibus sunt cicatrices recentes, quas attenuare potest. Sed & oculorum vngues, vtique si non admodum duri fuerint, exterget.

5. *De Iudaico.*

EST & alius lapis viribus valentioribus in Palæstina Syria proueniens, colore candido,

ἐκ τῆς κατὰ τὴν γεῦσιν ποιότητος εὑρὼν τὴν δύναμιν, εἶτα τῇ πείρᾳ βασανίσαι βουληθεὶς εἰ καλῶς ἐτεκμηράμην. καὶ αὐτὰ δὲ τὰ κατὰ τοὺς ὀφθαλμοὺς ἕλκη συνουλοῖ μόνος αὐτός, ἀποτειβόμενος μέν, ὡς ὀλίγον ἔμπροσθεν εἶπον, ἤτοι δ' ἐγχυματιζόμενος, ἢ ὑπαλειφόμενος. ἐβασάνισα γὰρ καὶ τοῦτο τῇ πείρᾳ.

γ'. Περὶ σχιστοῦ, καὶ ἄλλων πολλῶν λίθων.

ΤΟύτῳ δὲ τῷ λίθῳ παραπλησίαν μέν, ἀσθενεστέραν δὲ τὴν δύναμιν ὁ σχιστὸς καλούμενος ἔχει, καὶ μετ' αὐτὸν ὁ γαλακτίτης. ὁ δὲ μελιτίτης, ὡς ἔφην, ἤδη τι καὶ θερμότητος προσείληφεν. ἕκαστος οὖν αὐτῶν, ὁ ἀποχωρῶν κατὰ βραχὺ τῆς τοῦ αἱματίτου δυνάμεως, ἐπὶ μὲν τῶν ὀφθαλμῶν ὁμοίως εἰς χρῆσιν ἄγεται, πραότερος δέ ἐστιν. ἀεὶ δὲ τὰ πραότερα φάρμακα, τοῖς μὲν ἔτι φλεγμαίνουσι μορίοις ἐστὶ προσηνέστερα, τοῖς δ' ἀποφλεγμήνασιν μορίοις, ἀσθενέστερα πρὸς τὸ τέλος ἐξυγιάσαι. κοινοῦ δὲ τοῦ ξηραίνειν ἅπασι τοῖς λίθοις ὑπάρχοντος, ὅσοι μὲν αὐτῶν ἢ εἰς χυλὸν λυθέντες, ἢ ἄλλως λειωθέντες, οὐδεμίαν ἐν ἀρχῇ κατὰ τὴν γεῦσιν ἔχουσι ποιότητα, τούτους μὲν ἡγητέον ἀσθενεστάτους τ' εἶναι, καὶ πραϋνεστάτους, καὶ ἀδηκτοτάτους. ὅσοι δὲ φαίνονταί τινα σαφῆ ποιότητα κατὰ γεῦσιν ἐνδεικνύμενοι, τῆς ποιότητος ἀνάλογον ἔχουσι τὴν ἰσχύν. εἰ μὲν στύφοιεν εἰς τὸ καταστεῖλαι, καὶ σφίγξαι, καὶ πιλῆσαι, καὶ συναγαγεῖν. εἰ δὲ δάκνοιεν εἰς τὸ θερμῆναί τε καὶ διαφορῆσαι καὶ τῆξαι, μέσοι δ' αὐτῶν εἰσὶν οἱ ῥύπτοντες μόνον, ἄνευ τοῦ στύφειν ἢ δάκνειν. ὁ μὲν οὖν αἱματίτης, καὶ ὁ σχιστός, ὅ, τε γαλακτίτης, καὶ ὁ μελιτίτης εἰς χυλὸν ἀναλύονται, παρατειβόμενοι καθάπερ εἶπον, ἀκόναις τε καὶ θυίαις, ὄντων καὶ ἄλλων εἰς χυλὸν λυομένων λίθων, ὥσπερ ἐστὶν ὁ κατ' Αἴγυπτον γινόμενος, ᾧ χρῶνται στιλπνοῦντες τὰς ὀθόνας. ἔστι δ' ἀποιότερος τῶν εἰρημένων, οὔτε στύψιν, οὔτε ῥύψιν, οὔτε δῆξιν ἐμφαίνων. ὅθεν αὐτὸ δὴ τοῦτο μόνον ὑπάρχει τῷ λίθῳ τούτῳ τὸ ξηραίνειν, καὶ διὰ τοῦτο κηρωτῇ μιγνύντες αὐτόν, εἰς ἐπούλωσιν ἑλκῶν ἐπὶ τῶν μαλακῶν σωμάτων χρῶνται. μίγνυται δὲ καὶ ταῖς ὀφθαλμικαῖς δυνάμεσιν ὁμοίως τοῖς προειρημένοις. ὅσῳ δ' ἐστὶ μαλακτικώτερος αὐτῶν, διὰ τὸ μηδεμίαν ἔχειν δραστικὴν ποιότητα, τοσούτῳ μετριώτερός τε καὶ ἀναλγητότερος ὑπάρχει. τοῦτον τὸν λίθον ἔνιοι μὲν μόροξον, ἔνιοι δὲ γραφίδα καλοῦσιν.

δ'. Περὶ τοῦ Διοσκουρίδου θυΐτου.

ΑΠάντων δὲ τῶν εἰρημένων λίθων ἰσχυροτέραν ἔχει δύναμιν ὁ ἐκ τῆς Αἰθιοπίας κομιζόμενος, ὑπόχλωρός πως, ὡς ἴασπις ὀνομαζόμενος. λυόμενος ἐστὶν ὁ λίθος εἰς χυλὸν γαλακτώδη κατὰ τὴν χρόαν δακνώδη τοῖς γευομένοις, καὶ διὰ τοῦτ' αὐτὴν οὐδεὶς ἔμιξεν ὀφθαλμικαῖς δυνάμεσιν, οὔτ' ἀποκρουστικαῖς ῥευμάτων, οὔθ' ἑλκῶν ἰατικαῖς. ἀλλὰ μόνον εἰς τὸ καθῆραί τε καὶ ῥύψαι τὰ χωρὶς φλεγμονῆς ἐπισκοτοῦντα ταῖς κόραις, ἐξ ὧν εἰσι, καὶ αἱ πρόσφατοι τῶν οὐλῶν, ἃς λεπτύνειν πέφυκεν. ἀπορρύπτει δὲ καὶ τὰ μὴ πάνυ σκληρὰ τῶν πτερυγίων.

ε'. Περὶ Ἰουδαϊκοῦ.

ΕΣτι δὲ καὶ ἄλλος λίθος ἰσχυρότερος τὴν δύναμιν ἐν τῇ Παλαιστίνῃ Συρίᾳ γινόμενος, λευκὸς μὲν τὴν χρόαν,

εὔρυθμος δὲ κατὰ τὸ σχῆμα, καὶ γραμμὰς ἔχων ὡς ἀπὸ τόρνου γεγονυίας. ὀνομάζουσι δ' αὐτὸν ἀπὸ τῆς χώρας ἐν ᾗ γεννᾶσθαι πέφυκεν, Ἰουδαϊκὸν, καὶ χρῶνται πρὸς τοὺς ἐν τῇ κύστει λίθους, ἀνιέντες μὲν ἐπ' ἀκόνης, ποτίζοντες δὲ δι' ὕδατος θερμοῦ κυάθων τριῶν. ἡμεῖς δ' ἐφ' ὧν ἐπειράθημεν, οὐδὲν ἀνύουσιν ὡς πρὸς τοὺς ἐν κύστει λίθους, ἐπὶ δὲ τῶν ἐν νεφροῖς συνισταμένων, ἐστὶ δραστήριος.

A specie concinna, lineas habens ceu torno ductas; appellitant eum à loco, in quo nasci consueuit, Iudaicum; Vtunturque ad vesicæ lapides, in cote soluentes, & ex aqua calidæ tribus cyathis potui præbentes. Sanè in quibus nos experti sumus, proficit nihil, quod ad lapides vesicæ pertinet; verùm ad eos qui in renibus hærent, efficax est.

ϛʹ. Περὶ πυρίτου.

Εἷς τῶν ἰσχυρὰν δύναμιν ἐχόντων ἐστὶ, καὶ ὁ πυρίτης ὀνομαζόμενος, ᾧ χρώμεθα μιγνύντες ἐμπλάστρῳ διαφορητικῷ. προσεμβάλλεται δ' αὐτῇ καὶ ὁ σχιστός. ὑπὸ τούτου τοῦ φαρμάκου, καὶ πῦον μὲν πολλάκις, ἀλλὰ καὶ θρομβώδης σύστασις ἐν ταῖς μεταξὺ χώραις τῶν μυῶν γινομένη, διεφορήθη. κεκόφθαι δὲ καὶ λελειῶσθαι πάνυ σφόδρα χρὴ τοὺς λίθους ἅπαντας ὅταν εἰς χρῆσιν ἄγωνται, παραπλησίως τοῖς εἰς τὰς ὀφθαλμικὰς δυνάμεις μιγνυμένοις. εἰ μὴ γὰρ χνοώδεις γενηθεῖεν ὡς εἰς τὸ βάθος καταδύεσθαι τῶν σωμάτων οἷς προσφέρονται, παραπλήσιοι μένουσι ταύταις ταῖς θαλαττίαις τε καὶ ποταμίαις ψάμμοις, αἵ τινες καὶ αὐταὶ, τὴν μὲν κοινὴν ἁπάντων λίθων δύναμιν ἔχουσιν. ξηραίνουσι γοῦν τὴν ὑποιδῆ τε καὶ ὑδερώδη σάρκα, κατακλινομένων ἐν αὐταῖς τεθερμασμέναις τῶν καμνόντων. οὐ μὴν εἰς ἄλλο γέ τι χρώμεθα αὐταῖς, ὥσπερ τοῖς προειρημένοις εἰς ὀφθαλμικάς τε καὶ σταλτικὰς αἵματος, καὶ ῥοῦ γυναικείου δυνάμεις, ἔτι τε κολλητικὸν ἑλκῶν, ἐπουλωτικόν τε καὶ σαρκωτικόν. ὅσοι γὰρ αὐτῶν οὐκ εἰσὶ δριμεῖς, εἰς ταῦτα πάντες εἰσὶ χρήσιμοι, καθάπερ οἱ δριμεῖς, ὧν ὕστερον ἐμνημόνευσα, πρὸς τὸ ῥύψαι τε, καὶ ἀποσμῆξαι, καὶ ἀφελεῖν, λεπτῦναί τε, καὶ διαφορῆσαι, καὶ σφοδρῶς ξηρᾶναι, καὶ τῆξαι.

6. De Pyrite.

VNus eorum, qui validam facultatem possident, est & Pyrites quem vocant, quo vtimur digerenti emplastro admixto, adiicitur ei & B schistos. Ab hoc medicamento, & pus sæpenumero, & consistentia grumosa in spatiis intermediis musculorum nata, per halitum digesta sunt. Cæterùm lapides omnes vbi in vsum vocantur, admodum vehementer contusi, atque ad læuorem redacti sint oportet, similiter atque ea quæ in ophthalmicas facultates miscentur. Etenim nisi pollinis instar comminuantur, adeo vt in profundum corporum, quibus applicantur, subeant, assimiles manent istis marinis, & fluuiatilibus arenis, quæ & ipsæ communem omnium lapidum vim possident. Siquidem exiccant tumentem ab aqua in- C ter cutem carnem, videlicet laborante in eis calefactis decumbente. Non tamen ad aliud quippiam eis vtimur tanquam prædictis, puta ad ophthalmicas, & sistentes tum sanguinem, tum muliebre profluuium facultates, præterea ad glutinanda vlcera, cicatrice claudenda, carne implenda. Nam qui ex eis acres non sunt, ad hæc omnia sunt vtiles; velut, & acres, quorum posterius mentionem faciam, ad detergendum abstergendumque, tum detrahendum, extenuandum, digerendum, valentérque siccandum, & colliquandum.

ζʹ. περὶ φρυγίου.

Ταύτης τῆς δυνάμεως ἔχεται, καὶ ὁ φρύγιος καλούμενος. ἀεὶ δ' αὐτῷ κεκαυμένῳ κέχρημαι, καὶ πρὸς μὲν τὰ σηπεδονώδη τῶν ἑλκῶν, ἢ αὐτὸν καθ' ἑαυτὸν, ἢ δι' ὄξους, ἢ δι' οἰνομέλιτος, ἢ δι' ὀξυκράτου. πρὸς ὀφθαλμοὺς δὲ, ξηρὸν ποιῶν φάρμακον, ὃ πολλοὶ λαβόντες ἔχουσιν ἤδη παρ' ἐμοῦ. μίγνυμι δὲ αὐτῷ καὶ ἄλλα τινά. λεχθήσεται δὲ περὶ αὐτοῦ κατὰ τὴν περὶ συνθέσεως τῶν φαρμάκων πραγματείαν. νυνὶ δ' ἀρκεῖ περὶ τῆς καθόλου δεδηλῶσθαι δυνάμεως αὐτοῦ. ξηραίνει γὰρ ἰσχυρῶς, ἔχων τι καὶ στύψεως ἅμα καὶ δήξεως. εἴρηται δέ μοι κἀν τοῖς ἔμπροσθεν, ἄριστά τε καὶ πολύχρηστα φάρμακα εἶναι πάντα τὰ μεμιγμένα, ἐν αὐτοῖς ἔχοντα τὰς δύο δυνάμεις, τήν τε ἀποκρουστικὴν καὶ διαφορητικήν.

7. De Phrygio.

D HVius facultatis habetur, & Phrygius quem vocant. Sed eo semper vtor combusto quidem ad vlcera putrida, idque aut ipso per se, aut ex aceto, aut œnomelite, aut oxycrato; ad oculos verò medicamentum siccum efficiens, quod multi nunc acceptum à me obtinent. Miscentur ei, & alia quæpiam. Dicetur autem de ipso in opere de Componendis pharmacis. Nunc satis est de generali eius facultate explicuisse; Validè enim desiccat, habens quiddam astrictionis simul, & E mordicationis. Dictum verò superius est, ea esse omnia optima medicamenta plurimique vsus, quæ mixtas in sese hasce duas facultates habent, nempe repellentem, & discutientem.

ηʹ. Περὶ ἀγηράτου.

Ἔστι δὲ καὶ ὁ ἀγήρατος καλούμενος λίθος, ᾧ τοὺς σκυτοτόμους ὁρῶμεν χρωμένους, μικτῆς δ' ἐστὶ δυνάμεως στυπτικῆς τε καὶ διαφορητικῆς, ἀλλὰ περὶ μόνης τῆς στυπτικῆς σκεπτέον. ὠφελεῖ μὲν ἐναργῶς γαργαρεῶνας φλεγμαίνοντας. οὐ μὴν γευομένοις γε σαφῆ στύψιν ἔχων, ἢ δριμύτητα φαίνεται.

8. De Agerato.

ESt autem lapis ageratus quem vocant, quo vtuntur coriarij facultatis mixtæ, astringentis scilicet, & digerentis. Sed de sola astringente considerandum. Iuuat quidem euidenter columellas phlegmone grauatas, non tamen apertam gustu astrictionem præferre, aut acrimoniam F conspicitur.

θʹ. Περὶ Ἀσίου.

Ἔστι δὲ καὶ ἄλλος λίθος ἐν Ἄσσῳ γινόμενος, ὃν καὶ δι' αὐτὸ τοῦτο καλοῦσιν Ἄσιον, οὐ σκληρὸς, ὡς αἱ πέτραι, πωρώδης γάρ ἐστι κατά τε χρόαν καὶ σύστασιν, ἀλλὰ θρυπτός τε καὶ χαῦνος,

9. De Assio.

ESt, & alius lapis in Asso prouenjens, quem ob id ipsum Assion cognominant, non durus, vt petræ. Siquidem color illi est, paritérque consistentia ceu tophi, friabilis, & laxus.

Innascitur

Innascitur ei quiddam farinæ tenuissimæ simillimum, qualis in molarum parietibus adhærere visitur. Appellitant hoc medicamentum petræ Asiæ Florem. Est verò, & subtilium partium, vt sine morsu nimis molles carnes, ac fluidas eliquet. Petra verò, in qua nascitur, tametsi vim habeat illi similem, actionis tamen vehementia inferior est. Hoc enim ea potior est flos, non tantum, quod magis colliquet, ac digerat, & velut sale condita seruet, sed & quia hæc præstet absque vehementi mordicatione. Habet & salsedinem quandam in gustu hic Asiæ petræ flos, vt coniectura sit illum nasci ex eo, quòd ros quidam ex mari in petram residens: postea à Sole desiccetur.

10. *De Gagate, & Thracio.*

EST & alius lapis colore atro, qui vbi igni admotus fuerit, persimilem bitumini odorem exhibet; quem Dioscorides, nonnullique alij in Lycia inueniri prodiderunt ad fluuium nomine Gagatem; vnde & ipsi lapidi nomenclaturam inditam dicunt. Ego tamen eum fluuium non vidi, tametsi parua nauicula totius Lyciæ littora, legerim, quo videlicet, quæ in ea sunt inspicerem. Crustaceos verò lapides nigros, & qui in ignem additi exilem flammam ederent, complures ex Cæle Syria asportaui, natos in colle, Mortuum mare, quod vocant circundante, qua orientem spectat, vbi & bitumen est, eratque lapidum odor similis bitumini. Vtebarque eis ad inflationes in genu diuturnas, & ægrè curabiles, mixtis videlicet facultatibus, quæ ad hoc symptoma probatæ fuerant, planéque visus sum mihi euidentiorem earum facultatem reddidisse; Miscui verò ipsum, & barbaro quam vocant, & palam medicamentum effectum est exiccantius, adeo vt, & sinus contraheret, nedum cruenta vulnera glutinaret, ad quæ competere maximè creditur. Est & alius lapis, cuius meminit Nicander hunc in modum,

Si lapis vratur candenti Thracius igne, &
Post madefiat aqua, flagrabit totus; at idem
Mox oleo affuso penitus restinguitur. Adfert
Thracius hunc ad nos pastor de flumine, nomen
Cui Pontus.

Verùm nullus eius in medicina vsus est; neque Nicander præter graueolentiam quæ suffitu feras fugat, quicquam ei ascripsit.

11. *De Magnete, & heracleo.*

EX lapidibus vnus est, & magnites, & Heracleus quem vocant, assimilem Hæmatiti vim obtinens.

12. *De Arabio.*

ATtamen Arabius quem nominant, lapis elephanti similis, desiccantis abstergentisque facultatis est.

13. *De Alabastrite.*

ET Alabastrites vocatus vnguis, in medicinæ vsum ingreditur combustus. Quidam eum bibendum dant stomachicis.

14. *De Smyride.*

SEd, & vocata smyris, quòd multam abstergentem habeat facultatem, clarum est; vel ex eo,

A ἐπιτρέφεται δ' αὐτῷ παραπλήσιόν τι ἀλεύρῳ λεπτοτάτῳ, ὁ προσιζάνοντα τοῖς τοίχοις τῶν ἐν τοῖς μύλωσι διαττομένων ἀλεύρων. καλοῦσι μὲν οὖν τὸ φάρμακον τοῦτο, πέτρας Ἀσίας ἄνθος. ἔστι δὲ λεπτομερές, ὡς ἀδήκτως τὰς πλαδαρὰς σάρκας ἐκτήκειν. ὁμοίαν δ' αὐτῷ δύναμιν ἔχουσα καὶ ἡ πέτρα καθ' ἣν γίνεται, τῷ σφοδρῷ τῆς ἐνεργείας ἀπολείπεται. πλεονεκτεῖ γὰρ αὐτῆς τὸ ἄνθος, οὐ μόνον τῷ μᾶλλον ἐκτήκειν, καὶ διαφορεῖν, καὶ ταριχεύειν, ἀλλὰ καὶ τῷ χωρὶς δήξεως ἰσχυρᾶς ταῦτα ποιεῖν. ἔχει δέ τι καὶ ἁλμυρὸν ἐν τῇ γεύσει τουτὶ τὸ τῆς Ἀσίας πέτρας ἄνθος, ὡς εἰκάσαι B τὴν γένεσιν ἴσχειν αὐτὸ, δρόσου τινὸς ἐκ θαλάττης ἐφιζούσης τῇ πέτρᾳ, κἄπειτα ξηραινομένης ὑπὸ τοῦ ἡλίου.

ι'. Περὶ γαγάτου καὶ θρᾳκίου.

ΕΣτι δὲ καὶ ἄλλος λίθος μέλας τὴν χρόαν, ὅταν ὁμιλήσῃ πυρὶ, παραπλησίαν ὀσμὴν ἀσφάλτου ποιῶν, ὃν ὁ Διοσκουρίδης, καὶ ἄλλοι τινὲς ἐν Λυκίᾳ φασὶν εὑρίσκεσθαι, κατὰ τὸν ποταμὸν ὄνομα Γαγάτην, ὅθεν περ καὶ αὐτῷ τῷ λίθῳ τὴν προσηγορίαν εἶναι φασίν. οὐ μὴν ἐγὼ εἶδον ἐκεῖνον τὸν ποταμὸν, καίτοι παραπλεύσας ὅλην Λυκίαν μικρῷ πλοίῳ τῆς ἱστορίας ἕνεκα τῶν ἐν αὐτῇ. πλακώδεις δὲ λίθους μελαίνας, εἰ κατὰ C πυρὸς ἐπιτεθεῖεν ἀσθενῆ φλόγα γινομένας, ἐκόμισα πολλὰς ἐκ τῆς κοίλης Συρίας, ἐν τῷ λόφῳ γινωμένας τῷ περιέχοντι τὴν νεκρὰν ὀνομαζομένην θάλασσαν, ἐν τοῖς ἀνατολικοῖς αὐτῆς μέρεσιν, ἔνθα καὶ ἡ ἄσφαλτος γίνεται, καὶ ἦν ἡ ὀσμὴ τῶν λίθων τῇ ἀσφάλτῳ παραπλησία. ἐχρησάμην δὲ αὐτοῖς εἰς ἐμφυσήματα χρόνια κατὰ γόνυ γινόμενα δυσθεράπευτα, μιγνὺς ταῖς πρὸς τοῦτο τὸ σύμπτωμα πεπειρασμέναις δυνάμεσιν, καὶ σαφῶς ἔδοξεν ἡμῖν ἐναργεστέραν αὐτῶν πεποιηκέναι τὴν δύναμιν. ἔμιξα δ' αὐτὸν, καὶ τῇ βαρβάρῳ D καλουμένῃ, καὶ σαφῶς ἐγένετο ξηραντικώτερον τὸ φάρμακον, ὡς καὶ κόλπους προστέλλειν, οὐ μόνον ἔναιμα τραύματα κολλᾶν, ἐφ' ὧν ἡρμοκέναι μάλιστα πεπίστευται. ἔστι δὲ καὶ ἄλλη τις λίθος, ἧς καὶ Νίκανδρος μέμνηται γράφων οὕτως.

Ἠέ σύ γε Θρήϊσσαν ἐνὶ φλέξαις πυρὶ λᾶαν.
Εἶθ' ὕδατι ῥανθεῖσα ἐλάσεται, ἔσβεσε δ' αὐτὴν
Τυτθὸν, ὅτ' ὀσμήσηται, ἐπιῤῥανθέντος ἐλαίου,
Τὴν ἀπὸ Θρηϊκίου νομέες ποταμοῖο φέρουσιν,
Ὂν Πόντον καλέουσιν.

Ἀλλ' οὐδὲν ἐξ αὐτῆς ὤφελος ἐς ἰατρικὴν οὐδ' ὁ Νίκανδρος γράφει παρὰ τὴν δυσωδίαν, ἣ τὰ θηρία θυμιώμενα διώκει.

E

ια'. Περὶ μαγνήτιδός τε καὶ ἡρακλείας.

ΤΩν λίθων δ' ἐστὶ μία, καὶ ἡ Μαγνῆτίς τε καὶ Ἡρακλεία καλουμένη, παραπλησίαν ἔχουσα τῷ αἱματίτῃ τὴν δύναμιν.

ιβ'. Περὶ Ἀραβίου.

ΟΓε μὴν Ἀράβιος καλούμενος λίθος, ἐοικὼς ἐλέφαντι, ξηραντικῆς τε καὶ ῥυπτικῆς ἐστι δυνάμεως.

F

ιγ'. Περὶ ἀλαβαστρίτου.

ΚΑὶ ὁ ἀλαβαστρίτης δὲ καλούμενος ὄνυξ, εἰς χρείαν ἰατρικὴν ἔρχεται καυθείς. ἔνιοι δὲ καὶ ποτίζουσι τοὺς στομαχικοὺς αὐτήν.

ιδ'. Περὶ σμυρίδος.

ΚΑὶ ἡ καλουμένη δὲ σμύρις, ὅτι μὲν ἰσχυρῶς ῥυπτικῆς ἐστι δυνάμεως, δῆλόν ἐστιν κἀκ τῶν χρωμένων αὐτῇ

δακτυλιογλύφων, εἰς τὴν τοιαύτην χρείαν, ἀλλ' ὅτι καὶ τοὺς ὀδόντας ἐργάζεται καθαροὺς ἐπειράθημεν.

A quòd qui annulos exculpũt, eũ in vsum illo vtãtur. Quin etiã quòd dẽtes puros efficiat, experti sumus.

ιε'. Περὶ κισσήρεως.

Εἰ δὲ καὶ ἡ κίσσηρις ἐν τοῖς λίθοις ἀριθμεῖται, καὶ αὕτη τῆς αὐτῆς ἐστὶ δυνάμεως ὅσον ἐπὶ τὸ ῥύπτειν, ὥσπερ γε καὶ τὸ ἐκ τῶν κεραμίδων ὄστρακον, ἔτι τε μᾶλλον αὐτοῦ τὸ ἐκ τῶν κλιβάνων, ἀλλ' ἥ γε σμύρις, ἔχει τι δριμὺ, καὶ διὰ τοῦτο, τινὲς αὐτὴν μιγνύουσιν καυστικαῖς τε καὶ ξηραντικαῖς δυνάμεσιν, καὶ ταῖς θεραπευούσαις οὖλα πλαδαρά. καυθεῖσα δ' ἡ κίσσηρις, οὐκ ἀπολείπεται σμύρεως εἰς τὰς αὐτὰς χρείας. B

15. *De Cissere, pumice.*

CÆterùm si pumex inter lapides recenseri potest, & ipse eiusdem est facultatis, quod certè ad abstersionem attinet, velut etiam figulina testa, ac multò magis ea, quæ fornacium est. Sed Smiris acrimoniæ quiddam obtinet: Proinde causticis, & desiccantibus facultatibus à quibusdam miscetur, eisque quæ curant gingiuas laxas, ac mollitie fluidas. Pumex autem si comburatur, haud erit inferior eosdem ad vsus Smire.

ις'. Περὶ λίθων τῶν ἐν τοῖς σπόγγοις.

Εἰσὶ δὲ καὶ οἱ ἐν τοῖς σπόγγοις εὑρισκόμενοι λίθοι θρυπτικῆς δυνάμεως, οὐ μὴν οὕτως ἰσχυρᾶς, ὥστε τοὺς ἐν τῇ κύστει λίθους θρύπτειν, ἀλλ' οἱ τοῦτο γράψαντες, ἐψεύσαντο, τοὺς δ' ἐν νεφροῖς ὄντας θρύπτουσιν, ὥσπερ καὶ οἱ ἐκ τῆς Καππαδόκης, οὓς ἐν τῷ Ἀργαίῳ φασὶ γίνεσθαι. λύονται δ' εἰς χυλὸν οὗτοι γαλακτώδη κατὰ τὴν χρόαν, ὡς εὔδηλον ὅτι λεπτυντικῆς εἰσι δυνάμεως, ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς. C

16. *De lapidibus, qui in spongiis reperiuntur.*

LApides, qui reperiuntur in spongiis, frangendi vim obtinent, non tamen ita validam, vt lapides in vesica comminuant; & qui id scriptum reliquerunt, mentiti sunt. Verùm eos qui in renibus consistunt, rumpunt, velut qui ex Cappadocia conuehuntur, quos in Argæo nasci aiunt. Soluuntur autem hi in succum colore lacteum; ex quo liquet, quod extenuandi vim obtinent, absque vt insigniter calefaciant.

ιζ'. Περὶ ὀστρακίτου.

Τὸν δὲ ὀστρακίτην ὀνομαζόμενον λίθον, ἐπαινούντων ἀκούω τινῶν, ὡς ξηραντικὴν ἰσχυρῶς ἔχοντα δύναμιν ἐκ στύψεώς τε καὶ δριμύτητος ἐπιμεμιγμένην, ὥσπερ γε καὶ τὸν γεώδη καλούμενον, ἀποκαθαίρειν τε τὰς κόρας, καὶ τιτθῶν, καὶ ὄρχεων ἰᾶσθαι φλεγμονὰς, ἐν ὕδατι. τό γε μὴν τῆς Ναξίας ἀκόνης ἀπότριμμα, καὶ τιτθοὺς παρθένων κωλύει κατὰ τὰς ὥρας ἐμφυσᾶσθαι, καὶ παίδων ὄρχεις, ὡς μετέχον δηλονότι καὶ ψυκτικῆς δυνάμεως. D

17. *De ostracite.*

POrrò ostraciten vocatum lapidem prædicare quosdam audio quasi desiccandi valenter facultatem obtineat, temperatam ex astrictione, & acrimonia; Velut Geodem nomine, pupillas expurgare, & vberum testiúmque phlegmonas sanare, ex aqua videlicet inunctum. Attamen Cotis Naxiæ ramentum mammas virginibus suo tempore prohibet tumescere, & puerorum testes, tanquam videlicet particeps facultatis refrigeratoriæ.

ιη'. Περὶ ὀφίτου.

ΚΑΙ ὀφίτης δὲ καλούμενος λίθος, καυθεὶς ῥυπτικῆς τε καὶ θρυπτικῆς ἐστι δυνάμεως, ὥσπερ γε καὶ ἡ ὕαλος. ἱκανῶς γὰρ καὶ αὐτὴ θρύπτει πινομένη μετ' οἴνου λευκοῦ καὶ λεπτοῦ, τοὺς ἐν κύστει λίθους, ἀλλ' οὐκ ἄν τις αὐτὴν ἐν τοῖς λίθοις ἀριθμοίη.

18. *De ophite, & vitro.*

SEd Ophites quem vocant, lapis, vstus extergendi confringendique vim possidet, ceu etiam vitrum. Admodum enim ipsum ex vino albo, ac tenui epotum lapides vesicæ conterit, atque confringit. Verùm ipsum in lapidibus quispiam fortè non numeret.

ιθ'. Περὶ χλωροῦ ἰάσπεώς τε, καὶ ὀμφατίτεως, καὶ ἱερακίτου καὶ Ἰνδικοῦ. E

Ἰδιότητα δέ τινες ἐνίοις λίθοις μαρτυροῦσι τοιαύτην, οἵαν ὄντως ἔχει καὶ ὁ χλωρὸς ἴασπις, ὠφελῶν τόν τε στόμαχον, καὶ τὸ τῆς γαστρὸς στόμα, περιαπτόμενον. ἐντιθέασί τε καὶ δακτυλίῳ αὐτὸν ἔνιοι, καὶ γλύφουσιν ἐν αὐτῷ τὸν τὰς ἀκτῖνας ἔχοντα δράκοντα, καθάπερ καὶ ὁ βασιλεὺς Νεχεψὼς ἔγραψεν ἐν τῇ τεσσαρεσκαιδεκάτῃ βίβλῳ. τούτου μὲν οὖν τοῦ λίθου κἀγὼ πεῖραν ἱκανὴν ἔχω, καὶ ὁρμαθιόν γέ τι ποιήσας ἐκ λιθιδίων τοιούτων, ἐξῆπτον τοῦ τραχήλου σύμμετρον οὕτως, ὡς ψαύειν τοὺς λίθους τοῦ στόματος τῆς γαστρός. ἐφαίνοντο δὲ μηδὲν ἧττον ὠφελοῦντες, ἢ εἰ τὴν γλυφὴν οὐκ ἔχοιεν, ἣν ὁ Νεχεψὼς ἔγραψε. τὸν δ' ὀμφατίτην λίθον ἀνὴρ ἀξιόπιστος ὄντως, ἔφη τοὺς ἐχιοδήκτους ὠφελεῖν περιαπτόμενον, ἀλλ' ἔξω τῆς κατὰ μέθοδον χρήσεως αἱ τοιαῦται δυνάμεις εἰσὶν, ὥσπερ γε καὶ τοῦ ἱερακίτου τε, καὶ Ἰνδικοῦ, τὸ ἐκ τῶν αἱμορροΐδων ἰσῶντος αἷμα. F

19. *De iaspide viridi, & lapide omphatite, & hieracite, & Indico.*

PRoprietatem nonnulli lapidibus quibusdam testimonio suo ascribunt, qualem re vera habet Iaspis virens, nempe stomachum adhæsu, ventrísque os adiuuans. Ac nonnulli quoque ipsum annulis inserunt, scalpúntque in eo draconem radios habentem; velut rex Nechepsos memoriæ prodidit in quarto, & decimo libro. Sanè huius ego quoque lapidis abundè feci periculum. Torquem enim ex huiusmodi lapillis confectum à collo suspendi, ita vt lapides os ventris contingerent. Apparebant autem nihilo secius prodesse, etiamsi sculpturam non haberent, quam scripsit Nechepsos. Porrò lapidem Omphatitem vir fide dignus re vera iuuare morsos à vipera suspensum retulit. Sed eiusmodi facultates extra vsum sunt methodo constantem; Velut etiam cum Hieracites, & Indicus profluentem ex hæmorrhoidibus sistunt sanguinem.

A

20. *De sapphyro.*

SEd, & Sapphyrus ictos à scorpio epotus iuuare creditur.

κ'. Περὶ σαπφύρου.

ΚΑΙ γὰρ οὖν καὶ ὁ σάπφυρος, πεπίστευται πινόμενος ὠφελεῖν τοὺς ὑπὸ σκορπίου πληγέντας.

21. *De Aphroselino.*

ET Aphroselinus quem vocant, comitiali morbo vexatos; non tamen nos experti sumus. Sunt verò, & alij lapides nonnulli, qui aduersus quædam suspenduntur. Cæterùm quidam, characteres quosdam, & litteras inscriptas habent, sicut qui hæmorroidibus congruit Hieracites, cuius nos fecimus periculum. Sed non est nunc tempus de illis disserere, qui sola experientia fidem habent, ac non rationali quadam methodo in vsum veniunt; aliud de his tempus erit, & locus. Nunc autem ad id, quod ab initio nobis toto opere propositum fuit, reuertor.

κα'. Περὶ ἀφροσελίνου.

ΚΑΙ ὁ ἀφροσέλινος καλούμενος, καὶ τοὺς ἐπιλήπτους, οὐ μὴν ἡμεῖς ἐπειράθημεν. Εἰσὶ δὲ καὶ ἄλλοι τινὲς λίθοι περιαπτόμενοι πρός τινων, ἔνιοι δὲ, καὶ χαρακτῆρας τινὰς ἐγγεγραμμένους ἔχοντες, καὶ γράμματα, καθάπερ καὶ ὁ πρὸς τὰς αἱμορροΐδας ἥρμοκεν ἱερακίτης, οὗ καὶ ἡμεῖς ἐπειράθημεν. ἀλλ' οὐ νῦν περὶ τῶν τοιούτων λέγειν καιρὸς ἐξ ἐμπειρίας μόνης ἐχόντων τὴν πίστιν, οὐ κατὰ μέθοδόν τινα λογικὴν εἰς χρῆσιν ἡκόντων. ἄλλος οὖν ὁ περὶ τούτων ἔσται καιρός τε καὶ τόπος. νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐξ ἀρχῆς ἡμῖν ἐν ὅλῃ τῇ πραγματείᾳ, πάλιν ἀνέλθωμεν.

B

CAPVT III.

De metallicis medicamentis.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν μεταλλικῶν φαρμάκων.

C

1. *De communibus metallorum rationibus, substantiis ac facultatibus.*

MEtallica medicamenta appellare medicis mos est, quorum generatio in metallis est, siue spontanea, siue per fornacem facta. Et ad hæc tertio loco sunt, quæ rursum homines ex his ipsis præparant quouis modo, velut cerussam, psoricum, sandica, phycum. Deinceps itaque de singulis dicetur ea serie literarum, qua quodque nomen incipit. Verùm illud primum de omnibus illis dicemus communi præfatione, qualem de lapidibus paulo ante habuimus, & his etiam superius de terra medicamentosa. Nam vti illis id inter sese omnibus commune est, vt deficcent, ita metallicis quoque medicamentis omnibus; est enim essentia eorum terrea, secundum elementaris videlicet terræ significatum nunc loquendo. Sed quemadmodum à nobis ex terra figulina, dolia, & fictila, ollæque, & alia eiusmodi parantur, per ignem, qui torrendo humiditatem absumit, durata; eundem in modum in terra, caliditate diutina mixtam ex terra, & aqua, nonnunquam etiam aëre, substantiam vniente temperantéque, ac postea desiccante, metallicorũ medicamentorum proueniunt consistentię. Porrò locorum in quibus hæc proueniunt, natura, prout plus minúsque est frigida, alia plùs, alia minùs congelat, ac cogit. Quemadmodum itaque in terræ differentiis plurima inest essentia terræ elementaris, paulum verò aëris; ita in metallicis multum immixtum est igneæ substantiæ. In medio eorum sunt lapides. Proinde pleraque metallicorum medicamentorum alia semel, aut bis, alia verò frequentius lota, idonea sunt ad desiccantes sine morsu facultates. Atque hæ sunt communes rationes quas de his omnibus præscire oporteat. Deinceps verò dicentur quæ cuique sigillatim sunt propriæ, idque iuxta literarum, à quibus appellationes incipiunt ordinem.

α'. Περὶ κοινῶν τῶν μετάλλων λόγων τε, καὶ συστάσεως καὶ δυνάμεων.

ΜΕΤΑΛΛΙΚΑ φάρμακα προσαγορεύειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ὧν ἡ γένεσις ἐν τοῖς μετάλλοις ἐστὶν, ἤτοι γε αὐτοφυὴς, ἢ διὰ καμίνου γινομένη. καὶ τρίτα γε πρὸς αὐτοῖς ἐστιν, ὅσα πάλιν ἐκ τούτων αὐτῶν οἱ ἄνθρωποι συσκευάζουσιν καθ' ὁντιναοῦν τρόπον, οἷον ψιμμύθιον, ψωρικὸν, σάνδικα, φῦκον. ἐφεξῆς οὖν ὑπὲρ ἁπάντων εἰρήσεται κατὰ τὴν τῶν γραμμάτων τάξιν, ἀφ' ὧν ἄρχεται τῶν ὀνομάτων ἕκαστον. ἐκεῖνο πρότερον ὑπὲρ ἁπάντων αὐτῶν κοινῇ προειποῦσιν ἡμῖν, ὥσπερ ἐπί τε τῶν λίθων ἐποιησάμεθα ὀλίγον ἔμπροσθεν, ἐπί τε τούτων ἀνώτερον, περὶ τῆς φαρμακώδους γῆς. ὥσπερ γὰρ ἐκεῖνα, κατὰ τὸν αὐτὸν τρόπον, καὶ τὰ μεταλλικὰ πάντα φάρμακα κοινὸν ἔχει τὸ ξηραίνειν. γεώδης γὰρ αὐτῶν ἐστιν ἡ οὐσία, κατὰ τὸ τῆς στοιχειώδους γῆς σημαινόμενον ὀνομάζοντός μου νῦν. ἀλλ' ὥσπερ ὑφ' ἡμῶν ἐκ τῆς κεραμίτιδος γῆς οἱ πίθοι τε καὶ αἱ κεραμίδες, αἵ τε χύτραι, καὶ τἆλλα τὰ τοιαῦτα γίγνεται, διὰ πυρὸς ἐκφρυγέντος αὐτῆς τοῦ ὑγροῦ, σκληρυνθέντα, τὸν αὐτὸν τρόπον, ἐν τῇ γῇ θερμασίας πολυχρονίου, τὴν μικτὴν οὐσίαν ἐκ γῆς καὶ ὕδατος, ἐνίοτε δὲ καὶ ἀέρος, ἑνοῦντός τε καὶ κεραννύντος, εἶτα ξηραίνοντος, αἱ συστάσεις γίνονται τῶν μεταλλικῶν φαρμάκων, ἡ δὲ τῶν χωρίων φύσις ἐν οἷς ταῦτα συνίσταται παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον εἶναι ψυχρὰ, τὰ μὲν μᾶλλον πήγνυσι, τὰ δὲ ἧττον. ὥσπερ οὖν ἐν ταῖς τῆς γῆς διαφοραῖς, πλείστη μὲν ἡ οὐσία τῆς στοιχειώδους γῆς, ὀλίγη δὲ ἡ τοῦ ἀερώδους, οὕτως ἐν τοῖς μεταλλευτοῖς, πολὺ τῆς πυρώδους ἐγκέκραται. μεταξὺ δὲ αὐτῶν εἰσιν αἱ λίθοι, διὸ καὶ τὰ πλεῖστα τῶν μεταλλικῶν φαρμάκων πλυνόμενα, τὰ μὲν ἅπαξ, ἢ δὶς, τὰ δὲ πλεονάκις, εἰς τὰς ἀδήκτως ξηραινούσας δυνάμεις γίνεται χρήσιμα. οὕτω μὲν οὖν οἱ κοινοὶ λόγοι, οὓς περὶ πάντων αὐτῶν ἀναγκαῖον προεγνῶσθαι. λεχθήσονται δ' ἐφεξῆς οἱ καθ' ἕκαστον ἴδιοι κατὰ τὴν τῶν γραμμάτων τάξιν, ἀφ' ὧν αἱ προσηγορίαι τῶν φαρμάκων ἄρχονται.

D

E

F

A

β'. Περὶ ἁλῶν.

Ἅλες, εἰσὶ μὲν καὶ οὗτοι ἐκ τῆς θαλάσσης γινόμενοι κατὰ τὰς καλουμένας ἅλας, ὧν κἀν τοῖς θαλαττίοις φαρμάκοις μνημονεύσομεν. εἰσὶ δὲ καὶ οἱ ὀρυκτοὶ καλούμενοι ὑπὸ τῶν μεταλλικῶν φαρμάκων περιλαμβανόμενοι γένει. δύναμιν δ' ἔχουσι παραπλησίαν ἀλλήλοις ἅπαντες, οἵ τ' ὀρυκτοὶ, καὶ οἱ ἀπὸ τῆς θαλάττης, περὶ ὧν εἴρηται μὲν πρόσθεν ἐν τῷ τετάρτῳ γράμματι, κατ' ἐκεῖνον τὸν λόγον ἡνίκα τὸν ἁλυκόν τε καὶ ἁλμυρὸν χυμὸν ἀπὸ πικροῦ διωρίζομεν. εἰρήσεται δὲ καὶ νῦν, ὡς ὁ μὲν ἐν τοῖς ἀφρονίτροις πικρός τέ ἐστι καὶ ῥυπτικός. ὁ δ' ἐν B τοῖς ἁλσὶ, τοσοῦτον ἀπολείπεται κατὰ τὸ ῥύπτειν, ὅσον πλεονεκτεῖ κατὰ τὴν στύψιν. ἔστι γὰρ μικτὸς ἐκ δυοῖν ποιοτήτων, ῥυπτικῆς τε καὶ στυπτικῆς. ὅτι δ' ἰσχυρῶς ἀμφότεροι ξηραίνουσιν, ἐδέδεικτο καὶ πρόσθεν. ἐν τῷ μέσῳ δ' ἀμφοῖν ἐστιν ὁ τοῦ λίτρου.

γ'. Περὶ ἀρμενιακοῦ.

Ἀρμενιακὸν, δύναμιν ἔχει ῥυπτικὴν ἅμα βραχείᾳ δριμύτητι, καὶ στύψει βραχυτάτῃ. μίγνυται τοιγαροῦν ὡς τοιοῦτο, καὶ ταῖς ὀφθαλμικαῖς δυνάμεσιν, καὶ αὐτὸ δὲ καθ' αὑτὸ λειώσαντες, καὶ χνοῶδες ἐργασάμενοι, χρῶνται ξηρῷ πρὸς C αὔξησιν τῶν ἐν τοῖς βλεφάροις τριχῶν, ὅταν ὑπὸ δριμύτητος χυμῶν, τινὲς μὲν ἐκπίπτοντες αὐτῶν, τινὲς δὲ ἀναυξεῖς καὶ ἄτροφοι γίγνονται. τῆς γὰρ δριμύτητος ταύτης ἐπιδαπανηθείσης, εἰς τὴν κατὰ φύσιν ἕξιν ἐπανάγει τὸ μόριον, οὗ τά τ' ἄλλα, καὶ τὸ φύειν, καὶ αὔξειν, καὶ ῥωννύναι τὰς τρίχας τῶν βλεφάρων ὑπάρχει. τινὰ μὲν γὰρ αὐτῶν ἐστιν ἄντικρυς τῶν φαρμάκων ἔργα, τινὰ δὲ διὰ μέσης τῆς τῶν ζώων σωμάτων διοικούσης φύσεως, καθάπερ καὶ τὰ τούτων αὐτῶν καλλιβλέφαρα προσαγορευόμενα. αὐτὰ μὲν γὰρ ξηραίνει μετρίως, τὰ μετρίως βεβλαμμένα μόρια, τὴν φθείρουσαν D τὰς τρίχας ὑγρότητα δαπανῶντα. ταύτης δὲ ἀπολομένης, ἡ φύσις ἐπὶ τὰς ἰδίας ἐνεργείας ἀφικνεῖται, τῶν τέως αὐτὴν ἐμποδιζόντων οὐκέτ' ὄντων.

δ'. Περὶ ἀρρενικοῦ.

Ἀρρενικὴ ἢ ἀρρενικὸν, ἑκατέρως γὰρ ὀνομάζεται, καυστικῆς ἐστι δυνάμεως, ἄκαυστόν τε καὶ κεκαυμένον. εὔδηλον δ' ὅτι, καὶ λεπτομερέστερον γίγνεται καυθέν, χρῶνται δ' αὐτῷ, καὶ εἰς τὰς ψιλώσεις τῶν τριχῶν, ὡς ἀποκαίουσι. εἰ χρονίσειέ γε, καὶ αὐτοῦ τοῦ δέρματος ἅπτεται. E

ε'. Περὶ ἀφρολίτρου.

Ἀφρόλιτρον, ἀφρονίτρου διαφέρει. νίτρου μὲν γὰρ ἀφρὸς, ξηραντικόν ἐστι φάρμακον, ἀλεύρῳ πυρίνῳ παραπλήσιος ὀφθῆναι. καὶ γὰρ καὶ λευκός ἐστιν, οὐχ ὥσπερ τὸ τῆς Ἀσίας πέτρας ἄνθος, τεφρῶδες. ἀφρόνιτρον δ' οὐκ ἀλευρῶδες, οὐδὲ διαλελυμένον, ἀλλὰ πεπηγός ἐστι, καὶ συνεστός, ᾧ πάντες οἱ ῥυπῶντες ἐν τοῖς βαλανείοις ὁσημέραι χρῶνται, ῥυπτικὴν ἔχοντι δύναμιν, ὡς μὴ μόνον ἀποσμῆξαι ῥύπον, ἀλλὰ καὶ κνησμὸν ἰάσασθαι, διαφορουμένων F ὑπ' αὐτοῦ τῶν ἐργαζομένων αὐτὸν ἰχώρων. εἰκότως οὖν οἱ ἰατροὶ σκευάζουσιν ἐξ αὐτοῦ πολλὰ τῶν διαφορούντων φαρμάκων. ὁ δ' ἀφρὸς τοῦ νίτρου, τῆς αὐτῆς μὲν ἐστι φύσεως καὶ δυνάμεως τῷ νίτρῳ, λεπτομερεστέραν δ' ἔχει τὴν οὐσίαν. ἐρρέθη γε μὴν ὀλίγον ἔμπροσθεν ἐν τῷ μεταξὺ, κατὰ τὴν δύναμιν εἶναι τὸ ἀφρόλιτρον ἀφρο-

2. De *Halis*, *Salibus*.

SAl partim ex mari prouenit, in salinis videlicet dictis, cuius & inter marina medicamenta mentionem facturi sumus; partim fossilis communi metallicorum genere comprehensus. Vtrique vis assimilis est, siue fossilis sit, siue ex mari oriundus. De quibus, & supra verba fecimus libro quarto, eo loco, vbi salsum, ac salsuginosum saporem ab amaro distinximus. Ac nunc quoque dicetur, quòd in Aphronitris quidem amarus est, & abstergens. In salibus verò tanto in abstergendo inferior est, quantum ei accessit astrictionis; est enim ex duabus qualitatibus mixtus abstergente videlicet, & astringente. Porrò quod magnopere vterque desiccet, supra monstratum est. Cæterùm vtriusque in medio est nitri sapor.

3. De *Armeniaco*.

ARmeniacum vim habet extergentem cum leuicula acrimonia, & leuissima astrictione. Itaque tale quum sit, ocularibus miscetur facultatibus. Et ipso per sese quoque ad pollinis læuorē redacto, vtuntur sicco ad pilorum in palpebris incrementum, nempe vbi præ humorum acrimonia partim excidunt, partim verò nec crescunt, nec aluntur. Siquidem depastis his acrimoniis, in bonum naturæ habitum pars reducitur; cuius quum alia sunt munera, tum etiam producendi, incrementum præbendi, ac roborandi, qui in palpebris sunt pili; quippe quum prima, & ex professo, quædam sint medicamentorum opera; quædam verò mediante natura, quæ animantium corpus dispensat, eduntur, velut quæ in ipsis calliblephara nuncupant. Ipsa enim partes oblæsas mediocriter desiccant, pilos corrumpentem humiditatem absumendo; quæ vbi abolita est, tum natura ad proprias redit actiones, nimirum sublatis, quæ hactenus impedimento fuerant.

4. De *Arrhenico*.

ARrhenice siue Arrhenicum (vtroque enim modo appellitant) facultatis est causticæ siue vrentis, idque tam combustum, quàm vstionis expers. Cæterùm id constat vstione reddi tenuiorum partium. Vtuntur porrò eo ceu adurente ad denudandam pilis partem quamuis, verùm si diutius inhæreat, nec cuti etiam ipsi parcet.

5. De *Aphrolitro*.

APhrolitrum ab Aphronitro differt. Nitri enim spuma, medicamentum est exiccatorium, aspectu triticeæ farinæ similis; etenim alba est, non vt Asiæ petræ flos, cinericea; Aphrolitrum verò farinæ speciem non habet, neque solutum est, sed congelatum, & coactum, quo qui in balneis sordes exterunt, quotidie vtuntur; ea detergendi facultate, vt non modò sordes extergeat, sed etiam pruritum sanet, nempe discussa, quæ ipsum excitat, sanie. Non abs re itaque medici ex eo multa digerentium medicamentorū præparant. At spuma nitri eiusdem quidem cum nitro tū naturæ, tum facultatis est, cæterùm essentiæ tenuioris. Dictum tamen paulo ante est, nimirum in medio consistentem habere facultatem aphro-

nitri

nitri, & salis. Aphronitro enim sola inest vis extergendi, sali verò etiam astringendi multò magis, ac extergendi.

6. De Gypso.

GYpsum, & ipsum ad communem omnium terrenorum lapidosorumque corporum facultatem, qua desiccare dicta sunt, insuper hoc adiunctum habet, quòd est facultatis emplasticæ. Vnitur enim ipsa ad sese, & cogitur, lapidescitque macerata. Quamobrem siccis medicamentis, quæ ad sanguinis accommodantur eruptionem, vtiliter commiscetur; nam ipsa per sese lapidosa fit, coacta, ac congelata. Proinde rigare diluereque illam excogitaui tenui alboque oui liquore, quod ad ophthalmias vtile est, admixto quod in farina triticea est pollinis tenuissimi qui in parietibus molarum residet. Excipere verò, quod sic maceratum est, tenellis leporis pilis, aut qui perinde sunt molles, expedit.

7. De Gypso vsto.

GYpsum combustum non æquè emplasticam vim habet, cæterùm tenuiorum est partium, & valentiùs desiccat. Quin & repercussorium est, maximè si maceretur oxycrato.

8. De Diphryge.

DIphryges mixtam habet, tum qualitatem, tum facultatem; habet enim in sese quiddam, & mediocriter astringens, & mediocriter acre. Quamobrem vlcerum malignorũ optimum medicamentum est. Conuexi autem & huius medicamenti vim ingentẽ ex iis, qui in Cypro sunt Solis, vbi metallum ab vrbe abest quasi triginta stadiis. Proiectum enim erat in medio spatio ædiũ quæ ante metallum extructæ erant, & vici qui ei subiacet. Cæterùm præfectus, ac Procurator metalli, id quod post cadmiam reperiretur, esse dicebat inutile; itaque abiici non secus, atque vstorum in foco lignorum cinerẽ. Verùm hoc mihi multo vtilissimum factum est medicamentũ, tum ad putrescentia oris vlcera, siue per se, siue cum melle, cui detracta sit spuma; tum ad anginam, videlicet, vbi iam per astringentium medicamentorum auxilium constitit, quod influebat. Præterea columellam vbi præsecuissem, ipso solo, & statim, & vsque ad cicatricem sum vsus; ac frequẽter exactè occlusam effecit cicatricem, tum huius particulæ, tum omnium adeo exulceratarum; sic in vlceribus omnibus pudendorum, atque ani. Vsus autem similis est, vt in oris vlceribus. siquidem eæ partes eisdem ferè medicamentis gaudent, nimirum calidæ similiter, ac humidæ, verùm hæc oratio iam tractatum de componendis medicamentis attingit. Ea itaque omissa, ad id quod propositum est pergamus, vniuersalem medicamenti cuiusque facultatem exponentes, sicut sanè diphrygis diximus. Adiiciam verò huic, qui de illo habetur, sermoni rem non modo de diphryge scitu vtilem, sed & de Lemnia sphragide & pompholyge, & opobalsamo, & lycio Indico. Nam etiamnum adolescens didici hæc ita præparare, vt

A νίτρου τε καὶ ἁλῶν. Ἀφρολίτρῳ μὲν γὰρ ἡ ῥυπτικὴ δύναμις ὑπάρχει μόνη, τοῖς δ᾽ ἁλσὶ, καὶ ἡ στυπτικὴ, πολὺ πλείων δὲ, ἡ ῥυπτική.

ϛ΄. Περὶ γύψου.

ΓΥψος, καὶ αὐτὴ πρὸς τῇ κοινῇ πάντων τῶν γεωδῶν σωμάτων καὶ λιθωδῶν δυνάμει, καθ᾽ ἣν ἐλέγετο ξηραίνειν, ἔτι καὶ τοῦτο προσείληφεν, ὅτι ἐμπλαστικῆς τ᾽ ἐστὶν δυνάμεως. ἑνοῦται γὰρ αὐτὴ πρὸς αὑτὴν, καὶ πήγνυται, καὶ λιθοῦται βρεχεῖσα, διὸ καὶ τοῖς πρὸς αἱμορῥαγίας ἁρμόττουσι φαρμάB κοις ξηροῖς, μίγνυται χρησίμως. αὐτὴ γὰρ μόνη καθ᾽ αὑτὴν λιθώδης γίγνεται, καὶ σκληρὰ πηγνυμένη, καὶ διὰ τοῦτο ἐπενόησα διεῖν αὐτὴν ᾠοῦ τῷ λεπτῷ καὶ λευκῷ, τῷ πρὸς τὰς ὀφθαλμίας χρησίμῳ, μιγνὺς ἀλεύρου πυρίνου τὸ χνοωδέστατον, ὃ προσίζει τοῖς τοίχοις κατὰ τοὺς μύλωνας. ἀναλαμβάνειν δὲ χρὴ τὸ οὕτως φυραθὲν, ἁπαλαῖς ταῖς θριξὶν λαγῳαῖς, ἤ καί τισι τῶν ὁμοίως μαλακῶν.

ζ΄. Περὶ γύψου κεκαυμένης.

C

ΚΑυθεῖσα δὲ γύψος, τὸ μὲν ἐμπλαστικὸν οὐχ ὁμοίως ἔχει, λεπτομερεστέρα δὲ καὶ ξηραντικωτέρα γίγνεται, καὶ μέντοι καὶ ἀποκρουστικὴ καὶ μάλιστα ὅταν ὀξυκράτῳ δευθῇ.

η΄. Περὶ διφρυγοῦς.

ΔΙφρυγὲς μικτῆς ἐστι ποιότητος, καὶ δυνάμεως. ἔχει γάρ τι καὶ μετρίως στῦφον ἐν αὐτῷ, καὶ δριμὺ μετρίως,
D διὸ καὶ τῶν κακοήθων ἑλκῶν ἀγαθόν ἐστι φάρμακον. ἐκόμισα δὲ καὶ τούτου τοῦ φαρμάκου πολύ τι πλῆθος, ἐκ τῶν ἐν Κύπρῳ Σόλων, ἔνθα τὸ μέταλλόν ἐστιν, ὡς ἀπὸ σταδίων τῆς πόλεως τριάκοντα. ἐῤῥίπτο γὰρ ἐν τῷ μεταξὺ τόπῳ, τοῦ τε προκειμένου κατὰ τὸ μέταλλον οἴκου, καὶ τῆς ὑποκειμένης αὐτῷ κώμης. ὁ δὲ προεστὼς ἐπίτροπος τοῦ μετάλλου, τὸ μετὰ τὴν καδμείαν εὑρισκόμενον ἄχρηστον ἔλεγεν ὑπάρχειν αὐτὸ, διὸ καὶ ῥίπτεσθαι παραπλησίως τῇ κατὰ τὰς ἑστίας τέφρᾳ τῶν καιόντων ξύλων. πολύχρηστον δ᾽ ἱκανῶς ἐγένετό μοι τὸ φάρμακον τοῦτο, πρός τε τὰ κατὰ τὸ στόμα σηπεδονώδη τῶν ἑλκῶν, αὐτό τε καθ᾽
E αὑτὸ καὶ μετὰ μέλιτος ἀπηφρισμένου, καὶ πρὸς συνάγχην, ὅταν ἤδη φθάνῃ διὰ τῶν στυφόντων ἀνεσταλμένον τὸ ἐπιῤῥέον. καὶ γαργαρεῶνα δὲ ἀποτεμὼν, αὐτῷ μόνῳ, παραχρῆμά τε καὶ μέχρι συνουλώσεως ἐχρησάμην, πολλάκις ἐσφραγισμένην ἀκριβῶς οὐλὴν ἐργαζόμενος, καὶ τούτου τοῦ μορίου, καὶ πάντων τῶν ἑλκωθέντων. οὕτω δὲ καὶ κατὰ τῶν ἐν αἰδοίοις τε, καὶ ἕδρᾳ πάντων ἑλκῶν. ἡ δὲ χρῆσις, ὁμοία τοῖς κατὰ τὸ στόμα. καὶ γὰρ καὶ χαίρει πως τοῖς αὐτοῖς φαρμάκοις, τὰ μέρη θερμὰ καὶ ὑγρὰ παραπλησίως ὄντα. προσάπτεται δὲ ὁ τοιοῦτος λόγος ἤδη καὶ τῆς περὶ συνθέσεως φαρμάκων πραγματείας. ἐάσαντες
F οὖν αὐτὸν, ἐπὶ τὸ προκείμενον ἴωμεν, αὐτὴν τὴν καθόλου δύναμιν ἑκάστου λέγοντες φαρμάκου, ὥσπερ καὶ τοῦ διφρυγοῦς εἴπομεν. προσθήσω δή τι τῷ κατ᾽ αὐτὸ λόγῳ, χρήσιμον οὐ περὶ διφρυγοῦς μόνον γινώσκειν, ἀλλὰ καὶ περὶ Λημνίας σφραγῖδος, καὶ πομφόλυγος, καὶ ὀποβαλσάμου, καὶ Λυκίου τοῦ Ἰνδικοῦ. τούτων γὰρ ἔμαθον ἔτι μειράκιον ὢν σκευασίας, ἃ διά-

A γνώστον τὸ σκευασθὲν ἐργαζόμενος τῶν ἀληθινῶν. ἦν δὲ ὁ διδάξας, ἄνθρωπος ἐπὶ μισθῷ μεγάλῳ περιεργότατος οὐκ ἐς ταῦτα μόνον, ἀλλὰ καὶ ἄλλα παραπλήσια. διὰ τοῦτο τοιγαροῦν ἔς τε Λῆμνον καὶ Κύπρον καὶ τὴν Παλαιστίνην Συρίαν ἐσπούδασα πορευθεὶς, ἑκάστου τῶν φαρμάκων τούτων πολὺ πλῆθος εἰς ὅλον ἐμαυτοῦ παραθέσθαι τὸν βίον, ἀλλὰ καὶ τὸ Λύκιον τὸ Ἰνδικὸν ἀρτίως ἐνηνεγμένον ἐς Φοινίκην, ἅμα τῇ Ἰνδικῇ ἀλόῃ κατ᾽ ἐκεῖνον τὸν χρόνον εὐτύχησα λαβεῖν, ἡνίκα τὴν ἀπὸ τῆς Παλαιστίνης ὁδὸν ἐποιούμην, αὐτῷ τε τῷ κεκομίσθαι διὰ τῶν καμήλων, B σὺν τῷ πολλῷ φορτίῳ, πεισθεὶς Ἰνδικὸν ὑπάρχειν αὐτὸ, καὶ τῷ, τὸ νοθευόμενον οὐ δύνασθαι πρὸς τῶν κομιζόντων γινώσκεσθαι, τῆς ὕλης ἐξ ἧς σκευάζεται κατὰ τοὺς τόπους ἐκείνους μὴ γινομένης. ἄμεινον δ᾽ ἔδοξέ μοι οὐδαμῶς γράφειν τὰς τῶν νόθων συνθέσεις, τῶν πονηρῶν ἀνθρώπων ἕρμαιον, ἡγουμένων τὰ τοιαῦτα μανθάνειν. οὐδὲ γὰρ ἀναγκαῖον, ἅμα ταῖς διαγνώσεσιν τῶν ἀληθινῶν καὶ γνησίων, τὰς τῶν νόθων συνθέσεις γινώσκειν, μηδέν γε συντελούσας εἰς τὴν διάγνωσιν αὐτῶν, ἐβουλόμην δ᾽ ἂν, εἴ μοι δυνατὸν ἦν, καὶ τὰς παρὰ τοῖς ἐμοῦ πρεσ- C βυτέροις τῶν παραπεποιημένων φαρμάκων σκευασίας ἀπαλεῖψαι.

A à veris natiuisque nihil differre viderentur; nam qui me docebat ingenti mercede, homo curiosissimus erat, non in his tantùm, sed & aliis similibus. Itaque in Lemnum, in Cyprum, in Palæstinam Syriam, eo studio nauigaui, vt medicamentorum istorum cuiusque vim magnam quæ in omnem vitam meam satis foret, reponerem. Sed & lycium Indicum nuper asportatum in Phœnicen cum aloë Indica id temporis commodum accipere contigit, quum à Palæstina iter reflecterem; quum persuasum haberem, B eo ipso, quòd à camelis cum tota sarcina aduectum esset, proculdubio esse Indicum; quodque adulteratum haud nosci ab iis, qui portassent, posset, propterea quod materia, ex qua id præparatur, atque adulteratur, illis in locis haud nasceretur. Porrò satius visum est mihi, quibus rationibus ea adulterantur, haudquaquam ascribere, vtpote quum homines scelerati in lucro ponant talia posse discere. Nec enim necessarium est cum verorum, ac germanorum notis ac indiciis, adulterandorum nosse compositiones, quum nihil ad ea discernenda conferant; imò optem, si fieri posset, quæ à maioribus me perperam C conficiendorum medicamentorum proditæ sunt compositiones, omnes prorsum delere, atque extirpare.

θ΄. Περὶ θείου.

ΑΠαν μὲν θεῖον ἑλκτικῆς ἐστι δυνάμεως, θερμὸν μὲν τῇ κράσει, λεπτομερὲς δὲ κατὰ τὴν οὐσίαν ὑπάρχον, ὡς καὶ πρὸς πολλὰ τῶν ἰοβόλων ἀνθίστασθαι. ἔγωγ᾽ οὖν ἐπί τε τρυγόνος θαλασσίας, καὶ δράκοντος ἐχρησάμην αὐτῷ πολλάκις, D ἁλιεῖς τέ τινας διδάξας, ἤκουσα μετὰ χρόνον αὐτῶν ἐπαινούντων μεγάλα τὸ φάρμακον. ἡ δὲ χρῆσις γὰρ, καὶ ξηροῦ κατὰ τοῦ νύγματος ἐπιπαττομένου τοῦ φαρμάκου, καὶ σιάλου μεμιγμένου. καὶ γὰρ καὶ τοῦτο ἐπενοήσας, εὗρον ὑπὸ τῆς πείρας μαρτυρούμενον, ἐπενόησα δὲ καὶ δι᾽ οὔρου βρεχθὲν αὐτὸ ποιήσειν. εὐπόριστα γὰρ ἁλιεῦσιν ὅλως ἐδίδασκον φάρμακα, καὶ σὺν ἐλαίῳ δὲ παλαιῷ ἢ σὺν μέλιτι καὶ σὺν ῥητίνῃ τερμινθίνῃ, καλῶς ἂν ἔφην αὐτοὺς χρήσασθαι. καὶ μέν τοι καὶ πάντων τούτων ἡ πεῖρα, τὴν κρίσιν ἐποιήσατο. καὶ ψώρας δὲ, καὶ λειχῆνας, καὶ λέπρας οὐκ ὀλιγάκις ἰασάμην τῷ φαρ- E μάκῳ τῷδε, μετὰ ῥητίνης τερμινθίνης. ἀπορρύπτει γὰρ τὰ τοιαῦτα πάντα πάθη, χωρὶς τοῦ πρὸς τὸ βάθος ἀποκρούεσθαι, πολλῶν ἄλλων φαρμάκων τῶν ἰωμένων αὐτὰ, μικτὴν ἐχόντων δύναμιν, ὡς διαφορεῖν τε καὶ ἀποκρούεσθαι.

9. *De Sulfure.*

SVlfur omne trahendi vim possidet, estque temperamenti calidi, atque essentiæ tenuis, adeo vt ad multa venenatorum animalium resistat. Siquidem ego aduersus turturem marinum, & Draconem, sæpenumero eo sum vsus; & D quum id piscatores quosdam docuissem, reuerso post aliquantum temporis magnificè medicamentum hoc commendarunt. Vsus eius est, vt & siccum ictui inspergatur, & cum saliua mixtum; nam quum & hoc excogitassem, ab experientia comprobari reperi. Sed & vrina maceratum idem effecturum excogitaui. Docebam enim piscatores medicamenta maximè parabilia; dixique pulchrè illos, & cum oleo veteri, & melle, & resina terebinthina vsuros. Et sanè horum omnium experientia iudicium præstitit. Quin & psoras, & lichenas, & lepras, non rarò hoc E medicamento cum resina terebinthina sanaui. Extergit omnes id genus affectus, atque in profundum non repellit: quum alia multa medicamenta, quæ illos curant, mixtam habeant potentiam, nempe vt discutiant pariter, & repellant.

ι. Περὶ ἰοῦ.

ΙΟς, δριμεῖαν ἔχει γευομένοις ποιότητα, διαφορητικός τε, καὶ καθαιρετικὸς, καὶ τηκτικὸς ὢν οὐχ ἁπαλῆς μόνον, F ἀλλὰ καὶ σκληρᾶς σαρκός. εἴρηται δ᾽ ἐν τοῖς ἔμπροσθεν, ὡς ἔνιοι πολλὰ τῶν τοιούτων φαρμάκων ἐπουλωτικὰ καλοῦσιν, ἐπειδὰν λειώσαντες αὐτὸν καὶ χνοώδη ποιήσαντες, ἅπτονται τῶν ὑπερσαρκούντων ἑλκῶν διὰ μήλης πυρῆνος. εἶτα καὶ τὴν ὑστεραίαν εὑρίσκουσιν προσεσταλμένα καίτοι γε γινώσκοντες, ὡς εἰ βραχεῖ πλέον ἐπιτεθείη, οὐ κατεσταλμένον, ἀλλὰ καὶ καταβρωσκόμενον εὑρήσουσι τὸ ἕλκος. τήκει γὰρ καὶ διαφορεῖ τὴν σάρκα, τῶν ἐπουλωτικῶν φαρμάκων,

10. *De Aerugine.*

AErugo gustantibus acrem qualitatem offert, digerens, detrahens, & liquans F non teneram modò, sed & duram carnem. Porrò supra dictum est nonnullos eius generis medicamenta, Epulotica appellare, quum iis in tenuissimum pollinem tritis per specilli cuspidem contigerit vlcera excrescentia, ac postridie contracta reperiant; tametsi illos haud lateat, si paulo plus impositum foret, sese vlcus non contractum, sed erosum inuenturos. Siquidem colliquat, & digerit carnem, quum medicamenta epulotica

epulotica contrahant, constipent, constringant, & calli in morem illam indurent. Quin & gustum mordicat ærugo, non tantùm ipsa vlcera. Quòd si pauculum eius cerato non pauco admisceas, id quod ex ambobus mixtum est, citra morsum exterget. Dictum verò supra est de talium medicamentorum natura, tum vt sese quidam fallant, ex talibus compositionibus, aut sarcoticam, aut epuloticam facultatem medicamentis ascribentes, quibus minimè oportet, vtpote quum ipsa id præstare nequeant, verùm ea, quæ ex ipsis composita sunt.

II. De Cadmia.

Cadmia fit, vbi in fornacibus æs paratur, nempe tota terra ex qua æs generatur, in fornacibus in altum egerente velut fuliginem quampiam, aut fauillam, vtcunque appellare libuerit. At si non terram, sed lapidem nuncupare velis, ex quo in fornacibus secernendo partim fit æs, partim cadmia, partim diphryges, nihil sanè retulerit. Sed & in argenteis metallis efficitur simili secretione, siue generatione, aut quomodocunque vocare voles. Quin & ex Pyrite lapide in fornacibus vsto fit cadmia. Cæterùm absque fornace in Cypro Cadmia inuenitur; ac iure quispiam illam lapidem nuncupet. Itaque in Solis paucissimum etiam reliquum erat cadmiæ, quæ in fornacibus prouenit, quo tempore ego in insula peregrinabar. Verùm lapides, qui in montibus, & riuis reperiebantur, à metallis Præfecto acceptos, in Asiam Italiámque portaui ad amicos; à quibus summam inibam gratiam, quòd se vel maximum munus accepisse dicerent, & quæ alia omni cadmia multo esset præstantior. Et talem certè meritò quis lapidosam vocet cadmiam. At eius quæ combusta est, aliam Botryitin, aliam Placitim medici nuncupant; Botryitin quidem, quæ in editioribus domorum, in quibus fornaces extructæ sunt, partibus colligitur; Placitin verò, quæ in inferioribus. Ac liquet sanè botryitim partium esse tenuiorum; crassiorum verò placitin, vtranque autem vi desiccandi, ceu alia metallica omnia, & lapidosa terrenaque. Porrò præter desiccandi facultatem, mediocriter extergit. Attamen quæ in fornacibus colligitur, igneæ facultatis aliquid habeat necesse est. Meritò itaque lauantes eam, medicamentum efficiunt mediocriter, tum desiccans, tum extergens absque mordicatione, vtile ad vlcera carnis impletionem poscentia, & in oculis, & in toto corpore. Porrò vlcera magnopere humida, aut putrescentia in corporibus impendio mollibus, qualia sunt eunuchorum, puerorum, ac mulierum, eiusmodi cadmia adiuuat; at in durioribus, & contentioribus, quæ valentius desiccant, requirunt. Itaque illud semper memoria tenendum, sermonem ad temperatam, & mediam excessuum naturam in iis, quæ ita simpliciter efferuntur, referendum; puta quum dicimus medicamentum, aut vlcera carne implere, cicatrice claudere, aut aliud quiduis eius generis præstare; ad quam vtique & nos respicientes, desiccatoriam leuitérque abstersoriam cadmiæ inesse facultatem dicimus. In caliditatis autem, & frigiditatis differentia temperata quodammodo existit cadmia, nempe neutrum insigniter efficiens.

A συναχθέντων τε, καὶ πληρούντων, καὶ σφιγγόντων, καὶ τυλούντων αὐτήν. ἔστι δὲ καὶ τῇ γεύσει δακνώδης, οὐ μόνον τοῖς ἕλκεσιν ὁ ἰός. εἰ δέ τις μίξειεν ὀλίγον κηρωτῇ πολλῇ, ῥυπτικὸν ἀδήκτως γίνεται τὸ μικτὸν ἐξ ἀμφοῖν. εἴρηται δ' ἔμπροσθεν ὑπὲρ τῆς φύσεως τῶν τοιούτων φαρμάκων, ὅπως τε παραλογίζονταί τινες ἑαυτοὺς ἐκ τῶν τοιούτων συνθέσεων, ἤτοι σαρκωτικὴν, ἢ ἐπουλωτικὴν δύναμιν οἷς οὐ χρὴ, προσάπτοντες φαρμάκοις, οὐκ αὐτοῖς τοῦτο ποιεῖν πεφυκόσιν, ἀλλὰ τοῖς ἐξ αὐτῶν συντελοῦσιν συγκειμένοις.

B

ια'. Περὶ καδμείας.

Καδμεία, γίνεται μὲν καὶ κατὰ τὴν ἐν ταῖς καμίνοις χώνευσιν τοῦ χαλκοῦ, τῆς γῆς ὅλης ἐκείνης ἐξ ἧς ὁ χαλκὸς γίνεται κατὰ τὴν καμινείαν ἀναπεμπούσης εἰς ὕψος οἷον αἰθαλώδη τινὰ, ἢ ἄσβολον, ἢ αἰθάλην γε καὶ ἀσβόλην, ὡς ἂν ἐθέλῃ τις καλεῖν. εἰ δ' οὐ γῆν, ἀλλὰ λίθον ἐθέλεις καλεῖν, ἐξ οὗ διακρινομένου κατὰ τὰς καμίνους τὸ μέντοι χαλκὸς γίνεται, τὸ δὲ, καδμεία, τὸ δὲ διφρυγὲς, διαφερέτω μηδέν. γίνεται δὲ καὶ ἐν τοῖς ἀργυρείοις μετάλλοις κατὰ τὴν ὁμοίαν διάκρισιν, ἢ χώνευσιν, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν. C ἀλλὰ καὶ τοῦ πυρίτου λίθου καμινευομένου, γίνεται καδμεία. καὶ χωρὶς δὲ καμίνου, καδμεία κατὰ Κύπρον εὑρίσκεται, καὶ δικαίως ἄν τις τὴν τοιαύτην ὀνομάζει λίθον. ἐν γοῦν τοῖς Σόλοις, τῆς ἐν ταῖς καμινείαις γινομένης καδμείας, ὀλίγιστον ἦν ἔτι καθ' ὃν ἐγὼ χρόνον ἐπεδήμησα τῇ νήσῳ. λίθους δὲ λαβὼν παρὰ τοῦ τοῖς μετάλλοις ἐπιτεταγμένου, κατά τε τὰ ὄρη, καὶ τοὺς ῥύακας εὑρισκομένους, οὓς εἰς Ἀσίαν τε καὶ Ἰταλίαν κομίσαντός μου, μέγιστον δῶρον ἐδόκουν οἱ φίλοι λαμβάνειν, ὡς τῆς ἄλλης καδμείας ἐκείνην οὖσαν ἀμείνονα. D τὴν τοιαύτην μὲν οὖν εἰκότως ἄν τις ὀνομάζοι λιθώδη καδμείαν, τῆς δὲ καμινευομένης, ἡ μέν τις βοτρυῖτις, ἡ δὲ, πλακῖτις, ὑπὸ τῶν ἰατρῶν καλεῖται. βοτρυῖτις μὲν ἡ ἐν τοῖς ὑψηλοτέροις μέρεσι τῶν οἴκων ἀθροιζομένη κατὰ τὰς καμινείας, πλακῖτις δὲ, ἡ ἐν τοῖς ταπεινοτέροις. καὶ πρόδηλον, ὅτι λεπτομερεστέρα μὲν ἡ βοτρυῖτίς ἐστι, παχυμερεστέρα δὲ, ἡ πλακῖτις. ἀμφότεραι δὲ ξηραντικῆς δυνάμεως, ὥσπερ καὶ τἄλλα τὰ μεταλλευόμενά τε, καὶ λιθώδη καὶ γεώδη. πρὸς δὲ τῇ ξηραντικῇ, καὶ τὴν ῥυπτικὴν μετρίως ἔχει. ἥ γε μὴν ἐκ τῶν καμίνων, ἐξ ἀνάγκης ἔχει τι καὶ τῆς τοῦ πυρὸς δυνάμεως. E εἰκότως οὖν πλύνοντες αὐτὴν, φάρμακον ἐργάζονται ξηραῖνόν τε καὶ ῥύπτον μετρίως, ἄνευ δήξεως, ὡς εἰς τὰ πληρώσεως ἕλκη δεόμενα, κατά τε τοὺς ὀφθαλμοὺς, καὶ τὸ πᾶν σῶμα, χρήσιμον. τὰ δὲ λίαν ὑγρὰ τῶν ἑλκῶν, ἢ σηπεδονώδη, κατὰ μὲν τὰ πάνυ μαλακὰ τῶν σωμάτων, οἷα τὰ τῶν εὐνούχων τε καὶ παίδων, καὶ γυναικῶν ἐστιν, ὀνίνησιν ἡ τοιαύτη καδμεία. κατὰ δὲ τὰ σκληρὰ, καὶ σύντονα, τῶν εὐτονώτερον ξηραινόντων ἐστὶ χρεία φαρμάκων. ἀεὶ τοίνυν χρὴ μεμνῆσθαι, πρὸς τὴν εὔκρατόν τε καὶ μέσην τῶν ὑπερβολῶν φύσιν ἀναφέρεσθαι τὸν λόγον ἐν ἅπασι τοῖς ἁπλῶς λεγομένοις, οἷον ὅτε εἴπωμεν ἤτοι πληρωτικὸν ἑλκῶν, F ἢ ἐπουλωτικὸν εἶναι φάρμακον, ἢ ἄλλο ὁτιοῦν ἄλλο ποιοῦν, πρὸς ἣν καὶ ἡμεῖς νῦν ἀναφέροντες ξηραντικὴν καὶ βραχέως ῥυπτικὴν τῇ καδμείᾳ τὴν δύναμιν εἶναι φαμέν· ἐν δὲ τῇ κατὰ θερμότητά τε καὶ ψύξιν διαφορᾷ, σύμμετρός πώς ἐστιν, οὐδέτερον ἐπιφανῶς ἐργαζομένη.

A

ιβ'. Περὶ κινναβάρεως.

Κιννάβαρι, δριμείας μετρίως δυνάμεώς ἐστιν. ἔχει δέ τι καὶ στύψεως.

ιγ'. Περὶ κισσήρεως.

Κισσηρις, ἐάν τ' ἐν τοῖς μεταλλικοῖς τάξῃς αὐτήν, ἐγκαλέσουσιν οἱ φιλέγκλημονες. ἄν τ' ἐν τοῖς λίθοις, οὐ συγχωρήσουσι λίθον εἶναι, πολὺ δὲ μᾶλλον, οὐδὲ γῆν, οὐδὲ τὴν ἐκ θαλάττης τι. καὶ μὴν δεῖ ποτε περὶ αὐτῆς εἰπεῖν, ἐμβαλλομένης εἴς τε τὰ σαρκωτικὰ φάρμακα, καὶ τὰ τῶν ὀδόντων ῥυπτικά. B τοῦτο μὲν οὖν ἀκαύστου, τοῦτο δὲ κεκαυμένης, ἡνίκα καὶ λεπτομερεστέρα γίνεται, τοῖς ἄλλοις τοῖς κεκαυμένοις ἅπασι παραπλησίως, ἀλλ' ἐν τῇ καύσει προσλαμβάνει τι δριμύ, καὶ ἀποτίθεταί γε πάλιν αὐτό, πλυνομένη. δόξειε δ' ἂν τοὺς ὀδόντας λαμπρύνειν, οὐ τῇ δυνάμει μόνον, ἀλλὰ καὶ τῇ τραχύτητι, καθάπερ εἰ καὶ σμύριν, ἢ ὄστρακον, ἤ τι τοιοῦτον λειώσας, προσφέρεις, ἅ τινα καὶ αὐτὰ λαμπρύνει τάχα κατ' ἄμφω, διότι τε ῥυπτικὸν ἔχει τι, καὶ τῇ τραχύτητι. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὰ κεκαυμένα κέρατα λαμπρυντικὰ τῶν ὀδόντων ἐστίν. C

ιδ'. Περὶ κονίας τῆς ἐκ τῆς τέφρας.

Κονία. τῆς τέφρας πλυθείσης ἡ κονία γίνεται, τέφραν δέ, τὸ ὑπόλειμμα τῶν κεκαυμένων σωμάτων ὀνομάζουσιν οἱ Ἕλληνες, ἐάν τε λιθώδη τὴν φύσιν, ἐάν τε δένδρων, ἢ ζώων ἢ μόρια. κατὰ τὴν φύσιν οὖν τοῦ πλυνομένου, καὶ ἡ κονία γίνεται. τοῦ μὲν ἐμπύρευμα δριμύτατον ἔχοντος, δριμυτάτη. τοῦ δὲ μὴ τοιούτου, μετριωτέρα, D διὸ καὶ ταῖς σηπτικαῖς λεγομέναις δυνάμεσι μίγνυται, καυστικὴν ἔχουσα θερμότητα, τῷ λεπτομερεῖ τῆς οὐσίας ἀνωδύνως καίουσα.

ιε'. Περὶ κυανοῦ.

Κύανος, εἴτ' ἀρσενικῶς, εἴτε θηλυκῶς ἐθέλεις ὀνομάζειν τὸ φάρμακον τοῦτο, δριμείας ἐστὶ δυνάμεως, καθαιρετικῆς τε καὶ διαφορητικῆς, πλέονος ἢ κατὰ τὸ κιννάβαρι· E μετέχει δὲ καὶ στύψεως.

ις'. Περὶ λεπίδος τῆς ἀπὸ χαλκοῦ, καὶ σιδήρου, καὶ στομώματος.

Λεπίς, ἡ μὲν τίς ἐστι χαλκοῦ πολύχρηστον φάρμακον, ἡ δὲ τις σιδήρου τε καὶ στομώματος. ὀνομάζουσι δὲ τινες καὶ ἡλῖτιν λεπίδα. ξηραίνουσι μὲν οὖν ἰσχυρῶς ἅπασαι. διαφέρουσι δ' ἀλλήλων, αὐτῷ τε καὶ τῷ ξηραίνειν ἧττόν τε καὶ μᾶλλον, F καὶ τῷ παχυμερεστέρας ἢ λεπτομερεστέρας οὐσίας εἶναι, καὶ τῷ στύψεως μετέχειν ἧττόν τε καὶ μᾶλλον. ἡ μὲν οὖν ἡλῖτις, ἐν τῷ ξηραίνειν προτερεύει. καὶ γὰρ καὶ λεπτομερεστέρα τῶν ἄλλων ἐστίν, προσειληφυῖά τι καὶ ἰοῦ. στύψεως δὲ πλείονος ἡ τοῦ σιδήρου μετέχει λεπίς, καὶ ταύτης ἔτι μᾶλλον, ἡ τοῦ στομώματος, διὸ καὶ πρὸς τὰ κακοήθη τῶν ἑλκῶν ἀμείνους εἰσὶ τῆς τοῦ χαλκοῦ.

12. *De Cinnabari.*

Cinnabari modicè acrem facultatem obtinet. Habet verò & astrictionis quippiam.

13. *De Cisere, pumice.*

Pumicem si inter metallica recenseas, calumniabuntur, quibus animus prurit accusandi libidine; & si inter lapides potius, lapidem esse negabunt; ac multo minus terram esse concedent, nec marinorum haberi quodpiam volent. Atqui alicubi tamen de illo dicendum est; quippe qui in sarcotica indatur medicamenta, & ea quæ dentes extergunt, partim vstionem non expertus, partim etiam vstus, quando videlicet, aliis omnibus combustis similiter, substantiæ efficitur tenuioris. Cæterùm vstione quiddã acquirit acrimoniæ, quam rursum lotione exuit. Videri autem poterit splendorem dentibus conciliare non tantùm facultate, sed etiam asperitate; velut etiam si smirin, aut testam, aut hoc genus quippiam tritum admoueas, quæ certè & ipsa splendorem afferunt; fortè vtroque, tum quia detergendi habeant facultatem, tum quia asperitatem. Eundem in modum cornua deusta dentes splendidos efficiunt.

14. *De Conia, lixiuio ex cinere.*

Lixiuium. Abluto cinere fit lixiuium. Cinerem autem, vstorũ corporum reliquias Græci nuncupant, siue natura sint lapidea, siue arborum animaliumve particulæ. Fit ergo lixiuium pro eius, quod eluitur natura; eius quidem, quod empyreuma, siue igneam naturam habet acerrimam, ipsum quoque acerrimum est, eius quod tale non est, etiam moderatius. Quare & septicis vocatis facultatibus commiscetur, vtpote causticam caliditatem possidens, sed propter substantiæ tenuitatem citra dolorem adurens.

15. *De Cyano, Cæruleo.*

Cyanus, siue masculino, siue fœminino genere, pronunciare velis hoc medicamentum, acri facultate est, tum exedendi, tum discutiendi, potentiore quàm cinnabari. Inest quoque ei nonnulla astrictio.

16. *De squama æris, & ferri, & chalybis.*

Squama alia est æris, medicamentum multo vtilissimum; alia ferri, & chalybis. Quidam verò nominant, & helitin squamam. Omnes sanè vehementer desiccant. At inter sese diuersæ sunt, tum quòd alia magis, alia minus, exiccet; tum quòd alia crassioris, alia tenuioris sit essentiæ; quodque plus minusve astrictionis sint participes. Helitis certè principem in desiccando locum obtinet; nam & subtilissimæ omnium substantiæ est; nimirum quæ & æruginis nonnihil assumpserit. Maiorem obtinet astrictionem squama ferri, & hac etiam maiorem chalybis; quamobrem ad contumacia vlcera meliores sunt, quàm squama æris.

Deinde

Detrahit & liquat carnem potentius squama æris, & hac etiam valentius helitis. Omnes autem squamæ non instrenuè mordaces sunt. Ex quo clarum est, quòd essentiæ ipsarum consistentia non admodum tenuis est, sed potius crassa. Siquidem inter ea quæ eandem vim obtinent, minus est mordax quod est tenuius; ceu superioribus libris ostendimus.

17. *De lithargyro.*

Lithargyrus desiccat quidem, velut alia omnia metallica, lapidea, terrenáque medicamenta; verùm omnium id efficit moderatissimè. Et secundum alias, tum qualitates, tum facultates, quodammodo in medio est, neque manifestò calefaciens, neque refrigerans. Modica tamen adstringendi, abstergendíque facultas ei inest; quamobrém inferior est, & sarcoticis medicamentis, quæ mediocriter extergentia ostendimus, & contrahentibus, atque astringentibus. Cæterùm ad intertrigines femorũ vtilis medela est; quandoquidem vtriusque iam dictæ facultatis leuiter est particeps. Iure itaque medii ordinis in metallicis habebitur. Proinde ea frequenter vtimur, ceu materia, iis miscentes, quæ valentem facultatem obtinent, siue mordicantem, siue astringentem, vel aliud quid facientem; sicut in liquescentibus ad pleraque medicamenta ceram adhibemus tanquam materiam, quia scilicet & ipsa quodammodo medium tenet eorum, quæ valentem facultatem possident.

18. *De nitro.*

Nitrum dictum est supra in medio esse aphronitri, & salis virium. Cæterùm vstum propius ad aphronitrum accedit, vtpotè ex vstione tenuius redditum. Desiccat itaque ac digerit; & si intrò in corpus sumatur, incidit & extenuat crassos lentósque succos potentius multo, quàm sal. Aphronitrum verò, nisi grauis vrgeat necessitas, deuorandum non est, nimirum inimicum stomacho; quandoquidem plus etiam nitro incidit. Sanè ad fungos suffocantes rusticus quidam vti eo assolet, & semper profuisse probatum est. Cæterùm nitro vsto simul, & non vsto, & multo etiam magis eius spuma, in talibus vti consueuimus.

19. *De melanteria.*

Melanteria ex medicamentis est multùm astringentibus, cum hoc, quòd omnia propemodum astringentia tenuitate partium exuperet.

20. *De atramento scriptorio.*

Atramentum quo scribimus, admodum & ipsum desiccat aqua solutum. Vlcera autem igni ambusta protinus illitum iuuat; at si acetum quoque habeat, multo magis.

A καθαίρει δὲ καὶ τήκει σφοδρὰ μᾶλλον ἢ τοῦ χαλκοῦ, ταύτης δὲ ἔτι μᾶλλον ἡ ἥλιτις. ἅπασαι δὲ λεπίδες δακνώδεις εἰσὶν οὐκ ἀγεννῶς, ᾧ καὶ δῆλον, ὡς ἡ τῆς οὐσίας αὐτῶν σύστασις, οὐ πάνυ τι λεπτομερής ἐστιν, ἀλλὰ παχυμερὴς μᾶλλον. ἀδηκτότερον γὰρ ἀεὶ τῶν τὴν αὐτὴν δύναμιν ἐχόντων ἐστὶ τὸ λεπτομερέστερον, ὡς ἐν τοῖς ἔμπροσθεν λόγοις ἐδείχθη.

ιζ. Περὶ λιθαργύρου.

B Λιθάργυρος, ξηραίνει μὲν ὥσπερ καὶ τἆλλα πάντα τὰ μεταλλικά τε, καὶ γεώδη, καὶ λιθώδη φάρμακα· μετριώτατά γε μὴν τοῦτο ποιεῖ. καὶ κατὰ τὰς ἄλλας δὲ ποιότητάς τε καὶ δυνάμεις ἐν τῷ μέσῳ πώς ἐστιν, οὔτε θερμαίνουσα σαφῶς, οὔτε ψύχουσα, καὶ τοῦ στύφειν τε καὶ ἀπορρύπτειν μετρίως μετέχει. διὸ καὶ τῶν σαρκωτικῶν φαρμάκων, ἃ μετρίως ἐδείχθη ῥυπτικά, λείπεται, καὶ τῶν συναγόντων δέ, καὶ στυφόντων. πρὸς δὲ τὰ κατὰ μηροὺς παρατρίμματα χρήσιμόν ἐστι φάρμακον, ἐπειδὴ βραχέως ἀμφοτέρων τῶν εἰρημένων μετέχει δυνάμεων. τῆς μέσης οὖν τάξεως εἰκότως ἂν ἐν τοῖς μεταλλικοῖς νομίζοιτο. διὸ καὶ ὡς
C ὕλῃ χρώμεθα πολλάκις αὐτῇ, μιγνύντες τοῖς ἰσχυρὰν ἔχουσι δύναμιν, ἢ δάκνουσαν, ἢ στύφουσαν, ἢ ὅτι ἄλλο ποιοῦσαν, ὥσπερ κἀν τοῖς τηκτοῖς, τῷ κηρῷ χρώμεθα. πρὸς τὰ πλεῖστα τῶν φαρμάκων, ὥσπερ ὕλῃ τινί· διότι καὶ αὐτὸς ἐν τῷ μέσῳ πως τέτακται τῶν ἰσχυρὰν ἐχόντων δύναμιν.

ιη. Περὶ νίτρου.

D Νίτρον εἴρηται καὶ πρόσθεν, ἐν τῷ μεταξὺ τοῦ ἀφρονίτρου τε καὶ ἁλῶν δυνάμεως εἶναι, καυθὲν δὲ ἐγγυτέρω γίγνεται τῷ ἀφρονίτρῳ, λεπτομερέστερον δὲ ἐκ τῆς καύσεως ἀποτελούμενον. ξηραίνει τοιγαροῦν καὶ διαφορεῖ, καὶ εἰ εἴσω τοῦ σώματος ληφθείη, τέμνει, καὶ λεπτύνει τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς πολὺ μᾶλλον τῶν ἁλῶν. ἀφρόνιτρον δὲ εἰ μὴ μεγάλης ἀνάγκης οὔσης, οὐδὲ καταπίνει τις ὡς ἂν κακοστόμαχον ὄν, ἐπεί τοι μᾶλλόν ἐστι νίτρου τμητικόν. ἐπὶ γοῦν μυκήτων πνιγόντων ἐχρῆτό τις ἀγροῖκος αὐτῷ, καὶ διὰ παντὸς εὐδοκίμει. νίτρῳ δὲ κεκαυμένῳ τε καὶ ἀκαύστῳ, καὶ ἔτι μᾶλλον αὐτοῦ τῷ ἀφρῷ καὶ ἡμεῖς ἐπὶ τοιούτων χρώμεθα.
E

ιθ. Περὶ μελαντηρίας.

Μελαντηρία, τῶν στυφόντων ἱκανῶς ἐστὶ φαρμάκων, μετὰ τοῦ καὶ λεπτομερὴς εἶναι, σχεδὸν ἁπάντων τῶν στυφόντων μάλιστα.

κ. Περὶ μέλανος γραφικοῦ.

F Μέλαν ᾧ γράφομεν, ἱκανῶς καὶ τοῦτο ξηραίνει λυόμενον ὕδατι. καὶ τὰ πυρίκαυστα δὲ τῶν ἑλκῶν, παραχρῆμα καταχριόμενον ὀνίνησιν. εἰ δὲ καὶ ὄξος ἔχει, πολὺ μᾶλλον.

A

κα'. Περὶ μίσυος.

Μίσυ. κατὰ τὸ μέταλλον ἐν Κύπρῳ τὸ προειρημένον ἐν τοῖς τῶν Σολῶν ὄρεσι μέγας τις ἦν οἶκος, οὗ κατὰ τὸν δεξιὸν τοῖχον, ὡς πρὸς ἡμᾶς δὲ τοὺς εἰσιόντας, ἀριστερὸν, εἴσοδος ἦν εἰς αὐτὸ τὸ μέταλλον, ἐν ᾧ τινας ἐθεασάμην ἐπὶ πλεῖστον ἐκτεταμένας οἷον ζώνας ἐπ' ἀλλήλαις τρεῖς, ταπεινοτάτην μὲν, τὴν τοῦ σώρεως, ἐπ' αὐτῇ δὲ, τὴν τῆς χαλκίτεως, εἶτα τοῦ μίσυος. ὁ δὲ κατ' ἐκεῖνον τὸν καιρὸν ἐπίτροπος τοῦ μετάλλου, δείξας μοι ταῦτα, καθάπερ ἔφη, νῦν ἥκεις ἐν πενίᾳ τῆς καμινευομένης καδμείας, οὕτως ἡμῖν, οὕτως ἐν πλούτῳ θαυμαστῷ τὰ τρία ταῦτα ὁρᾷς καθεστηκότα. καὶ τοίνυν καὶ λαβὼν ἐξ αὐτῶν πάμπολυ, πρῶτον μὲν εἰς τὴν Ἀσίαν, ἐκεῖθεν δ' εἰς τὴν Ῥώμην ἐκόμισα, καὶ μέχρι νῦν ἔχω ἐτῶν μεταξὺ γενομένων ὡς λ'. καὶ κατά τινα τύχην, ἡ προκειμένη πραγματεία, μέχρι μὲν τῆς ὀγδόης βίβλου προῆλθεν, ὡς πρὸ ἐτῶν εἴκοσιν, οὐ προστεθέντος αὐτῇ τοῦ ἐννάτου τούτου, διὰ τὸ, τινὰς μὲν τῶν λίθων μηδέπω τεθεᾶσθαι. καὶ μέντοι καὶ τὰς μεταξὺ γενομένας ἀσχολίας ἑτέρων ἕνεκα. νυνὶ δὲ προστιθέντος μου τὸ ἔνατον τοῦτο βιβλίον, ἐν τῷ μεταξὺ συνέβη τι θέαμα κατὰ τύχην κάλλιστον, ὃ, τὴν ἐξ ἐπιτηδες ἀν τις αὐτὸς ἐτεχνήσατο. δεηθεὶς γὰρ εἴς τι φάρμακον σκευαζόμενον μίσυος, ἀφειλόμην ὡς χειροπληθῆ βῶλον, οὐ πάνυ τοιαύτην σύστασιν ἴσχοντα τοῦ μίσυος, ἀλλὰ κατὰ μικρὰς ἑνώσεις διαλυομένου. θαυμάσας οὖν τὴν ἀήθη πύκνωσιν αὐτοῦ, καὶ θλάσας τὴν βῶλον, εὗρον ἐπιπολῆς μὲν ἐν κύκλῳ τὸ μίσυ, καθάπερ ἐπάνθισμά τι τοῦ ἔνδον. ἐπ' αὐτοῦ δὲ μεταξὺ χαλκίτεώς τε, καὶ μίσυος, οἷον ἡμίρροπος τις ἐκ χαλκίτεως εἰς μίσυ μεταβολή. τὸ γὰρ ἐξ ἀρχῆς, βῶλος ἦν χαλκίτεως. ὅσον δ' ἐν τῷ βάθει, χαλκίτις ἀκριβὴς ἦν, ἐπὶ μηδεμίαν ἀλλοίωσιν ἐληλυθυῖα. τοῦτ' οὖν θεασάμενος, ἐννοήσας τε καὶ κατὰ τὸ μέταλλον, οὕτως ἐπὶ τῇ χαλκίτιδι γεννᾶσθαι τὸ μίσυ, καθάπερ τὸν ἰὸν ἐπὶ τῷ χαλκῷ, τὸ διασωζόμενον ἔτι παρ' ἐμοὶ τοῦ σώρεως, ἐσκοπούμην εἴ τινα μεταβολὴν εἰς χαλκῖτιν λαμβάνοι, καὶ βραχεῖά τις ὑπόφασις ἐφαίνετο, καὶ αὐτὴ χρόνῳ πολλῷ δυνησομένη τὴν μεταβολὴν εἰς χαλκῖτιν ἔχειν, ὥστ' οὐδὲν θαυμαστὸν, ὁμογενοῦς εἶναι δυνάμεως τὰ τρία φάρμακα. τὸ σῶρυ λέγω, καὶ τὴν χαλκῖτιν, καὶ τὸ μίσυ, διαφέροντα λεπτομερείᾳ τε καὶ παχυμερείᾳ. παχυμερέστατον μὲν γὰρ ἐν αὐτοῖς τὸ σῶρυ, λεπτομερέστατον δὲ, τὸ μίσυ, μέσην δ' ἀμφοῖν δύναμιν, ἡ χαλκῖτις ἔχει. καίονται πάντα τὰ τρία. καὶ τὰς καλουμένας ἐσχάρας ἐργαζόμενα, μετέχει γε μὴν καίτοι καίοντα, στύψεως. ἧττον δ' ἐν τῷ προσφέρεσθαι ταῖς σκληραῖς σαρξὶ, δάκνει τὸ μίσυ τῆς χαλκίτεως, καίτοι γε οὐχ ἧττον αὐτῆς ὂν θερμὸν, ἀλλ' ἐκ τοῦ κατὰ τὴν οὐσίαν λεπτομερὲς ἔχει τοῦτο. χυθέντων δ' ὄντων ἀμφοτέρων, ἐν ταῖς ἑψήσεσιν καὶ μᾶλλόν γε τῆς χαλκίτεως ἢ τοῦ μίσυος, οὐ τήκεται τὸ σῶρυ, διὰ τὸ λιθωδέστερόν τε καὶ σφοδροτέραν ἔχειν τὴν πῆξιν, ὥσπερ αὖ πάλιν τὸ μίσυ τῷ κατειργάσθαι διὰ τῆς συμφύτου θερμότητος, ξηρότερον ὂν τῆς χαλκίτεως, εἰκότως δὲ καὶ δυστηκτότερόν ἐστι.

21. De Misy.

Misy. In metallo Cypri, cuius modò mentionem feci, in montibus Solorum, domus erat ingens, cuius ad parietem dextrum, sed ad nos vtique qui ingrediebamur, sinistrum, descensus erat in ipsum metallum; in quo quasdam conspexi in longissimum porrectas veluti zonas alias super alias, numero tres infima erat ipsius soreos, super quam erat altera chalciteos, suprema misyos. Cæterùm id temporis præfectus B metalli his commonstratis, sicut, inquit, nunc aduenis in cadmiæ fornacariæ inopia, ita horum trium admirandas has vides diuitias. Itaque ego ingenti eius accepto pondere, primum quidem in Asiam, deinde Romam attuli, & vsque modo habui, elapsis iam annis plus minus triginta. Et forte quadam absolutum fuit hoc opus adusque octauum librum ante annos viginti, nec adiectus fuit nonus, partim quod lapides quosdam nondum conspexissem; partim ob alia negocia, quæ mihi interea temporis obuenere. Nunc autem quum nonum hunc librum cæteris addere pa- C rarem, interea forte fortuna mihi accidit res spectatu longè pulcherrima, ac si quispiam eo studio, ac industria magno cum artificio effecisset. Nam quum misy opus haberem ad medicamentum quodpiam præparandum, bolum eius accepi, quantum ferè plena manu teneas, qualem sanè consistentiam misy non admodum solet habere; quum in parua frustula diuidatur. Miratus itaque insolitam eius condensationem, bolo fracto, extimum quidem misy circunquaque reperi eius quod intus erat, velut efflorescentiam. Porrò sub eo, inter chalcitin videlicet & misy, quiddam erat medium vergens ex chalcite ad D misy, ex dimidio iam commutatum, principio enim bolus fuerat chalciteos, cæterùm quod in alto erat, perfecta erat chalcitis, nullam dum alterationem experta. Hoc igitur vbi vidissem, cogitatione repetens, & in metallo, ita super chalcitin nasci ipsum misy, vt ærugo super æs, in mentem subiit inspicere, quod seruabatur adhuc apud me reliquum ipsius soreos, nunquid & ipsum vllam accepisset mutationem in chalcitin; & quædam certè apparuit suspicio, vt videretur, & ipsum forte longo tempore mutationem in chalcitin posse accipere. Itaque mirum E non est, tria hæc medicamenta eiusdem generis facultatis esse, Sori dico, & Chalcitin, & Misy, tenuitate partium, & crassitie inter se diuersa. Crassissimum enim est inter ipsa sori, tenuissimum misy, mediam vtriusque facultatem habet chalcitis. Adurunt vniuersa hæc tria, & escharas, quas vocant efficiunt; attamen etiamsi vrant, nonnihil quoque astringunt. Cæterùm misy admotum corporibus duris minus chalcite mordicat, tametsi ea non minus sit calidum; verùm id habet beneficio tenuitatis partium. Porrò quum vtraque hæc in decoctionibus fundantur, & magis chalcitis, quàm misy: sori tamen non lique- F scit; nimirum quòd lapidosius sit, ac vehementius compactum; sicut rursum misy, quia à congenito calore elaboratius est, ac proinde siccius chalcite, idcirco meritò quoque ægriùs liquescit.

A

22. *De Plumbagine.*

MOlybdæna similem Lithargyro vim possidet, tantùm à media temperie ad frigidius paulum quid recedens; sed nec abstergentis facultatis est particeps. Vtraque autem hæc medicamenta liquari possunt, ac non vt lapides, & cadmia, & arena, liquationem respuunt; sed celerrimè liquantur, vbi oleo additum nonnihil aceti est: liquantur tamen etiam admixta aqua, sed diutissima coctione. Porrò ceu in Cypro Cadmiam, quæ in montibus, & riuis nascitur, accipiebam, quæ & ipsa lapidis, vt dixi, species est; ad eundem modum Molybdænam multam cum aliis proiectam lapidibus conspexi in via, quæ ad Ergasteria ducit à Pergamo. Vocatur autem Ergasteria pagus quidam in quo & metalla sunt, inter Cyzicum & Pergamum, quadringentis, & quadraginta stadiis distans à Pergamo.

κβ'. Περὶ μολυβδαίνης.

ΜΟλύβδαινα, λιθαργύρῳ παραπλησίαν ἔχει δύναμιν, ἀποκεχωρηκυῖα βραχύ τι τῆς μέσης κράσεως ἐπὶ τὸ ψυχρότερον, ἀλλ' οὐδὲ ῥυπτικῆς μετέχει δυνάμεως. ἔστι δ' ἄμφω τὰ φάρμακα τηκτὰ, καὶ οὐχ ὥσπερ οἱ λίθοι, καὶ ἡ καδμεία, καὶ ἡ ψάμμος, ἄτηκτα. ταχίστη δ' αὐτῶν ἡ τῆξις γίνεται, προσλαβόντος ὄξους τοῦ ἐλαίου. τήκεται γε μὴν, κἂν εἰς ὕδωρ μίξας, ἐπιπλεῖστον ἑψήσαις. ὥσπερ δ' ἐν Κύπρῳ τὴν ἐν
B τοῖς ὄρεσιν καὶ ῥύαξι γινομένην καδμείαν ἔλαβον, οὖσαν, ὡς ἔφην, εἶδός τι λίθου, κατὰ τὸν αὐτὸν τρόπον, καὶ μολύβδαιναν, ἐῤῥιμμένην παμπόλλοις ἅμα τοῖς ἄλλοις λίθοις ἐθεασάμην, κατὰ τὴν εἰς Ἐργαστήρια φέρουσαν ὁδὸν ἀπὸ Περγάμου. καλεῖται δ' Ἐργαστήρια κώμη τις, ἐν ᾗ καὶ μέταλλά ἐστι, μεταξὺ Περγάμου καὶ Κυζίκου, σταδίους ἀπέχουσα Περγάμου τετρακοσίους τεσσαράκοντα.

23. De *Plumbo.*

C

PLumbum facultatis est refrigerantis. Siquidem non multam habet substantiam humidam à frigore congelatam, coactamque, sed & aëream; paucam autem terream. Igitur quòd plurimum habet essentiæ humidæ à frigore coactæ, indicium tibi esto, quòd vbi admotum est igni, celeriter fundatur fluatque. Quòd verò & aëreæ sit particeps, hoc habeto signum. Omnium quæ nouimus, vnicum plumbum tum mole ipsa, tum pondere augetur, si condatur in ædibus subterraneis aërem habentibus turbidum, ita vt quæcuncunque illic ponantur, celeriter situm colligant. Tum etiam plumbea statuarum vincula, quibus
D earum pedes annectuntur, sæpenumero creuisse visum est, & quædam adeo intumuisse, vt ex lapidibus dependerent, crystalli modo, verrucæ. Atque hæ probabiles quidem sunt humiditatis eius frigiditatisque notæ, priusquam experiaris. Cæterùm scientificæ, & certæ per experientiam cognoscuntur. Præparato igitur mortario, simulque pistillo vtrisque ex plumbo, infunde quemlibet liquorem, itáque terito, vt & pistillus, & plumbeum mortarium succum quendam reddant; id quod ex vtroque constabit, multo erit frigidius, quam liquor ipse fuerat. Licet autem & aquam,
E & vinum tenue aqueum, & oleum iniicere aut quiduis eiusmodi. At si etiam plus efficere succum voles refrigeratorium, oleum omphacinum sit, aut rosaceum, aut melinum, aut myrtinum. Porrò si succo qui proueniet vti voles, optimum habebis remedium, & ad phlegmonas in sede cum vlcere, aut rugis, & ad eas, quæ in pudendis, testibusque & vberibus consistunt, similiter aduersus cæteras omnes fluxiones incipientes, quæ aut in inguina, aut in pedes, aut in alium quemuis articulum decumbunt. Sed & vlceribus rebellibus vtile est; nam ad cancrosa eo vtens, virtutem
F medicamenti mirabere. Quòd si celeriter multum succi plumbei voles colligere, conare in Sole terere, aut quocunque certè modo aëre calefacto. Multò autem vtilissimum habebis medicamentum, si affuso refrigerātium succorum quopiam teras, ceu semperuiui, cotyledonis, intybi, lactucæ, chondriles, psyllij, omphacis, portulacæ.

κγ'. Περὶ μολύβδου.

ΜΟλυβδος, δυνάμεώς ἐστι ψυκτικῆς. ἔχει γὰρ οὐ μόνον ὑγρὰν οὐσίαν πολλὴν ὑπὸ ψύξεως πεπηγυῖαν, ἀλλὰ καὶ ἀερώδη, τῆς γεώδους ὀλίγης μετέχων. ὅτι μὲν οὖν ὑγρὰν οὐσίαν ἔχει πλείστην, ὑπὸ ψύξεως πεπηγυῖαν, ἡ γινομένη διὰ ταχέων, ἐπειδὰν ὁμιλήσῃ πυρὶ, χύσις τε καὶ ῥύσις αὐτοῦ, γινέσθω σοι τεκμήριον. ὅτι δὲ καὶ ἀερώδη, σημεῖον τόδ' ἐστιν. μόλυβδος μόνος ὧν ἴσμεν, αὐξάνεται καὶ ὄγκῳ καὶ σταθμῷ, κατατιθέμενος ἐν οἴκοις καταγείοις, ἀέρα θολερὸν ἔχουσιν, ὡς εὐρῶτος πληροῦσθαι ταχέως τὰ κατ' αὐτοὺς κεί-
D μενα· καὶ οἱ τοὺς πόδας δὲ τῶν ἀνδριάντων συνδοῦντες τοῖς λίθοις μόλυβδοι, πολλάκις ὤφθησαν ηὐξημένοι· καί τινες εἰς τοσοῦτον ἤρθησαν ὄγκον, ὡς ἀποκεκρεμάσθαι τῶν λίθων ὁμοίως κρυστάλλῳ. ταῦτα μὲν οὖν πιθανὰ πρὸ τῆς πείρας γνωρίσματα τῆς ὑγρότητός τε καὶ ψύξεως αὐτοῦ. τὰ δ' ἐπιστημονικά τε καὶ βέβαια, διὰ τῆς πείρας γινώσκεται. θυίαν γοῦν σκευάσας ἐκ μολύβδου, μετὰ δοίδυκος μολυβδίνου βαλὼν εἰς αὐτὴν, ὅ,τι ἂν ἐθέλοις ὑγρὸν, εἶτ' τρίβοις, ὡς δύνασθαι χυλόν τινα τόν τε δοίδυκα, καὶ τὸν μόλυβδον, τὸ γινόμενον ἐξ ἀμφοῖν εὑρήσεις πολὺ ψυχρότερον τὴν
E δύναμιν, ἢ τὸ ὑγρὸν ἐτύγχανεν ὄν. ἔξεστι δ' ἐμβάλλειν σοι καὶ ὕδωρ, καὶ οἶνον λεπτὸν, ὑδατώδη, καὶ ἔλαιον, καὶ πᾶν ὁτιοῦν τοιοῦτον. εἰ δὲ καὶ μᾶλλον βούλοιο τὸν χυλὸν ἐμψυκτικὸν ποιῆσαι, τὸ ἔλαιον, ὀμφάκινον, ἢ ῥόδινον, ἢ μήλινον, ἢ μύρσινον ἔστω. τῷ δὲ γινομένῳ χυλῷ χρώμενος, εἴς τε τὰς ἐν ἕδρᾳ μεθ' ἑλκῶν, ἢ ῥαγάδων, ἀρχομένας φλεγμονὰς, εἴς τε τὰς ἐν αἰδοίοις, καὶ ὄρχεσιν, καὶ τιτθοῖς, ἄριστον ἕξεις φάρμακον. ὁμοίως δὲ καὶ κατὰ τῶν ἄλλων ἁπάντων ῥευμάτων ἀρχομένων, ὅσα τε βουβῶσιν, ἢ ποσὶν, ἢ τοῖς ἄλλοις ἄρθροις ἐγκατασκήπτει καὶ μέντοι καὶ τοῖς ἕλκεσι τοῖς κακοήθεσιν, ὡς καὶ πρὸς
F τὰ καρκινώδη χρησάμενος αὐτῷ, θαυμάσεις τὸ φάρμακον. εἰ δὲ βούλει διὰ ταχέων πλεῖστον ἀθροῖσαι τοῦ μολύβδου χυλὸν, ἐν ἡλίῳ πειρῶ τρίβειν, ἢ ὁπωσοῦν ἀέρι θερμῷ γεγονότι. πολὺ χρηστὸν δ' ἔσται σοι τὸ φάρμακον, εἰ καὶ τῶν ψυκτικῶν χυλῶν ἐμβαλὼν τρίβοις, οἷον ἀειζώου, κοτυληδόνος, καὶ σέρεως, καὶ θριδακίνης, καὶ χονδρίλης, καὶ ψυλλίου, καὶ ὄμφακος, καὶ ἀνδράχνης.

ὅσα δὲ τούτων οὐ μεθίησι ῥᾳδίως χυλὸν, ὥσπερ καὶ ἡ ἀνδράχνη, A
μιγνύειν αὐτοῖς τινα τῶν ἄλλων ὑγρῶν, οἷος καὶ ὁ τῆς ὀμφακός ἐστιν, ὃς καὶ αὐτὸς καθ᾽ ἑαυτὸν ἐμβαλλόμενος τῇ προειρημένῃ θυίᾳ, κάλλιστον ἐμψυκτικὸν ἐργάζεται φάρμακον. ἀλλὰ καὶ πλατυνθεὶς ὁ μόλυβδος ἄνευ τῶν ἄλλων τινὸς, αὐτὸς καθ᾽ ἑαυτὸν μόνος, ὑποστόρεσμα γίνεται ταῖς ψόαις τῶν ἀσκούντων ἀθλητῶν, ὅταν ὀνειρώττωσιν, φανερῶς ἐμψύχων αὐτούς. καί που λεπὶς ἐκ μολύβδου λεπτὴ γενομένη, καλῶς ἐπιδεθεῖσα κατὰ γαγγλίου, τελέως ἠφάνισεν αὐτό. καλῶς δ᾽ ἐπιδήσει πᾶς, ὁ μεμαθηκὼς ὑφ᾽ Ἱπποκράτους, κατὰ τὸ σίνος ἐρείδειν μᾶλλον, ἢ ἔνθεν καὶ ἔνθεν. B οὐδὲν οὖν θαυμαστόν ἐστιν, οὐδὲ τὸν κεκαυμένον μόλυβδον, ὅταν πλυθῇ, ψυκτικῆς γίνεσθαι δυνάμεως, πρὸ τοῦ πλυθῆναι δὲ μικτῆς ἐστιν δηλονότι. καὶ τοῦτο μὲν οὖν αὐτὸ τὸ φάρμακον, ὁ κεκαυμένος μόλυβδος, ἀγαθόν ἐστιν πρὸς τὰ κακοηθευόμενα τῶν ἑλκῶν. ὅταν δὲ πλυθῇ, πολὺ μᾶλλον εἴς τε πλήρωσιν αὐτῶν, καὶ συνούλωσιν ἄριστον γίνεται φάρμακον. ἁρμόττει δὲ καὶ τοῖς χειρωνείοις καλουμένοις, καὶ καρκινώδεσιν ἅπασιν αὐτός τε καθ᾽ ἑαυτὸν, καί τισι τῶν ἐπουλωτικῶν φαρμάκων μιγνύμενος, οἷόν ἐστι καὶ τὸ διὰ τῆς καδμείας. χρὴ δὲ λύειν μὲν ἐν ἀρχῇ, εἰ πολὺς ὁ ἰχὼρ εἴη, καθ᾽ ἑκάστην ἡμέραν. εἰ δὲ μὴ, διὰ τρίτης, ἢ καὶ διὰ τετάρτης. C ἐπικείσθω δὲ ἔξωθεν ἐξ ὕδατος ψυχροῦ σπόγγος, ὃς ὅταν ξηραίνηται, βρεχέσθω. ταῦτα μὲν οὖν ἐπὶ πλέον ἢ κατὰ τὴν προκειμένην πραγματείαν εἴρηται, διὰ τὴν οἰκειότητα τοῦ λόγου προαχθέντος μου. καιρὸς δ᾽ ἤδη πρὸς τὰ συνεχῆ μετιέναι.

Porrò siqua horum non facilè in succum soluuntur, velut portulaca, misceto illis aliorum succorum quempiam, velut omphacis, qui & ipse per sese prædicto mortario inditus, medicamentum efficit refrigeratorium longè pulcherrimum. Quin & in laminam diductum plumbum ipsum per sese, athletarum sese exercitantium lumbis insternitur, vbi Veneris somniis vexantur scilicet nimirum haud obscurè eos refrigerans. Sed & bractea tenuis ex plumbo facta probè ganglio illigata planè ipsum dissipat. Illigabit autem probè quisquis ab Hippocrate didicerit in ipsam noxam potius firmandum, quàm hinc vel inde. Mirum ergo non est, si plumbum crematum, ac rursus ablutum, refrigerantis efficiatur facultatis, quum ante lotionem mixtæ fuerit. Et hoc ipsum medicamentum, nempè plumbum combustum, bonum est ad vlcera rebellia. Vbi verò lotum fuerit, multo optimum medicamentum est, & ad vlcerum impletionem, & ad eadem cicatrice obducenda. Conuenit, & chironeis, quæ vocant vlceribus, & cancrosis, & putredinosis omnibus, tum ipsum per sese, tum medicamentorum ad cicatricem perducentium quibusdam commixtum, quale est quod ex cadmia conficitur. Cæterùm soluendum est principio, si copiosa sit sanies, quotidie; si minus, tertio aut quarto quoque die. Verùm foris spongiam imponito aquæ frigidæ; quæ si desiccetur, rursum mergatur. Sed hæc fusiùs quàm pro instituto diximus, plusculum sermonis affinitate prouecti. At tempus iam est sequentia deinceps persequi.

κδ´. Περὶ ὀστράκου.

Ὄστρακον, ξηραντικῆς τ᾽ ἐστὶ, καὶ ῥυπτικῆς δυνάμεως, D μάλιστα δὲ τὸ ἐκ τῶν κλιβάνων, τῷ κατωπτῆσθαι. διὸ καὶ τῶν ἐμπλάστρων, ἣν ὀνομάζουσιν Ἡφαιστιάδα, διὰ τούτου σκευαζομένη, κάλλιστον ἐπουλωτικὸν γίνεται φάρμακον.

De ostraco, testa.

Testa desiccandi vim possidet, atque abstergendi, maximè quæ ex fornacibus est, quòd videlicet tosta sit. Quocirca emplastrum quod vocant hephęstiada, ex hac præparata videlicet, optimum est medicamentum inducendæ cicatrici.

κε´. Περὶ πομφόλυγος, καὶ σποδίου.

Πομφόλυξ, γίνεται μὲν καὶ κατὰ τὴν τοῦ χαλκοῦ καμινείαν, ὥσπερ καὶ ἡ καδμεία. γίνεται δὲ καὶ αὐτῆς τῆς καδμείας καμινευομένης, καὶ κατά τε τὴν Κύπρον, ἐπεὶ τὴν παρασκευὴν οὐκ εἶχεν εἰς τὴν τοῦ χαλκοῦ καμινείαν ὁ E ἐπίτροπος, ἐκέλευσεν ἐξ αὐτῆς τῆς καδμείας σκευασθῆναι παρόντων καὶ θεωμένων ἡμῶν πομφόλυγα, κατὰ σμικρὰ θραύσματα τῆς καδμείας ἐπιβαλλομένης τῷ πυρὶ, προσκειμένου αὐτῷ δηλονότι χαλκευτικῆς φύσεως. ὄροφος δ᾽ ἦν τις στεγανὸς ὑποδεχόμενος τὸν ἀναφερόμενον αἴθαλον, καμινευομένης τῆς καδμείας, ὃν ἀθροίσαντες, εἶχον πομφόλυγα. τὸ δ᾽ αὖ καταφερόμενον κάτω, καὶ πίπτον ἐπὶ τοὔδαφος, ἡ καλουμένη σποδός ἐστι, πλείων ἀθροιζομένη κατὰ τὰς τοῦ χαλκοῦ καμινείας. ἔνιοι δὲ, σπόδιον οὐδετέρως αὐτὴν ὀνομάζουσιν, ᾧ δοκεῖ F παραπλησίαν δύναμιν ἔχειν τὸ καλούμενον ἀντισπόδιον. ἐγὼ δ᾽ οὐδέ ποτε ἐχρησάμην αὐτῷ, διὰ τὸ δαψιλῆ ἔχειν ἀεί τις πομφόλυγα. ταύτην γὰρ ἔχων τις, οὐδ᾽ ἂν τῷ σποδίῳ χρήσαιτο, μήτοι γε τῷ ἀντισποδίῳ. φάρμακον δ᾽ ἐστὶν ὁ πομφόλυξ, εἰ πλυθείη, σχεδὸν ἁπάντων, ὅσα ξηραίνειν ἀδήκτως πέφυκε, προφερέστατον, ὅθεν, εἴς τε τὰ καρκινώδη τῶν ἑλκῶν ἐστιν ἐπιτήδειος, καὶ τἄλλα τὰ κακοήθη πάντα.

25. *De Pompholyge, & Spodio.*

Pompholyx fit & in æris fornace, velut & cadmia; fitque, & dum in fornacibus cadmia vritur, vt in Cypro. Quum enim præfectus ad æris fornacem instructas res non haberet, præcepit ex ipsa cadmia præparari, præsentibus atque inspectantibus nobis, pompholyga, videlicet minutis cadmiæ fragmentis in ignem coniectis, addito videlicet eo, quod æris naturam habet. Camera quædam erat incurua, nusquam pertusa, sed integra, quæ egestam ab vsta cadmia fauillam excipiebat; quam vbi collegissent, habebant pompholyga. At quod reflectens in pauimentum recidebat, Spodos est quam vocant; quæ plurima, vbi æs in fornacibus vritur, colligi assolet. Quidam eam spodium neutro genere pronunciant; Cui videtur similem habere facultatem, quod vocant Antispodium. At ego illo vsus sum nunquam, quum largè mihi semper pompholyx suppeteret. Nec enim quisquam, vbi hæc adsit, spodio vti velit, nedum antispodio. Est autem Pompholyx medicamentum propè omnium, quæ citra morsum desiccant, si elota fuerit, præstantissimum; Quamobrem ad vlcera cancrosa idonea est; & ad alia omnia maligna.

Itaque

Itaque inditur collyriis, quæ ad oculorum imponuntur fluxiones; quæque bullas, siue pustulas in eis natas, aut vlcera curant. Præterea ad pudendorum, ac sedis vlcera optimum est medicamentum nimirum sine morsu, vt dixi, desiccans. Sed non est huius negocij, in istis diutius immorari.

26. *De Sandaraca.*

SAndaraca vrentis est facultatis, seu Arsenicum quod vocant. Meritò itaque eam digerentibus facultatibus commiscent, atque extergentibus.

27. *De Sandice.*

SAndix qua sit facultate prædita, in sermone de psimmythio explicabitur.

28. *De Scoria.*

SCoria omnis resiccatorium medicamentum est, potissimum autem ferri. Siquidem ad læuorem redigens ipsam in aceto quamacerrimo, posteaque decoquens, ad aures, quæ longo iam tempore pure fluxerunt, ea vtor pro medicamento maximè exiccatorio, adeo vt mirentur, qui præparantem me vident, & ante rei periculum fidem non habeant, aures tale posse ferre medicamentum. Porrò argenti scoriam propriè helcysma appellant. Verùm emplastris quibusdam, quippe quæ resiccatoriæ facultatis sit, commiscetur.

29. *De Stimmi.*

STimmi. Ad facultatem desiccantem adiunctam habet hoc medicamentum astrictionem. Quamobrem, & ocularibus medicinis commiscetur, & illis scilicet, quæ conformantur in collyria, quæ vocant; & siccis, quæ vtique sicca collyria cognominant.

30. *De Alumine fissili, rotundo, & humido.*

ALumen. Huius medicamenti nomen ab astrictione deductum est; nam adest illi vehementissima. Cæterùm quum sit crassarum partium, tenuiorum quodammodo partium est, quod vocatur fissile. Proximè est rotundum, & astragalote. Admodum autem crassarum partium est, tum liquidum, tum placites, & plinthites appellatum.

31. *De Calce.*

CAlx, Viua quidem vehementer vrit, adeo vt crustas efficiat; extincta verò protinus etiam crustam molitur, & ipsa; at post diem vnum, aut alterum minùs vrit, minúsque inducere crustam potest; at verò temporis progressu prorsum, nec crustam quidem gignere queat. tametsi etiamnum calefaciat, carnemque liquet. Porrò si lauetur in aqua, suam mordacitatem exuit, efficitque nuncupatum lixiuium. At ipsa absque morsu resiccat; ac si bis terque, aut amplius abluta fuerit, planè mordacitatis expers constituitur, ac strenuè absque mordacitate exiccat.

A μίγνυται πιλήροις εἴς τε τὰ κατὰ τοὺς ὀφθαλμοὺς ῥεύματα συντιθέμενα κολλύρια, καὶ ὅσα φλυκταίνας τὰς ἐν αὐτοῖς, ἢ ἕλκη θεραπεύει, καὶ πρὸς τὰ κατὰ τὴν ἕδραν τε καὶ αἰδοῖον ἕλκη. καὶ κάλλιστόν ἐστι φάρμακον ἀδήκτως, ὡς ἔφην, ξηραντικόν. ἀλλ' οὐ τῆς προκειμένης πραγματείας τὸ χρονίζειν ἐν τούτοις.

κς'. Περὶ σανδαράχης.

B Σανδαράχη, καυστικῆς ἐστι δυνάμεως ὥσπερ τὸ ἀρρενικὸν ὀνομαζόμενον. εἰκότως οὖν εἴς τε τὰς διαφορητικὰς δυνάμεις αὐτὴν μιγνύουσι καὶ τὰς ῥυπτικάς.

κζ'. Περὶ σάνδυκος.

Σάνδυξ, ὁποίας ἐστὶν δυνάμεως, ἐν τῷ περὶ ψιμμυθίου λόγῳ ῥηθήσεται.

κη'. Περὶ σκωρίας.

C Σκωρία πᾶσα, ξηραντικὸν ἱκανῶς ἐστι φάρμακον, ἡ δὲ τοῦ σιδήρου, μάλιστα. καὶ λειοτάτην γε ποιῶν αὐτὴν ἐν ὄξει δριμυτάτῳ, καὶ μετὰ ταῦθ' ἑψῶν, εἴς τε τὰ πυορροοῦντα τῶν ὤτων χρονίως, χρῶμαι φαρμάκῳ ξηραντικωτάτῳ, ὥστε θαυμάζειν τοὺς ἰδόντας σκευαζόμενον αὐτό, καὶ ἀπιστεῖν αὐτοῦ πρὸ τῆς πείρας, εἰ ἀναδέχεσθαι δύναται τὰ ὦτα τοιούτου φαρμάκου. τὴν δὲ τοῦ ἀργυρείου σκωρίαν, ἰδίως προσαγορεύουσιν ἕλκυσμα, καὶ μίγνυται δὲ καὶ ἐμπλάστροις τισί, ξηραντικῆς δηλονότι δυνάμεως οὔσιν.

κθ'. Περὶ στίμμεως.

D Στίμμι πρὸς τῇ δυνάμει τῇ ξηραντικῇ, καὶ στύψιν ἔχει τὸ φάρμακον τοῦτο· διὸ καὶ τοῖς ὀφθαλμικοῖς φαρμάκοις μίγνυται, τοῖς τ' ἀναπλαττομένοις εἰς τὰ καλούμενα κολλύρια, καὶ τοῖς ξηροῖς, ἃ δὴ ξηρὰ κολλύρια προσαγορεύουσιν.

λ'. Περὶ στυπτηρίας σχιστῆς, καὶ στρογγύλης, καὶ ὑγρᾶς.

Στυπτηρία. τούτου τοῦ φαρμάκου καὶ τοὔνομα παρωνόμασται τῇ στύψει, σφοδροτάτην γὰρ αὐτὴν ἔχει. παχυ-E μεροῦς δ' ὄντος αὐτοῦ, λεπτομερεστέρα πως ἐστὶν τῶν ἄλλων στυπτηριῶν, ἡ σχιστὴ καλουμένη. μετ' αὐτὴν δ' ἡ στρογγύλη, καὶ ἀστραγαλωτὴ παχυμερὴς δ' ἱκανῶς, ἥ θ' ὑγρά, καὶ ἡ πλακῖτίς τε, καὶ ἡ πλινθῖτις ὀνομαζομένη.

λα'. Περὶ τιτάνου.

Τίτανος, ἡ μὲν ἄσβεστος, καίει σφοδρῶς, ὡς ἐσχάραν ποιεῖν· ἡ σβεσθεῖσα δέ, παραχρῆμα μὲν ἐσχαροῖ καὶ αὐτή. μεθ' ἡμέραν δὲ μίαν ἢ δευτέραν, ἧττον καίει, καὶ ἧττον ἐσχαροῖ, μετὰ δὲ χρόνον, οὐδ' ὅλως ἐσχάρας ἐργάζεται. θερμαίνει δ' ἔτι, F καὶ διατήκει τὰς σάρκας. εἰ δὲ πλυθείη, τὴν μὲν δῆξιν ἐναποτίθεται τῷ ὕδατι, καὶ ποιεῖ τὴν καλουμένην κονίαν, αὐτὴ δ' ἀδήκτως ξηραίνει. καὶ εἰ δίς γε, ἢ τρίς, ἢ πλεονάκις πλυθείη, τελέως ἄδηκτος γίγνεται, καὶ ξηραίνει γενναίως ἄνευ δήξεως.

A

λβ΄. Περὶ ὑδραργύρου.

Ὑδράργυρος, οὐκ ἔστι τῶν αὐτοφυῶν φαρμάκων, ἀλλὰ τῶν σκευαζομένων, ὥσπερ ψιμμύθιόν τε, καὶ ὁ ἰὸς, καὶ ψωρικὸν, καὶ λιθάργυρος. ἔχω δ' αὐτῆς οὐδεμίαν πεῖραν οὔτ' ὡς ἀναιρούσης εἰ καταποθείη, οὔτ' ἔξωθεν ἐπιτιθεμένης.

32. *De hydrargyro.*

Hydrargyrus non est ex sponte nascentibus medicamentis, sed ex iis, quæ præparantur, velut cerussa, ærugo, psoricum, lithargyros. Nullum autem eius feci periculum, neque quòd interimat si deuoretur, neque vbi foris admota sit.

B

λγ΄. Περὶ φύκους.

Φῦκος, ὁποίας ἐστὶ δυνάμεως, ἐν τῷ περὶ ψιμμυθίου λόγῳ ῥηθήσεται.

33. *De fuco.*

Fucus cuiusnam sit facultatis, vbi de cerussa agetur, exponam.

λδ΄. Περὶ χαλκάνθου.

Χάλκανθος ἱστόρηταί μοι καὶ περὶ χαλκάνθου κατὰ τύχην, εἰς χαλκῖτιν μεταβάλλουσα. ἐκόμισα γὰρ καὶ τοῦτο τὸ φάρμακον ἐκ τῆς Κύπρου πάμπολυ. τὸ δ' ἔξωθεν αὐτοῦ πᾶν, ὡς μετὰ ἔτη σχεδὸν κ΄. χαλκῖτις ἐγένετο, τοῦ ἔνδον ὄντος ἔτι χαλκάνθου διὸ καὶ φυλάττω μέχρι νῦν ἔτι, τὸ μεταβάλλον οὕτως ἐπιτηρῶν, ὅπως ἄχρι τοῦ βάθους ἡ μεταβολὴ προσέρχηται καθ' ἕκαστον ἔτος, ὥσπερ τῆς χαλκίτεως εἰς τὸ μίσυ, ὡς προείρηται. θαυμάσαι δ' ἐστὶν ἐπὶ τοῦ φαρμάκου τούτου, πῶς ἰσχυροτάτῃ στύψει μέμικται θερμότης οὐκ ἀγεννής. δῆλον οὖν ὅτι ταριχεῦσαι μάλιστα πάντων δύναται τὰς ὑγρὰς σάρκας, ἐκδαπανῶν μὲν τῇ θερμότητι τὴν ὑγρότητα, τῇ στύψει δὲ, συνάγον, καὶ πιλοῦν τὴν οὐσίαν. ἐν τούτῳ γάρ τοι τῷ ἔργῳ προσεκθλίβει μέν τι καὶ αὐτῆς τῆς ὑγρότητος, σφίγγει δὲ καὶ ξηραίνει καὶ συνάγει πρὸς ἑαυτὴν ὅλης τῆς σαρκὸς τὴν οὐσίαν. ἐν δ' οὖν τῇ Κύπρῳ, καθ' ὃν ἐγὼ καιρὸν ἐγενόμην ἐν αὐτῇ, τὸ φάρμακον τοῦτο, τόνδε τὸν τρόπον ἐθεασάμην ἀθροιζόμενον. οἶκος ἦν μέγας μὲν, οὐ μὴν ὑψηλός γε, προκείμενος τῆς εἰς τὸ μέταλλον εἰσόδου. καὶ τούτου τοῦ οἴκου κατὰ τὸν ἀριστερὸν τοῖχον, ὅς τις ἦν τοῖς εἰσιοῦσι κατὰ χεῖρα δεξιάν, ἐξεκεκόλαπτο διῶρυξ εἰς τὸν συνεχῆ λόφον, εὖρος μὲν, ὡς ψαύειν ἀλλήλων τρεῖς ἄνδρας, ὕψος δὲ, ὡς τὸν μακρότατον ἄνθρωπον ὀρθὸν δύνασθαι βαδίζειν. ἡ δὲ διῶρυξ αὕτη, κάταντης μὲν, οὐ μὴν ὀξεῖά γε καὶ κρημνώδης. ἐπὶ τῷ τέλει δ' αὐτῆς οὔσης ὡς σταδιαίας, λάκκος ὕδατος χλωροῦ τε καὶ παχέος χλιαροῦ, μεστὸς ἦν. ἐν ἁπάσῃ δὲ τῇ καταβάσει, θερμασία παραπλησία τῇ κατὰ τοὺς πρώτους οἴκους τῶν βαλανείων, οὓς εἰώθασι προμαλακτήρια καλεῖν. τὸ δὲ καθ' ἑκάστην ἡμέραν ἀθροιζόμενον ὕδωρ πλῆθος ἦν ἀμφορέων Ῥωμαϊκῶν ὡς ὀκτὼ, κατὰ σταγόνας μικρὰς, ἐν ταῖς τέτταρσιν καὶ εἴκοσιν ὥραις ὅλης τῆς ἡμέρας καὶ νυκτὸς, ἐκ τοῦ διατετραμένου λόφου καταφερόμενον. ἀναφέροντες οὖν τὸ ὕδωρ τοῦτο, πεδῆταί τινες, ἐνέβαλον πυέλοις τετραγώνοις κατὰ τὸν προκείμενον οἶκον, ἐκ κεραμίων γεγονυίαις, ἐν αἷς πηγνύμενον ἡμέραις ὀλίγαις, ἐγίνετο χάλκανθος. ἐμοὶ δ' ὁπότε κατέβην ἐπὶ τὸ πέρας τοῦ ὀρύγματος, ἔνθα τὸ χλιαρόν τε καὶ χλωρὸν ὕδωρ ἠθροίζετο, καὶ ἡ ὀδμὴ τοῦ ἀέρος ἐφαίνετο πνιγώδης, καὶ δύσφορος, ὄζουσα χαλκίτεώς τε καὶ ἰοῦ. τοιαύτην δ' εἶχε ποιότητα καὶ αὐτὸ τὸ ὕδωρ γευόμενον. ταῦτ' ἄρα, καὶ γυμνοὶ, καὶ μετὰ σπουδῆς τοὺς ἀμφορέας ἀνεκόμιζον οἱ πεδῆται, καὶ πλείω χρόνον οὐχ ὑπέμενον ἐνδιατρίβειν,

34. *De atramento sutorio.*

Atramentum sutorium. Fortè fortuna, & chalcanthum in chalcitin transire conspexi. Asportaui enim ex Cypro & huius medicamenti ingentem copiam. Extimum eius omne post annos plus minus viginti chalcitis effectum est, intima eius parte chalcanthi speciem seruante. C
Quamobrem & vsque in hunc diem quod sit mutatur asseruo, obseruans dum ad imum vsque voluentibus annis procedat mutatio, ceu chalcitidis quoque in misy; vt est ante positum. Cæterùm mirari subit de hoc medicamento, quo pacto vehementissimæ astrictioni admixta est caliditas non instrenua. Constat ergo, quòd omnium maximè condire, seruaréque carnes humidas potest, nimirum caliditate humiditatem absumens, atque astrictione substantiam contrahens, atque constipans; D
hoc enim opere nonnihil etiam humiditatis ipsius exprimit. Constringit verò, desiccat, atque contrahit in sese totius substantiam carnis. Porrò quo tempore in Cypro diuersabar, hunc in modum medicamentum hoc colligi conspexi. Domus erat magna quidem, sed humilis, ingressui in metallum obiecta. Ad parietem autem domus sinistrum, qui erat ingredientibus dexter, effossus erat specus in continentem collem, ea latitudine, vt tres sese viri in eo contingerent; tanta verò altitudine, vt viro summè procero recto liceret incedere. Specus hic decliuis quidem erat, non tamen præceps, ac præruptus. E
Porrò ad finem eius quasi in stadium porrecti, lacus erat aquæ viridis & crassæ tepidæ plenus. At in toto descensu calor similis qualis in primis balneorum ædibus percipitur, quas promalacteria appellare consueuerunt. Aqua verò quotidie guttatim ex pertuso colle destillans, quatuor & viginti horis totius diei, ac noctis colligi assolet ad amphoras Romanas quasi octo. Eam vincti quidam in piscinas quasdam quadratas fictiles, in domo ad ingressum posita sitas efferebant, in quibus paucis diebus concrescebat, fiebátque chalcanthus. F
Mihi verò, vbi ad terminum effossi specus descendissem, vbi videlicet tepida hæc viridísque aqua colligitur, aëris odor visus est suffocans, & toleratu difficilis, chalcitin, æruginémque redolens. Et aqua quoque gustu præferebat qualitatem eiusmodi. Eapropter & nudi, & cum summa festinatione amphoras vincti exportabant, nec longiorem illic moram perferre poterant, sed

sed celeriter recurrebant. Accensi autem erant mediocribus in specu interuallis lychni, qui nec ipsi longo tempore durabant, sed celerrimè extinguebantur. Hunc ergo specum pedetentim excauatum multis annis, ab iis tunc didici. Hæc enim inquiebant, aqua viridis, quam vides ex colle in lacum manantem, sensim se ipsa minor effici assolet. At vbi propè adest vt desinat, rursum vincti, quod continens est ipsius collis, perfodere pergunt. Euenitque aliquando olim, vt subitò, quicquid perfossum esset, concideret, omnésque ad vnum occideret, ac totam viam corrumperet. Id vbi fit, alio foramini fodiendo eousque insistunt, quoad rursum aqua illis adsit. Hæc habui, quæ tibi de chalcantho exponenda censerem, & sanè fortasse non necessaria, cæterùm quæ scire præstaret, quàm ignorare. Memineris autem, quòd ad sinistram manum ingredientibus conspectum nobis dixerim metallum Soreos, chalciteos, & misyos; vt ex iis coniicere liceat, aquam pluuiam totius collis terram illam colluere, atque abluere; ex qua sponte quidem fiebat sori, misy, & chalcitis; & per fornaces æs, cadmia, pompholyx, spodium, & diphryges.

A ἀλλὰ ταχέως ἀνέτρεχον, ἑκατέρωθεν ἐν τοῖς τοίχοις τοῦ ὀρύγματος, λύχνων καιομένων ἐκ συμμέτρου διαστήματος, οἵτινες οὐδ᾽ αὐτοὶ χρόνον ἐξήρκουν μακρὸν, ἀλλ᾽ ἐσβέννυντο τάχιστα. τὸ δ᾽ οὖν ὄρυγμα τοῦτο, κατὰ βραχὺ διωρύχθαι περὶ αὐτῶν ἤκουον, ἐν ἔτεσι πολλοῖς. τουτὶ γὰρ ἔφασκον, ὃ νῦν ὁρᾷς, ἀπὸ τοῦ λόφου καταφερόμενον εἰς τὸν λάκκον ὕδωρ χλωρὸν, ἔλαττον εἴωθεν αὐτοῦ γίγνεσθαι κατὰ βραχὺ, κἀπειδὰν ἐγγὺς ᾖ τοῦ παύσασθαι, πάλιν ὑπορύττουσιν οἱ πεδῆται τὸ συνεχὲς τοῦ λόφου· καί ποτε πρόσθεν ἔπεσεν ἀθρόως τὸ διορυττόμενον, ὡς ἀποκτεῖναι μὲν πάντας αὐτοὺς, ὅλην δὲ διαφθεῖραι τὴν ὁδόν. ὅταν οὖν τοῦτο γένηται, πάλιν ἄλλην ὀπὴν ποιησάμενοι
B διορύττουσιν, ἄχρις ἂν ὑπακούσῃ τὸ ὕδωρ. ταῦτά σοι περὶ χαλκάνθου λέγειν εἶχον, ἴσως μὲν οὖν οὐκ ἀναγκαῖα, γινώσκεσθαι μέντοι μᾶλλον, ἢ ἀγνοεῖσθαι βελτίω. μέμνησο δ᾽ ὅτι κατὰ τὴν ἀριστερὰν εἰσιόντων χεῖρα, τὸ τοῦ σώρεως, καὶ χαλκίτεως, καὶ μίσυος ἔφην ἑωρᾶσθαί μοι μέταλλον, ὥστ᾽ ἐκ τούτων ἐπινοῆσαί μοι δύνασθαι, τὸ ὑετούμενον ὕδωρ ὄμβριον ἐν τῷ λόφῳ, περικλύζειν τε καὶ περιπλύνειν ὅλην ἐκείνην τὴν γῆν, ἐξ ἧς αὐτοφυὲς μὲν ἐγίνετο τὸ σῶρυ, καὶ μίσυ, καὶ χαλκῖτις, καὶ καμινευόμενος δὲ χαλκὸς, καὶ καδμεία, καὶ πομφόλυξ, καὶ
C σπόδιον, καὶ διφρυγές.

35. *De chalcitide.*

CHalcitis. Dictum de ea est in sermone de misy, nunc autem tantum dixisse sufficiat, quòd mixtas habeat astringentem, aerémque facultates. Cæterùm vincit acris, vt quæ adeo est vehemens, vt carnem vrat, vocatámque escharam efficiat. Vstum hoc medicamentum minus quidem mordicat, cæterùm non minus deficcat; sed, & astrictionis non parum amittit. Itaque vndequaque melior est chalcitis vsta, quàm quæ non vsta est, nempe partibus tunc quidem tenuioribus, ceu alia omnia combusta, verùm haud assumpta acrimonia, velut aliis multis accidit. Didicisti porrò, quòd vsta omnia si lauentur, moderatiora reddantur, minúsque mordacia.

λε´. Περὶ χαλκίτεως.

ΧΑλκῖτις εἴρηται περὶ αὐτῆς ἐν τῷ περὶ μίσυος λόγῳ, νῦν οὖν ἀρκέσει τοσοῦτον εἰπεῖν, ὡς μεμιγμένας ἔχει τήν τε στυπτικὴν, καὶ δριμεῖαν δύναμιν. ἐπικρατεῖ δ᾽ ἡ δριμεῖα σφοδρά τις οὖσα μέχρι τοῦ καίειν τε τὴν σάρκα, καὶ τὴν καλουμένην ἐσχάραν ἐργάζεσθαι. καυθὲν δὲ τὸ φάρμακον τοῦτο, δάκνει μὲν ἧττον, ξη-
D ραίνει δ᾽ οὐχ ἧττον, ἀπολλύεται δὲ καὶ τῆς στύψεως οὐκ ὀλίγον, ὥστε πάντη κρείττων ἐστὶν ἡ κεκαυμένη χαλκῖτις τῆς ἀκαύστου, λεπτομερεστέρα μὲν, ὥσπερ καὶ τἄλλα τὰ κεκαυμένα γιγνόμενα, δριμύτητα δ᾽ οὐ προσλαμβάνουσα, καθάπερ ἄλλα πολλά. μεμάθηκας δὲ καὶ ὅτι πάντα τὰ κεκαυμένα πλυνόμενα, μετριώτερά τε καὶ ἀδηκτότερα γίγνεται.

36. *De ære vsto.*

AEs vstum habet & acrimoniam quandam, sed & astrictionis est particeps. Proinde si lauetur pulcherrimũ est medicamẽtum inducendæ vlceribus cicatrici; quanquam id ipsum præstare, & antequam lauetur possit, potissimum in carne duriore; alioqui in molliore commodius est, quod ablutum est.

λϛ´. Περὶ χαλκοῦ κεκαυμένου.

E ΧΑλκὸς κεκαυμένος, ἔχει μέν τι καὶ δριμὺ, καὶ στύψεως δὲ μετέχει, καὶ διὰ τοῦτο, εἰ πλυθείη, κάλλιστόν ἐστι φάρμακον εἰς συνούλωσιν ἑλκῶν, ἐργάζεσθαι δὲ τοῦτο δύναται, καὶ πρὶν πλυθῆναι, καὶ μάλιστ᾽ ἐπὶ τῶν σκληροτέρων σαρκῶν. ταῖς δ᾽ ἁπαλαῖς, ὁ πεπλυμένος χρησιμώτερος.

37. *De flore æris.*

FLos æris facultatis est tenuiorum partium, quàm aut æs vstum, aut squama. Meritò itaque ex eo factis collyriis extergunt, auferúntque palpebrarum magnas asperitates, quas vocant sycoses.

λζ´. Περὶ χαλκοῦ ἄνθους.

F ΧΑλκοῦ ἄνθος λεπτομερεστέρας ἐστὶ τοῦτο δυνάμεως, τοῦ τε κεκαυμένου χαλκοῦ, καὶ τῆς λεπίδος. εἰκότως οὖν δι᾽ αὐτοῦ σκευάζοντες κολλύρια, ῥύπτουσί τε καὶ ἀφαιροῦσιν τῶν βλεφάρων τὰς μεγάλας τραχύτητας, ἃς συκώσεις ὀνομάζουσιν.

A

λη'. Περὶ χρυσοκόλλης.

Χρυσοκόλλα. καὶ τοῦτο τὸ φάρμακον ἐκ τῶν τηκόντων σάρκας ἐστὶν, οὐ μὴν ἰσχυρῶς γε δάκνει, διαφορητική τε μὴν ἱκανῶς ἐστιν καὶ ξηραντική. ἔνιοι μὲν οὖν τὸ μεταλλευόμενον μόνον οὕτως ὀνομάζουσιν, ἔνιοι δὲ τὸ σκευαζόμενον ἐν θυίᾳ χαλκῇ, καὶ δοίδυκι χαλκῷ δι' οὔρου παιδὸς, ὅπερ ἔνιοι κατὰ τὰς διαφορὰς τῶν ἰῶν ἀριθμοῦσιν. ἄμεινον δὲ, θέρους αὐτὸ σκευάζειν, ἢ πάντως γε ἐν ἀέρι θερμῷ, τρίβοντας τὸ οὖρον ἐν τῇ θυίᾳ. κάλλιον δὲ, ἐρυθρὸν εἶναι τὸν χαλκὸν ἐξ οὗ κατασκευάζεις αὐτήν τε τὴν θυίαν, καὶ τὸν δοίδυκα. πλέον γὰρ ἀποτρίβεται, περιαγομένου τοῦ δοίδυκος, ὅταν ἁπαλώτερος ὁ χαλκὸς ᾖ. τοῦτο τὸ φάρμακον ἐπιτηδειότατόν ἐστι κακοήθεσιν ἕλκεσιν, αὐτό τε καθ' ἑαυτὸ καὶ μιγνύμενον ἑτέροις, ὡς ἐν τοῖς περὶ συνθέσεως φαρμάκων εἰρήσεται. νυνὶ δὲ ἀρκεῖ τό γε γινώσκειν, ὡς τῆς μεταλλευτῆς χρυσοκόλλης ὅσον τοι μᾶλλον ξηραίνει ἧττον δάκνει, τοσοῦτον αὐτῆς ὑπερέχει τῇ λεπτομερείᾳ. καὶ αὐτὴν μέντοι αὐτὴν χρυσοκόλλαν ἐκείνην καύσας, πολὺ λεπτομερεστέραν ἐργάσῃ.

38. De Chrysocolla.

Chrysocolla. Et hoc medicamentum ex iis est, quæ carnem liquant: non tamen valenter mordicat, quanquam sit facultate admodum digerente, desiccanteque. Igitur quidam id modo, quod in metallis inuenitur, ita nominant; alij verò id, quod in æreo mortario pistilloque æreo ex pueri vrina præparatur; id quod quidam inter æruginum differentias numerant. Satius verò est ipsum præparare tempore æstiuo, aut B certè aëre prorsum calido, vrinam in mortario terentes. Præstat aut æs, ex quo mortarium pistillumque conficias, rubrum sit; nam quo æs mollius fuerit, eo plus circumagendo pistillo deteritur. Hoc medicamentum aptissimum est vlceribus contumacibus, tum per se, tum aliis mixtum, vt in opere de componendis medicamentis referetur. Nunc autem id nouisse sat est, quòd quanto plusquam chrysocolla metallica, desiccat, minúsque mordicat; tanto etiam ipsam excellit tenuitate partium. Ipsam tamen chrysocollam illam si vras, multo tenuiorem efficies.

C

λθ'. Περὶ ψιμμυθίου.

Ψιμμύθιον. καὶ τοῦτο τὸ φάρμακον μαρτυρεῖ τῇ προειρημένῃ περὶ τούτου δυνάμει. ὑπὸ γοῦν ὄξους δριμέος αὐτὸ διαλυόμενον γινόμενον ὅμως, οὔτε δριμὺ, οὔτε δακνῶδές ἐστιν, οὔτε διαφορητικὸν, ἀλλ' ἐμπλαστικόν τε καὶ ἐμψυκτικὸν, ἐναντιωτάτης ὂν ἰῷ δυνάμεως, καίτοι κἀκείνος, ὄξους διαλύοντος τὸν χαλκὸν γίγνεται. καιόμενον δὲ τὸ ψιμμύθιον, εἰς τὴν καλουμένην σάνδυκα μεταβαλὸν, λεπτομερέστερόν γε αὐτοῦ φάρμακον, οὐ μὴν ἤδη γέ πω θερμαῖνον. τὸ δέ γε φῦκος, τὴν ψύξιν τοῦ ψιμμυθίου φυλάττον, λεπτομέρειαν προσείληφε, ὡς δύνασθαι δι' αὐτὴν, εἰς τὸ βάθος καταδύεσθαι τῶν ὁμιλούντων σωμάτων, τὴν δύναμιν αὐτοῦ.

39. De Cerussa.

Cerussa. Et hoc medicamentum testimonium præbet modò dictæ facultati. Nam si ex acri aceto soluatur, gustu tamen neque acre erit, neque mordax, neque digerens, sed emplasticum, & refrigeratorium; facultatis æruginí dissimillimæ, tametsi & illa conficiatur aceto æs dissoluente. Porrò cerussa adusta in sandyca quam vocant, transit, medicamentum se ipso D tenuius, nondum tamen calefaciens. Fucus autem, seruata cerussæ frigiditate, tenuitatem partium assumpsit, vt per eam in profundum altumque corporum, quibus admouetur, vis eius penetrare valeat.

μ'. Περὶ ψωρικοῦ.

Ψωρικόν. λιθαργύρῳ μιγνυμένης διπλασίας χαλκίτεως, γίνεται τὸ φάρμακον, ὄξει μὲν πρῶτα δριμυτάτῳ λειωθέντων ἀμφοῖν, εἶτ' εἰς καινὴν χύτραν ἐμβληθέντων, E ἣν καταχώσεις ἡμέρας μ'. μέσου θέρους, ἐν κοπρίᾳ, τοῦτο τὸ φάρμακον ξηραντικώτερόν τε ἅμα καὶ ἀδηκτότερον γίνεται χαλκίτεως, καὶ δηλονότι καὶ λεπτομερέστερον.

40. De Psorico.

Psoricum. Conficitur hoc medicamentum dupla chalcite admixta lithargyro; ante tamen vtrisque aceto acerrimo solutis, sicque in ollam nouam coniectis, quam fimo æstate media diebus quadraginta obrutam sepelies. Hoc medicamentum desiccatorium est magis, simúlque minus mordax chalcite, ac nimirum partibus etiam tenuioribus.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ, ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS, LIBER DECIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Ι'. ΒΙΒΛΙΩι.

Διέρχεται ὑπὲρ τῆς τῶν ἁπλῶν φαρμάκων τῶν ἀπὸ τῶν ζώων δυνάμεως.

ARGVMENTVM LIBRI DECIMI.

Agit de facultate simplicium medicamentorum, quæ ex animalibus sumuntur.

CAPVT PRIMVM.

Aduersus Xenocratem, & cæteros, qui quæ mortalibus damno, & dedecori sunt, scriptis prodidere.



NIHIL eorum, quæ nunc dicenda veniunt, magnopère iuuare poterit eos, qui ea quæ principio huius tractationis, primis videlicet quinque libris, tradita sunt, ignorant; imò quædam fortassis noxæ occasio erunt illi, qui quum scriptis hic medicamentis vti volet, rationem tamen ac methodum non habeat. Tanquam itaque illa didiceris ita tecum verba faciam, repetita totius tractatus summa. Ostensum est medicamenta, quæ effectricibus nominatis qualitatibus agunt, nempe caliditate, frigiditate, humiditate, & siccitate, harum mixtione effici acerba, austera, salsa, salsuginosa, amara, acria, dulcia; præterea extergentia, repellentia, attrahentia, emollientia, vrentia, septica, escharotica; ad hæc secundum alias actiones magis speciales sarcotica, cicatricem inducentia, glutinatoria, tum fistularum, tum vlcerum, aut carnis excrescentiam detrahentia. Ostensum quoque est, quo pacto vniuersalis facultas experientia vnica demonstratoriè inueniatur, nec ea vulgari, & quauis, sed quæ cum dictis adhibeatur limitationibus. Cæterùm inuenta semel facultate vniuersali, nulla insuper experientia opus esse ad particulares actiones, nisi ad confirmationem eorum, quæ ratio reperit. Sic ergo nunc quoque iudicium faciamus propositæ materiæ, quæ est ea, quæ ab animantibus accipitur. In tribus enim libris, qui sequuntur quintum, nẽpe sexto, septimo, & octauo, materiam ad plantas attinentem exposuimus, non sanè omnem, quæ vniuerso terrarum orbe repe-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Πρὸς Ξενοκράτην καὶ ἄλλους τοὺς, τὰ βλάβην τε καὶ ὄνειδος ἀνθρώποις ἐπιφέροντα, γράψαντας.

A



ΟΥΔΕΝ αὐτῶν νῦν λεχθησομένων τοῖς ἀγνοοῦσι τὰ κατὰ τὴν ἀρχὴν τῆς πραγματείας ἐν τοῖς πρώτοις πέντε βιβλίοις εἰρημένα, μεγάλην ὠφέλειαν οἴσει, τινὰ δ' ἴσως καὶ βλάψει τὸν χρησόμενον τοῖς ἐν αὐτῷ γεγραμμένοις φαρμάκοις, οὐκ ἔχοντα μέθοδον. ὡς οὖν ἐκεῖνα μεμαθηκότι σοι διαλέξομαι, τὸ κεφάλαιον ἀναμνήσας ὅλης τῆς πραγματείας. ἐδείχθη τὰ φάρμακα, κατὰ μὲν τὰς δραστικὰς ὀνομαζομένας ποιότητας, ἐνεργοῦντα θερμότητα, καὶ ψυχρότητα, καὶ ξηρότητα, καὶ
B
ὑγρότητα, τῇ δὲ τούτων κράσει στρυφνὰ, καὶ αὐστηρὰ, καὶ ἁλμυρὰ, καὶ ἁλυκὰ, καὶ πικρὰ, καὶ δριμέα, καὶ γλυκέα γινόμενα, καὶ τὰ μὲν ῥυπτικὰ, τὰ δὲ ἀποκρουστικὰ, τὰ δὲ ἑλκτικὰ, τὰ δὲ μαλακτικὰ, τὰ δὲ καυστικὰ, τὰ δὲ σηπτικὰ, τὰ δὲ ἐσχαρωτικὰ, καὶ πρός γε τούτοις ἔτι κατ' ἄλλας ἰδιωτέρας ἐνεργείας, σαρκωτικά τε καὶ συνουλωτικὰ καὶ κολλητικὰ συρίγγων, ἢ ἑλκῶν, ἢ καθαιρετικὰ τῶν ὑπεραυξανομένων σαρκῶν. ἐδείχθη δὲ καὶ ὡς ἡ καθόλου δύναμις, ἐκ πείρας μιᾶς ἐνδεικτικῶς εὑρίσκοιτο, καὶ οὐ τῆς τυχούσης γε πείρας, ἀλλὰ μετὰ τῶν εἰρημένων διορισμῶν γιγνομένης. εὑρεθείσης δὲ
C
ἅπαξ τῆς καθόλου δυνάμεως, οὐδεμιᾶς ἔτι πείρας εἶναι χρείαν, εἴς γε τὰς κατὰ μέρος ἐνεργείας, ὅτι μὴ πρὸς βεβαίωσιν μόνην ὧν ὁ λόγος εὗρεν. οὕτως οὖν καὶ νῦν ποιησώμεθα τὴν κρίσιν τῆς προκειμένης ὕλης, αὕτη δ' ἐστὶν ἡ ἐκ τῶν ζώων. ἐν μὲν γὰρ τοῖς μετὰ τὸ πέμπτον ἐφεξῆς τρισὶ βιβλίοις, ἕκτῳ, καὶ ἑβδόμῳ, καὶ ὀγδόῳ, τὴν περὶ τὰ φυτὰ διήλθομεν ὕλην, οὐ πᾶσαν δηλονότι τὴν καθ' ὅλην τὴν οἰκουμένην

ἀλλ' ὅσης ἡμεῖς ἔχομεν πεῖραν. ἐν δὲ τῷ πρὸ τοῦδε, τῆς δ' ὅλης πραγματείας ἐνάτῳ, τὴν περὶ τὰ γεώδη τε καὶ λιθώδη σώματα. λείπεται δ' ἡμῖν ἔτι τὴν περὶ τὰ ζῶα διελθεῖν ὕλην, εἶτ' ἔτι τὴν ἐν θαλάττῃ, καὶ λίμναις, ἢ ὅλως ἐν ὕδατι γεννωμένων ἐστὶν ὑπόλοιπον, ἃ μήτε φυτὰ, μήτε γῆ, μήτε λίθος ἐστὶ, μήτε ζῶον. ὀλίγιστα δὲ τὰ τοιαῦτα παντάπασίν ἐστι, καὶ γεγράψεται τελευταῖα, μετὰ τὸ διελθεῖν ἡμᾶς τὰ κατὰ τὰ σώματα τῶν ζώων. ἔσται δὲ καὶ τούτων ἡ τάξις τῆς διδασκαλίας, κατὰ τὴν τῶν πρώτων γραμμάτων τάξιν ἐν ταῖς προσηγορίαις αὐτῶν. ὥσπερ δ' ἐν τῇ τῶν φυτῶν ὕλῃ καὶ περὶ τῶν ἐξ αὐτῶν γινομένων χυμῶν τὸν λόγον ἐποιησάμην, οὕτως καὶ νῦν οὐ μόνον τῶν στερεῶν μορίων ἐν τοῖς ζώοις ἡ διδασκαλία τῆς δυνάμεως, ἀλλὰ καὶ τῶν ἐν αὐτοῖς περιεχομένων ἔσται φλέγματος, χολῆς, αἵματος, οὔρου, κόπρου, καὶ τῶν ὁμοίων. ἐν μὲν οὖν τοῖς ἔμπροσθεν εἰρημένοις, οὐ πολλὰ τῶν κατὰ μέρος ἐν ταῖς ὑπὸ τῶν ἰατρῶν γεγραμμέναις ὕλαις ἄγνωστά μοι γέγονεν, ἀλλ' αὐτὸς ἐσπούδασα διὰ τῆς πείρας γνῶναι τὰς δυνάμεις αὐτῶν, εἰ τινος δ' οὐκ ἔγνων, οὐδ' ἔγραψα περὶ τούτου τὴν ἀρχὴν, οὐκ ἀξιῶν ἄλλοις πιστεύειν, οὐδὲ περὶ ἑνὸς τοιούτου, διὰ τὸ καταμαθεῖν ἐνίους πολλὰ ψευδομένους. ἐπὶ δὲ τῆς νῦν προκειμένης ὕλης, οὐχ οὕτως ἔχει. πάμπολλα ὁμολογῶ μορίων τε καὶ ὑγρῶν ἐν τοῖς τῶν ζώων σώμασι περιεχομένων, ὧν οὐδεμίαν αὐτὸς ἔσχηκα τοιαύτην πεῖραν, ὁποίαν ἔγραψάν τινες, ἔνια μὲν γὰρ αὐτῶν ἀσελγῆ τέ ἐστι καὶ βδελυρὰ, τινὰ δὲ καὶ πρὸς τῶν νόμων ἀπηγορευμένα, περὶ ὧν οὐκ οἶδα πῶς ἔγραψεν ὁ Ξενοκράτης, ἄνθρωπος οὐ πάλαι γεγονὼς, ἀλλὰ κατὰ τοὺς πάππους ἡμῶν, τῆς Ῥωμαϊκῆς βασιλείας ἀπηγορευκυίας ἀνθρώποις ἐσθίειν, ἀλλ' ἐκεῖνός γε, ὡς αὐτὸς πεπειραμένος ἀξιοπίστως πάνυ γράφει, τίνα πάθη θεραπεύειν πέφυκεν ἐγκέφαλος ἐσθιόμενος, ἢ σάρκες, ἢ ἧπαρ ἀνθρώπου, τίνα δὲ τὰ τῆς κεφαλῆς, ἢ κνήμης ἢ δακτύλων, ὀστᾶ, τὰ μὲν καυθέντα, τὰ δ' ἄκαυστα πινόμενα, τίνα δ' αὐτὸ τὸ αἷμα. ταῦτα μὲν οὖν εἰ καὶ παρὰ τοὺς νόμους, ἀλλ' οὐκ ἀσελγῆ γε. πόσις δ' ἱδρῶτός τε, καὶ οὔρου, καὶ καταμηνίου γυναικὸς, ἀσελγῆ, καὶ βδελυρὰ, καὶ τούτων οὐδὲν ἧττον ἡ κόπρος, ἣν διαχριομένην τε, τοῖς κατὰ τὸ στόμα, καὶ τὴν φάρυγγα μορίοις, εἴς τε τὴν γαστέρα καταπινομένην ἔγραψεν ὁ Ξενοκράτης ὅ τι ποτὲ ποιεῖν δύναται· γέγραφε δὲ καὶ περὶ τοῦ κατὰ τὰ ὦτα ῥύπου καταπινομένου. ἐγὼ μὲν οὖν οὐδὲ τοῦτον ἂν ὑπέμεινα καταπιεῖν, ἐφ' ᾧ γε μηδέ ποτε νοσῆσαι. πολὺ δ' αὐτοῦ βδελυρώτερον ἡγοῦμαι, τὴν κόπρον εἶναι. καὶ μεῖζόν γε ὄνειδός ἐστιν ἀνθρώπῳ σωφρονοῦντι, κοπροφάγον ἀκούειν, ἢ αἰσχρουργὸν, ἢ κίναιδον, ἀλλὰ καὶ τῶν αἰσχρουργῶν, μᾶλλον βδελυττόμεθα τοὺς φοινικίζοντας, τῶν λεσβιαζόντων, ᾧ φαίνεταί μοι παραπλήσιόν τι πάσχειν, ὁ καὶ καταμηνίου πίνων. οὔτ' οὖν τούτων ὑπομείναι τις ἂν εἰς πεῖραν ἐλθεῖν ἄνθρωπος κατὰ φύσιν ἔχων, οὔθ' ὅσα μετριώτερα μὲν τούτων, ἔτι δ' ἀσελγῆ, κόπρῳ καταχρίεσθαί τι τοῦ σώματος μέρος, ἕνεκα τοῦ κατ' αὐτὸ πάθους, ἢ ἀνθρώπου σπέρματος. γόνον δὲ αὐτὸ καλεῖν εἴωθεν ὁ Ξενοκράτης,

riatur, sed quantum nobis experiri eius datum est. In superiore verò, qui est totius operis nonus, eam quæ versatur in terreis, ac lapidosis corporibus enarrauimus. Reliquum porrò nunc est, vt eam, quæ ab animalibus sumitur materiam, persequamur. Deinde restant, quæ in mari, paludibus, aut omninò in aqua nascuntur, quæ quidem neque plantæ, neque terra, neque lapis, neque animal sunt. Ea planè paucissima sunt, & vltimo loco scribenda, postquam videlicet, quæ ad animantium corpora pertinent, absoluero. In quibus is doctrinæ ordo seruabitur, qui in nomenclaturarum primis visitur literis. Porrò sicut in plantarum materia etiam de succis, qui ex ipsis fiunt, disserui, ita nunc quoque non solùm edocebo solidarum in animalibus partium facultatem, sed eorum quoque, quæ in ipsis continentur, puta pituitæ, bilis, sanguinis, vrinæ, stercoris, & similium. Igitur in iis, quæ superiùs sunt dicta, haud ita multa particularia eorum, quæ in materiis conscripta sunt à medicis, ignota mihi fuere; verùm operam dedi, vt ipse per experientiam facultates eorum cognoscerem. Quòd si quid ignorabam, planè nec de illo quicquam conscripsi, haud credendum aliis censens, ne de vno quidem eiusmodi, quòd certum habeam nonnullos multa mentiri. At in præsenti materia non ita se res habet. Ingenuè siquidem fateor, complura esse tum partium, tum liquorum, in animantium corporibus comprehensorum, quorum nullius eiusmodi feci periculum, cuiusmodi quidam scriptum reliquerunt. Siquidem quædam eorum abominanda detestandaque sunt, quædam etiam legibus vetita; de quibus haud scio, quo pacto scribere licuit Xenocrati, homini non olim nato, sed proauorum nostrorum seculo, quum Imperium Romanum hominibus vesci vetuisset. Atque ille sanè, tanquam ipsemet fuerit expertus, magna profectò fiducia scribit, quosnam affectus curare valeat comesum cerebrum, aut carnes, aut iecur humanum; quos autem capitis, suræ, & digitorum ossa, partim vsta, partim vstionem non experta; quæ denique & sanguis. Sed hæc sanè tametsi contra leges sunt, non tamen sunt fœda, atque abominanda: At potio sudoris, aut vrinæ, aut mensium mulieris, abominanda detestandáque est; atque horum in primis stercus, quod tamen scribit Xenocrates, si oris, ac gutturis partibus inungatur, & in ventrem deuoretur, quid præstare valeat. Scripsit etiam de aurium sordibus deuorandis. At ego ne has quidem vnquam deuorare sustineam, ne si in totum quidem morbo deinceps liber degerem. Atque his etiam magis abominandum puto stercus. Estque probrum grauius homini modesto audire stercoriuorum, quàm fellatorem, aut cinædum. Et inter fellatores magis execramur qui phœnicissant, quàm qui lesbiantur; Cui non dissimile mihi videtur perpeti, qui menses bibere sustinet. Itaque horum nemo periculum facere non auersabitur hominum certè secundum naturam habentium; neque insuper eorum, quæ tametsi modestiora videantur, tamen etiam fœda sunt, nempe partem aliquam corporis stercore inungi perpeti ob affectum scilicet, si quem patiatur; Aut humano semine, id quod genituram appellare solet Xenocrates; summa-

summáque diligentia distinguit, quænam ipsa genitura sola illita iuuare queat, quæ verò, vbi ex sinu mulieris post coitum viri effluxerit; Nam ingens sit medicamentorum penuria oportet, vbi quis, quo perniones curet, viri semen conquirere cogitur; quòd in mulieris congressu intus non remansit, verùm effluxit. Atque pleraque sanè eiusmodi materiæ species est in iis, quæ de vtilitate ab animalibus percipienda ab illo sunt conscripta. Siquidem nonquam vim habeat epota vrina, aut deuoratum illitumve oris partibus stercus duntaxat hominis, enarrat, verùm etiam aliorum cuiusque animalium, atque alia etiam non pauca rarorum, & paratu difficilium, puta quum Elephanti, aut equi Niloi meminit. Nam bestiam, seu feram regiam, quam vocant Basiliscon, ne videre quidem vnquam contigit; & si vera sunt, quæ de illa referuntur, periculosum etiam est vel propè accedere ad hoc animal. Non dissimilia iis, quæ à Xenocrate scripta sunt, & ab aliis prodita sunt de animalibus, ex quibus, & ipse Xenocrates pleraque exscripsit. Nam vnde illi tantarum, taliúmque rerum experiundarum fuisset copia? Sanè rex quondam noster Attalus, quum ambitiosissimè talia ad experientiam conquireret, tamen pauciora scribere conspicitur. Porrò quidam Ateuristi eandem tractationem commendans, enarrandam mihi tradidit; cæterùm iudicio meo, nec illa quidem etiam ita ab illo conscripta est, vt omnia ipse fuerit intuitus, oculisque suis præsens conspexerit. Proinde nec ego basiliscorum, aut elephantorum, aut equorum Niloorum, neque alterius cuiusquam, cuius ipse periculum non fecerim meminero. Porrò φίλτρων, ἀγωγίμων, ὀνειροπομπῶν, & μισήτρων vocatorum (ex industria enim ipsa illorum nomina recensui) planè nec si abundè illa forem expertus, mentionem facere in animum inducerem, sicuti nec lethalium medicamentorum, aut vt ipsi vocant, παθοποιῶν. Nam illa sanè ridicula sunt, constringere, ac vincire aduersarios, vt in iudicio nihil possint eloqui, aut grauidæ abortum afferre, aut vt ne vnquam deinceps concipiat efficere, & quæcunque eius sunt generis: Sanè horum pleraque vel antequam facias periculum, scire licet esse impossibilia; quædam verò possibilia, cæterùm vitæ mortalium noxia. Itaque ego, per Deos, admiror, qua cogitatione, quoue consilio, ad ea scribenda quidam accesserint. Nam quæ viuentibus dedecori, atque ignominiæ sunt prodita, quo pacto sibi post mortem gloriæ fore sperarunt? Itaque si regia potestate præditi, in hominibus morti condemnatis illa experirentur, nihil graue committerent. At vbi totam vitam degunt priuati, atque eiusmodi potestatis expertes ad ea scribenda accedunt, duorum alterum necesse est; aut enim si experti non sunt, ea conscribunt, quæ ipsi ignorant; at si experti sunt, hominum omnium sunt, vel impiissimi, qui experiundi gratia hominibus innoxiis perniciosa medicamenta exhibent, ac nonnunquam etiam honestis, ac probis viris. Nam quidam, medicis duobus ad vnguentariorum officinam conspectis, attulit ad eos mel venditurus scilicet. Illi vbi gustassent, de pretio disceptant. At hic tanquam illi parum offerrent, properè subducit sese, verùm medicorum neuter seruatus est.

A καὶ διορίζεταί γε μετὰ πάσης ἐπιμελείας, τίνα μὲν αὐτὸς ὁ γόνος μόνος ὠφελεῖν πέφυκε καταχριόμενος, τίνα δὲ μετὰ τὴν ὁμιλίαν ἀνδρὸς καὶ γυναικὸς, ὅταν ἐκπέσῃ τοῦ γυναικείου κόλπου· μεγάλην γὰρ εἶναι δεῖ γενέσθαι βοηθημάτων πενίαν, ἵνα τις χίμετλα θεραπεύσῃ ὑπὸ χύσεως ἀνδρὸς σπέρμα μὴ μεῖναν ἔνδον, ἀλλ' ἐκρυὲν τῆς γυναικὸς ἐπὶ τῇ συνουσίᾳ. σπάνιον μὲν δὴ, καὶ τὸ τοιοῦτο τῆς ὕλης εἶδός ἐστιν ἐν τοῖς περὶ τῆς ἀπὸ τῶν ζώων ὠφελείας ὑπ' αὐτοῦ γεγραμμένοις. οὐ γὰρ ἀνθρώπου δηλονότι, τίνα δύναμιν ἔχει πινόμενον οὖρον, ἢ καταπι- B νομένοις τε καὶ διαχριομένοις τοῖς ἐν τῷ σώματι μέρεσι κόπρος, ἀλλὰ καὶ τῶν ἄλλων ζώων ἑκάστου διηγεῖται, πολὺ δὲ ἄλλο τῶν δυσπορίστων, οἷς ὅταν ἐλέφαντος ἢ ἵππου Νειλῴου μνημονεύῃ. βασιλίσκον μὲν γὰρ τὸ θηρίον, οὐδὲ εἶδον οὐδέ ποτε, καὶ εἰ ἀληθῆ τὰ λεγόμενα περὶ αὐτοῦ, κινδυνῶδές ἐστι καὶ τὸ πλησίον ἀφικέσθαι τῷ ζώῳ τούτῳ. παραπλήσια δὲ τῷ Ξενοκράτει, καὶ ἄλλοι τινὲς ἔγραψαν περὶ ζώων, ἐξ ὧν καὶ αὐτὸς ὁ Ξενοκράτης ἐξεγράψατο τὰ πλεῖστα. πόθεν γὰρ ἂν ηὐπόρησε τοσούτων τε καὶ τοιούτων πραγμάτων αὐτὸς πειραθῆναι; ὁ γοῦν ἡ- C μέτερος γενόμενός ποτε βασιλεὺς Ἄτταλος ἐλάττονα φαίνεται γράφων, καίτοι φιλοτιμότατα σχὼν περὶ τὴν τῶν τοιούτων πεῖραν. ἐπαινῶν δέ τις Ἀτευρίστου τὴν αὐτὴν πραγματείαν, ἔδωκέ μοι καὶ αὐτὴν διελθεῖν ὥς γε ἐμοὶ δοκεῖ, χωρὶς αὐτοψίας ἰδίας τοῦ γράψαντος αὐτὴν, γεγονυῖαν. ἐγὼ τοίνυν οὔτε βασιλίσκων, οὔτε ἐλεφάντων, οὔθ' ἵππων Νειλῴων, οὔτ' ἄλλου τινὸς, οὗ μὴ πεῖραν αὐτὸς ἔχω, μνημονεύσω. τῶν δὲ καλουμένων φίλτρων, ἀγωγίμων, ὀνειροπομπῶν τε καὶ μισήτρων, αὐτοῖς γὰρ τοῖς ἐκείνων ὀνόμασιν ἐξεπίτηδες χρῶμαι, τὴν ἀρχὴν ἂν, D οὐδ' εἰ πεῖραν ἱκανὴν εἶχον, ἐμνημόνευσα διαγραμμάτων, ὥσπερ οὐδὲ τῶν θανασίμων φαρμάκων, ἢ τῶν ὡς αὐτοὶ καλοῦσι, παθοποιῶν. ἐκεῖνα μὲν γὰρ αὐτῶν, καὶ γελοῖα, καταδῆσαι τοὺς ἀντιδίκους, ὡς μηδὲν ἐπὶ τοῦ δικαστηρίου δυνηθῆναι φθέγξασθαι, ἢ ἐκτρῶσαι ποιῆσαι τὴν κύουσαν, ἢ μηδέ ποτε συλλαβεῖν, ὅσα τ' ἄλλα τοιαῦτα. τὰ μὲν γε πλεῖστα εἶναι τούτων ἐστὶ καὶ πρὸ τῆς πείρας ἀδύνατα ὑπάρχει, ἔνια δὲ, εἰ καὶ δυνατὰ, βλαβερά γοῦν γ' ἐστὶ τῷ βίῳ τῶν ἀνθρώπων, ὥστ' ἐγὼ, νὴ τοὺς θεοὺς, θαυμάζω κατὰ τίνα τὴν ἔν- E νοιαν ἧκον ἐπὶ τὸ γράφειν αὐτὰ τινές. ἃ γὰρ καὶ τοῖς ζῶσιν ἀδοξίαν φέρει γνωσθέντα, πῶς ταῦτα μετὰ θάνατον εὐδοξίαν οἴσειν αὐτοῖς ἤλπισαν; εἰ μὲν οὖν βασιλεῖς ὄντες ἐν ἀνθρώποις ἐπὶ θανάτῳ κατακεκριμένοις ἐποιήσαντο τὴν πεῖραν αὐτῶν οὐδὲν ἔπραξαν δεινόν. ἐπεὶ δ' ἰδιῶται τοιαύτης ἐξουσίας ἐν ὅλῳ τῷ βίῳ γεγονότες, ἐπὶ τὸ γράφειν ἧκον αὐτὰ, δυοῖν θάτερον, ἢ μὴ πειραθέντες αὐτοὶ γράφουσιν ὑπὲρ ὧν οὐκ ἴσασιν, ἢ εἴπερ ἐπειράθησαν, ἀσεβέστατοι πάντων ἀνθρώπων εἰσὶν, ἕνεκα πείρας, ὀλέθρια δόντες φάρ- F μακα τοῖς οὐδὲν ἠδικηκόσιν, ἐνίοτε δὲ καὶ καλοῖς τε καὶ ἀγαθοῖς ἀνδράσιν. ἰατροὺς γοῦν τις ἑωρακὼς ἐπὶ ῥωποπώλαις θεασάμενος δύο, προσεκόμισεν αὐτοῖς μέλι πιπράσκων δῆθεν. οἱ δὲ ἐγεύσαντό τε καὶ περὶ τῆς τιμῆς διελέγοντο, καὶ ὡς ὀλίγον αὐτῶν διδόντων, ὁ μὲν σπεύσας ἐχωρήθη, τῶν δ' ἰατρῶν οὐδέτερος ἐσώθη.

τὰ τοιαῦτ᾽ οὖν ἅπαντα τῶν πραξάντων, τοὺς γράψαντας A οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἄξιον μισεῖν, ὅσῳ καὶ μεῖόν ἐστιν ἀδίκημα μόνον τι ποιῆσαι κακὸν, ἢ μετὰ πολλῶν. καὶ τῷ μὲν πράξαντι συναπέθανεν ἡ τῶν κακῶν θεωρημάτων ἐμπειρία, τῶν δὲ γραψάντων πάντων, ἀθάνατός ἐστιν τοῖς πονηροῖς ὅπλα τῆς κακουργίας παρασκευάζουσα. λέγωμεν οὖν ἡμεῖς ἤδη περὶ τῶν χρησίμων ἀνθρώποις πραγμάτων, ὅσων πεῖραν ἔχομεν.

Itaque non minùs qui scribunt, quàm qui talia perpetrant, imò magis etiam, odio digni sunt; quanto scilicet minor iniuria, ac scelus est, quod solus facias, quàm quod cum multis. Deinde cum eo, qui perpetrauit, moritur & malorum theorematum experientia; at eorum, qui scriptis prodidere, immortalis est malitia, arma prauis hominibus suppeditans. Iam igitur nos dicamus de iis rebus, quæ humano generi sunt vtiles, vtique quarum fecimus periculum.

ΚΕΦΑΛΑΙΟΝ Β'. B

Περὶ τῶν ἐν τοῖς ζώοις ὑγρῶν.

α'. Περὶ Αἵματος.

Αἷμα, προσυπακούειν δηλονότι χρὴ τοῦ κατὰ φύσιν ἔχοντος ζώου, τοῦτο γὰρ καὶ ὄντως ἐστὶν αἷμα. τὸ δὲ μελαγχολικὸν, ἢ πικρόχολον, ἢ φλεγματῶδες, ἢ ὀρρῶδες, ἢ σηπεδονῶδες αἷμα, μικτόν ἐστιν, ἔκ τε τοῦ κατ᾽ ἀλήθειαν αἵματος, καὶ τοῦ μεμιγμένου χυμοῦ τε καὶ ἰχῶρος αὐτῷ καὶ αὐτοῦ δὲ τοῦ κατὰ φύσιν αἵματος ἐν ἑκάστῳ ζώῳ, τὸ μὲν ὑγρότερόν ἐστι, τὸ δὲ ξηρότερον, καὶ τὸ μὲν C μᾶλλον, τὸ δὲ ἧττον θερμόν, ψυχρὸν γὰρ οὐδέν ἐστιν αἷμα.

CAPVT II.

De humoribus qui sunt in animalibus.

1. De *sanguine.*

Sanguis. Intelligendum videlicet est animalis secundum naturam habentis; nam is re vera sanguis est. At melancholicus, aut biliosus, aut pituitosus, aut serosus, aut putridus, sanguis est mixtus, ex sanguine scilicet vero, & ichore, saniéve illi permixta. Tum ipsius quoque sanguinis naturalis in quoque animali alius liquidior alius siccior; hic magis, ille minus calidus; nam frigidus sanguis nullus est.

β'. Περὶ ὑείου αἵματος.

Ὕειον μὲν οὖν, ὑγρόν ἐστιν καὶ ἧττον θερμὸν, ἀνθρωπείῳ μάλιστα κατὰ τὴν κρᾶσιν ἐοικὸς, εἴπερ γε καὶ σάρκες τῶν ὑῶν ἐοίκασι ταῖς τῶν ἀνθρώπων. ἴσμεν γοῦν ἤδη πολλοὺς ἁλόντας πανδοχέας τε καὶ μαγείρους ἐν τῷ πιπράσκειν, ὡς ὕεια, τὰ τῶν ἀνθρώπων κρέα, καίτοι τῶν ἐσθιόντων αὐτὰ διαφορᾶς οὐδεμιᾶς οὐδεὶς ᾐσθάνετο. ἀλλὰ καὶ διηγου- D μένων τινῶν ἤκουσα πιστῶν ἀνθρώπων, ἐδηδοκέναι μὲν ἔν τινι πανδοχείῳ ζωμὸν δαψιλῆ μετὰ κρεῶν ἡδίστων, ἤδη δὲ ἐμπεπλησμένων, εὑρεῖν ἐν αὐτῷ δακτύλου μέρος τὸ πρόσω κατ᾽ αὐτὸν τὸν ὄνυχα, φοβηθέντες δὲ τοὺς ἐν τῷ πανδοχείῳ μὴ καὶ αὐτοὺς φάγωσιν ὡς εἰθισμένοι τοῦ πράγματος, αὐτίκα μὲν ἐξελθεῖν, ἐμέσαντες δὲ τὰ ἐδηδεσμένα τῆς ὁδοιπορίας ἔχεσθαι, καὶ μέν τοι καὶ φωραθῆναι τοὺς κατὰ τὸ πανδοχεῖον, οὐ μετὰ πολὺν χρόνον ἔφασαν, ἐφ᾽ οἷς ἔσφαττον ἀνθρώποις, ὥστ᾽ εἰκότως ἄν τις ὑπολάβοι, καὶ τὸ αἷμα τῶν ὑῶν ὁμοιότατον εἶναι τῷ τῶν ἀνθρώπων. ἐκ γὰρ τοιούτου αἵμα- E τος ἥ τε πρώτη γένεσίς ἐστι, καὶ ἡ μετὰ ταῦτα τροφὴ ταῖς σαρξὶν, ὥστε καὶ ὅστις ἀνθρώπειον αἷμά φησιν εἶναι πρός τι νόσημα χρήσιμον, ἐν ὑείῳ πρότερον ἐπιδειξάσθω, καὶ εἰ μὴ τὴν αὐτὴν, ἀλλ᾽ ὁμοίαν ἐνέργειαν. εἰ γὰρ καὶ κατά τι τῆς δυνάμεως ἀπολείποιτο ἀνθρωπείου αἵματος, παραπλήσιον γοῦν τι δράσει, δι᾽ οὗ γνωσθέντος, ἐλπίσομεν ὑπ᾽ ἀνθρωπείου τελεωτέραν ἔσεσθαι τὴν ὠφέλειαν. ὡς ἐάν γε μηδὲ μικρόν τι φαίνηται τῆς ἐπαγγελίας διασῶζον, οὐδ᾽ ἐπ᾽ ἀνθρωπείου λόγον ἔχει πειρᾶσθαι. τὰ μὲν γὰρ ὅμοια τῶν ὁμοίων εἶναι ποιητικὰ πεπειράμεθα. περιστερᾶς γοῦν αἷμα παρ᾽ ἡμῖν ἐν Περγάμῳ, σχεδὸν δὲ καὶ καθ᾽ ὅλην τὴν Ἀσίαν, εἰώθασιν οἱ ἀνατρήσαντες ὀστᾶ κεφαλῆς κατεαγότα, καταχεῖν τῆς παχείας μήνιγγος. εἶτά τις ἔχων μὲν κατὰ τύχην φάτταν, οὐκ ἔχων δὲ περιστερὰν, ἐχρήσατο τῷ τῆς φάττης αἵματι, καὶ ὅμως ὁ ἄνθρωπος ἐσώθη. καὶ ἄλλος δὲ τρυγόνος ἐπ᾽ ἄλλῳ χρησάμενος, οὐδὲν ἔβλαψε τὸν ἄνθρωπον.

2. *Sanguine suillo.*

Sanguis suillus humidus est, & minùs calidus, humano maximè temperie similis, siquidem & carnes suum humanis sunt similes. Comperti enim sunt hospites, & coqui complures, qui humanas carnes pro suillis venderent; tametsi, qui eas edissent, nullum omninò discrimen percipere potuerint. Quin & ipse narrantes audiui viros fide dignos, sese in diuersorio publico ius esitasse delicatum cum carnibus suauissimis; cæterùm, quum iam penè saturi essent, inuenisse digiti partem anteriorem, quæ videlicet ad vnguem est; quo perculsi, ac metuentes eos, qui agebant in diuersorio, ne scilicet, se quoque vorarent, ceu ei rei assueti, protinus quidem illinc exiere, ac vomitu redditis, quæ ederant, ita iter denuo ingressi sunt. Sed & in ipso facinore homines mactantes deprehensos non ita multo post referebant. Itaque iure quispiam existimet suillum sanguinem, humano esse simillimum; ex tali enim sanguine, tum prima constat generatio, tum postea nutritio carnibus. Itaque quisquis sanguinem humanum morbo alicui vtilem esse ait, in suillo primum id comprobet; ac si non eandem, saltem similem, actionem ostendat. Nam etsi aliquatenus inferior sit humano sanguine, saltem assimile quippiam efficiet; quo cognito, ab humano pleniorem fore vtilitatem sperabimus. Nam si ne paulum quidem promissis respondeat, non erit cur in humano experiri oporteat; quippe similia efficere posse similia F experti sumus. Nam columbæ sanguinem Pergameni nostri, atque adeo per totam ferè Asiam, qui capitis ossa confracta perforant, in crassum cerebri inuolucrum effundere assolent. Postea quidam quum haberet palumbum, nec esset ad manum columba, vsus est palumbi sanguine, & tamen seruatus est homo ille. Et alius turturem eundem ad vsum applicans, nihil hominem læsit.

Siquidem

Siquidem similibus ad eosdem vti affectus, vbi quæ antea expertus sis, non adsunt, vnum est ex confessis, & experientia comprobatis. Et humanæ vitæ pleraque hunc in modum peraguntur.

A τοῖς γὰρ ὁμοίοις ἐπὶ τῶν αὐτῶν χρῆσθαι παθῶν, μὴ παρόντων τῶν προπεπειρασμένων, ἕν τι τῶν ὁμολογουμένων ἐστὶ, καὶ μαρτυρουμένων ὑπὸ τῆς ἐμπειρίας, καὶ τά τε πλεῖστα τοῦ τῶν ἀνθρώπων βίου κατὰ τοῦτον περαίνεται τὸν τρόπον.

3. *De sanguine columbæ.*

POrrò quoniam exempli vice mentionem feci sanguinis columbini, nihilo deterius fuerit iam ipsum sermoni proponere. Siquidem eo ad suffusiones in oculis factas quidam vtuntur, protinus videlicet sumentes, qui ex animante mactata effluit. Nam calidum in suffusiones affundunt, venis ad alarum exortus incisis, quo videlicet ad multos vsus idem animal sufficiat. Alter pullorum tenerorum extractis pennis (sunt autem hæ molles, & fistulas humore plenas obtinent) eum ipsum humorem exprimebat, oculis instillans. At aliis medicis controuersia fuit, pulline sanguinem an columbæ adultæ, meningi affundere oporteret; & an maris, an fœminæ. Ego verò sexcentos noui eorum, quibus Romæ perforata fuere capitis ossa, nec quicquam ab vsu rosacei, citra columbæ sanguinem offensos. Verùm id calidum sit æquè, atque columbæ sanguis, necesse est; ac fortassis ipsa tantùm caliditatis in contactu moderatione est vtilis, haudquaquam eximia, & incognita facultate. Adest illi quoque bona facultatis temperies. Sed quid hoc? Nam & hæc rosaceo inest, preterquam quòd leuiter astringat. Itaque melius inuenire nihil possis in capite perforato, quàm vt rosaceo probo vtare. Indicaui autem supra, quo pacto oporteat rosaceum, de quo queri non liceat, præparare. Sed & collyria sunt plurima, quæ medeantur suffusionibus, & maximè, quod plurimam recipit myrrham, quale est, quod à Damocrate compositum est, quod vocant Diasmyrnon. Secundo sunt, quæ habent multum thuris. Post quæ sunt, quæ ex croco constant. Quin & fœnigræci succus sanguine columbino in hoc vtique præstat. Quid ergo moramur, aut columbos, aut palumbos, aut turtures, cùm omnium medicamentorum paratu facillimum habeamus fœnum Græcum, tum memorata collyria in promptu seruemus? Ad eundem modum, nec noctuæ sanguine ad difficulter spirantes egebimus; quanquam sunt qui non sanguinem bibendum exhibeant, sed ipsam iubeant coctam edere ex simplici iure. Ac sanguinem quidem alij aquæ, alij vino, instillantes exhibent. Et fuit etiam quidam qui immodicè hunc sanguinem apud mulierem assiduè difficulter spirantem extolleret, & quum rogarem, qualem ab eo sciret curatam spirandi difficultatem, ne id quidem nouerat, quòd plures essent. Et sanè in muliere quidem est vsus, verùm profuit nihil.

γʹ. Περὶ αἵματος περιστερᾶς.

ΕΠεὶ δ', ὡς παραδείγματος ἐμνημόνευσα τοῦ τῶν περιστερῶν αἵματος, οὐδὲν ἂν εἴη χεῖρον ἤδη, καὶ τοῦτο προχειρίσασθαι τῷ λόγῳ. καὶ γὰρ καὶ πρὸς ὑποσφάγματα κατὰ B τοὺς ὀφθαλμοὺς γινόμενα χρῶνταί τινες αὐτῷ, παραχρῆμα δηλονότι λαμβάνοντες τὸ ἐκρέον τοῦ σφαττομένου ζώου. θερμὸν μὲν γὰρ κατὰ τῶν ὑποσφαγμάτων ἐγχέων αὐτὸ, τὰς κατὰ τὴν ἔκφυσιν τῶν πτερύγων διῄρει φλέβας, ὅπως ἐξαρκέσειεν αὐτὸ τὸ ζῶον εἰς πολλὰς χρήσεις. ἕτερος δὲ τῶν ἁπαλῶν νεοττῶν ἐξαίρων τὰ πτερὰ, μαλακὰ δ' ἐστὶ ταῦτα, καὶ τὰς σύριγγας ὑγροῦ πλήρεις ἔχει, τοῦτ' αὐτὸ τὸ ὑγρὸν ἐκθλίβων, ἐνέσταζε τοῖς ὀφθαλμοῖς. ἑτέροις δὲ ἰατροῖς ἀμφισβήτησις ἐγένετο, πότερον νεοττοῦ χρὴ τὸ αἷμα κατὰ τῆς μήνιγγος ἐπιστάζειν, ἢ τελείας περιστερᾶς, καὶ πότερον ἄρρενος, ἢ θήλεος. ἐγὼ δ' ἐν C Ῥώμῃ μυρίους οἶδα τῶν ἀνατρηθέντων ὀστᾶ κεφαλῆς, οὐδὲν βλαβέντας ἐπὶ τῇ τοῦ ῥοδίνου χρήσει, χωρὶς αἵματος περιστερᾶς. εἶναι δὲ αὐτὸ χρὴ θερμὸν οὕτως, ὡς τὸ τῆς περιστερᾶς αἷμα. καὶ ἴσως γε τῷ συμμέτρῳ τῆς κατὰ τὴν θίξιν θερμασίας ὠφέλιμόν ἐστιν, οὐκ ἐξαιρέτῳ τινὶ καὶ ἀγνώστῳ δυνάμει. σύνεστι δ' αὐτῷ, καὶ ἡ κατὰ τὴν δύναμιν εὐκρασία, ἀλλὰ τί τοῦτο; καὶ γὰρ καὶ τὸ ῥόδινον ἔχει ταύτην μετὰ τοῦ καὶ στύψεως βραχείας μετέχειν, ὥστε οὐδὲν ἕξεις μεῖζον ἐπί γε κεφαλῆς ἀνατρηθείσης ῥοδίνῳ καλῷ χρώμενος. ἐδήλωσα δ' ἔμπροσθεν, ὅπως ἐσκευάσθαι χρὴ τὸ ἄμεμπτον ῥόδινον. ἔστι δὲ καὶ τῶν ὑπο- D σφαγμάτων ἰατικὰ κολλύρια πάμπολλα, καὶ μάλιστα τὴν σμύρναν ἔχοντα πολλὴν, ὁποῖον καὶ τὸ Δαμοκράτους ὀνομαζόμενον διάσμυρνον. ἐξῆς δὲ τούτων ἐστὶ τὰ διὰ λιβανωτοῦ πολλοῦ, καὶ τούτων ἐξῆς τὰ διὰ κρόκου, καὶ χυλὸς δὲ τήλεως ἀμείνων ἐστὶν αἵματος περιστερᾶς εἰς τὰ τοιαῦτα. τί ἂν οὖν δέοι περιστερᾶς, ἢ φάττας, ἢ τρυγόνας ἀναμένειν, εὐπορώτερον μὲν ἁπάντων ἔχοντας φάρμακον τῆλιν, ἕτοιμα δὲ τὰ εἰρημένα κολλύρια; κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδὲ γλαυκὸς αἵματος δεηθησόμεθα πρὸς τοὺς δυσπνοοῦντας. ἔνιοί γε μὴν οὐ τὸ αἷμα διδόασι πίνειν, ἀλλ' αὐτὴν ἑψήσαντες κελεύουσιν ἐσθίειν ἐν E ἁπλῷ ζωμῷ. τὸ δ' οὖν αἷμα τινὲς μὲν ἐπιστάξαντες ὕδατι, τινὲς δὲ οἴνῳ διδόασιν, καί τις ὑπερεπῄνει τὸ αἷμα τοῦτο παρὰ γυναικὶ συνεχῶς δυσπνοούσῃ, πυθομένου δέ μου ποίαν οἶδε δύσπνοιαν ὑπ' αὐτοῦ τεθεραπευμένην, οὐδ' ὅτι πλείους εἰσὶν ἠπίστατο, καὶ τοίνυν ἐχρήσατο μὲν ἐπὶ τῆς γυναικὸς, οὐδὲν δὲ ὤνησεν.

4. *De sanguine vespertilionis, leporis, gallinarum, caprarum, agnorum, hædorum, vrsorum, taurorum, & hircorum.*

SIcut nec sanguis vespertilionis; quod scribunt quidã, si virginũ vberibus illinatur, plurimo ea tempore ab extuberatione tueri. Est autẽ & ipsum falsum, veluti & quòd enasci sub alis pilos prohibeat; id quod rectè Xenocrates tanquã mẽdacium calumniatus est. Verũ ipse censet post illius vsum, aut chalcanthon inspergendum, aut semen cicutæ.

δʹ. Περὶ αἵματος νυκτερίδος τε, καὶ λαγωοῦ, καὶ ἀλεκτορίδων, καὶ αἰγῶν, καὶ ἀρνῶν καὶ ἐρίφων, ἄρκτων τε, καὶ ταύρων, καὶ τράγων.

F ΚΑθάπερ οὐδὲ τὸ τῆς νυκτερίδος, ὃ γεγράφασιν ἔνιοι, καταχριόμενον τοῖς τιτθοῖς τῶν παρθένων, ἄχρι πλείστου προστελλομένους αὐτοὺς διαφυλάττειν. ἔστι δὲ καὶ τοῦτο ψεῦδος, ὥσπερ γε καὶ τὸ μὴ φύεσθαι τρίχας ἐν ταῖς μασχάλαις, ὃ καλῶς ποιῶν ὁ Ξενοκράτης διέβαλεν, ὡς οὐκ ἀληθές. αὐτὸς δ' ἀξιοῖ μετὰ τὴν ἐκείνου χρῆσιν, ἢ χάλκανθον ἐπιπάττειν, ἢ σπέρμα κωνείου.

καί φησιν οὕτω πραχθέντων, ἢ μηδ' ὅλως φύεσθαι τὰς τρίχας, ἢ χνοώδεις φύεσθαι, ὥσπερ μικρόν τι φάρμακον προσφέρων τὸ σπέρμα τοῦ κωνείου, καὶ οὐχ ἱκανὸν αὐτὸ καθ' αὑτὸ καταψύξαι γενναίως οἷς ἂν ἐπιτεθῇ μορίοις, ἔνιοι δὲ καὶ τοῖς αἰδοίοις τῶν παίδων ἐπαλείφουσι τὸ τῆς νυκτερίδος αἷμα, νομίζοντες ἐκ τούτου φυλάξειν ἄνηβα μέχρι πλείστου τὰ μόρια. καίτοι γ' ἐχρῆν οὐδὲ μέχρι πλείστου νομίζειν, ἀλλὰ διὰ παντὸς ἔσεσθαι τοιαῦτα, καθάπερ οἴονται καὶ τὰς μασχάλας. ἐκ μὲν οὖν τοῦ ψυχθῆναι σφοδρῶς τὸ μόριον, εὔλογόν ἐστι γενέσθαι τι τοιοῦτον, οὐ μὴν τό γε τῆς νυκτερίδος αἷμα ψυχρὸν εἰς τοσοῦτόν ἐστι κατὰ δύναμιν, ὅλως γὰρ οὐδὲν αἷμα ψυχρόν ἐστιν. ὡς τροφῇ μέντοι πολλάκις αἵματι χρῶνται πολλοί, τοῦ τε λαγωοῦ, καὶ τῶν ἀλεκτορίδων, καὶ τῶν αἰγῶν, ἀλλὰ τῷ μὲν τοῦ λαγωοῦ, καὶ τῶν ἀλεκτορίδων οὐκ ὀλίγοι, καὶ τῶν ἐν ταῖς πόλεσι. τῷ δὲ τῶν αἰγῶν οἱ κατὰ τοὺς ἀγροὺς ἐμπιπλάντες αὐτῶν τὰς γαστέρας ἅμα τῇ πιμελῇ, καθάπερ Ὅμηρος ἔφη τοὺς μνηστῆρας. ἀλλὰ νῦν ἡμῖν ὁ λόγος ἐστὶν, οὐ περὶ τῶν ἐν τροφῆς χώρᾳ προσφερομένων, ἀλλὰ τῶν, ὡς φαρμάκων. ἔνια δὴ, ὡς καὶ πρόσθεν εἴρηται, τροφαί τε ἅμα καὶ φάρμακά ἐστιν, ὧν ἐν τῇδε τῇ πραγματείᾳ καθ' ὅσον φάρμακά ἐστιν, οὐ καθ' ὅσον τροφαί. καὶ γὰρ καὶ ὅσοι τὸ αἷμα τῆς αἰγὸς τοῖς ὑδεριῶσι μετὰ μέλιτος ἔδοσαν, ὡς φάρμακον, οὐχ ὡς τροφὴν αὐτὸ προσφέρουσιν, καὶ ὅσοι πρὸς δυσεντερίαν ὀπτήσαντες, ἢ πρὸς ῥεῦμα γαστρὸς ἐχρήσαντο. καί μοι δοκεῖ τὸ παχυμερὲς αὐτοῦ, καὶ γεῶδες ἅμα θερμότητι ξηραντικὸν ὑπολαβὼν εἶναι, πρὸς ταύτην τὴν χρῆσιν ἀφικέσθαι τις. εἰς δὲ τὰς μηνίγγων αἱμορραγίας ἀλεκτρυόνος τε καὶ ἀλεκτορίδος αἷμα γεγραμμένον ὑπ' αὐτῶν εὑρὼν, οὔτ' ἤλπισα δράσειν τι μέγα, καὶ τῇ πείρᾳ κρίνειν, ἅμα μὲν ἠδέσθην, ὡς μὴ περίεργος, ἢ μωρὸς εἶναι δοκοίην, εἰ τοσαῦτά τε καὶ τοιαῦτα φάρμακα δόκιμα παρελθὼν, ἐλπίζοιμι τὸ τῶν ὀρνίθων τούτων αἷμα μᾶλλον ἀνύσειν, ἅμα δ' ἐπισφαλοῦς οὔσης τῆς τοιαύτης αἱμορραγίας, οὐκ ἐδόκει μοι καλῶς ἔχειν ἐπί τι τῶν ἀπειράστων ἀφικνεῖσθαι. σφαλερὰ γὰρ οὕτως ἡ τοιαύτη πεῖρα, καὶ μόνοις βασιλεῦσιν ἐπὶ πονηρῶν ἀνθρώπων εὐλόγως παραλαμβανομένη. προκατέγνων δὲ καὶ τοῦ τῶν ἀρνῶν αἵματος, ὃ θεραπεύειν ἐπιληψίαν ἔνιοί φασι πινόμενον, οὐκοῦν οὐδὲ τοῦτο τῇ πείρᾳ κρίνειν ἤμελλον. εἰ δέ τις βούλεται πειραθῆναι, σαφῶς οἶδα καταγνωσόμενον αὐτὸν τῶν γραψάντων τὰ τοιαῦτα. πάντα γὰρ ὅσα πινόμενα φάρμακα τοὺς ἐπιληπτικοὺς ὀνίνησι, τῆς τεμνούσης ἐστὶ δυνάμεως, ἥκιστα δὲ τοιοῦτο τὸ τῶν ἀρνῶν αἷμα. τὸ δ' ἐπὶ τοῦ τῶν ἐρίφων αἵματος εἰρημένον ὑπὸ Ξενοκράτους, ἐνδεχόμενον εἶναι νομίσας ἀνύειν τι, διὰ τὴν τοῦ ὄξους μίξιν ὑπεθέμην τινὶ πρᾶξαι τῶν ἐν ἀγρῷ διαιτωμένων ἀνδρὶ φιλογεώργῳ μὲν, πεπαιδευμένῳ δὲ τὴν πρώτην παιδείαν, καί φησιν αὐτῷ κεχρημένος ἐπὶ δυοῖν αἷμα πτυσάντων ὠφελῆσαί τινα πεπειρᾶσθαι. ἐδόκει δέ μοι μηδέτερος αὐτῶν ἐξ ὧν διηγεῖτο, μήτ' ἐξ ἀρτηρίας αὐτὸ, μήτε ἐκ λάρυγγος, ἢ πνεύμονος ἐπτυκέναι. γράφει γοῦν ὁ Ξενοκράτης ἐν τῷ πρώτῳ περὶ τῆς ἀπὸ τῶν ζώων ὠφελείας, ἔνθα περὶ ἐρίφων διαλέγεται, κατὰ λέξιν ὧδε. πρὸς τοὺς αἱμοπτυϊκοὺς πάνυ ὠφέλιμον. χρὴ δὲ μήπω πεπηγότι ὅσον ἡμικοτυλίῳ παραμίξαι ὄξους δριμέος ἴσον, ἔπειτ' ἀναζέσαντα τριχῆ διανέμειν, διδόναι τε καταρροφεῖν ἑκάστης ἡμέρας μέρος ἕν, ὥστ' ἔξεστί σοι καὶ ἀγρῷ ποτε τῶν ἄλλων ἀποροῦντι, καὶ τούτῳ χρήσασθαι τὴν πεῖραν ἀκίνδυνον ἔχοντι. τό γε μὴν τῶν ἄρκτων κατὰ τῶν ἀποστημάτων θερμὸν ἐπιτιθέμενον ἐγχωρεῖ πεπαίνειν αὐτά.

A Atque vbi hoc factum erit, aut prorsum pilos non prodituros, aut certè lanuginosos; ceu leue, atque exile medicamentū adderet cicutæ semen, ac non per sese sufficiat strenuè refrigerare partes quibus fuerit impositum. Alij verò & puerorum pudēdis sanguinē vespertilionis illinunt, credentes ita diutissimè eas partes à pube seruari posse immunes. Atqui non oportebat putare diutissimè, verū perpetuò fore tales; velut existimant & alas. Ergo ex refrigeratione partis vehemēti, eiusmodi quippiā posse contingere non est à ratione alienum. Non tamen adeò frigidæ facultatis est vespertilionis sanguis; nam in totum nullus sanguis frigidus est. B Sunt enim non pauci, qui pro alimento habēt sanguinem leporis, gallinarum, & caprarū; verùm leporis, & gallinarum cōplures etiam eorum, qui vrbes incolunt; at agrestes ventres suos caprarū sanguine vnà cum adipe implent, vt Homerus ait solitos sponsos Penelopes. Sed nunc non est nobis sermo de iis, quę ciborum loco sumuntur, sed quæ adhibentur, vt medicamenta. Sed quædam sunt, vti supra posui, alimenta simul, & medicamenta; quorum hic facienda mentio est, quatenus medicamenta, non quatenus alimenta. Etenim qui aqua inter cutem laborantibus sanguinē caprarum cum C melle exhibuerunt, eum vt medicamentū, non vt alimentū, obtulere; tum qui ad dysenteriam tosto eo, & ad ventris fluxum, sunt vsi. Videtúrque mihi quispiam crassam eius essentiam, & terream cum caliditate exiccatoriam esse suspicatus, ad hunc vsum perductus. Porrò galli gallinæque sanguinē quum ab ipsis ad meningū hæmorrhagiam scriptū inuenissem, nec magnū quippiam effecturū sperarui, nec ausus sum experiri. Simul enim metuebam, ne curiosus, & stolidus viderer, si tantis támq; probatis remediis semel præteritis, confiderē sanguinem gallinaceum illis plus posse præstare; simul D verò quum eiusmodi sanguinis eruptio admodum sit periculosa, non est mihi visum fore honestū, si ad ea, quæ inexplorata essent, transissem; siquidem periculosa est eiusmodi experientia, & quæ solis Regibus in homines noxios meritò vsurpatur. Desperabā verò etiam de sanguine agnorū, quem quidam comitiali morbo mederi potū scripserunt. Itaq; nec hunc quidē etiam experimento iudicare sum ausus. Quòd si quis experiri volet, certo scio damnabit qui talia scripserunt. Siquidē quæcunq; potu iuuant epilepticos, ea facultatis sunt incidentis; at sanguis agninus omnium minimè talis est. E Porrò quòd de hœdorū sanguine prodidit Xenocrates, quū existimassem non esse impossibile, ratus ob aceti mixtionem posse aliquid efficere persuasi cuidam in agro degenti, ac rei rusticæ quidem studioso, cæterùm primis disciplinis erudito; retulítq; se eo in duobus sanguinē expuentibus vsum, nonnullam vtilitatem expertū. Cæterùm illorum neuter, ex iis, quæ mihi narrabat, neque ex arteria, neque ex larynge, aut pulmone, expuisse visus est. Xenocrates igitur in primo libro de percipienda ab animantibus vtilitate, vbi de hœdis disserit, scribit in hæc verba. *Ad sanguinem spuentes, admodum vtile.* F *Oportet autem nondum concreto mensura semicotylæ tantundem admiscere aceti acris, idque feruefactum trifariam partiri, & in singulos dies singulas partes exorbendas præbere.* Itaque liceat tibi fortè fortuna in agro deprehenso, vbi reliquorum fuerit inopia, hoc vti, quum citra periculum id experiri possis. Vrsorum verò sanguis si abscessibus calidus imponatur, fieri potest, vt concoquat.

Adiiciam verò etiam caprinum, hircinum, taurinum. Licétque tibi, si voles, præteritis decem millibus medicamentorum paratu promptorum, quibus concoquuntur abscessus, vrsos, tauros, ac hircos mactare, quolibet scilicet vsu; nec enim quispiam semel imposito in partem affectam medicamento promissum eius exiget, nec etiam si refrixerit, vt iam cogatur.

5. *De sanguine viridium ranarum.*

PORrò quum assereret quidam, sanguinem viridium ranarum paruarum, quas quidam brexantes nuncupant, si euulsis ex palpebris pilis inungeretur, vt in posterum ne recrescerent, prohibiturum: falsum id comperi facto periculo. Postea verò scriptum à quibusdam reperi illud ipsum: sicut etiam Crotonum, quos potius veteres appellitant cynoraistas. Verùm nec hic facto periculo promissa præstitit.

6. *De sanguine crocodili & reliquorum.*

CÆterùm an crocodili terrestris sanguis visum acuat, ne id quidẽ experiri volui, quum haberem probata aciei exacuendæ medicamenta oxyderce. Neque an admissariorum equorum sanguis crustam moliatur, & septicus sit; neque an murium domesticorum sanguis verrucas decidere faciat. Nam aliorum fuit mihi magna semper copia, & ad hoc pathema, & quod ægrius illo medicabile est: nempe ad vocatam myrmeciam. Et cauebam ne præstigiaturæ opinionẽ meritò referrẽ, quum iam etiam improbi quidã medici ex diuinandi quapiam arte, non ex speculatione medica, me in morbis solere prędicere calumniarentur.

7. *De lacte.*

LAc. Bifariam hoc vtimur, partim, vt cibo, partim, vt medicamento. Sed quid valeat, vt cibus, in curandi Methodo alibíque expositum est: at facultatem eius, ceu medicamenti, eam nunc explicamus. Ac primùm illud commonebo, quod paulo antè de sanguine, quod non de morbido lacte, sed de naturali cuiusque animantis, ea quæ dicenda sunt, intelligere oporteat. Igitur lac sanissimum, velut etiam sanguis, purum syncerúmque est, nec amaroris, nec acrimoniæ, aut aciditatis, aut salsedinis, aut fœtoris particeps; sed vt dixerit quispiam, bono odore præditum, aut odoris expers, aut certè exiguum odorem bonum referens. Clarum etiam est id esse debere gustu suaue, pauculam habens dulcedinem: sicut & sanguis integræ sanitatis: ex quo & lactis constat generatio. Tale lac ad acres, & mordaces fluxiones est vtilissimum, non abluens tantummodo eas à partibus afflictis (est enim id illi cum aqua commune) sed & corpora illinens, vt non in nuda cadat quod defluit. Nec in hoc duntaxat aquæ præstat, verùm etiam quia colluit, vtpotè extergentem in sese humiditatem continens, quam vocant serum, id quod colluit, diluítque corpora; reliquo autem, quod crassum pinguéque est, circumlinitur, non aliter quàm pinguedo, adeps atque oui albumen, & ceratum ex eloto oleo ceráque confectum;

A προσθήσω δὲ τῷ λόγῳ, καὶ τὸ τῆς αἰγός τε, καὶ τράγου, καὶ ταύρου. καί σοι πάρεστιν εἰ βούλει, παρελθόντι μυρία τῶν ἀπείρων φαρμάκων εἰς ἀποστήματα πεπαινομένων ἀρκέσεις, καὶ ταύρους, καὶ τράγους καταθύειν ἐφ' ἑκάστῃ δηλονότι χρήσει. οὐ γὰρ δὴ ἅπαξ γέ τις ἐπιθεὶς κατὰ τοῦ πεπονθότος μορίου, τὴν ἐπαγγελίαν ἀπαιτήσει τοῦ φαρμάκου, οὐ μὴν οὐδὲ ψυχρὸν ἤδη γεγονὸς, ὡς πεπηγύαι.

έ. Περὶ αἵματος τῶν χλωρῶν βατράχων.

B ΤΟ δὲ τῶν χλωρῶν βατράχων τῶν μικρῶν, οὓς βρέξαντάς τινες ὀνομάζουσι, τὸ αἷμα διαβεβαιουμένου τινὸς, ἐπειδὰν τῶν βλεφάρων ἐκτίλας τὰς τρίχας ἐπαλείψῃς, οὐκέτ' ἀναφύεσθαι, ψευδὲς εὗρον ὑποβαλὼν τῇ πείρᾳ. μετὰ ταῦτα δὲ καὶ γεγραμμένον ὑπό τινων εὗρον αὐτὸ, καθάπερ γε καὶ τὸ τῶν κροτώνων, οὓς κυνοραίστας μᾶλλον ὀνομάζουσιν οἱ παλαιοί. ἀλλ' οὐδὲ τοῦτο τὴν ἐπαγγελίαν ἔσωσεν εἰς πεῖραν ἀχθέν.

ϛ'. Περὶ αἵματος κροκοδείλου καὶ τῶν λοιπῶν.

C ΕΙ δὲ τὸ τοῦ χερσαίου κροκοδείλου ποιητικὸν ὀξυδορκίας ἐστὶν, οὐδὲ πειράζειν ἔμελλον, ἔχων ὀξυδερκῆ φάρμακα δόκιμα, καθάπερ οὐδ' εἰ τὸ τῶν ὀχευόντων ἵππων, ἐσχαρωτικόν τε καὶ σηπτικὸν, οὐδ' εἰ τὸ τῶν κατοικιδίων μυῶν ἀποπίπτειν ποιεῖ ἀκροχορδόνας. ἕτερα γὰρ ἦν μοι πολλὰ, καὶ πρὸς τοῦτό γε τὸ πάθημα, καθάπερ γε καὶ πρὸς τὸ δυσιατώτερον αὐτοῦ τὴν μυρμηκίαν ὀνομαζομένην, ἐφυλαττόμην τε γοητείας δόξαν ἀπενέγκασθαι, φθανόντων ἤδη τῶν βασκάνων ἰατρῶν λέγειν ἐκ μαντικῆς τινος, οὐκ ἰατρικῆς θεωρίας τὰς προῤῥήσεις ἐπὶ τῶν νοσούντων με ποιεῖσθαι.

D

ζ'. Περὶ γάλακτος.

ΓΑλα διττὴν ἔχει τοῦτο χρείαν, τὴν μὲν ἑτέραν, ὡς τροφὴ, τὴν δὲ ἑτέραν, ὡς φάρμακον. ἀλλ' ὡς μὲν τροφή τι δύναται διά τε τῆς θεραπευτικῆς μεθόδου, καὶ κατὰ τὰ ἄλλα δεδήλωται. τὴν δ' ὡς φαρμάκου δύναμιν αὐτὴν νῦν ἐρῶ, πρότερόν γε ἀναμνήσας κἀπὶ τοῦδε, καθάπερ ὀλίγον ἔμπροσθεν ἐπὶ τοῦ αἵματος, ὡς οὐ περὶ τοῦ νοσώδους γάλακτος, ἀλλὰ τοῦ κατὰ φύσιν ἐν ἑκάστῳ τῶν ζώων χρὴ ἀκούειν τῶν λεχθησομένων. τὸ τοίνυν ὑγιεινότατον γάλα, καθάπερ καὶ τὸ αἷμα καθαρόν ἐστι, καὶ εἰλικρινὲς, οὔτε πικρότητος, οὔτ' ὀξύτητος, οὔτε

E δριμύτητος, οὐδ' ἁλυκότητος, οὔτε δυσωδίας μετέχον, ἀλλ' ὡς ἂν εἴποι τις εὐῶδες, ἢ ἄοσμον, ἢ εἴπερ ἄρα σμικρᾶς τινος εὐωδίας μετέχον. εὔδηλον, ὅτι καὶ γευόμενόν ἐστιν ἡδὺ, βραχεῖαν ἔχον γλυκύτητα, καθάπερ καὶ τὸ αἷμα τὸ ὑγιεινὸν, ἐξ οὗ καὶ ἡ τοῦ γάλακτός ἐστι γένεσις. τὸ δὲ τοιοῦτο γάλα πρὸς τὰ δριμέα, καὶ δάκνοντα ῥεύματα συμφορώτατόν ἐστιν, οὐ μόνον ἀποπλῦνον αὐτὰ τῶν ἐνοχλουμένων μορίων. ἔστι γὰρ αὐτῷ τοῦτο, καὶ πρὸς τὸ ὕδωρ κοινὸν, ἀλλὰ καὶ περιπλαττόμενον τοῖς σώμασιν, ὡς μὴ γυμνοῖς αὐτοῖς προσπίπτειν τὸ ἐπιῤῥέον, οὐ μόνον δὲ κατὰ

F τοῦτο πλεονεκτεῖ τοῦ ὕδατος, ἀλλὰ καὶ τῷ περιπλύνειν αὐτὸ, διὰ τὸ περιέχειν ἐν ἑαυτῷ ῥυπτικὴν ὑγρότητα τὴν ὀνομαζομένην ὀῤῥὸν, ὃς προσαποκλύζεται, καὶ προσαποκλύζει τὰ σώματα. τῷ δὲ λοιπῷ παντὶ παχεῖ ὄντι, καὶ λιπαρῷ περιπλάττεται καθ' ὅνπερ τρόπον καὶ ἡ πιμελὴ, καὶ τὸ στέαρ, ᾠοῦ τε τὸ λευκὸν, ἥ τ' ἐκ τοῦ πεπλυσμένου κηροῦ, καὶ ἐλαίου κηρωτή·

καὶ γὰρ καὶ ταῦτα τὰς ἀπὸ τῶν δριμέων ἰχώρων πραΰνει δήξεις, ἐκ τοῦ περιπλάττεσθαι τοῖς σώμασιν, ἄδηκτον ἔχοντα φύσιν. εὐτρεπτότατον δ' ὂν ἁπάντων γάλα, καὶ μάλιστα ὅταν ᾖ τὸ περιέχον θερμὸν, ἀποβάλλει πολὺ τῆς εἰρημένης δυνάμεως, εἰ μὴ παραχρῆμά τις αὐτῷ χρῷτο θερμῷ τῶν τιτθῶν ἐκχυθέντι. μάλιστα μὲν οὖν γυναικὸς εὐεκτούσης τε καὶ καλῶς διαιτωμένης γάλακτι χρηστέον ἐστὶν, οἰκειότατον γὰρ ἀνθρωπείῳ σώματι τοῦτο, δεύτερον δὲ τῶν ἄλλων ζώων, ὅσα μὴ πολὺ κεχώρισται τῆς ἀνθρώπου φύσεως. εἴσῃ δὲ τοῦτο ῥᾳδίως ἐκ τῆς τῶν σαρκῶν ὀσμῆς, ἀηδοῦς μὲν οὔσης τῶν πόρρω ταῖς κράσεσιν ἀφεστηκότων, οἷον κυνὸς, λύκου, λέοντος, παρδάλεως, ἀλώπεκος, ὑαίνης, ἄρκτου, καὶ τῶν ὁμοίων. οὐκ ἀηδοῦς δὲ τῶν μὴ πόρρω, καθάπερ ὑὸς, αἰγὸς, ἵππου, βοὸς, ὄνου, προβάτου. καὶ τοίνυν καὶ χρῶνται πάντες οἱ ἄνθρωποι, τῇ πείρᾳ διδαχθέντες αἰγείῳ τε καὶ προβατείῳ, καὶ βοείῳ, καὶ ὀνείῳ γάλακτι, καὶ τυροὺς δὲ ποιοῦσιν ἐξ αὐτῶν, ὅτι μὴ τοῦ ὀνείου. λεπτὸν γὰρ πάνυ τοῦτο, καὶ μεστὸν ὀρρώδους ὑγρότητος, ὥσπερ γε τὸ βόειον παχύ. μέσον δ' ἐστὶν τῇ συστάσει τὸ τῆς αἰγὸς, ἄπεπτον δὲ καὶ ὑδατῶδες ὕειον ἔχει τὸ γάλα. σύγκειται δ' ἐκ τριῶν οὐσιῶν ἅπαν γάλα, τυρώδους, ὀρρώδους, λιπαρᾶς, ἧς πλείστην ἔχειν φαίνεται τὸ βόειον, ἐξ ἧς καὶ τὸ καλούμενον βούτυρον ποιοῦσι, πεπτικῆς τε καὶ χαλαστικῆς ὂν δυνάμεως, διὸ καὶ μάλιστα αὐτῷ χρῶνται ἐπί τε παρωτίδων, καὶ βουβώνων.

A nam & hæc ab acribus ichoribus, seu sanie natas mordicationes mitigant, eo quòd corporibus circũlinantur ipsa naturæ minimè mordacis. Porrò quum lac omniũ facillimè alteretur, præsertim si ambiẽs fuerit calidũ, multũ à dicta facultate amittit, nisi protinus quis ab vberibus effuso calido etiamnũ vtatur. Maximè igitur mulieris bene habitæ, & bonã victus rationẽ seruantis lacte vtendũ, nam id humano corpori est familiarissimũ; deinde aliorũ animaliũ, quæ quidẽ ab humana natura non lõgissimè absunt; id quod scies ex carnium odore, nã fastidiosus est, & iniucũdus eorũ, quæ multùm diuersam habent tẽperiem ceu canis, lupi, leonis, B pardalis, vulpis, hyenæ, vrsi, & similium; non iniucundus autẽ est eorum, quæ non porrò absunt, vt suis, capræ, equæ, bouis, ouis, asini. Quocirca etiam cuncti homines docti experientia caprino, ouillo, bubulo, asininóq; vtũtur lacte, & caseos ex eis cõficiunt, excepto asinino. Nam id planè tenue est, & plenũ humoris serosi, velut bubulũ crassum; cęterùm consistentia medium caprinum est; at sus crudum aqueumque lac obtinet. Porrò lac omne ex tribus constat essentiis, caseosa, serosa, pingui; hanc plurimam habere conspicitur bubulum, ex quo conficitur, & id quod Butyrum nominant, C concoquentis, & laxantis facultatis; quamobrem maximè illo vtuntur ad parotidas, & bubones.

η'. Περὶ ὀρροῦ γάλακτος.

Ὁ δὲ ὀρρὸς, ὡς εἴρηται, ῥυπτικὴν ἔχει δύναμιν, ὑπαγωγῆς τε γαστρὸς ἕνεκα λαμβάνεται, καὶ διὰ κλυστήρων ἐνίεται, περιρρύπτων τε καὶ περιπλύνων ἀδήκτως τὰς ἐν τοῖς ἐντέροις δριμύτητας. ἕλκη τε τὰ δριμεῖς ἰχῶρας ἔχοντα κατακλύζων ἀντὶ τοῦ ὕδατος ὀρρῷ, κάλλιστα ποιήσειεν. ὅσα τε διαφορητικὰ φάρμακα τῶν ἐκχυμωμάτων τε καὶ μελασμάτων ἐστὶν, καὶ ταῦτα δι' ὀρροῦ περιπλύνειν ἄμεινον, οὐ δι' ὕδατος. οὕτως οὖν αὐτῷ, καὶ πρὸς ὑπώπια, καὶ ὑποσφάγματα χρώμεθα, μιγνύντες τοῖς οἰκείοις πρὸς ταῦτα φαρμάκοις. τὸ δὲ τυρῶδες, καὶ παχὺ τοῦ γάλακτος ἐμπλάττεται μᾶλλον, καὶ κατὰ τοῦτο τὰς δριμύτητας ἀμβλύνει. ὅταν δὲ προσλάβῃ τινὸς ἑτέρας ξηραντικῆς δυνάμεως, ἄριστον γίνεται φάρμακον, ἐπί τε δυσεντερικῶν, καὶ πάντων τῶν κατὰ γαστέρα δριμέων ῥευμάτων, προσλαμβάνει δὲ διὰ τῶν ἐμβαλλομένων αὐτῷ προαφεψηθέντων διαπύρων λίθων. εἰσὶ δὲ χρὴ τούτους οὓς ὀνομάζουσι κάχληκας, ἑψῆσθαί τε τὸ γάλα, μέχρις ἂν ἐκδαπανηθῇ τὸ πλεῖστον ἐξ αὐτοῦ τῆς ὀρρώδους ὑγρότητος. ἡμεῖς δὲ καὶ διὰ σιδηρῶν κυλίνδρων διαπύρων ἐμβαλλομένων αὐτῷ, τὴν αὐτὴν, ἢ καὶ βελτίονα δύναμιν ἐργαζόμεθα. μετέχει γὰρ ὁ σίδηρος, ὡς εἴρηται, στυπτικῆς δυνάμεως, καὶ τούτου γε χάριν τοὺς κυλίνδρους αὐτὸς παρεσκευασάμην πλείονας ἐπὶ πέρασιν ὀβελῶν προσκειμένους, ἵνα τις ἐκ τῆς λαβῆς εὐκόλως ἐπαίρῃ πυρωθέντα τὸν σίδηρον, ὥσπερ δὲ τῶν καυστηρίων, οὕτω καὶ τούτων τὰς λαβὰς ἐνειλίττω ῥάκεσιν. ὅλον δὲ τὸ γάλα πρός τε τὰ κατ' ὀφθαλμοὺς ῥεύματα δριμέα, καθ' ἑαυτὸ μόνον τε καὶ μετὰ τῶν ἁπαλῶν κολλυρίων ἐστὶ χρήσιμον, ἔτι τε πρὸς ὑποσφάγματα καὶ ὑπώπια καὶ μέντοι καὶ κατὰ τῶν βλεφάρων ἔξωθεν, ὕπνου μελλόντων τῶν ὀφθαλμιώντων ἐπιτιθέμενον ἅμα ῥοδίνῳ καὶ ᾠῷ, πέττει τὰς φλεγμονὰς αὐτῶν. γυναικὸς δ' ἔστω τὸ γάλα τοῦτο, πρόσφατον ἐκ τῶν τιτθῶν ἐπισταζόμενον. ἐνίεμεν δ' αὐτὸ καὶ μήτραις ἡλκωμέναις, καὶ καθ' ἑαυτὸ μόνον μὲν,

8. *De sero lactis.*

AT Serum, vt dictum est, extergendi facultatem possidet; adhibetúrque subducendi ventris gratia, ac per clysteres iniicitur, extergens, & abluens sine mordacitate intestinorum acrimoniam. Præterea siquis vlcera, quæ sanie infestantur acri, vice aquæ sero colluat, D optimè sanè fecerit. Præterea quæcunque medicamenta digerere solent sugillationes, & liuores, ea præstat sero, quàm aqua diluere. Sic etiam eo vtimur ad sugillata, & suffusiones, peculiaribus ad hæc medicamentis commiscentes. At caseosum illud & crassum ipsius lactis magis illitum adhæret, & eo nomine acrimoniam retundit. Porrò vbi aliam quampiam desiccantem facultatem habuerit adiunctam, optimum est remedium dysenteriæ, & omnium ventris acrium fluxionum. Eam accipit à lapidibus, qui prædecocto ipsi iniiciuntur igniti. Porrò eos esse E oportet quos vocant silices. Et lac eousque decoqui debet, dum pleraque serosi in eo humoris absumpta pars fuerit. At nos iniectis ferreis in ipsum cylindris candentibus, eandem, aut etiam meliorem facultatem efficimus; nam ferrum astringentis quoque (vt est dictum) facultatis est particeps. Ac proinde cylindros ego complures effeci huius gratia, ad fines verum propendentes, quò videlicet quis manubrio ignitum ferrum facilè igni eximat; & sicut cauteriorum, ita horum manubria pannis inuoluo. Porrò lac totum ad acres oculorum fluxiones tum per se, tum cum mollium collyriorum quo- F piam, est vtile; præterea ad sugillata & suffusiones. Quin etiam palpebris extrinsecus, vbi qui ophthalmia laborant, somno sese dabunt, impositum simul cum rosaceo, & ouo, phlegmonas eorum concoquet; sed hoc esto lac mulieris recens ex mamillis expressum. Infundimus ipsum, & vtero vlcerato tum per sese, tum

tum iis medicamentis commiscentes, quibus misceri potest, vtique citra morsum curantibus; & vbi in sede vlcera mitigamus præ saniei acrimonia dolentia, aut phlegmonas, aut rugas perpetientia. Sic & ad vlcera pudendorum vtimur, & ad omnia, quæ leniri postulant, siue ob phlegmonen, siue ob morsum, siue ob malignitatem. Ea propter & cancrosis applicatur vlceribus, medicamentis anodynis commixtum, qualia sunt, quæ constant ex pompholyge. Et quid attinet commemorare, quòd ore contentum, & collutum gargarizatúmque, vel maximè phlegmonas eius mitigat? Sed & tonsillas, & columellam, & antiadas phlegmone affectas, admodum mitigat, & proinde etiam anginam. Atque vt semel dicam medicamentum est leniens, totam quidem substantiam, habens mordacitatis expertem, sed multo magis vbi concoctione moderata potissima pars serosi humoris absumpta est. Sic mihi videntur etiam medici ad venena, quæ erosione interimunt, lac dari suadere, velut sunt lepus marinus, & cantharis. Sunt etiam qui exhibent iis, qui aconitum, & thapsiam sumpserint; sed hæc ex ratione fecerunt. Alia verò palam mentiti sunt, vt de lacte canino, quòd in palpebris pilos renasci prohibeat, si prioribus euulsis, ei loco foret illitum, vnde pilorum radices exactè essent. Ad eundem modum qui scripserunt, quòd celerem pilorum in pudendis exortum reprimat, siquidem foret ante pubertatem illitum; quíque quòd fœtus emortuos eiiceret potum, verum non protulere. Sed & alia quædam præstigiis contaminata, tum de horum, tum de aliorum quorundam animalium lacte conscribunt, quæ me ab initio dicturum negaui, etiamsi experientia didicissem vera dixisse.

A ἀλλὰ καὶ τοῖς ἀδήκτως θεραπεύουσι φαρμάκοις μιγνύντες εἰς ὅσα μίγνυται, κἀπειδὰν τὰ κατὰ τὴν ἕδραν ἕλκη παρηγορῶμεν, ὀδυνώμενα διὰ δριμεῖς ἰχῶρας, ἢ φλεγμονὰς, ἢ στολίδας ἀνεξαλμένας. οὕτως δὲ καὶ πρὸς τὰ κατὰ τὰ αἰδοῖα χρώμεθα, καὶ πάνθ' ἁπλῶς τὰ παρηγορίας δεόμενα διὰ φλεγμονὴν, ἢ δῆξιν, ἢ κακοήθειαν. διὰ τοῦτο οὖν καὶ τοῖς καρκινώδεσιν ἕλκεσιν προσφέρεται μιγνύμενον ἀνωδύνοις φαρμάκοις, οἷα μάλιστα τὰ διὰ πομφόλυγός ἐστι. καὶ τί δεῖ λέγειν, ὅτι καὶ διάκλυσμα, καὶ διακράτημα τῶν ἐν τῷ στόματι φλεγμαινόντων, ἀνωδυνώτατόν ἐστιν ἀνακογχυλιζόμενον, καὶ φλεγμαίνοντα παρίσθ-
B μια καὶ σταφυλὴν, καὶ ἀντιάδας ἱκανῶς παρηγορεῖ, καὶ διὰ τοῦτο καὶ συνάγχην, ἁπλῶς δ' εἰπεῖν, ὡς ἔφην, παρηγορικόν ἐστι φάρμακον, ἄδηκτον μὲν ἔχον, καὶ τὴν ὅλην οὐσίαν. πολὺ δὲ μᾶλλον ὅταν ἐκδαπανήσωμεν αὐτῆς, ἑψήσει μετρίᾳ τὸ πλέον τῆς ὀρρώδους ὑγρότητος. οὕτως γοῦν μοι δοκοῦσιν οἱ ἰατροὶ, καὶ πρὸς τὰ κατὰ διάβρωσιν ἀναιροῦντα θανάσιμα φάρμακα, προτρέπειν διδόναι τὸ γάλα, καθάπερ ὅ τε θαλάττιος λαγωὸς ἀναιρεῖ, καὶ ἡ κανθαρίς. ἔνιοι δὲ καὶ τοῖς ἀκόνιτον, ἢ θαψίαν εἰληφόσι διδόασιν, ἀλλὰ ταῦτα μὲν εὐλόγως ἐπενόησαν. ἕτερα δ' ἐψεύσαντο φανερῶς, ὥσπερ καὶ τὸ περὶ τοῦ τῆς κυνὸς
C γάλακτος, ὡς κωλύοντος ἀνιέναι τρίχα ἐκ τῶν βλεφάρων, εἰ ἐξαιρεθεισῶν αὐτῶν ἐπιχρισθείη τῷ τόπῳ, ὅθεν αἱ ῥίζαι τῶν τριχῶν ἀνεσπάσθησαν. κατὰ δὲ τὸν αὐτὸν λόγον, οἱ γράψαντες εἴργειν αὐτὸ τῆς ἐπὶ τῶν αἰδοίων ἐκφύσεως, ταχείας τὰς τρίχας εἰ περιχρισθείη πρὶν ἡβᾶν, ἐκβάλλειν τε τὰ νεκρὰ τῶν ἐμβρύων ποθὲν, οὐκ ἀληθεύουσιν. ἕτερα δέ τινα γοητείας ἐχόμενα γράφουσι περί γε τούτων, καὶ ἄλλων τινῶν ζώων γάλακτος, ἃ κατ' ἀρχὰς εὐθέως ἠρνησάμην αὐτὸς ἐρεῖν, εἰ καὶ πεῖραν αὐτῶν εἶχον, ὡς ἀληθῶς λεγομένων.

9. *De caseo.*

CAseus. Sermoni qui habetur de lacte, annectendum est de caseo, propterea quòd sit lac coagulatum. Non tamen vniuersa lactis essentia in caseos cogitur, sed quod crassum est duntaxat, scilicet tenui seroso secreto, ac separato. Porrò dictum est habere lac in se naturam quandam pinguem, & veluti oleosam, eámque plurimam esse posui in bubulo; ac vbi à reliquo lacte seiunctum fuerit, solúmque per se constiterit, id pingue, butyrum appellari; at vbi cum toto lacte coagulatum fuerit, seroso duntaxat humore per coagulationẽ separato, pinguem caseum effici. Fiúntque hoc pacto casei bubuli quidã adeo pingues, vt ex iis effluat quiddam ad speciem olei. Porrò tum hi, tum reliqui omnes, temporis spatio acriores tibi apparebunt, siue gustes, siue olfacias. Itaque quum mihi olim caseus allatus esset bubulus, quem ex odore acrem esse coniiciebam, abieci; & iam à famulis absumptum putabam; cæterùm illi talia seruare soliti, longo post tẽpore ex promptuario proferentes, quidnam de illo fieri iuberem, rogant. Quum igitur edendo non esset propter acrimoniam, ludicrũ nobis problema extitit, proponentibus, cui rei quis illum vtiliter posset accommodare. Interea quum ad me arthriticus quispiam in curru conuectus esset, tophos in articulis habens, subiit mihi crure suillo salso, quod erat intus, decocto, caseum eo decocto macerare, ac probè in mortario subigendo vnitum tophis imponere. Et sanè arthriticus ab hoc medicamento

D

θ'. Περὶ τυροῦ.

Τυρός. τῷ περὶ γάλακτος λόγῳ, καὶ περὶ τυροῦ προσθεῖναι προσήκει, διότι γάλα πεπηγός ἐστιν. οὐ μὴν ἥ γε οὐσία πᾶσα τοῦ γάλακτος πήγνυται κατὰ τοὺς τυροὺς, ἀλλὰ τὸ παχὺ μόνον, ἀποκρινομένου τε καὶ χωριζομένου τοῦ λεπτοῦ, καὶ ὀρρώδους. ἔχειν δ' ἐρρέθη τὸ γάλα, καὶ λιπαράν τινα, καὶ οἷον ἐλαιώδη φύσιν ἐν ἑαυτῷ, καὶ πλείστην ταύτην ἔφην ὑπάρχειν ἐν τῷ βοείῳ, κἀπειδὰν ἀποχωρισθῇ τοῦ λοιποῦ, γάλακτος αὐτὸ καθ' αὑτὸ γινόμενον τὸ λιπαρὸν τοῦτο βούτυρον
E ὀνομάζεσθαι, παγὲν δ' ἅμα τῷ παντὶ γάλακτι, χωρισθείσης κατὰ τὴν πῆξιν δηλονότι τῆς ὀρρώδους ὑγρότητος, λιπαρὸν ἐργάζονται τὸν τυρόν. καί τινες οὕτω γίνονται λιπαροὶ τῶν βοείων τυρῶν, ὡς ἐκρεῖν αὐτῶν ἐλαιῶδές τι. τῷ χρόνῳ δὲ καὶ οὗτοι, καὶ οἱ ἄλλοι πάντες δριμύτεροί σοι φανοῦνται, γευομένῳ τε καὶ ὀσμωμένῳ. καί ποτε τυρὸν μοι κομισθέντα βόειον, ἀπὸ τῆς ὀσμῆς δριμὺν εἶναι τεκμηράμενος, ἀπέρριψα, κἀγὼ μὲν ᾤμην ἀνηλῶσθαι πρὸς τῶν οἰκετῶν αὐτὸν, ὁ δὲ φυλάττειν εἰθισμένος τὰ τοιαῦτα μετὰ χρόνον συχνὸν ἐκ τοῦ ταμιείου προκομίσας, ἠρώτα τί κελεύοιμι δὴ περὶ αὐτοῦ. καὶ φανέντος ἀβρώτου διὰ
F δριμύτητα, πρόβλημα μετὰ παιδιᾶς ἦν, ὅπως ἄν τις αὐτὸν διάθοιτο χρησίμως. ἐν τούτῳ δή τινος ἀρθριτικοῦ κομισθέντος ἐπὶ δίφρου πρός με, πώρους ἐν τοῖς ἄρθροις ἔχοντος, ἐπῆλθέ μοι σκέλος ταριχηρὸν ὑὸς, ὃ ἦν ἔνδον, ἑψήσαντα δεῦσαι τῷ ἀφεψήματι τὸν τυρὸν, ἐν θυίᾳ τε καλῶς ἑνώσαντα, κατὰ τῶν πώρων ἐπιτιθέναι. καὶ τοίνυν ὁ ἀρθριτικὸς ὑπὸ τοῦ φαρμάκου

τούτου μεγίστως ὤνητο. διαῤῥηγνυμένου γὰρ αὐτομάτως αὐτῷ τοῦ δέρματος ἄνευ τομῆς, ἀπέῤῥεεν ἀλύπως ἑκάστης ἡμέρας μόρια τῶν πώρων. ἐπεὶ δ' ὅλως ὁ παρ' ἐμοὶ τυρὸς ἐξεδαπανήθη, τοιοῦτον ἕτερον ἑαυτῷ ποιησάμενος ὁ ἀρθριτικὸς ἐφύλαττεν εἰσαῦθις, ὕστερον δὲ πάλιν ἐχρήσατο παλαιωθέντι, καὶ κἀπειδὴ καὶ τότε τῆς αὐτῆς ὠφελείας ἐπειράθη, πολλάκις τοῦ λοιποῦ διετέλεσε χρώμενος αὐτῷ, καί τινας ἄλλους τῶν ὁμοίως πασχόντων φίλων ἐδίδαξεν. τοῦτο μὲν οὖν ἐκ τῆς ἡμετέρας ἐπινοίας τῇ πείρᾳ βεβαιωθὲν ἐγνώσθη, τὸν δὲ πρόσφατον τυρὸν ἐναντίας ὄντα τῷ παλαιῷ κράσεως, ἐπέθηκά ποτε, τραύματι μετρίῳ τῷ μεγέθει ἔχοντι κατ' ἀγρὸν ἀνθρώπῳ, προλειώσας δηλονότι, κατ' αὐτὸν δ' ἔξωθεν ἐπέθηκα φύλλα λαπάθου. δύναιτο δ' ἂν εἰ μὴ παρείη ταῦτα, καὶ ἀμπέλου, καὶ πλατάνου, καὶ τεύτλου, καὶ θριδακίνης ἐπιβάλλεσθαι. αὐτὸς μὲν οὖν ὁ τυρὸς ἐκόλλησε τὸ τραῦμα ἁπαλός τις ὤν. ἕτερος δὲ ὁ καλούμενος ἐν Περγάμῳ τε παρ' ἐμοὶ, καὶ κατὰ τὴν ὑπερκειμένην Ἀσίαν ὀξυγαλάκτινος, ἀγροίκου μέγα τραῦμα ἔχοντος, ἐκόλλησεν ὁμοίως ἐπιτεθείς. ἀποκρουστικὴν γὰρ ὁ μαλακός τε καὶ νεοπαγὴς τυρὸς ἔχει δύναμιν, ἐμψύχων ἀτρέμα. ὁ δ' ὀξυγαλάκτινος, καὶ πρὸς ταῦτα, καὶ διαφορητικὴν ἐπικτᾶται βραχεῖαν.

A magnificè adiutus est; nam rupta spontè sua cute, absque incisione videlicet, effluxere quotidie citra dolorem tophorum particulę. Vbi autem totus, qui apud me erat, caseus fuisset absumptus, talem sibi alium comparans arthriticus in posterum seruauit; & postea rursum vsus est inueterato, atq; vbi tunc quoque idem percepit commodum, sæpius deinceps vti perseuerabat; & quosdam amicorum similiter affectorum docuit. Atque id quidem nos excogitauimus; cæterùm comprobauit, atque confirmauit experientia. Porrò recentem, qui inueterato contrarij est temperamenti, quandoque homini in agro degenti, moderatę magnitudinis
B vulnus habenti imposui, antea videlicet ad læuorem tritum. Extrinsecus autem illi imponebam folia lapathi. Possint verò etiam, si hæc non adsint, folia superponi vitis, aut platani, aut betæ, aut lactucæ. At ipse quidem caseus vulnus glutinauit, erátque etiam num mollis. Alius verò, qui vocatur, & in patria mea Pergamo, & per superiacentem Asiam, Oxygalactinus, magnum rustici vulnus conglutinauit impositus; nam recens coagulatus, ac mollis repercutiendi vim obtinet, nimirum leuiter refrigerans. At oxygalactinus præter hæc digerendi insuper leuem quandam vim possidet.
C

ι'. Περὶ βουτύρου.

Βούτυρος, ἢ βούτυρον, ὅπως ἂν ἐθέλῃς ἀῤῥενικῶς τε καὶ οὐδετέρως ὀνομάζειν αὐτόν. γίγνεται μὲν οὖν ἐκ τοῦ λιπαρωτάτου κατὰ τὸ γάλα, καθότι προείρηται. θαυμάζω δ' ὅπως ὁ Διοσκορίδης ἐκ προβατείου φησὶν αὐτὸν, καὶ αἰγείου τὴν γένεσιν ἔχειν. ἐγὼ γὰρ ἐκ τοῦ βοείου τὸ φάρμακον τοῦτο γιγνόμενον οἶδα, καὶ διὰ τοῦτο νομίζω καὶ βούτυρον καλεῖσθαι, πεπτικῆς τ' ἐστὶ δυνάμεως, ἔχον ὀλίγον τι τῆς διαφορητικῆς, ἐπί τε τῶν μέσων κατά τε τὴν μαλακότητα, καὶ σκληρότητα σώματος. ἀεὶ γὰρ χρὴ μεμνῆσθαι τοῦ τὰς ἁπλᾶς, καὶ ἄνευ προσθήκης, καὶ διορισμοῦ τινος ἀποφάσεις, ἐπὶ τῶν μέσων τῇ κράσει λέγεσθαι σωμάτων. τῶν μὲν γὰρ σκληρῶν τελέως σωμάτων τοὺς παρὰ φύσιν ὄγκους, διαφορεῖν ἀδύνατόν ἐστι τὸ φάρμακον τοῦτο, τὰ δὲ μαλακὰ φλεγμαίνοντα καὶ πέττει, καὶ διαφορεῖ ῥᾳδίως, ὥστε καὶ παρωτίδας, καὶ βουβῶνας, καὶ τὰς ἐν τῷ στόματι φλεγμονὰς, καὶ ἄλλα δὲ μυρία πολλὰ, τελέως αὐτῷ μόνῳ ἰασάμεθα παιδικῶν σωμάτων, καὶ γυναικείων πασχόντων. ἀλλὰ κἀπὶ τῶν φυόντων ὀδόντας παιδίων διαχριόμενον συνεχῶς, οὐδὲν ἧττον μέλιτος λεπτύνει τὰ οὖλα, δι' ὧν ἡ διέξοδος αὐτοῖς γὰρ, καὶ τὰ ἄλλα πάντα τὰ κατὰ τὸ στόμα φλεγμονώδη πάθη, μετὰ τὸ παύσασθαι τὸ ἐπιῤῥέον διαφορεῖ τε καὶ πέττει. διὸ καὶ τοῖς καταπλάσμασι μίγνυται τοῖς ἔξωθεν ἐπιτιθεμένοις, κατὰ παρωτίδων τε καὶ ὑποχονδρίων, καὶ βουβώνων. καὶ μέντοι καὶ καταποθὲν εἰς τὴν γαστέρα, καὶ δι' αὐτῆς ἀναδοθὲν, συντελεῖ μεγάλα ταῖς ἐκ πνεύμονος ἀναπτύσεσιν ἐν πλευριτικοῖς τε καὶ περιπνευμονικοῖς πάθεσιν, μετὰ καὶ τοῦ πέττειν αὐτά. μόνον μὲν οὖν ἐκλειχόμενον, πέττει μὲν μᾶλλον, ἀνάγει δὲ ἧττον, ἅμα δὲ μέλιτι, καὶ ἀμυγδάλοις πικροῖς, ἀνάγει μὲν μᾶλλον, ἧττον δὲ πέττει.

10. *De butyro.*

Butyrus, aut butyrum, vtcunq; nominare velis, siue masculino, siue neutro genere, fit quidem, vt supra dictum est, ex eo quod in lacte pinguissimum est. Miror autem, quo pacto Dioscorides ex ouillo, & caprino confici referat. Ego namque ex bubulo hoc medicamentum fieri noui, ac proinde nuncupatum esse butyrum existimo. Facultatis est concoquentis, paulum habens etiam di-
D gerendi facultatis, in mediis nimirum corporibus secundum duritiem, ac mollitiem. Nam id semper memoria tenere oportet, quicquid simpliciter, ac sine addito, aut limitatione aliqua profertur, de mediis temperie corporibus intelligi. Nam corporum planè durorum tumores præter naturam, hoc nequit medicamentum digerere; at quæ in mollibus sunt phlegmonæ, eas & concoquit, & digerit perfacile; nam parotidas, & bubonas, & oris phlegmonas, aliásque partes complures, prorsum illo solo curauimus, nimirum puerilibus corporibus, ac muliebribus perpe-
E tientibus. Sed & gingiuis puerorum dentientium assiduè illitum, nihilo imbecillius melle gingiuas extenuat, per quas exitus est dentibus. Et alios omnes in ore affectus phlegmonosos, postea quàm fluxio restiterit, digerit pariter, & concoquit. Proinde cataplasmatis inditur, quæ extrinsecus imponuntur parotidibus, hypochondriis, & bubonibus. Sed & in ventrem deuoratum, & ex eo distributum, magnificè confert expuitionibus ex pulmone, idque in pleuriticis, & peripneumonicis affectibus, cum hoc, quòd eos etiam concoquat. Atque si solùm lingatur, magis quidem concoquit, verũ minus educit; sin cum melle, & amyg-
F dalis amaris, plus educit, sed minus concoquit.

ια'. Περὶ πιτύας.

Πιτύα πᾶσα δριμείας ἐστὶ καὶ διαφορητικῆς δυνάμεως, καὶ δηλονότι ξηραντικῆς· ἕπεται γὰρ τοῖς εἰρημένοις

11. *De coagulo.*

Coagulũ omne acris, ac digerẽtis facultatis est, ac nimirũ etiã exiccatoriæ; nã necessariò id superiora

superiora comitatur. At leporis quidē coagulū comitialē morbū, si cū aceto bibatur, præterea profluuiū muliebre sanare proditū est; sed & lac in vētre coagulatū dissoluere; quod certè, & nos experti sumus, non solū in leporino, sed etiā in aliorū animaliū omniū coagulo; attamē leporinū omnium est præstātissimū. Sed & sanguinē in vētre cōcretū simili modo potū dissoluit, ac efficaciùs quidem cæteris, verū nō solū, quod quibusdā scriptū legitur, sed & hoc cōmune est omni coagulo. Quidam autē sanguinis ex thorace reiectiones leporinum coagulū epotū supprimere prodiderūt; cæterū nec aliū quenquā eo vsu noui, nec ipse sum ausus acri vti remedio ad affectū astrictionē poscentē. Porrò coagulū equinum ad dysentericos, & cœliacos peculiariter accommodari scripserunt nonnulli.

12. *De coagulo phocæ.*

AT phocæ coagulum eximiæ aptum esse quidam prædicant, tanquam vires obtineat castorei. Verùm quæcunque proditum est quodque coagulum secundum essentiæ suæ præstare proprietatem, non est nunc tempus exponere.

13. *De felle.*

HIc succus omnium, quæ in quoque sunt animalium calidissimus esse demonstratus est. Itaque sicuti sanguinem, & carnes dissimiliter temperata obtinent animalia, eadem ratione, & fel. Quocirca calidissimorum fel, aliorum quoque animalium fel excellere necesse est; & quæ illis minùs sunt calida, proportione, & hunc humorem illis inesse calidum, quanto scilicet, & in aliis sunt inferiora. Didicisti enim quatuor esse vniuersos in vnoquoque animali sanguineo humores, sanguinem, pituitam, & bilem tum flauam, tum atram. Didicisti porrò ex more non tantùm medicis, sed & Græcis omnibus bilem flauam absolutè efferri bilem, tanquam subauditvris, qui audiunt, coloris cognominationem; atram verò non simpliciter nuncupari bilem, sed cum addito, nempe hoc toto, atram bilem. Sed & quòd flauam bilem nonnunquam pallidā cognominant, nosti, & quòd in vesica iecoris interdum pallidam, interdum flauam, in dissectionibus animalium, ipsam conspicimus. Audisti porrò flauam tanto esse pallida calidiorem, quanto & crassiorem; nam seroso recremento flauæ bili commixto pallidam constitui contingit; sicut & flauam plusculum calefactam consistentia reddi crassam, colore autem flauam. Quin & in animalibus apparet flaua quidem iis, quæ magis sunt calida; quæ verò minus, pallida. Et vbi calida animalia, aut fame, aut siti torquentur, ad atrum colorem vergit, interdum illum habens æruginosum, interdum cæruleum, interim isatidis, qui quidem magis est colore brassicæ fuscus. Itaque & tu bilis colori diligenter intendito, quum medicamentum præparabis, cui admiscenda est bilis. Miscent autem cycliscis vocatis, & trochiscis, qualis est Andronis, & Polyidæ, & Pasionis, & Bitinis, qui tauri recipiunt bilem; nam vbi ea medicamenta præparant, quæ sunt vtilia ad oculos, hyænæ, galli, perdicis, & aliorum quorundam animalium bilem adhibent. Porrò

A ἐξ ἀνάγκης τοῦτο. ἀλλὰ τὴν μὲν τῶν λαγωῶν, ἐπιληπτικοὺς θεραπεύειν ἔγραψαν εἰ μετ᾽ ὄξους πίνοιτο, καὶ ῥοῦν γυναικεῖον ἰᾶσθαι, καὶ γάλα τε θρομβωθὲν ἐν κοιλίᾳ διαλύειν, οὗ καὶ ἡμεῖς ἐπειράθημεν, οὐκ ἐπὶ λαγωάς μόνης, ἀλλὰ καὶ τῶν ἄλλων ζώων πιτύας. ἀμείνων δὴ ἁπάντων αὐτῶν ἐστιν, ἡ λαγῴα. διαλύει δὲ καὶ τὸ θρομβούμενον αἷμα κατὰ κοιλίαν ὁμοίως ποθεῖσα, μᾶλλον μὲν ἴσως τῶν ἄλλων ἡ λαγῴα, οὐ μὴν μόνη γε, ὥς τινες ἔγραψαν, ἀλλὰ καὶ τοῦτο κοινὸν ἁπάσης ἐστὶ πιτύας. ἔνιοι δὲ τὰς ἐκ θώρακος πτύσεις αἵματος, ἐπέχειν φασὶν πινομένην πιτύαν λαγῴαν, ἀλλ᾽ οὔτ᾽ ἄλλον χρησάμενον εἶδον,
B οὔτ᾽ αὐτὸς ἐτόλμησα χρήσασθαι δριμεῖ φαρμάκῳ, πρὸς πάθος δεόμενον στύψεως. ἱππείαν δὲ πιτύαν ἐπί τε δυσεντερικῶν, καὶ κοιλιακῶν ἔγραψαν ἰδίως ἁρμόττειν.

ιβ΄. Περὶ πιτύας τῆς φώκης.

THν δὲ τῆς φώκης ἁρμόττειν ἐξαιρέτως ἐπαινοῦσιν, ὡς καστορίου δύναμιν ἔχουσαν. ὅσα δὲ διὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας ἐνεργεῖν ἔγραψαν, ἑκάστην τῶν πιτυῶν, οὐ νῦν λέγειν καιρός.

C

ιγ΄. Περὶ χολῆς.

OΥτος ὁ χυμός, ἀποδέδεικται θερμότατος εἶναι τῶν ἐν ἑκάστῳ ζώῳ χυμῶν. ὥσπερ οὖν τὸ αἷμα, καὶ τὰς σάρκας ἀνομοίας ἔχει κεκραμένας τὰ ζῷα, κατὰ τὸν αὐτὸν λόγον, καὶ τὴν χολήν. ἐν μὲν γὰρ τοῖς θερμοτάτοις ἀναγκαῖόν ἐστι, καὶ τὴν χολὴν ὑπὲρ τὰς τῶν ἄλλων ζώων χολὰς εἶναι. ἐν δὲ τοῖς ἧττον ἐκείνων θερμοῖς, ἀνάλογον ἀπολείπεσθαι καὶ τὸν χυμὸν τοῦτον, ὅσον ἀπολείπεται κἀν τοῖς ἄλλοις. ἔμαθες γὰρ εἶναι τοὺς πάντας
D ἐν ἑκάστῳ τῶν ἐναίμων ζώων χυμοὺς τέσσαρας, αἷμα καὶ φλέγμα, καὶ χολήν, ξανθήν τε καὶ μέλαιναν. ἔμαθες δὲ, καὶ ὡς ἔθος ἐστὶν οὐ μόνον τοῖς ἰατροῖς, ἀλλὰ καὶ τοῖς Ἕλλησιν ἅπασιν, τὴν μὲν ξανθὴν χολήν, ἁπλῶς ὀνομάζειν χολήν, ὡς ὑπακουσομένων τῶν ἀκουσάντων τὸ τῆς χρόας ὄνομα. τὴν μέλαιναν δὴ οὐχ ἁπλῶς ὀνομάζειν χολήν, ἀλλὰ μετὰ προσθήκης, ὅλου τούτου, μέλαιναν χολήν. ἀλλὰ καὶ ὡς τὴν ξανθὴν χολὴν ἐνίοτε καλοῦσιν ὠχράν, ἐπίστασαι, καὶ ὡς κατὰ τὴν ἐπὶ τῷ ἥπατι κύστιν, ἐνίοτε μὲν ὠχράν, ἐνίοτε δὲ ξανθὴν ἐν ταῖς τῶν ζώων ἀνατομαῖς ὁρῶμεν αὐτήν. ἤκουσας δὲ, καὶ ὡς ἡ
E ξανθή, θερμοτέρα τῆς ὠχρᾶς ἐστι τοσοῦτον, ὅσον καὶ παχυτέρα. μιγνυμένης γὰρ ὀῤῥώδους ὑγρότητος τῇ ξανθῇ χολῇ, τὴν ὠχρὰν συμβαίνει γίνεσθαι, καθάπερ καὶ τὴν ὠχρὰν θερμαινομένην ἐπὶ πλέον, παχεῖαν μὲν ἀποτελεῖσθαι τῇ συστάσει, ξανθὴν δὲ τῇ χρόᾳ. καὶ γὰρ οὖν καὶ κατὰ τὰ ζῷα φαίνεται τοῖς μὲν μᾶλλον θερμοῖς ξανθή, τοῖς δὴ ἧττον ὠχρά. καὶ ὅταν γε τὰ θερμὰ ζῷα πεινήσαντα τύχῃ καὶ διψήσαντα, πρὸς τὸ μέλαν ἐκτρέπεται χρῶμα, ποτὲ μὲν ἰῶδες ἔχουσα τοῦτο, ποτὲ δὲ κυανοῦν, ἐνίοτε δὲ τὸ τῆς ἰσάτιδος, ὅπερ ἐστὶ φαιότερον τοῦ τῆς κράμβης. πρόσεχε τοίνυν καὶ σὺ τῷ χρώματι τῶν χολῶν,
F ὅταν σκευάζῃς φάρμακον, ἐν ᾧ καὶ χολῆς τι περιέχεται. μιγνύουσι δὲ τοῖς μὲν ὀνομαζομένοις κυκλίσκοις τε καὶ τροχίσκοις, οἷος ὅ, τε τοῦ Ἄνδρωνός ἐστι, καὶ Πολυείδου, καὶ Πασίωνος, καὶ ὁ Βιτίνος, τὴν τοῦ ταύρου χολήν. ὅταν μὲν γὰρ τῶν εἰς τοὺς ὀφθαλμοὺς χρησίμων φαρμάκων σκευάζωσιν, ὑαίνης καὶ ἀλεκτρυόνος, καὶ πέρδικος, καί τινων ἑτέρων ζώων. ἔστι δὲ ἡ τοῦ

ταύρου θερμοτέρα δηλονότι, καὶ ξηραντικωτέρα τῆς τῶν εὐνουχισθέντων βοῶν. ὁμοιοῦται γὰρ ἀεὶ τὸ εὐνουχισθὲν ζῷον τῷ θήλει τε καὶ νέῳ. ὥσπερ οὖν ταῦτα πλεονεκτεῖ μὲν ὑγρότητι τῶν τελείων, ἀπολείπεται δὲ θερμότητι, κατὰ τὸν αὐτὸν τρόπον ὁ εὐνουχισθεὶς βοῦς τῶν ταύρων. καί τινων ταύρων ἐθεασάμην χολὴν κυανῆν ὑπεροπτηθείσης τῆς ξανθῆς, ἣν οὐκ ἠξίωσα βαλεῖν εἰς τὸ σκευαζόμενον φάρμακον, ἀλλ' ἑτέρου ταύρου τὴν μετρίως ξανθὴν εἱλόμην. ὑπερπεπονήκει γὰρ ὁ ταῦρος ἐκεῖνος ἑλκόμενος βιαίοις δεσμοῖς, ὥστε εὔδηλον, ὅτι καὶ θυμωθεὶς ἐν τούτῳ τῷ ἔργῳ θερμοτέραν ἔσχε τὴν κρᾶσιν. εἰκὸς δ' αὐτὸν ἦν καὶ διψῆσαι, καὶ πεινῆσαι βιαίως συρόμενον, ἐν κεφαλαίῳ δ' εἰπεῖν, ὥσπερ τὸ οὖρον ἐπὶ μὲν τῷ συμμέτρῳ πόματι, συμμέτρως ὠχρὸν φαίνεται, διψησάντων δὲ καὶ ἀσιτησάντων, καὶ πολλὰ καμόντων, ξανθόν, ἐμπλησθέντων δὲ καὶ μεθυσθέντων, λευκόν. οὕτω καὶ ἡ χολὴ μεταβάλλει τὰς χροιάς, ἐπὶ μὲν τὸ ξανθότερον ἐν γυμνασίοις, καὶ ἀσιτίαις, καὶ δίψεσι, ἐπὶ δὲ τὸ λευκότερον ἐν τοῖς ἐναντίοις. ἴσθι τοίνυν ἐὰν μὲν ξανθὴν ἱκανῶς ἐμβάλῃς χολὴν τῷ σκευαζομένῳ φαρμάκῳ, θερμότερον αὐτὸ ποιήσεις. ἐὰν δὲ ὠχράν, μετρίως θερμόν. ἐὰν δὲ ἔκλυτόν τε καὶ ὑδατώδη, τοσούτῳ τῆς προσηκούσης κράσεως ἀπολειπόμενον, ὅσῳ καὶ ἡ χολὴ πρὸς τὸ λευκότερον ἐτράπετο. οὕτως οὖν καὶ τοῖς τὰς μεμυκυίας αἱμορροΐδας ἀναστομοῦσι διὰ ταύρου χολῆς, ἐνίοτε μὲν ἀσθενής, ἐνίοτε δὲ σφοδροτέρα τοῦ προσήκοντος ἐφάνη δριμεῖα. ἔστι μὲν οὖν καὶ παρὰ τὸ χρώμενον τῇ χολῇ σῶμα, διαφορά τις, εὐαίσθητόν τε καὶ δυσαίσθητον ὑπάρχον, εὐπαθές τε καὶ δυσπαθές. ἀλλὰ παρ' αὐτὴν μέν, ὡς ἔφην, τὴν χολὴν οὐ μικρά τίς ἐστιν ἡ παραλλαγή. ὁ γοῦν αὐτὸς ἄνθρωπος, ὑπὸ μὲν τῆς ξανθῆς χολῆς μᾶλλον, ἧττον δὲ ὑπὸ τῆς ὠχρᾶς δάκνεται. εὔδηλον μὲν οὖν ἔνεστι κἀκ τοῦ τὰς αἱμορροΐδας ἀναστομοῦν, ὅπως ἐστὶ δριμὺς ὁ χυμὸς οὗτος, ἀλλὰ καὶ τοῖς χρωμένοις αὐτοῖς φαίνεται δάκνων, καὶ διὰ τοῦτο φυλαττόμεθα πρὸς ἄλλο τι νόσημά τε, καὶ σύμπτωμα χρῆσθαι τῇ ξανθῇ χολῇ καθ' ἑαυτὴν μόνῃ. καὶ γὰρ οἱ εἰρημένοι κυκλίσκοι τῆς χολῆς ὀλίγον λαμβάνουσι, καὶ τὰ πρὸς ὀξυδερκίαν συντιθέμενα φάρμακα, τὰ μὲν ὑαίνης χολῆς, τὰ δὲ πέρδικος, ἢ ἀλεκτρυόνος, ἢ ἄλλου τινὸς λαμβανόμενα, μέλι τε μιγνύμενον ἔχει, καὶ μαράθρου χυλόν, ἢ ὀποβάλσαμον. ἐνίων δὲ ζῴων ἐξαιρέτως ἐπῄνηται χολὴ παρὰ τοῖς ἰατροῖς, ὡς ὀξυδερκές τε ἅμα, καὶ ὑποχυμάτων ἀρχὰς διαφοροῦσα, καθάπερ ἥ τε τοῦ ἰχθύος, ὀνομάζουσι δ' αὐτὸν καλλιώνυμον, ὑαίνης τε, καὶ τοῦ θαλαττίου σκορπίου, καὶ ἀλεκτρυόνος, καὶ πέρδικος. ἀσθενεστάτη δ' ἐστὶν ἡ τῶν ὑῶν εἰς τοσοῦτον, ὥστε μηδὲ τοῖς ἕλκεσιν ἀφόρητον εἶναι, φαίνεταί γε μάλιστα πασῶν χολῶν ὑδατωδεστάτη, πλὴν τῶν ἀγρίων, καὶ κατ' ὄρη διαιτωμένων ὑῶν. ὥσπερ γὰρ ἡ σὰρξ ὅλη θερμοτέρα τε καὶ ξηροτέρα τούτων ἐστίν, οὕτω καὶ ἡ χολή. τῇ δὲ τῶν ἡμέρων ὑῶν χολῇ χρῶνταί τινες ἐπὶ τῶν ἐν ὠσὶν ἑλκῶν, οὐκ ἀδοκίμῳ φαρμάκῳ, καὶ χρῶ καὶ σὺ μὴ παρόντος ἄλλου τινὸς τῶν συνθέτων, ἔστι γὰρ μυρία. κατὰ δὲ τὸ μέγεθος τῆς διαθέσεως. καὶ ἄλλη τις ἄλλου ζῴου χολὴ δύναιτ' ἂν ἁρμόττειν. ὅταν γὰρ ᾖ χρόνιόν τε τὸ ἕλκος, ἰχῶρά τε καὶ πύον ἔχον πολύν, καὶ τῶν ξηραντικωτέρων ἀνέξεται χολῶν, οἷα τῶν τε προβάτων βραχὺ δριμυτέρα τῆς τῶν ὑῶν, καὶ μᾶλλον ταύτης ἡ τῶν αἰγῶν, ᾗ παραπλησία πώς ἐστιν ἡ τῶν ἄρκτων τε καὶ βοῶν. ἡ δὲ τῶν ταύρων ἰσχυροτέρα μὲν τούτων, ἀπολειπομένη δὲ τῆς τῶν ὑαινῶν. αὕτη δ' αὖ πάλιν αὐτὴ τῇ τε τοῦ καλλιωνύ-

A taurorum bilis calidior est, & siccior quàm boum castratorum; nam castratum animal semper simile redditur fœminæ, & iis, quæ sunt ætatis minoris. Itaque sicut hæc humore superant adulta, & perfecta, vincuntúrque ab iisdem caliditate; ad eundem modum bos castratus à tauris. Et quorundam ego taurorum bilem vidi cæruleam, flaua nimirum superassata; quam sane in præparandum inijci medicamentum vetui, sumpto illius loco alterius tauri bile mediocriter flaua; nam ille vinculis violenter tractus, supra modum fuerat defatigatus; itaque eo labore quum excanduisset, clarum est temperiem eius fuisse calidiorem; probabiléque est, sic violenter pertra- B ctum, tum sitiisse, tum etiam esuriuisse. Atque vt summatim dicam, velut vrina à modica potione modicè pallere, & sitim famémque, & multum laborem perpessis flaua esse conspicitur; impletis verò, atque inebriatis, albida; ita & bilis colores variat, ad flauius quidem per exercitia, inediam, & sitim; ad candidius verò in contrariis. Scito ergo si præparando medicamento bilem impensè flauam inijcias, calidius te id effecturum; si pallidam, mediocriter calidum; sin exolutam, & aqueam, tanto imbe- C cillius temperie conuenienti, quanto & bilis ad candidius fuerit versa. Sic qui occlusas hæmorrhoidas taurino felle aperiunt, iis interdum imbecillum, interdum verò supra quàm conueniebat, acre apparuit. Quanquam nonnulla quoque diuersitas existit pro corpore cui adhibetur, prout scilicet promptiore sensu, aut hebetiore fuerit; tum perfacilè patiens, aut difficulter. Verùm in ipsa bile non parua visitur, vt dixi, varietas; nam idem homo à pallida minus, à flaua bile plus, mordicatur. Liquet itaque, vel ex eo, quòd hæmorrhoidas aperit, quàm sit hic humor D acris; sed & illis ipsis qui vtuntur, mordicare percipitur. Ac proinde cauemus, ne ad alium morbum, aut symptoma bilem flauam vsurpemus solam, ac per se; nam propositi cyclisci pauculum bilis accipiunt. Ac quæ ad oculorum aciem componuntur medicamenta, partim hyænæ, partim perdicis, partim galli, partim alterius cuiuspiam bilem accipientia, admixtum habent, tum mel, tum fœniculi succum, tum opobalsamum. Porrò animalium quorundam singulariter bilis à medicis extollitur, tanquam aciem exacuat oculorum, & suffusionum initia digerat, ve- E lut piscis quem vocant callyonymon, hyænæ, & scorpij marini, tum galli, & perdicis. At suilla adeò omnium imbecillima est, vt ne vlceribus quidem toleratu sit grauis; & apparet omnium bilium maximè aquea, exceptis syluestribus suibus, & iis qui degunt in montibus; nam vt horum caro, & calidior, & siccior est, ita & bilis. Porrò domesticorum suum bile vtuntur quidam ad vlcera aurium, medicamento vtique non aspernando; & tu quoque vbi compositorum nihil affuerit, vtitor, sunt enim innumera. Sed & pro affectus magnitudine alia etiam, atque alia alterius animalis bilis potest congrue- F re. Nam vbi vlcus diuturnum fuerit, multámque saniem púsque contineat, etiam sicciorem bilem perferet, puta ouium, quæ paulo est acrior suilla; hac etiam magis caprarum; cui assimilis quodammodo est vrsorum, & boum. At taurorum his valentior est, inferior tamen bile hyænarum; & hæc quoque inferior bile callionymi, &

mi, & scorpij marini, & marinæ testudinis. Porrò hirci agrestis bilem scripsere quidam prodesse lusciosis. Cæterùm volatilium animalium biles omnes, tum acriores sunt, tum ficciores, quàm quadrupedum; & inter ipsas quoque volucres, gallinarum, & perdicum biles ad medicinæ vsum probatiores habentur. Accipitrum verò, & aquilarum impendio acres sunt, sed & erodunt, quamobrem colore visuntur æruginео, ac nonnunquam atro. His itaque earum cognitis differentiis atque affectibus, qui plus, quique minus, desiccari postulant, cognitis; si vnam modò quampiam opere fueris expertus, inde ad alias transire poteris per methodum, vt semper, quæ affectui commoda sit, adhibeatur. Nam quum velut in coniectura sita sit cuiusque facultatis vehementia, à definito quopiam principio ad materiam inexploratam transire oportet, ac à priùs explorato, excessus qui in illis consistunt discere. Sed & notas quasdam luculentas ego exposui, tum à bilis colore, tum ab animalium temperie.

14. *De sudore.*

SVdor. Vnus & hic est humorum in animantis corpore prouenientium, & eandem habens materiam, quam vrina, & eundem generationis modum. Siquidem vtrique à bibito humore generantur, calefacto simul in corpore, & biliosæ nonnihil substantiæ adepto; verùm sudor plus est elaboratus, vtpotè qui ad cutem vsque permeatis omnibus, quæ intersunt, partibus peruenit. Attamen sudores inter sese, & vrinas differre necesse est, tum pro animalium temperamentis, quæ & natura, & per ætates non parum à sese inuicem sunt diuersa, & pro præcedente victus ratione. Clarum autem est etiam si aliquando in sermone omissum fuerit, pro tempore anni, & præsenti constitutione, præterea pro regionibus, diuersitatem effici in animantium corporibus non paruam. Nam compendij gratia vno capite complecti eiusmodi omnia soleo, nempe, pro ambientis nos aëris temperie ea mutari dicens; etenim diuersitatem regionum, quæ est in caliditate, & frigiditate, hic comprehendit, vt tempus anni, & præsentem, præteritámque constitutionem. Quum ergo sermo fuerit de vrinis, aut sudoribus, aut bilibus, aut sanguine, aut pinguedine, aut adipe, aut quopiam in corpore nato, diuidentibus videlicet nobis eas, quæ in animalibus visuntur, differentias, de sanis corporibus sermo intelligendus est, mediam propriæ ipsorum temperiei constitutionem habentibus. Sic ergo quòd & sudor salsæ, & salsuginosæ vocatæ qualitatis est particeps, gustus testimonio probatur; nam sæpenumero nolentibus in os defluens, dictam qualitatem indicat. Sæpe verò etiam non obscurum præfert amarorem. Attamen & color eius naturam designat; nam sicut vrina naturalis modicè est pallida, sic & sudor. Verùm id facilè cognosces in iis, qui lauantur, quum absque oleo strigili raduntur; nam sudor in cauo strigilis colligitur, colorem quem dixi, simul & gustum præferens, ac euidenter salsedinem habens, sed obscurè amarorem. Verùm de vrina plus etiam quàm conueniat medici scripserunt, propter nimirum, quòd largè ea in omnibus homi-

A μου, καὶ σκορπίου θαλαττίου, καὶ χελώνης θαλαττίας. τὴν δὲ τῆς ἀγρίας αἰγὸς χολὴν, ἔγραψαν ἔνιοι τοὺς νυκταλωπιῶντας ὠφελεῖν. εἰσὶ δὲ καὶ αἱ τῶν πτηνῶν ζώων χολαὶ πᾶσαι, δριμύτεραί τε καὶ ξηραντικώτεραι τῶν ἐν τοῖς τετράποσι, τῶν δὲ πτηνῶν αὐτῶν αἵ τε τῶν ἀλεκτορίδων τε, καὶ περδίκων εἰσὶ μὲν ἀμείνους εἰς ἰατρικὴν χρείαν. αἱ δὲ τῶν ἱεράκων τε καὶ ἀετῶν δριμεῖαι ἱκανῶς, εἰσὶ δὲ καὶ διαβρωτικαὶ, διὸ καὶ ἰώδεις φαίνονται κατὰ τὴν χρόαν, ἐνίοτε δὲ καὶ μέλαιναι. ταύτας οὖν αὐτῶν ἐπιστάμενος τὰς διαφορὰς, ἐπιστάμενος δὲ καὶ τῶν παθῶν, τίνα μὲν δεῖ μᾶλλον ξηραίνεσθαι, τίνα δ' ἧττον, ἐὰν
B μιᾶς ἡστινοσοῦν χολῆς ἀπὸ τῶν ἔργων πειραθείης, ἀπ' ἐκείνων ἐπὶ τὰς ἄλλας μεταβαίνειν δυνήσῃ κατὰ μέθοδον, ὥστ' ἀεὶ τὴν ἁρμόττουσαν τοῖς πάθεσι παραλαμβάνειν. ἅτε γὰρ ἐν στοχασμῷ κειμένης τῆς καθ' ἑκάστην δύναμιν σφοδρότητος, ἀπό τινος ὡρισμένης ἀρχῆς ἐπὶ τὴν ἀπείραστον ὕλην μεταβαίνειν σε χρὴ, παρὰ τοῦ προπεπειραμένου, μαθόντα τὰς ἐν αὐτοῖς ὑπεροχάς. ἐγὼ δὲ καὶ γνωρίσματά σοι σαφῆ διῆλθον ἀπὸ τῆς χρόας τῶν χολῶν, καὶ τῆς κράσεως τῶν ζώων.

ιδ΄. Περὶ ἱδρῶτος.

C ἹΔρὼς ἔστι τι καὶ τοῦτο τῶν ἐν σώματι τοῦ ζώου γιγνομένων ὑγρῶν, ὕλην τε τὴν αὐτὴν ἔχον καὶ τρόπον γενέσεως τὸν αὐτὸν τοῖς οὔροις. ἐκ γὰρ τῆς πινομένης ὑγρότητος ἡ γένεσις ἀμφοτέρων ἐστὶ, θερμαινομένης τε ἅμα κατὰ τὸ σῶμα, καί τι χολώδους οὐσίας προσλαμβανούσης. ἐπὶ πλέον δ' ὁ ἱδρὼς κατείργασται, διεξεληλυθὼς ἄχρι τοῦ δέρματος ἅπαντα τὰ μεταξὺ μόρια. διαφέρειν γε μὴν ἀναγκαῖον ἀλλήλων ἐστὶ, καὶ τοὺς ἱδρῶτας, καὶ τὰ οὖρα παρά τε τὰς τῶν ζώων κράσεις, φύσει τε καὶ κατὰ τὰς ἡλικίας ὑπηλλαγμένας ἀλλήλων, οὐ σμικρὰ καὶ κατὰ τὴν προηγουμένην δίαιταν. εὔδηλον δὲ κἂν παρα-
D λείπηταί ποτε τὸ κατὰ τὰς ὥρας τοῦ ἔτους, καὶ τὴν παροῦσαν κατάστασιν, ἔτι δὲ καὶ τὰς χώρας, διαφορὰς οὐ σμικρὰς ἐργάζεσθαι τοῖς σώμασι τῶν ζώων. ἀλλ' ἕνεκα τῆς κατὰ τὸν λόγον συντομίας ἑνὶ κεφαλαίῳ περιλαμβάνειν εἴωθα τὰ τοιαῦτα πάντα, κατὰ τὴν περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν, ὑπαλλάττεσθαι λέγων αὐτά. καὶ γὰρ καὶ τὰς ἐν ταῖς χώραις διαφορὰς κατὰ θερμασίαν, καὶ ψύξιν τοῦτο περιλαμβάνει, καθάπερ καὶ τὰς ὥρας τοῦ ἔτους, καὶ τὴν παροῦσαν, ἢ τὴν προγεγονυῖαν κατάστασιν. ὅταν οὖν ὁ λόγος, ἤτοι περὶ οὔρων, ἢ ἱδρώτων, ἢ αἵ-
E ματος, ἢ πιμελῆς, ἢ στέατος, ἤ τινος ἄλλου τῶν κατὰ τὸ σῶμα γίνηται, διαιρουμένων ἡμῶν τὰς ἐν τοῖς ζώοις διαφορὰς, ἐπὶ τῶν ὑγιαινόντων σωμάτων ἀκούειν χρὴ τοῦ λόγου, τὴν μέσην τῆς ἑαυτῶν οἰκείας κράσεως ἐχόντων κατάστασιν. οὕτως καὶ ὁ ἱδρὼς, ὅτι μὲν οὖν τῆς ἁλυκῆς τε καὶ ἁλμυρᾶς ὀνομαζομένης μετέχει ποιότητος, ἡ γεῦσις μαρτυρεῖ. παραρρυεὶς γὰρ εἰς τὸ στόμα πολλάκις ἀκόντων ἱδρὼς, ἐνδείκνυται τὴν εἰρημένην ποιότητα, πολλάκις δὲ αὐτῇ καὶ πικρότητα σαφῆ συνενδείκνυται. δηλοῖ γε μὴν καὶ ἡ χρόα αὐτοῦ τὴν φύσιν. ὥσπερ γὰρ τὸ κατὰ φύσιν οὖρον ὠχρὸν μετρίως ἐστὶν, οὕτω καὶ ὁ ἱδρώς. γνώσῃ δὲ
F τοῦτο ῥᾳδίως ἐπὶ τῶν λουομένων, ὅταν ἐλαίου χωρὶς ἀποστλεγγίζονται. κατὰ γὰρ τὸ κοῖλον τῆς στλεγγίδος ἀθροίζεται, τήν γε χρόαν ἐνδεικνύμενον οἵαν εἴρηκα, καὶ τὴν γεῦσιν, τὸ μὲν ἁλυκὸν ἔχων ἐναργῶς, ἀμυδρὸν δὲ τὸ πικρόν. ἀλλὰ περὶ μὲν οὔρου, καὶ πλεῖον τοῦ προσήκοντος ἔγραψαν οἱ ἰατροί. διὰ τὸ δαψιλὲς ἑκάστης ἡμέρας ἀθροίζεσθαι τοῦτο πᾶσιν ἀνθρώ-

πεις ἰδίᾳ τε καὶ δημοσίᾳ. περὶ δὲ τῶν ἱδρώτων, ἢ οὐδὲν, ἢ τῶν A περιέργων τινὰ μᾶλλον, ἃ γοητείας ἔχεται. καὶ χωρὶς δὲ τῶν τοιούτων ἀναγεγράφασιν ἔνιοι περιττὰ δι' ἄλλης ὕλης ἰατρικῆς γίνεσθαι δυνάμενα. μίγνυται δ' ἱδρὼς ἐν ταῖς παλαίστραις ὁ τῶν γυμναζομένων τῷ πάτῳ, κονίσαλον δ' αὐτὸν ὀνομάζουσιν ἔνιοι τῶν περιέργως Ἀττικιζόντων, συντελοῦντι τῷ ψιλῷ πάτῳ πρὸς διαφόρησιν ὄγκων τῶν παρὰ φύσιν. ἐκεῖνος γὰρ τὸ μὲν ἀποκρουστικὸν πλέον ἔχει, διαφορητικὸν δ' ἀμυδρὸν πάνυ. μετὰ δὲ τὸ δέξασθαι τὸν ἱδρῶτα τῶν γυμναζομένων, ἐπικτᾶται πολὺ τῆς διαφορητικῆς δυνάμεως. ἐπὶ γοῦν τῶν φλεγμονῶν τῶν τιτθῶν, δραστικώτερόν ἐστι βοήθημα μόνος ὁ B τοιοῦτος πάτος ἐπιτιθέμενος. ἐὰν δὲ ξηρότερόν σοι φαίνηται, κύπρινον ἐπαλείφειν, κἂν πάνυ σφόδρα ξηρὸς ᾖ, καὶ ἀναμάττειν τῷ κυπρίνῳ. κάλλιον δὲ μὴ τὸν ξηρὸν, ἀλλὰ τὸν μαλακὸν αἱρεῖσθαι, μὴ παρόντος δὲ τοῦ κυπρίνου, ῥόδινον καλὸν ἀρκεῖ μιγνύειν. τοῦτο τὸ φάρμακον, καὶ πρὸς τὰς ἐκ τόκων σβέσαι τὸ γάλα προαιρουμένας, ὅταν οἷον τυρωθῇ κατὰ τοὺς μαστοὺς, χρήσιμον ἱκανῶς ἐστιν. ἐξ αὐτοῦ δὲ ὁρμώμενος, καὶ πρὸς ἄλλα παραπλήσια παθήματα χρῆσθαι δυνήσῃ. ἐγὼ γοῦν ποτε καὶ κατὰ βουβῶνος αὐτῷ χρησάμενος, ἐν τάχει παυόμενον ἐθεασάμην τὸν ὄγκον. C

nibus, tum priuatim, tum publicè, quotidie colligatur. At de sudoribus, aut nihil, aut quæ curiosa sint potius, & præstigiaturæ obnoxia; & insuper scripserunt alij superuacanea, quæ per aliam fieri possent materiam medicam. Porrò sudor etiam in palæstris exercentium miscetur sordibus, quem quidam curiosè Atticam sectantes linguam, conisalon vocant: confértque nonnihil tenuibus sordibus, vt tumores præter naturam per halitum digerant. Nam illæ plus repercutiunt, minus autem digerunt; at post adiunctum exercentium sudorem acquirunt multum facultatis digerentis. Ergo ad phlegmonas vberum solæ hæ sordes impositæ efficaciori sunt remedio. Sin sicciores videbuntur, cyprinum superungito; & si valdè etiam siccæ, cyprino item subigito. Præstat autem non siccas, sed molles accipere. Porrò si non adsit cyprinum, rosaceum bonum miscuisse sufficit. Hoc medicamentum admodum est vtile iis, quibus à partu restringere lac consilium est, eo nomine, quòd in mammis coaguletur in morem casei. Hinc orso, ad alios affectus similes vti licebit. Atque ego sanè ad bubonem eo vsus, celeriter disparuisse tumorem conspexi.

ιε΄. Περὶ οὔρου.

Οὖρον. Εἴρηται μὲν οὖν ἤδη περὶ τῆς ὅλης φύσεως αὐτοῦ, κατὰ τὸν περὶ τῶν ἱδρώτων λόγον. Εἰρήσεται δὲ καὶ νῦν ὅση ταῖς χολαῖς ἐστι διαφορὰ κατὰ τὰ ζῶα, τοσαύτην καὶ τοῖς οὔροις εἶναι. θερμὰ μὲν ἅπαντα ταῖς δυνάμεσίν ἐστιν, ἀλλὰ μᾶλλον μὲν τὸ τῶν θερμοτέρων ζώων, ἧττον δὲ τὸ τῶν ψυχροτέρων. περὶ ἀνθρωπείου οὔρου. ἀνθρώπου δὲ οὖρον, ἁπάντων τῶν ἄλλων οὔρων σχεδόν ἐστιν ἀσθενέστατον, ὅτι μὴ τῶν ἡμέρων D ὑῶν, ὧν ἐκτέμνουσι τοὺς ὄρχεις. ἐκείνων γὰρ ἥ τε κρᾶσις ὅλου τοῦ σώματος ὁμοία τῇ τῶν ἀνθρώπων ἐστὶν, τό τ' οὖρον ὡσαύτως ἀσθενές. ἰσχυρὸν δὲ καὶ τῶν ἐν τοῖς ὄρεσι κάπρων, ὡς καὶ διὰ τῆς ὀσμῆς φαίνεται δριμυτάτης οὔσης. κἀπὶ τῶν ἄλλων δὲ ζώων ἁπάντων ἔνεστί σοι διὰ τῆς ὀσμῆς γνωρίζειν τὴν δύναμιν αὐτοῦ. τὸ μὲν γὰρ γεύεσθαι τῶν οὔρων ἐκείνων βδελυρώτατον, ὅπου καὶ τὸ τῶν παίδων οὖρον οὐχ ὑπέμεινέ τις ἀνὴρ ἀξιόλογος ἤθει καὶ βίῳ πίνειν, ὁπότε λοιμωδῶς ἐνόσησεν ἐν Συρίᾳ, καθ' ἣν πολλοὶ πεπωκότες οὖρόν τινες, καὶ παίδων καὶ ἀνδρῶν, ἐδόκουν ἐκ τούτου διασεσῶσθαι. ῥυπτικῆς μὲν οὖν E δυνάμεως, εἴπερ τι καὶ ἄλλο τὸ τῶν ἀνθρώπων ἐστὶν οὖρον, ὡς δηλοῦσι πολλοὶ καὶ οἱ γναφεῖς, τὰ ῥυπαρὰ τῶν ἀμφιεσμάτων ἐκκαθαίροντές τε καὶ ἀπορρύπτοντες ἡμῖν αὐτῷ. ταύτην δὲ τὴν δύναμιν αὐτοῦ, καὶ οἱ ἰατροὶ θεασάμενοι, ψώρας καὶ λέπρας ἀποσμήχουσί τε καὶ καταντλοῦσιν τῶν ἑλκῶν τὰ πολλῆς ὑγρότητος μεστὰ, καὶ ῥύπου, καὶ ἀκαθαρσίας, καὶ πολύ γε μᾶλλον ὅταν ἔχῃ τι σηπεδονῶδες. ἀλλὰ καὶ τοῖς αἰδοίοις, ὅταν οὕτω πάσχῃ, τὸ οὖρον ἐνιᾶσιν, καὶ τοῖς πυορροοῦσιν ὠσί. καὶ τοὺς ἀχῶρας δὲ καὶ πίτυρα δι' αὐτοῦ θεραπεύουσι, καταντλοῦντες τὴν κεφαλήν. ἡμεῖς δὲ ταῦτα ἐμυσαχθημεν μᾶλλον ποιεῖν, ἑτέρων εὐ- F πορούντες εἰς αὐτὰ φαρμάκων. τὰ δ' ἐν τοῖς δακτύλοις τῶν ποδῶν ἕλκη, καὶ μάλιστα ἐκ προσπταισμάτων, ἐπειδὰν ἀφλέγμαντα γίνηται, καὶ αὐτὸς ἰασάμην οὔρῳ πολλάκις, ἐπί τε δούλων καὶ ἀγροίκων ἀνθρώπων. εἰς ὁδοιπορίαν ἀπιόντων χωρὶς ἰατροῦ. μοτὸν γὰρ αὐτοῖς ἐπιτιθεὶς κατὰ τοῦ ἕλκους, εἶτ'

15. *De vrina.*

Dictum quidem est de tota eius natura in sermone de sudore. Dicetúrque & nunc, quòd quanta est in animalibus bilis diuersitas, tanta item sit in vrinis. Atque omnes quidem facultate sunt calidæ, sed plus tamen animalium calidiorum: minus autem frigidiorum. De vrina humana. At vrina hominis omnium propè aliarum vrinarũ est imbecillima, exceptis porcis domesticis, quibus exacti sunt testes. Nam illorum similis est totius corporis temperies temperiei hominum, & vrina similiter debilis. Verùm montanorum aprorum valida est, vt etiam ex odore apparet, qui vtique acerrimus est. Sed & in aliis animalibus ex odore vim eius coniicere liceat: nam vrinas illas degustare planè est abominandum, quum ne pueri quidem vrinam, vir quidam honestus vita pariter, ac moribus, bibere sustinuerit, quum pestiferè ægrotaret in Syria; vbi quum multi vrinam puerorum simul, & virorum hausissent, sese hinc seruatos credebant. Cæterùm vrina hominum, vt siquid aliud, extergendi vim obtinet: quod quum alij multi satis indicant, tum maximè fullones, qui sordida vestium ea expurgant, atque extergunt. Hanc eius vim quum & medici conspexissent, psoras & lepras ea detergunt; perfundúntque vlcera, tum multa humiditate, tum sordibus, & impuritate scatentia, ac multo magis vbi putridum quiddam obtinent. Sed & pudendis, vbi sic afficiuntur, vrinam infundunt, & auribus pure fluentibus. Quin & achoras, & furfures ea curant, capiti identidem perfundentes. At nos hæc facere odimus potius, quum ad manum sint, quæ illis conducant alia medicamenta; at vlcera digitorum, pedis maximè, quæ ex illisione, atque offensione essent inflicta, sæpenumero, vbi nimirum phlegmone carerent, & ipse curaui, eáq; in seruis, & hominibus rusticis, quos iter ingredi absque medicis erat necesse; siquidẽ linamento vlceri imposito, ac

insuper

insuper linteo circumuoluto, ac ligato, quoties meiendi incesseret cupiditas, in digitum ferri vrinam præcepi, nec antè soluere, quàm bene esset curatus. Nam & si quem alium ruri sine medico agentem, vrinam vlceribus perfundentem audissem, non vetui, vbi scilicet in partibus thorace inferioribus vsque ad imos pedes vlcus constitisset; siquidem vlcera, aut capitis, aut facici, vrina perfundi sinere auersabar. Attamen medicamentum, quod ex vrina pueri conficitur, quod quidam vocant chrysocollan, quia eo ad auri glutinationem vtuntur, ad vlcera difficilia sanatu optimum esse assero. Fit autem id figura phiali confecto mortario ex ære rubro, habente pistillum eiusdem materiæ, in quod meiente puero, pistillum circumagẽs identidem, vt non tantùm à mortario quid deradat, sed etiam à sese nonnihil deterat: id quod pluribus deinceps diebus peragitur, donec vrina crassitiem assequatur mellis. Faciendum verò id in Sole; nam facilius in aëre eiusmodi ab ære quid deteritur; aut si Sol absit, calidas esse ædes saltem conuenit. Hoc medicamento mixto iis, quæ curandis vlceribus malignis sunt idonea, vtimur, vt dixi, ceu optimo; nihil enim habet abominandum, perinde, vt vrina capiti alterive parti infusa. Nam quid commemorem vrinæ potum? Scripsere tamen medicorum quidam de subsidente in vrina crasso illo videlicet, & albo, dicentes id mederi erysipelatis. Sanè ea erysipelata, quæ ignea etiamnum sunt, & re vera erysipelata, calidorum, & acrium medicamentorum omninò nullum iuuare potest; quæ verò per refrigerantia refrixere, tum hoc, tum alia multa medicamenta digerentia, adiuuare valent. Atque hoc quidem vti licebit, vbi non in facie, aut prope, erysipelas constiterit, verùm in artuum quopiam, aut dorso, aut ventre. At vrinam pueri orthopnϾ gratia ebibere necessarium non est, quum sint, & alia medicamẽta, quæ huic medeantur affectui. Quin quum bibisset quidam, affectu liberatus non est; vt non eximium quid præter alia possideat.

A ἔξωθεν καὶ ὀθονίῳ περιελίξας, καὶ δήσας ὁσάκις οὐρεῖν προθυμηθῶσιν, κατὰ τοῦ δακτύλου φέρεσθαι τὸ οὖρον ἐπιτρέπειν ἐκέλευσα, καὶ μὴ λύειν, ἄχρις ἂν ἀκριβῶς θεραπευθῇ. συνεχώρησα γὰρ καὶ εἴ τινα ἄλλον ἐπυθόμην ἐν ἀγρῷ χωρὶς ἰατροῦ καταντλοῦντα τῶν ἑλκῶν τὸ οὖρον, ὅταν ἐν τοῖς κάτω μέρεσιν ᾖ τοῦ θώρακος, ἄχρι τῶν ποδῶν ἄκρων, ὅσα δὲ περὶ κεφαλὴν, ἢ κατὰ τὸ πρόσωπον ἕλκη γίγνεται, ταῦτ᾽ ἐμυσαττόμην οὔρῳ καταντλεῖν ἐᾶσαί τινα. τό γε μὴν δι᾽ οὔρου παιδὸς σκευαζόμενον φάρμακον, ὃ καλοῦσιν ἔνιοι χρυσοκόλλαν, ἐπειδὴ πρὸς τὴν τοῦ χρυσοῦ κόλλησιν αὐτῷ χρῶνται, κάλλιστον εἶναί φημι B πρὸς ἕλκη δυσίατα. γίγνεται δὲ θυίας τῷ τῆς φιάλης σχήματι κατασκευασθείσης ἐξ ἐρυθροῦ χαλκοῦ, δοίδυκα δὲ τῆς αὐτῆς ὕλης ἐχούσης, εἰς ἣν ἐνουροῦντος τοῦ παιδὸς, ὁ δοίδυξ περιάγεται πολλάκις, ὡς ἀποτρίψαι τι μὴ μόνης τῆς θυίας, ἀλλὰ καὶ ἑαυτοῦ, καὶ γίγνεται τοῦτο πλείοσιν ἡμέραις, ἄχρις ἂν μελιτώδη σύστασιν σχῇ τὸ οὖρον. ἐν ἡλίῳ δὲ χρὴ πράττεσθαι τοῦτο. ῥᾶον γὰρ ἀποτρίβεται τοῦ χαλκοῦ κατὰ τὸν τοιοῦτον ἀέρα, ἢ εἰ μὴ ἥλιος εἴη, θερμὸν ἄλλως εἶναι τὸν οἶκον. τούτῳ τῷ φαρμάκῳ μιγνυμένῳ τοῖς ἐπιτηδείοις εἰς ἴασιν ἑλκῶν κακοηθῶν χρώμεθα, καθάπερ εἶπον, ὡς ἀρίστῳ. βδελυρίαν γὰρ οὐδεμίαν ἔχει, C παραπλησίως τῷ οὔρῳ κατὰ τῆς κεφαλῆς καταχεομένῳ, καὶ περὶ τινῶν ἄλλων μορίων. τὸ μὲν γὰρ καὶ πίνειν οὖρον, τί ἄν τις καὶ λέγοι; γεγράφασι μὲν ἔνιοι τῶν ἰατρῶν περὶ τοῦ κατὰ τὸ οὖρον ὑφισταμένου πάχεος τε καὶ λευκοῦ, λέγοντες αὐτὸ θεραπεύειν ἐρυσιπέλατα. τὰ μὲν οὖν ἔτι πυρώδη, καὶ ὄντως ἐρυσιπέλατα τῶν θερμῶν, καὶ δριμέων φαρμάκων οὐδὲν ὠφελῆσαι δύναται. τὰ δ᾽ ἤδη διὰ τῶν ψυχόντων ἐνεψυγμένα, καὶ τοῦτο καὶ ἄλλα πολλὰ τῶν διαφορητικῶν φαρμάκων ὀνινάναι δύναται. τούτῳ μὲν οὖν ἐγχωρεῖ χρῆσθαι μὴ περὶ πρόσωπον, ἢ ἐγγὺς τούτου συστάντος ἐρυσιπέλατος, ἀλλ᾽ ἤτοι κατά τι τῶν κώ- D λων, ἢ κατὰ τὸν νῶτον, ἢ τὴν γαστέρα. πίνειν δ᾽ οὖρον παιδὸς, ἕνεκα τῆς καλουμένης ὀρθοπνοίας οὐκ ἀναγκαῖον, ὄντων γε καὶ ἄλλων φαρμάκων ἃ βοηθεῖ τῷ πάθει τούτῳ. καὶ μέντοι καὶ πιών τις, οὐκ ἀπηλλάγη τοῦ πάθους, ὡς οὐδ᾽ ἐξαίρετον ἔχει τι παρὰ τἄλλα.

---

16. *De sielo, saliua.*

Sielon, siue Sialon, siue Ptyelon appellare libet, nihil interest. Verùm id sciendum est, vim eius esse differentem, tum in animalium speciebus, tum in eorum vnoquoque sano & ægroto, ieiuno & sitibundo, aut cibo potúque sumpto. Etenim vt vrina, & bilis, sic etiam saliua sumpto quidem cibo imbecilla est; valida & acris eorum qui ingenti, aut inedia, aut siti premuntur; in medio vtriusque est eorum, qui probè concoxere quidem, nondum tamen cibum potúmve hausere. Hac ergo saliua nutrices puerorum lichenas curant, paruum videlicet digitum rigantes, ac deinde cutem affectam confricantes, idque faciunt subinde, tanto scilicet interuallo, dum saliuæ vires in lichene perdurent, ac nondum sint extinctæ. Sed & triticum mandentes rustici non pauci furunculis imponunt, nam celeriter eos, & digerit, & concoquit; quum si macerarent aqua, non æquè prodesset. Ex quo liquet saliuam iuuandi robur afferre. Atque corporibus mollibus, aut puerorum, panem non triticum imponunt ore commansum.

ιϛ΄. Περὶ σιέλου.

Σίελον εἴτε σίαλον, εἴτε πτύελον ὀνομάζειν θέλει τις, οὔ μοι διαφέρει. γινώσκειν δὲ αὐτοῦ χρὴ τὴν δύναμιν εἶναι E διάφορον, ἔν τε τοῖς ζώων εἴδεσι, καὶ καθ᾽ ἕκαστον αὐτῶν ὑγιαίνοντος, ἢ νοσοῦντος, ἐδηδοκότος, ἢ πεπωκότος, ἢ ἀσίτου τε καὶ νενηστευκότος. ὡς γὰρ τὰ οὖρα, καὶ αἱ χολαὶ, καὶ ὁ ἱδρὼς, οὕτως καὶ τὸ πτύελον ἀσθενὲς μὲν ἐδηδοκότων ἐστὶν, ἰσχυρὸν δὲ καὶ δριμὺ τὸ τῶν ὑπερδιψώντων, καὶ ὑπερπεινησάντων. ἐν τῷ μέσῳ δ᾽ ἀμφοῖν ἐστιν, τὸ τῶν ἐκπεπεφθηκότων μὲν οὐδέπω δ᾽ ἐδηδοκότων, ἢ πεπωκότων. τούτῳ τοιγαροῦν τῷ σιέλῳ, καὶ αἱ τροφοὶ τῶν παίδων τοὺς λειχῆνας ἰῶνται, βρέχουσαι τὸν μικρὸν δάκτυλον, εἶτα ἀνατρίβουσαι τὸ πεπονθὸς δέρμα. καὶ τοῦτο ποιοῦσι πολλάκις, ὡς διασώζεσθαι κατὰ τὸν μεταξὺ τῶν χρήσεων χρόνον F ἐν τῷ λειχῆνι τὴν ἀπὸ τοῦ σιέλου δύναμιν. ἀλλὰ καὶ πυροὺς μασσώμενοι πολλοὶ τῶν ἀγροίκων δοθιῆσιν ἐπιτιθέασιν. διαφορεῖ τε γὰρ αὐτοὺς, καὶ πέττει ταχέως. καίτοι γε εἰ δι᾽ ὕδατος δευθεῖεν, οὐχ ὁμοίως ὠφελοῦσιν. εὔδηλον οὖν, ὅτι τὸ σίαλον αὐτοῖς τὴν ἰσχὺν τῆς ὠφελείας παρέχει. κατὰ δὲ τῶν μαλακῶν, καὶ παιδικῶν σωμάτων, ἄρτον οὐ πυροὺς ἐπιτιθέασι μασσώμενοι.

A διαφορεῖ δὲ πάντα τὰ οὕτω μασηθέντα, καὶ ὑπώπια, καὶ τὰ ἄλλα ἐκχυμώματα, καὶ μᾶλλον ὅταν ὁ ἄρτος ἅμα βραχείᾳ ῥαφανίδι μασηθείη. καθ' ὅλην δὲ τὴν οὐσίαν τὸ πτύελον ἐναντιώτατόν ἐστι τοῖς ἀναιροῦσιν ἀνθρώπους θηρίοις, ὥς που καὶ Νίκανδρος ὁ ποιητὴς λέγει. καί μοί τις ἐπαγγελλάμενος ἐπῳδὴν ἀναιροῦσαν σκορπίους ἐπιδείξειν, ἅπαξ εἰπὼν αὐτὴν ἐπέπτυσε τῷ σκορπίῳ, κᾄπειθ' ἑξῆς δεύτερον εἰπὼν αὖθις ἐπέπτυσεν, εἶτα καὶ τὸ τρίτον εἰπόντος τε καὶ καταπτύσαντος, ἀπέθανεν ὁ σκορπίος. ὕστερον δ' ἐγὼ χωρὶς τῆς ἐπῳδῆς, ἐθεασάμην ἐπὶ τῷ σιάλῳ μόνῳ τὸν σκορπίον ἀποθανόντα, καὶ τοῦτ' αὐτὸ πάσχοντα B ταχέως μὲν ἐπὶ τοῦ τῶν πεινώντων τε καὶ διψώντων πτυέλου, βραδέως δὲ ἐπὶ τῶν ἐμπεπλησμένων ἐδεσμάτων τε καὶ πομάτων, ἐπὶ δὲ τῶν ἄλλων ἀνάλογον.

Porrò omnia ſic commanſa digerunt, & ſugillata, cæteráque ecchymomata, maximè vbi panis ſimul cum pauco radiculæ fuerit commanſus. Porrò totâ ſubſtantiâ, vel maximè aduerſa eſt ſaliua beſtiis hominem interficientibus, ceu alicubi etiam Nicander poëta refert. Pollicitus autem mihi quidam incantationem ſeſe oſtenſurum, quæ ſcorpios interficeret, vbi illam ſemel dixiſſet, in ſcorpium expuit; inde rurſum eam obmurmurans, iterum ſcorpium conſpuit; ac vbi tertiò dixiſſet, atque expuiſſet, mortuus eſt ſcorpius. At poſtea ego abſque incantatione à ſola ſaliua occiſum vidi ſcorpium, idque celeriter à ſaliua eſurientium, aut ſitientium; tardè autem ab illis qui cibo potúque fuerant impleti; in aliis autem, proportione.

ιζ. Περὶ τῶν ἐν τῷ σώματι γεννωμένων.

Γεννᾶται μὲν ἐν τῷ σώματι, καὶ ἄλλα παρὰ φύσιν, ὧν οὐ καλὸν μεμνῆσθαι. γεννᾶται δὲ καὶ ὁ ἐν κύστει λίθος, ὑπὲρ οὗ τινες ἔγραψαν, ὡς εἰπεῖν ὅτι θρύπτει λίθους τοὺς ἐν κύστει. τοῦτο μὲν οὖν ψευδός ἐστι κεκριμένον τῇ πείρᾳ. εἰ δὲ καὶ τοὺς ἐν νεφροῖς λίθους θρύπτει τὴν ἀρχὴν, οὐδ' ἐπειράθην μὲν, C ἔχων ἕτερα δόκιμα φάρμακα πρὸς τὸ σύμπτωμα τοῦτο. περὶ δὲ τοῦ πύου, καὶ ὅσα τοιαῦτα, παρίημι λέγειν τοῖς τὰ τοιαῦτα δεινοῖς ἅμα γοητείαις τισίν. ἡ μέντοι κόπρος ἕν τι τῶν ἐν τῷ σώματι γεννωμένων ἐστὶ, κατὰ φύσιν ἐχόντων τῶν ζώων, ὥσπερ καὶ ὁ ἐν τοῖς ὠσὶ ῥύπος. ὑπὲρ ἑκατέρου τοίνυν ἐφεξῆς δίειμι.

17. *De iis quæ in corpore proueniunt.*

NAſcuntur in corpore cùm alia præter naturã, quorũ non eſt ſatis honeſtũ meminiſſe: tum etiam lapis in veſica; de quo ſcripſere quidã quòd lapides veſicæ cõminuat. Atque hoc quidẽ falſum eſt experientia iudicatũ; cæterùm an renũ lapides frangat, omninò experti non ſumus, quum ſuppeterent alia ad hoc ſymptoma probata medicamenta. De pure autem, & id genus dicere ſuperſedeo, id illis concedens, qui his in rebus mirifici ſunt, ſcilicet quibuſdam cum præſtigiis. Cæterùm ſtercus, vnum eſt inter ea, quæ in corpore proueniunt ſecundũ naturam affecto animali, veluti & auium ſordes. De vtroque itaque deinceps diſſeram.

ιη. Περὶ κόπρου.

Κόπρος εἴτε κόπρον, εἴτ' ἀποπάτημα καλεῖν ἐθέλοις, οὐ διοίσει. γίγνωσκε δὲ τὴν οὐσίαν ταύτην D διαφορητικωτάτην ἔχειν δύναμιν. ἔστι δ' ἡ τῶν ἀνθρώπων, διὰ τὴν δυσωδίαν βδελυρά. βοῶν δὲ καὶ αἰγῶν, καὶ χερσαίων κροκοδείλων, καὶ κυνῶν, ὅταν ὀστᾶ φάγωσιν, οὔτε δυσώδης ἐστὶ, καὶ πεῖραν ἱκανὴν οὐχ ἡμῖν μόνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις τῶν ἔμπροσθεν ἰατρῶν ἔδωκεν. Ἀσκληπιάδης μὲν γε ὁ ἐπικληθεὶς Φαρμακείων, καὶ τἄλλα μὲν ἅπαντα σύνθετα φάρμακα συνήθροισεν, ὡς πολλὰς βίβλους πληρῶσαι. καὶ κόπρῳ δὲ χρῆται πολλάκις ἐπὶ πολλῶν παθῶν ἀναμιγνὺς, οὐ μόνον τοῖς ἔξωθεν ἐπιτιθεμένοις φαρμάκοις, ἀλλὰ καὶ τοῖς εἴσω τοῦ σώματος λαμβανομένοις. E

18. *De copro, ſtercore.*

COpros, ſiue copron, ſiue apopatema appellari velis, perinde eſt. Scito autem hanc ſubſtantiam vim habere, vel maximè digerentem. Verùm ſtercus humanum ob fœtorem abominandum eſt; at bubulum, caprinum, crocodilorum terreſtrium, & canum vbi oſſibus duntaxat veſcuntur, neque grauiter olet, & multa experientia non tantùm nobis, ſed & aliis medicis me natu maioribus, comprobatum eſt. Siquidem Aſclepiades cui cognomentum erat pharmaceon, & alia omnia medicamenta collegit, vt multos impleret libros; & ſtercore ad multos ſæpe affectus vtitur, non modo medicamentis, quæ foris imponuntur commiſcens, ſed iis quoque, quæ intrò in os ſumuntur.

ιθ. Περὶ κυνείας κόπρου.

Ἐγὼ γοῦν οἶδα καὶ αὐτὸς, θαυμαστῆς δυνάμεως πειραθεὶς ἀνθρωπείας τε καὶ κυνὸς κόπρου. λέξω δέ σοι περὶ προτέρας τῆς κυνείας, ᾗ συνεχῶς ἐχρῆτό τις τῶν ἡμετέρων διδασκάλων, ὀστᾶ διδοὺς ἐσθίειν κυνὶ μόνα δυεῖν ἐφεξῆς ἡμερῶν, ἐξ ὧν σκληρὰ, καὶ λευκὴ, καὶ ἥκιστα δυσώδης ἡ κόπρος γίγνεται. ταύτην οὖν λαμβάνων ἐξήραινεν, ὡς ὕστερον ὁπότε βούληται χρῆσθαι λειοῦσθαι ῥᾳδίως. ἐχρῆτο δ' αὐτῇ πρός τε συνάγχας, F καὶ δυσεντερίας, καὶ τὰ παλαιότατα τῶν ἑλκῶν. πρὸς μὲν οὖν συνάγχας, ἀναμιγνὺς τοῖς καὶ ἄλλως ἁρμόττουσι πρὸς τὸ πάθος τοῦτο φαρμάκοις. ἐπὶ δὲ δυσεντερικῶν τῷ ἀφεψημένῳ γάλακτι, τῶν καλουμένων καχλήκων διαπύρων ἐμβεβλημένων, ἢ ὡς ὕστερον ἐγὼ διὰ τὸ εὐπόριστον ἐπὶ τὸν σίδηρον ἧκον, ἐμβάλλων τοῦτον διάπυρον τῷ γάλακτι καλῶς προαφε-

19. *De ſtercore canino.*

SAnè ego memini me admirandam, tum humani, tum canini ſtercoris expertum facultatem. Sed priùs diſſeram de canino, qui vti aſſiduè conſueuit præceptorum noſtrorum quidam, ſola oſſa cani edenda exhibens duobus continuo diebus, ex quibus durum, candidum, ac minimè fœtens ſtercus proueniebat. Hoc igitur acceptum deſiccabat, vt quum poſtea vſus eſſet, facilè ad læuorem poſſet redigi. Vtebatur eo ad anginam, & dyſenteriam, & ſummè inueterata vlcera; ad anginam quidem, iis admiſcens, quæ alioqui huic affectui congruebant; ad dyſenteriam, lacti illi immiſcens, cui decocto calculos vocatos, ſilices ignitos iniici ante poſuimus; aut vt ego poſtea ob parandi facilitatem ad ferrum confugi; id candens lacti probè decocto iniiciens.

ciens. Vocant autem medici nonnulli lac eiusmodi, nescio quo pacto, Schistum; verùm oportebat non hoc sic appellare, sed in quo segregamus, ac scindimus serum à caseo. Cæterùm medicus ille stercus caninum aridum tritum lacti, in quo extincti erant calculi marini, clam iniiciebat, & id solùm generosissimos quosque discipulos docebat. In his ergo duobus multùm expertus sum stercus caninum, ceu medicamentum mirabile, sicut & in vlceribus extremè malignis. Miscui ergo & ad illa paulum quiddam stercoris canini medicamentis probatis, & manifestò se ipso valentius redditum est medicamentum, & si quando digerere aut desiccare quid opus esset, illis etiam medicamentis admiscui.

20. *De stercore humano.*

CÆterùm humani stercoris hoc habeo experimentum. Assiduè quidam à phlegmonis ad guttur existentibus vexabatur, adeo vehementer, vt suffocationis subiret periculum; & sanè ob hoc periculum sanguinem mittere cogebatur. In hunc quum fortè quis incidisset, pollicitus est se præbiturum medicamenti experimentum, & se vocari, si quando rursus aliqua in parte gutturis emicuisset phlegmone, ante sanguinis missionem præcepit. Itaque vocatus, medicamento illito statim hominem curauit. Vt autem iterum profecit, non in ipso tantùm, sed & in aliis, qui similiter erant affecti, rogabat is, qui assiduo suffocari periclitabatur, data mercede, vt sese medicamentum illud doceret, erat enim ille & locuples, & in pecuniæ sumptu liberalis; porrò vbi conuentum esset de pretio, is qui vendebat, hoc medicamentũ, inquit, per antipatheian quandam vtilitatem obtinet; esse autem eam antipatheian, vt qui curatur, nesciat, vnde conficiatur. Iussit itaque alium daret, qui pro ipso disceret, qui sibi fidelissimus esse videretur, quique iureiurando reciperet sese nulli eius facturum copiam, priusquam ipse, qui dedisset, foret defunctus; itaque à morte eius, qui indicarat, non tantùm ille suum hominem, sed & alios sanabat; & mihi ne petenti quidem medicamenti exemplum volens, ac lubens obtulit. Erat autem stercus pueri siccum cum melle Attico ad leuorem tritum. Victitabat autẽ puer, cuius stercus accepturus erat, vti ipse qui medicamentum dederat, ostendit, lupinis, illis videlicet, qui ex more edi solent, cum pane benè cocto in clibano, modicum salem & fermentum habente. Præbebat autem bibendum vinum vetus; atque hæc omnia mediocri in quantitate, vt perfectè ea puer posset concoquere. Itaque quum primo die eo victu esset vsus, postero tamen die nondum stercus capiebat, sed in eo quoque die rursum eodem alebat victu, ac tertio demum sumebat; ac postea arefacto vtebatur similiter, vt stercore canino, vt ante dictum est. Dicebat autem illum, qui docuerat, fugitantem alios cibos ob fœtorem prætulisse lupinos; sese verò, experimenti gratia, carnes gallinaceas, aut perdicum ex aqua, aut tenui iure bene coctas persæpè exhibuisse, & medicamentum nihilominus operatum. Atque ego sanè hæc tibi de canino humanoque stercore narrare possum.

A ψηλαφᾷ. καλοῦσι δ' ἔνιοι τῶν ἰατρῶν, οὐκ οἶδ' ὅπως τὸ τοιοῦτον γάλα, σχιστόν. ἐχρῆν γὰρ οὐ τοῦτο καλεῖν οὕτως, ἀλλ' ἐφ' ᾧ χωρίζομέν τε καὶ σχίζομεν ἀπὸ τοῦ τυρώδους τὸν ὀῤῥόν. ἀλλὰ τῆς κυνείας κόπρου ξηρᾶς λειώσας ὁ ἰατρὸς, ἐνέβαλλεν τῷ τοὺς κάχληκας ἐναπεσβεσμένους ἔχοντι γάλακτι λανθανόντως, καὶ μόνοις τοῖς γνησιωτάτοις μαθηταῖς ἐδίδαξε τοῦτο. τούτων μὲν οὖν τῶν δυὸ χρήσεων τῆς κυνείας κόπρου πάνυ πολλὴν ἔχω πεῖραν, ὡς θαυμαστοῦ φαρμάκου, καθάπερ καὶ τῆς ἐπὶ τῶν κακοηθεστάτων ἑλκῶν. ἔμιγνυε γὰρ οὖν κἀπ' ἐκείνων τοῖς δοκίμοις φαρμάκοις τῆς κυνείας κόπρου βραχὺ, καὶ σαφῶς ἰσχυρότερον ἑαυτοῦ τὸ φάρμακον ἐγίνετο, καὶ εἴ που διαφορῆσαί τι καὶ ξηρᾶναι, B κἀκείνοις τοῖς φαρμάκοις ἐμίγνυεν.

κ'. Περὶ ἀνθρωπείας κόπρου.

ΤΗς ἀνθρωπείας κόπρου τοιάνδε τινὰ πεῖραν ἔχω. συνεχῶς τις ὑπὸ τῶν κατὰ τὴν φάρυγγα φλεγμονῶν ἠνωχλεῖτο σφοδρῶς, ὡς κινδυνεύειν ἀποπνιγῆναι, καὶ δὴ φλεβοτομεῖσθαι διὰ τὸν κίνδυνον τοῦτον ἠναγκάζετο. τούτῳ τις ἐντυχὼν, ἐπηγγείλατο πεῖραν δώσειν φαρμάκου, καὶ καλεῖν C ἑαυτὸν ἠξίου πρὸ τῆς φλεβοτομίας, ὅταν αὖθις ποτὲ φλεγμονή τι τῶν κατὰ τὴν φάρυγγα μορίων αὐτοῦ. καὶ τοίνυν κληθεὶς, εἶτα διαχρίσας φαρμάκῳ, ταχέως ἐθεράπευσε τὸν ἄνθρωπον. ὡς δὲ καὶ αὖθις ἤδη ἐνήργησεν, οὐκ ἐπὶ αὐτοῦ μόνου, ἀλλὰ καὶ ἐπ' ἄλλων τῶν ὁμοίως παθόντων, ἠξίου δοὺς μισθὸν ὁ συνεχῶς κινδυνεύων πνιγῆναι, μαθεῖν τὸ φάρμακον. ἦν δ' ἅμα τε πλούσιος, καὶ περὶ χρημάτων δαπάνην ἐλευθέριος. ὡς δὲ περὶ τοῦ μισθοῦ συνέβησαν ὁ πιπράσκων τὴν γραφὴν, ἀντιπαθείᾳ τινὶ τὴν ὠφέλειαν ἔφη τὸ φάρμακον ἔχειν. εἶναι δὲ τὴν ἀντιπάθειαν, τὸ μὴ γνῶναι τὸν θεραπευόμενον D ἐξ ὧν σύγκειται. ἐκέλευσεν οὖν ἄλλον ἀνθ' ἑαυτοῦ μαθησόμενον, ὅς τις ἂν αὐτῷ πιστότατος εἶναι δοκῇ, καὶ τοῦτο αὐτὸν ὀμόσαι βουλόμενον μηδενὶ δοῦναι τὴν γραφὴν τοῦ φαρμάκου, μέχρις ἂν αὐτὸς ὁ ἀποδιδόμενος ζῇ. κατὰ τοῦτον μὲν δὴ μετὰ τὸν τοῦ δείξαντος θάνατον, ὁ μαθὼν οὐ μόνον τὸν ἴδιον ἄνθρωπον, ἀλλὰ καὶ τοὺς ἄλλους ἰᾶται, κἀμοῦ μηδ' αἰτήσαντος τοῦ φαρμάκου τὴν γραφὴν, αὐτὸς ἔδωκεν ἑκών. ἦν δὲ κόπρος παιδίου ξηρὰ, μετὰ μέλιτος Ἀττικοῦ λελειωμένη. διῃτᾶτο δὲ τὸ παιδίον οὗ τὴν κόπρον ἔμελλον λήψεσθαι, καθάπερ αὐτὸς ὁ δοὺς τὸ φάρμακον ἔδειξεν, ἐπὶ θέρμων ἐδωδῇ. τούτων δὴ τῶν E συνήθως ἐσθιομένων μετ' ἄρτου καλῶς ὠπτημένου κλιβανίτου, συμμέτρων ἁλῶν τε καὶ ζύμης ἔχοντος. ἐδίδου δὲ καὶ οἶνον παλαιὸν πίνειν. ἅπαντα ταῦτα σύμμετρα κατὰ τὸν ὄγκον, ὡς ἀκριβῶς εὐπεπτῆσαι τὸ παιδίον. ἐπὶ μὲν δὴ τῆς πρώτης ἡμέρας τοιαύτῃ διαίτῃ χρώμενος, οὐδέπω κατὰ τὴν ὑστεραίαν ᾑρεῖτο τὴν κόπρον. ἐν ἐκείνῃ δ' αὖ πάλιν ὁμοίως διαιτήσας, τὸ κατὰ τὴν τρίτην ἐκκριθὲν ἐλάμβανεν, καὶ ξηραίνων ἐχρῆτο, παραπλησίως τῇ κυνείᾳ κόπρῳ, καθότι προείρηται. ἔλεγε δὲ τὸν διδάξαντα, διὰ τὴν δυσωδίαν τῶν ἄλλων ἐδεσμάτων φεύγοντα τοὺς θέρμους αἱρεῖσθαι, ἑαυτὸν δὲ F ἕνεκα πείρας ὀρνιθείου κρέως, καὶ περδικείου δι' ὕδατος, ἢ λιτοῦ ζωμοῦ καλῶς ἑψημένου ἐδηδοκέναι πολλάκις, ἐνηργηκέναι δὲ τὸ φάρμακον οὐδὲν ἧττον. ἐγὼ μὲν δή σοι ταῦτα λέγειν ἔχω περὶ κυνείας τε, καὶ ἀνθρωπείας κόπρου.

A

κα'. Περὶ λυκείας κόπρου.

Τὴν δὲ τῶν λύκων ἐπότιζέ τις κωλικούς, οὐ μόνον ἐν τοῖς παροξυσμοῖς, ἀλλὰ καὶ τοῖς διαλείμμασιν ὅσοι γε χωρὶς φλεγμονῆς ἔπασχον. εἶδον δέ τινας αὐτῶν οὐκέθ' ἁλόντας τῷ παθήματι, καὶ τοὺς ἁλόντας, οὐκέτ' οὐδέποτ' αὖθις ἰσχυρῶς παθόντας, ἀλλ' οὐδὲ μετ' ὀλίγον χρόνον. ἐλάμβανε δὲ κἀκεῖνος τὴν λευκοτέραν κόπρον τῶν λύκων μᾶλλον, ἥτις ὀστᾶ φαγόντων αὐτῶν ἀποκρίνεται. ἐθαύμασα δ' ἐπ' αὐτῷ, ὅτι καὶ περιαπτόμενον πολλάκις ἐναργῶς ὠφέλησεν. ἐλάμβανεν οὖν B ἐκεῖ τὴν κόπρον οὐδὲ πεπτωκυῖαν ἐπὶ τὴν γῆν, οὐ χαλεπῶς δὲ γίνεται τοῦτο. φύσιν γὰρ ἔχει ἐκεῖνο τὸ ζῶον, καθάπερ ὁ κύων, ἐπαίρων τὸ ἕτερον τῶν ὀπισθίων σκελῶν ἐνουρεῖν, καὶ ἀποπατεῖν πρός τι τῶν ἐξεχόντων τῆς γῆς. ἐπ' ἀκάνθαις τε οὖν πολλάκις εὑρίσκεται θέρους ἐν ὥρᾳ λυκεία κόπρος ἐπί τε θάμνοις τισί, καὶ κλείθροις, καὶ βοτάναις εὐαυξέσιν. εὑρίσκεται δὲ ἐν ταῖς κόπροις αὐτῶν, καὶ αὐτῶν τῶν ὀστῶν τι τοῦ καταβεβρωμένου ζώου διαπεφευγότος, ὥσπερ τὴν μάσησιν, οὕτω καὶ τὴν πέψιν. ὃ καὶ αὐτὸ κόπτων, καὶ λειῶν, ἐδίδου πίνειν τοῖς κωλικοῖς. καὶ εἰ καθαρότητος ἄνθρωπος εἴη, καὶ ἁλῶν, C καὶ πεπέρεως, ἤ τινος τῶν τοιούτων ἐμίγνυεν. ἐδίδου δὲ τοὐπίπαν μὲν, δι' οἴνου λεπτοῦ κατὰ τὴν σύστασιν. ἔστι δ' ὅτε, καὶ δι' ὕδατος. τὸ δ' οὖν περιαπτόμενον τῆς κόπρου ταῖς λαγόσι τοῦ πάσχοντος, ἐκέλευσεν ἔχειν ἄρτημα, μάλιστα μὲν ἐξ ἐρίου γεγονὸς οὐ τοῦ τυχόντος προβάτου. πολὺ γὰρ εἶναι βέλτιον ὑπὸ τοῦ λύκου διεσπασμένου ἐπὶ τὸ πρὸς τὴν τοιαύτην χρείαν ἐπιτήδειον ἐσόμενον. εἰ δὲ μὴ παρείη τὸ τοιοῦτον ἔριον, ἐκ δέρματος ἐλαφείου τὸν ἱμάντα τὸν περιελιττόμενον ταῖς λαγόσι, καὶ αὐτὸ τὸ περιέξον τὴν κόπρον ἐκέλευσεν εἶναι. ἡμεῖς δὲ καὶ εἰς χυτρίδιον τηλικοῦτον, ἡλίκος ἐστὶν ὁ μέγιστος κύαμος ἐμβάλλοντες τῆς κόπρου περιήψαμεν ἐνίοις ἕνεκα πείρας, ἐθαυ- D μάσαμέν τε φανερῶς ὠφεληθέντας ἰδόντες τοὺς πλείστους αὐτῶν. ἐποιοῦμεν δὲ τῷ χυτριδίῳ δύο τινά, καθάπερ ὦτα, δι' ὧν ὁ ἱμὰς διεβάλλετο. τοῦτο μὲν δὴ κατὰ τὸ πάρεργον, εἰ μέλλει τις καὶ τοῖς οὕτω περιαπτομένοις πιστεύειν, λέγω δ' οὕτως, ὡς οὐσίαν εἶναι τὴν περιαπτομένην, οὐκ ὀνόματα βάρβαρα, καθάπερ εἰώθασιν ἔνιοι τῶν γοήτων, ἐπεί τοι καὶ ἄλλων οὐσιῶν ἐπειράθην ὁμοίως ἐνεργουσῶν ἐπ' ἄλλων παθῶν. ἀλλ' οὐ νῦν καιρὸς ὑπὲρ αὐτῶν λέγειν, ἴωμεν οὖν αὖθις ἐπὶ τὸ προκείμενον.

21. *De stercore lupino.*

At Lupinum stercus quidam colicis potandum dabat, non tantum in ipsis paroxysmis, sed etiam in interuallis, siquidem phlegmone vacarent. Quorum ego quosdam vidi non amplius inuadi; & qui erant inuasi, non amplius id grauiter passos, sed nec post paucum temporis. Accipiebat autem ille albidius potius stercus, quale vbi ossa ederint, solent excernere. Verùm illud etiam in eo mirabar; quòd vel suspensum euidenter, B aliquoties iuuisset. Itaque hic stercus capiebat, quod non decidisset in terram; id quod non erat inuentu difficile: ea enim est luporum natura, quæ canum, vt suspenso altero posteriorum crurum & meiant & cacent in eminenti quopiam ex terra. Itaque in spinis sæpè æstate stercus lupinum reperitur, & fruticibus, vepribus, herbísque procerioribus. Inuenitur porrò in stercore illorum & nonnihil ossium deuorati animalis, quod vt effugit commansionem, ita & concoctionem; quod & ipsum contundens, ac conterens, bibendum præbuit colicis; ac si homo esset puritatis amans, C miscebat & salis quippiam, aut piperis, aut quippiam eiusmodi. Vt plurimum autem ex vino albo consistentiæ tenuis bibendum præbebat; interim verò etiam ex aqua. Hoc ergo stercoris quod patientis ilibus, applicandum esset, præcepit suspendi ex vinculo confecto ex lana, sed non qualibet; verùm multo præstabat eam esse ouis à lupo laniatæ, vnde, quod ad hunc vsum accommodaretur, esset conficiendum. Quòd si talis non adesset lana, ex pelle ceruina, & lorum quod cingeret ilia, & in quo stercus contineretur, parari præcipiebat. At nos ollulam ad magnitudinem maximæ fabæ confecimus, quam experiundi gratia in- D dito stercore quibusdam suspendimus, nec potuimus non mirari, quum plurimos ipsorum videremus adiutos. Cæterùm ad ollulam duas ceu aures affiximus, per quas lorum transmitti posset. Sed hoc quidem obiter dictum esto, siquis inuenietur, qui sic suspensis fidem habere dignabitur. Dico autem sic, nam substantia est, quæ suspenditur, non voces barbaræ, vt quidam facere præstigiatorum assolent; quando & alias expertus sum substantias, quæ in aliis affectibus similiter operarentur. Sed de his non est nunc dicendi tempus. Ad propositum itaque reuertamur.

E

κβ'. Περὶ αἰγείας κόπρου.

Ἀνθρωπείας μὲν γὰρ καὶ κυνείας, καὶ λυκείας ἐμνημονεύσαμεν κόπρου, τῶν δ' ἄλλων οὐδέπω, καίτοι πλείους ἔτι τῶν εἰρημένων ὑπολείπονται. τινὲς μὲν καὶ πάνυ συνεχῆ τὴν χρείαν παρέχουσαι, τινὲς δὲ σπανιωτέραν. συνεχέστατα μὲν οὖν χρώμεθα ταῖς τῶν αἰγῶν κόπροις, σπύραθοι δ' ἰδίως ὀνομάζονται, δριμείας καὶ διαφορητικῆς οὔσας δυνάμεως, ὡς καὶ τοῖς σκιρρουμένοις ὄγκοις ἁρμόττειν, οὐ σπληνὸς μόνον, ἐφ' ὧν, συνεχέστατα F χρῶνται πολλοὶ τῶν ἰατρῶν ταῖς τοιαύταις κόπροις, ἀλλὰ καὶ ἄλλων μερῶν. ἔγωγ' οὖν ἐπὶ γόνατος ἔχοντος ὄγκον χρόνιον δύσλυτον, ἐχρησάμην αὐτῇ δι' ὀξυκράτου καταπλάττεσθαι κελεύσας ἄλευρον κρίθινον, ἐπιβαλλομένης τῆς κόπρου, καὶ θαυμαστῶς ὁ ἄνθρωπος ὤνητο. τῶν δ' ἀγροίκων τις ἦν, ἐφ' ᾧ τοῦτο

22. *De stercore caprino.*

Nam humanum, caninum, lupinúmque stercus recensui, alia verò nondum; quorum etiam maior est quàm dictorum numerus; & quædam assiduo habentur in vsu, quædam rariore. Omnium creberrimè vtimur caprino stercore digerentis, & acris facultatis; adeò vt & induratis scirrhorum in modum tumoribus congruat, nec tantùm lienis, ad quos creberrimè F medici non pauci huiusmodi stercora applicant, sed etiam aliarum partium. Siquidem ego eo vsus sum ad genu, tumorem habens inueteratum, & ægrè solubilem, iusso fieri cataplasmate ex farina hordeacea per oxycratum, indito videlicet hoc stercore; & mirum est, quàm homo ille fuerit adiutus. Erat autem rusticus, in quo id factum

factũ est. Et iam etiam alius rusticus, quum sic vsus esset non tantũ in genu, sed etiam aliis in partibus ad tumores similes, perinde adiutus est. Nã acrius est medicamentũ, quàm vt mulieres vrbanas, aut pueros, aut omninò qui tenera sunt carne, sanare possit. Sed de particulari omniũ medicamentorũ vsu in opere de cõponendis illis tractabitur. Quin & ad aquã inter cutẽ, & ad splenicos variè caprino stercore vtimur. Sed & vstũ tenuioris quidẽ essentiæ, verũ haud manifestò redditur acrius. Quamobrem sanè ad alopecias congruit, & omnia adeò, quæ extergentia medicamenta desiderant, vt lepras, psoras, lichenas, & hoc genus alia. Miscetur digerentibus cataplasmatis, qualia sunt, quæ accõmodantur ad parotidas, & bubonas diuturniores; est enim vis eius. tũ vsti, tũ non vsti, abstersoria, & digerens, nec etiam paruam habet digerendi potentiam. Nã medicus quispiam ex iis, qui in agris, & vicis medicinam exercent, vtebatur eo ex aceto ad viperarũ morsus, & multo sanè etiam magis aliarum bestiarum; ac profectò ex iis cõplures seruauit. Et hic ipse quoq; medicus ad auriginem potanda ipsa stercora caprina ex vino præbuit, & ad profluuium muliebre cũ thure apposuit. Quæ omnia sanè optimus medicus ignorare non debet; cæterùm potiora eligere potissimũ ad vrbanos, & honoratos, alicuiusq; existimationis viros; in quibus equidẽ ego tali nunquam sum vsus medicamẽto, quum multo meliorũ suppeteret copia. Attamen existit nonnunquã talium vsus, aut in itinere, aut in venatione, aut rusticatione, quum scilicet meliorũ nihil affuerit, aut homo rusticus perinde fuerit carnis duræ, ac asino similis. Nã eiusmodi multos in agris reperias dignos, qui bibant stercora caprina. Porrò quod & supra monui de vrinis, & bile, & saliua, id nunc memoria repete, nẽpe vniuersalẽ, & communẽ facultatem eandẽ omnibus inesse, verũ pro animalium tẽperamentis variam. Nam eorũ, quæ sicciore sunt temperie, & stercus exiccantius est; sicut & calidiorum magis etiam calefactorium. Verùm nullum omnino stercus refrigerat, sicut nec vllum humectat. Sed & pro natura eorum quę edunt, multa item fuerit diuersitas. Proinde in hominibus potius, quàm aliis animalibus maior est; quandoquidẽ hoc animal diuersissimis maximéque variis cibis vtitur. Nam quid simile habent, qui allium, ac cæpas comedunt, & qui cucurbitam, verbi causa? at caprarum stercora pro pasto vario nonnihil item habuerint differentiæ, non tamen tantum, quantum stercus humanum.

23. *De stercore bubulo.*

Similiter Stercus Bubulum exiguam habet differentiam; estque & ipsum facultatis exiccatoriæ; verùm & attractoriam etiam obtinet, vt monstrat, dum apũ vesparúmque morsus iuuat. Atque hæc vt à proprietate substantiæ totius iuuentur, fieri potest. Cæterùm medicus quidam medicamentorum peritus in Mysia, quæ in Hellesponto est, aqua inter cutem laborantes bubulo stercore oblinens, in Solẽ exponebat. Atq; hic ipse imposuit, & partibus rusticorũ phlegmone obsessis humidũ illud vere collectũ, quum herbam boues pascuntur. Manifestũ autem est hoc esse alio moderatioribus multò viribus; dico autem aliud, quum paleis vescuntur; nam hoc medium est inter id quod modò diximus, & quod prouenit ab erui pastu.

A ἐπαράγη. καὶ οὕτως ἤδη, καὶ ἄλλος ἀγροῖκος ἐφ᾽ ὁμοίων ὄγκων, οὐ κατὰ γόνατος μόνον, ἀλλὰ καὶ κατ᾽ ἄλλων μορίων ὁμοίως χρησάμενος ὠφελήθη. δριμύτερον γάρ ἐστι τὸ φάρμακον, ἢ ὥστε γυναῖκας ἀστικὰς, ἢ παιδία θεραπεύειν, ἢ ὅλως τοὺς μαλακοσάρκους. ἀλλὰ περὶ μὲν τῆς κατὰ μέρος χρήσεως ἁπάντων φαρμάκων ἐν τῷ περὶ συνθέσεως αὐτῶν εἰρήσεται. καὶ ἐπὶ τῶν ὑδερικῶν τε καὶ σπληνικῶν τῇ αἰγείᾳ κόπρῳ πολυειδῶς χρώμεθα. καὶ μέντοι καὶ καυθεῖσα, λεπτομερεστέρα μὲν, οὐ μὴν δριμυτέρα γε σαφῶς γίνεται. διὸ καὶ πρὸς ἀλωπεκίας ἁρμόττει, καὶ πάνθ᾽ ὅσα τῶν ῥυπτόντων δεῖται φαρμάκων, οἷον λέπρας B τε καὶ ψώρας, καὶ λειχῆνας, ὅσα τἄλλα τοιαῦτα. μίγνυται δὲ καὶ τοῖς διαφορητικοῖς καταπλάσμασιν, οἷά τὰ τῶν παρωτίδων ἐστὶ, καὶ τῶν βουβώνων κεχρονικότων. ἔστι γὰρ ἡ δύναμις αὐτῆς ἀκαύστου, καὶ κεκαυμένης ῥυπτική τε καὶ διαφορητικὴ, καὶ οὐ βραχύ γε τὸ διαφορητικὸν ἔχει. πρὸς γοῦν τὰ τῶν ἐχιδνῶν δήγματα, καὶ πολὺ δὴ μᾶλλον ἔτι τὰ τῶν ἄλλων θηρίων, ἰατρός τις τῶν ἐν ἀγροῖς τε καὶ κώμαις ἰατρευόντων, ἐχρῆτο δι᾽ ὄξους αὐτῇ, καὶ διέσωσε πάνυ πολλούς. ὁ δ᾽ αὐτὸς οὗτος ἰατρὸς, καὶ τοῖς ἰκτερικοῖς ἐδίδου τὰς σπυράθους δι᾽ οἴνου πίνειν, καὶ πρὸς ῥοῦν γυναικεῖον ἐχρῆτο, σὺν λιβανωτῷ προστιθείς. καὶ χρὴ γινώ- C σκειν μὲν ἅπαντα τὰ τοιαῦτα τὸν ἄριστον ἰατρὸν, ἐκλέγεσθαι δὲ τὰ βελτίω, καὶ μάλιστ᾽ ἐπὶ τῶν ἀστικῶν τε καὶ ἀξιολόγων ἀνδρῶν, ἐφ᾽ ὧν οὐκ ἄν ποτ᾽ ἐχρησάμην ἐγὼ τοιούτῳ φαρμάκῳ παμπόλλων ἀμεινόνων εὐπορῶν. ὅμως δ᾽ οὖν γίγνεταί ποτε, καὶ τῶν τοιούτων ἡ χρεία κατὰ τὰς ὁδοιπορείας, καὶ τὰ κυνηγέσια, καὶ τὴν ἐν ἀγρῷ διατριβὴν, ὅταν τι μὴ παρῇ τῶν βελτιόνων, ἢ καὶ σκληρόσαρκος ὁ ἀγροῖκος ἄνθρωπος ᾖ, παραπλήσιος ὄνῳ. πολλοὶ γὰρ τῶν τοιούτων κατὰ τοὺς ἀγροὺς, εἰσὶν ἄξιοι τοῦ πίνειν σπυράθους. ὅπερ δὲ κἀν τοῖς ἔμπροσθεν ἐπ᾽ οὔρων τε καὶ χολῶν, καὶ σιάλων ἐῤῥέθη, τοῦτο καὶ νῦν μέμνησο, τὴν μὲν καθόλου, καὶ D κοινὴν δύναμιν ἁπάσαις εἶναι τὴν αὐτὴν, ἐξηλλάχθαι δὲ κατὰ τὰς τῶν ζώων κράσεις. τῶν μὲν γὰρ ξηροτέρων τῇ κράσει ζώων, καὶ ἡ κόπρος ἐστὶ ξηραντικωτέρα, καθάπερ γε καὶ τῶν θερμοτέρων θερμαντικωτέρα, ψύχει δ᾽ οὐδεμία, καθάπερ οὐδ᾽ ὑγραίνει. πολλὰ δ᾽ ἂν εἴη καὶ παρὰ τὴν φύσιν τῶν ἐδηδεσμένων αὐτῶν ἡ διαφορὰ, καὶ διὰ τοῦτ᾽ ἐπ᾽ ἀνθρώπων μᾶλλον, ἢ τῶν ἄλλων ζώων μείζων ἐστὶν, ὅτι ποικιλωτάτης τῆς τροφῆς χρῆται τὸ ζῶον τοῦτο. τί γὰρ ὅμοιον ἔχει σκόροδά τε καὶ κρόμμυα φαγόντες, ἢ κολοκύνθην, εἰ οὕτως ἔτυχεν; αἰγὸς δὲ σπύραθοι βραχὺ μὲν ἄν τι διαφέροιεν ἀλλήλων παρὰ τὰς νομὰς, οὐ E μὴν τοσοῦτόν γε ὅσον αἱ τῶν ἀνθρώπων.

κγ΄. Περὶ βοείας κόπρου.

Ὡσαύτως δὲ καὶ τῶν βοῶν αἱ κόπροι βραχεῖαν ἔχουσι διαφορὰν, οὖσαί γε καὶ αὗται ξηραντικῆς δυνάμεως. ἔχουσι δὲ καὶ τὴν ἑλκτικὴν, ὡς δηλοῦσιν ὠφελοῦσαι τὰ τῶν μελιττῶν τε καὶ σφηκῶν δήγματα. ταῦτα μὲν οὖν ἐνδέχεται, καὶ κατὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας ὠφελεῖσθαι. τοὺς ὑδερικοὺς δέ τις ἐν Μυσίᾳ τῇ ἐν Ἑλλησπόντῳ βολβίτῳ κατα- F χρίων ἐν ἡλίῳ κατέκλινε φαρμάκων ἔμπειρος ἰατρός. ὁ δ᾽ αὐτὸς οὗτος ἐπετίθει, καὶ τοῖς φλεγμαίνουσι μέρεσι τῶν ἀγροίκων ὑγρὰν λαμβάνων ἦρος, ὅτε νέμονται τὴν πόαν οἱ βόες. εὔδηλον δ᾽ ὅτι τῆς ἄλλης ἥδε πολλῷ μετριωτέρα τὴν δύναμίν ἐστιν. ἄλλην δὲ λέγω, τὴν ἐπὶ τῇ τῶν ἀχύρων ἐδωδῇ. μέση γὰρ αὕτη τῆς τε εἰρημένης ἐστὶ, καὶ τῆς ἐπὶ τῇ τῶν ὀρόβων προσφορᾷ.

πρόδηλον οὖν ὅτι καθάπερ ἡ ἐκ τῆς βοτανώδους νομῆς ἐπὶ τῶν φλεγμονῶν, οὕτως ἥδε τοῖς ὑδερικοῖς ἐστὶν ἐπιτήδειος. εἰδέναι μέντοι χρὴ πάντα τὰ τοιαῦτα φάρμακα σκληροῖς σώμασιν ἀγροίκων ἀνθρώπων ἁρμόττειν, σκαπτόντων τε καὶ θεριστῶν, καὶ τὴν ἰσχυρὰν οὕτως ἔργον διαπραττομένων, ἐφ' ὧν καὶ πρὸς χοιράδας ὁ κατὰ τὴν Μυσίαν ἰατρὸς ἐχρῆτο, καὶ τὴν σκιρρωδῶν ὄγκων ἁπάντων σὺν ὄξει καταπλάττων.

A Liquet ergo, queadmodũ id quod paſcuo herbaceo prouenit, ad phlegmonas accommodatur, ſic iſtud aqua infeſtatis eſſe idoneũ. Scire tamẽ oportet, omnia id genus medicaměta duris agreſtiũ hominũ corporibus aptari, nẽpe foſſoribus, & meſſoribus, & qui opus obeunt tam validum; in quibus vtique Myſius ille medicus, & ad ſtrumas adhibebat, & ad tumores omnes ſcirrhoſos, ex aceto in cataplaſmatis formam compoſitum illinens.

κδ'. Περὶ προβατείου κόπρου.

Ὁ δ' αὐτὸς οὗτος καὶ τῇ τῶν προβάτων κόπρῳ πρὸς ἀκροχορδόνας ἐχρῆτο, καὶ μυρμηκίας, καὶ θύμους, καὶ δοθιῆνας σκληροὺς τοὺς καλουμένους ἥλους, ὄξει δεύων αὐτήν. ἀλλὰ καὶ τὰ πυρίκαυτα τῶν ἑλκῶν εἰς οὐλὴν ἦγε, μιγνὺς τῆς κόπρου ταύτης κηρωτῇ ῥοδίνῃ. καὶ μέντοι καὶ διὰ τῶν αἰγῶν κεκαυμένους ὁμοίως ἐθεράπευε, μιγνὺς καὶ ταῦτα ὀλίγον τι, πάνυ πολλαπλασίῳ τῆς κηρωτῆς ὄγκῳ. καὶ ὅλως ἦν αὐτῷ σπούδασμα διὰ τῶν ἐν τοῖς ἀγροῖς εὐπορίστων ἅπαντα θεραπεύειν, ἐν οἷσι δηλονότι καὶ αἱ βοτάναι, καὶ οἱ θάμνοι, καὶ τῶν δένδρων εἰσὶν οἱ ἀκρέμονες, καὶ τὰ βλαστήματα, καὶ τὰ μαλακὰ φύλλα, καὶ οἱ καρποὶ, καὶ οἱ φλοιοὶ, περὶ ὧν ἐν τοῖς εὐπορίστοις ἐπιπλέον εἰρήσεται.

24. *De ſtercore ouillo.*

B Sed & hic ipſe medicus ouium vtebatur ſtercore ad acrochordonas, & myrmecias, & thymos, & furunculos duros, quos clauos nominant, aceto videlicet diluens. Quin & vlcerum ambuſta ad cicatricem illo ducebat, nempe ſtercus hoc cerato roſaceo commiſcens. Sed & per ſtercus caprinum combuſtum ſimiliter curabat; cæterùm pauculum eius multis numeris maiori cerati moli admiſcebat. Et in totum, ſtudium id illi erat vnicum, omnia curare per ea, quæ ex agris facillimè parantur: inter quæ ſunt, & herbæ, & frutices, & arborum flagra, & germina, & folia mollia, & fructus, & cortices, ſuper quibus copioſius dice-
C tur in facilè parabilibus.

κε'. Περὶ κόπρου περιστερᾶς.

Τῇ δὲ γε κόπρῳ τῶν νομάδων περιστερῶν, οὕτως γὰρ αὐτὰς ἔνιοι καλοῦσιν, διαστέλλοντες ἀπὸ τῶν κατοικιδίων, ὡς θερμαίνοντι φαρμάκῳ, καὶ αὐτὸς ἐγὼ πάνυ συνεχῶς εἰς πολλὰ χρῶμαι, μετὰ μὲν καρδάμου σπέρματος κεκομμένου τε καὶ διηθημένου ξηρᾶς ἀντὶ νάπυος ἐπὶ τῶν φοινιγμοῦ δεομένων προσφέρων. εὔδηλον δ' ὅτι τοὺς κεχρονικότας ἅπαντας ἐν τοῖς τοιοῖσδε λέγω πάθεσιν ὁποῖόν ἐστιν ἰσχιάς, ἡμικρανία, σκοτώματά τε καὶ σκοτόδινοι, καὶ κεφαλαῖαι. καὶ τὰ κατὰ πλευρὰς, ἢ ὠμοπλάτας, ἢ τένοντα, ἢ ψόας ἀλγήματα χρόνια, καὶ πρὸς τούτοις ἔτι νεφρίτιδές τε, καὶ κοιλιακαὶ διαθέσεις, καὶ ποδαγρικαὶ ἀρθρίτιδες, ὅταν γε μηδέπω σύστασις ᾖ πώρων ἐν τοῖς ἄρθροις αὐτῶν. αὕτη μὲν οὖν ἡ κόπρος οὐδὲν ἔχει δυσῶδες, καὶ μάλιστα ξηρανθεῖσα. διὸ καὶ κατὰ πόλιν αὐτῇ χρώμεθα πολυειδῶς, ἀναμιγνύντες ἄλλοτε ἄλλῳ φαρμάκῳ.

25. *De ſtercore columbino.*

Porrò Stercore columbarum nomadum (nam ſic eas quidam cognominant, à domeſticis videlicet diſtinguentes) tanquam medicamento calefaciente, & ipſe ad multa frequenter admodum vtor, nempe cum ſemine naſturtij contuſum cribratúmque ſiccum vice napyos ad ea, quæ rubrificari debent, adhibens. Manifeſtum autem
D eſt, quòd inueterata omnia dico in talibus affectibus, quales ſunt coxendix, hemicrania, ſcotomata, vertigines, & cephalæa; & in lateribus, ſcapulis, ceruice, lumbis, dolores inueterati; & ad hæc nephritides, & affectus cœliaci, & podagricæ arthritides, quando videlicet in articulis eorum nondum conſtiterint tophi. Atque hoc ſtercus planè fœtidum non eſt, maximè arefactum. Quocirca & in vrbibus eo variè vtimur, aliàs aliis miſcentes medicamentis.

E κϛ'. Περὶ ἀλεκτορίδος κόπρου.

Τῇ δὲ τῶν ἀλεκτορίδων ἑωρακὼς τὸν ἐν τῇ Μυσίᾳ χρώμενον ἐπὶ τῶν ὑπὸ τῆς μυκήτων ἐδωδῆς πνιγομένων, ἐχρησάμην καὶ αὐτὸς ἐπί τινων ἐν τῇ πόλει προσενηνεγμένων αὐτὴν, ἐπὶ πάντων λειουμένην κυάθοις τρισὶν, ἢ τέτρασιν ὀξυκράτου τε καὶ ὀξυμέλιτος, καὶ προφανῶς ὠφέλησεν διὰ ταχέων. ἤμεσαν γὰρ ὀλίγον ὕστερον οἱ πνιγόμενοι φλεγματώδη παχύτατον χυμόν. ἐφ' ᾧ τελέως ἐπαύσαντο τοῦ συμπτώματος. ἔστι δὲ τῆς τῶν περιστερῶν, ἧττον ἡ κόπρος αὕτη θερμή. ὁ δ' ἐπὶ τῆς Μυσίας ἰατρὸς, καὶ τοῖς χρονίοις κωλικοῖς ἐδίδου πίνειν τῆς τῶν ἀλεκτορίδων κόπρου δι' οἰνομέλιτος. εἰ δὲ μὴ παρείη τοῦτο, δι' ὄξους, ἢ οἴνου κεκραμένου ὕδατι. μεμνῆσθαι δέ σε χρὴ τοῦ κοινοῦ περὶ πάντων ζώων λόγου, κατά τε τὰ περιεχόμενα κατὰ τὰ σώματα αὐτῶν, ὑγρά τε καὶ στερεὰ, καὶ κατὰ τὰ μόρια, παμπόλλην εἶναι τὴν διαφορὰν τῶν ὀρείων καλουμένων, πρός τε τὰ κατὰ πεδία, καὶ ἕλη, καὶ λίμνας, καὶ κατὰ τὴν

26. *De ſtercore gallinaceo.*

Porrò quũ cõſpexiſſem illũ in Myſia medicũ gallinaceo vtẽtẽ ſtercore in eis, qui ab eſu fungorũ ſuffocabãtur; & ipſe quoq; ſum vſus in quibuſdã vrbẽ inhabitãtibus, qui & ipſi fungos eſitarãt, ipſũ videlicet ad læuorem contritũ, tribus quatuórve oxycrati aut oxymelitis inſpergẽs cyathis; & palã adiuti ſũt, idq; celeriter. Nã qui præfocabãtur, paulopoſt vomebãt pituitoſũ humorẽ omninò craſſiſſimũ, & exinde planè liberati ſunt ſymptomate. Eſt autẽ hoc ſtercus colũbino minus calidũ. Cæterũ Myſius ille medicus dabat etiam bibendũ
F ſtercus gallinaceũ iis, qui diutino coli dolore fuiſſẽt vexati, ex œnomelite; quòd ſi hoc nõ aderat, ex aceto, aut vino aqua diluto. Porrò memoria tenere oportet cõmunẽ de omnibus animãtibus rationẽ, nẽpe tũ in iis, quæ in corporibus ipſorũ cotinẽtur tam humida, quàm ſolida, tũ in ipſis partibus, plurimã eſſe diuerſitatẽ montanorum, quæ vocant, & eorum quæ in pratis, paludibus, lacubus, & ædibus verſantur.

versãtur. Sẽper enim quæ exercẽtur, iis, quæ non exercẽtur, sunt ficciora; & quæ cibis vtuntur calidioribus ficcioribusq; iis, quę humidis frigidisque. Nã in colũbis (quandoquidẽ creber nobis earum stercoris est vsus) multò semper inferius, ac imbecillius expertus sum earũ stercus, quæ in domibus degebãt, quàm earum, quæ in montibus, quas nomadas nũcupãt. Tũ gallinarũ quoq; inueni multo etiam imbecillius earum, quæ cõclusæ seruantur, & furfuribus aluntur; non paulo autem valentius earum, quæ in agris, atriis, aut foris pascuntur.

27. *De stercore anserum, & ciconiarum.*

CÆterùm stercus anserinum præ nimia acrimonia inutile est. Colligo enim ita esse, & accipitrum, & aquilarum. Verùm fugienda est materia omnis eiusmodi, quæ difficulter comparari potest. Qua occasione complures validissimas vires talibus materiis testimonio ascribunt suo, ceu non facilè redarguendi; velut qui ciconiarum stercus comitiali morbo mederi scriptitant. Verùm quanquam hoc multis aliis, quæ scribunt, longè sit parabilius, curiosum tamen est (vt taceam falsum esse) quod de illo est proditum; nam quidam iis, qui talia memorant, credulus, epoto hoc stercore nihil adiutus est. Nam & antequam experiare, promissorum prauitatem, ac falsitatem ipsi qui talia scribunt, detegunt; nam quum multis modis difficulter homines spirent, neque quòd omnibus conferant, ascribunt, neque quòd his, aut huic. Tametsi sunt inter eos, qui talia scriptitant, qui non simpliciter dyspnϾ, difficilis spirationis, sed orthopnϾ, talia esse remedia dicunt, nempe ciconiæ stercus, noctuæ sanguinem, vrinam humanam, & alia his absurdiora; haud scientes quòd pituitosus viscosusque succus bronchia obstruens pulmonis, huius affectus sit causa, & quòd in eo euacuando consistat medela, quod euacuatur dum per tussim excreatur, & quòd id fieri nequeat absque crebro epoto medicamento acriore. At hi adeò sunt nugaces, aut præstigiatores, aut quo illos digno appellem nomine nescio, vt dicant absurdorum istorum poculorum vnumquodque epotum à dyspnœa liberare; quod fieri non posset, ne si, vel specillum fas esset alicui in pulmonem demittere, quo infixum humorem tolleret semel duntaxat demisso. Præstabat itaque illis dixisse, non si epotus sit hic sanguis, aut vrina, sanare dyspnœam, sed si potetur; rectiúsque etiam quòd non semper, & omninò sanabit, ne si vel assiduò potetur; sed quòd multos sanauit, multos verò adiuuit quidem, sed morbo prorsum non liberauit. Sed hos iam mittamus, & quod deinceps est, ad id pergamus. Cuiusque enim stercoris acrimoniam, & digerendi vim possidentis, prout aliud alio plus minúsve eius sortitum est facultatis, ita particulares in ipsis proueniant differentiæ; ac proinde aliud hoc pathema potius, aliud illud magis curare valet.

28. *De stercore murium.*

SIc enim murium stercus alopecias curare proditum est; & inuentus est quidam medicus, qui

A οἰκίαν. ἀεὶ γὰρ τὰ γυμναζόμενα τῶν ἀγυμνάστων ἐστὶ ξηρότερα, καὶ τὰ τροφαῖς χρώμενα ξηροτέραις τε καὶ θερμοτέραις, τῶν ὑγροτέραις τε καὶ ψυχροτέραις χρωμένων. ἐπὶ γοῦν τῶν περιστερῶν διὰ τὸ συνεχῶς χρῆσθαι τῇ κόπρῳ, πάμπολυ λειπομένην εὗρον ἀεὶ τὴν ἐπὶ ταῖς οἰκίαις τρεφομένων τῆς τῶν ὀρείων νομάδων. εὗρον δὲ καὶ τὴν τῶν ἀλεκτορίδων ἀσθενεστέραν πολὺ τῶν ἐγκεκλεισμένων τε, καὶ πιτύροις τρεφομένων. ἰσχυροτέραν δ' οὐκ ὀλίγῳ τῶν ἐν τοῖς ἀγροῖς, κατὰ τὰς αὐλάς τε, καὶ τούτων ἔξωθεν νεμομένων.

B κζ΄. Περὶ κόπρου χηνῶν τε, καὶ πελαργῶν.

Η Δὲ τῶν χηνῶν κόπρος, ἄχρηστός ἐστι διὰ πολλὴν δριμύτητα. λογίζομαι δὲ καὶ τὴν ἱεράκων τε καὶ ἀετῶν, ἀλλὰ καὶ τὸ δυσπόριστον ἁπάσης τῆς τοιαύτης ὕλης φευκτέον. ἐξ οὗ καὶ μᾶλλον ὁρμώμενοί τινες ἰσχυρὰς δυνάμεις μαρτυροῦσι ταῖς τοιαύταις ὕλαις, ὡς οὐ ῥᾳδίως ἐλεγχθησόμενοι· καθάπερ οἱ τὴν τῶν πελαργῶν κόπρον ἐπιληπτικοῖς ἰᾶσθαι γράψαντες. ἀλλ' αὕτη μέντοι πολλῶν ὄντων ἄλλων ὧν γράφουσιν, εὐποριστοτέρα κατὰ πολὺ τυγχάνουσα, περίεργον ὅμως τ' ἐστὶ, πρὸς τῷ μηδ' ἀληθὲς εἶναι τὸ γεγραμμένον ὑπ' C αὐτῆς. πεισθεὶς γοῦν τις ὑπὸ τῶν γραφόντων τὰ τοιαῦτα, καὶ πιὼν τῆς κόπρου ταύτης οὐδὲν ὤνηται. δηλοῦσι γοῦν καὶ πρὸ τῆς πείρας οἱ γράφοντες αὐτὰ, τὸ μοχθηρὸν ὧν ἐπαγγέλλονται. κατὰ πολλοὺς γὰρ τρόπους δυσπνοούντων ἀνθρώπων, οὔθ' ὅ,τι πᾶσιν ἁρμόττει προστιθέασι κατὰ τὸν λόγον, οὔθ' ὅ,τι τοῖσδέ τισιν, ἢ τοῖσδε. τινές γε μὴν τῶν γραψάντων οὐ δυσπνοίας ἁπλῶς, ἀλλ' ὀρθοπνοίας λέγουσιν ἰάματα εἶναι τὰ τοιαῦτα, κόπρον πελαργοῦ, καὶ γλαυκὸς αἷμα, καὶ οὖρον ἀνθρώπου, καὶ ἄλλα τούτων ἀτοπώτερα μὴ γινώσκοντες, ὅτι φλεγματώδης, καὶ D γλίσχρος χυμὸς ἐμφράττων τὰ βρογχία τοῦ πνεύμονος, αἴτιος γὰρ τοῦ πάθους τούτου, καὶ ὡς ἴασις ἐν τῷ κενῶσαι τοῦτό ἐστιν, καὶ ὡς ἡ κένωσις αὐτοῦ, καὶ μετὰ βηχὸς ἀναπτυομένου γίγνεται, καὶ ὡς οὐκ ἐνδέχεται τοῦτο γίνεσθαι, μὴ πολλάκις ποθέντος δριμυτέρου φαρμάκου. οἱ δέ γε οὕτως εἰσὶ ληρώδεις, ἢ γόητες, ἢ οὐκ οἶδ' ὅ,τι φῶ, ὡς τῶν ἀτόπων ἕκαστον τούτων πομάτων ποθὲν, ἀπαλλάττειν τῆς δυσπνοίας φασὶ τοὺς κάμνοντας, ὅπερ οὐδ' εἰ μήλην τις καθεὶς εἰς τὸν πνεύμονα, δι' ἐκείνης ἀφαιρεῖν ἐδύνατο τὸν ἐμπεπλασμένον χυμὸν, ἐκ μιᾶς ἂν ἐπιβολῆς ἐπεράχθη. κάλλιον οὖν ἦν αὐτοῖς, οὐκ εἰ E ποθείη τόδε τι τὸ αἷμα, ἢ τὸ οὖρον τὴν δύσπνοιαν ἰᾶσθαι λέγειν, ἀλλ' εἰ πίνοιτο. κάλλιον δὲ ὅτι μὴ πάντη τε καὶ πάντως ἰάσεται, μηδ' εἰ πίνοιτο συνεχῶς, ἀλλ' ὅτι πολλοὺς μὲν ἰάσατο, πολλοὺς δὲ ὠφέλησεν μὲν, οὐ τελέως δ' ἀπήλλαξε τοῦ νοσήματος. ἀλλὰ τούτους μὲν ἤδη καταλίπωμεν, ἐπὶ δὲ τὸ συνεχὲς ἴωμεν τοῦ λόγου. πάσης γάρ τοι κόπρου τὸ δριμὺ, καὶ διαφορητικὸν ἐχούσης παρὰ τὸ μᾶλλόν τε, καὶ ἧττον ἑτέραν ἑτέρας τὴν τοιαύτην ἔχειν δύναμιν, αἱ κατὰ μέρος ἐν αὐταῖς γίνονται διαφοραὶ, καὶ διὰ τοῦτό τινας μὲν τόδε τι τὸ πάθημα, τινὰς δὲ τόδε τι θερα- F πεύειν μᾶλλον.

κη΄. Περὶ μυῶν κόπρου.

ΟΥτω γοῦν καὶ τὰ τῶν μυῶν ἀποπατήματα γεγράφασιν ἀλωπεκίας θεραπεύειν, καὶ ἦν τις ἰατρὸς, ὃς

ἐχρῆτο τῷ συνθέτῳ φαρμάκῳ διὰ μυῶν κόπρου κατεσκευασμένῳ πρὸς τὸ πάθημα τοῦτο. καί τις ἄλλος βαλάνιον προσθεῖναι παιδίῳ δεομένων τῶν οἰκείων, ἐκέλευσεν παρασκευασθῆναι μυῶν κόπρῳ, ἐφ' ὧν πάντες οἱ ἀκούσαντες ἐγέλασαν, εἰ τοσούτων ὄντων, ἃ προστιθέμενα τῇ ἕδρᾳ πρὸς ἔκκρισιν ἐπεγείρει τὸ ἔντερον, ἅπανθ' ὑπερβὰς ἐκεῖνος ἐπὶ τὴν τῶν μυῶν ἧκε κόπρον. ἔστι γὰρ ὄντως αἰδεσθῆναι τὰ τοιαῦτα, καὶ εἰς πεῖραν ἄγειν ἁπάντων καταγινωσκόντων, ὡς περιέργου τε καὶ γόητος, ὃς ἂν ταῦτα πράττῃ τε καὶ λέγῃ. περὶ μὲν οὖν τῆς τῶν μυῶν κόπρου, καὶ ταῦθ' ἱκανά.

A ad hoc pathema vtebatur composito medicamento ex murium stercore confecto. Et alius quidam glandem puero familiaribus rogantibus, vt apponeret, præcepit, vt ex stercore conficeretur muriũ. Quo dicto, omnes, qui audierant, in risum soluti sunt, quòd quum tot essent, quæ apposita sedi ad excretionem excitarent intestinum, ille omnibus præteritis, ad murium confugisset stercus. Nam re vera pudendum est alia etiam experiri velle, quum omnes, ceu curiosum, & præstigiatorem condemnent eum, qui talia, aut faciat, aut dicat. Itaque de murium stercore hæc quoque sufficiunt.

κθ'. Περὶ κόπρου τῶν χερσαίων κροκοδείλων, καὶ ψάρων.

Τὴν δὲ τῶν χερσαίων κροκοδείλων τούτων τῶν μικρῶν τε καὶ χαμαιρεπῶν κόπρον, ἔντιμον αἱ τρυφῶσαι πεποιήκασι γυναῖκες, αἷς οὐκ ἀρκέσει τοῖς ἄλλοις φαρμάκοις τοσούτοις οὖσιν, λαμπρὸν τε καὶ τεταμένον ἐργάσασθαι τὸ περὶ τὸ πρόσωπον δέρμα, προστιθέασι δ' αὖθις, καὶ τὴν τῶν κροκοδείλων κόπρον. ὁμοία δ' αὐτῇ γίνεται, καὶ ἡ τῶν ψάρων, ὅταν ὄρυζαν μόνην ἐσθίωσιν. εὔδηλον οὖν ὅτι ῥυπτικήν τε καὶ ξηραντικὴν δύναμιν ἔχουσιν αἱ τοιαῦται κόπροι μετρίαν ἑκάτεραι, καὶ πολὺ μετριώτεραί τε καὶ ἀμυδρότεραι αἱ τῶν ψάρων. ἡ δέ γε τῶν κροκοδείλων κόπρος, ὥσπερ τῶν προσώπων τὴν ἔφηλιν ἀφαιρεῖν πέφυκεν, οὕτω καὶ ἐλεῖν ἀλφούς, καὶ λειχῆνας.

B 29. *De stercore crocodillorum terrestrium, & sturnorũ.*

CÆterùm terrestrium crocodillorum, horum inquam exiguorum, & humi serpentium, stercus pretiosum effecere mulieres deliciosę; quibus non est satis, quòd alia sint medicamenta tam multa, quibus faciei cutis, & tensa, & splendens efficitur, quin etiam adiungant stercus crocodillorum. Simile illi fit, & sturnorum stercus, quum solam oryzam ederint. Clarum itaque est quòd abstergendi desiccandique facultatem, vtranque moderatam, habent stercora eiusmodi, & multo moderatiorem, & hebetiorem stercus sturnorum. C At stercus crocodillorum, sicut à facie ephelen tollit, ita, & vitiliginem, & lichenas.

λ'. Περὶ ῥύπου τῶν ἀνθρώπων.

Ῥύπος γεννᾶται μὲν οὐ μόνον ἐπὶ παντὸς τοῦ κατὰ τὸ σῶμα δέρματος, ἀλλὰ κἀν τοῖς ὠσί, διὰ δὲ βραχύτητα δυσπόριστός ἐστι, καὶ κατὰ τοῦτο περὶ αὐτοῦ γεγράφασιν οὐδέν, ὅτι μὴ παρωνυχίαις ἁρμόττειν τὸν ἐκ τοῦ ὠτὸς ῥύπον, ὅνπερ δὴ καὶ μόνον οἷόν τε λαβεῖν ἐστι καθ' ἑαυτόν. ὁ γὰρ ἐπιτρεφόμενος ἅπαντι τῷ δέρματι, κατά τε τὰ βαλανεῖα, καὶ τὰς παλαίστρας ἀπορρύπτεται, συντελῶν τι καὶ αὐτὸς τῷ καλουμένῳ πάτῳ, περὶ οὗ προείρηται. δηλοῖ δ' αὐτοῦ, καὶ ἡ γένεσις τὴν φύσιν. εἰ γὰρ τοῦ κατὰ τὴν ἄδηλον διαπνοὴν ἐκκενουμένου τὸ παχυμερές, καὶ γεῶδες ὑπόλειμμα ῥύπος γίγνεται, ξηραντικῆς ἐστι δυνάμεως, ἔχον τι καὶ θερμότητος. ὅ γε μὴν ἐπιτρεφόμενος τοῖς τῶν προβάτων ἐρίοις ῥύπος, ἐξ οὗ τὸν καλούμενον οἴσυπον ποιοῦσιν, πεπτικῆς ἐστι δυνάμεως, παραπλησίως τῷ βουτύρῳ, βραχὺ τι δὲ καὶ διαφορητικὸν ἔχει.

30. *De sordibus hominum.*

SOrdes nascitur non tantùm per totam corporis cutem, sed & in auribus; sed ob paucitatem paratu difficilis est. Proinde de illa nihil scribunt, nisi quòd paronychiis congruat sordes aurium; quam sanè etiam solam per se licet accipere. Nam quæ in tota cute prouenit, & balneis, & in palæstris deraditur, conferens nonnihil, & ipsa pato quem D vocant; de quo supra disserui. Sed & generatio, eius naturam indicat. Nam si sordes est crassum illud, ac terrestre, quod reliquum est eorum quæ per latentem transpirationem euacuantur, sequitur, vt desiccandi vim habeat cum nonnulla caliditate iunctam. Ea tamen sordes, quæ lanis ouium inhæret, & adnascitur, ex qua œsypon quod vocant, conficitur, concoquendi vim habet similem butyro; paulum verò etiam digerentis facultatis obtinens.



ΓΑΛΗΝΟΥ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ, ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS, LIBER VNDECIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΙΑʹ. ΒΙΒΛΙΩι.

Προστίθεται τὰ ἐν τῷ πρὸ τοῦδε περὶ τῶν ἀπὸ τῶν ζώων φαρμάκων λείποντα, καὶ τῶν ἀπὸ θαλάττης τε, καὶ τῶν ἁλυκῶν ὑδάτων.

ARGVMENTVM LIBRI VNDECIMI.

Adduntur quæ superiori libro de medicamentis ex animalibus deerant, ac quæ ex mari, & salsis aquis proueniunt.

PROOEMIVM.

Quæ animalia carne, aut sanguine careant, vel prædita sint.

A PLeræque animantium partes communes inter se omnium sunt; nulla tamen est, æquè cõmunis, vt caro. Hanc enim habet omne animal sãguine quidem præditum, vt homo, & omnes quadrupedes, tum aues, serpentes, lacerti quos sauros vocãt, testudines, & quæ sunt eius generis. Sanguine carentia, tum ostrea omnia, tum non pauca eorũ, quę in aquis degunt, sicut & nonnulla, quæ in terris. Et quod ex animantibus, maximè editur, caro est; nam & viscerum plurima moles ex carnibus ipsis inhærentibus constat. Verùm nonnulli medicorum carnem viscerum parenchyma vocandã censent, propterea quòd ex venis effusus sanguis circum vasa omnia concrescat, vt ipsi arbitrantur; sed eam, quæ visitur in musculis, solam carnis appellatione dignantur. Verũ de nominibus, vt semper monemus, cõtẽdẽdũ non est; sed excercẽda potius rerum scientia, cuius nos quoq; studio vsq; dediti, quæcunq; tum de propriis cuiusq; animantis partibus, tum de communibus cognouimus, eaque partim experientia, partim ratione docti, omnia deinceps exponemus, orsi à carne propriè dicta. B

ΠΡΟΟΙΜΙΟΝ.

Τίνα τῶν ζώων ἄσαρκά τε, ἢ ἄναιμα, ἢ τὴν σάρκα τε καὶ αἷμα ἔχει.

ΤΑ πλεῖστα τῶν ἐν τοῖς ζώοις μορίων, κοινὰ πᾶσιν αὐτοῖς ἐστιν, οὐδὲν μὴν οὕτω κοινὸν, ὡς ἡ σάρξ. πᾶν γὰρ ζῶον ἔχει ταύτην. ἔναιμον μὲν ἄνθρωπός τε καὶ τετράποδα πάντα, καὶ ὄρνιθες, ὄφεις τε καὶ σαῦροι, καὶ χελῶναι, καὶ ἄλλα τοιαῦτα. χωρὶς δ' αἵματος, τά τ' ὄστρεα πάντα, καὶ τῶν ἐνύδρων οὐκ ὀλίγα, καθάπερ καὶ τῶν ἐν αὐτῇ τῇ γῇ. καὶ τὸ ἐσθιόμενον τῶν ζώων, ἡ σάρξ ἐστι μάλιστα. καὶ γὰρ καὶ τῶν σπλάγχνων ὁ πλεῖστος ὄγκος, ἐκ τῶν κατ' αὐτὰ γὰρ σαρκῶν. ἔνιοι δὲ τῶν ἰατρῶν, τὴν μὲν ἐν τούτοις σάρκα παρέγχυμα καλοῦσιν, διότι τῶν φλεβῶν ἐκχεόμενον τὸ αἷμα περιπήγνυται πᾶσι τοῖς ἀγγείοις, ὡς ἐκεῖνοι νομίζουσιν. τὴν δ' ἐν τοῖς μυσὶ μόνην, ὀνομάζουσι σάρκα. περὶ μὲν δὴ τῶν ὀνομάτων, ὡς ἀεὶ φαμὲν, ἐρίζειν οὐ χρή, τὴν δὲ τῶν πραγμάτων αὐτῶν ἐπιστήμην ἀσκητέον, ἧς καὶ ἡμεῖς ἀντιποιούμενοι διὰ παντὸς, ὅσα περὶ τῶν καθ' ἕκαστον ζῶον μορίων ἰδίων, καὶ κοινῶν ἐπιστάμεθα, τὰ μὲν ἐκ τῆς πείρας, τὰ δ' ἐκ τοῦ λόγου διδαχθέντες, ἐφεξῆς ἐροῦμεν ἅπαντα, τὴν ἀρχὴν ἀπὸ τῆς ἰδίως ὀνομαζομένης σαρκὸς ποιησάμενοι.

A

ΚΕΦΑΛΑΙΟΝ Α'.

α'. Περὶ σαρκὸς ἐχίδνης.

Οὐχ ἅπασαι τῶν ζώων αἱ σάρκες ἄνθρωπον τρέφουσιν, ἀλλ' ἐνίων εἰσὶ καὶ θανάσιμοι τῶν φαρμακωδῶν οὐδὲν ἧττον, ἃ καλοῦσι δηλητήρια, καὶ τῶν τρεφουσῶν δὲ ἡμᾶς σαρκῶν, ἔνιαι μὲν αὐτὸ τοῦτο μόνον εἰσὶ τροφαί. τινὲς δὲ πρὸς τῷ τρέφειν ἔχουσι, καὶ τὴν ὡς φαρμάκου δύναμιν, ἐπεὶ καὶ τὸ ξηραίνειν, ἢ ὑγραίνειν, καὶ θερμαίνειν, ἢ ψύχειν, ἀλλοιοῦσι τὸ σῶμα. B τὰς γοῦν τῶν ἐχιδνῶν, θερμαινούσας τε καὶ ξηραινούσας, ἐναργῶς ἐστιν ἰδεῖν ἀρτυομένας, ὥσπερ αἱ ἐγχέλεις ἐλαίῳ, καὶ ἁλσί, καὶ ἀνήθῳ, καὶ πράσῳ, καὶ ὕδατι δηλονότι μετὰ τοῦ συμμέτρου. ὅτι δὲ καθαίρουσι διὰ τοῦ δέρματος ἅπαν τὸ σῶμα, γνῶναί σοι πάρεστι κἀξ ὧν ἐπειράθην ἐγὼ ἔτι νέος γενόμενος ἐπὶ τῆς ἡμετέρας Ἀσίας, ὧν ἕκαστον ἐφεξῆς ἤδη δίειμι. ἄνθρωπος νοσῶν τὸ καλούμενον πάθος ἐλέφαντα, μέχρι μὲν τινος ἐν μέσῳ διαιτῶν τοῖς συνήθεσιν, ἐπεὶ δ' ἐκ τῆς πρὸς αὐτὸν κοινωνίας τε καὶ ὁμιλίας ἐκοινώνησαν μὲν ἔνιοι τοῦ πάθους, αὐτὸς δὲ δυσώδης ἦν ἤδη, καὶ εἰδεχθής, καλύβην αὐτῷ πηξάμενοι πλησίον τῆς κώμης, ἐπὶ χθαμαλοῦ τοῦ λόφου C παρά τινι πηγῇ, ἱδρύουσιν ἐν αὐτῇ τὸν ἄνθρωπον, φέροντες τροφὰς αὐτῷ ἐφ' ἡμέρας τοσαύτας ὅσον ἀποζῆν ἱκανάς. περὶ δὲ κυνὸς ἐπιτολήν, θεριστῶν πλησίον αὐτοῦ θεριζόντων, ἐκομίσθη τις οἶνος ἐν κεραμίῳ μάλ' εὐώδης. ὁ μὲν κομίσας, ἐγγὺς τῶν θεριζόντων καταθεὶς ἐχωρίσθη. τοῖς δ', ὡς ἧκεν ὁ καιρὸς τοῦ πίνειν, ἔθος μὲν ἦν αὖθις ἐκχέουσι κρατῆρα, μεθ' ὕδατος συμμέτρου κεραννύναι τὸν οἶνον. ὡς δὲ ἀνελομένου νεανίσκου τὸ κεράμιον, ἐξαιροῦντά τε τὸν οἶνον εἰς τὸν κρατῆρα, συνεξέπεσεν ἔχιδνα νεκρά. δείσαντες οὖν οἱ θερισταί, μή τι πάθοιεν ἐκ τοῦ πόματος, D αὐτοῦ μὲν ὕδατος ἔπιον. ὡς δ' ἀπηλλάττοντο, χαρίζονται δήπου ὑπὸ φιλανθρωπίας τῷ τὸν ἐλέφαντα νοσοῦντι τὸν ὅλον οἶνον, ἄμεινον αὐτῷ κρίναντες εἶναι τεθνάναι μᾶλλον, ἢ ζῆν τοιούτῳ. ὁ δ' ἐκ τούτου πίνων, ὑγιὴς ἐγένετο θαυμαστόν τινα τρόπον. ὅλον γὰρ αὐτοῦ τὸ τοῦ δέρματος ὀχθῶδες ἀπέπεσεν, ὡς τῶν μαλακοστράκων ζώων τὸ σκέπασμα. ὅσον δ' ὑπόλοιπον ἦν ἔτι μαλακὸν ἱκανῶς ἐφαίνετο, καθάπερ τὸ τῶν καράβων τε καὶ καρκίνων, ὅταν ἀποπέσῃ τὸ πέριξ ὄστρακον. ἕτερον τοιοῦτον, ἐξ ὁμοίας περιπτώσεως ἐγένετο κατὰ τὴν ἐν Ἀσίᾳ Μυσίαν, οὐ πόρρω τῆς ἡμετέρας πόλεως· E ἄνθρωπος ἐλεφαντιῶν κάμνων, ἐπὶ χρῆσιν ὥρμησεν ὑδάτων θερμῶν αὐτοφυῶν ὠφελείας ἐλπίδι. παλλακὶς δ' ἦν αὐτῷ δούλη νέα τε καὶ καλὴ πολλοὺς ἐραστὰς ἔχουσα, ταύτῃ καὶ ἄλλα μὲν τινα τῶν κατὰ τὴν οἰκίαν, ἀτὰρ οὖν καὶ τὰ κατὰ τὸ ταμεῖον ἐπίστευεν ὁ κάμνων. ὡς δὲ κατελθόντων αὐτῶν, ᾤκει ἐγγὺς τοῖς ὕδασιν, ἐν οἰκίᾳ παρακείμενον ἐχούσῃ χωρίον αὐχμηρὸν ἐχιδνῶν μεστόν, ἐμπεσοῦσά τις αὐτῶν εἰς οἴνου κεράμιον ἀμελῶς κείμενον ἀπέθανεν, ἕρμαιον ἡγησαμένη τὸ κατὰ τύχην ἐκβὰν ἡ παλλακή, τῷ δεσπότῃ τὸ ποτὸν ἐκ τούτου προσέφερεν. ὁ δὲ πίνων αὐτό, τῷ κατὰ τὴν καλύβην ὡσαύτως ὑγιάσθη. F δύο μὲν ἤδη σοι ταῦτα διδάγματα τῆς κατὰ τὴν περίπτωσιν πείρας. ἕτερον δ' ἐπ' αὐτοῖς τρίτον, ἐξ ἡμετέρας μιμήσεως. ἐπεὶ γάρ τις νοσῶν τοῦτο τὸ νόσημα φιλοσοφώτερος, ἢ κατὰ τοὺς πολλούς, ἐδυσχέραινέ τε δεινῶς, καὶ τεθνάναι βέλτιον, ἢ ζῆν ἔφασκεν εἶναι. διακειμένῳ οὕτως ἀθλίως, ἐδήλωσα τὰ προειρημένα δύο

CAPVT I.

1. *De carne viperæ.*

NOn omnes animaliũ carnes hominẽ nutriũt, sed quorundã etiam lethales sunt, non secus, atq; venena, quæ vocãt deleteria. Tũ inter eas carnes quæ hominẽ nutriunt, quædã hoc ipsum tantũ sunt, nẽpe nutrimentum; quædã verò supra quã quòd nutriũt, habẽt & facultatẽ, ceu medicamẽti, B quãdoquidẽ desiccãdo, humectãdo, calefaciẽdo, ac refrigerãdo, corpus alterãt. Nã viperarũ carnes palã videre est calefacientes, & desiccãtes, vbi cõdiuntur, ceu anguillæ, nẽpe oleo, sale, anetho, porro, & aqua, seruato nimirũ modo. Quòd autẽ totũ corpus per cutim euacuent, discere tibi liceat, vel ex iis, quæ ego iuuenis etiamnũ in Asia nostra sum expertus; quæ sigillatim deinceps narrabo; homo quidã morbo, quẽ elephãta cognominãt, laborãs, aliquo vsq; cum sodalibus cõuersabatur, donec ex ipsius cõsuetudine cõuersationẽq; quidã nostrum morbi inficerentur cõtagione; & ille iam odoratu grauis, ac fœdus redderetur aspectu. Cõstructo igi- C tur illi tugurio proximè vicũ in iugo collis propter fontẽ, illic hominẽ collocant, tantũ illi quotidie ciborũ ferentes, quod vitæ sustinẽdæ satis foret. Cęterùm ad canis exortum, quum fortè messoribus haud procul inde metẽtibus vinũ esset allatũ in fictili sanè quã fragrans, is quidẽ qui attulerat, deposito illo prope messores abiit. Verũ vbi eius bibẽdi aduenisset tempus, sublato fictili adolescens, vt, pro more impleto cratere, cõpetente aqua vinum tẽperaret, in cratera vinũ effundit, & vnà excidit vipera mortua. Quare attoniti messores, veriti ne quod, si bibissent, inde sibi malũ eueniret, suam D quidẽ sitim aquæ potione sedare maluerunt. Cæterũ quum illinc discederent, præ humanitate videlicet, ac misericordia homini illi elephanti obnoxio vinum largiuntur, rati expedire illi potius mori, quã viuere in ea miseria. At ille vbi bibisset, admirandũ in modum sanitati restitutus est. Nam tuberosum illud omne cutis totius, non aliter quã animalium, à testis mollitie nuncupatorum malacostracon, tegmen decidit; quod autem reliquum erat, molle admodum apparuit, instar cutis cancrorum, & locustarũ, vbi extima testa fuerit detracta. Alterũ quoq; eiusmodi non dissimili casu in Mysia Asiæ, non procul ab vrbe nostra accidit. Vir E quidam elephanto laborans profectus est ad aquarum calidarum spontè nascentium vsum, sperans inde nonnihil sęcõmodi adepturũ. Erat illi scortum mancipium iuuencula sanè formosa, complu ribus amatoribus ambita. Ille istius fidei tũ nõ nulla alia ad rẽ domesticã spectãtia, tum penu ipsum crediderat. Profectis igitur illis, in ædibus, quibus vicinus erat locus squallidus, & viperarum plenus, fortè fortuna ex illis vna in vrceũ vini incidit negligentiùs positũ, extinctáq; est. Ac scortũ quidẽ in lucro id reputans quod fortè euenisset, hero id vini propinat, atq; ille ebibit. Cæterum exinde ad F eũ modũ, quo ille, qui degebat in tugurio, persanatus est. Porrò tertiũ quoq; annectã quod ex nostra profectũ est imitatione. Quũ quidã hoc morbo ægrotaret, animo magis, quã vulgus, philosophico, & cõtẽptore mortis, oppidò quã grauiter ferebat; satiusq; dicebat mortẽ semel perpeti, quã vitã viuere tã miserabilẽ. Itaq; illi, quę superiorib. duob. accidissent

accidissent, indico. Erat autem ipse auguriorum peritus, & amico vtebatur mirificè hanc disciplinam tractante. Itaque vbi ad augurium cum illo consedisset, persuasus est, vt quæ per experientiam essent cognita, ipse imitaretur; atque epoto vino, quod sic erat veneno infectum, leprosus factus est; ac postea lepram eius nos consuetis remediis sanauimus; quartus præterea viuas capere viperas arte instituit. Sed illius morbi tantùm erant in illo principia. Itaque cura studiúmque nobis fuit, vt illum quàm celerrimè sanitati redderemus. Quocirca misso sanguine, atráque bile medicamento detracta, viperis, quas capiebat, vti iussimus, præparatis in olla anguillarum in modum. Atque hic ita sanatus est, euaporato per cutem affectu. Postremo & alius vir quidam opulentus, non nostras ille quidem, sed ex media Thracia, Pergamum aduenit, admonitus somnio. Vbi iubente Deo per insomnium, vt quotidie medicamentum biberet, quod confectum est ex viperis; forisque corpus inungeret, non multos post dies morbus in lepram abiit; rursúmque & hæc affectio, quibus Deus præcipiebat, medicamentis curata est. Sanè viperarum caro adeò ingentem obtinet desiccandi facultatem, vt quidam, qui eam edere, vehementissima cruciati sint siti; ac proinde illas, dipsadas cognominant. Sunt autem qui dicant demorsos à viperis satiari non posse potando, sed disrumpi citius, quàm siti liberari. Quocirca eos, qui Romæ viperas venantur, quos Marsos nuncupant, percontatus sum, ecquid haberent signi, quo genus vtrunque viperarum discernerent. At illi prorsum negabant vllum esse genus viperarum dipsadum, verùm eas, quæ iuxta mare, atque in locis degunt salsedinem multam habentibus, carnem obtinere salsam; ac proinde in Libya talium ingentem esse prouentum, in Italia verò propter regionis humiditatem non inueniri. Atque hæc quidem narrantes audiui Marsos; non tamen certò dicere queam, an in totum verum dixerint, an partim etiam falsum. Nam quasdam esse viperas in iis, quas memorabant, regionibus, quibus salsa sit caro, vel maximè mihi videtur esse probabile; scio enim cum cibis animalium mutari carnes; non tamen nullum esse genus viperarum dipsadum pronunciare valeam. Cæterùm tutissimum est cauere, ne in eiusmodi regionibus viperas venemur, seu ad esum, seu ad medicamenti præparationem, quale est, & hoc præclarum, quod medici propè omnes theriacam appellitant. Porrò quoniam ex more, quum pastillos theriacos, quos vocant, præparamus, non tantùm caput, sed & caudam eorum abiicimus, subiit mihi frequenter rationabile fortassis esse, caput quidem totum abiici ob venenum, quod ore continent, verùm à ratione alienum esse, adimere & caudam. Nec enim dicere liceat, quòd id faciendum sit ob recrementa nutrimenti, tum liquida, tum sicca. Nam interfectis, atque excoriatis, apertísque exempta interanea omnia abiicimus, vt sola sit carnium substantia reliqua vnà cum arteriis venisque per ipsas innatis, quarum minima moles est, vt ad totam carnem, ac ne apparens quidem, nisi quis multum diligenter intentis oculis consideret. Atque pastillos, quos & theriacos vocant, hunc in modum præparamus. Purgatas illas in aqua elixamus, quoad exactè nobis videantur coctæ.

A παρατηρήσεις αὐτῶν. ὁ δ' αὐτός τε γὰρ ἦν ἔμπειρος οἰωνῶν, ἐχρήσατό τε φίλῳ θαυμαστῶς κατορθοῦντι τὸ μάθημα. καθίσας ἐπ' ὄρνισιν ἅμ' ἐκείνῳ, προὐτράπη τε μιμήσασθαι τὰ διὰ τῆς πείρας ἐγνωσμένα, καὶ πίνων οἶνον οὕτω φαρμαχθέντα, λεπρώδης ἐγένετο. χρόνῳ δ' ὕστερον ἰασάμεθα, καὶ τὴν λέπραν αὐτοῦ τοῖς συνήθεσι φαρμάκοις. τέταρτος ἐπὶ τούτῳ τέχνην πεποιημένος, ἐχίδνας ζώσας συλλαμβάνειν. ἐν ἀρχῇ μὲν ἦν τοῦ πάθους ἐκείνου, προὔκειτο δ' ἡμῖν ὅπως ἰαθῇ τάχιστα, φλέβα τε οὖν αὐτοῦ τεμόντες, καὶ καθήραντες φαρμάκῳ μέλαιναν κενοῦντι, χρήσασθαι ταῖς ἀγρευομέναις
B ἐχίδναις συνεβουλεύσαμεν, ἐν λοπάδι σκευάζοντι, καθάπερ τὰς ἐγχέλεις. οὗτος μὲν οὖν οὕτως ἐθεραπεύθη, διαπνευσθέντος αὐτῷ τοῦ πάθους. ἄλλος δέ τις ἀνὴρ πλούσιος οὐχ ἡμεδαπὸς οὗτός γε, ἀλλ' ἐκ μέσης Θρᾴκης ἧκεν, ὀνείρατος προτρέψαντος αὐτὸν εἰς τὸ Πέργαμον, εἶτα τοῦ θεοῦ προστάξαντος ὄναρ αὐτῷ, πίνειν τε τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου καθ' ἑκάστην ἡμέραν. καὶ χρίειν ἔξωθεν τὸ σῶμα, μετέπεσεν τὸ πάθος, οὐ μετὰ πολλὰς ἡμέρας εἰς λέπραν, ἐθεραπεύθη τε πάλιν οἷς ὁ θεὸς ἐκέλευεν φαρμάκοις, καὶ τοῦτο τὸ νόσημα. ἡ μὲν δὴ τῶν ἐχιδνῶν σὰρξ, εἰς τοσοῦτον ἥκει τῆς ξηραντικῆς
C δυνάμεως. ἐπεὶ δ' ἔνιοι τῶν φαγόντων αὐτὴν ἑάλωσαν δίψει σφοδροτάτῃ, καὶ διὰ τοῦτο προσαγορεύουσι τὰς ἐχίδνας διψάδας. εἰσὶ δ' οἳ καὶ τοὺς δηχθέντας ὑπ' αὐτῶν φασιν οὐκ ἐμπίπλασθαι πίνοντας, ἀλλὰ διαρρήγνυσθαι πρότερον, ἢ παύσασθαι διψῶντας. διὰ τοῦτο τῶν ἐν Ῥώμῃ τὰς ἐχίδνας θηρευόντων, οὓς ὀνομάζουσι Μαρσούς, ἐπυθόμην εἴ τι σημεῖον ἔχοιεν με διδάξαι διακριτικὸν ἑκατέρου τοῦ γένους τῶν ἐχιδνῶν. οἱ δ' οὐδὲν ὅλως ἔφασαν εἶναι γένος ἐχιδνῶν διψάδων, ἀλλὰ τὰς παρὰ θαλάττῃ, καὶ τόποις ἁλμυρίδα πολλὴν ἔχουσι διαιτωμένας, ἁλμυρὰν ἴσχειν τὴν σάρκα, διὸ καὶ κατὰ
D Λιβύην πολλὰς γίγνεσθαι τοιαύτας, ἐν Ἰταλίᾳ δ' οὐκ εἶναι, διὰ τὴν ὑγρότητα τῆς χώρας. ταῦτα μὲν οὖν ἤκουσα τῶν Μαρσῶν λεγόντων, οὐ μὴν ἔχω βεβαίως εἰπεῖν εἴτ' ἀληθεύουσι τὸ σύμπαν, εἴτε καὶ ψεύδονται κατά τι. τὸ μὲν γὰρ ἐν οἷς εἰρήκασιν χωρίοις γίνεσθαί τινας ἐχίδνας ἁλυκὴν ἐχούσας τὴν σάρκα, πιθανώτατον εἶναί μοι δοκεῖ. συμμεταβαλλούσας γὰρ οἶδα ταῖς τροφαῖς τὰς τῶν ζώων σάρκας, οὐ μὴν, ὡς οὐδέν ἐστι γένος ἐχιδνῶν διψάδων, ἀποφήνασθαι δύναμαι. τὸ δ' οὖν ἀσφαλέστατόν ἐστι, φυλάττεσθαι τὰς ἐν τοῖς τοιούτοις χωρίοις ἐχίδνας θηρεύειν εἰς ἐδωδὴν, ἢ φαρμάκου κατασκευὴν, ὁποῖόν
E ἐστι καὶ τουτὶ τὸ ἔνδοξον, ὃ καλοῦσιν ἅπαντες σχεδὸν ἰατροὶ θηριακήν. ἐπεὶ δ' ἔθος ἡμῖν ἐστιν, ὅταν τοὺς καλουμένους ἀρτίσκους θηριακοὺς σκευάζωμεν, ἀφαιρεῖν οὐ μόνον τὴν κεφαλὴν αὐτῶν, ἀλλὰ καὶ τὴν οὐρὰν, ἐνενόησα πολλάκις, εὐλόγως ἴσως μὲν τὴν κεφαλὴν ὅλην, διὰ τὸν ἐν τῷ στόματι περιεχόμενον ἰὸν, ἀλόγως δὲ τὴν οὐρὰν ἀφαιρεῖσθαι. οὐδὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὅτι διὰ τὰ περιττώματα τῆς τροφῆς, τά θ' ὑγρὰ, καὶ τὰ ξηρὰ πρακτέον οὕτως ἐστίν. ἀποκτείναντες γὰρ αὐτὰς, εἶτ' ἐκδείραντές τε καὶ ἀναπτύξαντες, ἐξαιροῦμέν τε καὶ ἀπορρίπτομεν ἅπαντα τὰ ἔνδον, ὡς μόνην καταλείπεσθαι τὴν τῶν
F σαρκῶν οὐσίαν, ἅμα ταῖς διαπεφυκυίαις αὐτῶν, ἀρτηρίαις τε καὶ φλεψὶν, ἐλάχιστον ἐχούσαις ὄγκον, ὡς πρὸς τὴν ὅλην σάρκα, καὶ μηδὲ φαινόμενον, ἐὰν μὴ πάνυ τις ἐπιμελῶς κατασκέψηται. τοὺς μὲν οὖν ἀρτίσκους, οὓς δὴ καὶ θηριακοὺς ὀνομάζουσι, σκευάζομεν οὕτως. κεκαθαρμένας αὐτὰς λαβόντες, εἶθ' ἕψοντες ἐν ὕδατι, μέχρις ἂν ἀκριβῶς ἡμῖν εἶναι δόξωσιν ἑφθαί.

συνεμβάλλομεν δ' εὐθέως ἐξ ἀρχῆς ἄνηθον τῷ ὕδατι, καὶ A μετὰ τὴν ἕψησιν ἀπὸ τῶν σαρκῶν διακρίνομεν τὰς ἀκάνθας, εἶτα μίγνυμεν ἄρτῳ λελειωμένῳ τὴν σάρκα. τὸν δ' ἄρτον τοῦτον οὐ τὸν ἐπιτυχόντα λαμβάνομεν, ἀλλ' ὡς ἔνι μάλιστα καθαρώτατόν τε, καὶ καλῶς ὠπτημένον ἐν κλιβάνῳ, συμμέτρων ἁλῶν ἔχοντα, καὶ ζύμης. προαναξηραίνομεν δὲ αὐτὸν ἐν οἴκῳ ξηρῷ καὶ ἀίκμῳ, μέχρις ἂν οὕτω γένηται ξηρὸς, ὡς ἐν ὅλμῳ κοπῆναι δύνασθαι. οὐ μὴν κόπτοντές γε μίγνυμεν, ἀλλὰ διαβρέχοντες τῷ ὕδατι, καθ' ὃ τὰς ἐχίδνας ἐψήσαμεν. αὐτὴν δὲ τὴν σάρκα πρὶν μιγνύναι τῷ ἄρτῳ, τρίβομεν ἐν θυΐᾳ τῶν μαγείρων, ἄχρις ἂν ἀκριβῶς γένηται λεία. καὶ μετὰ ταῦτα μικροὺς B ἀρτίσκους λεπτοὺς πλάσαντες, εἶτα ξηράναντες ἐν οἴκῳ θερμῷ, καὶ ξηρῷ, φυλάττομεν ἀποτιθέμενοι πάλιν ἐν οἴκῳ τοιούτῳ. τούτους μὲν οὖν εἰσβάλλοντος τοῦ θέρους σκευάζομεν, ἡνίκα μάλιστα βελτίστη τῶν ἐχιδνῶν ἐστιν ἡ σάρξ. χρώμεθα δ' ὕστερον, κόπτοντές τε καὶ διαττῶντες, εἶτ' αὖθις λειοῦντες, ἀναμιγνύντες τε τοῖς ἐσκευασμένοις εἰς ἡδονὴν ἁλσὶν, ἐμβάλλομεν δ' αὐτῶν, καὶ τῇ θηριακῇ. γίγνονται δὲ καὶ οἱ διὰ τῶν ὀπτηθεισῶν ἐχιδνῶν ἅλες, ὑπὸ τὸν αὐτὸν καιρὸν, εἰς χύτραν καινὴν ἐμβαλλόντων ἡμῶν τὰς ἐχίδνας ζώσας, ἅμα τοῖς ὑποστορεσμένοις τε καὶ περικειμένοις αὐταῖς φαρμάκοις, ἃ λέγειν ἅπαντα νῦν C οὐκ ἔστι τῆς ἐνεστώσης πραγματείας. ἴσως γάρ τις ἡμῖν εὐλόγως ἐγκαλέσει, καὶ περὶ τῶν ἀρτίσκων τῆς κατασκευῆς, ὡς οὐκ ἐν καιρῷ διελθοῦσιν. ἀλλὰ ταῦτα μὲν, ἐπειδὴ φθάνει λελέχθαι, φυλαττέσθω, κἂν δοκῇ μὴ πάνυ τι τῆς προκειμένης εἶναι πραγματείας ἴδια. τὰ δ' ἑξῆς, κατὰ τὸ προσῆκον μέτρον λεγέσθω. προσῆκον δ' ἐστὶ περὶ τῆς καθόλου δυνάμεως ἀναμνῆσαι, τὴν σάρκα τῶν ἐχιδνῶν, εἰπόντα εἶναι ξηραντικήν τε καὶ διαφορητικὴν ἰσχυρῶς, ἅμα τῷ θερμαίνειν μετρίως. ἐπείγεται δ', ὡς ἔοικεν ἡ δύναμις αὐτῆς ἐπὶ τὸ δέρμα, διὰ τούτου κινοῦσα τὰ κατὰ τὸ σῶμα περιττώματα, φθειρῶν τε οὖν πλῆθος D οὐκ ὀλίγον γίνεται, τοῖς ἔχουσι κακοχυμίας ἐν τοῖς σώμασι δαψιλῆ, καὶ τοῦ δέρματος ἀφίσταταί τε καὶ ἀποπίπτει, καθάπερ τι λέπος ἡ ἐπιδερμὶς ὀνομαζομένη, καθ' ἣν ἴσχονται μᾶλλον τῶν εἰς τὸ δέρμα φερομένων χυμῶν, οἱ παχεῖς καὶ γεώδεις, ὑφ' ὧν αἵ τε ψῶραι, καὶ αἱ λέπραι, καὶ οἱ ἐλέφαντες γίνονται. ταῦτα μὲν οὖν εἶχόν σοι λέγειν, περὶ τῶν τῆς ἐχίδνης σαρκῶν, ἐφεξῆς δὲ πάλιν ἀναλήψομαι τὸν λόγον. αἱ μὲν τῶν θερμοτέρων φύσει ζώων σάρκες, οὐ μόνον τρέφουσιν ἡμᾶς, ἀλλὰ καὶ θερμαίνουσιν, αἱ δὲ τῶν ψυχροτέρων ψύχουσιν. οὕτως δὲ καὶ αἱ μὲν τῶν ξηροτέρων ξηραίνουσιν, αἱ δὲ τῶν ὑγροτέρων ὑγραίνουσιν. μεμνημένος οὖν ὧν ἔμα- E θες ἐν τοῖς περὶ κράσεων, ὅταν γνωρίσῃς τι τῶν ζώων εἶναι τῇ κράσει ξηρότερον, ὥσπερ εἰ τύχοι τὸν ἄγριον ὗν τοῦ ἡμέρου, γίνωσκε τούτου, καὶ τὴν σάρκα ξηραντικωτέραν εἶναι, καὶ κατὰ τὰς ἄλλας διαφορὰς τῶν κράσεων ὡσαύτως, οἷον ὅτι συὸς μὲν πρόβατον ξηρότερον τούτου δ' αἴξ. τούτου δὲ βοῦς, καὶ τούτου λέων. οὕτω δὲ καὶ κατὰ θερμότητα. λέων μὲν κυνὸς θερμότερος, κύων δὲ ταύρου, ταῦρος δὲ τοῦ τοὺς ὄρχεις ἐκτετμημένου βοός. ἀνάλογον οὖν τῇ κατὰ τὴν κρᾶσιν ὑπεροχῇ τῶν ἄλλων ζώων, καὶ αἱ σάρκες αὐτῶν διοίσουσιν. καὶ διὰ τοῦτο, ξηραίνειν μὲν ἐθέλων τὸ σῶμα, τῶν ξηροτέρων τῇ κράσει ζώων δώσεις τὴν σάρκα, θερμαίνειν δὲ βουλό- F μενος, τῶν θερμοτέρων, καὶ ψυχρότερον μὲν ἐπιχειρῶν ἐργάζεσθαι, τῶν ψυχροτέρων, ὑγρότερον δὲ τῶν ὑγροτέρων. οὐ σμικρὰ δὲ διαφορὰ τῶν σαρκῶν ἐστὶ, κἂν τῷ ταριχεύεσθαί τινας αὐτῶν. ὅλως γὰρ πάντη διαλλάττουσιν. ὡς πολλάκις ὑγροτάτου τῇ κράσει ζώου ταριχευθεῖσαν σάρκα, ξηραντικωτέραν εἶναι μακρῷ τῆς φύσει ξηρᾶς.

Indimus autẽ ab initio statim aquæ anethũ, & post coctionem spinas à carne separamus; mox pani ad læuorem trito carnem cõmiscemus. Verùm non quemlibet panẽ citra delectũ accipimus, sed quã fieri possit purissimũ simul, & probè in clibano coctum, & salis simúlq; fermenti quod satis sit habẽtem. Eum autẽ antea desiccamus in ædibus siccis, miniméq; humectis, donec adeò siccus efficiatur, vt in mortario contundi possit. Non tamen tundẽtes miscemus, verùm aqua in qua decoctæ fuerant viperæ, maceramus; & carnẽ ipsam priusquam cõmisceatur pani, in mortario coquorũ eatenus conterimus, donec exactè reddatur læuis. Postea paruos pastillos fingentes, atque in ædibus calidis, siccisq; desiccantes, deinde quoq; in talibus repositos seruamus. Hos ergo ineunte æstate cõficimus; quo potissimũ tempore optima est viperarum caro. Porrò vtimur eis postea contusis denuò, & cribratis, & rursus ad læuorẽ redactis, salis nonnihil adiicientes ad suauitatẽ præparati; cuius etiam aliquid ipsi theriacæ iniicimus. Cæterùm eodẽ quoque tẽpore ex viperis assatis salem conficimus, viuis illis in ollam nouam iniectis vnà cum iis medicamentis, quæ illis, & substerni, & apponi assolent; quæ omnia nunc cõmemorare non est præsentis negocij. Nam inuenientur fortassis etiam qui me non iniuria reprehendent ob monstratam hoc in loco pastillorum præparationem, tanquam alieno tẽpore expositam. Verùm hæc posteaquam dicta nunc sunt, seruentur tamen, ac maneant, etiam si non admodũ videantur huic instituto propria. At quæ sequuntur, conuenienti dicantur modo; conueniens autem est, generalis facultatis meminisse, carnẽ viperinam dicendo exiccatoriam, & valẽter digerentem, mediocriter verò calefacientẽ. Properat autem, vt videtur, vis eius ad cutem, per eam videlicet, quæ in corpore sunt recrementa exigẽs. Quibus ergo affatim est malus succus in corpore, iis ingens prouenit pediculorũ numerus: & à cute, seu squama abscedit, ac decidit extima cutis, ad quàm sistuntur, ac retinentur crassi, terreniq; humores ad cutem protrusi, à quibus quidem psoræ, lepræ, & elephantes nascuntur. Et hæc quidẽ habui quæ de viperarũ carne dicenda putarem. Rursum ergo sermonem repetam. Calidiorum natura animalium carnes non solum nos alunt, sed etiam calefaciunt, frigidiorum autem refrigerant: sic etiam ficciorum carnes desiccant, humidiorum humectant. Memoria itaque repete, quemadmodum didicisti in libris De temperamentis, quòd vbi conieceris animal quoduis temperie esse siccius, velut exempli gratia suem syluestrem domestico, huius & carnem cognoscas esse magis exiccatoriam, & secundum alias temperamentorum differentias similiter; puta sue sicciorem ouem, & hac capram, qua bouem, quo denique leonem; sic in caliditate leo calidior est cane, canis tauro, taurus boue execto. Itaque proportione, qua cætera animalia in temperie excedunt, & carnes quoque eorum differunt, atque exuperant. Proinde vbi consilium fuerit corpus exiccare, sicciorum temperie animalium carnem exhibeto; calefacere autem volens, calidiorum; & frigidiorum, si coneris refrigerare; deniq; si humidius reddere, humidiorum. Nec parua existit carnium differentia, quum quasdam sale condimus. Nam prorsum diuersæ atque aliæ euadunt, adeo vt sæpenumero animalis temperie humidissimi caro salita longè euaserit exiccantior, quàm ea, quæ natura fuerat sicca.

Porrò inter eas, quæ falitæ non funt, ficcior eft, quæ affa eft, quàm quæ in aqua elixa. Scripferunt autem, & aliorum animalium carnes quidam prodeffe tum comefas, tū in partes affectas impofitas, vt erinaci terreftris deficcatam, fi bibenda prębeatur elephanto obnoxiis, eius, qui mali funt habitus, tū conuulfionē fæpenumero patientibus, nephriticifque, & iis, qui laborant aqua inter cutē, quam Anafarca vocant. Ac fi ea efficere poteft, facultatē habuerit valēter fimul digerentē deficcantémque. Sicut & caro muftellæ arefacta, quæ vtique comitiali morbo afflictos iuuat epota. Sed & falitorum hælurorum carnem ad læuorem contritam palos & fpicula educere aiunt, impofitā videlicet, tanquam trahendi vim habeat. Porrò mytulorum carnem vlceribus à mordente cane inflictis cōpetere, ego verò nullam infignem inuenio facultatē, quam requirant id genus vlcera, tanquam ea, quæ à rabido cane mordente funt illata. At cochlearū caro priùs in mortario contufa, ac poftea ad læuorem redacta, omnium valentiffimè deficcat partes fuperfluo humore grauatas, adeo vt & hydericis conueniat. Ipfe autem humor folus per fe citra carnem (vocatur autē is à vulgo mucus limacis,) thuri mixtus, aut aloæ, aut myrrhę, aut horum quibufdā, aut omnibus, quoad accipiat cerati craffitiem, medicamentū fit tenax, deficcátque purulentos mucores aurium. Sed & fronti impofitum agglutinamentū, oculorū fluxiones ficcant. Quidā etiam ad palos eximendos vtuntur totis vnà cum teftis ad lęuorem tritis; fed & quidam ad fiftendos menfes. Equidē ego aliquando in agro carnes ipfas folas in vulnus cum nerui vulneratione & contufione factum tritas impofui, ipfumque vulnus pulchrè glutinatum eft, & neruus phlegmonem haud perpeffus; erat autem homo durus, & agreftis; mifcui tamen illis contritis pollinem farinæ acceptum à pariete molæ proximo. Scripfere autē maiores me nonnulli medici ad eiufmodi vfum mifcendum thus, aut myrrham, vel vtraque. Verùm horum habebam tum neutrum, vt qui tunc ab vrbe abeffem in agro. Poffis autem & refinæ frictæ contritæ admifcere, fi adfit, quippiam. Porrò vbi multum muci cochlearum accipere voles feorfum, ftylo carnem earum pungito. Sed non ante multos dies venatas effe expedit, alioqui enim tempore deficcantur; nam recentes plurimum habent vifcofę illius humiditatis, quam ftylo compunctæ effundunt. Humiditas hæc pilorum in palpebris præter naturam gluten eft.

A ἀπαρασκευάστου, καὶ ἡ ὀπτηθεῖσα δὲ, ξηροτέρα τῆς ἑψηθείσης ἐστὶν ἐν ὕδατι. ἔγραψαν δὲ καὶ ἄλλων ζώων ἔνιοι σάρκας ὠφελεῖν ἐσθιομένας τε, καὶ κατὰ τῶν πεπονθότων μερῶν ἐπιτιθεμένας, οἷον τὴν τοῦ χερσαίου ἐχίνου σκελετευθεῖσαν, εἰ ποθείη ἐλεφαντιῶσιν, καὶ καχέκταις, καὶ σπασμώδεσιν, καὶ νεφριτικοῖς, ἔτι τε τοῖς τὸν ἀνὰ σάρκα προσαγορευόμενον ὕδερον ἔχουσιν. εἰ δὲ ταῦτα ποιεῖν πέφυκε, εἴη ἂν ἡ δύναμις αὐτῆς ἰσχυρῶς διαφορητική τε καὶ ξηραντική, ὥσπερ καὶ ἡ τῆς σκελετευθείσης γαλῆς, ἥπερ δὴ ὀνίνησι τοὺς ἐπιληπτικοὺς πινομένη. τῶν δὲ ταριχευθέντων αἰλούρων τὴν σάρκα, λειωθεῖσαν ἐπιτιθεμένην ἐξάγειν σκόλοπάς φασιν, ὡς ἑλκτικὴν B ἔχουσαν δύναμιν δηλονότι, τῶν δὲ μυάκων ἁρμόττειν ἕλκεσιν ὑπὸ κυνὸς δάκνοντος γεγονόσιν. ἐγὼ δ' οὐδεμίαν ἐξαίρετον εὑρίσκω δύναμιν, ἧς δεῖται τὰ τοιαῦτα τῶν ἑλκῶν, ὥσπερ τὰ ὑπὸ τοῦ λυττῶντος κυνὸς δακόντος γινόμενα. καὶ ἡ τῶν κοχλιῶν δὲ σὰρξ κοπεῖσα πρότερον ἐν ὅλμῳ, καὶ μετὰ ταῦτα λειωθεῖσα, ξηραντικωτάτη γάρ ἐστι πάντων τῶν ὑγρότητα περιττὴν ἐχόντων μορίων, ὥστε καὶ τοῖς ὑδερικοῖς ἁρμόττειν. ἡ δὲ ἐξ αὐτῶν ὑγρότης, μόνη καθ' ἑαυτὴν ἄνευ τῆς σαρκὸς λαμβανομένη, καλεῖται ὑπὸ τῶν πολλῶν μύξα κοχλίου, μιγνυμένη δὲ λιβανωτῷ, ἢ ἀλόῃ, ἢ σμύρνῃ, ἢ τισὶ τούτων, ἢ πᾶσιν ἄχρι τοῦ κηρω- C τῆς πάχος ἔχειν, ἐγκόλλητόν τε γίνεται φάρμακον, καὶ ξηραίνει καλῶς τοὺς ὑποπύους μύξους τῶν ὤτων. ἔστι δὲ καὶ ἀνακόλλημα ξηραντικὸν τῶν εἰς ὀφθαλμοὺς ῥευμάτων, ἐπιτιθεμένη κατὰ τὸ μέτωπον. ἔνιοι δὲ καὶ πρὸς σκόλοπας χρῶνται, λειοῦντες ὅλους μετὰ τῶν ὀστράκων, εἰσὶ δ' οἳ καὶ πρὸς καταμηνίων ἐπίσχεσιν. αὐτὰς δὲ τὰς σάρκας μόνας κἀγώ ποτε κατ' ἀγρὸν, ἐπὶ τραύματος ἅμα νεύρου τρώσει τε καὶ θλάσει γεγονότος ἐπέθηκα λειώσας, καὶ τό τε τραῦμα καλῶς ἐκολλήθη, καὶ τὸ νεῦρον οὐκ ἐφλέγμηνε. ἦν δὲ σκληρὸς, καὶ ἀγροῖκος ἄνθρωπος, ἔμιξα γε μὴν λειουμέναις αὐταῖς ἄχνην ἀλεύρου, λαβὼν ἀπὸ τοῦ πλησιάζοντος D τῇ μύλῃ τοίχου. γεγράφασι δέ τινες τῶν πρὸ ἡμῶν ἰατρῶν, σμύρναν, ἢ λιβανωτὸν μιγνύειν αὐταῖς δεῖν ἐπὶ τῆς τοιαύτης χρήσεως, ἀλλ' οὐδέτερον εἶχον τούτων ἔξωθεν τῆς πόλεως ἐπὶ τῆς ἀγροικίας. δύναιτο δ' ἄν τις, καὶ ῥητίνης φρυκτῆς λείας μιγνύειν εἰ παρείη. ὁπόταν μέντοι πολὺ τῆς μύξης τῶν κοχλιῶν ἐθέλῃς λαβεῖν μόνης, κατακέντησον αὐτῶν τὴν σάρκα γραφείῳ. χρὴ δὲ μὴ πρὸ πολλῶν ἡμερῶν αὐτοὺς θηρεῦσαι, καταξηραίνονται γὰρ ἐν τῷ χρόνῳ. πρόσφατοι δ' ὄντες πολὺ τῆς γλίσχρας ὑγρότητος ἔχουσιν, ἣν κατακεντούμενοι τῷ γραφείῳ προΐασιν. ἡ δ' ὑγρότης αὕτη, καὶ τῶν ἐν τοῖς βλεφάροις τρι- E χῶν παρὰ φύσιν ἀνακόλλημα γίνεται.

---

2. *De adipe, & feuo.*

ADeps & feuus, & hæc quoq; cōmuniffimæ funt inter animaliū partes. Nam quæcunque bene nutriuntur, ea omnia, aut adipem, aut feuum obtinent; quæ verò macilēta funt, maleq; nutriuntur, fępè omnino ne habere quidē, fępè verò paucolū, idq; ficcū, vt ægrè vti poffis, apparet. Porrò differt ab adipe feuus, quòd craffior fit, ac propterea animātib. totā naturā terrenā magis habētibus feuus prouenit, velut humidioribus adeps. Proinde adeps celeriter in ignē pofita liquefcit; nec facilè, vbi liquata fuerit, rurfū cōcrefcit ac cogitur; at feuus nec facilè fūditur, liquefcitve, & fufus celerrimè coit ac cōglaciatur, multóq; apparet adipe durior. Sus enim benè habitus paftúfq; multā habet adipē, ob naturalē tēperamēti humiditatē.

β'. Περὶ πιμελῆς, καὶ στέατος.

Πιμελὴ καὶ στέαρ, κοινότατα καὶ ταῦτα τῶν ἐν τοῖς ζώοις μορίων ἐστί. τὰ γὰρ εὐτροφοῦντα πάντα, πιμελὴν, ἢ στέαρ ἴσχει· τὰ δὲ ἰσχνὰ καὶ ἄτροφα, πολλάκις μὲν οὐδ' ὅλως ἔχειν φαίνεται, πολλάκις δ' οὕτως ὀλίγην τε καὶ ξηρὰν, ὡς δύσχρηστον εἶναι. διαφέρει δὲ πιμελῆς στέαρ τῷ πάχει. διὸ καὶ τοῖς γεωδεστέραν ἔχουσι τὴν ὅλην φύσιν ζώοις, τὸ στέαρ γί- F νεται, καθάπερ τοῖς ὑγροτέροις ἡ πιμελή. διὰ τοῦτο τοιγαροῦν, ἡ μὲν πιμελὴ τήκεται ῥᾳδίως ὑπὸ τοῦ πυρὸς, οὐ ῥᾳδίως δὲ πήγνυται τακεῖσα. τὸ δὲ στέαρ, οὔτε τήκεται ῥᾳδίως, κἂν τακῇ, πήγνυται τάχιστα, καὶ φαίνεται πολὺ σκληρότερον τῆς πιμελῆς. ὗς μὲν οὖν εὐτροφῶν, πιμελὴν πλείστην ἔχει, διὰ τὴν φυσικὴν τῆς κράσεως ὑγρότητα.

A Βόες δὲ καὶ αἶγες, ὅσα τε ἄλλα κερασφόρα, διὰ τὴν ξηρότητα τὸ στέαρ πλεῖστον γεννᾷ. σὺ δ' εἰ βούλει τὴν ἐλαιώδη, καὶ λιπαρὰν οὐσίαν ἅπασαν ἐν τοῖς ζώοις καλεῖν στέαρ, ὥσπερ οἱ πλεῖστοι τῶν ἰατρῶν. ἔξεστι δέ σοι καὶ πιμελὴν ὀνομάζειν ἅπαν τοῦτο τὸ γένος. οὐ μὴν ἔξεστί γέ σοι βουλομένῳ μὴ ψεύδεσθαι, τὸ στέαρ τῶν αἰγῶν, ὑγρότερον εἶναι φάναι τοῦ τῶν ὑῶν. ὑγρότατον γὰρ τοῦτο σχεδὸν ἁπάντων τῶν ἄλλων ἐστί, καὶ διὰ τοῦτο κατὰ τὴν ἐνέργειαν ἐγγὺς ἐλαίου τὴν δύναμιν, μαλακτικώτερόν γε μὴν ἐλαίου, καὶ πεπτικώτερόν ἐστι. καὶ διὰ τοῦτο, τοῖς πρὸς φλεγμονὰς ἁρμόττουσιν καταπλάσμασι μίγνυται. τοῖς δὲ δακνομένοις τὰ κατὰ τὸ ἀπευθυσμένον, ἢ τὸ κῶλον, ἐνίεμεν B αἴγειον μᾶλλον, ἢ ὕειον στέαρ, οὐχ ὅτι μᾶλλον ἀμβλυντικόν ἐστι δριμύτητος, ὅσον γὰρ ἐπὶ τῇ φύσει, μᾶλλον ἀμβλύνει τὸ ὕειον, καὶ διὰ τοῦτο μίγνυται, καὶ τοῖς ἕλκη θεραπεύουσι φαρμάκοις, οἷόν περ ἐστί, καὶ τὸ καλούμενον πάρυγρον. ἀλλ' ὅτι τὸ μὲν αἴγειον πήγνυται ῥᾳδίως διὰ πάχος, ἀπορρεῖ δὲ τὸ ὕειον ὁμοίως τῷ ἐλαίῳ, διὰ τοῦτ' ἐνίεμεν αὐτὸ μᾶλλον ἐπὶ τῶν δυσεντερικῶν τε καὶ τεινεσμωδῶν, ὅταν παρηγορῆσαι τὴν δῆξιν αὐτῶν βουληθῶμεν. καὶ διὰ λεπτομέρειαν δ' ἔνια μᾶλλον ἀμβλύνει δριμύτητας, ὅταν ἐν τῷ βάθει τῶν δακνομένων σωμάτων τὸ λυποῦν ᾖ. ἧττον μὲν γὰρ τὸ παχυμερές, μᾶλλον δὲ τὸ λεπτομερὲς C ὅλα διεξέρχεται τὰ σώματα, καὶ πᾶσι κεράννυται τοῖς δάκνουσιν ἰχῶρσιν αὐτό. κατὰ τοῦτο γοῦν καὶ τὸ χήνειον στέαρ, τὰ κατὰ βάθος τῶν σωμάτων δάκνοντα μᾶλλον ἀμβλύνει. ἔστι δὲ καὶ θερμότερον τοῦ ὑείου. μεταξύ γε μὴν αὐτῶν ἐστι τὸ τῶν ἀλεκτρυόνων, θερμότερον δ' ἀεί, καὶ ξηρότερον τὸ τῶν ἀρρένων ζώων ἐστίν. αὐτῶν δὲ τούτων τὸ τῶν ἐκτεμνομένων τοὺς ὄρχεις, ἧττον θερμόν τε καὶ ξηρόν. ὁμοιοῦται γὰρ ἀεὶ τὸ εὐνουχισθὲν ἄρρεν, τοῖς ὁμογενέσι θήλεσι. κεφάλαιον δ' ἐστὶ τοῦ λόγου τόδε κοινόν, οὗ μεμνῆσθαι χρή. τὸ κατὰ τὴν τῶν ζώων κρᾶσιν, ἀεὶ τὰς διαφορὰς γίνεσθαι τῆς ἐν αὐτοῖς πιμελῆς, ἢ στέατος, ἢ D ὅπως ἂν ὀνομάζειν ἐθέλῃς, ὅλον τὸ γένος τοῦτο τοῦ κατὰ τὰ ζῷα σώματος ἐλαιῶδές τε καὶ λιπαρόν. ἐπεὶ τοίνυν ὗς ἀπολείπεται κατὰ θερμότητά τε καὶ ξηρότητα, σχεδὸν ἁπάντων τῶν τετραπόδων ζώων, διὰ τοῦτο καὶ πιμελὴν ἧττόν τε θερμὴν ἔχει, καὶ μᾶλλον ὑγράν. ἁπάσης μὲν οὖν πιμελῆς, δύναμίς ἐστιν ὑγραντική τε καὶ θερμαντικὴ τῶν ἀνθρωπίνων σωμάτων. τούτου γὰρ μεμνῆσθαι χρὴ διὰ παντός, εἰρημένου κατὰ τὴν ἀρχὴν, τῆσδε τῆς πραγματείας· αἱ δὲ καθ' ἕκαστον αὐτῶν διαφοραί, κατὰ τὸ μᾶλλόν τε καὶ ἧττόν εἰσιν. τοῦ μὲν γὰρ ὑός, ὡς πρὸς ἡμᾶς ἡ πιμελή, τὸ μὲν ὑγραίνειν ἔχει δαψιλῶς, τὸ θερ- E μαίνειν δ' οὐχ ὁμοίως, ὥσπερ τοὔλαιον, ἀλλ' ἔστι κατὰ τὴν ἐν ἡμῖν θερμότητα, καὶ ἡ τοῦ λίπους τῶν ὑῶν. ἡ δὲ τῶν ταύρων πολὺ θερμοτέρα, καὶ ξηροτέρα τῆς τῶν ὑῶν. μεμνημένων ἡμῶν πάλιν κἀνταῦθα, τὸ μὲν ἄρρεν τοῦ θήλεος ἀεὶ ξηρότερον εἶναι, καὶ θερμότερον, τὸ δ' εὐνουχισθὲν ἄρρεν ὁμοιοῦσθαι τῷ θήλει, καθάπερ γε καὶ τὸ νέον ἅπαν. αὐτῶν δὲ τῶν νέων τὸ θῆλυ τοῦ ἄρρενος ὑγρότερόν τε εἶναι, καὶ ἧττον θερμόν. οὕτως οὖν καὶ τὸ μόσχειον στέαρ, ἀπολείπεται τοῦ τῶν ταύρων, θερμότητί τε καὶ ξηρότητι, καὶ τὸ τῶν ἐρίφων τοῦ τῶν αἰγῶν, ἀπολείπεται δὲ καὶ τὸ τῶν αἰγῶν τοῦ τῶν τράγων. αὐτῶν δὴ πάλιν, τὸ τῶν ταύρων τοῦ τῶν λεόντων, διαφορη- F τικώτατον γὰρ ἐκεῖνο σχεδὸν ἁπάντων τῶν ἐν τοῖς τετράποσι. καὶ γὰρ καὶ θερμότατον αὐτῶν ἐστι, καὶ λεπτομερέστατον, ὥστε εἰ μίξαις αὐτὸ τοῖς πρὸς ἕλκη, καὶ φλεγμονὰς ἁρμόττουσι φαρμάκοις, οὐ μόνον οὐδὲν ὀνήσεις, ἀλλὰ καὶ βλάψεις δριμύτερον τοῦ προσήκοντος ἐργασάμενος. ὄγκοις δὲ χρονίοις ἐσκληρυσμένοις,

At boues & capræ, & quæcunque id genus cornigera ob siccitatem plurimum seuum generant. At tu, si voles, oleosam & pinguem in animalibus substantiam omnē, adipē appellato, vt pleriq; medici; sed & pinguedinē appellare totū hoc genus licet, non tamen licet citra mendacium seuum caprinū humidius esse dicere, quàm suum; nam hoc omnium fermè aliorum est humidissimū, ac proinde actione sua vicinam oleo vim possidēs, quanquam oleo magis tum emolliat, tum cōcoquat; ac proinde cataplasmatis quæ ad phlegmonas accommodantur, commisceri solet. Qui verò mordicationes perpetiuntur, aut in recto intestino, aut in colo, iis potius caprinum seuum, quàm suillum iniicimus; non quòd acrimonias plus obtundat (nam ex natura sua suillū obtundit magis, ac proinde miscetur medicamentis vlcera curantibus, cuiusmodi est, quod vocant parygrum) sed quòd caprinū ob crassitiem citius cōcrescat, suillus autem instar olei defluat; proinde ipsum potius dysentericis, & tenesmis iniicimus, quādo morsum eorum mitigare consilium est. Porrò ob tenuitatem essentiæ, nonnulla acrimonias magis retundūt, vbi nimirum in alto mordicatorū corporum quod molestum est hæserit. Nam quod crassiorum est partium minùs, magis autē quod subtilium tota corpora penetrat, & omni ipsum saniei mordicanti permiscetur. Hac ratione adeps Anserinus, quæ in alto corpore mordicant, magis obtundit: sed & suillo calidior est. Horū tamen in medio est gallinaceorū adeps, ac gallinarum. Porrò calidior semper, ac siccior est masculorum animalium; & horum ipsorum exectorū, minùs, tum calidus, tum siccus; quippe mas castratus eiusdem semper generis fœminæ assimilatur. Hoc autem sermonis caput commune est, cuius meminisse oportet, pro animalium temperie semper existere differentias eius, quæ in illis est, pinguedinis, aut adipis, aut quocunque modo appellare libebit totum hoc genus corporibus in animantibus oleosi, & pinguis. Igitur quum sus omnibus propè quadrupedibus animalibus in caliditate, ac siccitate, inferior sit, proinde pinguedinem quoque minus habet calidam, magísq; humidam. Omnis igitur pinguedinis facultas est humectatoria, & calefactoria humanorū corporum, huius enim meminisse perpetuò oportet in principiis huius operis dicti; at differentiæ, quæ sunt cuiusque sigillatim, in maioris minorísque ratione sunt. Nam pinguedo suis, vt ad nos quidem, largius humectare potest, sed non æquè calefacere, sicuti neque oleum; verùm pinguedinis suum talis est caliditas, qualis spectatur in nobis. Porrò taurorū adeps suillo multo calidior est, & siccior, rursum in memoria repetentibus nobis marem fœmina esse, tum calidiorem, tum sicciorem, marem autem castratū assimilari fœminæ, velut quicquid iuuenilis est ætatis. Et inter iuuenilia, fœmina mare humidior est, & minùs calida. Sic & adeps vitulinus taurino minus tum calidus est, tum siccus: & hœdorum quàm caprarum; sed & caprarum minus quàm hircorum; & rursum taurorum minus, quàm leonum: nam horum adeps omnium propè quadrupedum adipe potentius digerit, nam & caliditate exuperat & partium tenuitate. Itaque si ipsum medicamentis ad vlcera, & phlegmonas conuenientibus commisceas, non modò nihil adiuueris, verùm etiam læseris, nimirum addita maiori, quàm conueniat, acrimonia; inueteratis tamen tumoribus, atque scirrhi in morem induratis, tum

tum neruorũ curuaturis, & in summa quæcunque scirrhosa sunt, iis aptissimus est; in quibus sanè minimè apparet efficax suillus. Taurinus autem ab vtroque ex æquo distat; vt quanto calidior, ficciorque suillo est, tanto superetur à leonino. Itaq; tanquam in medio consistens, meritò vtriq; medicamentorũ miscetur generi, & ei scilicet, quod scirrhosis medetur, & ei quod phlegmonas cõcoquit, cuiusmodi est tetrapharmacum quod vocant, ex cera, resina, pice, & adipe cõstans. Nam siue in hoc taurinum, siue vitulinum, siue hircinum, siue caprinum, siue suillum indideris, semper puri mouendo aptum, & concoctorium medicamentũ effeceris. Sed suillus si addatur, in pueris, & fœminis, & vt breuiter dicam, omnibus, quibus caro est mollior, competit. Sin taurinũ adieceris, fossoribus, & messoribus, & omnibus carnẽ duram habentibus, siue ob naturalem tẽperiem, siue ex ratione, ac forma vitæ, conueniens effeceris. Cæterùm adeps omnis dum inueterascit, se ipsa, & calidior, & tenuiorum partium efficitur, ac proinde quoq; valentius digerens. Verùm id omnibus inueterascẽtibus accidit, quæ quidem non putrescere anticipent. Nam vinum, mel, acetũ, caseus, butyrum, œsypus; oleum omne, siue lentiscinum, siue cicinum, siue raphaninum, siue ipsum quod ex oliuis conficitur; vetustate, & calidiora, & tenuioris essentiæ efficiuntur; ac proinde gustantibus apparent acriora, & ad induratos ægréque solubiles affectus adhibentibus potentius digerentia. Atq; ego sanè gustãtibus acriora videri dixi; at quidam, quibus studium est nominũ significatus corrũpere, non acria, sed astringentia vocant id genus omnia, ad vsque piper; tanquam intersit nihil, astringens, an acre dixeris. Et si denuò illos roges de galla, myrto, mespilis, mali punici putaminibus, rhoo, & omphacio, & hæc dicunt astringere; tametsi aduersissimum ex illis sensum percipiamus ei, qui à pipere, pyrethro, napy, euphorbio, cæpa, allio, adarce percipitur. Igitur si quemadmodum astrictionis vocabulũ de vtroque affectu, quem gustu percipimus, communiter efferunt, sic ipsos quoque affectus vnam habere naturam existimant, quiduis aliud potius habendi, quàm homines, vt qui soli proprios sensus obtineant. At si omphaca, rhoon, gallã, balaustium, hypocystida, contrahere constringereque nostrã fateantur substantiam; secernere verò, mordicare, ac penetrare, piper, napy, pyrethrum; impropriè astringentia nuncupant, quæ mordicant, & calefaciunt, cæterùm in cognoscendis ipsis medicamentis non peccant. Verùm si oportet coniectantem dicere, in vocabulis, an in rebus hallucinentur, equidem in vocabulis potius falsos viros illos dixerim, & maximè quibus Græca lingua insueta est, qualis est Dioscorides Anazarbensis, qui profectò multa bene dixit eorum, quæ de materia medica memoriæ prodidit, cæterùm significata græcarum vocum non satis pernouit. Hic ergo quum ait magis esse astrictorium adipem caprinum suillo, siquidem acriorem significare velit per magis astrictorium, accipimus sermonem, ceu verùm; at si illud, talem habentem qualitatem, & facultatem, qualem rhus, rheon, hypocystis, balaustium, haud verùm esse sermonem dicemus. Porrò quoniam viperarum adipem, vbi radicitus pilos sub alis eulseris, prohibere illos ne nascantur illitum referunt, visum est mihi eius facere periculum esse satius: at vbi prout iubent, fecissem, mentitos comperi, sicut etiam quòd

A καὶ νεύρων ἀγκύλαις, καὶ ἁπλῶς, ὅσα σκιρρώδη, προσφορώτατόν ἐστιν, ἐφ' ὧν ἀπρακτότατον φαίνεται τὸ τῶν ὑῶν. τὸ δὲ τῶν ταύρων ἴσον πως ἑκατέρου διέστηκεν, ὅσῳ θερμότερόν τέ ἐστι, καὶ ξηρότερον τοῦ τῶν ὑῶν, τοσούτῳ καὶ τοῦ τῶν λεόντων ἀπολειπόμενον. ὡς δ' οὖν ἐν τῷ μέσῳ τεταγμένον, εἰκότως ἑκατέρῳ τῷ γένει μίγνυται τῶν φαρμάκων, τοῖς τε τὰ σκιρρώδη θεραπεύουσι, καὶ τοῖς τὰ φλεγμαίνοντα πέττουσιν, ὁποῖόν ἐστι τὸ τετραφάρμακον ὀνομαζόμενον ἐκ κηροῦ, καὶ ῥητίνης, καὶ πίττης, καὶ στέατος συγκείμενον. εἰς γάρ τοι τοῦτο, κἂν ταύρειον βάλῃς, κἂν μόσχειον, κἂν τράγειον, κἂν αἴγειον, κἂν ὕειον, ἐκπυητικόν τε καὶ πεπτικὸν ἐργάσῃ φάρμακον. ἀλλὰ τὸ μὲν ὕειον
B ἐμβληθὲν ἐπὶ παίδων ἁρμόζει, καὶ γυναικῶν, καὶ συνελόντι φάναι, τῶν ἁπαλοσάρκων, τὸ δὲ τοῦ ταύρου σκαπτεῦσι, καὶ θερισταῖς, καὶ πᾶσι τοῖς σκληρὰς ἔχουσι σάρκας, ἢ διὰ τὴν φυσικὴν κρᾶσιν, ἢ διὰ τὴν ἰδέαν τοῦ βίου χρήσιμον ὑπάρχει. χρονίζον δ' ἅπαν στέαρ ἑαυτοῦ γίνεται θερμότερόν τε καὶ λεπτομερέστερον, ὥστε καὶ διαφορητικώτερον. ὑπάρχει δὲ τοῦτο σχεδὸν ἅπασι τοῖς χρονίζουσιν, ὅσα γε μὴ φθάνει σαπῆναι. καὶ γὰρ οἶνος, καὶ μέλι, καὶ ὄξος, καὶ τυρὸς, καὶ βούτυρον, καὶ οἴσυπος, ἔλαιόν τε πᾶν, εἴτε σχίνινον, εἴτε κίκινον, εἴτε ῥαφάνινον, εἴτ' αὐτὸ τὸ
C ἐκ τῶν ἐλαιῶν εἴη χρονίζοντα, λεπτότερά τε καὶ λεπτομερέστερα γίνεται, καὶ διὰ τοῦτο δριμύτερά τε γευομένοις φαίνεται, διαφορητικώτερά τε χρωμένοις, ἐπὶ τῶν σκληρυνομένων τε καὶ δυσλύτων ἀπέπτων παθῶν. ἐγὼ μὲν οὖν εἴρηκα, δριμύτερον γευομένοις φαίνεσθαι. τινὲς δὲ τῶν διαφθειρόντων τὰ σημαινόμενα τῶν ὀνομάτων, οὐ δριμέα καλοῦσιν, ἀλλὰ στύφοντα τὰ τοιαῦτα πάντα, μέχρι τοῦ πεπέρεως, ὡς οὐδὲν διαφέρον, ἢ στύφον εἰπεῖν, ἢ δριμύ. καὶ εἰ αὖθις αὐτοὺς ἔροιο περί τε κηκίδων, καὶ μύρτων, καὶ μεσπίλων, καὶ σιδίων ῥοιᾶς, ὀμφακίου τε καὶ ῥοῦ, καὶ ταῦτα στύφειν φασὶ, καίτοι γε ἐναντιωτάτην αἴσθησιν
D ἐχόντων ἐπ' αὐτῶν τῆς γινομένης ἡμῖν ἀπὸ πεπέρεως, καὶ πυρέθρου, καὶ νάπυος, εὐφορβίου τε καὶ κρομμύου, καὶ σκορόδου, καὶ ἀδάρκης. εἰ μὲν οὖν, ὡς τὸ τῆς στύψεως ὄνομα κοινὸν ἐπιφέρουσιν, κατ' ἀμφοτέρων τῶν γιγνομένων ἡμῖν ἐν τῇ γεύσει παθῶν, οὕτω καὶ αὐτὰ τὰ πάθη μίαν ἔχειν οἴονται φύσιν, ἀλλ' ὅτι μᾶλλον, ἢ ἀνθρώπους αὐτοὺς εἶναι νομιστέον ἰδίας αἰσθήσεις ἔχειν τὰς μόνους. εἰ δ' ὄμφακα μὲν καὶ ῥοῦν, καὶ κηκῖδα, βαλαύστιόν τε καὶ ὑποκυστίδα, συνάγειν τε καὶ σφίγγειν ἡμῶν ὁμολογοῦσι τὴν οὐσίαν, διακρίνειν τε καὶ δάκνειν, καὶ διεξέρχεσθαι τὸ πέπερι, καὶ νάπυ, καὶ πύρεθρον, ἀκύρως μὲν ὀνομάζουσι στύφοντα τὰ δά-
E κνοντα, καὶ θερμαίνοντα, τῆς γνώσεως μέντοι τῶν φαρμάκων αὐτῶν, οὐχ ἡμαρτήκασιν. εἰ δὲ δεῖ στοχασάμενον εἰπεῖν, πότερον ἐν τοῖς ὀνόμασιν, ἢ ἐν τοῖς πράγμασι σφάλλονται, φαίην ἂν ἔγωγε μᾶλλον ἐν τοῖς ὀνόμασιν ἐσφάλθαι τοὺς ἄνδρας, καὶ μάλιστα τοὺς ἀήθεις Ἑλλάδος φωνῆς, οἷός ἐστιν ὁ Ἀναζαρβεὺς Διοσκορίδης, πολλὰ μὲν καλῶς εἴρηκε τῶν περὶ τῆς ἰατρικῆς ὕλης ἱστορουμένων, ἀγνοεῖ δὲ τὰ σημαινόμενα τῶν Ἑλληνικῶν ὀνομάτων. οὗτος οὖν, ὅταν λέγῃ στυπτικώτερον στέαρ εἶναι τὸ τῶν αἰγῶν τοῦ τῶν ὑῶν. εἰ μὲν οὖν τὸ δριμύτερον, διὰ τοῦ στυπτικωτέρου βούλεται δηλῶσαι, ἐκδεξόμεθα τὸν λόγον, ὡς ἀληθῆ.
F εἰ δὲ τὸ τοιαύτην ἔχον ποιότητά τε καὶ δύναμιν, οἷα ῥοῦς, καὶ ῥῆον, ὑποκυστίς τε καὶ βαλαύστιον, οὐκ ἀληθῆ φήσομεν εἶναι τὸν λόγον. ἐπεὶ δὲ καὶ τὸ τῶν ἐχιδνῶν στέαρ, ὅταν ἐκ ῥιζῶν τις ἀνασπάσας, τὰς ἐν ταῖς μασχάλαις τρίχας ἐπαλείφῃ, φασὶ μὴ καὶ ταύτας φύεσθαι, κάλλιον ἔδοξέ μοι, καὶ τούτου πειραθῆναι, καὶ πράξας, ὡς ἐκέλευσαν, εὗρον ψευδομένους αὐτοὺς, ὥσπερ καὶ ὅτι

τὰς ἀρχὰς τῶν ὑποχύσεων ἰᾶται. τὸ δὲ τῶν ἄρκτων στέαρ, ἀλωπεκίαις ἁρμόττειν ἀληθῶς ἐγράφη, ἐχόντων δ' αὐτῷ δοκιμώτερα φάρμακα πρὸς τὸ πάθος. ἀλλά τό γε μὴν τῶν ἀλωπέκων, ὅταν ὠταλγίας φῶσι θεραπεύειν, αὐτοὶ τοῦ διελέσθαι ποίας λέγουσιν ὠταλγίας, ὡς οὐδὲ γινώσκουσιν διηρθρωμένως αὐτὰς ἃς λέγουσιν, οὐδ' ὅλως χρὴ προσέχειν τὸν νοῦν. ἄλλοι δὲ ἰχθύων ἐπαινοῦσι στέαρ, ὡς πρὸς τὰς ὑποχύσεις, ἢ ὅπερ ἂν ἐθέλωσι πάθος ὀνομάζειν. ἕτεροι δ' οὐχ ἁπλῶς ἰχθύων, ἀλλὰ ποταμίων γράφουσιν, ἄλλοι δὲ μᾶλλον θαλαττίων, ἵνα δοκῶσί τι πλέον ἐπίστασθαι τῶν πολλῶν.

A initia suffusionum sanet. Verùm vrsorum adipem alopecias curare verè est proditum; quum tamen probatiora habeamus ad eum affectum remedia. Porrò quum dicant tamen vulpinum adipem dolores aurium sanare, neq; dicant quos aurium dolores, ceu non noscentibus ipsos distinguere, attendendum non est. Alij piscium adipem laudant, tanquam ad suffusiones, aut quemcunque alium affectum nominare velint, congruat. Alij non simpliciter piscium dicunt, sed addunt fluuiatilium; alij verò potius marinorum; quo videlicet aliquid plus scire videantur quàm vulgus.

B

γ'. Περὶ μυελοῦ.

Μυελὸς μαλακτικῆς τῶν σκληρυνομένων τε καὶ σκιρρουμένων σωμάτων ἐστὶ δυνάμεως, εἴτε μύες, εἴτε τένοντες, εἴτε σύνδεσμοι τοῦτο πάσχοιεν, εἴτε καὶ σπλάγχνα. κάλλιστον δ' ἐπειράθην ἀεὶ τὸν τῶν ἐλάφων, ἐφεξῆς δ' αὐτῶν τὸν τῶν νέων βοῶν, οὓς δὴ καὶ μόσχους καλοῦσι, καὶ διὰ τοῦτο, καὶ τὸν μυελὸν αὐτῶν ὀνομάζουσι μόσχειον. ὁ δὲ τῶν τράγων, καὶ τῶν ταύρων, δριμύτερος αὐτῶν ἐστὶ, καὶ ξηραντικώτερος, ὥστ' οὐ δύναται διαλύειν σκληρότητας σκιρρώδεις, εἴ τι μεμνήμεθα τῶν ἐν τῷ πέμπτῳ γράμματι περὶ τούτων εἰρημένων. ἐκ δ' οὖν τοῦ μοσχείου γε καὶ ἐλαφείου μυελοῦ, καὶ πεσσοὶ μαλακτικοὶ τῶν κατὰ τὰς μήτρας συντίθενται, καὶ κατ' αὐτῆς ἔξωθεν τῆς μήτρας ἐπιτίθεται φάρμακα διὰ μυελοῦ σκευαζόμενα, δύναμιν ἔχοντα μαλακτικήν. λαμβάνεται δ' οὐ μόνος ὁ ἐκ τῶν ὀστῶν μυελὸς, ὅσπερ δὴ καὶ ὄντως ἐστὶ μυελὸς, ἀλλὰ καὶ ἐκ τῆς ῥάχεως, ὃν καὶ αὐτὸν ὀνομάζουσι μυελὸν νωτιαῖον, ὄντα σκληρότερόν τε καὶ αὐχμηρότερον τοῦ λοιποῦ. μαλακώτερος γάρ ἐστιν ἐκεῖνος, καὶ λιπαρώτερος, καὶ διὰ τοῦτ' ἐγὼ τὸν ἐκ τῆς ῥάχεως, ἰδίᾳ καθ' ἑαυτὸν ἀπὸ τούτου κατατίθεμαι. φροντίζω δὲ τοῦ μήτε σαπῆναι, μήτ' εὐρῶτα σχεῖν ἑκάτερον τῶν μυελῶν. ἐν χειμῶνί τε οὖν πρῶτον αὐτοὺς λαμβάνω, καθάπερ καὶ τὸ στέαρ, εἶτ' ἐν οἴκῳ ξηραίνων ὑψηλῷ τε καὶ αὐχμηρῷ, μετὰ φύλλων δάφνης ξηρῶν ἀποτίθεμαι. τὰ γὰρ ὑγρὰ καὶ πρόσφατα φύλλα, πολὺ τῆς ἑαυτῶν μεταδίδωσι ποιότητος, ὥστε δριμυτέρους γενέσθαι τοὺς μυελούς. εἰ δέ ποτε καὶ θερμοῦ, καὶ νοτίου τοῦ περιέχοντος ὄντος ἀποθέσθαι βουληθείης μυελοὺς, ἢ στέαρ, ἔστω σοι προεσκευασμένος οἶκος, μήτε θερμὸς, οἷοι μάλιστά εἰσιν οἱ πρὸς μεσημβρίαν ἐστραμμένοι, σήπεται γὰρ ἐν τοῖς τοιούτοις, μήτε κατάγειος ὑγρὸς, εὐρωτιᾷ γὰρ ἐν τοῖς τοιούτοις, ἀλλ' ὑψηλός τε καὶ πρὸς ἄρκτον ἐστραμμένος, ἀναπεπταμένας ἔχων μικρὰς θυρίδας, ὡς δέχεσθαι τοὺς ἀρκτικοὺς ἀνέμους δι' ἡμέρας τε καὶ νυκτός.

3. *De medulla.*

Medulla vim habet indurata, & scirrhosa corpora emolliendi, siue musculis, siue tendonibus, siue ligamentis id accidat, siue etiam visceribus. Optimam semper expertus sum ceruinam, deinde iuniorum Boum, quos vitulos etiam nominant, ac proinde medullam eorum vitulinam appellitant. At hircorum, & taurorum tum acrior est, tum siccior. Itaque durities scirrhosas dissoluere nequit, siqua etiam memoria manet eorum, quæ in quinto libro de his sunt
C prodita. Ex vitulina igitur & ceruina medulla pessi componuntur vteros emollientes. Et extrinsecus vteris medicamenta imponuntur, quæ ex medulla præparantur, vim habentia emolliendi. Accipitur autem non solum medulla ex ossibus, quæ sanè re vera est medulla, sed & ex spina, quam & ipsam medullam nominant, spinalem videlicet, quæ tum durior, tum siccior est, quàm alia; illa enim mollior est, & pinguior; ac proinde ego spinalem seorsum per sese absque illa repono. Sed ea mihi vtriusque cura est, ne aut putrescant, aut situm colligant. Itaque in
D hyeme primum eas capio, velut & adipem: deinde in ædibus siccis atque editis, planè humoris expertibus, cum foliis lauri siccis repono: nam quæ recentia sunt, & humida, multum etiam qualitatis suæ illis impertiunt, vt acriores fiant medullæ. At si quando ambiente calido, & austrino medullas, aut adipem voles reponere, paratum sit in hoc cubiculum neque calidum, qualia ferè sunt, quæ meridiem spectant, putrescunt enim in talibus; nec humo proximum, atque humidum, nam in talibus situm contrahunt; sed supernum atque excelsum, & ad aquilonem
E obuersum, paruas habens apertas fenestras, vt tam noctu quàm interdiu ab arcto spirantes ventos accipiat.

δ'. Περὶ κεφαλῶν μαινίδων.

Κεφαλῶν μαινίδων ταριχηρῶν καείσων τις, ἐχρῆτο πρὸς τὰς ἐν ἕδρᾳ ῥαγάδας, ὁ δ' αὐτὸς οὗτος, καὶ πρὸς γαργαρεῶνα χρονίως ἐσκιρρωμένον. ἔοικεν οὖν ἡ δύναμις αὐτῶν ξηραντική τις εἶναι, μὴ πάνυ δριμεῖα. τοῦτο γὰρ ἐνίοις ὑπάρχει τῶν κεκαυμένων, ὥς τό γε ξηραίνειν κοινὸν ἅπασιν.

4. *De capite mænidum.*

Capitibus mænidum sale conditarum vstis, ad sedis fissuras vtebatur quidam, & is ipse ad columellam diu induratam. Videtur ergo vis illarum esse desiccatoria, non admodum acris; nam id adustorum quæpiam obtinent, sicut omnia communiter desiccationem.

F

ε'. Περὶ κεφαλῆς λαγωῶν.

Ἕτερος δὲ κεφαλὴν ὅλην λαγωοῦ καίων, ἐχρῆτο πρὸς ἀλωπεκίας μετὰ στέατος ἀρκτείου.

5. *De capite leporum.*

Alius caput totum leporis comburens vtebatur ad alopecias cum adipe vrsino.

6. De

A

6. *De capite lacertarum.*

POrrò lacertæ caput contritum quidam palos, & spicula extrahere memoriæ reliquerunt, tum myrmecias, acrochordonas, & clauos.

7. *De cerebro leporis.*

CErebrum leporis attritum & esum vtile esse didicimus pueris dentientibus, capite videlicet toto elixo, vt fieri solet. Non tamen eximia vis eius est, sed similis melli, & butyro, & aliis quæ ad dentientes pueros conueniunt. Quidam etiam aduersus metum vtiliter edi cerebrum hoc prodidere. B

8. *De cornibus cerui & capræ.*

COrnibus cerui, & capræ vstis maximè vtuntur; vt & nos sæpè vsi sumus, tum ad candorem dentium, tum ad contrahendas mollitie fluidas gingiuas. Cæterùm ceruinum maximè laudatur ac commendatur ab iis, qui talia scribunt. Quòd si ab vstione lauetur, dysenteriam, & sanguinis excreationem, præterea cœliacos affectus sanat; & aurigini vtile esse dicunt. Porrò duo exhiberi cochlearia ad omnia ista præcipiunt. Miscuerunt autem ipsum nonnulli, vt dictum est, vstum & elotum, collyriis etiam desiccantibus oculorum fluxiones. Est enim scilicet omnium talium vis exiccatoria, velut & ante dictum est. C

D

9. *De pulmone agnino & porcino, & vulpino.*

PVlmo agninus, pariter, & porcinus, intertrigines à calceamentis curare creditur. At vulpinus si bibatur resiccatus, asthmaticos iuuat.

10. *De iecore canis rabidi.*

IEcur canis rabientis, si assum edatur, remedium existere iis, qui ab ipso fuerint morsi, quibusdã est proditum; ac scio certè quosdã, qui sumpsere, mãsisse superstites, verùm non illo duntaxat vsos; siquidẽ alia prætereà remedia, quorũ fecimus periculũ, in rabiẽtibus tũc adhibuimus. Audiui verò quosdã, quũ illi soli fidẽ habuissẽt, postea mortuos. E

11. *De iecore caprino & hircino.*

POrrò caprinũ iecur quidã assantes, saniemq; effluentẽ excipientes, inungunt nyctalopa affectos. Vaporem etiam eius dum elixatur, oculis apertis excipiendũ præcipiunt. Quin & assũ si edatur, & ad eosdẽ affectus accõmodari aiunt: & eos, qui comitiali morbo sunt obnoxij arguere, cõuulsionémque illis accersere. Idem potest hircinum. F

12. *De iecore lacertæ.*

IEcur autẽ lacertæ erosis impositũ dentibus, eos dolore liberare nonnulli scriptum reliquere.

ϛʹ. Περὶ κεφαλῆς σαύρων.

Τὴν δὲ τῆς σαύρας κεφαλὴν λειωθεῖσαν, ἔνιοι γράφουσι σκόλοπας ἐξάγειν, καὶ μυρμηκίας, καὶ ἀκροχορδόνας, καὶ ἥλους.

ζʹ. Περὶ ἐγκεφάλου λαγωοῦ.

Ἐγκέφαλον λαγωοῦ, παρατριβόμενόν τε καὶ ἐσθιόμενον ἐπὶ τῶν ὀδοντιώντων παίδων ἐμάθομεν ὠφέλιμον ὑπάρχειν, ἡψημένης δηλονότι τῆς κεφαλῆς ὅλης, ὥσπερ εἴωθε, οὐ μὴν ἐξαίρετός γε ἡ δύναμις αὐτοῦ, ἀλλὰ παραπλησία μέλιτι, καὶ βουτύρῳ, καὶ τοῖς ἄλλοις, ὅσα πρὸς ὀδόντας φυομένων παιδίων ἁρμόττει. τινὲς δὲ καὶ φόβοις βοηθεῖν ἐσθιόμενον τὸν ἐγκέφαλον τοῦτον ἔγραψαν.

ηʹ. Περὶ κεράτων ἐλάφου, καὶ αἰγῶν.

Κέρασιν ἐλάφου, καὶ αἰγὸς κεκαυμένοις μάλιστα χρῶνται, καθάπερ καὶ ἡμεῖς ἐχρησάμεθα πολλάκις, εἴς τε τὸ λαμπρύνειν τοὺς ὀδόντας, καὶ προστέλλειν τὰ οὖλα τὰ πλαδαρά. τὸ δὲ τῆς ἐλάφου, τινὲς τῶν γραψάντων τὰ τοιαῦτα μάλιστ' ἐπαινοῦσιν, ὡς εἰ μετὰ τὸ καυθῆναι πλυθείη, καὶ δυσεντερίαν, καὶ πτύσιν αἵματος, ἔτι τε τὰς καλουμένας κοιλιακὰς διαθέσεις ἐκθεραπεύειν, ἰκτερικοῖς τε διδόμενον ὠφέλιμον· ἐπὶ πάντων δὲ τούτων κελεύουσι διδόναι κοχλιάρια δύο, μεμίχασι δὲ αὐτὸ τινες, ὡς εἴρηται κεκαυμένον τε καὶ πεπλυμένον, καὶ τοῖς ξηραίνουσι κολλυρίοις τὰ ἐν ὀφθαλμοῖς ῥεύματα. ἔστι γὰρ δηλονότι πάντων τῶν τοιούτων ἡ δύναμις ξηραντική, καθάπερ καὶ εἴρηται.

θʹ. Περὶ πνεύμονος ἀρνείου καὶ χοιρείου, καὶ ἀλώπεκος.

Πνεύμων ἀρνός τε καὶ χοίρου, τὰ ἐξ ὑποδημάτων παρατρίμματα θεραπεύειν πεπίστευται. ὁ δὲ τῆς ἀλώπεκος, σκελετευθεὶς εἰ πίνοιτο, τοὺς ἀσθματικοὺς ὠφελεῖ.

ιʹ. Περὶ ἥπατος κυνὸς λυττῶντος.

Ἧπαρ τὸ μὲν λυττῶντος κυνός, ἔγραψαν τινες, εἰ ὀπτηθὲν βρωθείη, τοῖς ὑπ' αὐτοῦ δεδηγμένοις γίγνεσθαι βοήθημα, καί τινας μὲν οἶδα τῶν προσενεγκαμένων αὐτὸ ζῆν, ἀλλ' οὐκ ἐκείνῳ μόνῳ, χρησαμένοις δ' ἐφεξῆς, καὶ τοῖς ἄλλοις φαρμάκοις, ὧν πεῖραν ἔχομεν, ἐπὶ τῶν λυσσοδήκτων. ἤκουσα δέ τινας αὐτῷ μόνῳ πιστεύσαντας, ὕστερον ἀποθανόντας.

ιαʹ. Περὶ ἥπατος αἰγός, καὶ τράγου.

Τὸ δὲ τῆς αἰγὸς ἧπαρ ὀπτῶντές τινες, εἶτα λαμβάνοντες τὸν ἀπορρέοντα ἰχῶρα πρὸς νυκτάλωπας χρῶνται, καὶ τὴν ἀτμὸν δ' αὐτοῦ δέχεσθαι τοῖς ὀφθαλμοῖς ἀνεῳγόσι κελεύουσιν ἑψομένου. καὶ μέντοι καὶ ὀπτὸν ἐσθιόμενον, πρὸς ταῦτα τὰ παθήματά φασιν ἁρμόττειν, ἐλέγχειν τε τοὺς ἐπιλήπτους εἰ βρωθείη. ταὐτὸ δὲ δύνασθαι, καὶ τὸ τράγειον ἧπαρ.

ιβʹ. Περὶ ἥπατος σαύρας.

Ἧπαρ σαύρας ἐντεθὲν ὀδοῦσι βεβρωμένοις, ἔγραψαν τινες ἀνωδυνίαν ἐργάζεσθαι.

A

ιγʹ. Περὶ κοιλίας αἰθυίας.

Κοιλίαν αἰθυίας ἐπαινοῦσί τινες, ὡς πεπτικὸν φάρμακον, εἴ τις ἢ παραχρῆμα λαμβάνων ἑφθὴν, ἢ σκελετεύων προσφέροιτο. πειραθέντες δὲ ἡμεῖς αὐτοῦ, ματαίαν εὕρομεν τὴν ὑπόσχεσιν, ὥσπερ καὶ τοῦ τῶν ἀλεκτορίδων ἔνδον χιτῶνος, ὃν καὶ αὐτὸν ἔνιοι σκελετεύοντες, ὠφελεῖν φασιν εἰ ποθείη τοὺς στομαχικούς.

ιδʹ. Περὶ ἥπατος λύκου.

B

Τὸ δὲ ἧπαρ τοῦ λύκου, πολλάκις μὲν ἔβαλλον εἰς τὸ δι' εὐπατορίου φάρμακον ἡπατικὸν, οὐ μὴν ὑπεροχῆς τινος ἐπειράθην ἀξιολόγου, παραβάλλων αὐτῷ τὸ χωρὶς τούτου σκευαζόμενον.

ιεʹ. Περὶ καστορίου.

Ὄρχεις κάστορος ὀνομάζουσι καστόριον, ἔνδοξον δὲ καὶ πολύχρηστον φάρμακον, ὡς καὶ βιβλίον ὅλον Ἀρχιγένει γεγράφθαι περὶ καστορίου χρήσεως. ἐκεῖνος μὲν οὖν τὰς κατὰ μέρος αὐτοῦ δυνάμεις διῆλθεν, ἐγὼ δὲ, ὥσπερ ἐπὶ τῶν ἄλλων φαρ- C μάκων, οὕτω κἀπὶ τούτου τὴν καθόλου δύναμιν ἐρῶ, πρὸς ἣν ἀποβλέπων τις εὑρίσκειν ἑαυτῷ δυνήσεται τὰς κατὰ μέρος. ὅτι μὲν δὴ θερμαίνει, πρόδηλον. εἰ γὰρ ἐθελήσαις λεῖον ἀκριβῶς ἐργασάμενος αὐτὸ, δεύσας ἐλαίῳ, χρῖσαί τε καὶ ἀνατρῖψαί τι αὐτῷ μόριον, ἐναργῶς αἰσθήσῃ θερμαινόμενον αὐτό. τὰ δὲ θερμαίνοντα πάντα διαφοροῦντά τι τῆς πλησιαζούσης οὐσίας, εὐθέως αὐτὴν καὶ ξηραίνει, πλὴν εἰ μή τι φύσει ὑγρὸν εἴη, καθάπερ ἔλαιόν τε καὶ ὕδωρ, ἐπίκτητόν τε ποιότητα θερμὴν οὐ δύναμιν προσλάβοι, καθάπερ αὐτὰ ταῦτα πυρὶ πλησιάσαντα, καὶ ἡλίῳ θερινῷ. τοῦ τοίνυν καστορίου, καὶ ἡ σύστασις οὖσα ξηρὰ, D προσειληφυῖά τε τὸ θερμαίνειν, εἰκότως ξηραίνει. τοῦτο μὲν οὖν κοινὸν αὐτῷ καὶ ἄλλοις φαρμάκοις παμπόλλοις ἐστί. λεπτομερὲς δ' ἱκανῶς ὑπάρχει, καὶ κατὰ τοῦτο πλέον ἑτέρων δύναται, θερμαινόντων τε καὶ ξηραινόντων ὁμοίως αὐτῷ. τὰ γάρ τοι λεπτομερῆ φάρμακα δραστικώτερα τῶν παχυμερῶν ἐστι, κἂν ἴσην ἔχῃ τὴν δύναμιν ἐκ τοῦ διεξέρχεσθαι, καὶ κατὰ βάθους ἰέναι, τῶν ὁμιλούντων σωμάτων, καὶ μάλισθ' ὅταν ᾖ ταῦτα πυκνὰ, καθάπερ τὰ νευρώδη. φανερῶς γοῦν ὑπὸ τοῦ καστορίου τὰ τοιαῦτα μεγάλως ὠφελεῖται, διὰ τὴν εἰρημένην αἰτίαν. ἀγνοοῦσι δὲ οἱ πλεῖστοι τῶν ἰατρῶν, ἐν τῇ τοῦ καστορίου E χρήσει προσέχοντες τὸν νοῦν αὐτῷ μόνῳ τῷ τρέμειν, ἢ σπᾶσθαί τι μόριον, ἢ ἀναίσθητον, ἢ ἀκίνητον εἶναι, ἢ δυσαίσθητον, ἢ δυσκίνητον μὴ γινώσκοντες, ἑπόμενα τὰ τοιαῦτα συμπτώματα διαθέσεσι σώματος ἀνομοίαις. ἀλλὰ σύ γε παρ' Ἱπποκράτους μαθὼν, ἐπὶ πληρώσει τε καὶ κενώσει γίνεσθαι σπασμὸν, ἔνθα μὲν χρὴ κενῶσαι τὰ παρὰ φύσιν ἐν τοῖς νεύροις περιεχόμενα, καὶ πίνειν δίδου, καὶ κατὰ τοῦ δέρματος ἔξωθεν ἐπιτίθει καστόριον. ἔνθα δὲ δι' ὑπερβάλλουσαν ξηρότητα γίγνεται σπασμὸς, ἐναντιώτατον εἶναι γίγνωσκε τὸ φάρμακον τοῦτο. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τοῖς τρέμουσι διὰ πλῆθος ὠφελιμώτατόν ἐστιν, ἐναντιώ- F τατον δὲ τοῖς διὰ κένωσιν εἰς τὸ τοιοῦτον πάθος ἐμπίπτουσιν. ἀνάλογον δὲ τοῖς εἰρημένοις πάθεσι, καὶ τοῦ λύζειν ἐν τῷ στομάχῳ γιγνομένου τὴν διάθεσιν εὑρὼν, καὶ διορισάμενος. εἰ μὲν ὑπὸ πλήθους τοῦτο πάσχοιεν οἱ κάμνοντες, ἐπὶ τὴν τοῦ καστορίου χρῆσιν ἧκε, διὰ ξηρότητα δὲ καὶ κένωσιν, ἢ δι' ὑγρῶν

13. *De ventre mergi.*

Ventrem mergi quidam commendant tanquam medicamentum concoquens; idque siue protinus elixum, siue arefactum comedas. At nos id experti, vanam esse promissionem comperimus; sicut sanè etiam quod de interna tunica gallinarum memoriæ est proditum. Aiunt enim, quidam, si ea arefacta bibatur, iuuare stomachicos.

14. *De iecore lupino.*

Iecur lupinum sæpenumero in medicamentum indidi hepaticum, quod ex eupatorio conficitur; nec tamen, quod mentione dignum sit, amplius præstare comperi, ad illud videlicet comparans quod sine ipso componitur.

15. *De castorio.*

Testiculos castoris nuncupāt castorium medicamentum & celebre, & multi vsus, adeò vt Archigenes de castorij vsu totū conscripserit librū. Atq; ille sanè particulares eius facultates exposuit; nos verò velut in aliis medicamentis fecimus, ita & in hoc quoq; generalē modò facultatē dicemus. Quā si præ oculis habeas, ipse per te particulares inuenire possis. Itaq; quòd calefaciat, manifestum est. Nam si voles ipsum ad vnguem læuigatum oleo maceratū parti cuipiam infricare, euidenter illam incalescere percipies. Porrò calefacientia omnia vbi contactæ substantiæ quippiam digerunt, continuò etiam illā desiccant, nisi siquid natura fuerit humidum, ceu oleum, & aqua, atque aduentitiam qualitatem calidā, non facultatem assumpserit; sicut certè hæc ipsa igni, Solíve æstiuo admota. Itaque quum castorij cōsistentia quoque sit sicca, & calefaciendi potentiam habeat adiunctam, meritò desiccat; atq; hoc illi cum multis aliis medicamentis commune existit. Porrò quoniam impensè tenuium est partium, ob id plus valet, quàm alia, quæ similiter vt ipsum calefaciunt, & desiccant. Nam quæ tenuium sunt partium medicamenta, iis, quæ sunt crassarum, sunt efficaciora, etiam si parem sortita fuerint facultatem, nimirum quia penetrent, & in altum subeant admotorum corporum, potissimum si ea densa fuerint, velut neruosa. Palàm igitur talia ob causam positam magnificè iuuantur à castorio. Cæterū falluntur medicorum plerique in vsu castorij, quum id modò considerant partem quampiam, aut tremere, aut conuelli, aut sensu motúve priuatam esse, aut ægrè sentire, mouereve, haud scientes id genus symptomata ad dissimiles sequi corporis affectus. At tu ab Hippocrate doctus ex plenitudine pariter, & inanitione conuulsionem consequi; vbi quidem quæ in neruis continentur prçter naturā, euacuare consilium est, ibi & bibendum exhibe, & foris cuti castorium impone; vbi verò ex siccitate nimia obuenerit conuulsio, scito hoc medicamentum illic esse aduersissimum. Ad eundem modū iis, qui præ plenitudine tremunt, vtilissimum; aduersissimū verò iis, quibus id accidit ab inanitione. Ad portionem modò dictorum affectuum, vbi singultus euenerit stomachi, perscrutato prius, inuentóque illius affectu, ac discreto, siquidem à plenitudine ipsum ægroti perpetiantur, ad castorei vsum accedito; sin autem à siccitate, & euacuatione, aut acrium

humorum

humorũ morſu prouenerit, medicamentũ hoc fugito. Sanè ſi odori guſtuiq; aduertas animũ, ſuſpicaberis humano corpori aduerſiſſimã habere ſubſtantiam; tametſi in vſu nihil efficere comperiatur eorũ, quæ talia facere aſſolent. Siquidẽ alia ſtomachũ vitiant, alia ventrẽ, alia caput, alia aliam quamuis partem lædunt; at hoc medicamentũ, ſiue corpori humido applices reſiccationem poſcenti, ſiue frigido, calefactionẽ, ſiue humido ſimul frigidóq; calefactionẽ pariter, & reſiccationem requirenti, magnã vtique experiere cõmoditatem; nec vllam parti cuiquam noxam afferet, potiſſimũ ſi febri vacet, aut non admodũ calidã perpetiatur homo febrim, ſed, vt ſic dicam, tepidã, qualis accidit in caphoris maximè, & lethargis. Ac multis ſanè caſtorium exhibuimus vnà cum pipere albo, vtrunque mẽſura cochlearij ex melicrato bibendũ præbentes; nec quiſquam vllam ſenſit noxam. Sed & mẽſibus retentis, vbi per venam, quæ in talo eſt, modicè euacuaſſem, oblato caſtorio vnà cum pulegio, aut calamintha, ſemper medicamentum hoc expertus ſum purgationẽ ciere abſq; fœminæ læſione. Præterea ſecũdas morantes eiicit, eáq; omnia ex melicrato potũ efficit. At quibus ita venter flatu diſtenditur, vt ægrè curationẽ admittat, itaq; torminibus vexatur, atq; ſingultu, idq; ob frigidos craſſóſq; humores, aut craſſos flatulẽtóſq; ſpiritus, eos ex oxycrato potũ adiuuat. Quæ porrò iuuat in corpus intrò ſumptũ, iis prodeſt quoq; cuti impoſitũ cũ ſicyonio, aut veteri oleo, quæ verò ampliori caliditate indigent, iis etiam per ſeſe infricari debet. Iuuat etiam ſi quis ſuffitũ eius in prunis impoſiti inſpiratione hauriat, maximè affectus humidos, & frigidos in pulmone, aut capite cõſiſtentes. Attamen lethargicos, & cataphoricos affectus omnes, qui quidẽ adiunctam habent febrem, præſtat non dictorũ oleorum quopiam macerantes curare, ſed potius ex roſaceo capiti, collóq; imponere.

16. *De renibus ſcincorum.*

RЕnes ſcincorum bibunt quidam tanquam pudenda intendentes; quorum contrarium accidere videtur maximè ſemine lactucæ poto ex aqua. Sed & quidam lenticularum decoctum cum melle bibitum intenſiones ſedare referunt.

17. *De vnguibus caprarum, & aſinorum.*

QVidã vngues caprarũ deuſtos moxq; aceto perfuſos alopeciis illinũt. Itaq; fuerit & talis cinis facultatis extenuatoriç. Sunt autem qui combuſtos aſinorum vngues comitialẽ morbũ curare dicant, ſi ſcilicet, aſſiduò bibantur: ſi verò oleo macerentur, ſtrumas digerere; ſed & ipſum cinerem, ſi ſiccus inſperſus fuerit, ſanare perniones.

18. *De oßibus vſtis.*

OSſa cõbuſta admodũ digerentẽ exiccãtẽmque vim obtinẽt, & id maximè, vt quidã aſſerunt humana. Certè Talũ ſuillum cõbuſtum, ac deinde bibitũ, inflationes, & tormina ſanare dixerunt; noui autem noſtratium quoſdã oſſa combuſta potui exhibuiſſe, haud ſcientibus qui biberent, quidnam bibiſſent, ne ſcilicet auerſarentur: ac multorum tum epilepſiam, tum arthritim curaſſe.

A δριμέων δῆξιν εἰ συσταίη, φευκτέον τὸ φάρμακον. ὑπονοήσειε μὲν οὖν τις αὐτό, τῇ τε ὀσμῇ, καὶ τῇ γεύσει προσέχων, ἀλλοτριωτάτην ἔχειν ἀνθρώπου σώματι τὴν οὐσίαν. ἐν μέντοι τῇ χρήσει, φαίνεται μηδὲν ἐργαζόμενον ὧν τὰ τοιαῦτα ποιεῖ. τὰ μὲν στόμαχον κακοῦντα, τὰ δὲ γαστέρα, τὰ δὲ κεφαλήν, τὰ δὲ ἄλλο τι. τουτὶ δὲ τὸ φάρμακον, εἴθ᾽ ὑγρῷ σώματι προσφέροις δεομένῳ ξηρότητος, εἴτε ψυχρῷ θερμότητος, εἴθ᾽ ὑγρῷ καὶ ψυχρῷ, θερμότητος καὶ ξηρότητος χρῄζοντι, μεγάλην μὲν ὠφέλειαν ἐπιδείκνυται, βλάβην δ᾽ οὐδεμίαν οὐδενὶ προστρίβεται μορίῳ, καὶ μάλιστα ὅταν ἀπύρετος ὁ ἄνθρωπος ᾖ, καὶ τῶν B πυρεσσόντων δὲ μὴ πάνυ θερμῶς, ἀλλ᾽ ὡς ἂν εἴποι τις χλιαρὸν πυρετόν, οἷος ἐν καταφοραῖς μάλιστα, καὶ ληθάργοις γίγνεται. πολλοῖς μὲν πάνυ τὸ καστόριον ἐδώκαμεν, ἅμα μὲν πεπέρει λευκῷ κοχλιαρίου πλῆθος, ἑκατέρου διὰ μελικράτου ποτίζοντες, ἐβλάβη δ᾽ οὐδεὶς οὐδέν, ἀλλὰ καταμηνίων ἐπεχομένων, προκενώσας ἀπὸ σφυροῦ μετρίως, εἶτα διδοὺς καστόριον μετὰ γλήχωνος, ἢ καλαμίνθης, ἐπειράθην ἀεὶ τοῦ φαρμάκου κινοῦντος κάθαρσιν, ἄνευ τοῦ βλαβῆναί τι τὴν ἄνθρωπον. ἐκβάλλει δὲ καὶ χόρια κατεχόμενα. ταῦτα μὲν οὖν ἅπαντα, διὰ μελικράτου πινόμενον ἐργάζεται. τοὺς δὲ ἐμπνευματου- C μένους τὴν γαστέρα δυσιάτως, ἢ στροφουμένους, ἢ λύζοντας, ἐπὶ ψυχροῖς καὶ γλίσχροις χυμοῖς, ἢ παχεῖ, καὶ φυσώδει πνεύματι, δι᾽ ὀξυκράτου πινόμενον ὀνίνησιν. ὅσα δὲ εἴσω τοῦ σώματος λαμβανόμενον ὠφελεῖ, ταῦτα καὶ κατὰ τοῦ δέρματος ἐπιτιθέμενον ἅμα σικυωνίῳ, ἢ παλαιῷ ἐλαίῳ. τὰ δὲ πλείονος θερμότητος δεόμενα, καὶ ἀνατρίβειν προσήκει δι᾽ ἑαυτοῦ. ὠφελεῖ δὲ καὶ εἴ τις ἐπ᾽ ἄνθραξιν αὐτὸ θυμιῶν, ἀρύῃ διὰ τῆς εἰσπνοῆς, καὶ μάλιστα τὰ κατὰ τὸν πνεύμονα, καὶ ἐγκέφαλον ὑγρὰ καὶ ψυχρὰ πάθη, τά γε μὴν ληθαργικά, καὶ καταφορικὰ πάντα πάθη, μετὰ πυρετῶν, ἄμεινον οὐ τῶν εἰρημένων ἐλαίων τινὶ δεύοντας θεραπεύειν, D ἀλλὰ διὰ ῥοδίνου μᾶλλον ἐπιτιθέναι τῇ κεφαλῇ, καὶ τῷ αὐχένι.

ιϛ'. Περὶ νεφρῶν σκίγκων.

ΤΑ περὶ τοὺς νεφροὺς τῶν σκίγκων, ὡς ἐνταντικὰ αἰδοίων πίνεται, καὶ ἀντιπεπονθέναι γε αὐτοῖς δοκεῖ, μάλιστα θρίδακος σπέρμα μεθ᾽ ὕδατος πινόμενον. ἔνιοι δὲ καὶ τὸ τῶν φακῶν ἀφέψημα μετὰ μέλιτος πινόμενον, παύειν φασὶ τὰς ἐντάσεις.

ιζ'. Περὶ ὀνύχων αἰγείων, καὶ ὀνείων.

E ΟΝυχας αἰγῶν ἔνιοι καυθέντας, εἶτα τὴν τέφραν ὄξει δεύοντες, ἀλωπεκίας καταχρίουσιν, ὥστ᾽ εἴη ἂν καὶ ἡ τοιαύτη τέφρα λεπτυντικῆς δυνάμεως. ἔνιοι τοὺς τῶν ὄνων ὄνυχας καυθέντας, ἐπιληπτικοῖς φασὶ θεραπεύειν, εἰ πίνοιντο συνεχῶς, ἐλαίῳ δὲ φυραθέντας, χοιράδας διαφορεῖν. ἐπιπαττομένην δὲ τὴν αὐτὴν τέφραν ξηράν, ἰᾶσθαι τὰ χίμεθλα.

ιη'. Περὶ ὀστῶν κεκαυμένων.

ΟΣτᾶ κεκαυμένα διαφορητικῆς καὶ ξηραντικῆς ἱκανῶς ἐστι F δυνάμεως, μάλιστα δέ φασιν ἔνιοι, τὰ τῶν ἀνθρώπων δύνασθαι τοῦτο. τόν γε μὴν ὕειον ἀστράγαλον κεκαυμένον, εἶτα πινόμενον, ἐμπνευματώσεις καὶ στρόφους ἔφασαν θεραπεύειν. ἔγνων δέ τινας τῶν καθ᾽ ἡμᾶς ἀνθρώπων, ὀστᾶ κεκαυμένα ποτίζοντας, μὴ γινωσκόντων τῶν πινόντων ὅ,τι πίνοιεν, ὅπως μὴ μυσάττοιντο, πολλῶν ἐπιληψίαν τε καὶ ἀρθρῖτιν ἐκτεθεραπευκέναι.

ιθ'. Περὶ γήρως ὄφεως.

Γῆρας ὄφεως, ἔγραψάν τινες ἀναζεσθὲν ἐν ὄξει θεραπεύειν ὀδονταλγίας.

κ'. Περὶ δέρματος προβάτου.

Δέρμα προβάτου νεωστὶ ἐκδεδαρμένου, περιτεθὲν τοῖς μεμαστιγωμένοις ὁπωσοῦν, ἐναργῶς ὠφελεῖ πάντων ἑτέρων μᾶλλον, ὡς ἐν ἡμέρᾳ μιᾷ, καὶ νυκτὶ θεραπεύειν αὐτούς, συμπέττει τε γὰρ καὶ διαφορεῖ τὰ ὕφαιμα.

κα'. Περὶ ἵππων λειχήνων.

Λειχῆνας ἵππων, λειωθέντας σὺν ὄξει γεγράφασί τινες ἐπιληψίας θεραπεύειν, ἔνιοι δὲ καὶ πρὸς παντὸς θηρίου δῆγμα συμβουλεύουσι χρῆσθαι.

κβ'. Περὶ ἀράχνης ὑφάσματος.

Ἀράχνης ὕφασμα, γράφουσί τινες ἀφλέγμαντα φυλάττειν τὰ ἐπιπολῆς ἕλκη.

κγ'. Περὶ δερμάτων παλαιῶν.

Δέρματα παλαιά, τὰ ἀπὸ τῶν καττυμάτων καυθέντα, πρὸς τὰ ἐκ τῶν ὑποδημάτων ἐκθλίμματα γεγράφασιν ἁρμόττειν, ὡς δῆθεν ἀντιπαθείᾳ τινὶ τοῦτο ποιοῦντα. φλεγμαίνοντα μὲν οὖν οὐκ ὠφελεῖται, παυσαμένης δὲ τῆς φλεγμονῆς εἰκότως ὠφελεῖται ξηραινόμενα, ξηραντικὴ γὰρ ἡ τοιαύτη τέφρα. καὶ ἡμεῖς ἐχρησάμεθά ποτε κατ' ἀγρὸν αὐτῇ, πρός τι τοιοῦτον ἐκ παρατρίμματος ἕλκος. θεραπεύει δ' εἰκότως ἡ τοιαύτη τέφρα, καὶ τὰ πυρίκαυτα τῶν ἑλκῶν, καὶ τὰ καλούμενα παρατρίμματα, κατὰ τοὺς μηροὺς γινόμενα.

κδ'. Περὶ ὀστρείων.

Ὄστρεα καλοῦσιν ἔνιοι, πάντα τὰ ὀστρακόδερμα πρὸς Ἀριστοτέλους ὀνομασθέντα. τὸ δ' ὑπὸ τῶν πολλῶν ὄστρεον ὀνομαζόμενον, ἐν τῇ δευτέρᾳ συλλαβῇ χωρὶς τοῦ ι λεγόμενον, εἶδος ἕν τι τῶν ὀστρείων τίθενται, περιλαμβάνοντες ἐν τῷ παντὶ γένει, καὶ κήρυκας, καὶ πορφύρας, καὶ χήμας, καὶ πίνας, ἅπαντά τε τὰ παραπλήσια, ἐφ' ὧν ἐφεξῆς ἐρῶ.

κε'. Περὶ κηρύκων καὶ πορφυρῶν

Κηρύκων καὶ πορφυρῶν τὸ ὄστρακον, ἐπειδὴ σκληρότατόν ἐστιν, οὐδέποτ' αὐτῷ χωρὶς καύσεως κέχρημαι. καυθὲν μέντοι ξηραντικῆς ἐστι δυνάμεως, ἀκριβῶς δ' αὐτὸ χρὴ λειοῦν, ὡς χνοώδες γίνεσθαι, κόπτοντα δηλονότι, καὶ σήθοντα πρότερον. ἔστω δέ σοι τοῦτο κοινόν, ἐπὶ πάντων τῶν λιθώδη καὶ ὀστρακώδη τὴν οὐσίαν ἐχόντων. εἰ μὴ γὰρ ἀκριβῶς λειωθείη, παραπλήσια ταῖς ψάμμοις ἐστί. καὶ αὐτὸ δὲ καθ' αὑτὸ λειωθέντων αὐτῶν τὸ γινόμενον ἄλευρον, ἕλκεσι κακοήθεσιν ἁρμόττει. κοινὸν δὲ καὶ τοῦτ' αὐτὸ πάντων ἐστὶ τῶν ξηραινόντων ἰσχυρῶς, ἄνευ τοῦ δάκνειν ἐπιφανῶς, ἐρεθίζοντα γὰρ ἔνια ῥευμάτων αἴτια γίνεται. καὶ ἄλλο δέ τι κοινὸν ὑπάρχει τοῖς τοιούτοις ἅπασι, μετ' ὀξυκράτου γάρ, ἢ ὄξους, ἢ οἰνομέλιτος, ἢ ὀξυμέλιτος ἐπιτήδεια τοῖς σηπεδονώδεσιν ἕλκεσι γίνεται. διὰ τοῦτο καὶ οἱ λίθοι πάντες εἰς τοιαύτην ἀγόμενοι χρείαν, οἱ μὲν μᾶλλον, οἱ δ' ἧττον, ἅπαντες δ' αὖ ὠφελοῦσι.

19. *De senecta serpentis.*

SEnectam serpentis scripsere quidam in aceto bullitam dentium mederi doloribus.

20. *De pelle ouina.*

PEllis ouina recens detracta, circumposita iis, qui quocunque modo fuerint verberati, omnium luculentissimè adiuuat, adeò vt die ac nocte vnà illos curet; concoquit enim, & digerit, quæ sub cute sanguinem habent.

21. *De equorum lichenibus.*

EQuorum lichenas cum aceto tritas comitiales curare scriptum quibusdam est; alij verò, & ad cuiusuis feræ morsum adhiberi consulunt.

22. *De tela aranei.*

ARanei telam scribunt quidam à phlegmone tueri summæ cutis vlcera.

23. *De coriis veteribus.*

COria vetera, quæ videlicet veteramentorum sunt, vsta, ad attritiones commodari calceamentorum scriptum à quibusdam est, tãquam scilicet hoc faciant ex antipatheia quadã. Certè quæ phlegmone obsidentur, haudquaquam iuuantur; verùm vbi sedata fuit phlegmone, non iniuria iuuantur, nempe quia resiccantur; est enim talis cinis resiccatorius. Ac nos sanè quandoque in agro ad vlcus eiusmodi ex attritione sumus vsi. Curat autem talis cinis non abs re vlcerum ambusta, & quę vocantur intertrigines in feminibus existẽtes.

24. *De ostreiis.*

OStreia quidam nuncupant omnia testacea ab Aristotele appellata. At quod à plerisque vocatur ostreon, secunda syllaba absque ι scripta, vnam esse ostreiorum speciem constituunt, in toto genere comprehendentes, & buccina, & purpuras, & chamas, & pinas, & similia omnia; de quibus deinceps dicam.

25. *De buccinis, & purpuris.*

BVccinorum purpurarúmq; testa quandoquidem durissima est, nunquam absque vstione vtor; atque vsta quidem desiccandi vim admodũ possidet. Cæterùm ad vnguem eam læuigare planéque pollinis in modum necesse est, tundendo; scilicet & cribrando priùs. Quod tibi cõmune sit in omnibus lapidosis, testaceisque substantiis præceptum; nam nisi exactè læuia sint reddita, arenis similia sunt. Per se autem illarum tritarum farina vlceribus malignis competit. Id quod ipsum quoque commune est omnium, quæ citra insignem morsum desiccant vehementer; quippe quum alioqui fluxionum causa existant. Sed & aliud est omnium id genus commune, nempe vt cum aceto, aut oxycrato, aut œnomelite, aut oxymelite, idonea sint vlceribus putrescentibus. Idcirco lapides omnes vbi ad eum vsum applicantur, aliis magis, aliis minus, certè omnes conferunt.

A

26. *De ostreis.*

OStreorum testa vsta similis est facultatis buccinorum testis, tametsi etiam tenuioris, imò vt certius veriusque dicam, minus crassæ. Nam terrestrem durámque corporis sortita consistentiam concretionémque, impendio omnia crassarum sunt partium. Itaque accuratè ea læuigare necesse est. Quamobrem quum dicimus horum aliud alio esse tenuius, ita inaudienda dictio est, tãquam si Vlyssem Thersite dicamus maiorẽ, quum vterque tamen fuerit paruus; aut Aiacem Achille minorem quum ambo itidem fuerint magni. Cæterùm omnia id genus (vt antea est dictum) cogendi quandam in se facultatem obtinent, per quam condensata eorum essentia, dura terrestriaq; sunt reddita; quam vbi per vstionem deposuerint, contrariam ascíscunt facultatem, quam vocant digerentem; porrò si vsseris ea, laueris que, ignea tota natura in aquam deposita, ipsam efficiunt cum tenuitate calefacientem, adeo vt & interdum putrefaciat; reliquum verò terreum, morsus fit expers; id quod maximè implendis, cicatricéque claudendis vlceribus humidis est vtile. Igitur testa eorum, quæ peculiariter vocantur ostrea, combusta vtor ad diuturnas ex fluxione ægréque carne implebiles cauitates, nempe quæ fistulosæ sunt, atque profundæ, eam foris cum suillo adipe veterato circumponens; id vulgò axungiam nuncupant. At in sinum ipsum aliquid eorum quæ talia carne implent, immitto, quale æs vstum Diphryges, quod specarium nominant. Parem in genere facultatem habent, & cæterorum ostracodermorum testæ deustæ, maximè verò, vt dixi, ostreorum, deinde buccinorum, & purpurarum. Itaque cinis eius generi emplasticis miscetur facultatibus digerentibus, & cum quouis adipe digerit. Verùm quoniam inueteratus efficacius digerit, illi magis misceri solet. Porrò potentius hoc medicamentum digeret, si acrem illi adipem quempiam miscueris; de quibus superius determinatum est. Quin & dentes splendidiores talium omnium cinis efficit, non tantùm extergendi potentia, sed, & asperitate substantiæ, velut, & pumex, & testa clibani. Verùm in vsu eiusmodi non est necesse, quæ sic vsta sunt, admodum læuigare; at in vlceribus rebellibus præ omnibus diligenter sunt læuiganda, ac inspergenda. Porrò excrescentiam carnis mediocriter exterunt comprimuntque. Ad hæc cum sale omnia id genus vsta dentium smegma reddunt efficacius, adeo, vt non modò laxitatem mollitiémque gingiuarum desiccet, verùm etiam vlcera putrescentia adiuuet.

κϛ'. Περὶ ὀστρέων.

Οστρέων τὸ ὄστρακον καυθὲν, ὁμοίας ἐστὶ δυνάμεως τῷ
τῶν κηρύκων ὀστράκῳ, καὶ μᾶλλόν ἔτι λεπτομερεστέρας,
ἀσφαλέστερον δ' εἰπεῖν ἧττον παχυμεροῦς. ἅπαντα γὰρ γεώδη,
καὶ σκληρὰν τὴν τοῦ σώματος ἔχοντα σύστασίν τε καὶ πῆξιν,
ἱκανῶς ἐστι παχυμερῆ, διὸ καὶ λειοῦν ἐπιμελῶς αὐτὰ προσή-
κει. ὅταν οὖν ποτ' εἴπωμεν, ἕτερον ἑτέρου τούτων εἶναι λεπτο-
μερέστερον, οὕτως ἀκούειν χρὴ τῆς λέξεως, ὡς εἰ καὶ τὸν Ὀδυσ-
B σέα φαίημεν εἶναι τοῦ Θερσίτου μείζονα, μικρῶν ἀμφοτέρων ὄν-
των, ἢ τὸν Αἴαντα τοῦ Ἀχιλλέως μικρότερον, ἀμφοῖν καὶ τούτων
μεγάλων ὄντων. ἔχει δ', ὡς εἴρηται καὶ πρόσθεν, ἅπαντα τὰ
τοιαῦτα τῆς συνακτικῆς τι δυνάμεως ἐν ἑαυτοῖς, δι' ἣν καὶ πι-
ληθείσης αὐτῶν τῆς οὐσίας, σκληρὰ καὶ γεώδη γέγονεν, ὃ διὰ
τῆς καύσεως ἀποβαλόντα τὴν ἐναντίαν ἐπικτᾶται δύναμιν,
ἣν διαφορητικὴν ὀνομάζομεν. εἰ δὲ πλύναις αὐτὰ, καὶ καύ-
σαις, τὸ μὲν οἷον ἐμπύρευμα πᾶν ἐναποτίθεται τῷ ὕδατι, καὶ
τοῦτό γ' ἐργάζεται θερμαῖνον λεπτομερῶς, ὡς καὶ σήπειν ἐνίοτε.
τὸ δὲ ὑπόλοιπον ἄδηκτον γίγνεται γεῶδες, ὃ μάλιστά ἐστιν
C ἐπὶ τῶν ὑγρῶν ἑλκῶν χρήσιμον, εἰς πλήρωσίν τε καὶ συνού-
λωσιν. τῷ δ' οὖν ὀστράκῳ τῶν ὀνομαζομένων ἰδίως ὀστρέων κε-
καυμένῳ, χρῶμαι πρὸς τὰς ἐκ ῥευμάτων χρονίας, καὶ δυσ-
σαρκώτους κοιλότητας, ὅσαι συριγγώδεις εἰσὶ καὶ βαθεῖαι, περι-
τεθεὶς ἔξωθεν αὐτὸ μετὰ παλαιοῦ στέατος ὑείου. καλεῖται δ' ὑπὸ
τῶν πολλῶν, ἀξούγγιον τοῦτο. καὶ εἰς γε τὸν κόλπον αὐτὸν, ἐμ-
βάλλω τι τῶν τὰ τοιαῦτα σαρκούντων, οἷόν ἐστι, καὶ ὁ κεκαυμένος
διφρυγὲς, ὃ καλοῦσι σπεκάριον. ὁμοίας δὲ κατὰ γένος ἐστὶ δυνά-
μεως, καὶ τὰ τῶν ἄλλων ὀστρακοδέρμων ὄστρακα καυθέντα, μά-
λιστα δ', ὡς ἔφην, τὸ τῶν ὀστρέων, εἶτα τῶν κηρύκων τε καὶ πορ-
D φυρῶν. μίγνυταί τε οὖν ἐμπλαστικαῖς δυνάμεσι διαφορητι-
καῖς ἡ τοιαύτη τέφρα, καὶ μετὰ στέατος ἅπαντος διαφορεῖ. τῷ
δ' εἶναι διαφορητικώτερον τὸ παλαιὸν, ἐκείνῳ μᾶλλον μί-
γνυται. δριμύτερον δὲ τοῦ προσήκοντος γὰρ τὸ φάρμακον, εἰ
τῶν δριμέων τι μίξειας αὐτῷ στεάτων, ὑπὲρ ὧν ἔμπροσθεν διω-
ρισάμην. ἀλλὰ καὶ λαμπρύνει τοὺς ὀδόντας ἡ τῶν τοιούτων
ἁπάντων τέφρα, οὐ μόνῳ τῷ ῥυπτικῷ τῆς δυνάμεως, ἀλλὰ
καὶ τῷ τῆς οὐσίας τραχεῖ, καθάπερ ἡ κίσσηρίς τε καὶ τὸ τῶν κλι-
βάνων ὄστρακον. ἐν μὲν οὖν τῇ τοιαύτῃ χρήσει, πάνυ σφόδρα
λειοῦν οὐκ ἀναγκαῖόν ἐστι τὰ οὕτω καυθέντα, τοῖς δὲ κακοή-
E θεσιν ἕλκεσιν ἐπὶ πάντων ἀκριβῶς προλειώσεις. καὶ τὰ ὑπερ-
σαρκοῦντα δὲ μετρίως καθαιρεῖ καὶ προστέλλει· μετά γε μὴν
ἁλῶν πάντα τὰ τοιαῦτα καυθέντα ποιεῖ μὲν, καὶ τὸ τῶν ὀδόντων
σμῆγμα δραστικώτερον, ὡς τὰ πλαδαρὰ τῶν οὔλων ξηραίνειν·
ἀλλὰ καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν ὠφελεῖ.

27. *De sepia.*

SEpiarum testa admodũ laxa est, non vt ostreorum lapidosa. Itaque abstersio quidem illi cum aliis ostracodermorum testis communis est, velut etiam desiccatio; cæterùm partium tenuitas eximia illi præ cæteris inest. Quocirca vsta ea vtimur ad vitiligines, ephelin, lentes, psoras. Quin & fossili sali mixta, in oculis existentes vngues eliquat. Et antequam vratur, contrita, & læuigata dentibus splendorem affert; vlceraque desiccat.

κζ'. Περὶ σηπίας.

Ἱκανῶς τὸ σηπίας ὄστρακον χαῦνόν ἐστιν, οὐχ ὥσπερ τὰ τῶν
ὀστρέων λιθώδη. τὸ μὲν οὖν ῥύπτειν, ὥσπερ καὶ τἄλλα τῶν ὀστρακο-
F δέρμων ὄστρακα, κοινὸν αὐτῷ πρὸς ἐκεῖνα, καθάπερ γε καὶ τὸ ξη-
ραίνειν. τὸ δὲ τῆς οὐσίας λεπτομερὲς, ἐξαίρετον αὐτῷ παρὰ τἄλλα
ὑπάρχει, διὸ καὶ καυθέντι χρώμεθα πρὸς ἀλφοὺς, ἔφηλίν τε, καὶ
φακοὺς, καὶ ψώρας. ἀλλὰ καὶ τοῖς ὀρυκτοῖς ἁλσὶ μιχθὲν, ἀποτήκει
τὰ κατ' ὀφθαλμοὺς γινόμενα πτερύγια. καὶ πρὶν καυθῆναι δὲ
ὀπτώμενόν τε καὶ λειούμενον, ὀδόντας τε λαμπρύνει, καὶ ξηραίνει τὰ

ἕλκη. τῷ συμμέτρῳ αὐτοῦ τῆς τραχύτητος, καὶ πρὸς τὰς ἐν ὀφθαλμοῖς μεγάλας τραχύτητας, ἃς καλοῦσι συκώσεις εἰώθαμεν χρῆσθαι, διαγλύφοντες ἐξ αὐτοῦ παραπλήσιόν τι κολλυρίῳ κατὰ τὸ σχῆμα, καὶ ἀνατρίβοντες αὐτὰς, ὡς αἱμάξαι. τούτου γὰρ γινομένου, καὶ τὰ καθαιρετικὰ τῶν κολλυρίων ἄμεινον ἐπ᾽ αὐτῶν ἐνεργεῖ.

A Porrò hoc nomine, quòd mediocrẽ obtinet asperitatẽ, adhibemus eam, & ad ingẽtes oculorũ asperitates, quas sycoseis appellare cõsueuimus. Nam exculpentes ex ea quiddã ipsa figura simile collyrio, eo illas confricamus, donec sanguinẽ reddere incipiant; quo facto collyria cathæretica, siue detrahentia præstãtius affectũ suum in illas exerunt.

κη΄. Περὶ πωμάτων πορφυρῶν.

Πώματα πορφυρῶν δι᾽ ὄξους ποθέντα, σπλῆνας οἰδαλέους ἔγραψάν τινες ἰᾶσθαι, θυμιώμενα δὲ τὰς πνιγομένας ὑστερικῶς ὠφελεῖν, ἐκβάλλειν τε τὰ κατεχόμενα χόρια.

28. *De operculis purpurarum.*

B Opercula purpurarum quidam memoriæ prodiderunt, ex aceto bibita lienes turgidos sanare; & suffitu eas, quæ vteri suffocatione periclitantur, iuuare; præterea retentas eiicere secundas.

κθ΄. Περὶ ἐρίων οἰσυπηρῶν.

Ἔρια τὰ μὲν ἔτι ῥυπαρὰ, καὶ διὰ τοῦτο καλούμενα πρός τινων οἰσυπηρὰ, χρησίμως δέχεται τὰς κατὰ τῶν τεθλασμένων, ἢ ὁπωσοῦν πεπληγότων μορίων ἐπιβροχὰς, συνεργαζόμενα πρὸς τὴν ἐξ αὐτῶν ὠφέλειαν διὰ τὸν οἴσυπον. τὰ δὲ πεπλυμένα, καὶ μηκέτι ἔχοντα τὸν οἴσυπον, ὕλη τις ἐπιτήδειος γίνεται πρὸς τὸ δέξασθαι τὰς ἐπιβρεχομένας ὑγρότητας. καυθέντα δὲ, δύναμιν ἔχει δριμεῖάν τε, καὶ θερμὴν ἅμα λεπτομερείᾳ, ὥστε καὶ τὰς πλαδαρὰς σάρκας ἐπὶ τῶν ἑλκῶν ἀποτήκειν τάχιστα. βάλλεται δὲ καὶ εἰς φάρμακον ξηραντικὸν, καίεται δ᾽ αὐτὰ, καθάπερ καὶ τῶν ἄλλων τὰ πλεῖστα, χύτραν καινὴν πληρῶν, εἶτα πωμάζων ὀπὰς πλέονας ἔχοντι πώματι.

29. *De lana succida.*

Lana sordida, ac proinde à quibusdã appellata succida, idoneè excipit irrigationes, quæ adhibẽtur contusis, aut quomodocunq; percussis particulis, vt quæ vtilitatẽ ex illis proficiscentem promoueat, idq; propter œsypon. Lota verò, nec ampliùs œsypon habens, apta quædam materia fit humoribus, qui irrigantur, excipiendis. Porrò vsta C vim habet acrem pariter, & calidam vnà cum partium tenuitate. Itaque molles nimiúmque humidas vlcerum carnes celerrimè eliquat. Inditur & in medicamenta desiccatoria. Vrito eam tanquam alia plurima, ollam implens nouam, quam tegat operculum multis foraminibus pertusum.

λ΄. Περὶ τριχῶν κεκαυμένων.

Τρίχες κεκαυμέναι παραπλησίως τοῖς κεκαυμένοις ἐρίοις, θερμαντικῆς τε καὶ ξηραντικῆς ἱκανῶς εἰσι δυνάμεως.

30. *De pilis vstis.*

Pili vsti similiter, vt vsta lana calefacientis desiccantisque admodum sunt facultatis.

D

λα΄. Περὶ τῆς τῶν ᾠῶν δυνάμεως.

Ἀκόλουθον ἂν εἴη τῇ περὶ τῶν μορίων διδασκαλίᾳ, καὶ περὶ τῶν ᾠῶν εἰπεῖν, ἀλλαχόθι γὰρ αὐτῶν οὐκ ἔχω μνημονεῦσαι. μέρη μὲν οὖν τῶν ζώων οὐκ ἔστι τὰ ᾠὰ, καθάπερ οὐδὲ τῶν δένδρων ὁ καρπὸς, οὐδὲ τῶν κυουσῶν τὰ ἔμβρυα, τοῖς δ᾽ ἐπιφυομένοις ἀνάλογον ἔχει. φαίνεται δὲ τῶν ἐπιφυομένων, τὰ μὲν οἰκεῖα πάντη ταῖς φύσεσι τῶν φυτῶν, ἢ ζώων εἶναι, τὰ δ᾽ οὐ πάντη τοιαῦτα, καθάπερ ὁ ἰξὸς ὁ ἐπιφυόμενος ταῖς δρυσίν. οὐδ᾽ ἁπλῶς εἴ τι τοῖς δένδροις ἑτερογενὲς ἐπιφύεται δένδρον, ἢ θάμνος, ἢ καρπὸς, ἢ πόα, ἢ ὅλως ἐκβλάστημά τι, καθάπερ οἱ μύκητες. ἐκ δ᾽ οὖν τῶν οἰκείων ἐστὶ, καὶ τὸ ἔριον ἐπὶ τῶν προβάτων, καὶ αἱ τρίχες ἐπὶ τῶν ἄλλων ζώων, καὶ τὰ κέρατα δὲ, τὰ ἀποπίπτοντα, καὶ πάλιν φυόμενα, καθάπερ ἐπὶ τῶν ἀρρένων ἐλάφων. ἐκ τούτου τοῦ γένους ἐστὶ, τὰ δὲ κυούμενα τοῖς καρποῖς ἀνάλογον ἔχει, διαδοχῆς ἕνεκα τοῦ γένους ὑπὸ τῆς φύσεως γινόμενα. τούτων ἕν τι καὶ τὸ ᾠόν ἐστιν, ἕνεκα τῆς τοῦ γένους διαμονῆς γεγονός. ἔστι δὲ καὶ ὡς τροφὴ χρήσιμον, ἀλλὰ νῦν οὐ πρόκειται περὶ τροφῆς λέγειν. ὅσα τοίνυν ὡς φάρμακα ἐνεργεῖ, ταῦτ᾽ εἰρήσεται κατὰ τόνδε τὸν λόγον, ἐξ ὀλίγων τῶν κατὰ μέρος χρήσεων ἐνδεικνύντων ἡμῖν τὴν δύναμιν αὐτοῦ, κατά τε τὰ μόρια, καὶ τὴν ὅλην οὐσίαν. ἐμάθομεν γὰρ ὅπως εὑρεθείσης τῆς καθόλου δυνάμεως ἑκάστου τῶν ὄντων, ἐπὶ πολλὰς κατὰ μέρος χρήσεις ἄγειν αὐτὴν δυνάμεθα. προμεμαθήκαμεν δὲ, καὶ ὅπως ἐκ μιᾶς,

31. *De ouorum facultate.*

Consequens fuerit ad partium doctrinam de ouis disserere; nam alibi eorũ meminisse non licet. Sanè oua partes non sunt animalium, ceu nec arborum fructus, nec grauidarum fœtus; verùm proportione respondet iis, quæ agnascuntur. Itaque eorum, quæ agnascuntur, quædam planè familiaria, propriáque conspiciuntur tum plantarum, tum animalium naturis; quædam non omnino talia, vt viscum, quod agnascitur quercubus: & E vt semel dicam, si qua arboribus alterius generis arbor, frutex, fructus, herba, aut omnino germen quodpiam, vt fungi, agnascantur. Ex familiaribus autem est & ouium lana, & aliorum animalium pili; & cornua, quæ decidentia denuò recrescunt, vt in masculis ceruis, ex hoc sunt genere. Conceptus autem siue fœtus fructibus proportione respondẽt, nimirum ad generis propagationem à natura creati. Ex his vnum est, & ouum, factum ad generis successionem perpetuitatémque. Cæterùm vtile est, & tanquam nutrimentum; verùm de nutrimento non est nunc institutum disserere. F Proinde quæ tanquam medicamentum efficere potest, ea hoc loco recensebo, ex pauculis vsibus particularibus vim eius exquirens tum in partibus, tum in tota substantia. Siquidem quo pacto inuenta rerum cuiusque generali facultate, ad multos eam vsus particulares ducere possimus, didicimus. Insuper docti iam sumus, quomodo ex vno

alteró ve experimento de generali facultate liceat colligere. Igitur ouorum album, & tenue illud, quo item ad ophthalmias vtimur, ex numero est medicamentorum minimè mordicantium; nec vnquam effectu frustratus sum ex vlla tali intemperie, qualem habet sæpe lac, vti ante ostendimus; in animalibus cruditatē perpetiētibus, aut nimiam famem, sitímve, aut quæ cibis pasta sunt prauis; quæ sanè frequentiùs euenire solent mulieribus, ob victus videlicet vitæque errorem. At oua vnam modò prauitatem patiuntur, quam scilicet affert vetustas; eamq; facillimè effugias. si vtaris recentibus. Porrò vsitatissimum nobis est maximéque parabile gallinarum ouum; ea propter illo vtimur aliorum oua nihil curantes, tametsi eandem cum illis habeant naturam. Temperie porrò moderato frigidius est. Itaque vtendum est oui albumine non tantùm ad oculos, verùm etiam ad alia omnia, quæ medicamenta requirunt suauissima, miniméque mordacia, vt sunt vniuersa sedis, ac pudendorum vlcera contumacia. Miscetur quoque idoneè medicamentis profluuium sanguinis ex cerebri inuolucris supprimentibus, quæ nimirum citra morsum illinuntur, atque astringunt. Sed & ad vlcera maligna miscetur iis, quæ absque morsu ea possunt desiccare, cuiusmodi est medicamentum pompholyx elota, & metallicorum quædam elota; de quibus priuatim supra disseruimus. Porrò & ipse vitellus assimilis est naturæ; ac proinde miscetur ceratis morsus expertibus, ouis videlicet, aut elixis, aut assis. Verùm id tamen manifestum est, hîc leuem existere differentiam, quòd paulo plus desiccent, quæ sunt assa, ac quantum huius accipiunt facultatis, tantum deperdant de mitigandi potentia. Miscetur & cataplasmatis phlegmonem extinguentibus, vt iis quæ ex meliloto constant, sedi applicandis. Crudo verò ouo toto vtimur admixto rosaceo ad palpebrarum, aurium, mammarúmq; phlegmonas, quæ scilicet, aut ictis illis, aut alio quouis modo euenerint; aut extiterint in neruosis corporibus, puta cubito, & digitorum tendonibus, aut articulis, idq; in pedibus pariter, & manibus. Porrò in aceto coctum ouum si edatur, fluxiones ventris desiccat. At si etiam quippiam eorum, quæ ad dysenteriam, aut cœliacum affectum conueniunt, adiunxeris, atque in igne modico, fumíq; experte (qualis est qui ex prunis constat) frixeris, edendúmque ita præbeas non minimè sanè laborãtes adiuueris. Aptissima talem ad vsum sunt omphacium, rhus tum ipse qui cibis adspergitur erythros nuncupatus, tum succus ipsius; galla, mali granati putamina, cinis cochlearum integrarum vstarum. Apta quoque, & vuarum acini, & myrta, & mespila, & corna. Magis istis medicamentosa sunt balaustium, hypocystis, cytini siue mali punici flores. Sed & ad ambustiones protinus impositum est vtile, siue quis seorsum albumen duntaxat ipsum molli lana excipiat, siue etiam cum vitello commiscens, confundénsq; applicet; etenim mediocriter refrigerat, & citra morsum desiccat. Tale quum sit, & ad anacollemata vocata, quæ fronti videlicet imponuntur, vtimur; & pilos palpebrarum agglutinamus, nimirũ admixto idoneorum quopiam, cuius generis est thus, potissimum pingue si fuerit, ac non inueteratum, & siccum. Verùm in illiusmodi, ipsius albuminis commoda est viscositas, non autem temperies; nisi quis quatenus nequaquam aduersatur illi; quod adhibetur medicamento; eo nomine vtile commodúmq; dixerit.

A ἢ δευτέρας πείρας ἐστὶ περὶ τῆς καθόλου δυνάμεως συλλογίσασθαι. τὸ μὲν οὖν λευκὸν καὶ λεπτὸν τῶν ὠῶν, ᾧ καὶ πρὸς τὰς ὀφθαλμίας χρώμεθα, τῶν ἀδηκτοτάτων ἐστὶ φαρμάκων· οὐδ' ἀποτυχίαν εἶχον ἐκ δυσκρασίας τοιαύτης, οἵαν ἔχει τὸ γάλα πολλάκις, ὡς ἔμπροσθεν ἐδείκνυμεν ἐπὶ τῶν ἠπεπτηκότων ζώων, ἢ ὑπερπεπεινηκότων, ἢ ὑπερδεδιψηκότων, ἢ μοχθηροῖς ἐδέσμασι κεχρημένων, ἃ δὴ καὶ μᾶλλον ἐπὶ γυναικῶν εἴωθε γίνεσθαι, διὰ τὴν τῆς διαίτης πλημμέλειαν. τὰ δ' ὠὰ μίαν μόνην ἐπιδέχεται μοχθηρίαν τὴν ἐκ τῆς παλαιότητος, ἣν ῥᾷστον φυλάττεσθαι τοῖς προσφάτοις χρώμενον.
B ἔστι δὲ συνηθέστατον ἡμῖν εὐπορώτατόν τε τὸ τῶν ἀλεκτορίδων, καὶ διὰ τοῦτο αὐτῷ χρώμεθα μὴ δεόμενοι τῶν ἄλλων, καίτοι τὴν αὐτὴν ἐχόντων φύσιν, τῇ κράσει δ' ἐστὶ ψυχρότερον τοῦ συμμέτρου. χρηστέον οὖν τῷ λευκῷ τῶν ὠῶν, οὐ μόνον ἐπὶ τῶν ὀφθαλμῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, ὅσα τῶν ἀδηκτοτάτων δεῖται φαρμάκων, ὡς τὰ καθ' ἕδραν τε καὶ αἰδοῖον ἕλκη κακοήθη πάντα. μίγνυται δὲ χρησίμως, καὶ τοῖς τὰς ἐκ μηνίγγων αἱμορραγίας ἐπέχουσι φαρμάκοις· ἅπερ ἐστὶν ἀδήκτως ἐμπλαττόμενά τε καὶ στύφοντα. καὶ πρὸς τὰ κακοήθη δὲ τῶν ἑλκῶν, μίγνυται τοῖς ξηραίνειν ἀδήκτως
C ταῦτα πεφυκόσιν, ὁποῖόν ἐστιν φάρμακον, ὅ,τε πεπλυμένος πομφόλυξ, καὶ τῶν μεταλλικῶν ἔνια πλυθέντα, περὶ ὧν προείρηται κατὰ τὸν ἴδιον λόγον. ἔστι δὲ καὶ ἡ λέκιθος τῶν ὠῶν ὁμοίας φύσεως, καὶ διὰ τοῦτο μίγνυται κηρωταῖς ἀδήκτοις ἑψηθέντων, ἢ ὀπτηθέντων τῶν ὠῶν. εὔδηλον δ' ὅτι διοίσουσιν ἀλλήλων αὗται βραχεῖαν διαφοράν, διὰ τὸ ξηραντικώτερα μὲν ἠρέμα γίγνεσθαι τὴν ὄπτησιν, ὅσον δὲ προσέλαβε τῆς δυνάμεως ταύτης, τοσοῦτον ἀπολλύναι τοῦ παρηγορικοῦ. μίγνυται δὲ καὶ καταπλάσμασιν ἀφλεγμάντοις, ὥσπερ ἐν ἕδρᾳ τοῖς διὰ μελιλώτου. ὠμῷ δ' ὅλῳ ὠῷ χρώμεθα, μι-
D γνύντες ῥόδινον ἐπὶ τῶν κατὰ βλέφαρα, καὶ ὦτα, καὶ τιτθοὺς φλεγμονῶν, ὅσαι τε πληγέντων αὐτῶν, ἢ καὶ ἄλλως γίγνονται, καὶ κατὰ τῶν νευρωδῶν δὲ σωμάτων, οἷον ἀγκῶνός τε, καὶ τῶν κατὰ τοὺς δακτύλους τενόντων, ἢ ἄρθρων ἐν ποσί τε καὶ χερσίν. ἐν ὄξει δ' ἑψηθὲν ὠὸν βρωθείη, ξηραίνει τὰ κατὰ γαστέρα ῥεύματα. καὶ εἰ μίξειας δ' αὐτῷ τι τῶν πρὸς δυσεντερίαν, ἢ κοιλιακὴν διάθεσιν ἁρμοττόντων, εἶτ' ἐπ' ἀκάπνου τε καὶ μετρίου πυρὸς ὁποῖόν ἐστι, τὸ ἐκ τῶν ἀνθράκων ταγηνίσας δοίης φαγεῖν, οὐ σμικρότατα τοὺς κάμνοντας ὠφελήσεις. ἐπιτηδειότατα δὲ πρὸς τὴν τοιαύτην μίξιν ἐστίν, ὀμ-
E φάκιόν τε καὶ ῥοῦς, ὅ,τε τοῖς ὄψοις ἐπιπαττόμενος, ἐρυθρὸς ὀνομαζόμενος, ὅ,τε χυλὸς αὐτοῦ, κηκίς τε καὶ σίδια, καὶ τέφρα τῶν ὀπτηθέντων ὅλων κοχλιῶν. ἐπιτήδεια δὲ καὶ γίγαρτα σταφυλῶν, καὶ μύρτα, καὶ μέσπιλα, καὶ κράνα. φαρμακωδέστερα δὲ τούτων, βαλαύστιόν τε καὶ ὑποκυστὶς καὶ κύτινοι. καὶ πρὸς κατακαύματα δὲ παραχρῆμα ὠμὸν ἐπιτιθέμενον, ὠφέλιμόν ἐστιν, εἴτε τις ἀναλαβὼν ἐρίῳ μαλακῷ τὸ λευκὸν αὐτοῦ μόνον, εἴτε καὶ σὺν λεκίθῳ πᾶν ἀναδεύσας ἐπιθείη. καὶ γὰρ ἐμψύχει μετρίως, καὶ ἀδήκτως ξηραίνει. τοιούτῳ δ' ὄντι, χρώμεθα αὐτῷ, καὶ πρὸς τὰ κατὰ τοῦ μετώπου τῶν καλουμένων ἀνα-
F κολλημάτων ἐπιτιθέμενα, καὶ τὰς ἐκ τῶν βλεφάρων δὲ τρίχας ἀνακολλῶμεν, ἐπιμιγνύντες τι τῶν ἐπιτηδείων, οἷός περ ἐστί, καὶ ὁ λιβανωτός, καὶ μάλισθ' ὅταν ᾖ λιπαρός, καὶ μὴ παλαιός, ἢ ξηρός. ἀλλ' ἔν γε τοῖς τοιούτοις, ἡ γλισχρότης τοῦ λευκοῦ τῶν ὠῶν ἐστι χρήσιμος, οὐχ ἡ κρᾶσις, εἰ μὴ καθόσον οὐδὲν ἐναντιοῦται τῷ προσφερομένῳ φαρμάκῳ, χρήσιμον εἶναί τις αὐτὴν λέγοι.

τινὰ γὰρ τῶν γλίσχρων ἐναντιοῦται, καθάπερ ὁ ἰξὸς, δριμὺς καὶ θερμὸς ὢν εἰς τὰ μὴ δεόμενα θερμαίνεσθαι. καὶ λέλεκταί γε πολλάκις, ὡς τὰ μηδεμίαν ἰσχυρὰν ἔχοντα δύναμιν φάρμακα, μίγνυται τοῖς τὰς τοιαύτας ἔχουσι δυνάμεις, ὡς ὕλη, καὶ διὰ τοῦτ' ἐστὶ πολύχρηστα τοῖς ἰσχυρῶς ἐνεργοῦσιν ὑπηρετοῦντα. τοιοῦτον ὑπάρχον καὶ τὸ ὠὸν, ἅμα δὲ καὶ κατὰ τὴν τῆς ἑψήσεως, ἢ ὀπτήσεως ποσότητα προσεπικτώμενον οὐ σμικρὰν διαφορὰν πολύχρηστον γίνεται. τοῖς μὲν γὰρ ξηραίνουσι τὰς ὑγρότητας φαρμάκοις, ἑφθόν τε καὶ ὀπτηθὲν, καὶ ταγηνισθὲν, μίγνυται. τοῖς δὲ τὰ κατὰ θώρακα καὶ πνεύμονα τέμνουσι, τὸ καλούμενον ῥοφητὸν, ὃ μέχρι τοσούτου προσήκει δι' ὕδατος ἑψεῖν, ὡς γενέσθαι θερμόν. κατὰ δὲ τὴν αὐτὴν φύσιν ἐπὶ τῶν τετραχυσμένων τὴν φάρυγγα διὰ κραυγὴν, ἢ χυμοῦ δριμύτητα παραλαμβάνεται, περιπλαττόμενον μὲν τοῖς πεπονθόσι μέρεσι, καὶ προσιζόμενον, ὥσπερ ἡ κατάπλασμα, τῷ δὲ τῆς οὐσίας ἀδήκτῳ πραΰνον τε ἅμα, καὶ ἐκθεραπεῦον αὐτά. τῷ δ' αὐτῷ λόγῳ, καὶ τὰς κατὰ τὸν στόμαχον, καὶ γαστέρα, καὶ ἔντερα, καὶ κύστιν ἰᾶται τραχύτητας.

A Nam viſcoſorũ quædã ſunt, quæ aduerſantur, velut viſcum, nimirum acre, & calidũ, ad ea, quæ calefieri non debent; dictumq; frequenter ſuperius eſt ea, quæ validam vim nullam obtineant medicamenta, ceu materiam iis, quę tales vires obtinẽt, miſceri; proinde quoque creberrimi ſunt vſus, vtpotè iis, quæ valenter agunt, inſeruientia. Eiuſmodi quum ſit ouum, ſimulque non paruam adipiſcatur in elixationis aſſationiſq; quantitate differentiam, fit ſanè multò vtiliſſimum. Nam medicamẽtis, quæ humiditates deſiccant, aut elixum, aut aſſum, aut frictum, miſcetur; iis verò quæ incidunt ea, quæ in thorace pulmonéque ſunt, ſorbile quod B vocant; id quod in aqua eouſq; elixari debet, dum incaluerit. Eiuſdem huius naturæ nomine, & ad eos, quibus gutturis ſupremum, aut ex vociferatione, aut ex humorum acrimonia, exaſperatum eſt, aſſumitur, tum ſcilicet, quòd affectis partibus illinitur, atque cataplaſmatis modo inhæret; tum quòd ſubſtantia ſua mordacitatis experte eas mitigat, ſanatque. Eadem ratione ſtomachi, ventris, inteſtinorum, ac veſicæ medetur aſperitatibus.

λβ'. Περὶ ἐχίνων κεκαυμένων.

Ἐχίνων ἀμφοτέρων, τοῦ τε θαλαττίου, καὶ τοῦ χερσαίου τὸ σῶμα πᾶν καιόμενον, ἐργάζεται τέφραν, ῥυπτικῆς τε καὶ διαφορητικῆς, καὶ καθαιρετικῆς δυνάμεως. ἔνιοι γοῦν αὐτῇ, πρός τε τὰ ὑπερσαρκοῦντα, καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν ἐχρήσαντο.

32. De erinaceis combuſtis.

C Rinacei vtriuſque tum marini, tum terreſtris, corpus totum vſtum cinerem efficit facultatis, tum extergentis, tum digerentis, tum detrahentis. Itaque eo quidam, & ad excreſcentia, & ad ſordida vſi ſunt vlcera.

λγ'. Περὶ κοχλιῶν.

Κοχλίαι δὲ ὅλοι, μετὰ τῶν ὀστράκων καιόμενοι μιγνυμένης αὐτοῖς κηκῖδος ὀμφακίτιδος, καὶ πεπέρεως λευκοῦ, μεγάλα ὠφελοῦσι δυσεντερίας, ἐφ' ὧν οὐδέπω σηπεδονώδη τὰ ἕλκη. προσήκει δ' εἶναι τοῦ μὲν πεπέρεως ἓν μέρος, τῆς δὲ κηκῖδος δύο, τέσσαρα δὲ τῆς τέφρας τῶν κοχλιῶν. ἀκριβῶς λεῖα ποιήσας ταῦτα, τοῖς τ' ὄψοις ἐπίπαττε, καὶ δίδου πίνειν δι' ὕδατος, ἢ οἴνου λευκοῦ τε καὶ αὐστηροῦ. χωρὶς δὲ τοῦ μιχθῆναι κηκῖδι, κοχλιῶν ἡ τέφρα, ξηραντικῆς ἱκανῶς ἐστι δυνάμεως, ἐχούσης τι διὰ τὴν καῦσιν, καὶ θερμοῦ. ἄκαυστοι δ' οἱ κοχλίαι λειωθέντες ἅμα τοῖς ὀστράκοις, ἐπιτίθενται κατά τε τῆς γαστρὸς ὅλης ἐπὶ τῶν ὑδερικῶν, κατά τε τῶν ἐν τοῖς ἄρθροις ὄγκων ἐπὶ τῶν ἀρθριτικῶν, καὶ γὰρ μὲν ἡ πρόσθεσις αὐτῶν δυσαφαίρετος, ἱκανῶς δὲ ξηραίνει. καὶ μέντοι καὶ προσέχεσθαι διὰ παντὸς ἐὰν αὐτοὺς προσήκει, ἄχρις ἂν ἀποπέσωσιν αὐτόματα. τοῦτο δὲ ποιητέον κἀπὶ τῶν δυσλύτων ἐκ πληγῆς ὄγκων, καὶ περὶ θλάσεως γινομένης ἐν ὠσί. ξηραίνουσι γὰρ ἱκανῶς ἅπαντας αὐτοὺς, κἂν γλίσχρον, καὶ παχὺ κατὰ βάθους ὑγρὸν περιέχηται.

33. De limacibus.

Cochleæ ſi totæ cum teſtis vrantur admixta galla omphacitide, ſimúlque pipere albo, mirificè proſunt dyſenteriis, in quibus vlcera D nondum computreſcere cœperunt. Conuenit autem, vt piperis ſit pars vna, gallæ verò duæ, quatuor cineris cochlearum. Hoc vbi ad vnguem læuigaris, cibis inſpergito; bibendúmque aut ex aqua, aut ex vino albo, & auſtero, præbeto. Cæterùm abſque gallæ mixtione cinis cochlearum admodum reſiccantis eſt facultatis, obtinens item nonnihil ex vſtione calidum. Porrò cochleæ, quæ vſtionem non ſunt expertæ, ſi tritæ vnà cum teſtis imponantur, & toti ventri aqua inter cutem laborantium, & in arthriticis articulorum tumoribus, ægrè quidem diuelli poterunt, cæterùm impensè E deſiccant. Et ſanè inhærere ſinere oportet, quoad ſponte decidant. Idemque faciendum in tumoribus ex ictu natis difficile ſolubilibus, & ex contuſione facta in auribus; deſiccant enim illos magnopere vniuerſos, etiamſi viſcoſus craſſúſque in alto humor contineatur.

λδ'. Περὶ καρκίνων κεκαυμένων.

Ἡ γε μὴν τῶν ποταμίων καρκίνων τέφρα, ξηραντικὴ μὲν ἐστιν ὁμοίως τοῖς προειρημένοις. ἰδιότητι δὲ τῆς ὅλης οὐσίας θαυμαστῶς ἐπὶ τῶν λυσσοδήκτων ἐνεργεῖ, καὶ μόνη μὲν, ἀλλὰ καὶ μετὰ γεντιανῆς τε, καὶ λιβανωτοῦ πολὺ μᾶλλον. εἶναι δὲ χρὴ τοῦ μὲν λιβανωτοῦ μοῖραν μίαν, πέντε δὲ τῆς γεντιανῆς, καὶ τῶν καρκίνων δέκα. καὶ ἄλλως μὲν οὕτω, καυθεῖσιν αὐτοῖς ἐχρησάμεθά ποτε σπανίως. ὡς τὸ πολὺ δὲ καθ' ὃν Αἰσχρίων ὁ ἐμπειρικὸς ἐχρήσατο φαρμάκων ἐμπειρικώτατος γέρων, πολίτης τε καὶ διδάσκαλος ἡμέ-

24. De cancris vſtis.

AT fluuiatilium cancrorũ cinis, quanquã ſimiliter prædictis exiccatorius eſt, ſubſtantiæ tamen proprietate mirabilis eſt eius in iis, qui à rabiente cane ſunt morſi, effectus, iſq; tũ ſolus, tum F cum gentiana, & thure multò præſtantior. Thuris ſanè partẽ eſſe vnã oportet, quinq; autẽ gentianæ, porrò cãcrorũ decẽ. Et rarò equidẽ aliter, illis vſtis nos ſumus vſi; cæterùm ad eum modũ plerunque, quo Æſchrion empiricus ille medicamentorum peritiſſimus ſenex, conciuis, ac præceptor meus,

Patella

A Patella erat æris rubri, in quam impositos cancros viuentes, hactenus vssit, vt in cinerem redacti facilè ad læuorem redigi possent. Hic Æschrion paratũ semper in ædibus hoc habebat medicamentum tempore æstiuo, vrens eos post ortum Canis, quando Sol in Leonem transisset, non nisi Luna decimaoctaua. Porrò bibendum hoc medicamentum iis, qui à cane rabido fuissent morsi, præbebat quotidie diebus quadraginta, mensura cochlearij magni aquæ inspersum. At si non protinus ab initio, verũ aliquot post dies curam cepisset demorsi, tunc quotidie duo cochlearia aquæ inspergebat. B Ad ipsum verò vulnus emplasticũ applicabat medicamentum, quod ex pice Brutia, & opopanace acetóque conficitur, habens picis libram vnam, vnum aceti acerrimi sextarium Italicum, opopanacis verò vncias tres. Hæc tametsi à præsenti instituto essent aliena, scribenda tamen censui, quia magnopere medicamento huic ipse confiderem; nimirum cùm nullus vnquam eorum, qui illo fuerint vsi, sit mortuus. Cæterùm seorsum etiam librum conscribam aliquando de iis, quæ proprietate substantiæ totius quid agunt, è quorum numero sunt id genus omnia. Ignoscendum itaque, tum hoc in loco scribendi importunitati, C tum sicubi præterea id mihi hoc in opere contigit; nempe quia ex iis summa proueniret vtilitas, quam sanè posteris impertire volebam, si forsan me priùs, quàm quæ post hæc deinceps sunt opera perfecissem, mors occupasset propositum impediens. Cæterùm Pelops doctor meus, & ipse omnium eiusmodi causas reddere volens, non abs re, inquit, cancer quum animal sit aquaticum, prodest à cane rabido morsis, quibus videlicet metus est ne corripiantur affectu siccissimo, nempe rabie; quamobrem sanè etiam aquam metuunt. Ac fluuiatiles, non marinos, conuenire cancros D dictitabat, quòd animalia marina ob admixtionem salis natura siccissimi, haud æquè exactam tuerentur eam, quæ est aduersus rabiem, contrarietatem. Ac quum quidam subiecisset, cur non omnia, quæ in potabili aqua degunt animalia, perinde, vt cancri, iuuari assolent? quia, inquit, similem cancris præparationem non admittunt, nam horum vstorum cinerem, exiccatorius quum sit, canum rabientium venenum absumere, simulque digerere. Hæc igitur sanè Pelops dicebat, profitens ambitioneque magna iactitans omnium se talium nouisse causas. At ego nisi planè me scire quippiam persuasum habeam, aliis persuadere E non tento. Itaque nec Pelopis rationem, vt veram accepi, vt quæ crebras habeat contradictiones; verùm cancros opinor ex proprietate totius substantiæ prodesse. Quoniam autem nullum eorum, qui fuerant illis vsi, mortuum scieueram, hæc aperienda recensendaque à me existimaui; tametsi non esset huius instituti proprium.

A τερος. ἦν δὲ λοπὰς ἐρυθροῦ χαλκοῦ, καθ᾽ ἧς ἐπιτιθεὶς ζῶντας τοὺς καρκίνους, ἔκαε ἄχρις οὗ τεφρωθῶσιν, ὡς εὐκόλως λεαίνεσθαι. ἐστω ὁ Αἰσχρίων, εἶχεν ἀεὶ παρεσκευασμένον ἕτοιμον ἐπὶ τῆς οἰκίας τὸ φάρμακον, ὥρᾳ θέρους κάων τοὺς καρκίνους, μετὰ τὴν τοῦ κυνὸς ἐπιτολὴν, ἡνίκα λέοντι ἥλιος ἦν, ἡ σελήνη δὲ ὀκτωκαιδεκαταία. πίνειν τε καθ᾽ ἑκάστην ἡμέραν ἐδίδου τὸ φάρμακον τοῦτο τοῖς λυσσοδήκτοις, ἄχρι τῆς τεσσαρακοστῆς ἐπιπάσσων ὕδατι κοχλιάριον εὐμέγεθες. εἰ δ᾽ οὐκ ἐξ ἀρχῆς, ἀλλὰ μεθ᾽ ἡμέρας τινὰς τοῦ δηχθῆναι προσῴοιτο τοῦ δεδηγμένου, δύο κοχλιάρια καθ᾽ ἑκάστην ἡμέραν ἐπέπαττεν. ἐχρῆτο B δὲ καὶ κατ᾽ αὐτοῦ τραύματος τῷ διὰ τῆς Βρυτίας πίττης, ὀποπάνακός τε, καὶ ὄξους, ἐμπλαστικῷ φαρμάκῳ, μίαν λαμβάνοντι πίττης λίτραν, ἕνα δὲ ὄξους δριμυτάτου ξέστην Ἰταλικὸν, ὀποπάνακος δὲ τρεῖς οὐγγίας. ταῦτα καίτοι τῆς προκειμένης οὐκ ὄντα πραγματείας, ἔγραψα διὰ τὸ θαρρεῖν τῷ φαρμάκῳ, μηδενὸς μηδέποτε ἀποθανόντος, τῶν ὡς εἴρηται χρησαμένων ἀπ᾽. ποιήσομαι δὲ καὶ κατὰ μόνας ἑτέραν πραγματείαν περὶ τῶν ἰδιότητι τῆς ὅλης οὐσίας ἐνεργούντων, ἐν οἷς ἐστι καὶ τὰ τοιαῦτα πάντα. συγγινώσκειν οὖν χρὴ τῷ τῆς γραφῆς ἀκαίρῳ, καὶ νῦν, καὶ κατ᾽ ἄλλα χωρία τῆσδε τῆς πραγμα- C τείας ἐνίοτε γεγονότι, διὰ τὴν ἐκ τῶν λεγομένων ὠφέλειαν μεγίστην οὖσαν, ἣν διασώζεσθαι βούλομαι τοῖς μεθ᾽ ἡμᾶς ἀνθρώποις, εἰ καὶ μεταξὺ θάνατος γενόμενος ἀποκωλύσει με γράψαι τὰ ἐφεξῆς τῆσδε τῆς πραγματείας. ἁπάντων δὲ τῶν τοιούτων τὰς αἰτίας λέγειν βουλόμενος ὁ διδάσκαλος ἡμῶν Πέλοψ, εἰκότως ἔφη τὸν καρκίνον, ἔνυδρον ζῶον ὑπάρχοντα ὠφελεῖν τοὺς λυσσοδήκτους οἷς φόβος ἐστὶν ἁλῶναι πάθει ξηροτάτῳ τῇ λύττῃ, διὸ καὶ τὸ ὕδωρ φοβοῦνται. ποταμίοις δὲ τοὺς καρκίνους οὐ θαλαττίους ἔφασκεν ἁρμόττειν, ἐπεὶ διὰ τὴν ἐπιμιξίαν τῶν ἁλῶν, ξηραντικωτάτων ὄντων, τὰ θαλάττια D ζῶα, τὴν πρὸς τὴν λύτταν ἐναντιότητα μὴ διαφυλάξειν ἀκριβῆ. καί τινος εἰπόντος αὐτῷ, διὰ τί οὖν οὐχὶ καὶ πάντα τὰ ἐν ὕδατι ποτίμῳ ζῶα, παραπλησίως τοῖς καρκίνοις ὠφελεῖ; ὅτι, ἔφη, τὴν ὁμοίαν σκευασίαν τοῖς καρκίνοις οὐ δύναται δέξασθαι. τούτων γὰρ καυθέντων τὴν τέφραν, ξηραντικὴν γινομένην, ἐκδαπανᾶν τε ἅμα, καὶ διαφορεῖν τὸν ἰὸν τῶν δακνόντων κυνῶν. ταῦτα μὲν οὖν ὁ Γέλοψ ἔλεγεν, ἐπαγγελλόμενός τε καὶ φιλοτιμούμενος ἐπίστασθαι τὰς αἰτίας αὐτῶν ἁπάντων. ἐγὼ δὲ ἐὰν μὴ πρότερον ἐμαυτὸν πείσω γινώσκειν ἀκριβῶς τι, τοὺς πέλας οὐκ ἐπιχειρῶ πείθειν. οὐκοῦν οὐδὲ τὸν τῷ Πέλοπος E λόγον, ὡς ἀληθῆ προσηκάμην, ἀντιλογίας ἔχοντα συχνάς. ἀλλὰ καὶ τοὺς καρκίνους ἡγοῦμαι, κατὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας ὠφελεῖν. διὰ δὲ τὸ μηδένα τεθνάναι τῶν χρησαμένων αὐτοῖς, τοῖς γε μὴν σώμασιν ὅλοις, ἐβουλήθην ἤδη δεδηλῶσθαί μοι τοῦτο, κἂν μὴ τῆς ἐνεστώσης πραγματείας οἰκεῖον ᾖ. τοῦτο γὰρ οὐκ ἦν τὸ προκείμενον.

---

35. *De hirundinibus vstis.*

F SAnè corporibus totis (nam id erat propositum) non eorum tantùm animalium, quæ dixi, sed, & Hirundinum vsi sunt multi, Comburentes videlicet, & cinerem melli miscentes, ac deinde synanchicos inungentes, & in totum quicunque in gutture, ac columella consistunt cum tumoribus affectus. Vtuntur & ad acuendum visum hoc cinere nonnulli. At aliis eas arefactas drachmæ pondere bibendas exhibent.

λέ. Περὶ χελιδόνων κεκαυμένων.

ΟΥ δὴ ἐφ᾽ ὧν εἶπον μόνων ζώων, ἀλλὰ καὶ τῶν χελιδόνων ἐχρήσαντο πολλοὶ καίοντες, καὶ τῇ τέφρᾳ μέλι μιγνύντες, εἶτα διαχρίοντες τοὺς συναγχικούς. καὶ ὅλως ὅσα κατὰ φάρυγγα, καὶ γαργαρεῶνα σὺν ὄγκοις γίγνεται πάθη. χρῶνται δ᾽ ἔνιοι, καὶ πρὸς ὀξυδερκίαν τῇ τέφρᾳ ταύτῃ. σκελετεύοντες δὲ αὐτὰς, ἄλλοι διδόασι πίνειν δραχμῆς πλῆθος.

A

λϛʹ. Περὶ τεττίγων.

Καὶ τοῖς τέττιξι δὲ ξηροῖς χρῶνταί τινες ἐπὶ τῶν κωλικῶν διαθέσεων, μετὰ πεπέρεως ἴσων τὸν ἀριθμὸν κόκκων, καὶ διδόασιν, ἢ τρεῖς, ἢ πέντε, ἢ ἑπτὰ, κατά τε τὰ διαλείμματα, καὶ τοὺς παροξυσμούς. ὀπτῶντες δ' αὐτοὺς, ἄλλοι διδόασιν ἐσθίειν τοῖς πεπονθόσι κύστιν.

λζʹ. Περὶ κορύδων.

Ὅγε μὴν κόρυδος τὸ μικρὸν ζῶον τουτὶ τὸ μικρὸν, ὃ καὶ κατὰ τὰς ὁδοὺς πολλάκις ὁρῶμεν, ἑψόμενον ἐν τῷ ζωμῷ τοὺς κωλικοὺς ὠφελεῖ. χρὴ δὲ συνεχῶς, καὶ πολλάκις ἐσθίειν αὐτὸ μετὰ τοῦ ζωμοῦ. ἔχει γὰρ ἐπὶ τῆς κεφαλῆς τοῦτο τὸ ζῶον, ὥσπερ τινὰ λόφον ἐκ τῶν τριχῶν αὐτοφυῆ, δι' ὃν καὶ ὁ μῦθος ὃν Ἀριστοφάνης ὁ κωμικὸς ἔγραψεν, ἐπλάσθη. λέγει δὲ περὶ αὐτοῦ τόνδε τὸν τρόπον. ἀμαθὴς γὰρ ἔφυς, καὶ πολυπράγμων, οὐδ' Αἴσωπον μεμάθηκας, ὃς ἔφασκε λέγων κόρυδον πρώτην πάντων ὀρνίθων γενέσθαι προτέραν τῆς γῆς. κἄπειτα νόσῳ τὸν πατέρα αὐτῆς ἀποθνήσκειν, γῆν δ' οὐκ εἶναι, αὐτὸν δὲ προκεῖσθαι πεμπταῖον, τὴν δ' ἀπορουμένην ὑπ' ἀμηχανίας, τὸν πατέρα αὐτῆς ἐν τῇ κεφαλῇ κατορύξαι. τοῦτο δέ φασι, καὶ τὸν Θεόκριτον αἰνίττεσθαι λέγοντα. C

Οὐδ' ἐπιτυμβίδιαι κορυδαλλίδες, ἢ λάϊνόν τι.

δηλοῦν γὰρ αὐτὸν, τὰς τὸν τύμβον ἐπὶ τῆς κεφαλῆς ἐχούσας. προσέθηκα δὲ ταῦτα τῷ λόγῳ, διὰ τὸ βούλεσθαι σαφῶς δηλῶσαι τὸ ζῶον τὸν κόρυδον, ὁποίαν τινὰ τὴν ἐπὶ τῆς κεφαλῆς ἀνάστασιν ἔχει τῶν τριχῶν, ἐπειδὴ τῆς ὠφελείας αὐτοῦ πρὸς τοὺς κωλικοὺς ἐπειράθην, καὶ βούλομαι καλῶς γνωρίσαι τοῖς οὐκ εἰδόσιν αὐτό, ἐπειδὴ τοῖς πυργίταις ὀνομαζομένοις ἔοικεν, ἀλλὰ τῷ τε λόφῳ διακρίνεται, καὶ βραχύ τι μείζων ἐστὶν αὐτοῦ. καὶ γάρ τοι καὶ ἡ κορυδαλλὶς καλουμένη βοτάνη, καὶ αὐτοῖς κωλικοῖς ἁρμόττει. καί σοι καὶ τοῦτο κατὰ τὸ πάρεργον ἐγνώσθω.

ληʹ. Περὶ ἀλεκτορίδων.

Ὅγε μὴν τῶν ἀλεκτορίδων ἁπλοῦς ζωμὸς ἐπισχετικῆς ἐστι δυνάμεως, ὥσπερ ὁ τῶν παλαιῶν ἀλεκτρυόνων ὑπακτικῆς. ἕψειν δὲ αὐτοὺς χρὴ μετὰ ἁλῶν ἐπὶ πλεῖστον. ἀλλὰ τούτων μὲν αὐτοὶ πεῖραν ἔχομεν.

λθʹ. Περὶ γαλῆς.

Γαλῆν δὲ οὐδέποτε ἐκαύσαμεν, ἐφ' ἧς γεγράφασι τὴν τέφραν καταχριομένην μετ' ὄξους, ὠφελεῖν ποδαγρικοῖς τε καὶ ἀρθριτικοῖς, ὡς ἱκανῶς διαφορεῖν πεφυκυῖαν. σκελετευθεῖσαν δὲ πινομένην ἐπιληπτικοῖς, κατὰ τὴν αὐτὴν δηλονότι δύναμιν. ἔνιοι δὲ καὶ πάντως ἀλεξιφάρμακον εἶναι θεῖον, καὶ μάλιστα τὴν κοιλίαν αὐτῆς.

μʹ. Περὶ κεκαυμένων βατράχων.

Τῶν γε μὴν κεκαυμένων βατράχων τὴν τέφραν, αἱμορραγίας ἰᾶσθαι φασιν ὑπερβάλλειν ἐπιπαττομένην, ἀλωπεκίας δὲ ἰᾶσθαι μετὰ πίττης ὑγρᾶς.

μαʹ. Περὶ ἱπποκάμπου.

Καὶ τὸν ἱππόκαμπον δὲ τὸ θαλάττιον ζῶον ὅλον καυθὲν, γεγράφασί τινες ἀλωπεκίας ὠφελεῖν, καὶ αὐτὸ δηλονότι, ξηραντικῆς τε καὶ λεπτομεροῦς δυνάμεως ὑπάρχειν, ἢ τὴν τέφραν αὐτοῦ. μιγνύουσι δ' αὐτὴν τινὲς μὲν ἀμαρακίνῳ μύρῳ, τινὲς δ' ὑγρᾷ πίττῃ, τινὲς δὲ παλαιῷ στέατι ὑός.

36. *De cicadis.*

SEd & cicadis ſiccis quidam vtuntur ad colicos affectus cum paribus numero piperis granis; dantque aut tres, aut quinque, aut ſeptem, per intermiſſionem videlicet, & per ipſos etiam paroxyſmos. Porrò alij aſſas edendas offerunt, quibus affecta veſica eſt.

37. *De galeritis, alaudis.*

B GAlerita tamẽ auis illa puſilla obiter nobis plerunq; obuia, in iure elixa colicos adiuuat. Verùm aſſiduè eam edere ſimul cum iure neceſſe eſt. Habet verò hoc animal in capite velut galerũ ex pilis ſpontè enatũ, cuius occaſione efficta eſt, quæ apud Ariſtophanẽ comicũ legitur fabula. Is enim inquit hunc in modum; imperitus es, nec curioſus, & nec Æſopum quidem didiciſti, qui ait, galeritam primam volucrum fuiſſe, etiam ante terram; inde partem morbo defunctum, quum humus nondum eſſet enata, dies quidem quinque iacuiſſe; at hanc præ inopia melioris conſilij in capite tandẽ patrem ſuum defodiſſe. Hoc quoq; aiunt, obſcurè licet, deſignaſſe tamen Theocritum,

Nec galeritæ ſepulchrum in capite ferentes, aut lapideum aliquid.

nempe indicare illum eas, quæ in capite ſepulchrũ gerant. Annexui autem huic iſta ſermoni, quo planè, & clarè hoc animal, nẽpe galeritam, ſignificare quos ferat in capite pilos erectos; quandoquidem expertus ſum eius aduerſus colicos vtilitatem, velímque qui ipſum non norunt, iis bene aperteque monſtratum. Etenim auiculis pyrgitis, ac troglytis appellatis aſſimilis eſt. Diſcernitur autẽ tum, quia galeram habet, tum quia paulo maior exiſtit. Nam & ipſa corydalis appellata herba colicis conuenit.

D Et hoc quoque tibi obiter ſit notatum.

38. *De gallinis.*

AT gallinarum ius ſimplex retinendi vim poſſidet, vti gallorum ſubducendi. Coquendi autem ſunt cum ſale prolixiſſimè. Sed horum ipſi fecimus periculum.

39. *De muſtela.*

MVſtelã nunquã cõbuſſimus. De qua ſcriptũ legitur, cinerẽ quidẽ eius cum aceto illitũ

E podagricos arthriticoſq; iuuare, tanquã vehementer valeat digerere; ipſam verò arefactã, ac potam prodeſſe comitialibus, eadẽ nimirum illa facultate. Porrò quidã etiam planè omnis ferę alexipharmacũ eam eſſe referunt, & maximè eius vẽtrem.

40. *De ranis vſtis.*

AT ranarum vſtarum cinerem ſanguinis eruptioni mederi referunt inſperſum: ceterùm cum liquida pice ſanare alopecias.

F

41. *De hippocampo.*

ET Hippocampum, animal illud marinum ſi totum vſſeris, alopeciis prodeſſe proditum à quibuſdam eſt; ipſumq; videlicet deſiccantis eſſe facultatis, extenuantiſque, aut certè eius cinerem; quem quidam vnguento amaracino commiſcent, quidam pici liquidæ, alij veteri adipi ſuillo.

42. De

A

42. *De Tellinis salsis.*

ET Salsas tellinas vstas adeo vrentem efficere cinerem aiunt, vt is cum cedria euulsos radicitus ex palpebris pilos, instillatus in locum, renasci prohibeat. *De lumbricis terræ* Porrò citra vstionem, aut lixationem, totorum animalium in partes affectas impositorum, aut intrò in corpus sumptorum, quidam medicorum fecere periculum, aut ceu fecerint periculum, ita scribunt: Terræ quidem intestina contrita, neruisque diuisis imposita protinus mirum in modum prodesse, atque hæc ipsa quoque cum mulso pota, medicamentum esse mouendæ vrinæ idoneum.

μβ'. Περὶ ταριχηρῶν τελλινῶν.

Καὶ τὰς ταριχηρὰς δὲ τελλίνας καυθείσας, καυστικὴν ἐργάζεσθαι τέφραν εἰς τοσοῦτόν φασιν, ὥστε μετὰ κεδρίας μιγνυμένην αὐτὴν, ὅταν ἐκ τῶν ῥιζῶν ἐξέλωμεν τὰς τρίχας τῶν βλεφάρων, ἐνσταζομένην τῷ χωρίῳ, κωλύειν αὖθις αὐτὰς ἀναφύεσθαι. Περὶ γῆς ἐντέρων. Χωρὶς δὲ καύσεως, ἢ ἑψήσεως, ὅλων τῶν ζώων ἐπιτιθεμένων τοῖς πεπονθόσι μορίοις, ἢ εἴσω τοῦ σώματος λαμβανομένων ἐπειράθησαν, ἢ ὡς πεπειραμένοι, γεγράφασιν ἔνιοι τῶν ἰατρῶν. Γῆς μὲν ἔντερα λειωθέντα, νεύροις διῃρημένοις ἐπιτιθέμενα, παραχρῆμα θαυμαστῶς ὀνινάναι. τὰ δ' αὐτὰ ταῦτα πάντα σὺν γλυκεῖ πινόμενα, φάρμακον οὐρητικὸν εἶναι. B

43. De *Cimicibus.*

SEd & de cimicibus quibusdam traditum est, quòd si cum aceto bibantur, hirudines absorptas eiiciant; at nobis, quum eas perpetuò alliorum esu eiecerimus, haud opus fuit cimicibus.

μγ'. Περὶ Κόρεων.

Γεγράφασι δὲ καὶ περὶ κόρεων, ὡς εἰ μετ' ὄξους ποθεῖεν, ἐκβάλλονται βδέλλας καταπεπομένας. ἀλλ' ἡμεῖς γε διὰ σκορόδων ἐδωδῆς ἐκβάλλοντες αὐτὰς ἀεὶ, κόρεων οὐκ ἐδεήθημεν.

C

44. *De Cantharidibus.*

VEruntamen sufficientem habemus de cantharidibus experientiam, quòd in vngues psorodeis idoneis ceratis, aut emplastris impositæ, sic illos educunt, vt toti cadant. Miscuimus eas etiam facultatibus psoris, & lepris congruentibus, nec non quibusdam putrefactis: atque interim etiam iis, quæ clauos, quos vocant, eijciunt. Porrò præceptorum meorum quidam earum paulum quiddam in medicamenta vrinam mouentia solebat injicere. At quidam solas alas, & pedes inijciunt, quæ aiunt esse alexiteria iis, qui corpora ipsorum bibissent, alij contra: at nos totas indimus. Cæterùm aptiores sunt ad ea, quæ expertum me dixi, eæ cantharides, quæ inuentæ in frumento, lutea transuersim in alis cingula obtinent, potissimum si inijciantur in vas nouum fictile, cuius ori linteum obductum sit rarum; itáque illud inuertas, vt linteum halitum ab aceto subtus posito excipiat, donec emoriantur ipsæ cantharides.

μδ'. Περὶ κανθαρίδων.

Κανθαρίδων γε μὴν ἱκανὴν πεῖραν ἔχομεν ἐπὶ τῶν ψωρωδῶν ὀνύχων, οἷς ἐπιτιθέμεναι, μετὰ τῶν ἐπιτηδείων κηρωτῶν, ἢ ἐμπλαστῶν φαρμάκων, ἐξάγουσιν αὐτοὺς, ὡς ἐκπίπτειν ὅλους. ἐμίξαμεν δὲ, καὶ ταῖς πρὸς ψώρας, καὶ λέπρας ἁρμοζούσαις δυνάμεσι, καί τισι τῶν σηπτικῶν. ἐνίοτε δὲ καὶ τοῖς τοὺς καλουμένους ἥλους ἐκβαλλόντων. εἷς δέ τις τῶν ἡμετέρων διδασκάλων, ἐνέβαλλεν αὐτῶν ὀλίγον, εἰς οὐρητικὸν φάρμακον. ἔνιοι δὲ, μόνα τὰ πτερὰ, καὶ τοὺς πόδας ἐμβάλλουσιν, ἃ δὴ καὶ ἀλεξιτήριά φασιν εἶναι, τοῖς τὰ σώματα πιοῦσιν αὐτῶν. ἔνιοι δὲ ἔμπαλιν, ἡμεῖς δὲ ὅλας ἐμβάλλομεν. ἐπιτηδειότεραι δ' εἰσὶ πρὸς ἅπερ ἔφην, λέγων πεπειρᾶσθαι τῶν κανθαρίδων, αἱ ἐκ τῶν πυρῶν, ὅσαι μηλίνας ἐγκαρσίας ζώνας ἔχουσιν ἐν τοῖς πτεροῖς, καὶ μᾶλλον, ἐὰν ἐμβαλὼν αὐτὰς εἰς ἀγγεῖον καινὸν κεράμιον, εἶτα περιθεὶς τῷ στόματι τοῦ ἀγγείου, τῶν ἀραιῶν ὀθονίων τι, κρατῇς οὕτω τὸ ἀγγεῖον, ὡς ἐστράφθαι τὴν ὀθόνην κάτω, δεχομένην τὸν ἀναφερόμενον ἀτμὸν τοῦ ὄξους, ἄχρις ἂν ἀποθάνωσιν αἱ κανθαρίδες. D

E

45. *De Buprestidibus.*

SIc Buprestes quoque reponere expedit. Sunt autem, & ipsæ animalis quoddam genus cantharidibus tum specie, tum viribus assimile.

με'. Περὶ Βουπρήστεως.

Οὕτω δὲ καὶ τὰς βουπρήστεις, ἀποτίθεσθαι προσήκει. εἰσὶ δὲ καὶ αὗται γένος τι ζώου, παραπλήσιον κανθαρίσι κατά τε τὴν ἰδέαν, καὶ τὴν δύναμιν.

46. De *Pityocampe.*

QVin & erucæ, quæ in piceis nascuntur, meritò sanè nuncupatæ pityocampæ, huius sunt facultatis.

μς'. Περὶ πιτυοκάμπης.

Καὶ μὴν καὶ ἐπὶ ταῖς πίτυσι κάμπαι, καλούμεναι δὲ εἰκότως πιτυοκάμπαι, τοιαύτης εἰσὶ δυνάμεως. F

47. De *Salamandra.*

ET salamandræ combustæ cinerem quidam septicis, & lepricis, psoricisque miscent facultatibus.

μζ'. Περὶ Σαλαμάνδρας.

Καὶ τῆς σαλαμάνδρας δὲ καυθείσης τὴν τέφραν, ἔνιοι μιγνύουσι σηπτικαῖς τε καὶ λεπρικαῖς, καὶ ψωρικαῖς δυνάμεσι.

A

μη'. Περὶ νάρκης.

Καὶ τὴν νάρκην δ' ὅλην, λέγω δὲ δηλονότι τὸ θαλάττιον ζῶον, ἔγραψαν ἔνιοι, κεφαλαλγίας ἰᾶσθαι προσφερομένην τῇ κεφαλῇ, καὶ τὴν ἐξεστραμμένην ἕδραν ἐντρέπειν. ἀλλ' ἐγὼ πειραθεὶς ἀμφοῖν, οὐδέτερον ἐργαζομένην εὗρον. ἐννοήσας οὖν αὐτὴν ἔτι ζῶσαν προστιθέναι τινὶ κεφαλὴν ὀδυνωμένῳ, δύνασθαι γὰρ ἀνώδυνον εἶναι φάρμακον, ὁμοίως τοῖς ἄλλοις, ὅσα ναρκοῖ τὴν αἴσθησιν, εὗρον οὕτως ἔχειν. οἴομαι δὲ καὶ τὸν πρῶτον χρησάμενον, ἔκ τινος τοιαύτης ἐπινοίας ὁρμηθέντα, χρῆσθαι. B

48. *De Torpedine.*

Sed & torpedinem totam (dico autem animal marinum) capitis dolores sanare capiti admotam, sedémque euersam coërcere, à quibusdam est proditum. Verùm ego quum vtrunque essem expertus, neutrum verum comperi. Eam igitur cùm cogitassem viuam esse applicandam, cui caput doleret (posse enim fieri, vt hoc medicamentum anodynon esset, ac dolore liberaret similiter, vt alia quæ sensum obstupefaciunt) ita habere comperi. Putoque eum, qui primus est vsus, tali quapiam motum ratione experiri aggressum.

μθ'. Περὶ δράκοντος θαλαττίου, καὶ τρίγλης.

Ζῶντα δ' ἀνατμηθέντα, καὶ παραχρῆμα προστεθέντα τοῖς πεπονθόσι μορίοις, ὠφελεῖν ἔγραψαν ζῶα ταυτί, δράκοντα μὲν θαλάττιον, ἐπὶ τῆς ἰδίας πληγῆς ἐπιτιθέμενον. ὡσαύτως δὲ καὶ τρίγλην, ἐπὶ τὴν τοῦ δράκοντος. μῦς δὲ τοὺς κατ' οἶκον, ἐπὶ τὴν τοῦ σκορπίου, καθάπερ καὶ τὴν σαῦραν. C μυγαλῆν δ' ἐπὶ τὴν ἑαυτῆς, καὶ σαῦραν τὴν Χαλκιδικήν, ἣν καὶ δι' οἴνου ποτίζουσιν, ὡς θεραπεύουσαν τὸ ἑαυτῆς δῆγμα. καὶ σκορπίον δὲ, τὴν ἑαυτοῦ πληγὴν ἐκθεραπεύειν, ἐπιτιθέμενον λεῖον. ὡσαύτως δὲ καὶ ὀπτὸν ἐσθιόμενον. ἁρμόττειν δ' αὐτόν φασι, καὶ τοῖς ὑπ' ἐχίδνης δηχθεῖσιν, ἀσκαλαβώτην δὲ τοῖς ὑπὸ σκορπίου. λέγουσι δὲ κἀν τοῖς κατ' Αἴγυπτον χωρίοις, σκελετευθέντα τὸν καλούμενον ἀσίρακον, τοῖς ὑπὸ σκορπίου πληγεῖσι δίδοσθαι, καὶ τὸ καλούμενον κύβιον, ἐπὶ κυνὸς δήγματος, ὠφελίμως παραλαμβάνεσθαι, κατὰ τοῦ τραύματος ἐπιτιθέμενον, ἄλλα τε πολλὰ τοιαῦτα, περὶ ὧν D ἐπιπλέον ἐροῦμεν, ἐν τοῖς κατ' ἰδιότητα τῆς ὅλης οὐσίας ἐνεργοῦσιν. ἐν ἐλαίῳ δ' ἑψηθέντων ὅλων ζώων, ἐχρήσαντο τῷ ἐλαίῳ, τινὲς τῶν καθ' ἡμᾶς ἰατρῶν. ἔνιοι δὲ τῶν ἔμπροσθεν, ἕνεκα μὲν ψιλώσεως τριχῶν, πιτυοκάμπαις τε, καὶ ταῖς θαλαττίαις ἀκαλήφαις, καὶ λαγωῷ τῷ θαλαττίῳ, καὶ σκολοπένδρᾳ τῇ θαλαττίᾳ. πρὸς ὠταλγίαν δὲ, σίλφαις ἐνεψηθείσαις τῷ ἐλαίῳ, καὶ τοῖς καλουμένοις ὀνίσκοις. ἔστι δὲ ζῶα σφαιρούμενα, κατὰ τὴν εἰς ἑαυτὰ σύνοδον, ἅπερ ὀνομάζουσί τινες τῶν παρ' ἡμῖν, κυάμους, ἐπειδὴ παραπλήσιοι τοῖς ἐδωδίμοις κυάμοις εἰσίν, ὅταν E ἑαυτοὺς σφαιρώσωσι, φαιοὶ κατὰ τὴν χρόαν ὄντες. ἐπὶ δὲ τῆς ἀγροικίας, ἔστιν ἰδεῖν πλείστους τούτους, γεννωμένους ὑπὸ ταῖς ὑδρίαις, αἷς ἀπὸ τῶν κρηνῶν κομίζουσι τὸ ὕδωρ οἱ ἀγροῖκοι, κατατίθενται δ' αὐτὰς πλησίον τῆς ἑστίας, καὶ τινας τῶν κατ' ἀγρὸν ἰατρευόντων, εἶδον ἀεὶ χρωμένους τῷ ἐξ αὐτῶν ἐλαίῳ, πρὸς τὰ τῶν ὤτων ἀλγήματα πάντα, μὴ διοριζομένους, κατὰ τίνα γέγονε διάθεσιν, ὅθεν εἰκότως ἐνίοτε μὲν ἐπιτυγχάνουσιν, ἐνίοτε δὲ καὶ βλάπτουσι: καὶ τί θαυμαστὸν, ὅπου καὶ τῶν ἐνδόξων ἰατρῶν ἔνιοι, χωρὶς διορισμοῦ, περὶ τῶν τοιούτων ἔγραψαν. F τοιαῦτα γοῦν ἐστι, καὶ τὰ τῶν εὐπορίστων φαρμάκων Ἀπολλωνίου βιβλία. ἐστὶ τοίνυν, καὶ τὰ τῆς γῆς ἔντερα γέγραφεν ἐν ἐλαίῳ καθεψηθέντα, τῶν ὤτων ἀλγήματα πραΰνειν, ἔνιοι δὲ στέαρ χηνὸς ἀξιοῦσι μίξαντας οὕτω χρῆσθαι.

49. *De Dracone marino, & trigle.*

Viuas etiamnum hasce animantes apertas, & protinus partibus affectis appositas, prodesse scripserunt, nempe draconem marinum in suum ipsius ictum impositum; similiter, & triglam, in draconis; mures domesticos, in ictum scorpij, velut, & Sauram. Mygalen in suum ipsius, & sauram chalcidicam, quam & ex vino bibendam præbent, tanquam suum ipsius morsum sanet. Porrò scorpium ipsius ictum curare si tritus imponatur, similiter si assus edatur. Congruere autem aiunt, & iis, qui à vipera sunt morsi, Ascalabota verò iis, qui à scorpio. Referunt autem, & in Ægypti regionibus arefactum Asiracum quem vocant, exhiberi iis, qui à scorpio percussi sunt; & vocatum cybium vtiliter vulneri à cane inflicto imponi, multaque eiusmodi, de quibus copiosius disseremus, vbi tractabitur de iis, quæ proprietate substantiæ quid agunt. Cæterùm in oleo lixis totis animalibus ipso oleo vtebantur nostratium medicorum quidam, sed & superiorum nonnulli, ad depilationem, nempe pityocampis, & vrticis marinis, lepore marino, scolopendro marino. Ad aurium verò dolorem silphis in oleo coctis, & iis quos vocant multipedas. Ea enim animalia in globum sese contrahunt, vocantque ea apud nos quidam fabas, quandoquidem esculentis fabis sunt persimilia, vbi sese videlicet in globum conuoluerint, colore fusco. Porrò in agro complures videre est natos sub situlis, quibus à fontibus rustici aquam comportant, deponuntque eas iuxta focum. Vidique quosdam ex eis, qui medicinam in agro exercebant, assiduè oleo ex illis composito, ad vniuersos aurium dolores vti, non discernentes affectum vnde oriretur. Itaque non abs re euenit, vt interim effectum consequerentur, interim læderent. Et quid mirum, quando & insignes quidam medici, de iis citra distinctionem scripsere? tales sunt Apollonij libri de facilè parabilibus. Atque hic sanè etiam scripsit vermes terræ in oleo coctos aurium dolores mitigare; sed alij censent admixto adipe anserino sic demum vtendum.

A

50. *De Vulpe, & hyena.*

CÆterùm de vulpibus, quæ totæ oleo coquuntur (nam sic quidam curant arthriticos, partim viuas vulpes in lebetem ingentem inijcientes, partim etiam mortuas) fusius dicere mihi necesse est, quandoquidem plerosque visæ sunt principio planè morbo hoc liberasse, verùm post multum temporis non ita profuisse: siquidem illos malum repetiit, quanquam non ita vehemens quã antea. Sanè oleum in quo cocta vulpes est, non est potentioris in digerendo facultatis, quàm in quo hyæna; quæ si similiter in oleo lixetur, redditur oleum longè potentissimæ in digerendo facultatis. Porrò frequenter dictum est talibus medicamentis inesse potentiam eorum, quæ in alto continentur corpore, in extimam cutem extrahendi, ac eo nomine quandoque sedandi dolores; non enim perpetuò hoc ad ea sequitur, quum ij duntaxat dolores ab eiusmodi medicamentis sedentur, quorum causa est humor in alto contentus, dolorẽ ciens, aut substantiæ crassitie, aut refrigeratione, aut vehementi acrimonia: aut etiam spiritus flatuosus exitum non habens. Itaque qui vtuntur vulpibus, & ipsi oleum digestiuum efficiunt; atque inde impletis eo alueolis, totos arthriticos in eos imponunt, multò ibi tempore immorari præcipientes. Verùm ex hoc fit, vt non tantùm, qui circa articulos sunt, tumores euacuentur, sed etiam vniuersum corpus. Itaque vbi corpus illis antea plenitudine affectum fuerit, mirum non est per euacuationem consecutum commodum, nempe quum nihil etiam in affectas partes influat, quia corpus vniuersum iam euacuatum est: & qui continebantur humores exhalarunt. Cæterùm quemadmodũ antea quũ corpus noxa vacaret, praua victus ratio morbum inuexit, eundem in modum, aut etiam amplius, à simili diæta par est rursum illos similiter afficiendos in articulis, quibus iam laborauerunt.

ν'. Περὶ ἀλωπέκων καὶ ὑαινῶν.

ΠΕρὶ δὲ τῶν ὅλων ἐν ἐλαίῳ καθεψομένων ἀλωπέκων, οὕτως γάρ τινες ἀρθριτικοὺς θεραπεύουσιν, οἱ μὲν ζώσας ἐμβάλλοντες μεγίστῳ λέβητι τὰς ἀλώπεκας, οἱ δὲ καὶ τεθνεώσας, ἀναγκαῖον εἰπεῖν ἐπιπλέον, ἐπειδὴ πολλοὺς ἔδοξαν κατ' ἀρχὰς μὲν ἀπηλλαχέναι τοῦ πάθους, οὐ μετὰ πολὺν δὲ χρόνον, ὠφεληκέναι μόνον. ἐπανῆλθε γὰρ αὖθις τὸ πάθος, οὐ μὴν οὕτω γε σφοδρὸν, ὡς ἔμπροσθεν ἦν. ἔστι δὴ τὸ κατὰ τὰς ἀλώπεκας, οὐδέν τι διαφορητικώτερον τοῦ κατὰ τὴν ὕαιναν, ἧς ὁμοίως
B ἑψομένης ἐν ἐλαίῳ, διαφορητικώτατον γίγνεται τοὔλαιον. εἴρηται δὲ πολλάκις, ὡς τοῖς τοιούτοις φαρμάκοις ὑπάρχει, τὰ διὰ βάθους ἐν τῷ σώματι περιεχόμενα, πρὸς τὴν ἐπιφάνειαν ἕλκειν, καὶ κατὰ τοῦτο, τὰς ὀδύνας ἐνίοτε παύειν. οὐ γὰρ δὴ διὰ παντός γε τοῦτ' αὐτοῖς ἕπεται μόνον, ἐκείνων τῶν ὀδυνῶν παυομένων ὑπὸ τῶν τοιούτων φαρμάκων, ἐφ' ὧν ἐν τῷ βάθει περιέχεται χυμὸς, ὀδύνης ποιητικὸς, ἢ διὰ τὸ πάχος τῆς οὐσίας, ἢ διὰ ψύξιν, ἢ δριμύτητα σφοδρὰν, ἢ καὶ πνεῦμα φυσῶδες, οὐκ ἔχον διέξοδον. οἱ τοίνυν ταῖς ἀλώπεξι χρώμενοι, καὶ
C αὐτοὶ διαφορητικὸν εἰργάζοντο τοὔλαιον, εἶτα πυέλους αὐτῷ πληροῦντες, ἐνεβίβαζον αὐταῖς ὅλους τοὺς ἀρθριτικοὺς, ἐνδιατρίβειν χρόνῳ συχνῷ κελεύοντες, ἐκ τούτου τε συνέβαινεν, οὐ μόνον τοὺς περὶ τοῖς ἄρθροις ὄγκους αὐτῶν, ἀλλὰ καὶ τὸ σύμπαν σῶμα κενοῦσθαι. πληθωρικῶς οὖν ὅλου τοῦ σώματος αὐτοῖς προδιακειμένου, θαυμαστὸν οὐδὲν ἦν, ὠφέλειαν τῇ κενώσει γενέσθαι, μηδενὸς μὲν ἐπιῤῥέοντος τοῖς πεπονθόσι μέρεσιν, διὰ τὸ κενοῦσθαι τὸ σύμπαν σῶμα, τῶν ἐν αὐτοῖς περιεχομένων χυμῶν διαφορουμένων. ὥσπερ δὲ ἔμπροσθεν ἀπαθοῦς ὄντος αὐτοῖς τοῦ σώματος, ἡ μοχθηρὰ δίαιτα τὸ πάθος εἰρ-
D γάσατο, κατὰ τὸν αὐτὸν τρόπον, ἢ καὶ μᾶλλον ἔτι, διὰ τῆς ὁμοίας διαίτης, εἰκὸς ἦν, αὖθις αὐτοὺς ὡσαύτως διατεθήσεσθαι τοῖς πεπονηκόσιν ἄρθροις.

CAPVT II.

1. *De iis quæ mari, & aquis salsis proueniunt.*

SOla hæc in toto opere reliqua hoc habent nũc tempus opportunum. Nam quæ in mari, & aqua nascuntur animalia, superiori sermone exposita sunt, vbi videlicet agebatur de animalibus; at quæ in aquis quidem, aut ex aquis nascuntur, nec sunt animalia, ea nunc exponentur.

ΚΕΦΑΛΑΙΟΝ Β'.

α'. Περὶ τῶν, ἐν θαλάττῃ καὶ ἁλμυροῖς ὕδασι γεννωμένων.

ΜΟνα ταῦτα ἔτι λείποντα τῇ συμπάσῃ πραγματείᾳ, καιρὸν ἐπιτήδειον ἔχει τόνδε. τὰ μὲν γὰρ ἐν θαλάττῃ τε καὶ ὕδατι γεννώμενα ζῶα, κατὰ τὸν ἔμπροσθεν εἴρηται λόγον περὶ τῶν ζώων. ὅσα δὲ γεννᾶται μὲν ἐν ὕδασιν ἢ ἐξ
E ὑδάτων, οὐκ ἔστι δὲ ταῦτα ζῶα, νῦν εἰρήσεται.

2. De adarcio.

ADarcion, quidam verò masculinè efferunt Adarcon, alij fœmininè Adarcen appellitant, essentia quidem sua velut spuma est aquæ salsæ concreta, circum arundines, & farragines concrescens; Acerrimum hoc est medicamentum, simulque calidissimum; proinde, & per se inutile est, verùm commisceri solet iis, quæ vim eius retundunt, sicque fit multò vtilissimum in iis affectibus, qui calefieri postulant; idque foris impositum, nam intrò in corpus ipsum sumere est impossibile, nimirum ob virium vehementiam.

β'. Περὶ ἀδαρκίου.

ΑΔάρκιον, ἔνιοι δὲ ἀῤῥενικῶς ἄδαρκον, ἄλλοι δὲ θηλυκῶς ἀδάρκην καλοῦσι, κατὰ μὲν τὴν οὐσίαν, οἷος ἀφρὸς τίς ἐστι πεπηγὼς, ὕδατος ἁλμυροῦ, περιπηγνύμενος φορυτῷ τε καὶ καλάμοις, δριμύτατον δ' ἐστὶ, καὶ θερμαντικώτατον τοῦτο, διὸ καὶ καθ' αὑτὸ μὲν ἄχρηστόν ἐστι. μίγνυται δὲ τοῖς ἀμβλύνουσι τὴν δύναμιν αὐτοῦ, καὶ οὕτω γίγνεται πολύχρηστον, ἐπὶ τῶν
F θερμανθῆναι δεομένων διαθέσεων, ἔξωθεν προσαγόμενον. εἴσω γὰρ τοῦ σώματος, οὐχ οἷόν τε λαβεῖν αὐτὸ, διὰ τὸ σφοδρὸν τῆς δυνάμεως.

3. De Alcyonijs.

ALcyonia omnia detergũt ac digerũt, qualitatẽ habentia acrẽ, & calidã facultatẽ; verùm

γ'. Περὶ ἀλκυονίων.

ΑΛκυόνια ῥυπτικὰ μὲν ἅπαντα καὶ διαφορητικὰ, δριμεῖαν ἔχοντα ποιότητα, καὶ θερμὴν δύναμιν, ἀλλ' ἃ τὸ μᾶλλόν τε,

καὶ ἧττον ἐν αὐτοῖς ἐστιν οὐκ ὀλίγον, ἔν τε τούτοις αὐτοῖς οἷς εἴρηκα, καὶ προσέτι κατὰ τὸ λεπτομερὲς τῆς ὅλης οὐσίας. ἔστι δ' αὐτῶν, ἓν μὲν πυκνὸν καὶ βαρύ, καὶ μοχθηρὸν κατὰ τὴν ὀσμήν, ὄζει γὰρ ἰχθύων σαπρῶν, ἐοικὸς κατὰ σχῆμα, σπόγγῳ. δεύτερον δ' ἄλλο προμηκέστερον τῷ σχήματι, κοῦφον καὶ ἀραιόν, ὀσμὴν φυκίοις ὁμοίαν ἔχον. ἄλλο δὲ τρίτον, σκώληκι μὲν ἐστὶ τὸ σχῆμα παραπλήσιον, πορφυρίζει δὲ τῇ χρόᾳ, καὶ τῇ συστάσει μαλακόν ἐστιν. ὀνομάζουσι δ' αὐτὸ Μιλήσιον, ἐφ' οἷς ἄλλο τέταρτον, ὁμοίως μὲν τῷ δευτέρῳ λελεγμένῳ κοῦφόν τε, καὶ ἀραιόν, ἐοικὸς δὲ ἐρίοις οἰσυπηροῖς. τὸ δὲ πέμπτον, ἔξωθεν μὲν ἐπιφανείᾳ λείᾳ περιγράφεται, τὴν δ' ἐντὸς οὐσίαν ἔχει τραχεῖαν, οὐδεμίαν μὲν ἔχον ὀσμήν, ἐν τῇ γεύσει δὲ δριμὺ φαινόμενον. ἔστι γὰρ δήπου καὶ θερμότατον ἁπάντων τῶν ἁλκυονίων, ὡς τρίχας ἀποκάειν δύνασθαι. διό, τῶν μὲν πρώτων δύο, λειχῆνας, καὶ ἀλφούς, καὶ μέντοι καὶ ψώρας, καὶ λέπρας ὠφελούντων, ἔτι τε λαμπρυνόντων τὸ δέρμα, διὰ τὸ σύμμετρον τῆς δυνάμεως, δύναται ταὐτὸ ποιεῖν τουτί, τὸ ἔσχατον εἰρημένον. οὐ γὰρ ἀπορρύπτει μόνον ἐκεῖνα, ὥσπερ τὴν ἔξωθεν ἐπιφάνειαν, ἀλλ' ἀποδέρει τε, καὶ ἐκδέρει προσερχόμενον εἰς τὸ βάθος τοῦ δέρματος, ὡς ἕλκη ποιεῖν. τὸ δὲ τρίτον εἰρημένον, ἁπάντων ἐστὶ λεπτομερέστατον, διὸ καὶ καυθέν, ἀλωπεκίας ἰᾶται μετ' οἴνου καταχριόμενον, κιρροῦ μὲν τὴν χρόαν, λεπτοῦ δὲ τῇ συστάσει. τὸ τέταρτον δὲ τούτων, ἐστὶν ὁμοειδὲς κατὰ τὴν δύναμιν, ἀσθενέστερον δ' οὐκ ὀλίγον.

A magis & minus in ipsis non parum est, in his ipsis, quæ diximus, secundum partium essentiæ totius tenuitatem. Est autem eorum vnum densum, & graue, odoris praui, olet enim pisces putridos; spongiæ figura simile. Alterum verò figura longiuscula, leue, & rarum, odorem habens similem phyciis. Aliud tertium vermi simile est figura, colore purpureo, consistentia molli; vocant id Milesium. Post quæ quartum secundo quidem iam posito similiter, & leue, & rarum, verùm lanis succidis simile. Denique quintum extima superficie læui circunscribitur, cæterùm interna substantia asperum, nullius odoris, gustu tamen B apparens acre; & sanè omnium alcyoniorum est calidissimum, adeo vt, & pilos vrere possit. Itaque quum duo prima lichenas, alphos, psoras, leprasque adiuuent, præterea cutem splendidiorem competentia virium efficiant, idem præstare non potest hoc vltimo loco positum. Nec enim perinde, vt illa, cutem duntaxat summam extergit, sed etiam excoriat, vsque in profundum cutis penetrans, vt etiam vlcera moliatur. Porrò quod tertio ordine recensuimus, omnium est tenuissimum. Itaque vstum alopecias curat illitum cum vino, colore quidem fuluo, tenui tamen C essentia. Quartum autem eiusdem cum hoc speciei vires obtinet, verùm haud parum imbecilliores.

δ'. Περὶ ἁλῶν.

Ἅλες, τῆς αὐτῆς κατὰ γένος δυνάμεως, οἵ τ' ὀρυκτοί, καὶ οἱ θαλάττιοι. διαφέρουσι δέ, τῷ μᾶλλον πεπιλῆσθαι τὴν οὐσίαν τῶν ἐκ τῆς γῆς ἁλῶν, διὸ καὶ τὸ παχυμερές τε, καὶ στῦφον ἐν τούτοις μᾶλλόν ἐστιν. οἱ μὲν οὖν θαλάττιοι, τήκονται παραχρῆμα περιχυθέντος ὕδατος αὐτοῖς, οἱ δ' ἐκ τῆς γῆς, οὐ πάσχουσι τοῦτο. τοῖς θαλαττίοις δ' ὁμοειδεῖς εἰσι, καὶ οἱ κατὰ λίμνας τινάς, ἐχούσας ἁλμυρίδα, γινόμενοι τοῦ θέρους, ἐξοπτωμένου τοῦ ὕδατος ἐξ αὐτῶν, ὥσπερ καὶ οἱ Τραγάσιοι πλησίον Σμινθίου. συνίσταται γὰρ ἐνταῦθα, πρὸς τῶν αὐτοφυῶν ὑδάτων θερμῶν ἱκανῶς ὄντων, ὕδωρ δαψιλές, λιμνάζον, οὐκ ἐν πολλῷ χωρίῳ, καὶ τοῦτο, τοῦ θέρους, ὅλον ἐκδαπανᾶται, ξηραινόμενον ὑπὸ τοῦ ἡλίου, τοῦ τόπου δ' ἁλμυρίδα σύμφυτον ἔχοντος, τὸ ὑπολειπόμενον αὐτοῦ πᾶν, ἅλες γίνονται, τὴν ἐπωνυμίαν ἀπό τε τοῦ χωρίου, καὶ τῶν ὑδάτων λαμβάνοντες. καὶ γὰρ αὐτὰ τὰ αὐτοφυῆ κατ' ἐκεῖνον τὸν τόπον ὕδατα, Τραγάσια καλεῖται, ξηραντικωτάτης ὄντα δυνάμεως, καὶ χρῶνταί γε πρὸς τοῦτ' αὐτοῖς, οἱ κατ' ἐκεῖνον τὸν τόπον ἰατροί. λέλεκται δὲ καὶ περὶ τῶν Σοδομηνῶν τῶν ἐν τῇ νεκρᾷ θαλάσσῃ καλουμένῃ, γινομένων ἐν τῷ τετάρτῳ γράμματι, καὶ εἴ τις ἐκεῖνο τὸ βιβλίον ἀνέγνωκεν ἐπιμελῶς, ἀναμνήσεως αὐτῷ μόνον δεήσει νῦν, ὥστε ῥηθείσης τῆς γευστῆς ποιότητος, αὐτὸν ἐπίστασθαι τὴν δύναμιν τοῦ φαρμάκου. τῆς οὖν ἁλυκῆς ποιότητος, διαφορούσης τε ἅμα, καὶ συναγούσης τὴν πλησιάζουσαν οὐσίαν, τὸ καλούμενον ἀφρόνιτρον, ἐν τούτῳ τὴν διαφορὰν ἔχει, καθόσον ἕνα μόνον, ἐν τούτῳ τὸν ἐπικρατοῦντα χυμὸν ἐναργῶς ἐστιν ἰδεῖν, ὃν ὀνομάζουσι πικρόν, διαφορητικὴν ἔχοντα δύναμιν, συνακτικὴν δ' οὐκ ἔχοντα, καθάπερ οἱ ἅλες. οὗτοι γάρ, ὅσον μὲν ὑγρόν ἐστιν ἐν τοῖς σώμασι, τοῦτο πᾶν ἐκβόσκονται. τὸ δ' ὑπόλοιπον τῆς στερεᾶς οὐσίας, συνάγουσι τῇ στύψει, διὸ καὶ ταριχεύουσιν,

5. *De Sale.*

SAl eiusdem generis facultatis est, siue fossilis sit, siue marinus; verùm hoc differunt, quòd salis ex terra effossi substantia magis sit compacta, ac proinde in hoc maior est, partium crassities, & astringendi po-D tentia. Itaque marinus affusa aqua protinus liquescit, at fossili hoc non euenit. Porrò eiusdem speciei cum marino est, qui in stagnis quibusdam salsedinem habentibus nascitur æstate videlicet, aquis æstu ex iis assumptis, cuiusmodi est Tragasius, non procul à Sminthio. Confluit enim illuc ante aquas spontaneas, quæ admodum sunt calidæ, copiosa aqua stagnans non amplo in loco; & ea æstate omnis absumitur, à Sole videlicet arefacta. Porrò quoniam locus ipse salsedinem connatam continet, quod reliquum est omne, sal est, E cognominationem à loco pariter, & aquis sortitus. Nam spontaneæ, & ipsæ illis in locis aquæ Tragasiæ nuncupantur, facultate summè exiccatoria; & sanè qui in ea regione sunt medici, ad hoc illas accommodant. Porrò dictum est, & de Sodominis in mari mortuo prouenientibus, in quarto libro; quem si quis librum diligenter perlegerit, illi tantùm refricare memoriam nunc opus est, vt exposita gustus qualitate, ipse medicamenti facultatem cognoscat. Igitur quum qualitas salsa digerat simul, & contrahat contactam ab ipsa substantiam, aphrolitron in hoc differt, quòd in ipso F vnum modò saporem exuperantem euidenter sit videre quem vocant amarum, vim habentem digerendi, haud etiam contrahendi, vti sal. Nam hic quicquid in corporibus humidum inest, id totum absumit; & quod reliquum est substantiæ solidæ, astrictione contrahit; ac proinde etiam conditura sua carnes

carnes seruat, & à putredine tuetur; quippe quæ putrescunt, excrementitium continent humorem, substantiamque tum dissolubilem, tum minimè compactam. Quibus ergo corporibus nulla prorsum est humiditas superflua, ceu melli optimo, & corpus solidum, & compactum est, ceu lapidibus; ea vt putrescant est impossibile. Ac proinde in his salis non probatur vsus, verùm in iis, in quibus suspecta putredo.

A καὶ ἄσηπτα φυλάττουσι τὰ σώματα· τῶν σηπομένων, ὑγρότητα περιττωματικὴν ἐχόντων, διαλυτήν τε, καὶ ἄσφιγκτον τὴν οὐσίαν. οἷς τοίνυν σώμασι, μηδ᾽ ὅλως ἐστὶν ὑγρότης περιττὴ, καθάπερ τῷ καλλίστῳ μέλιτι, καὶ πεπίληται τὸ στερεὸν σῶμα, καθάπερ τοῖς λίθοις, ἀδύνατον τούτοις σαπῆναι, διόπερ καὶ ἡ τῶν ἁλῶν χρῆσις, οὐκ ἐπὶ τούτων εὐδόκιμος, ἀλλ᾽ ὑφ᾽ ὧν ὕποπτος ἡ σῆψις.

5. *De Sale vsto.*

SAl vstus digerit quidem potentius, quàm vstionis expers, quanto scilicet subtilius ipsius corpus accepta ab igne facultate redditur; velut, & in aliis, quæ combusta sunt, euenire diximus; verùm non sicut ille qui non est vstionem expertus, solidam ipsam substantiam contrahere, constringereque potest.

ε'. Περὶ ἁλῶν κεκαυμένων.

B Ἅλες κεκαυμένοι, τὸ μὲν διαφορητικὸν μᾶλλον ἔχουσι τῶν ἀκαύστων, εἰς ὅσον αὐτῶν λεπτομερέστερον γίγνεται τὸ σῶμα, τὴν ἀπὸ τοῦ πυρὸς λαμβανόντων δύναμιν, ὡς κἀπὶ τῶν ἄλλων ἐδείχθη τῶν κεκαυμένων συμβαίνειν, οὐ μὴν ὁμοίως γε τοῖς ἀκαύστοις, συνάγειν, καὶ πιλεῖν τὴν στερεὰν οὐσίαν ἔτι δύνανται.

6. De *Nitro.*

NItrum. Ostensum est, & hoc medicamentum in medio salis, & aphrolitri vires habere.

ϛ'. Περὶ Νίτρου.

C Νίτρον. ἐδείχθη καὶ τοῦτο τὸ φάρμακον ἐν τῷ μεταξὺ δύναμιν ἔχον, ἁλῶν τε καὶ ἀφρονίτρου.

7. De *Salis flore.*

HAlos anthos. Quidam, vt vnum nomen Halosanthos, quidam diuidentes Halos anthos nominant. Est autem hoc medicamentum liquidum, tenuiorum etiam partium, quàm sal vstus; tum acris qualitatis, & admodum digerentis facultatis.

ζ'. Περὶ ἁλὸς ἄνθους.

Ἁλὸς ἄνθος, ἔνιοι μὲν ὡς ἓν ὄνομα τὸ ἁλόσανθον, ἔνιοι δὲ καὶ διαιροῦντες, ἁλὸς ἄνθος ὀνομάζουσιν. ἔστι δ᾽ ὑγρὸν τοῦτο τὸ φάρμακον, λεπτομερέστερον, καὶ τῶν κεκαυμένων ἁλῶν, δριμύ τε τῇ ποιότητι, καὶ διαφορητικὸν ἱκανῶς τῇ δυνάμει.

D

8. De *Spuma salis.*

HAlos achne, spumosa est salis efflorescentia, multò tenuioris naturæ, quàm sal ipse; Quare, & extenuare, & digerere multò plus ipso potest; verùm quod substantiæ est reliquum, contrahere, vt sal, nequit.

η'. Περὶ ἁλὸς ἄχνης.

Ἁλὸς ἄχνη, ἀφρῶδές ἐστιν ἐπάνθισμα τῶν ἁλῶν, λεπτομερεστέρας πολὺ φύσεως ὑπάρχον, αὐτῶν τῶν ἁλῶν, ὥστε καὶ λεπτύνειν καὶ διαφορεῖν πολὺ μᾶλλον αὐτῶν δύναται. τὸ δ᾽ ὑπόλοιπον τῆς οὐσίας, συνάγειν καθάπερ οἱ ἅλες οὐ δύναται.

9. De *Bitumine.*

BItumen, vnum & ipsum est ex iis, quæ in aqua marina proueniunt, & in alia quapiam, quæ non est marinæ dissimilis, vt in Apollonio Epiri. Et per alia id genus loca multa, aquis sponte nascentibus ceu spuma quædam innatans hoc medicamentum reperitur. Et molle quidem est dum innatat, postea verò resiccatum, pice sicca durius efficitur.

θ'. Περὶ ἀσφάλτου.

E Ἄσφαλτον. ἕν τι καὶ τοῦτο τῶν ἐν ὕδατι θαλαττίῳ γινομένων, καὶ ἄλλῳ τινὶ τῶν ὁμοίων θαλάττῃ, καθάπερ ἐν Ἀπολλωνίᾳ τε τῇ κατ᾽ Ἤπειρον, καὶ τἄλλα χωρία τοιαῦτα, πολλοῖς ὕδασιν αὐτοφυέσιν οἷον ἀφρὸς, ἐποχούμενον εὑρίσκεται τὸ φάρμακον τοῦτο, μαλακὸν μὲν ὂν, ὁπότ᾽ ἐπινήχεται, μετὰ δὲ ταῦτα ξηραινόμενον, ὡς σκληρὸν γίνεσθαι μᾶλλον τῆς ξηρᾶς πίττης.

10. De *Bitumine proueniente in mari mortuo.*

OPtimum verò bitumen in mari, quod mortuum vocant, prouenit. Est autem id stagnum salsum in Caua Syria. Cæterùm medicamenti ipsius vis est tum resiccatoria, tum calefactoria in secundo ordine. Meritò itaque eo vtuntur, & ad glu-

ι'. Περὶ ἀσφάλτου γινομένου ἐν τῇ νεκρᾷ θαλάσσῃ.

F Καλλίστη δ᾽ ἄσφαλτος γίνεται κατὰ τὴν νεκρὰν ὀνομαζομένην θάλασσαν. ἔστι δ᾽ αὐτὴ λίμνη τις ἁλμυρὰ, κατὰ τὴν κοίλην Συρίαν. ἡ δὲ δύναμις τοῦ φαρμάκου, ξηραντική τ᾽ ἐστὶν, καὶ θερμαντικὴ, κατὰ τὴν δευτέραν που τάξιν. εἰκότως οὖν αὐτῷ χρῶνται, πρός γε

τὰς κολλήσεις τῶν ἐναίμων τραυμάτων, πρὸς τἄλλα, ὅσα ξηραίνειν δεόμενα μετὰ τοῦ θερμαίνειν μετρίως.

tinationes vulnerum cruentorum, & ad alia omnia, quæ exiccari debent cum modica calefactione.

ια'. Περὶ σπόγγου.

Σπόγγος ὁ μὲν κεκαυμένος, δριμείας ἐστὶ καὶ διαφορητικῆς δυνάμεως. ἐχρῆτο δ' αὐτῷ τις τῶν ἡμετέρων διδασκάλων, καὶ πρὸς τὰς ἐν ταῖς χειρουργίαις αἱμορραγίας, ἕτοιμον ἔχων, ξηρὸν μὲν, καὶ ἄικμον, δεδευμένον δὲ μάλιστα μὲν ἀσφάλτῳ, μὴ παρούσης δὲ ταύτης, πίττῃ, προσετίθει δ' αὐτὸν τοῖς αἱμορραγοῦσι χωρίοις, ἔτι καιόμενον, ὡς ἐσχαροῦσθαί τε ἅμα τὸ μόριον, καὶ οἷον πῶμά τι λαμβάνειν αὐτὸ τὸ σῶμα τοῦ καυθέντος σπόγγου. καινὸς δ' ὁ σπόγγος, αὐτὸς καθ' ἑαυτὸν, οὐχ ὡς ἔριον, ἢ μοτὸς πιλητὸς, ὕλη μόνον ἐστὶ τῶν ἐπιβρεχομένων ὑγρῶν, ἀλλὰ καὶ ξηραίνει σαφῶς. εἴσῃ δὲ χρησάμενος ἐπὶ τραύματος αὐτῷ μόνῳ μεθ' ὕδατος, ἢ ὀξυκράτου, ἢ οἴνου κατὰ τὰς τῶν σωμάτων διαφορὰς, ὡς προείρηται, κολλήσει γὰρ αὐτὰ, παραπλησίως τοῖς ἐναίμοις ὀνομαζομένοις φαρμάκοις. εἰ δὲ μὴ καινὸς, ἀλλ' ἀπὸ χρήσεως εἴη, γνώσῃ σαφῶς ὅσον ἀπολείπεται τοῦ καινοῦ, κατὰ τραυμάτων ἐπιτιθέμενος, εἴτ' οὖν ὕδατι βεβρεγμένος, εἴτ' οἴνῳ, εἴτ' ὀξυκράτῳ. καὶ οὐδὲν θαυμαστὸν ἐπὶ τοῦ καινοῦ σπόγγου, διασωζομένης ἔτι τῆς δυνάμεως ἣν ἐκ τῆς θαλάττης εἶχε, ξηραίνεσθαι μετρίως τὰ σώματα. ταῦτα δὲ δύναται ποιεῖν, ὅσον ἔτι διασώζει τὴν ἀπὸ τῆς θαλάττης ὀσμὴν, ὡς ἔν γε τῷ χρόνῳ κἂν μηδέπω πρὸς χρῆσιν ἠγμένος ᾖ, τήν τ' ὀσμὴν ἀπόλλυσι, καὶ ξηραίνειν ὁμοίως οὐ δύναται.

11. De Spongia.

Spongia vsta acris est, & digerentis facultatis. Vtebatur ea præceptorum meorum quidam ad sanguinis eruptiones, quæ manuali opera indigent; in quem vsum semper eam paratam habebat siccam, & exarefactam; quum verò res postularet, bitumine in primis imbuebat; sin eo careret, pice. Porrò admouebat eam partibus sanguine profluentibus etiamnum ardentem, vt & crusta parti induceretur, & ipsum spongiæ vstæ corpus, ceu operculum acciperet. Cæterùm spongia noua, non sicut lana, aut linamentum, materia duntaxat est, quæ humores irrigando excipiat, sed etiam manifestè desiccat. Id quod scies, si ea sola vtaris in vulnere cum aqua, aut oxycrato, aut vino, pro diuersitate videlicet corporum, vti est ante dictum. Glutinabit siquidem ea similiter, atque medicamenta, quæ vocant enæma. At si non noua sit, sed vsui accommodata, palam cognosces quantum à noua superetur, si vulneribus eam imponas, siue cum aqua, siue cùm oxycrato, siue cum vino. Nec mirum est, cum in spongia noua seruetur etiamnum ea, quam à mari accepit, facultas modicè corpora exiccandi. Atque hæc quidem præstare potest, quum etiamnum seruat maris odorem. Nam temporis spatio, etiam si nunquam vsui accommodata sit, tamen, & odorem maris amittit, nec æquè desiccare potest.

ιβ'. Περὶ γάρου.

Γάρος, δυνάμεώς ἐστι θερμῆς ἱκανῶς, καὶ ξηρᾶς, καὶ διὰ τοῦτο, πρὸς τὰ σηπεδονώδη τῶν ἑλκῶν ἐχρήσαντό τινες αὐτῷ τῶν ἰατρῶν, ἐνιᾶσί τε τοῖς δυσεντερικοῖς τε, καὶ ἰσχιαδικοῖς.

12. De Garo.

Garus facultatem habet multum & calidam, & siccam; ac proinde ex eo medici quidam ad vlcera vsi sunt putrescentia; tum dysentericis, ischiadicisque iniiciunt.

ιγ'. Περὶ ἅλμης.

Ἅλμη τῶν ταριχηρῶν ἰχθύων, ὁμοίως τῷ γάρῳ, πρός τε τὰς σηπεδόνας ἁρμόζει, καὶ πρὸς ἰσχιάδας, καὶ δυσεντερίαν ἐνιεμένη, τῇ δὲ δριμύτητι, τοὺς μὲν τὸ ἰσχίον ἐνοχλοῦντας χυμοὺς ἐπισπᾶται, καὶ διὰ τῶν ἐντέρων ἐκκενοῖ. τὰ δὲ σηπεδονώδη τῶν ἑλκῶν, ἐν τῇ δυσεντερίᾳ, περικλύζει τε καὶ ξηραίνει. μάλιστα δὲ τῇ τῶν ταριχηρῶν σιλούρων, καὶ τῇ τῶν μαινίδων ἅλμῃ, πρὸς τὰ τοιαῦτα κέχρηνταί τινες ἰατροὶ, καὶ ἡμεῖς δ' ἐπὶ τῶν ἐν στόματι σηπεδονωδῶν ἑλκῶν ἐχρησάμεθα.

13. De Muria.

Salsugo piscium salsorum similiter garo, & ad putredines accommodatur; & ad ischiadas dysenteriasque infunditur. Et acrimonia quidem humores coxam infestantes attrahit, ac proinde per intestina euacuat. Putrescentia verò vlcera in dysenteria colluit, atque desiccat. Maximè verò salsugine salsorum Silurorum, & mænidum ad talia vti medici quidam assolent. Et nos sanè ad vlcera in ore putrida accommodanimus.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΑ ΔΕΚΑ.

ΠΡΩΤΟΝ.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBRI DECEM.

PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Α'. ΒΙΒΛΙΩι.

Περιέχει φάρμακα τὰ πρὸς τῶν τριχῶν τε, καὶ κατὰ τὴν κεφαλὴν πάθη.

ARGVMENTVM PRIMI LIBRI.

Continet medicamenta ad pilorum, & summæ cutis capitis affectiones.

CAPVT PRIMVM.

Quid agendum hoc libro, ac de differentiis, & affectionibus pilorum.



QVOD non solùm is, qui curatur affectus curationem ipsam indicet, sed quòd tum ipsius ægri temperamentum, tum affectæ partis natura, non parum simul indicent, antea in commentariis De medendi methodo est monstratum; quemadmodum etiam quomodo quis ex simplicibus medicamentis per se compositum aliquod faciat, compendio quidem in illis, fusiùs verò in septem libris ante hunc item editis, vniuersalem methodum ostendimus. Nunc verò quomodo quis per se methodo medicamentorum facultates dirigat ad singulas corporis partes congruentes, atque iis, quæ à prioribus medicis inuentæ sunt, rectè vtatur, percurrere propositum est, à capite initio facto, sicuti omnibus, qui nos præcesserunt, est visum. Accidunt autem ipsi capiti plurimæ affectiones cum reliquis omnibus partibus communes: verùm capillorum affectionem cum paucis communem habet; propterea quòd etiam pilosum esse, ex primaria ratione haud multis inest. Generatio enim pilorum eadem est, quæ terræ nascentium, quemadmodum in libris De temperamentis est demonstratum. Quemadmodum autem in iis, quædam arte, & arbitrio agricolæ, quædam verò naturalibus causis proueniunt, eodem modo, & in animalium corporibus.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν τῷδε τῷ βιβλίῳ λεκτέον, καὶ περὶ διαφορῶν τε, καὶ παθῶν τῶν τριχῶν.



A ΟΤΙ μὲν οὐ μόνον τὸ θεραπευόμενον πάθος ἐνδείκνυται τὴν θεραπείαν, ἀλλ' ἥ τε τοῦ κάμνοντος κρᾶσις, ἥτε τοῦ πάσχοντος μορίου φύσις, οὐ μικρὸν συνενδείκνυται, δέδεικται πρόσθεν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὥσπερ γε καὶ ὅπως ἄν τις ἐκ τῶν ἁπλῶν φαρμάκων σύνθετον αὐτὸς ποιῇ. διὰ συντόμου μὲν ἐν ἐκείνοις, πλατύτερον δ' ἐν τοῖς περὶ τούτου βιβλίοις ἑπτὰ, τὴν μέθοδον ἅπασαν ἐ-
B δήλωσα. νυνὶ δὲ τὰς καθ' ἕκαστον μέρος τοῦ σώματος ἁρμοττούσας δυνάμεις φαρμάκων, ὅπως ἄν τις αὐτός τε κατασκευάζοι μεθόδῳ, καὶ ταῖς ὑπὸ τῶν ἔμπροσθεν ἰατρῶν εὑρημέναις ὀρθῶς χρῷτο, πρόκειται διελθεῖν ἀπὸ τῆς κεφαλῆς ἀρξαμένοις, ὡς καὶ τοῖς πρὸ ἡμῶν ἅπασιν ἔδοξεν. συμβαίνει δ' αὐτῇ τὰ μὲν πλεῖστα τῶν παθῶν, κοινὰ τοῖς ἄλλοις πᾶσι μέρεσιν, τὸ δὲ τῶν τριχῶν πάθος, ὀλίγοις κεκοινώνηται, διότι καὶ τὸ τετριχῶσθαι κατὰ πρῶτον λόγον, οὐ πολλοῖς ὑπάρχει. γένεσις μὲν γὰρ ταῖς θριξὶν, οἵαπερ ἡ τῶν ἐκ τῆς γῆς φυομένων, ὡς ἐν
C τοῖς περὶ κράσεων ὑπομνήμασιν ἐδείχθη. καθάπερ δὲ ἐν τούτοις, τὰ μὲν κατὰ τέχνην, καὶ προαίρεσιν τοῦ γεωργοῦ, τὰ δὲ κατὰ τὰς φυσικὰς αἰτίας γίνεται, τὸν αὐτὸν τρόπον κἀν τοῖς τῶν ζώων σώμασιν,

ἀρούρᾳ. τῷ μὲν γάρ, πυροὺς, ἢ κριθὰς, ἢ τι τῶν ἄλλων δημητρείων σπερμάτων ἐν αὐτῇ φυομένων ἐχούσῃ, τῆς κεφαλῆς ἐοικυίας, ταῖς δὲ ἄλλαις πόαις, ὅσαι κατὰ τὰ ἀνώτερα χωρία φύονται, τῶν ἐν ὅλῳ τῷ σώματι τριχῶν ὁμοίαν ἐχουσῶν τὴν γένεσιν. οὐ γὰρ κατὰ πρῶτον λόγον, ἡ φύσις αὐτὰς εἴωθε γεννᾶν, ἀλλὰ κατά τι συμβεβηκός. αἱ γε μὴν κατὰ τε βλέφαρα καὶ τὰς ὀφρῦς, ἐδείκνυντο χρείαν οὐ μικρὰν παρέχουσαι τοῖς ζώοις. αἱ δὲ ἐπὶ τῶν γενείων τε καὶ τῶν αἰδοίων, ἕνεκα μικροτέρων χρειῶν γεγονέναι δοκοῦσι, διὸ καὶ τὰ πάθη μάλιστα μὲν τῶν ἐν ὀφθαλμοῖς τε καὶ ταῖς ὀφρύσιν, ἐπὶ τὴν ἑαυτῶν θεραπείαν ἡμᾶς προτρέπει, δεύτερα δὲ ἐπ' αὐτοῖς, B τῶν κατὰ τὴν κεφαλὴν, εἶτα γενείων τε καὶ αἰδοίων. Ἔστι δὲ τὰ πάθη τῶν τριχῶν, ἥ τε παντελὴς ἀπώλεια, καὶ ἡ κατὰ χροιὰν ὑπαλλαγὴ, καθάπερ ἐν ταῖς καλουμέναις λεύκαις γίνεται, καὶ πρὸς τούτοις, ἐν ἀλωπεκίαις τε, καὶ ὀφιάσεσιν, οὐ μικρὰ, καὶ ἀπρεπὴς ἅμα βλάβη γίνεται τῶν τριχῶν. ἔνιοι μὲν οὖν ὑπέσχοντο, καθάπερ ταύτας, οὕτω καὶ τὰς ἀρχομένας φαλακρώσεις κωλύειν αὐξηθῆναι. Εἰσὶ δὲ οἱ τοῦτο μὲν ἀδύνατον εἶναι φασιν. ἐπὶ δὲ τὴν τῶν ἀλωπεκιῶν τε, καὶ ὀφιάσεων ἀφικόμενοι θεραπείαν, ἔγραψαν φάρμακα, δι' ὧν ἐπαγγέλλονται τελέως αὐτὰς ἰάσασθαι, καὶ δὴ καὶ χρώμενοι τοῖς γεγραμμένοις ὑπ' αὐτῶν φαρμάκοις οἱ πολλοὶ τῶν ἰατρῶν, οὐ μόνον ἀποτυγχάνουσιν ἐνίοτε μεγάλως, ἀλλὰ καὶ βλάπτουσιν ἰσχυρῶς, ὡς ἀνίατον ἐργάζεσθαι τὴν διάθεσιν, ὥσπερ αὐτοῖς συμβαίνει καὶ κατ' ἄλλα φάρμακα πολλὰ, χωρὶς μεθόδου χρωμένοις. ἐγὼ δὲ ὅπερ Ἱπποκράτης ἐκέλευσεν, ἀεὶ πεπείραμαι πράττειν ἐπὶ τῶν τῆς τέχνης ἔργων, ὡς τὸ προσφερόμενον βοήθημα, καθάπερ ἐκεῖνος ἔγραψεν, ὠφελεῖν ἢ μὴ βλάπτειν. ὅτι δὲ ἡ χωρὶς μεθόδου τῶν φαρμάκων χρῆσις, οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ βλάπτει πολλάκις, ἔνεστί σοι μαθεῖν ἐντεῦθεν, ἤδη γὰρ αὐτοῦ τοῦ προκειμένου D καιρὸς ἄρξασθαι.

A Aruo enim cuipiam triticum, aut hordeum, aut quidpiam cæterorum cerealium seminum in se orientium habenti, caput assimilatur, aliis verò herbis pili, qui in superiori parte nascuntur, qui his qui sunt in toto corpore pilis similem habent generationem; non enim secundum primam rationem, sed per accidens quoddam, natura eos generare solet. At pili cùm palpebrarum, tum superciliorum, non paruum vsum animalibus exhibere ostendebantur; menti verò & pudendorum pili minoris vtilitatis gratia producti videntur. Quapropter etiam affectiones pilorum in oculis, & superciliis in primis nos ad sui curationem adhortantur; secundum verò locum capitis capillorum affectiones habent; deinde menti, & pudendorum. Sunt autem pilorum affectiones, perfecta perditio, & coloris ipsorum alteratio, velut in vitiligine alba, leuce appellata fieri consueuit. Ad hæc etiam in alopeciis, & ophiasi non modicum, atque indecorum detrimentum simul capillis accedit. Quidam igitur promiserunt veluti has, sic etiam incipientem caluiciem se, ne augescant, prohibituros: sunt autem, qui hoc impossibile esse dicant. Ad alopeciarum autem, & ophiasis curationem accedentes, pharmaca scripserunt, per quæ perfectam ipsarum sanationem pollicentur. At verò plerique medici ex ipsorum vsu aliquando non solum successu longè frustrantur, sed etiam vehementer nocent, vt affectio ipsa incurabilis reddatur, quod sanè ipsis etiam circa alia pharmaca contingit, quibus citra methodi rationem vtuntur. Ego verò id, quod Hippocrates præcepit, in artis operibus facere semper annitor: nimirum Vt quod auxilij loco adhibetur, velut ille scripsit, iuuet, vel certè non noceat. Quòd verò pharmacorum citra methodum vsus non solum non prosit, sed frequenter etiam obsit, hinc sanè discere licet. Iam verò ordiendi, quod proposuimus tempus adest.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ἀλωπεκίας, καὶ φαλακρώσεως, καὶ ὀφιάσεως.

Καθάπερ τῶν φυτῶν, ἔνια μὲν ὑγρότητος ἐνδείᾳ διαφθείρεται ξηραινόμενα, τινὰ δὲ, ὑγροῖς ἀλλοτρίοις τῆς ἑαυτῶν φύσεως, ὁμιλοῦντα, τὸν αὐτὸν τρόπον καὶ ταῖς θριξὶν, ἤτοι δι' ἔνδειαν ὑγρῶν, ὑφ' ὧν τρέφεσθαι πεφύκασιν, ἢ διὰ φαυλότητα, φθείρεσθαι συμβαίνει. δι' E ἔνδειαν μὲν ὑγρῶν, ἡ φαλάκρωσις γίγνεται, διὰ μοχθηρίαν δὲ χυμῶν, ἀλωπεκία τε καὶ ὀφίασις, ἓν μὲν γε ἄμφω, κατά γε τὴν νοσώδη διάθεσιν, οὖσαι πάθος, ὀνόματα δὲ ἐσχηκυῖαι διαφέροντα, παρὰ τὸ σχῆμα. παραπλήσιον γὰρ ὄφει τὸ βεβλαμμένον μέρος τῆς κεφαλῆς φαίνεται, κατὰ τὰς ὀφιάσεις. αἱ δ' ἀλωπεκίαι, διὰ τοῦτο, ὥς φασιν, οὕτως ὠνομάσθησαν, ὅτι συνεχῶς γίγνονται ταῖς ἀλώπεξιν. ἡμεῖς δὲ διὰ τί μὲν ὠνομάσθησαν οὕτως, οὐ ζητοῦμεν, ὅπως δὲ γίγνονται, ζητήσαντες, ὑγρῶν μοχθηρῶν πλεονεξίαν, αἰτίαν εὕρομεν. ὁποία δὲ ἐστι F ταῦτα, ἐκ τῆς χροιᾶς τοῦ τῆς κεφαλῆς δέρματος διαγνώσῃ. φαίνεται γὰρ, ἐνίων μὲν ἐπὶ τὸ λευκότερον ἐκτρεπόμενον, ἐνίων δ' ἐπὶ τὸ μελάντερον, ἢ ὠχρότερον, ὥστε καὶ κάθαρσιν πρῶτον ἐπ' αὐτῶν ἐργάσῃ τοῦ παντὸς σώματος, ἤτοι φλέγματος ἀγωγὸν δοὺς φάρμακον, ἢ χολῆς ὠχρᾶς, ἢ μελαίνης,

CAPVT II.

De Alopecia, Caluicie, & Ophiasi.

QVemadmodum plantæ aliquæ ob humoris inopiam resiccatæ corrumpuntur, aliquæ verò ob humoris alieni ab ipsarum natura commercium, eodem modo, & capilli, aut propter humorum, ex quibus nutriri consueuerunt, inopiam, aut propter eorundem vitiationem, accidit vt corrumpantur. Et propter inopiam sanè humorum caluicies contingit, propter vitiatos verò humores alopecia, & ophiasis; vnum quidem ambæ secundum morbosam affectionem malum, nomina autem iuxta figuram habentes diuersa; serpenti enim similis læsa capitis pars in ophiasi apparet: alopecias autem ob id appellatas ferunt, quòd vulpibus frequenter accidant. Nos autem, propter quid sic appellari contigit, non quærimus; vnde vero oriantur causam quærentes, eam ipsam humorum vitiatorum redundantiam comperimus. Quales autem tandem sint corrupti humores, ex colore cutis capitis cognosces: aliquibus enim mutata albidior apparet, aliquibus nigrior, aut pallidior. Quare in istis primùm totius corporis purgationem adhibebis, aut pharmaco pituitam ducente exhibito, aut quod bilem pallidam, aut nigram trahit,

hit, coniectura redundantis humoris ex colore cutis facta. Ego verò semper per hieram purgaui; aliquando veratro nigro adiecto, vbi atræ bilis expurgare volui humorem: aliquando scammonia, si amara bilis purganda esset: si verò pituitosum exuperare coniecissem humorem, nihil admiscui. Tales enim præsertim ex capite hiera ex colocynthide purgare consueuit, simulque cum his etiam alios quosdam humores etiam si scammonia, aut veratrum nigrum, aut epithymum non assumpserit. Quin, & ex aloë catapotia, quæ tum scammoniam, tum colocynthidem admixtam habent, vtiliter ita affectos purgare solent. Cæterùm post totius corporis purgationem, pituitam per os ducere præstat, deinde vsque adeo affecto loco remedia admouenda, de quorum compositione dicere aggredior. Oportet enim, velut in aliis, sic & in his affectioni mederi, cuius symptoma est vitium capillorum. Si quidem igitur vitiatus humor circa vnum locum fuerit collectus, scopus medendi erit, vt his quàm celerrimè euacuetur, priusquàm ab ipso cutis in quendam malum habitum deducatur, tantum, vt etiam, si quis vitiatum ipsius humorem euacuet, & boni sanguinis influxum præparet, is adeo etiam à malo in ipsa habitu prius inducto corrumpatur. Si itaque vitiatum humorem in cute euacuare volueris, discussoriis pharmacis opus habebis. Atqui contradicet forsan aliquis, communem scopum in omnibus affectionibus, quæ ex influxu humorum fiunt, contemni, ac subuerti ratus, repelli ipsos debere asserens, partem refrigerando, ac astringendo, non attrahi calefaciendo; esse autem discutientia medicamenta omnia facultate calida. Et certè affirmamus nos quoque verè hæc dicta esse. Incipientes enim ophiases & alopecias per huiusmodi pharmaca prohibere oportet ne augescant; non tamen iam principium ipsorum alopeciam, aut ophiasin appellari, sicut neque scabiem, neque lepram iam appellamus, quæ ex impetigine orditur. Ego itaq;, quemadmodum nostis, etiam iam factas alopecias aliquando sola purgatione sanaui, nullo amplius medicamento post ipsam ad locum affectum admoto. Vt autem ampliorem eius rei experientiam facerem, ex eiusmodi quopiam successu sum impulsus. Adolescens quispiam bonæ habitudinis, & exercitiis assuetus, hanc affectionem in capite habebat: erat autem satis familiaris mihi, vt victus rationem etiam ipsius, qua iam per tres, aut quatuor menses vsus erat, probè nossem: explebat enim se quotidie fermè fungis. Hunc itaque sola hiera ex colocynthide purgaui bis in quinque diebus: in prima sanè purgatione quatuor ex ea drachmis, in secunda quinque exhibitis. Priusquàm verò ad has purgationes peruenire, catapotia ex aloë vndecim ei præbui, ciceribus ferè magnitudinem parem habentia. Habent autem catapotia hæc, colocynthidis partem, id est aloës, & scammoniæ, vtriusque partes ij, his ego vnam partem succi absinthij misceo. Antea verò etiã mastichen Chiam, & bdellium adieci, hoc enim modo Quintus vtebatur. Verùm propter quid ea reiecerim, postea alio sermone explicabitur, quem in compositionis purgantium pharmacorum libros reseruo. Quum igitur post has tres purgationes homini pituitam è capite deducere per apophlegmatismos vellem, atque deinde pharmacum quoddam ad affectam partem adhibere, contigit ipsum de repente in profectionem quandam ablegari, in qua cum boni

A ἐκ τῆς χροιᾶς τεκμηράμενος τὸν πλεονάζοντα χυμόν. ἐγὼ δ' ἀεὶ διὰ τῆς ἱερᾶς ἐκάθηρα, προσβαλὼν ἐνίοτε μὲν ἐλλεβόρου μέλανος, εἰ μελαγχολικώτερον ἐβουλόμην ἐκκαθᾶραι χυμόν, ἐνίοτε δὲ σκαμμωνίας, εἰ πικρόχολον. εἰ δὲ φλεγματικώτερον ἐπικρατεῖν ὑπέλαβον, οὐδὲν ἔμιξα. τοὺς γὰρ τοιούτους, καὶ μάλιστα ἐκ τῆς κεφαλῆς, ἡ διὰ τῆς κολοκυνθίδος ἱερὰ καθαίρειν πέφυκεν, ἅμα τῷ καὶ ἄλλους τινὰς χυμοὺς δηλονότι, κἂν μὴ προσλάβῃ σκαμμωνίας, ἢ ἐλλεβόρου μέλανος, ἢ ἐπιθύμου, καὶ τὰ διὰ τῆς ἀλόης δὲ καταπότια, τὰ καὶ τῆς σκαμμωνίας, καὶ τῆς κολοκυνθίδος ἔχοντα, B χρησιμώτερα καθαίρειν πέφυκε τοὺς οὕτω διακειμένους. μετὰ δὲ τὴν τοῦ ὅλου σώματος κάθαρσιν, ἀποφλεγματίζειν ἄμεινον, εἶθ' οὕτως χρῆσθαι τοῖς τοπικοῖς βοηθήμασιν, ὑπὲρ ὧν τῆς συνθέσεως ἐρῶν ἔρχομαι. χρὴ γὰρ ὥσπερ ἐπὶ τῶν ἄλλων παθῶν, οὕτω καὶ ἐπὶ τούτων ἰᾶσθαι τὴν διάθεσιν, ἧς σύμπτωμά ἐστι, κάκωσις τῶν τριχῶν. εἰ μὲν οὖν ἐστί τις κακοχυμία καθ' ἕνα τόπον ἠθροισμένη, σκοπὸς ἔσται τῆς ἰάσεως, ἡ κένωσις ταύτης ὅτι τάχιστα, πρὶν εἴς τινα καχεξίαν ὑπ' αὐτῆς ἀχθῆναι τὸ δέρμα τηλικαύτην, ὥστε κἂν ἐκκενώσῃ τις αὐτοῦ τὴν κακοχυμίαν, ἐπιρρεῖν τε παρασκευάσῃ χρηστὸν αἷμα, C καὶ διαφθείρεσθαι τοῦθ' ὑπὸ τῆς ἐν αὐτῷ κατασκευασθείσης καχεξίας. εἰ μὲν οὖν ἐκκενῶσαι πρόκειται τὴν ἐν τῷ δέρματι κακοχυμίαν, διαφορητικῶν φαρμάκων ἐστὶ χρεία, καίτοι τάχ' ἄν τις ἀντερεῖ, τὸν κοινὸν σκοπὸν ἐπὶ πάντων παθῶν ὅσα δι' ἐπιρροὴν ὑγρῶν γίγνεται, καταφρονεῖσθαί τε καὶ ἀνατρέπεσθαι νομίζων. ἀποκρούεσθαι γὰρ αὐτὰ προσήκειν φαμὲν ἐμψύχοντάς τε καὶ στύφοντας τὸ μέρος, οὐχ ἕλκειν, θερμαίνοντας, εἶναι δὲ τὰ διαφορητικὰ πάντα θερμὰ ταῖς δυνάμεσι. καὶ ἀληθῶς γε φήσομεν εἰρῆσθαι ταῦτα. τὰς γὰρ ἀρχομένας ὀφιάσεις, ἢ ἀλωπεκίας, κωλύειν αὐξάνεσθαι χρὴ D τοῖς τοιούτοις φαρμάκοις, οὐ μὴν ἤδη γέ πω καλεῖσθαι τὴν ἀρχὴν αὐτῶν ἀλωπεκίαν, ἢ ὀφίασιν, ὥσπερ οὐδὲ ψώραν, ἢ λέπραν ἤδη τὴν ἐκ λειχῆνος ἀρχομένην. ἐγὼ γοῦν, ὡς ἴστε, καὶ τὰς ἤδη γεγονυίας ἀλωπεκίας ἰασάμην ἐνίοτε καθάρσει μόνῃ, μηδὲν ἔτι φάρμακον μετ' αὐτὴν προσαγαγὼν τῷ πεπονθότι τόπῳ, προὐτράπην δ' ἐπὶ τῷ καὶ τούτου πλείονα πεῖραν ἔχειν, ἔκ τινος τοιαύτης συντυχίας. νεανίσκος τις εὐέκτης τε καὶ γυμναστικός, ἔσχεν ἐν τῇ κεφαλῇ τὸ πάθος τοῦτο. συνήθης δ' ἦν ἡμῖν ἱκανῶς, ὥστε καὶ τὴν δίαιταν αὐτοῦ γινώσκειν, ᾗ μηνῶν ἤδη τριῶν ἢ τεττάρων ἐκέχρη-E το, καθ' ἑκάστην σχεδὸν ἡμέραν ἐμπιπλάμενος μυκήτων. τοῦτον ἐκάθηρα μόνῃ τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ, δὶς ἐν ἡμέραις πέντε, τὴν μὲν προτέραν κάθαρσιν, ἐπὶ τέσσαρσι δραχμαῖς, τὴν δὲ δευτέραν, ἐπὶ πέντε. πρὶν δὲ ἐπὶ τὰς καθάρσεις ταύτας ἐλθεῖν, ἔδωκα τῶν διὰ τῆς ἀλόης αὐτῷ καταποτίων ἕνδεκα, παραπλήσιά πως ἐρεβίνθοις τὸ μέγεθος. ἔχει δὲ ταῦτα, τῆς μὲν κολοκυνθίδος ἓν μέρος, ἀλόης δὲ καὶ σκαμμωνίας, ἑκατέρου δύο, τούτοις ἓν μέρος ἐγὼ μιγνύω χυλοῦ ἀψινθίου, πρότερον δὲ καὶ μαστίχης χίας ἔβαλον, καὶ βδελλίου, οὕτω γὰρ ἐχρῆτο Κόϊντος. ἀλλὰ διὰ-F τί περιεῖλον ὕστερον αὐτά, λόγος ἕτερος, ὃν ἐν τοῖς περὶ τῶν καθαιρόντων φαρμάκων συνθέσεως ἐρεῖν ἀναβάλλομαι. μέλλοντος οὖν μου μετὰ τρεῖς ταύτας καθάρσεις, ἀποφλεγματίζειν τὸν ἄνθρωπον, εἶτα χρήσασθαί τινι φαρμάκῳ κατὰ τοῦ πεπονθότος μορίου, συνέβη στείλασθαι αὐτόν τινα ἀποδημίαν ἐξαιφνίδιον, ἐν ᾗ διατριβόμενος εὐχύμοις

ἐδέσμασιν, οἷς ἠκηκόει παρ' ἐμοῦ, μεθ' ἡμέρας ὡς εἴκοσιν, ὑπέστρεψεν, ἐκτεθεραπευμένος τὸ περὶ τὰς τρίχας πάθος. ἐντεῦθεν οὖν ὁρμηθεὶς ἐγώ, τὴν αὐτὴν θεραπείαν ἐφ' ἑτέρων ποιησάμενος, ἀνέμεινα θεάσασθαι, χωρὶς τῶν ἐπιτιθεμένων τῇ κεφαλῇ φαρμάκων, τὸ γενησόμενον, ἐθεραπεύθησαν οὖν πάντες οὕτως. οὐ μὴν ἐπί γε τῶν ἤδη κεχρονισμένων ἐπεχείρησα τῇ τοιαύτῃ πείρᾳ, δυσέκνιπτοι γὰρ ἐπὶ τούτων εἰσὶν οἱ ἐνιζηκότες ἰχῶρες τῷ δέρματι. πολὺ δὲ μᾶλλον, ἐφ' ὧν ἤδη καὶ αὐτὸ τὸ δέρμα καχεξίαν τινὰ ἔσχεν, οὐ χρὴ θαρρεῖν μόναις ταῖς καθάρσεσιν. ταῦτα μὲν οὖν ἀναγκαίως μοι προείρηται. περὶ δὲ τῶν ὠφελούντων τὸ πάθος φαρμάκων, ἄρξομαι λέγειν ἤδη. Κενωτικὰ μὲν οὖν εἶναι χρὴ πάντως αὐτὰ τοῦ λυποῦντος χυμοῦ, κενοῦν δ' οὐδὲν δύναται, χωρὶς τοῦ διαφορητικὴν ἔχειν δύναμιν, ἔχειν δὲ αὐτὴν οὐ δύναται, χωρὶς τοῦ θερμαίνειν, ἀλλ' ἐὰν μὲν τῶν πάνυ θερμαινόντων ᾖ, καύσει τὸ δέρμα, καὶ χωρὶς δὲ τοῦ καίειν, ἐν ἀρχῇ μὲν ὀνήσει γενναίως, ὑπερξηρανθὲν δὲ τῷ χρόνῳ τὸ δέρμα τῆς κεφαλῆς ἔσται τοιοῦτον ὁποῖον οἱ φαλακρωθέντες ἔχουσιν. οὐ μὴν οὐδ' ἁπλῶς χρὴ μετρίως εἶναι τὸ φάρμακον θερμόν, ἐντὸς τῶν ὅρων ἧκον τοῦ προκειμένου σκοποῦ. καὶ γὰρ καὶ λεπτομερὲς εἶναι προσήκει αὐτό, μέχρι γε τοῦ βάθους καταδύεσθαι μέλλον, ἐξ οὗ ταῖς τῶν τριχῶν ῥίζαις ἡ τῆς γενέσεως ἀρχή, καὶ τῇ δυνάμει τοιοῦτον, οἷον προείρηται, πρὸς τὸ παχύτερον, καὶ σκληρότερον εἶναι τὸ τῆς κεφαλῆς δέρμα, καὶ διὰ τοῦτο, φαρμάκου δεῖσθαι δραστικωτέρου. εἴγε μὴν πρὸς τῷ διαφορεῖν τοὺς μοχθηροὺς χυμούς, ἐπιτήδειον εἴη τὸ φάρμακον ἕλκειν αἷμα χρηστόν, ὥσπερ ἡ θαψία, κάλλιστον ἂν εἴη τοῦτο. πολλῷ δ' οὔσης θερμοτέρας τῆς θαψίας, ἢ κατὰ τὴν τοῦ πάθους χρείαν, εἰκότως ἄν τις αὐτὴν φυλάξαιτο μόνην προσφέρειν. ἑλκώσεις τε γὰρ εἴωθεν ποιεῖν ἐν τῷ δέρματι, καὶ πάντως γε φλεγμονώδη τινὰ οἰδήματα. διὰ τοῦτο οὖν ἐπὶ τὸ μιγνύειν αὐτῇ τινα παραγινόμεθα, τῶν πραϋνόντων τὴν σφοδρότητα. δύναται δὲ τοῦτο ποιῆσαι κηρωτὴ δι' ἐλαίου σκευασθεῖσα. λεπτομερὲς δ' ἔστω τὸ ἔλαιον ὁποῖον τὸ Σαβῖνόν ἐστιν, ἄμεινον δ' εἰ καὶ συμμέτρως εἴη παλαιόν. ἀγαθὸν δὲ καὶ τὸ κίκινον ἔλαιον εἰς τοῦτο, φύσιν ἐξ ἀρχῆς ἔχον τοιαύτην, ὁποίαν ἴσχει τὸ Σαβῖνον παλαιούμενον. εἰ δὲ μηδ' ἑτέρου τούτων εὐποροίης, τῶν γοῦν ἄλλων τῶν Ἑλληνικῶν ἐλαίων ὁποιονοῦν, ἀλλ' οὐ θαλλῶν ἐλαίας ἐσκευασμένον μιγνύναι, καὶ μᾶλλον ἐὰν ᾖ παλαιόν. εὔδηλον οὖν ὅτι τό γε ἀπὸ τῆς Ἰβηρίας, ἢ Ἱσπανίας, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, φευκτέον, τό, τε ἐκ μηδέπω πεπείρων ἀκριβῶς τῶν ἐλαιῶν, ὃ καλοῦσιν ὠμοτριβές τε, καὶ ὀμφάκινον. ἐχρησάμην δὲ καὶ μόνῃ θαψίᾳ, μίξει δαψιλοῦς ὕδατος, ἐκλύσας αὐτῆς τὸ σφοδρὸν τῆς δυνάμεως. ἐπίστασθαι δὲ χρὴ περὶ θαψίας, τὸν χρησόμενον αὐτῇ, μεγίστην εἶναι διαφορὰν τῆς προσφάτου, πρὸς τὴν παλαιοτέραν. ἐκλύεται γὰρ ἡ δύναμις ἱκανῶς τοῦ φαρμάκου μετ' ἐνιαυτόν, ἔτι δὲ μᾶλλον εἰ δυοῖν ἐτῶν γένοιτο· τολμήσειε δ' ἄν τις εἰπεῖν ἄχρηστον αὐτὴν γίγνεσθαι παντάπασιν, εἰς τριετίαν ἐκταθεῖσαν. ἐπιστάμενος οὖν ταῦτα, τὴν μίξιν τοῦ ὕδατος ἄνισον ἐργάζου, τῇ μὲν προσφάτῳ, μιγνὺς πάμπολυ, καὶ διὰ τοῦτο πλεονάκις ἐπιχρίων ἑκάστης ἡμέρας. τῇ δ' ἀσθενεστέρᾳ διὰ τὸν χρόνον, ἔλαττον, ὡς καὶ προσμένειν ἐπιπλεῖον δύνασθαι διὰ τὸ πάχος, καὶ μὴ ἀπορρεῖν αὐτίκα δι' ὑγρότητα. καὶ μέντοι κἂν σύνθετον φάρμακον ποιῇς, ἔχον καὶ τῆς θαψίας, ὁποῖόν ἐστιν ᾧ συνεχῶς ἐγὼ

A succi cibis, de quibus à me audierat, vteretur, post dies fortè viginti rediit, ab affectione circa capillos penitus curatus. Ex hoc sanè successu incitatus ego, quum in aliis eandem curationem fecissem, expectaui, vt viderem, quid citra pharmacorum ad caput adhibitionem esset secuturum. Curati sunt itaque omnes hoc modo; tamen in iam inueteratis huiusmodi experientiæ periculum feci. Difficulter enim eluuntur in his cuti admodum insidentes serosi humores; multo verò magis in iis quibus iam ipsa cutis ad malū habitum peruenit, non est fidendum solis purgationibus. Atque hæc quidem necessariò præfatus sum. Cæterùm de

B pharmacis affectioni huic commodis iam dicere incipiam. Euacuatiua igitur omninò esse oportet ipsa affligentis humoris, verùm euacuare nihil potest, quod non discutiendi vi sit præditū, eam verò facultatē citra calefactionē habere non potest; sed si quidem ex vehementer calefacientium numero fuerit, cutem exuret; quòd si verò nō vrat, in principio quidem præclarè iuuabit, progressu verò tēporis cuticula capitis super resiccata talis euadet, qualem in caluis videmus. Non tamen simpliciter moderatè calidum esse pharmacum oportet, sed intra videlicet fines scopi propositi accedens. Nā

C & tenuium partium ipsum esse conuenit, quod sanè in altum sit progressurum, vnde radices capillorum generationis suæ principium habent, & facultate, qualem diximus præditū: propter id quòd crassior sit, & durior capitis cutis, & ob id medicamento opus habeat efficaciore. Itaque si supra hoc quòd vitiatos humores discutiat, etiam idoneum sit ad bonum sanguinem attrahendū, velut est thapsia, optimum sanè pharmacum est cēsendum. At verò quū thapsia lōgè calidior sit, quàm affectioni sit ex vsu, meritò eius adhibitionē per se vitamus; exulcerationes enim in cute excitare consueuit, &

D omninò phlegmonosa œdemata, quapropter necessariò quædam, quæ eius vehementiam mitigēt admiscemus. Id ipsum verò ceratum ex oleo apparatum præstare potest: fit autem tenuium partium oleum, quale est Sabinum, præstat item moderatè esse vetustum. Ad hanc rem confert item oleum cicinum, quod mox ab initio eiusmodi naturam habet, quale prædictum est Sabinum inueteratum. Quòd si neutrum horum ad manum sit, ex reliquis Græcis oleis citra olearū germina apparatis, quodcunque tandem admiscemus, præsertim si sit vetustum. Perspicuum itaq; esse opinor, oleum ex Iberia, aut Hispania, aut quomodocun-

E que quis eam appellare velit, fugiēdum esse, itémque quod ex oliuis nondum plenè maturis apparatur, Omotribes, & Omphacinum Græcis appellatum. Vsus sum autē & sola thapsia, vehementi eius facultate larga aquæ admixtione exoluta. Verùm de thapsia, qui ipsa vtitur, sciat opus est, maximam differentiam esse recētis ad vetustiorem: vis enim huius pharmaci post annum multum exoluitur, atque ampliùs adhuc post duos annos; auderet autem quispiam dicere, inutilem penitus eius vsum ad triennium progressæ. Hæc igitur haud ignorans, imparem aquæ modum admiscebis. Ad re-

F centem enim plurimum aquæ addes, eamq; sæpe singulis diebus illines; ad eam verò, quæ per tempus imbecillior reddita est, minùs affundes, quò & ob crassitiem diutius adhærere, & propter liquiditatem non statim defluere contingat. Quin & quum compositum pharmacū paras, quod thapsiæ admixtionem requirit, quale est quo ego assiduè vtor,

vtor, nō æquale semper pondus thapsiæ admiscebis, sed quantùm pro tēpore ætatis eius conuenit, tantùm ipsum pondus augebis. Cæterùm de hac tota re paulò post diligentius, quum ad composita peruenero, differetur, vbi prius omnia simplicia pharmaca affectioni huic familiaria recensuero. Etenim ex his, quę fortiter calefaciūt, est Euphorbium; quæ autem sufficienter, Laurinum, siue oleū siue vnguentum, aut quocunque tandem nomine id appellare velis; nam & his vnà cum calefaciēdi, ac discutiendi facultate, inest & facultas attrahendi sanguinem in locum ab ipsis calefactum. Licet igitur ipsis & per se vti, euphorbium quidē in oleo læuigādo soluendóve, laurino verò solo citra alterius admixtionem illinendo; si tamen nimis fluidū appareat, parum ceræ addatur. Quum verò multò calidius sit recens euphorbium, si quidē eo, quod duorum, aut trium annorum est, vteris, ad libram vnam Romanam olei, euphorbij vnciam vnam inijcies, quæ sanè duodecima olei pars existit. Recenti verò euphorbio parcè vtaris, quàm minima eius parte primùm admixta, aut etiam ceræ vncia vna insuper addita, quo videas quantùm hominē calefaciat; licebit enim tibi, vbi rursus vti voles, denuò addere siue oleum, siue ceram malis. Eodem modo etiam thapsia vtendum est, omnibusque fortibus medicamentis. Peccatum enim infra modum nullum detrimentum affert, supra verò, aliquando exasperat, & exulcerat cutem, inflammationemque suscitat. Et sanè vbi in sequentibus compositis pharmacis quandoque euphorbium, aut thapsia scribatur, pondus ipsorum in vigore existentium, nō veterum intelligere oportet. Valde enim vetusta omninò fugere oportet, non solùm in his pharmacis, sed omnibus etiam aliis, quę videlicet succi, & liquores, & flores, & folia, & fructus, & radices, & semina existunt, quando sanè etiam metallica, per longioris temporis situm, & ipsa viribus infirmantur. Vtimur tamen quibusdam pharmacis viginti, aut etiam triginta annorum, propterea quòd nondum vergentem omninò habeant ætatem: alia enim aliam tum vigentem, tum inclinatam ætatem habent, atque etiam, si ita dicere libeat, senectam. Vnumquodque autem proprium vigorem iis, qui ea sæpe viderunt, indicat, tum ex odore, tum ex gustu, aliquando etiam ex colore, & secundum crassitiem, compage. Quemadmodum in aliis omnibus pharmacis non solùm quòd calefaciant operæpretium est cognoscere, sed & quantâ distantiâ, quantóque ordine id faciant. Sic item in iis, quæ alopeciis conferunt pharmacis nosse oportet, quòd calidissimum quidem ex eis est euphorbium. Eo autem minus calidum est, thapsia, post thapsiam autem sinapi, & nasturtium. Iuxta alium autem modum limnitis nulli horum secundum est: habet autem præter hanc duas alias appellationes, nam & adarcium, & adarce vocatur. Post hæc succedunt sulphur, & nitri spuma, ipsumque nitrum molle vstum, & quod berenicarium appellatur, quemadmodum & aphronitrum album, leue ac laxum, quod nullam in se terream asperitatem habet. Deinde veratrum vtrunque, & erucæ semen & laurinum siue oleum siue vnguentum velis appellare; ad hæc alcyonium vtrunque vstum, & non vstum, præstat tamen vstum; & arundinis radices, itemque cortex, ambo vsta. Quin & pix liquida, & cedrinum, quod aliqui cedriam appellant, & murium stercus, vrsæque adeps; præstat autem

A χρώμενοι, μίξεις οὐκ ἴσον ἀεὶ σταθμὸν τῆς θαψίας, ἀλλ' ὅσον τῷ χρόνῳ τῆς ἡλικίας προσήκει, τοσοῦτον αὐξήσεις. διαιρεθήσεται δὲ ἀκριβέστερον ἔτι περὶ τῶνδε, μικρὸν ὕστερον, ὅταν ἐπὶ τὰ σύνθετα παραγένωμαι, διελθὼν πρότερον ὅσα τῶν ἁπλῶν φαρμάκων ἐστὶν οἰκεῖα τῷ πάθει τούτῳ. τῶν μὲν γὰρ ἰσχυρῶς θερμαινόντων, ἐστὶν εὐφόρβιον, τῶν δὲ αὐτάρκως, τὸ δάφνινον. εἴτ' οὖν ἔλαιόν ἐστιν, εἴτε μύρον, εἴθ' ὅ τι βούλει καλεῖν αὐτό, καὶ γὰρ καὶ τούτοις ὑπάρχει, μετὰ τοῦ θερμαίνειν τε, καὶ διαφορεῖν, ἐπισπᾶσθαί τι τοῦ αἵματος εἰς τὸν ὑπ' αὐτῶν θερμαινόμενον τόπον. ἔνεστι γοῦν αὐτοῖς χρῆσθαι καὶ καθ' ἑαυτὰ μόνας, τὸ μὲν εὐφόρβιον ἐν ἐλαίῳ λεαίνοντα, τῷ
B δαφνίνῳ δὲ ἐπαλείφοντα μόνῳ, χωρὶς ἑτέρου μίξεως, εἰ δὲ εὐαπόρρυτον φαίνοιτο, βραχὺ κηροῦ μιγνύσθω. παμπόλλῳ δὲ ὄντος θερμοτέρου τοῦ νέου εὐφορβίου, τῷ μὲν ἤδη δυοῖν ἢ τριῶν ἐτῶν ὄντι χρώμενος, ἐμβαλεῖς ἐλαίου λίτρᾳ μιᾷ Ῥωμαϊκῇ οὐγγίαν μίαν εὐφορβίου, ὅπερ ἐστὶ δωδέκατον μέρος τοῦ ἐλαίου· τῷ δὲ νέῳ, πεφεισμένως χρήσῃ, βραχύτατον μιγνὺς, τὴν πρώτην, ἢ καὶ κηροῦ προσεπεμβάλλων οὐγγίαν μίαν, ὡς θεάσασθαι, πῶς ἐκθερμαίνει τὸν ἄνθρωπον. ἐξέσται γάρ σοι κατὰ τὴν δευτέραν χρῆσιν, αὖθις ἐπεμβάλλειν, εἴτ' ἐλαίου βουληθείης, εἴτε κηροῦ. παραπλησίως δὲ καὶ τῇ θαψίᾳ χρηστέον,
C ἅπασί τε τοῖς ἰσχυροῖς φαρμάκοις. ἡ μὲν γὰρ ἐπὶ τοὔλαττον ἁμαρτία, βλάβην οὐδεμίαν ἔχει, τὸ δὲ πλέον ἐνίοτε τραχύνει, καὶ ἑλκοῖ τὸ δέρμα, καὶ φλεγμονὴν ἐργάζεται. καὶ μέντοι κἂν ἐπὶ τῶν ἐφεξῆς, κατὰ τὰ σύνθετα φάρμακα γράφηταί ποτε εὐφόρβιον, ἢ θαψία, τὸν σταθμὸν αὐτῶν ἐπὶ τῶν ἀκμαίων φαρμάκων, οὐ τῶν παλαιῶν ἀκούειν σε χρή. τὰ μὲν οὖν λίαν παλαιὰ φεύγειν προσήκει παντάπασιν, οὐ μόνον ἐπὶ τούτων, ἀλλὰ καὶ τῶν ἄλλων φαρμάκων, ὅσα χυλοὶ, καὶ ὀποὶ, καὶ ἄνθη, καὶ φύλλα, καὶ καρποὶ, καὶ ῥίζαι, καὶ σπέρματά ἐστιν· ὁπό-
D τε γε καὶ τὰ μεταλλικὰ, πολυχρόνια γινόμενα, καταλύεται καὶ αὐτὰ ταῖς δυνάμεσιν. χρώμεθα δὲ ἐνίοις φαρμάκοις ἐτῶν εἴκοσιν οὖσιν, ἢ τριάκοντα, διὰ τὸ μηδέπω παντελῆ τὴν παρακμὴν ἔχειν. ἄλλη γὰρ ἄλλου παρακμή τ' ἐστὶ καὶ ἀκμὴ, καὶ ὡς ἄν εἴποι τις, καὶ γῆρας. ἐνδείκνυται δὲ τὴν ἰδίαν ἀκμὴν ἕκαστον τοῖς πολλάκις ἑωρακόσιν, ἐξ ὀσμῆς, καὶ γεύσεως, ἐνίοτε δὲ καὶ χρόας, καὶ συστάσεως τῆς κατὰ πάχος. ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων ἁπάντων φαρμάκων ἠξίωσα, μὴ μόνον ὅτι θερμαίνει γινώσκειν, ἀλλὰ καὶ κατὰ πόσην ἀπόστασιν, οὕτω κἀπὶ τῶν πρὸς τὰς ἀλωπεκίας ἁρμοζόντων, ἀξιῶ σε γινώ-
E σκειν, ὅτι θερμότατον μέν ἐστι τὸ εὐφόρβιον, ἧττον δὲ αὐτοῦ θερμὸν ἡ θαψία, μετὰ θαψίαν δὲ, νᾶπυ τε καὶ κάρδαμόν ἐστιν, καθ' ἕτερον δὲ τρόπον ἡ λιμνῆτις, οὐδενὸς τούτων δευτέρα. ὀνομάζεται δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ διτταῖς ἄλλαις προσηγορίαις, ἀδάρκιόν τε, καὶ ἀδάρκη. τούτων δὲ ἐφεξῆς ἐστι, θεῖόν τε, καὶ ὁ τοῦ νίτρου ἀφρὸς, αὐτό τε τὸ μαλακὸν νίτρον καυθέν. ὀνομάζουσι δ' αὐτὸ καὶ Βερενικάριον, ὥσπερ γε καὶ τὸ λευκὸν ἀφρόνιτρον κοῦφόν τε καὶ χαῦνον ὑπάρχον, οὐδεμίαν ἔχον ἐν ἑαυτῷ γεώδη τραχύτητα· οἵ τ' ἐλλέβοροι ἀμφότεροι, καὶ τὸ τοῦ εὐζώμου σπέρμα, καὶ τὸ δάφνινον,
F εἴτε μύρον ἐθέλοις ὀνομάζειν, εἴτ' ἔλαιον αὐτό, καὶ πρὸς τούτοις, ἀλκυόνια τὰ ἀμφότερα, κεκαυμένα τε, καὶ ἄκαυστα, βελτίω δὲ τὰ κεκαυμένα. καὶ αἱ ῥίζαι δὲ τοῦ καλάμου, καὶ ὁ φλοιὸς, ἄμφω καὶ ταῦτα καυθέντα. ἀλλὰ καὶ ὑγρὰ πίττα, καὶ τὸ κέδρινον, ὅπερ ἔνιοι κεδρίαν ὀνομάζουσιν, ἥ τε τῶν μυῶν κόπρος, ἄρκτου τε τὸ στέαρ· ἄμεινον δὲ

A εἰ παλαιότερον εἴη. καὶ μὴν δὴ καὶ τὸ τῆς ὑαίνης, λέοντός τε καὶ παρδάλεως, καὶ χηνὸς, ἐπιτήδεια, καὶ πάνθ' ὅσα λεπτομερῆ ταῖς οὐσίαις ἐστὶν, ὡς ἑτοίμως εἰς τὸ βάθος καταδύεσθαι τοῦ δέρματος, ἄχρι τῶν κατὰ τὰς τρίχας ῥιζῶν, ἀλλὰ καὶ τὰ πικρὰ τῶν ἀμυγδάλων, ὅλα κεκαυμένα, χρήσιμα, καὶ λιβανωτὸς ἐν ὄξει δριμυτάτῳ κατειργασμένος. ἄκουε δέ μου τὸ κατειργάσθαι ῥῆμα λεγόμενον, ὅταν ἡμέραις πλείοσιν, καὶ μάλιστ' ἐπὶ πλέον ἐν ἡλίῳ τρίβηται σὺν ὄξει δριμεῖ. τούτοις τοῖς ἅπασιν τοῖς φαρμάκοις ἔνεστι χρῆσθαι, τοῖς μὲν ἰσχυροῖς, κηρωτὴν ὑγρὰν B μιγνύντα, τὰ δ' ἀσθενῆ δεύοντα ἐλαίῳ δαφνίνῳ, καὶ τὰς μὲν κεχρονισμένας, καὶ δυσιάτους, τοῖς ἰσχυροῖς ἐξιώμενον, τὰς δ' ἀρχομένας, καὶ μικρὰς, τοῖς ἀσθενέσι.

Πρὸς ἀλωπεκίας σύνθετα.

Σύνθετα δὲ φάρμακα, τὰ μὲν ὑπὸ τῶν ἔμπροσθεν ἰατρῶν, ὅσοι γε ἀξιόλογοι, μεγάλως ἐπῃνημένα, τὰ δ' ὑφ' ἡμῶν αὐτῶν διὰ μακρᾶς πείρας βεβασανισμένα, τὰ τοιαῦτά ἐστιν. ℞. εὐφορβίου, καὶ θαψίας, καὶ δαφνίνου, ἑκάστου < β'. θείου ἀπύρου, καὶ ἐλλεβόρου ἀνὰ < μίαν, ἄν τε μέλανος εὐπορῇς, ἄν τε λευκοῦ. τούτοις δὲ μίγνυε C κηροῦ < ϛ'. δαφνίνῳ τήξας, ἢ κικίνῳ, ἢ ἐλαίῳ παλαιῷ, καὶ χρῶ τούτῳ ὡς ἰσχυροτάτῳ φαρμάκῳ ἐπὶ τῶν κεχρονισμένων, καὶ δυσθεραπεύτων, τούτοις ἔμιξά ποτε, καὶ καρδάμου δραχμὴν μίαν, ἢ ἀλκυονίου κεκαυμένου < α'. ἄμεινον δ' εἰς ταῦτα, τὸ σκληρότερον καὶ τραχύτερον. θαψίας δὲ μὴ παρούσης, ἀντ' αὐτῆς, τοσοῦτον σταθμὸν, ἤτοι καρδάμου σπέρματος, ἢ εὐζώμου μικτέον ἐστὶν, ἢ τὸ κάρδαμον. εἰ δὲ δάφνινον οὐκ ἔχεις καλὸν, ὑγρὰν πίσσαν μίγνυε. τοῦ μὲν οὖν δαφνίνου, πρὸς τὴν ὑγρὰν πίτταν, οὐ μεγάλη ἡ ὑπεροχὴ, D τῇ θαψίᾳ δὲ πρὸς τἄλλα, μεγίστη. τὸ γὰρ ἰσχυρότατον τῶν πρὸς τὸ πάθος ἐνεργῶς ποιούντων, τοῦτο τὸ φάρμακόν ἐστιν, ὅταν γε, ὡς ἔφην, δυσθεράπευτον ᾖ. τὰ γὰρ μικρὰ, καὶ ἀρχόμενα, καὶ κάθαρσις ἰᾶται μόνη, καὶ τῶν ἁπλῶν, ὧν εἶπον, ἕκαστον κεκαυμένον, ἀναλαμβανόμενον, ἤτοι δαφνίνῳ, ἢ κεδρίνῳ, ἢ πίττῃ ὑγρᾷ, ἢ κικίνῳ, ἐλαίῳ παλαιῷ. ἔμιξα δέ ποτε καὶ μέλιτος, ἀντὶ τῆς κηρωτῆς, ἐλάττονος ὄγκῳ τε καὶ σταθμῷ, καὶ οὐδενὶ χεῖρον ἐγένετο τὸ φάρμακον. Καὶ τὰ διὰ τῶν στεάτων δὲ συντιθέμενα, προσλαβόντα θαψίας ὀλίγον, ὀνίνησιν, καὶ μᾶλλον ὅταν αὖθις μίξῃς ἀδάρκιόν E τε, καὶ εὐφόρβιον. ἔστω δὲ τῶν μὲν στεάτων ἑκάστου μέρος ἓν, ὄντων τριῶν, λεοντείου, παρδαλείου, καὶ ὑαίνης. εἰ δὲ μὴ παρείη τὸ τῆς ὑαίνης, ἀρκεῖ τοῖς παροῦσι δύο χρῆσθαι, μίξαντα τὸ χήνειον. εἰ δὲ καὶ πάντ' ἔχοις τὰ τέτταρα, μιγνύναι πάντα, καὶ σὺν αὐτοῖς γε τὸ ἄρκτειον, εἰ ἔχοις καὶ τοῦτο. τῷ δ' ἐξ αὐτῶν ἠθροισμένῳ, δωδέκατον ἀρκεῖ μῖξαι μέρος θαψίας, ἢ εὐφορβίου. εἰ δ' ἰσχυρότερον ἐθέλοις ποιῆσαι, ἀμφοτέρων ἅμα, τῇ πείρᾳ γὰρ καὶ ταῦτα κριθέντα τὰ φάρμακα, τῶν ἐνεργῶν εὑρέθη. χάριν γὰρ τοῦ πλειόνων πεῖραν ἔχειν, ἑκάστῳ τῶν F αἰτούντων ἰατρῶν φίλων, ἄλλο τι καὶ ἄλλο σχεδιάζων ἐδίδουν, τῶν τῇ πείρᾳ κριθέντων, καὶ εὑρέθη τὰ πλεῖστα βέλτιστα. πρὸ πάντων δὲ ἡμᾶς χρὴ μεμνῆσθαι τῆς κατὰ τὴν χρῆσιν αὐτῶν μεθόδου, κοινῆς οὔσης ἐπὶ πάντων, καὶ μάλιστα τῶν ἰσχυρῶν φαρμάκων, καὶ διὰ τοῦτό γε πολλάκις αὐτῆς ἀναμιμνήσκω, διότι μεγάλην ἔχει

si vetustior extet. Quanquam etiam hyænæ, leonisque, ac pardalis, ac anseris, adipes conueniunt, & quicunque tenuium partium substantiam habent, quo promptè in cutis profundum penetrare queant, atque ad radices vsque capillorum pertingant. Sed & amygdalæ amaræ integræ vstæ commodè sunt, & thus aceto acerrimo confectum. Confectum autem intellige quum pluribus diebus, & maximè ad Solem, diutius cum acri aceto fit contritum. His itaque omnibus pharmacis licet vtaris, ad fortia quidem cerato liquido addito, debilibus verò oleo laurino imbutis. Et inueteratas quidem, ac difficilè curabiles cum fortibus persanare conaberis, incipientes autem, & paruas, cum debilibus.

Ad Alopecias composita medicamenta.

Cæterùm pharmaca composita, quæ partim à prioribus medicis, qui alicuius æstimationis fuerunt, magnopere sunt laudata, partim verò à nobis ipsis per longam experientiam sunt examinata, ac probata, eiusmodi existunt. ℞. Euphorbij, thapsiæ, laurini, singulorum. ʒ. ij. sulphuris viui, veratri vtriusque. ʒ. j. neque refert albo, an nigro veratro, quod ad manum sit, vtaris. His admisce ceræ. ʒ. vj. laurino, aut cicino, aut veteri oleo præeliquans; vteréque hoc vt fortissimo pharmaco ad inueteratas, & ægrè curabiles alopecias. His etiam aliquando nasturtij. ʒ. j. aut alcyonij vsti. ʒ. j. admiscui. Præstat autem in hunc vsum alcyonium, quod durius est, & magis asperum. Quòd si thapsia non adsit, pro ipsa tantùm pondus seminis nasturtij, aut erucæ addes, aut ipsum adeo nasturtium. Si verò laurinum non habeas bonum, picem liquidam adde: laurinum nanque picem liquidam non multum excellit, thapsia verò reliquorum respectu maximum excessum habet. Hoc sanè pharmacum omnium, quæ ad hanc affectionem efficaciter faciunt, fortissimum, & valentissimum est, quando videlicet affectio, vt dicebam, ægrè recipit curationem. Quæ enim parua est, & incipiens etiamnum, sola purgatione sanatur, & per singula, quæ recensui simplicia vsta laurino, aut cedrino, aut liquida pice, aut cicino, vel veteri oleo excepta. Admiscui etiã aliquando mel pro cerato, minori tamen copia, & pondere, neque vlla ex parte peius euasit pharmacum. Quæ verò etiam ex adipibus componuntur thapsię pausillum assumentia prosunt, præsertim si euphorbium, & adarcium addatur. Sit autem adipis cuiusq; pars vna; sũt enim tres, leonis, pardalij, & hyænæ. Si verò hyænæ adeps non adsit, sufficit præsentibus reliquis duobus vti, anserino admixto. Si verò omnes quatuor habeas, simul omnes miscebis, addito insuper, si adsit, vrsino. Ad totam verò eorum molem duodecimam thapsiæ, aut euphorbij partem addere satis est; aut si omninò fortius facere velis, amborũ simul addes; nam & per experientiam hæc ipsa pharmaca efficacia sunt iudicata. Plurium enim experientiæ habẽdæ gratia, petentibus subinde medicis à me amicis, singulis aliud atque aliud eorum, quæ experientia cognitã habui, ex tempore digestum exhibui, & reperta sunt sanè plurima ex eis optimè conducentia. Verùm ante omnia vos methodi meminisse oportet circa eorum vsum, quæ cõmunis in omnibus præsertim fortibus pharmacis existit; quare etiã sæpe eius mentionẽ facio vt potè in qua magna omninò vis

vis sita est. Qui enim singulis fortibus pharmacis vtitur, in principio quidem ipsa molliora adhibebit, admixtione videlicet eorum quæ vires ipsorum exoluunt; qualia sunt oleum, & cera, & ex simplicibus, quæ diximus debilia, velut est thus, & arundinis cortex, ac radices exustæ, & amygdalæ amaræ, & quæcunque illius generis existunt. At verò post primum vsum, cum iam secundo adhibere voles, intueri oportet qualem alterationem in affecta particula prius admotum pharmacum fecit, atque illius respectu, aut vehementiam facultatis eius lenire, aut augere. Velut in hac, quam iam tractamus affectione, primum quidem capillos nouacula tollere oportet, deinde affectam cutem per linteolum, neque asperum, neque molle nimis confricare, ac videre ad quantum ruborem per huiusmodi motionem, ac confrictionem peruenit. Hoc enim tibi ex vsu ad spem curationis est futurum. Namque si per exiguas defrictiones rubefiat, moderatam affectionem opinaris; si verò per multas, grauiorem, præsertim cùm quædam cuticulæ etiam si multùm confrices, non rubefiant. Manifestum igitur est has omnium difficillimè curari, sicut contra, facillimè, quæ facilè rubescunt: quæ verò inter has medio modo habent, tantùm inter se differunt, quantum, vel ad pessimas, vel moderatissimas accedunt. Atque hæc quidem accessionis loco sint dicta, quanquam neque neglectui habenda. Rursus itaque ad id, quod propositum erat, reuersus, methodi te commonefaciam, quam vsus pharmacorum requirit. Post primam igitur pharmaci, cuius vsum elegeris, adhibitionem, intueri conuenit primum quidem, an etiam ante confrictionem cutis coloratior appareat; deinde autem, an cum pauciore quàm prius frictione; aut cum æquali quidem, magis tamen quàm prius rubicunda fiat. Præ omnibus verò animaduertere oportet, ne in fortium pharmacorum admotione cutis vltra quàm conuenit concalescat, id quod tum ex colore ipsius, tum digitorum tactu deprehendes; colore nanque flauior apparebit, & digitorum contactu abundè calidam cognosces. Horum itaque animaduersionem habere oportet: periculum enim est iterum, atque iterum repetito eorum vsu, cutem exuri. Quare ad molliora transeundum est; aut eodem vtendum quidem, sed cerati, aut adipis, aut liquoris cuiusdam oleosi admixtione vi ipsius exoluta. Vtendum est, & olei calidi dulcis irrigatione, & cataplasmate ex pane, fomentisque, & scarificationibus, ac cucurbitis, & cerati illitione, *virium item refectrice diæta.* Cæterùm perseuerante affectione vtendum est assidua rasura, & rubificatorio ex sinapi, velut est prædictum, itémque frictionibus præscriptis; & sequentibus diebus illita pice, aut oleo cedrino, & post confrictionem scarificationibus. Quidam verò aciculas colligantes hoc modo, vt aciem ad cutem vergentem habeant, per ipsas cutem compungunt. Verùm post rubificationem per defrictionem inductam & post scarificationem, pharmacis Metasyncriticis, ex alto euocantibus vtemur. In omnibus autem communis scopus hic sit, vt in aëre calido pharmacum ipsum adhibeamus, & maxi-

A δύναμιν. ὁ γὰρ ἑκάστῳ τῶν ἰσχυρῶν φαρμάκων χρώμενος ἐν ἀρχῇ μὲν, αὐτὰ μαλακώτερον προσφερέτω, μίξει δηλονότι τῶν ἐκλυόντων τὴν δύναμιν, οἷά περ ἐστὶν, ἔλαιόν τε καὶ κηρὸς, καὶ τῶν ἁπλῶν, ὅσα προειπόμεν ἀσθενῆ, λιβανωτός τε, καὶ καλάμου φλοιὸς, καὶ ῥίζαι κεκαυμέναι, καὶ ἀμύγδαλα πικρὰ, καὶ ὅσα τοιαῦτα. μετὰ δὲ τὴν πρώτην χρῆσιν ὅταν ἐπὶ τὴν δευτέραν παραγίνηται, σκέπτεσθαι χρὴ τίνα παραλλαγὴν, ἐν τῷ πεπονθότι μορίῳ, τὸ προσαχθὲν φάρμακον εἰργάσατο, καὶ πρὸς ἐκείνην ἀποβλέποντας, ἤτοι πραΰνειν αὐτοῦ τὸ σφοδρὸν τῆς δυνάμεως, ἢ αὐξάνειν. B οἷον ἐπ' αὐτοῦ τοῦ νῦν προκειμένου πάθους, ἀφελεῖν μὲν χρὴ ξυρῷ τὰς τρίχας, ἀνατρίβειν δὲ τὸ πεπονθὸς δέρμα, δι' ὀθόνης, μήτε πάνυ τραχείας, μήτε μαλακῆς, ὁρᾶν τε πόσον ἐρεύθους τούτῳ προσέρχεται μετὰ τοιᾶσδε κινήσεως καὶ ἀνατρίψεως. ἔσται γάρ σοι τοῦτο, πρὸς τὴν τῆς ἰάσεως ἐλπίδα χρήσιμον, εἰ μὲν ἐπ' ὀλίγαις ἀνατρίψεσιν ἐρυθραίνοιτο, μετρίαν ἡγούμενος τὴν διάθεσιν, εἰ δ' ἐπὶ πολλαῖς, χαλεπωτέραν, ὡς ἔνιά γε δέρματα, κἂν ἐπὶ πολὺ τρίβῃς, οὐκ ἐρυθραίνεται. πρόδηλον οὖν ὅτι C ταῦτα μέν ἐστι χαλεπώτατα, καθάπερ τὰ ῥᾳδίως ἐρυθραινόμενα, πρᾳότατα. τὰ δ' ἐν τῷ μεταξὺ τούτων ἅπαντα, κατὰ τοσοῦτον, ἀλλήλων διαφέροντα, καθ' ὅσον ἤτοι τοῖς χειρίστοις, ἢ τοῖς μετριωτάτοις πλησιάζει. ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἰρήσθω, καίτοι γε οὐκ ὄντα πάρεργα. πάλιν δὲ ἐπὶ τὸ προκείμενον ἀνελθὼν, ἀναμνήσω σε τῆς ἐν τῇ χρήσει μεθόδου. μετὰ γὰρ τὴν πρώτην προσφορὰν τοῦ δοκιμασθέντος φαρμάκου, σκέπτεσθαι προσήκει, πρῶτον μὲν, εἰ καὶ πρὸ τῆς ἀνατρίψεως εὐχρούστερον φανείη τὸ δέρμα. δεύτερον δὲ, εἰ D μετ' ὀλιγωτέρας ἀνατρίψεως, ἢ πρόσθεν, ἢ εἰ μετὰ τῆς ἴσης μὲν, ἀλλὰ μᾶλλον ἢ πρόσθεν ἐρυθρὸν γένοιτο. σκοπεῖσθαι δὲ πρὸ πάντων, ὅταν ἰσχυρὰ προσενέγκῃς φάρμακα, μήτι περαιτέρω τοῦ προσήκοντος ἐκθερμαίνοιτο τὸ δέρμα, φανεῖται δὲ τοῦτο, θεωμένῳ τέ σοι τὴν χρόαν αὐτοῦ, καὶ τοὺς δακτύλους ἐπιβάλλοντι, τῇ χροιᾷ μὲν γὰρ ἔσται ξανθότερον, ἐπιβάλλοντι δὲ τοὺς δακτύλους, θερμὸν ἱκανῶς φανεῖται. προσέχειν οὖν ἐπὶ τοιούτων χρὴ, κίνδυνος γὰρ ἐπικαυθῆναι τὸ δέρμα, δεύτερον, ἢ τρίτον αὖθις χρησαμένῳ. μεταβαίνειν οὖν ἐπί τι τῶν E μαλακωτέρων, ἢ τῷ μὲν αὐτῷ χρηστέον, ἀλλ' ἐκλύσαντα τὴν δύναμιν αὐτοῦ μίξει κηρωτῆς, ἢ στέατος, ἢ ὑγρότητός τινος ἐλαιώδους. χρῆσθαι δὲ καταβροχῇ, δι' ἐλαίου γλυκέος θερμοῦ, καὶ ἄρτῳ ἐν καταπλάσματι, πυρίαις τε, καὶ κατασχασμοῖς, καὶ σικύαις, καὶ κηρωτῆς ἐπαλείψεσιν. χρονίσαντος δὲ τοῦ πάθους, καὶ συνεχέσι ξυρήσεσιν, καὶ φοινιγμῷ διὰ νάπυος, ὡς προείρηται, καὶ ἀνατρίψεσιν ταῖς γεγραμμέναις ταῖς ἑξῆς, ἐπιχριομένης πίσσης, ἢ κεδρίνου ἐλαίου, καὶ μετὰ τὴν ἀνάτριψιν, κατασχασμοῖς. ἔνιοι F δὲ βελόνας συνδήσαντες, ὥστε τὰς ἀκμὰς ἔχειν ἐπὶ τὸ δέρμα, κατεκέντησαν ταύταις αὐτὸ, μετὰ δὲ τὸν διὰ τῆς ἀνατρίψεως φοινιγμὸν, καὶ τὸν κατασχασμὸν, φαρμάκοις χρῆσθαι μετασυγκριτικοῖς· ἐπὶ πάντων δὲ, κοινὸς σκοπὸς, ἐν τῷ ἀέρι θερμῷ τὴν προσφορὰν ποιεῖσθαι τοῦ φαρμάκου, καὶ εἴ γε ἡλιού-

μένον ἔχοις τι χωρίον, ἐν ἐκείνῳ μάλιστα χωρὶς αὔρας καταπνεούσης αὐτό, χειμῶνος δέ, κάλλιον ἐπὶ λουτρῷ χρῆσθαι τοῖς φαρμάκοις.

Περὶ τῶν γεγραμμένων φαρμάκων συνθέτων, ἐπὶ τοῦ τῆς ἀλωπεκίας πάθους, τοῖς ἐμοῦ πρεσβυτέροις ἰατροῖς.

Ἡρας μὲν οὖν ἐν τῷ νάρθηκι κατὰ λέξιν οὕτως ἔγραψεν. πρὸς ἀλωπεκίας. ἀλκυόνιον τὸ τραχύτερον, καύσας καὶ λειοτριβήσας σὺν ἐλαίῳ, κατάχριε τὸν τόπον, μάλιστα ἐν λύχνῳ λαμβάνων τὸ ἔλαιον. αὕτη μὲν ἡ τοῦ Ἡρα γραφή. καὶ χρὴ γινώσκειν ἡμᾶς τὸ φάρμακον τοῦτο μέσον εἶναι τῇ δυνάμει, καὶ διὰ τοῦτο καὶ τὰς μέσας κατὰ μέγεθος ἀλωπεκίας ἰάσασθαι ἱκανόν. μέτριον μὲν γάρ ἐστι φάρμακον, εἰ καλάμου ῥίζαν, ἢ φλοιόν, ἢ ἀμύγδαλα πικρά, ἤ τι τῶν τοιούτων καύσας, ἐλαίῳ μίξαις. ἰσχυρὰ δὲ τὰ δι' εὐφορβίου, καὶ θαψίας, καὶ ἀδάρκης. ἐν τῷ μεταξὺ δ' αὐτῶν ἐστι τὸ κεκαυμένον ἀλκυόνιον. ἀλλὰ καὶ αὐτὸ τοῦτο μετριώτερον μέν ἐστιν ἐλαίῳ μιχθέν, ἰσχυρότερον δ', ὑγρᾷ πίσσῃ καὶ δαφνίνῳ. μίγνυται δὲ καὶ τοῖς εἰρημένοις στέασι. καὶ χρωμένῳ γέ τινι πρὸς τὸ πάθος ἀρκτείῳ στέατι, μηδὲν ὀνοῦντος αὐτοῦ, συνεβούλευσα μίξαι τὸ κεκαυμένον ἀλκυόνιον, ὑφ' οὗ διὰ ταχέων ἐθεραπεύθη. τὸ δὲ τοῦ λύχνου ἔλαιον, οὐ κατ' ἄλλον τινὰ λόγον ἐπιτήδειόν ἐστιν, ἢ τῷ λεπτομερέστερον εἶναι τοῦ λοιποῦ. προσέρχεται δὲ τοῦτο αὐτῷ, κατὰ τὴν οἷον ἕψησιν τὴν ἐν τῷ λύχνῳ, καὶ γίνεται τῷ τε παλαιῷ καὶ τῷ κικίνῳ παραπλήσιον, ὡς εἰ καὶ ἄλλως ἐπὶ πυρὸς ἐθέλοις ἔλαιον θερμῆναι. καὶ γὰρ οὖν καὶ ὁ ῥύπος, ὁ ἐπὶ ταῖς λυχνίαις γινόμενος, ἐοικὼς ὑγρῷ πηλῷ, τοῖς ἐπὶ τῆς ἀγροικίας παρ' ἡμῖν, ἔγνωσται θεραπεύων τὰ ἐν τῷ μέσῳ τῶν ἐν τοῖς ποσὶ δακτύλων ἕλκη. συνεχῶς αὐτοῖς γινόμενα, δι' ἀλουσίαν τε καὶ ἀμέλειαν τοῦ διανίζειν αὐτὰ καθ' ἑκάστην ἡμέραν. τούτῳ τοίνυν αὐτῷ τῷ ῥύπῳ πηλώδει, συνεβούλευσά τινι τῶν ἀγροίκων, ξύσαντι τὴν ἀλωπεκίαν, ἣν ἔδειξέ μοι, καταχρίεσθαι μετὰ τοῦ ξυρᾶν τὸν τόπον συνεχῶς, ἐκθεραπευθεὶς δὲ ὑπ' αὐτοῦ, καὶ ἄλλους ἐπεχείρησεν οὕτως ἰᾶσθαι, νομίσας ἅπασαν ἀλωπεκίαν ὑπὸ τοῦ φαρμάκου τούτου δύνασθαι θεραπεύεσθαι. ἐγὼ δὲ μετρίαν αὐτοῦ τὴν διάθεσιν θεασάμενος, ἤλπισα διὰ τοῦ ῥύπου θεραπευθήσεσθαι.

Ἕτερον τοῦ Ἡρα, ἐπὶ παίδων ἁρμόττον.

Ἕτερον δ' ἑξῆς τῷ προγεγραμμένῳ φαρμάκῳ ὁ Ἡρας ἔγραψε κατὰ λέξιν οὕτως. ♃. εὐζώμου σπέρματος μέρος ἕν, καρδάμου μέρος α'. νίτρου μέρος α'. ἐν ἐνίοις δὲ ἀντιγράφοις ἁπλῶς γέγραπται. ♃. εὐζώμου μέρος ἕν, καρδάμου μέρος ἕν, νίτρου μέρος ἕν, λεάνας πίσσαν ὑγρὰν παράχει, καὶ προανατρίβων τὸν τόπον, ἐπίπλασσε. καὶ ὅταν ἄρῃς τὸ φάρμακον, ἀπόμασσε τὸν τόπον σπόγγῳ ἐκ θερμοῦ, αἴρει δὲ δὶς τῆς ἡμέρας.

mè si fieri possit in loco insolato, qui non habeat auram ipsum perflantem: hyemis autem tempore præstiterit in balneo his pharmacis vti.

De Pharmacis compositis ad Alopeciæ affectionem à senioribus medicis conscriptis.

Heras quidem igitur in ferula iuxta dictionis seriem sic scripsit ad alopecias. Alcyonium, quod asperius est, vstum, ac cum oleo tritum, ac læuigatum loco illinito. Sit autem oleum maximè ex lucernis acceptum. Hæc quidem sunt Heræ verba: Verùm nosse oportet medium esse viribus hoc pharmacum, & propterea ad medias magnitudine alopecias curandas sufficiens. Infirmum equidem pharmacum est, si calami radicem, aut corticem, aut amygdalas amaras, aut eius generis quippiam vstum, cum oleo commisceas. Fortia verò sunt, quæ ex euphorbio, & thapsia, & adarce apparantur. In medio verò istorum est, alcyonium vstum, sed & ipsum moderatius redditur oleo admixto, fortius verò liquida pice, aut laurino affuso. Miscetur item prædictis adipibus. Et sanè ego cuidam, qui ad hanc affectionem vrsino adipe vsus erat, nec quicquam profecerat, alcyonium admiscere consului, à quo postea breui sanus euasit. Cæterùm oleum lucernarum non ob aliam rationem aptum est, quàm quòd magis tenuium partium existit, id quod ipsi ex lucerna, in qua veluti coquitur, accedit, fitque tum veteri, tum cicino adsimile, veluti si etiam aliàs ad ignem oleum velis calefacere. Itaque, & sordes, quæ in lucernis liquido luto similes gignuntur, iis, qui apud nos ruri degunt, cognitæ sunt, ad vlcera in medio digitorum pedum curanda efficaces: quæ vlcera frequenter illis oboriuntur, propter illuuiem, & negligentiam perluendi eos singulis diebus. His itaque sordibus lutosis consului cuidam agresti alopeciam, vbi prius rasisset, quam mihi ostenderat, illinire, simulque frequenti abrasione vti: qui sanè ab ipsis persanatus, etiam alios tentauit hoc modo curare, vtpotè, qui putaret omnem alopeciam ab hoc pharmaco posse curari. Verùm ego quum moderatam eius affectionem essem intuitus, speraui ipsum quidem per illas sordes sanitatem consecuturum.

Aliud compositum pharmacum Heræ pueris aptum.

Aliud etiam deinceps pharmacum Heras post præscriptum, iuxta seriem dictionis hoc modo scripsit. ♃. Seminis erucæ partem j. nasturtij partem j. nitri partem j. In aliquibus autem exemplaribus simpliciter scriptum est. ♃. Erucæ partem j. nasturtij partem j. nitri partem j. contritis picem liquidam affunde, & loco prius confricato impone: atque vbi abstuleris pharmacum, locum spongia calida imbuta extere. Auferes autem bis per diem,

&

& in pueris maximè efficax conspicitur hoc pharmacum: fortius enim est priore, verùm inueteratam, & ægrè cedentem alopeciam non curauerit: quod ipsum etiam Heras indicat, qui in pueris ipsum maximè efficax adscripsit, hoc est in corporibus molli cute præditis. Ex huiuscemodi enim vitiati humores facilè discutiuntur. Habent autem consimilem pueris cuticulam eunuchi, & mulieres.

De iis, quæ Crito ad Alopecias conscripsit.

Crito verò in tertio libro eorum, quæ ad corporis ornatum pertinent, sic scripsit. *Ad affectionem alopeciam appellatam, quæ capillos deuastat, & cutis deformitatem inducit, subscriptis compositionibus vtendum est, vt Heraclides Tarantinus tradit.* Amygdalas amaras cum corticibus vstas, ac tritas aceto excipe modico item affuso melle. Vsu verò expetente, loco per mundum linteolum præfricato, assiduè illine. Prodest autem maximè etiam assidua rasura, antequam pharmacum imponatur. *Aliud quo Moschus vsus est.* Erinaceorum marinorum testas exustas, & aqua subactas locis præfrictis impone. In quibusdam exemplaribus non aqua, sed adipe vrsino excipi debere erinaceorum cinerem reperi, quod mihi magis placuit: hoc enim modo efficacius redditur. A[illegible]. Calami radices vstas adipe vrsino excipe, atque impone. *Aliud.* Thapsiæ corticem tritum cum aceto imponito. *Aliud.* Chamæleontis radicem cum aceto diligenter tritam imponito. Hæc præfatus Criton deinceps ita scribit: Quòd si verò perseueret affectio, subscriptis compositionibus vtendum est. Quibus verbis planè indicat per præscripta medicamenta moderatas affectiones sanari. Itaque deinceps quæ ad fortiores affectiones conducunt, scribit, quæ iuxta seriem dictionis ipsius hoc modo habent.

De scriptis ab Heraclide ad alopecias inueteratas.

Ad alopecias velut Heraclides Tarantinus tradit. Orestini ad alopecias inueteratas. ℞. Muscerdæ ʒ. ij. thuris ʒ. ij. aceto acerrimo dissoluta prærasis locis illine. *Aliud* ℞. Erinaceorum marinorum vnà cum testis exustorum ʒ. ij. gallarum acerbarum tantundem, amygdalarum amararum vstarum tantundem, muscerdæ ʒ. j. aceto dissoluta, & probè trita imponito. *Aliud Orestini.* ℞. Pilorum vrsi vstorum, adianti vsti, radicum calami vstarum, foliorum fici vstorum, paniculi cilicij vsti, singulorum æquales partes: adipe vrsino, & cedria excipe. Vsus verò tempore, loco foto, & per fici folia confricto, ac per nitrum exterso, pharmacum quotidie illine. Cutis verò superficie exulcerata, ceratum ex oui luteo impone, & farinarum tritici, ac hordei succum recentem superline. *Aliud Othonis Siculi accommodatum.* ℞. Cineris ranarum minimarum in ollula vstarum partem vnam: muscerdæ, veratri albi, radicis calami vstæ, piperis albi, singulorum æquales portiones aceto excipe, & ad præfrictum, ac prærasum locum vtere. *Aliud.* ℞. Cineris vngularum caprinarum vstarum, succi thapsiæ, alcyonij, muscerdæ, spumæ nitri, myrrhæ, piperis albi, zingiberis, singulorum æquas partes probè tritas felle caprino excipe.

A ἐνεργεῖ δὲ μάλιστα ἐπὶ τῶν παιδίων τοῦτο τὸ φάρμακον, ἰσχυρότερον μὲν γάρ ἐστι τοῦ προτέρου. κεχρονισμένην δὲ καὶ δυσθεράπευτον ἀλωπεκίαν, οὐκ ἂν ἰάσαιτο, δηλοῖ δὲ τοῦτο καὶ ὁ Ηρας αὐτὸς, προσγράψας ἐνεργεῖν ἐπὶ παίδων αὐτὸ μάλιστα, τουτέστιν ἐπὶ σωμάτων μαλακὸν ἐχόντων τὸ δέρμα. ῥᾳδίως γὰρ ἐκ τῶν τοιούτων οἱ μοχθηροὶ διαφοροῦνται χυμοὶ, παραπλήσιον δὲ δηλονότι οἱ εὐνοῦχοι, καὶ αἱ γυναῖκες ἔχουσιν τὸ δέρμα τοῖς παιδίοις.

Περὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων πρὸς ἀλωπεκίας.

Κρίτων δὲ ἐν τῷ τρίτῳ τῶν κοσμητικῶν, οὕτως ἔγραψεν. πρὸς δὲ τὰς λεγομένας ἀλωπεκίας, πάθος τριχῶν λυμαντικὸν, B καὶ κοινῶς δυσμορφίας ποιητικὸν, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις, ὡς Ηρακλείδης ὁ Ταραντῖνος. ἀμύγδαλα πικρὰ σὺν τοῖς λεπύροις κατακαύσας, καὶ τρίψας, μετ᾽ ὄξους ἀναλάμβανε, μικρὸν μέλιτος ἐπιβαλὼν, ἐπὶ δὲ τῆς χρήσεως, προανατρίβων τὸν πεπονθότα τόπον ὀθονίῳ καθαρῷ, ἐπίχριε συνεχῶς. ὠφελεῖ δὲ μάλιστα καὶ ἡ συνεχὴς ξύρησις, πρὸ τῆς ἐπιθέσεως τοῦ φαρμάκου. Αλλο ᾧ Μόσχος ἐχρῆτο. Εχίνων θαλασσίων τὰ ὄστρακα κατακαύσας, καὶ ὕδατι ἀναλαβὼν, ἐπιτίθει, προανατρίβων τοὺς τόπους. ἐν τισιν ἀντιγράφοις εὗρον οὐχ ὕδατι ἀλλὰ στέατι ἀρκτείῳ, ἀναλαμβανομένης τῆς τῶν ἐχίνων σποδιᾶς, C καὶ μᾶλλον οὕτως ἐμοὶ ἤρεσεν, ἔστι γὰρ ἐνεργέστερον. Αλλο. καλάμου ῥίζας κατακαύσας, ἀναλαβὼν στέατι ἀρκτείῳ, οὕτως ἐπιτίθει. Αλλο. θαψίας φλοιὸν τρίψας, μετ᾽ ὄξους ἐπιτίθει. Αλλο. χαμαιλέοντος ῥίζαν τρίψας ἐπιμελῶς, μετὰ ὄξους ἐπιτίθει. ταῦτα προειπὼν ὁ Κρίτων, ἐφεξῆς τάδε γράφει. χρονιζούσης δὲ τῆς διαθέσεως, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. ἐνδεικνύμενος ἐκ τούτων, τὰ προγεγραμμένα φάρμακα, μετρίων εἶναι διαθέσεων ἰατικά. γράφει τοίνυν ἐφεξῆς καὶ τὰ πρὸς τὰς ἰσχυροτέρας διαθέσεις ἁρμόττοντα, κατὰ τὴν ἐκείνου λέξιν οὕτως ἔχοντα.

D Περὶ τῶν ὑπὸ Ηρακλείδου γεγραμμένων πρὸς ἀλωπεκίας χρονίας.

Πρὸς ἀλωπεκίας, ὡς Ηρακλείδης ὁ Ταραντῖνος. Ορεστίνου πρὸς τὰς κεχρονισμένας ἀλωπεκίας, ℞ μυοχόδων <. β΄. λιβανωτοῦ <. β΄. ὄξει δριμυτάτῳ διαλύσας ἐπίχριε, προξυρήσας τοὺς τόπους. Αλλο. ℞. ἐχίνων θαλασσίων σὺν τοῖς ὀστράκοις κεκαυμένων <. β΄. κηκίδων ὀμφακιτίδων τὸ ἴσον, ἀμυγδάλων πικρῶν κεκαυμένων τὸ ἴσον, μυοχόδων <. α΄. ὄξει διαλύσας καὶ τρίψας ἐπιμελῶς, ἐπιτίθει. Αλλο ὡς Ορεστῖνος. ℞. ἀρκτείων τριχῶν κεκαυμένων, ἀδιάντου κε- E καυμένου, καλάμου ῥιζῶν κεκαυμένων, συκῆς φύλλων κεκαυμένων, κιλικίου ῥάκους κεκαυμένου, ἑκάστου τὸ ἴσον ἀναλάμβανε στέατι ἀρκτείῳ, καὶ κεδρίᾳ. ἐπὶ δὲ τῆς χρήσεως, πυρία, ἀνατρίβων τὸν τόπον συκῆς φύλλοις, καὶ νίτρῳ ἀποσμήχων, κατάχριε τῷ φαρμάκῳ καθ᾽ ἡμέραν, ἑλκωθείσης δὲ τῆς ἐπιφανείας, ἐπιτίθει κηρωτὴν διὰ λεκίθου, καὶ πυρίνων καὶ κριθίνων ἀλεύρων, χυλῷ προσφάτῳ ἐπίχριε. Αλλο Οθωνος Σικελοῦ ἐπιτετευγμένον. ℞. βατράχων τῶν σμικροτάτων κεκαυμένων ἐν χυτριδίῳ, τῆς σποδοῦ μέρος α΄. μυοχόδων, ἐλλεβόρου λευκοῦ, καλάμου ῥίζης κεκαυμένης, F πεπέρεως λευκοῦ, ἑκάστου τὸ ἴσον, ὄξει προσαναλαβὲ, καὶ χρῶ προανατρίβων, καὶ ἀποξυρῶν τὸν τόπον. Αλλο. ℞ ὀνύχων αἰγείων κεκαυμένων τῆς σποδοῦ, θαψίας χυλοῦ, ἀλκυονίου, μυοχόδων, ἀφρονίτρου, σμύρνης, πεπέρεως λευκοῦ, ζιγγιβέρεως, ἑκάστου τὸ ἴσον, τρίψας ἐπιμελῶς, ἀναλάμβανε αἰγείᾳ χολῇ.

A

Περὶ τῶν ὑπὸ Κλεοπάτρας γεγραμμένων ἐν τῷ κοσμητικῷ.

Ἐν τῷ Κλεοπάτρας κοσμητικῷ, πρὸς ἀλωπεκίας γέγραπται φάρμακα, κατὰ τὴν αὐτῆς ἐκείνης λέξιν, ὧδέ πως ἔχοντα. πρὸς ἀλωπεκίας. σανδαράχην λειώσας ἀναλάμβανε ἰξῷ δρυΐνῳ, ὡς ὅτι πλείστῳ, καὶ προεκνιτρώσας, ἔμπλασον εἰς ὀθόνιον, καὶ ἐπιτίθει. ἐγὼ δὲ καὶ νίτρου ἀφρῷ προσέμιξα τὰ προειρημένα, καὶ ἐνήργησεν καλῶς. Ἄλλο. ℞ σκίλλης <. α'. ἐλλεβόρου λευκοῦ <. α'. λεῖα ποιήσας σὺν ὄξει, καὶ ξυρήσας, καὶ προεκνιτρώσας, κατάχριε. Ἄλλο. ℞. νάπυος <. α'. καρδάμου <. α'. λεῖα μετ᾽ ὄξους ἐπιτίθει, προξυρήσας, καὶ ἐκνιτρώσας τὸν τόπον, βέλτιον δὲ καταχαράξειν. Ἄλλο. ℞. φλοιοῦ καλάμου <. δ'. ἀφρονίτρου <. δ'. πίσσῃ ὑγρᾷ ἀναλαβὼν, χρῶ. συνεχῶς δὲ ἐπιξύρει τὸν τόπον, καὶ τάχιστα τριχοφυήσει, ἔτι δὲ καὶ προσανάτριβε ὀθονίῳ. Ἄλλο. μυιῶν κεφαλὰς συναπόθλα, ἀνατρίβων. Ἄλλο. μυόχοδα λεῖα κατάχριε, ὀθονίῳ ἐφαιμάξας τὸν τόπον. Ἄλλο. ἀμύγδαλα πικρὰ σὺν τοῖς λεπύροις καύσας, τρῖψον μετ᾽ ὄξους, καὶ μέλιτος, καὶ τὸν τόπον ἐφαιμάσσων, τῇ ἀνατρίψει κατάχριε. ποίει δὲ τοῦτο συνεχῶς, καὶ ἀναξύρει τὸν τόπον, καὶ ταχέως τρίχες ἀναβήσονται. Ἄλλο. αὕτη ἡ δύναμις πασῶν ἐστι βελτίων, ποιοῦσα καὶ πρὸς ῥεούσας τρίχας, σὺν ἐλαίῳ, ἢ μύρῳ ἀνιεμένη, καὶ τοῖς ἐν ἀρχῇ μαδαρώσιν, ἢ εἰς φαλακρότητα ἐμπίπτουσιν, ἔστι δὲ θαυμάσιος. ℞ μυῶν τῶν κατοικιδίων κεκαυμένων, μέρος α'. ἀμπελίνου ῥάκους κεκαυμένου μέρος ἓν, ἱππείων ὀδόντων κεκαυμένων, μέρος ἓν, στέατος ἀρκτείου μέρος ἓν, μυελοῦ ἐλαφείου μέρος α'. καλάμου φλοιοῦ μέρος ἓν, ταῦτα ξηρὰ λειούσθω, καὶ προσμασσομένου μέλιτος ἱκανοῦ, ἕως ἂν σχῇ μέλιτος πάχος, τριβέσθω, καὶ μιγνυέσθω τὸ στέαρ καὶ ὁ μυελὸς, τακέντα, καὶ ἀποτιθέσθω εἰς πυξίδα χαλκῆν τὸ φάρμακον, καὶ ἀνατριβέσθω ἡ ἀλωπεκία, μέχρις οὗ ἀνατριχοφυήσῃ. ὁμοίως δὲ καὶ αἱ ῥέουσαι τρίχες, καθ᾽ ἡμέραν ὑποχριέσθωσαν. καὶ τούτων τῶν φαρμάκων, καὶ τῶν ἐφεξῆς γραφησομένων, οὐ χαλεπὸν διακρῖναι τά τε δριμύτερα, καὶ ἰσχυρότερα, καὶ τὰ μαλακώτερα, καὶ ἀσθενέστερα, μεμνημένοις ὧν κατ᾽ ἀρχὰς εἶπον. οὕτω γὰρ ὑπάρξει, καὶ τὸ κεχρῆσθαι καλῶς αὐτοῖς, ἐπὶ μὲν τῶν μετριωτέρων ἀλωπεκιῶν, τοῖς μετριωτέροις, ἐπὶ δὲ τῶν ἰσχυροτέρων, τοῖς ἰσχυροτέροις, ὥσπερ γε κἀπὶ τῶν ἰσχυροτάτων, τοῖς ἰσχυροτάτοις.

Περὶ τῶν ὑπ᾽ Ἀρχιγένους γεγραμμένων, ταῖς ἀλωπεκίαις χρησίμων.

Ἔγραψε καὶ Ἀρχιγένης ταῦτα τὰ φάρμακα, πρὸς ἀλωπεκίας διὰ τῆσδε τῆς λέξεως. τὰς ἐπιπολαίους ἀλωπεκίας ἐκνιτρώσας, καὶ ὀθονίῳ ἐκμάξας, περιστερεῶνι ἐν ἡλίῳ τριβέντι, καὶ ὄξει διέντι, κατάχριε ἱκανῶς, ἢ ὁμοίως σμήξας, σεύτλου φύλλα ἐπίθες, ἐπάνω δὲ ὑγρὸν ὀθόνιον, ἀφαίρει δὲ βρέχων τὸν τόπον. τὰς δὲ βαθείας ἀνάτριβε σὺν ὄξει, νίτρου βώλῳ, ἢ σηπίας ὀστράκῳ, ἢ ἰχθύᾳ, ἢ συκῆς φύλλοις, μέχρις ἀναξασμοῦ, εἶτα ἀπομάξας τὸ αἷμα σεῦτλον ἐν οἴνῳ ἑφθὸν ἐπίθες,

De iis quæ Cleopatra in libro eorum, quæ ad corporis ornatum pertinent, scripsit.

In libro Cleopatræ de ornatu corporis, ad alopecias descripta sunt pharmaca, quæ iuxta illius dictionis seriem hoc modo habent. *Ad Alopecias.* Sandaracham tritam, largoque visco quercino exceptam, & in linteolum inditam, loco per nitrum prius præparato imponito. Ego verò etiam nitri spumam ad prædicta admiscui, & egregiè efficax pharmacum fuit. *Aliud.* ℞. Scillæ ʒ. j. B ʒ. j. veratri albi ʒ. j. ex aceto trita prærasis, & nitro confrictis illinito. *Aliud.* ℞. Sinapis ʒ. j. nasturtij ʒ. j. trita ex aceto præralis. & nitro extersis locis imponito. Præstat autem locum scarificare. *Aliud.* ℞. Corticis calami ʒ. iiij. spumæ nitri ʒ. iiij. pice liquida exceptis vtere. Cæterùm locum assiduè radere oportet, & cum linteolo confricare, sic enim quàm celerrimè pilos producet. *Aliud.* Muscarum capita contrita affrica. *Aliud.* Muscerdas tritas illine, loco prius per linteoli affrictum subcruento reddito. *Aliud.* Amygdalas amaras vnà cum corticibus exustas cum aceto, C & melle contere, & loco per defrictionem subcruento reddito illine, idque ipsum assiduè facere perge: & locum nouacula rade, sic enim capilli citò prodibunt. *Aliud.* Cæterùm ea, quæ sequitur compositio omnes vi sua præcellit. faciens item ad profluuium capillorum, cum oleo, aut vnguento dissoluta: facit, & ad deciduos in principio palpebrarum pilos, & in caluiciem prolabentes, estque omninò admirabilis. ℞. Murium domesticorum vstorum partem vnam, panniculi ampelini vsti partem vnam, dentium equinorum vstorum partem vnam, adipis vrsini partem vnam, medullæ ceruinæ partem vnam, corD ticis calami partem vnam. Hæc omnia arida læuigentur, & sufficienti melle admixto ad crassitudinem mellis redigantur, indéque adeps, & medulla liquefacta addantur: & pharmacum ipsum in æream pyxidem reponatur, ex eoque alopecia donec capillos producat defricetur. Similiter autem & proflui capilli quotidie ex eo illinantur. Porrò inter hæc ipsa pharmaca, itémque ea, quæ deinceps describentur, non difficile est dijudicare, quæ acriora, ac fortiora, rursusque quæ molliora, & imbecilliora, existant, modo quis ea, quæ in principio dixi, in memoriam E reuocet. Ita enim, & rectus eorum vsus continget, nimirum ad mediocres alopecias mediocribus adhibitis, ad fortiores fortioribus: velut etiam ad eas, quæ fortissimæ sunt, fortissima remedia admouentur.

De iis quæ Archigenes ad Alopecias commoda medicamenta conscripsit.

Archigenes item hæc pharmaca ad alopecias hac verborum serie descripsit. Alopecias læues & in superficie hærentes, nitro confricatas, ac linteolo extersas, verbenaca in Sole trita acetoque F diluta largiter illine. Aut eodem modo extersis betæ folia impone, insuperque linteolo humecto contege, aufer autem ea per loci humectationem. Cæterùm in altum progressas cum aceto, nitri gleba, aut sepiæ piscis testa, aut aspera squatinę cute, aut fici foliis, vsque ad dilaniationē defrica; deinde deterso sanguine, betā ex vino coctā impone, aut

aut caricas vstas cum vino;aut lentis farinam cum vino pro cataplasmate adhibe. Aut buprestí cum aceto,aut ranunculo, aut ari radice, aut tali quopiam, in cerati formam redactis, & per noctem impositis, bullas ex alopecia excita: mane verò bullas compunctas, allio, aut buselino, aut anemones foliis intege. Probè faciunt etiam post excitatas bullas hippocampi marini vsti, & cum modico atramento sutorio crudo trito inspersi: itemque ossa maxillarum suillarum vsta. *Aliud.* vbi deraseris,& cum nitri spuma deterseris,alcyonio,ex acri aceto confrica,donec sanguis emanet: dehinc vbi nucum auellanarum putamina vsta ex melle læuigaueris,inunge: atque id bis in die facito. Sedat, ac sistit eas, vt plurimum in diebus decem. Aut mures domesticos in olla exustos,tritosque axungia excipe & præfrictis cum allio alopeciis in splenio impone, idque donec capilli enascantur quotidie repete. Aut ranunculos paruos similiter exure, eorumque cinerem cum pice sæpe feruefacta vsquequo crassa facta sit, illine, loco neque raso,neque prius confricto. Aut muscerdas & thus æquali portione cum aceto ad mellis crassitudinem redacta,loco prius rubificato illine. Aut ficus aridas vstas cum oleo similiter illine,vbi prius læuigaueris. Aut veratrum album, *aut* piper, *aut* muscerdas,prædetersis,ac præ rasis ex aceto illine. Aut raphano, & cæpis obliquè concisis probè confricans illine. Aut alcyonium torrefactum cum digito oleo madefacto diligenter affrica,donec morsum percipiat: & correctam alopeciam emendabis. Aut alcyonium ad lucernam torrefactum, adipémque vrsinum similiter liquefactum, misce,& præfrictis ad Solem illine. Aut præpunctis pro more cæpas tritas cum melle cataplasmatis modo impone. Aut raphani corticem eodem modo. Aut facta scarificatione, arundinis corticẽ superiorem, quem Ægyptij Siphtherium appellant,vstum cum pice liquida committe,spleniumque impone,& quater,aut quinquies solue: deinde exterge,ac aliud splenium impone. Quidam nitrum ad decimam cineris ipsius partem admiscẽt, valdéque ei confert. Aut squamam stomomatis cum aceto,& oleo illine eodem modo. Aut felis, siue crocodili stercoris ʒ. vj. sinapis ʒ. iiij. cum acri aceto illine. Aut cantharidas vstas pice liquida exceptas ad cerati liquidi formam redige: præfrictisque ex nitro asso locis: & extersis, in splenio impone, & per noctem sine: manè verò tolle,locumque exiccari permitte vsquequo circuncirca rumpatur: vbi verò eruperint capilli,eos assiduè rade. Aut nasturtium, vel vt alij piper, muscerdas, veratrum album,æqualibus portionibus ex aceto illine. Aut cum piscis corio,quale est squatinæ, aut folio ficulneo,aut pumice læui, supernè alopecias cruentas facito,deinde amygdalas amaras vstas cũ aceto mulso illinito:idque assiduè facito,ac radito, augescent enim statim capilli. Aut testudinis marinæ sanguinem illine,ex laudatissimis enim hic est. Aut hippopotami corium vstum illine. Aut nuces ponticas vstas, & staphidas syluestres cum vnguẽto laurino. Hoc enim ab Archigene laudatur. Aut muscerdas,& veratrum album illinito. Aut corticis arundinis vstæ,& nitri æquas partes, cum pice liquida ad malagmatis formam redige. Aut nuces amaras vnà cum corticibus vstas ex aceto,aut melle frequenter illine, idque loco prius per linteolum exterso: post verò assiduè radito. Aut ammoniacum thymiama cum succo tithymali affricato,

A ἢ ἰσχάδας κεκαυμένας ἐν οἴνῳ, ἢ φακοῦ ἄλευρον σὺν οἴνῳ κατάπλασσε, ἢ φλυκταινώσας τὴν ἀλωπεκίαν, βουπρήστει μετ' ὄξους, ἢ βατραχίῳ, ἢ ἄρου ῥίζῃ σύν τινι τούτων κηρωτοειδὲς ποιήσας, καὶ ἐπιθεὶς εἰς νύκτα, πρωῒ δ' ἀποσχάσας τὰς φλυκταίνας, κατάπλασσε σκορόδῳ, ἢ βουσελίνῳ, ἢ ἀνεμώνης φύλλοις, καλῶς ποιοῦσι μετὰ τὰς φλυκταινώσεις, καὶ ἱππόκαμποι θαλάσσιοι καέντες, καὶ ἐπιπασσόμενοι μετ' ὀλίγου χαλκάνθου, ὠμοῦ λείου, ἢ ὑείων σιαγόνων ὀστᾶ κεκαυμένα. Ἄλλο. ἢ ξυρήσας καὶ σμήξας ἀφρονίτρῳ, καὶ ἀλ-
B κυονίῳ μετὰ δριμέος ὄξους ἀνάτριβε, μέχρις ἂν αἱμάξῃ, εἶτα κατάχριε Καρύων Ποντικῶν κελύφεσιν κεκαυμένοις, λειώσας μετὰ μέλιτος, θεράπευε δὶς τῆς ἡμέρας, ὃ πολὺ, καθίστησιν ἐν ἡμέραις δέκα. ἢ μύας κατοικιδίους ἐν χύτρᾳ καύσας, λείους ἀναλάμβανε ἀξουγγίῳ, καὶ προανατρίβων σκορόδῳ τὰς ἀλωπεκίας, ἐν σπληνίῳ ἐπιτίθει, καὶ τοῦτο καθ' ἡμέραν ποίει μέχρις ἂν ἐκφύωσιν τρίχες. ἢ βατράχια τὰ μικρὰ ὁμοίως κατακαύσας, τὴν τέφραν μετὰ πίσσης, πολλάκις ἀνεζεσμένης μέχρις ἂν παχεῖα γένηται, ἐπίχριε, μήτε προξυρῶν, μήτε προσμήχων. ἢ μυόχοδα, καὶ λίβανον ἴσα σὺν ὄξει μέλιτος πάχος κατάχριε
C προφοινίσσων, ἢ σῦκα ξηρὰ κεκαυμένα κατάχριε μετ' ἐλαίου ὁμοίως λειώσας. ἢ ἐλλέβορον λευκὸν, πέπερι, μυόχοδα προσμήξας καὶ καταξύσας, σὺν ὄξει κατάχριε. ἢ ῥαφανίδι, καὶ κρομμύῳ, ἐπικαρσίως τμηθέντι ἀνατρίψας εὖ μάλα, κατάχριε. ἢ ἀλκυονίῳ πεφωσμένῳ, καὶ βάπτων τὸν δάκτυλον ἐν ἐλαίῳ τρῖβε ἐπιμελῶς, μέχρις ἂν δηχθῇ, καὶ κατορθώσεις. ἢ ἀλκυόνιον πρὸς λύχνον φώξας, καὶ στέαρ ἄρκτειον ὁμοίως τήξας, μίξον καὶ κατάχριε, προσμήχων ἐν ἡλίῳ. ἢ προκεντήσας ὡς ἔθος, κατά-
D πλασσε κρομμύῳ λείῳ, μετὰ μέλιτος. ἢ ῥαφανίου φλοιῷ ὁμοίως. ἢ κατασχάσας καλάμου ἐπιφάνειαν, ἣν Αἰγύπτιοι, σιφθήριον καλοῦσι, κεκαυμένην πίσσῃ ὑγρᾷ πρόσμιγε, καὶ σπληνίον ἐπιτιθεὶς, λύε τετράκις, ἢ πεντάκις, εἶτα ἀποσμήξας, ἄλλο σπληνίον ἐπιτίθει. ἔνιοι νίτρον πρὸς τὸ δέκατον τῆς τέφρας μίσγουσι, καὶ λίαν ὠφελοῦσιν. ἢ λεπίδι στομώματος, μετ' ὄξους καὶ ἐλαίου, κατάχριε ὁμοίως. ἢ αἰλούρου, ἢ κροκοδείλου κόπρου <. ϛ'. νάπυος <. δ'. μετ' ὄξους δριμέος κατάχριε. ἢ κανθαρίδας κεκαυμένας πίσσῃ ὑγρᾷ ἀναλαβὼν, ὡς κηρωτὴν ὑγρὰν γενέσθαι, προαπο-
E σμήξας νίτρῳ ὀπτῷ, καὶ ἐκμάξας ἐν σπληνίῳ, ἐπίθες, καὶ ἔα διανυκτερεῦσαι, πρωῒ δὲ ἄρας, ἔα ξηρανθῆναι τὸν τόπον μέχρις ἂν περιρραγῇ. ὅταν δὲ ἀνατείλωσιν αἱ τρίχες, ξύρα συνεχῶς. ἢ κάρδαμον, οἱ δὲ πέπερι μυόχοδα, ἐλλέβορον λευκὸν, ἴσα μετ' ὄξους κατάχριε, ἢ αἱμάξας ἐπιπολῆς ἰχθύι, ἢ συκίνῳ φύλλῳ, ἢ κισσήρει λείᾳ, ἀμύγδαλα πικρὰ καύσας, μετ' ὀξυμέλιτος κατάχριε. συνεχῶς δὲ τοῦτο ποίει, καὶ ξύρα, αὐξήσουσι γὰρ ταχέως. ἢ χελώνης θαλασσίας αἵματι κατάχριε, ἐπαινεῖται. ἢ ἱπποποτάμου δέρμα καύσας κατάχριε. ἢ καρύοις Ποντικοῖς κεκαυμένοις,
F καὶ σταφίσιν ἀγρίαις σὺν δαφνίνῳ μύρῳ, τοῦτο γὰρ Ἀρχιγένης ἐπαινεῖ. ἢ μυόχοδα, καὶ ἐλλέβορον, κατάχριε λευκόν. ἢ καλάμου φλοιοῦ κεκαυμένου, καὶ νίτρου, ἑκάστου ἴσον, πίσσῃ ὑγρᾷ μαλαγματῶδες ποίει. ἢ κάρυα πικρὰ σὺν τοῖς λεπύροις καύσας μετ' ὄξους ἢ μέλιτος, πυκνῶς κατάχριε, προεκμάξας ὀθονίῳ, καὶ ξύρα τὸν τόπον πυκνῶς. ἢ ἀμμωνιακοῦ θυμιάματος μετ' ὀποῦ τιθυμάλλου ἀνάτριβε.

ἢ αἰλούρου ἀφόδευμα ξηρῷ μετ' ὄξους. ἢ ῥοὸς <. δ'. ἢ A β'. σινήπεως <. β' σὺν ὄξει δριμεῖ κατάχριε. ἢ ἀμυγδάλοις πικροῖς, καὶ κισσήρει ἐπίχριε. Διονυσόδωρος δὲ ὁ ἰατρὸς. κάσσυμα καινὸν καίων, μετ' ὄξους δριμέος, κατάχριε. ἄκρως δὲ ποιεῖ ἐπὶ τῶν χρονίων, εἰ θαψίας χυλὸν, ἢ ῥίζαν ἀναλαβὼν κηρωτῇ, ἐπιθείης τῷ τόπῳ, μετὰ τοῦ μηδὲν ἄλλο προσεργάσασθαι. ἀφίσταται γὰρ ἡ ἄνωθεν ἐπιφάνεια, καὶ ἰχωρρορεῖ, ὑποφύονταί τε αἱ τρίχες αὐτόματοι. ὁρᾷς ὅπως καὶ ὁ Ἀρχιγένης ἐπαινεῖ τὸ διὰ τῆς θαψίας, οὐ γὰρ ἂν εὕροις ἄμεινον αὐτοῦ φάρμακον. αὐξάνεται δ' ἡ πίστις τῶν ὠφελούντων κἀκ τῆς συμφώνου ἱστορίας, καὶ διὰ τοῦτο κἀγὼ τὰ παρὰ B τοῖς ἐμπείροις ἰατροῖς φάρμακα γράφω πάντα.

Περὶ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων, ἐν τῷ περὶ ἀλωπεκίας βιβλίῳ.

Οὐ τοῦ νεωτέρου δηλονότι μέμνημαι νῦν Ἀσκληπιάδου, τοῦ συνθέσεις φαρμάκων ἀξιολόγους ἐν πολλοῖς γράψαντος βιβλίοις, ἀλλὰ τοῦ παλαιοτέρου τοῦ Βιθυνοῦ. οὗτος τοίνυν ὁ Ἀσκληπιάδης, σεμνύνεται θεραπείας ἀγωγὴν εὑρηκέναι, δι' ἧς ἰᾶσθαί φησι πολλοὺς, ἀλωπεκίας δυσθεραπεύτους ἔχοντας, πλέον δέ φησιν εἰς τὴν θεραπείαν δύνασθαι τὴν ὅλην C δίαιταν, ἢ τὰ φάρμακα. περὶ μὲν οὖν τῆς διαίτης τάδε γράφει. ἀφεκτέον οὖν παντὸς οἴνου εἰς τέλος, διὰ ταύτας τὰς αἰτίας. εὔδηλον δ' ὅτι προείρηκεν αὐτὸς τὰς αἰτίας, ἃς ἔξεστι βουλομένῳ μαθεῖν, ἀναγνῶναι τὸ βιβλίον, εἶτ' ἐφεξῆς φησιν. ἀφεκτέον δὲ καὶ τοῦ λίαν ὑπερεμπίπλασθαι, κωλύει δὲ καὶ κρεῶν ἐσθίειν, καὶ τυροῦ, καὶ γάλακτος, καὶ ὀσπρίων, καὶ πάντων ἁπλῶς ὅσα δυνάμεις ἐν μικροῖς ὄγκοις ἔχει, πολυτρόφους τε καὶ πνευματούσας, ἀλλὰ καὶ τὰ πολλὰ τῶν γυμνασίων κελεύει φεύγειν, ὥσπερ γε καὶ τὰ συνεχῆ λουτρὰ καὶ τοὺς πολλοὺς ἱδρῶτας. περὶ δὲ τῶν φαρμάκων τάδε γράφει κατὰ D λέξιν. ἔστι δὲ τὸ μὲν πρῶτον σύγχρισμα τοιοῦτον. ℞ ἀφρονίτρου μέρη δύο, ἁλὸς ἀμμωνιακοῦ μέρος ἓν, κεκαυμένα λεάναντες, ὄξει διέντες ὡς δριμυτάτῳ μέχρι τοῦ λαβεῖν γλοιοῦ πάχος, προκαταξυσθείσης τῆς ἀλωπεκίας κούφως, ὥστε δασυνθῆναι, καὶ ἔναιμον γενέσθαι τὸν τόπον, μετρίως καταχρίοντες τὴν κεφαλὴν, καὶ τρίψαντες μέχρι τοῦ συλλαβεῖν, καὶ εἰς βάθος παρενεχθῆναι τὸ φάρμακον, καλῶς προκαταχρίσαντες, ἡσυχάζειν ἐῶμεν ἕως δείλης. ἔπειτα τὸ αὐτὸ ποιήσαντες τῇ ἑσπέρᾳ καὶ τῇ ἑξῆς, καὶ τῇ τρίτῃ παραπλησίως, μεγάλην παραλλαγὴν εὑρίσκομεν. ἵσταται γὰρ ἡ νομὴ, καὶ αἱ τρί- E χες καταψώμεναι, καὶ μὴ διελκόμεναι μετὰ βίας, ἀντείχοντο, καὶ οὐκ ἀνεσπῶντο. ἔπειτα τῇ ἑξῆς, ἐπανατρίψαντες ἐν ὄξει καταπλάττομεν, μέχρι τοῦ φλυκταίνας ἐπαναστῆναι, καὶ ἑλκῶσιν ἐπιπόλαιον λαβεῖν τὸ δέρμα. περιχαράξαντες δὲ τὰς φλυκταίνας, καὶ ἄχρι δυεῖν ἡμερῶν ὑποδεξάμενοι τὸ ὑδατῶδες, τὸ ἀπὸ τῶν ἑλκῶν ῥέον, ἐχρώμεθα πάλιν τῷ αὐτῷ συγχρίσματι, φειδόμενοι τῶν ἑλκωδῶν τόπων, καὶ ὑπερβαίνοντες, αὐτοὺς δὲ τοὺς ὑγιεῖς λαμβάνοντες, καὶ τούτους καθαψῶντες ἡσυχάζειν ἐῶμεν ἕως δείλης. ἔπειτα τὸ αὐτὸ ποιήσαντες, καὶ ἀνατρίβοντες ἐπὶ βραχὺ, μέχρις ἑπτὰ καὶ ὀκτὼ F ποιοῦντες ἡμερῶν, ἤδη που συνθεωροῦμεν ἀπὸ τῶν περάτων τῆς ἀλωπεκίας, οὐκ ἔτι λεπτὰς καὶ χνοώδεις τρίχας ὡς ἔμπροσθεν, ἀλλ' ἐμβριθεστέρας, ἔπειτα κατὰ μικρὸν ἀεὶ ταύτας ἐπιβαινούσας τοῖς ἐψιλωμένοις, συνεκλειπούσας δὲ πάλιν τὰς λεπτὰς καὶ ἀσθενεῖς, ὁμοίου τινὸς συμβαίνοντος τοῖς ἡλκωμένοις.

aut felis ſtercus aridum ex aceto: aut rhois. ʒ. iiij. vel ij. ſinapis. ʒ. ij. cum acri aceto illine. Aut amygdalas amaras, & pumicem illine. Dionyſodorus autem medicus, corium, inquit, nouum vſtum cum acri aceto illine. Egregiè autem facit ad inueteratas alopecias, ſi thapſiæ ſuccum, aut radicem cerato exceptum loco impoſueris, etiam ſi nihil præterea aliud facias: decedit enim ſuperna cutis, & ſanie ſeroſa madet, capillique ſua ſponte ſubnaſcuntur. Vides itaque quomodo Archigenes ex thapſia pharmacum collaudet, neque enim aliud eo præſtantius reperias. Auget autem fidem commoditatis eius conſona hiſtoria: quapropter, & ego omnia, quæ apud medicos expertos ſunt medicamenta, ſcribo.

De iis quæ Aſclepiades in libro de Alopecia ſcripſit.

Non recentioris nunc mentionem facio Aſclepiadæ, qui memorabiles ſanè pharmacorum compoſitiones in multis libris conſcripſit, ſed vetuſtioris, Bithyni videlicet. Hic itaque Aſclepiades curandi viam ſe reperiſſe gloriatur, per quam multos curatu difficiles alopecias habentes ſanatos dicit. Verùm plus ad curationem totam viuendi rationem valere, quàm pharmaca ipſa tradit. De viuendi ratione itaque hæc ſcribit: Abſtinendum itaque ab omni vino in totum, propter has ipſas cauſas. Manifeſtum verò eſt inde, ipſum antea retuliſſe cauſas, quas ſi quis diſcere velit, ex libri ipſius lectione requirat. Deinde ſubiungit: Abſtinendum etiam nimia repletione. Prohibet autem, & carnium eſum, & caſei, & lactis, & leguminum, omniumque ſimpliciter, quæ etiam exigua copia accepta vim habent, qua multum, & nutriant, & inflent. Quin & exercitia plurima fugere iubet, velut etiam aſſidua balnea, & multas exudationes. Cæterùm de pharmacis iuxta ſeriem dictionis ſic ſcribit. Eſt autem primum vnguentum tale. ℞ Spumæ nitri partes duas, ſalis ammoniaci partem vnam, vſta trita acerrimoque aceto diluta, donec ſtrigmentorum craſſitudinem accipiant, præſcalptæ leuiter alopeciæ, quo denſetur, & cruentus reddatur locus, moderatè illinimus: defricamuſque donec caput ea concipiat, & pharmacum in altum probè deferatur, atque ita quieſcere vſque ad crepuſculum ſinimus: poſtea ad veſperam idem repetentes, ſimiliterque ſequenti, ac tertia die magnam permutationem reperimus. Siſtitur enim depaſtio, & capilli dum raduntur, neque vi trahuntur, reſiſtunt, & non euelluntur. Deinde ſequenti die ex aceto præfrictis cataplaſma apponimus, quoad bullæ aſſurgant, & cutis in ſuperficie exulceretur. Bullas autem vbi diuiſerimus, atque ad duos dies aquoſitatem exceperimus, quæ ab ipſis vlceribus prodit, inde rurſus eodem vnguento vtimur, vlceratis tantum locis parcentes, eoſque tranſgredientes: Sanos verò apprehendentes, eoſque deradentes, vſque ad crepuſculum quieſcere ſinimus, quo idem repetentes multumque confricantes, vſque ad ſeptimum, aut octauum id facere pergimus diem: quo ſanè tempore videmus iam ab extremis alopeciæ non amplius tenues, vt ante, & lanuginoſos prodire pilos, ſed robuſtiores, poſtea paulatim etiam in partibus denudatis excreſcente, viciſſimque tenues & imbecilles deficientes. Contingitque ſimile quiddam quale in vlceratis videmus.

In vlceribus enim cicatrix ab extremo initium faciens, postremum in medio vlcere desinit, ac coit. Ita in alopecia partes pilosis vicinæ primum conualescunt, & densæ pilis redduntur: quæ verò in medio sitæ sunt, omnium postremò pilos producunt. Si itaque curatio hoc modo processerit, reliquis medicamentis nihil opus habebimus, sed vno hoc per multum tempus semper vtimur: ceditque benigniter affectio, nisi omninò magna nuditas existat. Medio autem tempore, scalpturam per acutum cælum assiduè facimus. Aliquando etiam cuspide acuti spiculi cute pertusa, per fissuras ipsas sanguinem moderatè elicimus. Hæc his verbis præfatus Asclepiades, deinceps de rasura, contra quàm alij tradit: neque enim assiduè, sed per interualla, affectam partem radere iubet, vbi iam mediocriter densi capilli in ea fuerint exorti: prodeuntes autem iam, & adhuc tenues, rasura non dignatur. Cæterùm post rasuræ factam mentionem; deinceps hæc verba scribit: Quòd si verò remoretur capillorum exortus, ad subscriptas compositiones confugimus. Sunt autem tales. Erinacij terrestris caput, aut corium vstum, tritum, ac melle subactum, illinito. *Aliud.* Hippocampum marinum, & nitri parum simul exure, adipeque anserino admixto, loco nitro præparato, illine. *Aliud.* Thapsiam aqua maceratam illine. *Aliud.* Murium stercora cum aceto trita illine. *Aliud.* Calami Cyprij folia in olla exurito, deinde resina pinus cineris plurimum excipito, & præscarificatæ alopeciæ imponito, ac obligato. Aut corticem siue comam arundinum eodem modo præparato, ampliusque nitri parem cineris modum admisceto, & pice exceptis vtitor. Est autem non inualidum, sed plurimum efficax. Post hæc verò etiam muscarum Asclepiades meminit, iubens quàm plurima ipsarum capita, mox vbi captæ sunt, nudis alopeciæ partibus affricari, atque id maximè, vbi alopecia fuerit exulcerata. Etenim confert, inquit, muscarum sanguinem irritata tunc per medicamenta, quæ ex nitro atque sale componuntur, nimirum, inquit, cum non mordeant hæc ipsa tantum, sed bullas etiam in eis excitent.

A καὶ γὰρ ἐπὶ τῶν ἑλκῶν ἀπὸ τοῦ πέρατος ἡ οὐλὴ τὴν ἀρχὴν λαμβάνουσα, τὸ ἔσχατον εἰς τὰ μέσα τοῦ ἕλκους ἀποτελευτᾷ, ἐπί τε τῆς ἀλωπεκίας τὰ πρὸς τῷ τετριχωμένῳ, πρῶτα ὀξυγιοῦται καὶ δασύνεται, τὰ δὲ ἐν τοῖς μέσοις ἔσχατα πάντων τριχοφυεῖ. προκοπτούσης μὲν οὖν τῆς θεραπείας οὕτως, οὐδὲν προσδεόμεθα φαρμάκων ἑτέρων, ἀλλ' ἑνὶ τούτῳ διὰ πλείονος ἀεὶ χρόνου χρώμεθα, καὶ ὑπακούει ἐπιεικῶς τὸ πάθος, εἰ μὴ παντελῶς εὐμεγέθης ἡ ψιλότης εἴη. τὸν δὲ μέσον χρόνον τῷ τε καταξυσμῷ τῷ διὰ τοῦ σμιλίου συνεχῶς ἐνεργοῦμεν. καὶ ἔστιν ὅτε τῇ ἀκμῇ τοῦ ὀξυβελοῦς ἐπικρούοντες B τὸν χρῶτα, διὰ τῶν νυγμάτων αἱμάτιον ἐκομισάμεθα σύμμετρον. ταῦτα προειπὼν ὁ Ἀσκληπιάδης αὐτοῖς ὀνόμασιν, ἐφεξῆς ἀπεφήνατο περὶ ξυρήσεως ἐναντίως τοῖς ἄλλοις. οὐ γὰρ συνεχῶς, ἀλλ' ἐκ διαλειμμάτων κελεύει ξυρεῖσθαι τὸ πεπονθὸς μόριον, ὅταν ἤδη μετρίως παχεῖαι τρίχες ἐν αὐτῷ φύωνται. τὰς δὲ ἀρχομένας ἔτι καὶ λεπτάς, οὐκ ἀξιοῖ ξυρᾶν. μετὰ δὲ τὸν περὶ τῆς ξυρήσεως λόγον, ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως. εἰ δὲ καταβραδύνοιτο τῆς τριχώσεως, ἐπὶ τὰς ὑπογεγραμμένας δυνάμεις καταφεύγομεν, εἰσὶ δὲ τοιαῦταί τινες. ἐχίνου χερσαίου τὴν κεφαλὴν ἢ τὸ δέρμα κατακαύσας, καὶ C τρίψας λεῖον, μέλιτι δεύσας ἐπίχριε. Ἄλλο. ἱππόκαμπον θαλάσσιον, καὶ νίτρου μικρὸν συγκατακαύσας, καὶ στέαρ χήνειον μίξας, κατάχριε, προεκνιτρώσας τὸν τόπον. Ἄλλο. θαψίαν ἐν ὕδατι δεύσας, κατάχριε. Ἄλλο. μυῶν τὰ διαχωρήματα μετ' ὄξους λειώσας, κατάχριε. Ἄλλο. καλάμου κυπρίου λαβὼν τὰ φύλλα, καὶ κατακαύσας ἐπὶ κεραμίδος, ἔπειτα ῥητίνῃ πιτυΐνῃ ὡς πλεῖστον τῆς τέφρας ἀναλαβών, ἔμπλασσε, καὶ προκαταχαράσσας τὴν ἀλωπεκίαν, ἐπίθες καὶ ἐπίδησον. ἢ τὸν φλοιόν, ἢ τὴν κόμην τῶν καλάμων ὡσαύτως σκεύασον, ἔτι δὲ καὶ νίτρου, τῆς τέφρας τὸ ἴσον μίξας, καὶ πίττῃ ἀναλαβών, D χρῶ. ἔστι δὲ οὐκ ἄπρακτον, ἀλλ' ἱκανῶς ἐνεργοῦν. ἐπὶ τούτοις ὁ Ἀσκληπιάδης μνημονεύει καὶ τῶν μυιῶν, ἃς κελεύει θηρεύσαντας, ὡς πλείστας, εὐθέως ἐνθλίβειν τὰς κεφαλὰς αὐτῶν εἰς τὰ ἐψιλωμένα τῆς ἀλωπεκίας, καὶ μάλιστά φησιν, ἐπειδὰν ἑλκώσωμεν αὐτήν. καὶ γὰρ καὶ συμφέρει, φησί, τὸ ἀπὸ τῶν μυιῶν αἷμα, προξυνομένῃ τινὶ καὐτὰ τοῖς διὰ τοῦ νίτρου, καὶ τῶν ἁλῶν συντιθεμένοις φαρμάκοις, ὑφ' ὧν οὐ μόνον δάκνεσθαί φησιν αὐτάς, ἀλλὰ καὶ φλυκταινοῦσθαι.

De iis quæ Soranus ad alopecias conscripsit.

Soranus autem cum prædixisset, quædam quæ iuxta propriæ sectæ ductũ digessit, meminissetq; eorũ, quæ Asclepiades scripsit, deinde sic hac verborũ serie subtexit. Quapropter vbi recens malũ est, primum abstinentia proderit, deinde simplex exiguus cibus boni succi, & irrigatio ex oleo dulci calido, & panis in cataplasmate, fométaq;, & scalpturæ, & cucurbitæ, ac cerata. Vires item reparentur. Inueterata autẽ iam affectione, assidua rasura, & rubificatio ex sinapi, & frictiones præscriptę, ita vt in sequentibus diebus picẽ superlinas, aut oleũ cedrinum. Proderit item rubificatio ex affrictu foliorum fici, aut cæparum, aut linteoli Indici, aut pollici obuoluti, & post frictionem, scarificationes. Quidam verò acus colligantes ita, vt cuspides ipsarum in eundem locum porrigantur, per ipsas, & cutem compungunt. Cæterùm post rubificationem per defrictionem inductam, postque scarificationem pharmaca conueniunt metasyncritica, tum illita, tũ emplastri modo imposita.

Περὶ τῶν ὑπὸ Σωρανοῦ γεγραμμένων πρὸς ἀλωπεκίας.

E Προειπὼν τινὰ κατὰ τὴν ἰδίαν ἀγωγήν, μνημονεύσας τε καὶ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων, ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως. διὸ καὶ προσφάτου τυγχάνοντος αὐτοῦ, συστολὴ τὸ πρῶτον ἁρμόσει, καὶ μετὰ ταῦτα ἁπλοῦν τρόφιον εὔχυλον, καὶ καταβροχὴ δι' ἐλαίου γλυκέος θερμοῦ, καὶ ἄρτος ἐν καταπλάσματι, πυρίαι τε καὶ καταξυσμοί, καὶ σικύαι, καὶ κηρωτή, καὶ ἀνάληψις. χρονίσαντος δὲ συνεχὴς ξύρησις, καὶ φοινιγμὸς διὰ νάπυος, καὶ ἀνατρίψεις αἱ γεγραμμέναι, ταῖς ἑξῆς ἐπιχριομένης πίσσης, ἢ κεδρίνου ἐλαίου, καὶ δι' ἀνατρίψεως τῆς διὰ φύλλων συ- F κῆς, ἢ κρομμύων, ἢ ὀθονίου περιειλημμένου τῷ λιχανῷ δακτύλῳ, ἢ τῷ ἀντίχειρι, καὶ μετὰ τὴν ἀνάτριψιν καταχασμοί. ἔνιοι δὲ βελόνας συνδήσαντες, ὥστε τὰς ἀκμὰς ὑφ' ἓν ἔχειν, κατεκέντησαν δι' αὐτῶν τὸ δέρμα, μετὰ δὲ τὸν διὰ τῆς ἀνατρίψεως φοινιγμόν, καὶ τὸν καταχασμόν, φάρμακα μετασυγκριτικὰ ἐπίχριστα, ἢ ἐπίπλαστα.

τοιαῦτα δὲ πολλὰ κατὰ μέρος ἐστί. καὶ γὰρ καὶ κρόμμυον λεῖον, ἢ ῥαφανίδου φλοιὸς ἑκάτερον μετὰ μέλιτος ἐπιπλασσόμενον, ἢ ἀφρονίτρου μέρος ἕν, ῥοῦ μέρη β'. καὶ ἁλὸς ἀμμωνιακοῦ μέρος ἕν, κεκαυμένα καὶ λελειωμένα μετ' ὄξους δριμέος, ἄχρι τοῦ λαβεῖν γλοιοῦ πάχος. γέγραπται δὲ καὶ ἄλλα πολλά, φησίν, παρά τε Ἀσκληπιάδῃ, καὶ Ἡρακλείδῃ τῷ Ταραντίνῳ, καὶ Ἐλεφαντίδῃ, καὶ Μοσχίωνι διὰ τοῦ κοσμητικοῦ, ἐξ ὧν ἔγραψε καὶ αὐτὸς τά θ' ὑπ' Ἀσκληπιάδου προγεγραμμένα, καὶ ἄλλα τινὰ ὧν ἐφεξῆς μνημονεύσω. ℞. ἀρκτείου στέατος μέρος ἕν, καλάμου φύλλων κεκαυμένων τέφρας μέρος ἕν, σιδήρου στομώματος λεπίδα, ὄξει καὶ ἐλαίῳ μίξας παλαιῷ, κατάχριε. Ἄλλο. ℞. αἰλούρου, ἢ κροκοδείλου κόπρου <. η'. νάπυος <. δ'. μετ' ὄξους δριμέος. Ἄλλο. ℞. κριθῶν κεκαυμένων καὶ μυοχόδων ἴσον, μετ' ὄξους δριμέος. Ἄλλο. ℞. κάρδαμον, καὶ μυόχοδα, καὶ ἐλλέβορον λευκόν, καὶ πέπερι, ἴσα μετ' ὄξους δριμυτάτου. Ἄλλο. νάπυ καὶ κάρδαμον, ἢ σφονδύλιον καύσας καὶ λειώσας, ὄξει κατάχριε. Ἄλλο. ℞. βατράχων κεκαυμένων <. ιη'. κισσήρεως κεκαυμένης <. ιβ'. ἐν ἄλλῳ ιε'. νάπυος <. η'. νίτρου <. δ'. καρύων κεκαυμένων <. κδ'. Ἄλλο. καὶ κηρωτὴ διὰ πεπέρεως, καὶ πυρέθρου, καὶ ἀσβέστου, καὶ μυρσίνου ἐλαίου. δεῖ δὲ καὶ προανατρίβειν τὸ πεπονθός, ἤτοι δι' ἀλκυονίου κεκαυμένου, ἄχρις ὅτου δηχθῇ, ἢ ἐχίνου θαλασσίου κεκαυμένου τῇ σποδῷ ὀθονίῳ ἐνειλημμένης, μέχρις ἂν ἔρευθος γένηται. ἄλλα φάρμακα ἐν χρήσει γενόμενα, τὰ μὲν ἐμοί, τὰ δὲ τοῖς διδασκάλοις μου, τὰ δὲ φίλοις ἰατροῖς, προσμίξας φοινίξασι κίσσηριν, προπυριάσας, καὶ χρίσας θαψίας χυλῷ ἄχρις ἂν ἐπαρθῇ, εἶτα πυριάσας κηρωτῇ ῥοδίνῃ, χρῶ. Ἄλλο. ℞. καλάμου φύλλων, καὶ ῥίζης αὐτοῦ κεκαυμένων, καὶ ἄρκτου τριχῶν, καὶ ἀδιάντου, καὶ στέατος ἀρκτείου, καὶ πίσσης ὑγρᾶς, καὶ τριχῶν αἰγείων κεκαυμένων, καὶ κεδρίας, ἁπάντων ἴσων ὄντων ὀκτώ, καὶ οὕτως ἔγχεε τὰ τηκτὰ μετὰ τῶν ξηρῶν προαποσμήχων. Ἄλλο. συκῆς φύλλοις μετ' ὄξους ἄχρι χνοώδεις ἀναδῶσιν, καὶ τότε βοτάνης τῆς λεγομένης στοιβῆς, χυλῷ κατάχριε. Ἄλλο. βατράχους λεπτοὺς καύσας, ἐπίπασσον μετὰ πίσσης ὑγρᾶς χλιαρᾶς, εἶτα ἐπίχριε, μήτε προξυρῶν μήτε προσμήχων. Ἄλλο. ℞. ἀφρονίτρου <. δ'. μυῶν ἀφοδεύματος <. β'. καλάμου φλοιοῦ κεκαυμένου <. β'. πίσσῃ ὑγρᾷ ἀναλαμβάνων, ποίει σπλήνιον, καὶ προξυρῶν τὸν τόπον, καὶ προεκνιτρῶν, ἐπιτίθει, καὶ μὴ ἀφαίρει πρὸ δυεῖν ἢ τριῶν ἡμερῶν. Ἄλλο. ℞. νάπυος καὶ κόπρου αἰλούρου τὸ ἴσον ἑκατέρου, προσμίξας, τὸν τόπον κατάχριε. Ἄλλο. καταξύσας, κατάχριε σηπίας τῷ μέλανι, ἢ πράσιον χλωρὸν τρίψας, κατάχριε. Ἄλλο. σφαιρίτιδος φύλλα πεφρυγμένα λειοτρίβει μετ' ὄξους, καὶ ἐπιτίθει. καλεῖται δὲ σφαιρῖτις, ἡ τὰ σφαιρία φέρουσα κυπάρισσος. Ἄλλο. κάρυα πικρὰ σὺν τοῖς λέμμασι κατακαύσας μετὰ μέλιτος καὶ ὄξους, κατάχριε, προξυρήσας. Ἄλλο. ἐχίνων θαλασσίων τὰ ὄστρακα κατακαύσας μετὰ μέλιτος καὶ ὄξους, προξυρήσας, κατάχριε. Ἄλλο. ἀλκυόνιον κεκαυμένον καὶ μυῶν ἀφοδεύματα, μετὰ πράσου χυλοῦ κατάχριε. Ἄλλο. ℞ θαψίας ῥίζης <. δ'. χαμαιλέοντος ῥίζης <. β'. ἀναλάμβανε ἰξῷ εὖ εἰργασμένῳ, καὶ ἀναπλάσας ἐπιτίθει, καὶ ὅταν προσερεθισθῇ, ἐξάρπαζε. Ἄλλο. ℞ καλάμου Ἑλληνικοῦ φύλλων κεκαυμένων <. δ'. μυοχόδων <. β'. ἐχίνων κεκαυμένων <. α'. μετ' ὄξους λεάνας κατάχριε. Ἄλλο. ℞. ἁλὸς ἀμμωνιακοῦ <. α'. νίτρου <. α'. φώξας ἀμφότερα καὶ δεύσας ὄξει, κατάχριε τρὶς τῆς ἡμέρας, προεκνιτρώσας τὸν τόπον. Ἄλλο. ℞ ἀμυγδάλων πικρῶν ὀπτῶν, τριόβολον, κισσήρεως ὀβολοὺς

A Eiusmodi autem multa particulatim existunt. Nam & cæpe tritum, & raphani cortex, vtrunque cum melle emplastri more appositum valet. Aut spumæ nitri pars vna, rhois partes duæ, salis ammoniaci pars vna: vsta, & cum acri aceto trita ad strigmentorum crassitudinem redigantur. Scripta sunt, & alia multa, inquit, apud Asclepiadem, & Heraclidem Tarantinum, Elephantidemque ac Moschionem in libro de ornatu. Ex quibus sanè, & ipse ea, quæ ex Asclepiade præscripta vidisti, exscripsi, & alia item quædam, quorum deinceps mentionem faciam. ℞. Adipis vrsini partem vnam, cineris foliorum calami vstorum partem vnam, squamæ stomomatis ferri partem vnã: aceto, & oleo veteri subacta illine. *Aliud.* ℞. Stercoris felis, aut crocodili. ʒ. viij. sinapis. ʒ. iiij. ex acri aceto. *Aliud.* ℞. Hordei vsti, & muscerdæ par pondus ex acri aceto. *Aliud.* ℞ Nasturtium, & muscerdas, veratrum album, piper, æquali mensura ex acerrimo aceto. *Aliud.* Sinapi, & nasturtium, aut spondylium, vsta ac trita ex aceto illine. *Aliud.* ℞. Ranarum vstarum ʒ. xviij. pumicis vsti ʒ. xij. alij xv. habent; sinapis ʒ. viij. nitri ʒ. iiij. nucum vstarum ʒ. xxiiij. *Aliud.* Præstat & ceratum ex pipere, pyrethro, calce viua, & oleo myrteo. Oportet autem, & partem affectam præfricare, vel per alcyonium vstum, donec morsum persentiscat: vel per erinacij marini vsti cinerem linteolo inuolutum, donec locus rubefiat. Alia pharmaca, quæ partim mihi, partim præceptoribus meis, partim amicis medicis, in vsu fuerunt. Pumice rubificatorio præfricato, præfomentatoque, & thapsiæ succum, donec cutis eleuetur, illinito, deindeque fomento adhibito, cerato rosaceo vtitur. *Aliud.* ℞ Foliorum, ac radicis calami vstorum, pilorum vrsi, adianti, adipis vrsini, picis liquidæ, pilorum caprarum vstorum, cedriæ, omnium octo par põdus accipe, liquidaque cum aridis commisce, & præfrictis adhibe. *Aliud.* Fici folia cum aceto donec lanugo prodierit affrica, deinde verò herbæ, quæ Stœbe appellatur, succum illine. *Aliud.* Ranas paruas vstas pici liquidæ tepidæ insperge, deinde neque prærasis, neque præfrictis illine. *Aliud.* ℞. Spumæ nitri. ʒ. iiij. stercoris muris. ʒ. ij. corticis calami vsti ʒ. ij. pice liquida excipito, & splenium formato, idque præraso, ac cum nitro præparato loco imponito, & ante biduum, vel triduum non auferto. *Aliud.* ℞. Sinapis, & stercoris felis æquas vtriusque partes, loco præfricto illinito. *Aliud.* Scarificato, ac sepiæ atramentum illinito: aut marrubium viride tritum illinito. *Aliud* Sphæritidis folia torrefacta, & cum aceto læuigata imponito. Appellatur autem sphæritis, cupressus, quæ sphæria, producit. *Aliud* Nuces amaras vna cum putamine vstas, prærasis ex aceto, & melle illine. *Aliud.* Erinaceorum marinorum testas vstas ex melle, & aceto prærasis illine. *Aliud.* Alcyonium vstum, & murium stercora cum porri succo illine. *Aliud.* ℞. Radicis thapsiæ ʒ. iiij. radicis chamæleontis ʒ. ij. visco probè subacto excipe: & cataplasmatis modo impone, quumque exacerbatus æger fuerit, adime. *Aliud.* ℞. Foliorum calami græci vstorum ʒ. iiij. muscerdæ ʒ. ij. erinaceorum vstorum ʒ. j. cum aceto trita illine. *Aliud.* ℞. Salis ammoniaci ʒ. j. nitri ʒ. j. vtrunque torrefacito, acetóque rigata ter in die illinito, loco prius cum nitro præparato. *Aliud.* ℞. Amygdalarum amararum tostarum obolos tres, pumicis obolos ij.

salis

salis ammoniaci obolos tres, similiter illine ex aceto. *Aliud.* Piper, muscerdas, veratrũ album, æquali pondere, cum aceto, & exiguo oleo illine. *Aliud.* Squamam stomomatis cum aceto, & modico oleo illine. *Aliud.* Locum per pumicem proritato: & sulfuris, spumæ nitri, ammoniaci, singulorũ æquas partes mixtas cum aceto illinito. *Aliud.* ℞. Alcyonij ʒ.j. sulfuris viui ʒ. vj. muscarum ad ariditatem torrefactarum cyathum vnũ; muscas per se terito, itémque sulfur: alcyonium verò aqua coctum vnà cũ siccis læuigato, felle suillo, ac aceto vicissim affusis vsquequo strigmentosum reddatur. Deinde axungiam à rotis derasam, & manu emollitam, vt B emplastri forma fiat, misceto, & prærasa alopecia, ac rubificata, pharmacum, vt optimum confidẽter illinito. *Aliud.* Locum vbi deterseris, alicamque aceto irrigatam læuigaueris, addiderisque exiguũ cyrenaicum liquorem, inunge. *Aliud.* Loco præfricto, ac scarificato caricas assatas cum passo cataplasmatis modo imponito. *Aliud.* Passum illinito, ac deinde ferulã vstam inspergito. Quæ deinceps sequuntur duo pharmaca, admiranda sunt: & verbis eius, qui ea prodidit inscripta ad alopecias, calviciem, raritatem capillorum ægrè curabilem in capite, in mẽto, ac superciliis. ℞. Pilorum ouis vnciam vnam, radicis calami vnc. vj. filicis cum radice quadrantem, ac vnciæ dimidium, castanearum hispidi corticis quadrantem, lanarum succidarum quàm pinguissimarum, sexuncem; capita muscarum numero xxxvj. muscas v. capitibus reiectis. Omnia in nouam ollam indita in furnum mittito, deinde cinerem ipsorum terito. Sunto autem tibi in vino Aminæo prius trita ladani ℥.j. myrrhæ ℥.j. adijcianturque olei veteris ℥.ij. & cedrini ℥.j. malabathrini ℥.ij. deinde inspersis aridis tritis medicamentum sume, atque vbi linteolo alopeciã præfricueris, deindéque, aut cæpa, aut scilla vellicaueris, aut fici foliis lentè excalpseris, pharmacum D ipsum illitu affrica. Lotoque homini, in sequentibus diebus locum intento linteolo validè confricato, contentus illitione vsque ad menses duos. Quòd si amplius in hac curatione perseueraueris, etiam caluiciem ea persanabis.

A δύο, ἁλὸς ἀμμωνιακοῦ τριώβολον, ὁμοίως κατάχειε δι' ὄξους. Ἄλλο. πέπερι, μυόχοδα, ἐλλέβορος λευκὸς ἴσα, μετ' ὄξους καὶ ὀλίγου ἐλαίου κατάχειε. Ἄλλο. στομώματος λεπίδα μετ' ὄξους καὶ ὀλίγου ἐλαίου κατάχειε. Ἄλλο. παρερεθίσας τὸν τόπον διὰ κισσήρεως, κατάχειε, μίξας θείου καὶ νίτρου ἀφροῦ, καὶ ἀμμωνιακοῦ τὸ ἴσον ἑκάστου μετ' ὄξους. Ἄλλο. ℞. ἀλκυονίου δραχμὴν μίαν, θείου ἀπύρου < ϛ΄. μυιῶν πεφωσμένων ὥστε ἀναξηρανθῆναι, κύαθον ἕνα, τὰς μυίας λέαινε ἰδίᾳ, καὶ τὸ θεῖον, τὸ δ' ἀλκυόνιον ἑψήσας ἐν ὕδατι συλλέαινε τοῖς ξηροῖς. παραχέων ἀνὰ μέρος χολῆς ὑείας, καὶ ὄξους, ἕως γλοιώδες γένηται, εἶτα ἀξουγγίαν τὴν ἀπὸ τῶν τροχῶν ξύσας, καὶ ἐπὶ τῆς χειρὸς B ἀναμαλάξας, μίξον, ὡς ἐμπλαστρῶδες γενέσθαι, καὶ προξυρήσας τὴν ἀλωπεκίαν, καὶ προφοινίξας, ἐπίχειε τῷ φαρμάκῳ θαρρῶν ὡς ἀρίστῳ. Ἄλλο. προαποσμήξας τὸν τόπον, ὄξει διαβεβρεγμένον χόνδρον λειώσας, καὶ προσβαλὼν ὀποῦ Κυρηναϊκοῦ βραχὺ, κατάχειε. Ἄλλο. προαποσμήξας τὸν τόπον καὶ καταχαράσας ἰσχάδας ὀπτὰς, μετὰ γλυκέος, κατάπλαττε. Ἄλλο. κατάχειε γλυκεῖ, εἶτα νάρθηκα κεκαυμένον κατάπλαττε. Τὰ ἐφεξῆς γεγραμμένα δύο φάρμακα, θαυμάσιά ἐστιν, τὴν λέξιν ἔχοντα τοῦ δόντος C αὐτὰ πρὸς ἀλωπεκίας, φαλακρώσεις, ἀραιότητας τριχῶν δυσαλθεῖς, ἐπὶ κεφαλῆς, ἐπὶ γενείων, ἐπὶ ὀφρύων. ℞. προβάτου τῶν τριχῶν ℥ α΄. καλάμου ῥίζης ℥ ϛ΄. πτέρεως σὺν τῇ ῥίζῃ ℥ γ΄. S. λεπίμου τῶν πωγώνων ℥ γ΄. ἐρίων οἰσυπηρῶν ὡς ὅτι λιπαρωτάτων ℥ ϛ΄. κεφαλὰς μυιῶν ἀριθμῷ λϛ΄. μυίας ε΄. χωρὶς κεφαλῶν. πάντα εἰς καινὴν χύτραν ἐμβαλὼν, ἔνθες ἐν ἰπνῷ, εἶτα τὴν τέφραν αὐτῶν λέαινε. προτετρίφθω δέ σοι ἐν οἴνῳ Ἀμιναίῳ, λαδάνου ℥ α΄. σμύρνης ℥ α΄. καὶ προσεμβεβλήσθω σοι ἐλαίου παλαιοῦ ℥ β΄. κεδρίνου ℥ α΄. μαλαβάθρου ℥ β΄. εἶτα παρεμπάσας τὰ D ξηρὰ ἀνελοῦ, προανατρίψας δὲ ὀθονίῳ τὴν ἀλωπεκίαν, εἶτα κούφως κατακνίσας ἢ κρομμύῳ, ἢ σκίλλῃ, ἢ συκῆς φύλλῳ ἀναξύσας σχολαίως, ἐπίχειε διατρίβων τὸ φάρμακον, καὶ λουσάμενος ἐντόνῳ ὀθονίῳ ξέων, ταῖς ἑχομέναις ἀρκοῦ ἐπιχείων, ἕως διμήνου, ἐπιμένων δὲ καὶ φαλάκρωσιν ἰάσῃ.

Ad caluescentes præter ætatem remedium.

℞. Adipis taurini insolati ℔.j. adarces ℥.j. succi thapsiæ ℥.j.ß. alij ℥.ß. habent, myrrhæ bonæ ℥. j. polytrichi ℔.ß. callitrichi ℔.ß. membri asinini ℔. j. splenis asinini, ℔.j. ladani tantundem, Ego ladanum in vino pauxillo maceratum contriui: adipem verò aquæ vapore liquefeci, deinde asini membrum assatum donec insumatur, radito; splenem verò cum callitricho, & polytricho in noua olla torrefacito: contusisque quæ contundi possunt, ac cribratis, omnia gleucino, aut sabino excipito, & ante balneum vtitor, capite prius pectinato. Manifestum verò est quòd eadem pharmaca etiã ad menti pilos non enascentes conducunt. *Aliud.* ℞. Fœnigræci sextarios iiij. seminis lini sextarios ij. ladani bessem, succi acaciæ sexuncẽ, folij malabatri sexuncem, gallas numero xx. onychis aromatici sextantem: calami Syriaci ℥. ij. ß. alij ℥. j. habent: bdellij sextantem, myrti vstæ sextarium vnum: musci, quem alij splanchnon, alij bryon aromaticum vocant, quadrantem: iridis astragalitidis, alij, Illyricæ, sextantem. Singula per se contundito, ac per cribrum arctius excutito, & deinceps vt præscriptum est, misceto. Vsu

Πρὸς τοὺς παρ' ἡλικίαν φαλακρουμένους βοήθεια.

℞. Στέατος ταυρείου ἡλιωμένου λίτραν μίαν, ἀδάρκης ℥ α΄. θαψίας χυλοῦ ℥ α΄. S. οἱ δὲ ℥ S. σμύρνης καλῆς ℥ α΄. πολυτρίχου λίτρας S. καλλιτρίχου λίτρας S. ὄνου μορίου λίτραν E μίαν, σπληνὸς ὄνου, λίτραν α΄. λαδάνου τὸ ἴσον. τὸ λάδανον ἐγὼ βρέξας ἐν οἴνῳ βραχεῖ ἐλείωσα τὸ στέαρ, τήξας ἐφ' ὕδατος ἀτμῷ, εἶτα τοῦ ὄνου τὸ μόριον ὀπτὸν ξύε, ἕως οὗ δαπανηθῇ. τὸν δὲ σπλῆνα, φρύγε σὺν τῷ καλλιτρίχῳ καὶ πολυτρίχῳ ἐν χύτρᾳ καινῇ, καὶ κόψας τὰ κοπτὰ, καὶ κοσκινήσας ἀναλάμβανε ἐν γλευκίνῳ, ἢ Σαβίνῳ ἐλαίῳ, χρῶ πρὸ βαλανείου προκτενίζων τὴν κεφαλήν. εὔδηλον δ' ὅτι τὰ αὐτὰ φάρμακα, καὶ πρὸς τὰς τῶν γενείων τρίχας μὴ φυομένας, ἁρμόττει. Ἄλλο. ℞. τήλεως ξέστας δ΄. λινοσπέρμου ξέστας β΄. λαδάνου ℥ η΄. ἀκακίας χυλοῦ ℥ ϛ΄. φύλλου μαλαβάθρου F ℥ ϛ΄. κηκῖδας ἀριθμῷ κ΄. ὄνυχος ἀρωματικοῦ ℥ β΄. καλάμου Συριακῆς ℥ β΄. S. οἱ δὲ ℥ α΄. βδελλίου ℥ β΄. μυρσίνης κεκαυμένης ξέστην μίαν. βρύου, οἱ δὲ σπλάγχνου, οἱ δὲ ἀρωματικοῦ, ℥ γ΄. ἴρεως ἀστραγαλίτιδος, οἱ δὲ Ἰλλυρικῆς, ℥ β΄. κόψας καθ' ἓν ἕκαστον, καὶ σήσας λεπτῷ κοσκίνῳ, μίξας κατὰ τὸ ἑξῆς, ὡς προγέγραπται. ἐπὶ

δὲ τῆς χρείας, βάλῃς τοῦ φαρμάκου ὡς τὸ τρίτον, ἢ τὸ A ἀρκοῦν εἰς χαλκοῦν, ἢ ὀστράκινον ἀγγεῖον, ἔπειτα προσμίξας οἴνου ἰταλικοῦ εὐώδους ἵνα ἔξυγρον γένηται, εἶτα ἐπ' ἄνθρακας ἐπιθεὶς, κίνει ξυλαρίῳ, ἄχρις οὗ ζέσῃ ἅπαξ, προσέχων μήπως καυθῇ, εἶτα καταχρίσας κελεύων ἐνυδρεῖν τῷ φαρμάκῳ, ἔπειτα ἡσυχῇ ἀνατρίψας ἐν τῇ ἐμβάσει, καὶ ὡς ἔθος ἔχει καταντλῶν τὴν κεφαλὴν, ἀπόπλυνε, ἑξῆς δὲ σταφίδα ἀγρίαν κεκομμένην κατ' ἰδίαν, καὶ σεσησμένην πρὸ ἡμέρας τέσσαρας τῆς χρήσεως προσμίξεις τῷ φαρμάκῳ, καὶ ὁμοίως ἑψήσεις, καὶ ὡσαύτως καταχρίσεις, φειδόμενος μὴ εἰς τοὺς ὀφθαλμοὺς καταρρεύσῃ. B ἀλείμματι δὲ χρήσῃ μετὰ βαλανεῖον, ἐλαίου μυρσίνου λίτραν μίαν τετριμμένου μετὰ λαδάνου ℥ δ'. ἀμετάπτωτος ἡ δύναμις. Ἄλλο. πρὸς τὰ αὐτά. ℞. περικαλαμίτιδος ℥ α'. μυροπισσοκήρου, ἀποτραγοπώγωνος, γλοιοῦ τοῦ ἐκ τῶν τριχῶν ἀνὰ ℥ ἥμισυ, βρέφους ἀμόρφου στέατος λίτραν μίαν, διονυσιακοῦ φύλλων ἁπαλῶν τοῦ χυλοῦ, λαδάνιδος φύλλων ἁπαλῶν χυλοῦ, καλλικέρεως χυλοῦ, περιστερεῶνος βοτάνης χυλοῦ, καλάμου φύλλων χυλοῦ ἑκάστου, ἀνὰ κυάθους γ'. καὶ ἥμισυ, κυνομόρου, ἐχίνων θαλασσίων κεκαυμένων ἑκάστου ἀνὰ ℥ β'. κἂν πλέον δὲ, ἄμεινον ποιήσεις, ἀκανθίωνος ἐπιγείου C τὸ δέρμα κεκαυμένον, πάντα λειοτριβεῖν δεῖ ἐν θυίᾳ μολυβδίνῃ ἐπὶ πλείονας ἡμέρας, ἕως πάντα λειωθέντα καλῶς ἑνωθῇ. καὶ ἀπὸ τῆς θυίας τὶ ποσὸν ἀποσμηχθῇ, χρῶ προανατρίψας τὸν τόπον εὐτόνως ὠμολίνῳ, εἶτα προαποσμήξας τῇ τῆς ἀλθαίας σὺν ἐφήβου ῥίζῃ κατάχριε. τοῦτο τὸ φάρμακον οὕτω γεγραμμένον εὗρε Κλαυδιανὸς ὁ ἑταῖρος ἡμῶν ἐν πυκτίδι διφθέρᾳ, τοῦ χρωμένου αὐτῷ ἀποθανόντος, περὶ πολλοῦ ποιησάμενος ἐκτήσασθαι, διὰ τὸ θεάσασθαι, δύο τινὰς ἀρχομένους φαλακροῦσθαι, θεραπευθέντας ὑπ' αὐτοῦ, ὡς μήτε προβῆναι τὴν φαλάκρωσιν, αὖθίς τε τὸ ἐψιλωμένον D δασυνθῆναι. καὶ συμβολικῶς δὲ γεγραμμένον. τοῦτο λαβόντες ἡμεῖς ἐσκοπούμεθα καθ' ἕκαστον, ὁποῖόν τι τὸ δηλούμενόν ἐστιν. ἐπινοοῦντες οὖν ἄλλο τ' ἄλλο, διὰ μακρᾶς πείρας εὑρήσειν τὸ ἀληθὲς ἠλπίζομεν. ἀλλ' ἔν γε τῷ παρόντι γεγράφθω τοῖς ἔπειτα, γραψόντων καὶ ἡμῶν ὕστερον ἐὰν εὕρωμέν τι μεταξὺ, τῇ πείρᾳ κρίναντες. ἐν δὲ τῷ παρόντι, τὸ μὲν περικαλαμίτιδος, φλοιὸν καλάμου νομίζομεν εἰρῆσθαι, καὶ γὰρ καὶ ἄλλως ἴσμεν αὐτὸν ἁρμόττοντα ταῖς τοιαύταις διαθέσεσιν, ἐπειδὰν καυθῇ, καὶ γεγραφότας ἑτέρους δι' αὐτοῦ, φάρμακα τοιαῦτα. πιθανὸν οὖν ἐστιν, ἐπεὶ περίκειται τῷ καλάμῳ ὁ φλοιὸς, E περικαλαμίτιν αὐτὸν εἰρῆσθαι. δύναται δὲ καὶ τὸ καλούμενον ὑπό τινων μὲν λιμνηστρον, ὑπό τινων δὲ, ἀδάρκη τε, καὶ ἀδάρκιον οὕτως εἰρῆσθαι, διὰ τὸ περιφύεσθαι τοῖς καλάμοις. τὸ δὲ μυροπισσοκήρου, νομίζομεν εἰρῆσθαι πίσσης καὶ κηροῦ τετηκότων μύρῳ τινὶ τῶν πρὸς τὰ τοιαῦτα δοκούντων ἁρμόττειν, ὁποῖόν ἐστι γλεύκινον, καὶ δάφνινον, καὶ νάρδινον, καὶ σχίνινον, καὶ σησάμινον, καὶ κέδρινον. τὸ δὲ ἀποτραγοπώγωνος, ἄντικρυς ἡμῖν ἐδόκει περὶ τοῦ λαδάνου λελέχθαι. καὶ γὰρ συμπεφώνηται πρὸς τὰς τοιαύτας διαθέσεις ἁρμόττειν, καὶ ἡ γένεσις αὐτοῦ, κατὰ τὰ γένεια τῶν τράγων F ἔν τισι χωρίοις ἐπιγίνεται. δηλοῖ δὲ τοῦτο καὶ Ῥοῦφος ὁ Ἐφέσιος διὰ τῶνδε τῶν ἐπῶν.

Ἄλλο δέ που κατὰ γαῖαν ἐρεμβῶν, λήδανον εὕροις
Αἰγῶν ἀμφὶ γένεια. τὸ γὰρ καταθύμιον αἰξὶ,
Κίσου ἀνθήεντος ἐπεσθέμεναι ἄκρα πέτηλα.

verò expetente, pharmaci tertiam partem, aut quantum sufficit, in æreum aut testaceum vas conijcito, deinde vini Italici odorati tantum vt liquidum reddatur admisceto: atque ita prunis impositum, donec semel ebulliat, cum lignea virga agitato, animaduersione habita ne comburatur. Post verò illines, ægro cum medicamento in aquam desidere iusso, sensimque in solio sedenti affricabis, ac pro more capite ex aqua perfuso pharmacum ablues. Deinde autem staphidem syluestrem per se tusam, ac cribratam, quatuor diebus illitionis pharmaco admiscebis, similiterque coques: eodémque modo illines, parcè tamen ac cautè, ne in oculos destillet. Vnguento autem à balneo vteris, olei myrtei libra vna, cum ladani triente contrita. Constans, & certa est pharmaci huius facultas, neque citra effectum dilabitur. *Aliud ad eadem.* ℞. Pericalamitidis ℥. j. myropissoceri, sordis barbæ hircinæ eius videlicet quæ à pilis vtriusque ℥. ß. adipis infantis informis ℔. j. succi foliorum dionysiaci tenerorum, succi foliorum ladonidis tenerorum, succi calliceréos, succi herbæ verbenacæ, succi foliorum calami, singulorum cyathos iij. ß. cynomori, erinaciorum marinorum vstorum, vtriusque sextantē, aut amplius, si melius reddere pharmacum velis: acanthionis terrestris corium vstum. Hæc omnia ad plures dies in pila plumbea terere oportet, donec omnia probè læuigata vniantur, atque etiam donec à pila quippiam detritum eis accedat. Vtere loco acriter ex crudo linteolo ex lino præfricto, ac deinde, cum althææ radice deterso, illinito. Hoc pharmacum eo modo scriptum reperit Claudianus amicus noster in libello, ex membranis contexto, eo qui pharmaco vsus fuerat vita defuncto. Multi autem faciebat eius possessionem, propterea quòd duos quosdam caluescere iam incipientes ex eo curatos conspexisset ita, vt neq; vlterius caluicies progrederetur: & quòd denudatus locus pilis densus euaserat: ad hæc, quod symbolicè scriptus erat. Nos hoc nacti, singillatim considerabamus quid tandem singulis significaretur, cúmque iam hoc, iam aliud mente conciperemus, per magnam experientiam tandem nos veritatem reperturos sperabamus. Verùm in præsens quidem sit posteris scriptum, scripturi etiam in posterum si quid experientia cognitum repererimus. In præsens autem pericalamitidem, calami corticem dici putamus. Nam & aliàs ipsum eiusmodi affectionibus conuenire scimus, maximè vstum, nouimus item alios scriptores ex eiusmodi, pharmaca composuisse: quapropter credibile est, quoniam cortex calamo circum adhæret, pericalamitin ipsum appellari. Potest autem etiam id, quod ab aliquibus limnestrum, ab aliis adarce, & adarcium dicitur, pericalamitis appellari, propterea quòd calamis adnascatur. At verò myropissocerum, picem & ceram dici æstimamus, vnguento quopiam ad huiusmodi affectiones congruenti eliquata, veluti est gleucinum, & laurinum, nardinum, lentiscinum, sesaminum, & cedrinum. Cæterùm barbæ hircinæ sordes statim nobis visæ sunt de ladano dictę esse, nam ad has affectiones conuenire in confesso est. Et sanè generatio eius circa mentum hircorum in quibusdam locis contingit, quod ipsum, & Rufus Ephesius per hos versus indicat.

Ladanum Eremborum reperitur, & alterum in aruis,
Caprarum circum barbas. Nam pabula capris
Florentis cisti summæ gratissima frondes.

Istius

Istius verò lanuginis vnguem inhæret
A *Caprarum hirsutisque genis, atque vndique costis.*
Non adeo id morbis prodest, sed spirat odorem
Eximium, quare præstantia pharmaca miscent
Plurima, Eremborum & tellus fert qualia campis.

An quidem igitur hoc solum ladanum is, qui pharmacum composuit, inijcere iubet, non satis manifestum est: possibile est autem per vnam speciem totum genus ab eo designari. Porrò infantem informem videtur mihi vrsæ dixisse. Vrsam enim parere aiunt, informem quendam velut carnis molem, verùm post per linctum matris animal formari, ac effigiari. Dionysiacum autem, vitem mihi dicere videtur, quamquam & de hedera dici posse aliquis opinari queat. At verò quòd ladonidem laurum appellet, nemini puto dubium esse. Calliceros autem fœnum græcum appellare videtur: nominatur autem hæc planta apud nos in Asia Ægoceros. Cynomorum deinde rubum canis verisimile est dici. Acanthiona autem postremum terrestrem, erinacium terrestrem appellatum ab eo existimo.

Τοῦ δ' ἀπὸ λαχνήεντος, ἀνεπλήθησαν ἀλοιφῆς
Αἶγες ὑπαὶ λασίῃσι γενειάσι, πλευρά τε πάντα.
Οὐ μὲν δὴ νούσοις τόδε κάλλιον, ἀλλ' ἄρα πνοιῇ,
Ἔξοχον, οὕνεκα πολλὰ μεμιγμένα φάρμακ' ἔχουσιν
Ἀμβρόσι', οἷά τε γαῖα φύει πεδίοισιν ἐρέμβων.

Εἰ μὲν οὖν τοῦτο μόνον τὸ λάδανον, ὁ συνθεὶς τὸ φάρμακον, ἐμβάλλεσθαι κελεύει, τῶν ἀδήλων ἐστίν. ἐγχωρεῖ δὲ καὶ ἀφ' ἑνὸς εἴδους τὸ πᾶν εἰρῆσθαι γένος αὐτῷ. βρέφους δ' ἀμόρφου δοκεῖ μοι λέγειν τῆς ἄρκτου. ταύτην γάρ φασιν ἀποκυΐσκεσθαι μὲν ἄμορφον, ὥσπερ εἰ σαρκῶδές τι μέρος. ἐκλειχούσης δὲ τοῦτο τῆς μητρὸς, διαμορφοῦσθαι τὸ
B ζῶον. διονυσιακοῦ δὲ δοκεῖ μοι λέγειν τῆς ἀμπέλου, τάχα δ' ἄν τις φαίη, καὶ κιττοῦ λέγεσθαι δύνασθαι. λαδάνιδος δὲ, ὅτι τῆς δάφνης λέγει, οὐκ ἂν οἶμαί τινα διαπορῆσαι, καλλικέρως δὲ, τῆς τήλεως δοκεῖ μοι λέγειν. ὀνομάζεται δὲ παρ' ἡμῖν ἐν Ἀσίᾳ τοῦτο τὸ φυτὸν, αἰγόκερως. κυνομόρου δὲ, τὴν κυνόσβατον εἰκὸς λέγεσθαι. ἀκανθίωνα δὲ ἐπίγειον, ἡγοῦμαι τὸν ἐπίγειον ἐχῖνον λελέχθαι.

CAPVT II.

C *De defluuio capillorum.*

EST & alia pilorum affectio, quæ ad raritatem cutis, inopiámque substantiæ pilos generantis consequitur. Quapropter etiam curatio hoc modo læsorum, non eundem scopum, quem alopeciæ habet. In alopeciis enim vt vitiatus humor consumatur, intentionem summam, ac primarium scopum habemus: in his verò, vt capitis habitum roboremus, & boni succi allationem procuremus, cutemque ad densitatem, ac raritatem moderatam reuocemus. Quamobrem sanè ad pharmaca hu-
D mectantia aliquid moderatè adstringens admiscere oportet, quale est ladanum, quod vtraque in se moderatè complectitur, quæ ad hoc symptoma conueniunt, caliditatem videlicet mediocrem, & astringendi vim iuxta eandem proportioné: propter hoc itaque oleo mixtum, quo illiniri possit, symptoma, defluuij capillorum sistit. At verò manifestum est capitis frictionem necessariò huius pharmaci vsui præmitti, & multorum pilorũ ablationem, aut si anni tempus id fieri permittit, perfectam ablationem. Ita enim in affrictu & illitu robusta, & calida reddetur cutis, & moderatam densitatem acquiret, eam videlicet, quę secundum na-
E turam est. Consueuit autem hic circa pilos affectus sæpe iis, qui ægrotarunt accidere: rarò autem citra morbum. Et magis sanè victu vires reficiente atque salubri opus habet: multiq; citra medicamentum perfectè sanati sunt, atque id breui. Composuerunt tamẽ medici eius gratia pharmaca moderatam densitatem cuti inducentia, ita tamen vt ne simul eam refrigerarẽt: quę enim vehemẽter astringunt, omnia etiam refrigerant, & alimenti influxũ reprimunt, propter cuius inopiam capilli defluunt. Intentio itaque medicamentorum est sanguinem affluentem non solum non præpedire, sed etiam
F prolectare cogere autẽ sensim, & astringere rarefactam cutem. Tale autem spõte naturæ est ipsum ladanũ, quod quia cerę similem compagem habet largo aliquo cõuenienti liquore indiget, quo capiti illini possit. Præstat igitur huiusmodi liquorem similem ladano esse, hoc est ex contrariis facultatibus mixtuñ, attractoria nimirum, & coactoria.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ῥεουσῶν τριχῶν.

ΠΑθος ἕτερον τριχῶν ἐστιν, ἀραιότητι μὲν τοῦ δέρματος, ἐνδείᾳ δὲ τῆς γεννώσης αὐτὰς οὐσίας ἑπόμενον, διὸ καὶ ἡ θεραπεία τῶν οὕτως βεβλαμμένων, οὐ τὸν αὐτὸν ἔχει σκοπὸν ταῖς ἀλωπεκίαις. ἐπ' ἐκείνων μὲν γὰρ, ἐκδαπανῆσαι τὴν κακοχυμίαν, ὁ σκοπός. ἐπὶ τούτων δὲ, ῥῶσαί τε τὴν ἕξιν τῆς κεφαλῆς, καὶ χρηστοῦ παρουσίαν ἐργάσασθαι χυμοῦ, καὶ τοῦ δέρματος, τὴν κατὰ φύσιν πυκνότητα, καὶ ἀραιότητα συμμετρίαν ἀνακαλέσασθαι. διὸ καὶ τοῖς ὑγραίνουσι φαρμάκοις,
D μεμίχθαι χρὴ τι μετρίως στῦφον, ὁποῖόν ἐστιν τὸ λάδανον, ἔχον ἐν ἑαυτῷ συμμέτρως ἀμφότερα τὰ πρὸς τὸ σύμπτωμα τοῦτο ἐπιτήδεια, θερμότητά τε μετρίαν, καὶ στύψιν ἀνάλογον αὐτῇ. διὰ τοῦτο τοιγαροῦν, ἐλαίῳ μιγνύμενον, ὡς ἐγχρίεσθαι, καθίστησι τὸ σύμπτωμα τῶν ῥεουσῶν τριχῶν. εὔδηλον δ' ὅτι προηγεῖσθαι χρὴ τῆς τοῦ φαρμάκου χρήσεως, τρῖψιν τῆς κεφαλῆς, καὶ τῶν πολλῶν τριχῶν ἀφαίρεσιν. εἰ δ' ἡ ὥρα τοῦ ἔτους ἐπιτρέπει, καὶ τελείαν ἄρσιν. οὕτω γὰρ ἐπὶ ταῖς τρίψεσί τε, καὶ χρίσεσι, ῥωμαλέον τε καὶ θερμὸν ἔσται τὸ δέρμα, καὶ τὴν συμμετρίαν τῆς πυκνώ-
E σεως ἕξει τὴν κατὰ φύσιν. εἴωθε δὲ τὸ πάθημα τοῦτο, περὶ τὰς τρίχας γίνεσθαι, πλειστάκις μὲν τοῖς νοσήσασιν, σπανιάκις δὲ, καὶ χωρὶς νόσου, καὶ μᾶλλον αὐτῷ διαίτης ἀναληπτικῆς τε καὶ ὑγιεινῆς ἐστι χρεία. καὶ πολλοὶ χωρὶς φαρμάκου τελείως ἐξυγιάσθησαν ἐν τάχει. συνέθεσαν δ' οὖν ὅμως ἕνεκεν αὐτοῦ φάρμακα, σύμμετρον πύκνωσιν ἐργαζόμενα τοῦ δέρματος, ἅμα τῷ μὴ ψύχειν αὐτό. τὰ γάρ τοι σφοδρῶς στύφοντα, πάντως μὲν καὶ ψύχει, καὶ τὴν ἐπιρροὴν δὲ, τῆς τροφῆς ἀναστέλλει. δι' ἣν ἐνδεῶς γινομένην, αἱ τρίχες ἐκρέουσιν. σκοπὸς οὖν ἐστι τοῖς φαρμάκοις, τὸ μὲν ἐπιρρέον αἷμα, μὴ ὅτι κωλύειν, ἀλλὰ καὶ
F προτρέπειν, συνάγειν δ' ἀτρέμα, καὶ σφίγγειν τὸ κεχαυνωμένον δέρμα. τοιοῦτον δ' αὐτοφυές ἐστι τὸ λάδανον, ὃ διὰ τὸ σύστασιν ἔχειν ὁμοίως κηρῷ, δεῖταί τινος ὑγρότητος ἐπιτηδείου, δαψιλοῦς, ὅπως ἐναλείφοιτο τῇ κεφαλῇ. βέλτιον οὖν ἐστι τὴν ὑγρότητα ταύτην, ὁμοίαν εἶναι τῷ λαδάνῳ. τουτέστι μικτὴν ἐξ ἐναντίων δυνάμεων, ἑλκτικῆς τε, καὶ συνακτικῆς.

οὔκουν οὔτε τὸ Σαβῖνον, οὔτε τὸ παλαιὸν ἔλαιον, οὔτε τὸ κίκινον, ἐπιτήδειον, ἀλλὰ τὸ κατὰ τὴν Ἰβηρίαν, ἢ Ἱσπανίαν, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν αὐτὴν, γινόμενον, ἔχει γάρ τι καὶ στύψεως. ἔτι δὲ τοῦδε μᾶλλον τὸ σχίνινον αὐτοφυῶς, ὑπάρχον τοιοῦτον, οἷόν περ καὶ τὸ λάδανον, ὥστε οὔτε ἐπειράθην, οὔτε ἐπινοῶ κρεῖττον ἔσεσθαι φάρμακον, ἐπὶ τῶν ῥεουσῶν τριχῶν, τοῦ μιχθέντος, ἔκ τε τοῦ λαδάνου, καὶ τοῦ σχινίνου. πρόδηλον δ' ὅτι ξυρηθέντι μέν τινι, παχύτερον χρὴ προσφέρεσθαι τὸ φάρμακον, ἐν χρῷ δὲ κειρομένοις, ὑγρότερον. ὅτι γὰρ οὐ χρὴ κομᾶν, πρὶν ἂν οὕτω τις θεραπεύηται, ἐστὶ πρόδηλον. εἰ δὲ πολλὴ ῥύσις εἴη, καὶ τεκμαίροιο, τοῦ τῆς κεφαλῆς δέρματος ἀραιότητα γεγονέναι πολλὴν, οὐκ ἀνεπιτήδειον εἰς τὰ παρόντα, καὶ τὸ μύρσινον, ἀντὶ τοῦ σχινίνου, μίγνυσθαι τῷ λαδάνῳ. μίξαις δ' ἄν ποτε, καὶ τὸ νάρδινον μύρον, ἐν ἡλικίᾳ ψυχρᾷ, καὶ ὥρᾳ χειμερινῇ· ἀγαθὸν δὲ φάρμακον εἰς πάντα, καὶ τὸ τῶν πλουσίων γυναικῶν μύρον, ὃ καλοῦσιν ἐν Ῥώμῃ φουλίατον, οὐχ ἧττον δὲ τοῦτο χρηστὸν, ἀλλὰ καὶ μᾶλλον, ὃ προσαγορεύουσι σπικάτον, ὥστε τούτοις μὲν καταμόνας χρίεσθαι κέλευε τὰς πλουσίας, καὶ μετὰ νάρδου τῆς ἀρίστης. τὸ λάδανον δὲ τῆκε κατὰ διπλοῦν ἀγγεῖον δηλονότι, καὶ τηχθέντος μετὰ νάρδου, πρόσμιγε τῶν εἰρημένων πολυτελῶν μύρων, ὅπου περ ἂν εὐπορῇς. ἐμοὶ μὲν οὖν ἤρκεσε ταῦτα μετὰ τῆς ἀναληπτικῆς τε καὶ ὑγιεινῆς διαίτης, ἥτις ἐπὶ τῶν πλείστων ἐστὶν αὐτάρκης μόνη. συνέθηκαν δὲ, ὡς ἔφην, ἔνιοι τῶν ἔμπροσθεν ἰατρῶν φάρμακα πρὸς ῥεούσας τρίχας, ὧν ἐγὼ μνημονεύσας, ὅπῃ διενηνόχεν ἀλλήλων διηγήσομαι. πρώτας δὲ ἐρῶ τὰς ὑφ' Ἡρα γεγραμμένας συνθέσεις φαρμάκων, ὧν τὴν μὲν προτέραν ἐπαινῶ, τὴν δὲ δευτέραν περίεργον ἡγοῦμαι. γράφει δὲ περὶ τῆς προτέρας ὧδε.

Αἱ ὑφ' Ἡρα γεγραμμέναι συνθέσεις φαρμάκων πρὸς ῥεούσας τρίχας.

Ἡρας ἔγραψεν ἐν τῷ νάρθηκι, δύο φάρμακα τὰ ὑπογεγραμμένα κατὰ τὴν ἐκείνου λέξιν αὐτὴν, πρὸς τὸ μὴ ἀπορρεῖν τὰς ἐν τῇ κεφαλῇ τρίχας. λάδανον ἀποβρέχων ἐν οἴνῳ αὐστηρῷ, λέαινε, ἐπαλλὰξ παρεπιχέων μύρσινον ἔλαιον, καὶ οἶνον, ἕως μέλιτος σχεῖν πάχος, καὶ χρίε τὴν κεφαλὴν πρὸ βαλανείου, καὶ μετὰ βαλανεῖον. βέλτιον δέ ἐστιν καὶ πολυτρίχου, ὅ τινες καὶ ἀδίαντον καλοῦσιν, καὶ τὸ ἥμισυ μέρος τοῦ λαδάνου προσβάλλειν, καὶ χρῆσθαι μετὰ μυρσίνου, ἢ μετὰ ναρδίνου. ταῦτα περὶ τῆς προτέρας συνθέσεως εἰπὼν ὁ Ἡρας, ἐφεξῆς γράφει ταῦτα.

Σύνθεσις ἐλαίου πρὸς ῥεούσας τρίχας, ἡ δ' αὐτὴ καὶ μελαίνει.

Μεταξὺ καλανδῶν Ἰουλίων καὶ εἰδῶν, κάρυα χλωρὰ ἑκατὸν θλάσας, καὶ μίξας ἐλαίου πρωτείου ξε α'. καὶ στυπτηρίας ὑγρᾶς λίτρας γ'. βάλε εἰς σκεῦος καινὸν ὀστράκινον, προβρέξας τὸ σκεῦος, καὶ ἐπιμελέστατα περιχρίσας, κατάθου αὐτὸ ἐν τόπῳ μήτε λίαν νοτερῷ, μήτε θερμῷ, καὶ ἔα ὑπὸ τὴν γῆν μῆνας τρεῖς, εἶτα ἀνελόμενος, χρῶ τῷ ἐλαίῳ. αὕτη σοι καὶ ἡ τοῦ δευτέρου φαρμάκου γραφὴ, πλέον ἢ δεῖ στυπτικὸν ἐργαζομένη τὸ φάρμακον, καὶ διὰ τοῦτο ἐπανορθούμενος αὐτοῦ τὸ σφοδρὸν τῆς στύψεως, ὁ πρῶτος συνθεὶς ἐκ τοῦ κατορύξαι τε καὶ οἷον σῆψαι τὰ μιχθέντα, λεπτομερεστέραν αὐτῶν τὴν οὐσίαν ἐπειράθη ποιῆσαι. τὸ δὲ τοιοῦτον φάρμακον ἐν ὥρᾳ καὶ χώρᾳ, καὶ φύσει σώματος

A Nequaquam ergo oleum Sabinum, aut vetus, aut Cicinum ad hanc rem aptum fuerit, sed in Iberia, aut Hispania, aut quomodocunque tandem appellare velis, natum: habet enim & adstrictorium quippiam, atque amplius adhuc eo lentiscinum, sponte naturæ tale existens, quale est ipsum ladanum. Quare neque expertus sum, neque mente concipere possum, vllum præstantius pharmacum fore ad defluos capillos, quàm est, quod ex ladano, & lentiscino oleo permixtum constat. Manifestum autem est, quòd raso quidē cuipiam, crassius admouere medicamentum oportet, ad ipsam B verò cutem præsectos liquidius: quòd enim comā alere non oporteat priusquam quis curetur, euidēs puto. Quòd si verò largè defluant capilli, & coniectare possis multam raritatem cutis capitis factam, non ineptum fuerit in præsens myrteū oleum pro lentiscino ad ladanum admiscere. Licebit etiā aliquando vnguentum nardinum adhibere in ætate frigida, & tempore hyemali. Bonum autem pharmacum ad hæc est diuitum fœminarum vnguentum, quod Romæ vocant Foliatū. Non minus autem eo commodum est, imò magis, quod appellāt Spicatū. Quare cum his vel soli diuites vngi iubeto, & cum optimo nardino. Ladanū verò in duplo C vase liquefacito, & liquefacto vna cū nardino ex prędictis pretiosis vnguentis quodcunq; ad manū fuerit admisceto. Atq; hæc quidem medicamētā mihi suffecerūt vnà cum refectoria, ac salubri diæta, quæ in plerisq; etiā sola suffecit. Composuerūt autem, vt dixi, quidam ex prioribus medicis pharmaca ad defluos capillos, in quorum relatione, vbi inuicem dissentiant exponam. Primum autē referam cōpositiones ab Hera scriptas; quarū priorem quidem laudo, posteriorem verò curiosam præter rem auctam existimo. De priore verò ita scribit.

D *Compositiones pharmacorum ad defluos capillos ab Hera scriptæ.*

Heras in ferula duo subscripta pharmaca habet, iuxta hanc ipsam dictionis ipsius seriem, ad hoc vt capilli in capite ne defluant. Ladanum in vino austero rigatum terito, & oleo myrteo, ac vino vicissim affuso ad mellis crassitudinem redigito, ex eoque ante & post balneum caput illinito. Præstat autem & polytrichon, quod quidam adiantum vocant, dimidia ladani portione adiicere, & cum myrteo, aut nardino vti. Hæc E de priore compositione locutus Heras deinceps hæc scribit.

Compositio olei ad defluos capillos, quæ & nigros eos facit.

Intra calendas, & Idus Iulias; nuces viridés centum tundito, eisque olei primarij sextarium j. affundito, & aluminis liquidi lib. iij. Hæc simul in vas nouum testaceum præmadefactum indito, id ipsumque, quàm diligentissimè oblitum in loco, neque humecto nimium, neque calido reponito, & per menses tres sub terra situm finito: deinde F auferto, oleoque vtitor. Hæc ipsa secundi pharmaci est descriptio, quæ plus quàm conuenit ipsum pharmacum astringens reddit. Qua propter vt vehementem astringendi vim ipsius corrigeret is, qui primus hoc pharmacum composuit, defodere, ac velut putrefacere ipsum iussit, indę nimirum magis tenuium partium reddere in eo commixta conatus. At verò tale pharmacum in tempore, regioneque, ac natura corporis, calidis

calidis commodum fuerit, adeo vt in contrariis non tutum sit tali vti. Etenim perfrigeratas eius vsu mulieres vidi, vt inde in grauedinem, ac raucedinem, defluxumque à capite ad pulmonem delaberentur.

De iis quæ Archigenes ad defluos capillos conscripsit.

Archigenes in primo libro pharmacorũ secundum genus, ad defluos capillos in hæc verba scripsit. ℞. Ladani & absinthij æquales partes, & iuniperi baccas x. tritas in linteolum illigato, & in oleo per dies v. macerato, ex eoque caput illinito: & neque capilli defluent, neque furfures habebunt. Aut dum capillos pectis, adiantum cum myrteo, aut rosaceo oleo adhibeto. Aut adianti, myrti nigræ, æquales partes, gallæ duplum, cum oleo veteri, aut lentiscino, aut myrteo ad mellis crassitudinem redige, ac vtere. Aut thus, & mysi, & gallam, & adiantum, æquis partibus cum vino maris experte ad mellis spissitudinem in sole terendo redige. Aut molliter cocta donec nigrescat, deindéq; cum oleo veteri, aut lentiscino, aut myrteo mixta, in vsum adhibe. Aut brassicam aridam tusam cum aqua impone. Aut loti radicem eodem modo.

De iis quæ Cleopatra in libro de ornatu scripsit.

Quæ à Cleopatra in libro de ornatu scripta sunt, illius ipsius verbis sic habent. *Ad capillorum in capite generationem.* ℞. Calamorum tenellorum radices vbi contuderis succum exprimito, muscasque vbi siccaueris, in pulticula misceto: simulque vrsinum adipem, atque oleum cedrinum, vbi in vnum triueris, atque vna miscueris, ad illinendum exhibeto. Quo verò odorem obtundas, vinum, aut passum affundito. *Aliud non longè præcedens, his verbis conscriptum.* Quod capilli enascantur, lini semen succum vnà cum lini stipula exurito, tritumq; cum oleo sesamino illinito. *Aliud paulo inferius scriptum hoc modo.* Ad defluos capillos, terram cimoliam solidissimam vino austero, & mororum succo tanto, quantum cõbibere potest, rigato, eíque hyoscyami tenuissimè triti acetabulum adiicito, indeque pastillos formato: quos in vmbra siccatos in vas figulinum nouum reponito. Vsu verò postulante, aqua dissolutos illinere iubeto. Deinde cùm locus exaruerit, abluatur, Quinto die id ipsum facito. Facit item ad faciei, & colli impetigines. *Aliud capillos augens citò, densanique ac denigrans.* Ladanum cum oleo, & vino dulci læuigatum, ac ad mellis crassitiem redactum præfrictis illinito. Non longe quoque postea aliud pharmacum scriptum est his verbis. *Ad defluuium capillorum citra morbum accidens.* Brassicam aridam tritam ex aqua impone, aut loti radicem eodem modo.

Quomodo Comptoria ab Exornatoria medicinæ parte differat.

Cõptoriæ quidẽ scopus est, vt pulchritudinẽ acquisititiam inducat. Exornatoriæ verò medicinæ partis, vt quicquid secundũ naturã est, id omne in corpore custodiat, ad quod cõsequitur etiã naturalis pulchritudo. Indecoro enim aspectu est caput alopecia vitiatũ, velut etiam oculi pilis palpebrarũ denudati; similitérq; superciliorũ pilorũ defluuiũ. Nõ solũ verò ad pulchritudinẽ, sed multo prius ad ipsam partiũ sanitatẽ huiuscemodi pili cõducunt, queadmodũ in libris de vsu partium est demõstratum. Quid attinet autẽ dicere de lichenis, aut psora, aut lepra, quum præter naturam talia existant?

A θερμῇ χρήσιμον, ὡς ἐπί γε τῶν ἐναντίων οὐκ ἀσφαλὲς χρῆσθαι. καὶ γὰρ οὕτω καὶ ψυχθείσας ὑπ' αὐτοῦ γυναῖκας εἶδον, ὡς κορύζῃ τε καὶ βράγχῳ, καὶ καταῤῥόῳ περιπεσεῖν ἐξ αὐτοῦ.

Περὶ τῶν ὑπ' Ἀρχιγένους γεγραμμένων πρὸς ῥεούσας τρίχας.

Ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων, Ἀρχιγένης ἔγραψεν πρὸς ῥεούσας τρίχας, ὡδί πως κατὰ λέξιν. ℞. λαδάνου καὶ ἀψινθίου ἴσα, καὶ ἀρκευθίδας δέκα λείας, ὀθονίῳ ἐνδήσας, καὶ βρέξας ἐλαίῳ ἐφ' ἡμέρας ε΄. ἐκ τούτου ἀλείφου τὴν κεφαλὴν, καὶ οὔτε ῥέουσιν αἱ τρίχες, οὔτε
B πίτυρα ἕξει. ἢ κτενιζόμενος, ἀδιάντῳ μετὰ μυρσίνου, ἢ ῥοδίνου ἐλαίου. ἢ ἀδιάντῳ, μυρσίνης μελαίνης ἴσα, κηκῖδος διπλοῦν σὺν ἐλαίῳ παλαιῷ, ἢ σχινίνῳ, ἢ μυρσίνῳ μέλιτος πάχος ποιῶν, χρῶ. ἢ λίβανον, ἢ μίσυ, ἢ κηκῖδα, ἢ ἀδίαντον, ἴσα σὺν οἴνῳ ἀθαλάσσῳ μέλιτος πάχος ποιῶν, τρῖβε ἐν ἡλίῳ. ἢ ἕψε μαλακῶς, ἕως ἂν μελανθῇ, εἶτα σὺν ἐλαίῳ παλαιῷ, ἢ σχινίνῳ, ἢ μυρσίνῳ μίξας χρῶ. ἢ κράμβην ξηρὰν κόψας, μεθ' ὕδατος κατάπλαττε. ἢ λωτοῦ ῥίζαν ὁμοίως.

C Περὶ τῶν ἐν τῷ Κλεοπάτρας κοσμητικῷ γεγραμμένων.

Καὶ τὰ γεγραμμένα κατὰ τὸ Κλεοπάτρας κοσμητικὸν, αὐτοῖς ὀνόμασιν οὕτως ἔχει. πρὸς τὸ τρίχας γεννῆσαι ἐν τῇ κεφαλῇ· καλάμων ἁπαλῶν τὰς ῥίζας κόψας χύλισον, καὶ μυίας ἐν πολταρίῳ φρύξας, μίξον καὶ στέαρ ἄρκτειον, καὶ ἔλαιον κέδρινον καθ' ἓν τρίψας, καὶ ἐπὶ τὸ αὐτὸ μίξας, δὸς καταχρίεσθαι. ἵνα δὲ τὴν ὀσμὴν ἀπαμβλύνῃς, μίξον οἶνον, ἢ γλυκύ. ἄλλο γεγραμμένον οὐ μετὰ πολλὰ τοῦ πρόσθεν ὡδέ πως κατὰ λέξιν πρὸς τριχοφυΐαν. λινόσπερμα ξηρὸν κατάκαυσον, σὺν τῇ λινοκαλάμῃ, καὶ τρίψας σὺν ἐλαίῳ σησα-
D μίνῳ, κατάχριε. ἄλλο κατωτέρω γεγραμμένον ὡδί πως πρὸς τρίχας ῥεούσας. γῆν κιμωλίαν ἁδροτάτην βρέξον οἴνῳ αὐστηρῷ, καὶ μόρων χυλῷ τοσούτῳ, ὅσον συμπιεῖν μόνον, καὶ πρόσβαλε, ὡς λεπτοτάτου ὑοσκυάμου ὀξύβαφον, εἶτα ἀναπλάσας τροχίσκους, καὶ ξηράνας ἐν σκιᾷ, ἀπόθου εἰς ἀγγεῖον κεραμεοῦν καινόν. ἐπὶ δὲ τῆς χρήσεως διεὶς ὕδατι, καταχρίεσθαι κέλευε. εἶτα ὅταν ξηρανθῇ, ἐκκλυζέσθω δι' ἡμερῶν ε΄. τὸ αὐτὸ ποίει. ἔτι δὲ ποιεῖ καὶ πρὸς τὰ ἐν τῷ προσώπῳ, καὶ τραχήλῳ λειχηνώδη. ἄλλη αὔξουσα ταχέως, καὶ δασύνουσα, καὶ μελαίνουσα. λάδανον λέαινε μετ' ἐλαίου, καὶ γλυκέος οἴνου,
E καὶ ποιήσας πάχος τοῦτο κατάχριε, προσμιξάμενος. καὶ μετ' ὀλίγα πάλιν ἕτερον γέγραπται φάρμακον κατὰ λέξιν οὕτως. πρὸς ῥύσιν τριχῶν τὴν χωρὶς νόσου γιγνομένην. κράμβην ξηρὰν λείαν μεθ' ὕδατος κατάπλαττε. ἢ λωτοῦ ῥίζαν ὁμοίως.

Τίνι διαφέρει τοῦ κομμωτικοῦ τὸ κοσμητικὸν τῆς ἰατρικῆς μέρος.

Τῷ μὲν κομμωτικῷ σκοπός ἐστιν κάλλος ἐπίκτητον ἐργάσασθαι, τῷ δὲ τῆς ἰατρικῆς μέρει τῷ κοσμητικῷ, τὸ κατὰ φύσιν ἅπαν ἐν τῷ σώματι φυλάττειν, ᾧ καὶ τὸ κατὰ φύσιν ἕπεται
F κάλλος. ἀπρεπὴς γὰρ ὀφθῆναι κεφαλὴ, πάθος ἀλωπεκίας ἔχουσα, καθάπερ γε κἂν ἐκ τῶν ὀφθαλμῶν αἱ βλεφαρίδες ἐκπέσωσι, καὶ τῶν ὀφρύων αἱ τρίχες. οὐ μόνον δ' εἰς κάλλος, ἀλλὰ καὶ πολὺ πρότερον εἰς αὐτὴν τὴν ὑγείαν τῶν μορίων αἱ τρίχες αὗται συντελοῦσιν, ὡς ἐν τοῖς περὶ χρείας μορίων ἐδείχθη. τί δεῖ λέγειν περὶ λειχήνων, ἢ ψώρας, ἢ

λέπρας, ὡς παρὰ φύσιν ταῦτα. τὸ μέντοι λευκότερον, τὸ A χρῶμα τοῦ προσώπου ποιεῖν ἐκ φαρμάκων, ἢ ἐρυθρότερον, ἢ τὰς τρίχας τῆς κεφαλῆς οὔλας, ἢ πυῤῥὰς, ἢ μελαίνας, ἢ καθάπερ αἱ γυναῖκες ἐπὶ μήκιστον αὐξανομένας, ταῦτα καὶ τὰ τοιαῦτα τῆς κομμωτικῆς κακίας ἐστὶν, οὐ τῆς ἰατρικῆς τέχνης ἔργα. διὰ δὲ τὴν κοινωνίαν τούτων, ἐνίοτε καὶ βασιλικαὶ γυναῖκες, ἢ οἱ βασιλεῖς αὐτοὶ προστάττουσιν ἡμῖν, καὶ τὰ τῆς κομμωτικῆς, οἷς οὐκ ἔνεστιν ἀρνεῖσθαι, διδάσκοντας διαφέρειν τὴν κομμωτικὴν τοῦ κοσμητικοῦ μέρους τῆς ἰατρικῆς. διὰ τοῦτο οὖν ἔδοξέ μοι, καὶ τὰ ὑπὸ Κρίτωνος γεγραμμένα φάρμακα διαφυλακτικὰ τριχῶν, καὶ αὐξητικὰ κατὰ τὸ πρῶτον B τῶν κοσμητικῶν ἐφεξῆς ὑπογράψαι.

Τὰ ὑπὸ Κρίτωνος γεγραμμένα φάρμακα διαφυλακτικὰ τριχῶν, καὶ αὐξητικὰ, καὶ προφυλακτικὰ τῆς ῥύσεως αὐτῶν.

Ἐν τῷ πρώτῳ τῶν κοσμητικῶν, ὁ Κρίτων εὐθέως ἐν ἀρχῇ μετὰ τὸ προοίμιον, οὑτωσί πως ἔγραψεν αὐτοῖς ὀνόμασιν. πρὸς μὲν οὖν διατήρησιν τῶν τριχῶν, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. Ἡρακλείδου Ταραντίνου διαφυλακτικὰ τριχῶν. Ἀνεμώνης τὸ ἄνθος τρίψας μετ' ἐλαίου, κατάχριε. τὸ δ' αὐτὸ, καὶ μελαίνει. Ἄλλο. λάδανον προβρέχε C οἴνῳ αὐστηρῷ, καὶ τρίψας ἀναλάμβανε μυρσίνῳ ἐλαίῳ, καὶ ὑπόχριε τὰς τρίχας πρὸ βαλανείου. Ἄλλο. περιστερεῶνα τὸν ὀρθὸν λεγόμενον σὺν ταῖς ῥίζαις ξηράνας, καὶ κόψας, σῆθε λεπτοτάτῳ κοσκίνῳ, εἶτα μίξας ἐλαίῳ, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος, εἰς ἀγγεῖον χαλκοῦν ἀπόθου, καὶ ὅταν σαπῇ, χρῶ ἀντ' ἐλαίου ὁμοίως. Ἄλλο. ℞. λαδάνου μέρη δύο, πολυτρίχου, ὅ τινες ἀδίαντον καλοῦσιν, μέρος α'. οἴνου, καὶ μυρσίνου ἐλαίου μέρος ἕν, ἡμεῖς δὲ ἀντὶ τοῦ μυρσίνου ἐλαίου ἐχρησάμεθα ναρδίνῳ. Ἄλλο. τὸ δ' αὐτὸ καὶ ὑπομελαίνει. ℞. μύρτων μελαίνων Γο γ'. λαδάνου τὸ ἴσον, τρίβε διαλύων ἀκακίας D καρποῦ τῷ ἀφεψήματι, τουτέστι τῶν λεγομένων ἀκάνθης κερατίων. ὅταν δὲ σχῇ γλοιοῦ τὸ πάχος, ἀναλάμβανε, ναρδίνῳ, ἢ μυρσίνῳ, ἢ ἄλλῳ τινὶ τῶν ἡδυσμάτων. Ἄλλο ἄλειμμα διαφυλακτικὸν τριχῶν, τὸ δ' αὐτὸ καὶ ὑπομελαίνει. ℞. μύρτων μελαίνων ξε α'. σελίνου σπέρματος ξε α'. σεύτλου σπέρματος ξε α'. μυρσίνης ἀκρεμόνων ξε α'. ἀδιάντου ξε τὸ S. λαδάνου τὸ ἴσον, οἴνου μέλανος ξε ς'. ἕψε μέχρι παντελοῦς διαλύσεως, καὶ ὅταν τὸ τρίτον ἀπολειφθῇ, ἐπίβαλλον ἐλαίου, ἢ τινος ἡδύσματος ξε β'. ἢ τρεῖς, καὶ πάλιν ἕψε. ὅταν δὲ δὶς, ἢ τρὶς ἀναβράσῃ, ἐκθλίψας τὸ ὑγρὸν, καὶ σακκίσας ἐπιμελῶς, ἀπόθου εἰς ὑδρίαν, ἐπὶ τῆς E χρήσεως, κείρων παντελῶς χρῶ, περιαλείφων δὶς τῆς ἡμέρας τὰς τρίχας. Ἄλλο. ℞. γλυκέος Κρητικοῦ ξε α'. λαδάνου Γο α'. φλοιοῦ στροβίλων κεκαυμένων Γο β'. πολυτρίχου κεκαυμένου Γο α'. στέατος ἀρκτείου λίτραν α'. σεύτλου χυλοῦ κυ γ'. ἕψε τὸ λάδανον, καὶ τὸ γλυκὺ μέχρι συστάσεως, εἶτα ἐπέμβαλε τὰ λοιπὰ, καὶ ἀνελόμενος εἰς ἀγγεῖον μολυβδοῦν, φύλαττε. ἐπὶ δὲ τῆς χρήσεως ἀνιεὶς ὅσον ἐξαρκεῖ, ἐν ᾧ θέλεις ἡδύσματι, ἡ χρῆσις καθ' ἡμέραν. ἔνιοι δὲ ξυρήσαντες τὴν κεφαλὴν ἐπέχρισαν τῷ φαρμάκῳ, μηδενὶ διαλύσαντες. F Ἄλλο. ℞. λαδάνου Γο α'. γλυκέος ξε α'. φλοιοῦ στροβίλων κεκαυμένων < β'. ἐν ἄλλῳ < α' S. σφαῖραν θαλασσίαν κεκαυμένην, καὶ τετριμμένην α'. Κιλικίου μέλανος κεκαυμένου, καὶ τετριμμένου κυ γ'. πολυτρίχου κεκαυμένου, καὶ τετριμμένου κυ β'. στέατος ἀρκτείου λίτραν α'. ἕψε καὶ σκεύαζε καθὰ προείρηται.

At verò faciei colorem per pharmaca nitidiorem, aut rubicundiorem facere, aut pilos capitis crispos, aut fuluos, aut nigros, aut quemadmodum mulieres solent in longitudinem auctos, hæc ipsa, & quæ huiusmodi sunt, comptorij maleficij existunt, non medicæ artis opera. Verùm propter societatem quandam, quàm cum illis habent, quandoque ad regiarum fœminarum, atque adeo ipsorum Regum imperium, etiam comptoria adiungimus, vtpote cùm his negare non liceat, docendo tamen comptoriam ab exornatoria medicinæ parte differre. Quapropter visum est mihi ea, quæ Crito scripsit pharmaca capillos conseruantia, eosdemque augentia, ex primo illius de ornatu libro subscribere.

Quæ Crito ad conseruandos ac augendos capillos scripsit: Itemque quæ à defluuio ipsos præseruent.

In primo libro Exornatoriorum statim in principio post præfationem Crito hæc verba scripsit: Ad conseruandos itaq; capillos subscriptis cõpositionibus vtendum est. *Heraclidæ Tarantini conseruatiua Capillorum.* Anemones florem cum oleo tritum illine, idem etiam eos denigrat. *Aliud.* Ladanum vino austero maceratum, ac tritum oleo myrteo excipe, eóq; pilos ante balneum subline. *Aliud.* Verbenacam rectã appellatam vnà cum radicibus arefactam contundito, & per angustissimũ cribrum cõcernito: deinde oleo admixto, vt strigmenti crassitudinẽ accipiat, in vas æreũ reponito: atq; vbi cõputruerit, pro oleo similiter vtitor. *Aliud.* ℞. Ladani partes duas, polytrichi quod quidam adiantum appellant partem j. vini & olei myrtini partem vnam. Nos autem pro myrteo, nardino vsi sumus. *Aliud, quod ipsum & subnigros reddit.* ℞. Baccarum myrti nigrarũ quadrantem, ladani tantundem, dissoluta cum acaciæ fructus, hoc est siliquarum ipsius spinæ appellatarum, decocto, contere: atque vbi limi crassitiem acceperint, nardino, aut myrteo, aut aliquo alio odorato vnguento, excipe. *Aliud Vnguentum cõseruans pilos, quod ipsum etiam subnigros reddit.* ℞. Baccarum myrti nigrarum sextarium vnum, seminis apij sextarium vnum, seminis betæ sextarium vnum, virgultorum myrti sextarium vnũ, adianti sextarij dimidium, ladani tantundem, vini nigri sextarios vj. vsquequo penitus dissoluantur, coquito: atque vbi tertia pars superfuerit, olei cuiusdam, aut odoriferi vnguenti, sextarios ij. aut iij. addito, rursúmq; coquito. Vbi verò bis aut ter ebullierit, liquorem exprimito, ac diligenter per saccum excolatum in hydriam recondito. Vsu verò expetẽte in præralis penitus vtitor, illitis ex eo bis per diẽ capillis. *Aliud.* ℞. Passi Cretici sextarium j. ladani. ℥. j. corticis nucum pinearũ vsti sextantem, polytrichi vsti. ℥. j. adipis vrsini libram j. succi betæ, cyathos iij. Ladanum & passum donec cogantur in vnam compagem coquito, deinde reliqua iniicito, & sublato in vas plumbeum seruato. Vsus autem tempore, quantum sufficit in quocunque velis suaueolente vnguento diluito. Vsus eius debet esse quotidianus. Quidam verò raso capiti pharmacum illinerunt nulla re dilutũ. *Aliud.* ℞. Ladani ℥. j. passi sextarium j. corticis nucum pinearum vsti ʒ. ij. alij sesquidrachmam habent, spongiam marinam vstam tritam vnam, panniculi Cilicij vsti triti cyathos tres, polytrichi vsti triti cyathos duos, adipis vrsini libram vnam, coquito, & apparato, vt dictum est.

Aliud

Aliud quod pilos conseruat, & defluentibus quoque auxiliatur. ℞. Seminis apij sextantem, callitrichi sextantem, thuris sextantem, nuces iuglandes numero xv. ladani sextantem, corticis nucis pineæ lib. j. Omnia in nouã ollam coniecta, & cum argilla probè obturata, in balnei fornace assato: deinde extracta terito, & adiecta adipis vrsini libra vna subigito, & in pyxide ilicea, reponito. Vsu verò expetente, quantũ satis videbitur ex pharmaco accipito, ac quocunq; velis odorato vnguento conquassato, ex eoque caput bis in die illinito. Quidam verò vbi caput etiam abraserint, medicamento excepto adipe vrsino illinunt. *Aliud ad Caluiciem, quo vsus est Andromachus iunior.* Leporum ventres sex accipito, probéq; siccatos in testaceo vase torrefacito: ad eósque baccarũ myrti quadrantem, & virgultorum eiusdem tantundem, coniicito: indéq; adianti quadrantem addito, omniaque simul attentè torrefacta tundito, ac per angustum cribellum excernito, deinde adipis vrsi, ac phocæ æquis partibus adiectis, subigito: sublatúmque pharmacum in pyxidem plumbeam recondito. At verò vbi vsus tempus institerit, quocunque velis hedysmate, ipsum diluito, ac vtitor. Atque de his quidem hactenus.

A Ἄλλο διαφυλακτικὸν τριχῶν, καὶ ταῖς ῥεούσαις θριξὶν βοηθοῦν. ℞. σελίνου σπέρματος Ꞩο β'. καλλιτρίχου οὐγγίας β'. λιβάνου Ꞩο β'. κάρυα βασιλικὰ ἀριθμῷ ιε'. λαδάνου Ꞩο β'. στροβίλου φλοιοῦ λίτρας α'. πάντα βαλὼν εἰς χύτραν καινὴν, καὶ στόμα ἀργίλλῃ περιπλάσας, ὄπτα ἐν καμίνῳ βαλανείου, εἶτα ἐξελὼν, τρίψον τὰ ἐγκείμενα, καὶ τούτοις ἐπιβαλὼν στέατος ἀρκτείου λίτραν, καὶ μίξας ἀνελοῦ εἰς πυξίδα πρινίνην. ἐπὶ δὲ τῆς χρήσεως, αἴρων τοῦ φαρμάκου ὅσον ἐξαρκεῖ, ἀνάκοπτε ᾧ θέλεις ἡδύσματι, καὶ χρίε τὴν κεφαλὴν δὶς τῆς ἡμέρας. ἔνιοι δὲ καὶ ξυρῶντες τὴν κεφα-

B λὴν ἐπιχρίουσι τῷ φαρμάκῳ, ἀνειλημμένῳ στέατι ἀρκτείῳ. Ἄλλο πρὸς φαλάκρωσιν, ᾧ ἐχρήσατο Ἀνδρόμαχος ὁ νεώτερος. λαγωῶν κοιλίας ἓξ ἐκλαβὼν, καὶ ξηράνας ἐπιμελῶς, φρύγε ἐν ἀγγείῳ ὀστρακίνῳ. πρὸς τούτοις λάμβανε μύρτων Ꞩο γ'. καὶ τῶν ἀκρεμόνων τὸ ἴσον, ἀδιάντου Ꞩο γ'. ταῦτα πάντα προσεχῶς φρύξας κόπτε, καὶ σῆθε λεπτῷ κοσκίνῳ, εἶτα ἐπιβαλὼν στέατος ἀρκτείου, καὶ φώκης τὸ ἴσον, ἀνάκοπτε, καὶ ἀνελόμενος εἰς πυξίδα μολυβδίνην φύλαττε, ἐπὶ δὲ τῆς χρήσεως δίειε ᾧ βούλει ἡδύσματι. περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον.

C

CAPVT III.

De tincturis capillorum.

QVum verò post præscripta pharmaca Crito alia quædã scribat, quæ quidem cõseruationem capillorum promittunt, verùm primum ipso opus est vt tingant ipsos, quo siue nigri, siue flaui reddantur, visum sanè est mihi in principio ea relinquere, cũ omnia talia manifestè cõptorij generis existãt. Quandoquidẽ autẽ haud scio, quomodo dogma cõmune inoluerit, vt vetulæ fœminæ capitis capillos denigrent, tanquam turpe sit canos habere: atque hoc ipsum etiam masculis est visum, qui molestum esse aiunt, aniculã vxorem cano capite habere: quæcunq; quidẽ præ deliciis se ipsas ornant, harum nulli tale quippiam à me petẽti exhibui: Quæcunq; verò magis venerandæ, vt notã effugerent, tum maritorũ suorum importunitatem vitarent, pilos suos nigros aliquo modo reddere cupierunt, neq; ex astrictoria vi nigrorẽ inducentium oblædi, illis consului cedriæ vsum, ita vt tribus, aut quatuor horis ante balneum illinirent, & postea detergerent, idque per quatuor aut quinque dies facere pergerent. Ad hoc enim quòd nihil lædit, amplius etiam cõmoda est eis, quæ facilè à frigore offenduntur, nimirum pharmacũ existens cedria quod abundè calefaciat. Oportet autẽ ipsam citra olei admixtionem adhibere capitibus vehementi resiccatione, & calefactione indigẽtibus, quibus scilicet humida, & frigida intemperies per se inest: aliis verò oleo mixtum adhibere pharmacum oportet. Quin & defluentes capillos corrigit, & non defluentes auctiores reddit. Cæterùm odorem eius vitent delicatæ mulierculæ, qui sanè iniucundus est iis, quæ sustinent ad cõsuetudinem vsus peruenire. Porrò in Asia apud nos agrestes mulierculæ montana incolentes, non cedria solum illinuntur oleo permixta, verùm tum corpus vniuersum, tum caput inungunt. Quin etiam picem liquidam cum oleo eodem modo permixtam, ad radices capillorum capitis illinunt: vocántque hoc compositum pharmacum, oleum picatum, quod

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ βαμμάτων τῶν τριχῶν.

ΜΕτὰ γεγραμμένα φάρμακα γράφοντος ἄλλα τοῦ Κρίτωνος, ἃ καὶ τὰς τρίχας μὲν ἐπαγγέλλεται διαφυλάττειν, τὸ πρῶτον δ' αὐτῶν ἔργον ἐστὶ βάπτειν αὐτὰς, ὡς ἤτοι μελαίνας, ἢ ξανθὰς γίγνεσθαι. παραλιπεῖν ἔδοξέ μοι τό γε κατ' ἀρχὰς, ἅπαντα τὰ τοιαῦτα προφανῶς ὄντα κομμωτικά. ἐπεὶ οὐκ οἶδ' ὅπως ἤδη δόγμα κοινὸν γέγονε, τὰς γυναῖκας

D γηρώσας, μελαίνειν τὰς τρίχας τῆς κεφαλῆς, ὡς αἰσχρὸν ὂν ἔχειν πολιὰς, καὶ τοῦτο καὶ αὐτοῖς τοῖς ἄρρεσι δοκεῖ, καί φασιν ἐπαχθὲς εἶναι, γραῦν γυναῖκα πολιὰν ἔχειν τὴν κεφαλήν. ὅσαι μὲν τρυφῶσαι κοσμοῦσιν ἑαυτὰς, οὐδεμία τούτων ἀξιούσῃ τι τοιοῦτον ὑπ' ἐμοῦ δοθῆναι πάρεσχον. ὅσαι δὲ σεμνότεραι τό τε παράσημον φεύγουσαι, καὶ τὰς ὑπ' αὐτῶν τῶν ἀρρένων ἐνοχλήσεις ἐξιστάμεναι, μελαίνειν ἠβουλήθησάν πως τὰς τρίχας, ἄνευ τῆς ἐκ τοῦ μελασμοῦ τῶν στυφόντων βλάβης, ἐκείναις συνεβούλευσα χρῆσθαι τῇ καλουμένῃ κεδρίᾳ, χριομέναις μὲν αὐτῇ πρὸ τριῶν, ἢ τεσσάρων ὡρῶν τοῦ λουτροῦ, σμω-

E μέναις δὲ μετὰ ταῦτα, καὶ τοῦτο ποιεῖν δι' ἡμερῶν τεσσάρων, ἢ πέντε. πρὸς γὰρ τῷ μηδὲν βλάπτειν, ἔτι καὶ προσωφελεῖ τὰς ἑτοίμως ὑπὸ ψύξεως βλαπτομένας, ἱκανῶς θερμαῖνον φάρμακον οὖσα ἡ κεδρία. χρὴ δ' αὐτὴν ἄμικτον ἐλαίου παραλαμβάνειν, ἐπὶ τῶν ξηρανθῆναί τε καὶ θερμανθῆναι σφοδρῶς δεομένων κεφαλῶν, αἷς ὑγρὰ δηλονότι, καὶ ψυχρὰ δυσκρασία κατ' αὐτάς ἐστιν. ἐπὶ δὲ τῶν ἄλλων ἐλαίῳ μιγνύντας τοῦτο τὸ φάρμακον, καὶ τὰς ῥεούσας τρίχας ἐπανορθοῦνται. καὶ τὰς μὴ ῥεούσας εὐαυξεστέρας ἐργάζεται. τὴν δ' ὀσμὴν αὐτοῦ φεύγουσιν αἱ τρυφῶσαι γυναῖκες, οὐσῶν οὐκ ἀηδῆ ταῖς εἰς ἔθος

F ἀφικέσθαι τῆς χρήσεως ὑπομεινάσαις. ἐν Ἀσίᾳ δὲ παρ' ἡμῖν, αἱ ἐν τοῖς ὄρεσιν ἀγροικοι γυναῖκες, οὐ μόνον κεδρίᾳ χρίονται, μετ' ἐλαίου μιγνύουσαι τό τε σύμπαν σῶμα, καὶ τὴν κεφαλήν. ἀλλὰ καὶ πίττῃ τῇ ὑγρᾷ μετ' ἐλαίου, κατὰ τὸν αὐτὸν τρόπον μεμιγμένῃ καταχρίουσι τὰς ἐν τῇ κεφαλῇ ῥίζας τῶν τριχῶν, καὶ καλοῦσι τὸ σύνθετον τοῦτο φάρμακον πιττέλαιον, ἐπι-

ρον ὂν τοῦ πισσελαίου καλουμένου, ὃ ταῖς ὑγραῖς ἐφίσταται πίτταις, λεπτομερέστερον ὑπάρχον αὐτῶν, καὶ τῇ συστάσει, καὶ τῇ δυνάμει. τὰ μὲν οὖν τοιαῦτα φάρμακα βραδέως ποιεῖ πολιοῦσθαι, μηδὲν βλάπτοντα τοὺς χρωμένους, τὰ δὲ διὰ τῶν αὐστηρῶν τε καὶ στρυφνῶν συγκείμενα, βλάπτει μεγάλως. τὴν δ᾽ ὕλην ἐξ ὧν σύγκειται ταῦτα, τῆς στυπτικῆς ὀνομαζομένης ποιότητός τε καὶ δυνάμεως οὖσαν, ἔχειν τι χρὴ καὶ λεπτομερὲς, ὡς μὴ μόνον ἐπιπολῆς, ἀλλὰ καὶ διὰ βάθους ἀλλοιοῦν τὸ δέρμα, μέχρι τοῦ κατὰ τὰς ῥίζας τῶν τριχῶν τόπου. αὕτη μὲν οὖν ἡ τῆς συνθέσεως αὐτῶν ἐστι μέθοδος. ἔχεις δὲ ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, τὰς κατὰ μέρος αὐτῶν ὕλας, ἐν αἷς αὐτῶν αἱ δυνάμεις τε καὶ ποιότητες εἴρηνται. δυνήσῃ τοιγαροῦν ἐξ ἐκείνων, τά τ᾽ ἤδη συγκείμενα τοῖς ἔμπροσθεν, ὁποίας ἐστὶ δυνάμεως εὑρίσκειν, αὐτός τε συντιθέναι. χρήσιμον δὲ τοῦτο καὶ πρὸς διάγνωσίν ἐστι τῶν γιγνομένων παθῶν, ἐνίοτε ταῖς βλαπτομέναις γυναιξὶν, καὶ πρὸς τὴν τῶν ἀποβησομένων πρόγνωσιν, ἴασίν τε τῶν παρόντων. οὐ μόνον γὰρ ἐν κινδύνῳ γενομένας οἶδα πολλάκις γυναῖκας, ἀλλὰ καὶ ἀποθανούσας ἐκ τοῦ καταψυχθῆναι τὴν κεφαλὴν ὑπὸ τῶν τοιούτων φαρμάκων. ἡ βλάβη δ᾽ αὐταῖς μάλιστα γίγνεται, ποτὲ μὲν εἰς ἀποπληξίαν, ἢ ἐπιληψίαν, ἢ καταφορὰν, ἢ κάρον, ἢ τὴν καλουμένην κατάληψιν ἐμπιπτούσαις. ἔστι δ᾽ ὅτε καταῤῥόοις ἁλισκομέναις δυσλύτοις, ὡς φθάσαι τὸν πνεύμονα παθεῖν, καὶ φθόην ἐξ αὐτῶν ἀκολουθῆσαι, βλάπτονται δὲ θᾶττον μὲν αἱ ψυχροτέραν τὴν κρᾶσιν τῆς κεφαλῆς ἔχουσαι, βραδύτερον δὲ αἱ θερμοτέραι. τὰ μὲν γὰρ ψυχρὰ μόρια τοῖς ψυχροῖς πάθεσιν, τὰ δὲ θερμὰ τοῖς θερμοῖς ἁλίσκεται ῥᾷον. ὅ γε μὴν κίνδυνος ἥττων, ὡς ἂν ἐπὶ μικροτέροις αἰτίοις βλαπτομένων τῶν ψυχροτέραν ἐχουσῶν τὴν κρᾶσιν. αἱ δὲ θερμαὶ, διότι δυσπαθεῖς εἰσι τοῖς ψυχροῖσιν αἰτίοις, ὅταν ὑπὸ μεγάλων νικηθῶσι, μείζονα φέρουσι τὴν βλάβην, ὑποπεπτωκυῖαι τῷ κοινῷ καὶ καθόλου λόγῳ, τῷ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένῳ. ἐν τῇσι νούσοισιν, ἧσσον κινδυνεύουσιν, οἷς ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἡλικίης, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης ἡ νοῦσος μᾶλλον, ἢ οἷς ἂν μὴ οἰκείη κατά τι τουτέων.

A omnino aliud est ab eo quod flos picis appellatur, quod ipsum liquidæ pici incumbit, & superstat, tenuium magis partium quã ipsa pix existẽs, tum cõsistentia, tũ etiam facultate. Huiusmodi itaq; pharmaca tardè canescere faciunt, nulla vtẽtium oblæsione: at verò quæ ex austeris, & acerbis cõposita sunt, magnopere lædũt. Cæterũ materiam ex qua cõponuntur hæc, astringentis qualitatis, ac facultatis existentẽ, etiam quippiam tenuium partium habere oportet, quo non in superficie tantum, sed & in profundo cutẽ alterent, vsq; ad locũ radicũ capillorũ progrediendo. Atq; hæc quidẽ est Methodus cõponendi ea. Habes autẽ in simplicium pharmacorũ tractatu particulatim materias ipsorũ, in B quibus facultates, & qualitates earum dictæ sunt. Quapropter ex illis tum ea, quæ iam à prioribus composita sunt iudicare, ac qualinam vi prædita sint inuenire potes, tum etiam per te ipsum de integro noua cõponere. Vtile autẽ hoc est & ad cognitionẽ affectionũ, quas iam incurrerũt aliquæ mulieres, & ad futurarũ prænotionẽ, præsentiúmque sanationẽ. Non solũ enim in periculo versatas sæpe scio fœminas, sed & mortuas, ex perfrigeratione capitis per huiusmodi pharmaca inducta. Læsio autẽ eis maximè accidit, aliquando quidẽ in stuporẽ attonitũ, aut comitialẽ, aut veternum, aut so- C porem profundiorẽ, aut catochen delabentibus: aliquando verò destillationibus solutu difficilibus capiuntur, vt antequam soluantur, pulmones malè habere incipiant, exindéq; tabes cõsequatur. Offenduntur autẽ citius, quæ frigidius tẽperamentũ capitis habent, tardius verò quæ calidius: frigidæ enim particulæ frigidis affectionibus, calidæ calidis, facilius corripiuntur. Atqui periculum minùs subeunt, vtpote, cum à minore causa lædãtur, quæ frigidius tẽperamentũ habẽt: at verò calidæ, propterea quòd ęgre & vix tandẽ à frigidis causis lędi D possunt, cum sanè à magnis causis fuerint exuperatæ, maiorẽ læsionẽ incurrunt, quæ cõmuni & vniuersali rationi subiacẽt, in Aphorismis ab Hippocrate relatæ; *In morbis minus periculũ subeunt ægrotãtes, quibus cõgruus naturæ, ætati, habitui, ac tẽpori, adfuerit morb. quã quib. nihil secũdũ hæc ipsa cõgruerit.*

Περὶ τῶν μελαινόντων τὰς τρίχας φαρμάκων Ἀρχιγένους.

Εἶπον ὀλίγον ἔμπροσθεν, ὡς οὐ κατὰ τὴν ἐμὴν γνώμην ἰατρὸς ἂν τὰ τοιαῦτα μεταχειρίζοιτο, προστάττουσι δ᾽ ἐνίοτε βασιλικαὶ γυναῖκες, αἷς οὐκ ἔστιν ἀρνήσασθαι, μελανθῆναι βουλόμεναι τὰς τρίχας, ἢ ξανθισθῆναι, διὸ καὶ τὸν Ἀρχιγένην νομίζω, καίτοι σεμνότατον ὄντα, γεγραφέναι περὶ αὐτῶν ὧδέ πως αὐτοῖς ὀνόμασιν. μελαίνει τρίχας ταῦτα. καππάρεως ῥίζα λεία σὺν γάλακτι γυναικείῳ, ἔνιοι δὲ ὀνείῳ μέχρι τὸ τρίτον λειφθῇ, ἑψήσας, κατάπλασσον εἰς νύκτα. ἢ οὔρῳ κυνείῳ τηρηθέντι ἐπὶ ἡμέρας πέντε, ἢ ἕξ, σμῆχου. ἢ πρίνου ῥίζης φλοιὸν ἑψήσας, μέχρις ἁπαλὸς γένηται, τούτῳ μὲν κατάπλασσε, τῷ δὲ ὕδατι σμῆχου. ἢ ἀνεμώνης τὸ ἐντὸς μέλαν, τριβὲν σὺν ἐλαίῳ μυρσίνῳ, καταψῶ. ἢ λιθάργυρον, κιμωλίαν, στυπτηρίαν ὑγρὰν ἴσα προσμιξάμενος, καὶ τὰς τρίχας ξηράνας, εἰς νύκτα κατάχριε, καὶ φύλλοις τεύτλου ἐπάνω ἐπίδει. ἢ γῆν Σελινουσίαν, λιθάργυρον, ἄσβεστον, ὕδατι μέλιτος πάχος, κονίᾳ ὑγρᾷ προσμίξας κατάχριε ἀνὰ τρίχα, καὶ ὁμοίως φύλλα τεύτλου ἐπιθεὶς κατάδει, πρωΐας δὲ ἀποτινάξας τὰς τρίχας κατάψησον. ἢ ἀψινθίου, ὀστῶν φοινικίων Συριακῶν, κυάμων Αἰγυπτίων πάντων κεκαυμένων, ἴσα τῆς

De Pharmacis capillos Denigrantibus, Archigenis.

Paulo ante dixi, quòd nõ ex mea sententia medicus eiusmodi pharmaca contrectat, verùm cùm regiæ aliquãdo fœminæ, quib. minimè negare licet, nigros, aut flauos capillos reddere expetãt, eã E sanè ob rẽ etiã Archigenẽ puto, quãquã honestissimũ virũ, de illis scripsisse in hæc ferè verba. *Denigrãt capillos hæc.* Radix capparis trita cũ muliebri lacte, aut, vt aliis placet, asinino, ad tertias coquito, & ad noctẽ pro cataplasmate imponito. Aut vrina canis in quinque aut sex dies asseruata lauato. Aut corticẽ radicis ilicis, donec mollis fiat coquito, eũque cataplasmatis modo imponito, cum aqua verò decocto lauato. Aut quod in anemone intrinsecus nigrũ est, cum oleo myrteo tritũ affricato. Aut spumã argenti, cimoliam, alumẽ liquidũ, pari mẽsura, F prælotis, & siccatis capillis in noctẽ illinito, & betæ foliis supernè obligato. Aut Selinusiam terrã, argenti spumã, calcẽ, cum aqua ad mellis crassitudinẽ redige: & vbi liquido lixiuio prælaueris, capillũ vicissim inũge, similitérq; betæ foliis impositis obligato: manè verò excussos capillos applanato. Aut absinthij, ossium palmarũ Syriacarũ, fabarum Ægyptiarum, omnium vstorum cinerem pari mensura

mensura cum vino Mendesio ad strigmenti crassitudinem redigito, & cerato myrteo liquido admixto affricato. Aut corticis salicis succum cum oleo affricato: summè denigrat. Aut nodos ad racemorum similitudinem ex arbore nuce enatos ex oleo coquito, & bitumine liquido admixto vtitor. Post prædicta etiam hæc Archigenes ascripsit: denigrant barbam, Super aridum, & plumbum vstum, cum betæ crudæ succo mellis spissitudine illita: sinito vsque ad prandium, deinde abluito. Aut ferri scoriam, ac plumbum in aceto cocta ad tertias, illine citra oleum. Post hæc Archigenes ex comptoria damnata arte accepta hæc scripsit: fuluos autem reddunt capillos lupini crudi cum aqua, & nitro illiti. Hæc de flauescentia. De crispantibus autem capillos dicit: Crispos autem reddes capillos, si spuma salis cum myrrha confricaueris. Aut succo carpasi illine, & manebunt crispi, ac nigri. Aut myrti baccis, ac betæ semine æquali pondere cum oleo tritis vtitor. Aut asphodeli radicem mero illine. Aut lupinorum cortices, ac parum nitri in aqua ad quatriduum macerato, ac vtitor. Horum pharmacorum mentionem ob id feci, vt ostenderem necessariò quosdam etiam honestissimos viros talium sibi cōptoriorum experientiam parare. Quando enim Archigenes hæc scribere non est veritus, multo amplior venia Critoni danda est, qui in Imperatoriis ædibus est medicus. Apparet autem & Heraclidem Tarantinum multa & probata pharmaca comptoriæ speculationis scripsisse, quanquam nondū tantæ deliciæ fœminas occuparant, quantæ nunc sunt. Verùm Heraclidæ, & Cleopatræ, & aliorum quicunque post ipsos interiecto tempore medici fuerunt, pharmaca omnia Crito coaceruauit: ad quem sanè remitto eos qui quomodo capilli nigrescant, aut flauescant, & alia huiusmodi, discere volunt. Scripsit enim quatuor de ornatu libros, qui in omnium manibus versantur. Quid igitur ego nunc ipsa frustra transcriberem, cùm possint ex illo discere, qui adeo ea cognoscere velint? In primo quidem libro omnia, quæ ad capillos pertinent, statim in principio scripta sunt, reliqua verò deinceps iuxta proprium quodque ordinem. Quò itaque facilè inuenire queant singula talium pharmacorum absque longa inuestigatione, visum mihi est capita singulorum librorum indicare. In primo itaque libro capita hæc sunt.

PRIMI libri Critonis de ornatu capita. Conseruantia capillos. Augentia capillos. Præseruantia capillos. Tincturæ canorum. Tincturæ flauos, & auricolores capillos reddentes. Smegmata capillorum. Illitiones præseruantes. Faciem erugantia. Illitiones faciem nitidam reddentes. Cataplasmata faciem nitidam reddentia. Superciliorum illitiones. Supercilia denigrantia. Oculorum illitiones. Illitiones ex stibio. Ad graueolentiam narium. Dentifricia. Manducationes. Ad fœtorem sub alis affrictiones. Manducationes ad fœtorem oris.

SECVNDI libri capita. Quæ nigredines colli repurgent. Illitiones ad exudationes sub alis. Illitiones mammillas conseruantes. Ventrem purgantia. Smegmata manus nitidas reddentia. Ad nigredines à partu. Ad rugas à partu. Ad fissuras à partu. Illitiones ad eminentes vmbilicos. Quæ pueros impuberes conseruant. Quæ virginitatem conseruant. Ad humectas, & frigidas mulierculas.

A ἀποδοθεῖσα, οἴνῳ Μενδησίῳ γλοιῶδες ποιήσας, κηρωτὴν μυρσίνην ὑγρὰν μίξον, καὶ κατάψω. ἢ ἰτέας φλοιοῦ χυλὸν μετ᾽ ἐλαίου τρῖβε, ἄκρως μελαίνει. ἢ ἀπὸ καρύας τὰ ὡσανεὶ βοτρύδια ἐλαίῳ ἑψήσας ὑγρὰν ἄσφαλτον μίξον, καὶ χρῶ. ἐφεξῆς τοῖς προειρημένοις, καὶ ταῦτα ἔγραψεν ὁ Ἀρχιγένης. μελαίνει πώγωνα φελλὸς ἄβρεχος, καὶ μόλυβδος κεκαυμένος, σὺν τεύτλου ὠμοῦ χυλῷ, μέλιτος πάχος χρίσας, ἔασον ἕως ἀρίστου, εἶτα κλύζου. ἢ σκωρίαν σιδήρου, καὶ μόλυβδον ἐν ὄξει ἑψήσας, μέχρι τοῦ τρίτον λειφθῆναι, ἐπιχρίου, ἐλαίου ἀπεχόμενος. τούτοις ἐφεξῆς, ὁ Ἀρχιγένης, ἐκ τῆς κομμωτικῆς
B κακοτεχνίας ὄντα καὶ ταῦτα ἔγραψε· πυῤῥὰς δὲ ποιοῦσιν θέρμοι ὠμοὶ σὺν ὕδατι, καὶ νίτρῳ καταχριόμενοι. καὶ ταῦτα δὲ περὶ ξανθισμοῦ. περὶ δὲ τῆς οὐλοποιήσεως τριχῶν ὧδε. οὐλὰς δὲ ποιήσεις τρίχας, ἐὰν ἀφρῷ ἁλὸς μετὰ σμύρνης σμήχῃς. ἢ ὀπῷ καρπάσου χρίε, καὶ μένουσιν οὖλαι, καὶ μέλαιναι. ἢ μύρτοις, καὶ τεύτλου σπέρματι ἴσοις, λείοις σὺν ἐλαίῳ χρῶ. ἢ ἀσφοδέλου ῥίζῃ, μετὰ ἀκράτου συγχρίου, ἢ λεπύχανα θέρμων, καὶ ὀλίγον νίτρον ἐν ὕδατι βρέξον ἐφ᾽ ἡμέρας τέσσαρας, καὶ χρῶ. τούτων τῶν φαρμάκων ἐμνημόνευσα, δηλῶσαι βουλόμενος ἀναγκάζεσθαί τινας, καὶ τῶν σεμνοτάτων ἀνδρῶν,
C ἐμπειρίαν κτᾶσθαι καὶ τῶν κομμωτικῶν φαρμάκων, ὅπου γὰρ Ἀρχιγένης οὐκ ᾐδέσθη γράφων αὐτά, πολὺ μᾶλλον ἄν τις Κρίτωνι συγγνώη, κατὰ τὴν αὐτοκρατορικὴν οἰκίαν ἰατρεύοντι. φαίνεται δὲ καὶ ὁ Ταραντῖνος Ἡρακλείδης, πολλὰ καὶ δόκιμα φάρμακα τῆς κομμωτικῆς θεωρίας γεγραφώς, καίτοι μήπω τοσαύτης τρυφῆς κατεχούσης τὰς γυναῖκας, ὅση νῦν ἐστιν. ἀλλὰ καὶ τὰ τοῦ Ἡρακλείδου, καὶ Κλεοπάτρας, ὅσοι τ᾽ ἄλλοι μετ᾽ αὐτοὺς ἐν τῷ μεταξὺ γεγόνασιν ἰατροί, φάρμακα πάντα συνήθροισεν ὁ Κρίτων. πρὸς ἐκεῖνον οὖν ἀναπέμπω τοὺς βουλομένους μελασμούς τε καὶ ξανθισμοὺς τριχῶν, ὅσα τ᾽ ἄλλα τοιαῦτα
D μανθάνειν. ἔγραψε γὰρ τέτταρα βιβλία κοσμητικῶν, ἃ πάντες ἔχουσιν. τί ἂν οὖν ἔγωγε μεταγράφοιμι νῦν αὐτά, δυναμένων τῶν βουλομένων παρ᾽ ἐκείνου μανθάνειν. ἐν μὲν τῷ πρώτῳ βιβλίῳ τὰ περὶ τῶν τριχῶν πάντα κατ᾽ ἀρχὰς εὐθὺς γεγραμμένα. τῶν δ᾽ ἄλλων τῶν ἐφεξῆς κατὰ τὴν οἰκείαν τάξιν, ὅπως οὖν ῥᾳδίως εὑρίσκοιεν οἱ ζητοῦντες, ἕκαστα τῶν τοιούτων φαρμάκων, ἔδοξέ μοι δηλῶσαι τὰ κεφάλαια τῶν καθ᾽ ἕκαστον βιβλίων. ἐν μὲν οὖν τῷ πρώτῳ ταῦτά ἐστιν.

Τοῦ πρώτου τῶν Κρίτωνος κοσμητικῶν κεφάλαια. διαφυλακτικὰ τριχῶν. αὐξητικὰ τριχῶν. προφυλακτικὰ τριχῶν.
E βάμματα πολιῶν. βάμματα, ὥστε ξανθὰς καὶ χρυσιζούσας ποιεῖν. σμήξεις τριχῶν. ἐπίχριστα προφυλακτικά. προσώπου τετομώματα. προσώπου ἐπίχριστα λαμπρυντικά. προσώπου καταπλάσματα λαμπρυντικά. ὀφρύων ἐπίχριστα. ὀφρύων μελάσματα. ὀφθαλμῶν ἐπίχριστα. στιμμίσματα ἔγχριστα. πρὸς δυσωδίαν μυκτήρων. ὀδόντων ἀποτρίμματα. διαμασήματα πρὸς μασχαλῶν δυσωδίαν. περιτρίμματα. διαμασήματα πρὸς δυσωδίαν στόματος.

Τοῦ δευτέρου κεφάλαια. ῥύμματα πρὸς τὰς ἐπὶ τοῦ τραχήλου μελανίας. ἐπίχριστα πρὸς τὰς τῶν μασχαλῶν
F συνιδρώσεις. ἐπίχριστα μαστῶν διαφυλακτικά. κοιλίας καθαρτικά. σμήγματα χειρῶν λαμπρυντικά. πρὸς τὰς ἐκ τόκου μελανίας. πρὸς τὰς ἐκ τόκου ῥυτίδας. πρὸς τὰς ἐκ τόκου ῥαγάδας. ἐπιχρίσματα πρὸς τὰς τῶν ὀμφαλῶν ἐξοχάς. ἀνήβων παιδίων διαφυλακτικά. παρθενίας διαφυλακτικά. πρὸς τὰς καθύγρους, καὶ καταψύχρους γυναῖκας.

A πρὸς οὐλὰς μελαίνας. ψίλωθρα τριχῶν. σμήγματα λεπτυντικὰ παντοῖα. ἐπίχριστα ἀφανιστικὰ τριχῶν. σμήγματα ὅλου τοῦ σώματος. καθαρτικὰ λαμπρυντικὰ παντοῖα. καταπλάσματα ἀρωματικὰ τοῖς ἱματίοις. εὐώδεις βαφαὶ ἱματίων. ῥάσματα θαλάμων, καὶ περιπάτων. θυμιαμάτων παντοίων σκευασία. χρισμάτων, καὶ μύρων παντοίων σκευασίαι. ἀμυγδαλίνου, βαλανίνου, καρυΐνου, σησαμίνου, μυρσίνου, σχινίνου, δαφνίνου, ῥοδίνου, γλευκίνου, μηλίνου, οἰνανθίνου, σαμψυχίνου, τηλίνου, σουσίνου, ὃ ἔνιοι κρίνινον καλοῦσι, κικίνου, ἰρίνου, ναρκισσίνου, φοινικίνου, κυπρίνου, κροκίνου, ναρδίνου, ἀμαρακίνου, ἡδυχρόου, μενδησίου, μαλαβαθρίνου.

B Τοῦ τρίτου κεφάλαια. πρὸς πίτυρα παντοῖα. πρὸς τὰ ἐν τῇ κεφαλῇ ἐκβράσματα. πρὸς ἀχῶρας. πρὸς φθεῖρας, καὶ κόνιδας. πρὸς ἀλωπεκίας. πρὸς τὰς ἐν τῷ προσώπῳ ψωρώδεις διαθέσεις. πρὸς φακούς. πρὸς ἐφήλεις. νίμματα προσώπου. πρὸς στίγματα. πρὸς πελιώματα. πρὸς ὑπώπια. πρὸς ἰόνθους. πρὸς ἐπινυκτίδας. πρὸς τὰ ἐπὶ τῶν γενείων ἰονθώδη. πρὸς τοὺς ἐπὶ τῶν γενείων λειχῆνας. λειχήνων ἐπιχρίσματα. ἐπιθέματα ἐκδόρια. χλωραὶ μετὰ τὰς ἐκδορὰς ἐπιτιθέμεναι. λευκαὶ πρὸς ἀπούλωσιν. φάρμακα μαλακτικὰ ἐπιτριβέντα λειχήνων.

C Τοῦ τετάρτου κεφάλαια. πρὸς ἀλφοὺς μέλανας, καὶ λευκούς. πρὸς οὐλὰς μελαίνας. πρὸς λεύκας. πρὸς λέπρας. πρὸς ὄνυχας ψωριῶντας. πρὸς κνησμώδεις διαθέσεις. πρὸς ψυδρακας, καὶ ἐκδάρματα. πρὸς τὰς ἑρπυστικὰς διαθέσεις. πρὸς ψωριάσεις. πρὸς θύμους πρὸς ἀκροχορδόνας. πρὸς μυρμηκίας. πρὸς ὀμφαλοῦ ἐμπνευματώσεις. πρὸς ἐντέρων καταλίσθησιν. πρὸς ὑδροκήλας. πρὸς λειποδέρμους. πρὸς τοὺς προσπίπτοντας ἀρχούς. πρὸς χείμεθλα. πρὸς τὰς ἐν ποσὶ ῥωγμάς. Ἐν τούτοις τοῖς τέσσαρσι βιβλίοις, ὁ Κρίτων ἐπιμελέστατα σχεδὸν ἅπαντα ἔγραψε τὰ δόκιμα κοσμητικὰ φάρ- D μακα, προσθεὶς αὐτοῖς, καὶ τὰ κομμωτικά, νόθον κάλλος οὐκ ἀληθινὸν ἐκποριζόντα, διὸ κἀγὼ παραλείψω μὲν αὐτά· μόνον δὲ μνημονεύσω, τῶν τὸ κατὰ φύσιν κάλλος φυλαττόντων. Εἰ γὰρ καὶ ὅτι μάλιστα γιγνώσκω τὰ λαμπρυντικὰ τοῦ σώματος σμήγματα, καὶ τὰ τῶν τιτθῶν διαφυλακτικὰ ταῖς παρθένοις ἐπὶ πλεῖστον, ἀνήβων τε παιδίων ὄρχεις μικροὺς διαφυλάττοντα μέχρι πλείστου, καὶ τὴν τῶν τριχῶν φύσιν ἐπέχοντα, γράφειν αἰδοῦμαι τὰ τοιαῦτα, καὶ πολὺ μᾶλλον, ἃ Κρίτων ἔγραψε καταπλάσματα τῶν ἀρωμάτων ἐν ἱματίοις, εὐώδεις τε βαφὰς ἱματίων, καὶ ῥάσματα θαλάμων, καὶ περιπάτων, θυ- E μιαμάτων τε παντοίων ποικιλίας καὶ χρισμάτων, καὶ μύρων, ἔξω γὰρ ταῦτα τῆς ἰατρικῆς. ὅταν δὲ τοῦ κατὰ φύσιν φυλακτικὰ γέγραφεν, ὅταν που δεήσῃ, μνημονεύσω, καὶ πρῶτόν γε τῶν κατὰ τὰς τρίχας, ὅσα μοι δοκεῖ χρήσιμα τοῖς ἰατροῖς ἔσεσθαι, διδάξω.

Ad cicatrices nigras. Depilatoria pilorum. Smegmata attenuantia omnis generis. Illitiones capillos abolentes. Smegmata totius corporis. Repurgatoria nitorem inducentia omnigena. Conſperſiones aromaticæ veſtium. Odoratæ tincturæ veſtium. Aſperſiones thalamorum & ambulacrorum. Suffimentorum omnigenorum cõpoſitiones. Illitionum & vnguentorum omnis generis compoſitiones, videlicet amygdalini, balanini, nucum, ſeſamini, myrtei, lentiſcini, laurini, roſacei, gleucini, melini, œnanthini, ſampſuchini, telini, ſuſini quod aliqui liliaceum appellant, cicini, irini, narciſſini, phœnici, cyprini, crocini, nardini, amaracini, hedychroi, mendeſij, malabathrini.

TERTII libri Critonis capita. Ad furfures omnigenos. Ad capitis eruptiones. Ad vlcera manantia. Ad pediculos & lendes. Ad alopecias. Ad ſcabioſas faciei affectiones. Ad lentigines. Ad maculas à Sole prouocatas. Lotiones faciei. Ad ſtigmata. Ad liuentia. Ad ſugillata. Ad varos. Ad puſtulas nocte erumpentes. Ad menti tubercula. Ad menti impetigines, impetiginum illitiones. Epithemata excoriatoria. Emplaſtra viridia, quæ ab excoriatione imponuntur. Emplaſtra alba ad cicatricem inducendam. Pharmaca emollientia, quæ impetiginibus affricantur.

QVARTI libri capita. Ad alphos, nigros, & albos. Ad cicatrices nigras. Ad leucas. Ad lepras. Ad vngues ſcabioſos. Ad pruriginoſas affectiones. Ad pſydracas, & ad excoriata. Ad ſerpiginoſas affectiones. Ad ſcabidos. Ad thymos. Ad acrochordonas & myrmecias. Ad vmbilici inflationem. Ad inteſtinorum delapſionem. Ad hydrocelas. Ad apellas. Ad procidentes anos. Ad chimethla. Ad rimas pedum. In his quatuor libris Crito diligentiſſimè omnia fermè exornatoria pharmaca ſcripſit, appoſitis etiam comptoriis, quæ ſpuriam pulchritudinem, non veram inducunt: quapropter etiam ego ea relinquam, ſolumque mentionem eorum faciam, quæ pulchritudinem ſecundum naturam conſeruant. Quanquam enim vel maximè cognita habeam ſmegmata corpori nitorem inducentia, itémque quæ in virginibus mammillas conſeruant, & quæ impuberum puerorum teſticulos ad multum tempus paruos conſeruant, ſimiliter, & quæ pilorum exortum cohibent, pudet me tamen eiuſmodi ſcribere, atque multo magis eas, quas Crito tradidit conſperſiones veſtium aromaticas, odorataſque veſtium infectiones, & aſperſiones thalamorum, ac ambulacrorum: ſuffimentorum item omnis generis varietates, illitionúmque, & vnguentorum. Extra enim medicinæ documenta talia exiſtunt. At verò vbi decoris ſecundum naturam conſeruatiua ſcripſit, ſi quando locus ita tulerit, ea referam: ac primum quidem quæ circa capillos medicis vtilia mihi videntur, docebo.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν φθειρόντων τὰς τρίχας φαρμάκων.

F Ὡς τῶν αὐξανόντων τὰς τρίχας φαρμάκων, ἕτερα μέν ἐστιν ἰατρικὴ χρῆσις, ἕτερα δὲ κομμωτική, κατὰ τὸν αὐτὸν τρόπον, καὶ τῶν φθειρόντων αὐτάς. γίνεται γάρ ποτε καὶ τοῖς ἰατροῖς ἀνάγκη χρήσασθαι τοιούτοις φαρμάκοις, κατὰ τὰς τρεῖς αὐτῶν διαφοράς. λέγω δὲ τρεῖς, ἐπειδὴ τὰ μὲν ἰδίως καλεῖται ψίλωθρα, τὰ δὲ λεπτυντικὰ τριχῶν, τὰ δὲ εἰς τὸ παντελὲς ἀναι-

CAPVT IV.

De pharmacis pilos corrumpentibus.

QVemadmodum ex pharmacis, quæ pilos augent, alia medici vſus, alia comptorij exiſtunt, eodem modo & quæ ipſos corrumpunt. Aliquãdo enim & his medici neceſſariò vtuntur iuxta triplicem eorum differentiam: nẽpe cùm quædam ex eis propriè pſilothra appellantur, alia attenuatoria capillorum, alia verò ipſos penitus extirpantia.

pãtia. Hæc itaq; postremo loco nominata periculosi sunt vsus. Ex eis enim illitę corporis partes, nõ solũ in posterũ depiles omnes penitus redduntur, sed & vsq; ad caput, & mentũ, superciliaq; & palpebrarũ pilos, nuditas ipsa procedit. Reliquæ verò duæ differẽtiæ vsum minimè periculosũ habẽt. Et quæ quidẽ pilorũ denudatoria sunt, & propriè, vt dixi, psilothra vocãtur, tantũ non quotidie in omniũ muliercularũ, ferme etiã quorundã virorũ, vsu habẽtur. Altera verò, quę tenuiores pilos reddũt & minores, eis cõueniũt qui duros, & magnos, multósq; & crassos, pilos habẽt, & ob id suillis nõ absimiles existũt. Cæterũ hæc ipsa secundũ excessũ, & defectũ inter se differũt, cũ vnũ genus sit pharmacorũ, quod in hũc vsum cõpositum est, nimirũ eorũ, quæ corrumpentẽ, & vstoriam, habẽt facultatẽ. Præstãt autẽ corrumpentẽ facultatẽ habẽtia, quòd minori periculo admouentur. Periculosiora autẽ quodãmodo sunt vstoria, quæ, si quis paulo negligẽtius adhibeat, bullas excitãt, & exulcerant, & aliquãtulũ cutẽ exurũt. At verò particularẽ eorum syluã omnẽ in cõmentariis de simpliciũ pharmacorũ facultate tradidi: sed tamen exẽpli gratia ea, quibus assiduè vtor, recẽsebo. Ex liquidis igitur est lixiuiũ tali vi præditũ. Ex aridis autẽ & metallicis, arsenicũ, & sandaracha, & calx non extincta, quã plerię; viuã, Græci verò etiam solius non extinctæ nomine appellãt. Manifestũ itaq; est, vehementẽ ipsorum vim per admixtionẽ imbecilliorũ pharmacorũ, tum liquidorũ, tum aridorum frangi. Quorũ congruentẽ mixturæ modũ cõiecturaliter primũ faciet virium eorum expertus, deinde verò per experientiam defectũ corriget, aut etiam addet. Quò verò etiam eorũ, quæ per experientiam iudicata sunt, notitiam habeatis, ascribã ea quæ in primo libro de ornatu à Critone sunt relata, vbi prius ostẽdero etiam medicis sæpiusculè ipsorum vsum necessarium esse. Quemadmodũ tincturas expetẽtibus, honestè negare possumus, vt quæ cõptoriæ sint malitiei: sic depilatoria negare minimè licet. Si enim moderatos quispiam habeat capillos, non subseruiemus ipsi ad superfluas delicias. Si verò admodũ multos, & longos durósq; habeat, honestũ esse videtur & rationabile ipsos pauciores, & tenuiores, molliorésque, ac rariores facere. Cõtingit autẽ aliquando necessitas, vt eis, qui multos & altè fixos, non tamen duros habent, in totum pilos tollamus, quando aut picatione opus habet totum corpus, quandoq; enim hoc pręsidio iuxta medicinæ rationem vtimur: aut quando pharmacũ quod meatus obducat, imponere velimus: tũc enim necessariò à parte pilos prius tollimus, quod quidem etiam per nouaculã facere licet. Quidam verò siue re vera, siue fictè, nouaculæ timorem confitentur, quoniam periculum sit ex ea cutem sauciari. Quidam autem non citra rationem fortasse metuunt, maximè quum partes gutturis radi oportet. Quapropter necessarium est, medicum etiam huiusmodi pharmacorum experientiam habere, tum quod ad compositionem, tum quod ad vsum attinet.

A ρετικά. ταῦτα μὲν οὖν τὰ ὕστατα ῥηθέντα, σφαλερὰν ἔχει τὴν χρῆσιν. ἐνίοτε γὰρ οὐ μόνον τὰ χρισθέντα μόρια τοῦ σώματος, ἄτριχα τοῦ λοιποῦ πάντα γίγνεται διὰ παντός, ἀλλὰ καὶ μέχρι τῆς κεφαλῆς, καὶ τῶν γενείων, καὶ τῶν ὀφρύων, καὶ τῶν βλεφαρίδων, ἡ ψίλωσις τῶν τριχῶν ἐξικνεῖται. τὰ δὲ ἕτερα δύο, τὴν χρῆσιν ἀκίνδυνον ἔχει, τὰ μὲν ψιλωτικὰ τῶν τριχῶν ἅπερ ἔφην ἰδίως καλεῖσθαι ψίλωθρα, καθ' ἑκάστην ἡμέραν ἐν χρήσει γιγνόμενα ταῖς γυναιξὶν ἁπάσαις σχεδὸν, καί τισι τῶν ἀνδρῶν, ἕτερα δὲ τὰ λεπτοτέρας τὰς τρίχας ἐργαζόμενα, καὶ μικροτέρας, ἐπιτήδεια τοῖς σκληρὰς, καὶ μεγάλας, καὶ πολλὰς, καὶ
B παχείας ἔχουσιν, καὶ διὰ τοῦτο φαινομένοις ὑώδεσιν. ἀλλήλων δὲ διαφέρει ταῦτα, τῷ μᾶλλόν τε καὶ τῷ ἧττον, ἐπεὶ τὸ γένος αὐτῶν ἕν, ἐξ ἐκείνων συγκείμενον τῶν φαρμάκων, ὅσα σηπτικὴν ἔχει, ἢ καυστικὴν δύναμιν. ἀμείνω δὲ δηλονότι τὰ σηπτικὴν ἔχοντα, τὴν γὰρ χρῆσιν ἀκινδυνοτέραν ἴσχει. κινδυνωδέστερα δέ πώς ἐστιν ἡ τῶν καυστικῶν, ἐάν τις ἀμελήσῃ βραχὺ, φλυκταινουμένων, ἢ ἑλκουμένων, ἢ ὁπωσοῦν ἐπικαιόντων τὸ δέρμα. τὴν δὲ κατὰ μέρος ὕλην αὐτῶν ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν, ἅπασαν ἔγραψα. παραδείγματος δ' ἕνεκεν, οἷς συνεχῶς χρώμεθα,
C καὶ δὴ φράσω. τῶν μὲν οὖν ὑγρῶν, ἡ στακτὴ καλουμένη κονία, τοιαύτην ἔχει δύναμιν. τῶν δὲ ξηρῶν, καὶ μεταλλικῶν, ἀρσενικόν τε, καὶ σανδαράχη, καὶ τίτανος ἡ ἀκατάσβεστος, ἣν οἱ πολλοὶ καλοῦσιν αὐτὸ δὴ τοῦτο μόνον ἄσβεστον. εὔδηλον οὖν ὅτι τὴν σφοδρὰν ἐν αὐτοῖς, ἡ δύναμις θραύεται μίξει τῶν ἀσθενεστέρων φαρμάκων ὑγρῶν τε καὶ ξηρῶν, ὧν τὴν συμμετρίαν, στοχαστικῶς μὲν πρῶτον ὁ τῆς δυνάμεως αὐτῶν ἔμπειρος ποιήσεται, διὰ δὲ τῆς ἐμπειρίας ἐπανορθοῦται τὸ ἐλλεῖπον, ἢ προσθήσει. ὅπως δὲ καὶ τούτων, ὅσα διὰ τῆς πείρας ἐκρίθησαν ἔχητε, παραγράψω τὰ ὑπὸ Κρίτωνος ἐν τῷ πρώτῳ τῶν κοσμη-
D τικῶν εἰρημένα, ἐπιδείξας πρότερον, ὅτι καὶ τοῖς ἰατροῖς ἀναγκαία πολλάκις ἡ χρῆσις αὐτῶν γίγνεται. ὥσπερ τὰ βάμματα δυνατὸν ἡμῖν ἀρνεῖσθαι τῆς κομμωτικῆς ὄντα κακίας, οὕτως ἀδύνατον ἀρνεῖσθαι τὰ ψιλωτικὰ τῶν τριχῶν. ἐὰν μὲν γὰρ ἔχῃ συμμέτρους τις τρίχας, οὐχ ὑπηρετήσομεν αὐτῷ τρυφῶντι περιττῶς. ἐὰν δὲ πάνυ πολλὰς, καὶ μακρὰς, καὶ σκληρὰς, εὔλογον εἶναι δοκεῖ ταύτας ἐλάττους τε καὶ λεπτοτέρας, καὶ μαλακωτέρας, καὶ ἀραιοτέρας ἐργάζεσθαι. γίγνεται δέ ποτε χρεία, καὶ τοῖς πολλὰς ἔχουσι, καὶ βαθείας, οὐ μὴν σκληράς γε παντελοῦς αὐτῶν ἀφαιρέσεως, ὅτε ἤτοι πιττώσεως δέηται τὸ πᾶν σῶμα, (χρώμεθα γὰρ
E ἐνίοτε τῷ βοηθήματι τούτῳ κατὰ τὸν τῆς ἰατρικῆς λόγον,) ἢ καί τι φάρμακον ἔμπλαστον ἐπιτεθέντων ἡμῶν, ἀναγκαῖον ἐστὶ πάσας τοῦ μέρους περιαφελεῖν τὰς τρίχας, ὅπερ ἔνεστι μὲν καὶ διὰ ξυροῦ ποιεῖν, ἔνιοι δὲ, εἴτε κατ' ἀλήθειαν, ἢ καὶ πλαττόμενοι δεδιέναι φασὶ τὸ ξυρόν. ἐνδέχεται γὰρ ὑπ' αὐτοῦ τρωθῆναι τὸ δέρμα, τινὲς δὲ ἴσως, καὶ δεδίασιν εὐλόγως, καὶ μάλιστα ὅταν δεήσῃ ξυρᾶσθαι τὰ κατὰ τὸν λάρυγγα χωρία. διὰ ταῦτα οὖν ἀναγκαῖον ἐστὶ τῷ ἰατρῷ, καὶ τῶν τοιούτων φαρμάκων ἐμπειρίας ἔχειν, τῆς τε συνθέσεως, καὶ τῆς χρήσεως.

Psilothra à Critone hac verborum serie conscripta.

Psilothra Capillorum. ℞. Auripigmenti auri coloris. ℈. vij, aut x, calcis viuæ tantundem, amyli sextantem, terræ quæ Romanis Selinusia appellatur. ʒ. j. Omnia trita & per angustissimũ cribrum excussa reponito. Vsus verò tẽpore ex pharmaco, quod sufficit acceptum aqua conquassato, deinde

F Ψίλωθρα τὰ ὑπὸ Κρίτωνος γεγραμμένα κατὰ λέξιν οὕτως.

Ψίλωθρα τριχῶν. ℞. ἀρσενικοῦ χρυσίζοντος ʒ ζ. ἢ ι. ἀσβέστου τὸ ἴσον, ἀμύλου Γο β. γῆς τῆς λεγομένης Ρωμαϊστὶ Σελινουσίας Γο α. ἅπαντα τρίψας, σήσας λεπτοτάτῳ κοσκίνῳ, ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως, αἴρων τοῦ φαρμάκου ὅσον ἐξαρκεῖ, ἀνακόπτε ὕδατι, εἶτα ἐπι-

χρίεσθαι πραΰνει, καὶ προσέχειν ὅπως μὴ ἐπικαῇ. Ἄλλο A παραχρῆμα λεῖον ποιεῖ. ℞. ἀσβέστου μέρη δύο, ἀρσενικοῦ μέρος α'. ταῦτα βαλὼν εἰς θυίαν μολυβδίνην, καὶ ὕδωρ ἐπιχέας, ἢ πτισάνης χυλὸν τρῖβε, καὶ ὅταν μέλαν γένηται, θερμαίνοντας κέλευε καταχρίεσθαι, καὶ τοῦτο ποιεῖν ἐν βαλανείῳ, λεῖον γὰρ ποιεῖ τὸ σῶμα. εἰ δὲ φυομένη λεπτὴ ἀναβαίνει, ἕψε τὴν κονίαν, καὶ τὸ ἀρσενικὸν τρῖβε μεθ' ὕδατος, καὶ εἰς ἄγγος κεραμεοῦν ἀκόνιτον βαλὼν ἕψε, καὶ ὅτε συστραφῇ, καὶ μέλαν γένηται, ἐπιχριέσθω. Παρίδος τοῦ ὀρχηστοῦ, παραχρῆμα τὰς τρίχας αἴρει. ℞. σανδαράχης ℥ α'. ἀσβέστου ξε α'. ἕψε μεθ' ὕδατος ἐπιμελῶς, καὶ ὅταν ἄρξηται ἀναζεῖν, ἀνελόμενος χρῶ. B τοῦτο δὲ ἔσται φανερὸν, εἰ πτερὸν καθιέντι σοι εἰς τὸ ψίλωθρον, ἀπομαδήσει συντόμως. Ἄλλο. ℞. ἀμύλου ℥ α'. ἀσβέστου ℥ α'. ἀρσενικοῦ ℥ α'. κόψας καὶ σήσας, ἀπόθου, καὶ χρῶ, καθάπερ εἴρηται. Ἡρακλείδου Ταραντίνου παραχρῆμα αἴρει τὰς τρίχας. ℞. ἀσβέστου ξε α'. κιμωλίας ξε α'. κισσήρεως κεκαυμένης ξε α'. ἀρσενικοῦ μέρη δ'. λεῖα ποιήσας ἀπόθου, ἐπὶ δὲ τῆς χρήσεως ἀνίει ὕδατι, καὶ χρῶ, καθάπερ προείρηται. Ταῦτα μὲν οὖν ὁ Κρίτων ἔγραψε, χρῆσθαι δὲ αὐτοῖς ἄμεινον, ὡς καὶ νῦν αἱ γυναῖκες χρῶνται καταχρίουσαι τὸ σῶμα, κἄπειτα εἰς χλιαρὸν οἶκον εἰσιοῦσαι βαλανείου, C κἀπειδὰν ἱδροῦν ἄρξωνται, στλεγγίδι τὸ φάρμακον ἀφαιροῦσι κατά τι μέρος τοῦ σώματος, εἶτα ἂν αἴσθωνται τὰς τρίχας συναφαιρουμένας αὐτῷ, τὸ λοιπὸν ἅπαν ἀποπλύνουσι σῶμα.

Ἀφανιστικὰ τριχῶν.

Γέγραπται καὶ περὶ τούτων ἐν τοῖς κομμωτικοῖς βιβλίοις, ἐκπεπτωκότων ἤδη τῆς ἰατρικῆς ὕλης, διὸ κἀγὼ μόνον τῶν ἁπλῶν ἐν αὐτοῖς ἀναμνήσω, λεγομένων κἀν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ. συντιθέασι γὰρ τὰ προκείμενα κατὰ τὸν λόγον φάρμακα, D διά τε τοῦ λαγωοῦ θαλαττίου, καὶ ἥπατος θύννου σεσηπότος, καὶ κεδρίας, καὶ βατράχου τῶν ἐν τοῖς χλωροῖς καλάμοις νεμομένων, τῶν ἰχώρων, καὶ χελώνης θαλαττίας τοῦ αἵματος, ἀμπέλου τε λευκῆς τοῦ δακρύου, κισσοῦ τοῦ δακρύου, καὶ βρυωνίας ὁμοίως, ἐλαίου τε τοῦ ἀνάλου καλουμένου, καὶ διὰ τῶν θαλασσίων σκολοπένδρων, καὶ κνίδης τῆς θαλασσίας, ἀστέρων τε τῶν θαλασσίων, νίτρον τούτοις καὶ ἀμόργην μιγνύντες. ἄλλα δὲ ἰσχυρότερα δι' ἐχίνων τε καὶ σαλαμάνδρας συντιθέασιν, ἕψοντες ἐν ἐλαίῳ, μιγνύουσι δ' αὐτοῖς καὶ τὰ ἀλκυόνια, καὶ τὴν σανδαράχην, καὶ ὅσα ἄλλα E τοιαῦτα.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Λεπτυντικὰ τριχῶν.

Τοῖς λεπτυντικοῖς τῶν τριχῶν, χρήσαιτο ἄν ποτε καὶ ἰατρὸς, ὡς ἔφην, οὐ τῆς αὐτῆς δυνάμεως οὖσι τοῖς ψιλωτικοῖς. ἣν γὰρ ἐκαλέσαμεν ἐν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων ὑπομνήμασι, δύναμιν ῥυπτικὴν, ταύτης ἐστὶ τὰ λεπτυντικὰ τῶν τριχῶν. ὥσπερ δὲ ἐν ἅπασι τοῖς ὁμογενέσι φαρμάκοις, ἡ F διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττόν ἐστιν, οὕτω καὶ ἐν τοῖς ῥυπτικοῖς. τὸ μὲν οὖν τῶν κριθῶν, καὶ τὸ τῶν κυάμων, ἔτι τε πρὸς τούτοις ὀρόβων, ἀφρονίτρου τε καὶ νίτρου, συνήθη πᾶσίν εἰσιν εἰς ἀφαίρεσιν ῥύπου χρωμένοις αὐτοῖς, ἡ δὲ συνεχὴς χρῆσις, καὶ λεπτύνει τὰς τρίχας. ὅσα δὲ ἰσχυροτέραν ἔχει τὴν ῥυπτικὴν

illinire iubeto, ac animaduertere ne exurat. *Aliud è vestigio læuem reddit.* ℞. Calcis viuæ partes duas, auripigmenti partem. j. Hæc in mortarium plumbeum coniecta, aqua, aut ptisanæ succo affuso, terito, atque vbi nigra reddentur, calefacta illiniri maximè in balneo iubeto, læue enim corpus reddunt. Quòd si verò tenuis capillus enascens subeat, calcem coquito, & auripigmentum cum aqua terito, & vbi in vas fictile non picatum conieceris, coquito, atque vbi coacta fuerint nigraque reddita illinito. *Paridis saltatoris Psilothrum statim pilos aufert.* ℞. Sandarachæ ℥. j. calcis viuæ sextarium. j. Trita cum aqua diligenter coquito, atque vbi ebullire cœperint, ablatis vtitor. Experimentum huius facies, si pinnulam in ipsum psilothrum immergas, breui enim glabra fiet. *Aliud.* ℞. Amyli ℥. j. calcis viuæ ℥. j. auripigmenti ℥. j. contusa & cribrata repone, vteréque vt dictum est. *Heraclidæ Tarantini Psilothrum è vestigio pilos tollit.* ℞. Calcis viuæ sextarium j. cimoliæ sextarium j. pumicis vsti sextarium j. auripigmenti partes quatuor: trita ac læuigata reponito. Vsus verò tempore aqua dilutis, vt dictum est, vtitor. Hæc quidem igitur Crito scripsit. Cæterùm eorum vsus melior est, quemadmodum nunc mulieres vtuntur, post corporis videlicet illitionem, in tepidam balnei domum ingredientes, atque vbi exudare cœperint, strigili pharmacum ex aliqua corporis parte detrahentes, deinde quum simul auferri pilos senserint, reliquum corpus omne abluentes.

Quæ pilos disperdant.

Scriptum quoque de iis est, quæ pilos disperdant, in comptoriis libris, quæ sanè iam ex medica materia exciderunt. Quapropter, & ego simplicium tantum ex eis faciam mentionem, in simplicium item pharmacorum tractatu à me relatorum. Iuxta rationem enim proposita pharmaca componunt, ex lepore marino, hepate thunni putrefacto, cedria, ranarum in viridibus arundinetis degentium cruore siue muco, marinæ testudinis sanguine, lachryma vitis albæ, lachryma hederæ, similitérque bryoniæ, ac oleo, quod insulsum appellatur: Ex marinis item scolopendris, vrticaque marina, & stellis marinis, nitro, ac amurca ad hæc admixtis. Quin & fortiora his ex erinaceis, & salamandra componunt in oleo coctis. Admiscent autem ipsis, & alcyonia, & sandarachen, & quæcunque alia eius generis existunt.

CAPVT V.

Quæ pilos attenuant.

VTetur etiam aliquādo medicus velut dixi, iis, quæ pilos attenuant, quæ non eandem cum depilatoriis facultatem habent. Quam enim in simplicium pharmacorum commentariis extersoriam facultatē appellauimus, eiusdem sunt etiam ea, quæ pilos attenuant. Quemadmodum autem in omnibus eiusdem generis pharmacis, differentia secundum excessum & defectum existit, sic etiam in extersoriis habet. Hordei itaque farina, & fabarum, ampliúsq; erui, spuma nitri, ac ipsum nitrum, familiaria pharmaca sunt omnibus ad tollēdas sordes vsurpata. Assiduus autē eorum vsus etiam pilos attenuat. Quæcunque verò fortiori extersoria facultate

A facultate prædita sũt, in iis, qui valde duros, & magnos pilos habẽt, assumpta cõgruunt. Eius itaque generis pharmacorũ est nitrũ vstũ, & nitri spuma, & aphronitrum spumosum. In assiduo autẽ vsu faciunt item purpurea appellata vasa fictilia Alexandriotica, contusa videlicet, & tenui cribro excreta. Cęterùm pauperibus ego etiam fictilium, & clibanorũ in quibus aliquid sub textu coquitur, testas, itémq; pumicem vstum, ac non vstũ indicaui. Vili autem & gratis habuerit quis circa mare degẽs, aut vrbe quapiam non longè à mari sita, testas vstas tum buccinorum, tum purpurarum, aliorúmque ostreorum: sepiæ verò testã etiam citra vstionem. B Atque hæc quidem pro valde egenis indico, pro aliis verò alcyonium, & herbam lanariam: vtrunq; veratrũ, bryoniæ item, & dracunculi radicem, aristolochias, canchry, & panacis radicẽ, & quæcunque eius generis existunt: plura enim vt dixi, relata sunt in simplicium pharmacorũ tractatu. At verò si hæc ipsa odorata facere volueris, cyperum, & melilotum, rosásq; siccas, & iunci odorati florem, iridem Illyricam, melissophyllúmq; & cydoniam herbam, eis admiscebis. Et si pro diuitibus paraueris, spicam nardi Indicã, Celticámq; & montanam iniicies: & terram Eretriada. C Addes etiam folium malabathri, amomũ, myrrham, crocum, costum, & hedychroum. Qui verò præciosiori materiæ parandæ non sufficit, ei viliores ij, qui exornatoria cõposuerunt, excogitauerũt. Quorum etiam Crito meminit in primo de ornatu sic scribens: Ollam nouam figulinam magnã, operculũ habentem accipito, in eámq; cimolię glebas pro situs ratione cõiicito. Componantur autem hæ quantum fieri potest ad theatri formam, vt in medio ipsarum locus vacuus relinquatur. Inter glebas autem vicissim mala cotonea recentia viginti locentur, hæc autem per interualla variare iubeto: deinde operculo imposito marcescere ipsa mala finito. D Vsu autem expetente, quantum satis videbitur accipito, terito, ac vti iubeto. Post psilothrorum verò impositionem, suauem quendam odorem habet. *Aliud.* Rosas quàm odoratissimas per diem vnam in vmbra refrigeratas, quo humor saltem ab eis desiccetur, in vas figulinum componito: eodémque modo, vt dictum est, glebas cimoliæ indito, ita rosæ substernantur, rursúsque inter glebas eædem imponantur: deinde operculo addito, combibere finito. Vsus iam demonstratus est.

CAPVT VI.

E

De furfuratione.

QVibusdam se scalpentibus, furfuribus similia ex capitis cute decidunt, & propterea furfurationem medici, hoc symptoma appellant, à vitiatis ichoribus prouenientem: quas consumere scopus est eis, qui malum hoc sanare volunt. Manifestum igitur est discussoria, & extersoria pharmaca adhibenda esse, præparato prius vniuerso corpore, si vitiatis humoribus repletum videatur: in omnibus enim huius rei meminisse F oportebit, etiam si aliquando in sermone relinquatur. Admiscuerunt autem quidam prædictis pharmacis quædam astringentia, quo per ea affecta pars corroboretur, vt ne facilè in se ipsam suscipiat influentes humores serosos, sed resistat, eósque repellat: & ob hoc sanè Archigenes in pharmaco ex atramento sutorio composito

δύναμιν, ἐπὶ τῶν πάνυ σκληράς, καὶ μεγάλας ἐχόντων τὰς τρίχας, ἁρμόττει παραλαμβανόμενα. τῶν τοιούτων μὲν οὖν ἤδη φαρμάκων ἐστὶ, καὶ τὸ κεκαυμένον νίτρον, καὶ ὁ ἀφρὸς τοῦ νίτρου, τό τε ἀφρῶδες ἀφρόνιτρον. ἐν δὲ τῇ συνεχεῖ χρήσει, καὶ τὰ μέλανα καλούμενα σκεύη τὰ Ἀλεξανδρειωτικὰ, κοπτόμενα δηλονότι, καὶ διαττώμενα λεπτῷ κοσκίνῳ. τοῖς πένησι δ' ἐγὼ καὶ τὰ τῶν κεραμίδων ὄστρακα, καὶ τὰ τοῦ κλιβάνου, καὶ τὴν κίσηριν, ἄκαυστόν τε καὶ κεκαυμένην ἐδήλωσα. παρέχοι δ' ἂν ἔχοι τις ἐπὶ θαλάττῃ διατρίβων, ἢ πόλει μὴ πόρρω θαλάττης, ὄστρακα κεκαυμένα, κηρύκων τε καὶ πορφυρῶν, καὶ τῶν ἄλλων ὀστρέων. τὸ δὲ τῆς σηπίας ὄστρακον, καὶ χωρὶς τοῦ καυθῆναι. ταῦτα μὲν τοῖς πάνυ πένησιν, τοῖς δ' ἄλλοις, ἀλκυόνιόν τε καὶ στρούθιον, οἵ τε ἐλλέβοροι, καὶ ἡ τῆς βρυωνίας ῥίζα, καὶ ἡ τοῦ δρακοντίου, καὶ ἀριστολοχίαι, καὶ κάγχρυ, καὶ πάνακος ῥίζα, καὶ τἆλλα ὅσα τοιαῦτα. λέλεκται γὰρ, ὡς ἔφην, πολλὰ διὰ τῆς τῶν ἁπλῶν φαρμάκων πραγματείας. ταῦτα δ' εὐώδη ποιῆσαι βουλόμενος, μίξεις κυπέρου, καὶ μελιλώτου, καὶ ῥόδων ξηρῶν, καὶ σχοίνου ἄνθους, ἴρεώς τε τῆς Ἰλλυρίδος, μελισσοφύλλου τε καὶ τῆς κυδωνίας πόας. καὶ εἰ πλουσίοις σκευάζοις, ἐμβαλεῖς στάχυος νάρδου, τῆς τε Ἰνδικῆς, καὶ τῆς Κελτικῆς, καὶ τῆς ὀρείας, καὶ γῆς Ἐρετριάδος, ἐμβαλεῖς δὲ καὶ μαλαβάθρου, καὶ φύλλου μαλαβάθρου, καὶ ἀμώμου, καὶ σμύρνης, καὶ κρόκου, καὶ κόστου, καὶ ἡδυχρόου. τοῖς δὲ ἀποροῦσι πολυτελοῦς ὕλης, καὶ αἱ εὐτελέστεραι οἱ τὰ κοσμητικὰ συνθέντες ἐπενόησαν, ὧν καὶ Κρίτων μέμνηται ἐν τῷ πρώτῳ τῶν κοσμητικῶν γράφων ὧδε. λαβὼν χύτραν ὀστρακίνην καινὴν, πῶμα ἔχουσαν, μεγάλην, ἔμβαλλε εἰς αὐτὴν κατὰ θέσιν βώλους κιμωλίας. συγκείσθωσαν δὲ οὗτοι κατὰ τὸ ἐνδεχόμενον θεατροειδῶς, ὥστε τὸ μέσον αὐτῶν εἶναι κενόν. μεταξὺ δὲ τῶν βώλων τεθέσθω παραλλήλως μῆλα κυδώνια πρόσφατα εἴκοσι, ταῦτα ἐκ διαλειμμάτων ἀλλάσσειν προσταίνει, εἶτα πωμάσας, ἔα μαραίνεσθαι τὰ μῆλα. ἐπὶ δὲ τῆς χρήσεως αἴρων ὅσον ἐξαρκεῖ, καὶ λεαίνων, χρῆσθαι προσταίνει. μετὰ δὲ τὴν τῶν ψιλώθρων ἐπίθεσιν, ἔχει ἡδεῖάν τινα ὀσμήν. Ἄλλο. ῥόδα μάλιστα εὐωδέστατα ψύξας ἐν σκιᾷ, ἐπὶ μίαν ἡμέραν, ὥστε αὐτὰ μόνα ἰκμάδα μὴ ἔχειν, σύνθες εἰς ἀγγεῖον ὀστράκινον, καὶ βώλους κιμωλίας καθὰ προείρηται, ὥστε ὑποστρῶσθαι τὰ ῥόδα, καὶ πάλιν μεταξὺ τῶν βώλων ἐντίθεσθαι, εἶτα πωμάσας, ἔα συμπίνειν. ἡ χρῆσις δεδήλωται.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ πιτυριάσεως.

Πιτύρασις ὅμοια ἀπὸ τοῦ τῆς κεφαλῆς δέρματος ἀποπίπτει πολλάκις ἐνίοις κνωμένοις, καὶ διὰ τοῦτο πιτυρίασιν ὀνομάζουσιν οἱ ἰατροὶ τὸ σύμπτωμα τοῦτο, γινόμενον ὑπὸ μοχθηρῶν ἰχώρων, οὓς ἐκδαπανῆσαι σκοπός ἐστι τοῖς ἰωμένοις αὐτό. πρόδηλον οὖν, ὅτι διαφορητικὰ καὶ ῥυπτικὰ προσακτέον ἐστὶ φάρμακα, προπαρασκευάσαντας τὸ σύμπαν σῶμα, εἰ φαίνοιτο κακοχυμίας μεστόν. ἐπὶ πάντων γὰρ ἠξίωσα τούτου μεμνῆσθαι, κἂν παραλείπηταί που κατὰ τὸν λόγον. ἔμιξαν δέ τινες τοῖς εἰρημένοις φαρμάκοις, καὶ τῶν στυφόντων ἔνια, ῥωννύναι βουλόμενοι τὸ πεπονθὸς μόριον, ὡς μὴ ῥᾳδίως εἰς ἑαυτὸ καταδέχοιτο τοὺς ἐπιρρέοντας ἰχῶρας, ἀλλ' ἀντιβαίνοιτο, καὶ ἀποκρούοιτο, καὶ διὰ τοῦτο, καὶ Ἀρχιγένης ἐπὶ τοῦ διὰ χαλκάνθου συντιθεμένου φαρμάκου προσέγραψε

κατὰ λέξιν οὕτως. τοῦτ' ἐνεργεῖ, ὡς μηδὲν τὸ λοιπὸν γίνεσθαι. Κρίτων μὲν οὖν ἐν τῷ τρίτῳ τῶν κοσμητικῶν, τὴν τῶν τοιούτων φαρμάκων ὕλην ἔγραψεν, εὐθέως κατὰ τὴν ἀρχὴν τοῦ βιβλίου, καὶ διὰ τοῦτο, καθάπερ ἀρτίως εἶπον, οὐκ ἀναγκαῖον ἐμὲ γράφειν αὐτὰ πάντων ἐχόντων τὰ βιβλία. τῶν δ' ὑπ' Ἀρχιγένους γεγραμμένων, μνημονεύσω μάλιστα, ὅτι καὶ προσέγραψεν αὐτῶν ἐνίοις, τὸ, μὴ αὖθις ἐὰν γίνεσθαι τὸ σύμπτωμα· γράφει δὲ οὕτω πως αὐτοῖς ὀνόμασιν. δίαιτα δὲ ἔστω τούτοις ἄφυσος, μηδὲν τῶν παχυχύμων ἔχουσα, οἷά ἐστιν ὕδνα, μύκητες, βολβοὶ, ὄσπρεον, καὶ κρέα μάλιστα βόεια, καὶ τὰ ὅμοια. ἔστω δὲ τὰ προσφερόμενα εὔχυλα, εὔπεπτα, καὶ προσπλεκέσθω μέλι ταῖς τροφαῖς. ἔμβαμμα, ὄξος μετὰ ἑψήματος, ἄρτυμα, κύμινον, μάραθρα. τῶν δὲ ἄλλων πεφεισμένη ἡ χρῆσις ἔστω, καὶ μάλιστα τραγήματος παντὸς φείδεσθαι, καὶ οἶνος λευκὸς, καὶ λεπτὸς χρήσιμος, εἰς ἡδονὴν δὲ ὁ γλυκὺς, καὶ τὸ οἰνόμελι. ὀπώρας ἀρίστη σταφυλὴ ξηρανθεῖσα, εἶτα σῦκα πρὸ τροφῆς σιτεῖσθαι ἄμεινον. εὐπεψίας δὲ παντὸς μᾶλλον φροντιστέον· περίπατοι πρᾶοι πλεῖστοι, καὶ ἕωθεν, καὶ δείλης ἄριστοι. ψυχρολουσία βαλανείων κρείττων. θερμολουτοῦντι δὲ ἀνοίκειον ἡ πολλὴ διατριβὴ ἐν τῷ ἀέρι, καὶ ἡ κατὰ κεφαλῆς περίχυσις, μᾶλλον τῆς ἐμβάσεως ἀμείνων, καὶ μετὰ ταῦτα δαψιλῶς τῷ ψυχρῷ ἀνάψυχε. ὕπνου εἰς κόρον, χρήσιμον. ὀργῆς, καὶ θυμοῦ, καὶ ἡλιώσεως, καὶ σφοδρᾶς ψύξεως ἀπέχεσθαι, καὶ πάντων τῶν τὴν κεφαλὴν πληρούντων. Ἀρχιγένους πρὸς πιτυρίασιν. ἐφ' ὧν δὲ πίτυρα ἐν τῇ κεφαλῇ ἐστιν, προσμίξας τῆλιν, μετὰ τεύτλου χυλοῦ καὶ νίτρου, κιμωλίαν χολῇ βοείᾳ, ἢ ὑείᾳ, καὶ ὄξει φυρῶν, κατάχριε, εἶτα μετ' ὥραν ἀποκλύσας, ἐπίχριε χαλκάνθῳ, καὶ νίτρῳ, μετ' ἐλαίου, λείοις, ἢ μυροβάλανον, καὶ κυάμινον ἄλευρον, ἴσα λεάνας ἐν ὕδατι ἕψε, καὶ σμῆχε. Ἄλλο. ἀμυγδάλοις πικραῖς λελεπισμένοις μεθ' ὕδατος, ἢ ὄξους σμῆχε. ὅταν δὲ ξηρανθῶσιν αἱ τρίχες, ἀπόπλυνε θερμῷ. ἢ μαλάχην ἀγρίαν ἐν θαλάσσῃ ἑψήσας, μέχρι τὸ δέκατον λειφθῇ, λέαινε, καὶ σμῆχε. ἢ νίτρου ἀφρὸν, καὶ χάλκανθον, ἴσα μετ' οἴνου, χρῶ τρὶς, ἢ τετράκις τοῦ μηνός. τοῦτο ἐνεργεῖ, ὡς μὴ τὸ λοιπὸν γίνεσθαι. ἢ τρύγα οἴνου Ῥοδίου, ἢ κίσηριν, καὶ νίτρον, ἴσοις μετὰ θέρμων σμῆχε. ἢ κιμωλίᾳ μετὰ τήλεως ἀποβρέγματος, ἢ νίτρῳ ὀπτῷ, καὶ βολβῷ, τούτοις ἅμα ὅλοις ἴσοις σμῆχε. ἢ πίσσης ὑγρᾶς ὀρρὸν καταχρίσας, στυπτηρίαν ἐπίπασσε.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ φθειριάσεως.

Φθειρῶν γένεσις ἐν τῇ κεφαλῇ συμβαίνει τισὶν ἀθρόως. παμπόλλων ἐξ ὑγρῶν δηλονότι θερμῶν μὲν, οὐ μὴν εἰς τοσοῦτον ἡκόντων θερμότητος, εἰς ὅσον ἥκουσιν οἱ δριμεῖς ἰχῶρες, ὥστε δῆλόν ἐστιν ἐν τῷ βάθει τοῦ δέρματος γίνεσθαι τὴν διάθεσιν τῆς φθειριάσεως, ἔνθα καὶ γεννᾶσθαι τὰ ζῶα ταῦτα δυνατόν ἐστιν, οὐκ ἐπιπολῆς τοῦ δέρματος, ἐν ᾧ τὴν πιτυρίασιν ἐλέγομεν συνίστασθαι. φάρμακα τοίνυν αὐτῶν ἀναγκαῖον εἶναι ξηραντικὰ, καὶ μᾶλλον ἐκ τοῦ βάθους ἕλκειν τε, καὶ κενοῦν δυνάμενα τῶν πρὸς τὰς πιτυριάσεις ἁρμοττόντων. αὕτη μὲν ἡ μέθοδος αὐτῶν τῆς συνθέσεως. ἡ δὲ τῆς πεπειραμένης ὕλης, δεῖ γὰρ ἐν ἅπασιν, ὡς ἔφην, μάλιστα προσέχειν, καὶ θαρρεῖν τοῖς ὑπὸ τῆς πείρας μαρτυρηθεῖσιν, ἐν μὲν τῷ τρίτῳ τῶν Κρίτωνος κοσμητικῶν γέγραπται. προσθήσομεν δὲ καὶ νῦν, ἐγὼ τὰ τοῦ Ἀρχιγένους ὧδέ πως ἔχοντα κατὰ λέξιν.

A hæc verba adiecit: Hoc, inquit, adeo efficax est, vt neq; sinat in posterũ fieri. Crito quidẽ in tertio libro de ornatu, eiusmodi pharmacorũ syluã scripsit in principio statim ipsius libri. Quare velut paulo ante dixi minimè necessariũ est, me ipsa hic rursus describere, cũ omnes illius habeãt libros. Cæterũ quæ Archigenes scripsit, indicabo, ob id maximè, quòd quibusdã ex eis ascripserit, quòd nõ permittãt symptoma hoc rursus fieri. Scribit autem hoc modo suis ipsius verbis: Victus ratio constituatur flatus expers, nihil ex crassi succi cibis habẽs, quales sũt tubera, fũgi, bulbi, legumina, carnésq; maximè bubulæ, ac quę similia existũt. B Sint autẽ cibi, quibus vescũtur, boni succi, faciles cõcoctu, & mel iisdẽ addatur. Intinctus cõferũt, acetũ cũ sapa. Cõdimẽta, cuminũ, & fœniculũ: aliis parcè vtatur, & à bellariis omnibus maximè abstineãt. Vinũ conducit eis albũ, & tenue: voluptatis verò gratia dulce, & vinũ mulsũ. Ex fructibus optima est vua arefacta, deinde ficus, quibus ante cibũ reliquũ vesci præstat. Verũ ante omnia bonæ concoctionis cura habẽda est. Deãbulationes lenes plurimę & mane, & vesperi optimæ sunt. Lauatio ex frigida balneis præstat. Si verò quis calida lauit, incõgrua ei est lõgior in aëre mora: & perfusio capitis præ solio est C eligẽda, postea verò larga frigidæ affusione refrigerato. Dormire ad satietatẽ vsq; vtile est. Ira, indignatio, versatio in Sole, & vehemẽs refrigeratio vitãda, omnia itẽ, quæ caput replẽt. *Archigenis ad furfurationẽ capitis.* Quibus furfures caput occuparunt, his cũ fœnugræco, betæ succo, ac nitro, præfrictis, & extersis, cimoliã felle bubulo, aut suillo, acetóq; subactã illine. Deinde post horam ablue, atramẽtumq; sutoriũ, ac nitrũ cũ oleo trita illine. Aut myrobalanũ, & fabaceã farinã æquali põdere trita, in aqua coque, & affrica. *Aliud.* Amygdalas amaras decorticatas cũ aqua, aut aceto affrica, cũq; exaruerint capilli, calida ablue. D Aut maluã syluestrẽ aqua marina ad decimæ partis residuum coctã terito, & affricato. Aut nitri spumã, & atramentum sutorium, æquis partibus cum vino, ter aut quater in mense affricato; hoc adeo efficax est, vt neq; in posterum fiant. Aut vini Rhodij fæcem, & pumicem, & nitrum, pari pondere cum lupinis affrica. Aut cimoliam cum fœnigræci cremore adhibe. Aut nitrum assatum, & bulbum. Aut hæc omnia simul pari pondere læuigata affrica. Aut vbi picis liquidæ serum illeueris, alumen insperge.

E

CAPVT VII.

De morbo pediculari.

PEdiculorũ generatio quibusdã in capite contingit aceruatim, ex multis videlicet humoribus calidis quidẽ, sed non ad tantã caliditatẽ progressis, ad quantã perueniunt acres ichores. Quare manifestũ est, in profundo cutis pedicularis morbi affectionẽ fieri, vbi etiam animalia hæc generari possibile est, non in superficie cutis, in qua furfures cõsistere diximus. Pharmaca itaq; ipsorũ necessariò exiccantia sunt, & quæ ex alto trahere, ac euacuare possunt, magis vtiq; quã ea, quæ furfuribus F cõueniunt. Atq; hæc quidẽ Methodus est ea componendi. Verùm sylua eorũ, quæ experientia constant (oportet enim vt dixi, in omnibus maximè attendere, ac confidere his, quibus experimentum testimonium præbet) in tertio libro Critonis de ornatu scripta est. Apponam autem etiam nunc ego ab Archigene scripta hac serie verborum.

Remedia

Remedia morbi pedicularis. Morbo pediculari affe-ctis hæc cōferūt. ℞. Staphidis sylueſtris, partes ij. ſādarachæ, & nitri, vtriuſq; partē j. cū aceto, & oleo capiti illine. Aut Rheon, qui in obſonia additur, cū oleo tritū ſimiliter illinito. Aut oxylapathi, radicē cum oleo eodē modo. Aut veratrū album, & ſtaphidē ſylueſtrē, & nitrū, pari pōdere cum oleo in balneo adhibe. Aut aqua marina, aut muria meraca, cū aceto perfundito. Quòd ſi nuditas pilorū adſit, ſylueſtrē ſtaphidē, emplaſtri more cū oleo, & aceto imponito. Aut alumen tritum cum oleo illinito.

CAPVT VIII.

De achoribus.

INter affectiones cutis capitis connumeratur quoq; ea quæ Achor appellatur, ex genere tumorū præter naturā exiſtēs: propriā autē & ſingularē appellationē nacta, ob ſymptomatū, quę ad eā cōſequuntur, proprietatē: valde enim tenuibus foraminibus eroditur, quę tenuem in ſe humorē modicè viſcoſum cōplectūtur. Ad ſimilitudinē verò eius proximè accedit, alia cutis affectio, quæ Fauus vocatur: maiora tantū foramina habens, in quibus humor melli, quod eſt in fauis, ſimilis continetur. Generatio ipſis ex humore mixto eſt, qui partim tenuem ſeroſúmq; ac mordacē, partim verò craſſum ſuccū, in ſe habet. Tenuis itaq; humor, vtpote mordax, primū quidem ad ſcalpendū ipſos impellit, progreſſu verò tēporis, ad ſcalpturā tum tumor augeſcit, tum foramina in ipſo erūpunt. Manifeſtū igitur eſt, euacuare oportere humores affectionem ipſam efficientes. Qui ſi etiam influant amplius, prohibendus primū eſt ipſorū influxus per capitis euacuationē, atq; totius corporis purgationem, velut in alopeciis eſt proditū. At verò ſi parua affectio exiſtat, ſola topica & localia appellata remedia quæ ſcilicet locis affectis adhibentur) citra totius corporis euacuationē, ſuffecerint. Cōuenient autē ipſis ob craſſitiem videlicet, & viſcoſitatē humoris eas generātis, pharmaca quæ ipſū incidant, quæq; facultate ſua neceſſariò diſcutiant, & repellāt. Atqui acetū ex incidentiū ordine exiſtens, vltra hoc, quod diſcutit, præcipuum quiddā in ſe habet, quo reprimit, ac quod influit, depellit, vtpote quod ſubſtātia ſua parum calidū eſt, plurimū verò frigidū, & partiū tenuiū: tali namq; facultate præditū eſſe, in primo De ſimpliciū medicamentorū facultate demōſtratū eſt. Sit itaq; acetū exquiſitè acidū, in quo nulla penitus vini qualitas appareat: hoc ipſo ſanè pharmaca metallica appellata, modo hoc, modo aliud imbues, achoribúſq; ex eis medeberis. Incipere autē ab imbecillioribus præſtat, præſertim ſi dolor ſimul ipſis adſit, Cimolia igitur ad hāc rē apta eſt, & Cretica, Lēniaq. terra, & ſamia, pōpholyx q; & ſpodiū, ſpuma argenti, & cadmia tenella. Quòd ſi neq; ex his quieſcat malū, pharmacum ex charta ſiccū aceto dilutū illinito. Neq; obſcurū eſt, tollendos prius capillos, antequā talia admoueas. Si verò acrius tibi ex charta pharmacum appareat, miſcebis ipſi argenti ſpumam, ſiquidem abūdè mordacitatē eius exoluere velis, pari copia: ſi verò pauxillum mitigare velis, minori: quemadmodū etiam ſi plurimū eius vim exoluere placeat, maiorem eius copiam addes. Porrò quum aliquādo ruri degenti mihi pharmacum ex charta ad manum non eſſet, conſpecta in ægri domo inutili aliàs charta, faculam poſtulaui, exuſtaque charta,

A βοηθήματα φθειριάσεως. ἐπὶ δὲ φθειριώντων, ℞. σαφίδος ἀγρίας μέρη δύο, σανδαράχης καὶ νίτρου, ἀνὰ μέρος α΄. σὺν ὄξει καὶ ἐλαίῳ ἄλειφε τὴν κεφαλήν. ἢ ῥοῦν τὸ ἐπὶ τὰ ὄψα, σὺν ἐλαίῳ λεάνας, ἄλειφε ὁμοίως. ἢ ὀξυλαπάθου ῥίζαν, μετ' ἐλαίου ὁμοίως. ἢ ἐλλέβορον λευκόν, καὶ σαφίδα ἀγρίαν, καὶ νίτρον, ἴσα μετ' ἐλαίου ἐν βαλανείῳ χρῶ. ἢ ἐν θαλάσσῃ, ἢ ἐν ἅλμῃ ἀκράτῳ, μετ' ὄξους καταντλεῖ. εἰ δὲ ἐψίλωται, τῇ ἀγρίᾳ σαφίδι, μετ' ὀξελαίου κατάπλασσε. ἢ στυπτηρίαν λείαν, μετ' ἐλαίου κατάχριε.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ ἀχώρων.

B ΕΝ τι τῶν ἐν τῷ δέρματι τῆς κεφαλῆς γιγνομένων παθῶν ἐστιν ὁ καλούμενος ἀχώρ, ἐκ μὲν τοῦ γένους τῶν παρὰ φύσιν ὄγκων ὑπάρχων, ἰδίας δὲ ἐξαιρέτου προσηγορίας τυχών, ἐπὶ τῇ τῶν συμπτωμάτων ἰδιότητι. λεπτοῖς γὰρ πάνυ τρήμασι κατατιτρᾶται, νοτίδα λεπτὴν ἔχουσιν ὑγρότητος ἀτρέμα γλίσχρου. πλησιάζει δὲ αὐτῷ κατὰ τὴν ἰδέαν, ἕτερον πάθος τοῦ δέρματος, ὃ καλοῦσι κηρίον, ἐπεὶ τὰς κατατρήσεις ἔχει μείζονας, ὑγρότητά τε περιεχούσας ὑμηττίῳ μέλιτι παραπλησίαν. C ἡ γένεσις δ' αὐτοῖς, ἐξ ὑγρότητός ἐστι μικτῆς, τὸ μέν τι λεπτὸν ἰχῶρα δακνώδη, τὸ δέ τι παχὺν ἐχούσης χυμόν. ὁ μὲν οὖν λεπτὸς, ἅτε δακνώδης ὤν, τὰ μὲν πρῶτα κνησιᾶν αὐτὰς ἀναγκάζει, τῷ χρόνῳ δ' ἐπὶ ταῖς κνήσεσιν, ὅ τ' ὄγκος αὐξάνεται, τά τε τρήματα κατ' αὐτὸν συνίσταται. δῆλον οὖν ὅτι κενῶσαι χρὴ τοὺς ἐργαζομένους τὸ πάθημα χυμούς. εἰ δὲ ἐπιρρέοιεν ἔτι, κωλῦσαι πρότερον τὴν ἐπιρροὴν, τῇ τε τῆς κεφαλῆς κενώσει, καὶ πρὸς αὐτοῖς, ὅλου τοῦ σώματος, ὡς ἐπὶ τῶν ἀλωπεκιῶν προείρηται. μικροῦ D δὲ τοῦ παθήματος ὄντος, ἀρκεῖ πολλάκις μόνα τὰ τοπικά τε καὶ μερικὰ προσαγορευόμενα, χωρὶς τῆς τοῦ παντὸς σώματος κενώσεως. ἁρμόσει δ' αὐτοῖς, διὰ μὲν τὸ πάχος, καὶ τὸ γλίσχρον τοῦ γεννῶντος αὐτοὺς χυμοῦ, τὰ τέμνοντα τοῦτο φάρμακα. τῇ δυνάμει δὲ αὐτῶν ὑπάρχοντα, ἐξ ἀνάγκης τοῦ διαφορεῖν καὶ ἀναστέλλειν, καὶ τῷ ὄξει δὲ ἐξαίρετόν τι πρόσεστιν ἐκ τῶν τεμνόντων ὄντι, πρὸς τῷ διαφορεῖν, ἀναστέλλειν τε καὶ ἀποκρούεσθαι τὸ ἐπιρρέον, ὡς ἂν ἔχοντι μὲν κατὰ τὴν οὐσίαν ὀλίγον θερμὸν, ἔχοντι δὲ τὸ πλεῖστον αὐτῆς ψυχρὸν λεπτομερές. ἐδείχθη γὰρ ὂν τοιοῦτον ἐν τῷ πρώτῳ περὶ τῆς ἁπλῶν E φαρμάκων δυνάμεως. ἔστω τοιγαροῦν ὀξὺ τὸ ὄξος ἀκριβῶς, οὐδὲν ὅλως ἐμφαῖνον οἴνου ποιότητος, καὶ τοῦτο δεύων ἄλλοτε ἄλλῳ τῶν μεταλλικῶν ὀνομαζομένων φαρμάκων, ἰάσῃ τοὺς ἀχῶρας. ἄρξαι δὲ ἀπὸ τῶν ἀσθενεστέρων, καὶ μάλιστ' ἂν ὀδύνη τις αὐτοῖς συνῇ. κιμωλία τε οὖν ἐπιτήδειος εἰς τοῦτο, καὶ ἡ Κρητικὴ, καὶ ἡ Λημνία γῆ, πομφόλυξ τε καὶ σποδιὸν, καὶ λιθάργυρος, ἤ θ' ἁπαλὴ καδμεία. μὴ παυομένου δ' ἐπὶ τούτοις, τὸ διὰ τοῦ χάρτου φάρμακον ξηρὸν ὄξει δεύσας, ἐπίχριε. δῆλον δ' ὅτι περιαφελὼν τὰς τρίχας, ταῦτα πράξεις. ἐὰν δὲ δριμύτερόν σοι φαίνοιτο τὸ διὰ χάρτου, μίξεις αὐτῷ F λιθάργυρον. εἰ μὲν αὐτάρκως ἐκλῦσαι βούλοιο τὴν δῆξιν αὐτοῦ, τὴν ἴσην ἐν ὄγκῳ μίξεις. εἰ δ' ἐπιτεῖναι βούλοιο, βραχέως ἐλάττονα, καθάπερ εἰ καὶ πλεῖστον ἐκλῦσαι βουληθείης, πλέονα. μὴ παρόντος δέ μοι τοῦ διὰ χάρτου ποτὲ κατ' ἀγρὸν, ἐπὶ τῆς τοῦ πάσχοντος οἰκήσεως θεασάμενος χαρτίον ἀχρεῖον, αἰτήσας ἐλλύχνιον, εἶτα καύσας τὸ χαρτίον,

καὶ δεύσας ὄξει, κατέχρισα τὸν πεπονθότα τόπον, ἀξιώσας τὸν ἄνθρωπον ἥκειν εἰς ἐμὲ κατὰ τὴν ὑστεραίαν. ᾔδειν γὰρ ἔτι σκληρόσαρκος ὤν, οἴσει τὸ φάρμακον. ὡς δὲ ἀφικόμενος ὀλίγου δεῖν τεθεράπευτο, μεταβῆναι μὲν ἐφ' ἕτερον, οὐκέτ' ἐδικαίωσα. τῷ δ' αὐτῷ χρῆσθαι συμβουλεύσας, ὑγιῆ τελέως ἐθεασάμην γεγονότα κατὰ τὴν ὑστεραίαν. συνετοῦ οὖν ἀνδρὸς ἐστὶ χρεία, καθάπερ εἴρηται πολλάκις, ἐπιστήμονός τε, τῆς τε τῶν θεραπευομένων παθῶν οὐσίας, καὶ τῆς τοῦ κάμνοντος φύσεως, ὥσπερ γε καὶ τῆς δυνάμεως τῶν φαρμάκων, οὐ κατὰ τὸ γένος μόνον, ἀλλὰ καὶ κατὰ τὴν ποσότητα γιγνώσκειν, ὡς στοχάζεσθαι καθ' ἡμέραν ἑκάστην, ὁποίου δεῖται βοηθήματος. B ἐν γὰρ τῷ τὸ προσενηνεγμένον ἐπὶ τῆς προτεραίας φάρμακον, ἐπιτείνειν, ἢ ἐκλύειν εἰς ὅσον ὑπαγορεύει τὸ πάθος, ἡ προσήκουσα θεραπεία γίνεται. Πρὸς ἀχῶρας φλεγμαίνοντας. ἐὰν δέ ποτε περιπέσῃς ἀχῶρι φλεγμονώδει τε καὶ ὀδυνώδει, παρηγορήσεις δηλονότι τὴν ὀδύνην αὐτοῦ πρότερον ὑγρῷ φαρμάκῳ, πεπτικῷ τε, καὶ μαλακτικῷ, καὶ ἀδήκτῳ, ὁποῖόν ἐστι τὸ πάρυγρον, ὑπό τε Ἥρα καὶ ἄλλων πολλῶν γεγραμμένον. εὔδηλον δ' ὅτι τοῦτο αὐτὸ μαλάξας ἐπὶ τῆς χειρὸς διὰ σπαθομήλης ἅμα ῥοδίνῳ, καὶ ποιήσας ἐπίχριστον, οὐκ ἔμπλαστον, οἷον ἐξ ἀρχῆς ἦν, ἐπιθήσεις. C ἐπιτήδεια δὲ ἐν τῷ τοιούτῳ καιρῷ, καὶ τὰ πρὸς τὰς ὀδυνωμένας ἐφ' ἕλκεσιν, ἢ ῥήξεσιν ἕδρας ἁρμόττοντα, περὶ ὧν εἰρήσεται κατὰ τὸν οἰκεῖον λόγον, ἢ καιρὸν, ὥσπερ γε καὶ τὰ τοῖς καρκίνοις παρηγοροῦντα. ταῦτα οὖν ἅπαντα προεσκεμμένῳ σοι, καὶ ἡ τῶν κατὰ μέρος φαρμάκων ποικιλία γνωσθήσεται χρησίμως. ἧς ἄρξομαι κἀγὼ, τὰ παρὰ τοῖς ἀρίστοις ἰατροῖς ἐπῃνημένα φάρμακα γράψας ἐφεξῆς.

Περὶ ἀχώρων Ἀρχιγένους.

D Ἃ ἔγραψεν Ἀρχιγένης περὶ ἀχώρων, ἐν τῷ πρώτῳ περὶ τῶν κατὰ γένος φαρμάκων. ἐφ' ὧν δὲ ἀχῶρες, ἢ ἐκζέσματα, ἢ ἐξανθήσεις τινές εἰσι περὶ τὴν κεφαλὴν μεθ' ἑλκώσεως, ἀπεχέσθωσαν μὲν παντὸς δριμέος τε καὶ ἁλμυροῦ, ἔτι δὲ ὄξεος. εἶτα ξυρήσας τὰς τρίχας, ἢ τρὶς, ἢ πλεονάκις ἑκάστης ἡμέρας πλυνέας θερμῷ, ἐναφεψημένης μυρσίνης, ἢ σχίνου, ἢ βάτου, ἢ βρυωνίας, ἢ συκαμίνου, ἢ θέρμων, ἢ φακῶν, ἢ ἀσπαράγου ῥίζης, καὶ μάλιστα ὅταν ἰχῶρες πλείονες ἐκρέωσιν, κατάπλασσε ἰτέας φύλλοις μεθ' ὕδατος, ἢ φακῷ μετὰ μέλιτος, ἢ ἀσπαράγου ῥίζῃ ἑφθῇ ὁμοίως, ἢ μίξας τῆλιν ἐν E τεύτλου χυλῷ βεβρεγμένην, χρῶ ταῖς πεπειραμέναις λιπαραῖς. Ἄλλο ἄκρως ποιοῦν. πίτυος φλοιὸς μετὰ κηρωτῆς, ἢ καδμία μετ' ἐλαίου παλαιοῦ καταχριομένη, ἢ κιννάβαρι ὁμοίως κατάπλασσε λεῖον, μίξας αὐτῷ μύρτα, ἢ κόγχας ὀστρέων κεκαυμένας, ἕκαστον αὐτῶν μετὰ παλαιοῦ ἐλαίου κατάχριε, ἢ σποδὸν καὶ μάνναν ἐν οἴνῳ. εὐτόνως ποιεῖ καὶ χαλκῖτις, μετ' ὄξους καὶ ἐλαίου παλαιοῦ καταχριομένη. ἢ τεύτλου ἀφεψήματι μετ' ὀλίγης κιμωλίας, ἐν βαλανείῳ μίξας ἅλας καὶ οἶνον. ἢ ὑοσκύαμον καὶ ἀείζωον μικρὸν, λεῖα σὺν ῥοδίνῳ, μελιτῶδες ποιῶν κατάχριε. ἢ καθάρας τὰ ἕλκη τινὶ τῶν σμηγμάτων, γῆν κιμωλίαν πεφρυγμένην σὺν οἴνῳ, ἢ F τρύγα οἴνου ῥοδίου κεκαυμένην σὺν ὄξει παλαιῷ καλῶς, ἢ σικύου ἀγρίου ῥίζης ἀφεψήματι, καταντλεῖ. ἢ τραγάκανθαν, ἢ λιθάργυρον, ἢ σανδαράχης τὸ διπλοῦν σὺν οἴνῳ, ἢ καὶ μυρσίνῳ, ὡς λιπαρῷ κατάχριε. ἢ λιθαργύρῳ, καὶ ἀσβέστῳ, ἴσοις, μετ' ὄξους καὶ ἐλαίου κατάχριε. ἢ χαλκίτει μετὰ μυρσίνου,

A ac aceto diluta, partem affectam illeui hominémq; ad me postridie venire iussi: sciebam enim, quòd quum duræ carnis esset, pharmacum ferre posset: qui vbi venisset, parum aberat quin curatus esset: quare ad aliud pharmacum non transiui, sed eodē vti iussum, postera die perfectè sanitati restitutum cōspexi. Prudenti igitur viro, quod sæpe iam dixi, opus est: & qui tum curandorum morborum substantiam, tum ægri naturam, probè norit. Insuperque pharmacorum facultatē non iuxta genus tantum, sed & iuxta quantitatem, cognoscat, quo singulis diebus quali præsidio opus sit, coniectet. In B extendenda enim, aut exoluenda pharmaci, quod prioribus diebus admotum fuit, facultate, in quantum sanè affectio ipsa indicat, congrua curatio consistit. *Ad Achoras inflammatos.* Quòd si quando in vlcus manans inflammatum simul, & dolorosum incidas, lenies primum per humidum concoctoriumque, ac emolliens, & acrimoniam arcens pharmacum dolorem. Tale autem est parygrum appellatum, ab Hera aliisque plurimis descriptum. Satis manifestum autem est, quod ipsum in manu per specillum latum cum rosaceo emollitum, & ad vnguenti formam redactum, non emplastri forma, qualem à principio habebat, adhi- C bere oportet. Conueniunt etiam hoc tempore ea, quæ ad sedem ex vlceribus, aut rupturis dolentem faciunt, de quibus priuatim destinato sermone, ac tempore dicetur. Sicut etiam conueniunt ea, quæ cancros mitigant. Hæc igitur omnia vbi prius consideraueris, etiam particularem pharmacorum varietatem vtiliter cognosces. De qua ego quoque dicere aggrediar, medicamenta apud præstantissimum quenque medicum laudata, ordine scripturus.

De Achoribus Archigenis.

D Archigenes in primo de medicamētis secūdum genus, ad Achoras sic scripsit: In quibus Achores, aut papulæ feruidæ, aut eruptiones circa caput vlcerosæ sunt, ab omni acri, & salso abstineāt, itēq; aceto. Deinde derasis capillis, aut ter, aut sæpius quotidie ex calida, in qua myrtus, aut lentiscus, aut rubus, aut bryonia, aut sycomorus, aut lupini, aut lētes, aut asparagi radix, incocta sint, lotis. & maximè, vbi multa sanies effluxerit, salicis folia ex aqua emplastri more apponito: aut lētē cū melle, aut asparagi radicē coctā eodē modo. Aut fœnūgræcū betæ succo maceratū pinguibus emplastris vsu co- E gnitis admisceto, ac vtitor. *Aliud præclarè faciens.* Pinus corticē cū aceto. Aut cadmiā cū oleo veteri illinito. Aut cinnabari similiter emplastri more vtere leuigato. Licebit & myrti baccas, aut hordeū vstū, aut argēti spumā, aut cerussam, aut ostreorum testas vstas, admiscere: singula etiā cū oleo veteri illinire. Aut cinerulā, & mannam ex vino. Egregiè cōstanter facit, & chalcitis cū aceto, & oleo veteri illita. Aut betæ decoctū cū exigua cimolia, sale, & vino admixtis in balneo affrica. Aut hyoscyamū, & sēperuiuū minus, trita cū rosaceo mellis spissitudine illine. Aut vlceribus ex smegmate quopiā F repurgatis, terrā cimoliam torrefactā cū vino, aut fæcem vini Rhodij vstam cum aceto veteri. aut radicis cucumeris syluestris decoctū adfundito, ac proluito, aut tragacanthā aut argenti spumam, aut sandarachæ duplū, cum vino, aut etiam cum oleo myrteo, aut pingui quopiam illinito. Aut argenti spumam, & calcem pari pondere cum aceto, & oleo illine. Aut chalcitidem cum myrteo oleo,

vel

vel suillo felle liquido, illine: Hæc quidẽ Archigenes scripsit, doctrinã tradens non modò Empiricam, sed etiam indefinitam. Inuenire itaq; est apud Empiricos, qui sanè non in contentiosis sermonibus vitã contriuerũt, sed in medicæ artis operibus diligenter versati sunt, quòd in quibusdã apparentibus cognitionibus euidẽtia discrimina retulerũt, qualia & ego paulo ante in alopecia feci. Dico autẽ & nũc in his, quę Archigenes scripsit medicamentis. Quædam enim ex eis incipientes achoras, citra cacochymiam in vniuerso corpore, aut plethoram, sanant; astringentẽ nimirum, & repellentẽ facultatem habentia. Quædam verò vbi magnum quoddam malum minantur Achores, eos augeri prohibent, simul, & quod influit repellentia, simulque quod iam in eis continetur concoquentia, & discutientia, quæ euidens est, mixtæ facultatis esse oportere. Quædã autem eis, quæ in superficie hærent, paruisq; tantum auxiliantur, quæ moderatis viribus prædita esse oportet, & nihil, quod irritet, habere, ex discussoria nimirum facultate. Alia autẽ viribus omninò robustissima sunt, adeò vt etiam Achoras ex crassis, ac viscosis humoribus obortos, ineluibiliterq; cuti infartos euacuare possint, atq; id adeo validè, vt etiam si obduratũ quid habeant, id ipsum deturbare valeant, quamuis morbus ipsum cutis habitum adeo vitiet, vt quod influit corrumpatur, etiam si vtile id existat. Hæc autem sunt ex efficacissimis medicamentis composita, quale retulit Archigenes vbi salem ad reliqua discussoria admiscet. Sal enim, & chalcitis, & vini fæx vsta, & sandaracha, & calx viua, fortissima viribus medicamenta sunt, calefacientia, mordentia, & discutientia. Eius generis est etiam fel calidorum, & siccorum animalium, quorum non meminit Archigenes, sed vnius suilli tantum, quod omnium moderatissimum existit: ad cuius facultatẽ etiam proximè cinnabari accedit. Propinquum deinde locum habent conchæ vstæ, & hordeum, & post hæc oleum vetustum. Quemadmodũ autem hæc emouent, secant, & discutiunt violenter impactum, sic repellunt astringentia aliqua quidem simpliciter citra contrariæ facultatis admixtionẽ, aliqua verò per dominium astringentis in eis facultatis. Myrti quidem earumque baccæ. & pinus cortex, ex eorũ numero sunt, quæ non habent contrariæ facultatis admixtionem, velut etiam rubus, & sycomorus, quamuis moderatius astringant, quàm myrti, earúmque baccæ, sed tamen astringendi vim sensibiliter in se habẽt. Mixtæ autẽ facultatis est oleum myrteum: nam & ex oleo, & ex baccarum myrti, aut ipsius etiam myrti succo, est compositum. Oleum autem ipsum, emollientem habet facultatem, Myrtus autem, eiusque baccæ astringentem, non mollire, sed cogere, & stringere natam. Rosaceum item quãquam minus, quã myrteum astringat, tamen, & ipsũ mixtæ facultatis existit. Quemadmodum autem hæc per præparationem mixtas vires habent, sic alia sponte naturæ talia sunt, velut lentiscus, cyperus, & lentes, quod ipsum in sermone de his est demonstratum. Cæterùm discussoria, & repurgatoria, citra sensibilem caliditatem facultate præstant ex eis, quæ iam Archigenes retulit, beta ipsa, & cimolia vsta: priusquam verò vratur, imbecillior viribus quàm beta est. Sed fortior his est cucumeris, & bryoniæ, ac asparagi facultas. Spuma verò argenti præstantius quidem, quàm cimolia vsta pharmacum est, multum verò debilius quã ad propositæ affectionis sufficiat medelã.

A ἢ χολῇ ὑείᾳ ὑγρᾷ καταχρίε. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν, οὐ μόνον ἐμπειρικὴν ποιησάμενος διδασκαλίαν, ἀλλὰ καὶ ἀδιόριστον. εὑρεῖν γοῦν ἐστι παρὰ τοῖς ἐμπειρικοῖς, ὅσοι γε αὐτῶν οὐκ ἐν λόγοις ἐριστικοῖς κατέτριψαν τὸν βίον, ἀλλ' ἐν τοῖς τῆς ἰατρικῆς τέχνης ἔργοις φιλοπόνως ἐγυμνάσθησαν, ἐπί τισι φαινομένοις γνωρίσμασιν ἐναργεῖς διορισμοὺς εἰρημένους, ὁποίους κἀγὼ μικρὸν ἔμπροσθεν ἐπὶ τῆς ἀλωπεκίας ἐποιησάμην, ἐρῶ δὲ καὶ νῦν ἐπ' αὐτῶν, ὧν Ἀρχιγένης ἔγραψεν φαρμάκων. ἔνια μὲν γὰρ αὐτῶν ἀχῶρας ἀρχομένους ἄνευ τῆς ἐν ὅλῳ τῷ σώματι κακοχυμίας, ἢ πλήθους, ἰᾶται, B στυπτικήν τε καὶ ἀποκρουστικὴν ἔχοντα δύναμιν. ἔνια δ' ἀπειλὴν μεγάλην ἐχόντων τῶν ἀχώρων, ἐνίσταται ταῖς αὐξήσεσιν, ἅμα μὲν ἀποκρουόμενα τὸ ἐπιῤῥέον, ἅμα δὲ καὶ συμπέττοντα, καὶ διαφοροῦντα τὸ περιεχόμενον, εὔδηλον δ' ὅτι μικτῆς εἶναι χρὴ δυνάμεως. ἔνια δὲ τοῖς ἐπιπολῆς, καὶ μικροῖς ἀρήγει μόνοις, ἃ χρὴ μέτρια ταῖς δυνάμεσιν εἶναι, καὶ μηδὲν ἐρεθιστικὸν ἔχοντα ἐκ τῆς διαφορητικῆς ὄντα δυνάμεως. ἄλλα δὲ ἰσχυρότατα ταῖς δυνάμεσίν ἐστιν, ὡς καὶ τοὺς ὑπὸ παχέων πάνυ, καὶ γλίσχρων ὑγρῶν γεγονότας ἀχῶρας, ἐμπεπλασμένους τε δυσεκνίπτως τῷ δέρματι δύνασθαι κενοῦν, C ὥστε κἂν ἤδη σκιῤῥῶδές ἔχωσί τι, καὶ τοῦτο ἐκμοχλεύειν, κἂν αὐτὴν τὴν ἕξιν τοῦ δέρματος εἰς καχεξίαν τοιαύτην ἄγῃ, ὡς διαφθείρειν τὸ ἐπιῤῥέον, εἰ καὶ χρηστὸν εἴη. ταῦτα δέ ἐστι τὰ ἐκ τῶν δραστικωτάτων συγκείμενα φαρμάκων, ὁποίων ἐμνημόνευσεν ὁ Ἀρχιγένης, ἀναμίξας τοὺς ἅλας τοῖς ἄλλοις διαφορητικοῖς. ἅλες γὰρ καὶ χαλκῖτις, καὶ ἡ κεκαυμένη τρὺξ οἴνου, καὶ ἡ σανδαράχη, καὶ ἡ ἀκατάσβεστος τίτανος, ἰσχυρότατα ταῖς δυνάμεσι φάρμακα, θερμαίνοντά τε καὶ δάκνοντα, καὶ διαφοροῦντα. τούτου δὲ τοῦ γένους εἰσὶ, καὶ αἱ χολαὶ τῶν θερμῶν, καὶ ξηρῶν ζώων, ὧν οὐκ ἐμνημόνευσεν ὁ Ἀρ- D χιγένης, ἀλλὰ τῆς ὑείας μόνης ἁπασῶν οὔσης μετριωτάτης, ἧς κατὰ τὴν δύναμίν ἐστι, καὶ τὸ κιννάβαρι. πλησίον δὲ αὐτοῦ, αἵ τε κεκαυμέναι κόγχαι, καὶ αἱ κριθαὶ, καὶ μετὰ ταῦτα τὸ παλαιὸν ἔλαιον. ὥσπερ δὲ ταῦτα μοχλεύει, καὶ τέμνει, καὶ διαφορεῖ τὸ βιαίως ἐσφηνωμένον, οὕτως ἀποκρούεται τὰ στύφοντα, τὰ μὲν ἁπλῶς ὄντα ἄμικτα ταῖς ἐναντίαις δυνάμεσι, τὰ δὲ ἐπικρατείᾳ τῆς στυφούσης. μυρσίναι μὲν γὰρ καὶ μύρτα, καὶ ὁ τῆς πίτυος φλοιὸς, τῶν ἀμίκτων ἐστὶν ἐναντίαις δυνάμεσιν, ὥσπερ καὶ ἡ βάτος, καὶ ἡ συκάμινος εἰ καὶ μετριωτέρας στύψεως, ἢ κατὰ τὰ μύρτα, καὶ μυρσίνας, ἀλλὰ E μετέχει γε ταύτης αἰσθητῶς. μικτῆς δὲ δυνάμεως τὸ μύρσινόν ἐστιν ἐξ ἐλαίου τε καὶ τοῦ τῶν μύρτων, ἢ τῆς μυρσίνης χυλοῦ συγκείμενον, ὧν τὸ μὲν ἔλαιον μαλακτικῆς ἐστι δυνάμεως. ἡ μυρσίνη δὲ, καὶ τὰ μύρτα τῆς στυπτικῆς, οὐ μαλάττειν, ἀλλὰ συνάγειν καὶ σφίγγειν πεφυκυίας. ἔστι δὲ τὸ ῥόδινον, ἀσθενεστέραν μὲν ἔχον τὴν στύψιν, ἢ κατὰ τὸ μύρσινον, ὅμως γοῦν καὶ αὐτὸ μικτῆς δυνάμεώς ἐστιν. ὥσπερ δὲ ταῦτα ταῖς σκευασίαις ἔσχε μικτὰς δυνάμεις, οὕτως αὐτοφυῶς ἕτερα, καθάπερ ἡ σχῖνός τε καὶ ἡ κύπερος, καὶ οἱ φακοὶ, δέδεικται γὰρ ἐν τῷ περὶ αὐτῶν λόγῳ τοῦτο. διαφορητικῆς δὲ καὶ ῥυπτικῆς ἄνευ θερμα- F σίας αἰσθητῆς ἐστι δυνάμεως, ὧν ἐμνημόνευσεν ὁ Ἀρχιγένης ἄρτι. τὸ τεῦτλόν τε καὶ ἡ κεκαυμένη κιμωλία· πρὶν δὲ καυθῆναι ἀσθενεστέρα τῆς τοῦ τεύτλου δυνάμεως, ἀλλ' ἰσχυροτέρα ἐστὶν ἡ τοῦ σικύου, καὶ ἡ τῆς βρυωνίας, καὶ ἡ τοῦ ἀσπαράγου. λιθάργυρος δὲ κιμωλίας μὲν ἀκαύστου γενναιότερον φάρμακον, ἀσθενέστερον δὲ πολλῷ τῆς τοῦ προκειμένου πάθους ἰάσεως.

ἡ καδμεία δὲ σύμμετρος ἐπὶ τῶν μέσων κατὰ μέγεθος ἀχώρων. ἀδήκτως δὲ ξηραίνει τὸ σπόδιον, ἡ δὲ μάννα, καὶ πέττει. τὸ ἔλαιον δὲ, ὡς εἶπον ἄρτι, χαλαστικῆς μὲν ἐστι δυνάμεως, ἀλλ' οὐκ ἰσχυρᾶς γε ταύτης, καὶ διὰ τοῦτο δυσνίκητον γίγνεται κατὰ τὴν μίξιν, ὡς μετὰ μὲν τῶν ἐμπλαστικῶν καὶ ψυκτικῶν, οἷόν ἐστι τὸ ψιμμύθιον, ἐκεῖνο μᾶλλον ἐγχωρεῖ ἐπιδείκνυσθαι τὴν ἑαυτοῦ δύναμιν, ὡς συνάγειν τε καὶ πιλοῦν, καὶ σφίγγειν τὴν οὐσίαν, ὧν ἅπτεται σωμάτων. ἀναμέμικται δὲ ταῦτα πάντα κατὰ τὸν Ἀρχιγένους λόγον, οὔτε ἐπὶ ποίων ἀχώρων, οὔτε πότε χρηστέον ἑκάστῳ διελόμενος αὐτοῦ. χρῆται δὲ καὶ οἴνῳ κατὰ τὸν λόγον, οὐ προσθεὶς ὁποίῳ, καίτοι παμπόλλη διαφορὰ καὶ κατὰ τοὺς οἴνους ἐστί. ὁ μὲν γάρ τις αὐστηρὸς, ὁ δὲ στρυφνὸς, ὁ δὲ γλυκὺς, ὁ δὲ δριμὺς ὑπάρχει σαφῶς. ἔνιοι δὲ καὶ πλείους ἅμα ποιότητας ἐμφαίνουσιν, ἔχοντές τέ τι καὶ γλυκὺ, καὶ στῦφον, καὶ δριμύ. ὅταν οὖν ἁπλῶς τις γράφῃ, δεῦσαι οἴνῳ τόδε τι, στοχάζεσθαι χρὴ τὸν ἀναγιγνώσκοντα, τίνα σκοπὸν ἡ σύνθεσις ἔχει τοῦ φαρμάκου, καὶ πρὸς τοῦτον ἀποβλέποντα, τὸν ἐπιτήδειον αἱρεῖσθαι, στύφοντα μὲν, ἐφ' ὧν ἀποκρούσασθαι βούλει, δριμὺν δὲ, ἐφ' ὧν διαφορῆσαι, καὶ τοῖς ἄλλοις, ὡς ἑκάστου τὴν δύναμιν ἐδηλώσαμεν, ἔνθα περὶ διαφορᾶς τῶν οἴνων ἐδιδάσκομεν. ὄξος δὲ ἐπιτηδειότατόν ἐστιν ἐν παντὶ καιρῷ πρὸς ἀχῶρας, ὡς ἂν καὶ τέμνον τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς, καὶ διαφοροῦν, ἀποκρουόμενόν τε τὸ ἐπιρρέον. οὐκ αὐτῷ δὲ δηλονότι μόνῳ καθ' ἑαυτὸ χρήσαιτ' ἄν τις, εἴ γε μὴ καταντλῆσαί τε καὶ καταπλῦναι βουλόμενος ἀχῶρας, ἀλλὰ δεύων αὐτῷ φάρμακα, μέτρια μὲν ἐφ' ὧν ἄρχεταί τε καὶ μικρόν ἐστι τὸ πάθος, ἰσχυρὰ δὲ ἐπὶ τῶν μειζόνων τε καὶ χρονιωτέρων. ἰσχυρότερα δὲ ἐπὶ τῶν χρονιωτάτων τε καὶ δυσιατοτάτων. ἡ διαφορὰ δὲ ἡ κατὰ τὴν ἰσχὺν τῶν φαρμάκων, ἄρτι μοι προείρηται. τῶν δὲ εἰρημένων ὑπὸ Ἀρχιγένους φαρμάκων, οὐδ' ὅλως ἂν χρησαίμην ἀειζώῳ τε καὶ ψιμμυθίῳ. τὸ μὲν γὰρ ἐμψύχει γενναιότερον, ἢ προσήκει ψύχεσθαι τοὺς ἀρχομένους ἀχῶρας. τὸ δὲ ψιμμύθιον, ὀλίγην μὲν ἔχει τὴν ψύξιν, ἀλλ' ἔστι τῶν ἐμπλαστικῶν φαρμάκων, ἀντ' αὐτοῦ δὲ χρῆσθαι πάρεστι σποδίῳ τε καὶ πομφόλυγι.

A Cadmia autē moderatè habet ad mediæ magnitudinis achoras. Citra mordacitatem verò resiccat cinerula. Manna autē etiam cōcoquit. Oleum verò, vt iam dixi, laxantē quidē habet vim, sed eam non adeo fortem, atq; ob id per mixtionem facilè exuperatur. Itaq; vbi fuerit cū obducentibus meatus, & refrigerantibus permixtū, velut est cerussa, possibile est hoc magis vim suam demōstrare, quæ est cogere, obstruere, & astringere substantiā corporū, quæ cōtingit. Porrò hæc omnia in Archigenis sermone confusa sunt, neq; in quibus achoribus, neq; quādo eis vtendū sit, ipso demonstrante.

B Vtitur autē, & vino in eodē sermone, neq; apponit quale probet. Atqui multiplex circa vinum differentia existit. Aliud enim austerū, aliud acerbū, aliud dulce, aliud acre manifestè est: aliqua etiā plures qualitates simul ex se ostendunt, nimirū, & dulce quippiam, & astringēs, & acre cōplectentia. Quādo igitur simpliciter quis scribat, dilui debere quippiam vino, lectorē coniectare oportet, quem scopū pharmaci cōpositio habeat, & ad illū respiciendo, id quod aptū fuerit vinum eligere. Astringens quidem vbi repellere velit, acre verò in quibus discutere. Reliquis item vtetur, quemadmodū vniuscuiusq; vim demonstrauimus in loco, vbi de C vinorū differentiis docuimus. Acetū verò in omni occasione ad achoras aptissimum est, vtpotè crassos, & viscosos humores secans, atq; id quod influit discutiens, & repellens. Verùm ipso non vtiq; per se quispiam vtetur, si quidē non proluere, aut expurgare achoras velit, sed eo medicamenta diluet, moderata quidem, in quibus incipit, & adhuc parua est affectio, fortia verò in maioribus, & diuturnioribus, fortiora autem adhuc in inueteratis iam, & ægerrimè curabilibus. Verū differentia medicamentorū iuxta robur iam antè à me relata est. Cæterùm ex relatis ab Archigene medicamentis, D in totum non vti exoptem, & semperuiuo, & cerussa. Illud enim strenuius refrigerat, quàm conuenit incipientes achoras refrigerari. Cerussa verò exiguam quidem habet frigiditatem, & ex medicamentis est emplasticis, pro ea autem vti possumus cinerula, & pompholyge.

Περὶ τῶν ὑπὸ Ἀπολλωνίου γεγραμμένων ἐν τῷ πρώτῳ τῶν εὐπορίστων, πρὸς ἀχῶρας.

Ἔγραψεν ὁ Ἀπολλώνιος ἐν τῷ πρώτῳ τῶν εὐπορίστων πρὸς ἀχῶρας, πρῶτον μὲν ὧδέ πως κατὰ λέξιν. ῥοδίνῳ ἐλαίῳ τὴν κεφαλὴν ἔγχριε. δεύτερον δὲ ἐπ' αὐτῷ, τεύτλου χυλῷ παραπλησίως. καὶ τρίτον ἐπ' αὖθις, χελώνης αἵματι χρῶ τὸν αὐτὸν τρόπον. τέταρτον δὲ, δαφνίνῳ ἐλαίῳ χρῖε τὴν κεφαλήν. καὶ πέμπτον, κροκίνῳ μύρῳ χρῖε παραπλησίως. τούτων δὲ τὸ πρῶτον γεγραμμένον ἀσθενέστατόν ἐστιν, ἐπὶ παιδίων, καὶ γυναικῶν ἁπαλοσάρκων, ἀρχομένῳ τῷ παθήματι χρήσιμον ὄν, καὶ γὰρ πέττει, καὶ διαφορεῖ, καὶ ἀποκρούεται, πάντα μετρίως ποιοῦν. τὸ δὲ δεύτερον, ἔνθα τὸ τοῦ τεύτλου χυλῷ χρῆσθαι συμβουλεύει, δραστικώτερον μὲν ἐστι τοῦ ῥοδίνου, διαφορητικῆς ὑπάρχον δυνάμεως, οὐ μὴν πρὸς τοὺς ἰσχυροὺς κατεσκιρρωμένους ἀχῶρας ἁρμόττειν δυνάμενον. τὸ δὲ τῆς χελώνης αἷμα περίεργόν ἐστι, καὶ οὐδ' ἐπεχείρησά ποτε πειρᾶσθαι αὐτοῦ. τὸ δ' ἐφεξῆς γεγραμμένον τὸ δάφνινον, ἰσχυρῶς θερμαίνει, καὶ διαφορεῖ. κεκενωμένου δὲ δεῖται τοῦ τε σώματος ὅλου, καὶ τῆς κεφαλῆς, ὡς διαφορῆσαι τοὺς ἐργαζομένους τὸν ἀχῶρα χυμούς. τὸ δὲ κρόκινον μύρον ἔχει τι καὶ διαφορητικὸν, καὶ στυπτικὸν, καὶ πεπτικόν.

De iis quæ Apollonius in primo de facilè parabilibus ad achoras scripsit.

Apollonius in primo de facilè parabilibus ad achoras; primùm quidem sic scripsit: Rosaceo E oleo caput illine. Deinde post hoc, betæ succum similiter illine. Tertiùm deinceps, Testudinis sanguinem eodem modo adhibe. Quartùm, Laurino oleo caput illine. Et quintùm, Crocinum vnguentum inunge eodem modo. Ex his sanè primum imbecillimum est, pueris, & mulierculis teneræ carnis in principio affectionis vtile existens; concoquit enim, & discutit, ac repellit, eaque omnia moderatè facit. Secundum verò, vbi betæ succo vti consuluit, efficacius quidem est rosaceo, discussoriam vim habens, non tamen ad fortes, ac iam obfirmatos achoras sufficit. At F verò testudinis sanguis curiosum, & superuacaneum est medicamentum, neque vnquam tentaui eius periculum facere. Quòd verò deinceps scriptum est, laurinum, fortiter calefacit, & discutit: opusque habet corporis totius, & capitis euacuatione, quo discutiat humores achoras facientes. Crocinum deinde vnguentum discussorium quiddam habet & astringens, & concoctorium: atque

atque ea tria fortiora in ipso sunt, quàm in rosacei natura: ex eis igitur, quæ de illo dicta sunt, etiam de hoc ratiocinari licet. Post hæc autem ipsius verbis, ita scriptum est: Tauri vrinam affrica, deinde sequitur, facit & cameli vrina eodem modo, vtendum autem eis, inquit, ad plures dies. Verùm ego vtique dixerim ad ipsum, non esse quòd ad multos dies, sed ne ad vnum quidem, purus homo tolerare queat, vt illius alicuius eiusmodi animalis vrina capiti affundatur, præsertim in affectione adeo parua, & quæ facilè curari potest. Bis enim per omnia, quod dicitur, distans est, rosaceo videlicet vti, quod penitus exiguam habet ad propositum symptoma facultatem: & tauri, ac cameli vrina, quæ acerrimæ, grauissimæque, & penitus iniucundæ ex stunt. Deinceps verò tale quoddam medicamentum his verbis scriptum est: Furfurum chœnicem medium in aquæ heminis duabus madefacito, posteaque terito, ac succum excolato, cúmque media aceti hemina ad limi spissitudinem coquito: & ex eo caput fricato, deinde aqua, in qua beta, aut fœnumgræcum, aut lupini cocti sint, abluito. Vnguento autem vtitor fæce irini. Hoc medicamentum discussorium est citra mordacitatem, ex repurgantibus atque extergentibus appellatis compositum. Eiusmodi enim facultatis sunt furfur, beta, & lupini: discutit autem simulque calefacit non vehementer fœnumgræcum: ex eo autem genere est, & irini vnguenti fæx. De aceti verò facultate antea quoq; dictum est, quòd aptum sit ad achorum affectionem, quare hoc, vt conuenientissimo, & efficacissimo medicamento vtendum est. Aliud deinde post hoc medicamentum scriptum est ab Apollonio his verbis: Cucumeris syluestris radices decoquito, & succum affricato. Didicimus autem cucumeris radicẽ plurimum discutientis facultatis esse. Et postea hoc medicamentum scriptum est: Terræ cimoliæ, sulphuris viui, par pondus cum aceto terito, & in balneo affricato, calidaque abluito. Hoc illinire etiam conuenit medicamentum, non solum, vt dixit, in balneo adhibere: omnes enim habet facultates, quibus affectio indiget, aceto quidem ipsas habente, velut antea est dictum. Solum verò sulfur vlterius quàm conuenit calefacere, & discutere potest: quapropter cimoliam ei admiscuit, quæ compositionem ex vtroque ad moderatam temperiem reducit. Cæterùm quod sequitur medicamentum, vbi inquit, maluam exiccatam, & tusam in vrinam inspergito ac affricato, reprehendo, in quantum etiam superius vrinæ vsum detestatus sum, etiam si facultatem eius affectioni conuenire non negauerim. At quod deinceps scriptũ est, in quo ait, Fici folia in aqua coquito, & aquam insolato, iniectaque in ipsam fæce vsta affricato, post hæc verò repurgantibus pilos, eluito, acre valdè hoc extersorium medicamentum est: quòd si in balneo tantùm adhibeatur, non vehementer valet achoras irritare, præsertim si quis, vt ipse deinceps iubet, proluat, hoc est ex aqua dulci caput perfundat. Ad illitum verò eiusmodi medicamento vti periculosum est: est enim plurimum acre medicamentum fæx vsta, quemadmodum in libris De simplicium medicamentorum facultatẽ cõmonstratum est. Quòd verò sequitur medicamentum securum vsum habet, eoque confidenter quis vtetur ex spuma argenti, laurinoque compòsito. Miror autem quomodo, vt laurino simile, oleum simplex admiscet, sic quodãmodo scribẽs.

A ἰσχυρότερα δὲ τὰ τρία τῆς ῥοδίνου φύσεώς ἐστιν. ἐκ τῶν οὖν
ἐπ' ἐκείνῳ λεγομένων, καὶ περὶ τούτων ἔνεστι λογίζεσθαι. ἐπὶ
τούτοις ἑξῆς γέγραπται κατὰ λέξιν οὕτως. ταύρου οὔρῳ
ἀπόσμα, εἶτ' ἐφεξῆς τόδε, ποιεῖ καὶ καμήλου οὖρον τούτῳ
παραπλήσιον. χρηστέον δ' ἂν εἴη τούτοις, φησὶν, ἐφ' ἡμέ-
ρας πλείους. ἀλλ' ἔγωγε φαίην ἂν πρὸς αὐτὸν, οὐχ ὅπως
ἐπὶ πολλὰς ἡμέρας, ἀλλ' οὐδὲ μιᾷ μόνῃ δύναιτο ἂν ἀνασχέσθαι
καθάριος ἄνθρωπος, ἐπιχεομένου αὐτοῦ κατὰ τῆς κεφαλῆς
οὔρου οὐδενὸς ζώου τοιούτου, καὶ ταῦτα ἐπὶ παθήματος οὕτω
μικροῦ, καὶ ῥᾳδίως ἰαθῆναι δυναμένου. δὶς γάρ τοι, κἂν
B διὰ πασῶν ἐστι τὸ δὴ λεγόμενον τοῦτο, ῥοδίνῳ τε χρῆσθαι,
βραχυτάτην ἔχοντι δύναμιν, ὡς πρὸς τὸ προκείμενον σύμ-
πτωμα, καὶ ταύρου, καὶ καμήλου τῷ οὔρῳ δριμυτάτοις τε,
καὶ χαλεπωτάτοις, καὶ ἀηδεστάτοις οὖσιν. ἐφεξῆς δὲ τούτοις,
γέγραπται τοιοῦτόν τι φάρμακον αὐτοῖς ὀνόμασιν, πιτύρων
χοίνικος τὸ S. βρέξας ἐν ὕδατος κοτύλαις δύο, μετὰ δὲ ταῦτα
τρίψας καὶ διηθήσας τὸν χυλὸν, ἕψησον μετ' ὄξους ἡμικοτυλίου,
μέχρις οὗ γλοιοῦ πάχος λάβῃ, καὶ τούτῳ τὴν κεφαλὴν
ἀπόσμα, εἶτα κλύζε ὕδατι, ἢ τεύτλου ἀφεψημένου, ἢ τή-
λεως, ἢ θέρμων, χρίσματι δὲ χρῶ ἰρίνου μύρου ὑποστάθμῃ.
C τοῦτο τὸ φάρμακον διαφορητικόν ἐστιν ἀδήκτως, ἐκ τῶν κα-
λουμένων ῥυπτικῶν συγκείμενον. τοιαύτης γάρ ἐστι δυνάμεως
τό τε πίτυρον, καὶ τὸ τεῦτλον, καὶ οἱ θέρμοι. διαφορητικὸν δὲ
μετὰ τοῦ θερμαίνειν μὴ σφοδρῶς ἡ τῆλις. ἐκ τούτου δὲ τοῦ γέ-
νους ἐστὶ, καὶ ἡ τοῦ ἰρίνου μύρου ὑποστάθμη. περὶ δὲ τῆς τοῦ
ὄξους δυνάμεως, εἴρηται καὶ πρόσθεν, ὡς ἐπιτήδειόν ἐστιν
εἰς τὸ τῶν ἀχώρων πάθος. χρηστέον οὖν, ὡς ἐπιτηδειοτάτῳ καὶ
δραστικωτάτῳ φαρμάκῳ. Αλλο μετὰ τοῦτο φάρμακον γέ-
γραπται ὑπὸ Ἀπολλωνίου κατὰ λέξιν οὕτως. σικύου ἀγρίου
ῥίζας ἀφεψήσας, τῷ χυλῷ ἀπόσμα. ἐμάθομεν δὲ ὅτι δια-
D φορητικῆς ἱκανῶς ἐστι δυνάμεως ἡ τοῦ σικύου ῥίζα, καὶ μετὰ
τοῦτο γέγραπται τόδε τὸ φάρμακον. γῆς κιμωλίας, θείου ἀπύ-
ρου ἴσον τρίψας μετ' ὄξους, ἐν βαλανείῳ ἀπόσμα, καὶ θερμῷ
ὕδατι ἔκπλυνε. τούτῳ καὶ καταχρίειν δεῖ τῷ φαρμάκῳ, οὐ
μόνον, ὡς εἶπεν, ἐν βαλανείῳ χρῆσθαι, πάσας γὰρ ἔχει τὰς
δυνάμεις, ὧν δεῖται τὸ πάθος, τοῦ μὲν ὄξους ἔχοντος αὐτὰς,
ὡς καὶ πρόσθεν εἴρηται. μόνου δὲ τοῦ θείου περαιτέρω τοῦ
προσήκοντος ἐκθερμαίνειν τε καὶ διαφορεῖν δυναμένου, διὸ
καλῶς αὐτῷ τὴν κιμωλίαν ἔμιξεν, εἰς συμμετρίαν κρά-
σεως ἄγων τὸ ἐξ ἀμφοῖν συγκείμενον. τὸ δὲ μετὰ τοῦτο φάρ-
E μακον ἔνθα φησὶ, μαλάχην ξηράνας καὶ κόψας, εἰς οὖρον
κατάπασσον, καὶ ἀπόσμα· μέμφομαι καθόσον ἐμεμψάμην
καὶ πρόσθεν τὴν τοῦ οὔρου χρῆσιν, εἰ καὶ τήν γε δύναμιν
αὐτοῦ κἀγὼ φαίην ἂν ἁρμόττειν τῷ πάθει. τὸ δὲ ἐφεξῆς γε-
γραμμένον, ἐν ᾧ φησιν, συκῆς φύλλα ἑψήσας ἐν ὕδατι, καὶ
ἐξαιθριάσας τὸ ὕδωρ, καὶ τρύγα ὀπτὴν ἐμβαλὼν εἰς αὐτὸ,
ἀπόσμα, μετὰ δὲ ταῦτα, ἔκκλυζε ῥύμμασι τὴν τρίχα. δριμὺ
ποιεῖ τὸ ῥύμμα, μέχρι μὲν τῆς ἐν βαλανείῳ χρίσεως οὐ δυνά-
μενον ἐρεθίσαι σφοδρῶς τὰ ἀχῶρα. καὶ μάλιστα ἂν καταντλίζῃ
τις ἐφεξῆς, ὡς ἐκέλευσε, τουτέστιν ὕδατι γλυκεῖ καταντλήσῃ τὴν
F κεφαλὴν, ἐπιχρίστῳ δὲ χρῆσθαι τοιούτῳ φαρμάκῳ σφαλε-
ρόν. ἔστι γὰρ ἱκανῶς δριμὺ φάρμακον ἡ κεκαυμένη τρὺξ, ὡς ἐδεί-
χθη ἐν τῷ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. τὸ δ' ἐφε-
ξῆς φάρμακον ἀσφαλῆ τε τὴν χρῆσιν ἔχει, καὶ χρῷτο ἄν τις αὐτῷ
θαῤῥῶν, ἐκ λιθαργύρου καὶ δαφνίνου συγκειμένῳ. θαυμάζω δέ
πως, ὡς ὅμοιον τῷ δαφνίνῳ μίγνυσι τὸ ἔλαιον, ὧδί πως γράφων.

λιθαργύρῳ λείῳ, μετ᾽ ἐλαίου λευκοῦ, ἢ δαφνίνου, περιλούσας θερμῷ, περίχριε. πάμπολυ γὰρ ἀπολείπεται τῆς τοῦ δαφνίνου δυνάμεως τὸ κοινὸν τοῦτο ἔλαιον, ὃ κέκληκε λευκὸν, ἀντιδιαιρῶν αὐτὸ τοῦ δαφνίνου. καὶ τὸ μετ᾽ αὐτὸ δὲ γεγραμμένον, ὁμοίαν ἔχει τὴν ἀτοπίαν, ἀντὶ μὲν γὰρ τῆς λιθαργύρου, ψιμμυθίῳ χρῆται. διεὶς δ᾽ αὐτὸ μυρσίνῳ, ἢ δαφνίνῳ, παμπόλλην ἔχουσι διαφορὰν φαρμάκοις. τὸ μὲν γὰρ ἀποκρουστικόν ἐστι, τὸ δὲ ἱκανῶς θερμαίνει καὶ διαφορεῖ, καὶ χρεία δηλονότι, τοῦ μὲν ἀποκρουστικοῦ κατ᾽ ἀρχάς ἐστι, τοῦ δὲ διαφορητικοῦ, στηριχθέντος ἤδη τοῦ τὰ ἀχῶρα γεννῶντος χυμοῦ. καὶ τὰ τοῦ κυνοσβάτου δὲ φύλλα, ὧν ἐφεξῆς μέμνηται, κόπτειν καὶ χυλίζειν κελεύων, εἶτα ἐλαίῳ μιγνύειν, ἀσθενές ἐστι φάρμακον. ἀρχομένῳ δὲ τῷ πάθει μόνον ἐπιτήδειον, ὡς ἂν τοῦ κυνοσβάτου στύφοντος. τοιοῦτον δ᾽ ἐστὶ φάρμακον, καὶ ἡ μολύβδαινα μετὰ ψιμμυθίου φυραθεῖσα οἴνῳ, μέχρι συστάσεως, ὡς καταχριστὸν γίγνεσθαι φάρμακον. ἐναντίας δὲ τοῖς εἰρημένοις δυνάμεώς ἐστιν, ὧν ὁμοτίμως μέμνηται, μηδένα προσθεὶς διορισμὸν, τό τε διὰ τοῦ καρδάμου, καὶ τὸ διὰ τῆς σκίλλης. γράφει δὲ περὶ μὲν τοῦ προτέρου κατὰ λέξιν οὕτως. καρδάμου καὶ ἁλὸς ἴσον στέατι χηνείῳ μίξας, καὶ λεάνας, χρῶ. περὶ δὲ τοῦ δευτέρου κατὰ τήνδε τὴν λέξιν. σκίλλαν εἰς κάμινον ἐγκρύψας, ὥσπερ κολοκύνθην, ὅταν μαλακὴ γένηται, ἐξίπωσον, εἶτα μίξας τῷ χυλῷ ἔλαιον μὴ πολὺ, χρίε. εὔδηλον δ᾽ ὅτι πολὺ τούτου σφοδρότερόν ἐστι τὸ διὰ τοῦ καρδάμου σκευαζόμενον. ὃ δὲ ἐφεξῆς γράφει, τῶν παρηγορικωτέρων ἐστὶ φαρμάκων, εἰ μὲν ὀδύνη τις εἴη σφοδρὰ περὶ τὰ ἀχῶρα, μέχρι τοῦ παρηγορῆσαι προσηκόντως παραλαμβανόμενον. εἰ δὲ διαφορῆσαι σκληρὰ, καὶ κεχρονισμένα ἀχῶρα βουλόμεθα, παντάπασιν ἀσθενές. ἔγραψε δὲ ὁ Ἀπολλώνιος ὧδέ πως περὶ αὐτοῦ. κοτύλην ἐλαίου χρηστοτάτου ἐγχέας εἰς μολυβδίνην θυΐαν, καὶ δοίδυκα λαβὼν μολύβδινον, τρίβε μέχρις οὗ παχὺ ποιήσῃς, καὶ ὑπομέλαινον, εἶτα χωρὶς τρίψας λιθαργύρου λίτραν μίαν, καὶ ψιμμυθίου τὸ ἴσον, μίξον εἰς τὸ ἔλαιον, μετὰ δὲ ταῦτα τὴν κεφαλὴν ἐκκλύσας, καὶ ξηράνας ἔγχριε τὸ φάρμακον, οὐ δι᾽ ἐλαίου ψιλοῦ, ἀλλά ποτε μὲν διὰ ῥοδίνου, ποτὲ δὲ διὰ μυρσίνου κατασκευάσας, ἐπί τε τῶν ἐν ἕδρᾳ στολίδων, καὶ ῥήξεων, καὶ τῶν ἑλκῶν τῶν ὀδυνωμένων ἑξῆς ἄριστον, ὅσα τ᾽ ἄλλα παροξύνονται, τῶν ἰσχυροτέρων φαρμάκων προσφερομένων. ἄκρως γὰρ ταῦτα παρηγορεῖ, κἂν φαγεδαινικὰ, κἂν καρκινώδη, κἂν ὁπωσοῦν ἔχοντά τι κακόηθες ὑπάρχῃ. οὔκουν ἐχρῆν αὐτοῦ τὴν σκευασίαν γεγραφέναι νῦν, ἀλλ᾽ ὡς ἐγὼ πρόσθεν εἶπον, αὐτάρκες ἦν φάναι παρηγορεῖσθαι τοὺς ὀδυνώδεις ἀχῶρας τοῖς τοιούτοις φαρμάκοις. κοινὸν γὰρ τοῦτο ἐπὶ πάντων ἐστὶ τῶν ὀδυνωμένων, ἰδίως δὲ ποιοῦν ἐπὶ τῶν ἀχώρων. ἔγραψεν δὲ ἐφεξῆς φάρμακον τοιοῦτον. ℞. λιθαργύρου < η΄. πηγάνου τῶν ἁπαλῶν φύλλων < ε΄. ἐλαίου δραχμὰς η΄. ὄξους κοτύλης τέταρτον, τρίψας ἐν τῷ αὐτῷ, τὴν κεφαλὴν κατάχριε. τοῦτο τὸ φάρμακον ἱκανὴν ἡμῖν δέδωκε πεῖραν. παραπλήσιον δὲ αὐτῷ τὴν δύναμίν ἐστι, καὶ τὸ γεγραμμένον ὑπ᾽ αὐτοῦ ἐφεξῆς κατὰ τήνδε τὴν συμμετρίαν. ℞. ψιμμυθίου δραχμὰς ϛ΄. λιθαργύρου δραχμὰς δ΄. κηροῦ τὸ ἴσον, θείου δραχμὰς ϛ΄. ἐλαίου ῥοδίνου, ἢ μυρσίνου τὸ ἱκανὸν, ὥστε κηρωτὴν ὑγροτέραν ποιῆσαι. τὰ ξηρὰ τῇ κηρωτῇ μίξον, καὶ τὴν κεφαλὴν ἔγχριε. τοῦτο δὲ καὶ πρὸς τὰ ἐν ὅλῳ τῷ σώματι ἐξανθήματα σφόδρα χρήσιμόν ἐστιν, ὥστε ἀληθῶς καὶ τοῦτο γέγραπται τῷ Ἀπολλωνίῳ.

A Argenti spumam cum oleo albo, aut laurino tritam, vbi calida prælaueris, circumlinito; longè enim deficit à laurini facultate oleum commune, quod album appellauit, è regione ipsum à laurino distinguens. Quin & quod post hoc scriptum est, consimilem habet absurditatem. Pro spuma enim argenti, cerussa vtitur: diluit autem ipsam myrteo, aut laurino, quum multam omninò differentiam hæc medicamenta habeant: alterum enim repulsorium est, alterum verò plurimum calefacit, & discutit. Vsusque eorum est, repulsorij quidem in principio, discussorij verò, vbi humor, qui achoras generat, iam est firmatus. Amplius B autem deinceps, quum rubi canini folia contundere, & exuccare iubet, deindeque oleo miscere, imbecille est medicamentum, & incipienti affectioni solummodo aptum, vtpotè quum rubus caninus astringat. Tale medicamentum est etiam plumbago cum cerussa vino subacta, vsquequo ad compagem, quæ illini queat, redigantur. Porrò contrariæ prædictis facultatis sunt, quorum æqualiter, nulla distinctione apposita, meminit, id videlicet, quod ex nasturtio, & quod ex scilla constat, De priore quidem hæc verba tradens. Nasturtij & salis parem modum adipi anserino C admisceto, terito, ac vtitor: De altero verò sic scribens: Scillam in fornace velut cucurbitam cinere obruito, quumque mollis fiet, exprimito, deinde ad succum oleo non multò admixto, illinito. Manifestum verò est, multò vehementius esse, quàm hoc quod ex nasturtio apparatur. Quod verò deinceps tradit, ex mitigatoriorum medicamentorum genere est, quod vbi dolor quispiam vehemens circa achoras existit, donec eum leniat, conuenienter adhibetur: si verò duros, & inueteratos achoras discutere velimus, omninò imbecille est. Scripsit autem in hunc modum de eo D Apollonius. Olei quàm optimi heminam in pilam plumbeam infundito, & plumbeo pistillo terito, donec crassum, & subnigrum reddatur: deinde seorsim spumæ argenti lib. vnam, & cerussæ tantundem terito, oleoque admisceto. Postea verò eloto, & siccato capite, medicamentum illinito. Neque verò ex simplici tantum oleo, sed quandoque rosaceo, quandoque myrteo apparabis, & ad rugas ani intumescentes rimasque, ac fissuras sedis, ad vlceraque dolentia, omniaque alia, quæ ex fortiorum medicamentorum vsu exacerbata sunt, optimum medicamentum habebis. Egregiè enim ea lenit, etiam si serpendo exedentia, aut etiam E cancrosa, aut quomodocunque maligna existant. Nequaquam igitur eius cõpositionem nunc scribere oportuit, sed quemadmodum ego antea dixi, sufficiebat illud dicere, quòd dolorifici achores eiusmodi medicamẽtis mitigantur: cõmune enim hoc est in omnibus dolore affectis, propriè autẽ faciens ad achoras. Deinceps autẽ tale medicamentum scripsit. ℞. Spumę argenti ʒ. octo. foliorũ rutę tenerorũ ʒ. v. olei ʒ. octo, aceti hæminæ quartam partẽ: simul trita capiti illinito. Hoc sanè medicamentũ multo vsu habemus exploratum. Propinquum autẽ ipsi facultate est id, quod cõsequenter F ab eo est conscriptũ iuxta hãc commensurationẽ. ℞. Cerussæ ʒ. vj. spumæ argenti ʒ. iiij. ceræ tantundẽ, sulphuris ʒ. vj. olei rosacei, aut myrtei, quod satis est, vt ceratum liquidum fiat; arida cum cerato cõmittito, caputque inde illinito. Hoc autem, & ad omnes in toto corpore eruptiones vehementer commodũ est, vt ritè sit ab Apollonio cõscriptum.

Quin

Quin & quod postea sequitur, plurimum discussorium est, vt quod spumam nitri habeat multã, adeo vt, nisi olei multitudine castigetur, acrius sit, quàm conuenit. Iubet autem ad vnam spumæ argenti partem, quintuplum spumæ nitri admisceri, hísque, dum teruntur, paulatim oleum affundi, donec ad consistentiam illitioni aptam redigantur.

De iis quæ Crito ad Achoras medicamentis scripsit.

In Methodo de curandis morbis vniuersales facultates medicamentorum ad singulos morbos recensui, verùm paucorum definitæ materiæ exemplorum mentionem feci, reiecta illic multitudinis ipsorum cõmemoratione. At verò in pręsenti, quã nunc in manibus habemus, tractatione, omnia quidem, quæ omnes medicamenta scripserunt, longũ fuerit recensere: Quæ verò à probatis medicis per experientiam tradita sunt, ea omnia visum est mihi conducibilius enumerare, quo etiam inter se propinqua, & quæ omninò eadẽ apparent, paululum verò iuxta quãtitatem, aut præparationẽ euariant, ij, qui in his scriptis versantur, cognoscant, eaque maximè præparent quorum materiæ in promptu habentur. Contingit enim aliquando, vt aut in totum ea, quæ in compositionem miscentur non reperiamus: aut talia reperiamus, vt ipsa iniicere non audeamus. Cæterùm eius maximè in componendis pharmacis cura habenda est, vt bona integraque, & in vigore sint omnia, quæ admiscentur. Ob id igitur etiam iam omnium, quæ Crito tradidit, mentionem faciam: nam is sanè diligentius Achorum curam tractasse mihi videtur. In quinque itaque sermones doctrinam de ipsis distinxit, quorum primum, & ipse recensebo.

PRIMVS Critonis sermo de Achorum curatione. Scribit itaque Crito hæc verba. Ad achoras in capite contingentes, qui plerunque furfuribus præcedentibus fiunt, & fermè etiam scabie, in principio subscriptis compositionibus vtemur. *Ad achoras recentes.* Gluten fabrile aqua coctum obline. *Aliud.* Papaueris syluestris, & hyoscyami folia cum oleo emplastri more appone. *Aliud.* Fici syluestris virgulta, aut folia tenera trita cum aqua imponito. In inueteratis verò cum aceto terito. *Aliud.* Nucum amararum nucleos in aquam tepidam iniectos, & decorticatos, cum aqua terito, & cerati crassitudine prærasis imponito. In inueteratis cum aceto diluito. *Aliud.* Recrementi ferri, & rosarum par pondus cum vino terito, & imponito. Quidam verò trita cerato rosaceo excepta adhibent.

SECVNDVM sermonem ad Achorum affectionem his verbis conscripsit: Circuntensa autem cute, & ob id molestiam inferente, subiectis compositionibus vtendum est. *Pinguis compositio ad achoras, psydracas, papulas feruidas. intertrigines; est commoda quoque vitiis sedis.* ℞. Spumæ argenti ʒ. l. foliorum rutæ tenerorum ʒ. xxv. aceto diluito; & rosaceo, aut myrteo excepta, cum penna illinito. *Alia.* ℞. Spumæ argenti ʒ. cc. cerussæ ʒ. cl. rutæ ʒ. c. staphidis syluestris ʒ. xxv. aceti sextarios iij. myrtei libras tres: particulatim singula terito, & affuso liquore, vt dictum est, componito. *Alia.* ℞. Cerussæ ʒ. cl. spumæ argenti ʒ. c. rutæ ʒ. c. myrtei sextarios tres: particulatim tritis aquam affundito. *Alia.* ℞. Cerussæ vstæ ʒ. centum, rutæ ʒ. c. mannæ, thuris tantundem, corticis pinus ʒ. l. olei myrtei sextarios ij. aceti tantundem; similiter componito.

A καὶ τὸ μετ᾽ αὐτὸ δὲ διαφορητικὸν ἱκανῶς ἐστιν, ὡς ἂν ἀφρὸν ἔχον τοῦ νίτρου πολλὸν, ὡς εἴ γε μὴ τῷ πλήθει τοῦ ἐλαίου ἐκεκόλαστο, δριμύτερον ἂν ἦν, ἢ προσήκει. βούλεται γὰρ ἑνὶ μέρει τοῦ λιθαργύρου, πενταπλάσιον ἀφροῦ νίτρου μιχθῆναι, καὶ τούτοις τριβομένοις παραχεῖσθαι κατ᾽ ὀλίγον ἔλαιον, ἄχρι συστάσεως εἰς ἔγχρισιν ἐπιτήδειον.

Περὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων φαρμάκων πρὸς ἀχῶρας.

Εν μὲν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, τὰς καθόλου δυνάμεις τῶν ὠφελούντων ἕκαστον πάθος εἰπὼν,
B ὀλίγων ἐμνημόνευσα παραδειγμάτων ἀφωρισμένης ὕλης, ἀναβαλλόμενος ἐνταῦθα τὸ πλῆθος ἁπάντων αὐτῶν διελθεῖν. ἐν δὲ τῷ νῦν ἐνεστῶτι λόγῳ, πάντα μὲν ὅσα πᾶσι γέγραπται φάρμακα, μακρὸν ἂν εἴη γράφειν. ὅσα δὲ τοῖς ἐνδόξοις περὶ τὴν ἐμπειρίαν αὐτῶν, ἄμεινον ἔφαινη σοι πάντ᾽ ἐπελθεῖν, ἵνα καὶ τὰ πλησίον ἀλλήλων πάντη μὲν δοκοῦντα εἶναι τὰ αὐτὰ, βραχὺ δέ τι παραλλάττοντα κατὰ τὴν συσταθμίαν, ἢ τὴν σκευασίαν ἱστορήσαντες, οἱ τοῖσδε τοῖς γράμμασιν ὁμιλοῦντες, ἐκεῖνα μάλιστα σκευάζωσιν, ὧν τῆς ὕλης εὐποροῦσιν. ἐνίοτε γὰρ, ἢ οὐδ᾽ ὅλως εὑρίσκομεν τινὰ τῶν
C μιγνυμένων, ἢ τοιαῦτα εὑρίσκομεν, ὡς μὴ θαρρεῖν ἐμβαλεῖν αὐτά. τούτου δὲ χρὴ μάλιστα πεφροντικέναι κατὰ πάσας τὰς σκευασίας τῶν φαρμάκων, ὡς ἀκμαῖα καὶ δόκιμα πάντα εἶναι τὰ μιγνύμενα. διὰ τοῦτο οὖν ἤδη καὶ τῶν Κρίτωνος μνημονεύσω πάντων, ἐπιμελέστερόν μοι δοκοῦντος πεπραγματεῦσθαι τὴν τῶν ἀχώρων θεραπείαν. εἰς πέντε γοῦν ἔτεμε λόγους τὴν διδασκαλίαν αὐτῶν, ὧν τοῦ πρώτου κἀγὼ μνημονεύσω.

Ο ΠΡΩΤΟΣ λόγος τοῦ Κρίτωνος ἐπὶ τῇ τῶν ἀχώρων θεραπείᾳ. γράφει τοίνυν αὐτοῖς ὀνόμασιν, ὁ Κρίτων οὕτως. πρὸς τοὺς ἐπὶ τῆς κεφαλῆς συμβαίνοντας ἀχῶρας, γίγνονται δὲ οὗτοι
D τὰ πολλὰ πιτυριάσεως προηγησαμένης, καὶ σχεδὸν ψωριάσεως, ἐς τὴν ἀρχὴν χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. πρὸς ἀχῶρας προσφάτους. κόλλη τεκτονικῇ σὺν ὕδατι ἑψηθείσῃ, κατάχριε. Αλλο. μήκωνος ἀγρίας καὶ ὑοσκυάμου φύλλα, μετ᾽ ἐλαίου κατάπλασσε. Αλλο. συκῆς ἀκρέμονας, ἢ τῶν φύλλων τὰ ἁπαλὰ τρίψας μεθ᾽ ὕδατος, κατάπλαττε, χρονίων δὲ ὄντων, τρίβε μετ᾽ ὄξους. Αλλο. καρύων πικρῶν τὰ ἐντὸς εἰς ὕδωρ χλιαρὸν ἐμβαλὼν, καὶ ἐκλεπίσας, τρίβε μετ᾽ ὕδατος, καὶ ποιήσας κηρωτῆς τὸ πάχος, ἐπιτίθει προξυρήσας. ἐπὶ δὲ τῶν κεχρονισμένων, ἀνίει μετ᾽ ὄξους. Αλλο. σκωρίας σιδήρου, καὶ ῥόδων τὸ ἴσον,
E τρίψας μετ᾽ οἴνου ἐπιτίθει. ἔνιοι δὲ τρίψαντες ἀναλαμβάνουσιν κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου.

ΤΟΝ ΔΕΥΤΕΡΟΝ λόγον ἐπὶ τῷ τῶν ἀχώρων πάθει κατὰ τήνδε τὴν λέξιν ἔγραψε. περιτεινομένης δὲ τῆς ἐπιφανείας, καὶ διὰ τοῦτο παρενοχλούσης, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. λιπαρὰ πρὸς ἀχῶρας, ψύδρακας, ἐκζέσματα, παρατρίμματα. ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή. ℞. λιθαργύρου < ν'. πηγάνου τῶν ἁπαλῶν φύλλων < κε'. ὄξει διαλύσας, καὶ ῥοδίνῳ ἀναλαβὼν, ἢ μυρσίνῳ, ἐπίχριε πτερῷ. Αλλη. ℞. λιθαργύρου < σ'. ψιμμυθίου < ρν'. πηγάνου < ρ'. σταφίδος ἀγρίας
F < κε'. ὄξους ξε γ'. μυρσίνου λίτρας γ'. τρίβε κατὰ μέρος ἐπιβάλλων τὸ ὑγρὸν, καὶ συντίθει, καθάπερ προείρηται. Αλλη. ℞. ψιμμυθίου < ρν'. λιθαργύρου < ρ'. πηγάνου < ρ'. μυρσίνου ξε γ'. τρίβε, κατὰ μέρος ἐπιβάλλων τὸ ὑγρόν. Αλλη. ℞. ψιμμυθίου κεκαυμένου < ρ'. πηγάνου < ρ'. μάννης, λιβανωτοῦ ἴσα, πίτυος φλοιοῦ < ν'. ἐλαίου μυρσίνου ξε β'. ὄξους τὸ ἴσον, συντίθει ὁμοίως.

A Ἄλλη. ℞. σκωρίας μολύβδου < ρ΄. ἑλίκων ἀμπέλου < ρ΄. λιβάνου < ρ΄. σμύρνης καὶ ἀφρονίτρου τὸ ἴσον, ὄξους καὶ μυρσίνου ὅσον ἐξαρκεῖ.

ΕΝ ΔΕ ΤΩι ΤΡΙΤΩι τοιαῦτά φησιν. χρονιζούσης δὲ τῆς διαθέσεως, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις, εἶθ᾽ ἑξῆς γράφει. Δαμοκράτειος πρὸς ἀχῶρας καθύγρους καὶ χρονίους. ℞. λαδάνου < η΄. ψιμμυθίου τὸ ἴσον, θείου ἀπύρου < δ΄. οἴνῳ καὶ μυρσίνῳ ἐλαίῳ χρῶ. Ἄλλη. ℞. λιθαργύρου < η΄. ἑλίκων ἀμπέλου < η΄. ὑποκυστίδος χυλοῦ < δ΄. ἀφρονίτρου < β΄. κηκίδων < γ. ἢ β΄. ὄξει καὶ μυρσίνῳ χρῶ. B Ἄλλη. ℞. σιδίων καὶ κηκίδων, ἀκακίας κιρρᾶς, οἴνῳ τὰ σίδια καὶ τὰς κηκίδας ἐμβρέξας ἕψε, τὴν δ᾽ ἀκακίαν οἴνῳ διαλύσας, ἐπίβαλλε τοῖς λοιποῖς λειωθεῖσιν ἐπιμελῶς, καὶ ὅτε εὖ ἔχῃ ἀναλάμβανε μυρσίνῳ. Ἄλλη. ℞. λιθαργύρου, ψιμμυθίου, ὑοσκυάμου, μίσυος, κωνείου ἀκρεμόνων ἴσον, κεκαυμένου λιβάνου, ἀκρεμόνων ἐλαίας ἴσον ἀναλάμβανε ὄξει, καὶ σχινίνῳ ἐλαίῳ, καὶ χρῶ. Ἄλλη σφόδρα καλή. ℞. ψιμμυθίου κεκαυμένου < η΄. λιθαργύρου < η΄. χαλκάνθου < δ΄. ῥοῦ ἐρυθροῦ < δ΄. θείου ἀπύρου < β΄. ὀπίου < β΄. σμύρνης < β΄. ὄξει καὶ σχινίνῳ ἐλαίῳ.

ΤΟΝ ΔΕ ΤΕΤΑΡΤΟΝ λόγον ἐπὶ τῇ τῶν ἀχώρων C θεραπείᾳ κατὰ λέξιν οὕτως ἔγραψεν. ἐπεὶ δὲ τῶν ἀναγεγραμμένων πρὸς ἀχῶρας τὰ πολλὰ ξηραίνει τε καὶ μᾶλλον ὀδύνην ἐπιφέρει, ἅτε δὴ περιτεινομένης τῆς ἐπιφανείας, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις, δι᾽ ὧν ἔνεστι χωρὶς ὀδύνης κατορθοῦν. λευκὴ ἀνίκητος, ποιοῦσα πρὸς ἀχῶρας καθύγρους, καὶ δυσαπαλλάκτους, ποιεῖ καὶ πρὸς ἐκζέσματα, καὶ παρατρίμματα. ℞. λιθαργύρου < ρ΄. κηροῦ < ρ΄. οἱ δὲ πεντήκοντα. ψιμμυθίου < ρ΄. λιβάνου < κε΄. στυπτηρίας σχιστῆς < ιϛ΄. τερμινθίνης < κε΄. πεπέρεως λευκοῦ < γ΄. ἐλαίου ξε α΄. τὰ ξηρὰ κόπτε. ἔλαιον δὲ καὶ λιθάργυρον, καὶ ψιμμύ- D θιον εἰς καινὴν χύτραν ἐπ᾽ ἀνθράκων ἕψε. ὅταν δὲ μεταβάλλῃ, ἐπίβαλε κηρὸν, καὶ ῥητίνην, καὶ κίνει ἄχρις ἀμολύντου, εἶτα ἐπάρας ἀπὸ τοῦ πυρὸς, καὶ πῶς ἐάσας ψυγῆναι, ἐπίβαλε τὰ ξηρὰ, καὶ εἰς θυίαν μεταιρήσας, καὶ μαλάξας ἐπιμελῶς, χρῶ, ἐμπλάσσων εἰς ὀθόνιον, καὶ λύων διὰ τρίτης. μᾶλλον δ᾽ ὠφελεῖ τὸ φάρμακον μιγνύμενον τῇ λεγομένῃ Πασίωνος μηλίνῃ, ὥστε δύο μὲν εἶναι μέρη τῆς ἀνικήτου, ἓν δὲ τῆς εἰρημένης Πασίωνος μηλίνης. Ἄλλο. ℞. ψιμμυθίου < ρκ΄. λιθαργύρου < π΄. κηροῦ < κδ΄. τερμινθίνης < ιβ΄. μάννης < ιϛ΄. στυπτηρίας σχιστῆς < η΄. ἐλαίου κοτύλας β΄. συντίθει E καθὼς προείρηται. Μηλίνη Λευκίου ἀναξηραντικὴ παντὸς ῥεύματος, ποιοῦσα πρὸς ἀχῶρας χρονίους καὶ καθύγρους. ℞. κηροῦ δραχμὰς η΄. σανδαράχης δραχμὰς δ΄. στέατος μοσχείου δραχμὰς δ΄. τερμινθίνης δραχμὰς β΄. λιβάνου < α΄. σμύρνης δραχμὴν μίαν, στυπτηρίας σχιστῆς κεκαυμένης < α΄. πίτυος φλοιοῦ δραχμὴν μίαν, ἐλαίου μυρσίνου τὸ ἀρκοῦν. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Ἄλλη Μηλίνη Ὑγιεινοῦ ἀναξηραντικὴ παντὸς ῥεύματος. ℞. λιθαργύρου λίτραν μίαν, ψιμμυθίου λίτραν μίαν, ἁλὸς ὀρυκτοῦ λί α΄. στυπτηρίας σχιστῆς λίτρας S. χαλκάνθου F Γο ϛ΄. ἐλαίου ξε β΄. ὄξους ξε α΄. ἕψε ἔλαιον, ἅλας, ψιμμύθιον, λιθάργυρον, μέχρις ἀμολύντου. τὰ δὲ ξηρὰ κόψας, σήσας, ὄξει διαλύσας, ἐπίβαλε ψυχομένῳ τῷ φαρμάκῳ, κατὰ μικρὸν ἐπιρραίνων, καὶ κινῶν συνεχῶς, εἶτα εἰς θυίαν μεταιρήσας καὶ μαλάξας ἐπιμελῶς, ἀνελόμενος χρῶ. ἡ τοῦ Θηβαίου πρὸς ἀχῶρας καθύγρους. ℞. λιθαργύρου < μη΄. ψιμμυθίου < κδ΄.

Aliud. ℞. Recrementi plumbi ʒ. c. pampinorum vitis ʒ. c. thuris ʒ. c. myrrhæ, & ſpumæ nitri tantundem, aceti, & myrtei quantum ſufficit.

IN TERTIO autẽ hæc tradit: At vbi affectio inueterata fuerit, ſubſcriptis cõpoſitionibus vtendum eſt. Et deinceps ita ſcribit. *Damocratica compoſitio ad Achoras humidos, & inueteratos.* ℞. Ladani ʒ. octo, ceruſſæ tantundem, ſulfuris viui ʒ. quatuor: vino, & myrteo oleo ſubactis vtitor. *Alia.* ℞. Spumæ argenti ʒ. octo, pampinorum vitis ʒ. octo, ſucci hypocyſtidis ʒ. quatuor, ſpumæ nitri ʒ. ij. gallarum ʒ. tres, aut ij. ex aceto, & myrteo adhibe. *Alia.* ℞. Malicorij, gallarum, acaciæ fuluæ tantundem: malicorium, & gallas vino macerata coquito, acaciam verò vino dilutam reliquis probè tritis adiicito, cúmque rectè omnia comparata fuerint, myrteo excipito. *Alia.* ℞. Spumæ argenti, ceruſſæ, hyoſcyami, miſyos vſti, ramulorum cicutæ, æquales portiones: thuris vſti, ramulorum oleæ, tantundem: aceto, & oleo lentiſcino exceptis vtere. *Alia valdè commoda.* ℞. Ceruſſæ vſtæ ʒ. octo, ſpumæ argenti ʒ. octo, atramenti ſutorij ʒ. quatuor, rhois rubri ʒ. quatuor, ſulfuris viui ʒ. ij. opij ʒ. ij. myrrhæ ʒ. ij. aceto, & lentiſcino oleo excipe.

QVARTVM verò ſermonem de Achoribus curandis hac verborum ſerie conſcripſit: Quando verò ex his, quæ ad Achoras ſcripta ſunt, pleraq; reſiccant, magiſque dolorem inferunt, vtpotè cute in ipſis affectis circuntenſa, ſubſcriptis compoſitionibus vtendum eſt, per quas citra dolorem emendare licet. *Leuce emplaſtrum album inexuperabile. faciens ad humidos Achoras, & qui ægrè tolli poſſunt; facit & ad Papulas feruidas, & Intertrigines.* ℞. Spumæ argenti ʒ. c. ceræ ʒ. c. alij quinquaginta habent: ceruſſæ ʒ. c. thuris ʒ. xxv. aluminis ſciſſi ʒ. xvj. terebinthinæ ʒ. xxv. piperis albi ʒ. tres, olei ſextarium vnum, arida tundito. Oleum verò, & argenti ſpumam, ac ceruſſam in ollam nouam conjecta, ad prunas coquito, atque vbi mutationem acceperint, ceram & reſinam addito, donec non inquinet amplius manus agitato: deinde ab igne ablatis, & quodãmodo refrigeratis, arida adiicito, & in pilam tranſlata diligenter emollito. Vtitor autem in linteolum impactis, ſoluitoq; tertia die. Magis autem contulerit medicamentum hoc, ſi cum melino emplaſtro Paſionis fuerit permixtum, ita vt *emplaſtri Leuces* inexuperabilis partes duæ, melini autem Paſionis vna pars committantur. *Alia.* ℞. Ceruſſæ ʒ. cxx. ſpumæ argenti ʒ. lxxx. ceræ ʒ. xxiiij. terebinthinæ ʒ. xij mannæ ʒ. xvj. aluminis ſciſſilis ʒ. viij. olei heminas ij. committe, vt dictum eſt. *Melinum Leuci Emplaſtrum, quod omnem Fluxum reſiccat, faciens ad Achoras inueteratos, & humectos.* ℞. Ceræ ʒ. octo, ſandarachæ ʒ. iiij. adipis vitulini ʒ. iiij. terebinthinæ ʒ. ij. thuris ʒ. j. myrrhæ ʒ. j. aluminis ſciſſi vſti ʒ. j. corticis pinus ʒ. j. olei myrtei, quod ſatis eſt: liquefacta cum aridis committito. *Aliud melinum Hygieni, reſiccans omnem Fluxum.* Spumæ argenti libram j. ceruſſæ lib. j. ſalis foſſilis lib. j. aluminis ſciſſi libræ dimidium, atramenti ſutorij, ſexuncem, olei ſextarios ij. aceti ſextarium j. Oleum, ſalem, ceruſſam, ſpumam argenti, donec non inquinent manus, coquito: arida verò tuſa, cribrata, acetoque diluta, ad refrigeratum medicamentum addito, paulatim adſtillando, ac aſſiduè agitando: deinde in pilam tranſlata, ac probè emollita tollito, ac vtitor. *Thebæi Emplaſtrum ad Achoras humidos.* ℞. Spumæ argenti ʒ. xlviij. ceruſſæ ʒ. xxiiij.

corticis

corticis thuris ʒ. xij gallæ omphacitidis ʒ. xij. ceræ ʒ. octo, resinæ terebinthinæ ʒ. xvj. olei sesquiheminam: componito, vt dictum est.

QVINTVM sermonem de Achoribus Crito ita orditur: Cæterùm in declinatione affectus, & cicatrice perfectè obducta, ad totius mali translationem subsequentibus compositionibus vtendum est. Deinde smegmata plura scribit, vnumquodque iuxta hanc compositionis formam. *Smegma ad Achoras, Furfures, Asperitates, & Scabies.* ℞. Terræ cimoliæ lib. j. nitri rubri lib. j. expressionis nucis vnguentariæ sexuncem, alij lib. ß. habent; myrrhæ ʒ. octo. piperis albi ʒ. octo. nardi Celticæ ʒ. quatuor; casiæ ʒ. iiij. costi ʒ. iiij. contusa, & cribrata repone, ac vtere in balneo. *Aliud.* ℞. Nitri rubri lib. iiij. terræ cimoliæ tantundem, expressionis nucis vnguentariæ lib. ij. cyperi lib. j. alij iiij. baccarum lauri lib. j. iridis aridæ lib. j. radicis bryoniæ, alcyonij, amygdalarum repurgatarum, cornu ceruini vsti, singulorum libram vnam: componito, vt dictum est. *Aliud.* ℞. Fæcis vini vstæ, quàm Romani fæculam appellant ℔. xxiiij. aquæ pluuialis sextarios xlviij. thuris lib. ij. terræ Samiæ lib. ij. olei Sabini lib. iij. alij sextarios iiij. ceræ lib. iij. & dimidiam. Fæcem & aquam in dolium figulinum non picatum coniecta ad dies vij. madescere sinito, & ter in die cum ferula agitato. Sequenti deinde die dissolutum, & sacco excolatum liquorem in vas æreum splendidum transferto, & igni impositum coquito, luculentiore autem igne vtaris: atque vbi tertia pars reliqua sit, oleum, & ceram iniice, rursusque ad lentum ignem decoque: postquam verò iniecta fuerint liquefacta, thus, & terram samiam trita addito, conquassato, & in vitreum vas robustum transferto, tenuia enim rumpuntur. Vsus autem tempore affectos locos circumlinens, & diligenter confricans, abluere iube. Præstaret quidem in balneo id facere: quòd si fieri nequeat, in domo abluatur. Commodum est medicamentum ad omnes sordes, asperitatemque ac scabiem cutis, itemque ad impetigines. *Aliud.* ℞. Fæcis vini vstæ lib. j. aquæ pluuiæ sextarios vj. thuris albi lib. ij. mastiches lib. ij. alcyonij lib. j. ammoniaci thymiamatis lib. ij. terræ samiæ lib. ij. olei rosacei lib. ij. ceræ Tyrrhenicæ albæ lib. ij. Fæcem in aqua, vt dictum est, macerato, ter singulis diebus cum ferula strenuè agitando. Deinde excolatum per saccum liquorem in vas splendidum transferto, positumque ad ignem ad dimidiam partem coquito: deinde liquabilia adiicito, atque vbi dissoluta fuerint, alcyonium tenuissimè tritum inspergito. Habeas autem ad manum prompta, in fæcis aqua dissoluta, probéque trita, thus, ammoniacum, mastichen, terram Samiam, eaque strigmentitia prædicta crassitie: hæc vbi adieceris, ac diligenter subegeris, insperge, & ablatis vtitor. *Aliud Diasmyrnum appellatum.* ℞. Fæcis vstæ lib. xxiiij. aquæ pluuialis sextarios xlviij. olei sabini lib. quatuor, ceræ lib. quatuor, terræ samiæ lib. ij. thuris lib. ij. mastiches libram j. ammoniaci thymiamatis lib. j. alcyonij lib, j. myrrhæ ʒ. octo. Componito, ac vtitor, vt dictum est.

A Φλοιοῦ λιβάνου δραχμὰς ιβ'. κηκῖδος ὀμφακίτιδος < ιβ'. κηροῦ δραχμὰς η'. ῥητίνης τερμινθίνης δραχμὰς ις'. ἐλαίου κοτύλην α' S''. σύντιθει καθὰ προείρηται.

Ἄρχεται δὲ τοῦ πέμπτου λόγου περὶ τῶν ἀχώρων ὁ Κρίτων οὕτως. Παρακμαζούσης δὲ τῆς διαθέσεως, καὶ παντελῶς οὐλῆς γενομένης, εἰς μετάθεσιν τῆς ὅλης διαθέσεως, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις, εἶθ' ἑξῆς γράφει σμήγματα πλείω κατὰ τὴν δὲ τὴν σύνθεσιν ἕκαστον. σμῆγμα πρὸς ἀχῶρας, πιτυριάσεις, τραχύτητας, ψωριάσεις. ℞. γῆς κιμωλίας λίτραν μίαν, νίτρου ἐρυθροῦ λίτραν α'. μυροβαλάνου B πιέσματος Ϛο ϛ'. οἱ δὲ ℔. S''. σμύρνης δραχμὰς η'. πεπέρεως λευκοῦ δραχμὰς η'. νάρδου Κελτικῆς δραχμὰς δ'. κασίας δραχμὰς δ'. κόστου δραχμὰς δ'. κόψας, σήσας, ἀπόθου, ἡ χρῆσις ἐν βαλανείῳ. Ἄλλο. ℞. νίτρου ἐρυθροῦ λίτρας δ'. κιμωλίας γῆς τὸ ἴσον, μυροβαλάνου πιέσματος λίτρας β'. κυπέρου λίτραν α'. οἱ δὲ δ'. δαφνίδων λίτραν α'. ἴρεως ξηρᾶς λίτραν α'. βρυωνίας ῥίζης, ἀλκυονίου, ἀμυγδάλων κεκαθαρμένων, κέρατος ἐλαφείου κεκαυμένου, ἑκάστου λίτραν μίαν, σύντιθει καθὰ προείρηται. Ἄλλο. ℞. τρυγὸς οἴνου κεκαυμένης, ἣν Ῥωμαῖοι φέκλην καλοῦσιν, λίτρας κδ'. C ὕδατος ὀμβρίου ξε κη'. λιβανωτοῦ λίτρας β'. γῆς Σαμίας λίτρας β'. ἐλαίου Σαβίνου λίτρας δ'. οἱ δὲ ξε δ'. κηροῦ λίτρας γ' S''. τὴν τρύγα καὶ τὸ ὕδωρ βαλὼν εἰς πίθον κεραμεοῦν ἀκόνιτον, ἔα βρέχεσθαι ἐπὶ ἡμέρας ζ'. καὶ ἐπικίνει νάρθηκι τρὶς τῆς ἡμέρας, τῇ δὲ ἐπιούσῃ διαλύσας καὶ σακκίσας τὸ ὑγρὸν μεταιρήσας εἰς ἀγγεῖον χαλκοῦν γεγανωμένον, καὶ θεὶς ἐπὶ τὸ πῦρ, ἕψε, λαμπροτέρῳ τῷ πυρὶ χρώμενος, καὶ ὅταν τὸ τρίτον ὑπολειφθῇ, ἐπίβαλε ἔλαιον καὶ κηρὸν, καὶ πάλιν ἕψε πυρὶ χρώμενος μαλθακῷ. ὅταν δὲ τὰ ἐμβληθέντα τακῇ, ἐπίβαλε λειωθέντα λιβανωτὸν, καὶ γῆν Σαμίαν, D καὶ ἀνακόψας μετάιρε εἰς ἀγγεῖον ὑέλινον εὔτονον. τὰ γὰρ λεπτὰ ῥήγνυνται. ἐπὶ δὲ τῆς χρήσεως, περιαλείφων τοὺς πεπονθότας τόπους, καὶ ἀνατρίβων ἐπιμελῶς, ἀπονίπτεσθαι προσάγει. καλὸν μὲν ἐν βαλανείῳ· εἰ δὲ μὴ, κατ' οἶκον. καὶ γὰρ χρήσιμόν ἐστι τὸ φάρμακον πρὸς πᾶσαν ῥυπαρίαν, καὶ τραχύτητα, καὶ ψωριάσεις, καὶ λειχῆνας. Ἄλλο. ℞. φέκλης λίτραν μίαν, ὕδατος ὀμβρίου ξε ϛ'. λιβανωτοῦ λευκοῦ λίτρας β'. μαστίχης λίτρας β'. ἀλκυονίου λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτρας β'. γῆς Σαμίας λίτρας β'. ἐλαίου ῥοδίνου λίτρας β'. κηροῦ Τυῤῥηνικοῦ λευκοῦ λίτρας β. βρέχε τὴν τρύγα εἰς τὸ ὕδωρ, καθὰ προείρηται, κινῶν τρὶς τῆς ἡμέρας νάρθηκι εὐτόνως, ἔπειτα σακκίσας τὸ ὑγρὸν, μετάιρας εἰς ἀγγεῖον γεγανωμένον, καὶ θεὶς ἐπὶ τὸ πῦρ, ἕψε εἰς ἡμίσειαν, εἶτα ἐπίβαλε τὰ τηκτὰ, καὶ ὅταν διαλυθῇ καταπλασσε λειότατον τὸ ἀλκυόνιον. ἔστω δέ σοι ἐν ἑτοίμῳ διαλυθέντα τῷ τῆς τρυγὸς ὕδατι, καὶ λεανθέντα καλῶς, λιβανωτὸς, ἀμμωνιακὸν, μαστίχη, γῆ Σαμία, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος, ταῦτα ἐπίπασσε, ἐπιβαλὼν, καὶ ἀνακόψας ἐπιμελῶς, καὶ ἀνελόμενος χρῶ. Ἄλλο, διάσμυρνον ἐπικαλούμενον. τρυγὸς κεκαυμένης λίτρας κδ'. ὕδατος ὀμβρίου ξε μη'. ἐλαίου Σαβίνου λίτρας δ'. κηροῦ λίτρας δ'. F γῆς Σαμίας λίτρας β'. λιβάνου λίτρας β'. μαστίχης λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α. ἀλκυονίου λίτραν α'. σμύρνης δραχμὰς η'. σύντιθει καθὰ προείρηται.

Περὶ τῶν ὑπὸ Κλεοπάτρας γεγραμμένων πρὸς ἀχῶρας, ἐν τῷ κοσμητικῷ.

Καὶ τὰ τῇ Κλεοπάτρᾳ πρὸς ἀχῶρας γεγραμμένα, ἐφεξῆς εἰρήσεται κατὰ τὴν ἐκείνης αὐτῆς λέξιν. Πρὸς ἀχῶρας. τήλῃ λεπτῇ ἑφθῇ, μέλανος τεύτλου χυλῷ βεβρεγμένῃ, ἐκκλυζέσθω ἡ κεφαλή, ἢ τεύτλου ἀφεψήματι, ἢ γῇ κιμωλίᾳ βεβρεγμένῃ τούτοις ἐκκλυσαμένη, καταχριέσθω μυρσίνῃ λείᾳ μετ' οἰνελαίου, ἄνωθεν δὲ ἐπιτιθέσθω φύλλα τεύτλου. Ἄλλο πρὸς τοὺς λίαν ἑλκώδεις. ℞. ψιμμυθίου πεφρυγμένου < β'. λιβάνου < β'. θείου < α'. λεῖα ποιήσας μετ' ἐλαίου κατάχριε. Ἄλλο καὶ πρὸς πίτυρα ποιοῦν. ℞. νίτρου, χαλκάνθου ἀνὰ < α'. λειώσας ἔλαιον κατάχεε, καὶ ἔγχριε. Ἄλλο πρὸς ἀχῶρας. σμύρναν καὶ μυρσίνης λευκῆς χλωρὰ φύλλα λεῖα, ἐν οἴνῳ λειώσας, κατάχριε. ἢ γῆ κιμωλίᾳ φωσθείσῃ σὺν οἴνῳ μέλανι, κατάχριε. ἢ ψιμμυθίου καὶ μολυβδαίνης ἴσον ἑκάστου, σὺν μυρσίνῳ λειώσας κατάχριε. ἢ θείου ἀπύρου < ϛ'. λιβάνου ἄρρενος < α'. στυπτηρίας σχιστῆς, σταφίδος ἀγρίας, εὐζώμου, νίτρου ἀφροῦ ἀνὰ < α'. χαλκάνθους < α'. πηγάνου κλωνία τρία, λειώσας, ὄξος βάλε σύμμετρον, καὶ δάφνινον ἔλαιον, ἢ μύρσινον, ἢ κρόκινον, ἢ παλαιὸν ἔλαιον, καὶ ποιήσας λιπαρὸν, κατάχριε, προαποσμήξας τῷ σμήγματι τούτῳ. Σμῆγμα. ℞. ὑσσώπου χοίνικα α'. θέρμων χοίνικας β'. πτισάνης χοίνικα α'. ἐρεγμοῦ χοίνικα α'. σικύου ἀγρίου ῥίζης δραχμὰς γ'. ταῦτα λειώσας μίξον, καὶ δίδου σμήχεσθαι. ὃ δὴ αὐτὸ ποιεῖ, καὶ πρὸς λέπρας, καὶ πρὸς ἰόνθους.

Περὶ τῶν ὑπὸ Σωρανοῦ γεγραμμένων φαρμάκων πρὸς ἀχῶρας.

Ἐπειδὴ καὶ ὁ Σωρανὸς ἔγραψε περί γε τῶν ἀχώρων ἔν τε τῷ τετάρτῳ περὶ φαρμακείας, καὶ ἐν τῷ μονοβίβλῳ φαρμακευτικῷ φάρμακά τινα, καὶ ἡμῖν διὰ τῆς πείρας ἐγνωσμένα, τὰ μὲν αὐτοῖς χρησαμένοις, τὰ δὲ παρὰ τοῖς διδασκάλοις ἑωρακόσιν, ἢ φίλοις ἰατροῖς, καὶ ταῦτα προσθήσομεν, κατὰ λέξιν οὕτω γεγραμμένα. πολλῆς δὲ τῆς τῶν ἰχώρων ἀποκρίσεως ὑπαρχούσης, τῆς δὲ περιωδυνίας σφοδρῶς ἐγκειμένης, καταπλαστέον ἑφθῷ φακῷ λείῳ, μετ' ὀλίγου μέλιτος. ἢ ἄρτῳ μετὰ κοριάννου, ἢ ἀρνογλώσσου, ἢ στρύχνου, ἢ σέρεως, ἢ πολυγόνου, ἢ περδικίου βοτάνης. ὁ μὲν οὖν Σωρανὸς, ὡς ἐπὶ πεπληγμένῳ τῷ πάθει τούτῳ, τὰ τοιαῦτα βοηθήματα προσφέρει κατὰ τὴν ἰδίαν αἵρεσιν αἰτιολογῶν, φαίνεται δὲ ὄντως ὠφελοῦντα κατὰ τὰς ἀρχὰς, καὶ τὰς γενέσεις, τῷ κοινῷ λόγῳ τῆς ἀποκρούσεως. ἐφεξῆς δέ φησι, τῶν δὲ παροξυσμῶν παρενδιδόντων, ξυρᾶν τοὺς τόπους, καὶ σμήχειν τῷ τῆς τήλεως ἀφεψήματι, καὶ τῷ τοῦ τεύτλου, καὶ τῶν ὁμοίων δι' ὕδατος, οὐ δι' οὔρου, ὡς καὶ ἡμεῖς ἔμπροσθεν ἐμεμψάμεθα τοὺς δι' οὔρου τὰς μίξεις ποιουμένους. εἶθ' ἑξῆς γράφει φάρμακα, καὶ ἡμῖν, ὡς ἔφην, ἐγνωσμένα. ℞. μολυβδαίνης, θείου ἀπύρου τὸ ἴσον, λειώσας δὲ παράχει ῥόδινον, ἢ μύρσινον, ἢ σχίνινον, ἄχρι τοῦ γλοιώδες ποιῆσαι αὐτὰ, κατάχριε. Ἄλλο. θείου ἀπύρου, λιθαργύρου, ψιμμυθίου, ἑκάστου τὸ ἴσον, κρόκου τὸ ἥμισυ λειώσας μετὰ γλυκέος Κρητικοῦ, κατάχριε. Ἄλλο. ℞. πηγάνου λείου δραχμὰς δ'. λιθαργύρου < η'. ὄξος καὶ ἔλαιον ῥόδινον μίξας κατάχριε. Ἄλλο. ℞. λιθαργύρου < κ'. ἀσβέστου < κ'. ὄξους καὶ ἐλαίου ἀνὰ κοτύλην μίαν, λεάνας, ὡς τὴν λιπαρὰν κατάχριε.

A

De iis quæ Cleopatra in libro de Ornatu ad Achoras scripsit.

Porrò quæ Cleopatra ad Achoras scripserit, ea deinceps referentur illius ipsius verbis: Fœnugræco tenui cocto, & in betæ nigræ succo macerato, caput eluatur; aut betæ decocto; aut terra cimolia in his macerata, atque exoluta, inungatur; aut myrto læuigata ex vino, & oleo; supernéque betæ folia imponantur. *Aliud ad valdè vlceratos.* ℞. Cerussæ frictæ ʒ. ij. thuris ʒ. ij. sulfuris ʒ. j. trita ex oleo illinito. *Aliud quod & ad furfures facit.* ℞. Nitri, atra-
B menti sutorij, vtriusque ʒ. j. tritis oleum affundito, & illinito. *Aliud ad Achoras.* Myrrham, & myrti albæ folia viridia vino trita illinito. Aut terram cimoliam torrefactam cum vino nigro illinito. Aut cerussæ, & plumbaginis æquales partes cum myrteo tritas illinito. Aut sulfuris viui ʒ. vj. thuris masculi ʒ. j. aluminis scissi, staphidis syluestris, erucæ, spumæ nitri, singulorum ʒ. j. atramenti sutorij ʒ. j. rutæ ramulos tres. Terito aceto moderatè effuso, item laurino, aut myrteo, aut crocino, aut oleo veteri adstillato, quo pinguis compo-
C sito fiat, eámque, vbi prius hoc smegma affricueris, illinito. *Smegma.* ℞. Hyssopi chœnicem j. lupinorum chœnices ij. ptissanæ chœnicem j. fabæ fresæ chœnicem j. radicis cucumeris syluestris ʒ. iij. Hæc trita, misceto, & affricanda præbeto. Idem & ad lepram, & ad varos facit.

De iis medicamentis quæ Soranus ad Achoras scripsit.

Quandoquidem verò, & Soranus de achoribus, tum in quarto de medicina, tum in vnico me-
D dendi libro, quem Monobiblum inscripsit, pharmaca quædam tradidit, quæ etiam nobis per experientiam constant, partim quidem proprio, partim verò præceptorũ, aut medicorum amicorum vsu cognita: Quare etiam ea ipsa hic apponemus iuxta ipsius dictionem hoc modo tradita. Vbi multus saniei fluor existit, & vexatio doloris vehementer incumbit, lenticulam coctam tritam cum exiguo melle cataplasmatis modo imponito. Aut panẽ cum coriandro, aut plãtagine, aut solano, aut seride, aut polygono, aut perdicio herba. Soranus quidem igitur velut in implicata affectione eiusmodi remedia adhibet, iuxta propriam sectam ra-
E tiocinatus. Apparent autem re vera commoda in principiis, & circa generationes, communi repellendi ratione. Deinceps verò inquit: Vbi autem exacerbationes remiserint, radendi sunt loci, & fœnigræci decocto, aut betæ, & similium, ex aqua, non vrina, confricandi; quemadmodũ etiam nos prius reprehendimus eos, qui per vrinam eiusmodi frictiones faciunt. Postea verò medicamenta scribit, etiam nobis, vt dixi, cognita. Plumbaginis, sulfuris viui, æquales partes terito: & affuso rosaceo, aut myrteo, aut lentiscino donec strigmentosum reddatur, illinito. *Aliud.* ℞. Sul-
F furis viui, spumæ argenti, cerussæ, omnium æquales partes, croci dimidiam, trita cum passo Cretico, illinito. *Aliud.* ℞. Rutæ læuigatæ ʒ. iiij. spumæ argenti ʒ. viij. aceto, & oleo rosaceo admixto illine. *Aliud.* ℞. Spumæ argenti ʒ. xx. calcis viuæ ʒ. xx. aceti ac olei heminam vnam, terito, ac velut pinguem compositionem illinito.

A *Aliud.* ℞. Chalcitidis ʒ.ij. sandaraches ʒ.quatuor, spumæ argenti ʒ.j. vino austero, & myrteo oleo simul trita illinito. Huic verò deinceps Soranus aliud fortè medicamentum scripsit, quod pro suæ sectæ instituto Metasyncriticum appellauit. Conuenit autẽ in inueteratis, & ægrè cedentibus achoribus, ex eiusque vsu quidam medicus nobis amicus magnum nomen adeptus est. ℞. Olei cedrini sextarium j. aceti acris sextarios iij. coquito donec exhalet acetum: deinde adiice adipis suilli veteris sale seruati lib. ii. eóque liquefacto ollam ab igne auferto, & nitri triti bessem, sulfuris viui sexuncem, sandaraches ℥. i. infarcito. Postquam verò illitum medicamentum exaruerit, in balneo per B prædicta smegmata confricari iube, perque vinum, & oua, ac nitrum, & per radicum cucumeris syluestris decoctum; aut fæce rhodia, & pumice, cum aqua calida.

CAPVT IX.

Ad Psydracia, & Achoras, pustulasque vlcerosas, & exanthemata in capite.

AD præscriptas affectiones conuenienti victus ratione vti oportet, corporísque ac capitis purgationem adhibere, per pilulas ex aloë, colocynthide, & scammonia, ita vt brassicæ succo coactæ ex his pilulæ exhibeantur. Deinde ipsa locali curatione vtendum est, cuius generis est, C adiantum cum rosaceo illitum. Aut fœnigræci decoctum affrictum. Aut malua cum farina hordeacea pro cataplasmate imposita. Aut melilotum cum farina fœnigræci ex vino impositum, & cicerum decocto: ipsumque cicer coctum impositum, nuces amaræ commansæ, & illitæ. Discutit autem maximè, & lilij radix affricta, & thus cum vino, & aqua, & lupinorum amarorum decoctum affrictum, bulbi cum nitro affricti, thus ex aceto illitum, putamen mali punici cum laurino illitum. Aut anchusæ radicem vstam, & tritam cum oleo, donec strigmentitiam crassitiem accipiat, cum penna illinito, & ægrum iuuabis.


A Ἄλλο. ℞. χαλκίτεως δραχμὰς β΄. σανδαράχης < δ΄. λιθαργύρου δραχμὴν α΄. οἴνῳ αὐστηρῷ καὶ μυρσίνῳ συλλεάνας ἐπίχριε. ἐφεξῆς δὲ τούτῳ ὁ Σωρανὸς ἔγραψεν ἄλλο φάρμακον ἰσχυρὸν, ὃ κατὰ τὴν ἑαυτοῦ τῆς αἱρέσεως ἀγωγὴν ὠνόμασε μετασυγκριτικόν. ἔστι δὲ ἐπὶ τῶν χρονίων, καὶ δυσλύτων, ἁρμόζον, ᾧ καὶ χρώμενός τις τῶν φίλων ἰατρῶν, εὐδοκίμει. ℞. ἐλαίου κεδρίνου ξε α΄. ὄξους δριμέος ξε γ΄. ἕψε ἄχρις ἂν ἐξατμισθῇ τὸ ὄξος, εἶτα ἐπίβαλε στέατος χοιρείου τεταριχευμένου παλαιοῦ λίτρας β΄. τακέντος δὲ τούτου, βαστάσας ἀπὸ τοῦ πυρὸς τὴν χύτραν, προσεπίπλασσε νίτρου λείου ℥ο η΄. θείου ἀπύρου ℥ο ς΄. σανδαράχης ℥ο α΄. μετὰ δὲ τὸ ξηρανθῆναι τὸ καταχρισθὲν φάρμακον, κέλευε σμήχεσθαι κατὰ τὸ βαB λανεῖον, διά τε τῶν εἰρημένων, καὶ δι' οἴνου, καὶ δι' ᾠῶν, καὶ διὰ νίτρου, καὶ δι' ἀφεψήματος τῶν τοῦ ἀγρίου σικύου ῥιζῶν, ἢ τρυγὶ ῥοδίᾳ καὶ κισήρει, μετὰ θερμοῦ ὕδατος.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Πρὸς ψυδράκια, καὶ ἀχῶρας, καὶ ἑλκύδρια, καὶ ἐξανθήματα ἐν τῇ κεφαλῇ.

ΠΡὸς τὰ εἰρημένα πάθη δεῖ προσφέρεσθαι ἐπιτήδειον δίαιταν, καὶ καθάρσει χρῆσθαι τοῦ σώματος, καὶ τοῦ κρανίου, τοῖς δι' ἀλόης κοκκίοις, καὶ κολοκυνθίδος, καὶ σκαμμωνίας, ἀναληφθέντων χυλῷ κράμβης τῶν διδομένων κοκκίων, εἶτ' αὖθις τῇ τοπικῇ θεραπείᾳ χρῆσθαι, οἷόν ἐστι τὸ ἀδίαντον μετὰ ῥοC δίνου ἐπιχριόμενον. ἢ τήλεως ἀφέψημα σμώμενον. ἢ μαλάχη μετὰ κριθίνου ἀλεύρου καταπλασσομένη. ἢ μελίλωτον σὺν τηλίνῳ ἀλεύρῳ, μετ' οἴνου καταπλασσόμενον, καὶ ἐρεβίνθων ἀφεψήματος, καὶ αὐτοὶ ἑφθοὶ καταπλασσόμενοι, κάρυα πικρὰ μασηθέντα, καὶ ἐπιχριόμενα. διαφορεῖ δὲ καὶ μάλιστα, καὶ κρίνου ῥίζα σμωμένη, καὶ λιβανωτὸς σὺν οἴνῳ καὶ ὕδατι, καὶ θέρμων πικρῶν ἀφέψημα σμώμενον, βολβοὶ σὺν νίτρῳ σμώμενοι, λίβανον μετ' ὄξους καταχριόμενον, σίδια ῥόας μετὰ δαφνίνου ἐλαίου καταχριόμενα, καὶ ἀγχούσης ῥίζας καύσας, καὶ λεάνας μετ' ἐλαίου, ἕως γλοιοῦ πάχος, ἐπίχριε τῷ πτερῷ, καὶ ὠφελήσεις.





ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΟΝ Β'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Β'. ΒΙΒΛΙΩι.

Ἐξηγεῖται τὰ πρὸς ἀλγήματά τε, καὶ πληγάς, καὶ ἕλκη, καὶ λοιπὰς τῆς κεφαλῆς διαθέσεις, φάρμακα.

ARGVMENTVM LIBRI SECVNDI.

Medicamenta exponuntur ad dolores, contusiones, vlceraquè, & cæteros capitis affectus.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ κεφαλαλγίας ἁπάσης καὶ ἡμικρανίας, καθολικὴ διδασκαλία.



ΟΣΟΙ μὲν ἔγραψαν ἄνευ διορισμοῦ κεφαλαλγίας βοηθήματα, πλείονα βλάβην, ἢ ὠφέλειαν εἰργάσαντο τοῖς πιστεύσασιν. A οὐ γὰρ ἐπὶ μιᾷ διαθέσει πάντες ἀλγοῦσι κεφαλήν, ἀλλ' αὐταί τε πλείους εἰσὶν αἱ διαθέσεις, ἥτε ἴασις ἑκάστης αὐτῶν ἰδία. μία μὲν γὰρ διάθεσίς ἐστι κατὰ δυσκρασίαν ἁπλῆν ἄνευ χυμῶν, ἑτέρα δὲ ἐπὶ τῇ τούτων ποιότητι, καθάπερ γε καὶ τρίτη τις ἄλλη διὰ τὸ πλῆθος αὐτῶν μόνον γιγνομένη, καὶ πρὸς αὐταῖς, ὅταν ἐμφράξωσιν οὗτοι τὰς διεξόδους τῶν ὑγρῶν τε καὶ τῶν ἀτμῶν, καὶ πρὸς ταύταις, ἄλλη. ὅταν δι' ἀσθένειαν ἔν τισι τῶν κατὰ τὴν κεφαλὴν μορίων, B πνεῦμα φυσῶδες ἐγγεννηθῇ, ἔσθ' ὅτε καὶ διὰ προκαταρκτικήν τινα αἰτίαν, οἷον ἔγκαυσιν ἔξωθεν, ἢ ψύξιν, ἢ μέθην, ἢ πληγήν. σφοδρόταται μὲν οὖν κεφαλαλγίαι γίγνονται, κατὰ θερμότητα, καὶ ψυχρότητα, καὶ μάλισθ' ὅταν ἀνώμαλοι τύχωσιν, μέτριαι δὲ αἱ κατὰ ξηρότητα. ταῖς δὲ ὑγρότησιν, οὐδεὶς ἕπεται πόνος. ὡσαύτως δὲ κἂν ἐπὶ χυμοῖς πλεονάσασιν, ἤτοι κατὰ πάντα τὰ μόρια τῆς κεφαλῆς, ἢ καθ' ἓν ὁποιοῦν, ἢ δύο συμβαίνει τὸ ἄλγημα. σφοδρότερον μὲν ἐγγίνεται διὰ τοὺς θερμούς τε, καὶ ψυχρούς, μέτριον δὲ ἐπὶ τοῖς ξηραίνουσιν ἄνευ θερμότητος, ἢ ψύξεως ἐπιφανοῦς. οἱ δὲ ὑγραίνοντες ἀνώδυνοι τελέως εἰσίν, ὅσον ἐπὶ τῇ ποιότητι· διὰ

CAPVT PRIMVM.

De omni capitis dolore, dimidiæque eius partis affectione, vniuersalis doctrina.



QVICVNQVE citra distinctionẽ doloris capitis auxilia scripserunt, maius detrimentum, quàm emolumentum iis qui eis fidem habuerunt, attulere. Neque enim omnes ob vnum affectũ caput dolent, sed tum ipsi affectus plures sunt, tum curatio ipsorum singulorũ propria existit. Vnus etenim affectus iuxta intemperiem simplicem citra humorum complexum; alius iuxta humorum qualitatẽ; velut etiam tertius quispiam alius iuxta multitudinem tantum ipsorum humorum contingit. Quibus accedit is, qui fit, quum humorum aut vaporum viæ intercipiuntur. Et ad hæc alius est, quum in quibusdã capitis partibus, propter imbecillitatẽ, flatuosus spiritus innascitur. Quãdoque etiam ob causam aliquã externã, velut est ardor externus, frigiditas, ebrietes, plaga capitis, dolor cõtingit. Vehementissimi igitur capitis dolores fiunt iuxta caliditatẽ, & frigiditatẽ, maximè quum inæquales existũt; moderati verò iuxta siccitatem, ad humiditates verò nullus cõsequitur dolor. Eodẽ modo quũ ob redũdantes humores, siue iuxta omnes capitis partes, siue iuxta vnã quãcunq; tandẽ, siue duas, dolor cõtingit, vehemẽtior quidẽ ob calidos, & frigidos, moderatior autem ob reficcãtes citra caliditatẽ, aut frigiditatẽ manifestã oboritur. Humectãtes verò penitus nullũ dolorẽ inducũt, quantũ ad qualitatẽ ipsorũ attinet:

net: ob multitudinem sanè instrumentalium partium morbos faciunt, non tamen similarium partium vllum aliquem, in quibus solum affectus iuxta intemperiem simplicem fiunt. At verò affectus ob humorum multitudinem, citra quidem obstructionem, caput grauant; cum obstructione verò, siquidem ea moderata fuerit, moderatæ dolorosi, sin fortis, fortiter contingunt. Quod si etiam mordacem qualitatem humorum multitudo complectatur, etiam iuxta hanc dolorem augebit. Atque hæ quidem differentiæ sunt affectuum, quantum ad causas attinet eos producentes. Aliæ verò sunt iuxta affectarum partium naturam. Aliquando enim extra caluariam affectio est, aliquando intra. Et quandoque quidem omnium exteriorum, aut interiorum est: quandoque non omnium, sed vnius tantum corporum generis, arteriarum videlicet, aut venarum, aut neruorum, aut membranarum, aut cutis, aut ipsius adeo cerebri. Itaque difficillimum est affectum cognoscere locum, siue vnus, siue plures vno existant, aut qui tandem hi ipsi extent. Nec verò affectum inuenire, promptũ est. sed & hoc exercitato homine indiget, qui tum per rationis exercitium, tum per multam, & assiduam affectus ægrorum inspectionem, eum cognoscat. Proprietates enim aliquæ quidem omninò dici non possunt, quædam verò ægrè circa ægrotantia corpora ostendi possunt, vtpotè, quæ tantùm iis, qui eas sæpe viderunt, cognitę existant. Non parum verò ad affectus cognitionem faciunt quædam ex causis antegressis, quæ priuatim euidentes medicis vocantur, velut quum manifestus sensus, & offensa ardoris, aut frigoris ægris contigit, & facilè sanè eiusmodi affectus recentes sanantur; probeque, & ritè ab eis initium sumpserunt medici, qui præsidia, ac auxilia morborum cum distinctionibus descripserunt. Multa quidem igitur à vetustioribus pharmaca simplicia, & composita ad huiusmodi affectiones descripta sunt. Mihi verò etiam hic satis erit ex recentioribus apponere, qui sanè tum ea, quæ veteres inuenere, conscripserunt, tum ipsi etiam alia quædam addiderunt. Equidem vniuersum curationis scopum singulorum affectuum ratio nos docet: at verò materiæ facultates, experientia ipsa demonstrat. Per hanc igitur auxiliorum copia progressu temporis augetur. Atque adeo nunc tempus adest sermoni, propria auxilia iuxta singulos affectus describendi, initium ab iis, quæ secundum qualitates solas à naturali cuiusq; partis statu discesserunt, facturo.

Quæ Apollonius scripsit ad dolorem capitis qui ab ardore prouenit.

Apollonius igitur in primo de facilè parabilibus ad capitis dolorem ab ardore prouenientem, sic scripsit; rosaceo assiduè caput irrigato; aut lanam, siue linteolum rosaceo tingito, & imponito. *Aliud.* Narcissino vnguento similiter vtitor. *Aliud.* Melino vnguento eodem modo vtitor. *Aliud.* Aut mori succo per linteolum expresso, cum pari rosaceo vtitor. *Aliud.* Portulacæ folia tusa, per se, & cum polentæ flore, imponito. *Aliud.* Cupressum teneram tritam per se, & cum polentæ flore, imponito. *Aliud.* Solanum per se, & cum polentæ flore, imponito. *Aliud.* Sesamum terito, & rosaceo adstillato; imponito. *Aliud.* Vitis folia cocta trita cum mulsa aqua imponito. *Aliud.* Folia ricini

A γάρ τοι τὸ πλῆθος, ὀργανικὰ νοσήματα ποιοῦσιν, οὔτι τῶν ὁμοιομερῶν, ἐφ' ὧν μόνων αἱ κατὰ δυσκρασίαν ἁπλῆν γίγνονται διαθέσεις. αἱ δὲ διὰ πλῆθος, ἄνευ μὲν ἐμφράξεως, βαρύνουσι τὴν κεφαλὴν, σὺν ἐμφράξει δὲ, μετρίως μὲν ὀδυνώδεις ἐπὶ ταῖς μετρίαις ἐμφράξεσιν, ἰσχυρῶς δὲ ἐπὶ ταῖς ἰσχυραῖς συμβαίνουσιν. ἐὰν δὲ καὶ δακνώδη ποιότητα τὸ πλῆθος ἔχει τοῦ χυμοῦ, καὶ κατὰ τοῦτο τὴν ὀδύνην αὐξήσει, αὗται μὲν αἱ διαφοραὶ τῶν διαθέσεων, ὅσον ἐπὶ τοῖς ποιοῦσιν αἰτίοις, ἕτεραι δὲ παρὰ τὴν τῶν πασχόντων μορίων φύσιν. ἐνίοτε μὲν γὰρ ἔξωθεν τοῦ κρανίου τὸ πάθος ἐστὶν, ἐνίοτε δὲ ἐντὸς, καί ποτε μὲν ἁπάντων τῶν B ἐκτὸς, ἢ τῶν ἐντός ἐστιν, ἐνίοτε δὲ οὐ πάντων, ἀλλ' ἑνὸς γένους σωμάτων, ἀρτηριώδους, ἢ φλεβώδους, ἢ νευρώδους, ἢ ὑμενώδους, ἢ τοῦ δέρματος, ἢ αὐτοῦ τοῦ ἐγκεφάλου. δυσκολώτατον οὖν ἐστι τὸ διαγνῶναι τὸν πεπονθότα τόπον, εἴτε εἷς ἐστιν, εἴτε πλείους ὑπάρχουσιν ἑνὸς, ἢ τίνες οὗτοι τυγχάνουσιν ὄντες, οὐ μὴν οὐδὲ τὴν διάθεσιν εὑρεῖν ἕτοιμον, ἀλλὰ καὶ τοῦτο γεγυμνασμένου δεῖται, κατά γε τὴν διὰ τοῦ λόγου γυμνασίαν, ἱστορίαν τε πολλὴν, καὶ συνεχῆ τῆς τῶν καμνόντων διαθέσεως. ἰδιότητες γὰρ ἔνιαι μὲν ἄρ- C ρητοι παντάπασιν, ἔνιαι δὲ δύσρητοι γίγνονται περὶ τὰ κάμνοντα σώματα, μόνοις τοῖς πολλάκις ἑωρακόσι γνώριμοι. συνενδείκνυνται δὲ τὴν διάθεσιν οὐ μικρῶς, ἔνια τῶν προκαταρξάντων αἰτίων, ἃ καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ἰδίως προκαταρκτικὰ, καθάπερ ὅταν ἐναργὴς αἴσθησίς τε, καὶ βλάβη τοῖς κάμνουσιν αὐτοῖς, ἐγκαύσεως, ἢ ψύξεως γένηται. καὶ ῥᾷστόν γε τὰς διαθέσεις ταύτας ἰᾶσθαι προσφάτους, καὶ καλῶς ἀπ' αὐτῶν ἤρξαντο τῶν ἰατρῶν, ὅσοι μετὰ διορισμῶν ἔγραψαν τὰ βοηθήματα. πολλὰ μὲν οὖν τοῖς ἀρχαιοτέροις ἁπλᾶ τε, καὶ σύνθετα φάρμακα D γέγραπται τῶν τοιούτων διαθέσεων, ἐμοὶ δὲ κἀνταῦθα τὰ τῶν νεωτέρων εἰπεῖν ἀρκέσει, τά τε τοῖς πρεσβυτέροις εὑρημένα γεγραφότων, αὐτῶν τε προστεθεικότων ἕτερα. τὸν μὲν γὰρ καθόλου τῆς ἰάσεως σκοπὸν ἑκάστου τῶν παθῶν, ὁ λόγος ἡμᾶς διδάσκει, τὰς δὲ τῆς ὕλης δυνάμεις, ἡ πεῖρα. διὰ ταύτην οὖν αὐξάνεται τὸ πλῆθος τῶν βοηθημάτων ἐπὶ προήκοντι τῷ χρόνῳ, καὶ ἤδη καιρὸς ἥκει τῷ λόγῳ, τὰ καθ' ἑκάστην διάθεσιν οἰκεῖα βοηθήματα γράφειν, τὴν ἀρχὴν ἀπὸ τῶν κατὰ μόνας τὰς ποιότητας ἐξισταμένων τοῦ κατὰ φύσιν ἑκάστου μορίου, ποιησαμένῳ.

E

Τὰ ὑπ' Ἀπολλωνίου γεγραμμένα περὶ κεφαλαλγίας, τῆς δι' ἔγκαυσιν.

Ἀπολλώνιος μὲν οὖν ἐν τῷ πρώτῳ τῶν εὐπορίστων, οὕτως ἔγραψεν πρὸς κεφαλαλγίαν τὴν δι' ἔγκαυσιν. ῥοδίνῳ διάβρεχε συνεχῶς τὴν κεφαλὴν, ἢ καὶ ἔριον, ἢ καὶ ῥάκος εἰς ῥόδινον ἀποβάπτων, ἐπιτίθει. Ἄλλο. ναρκισσίνῳ μύρῳ ὡσαύτως χρῶ. Ἄλλο. μηλίνῳ μύρῳ χρῶ παραπλησίως. Ἄλλο. συκαμίνου χυλῷ δι' ὀθονίου ἐκτεθλιμμένῳ, καὶ ῥοδίνῳ ἴσῳ χρῶ. Ἄλλο. ἀνδράχνης φύλλα κόψας, καὶ καθ' αὐτὰ, καὶ μετὰ F παιπάλης ἀλφίτων κατάπλασσε. Ἄλλο. κυπάρισσον ἁπαλὴν λείαν καὶ καθ' ἑαυτὴν, καὶ μετὰ παιπάλης ἀλφίτων κατάπλασσε. Ἄλλο. στρύχνον, καὶ καθ' ἑαυτὸ, καὶ μετὰ παιπάλης ἀλφίτων κατάπλασσε. Ἄλλο. σήσαμον τρίψας, καὶ ῥόδινον παραστάξας, ἐπιτίθει. Ἄλλο. ἀμπέλου φύλλα ἑψήσας λεῖα, ἐν μελικράτῳ λεάνας, ἐπιτίθει. Ἄλλο. φύλλα κίκεως

συγκόψας, καὶ ἐμβαλὼν εἰς ὕδατος ὅσον ὀκτὼ κοτύλας, καὶ ἐξαιθριάσας, τούτῳ τὴν κεφαλὴν κατάντλει, καὶ μετὰ ταῦτα, κατάπλασσε τοῖς πρὸς ταῦτα ἀναγεγραμμένοις. Ἄλλο. κονύζης εὐώδους ἐμβαλὼν ὅσον δεσμὸν ἑκκαίδεκα δακτύλων, εἰς ὕδατος ὅσον κοτύλας η΄. ἐξαιθριάσας κατάντλει πρᾳέως. χρηστέον δ᾽ ὑποστολῇ τροφῆς, καὶ κοιλίας κενώσει, καὶ ὕπνῳ, καὶ ἡσυχίᾳ, φυλακτέον δὲ μάλιστα προσφορὰν οἴνου, καὶ ἥλιον, καὶ λουτρόν. ἔτι δὲ πυρίαν, καὶ κραυγὴν, καὶ διάτασιν, καὶ πᾶσαν ταραχὴν διανοίας, καὶ ἔκστασιν, καὶ ἐν εὐπνοίᾳ διατριπτέον.

Πρὸς κεφαλαλγίαν τὴν διὰ κατάψυξιν.

Ἰρίνῳ μύρῳ θερμῷ τὴν κεφαλὴν κατάβρεχε, χρῶ δὲ καὶ ἐρίοις, καὶ ῥάκεσιν εἰς αὐτὸ ἀποβεβρεγμένοις. Ἄλλο. δαφνίνῳ μύρῳ ὡσαύτως. Ἄλλο. ἀλεύρῳ ἑφθῷ μετὰ μελικράτου χρῶ. Ἄλλο. δάφνης φύλλα ἁπαλὰ μετὰ ἰρίνου μύρου τετριμμένα, εἰς τὴν κεφαλὴν ἔγχει. Ἄλλο. σαμψύχῳ λείᾳ μετ᾽ οἴνου, ἢ ῥοδίνου παραπλησίως χρῶ. Ἄλλο. κύπερον κόψας, καὶ χηνείῳ μίξας στέατι, τὴν κεφαλὴν κατάχριε. Ἄλλο. ἐλάφειον κέρας κατακαύσας, καὶ λαβὼν ὅσον ὀξύβαφον, οἶνον εὐώδη μίξας διπλασίονα, καὶ τρίψας κατάχριε. Ἄλλο. ἁρμόσει δὲ καὶ πυρία διὰ σπόγγων εἰς θερμὸν ὕδωρ ἀποβεβρεγμένων, καὶ ἐκπεπιεσμένων, καὶ μάλιστα δάφνης φύλλων ἁπαλῶν ἐναφεψημένων, ἢ σαμψύχου, ἢ κυπέρου, καὶ πιλήματα μαλακῶν ἐρίων, μύρῳ ἰρίνῳ καὶ οἴνῳ κατερρασμένα, περὶ τὴν κεφαλὴν τιθέμενα, καὶ σκέπη, καὶ ἀλέα, καὶ ὑποστολὴ σιτίων, καὶ κοιλίας κένωσις, ἔτι δὲ ὕπνος, καὶ ἡσυχία, σώματος ἀνάπαυσις, εὐθυμία. φυλακτέον δὲ ὁμοίως, καὶ κραυγὴν, καὶ διάτασιν, καὶ οἴνου προσφορὰν, καὶ κατάψυξιν. ταῦτα μὲν ὁ Ἀπολλώνιος ἔγραψεν βοηθήματα δι᾽ ἔγκαυσιν κεφαλαλγίας, ὀνομάζουσι δ᾽ ἔγκαυσιν, τὴν ἐξ ἡλίου θερινοῦ κατὰ τὴν κεφαλὴν γινομένην θερμότητα μόνιμον. ἅπαντες γὰρ οἱ ἄνθρωποι θερμαίνονται τὴν κεφαλὴν ἐν ἡλίῳ θερινῷ διατρίψαντες ἐπὶ πλέον, οὐ μὴν παραμένει γε πᾶσιν ὁμοίως ἡ θερμότης, ἀλλ᾽ εὐθὺς παύεται. τισὶ μὲν γὰρ καὶ πρὸ τοῦ λουτροῦ, τοῖς πλείστοις δὲ λουσαμένοις. ὅσοις δ᾽ αὖ παραμείνῃ, διάθεσιν τῆς κεφαλῆς ἤδη κατὰ ἕξιν, οὐ κατὰ σχέσιν ἡγούμενοι γεγονέναι, καλοῦσιν ἔγκαυσιν. ἐνίοτε μὲν οὖν μόνη συνίσταται δυσκρασία τῆς ἐπὶ τὸ θερμότερον ἐν τῇ κεφαλῇ γινομένης διαθέσεως, ἐνίοτε δὲ καὶ πλῆθος χυμῶν, ἢ ἀτμῶν ἐπ᾽ αὐτὴν ἀναθεῖ, καὶ μάλιστα ὅταν ἀναστρέφηταί τις ἐν ὅλῳ τῷ σώματι πλεονεξία χυμῶν, ἣν ὀνομάζουσιν οἱ περὶ τὸν Ἐρασίστρατον πληθώραν. γίνεται δὲ αὕτη τῶν τεττάρων χυμῶν ἀνάλογον αὐξηθέντων, ἢ τοῦ αἵματος μόνου, ὡς ὅταν γέ τις τῶν ἄλλων αὐξηθείη χυμῶν, οἷόσπερ εἰσὶ φλέγμα, καὶ χολὴ ξανθὴ, καὶ μέλαινα, τὴν τοιαύτην αὔξησιν, οὔτε πληθώραν, οὔτε ἁπλῶς πλῆθος, ἀλλὰ μετὰ προσθήκης ὀνομάζουσι πλῆθος φλέγματος, ἢ χολῆς ξανθῆς, ἢ μελαίνης ὑπάρχειν ἐν τῷ σώματι φάσκοντες. τοῖς δ᾽ ἐξ ἐγκαύσεως ἀλγοῦσιν τὴν κεφαλὴν, τὸ δέρμα ξηρότερον τῇ ἁφῇ κατὰ τὴν πρώτην ἐπιβολὴν φαίνεται, τούς τε ὀφθαλμοὺς ἐρυθροὺς ἔχουσιν. χαίρουσι δὲ, καὶ τοῖς ψυχροῖς προσαντλήμασί τε καὶ ἀλείμμασι. κατ᾽ ἀρχὰς μὲν οὖν ἀποκρουστικῇ θεραπείᾳ χρηστέον, ἐκ τῆς τῶν ψυχόντων, καὶ στυφόντων γινομένῃ. μετὰ δὲ ταῦτα τῶν παρηγορικῶν, καὶ πεπτικῶν φαρμάκων τι μιγνύναι χρὴ τοῖς ἀποκρουστικοῖς, εἶτά τι καὶ τῶν διαφορητικῶν προσθετέον, ἀφαι-

A contusa, & in octo aquæ heminas coniecta sub dio per noctem exponito, & cum aqua caput perfundito; & post hæc, quæ ad huiuscemodi affectum scripta sunt, emplastri more apponito. *Aliud.* Conyzæ odoræ fasciculum decem & sex digitorum, in aquæ heminas octo coniectum sub dio per noctem exponito, & leniter aquam effundito. Vtendum & cibi subtractione, & ventris euacuatione, somnoque, & quiete. Vitanda autem maximè vinum, Sol, & balneum; ampliùs autem, & fomenta, clamor, contentio, omnísque mentis perturbatio, & percussio. Atque in loco bene perspira-

B bili degendum.

Ad capitis dolorem ex frigore.

Irino vnguento calido caput irrigato; vtere etiam lanis, ac linteolis in eo madefactis. *Aliud.* Laurino vnguento similiter vtere. *Aliud.* Farina cocta cum aqua mulsa vtitor. *Aliud.* Lauri folia tenera cum irino vnguento trita capiti infunde. *Aliud.* Sampsucho cum vino trito, aut rosaceo similiter vtitor. *Aliud.* Cyperum tusum adipe anserino admixto, capiti illinito. *Aliud.* Cornu cerui exurito, eiúsque acetabulo vinum odoratum dupla mensura admisceto, terito, ac illinito.

C *Aliud.* Conuenient, & fomenta per spongias calida imbutas, & expressas, maximè si lauri folia tenera in aqua fuerint incocta, aut sampsuchi, aut cyperi; & lanarum mollium pilei vnguento irino, & vino rigati, capitique circumpositi: Item tegmina, & tepor, & ciborum subtractio, ac ventris euacuatio. Amplius autem, & somnus, & quies, & corporis tranquillitas, ac lætitia. Vitanda verò similiter clamor, contentio, vini potus, & frigiditas. Hæc quidem auxilia aduersus capitis dolorem ex ardore oborto Apollonius scripsit. Appellant autem ardo-

D rem, ex Sole æstiuo circa caput factam perseuerantem caliditatem. Omnes enim homines in Sole æstiuo diutius versantes capite incalescunt, non tamen omnibus æqualiter caliditas permanet, sed statim quiescit, quibusdam etiam ante balneum, plerisque verò post lotionem: quibuscunque autem permanserit, affectum capitis iam solutu difficilem, non verò solutu facilem factum fuisse existimantes, ardorem appellant. Aliquando igitur sola intemperies consistit, affectu circa caput calidiore facto; aliquando verò etiam humorum, aut vaporum multitudo ad ip-

E sum caput effertur, & maximè quum redundantia quædam humorum, quam Erasistrati sectatores plethoram vocant, in toto corpore subalitur. Fit autem hæc quatuor humoribus ex æquo auctis, aut etiam sanguine solo. Nam quum alius quispiam humor redundarit, velut est pituita, & flaua bilis, itémque nigra, eiusmodi redundantiam, non plenitudinem, neque simpliciter plenitudinem, sed cum appositione pituitæ, aut bilis flauæ, aut nigræ, in corpore factam plenitudinem dicunt. Cæterùm eis, qui ex ardore caput dolent, cutis tactui aridior ad primum contactum apparet,

F oculosque rubros habent, frigidisque tum perfusionibus, tum illitionibus gaudent. Principio igitur repulsoria curatione vtendum est, ex refrigerantibus, & astringentibus constante. Postea verò mitigatoria, & concoctoria medicamenta repellentibus admiscere oportet; deinde etiam ex discussoriis quippiam addendum, pau-

latim

latim detractis medicamentis, quæ repellunt. Optima autem censenda sunt, quæ tenuium partium substantia prædita adhibentur. Quapropter in principio quidem melius est rosaceo probè apparato, quàm frigidissimo caput perfundere, lanæ fasciculo in orbem circumposito, iuxta frontem quidem, vbi pilosa eius pars desinit; iuxta vtrunque verò eius latus, vbi pili ipsi ad aures nectuntur; exinde verò post verticem, non tamen longè inferius. Neque enim facilè exuritur capitis ea pars, quæ occiput appellatur; neque etiam citra molestiam refrigerantia sustinet, propterea quòd istic principium medullæ spinalis existat, ad stipitis modum in multos ramulos diuisæ, in sexaginta fermè iuxta numerum neruos. At verò regio capitis iuxta sinciput, propter laxitatem coarticulationis iuxta coronalem suturam, & ob ossium tenuitatem, & raritatem, facilè tum caliditatem, tum frigiditatem omnium, quæ adhibentur medicamentorum intrò distribuit. Quare siue refrigerare oporteat ex æstu caliditatem, siue calefacere frigiditatem, aptissimus est capitis iuxta sinciput locus. Optima autem in principio refrigeratio ex rosaceo frigido, æstiuo tempore existente, in quo maximè ardoris affectio oboriri consueuit. Dictum autem est mihi de rosaceo iam sæpe, quod optimum est ex oleo crudo, quod Omotribes & Omphacinon bifariam appellant, citra salis admixtionem confecto, rosis quamplurimis ad ipsius irrigationem præparatis. Sit autem rosaceum non vetus, sed eo ipso anno confectum, siue in vere, siue principio æstatis. Proximum à rosaceo chamæmelinum oleum locum habet, in iis corporibus, quibus vehementem frigiditatem inducere veremur, qualia sunt fœminarum, & eunuchorum, ac puerorum, & quicunque molli carne prediti, albumque habentes colorem, Soli sunt insueti. Mensuram autem tum rosacei, tum chamæmelini, quod ad refrigerationem attinet, ex prædictis corporis habitibus, & ex ardoris magnitudine, inuenire oportet, considerata simul ægri ætate, & ambientis nos aëris temperie, non minus autem & domo, in qua æger decumbit. Refrigerabis autem quæcunque adhibere voles, in aqua vehementer frigida collocata; quæ si non adsit, niuem vasculo circumpones; hoc auxilium, siue humorum, siue vaporum multitudo in caput impetum faciat, præclarè auxiliatur; repellit enim eos, infraque in corpus detrudit, adeo, vt ego in sexcentis hoc medendi modo vsus, nullo alio habuerim opus. Nam & frigidorum fontium multa Romæ vbertas est, & niuis, quemadmodum apud nos in Pergamo, & in plurimis Asiæ, Græciæque ciuitatibus. At vero in calidis regionibus, qualis est Ægyptus, in qua & fontium frigidorum, & niuis penuria est necessarium est prefrigerato rosaceo per expositionem sub dio per integram noctem, & per obuersionem ad auræ alicuius afflatum, ita demum addere ei semperuiui succum, aut portulacæ, aut lactucæ, aut psyllij. aut polygoni; quin & solani aliquando paululum, & pampinorum vitis, & vuarum immaturarum; tales enim sunt adhuc tempore æstatis. At papaueris, & mandragoræ succo abstinendum, non enim citra damnũ refrigerat. Vitãda etiam, quæ cum refrigeratione manifestè astringunt; quare si quando necessitas postulet, parũ quiddã ex eis ad refrigerãtia admiscere oportet. Propterea sanè, & solani succum, aut nunquam penitus, aut omninò parcè admiscemus, sic etiam mali punici, & mali, & mespili.

A ἐξιοῦντα κατὰ βραχὺ τῶν ἀποκρουστικῶν φαρμάκων. ἄριστα δὲ τῶν προσφερομένων, μάλιστα ὅσα λεπτομερῆ ταῖς οὐσίαις ἐστί. διὸ κατ᾽ ἀρχὰς μὲν ἄμεινόν ἐστι τῷ ῥοδίνῳ, καλῶς ἐσκευασμένῳ ψυχροτάτῳ καταντλεῖν τὴν κεφαλὴν, στρόφιον ἐρίου περιθεὶς ἐν κύκλῳ, κατὰ μὲν τὸ μέτωπον ἔνθα παύεται τὸ τετριχωμένον αὐτῆς μέρος. ἐφ᾽ ἑκάτερα δὲ τοῦδε καθὸ τοῖς ὠσὶ συνάπτει τὸ τετριχωμένον, καὶ τόδε ἀπὸ τοῦδε μετὰ τὴν κορυφὴν, οὐ μὴν πολλῷ ταύτης κατωτέρω. οὔτε γὰρ ἐκκαίεται ῥᾳδίως τὸ καλούμενον ἰνίον μέρος τῆς κεφαλῆς, οὔτε ἀλύπως ἀνέχεται τῶν ψυχόντων, διὰ τὸ τὴν ἀρχὴν ἐνταῦθα B εἶναι τοῦ νωτιαίου μυελοῦ, στελέχους δίκην εἰς κλάδους πολλοὺς σχιζομένου, περὶ ἑξήκοντά που τὸν ἀριθμὸν νεῦρα. ἡ δὲ κατὰ τὸ βρέγμα καλούμενον χώρα τῆς κεφαλῆς, διὰ τὸ χαλαρὸν τῆς κατὰ τὴν στεφανιαίαν ῥαφὴν συναρθρώσεως, καὶ τὴν τῶν ὀστῶν λεπτότητά τε καὶ χαυνότητα, ῥᾳδίως τήν τε θερμότητα, καὶ τὴν ψύξιν ἁπάντων τῶν ὁμιλούντων φαρμάκων εἴσω διαδίδωσιν, ὥστε κἂν ψῦξαι ποτὲ δέοι τὴν ἐξ ἐγκαύσεως θερμότητα, κἂν θερμῆναι τὴν ψύξιν, ἐπιτήδειος ἡ κατὰ τὸ βρέγμα χώρα τῆς κεφαλῆς. ἀρίστη δὲ κατὰ τὰς ἀρχὰς ψύξις ἡ διὰ ῥοδίνου ψυχροῦ, θερινῆς τῆς ὥρας οὔσης, ἐν ᾗ μάC λιστα φιλεῖ τὸ τῆς ἐγκαύσεως πάθημα γίνεσθαι. λέλεκται δέ μοι περὶ ῥοδίνου πολλάκις, ὡς ἄριστόν ἐστιν ἐξ ἐλαίου μὲν ὠμοτριβοῦς, ἢ ὀμφακίνου, διττῶς γὰρ ὀνομάζουσιν αὐτὸ, χωρὶς ἁλῶν ἐσκευασμένου. ῥόδων δὲ ἐναποβεβρεγμένων αὐτῷ πλείστων, ἐσκευασμένου. ἔστω δὲ μὴ παλαιὸν τὸ ῥόδινον, ἀλλὰ κατ᾽ ἐκεῖνο τὸ ἔτος ἐσκευασμένον, ἤτοι κατὰ τὸ ἔαρ, ἢ ἀρχομένου τοῦ θέρους. ἐφεξῆς δὲ τῷ ῥοδίνῳ, τὸ χαμαιμήλινόν ἐστιν, ἐφ᾽ ὧν σωμάτων δεδοίκαμεν ἔμψυξιν σφοδρὰν ἐργάσασθαι. ταῦτα δέ ἐστι τά τε τῶν γυναικῶν, καὶ τὰ τῶν εὐνούχων, καὶ τὰ τῶν παιδίων, ὅσοι τε μαλακὴν ἔχουσι τὴν σάρκα, καὶ λευκὴν τὴν D χρόαν, ἀήθεις τέ εἰσιν ἡλίου. καὶ τὸ μέτρον, καὶ τῆς τοῦ ῥοδίνου, καὶ χαμαιμηλίνου ψύξεως, ἔκ τε τῶν εἰρημένων ἕξεων τοῦ σώματος, καὶ τοῦ τῆς ἐγκαύσεως μεγέθους εὑρίσκειν χρὴ, καὶ προσεπισκοπούμενον, τήν τε ἡλικίαν τοῦ κάμνοντος, καὶ τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν, οὐχ ἥκιστα δὲ καὶ αὐτοῦ τοῦ οἴκου καθ᾽ ὃν ὁ κάμνων κατάκειται. ψύχεις δὲ ὅσα προσφέρεις. ἐνιστὰς ὕδατι πάνυ ψυχρῷ. μὴ παρόντος δὲ τούτου, χιόνι περιπλάσας τὸ ἀγγεῖον· ἡ τοιαύτη βοήθεια κἂν χυμῶν, ἢ ἀτμῶν πλῆθος ἐπὶ τὴν κεφαλὴν ὁρμήσῃ, βοηθεῖ γενναίως. ἀποκρούεται γὰρ ταῦτα, καὶ ὠθεῖ κάτω τοῦ σώματος, ὥστε ἐγὼ E ἐπὶ μυρίων τούτῳ τῆς ἰάσεως τῷ τρόπῳ χρησάμενος, οὐκ ἐδεήθην ἑτέρου. καὶ γὰρ εὐπορία ψυχρῶν πηγῶν ἐν Ῥώμῃ, πολλὴ καὶ χιόνος, ὥσπερ γε καὶ παρ᾽ ἡμῖν ἐν Περγάμῳ, καὶ κατὰ τὰς πλείστας τῶν ἐν Ἀσίᾳ τε, καὶ κατὰ τὴν Ἑλλάδα πόλεων. ἐν δὲ ταῖς θερμαῖς χώραις οἵα καὶ ἡ τῶν Αἰγυπτίων ἐστὶν, ἐν ᾗ καὶ πηγῶν ψυχρῶν ἀπορία, καὶ χιόνος, ἀναγκαῖόν ἐστι προψύξαντα τὸ ῥόδινον, ἐκ τοῦ δι᾽ ὅλης νυκτὸς ὑπαίθριον θεῖναι, πρὸς αὔραν τινα μετεστραμμένον, οὕτως ἐπεμβάλλειν αὐτῷ χυλὸν ἀειζώου, ἢ ἀνδράχνης, ἢ θριδακίνης, ἢ ψυλλίου, ἢ πολυγόνου, καί τι καὶ στρύχνου ποτὲ βραχὺ, καὶ ἑλίκων ἀμπέλου, καὶ F ὀμφάκων, ἔτι γὰρ ὄμφακές εἰσιν θέρους ὥρᾳ. μήκωνος δὲ καὶ μανδραγόρου φυλάττεσθαι χυλὸν, οὐκ ἀβλαβῶς γὰρ ἐμψύχει. φυλάττεσθαι καὶ τὰ μετὰ τοῦ ψύχειν στύφοντα σαφῶς, ὥστε ἀναγκης ποτὲ καταλαβούσης, ὀλίγον αὐτῶν μιγνύναι χρὴ τοῖς ψύχουσι. διὰ τοῦτο καὶ στρύχνου χυλὸν, ἢ οὐδ᾽ ὅλως μίγνυμεν, ἢ βραχὺν παντάπασιν. οὕτω δὲ καὶ ῥοιᾶς, καὶ μήλου, καὶ μεσπίλου.

καλλίων δὲ ὁ χυλὸς τῶν ὀξέων ῥοιῶν εἰς τοῦτο, μᾶλλον γὰρ ἐμψύχει. μηδενὸς δὲ τοιούτου παρόντος, ἐν ἀγρῷ ποτε, κολοκυνθης ξύσμα χυλίσας ἔμιξα χυλῷ σταφυλῆς ἀώρου. χρήσαιτο δ' ἄν τις ἐν τοιούτῳ χωρίῳ, καὶ σέρεως χυλῷ, καὶ θριδακίνης τῆς κηπευτοῦ τε καὶ ἀγρίας, ἣν ἰδίως ὀνομάζουσι θριδακίνην, τὴν γὰρ κηπευομένην ὀνομάζουσι θρίδακα. καὶ ὁ τῶν συκαμίνων δὲ χυλὸς ἐπιτήδειος εἰς ἔμψυξιν, ἔστω δὲ μὴ λίαν πέπειρα. φαλακροῦ δὲ τοῦ κάμνοντος ὄντος, ἢ βραχείας παντελῶς ἔχοντος τὰς τρίχας, ἡ εὐπορία πλείστη τῶν ἐμψυχόντων ἐστίν. ὅσα γὰρ ἐρυσιπέλατα τῶν ἐπιστάμεθα βοηθήματα, διὰ καταπλασμάτων τε καὶ κηρωμάτων ὑγρῶν, ταῦτα πάντα τοῖς ἐγκεκαυμένοις ἁρμόττει. Ἀπολλώνιος δὲ καὶ τὰ τοῦ κίκεως ἁπαλὰ φύλλα κοπέντα βάλλειν εἰς ὕδωρ ἀξιοῖ, κἄπειτα τῆς νυκτὸς ὅλης ὑπαίθριον θέντας ὅλον τὸ ἀγγεῖον ἐν ᾧ ταῦτα περιέχεται, κατὰ τὴν ὑστεραίαν χρήσασθαι. ἐγὼ μὲν οὖν οὐ πάνυ τι πεπείραμαι τῆς τοῦ κίκεως δυνάμεως, εἰκὸς δὲ τὸν Ἀπολλώνιον ἐν Ἀλεξανδρείᾳ διατρίψαντα χρόνῳ πολλῷ, κεκρικέναι διὰ μακρᾶς ἐμπειρίας τὴν δύναμιν αὐτοῦ. τὸ μέντοι γε γινόμενον ἔλαιον ἐκ τοῦ κίκεως, οἶδα σαφῶς θερμότερον ὑπάρχον τῇ δυνάμει τοῦ παρ' ἡμῖν ἐλαίου, διὸ καὶ μὴ παρόντος αὐτοῦ τῷ παλαιῷ χρώμεθα. νομίζω δὲ καὶ ποταμογείτονα, καὶ τὸν Νειλῶον στρατιώτην, ἔχειν τι ψυκτικόν. καὶ θαυμάζω πῶς οὐκ ἐμνημόνευσεν αὐτῶν ὁ Ἀπολλώνιος, ἀλλὰ καὶ ὁ παρ' ἡμῖν τρίβολος. ὥσπερ καὶ τὸ πολύγονον, ἔχει τι καὶ αὐτὰ ψυκτικόν, ἁπαλὰ δηλονότι, καὶ οὐδέπω σκληρὰ, καὶ ξηρὰ γεγονότα. τὴν δὲ κόνυζαν οὐ μόνον ἀδύνατον ψύχειν, ἀλλὰ καὶ θερμαίνειν μετρίως δυναμένην οἶδα, καὶ θαυμάζω πῶς αὐτὴν ἔγραψεν ὁ Ἀπολλώνιος ἐν τοῖς ψύχουσιν. εἴπερ δὲ καὶ ἀπὸ δένδρων, ἢ θάμνων ἐπικουρίας δέοι πορίζεσθαι κεφαλῇ θερμοτέρᾳ τοῦ κατὰ φύσιν, ἄγνος ἐπιτηδειοτέρα πρὸς τοῦτο, καὶ ἄμπελος, καὶ σχῖνος, καὶ πλάτανος, εἴ τις λαβὼν αὐτῶν ἁπαλὰς τὰς βλάστας, εἶτα τρίψας ἐκθλίψειεν αὐτῶν τὸν χυλόν. Ἐρασίστρατος δέ φησι μέγιστον εἶναι προφυλακτικὸν ἐπὶ τῶν θερμαινόντων ἕξεων, ὅταν ἡλιοῦσθαι μέλλωσιν, εἰ σπόγγον πλατὺν, καὶ πυκνὸν, καὶ κοῖλον βρέξας εἰς ὕδωρ, καὶ ἐκπιέσας σφόδρα, ἐπιθήσεις τῇ κεφαλῇ. τοῖς ἐπ' ἐγκαύσει κεφαλαλγοῦσιν, ὑπεναντίως ἔχει τὰ σημεῖα τῶν ἐπὶ ψύξει, καὶ γὰρ καὶ ἀσύμπτωτον, καὶ ἄχρουν ἐστὶν αὐτῶν τὸ πρόσωπον, καὶ τοῖς ψυχροῖς, οὔτε χαίρουσιν, οὔτε πρὸς αὐτῶν ὠφελοῦνται. καθάπερ δ' ἡ ἔγκαυσις, οὐκ ἔστι δύσλυτος διάθεσις, οὕτως οὐδὲ ὅτε ψύξις ἐκ τοῦ περιέχοντος γίνηται, δυσχερῶς θεραπεύεται πρόσφατος, ἀλλ' ἀρκεῖ πηγάνινον ἔλαιον θερμὸν καταντλήσαντα κατὰ τοῦ βρέγματος, ὡς εἴρηται τελέως ἀπαλλάξαι τὸν ἄνθρωπον. εἰ δὲ καὶ σφοδροτέρας δέονται θερμασίας, ἐπεμβάλλειν εὐφόρβιον τῷ ἐλαίῳ, καὶ ὅσα διὰ πεπέρεως σκευάζεται. ἀλείφειν δὲ μύροις τοῖσδε χρὴ τὸ μέτωπον, καὶ ῥινῶν τοὺς πόρους, μάλιστα μὲν ἰρίνῳ, καὶ ἀμαρακίνῳ, καὶ ναρδίνῳ, καὶ κομμωτικὰ δὲ τῶν θερμαινόντων ἐστί, καὶ ταῦτα δὴ τὰ πολυτελῆ τῶν πλουσίων γυναικῶν ἀλείμματα. καλοῦσι δὲ αὐτὰ κατὰ τὴν τῶν Ῥωμαίων φωνὴν φουλιάτα τε καὶ σπικάτα. τοῦ δὲ ὀποβαλσάμου πολλάκις ἐπειράθημεν οὐδὲν σαφῶς ὀνήσαντος οὐδεμίαν διάθεσιν, θερμαίνεσθαι δεομένην. ὥσπερ δὲ τὸ πηγάνινον ἁρμόττειν ἔφην, οὕτω καὶ τὸ σαμψύχινον, καὶ τὸ δάφνινον ἐπαινῶ, καὶ τὸ ἑρπύλλινον, πολλάκις καὶ ἐπὶ πολλῶν αὐτοῖς χρησάμενος. διδόναι δὲ καὶ οἶνον λεπτομερῆ, καὶ κινήσει χρῆσθαι κελεύειν, καὶ λουτροῖς θερμοῖς, καί ποτε ἀπὸ ῥαφανίδων ἐμέτῳ.

A Ad hæc tamen rem malorum punicorum acidorũ succus prẹstãtior est, magis enim refrigerat. Porrò quum aliquãdo ruri degerem, nihilque horum ad manum esset, cucurbitæ ramenta exuccata ad vuæ immaturæ succum admiscui. Poterit autem quispiam in tali loco etiam seridis succo vti, lactucæq; tum hortensis, tum syluestris, quam propriè thridacinen appellant: hortensem enim thridaca vocant: & mororum succus aptus ad refrigerandum; sint autem non valdè matura. Quòd si caluus sit æger, aut omnino breues habeat pilos, maxima vbertas refrigerantium existit. Quæcunq; enim ad B erysipelata auxilia scimus ex cataplasmatis, & ceromatis humidis, ea omnia ab ardore exustis conueniunt. Cæterùm Apollonius ricini folia tenera tusa in aquam coniicere iubet; & deinde per totam noctem vasculum, in quo continentur sub dio exponere, & postera die vti. Ego quidem igitur non valdè expertus sum ricini facultatem; verisimile est autem Apollonium, qui longo tempore in Alexandria vixit, per magnam experientiam vim eius cognouisse. Atqui oleum ex ricino factũ manifestè cognoui calidius esse facultate oleo, quod apud nos est; quare etiam si non præsens sit, veteri vtimur. Puto autem, & potamogetonem, & niliaC cum stratioten quiddam refrigeratiuum habere, mirórque eorum Apollonium nullam mentionẽ fecisse. Quin & tribulus apud nos, velut etiam polygonum, quiddam refrigerans habent, tenera videlicet, & nondum dura, ac sicca facta. Conyzam autem non solum refrigerare impossibile est, verùm & moderatè calefacere potentem noui, & miror sanè cur Apollonius eam inter refrigerantia retulerit. Quòd si & ab arboribus, & fruticibus, auxilia ad caput prẹter naturam calidius petere oporteat, vitex conuenientior ad hoc existit, & vitis, & lentiscus, & platanus, siquis eorum teneris gerD minibus acceptis, deinde tritis, ab ipsis succum exprimat. Erasistratus verò magnum quoddam præseruatiuum in calidioribus habitibus tradit, quum videlicet eos Solem perferre oportet, si spongiam latam, & densam, ac cauam in aqua madefactam, & probè expressam capiti imponas. Porrò signa dolentium caput ob frigiditatẽ, contraria sunt eis, quæ ex ardore oboriuntur. Nam & subtumida, & decolor ipsorum facies existit; & frigidis neque gaudent, neque ab eis iuuantur. Quemadmodum autem ardor non ægrè solubilis affectio est, ita neque frigiditas ex ambiente nos aëre contracta difficulter curatur, si recens est, sed sufficit oleum ruE taceum calidum sincipiti, vt dictum est, affusum, perfectè hominem liberare. Si verò vehementiori calefactione opus sit, Euphorbium in oleum cõiiciatur, & quæcunq; ex pipere medicamenta constãt. Inungenda autem est frons, aurium, & narium meatus, hisce vnguentis, maximè quidem irino, & amaracino, & nardino. Quin & comptoria vnguenta ex calefacientium numero existunt, atque adeo ipsa opulentarum fœminarum pretiosa vnguenta, quæ foliata, & spicata Romæ appellant. Opobalsamum verò sæpe experti sumus, nullum manifestum commodum ad vllam aliquam F affectionem calefactione indigentem conferre. Quemadmodum autem rutaceum oleum conuenire dixi, sic etiam sampsuchinum, & laurinum laudo, itémque serpyllinum, sæpe & in plerisque ipsis vsus. Dandum etiam vinum tenuium partium, & motus corporis præcipiendus, lauacraque calida, & quandoque à raphano vomitus.

De

De inueteratis capitis affectibus calidis, & frigidis.

In inueteratis capitis doloribus, ac affectibus necessariò pilos radimus, aut valde ad ipsam vsque cutem præsecamus; & medicamenta, tum emplastrorum, ac ceratorum forma, tum etiam liquida adhibemus; atque ea quidẽ, quæ emplastrorum, ac ceratorum formam habent, rasis penitus adhibemus, liquida verò his, qui breuissimè præsectos pilos habent. Est autem & horum materia multiformis, quòd partim quidem magis partim verò minùs, refrigerent & calefaciant. Ea igitur quæ frigefaciunt, ex iis quæ erysipelata curãt transferenda sunt; calefacientia verò, ex medicamentis calefactoriis cõponenda; quorum simplicissimum est ex euphorbio præparatum. Sufficit autem vnciam euphorbij vnã ad tres ceræ liquefactæ in olei lib. vna coniicere. Vtendũ autẽ oleo ad omnes affectus calefactione opus habẽtes, neq; omphacino, neq; eo quod vulgò ab omnibus Hispanũ appellatur, neq; omninò eo, quod cũ olearũ germinibus præparatur, sed eo, quod ex maturis oliuis conficitur apud plerasq; gẽtes, citra germinũ iniectionẽ. Optimũ autẽ ex eis, quæ ego noui, est sabinũ, non procul ab vrbe Roma in sabinorum regione prognatũ. Cæterũ medicamenta, quæ recentiores medici se ipsos Methodicos appellantes, Metasyncritica appellant, ea omnia ad huiusmodi affectus commoda existunt, ex quibus optima etiam in septimo libro huiuscemodi tractationis, quæ ante hanc à me edita est, relata sunt. Tempus igitur iam est me ad alium capitis transire affectum, ascripturum primo, quæ ab Apollonio conscripta sunt, quæ iuxta illius dictionem hoc modo habent.

Quæ Apollonius ad capitis dolorem ex ebrietate, & meri potu scripserit.

Vtendum est omnibus descriptis auxiliis ad dolorem capitis ab ardore obortum. Quòd si dolores amplius inualescant, rutæ folia cum aceto, & rosaceo trita strigmẽti crassitie, capiti illinenda. *Aliud.* Nuces amaras cum aceto, & rosaceo ad strigmentitiam spissitudinem tritas capiti illinito. *Aliud.* Iridem siccam, ac viticem aridum cum aceto & rosaceo, eodem adhibe modo. *Aliud.* Lauri baccam, & rutæ folia cum aceto, & rosaceo trita adhibeto. Conueniet autem somnus, inædia, quies, corporis tranquillitas. In potu aqua calida, aqua mulsa, & euacuatio. Hæc quidem Apollonius scripsit. Atque huius rei gratia laudare virum decet, quòd cum discrimine de vnoquoque auxilio scripsit, quum neque Archigenes id ipsum fecerit, quem, quũ posterior Apollonio natu sit, apponere quidpiam ad discriminum certitudinem oportebat: verùm quæ ipse in priore de medicamẽtis libro conscripsit, paulo post referentur. At verò quæ ego per longam experientiam de capitis dolore ex vini potu cognoui, iam exponam, vtpote qui spem quidem vtilitatis ipsorum ex affectu inueni, diligentem autem comprobationem per multam experientiam feci. Capitis itaque dolorem ex vinorum temperie calidorum productum indicat, quod ipsum caput omninò vaporibus repletur, quandoque etiam humoribus calida temperie præditis: nam & citra vini potum eiusmodi ad caput promptè deferuntur. Curatione itaque opus est, quæ scopũ primũ vniuersalem, & cõmunem omnibus habeat, nimirũ euacuatione indigentẽ. Quũ verò calidi sint, qui caput repleuerunt humores,

A Περὶ τῶν χρονιζουσῶν ἐν τῇ κεφαλῇ διαθέσεων θερμῶν τε, καὶ ψυχρῶν.

Ἐπὶ τῶν χρονιζουσῶν κεφαλαλγικῶν διαθέσεων, ἀναγκαῖον γίνεσθαι ξυρᾶν τὴν κεφαλήν. ἢ ἐν χρῷ πάνυ κείραντα, φάρμακα προσφέρειν ἐμπλαστρώδη τε καὶ κηρωτώδη, καὶ ὑγρά. τὰ μὲν οὖν ἐμπλαστρώδη τε καὶ κηρωτώδη τῇ ξυρηθείσῃ κεφαλῇ, τὰ δὲ ὑγρὰ τῇ βραχυτάτας ἐχούσῃ τρίχας. ἔστι δὲ καὶ ἡ τούτων ὕλη πολυειδής, τῶν μὲν μᾶλλον, τῶν δὲ ἧττον ψυχόντων τε καὶ θερμαινόντων. τὰ μὲν οὖν ψύχοντα, μεταφέρειν ἀπὸ τῶν θεραπευόντων τὰ ἐρυσιπέ-
B λατα, τὰ δὲ θερμαίνοντα, διὰ τῶν θερμαινόντων φαρμάκων συνθετέον, ὧν ἁπλούστατον μέν ἐστι τὸ δι' εὐφορβίου σκευαζόμενον, ἀρκεῖ δὲ μίαν ℥. ἐμβάλλειν εὐφορβίου, πρὸς τρεῖς κηροῦ τετηκυίας ἐν ἐλαίου λίτρᾳ μιᾷ. χρῆσθαι δὲ ἐλαίῳ πρὸς πάντα τὰ θερμαίνεσθαι πάθη δεόμενα, μήτε ὀμφακίνῳ, μήτε τῷ συνήθως ὑπὸ πάντων ὀνομαζομένῳ Ἰσπανῷ, μήθ' ὅλως ἐσκευασμένῳ μετὰ θαλλῶν, ἀλλ' οἷόν ἐστι τὸ ἐκ πεπείρων ἐλαιῶν γινόμενον, ἐν πολλοῖς ἔθνεσιν ἄνευ θαλλῶν ἐμβλήσεως. ἄριστον δὲ ὧν οἶδα τὸ Σαβῖνόν ἐστιν, οὐ πόρρω Ῥώμης ἐν τῇ Σαβίνων χώρᾳ γινόμενον. ἔστι δὲ
C οἱ νεώτεροι τῶν ἰατρῶν, οἱ καλοῦντες ἑαυτοὺς μεθοδικοὺς ὀνομάζουσι μετασυγκριτικὰ φάρμακα, ταῦτα πάντα χρήσιμα ταῖς τοιαύταις διαθέσεσίν ἐστιν, ὧν τὰ κάλλιστα ἐν τῷ τῆς πραγματείας τῆς περὶ ταύτης ἑβδόμῳ εἴρηταί μοι. μεταβαίνειν οὖν ἤδη καιρὸς ἐπ' ἄλλην διάθεσιν κεφαλῆς, προγράψαντα πρῶτα τὰ ὑπὸ Ἀπολλωνίου γεγραμμένα κατὰ λέξιν οὕτως ἔχοντα.

Τὰ ὑπὸ Ἀπολλωνίου γραφέντα πρὸς κεφαλαλγίαν τὴν διὰ μέθην, καὶ ἀκρατοποσίαν.

D Χρηστέον δὲ πᾶσι τοῖς ἀναγεγραμμένοις βοηθήμασι πρὸς τὰς γινομένας δι' ἔγκαυσιν κεφαλαλγίας, ἐπιπλέον δὲ τῶν ἀλγημάτων ἰσχυόντων, πηγάνου φύλλοις τετριμμένοις μετ' ὄξους, καὶ ῥοδίνου, ὡς γλοιοῦ πάχος τὴν κεφαλὴν ἐγχριστέον. Ἄλλο. καρύοις πικροῖς μετ' ὄξους καὶ ῥοδίνου τετριμμένοις, ὡς γλοιοῦ πάχος τὴν κεφαλὴν ἐγχριστέον. Ἄλλο. ἴριδι ξηρᾷ, καὶ ἄγνῳ ξηρᾷ μετ' ὄξους τετριμμένοις, καὶ ῥοδίνου παραπλησίως χρῶ. Ἄλλο. δάφνιδι, καὶ πηγάνου φύλλοις μετ' ὄξους, καὶ ῥοδίνου τετριμμένοις. χρῶ. συνοίσει δὲ ὕπνος, ἔνδεια, ἡσυχία, σώματος ἀκινησία, πόμα ὕδωρ θερμὸν, μελίκρατον, κένωσις. ταῦτα μὲν Ἀπολλώ-
E νιος ἔγραψε, καὶ τούτου γε αὐτοῦ χάριν ἐπαινεῖν χρὴ τὸν ἄνδρα, τὸ μετὰ διορισμοῦ ὑπὲρ ἑκάστου τῶν βοηθημάτων γράψαι, μηδὲ Ἀρχιγένους αὐτὸ πεποιηκότος, ὃν ἐχρῆν ὕστερον Ἀπολλωνίου γεγονότα, προστεθεικέναι τι τῇ τῶν διορισμῶν ἀκριβείᾳ. ἀλλὰ τὰ μὲν ὑπ' ἐκείνου κατὰ τὸ πρότερον τῶν φαρμάκων γεγραμμένα, μικρὸν ὕστερον εἰρήσεται. τὰ δέ μοι διὰ μακρᾶς πείρας κριθέντα, περὶ τῆς ἐξ οἴνου πόσεως κεφαλαλγίας ἤδη διηγήσομαι, τὴν μὲν ἐλπίδα τῆς ἐξ αὐτῶν ὠφελείας, ἐκ τῆς διαθέσεως εὑρόντι, τὴν δὲ ἀκριβῆ βάσανον αὐτῶν διὰ πολλῆς πείρας ποιησαμένῳ. τὴν
F γάρ τοι κεφαλαλγίαν οἱ θερμότεροι τῶν οἴνων τὴν κρᾶσιν γεννῶντες, ἐνδείκνυνται πληρεῖσθαι πάντως μὲν ἀτμῶν τὴν κεφαλὴν, ἔστι δ' ὅτε καὶ χυμῶν, ὅσοι θερμοὶ τὴν κρᾶσιν. καὶ γὰρ καὶ χωρὶς οἴνου πόσεως, οἱ τοιοῦτοι πρὸς τὴν κεφαλὴν ἑτοίμως ἀναφέρονται. χρεία τοίνυν ἐστὶν ἰάσεως ἐχούσης σκοπὸν, τὸν μὲν καθόλου πρῶτον ἁπάντων κοινὸν, τὸν κενώσεως δεόμενον. ἐπεὶ δὲ θερμοὶ τυγχάνουσιν ὄντες οἱ πεπληρωκότες τὴν κεφαλὴν ἀτμοὶ,

A καὶ τῆς ἐμψυχούσης αὐτοὺς βοηθείας ἐστὶ χρεία. κελεύειν οὖν πρότερον, εἰ ἄπεπτος ὁ οἶνος μένοι, ἐμεῖν τοὺς κεφαλαλγοῦντας, ὕδωρ πεπωκότας χλιαρόν. εἰ δὲ καὶ μετὰ πέψιν κεφαλαλγοῖεν, τοῖς ἐμψύχουσι κεχρῆσθαι, καὶ ἀποκρουστικοῖς, οἷόν ἐστι τὸ ῥόδινον, καθ' ἑαυτό τε καὶ σὺν ὄξει, ἢ μετὰ χυλοῦ κισσοῦ, ἢ κράμβης. καὶ αὐτὰ δὲ τὰ φύλλα τῆς κράμβης ἀποβρεχθέντα θερμῷ, καὶ περιτεθέντα τῇ κεφαλῇ, καὶ δεθέντα φυσικῶς ἀντιπαθεῖ τῇ μέθῃ. φροντιστέον δὲ ὕπνου τε καὶ ἡσυχίας, κἀπειδὰν ταῦτα πραχθῇ, δι' ὅλης ἡμέρας εἰς ἑσπέραν χρὴ λούσαντα, θρέψαι τροφαῖς εὐχύμοις μὲν οὐ μέντοι θερμαινούσαις. εἰσὶ δὲ τοιαῦται πτισάνης χυλὸς, καὶ ῥόφημα ἐκ χόνδρου, καὶ ἄρτος μεθ' ὕδατος, καὶ τὰ ῥοφούμενα τῶν ᾠῶν ἄνευ B γάρου. μιγνύσθω δὲ αὐτοῖς μέλιτος ὅσον αὔταρκες ἡδῦναι. εἰ δὲ πρὸς τοῦτο ἀνεπιτηδείως ἔχουσιν οἱ λαμβάνοντες, ἁλῶν τῶν ἡδυσμένων. τῶν δὲ λαχάνων, θριδακίνη μὲν, ὡς εὔχυλός τε καὶ ψυκτική, κράμβη δὲ, ὡς ἀτμῶν ξηραντική. οὕτω δὲ καὶ ὀσπρίων, ἡ φακή. ποτῷ δὲ πάντως μὲν ὕδατι χρηστέον. ἀλλ' ἐπεί τισιν ὁ στόμαχος ἐπὶ ταῖς ὑδροποσίαις ἀνατρέπεται, ῥοιὰν αὐτοῖς ἐπιδοτέον, ἢ μόνην καθ' ἑαυτὴν, ἢ μετὰ χόνδρου ταχεροῦ, καλῶς ἑψημένου θερμοῦ· καὶ τὰ κεστιανὰ δὲ καλούμενα μῆλα, κατὰ τὴν Ῥωμαίων πόλιν, ἄνευ μὲν ἑψήσεώς ἐστιν αὐστηρά, μετὰ δὲ τὴν ἕψησιν εὐστόμαχα γίνεται. χρὴ δὲ ἕψειν αὐτὰ κατὰ χύτραν καινὴν, C ὕδωρ ἐπιχέοντα θερμὸν, εἶτα κρεμάσαντας ἐν τῷ ἀγγείῳ τὸ μῆλον, ὑποκαίοντάς τε τὴν χύτραν, ὅπως ἐκ τοῦ ὕδατος ἀναφερόμενος ἀτμὸς θερμὸς, τὴν ἕψησιν αὐτοῦ παράσχῃ. καὶ σταφίδες δὲ καὶ ἄπιοι, τινὲς μὲν ὠμαὶ, τινὲς δὲ, ὡς τὸ μῆλον ἑψημέναι, ῥωννύουσι τὸν στόμαχον. ἀπέχεσθαι δὲ βαλάνων φοινίκων, ἔχουσι γὰρ ἰδιότητά τινα κεφαλαλγίας ποιητικήν. εἰ δὲ ἐπὶ τούτοις ὑπνῶσαι καλῶς οὐ δυνηθεῖεν, ἐπὶ λουτρὸν ἄγειν αὐτοὺς κατὰ τὴν ὑστεραίαν ὅτι τάχιστα, καταχέοντας ἐν τῷ βαλανείῳ θερμὸν ὕδωρ πολλάκις, εἶθ' ὑπνώσαντας, ἢ πάντως ἡσυχάσαντας ἐν τῷ μεταξὺ, πάλιν ἐπὶ τὸ λουτρὸν ἄγειν τὸ δεύτερον, εἶθ' οὕτως τρέφειν, D ὡς κατὰ τὴν προτεραίαν. εἰ δὲ μετρίως ἔχοιεν, ὑδροποτεῖν τε μὴ δύνωνται, συγχωρεῖν ὑδαρὲς πόμα προσφέρεσθαι τῶν ὑδατωδῶν οἴνων, ὁποῖός ἐστι κατὰ μὲν τὴν Ἰταλίαν ὁ Σαβῖνος, ἐν Ἀσίᾳ δὲ Τιτακαζηνὸς, καὶ Ἀρσυηνὸς, καὶ Ἀριούσιος. αἱ δὲ τροφαὶ μετρίως ἔχουσιν αὐτοῖς, καὶ ὄρχεις ἀλεκτρυόνων, καὶ τὰ πτερὰ, καὶ τῶν ἰχθύων οἱ πετραῖοι, καὶ ἁπαλόσαρκοι, δοθήσονται, καὶ περιστερᾶς που νεογνός. ἑψήσθω δὲ πάντα ταῦτα χωρὶς γάρου καὶ οἴνου, κατὰ τοὺς λευκοὺς, καὶ ἁπλοῦς ζωμοὺς, ἐν οἷς ὕδωρ ἐστὶ μόνον μετ' ἐλαίου, καὶ ἀνήθου, καὶ βραχέος πράσου, τὴν ἕψησιν πεπερασμένον, ἐπεμβαλλομένων ἁλῶν E ὀλίγων, οὐκ εὐθὺς τοῦ ἑψήματος ἐν ἀρχῇ, ἀλλ' ὅταν ἤδη πως γίνωνται ταχεροί. εὔδηλον δ' ὅτι καὶ αὐτοὺς, καὶ πάντας τοὺς τὴν κεφαλὴν ἀλγοῦντας, αὐξανομένης μὲν ἔτι, καὶ ἀκμαζούσης τῆς ὀδύνης ἡσυχάζειν ἄμεινον· ἐνδιδούσης δὲ καὶ παρακμαζούσης, ἐν ἐπιτηδείοις χωρίοις περιπατεῖν. ἐπιτήδεια δὲ, τοῖς μὲν θερμαίνεσθαι δεομένοις, τὰ θερμότερα, τοῖς δὲ ψύχεσθαι, τὰ ψυχρότερα, καὶ πρὸ μὲν τῆς τροφῆς πλείοσι περιπάτοις χρηστέον, ἐπὶ δὲ τῇ τροφῇ βραχέσι τε καὶ νωθροῖς, χρὴ δὲ μήτε ἐδηδοκέναι πολλὰ, μήτε εὐθέως περιπατεῖν, ἀλλὰ μετὰ δύο που καὶ τρεῖς ὥρας, ἢ καὶ πλείονας. ἐὰν δέ ποτε τῶν ἀνελθόντων F ἐπὶ τὴν κεφαλὴν ἀτμῶν τε καὶ χυμῶν, ὑπολειφθῇ τι λείψανον ἐσφηνωμένον πόροις λεπτοῖς, καὶ διὰ τοῦτο παραμένῃ τι τῆς κεφαλαλγίας, ἀφίστασθαι μὲν προσήκει τοῦ ῥοδίνου, χρῆσθαι δὲ πρῶτον μὲν τῷ χαμαιμηλίνῳ συμμέτρως θερμῷ, μετὰ τοῦτο δὲ τῷ ἰρίνῳ, μεγάλως γὰρ ὀνίνησι τὰς τοιαύτας διαθέσεις,

etiam refrigerante eos medela opus erit, iubendi igitur sunt, si crudũ adhuc in eis vinum permaneat, vt tepida aqua hausta, vomant; sin autem & post concoctionẽ caput doleant, refrigerãtibus vtendũ est, ac repellentibus; quale est rosaceum per se, & cum aceto, aut hederæ, aut brassicæ succo. Quin & ipsa brassicæ folia calida irrigata, capitiq; circumposita, ac obligata, naturaliter ebrietati resistunt. Cæterũ somni, ac quietis cura in primis habenda est, quod vbi factũ fuerit per totum diem ad vesperam lotum, boni succi cibis, non tamen calefacientibus nutrire oportet. Sunt autem tales, ptissanæ succus, & sorbitio ex alica, & panis ex aqua, & oua sorbilia absque garo; admisceatur autem eis ex melle quantũ ad condimentũ satis fuerit; si verò ad mel accipiendũ non fuerint appositi, sales conditorij miscentor. Ex oleribus est lactuca, vtpote boni succi, & refrigeratoria; & brassica, vt quæ vapores resiccet. Sic & ex leguminibus lens est. Potu verò omninò aqua vtendum est. At verò cùm stomachus in quibusdam, propter aquæ potum, subuertatur, malum punicum eis insuper exhibendũ est, aut solum per se, aut cum alica flaccida calida, probè cocta. Quin & mala cestiana appellata in vrbe Romana, citra coctionem quidem, sunt austera, post coctionẽ verò stomacho satis cõmoda fiunt. Coquenda autem sunt ipsa in ollam nouam aqua modica infusa, deinde malo in olla suspenso, igneque sub ollam coniecto, quo vapor ex aqua calidus sublatus coctionem ipsi malo præbeat. Vuæ passæ etiam & pyra, aliqua quidem cruda, aliqua verò vt malum ipsum cocta, stomachum corroborant. Abstinendum verò à glandibus palmarum, proprietatem enim quandam habent capitis dolorem inducendi. Quòd si verò post hæc probè dormire non possint, ad balneum postridie quàm celerrimè deducantur, calidaque aqua eis in balneo sæpe affundatur; deinde vbi dormierint, aut omninò interposito tempore quieuerint, rursum ab balneum ducendi sunt; deinde velut pridie connutriendi. Si verò moderatè habeant, & aquam bibere non possint, permittendus est eis potus aquosus ex aquosis vinis, quale est in Italia Sabinum, in Asia Titacazenũ, & Arsyenium, & Ariusium. Quin & moderatè habentibus gallorũ testiculi, & alæ, & ex piscibus petrosi, & teneris carnibus præditi, exhibebũtur, & columbarũ pulli. Hęc verò omnia citra garum, & vinum, in albis, ac simplicibus iusculis coquãtur, in quibus aqua sola cum oleo, & anetho, ac exiguo porro, coctionem perficiat, exiguo adiecto sale, non statim in principio coctionis, sed quum iam aliquo modo flaccida facta fuerint, ac victa. Manifestũ verò, quòd tũ hos, tum omnes qui caput dolent, augescente adhuc & vigente dolore, quiescere melius est; remittenti verò, ac decrescente, in locis aptis deambulare. Apti sunt autẽ iis, qui calefieri opus habẽt, loci calidiores; qui frigefieri, frigidiores. Et ante cibum quidẽ pluribus deambulationibus vtendũ, post acceptũ verò cibũ breuibus, & lentis. Oportet autẽ neq; multa comedere, neque statim deambulare, sed post duas, aut tres, aut etiam plures horas. Quòd si quando ex vaporibus, & humoribus in caput sublatis reliquiæ quædam relinquantur, tenuibus poris, ac meatibus impactæ, & ob id etiam capitis dolor perseueret, à rosaceo quidem abstinere expedit; vtendum est autem primum quidem Chamæmelino moderatè calido, postea verò Irino; maximopere enim huiusmodi affectiones iuuant.

In balneo verò caput calida perfundatur, non solũ ob id, vt quippiam circa ipsum discutiatur, sed & somni cõciliandi gratia; quapropter etiam secũdũ, aut tertiũ etiã ad vesperã balneum apparandũ est, acceptis ab eo lactucis ex aceto, exiguo, aut omninò nullo addito garo, verùm aqua affusa multa, vt acetũ planè exęquet. nisi omninò aquosum sit acetum, nam & huiusmodi magis, quã acerrimo opus habēt, caliditatẽ enim in se aliquã tale acetũ complectitur. Post hęc verò postera die, quę magis caput calefaciant adhibẽda. Ita vt ad Irinũ aliquãdo Amaracinũ vnguentum addamus, aliquando verò Nardinum, quandoque etiam pretiosa, quibus opulentæ fœminæ, etiam si nihil habeant mali, vti consueuerunt. Per huiusmodi sanè medicationis ductũ, capitis dolores ex vini potu obortos in totũ persanaui, nullo ab Apollonio præscripto pharmaco vsus. Quum enim & per ea, quæ iam dixi, scopum contingerem, eorum quæ scripsit Apollonius nullum rectè dictum fuisse mihi persuasi, & superuacaneum amplius erat eorum experimentum facere. Cæterùm post prædictos tres affectus capitis dolorem inducentes, Apollonius quartam hanc insuper addidit.

Ad dolorem capitis ex plaga, aut casu, Apollonij.

Rosaceo & aceto tepefactis caput rigato. *Aliud.* Rosis siccis maximè coctis, aut certè in passo maceratis, aut aqua mulsa tritis, pro cataplasmate vtitor. *Aliud.* Meliloto similiter apparato vtitor. *Aliud.* Myrti albæ folia tenera cum vino & myrrha trita emplastri more imponito. *Aliud.* Irino vnguento, & aceto illinito. *Aliud.* Absinthium tritum cum vino, & myrrha itidem trita imponito. *Aliud.* Pulegio trito ex vino similiter vtitor. *Aliud.* Pulegium & myrrham trita similiter adhibeto. *Aliud.* Apij comas cum vino coctas, ac tritas imponito. *Aliud.* Mala cotonea cocta ex vino imponito. Conuenient & fomenta per spongias aqua calida imbutas, & mollium lanarum fasciculi aceto, & rosaceo conspersi. Ad hæc & quies, & corporis tranquillitas, subtractio cibi, euacuatio, fuga eorum, quæ offendere possunt, qualia sunt Sol, balneum, vini potus, clamor, contentio; & ex iis, quæ alimenti loco exhibentur, acida, & acria, ac salsa. Hæc quidem Apollonius scripsit de capitis doloribus ex conspicua plaga obortis. Verùm operæpretium est nosse nos, eiusmodi affectum nullum alium, præter inflammationem esse, quæ non ex plaga solùm, aut casu, sed citra etiam manifestã causam, in omnibus corporis partibus, propter humorum confluxum fieri consueuit. Siquidem igitur plaga vulneris, aut contusionis causa existat, plures scopi erunt ad remediorum inuentionem. Vnus quidem in vulnere, ad quod conglutinantibus, & inflammationem arcentibus medicamentis vti oportet, postquam vlceris labia fibulis impositis constrinxerimus. Alter verò in cõtusione; & tertius in doloribus, qui quãdoq; in ipsis solis percussis partibus fiunt; plerunq; verò etiam ad vicinas partes extendũtur. Etenim mẽbrana, quę caluariam ambit, & cutis quæ forinsecus circuntenditur, vtraque propriam substantiam continuam habet per omne caput extensam; & ob id sanè sæpe ipsum vniuersum dolore contingit, præsertim si vsque ad membranam os caluæ ambientem plaga penetret; quam deducta membrana caluariam ambiente, osséque conscalpto, abrasóve, carne generanda curare oportet.

A ἐν δὲ τῷ βαλανείῳ τὴν κεφαλὴν ὕδατι θερμῷ καταντλητέον, οὐ μόνον ἕνεκα τοῦ διαφορῆσαί τι τῶν κατ' αὐτὴν, ἀλλὰ καὶ τῶν ὕπνων ἕνεκα. διὸ περ καὶ τὸ δεύτερον, ἢ τρίτον λουτρὸν ἐς ἑσπέρας ποιητέον, ἐσθίοντας ἐπ' αὐτῷ θριδακίνας δι' ὄξους. ἐλάχιστον μὲν ἴσχοντος, ἢ μηδ' ὅλως γάρου, πλεῖον δ' ὕδατος, ὡς ἴσον εἶναι τῷ ὄξει, πλὴν εἰ μὴ παντάπασιν ὑδαρὲς ὑπάρχοι. καὶ γὰρ καὶ δέονται τοιούτου μᾶλλον, ἢ τοῦ δριμυτάτου, θερμότητος γὰρ ἔχει τι τὸ τοιοῦτον ὄξος. ἐπὶ δὲ τούτοις κατὰ τὴν ὑστεραίαν, τὰ μᾶλλον θερμαίνοντα τὴν κεφαλὴν παραληπτέον, μιγνύντα τῷ ἰρίνῳ, ποτὲ μὲν ἀμαρακίνου μύρου, ποτὲ δὲ

B ναρδίνου, ποτὲ δὲ τῶν πολυτελῶν, οἷς αἱ πλούσιαι γυναῖκες, κἂν μηδὲν ἔχωσι κακὸν, εἰώθασι χρῆσθαι. διὰ ταύτης ἐγὼ τῆς ἀγωγῆς τὰς ἐξ οἴνου κεφαλαλγίας ἰασάμην διὰ παντὸς, οὐδενὶ τῶν γεγραμμένων Ἀπολλωνίῳ χρησάμενος. ὅπου γὰρ δι' ὧν εἶπον ἐτύγχανον τοῦ σκοποῦ, καὶ τῶν Ἀπολλωνίῳ γεγραμμένων οὐδὲν ἐπέβαλλεν ἐλπίδα μοι καλῶς εἰρῆσθαι, περιττὸν ἦν εἰς πεῖραν ἄγειν ταῦτα. μετὰ δὲ τὰς προγεγραμμένας τρεῖς διαθέσεις κεφαλαλγικὰς, ὁ Ἀπολλώνιος ἔγραψε ταύτην τήνδε τετάρτην.

Πρὸς κεφαλαλγίαν διὰ πληγὴν, ἢ πτῶμα, Ἀπολλωνίου.

C Ῥοδίνῳ καὶ ὄξει κεχλιασμένοις, τὴν κεφαλὴν κατάβρεχε. Ἄλλο. ῥόδοις ξηροῖς, μάλιστα μὲν ἑφθοῖς, εἰ δὲ καὶ βεβρεγμένοις ἐν γλυκεῖ, ἢ μελικράτῳ, λείοις κατάπλασσε. Ἄλλο. μελιλώτῳ παραπλησίως ἐσκευασμένῳ, χρῶ. Ἄλλο. μυρσίνης λευκῆς φύλλοις ἁπαλοῖς μετ' οἴνου, καὶ σμύρνης τετριμμένοις, κατάπλασσε. Ἄλλο. ἰρίνῳ μύρῳ, καὶ ὄξει κατάχριε. Ἄλλο. ἀψινθίῳ λείῳ μετ' οἴνου, καὶ σμύρνης τετριμμένης, κατάπλασσε. Ἄλλο. γλήχωνι λείᾳ μετ' οἴνου, παραπλησίως χρῶ. Ἄλλο. γλήχωνι καὶ σμύρνῃ

D τετριμμένοις, ὁμοίως χρῶ. Ἄλλο. σελίνου κόμαις ἑφθαῖς μετ' οἴνου, λείαις κατάπλασσε. Ἄλλο. μήλοις κυδωνίοις ἑφθοῖς δι' οἴνου, κατάπλασσε. ἁρμόσει δὲ καὶ πυρία διὰ σπόγγων εἰς ὕδωρ θερμὸν ἀποβεβρεγμένων, καὶ πιλήματα μαλακῶν ἐρίων, ὄξει καὶ ῥοδίνῳ καταρρεραμμένα, πρὸς δὲ τούτοις ἡσυχία, σώματος ἀνάπαυσις, ὑποστολὴ τροφῆς, κένωσις, ἀποχὴ τῶν λυπούντων. ταῦτα δέ ἐστιν ἥλιος, λουτρὸν, οἰνοποσία, κραυγὴ, διάτασις, καὶ τῶν ἐν τροφῇ προσφερομένων, τά τε ὀξέα, καὶ δριμέα, καὶ ἁλυκά. ταῦτα μὲν ὁ Ἀπολλώνιος ἔγραψεν περὶ τῶν ἐπὶ πληγαῖς προφανέσι κεφαλαλγιῶν. εἰδέναι δὲ καὶ ἡμᾶς χρὴ τὴν

E τοιαύτην διάθεσιν, οὐκ ἄλλην οὖσαν, ἢ φλεγμονὴν, ἥτις οὐ μόνον ἐκ πληγῆς, ἢ καταπτώσεως, ἀλλὰ καὶ χωρὶς φανερᾶς αἰτίας εἴωθε γίνεσθαι κατὰ πάντα τοῦ σώματος τὰ μόρια διὰ ἐπιῤῥοὴν χυμῶν. ἐὰν μὲν οὖν ἡ πληγὴ τραύματος, ἢ θλάσματος αἰτία γένηται, σκοποὶ πλείονες ἔσονται τῆς τῶν ἰαμάτων εὑρέσεως, εἷς μὲν ὁ ἐπὶ τραύματι. ἐφ' ᾧ δεῖ χρῆσθαι τοῖς κολλητικοῖς καὶ ἀφλεγμάντοις φαρμάκοις, περιαγκτηριάσαντας τὰ χείλη τοῦ ἕλκους. δεύτερος δὲ ὁ ἐπὶ τῷ θλάσματι, καὶ τρίτος ὁ ἐπὶ τοῖς ἀλγήμασιν, ἐνίοτε μὲν ἐν αὐτοῖς μόνοις τοῖς πληγεῖσι μορίοις γινομένοις, ὡς τὸ πολὺ δὲ καὶ τοῖς συνε-

F χέσιν ἐπεκτεινομένοις. ὅ τε γὰρ περικράνιος ὑμὴν, καὶ τὸ τούτῳ περιτεταμένον ἔξωθεν δέρμα, συνεχῆ τὴν οἰκείαν οὐσίαν ἑκάτερον ἔχει, ἐπὶ πᾶσαν ἐκτέταται τὴν κεφαλὴν, καὶ κατὰ τοῦτο συμβαίνει πολλάκις αὐτὴν ὀδυνᾶσθαι, μάλιστα εἰ μέχρι τοῦ περιοστίου τύχη καταβαίνοι ἡ πληγὴ. ἣν χρὴ ἐπιδιελόντας τὸ περικράνιον ὑμένα, καὶ ξύσαντας θεραπεύειν κατὰ συσσάρκωσιν.

A Εἰ δὲ καὶ διὰ τῆς κατὰ τὰς ῥαφὰς κοινωνίας τοῦ περικρανίου πρὸς τὴν σκληρὰν μήνιγγα, διαδοθείη τι καὶ εἴσω τοῦ κρανίου τῆς φλεγμονῆς, οὐκ ἀκίνδυνος ἡ τοιαύτη κεφαλαλγία ἐστί. συμβαίνει δὲ οὐκ ὀλιγάκις ἐν ταῖς ἐξ ὑψηλοῦ καταπτώσεσιν, ἀποῤῥήγνυσθαί τι τῶν κατὰ τὸν ἐγκέφαλον, ἢ τὰς μήνιγγας μορίων, οὗ συμβάντος, ἔτι μᾶλλον ἡ κεφαλαλγία σφοδροτέρα γίνεται, καὶ ἡ διάθεσις ὅλη δυσιατοτέρα, καὶ ὁ κίνδυνος ὀξύτερός τε καὶ σφοδρότερος. ἄριστον οὖν ἐπὶ τούτων, εἰ μή τι τὰ τῆς ἡλικίας κωλύει, μήτε ἡ ζωτικὴ δύναμις ἄῤῥωστος φαίνοιτο, τὴν ἀρχὴν τῆς ἰάσεως ἀπὸ φλεβοτομίας ποιεῖσθαι, καὶ ταῖς καταλλήλαις ἐμβροχαῖς ἐπὶ τῆς κεφαλῆς B χρῆσθαι, ἐλαίῳ γλυκεῖ διαβρέχοντας ἔρια, καὶ περισκέποντας αὐτήν. κωλυόμενοι δὲ διά τι τούτων, ἢ ἡλικίαν, ἢ ἀδυναμίαν, ἢ καὶ δι' ἄμφω τὴν τοῦ αἵματος ἀφαίρεσιν ποιήσασθαι· διὰ κλυστῆρος ἐκκενώσομεν τὴν γαστέρα, καὶ αὐτοῦ μὲν ἕνεκα τοῦ κενωθῆναι τὰ κατὰ ταύτην, ἔτι δὲ μᾶλλον ἀντισπάσεως χάριν τῶν εἰωθότων ἐπὶ τὰ πεπονθότα μέρη φέρεσθαι χυμῶν. ἔπειτα τοῖς πρὸς τὰς φλεγμονὰς χρησόμεθα βοηθήμασιν. εἰ δὲ μήνιγξ εἴη τετρωμένη, καλῶς ταύτην κολλᾷ, ὥς φασιν Ἀρχιγένης, καλαμίνθης χύλισμα ἐγχεόμενον, καὶ ἄλευρον κέγχρινον ξηρὸν ἐπιπασσόμενον, εἶτα C βούτυρον, καὶ ῥόδινον, καὶ στέαρ ὕειον ἄναλον παλαιόν, μιγνύμενα, καὶ κεχλιασμένα ἐπιχεόμενα. ἀπέχεσθαι δὲ χρὴ τοὺς τοιούτους οἴνου, καὶ σιτίων ἁδροτέρων, καὶ μάλιστα εἰ πυρέττοιεν. τὴν μέντοι εἰρημένην κένωσιν, συμβουλεύει μὲν καὶ Ἀπολλώνιος, ὁποίαν δέ τινα χρὴ γίνεσθαι ταύτην, οὐκ ἐδήλωσεν. ὄξος γε μὴν μιγνύναι τῷ ῥοδίνῳ κελεύει, καθάπερ ἐπὶ τῶν φρενιτικῶν τε καὶ ληθαργικῶν, ἐν ταῖς ἀρχαῖς τῶν παθῶν εἰώθασιν οἱ πλεῖστοι τῶν ἰατρῶν χρῆσθαι. παρέλιπε δὲ οὐκ ὀρθῶς, καὶ τὸ μέτρον ἑκατέρου δηλῶσαι, τῇ τῶν ἐμπειρικῶν ὁμοίᾳ μεταβάσει χρησάμενος, οὐ τῇ τῶν δογματικῶν ἐνδείξει. D ἡ μὲν γὰρ διάθεσις ἡμῖν, ὑπαγορεύει τὰ βοηθήματα, τὸ δὲ ποσὸν ἑκάστου, καὶ τὴν κατὰ μέρος ἐν ταῖς ὕλαις διαφορὰν, συνενδείκνυται τὸ πεπονθὸς μόριον, ἥ τε κρᾶσις τοῦ κάμνοντος ἀνθρώπου, καὶ πρὸς τούτοις, ἡ ζωτικὴ δύναμις, εἶθ' ἡ ἡλικία, καὶ ἡ τοῦ περιέχοντος ἀέρος κρᾶσις, ἄλλοτε ἄλλη γινομένη παρά τε τὰς χώρας, καὶ τὰς ὥρας τοῦ ἔτους, τήν τε κατὰ τὸ σύμπαν τοῦ ἔτους κατάστασιν. ἐπὶ μὲν οὖν τῶν φρενιτικῶν, ἀπαθῶν ὑπαρχόντων ἁπάντων τῶν ἐκτὸς τοῦ κρανίου, κατά τε τὸ δέρμα, καὶ τὸν περικράνιον ὑμένα, προσηκόντως ἔμιξαν ὄξος οἱ πρώτως μίξαντες, ἐκείνῳ τῷ λογισμῷ πεισθέντες, ὃν ἐν τοῖς περὶ E συνθέσεως φαρμάκων ὑπομνήμασιν ἐπιπλέον διῆλθον, ἡνίκα ταῖς ἐν τῷ βάθει τοῦ σώματος γινομέναις διαθέσεσιν, ἔφασκον χρῆναι προσφέρεσθαι φάρμακα, τῶν ἐπιπολῆς γινομένων διαθέσεων διαφέροντα. ἐκλύεται γὰρ ἁπάντων αὐτῶν ἡ δύναμις, ἐν τῇ πρὸς τὸ βάθος ὁδῷ, καὶ διὰ τοῦτο ἐνίοτε τοῖς οἰκείοις τοῦ πάθους βοηθήμασιν μιγνύομεν, ἐναντίας τε καὶ βλαβερᾶς δυνάμεως φάρμακα. φλεγμονῆς γὰρ ὀδυνώσης, ἐναντιώτατόν ἐστι τοῖς ὠφελοῦσιν ὄξος μιγνύειν, ὡς ἂν μήτε παρηγορικὸν ἔχοντι, μήτε χαλαστικόν. ἀλλ' ὅταν διὰ τοῦ βρέγ- F ματος, ἢ δι' ἄλλου τινὸς μέρους τῆς κεφαλῆς, εἴσω διικνεῖσθαι τὴν τοῦ φαρμάκου δύναμιν ἐθελήσωμεν, ἐπιμιγνύναι τι τῶν διὰ τὴν ἑαυτῶν φύσιν βοηθούντων τε καὶ ποδηγησόντων ἐς τὸ βάθος τοῦτο παραγινόμεθα, λεπτομερῆ τινα οὐσίαν εὑρίσκοντες, ἐνίοτε μὲν ψυχρὰν, ὡς ὄξος, ἔστι δ' ὅτε μὲν θερμὴν, ὡς εὐφόρβιον, ἐπισκοπούμενοι τὴν θεραπευομένην διάθεσιν,

Quòd si per communionem membranæ caluam ambientis, quam ad duram cerebri membranam circa suturas habet, etiam intra caluariam inflammatio ipsa distribuatur, non absque periculo eiusmodi capitis dolor existit. Contingit autẽ non parum sæpe in casu, præsertim ex sublimi facto, vt quædã circa cerebrum, aut membranas eius, partes abrumpantur, quod vbi contigit, etiam amplius capitis dolor inualescit, ipsáq; affectio tota ægrè curabilis redditur, & periculum ingens, ac præceps imminet. Optimum itaque fuerit in his, nisi ætas prohibeat, & nisi vitalis facultas debilis appareat, à venæ sectione curationis initium facere; & conuenientibus capitis irrigationibus vti, ex lana nimirũ oleo dulci imbuta, capitéq; ex ea contecto. Quòd si quippiam horum, siue ætas, siue virium imbecillitas, aut etiam ambo simul, sanguinis detractionẽ fieri præpediant, aluum per clysterem euacuabimus, tum vt superflua in ipso recrementa extrahamus, tum vt humores, qui ad affectas partes inde ferri consueuerunt, reuellamus; atque inde auxiliis ad inflammationes commodis vtemur. Si verò membrana cerebri fuerit vulnerata, egregiè ipsam conglutinat, inquit Archigenes, calaminthæ succus infusus, & farina milij arida inspersa. Deinde butyrum, & rosaceum, ac adeps suillus insulsus vetus, tepefacta, ac mixtim infusa. Cęterũ hoc modo affectos à vino, & cibis crassioribus abstinere oportet, maximè si febri sint correpti. Atqui prędictam euacuationem consulit etiam Apollonius, qualem autem fieri oporteat, non ostendit. At verò acetum rosaceo admisceri iubet, quemadmodum in phreneticis, & lethargicis in principio plurimi medici facere consueuerunt, verùm non rectè mensuram vtriusq; dicere reliquit, Empiricorum simul transitione vsus, non indicatione Dogmaticorum. Affectus enim ipse nobis indicat auxilia; quantitatem autem singulorum, & particularem materiarum differentiam simul tum affecta particula, tum ægri temperamentum indicat; & ad hæc vitalis facultas; deinde ætas, & ambientis nos aëris temperies, iuxta regiones, anníque tempora, & prædominantem anni constitutionem, alia atque alia. In phreniticis quidem igitur, quum omnia, quæ extra caluariam, circaq; cutem, & pelliculam caluariam ambientem, ab affectu immunia sint, veteres conuenienter acetum admiscuerunt; ea ratione persuasi, quam in commentariis De medicamentorũ compositione per longum recensui; quando videlicet ad affectus in profundo corporis obortos, medicamenta diuersa ab iis, quæ ad affectus in superficie hærentes, destinata sunt, adhiberi oportere dixi. Exoluitur enim omnium ipsorum vis in transitione per profundum, & ob id ad propria affectus auxilia aliquando contrariæ, & nocentis facultatis medicamenta admiscemus. Quum namque inflammatio dolorem inducat, maximè contrarium est acetum reliquis auxiliis admiscere, vtpote quod neque mitigandi, neque laxandi, vim aliquam in se complectatur. Sed quum per sinciput (neque enim per aliam quampiam capitis partem transitus patet) medicamenti facultatem intra penetrare velimus, tunc sanè ad admixtionem alicuius eorum, quæ propria natura auxiliantur, ac in profundum ducunt, deuenimus; tenuium partium substantiam quandam inuenientes, quandoq; quidem frigidam, velut acetum; quandoque verò calidam, velut euphorbium, affectu, qui curationi subiacet, perspecto, num calefacientibus

opus

opus habeat, an refrigerãtibus. Iuxta hãc igitur ratiocinationẽ, si quidẽ crassæ cerebri mẽbranæ nudæ rosaceũ offeratur, quemadmodũ in illis, quibus capitis officulũ aliquod excisum est, fieri cõsueuit, solũ ipsũ leniter tepefactũ adhibemus. Quũ verò citra denudationẽ per capitis iuxta sinciput partẽ, sana, & integra existente caluaria, rosaceũ ad cerebri mẽbranam peruenire velimus, acetum ei, vt eò perducat, admiscemus; cuius itẽ rursus vehemens facultas, tũ per viarũ trãsitionẽ, tũ per rosacei mixturã, exoluitur. Quapropter Apollonius in eo quòd acetũ rosaceo indefinitè admiscere iussit, peccauit. Cutis enim capitis, aut quæ post eam est mẽbranæ caluariã ambientis, inflãmationes, citra quidẽ vehementẽ dolorẽ obortæ, per exigui sanè aceti ad rosaceũ admixtionẽ iuuari possunt; lædẽtur autẽ vbi magnæ fuerint, dolorẽq; vehementẽ induxerint. Deliquit amplius Apollonius, quòd neq; tẽpus vsus singulorũ ab eo descriptorũ auxiliorũ apposuit. Quædã enim incipientibus & nascentibus adhuc inflãmationibus auxiliantur; quædã etiam in vigore cõsistentibus, aut decrescẽtibus, aut etiã induratis, opẽ ferũt. Rosaceũ itaq; cum aceto incipientibus; in vigore verò consistentibus, rosaceum solũ adhibemus; quemadmodũ etiam in induratis absinthium ac pulegium ei admiscemus; ac verò quæ citra indurationẽ decrescunt inflãmationes, medicamẽtis laxãtibus appellatis solũ opus habẽt. Relata est autẽ tum materia, tum cõpositio ipsorũ in prioribus huius tractationis cõmentariis, quos edidi, antequam opus aggrederer, in quo affecti loci multã indicationẽ faciunt simul cum ipsis affectibus ad inuentionẽ remediorũ. Quum igitur affectus ab Apollonio descripti quatuor sint, qui capitis dolorẽ faciũt, ob manifestas causas oborti; deinde verò ex ordine transierit ad eos, qui ex obscuris causis producũtur; meritò sanè quis ipsũ reprehẽderit, non solũ quòd à dogmatica desciuerit doctrina, sed quòd neq; empirica sit vsus. Distinguunt enim etiã hi affectus per symptomatũ concursus, ab ipsis appellatos, qui sanè symptomatum quidã congestus sunt, quæ omnibus euidenter apparẽt; in quibus cõcursibus etiam externas causas ipsi cõprehendunt, tanquã partes totius concursus existãt. Verũ nullũ talem congestũ symptomatũ, vel signorum, Apollonius scripsit, quemadmodũ discemus vbi, & ad sequentem viri doctrinam non minus, quàm ad priorem animum adhibebimus.

Continua ex præcedenti Apollonij doctrina, ad temporum, ac totius capitis dolores, citra manifestas causas obortos.

Vnguento Mendesio caput illine. *Aliud.* Adipem anserinum Mendesio vnguento dilutum illine. *Aliud.* Myrrham vino quàm optimo tritam, & ad succi ptissanæ crassitudinem redactam illine. *Aliud.* Myrrham vnguento pretiosissimo tritam similiter adhibe. In pueris autem sinciput dolentibus, myrrha cum oleo trita vtitor. *Aliud.* Viticis semen tritum & aqua dilutum imponito, aut linteolo illitum similiter imponito. *Aliud.* Lolij farinam cum adipe anserino contritam pro cataplasmate imponito, adipe prius liquefacto. *Aliud.* Portulacam per se, & cum lini semine tritam imponito. *Aliud.* Oleæ folia tenerrima oleo, ac vino nigro affuso terito, ac imponito. *Aliud.* Cinerem quemcunque habes aceto, aut aqua diluito,

A εἴτε τῶν θερμαινόντων δεῖται, εἴτε τῶν ψυχόντων. κατὰ τοῦτον οὖν τὸν λογισμὸν, ἐὰν μὲν αὐτῇ παχεῖα μήνιγξ γυμνῇ προσφέρηται τὸ ῥόδινον, ὡς ἐπὶ τῶν ἐκκοπτομένων τι τῶν τῆς κεφαλῆς ὀστῶν ἔθος, μόνον αὐτὸ προσφέρομεν ἠρέμα χλιαίνοντες. ὅταν δὲ χωρὶς τοῦ γεγυμνῶσθαι, διὰ τῶν κατὰ τὸ βρέγμα τῆς κεφαλῆς μερῶν, ὑγιοῦς ὑπάρχοντος τοῦ κρανίου, βουλώμεθα τὸ ῥόδινον ὁδοιπορῆσαι πρὸς τὴν μήνιγγα, μίγνυμεν ὄξος αὐτῷ τὸ ποδηγῆσον, οὗ πάλιν αὐτοῦ τὸ σφοδρὸν τῆς δυνάμεως ἐκλύεται, κατά τε τὴν ὁδοιπορίαν, καὶ τὴν τοῦ ῥοδίνου μῖξιν. ἀδιορίστως οὖν ὁ Ἀπολλώνιος ὄξος μιγνύναι τῷ ῥοδίνῳ κελεύσας, B ἥμαρτε· αἱ γὰρ τοῦ δέρματος τῆς κεφαλῆς, ἢ τοῦ μετ' αὐτὸ περικρανίου φλεγμοναὶ, χωρὶς μὲν ὀδύνης ἰσχυρᾶς γινόμεναι, δύναιντο ἂν ὠφελεῖσθαι, μιχθέντος ὄξους ὀλίγου τῷ ῥοδίνῳ. βλαβήσονται δὲ, ὅταν αὗται μεγάλαι τύχωσιν οὖσαι, τό τε ἄλγημα σφοδρὸν ἐπιφέρωσιν. ἥμαρτε δ' Ἀπολλώνιος, κἂν τῷ μὴ προσθεῖναι τὸν καιρὸν τῆς χρήσεως, ἑκάστῳ τῶν ὑφ' ἑαυτοῦ γεγραμμένων βοηθημάτων. ἔνια μὲν γὰρ ἀρχομένων τε καὶ γινομένων ἔτι τῶν φλεγμονῶν ἐστι βοηθήματα, τινὰ δὲ, καὶ ἀκμαζουσῶν, ἢ παρακμαζουσῶν, ἢ σκιρρουμένων. ῥόδινον μὲν οὖν σὺν ὄξει τῶν ἀρχο- C μένων, ἀκμαζουσῶν δὲ μόνον τὸ ῥόδινον, ὥσπερ γε τῶν σκιρρουμένων, ἐν οἷς ἀψίνθιόν τε καὶ γλήχωνα μίγνυμεν, ὡς αἵ γε χωρὶς τοῦ σκιρροῦσθαι παρακμάζουσαι, τῶν καλουμένων χαλαστικῶν δέονται φαρμάκων. εἴρηται δὲ αὐτῶν ἥ τε ὕλη, καὶ ἡ σύνθεσις ἐν τοῖς ἔμπροσθεν ὑπομνήμασιν, πρὶν ἐπὶ ταύτην ἀφικέσθαι, δι' ἣν οἱ πεπονθότες τόποι πολὺ τοῖς πάθεσιν συνενδείκνυνται τῆς τῶν βοηθημάτων εὑρέσεως. τέτταρας οὖν διαθέσεις γράψαντος τοῦ Ἀπολλωνίου ποιητικὰς ἀλγημάτων κεφαλῆς, ἐπὶ προδήλοις αἰτίοις γινομένας, εἶθ' ἑξῆς μεταβάντος ἐπὶ τὰς ὑπὸ τῶν ἀδήλων ἀποτελουμένας, μέμ- D ψαιτ' ἄν τις εὐλόγως αὐτῷ, μὴ ὅτι δογματικῆς ἀποστάντι διδασκαλίας, ἀλλ' οὐδὲ ἐμπειρικῇ χρησαμένῳ. διορίζονται γὰρ κἀκεῖνοι τὰ πάθη, ταῖς καλουμέναις ὑπ' αὐτῶν συνδρομαῖς, αἵ τινες ἀθροίσματα συμπτωμάτων εἰσὶν, φαινομένων ἐναργῶς ἅπασιν, ἐν αἷς συνδρομαῖς, καὶ τὰ προκαταρκτικὰ τῶν αἰτίων αὐτοὶ περιλαμβάνουσιν, ὡς μόρια τῆς ὅλης συνδρομῆς. ἀλλ' οὐδὲν τοιοῦτον ἄθροισμα συμπτωμάτων τε καὶ σημείων, ὁ Ἀπολλώνιος ἔγραψεν, ὡς μαθησόμεθα προσέχοντες οὐχ ἥκιστα, καὶ τῇδε τῇ ῥήσει τοῦ ἀνδρός.

E Ἡ συνεχὴς ῥῆσις Ἀπολλωνίου τῇ προγεγραμμένῃ, πρὸς τὰς τῶν κροτάφων ἀλγηδόνας, καὶ τὰς ὅλης τῆς κεφαλῆς, τὰς χωρὶς φανερᾶς αἰτίας γεγενημένας.

Μενδησίῳ μύρῳ τὴν κεφαλὴν κατάχριε. Ἄλλο. στέαρ χήνειον διεὶς, Μενδησίῳ μύρῳ κατάχριε. Ἄλλο. σμύρναν τρίψας οἴνῳ, ὡς βελτίστῳ, πάχος ποιῶν χυλοῦ πτισάνης, κατάχριε. Ἄλλο. σμύρναν τρίψας μύρῳ πολυτελεστάτῳ, παραπλησίως χρῶ. ἐπὶ δὲ τῶν παιδίων τῶν τὰ βρέγματα πονούντων, σμύρνῃ μετ' ἐλαίου τετριμμένῃ χρῶ. Ἄλλο. ἄγνου σπέρμα τρίψας, καὶ ἐν ὕδατι διεὶς κατά- F πλασσε, ἢ εἰς ὀθόνιον ἐναλείψας, ἐπιτίθει. Ἄλλο αἰρῶν ἄλευρον, μετὰ στέατος χηνείου συνελεώσας, κατάπλασσε, προτήξας τὸ στέαρ. Ἄλλο. ἀνδράχνην καθ' ἑαυτὴν, καὶ μετὰ λινοσπέρματος τρίψας, ἐπιτίθει. Ἄλλο. ἐλαίας φύλλα τὰ ἁπαλώτατα τρίψας, παραχέων ἐλαίου, καὶ οἴνου μέλανος, καὶ κατάπλασσε. Ἄλλο. τέφραν ἣν ἔχεις ὄξει διεὶς, ἢ ὕδατι,

καταβρεχε τὴν κεφαλήν. Ἄλλο. τρύγιον, καὶ γῆν κεραμικὴν τρίψας, λείαν κατάπλασσε. Ἄλλο. ἁλικακάβου καρπὸν τρίψας μετὰ στέατος χηνείου, ἢ μύρου βαλανίνου, χρῶ. Ἄλλο. φύλλα σχίνου τρίψας ἐν ὕδατι κατάπλασσε. Ἄλλο. βλίτον τρίψας σὺν ἐλαίῳ διεὶς, χρῶ. Ἄλλο. κίκεως καρπὸν τρίψας ἐν ὕδατι κατάπλασσε. Ἄλλο. κορίου σπέρμα, καὶ ἀνήθου λεάνας, καὶ μέλιτι μίξας, κατάπλασσε. Ἄλλο. μελάνθιον τρίψας, καὶ ἐλαίῳ διεὶς κατάπλασσε. Ἄλλο. κύμινον καὶ στέαρ χήνειον λεάνας, ἐπιτίθει. Ἄλλο. μηκωνείου ὅσον κύαμον Αἰγύπτιον, καὶ ἁλὸς μέρη δύο, καὶ γλήχωνος μέρος α΄. τρίψας μετ' ὄξους, καὶ μύρου, ὡς βελτίστου, κατάχριε. ἐπιτήδειον δ' αὖ καὶ τροφῆς ἀφαιρεῖν, καὶ τὴν κοιλίαν κενοῦν, καὶ τὴν κεφαλὴν σκεπάζειν, ἔτι δ' ἡσυχίαν ἄγειν, καὶ πᾶσαν κίνησιν φυλάττεσθαι. ὅτι μὲν οὖν ἀδιορίστως, ὡς ἔφην, γράψας ὁ Ἀπολλώνιος, ἐπὶ τῶν χωρὶς αἰτίας φανερᾶς γινομένων κεφαλαλγιῶν, ἔγραψε τὰ βοηθήματα, διττῶς ἥμαρτε, μήτε ὡς δογματικὸς ἀνὴρ τὰς διαθέσεις εἰπὼν, μήτε ὡς ἐμπειρικὸς τὰς συνδρομὰς, ἐξ αὐτῆς αὐτοῦ τῆς ῥήσεως ἐμάθομεν. ὅτι δὲ καὶ τῶν φαρμάκων αἱ δυνάμεις ἀλλήλων διαφέρουσιν οὐκ ὀλίγον, ἔστι μαθεῖν, ἀναγνόντας τὰς ὅλας δυνάμεις αὐτῶν. τὸ μὲν γὰρ πρῶτον ὑπ' αὐτοῦ γεγραμμένων, ἁπλῆς ἐστι δυνάμεως χαλαστικῆς. τοιαύτη γὰρ ἡ τοῦ Μενδησίου μύρου δύναμις. ἔχεται δὲ τῆς δυνάμεως ἐπιτεταμένης τὸ δεύτερον, ἐν ᾧ μίγνυται τῷ Μενδησίῳ μύρῳ τὸ τοῦ χηνὸς στέαρ. τὸ δὲ τρίτον, διὰ μὲν τὴν σμύρναν, ξηραντικόν ἐστι μετὰ τοῦ θερμαίνειν. διὰ δὲ τὸν οἶνον, στυπτικόν ἐστιν, ἐφ' ὧν ὑγρότητα πλεονάζουσαν ἀποκρούεσθαί τε ἅμα καὶ διαφορεῖν ἡμῖν πρόκειται, χρήσιμον ὑπάρχον. ἴσμεν δὲ δή που τὴν ὀσμὴν τῆς σμύρνης, τοῖς πλείστοις τῶν ὑγιαινόντων κεφαλαλγεῖς ἐργαζομένην, ὥστε τοὺς αὐτοὺς τούτους ὀδυνωμένους τὴν κεφαλὴν, οὐ σμικρὰ βλάψει. τῆς δ' αὐτῆς δυνάμεως, τούτῳ τῷ βοηθήματι, καὶ τὸ τρίτον ἐστὶ, καὶ τὸ τέταρτον. τὸ δὲ πέμπτον οὐκ ἐγγὺς ἥκει τῇ τούτων δυνάμει κατάπλασμα, συντιθέντος αὐτοῦ δι' ὕδατός τε καὶ ἄγνου σπέρματος, οὐ μόνον ἀπολειπόμενον πολὺ τῶν διὰ τῆς σμύρνης συντιθεμένων, κατ' ἀμφοτέρας τὰς δυνάμεις, τήν τε τοῦ θερμαίνειν, καὶ τὴν τοῦ ξηραίνειν, ἀλλὰ καὶ τοὐναντίον ἐργάζεσθαι δυνάμενον, ἐπὶ τῶν διὰ ψύξιν ἀλγούντων τὴν κεφαλήν. τὸ δ' ἐπὶ τῷδε γεγραμμένον, ὃ διὰ τοῦ τῶν αἰρῶν ἀλεύρου, καὶ ἐπὶ τοῦ χηνείου στέατος συντίθησιν, ἐφ' ὧν ξηραίνειν βουλόμεθα χρήσιμόν ἐστιν, οὐκ ἐπὶ μόνης κεφαλῆς, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων μορίων εὐλόγως παραλαμβανόμενον. εἴη δ' ἂν τοῦτο διὰ τὸ τοῦ χηνὸς στέαρ, ἀλύπως ξηραῖνον. ἔστι γὰρ τελείως ἀνώδυνόν τε καὶ παρηγορικὸν τὸ φάρμακον τοῦτο. ἀλλὰ τό γ' ἐφεξῆς αὐτοῦ, περὶ οὗ κατὰ λέξιν οὕτως ἔγραψεν. ἀνδράχνην καθ' ἑαυτὴν, καὶ μετὰ λινοσπέρματος τρίψας ἐπιτίθει, ψυκτικόν ἐστι φάρμακον, οὐκ ἀγεννῶς ἁρμόζον διαθέσεσι θερμαῖς. τὸ δὲ μετὰ τοῦτο γεγραμμένον ὧδέ πως, ἐλαίας φύλλα τὰ ἁπαλώτατα τρίψας παράχει ἐλαίου, καὶ οἴνου μέλανος, καὶ κατάπλασσε, παρηγορικὸν μὲν ὀδύνης οὐκ ἔστι, κενωτικὸν δὲ ὑγρότητος χυμῶν ὑπάρχει. ἰσχυρὸν δὲ τῇ δυνάμει τὸ ἐφεξῆς αὐτοῦ γεγραμμένον ἐστὶν, ἐν ᾧ κελεύει τέφραν ὄξει διέντας, ἢ ὕδατι, καταβρέχειν τὴν κεφαλήν. ἐὰν μὲν δι' ὄξους σκευασθῇ, χρονίας διαθέσεις σκιρρουμένας ἰᾶσθαι δυνάμενον, οὐ μὴν ὀδύνης γε παρηγορικὸν ὑπάρχον. εἰ δὲ δι' ὕδατος ἡ τέφρα διηθῇ, τῇ μὲν ἰσχύϊ πάμπολυ τοῦ δι' ὄξους ἀπολειφθήσεται παραμυθητικὸν δ' ὀδύνης οὐδ' οὕτως ἔσται, καθάπερ οὐδὲ τὸ μετ' αὐτὸ γεγραμμένον, ὃ διὰ τῆς κεραμικῆς γῆς, καὶ στρύχνου συντίθησιν.

A coque caput rigato. *Aliud.* Solanum, & terram figulinam trita, ac læuigata imponito. *Aliud.* Halicacabi fructum cum adipe anserino, aut vnguento balanino tritum adhibeto. *Aliud.* Lentisci folia trita ex aqua imponito. *Aliud.* Blitum tritum, ac oleo dilutum adhibeto. *Aliud.* Ricini semen aqua tritum imponito. *Aliud.* Coriandri semen & anethi trita, ac melle mixta imponito. *Aliud.* Melanthium tritum, ac oleo dilutum imponito. *Aliud.* Cuminum & adipem anserinum trita imponito. *Aliud.* Succum papaueris fabæ Ægyptiacæ quantitate, & salis partes duas, & pulegij partem vnam, cum aceto, & vnguento optimo trita illinito. B Conuenit item cibum subtrahere, & aluum euacuare, caputque contegere; amplius verò & quietè agere, omnemque motum vitare. Quod igitur Apollonius, quemadmodum dixi, indefinitè tradendo hæc remedia ad capitis dolores absque manifesta causa factos dupliciter peccarit, neque vt dogmaticus vir affectus explicans, neque vt empiricus eorum concursus, id ipsum ex illius ipsius dictione didicimus. Quòd verò & medicamentorũ facultates inter se non parum differant, ex tota virium ipsorum perpensione discere licet. Etenim primum ab eo descriptum simplicis est facultatis laxantis; talis enim C est Mendesij vnguenti facultas. Secundum verò eandem vim intensè possidet, in quo ad Mendesium vnguentũ anserinus adeps admiscetur. Tertium autem propter myrrham quidem resiccatorium est, vnáque calefacit, propter vinum verò astringit, vtile iis existens, in quibus redundantem humiditatem simul repellere, ac discutere proposuimus. Scimus porrò myrrhæ odorem plurimis etiam sanis dolorem capitis inducere; quare sanè eos ipsos, qui iam caput dolent, non parum offendet. Eiusdem autem facultatis est, & quod D sequitur quartum. Quintum verò non prope ad horũ vim accedit, vbi scilicet cataplasma ex aqua & viticis semine cõponit, quod non solùm ab vtraque facultate, tum calefaciendi, tum resiccandi, quibus ea præstant, quæ ex myrrha composita sunt, multum deficit, sed & contrarium facere potest in iis, qui caput ob frigiditatem dolent. Quod verò deinde sequitur ex lolij farina, & anserino adipe cõpositum, in quibus resiccare intendimus, vtile est, neque in capite solùm, sed & in aliis partibus rationabiliter adhibetur: id ipsum verò ob anserinum adipem citra molestiam resiccantem contingit, abundè enim medicamentum hoc & miti- E gat, & sedat dolorem. Verùm quod deinceps sequitur, de quo hæc verba scripsit: Portulacam per se & cum lini semine tritam imponito, refrigeratorium est medicamentum, præclarè faciens ad affectiones calidas. Quod verò post hoc scriptum est hoc modo; oleæ folia tenerrima, oleo, ac vino nigro affuso terito, & imponito dolorem quidem non mitigat, verùm humiditates succorum euacuat. At verò quod deinceps scriptum est, forti facultate præstat, in quo videlicet iubet cinerem aceto, aut aqua dilui, eoque caput rigari. Siquidem enim ex aceto præparetur, inueteratos affe- F ctus, & in scirrhum induratos sanare potest, non tamen doloris mitigatiuum existit. Si verò cum aqua cinis diluatur, ac percoletur, fortitudine quidem plurimum ab eo deficiet, quod ex aceto constat; neque tamen sic doloris mitigatiuum erit. Quemadmodum neque id quod postea descriptũ est, ex terra figulina, & solano cõpositum.

Superfluam

Superfluam autē cōpoſitionem Apollonius in eo, A quod ex halicacabi fructu conſtat, oſtentat, vtpote quod neq; prædictis, neque poſtea dicendis, quicquam amplius habeat. Quemadmodū ſanè ea, quę deinceps ſequuntur ſingula alia facultate prædita ſunt. Non ritè autem facit hæc omnia indefinitè tradendo. Quid enim ſimile habeat cataplaſma ex blito cum oleo trito, ad illud quod ex ricini ſemine, aut coriandri, aut cumini, aut melanthij, cōponitur? Calefaciunt enim hæc & reſiccāt, blitū verò debiliter humectat, & frigefacit. Porrò quod in fine ſermonis ipſius ſcriptū eſt, primū neque ab vllo inuſum aſſumi experiundi gratia conſuluerim, nedum ſæpè. B Rarò enim cogimur medicamentis ex opio vti, quum videlicet præ doloris vehementia homo de vita periclitatur; quanquā & tunc ſolidæ partes ex eius vſu offendantur, adeo vt poſt hæc correctione opus habeant. Sic & ex opio collyria detrimento fuerunt, adeo vt debilē oculum reddiderint, & viſus hebetudinem induxerint; velut etiam auditus grauitatem inducunt, quęcunque ad vehementem aurium dolorem ex papaueris ſucco compoſita ſunt. At verò ob capitis dolorem vehementem nemo vnquam animi deliquio comprehenſus mortuus eſt, neque ſe ipſum occidit, quemadmodum quidam coli dolore vexati fecerunt. C Vtcunque enim doleant, longè minor ipſorum dolor eſt, quàm eorum, qui coli, aut auris, aut oculi, aut dentis, dolore vexantur. Mitigantur illi ipſi perfuſionibus, & cataplaſmatum impoſitione.

Quæ Archigenes ad capitis dolorem remedia conſcripſerit.

Relicto igitur iā Apollonio, ad Archigenē tranſeamus, qui in priore libro de medicamētis ſecundū genus ei inſcripto, hoc modo ſcripſit. *Archigenis ad capitis dolores citra febrē obortos.* Cōmuniter in principio auxiliatur eis aquę potus, parcitas cibi, D ſolutio alui. Hæc præfatus deinceps medicamenta multiformia cōſcribit. Præſtabilius igitur mihi videtur ſingillatim vnāquamq; ipſius dictionem in manus ſumptā conſiderare; & primū ſanè principium eius collaudare, in quo manifeſtè diſcrimen ab eo, quòd quis non febriat inductum diſtinxit. Fuit itaq; Archigenes non quidē vulgaris medicus, velut & Mantias, & Heraclides empiricus; verū ad diligentiam, quā circa artem fecit, etiam hoc Archigeni acceſſit, quod poſterior natu illis ipſis fuit. Cęterū maximum hoc cenſeri debet iis, qui artem quancunque tandē rationalē ediſcere rite volunt, E quum natura apti ad eam fuerint, ingenioſique, & à pueris in primis diſciplinis eruditi. Plerique autē ex iis qui eiuſmodi artes tractāt, non vt ipſi ſapientes in iis euadant, ſed vt vulgo tales videantur, ſtudio habent. At verò Archigenes, vt ſi quis alius, quæ ad medicā ſpeculationē attinēt, diligenter re vera ediſcere ſtuduit, atque ob id meritò ſcripta quāplurima memorabilia reliquit. Non tamen in omnibus ſanè, quæ tradidit irreprehenſibilis mihi videtur; verū veluti ipſe pleraq; eorū virorū, à quibus adiutus optimus euaſit, reprehendit, ſic par eſt, ipſum delinquentem à nobis poſteris examinari. F Difficile enim eſt vt, qui homo ſit, non in multis peccet, quædā videlicet penitus ignorādo, quædā verò malè iudicādo, & quædā tandē negligentius ſcriptis tradendo. Quemadmodū ſanè & nūc mihi in diſtinguendo non febrientes à febricitantibus, peccaſſe videtur, quum non omnes eorū, qui non febriunt diſtinctiones, & diſcrimina appoſuerit.

A περίεργον δὲ ἐπιδείκνυται τὴν σκευασίαν ὁ Ἀπολλώνιος ἐν τῷ διὰ ἁλικακάβου καρποῦ συντεθειμένῳ, μηδὲν ἔχοντι, μήτε τῶν προειρημένων, μήτε τῶν ἐφεξῆς μελλόντων λεχθήσεσθαι πλέον. ὥσπερ γε καὶ τῶν ἐφεξῆς ἕκαστον ἄλλης δή ἄλλο δυνάμεως ὑπάρχον, οὐκ ὀρθῶς δὲ ἐποίησεν ἀδιορίστως γράψας. τί γὰρ ὅμοιον ἔχει τὸ διὰ βλίτου σὺν ἐλαίῳ λελειωμένου κατάπλασμα, τῷ διὰ κίκεως σπέρματος, ἢ κορίου, ἢ μελανθίου συγκειμένῳ; θερμαίνει μὲν γὰρ ταῦτα καὶ ξηραίνει, τὸ δὲ βλίτον ἀσθενῶς ὑγραίνει τε καὶ ψύχει. τὸ δή ἐπὶ τῇ τελευτῇ τοῦ λόγου γεγραμμένον, τὴν ἀρχὴν, οὐδ᾽ ἐφ᾽ ἑνὸς χρήσα- B σθαί ποτε, πείρας ἕνεκα συμβουλεύσω, μήτοι γε πολλάκις· ὀλιγάκις μὲν ἀναγκαζόμεθα χρήσασθαι τοῖς δι᾽ ὀπίου φαρμάκοις, ὅταν ὑπὸ σφοδρότητος ὀδύνης ὁ ἄνθρωπος ἀποθανεῖν κινδυνεύῃ. βλάβη δέ τις καὶ τότε τοῖς στερεοῖς μορίοις γίνεται, δεομένη τῆς μετὰ ταῦτα γενησομένης ἐπανορθώσεως. οὕτω καὶ τὰ δι᾽ ὀπίου κολλύρια πολλοὺς ἔβλαψεν, ὡς ἀσθενῆ τε τὸν ὀφθαλμὸν ἀποδεῖξαι, καὶ τὴν καλουμένην ἀμβλυωπίαν ἐργάσασθαι. καθάπερ γε καὶ βαρυηκοΐαν, ὅσα πρὸς ὠταλγίας σφοδρὰς συντίθεται δι᾽ ὀποῦ μήκωνος. ἀλλὰ διὰ κεφαλαλγίαν σφοδρὰν, οὔτε τις συγκοπεὶς ἀπέθανεν, οὔθ᾽ ἑαυτὸν C ἀπέκτεινεν, ὡς ἔνιοι τῶν κωλικῶν. ὅπως ἂν γὰρ ἀλγῶσιν, ἀπολείπονται τῶν τὸ κῶλον ἀλγούντων, ἢ οὖς, ἢ ὀφθαλμὸν, ἢ ὀδόντα. παρηγοροῦνται δὲ διὰ καταντλημάτων, καὶ καταπλασμάτων.

Περὶ τῶν ὑπ᾽ Ἀρχιγένους γεγραμμένων βοηθημάτων πρὸς κεφαλαλγίαν.

Καταλιπόντες οὖν ἤδη τὸν Ἀπολλώνιον, ἐπὶ τὸν Ἀρχιγένην μεταβῶμεν, ἐν τῷ προτέρῳ τῶν ἐπιγραφομένων αὐτῷ περὶ τῶν κατὰ γένος φαρμάκων, ὧδέ πως γράψαντα. Ἀρχιγένους πρὸς D τὰς γινομένας κεφαλαλγίας χωρὶς πυρετοῦ. κοινῶς ἐν ἀρχῇ ποιεῖ ὑδροποσία, ὀλιγοσιτία, κοιλίας ἔκκλυσις. ταῦτα προειπὼν, ἐφεξῆς γράφει φάρμακα πολυειδῆ. βέλτιον οὖν μοι δοκεῖ κατὰ μόνας ἑκάστην τῶν ῥήσεων αὐτοῦ προχειριζομένῳ, σκοπῆσαι, καὶ πρῶτόν γε τὴν ἀρχὴν ἐπαινέσαι, σαφῶς εἰπόντος αὐτοῦ τὸν ἀπὸ τοῦ πυρέττειν διορισμόν. ἐγένετο μὲν οὖν, καὶ ὁ Ἀρχιγένης οὐ τῶν τυχόντων ἰατρῶν, ὥσπερ γε καὶ Μαντίας, καὶ Ἡρακλείδης ὁ ἐμπειρικὸς, ἀλλὰ τῇ περὶ τὴν τέχνην Ἀρχιγένους ἐπιμελείᾳ πρόσεστι, καὶ τὸ μετ᾽ ἐκείνου γεγονέναι. μέγιστον δὲ τοῦτό ἐστι τοῖς ἐκμαθεῖν ἀληθῶς βουλομένοις ἡντιναοῦν τέ- E χνην λογικὴν, ὅταν γε καὶ πεφυκότες ὦσιν ἀγχίνοοί τε καὶ γεγυμνασμένοι κατὰ τὴν τῶν παίδων ἡλικίαν, ἐν τοῖς πρώτοις μαθήμασιν. οἱ πολλοὶ δὲ τῶν τὰς τοιαύτας τέχνας μεταχειριζομένων, οὐ γενέσθαι σοφοὶ κατ᾽ αὐτὰς, ἀλλὰ τοῖς πολλοῖς φαίνεσθαι τοιοῦτοι σπουδάζουσιν. ἀλλ᾽ ὅ γε Ἀρχιγένης εἴπερ τις, καὶ ἄλλος ἐκμαθεῖν οὕτω τὰ κατὰ τὴν ἰατρικὴν θεωρίαν σπουδάσας, εἰκότως ἀξιόλογα συγγράμματα πάμπολλα κατέλιπεν, οὐ μὴν ἐν ἅπασί γε οἷς εἶπεν, ἄμεμπτος εἶναι μοι φαίνεται, ἀλλ᾽ ὥσπερ αὐτὸς, ὑφ᾽ ὧν ἀνδρῶν ὠφεληθεὶς, ἄριστος ἐγένετο, τούτων ἐλέγχει πολλὰ, οὕτω καὶ αὐτὸν εἰκός ἐστιν ἁμαρτάνοντα, F πρὸς ἡμῶν τῶν μετ᾽ αὐτὸν γεγονότων ἐξελέγχεσθαι. χαλεπὸν γὰρ ἄνθρωπον ὄντα μὴ διαμαρτάνειν ἐν πολλοῖς. τὰ μὲν ὅλως ἀγνοήσαντα, τὰ δὲ κακῶς κρίναντα, τὰ δὲ ἀμελέστερον γράψαντα, καθάπερ καὶ νῦν μοι δοκεῖ σφαλῆναι τῷ τῶν ἀπυρέτων ἀπὸ τῶν πυρεττόντων διορισμῷ, μὴ προσθεὶς τοὺς τῶν ἀπυρέτων ἁπάντων διορισμούς.

Περὶ τῶν ἀπὸ στομάχου κεφαλαλγούντων.

Εὐθέως οὖν, ὁ πρῶτος ἐν αὐτοῖς ἐστιν τῆς ἀπὸ στομάχου κεφαλαλγίας. ἔνιοι γὰρ, εἰ καὶ βραχύς τις ἐστὶν ἐν τῇ κοιλίᾳ, καὶ μάλιστα κατὰ τὸ στόμα χυμὸς αὐτοῖς ἀθροισθεὶς δριμὺς, αὐτίκα κεφαλαλγοῦσιν, καὶ διὰ τοῦτο βλάπτονται, μέχρι πλείονος ἀσιτοῦντες. αὐξάνεται γὰρ αὐτοῖς ἐπὶ ταῖς ἀσιτίαις, ἡ τῶν τοιούτων χυμῶν μοχθηρία. χρὴ τοίνυν τοὺς οὕτως ἐνοχλουμένους ἰᾶσθαι, μηδὲν μὲν τῇ κεφαλῇ προσφέροντας. εἴ γε οὐδὲ πέπονθεν οὐδὲν ἴδιον πάθος, ἀλλ' ὑπὸ τῆς ἀνόδου τῶν ἐν τῇ γαστρὶ χυμῶν, ἀτμοὺς ἐγειρόντων μοχθηρούς, λυπεῖται, καθάπερ ἄλλοι τοῖς τῶν ὑποχεομένων συμπτώμασιν περιπίπτουσιν ἐπὶ τοῖς τοιούτοις χυμοῖς. τίς οὖν ἡ θεραπεία; κενῶσαι τῆς γαστρὸς ὅτι τάχιστα τοὺς λυποῦντας χυμούς. ἐκκενοῦνται δὲ εὐεμέσι ῥᾳδίως, ὕδωρ πίνουσι, τοῖς δυσεμέσι δυσχερέστερον. ὥς ἔνιοί γε, κἂν διὰ τῆς τῶν δακτύλων, ἢ πτερῶν καθέσεως εἰς ἔμετον προξύνωσι τὴν γαστέρα, πλέον αὐτοῖς οὐδὲν γίγνεται. τοὺς τοιούτους οὖν ὅτι τάχιστα πειρᾶσθαι τροφὴν εὔχυμόν τε καὶ εὐστόμαχον προσφέρεσθαι, εἰ μὲν ἐγχωρείη λουσαμένους. εἰ δὲ μὴ πρὸ τοῦ λουτροῦ, τοσοῦτον προσαραμένους τροφῆς, ὡς μὴ βλαβῆναι λουομένους. δειπνήσαντες δὲ ὀλίγου, πιεῖν ἀψινθίου κατὰ τὴν ὑστεραίαν, οὕτω τε πειρᾶσθαι διαιτᾶσθαι τὸ λοιπὸν, ὡς ἄγαν αὐτοὺς εὐπεπτήσαντας, ἄρτου προσφέρεσθαι βραχὺ κατὰ τρίτην ὥραν, ἢ τετάρτην, ἢ βραχὺ πρωϊαίτερον, ἢ ὀψιαίτερον, ὡς διάστημα χρεὶν ἱκανὸν ἐπὶ τὴν εἰθισμένην ὥραν τοῦ λουτροῦ. ὅσοι δὲ οὐ δύνανται τὸν ἄρτον ἐσθίειν χωρὶς ὄψου, τούτοις, ἢ ἐλαιῶν, ἢ φοινίκων, ἢ σταφυλῆς, ἤ τινος τοιούτου διδόναι, τῇ πείρᾳ τὸ βέλτιστον αὐτῶν εὑρίσκοντας. ἄλλο γὰρ ἄλλῳ βέλτιόν ἐστιν, κατὰ τὴν ἰδιότητα τῆς φύσεως. εἰς δὲ τὴν τῶν μοχθηρῶν χυμῶν ἐν τῇ γαστρὶ πλεονεξίαν, ἥ τε τῆς πεπτικῆς δυνάμεως ἀσθένεια, καὶ ἡ τοῦ στόματος τῆς κοιλίας ἀτονία, τὰ μέγιστα συντελεῖ, καθάπερ γε καὶ ἡ εὐαισθησία, καὶ πρὸς τούτοις ἡ κεφαλὴ δέχεσθαι τοὺς ἀτμοὺς τῶν τοιούτων χυμῶν ἐπιτηδείως ἔχουσα, καθάπερ ἐνίοις οἱ ὀφθαλμοί. ἐγὼ μὲν οὖν πολλάκις ἐπὶ πολλῶν ἐπειράθην, ἧς διῆλθον ἀγωγῆς, ὀνησάσης τὴν ἀπὸ τῆς κοιλίας γινομένην κεφαλαλγίαν. ὁ δὲ Ἀρχιγένης, ἁπλῶς γράψας ἁπάσης κεφαλαλγίας, τῆς ἄνευ πυρετοῦ βοήθημα τὴν ὀλιγοσιτίαν, εὔδηλός ἐστιν οὐδὲν εἰδὼς περὶ τῆς ἐπὶ χολώδει χυμῷ γινομένης. ἔτι δὲ μᾶλλον ἄν τις τούτῳ πεισθείη, τὴν τελευταίαν αὐτοῦ λέξιν ἀναγνοὺς, ἔχουσαν οὕτω. Ἀρχιγένης. ἐπὶ δὲ τῶν ἀπὸ στομάχου κεφαλαλγούντων πνευματικῶς τε καὶ διατεινομένων, ὄξος κωδείας ἀφεψημένας ἔχοντι, καταντλεῖ, ἢ τοὺς σπόγγους βρέχων ἐπιτίθει, εἶτα κατάπλασσε τὸ μέτωπον ἀλφίτῳ μετὰ ἡδυόσμου, καὶ ὄξους, ἢ γλήχωνα μετὰ τῶν αὐτῶν, ἢ στρύχνου χυλῷ μετὰ ῥοδίνου χρίε. στόμαχον μὲν γὰρ ὀνομάζει, δηλονότι τῆς κοιλίας τὸ στόμα, εἰθικότων οὕτω τῶν ἰατρῶν καλεῖν τὸ μόριον τοῦτο. οἵ γε καὶ στομαχικὰς συγκοπὰς ὀνομάζουσιν, καὶ στομαχικούς τινας εἶναί φασιν ἀπό τινος τῶν ἐν τῷ τόπῳ τούτῳ γινομένων παθῶν, οὕτως ὀνομάζοντες, ὡς ἡπατικοὺς τοὺς ἀφ' ἥπατος, καὶ κωλικοὺς τοὺς ἀπὸ κώλου, καὶ νεφριτικοὺς τοὺς ἀπὸ νεφρῶν, καὶ σπληνικοὺς τοὺς ἀπὸ σπληνὸς πάσχοντας. ἓν δὲ ἀπὸ τοῦ στομάχου τούτου πάθος ὀδυνηρὸν ἔγραψε, καταλαμβάνον τὴν κεφαλὴν, τῶν, ὡς αὐτὸς ὠνόμασεν πνευματικῶς διατεινομένων, ὅπερ ἐξ οἴνου πόσεως πολλῆς οἶδα μᾶλλον γινόμενον.

De iis qui ex stomacho caput dolent.

Statim igitur primum in his discrimen est doloris capitis ex stomacho producti. Quidam enim etiam si pauxillus quispiam humor acris in ventre, & præsertim circa os eius, congregetur, statim caput dolent; atque ob id, si diutius famem tolerent, offenduntur, augetur enim ipsis inediam ferentibus eiusmodi humorum malitia. Eos igitur, qui hoc modo affliguntur sanare oportet, ita vt nihil remediorum capiti adhibeamus, quandoquidem neq; proprius est hic capiti affectus, sed ab humorum in vẽtre malignos vapores excitantium in ipso ascensu affligitur; quemadmodum alij in suffusorum symptomata ob huiusmodi humores incidunt. Quæ igitur horum erit cura? vt videlicet affligentes in ventre humores, quàm celerrimè euacuemus. Euacuantur autẽ ad vomitum procliues, facilè ab aquæ potu; ægrè vomentibus verò difficilius, adeo vt etiam digitorum, siue pinnularũ immissione venter ad vomitum irritatus, quibusdam nihil ampliùs effuderit. His igitur conabimur quamprimũ cibum boni succi, ac stomacho commodum exhibere, si res ita ferat à balneo; si non, ante balneum tantum cibi offeremus, vt ne lædantur inde postea lauantes. A cœna autem modicum absinthium in potu dabimus; atque ita & postridie faciemus; eoque modo in posterum diætam ipsis constituemus, donec valdè benè cõcoquentes ipsos videamus; atque tum sanè panis pauxillum eis præbebimus circa tertiam, aut quartam horam, aut paulo priùs, vel etiam seriùs, vt satis amplum spatium ad consuetam balnei horam intersit. Quicunque verò panem citra obsonium edere non possunt, iis oliuas, aut palmulas, aut vuas, aut tale quiddam addemus, per experientiam cognoscendo quid ex eis præstet, quum aliud alio melius sit iuxta naturæ proprietatem. Cæterùm ad vitiosorum in ventre humorum redundantiam, tum facultatis concoctricis debilitas, tum oris ventris infirmitas, plurimum conferunt. Quemadmodum etiam sensus exquisitus, & ad hæc caput ad eiusmodi humorum vapores suscipiendos aptũ, quemadmodum & in quibusdam oculi. Ego quidem igitur sæpe, & in multis expertus sum hanc quam narraui curandi viam, ad capitis ex stomacho dolorem commodam. Archigenes verò quum simpliciter ad omnem capitis dolorem citra febrem, cibi parcitatem auxiliarem scribat, palàm facit, se nihil de eo, qui ex bilioso humore oboritur, scire. Quòd sanè etiam amplius quis crediderit, qui postremam eius dictionem legerit, quæ hoc modo habet. *Archigenes.* In his verò, qui ex stomacho caput dolent, flatuoséque distenduntur, acetum, in quo papaueris capita incocta sint, affundito, aut spongias eo imbutas imponito; deinde polentam cum mentha, & aceto fronti pro cataplasmate imponito. Aut pulegium cum iisdem. Aut solani succum cum rosaceo illinito. Stomachum quidem os ventris appellat, quum & medici hanc partem ita appellare sint assueti, qui etiam stomachica animi deliquia appellant; & quosdam stomachicos esse dicunt, à quopiam videlicet in eo loco oborto affectu, ita appellantes, velut etiam hepaticos ab hepate, & colicos à colo, & nephriticos à renibus, & splenicos à splene affectos. Vnam autem ex stomacho affectionem dolorosam scripsit, quæ caput occupet, eorum quos ipse flatuosè distentos vocauit, quam ex vini largi potu magis oboriri scio.

Qui

Qui enim propter humores acres caput dolent, mordacem dolorem, non distendentem, percipiunt. Fames igitur in distensionibus commoda est, at non iis, qui mordaces humores in ore ventris habent. Quum itaque hic mordax humor fuerit amarus, pallida & flaua bilis appellatur, quæ ob naturalem leuitatem ad ventris os sursum fertur; quum verò pituitosus, aut acidus, aut salsus fuerit, magis in totius ventris spatio continetur, quàm quòd in ore ipsius firmetur. Optimum autem fuerit (quantum sanè nunc in his dicere licet) in fundo ventris ipsum contineri, facilè enim relicto ventre in intestinum delabitur; pessima autem fit affectio, vbi vitiosi humores in ventris tunicas ineluibiliter fuerint imbibiti; quorum optimum remedium est ex aloë medicamentum, quod aliqui picram, idest, amarum, aliqui hieram, idest, sacrum, ex aloë appellant; inque eius compositionem aloës drachmas centum coniiciunt, & sex vniuscuiusque reliquorum, quæ etiam sex numero existunt, cinnamomum, spica nardi, xylobalsamum, mastiche Chia, asarum, crocus. Præstantius autem fit medicamentum vbi minus de aloë additur. Visa namque mihi est, nimia eius copia centum drachmæ esse, ad proportionem reliquorum, quibus hæ adduntur, quapropter etiam per xc. drachmas ipsum composui, & per lxxx. Quin & per pauciorem aliquando crocum, propterea quòd quidam ex eius vsu capite lædantur, quod ipsum sæpe ex solo croci odore perpetimur. Quare optimam eius esse compositionem iudicans, quæ ex aloës drachmis xc. & croci drachmis v. constat, hac ego vtor. His verò, qui neque croci odorem citra molestiam ferunt, sed statim capite replentur, ex quatuor croci drachmis medicamentum compono. Cogor autem assiduè hoc medicamentum præparare, propterea quòd non solùm his, de quibus iam dixi, sed & suffusorum speciem patientibus, aut etiam alia symptomata ex stomachi affectione habentibus, id ipsum exhibeam, & præterea iis, qui aluo astricta laborant, & mulieribus, quæ non probè purgãtur. In quibus maiorem efficaciam habent, vbi aloës drachmę lxxx. & croci vj. fuerint commixtæ. Præstat autem, & carpesium pro asaro coniicere, quamquam etiam vtrisque coniectis aliquando composuerim. Datur ad summum ex medicamento hoc drach. vna, cum aquæ calidæ cyathis non pluribus, quàm tribus; minimum verò dimidium eius prębetur. Datur & intra hos modos, quantitate iuxta ætatem, corporis magnitudinẽ, consuetudinemque, permutata.

Quæ Archigenes consequenter ad primam dictionem scripsit, in quibus est etiam Galeni censura.

De iis quidem igitur, qui caput ex stomacho dolent hæc suffecerint. Transeundum itaque iam ad ea, quæ Archigenes post primam dictionem deinceps scripsit. Faciam autẽ iuxta singula ipsorum consimilem expensionem, qualem circa primam feci, cõnectendo ad ipsa, propter rerum consequentiam, etiam vltimam ipsius dictionem. Sed nunc à secunda initium faciam. Irrigationes autem, si quidem à frigore, aut hyeme patiantur, conueniunt, oleum tepidum, & illitio nárium, succus è baccis lauri expressus, aut oleum laurinum, aut vnguentum Syriacum, aut cicinum, aut styracinum, aut gleucinum, aut tale aliquod aliud calefactorium. Vt igitur à postremo exordiar, opinor ipsum resinam, quæ sua sponte emanat, dicere,

A οἱ δὲ διὰ χυμοὺς ἀλγοῦντες τὴν κεφαλὴν, δακνώδους ἀλγήματος οὐ διατείνοντος αἰσθάνονται. ἔνδεια μὲν οὖν τροφῆς χρήσιμος ἐπὶ τῶν διατάσεων, οὐ μὴν τοῖς γε δακνώδεις χυμοὺς ἔχουσιν ἐν τῷ στόματι τῆς κοιλίας. ὅταν μὲν οὖν ὁ δακνώδης χυμὸς οὕτως ᾖ πικρὸς, ὠχρά τε καὶ ξανθὴ καλεῖται χολὴ, φύσιν ἔχουσα διὰ κουφότητα πρὸς τὸ στόμα τῆς γαστρὸς ἀναφέρεσθαι. ὅταν δὲ φλεγματώδης, ἢ ὀξὺς, ἢ ἁλμυρὸς ᾖ, ἐν τῷ κύτει μᾶλλον ὅλης τῆς γαστρὸς, ἤπερ ἐν τῷ στόματι στηρίζεται. κάλλιστον δὲ, ὡς ἐν τοιούτοις ἐστὶν, ἐν τῷ πυθμένι τῆς κοιλίας αὐτὸν περιέχεσθαι. ῥᾳδίως γὰρ εἰς τὸ ἔντερον ἀφικνεῖται καταλιπὼν τὴν γαστέρα. B χειρίστη δὲ γίνεται διάθεσις ἐπὶ μοχθηροῖς χυμοῖς ἀναποθεῖσι δυσεκνίπτως εἰς τοὺς χιτῶνας τῆς γαστρὸς, ὧν ἄριστον βοήθημα, τὸ δι᾽ ἀλόης ἐστὶ φάρμακον, ὃ καλοῦσιν ἔνιοι μὲν πικρὰν, ἔνιοι δὲ αὐτὸ τὴν διὰ τῆς ἀλόης ἱεράν. καὶ βάλλουσιν ἑκατὸν μὲν τῆς ἀλόης δραχμὰς, ἓξ δὲ τῶν ἄλλων ἑκάστου, ὄντων καὶ αὐτῶν τῷ ἀριθμῷ ἕξ, κινναμώμου, ναρδοστάχυος, ξυλοβαλσάμου, μαστίχης Χίας, ἀσάρου, κρόκου. κάλλιον δὲ γίνεται τὸ φάρμακον, ἀλόης ἔλαττον λαβών. ἔδοξε γάρ μοι πολὺ τὸ πλῆθος αὐτῆς, ἑκατὸν εἰς δραχμὰς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν παραβαλλόμενον, C καὶ διὰ τοῦτο, καὶ δι᾽ ἐνενήκοντα δραχμῶν αὐτὸ συνέθηκα, καὶ δι᾽ ὀγδοήκοντα, καὶ μέντοι καὶ δι᾽ ἐλάττονος ἐνίοτε τοῦ κρόκου, διὰ τὸ τινὰς τῶν προσφερομένων αὐτὸ, πλήττεσθαι τὴν κεφαλὴν, ὅπερ καὶ διὰ τῆς ὀσμῆς μόνης τοῦ κρόκου πάσχομεν πολλάκις, ὥστε ἀρίστην αὐτοῦ σύνθεσιν, κρίνας τὴν διὰ τῶν ἐνενήκοντα δραχμῶν τῆς ἀλόης, καὶ τοῦ κρόκου πέντε ταύτῃ χρῶμαι. τοῖς δὲ μηδὲν τὴν ὀσμὴν ἀλύπως τοῦ κρόκου φέρουσιν, ἀλλ᾽ εὐθέως πληρουμένοις τὴν κεφαλὴν, συντίθημι τὸ φάρμακον, τέτταρας ἐμβαλὼν τοῦ κρόκου δραχμάς. συνεχῶς δ᾽ ἀναγκάζομαι σκευάζειν αὐτὸ, διὰ τὸ μὴ μόνοις οἷς διῆλθον, D ἀλλὰ καὶ τοῖς πάσχουσι τὰ τῶν ὑποχεομένων φαντάσματα, ἢ συμπτώματα διὰ πάθος στομάχου διδόναι. καὶ πρὸς τούτοις γε τοῖς ἐπεχομένοις τὴν γαστέρα, καὶ γυναιξὶ μὴ καθαιρομέναις καλῶς, ἐφ᾽ ὧν ἐνεργεῖ κάλλιον, ὅταν ὀγδοήκοντα μὲν ἀλόης δραχμὰς, ἓξ δὲ τοῦ κρόκου λάβῃ, καὶ κάλλιον δέ ἐστι τοῦ καρπησίου λαβεῖν ἀντὶ τοῦ ἀσάρου, συνέθηκα δὲ αὐτό ποτε, καὶ ἀμφοῖν ἐμβαλών. ἔστι δὲ ἡ μὲν τελεία δόσις τοῦ φαρμάκου δραχμὴν μίαν, μεθ᾽ ὕδατος κυάθων, οὐ πλέονος τριῶν. ἡ δὲ ἐλλιπεστάτη, κατὰ τὸ ἥμισυ. μεταξὺ δὲ ἀμφοῖν αἱ ἄλλαι, καθ᾽ ἡλικίαν, καὶ μέγεθος σώματος, καὶ ἔθος ὑπαλλαττομένης E τῆς ποσότητος.

Ἀρχιγένους τὰ ἐφεξῆς τῇ πρώτῃ ῥήσει γραφέντα, ἐν οἷς καὶ Γαληνοῦ διορισμός.

Περὶ μὲν οὖν τῶν ἀπὸ στομάχου κεφαλαλγούντων ἱκανὰ ταῦτα. καιρὸς δὲ μεταβαίνειν ἤδη πρὸς τὰς ὑπὸ τοῦ Ἀρχιγένους γεγραμμένας ῥήσεις ἐφεξῆς τῇ πρώτῃ. ποιήσομαι δὲ καθ᾽ ἑκάστην αὐτῶν ὁμοίαν ἐξέτασιν ᾗ κατὰ τὴν πρώτην ἔπραξα, συνάψας αὐτῇ διὰ τῶν πραγμάτων ἀκολουθίαν, καὶ τὴν ὑστάτην. ἀλλὰ νῦν γε ἀπὸ τῆς δευτέρας ἄρξομαι. F ἐμβρέγματα δὲ ἐὰν μὲν ἀπὸ χειμῶνος, ἢ ἀπὸ περιψύξεως πάσχωσιν, ἔλαιον χλιαρὸν, καὶ διάχρισμα ῥινῶν, δαφνίδων ἐκπίεσμα, ἢ δάφνινον ἔλαιον, ἢ συριακὸν μύρον, ἢ κίκινον, ἢ στυράκινον, ἢ γλεύκινον, ἢ ἄλλο τι τοιοῦτον θερμαντικόν. ἵνα δὴ ἀπὸ τοῦ τελευταίου τὴν ἀρχὴν ποιήσωμαι, λέγειν αὐτὸν ἡγοῦμαι, τήν τε καλουμένην αὐτόρρυτον ῥητίνην,

ἐν Λακεδαίμονι πλείστη γιγνομένη, καὶ τὸ καπνέλαιον ἐν Κιλικίᾳ, τό τε ἀμαράκινον, καὶ τὸ συράκινον ἐν Κυζίκῳ, τό τε ἐν Πέργῃ σκευαζόμενον ἴρινον, ἄξιοι διαχρίειν τοῖς τοιούτοις μύροις τὰς ῥῖνας, ὡς διὰ τῆς ὀσμῆς αὐτῶν θερμαινομένης τῆς κεφαλῆς. καὶ γὰρ καὶ φαίνεται σαφῶς τοῦτο γινόμενον, ὡς καὶ τοὺς ἰδιώτας αὐτοῖς χρῆσθαι, καὶ μάλιστα τοῖς εὐπορίστοις. εὐπόριστα δέ ἐστιν ἄλλοις ἄλλα, τὰ παρ' ἑκάστοις πλεονάζοντα, καὶ παρ' ἡμῖν γε κατὰ τὴν Ἀσίαν, ἔθος ἐστὶ τοῖς ἀγροίκοις τῷ καλουμένῳ κεδρίνῳ χρῆσθαι, κἂν ἀπορῶσι δέ ποτε αὐτοῦ, πισσελαίῳ. καλοῦσι δὲ οὕτω τὸ συγκείμενον ἐξ ἐλαίου τε, καὶ πίττης ὑγρᾶς. μιγνύουσι δὲ καὶ τούτῳ, καὶ τῷ κεδρίνῳ, τὸ ἔλαιον, οἱ μὲν πλέον, οἱ δὲ ἔλαττον, εἰς ὅσον ἂν ἐκλῦσαι τὸ σφοδρὸν τῆς δυνάμεως αὐτῶν βουληθῶσιν. ἅπασι δ' οἷς εἶπον εἰώθασι, κατὰ τῆς κεφαλῆς χρῆσθαι, καὶ μάλιστα, ὡς εἴρηται, κατὰ τὸ βρέγμα. διαχρίουσι δὲ καὶ τὸ μέτωπον αὐτοῖς, καὶ τῶν ὤτων τοὺς πόρους. ἔνιοι δὲ καὶ τὰ τῶν ποδῶν ἴχνη, καὶ τὴν ἕδραν. ὅταν δὲ ὁ Ἀρχιγένης εἴπῃ δαφνίδων ἐκπίεσμα, τὸ καλούμενον ἁπλῶς δάφνινον, ἡγητέον οὕτως ὀνομάζειν αὐτόν, ὡς τό τε προσλαβὸν ἐλαίου, δάφνινον ἔλαιον ὀνομάζεται. συριακὸν δὲ μύρον ἡγοῦμαι λέγειν αὐτόν, τὸ κομμαγηνόν, ἐπεὶ κομίζουσιν ἐκ Συρίας ἡμῖν αὐτό. Ἀρχιγένους. θέρους δέ, ἢ καυσωδῶς διατεινομένων δι' ὄξους, καὶ ἐλαίου, ἢ ὕδατος, καὶ ῥοδίνου, ἔτι δὲ χυλοῦ πολυγόνου, ἢ ἀνδράχνης, ἢ στρύχνου, ἢ τινος τῶν ψυχόντων, σπόγγοις τε ἐξ ὀξυκράτους τίθει τῇ κεφαλῇ. ἐν τούτῳ τῷ λόγῳ, δόξει μὲν ἴσως τισὶν ἀμελέστερον ἀναγινώσκουσιν, μίαν ἁπλῆν θεραπεύειν διάθεσιν ὁ Ἀρχιγένης. ἔχει δὲ οὐχ οὕτως. ἐκ μὲν τοῦ φάναι, καυσωδῶς, τὴν θερμὴν ἐνδείκνυται διάθεσιν, ἐκ δὲ τοῦ, διατεινομένων, τὴν ὑπὸ πνεύματος φυσώδους τοῦτο πάσχουσαν, ὡς μὴ μόνον ἠλλοιῶσθαι κατὰ τὴν δυσκρασίαν. ἀλλὰ πλεονεξίαν ὑπάρχειν ἀτμώδους πνεύματος. ἐν ἀρχῇ μὲν οὖν ἐπὶ τῶν τοιούτων διαθέσεων ἀμφοτέρων, ἡ τῶν ψυχόντων βοηθημάτων δύναμίς ἐστιν ἐπιτήδειος, ἐμψύχουσα μὲν τὴν κατὰ θερμότητα δυσκρασίαν. ἀνακρουομένη δέ, καὶ ἀναστέλλουσα τὴν ἀναφορὰν τοῦ φυσώδους πνεύματος. ἄμεινον δ' ἂν εἴη κατὰ τὴν ἐμὴν δόξαν, ἀκριβέστερον ἐκζητῆσαι. ποτὲ μὲν ἐκ τοῦ σώματος ἀναφέρεται τὸ φυσῶδες πνεῦμα, καθάπερ ἐπὶ τῶν ἀπὸ τοῦ στομάχου κεφαλαλγιῶν ἐλέχθη. ποτὲ δὲ ἐν τῇ κεφαλῇ γεννᾶται· καὶ γὰρ ἡ γαστὴρ ἐκφυσᾶται ἐνίοτε δυσλύτως. ἐνίοτε δὲ καὶ τῶν μετ' αὐτὴν ἐντέρων, ποτὲ μὲν ἡ νῆστις, ἢ τὸ λεπτὸν ἔντερον, ἔστι δ' ὅτε τὸ κῶλον. οὐδὲν οὖν θαυμαστόν, οὐδὲ ἀδύνατόν ἐστι τὴν αὐτὴν διάθεσιν ἔν τισι τῶν κατὰ τὴν κεφαλὴν μορίων γινομένην, τὸ φυσῶδες πνεῦμα γεννᾶν, οὗ τῆς γενέσεως ἐν τοῖς κατὰ τὴν γαστέρα τόποις τὴν αἰτίαν εὕρομεν, ἔνδειαν θερμασίας τοσαύτης, ὡς γεννᾶν ἐκ τῶν σιτίων τε καὶ ποτῶν, ἀτμῶδές τε καὶ φυσῶδες πνεῦμα. δι' ἀρρωστίαν δὲ τῆς περισταλτικῆς δυνάμεως, ἐκφυσᾶσθαί τε καὶ πληροῦσθαι τὴν ἐντὸς εὐρυχωρίαν τῶν οὕτω παθόντων μορίων, ὥστε διατείνεσθαι μὲν διὰ τὴν πλήρωσιν, ὀδυνᾶσθαι δὲ διὰ τὴν τάσιν. εὕρηται γὰρ οὖν καὶ τοῦθ' ἡμῖν, ἐν οἷς περὶ τῶν ἀλγημάτων τὰς κοινὰς, καὶ γενικὰς ἐσκοποῦμεν, ὡς ἐν τῷ διαλύεσθαι τὸ συνεχὲς τῶν ὁμοιομερῶν σωμάτων ἡ ὀδύνη γίνοιτο. διαλύει δ' αὐτὴν τὰ διαβιβρώσκοντα, καὶ τὰ τέμνοντα, καὶ τὰ διατείνοντα, καὶ τὰ σφοδρῶς θερμαίνοντα, καὶ ψύχοντα. διὸ καὶ ἐπὶ τῶν κατὰ τὴν κεφαλὴν ἀλγημάτων εἴωθα πυνθάνεσθαι τῶν πασχόντων, ὁποία τίς ἐστιν ἡ ποιότης αὐτῶν.

A quæ plurima in Lacedæmone prouenit; & Capnelæon, Ciliciæ; & Amaracinum, ac Styracinum in Cyzico, & quod in Perga apparatur Irinum. His verò vnguentis nares oblinere operæpretium ducit, quo per odorem ipsorum caput calefiat; quod ipsum inde euenire manifestè apparet adeo, vt & idiotæ vulgò his vtantur, & maximè eis, quæ facilè parari possunt. Parabilia autem sunt aliis alia, quæ videlicet apud singulos redundant. Et apud nos sanè in Asia agrestibus & ruri degentibus hominibus cedrino appellato vti mos est; & si quando eius inopia fit, pissæleo, quo nomine id appellant, quod ex oleo, & liquida pice constat. Admiscent B autem tum huic, tum cedrino, oleum aliqui plus, aliqui minus, in quantum virium ipsorum vehementiam exoluere velint. Vtuntur autem omnibus, quæ dixi, & circa caput, & præsertim circa sinciput, veluti dixi. Illinunt & frontem ex eis, & aurium meatus; quidam etiam vestigia pedum, ac sedem. Cæterùm quum Archigenes succum è baccis lauri expressum dicit, quod simpliciter laurinũ dicitur, ipsum nominare putandum est; velut id, quod oleum admixtum habet, laurinũ oleum appellatur. Syriacum verò vnguentum, eum dicere Comagenum existimo, quandoquidem id ipsum C nobis ex Syria asportatur. *Archigenis.* Æstate verò, aut vbi aliàs æstuosè distenduntur, per acetum, & oleum, aut aquam, & rosaceum. Ampliùs verò, & per polygoni succum, aut portulacæ, aut solani, aut aliquo alio ex refrigerantibus irrigato, spongiasq; posca imbutas capiti imponito. In hoc sanè sermone videbitur forte quibusdam negligentiùs legentibus, vnum simplicem affectum Archigenes curare; verũ non ita habet. Ex eo enim quòd *æstuosè* dicit, calidum affectum indicat; ex eo verò, quod addit, *distenduntur* affectionem, quæ hoc modò à flatu ventoso affligitur, ostendit; vt non solùm secundum intemperiem mutata sit, sed etiam vaporosi flatus redundantia adsit. D In principio itaque in eiusmodi vtrisque affectibus, refrigerantium auxiliorum facultas apta est, quæ intemperiem calidam refrigeret, & flatulenti spiritus prouentum repellat, & retundat. Atque mea quidem opinione præstiterit diligentiorem rei inquisitionem facere. Aliquando etenim ex corpore flatulentus spiritus affertur, quemadmodum in doloribus capitis ex stomacho relatum est; aliquando verò in ipso capite generatur. Venter namque interdum ægrè solubili modo inflatur; interdum verò etiam post ipsum sita intestina, quandoque quidem ieiunum, E aut tenue intestinum, quandoque etiam colum. Nihil igitur mirum est, neque impossibile, eundem affectum in quibusdam iuxta caput partibus obortum, flatulentum spiritum generare; cuius generationis in locis circa ventrem causam inuenimus, tanti caloris inopiam, vt ex cibis, ac potibus vaporosum, & flatulentum spiritum generet; propter infirmitatem verò comprehensiuæ facultatis, interna ita affectarum partium capacitas infletur, & expleatur, vt propter expletionem quidẽ distendatur, propter tensionem verò dolore afficiatur. Inuentũ equidẽ & hoc nobis in cõmentariis est, in quibus communes, & generales dolorũ F causas cõsiderabamus, quod ob dissolutionẽ continuitatis similariũ partium, dolor oboriatur. Dissoluunt autem ipsam erodentia, incidentia, distendẽtia, & vehementer calefacientia, ac refrigerantia. Quapropter in doloribus circa caput, ægros interrogare consueui, qualisnã eorum qualitas sit.

Quidã enim velut erodantur corpora, doloris sensum perceptant; quidã verò velut distendãtur, aut grauentur, aut tundantur, aut solius vehemẽter inualescentis caliditatis, aut frigiditatis. Siquidem enim velut erodantur, aut pungãtur, senserint, vel humorum, vel eiusmodi flatus acrimonia causa putanda est; si verò citra morsum distendãtur, repletionẽ distensarum partium, vel per flatulentũ spiritum, vel per multi humoris influxũ causam putabimus; in quo genere, & inflammatio, & erysipelas existit; inflammatio quidẽ, vbi inflammata corporis pars multũ sanguinem in se continuerit; erysipelas verò, vbi biliosum cõtinuerit humorẽ; quod si ex vtrisq; redundantibus pars aliqua expleatur, aut inflãmatio erysipelacea, aut erysipelas inflammatum oborietur. Et ne existimet quis longũ nos sermonem de vna parte iuxta vnũ symptoma affecta facere; cõmunis enim omnium dolore affectarum ratio est; & si quis diligenter in articulos digesserit, promptior, ac expeditior ad auxiliorum inuentionem in omni affecta parte fuerit. Quod enim artis cõiecturale est, id maximè in affectuum cognitione consistit. Quæ vbi inuentæ fuerint, curationem non coniecturaliter, sed scientificè indicant, cum hoc quòd & agnoscere datur, quàm ægrè aliqui affectus medelis cedant; in quibus rationabiliter iuxta indicationẽ remediis vtimur, etiam si nihil efficere in principio appareant. Atque hoc est, quod in Aphorismo dictum est, in quo ait, *Omnia secundum rationem facienti, si iuxta rationem non succedat, ad alia transeundum non est, manente eo, quod visum est à principio.* Aliquando enim adeo vehementer in angustis meatibus flatus vapidus infarcitur, atque eo adhuc magis lentus, aut crassus humor, vt multo tempore opus sit ad curationem. Etenim quæ sic infarcta sunt, attenuare oportet, meatusque dilatare, per quos excernantur, habita simul prouidentia ne quid aliud, puta humor, aut eiusmodi flatus amplius influat; & ad hæc, corroborandum est affectum membrum, vt neque ipsum flatulentum spiritum gignat. Qui igitur primi ad eiusmodi affectiones medicamenta composuerunt, meritò varia materia opus habuerunt. Siquidem influentem substantiam, siue humor, siue vapor fuerit, repellere necessarium existit; impactam verò concoquere, & attenuare, eandemque ipsam discutere; atque nihilominus, imò magis, circa affectam partem firmitatem inducere, ne videlicet quod influit, suscipiat, attenuatum verò excernat, impactumque concoquat, & attenuet. Verùm in mixtione medicamentorum hac facultate præditorum, alius alio fœliciore cõiectura vsus, alius minus, alius magis, commodam fecit cõpositionem. Quapropter velut nostis (ad vos enim sodales loquar, quibus maximè hęc scribuntur) duo omninò vidistis mihi præparata medicamenta eundem effectum promittentia, quãdoque etiam tria & quatuor, & ex horum mixtura in ægrè curabilibus affectibus à me sæpe, quod oportuit, factũ esse. Cõsidero namque in quonam eorum copia, simplex medicamentum calefaciens superet, aut frigefaciens, velut etiam resiccans, aut humectans, aut tenuium partium, aut crassarum; deinde contemplans quid effecerit, quod ægro iam fuit admotum, secundũ vsum, aut per aliud quoddã, aut per hoc ipsum facio; sæpe quidem ad aliud, quod idem promittit, transeo; aliquando verò vtraq; committo, ac medium quiddam ex eis conficio. Talia autem omnia abundè à me non vniuersim tantum,

A ἔνιοι μὲν γὰρ, ὡς διαβιβρωσκομένων τῶν σωμάτων, αἰσθάνεσθαί φασι τῆς ὀδύνης. ἔνιοι δὲ, ὡς διατεινομένων, ἢ βαρυνομένων, ἢ θλωμένων, ἢ μόνης ἐπικρατούσης σφοδρᾶς θερμότητος, ἢ ψύξεως. εἰ μὲν γὰρ, ὡς διαβιβρωσκομένων, καὶ κεντουμένων, ἤτοι διὰ δριμύτητα χυμῶν, ἢ τοιούτου πνεύματος αἰτιατέον. εἰ δὲ διατείνοιντο χωρὶς τοῦ δάκνεσθαι, πλήρωσιν τῶν διατεινομένων μορίων, ἤτοι διὰ πνεῦμα φυσῶδες, ἢ χυμὸν ἐπιρρυέντα πολὺν, ἐν ᾧ γένει καὶ φλεγμονὴ, καὶ τὸ ἐρυσίπελάς ἐστιν. ἡ μὲν φλεγμονὴ, θερμὸν αἷμα πολὺ τοῦ φλεγμαίνοντος σώματος ἐν αὐτῷ περιέχοντος, τὸ δὲ ἐρυσί-
B πελας, χολώδη χυμόν. εἰ δὲ ἐξ ἀμφοῖν πλεονεκτούντων πληρωθείη τι μόριον, ἤτοι τὴν ἐρυσιπελατώδη φλεγμονὴν, ἢ τὸ φλεγμονῶδες ἐρυσίπελας γίνεσθαι. καὶ μή τις δοκείτω μακρὸν ἡμᾶς λόγον ἐφ᾽ ἑνὶ μορίῳ καθ᾽ ἓν σύμπτωμα πάσχοντι, ποιεῖσθαι. κοινὸς γὰρ ἁπάντων τῶν ὀδυνωμένων ὁ λόγος ἐστὶν, καὶ διαρθρώσας τις αὐτὸν ἀκριβῶς, εὐπορώτερος εἰς τὴν τῶν ἰαμάτων εὕρεσιν ἐπὶ παντὸς μορίου πάσχοντος ἔσται. τὸ γάρ τοι τῆς τέχνης στοχαστικὸν, ἐν τῷ τῶν διαθέσεων διαγνωστικῷ μάλιστά ἐστιν. εὑρισκόμεναι γὰρ αὗται τὴν θεραπείαν οὐ στοχαστικῶς, ἀλλ᾽ ἐπιστημονικῶς ἐνδείκνυνται, μετὰ τοῦ καὶ γινώσκεσθαι
C τὸ δύσλυτον ἐνίων διαθέσεων, ἐφ᾽ ὧν εὔλογον χρῆσθαι τοῖς κατὰ τὴν ἔνδειξιν, εἰ καὶ μηδὲν ἀνύειν φαίνοιτο κατὰ τὰς ἀρχάς. καὶ τοῦτ᾽ ἐστὶ τὸ κατὰ τὸν ἀφορισμὸν εἰρημένον, ἐν ᾧ φησι. πάντα κατὰ λόγον ποιέοντι, μὴ γινομένων δὲ τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ᾽ ἕτερα, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς. ἔσθ᾽ ὅτε γὰρ οὕτω σφοδρῶς ἐν τοῖς στενοῖς πόροις σφηνοῦται τὸ ἀτμῶδες πνεῦμα, καὶ πολὺ μᾶλλον αὐτοῦ ὁ γλίσχρος χυμὸς, ἢ παχὺς, ὡς χρόνου δεῖσθαι πλείονος εἰς τὴν ἴασιν. λεπτῦναί τε γὰρ τὰ οὕτως ἐσφηνωμένα, καὶ τοὺς πόρους εὐρῦναι χρὴ, δι᾽ ὧν ἐκκριθήσεται, μετὰ τοῦ προνοεῖσθαι μηκέτι
D ἐπιρρεῖν ἕτερον, ἤτοι χυμὸν, ἢ πνεῦμα τοιοῦτον, καὶ πρὸς τούτοις τονῶσαι τὸ πεπονθὸς, ὡς μηδὲ αὐτὸ τὴν τοῦ φυσώδους πνεύματος ἐργάσασθαι γένεσιν. οἱ μὲν οὖν πρῶτοι συνθέντες οἰκεῖα ταῖς τοιαύταις διαθέσεσι φάρμακα, ποικίλης ἐδεήθησαν ὕλης εἰκότως· εἴ γε ἀποκρούεσθαι τὴν ἐπιρρέουσαν οὐσίαν, εἴτε ἐν χυμοῖς, εἴτε ἐν ἀτμοῖς εἴη, τῶν ἀναγκαίων ἐστὶ πέττειν τε καὶ λεπτύνειν τὴν ἐσφηνωμένην, διαφορεῖν τε ταύτην αὐτὴν, καὶ τούτων ἁπάντων οὐδενὸς ἧττον, ἀλλ᾽ ἔτι καὶ μᾶλλον εὐτονίαν ἐργάζεσθαι περὶ τὸ πεπονθὸς μόριον, ὡς μὴ παραδέχοιτο μὲν τὸ ἐπιρρέον, ἀποκρίνοι δὲ τὸ λεπτυνθὲν,
E πέττοι δὲ καὶ λεπτύνοι τὸ ἐσφηνωμένον. ἀλλ᾽ ἐν τῇ μίξει τῶν ταῦτα δυναμένων ἐργάζεσθαι φαρμάκων, ἄλλος ἄλλου στοχαστικώτερος γενόμενος, ὁ μὲν ἧττον ὠφελοῦσαν, ὁ δὲ μᾶλλον εἰργάσατο τὴν σύνθεσιν. ὅθεν ὡς ἴστε, πρὸς γὰρ ὑμᾶς ἐρῶ τοὺς ἑταίρους, οἷς μάλιστα γράφεται ταῦτα, δύο πάντως ὁρᾶτέ μοι παρεσκευασμένα φάρμακα, τῶν τὴν αὐτὴν ἐπαγγελίαν ἐχόντων. ἔσθ᾽ ὅτε καὶ τρία, καὶ τέτταρα, κἀκ τῆς τούτων μίξεως πολλάκις ἐργαζόμενόν με τὸ δέον, ἐπὶ τῶν δυσιάτων διαθέσεων. ἐπισκεπτόμενος γὰρ, αὐτῶν ἐν τίνι μὲν πλέον ἐστὶ τὸ θερμαῖνον ἁπλοῦν φάρμακον. ἐν τίνι δὲ τὸ ψῦχον, ὥσπερ καὶ
F τὸ ξηραῖνον, ἢ ὑγραῖνον, ἢ λεπτομερὲς, ἢ παχυμερὲς, εἶθ᾽ ὁρῶν ὅπως ἐνήργησε τὸ προσενεχθὲν τῷ πάσχοντι, τὴν δευτέραν χρῆσιν, ἤτοι δι᾽ ἄλλου τινὸς, ἢ δι᾽ αὐτοῦ τούτου ποιοῦμαι. πολλάκις μὲν ἐφ᾽ ἕτερόν τι τῶν τὴν αὐτὴν ἐπαγγελίαν ἐχόντων ἀφικνούμενος, ἐνίοτε δὲ μιγνὺς ἀμφότερα, κἀξ αὐτῶν ἐργαζόμενός τι μέσον. εἴρηται δὲ ἐπὶ πλέον, οὐ καθόλου μόνον,

ἀλλὰ καὶ κατὰ μέρος, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμ- **A** μασιν, ἅπαντα τὰ τοιαῦτα. καὶ χρὴ γινώσκειν, ὅπερ ἤδη καὶ πρόσθεν εἶπον, ἐκείνῃ ταύτην ἑπομένην. ὅμως δὲ ἀναγκαζόμενος, καὶ νῦν ἀναμιμνήσκειν αὐτῆς. ἕνεκα τοῦ μᾶλλον ὑμᾶς ἀκολουθῆσαι τοῖς ἐνταῦθα λεγομένοις. ἐπὶ γοῦν τῆς προκειμένης διαθέσεως, ὀδυνώδους ἐπικρατούσης θερμότητος, ἅμα φυσώδει πνεύματι, κατ' ἀρχὰς μὲν ἀποκρουστικῇ θεραπείᾳ χρηστέον, ἐκ τῆς τῶν ψυχόντων δυνάμεως γινομένῃ. συμμέτρως δὲ τούτου πραχθέντος, ἐκ τῶν παρηγορικῶν τε καὶ πεπτικῶν μιγνύναι χρὴ τοῖς ἀποκρουστικοῖς, εἶτα καὶ τῶν διαφορητικῶν τι προσθετέον, ἀφαιροῦντα κατὰ βραχὺ τῶν **B** ἀποκρουστικῶν φαρμάκων, ἄχρις ἂν εἰς τὴν ἐναντίαν μίξιν ἀφίκηται τὸ φάρμακον ἣν ἐξ ἀρχῆς ἔσχε, τουτέστιν ἵνα πλεῖστον μὲν ᾖ τὸ λεπτυντικόν τε καὶ διαφορητικόν, ἔλαττον δὲ τὸ πεπτικόν τε καὶ παρηγορικόν, ἐλάχιστον δὲ τὸ ἀποκρουστικόν. ἀνδράχνην μὲν οὖν ἐμάθετε ψυκτικῆς καὶ ὑδατώδους οὖσαν οὐσίας, ἧττον δὲ αὐτῆς τὸ πολύγονον. ἐπὶ δὲ τοῦ στρύχνου τοσοῦτον μεμῖχθαι παχυμεροῦς τε καὶ γεώδους, ὅσον καὶ τῆς στύψεως. τὸ δὲ ὄξος ἀποκρουστικήν τε ἅμα καὶ λεπτυντικήν, ἀλλὰ καὶ διαφορητικὴν ἔχει δύναμιν, ὡς ἂν ἐπικρατούμενον ἐν τῇ κράσει λεπτομερεῖ ψυχρότητι, καθάπερ ὁ ἀκριβῶς αἴθριος **C** ἀὴρ βόρειος. ἐμάθετε δὲ καὶ τὴν τοῦ ῥοδίνου δύναμιν, ὡς ἔχει μέν τι καὶ ἀποκρουστικόν. ἔχει δὲ καὶ πεπτικόν, καὶ παρηγορικόν, ἔτι δὲ πρὸς τούτοις καὶ διαφορητικόν. εἰκότως οὖν ὁ Ἀρχιγένης, ἐν ἀρχῇ τῆς εἰρημένης διαθέσεως, τοῖς τοιούτοις χρῆται φαρμάκοις, αὐτὸ μὲν καθ' ἑαυτὸ μόνον ὄξος, οὔτ' ἄλλοθι προσφέρων, οὔτε ἐνταῦθα, διὰ τὸ σφοδρὸν τῆς δυνάμεως, μιγνὺς δὲ ἤτοι ῥόδινον, ἢ ὕδωρ αὐτῷ. μεταβῶμεν οὖν ἤδη πρὸς τὰς ἐφεξῆς τοῦ Ἀρχιγένους ῥήσεις. ἐὰν δὲ ἐπιτείνοιτο, τελεία τροφῆς ἀποχὴ ἁρμόδιος, εἶτα φλεβοτομία ἀπ' ἀγκῶνος, κένωσίς τε τῆς κοιλίας, διὰ κλυστῆρος εὐτόνου. περὶ τούτων τῶν **D** βοηθημάτων, εἴρηταί μοι πρότερον, ἡνίκα τὰς Ἀπολλωνίου ῥήσεις ἐσκοπούμην. ἀσιτίαν μὲν ἐπὶ τοῖς χολώδεσιν αἰτίοις, ἀπαγορεύοντός μου, φλεβοτομίαν δὲ ἐπὶ παίδων, καὶ γερόντων, καὶ δυνάμεως ἀσθενοῦς. ἐπαινοῦντος δὲ τὴν διὰ κλυστῆρος κένωσιν, οὐ μόνον τῆς κενώσεως ἕνεκα τῶν περιεχομένων ἐν τοῖς ἐντέροις, ἀλλὰ καὶ τῆς ἀντισπάσεως, τῶν ἐπὶ τὴν κεφαλὴν ἀναφερομένων, καὶ διὰ τοῦτο καλῶς ἐν οἷς ἔγραψε περὶ αὐτῆς ὁ Ἀρχιγένης, οὐχ ἁπλῶς εἶπεν κένωσίς τε κοιλίας διὰ κλυστῆρος, ἀλλὰ προσέθηκεν, εὐτόνου. πολὺ γὰρ ἐν τῷ τοιούτῳ κλυστῆρι τὸ τῆς ἀντισπάσεώς ἐστι, πρὸς τῷ μὴ μόνα τὰ κατὰ **E** τὴν γαστέρα, καὶ τὸ μεσεραῖον ἐκκενοῦν, ἀλλὰ καὶ τὰ σιμὰ τοῦ ἥπατος. Ἀρχιγένους. ἐμβρέγματα δέ, πήγανον μετ' ὄξους καὶ ἐλαίου λεαινόμενον. ἀναμνησθέντες ἧς ὑπετέθετο διαθέσεως βοηθήματα γράφειν, οὕτω κρίνομεν ἕκαστον ὧν καταλέγειν ἤρξατο. τὴν μὲν οὖν διάθεσιν αὐτὸς οὕτως ἔγραψεν, θέρους δέ, ἢ καυσωδῶς διατεινομένων. ἐφεξῆς δὲ ψυκτικῆς δυνάμεως ὑπέταξε βοηθήματα, καὶ μετὰ ταῦτα ἔφη. ἐὰν δὲ ἐπιτείνηται, τελεία τροφῆς ἀποχή, καὶ φλεβοτομία, καὶ κλυστὴρ εὔτονος προσφερέσθω. καὶ τούτων ἐφεξῆς, τὴν κατὰ τὴν προκειμένην ἔγραψε ῥῆσιν, ἐν ᾗ μετ' ὄξους, καὶ ἐλαίου λεανθὲν τὸ πήγανον, **F** προσφέρειν ἐκέλευσεν, οὐ προσθεὶς πότερον χλωρόν, ἢ ξηρόν. ἔστι γὰρ οὐ μικρὰ διαφορά, παμπόλλῳ δριμυτέρου τε καὶ θερμοτέρου τοῦ ξηροῦ, παρὰ τὸ χλωρὸν ὑπάρχοντος. ἐμοὶ μὲν δὴ δοκεῖ τὸ χλωρὸν συμβουλεύειν· οὐ γὰρ ἂν ἀθρόως ἀπὸ τῶν ψυχόντων ἐπὶ τἀναντία μετέβη. τὸ δ' ὄξος, ὅτι πρὸς τῷ

sed & particulatim, in medendi methodo relata sunt; nosseque oportet, quod & iam ante dixi, hanc tractationem illam sequi; & cogor tamen etiam nunc rursus meminisse, quo magis ea quæ istic tradidi, assequamini. In prædicto itaque affectu, calore doloroso prædominante vnà cum flatu ventoso, in principio quidem repulsoria curatione vtendum est, quæ ex refrigerantium facultate constat; quod vbi moderatè factum est, ex mitigatoriis, ac concoctoriis medicamentis quippiam admiscere ad repulsoria oportet. Deinde etiam discussoria addenda, ita vt paulatim repulsoria medicamenta detrahamus, donec ad contrariam mixtionem perueniat medicamentum ei, quàm à principio habuit, hoc est, vt plurimum quidem discussorium sit, & attenuatorium, minus verò concoctorium, & mitigatorium, minimum autem repulsorium. Portulacam quidem igitur refrigerantis, & aquosæ substantiæ esse didicistis; minus eâ polygonum; in solano autem tantum admixtum esse crassæ, & terreæ, quantum astrictionis. Acetum verò repulsoriam simul, & attenuatoriam, & discussoriam habet facultatem, tanquam quod temperamento, tenui frigiditate præpolleat, quemadmodum exactè serenus aquilonaris aër. Didicistis etiam rosacei facultatem, quòd videlicet, & repulsorium quiddam habeat; habet autem, & concoctorium, & mitigatorium, & ad hæc etiam discussorium. Meritò igitur Archigenes in prædicto affectu eiusmodi medicamentis vtitur, ipsum quidem per se solum acetum, neque alibi exhibens, neque hîc, ob facultatis ipsius vehementiam; admiscet autem ei, vel rosaceum, vel aquam. Transeamus autem iam ad sequentem Archigenis dictionem. *Si verò augescat affectus, perfecta cibi abstinentia congrua est. Deinde venæ sectio è cubito, & alui euacuatio per validum clysterem.* De his auxiliis dictum à me prius est, quando Apollonij dicta considerabam. Vbi sanè in biliosis causis fami renunciaui, velut etiam venæ sectionem in pueris, & senibus, ac viribus debilitatis fieri prohibui; laudaui autem euacuationem per clysterem, non solùm propter euacuationem eorum, quæ in intestinis continentur, sed etiam ob reuulsionem eorum, quæ ad caput feruntur. Atque ob id probè in his, quæ scripsit Archigenes non simpliciter dixit, Euacuatio alui per clysterem, sed addidit validum; multum enim in huiusmodi clystere situm est, quantum ad reuulsionem attinet, vltra hoc, quòd non solùm ea, quæ circa ventrem, & mesaræum sunt, euacuat, sed etiam, quæ circa hepatis sima hærent. *Archigenis.* Irrigationes autem, ruta cum aceto, & oleo trita. Memores affectus ad quem auxilia scribere proposuit, sic iudicamus vnumquodque eorum, quæ recensere cœpit. Affectum itaque sic scripsit: æstatè verò, aut vbi aliàs æstuosè distenduntur. Deinceps verò refrigerantis facultatis auxilia subiecit. Et postea inquit; *Si verò augescat affectus, perfecta cibi abstinentia, & venæ sectio, & clyster validus adhibeatur.* Et post hæc propositam conscripsit dictionem, in qua cum aceto, & oleo tritam rutam adhibere iussit, non apponens an viridem an aridam velit; est enim non parua differentia, quum arida multo acrior, & calidior, quàm viridis existat. Mihi sanè viridem consulere videtur, neque enim aceruatim, subitóve à refrigerantibus ad contraria transgressus est. Acetum verò ad hoc, quòd refrigerat,

refrigerat, & repellit, discussorium quid habere antea dictum est. Mitigatoriæ autem, & laxatoriæ facultatis existens oleum meritò ipsis admiscuit. *Alia*. Succus è lauri baccis expressus cum aceto, & ruta. Hæc priore longè efficacior existit; ad succum namque è lauri baccis expressum fortiter calefacientem, rutam admiscuit cum aceto, relicto oleo. *Alia*. Succus radicum iridis cum aceto. Hoc remedium nihil calefactorium habet, melius itaque fuerat ipsum primum in transitu ad præclariora auxilia positum esse. *Alia*. Salicis folia trita cum aqua. Hoc præscripto ex iride imbecillius est, atq; iis quæ omnium primum scripta sunt simile, vt intempestiuè nunc ab eo sit relatum. *Alia*. Serpyllum cum aceto, & oleo tritum. De aceto, & oleo prius dictum est; adiecit autem nunc eis serpyllum acris qualitatis medicamentum, & ob id etiam calefactoriæ facultatis. Negligenter verò etiam hic reliquit, an viride, aut aridum velit; præstiterit autem fortassis viride intelligere. *Alia*. Polygonum cum ruta, oleo, & aceto dilutū. Polygoni succo primo sermone, vt refrigerante vsus est, nam & re vera talis existit. Quare etiam ad inueteratos dolores iuxta primum transitum rationabiliter quis eo vtetur, ruta admixta. Animaduersione autem dignum est in singulis contrariæ facultatis medicamentorum mixtionibus, vt in principio parum ex præstantiore admisceamus; iuxta secundum verò, & tertium vsum, copiam augeamus. *Alia*. Amygdalæ amaræ delibratæ tritæ cum aceto, & oleo irrigationis modò adhibitæ; aut cerati crassitudine in linteolo fronti impositæ. Et hoc ad primum transitum pertinet; didicimus enim discussoriam citra mordacitatem facultatem amygdalas amaras habere. *Alia*. Ruta syluestris cum oleo, & aceto eodem modo. Inordinatè rursus hoc, valde forte medicamentum interposuit, in doloribus multum inueteratis meritò adhibendum. *Alia*. Populi albæ fructus cum aceto tritus. Discussoriæ facultatis est albæ populi fructus. In quibusdam autem exemplaribus non cum aceto, sed cum posca, scriptum reperitur. *Alia*. Ocymi semen cum aqua. Ocymi semen calefactoriæ, & attenuatoriæ est facultatis, non tamen vehementer; cum aqua autem sola in inueterato affectu minimè rationabiliter quis eo vtatur, melius enim erat oleum, & acetum, velut in aliis dixit, etiam huic admiscere. *Alia*. Facit & balsamum, peucedanum, castorium, simul, & sigillatim vnumquodque cum oleo, & aceto. Hoc medicamentum rursus vehemens est, maximè quum ipsum peucedanum solum adhibeatur citra castorij admixtionē. Quid verò balsamū nūc vocet, non habeo dicere, num videlicet plantæ fructum, aut succum, quem opobalsamum vocant, aut ramulos ipsius xylobalsamū appellatos. Melius tamen mihi videtur opobalsamum accipere, quod tenuium partium, & discussoriæ substantiæ existit, non tamen manifestè calentis. *Alia*. Lauri folia, & populi albæ, & viticis, cum oleo, & aceto. Et hoc medicamentum ex simplicibus facultatibus differentibus composuit; lauri enim folia calidissima, viticis verò moderatè refrigerantia sunt, in medio vtrorunque populi folia existunt. *Alia*. Panacem cum oleo illinito. Nihil hic refrigerantium admixtum est; & ob id valdè inueteratis affectibus, & nihil amplius caliditatis habentibus vtile existit. Quapropter meritò quis ipsum reprehenderit, citra distinctionem medicamenta conscribentem.

A ψύχειν καὶ ἀποκρούεσθαι, διαφορητικὸν ἔχει τι, πρόσθεν εἴρηται. πραϋντικῆς δὲ καὶ χαλαστικῆς δυνάμεως ὑπάρχον τὸ ἔλαιον, εἰκότως ἔμιξεν αὐτοῖς. Ἄλλο. δαφνίδων ἐκπίεσμα μετ' ὄξους, καὶ πηγάνου. πολὺ τοῦτο τοῦ πρόσθεν ὑπάρχει δραστικώτερον. ἰσχυρῶς γὰρ θερμαίνοντι τῷ τῶν δαφνίδων ἐκπιέσματι, τὸ πήγανον ἔμιξε μετ' ὄξους, ἐλαίου χωρίς. Ἄλλο. χύλισμα τῶν τῆς ἴρεως ῥιζῶν μετ' ὄξους. τοῦτο βοήθημα θερμαντικὸν οὐδὲν ἔχει. βέλτιον οὖν ἦν, ἐν τῇ πρὸς τὰ γενναιότερα βοηθήματα μεταβάσει, πρῶτον αὐτὸ τετάχθαι. εἶτ' ἰτέας φύλλα λεῖα μεθ' ὕδατος. τοῦτο τοῦ προγεγραμμένου τοῦ διὰ

B τῆς ἴρεως ἀσθενέστερόν ἐστι, καὶ τοῖς ἁπάντων πρώτοις γεγραμμένοις ὅμοιον, ὥστε οὐκ ἐν καιρῷ νῦν εἴρηται. ἕρπυλλος τετριμμένος μετ' ὄξους, καὶ ἐλαίου. περὶ μὲν ἐλαίου καὶ ὄξους, ἔμπροσθεν εἴρηται. προσέθηκε δὲ αὐτοῖς νῦν ἕρπυλλον, δριμείας ποιότητος φάρμακον, διὰ τοῦτο καὶ θερμαινούσης δυνάμεως. ἀμελῶς δὲ κἀνταῦθα παρέλιπεν μὴ δηλώσας, πότερον χλωρὸν, ἢ ξηρὸν αὐτὸν εἶναι βούλεται. βέλτιον δὲ ἴσως τὸ χλωρὸν ἀκούειν. Ἄλλο. πολύγονον μετὰ πηγάνου διειμένον ἐλαίῳ καὶ ὄξει. τῷ τοῦ πολυγόνου χυλῷ κατὰ τὸν πρῶτον λόγον, ὡς ψύχοντι κέχρηται. καὶ γὰρ καὶ ἔστιν ὄντως τοιοῦτος, ὥστε καὶ ἐπὶ τῶν χρονιζόντων ἀλγη-

C μάτων, κατὰ τὴν πρώτην μετάβασιν, εὐλόγως ἄν τις αὐτῷ χρήσεται, μίξας τὸ πήγανον. ἐπινοεῖν δὲ ἡμᾶς χρὴ καθ' ἑκάστην τῶν ἐναντίων ταῖς δυνάμεσι φαρμάκων μίξιν, ἐν ἀρχῇ μὲν ὀλίγον μιγνύναι τοῦ γενναίου. κατὰ δὲ τὴν δευτέραν, καὶ τρίτην χρῆσιν, αὐξάνειν αὐτοῦ τὸν ὄγκον. Ἄλλο. ἀμύγδαλα πικρὰ λεπιζόμενα, λεῖα μετ' ὄξους καὶ ἐλαίου ἐμβρεγμένα, εἰς κηρωτῆς πάχος δι' ὀθονίου μετώπῳ ἐπιτιθέμενα. καὶ τοῦτο τῆς πρώτης μεταβάσεώς ἐστιν οἰκεῖον. ἐμάθομεν γὰρ, διαφορητικὴν ἀδήκτως δύναμιν ἔχειν τὰ πικρὰ ἀμύγδαλα. Ἄλλο. πήγανον ἄγριον μετ' ἐλαίου καὶ ὄξους ὁμοίως· ἀτάκτως καὶ πάλιν τοῦτο παρενέ-

D θηκεν ἰσχυρὸν πάνυ φάρμακον, ἐπὶ τῶν ἰσχυρῶς χρονιζόντων ἀλγημάτων, εἰκότως παραληφθησόμενον. Ἄλλο. λεύκης καρπὸς μετ' ὄξους τριβόμενος. διαφορητικῆς ἐστι δυνάμεως, καὶ ὁ τῆς λεύκης καρπός. ἐν τισὶ δὲ τῶν ἀντιγράφων οὐ μετ' ὄξους, ἀλλὰ μετ' ὀξυκράτου γέγραπται. Ἄλλο. ὠκίμου σπέρμα σὺν ὕδατι. τὸ μὲν τοῦ ὠκίμου σπέρμα, θερμαντικῆς τε καὶ λεπτυντικῆς ἐστι δυνάμεως. οὐ μὴν ἰσχυρῶς γε, δι' ὕδατος δὲ μόνου, χρονιζούσης τῆς διαθέσεως, οὐκ ἄν τις εὐλόγως αὐτῷ χρῷτο, βέλτιον γὰρ ἦν ἔλαιόν τε καὶ ὄξος, ὡς καὶ ἐπὶ τῶν ἄλλων εἶπε, μιγνύναι καὶ τούτῳ. Ἄλλο. ποιεῖ καὶ βάλσαμον, πευκέδανον, καστόριον,

E καὶ ὁμοῦ, καὶ ἰδίᾳ ἕκαστον σὺν ἐλαίῳ, καὶ ὄξει. τοῦτο πάλιν τὸ φάρμακον ἰσχυρόν ἐστι, καὶ μάλιστα ὅταν αὐτὸ μόνον τὸ πευκέδανον προσφέρηται, χωρὶς τοῦ μιχθῆναι τῷ καστορίῳ. βάλσαμον δὲ τί καλεῖ, νῦν οὐκ ἔχω φάναι, πότερον τοῦ φυτοῦ τὸν καρπὸν, ἢ τὸν ὀπὸν ὃν ὀποβάλσαμον ὀνομάζουσιν, ἢ τοὺς κλάδους αὐτοῦ, τοὺς καλουμένους ξυλοβάλσαμον. ἄμεινον δέ μοι δοκεῖ τὸ ὀποβάλσαμον ἀκούειν, λεπτομεροῦς τε καὶ διαφορητικῆς οὐσίας ὑπάρχον, οὐ μὴν ἐπιφανῶς γε θερμῆς. Ἄλλο. φύλλα δάφνης, καὶ λεύκης, καὶ ἄγνου μετ' ἐλαίου, καὶ ὄξους. μικτὸν καὶ τοῦτο τὸ φάρμακον, ἐκ διαφερόντων ταῖς δυνάμεσι τῶν ἁπλῶν συνέθηκεν, τὰ μὲν φύλλα τῆς δάφνης θερμότατα, τὰ δὲ τῆς ἄγνου μετρίως ψύχοντα. μέσα δὲ ἀμφοῖν ἐστι τὰ τῆς λεύκης. Ἄλλο. πάνακα μετ' ἐλαίου ἄλειφε. οὐδὲν ἐνταῦθα τῶν ψυχόντων μέμικται, καὶ διὰ τοῦτο ταῖς πάνυ κεχρονισμέναις διαθέσεσιν, ἃ μηδὲν ἔτι θερμότητος ἐχούσαις, χρήσιμον ὑπάρχει. διὸ καὶ μέμψαιτο ἄν τις αὐτῷ χωρὶς διορισμοῦ τὰ βοηθήματα γράφοντι.

πάνακα δ' ἡγοῦμαι νῦν λέγειν αὐτὸν ἀμελῶς, ἀντὶ τοῦ φάναι, A πάνακος ῥίζαν. οὐ γὰρ δὴ τὸν ὀποπάνακα νομιστέον ὑπ' αὐτοῦ λελέχθαι πάνακα. διαφέρει δὲ τῆς ῥίζης οὗτος, οὐ μικρᾷ τινα θερμότητος ὑπεροχῇ. Ἄλλο. ἄγνον, ἢ ἡδύοσμον, ἀμύγδαλα πικρὰ, ἶριν, ἴσα μίξας σὺν ὄξει καὶ ῥοδίνῳ ἔμβρεχε. τῶν μὲν ἄλλων ἡ δύναμις εἴρηται πρόσθεν. ἡδυόσμου δὲ, νῦν πρῶτον ἐμνημόνευσε, θερμαντικῆς δυνάμεως φαρμάκου. Ἄλλο. συκαμίνου χυλῷ προσμίξας ὄξος κατάβρεχε. προφανῶς τοῦτο τοῦ γένους ἐστὶ τῶν ὑπ' αὐτοῦ γεγραμμένων, ἀρχομένης τῆς διαθέσεως, ἐμψυκτικῶν ἰαμάτων, οὐκ ὀρθῶς νῦν ἀναμεμιγμένον, τοῖς πρὸς τὰς αὐξομένας διαθέσεις ἁρμόττουσι φαρ- B μάκοις. χρονιζόντων δὲ ψιλώσας, καταχρίσμασι μὲν τοῖς εἰρημένοις, ἐμβρέγμασί τε παχύτερα ποιῶν αὐτὰ, χρῶ. Ἄλλο. ῥητίνην μετὰ μέλιτος κατάχριε κροτάφοις καὶ μετώπῳ. ἢ μυόχοδα μετ' ὄξους καὶ ῥοδίνου. τρίτος οὗτος αὐτῷ καιρὸς, καὶ χρόνος ἐστὶν ἐπὶ τῶν τῆς κεφαλῆς βοηθημάτων. ὁ μὲν γὰρ πρῶτος ἦν ἀρχομένου τοῦ πάθους. ὁ δὲ δεύτερος, ὡς αὐτὸς ἔγραψεν, ἐπιτεινομένου. τρίτος δὲ οὗτος, ἐν ᾧ φησιν, χρονιζόντων, ὅς τις δεῖται σφοδροτέρων βοηθημάτων, ὧν ἔνια τοῖς πρόσθεν ἀνέμιξεν οὐκ ὀρθῶς.

Περὶ τῶν ἐπὶ χολώδει χυμῷ κεφαλαλγούντων. C

Τὰ μὲν σημεῖα παραπλήσια τοῖς ἐπ' ἐγκαύσει, προσέρχεται δὲ αὐτοῖς δῆξίς τε πλείων, καὶ ὠχρότης προσώπου, καί ποτε καὶ τοῦ στόματος ἐκπίκρωσις. ἡλικίαις δὲ μᾶλλον ἀκμαστικαῖς, καὶ κράσεσι θερμοτέραις, καὶ βίῳ φροντιστικῷ, καὶ τοῖς χολὴν συνάγουσι ξανθὴν, τοῦτο τὸ πάθος εἴωθε συμβαίνειν. λουτροῖς τε τοῖς εὐκράτοις ἐπὶ τούτων καὶ ἀλείμμασι, καὶ ὑδαρεῖ πόματι χρηστέον, καὶ ἡ σύμπασα δίαιτα, ὑγροτέρα τε καὶ εὔχυμος παραλαμβανέσθω. κενωτέον δὲ τὸν χολώδη χυμὸν, ἀψινθίου ἀποβρέγματι, ἢ διὰ τῆς ἀλόης, καὶ αὐτῆς τῆς πικρᾶς ἀντιδότου καθ' D ἑαυτὴν, ἢ καὶ σὺν ὀλίγῃ σκαμμωνίᾳ, ἢ διὰ τῶν τῆς ἀλόης καταποτίων. ἐπιχριστέον δὲ τὸ μέτωπον, ἢ τῷ κροκώδει τροχίσκῳ, ἢ τῷ τριγώνῳ, ἤ τινι τῶν παραπλησίων.

Περὶ τῆς κατὰ τὴν συμπάθειαν κεφαλαλγίας.

Εἰ μὲν ὅλῳ τῷ σώματι συμπάσχει ἡ κεφαλὴ, τούτου προνοητέον πρός τε τὴν δυσκρασίαν, καὶ πρὸς τὴν κατὰ τὸ σῶμα ὕλην, ἐπισταμένως, καὶ εἰ μὲν εἴη πλῆθος, καὶ μάλιστα κατὰ τὰς φλέβας, φλεβοτομήσομεν. εἰ δὲ μᾶλλον ποιότης, καθαρτικῷ χρησόμεθα φαρμάκῳ. εἰ δὲ μορίῳ συμπάσχει, οἷον ἥπατι, E ἢ γαστρὶ, ἢ στομάχῳ, τούτοις βοηθητέον, θερμῆς μὲν ἐν αὐτοῖς ὑποκειμένης δυσκρασίας, ἄρτον ἐξ ὑδαρεστέρου οἴνου διδόντας, καὶ τὰ διὰ χόνδρου ῥοφήματα, καὶ τὰς ἔξωθεν μετρίως ἐμψυχούσας τε καὶ τονούσας ἐπιβροχὰς, ὡς ἔμπροσθεν εἴρηται. εἰ δὲ διὰ γλίσχρους τε καὶ παχεῖς χυμοὺς ἐν τῷ στομάχῳ περιεχομένους κεφαλαλγοῖεν, καὶ τούτους ἐκμοχλεύσομεν, ὀξύμελι πίνειν παρέχοντες, τό τε ἁπλοῦν, καὶ τὸ Ἰουλιανόν, καὶ τοῖς δι' ὑσσώπου τε καὶ ὀριγάνου. καὶ τοῖς τούτων ἔτι θερμοτέροις τε καὶ τμητικωτέροις, καὶ τῷ ἀπὸ ῥαφανίδων ἐμέτῳ χρηστέον, ἐπιβροχαῖς τε θερμοτέραις, καὶ καταπλάσμασι. F

Περὶ τῆς ἐν πυρετοῖς κεφαλαλγίας.

Ἐπὶ δὲ τῶν ἐν πυρετοῖς συνεισβαλλουσῶν ἐξ ἀρχῆς κεφαλαλγιῶν, φλεβοτομεῖν τῇ πρώτῃ, ἢ τῇ δευτέρᾳ ἀνέσει, εἰ μή τι κωλύει, καὶ μάλιστα ἐπὶ τῶν εὐέκτων καὶ πολυαίμων.

Panacē verò negligenter nunc ipsum dicere puto, panacis radicē; neq; enim opopanaca putandū est ab ipso panacē dictum esse; differt autem à radice hic non paruo caliditatis excessu. *Alia.* Viticē, aut mētham, amygdalas amaras, iridē, æquali mensura cum aceto, & rosaceo mixta adhibeto. Aliorū vires supra relatæ sunt; menthę autē nūc primū mentionem fecit, medicamenti calefactoriæ facultatis. *Alia.* Aut mororū succo cum aceto admixto rigato. Hoc medicamentū euidenter apparet refrigerantium medicamentorū generis ab ipso conscriptorū esse, quæ incipiente affectu conueniunt, miniméque rectè nunc ad medicamenta auctis affectibus commoda admiscetur. *Alia.* Inueterato autem affectu pilis denudato, illitionibusque, & rigationibus prædictis, crassius tamen apparatis vtitor. *Alia.* Resinam cum melle temporibus, & fronti illine. Aut muscerdas cum aceto, & rosaceo. Tertium hoc tempus est, & opportunitas in capitis remediis adhibendis. Primum namque erat incipienteaffectu. Secundum verò, vt ipse scripsit, augescente. Tertium autem hic, quum ait inueterato, quod ipsum vehementioribus auxiliis opus habet, quorum aliqua non rectè prioribus admiscuit.

De iis qui ob biliosum humorem caput dolent.

Signa in his, similia sunt eis, quæ ex ardore oboriuntur, accedit his maior morsus, & faciei pallor, & aliquando oris amaror. Ætati autem vigoris, & temperamentis calidioribus, & vitæ solicitæ, & iis qui flauam bilem congregant, hæc affectio præcipuè contingere solet. Itaque balnea temperata, & vnctiones, & potus dilutus, eis exhibenda sunt, omnísque victus ratio liquidior, & boni succi constituenda. Euacuandus item biliosus humor per absinthij cremorem, aut per aloën, & per ipsam picram antidotum per se datam, aut modica addita scammonia, vel per catapotia ex aloë confecta. Illinenda frons pastillo croceo, aut trigono appellato, aut aliquo alio his consimili.

De dolore capitis per consensum.

Siquidē vniuerso corpori caput per cōsensum coafficitur, illi, cum aduersus intēperiem, tū aduersus exuperantē materiam, instandū. Et si quidem humorū multitudo, & maximè in venis fuerit, venam secabimus. Si verò qualitas magis inualuerit, purgante medicamento vtemur. Si verò vni alicui parti cōdoleat, velut hepati, aut ventri, aut stomacho, his ipsis auxiliabimur: calida quidē in ipsis existēte intēperie, panē ex vino diluto exhibendo, & sorbitiones ex alica; & foris irrigationes moderatè refrigerantes, & robur addentes, velut antea dictū est. Si verò propter viscosos, & crassos in stomacho contentos humores caput doleant, etiam hos exturbabimus, acetum mulsum in potu prębendo, oxymeli dicunt, tum simplex, tum Iulianium appellatū. Ex hyssopo etiam, ac origano potionibus. & quæ his adhuc fortiores sunt, magísque incidendi vi prædità, vtemur, & vomitu à raphanis, irrigationibusque, ac cataplasmatis calidioribus.

De capitis in febribus dolore.

In dolotibus capitis, qui in principio cū febribus irruunt, vena secāda est post primā, aut secūdā remissionē, nisi quid impediat, & præsertim in corporib. boni habitus, & multo sāguine redūdātibus. Animad-

Animaduertendū autem, num ob vapores à ventre sublatos, aut ob alui suppressionem, capitis dolor contingat. Quod si serius post septimum tandē irruat diem, aluo per clysterem qui aliquid operæpretij faciat, præeuacuata, cucurbitæ ad occiput, siue ceruicem affigantur, caputque rigationibus ex oleo mitigetur rosaceo quidem in calidioribus, ac hora æstiua, & cum exiguo aceto; chamæmelino verò in frigidioribus habitudinibus, ac hyeme, quinta aceti parte adiecta. Illinenda frons ex cyphi in frigidioribus, ex crocomagmate in calidioribus. Cæterùm ad capitis dolores ob febris magnitudinem obortos, medelæ præscriptæ sunt in febrium tractatu. Porrò vitare oportet hæc, non solùm in dolore capitis per consensum stomachi oborto, sed omnibus etiam aliis circa caput obortis affectibus; sunt autem ea quæ sequuntur; viticis semen, absinthij succus, lac in potu, glādes quercinæ in cibo, oliuę nigrę, arbuti fructus, eruum quod ipsum etiam articulos dissoluit. Amplius autē offendunt myrrha, thus, hederæ cacumina. Mentem etiam perturbant lentisci fructus, crocus, peucedanum, cyclaminus sicca cum vino potata. Styrax paucus quidem potatus tristitiam vultus discutit, multus verò somnos multum turbulentos inducit.

A προσέχειν δὲ μὴ διὰ τὰς ἀπὸ τῆς γαστρὸς ἀναθυμιάσεις γινομένας, ἢ δι' ἐποχὴν κοιλίας, συμβαίνει τὰ τῆς κεφαλαλγίας. εἰ δὲ ὕστερον μετὰ τὴν ἑβδόμην εἰσβάλλοι, προκενώσαντες τὴν κοιλίαν διὰ κλυστῆρος ἀξιολόγως, σικυαστέον ἀπὸ ἰνίου, ἢ αὐχένος, καὶ παρηγορητέον τὴν κεφαλὴν ταῖς δι' ἐλαίου ἐμβροχαῖς. ῥοδίνῳ μὲν ἐπὶ τῶν θερμοτέρων, καὶ ὥρᾳ θερινῇ, καὶ μετὰ βραχέος ὄξους. χαμαιμηλίνῳ δὲ ἐπὶ τῶν ψυχροτέρων ἕξεων, καὶ ἐν χειμῶνι πέμπτον μέρος ὄξους προσειληφότι. ἐπιχρίειν δὲ τὸ μέτωπον, κύφει μὲν ἐπὶ τῶν ψυχροτέρων, κροκομάγματι δὲ ἐπὶ τῶν θερμοτέρων. ἐπὶ μεγέθει δὲ πυρετοῦ γινομένης κεφαλαλγίας, ἰάματα
B προγέγραπται ἐν τῷ περὶ πυρετῶν λόγῳ. δεῖ δὲ παραφυλάττεσθαι ταῦτα, οὐ μόνον ἐπὶ τῶν κατὰ συμπάθειαν τοῦ στομάχου κεφαλαλγούντων, ἀλλὰ καὶ κατὰ πάντων τῶν περὶ κεφαλὴν γινομένων παθῶν. ἔστι δὲ ταῦτα ἄγνου σπέρμα, ἀψινθίου χυλὸς, γάλα πινόμενον, βάλανοι δρύϊνοι ἐσθιόμεναι, ἐλαῖαι μέλαιναι, μεμαίκυλα, ὄροβοι. οὗτοι δὲ καὶ τὰ ἄρθρα διαλύουσιν, ἐπιπλέον δὲ ἅπτεται σμύρνα, λίβανος, κισσοῦ κόρυμβοι, καὶ ταράττουσι τὴν διάνοιαν σχίνου καρπὸς, κρόκος, πευκέδανον, κυκλάμινος ξηρὰ σὺν οἴνῳ ποθεῖσα. στύραξ ὀλίγος μὲν ποθεὶς, λύει σκυθρωπότητα. πολὺς δὲ, κατασκευάζει ταραχώδεις ὕπνους.

C

CAPVT II.

De cephalæa.

Cephalæa inueteratus, & ægre cedens capitis dolor appellatur, qui ex facili occasione, maximas exacerbationes habet, adeò, vt neq; strepitus, neq; vocē vehementiorē, neq; lumen splendidū, neq; vini potū, neq; odoramenta caput replentia, tolerare possint, neq; itē motū, sed in quiete & tenebris ob dolorū magnitudinē decumbere velint: tanquā à malleo enim pertundi sibi videntur. Quidā enim velut cōtundantur, aut distendātur ea quæ circa caput sunt, sentiunt; non paucis verò vsque ad oculorū radices dolor progreditur. Habet autē hæc affectio aliquando quidē cōtinuos dolores; aliquādo verò exacerbationes, & interualla, siue ordinata, siue inordinata. Intermittunt enim quādoq; eiusmodi exacerbationes, velut in comitiali morbo apprehensis, interceditque tempus aliquod, quod omninò accusari non potest. Manifestū igitur est, hunc affectū consimilem aptitudinē capitis, vt facilè lædatur, velut in cephalalgicis, habere; verùm ad maiorē debilitatem deueniunt in hoc affectæ capitis partes. Et quidā ex eis cerebri inuolucra dolitant, quidā verò membranam tantū caluariam ambientem. Dolores igitur cum grauitate, humorum multitudinē significant; cum mordacitate verò, aut humorū, aut vaporum acredinē; cum pulsu autem inflammationem; cum tensione verò, si quidē citra grauitatem, & pulsum fiat, spiritus tenuis, & flatulenti multitudinē demonstrāt; cum pulsu verò, membranosi corporis inflammationē. Si verò cum grauitate distentio fiat humorū multitudinem intra membranulas contentam, & dolores quidem in superficie hærentes, mēbranæ os caluæ ambientis affectionem significant, qui verò in profundo sunt, cerebri inuolucrorum; quibuscunque enim affectus intra caluariam est, his vsque ad oculorum radices dolores procedunt, propterea quòd oculorum tunicæ ex cerebri inuolucris habeant ortum. Si verò humor putrefactus calidior fiat, cum febre caput dolitant. Febricitant autē omninò, & qui ex phlegmone dolent.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ κεφαλαίας.

Ἡ λεγομένη κεφαλαία, χρόνιός τε καὶ δύσλυτός ἐστι κεφαλαλγία, ἐπὶ μικραῖς προφάσεσι μεγίστους ἔχουσα παροξυσμοὺς, ὥστε μήτε ψόφων ἀνέχεσθαι, μήτε φωνῆς σφοδροτέρας, μήτε λαμπροῦ φωτὸς, μήτε οἰνοποσίας, μήτε τῶν τὴν κεφαλὴν πληρούντων ὀσφραντῶν, μήτε κινήσεως, ἀλλ' ἐν ἡσυχίᾳ καὶ σκότῳ κατακεῖσθαι βούλεσθαι, διὰ τὸ
D μέγεθος τῶν ἀλγημάτων, ὡς ὑπὸ σφύρας γὰρ πλήττεσθαι δοκοῦσιν. ἔνιοι γὰρ, ὡς θλωμένων, ἢ διατεινομένων αἰσθάνονται τῶν κατὰ τὴν κεφαλὴν, οὐκ ὀλίγοις δὲ εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν διήκει τὸ ἄλγημα. φέρει δὲ τὸ πάθος, ποτὲ μὲν συνεχῆ ἀλγήματα, ποτὲ δὲ παροξυσμοὺς, καὶ διαλείμματα, ἤτοι τεταγμένα, ἢ ἄτακτα. διαλείπουσι γὰρ ἐνίοτε οἱ τοιοῦτοι παροξυσμοὶ, καθάπερ τοῖς ἐπιληπτικοῖς, καί τις χρόνος ἐπιγίνεται μεταξὺ, τελέως ἄμεμπτος. εὔδηλον οὖν ὅτι τὸ πάθος τοῦτο τὴν εὐπάθειαν μὲν ἔχει τῆς κεφαλῆς, ὁμογενῆ τοῖς κεφαλαλγικοῖς, ἐπὶ δὲ μᾶλλον ἐκείνων ἀσθενείας ἥκει,
E τὰ κατὰ τὴν κεφαλὴν πάσχοντα μόρια, καί τινες αὐτῶν τὰς περὶ τὸν ἐγκέφαλον ὀδυνῶνται μήνιγγας, ἔνιοι δὲ καὶ τὸν περικράνιον ὑμένα μόνον. τὰ μὲν οὖν μετὰ βάρους ἀλγήματα, πλῆθος δηλοῖ. τὰ δὲ μετὰ δήξεως, ἢ χυμῶν, ἢ ἀτμῶν δριμύτητα. τὰ δὲ μετὰ σφυγμοῦ, φλεγμονήν, τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ βάρους καὶ σφυγμοῦ γίνοιτο, πνεύματος λεπτοῦ, καὶ φυσώδους πλῆθος δηλοῖ. εἰ δὲ μετὰ σφυγμοῦ, φλεγμονὴν ὑμενώδους σώματος. εἰ δὲ μετὰ βάρους γίνοιτο ἡ διάτασις, πλῆθος ἐντὸς τῶν ὑμένων ἱδρυμένον, καὶ τὰ μὲν ἐπιπολῆς ἀλγήματα, τοῦ περικρανίου ὑμένος τὸ
F πάθος δηλοῖ, τὰ δὲ ἐν βάθει τῶν μηνίγγων. οἷς γὰρ ἡ διάθεσις ἔνδον τοῦ κρανίου ἐστὶν, τούτοις εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν, ἀφικνοῦνται οἱ πόνοι, διὰ τὸ τοὺς χιτῶνας τῶν ὀφθαλμῶν, ἀπὸ τῶν μηνίγγων ἔχειν τὴν γένεσιν. εἰ δὲ καὶ σαπεὶς ὁ χυμὸς θερμότερος γένηται, σὺν πυρετῷ κεφαλαλγοῦσι. πυρέττουσι δὲ πάντως, καὶ οἱ διὰ φλεγμονὴν ὀδυνώμενοι.

A εἰ μὲν οὖν πλῆθος χυμῶν, ἢ ἀτμῶν εὕροις αἴτιον, εἰ μὲν διὰ τὴν τοῦ παντὸς σώματος πλησμονὴν ἐγένετο, τὸ πᾶν σῶμα κενώσας, ἰάσῃ τὴν κεφαλαλγίαν. εἰ δ', ὡς ἀσθενὴς ὑπάρχουσα ἡ κεφαλὴ, δέχεται τὰ ἀναφερόμενα, ἀντισπᾷν δεῖ τὴν ὕλην εἰς ὅλον τὸ σῶμα, καὶ οὕτως ἰᾶσθαι τὸ μόριον. κλυστῆρσι μὲν οὖν ἡ ἀντίσπασις γίγνεται, καὶ διαδέσεσι τῶν ἄκρων, καὶ τρίψεσι πλείοσι τῶν κάτω μερῶν, ἐνίοτε δὲ καὶ αἵματος κενώσει ἀπ' ἀγκῶνος. εἰ δὲ πλεονάζον ἔτι τὸ αἷμα φαίνοιτο, καὶ διὰ ῥινῶν ἀναστομώσαντας φλέβα, καὶ κενοῦντας ὅσον αὔταρκες εἶναι δόξει, εἶτα τὴν ἱερὰν ὀξυνάντας, δοτέον, κἄπειτα B τοῖς ἀποφλεγματισμοῖς χρηστέον, καὶ τοῖς ἐρρίνοις, οἷά ἐστι τὰ διὰ τοῦ ἐλατηρίου, καὶ τῆς κυκλαμίνου, μετὰ γάλακτος, καὶ πράσου σκευαζόμενα. τὴν δὲ κεφαλὴν θεραπεύσεις, ἡνίκα μὲν δεῖ χρῆσθαι τοῖς ἀντισπαστικοῖς, διὰ τῶν ἀποκρουστικῶν ἐμβροχῶν. μετὰ δὲ τὴν τοῦ παντὸς σώματος κένωσιν ἤδη τοῖς κενοῦσι τὴν κεφαλὴν χρῆσθαι, εἶτα τοῖς ῥωννύναι δυναμένοις. ἀποκρούεται μὲν οὖν τὸ ὀμφάκινον ἔλαιον, καὶ τὸ ῥόδινον, καθ' ἑαυτὸ, καὶ σὺν ὄξει, καὶ τὸ διὰ τῶν κωδειῶν, καὶ θαλλῶν ἁπαλῶν ἐλαίας, καὶ κισσοῦ κορύμβων, καὶ ἡδυόσμου χλωροῦ σκευαζόμενον. προσάγειν δὲ καὶ τὰ βοηθήματα, χλιαρὰ μὲν ψυχροτέρου καὶ ὠμοτέρου τοῦ πλή- C θους ὄντος, ψυχρὰ δὲ θερμοτέρου καὶ χολωδεστέρου. διαφορεῖ δὲ τὸ γλυκύτατον ἔλαιον θερμὸν, καὶ μᾶλλον παλαιούμενον τοῦτο, καὶ τὸ σικυώνιον. εἰ δὲ παχύτερον εἴη τὸ πλῆθος τῶν χυμῶν, σφονδύλιον, ἢ ἕρπυλλον ἐναφεψῶν τῷ ἐλαίῳ, ἢ γλήχωνος κόμην, ἢ καλαμίνθην, ἢ ἡδύοσμον, κενώσεις τὸ πλῆθος. αὐτὰ δὲ ταῦτα καὶ τόνον ἐντίθησι τῷ μορίῳ, διὸ καὶ μέχρι παντελοῦς ἰάσεως χρῆσθαι αὐτοῖς προσήκει. πλέον δὲ πάντων διαφορεῖ, καὶ ῥωννύουσι παντελῶς, περιστερεὼν ὁ ὀρθὸς, μάλιστα μὲν χλωρὸς, ἤδη δὲ καὶ ξηρὸς, σὺν ταῖς ῥίζαις ἅμα ἑρπύλλῳ ἑψόμενα τῷ ἐλαίῳ. συνεμβλητέον δὲ αὐτοῖς, καὶ ῥί- D ζαν τῆς παρὰ τὰ ὕδατα φυομένης κροκοδειλιάδος τῆς μεγίστης, καὶ αὐτὸν δὲ τὸν περιστερεῶνα, καθ' ἑαυτὸν, εἰ ἀφεψήσας τῷ ἐλαίῳ ἐμβρέχοις τὴν κεφαλὴν, ἰάσῃ πᾶσαν κεφαλαλγίαν χρονίαν ἐπὶ ψύξει γινομένην, ἢ ὑπὸ παχέων χυμῶν. τὰ μέγιστα δὲ ὠφελοῦσι καὶ οἱ ὑπὸ τὰς ὑδρίας ὄνοι, σὺν τῷ ἐλαίῳ ἑψόμενοι.

Ἀρχιγένους περὶ ἀποφλεγματισμῶν.

Μετὰ ταῦτα δὲ ἀποφλεγματισμοὶ διὰ νάπυος, ἢ ὑσσώπου μετὰ γλυκέος καθεψημένου, ἢ σταφίδος ἀγρίας μετὰ πε- E πέρεως τετριμμένης, καὶ μετὰ μέλιτος, ἢ ἐλαίου μεμιγμένου μέλιτι, ἢ σταφίδος ἀγρίας, καὶ κατ' ἰδίαν, καὶ μετὰ μέλιτος τριβομένης. τὴν μὲν τῶν ὀνομαζομένων συνήθως τοῖς ἰατροῖς ἀποφλεγματιζόντων φαρμάκων ὕλην, ὕστερον ἐρῶ. νυνὶ δὲ τοσοῦτον ἐπισημήνασθαι χρήσιμον, ὡς τὸ βοήθημα τοῦτο, φλέγματος ἐνοχλοῦντός ἐστιν ἴαμα, καθάπερ δὴ καὶ αὐτὸ τοὔνομα αὐτοῦ δηλοῖ. ὁ δὲ Ἀρχιγένης θερμὴν, καὶ πνευματώδη διάθεσιν ὑπέσχετο θεραπεύειν, οὐ ψυχρὰν καὶ φλεγματώδη. ὠφελοῦνται δὲ ἱκανῶς, καταντλούμενοι δάφνης ἀφεψήματι, ἢ πηγάνου, ἢ πάνακος, ἢ κωδειῶν, ἢ δαφνί- F δων. ἰσχυρῶς θερμαίνουσι φαρμάκοις, οὐκ οἶδα πῶς κατέλεξεν κωδείας ψυχούσας οὐκ ἀγεννῶς, ἐνδειξάμενος ἐν τῇ τοῦ λόγου λέξει, τῶν εἰρημένων ἕκαστον δύνασθαί τινα χρῆσθαι καθ' ἑαυτὸ, τάχα δ' ἄν ποτε καὶ μιχθεῖσιν, οὐ μὴν δηλώσας, εἴπερ ἐμβάλλειν αὐτοῖς τι κελεύει κωδειῶν, ἕνεκα τοῦ

A Si quidem igitur humorũ, aut vaporum multitudinẽ repereris causam, si quidem propter totius corporis repletionem facta est, vniuerso corpore euacuato, capitis dolorẽ sanabis. Si verò velut debile existens caput ad se sublatos humores, ac vapores susceptet, materiam reuellere oportet in totũ corpus, atque ita parti mederi. Per clysteres itaque reuulsio fit, & ligaturis extremitatum, & pluribus inferniarum partium confrictionibus; interdũ etiam sanguinis ex cubito detractione; quòd si amplius sanguis redũdare videatur, etiam ex naribus aperta vena, & quantũ sufficere videtur, sanguine euacuato. Deinde hieram dabimus exacutã. Et postea B apophlegmatismis pituitam detrahentibus, & medicamentis, quæ naribus induntur vtendum est, qualia sunt, quæ ex elaterio, & cyclamino cum lacte, & porro apparantur. Caput autẽ curabis, quando quidem reuulsoriis, vti oportet, per repulsorias irrigationes. Cęterùm post totius corporis euacuationem, iam caput euacuantibus vteris, deinde iis, quæ firmitatem addere possunt admotis. Repellit igitur oleum omphacinum, & rosaceum, per se, & cum aceto, & quod ex papaueris capitibus, & oleæ teneris germinibus, & hederæ cacuminibus, ac menta viridi apparatur. Afferantur autem remedia C tepida quidem, vbi frigidior, & crudior fuerit humorum multitudo, frigida verò vbi calidior, & biliosior extiterit. Discutit autem oleum dulcissimũ calidum, & magis inueteratum, item q; sicyonium. Si verò crassior sit humorum multitudo, spondylium, aut serpillũ, aut pulegij comam, aut calaminthen, aut mẽtam oleo incoquendo, multitudinem euacuabis. Eadem hæc etiam firmitatem parti addũt, quapropter vsque ad perfectam curationem, eis vti cõuenit. Omnium porrò longè maximè discutit, & perfectè corroborat verbenaca recta, maximè viridis; imò & arida cum radicibus, & simul D cum serpillo, oleo incocta. Coniicienda etiam ad ea crocodiliadis maximæ, iuxta aquas nascentis radix. Quin & ipsam per se verbenacam si oleo incoxeris, capútque inde rigaueris, omni capitis dolori antiquo ex frigiditate, aut ex crassis humoribus oborto, medeberis. Maximè etiam prosunt sub aquario vase nascentes aselli, *millepedæ appellati*, si oleo incoquantur.

Archigenis, de apophlegmatismis.

Post hæc verò Apophlegmatismi, quibus pituita à capite detrahitur, ex sinapi, aut hyssopo cum E passo cocto; aut ex staphide syluestri, cum pipere, & melle trita; aut ex oleo admixto melle; aut ex staphide syluestri per se, vel cum melle trita. Medicamentorũ quippe, quæ pituitam à capite euacuant, & medicis pro more apophlegmatismi appellantur, materiam postea referam; nunc autem tantum ostendere cõmodum fuerit, quòd hocce auxilium pituitæ infestantis est medela, quemadmodũ sanè & ipsum nomen eius ostendit. Archigenes autem calidum & flatuosum affectum se curaturum pollicitus est, non frigidum, & pituitosum. Iuuantur autem plurimum lauri, aut rutæ, aut panacis, aut papaueris capitũ, aut baccarũ lauri, decocto perfusi. F Validè calefacientibus medicamentis, nescio quomodo papaueris capita non instrenuè refrigerãtia annumerauerit, quum in sermonis cõtextu singulis dictis aliquem per se vti posse ostenderit, & fortasse etiam aliquãdo simul mixtis; non tamen manifestum fecerit, num quippiam ex papaueris capitibus ipsis adiiciendum sit, quo videlicet aliorum medica-

medicamentorũ vehementia minuatur, & mitigetur; an & solis aliquando vtendũ sit, quod sanè incipiente, & augescente affectu tempestiuius fieret; inueterato enim affectu non solũ non prosunt, sed etiam noxia capita papaueris existunt. Commodũ est & ex salibus fomentum. Omnem rationẽ Archigenes hic confudit, quum fomenti mentionem faciat per medicamentũ resiccans quidẽ non strenuè, verũ & calefactorium quiddam in se habens. Meminisse enim eum oportebat, quòd quum calidum affectum curare assumpsisset, aut semper ab illo ipso indicationẽ seruaret, aut de trãsmutatione in diuersam speciem quippiam diceret, iuxta quã tẽporis progressu calore sedato, obduratio, aut intensio, aut tale quiddam accessisset, quod cõtraria curatione indigeat, & non ea quæ in principio fuit determinata. Post perfusiones verò, aut fomenta iuuantur, si lini semen rosaceo infartum adhibeas; & lanas sordidas ex aceto rosaceo calidas circumponas, ac obliges. Hoc mitigatiuum est auxilium, quum vehementer infestat dolor, vnà cum hoc, quòd & subiecto conferat affectui. Quare vbi ad intensum capitis dolorẽ remédia scripsit, istic præstiterat etiam de hoc fomento mentionem facere. Verùm pro præsenti temporis opportunitate, de qua nunc sermo instat, si quis fomentis, aut cataplasmatis vti velit, fomenta ex milio meliora fuerint. Quemadmodum enim Hippocrates ait, *leue & lene milium existit*. Sales verò ob grauitatem molesti sunt, præsertim capiti admoti.

De cataplasmatis in capitis dolore.

Cataplasmatis verò vtere hordeacea cruda farina, quæ iridẽ contusam habeat admixtam. Aut rutæ semine eodem modo. Aut fœniculi radice similiter. Aut cruda hordeacea farina cũ aceto mulso apparata. Aut polenta, & pulegio mixtis. Et hæc cataplasmata ad secundã tẽporis opportunitatem pertinent, quam supra augescente capitis dolore constituit; nam & hunc mitigant, & affectum iuuant. Aut Nilei medicamentum, castorij & iridis decima parte admixta, cum aceto, & rosaceo imponito. Nilei quidẽ igitur medicamentum quod ad emplastri formam paratũ est, iam olim nobile, & laudatum medicamentum est, & ob id omnibus notum; promittit autem reliquiarum inflammationum in præcordiis inueteratarum curationem; verùm eorum quæ ei admiscentur, castorij videlicet, & iridis, Archigenes obscurè mixtionẽ cõscripsit; incertum enim num alterius ipsorum decimã Niliacei malagmatis partem esse velit, an vtriusque. Verùm mihi præstabilius videtur vtriusque decimam partem admiscere. Oportet autẽ castorium, atq; iridem probè trita esse, & Nilei medicamento diligenter emollito paulatim hęc admisceri, manibus partim rosaceo, partim aceto madefactis. Aut nuces amaras decorticatas, & rutam, ac parum ex iride, cũ aceto, & rosaceo cõmittito; & malagmatis forma imponito. Quum eiusmodi multa medicamenta circa secundũ propositi affectus tempus Archigenes cõscripserit, facultatis ipsorum expositionem illis feci. Aut viticis seminis, Persææ viridis foliorum, & myrrhæ, æquales partes cum vnguento Ægyptio fronti cataplasmatis modo imponito. In sola Alexandria Persææ arborem vidi, & in nulla alia Romanis subdita gente. Quidã persion ipsam appellant, aiuntq; in Persis lethalẽ eius arboris fructum esse, quum qui in Ægyptiorum regione, innocuus existat. At verò Ægyptium

A μειῶσαί τε καὶ πραΰναι τὴν σφοδρότητα τῶν φαρμάκων, ἢ καὶ μόναις ποτὲ χρῆσθαι, ὅπερ ἀρχομένης τε καὶ αὐξανομένης διαθέσεως, εὐκαιρότερον ἂν ἐγίνετο. χρονιζούσης δὲ οὐ μόνον οὐδὲν ὄφελος, ἀλλὰ καὶ βλαβερώτεραι αἱ κώδιαι τυγχάνουσιν οὖσαι. ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν ἁλῶν πυρία. συνέχεεν ἐνταῦθα πάντα τὸν λόγον ὁ Ἀρχιγένης, πυρίας μνημονεύσας διὰ φαρμάκου, ξηραίνοντος μὲν οὐ γενναίως, ἔχοντος δέ τι καὶ θερμαντικόν. ἐχρῆν γὰρ αὐτὸν ἐπιστάμενον, ὅτι διάθεσιν θερμὴν ὑπεστήσατο θεραπεύειν, ἤτοι φυλάττειν ἀεὶ τὴν ἀπ' αὐτῆς ἔνδειξιν, ἢ περὶ τῆς μεταπτώσεως εἰρηκέναι τι, καθ' ἣν, ἐν τῷ
B χρόνῳ τῆς θερμότητος παυσαμένης, ἔμφραξις, ἢ ἔντασις, ἤ τι τοιοῦτον ἐγίνετο, τῆς ἐναντίας θεραπείας δεόμενον, τῆς κατ' ἀρχὰς ὁρισθείσης. μετὰ δὲ τὰς καταντλήσεις, ἢ πυρίας ὠφελοῦνται, ἐὰν λίνου σπέρμα ῥοδίνῳ ἐπιπάσας, ἔρια ῥυπαρὰ ἐξ ὀξυροδίνου θερμὰ περιθεὶς ἐπιδήσῃς. τοῦτο παρηγορικόν ἐστι τὸ βοήθημα, σφοδρῶς ἐνοχλούσης τῆς ὀδύνης, μετὰ τοῦ καὶ τὴν ὑποκειμένην διάθεσιν ὠφελεῖν, ὥσθ' ὅπου βοηθήματα τῆς ἐπιτεταμένης κεφαλαλγίας ἔγραψεν, ἐκεῖ βέλτιον ἦν αὐτῷ, καὶ περὶ τῆς πυρίας εἰρῆσθαι. κατὰ δὲ τὸν καιρὸν τοῦτον, ὑπὲρ οὗ νῦν ὁ λόγος ἐνέστηκεν, εἰ πυρίαις, ἢ καταπλάσμασι
C χρῆσθαι δόξειεν ἄν, αἱ μὲν πυρίαι διὰ τῶν κέγχρων ἀμείνους, ὡς γὰρ Ἱπποκράτης ἔφη, καὶ κοῦφος, καὶ προσηνὴς ὁ κέγχρος ἐστίν. οἱ δ' ἅλες ἀνιαροὶ διὰ τὸ βάρος εἰσίν, καὶ μάλιστα ἐπὶ τῆς κεφαλῆς.

Περὶ καταπλασμάτων ἐν κεφαλαλγίᾳ.

Καταπλάσμασι δὲ χρῶ κριθίνῃ ὠμῇ λύσει, ἐχούσῃ ἶριν κεκομμένην. ἢ πηγάνου σπέρματι ὁμοίως. ἢ μαράθρου ῥίζῃ ὁμοίως. ἢ τῇ ὠμῇ λύσει, δι' ὀξυμέλιτος γινομένῃ. ἢ μιγνύντος ἀλφίτου καὶ γλήχωνος, καὶ ταῦτα τὰ καταπλάσματα τοῦ
D δευτέρου καιροῦ τῶν ὑπ' αὐτοῦ διωρισμένων ἐστίν, ὃν ἐπιτεινομένης τῆς κεφαλαίας ἔθετο. παρηγορήσει τε γὰρ ἐκείνην, καὶ τὴν διάθεσιν ὠφελήσει. ἢ τῷ Νηλέως προσμίξας, καστορίου καὶ ἴρεως δέκατον, σὺν ὄξει καὶ ῥοδίνῳ ἐπιτίθει. τὸ μὲν οὖν τοῦ Νηλέως φάρμακον ἐμπλαστῶδες, ἔνδοξον ἱκανῶς ἐστιν ἐκ παλαιοῦ, καὶ διὰ τοῦτο πᾶσι γνώριμον. ἐπαγγέλλεται δὲ τὰ χρονίζοντα λείψανα, τῶν ἐν ὑποχονδρίοις φλεγμονῶν ἐκθεραπεύειν. ἀσαφῶς δὲ τὴν πρὸς αὐτῷ μίξιν ὁ Ἀρχιγένης ἔγραψεν, τοῦ τε καστορίου καὶ τῆς ἴρεως. ἄδηλον γὰρ, εἴτε καθ' ἕτερον αὐτῶν δέκατον μέρος εἶναι βούλεται, τοῦ Νη-
E λιακοῦ μαλάγματος, εἴτε συναμφοτέρων. ἄμεινον δέ μοι δοκεῖ μιγνύειν ἑκατέρου τὸ δέκατον. εἶναι δὲ χρὴ δηλονότι τὸ μὲν καστόριον, καὶ τὴν ἶριν ἀκριβῶς λεῖα. μαλαχθέντι δὲ ἐπιμελῶς τοῦ Νηλέως φαρμάκῳ, κατὰ βραχὺ μίγνυσθαι διὰ τῶν χειρῶν ταῦτα, μετὰ καὶ τοῦ βρέχειν ἐν μέρει τῷ ῥοδίνῳ, καὶ τῷ ὄξει τὰς χεῖρας. ἢ κάρυα πικρὰ λελεπισμένα, καὶ πήγανον, ἴρεώς τε ὀλίγον μίξας σὺν ὄξει, καὶ ῥοδίνῳ, μαλαγματῶδες ἐπιτίθει. τὰ τοιαῦτα φάρμακα πολλά, κατὰ τὸν δεύτερον καιρὸν τῆς προκειμένης διαθέσεως γεγραφότος αὐτοῦ, τὴν τῆς δυνάμεως ἐξήγησιν ἐπ' ἐκείνων ἐποιησάμην. ἢ ἄγνου σπέρμα,
F Περσαίας χλωρὰ φύλλα, καὶ σμύρνης ἴσα, σὺν μύρῳ Αἰγυπτίῳ, κατάπλασσε τὸ μέτωπον. ἐν Ἀλεξανδρείᾳ μόνῃ τὸ τῆς Περσαίας δένδρον εἶδον, οὐ μὴν ἐν ἄλλῳ γέ τινι τῶν ὑπὸ Ῥωμαίοις ἐθνῶν. ἔνιοι δὲ Πέρσιον ὀνομάζουσιν αὐτό, καί φασιν ἐν Πέρσαις ὀλέθριον εἶναι τὸν καρπὸν τοῦ δένδρου τούτου. κατὰ δὲ τὴν τῶν Αἰγυπτίων χώραν, ἀβλαβὲς ὑπάρχον. τὸ δὲ Αἰγύπτιον

μύρον, οὐχ οὕτως μόνον, ἀλλὰ καὶ Μενδήσιον ὀνομάζεται. τινὲς δὲ αὐτὸ καὶ μεγάλειον καλεῖσθαί φασιν, ἀπὸ τοῦ συντεθέντος αὐτὸ, Μεγάλλου τὴν ἐπωνυμίαν ἑκατέραν λαβόν. ἀπὸ μὲν αὐτοῦ τοῦ κατ' ἐκεῖνον ὀνόματος, ἐν τῇ τῶν καλουμένων παρωνύμων ἰδέᾳ, ἀπὸ δὲ τῆς πατρίδος αὐτοῦ, Μενδήσιον. ἔστι δὲ χαλαστικόν τε καὶ ἀνώδυνον. ἢ θεῖον, καστόριον, δαφνίδας ἴσα, μετὰ κηρωτῆς ῥοδίνης ἐμπλάσας, ἐπιτίθει κροτάφοις καὶ μετώπῳ. θερμαντικὸν ἱκανῶς ἐστι τὸ φάρμακον τοῦτο, ψυχρὰς διαθέσεις λῦσαι δυνάμενον. ἢ καστόριον, καὶ πευκέδανον ἴσα. παραπλήσιός ἐστι, καὶ ἡ τοῦδε τοῦ φαρμάκου δύναμις τῇ προγεγραμμένῃ. ἐπιμενόντων δὲ, φλεβοτομίᾳ ἀπὸ ῥινὸς, ἢ μετώπου, ἢ σικύαις κατὰ τοῦ ἰνίου, χρῶ. αἱ μὲν ἀπὸ τῶν πεπονθότων μορίων ἀφαιρέσεις τοῦ αἵματος ἐπὶ τῶν χρονιζόντων παθῶν, ἁρμόττειν ὡμολόγηνται σχεδὸν ἅπασι τοῖς ἰατροῖς. αἱ δὲ κατ' ἰνίου σικύαι, τῶν ἀντισπαστικῶν εἰσι βοηθημάτων, ἐφ' ὧν, ἀποτρέψαι τοὺς ἐπ' ὀφθαλμοὺς, ἢ ἐπὶ τὰ πρόσω τῆς κεφαλῆς εἰθισμένους χυμοὺς φέρεσθαι, ἐγχειροῦμεν. ἢ πταρμικῷ τινι διασείσον, σπαργάλῃ περιθεὶς, καὶ τὸ πνεῦμα κελεύσας κατασχεῖν. τὴν ἐκ τοῦδε τοῦ βοηθήματος ὠφέλειαν ἐδήλωσε προσθεὶς τῷ λόγῳ τὸ διασείσον. ἐκ δὲ τοῦ βρόχον περιθεῖναι τῷ τραχήλῳ, νομίζει σφοδροτέραν ἔσεσθαι τὴν διάθεσιν. ἢ διὰ ῥινὸς κάθαιρε. τοῦτο προειπὼν, ἐφεξῆς καταλέγει τὰ διὰ ῥινῶν καθαίροντα, περὶ ὧν ἐγὼ ποιήσομαι τὸν λόγον, ὥσπερ καὶ περὶ τῶν ἀποφλεγματιζόντων, ὅταν ὁ τῶν τῇ κεφαλῇ προσφερομένων φαρμάκων λόγος συμπληρωθῇ. σφόδρα δὲ χρονισάντων, σινάπιζε τὴν κεφαλὴν, ὡς ἔθος, καὶ διάκαιε. πάντων τῶν ἐπιπλεῖστον χρονιζόντων παθῶν, ὅταν μηδὲν ἀνύῃ τὰ βοηθήματα, τὴν μετασυγκριτικὴν ὑπὸ τῶν μεθοδικῶν ὀνομαζομένην θεραπείαν, ἅπαντες σχεδὸν εἰώθασι ποιεῖσθαι, τῶν μὲν προτέρων ἐπ' αὐτὴν ἀφικομένων ἰατρῶν, οὐκ οἶδα τίνι λογισμῷ χρησαμένων. ἐγὼ δὲ ἐφ' ὧν ἤτοι δυσκρασία τις ὑγρὰ, καὶ ψυχρὰ τοῖς πάσχουσι μορίοις ἐστὶν αὐτὴ καθ' ἑαυτὴν, ἢ διὰ ψυχρότητα χυμῶν τοιούτων γεγενημένη, τὰ διὰ νάπυος καὶ θαψίας, καὶ τῶν ὁμοίων αὐτοῖς προσφέρω φάρμακα. ταῖς δὲ θερμαῖς, καὶ ξηραῖς οὐ προσφέρω. τοῖς μέντοι μὴ δυναμένοις γνωρίζειν τὰς διαθέσεις, ἡ καταφυγὴ, καθάπερ ἐπὶ τὴν καλουμένην ἱερὰν ἄγκυραν εἰς τὰ τοιαῦτα γίνεται φάρμακα. καὶ διὰ τοῦτο πολλάκις ἀνύουσι τὸ δέον, ὅτι τοῖς πλείστοις τῶν ἀνθρώπων αἱ τοιαῦται διαθέσεις ἐνοχλοῦσι, μοχθηρῶς διαιτωμένοις.

Ἀρχιγένους περὶ τῶν διὰ μέθην κεφαλαλγούντων.

Ἐπὶ δὲ τῶν διὰ μέθην κεφαλαλγούντων, ἴρειδι ξηρᾷ, καὶ ἄγνου φύλλοις, ἐν ὄξει καὶ ῥοδίνῳ χρῶ. ἢ σελίνου κόμαις ἑφθαῖς ἐν οἴνῳ, κατάπλασσε· ἢ γλήχωνι μετ' οἴνου ὁμοίως· ἢ Μενδησίῳ μύρῳ κατάβρεχε ἰδίᾳ, ἢ μετὰ χηνείου στέατος· ἢ σμύρνῃ μετ' οἴνου Μενδησίου ἔμπλασσε· ἢ πηγάνου φύλλα, δαφνίδας, ἄγνον, λεύκης καρπὸν, ἴσα λεῖα μετ' ὀξελαίου χλιάνας, ἔμβρεχε. τὰ δὲ ἀμέθυστα τοιαῦτα ἂν εἴη, ἀψίνθιον περὶ νῆστιν πότιζε. ἢ μυρσίνης ἄνθος, καὶ σμύρναν, καὶ πήγανον λεῖα μεθ' ὕδατος. ἐπὶ δὲ τῶν διὰ μέθην κεφαλαλγούντων, αὐτάρκως εἴρηταί μοι τὰ ὑπὸ Ἀπολλωνίου γεγραμμένα σκοπουμένῳ. μετὰ δὲ τὴν προγεγραμμένην ῥῆσιν, ἄλλη ῥῆσίς ἐστι τῶν ἀπὸ στομάχου κεφαλαλγούντων, ὑπὲρ ἧς ἤδη λέλεκται.

A vnguentum non solùm sic, sed & Mendesium nominatur. Quidam etiam Megaleum vocari aiunt, vtroq; cognomine à Megalo, qui ipsum cõposuit, accepto; & ab illius quidem proprio nomine in denominatiuorũ forma Megaleum, à patria verò ipsius Mendesium, appellari. Est autẽ laxatorium, & sedat dolores. Aut sulfur, castorium, baccas lauri, æquis portionibus, cum cerato rosaceo infarta, têporibus & fronti imponito. Hoc medicamentum multùm calefacit, & frigidos affectus relaxare potest. Aut castorium, & peucedanum pari mensura. Consimilis est & huius medicamenti facultas cum præscripta. Quòd si affectus perseueret, venæ se-B ctione à naso, aut fronte, aut cucurbitis ad occiput affixis, vtitor. Sanguinis à locis affectis detractiones in affectionibus inueteratis conuenire omnes ferè medici confitentur. Verùm cucurbitæ ad occiput affixæ, ex reuulsoriis auxiliis sunt, quum humores ad oculos, aut ad anteriorem capitis partem ferri consuetos auertere conamur. Aut sternutatorio quopiam concutito, fasciolaq; collo circumposita spiritum cohibere iubeto. Vtilitatẽ ex hoc auxilio indicauit per verbi, concutito, adiectionem. Quod verò fasciolã collo circundare iubet, ad vehementiorem affectũ pertinet. Aut per nares pur-C gato. Hoc præfatus deinceps ea, quę per nares purgant, recenset, de quibus ego sermonem deinceps faciam, velut etiam de apophlegmatismis, vbi medicamentorum, quę capiti adhibentur, tractationẽ absoluero. At verò in vehementer inueteratis sinapi, vt moris est, capiti adhibe, & perure. In omnibus plurimũ inueteratis affectionibus, quum nihil profecerint reliqua auxilia, curationem Metasyncriticam à methodicis appellatam omnes ferè adhibere consueuerunt, prioribus medicis haud scio qua ratiocinatione primum ad eius vsum progressis. Ego verò quum intemperies quæpiam hu-D mida, & frigida, aut per se ipsam in partibus affectis adest, aut propter eiusmodi humorum frigiditatem fuerit oborta, ex sinapi, & thapsia, ac similibus adhibeo medicamenta; calidis verò, & siccis non adhibeo. Cæterùm hi, qui affectus cognoscere non possunt, ad eiusmodi medicamenta velut ad sacram appellatam anchoram confugiunt, & ob id sæpe quod conuenit perficitur, quòd plerosque hominum eiusmodi affectus propter prauam diætam infestent.

Archigenis, de iis qui ex ebrietate caput dolent.

E In iis qui ex ebrietate caput dolẽt, iridem siccã, & viticis folia ex aceto, & rosaceo adhibe; aut apij comas coctas in vino impone; aut pulegium ex vino eodem modo; aut Mendesium vnguentum per se, vel cum anserino adipe irrora; aut myrrham cum vino Mendesio impone; aut rutæ folia, baccas lauri, viticem, populi albæ fructum æquali mensura trita, cum aceto & oleo tepefacta irrora. Cæterùm ab ebrietate præseruantia, huiusmodi vtique essent. Absinthium manè ieiunis bibendum præbe; aut myrti florem, & myrrham, ac rutam trita ex aqua. De iis qui ex ebrietate caput do-F lent satis dictum à me est, quum ea quæ Apollonius ad hanc rem tradidit, expenderem. At verò post hanc præscriptam Archigenis dictionem alia sequitur de iis, qui caput ex stomacho dolent, de qua iam dictum est.

Eiuſdem Archigenis Amuleta ad dolorem capitis.

Quandoquidem verò & amuleta ad dolorem capitis Archigenes ſcripſit, quæ quidem nullam medicam rationem habent, ea his, qui talia per experientiam cognouerunt, & ſecundum mirabilem quandam antipatheiam homini incognitam efficacia eſſe dicunt, relinquam; quæ verò ab eo iuxta medicam rationem tradita ſunt, ſelecta referam tantùm, iuxta illius ipſius dictionem, quemadmodum hactenus de medicamentis facere conſueui. Polygoni duos ramulos coronæ modo imponito. Quòd polygonum calidis, & flatuoſis capitis doloribus conueniat, ipſe priùs dixi. Nihil itaque miri eſt, in talibus ſæpe ipſum iuuiſſe; nam propter ardorem, & ebrietatem dolores capitis aſſiduè contingunt. At verò quòd duos omninò ramulos eſſe oporteat, ab illis adiectum eſt, qui polygoni vtilitatem ex incognita antipathia, & non ex ipſius temperamento procedere volunt. Aut cichorium quod Romani intybum olus appellant, ægri capiti imponito, & maximè ſi ex ardore doleat. Rectiſſimè appoſuit, ſi ex ardore; ego verò etiam apponam, ſi ex ebrietate; ſic enim & roſaceæ coronæ iuuant. Eas igitur volenti itidem licebit aſcribere, numerumque quemcunque tandem velit, addere, & ex totidem roſis nexam coronam capiti mederi aſſeuerare. Deinceps callitricho coronare caput operæpretium ducit, quod trichomanes, inquit, quidam appellant. Ego verò eos, qui de herbis ſcripſerunt, adiantum magis appellare callitrichum ſcio, quàm trichomanes. Deinde paulo poſt philanthropio herba coronari iubet, & palmulæ maſculæ cortice ſummo. Et poſt hæc in hæc verba ſcribit; aut aduerſus Solem ægrum expoſitum, donec dolor quieſcat, ſinito. In amuletorum ſermone & hoc ab eo relatum eſt, quod quidem ex frigiditate dolens caput iuuare poteſt, ſi neque humoribus omnibus æqualiter redundet homo, neque ex cruditate laboret, aut aliquem vitiatum humorem in ventre, maximè circa cauitatem eius habeat; verùm calidos capitis dolores, ex quorum numero ſunt & ex ardore, ac ebrietate oborti, non parum lædet. Conſimilia his deinceps ſcribens, ad chamæmelum peruenit; cuius experientiam habemus, quod capitis dolorem iuuet, ſiquis eo, velut ante dictum, queat vti. Appellat autem Archigenes anthemidem hanc herbam, quemadmodum alij multi; & ait florem quidem ipſius tritum olfactum prodeſſe, folia verò olfactu ſummè nocere. Liberat à capitis dolore verbenaca herba, quam aliqui ſacram vocant, tum coronæ modo circumpoſita, tum illita ex roſaceo, & aceto. Hoc auxilium oportebat eum non nunc inter amuleta, ſed priùs inter medicamenta referre, ſi quidem re vera ei confidit, per longam experientiam cognito, & probato. Aut teſtudinis paluſtris, quam quidem lutariam vocant, ſanguinem ſincipiti inſtilla. Et hoc, ſi quidem verùm eſt, inter medicamenta, & cum diſcrimine referri conueniebat. Niſi ſanè hoc vult, quòd omnem capitis dolorem iuuet, idque omni temporis occaſione. Ita enim & nos antipathiæ teſtimonium ei præbebimus, non efficaciæ, quam ex temperamento habet. Abſoluto igitur de amuletis ſermone, deinceps hæc ſcribit.

A Τοῦ αὐτοῦ Ἀρχιγένους περίαπτα πρὸς κεφαλαλγίαν.

Ἐπειδὴ δὲ καὶ περίαπτα τοῖς κεφαλαλγοῦσιν ἔγραψεν ὁ Ἀρχιγένης, ὅσα μὲν οὐδένα λόγον ἰατρικὸν ἔχει τοῖς πείρᾳ κεκρικόσι, ταῦτα παραλείπω, κατά τινα θαυμαστὴν ἀντιπάθειαν ἄγνωστον ἀνθρώπῳ, φάσκουσιν ἐνεργεῖν. ὅσα δὲ λόγον ἰατρικὸν ἔχει τῶν ὑπ' Ἀρχιγένους γεγραμμένων, ἐκλέξας ἐρῶ μόνα, κατὰ τὴν ἐκείνου λέξιν αὐτοῦ, καθάπερ ἄχρι δεῦρο περὶ τῶν φαρμάκων ἔπραξα. πολυγόνου πλέξας δύο κλωνία, στεφάνωσον. ὅτι τὸ πολύγονον ἁρμόττει ταῖς B θερμαῖς καὶ πνευματώδεσιν κεφαλαλγίαις, αὐτὸς ἔμπροσθεν εἶπεν, οὐδὲν οὖν θαυμαστὸν, ἐπὶ τοιούτων αὐτὸ πολλάκις ὠφεληκέναι. καὶ γὰρ συνεχῶς αὗται συμβαίνουσιν δι' ἔγκαυσίν τε καὶ μέθην. τὸ δὲ δύο δεῖν εἶναι πάντως τὰ κλωνία, προσέρριπται τοῖς βουλομένοις τὴν ὠφέλειαν ἀπὸ τοῦ πολυγόνου, κατὰ ἀντιπάθειαν ἄγνωστον, οὐ κατὰ τὴν κρᾶσιν αὐτοῦ γίνεσθαι. ἢ κιχώριον, ὃ Ῥωμαϊστὶ καλούμενον ἴντυβον λάχανον, ἐπιτίθει τῇ τοῦ πάσχοντος κεφαλῇ, καὶ μάλιστα ἐὰν ἀπὸ ἐγκαύσεως ἀλγῇ. ἐγὼ δὲ καὶ προσθήσω· κἂν ἀπὸ μέθης. οὕτω γὰρ ὠφελοῦσι, καὶ οἱ ῥόδινοι στέφανοι· C καὶ τούτοις οὖν ἔξεστι γράφειν τῷ βουληθέντι, καὶ προστιθέντι τὸν ἀριθμὸν οὗ ἂν βουληθῇ, καὶ φάσκοντι τὸν ἐκ τοσῶνδε ῥόδων πεπλεγμένον στέφανον, ἰᾶσθαι τὴν κεφαλήν. ἐφεξῆς καλλιτρίχῳ στέφειν ἀξιοῖ τὴν κεφαλὴν, ὃ τινὲς ὀνομάζουσι, φησὶν, τριχομανές. ἐγὼ δὲ οἶδα τοὺς περὶ βοτανῶν γράψαντας, ἀδίαντον μᾶλλον ὀνομάζοντας τὸ καλλίτριχον τοῦ τριχομανοῦς. εἶτα μετ' ὀλίγον, τῇ φιλανθρωπείῳ βοτάνῃ στέφεσθαι κελεύει, καὶ φοίνικος ἄρρενος σεβενίῳ. καὶ μετὰ ταῦτα κατὰ λέξιν οὕτω γράφει. ἢ ἀντικρὺ τοῦ ἡλίου στήσας τὸν κεφαλαλγοῦντα, ἔα μέχρι παύσεται τοῦ D πόνου. ἐν τῷ τῶν περιάπτων καταλόγῳ, καὶ τοῦτο ὑπ' αὐτοῦ γέγραπται, τὴν μὲν ἐκ καταψύξεως ἀλγοῦσαν κεφαλὴν ὠφελῆσαι δυνάμενον, ἐὰν μήτε πληθωρικὸς εἴη ὁ ἄνθρωπος, μήτε ἠπεπτηκὼς, ἤ τινα χυμὸν μοχθηρὸν ἐν τῇ γαστρὶ, καὶ μάλιστα κατὰ τὸ κύτος αὐτῆς ἔχοι. τὰς δὲ θερμὰς κεφαλαλγίας, ὧν εἰσι καὶ αἱ δι' ἔγκαυσιν, καὶ μέθην, οὐ μικρὰ βλάψει. παραπλήσια τούτοις ἐφεξῆς γράψας, ἐπὶ χαμαίμηλον ἧκεν, οὗ πεῖραν ἔχομεν, ὠφελοῦντος κεφαλαλγίαν, ἐάν τις, ὡς ἔμπροσθεν ἐρρέθη, δύναιτο χρῆσθαι. καλεῖ δ' ὁ Ἀρχιγένης ἀνθεμίδα τὴν πόαν, ὥσπερ E καὶ ἄλλοι πολλοί, καί φησι τὸ μὲν ἄνθος αὐτῆς τριβόμενον, καὶ ὀσφραινόμενον ὠφελεῖν, τὰ δὲ φύλλα βλάπτειν ἄκρως. ἀπαλλάσσει κεφαλαλγίαν περιστερεὼν βοτάνη, ἣν τινὲς ἱερὰν καλοῦσιν, καὶ στεφομένη, καὶ καταχριομένη μετ' ὄξους, καὶ ῥοδίνου. τοῦτο ἐχρῆν αὐτὸν βοήθημα μὴ νῦν ἐν τοῖς περιάπτοις, ἀλλ' ἔμπροσθεν ἐν τοῖς φαρμακευτικοῖς, εἴπερ οὕτως αὐτῷ θαρρεῖ διὰ μακρᾶς πείρας ἐξητακὼς, γεγραφέναι. ἢ χελώνης λιμναίας, ἣν τινὲς ἀμύδα καλοῦσιν, αἷμα ἐπίσταζε ἐπὶ τὸ βρέγμα. καὶ τοῦτο εἴπερ ἀληθές ἐστιν, ἐχρῆν ἐν τοῖς φαρμάκοις αὐτὸ μετὰ διορισμοῦ γεγράφθαι. πλὴν εἰ μὴ τοῦτό φη- F σιν, ὡς ἅπασαν ὀνίνησι κεφαλαλγίαν κατὰ πάντα καιρόν. οὕτω γὰρ αὐτῷ, καὶ ἡμεῖς ἀντιπάθειαν αὐτοῦ μαρτυρήσομεν, οὐκ ἐνέργειαν ἧς ἔχει κράσεως. ὁπότε οὖν ἐπλήρωσε τὸν περὶ τῶν περιάπτων λόγον, ἐφεξῆς ἔγραψε ταῦτα.

Ἀρχιγένους περὶ τῶν ἐν τῇ κεφαλῇ γινομένων διαιρέσεων, καὶ θλάσεων.

Περὶ δὲ τῶν ἐπὶ τῇ κεφαλῇ γινομένων τραυμάτων, ἐφεξῆς ῥηθήσεται. μικρᾶς δὲ διαιρέσεως γινομένης, ἔνιοι σμύρναν ὄξει τρίψαντες, ἢ ἀλόην μετὰ μοτοῦ ἐπιπλάσσουσιν, καὶ κολλᾷ, καὶ ἀφλέγμαντα τηρεῖ θαυμαστῶς. ἐπὶ δὲ τῶν δίχα διαιρέσεως γινομένων περὶ τὴν κεφαλὴν θλασμάτων, ποιεῖ καὶ ἄλφιτα ἐπιτιθέμενα. ἔτι δὲ οἴσυπος, καὶ τὰ οἰσυπηρὰ ἔρια ὁμοίως. Ἄλλο. ἰδιαίτερον δὲ, σεμίδαλιν μεθ' ὕδατος κατάπλασσε. Ἄλλο. ἢ ὀρίγανον μετ' ἀλφίτου. ταῦτα δὲ, ὅτι μὲν ἐστὶ χρήσιμα ἐγνῶσθαι, τί δεῖ καὶ λέγειν. ἑτέρας δὲ πραγματείας ἐστὶν οἰκεῖα, πλὴν, ἢ τοῖς διὰ τοιαύτην αἰτίαν κεφαλαλγοῦσιν ἐπιτήδεια νομίζων ὑπάρχειν αὐτὰ γέγραφεν, ἢ ὡς θεραπεῦσαι τὰς ἐπιγινομένας φλεγμονὰς, ἢ ὡς κωλῦσαι δυνάμενα. καὶ μέντοι ἔν γε κατὰ ἔνια τῶν ἀντιγράφων, οὐδ' ὅλως φέρεται ταῦτα, καθάπερ ἐν ἄλλοις, ἔτι καὶ πλείω τούτων ὧδέ πως ἔχοντα. ἐπὶ δὲ τῶν γινομένων περὶ τὴν κεφαλὴν τραυμάτων, ἐπί τε τῶν συμμέτρων, ἢ μὴ πάντως ἰατροῦ νομίμου δεομένων, ἐφ' ὧν μὲν οὐκ ἔστιν ψίλωσις αὐτόθεν, ξυρήσαντες καὶ ἀγκτηριάσαντες, κολλητικοῖς τοῖς διὰ πείρας, χρησόμεθα. καλῶς κολλᾷ μήνιγγα τετρωμένην καλαμίνθης χύλισμα ἐγχεόμενον, καὶ ἄλευρον κέγχρινον, ξηρὸν ἐπιπασσόμενον. ἔπειτα βούτυρον, καὶ ῥόδινον, καὶ στέαρ ὕειον παλαιὸν, μίξαντα καὶ χλιάναντα ἐπιχεῖν αὐτῷ. ἐφ' ὧν δὲ γύμνωσίς ἐστιν ὀστέου, ἐπιδιελόντες τὸ περικράνιον, ξύσομεν τὸ ὀστέον, καὶ κατὰ θῆξιν, ὡς εἰ μηδὲ ἐψίλωτο, θεραπεύσομεν. εἰ δὲ μὴ κρατήσαιεν αἱ ῥαφαὶ, τό τε κατὰ συσσάρκωσιν, ὥσπερ καὶ τῶν λοιπῶν τραυμάτων ἐπιμελησόμεθα. τεθείσεται δὲ ἡ ἀγωγὴ ἐν ἰδίῳ τόπῳ. ἐφ' ὧν δὲ τραυμάτων, ἢ διὰ μικρότητα, ἢ ἄλλως οὐκ ἔνεστι ῥαφαῖς χρῆσθαι, τιλμάτιον μετ' ὀξελαίου ἐπιτίθει, ἢ μετὰ χυλοῦ μυρσίνης, ἢ σχίνου, ἢ βάτου, ἢ κονύζης τῆς λεπτοφύλλου, μίσγων τινὶ αὐτῶν μέλιτος ὀλίγον, βρέχων τὸ τίλμα, ἐπιτίθει. κατάπλασσε δὲ τῶν εἰρημένων τινὰ φύλλοις. ἢ σπόγγον καινὸν ἐν ὀξελαίῳ δεύσας ἐπίθες. ἢ ῥυπαρὸν ἔριον ὁμοίως. προστίθει δὲ ἐπ' αὐτὸ τὸ τραῦμα κράμβης φύλλα. ἢ ἄλφιτα ὄξει πεφυραμένα ἰδίᾳ κατάπλασσε, ἢ μετὰ κράμβης φύλλων τετριμμένων. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψε περὶ κεφαλαλγίας, ἅμα διορισμοῖς τισιν, ὡς καὶ ὁ Ἀπολλώνιος. Ἀσκληπιάδης δὲ ποικίλα μὲν ἔγραψε φάρμακα, διορισμοὺς δὲ αὐτοῖς οὐ πάνυ τι προσέθηκεν ἀπὸ τῶν διαθέσεων, ἀλλ' ἢ μόνον ἐπὶ τῶν ἀρχομένων τε καὶ χρονίων, καὶ τοῦτ' ἐποίησεν, οὐκ ἐπὶ πολλῶν, ἀλλ' ἐπί τε τοῦ πρώτου, καὶ τῶν τελευταίων δυοῖν. τὰ μὲν οὖν τελευταῖα πιστεύσειεν ἄν τις ἐπὶ τῶν χρονίων ἐνεργεῖν, ἐξ ἰσχυρῶν τῶν ἁπλῶν φαρμάκων συγκείμενα. τὸ δὲ πρῶτον, ἴσως διὰ τοῦτο μόνον ἄν τις εἰς χρείαν ἀγάγοι τοιαύτην, ὅτι τὸ τῆς μήκωνος ὀπὸν οὐκ ὀλίγον ἔχει. τὰ δὲ τοιαῦτα μεμαθήκαμεν, οὐ παρὰ τὰς διαθέσεις ὠφελεῖν, ἀλλὰ παρὰ τὴν αἰσθητικὴν δύναμιν ναρκοῦν, τὰς ὀδύνας εἰωθότα πραΰνειν. ἐφεξῆς οὖν, καὶ ταῦτα πάντα γραφήσεται.

Archigenis de Fissuris & contusionibus in capite factis.

De vulneribus autem in capite factis deinceps dicetur. Parua autem fissura facta, aliqui myrrham aceto tritam, aut aloën cum linamentis indunt; glutinaturque ita, & absque inflammatione mirabiliter asseruatur. Cæterùm in contusionibus citra disparationem, ac fissuram circa caput factis, polenta imposita commoda est. Amplius verò, & œsypum, atque ipsæ adeò lanæ sordibus sudoris succidæ eodem modo. Magis autem propriè similaginem ex aqua pro cataplasmate impones. Aut origanum cum polenta. Hæc vtilia iudicata esse quid attinet referre? verùm alterius negocij, atque operis sunt, quàm vt ob huiusmodi causam caput dolentibus apta esse iudicans, ea ascripsisse putandus sit; sed vt quæ obortas inflammationes curare, aut easdem prohibere possint. Atqui in aliquibus exemplaribus hæc in totum non habentur, velut in aliis etiam plura his in hunc modum. In mediocribus capitis vulneribus, aut quæ omninò legitimo medico non habent opus; in quibus quidem nuditas per se non adest, pilos rademus, fibulísque impositis constringemus, ac glutinantibus experimento cognitis vtemur. Egregiè glutinat vulneratam cerebri membranam, calaminthæ succus infusus, & farina milij arida inspersa, deinde butyro, & rosaceo, ac adipe suillo veteri mixtis, ac tepefactis infusis. In quibus verò os denudatum est, diuisa membrana caluariam ambiente, os ipsum scalpemus, & per suturæ adductionem, tanquam non sit denudatum, curabimus. Si verò non permaneant suturæ, iuxta syssarcosim, velut etiam aliorum vulnerum curam faciemus. Referetur autem huiusmodi curationis ductus in proprio loco. Cæterùm in quibus vulneribus, aut propter paruitatem, aut aliàs suturis vti non licet, linamentum conuulsum cum aceto, & oleo imponito, aut cum myrti succo, aut lentisci, aut rubi, aut conyzæ tenuia folia habentis; ad aliquem eorum exiguo admixto melle, ita vt linamentum ex his imbutum imponas. Et foliis alicuius ex prædictis pro cataplasmate vtitor. Aut spongiam nouam aceto, & oleo imbutam imponito. Aut lanam sordidam eodem modo. At verò ad ipsum vulnus brassicæ folia apponito, aut polentam aceto subactam per se imponito, aut cum brassicæ foliis tritis. Hæc quidem Archigenes scripsit ad capitis dolorem, discriminibus simul quibusdam additis, quemadmodum etiam Apollonius fecit. Asclepiades verò varia quidem medicamenta scripsit, sed eorum discrimina iuxta affectus non ita multum apposuit, sed saltem in incipientibus, & inueteratis; quanquam neque hoc in multis fecerit, sed in primo solum & postremis duobus. Postrema igitur credere quis possit inueteratis efficacia esse, vtpotè ex fortibus simplicibus medicamentis composita. Primum verò ob id fortassis solum quis in vsum talem assumpserit, quòd papaueris succum non paucum admixtum habet: huiusmodi autem didicimus, non propterea quòd affectibus prosint, sed quòd sensilem facultatem stupefaciant, dolores mitigare solere. Quare etiam ea omnia deinceps à me conscribentur.

Quæ Asclepiades ad capitis dolorem in primo externorum scripsit. A

Ad recentes capitis dolores irrigatio qua vsus est Nicomedes. ♃. Foliorum rutæ ʒ. ij. menthæ ʒ. ij. peucedani ʒ. iiij. iridis ʒ. ij. semi. ocymi ʒ. viij. semi. papaueris nigri ʒ. iiij. alij ʒ. viij. poscæ heminas ij. Ad dimidium coquito, & expressum succum cum rosaceo conquassato, & caput assiduè ex eo irrigato. *Aliud quo vsus est Charicles.* ♃. Amygdalarum amararum depuratarum drach. ij. floris viticis ʒ. duas, radicis peucedani ʒ. ij. menthæ viridis, siue aridæ B ʒ. ij. ramulorum rutæ ʒ. ij. baccarum lauri depuratarum ʒ. ij. serpilli ʒ. ij. spondylij ʒ. ij. castorij ʒ. ij. rosarum viridium, aut siccarum ʒ. iiij. aceti heminas duas, rosacei quod satis est. Apparato, ac vtere, vt dictum est.

Pastillus ad capitis dolorem, quo vsus est Antonius herbarius, qui multa artis experientia clarus fuit.

♃. Succi peucedani ʒ. sex, succi papaueris ʒ. quatuor, croci ʒ. quatuor, myrrhæ ʒ. quatuor, scammoniæ ʒ. iiij. Omnia trita cum aceto in pastillos redigito, eosque in vmbra reficcato. C Vsus autem tempore aceto dilutos fronti illinito, à tempore altero initio sumpto, & vsque ad alterum tempus progrediendo; in febricitantibus ex aqua illinito. *Quo Alexander vsus est, sic habet.* ♃. Peucedani radicis, aut succi ʒ. j. croci ʒ. j. myrrhæ ʒ. j. opij ʒ. j. Aceto excipe, ac redige in pastillos; vsu verò exigente aceto dissolutos locis dolorem sentientibus illinito. *Aliud Antigoni, qui in castris exercitus insignis medicus fuit.* ♃. Baccarum lauri siccarum purgatarum tritarum ʒ. quatuor, scammoniæ ʒ. quatuor, succi papaueris ʒ. quatuor, seminis apij ʒ. octo, croci ʒ. octo, myrrhæ drach. D quatuor, omphacij ʒ. quatuor, serpylli drach. octo, aceti quod satis est. Præpara, ac vtere vt dictum est.

Ad inueteratum capitis dolorem epithema, quo Charicles vsus est.

♃. Retrimentorum, quæ ab expresso irino vnguento supersunt, peucedani, castorij, singulorum partem vnam, baccarum lauri partes duas, seminis viticis partes duas, rosarum siccarum partes duas, ramulorum rutæ partes quatuor. E Aceto dissoluta cerato ex rosaceo apparato excipito; deinde linteolo impacta prærasis capillis per omne caput imponito, & fasciola obligato; atque vsque in sequentem diem obligata custodito, rursusque imponito. *Aliud valdè bonum.* ♃. Amygdalarum amararum, floris viticis, peucedani radicis, menthæ viridis, ramulorum rutæ, baccarum lauri, serpylli, spondylij, castorij, singulorum partem vnam; rosarum partes duas. Appara & vtere, vt dictum est. Post hæc præscripta medicamenta, Archigenes, & Apollonius, itemque Asclepiades, medicamenta conscripserunt, F quorum aliqua per os, aliqua per nares caput purgant. Cæterùm quæ Archigenes tradidit, hæc sunt iuxta illius ipsius dictionem.

Τὰ ὑπ' Ἀσκληπιάδου γραφέντα πρὸς κεφαλαλγίαν, ἐν τῷ πρώτῳ τῶν ἐκτός.

Πρὸς τὰς προσφάτους κεφαλαλγίας ἐμβροχή, ᾗ ἐχρήσατο Νικομήδης. ♃. πηγάνου τῶν φύλλων < β'. ἡδυόσμου < β'. πευκεδάνου < δ'. ἴρεως < β'. ὠκίμου σπέρματος < η'. μήκωνος μελαίνης σπέρματος < α'. οἱ δὲ < η'. ὀξυκράτου κοτύλας β'. ἕψε εἰς τὸ ἥμισυ, καὶ τὸ ὑγρὸν ἐκθλίψας ἀνάκοπτε ῥοδίνῳ, καὶ συνεχῶς ἔμβρεχε τὴν κεφαλήν. Ἄλλο ᾧ ἐχρήσατο Χαρικλῆς. ♃. ἀμυγδάλων πικρῶν κεκαθαρμένων < β'. λύγου ἄνθους < β'. πευκεδάνου ῥίζης < β'. ἡδυόσμου χλωρᾶς, ἢ ξηρᾶς < β'. πηγάνου ἀκρεμόνων < β'. δαφνίδων κεκαθαρμένων < β'. ἑρπύλλου < β'. σφονδυλίου < β'. καστορίου δραχμὰς β'. ῥόδων χλωρῶν, ἢ ξηρῶν δραχμὰς δ'. ὄξους κοτύλας β'. ῥοδίνου τὸ ἀρκοῦν, σκεύαζε καὶ χρῶ καθὰ προείρηται.

Τροχίσκος πρὸς κεφαλαλγίαν, ᾧ ἐχρήσατο Ἀντώνιος ὁ ῥιζοτόμος, πολλὴν ἔχων ἐμπειρίαν φαρμακείας.

♃. Ὀποῦ πευκεδάνου < ϛ'. ὀποῦ μήκωνος < δ'. κρόκου < δ'. σμύρνης < δ'. σκαμμωνίας < δ'. ἅπαντα λεάνας μετ' ὄξους ἀνάπλαττε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ. ἐν δὲ τῇ χρήσει ἀνιὼν μετ' ὄξους, ἐπίχριε τὸ μέτωπον, ἀπὸ κροτάφου ἀρξάμενος, καὶ ἐπὶ τὸν ἕτερον καταλήγων. ἐπὶ δὲ τῶν πυρεσσόντων, ὕδατι χρώμενος κατάχριε. ὡς δὲ Ἀλέξανδρος ἐχρήσατο, ἔχει οὕτως. ♃. πευκεδάνου ῥίζης, ἢ τοῦ ὀποῦ < α', κρόκου < α'. σμύρνης < α'. ὀπίου < α'. ὄξει ἀναλάμβανε, καὶ ποίει τροχίσκους, ἐν δὲ τῇ χρήσει ὄξει διαλύων, κατάχριε τοὺς ἐν αἰσθήσει τόπους. Ἄλλο. Ἀντιγόνου ἐν στρατοπέδῳ ἐπισήμως ἰατρεύσαντος. ♃. δαφνίδων ξηρῶν, λείων, κεκαθαρμένων < δ'. σκαμμωνίας < δ'. ὀποῦ μήκωνος < δ'. σελίνου σπέρματος < η'. κρόκου < η'. σμύρνης < δ'. ὀμφακίου < δ'. ἑρπύλλου < η'. ὄξους τὸ αὔταρκες. σκεύαζε καὶ χρῶ καθὰ προείρηται.

Χρονίως κεφαλαλγούντων ἐπίθεμα, ᾧ ἐχρήσατο Χαρικλῆς.

♃. Ἰρίνου μύρου πιέσματος, πευκεδάνου, καστορίου ἀνὰ μέρος α'. δαφνίδων μέρη β'. ἄγνου σπέρματος μέρη β'. ῥόδων ξηρῶν μέρη β'. πηγάνου ἀκρεμόνων μέρη δ'. ὄξει ἀναλύσας, ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου. ἔπειτα εἰς ὀθόνιον ἐμπλάσας, καὶ ξυρήσας τὰς τρίχας, ἐπιτίθει καθ' ὅλης τῆς κεφαλῆς. καὶ ταινιδίῳ καταδήσας, φύλαττε μέχρι τῆς ἐπιούσης ἡμέρας, καὶ πάλιν ἐπιτίθει. Ἄλλο σφόδρα καλόν. ♃. ἀμυγδάλων πικρῶν, λύγου ἄνθους, πευκεδάνου ῥίζης, ἡδυόσμου χλωροῦ, πηγάνου ἀκρεμόνων, δαφνίδων, ἑρπύλλου, σφονδυλίου, καστορίου, ἀνὰ μέρος α'. ῥόδων μέρη δύο, σκεύαζε καὶ χρῶ, καθάπερ εἴρηται. ἐφεξῆς τῶν προγεγραμμένων, ἔγραψεν ὁ Ἀρχιγένης, καὶ ὁ Ἀπολλώνιος, καὶ ὁ Ἀσκληπιάδης φάρμακα τὰ μὲν διὰ στόματος, τὰ δὲ διὰ ῥινὸς καθαίροντα τὴν κεφαλήν. ἔστι δὲ τὰ μὲν ὑπ' Ἀρχιγένους γεγραμμένα, κατ' αὐτὴν τὴν ἐκείνου λέξιν τάδε.

A

Ἀρχιγένους περὶ ἀποφλεγματισμῶν, καὶ ῥινεγχύτων.

Μετὰ ταῦτα δ' ἀποφλεγματισμοὶ διὰ νάπυος, ἢ ὑσσώπου, μετὰ γλυκέος καθεψημένου. ἢ σταφίδος μετὰ πεπέρεως τετριμμένης. ἢ μέλιτος ἐλαίῳ μεμιγμένου. ἢ σταφίδος ἀγρίας κατ' ἰδίαν, ἢ μετὰ μέλιτος τετριμμένης. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν ἐν τοῖς τῶν κεφαλαλγικῶν ἰάμασιν. ὁ δὲ Ἀπολλώνιος ἐν τοῖς πρὸς τὰ τῶν ὀδόντων ἀλγήματα, κατὰ τὸ πρῶτον τῶν εὐπορίστων, ὧδέ πως ἔγραψεν αὐτῇ λέξει. πρὸς ὀδονταλγίας ἔγχυτα εἰς τὴν ῥῖνα. τεύτλου ῥίζης τὸν χυλὸν αὐτὸν καθ' ἑαυτὸν ἐγχυμάτιζε εἰς τὴν ῥῖνα, καὶ λύει τοὺς πόνους τῶν ὀδόντων. Ἄλλο. ℞ κυμίνου ὅσον τοῖς τρισὶ δακτύλοις, καὶ σμύρνης ὅσον κύαμον, καὶ σικύου ἀγρίου τὸ ἐντὸς ὅσον διπλάσιον τρίψας, καὶ γάλακτι γυναικείῳ μίξας, ἀνάπλασον κολλύρια, καὶ ἔνθες εἰς ἑκάτερον τῶν μυκτήρων, εἶθ' οὕτω κέλευσον ἀνασπᾶν, ἐφ' ὅσον ἄν τις διέλθοι στάδια ε'. εἶτα ἐκμύξασθαι. τὸ φάρμακον τοῦτο καὶ πρὸς ὠταλγίας ποιεῖ. ὁ δὲ Ἀσκληπιάδης ἐν τῷ πρώτῳ τῶν ἐκτὸς, οὕτως ἔγραψε κατὰ λέξιν. Ἀσκληπιάδης περὶ ἐρρίνων, καὶ πταρμικῶν, καὶ ἀποφλεγματισμῶν. κεφαλῆς καθαρτικὰ ἔρρινα. ποιεῖ δὲ καὶ τοῖς ὑπὸ χρονίου ὀφθαλμίας ἐνοχλουμένοις, ποιεῖ καὶ τοῖς ἐπιληπτικοῖς, καὶ ἄγει πολλὴν ὑγρασίαν. ℞ μελανθίου < η'. ἁλὸς ἀμμωνιακοῦ < α'. ἐλατηρίου < α'. τρίψας, καὶ λεῖα ποιήσας, ἀναλάμβανε σικυωνίῳ ἐλαίῳ, ἢ μύρῳ ἰρίνῳ, ἢ κυπρίνῳ, ὥστε κηρωτῆς ὑγρᾶς ἔχειν τὸ πάχος, καὶ ἀνελόμενος εἰς πυξίδα κερατίνην χρῶ, ὑποχρίων τοὺς μυκτῆρας, καὶ κέλευε ἀνασπᾶν. Ἄλλο, ὥστε ἀλύπως καθαίρειν, ἄπονον ποιεῖ παραχρῆμα. ℞ κυκλαμίνου ξηρᾶς δραχμὰς η'. ἴρεως ξηρᾶς < β'. νίτρου ἐρυθροῦ δραχμὴν μίαν, αὐτὸς ἐλατηρίῳ ἐχρησάμην, τρίψας ἐπιμελῶς, ἐμφυσήσας διὰ καλαμίδος, προσέταξα ἀνασπᾶν, ἔπειτα δὲ κάτω νεύειν, ὥστε τὸ συναγόμενον ὑγρὸν ἀποῤῥεῖν. τούτων ἐφεξῆς ὁ Ἀσκληπιάδης ἔγραψεν αὖθις ὀνόμασι τάδε. περὶ πταρμικῶν. πταρμικὰ κεφαλὴν καθαίροντα Ἡρακλείδου Ταραντίνου. ℞ κυμίνου αἰθιοπικοῦ, πεπέρεως λευκοῦ, στρουθίου, καστορίου, ἑκάστου τὸ ἴσον, κόψας καὶ σήσας, ἀπόθου εἰς πυξίδα χαλκῆν, ἐν δὲ τῇ χρήσει, σαλεύων τὴν πυξίδα, ἀναπωμάσας προσφέρε τῇ ῥινὶ, καὶ τῷ δακτύλῳ προσάπτου, ἢ διὰ καλαμίδος ἐμφύσα. Ἄλλο. ℞ ζιγγιβέρεως δραχμὰς β'. στρουθίου < β'. πεπέρεως λευκοῦ δραχμὴν μίαν, κασσίας δραχμὴν μίαν, χρῶ καθὰ προείρηται. χρονικῆς κεφαλαλγίας πταρμικὰ Πτολεμαίου, ποιεῖ σκοτωματικοῖς, ἐπιληπτικοῖς. ℞ ἐλλεβόρου λευκοῦ δραχμὰς δ'. ἐν ἄλλῳ α'. σικύου ἀγρίου ῥίζης δραχμὴν μίαν, στρουθίου < α'. νίτρου ἐρυθροῦ δραχμὴν μίαν, καστορίου < α'. πεπέρεως λευκοῦ < α'. χρῶ καθὰ προείρηται. Ἄλλο. ℞ ἐλλεβόρου λευκοῦ, σικύου ἀγρίου ῥίζης, στρουθίου ἀνὰ μέρη β'. καστορίου, ἀκόρου, νίτρου ἐρυθροῦ, κυμίνου Αἰθιοπικοῦ, ἀνὰ μέρος α'. εὐφορβίου μέρος α'. λείοις χρῶ καθὰ προείρηται. μετὰ τὴν τῶν πταρμικῶν γραφὴν προγεγραμμένην, ὁ Ἀσκληπιάδης ἔγραψεν ὧδέ πως. διαμασήματα κεφαλῆς καθαρτικὰ, ἄγει πολλὴν ὑγρασίαν. ℞ πεπέρεως λευκοῦ δραχμὰς β'. σταφίδος ἀγρίας δραχμὰς β'. κασσίας < β'. ἀναλάμβανε σταφίδι χωρὶς τῶν γιγάρτων, ἢ σύκων λιπαρῶν τῇ σαρκὶ, καὶ δίδου διαμασᾶσθαι. δεῖ δὲ διαμασώμενον κάτω νεύειν, καὶ κεχηνέναι ἐκ διαλειμμάτων, ὥστε τὸ συλλεγόμενον ὑγρὸν ἀποῤῥεῖν.

Archigenis de Apophlegmatismis, & quæ naribus infunduntur.

Post hæc verò apophlegmatismi ex sinapi, aut hyssopo cum passo cocto, aut ex staphide syluestri cum pipere trita, aut ex melle oleo admixto, aut ex staphide syluestri per se, & cum melle trita. Hæc quidem Archigenes inter remedia doloris capitis scripsit. Apollonius verò de iis, quæ ad dentium dolores, in primo parabilium tradidit, hæc verba scripsit. *Quæ naribus infunduntur in dentium dolore.* Radicis betæ succum
B per se in nasum infundito, & dolores dentium soluet. *Aliud.* ℞. Cumini quantum tribus digitis apprehendi potest, & myrrhæ ad magnitudinem fabæ, medullæ cucumeris syluestris duplum, trita & lacte muliebri subacta in collyria redigito; eaque in vtranque narem indito; deinde quandiu quis quinque stadia percurrere possit, attrahere, & postea emungere iubeto. Hoc medicamentum & ad aurium dolores facit. Asclepiades autem in primo exteriorum ita scripsit. *Asclepiades de iis, quæ naribus induntur, & de sternutatoriis, & apophlegmatismis. Errhina quæ naribus indita caput purgant.*
C *Conferunt etiam veteri Lippitudine oculorum infestatis; faciunt & ad comitiali morbo apprehensos, ducuntque multam humiditatem.* ℞. Melanthij ʒ. viij. salis ammoniaci drach. j. elaterij drach. j. trita & quàm tenuissimè læuigata sicyonio oleo, aut irino vnguento, aut cyprino, excipe, quo ad cerati liquidi crassitudinem perducantur; & reconditis in cornea pyxide vtitor, sublitis inde naribus, atque ægris attrahere iussis. *Aliud citra molestiam purgans, doloremque è vestigio sedans.* ℞. Cyclamini siccæ ʒ. viij. iridis siccæ drach. ij. nitri rubri drach. j. Ego elaterio vsus sum di-
D ligenter trito, & per arundinem insufflato, ægro ipsum attrahere iusso, atque deinde deorsum inclinari, quo videlicet coactus liquor destillet. Post hæc verò Asclepiades in hæc verba scripsit. *De sternutatoriis. Sternutatoria caput purgantia Heraclidæ Tarantini.* ℞. Cumini Æthiopici, piperis albi, struthij, castorij, singulorum æquales partes contusas, & cribratas in ærea pyxide reponito. Vsu verò exigente, pyxidem concutito, & apertam naribus admoueto, aut cum digito adhibeto, aut etiam per arundinem insufflato. *Aliud.* ℞. Zingiberis drach. ij. struthij drach. ij. piperis albi drach. j. casiæ drach. j. vte-
E re vt dictum est. *Ad veterem capitis dolorem sternutatoria Ptolemæi. Facit ad vertiginem & comitiali affectos.* ℞. Veratri albi drach. iiij. alij vnam habent; radicis cucumeris syluestris drach. j. struthij drach. j. nitri rubri drach. j. castorij drach. j. piperis albi drach. j. Vtere vt dictum est. *Aliud.* ℞. Veratri albi, radicis cucumeris syluestris, struthij, singulorum partes duas; castorij, acori, nitri rubri, cumini Æthiopici, singulorum partem vnam; euphorbij partem vnam. Tritis vt dictum est vtere. At verò post dictorum sternutatoriorum descriptionem Asclepiades in
F hunc modum scripsit. *Quæ mansa caput purgent, & multam humiditatem ducant.* ℞. Piperis albi ʒ. ij. staphidis syluestris drach. ij. origani ʒ. ii. casiæ ʒ. ii. Excipe vuarum passarum exacinatarum, aut ficuum pinguium carne, & mandenda præbe. Mandentes vero deorsum inclinari oportet, & per interualla hiare, quo collectus humor destillet.

Post

Post verò etiam aqua calida in ore cōtinenda; quæ etiam, vbi multam perceperint mordacitatem, eis etiam frigida exhibenda est. *Aliud.* ℞. Staphidis syluestris, pyrethri, piperis albi, hyssopi, cardamomi, singulorum æquales partes, polentæ duplum. Aqua subigito ac vtitor vt dictum est. Porrò ex subscriptis medicamentis quibusdam præceptores meos vsos scio, quibusdam amicos, aliqua etiam ipse in vsum assumpsi, vt ex multo vsu fidem suam mihi probauerint. Sunt autem hæc. Foliorum cucumeris syluestris succus naribus infunditur tum per se solus, tum betæ addito decocto, aut succo. *Aliud.* Myrrham melle coctam naribus infundito. *Aliud.* ℞. Aloës, nitri, melanthij, *nigellæ*, parem mensuram, cum oleo veteri ad strigmentorum crassitudinem redacta. *Aliud quod manditur.* ℞. Nitri sexuncem, anisi trientem, staphidis syluestris quadrantem; foliorum lauri viridium, & vuæ passæ exacinatæ, parem mensuram; excipe, & ex hac mixtura pastillos trium drachmarum coge, & singulos, vsu expetente, mandendos præbe. *Aliud quod naribus inditur.* ℞. Euphorbij ʒ. ß. thapsiæ ʒ. j. iridis ʒ. j. mellis cocti sesquidrachmam, succi radicis betæ quantum sufficit. Ex hoc ad milij magnitudinem accipe, & aqua dilutum, specilloque exceptum naribus infunde. *Aliud quod naribus infunditur.* ℞. Succi cyclamini cyathos ij. succi foliorum hederæ cyathum vnum, peucedani obolum vnum, elaterij obolum vnum. In vitreo vase recondito, vsu verò expostulante lacte muliebri dissoluta naribus infundito. *Aliud* ℞. Myrrhæ trientem, euphorbij trientem, piperis albi grana xxv. Myrrham aqua prius dissoluito, vnaque ipsum euphorbium; deinde piper tritum addito, & adiecto olei gleucini sexunce vtitor. *Aliud, quod naribus infusum multam pituitam per os detrahit.* ℞. Olei communis sextarios duos, saponis libram vnam, resinæ frictæ sesquilibram, opopanacis ℥. j. Per anchusam colorato, ac vtitor, ore prius aqua expleto. *Aliud quo os illinitur.* Saponem betæ succo dilutum iuxta palatum illinito, atque itidem iuxta oris columellam. Idem etiam naribus infundi potest.

A δεῖ δὲ μετὰ ταῦτα ἐν τῷ στόματι ὕδωρ θερμὸν διακρατεῖν. δήξεως δὲ πολλῆς γινομένης, δοτέον διακατέχειν. Ἄλλο. ℞. σταφίδος ἀγρίας, πυρέθρου, πεπέρεως λευκοῦ, ὑσσώπου, καρδαμώμου, ἑκάστου τὸ ἴσον, ἀλφίτων τὸ διπλοῦν, ὕδατι φυράσας, χρῶ καθὰ προείρηται. τῶν ἐφεξῆς γεγραμμένων φαρμάκων ἐνίοις μὲν εἶδον τοὺς διδασκάλους χρωμένους, ἐνίοις δὲ φίλους, ἔνια δὲ καὶ αὐτὸς εἰς χρῆσιν ἤγαγον, ὡς διὰ πείρας πολλῆς βασανίσαι τὴν ἐπαγγελίαν αὐτῶν. ἔστι δὲ τὰ ὑπογεγραμμένα. σικύων ἀγρίων φύλλων χυλὸς ἐγχεῖται ταῖς ῥισὶν, αὐτός τε καθ᾽ ἑαυτὸν, καὶ μετὰ τεύ-
B τλων ἀφεψήματος, ἢ χυλοῦ. Ἄλλο. σμύρναν μέλιτι ἑψήσας ἔγχει ταῖς ῥισίν. Ἄλλο. ℞. ἀλόης, νίτρου, μελανθίου ἴσα μετ᾽ ἐλαίου παλαιοῦ, ὥστε γενέσθαι γλοιώδες. Ἄλλο διαμασώμενον. ℞. νίτρου ℥ ϛ΄. ἀνίσου ℥ δ΄. σταφίδος ἀγρίας ℥ γ΄. δάφνης φύλλα χλωρὰ, καὶ σταφίδος ἡμέρου ἐκγιγαρτισμένης ἴσα ἀναλάμβανε, ἐκ τούτου τοῦ μίγματος, ποίει τροχίσκους ἐκ τριῶν δραχμῶν, ὡς ἕκαστον αὐτῶν μασᾶσθαι τῆς χρείας καλούσης. Ἄλλο ἔρρινον. ℞. εὐφορβίου < ∫΄΄. θαψίας < α΄. ἴρεως < α΄. μέλιτος ἑφθοῦ < α΄ ∫΄΄. τεύτλου ῥίζης χυλοῦ, τὸ ἀρκοῦν. ἐκ τούτου λαμ-
C βάνων κέγχρου μέγεθος ἀνιεὶς ὕδατι, μήλῃ ἀναλαμβάνων, ἔγχει τοῖς μυκτῆρσι. Ἄλλο ἔρρινον. κυκλαμίνου χυλοῦ κύαθοι β΄. κισσοῦ φύλλων, χυλοῦ κύαθος εἷς, πευκεδανίου ὀβολὸς α΄. ἐλατηρίου ὀβολὸς α΄. ἐν ὑελίνῳ ἀγγείῳ ἀποτίθενται, ἀναλυομένων ἐπὶ τῆς χρείας γάλακτι γυναικείῳ, ἔγχει ταῖς ῥισίν. Ἄλλο. ℞. σμύρνης ℥ δ΄. εὐφορβίου ℥ δ΄. πεπέρεως λευκοῦ, κόκκους κε΄. προδιαλύσας ὕδατι τὴν σμύρναν, καὶ τὸ εὐφόρβιον, μίξον λοιπὸν τὸ πέπερι, καὶ πρόσβαλλε ἐλαίῳ γλευκίνῳ ℥ ϛ΄. καὶ οὕτω χρῶ. Ἄλλο ἔρρινον ἀποφλεγματίζον διὰ στόματος ἱκανῶς. ℞. ἐλαίου κοινοῦ ξε β΄.
D σάπωνος λίτραν α΄. φρυκτῆς λίτραν α΄ ∫΄΄. ὀποπάνακος ℥ α΄. ἀγχούσῃ χρῶσον, καὶ χρῶ προπληρώσας ὕδατι τὸ στόμα. Ἄλλο διάχριστον στόματος. σάπωνα διεὶς τεύτλου χυλῷ, χρῖσον τὰ κατὰ τὸν οὐρανίσκον, καὶ τὸν κίονα τοῦ στόματος. τὸ δ᾽ αὐτὸ τοῦτο, καὶ ἔρρινόν ἐστι.

Quæ Crito in primo de medicamentis scripsit his verbis. Apophlegmatismi.

Staphis syluestris per se, & cum pulegio mansa. *Aliud.* ℞. Staphidis syluestris & origani, vtriusque acetabulum, nitri ʒ. ij. trita cochlearij mensura manducanda præbeto, donec os pituita repleatur; deinde aperto ore effluere sinito. *Aliud.* ℞. Origani ℥. iiij. hyssopi ʒ. iiij. staphidis syluestris ʒ. iiij. spumæ nitri ʒ. ij. sinapis ʒ. ij. pyrethri drach. iij. tritis vtere. *Aliud.* ℞. Sinapis partem vnam, staphidis syluestris partem vnam; contusis vtere. Hoc pharmacopolæ vtuntur. *Aliud.* Hyssopo, thymo, origano, tum per se, tum simul mixtis, vtere. *Aliud.* Medullæ colocynthidis in aceto ad multum tempus coctæ, aut etiam per longum tempus in vino maceratæ, liquorem in ore contineto. *Aliud.* Allia cum erucæ semine, & nitro. *Aliud.* ℞. Staphidis syluestris drach. vij. pyrethri drach. iiij. hyssopi ʒ. j. contusa in orbiculares pastillos cogito, eosque drachmæ pondere formatos, manducandos exhibeto.

Τὰ ὑπὸ Κρίτωνος γραφέντα ἐν τῇ πρώτῃ βίβλῳ, περὶ φαρμάκων αὐτοῖς ὀνόμασιν οὕτως. Ἀποφλεγματισμοί.

Σταφὶς ἀγρία διαμασωμένη καὶ ἰδία, καὶ μετὰ γλήχωνος. Ἄλλο. ℞. σταφίδος ἀγρίας, καὶ ὀριγάνου ἀνὰ
E ὀξύβαφον, νίτρου < β΄. λεῖα δίδου κοχλιαρίου πλῆθος διαμασᾶσθαι ἕως ἂν πληρωθῇ τὸ στόμα, εἶτα χάνων, ἐάτω ῥεῖν. Ἄλλο. ℞. ὀριγάνου ℥ δ΄. ὑσσώπου < δ΄. σταφίδος ἀγρίας < δ΄. ἀφρονίτρου < β΄. σινήπεως < β΄. πυρέθρου < γ΄. λεαίνας χρῶ. Ἄλλο. ℞. σινήπεως μέρος α΄. σταφίδος ἀγρίας μέρος α΄. κόψας χρῶ. τούτῳ οἱ φαρμακοπῶλαι χρῶνται. Ἄλλο. ℞. ὑσσώπου, θύμου, ὀριγάνου, καὶ ἰδίᾳ καὶ ὁμοῦ χρῶ. Ἄλλο. κολοκυνθίδος τὸ ἐντὸς ἐν ὄξει ἑψημένον πλείονα χρόνον ἐν τῷ στόματι κρατουμένου τοῦ ὑγροῦ, ἢ ἐν οἴνῳ ἀποβραχείσης κολοκυνθίδος πλείονα χρόνον.
F Ἄλλο. σκόροδα μετ᾽ εὐζώμου σπέρματος, καὶ νίτρου. Ἄλλο. ℞. σταφίδος ἀγρίας < ζ΄. πυρέθρου < δ΄. ὑσσώπου < α΄. κόψας, ἀνάπλασσε κυκλίσκους, ἀνὰ < α΄. καὶ δίδου διαμασᾶσθαι.

A

Τὰ ὑπὸ Κρίτωνος ἐπὶ τῶν ἰκτεριώντων, ἔῤῥινα φάρμακα γεγραμμένα.

Ἔῤῥινον ἐκκρίνει διὰ ῥινῶν, καὶ στόματος. μὴ ξενιαθῇς δὲ ἐὰν ἀναθερμαίνῃ, ἢ τραχύνῃ τὴν ὑπερῴαν, μετασυγκρίνει γάρ. ℞. σταφίδος ἀγρίας < α΄. μελανθίου < γ΄. λεάνας μετ᾽ ὄξους, ὡς γλοιοῦ ὑγρότερον εἶναι, ἐγχυμάτιζε τὰς ῥῖνας ἐπὶ ἡμέρας ε΄. ἕως ἐκκαθαρθῇ. ποίει δὲ, παρ᾽ ἡμέραν. Ἄλλο. ℞. κισσοῦ φύλλα δέκα, δάφνης φύλλα δέκα, τρῖβε μετ᾽ ἐλαίου ἕως γλοιῶδες γένηται, καὶ παράσταζε ταῖς ῥισὶν ὁμοίως. Ἄλλο. ἄκρως δὲ ποιεῖ ἐπ᾽ αὐτῶν, καὶ τὸ ἐλατήριον ἐμφυσώμενον εἰς τὰς ῥῖνας. δεῖ μέντοι ἀβλαβῶς αὐτὸ βουλόμενον ποιεῖν, ἐμβιβάζειν εἰς ἔμβασιν θερμοῦ, καὶ οὕτως ὅλου βαπτιζομένου τοῦ σώματος, πλὴν τοῦ προσώπου, ἐμφυσᾶν τὸ ἐλατήριον. ἄγει γὰρ χολὴν δαψιλῆ διὰ μυξωτήρων. Ἄλλο. ἐλατηρίου, ἡλίκον ὄροβον, διεὶς γυναικείῳ γάλακτι, ἔγχεον εἰς τοὺς μυκτῆρας, καὶ ἐπὰν γένηται ἡ κάθαρσις, κάθιζε εἰς μακρὰν, καὶ ἀπόνιπτε, καὶ διαίτῃ ἀναλάμβανε.

C

Τὰ ὑπ᾽ Αἰνείου παραδοθέντα ἐκ πείρας πρὸς ἀποφλεγματισμόν.

Ὧν πεῖραν ἔχον Αἰνείου χρωμένου, παρ᾽ οὗ καὶ τὰς γραφὰς ἔλαβον. ἔῤῥινον ἀποφλεγματίζον. ℞. σάπωνος λίτρας ϛ΄. στέατος αἰγείου λίτραν α΄. κηροῦ λίτρας γ΄. πίσσης ξηρᾶς 𐅵 δ΄. οἱ δὲ 𐅵 γ΄. νίτρου τὸ ἴσον. κονίας, στακτῆς δριμείας κύαθοι δύο, ἀνίει ὕδατι, καὶ χρῶ, μήλῃ ἐγχέων, καὶ κέλευε ἀνασπᾶν. προσέμβρεχε τὴν κεφαλὴν ἰρίνῳ, καὶ μετὰ τὴν χρῆσιν μελικράτῳ πολλάκις ἀνακογχυλιζέσθω. Ἄλλο. ℞. εὐφορβίου < ϛ΄. λυκίου Ἰνδικοῦ < δ΄. ἀναλάμβανε τεύτλου χυλῷ, καὶ μέλιτι, καὶ ἀνίει ὕδατι, ἢ γάλακτι. D Ἄλλο. κυκλαμίνου χυλοῦ, κύαθοι δύο, κισσοῦ κορύμβων χυλοῦ, κύαθος εἷς, πευκεδάνου ὀποῦ. ὀβολὸς εἷς, ἐλατηρίου, ὀβολὸς εἷς, χρῶ ἐν βαλανείῳ μετὰ γάλακτος γυναικείου. Ἄλλο. ℞. πυρέθρου, πεπέρεως, ὑσσώπου, σταφίδος ἀγρίας ἴσον, ποίει τροχίσκους δραχμιαίους, ὧν ἕνεκα διαμασάσθω, καὶ μετὰ τὴν ὑπ᾽ αὐτοῦ κάθαρσιν ἁλσὶ, καὶ μέλιτι ἀποθεραπευέσθω. πταρμικά. ℞. πεπέρεως λευκοῦ, ἐλλεβόρου λευκοῦ, καστορίου, εὐφορβίου, στρουθίου, κυκλαμίνου χυλοῦ ξηροῦ ἴσα, προερεθίσας πτερῷ, ἐμφύσα. E

Περὶ τῆς χρήσεως ἁπάντων τῶν ἰσχυρῶν φαρμάκων.

Ὃν ἂν περὶ τῶν προειρημένων φαρμάκων εἴπω λόγον τῆς χρήσεως, τοῦτον ἐπὶ πάντα τὰ ἄλλα ὅσα δύναμιν ἰσχυρὰν ἔχει, μεταλαβεῖν χρή. προσήκει γὰρ οὐκ εὐθέως ἐξ ἀρχῆς τὰ δραστικώτατα προσφέρειν, ἀλλ᾽ ἀπὸ τῶν ἀσθενεστέρων ἄρχεσθαι, καὶ μέντοι καὶ αὐτὰ τὰ ἰσχυρὰ φάρμακα πραϋνόμενα τῇ μίξει τῶν παρηγορικῶν, γίνεται μέτρια. καὶ διὰ τοῦτο ἐγὼ γάλακτι γυναικείῳ προσφάτῳ λειῶν αὐτῶν ἔνια, καὶ ὕδατι, καὶ μετὰ ταῦτα ἐλαίῳ γλυκεῖ, κἄπειτα χυλοῦ F τεύτλου, καὶ ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης, οὕτως ἐκ προσαγωγῆς χρῶμαι, καὶ τὸ τελευταῖόν γε καὶ δι᾽ ὀποβαλσάμου λειῶν ταῦτα, προσφέρω τὴν μὲν πρώτην γάλα μιγνὺς, ἐπειδὰν δὲ ῥᾳδίως φέρῃ τοῦτο, καὶ χωρὶς τοῦ γάλακτος. εὐπορίστῳ δὲ πολλάκις ἐχρησάμην φαρμάκῳ ἐγχεομένῳ

Quæ medicamenta naribus indenda Crito ictericis conscripsit.

Medicamentum quod naribus infunditur, & tum per nares, tum per os excernit. Ob id ipsum verò ne consterneris, si palatum calefaciat, aut exasperet, ex alto enim auocat, ac transfert humores. ℞. Staphidis syluestris ʒ. j. melanthij ʒ. iij. cum aceto trita, ad formam strigmento liquidiorem redigito, & per dies quinque in nares infundito, donec expurgetur æger; id autem alternis diebus facito. *Aliud.* B ℞. Hederæ folia decem, lauri folia decem, cum oleo terendo ad strigmenti crassitudinem redigito, & naribus similiter instillato. *Aliud.* Egregiè facit, & elaterium insufflatum in ipsorum nares. Cæterùm si quis hoc citra detrimentum facere velit, in calidæ solium ægrum immittet, atque ita toto corpore præter faciem in eo immerso elaterium insufflabit; largè enim bilem per nares educit. *Aliud.* Elaterium ad magnitudinem erui in lacte muliebri dilutum naribus infundito; atque vbi purgatio prodierit, in calidæ labrum demittito, ac lauato, & per diætam reficito.

Quæ Aeneas per experientiam pituitam detrahentia tradidit.

Quorum experientiam per Æneæ vsum habeo, à quo etiam descriptiones accepi. *Medicamentum quod naribus inditur, atque pituitam detrahit.* ℞. Saponis ℔. vj. adipis caprini ℔. j. ceræ ℔. iij. picis aridæ trientem, quidam verò quadrantem habent; nitri tantundem, lixiuij acris cyathos ij. aqua diluito, & dum vteris per specillum infundito, attrahereque iubeto. Caput verò irino prærigato, & post vsum aquam mulsam sæpe gargarizandam præbeto. *Aliud.* ℞. Euphorbij ʒ. vj. lycij Indici ʒ. iiij. succo betæ excipe, ac melle addito coge. Vsus tempore aqua, aut lacte dilue. *Aliud.* ℞. Succi cyclamini cyath. ij. succi cacuminum hederæ cyath. j. succi peucedani obolum vnum, elaterij obolum vnum. Vtere in balneo cum lacte muliebri. *Aliud* ℞. Pyrethri, piperis, hyssopi, staphidis syluestris, parem mensuram in pastillos drachmæ pondere cogito; quorum vnum manducandum præbeto, & post factam ab ipso purgationem, sale, & melle curato. *Sternutatorium.* ℞. Piperis albi, veratri albi, castorij, euphorbij, struthij, succi cyclamini aridi, æquali mensura, penna præirritatis insufflato.

De vsu omnium vehementiam medicamentorum.

Quam vtendi rationem de prædictis medicamentis dixero, eam ad omnia alia quæcunque validam vim habent, transferre oportet. Non enim statim à principio efficacissima adhibere conuenit, sed à debilioribus auspicari. Quin & ipsa valida medicamenta mitigatoriorum admixtione lenita, moderata fiunt. Et ob id ego quædam ex eis muliebri lacte recenti, & aqua diluo, & post hoc oleo dulci, deinde betæ succo, & anagallidis, quæ cœruleum florem habet, itidem succo; atque ita sensim in vsu eorum progredior, donec postremum etiam per opobalsamum talia dissoluo. Ac primùm quidem lacte admixto adhibeo: quod vbi leuiter ferunt ægri, etiam citra lactis adiectionem admoueo. Porrò parabili sæpe medicamento vsus

vsus sum, quod naribus infunditur, melanthio aliquando quidem aceto acri rigato, ac pridiè macerato, deinde sequenti rursus cum aceto trito, & naribus infuso, aût ægro ipsum absorbere in nares iusso. Aliquando verò oleo veteri idem melanthium contriui, atque ita intrò instillans vsus sum, quo modo etiam Archigenes eo vtitur in narium obturatione. Priore vero, quod cum aceto infunditur, Crito vtitur in ictericis.

CAPVT III.

De Hemicrania.

HEmicrania affectio dolorifica circa dimidiã capitis partem aliquando dexteram, aliquando alteram, contingit, quæ iuxta futuram secundum longitudinem eius extensam terminatur, & vt plurimum per circuitum exacerbatur, influxu vaporum, aut humorum, siue multorum, siue calidorum, siue frigidorum, causam dolori suggerente. Quidam igitur ipsorum circa temporum musculos vehementer dolitant, & pleraque sanè ipsorum pars hoc modo affligitur. Quidam verò dolorem ad sublimiora ascendentem habent. Et quidam adeò vehementer dolent, vt neque manuum contactum facilè ferant; in quibus palam est, pelliculam caluam ambientem esse affectam, & neque cutem ipsam omnino ab affectione immunem existere. Rationabile igitur est vaporum, aut humorum, aut vtrorunque influxum, siue per venas siue per arterias, siue per vtrasque contingere; quum interdum ea sola, quæ intra caluam continentur, hoc est cerebrum, eiusque membranæ, quod in ipsis redundat foras protrudant; interdum verò corpus infra caput positum vitiatos vapores, aut humores sursum mittat. Quapropter vbi quis hemicraniam curare aggreditur, prius quali purgatione, aut venæ sectione æger opus habeat, consideret; atque ita deinde ad capitis auxilia progrediendo, tum per digitos suæ manus, tum per linteum, dimidiam frontis partem, & eam maximè, quæ circa temporum musculum est, confricando excalefaciat, atque id ante irritationis tempus faciendum est. Post exacerbationem verò medicamentis hemicranicis à medicis appellatis vtendum, si quidem multa caliditas in doloribus percipiatur, iis quæ refrigerans quippiam habent; citra verò hanc, iis quæ multum excalefaciant. Vtrisque verò aliquid ex iis, quæ robur addunt misceatur, quod astringentem videlicet habeat facultatem. Demiror autem quod neque Apollonius, neque Archigenes, neque Asclepiades quicquam de hemicranicis medicamentis, quæ meritò post doloris capitis totius medicamenta subiicienda erant, conscripserunt. Decebat enim ipsos, tametsi nihil priuatim in se habeant, propterea quòd inter ea quæ totius capitis dolori destinata sunt, contineantur, id ipsum saltem annotare. Similiter autem & ab Hera & à Critone, vberior de hac affectione tractatio neglecta est. Cæterùm per quæ medicamenta inueterato capitis dolori medentur per eadem constat, eos etiam hemicranicis affectibus auxiliari. Heras itaque in medicamentario libro statim à principio in hæc verba ad capitis dolorem medicamenta conscripsit.

A τῇ ῥινὶ μελανθίῳ, ποτὲ μὲν ὄξει δριμεῖ διαβρέχων πρὸ μιᾶς ἡμέρας, εἶτα τῇ ὑστεραίᾳ, σὺν ὄξει πάλιν λεάων, καὶ ἐγχέων εἰς τὴν ῥῖνα διὰ τῶν μυκτήρων, ἢ τὸν κάμνοντα κελεύων ἀναῤῥοφεῖν αὐτό. ἐνίοτε δὲ ἐλαίῳ παλαιῷ, τὸ αὐτὸ μελάνθιον λεάων, καὶ ὁμοίως χρώμενος. οὕτω μὲν οὖν αὐτῷ χρῆται, καὶ ὁ Ἀρχιγένης ἐπὶ ἐμφράξεως μυκτήρων. τῷ δὲ προτέρῳ μετ' ὄξους, ὁ Κρίτων ἐπὶ τῶν ἰκτεριώντων.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

B

Περὶ ἡμικρανίας.

ΠΑθος ὀδυνηρὸν γίνεται κατὰ τὸ ἥμισυ μέρος τῆς κεφαλῆς, ἐνίοτε μὲν τὸ δεξιόν. ἔστι δ' ὅτε καὶ κατὰ θάτερον, ὁριζόμενον τῇ κατὰ τὸ μῆκος αὐτῆς ἐκτεταμένῃ ῥαφῇ. καὶ τὰ πολλά γε κατὰ περίοδον παροξύνεται, τῆς ὀδύνης αἰτίαν ἐχούσης, ἐπιῤῥοὴν ἀτμῶν, ἢ χυμῶν, ἤτοι πολλῶν, ἢ θερμῶν, ἢ ψυχρῶν. ἔνιοι μὲν οὖν αὐτῶν κατὰ τοὺς κροταφίτας μῦς ἀλγοῦσι σφοδρῶς, καὶ πλείους γε εἰσιν οἱ οὕτως ἀλγοῦντες. ἔνιοι δὲ καὶ μέχρι πλείστου τὴν ὀδύνην
C ἐπαναβαίνουσαν ἔχουσιν, καί τινές γε οὕτω σφοδρῶς ἀλγοῦσιν, ὡς μηδὲ τὰς ἐπιβολὰς τῶν χειρῶν εὐκόλως φέρειν. ἐφ' ὧν εὔδηλός ἐστιν ὁ περικράνιος ὑμὴν πάσχων, οὐκ ἀπαθοῦς τὸ πάμπαν, οὐδὲ τοῦ δέρματος ὑπάρχοντος. εὔδηλον οὖν ἐστι, τὴν ἐπιῤῥοὴν τῶν λυπούντων ἀτμῶν, ἢ χυμῶν, ἢ ἀμφοτέρων, ἤτοι διὰ τῶν φλεβῶν, ἢ ἀρτηριῶν, ἢ δι' ἀμφοῖν γίνεσθαι. ποτὲ μὲν αὐτῶν μόνων τῶν ἔνδον τοῦ κρανίου, τουτέστιν ἐγκεφάλου τε καὶ μηνίγγων, τὸ περιττεῦον ἐν αὐτοῖς ἀπωθουμένων ἐκτὸς, ποτὲ δὲ τοῦ κάτω τῆς κεφαλῆς σώματος, ἀναπέμποντος ἀτμοὺς, ἢ χυμοὺς μοχθηρούς.
D διὸ καὶ θεραπεύειν τις ἐγχειρῶν ἡμικρανίαν, ἐπισκεψάσθω πρότερον, ὁποίας δεῖται, καθάρσεως, ἢ φλεβοτομίας ὁ κάμνων, εἶθ' οὕτως ἐπὶ τὰ τῆς κεφαλῆς αὐτῆς ἀφικνούμενος βοηθήματα, διά τε τῶν δακτύλων τῆς ἑαυτοῦ χειρὸς, καὶ διὰ σινδόνος, ἀνατρίβων τὸ ἥμισυ μέρος τοῦ μετώπου, καὶ μάλιστα τὸ κατὰ τὸν κροταφίτην μῦν ἐκθερμαινέτω, πρὸ τῶν παροξυντικῶν ὡρῶν πράττων τοῦτο. μετὰ δὲ τὸν παροξυσμὸν, τοῖς καλουμένοις ὑπὸ τῶν ἰατρῶν ἡμικρανικοῖς φαρμάκοις χρήσθω. θερμασίας μὲν πολλῆς ἐν ταῖς ὀδύναις αἰσθανομένης, τοῖς ἔχουσί τι ψυκτικόν. ἄνευ δὲ
E ταύτης τοῖς ἱκανῶς θερμαίνουσιν. μεμίχθω δὲ ἑκατέροις τῶν τονούντων τι, στυπτικὴν ἔχον τὴν δύναμιν δηλονότι. θαυμάζω δὲ ὅπως, οὔθ' ὁ Ἀπολλώνιος, οὔθ' ὁ Ἀρχιγένης, οὔτε Ἀσκληπιάδης, ἐφεξῆς τοῖς πρὸς τὰς κεφαλαλγίας φαρμάκοις, ἔγραψέν τι καὶ περὶ τῶν ἡμικρανικῶν ὀνομαζομένων. ἐχρῆν γὰρ αὐτοὺς, εἰ καὶ μηδὲν ἴδιον ἐπ' αὐτῶν ἐστι, διὰ τὸ περιέχεσθαι κατὰ τὸ τῆς κεφαλαλγίας, αὐτό τε τοῦτο ἐπισημαίνεσθαι. παραπλησίως δὲ καὶ τῷ Ἥρᾳ, καὶ τῷ Κρίτωνι, τὸ περὶ τοῦ πάθους τούτου διελθεῖν ἐπὶ πλέον ἠμέληται. δι' ὧν δὲ τοῖς κεχρονισμένοις ἀλγοῦσι τὴν κεφαλὴν βοηθοῦσι φαρμάκων,
F ἐνδείκνυται καὶ τοῖς ἡμικρανικοῖς τὴν αὐτὴν εἶναι βοήθειαν. ὁ μὲν οὖν Ἥρας ἐν τῇ φαρμακίτιδι βίβλῳ, κατ' ἀρχὴν εὐθέως ὧδί πως ἔγραψε πρὸς κεφαλαλγίαν.

Ἐκ τῶν τοῦ Ἡρα πρὸς κεφαλαλγίαν.

℞. Κροκομάγματος μέρος α'. κηκίδος μέρος α'. λεάνας μετ' οἴνου, κατάχριε τὸ μέτωπον, καὶ τοὺς κροτάφους. τροχίσκος πρὸς κεφαλαλγίαν ἄκρως ποιῶν, δὶς ἢ τρὶς ἐπιχριόμενος ἀπὸ κροτάφου ἕως κροτάφου. ℞. κρόκου < ιε'. χαλκάνθου < ι'. στυπτηρίας σχιστῆς < ιγ'. σμύρνης < γ'. ὀπίου < γ'. ὀμφακίου < γ'. χαλκίτεως < γ'. κόμμεως δραχμὰς ιε'. λεάνας ταῦτα, πρόσβαλλε οἴνου αὐστηροῦ Φαλερίνου τὸ αὔταρκες, καὶ τρίβε, ὡς κολλύριον, εἶτα ποιήσας τροχίσκους, ἐπὶ τῆς χρείας ἀνιεὶς ὀξυκράτῳ, ἢ ὄξει, χρῶ. μάλαγμα πρὸς κεφαλαλγίαν. ℞. ἰοῦ ξυστοῦ < δ'. χαλκοῦ κεκαυμένου < β'. λεπίδος στομώματος δραχμὰς β'. κιμωλίας δραχμὰς δ'. χαλκίτεως δραχμὰς δ'. κισσήρεως ὠμῆς δραχμὰς δ'. τερμινθίνης ℥ α'. κηροῦ < λζ' S. ἐλαίου παλαιοῦ, κυάθους β'. τοῖς ξηροῖς λειοτάτοις τὰ τηκτὰ ἐπικαταχέων, μάλασσε, καὶ χρῶ. ἐὰν δὲ σκληρότερον δοκῇ εἶναι τὸ φάρμακον, ἐλαίῳ ἀμυγδαλίνῳ ἀναμάλασσε. ταῦτα μὲν ὁ Ἡρας πρὸς κεφαλαλγίαν ἔγραψε. χρῶνται δὲ αὐτοῖς ἔνιοι, καὶ κατὰ τῶν ἡμικρανικῶν ἀλγημάτων, ὥσπερ καὶ τοῖς ἄλλοις φαρμάκοις, ὅσα γέγραπται τοῖς προγεγραμμένοις ἀνδράσι, πρὸς τὰς χρονιζούσας κεφαλαλγίας. οὐ μέντοι κατὰ παντὸς ἐκτείνουσιν τοῦ μετώπου τὸ φάρμακον, ἀλλὰ κατὰ τοῦ πεπονθότος μορίου μόνον. ἑνὶ δὲ τῶν ἡμετέρων διδασκάλων ἔθος ἦν χρῆσθαι, πρὸς τὰς κεχρονισμένας ἡμικρανίας τῷδε τῷ φαρμάκῳ. ℞. πεπέρεως λευκοῦ δραχμὰς β'. κροκομάγματος δραχμὰς β'. εὐφορβίου < S. χρῶ. λέλεκται δὲ περὶ τῆς εὐφορβίου δυνάμεως ἤδη μοι, διότι ταχέως ἐκλύεται. χρὴ τοίνυν ἐμβάλλειν εἰς τὰ τοιαῦτα φάρμακα τοῦ μὴ παλαιοῦ. λέλεκται δέ, καὶ ὡς τὸ μὲν πρόσφατον, λευκότερόν ἐστιν. ἐπὶ δὲ τὸ ξανθότερον, ἢ ὠχρότερον χρῶμα τρέπεται, παλαιούμενον. ἐὰν δὲ μὴ πάνυ παλαιὸν ᾖ τὸ εὐφόρβιον, ἀλλὰ δυοῖν, ἢ τριῶν ἐτῶν, διπλάσιον αὐτοῦ βάλλοις, τουτέστι δραχμὴν μίαν, ὥσπερ δὲ τὸ εὐφόρβιον πρόσφατον χρὴ βάλλειν, οὕτω καὶ κόπρου περιστερᾶς < S. τῶν ὀρεινῶν περιστερῶν, ἃς ἐν πύργοις τρέφουσιν, ἑαυταῖς τὴν τροφὴν πορίζουσας, οὐχ ὡς ἐν ταῖς πόλεσιν, αἳ κατὰ τὴν οἰκίαν τρεφόμεναι, καὶ μέντοι καὶ τοῦ μέλανος τοῦ γραφικοῦ, τὸ ἴσον ἐμβάλλεται τῇ τῶν περιστερῶν κόπρῳ, τουτέστιν < S. τοῦ μέλανος, κἀνταῦθα τοῦ ἡμετέρου τοῦ Περγαμηνοῦ βαλλομένου, τούτῳ γὰρ ἐχρήσατο διὰ παντὸς ὁ διδάσκαλος. ἢ οὖν αὐτὸ ἐκεῖνο χρὴ βάλλειν τὸ ἐκ Περγάμου μέλαν, ἤ τι τῶν ἄριστα κατεσκευασμένων, καὶ μίξαντας ταῦτα πάντα, φυρᾷν καὶ ἀναδεύειν ὄξει δριμυτάτῳ, καὶ λειώσαντας ἐπαλείφειν τὸν κροταφίτην μῦν, καὶ ὅλον τὸ ἥμισυ τοῦ μετώπου, καὶ τὸ πεπονθὸς μέρος τῆς κεφαλῆς. ἕτερον φάρμακον, οὐ μόνον ἡμικρανίας, ἀλλὰ καὶ πάσης κεφαλαλγίας κεχρονισμένης ἐπιχριόμενον, ἐν μὲν ταῖς κεφαλαλγίαις κατὰ τοῦ μετώπου παντός, ἐν δὲ ταῖς ἡμικρανίαις, κατὰ τοῦ ἡμίσεως μέρους τῆς κεφαλῆς τοῦ πεπονθότος. ℞. κρόκου δραχμὰς ε'. χαλκάνθους < ι'. στυπτηρίας σχιστῆς δραχμὰς γ'. σμύρνης δραχμὰς γ'. ὀπίου δραχμὰς γ'. ὀμφακίου δραχμὰς γ'. κόμμεως δραχμὰς ιε'. λειώσας πάντα πρόσβαλλε οἴνου Φαλερίνου, καὶ λείου πάλιν, ὡς κολλύριον, εἶτα ἀναπλάσας τροχίσκους, ἐπὶ τῆς χρείας ἀνιεὶς ὀξυκράτῳ, ἢ ὄξει, κατάχριε. ἕτερον πρὸς τὰς αὐτὰς διαθέσεις. ℞. σκαμμωνίας < ϛ'. κρόκου δραχμὰς β'. κισσοῦ κόμης δραχμὰς ϛ'. θείου ἀπύρου δραχμὰς δ'. ἀνίσου σπέρματος δραχμὰς η'. σελίνου σπέρματος δραχμὰς η'. λειώσας ἐπιμελῶς, ὠκίμου χυλῷ ἀνάπλασον. τοῦτο πλείονι

Medicamenta ex libris Heræ ad capitis dolorem.

℞. Crocomagmatis partem j. gallæ partem j. trita ex vino fronti, ac temporibus illinito. *Pastillus ad capitis dolorem egregiè faciens, à tempore ad tempus bis aut ter illitus.* ℞. Croci ʒ. xv. atramenti sutorij ʒ. x. aluminis scissi ʒ. xiij. myrrhæ ʒ. iij. opij ʒ. iij. omphacij ʒ. iij. chalcitidis ʒ. iij. gummi ʒ. xv. Tritis omnibus vini Falerni austeri, quod satis est affunde, & vt collyrium tere, indeque in pastillos omnia redige. Vsu verò expetente, posca, aut aceto dilutis vtere. *Malagma ad capitis dolorem.* ℞. Æruginis rasilis ʒ. iiij. æris vsti ʒ. ij. squamæ stomomatis ʒ. ij. cimoliæ ʒ. iiij. chalcitidis ʒ. iiij. pumicis crudi ʒ. iiij. terebinthinæ ℥. j. ceræ ʒ. xxxvij. & dimidiam, olei veteris cyathos ij. Aridis tenuissimè tritis, liquabilia liquefacta affunde, emolli, ac vtere. Quod si durius videatur medicamentum, oleo amygdalino emollito. Hæc quidem medicamenta Heras ad capitis dolorem scripsit. Vtuntur autem eis quidam etiam ad hemicranicos dolores, quemadmodum etiam aliis medicamentis, quæ prædicti viri ad inueteratos capitis dolores destinauerunt. Non tamen per omnem frontem medicamentum extendunt, sed per affectam solùm partem. Cæterùm ex præceptoribus nostris quispiam hoc medicamentum ad inueteratas hemicranias in vsu habebat. ℞. Piperis albi ʒ. ij. crocomagmatis ʒ. ij. euphorbij ʒ. ß. vtere. Porrò de euphorbij facultate iam mihi relatum est, quòd citò exoluatur; quare in eiusmodi medicamenta non vetus coniicere oportet. Dictum etiam recens albidius esse, quod verò inueteratum est, flauioris, aut pallidioris coloris reddi. Verùm si non valdè vetus sit euphorbium, sed duorum, aut trium annorum, duplum eius adiicies, hoc est ʒ. j. Quemadmodum autem euphorbium recens coniiciendum est, sic itidem stercoris columbini drachmæ dimidium, ex columbis montanis, quas in turribus nutriunt, sibi ipsis victum quærentes, non velut quæ in vrbibus intra domos nutriuntur. At verò & atramenti scriptorij æqua portio, hoc est, drachmæ dimidium ad columbinum stercus iniicitur; atque ad hanc rem nostrum Pergamenum præstat, eo enim semper præceptor noster vtebatur. Aut igitur illud ipsum ex Pergamo atramentum iniicere oportet, aut aliquod aliud optimè præparatum. Atque ita omnibus his mixtis, & probè subactis, acetoque acerrimo imbutis, ac dilutis, temporis musculus, & dimidium frontis, & affecta capitis pars illinenda est. *Aliud medicamentum, quod non solùm in hemicrania, sed & in omni inueterato capitis affectu illinitur; in cephalalgiis, per omnem frontem; in hemicrania verò per mediam capitis partem affecta.* ℞. Croci ʒ. v. atramenti sutorij drach. decem, aluminis scissi drach. iij. myrrhæ drachmas tres, opij drachmas tres, chalciteos drachmas tres, omphacij drach. tres, gummi drach. xv. Omnibus tritis vinum Falernum adiice, & rursus, vt collyrium tere, deindeque in pastillos redige. Vsus verò tempore posca dilutos, aut aceto, illine. *Aliud ad eosdem affectus.* ℞. Scammoniæ drachmas sex, croci drachmas duas, comæ hederæ drachmas sex, sulfuris viui drachmas quatuor, seminis anisi drachmas octo, seminis apij drachmas octo, diligenter trita cum ocymi succo in pastillos cogito.

Hoc

Hoc medicamentum multo rosaceo dissolutũ capitibus lethargicorum rigandis fit commodum. *Aliud medicamentum non iisdem conueniens, sed & vertiginosis auxiliare.* ♃. Radicis peucedani ʒ. iiij. iridis Illyricæ ʒ.ij. æruginis ʒ.j. acori ʒ.j. spondylij ʒ.iiij. piperis nigri ʒ. ij. ß. castorij ʒ.ij. ß. serpilli ʒ. iiij. ß. myrrhæ ʒ. ij. baccarum lauri numero xxxv. rutæ viridis ʒ.viij. menthæ viridis ʒ.iiij. opij ʒ. j. aceto excipe, & in pastillos redige. Vsu exigente aceto & rosaceo dilutos illine. Verùm cerato rosaceo exceptum hoc pharmacũ, vt malagma imponitur. *Pastillus non solum Hemicrania laborantibus commodus, sed & Ischiadicis auxiliaris* ♃. Thapsię ʒ.iij. euphorbij ʒ.iiij. laseris, siue succi Medici ʒ. iij. myrrhæ ʒ.j. opopanacis ʒ. j. Simul contusa in pastillos cogito, quos deinde vsus tempore aceto tritos illinito. Hæc quidem composita sunt medicamenta. Sæpe verò & ipsis, ac simpliciter euphorbij illitione vsus sum, exigua cera ad consistentiam adiecta. Sufficit autem in libram olei, siue sabini, siue alterius ei propinqui, cerę quadrantem iniicere. & euphorbij ℥. j. atque ex hoc dimidiam frontis partem illinere, vnà cum temporis videlicet musculo. Cæterùm in quibus suspicionem habueris à calidis vaporibus, aut humoribus, hemicraniam fieri, in his ne admoueris hoc medicamentum; iis verò qui ob frigidas causas infestantur, commodissimum adeò est, vt sæpe semel ante balneum illitum, quamcitissimè affectionem persanet, vt à balneo omnino sani ægri euadant. Iuuat etiam hos, si oleum tepidum in aurem instilletur, modico euphorbio ad oleum iniecto; nimirum ad libram olei vnam, euphorbij vncia dimidia, si validum euphorbium existat; si verò non, etiam amplius iniicere conuenit. Verùm in corporibus molli, ac tenero sensu præditis, etiam si minus quàm dimidiam vnciam inieceris, melius res procedet.

A ῥοδίνῳ λυθὲν, ἐπιβροχῇ τῆς κεφαλῆς γὰρ τοὺς ληθαργικοὺς ὠφελοῦσα. ἕτερον φάρμακον, οὐ μόνον ἐπὶ τῶν αὐτῶν ἁρμόττον, ἀλλὰ καὶ τοὺς σκοτωματικοὺς ὠφελοῦν. ♃. πευκεδάνου ῥίζης < δ'. ἴρεως Ἰλλυρικῆς < β'. ἰοῦ < α'. ἀκόρου < α'. σφονδυλίου δραχμὰς δ'. πεπέρεως μέλανος < β' S''. καστορίου < β' S''. ἑρπύλλου < δ' S''. σμύρνης δραχμὰς β. δαφνίδων ἀριθμῷ λε'. πηγάνου χλωροῦ < η'. ἡδυόσμου χλωροῦ δραχμὰς δ'. ὀπίου < α'. ὄξει ἀναλαβὼν, ποίει τροχίσκους. ἐπὶ δὲ τῆς χρείας, ὄξει καὶ ῥοδίνῳ διεὶς κατάχριε. ἀναληφθὲν δὲ κηρωτῇ διὰ ῥοδίνου, ὡς μάλαγμα ἐπιτίθεται. Τροχίσκος, οὐ μόνον τοὺς ἡμικρανίᾳ κάμνοντας B ὠφελῶν, ἀλλὰ καὶ τοὺς ἰσχιαδικούς. ♃. θαψίας < γ'. εὐφορβίου < δ'. ὀποῦ Μηδικοῦ < γ'. σμύρνης < α'. ὀποπάνακος < α'. ὁμοῦ κόψας ἀνάπλασσον, εἶτα ἐπὶ τῆς χρείας ὄξει ἀποτρίβων, κατάχριε. ταῦτα μὲν σύνθετα φάρμακα. πολλάκις δὲ ἐχρησάμην αὐτοῖς, ἀρκεσθεὶς ἁπλῶς δι' εὐφορβίου χρίσματι, προσλαβὼν ὀλίγου κηροῦ, συστάσεως ἕνεκα. ἀρκεῖ δὲ εἰς λίτραν ἐλαίου, ἤτοι Σαβίνου, ἢ τινὸς αὐτῷ παραπλησίου ∫ο γ'. ἐμβάλλειν κηροῦ, καὶ μίαν τοῦ εὐφορβίου, καὶ τούτῳ καταχρίειν τὸ ἥμισυ μέρος τοῦ μετώπου, μετὰ τοῦ κροταφίτου δηλονότι μυός. ἐφ' ὧν δ' ἂν ὑπονοήσῃς ὑπὸ θερμῶν ἀτμῶν, ἢ χυμῶν, γίνεσθαι τὸ κατὰ τὴν C ἡμικρανίαν ἄλγημα, μὴ προσφέρε τὸ φάρμακον τοῦτο. τοῖς δὲ ὑπὸ ψυχρῶν αἰτίων ἐνοχλουμένοις ὠφελιμώτατόν ἐστιν, ὥσπερ πολλάκις ἅπαξ, καταχρισθὲν πρὸ τοῦ βαλανείου, ταχέως ἐξιᾶσθαι τὸ πάθος, ὡς μετὰ λουτρὸν ὑγιεῖς γίνεσθαι παντελῶς τοὺς κάμνοντας. ὀνίνησι δὲ τούτοις, καὶ εἰς τὸ οὖς ἐγχεόμενον ἔλαιον χλιαρὸν, ἐμβεβλημένου βραχέος εὐφορβίου, εἰς λίτραν μίαν. τὸ βραχὺ τοῦτο, ἥμισύ ἐστι ∫ο. ὅταν εὔτονον τὸ εὐφόρβιον ᾖ. εἰ δὲ μὴ, καὶ πλέον ἐμβάλλειν προσήκει. ἐπὶ δὲ τῶν εὐαισθήτων σωμάτων, κἂν ἔλαττον ἡμίσεως ∫ο. βάλῃς, ἄμεινον ποιήσῃς.





ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΟΝ Γ'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Γ'. ΒΙΒΛΙΩι.


Ἐκδιδάσκει φάρμακα τὰ πρὸς τὰς διαθέσεις τῶν ὤτων τε καὶ μυκτήρων.

ARGVMENTVM LIBRI TERTII.

Docet medicamenta ad aurium, & narium affectiones.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν ἐν τοῖς ὠσὶ παθῶν, καὶ τοῖς μυκτῆρσι, καὶ κατὰ πόσας αἰτίας ὀδυνῶνται τὰ ὦτα.



ΤΩΝ πόνοι γίνονται, τινὲς μὲν διὰ ψύξιν, οὓς ἐν ὁδοιπορίαις καταπνευσθέντες ὑπὸ ἀνέμων ψυχρῶν, ἴσχουσιν. ἔνιοι δὲ καὶ διὰ λουτρὰ ψυχρὰ, καὶ διά τινα τῶν φαρμακωδῶν ὑδάτων, ἐν οἷς λούονται πολλάκις ἔνιοι τρυφῶντες. εἰσὶ δ' οἳ καὶ δι' ὠφέλειαν. γίνονται δὲ ὠτὸς ὀδύναι, καὶ διὰ φλεγμονὴν, ποτὲ μὲν αὐτοῦ μόνου τοῦ κατὰ τὸν πόρον δέρματος, ποτὲ δὲ καὶ διὰ βάθους. ἡνίκα τὸ νεῦρον τὸ ἀκουστικὸν, εἰς φλεγμονώδη διάθεσιν ἀφίκηται. καθ' ὃν δὲ λόγον ἡ φλεγμονὴ τείνουσα τὰ φλεγμαίνοντα μόρια, τὴν ὀδύνην ἐργάζεται, κατὰ τὸν αὐτὸν τρόπον, καὶ πνεῦμα φυσῶδες, οὐκ ἔχον διέξοδον, ὀδυνηρόν ἐστι. τῇ δὲ ἐκ τῶν ἔξωθεν ὑγρῶν δακνωδῶν ἐμπτώσει, παραπλησίως ὀδυνῶσιν οἱ ἐν αὐτῷ τῷ σώματι γεννηθέντες ἰχῶρες.

Περὶ τῶν ἀπὸ ψύξεως ὠταλγιῶν.

Τὰς μὲν οὖν ὑπὸ ψύξεως μόνης γινομένας ὀδύνας, τὰ θερμαίνοντα θεραπεύει τάχιστα. καί τινας τῶν ἀγροίκων οἶδα διαγλύφοντάς τι τῶν μεγάλων κρομμύων, εἶτα πληροῦντας ἐλαίου, καὶ θερμαίνοντας ἐν σποδιᾷ συμμέτρως, ἐγχέοντας τοῖς ὠσί. τινὰς δὲ ἐν ἐλαίῳ ζέοντας, οὐ κρέμμυον μόνον, ἀλλὰ σκόροδον, εἶθ' οὕτως ἐγχέοντας. ἐγὼ δὲ εὐφορβίου παντελῶς

CAPVT PRIMVM.

De Aurium ac narium affectionibus, & quot ob causas aures doleant.

A 

VRIVM dolores aliqui ex frigiditate fiunt, quos sanè in peregrinationibus à frigidis ventis perflati patiuntur. Aliqui verò ex balneis frigidis, & quibusdã medicatis aquis oboriuntur, in quibus quidam ob delicias lauant; quanquam sint qui & ob corporis cõmoditatem id faciant. Fiunt & auris dolores ex inflammatione, interdum quidem solius circa meatum cutis, interdum verò in profundum progressa, quando videlicet neruus auditorius, ad inflãmatam affectionem peruenit. Qua verò ratione inflãmatio partes inflammatas distendens dolorem producit,
B iuxta eundem modum etiam flatulentus spiritus transitum non habens dolorem excitat. At verò consimilis dolor est ex serosis, & saniosis humoribus in corpore aurium generatis ei, qui ex mordacium humorum illapsu forinsecus facto contingit.

De dolore auris ex frigiditate.

Dolores quidem igitur à sola frigiditate obortos calefacientia quàm celerrimè curant. Atque in hunc vsum quosdam rurales homines magnas cæpas exculpere vidi, deinde oleo eas explere, & in feruente cinere moderatè calefacere, atque ita auribus infundere. Quosdam verò non cæpas tantũ, sed & allium in oleo contundere, vel feruefacere, atq; ita infundere vidi. Ego verò euphorbio omnino

nino exiguo ad multum vetus oleum admixto vtor, velut etiam pipere exquisitissimè trito; aurium enim dolores à frigiditate inductos eiusmodi calefacientia magnopere iuuant. Prodest etiam amaracinum oleum eis infundi, & optimam nardum, & quod apud Romanos foliatum, itemque quod spicatum appellatur; prodest eis & commagenum. Atque si rutam quoque oleo non astringenti ampliusque tenuium partium incoxeris, velut est Sabinum, magnopere iuueris.

De dolore auris ex aqua medicata.

Quum verò ex aqua medicata quippiam circa auditorium meatum contineatur, oleum assiduè infundere conuenit, quo ipsum eluamus; deinde lana molli extergere, rursusque infundere. Magnificè autem eos mitigat oui candidum quo etiam ad lippitudines vtimur, itemque lac muliebre. Manifestum verò est, quicquid adhibetur, mediocriter calidum esse oportere. Plurimum iuuantur quoque ex adipe anserino, atque item vulpino.

De dolore auris ex inflammatione oborto.

Quod si inflammatio adsit, optimum ad eam medicamentum vnguentum nardinum cum exiguo basilico appellato medicamento infunditur; idem etiam tetrapharmacum appellatur; & commagenum quoque aptum est; & ex adipibus medicamentum, cuius compositionem paulo post describam. Cogente verò dolore necessarium est etiam iis, quæ sensum stupefaciunt, vti, quemadmodum etiam in iis, qui colũ, aut renes, aut quamcunque tandem partem affecti vehementi dolore affliguntur, facere consueuimus. Miscetur autem opium muliebri lacti, & oui candido, quæ ipsa & per se sæpe aurium inflammationibus profuere; miscetur & castorio opium. Verùm multo ante vsum tempore, siue pari pondere, siue duplo, castorio admisceatur, præparatum id esse conuenit, & miscetur quidem in vehementissimis doloribus pari, in minoribus verò duplo. Liquor verò, quo hæc diluuntur, ex musto sapa sit: multo enim magis quàm dulcia vina, dolorem hæc sedat. Statim itaque in principio prædicta medicamenta diligenter trita cum sapa misceantur, castorium quidem diligenter prius tritum & læuigatum, papaueris verò succus ipsa sapa dissolutus, atque ita hęc tria mixta probè læuigantur. Deinde verò vsu postulante rursus sapa diluantur in eiusmodi consistentiam, vt per aurifusoria specilla ad lucernam tepefacta infundi possint. Verùm ego nullum medicamentum dolore vexatis infundo, neque etiam per lanam instillo; vtpotè qui experientia edoctus sim, quòd præstat, neque omnino contingere doloris tempore auditorium meatum; sed per auriculare specillum lana mollissima obuolutum dolore vexatos foueo; & medicamentum ita moderato tempore in aurifusorio specillo præparatum iniicio, vt interrogato per nos ægro, num tepidum ei videatur, & num calidius ipsum ferre possit, ad tantam caliditatem procedam, vt nihil ampliùs offendat. Tinctum itaque in hoc modo præparato medicamento specillũ ad principium meatus moderatè imponito, & in altum defluere ex eo medicamentũ permittito; & postea iterũ, iterumque & sæpius tingito, idemque facito nullo tẽpore intermisso. Palã est autẽ quum hoc fit, etiam foris omnino aliquid effluxurũ esse, expleto nimirum toto

A ὀλίγον ἐλαίῳ παλαιῷ πολλῷ μιγνὺς, χρῶμαι, καθάπερ γε καὶ πεπέρεως ἀκριβέστατα λελειωμένου. τὰς γὰρ κατὰ ψύξιν ὠταλγίας, τὰ οὕτω θερμαίνοντα, μεγάλως ὀνίνησιν. ὠφελεῖ δὲ αὐτοὺς, καὶ τὸ ἀμαράκινον ἔλαιον ἐγχεόμενον, καὶ ἡ ἀρίστη νάρδος, καὶ τὸ καλούμενον Ῥωμαϊστὶ φουλίατόν τε, καὶ σπικάτον. ὠφελεῖ δὲ καὶ τὸ Κομμαγηνόν. εἰ δὲ καὶ πήγανον ἑψήσεις ἐλαίῳ μὴ στύφοντι, καὶ προσέτι λεπτομερεῖ, καθάπερ ἐστὶ τὸ Σαβῖνον, ὀνήσεις μεγάλως.

Περὶ τῶν ἐξ ὕδατος φαρμακώδους ὠταλγιῶν.

B Ὅταν δὲ ἐξ ὕδατος φαρμακώδους περιέχηταί τι κατὰ τὸν ἀκουστικὸν πόρον, συνεχῶς ἐγχεῖν ἔλαιον προσήκει. ἐκκλύζοντας αὐτὸ, καὶ δι' ἐρίου μαλακοῦ ἀποσπογγίζοντας, καὶ αὖθις ἐγχέοντας. παρηγορεῖ δὲ αὐτοὺς μεγάλως, καὶ ὠοῦ τὸ λευκὸν, ᾧ καὶ πρὸς τὰς ὀφθαλμίας χρώμεθα, καὶ γάλα γυναικεῖον. εὔδηλον δὲ, ὅτι πᾶν ὅ,τι ἂν προσφέρηται, θερμὸν εἶναι χρὴ μετρίως. ὠφελεῖ δὲ αὐτοὺς, καὶ τὸ χήνειον στέαρ ἱκανῶς. ὠφελεῖ δὲ, καὶ τὸ τῶν ἀλωπέκων.

Περὶ τῆς διὰ φλεγμονὴν γινομένης ὠταλγίας.

C Εἰ δὲ φλεγμονή τις εἴη, κάλλιστον πρὸς αὐτὴν φάρμακον ἐγχεόμενον, νάρδινον μύρον μετὰ βραχυτάτου βασιλικοῦ καλουμένου φαρμάκου. προσαγορεύεται δὲ τοῦτο, καὶ τετραφάρμακον· καὶ τὸ Κομμαγηνὸν δὲ ἐπιτήδειόν ἐστι. καὶ τὸ διὰ τῶν στεάτων φάρμακον, οὗ τὴν σύνθεσιν ὀλίγον ὕστερον γράψω. βιαζομένης δὲ τῆς ὀδύνης, ἀναγκαῖόν ἐστι χρῆσθαι, καὶ τοῖς ναρκῶσι μὲν αἴσθησιν, ὥσπερ καὶ τοῖς ἐπὶ κώλῳ, καὶ νεφροῖς, καὶ ὅλως ἅπαντα πάσχουσι μορίῳ σφοδρῶς ἀλγοῦσιν. μίγνυται δὲ τοῦτο τῷ γυναικείῳ γάλακτι, καὶ τῷ λευκῷ τοῦ ὠοῦ, ἃ καὶ καθ' ἑαυτὰ πολλάκις ἥρμοσεν ὤτων φλεγμοναῖς. μίγνυται δὲ
D καὶ καστορίῳ τὸ ὄπιον, καὶ χρὴ παρεσκευάσθαι τοῦτο πρὸ πολλοῦ μεμιγμένον, ἤτοι γε ἴσῳ κατὰ τὸν σταθμὸν, ἢ διπλασίῳ τῷ καστορίῳ. πρὸς μὲν τὰς σφοδροτάτας ὀδύνας ἴσῳ, πρὸς δὲ τὰς ἐλάττονας, διπλασίῳ. τὸ δὲ ὑγρὸν, ἔστω τὸ ἐκ τοῦ γλεύκους ἕψημα, πολὺ γὰρ ἀνωδυνώτερον τοῦτο τῶν γλυκέων ἐστὶν οἴνων. εὐθέως οὖν ἀπ' ἀρχῆς ἀκριβῶς λεῖα τὰ εἰρημένα φάρμακα τούτῳ μιγνύσθω, τὸ μὲν καστόρειον προλελειωμένον ἀκριβῶς, ὁ δὲ τῆς μήκωνος ὀπὸς ἐν αὐτῷ τῷ ἑψήματι λελυμένος, καὶ οὕτω μιχθέντα τὰ τρία, λειούσθω καλῶς. εἶτα ἐπὶ τῆς χρήσεως, ἀνιέσθω πάλιν ἑψήματι, μέχρι τοσαύτης συστάσεως, ὡς ἐγ-
E χεῖσθαι δύνασθαι διὰ τῶν καλουμένων ὠτεγχύτων, ἐπὶ λύχνῳ χλιανθέντων. ἐγὼ δὲ οὐκ ἐγχέω τοῖς περιωδυνοῦσιν οὐδὲν φάρμακον, οὐδὲ ἐκμάττω δι' ἐρίου, τῇ πείρᾳ τοῦτο διδαχθεὶς, ὡς ἄμεινόν ἐστι μηδ' ὅλως ψαύειν τοῦ πόρου τοῦ ἀκουστικοῦ, κατὰ τὸν καιρὸν τῆς ὀδύνης. ἀλλὰ διὰ μηλωτίδος ἀμφιεσθείσης ἐρίῳ μαλακωτάτῳ, πυριῶ τε τοὺς περιοδυνῶντας, ἐμβάλλω τε τὸ φάρμακον ὧδέ πως ἑτοιμασθὲν, κεχλιασμένον ἐν ὠτεγχύτῃ μετρίως οὕτως, ὡς πυνθανομένων ἡμῶν τοῦ κάμνοντος, εἰ χλιαρὸν αὐτῷ φαίνοιτο, καὶ εἰ ἔτι δύναται φέρειν αὐτὸ, θερμότερον γινόμενον, μέχρι τοσούτου προσάγειν τὴν θερμασίαν, ὡς
F μηδέπω λυπεῖν. βάπτων οὖν εἰς τὸ οὕτω παρεσκευασμένον φάρμακον, τὴν μηλωτίδα κατὰ τὴν ἀρχὴν τοῦ πόρου μετρίως ἐπιτιθεὶς, ἀπορρεῖν εἰς τὸ βάθος ἐπίτρεπε, καὶ μετὰ ταῦτα πάλιν αὖθις, καὶ αὖθις, καὶ πολλάκις βάπτων, τὸ αὐτὸ τοῦτο ποίει, μηδένα διαλείπων χρόνον. εὔδηλον δ' ὅτι τούτου γινομένου, πάντως τι καὶ ἀπορρυήσεται πρὸς τοὐκτὸς, πληρωθέντος ὅλου

τοῦ ἀκουστικοῦ πόρου. τοῦτο τοίνυν δέχου μετρίως, καθόσον οἷόν τε A μὴ ψαύων τοῦ ὠτός. ἐπειδὰν δὲ καλῶς πυριάσῃς, ἐάσας τὸν πόρον ὃς ἐπληρώθη τοῦ φαρμάκου, μαλακὸν ἐπίθες ἔξωθεν ἔριον, αὐτῷ τε τῷ στόματι τοῦ πόρου, καὶ μετὰ τοῦτο, παντὶ τῷ ὠτί. καὶ ἐὰν δεήσῃ πυριάσαι πάλιν, ἀτρέμα βαστάξας τὸ ἀντεπικείμενον ἔξωθεν ἔριον, αὖθις ὁμοίως πυρία, φυλαττόμενος, ὡς οἷόν τε, μηδὲ ἄλλου τινὸς μέρους τοῦ ὠτὸς ἅψασθαι. καὶ τούτῳ γε πρόσεχε τὸν νοῦν, ὡς μεγίστῳ παραγγέλματι τῆς τῶν ὤτων ἐπιμελείας. ἡ πυρία δέ σοι γινέσθω, καθὰ προείρηται, διὰ τῶν ἀνωδύνων, ἅπερ ἐστὶ τό, τε κάλλιστον νάρδινον μύρον, ἔχον ὀλίγιστον ἐν αὐτῷ τοῦ τετραφαρμάκου, καὶ μετὰ τοῦτο τὸ Κομ- B μαγηνόν τε, καὶ Σούσινον, καὶ τὰ πολυτελῆ μύρα τῶν πλουσίων γυναικῶν, ἃ καλοῦσιν αὗται σπικᾶτα, καὶ φουλιᾶτα. ἔστι δὲ παχύτερα, ἢ ὥστε ἐγχεῖσθαι. λύειν οὖν αὐτὰ διά τε τοῦ ναρδίνου μύρου, καὶ εἰ θέρος εἴη, καὶ θερμασίας αἴσθησις τῷ κάμνοντι, κατὰ τὸ φλεγμαῖνον οὖς, διὰ ῥοδίνου καλοῦ. μὴ παρόντος δὲ τούτου, δι᾽ ἀμυγδαλίνου. μέμνησο δή, ὅτι καλὸν ἀεὶ λέγω ῥόδινον, ἐν ᾧ πλεῖστα μὲν ἀποβέβρεκται ῥόδα. τὸ δὲ ἔλαιον, ἐν ᾧ ταῦτα ἀποβέβρεκται τῶν ὠμοτριβῶν καλουμένων ἔστω, εἰ οἷόν τε χωρὶς ἁλῶν ἐσκευασμένον, οὐδενὸς ἄλλου προσεμβεβλημένου τοῖς ῥόδοις, καθάπερ οἱ τὰ στύμ- C ματα προσεμβάλλοντες ποιοῦσιν, ἕνεκα τοῦ πολλῷ χρόνῳ διαμεῖναι τὸ ῥόδινον εὐῶδες.

Περὶ τῶν ἐπὶ πνεύματι φυσώδει, ἢ παχέσι, καὶ γλίσχροις χυμοῖς ὠταλγιῶν.

Εἰ δὲ καὶ πνεῦμα φυσῶδες, ἤ τινα παχὺν, ἢ γλίσχρον χυμὸν, οὐκ ἔχοντα διέξοδον ἐγκαταχεκλεῖσθαι στοχάσαιο, καὶ τῶν ἐκφραττόντων τι φαρμάκων μίγνυε. τεχνικὸς γὰρ στοχασμὸς σοι γένοιτο, τῶν τοιούτων αἰτίων τοῦ πόνου, τά τε προηγησάμενα, καὶ τὰ παρόντα πυθομένῳ. ψύξεως μὲν γὰρ προηγησα- D μένης, τὸ φυσῶδες ἀθροίζεται πνεῦμα. βάρους δὲ κεφαλῆς, ἐδεσμάτων τε φλεγματωδῶν, καὶ κακοχύμων, οἱ ψυχροὶ καὶ παχεῖς χυμοί. τούτοις γὰρ ἐπιγινομένης ψύξεως, αἱ ὀδύναι συμβαίνουσι τῶν πρότερον διαπνεομένων ἐπισχεθέντων διὰ τὴν πύκνωσιν. ἐπὶ τούτων οὖν, ὁ ἀφρὸς τοῦ νίτρου, καὶ τὸ νίτρον αὐτὸ τὸ μαλακὸν, ἀφρόνιτρόν τε τὸ τοιοῦτον, καὶ τὸ καλούμενον ἀμυγδάλινον ἔλαιον, εὐλόγως μίγνυται τοῖς ὠτικοῖς φαρμάκοις. ἐκ τούτου τοῦ γένους ἐστὶν, ὅ τε λευκὸς, καὶ ὁ μέλας ἐλλέβορος, καὶ τὸ στρουθίον, ἀμύγδαλά τε τὰ πικρὰ, καὶ τῶν τριῶν ἀριστολοχιῶν ἣν ἂν ἔχῃς, ἥ τε ἰλλυρικὴ ἶρις. εἰ δὲ E καὶ τὸ κιννάμωμον ἔχοις, ἔμβαλλε καὶ τούτου. μὴ παρόντος δὲ αὐτοῦ, κασσίαν, τήν τε ζίγιρ καλουμένην, καὶ τὴν μοτώδη, καὶ τὸ καρπήσιον, ὃ πλεῖστον μέν ἐστιν ἐν Σίδῃ τῆς Παμφυλίας, καὶ διὰ τοῦτο εὐωνότατον πιπράσκεται. Κόϊντος δὲ ὁπότε ἀπορείη κινναμώμου, τοῦτο ἐπέβαλλεν ἀντ᾽ αὐτοῦ διπλάσιον, ὥσπερ ἔνιοι τὴν κασσίαν. ἐκφρακτικὰ δὲ τῶν ἐν τοῖς ὠσὶ πόρων εἰσὶ, καὶ τὰ τοὺς ἐν τοῖς νεφροῖς λίθους θρύπτοντα, καὶ πᾶν εἴ τι λεπτομερὲς ἄνευ δήξεως, ὅπως μὴ παροξυνῇ τὴν ὀδύνην. ἐν οἷς ἐστι καὶ σικύου τοῦ ἀγρίου ἡ ῥίζα, καὶ βρυωνίας, καὶ ἄρου, καὶ F δρακοντίου, καὶ κενταυρείου, καὶ πολίου, καὶ ὅλως τῶν πικρῶν ἁπάντων. ἀδήκτως γὰρ καὶ ἀλύπως ἐκκαθαίρει ταῦτα τοὺς πόρους, διαρρύπτει τε καὶ διατέμνει τὰ ἐμπεφραγμένα. διὰ τοῦτο δὲ γράφω πολλὰ παραδείγματα τῶν τοιούτων, καίτοι γε ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως εἰρηκὼς πάντα, διότι βούλομαι κατὰ πάντα τόπον τῆς γῆς, εὐπορεῖν ἡμᾶς βοηθη-

auditorio meatu; hoc igitur quantum possibile est moderatè excipe, nec aurē contingas. Postquam verò probè foueris, meatū medicamēto expletū finito, & mollē lanā forinsecus tū meatus osculo, tū vniuersæ auri imponito; atq; vbi rursus fomenta adhibere oportebit, incumbentē foris lanā leniter tollito; rursusque similiter foueto, quantū possibile fuerit diligenter cauens, ne vel auditorium meatū, vel aliam quāpiam auris partē attingas. Ad hoc verò præceptū maximè animū aduertas, vtpotè quod omnium potissimū sit in auriū curatione. Fomenta verò fiant per ea, quæ, velut dictū est, dolorē sedāt quale est optimū nardinū vnguentū paucissimo in eo tetrapharmaco dissoluto. Deinde etiam cōmagenum & susinū & pretiosa diuitū muliercularum vnguenta, quæ ipsæ spicata, & foliata appellant. Sunt autē spissiora quā vt infundi queant, quapropter per nardinū vnguentū ea dissoluere oportet; & æstatis tēpore, & si coloris sensus ægrū circa inflammatā aurem infestet, per rosaceum bonū: aut si hoc non adsit, amygdalinum. Memineris autem quod bonū semper rosaceum dico, in quo plurimæ rosæ maceratæ sunt; verū oleum, in quo hæ macerantur, omphacinum sit ex crudis oliuis, & nec dū penitus maturis expressum, citra salis additionem præparatum. Imò neque etiam aliud quicquam ad rosas coniiciatur, quemadmodum illi faciunt, qui spissamenta addunt; quò videlicet per multum tempus ipsum rosaceum odoratum permaneat.

De dolore auris ex flatulento spiritu, aut crassis, & viscosis humoribus.

Si verò flatū ventosum, ac crassum aliquem, & viscosum humorē, qui transitū non habeat, inclusum esse conieceris, etiam medicamētis ab obstructione liberantibus quippiam admisce. Artificiosa enim coniectura causarum dolorem efficientium tibi cōtinget, si tum prægressa, tum præsentia percunctatus fueris. Frigiditate enim antegressa flatus ventosus congeritur: grauitate verò capitis cibisq; pituitosis, & mali succi, frigidi, & crassi humores. His enim si frigiditas accedat, dolores contingunt, eis nimirum, quæ prius difflabantur propter densitatē inclusis, & retentis. In his igitur spuma nitri, & nitrum ipsum molle, eiusmodiq; aphronitrum, & oleum amygdalinū appellatum rationabiliter in auricularia medicamenta miscentur. Ex hoc genere album item, ac nigrum veratrum est, & struthium, ac amygdalæ amaræ, & ex tribus aristolochiis, quæcunq; fuerit ad manū, & iris Illyrica. Iniicies autē & cinnamomum si habueris, aut casiam illo non præsente, tum eam quæ Zigir, tum quæ Motodes appellatur; item carpesium, quod plurimum in Sida Pāphyliæ nascitur, & ob id vilissimo pretio venditur. Quintus sanè, quum cinnamomi inopia esset, carpesium pro ipso iniecit duplo pondere, velut aliqui eius loco casiam. Cæterū aurium meatus ab obstructione liberāt etiam quæ lapides in renibus atterunt, omniaq; insuper tenuium partium citra mordacitatē, vt ne dolorem exacerbēt. Ex quorum numero est etiam cucumeris syluestris radix, itemq; bryoniæ, & ari, & dracunculi, ac centaureæ, & polij, & omnino omnium amarorum; citra mordacitatem, namq; & absq; molestia expurgant hæc meatus, disiiciuntque, & incidūt obturata. Verùm ob id multa huiusmodi exempla scribo, quamuis sanè omnia in libris de simplicium medicamentorū facultatibus retulerim quòd videlicet omnibus terræ locis remediis vos abūdare volo, vt

lo, vt ipsorum memoriam in promptu habeatis. Alia enim in aliis regionibus abundant, & meliora iis, quæ alibi nascuntur existunt. Alioqui sanè ex adipibus compositum medicamentum tibi sufficiet, & ex simplicibus quæcunque paulo ante recensui doloris mitigatiua. Mirari porrò subit medicos, qui citra distinctionem ad aurium dolores medicamenta quædã cõscripserunt. Quæ etenim à frigiditate dolent, per calefacientia celerrimè curantur; si verò à mordaci acredine, aut à pulsatili inflammatione, dolor fiat, maximũ detrimentum continget, si eiusmodi medicamenta adhibeantur. Atqui moderatæ inflammationes, & non pulsatiles etiam per eiusmodi medicamenta curantur; quale est acetum cum rosaceo tepefactum, vtrisq; diligenter simul cõmixtis. Sic etiam glaucium in cote medica cum aceto tritum moderatis inflammationis doloribus prodest. Præstet autem pastillum ex glaucio multæ sanè vtilitatis medicamentum, prius præparatum habere, qui fit ex glaucio probè cum aqua pluuiali trito, deinde in pastillum redacto, & exiccato. Si verò fragilius videatur glaucium, quàm vt in pastillos formari possit, parum gummi ei addes; sufficit autem id duodecimam, aut quintam & decimam, glaucij partem esse. Quin & collyria ex glaucio eodem modo cum aceto trita, eis prosunt auribus instillata, atque his nihilominus collyria ex croco. Hæc quidem igitur sunt doloris, & inflammationis remedia. Cæterùm de aliis affectibus, qui in auribus oboriuntur, vbi medicamenta, quæ per experientiam cognoui, recensuero, ita deinde ad ea, quæ à prioribus medicis scripta sunt transibo.

De Vlceribus Aurium.

Vlcera aurium recentia tum glaucium solùm cum aceto tritum, vt iam dictum est, curat, tum collyria ex eo omnia, & collyria ex croco, & ex rosis medicis appellata, velut etiam quod nilo inscribitur. Curat item ea Damocratis collyrium ex myrrha. Quæ verò pure manant citra dolorem, atque id moderatè patiuntur, per eadem curantur. Verùm quæ fortiter affliguntur, per eiusmodi qualis est pastillus Andronius, & pastillus Musæ, cum sapa, & exiguo aceto dilutus. In quibus componendis varietas rursus dicetur. Vbi verò, & hæc à malo vincantur, recrementa ferri ad plurimos dies in Sole cum acerrimo aceto trita, & læuigata confidenter vtere; etiam si præter rationem videatur aurem acerrima medicamenta sustinere posse, quam paulo ante dixi, neque mollissimorum infusorum admotionem, & allapsum citra molestiam sustinere, sed & hæc ipsa offendere ipsam videri.

De Audiendi difficultate, & de sonitu aurium.

Restat itaque adhuc de audiendi difficultate, & de sono aurium disserere, quæ nihil cum doloribus, & vlceribus commune habent. De quibus deinceps dicam, vbi prius compositiones auriculares à celeberrimis medicis magnifice laudatas recensuero, iuxta quam rationem eas composuerint tandem illi, initio ab ea, quam Heras scripsit, sumpto.

A ματων, ἔχοντας προχείρων αὐτῶν τὴν μνήμην. ἄλλα γὰρ ἐν ἄλλοις χωρίοις πλεονάζει τε, καὶ βελτίω τῶν ἐν ἑτέροις γινομένων ἐστίν. ἐπεί τοι τό γε διὰ τῶν στεάτων ἀρκέσει σοι σύνθετον φάρμακον, ἔκ τε τῶν ἁπλῶν, ὅσα μικρῷ πρόσθεν διῆλθον ὀδύνης πραϋντικά. θαυμάσαι δὲ ἔστι τῶν ἰατρῶν, ὅσοι χωρὶς διορισμοῦ πρὸς ὀδύνας ὤτων ἔγραψάν τινα φάρμακα. τὰ μὲν γὰρ ὑπὸ ψύξεως ὀδυνώμενα, τάχιστα θεραπεύεται διὰ τῶν θερμαινόντων. ἐὰν δὲ ὑπὸ δριμύτητος δακνώδους, ἢ φλεγμονῆς σφυγματώδους ἡ ὀδύνη γίνηται, μεγίστη βλάβη συμπίπτει, τοιούτων προσαχθέντων φαρμάκων. αἱ μέντοι μέ- B τριαι φλεγμοναί, καὶ μὴ σφυγματώδεις, καὶ διὰ τῶν τοιούτων θεραπεύονται φαρμάκων, ὁποῖόν ἐστιν ὄξος μετὰ ῥοδίνου χλιανθέν, ἀναμιχθέντων ἀμφοῖν ἀκριβῶς. οὕτω δὲ καὶ γλαύκιον, ἐπ᾿ ἀκόνης ἰατρικῆς ἀποτριβόμενον μετ᾿ ὄξους ὀνίνησι τὰς ἐπὶ φλεγμονῆς βραχείας ὀδύνας. ἄμεινον δὲ τὸν ἐκ τοῦ γλαυκίου προκατεσκευασμένον τροχίσκον ἔχειν, πολυχρηστότατον φάρμακον, ὅστις γίνεται, λειωθέντος ἀκριβῶς τοῦ γλαυκίου δι᾿ ὕδατος ὀμβρίου, κἄπειτα ξηρανθέντος τε καὶ ἀναπλασθέντος. ἐὰν δὲ ψαθυρώτερον ᾖ, ὡς ἀναπλάττεσθαι φαίνηται, μίξεις αὐτῷ κόμμεως ὀλίγον. ἀρκεῖ δὲ δωδέκατον, ἢ πεντεκαιδέ- C κατον εἶναι μέρος αὐτοῦ τοῦ γλαυκίου. καὶ τὰ διὰ γλαυκίου δὲ κολλύρια κατὰ τὸν αὐτὸν τρόπον ἀποτριβόμενα δι᾿ ὄξους ὀνίνησιν, ἐνσταζόμενα τοῖς ὠσί, καὶ τούτων οὐδὲν ἧττον τὰ διὰ κρόκου. ταῦτα μὲν οὖν εἰσιν ὀδύνης τε καὶ φλεγμονῆς ἰάματα. περὶ δὲ τῶν ἄλλων διαθέσεων τῶν ἐν τοῖς ὠσὶν γινομένων, ἃ διὰ τῆς ἐμῆς ἐμπειρίας ἔκρινα διελθών, οὕτως ἐπὶ τὰ τοῖς πρὸ ἐμοῦ γεγραμμένα καταβήσομαι.

Περὶ τῶν ἐν τοῖς ὠσὶν ἑλκῶν.

Ὅσα μὲν πρόσφατα, τό τε γλαύκιον ἀποθεραπεύει, D μόνον ἀποτριβόμενον μετ᾿ ὄξους, ὡς ἀρτίως εἴρηται, καὶ τὰ δι᾿ αὐτοῦ κολλύρια πάντα, καὶ τὰ διὰ κρόκου τε καὶ τὰ διάρροδα καλούμενα παρὰ τῶν ἰατρῶν, ὥσπερ καὶ τὸ τοῦ Νείλου. θεραπεύει δὲ καὶ τὸ τοῦ Δαμοκράτους διὰ σμύρνης. τὰ δὲ πυορροοῦντα χωρὶς ὀδύνης, ὅσα μὲν μετρίως τοῦτο πάσχει, διὰ τῶν αὐτῶν θεραπεύεται. τὰ δὲ ἰσχυρῶς, διὰ τῶν τοιούτων, ὁποῖός ἐστιν ὁ Ἀνδρώνειος τροχίσκος, καὶ ὁ τοῦ Μούσα, μεθ᾿ ἑψήματος, καὶ ὀλίγου ὄξους ἀνιέμενος, ὧν ἡ ποικιλία τῆς συνθέσεως αὖθις εἰρήσεται. νικωμένων δὲ καὶ τούτων σκωρίαν σιδήρου μετ᾿ ὄξους δριμυτάτου λειώσας, ἐπὶ πλεῖστον πολλαῖς E ἡμέραις ἐν ἡλίῳ, θαρρῶν χρῶ. εἰ καὶ παράλογον εἶναι δοκεῖ τῶν δριμυτάτων φαρμάκων ἀνέχεσθαι τὸ οὖς, ὃ μικρὸν ἔμπροσθεν εἶπον, οὐδὲν δὲ τῶν μαλακωτάτων ἐγχεομένων ἀλύπως ὑπομένειν τὴν πρόσπτωσιν, ἀλλὰ καὶ ταῦτα φαίνεσθαι πλήττοντα.

Περὶ δυσηκοΐας, καὶ ἤχων.

Λείπεται οὖν ἔτι περὶ δυσηκοΐας τε, καὶ ἤχων διελθεῖν, οὐδὲν κοινωνούντων ἀλγήμασί τε καὶ ἑλκώσεσι, περὶ ὧν ἑξῆς ἐρῶ, τὰς ἐπαινουμένας μεγάλως ὑπὸ τῶν ἐνδό- F ξων ἰατρῶν, πρότερον διελθὼν ὠτικὰς δυνάμεις, καθ᾿ ὃν τινα λόγον συνετέθησαν. ἄρξομαι δὲ ἀπὸ τῆς ἀφ᾿ Ἡρα γεγραμμένης.

A

Ὠτική, ὡς Ἡρας.

Ἡρας μὲν οὖν οὕτως ἔγραψεν. ὠτικὴ πρὸς πᾶν ἄλγημα, καὶ πᾶν ἕλκος. ταύτῃ ἐχρησάμην ἐπί τινος πυρέσσοντος, καὶ παρακόπτοντος διὰ τὰ ἀλγήματα, καὶ ἐποίησε δαιμονίως. ℞. σμύρνης < α΄. λιβάνου < γ΄. οἱ δὲ < ζ΄. ἀφρονίτρου < γ΄. κρόκου δραχμὰς δ΄. οἱ δὲ < α΄. μηκωνείου < γ΄. χαλβάνης < β΄. ἀμύγδαλα πικρὰ λελεπισμένα κ΄. ἀναλάμβανε ὄξει, ἐπὶ δὲ τῆς χρείας, περιωδυνίας μὲν οὔσης, ῥοδίνῳ διεὶς, ἔνσταζε, δυσηκοΐας δὲ οὔσης, ὄξει διείς. Ἡρας μὲν οὖν, ἓν τοῦτο ἠρκέσθη γράψαι φάρμακον ἀλγήματός τε παντὸς ἴαμα, καὶ ἕλκους ὤτων. (B) ἐγὼ δὲ τὰς μὲν ὀδύνας τῇ τε διὰ τῶν στεάτων, ὡς εἴρηκα γινομένῃ θάλψει, καὶ τῷ ναρδίνῳ μύρῳ, μετὰ τοῦ τετραφαρμάκου πραΰνεσθαί φημι· σὺν τῷ καὶ τὰς διαθέσεις αὐτὰς ὠφελεῖσθαι, καθάπερ γε καὶ ᾠοῦ τῷ λευκῷ, καὶ γάλακτι γυναικείῳ. πραΰνεσθαι δὲ μόνον, οὐδὲν τὰς διαθέσεις ὠφελεῖσθαι διὰ τοῦ μηκωνείου, κατὰ δὲ τι συμβεβηκὸς, οὐ πρώτως εἴποι τις ἂν καὶ τὰς διαθέσεις ὀνίνασθαι. παυσαμένης γὰρ τῆς ὀδύνης, καὶ ὕπνων γινομένων, ἡ φύσις πέττει τὰς τὴν ὀδύνην ἐργαζομένας διαθέσεις. τὰ δὲ ἕλκη τὰ ἐν τοῖς ὠσὶν, ἐθεράπευσα διὰ παντὸς τῷ γλαυκίῳ δι᾽ ὄξους, (C) ὥσπερ γε μετὰ ῥεύματος, ἢ πύου, τοῖς τροχίσκοις, ἀπὸ τῶν πραοτέρων ἀρχόμενος, ὁποῖός ἐστιν ὁ Πολυείδου, καὶ μετὰ τοῦτον, ὁ Ἀνδρώνειος, καὶ μετ᾽ ἐκεῖνον ὁ καλούμενος Βιθυνὸς, ᾧ παραπλήσιός ἐστιν ὁ ἐμὸς, τουτέστιν ὁ διὰ χάρτου κεκαυμένου. ὡς δὲ ἐγὼ νομίζω, καὶ βελτίων, γίνεται δὲ οὐκ ἀεὶ χρεία πάντων, ἀλλ᾽ ἀρκεῖ τοὐπίπαν εἷς, ἐὰν ἐπίστηταί τις αὐτῷ χρῆσθαι. ποτὲ μὲν διὰ σιραίου λύων, ὁπόταν βούληται πραότερον ἐργάσασθαι τὸ φάρμακον, αὖθις δὲ δι᾽ οἴνου γλυκέος, εἶτα δι᾽ ὄξους μὴ δριμέος, εἶτα διὰ τοῦ δριμέος, ἐπὶ τέλει δὲ, διὰ τοῦ δριμυτάτου. διὸ καὶ διὰ τῆς τοιαύτης (D) μίξεως ἄλλοτε ἄλλης γινομένης, ἐκλύειν δυνάμενος τὸ σφοδρὸν τοῦ φαρμάκου, τὸ ἰσχυρότατον σκευάσας μόνον, ἔχειν δυνήσῃ. θαυμάσαι δὲ ἐστιν, ὡς ἔφην, τῶν πλείστων ἰατρῶν, ὠταλγίας φάρμακα γραψάντων πάμπολλα χωρὶς διορισμῶν, ἐφεξῆς ἀλλήλων ἐναντιωτάτας ἔχοντα δυνάμεις. οἷον εὐθέως, ἀπὸ γάρ τοι τῶν παλαιοτέρων ἄρξασθαι κάλλιον, Ἀπολλώνιος ὁ Ἡροφίλειος, ἐν τῇ τῶν εὐπορίστων φαρμάκων γραφῇ. κατὰ μὲν τὴν ἀρχὴν τοῦ βιβλίου, κεφαλαλγίας ἰάματα γράφων, πρῶτα μὲν πάντων ἔταξε τὰ δι᾽ ἔγκαυσιν, (E) εἶτ᾽ ἐφεξῆς δεύτερα, τὰ διὰ ψύξιν, εἶτ᾽ ἐπ᾽ αὐτοῖς, τὰ διὰ μέθης τε καὶ ἀκρατοποσίης. αὐτὸς γὰρ οὕτως ὠνόμασε. τέταρτα δὲ, τὰ διὰ πληγὴν, ἢ πτῶμα. τελευταῖα δὲ, ὡς αὐτὸς προὔγραψεν, πρὸς τὰς τῶν κροτάφων ἀλγηδόνας, καὶ τοὺς πόνους ὅλους τῆς κεφαλῆς, τοὺς χωρὶς φανερᾶς αἰτίας γινομένους. ἐπὶ δὲ τῆς τῶν ὤτων ὀδύνης, οὐδένα προσέθηκε διορισμὸν, ἀλλ᾽ ἁπλῶς προγράψας πρὸς ὠταλγίαν, ἑξῆς καταλέγει φάρμακα, τὰ μὲν θερμαίνοντα, τὰ δὲ ψύχοντα, καὶ τὰ μὲν ὑγραίνοντα, τὰ δὲ ξηραίνοντα, καὶ κατὰ τὰς δευτέρας δυνάμεις τε καὶ ποιότητας, τὰ μὲν αὐστηρὰ, τὰ δὲ στρυφνὰ, τὰ δὲ πικρὰ, τὰ δὲ δριμέα, τὰ δὲ ὀξέα, τὰ δὲ ἁλυκὰ, καὶ πρὸς τού- (F) τοις ἔτι, τὰ μὲν διαφοροῦντα, τὰ δὲ σφίγγοντά τε καὶ συνάγοντα, καὶ ἀποκρουόμενα τὰς ἐπιῤῥοὰς, τὰ δὲ ἑλκτικὰ τῶν ἐν βάθει, καὶ τὰ μὲν ἐκφρακτικὰ, τὰ δὲ ῥυπτικὰ, τὰ δὲ τῆς αἰσθήσεως ναρκωτικά. εἰ μὲν οὖν μία διάθεσίς ἐστιν ἀλγημάτων αἰτία, μίαν εὔλογον εἶναι, καὶ τὴν τῶν ἰωμένων αὐτὴν δυναμιν·

Compositio Auricularis, Herę.

Heras quidem igitur ita scripsit. *Compositio Auricularis ad omnem dolorem omneque vlcus; hac in febriente quodam vsus sum, & ob dolores delirante, & fœliciter successit.* ℞. Myrrhæ ʒ. j. thuris ʒ. iij. alij vij. spumæ nitri ʒ. iii. croci ʒ. iv. alii i. succi papaueris ʒ. iii. Galbani ʒ. ii. amygdalas amaras delibratas xx. aceto excipito. Vsus verò tempore, si quidem dolor adsit, rosaceo diluta instillato; si verò audiendi difficultas adsit, aceto. Heras itaque vnum hoc medicamentum scribere contentus fuit, ad omnem dolorem, ac aurium exulcerationem, remedium. Ego verò dolores per medicamentum ex adipibus constans, & per nardinum vnguentum tetrapharmaco admixto, leniri dico, vnáque, & affectus ipsos iuuari, velut etiam oui candido, & lacte muliebri; per papaueris verò succum mitigari solùm dolores, nihilque iuuari affectus. Verùm per accidens, non primariò, etiam affectus inde opem sentire quis dicere possit; sedato enim dolore, & somno consequente, natura affectus dolorem efficientes concoquit. Cæterùm vlcera in auribus omninò cum glaucino ex aceto curaui; quemadmodum etiam quæ cum fluxione, aut purulentia consistunt, per pastillos à mitioribus auspicatus, qualis est Polyidę, & post eum Andronius, & ab illo Bithynus appellatus, cui similis est meus, hoc est ex charta vsta constans, & velut ego iudico, eo etiam præstantior. Minimè verò semper omnium vsu opus habemus, sed sufficit omnino vnus, siquis vti norit, aliquando quidem per sapam diluto, siquidem mitius reddere medicamentum velit; & rursus per vinum dulce, deinde per acetum non acre, deinde etiam per acre, ac postremò per longè acerrimũ. Quapropter quum per eiusmodi mixturam aliàs aliter parabilem, huiuscemodi medicamenti vehementiam exoluere possis, fortissimum tantùm pręparatum habere poteris. Verùm mirari rite, velut dixi, licet plerosque medicos, qui citra discrimen omnigena aurium doloris medicamenta conscripserunt, eaq; cõmiscuerunt, in vnum ordinem redacta, quæ vel maximè contrarias habent vires. Quemadmodũ statim (à veteribus enim auspicari præstat) Apollonius Herophili sectator, in parabilium medicamentorum descriptione, in principio quidẽ libri, capitis doloris remedia scribens, primũ omniũ ea, quæ ex ardore oborto conueniunt, locauit; deinde cõsequenter ea, quæ dolori cõgruunt ex frigiditate; deinde ea quę ex ebrietate & meri potu oborto medentur, sic enim ipse appellauit. Quarto loco ea quæ plagæ, aut casui dolores capitis inducentibus adhibenda sunt, subiecit. Et postremum iuxta illius præscriptum ea, quæ ad tẽporum & totius capitis dolores citra manifestã causam obortos conducunt. Verùm in aurium dolore nullam omnino apposuit distinctionem, sed simpliciter, ad aurium dolores titulo præscripto, deinceps medicamenta recenset, aliqua calefacientia, aliqua refrigerantia, quædã humectantia quædam resiccantia, & iuxta secundas facultates, ac qualitates, austera, amara, acria acida, salsa; & ad hæc insuper alia discutientia, alia astringentia, & cogẽtia, ac repellẽtia influxiones, alia extrahẽtia è profundo corporis, alia ab obstructionibus liberantia, alia repurgantia, & extergentia, alia sensum stupefacientia. Siquidẽ igitur vna affectio dolorum est causa, rationabile est etiam vnam esse remediorum ipsius facultatem; si verò

si verò multæ, tantum remediorum numerum esse oportet, quantus est efficientium causarũ. Quum itaque Herophilus distinctiones in tãtum, vt haud sciam si quis alius, laudet; ipseque Apollonius capitis doloris medicamenta distinctè scripserit; magis vtique miror, quòd circa aurium dolores ita indiscriminatim omnia tractauit. Et quintum insuper medicamentorum genus penitus indistinctũ reliquit, illud, scilicet quod postremum ad capitis dolores citra manifestam causam obortos descripsit. Quanquam & huiusmodi capitis dolores necesse sit primum communibus generibus causarum dolores efficientium subiectos esse, solutioni videlicet continuitatis, aut intemperiei, quemadmodum à nobis est demonstratum; deinde etiam iis quæ has ipsas operantur. Quæ omnia à me proprio huic rei, & tractationi loco sunt determinata. Nunc autem eorum, quæ ad aurium dolores pertinent solùm mentionem faciam quum omnium postrema, velut sæpe in methodi medendi libris dictum est, hæc tractatio existat. Etenim curandi methodos illic tradens, vnum atque alterum particulare exemplum apposui, multitudine medicamentorum, quæ ex multis compono, in præsentem tractationem reiecta. Quare medendi methodum de simplicium medicamentorum facultate libri xi. meritò præcedunt; post hos verò xiv. de medendi methodo ritè consequuntur; his demum de compositione medicamentorum libri, quos nunc in manibus habemus, succedunt.

Quæ Apollonius ad aurium dolores scripserit.

Quòd verò Apollonium deliquisse dixi, in eo, quòd non distinxerit, in quali aurium dolore vnũ quodq; eorũ, quæ describit medicamentorũ vtile existat, ne falsò virum reprehendisse coarguar, ex paucis exẽplis demonstrabo. Quum enim præscripsisset, vt dixi, ad aurium dolorẽ infundenda, inter eaq; scripsisset, Anserinũ aut gallinaceum adipem liquefactũ sensim instilla, rursus deinceps scribit, Fel taurinũ, aut caprinum cum porri succo instilla. Adeps quidẽ igitur horum, quæ dixi, animalium maximè mitigat omnes affectus dolores inducentes, simulque ipsarum aliquibus magnificè auxiliatur; Fel verò ipsum cum porro, tum ex inflãmatione, tum ex acribus, & mordacibus humoribus obortos dolores augent; solos autem iuuãt ob obstructionem, aut frigiditatẽ inductos; siue ob nudam intemperiem frigiditatis, solidæ partes dolore vexentur; siue propterea quòd in eiusmodi affectibus ventosi flatus, & frigidi humores generentur, excerni autẽ prohibeantur propter cõtinentis corporis condensationẽ, citra inflammationẽ factam. Vbi enim ab huiusmodi acribus, & calidis medicamentis dolorum causæ fuerint exclusæ, curatio simul, & doloris sedatio cõtingit. Gallinaceus itaq; & anserinus adeps, siquidẽ euacuatum corpus, inuenerint, & humorem, qui inflammatum affectum excitat, non amplius influentem, duabus rationibus, tum mitigandi, tum curandi, profuerint. Si verò influente adhuc causa adhibeantur, affectui quidẽ nihil auxiliantur, leniunt tamen doloris accessionem, siue symptoma, quemadmodũ etiam, si ob humorum acredinem mordacitas contingat. Verùm fel cum porri succo nunquam in eiusmodi affectibus quicquam commodum efficere potest; quemadmodũ neq; piper; & tamen eo etiam medicum quendam vsum scio in muliercula, ex calidarum naturæ spontè aquarum vsu aurẽ dolente.

A εἰ δὲ πολλαί, τοσοῦτον εἶναι χρή, καὶ τὸν τῶν ἰαμάτων ἀριθμόν, ὅσος ὁ τῶν ἐργαζομένων αἰτίων ἐστίν. Ἡροφίλου τοίνυν οὕτως ἐπαινοῦντος τοὺς διορισμούς, ὡς οὐκ οἶδ᾽, εἴ τις ἄλλος, αὐτοῦ τε τοῦ Ἀπολλωνίου τὰ τῆς κεφαλαλγίας φάρμακα μετὰ διορισμῶν γράψαντος, ἔτι μᾶλλον θαυμάζω, τὸ κατὰ τὰς ὠταλγίας ἀδιόριστον αὐτοῦ. κατέλιπε μὲν οὖν, καὶ τὸ πέμπτον γένος τῶν φαρμάκων ἀδιόριστον, ὃ κατὰ τὴν τελευτὴν ἔγραψα πρὸς τὰς χωρὶς φανερᾶς αἰτίας κεφαλαλγίας, καίτοι καὶ τὰς τοιαύτας κεφαλαλγίας, ἀναγκαῖόν ἐστι πρῶτον μὲν τοῖς κοινοῖς γένεσιν, τῶν τὰς ὀδύνας ἐργαζομένων αἰτίων B ὑποπεπτωκέναι συνεχείας λύσει, ἢ δυσκρασίᾳ, ὡς ἐδείξαμεν. εἶτα δηλονότι, καὶ τοῖς ταύτας ἐργαζομένοις, ἃ διώρισται μὲν ὑπ᾽ ἐμοῦ πάντα, κατὰ τὰς οἰκείας πραγματείας. νυνὶ δὲ τῶν ἐν ταῖς ὠταλγίαις μνημονεύσω μόνον, ὑστάτης ἁπασῶν τῆς πραγματείας οὔσης ταύτης, ὡς πολλάκις εἴρηται κατὰ τῆς θεραπευτικῆς μεθόδου βιβλία. τὰς γὰρ μεθόδους τῆς θεραπείας, ἐν ἐκείνῃ γράφων, ἐν ᾗ δύο που παραδείγματα τῶν κατὰ μέρος προσέθηκα, τὸ πλῆθος τῶν φαρμάκων ὅσα συντίθεμαι ἐκ πολλῶν, εἰς τὴν ἐνεστῶσαν ἀναβαλλόμενος πραγματείαν· ὡς ἡγεῖσθαι μὲν C τῆς θεραπευτικῆς μεθόδου τὰ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἕνδεκα τὸν ἀριθμὸν ὄντα. μετὰ ταῦτα δὲ τὰ τῆς θεραπευτικῆς μεθόδου τεσσαρασκαίδεκα, μεθ᾽ ἃ τὰ τῆς νῦν προκειμένης γράφεσθαι, τὰ περὶ τῆς συνθέσεως τῶν φαρμάκων.

Περὶ τῶν ὑπὸ Ἀπολλωνίου γεγραμμένων πρὸς ὠταλγίαν.

Ὅτι δέ, λέγων τὸν Ἀπολλώνιον ἡμαρτηκέναι, μὴ διορισάμενον, ἐπὶ ποίας ὠταλγίας, ἕκαστον ὧν γράφει φαρμάκων, ὑπάρχει χρήσιμον, οὐ καταψεύδομαι τἀνδρός, ἐξ ὀλίγων ἀποδείξω παραδειγμάτων. προσγράψας γάρ, ὡς ἔφην, D πρὸς ὠταλγίαν ἔγχυτα, καὶ γράψας ἐν αὐτοῖς, χήνειον, ἢ ὀρνίθειον στέαρ ἡσυχῇ τήξας, ἔνσταζε· πάλιν ἐφεξῆς γράφει. χολὴν ταυρείαν, ἢ αἰγείαν μετὰ χυλοῦ πράσου, ἔνσταζε. τὸ μὲν οὖν στέαρ ὧν εἶπε ζώων, παρηγορικώτατόν ἐστιν ἁπασῶν τῶν τὰς ὀδύνας ἐργαζομένων διαθέσεων, μετὰ τοῦ καὶ μεγάλως αὐτῶν ὠφελεῖν ἐνίας. αἱ χολαὶ δὲ αἱ μετὰ πράσου, τάς τε διὰ φλεγμονὴν ὀδύνας αὐξήσουσιν, καὶ τὰς ἐπὶ δριμέσι, καὶ δάκνουσιν ὑγροῖς. μόνας δὲ ὠφελήσουσιν τὰς δι᾽ ἔμφραξιν, ἢ ψύξιν γινομένας, ἤτοι κατὰ ψιλὴν δυσκρασίαν, τῆς ψύξεως τῶν στερεῶν μορίων ὀδυνηρᾶς γινομένης, ἢ E διὰ τὸ γίνεσθαι μὲν ἐν ταῖς τοιαύταις διαθέσεσι φυσώδη πνεύματα, καὶ χυμοὺς ψυχρούς, κωλύεσθαι δὲ ἐκκρίνεσθαι, διὰ τὴν τοῦ περιέχοντος πύκνωσιν, ἄνευ φλεγμονῆς γινομένην. ἐκκριθέντων γὰρ ὑπὸ τῶν οὕτω δριμέων, καὶ θερμῶν φαρμάκων τῶν ἀλγημάτων αἰτίων, θεραπεία τε ἅμα καὶ ἀνωδυνία γίνεται. τὸ μὲν οὖν ὀρνίθειόν τε καὶ τὸ χήνειον στέαρ, ἐὰν μὲν εὕρῃ κεκενωμένον τὸ σῶμα, καὶ μηκέτι ἐπιρρέοντα τὸν τὴν φλεγμονώδη διάθεσιν ἐργαζόμενον χυμόν, κατὰ τοὺς δύο λόγους ὀνήσει, τόν τε παρηγορικόν, καὶ τὸν θεραπευτικόν. ἐὰν δὲ ἐπιρρέοντος ἔτι τοῦ αἰτίου προσενεχθῇ, τὴν F διάθεσιν μὲν οὐδὲν ὀνίνησιν, παρηγορεῖ δὲ τὸ τῆς ὀδύνης σύμπτωμα, καθάπερ γε κἂν ἐπὶ χυμῶν δριμύτητι ἡ δῆξις γίνηται. χολὴ δὲ οὐδέποτε μετὰ πράσου χυλοῦ δύναταί τι χρηστὸν ἐπὶ τῶν εἰρημένων διαθέσεων ἐργάζεσθαι, καθάπερ οὐδὲ πέπερι, καίτοι τοῦτό γε οἶδα τῶν ἰατρῶν τινα πράξαντα, γυναικὸς ἀλγησάσης οὖς, ἐν χρήσει θερμῶν ὑδάτων αὐτοφυῶν.

εἰωθὼς γὰρ πάντα πιστεύειν τοῖς τῶν εὐπορίστων φαρμάκων Ἀπολλωνίου βιβλίοις, κεχρημένος τε κατὰ τύχην πολλάκις ἤδη τῷ διὰ τοῦ πεπέρεως βοηθήματι, καὶ τότε ἤλπισεν ὠφελήσειν τὴν ὠταλγίαν. ἀλλ' οὕτω γε ὑπ' αὐτοῦ παρωξύνθη τὸ γύναιον, ὡς ὀλίγου δεῖν ἀπάγξασθαι. γράφει οὖν ὁ Ἀπολλώνιος ὧδε. πεπέρεως ἐν οἴνῳ ἀπεζεσμένου λεάνας, καὶ σύμμετρον τῷ πάχει ποιήσας, ἔνσταζε. γράφει δὲ ἐν αὐτοῖς τούτοις ἐφεξῆς τὰ διὰ πεπέρεως, καὶ ταῦτα. λύκιόν τε καὶ μηκώνειον ἴσα, γάλακτι γυναικείῳ διεὶς χρῶ, καὶ τούτῳ γε ἐφεξῆς ἕτερον τουτί. καστορίου, καὶ μηκωνείου ἴσον, φώξας ἐπ' ὀστράκου, μάλιστα μὲν Ἀττικοῦ. εἰ δὲ μὴ, Ῥωμαϊκοῦ, καὶ λεάνας, διεὶς γλυκεῖ ἔνσταζε. τὰ μὲν οὖν διὰ τοῦ μηκωνείου πάντα φάρμακα, ναρκωτικὰ τῆς αἰσθήσεως ὄντα, κατὰ τοῦθ' ἡμᾶς ἀναγκάζει ποτὲ αὐτοῖς, ἐπὶ τῶν ὑπὸ μηδενὸς τῶν παρηγορικῶν ὠφελουμένων, χρῆσθαι, τὸ δὲ διὰ τοῦ πεπέρεως φάρμακον ἐξ ἑτέρου γένους ἐστὶν, ὥσπερ γε καὶ τὸ διὰ τῶν στεάτων, ἐξ ἄλλου, καθάπερ γε καὶ τὸ μετὰ ταῦτα γεγραμμένον ἐφεξῆς φάρμακον ὧδέ πως. χαλβάνην Σουσίνῳ μύρῳ διεὶς, πρόσμιξον μέλι, καὶ ῥόδινον, καὶ οἰσυπηρὸν ἔριον περὶ μηλωτίδα συστρέψας, κίνει, καὶ χλιαίνων ἔνσταζε. διαφορητικὸν γὰρ ἀλύπως ἐστὶ τοῦτο, δυνάμενον ἁρμόττειν φλεγμοναῖς ἐν αἷς οὐκέτι οὐδὲν ἐπιρρεῖ. καλῶς δὲ ποιήσει κἀπὶ τῶν διὰ ψύξιν ἀλγούντων. ἴσως δέ τις ἐπιζητήσει διὰ τίνα τὴν αἰτίαν, οὐ μόνον τοῦ Ἀπολλωνίου, ἀλλὰ καὶ ἄλλων τινῶν ἀξιολόγων ἀνδρῶν, φῶξαι κελευόντων τὸ μηκώνειόν τε καὶ τὸ καστόριον, ὅπως αὐτῶν τὸ σφοδρὸν τῆς δυνάμεως μειωθείη, παρέλιπον ἐγὼ τοῦτο προσθεῖναι κατὰ τὸν ἔμπροσθεν λόγον, ἡνίκα τὴν ἐμὴν ἀγωγὴν τῆς θεραπείας τῶν ὠταλγιῶν ἔγραφον, ἀπολογητέον οὖν αὐτῷ κατὰ τάδε. τὸ μὲν οὖν καστόριον, οὐδ' ὅλως ἀξιῶ φώσσειν. οὐ γὰρ, ὡς ναρκωτικὸν αὐτὸ τῆς αἰσθήσεως, τῷ μηκωνείῳ μίγνυμεν, ἀλλὰ τοὐναντίον ἅπαν, ὡς ἀμβλυνοῦν τὸ σφοδρὸν τῆς ψυκτικῆς δυνάμεως, ὥσπερ οἱ φῶξαι κελεύοντες, ἐπὶ μὲν τοῦ μηκωνείου οὐκ ἀτόπως ποιοῦσιν, ἐπὶ δὲ τοῦ καστορίου παντάπασιν ἀτόπως. αὐτὸ γὰρ καθ' αὑτὸ, πεπτικὴν τῶν δυσλύτων τε καὶ σκιρρωδῶν διαθέσεων ἔχει δύναμιν. αὐτάρκης οὖν ἐστι, καὶ ἡ ἐκ τοῦ μηκωνείου, κεχρονίσθαι τὸ συντεθὲν ἐξ αὐτῶν πραΰνης, φωγνύμενον γὰρ ἀπόλλυσι τὸ δραστήριον, εἰ δὲ μιχθὲν τῷ καστορίῳ χρονίσειε, μένει μὲν ἔτι καὶ νῦν ἱκανῶς δραστικὸν, ἀμαυροῦται δ' αὐτοῦ τὸ κακόηθες, δι' ὃ καὶ βλάπτονταί τινες, ὡς ἀχλυῶδες ὁρᾶν ἄχρι πολλῶν ἡμερῶν, καὶ καρηβαρεῖν, καὶ μὴ καλῶς πέττειν τὰς τροφὰς ποιεῖ, εἰ ποθείη· καὶ διὰ ταύτην αὐτοῦ τὴν κακοήθειαν, ἐπὶ τὴν φῶξιν ἀφίκοντο πολλοὶ τῶν ἰατρῶν. ἀλλ' ἐπεὶ πάλιν ἐν τῷ φωχθῆναι, τὸ δραστήριον αὐτοῦ ἀμαυροῦσθαι φαίνεται, τούτου γὰρ ἐπειράθην πολλάκις, ἄμεινον ἡγησάμην ἄφωκτον μὲν μιγνύναι, μετὰ χρόνον δὲ χρῆσθαι. ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἴρηται, γιγνώσκεσθαι χρήσιμα. τὸ δὲ προκείμενον νῦν, οὐ μικρὰν βλάβην γίνεσθαι τοῖς πιστεύουσιν ἀδιορίστοις γραφαῖς φαρμάκων. γέγραπται δὲ καὶ ἄλλοις πολλοῖς τὸν αὐτὸν τρόπον, ἐπὶ πολλῶν μορίων τε καὶ παθῶν ἀδιόριστα φάρμακα, μὴ γινώσκουσιν ὅσην ὁ διορισμὸς ἔχει δύναμιν εἰς τέχνης σύστασιν. ἐφ' ὧν οὖν θαυμάζω τὸ συγκεχυμένον τε καὶ ἀδιόριστον, ὡς ἐπ' Ἀπολλωνίου τοῦ Ἡροφιλείου, γινώσκοντος τἀνδρὸς, ὅτι κελεύει διὰ παντὸς ὁ Ἡρόφιλος,

A Quum enim per omnia parabiliũ medicamentorũ Apollonij libris fidẽ haberet, & iam ante feliciter sæpe ex pipere remedio vsus esset, etiam tunc sperauit, se in auris dolore opitulaturum; verùm adeò ab ipso exacerbata est muliercula, vt parũ abesset, quin se ipsam strangularet. Scribit itaque Apollonius in hunc modum: Piper in vino feruefactũ terito, & mediocri crassitudine instillato. Scribit autem consequenter post hoc etiam hæc; Lycio & papaueris succo, pari pondere lacte muliebri dilutis vtere. Et post hoc rursum aliud, hoc scilicet castorij & papaueris succi par pondus in testa, præcipuè quidẽ Attica, sin minus, Romana, torrefacito; B & trita passo diluta instillato. Medicamenta igitur ex papaueris succo omnia sensum stupefaciunt; & ob id sanè necessariò cogimur ipsis vti, vbi nullũ aliud mitigatiuum opem tulit. At verò ex pipere medicamentũ alterius generis est; quemadmodũ etiam quod ex adipibus constat; & velut id quod deinceps scriptũ est hoc modo; Galbanum susino vnguento diluito, & mel, ac rosaceum admisceto, atque lanã sordidã auriculario spicillo obuolutam in eis agitando imbuito, & tepefacta instillato. Discussorium est citra molestiam hoc medicamentũ, inflãmationibus conducens, in quas nihil amplius C influit. Probè etiam fecerit in iis, qui ex frigiditate dolore vexantur. Cæterũ quæret fortassis aliquis, quam ob causam, quum non solũ Apollonius, sed alij etiam quidam celebres viri, papaueris succum, & castorium torrefacere iusserint, quò videlicet vehementia viriũ ipsorũ minueretur, ego ad priorem meum sermonẽ id apponere reliquerim, nimirum supra, quum auris doloris curandi rationẽ scriberem. Huic ego respondebo in hũc modum; castorium quidẽ igitur neq; omnino torreri operæpretium existimo; neque enim tanquam sensus stupefactiuum ad papaueris succum admiscemus, sed ob cõtrariam omninò rationẽ, vt videlicet ve- D hemẽtiam refrigerandæ facultatis in eo obtundat. Quare qui papaueris succum torreri iubent, probè id faciũt; in castorio verò omninò absurdè id præcipiunt, ipsum enim per se concoctoriam ægrè solubilium, & in scirrhum induratorum affectuum vim habet. Abundè igitur satis esset papaueris succi lenitas, quæ ex eorum compositionis perennitate comparatur, torrefactus enim efficaciam amittit. At si castorio misceatur, perennaret, quippe manet, & nunc abundè efficacia, eius verò malignitas obscuratur; ex qua etiam aliqui læduntur, vt obscuriùs videant per multos omninò dies, & ca- E pitis grauitatẽ sentiant, & neq; probè concoquant cibos si bibatur; & ob hanc sanè eius malignitatẽ pleriq; medici ad torrefactionẽ confugerunt. Verùm quum rursus in torrefaciendo efficacia ipsius pessundari videatur, id quod sæpe sum expertus, melius esse existimaui, intostum quidem misceri, sed post tempus aliquod inueterata iam cõpositione in vsum assumi. Hæc itaq; extra rem dicta sunt, sed quæ tamen vtilia existant. Cęterùm vt ad id, quod propositũ erat, reuertamur, non parũ noxæ inferunt illi, qui indefinitis medicamentorum descriptionibus fidẽ per omnia habẽt. Porrò mul- F ti alij iuxta eundẽ modũ in plerisq; tum locis, tum affectibus indefinita medicamẽta scripserũt; neq; cognouerunt quantam vim habeat certa distinctiõ ad artis constitutionẽ. In quibus sanè nihil miror, quòd omnia indiscriminatim cõfuderunt, quemadmodum in Apollonio Herophili sectatore mihi accidit, vtpotè qui norit, quòd iubeat Herophilus, medicum

medicum omninò anniti debere, vt sciat, quæ & qualis, & quanta sit morbi causa, & vbi maximè ea dominetur, quo videlicet, & curationem vnicuique conuenientem faciat; Magis verò adhuc Archigenem quis miretur, qui & ipse non pauca indefinitè, & indistinctè scripsit cùm in aliis curationibus, tum in eis præsertim, quæ ad aurium dolores destinauit. Vna enim tantùm in ipsis distinctione vsus est, à vehementia nimirum, & mediocritate doloris. Atqui & ipsius totam tibi ascribam dictionem.

Quæ medicamenta Archigenes ad aurium dolores conscripsit.

In priore de medicamenti secundum genus libro, Archigenes in hunc modum hæc verba scripsit. In aurium dolore, præcedente alia victus ratione, quam ad capitis dolorem ordinauimus, si quidem moderatus fuerit, simplicia vnguenta tepida instilla. velut crocinum, aut irinum, aut rosaceum, aut nucum amararum succum, aut casiæ vnguentum, aut simplicem nardum, aut susinum, aut amygdalinum, aut rosarum, aut mali punici, aut papaueris succum cum oleo calido, aut porri semen tritum. Aut veratrum album cum rosaceo tritum, tepidum per strigilem infunde. Aut opij parum cum lacte muliebri. Aut opij succum eliquatum cum lacte eodem modo. At verò vbi vehemens sit dolor, aluus per clysterem validè subducatur, & sanguis à cubito detrahatur, & quæcũque similia adhibeantur. Indéque fomentum ex decocto lauri, aut simili quopiam fiat, aut ex sulfure viuo in aquam inspersо. Exprimâtur autem vehementer spongiæ, auribusque apponantur, facillimè enim ab humore soluuntur ac laxantur. Quapropter fomenta sicca longè commodiora eis existũt, ex sale videlicet, aut milio, aut delicatis pileis, molliterve effigiatis. Aut rutam feruefacito, eiusque decoctum in angusti oris vasculum transfundito, lanáque os eius obturato, & auriculæ admoueto, quo vapor inde per lanam ad aurem penetrare possit. Quidã in oxycrato & exiguo oleo rutam coquunt, atque ita liquorem in vasculũ infundunt, ex eóque fomentum parant. Post fomenta verò aurem concutito, & balsamum cum rosaceo dilutũ infundito, aut aliquod ex prædictis vnguentis tepidum. Aut aliquod aliud conueniens ad auris dolorem ex iis, quæ mox describentur imponito. Aut papaueris calicem tenuem farina admixta, & in aqua mulsa coctum. Aut papaueris calicem cum hordeacea farina in vino coctum. Aut fœnugræcum aqua mulsa coctum. Aut semen lini eodem modo. Summè auxiliatur spongia ocularis melle cocto atq; adhuc calido imbuta, & imposita. Aut ceratũ ex irino, styrace ad ipsum admixto. Egregiè facit ad aurium dolorẽ aloë rosaceo permixta, & mellis crassitudine infusa; Aut chalcitis vino diluta. Aut perdicij succus tepidus instillatus per se, & cum melle; Aut nitrum exigua aqua diluito, admixtóque oleo tepidũ instillato; Aut aristolochiæ radicem cum oleo: Aut veratrum album cum rosaceo tritum tepidum per strigilẽ instillato. Probè facit, opium in testa torrefactum, similiterque castoriũ pari pondere cum rosaceo, & passo ad mellis spissitudinem redacta; in quibus deinde post fomentum, specillum lana obuolutum intingitur, & imponitur. Aut succũ fœniculi cum aliquo ex prędictis vnguentis in principio instilla. Aut anguis senectã cum calicibus papaueris coquito, & infundito, aut cum quopiam ex prædictis vnguentis,

A τί τε, καὶ ποῖον, καὶ πηλίκον ἐστὶν, τὸ τοῦ νοσήματος αἴτιον, καὶ κατὰ τί μάλιστα δυναστεῦον, ἐπίστασθαι τὸν ἰατρὸν, ὅπως καὶ τὴν θεραπείαν ἁρμόττουσαν ἑκάστῳ ποιῆται. ἔτι δὲ μᾶλλον ἐπ' Ἀρχιγένους ἄν τις θαυμάσειεν, ἀδιορίστως οὐκ ὀλίγα καὶ αὐτοῦ γράφοντος, ἔν τε ταῖς ἄλλαις θεραπείαις, καὶ ταῖς τῶν ὠταλγιῶν. ἕνα γὰρ ἔγραψεν αὐτὸς ἐπ' αὐτῶν μόνον διορισμὸν, τὸν ἀπὸ τοῦ μετρίου τε καὶ σφοδροῦ τῆς ὀδύνης, καί σοι παραγράψω τὴν λέξιν ὅλην αὐτοῦ.

Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα φάρμακα πρὸς ὤτων ἀλγήματα.

B Ἐν τῷ προτέρῳ τῶν κατὰ γένος φαρμάκων, ὁ Ἀρχιγένης ὧδέ πως ἔγραψεν κατὰ λέξιν. ἐπὶ δὲ ὠταλγίας, τῆς ἄλλης προηγουμένης διαίτης, ἥνπερ καὶ ἐπὶ κεφαλαλγίας ἐτάττομεν. ἐπὶ μὲν τῶν μετρίων, τῶν ἁπλῶν μύρων χλιαρῶν ἐνστάζειν, οἷον κρόκινον, ἢ ἴρινον, ἢ ῥόδινον, ἢ καρύων πικρῶν ἀπόθλιμμα, ἢ τῆς κασσίας τὸ μύρον, ἢ νάρδον ἁπλῆν, ἢ Σούσινον, ἢ ἀμυγδάλινον, ἢ ῥόδων, ἢ ῥοιᾶς, ἢ μήκωνος χύλισμα μετ' ἐλαίου θερμοῦ, ἢ πράσου σπέρμα λεῖον, ἢ ἐλλέβορον λευκὸν λεῖον μετὰ ῥοδίνου χλιαρὸν ἔγχει ἐν ξύστρᾳ. ἢ μηκωνείου ὀλίγον σὺν C γάλακτι γυναικείῳ, ἢ μηκωνίου χύλισμα σὺν γάλακτι ὁμοίως. σφοδρυνομένης δὲ, ἥ τε κοιλία διὰ κλυστῆρος εὐτόνως ὑπαγέσθω, καὶ ἀπ' ἀγκῶνος αἷμα ἀφαιρείσθω, καὶ ὅσα τοιαῦτα. τοὐντεῦθεν πυριάσθωσαν ἀφεψήματι δάφνης, ἢ τοιούτου τινὸς, ἢ θείου ἀπύρου ἐμπασσομένου τῷ ὕδατι. σφόδρα δὲ ἀποθλιβέσθωσαν οἱ σπόγγοι, καὶ τῷ ὠτὶ προστιθέσθωσαν. καὶ γὰρ τὸ ὑγρὸν ῥᾷστα αὖθις περιψύχει. διὸ καὶ μακρῷ αἱ πυρίαι αὐτοῖς αἱ ξηραὶ ὠφελιμώτεραί εἰσιν, αἵ τε δι' ἁλῶν, ἢ κέγχρου, ἢ δι' ἁπαλῶν πιλημάτων, ἢ διὰ λιπαρῶν ἐκμαγείων. ἢ ἀποζέσας πήγανον βάλε εἰς στενόστο- D μον ἀγγεῖον τὸ ὕδωρ, ἐρίῳ τε ἔμφραξον τὸ στόμα, καὶ τῷ ὠτίῳ πρόσφερε, ὥστε διϊκνεῖσθαι εἰς τὸ οὖς διὰ τοῦ ἐρίου τὴν ἀτμίδα. ἔνιοι δὲ ἐν ὀξυκράτῳ, καὶ ὀλίγῳ ἐλαίῳ τὸ πήγανον ἑψήσαντες, οὕτως ἐγχέουσιν τὸ ὑγρὸν εἰς τὸ ἀγγεῖον, καὶ πυριῶσιν. μετὰ δὲ τὰς πυρίας, διασείσας τὸ οὖς, καὶ ἐγχυματίσας, ἢ βαλσάμῳ σὺν ῥοδίνῳ λεανθέντι, ἢ τινι τῶν προειρημένων μύρων χλιαρῷ, ἢ ἄλλῳ τινὶ συμφώνῳ πρὸς ὠταλγίαν, τῶν αὐτίκα ἀναγραφησομένων κατάπλασσε. ἢ κωδίαν λεπτὴν, ἀλεύρῳ μεμιγμένην, καὶ ἐν μελικράτῳ ἑψημένην, ἢ αὐτῇ τῇ κωδίᾳ λεπτῇ, μετὰ κριθίνου ἀλεύρου ἐν E οἴνῳ ἑψημένῃ. ἢ βουκέρατι ἐν μελικράτῳ ἑφθῷ, ἢ λινοσπέρμῳ, ὁμοίως. ἄκρως ποιεῖ σπόγγος ὀφθαλμικὸς, μέλιτι ἑφθῷ, καὶ ἔτι θερμῷ βρεχόμενος, καὶ ἐπιτιθέμενος. ἢ κηρωτὴ ἰρίνου, μιγέντος αὐτῇ στύρακος. ἄκρως ποιεῖ πρὸς ὠταλγίαν ἀλόη μεμιγμένη μετὰ ῥοδίνου, καὶ μέλιτος τὸ πάχος ἐγχεομένη. ἢ χαλκῖτις ἐν οἴνῳ διειμένη. ἢ περδικίου χυλὸς χλιαρὸς ἐνσταζόμενος, ἰδίᾳ, ἢ μετὰ μέλιτος. ἢ νίτρον διεὶς ὀλίγῳ ὕδατι, μίσγε ἔλαιον, καὶ χλιαίνων ἔνσταζε. ἢ ἀριστολοχίου ῥίζαν μετ' ἐλαίου. ἢ ἐλλέβορον λευκὸν λεάνας σὺν ῥοδίνῳ, χλιαρὸν διὰ ξύστρας ἔνσταζε. καλῶς ποιεῖ ὄπιον, ἐπ' ὀστράκου F ὀπτηθέν. καὶ καστόριον, ὁμοίως, ἴσα λεανθέντα μετὰ ῥοδίνου καὶ γλυκέος, μέχρι μέλιτος ἔχειν πάχος, εἶτα μετὰ τὴν πυρίαν, περὶ τὴν ὀξεῖαν ἔριον περιελιχθὲν ἐμβάπτεται, καὶ ἐπιτίθεται. ἢ μαράθρου χυλὸν μετά τινος τῶν εἰρημένων μύρων, ἐν ἀρχῇ ἔνσταζε. ἢ μετὰ κωδυῶν μήκωνος ἀφέψει, καὶ ἔγχει τὸ τοῦ ὄφεως γῆρας, ἢ μετά τινος τῶν εἰρημένων μύρων.

A ἢ τὸ Σπανὸν γάρος θερμαίνων διὰ ξύστρας. ποιεῖ καὶ τὸ δυσῶδες ἄκοπον, ἐγχεόμενον χλιαρόν. ἢ μηκώνιον διεθὲν ῥοδίνῳ, καὶ ὀλίγον κρόκινον. καὶ πάντως μᾶλλον ἡ ἱερὰ ἀρωματικὴ, μετά τινος τῶν μύρων. ποιεῖ δὲ ἄκρως, λευκὸς ἐλλέβορος λεανθεὶς, μετὰ μέλιτος καὶ ῥοδίνου ἐγχεόμενος. ἐμφραττομένου τοῦ πόρου, πορφύρας μαλλῷ. καλῶς ποιεῖ καὶ ὁ ἐλλέβορος μετὰ ἰρίνου μύρου. ποιεῖ δὲ καὶ κεδρία σὺν ναρδίνῳ μύρῳ ἐγχεομένη. Σεβῆρος δὲ τοὺς ἐπὶ ταῖς ὑδρίαις ὄνους, λείους μετὰ μύρων εἰς τὰ ἡλκωμένα ἐνέχει. ἔνιοι δὲ, ψυχρὸν ὕδωρ εἰς τὸ ἀλγοῦν ἐγχέουσιν οὖς, καὶ B παραχρῆμα μὲν ὑπεραλγοῦσιν, μετὰ βραχὺ δὲ, τελέως παύονται. ἄλλοι δὲ κάλλιον ποιοῦντες, εἰς τὸ ἕτερον τοῦ ἀλγοῦντος, ψυχρὸν ἐγχέουσιν, ὥσπερ Λεύκιος. ποιεῖ καλῶς ἀλόη, καὶ κρόκινον, μετὰ ἀμυγδαλίνου μύρου ἐγχεόμενα. ἢ χαλκὸς λεῖος, μετ᾽ ὄξους, καί τινος μύρου. ἄκρως ποιεῖ σίλφιον, μετὰ ῥοδίνου ἐὰν ἕλκωσις ᾖ. θαυμαστῶς ὠφελεῖ τὰς ὑπερβαλλούσας ὠταλγίας, πράσου χυλὸς, καὶ οὖρον αἴγειον, καὶ ῥόδινον, μετ᾽ ὀλίγης σμύρνης ἐγχεόμενα. ἢ σκιούρου στέαρ, ἐν ξύστρᾳ χλιαίνων ἔνσταζε. ἢ σχιστοῦ, καὶ ἡδυόσμου χυλὸν, μετὰ γλυκέος. ἢ πέπερι λευκὸν, καὶ ἅλας ἴσα μεθ᾽ ἑψήματος, ἔγχει ἀριστερᾷ χειρὶ, πεντάκις ἢ ἑπτάκις. C ἢ κοχλίαν σεσηπότα Ἀφρικανὸν παρακεντήσας, ῥοδίνου πληρώσας, καὶ ζέσας, διὰ ξύστρας ἐγχυμάτιζε θερμοτέρῳ. ἐὰν δὲ ἐκ πληγῆς ἀλγῇ τὸ ἐκτὸς τοῦ ὠτὸς, λιβάνου χόνδρῳ γάλα ἐπιχέας δὶς, καὶ ἀποχέας τὸ τρίτον, ἔασον βραχῆναι, καὶ κινήσας ἔγχει, εὐθὺς γὰρ παύει. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν, ἀδιορίστως πάνυ. δύναιτο δ᾽ ἄν τις νοῦν ἔχων, ἀναμιμνησκόμενος ὧν ἔμπροσθεν εἶπον, ἐννοεῖν ὁποῖόν τι τῶν εἰρημένων φαρμάκων, ἑκάστῃ τῶν εἰρημένων ὠταλγιῶν ἁρμόττει, D μεμνημένος τῆς δυνάμεως αὐτῶν ἐξ ὧν ἔμαθεν, ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν. ἐγὼ δὲ ἐπὶ τὰς ὑπὸ Ἀνδρομάχου γεγραμμένας ὠτικὰς δυνάμεις ἤδη μεταβήσομαι.

Ὠτικαὶ Ἀνδρομάχου, τὸν ἀριθμὸν κδʹ.

Τέσσαρας ἐπὶ ταῖς εἴκοσι δυνάμεις ὠτικὰς, ἐφεξῆς ἀλλήλων ἔγραψεν ὁ Ἀνδρόμαχος, ἐνίαις μὲν προσθεὶς τινὰ διορισμὸν, ἐνίαις δὲ οὐδένα, καὶ πρώτη γε αὐτῶν ἐστὶν οὕτω γεγραμμένη. ὠτικὴ ἐκ τῶν Γάλλου ᾗ χρῶμαι. ℞. σμύρνης E <. αʹ. ἁλὸς <. δʹ. λιβάνου <. γʹ. ἀφρονίτρου <. γʹ. κρόκου <. δʹ. μηκωνείου <. γʹ. ἀμύγδαλα πικρὰ κʹ. χαλβάνης <. βʹ. ὄξους καλοῦ τὸ ἱκανόν. ἀναφέρεται ἡ γραφὴ εἰς Μενέμαχον. πολύχρηστόν τινα ταύτην ὠτικὴν ὁ Ἀνδρόμαχος ἔγραψεν, ἐστοχασμένην πολλῶν ἅμα διαθέσεων ἐν ὠσὶ γινομένων. εἴρηται δέ μοι καὶ πρόσθεν, ὡς αἱ τοιαῦται δυνάμεις οὔτε κατορθώματα μεγάλα ποιοῦσιν, οὔτε σφάλματα, διὰ παντὸς αὐταῖς χρωμένων ἡμῶν. ὅσαι δὲ πρὸς μίαν διάθεσιν ἁρμόττουσιν, ἐκείνην μὲν ἄριστα θεραπεύουσιν. τὰς δὲ F ἄλλας, ἐνίοτε πρὸς τῷ μηδὲν ὠφελεῖν, ἔτι καὶ παροξύνουσιν. δευτέραν ὁ Ἀνδρόμαχος δύναμιν ἔγραψεν ἐφεξῆς τῇ προειρημένῃ τήνδε. ὠτικὴ Αἰλίου Γάλλου, πρὸς φλεγμονὴν, καὶ ἐπιτεταμένας ἀλγηδόνας. ℞. χαλβάνης <. ηʹ. κινναμώμου <. βʹ. σμύρνης <. ηʹ. κρόκου <. ηʹ. λιβάνου <. γʹ. ἀφρονίτρου <. γʹ. ὀποῦ μήκωνος <. γʹ. ὄξους ὡς μέλιτος ἔχειν πάχος. δεῖ δὲ προεκνίζειν ἵνα μὴ λίπος ἔχῃ, εἶθ᾽ οὕτως ἐγχεῖν τὸ φάρμακον,

Aut garum Hispanum calefactum per strigilem instillato. Facit & acopon fœtidum tepidum infusum. Aut papaueris succus rosaceo, & exiguo crocino dilutus. Omninò tamen præstat Hiera aromatica cum quopiam ex vnguentis. Egregiè facit, & veratrum album tritum, cum melle, & rosaceo infusum, meatu per purpuræ lanam obturato. Præclarè facit, & veratrum cum irino oleo, vel vnguento. Facit & cedria cum nardino vnguento infusa. Seuerus autem Asellos in aquariis vasis nascentes, millepedas Latini vocant, cum vnguentis tritos vlceratis infundebat. Quidam verò frigidam aquam dolenti auriculæ infundunt; & confestim quidem longè magis dolitant, paulò post verò perfectè à dolore liberantur. Alij melius faciunt, & in alteram non dolentem aurem frigidam infundunt, quemadmodum Lucius. Præclarè faciunt, & aloë, & crocinum cum vnguento amygdalino instillata. Aut æs tritum cum aceto, & aliquo vnguento. Summè prodest, & silphium cum rosaceo, si exulceratio adsit. Mirabiliter confert in excellenti aurium dolore porri succus, & caprina vrina, & rosaceum, cum exigua myrrha infusa. Aut Sciuri adeps in strigili tepefactus instillatus. Aut alumen scissum, & mentæ succum, cum passo instilla. Aut piper album & salem pari pondere, cum sapa, sinistra manu ter aut quinquies aut septies infunde. Aut cochleam siue limacem Africanam putridam compungito, & rosaceo impleto, & feruefactum calidius per strigilem infundito. Quòd si ex plaga, externa pars auriculæ doleat, ad micam thuris lac affundito, semélque atque iterum diffundito, ac tertio macerari in eo sinito, & agitatum infundito, statim enim dolorem sedat. Hæc quidem Archigenes valdè indistinctè scripsit; possit autem quispiam mente præditus, reuocatis in memoriam iis, quæ priùs dixi, facilè animo concipere quale tandem ex prædictis medicamentis, singulis relatis aurium doloribus conueniat, nimirũ si memor sit facultatis eorum, de qua simplicium medicamentorũ libris mentionem feci. Verùm ego iam ad auriculares compositiones ab Andromacho scriptas transibo.

Auriculares compositiones Andromachi nu. xxiiij.

Quatuor & viginti compositiones auriculares ex ordine Andromachus conscripsit; quarum aliquibus distinctionem quandam, aliquibus nullam, apposuit. Et prima quidem ex eis hoc modo scripta est: *Compositio Auricularis ex libris Galli, qua vtor.* ℞. Myrrhæ ʒ.j. salis ʒ. iiij. thuris ʒ. iij. spumæ nitri ʒ. iij. croci ʒ. iiij. succi papaueris ʒ. iij. amygdalas amaras xx. galbani ʒ. ij. aceti boni quantum satis est. Descriptio hæc ad Menemachum refertur. Multi vsus hanc compositionem auricularem Andromachus scripsit, multis simul affectibus aurium destinatam. Verùm antea à me dictum, quòd huiusmodi cõpositiones nihil magnopere corrigunt, neque etiam error ex earum vsu nobis contingit. Quæ verò vni affectioni congruunt, illam ipsam optimè curant; alias verò aliquando vltra hoc quòd nihil iuuant, ampliùs etiã exacerbant. Secundã deinceps compositionẽ post prædictam scripsit hanc. *Compositio auricularis Aelij Galli ad inflammationem, & intensos dolores.* ℞. Galbani ʒ. viij. cinnamomi ʒ. ij. myrrhæ ʒ. viij. croci ʒ. viij. thuris ʒ. iij. spumæ nitri ʒ. iij. succi papaueris ʒ. iij. aceti, vt mellis accipiat spissitudinem. Oportet autem nitro priùs præparare, ne pingue quicquam adsit, deinde medicamentum ipsum infundere.

Et

Et hic rursus ab obstructione liberantia, & concoctoria, & laxatoria, & discussoria medicamenta, mixta sunt, quæ vehementes dolores sanare non possunt, & ob hoc ipsis papaueris succus admixtus est. Tertiam auricularem huiusmodi conscripsit. *Auricularis compositio Laodici regis, qua assiduè vtor.* ℞. castorij ʒ. ij. succi papaueris ʒ. iiij. opopanacis ʒ. ij. spumæ lycii ʒ. j. passo excipe, & tepefactis vtere. Hæc euidenter intensis doloribus conuenit, non tamen aliis affectibus. Ego verò, quemadmodum dixi, in vnoquoque affectu, proprio medicamento vtor; sempérque papaueris succum fugio, neque nisi vrgente necessitate, ad eius vsum peruenio. Quartam deinceps auricularem sic scripsit. *Alia ad inflammationem, & purulentos, ac veteres affectus.* ℞. Fabæ Ægyptiæ internæ amaræ, aluminis scissi, piperis albi, spumæ nitri, croci, opii, malicorii, myrrhæ, thuris, nardi, singulorum ʒ. ij. castorii ʒ. j. aceti, & mellis quantum sufficit, alii mellis ʒ. vj. coniiciunt. In hac compositione, medicamenta alia discussoria, & resiccantia, & obstructione liberantia sunt; & quædam etiam concoctoria, velut myrrha, & thus existunt. Alumen autem scissile fortiter astringens medicamentum quum sit, ad resiccandum purulenta admixtum est. Adiectum est, & opium doloris sedandi gratia, oppositúmque est ei castorium, velut antea dixi; sed in eiusmodi affectibus non solùm, vt oppositum, sed & vt concoctorium earum, & tanquam resiccatiuum, meritò iniicitur. Quintam deinde auricularem Andromachus scripsit his verbis. *Alia Xenocratis, qua sæpe vsus sum.* ℞. Spumæ lycij ʒ. ij. myrrhæ ʒ. j. croci obolos tres, thuris ʒ. j. aluminis scissi obolos iij. spumæ nitri obolos ij. Trita cum aceto reponito. Vtere cum aceto. Et hæc multi vsus est, non tamen in dolore forti conuenit, vt quæ neque opium, neque castorium habeat, neque quippiam ex adipibus sedantibus dolorem, neque galbanum. Sexta compositio auricularis consequenter hac verborum serie scripta est. *Alia Prytanidis, concordat cum Harpali compositione.* ℞. myrrhæ obolos iij. nardi obol. iij. croci obol. iij. æris vsti obolos v. opij obolos ij. castorii obol. iiij. aluminis scissi ʒ. j. & rotundi ʒ. j. Excipe passo, vbi fluxus fuerit; quum dolor, rosaceo; vbi verò vermiculi generentur, veratri nigri ʒ. duas admisceto. Probè fecit, quòd in fine vsum eius adiecit, quem nos sanè dixissemus, si ipse ascribere neglexisset. Septima similis præscriptæ, in hunc modum descripta est. *Alia diui Gaij compositioni consona.* ℞. Veratri nigri obolos ij. myrrhæ obolum j. & dimidium, opij obolos iij. æris vsti obol. iiij. aluminis scissi obol. ij. castorii obol. j. croci obol. iiij. nardi obol. iiij. cum passo vtere. Octaua præscriptis omninò similis est. De nona verò hoc modo ipse scripsit. *Alia qua vtor in doloris vexatione & sonitu.* ℞. Nitri ʒ. j. myrrhæ ʒ. j. rosacei cyath. j. aceti cyathum j. simul tritis vtere. Hoc medicamentum non ad dolorem in inflammationibus conuenit, sed ad eos dolores, qui ex obstructione, & flatu frigido, ac vaporoso, similitérque ex humore, oboriuntur. Decimam deinde hoc modo scripsit. *Ad aures purulentas Harpocrationis.* ℞. Florum mali punici, malicorij, aristolochiæ, chalcitidis, mysyos cyprii, gallæ, squamæ æris, singulorum drachmam i. myrrhæ, thuris, vtriusque obolos iii.

A κἀνταῦθα πάλιν ἐκφρακτικά τε καὶ πεπτικὰ, καὶ χαλαστικὰ, καὶ διαφορητικὰ μέμικται φάρμακα, μὴ δυνάμενα σφοδρὰς ὀδύνας ἰᾶσθαι. διὰ τοῦτο δὴ αὖθις ὁ τοῦ μήκωνος ὀπὸς ἐμίχθη. τρίτην ὠτικὴν ἔγραψεν τοιάνδε κατὰ λέξιν· ὠτικὴ Λαοδίκου βασιλέως, ᾗ κέχρημαι συνεχῶς. ℞. καστορίου < . β΄. ὀποῦ μήκωνος < . δ΄. ὀποπάνακος < . β΄. λυκίου ἀφροῦ < . α΄. γλυκεῖ ἀναλάμβανε, καὶ χρῶ χλιαίνων. αὕτη μὲν προφανῶς ἁρμόττει ταῖς ἐπιτεταμέναις ὀδύναις, οὐ μὴν ταῖς γε ἄλλαις διαθέσεσιν. ἐγὼ δὲ, ὡς ἔφην, ἐφ᾽ ἑκάστῃ τῶν διαθέσεων οἰκείῳ χρῶμαι φαρμάκῳ, φεύγων ἀεὶ τὸν ὀπὸν B τοῦ μήκωνος, ἔνθα μή τις ἀνάγκη μεγάλη πρὸς αὐτὸν ἡμᾶς ἔρχεσθαι βιάζεται. τετάρτην ἔγραψε δύναμιν ὠτικὴν ὧδέ πως. ἄλλη πρὸς φλεγμονὴν, καὶ πυορροοῦν, καὶ παλαιὰς διαθέσεις. ℞. κυάμων Αἰγυπτίων τοῦ ἐντὸς πικροῦ, στυπτηρίας σχιστῆς, πεπέρεως λευκοῦ, ἀφρονίτρου, κρόκου, ὀπίου, σιδίων, σμύρνης, λιβάνου, νάρδου, ἀνὰ < . β΄. καστορίου < . α΄. μέλιτος καὶ ὄξους τὸ ἱκανόν. οἱ δὲ μέλιτος < . ϛ΄. ἐν ταύτῃ τὰ ἄλλα φάρμακα διαφορητικὰ, καὶ ξηραντικὰ καὶ τῶν ἐμφράξεων ἐκφρακτικὰ, καί τινα καὶ τῶν πεπτικῶν, οἷον ἥ τε σμύρνα, καὶ ὁ λιβανωτὸς ἔγκειται. στυπτηρία δὲ C σχιστὴ, στυπτικὸν ἰσχυρῶς φάρμακον ὑπὲρ τοῦ ξηραίνεσθαι τὰ πυορροοῦντα, μέμικται. πρόσκειται δὲ καὶ τὸ ὄπιον, ἀνωδυνίας ἕνεκεν. ἀντιτέτακται δὲ αὐτῷ τὸ καστόριον, ὡς ἔμπροσθεν ἔφην. ἀλλ᾽ ἐπὶ τῶν τοιούτων διαθέσεων, οὐ μόνον ὡς ἀντιτεταγμένον, ἀλλὰ καὶ ὡς πέττον αὐτὰς, καὶ ὡς ξηραῖνον, εἰκότως ἐμβάλλεται. πέμπτην ἔγραψεν ὁ Ἀνδρόμαχος ὠτικὴν τήνδε κατὰ λέξιν. ἄλλη ἀπὸ Ξενοκράτους, ᾗ κέχρημαι πολλάκις. ℞. ἀφροῦ λυκίου < . β΄. σμύρνης < . α΄. λιβάνου < . α΄. σχιστῆς τριώβολον, κρόκου τριώβολον, ἀφρονίτρου ὀβολοὺς δύο, λεῖα σὺν ὄξει ἀπόθου, χρῶ σὺν D ὄξει, καὶ αὕτη πολύχρηστος μέν ἐστιν. οὐ μὴν ἔνθα πόνος ἰσχυρὸς, ἁρμόττει, μήτε ὄπιον ἔχουσα, μήτε καστόριον, μήτε τῶν ἀνωδύνων τι στεάτων, μήτε χαλβάνης. ἕκτη δύναμις ὠτικὴ κατὰ τήνδε τὴν λέξιν γέγραπται. ἄλλη ἀπὸ Πρυτάνιδος συμπεφώνηκε τῇ Ἁρπάλου. ℞. σμύρνης τριώβολον, νάρδου τριώβολον, κρόκου τριώβολον, χαλκῆς κεκαυμένης ὀβολοὺς ε΄. ὀπίου ὀβολοὺς δύο, καστορίου τετρώβολον, σχιστῆς < . α΄. καὶ στρογγύλου < . α΄. σὺν γλυκεῖ, ὅταν ῥεῦμα, ὅταν δὲ ὀδύνη, σὺν ῥοδίνῳ. ὅταν δὲ σκώληκες γίνωνται, ἐλλεβόρου μέλανος μίσγε < . β΄. καλῶς ἐποίησεν ἐπὶ τῇ τελευτῇ E τὴν χρῆσιν αὐτῆς εἰπὼν, ἣν ἡμεῖς ἂν εἰρήκαμεν εἴπερ αὐτὸς αὐτὴν ὤκνησε προσγράψαι. ἑβδόμη παραπλησία τῇ προγεγραμμένῃ, γέγραπται κατὰ τόνδε τὸν τρόπον. ἄλλη δίου Γαΐου, σύμφωνος. ℞. ἐλλεβόρου μέλανος ὀβολοὺς β΄. σμύρνης ὀβολὸν α΄ S΄. ὀπίου τριώβολον, χαλκοῦ κεκαυμένου τετρώβολον, στυπτηρίας σχιστῆς ὀβολοὺς β΄. καστορίου ὀβολὸν α΄. κρόκου τετρώβολον, νάρδου τετρώβολον γλυκεῖ χρῶ. ἔστι δὲ ἡ ὀγδόη παραπλησία ταῖς προγεγραμμέναις. περὶ δὲ τῆς ἐνάτης ὧδέ πως αὐτὸς ἔγραψε. ἄλλη ᾗ χρῶμαι πρὸς περιωδυνίας, καὶ ἤχους. ℞ νίτρου < . α΄. σμύρνης < . α΄. ῥοδίνου κύαθος α΄. ὄξους κύαθος F εἷς, ὁμοῦ λεάνας χρῶ. οὐ πρὸς τὰς ἐν φλεγμονῇ περιωδυνίας ἁρμόττει τοῦτο τὸ φάρμακον, ἀλλὰ τὰς ἐπ᾽ ἐμφράξει, καὶ πνεύματι ψυχρῷ, καὶ ἀτμώδει, καὶ χυμῷ παραπλησίως. δεκάτην αὐτὴν ἔγραψεν ὧδέ πως. πρὸς ὦτα πυορροοῦντα παρὰ Ἁρποκρατίωνος. ℞. κυτίνων, σιδίων, ἀριστολοχίας, χαλκίτεως, μίσυος κυπρίου, κηκίδος, λεπίδος χαλκοῦ, ἀνὰ < . α΄. σμύρνης, λιβάνου ἀνὰ τριώβ.

χαλκάνθης ὀπτῆς, συπηρίας σχιστῆς, ἀνὰ τριώβολον, σὺν γλυκεῖ τροχίσκους ποιῶν, χρῶ. Εἰ δὲ καὶ μὴ προσέγραψεν αὐτὸς ἐν ἀρχῇ τὴν ἐπαγγελίαν τοῦ φαρμάκου, προχειρότατον ἦν ἡμῖν νοῆσαι, μεμνημένοις ὧν ἐν ἀρχῇ προεῖπον, ὅτι ξηραντικόν ἐστι τὸ φάρμακον ὤτων πυορροούντων. ὅπερ γίνεται καταφερομένου τινὸς ἐκ τῆς κεφαλῆς ῥεύματος, ἐφ' ᾧ καὶ τὰς ἑλκώσεις χρονίζοντι συμβαινούσας ὁρῶμεν. ἑνδεκάτην ὠτικὴν ἔγραψεν οὕτως. Ὠτικὴ ἐν πολλοῖς σύμφωνος. ♃. κρόκου <. α'. σμύρνης <. α'. καστορίου <. β'. σχιστῆς <. δ'. λιβάνου <. α'. σὺν γλυκεῖ, μέλιτος πάχος ποιῶν, εἶθ' οὕτως ἀνιεὶς χρῶ. καὶ αὕτη τῶν μετρίων διαθέσεών ἐστιν ἰατική, καθάπερ καὶ ἡ ἐφεξῆς αὐτῇ γεγραμμένη, τὰς δὲ ἐφεξῆς ταύτῃ προγεγραμμένας δυνάμεις ὠτικὰς ὑπὸ τοῦ Ἀνδρομάχου, χωρὶς τῆς ἐμῆς ἐξηγήσεως παραγράψω, γνωρίζειν αὐτὰς ἤδη δυναμένων, ὅσοι μέμνηνται τῶν προειρημένων. ἐφ' ὧν δὲ καὶ αὐτὸς πεποίηται μετὰ διορισμοῦ τὴν γραφὴν, οὐδὲν ἔτι τούτων οὐδεμία τῆς ἡμετέρας ἐξηγήσεως χρῄζει. ἐφεξῆς οὖν ἅπασαι γεγράψονται, χάριν τοῦ μηκέτι μνημονεύειν ἡμᾶς ἄλλης ὠτικῆς δυνάμεως ὑφ' ἑτέρου τῶν ἰατρῶν γεγραμμένης, ἐνταῦθα γὰρ ἡ ποικιλία πασῶν αὐτῶν περιέχεται. ὠτικὴ ὡς Σόλων διαιτητής. ♃. σμύρνης <. δ'. σχιστῆς <. δ'. καστορίου <. β'. λιβάνου <. α'. κρόκου <. α'. ὀπίου <. α'. κρητικῷ ἢ οἰνομέλιτι, πάχος μέλιτος. ὠτικὴ Ἀντιπάτρου πρὸς περιωδυνίας. ♃. κρόκου ℥ β'. οἱ δὲ ℥ α'. σμύρνης ℥ α'. ἁλὸς ἀμμωνιακοῦ ℥ α'. σχιστῆς, ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ ℥ S'. μύρου ἰρίνου, ἢ Συριακοῦ ὑποστάθμης ℥ β'. σὺν οἰνομέλιτι ἢ Κρητικῷ, ποιῶν μέλιτος πάχος λεπτοῦ, χρῶ. ὠτικὴ ἄλλη, λίαν καλή. ♃. ὀποπάνακος <. β'. ὀποῦ μήκωνος <. δ'. ἀφροῦ λυκίου <. δ'. καστορίου <. β'. σχιστῆς τριώβολον, κρόκου τριώβολον, σμύρνης <. α'. ἡ χρῆσις σὺν γάλακτι γυναικείῳ. Πρὸς ὦτα πυορροοῦντα, παρὰ Σπενδούσης. ♃. Χοίρου ἐκτομίου χολῆς, μέρη β'. μέλιτος Ἀττικοῦ μέρος α'. ὁμοῦ ἐν ὑελίνῳ ἀγγείῳ ἐπὶ θερμοσποδιᾶς θέρμαινε, ἄχρι τοῦ ἡμίσεως, καὶ οὕτω χρῶ. ὠτικὴ παρὰ Ἁρποκρατίωνος, πρὸς διαθέσεις καὶ ὀδύνας. ♃. ναρδοστάχυος <. ς'. σμύρνης <. ς'. πεπέρεως <. ς'. ἀφρονίτρου <. ς'. ἁλὸς ἄνθους <. ς'. κρόκου <. ζ'. κάρυα πικρὰ ι'. ὀποῦ μήκωνος <. ιβ'. οἴνου παλαιοῦ τὸ ἱκανόν, ἔγχει κασσιτερίνῳ ἀγγείῳ τὸ φάρμακον. Πρὸς δυσηκοΐας, καὶ ἤχους. ♃. Ἐλλεβόρου λευκοῦ <. α'. καστορίου ὀβολὸν α'. ἀφρονίτρου ὀβολὸν α'. S'. χρῶ μετ' ὄξους ὡς καλλίστου. στρουθίου <. α'. κρόκου Κιλικίου <. α'. καστορίου <. α'. ἐλλεβόρου λευκοῦ <. δ'. νίτρου <. α'. τροχίσκους ποιῶν ἐπὶ τῆς χρήσεως ἀνιεὶς οἴνῳ, χρῶ. πρὸς ὦτα πυορροοῦντα. συπηρίαν ἐκκεκαυμένην, καὶ σμύρναν μετὰ μέλιτος λεαίνας, προεκκλύσας τὸ ὠτίον ἐρίῳ, τὸ φάρμακον ἐπιτίθει. Ὠτικὴ παρὰ Χρυσάνθου Γρατιανοῦ, πρὸς φλεγμονὰς καὶ ἑλκώσεις. ♃. Σίλφας χωρὶς πτερῶν δεκαδύο, οἴνου παλαιοῦ καὶ μέλιτος ℥ ς'. ῥοιᾶς κέλυφον α'. πράσου χυλοῦ κύαθον α'. S'. ἐν χύτρᾳ καινῇ ἕψε, ἕως τακερωθῇ ἡ ῥοιά, εἶτα λέαινε, καὶ πρόσβαλε μύρου Συριακοῦ ℥ α'. πίσσης ὑγρᾶς ℥ α'. S'. κρομμύων δ'. τὸν χυλὸν ἐκθλίψας, καὶ συλλεάνας ἀπόθου, ἐπὶ δὲ τῆς χρείας χλιάνας, σὺν ἐρίῳ ἐπιτίθει. Ὠτικὴ πρὸς φλεγμονὰς καὶ πυρροοῦντας.

A atramenti sutorij assati, aluminis scissilis, vtriusque obol. iij. cum passo pastillos formato, ac vtitor. Quòd si etiam ipse medicamenti promissionem non præscripsisset, facillimum tamen erat nobis eam animo assequi, memoria repetentibus ea, quæ in principio præfatus sum. Est enim aurium purulentarum resiccatiuum hoc medicamentum, quod ipsum malum ex fluxione quapiam ex capite delabente contingit, ob quam, si diu perseueret, etiam exulcerationes accidere videmus. Vndecimam auricularem sic scripsit. *Auricularis Compositio in multis consona.* ♃. Croci ʒ. j. myrrhæ ʒ. j. castorij, ʒ. ij. aluminis scissi ʒ. iiij. B thuris ʒ. j. cum passo ad mellis crassitudinem redigito, deinde etiam sic dilutis vtitor. Et hæc moderatos affectus sanat, quemadmodum etiam ea, quæ hanc sequitur. Cæterùm quæ deinceps post hanc ab Andromacho ascriptæ sunt auriculares compositiones, eas citra meam expositionem ascribam, quum ipsas per se dijudicare possint, qui prædicta memoria tenent. Verùm quarum ipse cum distinctione fecit descriptionem, earum nulla amplius nostra interpretatione opus habet. Deinceps igitur omnes describentur, ne videlicet ampliùs alicuius alterius auricularis compositionis, ab aliquo alio medico conscriptæ mentionem facere C opus habeam. In his enim varietas omnium ipsarum comprehensa est. *Auricularis vt Solon Diætarius.* ♃. myrrhæ ʒ. iiij. aluminis scissi ʒ. iiij. castorij ʒ. ij. thuris ʒ. j. croci ʒ. j. opij ʒ. j. Cum retico, aut vino mulso ad mellis crassitudinem redige. *Auricularis compositio Antipatri ad doloris vexationes.* ♃. croci sextantem, alij vnc. j. myrrhæ vnc. j. salis ammoniaci vnc. j. aluminis scissi, ammoniaci thymiamatis, vtriusque vnc. dimidium fæcis vnguenti irini, aut Syriaci sextantem. Cum vino mulso, aut Cretico ad mellis tenuis spissitudi- D nem redige, ac vtere. *Auricularis alia valdè commoda.* ♃. opopanacis ʒ. ij. succi papaueris ʒ. iiij. spumæ lycij ʒ. iiij. castorij ʒ. ij. aluminis scissi obol. iij. croci ob. iij. myrrhæ ʒ. j. Vsus eius est cum lacte muliebri. *Ad aures purulentas compositio Spendusæ.* ♃. fellis porci castrati partes ij. mellis attici partem j. Vase vitreo simul indita in feruido cinere, vsque ad dimidium calefacito, atque ita vtitor. *Auricularis Harpocratis ad affectus, & dolores.* ♃. Spicæ nardi ʒ. vi. myrrhæ ʒ. vj. piperis ʒ. vj. spumæ nitri ʒ. vj. floris salis ʒ. vj. croci ʒ. vij. nuces amaras x. succi papaueris ʒ. xij. vini veteris quantum sufficit. Stanneo vasi medicamentum infundito. *Ad gra-* E *uitatem auditus, & sonitus.* ♃. veratri albi ʒ. j. castorij obolum j. spumæ nitri sesquiobolum, cum aceto optimo vtere. *Alia ad sonitus pulchra.* ♃. Struthij ʒ. j. croci Cilicij ʒ. j. castorij ʒ. j. veratri albi ʒ. iiij. nitri ʒ. j. Redigito in pastillos, & vsu expetente, vino dilutis vtere. *Ad aures purulentas.* Alumen scissum vstum, & myrrham cum melle terito, & præelota auricula pharmacum lana exceptum imponito. *Auricularis Chrysanti Gratiani, ad inflammationes, & exulcerationes.* ♃. Blattas detractis pennis xij. vini veteris, & mellis vtriusque sexuncem, mali punici putamen vnum, succi porri F sesquicyathum. In olla noua, donec mali punici putamen flaccidum fiat, coquito, deinde terito, & vnguenti Syriaci vnciam vnam adiicito, picis liquidæ sesquiunciam, cæparum quatuor succum expressum, & contrita simul reponito. Vsu verò expetente tepefacta lana excepta indito. *Auricularis compositio ad phlegmonas & puruenlta.*

♃. nardi

A ℞. Nardi Indicæ ʒ. j. aluminis ſciſſi ʒ. ij. opij ʒ. iiij. malicorij ʒ. iiij. croci ʒ. iij. myrrhæ ʒ. iiij. thuris ʒ. iiij. mellis Attici ʒ. iiij. ſpumæ nitri ʒ. iiij. caſtorij ʒ. ij. amygdalarum amararum ʒ. viij. piperis albi grana xxx. aceti cyathũ j. vrinæ ſuis ſylueſtris tantundem, fabæ Ægyptiæ viridis internæ amaræ ʒ. iiij. Trita ſimul in ſtanneo vaſe reponito. Vſus tempore cum roſaceo inſtillato, & lanæ purpura infectæ tomentum indito. *Auricularis ad deſperata, velut Zoilus ophthalmicus tradidit.* ℞. ſeminis hyoſcyami obo. iij. aluminis ſciſſi obo. dimidium, myrrhæ ʒ. j. caſtorij obo. iij. ſucci papaueris obo. iij. gallæ obo. iij. croci obo. iiij. cinnamomi ob. iiij. thuris obo. ij. ſpumæ nitri ob. ij. ſandarachæ ob. ij. opij recentis cochlearia iij. vrinæ ſuis feræ maſculæ cochlearia tria, ſanguinis conchylij ob. iij. ſucci mandragoræ obo. j. mellis attici quantum ſufficit; conchylio aurem obturato. *Auricularis alia ad phlegmonas & purulenta mirabilis.* ℞. rutæ obo. iij. myrrhæ ob. iij. baccarum lauri amotis corticibus obo. iij. ſucci hyoſcyami ʒ. j. opij ʒ. j. croci ʒ. j. cum lacte muliebri vtere, & tepidum infunde. *Auricularis compoſitio valde bona & probata, ex Apollonij libris.* ℞. myrrhæ ʒ. ij. thuris ʒ. j. nucum amararum ʒ. j. ſpumæ nitri ʒ. j. aluminis ſciſſilis ʒ. j. malicorij ʒ. j. ſpicæ nardi ʒ. j. aloës ʒ. iij. vini mulſi veteris cyathos iij. Arida trita vino mulſo admiſce, & cocta in ſtanneo vaſe repone; vſu verò exigente, tepido vtere.

Compoſitiones Auriculares ab Aſclepiade in primo Externorum ſcriptæ.

Auriculares compoſitiones ad dolores aurium recentes, quibus Niceratus vſus eſt. Inter eas optima hæc eſt. Aſellorum domeſticorum; eſt autem animal multipes in aquariis vaſis, & ſterquiliniis enaſcens, quod ad digitorum contactum in orbem ſe contrahit; horum tres aut quatuor in oleo feruefacito, & expreſſum oleum auribus infundito. Facit & cucurbitæ ſuccus cum roſaceo, aut nardino mixtus & tepefactus. Et perdicij herbæ ſuccus cum oleo coctus. Et centaureæ ſuccus aqua mulſa dilutus. Et hyoſcyami ſuccus roſaceo mixtus. Facit & papaueris ſucci parum lacte muliebri diſſolutum. Et ſeroſus cruor qui à carnibus bubulis dum torrentur, deſtillat. Has itaque crudas recentes prunis imponere oportet, & crudas adhuc exprimere, & expreſſum liquorem calidum infundere. Facit etiam nucum putrefactarum internarum liquor aceto dilutus, addito roſaceo. Facit & Africana limaca in propria teſta, cum oleo nardino, aut roſaceo feruefacta. Facit & ſuis, quæ non peperit, fel pari melle attico admixtum. *Aliud.* ℞. Succi papaueris, caſtorij, vtriuſque ob. ij. paſſo diluito; & pauco roſaceo adiecto tepida infundito. *Aliud.* ℞. ſucci papaueris, & ſucci peucedani æquales partes, diſſolutas infundito.

Ad inflammationes cum exulceratione, Charixeni.

℞. Myrrhæ, opij, caſtorij, ſingulorum æquales partes paſſo dilutas tepidas infunde. *Aliud.* ℞. Hyoſcyami ſucci, ſucci papaueris, myrrhæ, caſtorij, ſingul. ʒ. iiij. piperis, ʒ. j. paſſi protropi quantum ſatis eſt. *Ad ſiccas & non humentes vlcerationes. Optimè conuenit & in peſſo oppoſitum.* ℞. Oeſypi ʒ. iiij. medullæ ceruinæ ʒ. iiij. butyri ʒ. iiij. adipis anſerini ʒ. iiij. ceræ Thyrrhenicæ

℞. Νάρδου Ἰνδικῆς <.α'. στυπτηρίας σχιστῆς <.β'. ὀπίου <.δ'. σιδίων <.δ'. κρόκου <.γ'. σμύρνης <.δ'. λιβάνου <.δ'. μέλιτος Ἀττικοῦ <.δ'. ἀφρονίτρου <.δ'. καστορίου <.β'. ἀμυγδάλων πικρῶν <.η'. πεπέρεως λευκοῦ κόκκους λ'. ὄξους κύαθον α'. οὔρου συαγρίου τὸ ἴσον, κυάμων Αἰγυπτίων χλωρῶν τοῦ ἐντὸς <.δ'. λεάνας ὁμοῦ ἀπόθου εἰς κασσιτέρινον ἀγγεῖον, ἐπὶ δὲ τῆς χρήσεως μετὰ ῥοδίνου ἔνσταζε, καὶ κροκίδα ἐνίθει πορφυρᾶν. Ὠτικὴ πρὸς τὰ ἀπεγνωσμένα, ὡς Ζώϊλος ὁ ὀφθαλμικός. ℞. Ὑοσκυάμου σπέρματος τριώβολον, στυπτηρίας σχιστῆς ὀβολοῦ τὸ S'. σμύρνης <.α'. καστορίου τριώβολον, μηκωνείου τριώβολον, κηκίδος τριώβολον, κρόκου τετρώβολον, κινναμώμου τετρώβολον, λιβάνου ὀβολοὺς β'. ἀφρονίτρου ὀβολοὺς δύο, σανδαράχης ὀβολοὺς β'. ὀπίου προσφάτου κοχλιάρια τρία, οὔρου συαγρίου ἄρρενος κοχλιάρια τρία, κογχυλίου αἵματος, τριώβολον, μανδραγόρου χυλοῦ ὀβολὸν α'. μέλιτος Ἀττικοῦ τὸ ἱκανόν, κογχυλίῳ ἔμφραττε τὸ οὖς. Ὠτικὴ ἄλλη πρὸς φλεγμονὰς καὶ πυοῤῥοοῦντα, θαυμαστή. ℞. Πηγάνου τριώβολον, σμύρνης τριώβολον, δαφνίδων ἀλελεσμένων τριώβολον, ὑοσκυάμου χυλοῦ <.[illegible]'. ὀπίου <.α'. κρόκου <.α'. σὺν γάλακτι γυναικείῳ χρῶ, ἐγχυμάτιζων χλιαρόν. Ὠτικὴ λίαν καλὴ καὶ δεδοκιμασμένη ἐκ τῶν Ἀπολλωνίου. ℞. Σμύρνης <.β'. λιβανωτοῦ <.β'. καρύων πικρῶν <.α'. ἀφρονίτρου <.β'. σχιστῆς <.α'. σιδίων <.α'. ναρδοστάχυος <.β'. ἀλόης <.γ'. οἰνομέλιτος παλαιοῦ κυάθους γ'. τὰ ξηρὰ λεῖα μίσγε τῷ οἰνομέλιτι, καὶ ἑψήσας, ἀπόθου εἰς ἀγγεῖον κασσιτέρινον, ἐπὶ δὲ τῆς χρείας, χλιαρῷ χρῶ.

Αἱ ὑπὸ Ἀσκληπιάδου γεγραμμέναι δυνάμεις ὠτικαὶ ἐν τῷ πρώτῳ τῶν ἐκτός.

Ὠτικὴ πρὸς τὰς προσφάτους ὠταλγίας, αἷς ἐχρήσατο Νικήρατος, κάλλιστον τοῦτό ἐστιν. Ὀνίσκον τῶν κατοικιδίων· ζῶον δέ ἐστιν πολύπουν ἐν τοῖς ὑδρηροῖς ἀγγείοις, καὶ ἐν ταῖς κοπρίαις γινόμενον, κατὰ δὲ τὰς τῶν δακτύλων ἐπαφήσεις σφαιρούμενον. τούτων λαβὼν τρεῖς ἢ τέτταρας, καὶ σὺν ἐλαίῳ ἀποζέσας, καὶ τὸ ἔλαιον ἀποθλίψας, ἐγχυμάτιζε. ποιεῖ καὶ δὲ ὁ κολοκύνθης χυλὸς, μετὰ ῥοδίνου ἢ ναρδίνου μιγνύμενος, καὶ χλιαινόμενος. καὶ τοῦ δικτίου βοτάνης χυλὸς μετὰ ἐλαίου ἑψόμενος. καὶ κενταυρείου χυλὸς μελικράτῳ διαλυθεὶς, καὶ ὑοσκυάμου χυλὸς ῥοδίνῳ μιγνύμενος. ποιεῖ καὶ ὀποῦ μήκωνος ὀλίγον, γάλακτι γυναικείῳ διαλυθέν. καὶ βοείων κρεῶν οἱ ἀποῤῥέοντες ἰχῶρες ὅτε ὀπτᾶται, ταῦτα δεῖ ὠμὰ πρόσφατα ἐπιτιθέναι ἀνθρακιαῖς, καὶ ἔνωμα ὄντα ἐκθλίβειν, καὶ τῷ ἐκθλιβομένῳ θερμῷ ὑγρῷ ἐγχυματίζειν. ποιεῖ δὲ καὶ καρύων σεσηπότων τοῦ ἐντὸς τὸ ὑγρὸν, ὄξει διαλυθὲν καὶ ῥοδίνῳ. ποιεῖ δὲ καὶ ὁ Λιβυκὸς κοχλίας, ἀποσβεννύμενος ἐν τῷ οἰκείῳ ὀστράκῳ, μετὰ ἐλαίου ναρδίνου ἢ ῥοδίνου. ποιεῖ δὲ καὶ ὑὸς ἀτόκου χολὴ, ἰσοσταθμῷ μέλιτι Ἀττικῷ μιγνυμένη. Ἄλλο. ℞. ὀποῦ μήκωνος, καστορίου, ἀνὰ ὀβολοὺς β'. γλυκεῖ διαλύσας καὶ ὀλίγον ῥοδίνου ἐπιβαλὼν, χλιαίνων ἐγχυμάτιζε. Ἄλλο. ℞. ὀποῦ μήκωνος, καὶ ὀποῦ πευκεδάνου τὸ ἴσον, διαλύων ἐγχυμάτιζε.

Πρὸς τὰς μεθ' ἑλκώσεως φλεγμονὰς, Χαριξένου.

F ℞. Σμύρνης, ὀπίου, καστορίου τὸ ἴσον, γλυκεῖ διαλύσας, χλιαίνων ἐγχυμάτιζε. Ἄλλο. ℞. ὑοσκυάμου χυλοῦ, ὀποῦ μήκωνος, σμύρνης, καστορίου, ἀνὰ, <.δ'. πεπέρεως <.α'. προτρόπου τὸ ἱκανόν. πρὸς ξηρὰς καὶ ἀνίκμους ἑλκώσεις. ἔστι δὲ καὶ πεσσὸς ἀγαθός. ℞. οἰσύπου <.δ'. μυελοῦ ἐλαφείου <.δ'. βουτύρου <.δ'. στέατος χηνείου <.δ'. κηροῦ τυῤῥηνικοῦ

A <.δ'. τερμινθίνης <.α'. ἐλαίου κικίνου κυάθους β'. ἐλαίου ἀμυγδαλίνου κυάθους β'. ἐλαίου κυπρίνου κυάθους δύο, πισσελαίου κύαθον α'. σκεύαζε καὶ χρῶ διανεὶς ὅσον ἐξαρκεῖ ἐλαίῳ ναρδίνῳ μίσγε, ὥστε μέλιτος ἔχειν πάχος. σφόδρα καλὸν καὶ πρὸς τὰς τῶν νεύρων διαθέσεις. ℞. ἐλαίου κυπρίνου κυάθους β'. ἰρίνου, ῥοδίνου, ἀμυγδαλίνου, ἐλαίου παλαιοῦ ἀνὰ κυάθους β'. πισσελαίου κύαθον α'. κηροῦ ℔ β'. τερμινθίνης ℔ α'. στέατος χηνείου ℔ α'. σκεύαζε καὶ χρῶ. Ἄλλο πρὸς τὰς ἐν βάθει ἀποστάσεις, Ἀντωνίου Μούσα. ℞. Κρόκου <.β'. σμύρνης <.β'. βδελλίου <.δ'. καρύων πικρῶν <.η'. πρασίου χυλοῦ κοτύλης τὸ ἥμισυ, προτρόπου κοτύλης τὸ ἥμισυ, ἕψε τὰ ὑγρά, B καὶ τοῖς λοιποῖς ἐπιβαλὼν, ἀνελόμενος χρῶ γλυκεῖ, διαλύων ὅσον ἐξαρκεῖ. Ἄλλο. ℞. κρόκου, σμύρνης, καστορίου, κενταυρίου ἀνὰ <.β'. ἀφρονίτρου <.α'. ἀμυγδάλων πικρῶν κεκαθαρμένων <.η'. ἑλξίνης χυλοῦ ξε. α'. S''. προτρόπου ξε. α. S'' σκεύαζε, καὶ χρῶ καθὰ προείρηται. Πρὸς τὰς σὺν ῥεύματι φλεγμονὰς, ᾧ ἐχρήσατο Κλέων. ℞. Σμύρνης, ἀλόης, λιβάνου, ὀποῦ μήκωνος ἀνὰ <.β'. μίσυος ὠμοῦ <.α'. ὄξει ἀναλάμβανε, ἐν δὲ τῇ χρήσει γλυκεῖ διαλύων ἐγχυμάτιζε. Ἄλλο. Ἀρείου Ταρσέως. ℞. Σμύρνης <.δ'. λιβάνου <.δ'. μίσυος ὠμοῦ <.β'. λυκίου Ἰνδικοῦ <.δ'. ἀναλάμβανε ὄξει, ἡ χρῆσις ὡς δεδήλωται. πολ- C λοῦ δὲ ῥεύματος ἐπιγινομένου, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. ℞. κρόκου, λιβάνου, σμύρνης, ὀπίου, λύγου σπέρματος ἀνὰ <.α'. λυκίου Ἰνδικοῦ, κυτίνων ῥοιᾶς, ῥόδων ἄνθους ἀνὰ <.β'. ὄξους κοτύλην α'. ἕψε λύγου σπέρμα, κυτίνους, ῥόδων ἄνθος εἰς τὸ ὄξος ἐμβαλὼν, καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε τοῖς λοιποῖς, καὶ ἀνελόμενος, ἀπόθου. ἐν δὲ τῇ χρήσει, γλυκεῖ διαλύσας ἐγχυμάτιζε. Πρὸς τὰ πυορροοῦντα ὦτα μετ' ὀδύνης ᾧ ἐχρήσατο Κίμων. ℞. Καστορίου <.β'. σχιστῆς, κρόκου, σμύρνης, λιβανωτοῦ ἀνὰ <.α'. γλυκεῖ ἀναλάμβανε, ἢ μυρτίνῃ, καὶ χρῶ. ἐπὶ μὲν τῶν προσφάτων, μετ' οἰνομέλιτος, ἐπὶ D δὲ κεχρονισμένων, μετ' ὄξους. Κλαυδίου Δαμονίκου πρὸς πυορροοῦντα, καὶ χρονίας διαθέσεις. ℞. Κρόκου <.γ'. σμύρνης <.α'. κάρυα πικρὰ κεκαθαρμένα ἀριθμῷ λ'. νίτρου ἀφροῦ, νάρδου Συριακῆς, στυπτηρίας σχιστῆς ἀνὰ <.α'. λιβάνου τριώβολον, ὄξει δριμυτάτῳ ἀναλαμβάνεται, καὶ δι' ὄξους λύεται. Πρὸς δυσωδίας καὶ νομὴν, ἡ τῶν Ἰσπανῶν λεγομένη. ℞. Γάρου μέλανος ῥωμαϊστὶ λεγομένου ὀξυπόρου ξε. α'. ὄξους σκιλλητικοῦ ξε. α'. μέλιτος Ἀττικοῦ ξε. α'. S''. ἕψε μέχρι συστάσεως, καὶ ἀνελόμενος εἰς ἀγγεῖον ὑέλινον, χρῶ. ἐν ἄλλαις γραφαῖς ἔχει οὕτω. κολοκύνθης χυλοῦ ξε. α'. σκεύαζε, ποιεῖ πρὸς τὰς μετὰ E φλεγμονῆς δυσωδίας. Χαριξένου πρὸς φθορὰς, καὶ δυσωδίας. ℞. Στυπτηρίας Μιλησίας λίτραν α'. χαλκάνθου λίτρας η'. ἀλόης <.η'. κροκομάγματος <.η'. σμύρνης <.η'. οἴνου μυρτίνου ξε. γ'. ἕψε στυπτηρίαν, καὶ τὸν γλυκὺν, καὶ ὅταν συστῇ ἐπίβαλε τὰ λοιπὰ ὄξει διαλύσας, καὶ ἀνελόμενος χρῶ. Πρὸς τὰς τῶν σαρκῶν ἐπαναστάσεις, ᾧ ἐχρήσατο Ἡρακλείδης ὁ Ταραντῖνος. ℞. Ἰοῦ ξυστοῦ <.η'. λεπίδος χαλκοῦ <.η'. ἐν ἄλλῳ <.δ'. μέλιτος κοτύλης S''. τὰ ξηρὰ τρίψας, καὶ μέλιτι ἀναλαβὼν ἕως ἐρυθρὸν γενέσθαι καὶ ἀνελόμενος χρῶ. Ἄλλο. ℞. ἰοῦ <.δ'. χαλκάνθου <.δ'. σμύρνης <.δ'. πρασίου χυλοῦ κυάθους γ'. μέλιτος τὸ ἱκανὸν, σκεύαζε F καθὰ προείρηται. Χαλκηδονία, πρὸς τὰς κεχρονισμένας διαθέσεις. ℞. Ἐλλεβόρου λευκοῦ <.δ'. κρόκου <.δ'. σμύρνης <.δ'. καστορίου <.δ'. λιβανωτοῦ <.δ'. ὀπίου <.δ'. χαλκάνθου <.ιϛ'. πεπέρεως <.β'. σμύρναν, ὄπιον λιβανωτὸν, καστόριον, ἔμβρεχε ὄξει ἐναφεψημένων σιδίων μέχρι διαλύσεως,

ʒ.iiij. terebinthinæ ʒ.iiij. olei cicini cyath. ij. olei amygdalini cyath.ij.olei cyprini cyath. ij. olei picini cyath.j. Componito, & vtitor, quãtum sufficit oleo nardino diluto, & ad mellis crassitudinem redacto. *Aliud valde commodum. Facit & ad neruorum affectus.* ℞. olei cyprini cyath.ij. rosacei, amygdalini, olei veteris, sing. cyath.ij. pisselæi cyath.ij. ceræ sextantem, terebinthinæ ℥. j. adipis anserini ℥. j. componito & vtitor. *Aliud ad abscessus in profundo. Ant. Musa.* ℞. Croci ʒ.ij. myrrhæ ʒ.ij. bdellij ʒ.iiij. nucum amararum ʒ. viij. succi marrubij heminæ dimid. passi protropi heminæ dimidium. Liquores coquito, & admixtis reliquis excipito. Vtere in passo, dissoluens quantum sufficit. *Aliud.* ℞. croci, myrrhę, castorij, cẽtaureę, sing. ʒ.ij. spumę nitri ʒ. j. amigdalarũ amararũ depuratarũ ʒ.viij. succi helxines sesquisext. passi protropi sesquisext. cõponito ac vtitor vt dictũ est. *Ad inflãmationes cũ fluxu, quo vsus est Cleon.* ℞. myrrhæ, aloës, thuris, succi papaueris, singul. ʒ.ij. misyos crudi ʒ.j. aceto excipe, & vsu expetente passo diluta infunde. *Aliud Arij Tarsensis* ℞. Myrrhæ ʒ.iiij. thuris ʒ. iiij. misyos crudi ʒ.ij. lycij Indici ʒ.iiij. aceto excipe. Vsus iam indicatus est. Quòd si multus fluxus oboriatur, subscriptis compositionibus vtendum est. ℞. Croci, thuris, myrrhæ, opij, seminis viticis, sing. ʒ.j. lycij Indici, florũ mali punici, florum rosarum, sing. ʒ.ij. aceti heminam vnam. Viticis semen, mali punici flores, rosarum flores in aceto coquito; & vbi dissoluta fuerint, reliquis adijcito; & excepta reponito. Vsus tempore passo diluta infundito. *Aliud ad purulentas aures cum dolore, quo vsus est Cimon.* ℞ Castorij ʒ.ij. aluminis scissi, croci, myrrhæ, thuris, singul. ʒ. j. Passo, aut vino myrtitæ excipe ac vtere; ad recens malum cum vino mulso, ad inueteratum cum aceto. *Aliud Claudij Damonici ad purulenta, & inueteratos affectus.* ℞. croci ʒ. iij. myrrhæ ʒ. j. nuces amaras depuratas numero xxx. spumæ nitri, nardi Syriacæ, aluminis scissi, singul. ʒ. vnam; thuris obolos iij. Aceto acerrimo excipiuntur, & per acetum diluuntur. *Ad fœtorem & nomen, compositio Hispanorum appellata.* ℞. gari nigri, quod Romani sociorum appellant, sextarium vnum; aceti scillitici sextarium vnum, mellis attici sesquisextarium, ad consistentiam coquito & in vitreo vase repositis vtitor. In aliis descriptionibus sic legere est; succi cucurbitæ sextarium vnum componito; facit ad fœtorem cum inflammatione. *Charixeni ad corruptiones, & fœtores.* ℞. Aluminis Milesij libram vnam, atramenti sutorij ℔. viij. aloës ʒ. viij. crocomagmatis ʒ. viij. myrrhæ ʒ. viij. vini myrtitæ sextarium dimidium. Alumen, & vinum ipsum coquito; atque vbi in consistentiam coierint, reliqua aceto dissoluta inijcito; & repositis vtitor. *Ad carnium incrementum, quo vsus est Heraclides Tarantinus.* ℞. Æruginis rasæ ʒ. viij. squamæ æris ʒ. viij. in alio exemplari ʒ. iiij. mellis heminæ dimidium. Arida trita, ac melle excepta, donec rubefiant, coquito; & ablatis vtitor. *Aliud.* ℞. æruginis ʒ. iiij. atramenti sutorij ʒ. iiij. myrrhæ ʒ. iiij. succi marrubij cyath. tres, mellis quantum sufficit; præpara vt dictum est. *Chalcedonia ad Inueteratos affectus.* ℞. Veratri albi ʒ. iiij. croci ʒ. iiij. myrrhæ ʒ. iiij. castorij ʒ. iiij. thuris ʒ. iiij. opij ʒ. iiij. atramenti sutorij ʒ. xvj. piperis ʒ. ij. Myrrham, opium, thus, castorium, in aceto, cui malicorium incoctum est, vsque ad dissolutionem macerato:

rato:

rato; deinde veratrum, crocum, piper, atramentum sutorium, contusa inijcito, atque omnia simul diligenter terito; quod vbi probè factum fuerit, vini mulsi quantum satis est affundito, vt ad diluti mellis crassitudinem redigantur. Vsu verò expetente, tepefacta infundito. Ex huius medicaméti vsu sæpe egregiè mihi successit, verùm temporis progressu omphacij ʒ.j. ad hanc descriptionem adieci. *Aegyptia ad eosdem affectus, etiam si sint connati.* ℞. Amygdalarum amararum depuratarũ ʒ.ij. fabarum Ægyptiarum interioris partis amarę, piperis albi, croci, myrrhæ, opij, singulorum ʒ.ij. thuris ʒ.ij. omphacij ʒ.iiij. aluminis scissi ʒ.iiij. castorij ʒ.ij. atramenti sutorij ʒ.iiij. spumæ nitri ʒ.ij. aceto, in quo malicorium incoctum est excepta, ad limi crassitudinem redigito. Vsus verò tempore quantum suffecerit ex medicaméto acceptum, ac nardino vnguento dissolutum, infundito. *Ad sanguinis ex auribus eruptiones, Heraclidæ Tarantini. Facit ut ne in grumos coëat.* Marrubij succum coquito, & admixto aceto infundito. Aut mali punici in aceto cocti succũ exprimito & infundito. Aut polygonij succũ cum exiguo aceto. Aut acaciã, aut amurcã, aut lycium cũ aceto. *Aliud Botryos, sistit sanguinis eruptiones.* Succum rubi, & succum gallarũ in aceto coctarũ, simul mixtos infundito.

Quæ medicamenta Archigenes post priùs scripta subiecerit.

Medicamenta ad auriũ dolores ab Archigene scripta supra relata sunt. Nũc verò etiã ea, quæ ad alios affectus cõscripsit, apponã. Humentibus verò polygoni succum cum pari rosarum succo infundito. Aut crocũ, & myrrham cum passo, & rosaceo tepefacta infundito. Purulẽtis autem prodest quidẽ polygonũ cum rosaceo infusum. Verùm egregiè cõuenit eis vinum, in quo conyzæ tenuia folia habentis, folia sint incocta, instillatum. Quidam etiam thus ad vinum admiscent. Aut lycium rosaceo dilutum instillato. Aut marrubij syluestris semen cum aceto & rosaceo eodem modo. Aut cumini, & croci, æquale pondus cum vino austero. Aut croci, & myrrhæ vtriusque ʒ.ij. nuces amaras excorticatas numero xxxv. Nuces tritas cum mellis hemina dimidia, & porri succi hemina dimidia, cõmisceto, & reliqua item probè trita iisdẽ liquoribus diluito, ac simul deinde tepefacta instillato.

De auribus exulceratis.

Cæterùm exulceratis auribus, & cruentis, ac dolentibus galbanũ, & opium cum passo, & rosaceo mellis crassitudine instilla. Aut pro galbano peucedani succum admisce, & magis succedet. Aut cinerulã assatam cum rosaceo tritam infundito. Aut lycium cum lacte muliebri. Magnificè opitulatur etiam ipsum mel per se tepidũ infusum, præsertim si fœtores simul adsint. Quidã asellos, qui in aquariis vasis reperiuntur, cum vnguento quopiã instillant, & eximiè opẽ sentiunt. Aut blattas domesticas cum rosaceo instillato. Probè facit ad omnem auris affectũ adeps vulpinus inueteratus, liquatus, & instillatus. Aut spondylij interiorem velut medullam cum melle, & rosaceo infunde. Aut elota, & conscalpta auricula, porri, aut marrubij succum cum melle infunde. Aut lixiuium figularium cum melle feruefactum: Aut thus cum aceto in mali punici putamine feruefactum infunde. Aut crocum, & alumen scissile cum vino mulso in mali punici putamine eodem modo feruefactũ infunde. Aut gallam tritam linteolo illigatã in vino coquito, & ex hoc instillato, statim à dolore liberat.

A Εἶτα ἔμβαλε κεκομμένα, ἐλλέβορον, κρόκον, πέπερι, χάλκανθον, εἶτα τρίβε ὁμοῦ πάντα ἐπιμελῶς, καὶ ὅταν εὖ ἔχῃ, ἐπίβαλε οἰνομέλιτος τὸ αὔταρκες, ὥστε τὸ πάχος ἔχειν μέλιτος ἀνιεμένου. ἐπὶ δὲ τῆς χρήσεως, χλιαίνων ἐγχυμάτιζε. τούτῳ τῷ φαρμάκῳ χρώμενος πολλάκις κατώρθωσα, καὶ προκόπτοντος τοῦ χρόνου, προσέθηκα τῇ γραφῇ, ὀμφακίνου <. α'. Αἰγυπτία, πρὸς τὰς αὐτὰς διαθέσεις κἂν ὦσι συγγεγεννημέναι. ℞. Ἀμυγδάλων πικρῶν κεκαθαρμένων <. β'. κυάμων Αἰγυπτίων τοῦ ἐντὸς, πεπέρεως λευκοῦ, κρόκου, σμύρνης, ὀπίου, ἀνὰ <. β'. λιβανωτοῦ <. β'. ὀμφακίου <. δ'. στυ-
B πτηρίας <. δ'. καστορίου <. β'. χαλκάνθου <. δ'. ἀφρονίτρου <. β'. ἀναλάμβανε ὄξει ἐναφεψημένων σιδίων, ὡς γλοιοῦ ἔχειν τὸ πάχος. ἐπὶ δὲ τῆς χρήσεως, αὔταρκες λαβὼν τοῦ φαρμάκου, καὶ μύρῳ ναρδίνῳ διαλύσας, ἐγχυμάτιζε. Πρὸς τὰς ἐκ τῶν ὤτων αἱμορραγίας, Ἡρακλείδου Ταραντίνου, ὥστε μὴ θρομβοῦσθαι. Πρασίου τὸν χυλὸν ἑψήσας, καὶ ὄξος μίξας, ἐγχυμάτιζε. ἢ ῥοιᾶς ἐν ὄξει ἑψημένης τὸν χυλὸν ἐκθλίψας ἐγχυμάτιζε. ἢ πολυγόνου χυλὸν ἐν ὄξει βραχεῖ, ἢ ἀκακίαν, ἢ ἀμόργην, ἢ λύκιον μετὰ ὄξους. ἄλλο Βότρυος, ἐφεκτικὸν αἱμορραγίας. βάτου χυλὸν, καὶ κηκίδων ἐν ὄξει ἑψημένων τὸν χυλὸν,
C ὁμοῦ μίξας ἐγχυμάτιζε.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα φάρμακα τῶν προγεγραμμένων ἐφεξῆς.

Ὅσα μὲν πρὸς τὰς ὠταλγίας ἔγραψεν ὁ Ἀρχιγένης φάρμακα, πρόσθεν εἴρηται. νυνὶ δὲ προσθήσω καὶ τὰ πρὸς τὰς ἄλλας διαθέσεις ὑπ᾽ αὐτοῦ γεγραμμένα. ἐπὶ δὲ τῶν ὑγραινομένων, πολυγόνου χυλὸν μετὰ ἴσου ῥόδων χυλοῦ ἐγχυμάτιζε. ἢ κρόκον, καὶ σμύρναν μετὰ γλυκέος καὶ ῥοδίνου χλιαίνας ἔγχει. ἐπὶ δὲ τῶν πυορροούντων, ποιεῖ μὲν καὶ πολύγονον σὺν ῥοδίνῳ ἐγχεόμενον. συμφωνεῖ δὲ ἄκρως, οἶνος ἐνσταζόμενος, ἐναφεψη-
D μένων αὐτῷ κονύζης τῆς λεπτοφύλλου, φύλλων. ἔνιοι δὲ καὶ λίβανον προσμίσγουσι τῷ οἴνῳ. ἢ λύκιον ῥοδίνῳ διεὶς, ἔνσταζε. ἢ πρασίου ἀγρίου σπέρμα σὺν ὄξει καὶ ῥοδίνῳ ὁμοίως. ἢ κυμίνου καὶ κρόκου ἴσον, σὺν οἴνῳ αὐστηρῷ. ἢ κρόκου καὶ σμύρνης ἀνὰ <. β'. κάρυα λεπτὰ λελεπισμένα λεάνας μίξον μετὰ μέλιτος ℔. S'. καὶ πράσου χυλοῦ ℔. S'. λεάνας τὰ ξηρὰ εὖ μάλα, καὶ διεὶς τοῖς ὑγροῖς, συλλεαίνων ἔνσταζε.

Περὶ ἡλκωμένων ὤτων.

Ἐπὶ δὲ τῶν ἡλκωμένων ὤτων καὶ αἱμασσουμένων καὶ ἀλ-
E γούντων, χαλβάνην, καὶ ὄπιον μετὰ γλυκέος, καὶ ῥοδίνου, μέλιτος πάχος ἔνσταζε. ἢ ἀντὶ τῆς χαλβάνης, ὀπὸν πευκεδάνου μίσγε, καὶ μᾶλλον ποιεῖ. ἢ σποδιὰν ὀπτηθεῖσαν λεῖον, μετὰ ῥοδίνου ἔγχει. ἢ λύκιον μετὰ γυναικείου γάλακτος μεγάλως ἐνεργεῖ. καὶ τὸ μέλι καθ᾽ ἑαυτὸ χλιαρὸν ἐγχεόμενον, μάλιστα δὲ ἐφ᾽ ὧν καὶ δυσωδίαι εἰσίν. ἔνιοι δὲ τοὺς ἐπὶ ταῖς ὑδρίαις ὄνους μετά τινος μύρου ἐνστάζουσιν, καὶ ἄκρως ὠφελεῖ. ἢ τὰς κατοικιδίους σίλφας, μετὰ ῥοδίνου ἔνσταζε. καλῶς ποιεῖ πρὸς πᾶσαν ὠτὸς διάθεσιν, ἀλώπεκος στέαρ τεταριχευμένον, τηκόμενον, καὶ ἐνσταζόμενον. ἢ σπονδυλίου τὸ ἐντὸς σὺν μέλιτι καὶ ῥοδίνῳ ἔγχει, ἢ κλύσας, καὶ διαψήσας τὸ οὖς, πράσου
F ἢ πρασίου χυλὸν μετὰ μέλιτος ἔγχει. ἢ κονίαν τὴν τῶν πηλοποιῶν, μετὰ μέλιτος ἀνεζεσμένην. ἢ λίβανον μετὰ ὄξους ἐν ῥοιᾶς κελύφει ζέσας ἔγχει. ἢ κρόκον καὶ στυπτηρίαν σχιστὴν μετ᾽ οἰνομέλιτος ὁμοίως ἐν τῷ κελύφει ζέσας, ἔγχει. ἢ κηκῖδα λεάνας ὀθονίῳ ἐνδήσας, ἕψε ἐν οἴνῳ, καὶ ἐκ τούτου ἔνσταζε, εὐθέως ἀπόνους ποιεῖ.

Περὶ σκωλήκων ἐν ὠσίν. A

Ἐφ' ὧν δὲ σκώληκές εἰσιν, ἐλλέβορον λευκὸν μετὰ μέλιτος καθίει, ἢ ξηρὸν ἐμφύσα, ἢ χυλὸν βάτου ἔγχει. εἰ δὲ λελεπισμένον τὸ τοῦ ὠτὸς ὀστέον τύχῃ, διελὼν ὄπισθεν τοῦ ὠτὸς, ξύσον, ἔπειτα καύσας ἀπούλου ἀλύπως.

Περὶ τῶν ἐν τοῖς ὠσὶν ἤχων.

Ἔνιοι μὲν αὐτῶν, φυσώδους πνεύματός εἰσιν ἔκγονοι. τινὲς δὲ, διὰ τὴν ἀκρίβειαν τῆς ἀκουστικῆς αἰσθήσεως γίνονται, καθάπερ ἐν ὀφθαλμοῖς τὰ τῶν ὑποχεομένων φαντάσματα, διὰ τὰς ἀπὸ τοῦ τῆς γαστρὸς στόματος ἀναθυμιάσεις, B ἀκριβὲς δὲ οὐδετέρας τῶν διαθέσεων γνώρισμα, δυνατὸν ἐν ἀρχῇ ἔχειν, οὐ μὴν οὐδὲ ἀτέχνως προσήκει ἄρχεσθαι τῆς τε διαγνώσεως αὐτῶν καὶ τῆς ἰάσεως. εἴρηται γὰρ καὶ δέδεικται πολλάκις οὐχ ἕν τι γένος ὂν ἐλπίδος στοχαστικῆς. ἔστι γὰρ τεχνικὸν στοχασμόν τινα ἐκ τῶν προκαταρκτικῶν ὀνομαζομένων αἰτίων, ὅταν ἐπίστηταί τις αὐτῶν τὰς δυνάμεις. ἄλλης μὲν ἐπὶ ψύξει διαθέσεως γινομένης, ἄλλης δὲ, ἐπ' ἐγκαύσει, καθάπερ γε καὶ πληγῆς προηγησαμένης, ἢ νόσου τοίας, ἢ τοίας, ὥσπερ γε καὶ ἀπεψίας, ἢ οἰνοποσίας δαψιλοῦς, ἢ ἐμέτων βιαίων τε καὶ πολλῶν. ἐσθ' ὅτε καὶ ἐπὶ φαρμάκων ὠτικῶν χρήσει, γίνονταί τινες ἦχοι. C καὶ τὸ κατὰ βραχὺ δὲ συστῆναι τὸν ἦχον, ἢ ἀθρόως γενέσθαι, συντελεῖται πρὸς τὴν τῆς διαθέσεως εὕρεσιν. ἔτι τε τὸ διαλείμματα ποιεῖν, ἢ παραμένειν τὸ σύμπτωμα διηνεκῶς. ἀκριβὴς δὲ διάγνωσις ἐν τῷ χρόνῳ γίγνεται, μετὰ τὴν τῶν τεχνικῶς στοχασθέντων χρῆσιν φαρμάκων. εἰ μὲν οὖν ἐπὶ πυρετοῖς ἦχοι γίνονται, μὴ παρενοχλεῖν, παύονται γὰρ παραυτίκα ὡς ἐπὶ τὸ πολύ. ἐὰν δὲ ὑπονοήσας τις, ἐπὶ πνεύματι φυσώδει δίοδον οὐκ ἔχοντι, γίνεσθαι τοὺς ἤχους, τὰ τέμνοντα, καὶ λεπτύνοντα, καὶ διαφοροῦντα D φάρμακα προσφέρων αὐτὴν μηδέν, ἅμα τῷ δηλονότι καὶ ἀποφλεγματισμοῖς χρῆσθαι, καὶ τῇ τῆς ὅλης κεφαλῆς προνοίᾳ πολλὴν ἕξει ῥοπὴν εἰς ὑπόνοιαν εὐαισθησίας ἀκριβοῦς, καὶ μάλιστα ἐὰν ὀξυήκοος ὁ πάσχων φαίνηται. τοιούτῳ γοῦν τινι περιπεσὼν ἐγὼ, κεχρημένῳ φαρμάκοις οἷς εἶπον, οὐδὲν δὲ ὠφελουμένῳ, προσέμιξά τι τῶν ναρκούντων τὴν αἴσθησιν, ὁποῖόν ἐστιν ὅ, τε τοῦ μανδραγόρου χυλὸς, καὶ ὁ τῆς μήκωνος ὀπὸς, ὅσπερ ἀπήλλαξε τοῦ συμπτώματος αὐτόν. αἱ δὴ οὖν ὑπὸ τῶν ἔμπροσθεν ἰατρῶν ὠτικαὶ δυνάμεις, πρὸς τὰ τοιαῦτα συμπτώματα γεγραμμέναι, E διαφορητικῶν καὶ τμητικῶν φαρμάκων εἰσίν. ἔμπροσθεν μὲν οὖν ἐν τῷ καταλόγῳ τῶν ὠτικῶν δυνάμεων ἃς ἔγραψεν Ἀνδρόμαχος, ἤδη ὑπ' αὐτοῦ τινες λεγόμεναι πρὸς ἤχους ἁρμόττειν ἐκ τῆς τοιαύτης ὕλης συγκείμεναι. νυνὶ δὲ προσθήσω τὰς ὑπ' Ἀρχιγένους γεγραμμένας.

Αἱ ὑπ' Ἀρχιγένους γεγραμμέναι δυνάμεις πρὸς ἤχους.

Ἐπὶ δὲ τῶν ἐξαίφνης ἤχων, ὄξος μετὰ ῥοδίνου ἔγχει. ἢ κύμινον καὶ ἔλαιον, μέλιτος πάχος ποιῶν. ἢ σικύου ἀγρίου ῥίζης χυλόν. F ἢ αὐτὴν ἕψε τὴν ῥίζαν τῷ ἐλαίῳ. εἰ δὲ ἐπιμένοι πλείονα χρόνον, πᾶσι τοῖς πικροῖς, καὶ δριμέσι, καὶ λεπτυντικοῖς, καὶ διαφορητικοῖς, τοῖς ἀναγραφεῖσιν ἐπὶ τῶν διὰ πάχος χυμῶν ὀδυνωμένων, ἕκαστον ἕψων σὺν ὄξει καὶ μέλιτι προσπλέκων, ἢ κατακλίνας τὸν πάσχοντα, καὶ νίτρον ὠμὸν λεῖον ἐμπάσας εἰς τὸ οὖς, ὄξος δριμὺ χλιαρὸν ἔγχει. εἶτα ἐπειδὰν παύσηται ζέον, ἐρίῳ ἐκψήσας καρύων

De vermibus aurium.

Porrò in quibus vermes sunt, veratrum album cum melle immitte, aut aridum insuffla. Aut rubi succum infunde. Quòd si verò auriculæ os corrosum, fissura retrò aurē impacta, ipsum scalpito, deinde vrito, ac citra molestiā cicatricē inducito.

De sonitu in auribus.

Sonitus quidam ex flatuoso spiritu generantur. Quidam ob exquisitam sensus audiendi subtilitatem fiunt, quemadmodum in oculis imaginariæ suffusiones, propter vapores ex ore ventris exhalantes. Cæterùm neutrius affectus certa cognitio in principio haberi potest. Non conuenit tamen citra artem, aut cognitionem, aut curationem auspicari. Dictum enim iam sæpe est, atque etiam demonstratum, non vnum coniecturalis spei genus esse; atque artificialem quandam coniecturam ex causis procatarcticis appellatis, facere licet, siquis ipsarum vires norit, quum alius affectus ex frigiditate, alius ex ardore fiat. Quemmodum etiam ex prægressa plaga, aut tali, vel tali morbo, velut, & ex cruditate, aut largo vini potu, aut violento, & multo vomitu; aliquando, & ob medicamentorum auricularium vsum; sonitus quidam fiunt. Quin & si vel paulatim congregetur, vel coaceruatim irruat sonitus, id ipsum quoque ad inuentionem affectus conducit. Insuperque si per interualla repetat, vel continenter hoc symptoma perseueret. Verùm certa cognitio tempore contingit, post vsum medicamentorum artificiali coniectura exhibitorum. Siquidem igitur in febribus sonitus fiant, minimè interturbandi sunt; vt plurimum enim statim sedantur. Si verò ob flatum ventosum, cui transitus interclusus sit, sonitus fieri suspicatus quispiam fuerit; & ob hanc rem dissecantibus, & attenuatoriis, ac discussoriis medicamentis admotis, nihil profecerit, simulque apophlegmatismis vsus sit, & toto capiti prospexerit; huic meritò in hanc suspicionem inclinatus animus erit, sensus audiendi videlicet subtilitatem, sonitus causam esse, præsertim si acuto audiendi sensu æger præditus appareat. In eiusmodi itaque quendam, qui prædictis medicamentis vsus erat, neque quicquam opis senserat, quum ego fortè incidissem, ex stupefacientibus sensum quippiam admiscui, velut est mandragoræ succus, & papaueris succus, ex eisque à sonitus symptomate liber euasit. Quæ igitur à prioribus medicis ad huiusmodi symptomata & accessoria mala conscriptæ sunt auriculares compositiones, ex discussoriis, & incidentibus medicamentis constant. Supra itaque in Catalogo, & enumeratione compositionum auricularium ab Andromacho descriptarum, ex eiusmodi materia composita, quædam recensebantur, quas ipse ad sonitus conuenire scripsit. Nunc verò eas, quas Archigenes ad hanc rem conscripsit, recensebo.

Compositiones ab Archigene ad sonitus conscriptæ.

In sonitibus repentinis acetum cum rosaceo instilla. Aut cuminum, & oleum crassitudine mellis. Aut radicis cucumeris syluestris succum. Aut ipsam radicem oleo incoctam. Si verò ad multum tempus perseuerent, omnibus amaris, & acribus, attenuatoriisque, & discussoriis, quæ ad dolorem ex crassis humoribus obortum descripta sunt, vtaris, singulis in aceto coctis, & admixto melle. Aut reclinato ægro, & nitro crudo trito in aurem inspersо, acre acetum tepidū infunde; ac postquam feruere desierit, lana scalpendo exterge, & nucum amararum

amararũ succum infunde, & lana obtura. Aut nitrum, & myrrhã probè vnita, cum rosaceo, & aceto, ac atramento scriptorio crasso instilla; aut penna in eis immersa bis in die inde. Aut castorio, ac nardino pari mensura cum aceto, & rosaceo vtere. Aut aceto, ac nitro, melléque mixtis collue. Cæterùm quibus ob multam sensus subtilitatem sonitus oboriuntur, castorium & cicutæ semen cum aceto trito instilla. Ex morbo verò obortis sonitibus, vbi fomentum ex decoctione absynthij adhibueris, acetum & rosaceum instilla. Aut raphani succum cum rosaceo, aut aloën optimam cum vino mulso dilutam. Si verò perdurent, veratrum nigrum aceto decoctum adhibe. Huiusmodi quidem Archigenes ad sonitus aurium conscripsit; verùm Apollonius in primo parabilium subscripta habet.

Quæ Apollonius ad sonitus, & susurros, sibilosque, ac inflationes aurium conscripsit.

Acetum acre tepidum instilla. Oleum, & acetum tepidum instilla. Mel atticum calidum instilla. Laurinum oleum eodem modo. Porri succum cum lacte muliebri, aut rosaceo infunde. Cucumeris syluestris foliorum, aut fructus succum per linteolum instilla. Cucurbitæ syluestris medullam oleo dilutam infunde. Cuminum tritum cum medulla vitulina instilla. Cucumeris syluestris medullam oleo dilutam infunde. Glandem vnguentariam terito, & adipe anserino, ac resina pari mensura admixtis instillato. Semen lini tritum, & vnguento Arabico dilutum instilla. Misy terito, & vnguento rosacco dilutum instillato. Rutam & cuminum pari mensura trita, & aceto diluta, admixto melle infunde. Hyssopum tritam, & cedrino oleo dilutam instilla. Amygdalarum amararum oleum melle mixtum eodem modo. Quòd si efficacius reddere velis, hoc cum priore committito. Viticem & stellionis caput pari pondere trita admixto oleo instilla. Nitrum, & resinam, & adipem anserinum, æquis partibus cum oleo admixto dissoluta instilla. Cæpas, & allium, & adipem anserinum pari mensura trita, & excolata infunde; & aqua collutis prius calida, nitrum tritum insuffla.

Ad aures exulceratas, & purulentas, eiusdem.

Primum quidem collutiones Apollonius scripsit. Secundum deinde locum infusilia habent. Tertium resiccatoria, & quartum quæ insufflantur, iuxta subscriptam ipsius dictionem. *Collutiones.* Aqua calida assiduè collue. Lenticulæ decocto eodem modo. Aqua mulsa calida similiter. Hederæ cremore, aut decocto cum vino vtitor. Malicorii cremore, aut decocto similiter cum vino. Gallæ plenæ decocto cum vino. Myrto in vino decocto elue. Vino cum exiguo alumine trito vtere. Stœbes semine in vino cocto elue. Vrina, & vino mixtis, ac calefactis elue. Picis serum infunde. Oleæ folia exuccato, & admixto melle coquito, ac vtitor. Papaueris succum passo dilutum instilla. Cæparum succo cum melle vtere. Rutæ syluestris succum cum vino, & oleo rosaceo in mali punici putamine calefactis instilla. Fel bouis, vel suis in putamine mali punici tepefactum infunde. Fel capræ, vel ouis, vel marinæ testudinis, cum muliebri lacte tepefactum infunde. Cardamomum tritum cum melle instilla. Peucedani succum rosaceo dilutum instilla. Aloën, & crocomagma diluta instilla.

A πικρῶν χυλὸν ἔγχει, καὶ ἀπόφραττε ἐρίῳ. ἢ νίτρον καὶ σμύρναν εὖ ἑνώσας, μετὰ ῥοδίνου, καὶ ὄξους καὶ μέλανος γραφικοῦ παχέος, ἔνσταζε. ἢ πτερῷ βαπτῶν δὶς τῆς ἡμέρας ἐπίχριε, ἢ καστορίῳ καὶ ναρδίνῳ ἴσοις μετ᾽ ὄξους καὶ ῥοδίνου χρῶ. ἢ ὄξει καὶ νίτρῳ, καὶ μέλιτι κλύζε. ἐφ᾽ ὧν δὲ διὰ πολλὴν αἴσθησιν ἐγγίνεται ἦχος, καστόριον, καὶ κωνείου σπέρμα λειώσας σὺν ὄξει ἐπίσταζε. ἐπὶ δὲ τῶν ἐκ νόσου ἤχων ἀψινθίου ἀφεψήματος πυριάσας, τὸ ὄξος καὶ τὸ ῥόδινον ἔγχει. ἢ ῥαφανίου χυλὸν μετὰ ῥοδίνου. ἢ ἀλόην καλλίστην B μετ᾽ οἰνομέλιτος ἀνεθεῖσαν. εἰ δὲ ἐπιμένοιεν, ἐλλέβορον μέλανα ἑψήσας μετ᾽ ὄξους, χρῶ. τοιαῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν πρὸς τοὺς ἐν τοῖς ὠσὶν ἤχους. ὁ δὲ Ἀπολλώνιος, ἐν τῷ πρώτῳ τῶν εὐποριστῶν, τὰ ὑπογεγραμμένα.

Τὰ ὑπ᾽ Ἀπολλωνίου πρὸς ἤχους, καὶ βόμβους καὶ συριγμοὺς καὶ ἐμπνευματώσεις.

Ὄξος δριμὺ χλιαίνων, ἔνσταζε. ἔλαιον καὶ ὄξος χλιαίνων ἔνσταζε. μέλι Ἀττικὸν θερμὸν ἔνσταζε. δάφνινον ἔλαιον ὡσαύτως. πράσου χυλὸν μετὰ γάλακτος γυναικείου, ἢ ῥοδίνου, ἐγχυμάτιζε. σικύου ἀγρίου τὸν καρπὸν χυλίσας, C ἢ φύλλα, δι᾽ ὀθονίου ἔνσταζε. κολοκύνθης ἀγρίας ἐντεριώνην ἐλαίῳ διεὶς ἔγχει. κύμινον λεῖον, καὶ μυελὸν μόσχου ἔνσταζε. σικύου ἀγρίου ἐντεριώνην ἐλαίῳ διεὶς ἔγχει. βάλανον μυρεψικὴν τρίψας, καὶ στέαρ χήνειον, καὶ ῥητίνην, ἴσα μίξας ἔνσταζε. λινόσπερμα τρίψας, καὶ διεὶς μύρῳ Ἀραβικῷ ἔνσταζε. μίσυ λεάνας, καὶ διεὶς μύρῳ ῥοδίνῳ χρῶ. πήγανον καὶ κύμινον, ἴσα τρίψας, καὶ διεὶς, καὶ εἰς μέλι μίξας, ἔγχει. ὕσσωπον τρίψας, καὶ κεδρίνῳ διεὶς ἐλαίῳ, ἔνσταζε. ἀμυγδάλων πικρῶν ἔλαιον μέ- D λιτι μίξας. ἐὰν δὲ ἐνεργεστέρῳ βούλῃ χρῆσθαι, σύμπλεξον τοῦτο τῷ προτέρῳ, ἄγνου, καὶ ἀσκαλαβώτου κεφαλὴν τρίψας, ἐξ ἴσου καὶ μίξας, ἔλαιον ἔνσταζε. νίτρον, καὶ ῥητίνην, καὶ στέαρ χήνειον, ἴσα μετ᾽ ἐλαίου μίξας, καὶ διαλύσας χρῶ. κρόμμυον καὶ σκόροδον, καὶ στέαρ χήνειον ἴσα τρίψας, καὶ διηθήσας ἔγχει, καὶ προεκκλύσας ὕδατι θερμῷ, νίτρον λεῖον ἐμφύσα.

Πρὸς ὦτα ἡλκωμένα καὶ ἰχωρροοῦντα, τοῦ αὐτοῦ.

Πρώτους μὲν ἔγραψε κλυσμοὺς Ἀπολλώνιος, δεύτερα δὲ τὰ ἔγχυτα φάρμακα, καὶ τρίτα τὰ ξηραντικὰ, καὶ τέταρ- E τα τὰ ἐμφυσώμενα κατὰ τὴν ὑπογεγραμμένην λέξιν ἑρμηνευθέντων ταῦτα. Κλυσμοί. ὕδατι θερμῷ συνεχέστερον ἔκκλυζε. φακοῦ ἀφεψήματι ὡσαύτως. ὑδρομέλιτι θερμῷ παραπλησίως ἔκκλυζε. κισσοῦ ἀποβρέγματι, ἢ ἀφεψήματι μετ᾽ οἴνου χρῶ. σιδίων ἀποβρέγματι, ἢ ἀφεψήματι μετ᾽ οἴνου παραπλησίως. κηκίδος ἁδρᾶς ἀφεψήματι μετ᾽ οἴνου. μυρσίνην ἀφεψηθεῖσαν ἐν οἴνῳ κλύζε. οἴνῳ μετ᾽ ὀλίγης στυπτηρίας τετριμμένης χρῶ. στοιβῆς καρπὸν ἐν οἴνῳ ἑψήσας, κλύζε. οὖρον καὶ οἶνον μίξας, καὶ θερμάνας ἔκκλυζε, πίσσης ὀρρῷ ἐγχυ- F μάτιζε. ἐλαίας φύλλα χυλίσας, καὶ μέλιτι μίξας, συνέψησον, καὶ τούτῳ χρῶ. μηκώνιον διεὶς γλυκεῖ, ἔνσταζε. κρομμύου χυλίσματι μετὰ μέλιτος χρῶ. πηγάνου ἀγρίου χυλὸν μετ᾽ οἴνου, καὶ ῥοδίνου ἐλαίου, ἐν ῥοιᾶς σιδίῳ τεθερμασμένον ἔνσταζε. χολὴν βοὸς, ἢ συὸς ἐν σιδίῳ ῥοιᾶς, χλιαρὰν ἔνσταζε. χολὴν αἰγὸς ἢ προβάτου. ἢ χελώνης θαλασσίας μετὰ γάλακτος γυναικείου χλιαρὰν ἔνσταζε. καρδάμωμον τρίψας μετὰ μέλιτος ἔνσταζε. πευκεδάνου ὀπὸν, ῥοδίνῳ διεὶς, χρῶ. ἀλόην καὶ κροκόμαγμα διεὶς ἔνσταζε.

ἀψινθίῳ λείῳ μετὰ μέλιτος χρῶ. σμύρναν, καὶ ῥητίνην, καὶ A στέαρ χήνειον μετ' ἐλαίου τρίψας, ἐγχυμάτιζε. τὸ λίπος τὸ ἐπιγινόμενον ἐπὶ τῷ τυρῷ ἐν τοῖς κεραμείοις συγκειμένου, χλιάνας ἔνσταζε. διφρυγὲς λεάνας, μετὰ μέλιτος ἔνσταζε. στυπτηρίαν σχιστὴν λεάνας, μετὰ γλυκέος, καὶ ὄξους ἕψησον, ἕως ἂν μέλιτος σχῇ πάχος, καὶ χρῶ. ξηραντικά. κεδρίαν μέλιτι μίξας ἔνσταζε. πεπέρεως λευκοῦ κόκκους τρεῖς, διεὶς μύρῳ Αἰγυπτίῳ, κόγχῃ μικρᾷ λεάνας ἔνσταζε. κρόκον καὶ ψιμμυθίου ἴσα τρίψας, καὶ διεὶς ῥοδίνῳ ἔγχει. μελάνθιον, καὶ θεῖον, ἴσα τρίψας, καὶ διεὶς ῥοδίνῳ, καὶ μίξας μύρον ἴρινον, καὶ στέαρ χήνειον, ἴσα καὶ αὖθις τρίψας B χρῶ. σμύρναν καὶ θεῖον ἴσα τρίψας, καὶ ἐλαίῳ μίξας, ἔνσταζε. σμύρναν καὶ σίδιον ῥοιᾶς γλυκείας, ἴσα τρίψας, καὶ μέλιτι διεὶς, ἔγχει. θηρία τὰ ἀπὸ τῶν δένδρων, ὥσπερ σκώληκας ἐρυθρούς, τρίψας καὶ διεὶς ἐλαίῳ, χρῶ. θηρίον ὃ γῆς ἔντερον καλεῖται, ἑψήσας καὶ διηθήσας, ἔνσταζε. ῥητίνην, καὶ μέλι, καὶ ἔλαιον ἴσα μίξας, καὶ διαλύσας ἔνσταζε. ῥοιὰν λαβὼν γλυκεῖαν, καὶ περιτεμὼν τὸν ὀμφαλὸν ἐκκόκκισον, εἶτα ἐγχέας γλυκέος κύαθον, καὶ προσεμπάσας χαλκάνθου λείου ὀβολοὺς δύο, συνέψησον μέχρις ἂν σύμμετρον πάχος σχῇ, καὶ χλιαρῷ χρῶ. C

Ἐμφυσητικά.

Κηκῖδα λείαν ἐμφύσα. πέπερι στρογγύλον μετ' οἴνου συντρίψας ἔμπασον. τῷ δ' αὐτῷ χρηστέον καὶ ἐγχύματι, μᾶλλον διϋγρῷ. ὀμφάκιον, καὶ κηκῖδα πεφωγμένην, ἴσην λεάνας ἐμφύσα. χρηστέον δὲ καὶ περιπάτοις, καὶ κοιλίας κενώσεσιν, καὶ σιτίων ὑποστολῇ, καὶ διακαθάρσει τῇ ὤτων ἐπιμελεστέρᾳ. πρὸς τὰ κάθυγρα ὦτα. πρὸς δὲ τὰ κάθυγρα τῶν ὤτων, οὕτω γὰρ αὐτὰ ὀνομάζει, φάρμακα χρήσιμά φησιν ὁ Ἀπολλώνιος, τὰ ὑπογεγραμμένα. μίσυ καύσας ἐν ὀθονίῳ, καὶ σὺν αὐτῷ λειώσας, ἐμφύσα. κηκῖδα D καύσας, καὶ τρίψας, παραπλησίως χρῶ. σποδὸν λείαν ὡσαύτως, στυπτηρίαν ὀπτήσας ἐπ' ὀστράκῳ, καὶ λειώσας, ἔλαιον προσεγχέας ἐμφύσα. τῷ δ' αὐτῷ τῆς ἐπιμελείας τρόπῳ χρῶ.

Πρὸς δυσηκοΐας.

Πρὸς δὲ τοὺς ὑποκώφους, εἴτε δυσκώφους, εἴτε δυσηκόους ἐθέλοι τις ὀνομάζειν, τῶν μὲν μικρῶν φωνῶν μηδ' ὅλως ἀκούοντας, τῶν δὲ μεγάλων μόγις, ὑποπτευτέον τὸ σύμπτωμα, κατὰ βραχὺ γὰρ αὐξανόμενον ἐν τῷ χρόνῳ, κωφότητα τελείαν ἀπεργάζεται. καθαρτέον τοίνυν διὰ τῆς ἱερᾶς, καὶ τοῖς διὰ E τῆς κολοκυνθίδος καταποτίοις, ἀποφλεγματιστέον τε, καὶ κεφαλὴν ξηραντέον, ἅπαντί τε τρόπῳ ῥωστέον, ὡς ἐπιδέδεικται πολλάκις. ἔστι δὲ καὶ διαίτῃ λεπτυνούσῃ χρηστέον, εἰς αὐτὸ δὲ τὸ οὖς ἐμβλητέον φάρμακα διαιρετικά τε, καὶ τμητικὰ καὶ λεπτυντικὰ γλίσχρων τε καὶ παχέων χυμῶν, ὧν ἡ ὕλη τοιάδε τίς ἐστιν.

Ταῦτ' Ἀπολλωνίου γεγραμμένα, κατὰ τὸ πρῶτον τῶν εὐπορίστων, πρὸς δυσηκοΐαν φάρμακα, κατὰ λέξιν οὕτως.

Πρὸς τὰς δυσηκοΐας τὰς ἐξαπίνης, καὶ τὰς ἐκ τῶν κεφαλαλ- F γιῶν, ἀψίνθιον μεθ' ὕδατος ἑψήσας, πυρία διὰ καλάμης, κατὰ τὸν ὑποδεδειγμένον διὰ καλάμου τρόπον. δαφνίδας, ἢ φύλλα δάφνης, ἑψήσας ἐν ὕδατι, παραπλησίως χρῶ. ὀρίγανον ὁμοίως, ὕσσωπον ὁμοίως. θάλασσαν, καὶ ὄξος ὁμοίως. τοῖς δ' αὐτοῖς τούτοις χρηστέον, καὶ ἐν χυτρίδι ἑψημένοις.

A Absinthio cum melle trito vtere Myrrham, & resinam ac anserinum adipem cum oleo trita infunde. Pinguedinem caseo in figulinum vas recens coacto superstantem tepefactam instillato. Diphryges tritum cum melle instillato. Alumen scissum tritum cum passo & aceto ad mellis crassitiem coquito, ac vtitor. *Resiccatoria.* Cedriam melle mixtam instilla. Piperis albi grana tria vnguento Ægyptio diluta, & in parua concha trita instilla. Crocum, & cerussam pari mensura trita, & rosaceo diluta, infunde. Melanthium, & sulfur pari pondere terito, & rosaceo diluito, & vnguento irino, adipéque anserino pari mensura additis, B rursus terito, ac vtitor. Myrrham, & sulfur æquis partibus trita, & oleo mixta instillato. Myrrham, & putamen mali punici dulcis æquis partibus trita, ac melle diluta infundito. Animalcula ex arboribus, veluti rubri vermes, trita, & oleo diluta instilla. Animalculum, quod Intestinum terræ appellatur, coctum, & excolatum instilla. Resinam, & mel, ac oleum pari mensura mixta, ac dissoluta instilla. Malum punicum dulce accipito, & execto eius vmbilico acinos eiicito; deinde passi cyathum vnum infundito, & atramenti sutorii triti obolos duos infarcito, & ad mediocrem crassitudinem C coquendo redigito; ac tepido vtitor.

Quæ insufflantur.

Gallam tritam insuffla. Piper rotundum, cum vino contritum insperge. Eodem etiam magis diluto pro infusili vtendum est. Omphacium, & gallam torrefactam æquis partibus trita, insuffla. Cinerulam Cypriam læuigatam insuffla. Vtendum etiam deambulationibus, & ventris euacuationibus, & ciborum subtractione, & purgatione aurium diligentiore. *Ad aures humidas.* Cæterùm ad aures humore madidas, ita enim Apollonius appellat, subscripta medicamenta commoda esse ait. Misy in linteolo vstum, & D cum ipso læuigatum insufflato. Galla vsta, ac trita similiter vtitor. Spodio trito eodem modo; attamen in testa torrefactum, & affuso oleo, tritum insufflato. Cæterùm eadem diligentia circa diætam vtitor.

Ad auditus grauitatem.

Porrò in subsurdis, siue grauiter, & difficulter audientibus, aut etiam surdastris appellatis, vtpotè qui exiguas voces penitus nō audiunt, magnas autem vix percipiunt, hoc ipsum symptoma valdè suspectum habere oportet; paulatim enim augescens, temporis progressu perfectam surditatem in- E ducit. Quapropter per hierā purgandi sunt, & per catapotia ex colocynthide; pituitaque eis per apophlegmatismos detrahenda, ac caput resiccādum est; omnique modo curandū, vt robur ei addatur, quemadmodum iam sæpe est demonstratū. Vtendum etiam attenuatoria victus ratione, Atque in ipsam auriculam medicamenta coniicienda sunt, quæ crassos, & viscosos humores findant, ac incidant, attenuéntque, quorum sylua eiusmodi est.

Quæ Apollonius in primo parabilium ad auditus grauitatem medicamenta conscripsit in hæc verba.

Ad auditus grauitatem repentinam, & ex dolore ca- F *pitis obortam. Fomenta.* Absinthium cum aqua decoquito, & per stipulam fomentum inde facito, quomodo aliàs per arundinē id fieri demonstrauimus. Baccis lauri, aut foliis eiusdem in aqua decoctis similiter vtitor. Similiter etiam origano atque item hyssopo. A qua quoq; marina, & aceto eodē modo. Eisdem autem, & in olla coctis vtendū est.

Fomentum verò per ollam quomodo fiat iam demonstratum est. *Collutiones*. Aceto albo, & aqua pari mensura cum nitro trito feruefactis ad plures dies eluito, atque inde aqua simplici calida eluito. Infusiones: Et sic ea, quæ ad hanc rem descripta sunt infundito. Marrubij succum, & irinum vnguẽtum mixta infundito. Fel tauri, & capræ, ac vnguentum rosaceum mixta instillato. Cæparum succo, & resina oleo dilutis æqualiter vtitor. Oleo nucũ, & resina mixtis pariter vtitor. Alumen aceto dilutum instillato. Myrrham, & alumen pari pondere trita, & aceto diluto infundito. Adipem anserinum, & fel bouis, ac laurinum, pari mẽsura mixta instillato. Hederæ syluestris baccarum succum per linteolum expressum instillato. Veratrum nigrum aceto tritum, melléque multùm cocto exceptum in parua collyria ad formam glandis redigito, eáque meatui indito, ac per dies quinq; sinito. Senectam anguium aceto tritam instillato. Eadẽ & cum felle bubulo, aut caprino, aut testudinis marinæ, aut callionymi piscis, diluta vtitor; Nasturtij quantum sufficit, & nitri parum, carne ficus reiectis granis excipito, indeque collyrium auditorio meatui congruum formato, ac indito, per triduum autem ipsum eximito. Hoc multas sordes educit, & confestim leuius malum reddit. Cæterùm reliqui corporis quoque cura habenda est. Deambulationibus itaque, pro viribus, multis vtendum est, & capitis, reliquorumque membrorum frictione. Insuper & apophlegmatismis, & collutionibus, quæ pituitam extrahere possunt. Cibis vtendum est copia moderatis, & ex genere eorum, quæ facilè exoluuntur, faciléque excernuntur. Plurimùm autem auxiliatur in huiusmodi affectu constitutis spongia tenuissimè contrita, in orbemque conuoluta, melléque imbuta, & auriculæ indita. Idem remedium commodum est, & ad carnem in auditorio meatu enascentem. Post hæc verò inquit vtendum esse ollæ fomento iam ante à se indicato. Indicauit autem hoc ipse inter reliqua auditus præsidia, verùm ego ipsum velut à me condemnatum reliqui; propterea, quòd ad elotionem quidem præstet in aurium dolore, vtilitatem autem de se omninò nullam præbeat. Quapropter nunc ipsum apponam; verisimile est enim surdastros inde iuuari, vtpotè qui contrariis præsidiis opus habeant his, qui aurium doloribus vexantur. In doloribus enim affectæ partes exquisita quiete opus habent: Surdastri verò vehementi motu; & ferè dixerim transmutatione in contrarium ei, qui iam adest affectui, indigent.

Fomenta ad aurium dolorem ab Apollonio his verbis conscripta.

Fomentis porrò vtendum est per spongias aqua calida imbutas, ac sufficienter expressas, Itémque per cucurbitas affixas. Ampliùs verò, & per vaporem ex arundinibus perforatis allatum. Oportet autem alterum arundinis extremum cauitati auriculæ congruens esse; alterum verò in ollam perforatum operculum habentem, & vndique obturatum incumbere. Sit autem in olla absinthium in aqua feruefactum, quo vapor inde sublatus ad auditorium meatum perferatur. Similiter, & per adipem in veru assatum fomentum adhibendum est. Vehementer etiam subscriptus fomenti modus conuenit. Vrinam tauri maximè, aut certè bouis vetustissimam, in ollam nouam angusti oris infundito; & aceti tertiam vrinæ partem, ac myrtum contusam admisceto;

A καὶ τῇ διὰ τῆς χυτρίδος δεδηλωμένῃ πυρίᾳ. Κλυσμοί. ὄξει λευκῷ καὶ ὕδατι ἴσοις, καὶ νίτρῳ λείῳ ὁμοῦ ἐζεσμένοις, κλύζε ἐφ' ἡμέρας πλείους, καὶ μετὰ ταῦτα, κλύζε ὕδατι θερμῷ δαψιλεῖ. ἐνστάξεις. καὶ οὕτως ἐγχυμάτιζε τοῖς πρὸς ταῦτα ἀναγεγραμμένοις. πρασίου χυλὸν, καὶ ἴρινον μύρον μίξας ἔνσταζε. χολὴν βοείαν, καὶ αἰγείαν, καὶ μύρον ῥόδινον μίξας, ἔνσταζε. κρομμύων χύλισμα, καὶ ῥητίνην ἐλαίῳ διεὶς, ἐξ ἴσου χρῶ. καρύων ἔλαιον, καὶ ῥητίνην μίξας, ἐξ ἴσου χρῶ. στυπτηρίαν ὄξει διεὶς ἔνσταζε. σμύρναν, καὶ στυπτηρίαν ἴσην λεάνας, καὶ διεὶς ὄξει, ἐγχυμάτιζε. στέαρ χηνὸς, καὶ χολὴν βοὸς, καὶ δάφνινον, ἴσα μίξας ἔνσταζε. κισσοῦ ἀγρίου τὸν B καρπὸν χυλίσας δι' ὀθονίου ἔνσταζε. ἐλλέβορον μέλανα σὺν ὄξει λεάνας, καὶ μέλιτι ἐπὶ πολὺ ἑψημένῳ ἀναλαβὼν, ποίει κολλύρια βαλανοειδῆ μικρὰ, καὶ ἐντίθει τῷ πόρῳ· καὶ ἔα ἐπὶ ἡμέρας ε'. γῆρας ὄφεως τρίψας μετ' ὄξους ἔνσταζε. τῷ δ' αὐτῷ, καὶ μετὰ χολῆς βοείας, ἢ αἰγείας, ἢ χελώνης θαλασσίας, ἢ τοῦ καλλιωνύμου διειμένου χρῶ. καρδάμου τὸ ἱκανὸν, καὶ νίτρου βραχὺ· σύκου σαρκὶ χωρὶς τῶν κεγχραμίδων ἀναλαβὼν, ποίησον κολλύριον, ἁρμόττον τῷ πόρῳ τῆς ἀκοῆς, καὶ ἔνθες, κομίζου δὲ αὐτὸ τριταῖον. τοῦτο C ἄγει ῥύπον ἱκανὸν, καὶ παραχρῆμα κουφίζει. ἐπιμελητέον δὲ καὶ τοῦ λοιποῦ σώματος, περιπάτοις τε πρὸς δύναμιν ἱκανοῖς, καὶ τρίψει τῆς κεφαλῆς, καὶ τῶν ἄλλων μερῶν. ἔτι δὲ ἀποφλεγματισμοῖς, καὶ διακλύσμασιν ἀποκρίνειν δυναμένοις, τροφαῖς τε χρηστέον πλήθει συμμέτροις· καὶ κατὰ τὸ γένος εὐλύτοις τε καὶ εὐεκκρίτοις. βοηθεῖ δὲ ἱκανῶς τοῖς ἐν ταύτῃ τῇ διαθέσει καθεστῶσι, καὶ σπόγγιον εἰς λεπτὰ κατατετριμμένον, καὶ συνεστραμμένον, καὶ μέλιτι καταβεβρεγμένον καὶ εἰς τὴν ἀκοὴν ἐπιτιθέμενον. τὸ δ' αὐτὸ τοῦτο χρήσιμόν ἐστι καὶ πρὸς τὴν σάρκα, τὴν φυομένην ἐν τῷ πόρῳ D τῆς ἀκοῆς. ἐπὶ δὲ τούτοις ἔφησε χρηστέον εἶναι τῇ διὰ τῆς χυτρίδος δεδηλωμένῃ πυρίᾳ, ἣν αὐτὸς δηλονότι πρόσθεν ἐγέγραφε κατὰ τὰ τῆς ἀκοῆς βοηθήματα. παραλέλοιπα δὲ αὐτὴν ἐγὼ, κατεγνωκὼς, διὰ τὸ κλυσμὸν μέν τινα ποιεῖν τοῖς ὀδυνωμένοις, ὠφέλειαν δὲ οὐδεμίαν. διὰ τοῦτο νῦν αὐτὴν προσθήσω. τοὺς γὰρ δυσκωφοῦντας εἰκός ἐστιν ὑπ' αὐτῆς ὠφεληθήσεσθαί τι, τῶν ἐναντίων βοηθημάτων δεομένους τοῖς ὀδυνωμένοις. ἡσυχίας μὲν γὰρ ἀκριβοῦς, ἐν ταῖς ὀδύναις χρήζει τὰ πεπονθότα μόρια, κινήσεως δὲ σφοδρᾶς, καὶ ὡς ἂν εἴποι τις, μεταποιήσεως εἰς ἐναντίαν διάθεσιν τῆς οὔσης, E τὰ δυσκωφοῦντα.

Πυρίαι πρὸς ὠταλγίαν αἱ ὑπὸ Ἀπολλωνίου γεγραμμέναι κατὰ λέξιν οὕτως.

Πυρίαις δὲ χρηστέον ταῖς διὰ τῶν σπόγγων, εἰς θερμὸν ὕδωρ ἀποβεβρεγμένων τούτων, ἱκανῶς τε ἐκτεθλιμμένων, καὶ ταῖς διὰ τῆς σικύας, ἔτι τε ταῖς διὰ τοῦ ἀτμοῦ τῶν τετρημένων καλάμων. χρὴ δὲ, τὸ μὲν ἕτερον τοῦ καλάμου πέρας, ἡρμόσθαι τῇ κοιλότητι τοῦ ὠτίου, τὸ δὲ ἕτερον ἐν χύτρᾳ πῶμα τετρημένον ἐχούσῃ, καὶ πάντοθεν ἐστεγνωμένῃ ἐγκεῖσθαι. ἔστω δὲ ἀψίνθιον ἐν ὕδατι ἀπεζεσμένον ἐχούσῃ ἐν αὐτῇ, ὥσ- F τε τὸν ἀναφερόμενον χυμὸν προσπίπτειν τῷ τῆς ἀκοῆς πόρῳ. ὡσαύτως δὲ πυριατέον καὶ στέατι περὶ ὀβελίσκον ὀπτημένῳ. σφόδρα δὲ ἁρμόζει καὶ ὁ ὑπογεγραμμένος τῆς πυρίας τρόπος. οὖρον, μάλιστα μὲν ταύρου, εἰ δὲ μὴ, βοὸς, ὡς παλαιότατον, εἰς χύτραν ἐγχέοντα καινὴν στενόστομον, καὶ ὄξους, τὸ τρίτον μέρος, τοῦ οὔρου μίξαντα, καὶ μυρσίνην κεκομμένην,

ὄστρακα πίθου τοῖς μεγέθεσιν ἱκανὰ, διάπυρα ποιήσαντα, ἐμβάλλειν εἰς τὴν χύτραν, εἶτα κλίναντα τὸν ἄνθρωπον εἰς τὸ οὖς, προσθεῖναι τὴν χυτρίδα, καὶ οὕτω πυριᾶν. περὶ δὲ τὸ οὖς, σπεῖραν χρὴ ποιεῖν ἐξ ἐρίου, πρὸς τὸ μὴ κατακαίεσθαι, τοὺς ἐν κύκλῳ τόπους. χρηστέον δὲ καὶ ἀλεύρῳ κριθίνῳ τε, καὶ πυρίνῳ μετ᾽ οἴνου ἑψημένῳ, καὶ ἰρίνῳ μύρῳ θερμῷ, πυρίας χάριν. ἐπὶ δὲ τὸ οὖς ἄνωθεν ἐπιθετέον ἔρια μαλακὰ, καὶ καθαρὰ οἴνῳ καὶ ἐλαίῳ κατειργασμένα, καὶ ἄλευρον κρίθινον ἢ πύρινον. ποτὲ μὲν αὐτὸ καθ᾽ αὑτὸ ἑψημένον, μετ᾽ οἴνου καὶ ἰρίνου μύρου, ποτὲ δὲ καὶ μίγμα ἔχον περιστερᾶς ἀφόδου, καὶ ἀριστολοχίας λεπτῆς ἴσον. B συνοίσει δὲ καὶ τροφῆς ἔνδεια, καὶ λεπτὴ δίαιτα, καὶ κοιλίας κένωσις ἀξιόλογος. ἔτι δὲ ἀνάπαυσις, ἡσυχία, σκέπη τῆς κεφαλῆς, πόμα, θερμὸν ὕδωρ, μελίκρατον, πτισάνης χυλὸς μετὰ μέλιτος, ἄχρις ἂν ἐνδῶσιν οἱ πόνοι.

Ἀρχιγένους τὰ πρὸς δυσηκοΐας καὶ κωφώσεις, αὐτοῖς ὀνόμασι γεγραμμένα.

Ἐπὶ δὲ δυσηκοΐας τοῦ φλοιοῦ τῆς ῥαφανίδος τὸν χυλὸν σὺν ῥοδίνῳ ἢ κυπρίνῳ χλιάνας, ἔνσταζε. ἢ χαλβάνην σὺν ὄξει καὶ μέλιτι ζέσας. ἐπὶ δὲ τῶν ἐπιγινομένων κωφώσεων, ἐλλεβόρου μέλανος ὅσον ὄροβον, ἐν μέλιτι ἑφθῷ τίθει, καὶ C ἔα ἕως ἂν τὸ ἐμποδίζον διαφαγῇ. ἢ ἀψινθίου ἐκκλύσας ἀφεψήματι, μέλι καὶ ἔλαιον ἔνσταζε. ἢ κολλύριον καθέντες διὰ νίτρου καὶ σύκου, καὶ νάπυος, οὐκ ἐξαιροῦμεν ἡμέρας τρεῖς. μετὰ τοῦτο δὲ ὀξείαις φωναῖς ἐμβοῶμεν συνεχέσι, καὶ αὖθις βαρείαις, ἐνσαλπίσαντες δὲ αὖθις ὕστερον ἀποκαθιστῶμεν, μεθ᾽ ἃ ἐγχέομεν ὠφελίμως ἀσφοδέλου ῥίζας ἐλαίῳ παλαιῷ ἀφεψήσαντες, αἰγείῳ τε οὔρῳ ἐκκλύζομεν συνεχῶς. πρὸς δὲ τὰς ἐκ κεφαλαλγιῶν κωφώσεις, ῥαφάνου χυλὸν μετὰ ῥοδίνου ἔγχει. ἢ σικύου ἀγρίου χυλὸν τῶν φύλλων. ἢ καστορίου μετὰ δαφνίδων καὶ D ὄξους. ἢ ἐλλεβόρου μέλανος λευκῷ ὄξει πεφυραμένου ὅσον ὄροβον, μέλιτι μίξας ἑφθῷ, βαλάνια ποιῶν ἐντίθει. Τοῦ αὐτοῦ περὶ τῶν ἐμπιπτομένων τοῖς ὠσὶ σωμάτων. Εἰ δὲ ὕδωρ εἰς τὸ οὖς ἐμπέσοι, βοηθεῖ μὲν τὸ ὄξος, καὶ ἐφ᾽ ἑνὶ ποδὶ τῷ κατὰ τὸ πάσχον οὖς, ἄλλεσθαι, παρεγκλίναντά πως ἑαυτὸν, ἐκκρίνεται γὰρ οὕτω εὐχερῶς. καὶ ὁ ἐκμυζησμὸς δὲ ἄκρως ἐπισπᾶται διὰ ψιλοῦ τοῦ στόματος, ἢ καὶ διὰ καλαμίδος, εἶτα δι᾽ ἐρίου διαψήσας, τῶν προειρημένων τι μύρων ἔνσταζε. ψηφῖδος δὲ ἐμπεσούσης τῷ πόρῳ τοῦ ὠτὸς, ἢ κυάμου, ἢ τινος παραπλησίου, ἔκκλυζε, ἢ μηλωτρίδι περιελίξας ἔριον, καὶ ἐμβάψας ῥητίνῃ, ἀνάσπα, ἢ διά τινος τῶν E ἐγκολλητικῶν φαρμάκων. εἰ δὲ μὴ ὑπακούοι, πταρμικὸν εἰς τὰς ῥῖνας ἐνιεὶς, ἔμφραττε τὸ στόμα, καὶ τοὺς ῥώθωνας. κατὰ γὰρ τὴν γεγενημένην ἔκτασιν τοῦ πνεύματος, ἐκφυσᾶται τὸ ἐμπεσόν. ποίει δὲ συνεχῶς ἄχρις ἂν ἐκπέσῃ. εἰ γὰρ ἐμμείνῃ ἐπιφλεγμαῖνον τὸ οὖς, σπασμοὺς ἐπιφέρει. κάλλιστα δὲ συνεργεῖ εἰς τὴν τῶν ἐμπεσόντων ἀποβολὴν, καὶ ὁ κατασεισμὸς, εἰ μὲν παιδίον ᾖ, τῷ ποδὶ κατεχόμενον, καὶ ἐπὶ κεφαλῇ αἰωρούμενον μετὰ κατασεισμοῦ. εἰ δὲ τέλειος εἴη ὁ πάσχων, κατακλίνας αὐτὸν ἐπὶ σανίδα, κατὰ τὸ πάσχον οὖς, καὶ κελεύων τὴν F κεφαλὴν ἐρείδειν τῇ σανίδι, ἔπειτα κουφίζων τὸ πρὸς τὴν κεφαλὴν μέρος τῆς σανίδος, ἔα καταφέρεσθαι, καὶ τοῦτο ποίει πλειστάκις. κινηθήσεται γὰρ τὸ ἐμπεσὸν, καὶ προσβιβασθήσεται περὶ τὰ προχωρέστερα μέρη τοῦ πόρου, μετὰ δὲ ταῦτα, κυαθίσκῳ στενῷ μικρῷ μηλωτρίδος, ἀνάσπα εὐφυῶς.

A deinde testas pro ollæ magnitudine satis multas, igni candefactas in ollam conijcito, posteaque hominem inclinatum apposita ad aurem olla fomentum admittere iubeto. Circum aurem verò fasciculum ex lana in orbem circumponito, ne videlicet circunsitæ partes exurantur. Vtendum, & farina hordeacea, ac triticea in vino cocta, itemque vnguento irino calido, gratia fomenti. Supernè verò auriculæ imponendæ sunt lanæ molles, ac puræ, vino & oleo imbutæ. Hordeacea itidem, & triticea farina, aliquando quidem per se cocta cum vino, & vnguento irino; aliquando verò columbino stercore, & aristolochia tenui, æquis partibus admixtis. Confert autem cibi abstinentia, & diæta tenuis, & alui euacuatio larga, & memorabilis. Insuper, & quies, ocium, capitis velamen. In potu aqua calida, aqua mulsa, ptissanæ succus cum melle, donec remiserint dolores.

Quæ Archigenes ad auditus grauitatem, ac surditatem his verbis conscripsit.

In auditus grauitate. Succum corticis raphani cum rosaceo, aut cyprino tepefactum instilla. Aut galbanum, cum aceto, & melle feruefactū. Quòd si surditas succedat, Veratrum nigrum erui magnitudine in cocto melle indito, ac donec, quod impedit erodat, finito. Aut vbi absinthij decocto elueris, mel & oleum instillato. Aut collyrio ex nitro, ficu, & sinapi immisso per triduum id non extrahimus. Postea verò acutis vocibus assiduis, & vicissim grauibus inclamamus, & per tubam sonitu immisso malum depellere conamur. Post hæc, & asphodeli radices oleo veteri incoctas vtiliter infundimus, caprinaque vrina assiduè eluimus. Cæterùm surditate ex capitis dolore oborta, Raphani succum, cum rosaceo infunde; aut foliorum cucumeris syluestris succum; Aut castorium, cum baccis lauri, & aceto; aut nigrum veratrum albo aceto irrigatum, sub orobi quantitate cocto melli miscens, glandulasque componens impone. *Eiusdem de corpusculis, quæ auribus illabuntur.* Quòd si aqua in aurē illabatur, auxiliatur acetum, & altero pede affectæ auriculæ propinquo exilire. aliqualiter se ipsum reclinando, hoc enim modo facilè excernitur. Quin & exuctio simplex per os, aut etiam per stipulam, egregiè aquam extrahit; quod vbi factum fuerit, conscalpta per lanam auricula; ex prædictis vnguentis aliquod instilla. Si verò calculus, aut faba, aut consimile quippiam, in auditorium meatum illapsum fuerit, eluito, aut lana circa auricularium specillum obuoluta, & resina tincta extrahito. Idem & per glutinosum aliquod medicamentum fieri potest. Quod si neque sic sequatur, sternutatorio in nares iniecto, os, ac nares obturato; facta enim spiritus conclusi extensione, id quod incidit, efflatur; idque assiduè donec excidat facito, si enim intus manserit, aure inflammata, conuulsiones inducet. Optimè etiam confert ad eorum quæ illapsa sunt eiectionem, concussio. Si itaque puer fuerit, pede comprehensum, & in caput eleuatum, cum concussione vibrabis. Si verò perfectæ ætatis quispiam ita fuerit affectus, ipsum in tabulam secundum affectam aurem reclinatum, caput ad tabulam firmare iubeto deinde leuata tabulæ circa caput parte, deferri sinito idque sæpe repetito. Mouebitur enim, quod incidit, & ad expeditiores meatus partes progredietur, atque ita angusta, & concaua specilli parte immissa scitè extrahito.

Si

Si verò faba, aut consimile quippiam in aurem illapsum, in ea maneat, madefactúmque, & tumefactum dolores inducat, impossibile quidem est ipsum integrum eximere. Quare per specilli concauum industriè partiri, ac diuidere ipsum oportet atque ita particulatim extrahere; deinde sapam, aut vinum dulce calidum infundere, ac lenire meatum ex lancinatione offensum. At verò si animal aliquod illapsum sit, scammoniam aceto dilutam aut absinthij succum, aut peucedani succum, nitrúmque, ac sulfur, cum raphani succo instillato.

Apollonij de iisdem.

Apollonius autem de iisdem sic scripsit. *Ad pulices, & vermiculos in aures reliquaque earum poros illapsa.* Acetum, & oleum instilla. Aut capparis succum instilla. Aut amygdalas amaras terito, & oleosum ab ipsis expressum instillato. Veratrum album tritum inspergito. Aut aristolochiam tritam inspergito. Aut calaminthæ succum infundito. Aut cinnabarim viridem instillato. Aut veratrum album cum vino infundito. Aut aluminis, & seminis cucurbitæ syluestris, siue medullæ eius, æquas partes tritas cum oleo cedrino instilla. Aut cæpam tritam, & hyssopum æquis partibus in vino diluito, ac infundito. Aut myrrham tritam, acetoque, ac melle pariter dilutam, adhibe. Aut chalcitidem crudam tritam, ac melle dilutam infunde. In vniuersum verò eximendum est quicquid in meatum incidit, hoc modo. Per auriscalpium nimirum, aut volsellam, aut lanam mollem specillo obuolutam, & resinam, aut etiam, quæ vncinum habeat tenuem appensem. *Ad aurium sordem.* Nitrum assatum tritum auriculæ inspergito, & acetum instillato, ac lana apposita per noctẽ sinito; sequenti verò die aqua, & oleo calido eluito. Cæterùm ad aquam in aurem acceptam cæpæ succum, & adipem anserinum tepefactum instilla. Aut mali punici nucleo carentis dulcis, & acidi succum in æreo vase, donec duæ partes supersint, coquito, indéque duas guttas instillato. Aut myrrham ex aceto, & melle tritam infundito.

Auricularia medicamenta à Critone conscripta his verbis.

Ad sonitus aurium à morbis. Absinthium in aqua decoctum pro fomento adhibe, & rosaceum cum melle instilla. Aut raphani corticis succum cum rosaceo instilla. Aut aloën cum vino, & melle. Aut thus cum aceto, & rosaco in malicorio ad mellis spissitudinem coquendo redactum. Aut hyoscyami succum cum rosaceo tepidum. Aut radicum calami viridis succum cum lacte. Aut rhamni succum, cum Celtica nardo. Aut gallam nigram cum pari myrrha ex melle. Aut lycium cum vino mulso instilla. Aut vulpis adipem. *Ad dolores aurium absque humiditate, & purulentia.* ℞ Vini veteris ℥. j.ß. mellis Corsici ℥. j. nitri rubri. ℥. ß. lycij ℥. j. Lycium cum vino, & nitro tritum læuigato, ac mel admisceto; & in vitreo vase reposita infundito, hyeme quidem bis in die, æstate verò sæpius; & tomentum lanę conchylio infectæ indito. *Ad aures purulentas.* Alumen scissile terito, & affuso aceto ad liquidiorem strigmento consistentiã redactum lana conuoluta excipito, & resiccata lana, ex ipsa in aurem indito; aut hoc ipsum medicamẽtum liquidum per lanam specillo obuolutam in aurem demittito, eámque ex eo quotidie illinito. Expedit, & paululum passi affundere, ne medicamentum exarescat.

A Εἰ δὲ κύαμος ἐμπεσὼν, ἤ τι ἕτερον παραπλήσιον καὶ ἐμμείνας διαβεβρεγμένον τε γινόμενον, καὶ ἐξοιδῆσαν, ὀδύνας ἐπιφέρει, ὁλόκληρον μὲν αὐτὸ ἐξελεῖν ἀδύνατον. χρὴ δὲ τῷ κυαθίσκῳ τῆς μηλωτρίδος, εὐφυῶς αὐτὸ διαμερίζειν, καὶ οὕτω κατὰ βραχὺ ἐκφέρειν, ἔπειτα ἕψημα, ἢ γλυκὺν οἶνον θερμὸν ἐγχεῖν, καὶ παρηγορεῖν τὸν πόρον διὰ τὸν γινόμενον σπαραγμόν. ζώου δέ τινος ἐμπεσόντος, σκαμμωνίαν διεὶς ὄξει, ἢ ἀψινθίου χυλὸν, ἢ πευκεδάνου χυλὸν, καὶ νίτρου, καὶ θείου μετὰ χυλοῦ ῥαφάνου, ἔνσταζε.

Ἀπολλωνίου περὶ τῶν αὐτῶν.

B Ἀπολλώνιος δὲ περὶ τῶν αὐτῶν οὕτως ἔγραψεν. πρὸς ψύλλας, καὶ σκώληκας ἐν ὠσὶ, καὶ τὰ λοιπὰ τὰ εἰς τὸν πόρον τῆς ἀκοῆς εἰσδυόμενα. ὄξος καὶ ἔλαιον ἔνσταζε. ἢ καππάρεως χυλὸν ἔνσταζε. ἢ ἀμύγδαλα πικρὰ τρίψας, καὶ τὸ ἐλαιῶδες αὐτῶν ἐκθλίψας, ἔνσταζε. Ἄλλο. ἐλλέβορον λευκὸν λεῖον ἔμπασσε. ἢ ἀριστολοχίαν λείαν ἔμπασσον. ἢ καλαμίνθης χυλὸν ἔγχει. ἢ κινναβάρεως χλωρᾶς ἔνσταζε. ἢ ἐλλέβορον λευκὸν μετ᾽ οἴνου ἐγχυμάτιζε. ἢ στυπτηρίας καὶ κολοκύνθης τῆς ἀγρίας τοῦ σπέρματος, ἢ τῆς ἐντεριώνης ἴσον τρίψας, μετὰ κεδρίνου ἐλαίου ἔνσταζε. ἢ κρόμμυον τρίψας, καὶ ὑσσώπου τὸ

C ἴσον οὔρῳ παλαιῷ διεὶς, ἐγχυμάτιζε. ἢ σμύρναν τρίψας, ὄξει τε καὶ μέλιτι διεὶς, ἴσοις χρῶ. ἢ χαλκῖτιν ὠμὴν τρίψας, καὶ μέλιτι διεὶς, ἐγχυμάτιζε. καθόλου δὲ ἐξαιρετέον τὰ εἰς τὸν πόρον ἐμπίπτοντα, τοῦτον τὸν τρόπον. ὠτογλυφίδι, ἢ λαβίδι, ἢ ἐρίῳ μαλακῷ περὶ μηλωτρίδα περιειλημμένῳ καὶ περιερρητινωμένῳ, ἢ ἄγκιστρον ἔχοντι λεπτόν. Πρὸς ῥύπον τὸν ἐν ὠσί. νίτρον ὀπτὸν λεάνας, ἔμπλασσον εἰς τὸ οὖς, καὶ ἐπίσταξον ὄξος καὶ ἔριον προσθεὶς, ἔασον διὰ νυκτὸς, τῇ δ᾽ ὑστεραίᾳ, κλύσον ὕδατι καὶ ἐλαίῳ θερμῷ. πρὸς δὲ τὸ ἐναπολαμβανόμενον ὕδωρ, κρομ-

D μύου χυλὸν, καὶ στέαρ χηνὸς χλιάνας ἔνσταζε. ἢ ῥοιᾶς ἀπυρήνου γλυκείας, καὶ ὀξείας, χυλὸν ἑψήσας ἐν χαλκῷ ἀγγείῳ, ἕως λειφθῇ τὰ δύο μέρη χρῶ, ὅσον δύο σταλαγμοὶ, ἐνστάζων. ἢ σμύρναν τρίψας ὄξει καὶ μέλιτι, ἐγχυμάτιζε.

Ἐκ τῶν Κρίτωνος ὠτικῶν φαρμάκων, γεγραμμένων αὐτοῖς ὀνόμασι.

Ὠτικὰ πρὸς τοὺς ἀπὸ νόσων ἤχους. Ἀψίνθιον ἑψήσας ἐν ὕδατι, πυρία, καὶ ῥόδινον μετ᾽ ὄξους ἔνσταζε. ἢ ῥαφάνου χυλὸν τοῦ φλοιοῦ, μετὰ ῥοδίνου ἔνσταζε. ἢ ἀλόην μετ᾽ οἴνου καὶ μέλιτος. ἢ λίβανον μετ᾽ ὄξους καὶ ῥοδίνου, ἐν κελύφῳ ῥοιᾶς ἑψηθέντα, ὡς

E γενέσθαι μελιτῶδες. ἢ ὑοσκυάμου χυλὸν σὺν ῥοδίνῳ χλιαρόν. ἢ καλάμου χλωροῦ χυλὸν τῶν ῥιζῶν, σὺν γάλακτι. ἢ ῥάμνου χυλὸν σὺν νάρδῳ Κελτικῇ. ἢ κηκίδα μέλαιναν μετὰ σμύρνης ἴσης, σὺν μέλιτι. ἢ λύκιον μετ᾽ οἰνομέλιτος ἔνσταζε. ἢ ἀλώπεκος στέαρ. πρὸς τὰς χωρὶς ὑγρότητος περιωδυνίας τὰς ἐν ὠσὶ, καὶ πυορροίας. ℞. οἴνου παλαιοῦ ℥ α΄. S. μέλιτος Κορσικοῦ ℥ α΄. νίτρου ἐρυθροῦ ℥ τὸ S. λυκίου Ἰνδικοῦ ℥ α΄. λειοτρίβει τὸ λύκιον μετὰ τοῦ οἴνου, καὶ τοῦ νίτρου, καὶ ἐπίμιξον τὸ μέλι, καὶ εἰς ὑέλινον ἀγγεῖον ἀπόθου, καὶ ἐγχυμάτιζε. χειμῶνος μὲν, δὶς τῆς ἡμέρας, θέρους δὲ, πλεονάκις, καὶ ἐντίθει κροκύδα

F κογχυλίου. πρὸς ὦτα πυορροοῦντα. στυπτηρίαν σχιστὴν λεάνας, παράχει ὄξος, καὶ τρίψας ὡς γλοιοῦ ὑγροτέραν ἔχειν σύστασιν, ἀναλάμβανε πλακὶ ἐρίου. καὶ ξηράνας τὸ ἔριον. ἐκ τούτου ἐντίθει εἰς τὸ οὖς. ἢ αὐτὸ τὸ φάρμακον ὑγρὸν δι᾽ ἐρίου περὶ μηλωτίδα καθιεὶς εἰς τὴν ἀκοὴν διάχριε αὐτὴν καθ᾽ ἡμέραν. πρόσβαλλε δὲ καὶ γλυκέος ὀλίγου, ἵνα μὴ ξηραίνηται.

Ἀρχιγένους πρὸς τὰ ἔξωθεν τοῦ πόρου τῶν ὤτων πάθη.

Πρὸς δὲ τὰ τῶν ὤτων ἔξωθεν τοῦ πόρου πάθη, Ἀρχιγένης μὲν οὕτως ἔγραψεν. ἐπὶ δὲ τῶν τεθλασμένων ὤτων, σμύρναν, λίβανον, γῆν μέλαιναν, ἣν τινες σμῆγμα τῷ, σὺν ὄξει δριμεῖ, εὖ ἑνώσας, κηρωτῆς πάχος κατάπλασσε, καὶ μὴ ἐρέθιζε μηδαμῶς. ἢ ψιμμυθίου καὶ σελίνου σπέρμα ἴσα, μετὰ μέλιτος κατάχριε, τινὲς ἀψίνθιον ἀντὶ ψιμμυθίου γράφουσιν. ἢ θεῖον ἄπυρον, σμύρναν, καὶ λίβανον, μετὰ πίσσης ὑγρᾶς σπληνίον ἐπιτίθει. ἢ κόλλαν τεκτονικὴν, καὶ ἄσφαλτον ὁμοίως, ἔνιοι καὶ μάνναν μίσγουσιν. ἢ τῇ Ἀσκληπιαδείῳ χρῶ κεφαλικῇ. ἢ τοῖς πρὸς τὰ αἰδοῖα τροχίσκοις, κατάχριε. ἐφ' ὧν δὲ τέθλασται τὰ ὦτα, πληρώσας ἔσωθεν τὴν κοιλότητα τὴν προχειροτέραν τοῦ χόνδρου, γῆς κεραμικῆς, τῇ ἑξῆς, ὅταν ξηρανθῇ, στρύχνον μετὰ ψιμμυθίου ἐπάλειφε, μέχρι καταστάσεως. ἐπὶ δὲ τῶν περὶ τὰ ὦτα τραυμάτων, καὶ διαιρέσεων, ἐγχονδρίσας ἐπιμελῶς, ἀγκτηρίασον, εἶτα τοῖς ἀφλεγμάντοις, καὶ τῇ λοιπῇ κολλητικῇ ἀγωγῇ χρῶ. τὰ δὲ φλεγμαίνοντα τρήματα τῶν λοβῶν ἐπὶ παίδων, ἐλαίῳ ἐν χαλκῷ λύχνῳ ἰωθέντι καταχρίων, ὑγιάσεις. Ἀσκληπιάδης δὲ τούτῳ πρὸς ὦτα τεθλασμένα ἐχρήσατο. Κοχλίας τοὺς μικροὺς σὺν τοῖς ὀστράκοις τρίψας, καὶ μίλτῳ χρώσας, ἐπιτίθει. Ἄλλο. ℞. ἀλόης μέρος α'. κόλλης τεκτονικῆς ἑψημένης μετ' ὄξους, μέρος α'. μίξας ἐπιτίθει, ἔνιοι καὶ μάνναν μίσγουσιν.

Ἐπιθέματα πρὸς τεθλασμένα ὦτα.

℞. Κοτυληδόνος βοτάνης < η'. ἀμυγδάλων πικρῶν κεκαθαρμένων < β'. τραγακάνθου < β. ὄξει διαλύσας ἀναλάμβανε ἰξῷ δρυΐνῳ, ἔπειτα ἐμπλάσας ἐπιτίθει. ἢ κηροῦ < η'. χαλβάνης < η'. κάρυος < η'. ἰξοῦ δρυΐνου < ιϛ'. λιβανωτοῦ < η'. μίσυος ὀπτοῦ < η'. συντίθει καὶ χρῶ. Ἀπολλώνιος δὲ οὕτω πρὸς τὰς τῶν ὤτων φλεγμονὰς, τὰς ἐν τῇ ἐπιφανείᾳ γινομένας, ἐξ ἐπιφορᾶς ἢ πληγῆς, καὶ τὰ οἰδήματα, καὶ τὰ ἐρυθήματα ἐθεράπευε. Βούτυρον πρόσφατον διηθήσας ἔνσταζε. ἢ στέαρ χήνειον διηθήσας ἐγχυμάτιζε. ἢ στέαρ χήνειον, καὶ γάλα γυναικεῖον μίξας, ἔνσταζε. ἢ βαλάνου πίεσμα, καὶ ῥητίνην ὑγρὰν χλιαρὰν ἔγχει. ἢ στέαρ βόειον, καὶ χήνειον, ἴσα λειώσας ἔνσταζε. ἢ ὠκίμου χυλὸν, καὶ στέαρ χήνειον ἴσα μίξας, ἔνσταζε. Ἄλλο ἐπίχριστον. μηκώνειον ὕδατι διεὶς, πτερῷ ἔγχριε. ἢ κρόκον τρίψας, καὶ γάλακτι γυναικείῳ διεὶς, κατάχριε. ἢ λιθάργυρον τρίψας μεθ' ὕδατος, καὶ νάρδου λεπτῆς, ἐπίχριε. ἢ ψιμμύθιον, κορίου χυλῷ, ἢ πολυγόνου, ἢ στρύχνου διεὶς κατάχριε. καταπλάσματα. ἀψίνθιον τρίψας μεθ' ὕδατος κατάπλασσε. ἢ σήσαμον τρίψας ἐν ὕδατι κατάπλασσε. φακὸν ἑψήσας ἐν ὕδατι καὶ τρίψας μετὰ μέλιτος κατάπλασσε. ἢ ῥοιᾶς γλυκείας σίδια ἑψήσας ἐν οἴνῳ καὶ τρίψας κατάπλασσε, ἀγαθὸν πάνυ τὸ φάρμακον. σμύρναν, καὶ στέαρ χήνειον, ἢ βούτυρον, ἢ ῥητίνην, καὶ κογχυλίου τὸ ἐντὸς, ἴσα τρίψας ἐπιτίθει ἐπὶ τὸ οὖς, καὶ τὸν κατ' αὐτοῦ κρόταφον. ἔνθα δὲ σιτίων ἁρμόζει, καὶ κοιλίας κένωσις. ἔτι δὲ ἡσυχία, καὶ σκέπη κεφαλῆς, καὶ σώματος ἀνάπαυσις. ἀλλότρια δὲ ἐστιν ἔγκαυσις, κατάψυξις, λουτρὸν, ἔμετος, κραυγὴ, καὶ πᾶσα διάστασις.

Τοῦ αὐτοῦ πρὸς τὰ ἐκ πληγῆς εἱλκωμένα, καὶ τὰ κατεαγμένα τῶν ὤτων.

Ἄρτου θερμοῦ τὸ ἐντὸς τρίψας μετὰ μέλιτος ἐπιτίθει.

Archigenes ad aurium affectus extra meatum.

Cæterùm ad affectus aurium extra meatum auditorium Archigenes hæc conscripsit. *Ad Aures contusas.* Myrrham, libanum, terram nigram, qua aliqui se tanquam smegmate confricant, cum acri aceto probè vnita, cerati crassitudine imponito, & nequaquam amplius irritato. Aut cerussam, & apij semen pariter accepta cum melle obline; quidam absinthiũ pro cerussa scribunt; aut sulfur viuum, myrrham, & thus, cum pice liquida in splenio imponito; aut glutinum fabrile, & asphaltum siue bitumen eodem modo; quidam etiam mannam admiscent; Aut cephalico Asclepiadeo emplastro vtere; aut pastillis pudendis destinatis illine. Porrò in quibus contusæ sunt aures, intrinsecam expeditiorem cauitatem cartilaginum figulina terra expleto; & sequenti die, vbi exaruerit, solanum cum cerussa illinito, vsquequo in integrum restituãtur. Verùm in aurium vulneribus, & fissuris cartilagine probè coaptata fibulas imponito: deinde inflammationem arcentibus, & reliquo glutinatorio ductu, vtitor. At verò inflammata in aurium puerorum pulpis foramina, oleum, quod in ærea lucerna æruginem contraxerit, illinẽdo persanabis. Cæterùm Asclepiades huiuscemodi ad contusas, & fractas aures compositione vsus est. Paruas cochleas, vbi cum testis contriueris, & rubrica tinxeris, appone. *Aliud.* ℞. Aloës partem vnam, glutinis fabrilis cum aceto cocti partem vnam, mixta imponito; aliqui mannam admiscent.

Epithemata ad contusas Aures.

℞. Cotyledonis herbæ ʒ. viij. amygdalarum amararum depuratarum ʒ. ij. tragacanthi ʒ. ij. aceto dilue, & visco quercino excepta, & linteolo infarta impone. Aut ceræ ʒ. viij. galbani ʒ. viij. nucum amatarum ʒ. viij. visci quercini ʒ. xvj. thuris ʒ. viij. misyos assati ʒ. viij. componito, ac vtitor. Apollonius autem hoc modo tum aurium inflammationes in superficie cutis ex humorum impressione, aut plaga obortas, tum tumores, ac rubores, curauit. Butyrum recens excolatum instilla: aut adipem anserinum percolatum instilla, aut adipem anserinum, & lac muliebre mixta instilla, aut glandis vnguẽtariæ succum, & resinam liquidam tepidam affunde, aut adipem bubulum, ac anserinum æquis partibus liquefactos instilla, aut ocymi succum, ac adipem anserinum æquis portionibus misce, & instilla. *Aliud, quod illini potest.* Papaueris succum aqua dilutum penna illinito; aut crocum tritum, & muliebri lacte dilutum illinito, aut argenti spumam, cum aqua, & nardo tenui tritam illinito, aut cerussam coriandri, aut polygoni, aut solani succo dilutam illine. *Cataplasmata.* Absinthiũ tritum ex aqua pro cataplasmate impone; aut sesamum aqua tritum impone. Lentem in aqua coctã, ac tritam cum melle impone; aut mali punici dulcis putamina cocta, & trita in vino; hoc valdè commodum medicamentum existit, aut myrrham, adipem anserinum, vel butyrum, vel resinam, & conchylij partem internam, æquis partibus trita, super aurem, & propinqua tempora impone. Cõuenit autem ad hæc ciborum abstinentia, alui euacuatio, insuper quies, & velamen capitis, & corporis requies. Longè verò remota esse debent ardor, frigiditas, balneum, vomitus, clamor, & omnis distentio.

Eiusdem ad exulceratas ex plaga & fractas aures.

Panem calidum internum cum melle tritum impone.

A impone. Myrrham cum vino veteri tritam illine. Cochlearum colla vnà cum testis terito; & dimidiam myrrhæ partem addito, ac imponito. Absinthij, & apij seminis æquales partes tritas cum melle imponito. Picem circumline, & sulfur tritum, aut thuris micas insperge. Verùm ne obliges ista, neque frequenter repetito epithematum detractiones.

σμύρναν μετ' οἴνου τρίψας παλαιοῦ, ἐπίχριε. κοχλιῶν τοὺς τραχήλους τρίψας σὺν τοῖς ὀστράκοις, καὶ σμύρνης μίξας τὸ ἥμισυ μέρος, ἐπιτίθει. ἀψινθίου καὶ σελίνου σπέρματος τὸ ἴσον λεάνας μετὰ μέλιτος ἐπιτίθει. πίσσῃ περιχρίσας θεῖον λεῖον, ἢ μάνναν ἐπίπασσε, μὴ ἐπιδῇς δὲ ταῦτα, μηδὲ πυκνὰς ποιοῦ τὰς τῶν ἐπιθεμάτων ἀφαιρέσεις.

CAPVT II.

De Parotidibus. B

PArotides è genere quidem sunt inflammationum; fiũt autem glandulis circa aures affectis; non tamen in ipsis vtimur prima parte curationis partium inflammatarum. In illis enim, vt plurimũ curatione reprimente, ac repulsoria à medicis appellata vti conuenit; atque id maximè, quum neq; malignum sit, neque multum, quod influit, neque corpus humoribus ex æquo redundet. Sic namq; spongia sola ex posca imposita incipientes inflammationes repressit, neque quicquam ex eo totum corpus fuit offensum. Verùm in parotidibus ipsum contrarium facimus, medicamenta attractoria adhibentes; C atque si hæc nihil memorabile efficiant, etiam cucurbitam affigentes, aut fomenta assidua adhibentes. Annitimur enim, vt affligens humor ex profundo ad cutem attrahatur, præsertim si in capite affectio sit firmata, humoribus videlicet in ipso obfirmatis. Quin, & quum citra capitis affectionem in febribus acutis natura superfluos humores ex vasis effundens, ad regionem inter cutem, & subiecta corpora deponit, quando sanè, & glandulæ ex effusis humoribus participant, melius vtique etiam tunc videtur naturam adiuuare per humorem ex loco in locum impetuosum illapsum D febres curantem. At verò quum vehementi impetu fluxus illabitur, nihil nos curiosius agentes omnia naturæ permittimus. Si enim siue cucurbitam, siue aliud medicamentum humores ex alto ad cutem attrahens, admouerimus, vehemens dolor hominem apprehendit; vnde & vigiliæ fiunt, & febres succedunt, ac vires exoluuntur. Mitigare itaque tunc, & non humorum influxui opitulari conuenit, per cataplasmatum maximè lenientiũ vsum; Velut est, quod ex frumenti, aut hordei, aut seminis lini farina, cum aqua mulsa, aut fœnigræci, aut altheæ, aut chamæmelorum decocto coquitur, & E quæcunque ad hoc quod moderatè humectam habent caliditatem, per quam mitigare dolores valent, etiam influentes humores concoquere possunt, ac suppurare, quemadmodum de his in cataplasmatum tractatu sermonẽ fecimus. Quod si etiam sanguis redundare videatur, per venæ sectionem ipsum euacuabimus, præsertim si id vires permittant. Nunc verò ad medicamentorum cõpositionem progredientes, quam etiam à principio nos tractaturos recepimus, qua ratione tum compositio ipsorum, tum vsus constet, docebimus. Si itaque tumor non discutiatur, suppuran- F tibus medicamentis vtendum est, velut est frumenti farina cum caricarũ decocto, & oleo. Item quod ex polline, & quod ex fermento constat medicamẽtum. Si verò suppuratæ fuerint parotides, tunc aut per sectionem pus elicere oportet, vlcusque velut in eiusmodi fieri moris est, ac omnibus notum curare; Aut sanè per medicamentum acre abscessum rumpere, quale est similiũ appellatum,

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ παρωτίδων.

ΑΙ παρωτίδες, ἐκ τοῦ γένους μέν εἰσι τῶν φλεγμονῶν. γίνονται δὲ τῶν περὶ τοῖς ὠσὶν ἀδένων παθόντων, οὐ μὴν χρώμεθά γε ἐπ' αὐτῶν τῷ πρώτῳ μέρει τῆς τῶν φλεγμαινόντων μορίων θεραπείας. ἐπ' ἐκείνων μὲν γὰρ, ὡς τὸ πολὺ, τῇ καλουμένῃ πρὸς τῶν ἰατρῶν ἀποκρουστικῇ καὶ ἀνασταλτικῇ θεραπείᾳ προσήκει χρῆσθαι, καὶ μάλισθ', ὅταν μήτε κακόηθες ᾖ τὸ ἐπιρρέον, μήτε πολὺ, μήτε πληθωρικοῦ τοῦ σώματος ὑπάρχοντος. οὕτω γοῦν καὶ σπόγγος μόνος ἐπιτεθεὶς ἐξ ὀξυκράτου κατέσβεσεν ἀρχομένας φλεγμονὰς, οὐδὲν ἐκ τούτου παθόντος τοῦ παντὸς σώματος· ἐπὶ δὲ τῶν παρωτίδων, αὐτὸ τοὐναντίον ἐργαζόμεθα, φαρμάκοις ἑλκτικοῖς χρώμενοι, κἂν μηδὲν ἀξιόλογον ἀνύῃ ταῦτα, καὶ σικύας προσφέροντες, ἢ πυρίαις χρώμενοι συχναῖς. βουλόμεθα γὰρ ἐκ τοῦ βάθους εἰς τὸ δέρμα τὸν λυποῦντα χυμὸν ἐπισπάσασθαι, καὶ μάλισθ' ὅταν ἐν τῇ κεφαλῇ τὸ πάθος ἐστηριγμένον ὑπάρχῃ ἐστηριγμένων ἐν αὐτῇ χυμῶν, καὶ μέντοι κἀπειδὰν ἄνευ τοῦ πεπονθέναι τὴν κεφαλὴν ἐν πυρετοῖς ὀξέσιν ἡ φύσις ἀποτίθεται τοὺς περιττοὺς χυμοὺς ἐκ τῶν ἀγγείων ἐκχέουσα πρὸς τὴν μεταξὺ χώραν τοῦ δέρματός τε καὶ τῶν ὑποκειμένων σωμάτων, ἡνίκα καὶ οἱ ἀδένες ἀπολαύουσι τῶν ἐκπιπτόντων χυμῶν, ἄμεινον εἶναι καὶ τότε δοκεῖ, συνεργῆσαι τῇ φύσει, δι' ἀποσκήμματος ἰωμένῃ τοὺς πυρετούς. ὅταν μὲν τοι σφοδρὰν ὁρμὴν ἔχῃ τὸ ἐπιρρέον, οὐδὲν ἡμεῖς προσπεριεργαζόμεθα, τῇ φύσει τὸ πᾶν ἐπιτρέποντες. ἐὰν γὰρ, ἤτοι σικύαν, ἤτοι φάρμακον, ἕλκον ἐκ τοῦ βάθους ἐπὶ τὸ δέρμα τοὺς χυμοὺς, ἐπενέγκωμεν, ὀδύνη σφοδρὰ καταλαμβάνει τὸν ἄνθρωπον, ὡς δι' αὐτὴν, ἀγρυπνίας τε γίνεσθαι, καὶ τοὺς πυρετοὺς ἐπιγίγνεσθαι, καὶ τὴν δύναμιν καταλύεσθαι. παρηγορεῖν οὖν τηνικαῦτα μᾶλλον, οὐ συμπροσβάλλειν τῇ ῥοπῇ τῶν χυμῶν προσήκει, καταπλάσμασι χρωμένους παρηγορικωτάτοις. οἷόν ἐστι τὸ διὰ σιτίνου, ἢ κριθίνου, ἢ λινοσπέρματος ἀλεύρου, σὺν μελικράτῳ, ἢ τήλεως, ἢ ἀλθαίας, ἢ χαμαιμήλων ἀποζέματι ἑψόμενον, καὶ ὅσα πρὸς τῷ συμμέτρῳ τῆς ὑγρᾶς θερμότητος, ἐξ ἧς τὸ παρηγορεῖν ἔχει τὰς ὀδύνας, ἔτι καὶ πέττειν δύναται τοὺς ἐπιρρέοντας χυμοὺς, καὶ διαπυΐσκειν, ὡς ἐν τῇ περὶ τῶν καταπλασμάτων διδασκαλίᾳ τὸν λόγον ἐποιούμεθα. εἰ δὲ καὶ πλεονάζον αἷμα φανείη σοι, προσκενωτέον αὐτὸ διὰ φλεβοτομίας, ἐπιτρεπούσης μάλιστα τῆς δυνάμεως. νυνὶ δ' ἐπὶ τὴν τῶν φαρμάκων σύνθεσιν, ἥ τις ἐξ ἀρχῆς ἡμῖν πρόκειται, μεταβάντες εἴπωμεν, ὅτῳ τινὶ λόγῳ τήν τε σύνθεσιν αὐτῶν, καὶ τὴν χρῆσιν ἐστὶ ποιητέον. μὴ διαφορουμένου μὲν τοῦ ὄγκου, τοῖς διαπυΐσκουσι χρηστέον φαρμάκοις, οἷόν ἐστι τὸ σίτινον ἄλευρον, μετὰ ἰσχάδος ἀφεψήματος καὶ ἐλαίου, τό τε διὰ γύρεως, καὶ τὸ διὰ ζύμης φάρμακον. ἐὰν δὲ ἐκπυΐσκωσιν αἱ παρωτίδες, ἤτοι διὰ τομῆς ἐκκρῖναι δεῖ τὸ πύον, ὑγιάσθαι τε καὶ τὸ ἕλκος, ὡς ἐπὶ τῶν τοιούτων ὡμολόγηται πᾶσιν, ἢ δριμεῖ διαρρήξειν φαρμάκῳ, οἷόν ἐστι τὸ σμίλιον,

καὶ τὸ διὰ σκορόδων, ἢ πειρᾶσθαι διαφορεῖν αὐτοῖς φαρμάκοις ἑλκτικοῖς τε ἅμα, καὶ λεπτομερῆ δύναμιν ἔχουσιν, ἀφαιροῦντας δὶς τῆς ἡμέρας αὐτὰ, καὶ πυριῶντας μέχρις ἂν ἐνδῶσί τι, καὶ χαλάσωσιν αἱ ὀδύναι, διαφορηθέντος τοῦ πλείονος πύου. τηνικαῦτα γὰρ ἤδη, πρῶτον μὲν ἅπαξ λύειν καὶ πυριᾶν, εἶτα δὲ, οὐδὲ τοῦτο συμφέρει πράττειν, ἀλλ' ἐπιτρέπειν τοῖς φαρμάκοις, εἴ τι λείψανον ἐν βάθει περιέχεται, διαφορεῖν τοῦτο, κἂν σκληρότης εἴη, μαλάττειν καὶ αὐτήν, ὥστε κατὰ μὲν τὸν καιρὸν τοῦτον, ἐκ μικτῆς δυνάμεως φαρμάκων ἡ σύνθεσις ἔσται τοῦ κατασκευαζομένου φαρμάκου, τοῖς ἑλκτικοῖς, τῶν μαλακτικῶν μιγνυμένων. ἐπειδὰν δὲ πᾶν μὲν ᾖ κεκενωμένον τὸ πύον, ὑπολείπηται δέ τις σκληρότης, τοῖς καλουμένοις μαλακτικοῖς φαρμάκοις χρηστέον, ὧν τὴν ποικιλίαν τῆς ὕλης τε, καὶ τῆς συνθέσεως, ἐν τῷ περὶ μαλαγμάτων ἐδήλωσα λόγῳ. πρόδηλον δ' ὅτι τὰς μετρίας παρωτίδας, ἐφ' ὧν οὔτε πλῆθός ἐστι τὸ κατασκῆψαν εἰς τὰ μόρια, τοσοῦτον ὡς ὀδύνας σφοδρὰς ἐργάζεσθαι, οὔτε θερμότης σύνεστι τῷ χυμῷ, ῥᾳδίως ἰᾶσθαι ταῦτα δυνατόν. οὔτε γὰρ σπεύδουσιν πρὸς τὴν ἐκπύησιν, οὔτε ὀδύνην ἐπάγουσιν σφοδράν, ἀλλ' ἔξεστι τηνικαῦτα, καὶ ταῖς πυρίαις χρῆσθαι δι' ἅλμης, καὶ καταπλάσματα θερμαντικώτερά τε καὶ διαφορητικώτερα προσφέρειν, καὶ φάρμακα τῆς αὐτῆς ἐχόμενα δυνάμεως· ἀδιορίστως δὲ καὶ τὰ τῶν παρωτίδων φάρμακα γεγραφότων τῶν πλείστων ἰατρῶν, ἐάν τις τῶν νῦν εἰρημένων μεμνημένος, ἐπὶ τὴν χρῆσιν αὐτῶν ἀφίκηται, συνήσει, τίσιν ἐπὶ τίνων παρωτίδων χρηστέον. προγυμνάσω δὲ ὑμᾶς κἀγὼ διὰ παραδειγμάτων, ὧν Ἀρχιγένης ἔγραψεν ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων αὐτοῖς ὀνόμασιν ὡδί.

Ἀρχιγένους πρὸς παρωτίδας.

Παρωτίδας διαλύεσθαι θέλοντες, καταπλάσσομεν συνεχῶς ἀρνογλώσσῳ λείῳ μετὰ ἁλῶν. ἢ αἰγείῳ κόπρῳ μετ' ὄξους. ἢ λαπάθου ἀγρίου ῥίζαις ἑψημέναις ἐν οἴνῳ. ἢ σύκῳ λείῳ, μετὰ χαλκάνθης. ἢ σύκῳ ἑφθῷ, μετὰ ἀψινθίου, καὶ οἴνου λελειωμένοις. ἢ κήρυκας καύσας θαλασσίους. ἢ πορφύρας ἀναλαβὼν μέλιτι ἢ ἀξουγγίῳ, ἐπιτίθει, καὶ εὐθέως διαφορεῖται. τὸ δ' αὐτὸ τοῦτο ποιεῖ, καὶ ὀστρέου ὄστρακον καέν, καὶ μετὰ μέλιτος ἐπιτιθέμενον. ἢ κηρωτὴ ῥοδίνη, ἢ κυπρίνη, πηγάνῳ ἀναληφθεῖσα. ἢ θείῳ ἀπύρῳ συμμαλαχθεῖσα. ἢ κιμωλίαν μετ' ὄξους. διαφορεῖ δὲ μάλιστα τὸ σῦκον, ἐν θαλάσσῃ ἑψημένον. ἢ ἅλμῃ ἐπιτιθέμενον λεῖον. τὸ δ' αὐτὸ τοῦτο ποιεῖ, καὶ πράσιον λεῖον μεθ' ἁλῶν, καὶ ἔριον βουτύρῳ βαπτισθὲν, καὶ ἐπιτεθὲν, τὰς ἀρχομένας παρωτίδας ὠφελεῖ. ὥσπερ τούτῳ τῷ τελευταίῳ ῥηθέντι καλῶς προσέθηκεν ὁ Ἀρχιγένης τὸν διορισμόν, εἰπὼν, τὰς ἀρχομένας παρωτίδας ὠφελεῖσθαι ὑπὸ τοῦ βουτύρου, οὕτως ἐχρῆν αὐτὸν καὶ περὶ τῶν ἄλλων εἰρηκέναι τὸν καιρὸν, ὥσπερ ἐγὼ μικρὸν ἔμπροσθεν ἔπραξα, καὶ κατ' αὐτὸ δὲ τοῦτο τὸ βούτυρον, οὐκ αὐτάρκης ὁ ἀπὸ μόνης διορισμὸς τῆς ἀρχῆς, εἰ μὴ προστεθείη, πότερον σφοδρῶς, ἢ μαλακῶς ἐξορμᾶται. καὶ πότερον ὀδυνηρῶς, ὡς μετὰ σφυγμῶν καὶ ἀγρυπνιῶν ἐνοχλεῖν, ἢ μετὰ μετρίας ὀδύνης, ἥτις τε τοῦ νοσήματός ἐστιν ἡ κατάστασις. ἆρά γε μεγάλης ἀποστάσεως δεομένη πάντως, ἢ διὰ μικροτέρας κριθῆναι δυναμένη. τῇ τοιαύτῃ γὰρ, ἀρκεῖ τὸ βούτυρον, καὶ μάλιστα ἐπὶ μαλακῶν σωμάτων, εὐνούχων τε, καὶ παίδων, καὶ γυναικῶν, καὶ τῶν ἁπαλοσάρκων. εἰ δὲ σὺν ὀδύνῃ σφοδρᾷ γένοιτο, καταπλάσματος ἀνωδύνου δεῖται, μετὰ συνεχοῦς πυρίας ἤτοι δι' ὕδατος μόνου γινομένης, ἢ καὶ βραχυτάτων ἁλῶν ἐμβεβλημένων.

& quod ex alliis constat; Aut tentare, vt ipsum per medicamenta attractoria, & tenuium partium vim habentia discutiamus, bis per diem iisdem ablatis, & fomentis admotis, donec remiserint, & laxati fuerint dolores. Quando verò iam plurimum puris fuerit discussum, tunc iam primum semel soluere ea medicamenta, & fomēta adhibere oportet, deinde verò, neq; ex re est id facere, sed ipsis medicamentis permittere, vt si quid reliquum in profundo hæreat, id ipsum discutiat. Quòd si durities adsit, ea ipsa quoque molienda est; quare hoc tempore ex mixta medicamentorū facultate cōpositio parabitur, emolliētibus videlicet ad attractoria admixtis. Postquā verò omnis purulentia fuerit euacuata, & adhuc durities aliqua relinquatur, emollientibus medicamentis vtendum est; quorū materiæ, itémq; compositionis varietatē, in malagmatum sermone demōstraui. Manifestum autem est, quòd moderatas parotidas, in quibus neq; humorum multitudo redundās in particulas irruit, in tātum, vt vehementes dolores excitet, neq; caliditas cum humore adest, facilè per hęc sanare possimus; neque enim ad suppurationem festinant, neq; vehementem dolorem inducunt. Verùm licet etiam fomentis ex muria vti, & cataplasmata magis calefacientia, & discutientia adhibere, & medicamēta eandem facultatem propè attingētia. Quum verò plerique medici, & parotidum medicamēta indistinctè cōscripserint, si quis prædictis in memoriā reuocatis ad eorum vsum accesserit, facilè intelliget quibus tandem ad singulas parotidas vtendum sit. Verùm præexercitabo etiam ego vos ad hanc rem per exempla, quæ Archigenes in primo medicamentorum secūdum genus his verbis scripsit.

Archigenis ad Parotidas.

Parotidas dissoluere volentes plantaginem cum sale tritam assiduè pro cataplasmate imponimus. Aut caprinum stercus ex aceto. Aut rumicis syluestris radices coctas in vino. Aut ficum tritam cum atramento sutorio. Aut ficum coctam cum absinthio, & vino tritis. Aut buccina marina, aut purpuras vstas, melle, aut axungia exceptas imponito, & confestim discutientur. Idem etiam ostreorum testa vsta, & cum melle imposita facit. Aut ceratum rosaceum siue cyprinum ruta admixta, aut sulfure viuo addito emollitum, aut cimolia cum aceto, discutit maximè ficus aqua marina, aut muria cocta, ac trita imposita. Idem facit, & marrubium tritum cum sale. Et lana butyro imbuta, ac imposita inchoantibus parotidibus opitulatur. Quemadmodum huic postremo loco ab eo relato rectè Archigenes discrimen apposuit, incipientes parotidas è butyro opem sentire testatus, sic conueniebat ipsum etiam circa alia medicamenta vtendi tempus adiicere, velut ego paulo antefeci. Quin & circa hoc ipsum butyrum, non satis est ex solo parotidum principio facere discrimen, nisi apponatur, num vehementer, aut molliter concitetur, & num dolenter, velut cum pulsationibus, & vigiliis infestet, an cum moderato dolore. Deinde qui sit morbi status. Num magna omninò laxitate opus habeat, an per minorem iudicari, ac finiri possit, tali nanque suffecerit butyrum, in corporibus præsertim mollibus eunuchorum, puerorum, & mulierum, & eorum qui teneram habent carnem. Si verò cum vehementi dolore fiat, cataplasmate dolorem sedante opus habet, simulque assiduo fomento, vel per solam aquam, vel etiam cum exiguo iniecto ad eam sale.

Quan-

A Quandoquidem verò primùm omnium medicamentum conscripsit plantaginem cum sale, ab illo sanè etiam nos rursus initium faciemus plātaginis naturam recordātes ex mixtis facultatibus, discussoriáq;, & repulsoria compositam esse. Ego verò nunquam medicamētis ad parotidas destinatis repulsoria admisceri operæpretiū existimo, præterquam si aliquando, rarò tamen, ad multā discussoriorum copiam parum quiddā ex eis addatur, atq; id tum demum, vbi citra vehementem dolorē parotides irruāt. Quod verò deinceps scriptum est, Stercus caprinū ex aceto inueteratæ, ac induratæ, nullúmque amplius memorabilem dolorē habentis parotidis medicamentū esse possit, velut etiam lienis in scirrhū indurati. B Tertiò deinde loco consequēter, radices rumicis syluestris in vino coctas tradidit. Si sanè, & qualitatem, & ætatem vini apposuisset, fortassis, & ego tentassem de eo iudiciū ferre, quum verò nō adiecerit, multúmq; differat acerbum, aut austerum, aut acre, aut dulce aut recens, aut vetus, aut crassum, aut tenue, aut fuluū, aut album, aut nigrum vinum esse, ob id etiam ego nihil habeo, quod de hoc medicamento dicam. At quum vobis hoc cognitum sit, quòd maiori discutiendi vi præditū sit vetus, præsertim si ex genere C natura calidiorū sit, velut sunt in totum fulua, contraria verò huic secundum vires tum austerum, tū acerbū, huiusmodi quidē vinū vitare oportet. In fuluo verò, & mediocriter vetusto, & tenuiū partiū, rumicis radices coquentes, in parotidibus citra vehementem dolorē obortis; iis vti poteritis. Scribit deinceps. Ficum tritā cum atramento sutorio. Discutientis quidem igitur, & cōcoquentis facultatis est ficus, præsertim arida; recēs verò discutiēdi quidem facultatē habet, verùm concoquere nō potest. Verùm atramentum sutorium, quòd vehementissimum sit medicamentum, nemo ignorat D vtrasq; facultates fortes repellentē, & discutientē complecti, quapropter etiā vehementia eius vitāda est. Cocta deinde fico nimirū arida, cum absinthio, & vino tritis vti iubet. His sanè etiā vos vtemini in tempore ad medias magnitudine, ac tempore inflammationes, quemadmodū etiā buccinis & purpuris, & ostreis vstis, indurescētibus, ac vetustis; est enim medicamētū, quod omnē afflictionem, & acrimoniā mitigat, & discutit, nō solum si melle quis eorum cinerē imbuat, sed & multò magis si adipem suillum insulsum, vetustū, & à fibris depuratū admisceat; citra omnem enim molestiā omnes inueteratas inflāmationes discutit, etiā si ex E rheumatica affectione sint obortæ. Deinceps cerato rosaceo, & cyprino cum ruta vti iubet; quod discussoriū quidē medicamentū est, verùm nihil vehemēs, neq; violentū in se habet. Paulo verò efficacior fit cōpositio, si sulfur viuū pro ruta admisceamus. Quæ sequitur deinde cimolia cum aceto, neq; fortem, neq; dolorosam, neq. magnā parotidem curare potest. Ficus verò aqua marina cocta in inueteratis iam cōmoda fuerit, vtpotè discussoria vi prædita, velut etiā si aquæ marinæ penuria, muria quis vtatur. Simile huic est, quemadmodū etiam ipse Archigenes dixit, marrubium cum sale. Post hæc verò de butyro scripsit, cuius, vt vltimi F circa illius dictionis ordinem paulo ante mentionē feci. Post quod rursus ad generosum medicamentum transit, Pyrethrum tritum fico excipi iubens. Deinde calce viua cum melle trita vti præcipit. Et post hoc mustelæ sanguinis illinendi meminit. At verò talia tanquam curiosa, & superuacanea,

A ἐπεὶ δὲ πρῶτον πάντων ἔγραψε φάρμακον ἀρνόγλωσσον μεθ' ἁλῶν, ἀπ' ἐκείνου καὶ ἡμεῖς αὖθις ἀρξόμεθα, τῆς ἀρνογλώσσου φύσεως ἀναμνησθέντες, ἐκ μικτῶν δυνάμεων συγκειμένου, διαφορητικῆς τε καὶ ἀποκρουστικῆς. ἐγὼ δὲ οὐδέποτε ἀξιῶ τὰ ἀποκρουστικὰ μεμίχθαι τοῖς ὠφελοῦσι τὰς παρωτίδας φαρμάκοις, πλὴν εἴποτε ἂν σπανίως μικρὸν παμπόλλῳ τῷ διαφορητικῷ, καὶ τοῦτο δηλονότι, χωρὶς ὀδύνης σφοδρᾶς ἐξορμησάσης τῆς παρωτίδος. ὃ δ' ἐφεξῆς τούτῳ γέγραπται κόπρος αἰγεία μετ' ὄξους κεχρονισμένης, καὶ σκιρρουμένης, καὶ μηκέτι μηδὲ ἀξιόλογον ὀδύνην ἐχούσης παρωτίδος εἴη B ἂν φάρμακον, ὥσπερ γε καὶ σπληνὸς σκιρρουμένου. ὃ δὲ τρίτον ἐπ' αὐτοῖς ἔγραψε. ῥίζας ἀγρίας λαπάθου, μετ' οἴνου ἑψημένας. εἰ καὶ τὴν ποιότητα, καὶ τὸν χρόνον προσέθηκε τοῦ οἴνου, τάχ' ἂν ἐπεχείρησα, καὶ αὐτὸ κρίνειν. ἐπεὶ δὲ οὐ προσέθηκε, πάμπολλα δὲ διαφέρει, στρυφνὸν ἢ αὐστηρὸν, ἢ δριμὺν, ἢ γλυκὺν, ἢ νέον, ἢ παλαιὸν, ἢ παχὺν, ἢ λεπτὸν, ἢ κιῤῥὸν, ἢ λευκὸν, ἢ μέλανα τὸν οἶνον εἶναι, διὰ τοῦτο, κἀγὼ λέγειν οὐδὲν ἔχω περὶ τοῦ γεγραμμένου φαρμάκου. γινώσκοντες δὲ ὑμεῖς ὅτι διαφορητικώτερος μέν ἐστιν ὁ παλαιὸς, καὶ μάλιστα ἐὰν ᾖ τῶν φύσει θερμοτέρων, οἷοίπερ εἰσὶν οἱ κιῤῥοὶ τοὐπίπαν. ἐναντίοι C δὲ τούτῳ κατὰ δύναμιν, ὅ, τε αὐστηρὸς, καὶ ὁ στρυφνός. δεῖ μὲν φυλάξασθαι τὸν τοιοῦτον οἶνον. ἐν δὲ κιῤῥῷ, καὶ συμμέτρως παλαιῷ, καὶ λεπτομερεῖ, τὰς τοῦ λαπάθου ῥίζας ἑψήσαντες, ἐπὶ παρωτίδων χωρὶς ὀδύνης σφοδρᾶς γινομένων χρῆσθαι δυνήσεσθε. γράφει δ' ἐφεξῆς τάδε. σῦκον λεῖον μετὰ χαλκάνθου. διαφορητικῆς μὲν οὖν, καὶ πεπτικῆς δυνάμεώς ἐστι τὸ σῦκον, εἰ μὲν ξηρὸν εἴη μάλιστα. πρόσφατον δὲ ὂν, ἔχει μὲν τὸ διαφορητικὸν, οὐ μὴν πέττειν γε δύναται. χάλκανθον δὲ, ὅτι σφοδρότατόν ἐστι φάρμακον, ἰσχυρὰς ἀμφοτέρας ἔχον τὰς δυνάμεις, τήν τε ἀποκρουστικὴν καὶ διαφορητικὴν, D οὐδεὶς ἀγνοεῖ, διὸ καὶ φυλακτέον αὐτοῦ τὴν σφοδρότητα. ἑφθῷ δὲ σύκῳ, δηλονότι τῷ ξηρῷ, μετ' ἀψινθίου, καὶ οἴνου λελεασμένοις ἀξιοῖ χρῆσθαι. καὶ ἐχρησάμεθά γε αὐτῷ καὶ ἡμεῖς ἐν καιρῷ κατὰ τὰς μέσας μεγέθει τε καὶ χρόνῳ φλεγμονὰς, ὥσπερ γε καὶ τοῖς κεκαυμένοις κήρυξι, καὶ πορφύραις, καὶ ὀστρέοις, ἐπὶ τῶν ἤδη σκιρρουμένων, καὶ χρονιζουσῶν, ἔστι γὰρ ἄλυπόν τε καὶ ἄδηκτον φάρμακον, οὐ μόνον εἰ μέλιτι δεύσειέ τις αὐτῶν τὴν σποδιὰν, ἀλλὰ καὶ πολὺ μᾶλλον εἰ παλαιὸν στέαρ ὑὸς ἄναλον ἐξινίσας μίξειεν. ἀλυπότατα γὰρ τοῦτο διαφορεῖ τὰς κεχρονισμένας ἁπάσας φλεγμονὰς, κἂν ἐκ ῥευματικῆς διαθέσεως E ὦσιν. ἐφεξῆς δὲ, κηρωτῇ ῥοδίνῃ, καὶ κυπρίνῃ μετὰ πηγάνου κελεύει χρῆσθαι, διαφορητικῷ μὲν φαρμάκῳ, σφοδρὸν δ' οὐδὲν, οὐδὲ βίαιον ἔχοντι. βραχὺ δ' αὐτοῦ σφοδρότερον γίγνεται τὸ σύνθετον φάρμακον, εἰ θεῖον ἄπυρον, ἀντὶ τοῦ πηγάνου μίξαιμεν. ἡ δὲ ἐφεξῆς γεγραμμένη, κιμωλία μετ' ὄξους, οὔτε ἰσχυρᾶς οὔτε ὀδυνώδους, οὔτε μεγάλης παρωτίδος ἐστὶν ἴαμα. τὸ δ' ἐν τῇ θαλάσσῃ σῦκον ἑψημένον, ἐπὶ τῶν ἤδη σκιρρουμένων χρήσιμον ἂν εἴη, διαφορητικὸν ὑπάρχον. ὡσαύτως δὲ καὶ εἰ τῆς θαλάσσης μὴ παρούσης ἅλμῃ τις χρήσαιτο. παραπλήσιον δὲ τούτῳ, καθάπερ καὶ ὁ Ἀρχιγένης ἔφη, καὶ τὸ πράσιόν ἐστι μεθ' ἁλῶν. ἐφεξῆς F δὲ τούτων ἔγραψεν οὐ μικρὸν ἔμπροσθεν, ὑστάτου κατὰ τὴν ῥῆσιν, οὕτως ἐμνημόνευσα, τοῦ βουτύρου, καὶ μετ' αὐτὸ πάλιν ἐπὶ γενναῖον φάρμακον κατέβη. πύρεθρον λεῖον ἀναλαμβάνεσθαι σύκῳ κελεύων, εἶθ' ἑξῆς ἀσβέστῳ λείᾳ μετὰ μέλιτος χρῆσθαι προστάττει. καὶ μετὰ τοῦτο, γαλῆς αἵματος καταχριομένου μέμνηται. περίεργα δ' ἡγούμενος εἶναι τὰ τοιαῦτα,

καὶ πενιχρὰν ἀποφαίνονται τὴν ἰατρικὴν, εἰ διὰ τῶν ἄλλων βοηθημάτων αἵματος γαλῆς ἀδυνατεῖ θεραπεῦσαι παρωτίδας, οὔτ' ἐχρησάμην αὐτοῖς, οὔτε πεῖραν ἔχω, ἀλλ' οὐδὲ ἄλλος τις τῶν φίλων ἐπεχείρησε χρῆσθαι. τῷ δὲ ἐγκεφάλῳ καταχρίειν, οἵῳ δήποτε, μετρίων παρωτίδων ἐστὶν ἴαμα. τούτῳ δὲ ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως. ὄξει ζεστῷ καταντλήσας, ἢ σπόγγον ἐξ ἅλμης βρέχων ἐπιτίθει. σκαπτόντων δ' ἂν εἴη τοῦτο, καὶ θεριστῶν, οὐ πολιτικῶν σωμάτων βοήθημα. μετὰ τοῦτο δὲ, δριμέος μέμνηται φαρμάκου τοῦ διὰ τῆς κεκαυμένης γαλῆς, ἧς τὴν σποδὸν ἐκέλευσεν ἀναλαμβάνεσθαι κηρωτῇ ἰρίνῃ. κατ' ἐκεῖνον δὲ δηλονότι τὸν καιρὸν, ἡνίκα χρονίζεταί τε, καὶ σκιρροῦται, τοῖς τοιούτοις δηλονότι φαρμάκοις χρηστέον. τὰ γάρ τοι πλεῖστα τῶν γεγραμμένων ὑπ' αὐτοῦ, τῶν χρονιζουσῶν δυσλύτως παρωτίδων ἐστὶν ἰάματα. διὰ τοῦτο καὶ προσέθηκε τῷ φαρμάκῳ τούτῳ, ὃ δύνασθαι καὶ χοιράδας καλῶς ἰᾶσθαι. παρέγκειται δ' ἀτάκτως μετὰ τοῦτο, τοιάδε τις λέξις, ἥτε συνεχὴς καταιόνησις τοῦ θερμοῦ, καὶ ἡ συνεχὴς τῆς ὠμῆς λύσεως ἐπίθεσις, ὅπερ, εἴτε καθ' αὑτό τις ἀναγινώσκοι, εἴτε καὶ τὴν τελευτὴν τῆς προτέρας ῥήσεως, ἀρχὴν ταύτης τῆς λέξεως ποιοῖτο, κατ' ἀμφότερα κακῶς εἴρηται, δῆλον δὲ ἔσται προταξάντων ἡμῶν τὴν τελευτὴν τῆς πρὸ ταύτης ῥήσεως, ὥστε γενέσθαι τὸν ὅλον λόγον τοιοῦτον. θαυμαστῶς διαφορεῖ, καὶ χοιράδας, πολλάκις καὶ παρωτίδας ἥτε συνεχὴς καταιόνησις τοῦ θερμοῦ, καὶ ἡ συνεχὴς τῆς ὠμῆς λύσεως ἐπίθεσις. ψευδὲς γάρ ἐστι φανερῶς τὸ φάναι, τὸ διαφορεῖσθαι θαυμαστῶς τὰς χοιράδας καὶ τὰς παρωτίδας ἐκ τῆς συνεχοῦς καταιονήσεως τοῦ θερμοῦ, καὶ τῆς συνεχοῦς ἐπιθέσεως τῆς ὠμῆς λύσεως. εἰ δέ γε περὶ τῶν παρωτίδων μόνων λέγοιτο ὁ διορισμὸς, λείπει τῇ λέξει, διδάσκων ἡμᾶς ἐπὶ τίνων καὶ ὁποίων παρωτίδων, καταιόνησις ὕδατος θερμοῦ, καὶ συνεχὴς ὠμῆς λύσεως ἐπίθεσις ἁρμόττει. οὐ γὰρ ἐπὶ πάσης γε, ἀλλ' ὧν ἐθέλωμεν ἐκπυῆσαι τάχιστα, καθάπερ ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. τοῦτο μὲν οὖν, ὡς ἔφην, παράκειται μοχθηρῶς. ἐπὶ δὲ τὰ συνεχῆ μεταβὰς ὁ Ἀρχιγένης, αὖθις γράφει φάρμακα, μὴ προσθεὶς μὲν, ὅτι τῶν σκληρυνομένων καὶ χρονιζουσῶν παρωτίδων ἐστὶν ἀλεξιτήρια, γινωσκόντων δὲ ἡμῶν ἐκ τῆς ὕλης ἐκείνων ὑπάρχειν αὐτά. παραγράψω δ' ὑμῖν ἤδη καὶ τὴν αὐτοῦ τοῦ Ἀρχιγένους λέξιν ἔχουσαν οὕτως. ἰδίως δὲ θέρμους πικροὺς ἀληλεσμένους ἑψήσας μετὰ μέλιτος, ὀλίγην ἄσβεστον πρόσμιξον, καὶ κατάπλασσε. διαφορεῖ δὲ καὶ τοῦτο ἄκρως. πίσσης βρυτίας, μάννης, λιβάνου, ἴσον, τερμινθίνης, φοινίκων συριακῶν μὴ παλαιῶν, λιπαρῶν, τῆς σαρκὸς καθαρᾶς, ἑκάστου τὸ διπλοῦν, χαλβάνης ὡς ἥμισυ τῆς μάννης, ἑνώσας εὖ, χρῶ. ἐὰν δὲ ᾖ σκληρὰ, ῥητίνην πρόσμιγε. ἢ νίτρου, καὶ σινωπίδος τὸ τρίτον μετὰ κυπρίνου, γλοιώδες ποιῶν ἔμπλασσε, καὶ ἐπιτίθει. ἢ ἄσβεστον μετὰ γλοιοῦ ὁμοίως. ἢ ἰσχάδα, χαλβάνην, νίτρον ἴσα, θείου τὸ τρίτον, τερμινθίνης, ὀποπάνακος ἀνὰ ἐλάχιστον, ἑνώσας, χρῶ. ἢ ἄσβεστον μετ' ὄξους λεῖον, καὶ ἐπιτίθει. εἰ δὲ μηδ' ἐπὶ τούτοις διαφοροῖντο, συνεργητέον τῇ μεταβολῇ εἰς πῦον, καταπλάσσοντας πυκνῶς θερμῇ τῇ ὠμῇ λύσει. εἶτα πάλιν διαφορητέον διά τε καταντλήσεως πολλῆς, ἢ δάφνης, ἢ δαφνίδος ἀφεψήματι καταντλοῦντας. ἢ θεῖον, ἤ τι τοιοῦτον ἐμπάσσοντας εἰς τὸ ὕδωρ, ἢ καὶ νίτρον, ἢ περιστερᾶς κόπρον αὐτῷ μιγνύντας. ἢ καὶ σικύαν, προσκολλητέον μετὰ ἀμύξεως. εἶτα ἐπὶ τὴν χειρουργίαν ἰτέον, καὶ ὠμοτομητέον. κράτιστον γὰρ ἐπὶ τούτων τὸ τάχιστα, εἰς τὰ ἐκτὸς τὸν ῥευματισμὸν ἐπισπᾶσθαι.

A & quæ magnā rei medicamentariæ egestatē indicent, si per alia auxilia citra sanguinis mustelæ adhibitionē parotidas curare nequeat, neq; in vsum assumpsi, neq; eorū experimētum habeo. Sed neque ex amicis nostris quispiam alius vti tentauit. Verùm cerebrū illinire quodcunq; tandem, mediocriū parotidum medela existit. Post hoc verò hæc verba scribit; Aceto feruenti perfundito, aut spongiā in acida muria imbutam imponito. Fossorū, ac messorum fortassis ea fuerit medela, non hominum vrbanorū. Deinceps acris mentionē facit medicamenti ex mustela vsta, cuius cinerē cerato irino excipi iussit. Verùm eiusmodi medicamētis, B quando diu durant, & in scirrhū indurantur, vtendum est, pleraq; enim ab eo scripta veterascentiū, & ægrè solubiliū parotidū remedia existunt. Quapropter etiā ipse ad medicamētū hoc adiecit, quòd etiam strumas probè sanare possit. Post hoc verò eiusmodi dictio inordinatè inserta est, tum assidua calidę aspersio, tū assidua crudæ hordeaceæ farinę impositio. Quod ipsum siue quis per se legat, siue prioris dictionis finē, huius dictionis principiū faciat, vtrunq; malè dictū est. Manifestum verò hoc erit, vbi præcedētis dictionis finē præposuerimus, C vt totus sermo eiusmodi fiat; mirabiliter discutit & strumas, sæpe etiam parotidas, tum assidua calidæ aspersio, tū assidua crudę hordeaceę farinæ impositio. Etenim apertū mendaciū est dicere strumas atque parotidas mirabiliter ex assidua aquæ calidę aspersione, assiduáq; crudę hordeaceæ farinæ impositione, discuti. Si verò de parotidib. solùm dicatur, certa distinctio aberit, quæ doceat nos in quibus, & qualibus parotidibus aquæ calidæ aspersio, & assidua crudæ hordeaceæ farinæ adhibitio cōueniat. Non enim in omni, sed quàm citissimè velimus suppurari, hæc faciēda sunt, quemadmodū in superiori sermone est indicatū. Hoc itaq; D vitiosè, vt dixi, interfertū est. Cæterùm Archigenes ad consequentia transgressus, rursus medicamenta scribit, non apponēs, quòd induratis, & inueteratis parotidibus salutaria existant, quum nos ex materia ipsorū ipsa talia esse cognoscamus. Ascribam autem iam vobis ipsius Archigenis dictionē, quæ sic habet. Propriè verò lupinorū amarorū farinā cum melle coctā, exigua calce viua addita, pro cataplasmate imponito. Egregiè discutit, & hoc. ℞. Picis brutiæ, mānæ thuris, æquales partes; terebinthinæ, palmarū Syriacarum non vetustarū pinguium carnis puræ, vtriusque duplum, galbani E dimidium mannę, probè vnitis vtitor; si verò dura sit, resinam misceto; aut nitrum, & rubricæ sinopidis tertiam partem cum vnguento cyprino ad strigmentitiam crassitudinem redacta, ac linteolo inserta imponito: aut calcem viuam cum strigmētis eodem modo; aut caricas, galbanum, nitrum, pari mensura; sulfuris tertiam partem; terebinthinæ, opopanacis, vtriusque parum quiddam; vnitis vtere; aut calcem viuam cum aceto tritam impone. Quòd si neque per hæc discutiātur, adiuuabimus per mutationem in suppurationem perfrequentia ex calida crudáq; hordeacea farina cataplasmata. Dehinc rursus discutiendum per largam, & fre-F quentem decocti lauri, aut baccarum eius perfusionem, aut sulfure, vel consimili quopiam in aquam insperso, siue nitro, siue columbino stercore in ea admixto; aut etiam cucurbita, cum scarificatione affixa. Deinde ad chirurgiā perueniendū est, & crudi abscessus sectionem; optimū enim in his, vt quàm celerrimè fluxio foràs euellatur.

Hæc

A Hæc quidem Archigenes scripsit. Sunt autem, & multa emplastra, quæ parotidas discutiunt, aliqua quidem iam inueteratas, & induratas, aliqua verò eas, in quibus, sedato dolore, nulla amplius puris suspicio est; quemadmodum etiam aliqua, quæ iam suppuratas curare possũt. Talia verò inter discussoria emplastra, singula cum virium suarũ professione conscripta sunt; velut etiam ea, quæ simplices parotidas curant, laxatoria appellata, omnibus nota sunt. Exempla ipsorum sunt, emplastrum Mnaseæ, & quod ex succis constat, & quod ex ptissana. B His etiam præstant, quæ molliora sunt, & cerati formâ constant, cùm ex butyro, tum ex œsypo cõflata, ostreis, aut buccinis, aut purpuris vstis additis, cuiusmodi est hæc. ℞. Adipis porcini veteris insulsi ℥. iii. butyri ℥. j. ceræ ℥. ij. ß. ostreorum vstorum quàm tenuissimè tritorũ. ℥. ij. Liquabilia liquefacito, ostreaq; infarcito, ac vnitis vtitor confidenter; efficacissimum hoc ad parotidas existit.

Ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν. Εἰσὶ δὲ καὶ ἔμπλαστροι πολλαὶ, διαφοροῦσαι παρωτίδας. αἱ μέν τινες, τὰς ἤδη σκιῤῥουμένας, καὶ κεχρονισμένας, αἱ δὲ τὰς πεπαυμένας μὲν τῆς ὀδύνης, οὐδεμίαν δὲ ὑπόφασιν ἐχούσας πύου, καθάπερ γε καὶ τὰς ἤδη διαπυϊσκομένας ἐκθεραπεύουσαι. γεγραμμέναι δέ εἰσι μετὰ τῆς ἰδίας ἐπαγγελίας, ἐν ταῖς ἐμπλάστροις ταῖς διαφορητικαῖς αἱ τοιαῦται. καθάπερ γε καὶ αἱ δὲ τὰς ἁπλᾶς παρωτίδας ἐκθεραπεύουσαι, χαλαστικαὶ καλούμεναι, πᾶσίν εἰσι γνώριμοι. παραδείγματα αὐτῶν, ἥ τε Μνασαίου, καὶ ἡ διὰ χυλῶν, καὶ ἡ διὰ πτισάνης, καὶ τούτων ἔτι μαλακώτεραι αἱ κηρωτοειδεῖς, αἵ τε διὰ τοῦ βουτύρου, καὶ αἱ διὰ τοῦ οἰσύπου, προσλαμβάνουσαι ὀστρέων κεκαυμένων, ἢ κηρύκων, ἢ πορφυρῶν· οἵαπερ ἐστὶν αὕτη. ℞. στέατος χοιρείου παλαιοῦ ἀνάλου πάντων ἀνὰ Γο γ'. βουτύρου Γο α'. κηροῦ Γο β' S. ὀστρέων κεκαυμένων λειοτάτων Γο β'. τὰ τηκτὰ τήξας, ἐπίπασσε τὰ ὄστρεα. καὶ ἑνώσας χρῶ θαῤῥῶν ὡς ἐνεργεστάτῳ πρὸς παρωτίδας.

CAPVT III.

De affectionibus narium.

C EX genere tumorum præter naturam polypodes in naribus generantur; ex genere verò vlcerum ozænæ. Secundum genus autem excretionum præter naturam, sanguinis eruptiones fiunt in morbis acutis iuxta rationem earum, quas recentiores medici priuatim superexcretiones appellãt, nimirum in quibus natura ad iudicatorium auxiliũ concitata modum excessit. Primùm itaq; de ozænis sermonem faciam, quæ ex humorũ acrium, & putridorũ influxu generantur; ita vt si acres solùm sint, ægrè curabilia vlcera producere cõsueuerint, non tamen graueolẽtia. Cæterùm cura communis D ambobus his est, itémque polypi, vt videlicet primùm caput siccetur, & firmetur, quum palam sit, ob vitiatorum humorum redundãtiam defluxum ex eo in nares prouenire. Quomodo verò caput in totum corroborare oporteat, quo nullum recrementum ex eo ad inferas partes delegetur, sæpe iam dictum est. Quum igitur per illa caput validũ reddideris, ad naris progredieris curationem, scopo in ozænis proposito, vt affecta pars per mixtæ facultatis medicamenta tum repellentia, tum discutientia resiccetur. Repellunt itaq; tum austera, tum acerba, quæ communem astringentium ap- E pellationem habent; discutiunt autem calida, & sicca facultate prædita, quorum sylua talis est.

Archigenis medicamenta ad Ozænas.

Quum ozæna in naribus fuerit, calaminthæ succum infunde. Aut ipsam calaminthã aridam per fistulam insuffla; aut veratrum album cum seminis nasturtij cheme quotidie insuffla; post hoc verò caput perfunde. Obline autem eos chalcitide, aut atramento sutorio, aut psorico cum melle; aut instillato in narem melle, & per sternutatorium facta concussione tectoria vlceri obducta excutito; F deinde præscriptum ex nasturtio, & veratro medicamentum per narem attrahere quamplurimum iubeto; & postea amurcam cum melle illinito; aut myrrham, & nasturtium cum melle, aut ranunculi succum cum alumine liquido in narem infundè, ægrúmque resupinatum, donec ad os penetret, attrahere iube; atq; id vsquequo percuraueris, identidem repete. Si verò vetera sint vlcera, etiam acetum vetus admisce, aut sulfur tritum.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν ἐν τῇ ῥινὶ παθῶν.

ΕΚ μὲν τοῦ γένους τῶν παρὰ φύσιν ὄγκων, οἱ πολύποδες ἐν ταῖς ῥισὶ γίνονται. κατὰ δὲ τὸ τῶν ἑλκώσεων, αἱ ὄζαιναι, κατὰ δὲ τὸ τῶν παρὰ φύσιν ἐκκρίσεων, αἱ αἱμοῤῥαγίαι γινόμεναι τοῖς ὀξέως νοσοῦσι, κατὰ τὰς καλουμένας ἰδίως παρὰ τοῖς νεωτέροις ἰατροῖς ὑπερεκκρίσεις, ἐν αἷς ἡ φύσις, ἐπὶ κριτικὸν ὁρμήσασα βοήθημα, τῆς συμμετρίας οὐκ ἐκράτησε. πρότερον οὖν τὸν ὀζαινῶν ποιήσομαι τὸν λόγον, ἐξ ἐπιῤῥοῆς ὑγρῶν δριμέων, καὶ σηπεδονωδῶν γινομένων, ὡς ἐάν γε μόνον ἢ δριμέα, δυσίατα μὲν ἕλκη ποιεῖν πέφυκεν, οὐ μὴν ὄζοντα μοχθηρῶς. ἡ δὲ θεραπεία, κοινὴ μὲν ἀμφοῖν τε τούτοιν, καὶ τοῦ πολύπου, ξηραίνειν τὸ πρότερον, καὶ ῥῶσαι τὴν κεφαλήν. εὔδηλον γὰρ ὅτι διὰ περιουσίαν ὑγρῶν μοχθηρῶν ἐπιῤῥεῖ τι ταῖς ῥισὶν ἐξ αὐτῆς. ὅπως δὲ χρὴ ῥωννύναι τὴν κεφαλὴν ὅλην, ὡς μηδὲν ἐξ αὐτῆς περίττωμα τοῖς κάτω μέρεσιν ἐπιῤῥεῖν, εἴρηται πολλάκις. ὅταν οὖν δι' ἐκείνων παρασκευάσῃς τὴν κεφαλὴν ἐῤῥωμένην, ἐπὶ τὴν τῆς ῥινὸς ἀφίξῃ θεραπείαν, ἐν ταῖς ὀζαίναις σκοπὸν ἔχων, ξηραίνειν τὸ πεπονθὸς μόριον διὰ φαρμάκων μικτῆς δυνάμεως, ἀποκρουομένων τε καὶ διαφορούντων. ἀποκρούεται μὲν οὖν δηλονότι τά τε αὐστηρὰ, καὶ στρυφνὰ κοινῇ προσηγορίᾳ κεχρημένα τῇ τῶν στυφόντων. διαφορεῖ δὲ τὰ θερμὰ, καὶ ξηρὰ ταῖς δυνάμεσιν, ὧν ἡ ὕλη τοιάδε ἐστίν.

Ἀρχιγένους φάρμακα πρὸς ὀζαίνας.

Ὀζαίνης δ' οὔσης ἐν ταῖς ῥισὶν, καλαμίνθης χυλὸν ἐγχυμάτιζε. ἢ αὐτὴν ξηρὰν τὴν καλαμίνθην ἐμφύσα διὰ σίφωνος. ἢ ἐλλέβορον λευκὸν μετὰ σπέρματος καρδάμου χημῆς, ἐμφύσα καθ' ἡμέραν. μετὰ δὲ τοῦτο τὴν κεφαλὴν καταντλεῖ. διάχριε δ' αὐτοὺς, ἢ χαλκίτιδι, ἢ χαλκάνθῳ, ἢ ψωρικῷ μετὰ μέλιτος, ἢ μέλι ἐνστάξας τὴν εἰς ῥῖνα, καὶ διασείσας πταρμικῷ τὰς ἐφελκίδας ἐκτίναξον, εἶτα τὸ προγεγραμμένον διὰ τοῦ καρδάμου, καὶ τοῦ ἐλλεβόρου φάρμακον, ἀνασπᾶν ποίει τῇ ῥινὶ ὡς πλεῖστον, καὶ μετὰ τοῦτο διάχριε ἀμόργῃ μετὰ μέλιτος. ἢ σμύρναν καὶ κάρδαμον μετὰ μέλιτος. ἢ βατραχίου χυλὸν, μετὰ στυπτηρίας ὑγρᾶς ἐγχυμάτιζε εἰς τὴν ῥῖνα, ὕπτιον κατακλίνας, καὶ κέλευε ἀνασπᾶν, μέχρις οὗ εἰς τὸ στόμα διέλθῃ, καὶ τοῦτο ποίει μέχρις ἂν ἀποθεραπεύσῃς. ἐὰν δὲ ἡ παλαιὰ, καὶ ὄξος παλαιὸν πρόσμιγε, ἢ θεῖον λεῖον.

καὶ δριμὺ ὄξος εἰς στενόστομον ἀγγεῖον βαλὼν, παράθες τῇ ἀναπνοῇ αὐτοῦ ἐφ' ἱκανόν, εἶτα μίσυος κυπρίου, καὶ νάρδου Ἰνδικῆς τὸ ἥμισυ μετὰ χίου οἴνου λεάνας, μέχρι μελιτῶδες γένηται, πτερῷ διάχριε τοὺς πόρους, καὶ ἐρίῳ ἔμφραττε.

Πρὸς τὰ ἐν τοῖς μυκτῆρσιν ἕλκη.

Τὰ δὲ ἐν τοῖς μυκτῆρσιν ἕλκη, ῥοιῶν χυλὸν ἐν χαλκῷ ἀγγείῳ ἑψήσας μέχρι ἡμίσεος διάχριε. ἢ ῥόας γλυκείας ὅλας ἐν οἴνῳ ἑψήσας λεάνον, καὶ ἔξωθεν κατάπλασσον. ἢ λευκοΐῳ μεθ' ὕδατος διάψα. ἢ βάτου χυλόν, καὶ στυπτηρίαν, διαδεῖς μεθ' ὕδατος. ἐὰν δὲ ᾖ παλαιόν, μετ' ὄξους. ἢ ἴριδι καὶ σανδαράχῃ μετὰ μέλιτος. ἢ στέατι μοσχείῳ, καὶ ῥητίνῃ διάχριε.

Περὶ τοῦ κατὰ τὰς ῥῖνας πολύποδος.

Ὄγκος ἐστὶ παρὰ φύσιν ἐν ταῖς ῥισὶ γινόμενος, ἐοικὼς κατὰ τὴν τῆς οὐσίας ἰδιότητα τῇ τοῦ πολύποδος σαρκί. πρόδηλον οὖν ὅτι παχέων, καὶ γλίσχρων χυμῶν ἔγγονόν ἐστιν τὸ πάθημα, καὶ διὰ τοῦτο μικτῆς ὕλης δεόμενον, ὡς τὸ μέν τι στύφειν αὐτῆς δύνασθαι, τὸ δὲ τέμνειν, καὶ λεπτύνειν, τὸ δὲ διαφορεῖν, καὶ παχύνειν. Ἀρχιγένους, πρὸς πολύποδας. Ἐπὶ δὲ πολύποδος. ♃. καρδάμου λεπτοῦ χήμην, ἤτοι < S''. σὺν ἐλλεβόρου λευκοῦ ὀβολοῖς δύο, διὰ κέλευε τῇ ῥινὶ ἀνασπᾶν. ὅταν δὲ ἐκπέσῃ, μοτοῖς σὺν τῇ ἀνθηρᾷ διὰ μέλιτος χρῶ, ἢ λυκίῳ ὁμοίως. Ἀσκληπιάδου, πρὸς ὀζαίνας καὶ πολύποδας. Ἐν μὲν τῷ πέμπτῳ τῶν ἐκτὸς οὕτως ἔγραψεν ὁ Ἀσκληπιάδης. ξηρὸν πρὸς ὀζαίνας. ♃. στυπτηρίας σχιστῆς < δ'. σμύρνης < δ'. σανδαράχης < δ'. κηκίδος < α'. χαλκάνθου κεκαυμένης < α'. λείοις χρῶ, πρότερον ἐκκλύζων τοὺς μυκτῆρας οἴνῳ εὐώδει, καὶ ποτὲ παραπλόμενος πυρῆνι μήλης. Ἄλλο. ♃. ἐρείκης καρποῦ < η'. σμύρνης < η'. νίτρου ἐρυθροῦ < η'. σιδίων < η'. μυρίκης καρποῦ < α'. κροκομάγματος < β'. λείοις χρῶ. Ἄλλο. ♃. σώρεως Αἰγυπτίου εὐθρύπτου < β'. χαλκίτεως ὀπτῆς < β'. μυρίκης καρποῦ < α'. κρόκου < α'. σμύρνης < α'. λείοις χρῶ. Ἄλλο. ♃. χαλκίτεως ὀπτῆς < β'. χαλκάνθου ὀπτῆς < β'. μίσυος < β'. ἀμώμου < α'. σμύρνης < δ'. κρόκου < α'. λείοις χρῶ. Ἄλλη σύνθεσις ξανθίζουσα λεγομένη. ♃. στυπτηρίας σχιστῆς < η'. χαλκίτεως ὠμῆς < ϛ'. σανδαράχης < γ'. σιδίων ῥοιᾶς < β'. χαλκάνθου κεκαυμένου < β'. μίσυος < β'. λείοις χρῶ. Ἄλλο. ♃. χαλκάνθου κεκαυμένου < δ'. διφρυγοῦς < β'. ἀσβέστου < β'. σανδαράχης < β'. ξηροῖς προσάπτου. ἢ στρεπτῷ προβρέχων ὕδατι, καὶ μολύνων τὸ φάρμακον. Ἄλλο. ♃. μίσυος ὀπτοῦ < β'. μάννης λιβάνου < β'. χαλκίτεως ὀπτῆς < β'. λεπίδος χαλκοῦ < α' S''. ἰοῦ < α'. ξηροῖς προσάπτου.

Λάμπωνος, πρὸς ὀζαίνας, καὶ αἰγίλωπας, καὶ πολύποδας, καὶ ἄλλα πολλά.

Πρὸς ὀζαίνας, καὶ αἰγίλωπας, καὶ πολύποδας, καὶ ὅσα βούλει χωρὶς τομῆς καὶ καύσεως ἀπαλλάττειν. ἀφίστησι δὲ καὶ ὀστᾶ διεφθορότα, ποιεῖ δὲ καὶ πρὸς νομάς, καὶ σηπεδόνας ἐπιπασσομένη, καὶ πρὸς τὰ ῥυπαρὰ ἕλκη, ἐν μοτῷ μετὰ μέλιτος. ♃. χαλκοῦ ἐρυθροῦ ῥινήματα ℥ α'. ἁλῶν ἀμμωνιακῶν ℥ β'. ἀμμωνιακοῦ θυμιάματος ℥ β'. στυπτηρίας στρογγύλης ℥ γ'. ὄξους δριμυτάτου κοτ. ϛ'. τὰ ξηρὰ λειώσας, καὶ ἐπιβαλὼν ὄξος, ἀνάλαμβανε εἰς ἄγγος ἐρυθροῦ χαλκοῦ, καὶ κίνει ἐν ἡλίῳ κερκίδι ἐρυθροῦ χαλκοῦ,

Acre item acetum in vasculum angusti oris fusum ad multum tempus ad respirationem ipsorum appone, deinde misy cyprium, & dimidium eius nardi Indicæ cum vino chio ad mellis crassitudinem redige; ex eoque meatus penna obline, & per lanam obtura.

Ad vlcera in nasi.

Vlcera in naso ex malorum punicorum succo in æreo vase ad medietatem cocto perline. Aut malum punicum dulce integrum in vino coctum terito, & forinsecus imponito; aut æris squamam, & æruginem cum alba viola ex aqua affricato; aut rubi succum, & alumen Melium, cum aqua diluta eodem modo. Si verò vetus sit vlcus; cum aceto diluito; aut iridem, & sandaracham, cum melle oblinito; aut adipem vitulinũ, & resinam illinito.

De Polypo narium.

Polypus tumor est, qui præter naturam in naribus generatur polypodis carni assimilis iuxta substantiæ proprietatem. Manifestum itaque est, affectionem hanc ex crassis, & viscosis humoribus generari, atque ob id mixta materia medicamentaria opus habet, vt videlicet partim astringat, partim secet, & attenuet, partim etiam discutiat, & condenset. *Archigenis ad Polypodas.* In polypode nasturtij tenuis chemen, siue ʒ. ß. cum veratri albi obolis duobus nare attrahere iube. Vbi verò exciderit, linamentis, cum florido emplastro ex melle vtere, aut lycio eodem modo. *Asclepiadæ ad Ozænas, & polypos.* Asclepiades in quinto externorum sic scripsit. *Aridum ad Ozænas.* ♃. Aluminis scissi ʒ. iiii. myrrhæ ʒ. iiij. sandarachæ ʒ. iiij. gallæ ʒ. j. atramenti sutorij vsti ʒ. j. Tritis vtere, naribus prius vino odorato elotis, & medicamento per specilli extremum siue nucleum admoto. *Aliud.* ♃. Fructus ericæ ʒ. viij. myrrhæ ʒ. viii. nitri rubri ʒ. viij. malicorij ʒ. viij. seminis tamaricis ʒ. i. crocomagmatis ʒ. ij. tritis vtere. *Aliud.* ♃. soreos Ægyptij friabilis ʒ. ij. chalcitidis vstæ ʒ. ij. seminis tamaricis ʒ. j. croci ʒ. j. myrrhæ ʒ. j. tritis vtere. *Aliud.* ♃. Chalcitidis vstæ ʒ. ij. atramenti sutorij assati ʒ. ij. misyos ʒ. ij. amomi ʒ. j. myrrhæ ʒ. iiij. croci ʒ. i. tritis vtere. *Alia compositio quæ flauescens appellatur.* ♃. Aluminis scissi ʒ. viij. chalcitidis crudæ ʒ. vj. sandarachæ ʒ. iii. putaminis mali punici ʒ. ij. atramenti sutorii vsti ʒ. ij. misyos assati ʒ. ij. tritis vtere. *Aliud.* ♃. Atramenti sutorij vsti ʒ. iiij. diphrygis ʒ. ij. calcis viuæ ʒ. ij. sandarachæ ʒ. ii. arida admoue, aut linamentum tortum aqua madefactum, ac medicamento imbutum inde. *Aliud.* ♃. Misyos assati ʒ. ij. mannæ thuris ʒ. ij. chalcitidis assatæ ʒ. ij. squamæ æris ʒ. j. ß. æruginis ʒ. j. arida adhibe.

Lamponis ad ozenas, ægilopas, polypodas, & multa alia.

Ad ozenas, & ægilopas, & polypos, & quæcunque velis citra sectionem, ac vstionem submouere. Dirimit etiam ossa corrupta. Facit, & ad vlcera serpentia, ac putrida inspersa; & ad sordida vlcera linamento excepta, ac indita cum melle. ♃. Scobis æris rubri vnc. i. salis ammoniaci sextantem, ammoniaci thymiamatis sextantem, aluminis rotundi quadrantem, aceti acerrimi heminas vi. Arida terito, & affuso aceto, omnia in vas æris rubri transferto, in

in eoque ad Solem sub caniculæ ardore cum æris rubri radio agitato donec medicamentum exarescat; deinde in mortarium translatum, diligenter terito, & in fictili recondito. Vsu verò exigente, aquam absorbendam dato, deinde etiam in ore continendam, medicamentum verò per fistulam insufflato. *Scribenij Largi facit ad omnem extuberationem.* ℞. Misyos vsti, chalcitidis vstæ, atramenti sutorij vsti, soreos, squamę æris, singulorum ʒ. viij. arida admoueto. Oportet autem præcedenti die quiescere, deinde sequenti medicamentum post cibum indere. Illinendæ etiam nares antea cum bitumine, aut liquida pice, aut myrrha stacte.

Philoxeni Chirurgi ad polypodas, ozænas, omnem excrescentem carnem, hæmorrhoidas, & quibuscunque crustam inducere velis.

℞. Æris vsti, auripigmenti torrefacti, misyos assati, singulorum ʒ. ij. diphrygis ʒ. iij. chalcitidis vstæ, atramenti sutorij vsti, squamæ æris, singulorum ʒ. iiij. tritis vtere. Cæterùm post medicamentorum adhibitionem etiam sternutatoriis vtimur, quo videlicet tectoria vlceri obducta excutiamus, quæ tribus, aut quatuor diebus ferè excidere consueuerunt. Vbi verò exciderint, adipe anserino, aut butyro cum rosaceo cerato curantur. Verùm Asclepiades in primo medicamentorum exteriorum sic scripsit. *Asclepiadæ ad ozænas, quo vsus est Meges.* ℞. fructus ericæ ʒ. iiij. myrrhæ ʒ. iiij. nitri rubri ʒ. iiij. putaminis mali punici ʒ. iiij. croci ʒ. ij. costi ʒ. ij. trita insufflato. *Aliud.* ℞. Aluminis scissi ʒ. iiij. myrrhæ ʒ. iiij. sandarachæ ʒ. ij. rhois rubri ʒ. duas, salis fossilis ʒ. ij. costi ʒ. ij. croci ʒ. ij. trita insufflato. Ante curam verò nares vino odorato, & optimo melle eluere conamur. *Ad narium Polypos, quo vsus est Antipater.* ℞. Æris vsti ʒ. iiij. minij sinopici ʒ. j. trita per arundinem insufflato: quin & per specilli nucleos admoueto. *Aliud Antonij Musæ.* ℞. Atramenti sutorij partem j. sandarachæ partem j. trita insuffla. *Aliud Charixenis post chirurgiam.* ℞. cornu cerui vsti ʒ. iiij. squamæ æris rubri ʒ. iiij. auripigmenti ʒ. j. trita insuffla. *Aliud.* ℞. Bryoniæ radicis vstæ ʒ. iiij. atramenti sutorij ʒ. iiij. spumæ nitri ʒ. iiij. elaterii ʒ. iiii. trita insuffla.

Ad vlcera in naribus.

℞. Recrementi plumbi, vini veteris, olei myrtei, singulorum æquales partes. Plumbi recrementum, vt quàm læuissimum fiat, terito, & affuso vino, rursus læuigato, deinde myrteum addito, omniaque simul misceto, ac conquassato; & in figulinum vas coniecta prunis imponito, assiduéque agitato; atque vbi strigmentosum redditum fuerit medicamentum, sublatum in pyxide plumbea seruato. *Aliud.* ℞. plumbi vsti & loti ʒ. viii. vini rosati quantum sufficit; olei myrtei, quod satis est; apparato; & vtitor, vt dictum est. *Aliud* ℞. spumæ argenti ʒ. vi. cerussæ ʒ. octo, malicorii ʒ. iv. aluminis scissilis ʒ. iv. vini Aminæi quantum sufficit, olei myrtei, quod satis est. Arida tusa, & cribrata, in mortarium coniecta, cum vino ad strigmentitiam crassitiem redigito postea verò myrteo oleo affuso conquassato, & ablatis in pixyde plumbea reconditis, vt dictum est, vtitor. Sint autem myrtei heminæ quatuor, vini cyathi iiii. *Diogenis medicamentum accommodatum.* ℞. adipis anserini ʒ. iiii. œsypi sesquidrachmam, medullæ ceruinæ ʒ. ii. ceræ Tyrrhenicæ ʒ. viij. plumbi vsti & loti ʒ. quatuor, stibii vsti & loti

A ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἕως ἂν ξηρανθῇ τὸ φάρμακον, εἶτα κατεράσας εἰς θυίαν, καὶ τρίψας ἐπιμελῶς, ἀπόθου εἰς ἄγγος κεραμεοῦν. ἐπὶ δὲ τῆς χρήσεως δίδου ὕδωρ ἀναῤῥοφῆσαι, εἶτα ἐν τῷ στόματι κατέχειν, τὸ δὲ φάρμακον ἐμφύσα διὰ συρίγγος. Σκριβωνίου Λάργου, ποιεῖ πρὸς πᾶσαν ἐξοχήν. ℞. Μίσυος κεκαυμένου, χαλκίτεως κεκαυμένης, χαλκάνθης κεκαυμένης, σώρεως, λεπίδος χαλκοῦ ἀνὰ < . η΄. ξηρῷ προσάπτου. δεῖ δὲ προαναπαύειν πρὸ μιᾶς ἡμέρας, καὶ τῇ ἑπιούσῃ τὸ φάρμακον ἐπιτιθέναι μετὰ τὴν τροφήν. πρότερον δὲ δεῖ ὑποχρίσαι τοὺς μυκτῆρας ἀσφάλτῳ, ἢ πίσσῃ ὑγρᾷ, ἢ σμύρνης στακτῇ.

B Φιλοξένου χειρουργοῦ πρὸς πολύποδας, ὀζαίνας, πᾶν ὑπερσάρκωμα, αἱμοῤῥοΐδας, καὶ ἐὰν βούλῃ ἐσχαρῶσαι.

℞. Χαλκοῦ κεκαυμένου, ἀρσενικοῦ πεφωσμένου, μίσυος ὀπτοῦ, ἀνὰ < . β΄. διφρυγοῦς < . γ΄. χαλκίτεως κεκαυμένης, χαλκάνθης κεκαυμένης, λεπίδος χαλκοῦ ἀνὰ < . δ΄. λείοις χρῶ. μετὰ δὲ τὴν τῶν φαρμάκων ἐπίθεσιν χρώμεθα πταρμικοῖς, τὰς ἐφελκίδας βουλόμενοι σαλεύειν, αἳ ἐκπίπτουσι διὰ τριῶν ἢ τεσσάρων. καὶ μετὰ τὸ ἐκπεσεῖν ἀποθεραπεύονται στέατι χηνείῳ, καὶ βουτύρῳ μετὰ κηρωτῆς ῥοδίνης. ἐν δὲ τῷ πρώτῳ τῶν ἐκτὸς φαρμάκων

C οὕτως ἔγραψεν ὁ Ἀσκληπιάδης. Ἀσκληπιάδου πρὸς ὀζαίνας, ᾧ ἐχρήσατο Μέγης. ℞. Ἐρείκης καρποῦ < . δ΄. σμύρνης < . δ΄. νίτρου ἐρυθροῦ < . δ΄. σιδίων ῥοιᾶς < . δ΄. κρόκου < . β΄. κόστου < . β΄. λείοις ἐμφύσα. Ἄλλο. στυπτηρίας σχιστῆς < . δ΄. σμύρνης < . δ΄. σανδαράχης < . β΄. ῥοῦ ἐρυθροῦ < . β΄. ἁλῶν ὀρυκτῶν < . β΄. κρόκου < . β΄. κόστου < . β΄. λείοις ἐμφύσα. πρὸ δὲ τῆς θεραπείας, ἐκκλύζειν τοὺς μυκτῆρας πειρώμεθα οἴνῳ εὐώδει, καὶ μέλιτι καλῷ. Πρὸς τὰ ἐν μυκτῆρσιν πολύποδα, ᾧ ἐχρήσατο Ἀντίπατρος. ℞. Χαλκοῦ κεκαυμένου < . δ΄. μίλτου σινωπίδος < . α΄. λείοις ἐμφύσα διὰ καλαμίδος, ἀλλὰ καὶ προστίθου πυρῆνι

D μήλης. Ἄλλο Ἀντωνίου Μούσα. ℞. Χαλκάνθου μέρος α΄. σανδαράχης μέρος α΄. λείοις ἐμφύσα. Ἄλλο Χαριξένους μετὰ χειρουργίαν. ℞. Κέρατος ἐλαφείου κεκαυμένου < . δ΄. λεπίδος ἐρυθρᾶς < . δ΄. ἀρσενικοῦ < . α΄. λείοις ἐμφύσα. Ἄλλο. ℞. βρυωνίας ῥίζης κεκαυμένης < . δ΄. χαλκάνθης < . δ΄. ἀφρονίτρου < . δ΄. ἐλατηρίου < . δ΄. λείοις ἐμφύσα.

Πρὸς τὰ ἐν μυκτῆρσιν ἕλκη.

℞. Μολύβδου σκωρίας, οἴνου παλαιοῦ, ἐλαίου μυρσίνου, ἑκάστου τὸ ἴσον. τὴν σκωρίαν τοῦ μολύβδου λειοτρίβει, ὥστε λειοτάτην γενέσθαι, καὶ ταύτῃ ἐπιβάλλων τὸν οἶνον λειοτρίβει. ἔπειτα τὸ μύρ-

E σινον, καὶ πάντα ὁμοῦ μίξας, καὶ ἀνακόψας βαλὼν εἰς ἄγγος κεραμεοῦν, τίθει ἐπ' ἀνθράκων, κινῶν συνεχῶς, καὶ ὅταν γλοιῶδες γένηται τὸ φάρμακον, ἀνελόμενος εἰς πυξίδα μολυβδίνην, φύλαττε. Ἄλλο. ℞. μολύβδου κεκαυμένου καὶ πεπλυμμένου < . η΄. οἴνου ῥοδίνου τὸ αὔταρκες, ἐλαίου μυρσίνου ὅσον ἐξαρκεῖ, σκεύαζε καὶ χρῶ καθὼς ἄνω προείρηται. Ἄλλο. ℞. λιθαργύρου < . ς΄. ψιμμυθίου < . η΄. σιδίων < . δ΄. στυπτηρίας σχιστῆς < . δ΄. οἴνου ἀμιναίου ὅσον ἐξαρκεῖ, ἐλαίου μυρσίνου τὸ αὔταρκες. τὰ ξηρὰ κόψας, καὶ σήσας, καὶ εἰς θυίαν βαλὼν, λέαινε μετ' οἴνου, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος. μετὰ δὲ ταῦτα ἐπίβαλλε τὸ μύρσινον, καὶ ἀνακόψας, καὶ

F ἀνελόμενος εἰς πυξίδα μολυβδίνην, χρῶ καθὼς προείρηται. ἔστω δὲ τοῦ μὲν μυρσίνου κοτύλαι τέσσαρες, τοῦ δὲ οἴνου κύαθοι δ΄. Διογένους φάρμακον ἐπιτετευγμένον. ℞. Στέατος χηνείου < . δ΄. οἰσύπου < . α΄. S''. μυελοῦ ἐλαφείου < . β΄. κηροῦ τυῤῥηνικοῦ < . η΄. μολύβδου κεκαυμένου, καὶ πεπλυμμένου < . δ΄. στίμμεως κεκαυμένου, καὶ πεπλυμμένου

A < η΄. λαδάνου < β΄. στέατος μοσχείου < β΄. τερμινθίνης < δ΄. ψιμυθίου < β΄. λιθαργύρου < α΄. ῥοδίνου τὸ αὔταρκες. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, καὶ ἀνελόμενος χρῶ, ἐν δὲ τῇ χρήσει αἴρων ὅσον ἐξαρκεῖ, καὶ ῥοδίνῳ διαλύων, ὑπόχριε τοὺς μυκτῆρας.

Ἀπολλωνίου πρὸς τὰς ἐν μυκτῆρσι διαθέσεις, ἐκ τοῦ πρώτου τῶν εὐπορίστων.

Πρὸς τὰς ἐν μυκτῆρσιν ἑλκώσεις, καὶ σηπεδόνας, καὶ ὀσμάς. ῥοιᾶς ἀπυρήνου γλυκείας, καὶ ὀξείας χυλὸν ἑψήσας ἐν χαλκῷ ἀγγείῳ μέχρι λειφθῇ τὰ δύο μέρη, χρῶ· διαχρίων ἐσωτάτω. ποιεῖ δὲ καὶ ῥοιὰ γλυκεῖα μετ' οἴνου ἑψηθεῖσα, καὶ λειανθεῖσα, καὶ ἔξωθεν καταπλασσομένη, καὶ ἔσωθεν διαχριομένη.

B

Πρὸς σαρκώματα ἐν μυκτῆρσι, καὶ πολύποδας.

Διφρυγεῖ λείῳ προσάπτου, καὶ μοτῷ διάστελλε τοὺς μυκτῆρας. Ἄλλο. ἐλλέβορον τρίψας, μίξον ὀρίγανον ἴσον λεῖον, καὶ ἐμφύσα εἰς τοὺς μυκτῆρας δὶς τῆς ἡμέρας. Ἄλλο. ἐλλέβορον μέλανα, καὶ σανδαράχην ἴσην τρίψας, καὶ μίξας ἔλαιον, ἀναλαβὼν ἐρίῳ, πλήρωσον τὸν μυκτῆρα. Ἄλλο. χαλκοῦ ἄνθος, καὶ ἰὸν, καὶ ὀπὸν σιλφίου ἐξ ἴσου τρίψας ἐλαίῳ μίξον, καὶ πάχος ὑπαλείπτου ποιήσας ὑπάλειφε μέχρι πέντε ἡμερῶν, ἔπειτα λαβιδίῳ ἐξαίρει. Ἄλλο ἀρσενικὸν, καὶ τίτανον τρίψας, μήλῃ προσάπτου, δαψιλεῖ χρώμενος τῷ φαρμάκῳ. C ἐπειδὰν δὲ ἐξοιδήσῃ, καὶ ἐπαρθῇ, ἐλλεβόρῳ μέλανι ξηρῷ λείῳ συμμέτρως χρῶ. ἐν ἡμέραις γὰρ ἑπτὰ ταῖς πλείσταις, κενὸς ὁ μυκτὴρ γίνεται, εἶτα προσκάθαιρε διφρυγεῖ λείῳ μετὰ μέλιτος χρώμενος. Ἄλλο. ἀρσενικὸν, καὶ τίτανον καὶ ἐλλέβορον λευκὸν λεάνας μήλῃ προσάπτου.

Πρὸς τὰ ἐμπίπτοντα εἰς τοὺς μυκτῆρας.

Τὰ δὲ ἐμπίπτοντα εἰς τοὺς μυκτῆρας, ἔξαιρε ὠτογλυφίδι, ἢ λαβίδι, ἢ πταρμικὸν προσφέρε φάρμακον, καὶ τὸ στόμα καταλάμβανε, καὶ τὸν ἕτερον τῶν μυκτήρων προσπίεζε, D ἐάν γε μὴ ἐν ἀμφοτέροις τοῖς μυκτῆρσι τὸ πάθος ὑπάρχῃ. ταῦτα μὲν καὶ τὰ τοῦ Ἀπολλωνίου οἷς αὐτὸς ἐχρήσατο. ὡς δ' ἐγὼ κέχρημαι, καὶ ἐπὶ τῶν ἐν ταῖς ῥισὶ πολυπόδων τε, καὶ ὀζαινῶν εὗρον εὐδοκιμώτατα τὰ ὑπογεγραμμένα, πρῶτον μὲν τὸ διὰ τῶν ῥοιῶν. ἔστωσαν δὲ ἴσαι τόν τε ἀριθμὸν, καὶ τὸ μέγεθος, ἐκ τῶν τριῶν διαφορῶν λαμβανόμεναι. αἱ μὲν γὰρ αὐτῶν εἰσιν αὐστηραὶ, τινὲς δὲ γλυκεῖαι, τινὲς δὲ ὀξεῖαι. κόπτειν οὖν αὐτὰς προσφάτους, καὶ πεπείρους, καὶ συνθλᾶν ὅλας ἀκριβῶς, ὡς ἐκθλιβῆναι δύνασθαι τὸν ἐξ αὐτῶν χυλὸν, ὃν χρὴ καταθέμενον ἐν ἀγγείῳ κασσιτερίνῳ φυλάττειν, ἐπ' ὀλίγον ἀφεψήσαντα, εἴ ποτε φαίνοιτο τοῦ E δέοντος ὑγρότερον, τὸ δὲ ὑπολειπόμενον αὐτῶν στερεὸν, καὶ παχὺ, κόπτειν αὖθις ἀκριβῶς, ὡς δύνασθαι μετὰ τὸ κοπῆναι λειωθῆναι πάλιν εἰς θυΐαν, καὶ ἀναπλασθῆναι κολλυρίοις ὅμοια, συμμέτρως ἔχοντα πρὸς τὴν ῥῖνα τοῦ θεραπευομένου. καθίεται γὰρ εἰς τὸν πόρον τῆς ῥινὸς, ἐν ᾧ ὁ πολύπους, ὥστε ἄνευ δήξεως καὶ συμπαθείας, ὁποῖον ἐργάζεται τὰ δριμέα τῶν φαρμάκων, ἐν χρόνῳ πλείονι καθαίρειν αὐτόν. ἐὰν δὲ ὑγρότερος, καὶ μαλακώτερος, ὁ πολύπους σοι φαίνηται, πλεῖον ἐμβάλλης τῶν αὐστηρῶν ῥοιῶν, εἰ δὲ σκληρότερος, τῶν ὀξειῶν. F ἐπεὶ δὲ δύσφορόν ἐστιν ἀνέχεσθαι διὰ παντὸς τοῦ κολλυρίου, διαπαύειν προσήκει, χρώμενον ἐν αἷς οὐκ ἐντίθεται αὐτὸ, τῷ τεθλιμμένῳ χυλῷ, καὶ μέντοι καὶ χαίνοντα μέγα τὸν πεπονθότα, διαχρίειν κατ' ἐκεῖνα τὰ μέρη, καθ' ἃ συντέτρηται ἡ εἰς πρὸς τὸν οὐρανίσκον, τῷ ὑγρῷ φαρμάκῳ ἐκθλιβέντι χρώμενον,

ʒ. viij. ladani ʒ. ij. adipis vitulini ʒ. ij. terebinthinæ ʒ. iiij. cerussæ ʒ. ij. spumæ argenti ʒ. j. rosacei quãtum sufficit. Liquida cum aridis committito, & repositis vtitor. Vsu autem expetente quantum satis fuerit tollito, & rosaceo dilutũ naribus sublinito.

Ex primo de parabilibus Apollonij, ad affectus in naribus.

Ad narium exulcerationes, & putredines, ac fœtores. Mali punici nucleo carentis dulcis, itémque acidi succum in æreo vase, donec duæ partes supersint, coquito; ac vtitor quàm penitissimè illinendo. Facit & malum punicum dulce cum vino coctum, & contritum, & forinsecus impositum, atque intrò illitum.

Ad excrescentem carnem in naribus, & polypos.

Diphryges tritum admoueto, & linamento nares disparato. *Aliud.* Veratrum terito, eique origani par pondus tritum addito, ac naribus bis in die insufflato. *Aliud.* Veratrum nigrum, cum pari sandaracha terito, & admixto oleo lana excipito, eoque narem expleto. *Aliud.* Florem æris, & æruginem, ac silphij succum, pari mensura, oleo admixto terito; & ad vnguenti crassitudinem redacta ad dies quinque naribus sublinito; deinde per volsellam eximito. *Aliud.* Auripigmentum, & calcem trita, cum specillo largè adhibeto. Vbi verò intumuerit, & eleuatus fuerit polypus, veratro nigro arido trito moderatè vtitor, vt plurimùm enim in diebus septem nasus vacuus redditur. Deinde diphrygis, cum melle vsu expurgato. *Aliud.* Auripigmentum, & calcem, ac veratrum album trita cum specillo admoueto.

Ad ea, quæ in nares illabuntur.

Quæ naribus illabuntur, auriscalpio, aut volsella extrahito; aut sternutatorio admoto, os apprehendito, atque alteram narem comprimito, si quidem non in vtraque nare affectio existat. Hæc quidem Apollonius, quibus ipse vsus est, tradidit. Verùm vt ego vsus sum, & in polypis, ac ozænis narium, probatissima reperi subscripta; ac primum quidem, quod ex malis punicis constat medicamentum. Sint autem pari numero, ac magnitudine ex tribus eorum differentiis accepta; aliqua enim ex his sunt austera, aliqua dulcia, & quædam acida. Contundenda itaque sunt recentia, & matura, atque integra diligenter confringenda, quo succus ex eis exprimi possit; quem in vase stanneo depositum asseruare oportet modicè coctum, si quidem liquidior, quàm oporteat videatur. Quòd verò ab eo reliquum est solidum, & crassum, rursus diligenter contundendum est, vt à contusione rursus in pila atteri, ac læuigari possit, indéque collyriorum formæ effingi, quæ congruam ad ægri nares proportionem habeant. Induuntur enim hæc in naris, quam polypus obsedit, meatum, quo citra mordacitatem, & consensum, qualem acria medicamenta excitare solent, per longiorem moram ipsum expurgent. Quòd si humectior, & mollior tibi appareat polypus, plus ex austeris malis punicis conijcies; si durior, ex acidis. Quandoquidem verò perpetuò tolerare collyrium, molestum est, ab eius vsu interquiescere conuenit, atque eo tempore, quo ipsum non indis, per expressum succum ægrum curare, & sanè oris diducto rictu hianti, etiam circa illas partes, iuxta quas nasus ad palatum perforatus est, liquidum ipsum expressum medicamentum illinere, vel cum penna, vel

vel cum lana specillos duos nucleos siue cuspides habenti, obuoluta. Cæterùm ex aridis medicamentis diphryge citra mordacitatem aliquando per multum tempus consumptum polypum noui; probatur etiam in ipsis prædictum collyrium ex malis punicis effictum, si vbi exaruerit, probè contundatur, cribreturque, ac læuigetur, indéque insuffletur, aut etiam per specilli nucleum indatur. Omnia autem hæc assiduè facere oportet, vt nunquam ab affecta parte medicamentũ absit. quum facilè ab humiditate eluatur. Quemadmodum igitur in lippientibus, sic & in his semper, si possibile est, medicamentum adhibere oportet; abluitur enim facilè, vt dixi, ab influẽte humiditate. Porrò quum Eunuchus quidam nullius medicamenti ferre posset adhibitionem, sed ab omnibus irritaretur, rosis aridis contusis, ac probè tritis atque inditis, mirum quàm viderim hominem magnopere citra omnem mordacitatem adiutum. Quare in corporibus mollibus, & humidis, aut quibus ægrè vlcera ipsa sanescunt, rursus eodem medicamento vsus sum; contigitque ex duobus alterum, aut vt nihil noceret, aut omninò citra molestiam opus suum perficeret; pleráque enim eorum, quæ polypodas exterunt, eos exacerbant, vbi à scopo aberrent. Cæterùm vlcera in narium meatibus semper per pastillos curaui, Andronij videlicet, & Pasionis, & Polyidæ, & Bythini, & per eum, quem ego composui, his ipsis aliquando vino dulci dissolutis, aliquando austero, & quandoque moderatæ ætatis, quandoque veteri. Interdum etiam aceto dilui, vel vinoso, vel simpliciter acido, vel etiam acri valdè, & vetusto, iuxta prædictas indicationes, vsu medicamentorũ secundum symptomata affectionum reperto. In diuite verò quopiam, qui odoratum medicamentũ sibi adhiberi expetebat in ozænæ curatione, hedychroi vsum excogitaui, ipsumque vino falerno veteri dissolui, & mirum quàm breui affectio ipsa sit curata. Relata est hedychroi compositio circa theriaces antidoti descriptionem.

Heraclidæ ad eruptiones sanguinis è naribus ad Antiochidem.

Sufficienter quidem de sanguinis eruptionibus in curandi Methodi libris dictum est, verùm nũc, quæ ex sylua vsu cognita constant, & maioribus nostris probata sunt, referentur. Vbi grumos sanguinis eduxeris, lanam specillo obuoluito, eamque in lycio aquo diluto imbuito, & sanguine manantem locum illinito. Aut linamentum longum lycio imbutum indito, deinde forinsecus cum digitis apprehensum nasum comprimito, donec constiterit sanguis. Aut chalcitidem mediocriter læuigato, & linamentum ex ellychnio contortum in frigidam aquam demittito, deinde in chalcitide obuoluito. Aut linamentum priapi forma naribus indito. Aut linamento fissili vtitor quàm penitissimè intruso. Præstat autem digitũ ad palatum immittere, ne eo linamentum fissile deferatur. Aut thus confringito, & polygoni, aut seminis porri succo diluito, in eoque linamentum fissile, aut ex ellychnio obuolutum, indito. Aut mentam tritam indito. Aut spongiam siccam immittito. Aut spõgiam in acre, & feruidum acetum coniectam imponito; & sanguine manantem narem specillo forinsecus, donec impellatur, apprimito. Præstat autem spongiæ principium filo per acum transmitti, quo facilè extrahi possit; extrahito autem quum

A ἢ πτεροῖς, ἢ ἐρίῳ περιβεβλημένῳ μήλῃ, ἢ πυρῆνι. τῶν δὲ ξηρῶν φαρμάκων, ἀδήκτως οἶδά ποτε τῷ διφρυγεῖ δαπανηθέντα χρόνῳ πλείονι πολύπουν. εὐδοκιμεῖ δὲ ἔτι αὐτῶν, καὶ τὸ προειρημένον κολλύριον, τὸ ἐκ τῶν ῥοιῶν ἀναπλαττόμενον, ὅταν ξηρὸν γένηται, καλῶς κοπτόμενόν τε καὶ διαττώμενον, καὶ λειούμενον, εἶτ' ἐμφυσώμενον, ἢ καὶ διὰ πυρῆνος μήλης ἐντιθέμενον. ἅπαντα δὲ ταῦτα συνεχῶς δεῖ ποιεῖν, ὡς μηδέποτε λείπειν τὸ φάρμακον τῷ πεπονθότι μορίῳ, ῥᾳδίως γὰρ ὑπὸ τῆς ὑγρότητος ἐκκλύζεται. καθάπερ οὖν ἐπὶ τῶν ὀφθαλμιώντων, οὕτω κἀπὶ τούτων, εἰ οἷόν τε, διὰ παντὸς
B ἐπιτιθέναι χρὴ τὸ φάρμακον, ἀποπλύνεται γὰρ ῥᾳδίως, ὡς ἔφην, ὑπὸ τῆς ἐπιρρεούσης ὑγρότητος. μὴ φέροντος δέ τινος εὐνούχου μηδενὸς τῶν φαρμάκων τὴν προσφοράν, ἀλλ' ὑπὸ πάντων ἐρεθιζομένου, ῥόδα ξηρὰ κόψας, καὶ λειώσας ἀκριβῶς, καὶ ἐπιθείς, ἀδήκτως τε ἅμα καὶ θαυμαστῶς, ὅπως ἔγνων ὑπ' αὐτῶν ὠφεληθέντα τὸν ἄνθρωπον, ὥστε καὶ αὖθις ἐπὶ τῶν μαλακῶν, καὶ ὑγρῶν, ἢ δυσαλθῶν σωμάτων ἐχρησάμην αὐτῷ. δυοῖν γὰρ θάτερον, ἢ οὐδὲν ἔβλαψεν, ἢ πάντως γε ἐνήργησεν ἀλύπως. τὰ γὰρ πλεῖστα τῶν δραστικῶς καθαιρόντων τοὺς πολύποδας, παροξυντικά πως αὐτῶν ἐστιν, ὅταν μὴ
C τύχῃ τοῦ σκοποῦ. τὰ δὲ ἕλκη τὰ ἐν τοῖς πόροις τῆς ῥινός, ἀεὶ διὰ τῶν τροχίσκων ἐθεράπευσα, τοῦ τε Ἀνδρωνείου, καὶ τοῦ Πασίωνος, καὶ τοῦ Πολυείδου, καὶ τοῦ Βιθυνοῦ, καὶ τοῦ συντεθέντος ὑπ' ἐμοῦ, ποτὲ μὲν οἴνῳ γλυκεῖ λειῶν αὐτούς, ποτὲ δὲ αὐστηρῷ, καὶ ποτὲ μὲν συμμέτρῳ κατὰ τὴν ἡλικίαν, ποτὲ δὲ παλαιῷ, ποτὲ δὲ καὶ δι' ὄξους, ἢ οἰνώδους, ἢ ἁπλῶς ὀξέος, ἢ καὶ δριμέος πάνυ, καὶ παλαιοῦ, κατὰ τὰς εἰρημένας ἐνδείξεις ἀπὸ τῶν κατὰ τὰ πάθη συμπτωμάτων, τῆς χρήσεως τῶν φαρμάκων εὑρισκομένης. ἐπὶ δὲ πλουσίου τινός, ἀξιοῦντος εὐῶδες εἶναι τὸ προσφερόμενον φάρμακον, ἐπὶ τὴν τῆς ὀζαίνης θεραπείαν, ἐπενόησα χρήσα-
D σθαι τῷ καλουμένῳ ἡδυχρόῳ, διεὶς αὐτὸ Φαλερίνῳ παλαιῷ, καὶ θαυμαστῶς ὅπως ἐν τάχει τὸ πάθος ἐθεραπεύθη. λέλεκται δὲ ἡ τοῦ ἡδυχρόου σκευασία, κατὰ τὴν τῆς θηριακῆς ἀντιδότου γραφήν.

Ἡρακλείδου πρὸς τὰς ἐκ τῶν ῥινῶν αἱμορραγίας πρὸς Ἀντιοχίδα.

Εἴρηται μὲν ἱκανῶς καὶ περὶ τούτων, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ἀλλὰ νῦν, ὅσα διὰ τῆς πεπειραμένης ὕλης ἐγνώσθη τοῖς πρὸ ἡμῶν, εἰρήσεται. τοὺς θρόμβους κομισαμένη, κἄπειτα περὶ μηλωτίδα περιθεῖ-
E σα ἔριον, κάθες εἰς λύκιον, διεὶς δὲ αὐτὸ ὕδατι διάχριε τὸν αἱμορροοῦντα τόπον. ἢ μοτὸν μακρὸν δεύσασα τῷ λυκίῳ ἔνθες, εἶτα ἔξωθεν περιλαβοῦσα τοῖς δακτύλοις, τοὺς ῥώθωνας προσπίεσον, ἕως ἂν στῇ τὸ αἷμα. ἢ χαλκῖτιν λεάνασα συμμέτρως, καὶ συστρέψασα, ἐλλύχνιον κάθες εἰς ψυχρὸν ὕδωρ, εἶτα κυλίσασα ἐν τῇ χαλκίτιδι, ἢ πριαπίσκῳ ἐντίθει τοῖς μυκτῆρσιν. ἢ τῷ σχιστῷ μοτῷ χρῶ, ὡς ἐσωτάτω προσερείδουσα. βέλτιον δὲ καὶ εἰς τὴν ὑπερῴαν τὸν δάκτυλον καθεῖναι, ὅπως μήποτε ὁ σχιστὸς ἐκχωρῇ. ἢ λιβανωτὸν θραύσασα, καὶ διαχέασα, πολυγόνου χυλῷ. ἢ
F πράσου καρπὸν χυλίσασα τὸν σχιστόν. ἢ τὸ ἐλλύχνιον κάθιε. ἢ ἡδύοσμον λεάνας κάθιε. ἢ σπόγγον ξηρὸν ἔνθες. ἢ εἰς ἐζεσμένον ὄξος δριμὺ καταθεῖσα τὸ σπογγίον, ἐπιτίθει ἔξωθεν τοῦ αἱμορροοῦντος μυκτῆρος, πιέζουσα μηλωτίδι μέχρι τοῦ προσωθῆναι. βέλτιον δὲ τὴν ἀρχὴν ἀποδεδέσθαι λίνῳ, διὰ βελόνης, ἵνα εὐεξέλκυστον ᾖ. ἐξαίρει δὲ ὅταν

A καθάπερ εὐθὺς ἐστι. ἐὰν δὲ ξηρὸν γένηται τὸ σπόγγιον, καὶ κεκολλημένον ἔνδον, ὠτικῷ κλυστῆρι δὲ, ψυχρὸν ὕδωρ ἔχοντι, καὶ ἐκκλύζουσα ἔνυγραινε, καὶ οὕτω κομίζου. χρῶ δὲ καὶ ταῖς ἀναγραφησομέναις τραυματικαῖς, καὶ ἰσχαίμοις. ἐπιτήδειον δὲ καὶ τὸ μέτωπον ψύχειν σπογγίοις, καὶ μετέωρα ποιεῖν τὰ ἀπὸ τῆς κεφαλῆς, καὶ βραχίονας, καὶ καρποὺς, καὶ μηροὺς, καὶ βουβῶνας, καὶ γόνατα ἐν τοῖς συνεσταλμένοις ἀποδεσμεῖν, καθάπερ ἐπὶ φλεβοτομιῶν, καὶ κελεύειν κινεῖν αὐτὰ, χεῖρας μὲν ἀνατρίβοντας, πόδας δὲ βαδίζοντας. πληρουμένων γὰρ αἵματος τῶν ἐνταῦθα φλεβῶν, τὰ περὶ τὰς ῥῖνας λιφαιμήσουσιν, καὶ ποτίζειν τοῖς πρὸς τὰς ἀγωγὰς τοῦ αἵ- B ματος γραφησομένοις, καὶ τὰ ὦτα ἐμφράττειν εὐτόνως ὀθονίοις, καὶ κηρῷ, κἂν τῷ στόματι διακατέχειν ὕδωρ ὄμβριον ψυχρόν. ἐὰν δὲ φαίνηται καταπεπόσθαι τι τοῦ αἵματος, καὶ τοῦθ' ἱκανὸν ὂν τῷ πλήθει, κενώματι κομίζου. θρομβούμενον γὰρ ἐν κοιλίᾳ, καὶ ἐντέροις, ἐμπύρησιν κατασκευάζει.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα πρὸς τὰς ἐκ ῥινῶν αἱμοῤῥαγίας, ἐν τῷ πέμπτῳ τῶν ἐκτὸς ἃ Μαρκέλλης ἐπιγράφει.

Τὰ τῆς πλατάνου σφαιρία συλλέγων, ξήραινε ἐν σκιᾷ, καὶ C ξηράνας, ἐν δίσκῳ τινὰ χιτῶνα τραχὺν, ἐπίτριβε τὰ σφαιρία τῷ ὕφει τοῦ χιτῶνος. εἰ δὲ μή γε, ἐπί τινος τριχίνου περίτριβε, καὶ τὸ μὲν σπέρμα τῶν σφαιρίων ἀπόῤῥιπτε, τὰ δὲ γνάφαλα συλλέγων, ἀποτίθεσο εἰς ἀγγεῖον ὀστράκινον καινόν. ἐπὶ δὲ τῆς χρήσεως, τὰ ἐριώδη τῆς πλατάνου ἐνθεὶς εἰς κάλαμον ἀφῃρημένα τὰ γόνατα ἔχοντα, ἀπογλυφὴν δ' ἔχοντα, καθ' ὃ μέρος ἐπιτίθεται, τῷ μυκτῆρι ἐμφύσα, συντόμως περιγίνεται τῆς αἱμοῤῥαγίας. Αλλο. χάλκανθον τρίψας ἐπιμελῶς ἀπόθου, ἐπὶ δὲ τῆς χρήσεως, ξύσματι ὀθονίων καταβάπτων εἰς τὸ φάρμακον ἐντίθει. σπόγγον ὠμῇ D πίσσῃ δεύσας κατάκαυσον, καὶ ἐκ τούτου στρεπτὸν ἀναλαβὼν ἐντίθει. Αλλο. ℞. ᾠοῦ κελύφου μέρος ἓν, κηκῖδος ὀμφακίτιδος μέρος ἓν, λεῖα στρεπτῷ ὕδατι δεδευμένῳ, ἢ ὄξει ἀναλαμβάνων, ἐντίθει, τὸ δὲ μέτωπον, καὶ τὴν ῥῖνα κατάπλασσε γύψῳ, ἢ πηλῷ κεραμικῷ, κρατεῖν δὲ τὰ ὦτα εὐτόνως προσταίνει. ἔνιοι δὲ σπόγγον Ἀφρικανὸν καθεψήσαντες ἐν ὄξει δριμυτάτῳ, εἶτα ἐκπιέσαντες, καὶ τούτῳ περιειλήσαντες διάπυρον λίθον πυκνὸν ὑποθυμιάσαντες, κελεύοντες τὸν ἀτμὸν ἀνασπᾶν.

E

Τὰ ὑπ' Ἀνδρομάχου γεγραμμένα.

Πρὸς μὲν τὰς ἐκ ῥινῶν αἱμοῤῥαγίας, ἰδίως οὐδὲν ἔγραψεν ὁ Ἀνδρόμαχος, ἐπὶ δὲ τῶν ἰσχαίμων, τὰ πλεῖστα, καὶ ταύτας ἵστησι, διὰ τοῦτο κἀγὼ γράψω τὰ ὑπ' αὐτοῦ γεγραμμένα τοιαῦτα φάρμακα. ἴσχαιμος ᾗ χρῶμαι. ℞. χαλκίτεως, μίσυος, μάννης, ἀνὰ <. δ'. λείοις χρῶ. ξανθὴ ᾗ χρῶμαι. ℞. χαλκίτεως <. ρ'. χαλκάνθου <. ν'. μίσυος ὀπτοῦ <. κε'. χαλκοῦ κεκαυμένου <. ιβ' S''. λείοις χρῶ. ἴσχαιμος ἡ μεγάλη. ℞. μίσυος κυπρίου <. ζ'. χαλκάνθου <. ζ'. φλοιοῦ πίτυος <. δ'. λεπίδος χαλκοῦ <. δ'. μάννης λιβάνου <. δ'. οἱ δὲ <. ιε'. χαλκοῦ κεκαυμένου <. ιε. χαλκίτεως <. ιε'. ἀσβέστου <. η'. οἱ δὲ <. μ'. γύψου πεφωγμένης <. δ'. οἱ δὲ <. η'. λείοις χρῶ. ἴσχαιμος, Ἀφρόδα. ℞. χαλκίτεως <. ϛ'. μάννης λιβάνου <. β'. ῥητίνης τερμινθίνης φρυκτῆς <. δ'. οἱ δὲ γ'. λείοις χρῶ.


A opus suum perfecisse existimaueris. Si verò inarescat spongia, intusque agglutinetur, per auricularem clysterem frigidam aquam immittito, ac infundendo humectato, atque ita extrahito. Vtere etiam compositionibus vulnerariis, & sanguinem sistentibus, quæ describentur. Accommodatum est, & frontem spongiis refrigerare, itémque partes, quæ ad caput sunt sublimes facere; brachia autem, & manuum iuncturas, fœmoráque, & inguina, atque genua, qua parte contracta sunt, deligare, quemadmodum in venarum sectionibus facere moris est; iubendique sunt, vt ea membra moueant, manus quidem confricando, pedes verò B ambulando; expletis enim sanguine, quæ in eis sunt venis, nares sanguine manare cessant. In potu amplius exhibenda sunt ea, quæ ad sanguinis reiectionem conscribentur. Aures quoque intensè per linteola, ac ceram obturentur, & in ore aqua pluuialis frigida contineatur. Quod si quid ex sanguine deglutitum esse videatur, etiam id ipsum vbi multa eius sit copia, per euacuatiuum educito; in ventre enim & intestinis in grumos coactum inflammationem facit.

Medicamenta Asclepiadæ in quinto Externorum ad sanguinis narium eruptiones scripta, quæ Marcellæ inscribit.

C Platani pilulas collectas in vmbra exiccato, & desiccatas super pannum asperum in discum diffundito, easque aspera ipsius panni parte confricato; aut in panno ex pilis, siue setis composito obuoluito; ac semen quidem pilularum abiicito, tomenta verò collecta in testaceum vas nouum reponito. Vsu autem expetente ea ipsa lanuginosa platani tomenta in arundinem, cuius geniculi recisi sunt, indito; & qua parte excauata est arundo, naribus imponito, ac insufflato; compendio hoc vincit sanguinis eruptionem. *Aliud.* Atramentum D sutorium diligenter tritum reponito; vsu verò postulante rasuram quampiam linteolorum in medicamentum immersam indito. *Aliud.* Spongiam cruda pice imbutam exurito, vbi verò aliquid huius linamẽto torto exceperis, indito. *Aliud.* ℞. Putaminis oui partem j. gallæ acerbæ partem vnam, trita linamento torto aqua, aut aceto madefacto excipito, & indito; frontẽ verò, & nasũ gypso, aut luto figulino integito; aures autẽ fortiter cõtinere iubeto. Quidã spongiam Africanã aceto acerrimo incoquũt, deinde exprimũt, eamq; in ignito lapide frequenter obuoluunt, atque ita suffitum, & va- E porem excitant, quem naribus attrahere iubent.

Quæ Andromachus scripsit.

Ad sanguinis quidem ex naribus eruptiones nihil priuatum Andromachus scripsit. Verùm inter ea, quæ sanguinem cohibent, pleraque etiam hæmorrhagias narium sistunt. Quapropter etiam ego ascribam eiusmodi medicamenta, quo modo ab ipso descripta sunt. *Compositio sanguinem sistens, qua vtor* ℞. chalcitidis, misyos, mannæ thuris, singulorum ʒ.iiij. tritis vtitor. *Flaua, qua vtor.* ℞. chalcitidis ʒ.c. atramẽti sutorij ʒ.l. misyos assati ʒ.xxv. æris vsti ʒ.xij.ß. tritis vtere. *Compositio sanguinẽ sistens magna.* ℞. misyos cyprij ʒ.vij. atramenti sutorij ʒ.vij. corticis pini ʒ.iiij. squamæ æris ʒ.iiij. mannæ thuris ʒ.iiij. alij ʒ.xv. habent; æris vsti ʒ.xv. chalciditis ʒ.xv. calcis viuæ ʒ.xviij. alij xl. gypsi torrefacti ʒ.iiij. alij viij tritis vtere. *Compositio sanguinem sistens Aphrodæ.* ℞. chalcitidis ʒ.vj. mannæ thuris ʒ.ij. resinæ terebinthinæ frictæ ʒ.iiij. alij tres accipiunt; tritis vtitor.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΟΝ Δ.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Δ. ΒΙΒΛΙΩι.

Φάρμακα τοῖς πεπονθόσιν ὀφθαλμοῖς προστεθησόμενα.

ARGVMENTVM LIBRI QVARTI.

Medicamenta affectis oculis adhibenda.

CAPVT PRIMVM.

Doctrina affectionum, quæ in oculis fiunt, inter quas etiam de medicamentis acrimonia carentibus, & meatus obducentibus, & de aliis omnibus.

NON equidem alia est cōponendi, alia vtendi methodus in his medicamētis. Ipsa enim cōpositio velut ad vsū relata cōficitur, ita vt ij, qui medicaméta cōponunt, scopū habeant vtilitatē ex vsu ipsorum emergētē. Verū quēadmodū in aliis sic etiā in his affectionib. quidā indefinitè medicamētorū vsus scripserunt, verbigratia; quòd ad dolorē accōmodatū est hoc medicamētū, non apponētes affectū, in quo dolor sit obortus; quidā verò etiam affectus ascripserūt; alij quidē magis iuxta experientiā; alij autē magis secūdū rationē; iuxta experiētiā quidē magis, quicūq; ex cōspicuis circa oculos signis discrimē fecerūt; secūdū rationē verò magis, qui ex obscurè apparētibus, aut neq; in totū apparētibus idē fecerūt. Cōspicuè itaq; apparet fluxus multus, & modicus, mordacitas, & lenitas, ruborque plus, aut minus, velut itidē venę pauco, & multo sanguine plenę, & inflāmationis tumor minor, aut maior; quemadmodū etiam coloris præter naturā variegati, & oculorum sordes, plures, aut pauciores, aut minores, aut maiores progrediētes. Apparent item nobis manifestè asperitates in palpebris oculorū. Quid verò attinet dicere, quòd & vlcera, & pustulæ tū secūdū locos, tū magnitudine, non paruā differētiā habēt, itēq; quæcūq; eius generis alia existūt? Quin iuxta aliū sanè modū ex eorū, quæ conspicuè apparēt, numero sunt etiam ipsi adeo dolores; nihil enim interest siue nobis, siue ægris appareāt; etenim quòd dolēt, & quo modo dolēt, quippe quòd cum cōpressione, aut tēsione, aut obturatione, aut corrosione, aut quibusdā pulsationibus

ΚΕΦΑΛΑΙΟΝ Α.

Διδασκαλία τῶν ἐν ὀφθαλμοῖς γινομένων παθῶν, ἐν οἷς καὶ περὶ ἀδήκτων, καὶ ἐμπλαστικῶν φαρμάκων, καὶ τῶν ἄλλων ἁπάντων.

A ΟΥΚ ἄλλη μέν τίς ἐστι τῆς συνθέσεως αὐτῶν ἡ μέθοδος, ἄλλη δὲ τῆς χρήσεως. αὕτη γὰρ ἡ σύνθεσις, ὡς πρὸς τὴν χρῆσιν ἀναφερομένη γίγνεται, σκοπὸν ἐχόντων τῶν συντιθέντων τὰ φάρμακα, τὴν ἐκ τῆς χρήσεως αὐτῶν ὠφέλειαν. ὥσπερ δ᾽ ἐν τοῖς ἄλλοις, οὕτω κἀν τούτοις, ἔνιοι μὲν ἄνευ διορισμοῦ γεγράφασι τὰς χρήσεις τῶν φαρμάκων, εἰπόντες ὅτι πρὸς ὀδύνην ἐπιτήδειόν ἐστιν, οὐκ ἐπιπροσθέντες ἐπὶ τίνι διαθέσει τῆς ὀδύνης γινομένης. ἔνιοι δὲ καὶ τὰς διαθέσεις ἔγραψαν, οἱ μὲν ἐμπειρικώτερον, οἱ δὲ λογικώτερον. ἐμπειρικώτερον μὲν, ὅσοι τοῖς φαινομένοις ἐναργῶς κατὰ τοὺς ὀφθαλμοὺς σημείοις, τὸν διορισμὸν ἐποιήσαντο· λογικώτερον δὲ, ὅσοι τοῖς ἀμυδρῶς φαινομένοις, ἢ μηδ᾽ ὅλως φαινομένοις. B ἐναργῶς μὲν γὰρ φαίνεται ῥεῦμα πολὺ καὶ ὀλίγον, ἀδῆκτόν τε καὶ δακνῶδες, ἔρευθός τε πλέον, ἢ ἔλαττον, ὥσπερ γε καὶ φλέβες, ὀλίγου τε καὶ πολλοῦ πλήρεις αἵματος, ὅ, τε τῆς φλεγμονῆς ὄγκος ἐλάττων, ἢ μείζων, ὥσπερ καὶ αἱ ποικιλίαι τῶν παρὰ φύσιν χρωμάτων, αἵ τε διεξιοῦσαι λῆμαι πλείους, ἢ ἐλάττους, ἢ μικρότεραι, ἢ μείζους. φαίνονται δ᾽ ἐναργῶς ἡμῖν, καὶ αἱ γινόμεναι τραχύτητες ἐν τοῖς βλεφάροις τῶν ὀφθαλμῶν. τί δὲ δεῖ λέγειν, ὅτι καὶ τὰ ἕλκη, καὶ αἱ φλύκταιναι, κατά τε τοὺς τόπους, καὶ τὰ μεγέθη διαφορὰς οὐκ ὀλίγην ἔχουσιν, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, καὶ καθ᾽ ἕτερον γε τρόπον, ἐκ τῶν φαινομένων ἐναργῶς εἰσι, καὶ αἱ ὀδύναι. διαφέρει γὰρ οὐδὲν, ἄν θ᾽ ἡμῖν, ἄν τε τοῖς κάμνουσι φαίνωνται. καὶ γὰρ ὅτι ἀλγοῦσιν, καὶ ὅπως ἀλγοῦσι, δῆλον, ὅτι μετὰ θλίψεως, ἢ τάσεως, ἢ σφηνώσεως, ἢ διαβρώσεως, ἢ τινῶν σφυγμῶν,

ἀλγοῦσιν, ἡμῖν σαφῶς ἐνδείκνυται. οὐ φαίνονται δ' οἱ τοιοῦτοι A διορισμοὶ, καθάπερ ἔνιοι γράφουσιν περὶ ῥεῦμα. τὸ δὴ ἀπὸ τῶν ἔνδον τοῦ κρανίου, περὶ ῥεῦμα τὸ ἀπὸ τῶν ἐκτὸς, ἢ νὴ Δία, τὸ ἀπὸ τῶν ἀρτηριῶν, ἢ τῶν φλεβῶν χορηγούμενον. ὅταν τε λέγωσί τινες ἔντασιν, ἢ σφήνωσιν ἐν τῷ βάθει τῶν ὀφθαλμῶν εἶναι χυμῶν παχέων, ἢ γλίσχρων, ἢ πολλῶν, οὐδὲν τούτων σύμπτωμα βαρύνει τοὺς κάμνοντας, ὡς ὀδύνη σφοδρὰ καθ' ὁποιονοῦν μόριον, οὐ γὰρ δὴ κατ' ὀφθαλμούς γε μόνους γινομένη, ὥστε καὶ ἀποθανεῖν εἵλοντό τινες ἄμεινον εἶναι, τοῦτο παθεῖν ἡγησάμενοι τοῦ δι' ὅλης ἡμέρας ἀνέχεσθαι τῆς ὀδύνης. ἐμοὶ δὲ ἐν ἄλλοις τέ τισι, καὶ τῷ δωδεκάτῳ τῆς θεραπευτικῆς μεθόδου, γέγραπται B σαφῶς καθόλου περί τε τῆς διαφορᾶς τῶν διαθέσεων ἐφ' αἷς ὀδυνῶνται σφοδρῶς, ἥ τε αἰτία ἑκάστης αὐτῶν. γέγραπται δὲ κἀν τῷ τρισκαιδεκάτῳ τῆς θεραπευτικῆς μεθόδου, πάντα ὅσα γε χρὴ περὶ τῶν ἐν ὀφθαλμοῖς διαθέσεων ἐπίστασθαι τὸν ἰατρὸν, εἰς τὰς ἰάσεις αὐτῶν ἀναγκαῖα. λεχθήσεται δὲ καὶ νῦν ἐν κεφαλαίοις βραχέσιν, ὅσον αὐτῶν εἰς τὰ παρόντα χρήσιμον ὑπάρχει, τουτέστιν ὅσα συνῆπται τῇ τῶν ὑλῶν διδασκαλίᾳ. καὶ γὰρ ὀποὶ, καὶ χυμοὶ, καὶ σπέρματα, καὶ καρποὶ, καὶ μόρια φυτῶν, ἐμβάλλεται ταῖς ὀφθαλμικαῖς δυνάμεσιν, ὥσπερ γε καὶ τῶν μεταλλικῶν ὀνομαζομένων οὐκ ὀλίγα. τὰ μὲν ἐσχάτως αὐστηρὰ, C καὶ στρυφνὰ, καὶ δριμέα, τὰ δὲ μετριώτερα μὲν τούτων, ὅμως δ' οὖν ἰσχυρὰ, καθάπερ γε καὶ ἀδηκτότατά τινα ταῖς πλύσεσι γεγονότα.

Περὶ ἀδήκτων φαρμάκων.

Πομφόλυξ οὖν πεπλυμένος, οὐδενὸς ἀπολείπεται τῶν ἀδηκτοτάτων φαρμάκων, καὶ διὰ τοῦτο αὐτῷ χρώμεθα, πρός τε τὰ λεπτὰ καὶ δριμέα ῥεύματα, προκεκενωμένης δηλονότι τῆς κεφαλῆς ἅμα τῷ παντὶ σώματι. τὸ μὲν οὖν ὅλον σῶμα πρόδηλον, ὅτι διὰ φλεβοτομίας τε καὶ καθάρσεως ἐκκενοῦμεν, D ἀποφλεγματισμοῖς δὲ τὴν κεφαλήν. δύναται γὰρ ὁ πεπλυμένος πομφόλυξ, ὥσπερ καὶ τὸ σπόδιον, καὶ τὸ ἄμυλον ἅμα μὲν καὶ ξηραίνειν μετρίως ὑγρότητας, ἅμα δὲ καὶ κωλῦσαι κενοῦσθαι διὰ τῶν χιτώνων, τὴν ἐν τοῖς τελείοις ἀγγείοις αὐτῶν περιεχομένην ὑγρότητα περιττήν, ὡς ὅταν γε πρὶν κεκενῶσθαι τὴν κεφαλὴν, ἐπιρρεόντων ἔτι τοῖς ὀφθαλμοῖς ὑγρῶν, ἐμφρακτικοῖς χρήσαιτό τις φαρμάκοις, ὀδύνην τε σφοδρὰν ἐργάσεται διατεινομένων τῶν χιτώνων, καὶ ὑπὸ τοῦ πλήθους τῶν περιρρεόντων ὑγρῶν, καί ποτε ῥῆξιν, ἢ διάβρωσιν αὐτῶν ἐμποιεῖ. ἐκ τοῦ αὐτοῦ δὲ γένους ἐστὶ τοῖς εἰρημένοις E φαρμάκοις, τὸ λεπτὸν ὑγρὸν τὸ ἐν τοῖς ὠοῖς, ἔχον ἐκ περιττοῦ τὸ ἀποπλύνειν τὰς ὑγρότητας. ἐπαλείφειν τε τὰ τραχυνθέντα, τὸ δὲ ἐμφράττεσθαι τοῖς κατὰ λεπτὸν πόροις, ὁμοίως ἐκείνοις οὐκ ἔχει, καθάπερ οὐδὲ τὸ ξηραίνειν. ὁ μέντοι τῆς τήλεως χυλὸς, ὅσον μὲν ἐπὶ τῇ γλισχρότητι, παραπλήσιός ἐστι τῇ λευκῇ τῶν ὠῶν ὑγρότητι. διαφορητικῆς δέ ἐστι δυνάμεως, ὥσπερ δὴ καὶ μετρίως θερμαντικῆς, καὶ διὰ τοῦτο πολλὰς τῶν ὀδυνῶν εἴωθε πραΰνειν.

Περὶ τῶν δριμέων.

Ἐναντιωτάτη δὲ τῇ τούτων ὕλῃ κατὰ γένος ἐστὶν, ἡ τῶν F δριμέων ὀπῶν, οἷον τοῦ τε Κυρηναίου, καὶ Μηδικοῦ, καὶ σαγαπηνοῦ, καὶ εὐφορβίου, καὶ ἁπλῶς εἰπεῖν, ἡ τῶν θερμαινόντων σφοδρῶς, ἄνευ τοῦ τραχύνειν, οὐ μόνον ἐν ὀποῖς, ἀλλὰ καὶ ἐν χυλοῖς, καὶ ἐν σπέρμασιν, καὶ ἄνθεσι, καὶ καρποῖς φυτῶν περιεχομένη.

dolēt, nobis apertè denūciat. Cæterùm eiusmodi discrimina non apparent (velut aliqui scribūt) ad fluxum, qui ab iis, quæ intra cranium sunt; aut ad fluxū, qui ab iis, quæ extra cranium sunt; aut etiam per Iouē ad eum, qui ex arteriis, aut ex venis affertur. Et quum quidam dicāt distensionē, aut obturationē in profundo oculorū esse, humoribus videlicet crassis, aut viscosis, aut multis impactis, nullū symptoma adeo ægros grauat, velut vehemens dolor circa quodcūq; tādē mēbrū, non sanè circa oculos solos, adeo vt mortē aliqui vltrò elegerint, melius fore rati hāc semel obire, quā vnū integrū diem dolorē ferre. Ego verò cū in aliis quibusdā, tum 12. de curādis morbis Methodi in vniuersum manifestè scripsi, tū de differētia affectuū. in quibus vehemēter dolēt, tū quæ causa vniuscuiusque ipsorū existat. Scripsi item in 13. eiusdē operis omnia, quæ necesse est medicū de oculorū affectibus nosse, & quæ ad ipsorū curationes requirūtur. Referam nihilominus tamen & nunc breuibus capitibus tantùm repetitis eorum, quæ ad præsentem tractationem vtilia sunt, hoc est, eorum quæ cum materiæ medicæ doctrina cohærent. Nam & liquores, & succi, & semina, & fructus, & plantarum particulæ ocularibus cōpositionibus induntur, veluti etiam non pauca ex iis, quæ metallica appellātur, aliqua quidem extremè austera, & acerba, atque acria; aliqua verò his moderatiora, & tamen fortia; quemadmodum item aliqua omnia mordacitatis expertia, ac lenissima per lotionem reddita.

De medicamentis mordacitatis expertibus.

Pompholyx igitur lota nulli medicamentorum mordacitatis expertium inferior est; atque ob id ea vtimur ad tenues, & acres fluxiones, capite videlicet prius, simulque vniuerso corpore euacuato. At verò manifestum est, quòd per venæ sectionem, ac purgationem totum corpus euacuamus, per apophlegmatismos verò caput à pituita vindicamus. Potest enim pompholyx lota, quemadmodum etiam spodium, atque amylum, simul & moderatè humores resiccare, simulque ne per tuniculas euacuetur ea, quæ in magnis ipsorum venis superflua humiditas continetur, prohibere. Quare si quis priùs, quàm caput ab humoribus ad oculos defluentibus expurget, obstruentibus medicamentis vtatur, vehementem dolorem ex distentis tunicis efficiet, & ex multitudine influentium humorum aliquando rupturam, aut erosionem ipsorum inducet. Eiusdem generis cum prædictis medicamentis subtenuis ouorum liquor existit, ex redundanti potens humiditates abluere, & exasperata oblinere. Verùm obturandi meatus vim cum illis æqualiter non habet, sicut neque vim resiccandi. Atqui fœnigræci succus, quod ad viscositatem attinet, similis est albo ouorum liquori; discussoriam autem habet facultatem, & moderatè calefactoriam, atque ob id multos dolores mitigare consueuit.

De medicamentis acribus.

Prædictorum medicamentorum syluæ secundum genus maximè contraria acrium liquorum materia est, veluti liquoris Cyrenaici, & Medici, & sagapeni, & euphorbij, atq; simpliciter loquendo, omnium vehementer calefacientium citra exasperationem. Atque hæc ipsa sylua non solùm in liquoribus, sed & in succis, & seminibus, & floribus, & plantarum fructibus continetur.

De extergentibus.

Tertio consequenter post prædictas, fortis facultas est extergentium medicamentorum, qualis squamæ æris est, & chalcitidis vstæ, & æris vsti, itemque floris eius, & misyos, ac soreos, itemque stibij.

De putrefacientibus.

His adhuc aliud quid genus adiacet, putrefacientium videlicet, quale est auripigmentum, & sandaracha, & Asiæ petræ flos; participat, & misy paululum eiusmodi facultate.

De astringentibus.

Est & aliud genus medicamentorum, quod in oculares compositiones inijcitur, eorum videlicet, quæ natura astringũt. Quæ igitur mediocriter hãc vim habẽt, influxiones repellunt; quæ verò vehementer ampliorẽ dolorẽ infligunt, tunicas exasperando, quàm iuuant influxionũ impetu repellendo. Miscetur autem aliquando vtiliter ex eis parũ quid in compositiones oculorum aciem exacuentes, vtpote, quæ oculorum substantiam cogant, & astringant. Verùm quæ mediocriter astringũt, lippitudinibus commodissima existunt: cõferunt autem, & reliquis ferè omnibus affectionibus cùm vlcerum, tum pustularum, tum fluxionum. Sunt verò eiusmodi, folia rosarum, & flores, & succus, ericæque fructus, & nardi spica, ampliusq; & malabathri folium, & crocus, & lycium, & quæ hypocystis appellatur. Porrò vehementiorem his astringendi vim acacia habet, & omphacium, quæ & ipsa in succorum genere numerantur; item balaustium, & cytini, & gallæ omphacitides, ex genere eorum sunt, quæ multum astringunt.

De concoquentibus.

Inflammationes itemque alios affectus concoquunt hæc, myrrha, crocus, castorium, & thus, & fœnigræci cocti succus; quæ etiam discussoria vi prædita sunt, & presertim ex eis myrrha. Atq; hęc quidẽ est ocularium medicamentorum sylua. Et quicunq; sanè naturali intelligẽtia præstãt, ratiocinationeq; exercitati sunt, nihil amplius opus habẽt mea instructione, potentes nimirum ad singulas oculorũ affectiones aptum cõponere medicamentum. Quandoquidem verò pauci tales existunt, & multorum vtilitatis potiorem rationẽ habere conuenit, præstabilius mihi visum est compositionis ipsorum rationem integrè recensere, vbi repetiuero priùs, perspicuitatis gratia, cõmunem in genere vim singulorũ quorum mentionẽ feci medicamentorum; quæ vniuersim quidem in quinto de simplicium medicamentorũ tractatione commentario à me relata est, & per consequentes sex libros particulatim vsq; ad extremũ. Vtar autem appellationibus facultatum in medicamentis, iisdẽ quas in prædicta tractatione posui; velut exempli clarioris gratia: quædam substantia terrestri dico, citra refrigerationem manifestam, aut caliditatẽ, in medio quodammodo vtriusq; consistentia: atque ex his aliqua quidem parum quid ex frigiditate, aut caliditate complectuntur, aliqua verò in totum nullam eiusmodi facultatem ex se ostendunt. Totum autem hoc genus medicamentorum emplasticum appellari, cõtrariam habens facultatem ecphracticis *id est obstruentibus*, qualis est samius aster,

A Περὶ τῶν ῥυπτικῶν.

Τρίτη δ' ἐπὶ ταῖς εἰρημέναις ἐστὶν ἰσχυρὰ δύναμις, ἡ τῶν ῥυπτικῶν φαρμάκων, ὁποία χαλκοῦ τε λεπίς ἐστι, καὶ ἡ κεκαυμένη χαλκῖτις, ὅ,τε κεκαυμένος χαλκὸς, ὥσπερ δὴ καὶ τὸ ἄνθος αὐτοῦ, καὶ τὸ μίσυ, καὶ τὸ σῶρυ, καὶ τὸ στίμμι.

Περὶ τῶν σηπτικῶν.

Καὶ παρακείμενον ἄλλο γένος τούτοις ἐστὶ τὸ τῶν σηπτικῶν, ὁποῖόν ἐστιν ἀρσενικόν τε καὶ σανδαράχη, τό τε τῆς Ἀσίας πέτρας ἄνθος· B ἐπ' ὀλίγον δὲ τῆς τοιαύτης δυνάμεως, καὶ τῷ μίσυ μέτεστιν.

Περὶ τῶν στυφόντων.

Ἄλλο δὲ γένος ἐστὶ φαρμάκων, εἰς τὰς ὀφθαλμικὰς δυνάμεις ἐμβαλλομένων, ὅσα στύφειν πέφυκεν. τὰ μὲν οὖν μετρίως τοιαῦτα τὰς ἐπιῤῥοὰς ἀποκρούεται, τὰ δὲ σφόδρα πλέον ὀδυνᾷ, τραχύνοντα τοὺς χιτῶνας, ἢ τὴν τῶν ἐπιῤῥεόντων ὁρμὴν ἀναστέλλει. μίγνυται δέ ποτε χρησίμως αὐτῶν ὀλίγον, ταῖς καλουμέναις ὀξυδερκέσι δυνάμεσι συνάγοντα, καὶ σφίγγοντα τὴν οὐσίαν τῶν ὀφθαλμῶν. τὰ δὲ μετρίως στύφοντα, χρησιμώτατα μέν ἐστι ταῖς καλουμέναις ὀφθαλμίαις. C χρήσιμα δὲ καὶ ταῖς ἄλλαις σχεδὸν ἁπάσαις διαθέσεσιν ἑλκῶν τε καὶ φλυκταινῶν, καὶ ῥευμάτων. ἔστι δὲ τοιαῦτα, ῥόδων φύλλα, καὶ ἄνθη, καὶ χυλὸς, ἐρείκης τε καρπὸς, ὅ, τε τῆς νάρδου στάχυς, ἔτι τε τὸ τοῦ μαλαβάθρου φύλλον, ὅ,τε κρόκος, καὶ τὸ λύκιον, ἥ θ' ὑποκυστὶς ὀνομαζομένη. σφοδροτέρας δὲ τούτων στύψεως, ἥ τε ἀκακία μετέχει, καὶ τὸ ὀμφάκιον τοῦ γένους τῶν χυλῶν ὄντα καὶ αὐτά, καὶ τὸ βαλαύστιόν τε, καὶ οἱ κύτινοι, καὶ αἱ κηκίδες, αἱ ὀμφακίτιδες τοῦ γένους εἰσὶ τῶν ἰσχυρῶς στυφόντων.

D Περὶ πεπτικῶν.

Πεπτικὰ δὲ φλεγμονῶν τε, καὶ τῶν ἄλλων διαθέσεών ἐστι φάρμακα, σμύρνα, καὶ κρόκος, καὶ καστόριον, καὶ λιβανωτὸς, ὅ, τε τῆς τήλεως ἑψηθείσης χυλὸς, ἅπερ καὶ διαφορεῖν πέφυκε, καὶ μάλιστα ἡ σμύρνα. τοιαύτη μὲν ἐστὶν ἡ τῶν ὀφθαλμικῶν ὕλη, καὶ ὅσοι γε φύσει συνετοὶ τυγχάνουσιν ὄντες, ἐγυμνάσαντό τε τὸν λογισμὸν, οὐδὲν ἔτι δέονται τῆς παρ' ἐμοῦ διδασκαλίας, αὐτοὶ δυνάμενοι πρὸς ἕκαστον πάθημα τῶν ἐν ὀφθαλμοῖς γινομένων, ἐπιτήδειον συντιθέναι φάρμακον. E ἐπεὶ δὲ ὀλίγοι μὲν εἰσι τοιοῦτοι, στοχάζεσθαι δὲ χρὴ καὶ τῆς τῶν πολλῶν ὠφελείας, ἄμεινον ἔδοξέ μοι τὸν περὶ συνθέσεως αὐτῶν λόγον ὁλοκλήρως διελθεῖν, ἐπαναλαβόντι πρότερον ἕνεκα συνόψεως, ὧν ἐμνημόνευσα φαρμάκων ἑκάστου, τὴν κοινὴν κατὰ γένος δύναμιν, εἰρημένην μὲν καθόλου κατὰ τὸ πέμπτον ὑπόμνημα τῆς τῶν ἁπλῶν φαρμάκων πραγματείας, καὶ διὰ τῶν ἐφεξῆς δὲ κατὰ μέρος ἐν ἓξ βιβλίοις, ἄχρι τοῦ τελευταίου. χρήσομαι δὲ ταῖς προσηγορίαις τῶν ἐν τοῖς φαρμάκοις δυνάμεων, ἃς ἐθέμην ἐν τῇ προειρημένῃ πραγματείᾳ ἕνεκα σαφηνείας. ἔνια μὲν εἶναι F λέγων γεώδη ταῖς οὐσίαις, ἄνευ ψύξεως ἐπιφανοῦς, ἢ θερμασίας ἐν τῷ μέσῳ πως τούτων καθεστηκότα, κἄπειτα αὐτῶν ἔνια μὲν βραχύ τι ψύξεως, ἢ θερμασίας μετέχοντα. ἔνια δὲ ὅλως οὐδεμίαν ἐμφαίνοντα τοιαύτην δύναμιν. ὅλον δὴ αὖ τὸ γένος αὐτῶν ἐμπλαστικῶν φαρμάκων ὠνόμασα, δύναμιν ἐναντίαν ἐχόντων τοῖς ἐκφρακτικοῖς, ὁποῖος ὅ, τε Σάμιος ἀστήρ ἐστι,

A λεπτομερέστερος ὢν τῆς ἁπλῆς, οὕτως ὀνομαζομένης Σαμίας γῆς, ὅ,τε πεπλυμένος πομφόλυξ, ὥσπερ γε καὶ ἡ σποδὸς αὐτοῦ πλυθεῖσα, καὶ ἡ καδμεία κεκαυμένη, καὶ πεπλυμένη. δοκεῖ δέ μοι αὐτῇ μὲν, ἔτι βραχύ τι ῥυπτικὸν ὑπάρχειν, ἐάν τε μετὰ τὴν καῦσιν, ἐάν τε χωρὶς ταύτης πλυθῇ. τῇ πομφόλυγι δὲ, καὶ τῷ σποδίῳ, βραχύ τι στυπτικὸν, ὥσπερ γε καὶ τῷ μολύβδῳ μετὰ τὸ καυθῆναι, καὶ πλυθῆναι. καὶ γὰρ καὶ τοῦτο τὸ φάρμακον, ἀδηκτότατον μὲν ἐστιν, ἔχει δὲ βραχύ τι στύψεως. εἴτε δὲ ἀρσενικῶς καλεῖν ἐθέλοις, εἴτε θηλυκῶς τὴν πομφόλυγα, διήνεγκεν οὐδέν. ὥσπερ B γε καὶ τὸ ἄμυλον, ὃ καὶ αὐτὸ πλυθὲν, ἀκριβῶς ἐστιν ἀδηκτότατόν τε καὶ μέσον, ὡς μήτε στύψιν ἔχειν, μήτε δριμύτητα, τουτέστι μήτε ψύξεως, μήτε θερμότητος μετέχειν. καὶ τὸ ψιμμύθιον δὲ πλυθὲν, ἔγγιστα τῇ δυνάμει τοῦ κεκαυμένου καὶ πεπλυμένου μολύβδου ἐστί. σαφές τε διὰ τῆς στύψεως ἐνδεικνύμενον γνώρισμα τελέως ἄποιον, ὡς πρὸς τὴν γεῦσίν τε, καὶ ὄσφρησιν φαινόμενον, τῆς τε ἀμύλου, καὶ Σαμίου ἀστέρος. ἅπαν δὴ οὖν τὸ τῶν τοιούτων γένος φαρμάκων, ἐάν τε βραχεῖαν ἐμφαίνῃ ποιότητα κατὰ γεῦσιν, ἢ ὀσμὴν, ἐάν τε μηδ᾽ ὅλως ἐμφαίνῃ, παραπλησίως τοῖς καθαρωτάτοις ὕδασιν, ἄποιον καλεῖται, καὶ μόνον τῷ γεώδει τῆς οὐσίας, C ξηραίνειν πέφυκε μετρίως. διὸ καὶ χρόνῳ πλείονι, τὴν ἀφ᾽ ἑαυτῶν ὠφέλειαν αἰσθητὴν ἐργάζεται, κατὰ τὰς πρώτας ἡμέρας οὐδὲν ὀνινάναι δοκοῦντα. προσφερόμενα δ᾽ ὅμως ὑπὸ τῶν ἰατρῶν, ὡς ἀδηκτότατα, κατὰ τὰς δυσιάτους διαθέσεις, ἐν αἷς ἕλκος ἐστὶν, ἤτοι μόνον, ἢ καὶ μετὰ διαβρώσεως, τοῦ τε κερατοειδοῦς χιτῶνος, καὶ προπτώσεως τοῦ ῥαγοειδοῦς, ἐκρεόντων ἰχώρων δακνωδεστάτων. ἐπὶ τούτων γὰρ, οὐδὲν τῶν ἄλλων φαρμάκων ἁρμόττειν δύναται. τῶν μὲν στυφόντων, κατεχόντων τοὺς ἐκρέοντας ἰχῶρας, καὶ κατὰ τοῦτο, τὴν ἐκ τῆς δήξεως αὐτῶν ὀδύνην ἐπιτεινόντων, τῶν δὲ δρι- D μέων συναυξανόντων τὴν διάθεσιν, ἐάν τε ἐν τοῖς ὀφθαλμοῖς ᾖ μόνοις, εἰς καχεξίαν τινὰ τῶν ἀφιγμένων τῶν μορίων, ὡς διαφθείρειν τὸ ἐπιρρέον, ἐάν τε καὶ αὐτὸ τὸ ἐπιρρέον μοχθηρὸν ᾖ, ἢ διὰ τὴν κεφαλὴν μόνην, ἢ καὶ ὅλον τὸ σῶμα τοιοῦτον ὑπάρχον, ὅθεν καὶ προπαρασκευάζομεν εἰς τὴν ἴασιν ἐπιτήδειον τὸ πεπονθὸς μόριον, ὅλου τε τοῦ σώματος ταῖς καθάρσεσι, καὶ ταῖς ἀντισπάσεσι, πρώτοις μὲν ταῖς κάτω τοῦ σώματος, ἔπειτα δὲ, καὶ ταῖς ἐπὶ τὸ ἰνίον τε, καὶ τὸ δέρμα τῆς κεφαλῆς. χρώμεθα δὲ καὶ ἀρτηριοτομίαις ἐνίοτε, E τέμνοντες τὰς ὄπισθεν τῆς κεφαλῆς, περὶ τὰ ὦτα τεταμένας ἀρτηρίας, ἐκκόπτοντές τε μέρος τῶν ἐν τοῖς κροτάφοις, ὡς μόνον ἡμᾶς ἔτι θεραπεύειν τὴν ἐν τοῖς χιτῶσι τῶν ὀφθαλμῶν γεγενημένην διάθεσιν, ἐφ᾽ ἧς, καὶ τὸ διὰ τῶν φλεβῶν, ἐπ᾽ αὐτοὺς παραγινόμενον αἷμα χρηστὸν διαφθείρεται. πρὸς ταύτας οὖν τὰς διαθέσεις ἁρμόττειν μόνας φαίνεται. τὸ τῶν προειρημένων φαρμάκων γένος, ἀδήκτως ξηραῖνον τὴν ἐν τῷ πεπονθότι μορίῳ κακοχυμίαν, ἥτις, ὡς ἐλέχθη, διαφθείρει τὸ ἐπιρρέον. ἡ μὲν γὰρ τῶν στυπτικῶν δύναμις, οὔτε ξηραίνει τὴν τοιαύτην διάθεσιν, ἐπέχει τε τῶν δακνωδῶν ἰχώρων τὰς ἐκροάς. ἡ δὲ τῶν θερμῶν καὶ δριμέων, οὐ μόνον οὐδὲν ὀνίνησιν, F ἀλλὰ καὶ συναυξάνει τὴν ποιότητα τῶν δακνωδῶν χυμῶν, ἡ δὲ τῶν χαλαστικῶν τε καὶ διαφορητικῶν φαρμάκων δύναμις, ἐκκενοῦν μὲν δύναται τὸ γινόμενον, οὔτε δὲ τὸ ἡλκωμένον ἀναστρέφειν, ἢ ἐπουλοῦν, οὔτε τὸ προπεπτωκὸς προστέλλειν τε καὶ κατακλείειν. ὥσπερ οὐδὲ ἡ τῶν πεπτικῶν,

magis tenuium partium existens, quàm quæ simpliciter Samia terra appellatur; & pompholyx lota, velut etiam cinis eius lotus, & cadmia vsta, ac lota. Videtur autem mihi parum quid extersorium in ipsa cadmia inesse, siue post vstionem, siue citra eam lauetur. Pompholygi verò, & spodio parum quid astringens inest; quemadmodũ etiam plumbo post vstionem, & lotionem, nam & hoc medicamentum omnis acrimoniæ expers est, parum quid astringens habens; neque refert, siue masculino, siue muliebri genere pompholygẽ dicere velis. Eodẽ modo etiam amylũ habet; quod & ipsum lotum exquisitè mordacitatis expers est, & medium, vt neque astrictionem, neque acredinem habeat, hoc est, neque frigiditate, neque caliditate participet. Quin & cerussa lota proximè ad facultatem vsti, ac loti plumbi accedit; manifestumque signum stringenti exhibetur, quòd penitus qualitatis omnis expers sit, id quod amylum, & samius aster, gustu, & odore ostendunt. Vniuersum igitur huiusmodi medicamentorum genus, siue exiguam in gustu, aut odore qualitatem exhibeat, siue penitus nullam ostendat, consimiliter, vt purissima aqua qualitatis expers nominatur, & per solam terrestrem substantiam moderatè à natura resiccat. Quapropter etiam longiori tempore commoditatem ex se proficiscentem sensui perceptibilem faciunt, vtpote quæ per primos dies nihil iuuisse putentur. Adhibentur tamen à medicis tanquam acrimoniæ expertia circa ægrè curabiles affectus, in quibus vlcus est, siue solum, siue cum erosione corneæ tunicæ, & prolapsu rhagoeidis, serosis humoribus longè mordacissimis affluentibus: In his enim nullum aliud medicamentum conuenire potest, vtpote quum astringentia cohibeant effluentes humores, atque per hoc dolorem ex mordacitate ipsorum obortum intendant. Acria verò affectionem simul adaugeant, siue in solis oculis affectio sit, in eiusmodi malum habitum partibus perductis, vt quod influit corrumpant; siue etiam ipsum, quod influit, vitiatum sit, aut propter solum caput, aut etiam ob totum corpus, tale existens. Vnde etiam affectam partem, quò ad curationem apta fiat, præparamus, tum totius corporis purgationibus, tum reuulsionibus, primùm quidem ad infernam corporis partem, deinde etiam ad occiput, & capitis cutem. Vtimur etiam sectionibus arteriarum quandoque retrò caput, porrectas iuxta aures arterias incidentes. Excidimus quoque partem arteriarum in temporibus, tantùm vt curemus in tunicis oculorum factum affectum, ob quem etiam bonus sanguis per venas ad ipsas tunicas delatus corrumpitur. Ad hos igitur affectus solos conuenire videtur prædictorum medicamentorum genus, citra mordacitatem resiccans in affecta parte vitiatos humores, qui vt dictum est, id quod influit, corrumpunt. Astringentium enim facultas, neque resiccat talem affectum, cohibetque mordacium humorum serosorum effluxus. Calidorum verò, & acrium facultas, non solùm nihil iuuat, sed etiam simul auget mordacium humorum qualitatem. At verò relaxantium, ac discussoriorum medicamentorum vis euacuare quidem potest, quod generatur; verùm vlceratum neque renutrire, aut ad cicatricem perducere potest, neque quod procidit retrudere, & concludere. Quemadmodum etiam neque concoquentium facultas id præstare potest,

etiam si cõcoquere affectus non paruum cõmodũ cõplectatur. Ex eorum verò genere sunt crocus, myrrha, & thus, quemadmodum dixi. Quid porrò dicere refert de his medicamentis, quæ acidas, aut amaras habent vires, quod mordacia, & exacerbatiua eiusmodi affectuum existãt? Verùm his adhuc ampliore malitia prædita sunt, quæ nitrosam, aut salsam, aut austerã vim habent. Reliquũ igitur est genus id, quod vlcera cum acri fluxione curare potest, eorũ videlicet, quę paulò ante mordacitatis expertia medicamenta dixi, quæ longiori tẽpore affectæ partis vitiatũ humorẽ consumunt. Appellantur talia à medicis collyria libiana, & cygni, ob colorem quidem album, qualem etiam cygni habent, præualente in ipsis amylo, & terra samia, ac cerussa rhodiaca. Nam & aliàs optima hæc est, & colore albidior, ac leuior, magisque tenuium partium, quàm quæ in alio quopiam loco cõficiantur. Cæterùm in quibus alia medicamenta prædominantur, colorem iuxta suam ipsorum substantiam efficiunt, veluti si quis albo colori paucum cœruleum admisceret. Hæc ipsa verò collyria quidam in cotibus terũt boni succi lacte ex nutricum vberibus instillato, vt obductoriam meatuum vim, quæ in ipsis ouis est euitent, quum in lacte serosa quædam extersoria vis cõtineatur, cuius vsus congruens est ad propositam curationem. Relatum enim in tertio curandi methodi est, quod vlcera explenda citra acrimoniam extergentibus medicamentis opus habent. Quod si huiusmodi lac haberi nequeat, per fœnigræci decoctum collyria terere præstiterit, vtpote quod extersoriam quandam vim habet, qua oua ipsa in totum carent.

A εἰ καὶ τὸ πέττειν τὰς διαθέσεις, ἀγαθὸν οὐ σμικρὸν ἔχει. κρόκος δέ ἐστιν, ὡς ἔφην, καὶ σμύρνα, καὶ λιβανωτὸς ἐκ τῶν τοιούτων φαρμάκων. τί δεῖ λέγειν ἔτι περὶ τῶν ὀξείας, ἢ πικρὰς ἐχόντων δυνάμεις φαρμάκων, ὡς δακνώδη τε, καὶ παροξυντικὰ τῶν τοιούτων ἐστὶ διαθέσεων, ἐπὶ πλέον δὲ αὐτῶν ἥκει κακίας, τὰ νιτρώδη δύναμιν, ἢ ἁλμυρὰν, ἢ αὐστηρὰν ἔχοντα. τὸ λοιπὸν οὖν ἐστι γένος ἐκ θεραπεύειν δυνάμενον ἕλκη μετὰ ῥεύματος δριμέος, ὅσα δῆλον ὅτι ἀδήκτων φαρμάκων, ἐν πλέονι χρόνῳ τὴν κακοχυμίαν τοῦ πεπονθότος μορίου ἐκδαπανῶντα. καλεῖται δὲ παρὰ τῶν ἰα-
B τρῶν, τὰ ταῦτα κολλύρια λιβιανὰ, καὶ κύκνοι. διὰ μὲν τὴν χρόαν λευκὴν οὖσαν, ὡς οἱ κύκνοι, κρατοῦντος ἐν αὐτοῖς ἀμύλου τε, καὶ γῆς Σαμίας, καὶ ψιμμυθίου τοῦ ῥοδιακοῦ. καὶ γὰρ καὶ ἄλλως ἄριστον τοῦτο, καὶ τῇ χρόᾳ λευκότερόν τε καὶ κουφότερον, καὶ λεπτομερέστερον τῶν ἐν τῷ ἑτέρῳ τινὶ χωρίῳ γινομένων. ἐν οἷς δὲ ἐπικρατεῖ τὰ ἄλλα φάρμακα, τὴν χρόαν ἐργάζεται κατὰ τὴν ἑαυτῶν οὐσίαν, ὥσπερ εἴ τις τῷ λευκῷ χρώματι μίξειεν ὀλίγον κυανοῦ. ταῦτα δὲ τὰ κολλύρια, διὰ τοῦτο ἀποτρίβουσί τινες ταῖς ἀκόναις ἐπιστάζοντες ἐκ τῶν τιτθῶν εὔχυμον γάλα, ὅτι βούλονται φυλάττεσθαι τὸ τῶν ὠῶν ἐμπλα-
C στικόν. ἐν δὲ τῷ γάλακτι περιεχομένου τινὸς ὀρρώδους ῥυπτικοῦ, σύμμετρος ἡ χρῆσις αὐτοῦ γὰρ τῇ προκειμένῃ θεραπείᾳ. δέδεικται γὰρ ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου, ῥυπτικῶν ἀδήκτων δεόμενα τὰ πληρωθησόμενα τῶν ἑλκῶν. εἰ δὲ μὴ παρείη γάλα τοιοῦτον, διὰ τοῦ τῆς τήλεως ἀφεψήματος, ἄμεινον ἀποτρίβειν τὰ κολλύρια, ῥυπτικὸν ἐχούσης τι καὶ ταύτης, ὃ μηδὲ ὅλως μέτεστι τοῖς ὠοῖς.

CAPVT II.

De palpebrarum scabritiis.

QVum ægrè curabiles prædicti affectus existant, adhuc molestiùs se extendunt, vbi accesserint scabritiæ palpebrarum, à quibus etiam in lippitudinibus oculorum tunicæ concisæ dolore affliguntur. Verùm in illis audemus ad inflammationis propria medicamenta miscere paulum quid de extergentibus, velut est collyrium ex vino scabritiis accommodatum, quò primum ea, quæ palpebris succreuerint, deprimãtur; vbi verò inflammatio oculorum mitior euaserit, aspritudines repurgentur. In his verò qui vlcus habent cum mordaci fluxione, impossibile est eiusmodi vti medicamento; cornea enim tunica amplius erodetur, & ragoeides magis procidet, & vehemens dolor hominem apprehendet, augebiturque malignitas fluxionis. In huiusmodi itaque affectuum complexu medici ad consilij inopiam redacti, solùm remedium velut in desperatis repererunt, vt palpebras ipsas inuersas citra medicamentorum vsum repurgent, & abstergant, aliqui quidem specilli concauo superficiem deradentes, deinde molli spongia, id quod defluit excipientes, palpebrasque, quod ad reliquum aspritudinis, ad æqualitatẽ redigẽtes. Aliqui verò etiam marinorum quorundam animalium coria in superficie aspera in eiusmodi vsum congrue assumunt. Quidam ex præceptoribus meis etiam ex pumice collyrium fecit, atque eo versis palpebris aspritudines deradebat. Manifestum est autem pumicem exquisitè leuigatum esse oportere, atque vbi id factum fuerit, cum tragacantha, aut gummi in collyrium formari.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τραχωμάτων.

D Τούτων δὲ δυσιάτων τῶν εἰρημένων διαθέσεων, προσβάλλουσι χαλεπότητι προσεσχηκυῖαι τῶν βλεφάρων αἱ τραχύτητες, ὑφ' ὧν, καὶ κατὰ τὰς ὀφθαλμίας, οἱ χιτῶνες τῶν ὀφθαλμῶν ὀδυνῶνται κοπτόμενοι. ἀλλ' ἐπ' ἐκείνων μὲν τολμῶμεν τοῖς ἰδίοις τῆς φλεγμονῆς φαρμάκοις, μιγνύναι τι βραχὺ τῶν ῥυπτικῶν, ὁποῖόν ἐστι τὸ δι' οἴνου τραχωματικὸν κολλύριον, ὡς καταστεῖλαι μὲν πρότερον ὅσα τοῖς βλεφάροις ἐπετράφη, ἀφλεγμαντοτέρων δὲ γινομένων τῶν κατὰ τὸν ὀφθαλμὸν, ἀπορρύψαι τὰς τραχύτητας. ἐπὶ δὲ τῶν ἕλκος ἐχόντων,
E μετὰ ῥεύματος δακνώδους, οὐχ οἷόν τε τοιούτῳ χρῆσθαι φαρμάκῳ, διαβρωθήσεται γὰρ ἐπὶ πλέον ὁ κερατοειδὴς, ἥ τε τοῦ ῥαγοειδοῦς πρόπτωσις ἔσται μείζων, ὀδύνη τε σφοδρὰ καταλήψεται τὸν ἄνθρωπον, ἐπιταθήσεται δὲ καὶ τὸ κακόηθες ῥεῦμα. καταστάντες οὖν εἰς ἀπορίαν τῆς τοιαύτης ἐπιπλοκῆς τῶν παθῶν οἱ ἰατροὶ, μόνην ἐξευρήκασι βοήθειαν, ὡς ἐν ἀπόροις, ἐκστρέφοντες τὰ βλέφαρα διαρρύπτειν αὐτὰ, καὶ ἀποσμᾶν ἄνευ φαρμάκων. ἔνιοι μὲν αὐτῷ τῷ κυαθίσκῳ τῆς σμίλης ἐπιπολῆς ἀποξύοντες, εἶτα σπόγγῳ μαλακῷ τὸ ἀπορρέον ἐκλαμβάνοντες, προστέλλοντές τε τὰ βλέφαρα, τὸ λοιπὸν τῆς τραχύτητος. ἔνιοι
F δὲ καὶ δέρματα θαλαττίων ζώων τινῶν ἐπιπολῆς τραχέα συμμέτρως, εἰς τὴν τοιαύτην χρείαν παραλαμβάνουσιν. εἷς δέ τις τῶν ἐμῶν διδασκάλων, καὶ κολλύριον ἐποίησε διὰ κισσήρεως, καὶ τὰς τραχύτητας ἀπέρρυπτεν, ἐκστρέφων τὰ βλέφαρα. πρόδηλον δὲ ὅτι λελειῶσθαι τὴν κίσσηριν ἀκριβῶς χρή. κἄπειθ' ὅταν τοῦτο γένηται, διὰ τραγακάνθης, ἢ κόμμεως ἀναπλάττεσθαι.

παυομένου δὴ ἐν τῷ χρόνῳ, διὰ τῶν εἰρημένων κολλυρίων τοῦ ῥεύματος, ἐπιτολμῶμεν ἤδη τὰ ῥυπτικὰ τῶν φαρμάκων προσφέρειν τοῖς βλεφάροις, ὀλίγον τι μιγνύντες αὐτῶν τὸ κατ' ἀρχάς, εἶτ' ἐὰν τοῦτο φέρειν ὁ ἄνθρωπος φαίνηται, κατὰ βραχὺ προσξυνοῦντες. ἐπειδὰν δὲ καὶ τὸ ῥεῦμα ξηρανθῇ, καὶ τὰ βλέφαρα μετρίως ἔχῃ τὴν πλήρωσιν τῶν κοίλων ἑλκῶν, τῷ διὰ λιβάνου κολλυρίῳ ποιούμεθα, μιγνύντες αὐτῷ κατ' ἀρχὰς μὲν ὀλίγιστον τοῦ δι' οἴνου, κατὰ βραχὺ δὲ τὴν μίξιν αὐξάνοντες, ὥστε τὰ βλέφαρα μηκέτι ἐνοχλεῖν τοῖς χιτῶσι τῶν ὀφθαλμῶν, ἀκριβῶς τε τὰ ἕλκη καθαρὰ γενόμενα, πληροῦσθαί τε καὶ συνουλοῦσθαι. περὶ μὲν οὖν τούτων αὐτάρκως εἴρηται, μεταβαίνειν δὲ ἤδη καιρὸς ἐπὶ τὰ λοιπὰ τῶν κατὰ τοὺς ὀφθαλμοὺς παθῶν τε καὶ φαρμάκων.

A Cæterùm vbi temporis progressu per prædicta collyria fluxio fuerit sedata, audemus iam medicamenta, quæ extergant, palpebris admouere, parum tamen quippiam ex eis principio admiscendo; quod vbi homo perpeti posse videbitur, paulatim copiam augebimus. Postquam verò palpebræ moderatè habuerint, & fluxus fuerit resiccatus, caua vlcera collyrio ex thure explere oportet, ita vt in principio pauxillum collyrij ex vino ei admisceamus, & paulatim eius copiam extendamus, vt ne palpebræ amplius tunicas oculorum infestent, & vlcera munda reddita exactè impleantur, & ad cicatricem perducantur. De his itaque suffi- B cienter dictum est. Transeundi enim iam tempus ad reliquas oculorum, tum affectiones, tum pharmacorum compositiones.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ὀφθαλμίας.

Ἄρξομαι δὲ ἀπὸ τοῦ συνεχεστάτου γινομένου πάθους ἐν τοῖς ὀφθαλμοῖς, ὃ καλοῦσιν ἰδίως ὀφθαλμίαν. ἔστι δὲ, ὡς ἐμάθετε, φλεγμονὴ τοῦ περιοστίου τε καὶ περικρανίου καλουμένου χιτῶνος, ἢ ὑμένος, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. καλοῦσι δὲ τὸν αὐτὸν τοῦτον ἐπιπεφυκότα, διότι τοῖς ἄλλοις, ὅσοι τὸν ὀφθαλμὸν αὐτὸν συνιστῶσι, χιτῶσιν ἐπιπέφυκεν ἔξωθεν, σύνδεσμος ὢν καὶ αὐτὸς ὅλῳ τῷ ὀφθαλμῷ, πρὸς τὰ περικείμενα τῶν ὀστῶν, καὶ διὰ τοῦτο συνεπαίρεται τὰ πέριξ τῶν ὀφθαλμῶν ἄχρι τῶν μήλων, ἐνίοτε κατὰ τὰς σφοδροτέρας ὀφθαλμίας. εὔδηλον οὖν, ὅτι τὰ θεραπεύοντα φάρμακα τὸ τοιοῦτο πάθος, ὑποπεπτωκέναι μὲν χρὴ πάντως τῇ κοινῇ τῶν πάντων θεραπείᾳ φλεγμαινόντων. προσειληφέναι δέ τι καὶ τῆς τοῦ μορίου φύσεως, εὐπάθειαν ἐξαίρετον ὑπὲρ πᾶν τὸ καθόλου τοῦ σώματος δέρμα, διά τε τὴν εὐαισθησίαν, καὶ τὴν ἀραιότητα τῆς οὐσίας προσειληφότος. ἀποκρουστικὰ δὲ παραληπτέον φάρμακα τὰ μὴ τραχύνοντα, τουτέστι μὴ σφοδρὰν ἔχοντα τὴν στύψιν, ἀλλὰ μετριώτερα μὲν αὐτὰ κατὰ τὴν οἰκείαν οὐσίαν, ἐπιμιξίᾳ δὲ παρηγορικῆς ὑγρότητος ἔτι καὶ μᾶλλον τοιαῦτα γινόμενα. παρηγορικὰς δὲ ὑγρότητας ἔφην, ᾠοῦ τε τὸ λευκὸν, καὶ τὸ τῆς τήλεως ἀφέψημα, καὶ πρὸς τούτοις ἔτι τὸ γάλα. προσήκει δ' ὅταν αὐτὸ χρῆσθαι, τῆς νέας ἅμα, καὶ εὐχύμου γυναικὸς εἶναι τοῦτο, τῶν τιτθῶν ἐκθλιβομένων ἐπὶ τὴν ἀκόνην, ἐφ' ἧς ἀποτρίβεται τὸ κολλύριον, ὅπως ἔτι χλιαρὸν ἐγχέηται τοῖς ὀφθαλμοῖς. ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν σφοδρῶς ὀδυνωμένων, ἢ διὰ μέγεθος φλεγμονῆς, ἢ διὰ δριμύτητα τῶν ἐπιρρεόντων ὑγρῶν, ἀναγκαζόμεθα πράττειν, ὡς τὸ πολὺ δὴ, ἀρκεῖ τὸ λευκὸν τοῦ ᾠοῦ μετὰ τῶν ἐπιτηδείων φαρμάκων, ἐκθεραπεύειν τὰς ὀφθαλμίας, διὰ τῶν καλουμένων μονοημέρων κολλυρίων. οὕτω γὰρ οὐκ ὀλιγάκις ταῦτα μεγάλας φλεγμονὰς ἐπράϋνεν οὕτως, ὡς εἰς ἑσπέραν μὲν λουτρῷ χρήσασθαι τὸν ἄνθρωπον, ἐπὶ δὲ τῆς ὑστεραίας, τῷ καλουμένῳ ναρδίνῳ κολλυρίῳ, πρὸς ἀποκατάστασίν τε καὶ τόνωσιν ὑπαλείψασθαι. παραμιγνύναι δὴ αὐτῷ κατὰ μὲν τὴν πρώτην ὑπάλειψιν, ἐλάχιστόν τι τῶν δριμέων, καὶ σταλτικῶν ὀνομαζομένων. κατὰ δὲ τὴν δευτέραν, βραχύ τι τοῦδε πλέον. ἀρκοῦσι γὰρ αἱ δύο προσφοραὶ τοῦ φαρμάκου, καί τις περίπατος οὐ πολὺς, πρὸ τοῦ βαλανείου. τὰ δὴ οὖν μονοήμερα καλούμενα κολλύρια, ἔνια μὲν ἰδίως ὀνομαζόμενα τρυγώδη, πολλὴν ἔχει τὴν ἀκακίαν. ἔνια δὲ, ἤτοι παντάπασιν ὀλίγην,

CAPVT III.

De Ophthalmia.

Exordium autem à frequentissima oculorũ affectione sumã, quam propriè ophthalmiam, appellant. Est autem velut didicistis, inflammatio tunicæ os capitis, & caluariam ambientis. Neque C refert si pelliculam quis, aut quocunq; tandem nomine appellare velit. Vocant autem, & membranã agnatam, propterea quòd aliis quæ oculum ipsum constituunt tunicis forinsecus agnata sit, ligamentum existens toti oculo ad circumsita ossa; & ob id omnia, quæ circumcirca oculos sita sunt vsque ad malas quandoque in vehementi ophthalmia simul attolluntur. In propatulo itaque est, omnia medicamenta huiusmodi affectionẽ curantia sub communem omnium inflammatorum curationem cadere, assumereque necessariò quippiam pro partis ipsius natura, quæ excellentem molli- D tiem, & ad hoc, vt lædatur, aptitudinem super omnem totius corporis cutem nacta est, propter sensus subtilitatem, & substãtiæ raritatem. Adhibenda sunt autem medicamenta repulsoria non exasperantia, hoc est, non vehementem sortita astrictionem, sed quæ tum propria sua substantia sunt moderatiora, tum lenitiui liquoris admixtione adhuc magis talia fiant. Lenitiuos autem liquores dixi oui candidum, & fœnigræci decoctũ, & ad hæc amplius ipsum lac; in quo prouidum esse conuenit, vt iuuenculę simulque boni succi fœminæ existat, vberibus ipsius in cotem, in qua collyrium teritur expressis, quo calidum adhuc oculis infundatur. E Cæterùm hoc in vehementi dolore afflictis, aut propter inflammationis magnitudinem, aut ob influentium humorum acritudinem, facere cogimur. Vt plurimum verò albus oui liquor cum accommodatis medicamentis ophthalmias curare sufficit, per collyria videlicet Monohemera (hoc est vnius diei) appellata. Adeo enim hæc non parũ sæpe magnas inflammationes mitigauerunt, vt in vesperam quidẽ homo balneo vteretur; in sequenti verò die nardino collyrio ad instaurationem, & corroborationem inungeretur. Admiscere autem ei circa primam inunctionem minimum quiddam F acrium, & sistentium medicamentorum oportet, & circa secundã paulo amplius quiddã priore. Sufficiunt enim hæ duæ medicamenti adhibitiones, & deambulatiuncula aliqua non multa ante balneum. Porrò collyria Monohemera appellata, quædam priuatim fæculenta dicta multam in se habent acaciam; quædam siue omnino exiguam, siue

siue neque in totum habent. Complectuntur autem alia quidem æris squamam, alia verò æs vstũ exiguum additis multis aliis, quæ mediocriter astringunt, & concoquunt, & discutiunt. Talia autem sunt, crocus, myrrha, lycium Indicum; & castorium quidem, & thus citra astrictionem concoquunt, simulque discutiunt. In quibus igitur astringentia prædominantur, plurimum oui liquorem, & paucissimum medicamentum esse oportet, præsertim si quid ex metallicis medicamentum in se complectatur; in quibus verò crocus, & myrrha; castoriumque, ac thus & lycium præualeant, paulo crassiore medicamento vtendum est. Fomentum præterea omninò adhibendum est ipsis per spongiam, siquidẽ mediocris sit dolor, semel aut bis in die; si verò vehementior dolor vrgeat, præstat ter, aut quater, & sæpiùs vti in longis præsertim æstiuis diebus. Fiat autem fomentum per meliloti, & fœnigræci decoctum. De ophthalmia itaque satis dictum est, deinceps de vlceribus dicam.

A ἢ οὐδ' ὅλως ἔχοντα. περιείληφε τὰ μὲν τὴν λεπίδα τοῦ χαλκοῦ, τὰ δὲ τὸν κεκαυμένον χαλκὸν ὀλίγον, ἅμα πολλοῖς τοῖς ἄλλοις ὅσα στύφει μετρίως, καὶ πέττει, καὶ διαφορεῖ. τοιαῦτα δέ ἐστι κρόκος, καὶ σμύρνα, καὶ λύκιον Ἰνδικόν, καὶ καστόριον δέ, καὶ λιβανωτὸς αὐτοῦ τοῦ στύφειν, πέττει τε ἅμα καὶ διαφορεῖ. ἐφ' ὧν μὲν οὖν ἐπικρατεῖ τὰ στύφοντα, πλεῖστον μὲν εἶναι χρὴ τὸ ὑγρὸν τοῦ ᾠοῦ, βραχύτατον δὲ τοῦ φαρμάκου, καὶ μάλιστα ἐὰν ἔχῃ τι τῶν μεταλλικῶν τὸ φάρμακον, ἐφ' ὧν δ' αὖ ὅ,τε κρόκος, καὶ ἡ σμύρνα, καὶ τὸ καστόριον, ὅ,τε λιβανωτός, καὶ τὸ λύκιον ἐπικρατεῖ, βραχὺ παχυτέρῳ χρηστέον ἐστὶ τῷ φαρμάκῳ. πυρίᾳ τε χρηστέον πάντως ἐπ' αὐτοῖς διὰ B σπόγγου, μετρίως μὲν ὀδυνωμένοις, ἅπαξ, ἢ δὶς τῆς ἡμέρας. εἰ δὲ σφοδρότερον ὀδυνώμενοι τυγχάνοιεν, ἄμεινόν ἐστι καὶ τρίς, καὶ τετράκις, καὶ πλεονάκις χρῆσθαι, μάλιστα ἐν ταῖς μεγάλαις ἡμέραις ταῖς θεριναῖς, ἡ πυρία δὲ δι' ἀφεψήματος γινέσθω μελιλώτου καὶ τήλεως. περὶ μὲν οὖν ὀφθαλμίας αὐτάρκως εἴρηται, περὶ δὲ τῶν ἑλκῶν ἐφεξῆς ἐρῶ.

CAPVT IV.

De Vlceribus oculorum.

VLcera oculorum eandem secundum genus curationem requirũt, quam alia vlcera, eam videlicet, quam per longum in tertio, & quarto curatiuæ methodi recensui; verùm ob partis naturam, quàm lenissima adhibenda sunt, ex quorum numero, id quod ex pompholyge lota constat, esse dixi. Admiscentur eis etiam succi quidam non solùm omninò mordacitatis expertes, sed qui etiam vehementissimos dolores mitigare possunt, velut est mandragoræ succus. Quidam etiam polygoni succum admiscuerunt, quemadmodum alij ipsorum etiam ouorum candidum. Manifestum verò est, quòd vbi iam propemodũ instat tempus præparandi medicamentum, tum demum huiusmodi admiscentur, propterea quòd facilè acescant. Eodem tempore etiam rosarum additur succus. Cæterùm clarum est syluam medicamentorum, quæ propriè ad oculorum vlcera pertinet, scopum habere, vt vlcus mundum seruetur, vtpote partium natura ipsum explente, & ad cicatricem perducente. quemadmodum in aliis vlceribus est prædictum. Si itaque inflammatio adhuc circa oculum existat, aut quispiam etiam dolor, collyria ex thure, & metallicis lotis, & succis mordacitatis expertibus adhibentur; vbi verò sordida reddita ex eorum vsu vlcera fuerint, de repurgantibus quippiam admiscere oportet, quale est Paccianum ex vino croceum, quo vtimur, minimum quid ex eo prædictis medicamentis addentes. Habet autem hoc plurimum in se crocum, vnde etiam croceum appellatur; habet etiam ex repurgantibus metallicis aliqua, quapropter etiam aspritudines extirpat non paruas modò, sed magnas, quas sycoseis appellant; attenuat item pterygia, *oculorum vngues*. De his itaque medicamentis paulò post dicetur. At verò vlcera, quæ per erosionem tunicæ corneæ fiunt, vt etiam ex vniformi quid pronuat, manifestum est, quòd tum propter se ipsa, tum ob prolapsionem repellentibus, & astringentibus medicamentis opus habent. Conandũ est autem, vt ex ipsis eligamus, quæ nullam aspritudinem faciunt. Verùm his contraria medicamenta. hoc est discussoria, pustulæ expetunt, & pus quod intra corneam est generatum. Recentia igitur,

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν.

C ΔΕῖται μὲν καὶ ταῦτα τῆς αὐτῆς κατὰ γένος θεραπείας τοῖς ἄλλοις ἕλκεσιν, ἣν ἐπὶ πλεῖστον διῆλθον ἐν τῷ τρίτῳ, καὶ τετάρτῳ τῆς θεραπευτικῆς μεθόδου, διὰ δὲ τὴν τοῦ μορίου φύσιν, ἀδηκτότατα προσοιστέον, ἐν οἷς ἔφην εἶναι τὸ διὰ πομφόλυγος πεπλυμένης. μίγνυνται δ' αὐτοῖς, καὶ χυλοί τινες, οὐ μόνον ἄδηκτοι παντάπασιν, ἀλλὰ καὶ τὰς σφοδροτάτας ὀδύνας πραΰνειν δυνάμενοι, καθάπερ ὁ τοῦ μανδραγόρου χυλός, ἔνιοι δέ, καὶ πολυγόνου χυλὸν ἔμιξαν, ὥσπερ ἕτεροι, καὶ αὐτῶν τῶν ᾠῶν τὸ λευκόν. εὔδηλον δ', ὅτι πλησίον ἀναπλάσεως ὄντι τῷ φαρμάκῳ, τὰ τοιαῦτα μίγνυται, διὰ τὸ ταχέως ὀξύνεσθαι. κατὰ δὲ τὸν D αὐτὸν καιρόν, καὶ ὁ τῶν ῥόδων μίγνυται χυλός. ἡ δὲ ἰδίως ὕλη τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν, εὔδηλον ὅτι καὶ αὐτὴ σκοπὸν ἔχει, καθαρὸν φυλάττειν τὸ ἕλκος, ὡς τῆς φύσεως τῶν μορίων πληρούσης τε, καὶ πρὸς οὐλὴν ἀγούσης αὐτό, καθάπερ ἐπὶ τῶν ἄλλων ἑλκῶν προείρηται. φλεγμονῆς μὲν οὖν ἔτι κατὰ τὸν ὀφθαλμὸν οὔσης, ἢ καί τινος ὀδύνης, τὰ διὰ λιβανωτοῦ τε κολλύρια, καὶ τῶν πεπλυμένων μεταλλικῶν, καὶ τῶν ἀδήκτων χυλῶν προσφέρεται. ῥυπαρῶν δὲ ἐν τῇ χρήσει ταύτῃ τῶν ἑλκῶν γινομένων, μίγνυσθαί τι E χρὴ τῶν ῥυπτόντων, ὁποῖόν ἐστι τὸ Πακκιανὸν δι' οἴνου κροκῶδες, ᾧ χρώμεθα, παραμιγνύντες ἐλάχιστον αὐτοῦ τοῖς προειρημένοις φαρμάκοις, ἔχει δὲ τοῦτο πλεῖστον μὲν τὸν κρόκον, ἀφ' οὗ καὶ κροκῶδες ὀνομάζεται. μέμικται δ' αὐτῷ, καὶ τῶν ῥυπτόντων μεταλλικῶν ἔνια, διὸ καὶ τραχωμάτων ἐστὶ καθαιρετικόν, οὐ μόνον τῶν μικρῶν, ἀλλὰ καὶ τῶν μεγάλων, ἃ προσαγορεύουσι συκώσεις, λεπτύνει δὲ καὶ τὰ πτερύγια. περὶ μὲν οὖν τῶν τοιούτων φαρμάκων, μικρὸν ὕστερον εἰρήσεται. τῶν δ' ἑλκῶν, ὅσα δι' ἀνάβρωσιν γίγνεται τοῦ κερατοειδοῦς, ὡς προκύπτειν τι καὶ τοῦ ῥαγοειδοῦς, ὅτι δὴ καὶ F ταῦτα δι' ἑαυτά τε, καὶ τὸ προπεσόν, ἀποκρουστικῶν τε καὶ συναγωγικῶν δεῖται φαρμάκων, εὔδηλόν ἐστι. πειρᾶσθαι δὲ ἐπ' αὐτῶν δεῖ ἐκλέγεσθαι τὰ μηδεμίαν ἐργαζόμενα τραχύτητα. τῶν δ' ἐναντίων τούτοις φαρμάκων, ὅπερ ἐστὶ τῶν διαφορητικῶν, αἱ φλύκταιναι χρῄζουσιν, καὶ τὸ γινόμενόν ποτε πύον ἔνδον τοῦ κερατοειδοῦς. τὰ μὲν οὖν πρόσφατα,

καὶ ἔτι φλεγμαίνοντα, τοῖς διὰ σμύρνης, καὶ λιβανωτοῦ, καὶ κρόκου καθίσταται φαρμάκοις. τὰ χρονιώτερα δὲ, καὶ τῶν διαφορητικῶν τι προσλαμβάνουσι, καθάπερ γε καὶ αἱ σκιῤῥούμεναι φλεγμοναὶ τῶν χιτώνων. ἐπὶ τούτων γὰρ, καὶ διὰ τῶν δριμέων ὀπῶν εὐδοκιμεῖ φάρμακα τάδε, εἰς κολλυρίων εἴδη ἀναπλαττόμενα, αἱ καλούμεναι πρὸς τῶν ἰατρῶν ἰδίως ἔγχυτοι δυνάμεις ὑγραὶ, ὁποίας καὶ τοῖς ἀρχομένοις ὑποχεῖσθαι σκευάζουσιν. ἐπὶ δὲ τῶν πτερυγίων τε, καὶ τῶν συκώσεων, ὡς ἔφην, τὰ ῥυπτικὰ φάρμακα προσφέρεται, τὰ μὲν εἰς κολλυρίων ἰδέαν ἀναπλαττόμενα, τὰ δὲ καὶ ξηρὰ χωρὶς ἀναπλάσεως, ἐφ' ὧν ἔμιξαν τινες ὀλίγον τι τῶν σηπτικῶν φαρμάκων. ἐγγὺς δὲ τούτων ἐστὶ, τὰ ταῖς ψωρώδεσι διαθέσεσι ἐν τοῖς βλεφάροις ἰώμενα. καὶ διὰ τοῦτο προσαγορευόμενα ψωρικά. πάντων δ' αὐτῶν ἐστιν ἰσχυρότατα τά τε τοὺς παλαιοὺς τύλους ἐκτήκοντα, καὶ τὰ καλούμενα πτερύγια θεραπεύοντα, διὰ τῶν ῥυπτικῶν τε καὶ σηπτικῶν φαρμάκων συγκείμενα.

ΚΕΦΑΛΑΙΟΝ Εʹ.

Περὶ τῶν ὀφθαλμικῶν φαρμάκων δυνάμεως.

Καί μοι σχεδὸν ἤδη τῆς ἁπάντων τῶν ἐν ὀφθαλμοῖς παθῶν τε, καὶ κατὰ γένος φαρμάκων ἐξηγήσεως γεγενημένης, εἰρημένων δὲ καὶ τῶν κατὰ γένος ἀδήκτων φαρμάκων, ὁποῖα τὰ διὰ τῶν πεπλυμένων μεταλλικῶν ἔφην συντίθεσθαι, βέλτιον εἶναι δοκεῖ, καὶ τῶν ἄλλων ὀφθαλμικῶν φαρμάκων ἐξηγήσασθαι τὰς δυνάμεις. ἐκ τούτου γὰρ ἡγοῦμαι συνθετικωτέρους γενέσθαι, καὶ τῶν ἤδη συγκειμένων κριτικωτέρους, τοὺς ἐν αὐτοῖς γεγυμνασμένους. ἀδηκτοτάτων οὖν ὄντων, ὧν εἶπον ἔμπροσθεν φαρμάκων, ἀδήκτων δὲ καὶ τῶν τριῶν ὑγρῶν, ὧν τὸ μὲν ἀφέψημα τῆς τήλεως ἦν. τὸ δὲ γάλα, τὸ δὲ τὸ ἐν τοῖς ᾠοῖς ὑγρὸν, τὸ λεπτόν. ἐν τῷ γένει τούτων, ἡγητέον εἶναι τό τε κόμμι καὶ τὴν τραγάκανθαν, καὶ εἰ μὴ τὰ προειρημένα τρία πρόχειρον εἶχε τὴν κτῆσιν τε καὶ χρῆσιν, ἀποβρέχοντες ἂν ἐν ὕδατι πολλῷ, βραχὺ κόμμεως, ἢ τραγακάνθης εἰς τὴν αὐτὴν χρείαν ἄγομεν τοῖς τρισὶν, ὡς ἀποτρίβειν τε δι' αὐτῶν ἐπὶ τῆς ἰατρικῆς ἀκόνης τὰ κολλύρια, καὶ μόνοις ἐγχεομένοις, ἐκκλύζειν τοὺς ἐν τοῖς πάσχουσιν ὀφθαλμοῖς γεννωμένους ἰχῶρας. ἀλλὰ καὶ νῦν αὐτοῖς χρώμεθα κατὰ πάντα σχεδὸν τὰ κολλύρια. πλὴν γὰρ ὀλιγίστων, ἀναλαμβάνεται πάντα μετὰ τὸ λειωθῆναι διαβεβρεγμένα συμμέτρως τοῖς φαρμάκοις τούτοις. ἓν μὲν δὴ τοῦτο γένος ἡμῖν ἀριθμείσθω φαρμάκων ὀφθαλμικῶν, ἔν τε τοῖς τρισὶν ὑγροῖς καὶ τῇ τραγακάνθῃ, καὶ τῷ κόμμει, καὶ τοῖς πεπλυμένοις μεταλλικοῖς. ἕτερα δ' ἐπ' αὐτοῖς, τὰ βραχεῖαν ἔχοντα δῆξιν ἐκ τοῦ μεμίχθαι τινὰ αὐτοῖς τῶν ἐπ' ὀλίγον στυφόντων, ἢ ῥυπτόντων, ὁποῖα φάρμακά ἐστι ῥόδα τε καὶ λιβανωτὸς, ὀλίγην μὲν ἐχόντων τῶν ῥόδων τὴν στύψιν, ὀλίγον δὲ καὶ τὸ ῥυπτικὸν τοῦ λιβανωτοῦ. θερμὸς δὲ συμμέτρως, κατὰ τὴν δύναμιν ὁ λιβανωτὸς ὑπάρχων, ἔχει τι διὰ τοῦτο πεπτικόν τε καὶ ἀνώδυνον. ἐκ τοῦ αὐτοῦ δὲ γένους αὐτῷ, κατά γε τὸ πέττειν τε καὶ διαφορεῖν μετρίως, ἡγητέον εἶναι τόν τε κρόκον, καὶ τὴν σμύρναν ἀλλήλων διαφέροντα. τῷ, τὸν μὲν στύφειν μετρίως, τὴν δὲ ἄνευ στύψεως, οὐκ ἀγεννῶς διαφορεῖν τε, καὶ ξηραίνειν ὑγρότητας. γενναιότερα δὴ ταῦτα ταῖς δυνάμεσίν ἐστι τοῦ λιβανωτοῦ, καὶ διὰ τοῦτο, καὶ διαφορητικώτερα. τὸ ῥυπτικὸν δ' οὐκ ἔχοντα πρὸς τὴν τῶν ἑλκῶν θεραπείαν, ἀπολείπονται τοῦ λιβανωτοῦ. τοῦ γένους τούτου τῶν φαρμάκων,

Panis purus vstus, acaciæ, & hederæ permixtus cum aqua. Verùm ad dolores rosas virides, aut aridas passo maceratas terito, & admixto oui assi vitello, ac croco sufficienti, cum passo vtitor. Aut crudam hordeaceam, vel triticeam farinam passo coctam adhibeto. Si verò maior dolor fuerit, papaueris folia recentia admisceto, aut corticem papaueris capitum. Aut hyoscyami folia drachmarum iv. pondere cum oui vitello. Aut sisymbrium aqua coctum terito sufficienti affuso vino, & imponito. Aut papaueris albi capita passo cocta, ac trita imponito. Aut apij recentis coma, itemque pulegio recenti similiter vtitor. Aut peponis, aut cucumeris carne; aut oui assi luteum cum exiguo croco, ac pauco vino tritum imponito. Cæterùm dolentes ex inflammatione oculos, cum panace, & pulegio vino subactis integito. Præclarè facit, & pini cortex, & polenta cum vino; aut hyoscyami folia, & opium trita imponito; aut papaueris cortices terito, rosisque ac meliloto, myrrhaque admixtis, albumine oui diluito, atque ita imponito. Aut aloën, ac opium cum aqua diluta, linteoloque excepta, in emplastri more appone, vitando ne quid in oculum præterlabatur. Cæterùm in his, qui dolore vexãtur, crocum bonum cum lacte instillato. Verùm ad vehemẽtes dolorum molestias coriandri succus cum muliebri lacte oculorum angulis instillatus; similiterque papaueris succus torrefactus auxiliatur. Folia item platani trita cum farinæ polentę flore oculis superpone, emplastri more apposita. Cataplasmata verò in fluxionibus conueniunt, cupressus viridis cum vino. Aut paliuri folia. Aut portulaca trita cum adipe anserino, & croco; aut iris sicca cũ melle; aut micas thuris, & myrrham cum oui candido lanâ excepta fronti imponito, aut apium cum polenta, aut seselis flores vino maceratos imponito; aut papaueris folia recentia agglutinato. Quod si vigiliæ instent, mandragoræ radicẽ, & succũ papaueris folia, & polentã æquis partibus in massam cogito, eamq; odorandã exhibeto, & obdormiscent. Porrò in magnis fluxionibus, pulegij recẽtis semẽ, & maximè fuluum, cum aceto ad malagmatis formam redigito, ac sincipiti imponito, lanis supernè additis, ac leni vinculo cõstrictis. Aliqui etiam papauer recens ei admiscent, aut opii minimũ quid, aut rosas, aut melilotum coctũ. Aut amylo ex vino, aut oui candido oculos ipsos integito. Præclarè faciunt ad fluxionẽ vberẽ, tenuem, ac vetustã, itemq; vlcera põpholygis ʒ.iv. opii torrefacti ob.iii. gummi ʒ.iv. aqua pluuiali, aut fontana excipe. *Agglutinatorium ad fluxionem.* Similaginem, & mannę thuris dimidium eius, cum oui albumine ad emplastri formam redigito, & in principio fronti in linteolo imponito; aut oui assati vitellum cum thure; aut cochleam cum testa sua, & oui candido ad strigmentitiam formam redactam in splenio a tempore altero ad alterum extendendo imponito. Sua sponte decidit; vbi restiterit

restiterit fluxus; aut Moschi malagma, aut Barbarum emplastrum; aut viride, aut aliquod aliud eorum, quæ aceto constant, splenio inditum fronti imponito.

Ad Hæmalopas, & hyposphagmata.

Ad plagas oculis illatas, & ad oborientes ex eis cruentas suffusiones, statim in principio tum ad inflammationem, tum ad dolorem compescendum facit columbinus sanguis instillatus, & præsertim is, qui ex teneris pennis exprimitur. Candidum etiam oui eodem modo in oculum instillatum, atque ampliùs pura lana exceptũ, & supernè impositum. Prodest etiam oui assi luteum cum vino impositũ, aut melilotum coctũ cum vino eodem modo. Insuper & folia rosarum, ac flos per se, & cum vino trita, itemque cum flore farinæ polentæ; aut brassicæ folia in cataplasmate. Vbi verò diutiùs cruentatio perstiterit, thure & bitumine æquis portionibus acceptis, ac mixtis oculũ suffito; aut hyssopi comã tritam lineo panniculo illigatã in feruentem aquã demittito, oculoq; admoueto. Sequitur enim cruor adeo, vt ex linteolo cõpresso exprimi queat. Aut nitrum, & terrã Æthiopicam, ac myrrham, pari pondere cum aqua illinito; aut foliorum oleæ viridium succũ sublinito; aut ammiũ, & hyssopũ cum lacte bubulo terito, agitato, ac sublinito; aut semen lini tritũ cum butyro per linteolũ exprimito, ac sublinito; caput verò frigida perfundito.

Curatio Tumorum.

Ad tumores ex plaga circa oculos obortos valde conuenit fomentum per mollem spongiam assiduè factum, ita vt noua spongia postea aceto diluto madefacta imponatur. Conuenit insuper sinapi vetustum ex aqua tritum, assiduè circumpositum & ablatum. Similiter & nasturtium, si post eorum ablationẽ loci assiduè calida aqua foueantur.

Ad oculos scabros ac aridos.

Ad oculos propter solẽ, aut omnino puluerem, scabros atq; aridos factos, aqua multa æstate quidem frigida, hyeme verò calida affusa, cõmodat. Cõuenit & spongiæ calida, aut lentis decocto imbutæ fomentũ. Ipsis verò oculorum angulis, rubi, lentisci, myrti, rosarum succũ, vnumquemq; per se cum aqua adhibeto. Aut rosas aridas tritas cum vino; aut earum florem. Aut vinum maris expers, ac oleum vetus, maximè vbi dormire voluerint, admoueto. Conducit præterea his, vt à salsis, acribus, ampliusque acidis omnibus abstineant. Porrò ad inueteratas, & callosas circa palpebras affectiones, amurcam coctam cum oleo tritam illinito.

Ad eos qui glabras habent palpebras.

In iis qui glabras palpebras, quique pilos non habent, egregiè facit, ac pilos producit. ℞. acaciæ ʒ. ij. atramenti librarij aridi, aut si fieri potest Memphitici ʒ. v. succi porri heminas iv. vini maris expertis heminas iv. coquito, donec strigmentitiam formam induant, & repositis in pyxide vtitor. Aut muscerdas, & caprarum stercora vsta pari mensura, cineris calami Græci duplum, cum melle Attico illinito. Hoc verò etiam palpebrarum defluuia emendat. ℞ æruginis tritæ partem vnam, ammoniaci thymiamatis tantundẽ, trita adhibeto. Facit idem & egregiè ad scabros oculos. Aut cadmiam tritam melle subactã in ollula vrito, ac assato; deinde æris vsti tantundem admisceto, ac tritis vtitor.

A ῥεῦμα στῇ. ἢ τῷ μόσχου μαλάγματος, ἢ γῆς βαρβάρου, ἢ χλωρᾶς, ἢ ἄλλης τραυματικῆς τῶν δι' ὄξους, σπληνίον ἐπιτίθει τῷ μετώπῳ.

Πρὸς αἱμάλωπας, καὶ ὑποσφάγματα.

Πρὸς δὲ τὰς εἰς τοὺς ὀφθαλμοὺς γινομένας πληγάς, καὶ διὰ τοῦτο συμβαινούσας αἱματώδεις ὑποχύσεις, εὐθὺς ἐν ἀρχῇ πρὸς τὰς φλεγμονάς, καὶ τὸ ἄλγημα ποιεῖ περιστερᾶς ἐνσταζόμενον αἷμα, καὶ μάλιστα τὸ ἐκ τῶν ἁπαλῶν πτερῶν ἐκπιεζόμενον, καὶ τὸ λευκὸν τοῦ ᾠοῦ, τὸν αὐτὸν τρόπον ποιεῖ εἰς τὸν ὀφθαλμὸν
B ἐγχεόμενον. ἔτι δὲ ἐρίῳ καθαρῷ προσαναλαμβανόμενον, καὶ ἄνωθεν ἐπιτιθέμενον. εὐθετεῖ δὲ καὶ λέκιθος ᾠοῦ κατωπτημένου, μετ' οἴνου καταπλασσομένη, ἢ μελίλωτον ἑψόμενον οἴνῳ τὸν αὐτὸν τρόπον ἐπιτιθέμενον. ἔτι δὲ ῥόδων τὰ φύλλα, καὶ τὸ ἄνθος, ἰδίᾳ καὶ ὁμοῦ μετ' οἴνου τριβόμενα, καὶ μετὰ πάλης ἀλφίτων, ἢ κράμβης φύλλα καταπλασσόμενα. χρονισάντων δὲ, αἱ ἐπιμένῃ ὁ αἱμάλωψ, λιβανωτὸν, ἄσφαλτον ἴσα μίξας ὑποθυμία τὸν ὀφθαλμόν. ἢ ὑσσώπου κόμην λείαν βαλὼν εἰς λινοῦν ῥάκος, καθεὶς εἰς ζέον ὕδωρ πρόσαγε τῷ ὀφθαλμῷ. ἀκολουθεῖ γὰρ τὸ αἷμα, ὥστε ἐκ τοῦ ὀθονίου ἐκπιέζεσθαι ἐκθλιβόμενον. ἢ νίτρον, καὶ γῆν
C Αἰθιοπικήν, σμύρναν ἴσα σὺν ὕδατι ἔγχριε. ἢ ἐλαίας φύλλων χυλὸν χλωρῶν ὑπόχριε. ἢ ἄμμι καὶ ὕσσωπον μετὰ γάλακτος βοείου λείου εἴλισσον καὶ ὑπάλειφε, ἢ λινόσπερμα λεῖον μετὰ βουτύρου ἐκθλίψας δι' ὀθονίου ὑπάλειφε, τὴν δὲ κεφαλὴν ψυχρῷ καταντλεῖ.

Θεραπεία οἰδημάτων.

Πρὸς δὲ τὰ γινόμενα περὶ τοὺς ὀφθαλμοὺς οἰδήματα, διὰ τὰς πληγάς, λίαν ἁρμόττει πυρία, μαλακῷ σπόγγῳ συνεχῶς γινομένη, εἶτα ὄξει βρεχόμενος κεκραμένῳ καλῶς ὁ σπόγγος, καὶ ἐπιτιθέμενος. ἔτι δὲ παλαιὸν νάπυ τριβόμενον μεθ' ὕδατος, καὶ
D ἐπιτιθέμενον συνεχῶς, καὶ ἀφαιρούμενον. ὁμοίως δὲ κάρδαμον κατὰ τὴν ἀφαίρεσιν, πυριωμένων ὕδατι θερμῷ συνεχῶς τῶν τόπων.

Πρὸς ψωροφθάλμους.

Πρὸς δὲ τὰς περὶ τοὺς ὀφθαλμοὺς διὰ τὸν ἥλιον, καὶ κονιορτόν, ὡς ἐπίπαν ψωροφθαλμίας, καὶ ξηροφθαλμίας, ὕδωρ πλεῖον προσκλυζόμενον, θέρους μὲν ψυχρόν, χειμῶνος δὲ θερμόν, ἁρμόζει, καὶ πυρία σπόγγου ἐκ θερμοῦ ὕδατος, ἢ φακοῦ ἀφεψήματος, αὐτοῖς δὲ πρόσαγε τοῖς κανθοῖς, βάτου, σχίνου, μυρσίνης, ῥόδων χυλὸν, κατ' ἰδίαν ἕκαστον, σὺν ὕδατι. ἢ ῥόδα ξηρὰ τριβόμενα, σὺν οἴνῳ, ἢ τὸ ἄνθος αὐτῶν, ἢ οἶνον ἀθάλασσον, καὶ παλαιὸν ἔλαιον,
E καὶ μάλιστα ὅταν κοιμᾶσθαι θέλωσι. συμφέρει δὲ καὶ ἐπὶ τούτων τῶν ἁλμυρῶν δριμέων, ἔτι δὲ καὶ ὀξέων ἀπέχεσθαι πάντων. καὶ πρὸς δὲ τὰς χρονίους περὶ τὰ βλέφαρα διαθέσεις, καὶ τετυλωμένας, ἀμόργην ἑφθὴν μετ' ἐλαίου ἔγχριε τριβομένην.

Πρὸς πτίλους.

Ἐπὶ δὲ τῶν πτίλων, καὶ τρίχας μὴ ἐχόντων, ἄκρως ποιεῖ καὶ τρίχας ἀνάγει. ℞. ἀκακίας < β'. μέλανος γραφικοῦ ξηροῦ, ἢ εἰ οἷόν τε Μεμφιτικοῦ < ε'. χυλοῦ πράσου κοτύλας δ'. οἴνου ἀθαλάσσου κοτύλας δ'. ἕψε μέχρις ἂν γλοιώδεις γένωνται, καὶ εἰς πυξίδα ἀνελόμενος χρῶ. ἢ μυόχοδα, καὶ κόπρον αἰ-
F γείαν κεκαυμένην ἴσον, καλάμου Ἑλληνικοῦ τῆς τέφρας τὸ διπλοῦν, σὺν μέλιτι Ἀττικῷ ἔγχριε. τοῦτο δὲ μίλφοις ὠφελεῖ. ἰοῦ λείου μέρος α'. ἀμμωνιακοῦ θυμιάματος τὸ ἴσον, λείοις προσάπτου, τοῦτο ποιεῖ ἄκρως καὶ ψωροφθαλμιῶσιν. ἢ καδμείαν λείαν μέλιτι φυράσας, ὄπτησον ἐν χυτριδίῳ, εἶτα χαλκοῦ κεκαυμένου τὸ ἴσον μίξας, λείοις χρῶ.

Περὶ τριχιάσεως.

Τὰς δὲ ἐπιφυομένας ἐπὶ τῶν βλεφάρων τρίχας τίλλων, αἵματι κόρεως καταχρίε, καὶ οὐ φυήσονται. Παπίας Λαοδικεὺς Αὐτολύκου ἰατρὸς, πολλὰ ἤρξατο ἐπὶ τῶν τριχιώντων, τίλλων τὰς τρίχας, εἶτα δρωπακίζων τὸν τόπον ἐπιμελῶς, χαμαιλέοντί τε λευκῷ λείῳ πεφυραμένῳ, αἵματι βατράχων χλωρῶν, οἳ ἐπὶ τῶν καλάμων γίνονται, καταχρίων, οὐ γὰρ ἐπιφύονται. ἢ τίλας τὰς τρίχας, καταχρίε κεδρίαν μετὰ τελλινῶν ὀστράκων λεπτῶν λελεμένας, ἢ ὀρνέου τοῦ λεγομένου κιναίδου χολῇ χρῶ. ἢ φάγρου θαλασσίου χολῇ. ἢ κρότωνος ἀπὸ κυνὸς θηλείας, αἵματι. ἄκρως ποιεῖ τοῦτο. ἐχίνου χερσαίου χολὴ, καὶ τοῦ αἵματος τὰ ἴσα. χαμαιλέοντος χολῆς ἴσον, καστορίου δὲ σύμμετρον, ἀνάπλασσε, ὡς λεπίδας ὀψαρίου, χρῶ δὲ ἐκ ῥιζῶν τίλλων τὰς τρίχας, εἶτα λεπίδα μίαν, τῷ ἐκ τοῦ στόματος σιάλῳ νήστης διαλύων καταχρίε, καὶ κράτει τὸν τόπον, ὡς ἡμιώριον, ἀλγοῦσι μὲν, ἀλλ' οὐκ ἔτι φυήσονται. ἢ χολὴν ὑαίνης θηλείας τίλλων, εὐθέως καταχρίε. ἢ τελλίναις λειοτάταις καταχρίε. ἢ τίλας, φύλλον κωνείου, κεδρίαν ἴσα μετὰ νυκτερίδος αἵματος καταχρίε, καὶ κράτει ἕως ξηρανθῇ. ἐὰν γὰρ θίγῃ τοῦτο τοῦ ὀφθαλμοῦ τὸ ὑγρὸν, ἀδικεῖ. ἢ τίλας, αἰγεία χολῇ μετὰ κράμβης χυλοῦ καταχρίε. ἢ καπνοῦ τῆς βοτάνης χρίε τὸν ταρσὸν, εἶτα τίλας τὰς τρίχας πάλιν ἐπίχριε. ἔλεγε δὲ Ἑρμείας, ἀφρὸν ὕδατος καταχριόμενον μετὰ τοῦ δρωπακισθῆναι, ἄκρως ποιεῖν.

Περὶ σταφυλωμάτων, καὶ λευκωμάτων.

Σταφυλώματα αἴρεις, κανθαρίδων χυλὸν ἐναλείφων, λευκώματα δὲ ταχέως ἰᾶται νίτρον μετ' ἐλαίου παλαιοῦ λεανθὲν ἐπιμελῶς, καὶ χριόμενον. ἢ σαύρας ἀφόδευμα ἔγχριε, καὶ αἴρεις. ἢ νυκτικόρακος ᾠῷ ἔγχριε, καὶ βάψεις αὐτά. ἢ κρόκον, πέπερι, ἴσα μετ' αἰλούρου χολῆς, κολλύρια ποιῶν, ἔγχριε. ἢ σηπίας ὄστρακον λεῖον, φυράσας μετὰ μέλιτος κατάκαυσον, καὶ λείῳ ὑπάλειφε.

Θεραπεία ἀμαυρώσεως, καὶ ὑποχύσεως.

Ἀμαύρωσιν πᾶσαν, ἢ ἀρχομένην ὑπόχυσιν θεραπεύει γυπὸς χολὴ μετὰ πρασίου χυλοῦ, καὶ μέλιτος Ἀττικοῦ. ἢ σμύρνης, καὶ πεπέρεως ἴσα σὺν μέλιτι. ἢ στρύχνῳ μέλανι ἔγχριε. ποιεῖ καὶ κύπερος ἀποτεθεῖσα ἐν χαλκῷ πυξιδίῳ. ἢ μαράθρου χυλὸν, καὶ χολὴν ταυρείαν ὑγρὰν ἴσα, μέλιτος Ἀττικοῦ δὲ διπλοῦν ἔγχριε. ἢ κρόκου καὶ πεπέρεως ἴσα, μετὰ χολῆς ταυρείας ἀναλαβὼν, ὡς κολλύρια ποιῶν ἔγχριε. ἢ αἰγείρου ὀπῷ, μετὰ διπλοῦ μέλιτος Ἀττικοῦ ἔγχριε.

Περὶ ὑποχυμάτων.

℞. Χελώνης θαλασσίας τῆς χολῆς μέρος α'. μέλιτος Ἀττικοῦ δὲ τετραπλοῦν ἔγχριε. ἢ χολὴ ἀρκεῖ μεθ' ὕδατος.

Πρὸς πτερύγια.

Ἐπὶ δὲ τῶν πτερυγίων, ℞. χαλκάνθου, ἁλὸς ἀμμωνιακοῦ ἴσα, κόμμεως δὲ ἥμισυ, ὄξει ἀναπλάσας, κολλύρια ἔγχριε, ἢ αἰγείρου ὀπῷ μετὰ διπλοῦ μέλιτος ἔγχριε λείῳ.

Πρὸς γλαυκοὺς, καὶ νυκτάλωπας.

Πρὸς γλαυκοὺς στρύχνου χυλὸς ἐγχυματιζόμενος, μέλανας ὀφθαλμοὺς ποιεῖ. καὶ ἀνάπαλιν ἐπὶ τῶν νυκταλωπιώντων, ἧπαρ

A *Ad Pilos inutiles, & pungētes in palpebris enascentes.*

Pilos inutiliter in palpebris supernascētes euellito, & sanguinē cimicū illinito, & non enascentur. Papias Laodicēsis Autolyci medicus multa in his tētabat; euellebat primū ipsos pilos, deinde locum diligēter cū dropace irritabat, & cū chamæleone albo trito viridiū ranarū sanguine permixto (sunt autē ranæ, quæ in arūdinibus degūt) illinebat; neq; enim postea enascūtur. Potes & euulsis priùs pilis cedriā cū tellinarū cinere mixtā, ac tritam illinere. Ad eandē quoq; rē auiculæ cinædi appellatæ felle vtitor; aut phagri marini piscis itidē felle; aut ricini
B à cane fœmina adēpti sanguine. Egregiè facit hoc. ℞. fellis & sanguinis erinacei terrestris pares partes, fellis chamæleonis tantundē, castorij parū, ad formā squamularū pisciū reducito; & pilis radicitus euulsis vtitor, squamulā vnā oris saliua matutina dilutā illinēdo, locūq; ad dimidiū horæ obligādo. Dolitāt equidē ex medicamēti huius vsu, sed pili amplius non enascūtur; aut felle hyænæ fœminæ mox ab euulsione illinito; aut tellinarū tenuissimū puluerē oblinito; aut euulsis pilis, cicutæ foliū, & cedriam æqualibus partibus cum vespertilionis sanguine, illine, illitumq; donec exarescat tene; si
C enim hoc oculū cōtingat, eius humorē corrumpit; aut ab euulsione, capræ fel cū brassicæ succo illinito; aut fumariæ herbę succo palpebrę alā siue summitatē illinito; deinde pilos euellito, rursusq; illinito. Testatus est & Hermeas spumam aquæ post dropacū adhibitionem illitam summè conducere.

De vuis, & albuginibus.

Staphylomata tolles cantharidum succo illito. Albugines verò citò sanat nitrum cum oleo veteri diligenter tritum, & illitum; aut lacertæ stercus illine, & tolles; aut nycticoracis ouum illine, &
D tinges ipsas; aut croci, piperis, æquales partes, cum felis felle in collyria formato, ac illinito; aut sepiæ testam tritam melle subigito, ac vrito, & læuigato, postea medicamento hoc sublinito.

Curatio obscuritatis visus, & suffusionis.

Obscuritatem omnem, aut etiam incipientem suffusionem persanat vulturis fel cum marrubij succo, ac melle Attico; aut ℞ myrrhæ, & piperis partes æquales cum melle: aut solanum nigrum illine. Facit & Cyprus in ærea pyxide reposita; aut fœniculi succum, & fel taurinum liquidum, paribus partibus, mellis Attici duplum, illinito. Aut
E croci, & piperis ęquas portiones felle taurino excipito, atq; in collyria redigito, ac illinito; aut populi nigræ liquorem cum duplo mellis Attici illinito.

De humorum suffusionibus.

℞. Fellis testudinis marinæ partem vnam, mellis Attici quadruplum, illinito. Fel ipsum etiam per se sufficit cum aqua illitum.

Ad Pterygia.

In pterygiis oculorum, ℞ atramenti sutorij, salis ammoniaci, æquales partes, gummi dimi-
F dium, cum aceto in collyria formato, ac illinito; aut populi nigræ liquorem cum duplo mellis Attici mixtum, ac tritum illinito.

Ad glaucos oculos, & lusciosos.

Solani succus instillatus glaucos oculos denigrat. In lusciosis verò, hepar hircinum assato, ipsumque

ſumque inter aſſandum diſtillantem cruorem coadunato, atque hoc quidem ipſos illinito; ipſum verò hepar edendum præbeto. Auxiliatur & columbinus ſanguis illitus, & fel capræ; aut hepar caprinum coquito, eoſque obuelatos in ollam intendere iubeto, quo elatum inde vaporem oculis ſuſcepiant. Ipſum verò Hepar aſſiduè edendum dato; ex hoc enim citò auxilium ſentient; aut ℥ elaterij obolum, ſeminis portulacæ drach. j. cum melle inunge; aut ſtercus aſini recens exuccato, ac illinito. Veſcatur æger beta, vulturis iecore aſſato, eiuſque felle illinatur.


A τράγιον ὀπτήσας, αὐτὸν τὸν ἐν τῇ ὀπτήσει ἀπορρέοντα ἰχῶρα διάχριε, καὶ οὕτω μὲν ἔγχριε αὖθις, αὐτὸ δὲ τὸ ἧπαρ ἐσθίειν δίδου. ὠφελεῖ καὶ αἷμα περιστερᾶς ἐγχριόμενον, ἢ χολὴ αἰγεία. ἢ ἧπαρ αἴγειον ἕψων, κέλευε αὐθις περικαλυψαμένους ἀτενίζειν εἰς τὴν χύτραν, καὶ δέχεσθαι τὴν ἀτμίδα τοῖς ὀφθαλμοῖς, ἐξ αὐτοῦ δὲ τοῦ ἥπατος, ἐσθίειν δίδου συνεχῶς, τοῦτο ποίει, καὶ ὠφεληθήσονται ταχέως. ἢ ἐλατηρίου ὀβολὸν, καὶ ἀνδράχνης σπέρματος < α΄. σὺν μέλιτι ἔγχριε. ἢ ὀνίδα πρόσφατον χυλίσας ὑπάλειφε, τρωγέτω δὲ σεῦτλον· ἢ γυπὸς ἧπαρ ὀπτὸν, ἢ τῇ χολῇ ἐγχριέσθω.

Ad hordeola quæ & poſthiæ appellantur.

Hordeola circa palpebrarum cilia orta ceræ albæ fomento diſcuties; aut muſcæ caput auellito, ac reliquo corpore abſceſſum ipſum confricato.

Πρὸς κριθὰς, ἃς καὶ ποσθίας καλοῦσιν.

Τὰς γινομένας κριθὰς ἐπὶ τῶν βλεφάρων, κηρῷ πυριάσεις λευκῷ διαφορήσεις, ἢ μυίας τὴν κεφαλὴν ἀποβαλὼν, τῷ λοιπῷ σώματι παράτριβε τὴν κριθήν.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΟΝ Ε΄.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBER QVINTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Ε΄. ΒΙΒΛΙΩι.

Φάρμακα πρὸς λοιπὰς τὰς τοῦ προσώπου τε, καὶ τῶν ὀδόντων, καὶ τῶν οὔλων διαθέσεις.

ARGVMENTVM LIBRI QVINTI.

Ad reliquas faciei, dentium, gingiuarumque affectiones medicamenta.

CAPVT PRIMVM.

De Hypopio ſiue ſugillatione ſub oculis.



QVòd Hypopion ſub oculis fiat, nomen ipſum indicat; idem enim eſt velut ſi quis hypophthalmium dicat, quod ipſum ſub oculis ſonat. Eſt autē ex genere effuſionum appellatarum; appellant ita Hippocrates, & alij multi medici, circa cutem affectionē, quū tenuibus in ipſa venis contuſis ſanguis per fiſſuras effunditur, non vno loco aceruatim, ac ſtatim ita excretus in grumos coiens, ſed poſtquā per diapedeſin, vt ipſi appellant, effuſio ipſa facta eſt. Contingit ſanè aliquando vbi ita coierit, temporis progreſſu liueſcere, & denigrari, paruis nimirum grumulis ex diſperſo in multas cutis partes ſanguine ortis. Quare meritò ad eius curationem ſtatim feſtinant medici, priuſquam denigreſcat, ſcopum medendi habentes, vt ſanguis diſcutiatur, quum ſciant id, quod in grumos coierit ex ſanguine, ægerrimè diſcuti poſſe. Quum verò tunicula

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ Υπωπίων.

B 

ΤΟ Υπώπιον, ὅτι μὲν ὑπὸ τοὺς ὦπας ἐστὶ, καὶ τοὔνομα αὐτὸ δηλοῖ, καθάπερ εἴ τις ὑποφθάλμιον ὠνόμασεν αὐτό. τοῦ γένους δέ ἐστιν τῶν ἐκχυμωμάτων, ὀνομάζουσι δ᾽ οὕτως Ἱπποκράτης τε καὶ ἄλλοι πολλοὶ τῶν ἰατρῶν, τὸ κατὰ τὸ δέρμα πάθος, ὅταν τῶν ἐν αὐτῷ λεπτῶν φλεβῶν θλασθεισῶν, αἷμα διὰ τῶν θλασμάτων ἐκχυθῇ, μὴ καθ᾽ ἕνα τόπον ἀθρόως θρομβούμενον αὐτίκα τὸ οὕτως ἐκκριθὲν, ἀλλ᾽ ἐπειδὰν, ὡς αὐτοὶ καλοῦσιν κατὰ διαπήδησιν ἡ ἔκχυσις ἐστί. συμβαίνει γε μὴν ἐνίοτε, κἂν οὕτω συστῇ, πελιδνοῦσθαί τε καὶ μελαίνεσθαι τῷ χρόνῳ, μικρῶν δηλονότι θρομβίων γινομένων, ἐκ τοῦ διασπαρέντος αἵματος εἰς πολλὰ μόρια τοῦ δέρματος, ὅθεν εἰκότως οἱ ἰατροὶ σπεύδουσιν αὐτὸ θεραπεύειν αὐτίκα, πρὶν μελανθῆναι: σκοπὸν μὲν ἔχοντες τῆς ἰάσεως, διαφορῆσαι τὸ αἷμα, δυσδιαφόρητον εἰδότες γινόμενον τὸ θρομβωθέν. ἐπεὶ δὲ ὁ χιτὼν

θλᾶται τῶν φλεβίων ἐξ ὧν διαπηδᾷ τὸ αἷμα, μίγνυταί τι βραχὺ τοῖς διαφορητικοῖς φαρμάκοις τῶν στυπτικῶν. ἂν γὰρ ἁπλῆς εἴη δυνάμεως μόνης τῆς διαφορητικῆς τὸ φάρμακον, ἐξ ἀρχῆς παραλαμβανόμενον, οὐ μόνον διαφορήσει τὸ ἐκχυθὲν, ἀλλὰ καὶ διὰ τῶν θλασμάτων, ἕλξει τι τοῦ περιεχομένου κατὰ τὰς τεθλασμένας φλέβας αἵματος. ὅταν δ' εἰς τὸ κατὰ φύσιν ἐπανέλθῃ τὰ φλεβία, καὶ χωρὶς τοῦ παραστύφειν, ἐπὶ τὰ διαφορητικὰ τῶν φαρμάκων μεταβαίνειν καιρός. ὥσπερ δ' ἐπὶ τῶν ἄλλων παθῶν, ἀδιορίστως οἱ πλεῖστοι τῶν ἰατρῶν, τὰ βοηθήματα γεγράφασιν, οὕτω κἀπὶ τούτων, ἄνευ τῶν ἄρτι μοι λελεγμένων διορισμῶν, ἔγραψαν ἁπλῶς ὑπωπίων βοηθήματα. μεμνημένοι δὲ ὑμεῖς ὧν ἐν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐμάθετε, διακρίνειν δυνήσεσθε, τίνα μὲν αὐτῶν διαφορεῖν χρὴ μόνον, ἄνευ τοῦ παραστύφειν, ἐπὶ τίνων δὲ, μιγνύναι τῶν ἐπ' ὀλίγον τι στυφόντων. καὶ μέντοι καὶ διαφορητικῶν αὐτῶν, εὔδηλον ὅτι τὰ μὲν ἀσθενέστερα, πρῶτα παραληπτέον ἐστὶ, τὰ δ' ἰσχυρότερα τοῖς χρονίζουσί τε καὶ μελαινομένοις προσακτέα. παραδείγματος γοῦν ἕνεκα οἷς ἐγὼ χρῶμαι δηλώσω πρῶτον, εἶθ' οὕτως ἐπὶ τῶν ἀξιοπίστων ἰατρῶν τὴν ἱστορίαν μεταβήσομαι. καλεῖται δὲ Νείλου διάρροδον ἔνδοξον ἐκ παλαιοῦ κολλύριον, οὗ καὶ τὴν σύνθεσιν ἐν τῷ πρὸ τούτου γράμματι, διῆλθον. τοῦτο δι' ὕδατος ἐπιτρίβων ἐπ' ἀκόνης ὀφθαλμικῆς ἐπαλείφω τὸ ὑπώπιον, ἀφεψήματι πυριῶν μελιλώτου τε καὶ τήλεως, εἶθ' ἑξῆς τὸ κολλύριον αὐτὸ διὰ τούτου λύω, κἄπειτα δι' αὐτῆς μόνης τῆς τήλεως. εἰ δέ τι καταλείποι τὸ λείψανον τοῦ παθήματος, ἐν τῷ τῆς τήλεως ἀφεψήματι τὰ καλούμενα διάσμυρνα κολλύρια λύων, ἐπιχρίω. συμφέρει δὲ δὶς τῆς ἡμέρας ἐπαλείφειν τὸ φάρμακον ἅμα τῷ προπυριᾶσαι διὰ σπόγγου μαλακοῦ θερμοῖς τοῖς ἀφεψήμασιν, ἐν ἀρχῇ μὲν δι' ἀμφοῖν γεγενημένου τῆς τε τήλεως, καὶ τοῦ μελιλώτου, χρονίζοντος δὲ διὰ μόνης τῆς τήλεως. ἔστι ὁ τρόπος τῆς θεραπείας, ὡς τὸ πολὺ τελέως ἐκθεραπεύει τὰ ὑπώπια, παντάπασιν ὀλίγων διαφυγόντων αὐτῶν, ἐφ' ὧν τό τε διὰ σάνδικος κολλύριόν ἐστι χρήσιμον, καὶ τῶν γεγραμμένων τοῖς ἰατροῖς πρὸς ὑπώπια φαρμάκων, ὅσα διαφορεῖ γενναίως. ἄρξομαι δ' ἀπὸ τῶν ὑπ' Ἀρχιγένους γεγραμμένων, ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων, προγράφων μὲν τὴν λέξιν αὐτοῦ, μετὰ τοῦτο δὲ καὶ εἴ τις αὐτῷ λείποιτο διορισμὸς, προστιθείς.

Ἀρχιγένους φάρμακα πρὸς ὑπώπια κατὰ τὴν ἐκείνου λέξιν.

Τὰ ὑπώπια ἰᾶται παραχρῆμα καταπλασσομένη ῥάφανος, ἀφαιρεῖν δὲ χρὴ αὐτὴν, ὅταν ἄρξηται δάκνειν. ὀρθῶς ἐποίησεν προσγράψας αὐτὴν αἴρειν, ὅταν ἄρξηται δάκνειν. ἀναστομώσει γὰρ, ἐὰν ἐπιμείνῃ δάκνουσα τὰ τῶν φλεβίων θλάσματα, διὸ καὶ κατ' ἀρχὰς οὐ χρηστέον αὐτῇ, κεχρονισμένων μέντοι τῶν ὑπωπίων, ἡνίκα καὶ μελαίνεται, κἂν πλείονα χρόνον ἐπικειμένην τις αὐτὴν φυλάξῃ, μᾶλλον ὠφελήσει. ποιεῖ δὲ καὶ τυρὸς νεαλὴς, καταπλασσόμενος. καὶ αὐτὸς μὲν ὁ τυρὸς ἐμπλαστικός ἐστιν, ὁ δὲ νεαλὴς, τουτέστιν ὁ νεωστὶ τοὺς ἅλας προσειληφὼς, καὶ μήπω κεχρονισμένος, μικτῆς ἐστι δυνάμεως, ἐμπλαστικῆς δι' ἑαυτὸν, διαφορητικῆς δὲ, καί τι στυπτικὸν ἐχούσης διὰ τοὺς ἅλας, ὥστε χρῆσθαι τούτῳ καὶ κατ' ἀρχὰς, οὐδὲν ἄτοπον. ἢ κηρωτὴ μετ' ἀψινθίου, ἢ χυλῷ ῥαφανίου ἀναληφθεῖσα, ἢ ὑσσώπου κόμη λεία ὁμοίως. ἄν τε μετὰ κόμης ἀψινθίου λελειωμένης, ἄν τε μετὰ τοῦ χυλοῦ τὴν κηρωτὴν ἀναμίξας προσενέγ-

A venarum ex quibus sanguis exilit, rūpatur, parum quiddã ex astringentibus ad discutientia admisce- tur; si enim ex sola simplici facultate discussoria medicamentũ à principio adhibeatur, non solùm quod effusũ est discutiet, sed & per fissuras aliquid attrahet ex sanguine in contusis venis contento. Postquã verò in suam naturam redierint venulæ, ad discussoria pharmaca citra astringentium admixtionẽ opportunè transimus. Quemadmodum autẽ in aliis affectibus pleriq; medicorum indistinctè auxilia cõscripserunt, ita & in his citra eas, quas iam recensui dictiones, simpliciter sugillatorũ remedia prodiderunt. Porrò si vos eorum, quæ in li- B bris De simplicium medicamentorũ facultate didicistis, memores fueritis, facilè discernere poteritis, quasnã sugillationes sola discussione digerere oporteat, absq; astrictione, & in quibus admiscere cõueniat quippiam ex parce astringentibus. Quin & ex ipsis discussoriis imbecilliora primùm adhibenda esse manifestũ est fortiora verò inueteratis, & denigratis admouenda. Exempli itaq; loco primùm ea, quibus ipse vtor indicabo, inde ad ea, quæ probati medici tradiderunt, progressurus. Appellatur autem collyrium Nili ex rosis diarrhodon, multis iam annis præclarum, & celebratum, cuius C cõpositionem proximo libro tradidi; hoc ipsum in oculariorum coticula ex aqua contero, atque sugillationi illino, sertulæ campanæ, ac fœnigræci decocto prius loco fomento admoto, deinde etiã collyrio ex eo decocto dissoluto. postea etiam ipsius solius fœnigræci decocto. Quòd si reliquiæ quæpiam affectionis restent, in fœnigræci decocto collyria, diasmyrna appellata, soluo, ac illino. Conducit autem bis in die medicamentum hoc illinere, simulque fomentum decoctorum calidorum per mollem spongiam prius admouere, ita vt primum ex ambobus fœnugræco, & meliloto de- D coctum fiat; inueterato autem malo, ex solo fœnugræco. Hic curandi modus vt plurimum perfectè sugillata persanat paucis omninò subterfugientibus, eumq; respuentibus; in quibus collyrium ex sandice commodum est, & ex medicamentis ad sugillata à medicis descriptis, ea quæ generosè discutiendi vim habent. Initium autem faciam ab eis, quæ Archigenes in primo medicamentorum secundum genus conscripsit, propositurus quidem ipsius verba, postea verò si quid ab eo ad distinctionem pertinens relictum est, appositurus.

E *Archigenis medicamenta ad sugillata, iuxta ipsius dictionem.*

Sugillata è vestigio sanat raphanus impositus; auferes autem ipsum postquam mordere inceperit. Rectè fecit in eo, quod ascripsit, tollendũ esse, vbi mordere cœperit; si enim diutius maneat, venulas cõtusas commordendo oscula ipsarum aperiet. Quapropter & à principio eo vtendum non est; vbi verò inueteratæ fuerint sugillationes, & iam denigratæ, etiam si quis longiori tempore incumbere ipsum sinat, magis iuuabit. Facit & caseus recens salsus impositus. Ipse quidem caseus vim obstruendi meatus habet, verùm recens salsus, & F nondum inueteratus mixtam facultatem habet, obductricem ex se ipso, discussoriam verò, & aliqualiter astringentem ex sale; quare nihil absurdi est, eo & in principio vti. Aut ceratum cum absinthio, vel raphani succo subactũ. Aut hyssopi coma læuigata eodem modo. Siue cum absinthij coma trita, siue cum succo ceratum subactum adhibeas, eadem

eâdem vim demonstrabit; verùm ad tactum mollius reddetur medicamentum, si succus cum cerato committatur. At verò raphani succus, aut hyssopum cerato addita efficacius reddunt medicamentum, quàm vt à principio statim adhiberi conueniat, nisi iam planè liuida, aut nigra facta sit sugillatio, quod etiam ipse deinceps dicet. Summè facit ad recentia & liuida sugillata spongia muria tincta, & assiduè imposita, ac ablata; postea verò fomentum assiduum ex calida aqua prodest. Quemadmodum raphano in principio vti minimè tutum est, ob eam quam dixi causam, sic etiam muria; quapropter etiam post eius vsum calidæ fomentum probat, quo videlicet acrimonia ex muria inducta compescatur. Neque verò in omnibus sugillatis in principio fomento ex muria vti consulit, sed in iis, quæ statim liuescunt. Breui itaque tempore in iis, muria vtendum est; in quibus verò cruentus, aut subflauus, aut subpallidus est color, fugere muriam oportet. Cataplasmate autem vtere faba fresa contrita, absinthio, hyssopo, origano, raphani cortice, vua passa exacinata, vnoquoque per se cum melle, aut aceto, aut aqua. Imperfectè primùm hæc remedia conscripsit, quum non apponat, ad sermonem coctísne, an crudis vti iubeat faba fresa, & absinthio, & hyssopo. Videtur autem crudorum vsum præcipere; nam ad finem vbi dicit, cum melle, aut aceto, aut aqua singulis prædictis vtendum esse, tum quidem coctis apposuisset. Quin & eo ipso sermone tria viribus inæqualia medicamenta tradens, minimè rectè mihi videtur præcipere, cum hoc, vel cum illo esse vtendum. Aqua enim acrimoniæ omnis expertissima est, non in cute tantum, sed ipsis etiam vlceribus. Mel verò vlceribus mordax est, cutem autem non offendit. Acetum verò vtrisque mordax existit. Neque verò raphani cortex vuæ passæ viribus par est, sicut neque absinthium, ac hyssopum, & origanum; fortia enim hæc sunt, & discussoria vi prædita; moderata autem est vua passa, & omnis acrimoniæ expers. Et bulbus albus cum ouo, & melle. Bulbum flauum, vt acriorem in principio statim adhibere recusat. Scimus autem mel discussoriæ facultatis esse, quapropter ouum ipsis admiscere videtur, quòd mitigandi facultate multum præstat. Cyclaminos per se, & cum vua passa. Neque hîc paruum est, quod interest inter cyclaminum, & vuam passam. Quare haud scio, qua ratione per se cyclamino vtatur, & admixta vua passa, etenim per se vehementissimum est medicamentum; at cum vua passa commiscens, tantum auferet facultatis, quanta fuerit admixtæ vuæ passæ moles. Aut nitrum cum hyssopo, & vua passa melle exceptum. Hic sermo priore rectior est, in quo etiam solius cyclamini vsum permittebat. Nam si etiam nunc hyssopum ipsum per se adhibere consuluisset, non apponendo, inueteratis sugillationibus id conuenire, similiter vtique deliquisset. Myrtum cum sale, & aqua. Dictum etiam antea à me est, quòd ex discussoriis medicamentis in principio præstantiora sunt, quæ exiguam astringendi vim complectuntur, qualia sunt rosæ, & melilotum, & crocus. Non tamen ex eiusmodi medicamentorum numero est myrtus, vtpotè vehementer astringens; quapropter ego nunquam ipsa vti audeam, præsertim si iam liuidus sit color sugillationum. Sinapi cum adipe ouillo. Inueteratis & nigrefactis sugillationibus solùm hoc medicamentum conuenerit, &

A κης, ὁμοίαν ἐπιδείξεται δύναμιν. διαφέρον δ' ἂν εἴη τὸ φάρμακον, εἰ τοῦ χυλοῦ τῇ κηρωτῇ μιχθείη, ἢ μέντοι τῆς ῥαφανίδος τὸ χύλισμα, ἢ τὸ ὕσσωπον λαβοῦσα κηρωτὴ, δραστικώτερόν ἐστι φάρμακον, ἢ ὡς κατὰ τὴν ἀρχὴν εὐθέως προσφέρεσθαι, πλὴν εἰ φθάσειεν, ἢ πελιδνὸν, ἢ μέλαν γενέσθαι τὸ ὑπώπιον, ὅπερ καὶ αὐτὸς ἐφεξῆς ἐρεῖ. ἄκρως ποιεῖ πρὸς τὰ πρόσφατα, καὶ πελιδνὰ τῶν ὑπωπίων, σπόγγος εἰς ἅλμην ἀποβαπτόμενος, καὶ συνεχῶς προστιθέμενος, καὶ ἀφαιρούμενος, μετὰ τοῦτο δὲ πυρία συνεχὴς δι' ὕδατος θερμοῦ ὠφελεῖ. ὥσπερ δὲ τῇ ῥαφανίδι κατ' ἀρχὰς χρῆσθαι οὐκ ἀσφαλὲς, δι' ἣν B εἶπον αἰτίαν, οὕτως οὐδὲ τῇ ἅλμῃ. διὸ καὶ μετὰ ταῦτα, δι' ὕδατος θερμοῦ κελεύει πυριᾶν, ἕνεκα τοῦ παρηγορῆσαι τὴν ἐκ τῆς ἅλμης δῆξιν. οὐ μὴν οὐδ' ἐπὶ πάντων ὑπωπίων, ἐν ἀρχῇ συνεβούλευε χρῆσθαι τῇ διὰ τῆς ἅλμης πυρίᾳ, ἀλλ' ἐπὶ τῶν εὐθέως πελιδνῶν γινομένων. ἐπ' ὀλίγον οὖν χρόνον, ἐπὶ τούτων ἅλμῃ χρηστέον, ἐφ' ὧν δὲ αἱματώδης ἐστὶν, ἢ ὑπόξανθος, ἢ ὑπόχλωρος ἡ χρόα, φεύγειν δεῖ τὴν ἅλμην. καταπλάσσε δὲ ἐρεγμῷ λείῳ, ἀψινθίῳ, ὑσσώπῳ, ὀριγάνῳ, ῥαφανίδος φλοιῷ, σταφίδι χωρὶς τῶν γιγάρτων, κατ' ἰδίαν ἑκάστῳ, μετὰ μέλιτος, ἢ ὄξεος, ἢ ὕδατος. ἐλλιπῶς ἔγραψε τὰ πρῶτα τῶν βοηθημάτων, μὴ C προσθεὶς τῷ λόγῳ πότερον ἑφθοῖς, ἢ ὠμοῖς χρῆσθαι κελεύει, τῷ τε ἐρεγμῷ, καὶ τῷ ἀψινθίῳ, καὶ τῷ ὑσσώπῳ. ἔοικε δ' ὠμοῖς χρῆσθαι κελεύειν, εἰπὼν ἐπὶ τῷ τέλει τῆς ῥήσεως μετὰ μέλιτος, ἢ ὄξεος, ἢ ὕδατος, ἑκάστῳ τῶν εἰρημένων χρῆσθαι, προσέθηκε γὰρ ἂν νῦν τὸ ἑψηθεῖσιν. ἀλλὰ καὶ κατ' αὐτὸν τοῦτον τὸν λόγον, ἀνόμοια ταῖς δυνάμεσιν εἰπὼν τρία φάρμακα, μοχθηρῶς μοι δοκεῖ κελεῦσαι, μετὰ τοῦδε, ἢ τοῦδε, χρῆσθαι. τὸ μὲν γὰρ ὕδωρ ἀδηκτότατόν ἐστιν, οὐ τῷ δέρματι μόνον, ἀλλὰ καὶ τοῖς ἕλκεσιν. τὸ μέλι δὲ τοῖς μὲν ἕλκεσι δακνῶδες, ἄδηκτον δὲ τῷ δέρματι. τὸ δὲ ὄξος, ἀμφοτέροις δα- D κνῶδες. οὐ μὴν οὐδὲ ῥαφανίδος φλοιὸς, ἔοικε τῇ σταφίδι κατὰ δύναμιν, ὥσπερ οὐδ' ἀψίνθιον, ὕσσωπόν τε καὶ ὀρίγανον. ἰσχυρὰ μὲν γὰρ ταῦτά ἐστι, καὶ διαφορητικὰ, μετρίας δὲ καὶ ἀδήκτου δυνάμεως ἡ σταφὶς, καὶ λευκὸς βολβὸς μετ' ᾠοῦ καὶ μέλιτος. ὡς δριμύτερον τὸν ξανθὸν βολβὸν παραιτεῖται κατ' ἀρχὰς εὐθέως προσφέρειν. ἴσμεν δ' ὅτι καὶ τὸ μέλι, διαφορητικῆς ἐστι δυνάμεως. διό μοι δοκεῖ μιγνύναι τὸ ᾠὸν αὐτοῖς, ἱκανῶς παρηγορικὸν ὑπάρχον. κυκλάμινος κατ' ἰδίαν, καὶ μετὰ σταφίδος. οὐδὲ ἐνταῦθα μικρόν ἐστι τὸ ἐν μέσῳ κυκλαμίνου, καὶ σταφίδος, ὥστε οὐκ οἶδα τίνι λόγῳ, κατὰ μόνας κέ- E χρηται τῇ κυκλαμίνῳ, καὶ μιγνὺς σταφίδι, κατὰ μόνας μὲν γὰρ ἰσχυρότατόν ἐστι φάρμακον, ἅμα δὲ τῇ σταφίδι, τοσοῦτον ἀφαιρήσει τῆς δυνάμεως, ὅσῳ περ ἂν ὄγκῳ συμμιχθῇ τῆς σταφίδος. ἢ νίτρον μετὰ ὑσσώπου, καὶ σταφίδος, μέλιτι μιχθέν. βελτίων οὗτος ὁ λόγος τοῦ πρόσθεν, ἐν ᾧ καὶ μόνῃ ποτὲ χρῆσθαι τῇ κυκλαμίνῳ συνεχώρει, ὡς εἴ γε καὶ νῦν τὸ ὕσσωπον, αὐτό τε καθ' ἑαυτὸ προσφέρειν συνεβούλευε, μὴ προσθεὶς ἐπὶ τῶν πάνυ κεχρονισμένων ὑπωπίων, ὁμοίως ἂν ἥμαρτε. μυρσίνην μετὰ ἁλῶν, καὶ ὕδατος. εἴρηταί μοι καὶ πρόσθεν, ὡς ἐν ἀρχῇ βελτίονα τῶν διαφορούντων μόνον ἐστὶ, τὰ προσειληφότα F βραχείας στύψεως, ὁποῖα τά τε ῥόδα, καὶ τὸ μελίλωτόν ἐστι, καὶ ὁ κρόκος. οὐ μὴν ἔκ γε τῶν τοιούτων φαρμάκων ἐστὶν ἡ μυρσίνη, σφοδρῶς στύφουσα, διόπερ οὐκ ἂν ἔγωγέ ποτε χρησαίμην αὐτῇ, καὶ μάλιστα, ἐὰν ἤδη πελιδνὸν εἴη τὸ χρῶμα τῶν ὑπωπίων. νᾶπυ, μετὰ στέατος προβατείου. τοῖς κεχρονισμένοις καὶ μεμελασμένοις ὑπωπίοις μόνοις ἁρμόσειεν ἂν τοῦτο,

καὶ μάλιστα ἐὰν μὴ παντάπασιν ὀλίγον ᾖ τὸ μιγνύμενον νάπυ τῷ στέατι. μυρίκης φύλλα, καὶ ὁ καρπὸς λεῖα μεθ' ὕδατος, κατ' ἰδίαν, καὶ ὁμοῦ μιγνύμενα. καὶ τοῦτο τὸ φάρμακον, οὐ μόνον διαφορητικὸν, ἀλλὰ καὶ συνακτικὸν ἔχει τι. διόπερ οὐχ ἁρμόττει τοῖς χρονίοις καὶ μελανθεῖσιν ὑπωπίοις. ποιεῖ δὲ καὶ σπόγγος, καὶ ὀθόνιον, ὄξει καὶ μέλιτι διάβροχα περιτιθέμενα. τοῦτο τὸ βοήθημα, κατ' ἀρχὰς μὲν προσφερόμενον, οὐ πάνυ δριμέος ὄξους δεῖται. προήκοντος δὲ τοῦ χρόνου, καὶ πελιδνωθέντος, ἢ μελανθέντος, οὐδὲν ὀνίνησι χωρὶς ὄξους δριμυτάτου σκευασθέν. ἢ ἐρεγμὸν μασησάμενος, ἐπίθες σὺν μέλιτι. καὶ χωρὶς τοῦ μασήσασθαι κυάμινον ἄλευρον, εἰ μετὰ μέλιτος φυραθείη διαφορεῖ πελιώματα. διαφορητικώτατον δὲ γίνεται μασησάμενον αὐτὸ, προσλαμβάνον τὴν ἀπὸ τοῦ σιέλου δύναμιν. ὠοῦ λέκιθον ὁμοίως. ἐὰν μίξωμεν ὠοῦ λεκίθῳ μέλι, καθάπερ ἔμπροσθεν εἶπον τὸν ἐρεγμὸν, ὅμοιον ἐργασόμεθα τῷ προειρημένῳ φαρμάκῳ, ἔν τε τῇ σκευασίᾳ καὶ τῇ δυνάμει. ἢ χοίρου πνεύμονα θερμὸν ἐπιτίθει. οὐκ ἂν τις ἀνάσχοιτο καθάρειος ἀνὴρ, τοιούτου βοηθήματος. ἢ μυρίκης ἀφεψήματι πρόσκλυζε. οὐ πρὸ πολλοῦ, περὶ μυρίκης δυνάμεως εἴρηται. ἢ καρδάμωμον μετὰ σμύρνης ἐπιτίθει. διαφορητικὸν μὲν ἡ σμύρνα φάρμακόν ἐστι, τὸ δὲ καρδάμωμον δριμύ. ταῦτα ἀρκεῖν μοι δοκεῖ τῶν ὑπ' Ἀρχιγένους γεγραμμένων, ἐν παραδείγματος μοίρᾳ λελέχθαι, δεικνύντι τὸν τρόπον τῆς ἐξετάσεως τῶν φαρμάκων, ὁποῖα μὲν ἐστι κατ' ἀρχὰς ἁρμόττοντα, χωρὶς τοῦ πελιδνὸν ἢ μέλαν ἤδη τὸ ὑπώπιον ὑπάρχειν. ὁποῖα δὲ πελιδνῶν, ἢ μελάνων ἤδη γεγονότων, ἢ κεχρονισμένων, ὥστε τὰ τούτων ἐφεξῆς αὐτὰ γράψω μόνα κατὰ τὴν τοῦ Ἀρχιγένους λέξιν. ἢ ψιμμυθίου, καὶ λιθαργύρου ἴσα μετὰ μέλιτος λεάνας, ἐρεγμὸν μίσγε, ὥστε κηρωτώδες γενέσθαι, καὶ χρῶ. ἢ ὄφεως γῆρας μετὰ θαλάσσης τρίβων, ἐπίχριε. ἢ κύμινον ῥάκει ἐνδήσας ζεστὸν ἀποβάπτων, πυρία. ἢ σίναπι μετὰ κηρωτῆς ἐπιτίθει. ἢ μάραθρον λεῖον ἐπιτίθει. ἢ λίβανον, καὶ θαψίαν ἴσα μετὰ ῥοδίνης κηρωτῆς. ἢ ἡδύοσμον, καὶ λιθάργυρον ἴσα ἐπιτίθει. ἢ κρίθινον ἄλευρον μετ' ὀξυμέλιτος ἑψημένον. ἢ κυάμους ἐν οἴνῳ βεβρεγμένους, μέχρις ἂν λυθῇ λεάνας, ὡς σπλήνιον ἐπιτίθει. ἢ ἐρέβινθον ὀρόβιαιον ὁμοίως. ἢ τὴν ἐπὶ τῶν ἰπνῶν αἰθάλην, μετὰ ἴσου ψιμμυθίου σὺν οἴνῳ εὐώδει καταχρίε. ἢ θαψίαν, καὶ ἀλεύρου ὀροβίνου τὸ τριπλοῦν ὁμοίως. ἢ ὠμὸν τάριχον βρέξας ἀπόθλιψον, εἶτα ἐν οἴνῳ εὐώδει λεάνας ἐπίθες. πρὸς δὲ τὰ παλαιότερα ὑπώπια, σμίλακος καρπὸς, μετὰ μελαίνης σταφυλῆς λεῖος. ἢ θαψίας ῥίζα κοπεῖσα, καὶ ὁ χυλὸς ἀναληφθεὶς στέατι, καὶ συνεχῶς περιτιθέμενος. γέγραπται μὲν ἔν τισι τῶν ἀντιγράφων, οὐ παλαιότερα συγκριτικῶς, ἀλλ' ὑπερθετικῶς παλαιότατα. λέλεκται δέ μοι κατ' ἀρχὰς εὐθέως, ὡς ἐπὶ τῶν τοιούτων ὑπωπίων ἰσχυρῶς διαφορητικοῖς χρῆσθαι δεῖ φαρμάκοις. ὁποῖα τά τε κατὰ τὴν προκειμένην ῥῆσίν ἐστιν ὑπ' αὐτοῦ γεγραμμένα, καί τινα τῶν ἔμπροσθεν, ὡς ἐδείχθη. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν, ὁ δὲ Ἀπολλώνιος, ἅμα διορισμοῖς πλείοσιν, ἐπιμελέστερον ἐν τῷ προτέρῳ τῶν εὐπορίστων ὧδέ πως ἔγραψεν.

Τὰ ὑπ' Ἀπολλωνίου γεγραμμένα φάρμακα, πρὸς ὑπώπια πρόσφατα, καὶ πελιώματα.

Σπόγγον εἰς θάλατταν ἀποβάπτων ἀπεζεσμένην, πυρία συνεχῶς τοὺς τόπους. ἢ σπόγγον εἰς ἅλμην δριμεῖαν ἀποβάπτων, πυρία παραπλησίως. ἢ εἰς ὄξος ἀπεζεσμένον, καὶ οἶνον ὁμοίως. ἐπιτίθει τε καὶ σπλήνιον μέλιτι, καὶ ὄξει κατα-

A maximè si non omnino paucum sit sinapi adipi admixtũ. Myricæ folia & fructus trita cum aqua, per se & simul mixta. Et hoc medicamentũ non solùm discussoriam, sed & cõtractoriam quandã vim habet; quare inueteratis, & nigrefactis sugillationibus non cõducit. Facit & spongia, & linteolũ, aceto, ac melle imbuta, & apposita. Hoc remedium in principio adhibitũ non valdè acri aceto opus habet; in progressu autẽ tẽporis liquefacta, aut denigrata sugillatione nihil profuerit, absq; acerrimo aceto præparatũ. Aut fabam fresam cõmanducatam imponito cum melle. Quin & fabæ lomẽtum B etiam citra manducationẽ cum melle subactũ liuida discutit; ex mãducatione autẽ summè discussorium redditur, nimirũ viribus à saliua assumptis. Oui vitellũ eodẽ modo. Si mel ad oui vitellũ miscuerimus, velut ante dixi de faba fresa, simile faciemus prædicto medicamento tum in apparatu, tum in facultate. Aut porci pulmonẽ calidũ imponito. Hoc remedium non tolerarit vir mundiciem amans. Aut myricæ decocto prolue. Non ita lõgè ante de myricæ facultate dictum est; aut cardamomum cum myrrha impone. Discussorium quidẽ medicamentum est myrrha, verùm acre cardamomum. Hęc sanè sufficere videntur mihi ex Archi-C genis scriptis exempli gratia prolata, ostenso simul modo examinandi medicamenta, qualia scilicet in principio conueniant antequam liuida, aut nigra sugillatio fiat; & qualia liuidis, aut iam nigrefactis, & inueteratis sint adhibenda. Quare quæ consequuntur apud eum deinceps, ea sola per se ascribã ipsius Archigenis verbis; aut cerussæ, & spumæ argenti, æquales partes cum melle terito; & admixta faba fresa ad cerati formam reducito, ac vtitor; aut anguium senectã cum aqua marina tritam illine; aut cuminum linteo illigatum, & inferuenti aqua tinctum pro fomento adhibe; aut sinapi cum ce-D rato impone; aut fœniculum tritum impone; aut thus, & thapsiam ęquis portionibus cum cerato rosaceo; aut mentam, & argenti spumam pari pondere impone; aut hordeaceam farinam cum aceto mulso coctam; aut fabam vino maceratam donec tenera fiat, tritam splenij modo impone; aut cicer eruinum vocatum eodem modo; aut furnorum fuliginem cum pari cerussa ex vino odorato illine, aut thapsiam, & eruinæ farinæ triplum eodem modo; aut crudum salsamentum, exprimito, deinde in vino odorato tritam imponito. Cæterùm ad vetustiores sugillationes smilacis fructus E cum vua nigra tritus facit; aut thapsiæ radix tusa, & succus eius adipe exceptus, ac assiduè appositus. In vetustis exemplaribus non vetustiores comparatiuè scriptum est, sed vetustissimas superlatiuè. Dictum est porrò à me statim in principio, quòd in eiusmodi sugillationibus, medicamentis valida vi discussoria præditis vti oporteat, qualia sunt sanè ab eo his verbis descripta, & quædam item ex superioribus, velut est indicatum. Atque hæc quidem Archigenes prodidit. Verùm Apollonius diligentius, & cum pluribus distinctionibus in primo parabilium in hunc modum scripsit.

F *Medicamenta ab Apollonio conscripta ad sugillata recentia, ac liuida.*

Spongiam in aqua marina feruente tinctam assiduè locis pro fomento adhibeto. Aut spongia in acri muria tincta similiter foueto. Aut in aceto feruenti, & pariter in vino. Imponendum est & splenium melle, & aceto

madefactum,

madefactum, aut lana, aut spongia. Cataplasmate autem vtere, absinthio trito cum melle; aut hyssopo læuigato cum melle; & faba fresa eodem modo; origano similiter; raphani cortice cum melle; bulbis tritis per se, aut cum melle, & oui vitello; lini semine, & salibus tritis cum oleo, & oui vitello; silphio trito cum oleo, & vino; sampsucho trito cum melle; myrto, & sale tritis cum aceto; fœniculo trito cum cerato; hyssopo & nitro cum melle, & aceto; calce viua cum cerato; sinapi trito cum adipe vitulino, aut cum cerato.

Ad sugillata inueterata.

Ari radicem rasam, ac melle subactam in linteolum illitam imponito; vtere etiam discussoriis facultatibus, & compositionibus, quæ ex descriptionibus commentariorum apparantur.

Ad sugillata cum tumore.

Spongiam aceto imbutam imponito, & præmonstratis fomentis frequentius vtitor; cataplasmatis loco, farinam hordeaceam ex aceto mulso coctam imponito, donec locus sugillatus humilior reddatur; de cætero verò subscriptis cataplasmatis vtitor.

Ad sugillata cum inflammatione.

Aqua calida foue, & pro cataplasmate lenticulam coctam tritam cum melle impone. Aut cochleam Ægyptiam contusam impone. Vbi verò inflammatio remiserit, tunc iam etiam aliis medicamentis vtere.

Ad sugillata cum pertusione.

In ipsam quidem pertusionis fissuram ex medicamentis, quæ cruentis vulneribus conueniunt, inde; circumsitis verò partibus cataplasmata ex medicamentis ad sugillata citra pertusionem conscriptis impone. Præstabat fortassis hic iam sermonem de sugillatis desinere, verùm quum ea, quæ ex consentiente experimento indicata sunt, aliis stabiliora existant, visum est mihi etiam ea, quæ Crito in tertio de ornatu scripsit apponere, quæ sanè iuxta illius dictionem ita habent.

Quæ Crito ad sugillata recentia, medicamenta scripsit.

Cicutam tritam ex aqua impone. Absinthium tritum ex aqua, & in linteolum infartum imponito; quòd si tenera sit cutis, parum mellis adiicito. Hyssopum Cilicium ex aqua tritum, & in linteolum ligatum in globulos cogito, atque his in feruentem aquam tinctis sensim foueto. Bryoniæ radicem tritam cum melle imponito; aut rosaceo cerato exceptam adhibeto. Muriam acrem facito spongiisque in ea madefactis foueto; & post hæc raphani corticem tritum cum melle, & linteolo infartum imponito. Aut sinapi tritum cerato exceptum, & exiguo adipe vitulino, addito, in linteolo infartum imponito. Et de his quidem in tantùm. Quòd si inueteratæ sint sugillationes, aut etiam appellati liuores, subscriptis compositionibus vtendum est.

Ad Liuores, & sugillationes profundas.

℞. Tordylij partes duas, terræ Samiæ partem vnam; aceto excipito, paulumque mellis simul conquassato. Animaduertere autem oportet diligenter, ne cutis exulceretur.

A βρέχων, ἢ ἔριον, ἢ σπόγγον. ἀψινθίῳ λείῳ μετὰ μέλιτος διάπλασσε, ἢ ὑσσώπῳ λείῳ μετὰ μέλιτος, ἐρεγμῷ παραπλησίως, ὀριγάνῳ ὁμοίως, ῥαφανίδος φλοιῷ μετὰ μέλιτος, βολβοῖς λείοις καθ' αὑτοὺς, ἢ μετὰ μέλιτος, καὶ μετὰ λεκίθου ὠοῦ. λίνου σπέρματι καὶ ἁλσὶ λείοις μετ' ἐλαίου, καὶ λεκίθου ὠοῦ. σιλφίῳ λείῳ μετ' ἐλαίου καὶ οἴνου. σαμψύχῳ λείῳ μετὰ μέλιτος. μυρσίνῃ καὶ ἁλσὶ λείοις, μετ' ὄξους. μαράθρῳ λείῳ μετὰ κηρωτῆς. ὑσσώπῳ, καὶ νίτρῳ μετὰ μέλιτος καὶ ὄξους. ἀσβέστῳ μετὰ κηρωτῆς. νάπυϊ λείῳ μετὰ μοσχείου στέατος, ἢ μετὰ κηρωτῆς.

Πρὸς ὑπώπια χρόνια.

B Ἄρου ῥίζαν ξύσας, καὶ μέλιτι μίξας εἰς ὀθόνιον ἐγχρίσας, ἐπιτίθει, χρῶ δὲ καὶ ταῖς διαφορητικαῖς τῶν δυνάμεων, αἳ τινες ἀναγραφῆς τεύξονται.

Πρὸς ὑπώπια μετ' οἰδήματος.

Σπόγγιον ὄξει καταβρέξας ἐπιτίθει, καὶ ταῖς ὑποδεδειγμέναις πυρίαις χρῶ συνεχέστερον, κατάπλασσε δὲ ἀλεύρῳ κριθίνῳ μετ' ὀξυμέλιτος ἑψημένῳ, μέχρι ταπεινώσεως, καὶ τὸ λοιπὸν ἤδη χρῶ τοῖς ὑπογεγραμμένοις καταπλάσμασιν.

C Πρὸς ὑπώπια μετὰ φλεγμονῆς.

Ὕδατι θερμῷ πυρία, καὶ καταπλάσσων, φακῷ ἑφθῷ λείῳ μετὰ μέλιτος ἐπιτίθει. κοχλίαν Αἰγύπτιον κεκομμένον ἐπιτίθει, ὅταν δὲ τὰ τῆς φλεγμονῆς ἔνδοσιν λάβῃ, τότε ἤδη, καὶ τοῖς λοιποῖς χρῶ φαρμάκοις.

Πρὸς ὑπώπια μετὰ διακόμματος.

Ἐπὶ μὲν τὴν διακοπὴν, ἐπιτίθει τι τῶν ἐναίμων τραυματικῶν, τὰ δὲ κύκλῳ, κατάπλασσε τοῖς πρὸς τὰ χωρὶς διακοπῆς ὑπώπια γεγραμμένοις φαρμάκοις. ἤρκει μὲν οὖν ἴσως
D καταπαύειν ἐνταῦθα τὸν περὶ τῶν ὑπωπίων λόγον, ἀλλ' ἐπεὶ τὰ παρὰ τῆς συμφωνουμένης πείρας κεκριμένα, τῶν γε ἄλλων βεβαιότερά ἐστιν, ἔδοξέ μοι, καὶ τὰ ὑπὸ Κρίτωνος ἐν τῷ τρίτῳ τῶν κοσμητικῶν γεγραμμένα, προσθεῖναι κατὰ τὴν ἐκείνου λέξιν οὕτως ἐχουσαν.

Τὰ ὑπὸ Κρίτωνος γεγραμμένα πρὸς ὑπώπια πρόσφατα.

Κώνειον λεῖον μεθ' ὕδατος κατάπλασσε. ἀψίνθιον τρίψας μεθ' ὕδατος, καὶ εἰς ῥάκος ἐμπλάσας ἐπιτίθει. ἐὰν δὲ ᾖ ἁπαλὸς ὁ
E χρὼς, μέλιτος βραχὺ ἐπιβαλὼν ἐπιτίθει. ὕσσωπον Κιλίκιον τρίψας μεθ' ὕδατος, ἢ εἰς ῥάκος ἐνδήσας ποίει σφαιρώματα, καὶ ταῦτα εἰς ζέον ὕδωρ ἀποβάπτων, ἡσυχῇ ἀποπυρία. βρυωνίας ῥίζαν τρίψας, μετὰ μέλιτος ἐπιτίθει. ἢ τετριμμένην κηρωτῇ ἀναλαβὼν ἐπιτίθει. ἅλμην δριμεῖαν ποιήσας, καὶ σπόγγοις ἐπιβρέχων ἀποπυρία, καὶ μετὰ ταῦτα τῆς ῥαφανίδος τὸν φλοιὸν τρίψας μετὰ μέλιτος, καὶ εἰς ῥάκος ἐμπλάσας, ἐπιτίθει. ἢ σίναπι λεῖον κηρωτῇ ἀναλαβὼν, καὶ μικρὸν στέατος μοσχείου ἐπιβαλὼν, καὶ εἰς ῥάκος ἐμπλάσας, ἐπιτίθει. καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον. χρονίων δὲ ὄντων τῶν ὑπωπίων, ἢ καὶ τῶν λεγομένων πελιω-
F μάτων, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις.

Πρὸς πελιώματα, καὶ βαθύτατα ὑπώπια.

℞. Τορδύλου μέρη δύο, γῆς Σαμίας μέρος ἕν, ὄξει ἀναλαβὼν ἐπιτίθει, μέλιτος ὀλίγον ἀνακόψας, προσέχειν δὲ δεῖ ἐπιμελῶς μή ποτε ἑλκωθῇ ὁ χρώς.

Ἀπόσμηκτον ὑπωπίων, Ἀριστάρχου.

℞. Ὑσσώπου Κιλικίου < α΄. θαψίας ῥίζης τὸ ἴσον, λιβανωτοῦ ἀτόμου τὸ ἴσον, κηροῦ Τυῤῥηνικοῦ < β΄. ῥητίνης τερμινθίνης < α΄. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, εἶτ' ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει προσέχων μὴ ἑλκωθῇ, καὶ διὰ τοῦτο αἴρειν δεῖ συνεχῶς. Ἄλλο. ℞. θαψίας ῥίζης < ιβ΄. ἢ τοῦ χυλίσματος < ς΄. λιβανωτοῦ ἀτόμου < η΄. ἐλλεβόρου λευκοῦ < β΄. ἀψινθίου < α΄. καὶ κηρωτῆς ῥοδίνης < ιζ΄. μαλάξας ἀπόθου, καὶ χρῶ, ἐμπλάσσων εἰς ὀθόνιον, αἴρειν δὲ δεῖ συνεχῶς. Ἄλλο. ℞. ἄγνου λευκοῦ ὀβολοὺς γ΄. στρουθίου τὸ ἴσον, βαλάνου Αἰγυπτίας τὸ ἴσον, πνεύμονος αἰγείου κεκαυμένου τὸ ἴσον, ἀσπαράγου ῥίζης τὸ ἴσον, βδελλίου τὸ ἴσον, θαψίας χυλοῦ τὸ ἴσον, ὀξυμέλιτι ἀναλαβὼν χρῶ. ℞. ἄγνου λευκοῦ τοῦ καρποῦ < γ΄. στρουθίου ῥίζης τὸ ἴσον, νίτρου ἐρυθροῦ τὸ ἴσον, ῥαφάνου χυλοῦ τὸ ἴσον, ὑσσώπου Κιλικίου τὸ ἴσον, ἀλεύρου κυαμίνου τὸ ἴσον, βαλάνου μυρεψικῆς δραχμὰς μ΄. μυρίκης δραχμὰς μ΄. πνεύμονος αἰγείου κεκαυμένου τῆς σποδοῦ < μ΄. βολβῶν ἐρυθρῶν δραχμὰς μ΄. θαψίας ῥίζης < μ΄. λιβανωτοῦ δραχμὰς ιβ΄. ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου, καὶ χρῶ καθὰ προείρηται.

Τὸ ὑφ' Ἥρα γεγραμμένον πρὸς ὑπώπια, αἴροντος, ὥς φησιν, ὥραις τρισίν.

Προσκαταπλάττειν δὲ ἀξιοῖ, φλεγμονῆς γινομένης, τυρῷ χλωρῷ, καὶ ἄρτῳ πυριᾶν. ἢ ℞. κωνείου χυλοῦ ὀβολοὺς β΄. κρόκου < β΄. σμύρνης < α΄. ἀκακίας < α΄. ὀπίου < β΄. θαψίας χυλοῦ < α΄. κόμμεως < α΄. ὕδωρ. τοῦτο μὲν ὁ Ἥρας ἔγραψεν. ἐγὼ δὲ ἐπειράθην καρύου, διὰ χρόνου ἤδη γεγονότος ἐλαιηροῦ, θεραπεύσαντος ἐνίοτε τοὺς αἱμάλωπας. δεῖ δὲ δηλονότι τρίβειν ἐπιμελῶς αὐτό, καὶ οὕτως ἐπιτιθέναι, κατακλίναντα τὸν ἄνθρωπον ὕπτιον, ὅπως προσμείνῃ τὸ φάρμακον ὥραις δύο καὶ γ΄. οὕτω γὰρ ποιήσαντος, εἰ καὶ μετὰ ταῦτα ἀναστῇ, προσμένει μέχρι πολλοῦ, καὶ χρὴ δηλονότι τοῦ προτέρου ἀποπεσόντος, ἕτερον εὐθέως τιθέναι. τοῦ αὐτοῦ Ἥρα πρὸς αἰγίλωπας. ℞. μαλάχης φύλλα, μετὰ ἁλῶν καὶ μέλιτος λεάνας ἐπίθες, ἀνασκευάζει αἰγίλωπας. καὶ χόνδρον ἑψήσας ὄξει, ἐπίθες ἀρχομένῳ αἰγίλωπι. ἢ μυρσίνης νεαρωτάτῳ καρπῷ κατάπλασσε, ὅταν ῥευματίζηται. ὡσαύτως δὲ ποιεῖ, καὶ ἡ Λημνία ἐπιχριομένη.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ αἰγίλωπος.

Ὅμοιον ἀποστήματι μικρῷ γίνεταί τι, μεταξὺ τοῦ τε τῆς ῥινὸς ὀστοῦ, καὶ τοῦ μεγάλου κατὰ τὸν ὀφθαλμὸν κανθοῦ, καὶ συῤῥήγνυται δὲ πολλάκις εἰς τὸν κανθόν, ὡς δυσθεράπευτον γίνεσθαι φθάνειν. χρὴ οὖν θεραπεύειν αὐτὸ διαφορητικοῖς φαρμάκοις, ὅσα χωρὶς δήξεως ἐνεργεῖ. συμπάσχει τε γὰρ ὁ ὀφθαλμὸς ἐπὶ τοῖς δριμέσιν, οὕτω τε τὸ πεπονθὸς μόριον αὐξάνεται φλεγμαῖνον, οὐ μόνον δὲ διὰ τοῦτο δυσθεράπευτόν ἐστι τὸ πάθος, ἀλλὰ καὶ διότι πολλῶν φαρμάκων ὑγρῶν, κατὰ τὴν σύστασιν εἰς πεῖραν ἄγεσθαι δυναμένων, οὐκ ἀνέχεται τὸ μέρος. εἰσρεῖν γὰρ ἐξ αὐτῶν εἰς τὸν ὀφθαλμὸν ἀναγκαῖον, οὐ μὴν οὐδὲ προσμένειν δύνανται τὰ τοιαῦτα, χωρὶς ἐπιδέσεως, ἐπιλαμβανούσης ὅλον τὸν ὀφθαλμόν, ἣν οὐχ οἷόν τε φέρειν ἡμέραις τοσαύταις ὅσον εἰς θεραπείαν χρήζει τὸ πάθος. διὰ τοῦτο οὖν, ὁ μὲν Ἀπολλώνιος οὐδὲν ἔγραψε τῶν πρὸς αἰγίλωπας φαρμάκων.

A

Medicamentum detergens sugillata, Aristarchi.

℞. Hyssopi Cilicii ʒ.i. radicis thapsiæ tantundem, thuris integri non secti tantundem, ceræ tyrrhenicæ ʒ. ii. resinæ terebinthinæ ʒ. j. Arida cum liquabilibus committito, deinde linteolo infarta imponito, animaduersione habita ne locus exulceretur; & ob hoc sanè frequenter tollere oportet. *Aliud.* ℞. radicis thapsiæ ʒ. xii. aut succi ʒ. vi. thuris insecti ʒ. viii. veratri albi ʒ. duas, absinthii ʒ. j. cerati rosacei ʒ. xvii. mollita repone, ac linteolo infartis vtere. Oportet etiam hoc assiduè amouere.

B *Aliud.* ℞. viticis albæ obolos tres, struthii tantundem, glandis Ægyptiæ tantundem, pulmonis caprini vsti tantundem, radicis asparagi tantundem, bdellii tantundem, succi thapsiæ tantundem: aceto multo exceptis vtitor. *Aliud.* ℞. seminis viticis albæ ʒ. tres, radicis struthii tantundem, nitri rubri tantundem, succi raphani tantundem, hyssopi cilicii tantundem, farinæ fabarum tantundem, glandis vnguentariæ ʒ. xl. myricæ ʒ. xl. pulmonis caprini vsti ʒ. xl. bulborum rubrorum ʒ. xl. radicis thapsiæ ʒ. xl. thuris ʒ. xii. excipe cerato rosaceo, ac vtere, vt dictum est.

C *Medicamentum ab Hera conscriptum ad sugillata; aufert, vt inquit Heras, tribus horis.*

Quòd si inflammatio fiat, cataplasma ex viridi caseo probat, & fomentum ex pane. ℞. succi cicutæ oculos duos, croci ʒ. ii. myrrhæ drach. i. acaciæ drach. vnam, opii ʒ. ii. succi thapsiæ drach. ii. gummi ʒ. i. cum aqua cogito. Hoc quidem Heras scripsit. Ego verò nucem per ætatem iam oleosam factam expertus sum aliquando ad cruentatos facientem; oportet autem ipsam nucem diligenter terere, atque ita imponere homini supinè reclinato, quo ad horas duas, & tres medicamentum adhæreat;

D vbi enim sic fecerit, etiam si postea surgat, ad multum tempus adhæret; oportetque priore delapso aliud statim imponere. *Eiusdem Heræ ad Ægilopas.* maluæ folia cum sale, & melle trita imponito; destruit hoc, ac extirpat ægilopas. Alicam etiam in aceto coctam incipienti ægilopi imponito. Aut myrti recentissimas baccas cataplasmatis modo adhibe, vbi videlicet fluxio infestauerit. Similiter facit, & lemnia terra, si illinatur.

CAPVT II.

E

De Ægilope.

Inter nasi os, & magnum iuxta oculum angulum, paruum quoddam abscessui simile tuberculum oriri solet; & rumpitur sanè sæpè in angulum, vt ægrè curabile reddatur, nisi maturè occurratur. Mederi igitur oportet ipsi cum discussoriis medicamentis, quæ citra mordacitatem efficacia sunt; coafficitur enim oculus ab acribus, atque ita etiam affectæ partis inflammatio augetur. Verùm affectio ipsa non ob id solum ægrè curabilis est, sed & propterea quòd, quum multa liquida medicamenta in experimentum assumi possint, ea

F non tolerat locus ipse: necessariò enim ex eis in oculum quid influit. Neque verò adhærere eiusmodi queant citra obligationem, quæ totum oculum complectatur, quam impossibile est tot diebus aliquem perferre posse, quot ad mali curationem requiruntur. Ob hanc igitur causam Apollonius nulla medicamenta ad ægilopas scripsit.

Archigenes

Archigenes verò paucis enumeratis, deinceps ad curationẽ ipsorũ per chirurgiam progreditur, quãquam res ipsa non manuariæ operæ, sed medicamentis secundũ genus, sit subiecta. Itaq; totam ipsius dictionem ascribam hoc modo habentem.

Quæ Archigenes ad Ægilopas scripsit in primo medicamentorum secundum genus.

Ægilopas qui circa oculorum angulos oriuntur, eruo cum melle integimus; aut cinere vitis cũ aceto subacto. Probè facit, & thus cum colũbino stercore recenti impositũ. Aut succũ herbæ ægilopis, auenã nostri dicunt, cum melle illine. Cæterùm in nondũ perforatis, staphidẽ syluestrẽ, & ammoniacum thymiama cum melle veluti splenium, impone; aut alumen scissile cũ terebinthina splenij forma impone. Aut lanę tomentũ sanguine marini leporis tinctũ inde; aut melãteriã tritã adhibe. Quòd si neq; sic sanẽtur, diuiso angulo, & eũ tenui perforato terebello, cõtinuis foraminibus incussis disparato, capitale emplastrũ adhibeto; discedent enim squamæ, & sanabũtur. Aut osse denudato, cauteriũ amoue, & sic squamulæ discedũt, ac sanãtur. Quidã diuidentes angulũ, ossi, qua parte perforatũ est, angustum infundibulũ admouent, ac plumbum liquefactum infundentes, vrunt, atque hoc modo optimè sanant. Hæc quidem Archigenes scripsit.

Quæ Asclepiades ad Ægilopas conscripsit.

Porrò Asclepiades in primo externorum hæc prodidit. ℞. succi illecebræ ℔. ß. succi solani ℔. ß. thuris drach. viij. mastiches ʒ. iii. galbani lib. dimidium. Succos cũ thure coquito, & vbi dissolutum fuerit galbanum inijcito, mastichen verò improbamus. *Aliud.* ℞. thuris ʒ. viii. myrrhæ ʒ. viii. ladani ʒ. iv. ceræ ʒ. iv. aluminis scissi, coaguli leporis, vtriusque ʒ. iii. spumæ nitri ʒ. iv. medicamentum contundito, & emollito irini vnguenti fæce.

A ὁ δ' Ἀρχιγένης ὀλίγων μνημονεύσας, ἐφεξῆς αὐτῶν ἔγραψε τὴν διὰ χειρουργίας αὐτῶν θεραπείαν, καίτοι τῆς πραγματείας οὐ χειρουργικῆς, ἀλλὰ τῆς περὶ τῶν κατὰ γένος φαρμάκων, οὔσης. ὅλην οὖν αὐτοῦ παραγράψω τὴν ῥῆσιν ὧδέ πως ἔχουσαν.

Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα πρὸς αἰγίλωπας, ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων.

Τοὺς δὲ γινομένους περὶ τοὺς κανθοὺς αἰγίλωπας, καταπλάττομεν ὀρόβοις μετὰ μέλιτος. ἢ σποδὸν ἀμπελίνην ὄξει φυράσαντες. καλῶς ποιεῖ καὶ λιβανωτὸς, μετὰ περιστερᾶς κόπρου νεαρᾶς καταπλασθεῖσα. ἢ χυλὸν αἰγίλωπος βοτάνης, μετὰ μέ-
B λιτος ἔγχριε. ἐπὶ δὲ τῶν μήπω συντετρημένων, σταφίδα ἀγρίαν, καὶ ἀμμωνιακὸν θυμίαμα σὺν μέλιτι, ὡς σπλήνιον ἐπίθες. ἢ σχιστὴν μετὰ τερμινθίνης, ὡς σπλήνιον ἐπίθες. ἢ λαγωοῦ θαλασσίου αἵματι κροκύδα βάψας ἐντίθει. ἢ μελαντηρίαν λείαν προσάπτου. εἰ δὲ μηδ' οὕτως ἀφυγιάζοιντο, διελὼν τὸν κανθὸν, καὶ διατρήσας, κατατίτρα λεπτῷ τρυπανίῳ συνεχεῖς κατατρήσεις, εἶτα τῇ κεφαλικῇ χρῶ, ἀποστήσονται γὰρ λεπίδες, καὶ ὑγιασθήσονται. ἢ καυτήριον ἐπέρειδε, ψιλώσας τὸ ὀστέον, καὶ οὕτω λεπίδες ἀφίστανται καὶ ὑγιάζονται. ἔνιοι δὲ διελόντες τὸν κανθὸν, ἐπερείδουσι τῷ ὀστέῳ, καθὸ τέτρηται χωνίον λεπτὸν, καὶ μόλυβδον τετηκότα ἐγχέοντες
C καίουσιν, καὶ ἄριστα οὕτως ὑγιάζουσιν. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα πρὸς αἰγίλωπας.

Ὁ δὲ Ἀσκληπιάδης ἐν τῷ πρώτῳ τῶν ἐκτὸς. ℞. ἰλλεκέβρας χυλοῦ λίτρας S''. στρύχνου χυλοῦ λίτρας S''. λιβανωτοῦ < η'. μαστίχης < γ'. χαλβάνης λίτρας S'' ἕψε τοὺς χυλοὺς μετὰ τοῦ λιβάνου, καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε τὴν χαλβάνην, τὴν δὲ μαστίχην παραιτούμεθα. Ἄλλο. ℞. λιβάνου < η'. σμύρνης < η'. λαδάνου < δ'. κηροῦ < δ'. σχιστῆς, πιτύας λαγωοῦ ἀνὰ < δ'. ἀφρονίτρου
D < δ'. κόπτε τὸ φάρμακον, καὶ μάλασσε ἰρίνου μύρου ὑποστάθμῃ.

CAPVT III.

De Varis; ficosis tumoribus, impetiginosis, & exanthematis, & furunculis.

TVmor paruus, & durus in faciei cute oritur, Varus Latinis appellatus, à crasso videlicet succo collectus, demõstransq; sui ipsius curationẽ rationabiliter per medicamenta emollientia, & discussoria futurã. Etenim durities ipsius emollientibus, tumor verò prætèr naturam discutientibus, opus habet. Quum igitur iam sæpe tum in superioribus libris, tũ in cõmentariis de simplicium medicamentorũ facultate, prædictæ sint mihi materiæ, tum discussoriorum, tum emollientium medicamentorum, compositio sanè ipsorum particularis per experientiam iudicata vtilis erit ad rectum relatorũ vsum, quæ videlicet paulo post referentur, vbi saltem priùs determinauero, quæ similes sint varis affectiones, & aliqua parte ab ipsis differẽtes.

De Ficosis tumoribus.

Vna quædam hæc affectio est ex iis, quæ in mento enascuntur, differens à varis in eo, quòd non solùm crassus sit, qui hos tumores efficiat humor, sed, & serosæ tenuitatis particeps; ob quam etiam citò exulcerantur, si non vt debent curentur; & ob id magis resiccantibus medicamentis quàm vari opus habent.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ἰόνθων, συκωδῶν ὄγκων, λειχηνωδῶν, καὶ ἐξανθημάτων καὶ δοθιήνων.

ΟΓκος μικρὸς, καὶ σκληρὸς ἐν τῷ κατὰ τὸ πρόσωπον δέρματι γινόμενος, καλούμενος ἴονθος, ὑπὸ παχέος δηλονότι χυμοῦ συνιστάμενος, ἐνδεικνύμενός τε τὴν ἑαυτοῦ θεραπείαν, εὐλόγως ἐσομένην διὰ φαρμάκων μαλαττόντων τε καὶ διαφορούντων. ἡ μὲν γὰρ σκληρότης αὐτοῦ τῶν μαλαττόντων, ὁ δὲ παρὰ φύσιν ὄγ-
E κος τῶν διαφορούντων δεῖται. προειρηκότος οὖν ἤδη μου πολλάκις, ἔν τε τοῖς ἔμπροσθεν ὑπομνήμασιν, κἀν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, τὰς ὕλας τῶν διαφορούντων τε καὶ μαλαττόντων φαρμάκων, ἡ τῶν κατὰ μέρος σύνθεσις ὑπὸ τῆς πείρας κεκριμένη, χρήσιμος ἔσται πρὸς τὸ καλῶς χρῆσθαι τοῖς εἰρημένοις, ἃ μετ' ὀλίγον εἰρήσεται, διορισαμένου μου πρότερον, ὅσα παραπλήσια τοῖς ἰόνθοις ἐστὶ πάθη, διαφορὰν ἔχοντα κατά τι πρὸς αὐτούς.

Περὶ συκωδῶν ὄγκων.

F Ἔν τι τοῦτο πάθημα τῶν ἐπὶ τοῦ γενείου γινομένων ἐστὶ, διαφέρον τοῦ κατὰ τοὺς ἰόνθους, τῷ, μὴ μόνον παχὺν εἶναι τὸν ἐργαζόμενον αὐτὰ χυμὸν, ἀλλὰ καὶ λεπτότητος ἰχωροειδοῦς μετέχειν, δι' ἣν καὶ ταχέως ἑλκοῦνται, μὴ θεραπευόμενον, ὡς προσήκει, καὶ διὰ τοῦτο δεῖται ξηραντικωτέρων, ἢ κατὰ τοὺς ἰόνθους φαρμάκων.

Περὶ τῶν ἐν τῷ γενείῳ λειχηνωδῶν ὄγκων. A

Καὶ τοῦτο τὸ πάθος ἐκ μικτοῦ τινος γίνεται χυμοῦ, μεμιγμένων τῶν ἰχωροειδῶν τε καὶ λεπτῶν, καὶ δριμέων τοῖς παχέσι, καὶ διὰ τοῦτο ῥᾳδίως εἰς ψώραν τε καὶ λέπραν μεταπίπτει, δεόμενον καὶ αὐτὸ τῶν ἰσχυρῶς ξηραινόντων φαρμάκων. ὅταν δ᾽ εἰς ψώραν, ἢ λέπραν μεταπέσῃ πρὸς τῷ τῶν ξηραινόντων δεῖσθαι φαρμάκων, ἔτι καὶ τῶν ῥυπτόντων χρήζει.

Περὶ τῶν ἐν τοῖς γενείοις ἐξανθημάτων.

Κοινὸν γε τοῦτο τοὔνομα, κατὰ τῶν αὐτομάτως γιγνομένων B ἑλκωδῶν τε καὶ τραχέων ἐν τοῖς γενείοις παθημάτων ἐπιφέρουσιν ἔνιοι, καθάπερ γε καὶ ὁ Ἀρχιγένης, ξηραντικῶν καὶ αὐτὸ δεόμενον φαρμάκων.

Περὶ τῶν δοθιήνων.

Ἐκ παραπλησίων τοῖς ἰόνθοις χυμῶν, οἱ δοθιῆνες γίνονται, καθ᾽ ὅλον τὸ σῶμα διπλοῖ πως ὄντες. ἔνιοι μὲν, ὡς ἂν εἴποι τις, ἰονθώδεις, σκληροὶ, καὶ δύσπεπτοι, τινὲς δὲ φλεγματώδεις, ἐφ᾽ ὧν, καὶ πυρετοὶ συνίστανται ἐνίοτε, καὶ μέγεθος ὁ ὄγκος ἔχει, καὶ μεταβολὴν εἰς πῦον, ὅθεν καὶ ἡ θεραπεία C τὸ πλεῖστον ἔχει αὐτῶν τῆς φλεγμονῆς.

Ἐκ τῶν Κρίτωνος πρὸς ἰόνθους.

Κρίτων μὲν ἐν τῷ τρίτῳ τῶν κοσμητικῶν, οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασι, πρὸς ἰόνθους τοὺς ἐν τοῖς προσώποις. ℞. μέλιτος Ἀττικοῦ κυάθου α᾽. ἤτοι < ιβ᾽. ὄξους δριμυτάτου τὸ ἴσον, μίξας ἐπιμελῶς ἐπίχριε τοὺς ἰόνθους, τῷ δακτύλῳ ἐπιχρίων, καὶ παρατρίβων. Ἄλλο. ℞. λιθαργύρου χήμην, ἤτοι < γ᾽. τερμινθίνης καθαρᾶς κυάμου Αἰγυπτίου μέγεθος, εἶτα βαλὼν ἐλαίου λευκοῦ ὀλίγον, ἔπειτα προαποσμήξας τὸ πρόσωπον, λάμβανε D τοῦ φαρμάκου βραχὺ τῷ δακτύλῳ, ἔπειτα ἀμφοτέραις ταῖς χερσὶ διατρίψας, περιάλειφε τοὺς ἰόνθους, τοῦτο καὶ ῥυτίδων, καὶ καθαρὸν διαφυλάττει τὸ πρόσωπον. Ἄλλο. ἀμύγδαλα πικρὰ ὄξει διαλύσας, καὶ τρίψας ἐπιμελῶς κατάχριε τὸ πρόσωπον. σχιστὴν λεάνας ἐπιμελῶς ἀναλάμβανε τερμινθίνῃ, καὶ μαλάξας ἐπιτίθει. Ἄλλο. κόστον Ἰνδικὸν κόψας, καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ, ἀναλάμβανε αἰγείᾳ χολῇ, καὶ ποιήσας κηρωτῆς τὸ πάχος, ἐπίχριε τοὺς ἰόνθους περὶ ἑσπέραν, καὶ πρωῒ ἀναστὰς, κέλευε γάλακτι τῷ παθόντι προσκλύζεσθαι τὸ πρόσωπον. ἐγχρονιζόντων δὲ τῶν ἰόνθων, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. E

Πρὸς τετυλωμένους ἰόνθους.

℞. Σάπωνος Γαλλικοῦ δραχμὰς δ᾽. ἀμμωνιακοῦ θυμιάματος < α᾽. λιβανωτοῦ < α᾽. ὕδατι διαλύσας, ποίει κηρωτῆς τὸ πάχος, τούτῳ ἐπιχρίσας, καὶ διαστήσας ὥραν μίαν, ἀπονίπτεσθαι προστάττε χλιαρῷ. Ἄλλο. ℞. νίτρου ἐρυθροῦ, ὑσσώπου, γλήχωνος, ἁλῶν ὀρυκτῶν τὸ ἴσον, κόψας, σήσας λεπτοτάτῳ κοσκίνῳ, ἀναλαβὼν κηρωτῇ ῥοδίνῃ, χρῶ. Ἄλλο. ℞. ὠκίμου σπέρματος, νίτρου ἐρυθροῦ, γλήχωνος χλωροῦ, σχιστῆς, κόστου Ἰνδικοῦ, κόψας, σήσας, ὁμοῦ ἀναλαβὼν στέατι χηνείῳ, ἢ ὀρνιθείῳ, F ὥστε κηρωτώδες ἔχειν τὸ πάχος, ἐκ τούτου ἔμπλασσε εἰς ὀθόνιον, καὶ ἐπιτίθει μέχρι παντελοῦς ἀπαλλαγῆς. Ἄλλο. ℞. ἁλῶν ὀπτῶν, γλήχωνος, ὑσσώπου, ἀμμωνιακοῦ θυμιάματος, ῥοῦ βυρσοδεψικοῦ, ἑκάστου τὸ ἴσον, κηρωτῇ ῥοδίνῃ ἀναλαβὼν, ἐπιτίθει μέχρι ἀπαλλαγῆς.

De impetiginosis tumoribus in mento.

Et hæc affectio ex mixto quopiam generatur humore, serosis nimirum, ac tenuibus, & acribus succis cum crassis permixtis; quapropter etiam facilè in scabiem, & lepram transit; indigetque etiam ipsa medicamentis validè resiccantibus. Postquam verò in psoram, aut lepram transierit, vltra hoc, quòd resiccantibus indiget medicamentis, etiam repurgãtia, & extersoria expostulat.

De exanthematis siue pustulis, quæ in mento.

Hoc exanthematum nomen quidam in communi vsurpant, de affectionibus videlicet vlcerosis, & asperis in mento sua spontè prouenientibus, quemadmodum etiam Archigenes facit. Indiget autem & hæc ipsa affectio resiccantibus medicamentis.

De furunculis.

Furunculi ex similibus humoribus, veluti vari, generantur per vniuersum corpus, duplices existentes, aliqui quidem, vt ita dixerim, varosi, duri, & qui difficilè coquantur: aliqui verò inflammati, in quibus aliquando etiam febres consistunt, & tumor in magnitudinem excrescit, & in pus transmutatur; vnde curatio ipsorum vt plurimum eadem, quæ inflammationis existit.

Ex Critone ad varos.

Crito in tertio de ornatu hæc verba scripsit. *Ad varos in facie.* ℞. mellis Attici cyathum vnum, siue ʒ. xij. aceti, acerrimi tantundem, misceto diligenter, & medicamento varos illinito, digito affricando. *Aliud.* spumæ argenti chemam siue ʒ. iij. terebinthinæ puræ ad fabæ Ægyptiæ magnitudinem, addito olei albi parum; atque vbi priùs faciem deterseris, ex medicamento, hoc paulùm digito excipe, deinde ambabus manibus terendo varos obline. Hoc medicamentum etiam à rugis liberam, & mundam faciem conseruat. *Aliud.* Amygdalas amaras aceto dilutas, ac probè tritas, faciei obline. *Aliud.* Alumen scissum probè læuigatum terebinthina excipe, & emollitum impone. *Aliud.* Costum Indicum tusum & tenuissimo cribro cretum felle caprino excipe, ac ad cerati crassitudinem redactum, varis circa vesperam illine; manè verò vbi surrexerit, lacte ægrum faciem proluere iube. Inueteratis porrò varis subscriptis compositionibus vtendum est.

Ad varos callosos.

℞. Saponis Gallici drach. iv. ammoniaci thymiamatis ʒ. j. thuris drach. j. aqua dissoluito, & cerati spissitudinem facito, eoque illinito, & post horæ interstitium tepida abluere iubeto. *Aliud.* nitri rubri, hyssopi, pulegij, salis fossilis æquales partes tundito, & per tenuissimum cribrum cribrato, exceptisque cerato rosaceo vtitor. *Aliud.* ℞. seminis ocymi, nitri rubri, pulegij viridis, aluminis scissi, costi Indici, singulorum æquales partes, tusas, & cribratas adipe anserino seu gallinaceo excipe, vt cerati fiat crassitudo; ex eo verò in linteolum infarcito, & imponito donec penitus persanescant. *Aliud.* ℞. salis assati, pulegij, hyssopi, ammoniaci thymiamatis, rhois coriarij, singulorum par pondus, rosaceo cerato exceptum donec persanentur, imponito.

Ad affectiones eminentiores, & in facie pruritum, ac principium Elephantiasis.

℞. Gummi albi, spumæ nitri, thuris, sulfuris viui, singulorum æquales partes, aceto dilutas, ac probè tritas in pastillos redige, eosque in vmbra exicca. Vsu verò expetente aceto dilutos illine, atque vbi resiccati fuerint, subscripta compositione deterge. ℞. saponis Gallici lib. j. ammoniaci thymiamatis tantundem, thuris quadrantem, masticheſ quadrantem, spumæ nitri quadrantem. Saponem & ammoniacum in vas fictile coniice, & aquæ sextariis duobus affusis coquito; atque vbi dissoluta fuerint, arida contusa, & cribrata adiicito; deinde in mortarium translata, ac probè conquassata, vase vitreo reponito. Vsu verò postulante, faciem ex eo smegmate inquinato, & post modicum temporis spatium larga aqua molliter perfricando abluito. Vtendum est hoc smegmate per omnem varorum curationem.

Ad ficosas menti papularum eruptiones.

Crito in tertio de ornatu in hunc modum de eis scripsit. *Ad ficosas in mento eruptiones, velut Leucius præceptor tradit.* ℞. spumæ argenti, misyos crudi, æquas partes tritas insperge. *Aliud.* ℞. thuris drachmas duas, spumæ argenti drach. quatuor, salis fossilis drachmas octo, sandarachæ drachmas duas; trita insperge. *Aliud.* ℞. cerussæ drachmas quatuor, misyos crudi drachmas quatuor, salis fossilis drachmas duas, sandarachæ drachmas duas: trita insperge. *Aliud.* ℞. atramenti sutorij drachmas duas, sulfuris viui drachmas duas, æruginis drachmam vnam, nitri rubri drachmas duas, trita insperge. *Aliud.* ℞. elaterij drachmas quatuor, salis fossilis drachmas quatuor, atramenti sutorij drachmas duas, mixta insperge, & cum specilli humecti extremo admoue, quo videlicet medicamentum ipsum adhæreat. Cæterùm post medicamenti impositionem semine lini ex aqua trito vtendum est. Porrò vbi humidiora fuerint vlcera, vt ab ipsis aqua pura velut à fonte defluat, subscriptis compositionibus vtendum erit. *Pastillus ad ficosas menti Papulas. Vsus est eo Artemidorus, reprimit omnes tumores, qui accidunt iis quibus cicatrix male inducta est, veluti in iis, qui sutura vsi sunt contingit. Compositio hæc est.* ℞. squamæ æris drach. iv. vitrioli drach. ij. aluminis scissi ℥. ij. glutini fabrilis perlucidi drach. ij. arida tunduntur, & cribrantur, glutinum verò aceto maceratur, & tritis affunditur; rursusque læuigatur, & formantur pastilli, quos vsus tempore aceto dilutos illinimus. Hoc medicamentum etiam fistularum callos extirpat.

Magni Clinici.

℞. Aluminis scissi, æruginis Corinthiæ, rubricæ sinopidis, chalcitidis, glutinis fabrilis, singulorum æquas portiones; componito, ac vtitor, vt dictum est.

Arei Asclepiadei.

℞. Rubricæ sinopidis, æruginis Corinthiæ, aluminis scissi, gallæ omphacitidis, malicorij, æquas singulorum partes, gummi duplum; aceto excipito, ac vtere vt dictum est.

A Πρὸς τὰς ὀχθώδεις διαθέσεις, καὶ τοὺς ἐπὶ τοῦ προσώπου κνησμοὺς, καὶ ἀρχὴν ἐλεφαντιάσεως.

℞. Κόμμεως λευκοῦ, νίτρου ἀφροῦ, λιβανωτοῦ, θείου ἀπύρου, ἑκάστου τὸ ἴσον ὄξει διαλύσας, καὶ τρίψας ἐπιμελῶς, ἀνάπλασσε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως ὄξει διαλύων ἐπίχριε. ὅταν δὲ ξηρανθῇ, ἀπόσμηχε τῇ ὑπογεγραμμένῃ σκευασίᾳ. ℞. σάπωνος Γαλλικοῦ λίτραν μίαν, ἀμμωνιακοῦ θυμιάματος τὸ ἴσον, λιβανωτοῦ Ϛο γ'. μαστίχης Ϛο γ'. ἀφρονίτρου Ϛο γ'. ἕψε σάπωνα, καὶ ἀμμωνιακὸν, εἰς ἀγγεῖον
B κεραμεοῦν ἐμβαλὼν, καὶ ὕδατος ξε β'. καὶ ὅταν διαλυθῇ, ἐπίβαλε τὰ ξηρὰ, κεκομμένα, καὶ σεσησμένα λεπτοτάτῳ κοσκίνῳ, ἔπειτα μεταίρων εἰς θυίαν, καὶ ἀνακόψας ἐπιμελῶς, ἄνελοῦ εἰς ἀγγεῖον ὑέλινον, ἐπὶ δὲ τῆς χρήσεως, μολύνων τὸ πρόσωπον, καὶ μικρὸν διαστήσας ἀπόνιπτου ὕδατι δαψιλεῖ παρανατρίβων μαλακῶς. χρηστέον δὲ τῷ σμήγματι παρ' ὅλην τὴν ἐπιμέλειαν τῶν ἰόνθων.

Πρὸς τὰς ἐπὶ τοῦ γενείου συκώδεις ἐπαναστάσεις.

Ὁ μὲν Κρίτων ἐν τῷ τρίτῳ τῶν κοσμητικῶν, οὕτως ἔγραψεν
C περὶ αὐτῶν, πρὸς τὰς ἐπὶ τοῦ γενείου συκώδεις ἐπαναστάσεις, ὡς Λεύκιος ὁ καθηγητὴς, ℞. λιθαργύρου, μίσυος ὠμοῦ τὸ ἴσον τρίψας κατάπλασσε. Ἄλλο. ℞. λιβανωτοῦ < β'. λιθαργύρου δραχμὰς δ'. ἁλῶν ὀρυκτῶν < η'. σανδαράχου δραχμὰς β'. λείοις κατάπλασσε. Ἄλλο. ℞. ψιμμυθίου < δ'. μίσυος ὠμοῦ < δ'. ἁλῶν ὀρυκτῶν δραχμὰς β'. σανδαράχης < β'. λείοις κατάπλασσε. Ἄλλο. ℞. χαλκάνθης δραχμὰς β'. θείου ἀπύρου < β'. ἰοῦ < α'. νίτρου ἐρυθροῦ δραχμὰς β'. λείοις κατάπλασσε. Ἄλλο. ℞. ἐλατηρίου δραχμὰς δ'. ἁλῶν ὀρυκτῶν < δ'. χαλκάνθου < β'. μίξας κατάπλασσε, παρα-
D πλόμενος πυρῆνι μήλης καθύγρου, ὥστε τὸ φάρμακον προσκαθίσαι. μετὰ δὲ τὴν τοῦ φαρμάκου ἐπίθεσιν, χρηστέον λίνου σπέρματι λεανθέντι μεθ' ὕδατος. καθύγρων δὲ ὄντων τῶν ἑλκῶν, καὶ γὰρ ἀπ' αὐτῶν ὕδωρ καθαρὸν ἀποῤῥεῖ, ὥσπερ ἀπὸ πηγῆς, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. Τροχίσκος πρὸς τὰς ἐπὶ τῶν γενείων συκώδεις ἐπαναστάσεις. ἐχρήσατο Ἀρτεμίδωρος, ἔστι δὲ καὶ παντὸς ὄγκου κατασταλτικὸς, ὃς συμβαίνει ἐπὶ τῶν κακῶς συνουλωκότων, ὥσπερ ἐπὶ τῶν συνεῤῥαμμένων, ἡ δὲ σύνθεσις ἥδε. ℞. λεπίδος χαλκοῦ δραχμὰς δ'. χαλκάνθου δραχμὰς β'. στυπτηρίας σχιστῆς δραχμὰς β'. κόλλης τεκτονι-
E κῆς διαυγοῦς δραχμὰς β'. τὰ ξηρὰ κόπτεται, καὶ σήθεται, ἡ δὲ κόλλα ὄξει βρέχεται, καὶ τοῖς λελεωμένοις ἐπιβάλλεται ὑγροῖς, καὶ πάλιν λεαίνεται, καὶ τροχίσκους ἀναπλάσσομεν, ἐπὶ δὲ τῆς χρήσεως, ὄξει διαλύοντες ἐπιχρίομεν, καὶ σύριγγας ἐκτυλοῖ.

Μάγνου κλινικοῦ.

℞. Στυπτηρίας σχιστῆς, ἰοῦ Κορινθίου, μίλτου Σινώπιδος, χαλκίτεως, κόλλης τεκτονικῆς τὸ ἴσον, σύνθες, καὶ χρῶ καθὰ προείρηται.

F Ἀρείου Ἀσκληπιαδείου.

℞. Μίλτου Σινώπιδος, ἰοῦ Κορινθίου, σχιστῆς, κηκίδος ὀμφακίτιδος, σιδίων ῥοιᾶς τὸ ἴσον, κόμμεως τὸ διπλοῦν, ὄξει ἀναλαβὼν, χρῶ, ὡς προείρηται.

Ἀπολλωνίου, ὡς Χαρίξενος. A

℞. Λεπίδος χαλκοῦ, μίσυος ὀπτοῦ, ἀρσενικοῦ, ἑκάστου δραχμὰς β'. διφρυγοῦς < γ'. χαλκοῦ κεκαυμένου < δ'. χαλκίτεως κεκαυμένης < δ'. κόλλης τεκτονικῆς < δ'. ὄξει διαλύσας, ἀνάπλαττε τροχίσκους, καὶ χρῶ καθὰ προείρηται.

Ἄνδρωνος φάρμακον ἐπιτετευγμένον.

℞. Χαλκάνθου δραχμὰς β'. σμύρνης < β'. λιβανωτοῦ δραχμὰς δ'. στυπτηρίας σχιστῆς < δ'. σιδίων < η'. κηκίδων δραχμὰς η'. ἀριστολοχίας δραχμὰς η'. οἴνῳ αὐστηρῷ ἀναλαβὼν, χρῶ καθὰ προείρηται. B

Κρίτωνος πρὸς τοὺς ἐπὶ τῶν γενείων λειχῆνας.

Ἐφεξῆς τούτων, ὁ Κρίτων ἔγραψε πρὸς τοὺς ἐπὶ τῶν γενείων λειχῆνας, ὧδέ πως. πρὸς δὲ τοὺς ἐπὶ τῶν γενείων λειχῆνας πάθος ἀηδέστατον, καὶ γὰρ κνησμοὺς ἐπιφέρει, καὶ περιτάσιν τῶν πεπονθότων, καὶ κίνδυνον οὐκ ὀλίγον, ἕρπει γάρ ἐστιν ὅτε, καθ' ὅλου τοῦ προσώπου, καὶ ὀφθαλμῶν ἅπτεται, καὶ σχεδὸν τῆς ἀνωτάτω δυσμορφίας ἐστὶν αἴτιον, καὶ διὰ τοῦτο, χρηστέον ἂν εἴη ἐπιμελέστερον τῇ θεραπείᾳ, ἐφορῶντα τοὺς παροξυσμοὺς, καὶ τὰ διαλείμματα, καὶ συγκρίνοντα ἀπὸ τῶν κεχρονισμένων τὰ νεοσύστατα, ἐφ' ὧν ἁρμόσει χρῆσθαι τοῖς ξηραίνουσι φαρμάκοις. ὅταν δ' εἰς ψώραν, ἢ λέπραν μεταπέσῃ, πρὸς τοῖς ξηραίνουσι, χρῆσθαι καὶ τοῖς ῥύπτουσιν, ἔπειτα δὲ καὶ ταῖς ὑπογεγραμμέναις σκευασίαις. C

Κρίσπου τοῦ φίλου πρὸς ἐπὶ τῶν γενείων προσφάτους λειχῆνας, ἢ ἄλλο τι μέρος τοῦ προσώπου.

Πυροὺς πολλοὺς λαμβάνων, ἐπιτίθει ἐπί τινος ἄκμονος, εἶτα πλάτυσμα χαλκεῖον πυρώσας, ἐπιτίθει τοῖς πυροῖς, καὶ τὸ ἀνιέμενον ἐξ αὐτῶν ὑγρὸν, ἔτι θερμὸν ἀφελὼν, ἐπίχριε τοὺς λειχῆνας. τούτῳ μόνῳ, πολλοὺς θεραπευθέντας ἱστορήσαμεν. D Ἄλλο. μαλάχης ἀγρίας τὸν καρπὸν ἁπαλὸν ὄντα καθαρείσας συλλέγων, κόψας τὸν χυλὸν ἀπόθου, καὶ τούτῳ συνεχῶς ἐπίχριε. Ἄλλο. ἀνδράχνης χυλὸν κατάχριε συνεχῶς. Ἄλλο. ἐλαίας Αἰθιοπικῆς δάκρυον τρίψας μεθ' ὕδατος, καὶ στύρακος ὀλίγον ἐπιβαλὼν, καὶ μίξας ἐπιτίθει. Ἄλλο. πτελέας δάκρυον, ὕδατι διαλύων ἐπιτίθει. ἐγχρονιζόντων δὲ τῶν λειχήνων, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις, πρὸς τοὺς ἐγχρονίζοντας. ἀσφοδέλου ῥίζαν ἐν ὄξει ἑψήσας καὶ τρίψας, ἐπίχριε. ἄγνου τὰ φύλλα τρίψας, ὄξος ἐπιβαλὼν ὀλίγον κατάπλασσε. E καππάρεως τὰ φύλλα τρίψας μετ' ὄξους ἐπιτίθει. λαπάθου ἡμέρου τὸν φλοιὸν τῆς ῥίζης μετ' ὄξους λεάνας κατάπλασσε, προεκνιτρώσας. χαμαιλέοντος ῥίζαν ἐν ὄξει ἑψήσας καὶ τρίψας, κατάπλασσε. πρὸς δὲ τὴν τῶν λειχήνων ἐπιμέλειαν, ἐπεὶ τὰ κατὰ μέρος πολλά ἐστι καὶ ποικίλα, ἐν μέρει περὶ ἑκάστου ἐρῶ, ἄρξομαι δὲ ἀπὸ τῶν λεγομένων τροχίσκων.

Τροχίσκος λειχηνικός.

℞. Κόλλης τεκτονικῆς < δ'. ἐν ἄλλῳ δραχμὰς β'. θείου ἀπύρου < β'. χαμαιλέοντος δραχμὰς δ'. λιβανωτοῦ < β'. F ὄξους κοτύλης S''. ἡ κόλλα ὄξει διαλύεται, εἶτα ἐπιβάλλεται τοῖς ξηροῖς. ἐπὶ δὲ τῆς χρήσεως, ὄξει διαλύων, ὅσον ἐξαρκεῖ θερμαίνων, ἐπιτίθει. ἐν ἄλλοις ἴσα ἔχει. Ἄλλος. ℞. χαμαιλέοντος, θείου ἀπύρου ἀνὰ < δ'. ἐλαίας Αἰθιοπικῆς δακρύου δραχμὰς β'. λιβανωτοῦ δραχμὴν μίαν, ὄξους ὅσον ἐξαρκεῖ.

Apollonij, vt Charixenus tradit.

℞. Squamæ æris, misyos assati, auripigmenti, singulorum ʒ. ij. diphrygis ʒ. iij. æris vsti drach. iv. chalcitidis vstæ ʒ. iv. glutinis fabrilis drach. iv. aceto diluito, & pastillos formato; quibus velut superioribus vtitor.

Andronis medicamentum accommodatum.

℞. Vitrioli drach. duas, myrrhæ drach. duas, thuris drach. iv. aluminis scissi drachmas quatuor, malicorij drach. octo, gallarum drach. octo, aristolochiæ drach. octo; vino austero exceptis, vt prædictis vtere.

Critonis, ad Lichenas in mento.

Consequenter verò Crito ad lichenas menti scripsit hoc modo. Ad menti lichenas, quæ iniucundissima est affectio. Nam & pruriginem inducit, & affectarum partium circuntentionem, & periculum non modicum; serpit enim aliquando per totam faciem, oculosque contingit, & fermè extremæ fœditatis causa existit. Quapropter diligentiore cura vtendum est, inspiciendo tum paroxysmos, idest irritationes, tum interualla & remissiones, ita vt etiam ab inueteratis recentes dispareamus; in quibus conueniet vti exiccantibus medicamentis. Quum verò in psoram aut lepram transierint, supra resiccantia etiam extergentium, & repurgantium erit vsus, & postea sane subscriptarum item compositionum.

Crispi amici ad recentes in mento, siue alia faciei parte lichenas.

Tritici grana multa in incudem imponito. deinde laminam æris igni candefactam tritico superponito, & resolutum ab eo liquorem calidum adhuc auferto, ac super lichenas linito. Hoc solo multos curatos scimus. *Aliud.* Maluæ agrestis semen tenerum adhuc colligito, mundato, ac tundito, succumque reponito, atque eo assiduè illinito. *Aliud.* Portulacæ succum assidue illinito. *Aliud.* oleæ Æthiopicæ lachrymam cum aqua terito, & pauco adiecto styrace misceto, & imponito. *Aliud.* Vlmi lachrymam aqua dissolutam imponito. Quòd si inueterati sint lichenes, sequentes compositiones adhibendæ sunt; asphodeli radicem aceto coctam, & tritam illinito. Viticis folia trita cum aceto imponito. Capparis folia trita cum aceto imponito. Rumicis hortensis radicis corticem ex aceto tritum, loco priùs cum nitro præparato imponito. Chamæleonis radicem aceto coctam, & tritam imponito. Cæterùm quum ad lichenum curationem multa, & varia medicamenta existant, particulatim de singulis transigam, initio è pastillis sumpto.

Pastilli Lichenici.

℞. Glutinis fabrilis drach. iv. alij duas habent; sulfuris viui drach. ij. chamæleonis drach. iv. thuris ʒ. ij. aceti heminæ dimidium; glutinum aceto dissoluitur, deinde aridis adiicitur. Vsus tempore, quantum satis est, aceto dissoluito, calidumque imponito. In aliis exemplaribus singulorum par pondus continetur. *Alius.* ℞. chamæleonis, sulfuris viui, vtriusque ʒ. iv. lachrymæ oleæ Æthiopicæ ʒ. ij. thuris ʒ. j. aceti quantum satis est;

iuxta

iuxta alios, ℞. alcyonij drach. ij. chamæleonis nigri drach. iv. pyrethri ʒ. ij. sulfuris viui drach. iv. thuris drach. iv. glutini drach. iv. aceti acerrimi heminas iv. *Alius.* ℞. lachrymæ oleæ Æthiopicæ drach. iv. sulfuris viui drach. iv. alcyonij ʒ. octo, spumæ nitri drach. viij. alicæ aceto coctæ drach. viij. aceti, quod satis est. *Alius.* ℞. alcyonij vsti ʒ. ij. chamæleonis nigri drach. iv. radicis asphodeli ʒ. iv. sulfuris viui drach. ij. thuris ʒ. ij. pyrethri drach. ij. spumæ nitri ʒ ij. glutinis drach iv. aceti, quod satis est. Porrò extenta iam affectione, & callosa reddita, sequentibus vtendum est medicamentis. *Humida ad Impetigines affectus.* ℞. misyos peregrini, thuris, myrrhæ, aluminis scissi, singulorum drach. viij. aloës, sulfuris viui, vtriusque ʒ. iv. excipe passo, vt strigmentitiam spissitudinem accipiant, & bis, aut ter in die præfrictis, illine; forinsecus autem conseruandi medicamenti gratia, vesicæ pelliculam, aut oui testam, aut viridia folia quantum satis est impone. *Aliud.* ℞. misyos ʒ. iv. acaciæ drach. ij. squamæ æris ʒ. iv. sulfuris viui ʒ. vj. chalcitidis drach. viij. gummi drach. octo, aceti, quod satis est; in quo, vbi gummi dissolueris, reliquaque admiscueris, amurcam iniice, & probè conquassata reconde, ac vtere, vt dictum est. *Aliud.* ℞. sulfuris viui, thuris, myrrhæ, atramenti sutorij, misyos crudi, singulorum drach. ij. gummi drach. iv. aceto, & cedrino oleo, quod satis est dissoluito, eodemque vtere modo.

Ex scriptis Zeuxidis, Aliud.

℞. Chalcitidis crudæ, misyos crudi, myrrhæ Aminææ, sulfuris viui, singulorum æquales partes, gummi duplum aceto dissolutum, excipe oleo cedrino. Verùm cedrinum prius coquere oportet, vsque ad mellis crassitudinem. *Aliud Diodori.* ℞. lachrymæ oleæ Æthiopicæ drach. xx. gummi drach. xl. vitrioli drach. sedecim, sulfuris viui drach. x. thuris drach. x. æruginis drach. x. acaciæ drach. x. myrrhæ aminææ drachmas x. aceti, quod satis est. Et vbi dissoluta fuerint singula, ac læuissima reddita, excipe amurca condensata, & repositis vtere. Adnectantur porrò, & aliæ compositiones.

Illitus coctus ad Lichenas inueteratos, qui citra vlcerationem sanat.

℞. Chalcanthi, fœnigræci moliti, cardamomi, singulorum drach. ij. melanthij ʒ. j. ß. foliorum caprifici ʒ. j. ß. aceti acerrimi, quod satis est. Læuigata ad mellis spissitudinem reducito, deinde coquito, & postquam nigrum factum fuerit, & condensatum medicamentum, tollito, illinito, insuperque lichenas abluito.

Heraclidæ Tarantini litus Lichenicus, sanat citra vlcerationem.

℞. Polentarum drach. viij. glutini drach. sex, atramenti sutorij drach. quatuor, chalcitidis drac. quatuor, sulfuris viui drachmas iv. squamæ nitri drach. vj. alcyonij drach. quatuor, myrrhæ aminææ drachmas duas, aceti heminas tres. *Dionysij condiscipuli, sanat citra vlcerationem.* ℞. farinæ hordeaceæ sextarium vnum, atramenti sutorij vnciam vnã, corticum radicum rumicis syluestris sextarium vnum, sulfuris viui vnciam vnam, myrrhæ sesquiunc. gummi vnciam vnam, aceti heminas sex. Rumicis radicem coquito, & vbi dissoluta fuerit, extractam terito; hordeaceam verò

A παρ' ἄλλοις. ℞. ἀλκυονίου < β'. χαμαιλέοντος μέλανος δραχμὰς δ'. πυρέθρου < β'. θείου ἀπύρου δραχμὰς δ'. λιβανωτοῦ < δ'. ταυροκόλλης δραχμὰς δ'. ὄξους δριμυτάτου κοτύλας δ'. Ἄλλος. ℞. ἐλαίας Αἰθιοπικῆς δραχμὰς δ'. θείου ἀπύρου < δ'. ἀλκυονίου < η'. ἀφρονίτρου δραχμὰς η'. ἄλικος ἐν ὄξει ἑψημένου < η'. τὸ αὔταρκες ὄξους. Ἄλλος. ℞. ἀλκυονίου κεκαυμένου < β'. χαμαιλέοντος μέλανος < δ'. ἀσφοδέλου ῥίζης < δ'. θείου ἀπύρου < β'. λιβανωτοῦ < β'. πυρέθρου < β'. νίτρου ἀφροῦ < β' ταυροκόλλης < δ'. ὄξους τὸ αὔταρκες. ἐπιτεινομένης δὲ τῆς διαθέσεως, καὶ τυλώδους γινο-B μένης, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. ὑγρὰ πρὸς λειχῆνας διαθέσεις. ℞. μίσυος ξενικοῦ, λιβανοῦ, σμύρνης, σχιστῆς, ἑκάστου < η'. ἀλόης, θείου ἀπύρου ἀνὰ < δ'. ἀναλάμβανε γλυκεῖ, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος, καὶ δίς, ἢ τρὶς τῆς ἡμέρας προαποσμήχων ἐπίχριε, καὶ ἔξωθεν ἐπιτίθει, φυλακῆς χάριν τοῦ φαρμάκου, κύστεως ὑμένα, ἢ ᾠοῦ τὸ λεπύρων, ἢ χλωρῶν φύλλων ὅσον ἐξαρκεῖ. Ἄλλο. ℞. μίσυος < δ'. ἀκακίας < β'. λεπίδος χαλκῆς < δ'. θείου ἀπύρου < ϛ'. χαλκίτεως < η'. κόμμεως < η'. ὄξους ὅσον ἐξαρκεῖ. ὅταν δὲ διαλυθῇ, ἀμόργην ἐπιβαλών, καὶ ἀνακόψας ἐπιμελῶς, C ἀνελόμενος χρῶ, ὡς προείρηται. Ἄλλο. ℞ θείου ἀπύρου, λιβανοῦ, σμύρνης, χαλκάνθου, μίσυος ὠμοῦ ἑκάστου < β'. κόμμεως < δ'. ὄξει διαλύσας, καὶ κεδρίνῳ ἐλαίῳ ὅσον ἐξαρκεῖ, χρῶ ὁμοίως.

Ἐκ τῶν Ζεύξιδος.

℞. Χαλκίτεως ὠμῆς, μίσυος ὠμοῦ, σμύρνης Ἀμιναίας, θείου ἀπύρου τὸ ἴσον, κόμμεως τὸ διπλοῦν, ὄξει διαλύσας, ἀναλάμβανε κεδρίνῳ ἐλαίῳ· δεῖ δὲ τὸ κέδρινον πρότερον ἑψεῖν, ὡς μέλιτος ἔχειν πάχος. Ἄλλο Διοδώρου. ℞. δάκρυον Αἰθιοπικῆς ἐλαίας < η'. κόμμεως < μ'. χαλκάνθου δραχμὰς ιϛ'. θείου D ἀπύρου < ι'. λιβανοῦ < ι'. ἰοῦ < ι'. ἀκακίας < ι'. σμύρνης Ἀμιναίας < ι'. ὄξους τὸ αὔταρκες, καὶ ὅταν διαλυθῇ, καὶ λειότατον γένηται, ἕκαστον αὐτῶν, ἀναλάμβανε συνεστραμμένῃ ἀμόργῃ, καὶ ἀνελόμενος χρῶ, συναπλέον δὲ τούτοις, καὶ ἄλλας σκευασίας.

Περίχριστος ἑφθὴ πρὸς λειχῆνας χρονίους, ὥστε χωρὶς ἑλκώσεως ἀπαλλάττειν.

℞. Χαλκάνθου, τήλεως ἀληλεσμένης, καρδαμώμου ἀνὰ δραχμὰς β'. μελανθίου δραχμὴν μίαν S''. συκῆς ἡμέρου E φύλλων δραχμὴν μίαν S''. ὄξους δριμέος τὸ ἱκανόν, λεῖα ποιήσας, μῖξον ὥστε μέλιτος ἔχειν τὸ πάχος, εἶτα ἕψε, καὶ ὅταν μέλαν γένηται, καὶ συνεστραμμένον, αἴρων ἐπίχριε προαπονίπτων αὖθις.

Ἡρακλείδου Ταραντίνου λειχηνική, ὥστε χωρὶς ἑλκώσεως ἀπαλλάττειν.

℞. Ἀλφίτων δραχμὰς η'. ταυροκόλλης δραχμὰς ϛ'. χαλκάνθου δραχμὰς δ'. χαλκίτεως δραχμὰς δ'. θείου ἀπύρου δραχμὰς δ'. ἀφρονίτρου δραχμὰς ϛ'. ἀλκυονίου E δραχμὰς δ'. σμύρνης Ἀμιναίας < β'. ὄξους κοτύλας γ'. Διονυσίου συμμαθητοῦ, ὥστε δίχα ἑλκώσεως ἀπαλλάττειν. ℞. ἀλεύρου κριθίνου ξε α'. χαλκάνθου Γο α'. λαπάθου ἀγρίου τῶν ῥιζῶν τῶν φλοιῶν δραχμὴν μίαν. θείου ἀπύρου < α'. σμύρνης Γο α' S''. κόμμεως Γο α'. ὄξους κοτύλας ϛ'. ἕψε λαπάθου ῥίζαν. ὅταν δὲ διαλυθῇ, ἐξελὼν τρίβε, τὸ δὲ κρίθινο

A λαβὼν εἰς τὸ λειπόμενον ὑγρὸν ἕψε, καὶ ὅταν εὖ ἔχῃ, ἐπίβαλε τὰ λοιπά, καὶ ἀνελόμενος χρῶ.

Σωκρατίωνος ἑφθή.

℞. Ἀλίκος ἀληλεσμένου ξε ϛʹ. θείου ἀπύρου < ιϛʹ. μίσυος ξενικοῦ δραχμὰς ιϛʹ. χαλκίτεως < ιϛʹ. κιμωλίας δραχμὰς ιϛʹ. ἀφρονίτρου < ηʹ. ἀλκυονίου δραχμὰς ηʹ. σχιστῆς δραχμὰς ηʹ. ἀσφοδέλου ῥίζης < ηʹ. σμύρνης δραχμὰς ηʹ. λιβάνου δραχμὰς ηʹ. ἐλαίας δακρύου < ηʹ. ἀμμωνιακοῦ θυμιάματος δραχμὰς ηʹ. ὄξους κοτύλας γʹ. ἕψε ἀλκυόνιον, ἀσφόδελον, ὄξος, ὅταν δὲ εἰς ἥμισυ καταντλήσῃ διύλιζε. B ἐκ δὲ τοῦ διυλίσματος ἀνάλυε ἀμμωνιακὸν, καὶ σμύρναν, λίβανον, ἐλαίας δάκρυον, εἶτα τρίβεται, εἶτα ἐπιβάλλεται τούτοις τὰ ξηρά. τὸν δὲ ἄλικα ἕψε ἐν τῷ ὑπολειφθέντι ὑγρῷ, καὶ ὅταν διαλυθῇ ἐπίβαλλε τοῖς λοιποῖς, καὶ τρίβε ὁμοῦ, καὶ χρῶ. ἐν ἄλλαις συναγωγαῖς ἔχει οὕτω. ℞. θείου ἀπύρου, μίσυος ξενικοῦ, χαλκίτιδος, ἑκάστου < ιϛʹ. νίτρου ἀφροῦ, ἀλκυονίου, ἀσφοδέλου ῥίζης, λιβανωτοῦ, ἐλαίας δακρύου, κιμωλίας γῆς, ἀμμωνιακοῦ θυμιάματος ἑκάστου ἀνὰ < ηʹ. ὄξους κο αʹ. Ἄλλη σφόδρα ἐνεργής. ℞. ὄξους δριμυτάτου ξε ϛʹ. ἀλεύρου κριθίνου ξε βʹ. μάννης ξε αʹ. λαπάθου C ἀγρίου ῥίζης δραχμὰς ηʹ. ἐλλεβόρου λευκοῦ < ιʹ. ἀλκυονίου δραχμὰς ιεʹ. καρδαμώμου < αʹ. κιμωλίας γῆς < ηʹ. ταυροκόλλης δραχμὰς ιϛʹ. ἀφρονίτρου < ιϛʹ. ἁλικακάβου δέσμιον χειροπληθὲς τῶν ἀκρεμόνων χλωρῶν συντίθει. ἐπεὶ δὲ οἱ πολλοὶ τὰς μὲν τῶν ἐπιχριομένων φαρμάκων δυνάμεις παραιτοῦνται, αἱροῦνται δὲ μᾶλλον τὰς τῶν ἐμπλάστρων ἐπιθέσεις, αἵτινες οὔθ᾽ ἱδρώτων ἐπιγινομένων περιῤῥέουσιν, οὔτε ξηραινόμεναι περιτείνουσι τὸ χρῶτα, συναπτέον ἂν εἴη καὶ τὰς τοιαύτας σκευασίας.

D Ἔμπλαστρα λειχηνικά, ὥστε χωρὶς ἑλκώσεως ἀπαλλάττειν.

℞. Κηροῦ, πίσσης ἑφθῆς, λιβανωτοῦ, τερμινθίνης, θείου ἀπύρου, ἑκάστου ἀνὰ λίτραν Sʹ. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Ἄλλο ℞. λιβάνου < ηʹ. στυπτηρίας < ηʹ. χαλκάνθου < ηʹ. θείου ἀπύρου δραχμὰς δʹ. ταυροκόλλης < δʹ. χαμαιλέοντος ῥίζης δραχμὰς δʹ. κηροῦ < ηʹ. πίσσης ὠμῆς κοτύλας βʹ. ἕψε πίσσαν, ταυροκόλλαν, καὶ ὅταν συστραφῇ, ἐπίβαλλε κηρὸν, καὶ κατάχεε κατὰ τῶν ξηρῶν, καὶ ἀνελόμενος χρῶ.

E Ἄλλο ποιεῖ πρὸς τοὺς ἐπαιρομένους λειχῆνας, ὥστε καταστέλλειν τὰ δοκοῦντα ὑπολείπεσθαι.

℞. Μάννης λιβάνου, πίσσης ἀνὰ < ηʹ. ἀσφάλτου < ηʹ. κηροῦ δραχμὰς ηʹ. πιτυΐνης < ηʹ. θείου ἀπύρου δραχμὰς ηʹ. ἐλαίου κυπρίνου ὀλίγον, ἕψε, ὡς προείρηται, καὶ ἀνελόμενος χρῶ, καὶ ἔμπλασσε εἰς ὀθόνιον, ἢ δέρμα λεπτόν.

Ἄλλο χωρὶς ἑλκώσεως ἀπαλλάττει.

℞. Πίσσης βρυτίας ὑγρᾶς ξε αʹ. μάννης λίτραν αʹ. θείου ἀπύρου λίτραν αʹ. θερμίνου ἀλεύρου λίτραν αʹ. συντίθει κατ᾽ F ἔθος, εἶτα ἐπίβαλλε χαλβάνης γο βʹ. ἔστι δὲ τῶν ἄγαν σπουδαίων. ἐν ἄλλαις γραφαῖς οὐκ ἔχει τὸ ἄλευρον, οὐδὲ τὴν χαλβάνην.

farinam in residuum liquorem coniectam coquito; atque vbi rectè habuerit, reliqua iniicito, & ablatis vtitor.

Illitus Socrationis coctus.

℞. Farinæ alicæ sextarios sex, sulfuris viui ℥. xvj. misyos peregrini drach. xvj. cimoliæ ℥. xvj. chalcitidis drach. xvj. spumæ nitri ℥. viij alcyonij drach. viij. aluminis scissi ℥. viij. radicis asphodeli ℥. viij. myrrhæ drach. octo, thuris drach. octo, lachrymæ oleæ drach. octo. ammoniaci thymiamatis drach. octo, aceti heminas tres. Alcyonium, & asphodelum in aceto coquito, vbi verò ad dimidias redactum fuerit percolato, & in colamento ammoniacum, myrrham, thus, oleæ lachrymam, dissoluito; deinde terito, aridaque iniicito; alicam verò in residuo liquore coquito, & dissolutam reliquis adiicito, simulque terito, ac vtitor. *In aliis Collectaneis sic habet.* ℞. sulfuris viui, misyos peregrini, chalcitidis, singulorum drachmas xvj. nitri, aluminis scissi, alcyonij, radicis asphodeli, thuris, lachrymæ oleæ, terræ cimoliæ, ammoniaci thymiamatis, singulorum drach. octo, aceti heminam vnam. *Alius valdè efficax.* ℞. aceti acerrimi sextarios sex, farinæ hordei sextar. duos, mannæ sextarium vnum, radicis rumicis agrestis drachmas octo, veratri albi drachmas x. alcyonij drach. xv. cardamomi drach. quatuor, terræ cimoliæ drach. viij. glutinis drach. xvj. spumæ nitri drach. xvj. halicacabi virgultorum viridium manipulum. Componito. Quandoquidem verò multi medicamentorum, quæ illinuntur compositiones recusant, amantque magis emplastrorum impositiones, vtpotè quæ neque sudoribus obortis diffluunt, neque resiccata cutem circuntendunt, etiam ipsorum præparationes subiungendæ sunt.

Emplastra Lichenica, quæ citra exulcerationem liberant.

℞. Ceræ, picis coctæ, thuris, terebinthinæ, sulfuris viui, singulorum libræ dimidium; liquabilia cum aridis committito. *Aliud.* ℞. thuris ℥. viij. aluminis ℥. viij. chalcanthi drach. viij. sulfuris viui drach. iv. glutinis drach. iv. radicis chamæleonis drach. iv. ceræ drach. octo, picis crudæ heminas duas. Picem & glutinum coquito, atque vbi condensata fuerint, ceram iniicito, aridisque affundito, ac repositis vtitor.

Aliud facit ad Lichenas eleuatos, adeo, vt reprimat ea, quæ residua putantur.

℞. Mannæ thuris, picis, vtriusque ℥. octo, bituminis ℥. viij. ceræ ℥. viij. resinæ pinus ℥. octo, sulfuris viui drach. viij. olei Cyprini parum. Coquito, vt dictum est, & sublatis vtitor in linteolum, aut pelliculam tenuem infartis.

Aliud citra vlcerationem remouet.

℞. Picis brutiæ liquidæ sextarium vnum, mannæ lib. j. sulfuris viui lib. j. farinæ lupinorum lib. j. pro consuetudine componito, deinde galbani sextantem adiicito. Est hoc ex valdè probatis. Alia exemplaria farinam non habent, neque galbanum.

Emplastrum

Emplastrum Lichenicum Philotæ, citra vlcerationem sanans. Exhibitum est à Philota sodali per versus scriptum.

℞. Chalcitidis assatæ, chrysocollæ, misyos assati, squamæ æris, diphrygis, salis ammoniaci, terræ Eretriæ, singulorum ʒ. iv. sulfuris viui ʒ. xii. chalcanthi, floris lapidis Asij, æris vsti, singulorum ʒ. vi soreos ʒ. v. aluminis liquidi ʒ. iv. Hæc omnia terito, deinde aceti heminis xii. affusis, per dies v. sub canicula Soli exposita itidē probè terito, donec medicamentum redditū fuerit æruginosum, siccúmve. Porrò in alio mortario thuris ℥. i. myrrhæ sextans, aloës ℥. i. ladani quadrans, opopanacis quadrans, aceto dissoluta ad strigmentitiam crassitudinē præparentur, atque vbi rectè habuerint, ad ea, quę in Sole lęuigata sunt, adiiciantur; rursusque terantur addaturq; aristolochiæ rotundæ, & lōgę vtriusque tusæ, & tenuissimo cribro excussæ ʒ. i. Postquā verò iam trita emplastri formam acceperint, liquabilia prius liquefacta, & frigefacta iniicito. Sunt autē hęc. ℞. cerę ʒ. cx. terebinthinæ ʒ. xx. galbani ʒ. ix. olei hemin. i. & probè emollitis, ac repositis vtitor. Hoc medicamentū duplicem aspectum videntibus exhibet. Cæterū si affectio pertinaciùs perseueret, & medicamentorū impositionē respuat, excoriatoriis appellatis remediis vtendum erit; promptè enim superficiem auellunt.

De excoriatoriis Lichenum.

Excoriatorium Lichenū, quo Pāphilus Romæ vsus plurima lucratus est, quum in vrbe mētagra appellatus morbus inualesceret. ℞. squamæ æris ʒ. vi. auripigmenti ʒ. iv. sandarachę ʒ. iv. æris vsti ʒ. i. ß. veratri albi ʒ. i. ß. ventrium cātharidū ʒ. i. ß. Singula per se terito; deinde simul mixta, cedria excipito; & ad strigmēti crassitudinē reducta, pyxide æris Cyprij reponito. Vsu autē expetēte, nitro, & aceto exiguo perfrictis lichenibus, medicamentū hoc cū spatula illine, ac affrica; deinde interiecto spacio derade, rursusq; medicamentū impone; deinde vbi bis, vel ter hoc feceris, quò facilè deradi possit, rursus imponere tēta, illitis locis vesicæ bubulæ, aut alterius cuiusdā animalis pellicula intectis, hæc enim medicamentum ne defluat, cōseruat, & aliàs leuis est, post pelliculæ autē impositionē, fasciola leuiter obligatū sinito. Præstiterit quidē per noctē adhęrere, aut saltē ad aliquot horas, vsquequo bullas excitet saniem cōplectentes crassam, & glutinosam. Deinde verò lauare præcipimus, & in balneo morari; nā & hoc ad hāc curationē auxiliatur; sit autē calidius balneū. Quo siquid vti prohibeat, fomentū aquæ multæ calidæ adhibendū est; quo deterso panis ex aqua mulsa subactus cataplasmatis modo imponatur. Porrò vbi sordida iam facta fuerint vlcera, spleniū ex emplastro viridi imponito, exigua parte de excoriatorio adiecta. Cęterū sanie exclusa. & nulla crustula vlceri incūbente, splenium albū imponito; atque hac curādi ratione donec cicatrix penitus inducatur, vtitor, singulis diebus fomentū adhibēs, & nouū spleniū imponēs. Post cicatricem plenè inductā, si qua suspicio reliqua sit, eodē curationis ductu vtendo est. Antequā verò excoriatoria imponantur, circunsitas. & vicinas licheni partes medicamentū aliquo inflāmationem arcente in splenio excepto, integere, ac tueri oportet, nimirum lichene sua extrema linea semper parum quiddam ex sanis corporibus affricante, & inuadente. Hæc communis mentagræ curatio est.

A Φιλώτου λειχηνικὸν ἐπιτετευγμένον, χωρὶς ἑλκώσεως ἀπαλλάττει. ἐδόθη ὑπὸ Φιλώτου τοῦ ἑταίρου, διὰ στίχων ἀναγέγραπται.

℞. Χαλκίτεως ὀπτῆς, χρυσοκόλλης, μίσυος ὀπτοῦ, λεπίδος χαλκοῦ, διφρυγοῦς, ἁλὸς ἀμμωνιακοῦ, γῆς ἐρετριάδος, ἑκάστου ἀνὰ < δ'. θείου ἀπύρου < ιβ'. χαλκάνθου, λίθου Ἀσίου τὸ ἄνθος, χαλκοῦ κεκαυμένου ἀνὰ < ϛ'. σώρεος < ε'. στυπτηρίας ὑγρᾶς < δ'. ἅπαντα ταῦτα λεάνας, εἶτα ἐπιβάλλων κοτύλας ιβ'. ὄξους, τρίβε ἐπιμελῶς ἐν ἡλίῳ, ἐν ταῖς ὑπὸ κύνα ἡμέραις ε'. ἕως ἂν ξηρανθῇ τὸ φάρμακον. σκευαζέσθω δὲ ἐν B ἄλλῃ θυείᾳ λιβανωτοῦ ℥ α'. σμύρνης ℥ β'. ἀλόης ℥ α'. λαδάνου ℥ γ'. ὀποπάνακος ℥ γ'. ὄξει διαλυθέντα, ὡς γλοιοῦ ἔχειν πάχος, καὶ ὅταν εὖ ἔχῃ, ἐπίβαλε τοῖς ἐν ἡλίῳ λεανθεῖσιν, καὶ πάλιν τρίβε, καὶ τούτοις ἐπίβαλε, κεκομμένης καὶ σεσησμένης λεπτοτάτῳ κοσκίνῳ ἀριστολοχίας στρογγύλης, καὶ μακρᾶς ἀνὰ < α'. ὅταν δὲ ἤδη ἐμπλαστρώδη τὰ τριβόμενα γένηται, ἐπίβαλε τὰ τηκτά, τήξας πρότερον καὶ ψύξας. ἔστι δὲ ταῦτα. ℞. κηροῦ < ρι'. τερμινθίνης < κ'. χαλβάνης < θ'. ἐλαίου κοτύλην α'. καὶ μαλάξας ἐπιμελῶς ἀνελόμενος χρῶ. κείμενον δὲ τὸ φάρμακον διπρόσωπον γίνεται. τῆς δὲ διαθέσεως ἐμμόνου C γενομένης, καὶ πρὸς τὴν τῶν φαρμάκων ἐπίθεσιν ἀντιβαινούσης, χρηστέον τοῖς λεγομένοις ἐκδορίοις, καὶ γὰρ ἀφιστᾶσι τὴν ἐπιφάνειαν ἐκ προχείρου.

Περὶ ἐκδορίων.

Ἐκδόριον λειχήνων, ταύτῃ Πάμφιλος χρησάμενος ἐπὶ Ῥώμης, πλεῖστον ἐπορίσατο, ἐπικρατούσης ἐν τῇ πόλει τῆς μεντάγρας λεγομένης. ℞. λεπίδος χαλκῆς < ϛ'. ἀρσενικοῦ < δ'. σανδαράχης < δ'. χαλκοῦ κεκαυμένου < α' S''. ἐλλεβόρου λευκοῦ < α' S''. κανθαρίδων κοιλιδίων < α' S''. ἕκαστον τρίβε κατ' ἰδίαν, εἶθ' ὁμοῦ μίξας ἀναλάμβανε κεδρίᾳ, καὶ γλοιοῦ ποιή- D σας τὸ πάχος, κατάθου εἰς πυξίδα Κυπρίου χαλκοῦ. ἐπὶ δὲ τῆς χρήσεως νίτρῳ, καὶ ὄξει βραχεῖ ἀποσμήχων τοὺς λειχῆνας ἐπίχριε, σπαθομήλῃ χρώμενος, καὶ παρατρίβων, ἔπειτα ἀποσμήξας ἀπόξυε, καὶ πάλιν ἐπιτίθει τὸ φάρμακον. ἔπειτα δὶς καὶ τρὶς τοῦτο ποιήσας, ὥστε κούφως ἀποξύειν, πάλιν ἐπιτίθεσθαι πειρῶ, σκεπάζων τοὺς ἐπιχρισθέντας τόπους ὑμένι κύστεως βοείας, ἢ ἑτέρου τινὸς ζώου, τὸ γὰρ τὸ φάρμακον ἀδιάρρευστον φυλάττει, καὶ κοῦφόν ἐστι. μετὰ δὲ τὴν τοῦ ὑμένος ἀφαίρεσιν, ἐπιθεὶς ταινιδίου κούφως ἐπιδήσας ἔα, καλὸν μὲν διανυκτερεύειν. εἰ δὲ μή γε μέχρι ὡρῶν τινων, ἕως φλυκταίνας γενέσθαι, ἰχῶρας περιεχού- E σας παχεῖς καὶ κολλώδεις, εἶτα λούεσθαι παραινοῦμεν, καὶ παρατείνειν ἐν τῷ βαλανείῳ. καὶ γὰρ τοῦτο συνεργεῖ τῇ τοιαύτῃ θεραπείᾳ, ἔστω δὲ θερμὸν τὸ βαλανεῖον. εἰ δέ τι κωλύει βαλανείῳ χρῆσθαι, ἀποπυριατέον θερμῷ ὕδατι πολλῷ, εἶτα περιμάττειν χρή, καὶ καταπλάττειν ἄρτῳ φυραθέντι ὑδρομέλιτι. ῥυπαρῶν δὲ γενομένων, τῆς χλωρᾶς ἐπιτίθει σπληνίον, προσλαβὼν ὀλίγον τοῦ ἐκδορίου, ἰχώρων δὲ ἐκκρινομένων, καὶ μηδεμιᾶς ἐπικειμένης ἐφελκίδος, ἐπιτίθει λευκὸν σπληνίον, καὶ ταύτῃ χρῶ τῇ θεραπείᾳ μέχρι παντελοῦς ἀπουλώσεως, ἀποπυριῶν τε καθ' ἑκάστην ἡμέραν, καὶ νεαρῷ χρώμενος σπληνίῳ. μετὰ δὲ τὴν παν- F τελῆ ἀπούλωσιν, ὑπολειπομένης τινὸς ὑποψίας, χρηστέον ταῖς αὐταῖς ἀγωγαῖς. περὶ δὲ τῆς τῶν ἐκδορίων ἐπιθέσεως, περιλαμβάνειν δεῖ τὰ ἔξωθεν τοῦ λειχῆνος, φαρμάκου ἀφλεγμάντου σπληνίῳ, περιχαριζόμενον τῇ ἐξωτάτῳ γραμμῇ τοῦ λειχῆνος, μικρόν τι τῶν ἀπαθῶν σωμάτων. αὕτη κοινὴ ἐπιμέλεια τῆς μεντάγρας.

Ἀξιοείου.

℞. Λεπίδος χαλκοῦ < ϛʹ. χαλκάνθου < ηʹ. κανθαρίδων < αʹ S″. ἐλλεβόρου λευκοῦ < αʹ S″. σανδαράχης < αʹ κεδρίᾳ ἀναλάμβανε.

Ἄλλο Ἀπίου Φάσκου πρὸς τὰς μεντάγρας, ὥστε χωρὶς οὐλῆς ἀποθεραπεύειν. ποιεῖ δὲ καὶ πρὸς ἀλωπεκίας χρονίας.

Ἐπίχριε δὲ τὰς μὲν ἀλωπεκίας, ἐν ἡλίῳ, ἢ παρὰ πυρί. φλυκταίνης δὲ γενομένης, βελόνῃ χρὴ διακεντεῖν, ὑγροῦ δὲ ἐκκριθέντος, κηρωταῖς ἀποθεραπεύειν. μετὰ δὲ τὴν ἀπούλωσιν ἐκφύονται αἱ τρίχες, καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀλωπεκιῶν. ἐπὶ δὲ τῶν λειχήνων χρηστέον καθὰ προείρηται, τὸ δὲ φάρμακον ἔχει οὕτως. ℞. σανδαράχης < βʹ. ἀρσενικοῦ < βʹ. λεπίδος χαλκοῦ < βʹ. ἐλλεβόρου μέλανος < αʹ. ἐλατηρίου < αʹ. κανθαρίδος τῆς κοιλίας < αʹ. ἀναλάμβανε κεδρίᾳ. Ἄλλο. ℞. κανθαρίδων < αʹ S″. ἐλλεβόρου λευκοῦ < αʹ S″. ἀρσενικοῦ < βʹ. λεπίδος χαλκοῦ τὸ ἴσον, χαλκάνθου < αʹ. σκαμμωνίας < βʹ. ἀναλάμβανε κεδρίᾳ. Ἄλλο. ℞. ἀρσενικοῦ κεκαυμένου < βʹ. λεπίδος Κυπρίας < ϛʹ. χρυσοκόλλης < αʹ. χαλκάνθου < αʹ. ἐλλεβόρου μέλανος < αʹ. σχιστῆς < αʹ. θαψίας χυλοῦ < αʹ. σκαμμωνίας < αʹ. κανθαρίδων < αʹ. κεδρίας τὸ αὔταρκες.

Ἔμπλαστρα χλωρὰ λειχηνικά.

Μετὰ δὲ τὴν ἐκδορείων χρῆσιν, ἔμπλαστρα χλωρὰ καὶ λευκὰ ἐπιτιθέναι δεῖ. εὔλογον δὴ ἂν εἴη, καὶ τὰς τούτων σκευασίας ἀναγράφειν.

Χλωρὸν ᾧ ἐχρήσατο Πάμφιλος ἐπὶ τῆς μεντάγρας λεγομένης μετὰ τὴν ῥῆξιν τῆς φλυκταίνης.

℞. Κηροῦ λίτραν αʹ. ἰοῦ ξυστοῦ ℥ ϛʹ. φρυκτῆς λίτρας βʹ. ἐλαίου κυάθους δʹ. ὄξους δριμυτάτου ὅσον ἐξαρκεῖ, τὸν ἰὸν χρὴ μετ᾽ ὄξους τρίβειν ἐν ἡλίῳ. τὰ δὲ τηκτὰ, τήκεται καὶ ψύχεται, ἔπειτα ἀναξύεται καὶ τοῖς ὑγροῖς ἐπιβάλλεται.

Δημοσθένους χλωρόν.

℞. Κηροῦ λίτρας βʹ. φρυκτῆς λίτραν αʹ. ἰοῦ ξυστοῦ ℥ δʹ. ἐλαίου, θέρους κυάθους δʹ. χειμῶνος κυάθους ϛʹ. ὄξους ὅσον ἐξαρκεῖ.

Ἡροφίλου χλωρόν.

℞. Ἰοῦ < βʹ. μάννης < δʹ. στέατος μοσχείου < ιβʹ. χαλβάνης < γʹ. κηροῦ < πʹ. ῥητίνης < κʹ. ὄξους τὸ ἀρκοῦν.

Τρύφωνος ἀρχαίου, ἡ εὔχρους λεγομένη.

℞. Χαλκοῦ κεκαυμένου ℥ δʹ. στυπτηρίας στρογγύλης ℥ βʹ. ἰοῦ ξυστοῦ ℥ βʹ. ἁλὸς ἀμμωνιακοῦ ℥ βʹ. μάννης ℥ βʹ. κηροῦ λίτρας βʹ. φρυκτῆς λίτρας βʹ. ἐλαίου ℥ ιʹ. ὄξους τὸ ἀρκοῦν.

Ἀντωνίνου, ταύτην Τιμοκράτης μετὰ τὴν ἐκδορὰν τῶν λειχήνων ἐπιτίθησιν.

℞. Κηροῦ < ρʹ. κολοφωνίας < σʹ. λεπίδος Κυπρίας < ιβʹ. στυπτηρίας στρογγύλης < ιβʹ. ἰοῦ < ιβʹ. μάννης < ιβʹ. χαλβάνης < ιβʹ. ἐλαίου κοτύλην μίαν, ὄξους τὸ ἀρκοῦν. συναπτέον δὲ τούτοις καὶ τὰς τῶν λευκῶν σκευασίας, καὶ γὰρ ταύταις χρηστέον ἐστὶ μετὰ τὰς χλωρὰς, καθαρῶν γενομένων τῶν περὶ τὴν ἐκδορὰν. καὶ γὰρ φροντιστέον, ὥστε χωρὶς τύλου ἀπουλοῦσθαι, καὶ διὰ τοῦτο χρηστέον τοῖς τοιούτοις φαρμάκοις, ἅτινα πολλὴν λειότητα ἐπιφέρει.

A *Aliud Excoriatorium Axiorij.*

℞. Squamæ æris ʒ. sex, atramenti sutorij ʒ. iv. cantharidum ʒ. j. ß. veratri albi ʒ. j. ß. sandarachæ drach. j. excipe cedria.

Aliud Apij Phasci, ad mentagras, quod citra cicatricis vestigium sanat. Facit & ad Alopecias inueteratas.

Cæterùm alopecias in Sole, aut ad ignem illinito, & bulla excitata, eam acu perpungito, ac humore excluso, cum ceratis curationem perficito; post inductam enim cicatricem enascuntur pili. B Atque hæc quidem in alopeciis; in lichenibus verò velut prædictum est vtitor. Medicamentum ipsum hoc modo habet. ℞. sandarachæ ʒ. ij. auripigmenti ʒ. ij. squamæ æris ʒ. ij. veratri nigri ʒ. j. elaterij ʒ. j. ventrium cantharidum ʒ. j. excipe cedria. *Aliud.* ℞. cantharidum ʒ. j. ß. veratri albi tantundem, auripigmenti ʒ. ij. squamæ æris tantundem, atramenti sutorij ʒ. j. scammoniæ drach. ij. excipe cedria. *Aliud* ℞. auripigmenti vsti ʒ. duas, squamæ æris Cyprij ʒ. vj. chrysocollæ ʒ. j. atramenti sutorij ʒ. j. veratri nigri ʒ. j. aluminis scissi ʒ. j. succi thapsiæ drach. j. scammoniæ drach. j. can- C tharidum drach. j. cedriæ, quod satis est.

Emplastra viridia Lichenica.

Post excoriatoriorum vsum emplastra viridia, & alba imponere oportet, quare rationabile est, & illorum præparationes ascribere.

Emplastrum viride quo vsus est Pamphilus in Mentagra post rupturam bullarum.

℞. Ceræ lib. j. æruginis rasæ sexuncem, resinæ frictæ lib. duas, olei cyath. iv. aceti acerrimi quan- D tum sufficit. Æruginem cum aceto in Sole terere oportet; liquabilia autem liquantur, & refrigerantur, ac deraduntur, liquidisque adiiciuntur.

Viride Demosthenis.

℞. Ceræ lib. ii. resinæ frictæ lib. i. æruginis rasæ trientem, mannæ trientem, olei æstate cyath. iv. hyeme cyathos vi. aceti quantum sufficit.

Viride Herophili.

℞. Æruginis ʒ. ii. mannæ ʒ. iv. adipis vitulini ʒ. xii. galbani ʒ. iii. ceræ ʒ. lxxx. resinæ ʒ. xx. aceti, E quod satis est.

Tryphonis antiqui emplastrum Euchrum dictum.

℞. Æris vsti trientem, aluminis rotundi sextantem, æruginis rasæ sextantem, salis ammoniaci ℥. ij. mannæ sextantem, ceræ lib. ii. resinæ frictæ lib. ii. olei dextantem, aceti, quod satis est.

Antonini emplastrum. Hoc Timocrates post lichenas excoriatos imponit.

℞. Ceræ ʒ. c. colophoniæ ʒ. cc. squamæ Cypriæ ʒ. xii. aluminis rotundi ʒ. xii. æruginis ʒ. xii. mannæ ʒ. xii. galbani ʒ. xii. olei heminam vnam, F aceti, quod satis est. Annectendæ his etiam emplastrorum alborum præparationes; nam his post viridia vtendum est mundis iam factis ab excoriatione vlceribus. Etenim cura habenda est, vt citra callum cicatrix inducatur, atque ea gratia eiusmodi medicamenta in vsum veniunt, quæ multam ad tactum lenitatem inducunt.

Emplastrum

A *Emplastrum Album aquosum appellatum. Hoc Magnus circulator vsus est post lichenas excoriatos.*

℞. Spumæ argenti lib. j. ceræ Tyrrhenicæ libram j. olei sextarium vnum, cerussæ libram vnam, aquæ sextarium vnum. Spumam argenti, cerussam, & aquam terito, atque vbi læuigata reddita fuerint, paulatim oleum adstillato, assiduéque terito; & postquam vnita fuerint, in vas fictile translata igni imponito, assiduéque agitato, & absorpta iam aqua, ceram iniicito, qua dissoluta, in mortarium transferto; & emollitis repositis vtitor.

B *Emplastrum athletarum, Trypherum appellatum. Facit item ambustis, vt citra cicatricis vestigium sanentur.*

℞. Spumæ argenti ʒ.xxv. cerussæ ʒ.xxv. plumbaginis lotæ ʒ. xxv. ceræ ʒ. xvj. terebinthinæ ʒ. xvj. olei heminam vnam, aquæ tantundem; componito, vt dictum est.

Megetis chirurgi.

℞. Cerussæ lib. ij. ceræ lib. j. terebinthinæ ℥. j. spumæ argenti lib. j. olei lib. iij. aquæ sextarios ij. componito.

C *Diophanti ad ambusta, & intertrigines. Conseruat & faciem rosaceo dissolutum.*

℞. Spumæ argenti torrefactæ ʒ. xij. medullæ ceruinæ ʒ. xvj. cerussæ torrefactæ ʒ. xij. ceræ ʒ. viij. terebinthinæ ʒ. viij. thuris ʒ. viij. olei heminas iv. pro more componito.

Manna emplastrum, medicamentum accommodatum.

℞. Spumæ argenti ʒ.c. cerussæ ʒ.c. ceræ ʒ.l. terebinthinæ ʒ.xxv. mannæ ʒ. xvj. aluminis scissi ʒ. xl. olei heminas ij. & dimidiam, componito, & reposito vtitor. Affrictis porrò, & extritis lichenibus
D à quocunque tandem medicamento, præsertim verò ab excoriatoriis, subscriptis vtendum est.

Compositio Menecratis, quæ excoriatorium appellatur.

℞. Picis brutiæ pellucidæ siccæ, & electæ ʒ. ij. ß. resinæ pinus pellucidæ ℔. j. & quadrantem, ceræ ponticæ tantundem, galbani quadrantem, aceti heminam vnam. Liquabilia ad splendidum ignẽ, donec non inquinent, coquito, deinde galbanum adiicito; atque vbi dissolutũ fuerit, ab igne ablatis, acetum paulatim instillato, assiduéq; moueto, animaduersione habita ne ebulliat; & insumpto iam
E aceto medicamentum in magnũ mortarium transferto, ac diligẽter terito, donec ad melinũ colorem reducatur; deinde in pelliculã albam inspissatam repositum seruato. Vsu verò exigente, in pelliculas quantũ ad integendos affectos locos satis est, infartum imponito, & tertio quoq; die soluito; nonnunquam vsque in diem duodecimum imponito, ita vt quatuor fiant solutiones. Hoc medicamentum squamas discedere facit, & corpora attenuat, ac solida facit ad conuenientes excoriationes.

F *Quæ Archigenes in secundo medicamentorum secundum genus medicamenta scripsit ad papularum in mento eruptiones, tum alias, tum ficosas eminentias.*

Papularũ in mento eruptiones, ex myrti baccis, malicorio, argenti spuma, æris flore, paribus partibus exceptis cum vino obline: in ficosis verò mẽti papulis, mentagris appellatis, & ab aliquibus lichenibus agrestibus faciunt quidem robustiora ex iis,

Λευκὴ, ὑδατίνη λεγομένη. ταύτῃ Μάγνος ὁ περιοδευτὴς ἐχρήσατο, μετὰ τὰς τῶν λειχήνων ἐκδοράς.

℞. Λιθαργύρου λίτραν α'. κηροῦ Τυῤῥηνικοῦ λίτραν α'. ἐλαίου ξε α'. ψιμμυθίου λίτραν μίαν, ὕδατος ξε α'. τρίβε λιθάργυρον, ψιμμύθιον, καὶ τὸ ὕδωρ, καὶ ὅταν λειότερα γένηται, ἐπίβαλλε κατὰ μικρὸν τὸ ἔλαιον, καὶ τρίβε συνεχῶς, καὶ ὅταν ἑνωθῇ, μετάρας εἰς ἀγγεῖον κεραμεοῦν, καὶ ἐπιτίθει ἐπὶ τὸ πῦρ, συνεχῶς κινῶν. ὅταν δὲ τὸ ὕδωρ ἀναποθῇ, ἐπίβαλλε τὸν κηρὸν καταπλάσας, καὶ ὅταν διαλυθῇ εἰς θυείαν μεταιρέσας, καὶ μαλάξας, ἀνελόμενος χρῶ.

Η τῶν παγκρατιαστῶν λεγομένη τρυφερὰ, ποιεῖ δὲ πρὸς πυρίκαυστα, ὥστε χωρὶς οὐλῆς ἀπαλλάττειν.

℞. Λιθαργύρου < κε'. ψιμμυθίου < κε'. μολυβδαίνης < κε'. κηροῦ < ις'. τερμινθίνης < ις'. ἐλαίου κο α'. ὕδατος τὸ ἴσον, σύντιθει καθὰ προείρηται.

Μέγητος χειρουργοῦ.

℞. Ψιμμυθίου λίτρας β'. κηροῦ λίτραν α'. τερμινθίνης γο α'. λιθαργύρου λίτραν α'. ἐλαίου λίτρας γ'. ὕδατος ξε β'. σύντιθει.

Διοφάντου πρὸς πυρίκαυστα, καὶ παρατρίμματα. ἔστι δὲ καὶ τοῦ προσώπου φυλακτικὴ ἀνειμένη ῥοδίνῳ.

℞. Λιθαργύρου πεφωγμένου < β'. μυελοῦ ἐλαφείου < ις'. ψιμμυθίου πεφωγμένου < ιβ'. κηροῦ < η'. τερμινθίνης < η'. λιβανωτοῦ < η'. ἐλαίου κο δ'. σύντιθει κατὰ τρόπον.

Μάννη, φάρμακον ἐπιτετευγμένον.

℞. Λιθαργύρου < ρ'. ψιμμυθίου < ρ'. κηροῦ < ν'. τερμινθίνης < κε'. μάννης < ις'. σχιστῆς < μ'. ἐλαίου κο β' S. σύντιθει, καὶ ἀνελόμενος χρῶ. ἐπιτριβομένων δὲ τῶν λειχήνων ἐφ' ἧς δήποτε φαρμακείας, μάλιστα δὲ ἐπὶ τῶν ἐκδορῶν χρηστέον τοῖς ὑπογεγραμμένοις.

Σκευασία Μενεκράτους ἡ διὰ τῆς ἐκδορίου λεγομένη.

℞. Πίσσης Βρυτίας διαυγοῦς, ξηρᾶς, ἐξαιρέτου < β' S. πιτυΐνης διαυγοῦς λίτραν α'. καὶ γο γ'. κηροῦ Ποντικοῦ τὸ ἴσον, χαλβάνης γο γ'. ὄξους κο α'. τὰ τηκτὰ ἕψε λαμπροτέρῳ πυρὶ, μέχρις ἀμολύντου, εἶτα ἐπίβαλλε τὴν χαλβάνην, καὶ ὅταν διαλυθῇ, ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίῤῥαινε κατὰ μικρὸν τὸ ὄξος, καὶ κίνει συνεχῶς προσέχων μὴ ἀναζέσῃ, καὶ ὅταν δαπανήσῃς τὸ ὄξος, μετάρας τὸ φάρμακον εἰς θυείαν μεγάλην, καὶ τρίβε φιλοπόνως, ὥστε ἔχειν μήλινον τὸ χρῶμα, εἶτα ἀποτιθέμενος εἰς δέρμα λευκὸν ἐσυμμένον φύλαττε. ἐπὶ δὲ τῆς χρήσεως, ἐμπλάσας εἰς δέρματα ὅσον ἐξαρκεῖ σκεπάσαι τοὺς πεπονθότας τόπους, ἐπιτίθει, καὶ λύων διὰ τρίτης νεαρὸν ἐπιτίθει μέχρι ἡμερῶν ιβ'. ὡς τέσσαρας εἶναι τὰς ἐπιλύσεις. ἀφίστησι λεπίδας τὸ φάρμακον, καὶ λεπτύνει τὰ σώματα, καὶ στερεὰ ποιεῖ πρὸς τὰς ἐπιτηδείας ἐκδοράς.

Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος φαρμάκων, πρὸς τὰ ἐν τοῖς γενείοις ἐξανθήματα, καὶ τἄλλα, καὶ τὰ συκώδη.

Τὰ δὲ ἐπὶ τοῦ γενείου ἐξανθήματα, μύρτα, σίδια, λιθάργυρον, χαλκοῦ ἄνθος, ἴσα σὺν οἴνῳ πρόσχριε. ἐπὶ δὲ τῶν συκωδῶν τῶν ἐπὶ τοῦ γενείου, λεγομένων δὲ μενταγρῶν, ὑπὸ δέ τινων λειχήνων ἀγρίων, ποιεῖ μὲν καὶ τὰ δριμύτερα τῶν

πρὸς λειχῆνας. ἔτι δὲ καὶ ψώρας, καὶ λέπρας ἀναγραφησομένων, θαυμαστῶς δὲ συμπεφώνηκεν αὕτη. ℞. χαλκάνθου < α΄. ἐλλεβόρου μέλανος < α΄. ἀρσενικοῦ < α΄. κανθαρίδων κοιλίας < β΄. ἔνιοι δὲ καὶ τριώβολον, λείοις χρῶ μετ' ἐλαίου, ἢ κεδρίας, ἢ ῥοδίνου προανατρίψας τὸν τόπον. γίνονται φλύκταιναι, ταύτας ῥήξας τῷ πυρῆνι μήλης ἐπιλέαινε, ὥστε προσέρχεσθαι τοῦ φαρμάκου, καὶ δάκνειν, εἶτα μετὰ ὥρας πυριάσας, κηρωτὴν ῥοδίνην ἐπίρριπτε. τοῦτο μέχρι κατουλώσεως ποίει. ἐὰν δὲ τὸ πρῶτον μὴ κρατεῖ, καὶ δίς, καὶ τρὶς καταχρίε. ποιεῖ καὶ λέπραις, καὶ λεύκαις, καὶ ἀλωπεκίαις, καὶ ψώραις, ἄκρως. A

Ἡρακλείδου Ταραντίνου ἐκ τῶν πρὸς Ἀντιοχίδα, πρὸς τὰ ἐπὶ τῆς κεφαλῆς, καὶ τοῦ γενείου συκώδη οἰδήματα, κἄν που ἀλλαχῇ ἐξέχοντα ἕλκη. B

Ἐλατηρίου καὶ ἁλῶν ἴσον μίξας χρῶ, ἄνωθεν δὲ ἐπιτίθει λίνου σπέρμα ὠμὸν μεθ' ὕδατος, ἢ σῦκα λεπτὰ λεῖα. τῷ δὲ αὐτῷ, καὶ πρὸς τὰ φύματα χρηστέον.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ τῶν ἐν τοῖς ὀδοῦσι παθῶν.

Τῶν ἐν τοῖς ὀδοῦσι παθῶν, ἔνια μὲν ἅπασιν ἐναργῶς φαίνεται, καθάπερ ὅταν οὕτω τρηθῶσιν, ἢ μελανθῶσιν, ἢ ἐκτριβῶσιν, ἢ μήτε τῶν ψυχρῶν ἀνέχονται, μήτε τῶν θερμῶν, ἀλλ' ἐπ' ἀμφοτέροις, ἢ θατέρῳ μόνῳ συμβαίνῃ τις ὀδύνη. τινὰ δὲ οὐ φαίνεται σαφῶς ἐν αὐτοῖς παθῶν, ὥσπερ ὅταν ὁ πάσχων αὐτὸς αἰσθάνεσθαι φῇ τῆς κατὰ τὸ σῶμα τοῦ ὀδόντος ὀδύνης, ἐν τῷ βάθει γινομένης. ἀντιλέγουσι γὰρ ἔνιοι, φάσκοντες ὀστοῦν ὄντα τὸν ὀδόντα, χωρὶς ὀδύνης πάσχειν, ὥσπερ ὅταν τῇ καλουμένῃ ῥίνῃ τὰς ὑπεροχὰς αὐτῶν ἀναγκαζώμεθα πρίζειν, ἢ καὶ δι' ἄλλην τινὰ πρόφασιν, ἣν ὀλίγον ὕστερον ἐρῶ. νυνὶ γὰρ βούλομαι, χωρὶς λογικῆς τε καὶ φυσικῆς ἀποδείξεως, μαρτυρῆσαι τοῖς φάσκουσιν αὐτὸν ἀλγεῖν τὸν ὀδόντα. καὶ γὰρ κἀγὼ ἀλγήσας ἀκριβῶς ἐμαυτῷ προσεῖχον, ὡς ἂν ἤδη προακηκοὼς τῆς ἀμφισβητήσεως, ᾐσθανόμην τε σαφῶς, οὐ μόνον ἀλγοῦντος, ἀλλὰ καὶ σφύζοντος τοῦ ὀδόντος, ὁμοίως ταῖς φλεγμαινούσαις σαρξίν, ὥστε με θαυμάζειν, εἰ καὶ τοῦτο τὸ πάθος, ὃ καλοῦμεν φλεγμονήν, ἐν ὀδόντι γενέσθαι δύναται, λιθώδη, καὶ σκληρὰν οὐσίαν ἔχοντι. καὶ μέντοι καὶ καθ' ἕτερον καιρὸν ἀλγήσας ὀδόντα, σαφῶς ᾐσθανόμην οὐκ αὐτοῦ τοῦ ὀδόντος, ἀλλὰ τῶν οὔλων εἶναι τὸ ἄλγημα, φλεγμαινόντων δὲ αὐτῶν, ὡς καὶ χωρὶς τῆς θλίψεως ἀλγεῖν. ἀλλὰ καὶ γειτνιάσει τῶν ὀδόντων σκληρῶν ὄντων, αὐξανομένης τῆς ὀδύνης διὰ τὴν θλῖψιν, ὡς ἑκατέρας τῆς αἰσθήσεως πεπειραμένος, ἄλλης μὲν ἐπὶ τοῖς οὔλοις, ἄλλης δὲ ἐπ' αὐτῆς τῆς τοῦ ὀδόντος οὐσίας, σαφῶς οἶδα, καὶ μαρτυρῶ τοῖς λέγουσιν ἀλγεῖν αὐτοὺς τοὺς ὀδόντας ποτέ, καὶ μέντοι καὶ τοῦ καταφυομένου νεύρου τῇ ῥίζῃ τοῦ ὀδόντος, ὀδύνην γενέσθαι ποτὲ τοῦ νεύρου, φαντασίαν συγκεχυμένην καὶ ἀδιάρθρωτον τοῖς πολλοῖς φέροντος, ὡς αὐτοῦ ὀδόντος ἀλγοῦντος, εὔλογόν ἐστι. καὶ γὰρ καὶ τούτου σαφῶς ᾐσθόμην συμβάντος μοι, καὶ τό γε διαμένειν ἔτι μέρος μικρὸν τῆς ὀδύνης, ἐξαιρεθέντος τοῦ ὀδόντος, ἐπὶ τῇ τοῦ νεύρου ἐγγίνεται φλεγμονῇ, κουφιζομένου μόνον ἐκ τοῦ μηκέτι, μήτε τείνεσθαι τῆς πρὸς τὸ τεῖνον ὀστοῦν συμφύσεως, ἐλευθερωθέν, ἀναπνοήν τέ τινα σχεῖν, καὶ τῶν προσφερομένων ἰαμάτων ψαύειν. οὔτε γὰρ κατὰ ψαῦσιν, οὔτε κατὰ διάδοσιν, οἷόν τε τὸ φλεγμαῖνον ἰᾶσθαι νεῦρον, ἑκατέρωθεν ὑπὸ τῶν φατνίων στενούμενον, ἔμπροσθέν τε ὑπ' αὐτοῦ τοῦ ὀδόντος. C D E F

quæ ad lichenas relata sunt; ampliùs autem, & quæ ad psoras, & lepras describentur. Mirabiliter verò hæc compositio cōuenit; ℞. chalcanthi ʒ.j. veratri nigri ʒ.j. auripigmenti ʒ.j. ventrium cantharidum ʒ.ij. quidā etiam obolos tres insuper addunt; tritis vtitor cum oleo, aut cedria, aut rosaceo, præfricto priùs loco. Fiunt enim bullæ, quibus per specilli cuspidem ruptis, rursus affricato, quò penetrare medicamentū possit, & mordere; deinde post horā fométo adhibito, ceratū rosaceū imponito, hoc vsquequo ad cicatricē perueniat facito. Quod si primū non exuperet, iterū iterūq; illinito. Facit & ad lepras, & leucas, alopeciasq; & psoras excellenter.

Heraclidæ Tarantini, ex libris ad Antiochidem, ad capitis, & menti ficosos tumores, atque etiam aliis partibus eminentia vlcuscula.

Elaterij & salis pares partes misceto, ac vtitor; supernè verò lini semen crudum ex aqua imponito, aut ficus paruas tritas. Eodem etiam ad tubercula vtendum est.

CAPVT IV.

De dentium affectibus.

EX dētiū affectibus quædā sanè omnibus euidēter apparēt; quéadmodū quū perforati sūt, aut denigrati, aut detriti; aut neq; frigida ferūt, neque calida, sed ex vtrisq; aut altero solo dolor eis cōtingit. Quædā verò nō manifestè apparēt in ipsis affectiones, veluti quū ipse æger se sētire dicit circa corpus dētis dolorē in profūdo obortū. Quidā enim cōtradicūt asserētes, quū os sit dēs, eū citra dolorē affici, veluti quū aliquādo prominētiores per limulā deterere cogimur, aut etiā ob aliam quāpiā causā, de quib. paulo post mētionē faciam. Nūc enim citra rationalē, & naturalē demonstrationē testimoniū his perhibere volo, qui ipsū dētē dolere aiūt. Etenim quū ego aliquādo dolerē, diligētē super me ipso animaduersionē habui, vtpotè qui iā audierā de hac dubitatione; percepiq; manifestè nō dolētem modò, sed etiā pulsantē dētem, quéadmodū carnosæ partes inflāmatione vexatæ cōsueuerūt. Quare mirū mihi videbatur, quòd & hæc affectio, quā phlegmonē, siue inflāmationem appellamus, in dēte oriri posset, qui lapideā, & durā substātiā habet. Atqui quū etiā alio tēpore dēte dolerē, manifestè sensi non ipsius dētis, sed gingiuarū dolorem eū esse, inflāmatis videlicet ipsis, vt etiā citra coarctationē dolerēt; quin & ob viciniā dentiū natura durorū, aucto dolore ob coarctationē. Quapropter vtriusq; doloris sēsū expertus, aliū quidē in gingiuæ, aliū in ipsius dētis substātia, esse clarè scio; & id asserentibus testimonium præbeo, quòd ipsi aliquando dētes dolent. At verò nerui, qui ad radicē dētis enatus, & substratus est, dolorē aliquādo fieri, neruo imaginationem cōfusam, & indiscriminatam, incertám ve apud plerosq; exhibente, tāquam ipse dens doleat cōsentaneum rationi est; nam & huius rei manifestū periculum aliquādo in me ipso feci. Et sanè, quòd remaneat adhuc parua doloris portio exēpto dente, innascitur ob nerui inflāmationē, quū dolor nerui leuior tantū reddatur quū ob id, quòd non amplius tendatur ob cohærentiā ossis extendentis, tū quòd liber factus respirationē quandā habeat, eumq; remedia, quæ adhibētur, cōtingere possint. Neq; enim per cōtactum, neque per distributionē, possibile fuerit inflāmatum neruum curare, vtrinq; à dentium locellis coarctatū, & ab anteriori parte ab ipso dēte.

Si

Si verò liuidi per omnẽ suam substãtiam facti appareant dentes, nihil mirũ est ipsos quid inflãmationi simile pati. Cui rei ex eo quis amplius fidem habeat, quòd ex nutrimento ferè per omnem animãtis ætatẽ incrementũ accipiant. Id quod euidẽter sæpenumero apparet in iis dẽtibus, qui exẽptis oppositi sunt, vtpotè qui semper augescũt: quantũ verò augescũt, tantũ in ciborũ mansu deteruntur. Quum verò impossibile sit incrementũ accipere citra nutrimentũ, omnino duabus affectionibus, & his cõtrariis obnoxij erũt, inopię videlicet, & redundãtiæ alimenti, quod eis suppeditatur. Inopia igitur aridiores, & macriores alimentũq; non sentientes, & ob id tenuiores eos reddit; redundantia verò consimilẽ in eis affectionem excitare potest, qualis est circa carnosas partes inflammatio. Eius igitur curatio fiet iuxta eundẽ scopũ, quem habent propositũ, qui inflãmationes curãt: qui sanè est, vt redũdantia euacuetur, partim discutiendo, partim etiã repellẽdo. Cæterũ tenuitatis dentium ob alimenti inopiam remedium nullum est; laxari enim tunc, & moueri ipsos necessarium est, cõpage ipsorum laxiore facta, quum non solũ ipsi dẽtes, sed & locelli eos cõplectentes sint attenuati. Hæc itaque affectio senibus accedit citiùs, aut seriùs, velut etiã magis, aut minùs, quæ verò proportionẽ ad inflãmationẽ habet, magis iuuenes corripit. Auxiliari tamen etiam senibus oportet, auxilio gingiuis exhibito: ita autem appellãtur carnes, quæ dẽtes cõprehendunt, vbi primũ è locellis emergunt. Ipsas itaque astringẽtibus medicamentis robustiores, & magis circa dentẽ adstrictas, facere oportet, tanquã quæ & ipsæ aliquid faciant ad stabilitatem, ac firmitatẽ dentium, quæ ob exactam cõpagis ipsorum conglutinationẽ contingit. At verò foramina dentium ex humorũ acrium, & erodentium influxu perficiuntur, velut vlcera in cute citra externã causam. Verùm in cute id assiduè, & multis; in ossibus rarò cõtingit, quanto videlicet minus, quã cutis, noxæ exposita sunt ob duritiem naturalẽ. Manifestũ igitur, quòd erosorum corporũ medela erit per resiccationem vitiati influentis humoris; qui si paucus fuerit, localibus auxiliis ex resiccãtibus medicamentis cõtingere medela potest; eorum verò materiam paulo post dicemus. Si verò multis influens humor fuerit, vniuersi capitis ratio, ac prouidentia habenda est; atque si ipsum quandoq; propter totum corpus affectũ sit, etiam reliqui corporis cura habenda erit. Porrò erosos dentes, qui id mali præ mollicie perpessi sunt, reddere oportet duriores, & affectioni minùs obnoxios, atque id per austera, & acerba medicamenta. Cæterũ liuidos redditos per resiccantia curare oportet, vt qui ex humorum vitiatorum influxu id patiantur. Simili igitur curatione indigent cum perforatis.

CAPVT V.

De Gingiuarum curatione.

GIngiuis ex inflãmatione dolẽtibus optimum medicamentũ est oleum lentiscinũ caliditate tẽperatum ore retentũ. Sit autẽ recens, nam vetustius tanto recentiore peius est, quanto ætate antecellit. Imponatur autẽ vasculũ, in quo calefit lentiscinũ, in aliud maius vas, quod satis aquę calidę cõplectatur. Maximopere itaq; inflãmationi gingiuarũ hoc cõducit. Nec verò minùs etiã si iuxta aliã quandã partem, quum pelliculæ linguam ambien-

A Εἰ δὲ πελιδνοὶ δι' ὅλης ἑαυτῶν τῆς οὐσίας οἱ ὀδόντες φαίνονταί ποτε γινόμενοι, θαυμαστὸν οὐδὲν ἐστὶ πάσχειν αὐτούς τι, καὶ τῇ φλεγμονῇ παραπλήσιον. ὅτι δὲ καὶ μᾶλλον, ἄν τις τούτῳ πιστεύσειεν, ἐκ τοῦ τρέφεσθαί τε, καὶ σχεδὸν ἐν ἅπαντι τῷ τῆς ζωῆς χρόνῳ, τὴν αὔξησιν ἔχειν. ἐναργῶς γὰρ τοῦτο φαίνεται πολλάκις, ἐπὶ τῶν ἀντικειμένων ἐξαιρεθεῖσιν ὀδοῦσιν, ὥστε αὐξανομένων μὲν αὐτῶν διὰ παντὸς, ὅσον δ' αὔξονται, τοσοῦτον ἐν τῇ τῶν σιτίων λειώσει τριβομένων. εἰ δὲ ἀδύνατόν ἐστιν αὐξάνεσθαι χωρὶς τοῦ τρέφεσθαι πάντως που, καὶ δυσὶν ὑποκείσονται παθήμασιν ἐναντίοις, ἐνδείᾳ τε καὶ πλεονεξίᾳ τῆς χο- B ρηγουμένης αὐτοῖς τροφῆς. ἡ μὲν οὖν ἔνδεια, ξηροτέρους τε καὶ ἀτροφωτέρους, καὶ διὰ τοῦτο λεπτοτέρους ἐργάζεται. ἡ πλεονεξία δὲ ποιήσει ποτὲ διάθεσιν αὐτοῖς, ἀνάλογον τῇ κατὰ τὰ σαρκώδη μόρια φλεγμονῇ. ταύτης μὲν οὖν ἰάματα γενήσεται τὸν αὐτὸν ἔχοντα σκοπὸν τοῖς τὰς φλεγμονὰς ἰωμένοις, ὅσπερ ἐστὶ κενῶσαι τὴν πλεονεξίαν, τὸ μέν τι διαφοροῦντα, τὸ δὲ ἀποκρουόμενον αὐτῆς. τῆς δὲ δι' ἔνδειαν τροφῆς λεπτότητος τῶν ὀδόντων, ἴαμα μὲν οὐδέν ἐστι. τὸ χαλᾶσθαι δὲ ἀναγκαῖον τηνικαῦτα, καὶ σείεσθαι, χαλαρωτέρας τῆς ἐμφώσεως γινομένης, οὐ μόνον αὐτῶν τῶν ὀδόντων λεπτυνθέντων, ἀλλὰ καὶ τῶν περιεχόντων αὐτοὺς φατνίων. C αὕτη μὲν οὖν ἡ διάθεσις ἐπιγίνεται τοῖς γηρῶσιν, ἢ πρωϊαίτερον, ἢ ὀψιαίτερον, ὥσπερ γε καὶ μᾶλλον, καὶ ἧττον. ἡ δ' ἀνάλογον τῇ φλεγμονῇ ἔχει, μᾶλλον τοῖς νέοις. βοηθητέον οὖν ἐστι, καὶ τοῖς γέρουσι τῇ διὰ τῶν οὔλων βοηθείᾳ. καλοῦνται δ' οὕτως αἱ περιλαμβάνουσαι τοὺς ὀδόντας σάρκες, ἔνθα πρῶτον ἀνίσχουσι τῶν φατνίων. αὐτὰς οὖν χρὴ στύφουσι φαρμάκοις, εὐτονωτέρας τε καὶ μᾶλλον ἐσφιγμένας περὶ τὸν ὀδόντα ποιεῖν. ὥσπερ καὶ αὐτὰς ὠφελούσας τι τοῦ μονίμου τε καὶ δυσκινήτου, διὰ τὴν τῆς ἐμφώσεως ἀκρίβειαν γεγονότι. καὶ μὴν καὶ τὰ τρήματα τῶν ὀδόντων, ἐξ ἐπιρροῆς ὑγρῶν D δριμέων τε καὶ διαβρωτικῶν ἀποτελεῖται, καθάπερ τὰ ἐπὶ τοῦ δέρματος ἕλκη χωρὶς τῆς ἔξωθεν αἰτίας. ἀλλ' ἐπ' ἐκείνου μὲν συνεχῶς καὶ πολλοῖς, ἐπὶ δὲ τῶν ὀστῶν, σπανιάκις, ὅσῳ δυσπαθέστερα δέρματός ἐστι, διὰ τὴν σκληρότητα. δῆλον οὖν, ὅτι καὶ ἴασις ἔσται τῶν ἀναβιβρωσκομένων σωμάτων, ἀναξηραινομένης τῆς ἐπιρρεούσης κακοχυμίας. εἰ μὲν ὀλίγη τις εἴη, τοῖς τοπικοῖς βοηθήμασι, διὰ τῶν ξηραινόντων φαρμάκων, ὧν τὴν ὕλην ὀλίγον ὕστερον ἐροῦμεν. εἰ δὲ πλείων, ὅλης τῆς κεφαλῆς τῇ προνοίᾳ, κἂν αὐτὴ ποτὲ πάσχῃ, διὰ τὸ σύμπαν σῶμα, καὶ τῇ κατ' ἐκεῖνο θεραπείᾳ. τοὺς δὲ βεβρωμένους ὀδόντας, ὡς ἂν E ὑπὸ μαλακότητος τοῦτο πάσχοντας, ἐργάζεσθαι χρὴ σκληροτέρους καὶ δυσπαθεστέρους, διὰ τῶν αὐστηρῶν τε καὶ στρυφνῶν φαρμάκων. καὶ τοὺς πελιδνουμένους δὲ, διὰ τῶν ξηραινόντων, ὡς ἂν ἐξ ἐπιρροῆς ὑγρῶν μοχθηρῶν τοῦτο πάσχοντας. ὁμοίως οὖν δέονται θεραπείας τοῖς τετρημένοις.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ οὔλων θεραπείας.

ΟΥλων διὰ φλεγμονὴν ὀδυνωμένων, ἄριστόν ἐστι φάρ- F μακον ἔλαιον σχίνινον, εὔκρατον κατὰ θερμότητα διακρατούμενον. ἔστω δὲ νέον, ὡς τό γε παλαιότερον εἰς τοσοῦτον τοῦ νέου φαυλότερον, εἰς ὅσον παλαιότερον. ἐνιστάσθω δὲ τὸ ἀγγεῖον, ἐν ᾧ θερμαίνεται τὸ σχίνινον, ἑτέρῳ μείζονι θερμὸν ἱκανῶς ὕδωρ ἔχοντι. μάλιστα μὲν οὖν ἁρμόττει τοῦτο τῇ φλεγμονῇ τῶν οὔλων, οὐ μὴν κἂν κατὰ ἄλλο τι μέρος τοῦ τε τὴν γλῶτταν ἀμφιεννῦντος

ὑμένος, ὑπεζωκότος τε σύμπαν τὸ στόμα γένηταί τις ὀδύνη διὰ A φλεγμονήν, ἀνωδυνίας ἐστὶ ποιητικὸν τὸ σχίνινον. ἀποκρούεται γὰρ ἀλύπως ἄνευ τραχύτητος, ἣν ἔχει τὰ πλεῖστα τῶν αὐστηρῶν, διαφορεῖ τε ἀδήκτως, οὗ χρεία μᾶλλον τοῖς φλεγμαίνουσιν. ἔνιοι δὲ τῶν ἰατρῶν, κοινῷ τινι χρώμενοι παραλογισμῷ, βλάπτουσι τὰ φλεγμαίνοντα. καὶ χρὴ διασκεψαμένους ἅπαξ ὑπὲρ αὐτοῦ, φυλάττεσθαι τοῦ λοιποῦ. νομίζουσι γάρ, εἰ τὰ στύφοντα μόνον ὀνίνησι τὰς φλεγμονάς, ἀποκρούοντα τὸ ἐπιρρέον, ἔστι δ᾽ ὅτε καὶ τοῦ περιεχομένου τι κατὰ τὸ φλεγμαῖνον ἐκθλίβοντα, πρὸς τὰς τρεφούσας φλέβας τὸ μόριον, εἰκὸς εἶναι τὸ μᾶλλον στῦφον ὀνήσειν μᾶλλον. οὕτω δὲ καὶ τὸ διαφορεῖν μᾶλ- B λον, ὀνήσειν μᾶλλον οἴονται, τοῦ μετρίως τοῦτο δρῶντος, οὐκ ἐννοοῦντες, ὡς τὸ ἑκάτερον αὐτῶν ἐπιτεταμένον, ὀδυνηρόν ἐστι τοῖς φλεγμαίνουσιν. ὑπὸ μὲν γὰρ τῶν σφοδρῶς στυφόντων, ὅμοιόν τι θλάσει πάσχει τὰ μόρια, συναγομένης αὐτῶν τῆς οὐσίας βιαίως. ὑπὸ δὲ τῶν δριμέων, διαβρώσει τι παραπλήσιον. εἰκότως οὖν, τὸ σύμμετρον ἐν ἑκατέρᾳ βέλτιόν ἐστι τῶν ἀμέτρων. ταῦτα μὲν οὖν αὐτάρκως μοι προείρηται. περὶ δὲ τῶν κατὰ τὰς ὀδύνας διαθέσεων, ἐφεξῆς ἐρῶ.

Περὶ τῆς τῶν ὀδόντων ὀδύνης.

C Τῶν ὀδυνωμένων ὀδόντων, ἄνευ τῆς τῶν οὔλων φλεγμονῆς, ἔσθ᾽ ὅτε μέν, ὡς ἔφην, ἐν αὐτῷ τῷ οἰκείῳ σώματι τὴν ὀδύνην, ἔσθ᾽ ὅτε δέ, ἐν τῷ νεύρῳ συμβαίνει γίνεσθαι. σφοδροτάτων οὖν ἐστι χρεία φαρμάκων, εἴτε ἀποκρούεσθαί τις, εἴτε διαφορεῖν ἐθέλοι τὸ τῆς ὀδύνης αἴτιον. ἐάν τε χυμός, ἐάν τε φυσῶδες ᾖ πνεῦμα, καὶ διὰ τοῦτο τὰ πλεῖστα αὐτῶν, δι᾽ ὄξους σκευάζεται δριμυτάτου. παραγράψω δὲ ἐφεξῆς, καὶ τὰ διὰ τῆς ἱστορίας ἡμῖν παραδεδομένα, τὴν ἀρχὴν ἀπὸ τῶν ὑπ᾽ Ἀρχιγένους γεγραμμένων ποιησάμενος.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα, πρὸς ἀλγοῦντας ὀδόντας.

D Ἀλγοῦντας δὲ ὀδόντας διακλυζέσθωσαν ὄξει θερμῷ δριμεῖ μετὰ κηκῖδος. ἢ ἁλικακάβου ῥίζῃ μετ᾽ ὄξους, καὶ κηκῖδος. ἢ δᾳδίοις λιπαροῖς ἀνεζεσμένοις ἐν ὄξει, ἢ μυρσίνης κλωνίοις, καὶ μετὰ πίσσης ἐν ὄξει χλιαινομένοις. ἢ ὑοσκυάμου τῷ σπέρματι, καὶ τοῖς φύλλοις σὺν ὄξει. ἢ κεδρίᾳ, ἢ προπόλει, ἢ νάρδῳ, ἢ στρύχνῳ, ἢ τῷ χυλίσματι αὐτοῦ, ἢ καππάρει, ἢ σκορόδοις, ἢ μυρσίνης κλωνίοις, ἢ ἐν ὄξει ἀνεζεσμένοις, ἢ οἴνου τρυγὶ θερμῇ, ἢ πολίου φύλλοις, ἢ καὶ αὐτῇ τῇ βοτάνῃ, ἢ σικύου ἀγρίου ῥίζῃ, ἢ πρασίου, ἕκαστον αὐτῶν σὺν ὄξει μετὰ νίτρου καὶ πεπέρεως, ἢ χαμαιλέοντος ῥίζης ὁμοίως, ἢ ὑσσώπῳ, ἢ σταφίδι ἀγρίᾳ, ἢ πηγάνῳ E μετ᾽ οἴνου. ἢ γλήχωνι μετ᾽ ὀξυμέλιτος, ἢ πλατάνου σφαιρία, ἢ ῥόδα ξηρὰ ἕψε ἐν οἴνῳ λευκῷ, μέχρι τὸ τρίτον τοῦ οἴνου λειφθῇ, εἶτα τοῦτο ἔχε ἐν ἀγγείῳ φυλάττων ἐπὶ τῆς χρείας συνεχῶς διακλύζου. ὡσαύτως δὲ καὶ ἡ τῆς πενταφύλλου ῥίζα, ὑπὸ δέ τινων εὐπατορίου λεγομένης καθεψηθεῖσα ἐν οἴνῳ, ἢ γλήχωνος ἐπιπολὺ ἑψηθείσης ἀφεψήματι. ἢ κέρας ἐλάφου ἐν ὀξυκράτῳ ἑψηθέν, ἐπιπολὺ διακλύζου. ἢ κράμβης καυλοὺς τρεῖς, καὶ σώρεος < β΄. ἐν ὄξει ξε α΄. μέχρι τὸ τρίτον λειφθῇ ἑψήσας διακλύζου. ἄκρως δὲ λέγεται ποιεῖν βατράχου, ἐν ὄξει καὶ ὕδατι εὖ μάλα ἑψηθέντος, τὸ ἀφέψημα F ἐπιπολὺ διακρατούμενον ἐν τῷ στόματι. θαυμαστῶς ποιεῖ ἐὰν κυνόδοντα καύσῃς, καὶ τρίψῃς, εἶτα σὺν ὄξει θερμῷ ἱκανῶς ἑψήσας, διακρατήσῃς. ἢ σίδια, καὶ κηκῖδα ὄξει ἐναφεψήσας χρῶ. ἢ σκίλλης ὄξει θερμῷ. ἢ σκίλλης τὸ ἐντὸς εἰς λεπτὰ τέμνων λίτρας α΄. καὶ εἰς τὸν ξέστην τοῦ ὄξους βαλὼν εἰς ἄγγος

tis, tū succingētis totū os, aliquis dolor ob inflāmationē oriatur, dolorē sedat lentiscinū; repellit enim citra molestiā, & absq; asperitate, quā pleraq; austerorū habent; discutitq; citra mordacitatē, cuius rei inflāmatis præcipuus vsus existit. Quidā verò medici cōmuni quadā falsa ratiocinatione vtētes inflāmata lædūt; quare ea re semel perpēsa de cætero vitare oportet. Existimāt enim si astringentia solū, id quod influit repellēdo, inflāmatis prosunt, atq; aliquādo etiam quid ex cōtento circa inflammatam partē, ad venas mēbrum ipsum nutrientes exprimēdo, verisimile ob id esse, id quod amplius astringit, amplius prodesse: eodē modo etiam id, quod magis digerēdo discutit, magis auxiliari opinātur, quā ea, quæ moderatè idē præstāt; non animaduertētes, quod alterū ipsorū intensum inflammatis dolorosū existit. A vehemēter enim astringētibus partes simile quiddā cōtusioni perpetiuntur, nimirum quum substantia ipsarum violenter condensetur; ab acribus verò erosioni quid simile contingit. Meritò igitur moderatum in vtraque facultate immoderatis præfertur. Hæc igitur sufficienter mihi præfatus videor. Cæterùm de affectionibus citra dolores deinceps narrabo.

De dolore dentium.

In dolore dentium citra gingiuarum inflammationem, aliquando in ipso proprio dentium, veluti dixi, corpore, aliquando verò in neruo, dolorem fieri cōtingit. Vehementissimis igitur opus est medicamentis, siue quis repellere, siue discutere velit doloris causam, siue humor sit, siue flatus ventosus. Et propterea sanè pleraque ipsorum ex acerrimo aceto præparantur. Ascribam autem ex ordine, quæ aliorum relatione nobis tradita sunt, initio ab iis, quæ Archigenes tradidit sumpto.

Quæ Archigenes ad dentium dolores conscripsit.

Dolentes dentes colluant acri aceto calido cum galla. Aut halicacabi radice, cum aceto, & galla; aut pinguibus tædis in aceto feruefactis; aut myrti ramulis, & galla cum pice in aceto tepefactis; aut hyoscyami semine, & foliis cum aceto; aut cedria, vel propoli, vel nardo, vel solano; aut succo eius, vel cappari, vel alliis, vel myrti ramulis, siue in aceto, siue vini fæce calida feruefactis; aut polij foliis, vel ipsa herba, vel agrestis cucumeris radice, vel marrubio, singulis cum aceto, pipere, & nitro; aut radice chamæleonis eodem modo; aut hyssopo, vel staphide syluestri, vel ruta cum vino; aut pulegio, cum aceto mulso; aut platani pilulas, vel rosas aridas, in vino albo ad tertias coquito: & vinum in fictili seruato, eoque assiduè dentes colluito. Eodem modo vtere pentaphylli siue quinquefolij, quæ ab aliquibus eupatorium dicitur, radice cocta ex vino, aut pulegij largè cocti decocto; aut cornu cerui in posca coctum colluito; aut brassicæ cauliculos tres, & soreos drachmas duas, in aceti sextario vno ad tertias coquito, & colluito. Egregiè verò facere fertur ranæ in aqua, & aceto probè coctæ decoctum diutius ore retentum. Mirificè facit dens caninus vstus, & tritus, deinde cum aceto coctus, & ore retentus; aut malicorio, & galla aceto incoctis vtitor; aut squilla ex aceto calido; aut squillæ medullam in minutas partes dissectam sub libræ vnius pondere, & in aceti sextarium iniectam, in vase fictili condito, ac inueterari sinito, vase in asinino stercore

stercore ad dies xxx. defosso, & vtitor; aut asinino lacte colluito, hoc & eos, qui mobiles sunt, corroborat; aut halicacabi corticis, & tædæ in aceto extinctæ, decocto largè incocto colluito; aut cornu cerui in acido garo incoctum colluito; aut idem ex aceto colluito; aut tithymalli radicem in vino ad dimidias coctam colluito; aut hyoscyami radicem aceto mulso coctam colluito; aut tædarum ramenta, malicorium, alumen rotundum, siue scissum, in aceto, ad tertias coquito, ac tepidum colluito; aut helxines radicem in aceto ad tertias coctam in ore detineto; atque vbi os saliua refertum fuerit, eo aperto effluere sinito; aut allium, & arundinem Alexandrinam acerrimo aceto feruefactam colluito; aut hyssopum, aut thymum, aut origanum, per se, & simul aceto cocta colluito; aut pyrethrum cum hyssopo, & colocynthidis medulla, similiter in aceto coquito; liquoremque ex eis longo temporis spatio in ore contineto; aut colocynthidem vino calido macerato, & diutius ore teneto; multam enim pituitam ducit, & dolorem leuat; aut alliorum, & erucæ seminis, ac nitri decocto collue; aut ranunculum in vino coquito, & præmundato priùs dente colluito; aut mori lac in vinum infunde, simulque lanas succidas in ipsum exprime, tepefac, & per lanas sordidas maxillæ infunde: extrahit pituitam, & dolorem tollit. In his omnibus Archigenes catalogum fecit medicamentorum incidendi, discutiendi, ac calefaciendi vi præditorum, rarò aliquid ex acerbis admiscens, quale est ipsa galla. Porrò quum semel tantum solanum posuerit, miratus sum cur id admisceri velit, quum nulla ratione iuuare possit, præterquam ea, iuxta quàm colica medicamentum prosunt, stupefaciendo videlicet doloris sensum. Quid igitur amplius parabilium Apollonij relationem faciam, quum parum absit, quin omnia comprehenderit Archigenes? Quandoquidem verò Apollonius ipse quibusdam à se traditis testimonium præbet, tanquam è vestigio sedantibus dentium dolores, visum etiam mihi est illa ipsa ascribere secundum ipsius Apollonij verba, quæ hoc modo habent.

Apollonij è vestigio dolores dentium sedans.

℞. Alliorum nucleos v. thuris masculi obolos iij. myrti ramulos longitudinis duorum palmorum duos, ex his folia decerpta per se terito, similiter & allium, & thus; deinde simul omnia in nouam ollam conijcito, & aceti heminam j. superfundito; ac coquito spatula ex tæda agitando, donec ad dimidias redigatur; atque ita tepido vtitor. Oportet autem liquorem hunc in dolente parte ad multum tempus tenere, donec liquor ipse consumatur. Commodum est, & ante hoc balsami succum colluere, aut corticem imponere super dolentem dentem; qui si non adsit, panacis succo contuso, inde defluentem liquorem instillare.

Post prædicta, Archigenes remedia perforatorum dentium cum dolore, & absque dolore conscripsit in hæc verba.

Oblitionibus porrò, & epithematis eiusmodi vtitor. Sory Ægyptium resina terebinthina exceptum obline, idemq; cauernæ inde; aut cõpositionem ex duabus piperis generibus inde, nardino, aut rosaceo dissolutam, & maximè amygdalino; quin & in aurẽ eiusdẽ partis instilla, summè facit.

A ταρίχευσον ὀνεία κόπρῳ, κατορύξας ἐφ' ἡμέρας λ'. καὶ χρῶ. ἢ ὀνείῳ γάλακτι διακλύζου, τοῦτο καὶ τοὺς κινουμένους στερεοῖ. ἢ ἁλικακάβου φλοιοῦ, καὶ δαδίου ἐναποσβεσμένου ὄξει διακλύζου, ἐπιπολὺ ἑψηθείσης ἀφεψήματι. ἢ κέρας ἐλάφειον ἐν ὀξυγάρῳ ἐναφεψήσας, ἢ ἐν ὄξει διακλύζου. ἢ τιθυμάλλου ῥίζαν ἐν οἴνῳ, μέχρι τὸ ἥμισυ λειφθῇ, ἑψήσας, διακλύζου. ἢ ὑοσκυάμου ῥίζαν ὀξυμέλιτι ἑψήσας, διακλύζου. ἢ δαδίων ξύσματα. σίδια, στυπτηρίαν στρογγύλην, ἢ σχιστὴν, ἐν ὄξει ἑψήσας, μέχρι τὸ τρίτον λειφθῇ, διακλύζου χλιαρῷ. ἢ ἑλξίνης ῥίζαν, ἐν ὄξει ἑψήσας, μέχρι τὸ τρίτον λειφθῇ, διακράτει.

B ὅταν δὲ πλέον τὸ στόμα πληρωθῇ, ἀνοίξας, ἔα φέρεσθαι. ἢ σκόροδα, καὶ Ἀλεξανδρινὸν κάλαμον, ὄξει δριμυτάτῳ ἀποζέσας, διακλύζου. ἢ ὕσσωπον, ἢ θύμον, ἢ ὀρίγανον κατ' ἰδίαν, καὶ ὁμοῦ σὺν τῷ ὄξει ἑψῶν διακλύζου. ἢ πύρεθρον μεθ' ὑσσώπου, καὶ κολοκυνθίδος τῆς ἐντὸς, ὁμοίως ἐν ὄξει καθεψήσας, διακράτει πλείονα χρόνον ἐν τῷ στόματι τὸ ὑγρόν. ἢ οἴνῳ θερμῷ κολοκυνθίδος ἐναποβραχείσης, διακράτει πλείονα χρόνον, πολὺ γὰρ φλέγμα ἄγει, καὶ κουφίζει τὸν πόνον. ἢ σκορόδων, καὶ εὐζώμου σπέρματι, καὶ νίτρου ἀφεψήματι. ἢ βατράχιον ἐν οἴνῳ ἑψήσας προκαθάρας τὸν ὀδόντα, διακλύζου. ἢ συκαμίνου, τοῦ-

C τέστι μορέας γάλα εἰς οἶνον ἐγχέας, ὁμοῦ οἰσυπηρὰ ἔρια ἐναπόθλιβε χλιαίνων, καὶ δι' ἐρίων ῥυπαρῶν ἔγχει τῇ μύλῃ. ἀνασπᾷ γὰρ φλέγμα, καὶ ἀπόνους ποιεῖ. ἐν τούτοις ἅπασιν ὁ Ἀρχιγένης κατάλογον ἐποιήσατο φαρμάκων τμητικῶν τε καὶ διαφορητικῶν, καὶ θερμαινόντων, σπανίως τῶν στρυφνῶν τι μίξας, ὁποῖόν ἐστι φάρμακον ἡ κηκίς. ἅπαξ δέ που κειμένου τοῦ στρύχνου, τεθαύμακα περὶ τῆς μίξεως αὐτοῦ, κατ' οὐδένα λόγον ὠφελεῖν δυναμένου. πλὴν εἰ περ ἄρα, καθ' ὃν καὶ τὰ κωλικὰ φάρμακα, τῷ ναρκωτικῷ τῆς ὀδύνης. τί ἂν οὖν ἔτι τῶν εὐπορίστων Ἀπολλωνίου μνημονεύοιμι, περιεχομένων ὀλί-

D γου δεῖν, ἁπάντων ἐν τοῖς ὑπ' Ἀρχιγένους γεγραμμένοις; ἐπεὶ δὲ αὐτὸς ὁ Ἀπολλώνιος, ἐνίοις τῶν ὑπ' αὐτοῦ γεγραμμένων ἐμαρτύρησεν, ὡς παραχρῆμα παύουσι τοὺς πόνους τῶν ὀδόντων, ἄμεινον ἔδοξέ μοι κἀκεῖνα γράψαι, κατὰ τὴν αὐτοῦ τοῦ Ἀπολλωνίου λέξιν, οὕτως ἔχουσαν.

Ἀπολλωνίου, παραχρῆμα παῦον τοὺς πόνους τῶν ὀδόντων.

℞. Σκορόδων πυρῆνας ε'. λιβάνου ἄρρενος ὀβολοὺς γ'. μυρσίνης κλωνία διπάλαιστα δύο, τούτων ἀμέλξας τὰ φύλλα, κατ' ἰδίαν λέαινον ὁμοίως, καὶ τὰ σκόροδα, καὶ τὸν λιβανωτόν,

E εἶθ' ὁμοῦ πάντα ἐμβαλὼν εἰς καινὴν χύτραν, καὶ ἐπιχέας ὄξους κοτύλην α'. ἕψε κινῶν σπάθῃ δαδίνῃ, μέχρις οὗ λειφθῇ τὸ ἥμισυ, καὶ οὕτω χλιαρῷ χρῶ. δεῖ δὲ κρατεῖν τὸ ὑγρὸν ἐπὶ τῷ ἀλγοῦντι μέρει, πρὸς πλείονα χρόνον, τοῦτο δὲ ποιητέον, ἄχρις ἂν τὸ ὑγρὸν δαπανηθῇ. χρήσιμον δὲ καὶ πρὸ τοῦ διακλύσασθαι, βαλσάμου ὀπὸν, ἢ φλοιὸν ἐπιτιθέναι ἐπὶ τὸν ἀλγοῦντα ὀδόντα. εἰ δὲ μὴ, πάνακος ὀπὸν θλάσαντα ἐλαφρῶς, ἐᾶσαι τὸ ὑγρὸν ἀπορρεῖν.

Ἐφεξῆς τῶν γεγραμμένων, ὁ Ἀρχιγένης ἔγραψε βοηθήματα τετρημένων ὀδόντων, ὀδυνωμένων τε καὶ ἀνωδύνων,

F κατὰ τήνδε τὴν λέξιν.

Περιπλάσμασι δὲ καὶ ἐπιθέμασι τοιούτοις τισὶ χρῶ. σῶρυ Αἰγύπτιον ῥητίνῃ τερμινθίνῃ ἀναληφθὲν περίπλασσε, καὶ τῷ βρώματι ἐντίθει αὐτήν. ἢ τὴν διὰ δύο πεπέρεων ἐντίθει, ἀνιεὶς αὐτὴν ναρδίνῳ, ἢ ῥοδίνῳ, μάλιστα δὲ ἀμυγδαλίνῳ, καὶ εἰς τὸ οὖς δὲ τὸ κατ' αὐτὸ, ἔνσταζε, τὸ αὐτὸ ποιεῖ ἄκρως.

ἢ θεῖον ἄπυρον μετὰ λυκίου ἀναλαβὼν, εἰς τὸ βρῶμα ἐντίθει. ἢ κηκῖδα λείαν, ἢ λυκίῳ, ἢ ῥητίνῃ τερεβεντίνῃ ἀναλαβὼν περίπλασσε τὸν ἀλγοῦντα, προεκκαθάρας πρότερον. ἢ κόμην γλήχωνος τρίψας, ἐντίθει τῷ ὀδόντι. ἐπὶ δὲ τῶν μεγίστων ὀδονταλγιῶν ἄκρως ποιεῖ τοῦτο. ὄφεως γῆρας κατακαύσας, καὶ μετ᾽ ἐλαίου, μέλιτος ποιῶν πάχος στερεοῦ, προεκκαθάρας περίπλασσε, καὶ τὰ κύκλῳ πάντα περίχριε, καὶ τοῖς βρώμασιν ἐντίθει. ἢ προσπίεζε τῷ γήρᾳ μὴ κεκαυμένῳ τοὺς ὀδόντας, καὶ ἐκπίπτουσιν. ἢ γῆς ἔντερα φρύξας, ἔμπασσον εἰς τὸ βρῶμα, προεκκαθάρας. ἢ ὠὰ ἀραχνίων ἀνιεὶς μύρῳ ναρδίνῳ, ἐντίθει. ἢ μελάνθιον φρυκτὸν μετ᾽ ἐλαίου περίπλασσε, καὶ μικρὸν μύσας B ἀποφλεγμάτιζου. ἢ πεπέρεως, ἢ κάγχρυ ὀπίῳ ἀναλαβὼν, ἐντίθει εἰς τὸ βρῶμα. ἐπὶ δὲ τῶν ὥσπερ ἐν φλεγμονῇ, νίτρον ἐρυθρὸν, καὶ Περσαίων ὀστέων τὸ ἐντὸς, ἑνώσας ῥητίνῃ ἀνάλαμβανε, καὶ περίπλασσε τὸν ὀδόντα, καὶ ἔα ἕως ἂν ἀποτακῇ. ἐπὶ δὲ τοῦ βρώματος πεπέρεως, καὶ νίτρου ἀφρὸν, καὶ χαλβάνην σὺν μέλιτι ἐπιτίθει. ἢ γλοιῷ μετὰ πεπέρεως ὁμοίως. ἢ πύρεθρον μετὰ σμύρνης. ἢ ὀπὸν Κυρηναϊκὸν, καὶ πέπερι ἴσα μετὰ χαλβάνης. ἢ μελάνθιον, καὶ σκορόδου τὸ ἥμισυ, καὶ ἁλὸς ὀλίγον συλλεάνας περίπλασσε, ἀπόνους ποιεῖ. ἢ σίλφης τῆς κεφαλῆς ἀφαιρουμένης τὸ στῆρ σὺν ῥοδίνῳ θερμάνας, εἴς τε τὸ οὖς ἔνσταζε, καὶ C εἰς τὸ βρῶμα ἐντίθει. ἢ κηκῖδα λείαν μετὰ κεδρίας χρῶ. ἢ εἰς τὸ κατὰ τὸν ἀλγοῦντα οὖς σησάμελαιον, ἐναφεψημένων αὐτῷ γῆς ἐντέρων ἔγχει. αὐτῷ δὲ τῷ ἀλγοῦντι, ὑοσκύαμον δακνέτωσαν. ἢ κισσοῦ λευκοῦ κορύμβους ε΄. μετὰ ῥοδίνου τρίψας, καὶ ἐν σιδίῳ χλιάνας ἔνσταζε, δεύτερον καὶ τρίτον τῆς ἡμέρας, εἰς τὸ κατὰ τὸν ἀλγοῦντα οὖς, καὶ αὐτὸς δὲ ὁ καρπὸς μετ᾽ οἴνου λεῖος, ἐπιχριόμενος ἐπὶ τὸν ὀδόντα ὠφελεῖ. τούτων ἐφεξῆς, ὁ Ἀρχιγένης, καὶ τάδε γράφει. ἄκρως γὰρ ποιεῖ, καὶ αἱμασσομένοις οὔλοις, ὑγρὰ στυπτηρία μετὰ τοῦ διπλοῦ ἀλόης προσάπτου, ἢ σχιστὴ, καὶ μυρσίνη λειοτάτοις παράτριβε. στυφθέντων δὲ μέλιτι χρίε, D ἢ περσαίων τῶν μαχαιρείων μέρη δύο, σμύρνης μέρος ἓν προεκκαθάρας ἔνθες, ἄπονον ποιεῖ. τοῖς δὲ τεθραυσμένοις, καὶ ἀλγοῦσιν ὀδοῦσιν, καυτήριον ἐπιτίθει πυρώσας.

A aut sulfur ignem non expertum cum lycio exceptum, cauernæ inde; aut gallam læuigatam aut lycio, aut resina terebinthina exceptam, obline præpurgato dente; aut pulegij comã tritam denti indito. Cæterùm in maximis dentium doloribus summè facit hoc; Anguis senectã exurito, & cùm oleo ad mellis solidi spissitudinem redigito, ac dentem præpurgatum ex eo integito, omniaq; circunsita oblinito, itemq; cauernis indito; aut senectam anguis non vstam dentibus apprimito, & excident. Aut vermes terrenos tostos cauernæ præmũdatæ insperge; aut araneorũ oua vnguento nardino diluta inde; aut melanthium torrefactũ cũ oleo obline, atq; vbi parumper cóclufo ore tenuerit, pituitam collectã reiicere iube; aut piper, vel rorismarini semen, opio exceptum in cauernã inde. Porrò vbi veluti inflãmatione correpti fuerint, nitrũ rubrum, & ossium persicorum nucleum vnita resina excipe, & dẽtẽ ex eis intege, ac donec liquata fuerint sine: in cauernam verò piper, spumam nitri, & galbanũ, cum melle inde; aut strigmenta, cũ pipere eodẽ modo; aut pyrethrum cum myrrha; aut succum cyrenaicum, & piper æquali pondere, cũ galbano; aut melanthiũ, & allij dimidium eius, ac parũ salis simul trita obline, dolorem tollit; aut blatæ pistrinariæ auulso capite adipẽ cum rosaceo calfactum, & in aurem instilla, & in cauernam inde; aut gallam tritam cum cedria adhibe; aut in aurẽ denti vicinam oleum sesaminum, in quo vermes terreni cocti sunt, instilla. Verùm ipso dolẽte dente hyoscyamum conterant; aut hederæ albæ cacumina quinq; cum rosaceo terito, & in mali punici putamine tepefacta, bis aut ter in die in aurem vicinã instillato. Quin & ipse fructus, cũ vino tritus, denti illitus iuuat. Cæterũ his relatis Archigenes etiam hæc subdit. Sũmè facit cruẽtatis gingiuis, alumen liquidũ duplo aloës pondere addito admotũ: aut alumen scissum, & myrtum tenuissimè trita affricato. Vbi verò restrictę fuerint, melle ipsas illinito; aut nucleorum ossium, siue machærarum persicorum partes ij. myrrhæ partem j. præmundato dẽti indito à dolore liberat. At verò perfractis, & dolentibus dentibus cauterium ignitum admoueto.

Περὶ ἀποφλεγματισμῶν.

Ἐφεξῆς τῶν προγεγραμμένων, ὁ Ἀρχιγένης οὕτως ἔγραψεν. ἀποφλεγματισμοὶ δὲ ἄριστοι τοῖς ὀδονταλγοῦσιν· σταφὶς ἀγρία διαμασηθεῖσα ἰδίᾳ, καὶ μετὰ γλήχωνος, ἢ κηκῖδος τὸ ἔνδοθεν μέλαν, δακέτω τῷ ἀλγοῦντι ὀδόντι, καὶ ἔα ἀποῤῥεῖν. εἰς δὲ τὸ ἀντικείμενον οὖς, ἔνσταζε κισσοῦ δύο κορύμβους, μετὰ ῥοδίνου λελειασμένους. ἢ μυρίκης καρποῦ δραχμὰς β΄. ἀφρονίτρου < α΄. στυπτηρίας ὀλίγον, σκορόδων πυρῆνας ε΄. μυρσίνης φύλλα ὀλίγα, σὺν ὄξει κινῶν σπάθῃ δᾳδίνῃ, ἕψε μέχρι ἡμίσεος, καὶ δίδου διακλύζεσθαι, καὶ διακρατεῖν, εἶτα χαίνοντες, ἐάτωσαν ῥεῖν τὸ φλέγμα, καὶ μετὰ τοῦτο, ῥοδίνῳ ἐλαίῳ διακλυσάμενοι, πτισάνην δίδου ῥοφῆσαι. ἐὰν δέ τινα ἐκ τοῦ διακλύσματος περὶ στόμα ἑλκωθῇ, κρόκῳ καὶ ῥόδων χυλῷ διάχριε.

De apophlegmatismis.

Post prædicta verò Archigenes ita scripsit. Apophlegmatismi optimi sunt in dentium dolore. Staphis agrestis per se, & cum pulegio manducata; aut quod intra gallam est nigrum, dolenti dente conterat, sinatque pituitam effluere; in oppositam autem aurem duos hederæ corymbos cum rosaceo tritos instilla; aut myricæ fructus drach. duas, spumæ nitri drach. vnam. aluminis paulum, alliorum nucleos v. myrti folia pauca, cum aceto ad dimidias coque, spatula ex tæda agitando: idque decoctum colluendum, ac ore continendum præbeto; deinde hiante ore pituitam effluere permittito; & post hoc, rosaceo ore colluto, ptissanam sorbendam exhibeto. Si verò ex colluendo aliqua circa os vlcerata fuerint, croco, & rosarum succo inungito. E

Περὶ πυριῶν. F

Πυρίαι δὲ ποιοῦσι πρὸς ὀδονταλγίας, ἔξωθεν μὲν, αἱ δι᾽ ἁλὸς πεφρυγμένου, ἢ κέγχρου εἰς μαρσύππους ἐμβεβλημένων, ἢ καὶ διὰ ῥυπαρῶν ῥακίδων, εὖ μάλα θερμανθέντων, ἢ καὶ ἐπιθέματα διὰ τῶν χωρὶς ὑδάτων, ὡς τὰ δι᾽ ὠμῆς λύσεως, εἴτε κρίθινον, εἴτε λινόσπερμα. αὐτοῦ δὲ τοῦ ἀλγοῦντος

De fomentis.

Fomenta ad dentium dolorem faciunt, forinsecus ex sale torrefacto, & milio in sacculos coniectis: aut per sordidos panniculos probè calefactos. Quin & Epithemata conducunt citra aquam apparata, velut sunt, quæ ex hordeacea farina fiunt, siue ex semine lini. Ipsius verò dolentis dentis

dentis fomentum hoc modo adhibeatur. Origani aridi ramulum in feruens oleum tinctum dolenti denti supernè affricato; aut ricini cauliculum eodem modo; aut staphidem agrestem stylo cuipiam acuto infixam, eodem modo; aut cera dolenti denti imposita, specilli extremum calidissimum assiduè adhibe; aut opopanacem, & peucedani succum vnita linteolo illigato, & in feruenti oleo liquefacito: quum verò inceperit feruere medicamentum, denti imponito, & cum specillo apprimito: vtere manè, & vesperi. At in vniuersum omni fomento quum forinsecus, tum intrinsecus ante cibum, nec non post cibum, haud admodum multo temporis spatio ad cibum rursus spectante, vtere. Cæterùm species fomenti, & hæc est: Dentem valdè bene præpurgato, & ægro contecto, ac hiare iusso, hyoscyami semine suffito. Quòd si ad nullum prædictorum malum ipsum cedat, & dolor vehementer perseueret, tenui terebello dentem perforato, ac dictis remediis vtitor; hoc enim modo magis prodesse consueuerunt. Si verò neque sic profeceris, & videatur dens tollendus esse, citra dolorem tollere possis valdè conuenienti medicamento hoc; Pyrethrum acerrimo aceto ad dies xl. condito, terito, & reponito; vsu verò exigente, reliquis cera obturatis, & probè munitis, ipsum dolentem præmundatum hoc medicamento integito; deinde hora interposita digitis extrahito, aut scalpello exigito; aut sory, cum acerrimo aceto ad multos dies imponito, & excidet; aut plumbaginem tritam cerato exceptam imponito; educunt fortiter tithymalli succus, & sory cum galbano imposito.

De iis quæ Apollonius scripsit in primo parabilium.

Primum quidem eorum caput, sunt collutiones dentium doloribus conferentes, quæ nihil amplius habent iis, quæ Archigenes tradidit. Secundo loco refert, quæ ad erosos dolentes dentes imponantur, & indantur. Tertium locum obtinent fomenta, & vstiones. Quartum suffitus ad dentium dolores. Quinto habentur commanducationes, & purgationes. Sexto gargarismata. Septimo postremùm capite ea scripsit, quæ in dolore dentium auribus infunduntur; quorum nullius mentionem facere volui, quum si quis ea expetat ex libro illius petere possit, qui non adeo difficulter parabilis existit. Ego sanè iis, quæ Archigenes prodidit contentus fui. Quum verò Apollonius, quæ naribus infunduntur consequenter tradat, visa sunt mihi etiam ea ipsa apponenda esse.

Quæ in dolore dentium naribus infundantur, ex Apollonio in primo parabilium.

Radicis betæ succum per se in nasum instillato, & solues dentium dolorem. Cumini quantum tribus digitis apprehendi potest, & myrrhæ magnitudinem fabæ, & duplum interioris cucumeris terito, & lacte muliebri mixta in collyria redigito, eaque in vtramque narem indito; atque ita attrahere iubeto, donec quis quinque stadia percurrere possit: deinde medicamentum emungat. Idem ad aurium dolorem facit.

Ne erosi dentes vacillent, neque fœtorem faciant.

Veratrum nigrum erui magnitudine melle cocto exceptum cauernis inde.

A ὀδόντος πυρία οὕτω χρηστέον. ὀριγάνου ξηροῦ κλώνιον εἰς ζεστὸν ἔλαιον βάπτων, τῷ πονοῦντι ὀδόντι ἄνωθεν ἐπίψαυε. ἢ κίκεως καυλὸν ὁμοίως. ἢ σταφίδα ἀγρίαν εἰς ὀξύ τι αὐτὴν πήξας. ἢ κηρὸν ἐπιθεὶς τῷ ἀλγοῦντι ὀδόντι, πυρῶν μήλης θερμοτάτῳ προσάπτου συνεχῶς. ἢ ὀποπάνακα, καὶ ὀπὸν πευκεδάνου, ἴσα ἑνώσας ὀθονίῳ ἔνδησον, καὶ εἰς ζεστὸν ἔλαιον τῆξον. ὅταν δὲ ἄρξηται ζεῖν τὸ φάρμακον, ἐπιτίθει τῷ ὀδόντι, καὶ προσπίεζε μήλῃ, χρῶ πρωῒ, καὶ δείλης, καὶ καθὸ εἶπον, συμπυρία ἐκτός τε καὶ ἐντὸς πρὸ τροφῆς. καὶ μετὰ τροφὴν, μὴ πολὺ λίαν διαστησάντων ἀπὸ τροφῆς, χρῶ. B εἶδος δὲ πυρίας ἐστὶ, καὶ τὸ τοιοῦτον, εὖ μάλα περικαθάρας τὸν ὀδόντα, καὶ σκεπάσας τὸν πάσχοντα, ἀναγκάσας τε χαίνειν, ὑποθυμία ὑοσκυάμου σπέρματι. εἰ δὲ πρὸς μηδὲν τῶν προγεγραμμένων εἴκει, ἔγκειται δὲ ἰσχυρῶς ὁ πόνος, λεπτῷ τρυπάνῳ τρήσας τὸν ὀδόντα, χρῶ τοῖς εἰρημένοις βοηθήμασιν, εἴωθε γὰρ μᾶλλον οὕτως ὠφελεῖν. εἰ δὲ μηδ᾽ οὕτως ὑπακούει, καὶ δόξειεν ἀφαιρεθῆναι τὸν ὀδόντα, ἀπόνως ἀφαιρεθείη φαρμάκῳ συμφωνοῦντι λίαν τῷδε. πύρεθρον, δριμυτάτῳ ὄξει ἐφ᾽ ἡμέρας μ΄. ταριχεύσας τρῖψον, καὶ ἀπόθου. ἐπὶ δὲ τῆς χρείας τοὺς λοιποὺς C κηρώσας, καὶ ἀσφαλισάμενος αὐτόν τε τὸν ἀλγοῦντα περικαθάρας, περίπλασον τῷ φαρμάκῳ, εἶτα διαστήσας ὥραν ἔκλυσον τοῖς δακτύλοις, ἢ γραφείῳ ἀνάλαβε. ἢ σῶρυ μετ᾽ ὄξους δριμυτάτου ἐπὶ πολλὰς ἡμέρας κατάπλαττε, καὶ ἐκπεσεῖται. ἢ μολύβδαιναν λείαν κηρωτῇ ἀναληφθεῖσαν ἐπίθες. ἐξάγει σφοδρῶς τιθυμάλλου ὀπὸς, καὶ σῶρυ μετὰ χαλβάνης καταπλασσόμενα.

Περὶ τῶν ὑπ᾽ Ἀπολλωνίου γεγραμμένων ἐν τῷ πρώτῳ τῶν εὐπορίστων.

D Πρῶτον μὲν αὐτῶν κεφάλαιόν ἐστι, τὰ πρὸς ὀδονταλγίας διακλύσματα, μηδὲν ἔχοντα πλέον τῶν ὑπ᾽ Ἀρχιγένους γεγραμμένων. δεύτερον δὲ πρὸς ὀδόντας βεβρωμένους ἐπαλγεῖς, ἐπιθέματα καὶ ἐμπλάσματα. τρίτον ἐπὶ τούτοις πυρίας καὶ καύσεις, πρὸς ὀδονταλγίας. τέταρτον ὑποθυμιάματα, πρὸς τοὺς πόνους τῶν ὀδόντων. πέμπτον ὀδοντικὰ διαμασσήματα, καὶ καθαρτικά. καὶ πρὸς τούτοις ἕκτον, ἀναγαργαρίσματα, πρὸς ὀδονταλγίας. ἕβδομον δὲ κεφάλαιον ἔγραψε, πρὸς ὀδονταλγίας ἐγχύματα εἰς τὸ οὖς, ὧν οὐδενὸς μνημονεύειν ἔτι ἠξίωσα τῷ βουλομένῳ παραναγινώσκειν τὸ βιβλίον, E οὐ πάνυ τι τῶν δυσπορίστων ὑπάρχον. ἐγὼ δὲ τοῖς ὑπ᾽ Ἀρχιγένους γεγραμμένοις ἠρκέσθην, ἐφεξῆς δὲ γράψαντος τοῦ Ἀπολλωνίου ἔγχυτα εἰς τὴν ῥῖνα, ἔδοξέ μοι προσθεῖναι.

Πρὸς ὀδονταλγίας ἐγχύματα εἰς τὴν ῥῖνα, ὡς Ἀπολλώνιος ἐν τῷ πρώτῳ τῶν εὐπορίστων.

Σεύτλου ῥίζης τὸν χυλὸν αὐτὸν καθ᾽ ἑαυτὸν ἐγχυμάτιζε εἰς τὴν ῥῖνα, καὶ λύσεις τοὺς πόνους τῶν ὀδόντων. κυμίνου ὅσον τοῖς τρισὶ δακτύλοις, καὶ σμύρνης ὅσον κύαμον, καὶ σικύου τὸ ἐντὸς ὅσον διπλάσιον, τρίψας, καὶ γάλακτι γυναικὸς μίξας, ἀνάπλασον κολλύρια, καὶ ἔνθες εἰς ἑκάτερον τῶν μυκτήρων, εἶθ᾽ οὕτω κέ- F λευσον ἀνασπᾶν, ἐφ᾽ ὅσον ἄν τις διέλθοι στάδια πέντε, εἶτα ἐκμύξασθαι τὸ φάρμακον, τοῦτο καὶ πρὸς ὠταλγίαν ποιεῖ.

Πρὸς τὸ μὴ κόπτεσθαι τοὺς βεβρωμένους ὀδόντας, μηδὲ ποιεῖν δυσωδίαν.

Ἐλλεβόρου μέλανος, ἡλίκον ὄροβον, ἐν μέλιτι ἑφθῷ ἐντίθει.

A

Πρὸς ὀδόντας μεμελασμένους.

Ὄστρακον καλλάϊνον ὀπτήσας, καὶ λεάνας παράτριβε τοὺς ὀδόντας, οὕτω δὲ οὖλα κρατυνεῖ. Ἄλλο. ἅλα ὀρυκτὸν μέλιτι φυράσας ὄπτησον ἐπὶ κλημάτισι, καὶ τρίψας μίξον σμύρνης βραχὺ, καὶ χρῶ παραπλησίως. Ἄλλο. ♃. γλήχωνος μέρος ἓν, ἁλὸς τὸ ἴσον, ταῦτα φυράσας ὕδατι, ὄπτησον ἐν τῷ αὐτῷ, ἕως ἄνθραξ γένηται, καὶ λεάνας ἀπόσμα τοὺς ὀδόντας. Ἄλλο. ἰσχάδας κατακαύσας, καὶ τρίψας νάρδου βραχὺ, καὶ μέλιτι διεὶς, χρῶ. τοῦτο καὶ οὖλα συστέλλει. Ἄλλο. ἄλφιτον φυράσας, ἐν ὄξει δριμυτάτῳ κατάκαυσον, καὶ λεάνας παράτριβε τοὺς ὀδόντας, τοῦτο καὶ τὰ οὖλα κρατυνεῖ. Ἄλλο. ♃. ἀλαβάστρου κεκαυμένου < η'. κισσήρεως κεκαυμένου < δ'. ἁλὸς πεφρυγμένου < γ'. λεάνας ὡσαύτως χρῶ. διακλύσματι δὲ χρηστέον ἀπὸ τούτων, οἴνῳ εὐώδει, ἀποβεβρεγμένης ἐν αὐτῷ περὶ χρόνου πλείονος, ἴρεως ξηρᾶς.

B

Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα πρὸς ὀδόντας, ἐν τῷ πρώτῳ τῶν ἐντός. Ἡρακλείδου Ταραντίνου πρὸς σειομένους ὀδόντας.

Χρηστέον τῇ Κυπρίᾳ σποδῷ περιστέλλοντας τὰ οὖλα, καὶ φλόμου ταῖς ῥίζαις ἑψημέναις, ἔπειτα ἀποπλύνειν ὕδατι, ἢ μυρσίνης, ἢ βάτου, ἢ δάφνης, ἔπειτα τῇ σποδῷ περιψάμενος, ἡσυχάζειν κελεύειν. Ἄλλο. ♃. ἐλλεβόρου μέλανος χειροπληθὲς, μανδραγόρου τῆς ῥίζης < δ'. ὑοσκυάμου τῆς ῥίζης < δ'. βαλὼν εἰς ἄγγος κεραμεοῦν, καὶ οἴνου Χίου κοτύλας γ'. ἢ Κῴου, ὡς βελτίστου, ἕψε ἐπ᾽ ἀνθρακιᾶς μεγάλης, ὑπολειφθείσης δὲ τῆς ἡμισείας, χυλίσας τὸ ὑγρὸν, δίδου ἐν τῷ στόματι διακρατεῖν.

C

Ξηρὸν πρὸς σειομένους ὀδόντας.

♃. Τερμίνθου καρποῦ πεφρυγμένου < η'. στυπτηρίας σχιστῆς κεκαυμένης < η'. βαλαυστίου < β'. κηκίδων < α'. κρόκου < α'. σμύρνης < α'. λείοις χρῶ. Ἄλλο. ♃. κέρατος ἐλαφείου κεκαυμένου < η'. ῥοῦ ἐρυθροῦ < δ'. ὀμφακίου < β'. βαλαυστίου < δ'. πίτυος φλοιοῦ < α'. σμύρνης Ἀμιναίας < α'. λείοις χρῶ.

D

Διάκλυσμα πρὸς μυλαλγίας.

Σμυρνίου τὰς ῥίζας ἕψε μετ᾽ ὀξυμέλιτος, καὶ τὸ ὑγρὸν διυλίσας, δίδου ἐν τῷ στόματι κρατεῖν. Ἄλλο. λαπάθου ἀγρίου ῥίζας, καὶ πλατάνου σφαιρία, ἕψε μετ᾽ ὀξυμέλιτος, καὶ δίδου καθὰ προείρηται.

E

Διαμασσήματα πρὸς μυλαλγίας.

♃. Κάγχρυος δραχμὰς β'. ὀριγάνου < β'. πεπέρεως λευκοῦ < α'. σμύρνης < α'. σταφίδος γνησίας, ἢ τῆς ἄλλης λιπαρωτάτης ξε S'. τὴν σταφίδα κόπτε φιλοπόνως· τὸ δὲ σμύρνιον μέλιτι διαλύσας, τὰ δὲ ξηρὰ κόψας, καὶ σήσας λεπτῷ κοσκίνῳ ἐπίβαλλε τῇ σταφίδι, καὶ τῇ σμύρνῃ, καὶ μίξας ποίει μαλαγματῶδες· ἐν δὲ τῇ χρήσει δίδου καρύου Ποντικοῦ τὸ μέγεθος διαμασᾶσθαι. ὑγρῶν δὲ συναγομένων, τὸν κάμνοντα κεχηνέναι δεήσει, καὶ κάτω νεύειν, ὥστε τὸ ὑγρὸν εὐχερῶς ἀπορρεῖν. μετὰ δὲ τὴν χρῆσιν τοῦ φαρμάκου, οἴνῳ προσκλύζεσθαι προσταίνει. Ἄλλο. ♃. σταφίδος λιπαρᾶς, χωρὶς τῶν γιγάρτων ξε S'. πεπέρεως λευκοῦ, ὀξύβαφον, κόκκου κνιδίου < β'. ναρδοστάχυος < β'. κασσίας < α'. πυρέθρου < β'. σμύρνης < β'. σκεύαζε, καὶ χρῶ καθὰ προείρηται.

F

Ad dentes denigrates.

Testam Callainam assatam, ac tritam dentibus affricato. Hoc etiam gingiuas corroborat. *Aliud.* sal fossile melle subactum in testula torreto, terito, ac modica myrrha admixta similiter affricato. *Aliud.* ♃. Pulegij partem vnam, salis tantundem, melle subacta in eodem, donec in carbonem transierint, torreto, ac trita dentibus affricato. *Aliud.* Caricas exurito, ac terito, modicaque nardo, ac melle admixto vtitor; hoc & gingiuas comprimit. *Aliud.* Polentam acerrimo aceto subactam exurito, ac tritam dentibus affricato; hoc & gingiuas roborat. *Aliud.* ♃. Alabastri vsti drachmas octo, pumicis vsti drachmas quatuor, salis torrefacti drachmas tres, tritis eodem vtere modo. Ab horum vsu collutione vtendum est, vino odorato, in quo ad multum tempus iris sicca fuit macerata.

Quæ Asclepiades in primo Externorum ad dentes scripsit. Heraclida Tarantini ad motos dentes.

Vtendum est spodio Cyprio, vt per id gingiuæ comprimantur; itemque verbasci radicibus coctis; postea ablutio fiat ex aqua myrti, aut rubi, aut lauri; deinde spodio rursus admoto, quies præcipiatur. *Aliud.* ♃. Veratri nigri manipulum, radicis mandragoræ ʒ.iv. radicis hyoscyami ʒ.iv. in vas fictile conijcito, & vini Chij, aut Coi quàm optimi heminas tres superfundito, ac ad prunas luculentas ad dimidias coquito, indeque liquorem excolatum ore retinendum præbeto.

Aridum ad motos dentes.

♃. Terebinthi fructuum torrefactorum drachmas octo, aluminis scissi vsti drachmas octo, balaustij drachmas duas, gallarum drachmam vnam, croci drachmam vnam, myrrhæ drac. vnam tritis vtitor. *Aliud.* ♃. cornu cerui vsti drach. viij. rhois rubri drach. iij. omphacij ʒ.ij. balaustij drach. quatuor, corticis pinus drachmam vnam, myrrhæ Aminææ drach. j. tritis vtere.

Collutio ad Molarium dolores.

Radices smyrnij cum aceto mulso coquito, & excolatum liquorem ore tenendum exhibeto. *Aliud.* Rumicis agrestis radicem, & platani pilulas ex aceto mulso coquito, atque vt dictum est, exhibeto.

Masticatoria ad Molarium dolores.

♃. Canchryos drach. ij. origani drach. ij. piperis albi ʒ.j. myrrhæ drach. j. vuæ passæ albæ, aut alterius quàm pinguissimæ sextarij dimidium; vuam passam diligenter tundito, myrrham verò melle dissoluito; arida autem tundito, ac tenui cribello cernito; postea vuæ passæ, ac myrrhæ adijcito, miscetoque, ac instar malagmatis emollito; vsus verò tempore, nucis ponticæ magnitudinem commanducandam præbeto. Postquam verò collecta pituita fuerit, ægrum hiare, ac deorsum inclinari oportebit, quo liquor facilè profluat; quo facto, vinum colluere iubeto. *Aliud.* ♃. Vuæ passæ pinguis exacinatæ sextarium dimidium, piperis albi acetabulum, grani cnidij drach. ij. spicæ nardi drach. ij. casiæ ʒ. j. pyrethri ʒ. ij. myrrhæ drach. ij. apparato, ac vtitor, vt dictum est.

Ad corrosos dentes præseruatiuum. Per huius vsum conseruaui erosos dentes absque dolore.

Zingiber cum aceto mulso coquito, ac probè terito; indeque in cauernam indito, foris dentem ex eo integito. *Aliud.* Hederæ lachrymam galbano misceto, aut tithymalli, vel ficus syluestris succo dissoluito, ac vtitor, vt dictum est.

Aliud dolorem tollens, ad dolentes, & erosos dentes. Conducit itidem tussi.

℞. Succi papaueris drachmas duas, piperis albi tusi, & cribrati drach. vnam, myrrhæ drach. ij. styracis drachmas duas, galbani drachmam vnam, passi, quod satis est his excipiendis; contundito simul, & catapotia formato, dentique circumponito, & cauernæ indito. *Aliud.* ℞. succi hyoscyami drachmas duas, myrrhæ drachmas duas, opij drachmas duas, galbani drachmas duas, styracis drach. ij. zingiberis ʒ. ij. piperis drach. j. succi Syriaci tantundem, passi quod satis est; præparato, ac vtitor, vt dictum est.

Molare emplastrum bonum, quod in multis miraculo fuit.

℞. Lachrymæ oleæ drach. j. myrrhæ drach. ij. veratri nigri drach. j. balsami liquoris drach. j. styracis drach. vnam, piperis drach. j. hyoscyami drach. j. succi papaueris ʒ. j. castorij ob. iv. galbani drach. vj. succi Cyrenaici drach. j. succi carpasi drach. vnam, panacis drach. j. sagapeni obolos iv. pyrethri obolos quatuor, staphidis syluestris ʒ. ij. cedriæ quod satis est, quo emplastri formam acquirat. *Aliud.* ℞. sulfuris viui drach. iv. bituminis drach. ij. amurcæ olei drachmas iv. picis liquidæ drach. viij. cedriæ drach. xij. piperis longi drach. quatuor, opij drach. iv. pyrethri drach. iv. staphidis syluestris drach. vnam, veratri nigri drach. j. grani cnidij drachmam vnam, opopanacis drachmam vnam, picis aridæ libram vnam. Arida aceto excipito, deinde liquida affundito, ac ablatis vtitor. Ex medicamento hoc molaris dens est integendus.

Ad dentes, qui pessum eunt, vt citra dolorẽ excutiantur.

Pyrethrũ in acetum coniicias, ad dies iij. aut iv. finito, deinde terito, & malè affecto denti imponito, vicinis dentibus optimè præmunitis, eodemque diligenter præmundato, ita vt per duos, aut tres dies dentem hoc medicamento integas, ita enim citra dolorem excutietur. *Aliud.* Cucumeris syluestris radices eodem modo, vt pyrethrum præparato, ac vtitor, vt dictum est.

De Mobilibus dentibus, ac prominentibus.

Relatũ à me etiã ante est, quòd ob senilẽ ætatẽ aliqui dẽtes resiccati mobiles fiũt, paruũ omninò auxiliũ ex astringẽtibus medicamẽtis, quibus gingiuæ coarctãtur, ferentes. Refertur autẽ, & nunc quòd aliqui ex plaga mobiles fiunt. Quidam verò etiã citra plagã; in quib. cõiecturã facio neruũ, qui ad radices ipsorũ adnatus, & substratus est, per multã humiditatẽ rigatũ, laxatũ esse, & ob hoc resiccãtib. medicamẽtis ad curationẽ opus esse. Postquã autẽ motos dẽtes reliquis prominẽtiores factos videbã, & maximè quũ ex plaga id essẽt perpessi, visũ est mihi eos lima atterẽdos esse in tantũ, quantũ super reliquos prominẽt, ne scilicet oppositos sibi offendãt tũ in loquendo, tũ in mãducando; atq; sanè reperi experimentũ mihi fauens, ac testimoniũ

A Πρὸς βεβρωμένους ὀδόντας φυλακτικόν. τούτῳ χρησάμενος διετήρησα βεβρωμένους ὀδόντας ἀνωδύνους.

Ζίγγιβερ ἕψε μετ᾿ ὀξυμέλιτος, καὶ τρίψας ἐπιμελῶς, ἐντίθει εἰς τὸ τρῆμα, καὶ περίπλαττε ἔξωθεν. Ἄλλο. κισσοῦ δάκρυον χαλβάνῃ μίξας, ἢ ὀπῷ τιθυμάλλου, ἢ συκῆς ἀγρίας διαλύσας, χρῶ, ὡς προείρηται.

Ἄλλο ἀνώδυνον πρὸς περιωδυνῶντας καὶ βεβρωμένους ὀδόντας, ἔστι δὲ καὶ βηχικὸν ἀγαθόν.

℞. Ὀποῦ μήκωνος < β΄. πεπέρεως λευκοῦ κεκομμένου καὶ σεσησμένου < α΄. σμύρνης δραχμὰς β΄. στύρακος < β΄.
B χαλβάνης < α΄. γλυκέος εἰς ἀνάληψιν ὅσον ἀρκεῖ, κόπτε ὁμοῦ, καὶ ἀνάπλαττε καταπότια, καὶ περίπλαττε τὸν ὀδόντα, καὶ ἐντίθει τῷ βρώματι. Ἄλλο. ℞. ὑοσκυάμου χυλοῦ < β΄. σμύρνης δραχμὰς β΄. ὀπίου < β΄. χαλβάνης δραχμὰς β΄. στύρακος < β΄. ζιγγιβέρεως δραχμὰς β΄. πεπέρεως < α΄. ὀποῦ Συριακοῦ τὸ ἴσον, γλυκέος ὅσον ἐξαρκεῖ. σκεύαζε, καὶ χρῶ καθὰ προείρηται.

Μυλικὴ ἀγαθή, ἐπὶ πολλῶν θαυμασθεῖσα.

℞. Ἐλαίας δακρύου < α΄. σμύρνης δραχμὰς β΄. ἐλλε-
C βόρου μέλανος < α΄. ὀποβαλσάμου σπέρματος δραχμὴν μίαν, στύρακος < α΄. πεπέρεως δραχμὴν μίαν, ὑοσκυάμου δραχμὴν μίαν, μηκωνείου < α΄. καστορίου τετρώβολον, χαλβάνης δραχμὰς ϛ΄. ὀποῦ Κυρηναϊκοῦ < α΄. ὀποῦ καρπάσου < α΄. πάνακος < α΄. σαγαπηνοῦ τετρώβολον, πυρέθρου τετρώβολον, σταφίδος ἀγρίας < β΄. κεδρίας τὸ αὔταρκες, ὥστε ἐμπλαστρῶδες γενέσθαι. Ἄλλο. ℞. θείου ἀπύρου < δ΄. ἀσφάλτου δραχμὰς β΄. ἀμόργης ἐλαίου < δ΄. πίσσης ὑγρᾶς δραχμὰς η΄. κεδρίας δραχμὰς ιβ΄. πεπέρεως μακροῦ δραχμὰς δ΄. ὀπίου δραχμὰς δ΄. πυρέθρου < δ΄. σταφίδος ἀγρίας < α΄. ἐλλε-
D βόρου μέλανος < α΄. κόκκου κνιδίου < α΄. ὀποπάνακος < α΄. πίσσης ξηρᾶς λίτραν μίαν. ὄξει ἀναλάμβανε τὰ ξηρά, εἶτα ἐπίβαλλε τὰ τηκτά, καὶ ἀνελόμενος χρῶ, περιπλάττων τὴν μύλην τῷ φαρμάκῳ.

Πρὸς τοὺς ἐῤῥωμένους ὀδόντας, ὥστε ἀπόνως σαλεύεσθαι.

Πύρεθρον εἰς ὄξος βαλὼν, ἔα ἐπὶ ἡμέρας γ΄. ἢ δ΄. ἔπειτα τρίψας ἐπιτίθει τῷ πεπονθότι ὀδόντι, φυλαττόμενος τοὺς παρακειμένους ὀδόντας. δεῖ δὲ περικαθαίρειν ἐπιμελῶς, καὶ τότε περιπλάττειν τὸ φάρμακον, καὶ τοῦτο ποιεῖν ἐπὶ δύο, ἢ τρεῖς ἡμέρας,
E οὕτω γὰρ ἀπόνως σαλεύεται. Ἄλλο. ℞. σικύου ἀγρίου τὰς ῥίζας, τοῦτο σκευάσας, ὥσπερ τὸ πύρεθρον, χρῶ καθὰ προείρεται.

Περὶ τῶν σειομένων ὀδόντων, καὶ τῶν ἐξεχόντων.

Εἴρηται μὲν μοι καὶ πρόσθεν, ὡς διὰ γεροντικὴν ἡλικίαν ἔνιοι σείονται ξηραινόμενοι, βραχεῖαν ἐκ τῶν συναγομένων οὔλων φαρμάκοις στύφουσιν, βοήθειαν ἔχοντες, εἰρήσεται δὲ καὶ νῦν ὅπως ἔνιοι πληγέντες ἐσείσθησαν. Εἰσὶ δὲ οἳ καὶ χωρὶς πληγῆς, ἐφ᾿ ὧν τεκμαίρομαι διαβρεχόμενον ὑγρότητι πολλῇ τὸ καταφυόμενον εἰς τὰς ῥίζας αὐτῶν νεῦρον χα-
F λᾶσθαι, καὶ διὰ τοῦτο τοῖς ξηραίνουσι φαρμάκοις θεραπεύεσθαι. ἐπεὶ δὲ προπετεστέρους τῶν ἄλλων ἑώρων τοὺς σειομένους ὀδόντας γινομένους, καὶ μάλιστα ὅταν ἐκ πληγῆς πάθωσιν, ἔδοξέ μοι ῥινᾶν αὐτοὺς τοσοῦτον, ὅσον ὑπὲρ τοὺς ἄλλους ἐστὶν, ὅπως μὴ προσκρούσωσι τοῖς ἀντιτεταγμένοις ἐν τῷ διαλέγεσθαι καὶ μασᾶσθαι. εὗρον δὲ καὶ τὴν πεῖραν μοι

μαρτυρήσαντά μοι, σιδήρεον ἐποίησα ῥινίον, ὡς ἐνεργεῖν ταχέως. αἱ γὰρ πολλαὶ παραγωγαὶ, σείουσι τὸν ὀδόντα, δεόμενον ἀκινησίας, εἰ μέλλοι παγήσεσθαι. ποτὲ μὲν οὖν ἐξοχαί τινες ἀνώμαλοι φαίνονται τῶν ὀδόντων, κατά τινα μέρη, ῥινήσεως δεόμεναι, ἔσθ᾽ ὅτε δὲ καὶ ὁμαλὲς ἔχουσαι τὸ πέρας, ὁμαλοῦς καὶ τῆς ῥινήσεως δέονται. χρὴ δὲ περιθέντα τοῖς οὔλοις ἄχρι τῆς ῥίζης τῶν ὀδόντων ὀθόνην μαλακὴν, εἶτα περιλαμβάνοντα πράως τοῖς δακτύλοις τῆς ἀριστερᾶς χειρὸς, ἀσφαλῶς τε ἅμα καὶ ἀθλίπτως, ὅπως μὴ σείοιτο ῥινώμενος, οὕτως ἐπιχειρεῖν τῇ χειρουργίᾳ. ἐὰν δὲ ἀλγήματος αἰσθάνηται, ἐν τῷ προσάγεσθαι τὴν ῥίνην, καὶ μὴ διακρατεῖσθαι σφοδρότερον τοῖς δακτύλοις τὸ πεπονθὸς, παύεσθαι μὲν ἐν τῷ παραυτίκα, προσενεγκόντα δὲ ἐν τῷ μεταξὺ τῶν ῥηθησομένων τι φαρμάκων αὖθις ἐπιφέρειν, ὡς εἴρηται, βραχύ τε διαστήσαντα μέχρι τοῦ κατὰ τὸν ὀδόντα πέρατα ἀποτρῖψαι, καὶ τοῦτο ποιεῖν, οὐ τῇ πρώτῃ μόνον ἡμέρᾳ δίς που καὶ τρὶς, ἀλλὰ τῇ δευτέρᾳ προστάξαντα τῷ πάσχοντι, μήτε διαλέγεσθαί τι, μήτε σκληρὸν ἔδεσμα προσφέρεσθαι, χρῆσθαι δὲ τροφῇ, χυλῷ πτισάνης, καὶ ῥοφήματι τῷ ἐκ χόνδρου, καὶ ἄρτῳ διαβρόχῳ, καὶ τοῖς οὕτω μαλακοῖς. ἡ δὲ τῶν ὠφελούντων τοὺς σειομένους ὕλη τοιάδε τίς ἐστι.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα, πρὸς σειομένους ὀδόντας κρατυντικά.

Τοὺς δὲ σειομένους ὀδόντας στῆσαι θέλων, σμύρνης, πομφόλυγος, στυπτηρίας σχιστῆς, ἀμύλου ἴσα, λείοις προσάπτου. ἢ ἐλαιῶν λευκῶν χυλὸν, καὶ πήγανον μέλιτι μίξας παράτριβε, εἶτα περίπλασσε νάρδῳ μετὰ στυπτηρίας ὑγρᾶς. ἢ στρογγύλη στυπτηρία, μεθ᾽ ἁλὸς διπλοῦ τοῖς ὀδοῦσι περίπλασσε. ἢ σχιστῆς, καὶ μίσυος ἴσα μετὰ κεδρίας, πάχος ὑγρᾶς κηρωτῆς περίχριε τοὺς ὀδόντας, καὶ ἔα ἀπορρεῖν φλέγμα, εἶτα διακλυζέσθω ὀνείῳ γάλακτι θερμῷ, ἢ ὄξει, ἢ οἴνῳ ἐναφεψημένων σιδίων, καὶ κηκῖδος.

Πρὸς τοὺς ἠσθενηκότας ὀδόντας, ἢ μύλας.

Μέλι, κηρὸν, ἴσα ἐν ἡλίῳ θερμῷ ὕδατι ἀνιεὶς, πίσσης τὸ ἥμισυ πρόσμιξον, καὶ ποιήσας ἐμπλαστρῶδες, δίδου διαμασᾶσθαι. ἐὰν δὲ ᾖ ξηρὸν, βραχὺ ἔλαιον πρόσμιξον· ἄκρως ποιεῖ καὶ ἡ Χία μαστίχη μασωμένη. πρὸς αἱμωδίαν. ἐπὶ δὲ αἱμωδίας ἀνδράχνην διαμασάσθωσαν, ἢ ἔλαιον θερμὸν διακρατείτωσαν.

Περὶ δὲ τῶν ὀδοντοφυούντων ἔγραψεν ὁ Ἀρχιγένης.

Περὶ δὲ τῶν ὀδοντοφυούντων βρεφῶν, ἐὰν ὦσιν ἐπαλγεῖς, κυνείῳ γάλακτι τὰ οὖλα περίχριε. ἢ λαγωοῦ ἐγκεφάλῳ, ἐὰν χρίσῃς τὰ οὖλα βρέφους, ταχέως ὀδοντοφυεῖ.

Περίαπτα δὲ ἀντιπαθῆ ὀδοῦσιν, ἃ δοκεῖ πιστευθῆναι, τάδε.

Ἐὰν ὀδονταλγοῦντι, βατραχίου φύλλα ἐπὶ τοῦ κατὰ τὸν ἀλγοῦντα βραχίονος ἐπιθῇς, ἀπόνους μὲν ποιεῖ, ἑλκοῖ δὲ τὸν βραχίονα, ὃν θεραπεύσεις, ὡς προσήκει. ἐὰν δὲ ὀδοντοφυοῦν παιδίον ἀλγήματα ἔχῃ, τὸ τοῦ παλαιοῦ κοχλίου κέρας ἐνδήσας δέρματι περίαπτε.

Περὶ οὔλων πόνων.

Οὔλων πονούντων διακλύσματα μὲν ποιεῖ σχεδὸν τὰ καὶ πρὸς ὀδονταλγίαν γεγραμμένα, πλὴν

A praebens. Ferream itaque limulam, quo celerius opus succederet, feci, multae enim aggressiones dentem mobilem faciunt, cui quiete, & minimo motu opus est si saltem stabiliri debeat. Quandoque igitur eminentiae inaequales apparent in dentibus, & iuxta aliquas tantùm partes lima opus habent. Aliquando verò aequales sunt extremitates, & aequali similiter lima indigent. Oportet autem gingiuis linteolum molle vsque ad radices dentium circundare, deinde digitis sinistrae manus leniter amplecti, simulque tutè, & citra compressionem, ne concutiatur cui limā adhibemus, atque
B ita chirurgiam aggredi. Quòd si dolorē percipiat, dum limula admouetur, & affecta pars digitis vehementiùs non cōtinetur, quiescere quidē ab opere statim cōuenit. Vbi verò ex medicamentis, quae post referentur, interea aliquid exhibuerimus, rursus, vt dictū est aggredi, iterumq; modicè cessare, donec extremitates circa dentes deteratur: atq; id non prima tātùm die bis aut ter, sed etiam sequēti faciendum est; ac imperandum aegro, vt neque loquatur, neque durum aliquem cibum accipiat. Vtatur autem alimento succo ptissanae, & sorbitione ex alica, & pane madido, atque aliis ad hunc modum mollibus. Caeterùm materiei sylua, quae
C motis dentibus commoda est, talis existit.

Ab Archigene scripta, quae mobiles dentes corroborant.

Mobiles dentes stabilire volens, myrrhae, pompholygis, aluminis scissi, amyli, aequales singulorum partes tritas admoue. Aut oliuarum albarum succum, & rutam, melle mixta affrica; deinde nardum, cum alumine liquido obline. Aut alumen rotundum cum duplo sale dentibus asperge. Aut aluminis scissi, & misyos aequales partes, cum cedria ad cerati liquidi spissitudinem redactas den-
D tibus obline, & pituitam defluere sine. Quo facto, asininum lac colluant calidum, aut acetum, aut vinum in quo malicorium, & galla sunt incocta.

Ad debilitatos dentes tum alios, tum molares.

Mel, ceram, aequis portionibus ad Solem calida aqua diluito, & picis dimidium admisceto, ac ad emplastri formam deducito, atque manducanda exhibeto. Quòd si aridum sit medicamentum, parum olei addito. Summè facit, & mastiche Chia commanducata. *Ad stuporem dentium.* Caeterùm
E in dentium stupore portulacam manducent. Aut oleum calidum ore contineant.

De dentitione puerorum, ut Archigenes scripsit.

Infantibus qui dentiunt, si doluerint, canino lacte gingiuas obline. Aut si leporino cerebello infantis gingiuas illeueris, citò dentes proueniunt.

Amuleta dolori dentium reluctantia, quibus fidem deberi putant, haec sunt.

Si ranunculi folia ei, qui dentē dolet, in eiusdē partis brachium imposueris, dolore quidē libera-
F bitur; brachium autem exulcerabitur, cuius curam prout conuenit, facies. Si verò infans cui dentes prouenire incipiunt, dolores habeat, veteris cochleę cornu pelliculę illigatū pro amuleto appēde.

De doloribus gingiuarum.

Gingiuis dolētibus collutiones ferè eaedem faciūt, quae ad dolores dētium sunt descriptae, magis tamen

tamen propriè facit acetum, cui hyoscyami radix est incocta. Verùm inflammatis gingiuis alumen cum salis quarta parte tritum admoue; post morsum verò perceptum, vino, aut foliorum oleæ decocto ipsas colluant. At verò fluxione laborantibus gingiuis, & corrosis, cum tumore, & dolore, & per nomen depastis, præclarè conducit fomentum, quod fit per auriscalpium, cui lana obuoluta est, in feruens oleum tinctum, & gingiuis vsquequo exæquentur admotum, & donec circumcirca albæ reddantur; ita enim sistitur nomen, & ex sana carne id, quod corrosum est, connutritur; postea verò affrictionibus vtere, & iis, quæ ad dentes sunt descripta. Propriè autem conuenit galla tenuissimè trita acetabuli mensura, cum myrrha magnitudine fabæ; tritis itaque, ac læuigatis vtitor. *De exortu dentium.* Quòd si enascens dens difficulter oritur, & pungit gingiuam, cyperum, cum butyro, & vnguento susino iuxta exortum illinito. *De epulide.* Cæterùm in epulide, atramentum sutorium, cum pari myrto, & modico alumine scisso admoueto. Faciunt pleræque etiam ex antheris compositionibus.

Quæ dentes præseruent.

Quin & doloris dentium præseruatiua Archigenes his verbis tradidit. *In dentium doloribus præseruantia à dolore conueniunt eiusmodi.* Tithymalli radices in vino ad dimidias coquito, & bis in mense colluito, ac nunquam dolebis. Optimè conseruat citra dolorem, & fortes dentes, si fabam ægiptiam, reiecto interno amarulento, triueris, ac dentibus, & gingiuis semel in anno affricueris. Aut alumine scisso, cum modica myrrha confricato, & nunquam erodentur; si verò astringat hoc nimium, melle vtitor. Aut granorum iuniperi paruorum, & cupressi foliorum parem portionem, & gallæ parum, & melle cocto excipito, & in pastillos drachmæ pondere reducito; ac vtitor, vnum ex his commanducando, insuperque vino odorato colluendo. Aut iridis Illyricæ nucis ponticæ magnitudinem mande, similitérque collue. Aut sali gallam omphacinen, in vino odorato coctam, misceto, & mandito. *Optimè præterea tum ad præseruandos à dolore dentes, tum ad corroborandos eosdem, ac pariter gingiuas, ampliusque ad decorem, faciunt smegmata subscripta.* Lanas succidas linteolo illigatas exurito, deinde salis tertia parte addita affricato. Aut dasypodis caput vstum tritum. Aut salem, & mel ad cerati formam terendo redigito, deinde mundo linteolo illigata exurito, & admixta iride illyrica modica dentes confricato.

Quæ Andromachus scripsit ad omnes dentium dolores, compositio Molaris eadem hora dolorem sedans.

℞. Piperis, pyrethri, succi tithymalli, galbani, singulorum ʒ. i. galbano excepta in cauernam inde.

Molaris Antiphanis, etiamsi non præmundaris indito, & dentem ea integito.

℞. Seminis hyoscyami, opij, nitri, myrrhæ, pyrethri, piperis, singulorum ʒ. j. galbani ʒ. ij. tritis ex vino vtitor. *Alia molaris, qua vtor.* ℞. Aluminis scissi ʒ. j. piperis albi ʒ. ij. opopanacis, aut piperis longi obolos quatuor, soreos obolos quatuor, gummi aqua macerati ʒ. ij. ceræ duplum totius ponderis omnium, cætera conterens in aqua calida misceto, atque ita vtitor. *Alia Chereæ.* ℞. myrrhæ ʒ. j. veratri ʒ. i. ß. pyrethri ʒ. i. ß. iridis illyricæ ʒ. j. ß. aluminis scissi obolos iij.

A ἰδιαίτερον ποιεῖ ὄξος, ἀπεζεσμένης ὑοσκυάμου ῥίζης. τὰ δὲ φλεγμαίνοντα οὖλα, στυπτηρίαν μεθ' ἁλὸς τετάρτου μέρους λείοις περιπάττου, μετὰ δὲ τὸν δηγμὸν, οἴνῳ ἢ ἐλαίας φύλλων ἀφεψήματι διακλυζέσθωσαν. ἐπὶ δὲ τῶν ῥευματιζομένων καὶ περιβιβρωσκομένων μετ' οἰδήσεώς τε καὶ ὀδύνης, καὶ ὑπονεμομένων, ἄκρως ποιεῖ ἡ πυρία. πυρίαν δὲ μηλωτίδι ἔριον περιδήσας, εἰς ζεστὸν ἔλαιον ἀπόβαπτε, καὶ πρόσαγε τοῖς οὔλοις ἕως ἐξομαλισθῇ, καὶ λευκὰ τὰ κύκλῳ γένηται. οὕτω γὰρ ἵσταται ἡ νομὴ, καὶ ἐξ ὑγιοῦς τῆς σαρκὸς τὸ περιβρωθὲν τρέφεται. μετὰ ταῦτα δὲ, χρῶ περιστρίμμασι, καὶ τοῖς B ἀναγεγραμμένοις περὶ ὀδόντων. ἰδίως δὲ συμφωνεῖ κηκὶς λεπτοτάτη, ἐξύβαφον μετὰ σμύρνης ὡς κυάμου τὸ μέγεθος, χρῶ λείοις ξηροῖς. ἐὰν δὲ ἐκφυόμενος ὀδοὺς δυσχερῶς ἀνατέλλῃ, καὶ διακεντεῖ τὸ οὖλον, κύπειρον μετὰ βουτύρου καὶ μύρου σουσίνου χρίε κατὰ τὴν ἔκφυσιν. περὶ ἐπουλίδων. ἐπὶ δὲ τῶν ἐπουλίδων, περίπασσε χαλκάνθῳ καὶ μυρσίνῃ ἴσοις μετ' ὀλίγης σχιστῆς. ποιοῦσι δὲ καὶ αἱ πλείους τῶν ἀνθηρῶν.

Προφυλακτικὰ ὀδόντων.

Καὶ τὰ προφυλακτικὰ δὲ τῶν ὀδόντων τῆς ἀλγηδόνος, C Ἀρχιγένης οὕτως ἔγραψε κατὰ λέξιν. ἐπὶ δὲ τῶν περὶ τοὺς ὀδόντας ἀλγημάτων, φυλακτικὰ μὲν ἁρμόζει τὰ τοιαῦτα, τιθυμάλλου ῥίζας ἑψήσας ἐν οἴνῳ μέχρι ἡμίσεος, δὶς τοῦ μηνὸς διακλύζου, καὶ οὐδέποτε ἀλγήσεις. καλῶς διατηρεῖ ἀπόνους καὶ ἰσχυροὺς τοὺς ὀδόντας, ἐὰν κύαμον Αἰγύπτιον δίχα τοῦ ἐντὸς πικροῦ λεῖον ποιῶν, διατρίβῃς τοὺς ὀδόντας, καὶ τὰ οὖλα ἅπαξ τοῦ ἔτους. ἢ σχιστῇ μετ' ὀλίγης σμύρνης διάτριβε, καὶ οὐδέποτε βρωθήσονται, ἐὰν δὲ ἀποστύφῃ, μέλιτι χρῶ. ἢ ἀρκευθίδας λεπτὰς, καὶ κυπαρίσσου φύλλων τὸ ἴσον, κηκῖδος ὀλίγον σὺν μέλιτι ἑψῶν, δραχμιαίους τροχίσκους ποιήσας χρῶ, D διαμασσῶν, καὶ ἐπιδιακλύζου οἴνῳ εὐώδει. ἢ ἴρεως ἰλλυρικῆς καρύου ποντικοῦ μέγεθος διαμάσσησαι, καὶ ὁμοίως διακλύζου. ἢ προσμίξας ἁλσὶν ὀμφακίνην κηκῖδα ἐν οἴνῳ εὐώδει ἑψημένην, διαμασῶ. ἄριστα δὲ ποιεῖ πρός τε φυλακὴν ἀλγημάτων, ῥῶσίν τε τῶν οὔλων καὶ τῶν ὀδόντων, ἔτι δὲ εὐπρέπειαν, καὶ τὰ ὑπογεγραμμένα σμήγματα, ἔρια οἰσυπηρὰ ὀθονίῳ ἐνδήσας καῦσον, εἶτα ἁλῶν τὸ τρίτον μίξας, λείοις σμήχου. ἢ δασύποδος κεφαλὴν κεκαυμένην λεάνας, χρῶ. ἢ ἅλας, καὶ μέλι λεάνας, μέχρι κηρωτῶδες γένηται, καθαρῷ ὀθονίῳ ἐνδήσας καῦσον, εἶτα E μίξας ἶριν ἰλλυρικὴν ὀλίγην, σμῆχε τοὺς ὀδόντας.

Τὰ ὑπ' Ἀνδρομάχου γεγραμμένα πρὸς ἁπάσας ὀδύνας ὀδόντων, μυλικὴ αὐθωρὸν παύουσα.

℞. Πεπέρεως, πυρέθρου, ὀποῦ τιθυμάλλου, χαλβάνης, ἀνὰ < α'. λεάνας, ἀναλάμβανε τῇ χαλβάνῃ, καὶ ἐντίθει εἰς τὸ βρῶμα.

Μυλικὴ Ἀντιφάνους, κἂν μὴ περικαθάρῃς, ἐντίθει καὶ περίπλασσε τὸν ὀδόντα.

℞. Ὑοσκυάμου σπέρματος, ὀπίου, νίτρου, σμύρνης, πυρέθρου, πεπέρεως, ἀνὰ < α'. χαλβάνης < β'. μετ' οἴνου λείοις, χρῶ. Ἄλλη μυλικὴ ᾗ χρώμεθα. ℞. Στυπτηρίας σχιστῆς < α'. πεπέ- F ρεως λευκοῦ < β'. ὀποπάνακος, ἢ πεπέρεως μακροῦ τετρώβολον, σώρεως τετρώβολον, κόμμεως βεβρεγμένου ἐν ὕδατι < β'. τοῦ ὅλης σταθμίας, κηροῦ τὸ διπλοῦν, ἀνατρίβων ἐν ὕδατι θερμῷ πρόσμιξον, καὶ οὕτω χρῶ. Ἄλλη, ἡ Χαιρέα. ℞. Σμύρνης < α'. ἐλλεβόρου < α'. S'. πυρέθρου < α'. S'. ἴρεως ἰλλυρικῆς < α'. S'. στυπτηρίας σχιστῆς τετρώβολον,

ὕδατι λεάνας περίχριε τὸν ὀδόντα, καὶ ἐπάνω κηρὸν ἐπίθες. A Ἄλλη μυλική, ἐκ τῶν Ἀφροδᾶ. ℞. Στυπτηρίας σχιστῆς < δ´. σμύρνης τριώβολον, πεπέρεως κόκκους ε´. ἐγὼ δὲ τριώβολον, καὶ κάλλιον ποιεῖ, ῥητίνῃ ἀναλάμβανε· προπερικαθάρας, ἔντιθει εἰς τὸ βρῶμα ἐπάνω, καὶ σπλήνιον ἐγχρίσας ἐπίθες. Ἄλλη μυλικὴ τοῦ αὐτοῦ· καὶ μὴ περικαθάρας ἔντιθει εἰς τὸ βρῶμα, καὶ ἐπάνω τοῦ φαρμάκου σπλήνιον περίπλασσε, ποιεῖ. ὑοσκυάμου σπέρματος, ὀποῦ μήκωνος, σμύρνης, νίτρου, πυρέθρου, πεπέρεως λευκοῦ, ἑκάστου μέρος α´. χαλβάνης μέρη β´. μετ᾽ ὄξους λεάνας χρῶ. Ἄλλη ἐκ τῶν Ἀφροδᾶ. ℞. Ὀποῦ πευκεδάνου < α´. ὀποῦ μήκωνος < α´. B τιθυμάλλου μυρσινίτου, ὀποῦ Κυρηναϊκοῦ, ἀνὰ < α´. χαλβάνης < α´ S. τῇ χαλβάνῃ ἀναλάμβανε, καὶ εἰς τὸ βρῶμα ἐντίθει, καὶ περικαθάρας σπληνίῳ ἔμπλασσε, ὥρᾳ μιᾷ παύει. Μυλικὴ καλή. Στυπτηρίας σχιστῆς μηκωνείῳ ἀναλαβὼν χρῶ, ἐντιθεὶς καὶ περιπλάσσων. Μυλικὴ ἄλλη, ὡς Ἀριστοκράτης. ℞. μήκωνος < β´. σαγαπηνοῦ ὀβολὸν α´ S. ὀποῦ Κυρηναϊκοῦ τὸ ἴσον, πεπέρεως < α´. σφονδυλίου τὸ ἴσον, σμύρνης τὸ ἴσον, χαλβάνης τὸ ἴσον, πυρέθρου τὸ ἴσον, κρόκου τὸ ἴσον, μέλι ὡς γλοιῶδες γενέσθαι.

C Πρὸς ἀλγήματα ὀδόντων καὶ οὔλων, καὶ πολλὰ τοῦ Ἀριστοκράτους γραμματικοῦ.

℞. Μέλιτος λίτραν μίαν, ὄξους δριμέος ξέ. α´. στυπτηρίας σχιστῆς ℥ ς´. οἱ δὲ ὑγρᾶς ℥ δ´. ἕψε μέχρις ἂν μελανθῇ. Πρὸς ὀδόντας σειομένους. ℞. Στυπτηρίας σχιστῆς μέρος α´. μάννης μέρος α´. λείοις χρῶ, προσπάσσων τὸν σειόμενον ὀδόντα.

Πρὸς ὀδόντων βρῶσιν καὶ πόνους.

Πενταφύλλου ῥίζας σὺν οἴνῳ ἑψήσας δίδου διακλύζεσθαι, μετὰ τὸ δεῖπνον, ἀφέψου δὲ εἰς τὸ τρίτον μέρος. Ἄλλο. λαπάθου ῥίζας σὺν οἴνῳ, ἢ ὄξει ἑψήσας, ἀρσενικὸν λεῖον ἐπιπάσας, ὀλίγον τοῦ ὑγροῦ δίδου διακρατεῖν, ἑψέσθω δὲ ἄχρις ἂν εἰς τὸ D τρίτον ἔλθῃ. Πρὸς οὖλα πλαδαρά. ℞. Πυρέθρου < γ´. θύμου < β´. στυπτηρίας σχιστῆς τριώβολον, ἴρεως Ἰλλυρικῆς < α´. λείοις χρῶ, καὶ ἐπιτίθει τοῖς οὔλοις.

Παρὰ Πυθίου, πρὸς σειομένους ὀδόντας, καὶ οὖλα πλαδαρά, καὶ ὑπόφθαρτα.

Στυπτηρία στρογγύλη ἐνειληθεῖσα χάρτῃ καίεται, εἶτα λεανθεῖσα χρώζεται μίλτῳ, τούτων προσάπτου τῶν οὔλων, καὶ ἐντίθει τοῖς ὑποφθείροις.

Παρὰ Διοκλέους ἰατροῦ, πρὸς ὀδόντων πόνους.

E ℞. Χαλβάνης, ὀπίου, πεπέρεως, κηροῦ, σταφίδος ἀγρίας, κόκκου κνιδίου, ἀνὰ < α´. λεάνας ἀναλάμβανε κηρῷ καὶ περίπλασσε.

Πρὸς βεβρωμένους ὀδόντας ἄλλο εὔθετον.

Ὀπὸν σιλφίου ἐντίθει, ἢ αὐτὴν τὴν ῥίζαν, ἢ χαλβάνην μετὰ πεπέρεως, ἢ ὄπιον μετὰ χαλβάνης, ἢ ὀποπάναξ ἐμπλασσόμενος. Πρὸς ὀδόντων πόνους. ℞. Σώρεως < β´. στυπτηρίας σχιστῆς < β´. μίσυος < α´. ξηρῷ χρῶ.

F Σμῆγμα ᾧ χρῶμαι, σταλτικὸν οὔλων.

℞. Κέρατος ἐλαφείου κεκαυμένου λίτρας β´. ἐρίων οἰσυπηρῶν ἁπαλῶν ℥ γ´. ἁλὸς ἀμμωνιακοῦ ℥ δ´. πεπέρεως λευκοῦ ℥ β´. κόστου ℥ α´. σχιστῆς ℥ β´. σχίνου καὶ περδικίου βοτάνης κεκαυμένης σὺν τοῖς ἐρίοις, ἢ μόνης, τέταρτον λίτρας, μαλαβάθρου φύλλων ℥ α´. κόψας ὁμοῦ χρῶ.

A aqua terito, & dentem oblinito, ac supernè ceram imponito. *Alia Molaris ex libris Aphrodæ.* ℞. Aluminis scissi ʒ. iiij. myrrhæ obolos tres, piperis grana quinque, ego obolos tres accipio, & melius facit; resina excipe, & præmundatæ cauernæ inde, & splenium illitum superimpone. *Alia Molaris eiusdem. Etiam non præmundatæ cauernæ hanc inde, & supernè splenium ex medicamento item impone, & probè faciet.* ℞. Seminis hyoscyami, succi papaueris, myrrhæ, nitri, pyrethri, piperis albi, singulorum partem vnam, galbani partes duas; cum aceto tritis vtitor. *Alia ex libris Aphrodæ.* ℞. Succi peucedani ʒ. j. succi papaueris ʒ. j. B tithymalli myrsinitæ, succi cyrenaici, singulorum ʒ. j. galbani ʒ. j. ß. galbano excipe, & in cauernam inde, & vbi præpurgaris dentem, in splenium illine; vnâ hora dolorem sedat. *Molaris bona.* Scissum alumen papaueris succo exceptum indito, & oblinito. *Alia, vt Aristocrates.* ℞. Papaueris ʒ. ii. sagapeni sesquiobolum, succi cyrenaici tantundem, piperis ʒ. i. spondylij tantundem, myrrhæ tantundem; galbani, pyrethri, croci, singulorum tantundem; mel quò strigmentitiam spissitudinem accipiat.

C *Ad dolores dentium, gingiuarum, aliaque multa Aristocratis grammatici.*

℞ Mellis ℔ j. aceti acris sextarium vnum, aluminis scissi sexuncem, alij liquidi trientem habent, coquito donec nigrescat. *Ad dentes motos.* ℞. aluminis scissi partem vnam, mannæ partem vnam; tritis vtere, conspergendo motum ex eis dentem.

Ad Erosionem, & dolorem dentium.

Quinquefolij radices in vino coctas à cœna colluendas præbe; coquito autem ad tertias. *Aliud.* Rumicis radices cum vino, aut aceto coquito, & modicum auripigmenti triti inspergito, ac liquorem ore retinendum exhibeto. D Coquatur itidem ad tertias. *Ad gingiuas madore laxas.* ℞. Pyrethri ʒ. iii. thymi ʒ. ij. aluminis scissi obolos tres, iridis Illyricæ ʒ. j. tritis vtere, ac gingiuis impone.

Pythij, ad motos dentes, gingiuas humore grauidas, & subcorruptas.

Alumen scissum chartæ inuolutum vritur, deinde tritum rubrica coloratur, atque ita gingiuis admouetur; similitérque subcorruptis inditur.

Dioclis medici ad dentium dolores.

E ℞. Galbani, opii, piperis, ceræ, staphydis syluestris, grani cnidij, singulorum ʒ. j. trita cera excipito, & illinito.

Aliud commodum ad corrosos dentes.

Succum silphii indito, aut ipsam radicem. Aut galbanum cum pipere. Aut opium cum galbano. Facit & opopanax in cauernas infartus. *Ad dentium dolores.* ℞. soreos ʒ. ij. aluminis scissi ʒ. ij. misyos ʒ. j. aridis vtitor.

F *Smegma dentium quo vtor, gingiuas contrahit.*

℞. Cornu cerui vsti ℔. ij. lanæ succidæ teneræ quadrantem, salis ammoniaci trientem, piperis albi sextantem, costi ℥. j. aluminis scissi sextantem; lentisci, & perdicii herbæ vstæ cum lanis, aut per se solum, vtriusque quartam libræ partem: foliorum malabathri ℥. i. contusis simul vtere.

Quæ

Quæ Crito scripsit ad omnes dentium affectiones. Quædam ex eis etiam gingiuis conferunt, & ad fœtorem oris, & nigros in superficie dentes.

Hordeum, & salem melle, ac vino subacta in charta ligato, ac vrito, & ex læuigatis gingiuas confricato. *Aliud.* Atramentum sutorium, alumen, putamina mali punici dulcis, æqualibus partibus trita, ac læuigata, gingiuis in ieiunio affrica; deinde vino astringēte collue. *Aliud ad gingiuas vlceratas.* ℞. nitri vsti, cyperi vsti, hordei vsti, cuiusque pares partes, læuigatas cum melle illine. *Aliud ad gingiuas, & dentes motos.* ℞. iridis trientem, corticis pinus trientem, aluminis scissi ℥. i. aridis vtere. *Aliud ad motos dentes.* Lentiscum, myrtum, gallam, in vino cocta colluenda præbeto. *Aliud.* ℞. salis partes duas, aluminis scissi vsti, & acri aceto extincti partem vnam; tritis vtitor, deinde vino colluito.

Ad motos dentes stabiliendos.

Atramentum sutorium cum oleo terito, & cum lana dentium radicibus admoueto. Facit & ad erosos dentes cera exceptum, & inditum. Item cum myrto pari tritum, ac melle exceptum. *Aliud ad motos dentes.* Vlmi corticem in vino coquito, & decoctum ore tenendum exhibeto. Item cerui cornua in vino cocta. Ad corrosos verò dentes, Capparis radicem cum acri aceto ad dimidias coquito, ac tepidum colluito. Cortice item eodem vtitor modo. Idem ad dolores facit.

Fomentum aliud dentium corrosorum, & dolentium.

℞. Sulfuris viui partem vnam, butyri partem vnam liquefacito, & his per auriscalpium foueto. *Aliud ad dolores dentium.* Dentes ex sale præfricato, & lixiuium tepefactum mediocri tempore ore contineto. Oportebat hîc apponere, in gingiuarum dolore hoc conuenire.

Alia compositio Molaris, eadem hora dolorem sedans.

℞. Piperis, pyrethri, succi tithymalli, galbani, singulorum ʒ. j. terito, & galbano excepta in cauernam indito. *Alia.* ℞. Piperis sesquiobolum, grani cnidij tantundem, galbani sesquidrachmam, spumæ nitri obolos duos, croci sesquiobolum, iridis siccæ sesquiobolum, rosarum tenerarum ʒ. ß. trita melle excipe, & ad emplastri formam redactis molarem dentem intege.

Ad corrosos molares.

Melanthium torrefacito, & ex acri aceto terito, indéque molarium cauernam integito, & non amplius erodetur, sed manebit vt est. Quidam etiam nitri ʒ. j. cum acri aceto vtuntur. *Ad idem.* ℞. castorij, pyrethri torrefacti, galbani, singulorum æquales partes, mixtas indito.

Vt molaris citra dolorem tollatur.

℞. Farinæ cicerum puræ ʒ. ij. succo tithymalli exceptas denti imponito, supráque hederæ folia addito, & ad horam finito, tollito, & sua sponte in minutas partes frangetur, facit idem ad erosos; verùm vsus tempore ceram emollitam circumponito.

Aliud, vt dens digitis tollatur, Præmundato antea circumcirca dente.

℞. Soreos, gallæ omphacines, staphidis syluestris, aluminis scissi, sulfuris viui, piperis longi; æquales partes læuigatas cedria excipe, & impone, ceráque liquefacta dentem egregiè circumline.

A Τὰ ὑπὸ Κρίτωνος γεγραμμένα πρὸς ἅπαντα τῶν ὀδόντων τὰ πάθη, τινὰ δὲ τούτων καὶ πρὸς οὖλα, πρὸς στόματα δυσώδη, καὶ μέλανας ὀδόντας ἐξ ἐπιπολῆς.

Κριθὰς καὶ ἅλας μέλιτι καὶ οἴνῳ δεύσας, ἔνδησον εἰς χάρτην, καὶ καύσας, καὶ λειώσας τρίβε τὰ οὖλα. Ἄλλο. χαλκάνθην, στυπτηρίαν, σίδια ῥοιᾶς γλυκείας ἴσα λεάνας παράτριβε τὰ οὖλα νῆστις, εἶτα οἴνῳ στυπτικῷ διακλύζου. Ἄλλο πρὸς οὖλα ἡλκωμένα. ℞. Νίτρου κεκαυμένου, κυπέρου κεκαυμένου, ἑκάστου ἴσον, λείοις μετὰ μέλιτος διάχριε. Ἄλλο πρὸς οὖλα, καὶ ὀδόντας σειομένους. ℞. Ἴρεως 𐅵ο δ'. B πίτυος φλοιοῦ 𐅵ο. δ'. σχιστῆς 𐅵ο α'. ξηρῷ χρῶ. Ἄλλο πρὸς σειομένους ὀδόντας. Σχῖνον, μυρσίνην, κηκίδα ἑψήσας ἐν οἴνῳ δίδου διακλύζεσθαι. Ἄλλο. ℞. ἁλὸς μέρη δύο, στυπτηρίας σχιστῆς κεκαυμένης, καὶ ἐσβεσμένης ὄξει δριμεῖ, μέρος ἕν, λείοις χρῶ, εἶτα οἴνῳ διακλυζέσθω.

Πρὸς σειομένους ὀδόντας, ἵνα παγῶσι.

Χάλκανθον τρίψας μετὰ ἐλαίου, περιάπτου τὴν ῥίζαν ἐρίῳ. ποιεῖ καὶ πρὸς βεβρωμένους ὀδόντας ἀναληφθὲν κηρῷ, καὶ ἐντιθέμενον μετὰ μυρσίνης ἴσης τριβὲν καὶ μέλιτι ἀναληφθέν. Πρὸς σειομένους ὀδόντας. Πτελέας φλοιὸν ἐν οἴνῳ C ἑψήσας διακρατεῖν ποίει. καὶ κέρατα τοῦ ἐλάφου ἐν οἴνῳ ἑψημένα. πρὸς δὲ τοὺς βεβρωμένους ὀδόντας, καππάρεως ῥίζαν σὺν ὄξει δριμεῖ ἕψε εἰς ἥμισυ, καὶ χλιαρῷ διακλύζου, ἢ τὸν φλοιὸν ὁμοίως. τὸ δ' αὐτὸ καὶ πρὸς πόνους ποιεῖ.

Ἄλλη πυρία ὀδόντων, καὶ βεβρωμένων, καὶ πονούντων.

℞. Θείου ἀπύρου μέρος α'· βουτύρου μέρος α'. τήξας πυρία διὰ μηλωτίδος. Ἄλλη πρὸς ὀδόντων πόνους. Ἅλατι προσμίξας τοὺς ὀδόντας, κονίαν στακτὴν λαβών, χλιάνας κατάσχες ἐν τῷ στόματι μέχρι χρόνου συμμέτρου. ἔδει προσκεῖσθαι D ἐπὶ τοῦ τῶν οὔλων πόνου.

Ἄλλη μυλική, αὐθωρὸν παύουσα.

℞. Πεπέρεως, πυρέθρου, τιθυμάλλου ὀποῦ, χαλβάνης ἀνὰ <. α'. λεάνας ἀναλάμβανε τῇ χαλβάνῃ, καὶ ἐντίθει εἰς τὸ βρῶμα. Ἄλλη. ℞. πεπέρεως ὀβολὸν α'. S''. κόκκου κνιδίου τὸ ἴσον, χαλβάνης <. α'. S''. ἀφρονίτρου ὀβολοὺς δύο, κρόκου ὀβολὸν α'. S''. ἴρεως ξηρᾶς ὀβολὸν α. S''. ῥόδων ἁπαλῶν <. S''. τρίψας, μέλιτι ἀναλάμβανε, καὶ ἐμπλαστρῶδες ποιήσας ἔμπλασσε τὴν μύλην.

Πρὸς βεβρωμένην μύλην.

E Μελάνθιον φώξας, καὶ τρίψας μετ' ὄξους δριμέος, κατάπλασσε τὸ βρῶμα τῆς μύλης, καὶ οὐκ ἔτι βρωθήσεται, ἀλλὰ μενεῖ οἷόν ἐστιν. οἱ δὲ καὶ νίτρου <. α'. μετ' ὄξους δριμέος. πρὸς τὸ αὐτό. ℞. καστορίου, πυρέθρου ὀπτοῦ, χαλβάνης ἴσον ἑκάστου, μίξας ἐντίθει.

Πρὸς μύλην ἀπόνως ἆραι.

℞. Ἀλεύρου ἐρεβίνθου καθαροῦ <. β'. φυράσας ὀπῷ τιθυμάλλου, ἐπίθες ἐπὶ τὸν ὀδόντα, καὶ ἐπάνω κισσοῦ φύλλα, καὶ ἐάσας ὥραν, αἶρε, καὶ αὐτομάτως θρυβήσεται. ποιεῖ τοῦτο καὶ πρὸς βεβρωμένους, κηρωτὴν δ' ἐπὶ τῆς χρείας μαλάξας F περιτίθει.

Ἄλλο, ὥστε τοῖς δακτύλοις ἆραι τὸν ὀδόντα, περικαθάρας καλῶς.

℞. Σώρεως, κηκίδος ὀμφακίνης, σταφίδος ἀγρίας, στυπτηρίας σχιστῆς, θείου ἀπύρου, πεπέρεως μακροῦ, λεῖα ποιήσας, κεδρίᾳ μίσγων λέαινε, καὶ κηρὸν τήξας, καλῶς περίχρισον τὸν ὀδόντα.

ἐκβάλλει δ' αὐτοὺς καὶ πύρεθρον, καὶ τιθυμάλλου μυρσινίτου ὀπὸς, μετὰ ἀλεύρου ὀροβίνου, ὥστε σταιτώδη γενέσθαι, καταπλασθείς. ἢ πύρεθρον ἡμέραις μ'. βραχὲν ὄξει, καὶ περιπλαττόμενον τῷ ὀδόντι. Ἄλλο πρὸς τοὺς τετρημένους. ℞. Καστορίου, πυρέθρου, ὀπίου, χαλβάνης ἴσον, ἑκάστου μίξας ἐντίθει.

Περὶ ὀδοντοτριμμάτων συνθέσεως, οἷς χρῶμαι.

Ἔνια τῶν ὑπ' ἐμοῦ συντεθέντων ὀδοντοτριμμάτων τῇ πείρᾳ δοκιμασθέντα καὶ φανέντα γενναίαν ἔχειν ἐνέργειαν, ἄξια γραφῆς ἔδοξεν εἶναί μοι, καὶ πρῶτόν γε τὰς ψυχρὰς διαθέσεις τῶν ὀδόντων ἰωμένων, ἐάν τε διὰ ψυχροῦ πόσιν ὕδατος ἀμέτρου, ἢ τῶν ὑπὸ χιόνος ψυχθεισῶν ὀπωρῶν, ἢ τινων ἐδεσμάτων, ἢ πομάτων ὦσι γεγονυῖαι, καὶ πρὸς τούτοις, ἐὰν διὰ χυμὸν ψυχρὸν ἐκ τῆς κεφαλῆς εἰς αὐτοὺς καταρρέοντα. τοὺς μὲν οὖν διὰ χυμὸν ἐψυγμένους, μεγάλως ὀνίνησιν ὁ ἀποφλεγματισμός. ὅπως δὲ δεῖ ποιεῖν τοῦτον, καθ' ἕτερον κεφάλαιον ἰδίᾳ γεγραμμένον ἔχεις. τοὺς δὲ ἄνευ χυμοῦ, διὰ μόνου τοῦ νῦν εἰρημένου φαρμάκου θεραπεύειν προσήκει, χρῆσθαί τε αὐτῷ, καὶ μετὰ τὸν ἀποφλεγματισμὸν ἄμεινόν ἐστιν, ὅπως ἐκκενώσῃς μὴ μόνον τὸν βλάπτοντα χυμὸν, ἀλλὰ καὶ τὴν ὑπ' αὐτοῦ γινομένην διάθεσιν ἐκθεραπεύσῃς. ἡ δὲ σύνθεσις τοῦ φαρμάκου, τῷδε τῷ τρόπῳ γίνεται. λαβὼν δύο βοτάνας, ὧν ἡ μὲν σιδηρίτις, ἡ δὲ περδικιὰς ὀνομάζεται, ξήραινον ἐν οἴκῳ ἀτρέμα χωρὶς ἡλίου προσβολῆς, ὡς μήτε ὑγρὰς ἔτι, μήτε ξηρὰς εἶναι, καὶ καῦσον εἰς τοσοῦτον, ὡς ὅτε πρῶτον ἐπιτήδειοι γένοιντο κοπῆναι, καὶ διατμηθῆναι παύσασθαι καίοντα. διαφθείρεται γὰρ ἡ δύναμις αὐτῶν ἐπιπλέον καυθεισῶν. ἐν ἑτέρῳ δὲ χυτριδίῳ καυθήτωσαν ἅλες ὀρυκτοὶ, μετὰ σχιστῆς στυπτηρίας Ἀττικῷ μέλιτι φυραθέντες, εἶτα μετὰ τῶν ἄλλων ταῦτα μιχθέντα κοπτέσθωσαν, καὶ διασηθέντα καλῶς λεπτῷ κοσκίνῳ, πάλιν ἐν θυίᾳ τριβέσθωσαν, βέλτιον γὰρ ἔσται τὸ φάρμακον, εἰς ὅσον ἂν ἀκριβέστερον λειωθῇ. χρῆσθαι δὲ αὐτῷ δεῖ, μόνους τοὺς ὀδόντας τρίβοντας, χωρὶς τῶν περικειμένων οὔλων, εἰ μὴ τύχοι ταῦτα ὄντα πλαδαρὰ, ξηραντικὴν γὰρ ἔχον δύναμιν τὸ φάρμακον. ἐπιτήδειον μέν ἐστι τοῖς ὑγροῖς οὔλοις, ἐναντίον δὲ, τοῖς ξηροῖς, τὰς μέντοι μετὰ τὰ οὖλα ῥίζας τῶν ὀδόντων, ἀνατρίβειν αὐτῷ χρὴ, καθάπερ γε καὶ αὐτοὺς τοὺς ὀδόντας. ἡ δὲ τῶν μιγνυμένων εἰς τὴν σύνθεσιν τοῦ φαρμάκου συμμετρία, τοιαύτη ἐστὶν, τῶν μὲν βοτανῶν μετὰ τὸ καυθῆναι <. ις'. τῶν δὲ ἁλῶν τῶν μετὰ τῆς στυπτηρίας καυθέντων <. ια'. ἔστω δὲ τῶν μὲν βοτανῶν ἴσος ἑκατέρας σταθμὸς μιγνύμενος πρὶν καυθῆναι. οἱ δὲ ἅλες τετραπλάσιοι τῷ σταθμῷ τῆς στυπτηρίας ἔστωσαν, τῶν δὲ ἄλλων μηδὲν καιέσθω. ξηρὰ δὴ ἐμβαλλέσθω κατὰ τὴν ὑπογεγραμμένην συμμετρίαν. ℞. ὀριγάνου κόμης <. β'. πεπέρεως <. θ'. ἐν ἄλλῳ <. β'. πυρέθρου <. β'. κόστου <. γ'. σελίνου σπέρματος <. γ'. ἴρεως Ἰλλυρικῆς <. ε. ἡδυόσμου ξηροῦ <. β'. κέρατος ἐλαφείου, ἢ αἰγείου κεκαυμένου <. β'. σεσέλεως, ὑσσώπου, ἀνὰ <. β'. ἐὰν εὐώδες αὐτὸ βουληθῇς εἶναι, κασσίας ἢ ἀμώμου μίξας <. β'. εἰ δὲ βασιλεῖ σκευάσῃς, ἐμβαλεῖς κινναμώμου <. α'.

Πρὸς τοὺς σειομένους ὀδόντας ᾧ χρῶμαι.

℞. Καλλιτρίχου καρποῦ, λίτραν α'. στυπτηρίας σχιστῆς καὶ στρογγύλης, ἀνὰ ℥ γ'. ναρδοστάχυος ℥ β'. μαλαβάθρου φύλλων ℥ α'. πεπέρεως λευκοῦ ℥ α'. πυρέθρου <. ε'. κόψας καὶ λειώσας ὁμοῦ πάντα, προσάπτου τῶν οὔλων, ἄχρι τῶν ῥιζῶν τῶν ὀδόντων.

Eiicit ipsos etiam pyrethrum, & tithymalli myrsinitæ succus cum farina erui ad massæ fermenti modum coactus, & impositus. Aut pyrethrum ad dies xl. aceto maceratum & denti circumpositum. *Aliud ad sauciatos.* ℞. Castorij, pyrethri, opii, galbani, singulorum æquas portiones mixtas indito.

De Dentifriciorum compositione, quibus utor.

Quædam ex dentifriciis à me compositis experimento comprobata, & generosa efficacia prædita, digna mihi visa sunt, quæ conscriberentur; & primum sanè ea, quæ frigidos dentium affectus curant, siue ob immoderatam frigidæ aquæ potionem, siue ex fructibus per niuem frigefactis, siue ex quibusdam aliis eduliis, aut potionibus, sint producta; insuperque si propter frigidum humorem è capite in ipsos defluentem ortum habeant. Dentes igitur ob humorem refrigeratos magnificè iuuat apophlegmatismus; quo modo verò hunc præparare oporteat, alio capite priuatim conscriptum habes. Eos verò, qui citra humorem frigefacti sunt, per solum medicamentum hoc quod nunc referetur, curare decet. Præstat eo etiam post apophlegmatismum vti, vt non solùm noxium euacues humorem, sed etiam generatum ab ipso affectum persanes. *Compositio medicamenti hoc modo habet.* Accipito herbas duas, quarum altera sideritis, altera perdicias, appellatur; easque domi sensim citra Solis admissionem siccato, vt neque humidæ ampliùs, neque siccæ adeo extent; & vrito in tantum, vt vbi primum contusioni, & sectioni aptæ fuerint, ab vrendo cesses, vilescit enim & corrumpitur vis earum, si diutius vrantur. In alia porrò ollula sal fossilis vratur, cum alumine scisso, Attico melle subactus. Deinde hæc aliis permixta tundantur, & per angustissimum excreta cribrum, rursus in mortario terantur; melius enim erit medicamentum, quanto diligentiùs fuerit læuigatum. Vtendum autem eo est solùm ad dentes confricandos, citra gingiuarum circunsitarum contactum, nisi humore fuerint prægnantes. Quum enim resiccandi vim habeat medicamentum, aptum quidem est gingiuis humentibus, inimicum verò siccis; attamen ipsas dentium radices post gingiuas sitas, eo confricare oportet itidem, vt ipsos dentes. Cæterùm eorum, quæ in compositionem miscentur, eiusmodi ponderum proportio esse debet; Herbarum quidem post vstionem ʒ. xvi. salis verò cum alumine vsti ʒ. xi. Ante verò vstionem, vtriusque herbæ par pondus misceatur; sal autem quadruplici aluminis pondere admisceatur. Aliarum autem rerum nihil vratur, sed arida iniiciantur iuxta subscriptam apponderationem. ℞. comæ origani ʒ. ii. piperis ʒ. nouem, in alio ii. pyrethri ʒ. ij. costi ʒ. iij. seminis apii ʒ. iij. iridis Illyricæ ʒ. v. mentæ siccæ ʒ. ii. cornu cerui aut capræ vsti ʒ. ii. seseleos, hyssopi, vtriusque ʒ. ii. Si odoratum esse velis, cassiæ, aut amomi ʒ. ii. admisceto. Si verò in Regis vsum præparaueris, cinnamomi ʒ. i. addito.

Ad mobiles dentes aliud, quo vtor.

℞. Seminis callitrichi ℔. i. aluminis scissi & rotundi, vtriusque quadrantem, spicæ nardi sextantem, malabathri foliorum ℥. i piperis albi ℥. i. pyrethri ʒ. v. contundito, & cribrato simul omnia, ac gingiuis vsque ad radices dentium admoueto.

Timocratis Dentifricium, ad gingiuas madore laxatas, putrescentésque ac cruentatas: mobiles molares, concussos dentes, Ozænas, putrefactiones, parulidas, & omnia oris vitia, ac dentium dolores. A

Accipito herbæ perdicialis modium Italicum, alii minam habent: salis albi tenuis sextariũ vnum, mellis exagium. Contundito, vt massa friabilior reddatur: qua in ollam nouam coniecta, ollam luto figulino obturato: operculum autem adaptetur circa medium perforatum, quo per ipsum foramen rudicula immissa medicamentum super prunas positum agitetur, donec neque fumosum quippiam, neque vaporosum efferatur. Deinde ab igne tollito, & refrigerato. Et sumito ex hoc B toto ʒ. xjv. piperis albi ʒ. v. piperis nigri ʒ. vj. pyrethri ʒ. vi. aluminis scissi vsti, & vino austero extincti drach. ij. pumicis, myrrhæ, hyssopi, seminis apii, pulegii, singulorum sextantem: mentæ, iridis illyricæ, vtriusque ʒ. iij. Hæc omnia in Sole præsiccata tundito, & cribrato, ac reliquis ex olla læuigatis admisceto. *Aliud.* ♃. perdicii recentis drach. x. mellis ʒ. iiij. aluminis scissi ʒ. iv. iridis Illyricæ ʒ. iiij. piperis albi ʒ. viij. nigri ʒ. iij. pumicis ʒ. ij. myrrhæ ʒ. iij. pyrethri ʒ. ij. menthæ siccæ ʒ. iij. hyssopi ʒ. ij. pulegii ʒ. ij. seminis apii ʒ. ij. herbæ sideritidis ʒ. iij. C salis fossilis ʒ. xiiij. Perdiciam, & sideritidem, ac mel & salem mixta vrito; alumen verò per se vstum vino extinguito; deinde simul omnibus contusis vtitor. *Aliud.* ♃. salis assati cum melle, & perdicio ʒ. xiiij. aluminis scissi assati, & vino austero extincti, iridis Illiricæ, vtriusque ʒ. iv. helxines, myrrhæ, menthæ siccæ, singulorum ʒ. iij. pulegii sicci, pumicis, pyrethri, hyssopi, seminis apii singulorum ʒ. ij. folii malabathri ʒ. ij. piperis albi ʒ. v. nigri ʒ. vj. Tusis & cribratis vtitor. *Aliud.* ♃. salis tosti cum melle, & perdicio ʒ. xiiij. pulegij ʒ. ij. aluminis scissi D vsti, & vino austero extincti drach. quatuor, iridis Illyricæ ʒ. iiij. piperis albi ʒ. v. nigri ʒ. vj. pumicis ʒ. ij. myrrhæ ʒ. iij. menthæ ʒ. iii. pyrethri ʒ. ij. hyssopi drachmas duas, seminis apij drachmas duas. Sal lotus melle probè subigitur, tritúsque in ollam nouam mittitur; deinde etiam perdicium inditur sale vndique conspersum; quo facto, operculum ollæ imponitur, ipsáque luto oblita in clibanum datur; indita torrentur, & exempta simul cum aliis teruntur; oportet enim valde læuigata in vsum assumere. E

Smegma dentium, quo albi, & odorati redduntur, & ab erosione seruantur.

♃. Nitri ℥. j. testæ sepiæ ℥. j. myrrhæ ℥. j. tritis vtitor. *Dentifricium optimum.* ♃. aluminis scissi sexuncem, mastiches ℥. j. comæ rosarum quadrantem, iridis trientem. Tritis vtere, indeque aquam tepidam colluendam præbe.

Dentifricium Damocrati inscriptum.

Libellus paruus extat Pythicĩ appellatus, quem Damocrates Pythicum inscripsit, ab eo, qui ipsi medicamentorum ori destinatorum compositiones tradidit, appellatione ducta; in quo sanè libel- F lo iuxta finem etiam hæc conscripta reperiuntur.

Si dentifricijs voles vti bonis,
Quæ candidos custodiant, immobiles
Dentésque reddant; oris & graueolentiam,
Laxásque gingiuas sedent, & comprimant;
Album hoc parabis optimum sic medicamentum.

Τὸ Τιμοκράτους ὀδοντότριμμα. Πρὸς οὖλα πλαδῶντα, μυδῶντα, αἱμασσόμενα, σειομένους ὀδόντας, κινουμένας μύλας, ὀζαίνας, σηπεδόνας, παρουλίδας, καὶ πάντα τὰ ἐν τῷ στόματι, καὶ ὀδονταλγίας.

Λαβὼν τῆς περδικίας βοτάνης μόδιον Ἰταλικὸν, ἐν ἄλλῳ μναῖ, ἁλῶν λευκῶν καὶ λεπτῶν ξε α΄. μέλιτος ἐξάγιον α΄. κόψον, ὡς γενέσθαι μάζαν ψαφαρωτέραν, εἶτα ἐμβαλὼν εἰς χύτραν καινὴν περίπλασον πηλῷ κεραμικῷ. τὸ δὲ πῶμα ἡρμοσμένον, κατὰ μέσον τρῆμα ἔχον, δι' οὗ κινείσθω ῥάβδῳ ἐξ ἀνθρακιᾶς ὠπτημένον, ἕως οὗ μήτε καπνώδες, μήτε ἀτμῶδες ἀναφέρηται, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς καὶ ψύξας, λάμβανε ἀπ' αὐτοῦ < ιδ΄. πεπέρεως λευκοῦ < ε΄. πεπέρεως μέλανος < ϛ΄. πυρέθρου < ϛ΄. στυπτηρίας σχιστῆς κεκαυμένης, καὶ ἐσβεσμένης οἴνῳ αὐστηρῷ < β΄. κισσήρεως, σμύρνης, ὑσσώπου, σελίνου σπέρματος, γλήχωνος, ἀνὰ 𐅻 β΄. ἡδυόσμου, ἴρεως Ἰλλυρικῆς, ἀνὰ < γ΄. ταῦτα προξηρανας ἐν ἡλίῳ, κόπτε, σῆθε, καὶ μίγνυε τοῖς ἐκ τῆς χύτρας προλελειωμένοις. Ἄλλο. ♃. περδικίου προσφάτου < ι΄. μέλιτος < δ΄. στυπτηρίας σχιστῆς < δ΄. ἴρεως Ἰλλυρικῆς < δ΄. πεπέρεως λευκοῦ < η΄. μέλανος < γ΄. κισσήρεως < β΄. σμύρνης < γ΄. πυρέθρου < β΄. ἡδυόσμου ξηροῦ < γ΄. ὑσσώπου < β΄. γλήχωνος < β΄. σελίνου σπέρματος < β΄. σιδηρίτιδος βοτάνης < γ΄. ἁλῶν ὀρυκτῶν < ιδ΄. τὴν περδίκιον καὶ τὴν σιδηρῖτιν καὶ τὸ μέλι, καὶ τοὺς ἅλας φυράσας, καῦσον, τὴν δὲ σχιστὴν ἰδίᾳ καύσας οἴνῳ σβέσον, εἶτα ὁμοῦ πάντα κόψας χρῶ. Ἄλλο. ♃. ἁλῶν ὀπτῶν μετὰ μέλιτος, τῶν μετὰ τοῦ περδικίου < ιδ΄. στυπτηρίας σχιστῆς, ὀπτῆς, ἐσβεσμένης οἴνῳ αὐστηρῷ, ἴρεως Ἰλλυρικῆς, ἀνὰ < δ΄. ἑλξίνης, σμύρνης, ἡδυόσμου ξηροῦ, ἀνὰ < γ΄. γλήχωνος ξηρᾶς, κισσήρεως, πυρέθρου, ὑσσώπου, σελίνου σπέρματος, ἀνὰ < β΄. φύλλου μαλαβάθρου < β΄. πεπέρεως λευκοῦ < ε΄. μέλανος < ϛ΄. κόψας, σήσας χρῶ. Ἄλλο. ♃. ἁλῶν ὀπτῶν μετὰ τοῦ μέλιτος τῶν μετὰ τοῦ περδικίου < ιδ΄. γλήχωνος < β΄. στυπτηρίας σχιστῆς, ὀπτῆς καὶ ἐσβεσμένης οἴνῳ αὐστηρῷ < δ΄. ἴρεως Ἰλλυρικῆς < δ΄. πεπέρεως λευκοῦ < ε΄. καὶ μέλανος < ϛ΄. κισσήρεως < β΄. σμύρνης < γ΄. ἡδυόσμου < γ΄. πυρέθρου < β΄. ὑσσώπου < β΄. σελίνου σπέρματος < β΄. οἱ ἅλες πεπλυμμένοι μέλιτι καλῶς φυρῶνται, τριβέντες, καὶ ἐντεθέντες εἰς χύτραν καινὴν ἔπειτα δεῖ τὸ περδίκιον ἐπιτεθῆναι μεταξὺ τῶν ἁλῶν αὐτοῦ ἐναπειλημμένον, ἔπειτα δὲ ἐπιθέματος ἐπιτεθέντος, περιπλάσσεται πηλῷ, καὶ ἐν τῷ κλιβάνῳ ὀπτᾶται, ἐξαρεθέντα δὲ τρίβεται συντριβομένων τῶν ἁλῶν, πάνυ δὲ λείοις χρῆσθαι.

Σμῆγμα ὀδόντων, ἵνα λευκοὶ ὦσι καὶ εὐώδεις, καὶ ἵνα μὴ διαβιβρώσκωνται.

♃. Νίτρου 𐅻 α΄. σηπίας ὀστράκου 𐅻 α΄. σμύρνης 𐅻 α΄. λείοις χρῶ. ὀδοντότριμμα κάλλιστον. ♃. στυπτηρίας σχιστῆς 𐅻 ϛ΄. μαστίχης 𐅻 α΄. ῥόδων κόμης 𐅻 γ΄. ἴρεως 𐅻 δ΄. λείοις χρῶ, καὶ ὕδατι χλιαρῷ διακλύζου.

Τὸ Δαμοκράτους ἐπιγεγραμμένον ὀδοντότριμμα.

Πυθικοῦ λεγόμενόν τι βιβλίδιον ἐστὶ μικρὸν, ὃ Δαμοκράτης ἐπέγραψε Πυθικὸν, ἀπὸ τοῦ δόντος αὐτοῦ τὰς τῶν στοματικῶν φαρμάκων συνθέσεις ὀνομάσας οὕτως, ἐν ᾧ κατὰ τὸ τέλος καὶ ταῦτα γέγραπται.

Ὀδοντοτρίμμασι δὲ τούτοις χρώμενος,
Λευκοὺς τηρήσεις τοὺς ὀδόντας, κἀσινεῖς.
Τὰ πλαδαρά τε οὖλα καταστέλλεις ἅμα.
Αἴρεις δὲ καὶ τὰς τῶν στομάτων δυσωδίας.
Ποιεῖν τὸ μὲν ἄκρως λευκὸν οὕτω σκευάσας,

Κέρατος ἐλαφείου τετράκις κεκαυμένου
Λίτρας τέσσαρας, ἁλὸς λίτραν α΄.

Ἐν ἄλλῳ δ᾽ εὗρον οὕτω.

Κέρατος ἐλαφείου κεκαυμένου τετράκις
Λίτρας S. ἁλὸς ℥. διπλᾶς,
Ἀμμωνιακοῦ ξηροῦ τε καὶ μὴ τοῦ πικροῦ,
Χόνδρου τε λίτραν α΄. μαστίχης χίας λίτραν μίαν.
Κόστου λίτρας τὸ γ΄. ἢ πλεῖον βραχὺ,
Σχίνου τε λευκῆς ταὐτὸ, καὶ λευκοῦ πεπέρεως
℥ α΄. φύλλου μαλαβάθρου ℥ β΄.
Κόψας ἐν ὅλμῳ πάντα, καὶ σήσας ἅμα
Χρῆσθαι κελεύσεις, ὡς φράσω μετ᾽ οὐ πολύ.
Εἰ δὲ θελήσῃς αὐτὸ σκευάσαι ποτὲ
Πρὸς φλεγμονὴν οὔλων καὶ τραύματα ἔχοντα,
Σαρκῶν ἐπιφύσῃς τετυλωμένας, χίσης
Προσέμβαλε στυπτηρίας λίτραν μίαν.

Ἄλλο Δαμοκράτους ὀδοντότριμμα.

Τὸ δὲ μᾶλλον οὕτω γενέσθαι δυνάμενον,
Μετὰ εὐχερείας καὶ τὸ συμφέρον πολὺ
Ἔχον, μετά τινος ἡδονῆς τῶν χρωμένων.
Χλωρὰν ἐπὶ πολὺ, τὴν σιδηρῖτιν πόαν,
Εἰς λοπάδα καινὴν εὐμεγέθη πολλὴν ἐμβαλὼν,
Κριθῆς παράμιζε τὸ μέτριον τῆς προσφάτου,
Κᾆτα θές γε ἐπ᾽ αὐτῆς τῆς πόας δεσμίδιον,
Ἅλας παρέπασσε, εἶτα τῆς πόας πάλιν,
Εἶτα κριθὴν πάλιν, εἶτα τοῦτο πολλάκις
Ποιῶν, ἀποπλήρου πᾶν κύτος τῆς λοπάδος.
Ἄνωθεν δὲ ἱκανὸν τῆς πόας τιθεὶς πάλιν,
Εἰς ἴπνον ἔχοντα θερμασίαν, ἢ κλιβάνῳ
Θεῖναι κέλευσον νύκτα ὅλην ἵνα ἐκφρυγῇ,
Μᾶλλον δ᾽ ἵνα ἐκκαῇ, καὶ δυνηθῇ ῥᾳδίως
Λεῖον γενέσθαι, καὶ διελθεῖν κοσκίνῳ.
Εὐωδίας δὲ χάριν πρόσβαλλε βραχὺ
Λευκοῦ πεπέρεως, καὶ λιβάνου μὴ πολύ.
Σχίνου δὲ πλεῖον, καὶ κυπείρου τῆς καλῆς.
Ταῦτα ἀφαιρῶν πάντα καταμίσγεις μόνον,
Χίας πολὺ πλέον, μαστίχης ξηρᾶς πάνυ
Διδόναι χρὴ τοῖς θέλουσι εἰς ἑσπέραν.
Ὄρθρου δὲ πάλιν τοῖς καθαρίοις ἀνδράσιν,
Ἐπὶ διακλύζεσθαι μετὰ φάρμακα κράματι,
Πρόσταττε χρῆσθαι, καὶ μάλιστα εἰς ἑσπέραν.
Ὄρθρου δ᾽ ὀξυμέλιτος εὖ κεκραμένου,
Μάλιστα πρὸς τὰς τῶν στομάτων δυσωδίας.

Παρὰ Αὐρηλίου.

Στυπτηρίας καύσας ἐπὶ μύακος χαλκοῦ καὶ ὀστράκου, κατασβέννυε οἴνῳ αὐστηρῷ, ἀπὸ ταύτης λάβε ℥. θ΄. μαστίχης ℥ ϛ΄. λιβάνου ℥ α΄. φύλλου <. δ΄. κυπείρου <. δ΄. καὶ χρῶ. Ἄλλη ᾗ χρῶμαι. ℞. κέρατος ἐλαφείου κεκαυμένου <. β΄. μαρμάρου ℥ α΄. ὀριγάνου <. δ΄. χρῶ.

Περὶ φαρμάκου συνθέσεως προφυλακτικοῦ ὀδόντων.

℞. Τραγοριγάνου <. β΄. ὑσσώπου <. δ΄. περδικίου βοτάνης, τῆς πιεσθείσης ἀναδευθείσης μέλιτι καὶ ἅλατι λεπτῷ, καὶ καυθείσης ἐν χύτρᾳ ὡς ἀνθρακωθῆναι ℥ γ΄. πεπέρεως <. δ΄. κόψας, σήσας, τούτῳ χρώμενος, ἀπόθου, οὔτε ἀλγήσονται ὀδόντες, οὔτε τμηθήσονται, οὔτε παρουλίδες αἱμαχθήσονται, οὔτε ὑπερσαρκώσουσιν, οὔτε ῥευματισθήσονται, ἕξεις δὲ εὐώδες τὸ στόμα, καὶ λαμπροὺς τοὺς ὀδόντας. τινὲς δὲ ταρίχους καύσαντες ἐν χύτρᾳ προσβάλλουσι τῷ φαρμάκῳ, ἢ κύβιον. κατ᾽ ἰδίαν γὰρ ἐάν τις χρήσηται τῇ σποδιᾷ, οὐκ ἀλγήσει.

A *Cerui cape cornu sic quater vsti quàm optimè,*
Quartam libræ partem, salis solam libram.

In alio exemplari sic reperi.

Cerui cape cornu sic quater vsti quàm optimè
Libram mediam, rursus salis vncias duas,
Ammoniaci sicci, nec amari hinc amplius,
Alicæque, masticbes chiæ solam libram;
Costi quadrantem, aut paululum quid amplius;
Albique iunci tantum, & albi mox piperis
Vnam vnciam, folij malabathri vncias duas.
Contusa, cribrata omnia hæc mortario,
Vtenda præbebis modo, quem dixero.
Quòd si velis parare quando ad phlegmonas,
B *Et vtile gingiuis cruentis, sauciis,*
Carnemque callosam simul promentibus,
Aluminis coniungito his scissi libram.

Aliud Damocratis dentifricium.


Verùm magis parabile hoc fortasse erit,
Et promptius factum, minus nec commodum,
Admixta, & hoc quadam simul dulcedine.
Multum sideritim viridem capito herbulam,
Magnam in nouam, quam tu patinam mox inditã,
Miscebis hordeo recenti, sed modico.
Sic hordeo vt posito sequatur fasciculus
Herbæ, sal hinc, herba atque iterum, mox hordeum.
C *Fiantque tam diu vicissim hæc omnia,*
Donec patinæ omnem expleris amplitudinem,
Vt mox supernum rursus herba habeat locum.
Furnoque mox calente, vel clibano indita,
Torrenda per noctem sines, vel sic potius
Vrenda, quò teri queant ita promptius,
Cribroque mox, sed arctiore hinc excuti.
Odoris addes gratia his parum tamen
Albi piperis, thurisque mox item modicum.
Hinc iunci odori plus, cyperique optimæ.
At omnibus mixtis probè, & iam sepositis
Plus masticbes aridæ Chiæ coniunxeris.
D *Dabis sed hinc in vesperam volentibus,*
Manéque rursus maximè puris viris.
Sed colluant à medicamento mox Bromium,
Lymphis sociatum, & maximè hoc in vesperam,
Sed manè acetum mulsum aquosum præstiterit
Oris leuandis turpibus fœtoribus.

Aliud Aurelij.

Alumen in testa ærea, aut figulina vrito, ac vino austero extinguito, eiusque dodrantem accipito, masticbes sexuncem, thuris ℥. i. folij malabathri ʒ. iiij. cyperi ʒ. iiij. misceto, ac vtitor. *Alia qua vtor.* ℞. cornu cerui vsti ʒ. ij. marmoris ℥. j. ori-
E gani drach. quatuor, vtitor.

Compositio medicamenti dentes præseruantis.

℞. Tragorigani ʒ. ij. hyssopi ʒ. iiij. herbæ perdicij, melle & sale tenui subactæ, & in olla exustæ, donec in prunas redigatur, quadrantem; piperis ʒ. iiii. tundito, & cribrato; & post vsum reponito. Neque dolebunt dentes, neque findentur, neque parulides producentur, neque gingiuæ superflua carne redundabunt, neque fluxione infestabuntur. Habebis autem os odorum, & splendidos dentes. Quidam salsamenta in olla exusta ad medicamentum addunt, aut etiam cybium; si quis enim eorum cinere per se vtatur, dentis dolorem non percipiet.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΟΝ ϛ'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBER SEXTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ϛ'. ΒΙΒΛΙΩι.

Τὰ τῶν ἐν τῷ στόματι διαθέσεων ἀποδείκνυσι φάρμακα.

ARGVMENTVM LIBRI SEXTI.

Declarat medicamenta, quibus succurritur affectibus qui in ore contingunt.

CAPVT PRIMVM.

De Affectionibus in ore, & de medicamentis ad eas commodis.

VErus profectò sermo est, quē pleriq; artifices in ore habent. Quòd nō idē sit, neq; simile à viua voce discere, & ex libro legere; at verò industrij, & natura prudentes homines nō vulgarem sæpè vtilitatem consequuntur, si in libros incidant non obscurè conscriptos. Itaque quum sciam non paruam vtilitatem ex hac tractatione primum quidem amicis, ac sodalibus accessuram esse, qui videlicet etiam per opera cognouerunt, quātam vim habeat rationalis methodus ad medicamentorum copiam parandam, deinde verò etiā aliis singulis, qui optimarū rerum studio se fatigare non cessant. rem gratā facere volens; ad huius operis explicationē progressus sum, non festinabūdo, & cōpendiario docēdi modo in hoc instituto, sed prolixo. & lōgiore, quali etiā in sermonibus, quos frequēter circa scriptū ad amicos habeo, vti soleo. Præstat enim rationalis auxiliorū inuētio ab empirica, sicut etiā ante iam mihi in sermone de sauciatis neruis dictū est, in cognitione vniuersali facultatis medicamentorū, quorum vsus circa singulas affectiones cōtingit. In medicamentis itaque stomaticis appellatis, velut est, quod ex moris cōstat omnibus notū primus medendi scopus est cōmunis omniū partiū inflāmatarū; deinde cōsequenter alter scopus priuatim ex ea, quæ curatur. Quæ igitur sit affectio inflāmatorū, priùs nosse oportet, si ex ipsa indicationē quandā auxiliorū accipere velimus. Prædidicimus aūt & prius demonstratū habemus, inflammationes ex calidi sanguinis influxu fieri. Didicimus etiā, quòd hunc ipsum influxū in principio quidē reprimere, ac repellere oporteat, prеterquā si ad partē aliquā principē recursurus sit

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν ἐν τῷ στόματι παθῶν καὶ περὶ τῶν πρὸς ταῦτα φαρμάκων.

A ἈΛΗΘΗΣ μὲν, ἀμέλει, καὶ ὁ λεγόμενος ὑπὸ τῶν πλείστων τεχνιτῶν ἐστὶν ὁ λόγος, ὡς οὐκ ἴσον, οὐδ' ὅμοιον εἴη παρὰ ζώσης φωνῆς μαθεῖν, ἢ ἐκ συγγράμματος ἀναλέξασθαι. τοῖς γε μὴν φιλοπόνοις, καὶ φύσει συνετοῖς, οὐχ ἡ τυχοῦσα πολλάκις ὠφέλεια γίνεται, βιβλίοις ἐντυγχάνουσι σαφῶς γεγραμμένοις. ἐπιστάμενος οὖν κἀγὼ πρὸς τοῖς μὲν τοῖς ἑταίροις, ὅσοι καὶ διὰ τῶν ἔργων ἐγνώκασιν ὁπόσην ἔχει δύναμιν ἡ λογικὴ μέθοδος εἰς εὐπορίαν φαρμάκων, οὐ σμικρὸν ὄφελος ἐκ τῆσδε τῆς πραγματείας ἔσεσθαι, βουλόμενος δὲ καὶ τοῖς ἄλλοις βοηθεῖν, ὅσοι κάμνειν ἐπὶ τοῖς

B καλλίστοις οὐκ ὀκνοῦσιν, τὴν τοῦ λόγου τοῦδε διέξοδον ἐνεστησάμην, οὐκ ἐσπευσμένην, οὐδὲ σύντομον ἐν αὐτῇ τὴν διδασκαλίαν ποιούμενος, ἀλλ' ἐκτεταμένην τε, καὶ μακροτέραν, ὁποίαν διὰ τῶν ἀγράφων λόγων, ἑκάστοτε πρὸς τοὺς ἑταίρους εἴωθα ποιεῖσθαι. διαφέρει γὰρ ἡ λογικὴ τῶν βοηθημάτων εὕρεσις, τῆς ἐμπειρικῆς, ὡς καὶ πρόσθεν ἤδη μοι κατὰ τὸν τῶν νευροτρώτων λόγον εἴρηται, τῇ καθόλου γνώσει τῆς δυνάμεως τῶν φαρμάκων, οἷς χρῆσθαι προσήκει καθ' ἕκαστον τῶν παθῶν. ἐπὶ γοῦν τῶν στοματικῶν ὀνομαζομένων φαρμάκων, ὁποῖόν ἐστι τὸ διὰ τῶν

C μόρων, ἅπασι γινωσκόμενον, ὁ πρῶτος σκοπὸς τῆς ἰάσεως ἐστὶ κοινὸς ἁπάντων τῶν φλεγμαινόντων μορίων, εἶθ' ἑξῆς ὁ δεύτερος, ἴδιος ἐξ αὐτοῦ θεραπευομένου. τίς οὖν ἡ τῶν φλεγμαινόντων ἐστὶ διάθεσις, ἐγνῶσθαι χρὴ πρότερον, εἰ μέλλοιμεν ἐξ αὐτῆς ἔνδειξίν τινα τῶν βοηθημάτων λήψεσθαι. προμεμαθήκαμεν δὲ, καὶ προαποδεδειγμένον ἔχομεν, ἐξ ἐπιρροῆς αἵματος θερμοῦ γίνεσθαι τὰς φλεγμονάς· ἐμάθομεν δὲ καὶ ὡς τὸ ἐπιρρέον τοῦτο, κατ' ἀρχὰς μὲν ἀναστέλλειν τε, καὶ ἀποκρούεσθαι προσήκει, πλὴν εἰ παλινδρομήσει ἐπί τι κύριον μόριον·

ἕτερόν τι μεῖζον ἐργάζεσθαι πολὺ κακόν. ἀλλ᾽ οὐ νῦν ἐστι χρεία τῶν τοιούτων διορισμῶν, ὡς μεμνημένων γὰρ ἡμῶν ὅπως χρὴ τὸ σύμπαν σῶμα προπαρασκευάζειν, εἰς τὴν κατὰ τὸ μόριον ὁτιοῦν συνισταμένων παθῶν ἴασιν, ἐπὶ τὸ προκείμενον ἀφιξόμεθα. καὶ γὰρ φλεβοτομίᾳ χρώμεθα, καὶ καθάρσει, καὶ κλυστῆρσι, καὶ ἀσιτίαις, ὅταν ἡμῖν τὸ πᾶν σῶμα φαίνηται πληθωρικὸν, ἢ κακόχυμον ὑπάρχον. εἰ δὲ μηδέτερον εἴη τούτων, ἐπὶ τὴν διὰ τῶν τοπικῶν ἴασιν εὐθέως ἀφικνούμεθα. πῶς οὖν εὑρίσκειν αὐτὰ χρὴ, τὸν μέλλοντα καλῶς ἰᾶσθαι τὰς ἐν τῷ στόματι φλεγμονὰς, ὁ γάρ τοι λόγος οὗτος, εὐθέως σε διδάσκει, καὶ πῶς δεῖ τοῖς εὑρημένοις χρήσασθαι προσηκόντως. ἑωρακότας δὲ τοὺς ἑταίρους πολλάκις ἀναμιμνήσκω τοῖς, τῶν καλεσάντων ἰατρῶν εἰς συμβουλίαν με, φαρμάκοις θεραπεύσαντα τὰς διαθέσεις, ὧν ἕνεκεν ἐκλήθην. ἀδύνατον γάρ ἐστι, καλῶς χρῆσθαι φαρμάκῳ, μὴ γινώσκοντα τὴν δύναμιν αὐτοῦ, καθ᾽ ἣν ἐνεργοῦν ὠφελεῖ. κατὰ τὸν αὐτὸν οὖν τρόπον, ἐπὶ τῶν ἐν τῷ στόματι συνισταμένων φλεγμονῶν, ὁ κοινὸς σκοπὸς ἁπασῶν αὐτῶν, ἐὰν προσλάβῃ τὴν ἐκ τῆς τοῦ μορίου φύσεως ἔνδειξιν, εὑρήσει πρῶτον μὲν τὸ γένος τῶν φαρμάκων οἷς χρῆσθαι προσήκει, εἶτα ἑξῆς τὰς κατὰ μέρος ἐν αὐτοῖς διαφορὰς, ἐάν γε προγινώσκῃ τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν, ὡς ἤδη πολλάκις ἐδείχθη. τὸ μὲν οὖν γένος τῶν ἀποκρουστικῶν φαρμάκων, ἐπὶ τῶν ἀρχομένων φλεγμονῶν ἐν τῇ τῶν ψυχόντων ἐστὶν ὕλῃ. τούτων δὲ αὐτῶν διττῶν ὄντων, ὡς ἐμάθομεν, ὅσα στύφειν πέφυκεν, ἐναργεστέραν ἔχει τὴν δύναμιν, εἰς τὸ θᾶττον ἀποκρούσασθαι τὸ ἐπιῤῥέον, ὑπάρχει δ᾽ εὐθέως αὐτοῖς, καὶ τὸ συνάγειν, καὶ πυκνοῦν τὴν ἐπιφάνειαν τοῦ σώματος, ᾧ προσάγεται. κοινὸς μὲν οὖν ὁ σκοπὸς οὗτός ἐστι τῆς τῶν ἀρχομένων φλεγμονῶν κωλύσεως, ἀπὸ τοῦ πάθους ἐνδεικτικῶς εὑρημένος. ὁ δὲ ἀπὸ τῆς τοῦ θεραπευομένου μορίου φύσεως, αὐτῷ προσέρχεται, γινωσκόντων ἡμῶν, ἀραιοτέραν εἶναι, καὶ μαλακωτέραν τὴν ἐπιφάνειαν τοῦ κατὰ τὸ στόμα χιτῶνος, οὐ σμικρῷ τῆς τοῦ περιέχοντος ὅλον τὸ σῶμα δέρματος. ὑπάρχει δέ τι καὶ ἄλλο τοῖς κατὰ τὸ στόμα μορίοις διττὸν, οὐχ ὑπάρχον τῷ δέρματι. τῆς τε γὰρ ἀηδίας τῶν προσαγομένων αἰσθάνεται φαρμάκων, ὑποκειμένους τε δύο πόρους ἔχει, δι᾽ ὧν εἴς τε τὴν γαστέρα, καὶ τὸν πνεύμονα καταῤῥυῆναί τι δύναται τῶν στοματικῶν φαρμάκων, ὁποῖόν ἐστι καὶ τὸ διὰ χαλκάνθου, καί τις ἰατρὸς, οὔτε ἀσύνετος, οὔτε ἄπειρος φαρμάκων δυνάμεως, μίξας τοῦτο τῷ στοματικῷ, πολὺ μὲν ἰσχυρότερον εἰργάσατο, βλάπτον δὲ ἱκανῶς, ὁπότε περιῤῥυείη τι πρὸς τὸν στόμαχον, ἢ τὸν λάρυγγα, καὶ ταῦτα μὲν εὐθέως αὐτὰ, καὶ δι᾽ αὐτῶν δὲ τὴν γαστέρα τε, καὶ τὴν τραχεῖαν ἀρτηρίαν, καὶ τὸν πνεύμονα. συνυπάρχει δὲ τῷ φαρμάκῳ, καὶ ἡ κατὰ τὴν γεῦσιν ἀηδία, κατά τε τὴν χρῆσιν αὐτὴν ἀνιῶσα, καὶ παραμένουσα δι᾽ ὅλης ἡμέρας, ὡς κἂν ταῖς ἐδωδαῖς εἶναι λυπηράν. τοῖς οὖν οὕτως ἰσχυροῖς τε ἅμα, καί τινα δηλητηρίαν ἔχουσι δύναμιν, οὐ προσήκει χρῆσθαι θεραπεύοντα τὰς ἐν τῷ στόματι διαθέσεις, ἄνευ μεγάλης ἀνάγκης. οὐ γὰρ περὶ φλεγμονῶν μόνον εἰρῆσθαι χρὴ νομίζειν τὸν λόγον, ὅτι μηδ᾽ ἐκ τῆς τούτων ἐνδείξεως εὕρομεν αὐτὸν, ἀλλὰ κοινὸν εἶναι πάντων τῶν κατὰ τὸ στόμα, τὴν ἔνδειξιν ἐκ τῆς φύσεως τοῦ μορίου ἐσχηκότα. ταῦτ᾽ οὖν ἐννοήσας, ὁ τὸ διὰ χυλοῦ τῶν συκαμίνων φάρμακον συνθεὶς, πρῶτον μὲν ἕψησεν αὐτὸ μετὰ μέλιτος, ὅπως ἀποκείμενον,

A atque aliud quoddam grauius malum effecturus. Verùm nunc adeo nihil opus habemus eiusmodi determinationibus; sic nos enim vbi ad memoriam reuocauerimus, quomodo totum corpus præparare ad curationẽ affectuum circa quancunque partem consistentium oporteat, ad institutum progrediemur. Etenim venæ sectione vtimur, & purgatione, & clysteribus, & inedia, vbi totum corpus apparuerit, aut plethoricum, aut cacochymum. Si verò neutrum horum adsit, statim ad curationem per localia remedia peruenimus. Quomodo igitur inuenire ipsa oporteat eum qui oris inflammatio- B nes ritè curare velit, præsens sermo statim te docebit; & quomodo inuẽtis conuenienter vti oporteat. Sodalibus autem in memoriam reuocabo, quum ii me sæpe viderint, medicamentis eorum medicorum, qui me in consilium aduocarent, curantem eas affectiones, quarum gratia vocatus fui. Impossibile enim est medicamento ritè vti eum, qui vim ipsius nõ noscit, iuxta cuius efficaciam auxiliatur. Eodem igitur modo in inflammationibus in ore consistentibus, cõmunis scopus omnium ipsarum, si adsumpserit ex natura particulæ indicationem, reperiet primùm quidem genus medica- C mentorũ, quibus vti cõueniet; Deinde consequenter etiã particulares in ipsis differentias, si quidem præcognouerit simpliciũ medicamentorum facultatem, velut iam sæpe est demonstratum. Genus igitur repellentiũ medicamentorum in principio inflammationum, in refrigerantium materia situm est. Hæc autem ipsa quum duplicia existant, vt didicimus, quæcunque adstringendi natura prædita sunt, efficaciorẽ vim habent ad influxum citius repellendum. Inest autem ipsis statim etiam vis cogendi, & densandi superficiem corporis, cui adhibentur. Communis igitur scopus hic est prohibẽdi D incipientes inflammationes, ab ipsius affectionis indicatione inuentus. Alter verò à particulæ, quæ curatur, natura ipsi accedit, quũ sciamus rariorem esse, ac molliorem superficiẽ tunicæ oris nõ paulo, quàm est cutis, quæ totum corpus ambit. Inest autem, & aliud quiddam particulis oris, atque id duplex, quod non adest ipsi cuti. Insuauitatem enim medicamentorum, quæ adhibentur, sentiunt, & duos meatus subiacentes habent, per quos in ventrem, & pulmonẽ defluere quippiam ex stomaticis medicamẽtis potest, quale est, & quod ex atramẽto sutorio cõflatur. Et sanè medicus quidam, siue im- E prudens, siue inexpertus facultatis medicamentorum, vbi hoc miscuisset medicamẽto ori destinato, multo quidẽ fortius ipsum reddiderat, verùm vehementer lædens, si quidem ad gulam, aut asperæ arteriæ extremũ quippiam fortè fuisset præterlapsum; atque hæc quidẽ, vt statim occurrentia, per ipsa verò, & ventrem, & asperam arteriam, & pulmonem. Adest autẽ medicamento ipsi circa gustũ insuauitatis, quæ tum vsus tẽpore molesta est, tum per totã perseuerat diem, adeo vt etiã in cibis accipiendis iniucunda fit. Huiusmodi itaque fortibus, & quæ venenosam habẽt facultatem non cõuenit, F vti ad affectionũ oris curationẽ, nisi magna necessitas vrgeat. Neque verò de inflammationibus solùm hunc sermonẽ intelligere oportet, quũ neque ex harũ indicatione ipsum inuenerimus, sed communem esse de omnibus oris affectionibus intelligendũ est, vt qui indicationẽ ex ipsa partis natura habet. His igitur consideratis ab eo, qui medicamentum ex succo mororum composuit, primùm quidem ipsum, cum melle coxit, quo repositum

in promptu haberet per totum annum, non illo tempore solùm, quo expresso fructu, succo vti licet. Melior enim solus est incipientibus inflammationibus, ideóque me sæpe ipso in huiusmodi inflammationibus vti vidistis. Magis idoneus autem est priuatim cum melle apparatus. Appellaui autem magis idoneum, non solùm, quòd citò corrumpitur citra coctionem cum melle repositus, ita vt sequenti anni tempore eo vti non possimus; sed etiam propterea, quòd vtilior est, ad sequentia inflammationis tempora, vsque ad perfectam curationem. Quemadmodum enim in principio commoda sunt medicamenta, id, quod influit, repellentia, sic post principium vsque ad finem, medicamento opus est ex vtrisque mixto, repellente videlicet, & discutiente facultate prædito, ac primo quidem tempore astringens præcellere oportet, ad finem verò discutiens, interposito verò tempore æquales vtrorumque partes esse conuenit. Quando verò velut induratum quiddam de inflammatione relinquitur, penitus non conuenit astringens ad discussorium admiscere, si quidem totum corpus sit euacuatum. Atqui neque in principio bonum est discussorium astringenti admiscere. Cæterùm qui medicamentum ex succo mororum composuit, parum ex croco, & myrrha ei commiscuisse videtur, quòd communem habeant facultatem concoctoriam inflammationum; priuatam verò vtrunque, crocus quidem, quòd astringat, myrrha autem, quòd calefaciat in tantum, vt sufficienter discutiat. Penetrat enim magis in altum corporum myrrha, quàm crocus, vtpote substantiam tenuium partium habens, atque ex hoc duplicem vtilitatem exhibet, simul introducens quidem secum vires admixtorum, & persanans vsque in altum inflammata. Et tamen adiuuant se mutuo crocus, & myrrha ad penetrandum in profundum, crocus quidem velut impellens myrrham; myrrha verò velut dux præcedens peditem, sequentem crocum, si ita dicere liceat, deducens. Quemadmodum enim crocus ob astringendi vim, minùs habet substantiam tenuiũ partium, quam myrrha, sic myrrha substantia tenuiorum partium prædita, citius quidem vim suã in altum transmittit; citiùs autem etiam ad cutem recurrit, simul secum efferens ea, quæ in profundo sunt attenuata. Hanc igitur recursus eius velocitatem impediunt astringentium mixturæ; non enim hoc solus facit crocus. Est itaque in medicamento stomatico ex moris appellato, tum mororum succus, qui non modicam habet astringentem qualitatem, & facultatem, tum alia quædam etiam admiscentur, vbi quis validum medicamentum reddere velit. Hæc igitur astringentia deducuntur quidem per myrrham, quæ vicissim ab illis compellitur, atque ita se mutuò adiuuant, quò vis ipsorum amplius progrediatur. Vidistis autem sæpe me ad medicamentum ex moris in principio quidem rhois succum, aut vuæ acerbæ succum, quem propriè omphacium appellant, admiscere. Si verò hæc non adsint, florem rosarum, aut ipsas rosas siccas, balaustium, cytinos, & malicorium aridum, & gallam omphacitin appellatam: amplius autem, & pini corticem, itémque thuris, & tum hypocystis, tum lentisci succum; & vt compendio dicam, omnia astringentia, prçterea, quæ corrumpentem habent facultatem, quam venenosam vocant, & lethalium species quædam existit. Didicistis enim, quòd non omne lethale statim etiam est

A ἕτοιμον ἔχοι καθ' ὅλον τὸν ἐνιαυτὸν, οὐ μόνον ἐκείνῳ τῷ καιρῷ, καθ' ὃν, ἐκθλίψαντα τὴν ὀπώραν, ἔστι τῷ χυλῷ χρῆσθαι. βελτίων γὰρ μόνος ἐπὶ τῶν ἀρχομένων φλεγμονῶν, καί με πολλάκις οὕτως ἐπὶ τῶν τοιούτων φλεγμονῶν χρώμενον ἐθεάσασθε. διαρκέστερος δὲ ἰδίως, ὁ μετὰ τοῦ μέλιτος σκευαζόμενος. ὠνόμασα δὲ αὐτὸν διαρκέστερον, οὐ μόνον ὅτι ταχέως διαφθείρεται χωρὶς τῆς μετὰ τοῦ μέλιτος ἑψήσεως ἀποτεθεὶς, ὡς μηκέτι ἔχειν ἡμᾶς αὐτῷ χρῆσθαι κατὰ τὸν ἐφεξῆς χρόνον, ἀλλὰ καὶ ὅτι χρησιμώτερός ἐστιν, εἰς τοὺς ἑπομένους καιροὺς τῆς φλεγμονῆς, ἄχρι τῆς παντελοῦς ἰάσεως.
B ὥσπερ γὰρ ἐν ἀρχῇ, τῶν ἀπωθουμένων τὸ ἐπιρρέον ἐστὶ χρεία φαρμάκων, οὕτω μετὰ τὴν ἀρχὴν, ἄχρι τοῦ τέλους, μικτοῦ τινος ἐξ ἀμφοῖν, τοῦ τε ἀποκρουομένου, καὶ τοῦ διαφορεῖντος. ἐπικρατεῖν δὲ χρὴ, κατὰ μὲν τοὺς πρώτους χρόνους, τὸ στῦφον, ἐπὶ δὲ τῆς τελευτῆς, τὸ διαφορητικὸν, ἐν δὲ τῷ μεταξὺ, τὴν τούτων ἰσομοιρίαν ὑπάρχειν ἀμφοῖν. ὅταν δὲ οἷον σκιρρῶδές τι λείπηται τῆς φλεγμονῆς, οὐδ' ὅλως χρὴ μεμίχθαι τῷ διαφορητικῷ τὸ στῦφον, ἐὰν κεκενωμένον εἴη τὸ σύμπαν σῶμα, οὐ μὴν οὐδὲ ἐν ἀρχῇ, τῷ στύφοντι τὸ διαφορητικὸν ἄμεινόν ἐστι μιγνύειν. ὁ δὲ τὸ διὰ τοῦ χυλοῦ τῶν συ-
C καμίνων φάρμακον συνθεὶς, ὀλίγον γε φαίνεται κρόκου τε καὶ σμύρνης αὐτῷ συμμίξας, κοινὴν μὲν ἐχόντων δύναμιν τὴν πεπτικὴν τῶν φλεγμονῶν, ἰδίαν δὲ ἑκατέρου. τοῦ μὲν κρόκου τὸ στῦφον, τῆς σμύρνης δὲ, τὸ θερμαίνειν εἰς τοσοῦτον, ὡς διαφορεῖν ἱκανῶς. ἐξικνεῖται γάρ τοι μέχρι τοῦ βάθους τῶν σωμάτων ἡ σμύρνα, μᾶλλον τοῦ κρόκου, λεπτομερῆ τὴν οὐσίαν ἔχουσα, καὶ ἐκ τούτου διττὴν ὠφέλειαν παρέχεται. συνεπαγομένη μὲν πως ἅμα αὐτῇ καὶ τὰς τῶν μεμιγμένων δυνάμεις, ἐκθεραπεύουσα δὲ μέχρι τοῦ βάθους τὰ φλε-
D γμαίνοντα. καὶ μέντοι καὶ συμπαρέχουσιν ἀλλήλοις ὅ, τε κρόκος καὶ ἡ σμύρνη, πρὸς τὴν εἰς τὸ βάθος δίοδον. ὁ μὲν οὖν ἐπωθῶν τὴν σμύρναν, ἡ δὲ, ὡς ἂν εἴποι τις, ποδηγοῦσα τὸν κρόκον. ὥσπερ γὰρ ἧττον ἔχει λεπτομερῆ τὴν οὐσίαν ὁ κρόκος τῆς σμύρνης διὰ τὴν στύψιν, οὕτως ἡ σμύρνα λεπτομερεστέραν ἔχουσα, θᾶττον μὲν εἰς τὸ βάθος διαπέμπει τὴν ἑαυτῆς δύναμιν, θᾶττον δὲ παλινδρομεῖ πρὸς τὸ δέρμα, συναναφέρουσα τὰ λεπτυνθέντα τῶν ἐν τῷ βάθει. τοῦτο οὖν αὐτῆς τὸ τάχος τῆς ἐπανόδου, κωλύουσιν αἱ τῶν στυφόντων μίξεις, οὐ γὰρ δὴ μόνος ὁ κρόκος. ἔστι γοῦν
E ἐν τῷ διὰ μόρων ὀνομαζομένῳ φαρμάκῳ στοματικῷ, τῶν τε συκαμίνων ὁ χυλὸς, οὐκ ὀλίγην στύφουσαν ἔχων ποιότητά τε καὶ δύναμιν, ἕτερά τε τῶν ἐπιμιγνυμένων, ὅταν ἰσχυρὸν τις τὸ φάρμακον γενέσθαι βουληθῇ. ταῦτ' οὖν τὰ στύφοντα, ποδηγεῖται μὲν ὑπὸ τῆς σμύρνης, συνεπωθεῖ δὲ ἐκείνην αὐτὰ, καὶ οὕτως ἀλλήλοις συμπράττει, πρὸς τὸ μέχρι πλείονος ἐξικνεῖσθαι τὴν δύναμιν αὐτῶν. ἐθεάσασθε δέ με πολλάκις τῷ διὰ μόρων φαρμάκῳ, κατ' ἀρχὰς μὲν μιγνύντα ῥοῦ χυλὸν, ἢ ὄμφακος, ὃ καλοῦσιν ἰδίως ὀμφάκιον. εἰ δὲ μὴ παρείη ταῦτα, ῥόδων ἄνθος,
F ἢ αὐτὰ τὰ ῥόδα ξηρὰ, βαλαύστιόν τε, καὶ κυτίνους, καὶ σίδια ξηρὰ, καὶ κηκίδα, τὴν ὀμφακῖτιν ὀνομαζομένην. ἔτι τε τὸν τῆς πίτυος φλοιὸν, καὶ τὸν τοῦ λιβανωτοῦ, καὶ τὸν τῆς ὑποκυστίδος τε, καὶ σχίνου χυλὸν, καὶ συνελόντι φάναι, τὰ στύφοντα πάντα, χωρὶς τὴν φθαρτικὴν δύναμιν ἐχόντων, ἣν ὀνομάζουσι δηλητήριον, εἶδός τι τῶν θανασίμων οὖσαν. ἐμάθετε γὰρ, ὡς οὐ πᾶν τὸ θανάσιμον, εὐθύς ἐστι καὶ

δηλητήριον. ὥσπερ δὲ ἐν ἀρχῇ τῆς φλεγμονῆς, ἡ τῶν τοιούτων μίξις, ἰσχυρότερον ἐργάζεται τὸ στομαχικὸν φάρμακον, οὕτως ὅταν στῇ τὸ ἐπιῤῥέον, οὐδενὸς τῶν τοιούτων ἐστὶ χρεία μόνον. ἀρκεῖ γὰρ τηνικαῦτα τὸ τοῦ κρόκου τε, καὶ τῆς σμύρνης προσειληφὸς, εἰς τὸ πέψαι τὴν φλεγμονὴν, ὡς ὁπόταν γε πεφθῇ, μιγνυμένων ἤδη τι καὶ τῶν διαφορούντων, ὡς ἐθεάσασθε πολλάκις ἐμβάλλοντά με τὸν ἀφρὸν τοῦ νίτρου, καὶ ποτε καὶ αὐτὸ τὸ νίτρον, ὅσον ἐστὶ λεπτομερὲς, ὀνομαζόμενον ὑπὸ πάντων ἤδη βερενίκιον. ἔτι τε πρὸς τοῦτο, καὶ θεῖον ὃ καλοῦσιν ἄπυρον, ἐνίοτε δὲ σίραιον. ἐναφεψημένου αὐτῷ, ποτὲ μὲν ὀριγάνου, ποτὲ δὲ ὑσσώπου, ποτὲ δὲ ἄλλου τινὸς τῶν ὁμοίων, οἷον γλήχωνος, θύμβρας, θύμου, καλαμίνθης, ἡμέρου τε καὶ ἀγρίας. οὕτω μὲν δή τις αὐτῷ τῷ διὰ μόρων φαρμάκῳ καλῶς χρῷτο, τῷ ποσῷ τῶν καθόλου σκοπῶν, ἐξαλλάττων αὐτοῦ τὴν χρῆσιν. ἄχρι μὲν ἐπιῤῥεῖ τι, τοῦτο ἀποκρούεσθαι προσήκει. στάντος δὲ αὐτοῦ, τὰ πέττοντα προσφέρειν, εἶτα ἑξῆς τὰ διαφοροῦντα. δῆλον γὰρ, ὅτι ταύτῃ χρώμενος τῇ μεθόδῳ, καὶ ἐπιγινώσκων τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν, οὐδέποτε ἀπορήσει βοηθημάτων, ἐάν τε κυνηγῇ τε κατ' ὄρος, ἐάν τε καταπράττηταί τι τῶν κατ' ἀγρὸν ἔργων, ἐάν τε ἐν ὁδοιπορίᾳ ποτὲ τῶν προεσκευασμένων ἀπορῇ φαρμάκων, ὡς Ἐρασίστρατος ἔγραψεν, ἐθεράπευσεν ἑαυτὸν ἐπὶ τὸν τοῦ βάτου χυλὸν ἐλθὼν οὐ παρόντος ἐν ἐκείνῳ τῷ χωρίῳ τοῦ Ἀνδρωνείου. γινώσκων γὰρ ὅτι καὶ αὐτὸ τὸ Ἀνδρώνειον ἐν τῷ στύφειν ἔχει τὸ κῦρος τῆς θεραπείας, ἐζήτησεν ὕλην στύφουσαν, οὐχ ὡς οἱ περὶ Σεραπίωνα καὶ Μηνόδοτόν φασιν, ἐμπειρικῇ χρησάμενος ὁμοίου μεταβάσει. κατὰ ταύτην γὰρ ὑμῖν ἔδειξα πλείστην μὲν ἀνομοιότητα τοῦ χυλοῦ τοῦ βάτου, πρὸς τὸν Ἀνδρώνειον τροχίσκον ὑπάρχουσαν, ὀλιγίστην δὲ ὁμοιότητα, καθ' ἓν μόνον τὸ στύφειν. ἀλλ' ὅ γε τὴν γενικὴν δύναμιν, ἣν καθόλου καλοῦσιν, ἐπιστάμενος, ἐν ᾗπερ ἂν ὕλῃ ταύτην εὑρίσκοι, θαῤῥῶν ἐκείνῃ χρῆται. πάμπολυ δὲ πλῆθος ὑλῶν τοιούτων, αἷς ἁπάσαις ἔνεστι χρήσασθαι, μόνας φεύγοντα τὰς ἄγαν ἀηδῆ τινα δύναμιν ἐχούσας φθαρτικήν. οὕτως οὖν κἀγὼ τὸ διὰ τοῦ χυλοῦ τῶν χλωρῶν καρύων ἐσκεύασα φάρμακον, οὔτε ἰδών τινα τῶν διδασκάλων, οὔτε γεγραμμένον εὑρὼν, οὗ τῆς δυνάμεως πεπείραμαι, πολλῷ τῆς τῶν ἄλλων στομαχικῶν δυνάμεως ὑπερεχούσης. ἄλλα δὲ λέγω, τό, τε διὰ τῶν μόρων, καὶ τὸ διὰ τῶν βατίνων (οὕτω γὰρ ὀνομάζουσι τὸν καρπὸν τοῦ βάτου) καὶ τρίτον τὸ διὰ γλεύκους, καὶ τέταρτον τὸ διὰ τῶν ῥοιῶν χυλοῦ, καὶ πέμπτον διὰ τῶν στυφόντων μήλων, ὧν κάλλιστά ἐστι τὰ Κυδώνια, καὶ τὰ στρούθια καλούμενα, καὶ μετὰ ταῦτα, πρὸς τὴν προκειμένην χρείαν τὰ κεστιανὰ παρὰ Ῥωμαίοις ὀνομαζόμενα. σύνθετα δὲ ἐκ πολλῶν τοιούτων ἐστὶ, τὰ διὰ τῶν ὀπωρῶν σκευαζόμενα.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ διὰ καρύων στοματικοῦ.

Ἐγὼ δ', ὅτε πρῶτον ἐκ τῆς Ἀλεξανδρείας ἐπανῆλθον εἰς τὴν πατρίδα, πορευθεὶς εἰς ἀγρὸν, εὗρόν τινα τῶν κηπουρῶν ὑπό τε σταφυλῆς, καὶ παρισθμίων, καὶ ἀντιάδων πνιγόμενον. ἐχρῆτο δὲ διακλύσματι μελικράτῳ, ῥόδων ἐνεψημένων ἐν αὐτῷ. θεασάμενος οὖν ἀκμάζοντα τὸν καρπὸν τῶν καρύων, ἐκέλευσα περιελόντας αὐτῶν τὸ ἔξωθεν λέπος, ᾧ καὶ

A venenosum. Quemadmodum autem in principio inflammationis harum rerum mixtura validius efficit medicamentum stomaticum, sic quum restiterit, quod influit, nullo eiusmodi opus habet solo; sufficit enim tunc id medicamentum, quod crocum, & myrrham assumpsit ad inflammationem concoquendam. Nam vbi iam fuerit concocta, addimus etiam aliquid ex discussoriis, velut sæpe vidistis me iniicere spumam nitri & aliquãdo ipsum nitrum, quod tenuium partium existit, & iam ab omnibus Bereniciũ appellatur: vltra hoc etiam sulfur viuum vocatum, aliquando etiam sapam, origano quandoque incocto, interdum etiã
B hyssopo, aut alio quopiã simili, pulegio videlicet, thymbra, thymo, calamintha hortensi, ac agresti. Hoc igitur modo quis rectè vtetur medicamento ex moris, si iuxta indicationum vniuersalium quãtitatẽ ipsius vsum permutet. Quousq; enim quicquã influit, id ipsum repellere conuenit; vbi verò restiterit, concoctoria afferre, & deinde consequenter discussoria. Manifestum enim, quod per huius methodi vsum, nemo qui simplicium medicamentorum facultatem nouit, vnquam auxiliorum inopia laborabit, siue per montes venetur, siue quid operetur in agro, siue in peregrinatione
C quandoque præparatis careat medicamentis, velut Erasistratus scripsit, qui se ipsum curauit ad rubi succum progressus, quum in illo loco Andronius pastillus præsens non esset. Quum enim sciret pastillum Andronium in astringendo curandi dominium habere, materiam astringentem perquisiuit, non velut Serapion, & Menodotus aiunt, empirica transitione ad simile vsus. Iuxta hanc enim vobis demonstraui plurimam dissimilitudinem succi rubi ad pastillum Andronium esse, paucissimam verò similitudinem iuxta vnum solum, vim videlicet astringendi. Verùm qui ge-
D neralem facultatem, quam vniuersalem vocant, nouit, in quacunque materia eam repererit, confidenter eâ vtetur. Huiusmodi autem materiarum ingens est aceruus, quibus omnibus vti licet, ita vt solùm fugiamus, quæ vim quandam iniucundam, aut venenosam habent. Sic igitur etiam ego medicamentum ex succo nucum viridium præparaui, nullo doctore vsus, neque aliquod præscriptum secutus. Cuius vim expertus sum multum aliorum stomaticorum facultatem excedentem; alia autem dico, id quod ex moris constat; & id, quòd ex succo fructus mori rubri
E præparatur, ita enim rubi fructum appellant; & tertium, quod ex musto; & quartum, quod ex punicorum succo; & quintum, id quod per astringentia mala componitur, ex quorum numero optima sunt cydonia, & struthia appellata, & post hæc ad præsentem vsum, quæ cestiana à Romanis appellantur. Cæterùm composita, ex multis talibus sunt, quæ ex fructibus præparantur.

CAPVT II.

De Stomatico medicamento ex nucibus.

F EGo autem quando primùm ex Alexandria in patriam meam redij, agrum pertransiui; & inueni quendam hortulanum ab vua, & tonsillis, ac glandibus ferè suffocatum; vtebatur autem collutione aquæ mulsæ rosis in ipsa incoctis. Quum igitur vidissem fructum nucum in vigore esse, iussi detractum ab eis externum corticem, quo etiam tinctores

tinctores videram vtentes, ſtatim in mortario contundi, & ſuccum eius per linteum excolari, nondum ſciens quomodo iuxta craſſitiem, aut tenuitatem haberet. Quum verò reperiſſem aquoſum, & compage tenuem, gargariſſare eum iuſſi ipſum hortulanum. Poſtquàm verò valde tenuis apparebat, præcoxi, & mel commenſuratè, velut in eo, quod ex moris fit, fieri ſciebam, admiſcui; atque vbi iam ad compagem mellis redactum eſſet, hortulano vtendum reliqui. Porrò quum viderem celerrimam vtilitatem ipſi inde oboriri, præſtabile ratus ſum in multis experiri; atque ex hoc ſufficiente experimento accepto de facultate eius medicamenti, ſemper ipſo vtor, velut noſtis. Meritò itaque mirandum, nullum ex prioribus medicis aliquid de hoc medicamento mente concepiſſe, vt tum parabili, tum generoſo hoc ſucco vterentur, maximè quum viderint quomodo etiam manus inficiantur eorum, qui virides nuces decorticant. Ex his enim apparet qualis ſit earum ſuccus, & quod ægrè elui poſſit ipſarum aſtringendi vis, adeo vt neque per validiſſima exterſoria elui queat. Ampliùs autem adhuc miratus ſum de medicis, quòd non cogitauerint validam eſſe ipſarum vim, quum etiam tinctores videant eiuſmodi nucum corticibus vti. Niſi enim in profundum manuum deſcenderet, & niſi per omnem ſubſtantiam lanarum penetraret, non certè ægrè eluibilis eſſet; quum verò deſcendat, indicat planè ſubſtantiam ſucci tenuium partium eſſe. Rationi autem conſentaneum eſt, aſtringendi vim maximè proficere, vbi in eiuſmodi ſubſtantia contineatur: etenim quæ ex aſtringentibus craſſas partes habent, per aſtrictionem cogunt, & condenſant ſuperficiem corporum, quibus adhibentur, & à progreſſu in altum ipſorum corporum ſeſe impediunt; quibus enim etiam aliàs ob ſubſtantiæ craſſitudinem impoſſibile erat progredi in altum, his ſanè amplius impoſſibile fuerit, denſato corpore, iuuare id quod totum eſt inflammatum. Optimum itaque eſſe nucum ſuccum perſuaſus, vt qui etiam coctum cum melle guſtarim nihil inſuaue habentem, eum in quatuor partes diuido, & ad primam ſtatim aliquid ex aſtringentibus iniicio, ad ſecundam ex croco, & myrrha, ad tertiam ſulfuris quiddam, ac nitri addo; quartam verò ſolam ſynceram ſeruo, pueris vtilem futuram ob dulcorem, imò etiam viris ob delicias mente fractis, & mulierculis. Ego quidem igitur à ratione inductus inueni, quemadmodum neruorum ſauciatorum curationem, ita etiam hoc pharmacum, quod omnibus præſtat. Eſt equidem, id quod ex rubi moris conſtat, validius eo, quod ex moris fit; quemadmodum hoc eo, quod ex muſto paratur. Omnibus autem his præſtat id, quod ex nucum ſucco inuenimus, in principiis quidem inflammationum, cum his, quæ fortiter aſtringunt confectum; in vigore verò croco, & myrrha additis: quanquam etiam ſolum aliquando moderatas inflammationes ſanare queat. Quando verò humorem, qui inflammationem produxit impactum digerere, ac diſcutere oportet, cum acrium mixtura commodum exiſtit. Verùm dixerit fortaſſis quiſpiam mihi ex medicis pauperioribus, ſe amplecti quidem ipſum medicamentum, ſi vnam pyxidem expleri iubeam hoc medicamento ſemel præparato; Me autem præcipere, aut ſtatim à principio quatuor facere compoſitiones;

A τοὺς βαφέας ἑωράκειν χρωμένους, αὐτίκα κόψαντας ἐν ὅλμῳ, δι' ὀθονίου τὸν χυλὸν διηθῆσαι, μὴ γινώσκων ὅπως ἔχοι πάχους, ἢ λεπτότητος. εὑρεθέντος δὲ ὑδατώδους αὐτοῦ, καὶ λεπτοῦ κατὰ τὴν σύστασιν, ἀνακογχυλίζεσθαι προστάξας αὐτῷ τὸν κηπουρόν, ἐπειδὴ πάνυ λεπτὸς ἐφαίνετο, παραφεψήσας, ἔμιξα μέλι σύμμετρον, ὡς ἐπὶ τοῦ διὰ μόρων ἠπιστάμην μιγνύμενον, ἑψήσας τε μέχρι συστάσεως μελιτώδους, κατέλιπον χρῆσθαι τῷ κηπουρῷ. θεασάμενος δὲ ταχίστην τὴν ὠφέλειαν ἀκολουθοῦσαν αὐ-
B τῷ, βέλτιον ἡγησάμην ἐπὶ πολλῶν πειραθῆναι, κἀκ τούτου, βάσανον ἱκανὴν λαβὼν τῆς δυνάμεως τοῦ φαρμάκου, διὰ παντὸς χρῶμαι, καθάπερ ἴστε. θαυμάζειν οὖν ἐπῆλθέ μοι τῶν ἔμπροσθεν ἰατρῶν, οὐδενὸς αὐτῶν ἐπινοήσαντος, εὐπορίστῳ τε, καὶ γενναίῳ τῷ χυλῷ τούτῳ χρῆσθαι, καὶ ταῦτα μέντοι θεωμένων, ὅπως αἱ χεῖρες βάπτονται τῶν λεπιζόντων τὰ κάρυα τὰ χλωρά. φαίνεται γὰρ ἐκ τούτων, ὁποῖός τις αὐτῶν ὁ χυλὸς, καὶ δυσέκλυτος ὑπάρχει ἡ στύψις, ὥστε μηδὲ διὰ τῶν γενναιοτάτων ἐκπλύνεσθαι ῥυμμάτων. ἔτι δὲ μᾶλλον ἐθαύμασα τῶν ἰατρῶν, εἰ καὶ τοὺς βαφέας ὁρῶντες, ὡς τοιού-
C τοις χρωμένους τοῖς λέμμασι τῶν καρύων, οὐκ ἐνόησαν ἰσχυρὰν εἶναι τὴν δύναμιν αὐτῶν. εἰ μὴ γὰρ ἐγκατέβαινε τῷ βάθει τῶν χειρῶν, ἢ δι' ὅλης διεδύετο τῆς οὐσίας τῶν ἐρίων, οὐκ ἂν ἦν δυσέκπλυτος. ἐγκαταβαίνουσα δὲ, δηλοῖ λεπτομερῆ τὴν οὐσίαν εἶναι τοῦ χυλοῦ, μάλιστα δὲ ὠφελεῖν εὔλογόν ἐστι τὴν στύψιν, ὅταν ἐν οὐσίᾳ τοιαύτῃ περιέχηται. τὰ γάρ τοι παχυμερῆ τῶν στυφόντων, συνάγοντα τῇ στύψει, καὶ πυκνοῦντα τὴν ἐπιφάνειαν αὐτῶν σωμάτων οἷς ὁμιλεῖ, μέχρι τοῦ βάθους τῶν σωμά-
D των ὁδοιπορεῖν ἑαυτὰ κωλύει. οἷς γὰρ καὶ ἄλλως, διὰ τὸ παχυμερὲς τῆς οὐσίας ἀδύνατον ἦν διικνεῖσθαι πρὸς τὸ βάθος, τούτοις ἔτι ἀδυνατώτερον πυκνωθέντος τοῦ σώματος, ὅλον ὠφελῆσαι τὸ φλεγμαῖνον. ἄριστον οὖν εἶναι τὸν χυλὸν τῶν καρύων πεισθεὶς, ἑψηθέντος τε μετὰ τοῦ μέλιτος αὐτοῦ γευσάμενος, οὐδὲν ἀηδὲς ἔχοντος, εἰς τέτταρας μοίρας ἀεὶ διαιρῶν, ἐμβάλλω μὲν αὐτίκα τῇ μιᾷ, τῶν στυφόντων τι, τῇ δευτέρᾳ δὲ σμύρνης, καὶ κρόκου, καὶ τῇ τρίτῃ, θείου ἀπύρου, καὶ νίτρου. τὴν τετάρτην δὲ φυλάττω μόνην εἰλικρινῆ, παιδίοις τε
E χρήσιμον ἐσομένην, διὰ τὴν γλυκύτητα, καὶ τοῖς ἐκλύτοις τὴν γνώμην ἀνδράσι, καὶ γυναιξίν. ἐγὼ μὲν οὖν, ὑπὸ τοῦ λόγου ποδηγηθεὶς, εὗρον ὥσπερ τὴν τῶν νευροτρώτων ἀγωγὴν, οὕτω καὶ τοῦτο τὸ φάρμακον ἁπάντων ἄμεινον. ἔστι μὲν γὰρ καὶ τὸ διὰ τῶν βατίνων, ἰσχυρότερον τοῦ διὰ τῶν μόρων, ὥσπερ γε τοῦτο, τοῦ διὰ τοῦ γλεύκους. ἁπάντων δὲ τούτων βέλτιόν ἐστι τὸ διὰ τοῦ χυλοῦ τῶν καρύων. ἐπὶ μὲν ἀρχομένων τῶν φλεγμονῶν ἅμα τοῖς στύφουσιν ἰσχυρῶς σκευασθὲν, ἐπὶ δὲ τῶν ἀκμαζουσῶν, εἰ κρόκου τι καὶ σμύρνης προσλάβοι, καὶ
F μέντοι καὶ μόνον ἐνίοτε δύναται τὰς μετρίας φλεγμονὰς ἰᾶσθαι. ἡνίκα δὲ διαφορεῖσθαι χρὴ τὸ σφηνωθὲν, τοῦ τὴν φλεγμονὴν ἐργασαμένου χυμοῦ, μετὰ τῆς τῶν δριμέων μίξεως, χρήσιμον ὑπάρχει. ἀλλ' ἴσως ἐρεῖ τίς μοι τῶν πενήτων ἰατρῶν, ἀγαπᾶν αὐτὸ εἰ πυξίδα μίαν ἔχοι πληρῶσαι τοῦ φαρμάκου, σκευάσας ἅπαξ. ἐμὲ δὲ κελεύειν, ἢ ἐξ ἀρχῆς εὐθέως τέτταρας αὐτοῦ ποιῆσαι συνθέσεις,

A ἢ μίαν ἀποθέμενον, ἐκ μέλιτός τε καὶ χυλοῦ συγκειμένην ἐπὶ τῆς χρείας αὐτῇ μιγνύειν, ἄχρι μὲν ἐπιῤῥεῖ τι τοῖς φλεγμαίνουσι, τὰ στύφοντα σφοδρῶς, ἐπειδὰν δὲ παύσηται, τὰ πέττοντα. κενώσεως δὲ χρηζόντων τῶν ἐπιῤῥυέντων, τὰ διαφοροῦντα. δύσεργον δὴ εἶναι τοῦτο, καὶ χαλεπὸν, οἷς οὐκ ἔστιν οἴκοι παρασκευὴ τῶν ἁπλῶν ἁπάντων φαρμάκων. ἀλλ' οὐδ' εἰς ὁδοιπορείας ἐπιτήδειόν με παρασκευὴν ὑφηγεῖσθαι, καθ' ἃς οὐχ οἷόν τε τέτταρας ἑκάστου φαρμάκου διαφορὰς ἐπιφέρεσθαι. διὰ τοῦτο οὖν, καὶ ἐπενοήθη κἀμοὶ, καὶ τοῖς πρὸ ἐμοῦ, τὰ μέσα ταῖς δυνάμεσι φάρμακα, πρός τε τὰς ὁδοιπορείας ἐπιτήδεια B γενησόμενα, καὶ τοῖς πένησιν ἰατροῖς χρήσιμα. τίνα μὲν οὖν ἐστι ταῦτα, μικρὸν ὕστερον ἐρῶ, νυνὶ δὲ ἀπαντῆσαι τῷ λόγῳ τῶν πενήτων ἰατρῶν βούλομαι. καθάπερ γὰρ αὐτοὶ τὴν πενιχρὰν παρασκευὴν ἐπαινοῦσιν, οὕτω χρὴ καὶ τοῖς πλουσίοις ἐπιτρέπειν αὐτοῖς, ἀξίαν πλούτου παρασκευὴν φαρμάκων κεκτῆσθαι. γινώσκω γὰρ ἤδη που καὶ αὐτὸς, οὐ μόνον ἰατροὺς πένητας ὄντας πολλοὺς, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτῶν θεραπευομένους, οἷς ἀγαπητόν ἐστιν, ἐπειδὰν νοσῶσιν, χόνδρον ἅμα μελικράτῳ προσενέγκασθαι, καὶ καθαρὸν ἄρτον ἔχειν, ἤ τι τῶν εἰς κατάπλα- C σμα χρησίμων ἀλεύρων. ἀλλὰ τὸν γεγραφότα θεραπευτικὴν πραγματείαν, εὔλογόν ἐστιν ἁπάσης τῆς ὕλης μνημονεύειν, ὅπως τοῖς τε εὐποροῦσιν αὐτοῖς ὑπάρχῃ τεχνικῶς χρῆσθαι, τοῖς τε πένησιν, ἐκείνοις μόνοις, ὧν ἂν ἑκάστοτε τύχωσιν εὐποροῦντες.

aut vnam ex melle, & succo compositam reponere, atque vsu expetente ei admiscere, vsque quo quidem influxerit quippiam inflammatis, ea quæ vehementer astringunt; postquam autem quieuerit fluxus, concoquentia; vbi verò euacuationem postulauerint ea, quæ influxerunt, discutientia. Operosum autem hoc esse, & difficile iis, qui domi non habent supellectilem omnium simplicium medicamentorum; Imò neque ad peregrinationes me commodam confectionem exponere, in quibus impossibile sit quatuor vniuscuiusque medicamenti differentias circunferre. Ob id igitur excogitata sunt, tum mihi, tum aliis etiam prioribus medicis medicamenta medias facultates habentia, & ad peregrinationes idonea futura, & pauperculis medicis vtilia. Quæ verò hæc ipsa sint, paulo post referam. Nunc autem pauperum medicorum sermoni respondere volo. Quemadmodum enim ipsi exilem apparatum laudant, sic oportet etiam diuitibus permittere, vt confectiones medicamentorum pro opulentiæ suæ dignitate comparent. Satis enim scio etiam ipse, non solùm multos pauperes esse medicos, sed & qui ab ipsis curantur; quibus satis est, vbi ægrotent, alicam cum aqua mulsa accipere, & mundum panem habere, aut aliquam farinam vtilem ad cataplasma. Verùm eum qui curandi tractationem scribit, omnis materiæ meminisse operæpretium est, quo tum diuitibus copia sit ipsis artificiosè vtendi, tum pauperibus electio sit illarum tantùm, quibus vnusquisque pro opportunitate abundet.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς τῶν μέσων συνθέσεως φαρμάκων.

D Εἴπωμεν οὖν ἤδη τι περὶ τῆς τῶν μέσων φαρμάκων συνθέσεως, ἀπὸ τοῦ διὰ τῶν μόρων ἀρξάμενοι. κοινὸν δὲ αὐτοῖς ἐστιν πρὸς τὰ μέσα, τὴν συμμετρίαν ὁρίσαι τοῦ μέλιτος πρὸς τὸν χυλὸν, εὑρίσκεται δὲ αὕτη διὰ τῆς πείρας. ἀναμίξας γὰρ τῷ μέλιτι τὸν μιγνύμενον χυλὸν, καὶ γευσάμενος, εἰ μέν σοι φαίνοιτο συμμέτρως ἔχειν, ὁμοίως αὖθις αὐτὰ μίξεις. εἰ δὲ ἐλλείπειν τι δοκοίη, προσθήσεις, οἷον εὐθέως, ἐπὶ τοῦ τῶν συκαμίνων χυλοῦ, ὃ πέμπτον εἰ μιχθείη μέλιτος, εἴη ἂν μέση κρᾶσις, ὡς ἑψηθέντος τοῦ φαρμάκου, τοῖς πλείστοις μὲν ἀρέσκειν πάνυ τὴν μίξιν, ὀλίγους δὲ μέμψασθαι, τοὺς μὲν, ὡς γλυκύ- E τερον εἴη, τοὺς δὲ, ὡς αὐστηρότερον. ὡς γὰρ καὶ τὸ μελίκρατον, ἔνιοι μὲν ὑδαρέστερον, ἔνιοι δὲ γλυκύτερον ἡδέως πίνουσιν, οὕτω καὶ τοῖς φαρμάκοις ἑκάτεροι χαίρουσι κατὰ τὴν οἰκείαν φύσιν. ὅταν γοῦν τις αὐτῷ φάρμακον ἀξιώσῃ σκευασθῆναι, πάντως δεῖ που τεθεᾶσθαι, τῷ μὲν γλυκυτέροις ἡδομένῳ, πλέον τοῦ μέλιτος ἐμβάλλοντα, τῷ δὲ τοῖς ἐναντίοις, ἧττον. ἐπὶ μὲν οὖν τῶν καταπινομένων φαρμάκων, στοχάζεσθαι χρὴ μάλιστα τῆς τῶν προσφερομένων αὐτὰ φύσεως. τὸ γὰρ ἀηδῶς ληφθὲν, ἀνατρέπει τὸν στόμαχον. ἐπὶ δὲ τῶν στοματικῶν, ἐγχωρεῖ κατα- F φρονῆσαί ποτε τῆς τοιαύτης ἀκριβείας. ἡ τοίνυν μέση κρᾶσις, ὥσπερ ἔφην, τοῦ χυλοῦ πρὸς τὸ μέλι, πενταπλάσιον ἐχέτω τὸν χυλὸν τῷ πλήθει. ἄκουε δέ μου, προσέχων τὸν νοῦν ἀκριβῶς, οἷς χρῶμαι ῥήμασιν ἐν τῇ πρὸς ἄλληλα συμμετρίᾳ τῶν μιγνυμένων φαρμάκων. ἄρτι

CAPVT III.

De mediorum medicamentorum compositione.

Dicamus igitur iam aliquid de compositione mediorum medicamentorum, initio ab eo, quod ex moris constat, sumpto. Commune est autem omnibus mediis, vt congruens modus mellis ad succum ipsum decernatur, Inuenitur autem hic modus per experientiam. Vbi enim succũ ipsum cum melle miscueris, ac gustaueris, si quidem apparuerit moderatè habere, rursus similiter ipsa miscebis, si verò deficere quid videbitur, addes. Velut exempli gratia, in mororum succo si quinta pars mellis addatur, medium fuerit temperamentum, vt hoc modo coctum medicamentum plurimis valde placeat. & hanc mixturam pauci reprehendant, alij quidem velut dulciorem, alij verò, vt austeriorem. Quemadmodum enim aliqui aquam mulsam dilutiorem, aliqui dulciorem, libentius bibunt: sic etiam his medicamentis vtrique delectantur iuxta propriam naturam. Quando igitur aliquis medicamentum sibi præparari postularit, semper vtique vidistis me ei, qui dulcioribus delectatur, plus mellis iniicere, qui verò contrariis minus. In medicamentis igitur, quæ deglutiuntur, maximè coniectare oportet naturam eorum, qui ipsa sument; quod enim cum molestia, aut iniucundè acceptum est, stomachum subuertit. In medicamentis autem stomaticis eiusmodi diligentiam aliquando contemnere licet. Medium itaque temperamentum, velut dixi, succi ad mel, quintuplum habeat multitudine succum. Audito autem me, diligenter animaduertens, quibus vtor verbis in symmetria, seu commensuratione medicamentorum, quæ inuicem miscentur. Iam etenim

etenim præcepi quintuplum esse debere multitudine ipsum succum ad mel, quod nihil differt ab eo si dicam, mole quintuplũ esse ipsum oportere; vtrouis enim modo dicatur, mensurare oportet medicamenta permiscenda. At verò si põdere iubeam quintuplum esse hoc medicamentũ, per lancem vtiq; facere oporteat symmetriam grauitatis ipsorum. Cæterùm ad permixtionem succi ad mel non est necessariũ heminæ, aut cyathi meminisse, sed sufficit dicere, quintuplũ esse oportere succũ, mellis respectu. Si verò, quid aliud his admiscendum sit ex dictis paulò ante, necessariũ est dicere, quota quãtitatis mole ipsis existentibus, quantum addendum sit illorũ in lance appensorũ. Velut in ipso adeo medicamẽto ex moris in Heræ Cappadocis medicamentario libro, mellis quidẽ conijcitur ℔.j. succi autem mororum libræ sex, admiscet autem ipsis croci ʒ. j. myrrhæ duplum; par etiam croci pondus conijcit ex succo vuæ acerbæ, atque eius dimidium ex alumine scisso. Mihi verò placet quintuplum succum ad mel conijcere; par autem pondus croci, & myrrhę, vtriusque ʒ.j. & dimidiã, ita vt ex vtrisque tres drachmæ conflentur. Quòd si quis omphacium addat, & vini austeri item heminam vnam, velut Heræ videtur, rectè sanè ʒ.j. omphacij addet. Si verò citra vinum præparetur, multo plus de ipso conijcere conuenit, si quidem medium temperamento medicamentum efficere velis ʒ.j. si verò austerius, vt in principiis cõueniat, nihil peccaris si omninò duas, aut tres admiscueris. Quòd si non sit omphacium, pro ipso rhois succum iniice; & si volueris par pondus vtriusque indere, neque sic quicquam deliqueris. Heras tamen in symmetria huius medicamenti etiam hoc ascripsit, hoc modo; Quidam autem, & heminam vnã dulcis vini. Mustum eum velle indicare palam est; prædixit enim vini austeri maris expertis heminã vnam. Mihi verò non placet, sufficiente melle iam coniecto, vnà cum hoc quod & heminam austeri vini addidit, rursus aliam misceri vini heminam; reddetur enim valdè vinosum medicamentum. Coquunt autem hoc ex moris medicamentum, aliqui quidem à principio miscentes succum mororum, aliqui verò modicè præcoquentes. Heras autem videtur velle succum solùm diutius coquendum esse. Scripsit igitur hoc modo. Succi mororum heminas sex ad strigmentitiam crassitudinem coquito; deinde trita admisceto croci drachmam vnam, & reliqua videlicet iam dicta. Quin & ego censeo succum ipsum solùm per se præcoquendum esse; deinde verò adiiciendum mel; atque vbi iam cacabum ab igne auferre velis, reliqua admiscenda esse: verùm Heras videtur simul cum melle etiam alia admisceri iubere. Et vinum quidem rationabiliter quis tunc admiscuerit, myrrham verò, & crocum melius est in fine coctionis inijcere, eousque saltem, cum aliis coquendo, aut olla in terram posita mouendo, donec omnia probè vniantur. Amplior autem coctio ipsorum destruit facultatem aromaticorum medicamentorum. Spuma argenti equidem, & plumbago, atque alia multa metallica per coctionem meliora fiunt. Crocus autem, & myrrha, multaque alia aromata in decoquendo vires amittunt. Itaque medij facultate medicamenti, & symmetria, & coctio, moderatis inflammationibus congrua, ampliusque in maiorum vigore, atque insuper in principiis, & augmentis eorundem conueniens, iam relata est.

A μὲν γὰρ ἐκέλευσα πενταπλάσιον εἶναι τῷ πλήθει τὸν χυλὸν τοῦ μέλιτος, οὐδὲν διαφέρει, εἰ καὶ κατὰ τὸν ὄγκον εἴποιμι πενταπλάσιον εἶναι δεῖν αὐτόν. ὁποτέρως γὰρ ἂν ῥηθῇ, μετρῆσαι χρὴ τὰ μιγνύμενα φάρμακα, τῷ μέντοι σταθμῷ κελεύσαντός μου πενταπλάσιον εἶναι τόδε τὸ φάρμακον, τοῦδε, διὰ ζυγοῦ χρὴ ποιεῖσθαι τὴν συμμετρίαν τοῦ βάρους αὐτῶν. ἄχρι μὲν οὖν τῆς τοῦ χυλοῦ πρὸς τὸ μέλι μίξεως, οὐκ ἀναγκαῖόν ἐστι κοτύλης ἢ κυάθου μνημονεύειν, ἀλλ' ἀρκεῖ φάναι πενταπλάσιον εἶναι χρῆναι τὸν χυλὸν τοῦ μέλιτος. ἐὰν δέ τι τούτοις μιγνύῃς ἄλλο τῶν εἰρημένων ἀρτίως, B ἀναγκαῖόν ἐστιν εἰπεῖν, ὁπόσοις οὖσι κατὰ τὸν ὄγκον αὐτοῖς, ὁπόσον μίξεις ἐκείνων, ἐπὶ ζυγοῦ στήσας, οἷον ἔστω αὐτοῦ τοῦ διὰ τῶν μόρων ἐν τῇ τοῦ Καππάδοκος Ἡρα βίβλῳ φαρμακίτιδι, μέλιτος μὲν ἐμβάλλεται λίτρα α'. τοῦ χυλοῦ δὲ τῶν μόρων λίτρας ϛ'. ἐπιμίγνυσι δ' αὐτοῖς <. α'. τοῦ κρόκου, τῆς δὲ σμύρνης τὸ διπλάσιον. ἴσον δὲ τῷ κρόκῳ βάλλει, καὶ τοῦ χυλοῦ τῆς ὄμφακος, ὅπερ ὀμφάκιον ὀνομάζεται, καὶ τούτου πάλιν ἥμισυ τῆς σχιστῆς στυπτηρίας. ἐμοὶ δὲ ἀρέσκει, πενταπλάσιον μὲν τοῦ μέλιτος βάλλειν τὸν χυλὸν, ἴσον δὲ κρόκου τε καὶ σμύρνης, ἑκατέρου <. α'. S''. ὥστε ἐξ ἀμφοτέρων τὰς τρεῖς συνάγεσθαι. τοῦ δὲ ὀμφακίου βαλὼν C μέν τις, καὶ οἴνου αὐστηροῦ κοτύλην μίαν, ὡς ὁ Ἡρας ἀξιοῖ, καλῶς ἂν μίξῃ <. α'. εἰ δὲ χωρὶς οἴνου σκευάζοιτο, πολὺ πλέον ἐμβάλλειν αὐτοῦ προσήκει. εἰ μὲν μέσον τῇ κράσει βουληθῇς γενέσθαι τὸ φάρμακον, < α'. εἰ δὲ αὐστηρότερον, ὡς πρὸς τὰς ἀρχὰς ἁρμόσῃ, πάντως μὲν δύο καὶ τρεῖς ποτε μίξας, οὐκ ἂν ἁμάρτοις. εἰ δὲ οὐκ ἔχοις ὀμφάκιον, ἀντ' αὐτοῦ, ῥοῦ χυλὸν ἔμβαλλε. καὶ εἰ βουληθῇς δὲ τὸ ἴσον ἑκατέρου βάλλειν, οὐδ' οὕτω τι βλάψεις. ὅ γε μὴν Ἡρας, ἐν τῇ συμμετρίᾳ τοῦ φαρμάκου καὶ τοῦτο προσέγραψεν οὕτω. τινὲς δὲ καὶ κοτύλην μίαν D γλυκέος οἴνου, δηλονότι γλεῦκος δηλῶσαι βουληθείς, προείρηκε γὰρ οἴνου αὐστηροῦ ἀθαλάσσου κοτύλην α'. ἐμοὶ δὲ οὐκ ἀρέσκει, τοῦ μέλιτος αὐτάρκους βεβλημένου, μετὰ τοῦ καὶ κοτύλην αὐστηροῦ οἴνου προσειληφέναι, μιγνύειν πάλιν οἴνου ἄλλην γλυκέος κοτύλην, ἔσται γὰρ οἰνῶδες πάνυ τὸ φάρμακον. ἕψουσι δὲ τὸ διὰ τῶν μόρων τοῦτο φάρμακον, ἔνιοι μὲν ἐξ ἀρχῆς μίξαντες τὸν χυλὸν τῶν συκαμίνου, ἔνιοι δέ τι βραχὺ προεψήσαντες. ὁ δὲ Ἡρας ἔοικεν ἐπιπλέον ἀξιοῦν ἕψειν τὸν χυλὸν μόνον, ἔγραψε γοῦν οὕτως. μόρων χυλοῦ κοτύλας ϛ'. ἕψε ὡς γλοιοῦ ἔχειν τὸ πάχος, εἶτα πρόσμιξον λεῖα κρόκου <. α'. καὶ τἄλλα δηλονότι τὰ εἰρημένα. E κἀγὼ δὲ ἀξιῶ προεψεῖσθαι τὸν χυλὸν μόνον αὐτὸν καθ' ἑαυτὸν, εἶθ' οὕτως προσλαμβάνειν τὸ μέλι. κἀπειδὰν ἤδη μέλλῃς αἴρειν τὴν κακκάβην ἀπὸ τοῦ πυρὸς, ἐπιμιγνύειν τὰ λοιπά. φαίνεται δὲ ὁ Ἡρας, ἅμα τῷ μέλιτι, κελεύων καὶ τἄλλα μίγνυσθαι. τὸν μὲν οὖν οἶνον, εὐλόγως ἄν τις τότε μιγνύοι. τὴν σμύρναν δὲ, καὶ τὸν κρόκον, ἄμεινον ἐπὶ τῷ τέλει τῆς ἑψήσεως προσεμβάλλειν, ἄχρι τοσούτου μετὰ τῶν ἄλλων ἕψοντας, ἢ μετὰ τὸ θεῖναι κάτω τὴν κακκάβην κινοῦντας, ἄχρις οὗ πάντα ἑνωθῇ καλῶς. τὸ δ' ἐπιπλέον ἕψειν αὐτὰ, καθαιρετικὸν τῆς δυνάμεως γίγνεται τῶν ἀρωματικῶν φαρμάκων. F λιθάργυρος μὲν γὰρ, καὶ μολύβδαινα, καὶ ἄλλα πολλὰ τῶν μεταλλικῶν ἑψόμενα, βελτίω γίγνεται. κρόκος δὲ, καὶ σμύρνα, καὶ ἄλλα πολλὰ τῶν ἀρωμάτων, ἐν ταῖς ἑψήσεσιν ἀποβάλλει τὴν δύναμιν. ἡ μὲν οὖν τοῦ μέσου τῇ δυνάμει φαρμάκου, συμμετρία τε, καὶ ἕψησις, ἁρμόττουσα ταῖς μετρίαις φλεγμοναῖς, καὶ ταῖς τῶν μειζόνων ἀκμαῖς, ἔτι τε τὸ πρὸς τὰς ἀρχὰς, καὶ τὰς αὐξήσεις αὐτῶν ἁρμόττον φάρμακον, εἴρηται.

πρὸς δὲ τὰς σκληρυνομένας φλεγμονὰς, ὅταν ἤδη παύσηται μὲν ἡ ἀκμὴ, καὶ μηκέτι ἐπιρρέῃ μηδὲν, ἥκῃ δὲ τοῦ διαφορεῖν ὁ καιρὸς, ἐπιμίγνυσθαι προσήκει τῷ στοματικῷ φαρμάκῳ, τῶν διαφορητικῶν ἔνια. τοιαῦτα δ' ἐστὶν ὅ, τε ἀφρὸς τοῦ νίτρου, καὶ αὐτὸ τὸ μαλακὸν νίτρον, Ἀσίας τε πέτρας ἄνθος, καὶ θεῖον ἄπυρον. ἀρκεῖ δὲ τῇ προειρημένῃ τοῦ μέσου συμμετρίᾳ συμμιχθῆναι νίτρου μὲν ∠ S'. τοῦ θείου δὲ ∠ β'. εἰ δὲ μήτε ἐσκευασμένον ἔχοις αὐτὸ οὕτω, μήτε παρείη σοι νίτρον, ἢ θεῖον, ἢ τὸ τῆς Ἀσίας πέτρας ἄνθος, ἀναζέσας ὀρίγανον ἐν σιραίῳ, καλοῦσι δὲ αὐτὸ παρ' ἡμῖν πάντες ἕψημα, μίξας τῷ στοματικῷ φαρμάκῳ, κέλευσον ἀνακογχυλίζειν. μὴ παρόντος δὲ ἑψήματος, ἐν μελικράτῳ προαναζέσας τὸ ὀρίγανον. οὐδὲν δὲ διαφέρει κἂν ὕσσωπον ἐμβάλῃς, ἀντὶ τῆς ὀριγάνου, κἂν εἰ γλήχωνα, κἂν εἰ θύμον, κἂν εἰ θύμβραν, ἢ καλαμίνθην, ἢ τὴν εὐώδη μίνθην, ἣν οἱ παλαιοὶ καλοῦσιν ἡδύοσμον. ἐν μέντοι ταῖς ἀκμαῖς τῶν φλεγμονῶν, οὐ μόνον οὐδὲν χρὴ τῶν τοιούτων φαρμάκων προσφέρειν, ἀλλὰ καὶ τοὐναντίον ἅπαν, ὀλιγάκις μὲν χρῆσθαι τοῖς στοματικοῖς φαρμάκοις, διακλύσμασι δὲ, καὶ ἀναγαργαρίσμασι παρηγορικωτέροις πέττειν τὴν φλεγμονὴν, οἷόν ἐστι τό, τε διὰ τῶν λιπαρῶν ἰσχάδων ἀφέψημα, καὶ τὸ σχίνινον ἔλαιον, ἐπὶ διπλοῦ σκεύους χλιαινόμενον. ἀλλὰ καὶ αὐτὸ τὸ στοματικὸν φάρμακον, ἐν ταῖς ἀκμαῖς ἀνακογχυλίζεσθαι προσήκει, μιγνύμενον ὑδαρεῖ μελικράτῳ, ἢ θερμῷ τῷ σιραίῳ. μὴ παρόντων δὲ τούτων, ὕδατι θερμῷ. ἐπικρατεῖν γὰρ χρὴ τηνικαῦτα τὴν παρηγορικήν τε καὶ πεπτικὴν ἀγωγὴν, ὥσπερ ἐν ταῖς παρακμαῖς, τὴν διαφορητικὴν, ἥτις διὰ τῶν ἰσχυροτέρων γίνεται φαρμάκων. τὸ δὲ ἐμὸν φάρμακον, τὸ διὰ τοῦ χυλοῦ τῶν καρύων, ὅτι μὲν ἁπάντων τῶν ἄλλων ἐστὶ δραστικώτατον, ἔργῳ πεπείρασθε, πρὸς ὑμᾶς γὰρ ὁ λόγος ἐστί μοι, τοὺς ἑταίρους, οἷς μάλιστα χαριζόμενος, ἐπὶ τήνδε τὴν πραγματείαν ἥκω. ὅτι δὲ καὶ πάντων ἐστὶν εὐωνότατόν τε, καὶ εὐποριστότατον, οὐδεὶς ἀγνοεῖ. ῥίπτουσι γὰρ οἱ κηπουροὶ τὰ λέμματα τῶν χλωρῶν καρύων, ὅταν ἐκλέψαντες αὐτὰ τύχωσιν, ὥστε κοφίνους μεγίστους πληροῦν ἡμᾶς προῖκα. τὸ μέλι τοίνυν μόνον, ὡς πένησιν ἰατροῖς, (καὶ γὰρ κἀκείνοις ἡμᾶς δεῖ κοινωνεῖν ὧν ἐροῦμεν,) ἀπολείπεται μόνον ὅταν ᾖ δεόμενον. ἄλλο δ' οὐδὲν, εἰ μὴ βούλοισθε, πολλάκις γὰρ οὕτω σκευασθὲν τὸ φάρμακον, οὐδέν τι χεῖρον ἐφάνη τοῦ διὰ τῶν μόρων, εἰς ὃ, τὸν κρόκον καὶ τὴν σμύρναν ἐνεβάλλομεν. ἀλλ' εἰ καὶ στυπτηρίας αὐτῷ προσμίξαι βουληθείημεν, οὐκ ἀνάγκη τὴν σχιστὴν ἐμβάλλειν. αὐτάρκως γὰρ στύφει καὶ ἡ ὑγρὰ, ἣν καλοῦσιν ἔνιοι φόριμον εὐωνοτάτην τε καὶ εὐποριστοτάτην ὑπάρχουσαν ἐν πᾶσι χωρίοις, ἀπολειπομένην μέντοι τῇ λεπτομερείᾳ τῆς σχιστῆς, καὶ διὰ τοῦτο, ἧττον ἀνύουσαν, καὶ μέντοι κἂν ὁ κηπουρὸς αὐτὸς, ἤ τις ἀγροῖκος ἄλλος, ἐθέλῃ σοι σκευάσαι τὸ φάρμακον, ἔχει προῖκα καὶ τοὺς κυτίνους ἐμβάλλειν ξηρούς, κόψας τε καὶ διασήσας, ὀνομάζονται δ' οὕτως αἱ πρωτόγονοι ῥοιαί, καθ' ὃν γὰρ χρόνον ἀνθοῦν παύεται τὸ δένδρον, ὁ καρπὸς αὐτοῦ φαίνεται σχηματιζόμενος εἰς ἰδέαν ῥοιᾶς, ὃν ἔνεστιν ἀφελόντα, καὶ ξηραίνοντα, φυλάττειν εἰς τὸν καιρὸν τοῦ καρποῦ τῶν καρύων. ἐν μὲν γὰρ τῇ τελευτῇ τοῦ ἦρος, οἱ κύτινοι γεννῶνται. παυσαμένου δὲ τοῦ θέρους, εἰς τελείωσιν ἀφικνοῦνται τὰ κάρυα, καὶ μέντοι, καὶ καταπίπτουσιν ἐπὶ τὴν γῆν πολλοὶ τῶν κυτίνων, ἢ ὑπὸ ἀνέμου διασεισθέντες, ἢ καὶ

A Cæterùm ad induratas inflammationes, quum iam præterierit vigor, & nihil amplius influxerit, venerit autem tempus discutiendi, admiscere conuenit ad stomaticum medicamentum aliqua discussoriorum. Talia autem sunt spuma nitri, & ipsum nitrum molle, Asiæque petræ flos, & sulfur viuum. Sufficit porrò ad prædictam medij medicamenti commensurationem admisceri, nitri quidem vnciam dimidiam, sulfuris autem vncias duas. Quod si neque sic præparatum habeas ipsum, neque præsto sit tibi nitrum, aut sulfur, aut Asiæ petræ flos; origanum in sapa, quam nostri omnes hepsema vocant, feruefacito, stomaticumque medicamentum addito, ac
B gargarissare iubeto. Si verò neque sapa adsit, in aqua mulsa origanum coquito. Nihil autem refert etiam, si hyssopum coniicias pro origano, aut pulegium, aut thymum, aut thymbram, aut calaminthen, aut mentham odoratam, quam veteres hedyosmon appellant. At verò in vigore inflammationum, non solùm nihil ex eiusmodi medicamentis adhibere oportet, sed etiam contrarium totum; atque rarò quidem stomaticis medicamentis vti, collutionibus autem, & gargarismis mitigatoriis con-
C coquere inflammationem; cuius generis est, decoctum pinguium caricarum, & oleum lentiscinum in duplo vase tepefactum. Quin, & ipsum stomaticum medicamentum in vigoribus gargarissare conuenit, aqua mulsa dilutiore permixtum, aut calida sapa; quæ si non adsint, aqua calida. Præualere enim oportet, tunc mitigatorium, & concoctorium institutum, velut in declinationibus discussorium, quod ex validioribus constat medicamentis. Porrò meum medicamentum ex succo nucum omnium aliorum esse validissimum opere experti estis; ad vos
D enim sodales loquor, in quorum gratiam maximè ad hanc tractationem progressus sum. Quòd verò etiam omnium vilissimum, & parabilissimum sit, nemo ignorat; proiiciunt enim hortulani viridium nucum cortices, vbi ipsas decorticarunt, vt vel maximos corbes nobis explere liceat gratis. Mel igitur solùm, vt pauperibus medicis (nam & illis oporteat nos ea, quæ narramus communicare) deficit, quum eius fuerit penuria, nihil verò aliud, nisi quis vltro adeo velit. Sæpe enim hoc modo confectum medicamentum nihilo deterius apparuit eo, quod ex moris constat, in quod tum cro-
E cum, tum myrrham, indebamus. Quin etiam si alumen ipsi addere velimus, non est necesse scissum iniicere. Sufficienter enim astringit etiam liquidum, quod aliqui phorimon appellant, quod vilis pretij, & maximè parabile in omnibus regionibus existit; tenuitate tamen partium à scisso deficit, & ob id etiam minus efficax est. At verò si hortulanus aliquis, aut rusticus hoc medicamentum sibi præparare velit, habuerit gratis quos coniiciat cytinos aridos contusos & cribratos; nominantur autem sic primogenita punica. Quo tempore enim arbor
F florere desinit, fructus ipsius apparet figuratus in speciem punici mali; quem ablatum, & resiccatum asseruare licet ad tempus fructus nucum. In fine enim veris cytini generantur; desinente autem æstate ad perfectionem veniunt nuces. Quin & in terram decidunt multi cytini, aut à vento decussi, aut alio quopiam modo,

modo; quos collectos siccare licet, vt neque hac parte egenos medicos quicquã impendere opus sit. Nostis autem acidorum, & acerborum punicorum (quorum fructus parum abest, vt esitari nequeat) cytinos meliores esse; quare etiamsi ex arboribus eos auellas, aut nemo penitus te prohibebit, aut certè vilissimum pretium sibi dari pro eis postulabit. Cæterum balaustium appellatum penitus cibis non conuenit, & si quis colligere id velit, quemadmodum origanum, & thymbram, ac thymum, atque alia huiusmodi, gratis licebit. Itaque si balaustium velit quis crudum tusum, ac cribratum inijcere iuxta proportionem, quam antea dixi, pari omphacio pondere, vtile medicamentum efficiet. At verò & cortices punicorum malorum, valde parabiles res sunt, astringendi vim sufficientissimam habentes, & qui ad prædicta statim in principio conijci queant. Optimum autem medicamentum reddetur, si iuxta id tempus, quo punica nondum perfectè matura sunt, non tamen longè à perfectione absunt, eos cortices detractos conieceris, atque id statim in principio coctionis succi. Oportet autem prius in mortario tundere, quo ipsorum vis vniuersa citius in medicamentum, quod paras, diffundatur.

CAPVT IV.

De confectione medicamenti, ex malis punicis, & Malis, alijsque stomaticis.

QVum verò tres sint punicorum malorum differentiæ; aliqua enim ipsorum sunt austera, aliqua verò dulcia, & quædam acida; si quidem sola austera inijcias, magis astringens medicamentum reddetur; si verò dulcia, suauis; quemadmodum sanè fortius fiet, si acida tantum indas. Ego autem consueui par pondus vniuscuiusque generis admiscere. Nam & alias ipsa sola matura punica mala integra vnà cum corticibus tundo, deinde succum exprimo, ac cum melle coquo, & non solùm stomaticum medicamentum ori commodum habeo, sed & ad multa alia vtile, veluti rursus dicetur. Atque fit hic succus ad omnia præstantior ex tribus punicorum speciebus, aut generibus, aut differentiis, aut quomodocunque quis appellare velit. Miscemus autem & ruborum fructus, quos aliqui quidem à planta denominant, rubina appellantes; aliqui autem composita appellatione mora appellant, apponentes, quæ à rubis producuntur. Ex quibus sanè succus similiter succo mororum præparatus, melius illo medicamentum redditur; sed minus validum eo, quod ex nucum succo paratur. Quin & malorum cotoneorum, & pyrorum syluestrium, ac mespilorum succus similiter præparatus, stomaticum medicamentum efficitur, deuorarique aptum, quum hoc, quod ex nucibus constat, deuorare non liceat; quanquam enim noxium non sit, velut atramentum sutorium, tamen stomacho non est commodum. Manifestum verò, quod & ex punicis constans medicamentum, aptum est fracto, & cibos fastidienti stomacho; deficit tamen ab eo, quod ex malis constat. Innocuus est etiam rubi mororum succus deuoratus, velut etiam ipsorum mororum; sed succus rubi mororum habet quid, quod stomachum corroborat, quod ipsorum mororum succus non habet.

A ἄλλως πως, οὐκ ἔνεστιν ἀπεσπασμένους ξηραίνειν, ὡς μηδὲ κατὰ τοῦτο δοκεῖν τι δαπανᾶν χρῆναι πένητας ἰατρούς. ἴστε δὲ δήπου, καὶ ὡς ὁ τῶν ὀξέων τε καὶ στρυφνῶν ῥοιῶν, ὧν ὀλίγου δεῖν ἄβρωτος ὁ καρπός, οἱ κύτινοι κρείττους εἰσίν, ὥστε κἂν ἀφέλῃς τῶν δένδρων αὐτούς, ἢ οὐδείς σε κωλύσει τὸ παράπαν, ἢ βραχυτάτην αἰτήσει δοῦναι τιμήν. τὸ δὲ βαλαύστιον ὀνομαζόμενον, ἄβρωτόν ἐστι τελέως, ἐπὶ τῷ βουλομένῳ συλλέγειν ὑπάρχον, ὥσπερ ὀρίγανος, καὶ θύμβρα, καὶ θύμος, καὶ ὅσα τοιαῦτα, καὶ πίνω, καὶ τὸ B βαλαύστιον, εἰ θελήσει τις ὠμὸν κόψας καὶ διασήσας, ἐμβάλλειν κατὰ τὴν ἀναλογίαν ἣν ἔμπροσθεν εἶπον, ἴσα ὀμφακίῳ, χρήσιμον ἐργάσεται τὸ φάρμακον. ἀλλὰ καὶ τὰ λέμματα τῶν ῥοιῶν, εὐποριστότατόν ἐστι πρᾶγμα, στύψιν ἰσχυροτάτην ἔχοντα, συμβάλλεσθαι τοῖς εἰρημένοις εὐθὺς ἐν ἀρχῇ δυνάμενα, κάλλιστον δ' ἂν γένοιτο φάρμακον, εἰ κατ' ἐκεῖνον τὸν καιρὸν, τῶν ῥοιῶν οὔπω μὲν οὐσῶν τελείων, οὐ μὴν οὐδὲ πόρρω πάνυ τῆς τελειώσεως, ἐμβάλλειν ἀπ' ἀρχῆς ἑψημένῳ χυλῷ τῶν καρύων ἐθελήσαις. χρὴ δὲ θλᾶν ἐν ὅλμῳ πρότερον αὐτά, ἕνεκα τοῦ ταχέως ἐς τὸ σκευαζόμενον φάρμακον ὅλην ἐκταθῆναι τὴν δύναμιν C αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Περὶ σκευασίας τοῦ διὰ ῥοιῶν καὶ μήλων, καὶ ἄλλων στοματικῶν.

ΟΥσῶν δ' ἐν ταῖς ῥοιαῖς τριῶν διαφορῶν, ἔνιαι μὲν γὰρ αὐτῶν εἰσιν αὐστηραί, στρυφναὶ δὲ ἕτεραι, καί τινες ὀξεῖαι, τὰς μὲν αὐστηρὰς μόνας ἐμβαλόντι D σοι, στυπτικώτερον ἔσται τὸ φάρμακον. τὰς δὲ γλυκείας, ἥδιον, ὥσπερ γε καὶ σφοδρότερον, εἰ τὰς ὀξείας ἐμβάλλοις. Ἐγὼ δ' εἴωθα τὸ ἴσον ἑκάστου γένους μιγνύναι, καὶ γὰρ καὶ ἄλλως, αὐτὰς μόνας τὰς πεπείρους ῥόας ὅλας κόπτων μετὰ τῶν λεμμάτων, εἶτα τὸν χυλὸν ἐκθλίβων, ἕψων τε μετὰ μέλιτος, οὐ μόνον στοματικὸν ἴσχω φάρμακον, ἀλλὰ καὶ πολλοῖς ἄλλοις ὠφέλιμον, ὡς αὖθις εἰρήσεται, καὶ γίνεται καὶ οὗτος ὁ χυλὸς ἀμείνων εἰς πάντα, τῶν τριῶν τῆς ῥοιᾶς εἰδῶν, ἢ γενῶν, ἢ διαφορῶν, ἢ ὅπως αὐτὰς ὀνομάζειν ἐθέλοι. μίγνυμεν δὲ καὶ E τῶν βάτων τὸν καρπὸν, ὃν ἔνιοι μὲν ἀπὸ τοῦ φυτοῦ παρονομάζουσιν, βάτινα προσαγορεύοντες, ἔνιοι δὲ συνθέτῳ προσηγορίᾳ μόρα καλοῦσιν, προστιθέντες τὰ ἀπὸ τῶν βάτων, ἐξ ὧν ὁ χυλὸς ὁμοίως σκευαζόμενος τῷ διὰ τῶν συκαμίνων, ἄμεινον ἐκείνου γίνεται φάρμακον, ἀπολειπόμενον δὲ τοῦ διὰ τῶν καρύων. καὶ μήλων δὲ τῶν κυδωνίων, ἀχράδων τε, καὶ μεσπίλων ὁ χυλὸς, ὁμοίως σκευασθεὶς, στοματικὸν γίνεται τὸ φάρμακον, ἐπιτήδειόν τε καταποθῆναι, τοῦ διὰ τῶν καρύων, οὐκ ἔχοντος τοῦτο. F βλαβερὸν μὲν γὰρ οὐκ ἔστιν, ὡς χάλκανθον, οὐ μὴν εὐστόμαχόν γε. πρόδηλον δ', ὅτι καὶ τὸ διὰ τῶν ῥοιῶν ἐστιν ἐπιτήδειον, ἐκλύτῳ καὶ ἀνορέκτῳ στομάχῳ, λείπεται μέντοι τοῦ διὰ τῶν μήλων. ἀβλαβὴς δὲ καὶ ὁ τῶν βατίνων χυλὸς εἰς κατάποσιν, ὥσπερ γε καὶ ὁ τῶν συκαμίνων, ἀλλ' ὁ τῶν βατίνων ἔχει τι καὶ τονωτικὸν τοῦ στομάχου, τοῦ τῶν συκαμίνων οὐκ ἔχοντος.

ἐμβάλλεται δὲ οὐ κατὰ τὴν αὐτὴν ἀναλογίαν ἅπασι τοῖς χυλοῖς τὸ μέλι, πλεῖστον μὲν γὰρ ὅ, τε τῶν καρύων δεῖται, καὶ μετ' αὐτὸν ὁ τῶν βατίνων τε καὶ συκαμίνων, ὀλίγου δὲ ὅ, τε τῶν μήλων, καὶ τῶν ῥοιῶν, καὶ ἀχράδων, ἐν τῷ μεταξὺ δὲ αὐτῶν ὁ μεσπίλων, καὶ ἀπὸ κρανίων δέ, καὶ βραβύλων, καὶ τῶν καλουμένων παρ' ἡμῖν προύμνων. σκευάζεται δὲ παρ' ἡμῖν στομαχικὰ φάρμακα κατὰ τὸν αὐτὸν τρόπον, ὃν κατ' ἀρχὰς εἶπον ἐπὶ τῶν μόρων, ἐφ' ὧν ἁπάντων τῆς κατασκευῆς, ἐρῶ τινα λόγον κοινὸν τόνδε. παχεῖ μὲν φανέντι τῷ χυλῷ, τὸ μέλι μιγνύειν εὐθέως προσήκεν, εἰ δ' ὑγρότερος εἴη, προεψηθέντι. δέχεται δὲ ὁ τῶν ἀπίων μὲν, καὶ μήλων χυλός, ἐπὶ δὲ τῶν πλείστων ὀπωρῶν, ἴσον ἑαυτῶν τὸ μέλι, τῶν στρυφνῶν δ' ἱκανῶς, οἷόσπερ ἐστὶν ὁ τῆς κρανίας καρπός, ἐνίοτε μὲν διπλάσιον, ἔστι δ' ὅτε, καὶ τριπλάσιον. πάντα δ' οὖν ταῦτα καταπίνειν ἀκίνδυνον. χαλκάνθου δὲ μιχθέντος, ἢ μιχθείσης, ὁποτέρως σοι φίλον ὀνομάζειν, οὐ πάνυ τι χρὴ καταπίνειν τὸ σκευασθὲν τοῦτο φάρμακον, πλὴν εἰ κατὰ τὸν στόμαχον, ἢ κατὰ τὴν κοιλίαν ἑλκώδη διάθεσιν ὑπονοήσαιμεν γίνεσθαι. καὶ κατὰ τὸ στόμα δὲ αὐτὸ, κακοήθων ἑλκῶν γινομένων, ἀμείνω τὰ διὰ χαλκάνθου φάρμακα. δραχμὴ δὲ ἀρκεῖ μιγνυμένη τῇ προειρημένῃ συνθέσει, καθ' ἣν ἡ μία τοῦ μέλιτος εἴρηται βάλλεσθαι λίτρα, καὶ πλέον δ' ἄν ποτε καλῶς βληθείη, πρὸς τὰ σηπεδονώδη τῶν ἑλκῶν. ἕκαστον δὲ ὧν εἶπον ἐμβάλλειν ποτὲ, καὶ γλεύκει σταφυλῶν αὐστηρῶν, ἃς ὀνομάζουσιν ἀμιναίας. ἄμεινον δὲ τὸ τελευταῖον γλεῦκος εἰς τὰ τοιαῦτα. τὸ γὰρ ἐν ἀρχαῖς ῥέον, ὑγρότερόν ἐστι, καὶ ὑδατωδέστερον. ἐμβάλλειν δὲ χρὴ τῶν εἰρημένων φαρμάκων τὰ στρυφνότερα, καθάπερ ἐμὲ ἐθεάσασθε πολλάκις, ἤτοι ῥοιὰς, ἢ βαλαύστιον, ἢ κυτίνους, ἢ ἀκάνθης Αἰγυπτίας καρπὸν, ἢ τὸν τῆς κρανίας, ἤ τι τῶν οὕτω στυφόντων, μιγνύντα. μάλιστα δὲ ἐπιτήδειός ἐστι ῥοῦς, εἴτε ἀρρενικῶς ἐθέλοις ὀνομάζειν αὐτὸν, εἴτε θηλυκῶς. ἔστι δὲ διττὸς, ὁ μὲν ἕτερος ἐπιπαττόμενος τοῖς ὄψοις, εὐστόμαχος· ὁ δὲ ἕτερος τοῖς βυρσοδέψαις χρήσιμος. ἑκάτερος δὲ ἐνεψηθεὶς, ἐν τῷ γλεύκει, στοματικὸν ἐργάζεται φάρμακον, ᾧ μιγνύειν ἔξεστί σοι τἄλλα, κατὰ τὴν αὐτὴν ἀναλογίαν τῇ διὰ τῶν μόρων εἰρημένῃ. χωρὶς δὲ τοῦ μιχθῆναι μέλιτι, μόνον αὐτὸ τὸ γλεῦκος, εἰς μελιτώδη σύστασιν ἀχθὲν, ἐξαιρεθέντων τε τῶν ἐμβληθέντων, ἀγαθὸν γίνεται φάρμακον εἰς ἀρχὰς, καὶ ἀναβάσεις, καὶ ἀκμάς. εἰς δὲ τὰς παρακμὰς, ἐὰν δᾳδας ἐπιμίξῃς λιπαρὰς, ἢ καὶ κόψας εἰς λεπτὰ, καὶ θλάσας, ἐμβάλλῃς τῷ γλεύκει μετὰ τῆς ῥοῦ, κἄπειτα μετὰ μίαν ἡμέραν ἑψήσας, ἄχρις ἂν ἐναπόθωνται τῷ γλεύκει τὴν ἑαυτῶν ποιότητα, τηνικαῦτα δὲ ἐξαίρειν μὲν ἐκεῖνα, καὶ ἀπορρίπτειν, ἕψειν δὲ τὸ γλεῦκος ἕως ἐπιτηδείου συστάσεως, ὡς εὐέγχριστον γίνεσθαι τὸ φάρμακον. ὅσα δὲ ἔμπροσθεν εἶπον ἐμβάλλεσθαι τῶν στυφόντων, εἰς τὸ, διὰ τῶν καρύων τοῦ χυλοῦ σκευαζόμενον φάρμακον, ἅπαντα καὶ νῦν ἀκηκοέναι πίστευε τῷ γλεύκει μιγνύμενα. καὶ μέντοι κἂν πολυτελέστερον ἐθέλῃς ποιῆσαι τὸ φάρμακον, ἐμβαλεῖς καὶ κασσίας φλοιὸν, ἢ νάρδον Ἰνδικὴν, ἢ τὸ τοῦ μαλαβάθρου φύλλον. ὥσπερ γὰρ τοῖς πένησιν, οὕτω καὶ τοῖς πλουσίοις χρὴ γράφειν ἡμᾶς φάρμακα. τὰ δὲ αὐτὰ τοῖς προειρημένοις στοματικοῖς φαρμάκοις μίγνυται.

A Porrò mel his omnibus ſuccis non eadem proportione iniicitur. Plurimo enim nucum ſuccus opus habet, & poſt eum rubi mororum: modico autem malorum, & punicorum, & pyrorum ſylueſtrium; medius autem inter hos eſt meſpilorum ſuccus. At verò, & ex cornis, ac brabylis, & prunis apud nos appellatis, præparantur apud nos ſtomatica medicamenta eodem modo, quem in principio de moris recenſui, in quorum omnium confectione rationem quandam communem referam hanc. Si quidem craſſus apparuerit ſuccus, ſtatim mel admiſcere oportet; ſi verò liquidior ſit ſuccus, præcoquatur.
B Suſcipit autem pyrorum, ac malorum ſuccus, amplius verò etiam plurimorum fructuum, parem ſibi ipſis menſuram mellis; ſuccus verò eorum, quæ multum acerba ſunt, velut eſt corni fructus, aliquando duplum, aliquando triplum mellis aſſumit. Omnia igitur hæc citra noxam deuorantur; ſi verò atramentum ſutorium admixtum ſit, non valdè deglutire oportet confectum medicamentum, præterquam ſi iuxta ſtomachum, aut aluum, vlceroſam affectionem fieri ſuſpicemur. Quin & ſi in ipſo ore maligna vlcera fiant, præſtant ex atramento ſutorio medicamenta.
C Sufficit autem drachma ad prædictam compoſitionem admixta, in quam vnam mellis libram coniici eſt relatum, ſed & plus quandoque rectè iniicitur ad vlcera putrefacta. Singula porrò, quæ dixi, iniicere licet aliquando, & muſto vuarum auſterarum, quas Aminæas appellant. Præſtat autem vltimum muſtum in hunc vſum; quod enim in principio fluit, liquidius eſt, & aquoſius. Iniicienda verò ſunt ex prædictis medicamentis acerbiora, quemadmodum ſæpe vidiſtis me, aut punica mala, aut balauſtium, aut cytinos, aut Ægyptiæ ſpinæ fructum, aut corna, aut aliud quid
D ex huiuſcemodi aſtringentibus, admiſcere. Maximè verò aptus eſt rhus, ſiue maſculino, ſiue muliebri genere, ipſum velis nominare. Eſt autem duplex; alter obſoniis aſpergitur, ſtomacho commodus; alter à tinctoribus coriorum expetitur. Vterque verò muſto incoctus ſtomaticum efficit medicamentum, cui admiſcere licet etiam alia iuxta eandem proportionem, velut in eo, quod ex moris conſtat, relatum eſt. At verò citra mellis mixturam, muſtum ſolùm per ſe in mellis compagem redactum, exemptis etiam, quæ aliàs indũtur, bonum fit medicamentum
E in principiis, augmentis, & vigoribus; ad declinationes autem, ſi tædas addideris pingues, aut etiam in tenuia fruſtula contuſas, & fractas, eaſdem vnà cum rhoe in muſtum conieceris, deindéque interpoſita vna die coxeris, donec ſuam ipſorum qualitatem in ipſum muſtum tranſmittant. Tunc enim tædas quidem eximere, ac proiicere oportet; muſtum verò vſque ad aptam compagem coquere, quo videlicet illiniri commodè poſſit. Quæcunque autem priùs ex aſtringentibus iniici dixi, in id, quod
F ex nucibus præparatur medicamentum, ea omnia etiam accipienda ſunt, rectè in muſtum addi. Quòd ſi verò pretioſius efficere medicamentum velis, iniicies etiam caſiæ corticem, aut nardum Indicam, aut malabathri folium; æquè enim, vt pauperibus, ſic etiam diuitibus nos medicamenta ſcribere oportet. Eadem etiam prædictis ſtomaticis medicamentis miſcentur.

Sufficit

Sufficit autem drachma vna singulorum ex his A tribus ad tantam medicamenti symmetriam, ac commensurationem, iuxta quam libra mellis vna conijcitur. Nihil verò læseris, si ad singulas drachmas, adhuc dimidiam apponas, vt in totum quatuor drachmæ, & dimidia fiant. Cæterùm ad induratas inflammationes conijciuntur, quæ generosius discutere possunt, tusa videlicet, & cribrata. Tempus autem indendi ipsa non est principium, sed vbi propè perfectè coctum fuerit medicamentum, aut etiam penitus coctum, ollâ iam in terram depositâ. Sunt autem hæc, costus, amomum, & quod macer appellatur; nominatur B autem sic cortex quidam aromaticus, qui ex India affertur, multum calefaciens, & astringens. Quin, & cyrenaicus succus ad discutiendas induratas inflammationes aptus est, quemadmodum etiam medicus, aut aliquis eorum, qui postea celebres facti sunt. Pauperibus porrò pro sumptuosis discussoriis medicamentis, aut dictamnum, aut acorum, aut meon, aut pyrethrum, aut cardamomi quippiam, & sinapi æquale iniiciendum censeo, ita vt ad trium drachmarum pondus, eorum mixtorum moles perueniat, ad prædictam in principio stomaticorum medicamentorum symmetriam, in qua mellis libra habebatur. Si verò C quatuor, aut quinque drachmarum pondus ex his explere velis, magis discussorium medicamentum habebis. Semper enim pro constitutionis affectuum proportione, augeri, ac minui medicamentorum vehementiam oportet.

A δραχμὴ δὲ ἀρκεῖ τῶν τριῶν ἑκάστου, πρὸς τὴν τοσαύτην συμμετρίαν τοῦ φαρμάκου, καθ᾽ ἣν ἡ λίτρα τοῦ μέλιτος ἐμβάλλεται. βλάψεις δ᾽ οὐδὲν, εἰ προσθήσεις ἑκάστης δραχμῆς τὸ ἥμισυ μέρος, ὡς γενέσθαι πάσας τέτταρας, καὶ ἡμίσειαν. Πρὸς δὲ τὰς σκληρυνομένας φλεγμονὰς τὰ δυνάμενα διαφορεῖν γενναιότερον, ἐμβάλλεται κοπέντα δηλονότι, καὶ διασηθέντα, καιρὸς δ᾽ ἐμβάλλειν αὐτὰ, μὴ κατ᾽ ἀρχὰς, ἀλλ᾽ ὁπόταν ἐγγὺς γένηται τῆς παντελοῦς ἑψήσεως τὸ φάρμακον, ἢ καὶ τελέως ἑψημένον, ὡς χαμαὶ τίθεσθαι τὸ ἀγγεῖον. ἔστι δὲ ταῦτα, κόστος τε, καὶ ἄμωμον, καὶ τὸ καλούμενον μάκερ. B ὀνομάζεται δὲ οὕτω, φλοιός τις ἀρωματικὸς, ἐκ τῆς Ἰνδίας κομιζόμενος, ἱκανῶς θερμαίνων τε, καὶ στύφων, ἀλλὰ καὶ ὁ Κυρηναῖος ὀπὸς, εἰς διαφόρησιν τῶν σκληρυνομένων φλεγμονῶν ἐπιτήδειος, ὥσπερ γε καὶ ὁ μηδικὸς, ἢ τις τῶν μετ᾽ αὐτούς. τοῖς πένησι δ᾽, ἐμβλητέον ἀντὶ τῶν πολυτελῶν φαρμάκων τῶν διαφορητικῶν, ἤτοι δίκταμνον, ἢ ἄκορον, ἢ μῆον, ἢ πύρεθρον, ἢ καρδαμώμου τε καὶ νάπυος ἴσον, εἰς τριῶν δραχμῶν σταθμοὺς συμπληρουμένου τοῦ τῶν μιγνυμένων ὄγκου, πρὸς τὴν εἰρημένην ἐξ ἀρχῆς τῶν στοματικῶν φαρμάκων συμμετρίαν, ἐν οἷς ἦν ἡ λίτρα τοῦ μέλιτος. C Εἰ δὲ καὶ τεττάρων, ἢ πέντε ποτὲ ποιῆσαι θελήσεις δραχμῶν, τὸ συμπληρούμενον ἐκ τούτων, διαφορητικώτερον ἕξεις τὸ φάρμακον. ἀνάλογον γὰρ ἀεὶ χρὴ ταῖς κατασκευαῖς τῶν παθῶν συναυξάνεσθαι καὶ συμμειοῦσθαι τὴν σφοδρότητα τῶν φαρμάκων.

CAPVT V.

De confectione medicamenti ex musto, in quo etiam parabilia diuersa.

IN medicamento ex musto, ad decem musti he- D minas, tres iniicimus heminas rhois coriariorũ, aut eius, qui obsoniis inspergitur; si verò vtrunque iniicimus, vtriusque vnam, & dimidiam, aut paulo plus sumimus; iuxta proportionem verò etiam ex discussoriis, cuiuscunq; quidem suppetat facultas. Quòd si vnum tantùm habeamus astringendi vim habens, quod in principio iniiciamus, aut vnum saltem discussorium, quod iuxta finem indamus, ex illo totum pondus immittimus, quod ex omnibus aliàs conflaretur. Quæ igitur dicta sunt in medicamentum ex nucibus conijcienda, ea omnia etiam in medicamentũ ex musto indantur. Quin E & quæ istic non dicta sunt, amplius inijcere licet, velut gallam omphacitin appellatam, aut extremitates mollis rubi, aut rubi canini, & corni, cuius etiam fructum diximus inijci oportere, velut etiam pruna, & myrti baccas, & fructum myricæ, ac spinæ Ægyptiæ fructum, omniaque astringentia, præterea, quæ venenatam vim habent, ne videlicet deuorata lædant. Omnia porrò stomatica medicamenta, quomodocunque parata iuxta propria tempora opportuna accommoda fiunt. Si quidem enim austeriora fiant, in principiis, & vehementibus influxionibus conueniunt, si verò moderatio- F ra, in vigoribus; si autem magis discussoria vi prædita, in declinationibus. Quare etiam si non ipsi præparauerimus quid, neque symmetriam iniectorum nouerimus, sed tantùm ipsum compositum medicamentum gustauerimus, cognoscemus quomodo eo sit vtendum. Hæc igitur si memoria conseruabitis, quãdo necessitate aliquando vrgẽte

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ σκευασίας τοῦ διὰ γλεύκους, ἐν οἷς καὶ εὐπόριστα διάφορα.

D ΕΠὶ τοῦ διὰ γλεύκους, εἰς κοτύλας δέκα τοῦ γλεύκους, τρεῖς μὲν ἐμβάλλομεν κοτύλας τοῦ ῥοῦ τῶν βυρσοδεψῶν, ἢ τοῦ τοῖς ὄψοις ἐπιπαττομένου. συναμφοτέρων δὲ ἐμβαλλομένων, ἑκατέρου μίαν τε, καὶ ἡμίσειαν, καὶ βραχὺ πλέον. ἀνάλογον δὲ καὶ τῶν διαφορητικῶν, ὁποῖον ἂν εὐπορῶμεν. Εἰ δὲ ἓν ἔχοιμεν μόνον, ἢ κατ᾽ ἀρχὴν ἐμβάλλειν τῶν στυπτικῶν, ἢ κατὰ τὸ τέλος τῶν διαφορητικῶν, ἐκείνου τὸ πᾶν ἐμβάλλομεν, ὅσπερ ἐξ ἁπάντων ἠθροίζετο. τά τ᾽ οὖν προειρημένα διὰ τῶν καρύων ἐπεμβάλλεσθαι πάντα, καὶ τῷ διὰ τοῦ γλεύκους. ἐμβάλ- E λειν δ᾽, εἰ οἷόν τε, καὶ εἴ τι μὴ λέλεκται κατ᾽ ἐκεῖνον τὸν λόγον, οἷον ἢ κηκῖδα, τὴν ὀμφακῖτιν ὀνομαζομένην, ἢ ἀκρέμονας μαλακοῦ βάτου, ἢ κυνοσβάτου, καὶ κρανίας, ἧς καὶ τὸν καρπὸν ἔφαμεν ἐμβάλλεσθαι δεῖν, ὥσπερ καὶ τῶν προύμνων, μύρτα τε, καὶ τῆς μυρίκης, καὶ Αἰγυπτίας ἀκάνθης τὸν καρπὸν, ἅπαντά τε τὰ στύφοντα, χωρὶς τῶν φαρμακώδη δύναμιν ἐχόντων, ὅπως μὴ καταποθέντα βλάπτῃ. πάντα δὲ τὰ ὁπωσοῦν σκευασθέντα φάρμακα στοματικὰ, χρήσιμα γὰρ, κατά τινας ἰδίους καιροὺς, ἐὰν αὐστηρότερα μὲν γένηται, κατὰ τὰς ἀρχὰς, καὶ F τὰς σφοδρὰς ἐπιρροάς. ἐὰν δὲ μετριώτερα, κατὰ τὰς ἀκμὰς, ἐὰν δὲ διαφορητικώτερα κατὰ τὰς παρακμὰς, ὥστε κἂν μὴ σκευάσωμεν αὐτοί τι, μηδὲ τὴν συμμετρίαν τῶν ἐμβληθέντων ἴδωμεν, ἀλλὰ γευσώμεθα μόνον αὐτοῦ συνθέτου φαρμάκου, γινώσκειν ἡμᾶς ὅπως αὐτῷ χρηστέον. τούτων οὖν ἡμᾶς μεμνημένους ὅταν ἀνάγκη ποτὲ καταλάβῃ

τῶν ἐκ πολλῆς πείρας κεκριμένων φαρμάκων ἀπορῆτε, A αὐτοὺς σχεδιάζειν, ἐκ τῆς κατ᾽ ἐκεῖνο τὸ χωρίον ὕλης εὐπορίστου, συνθεῖναι δυνήσεσθε φάρμακον ἐπιτήδειον. οὐ μόνον δὲ εἰς τοῦτο χρήσιμόν ἐστι, μεμνῆσθαι τῶν προειρημένων, ἀλλὰ καὶ πρὸς τὴν τῶν εὑρημένων ἐπιτήδειον χρῆσιν. ἐὰν μὲν γὰρ ἐπικρατοῦσαν ἐν αὐτοῖς εὑρίσκητε τὴν στυπτικὴν ποιότητα, κατ᾽ ἀρχὰς χρῆσθαι προσήκει. ἐὰν δὲ τὴν παρηγορικήν τε, καὶ χαλαστικὴν, καὶ πεπτικὴν, ἐν ταῖς ὀδύναις τε, καὶ ἀκμαῖς τῶν φλεγμονῶν. ἐὰν δὲ σκιρρούμενόν τι, καὶ δύσλυτον ὑπολείπηται τῆς φλεγμονῆς, ἐν ταῖς παρακμαῖς διαφορητικήν. οὕτω δὲ κἂν τοῖς μεταξὺ B καιροῖς, τὰ μεταξὺ τῶν εἰρημένων φαρμάκων προσοίσετε φάρμακα, μεταβαίνοντες ἀπὸ τῶν ἀποκρουστικῶν, ἐπὶ τὰ διαφορητικὰ κατὰ βραχύ. κἂν μὲν ἓν φάρμακον ὑμῖν ὑπάρχον ᾖ, ἐκλύοντες μὲν αὐτὸ, μίξει μελικράτου τε καὶ ὕδατος, ἐπιτείνοντες δὲ διὰ τῆς τῶν εὐπορίστων ἐπιμιξίας. ἔστι δὲ εὐπόριστα μὲν τῶν στυφόντων ῥόδα καὶ μύρτα, καὶ μυρσίνη, καὶ σχῖνος, καὶ βάτος, καὶ κυνόσβατος, καὶ κηκὶς ἡ ὀμφακῖτις ὀνομαζομένη, καὶ ὁ τῆς Αἰγυπτίας ἀκάνθης καρπὸς, αἵ τε στυπτηρίαι πᾶσαι. ἐφεξῆς δὲ αὐτῶν εὐπόριστα, ῥοῦς ὁ ἐπὶ τὰ ὄψα, καὶ ὁ τῶν βυρσοδεψικῶν, καὶ ὁ χυλὸς, ὃς ἀπὸ τῆς Συ- C ρίας κομίζεται. οὗτος μὲν οὖν, αὐτὸς καθ᾽ ἑαυτὸν μίγνυται. ὁ δὲ τῶν σκυτοδεψῶν, καὶ ὁ ἐπὶ τὰ ὄψα, προαφεψηθέντες ὕδατι, τοῦτο παρέχουσιν εὔχρηστον εἰς τὴν μίξιν. ἔστι δὲ ἐκ τῶν εὐπορίστων, καὶ γλαύκιον, καὶ ὀμφάκιον, καὶ κύτινοι, καὶ βαλαύστια. ἐκ δὲ τῶν διαφορούντων, εὐπόριστα, μέτρια μὲν ἰσχάδων ἀφέψημα, καὶ πιτύρων, καὶ μελίκρατον ἐναφεψημένης ὀριγάνου, καὶ ὑσσώπου, ἢ θύμου, ἢ καλαμίνθης, ἢ γλήχωνος, ἢ τῆς εὐώδους μίνθης, ἣν ἡδύοσμον ὀνομάζουσιν. ἰσχυρότερα δὲ καὶ ταῦτα μὲν ἐπὶ πλεῖον ἑψημένα, καὶ νίτρου δὲ ἀφρὸς, ἢ καὶ αὐτὸ κε- D καυμένον, ἰσχυρότερον δὲ τούτων ἐστὶ τὸ θεῖον ἄπυρον.

eorum, quæ experimento constant, medicamentorum copia non sit, ex parabili illius loci materia, vos ipsi ex tempore aptum medicamentum componere poteritis. Non solùm autem in hanc rem vtilis fuerit prædictorum memoria, sed etiam ad iam inuentorum conuenientem vsum. Si enim in ipsis astringentem qualitatem præualere inueneritis, in principiis eis vtemini; si verò mitigatoriam, & laxatoriam, ac concoctoriam, in doloribus, & vigoribus inflammationum; si verò obduratum quippiam, & ægrè solubile inflammationis relinquatur, in declinationibus. Eodem modo etiam in mediis temporibus, media relatorum medicamentorum offeretis medicamenta, à repulsoriis ad discussoria paulatim transeundo, atque si vnum duntaxat vobis præsto sit medicamentum, id ipsum per aquæ simplicis mixturam exoluentes, & per additionem parabilium intensius reddentes. Sunt autem parabilia ex astringentibus rosæ, myrti baccæ, & myrtus, & lentiscus, & rubus caninus, & galla omphacitis appellata, & ægyptiæ spinæ fructus, omniáque aluminis genera. Post hæc parabilia sunt rhus culinarius, & coriarius, & succus, qui ex Syria affertur; atque hic quidem per se admiscetur, culinarius autem, & coriarius rhus aqua prius decocti, vtiles mixturæ fiunt. Est autem glaucium ex parabilibus, & omphacium, & cytini, & balaustia. Ex discussoriis autem parabilia moderata sunt caricarum, & furfurum decoctum; & aqua mulsa, in qua origanum, aut hyssopum, aut thymus, aut calamintha, aut pulegium, aut mentha odora, quam hedyosmum vocant, sint incocta. Fortiora autem sunt, etiam hæc, si diutius coquantur; amplius autem, & nitri spuma, aut ipsum adeo nitrum vstum: fortius verò his est sulfur viuum.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Στοματικῶν φαρμάκων σύνθεσις, ἐν οἷς καὶ διὰ μόρων κατὰ τὸν Ἡραν.

Καλεῖται μὲν ἰδίως στοματικὰ, τὰ πρὸς σταφυλὰς παρίσθμια, καὶ πάσας τὰς ἐν τῷ στόματι γινομένας ἐξαίφνης φλεγμονὰς ἁρμόττοντα. συντίθεται δὲ διὰ τῆς προειρημένης ὕλης, ἧς αἱ κατὰ μέρος συνθέσεις πάμπολλαι E τετυχήκασι γεγενημέναι τοῖς ἰατροῖς, ἐγὼ δὲ κἀνταῦθα τῶν ἐνδόξων μνημονεύσω.

Σύνθεσις τοῦ διὰ μόρων, ὡς Ἡρας.

Τὸ διὰ τῶν μόρων φάρμακον στοματικὸν, ποιοῦν πρός τε παρίσθμια, καὶ σταφυλὰς, καὶ τὰς ἄλλας τὰς ἐν τῷ στόματι φλεγμονὰς, διαχριόμενόν τε καὶ ἀνακογχυλιζόμενον, ὡς προείρηται. σκευάζει δὲ αὐτὸ ὁ μὲν Ἡρας οὕτω. ℞. μόρων χυλοῦ κοτύλας ϛ'. ἕψε ὡς γλοιοῦ πάχος ἔχειν, εἶτα προσέμιξον λεῖα, κρόκου <. α'. σμύρνης <. β'. ὀμφακίου <. α'. σχιστῆς τριώβολον, μέλιτος F κοτύλην α'. αὐτὸς δὲ φησιν ὁ Ἡρας, καὶ ἑτέρως σκευάζειν αὐτὸ κατὰ τόνδε τὸν τρόπον. κρόκου <. τὸ ἥμισυ ἐπεμβαλλομένης καὶ γλυκέος κοτύλης μιᾶς, καὶ οἴνου ἀθαλάσσου αὐστηροῦ, κοτύλης μιᾶς, ἡ δὲ ἕψησις μέχρι μελιτώδους συστάσεως.

CAPVT VI.

Stomaticorum medicamentorum compositio, in quibus etiam, quæ ex moris constat, Heræ.

PRopriè quidem Stomatica appellantur, quæ ad vuas, tonsillas, ac omnes, quæ in ore fiunt derepente inflammationes, conueniunt, componuntur autem per prædictam materiam, ex qua sanè multæ particulares compositiones à medicis sunt confectæ. Ego verò etiam hîc celebrium tantùm mentionem faciam.

Compositio medicamenti ex moris iuxta Heram.

Medicamentum ex moris stomaticum, faciens ad tonsillas, & vuas, atque alias in ore inflammationes, tum illitum, tum gargarissatum, velut prædictum est. Præparat autem ipsum Heras hoc modo. ℞. succi mororum heminas vi. ad strigmentitiam spissitudinem coquito; deinde tritas croci ʒ. i. myrrhæ ʒ. ii. omphacii ʒ. i. aluminis scissi obol. iii. mellis heminam vnam addito. Ipse autem Heras se etiam aliter præparare ipsum ait, hoc modo, vt croci drachma dimidia iniiciatur, & passi hemina vna, & vini maris expertis austeri hemina vna. Coctio autem fit vsque ad compagem melleam.

Andromachi descriptio medicamenti ex moris.

Andromachus autem de medicamento ex moris in hæc verba scripsit; ℞ succi mororum heminas. vi. accipito, & in ipsum gallas. v. coniicito, radicis autem dulcis ʒ. xx. vini Chii heminam i. & insolato; aut coquito; deinde vbi coactum, & spissatum fuerit medicamẽtum, radices tollito, ac proiicito; gallas autem tritas admisceto, & myrrhæ ʒ. i. croci ʒ. i. aluminis scissi ʒ. j. omphacii ʒ. ii. quidam autem aluminis ʒ. ii. mellis Attici heminam vnam. Manifestum autem est, quod hoc medicamentum magis astrictorium est, quàm præscriptum, maximè si alumen adsumat. Sufficientes enim erant gallæ, & omphacium, vt multum astringens redderent medicamentum, verùm vbi alumen amplius additur, plurimum in ipso astrictoria vis augetur. Rectè tamen in eius confectionem admixta est dulcis radix, quæ exasperata lenit, & propterea asperitatem ex astringentibus inductam lenire potest. Cæterùm pro mororum succo coniicitur etiam mororum rubi succus, aliis quomodocunque velis appositis, siue vt Heras, siue vt Andromachus scripsit. Relatum autem à me antea est, quomodo liceat ipsum variare, per eorum, quæ adiiciuntur, admixtionem. Dictum est etiam, quòd per succum nucum componi queat hoc medicamentum, reliquis eodem modo iniectis. Quin, & per punicorum malorum succum similiter præparatur, tum succo solo cum melle præparato, tum iam dictis iniectis. Sic verò, & rubi fructus cum melle confectus sufficienter astringens fit medicamentum, quemadmodum sanè, & quod ex nucum succo paratur; veluti priùs est dictum. At verò etiam varia compositione medicamenta ex punicorum succo à medicis conscripta sunt, velut etiam ab Andromacho his verbis.

Andromachi Stomaticum ex malis punicis.

℞. punicorum dulcium nucleis carentium partes ii. & acidorum partem i. succi in æneum vas congii mensuram exprimito; deinde excolatum ad lentum ignem ad tertias coquito. Sint autem læuigatæ myrrhæ Amineæ ʒ. viii. crocomagmatis ʒ. viii. omphacii ʒ. viii. Illyridis ʒ. viii. aluminis ʒ. iv. gallæ ʒ. viii. vbi solueris, hæc per liquoris affusionem læuigato, & ad melleam spissitudinem coquito; rursus per proiectionem in pilam læuigato; ac vtitor, quandoque cum melle, quandoque syncero. Hic non simul coquit mel cum punicorum malorum succo, sed postea quum paratum est, dupliciter medicamento vti iubet, aliquando quidem syncero, ad inflammationes videlicet astrictionis indigas: aliquando verò cum melle, quum discussione indigent. Multitudinem autem succi congium esse iubet, hoc est sextarios sex Romanos. Quum enim Romæ medicinam fecerit, semper eius vrbis mensuris vtitur. Iniicit autem in ipsum myrrham, & crocomagma, & gallam & iridem Illyricam, ipsam enim Illyrida appellare solet, amplius autem ad hæc omphacium; omnium quinque numero, singulorum ℥. i. octo enim drachmæ vnciam efficiunt; ex alumine verò scisso vnc. dimidiam. Scripsit porrò deinceps Andromachus etiam id, quod ex musto fit stomaticum, sic in hæc verba.

A

Ἀνδρομάχου τὸ διὰ μόρων φάρμακον.

Ἀνδρόμαχος δὲ, περὶ τοῦ διὰ μόρων φαρμάκου, κατὰ λέξιν οὕτω γράφει. ℞. Μόρων χυλοῦ κοτύλας ϛʹ. βαλὼν εἰς αὐτὸ κηκίδας εʹ. γλυκείας τε ῥίζης < κʹ. οἴνου χίου κοτύλην αʹ. ἡλίαζε, ἢ ἕψε. εἶθ' ὅταν συστραφῇ, ἄρας τὰς ῥίζας ῥίπτε, τὰς δὲ κηκίδας λειώσας, μίγνυε σμύρνης < αʹ. κρόκου < αʹ. σχιστῆς < αʹ. ὀμφακίου < βʹ. τινὲς δὲ καὶ στυπτηρίας < βʹ. μέλιτος Ἀττικοῦ κοτύλην μίαν. εὔδηλον δ' ὅτι τοῦτο τὸ φάρ-
B μακον, στυπτικώτερόν ἐστι τοῦ προγεγραμμένου, μάλιστα ἐὰν τὴν στυπτηρίαν προσλάβῃ. ἱκαναὶ μὲν γὰρ καὶ αἱ κηκίδες, καὶ τὸ ὀμφάκιον στυπτικώτερον ἱκανῶς ἀποτελεῖν αὐτό, τῆς στυπτηρίας δὲ προστεθείσης, ἐπιπλέον αὐξηθήσεται τὰ τῆς στυπτικῆς δυνάμεως αὐτοῦ. καλῶς μέντοι μέμικται κατὰ τὴν σκευασίαν ἡ γλυκεῖα ῥίζα, πραϋντικὴ τραχυτήτων ὑπάρχουσα, καὶ κατὰ τοῦτο τὴν ἐκ τῶν στυφόντων τραχύτητα παρηγορεῖν δυναμένη. ἀντὶ δὲ τοῦ τῶν μόρων χυλοῦ, βάλλεται καὶ ὁ τῶν βατίνων ὀνομαζομένων χυλὸς, τῶν ἄλλων, ὅπως ἂν ἐθέλῃς, προστιθεμένων, εἴθ' ὡς Ἡρᾶς, εἴθ' ὡς Ἀνδρόμαχος ἔγραψεν. εἴρηται δ' ὑπ' ἐμοῦ πρόσθεν, ὅπως
C ἐνδέχεται ποικίλλειν αὐτὸ τῇ τῶν ἐπιβαλλομένων ἐπιμιξίᾳ. λέλεκται δ' ὅτι καὶ διὰ τοῦ χυλοῦ τῶν καρύων, τῶν ἄλλων ὁμοίως ἐμβαλλομένων, συντίθεσθαι δύναται τὸ φάρμακον, ἀλλὰ καὶ διὰ ῥοιῶν χυλοῦ παραπλησίως σκευάζεται, καὶ μόνου τοῦ χυλοῦ μετὰ μέλιτος σκευαζομένου, καὶ τῶν ἄρτι λελεγμένων ἐπεμβαλλομένων. οὕτω δὲ καὶ ὁ τῶν βάτων καρπὸς, μετὰ μέλιτος σκευασθεὶς, αὐτάρκως στῦφον γίγνεται φάρμακον, ὥσπερ γε καὶ ὁ διὰ τοῦ χυλοῦ τῶν καρύων, καθότι πρόσθεν εἴρηται. ἀλλὰ καὶ ποικίλα τῇ συνθέσει φάρμακα,
D διὰ ῥοιῶν χυλοῦ γέγραπται τοῖς ἰατροῖς, ὥσπερ καὶ τῷ Ἀνδρομάχῳ, κατὰ τήνδε τὴν λέξιν.

Τὸ διὰ τῶν ῥοιῶν στοματικὸν, Ἀνδρομάχου.

℞. Ῥοιῶν ἀπυρήνων γλυκειῶν μέρη δύο, καὶ ὀξειῶν μέρος αʹ. ἔκθλιβε τὸν χυλὸν εἰς ἄγγος χάλκεον, ὥστε ἔχειν χόα αʹ. εἶτα διϋλίσας, ἕψε ἐπὶ πυρὸς μαλακοῦ, ἕως λειφθῇ τὸ γʹ. ἔστω δὲ λείας σμύρνης ἀμιναίας < ηʹ. κροκομάγματος < ηʹ. ὀμφακίου < ηʹ. Ἰλλυρίδος < ηʹ. στυπτηρίας < δʹ, κηκίδος < ηʹ. τούτοις παραχέας ὑγρὸν λέαινε, καὶ ἕψε ὡς
E μέλιτος πάχος ἔχειν, εἶτα κατεράσας εἰς θυΐαν λέαινε, καὶ χρῶ, ὁτὲ μὲν σὺν μέλιτι, ὁτὲ δὲ ἀκράτῳ. οὗτος οὐ συνέψει τὸ μέλι τῷ χυλῷ τῶν ῥοιῶν, ἀλλ' ὕστερον ὅταν σκευασθῇ χρῆσθαι κελεύει διττῷ φαρμάκῳ, ποτὲ μὲν ἀκράτῳ, πρὸς τὰς δηλονότι στύψεως δεομένας φλεγμονὰς, ποτὲ δὲ καὶ μετὰ μέλιτος, ὅταν καὶ διαφορεῖσθαι δέωνται. τὸ πλῆθος δὲ τοῦ χυλοῦ χοέως εἶναι κελεύει, τουτέστι ξε. ϛʹ. τῶν Ῥωμαϊκῶν ξεστῶν. ἐν Ῥώμῃ γὰρ ἰατρεύσας, τοῖς πᾶσι πόλεως ταύτης χρῆται μέτροις. ἐπεμβάλλει δὲ αὐτοῖς, σμύρνης μὲν, καὶ κροκομάγματος, καὶ κηκίδος, καὶ ἴρεως Ἰλλυρικῆς,
F Ἰλλυρίδα γὰρ αὐτὴν εἴωθεν ὀνομάζειν. ἔτι δὲ πρὸς τούτοις καὶ ὀμφακίου, τῶν πέντε ἀνὰ Γο αʹ. αἱ γὰρ ὀκτὼ δραχμαὶ οὕτω δύνανται. τῆς δὲ στυπτηρίας τῆς σχιστῆς, ἡμιούγγιον. ἔγραψε δὲ ἐφεξῆς ὁ Ἀνδρόμαχος, καὶ τὸ διὰ τοῦ γλεύκους στοματικὸν φάρμακον, ὧδέ πως κατὰ λέξιν γράφων.

Ἀνδρομάχου στοματικὸν διὰ γλεύκους, ᾧ χρῶμαι.

A ℞. Κηκῖδας λ΄. ῥοὸς βυρσοδεψικοῦ ξε. β΄. γλεύκους ξε. ϛ΄. τὰς κηκῖδας θλάσας, ἔμβρεξον σὺν τῷ ῥοΐ, ἡμέραν καὶ νύκτα ἐν τῷ γλεύκει, εἶτα ἕψε ἕως ἂν γένηται τὸ τέταρτον τοῦ παντὸς, καὶ διηθήσας δι' ὀθονίου, καὶ ἐκθλίψας, σύστρεφον ἐν λοπάδι, ἕως ἂν μελιτῶδες γένηται, εἶτα λεῖα πρόσβαλλε στυπτηρίας σχιστῆς < α΄. κρόκου < α΄. σμύρνης < α΄. συμμίξας, ἀπόθου καὶ χρῶ. οὐδὲν περὶ τοῦ γλεύκους ἐδήλωσεν, ἐξ ὁποίας αὐτὸ σταφυλῆς βούλεται λαμβάνεσθαι, πότερον τῆς τὸν αὐστηρὸν οἶνον γεννώσης, ἢ τὸν γλυκὺν, ἢ τὸν μέσον. ἡμᾶς οὖν χρὴ γινώσκειν, ὅτι τὸ μὲν διὰ τοῦ γλυκέος σκευασθὲν B φάρμακον, παρηγορικώτερόν τε, καὶ μέτριον ἔσται, καὶ ἧττον δραστικὸν, ἐφ' ὧν δὲ χρὴ στύψει χρῆσθαι σφοδροτέρᾳ, διὰ τῶν στρυφνῶν οἴνων σκευασθὲν, σφοδρότερον μὲν στύφει, τὸ πραΰνειν δ' οὐκ ἔχει. δῆλον δ' ὅτι καὶ τὸ διὰ τοῦ μέσου τούτων σκευασθὲν, τὴν μέσην ἔχει δύναμιν.

Andromachi Stomaticum ex musto, quo vtor.

℞. Gallas triginta, rhois coriarij sextarios ii. musti sextar. vi. gallas confractas cum rhoe per diem, & noctem in musto macerato; deinde coquito, donec ex toto quarta pars supersit; & per linteolum colato, exprimito, & in olla ad mellis crassitudinem spissato; deinde trita addito, aluminis scissi ʒ. i. croci ʒ. i. myrrhæ ʒ. i. permixta reponito, atque vtitor. De musto nihil manifestè retulit, ex quali vua ipsum sumi velit, num ea, quæ austerum vinum fundit, an quæ dulce, an quæ medium. Nos igitur nosse oportet, quòd medicamentum ex dulci confectum magis mitigatorium, & moderatum erit, ac minus efficax. In quibus autem opus est vti vehementiore astrictione, id quod ex acerbis vinis fieret, vehementius quidem astringit, leniendi autem vim non habet. Palàm est autem ex medio vino paratum, etiam mediam facultatem habere.

Κρίτωνος στοματικὴ ἡ διὰ ῥοιῶν.

Κρίτων δὲ, τὸ διὰ τοῦ χυλοῦ τῶν ῥοιῶν φάρμακον οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασιν. στοματικὴ ἡ διὰ ῥοιῶν πρὸς ἕλκη, καὶ τὰ ἀφθώδη. ℞. ῥοιῶν γλυκειῶν χυλοῦ κοτύλας ϛ΄. ἕψε C ἐν χαλκῷ ἀγγείῳ εἰς τὸ γ΄. εἶτα λείου κινναμώμου < α΄. κασίας < α΄. σμύρνης < α΄. ὀμφακίου τριώβολον, κρόκου τριώβολον, νάρδου Ἰνδικῆς τριώβολον, τούτοις πρόσμιγε μέλιτος κοτύλην μίαν, καὶ οὕτω προσεμβαλὼν τὸν χυλὸν, ἐπὶ μαλθακοῦ πυρὸς κινῶν, ἕψε ἕως συστραφῇ, καὶ χρῶ. γράφει δὲ καὶ ἄλλην σύνθεσιν τοῦ διὰ ῥοιῶν φαρμάκου τοιαύτην ἐφεξῆς. ℞. ῥοιῶν γλυκειῶν σὺν τοῖς λεπύροις τεθλασμένων, καὶ ἐκπεπιεσμένων ξε. ἕξ. μέλιτος καλοῦ ξε. α΄. βαλὼν εἰς χύτραν ἕψε, ἕως ἂν μέλιτος σχῇ πάχος, εἶτα D σχιστῆς ℥ α΄. σμύρνης ℥ S΄. λεῖα ποιήσας ἔμβαλλε, καὶ μίξας χρῶ. στυπτικώτερον δηλονότι τοῦτο τὸ φάρμακον ὁ Κρίτων ἔγραψε τοῦ πρὸ αὐτοῦ. γελοίως οὖν τινες ποιοῦσιν, ἐρωτῶντες, πότερόν ἐστιν αὐτῶν κρεῖττον θατέρου, ἑκάτερον γὰρ, ἐν ἰδίῳ καιρῷ κρεῖττόν ἐστι θατέρου. πρὸς μὲν τὰ σφοδροτέρας στύψεως δεόμενα, τοῦτο τὸ δεύτερον, πρὸς δὲ τὰ διαφορήσεως, τὸ πρότερον μάλιστα διότι καὶ τὸ κιννάμωμον ἐνέβαλλεν αὐτῷ, διαφορητικὸν φάρμακον. ἔγραψε δὲ καὶ τὸ διὰ γλεύκους ὁ Κρίτων ὡδί πως.

Critonis Stomaticum ex malis punicis.

Crito medicamentum ex succo punicorum his verbis descripsit. *Stomaticum ex punicis ad vlcera, & aphthas oris.* ℞. Succi punicorum dulcium heminas sex, in æreo vase ad tertias coquito; deinde cinnamomi ʒ. i. cassiæ ʒ. j. myrrhæ ʒ. i. omphacij obolos tres, croci obolos tres, nardi Indicæ obol. iiii. terito, eisque mellis heminam i. admisceto; atque ita adinfuso succo, ad lentum ignem moueto; ac donec spissetur, coquito, ac vtitor. Scribit autem & aliam compositionem medicamenti ex punicis huiusmodi. ℞. Malorum punicorum dulcium vnà cum corticibus tusorum, ac expressorum sextarios vi. mellis boni sextarium j. in ollam coniecta coquito ad spissitudinem mellis, deinde aluminis scissi ℥. j. myrrhæ ℥. ß. terito, addito ac mixtis vtitor. Magis astringens scripsit certè hoc medicamentum Crito, quàm præcedens. Ridiculè igitur quidam faciunt interrogantes, vtrum ipsorum altero melius sit, alterutrum enim in proprio tempore, altero melius est; atque hoc quidem posterius ad ea, quæ vehementi astrictione indigent, ad ea verò, quæ discussione, prius, maximè quum, & cinnamomum iniecerit in ipsum; discussorium medicamentum. Scripsit autem & ex musto medicamentum Crito hoc modo.

Κρίτωνος στοματικὴ ἡ διὰ τοῦ γλεύκους. E

Στοματικὴ ἡ διὰ τοῦ γλεύκους, ποιεῖ καὶ πρὸς τὰ ἐν ὠσὶ, καὶ ἐν ἕδρᾳ. ℞. γλεύκους ξε. ἕξ. ἕψε μέχρι ξε. β΄. εἶτα μίξον ῥοὸς βυρσοδεψικῆς < δ΄. οἱ δὲ < β΄. καὶ κηκίδων < δ΄. οἱ δὲ καὶ κηκῖδας λ΄. κρόκου < β΄. οἱ δὲ < α΄. στυπτηρίας σχιστῆς < β΄. τινὲς δὲ σμύρνης < α΄. μέλιτος ξε. α΄. μίξας χρῶ. πολλὰ δὲ καὶ ἄλλα φάρμακα, διὰ τῶν εἰρημένων χυλῶν γέγραπται πολλοῖς τῶν ἰατρῶν, πεποικιλμένα ταῖς συμμετρίαις, ἐνίων μὲν ἅπαντα βαλλόντων τὰ προειρημένα, τινῶν δὲ, καὶ ἀφαιρούντων ἄλλων ἄλλο, καὶ τῶν μὲν πλέον, τῶν δὲ ἔλαττον βαλλόντων, ἐφ' ὧν, ὡς εἶπον, ἐπισκοπεῖσθαι χρὴ, τί τὸ πλεο- F νάζον ἐστὶ, πότερον τὸ στυπτικόν τε, καὶ ἀποκρουστικὸν, ἢ τὸ παρηγορικόν τε, καὶ πεπτικὸν, ἢ τὸ διαφορητικόν. οὕτω γὰρ ἂν ἔσται καλῶς αὐτοῖς χρῆσθαι. διὸ καὶ καταλείψω τὰς κατὰ μέρος τῶν γεγραφότων διαφορὰς, ἐφ' ἕτερα δὲ φάρμακα μεταβήσομαι, χωρὶς τῶν εἰρημένων χυλῶν σκευαζόμενα.

Critonis Stomaticum ex Musto.

Stomaticum ex Musto, facit & ad aurium, & sedis vlcera. ℞. Musti sextarios sex, ad sextarios ii. decoquito; deinde rhois coriarij ʒ. iiii. alii ʒ. ii. misceto; & gallarum ʒ. iiii. alii verò gallas triginta; croci ʒ. ii. alij ʒ. j. aluminis scissi ʒ. ii. quidam etiam myrrhæ ʒ. j. mellis sextarium j. mixtis vtitor. Multa verò alia medicamenta ex prædictis succis à multis medicis scripta sunt, iuxta commensurationem variantia, quum aliqui quidem omnia prædicta coniiciant, quidam verò auferant, alius aliud; & alius plus, alius minus. In quibus, velut dixi, inspicere oportet quid redundet, an astringens, & repulsorium, aut lenitiuum, & concoctorium, aut discussorium; ita enim rectissimè ipsis vtemur. Quare relinquam particulares eorum, quæ scripserunt, differentias; Transibo autem ad alia medicamenta citra hos succos præparata.

Stomatica

A

Stomatica medicamenta citra succos composita, ex aceto, & gallis.

Stomaticum medicamentum scripsit tum Andromachus, tum Crito, eandem habens symmetriam. Sufficiet itaque descriptionem Andromachi referre hoc modo habentem his verbis. *Stomaticum Aristoclis ad anginas, & reliquas in ore affectiones. Hac & Antipater usus est.* ℞. gallas numero xxx. aceti albi sesquicyathum, alij cyathos ix. myrrhæ ʒ. viij. nardi Indicæ ʒ. i. rhois culinarij sesquicyathum, alii cyathos ix. aluminis scissi ʒ. i. piperis grana viginti: mellis Attici cyathos ii. alii sesquicyathum. Coquuntur gallæ in aceto donec flaccescant, deinde tritæ melli miscentur tempore vsus. Quidam etiam seminis mandragoræ ℥. i. addunt. Hæc quidem Andromachus scripsit. Fortassis autem dubitauerit quispiam, propter quid, quum scripsisset, aceti sesquicyathum, mox ascripserit, alii cyathos ix. multum enim mensura altera alteram excedit; quemadmodum etiam rursus quum ait, rhois culinarii sesquicyathum, alii cyathos ix. Sigillatim itaque vtrunque expensum dubitationem affert; si verò inter se complicentur, conuenienter scripta sunt. Si etenim cyathos ix. iniecerimus, iniiciemus etiam rhois culinarii eosdem ix. cyathos; si verò aceti sesquicyathum, sufficiet etiam rhois culinarii sesquicyathus. Quare in medicamento plus aceti habente, diuturnior coctio facienda est; in minus habente, breuior; præstat autem diutius fieri coctionem, ita enim gallæ molles reddentur. Conspicuum verò est, generosum esse hoc medicamentum ex contrariis compositum; gallæ enim, & acetum, & rhus, magis astringentia sunt, & maximè repellunt: valdè autem discussorium est piper, sed mixtæ facultatis est nardus. Myrrha verò discussoriam habet vim, sed & lenem, ac mitigatoriam vnà cum hoc, quòd etiam concoquit. Discussoriæ facultatis est etiam mel, sed citra mordacitatem earum affectionum, quæ in ore fiunt, quum in oculis mordax existat. Verùm de aceti viribus iam sæpe mentionem fecimus, quòd & incidit, & discutit, & repellit. Album autem in descriptione addidit, vt videlicet tenuium partium indicet. Quidam verò tum aceti quinque cyathos, tum rhois eosdem iniiciunt, medium quodammodo apprehendentes inter eos, qui plurimum, & qui minimum, de vtroque coniiciunt. Manifestum igitur est eos medium quoque medicamentum iuxta facultatem præparare, quemadmodum symmetria ipsa media existit.

Stomatica illitio ex semine rutæ syluestris. Celebre est & hoc medicamentum ab Andromacho hac verborum serie descriptum.

Stomaticum ad anginas ex besasa, faciens ad desperata, quo vtor. ℞. seminis anisi, seminis apii, seminis ammii, schœnanthi, aluminis scissi, iridis Illyricæ, besasa, quod aliqui harmala vocant, cinnamomi, myrrhæ troglodyticæ, aristolochiæ longæ, singulorum ℥. i. cassiæ, rosarum siccarum, vtriusque ℥. i. crocomagmatis ℥. i. costi, cineris hirundinum recentis, vtriusque quadrantem, croci sesquiunciam; nardi Indicæ, amomi, vtriusque ℥. dimidium: gallas viii. tritis cum melle vtere. Verùm vsus tempore tandem mel adde.

Τὰ χωρὶς χυλῶν συντιθέμενα στοματικὰ φάρμακα, δι' ὄξους, καὶ κηκίδων.

Στοματικὸν φάρμακον ἔγραψεν ὅ, τε Ἀνδρόμαχος, καὶ ὁ Κρίτων, τὴν αὐτὴν συμμετρίαν ἔχον. ἀρκέσει τοίνυν τὴν γραφὴν εἰπεῖν Ἀνδρομάχου ὧδέ πως ἐχουσαν αὐτοῖς ὀνόμασιν. στοματικὴ Ἀριστοκλέους πρὸς συνάγχας, καὶ τὰ λοιπὰ τὰ ἐν τῷ στόματι, ταύτῃ καὶ Ἀντίπατρος ἐχρήσατο. ℞. κηκίδας ἀριθμῷ λ'. ὄξους λευκοῦ κύαθον α'. S'. οἱ δὲ κυάθους θ'. σμύρνης <. η'. νάρδου Ἰνδικῆς <. α'. ῥοῦ τῆς ἐπὶ τὰ ὄψα, κύαθον α'. S'. οἱ δὲ κυάθους θ'. στυπτηρίας σχιστῆς <. α'. πεπέρεως κόκκους κ'. μέλιτος Ἀττικοῦ κυάθους β'. οἱ δὲ κύαθον α'. S'. ἕψονται δ' αἱ κηκίδες ἐν τῷ ὄξει, ἕως ἂν ἁπαλαὶ γένωνται, καὶ λεανθεῖσαι μίγνυνται τῷ μέλιτι ἐπὶ τῆς χρήσεως, τινὲς δὲ καὶ μανδραγόρου σπέρματος ſο α'. ταῦτα μὲν ὁ Ἀνδρόμαχος ἔγραψε, τάχα δ' ἄν τις ἀπορήσειε, διὰ τί γράψας ὄξους κύαθον ἕνα S'. προσέγραψεν, οἱ δὲ κυάθους θ'. παρὰ πολὺ γὰρ, ἡ συμμετρία τῆς συμμετρίας ὑπερέχει, καθάπερ γε πάλιν κἂν τῷ φάναι, ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα, κύαθον α'. S'. οἱ δὲ κυάθους θ'. κατὰ μόνας μὲν ἐξεταζόμενον ἑκάτερον ἀπορίαν ἔχει, πρὸς ἄλληλα δὲ συμπλεκόμενα, προσηκόντως γέγραπται. ἐὰν μὲν γὰρ κυάθους θ'. ἐμβάλλωμεν τοῦ ὄξους, ἐμβαλοῦμεν καὶ τοῦ ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα, τοὺς αὐτοὺς θ'. ἐὰν δὲ κύαθον α'. S'. τοῦ ὄξους, ἀρκέσει καὶ τοῦ ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα, κύαθος α'. S'. ὥστε, ἐπὶ μὲν τοῦ πλέον ἔχοντος ὄξους φαρμάκου, τὴν ἕψησιν ἐπὶ πλέον γίνεσθαι, ἐπὶ δὲ τοῦ ἔλαττον, ἐπ' ὀλίγον. ἄμεινον δὲ πολλῷ τὸ ἐπὶ πλέον, οὕτω γὰρ καὶ αἱ κηκίδες ἔσονται μαλακαί. εὔδηλον δ' ὅτι γενναῖόν ἐστι τὸ φάρμακον, ἐξ ἐναντίων συγκείμενον. αἱ μὲν γὰρ κηκίδες, καὶ τὸ ὄξος, καὶ ὁ ῥοῦς στυπτικώτερα ἐστι, καὶ ἀποκρουστικώτατα, διαφορητικώτατον δέ ἐστι τὸ πέπερι, μικτῆς δυνάμεως ἡ νάρδος, ἡ σμύρνη δὲ διαφορητικῆς μὲν, ἀλλ' ἀδήκτου, καὶ παρηγορικῆς μετὰ τοῦ συμπέττειν. διαφορητικῆς δὲ καὶ τὸ μέλι δυνάμεώς ἐστιν, ἀλλὰ χωρὶς τοῦ δάκνειν τὰ ἐν τῷ στόματι, ἐπεὶ τοῖς ὀφθαλμοῖς δακνῶδές ἐστιν. περὶ δὲ τῆς τοῦ ὄξους δυνάμεως, ἤδη πολλάκις ἀνεμνήσαμεν, ὡς καὶ τέμνει, καὶ διαφορεῖ, καὶ ἀποκρούεται. τὸ δὲ λευκὸν πρόσκειται κατὰ τὴν γραφὴν ἵνα λεπτομερὲς ᾖ. ἔνιοι δὲ καὶ τοῦ ὄξους πέντε κυάθους, καὶ τοῦ ῥοῦ τοὺς αὐτοὺς ἐμβάλλουσιν, μεταξύ πως ἱστάμενοι τῶν τε τὸ πλεῖστον ἐμβαλλόντων, καὶ τῶν τὸ ἐλάχιστον ἑκατέρου. δῆλον οὖν ὅτι μέσον ἐκείνων τῇ δυνάμει τὸ φάρμακον παρασκευάζουσιν, ὥσπερ καὶ τῇ συμμετρίᾳ.

Η διὰ τοῦ βήσασα στοματικὴ διάχριστος. ἔνδοξον δὲ καὶ τοῦτό ἐστι τὸ φάρμακον, ὑπὸ μὲν Ἀνδρομάχου κατὰ λέξιν οὕτω γεγραμμένον.

Στοματικὸν πρὸς συνάγχας ἡ διὰ βήσασα, πρὸς τὰ ἀπηλπισμένα ποιοῦσα, ᾗ χρῶμαι. ℞. ἀνίσου σπέρματος, σελίνου σπέρματος, ἄμμεως σπέρματος, σχοίνου ἄνθους, στυπτηρίας σχιστῆς, Ἰλλυρικῆς ἴρεως, βήσασα, ὅ τινες ἅρμαλα καλοῦσι, κινναμώμου, σμύρνης τρωγλοδυτικῆς, ἀριστολοχίας μακρᾶς, ἀνὰ ſο α'. κασσίας, ῥόδων ξηρῶν ἀνὰ ſο α'. κροκομάγματος ſο α'. κόστου, χελιδόνων σποδοῦ προσφάτου, ἀνὰ ſο γ'. κρόκου ſο α'. S'. νάρδου Ἰνδικῆς, ἀμώμου, ἀνὰ ſο S'. κηκίδας η'. λείοις σὺν μέλιτι χρῶ, ἐπὶ δὲ τῆς χρείας, ἄνιε μέλιτι.

τοῦτο δὲ αὐτὸ τὸ φάρμακον, καὶ ὁ Ηρας ἔγραψεν ὀλίγου δεῖν A ἀπὸ ὡσαύτως, μόνα γὰρ ἀπήλλαξε τὰ τῶν ῥόδων, καὶ οὐκ αὐτὰ μᾶλλον, ἀλλὰ τὸ ἄνθος αὐτῶν, καὶ προσθεὶς ἐπὶ τέλει, τινὲς δὲ καὶ κασίας πυῤῥᾶς ʒ α΄. περὶ δὲ τῶν χελιδόνων, ἀμφότεροι γεγράφασιν ἀσαφῶς, καί τοι σαφῶς ἄλλων γεγραφότων, εἰ καὶ διαφωνοῦσιν ἀλλήλοις. οἱ μὲν γὰρ τὴν νεοττιὰν κελεύουσι καίειν, ἐκ τῶν ἀποπατημάτων μάλιστα τῶν χελιδόνων συγκειμένην, οἱ δὲ αὐτὰς τὰς χελιδόνας, οἱ δὲ τοὺς νεοττοὺς αὐτῶν. οὗτοι δὲ ἀσαφέστεροι ἔγραψαν, ὁ μὲν Ανδρόμαχος, χελιδόνων σποδοῦ προσφάτου, ἔδει δὲ προσθεῖναι, κεκαυμένων. τοιοῦτον γάρ τοι τὸ σποδοῦ δηλοῖ, πλὴν εἰ τὴν νεοττιὰν κελεύει λειοῦν. ὁ δὲ Ηρας, χελιδόνων τοῦ χέσματος, μὴ προσθεὶς μηδὲ αὐτὸς τὸ, κεκαυμένου. ἴσως οὖν οὐδέτερος βούλεται τὸ κεκαῦσθαι τὸν ἀπόπατον τῶν χελιδόνων, ὥσπερ ἄλλοι. ἐν τισὶ μέντοι τῶν ἀντιγράφων οὕτω διαγέγραπται. ℞. χελιδόνων τῶν ἁπαλῶν ʒ α΄. καθάπερ ἐν ἑτέροις χελιδόνων τῶν ἀπὸ δοκῶν. πρόδηλον δὴ ὅτι δριμὺ καὶ διαφορητικόν ἐστι τὸ φάρμακον, τὸ ἐκ τῶν χελιδόνων ἀποπάτημα, καθάπερ καὶ τὰ ἄλλα πάντα ἁπάντων τῶν ζώων, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον, ὥσπερ καὶ αὐτῶν τῶν ζώων καυθέντων ἡ τέφρα. εἴρηται δ᾽ ἡμῖν καὶ περὶ τοῦ βήσασα, κατὰ τὴν τῶν ἁπλῶν φαρμάκων πραγματείαν, ὡς ἔστι τῆς τρίτης τάξεως τῶν θερμαντικῶν, καὶ νῦν ὡς τοιοῦτον ἀναμέμικται τῷ προκειμένῳ φαρμάκῳ, τὰ πλεῖστα τῆς διαφορητικῆς δυνάμεως ἔχοντι, καθάπερ ἔνια τῶν ἄλλων στοματικῶν, τῆς στυπτικῆς τε καὶ ἀποκρουστικῆς. τά τε γὰρ εἰρημένα φάρμακα διαφορητικώτατα, καὶ πρὸς αὐτοῖς ἔτι τὸ κιννάμωμον ὑπὲρ ἅπαντα, λεπτομερῆ τε καὶ διαφορητικὴν ἔχον δύναμιν, ἀλλὰ καὶ τὰ σπέρματα τό, τε τοῦ ἀνίσου, καὶ τὸ τοῦ σελίνου, καὶ τὸ τοῦ ἄμμεως, διαφορητικά. καὶ ἡ ἶρις δέ, καὶ ἡ ἀριστολοχία, τῶν διαφορητικῶν ἐστιν, ὥσπερ καὶ ἡ σμύρνα. μικτῆς δὲ δυνάμεως, ἔκ τε τῆς διαφορητικῆς, καὶ τῆς στυπτικῆς, ἐστὶ κασία, καὶ κρόκος, καὶ νάρδος, καὶ ἄμωμος, καὶ κόστος. ἐπικρατεῖ δ᾽ ἐν αὐταῖς, ἡ θερμαντική τε, καὶ διαφορητική, καὶ μάλιστα ἐν τῷ κόστῳ. μικτῆς δ᾽ καὶ τὸ τοῦ σχοίνου ἄνθος, ἀλλ᾽ ἀσθενοῦς καθ᾽ ἑκάτερα, καὶ τὸ στύφειν, καὶ τὸ θερμαίνειν. αἱ δὲ κηκίδες, δῆλον δὴ ὅτι τὰς ὀμφακίτιδας λέγω, τῶν στυφόντων ἱκανῶς, εἰσὶ φαρμάκων, ὥσπερ καὶ ἡ σχιστὴ στυπτηρία. τὰ ῥόδα δ᾽ ἔμπαλιν, ἀσθενεστάτην ἔχει τὴν στύψιν. ἐξ ἐναντίων οὖν ταῖς δυνάμεσι σύγκειται τῶν κατὰ μέρος φαρμάκων, τὸ προκείμενον ἐν τῷ λόγῳ, καὶ οὐ μόνον γε ἐναντίων, ἀλλὰ καὶ ἰσχυρῶν ἑκατέρων, καὶ καθάπερ εἶπον ἔμπροσθεν, ἰσχυροτέρων πολὺ τῶν διαφορητικῶν, ἢ τῶν στυπτικῶν. ἐπεὶ δὲ τὴν σκευασίαν αὐτοῦ σαφῶς ἔγραψεν Ηρας, διὰ τοῦτο καὶ τὴν ἐκείνου λέξιν κοινῇ παραγράψω, τόνδε τὸν τρόπον ἔχουσαν.

Ηρα στοματικὴ διὰ τοῦ βήσασα.

Στοματικὴ ποιοῦσα πρὸς συνάγχας, καὶ φλεγμονὰς παρισθμίων, καὶ ἕλκη τὰ γινόμενα ἐν τῷ στόματι, ἁρμόζει δὲ καὶ στομαχικοῖς, καὶ δυσεντερικοῖς ἄκρως, ἐν ψυχρῷ διδομένη κυάμου μέγεθος, ἔστι δὲ καὶ ἀρτηριακὴ καλή, καὶ ἀνώδυνος. ℞. ἀνίσου ʒ α΄. ἄμμεως ʒ α΄. σελίνου σπέρματος ʒ α΄. κόστου ʒ α΄. S. σχοίνου ἄνθους ʒ α΄. κασίας ʒ α΄. ἴρεως Ιλλυρικῆς ʒ α΄. σχιστῆς ʒ α΄. κηκίδας ὀμφακίτιδας μέσας τῷ μεγέθει η΄. κροκομάγματος ʒ α΄. κρόκου ʒ α΄. S. σμύρνης ʒ S. ῥόδων ἄνθους ʒ β΄. ἀριστολοχίας μακρᾶς ʒ α΄. βήσασα σπέρματος ʒ α΄. κινναμώμου ʒ α΄.

A Hoc ipsum medicamentum etiam Heras scripsit, vt parum absit quo minus penitus idem sit; solas enim rosas variauit, & non ipsas coniicit, sed florem ipsarum, & ad finem addit; quidam etiam casiæ fuluæ ʒ. j. De hirundinibus autem ambo obscurè tradiderunt, quanquam alij clare scripserint nisi quòd inter ipsos non conuenit. Alij enim nidum vrere iubent, ex stercoribus hirundinum maximè compositum; alij ipsas hirundines; alij ipsarum pullos. Hi verò obscurius scripserunt; & Andromachus quidem, cineris hirundinum recentis, oportebat autem ipsum
B apponere vstarum; tale enim quiddam cineris vox significat, nisi dum ipsum terere, ac læuigare iubet; Heras autem, hirundinum recrementi, non apponens, vsti. Fortè igitur neuter vult comburi debere hirundinum recrementū, quemadmodum alij. In quibusdam tamen exemplaribus sic scriptum est. Hirundinum tenerarum ʒ. j. quemadmodum in aliis, hirundinum à trabibus. Palàm est autem, quod acre, & discussorium est hirundinum excrementum, quemadmodum etiam alia omnia omnium animalium stercora, aliqua magis aliqua minus; velut etiam ipsorum animalium
C vstorum cinis. Dictum est etiam nobis de besasa in simplicium medicamentorum tractatu, quod tertij sit ordinis calefacientium; & nunc sanè, quod eiusmodi admixtum est etiam prædicto medicamento, quod plurima discussoriæ facultatis in se habet, quemadmodum aliqua ex aliis stomaticis astringentis, & repulsoriæ. Etenim iam relata medicamenta valdè discussoria sunt, & ad hæc amplius cinnamomum super omnia vim tenuium partium, & discussoriam habens. Quin & semina anisi, apij, & ammij, discussoria sunt, & iris, & aristolochia, ex discussoriis sunt, velut,
D etiam myrrha. Mixtæ autem facultatis ex discussoria, & astringente est cassia, & crocus, & nardus, & amomum, & costus; præcellit autem in ipsis calefactoria, & discussoria, & maximè in costo. Mixtæ facultatis est, & iunci rotundi odorati flos, sed vtraque imbecilli, tum astringente, tum calefaciente. Gallæ verò (clarum est, quòd de omphacitidum genere loquor) ex astringentibus multum sunt medicamentis, velut etiam alumen scissum. Rosæ autem rursum debilissimam habent astringendi vim. Ex contrariis igitur facultatibus particularium medicamentorum, hoc medica-
E mentum propositum iam constat, & non solùm contrariis, sed etiam vtrisque fortibus; atque velut dixi antea, multo fortioribus discussoriis, quàm astringentibus Quando verò confectionem eius clare conscripserit Heras, visum est ob id etiam illius verba in commune proponere, ac ascribere, quæ hoc modo habent.

Stomaticum ex besasa, Heræ.

Stomaticum faciens ad anginas, & inflammatas tonsillas, ac vlcera facta in ore. Conuenit etiam Stomachicis, & dysentericis summè, in frigida exhibita magnitudine fabæ. Est & arteriaca bona,
F *& dolorem sedat.* ℞. anisi ʒ. j. ammij ʒ. j. apij seminis ʒ. j. costi ʒ j. ß. floris iunci odorati ʒ. j. cassiæ ʒ. j iridis Illyricæ ʒ. j. aluminis scissi ʒ. j. gallas omphacitidas mediæ magnitudinis octo, crocomagmatis ʒ. j. croci ʒ. j. ß. myrrhæ ʒ. ß. floris rosarum ʒ ij. aristolochiæ longæ ʒ. j. seminis besasa ʒ. j. cinnamomi vnciam j. spicæ

ſpicæ nardi ℥. j. ß. amomi racemi vnciæ dimidium; quidam etiam, caſſiæ fuluæ ℥. i. cineris hirundinum recrementi ℥ j. Myrrham cum melle terito, reliqua verò omnia contuſa, & cribrata in mortarium conijcito; atque vbi miſcueris, per piſtillum myrrham cum melle moderato agitato, vt medicamentum melle craſſius reddatur. Vſus verò tempore melle dilutum illine, atque ex aqua gargariſſandum præbe, aut ex aqua mulſa, vel ſucco ptiſſanæ. Cæterùm medicamentum hoc in ſtanneo vaſe reponitur, ac aſſeruatur.

Aliud Stomaticum ex hirundinibus abſque Beſaſa, quod Aſclepiades ſcripſit his verbis.

Aliud ſtomaticum, Facit & ad Anginas. ℞. hirundinum ſyluestrium vſtarum cineris ʒ. iiii. croci ʒ. i. nardi Indicæ ʒ. i. melle excipe. Mixtura fit quum iam ſub manibus ſunt affectiones. Hirundines porrò vruntur hoc modo. Pullos ſale conſperſos vnà cum pennis in fictile conijcimus, obturatumque prunis imponimus. Gratia habenda eſt Aſclepiadæ ob id, quòd tam diligenter deſcribit, quomodo hirundinum pullos vri iubeat; & quòd ipſa animalia, & non eorum recrementa, in medicamenti compoſitionem præparanda cenſeat. Scripſit verò etiam Andromachus ſtomaticum medicamentum ex hirundinibus, hoc modo.

Stomaticum ex hirundinibus ad anginas, vt Harpocras.

℞. Pullorum hirundinum vſtorum numero xi. mellis cyathum i. alij cyath. ij. habent; ſucci myrti viridis cyathum j. alii cyath. ii. myrrhæ obol. iii. pullos vrito, omnibuſque mixtis, ac tritis vtitor. Clarè etiam hic hoc loco pullos comburi iubet. Hæc itaque duo præſcripta medicamenta ex hirundinibus ſunt abſque beſaſa. Alia autem duo ſtomatica, hæc præcedentia ex hirundinibus, vnà cum beſaſa conſtant. Eſt autem, & tertia coniugatio medicamentorum eiuſdem generis, in qua ea, quæ ex beſaſa citra hirundines præparantur, continentur.

Aliæ ſtomaticæ illitiones Andromachi.

Præſtat autem opinor, neque alias relinquere oris illitiones, quæ ſanè laudantur ab iis, qui de medicamentorum experientia ſunt curioſi, maximè quum multorum ex eis etiam ipſi experimentum fecerimus, partim quidem ex noſtro vſu, partim verò eorum, qui nobiſcum ſunt medicati. Incipiam autem ab iis, quæ Andromachus ſcripſit, ipſas compoſiturus iuxta illius verba.

Ad Columellam laxatam.

℞. Mellis ℔. j. aluminis liquidi ℔. i. florum roſarum ℔. ß. ſucci hypocyſtidis quadrantem. Alumen in melle coquito, deinde ſicca inſpergito, atque ita vtitor; coquito autem modicè. Verè bonum eſt hoc medicamentum, eoque tribus modis vti oportet, quemadmodum vidiſtis me plurimis ſtomaticis medicamentis vti. Vnus vtendi modus eſt, & maximè in principio, vt diſſoluatur per aquam calidam, aut aquam mulſam, ac gargariſſetur; nam & mitigatorium eſt hoc, & quod conuenit, efficit. Interea autem dum eo ſic vtimur, etiam ſyncero medicamento vti conuenit, partim quidem cum

A ναρδοστάχυος ℥ α'. S''. ἀμώμου βότρυος ℥ S''. τινὲς δὲ καὶ κασσίας πυῤῥᾶς ℥ α'. σποδοῦ χελιδόνων τοῦ χέσματος ℥ α'. τὴν σμύρναν λειοτρίβει μετὰ μέλιτος, τὰ δὲ λοιπὰ, πάντα κόψας, καὶ σήσας βάλλε εἰς ὅλμον, καὶ ἀναμίξας ὕπερῳ κατάτριβε τὴν σμύρναν μετὰ μέλιτος συμμέτρου, ἵνα γένηται τὸ φάρμακον μέλιτος παχύτερον. ἐπὶ δὲ τῆς χρείας, μέλιτι διεὶς διάχριε, καὶ δίδου ἀναγαργαρίζεσθαι δι' ὕδατος, ἢ ὑδρομέλιτος, ἢ χυλοῦ πτισάνης, ἐν κασσιτερίνῳ δὲ ἀποτίθεται ἀγγείῳ.

B Ἄλλο διὰ χελιδόνων, ἄνευ βήσασα, στοματικὸν διάχριστον, ὃ Ἀσκληπιάδης ἔγραψε κατὰ λέξιν οὕτως.

Ἄλλη, ποιεῖ καὶ συναγχικοῖς. ℞. χελιδόνων ἀγρίων κεκαυμένων τῆς σποδοῦ < δ'. κρόκου < α'. νάρδου Ἰνδικῆς < α'. μέλιτι ἀναλάμβανε, ἡ κρᾶσις πρὸς τὰς ὑποκειμένας διαθέσεις. δεῖ δὲ τὰς χελιδόνας καίειν τὸν τρόπον τοῦτον. ἁλσὶ καταπάσαντες τοὺς νεοττοὺς σὺν τοῖς πτεροῖς βαλλόμεθα εἰς ἄγγος κεραμεοῦν, καὶ τοῦτο φιμώσαντες, τίθεμεν ἐπ' ἀνθράκων. χάριν εἰδέναι χρὴ τῷ Ἀσκληπιάδῃ οὕτω σαφῶς γράψαντι, ὅπως κελεύει καίεσθαι τοὺς νεοττοὺς τῶν χελιδόνων. ὅτι τὰ ζῶα αὐτὰ, C καὶ μὴ τὸν ἀπόπατον αὐτῶν, εἰς τὴν σύνθεσιν τοῦ φαρμάκου παρασκευάζειν ἀξιοῖ. γέγραπται δὲ καὶ τῷ Ἀνδρομάχῳ διὰ χελιδόνων στοματικὸν φάρμακον, ὧδέ πως αὐτοῖς ὀνόμασιν.

Τὸ διὰ χελιδόνων, πρὸς συνάγχας, ὡς Ἁρποκρᾶς.

℞. Χελιδόνων κεκαυμένων νεοττῶν ια'. μέλιτος κυ. α'. οἱ δὲ κυάθους β'. μυρσίνης χλωρᾶς χυλοῦ κυ. α'. οἱ δὲ κυάθους β'. σμύρνης τριώβολον, καύσας τοὺς νεοττοὺς μίσγε πάντα, καὶ λεάνας χρῶ. σαφῶς καὶ οὕτως ἐνταῦθα τοὺς νεοττοὺς κελεύει D καίεσθαι. αὗται μὲν αἱ προγεγραμμέναι δύο, διὰ χελιδόνων εἰσὶν ἄνευ τοῦ βήσασα. αἱ δὲ ἄλλαι πρὸ αὐτῶν δύο, στοματικαὶ, διά τε χελιδόνων, καὶ τοῦ βήσασα. τρίτη δὲ ἄλλη συζυγία φαρμάκων ἐστὶν ὁμογενῶν, ἐν ᾗ χωρὶς τῶν χελιδόνων αἱ διὰ τοῦ βήσασα σκευάζονται.

Ἄλλαι στοματικαὶ διάχριστοι, Ἀνδρομάχου.

Βέλτιον εἶναι νομίζω μηδὲ τὰς ἄλλας παραλιπεῖν ὁπόσας ἐπαινοῦσιν, οἱ περὶ τὴν τῶν φαρμάκων ἐμπειρίαν σπουδάζοντες, ἐνταῦθα προσγράψαι, καὶ μάλιστα ἐπειδὴ πολλῶν ἐν- E ταῦθα καὶ αὐτοὶ πεῖραν ἔχομεν, τὰ μὲν αὐτοὶ χρησάμενοι, τὰ δὲ τοὺς συνιατρεύοντας ἡμῖν εἰδότες. ἄρξομαι δὲ ἀπὸ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων, αὐτὰς συντιθέμενος ὡς ἐκεῖνος ἔγραψεν.

Πρὸς κιονίδας κεχαλασμένας.

℞. Μέλιτος λίτραν μίαν, στυπτηρίας ὑγρᾶς λίτραν μίαν, ῥόδων ἀνθοῖς λίτρας S''. ὑποκυστίδος χυλοῦ ℥ γ'. ἕψε στυπτηρίαν μέλιτι, εἶτα τὰ ξηρὰ, καὶ οὕτω χρῶ. ἕψε δὲ ἐπ' ὀλίγον. καλὸν ἐστὶν ὄντως τοῦτο τὸ φάρμακον, καὶ δεῖ κεχρῆσθαι τρισὶ τρόποις αὐτῷ καθάπερ ὁρᾶτε χρώμενον ἐμὲ τοῖς F πλείστοις τῶν στοματικῶν φαρμάκων. εἷς μὲν γὰρ τρόπος χρήσεώς ἐστι, καὶ μάλιστα ἐν ἀρχῇ διαλύοντα τὸ φάρμακον, ἢ δι' ὕδατος θερμοῦ, ἢ δι' ὑδρομέλιτος, τουτέστι διὰ μελικράτου ἀνακογχυλίζεσθαι, καὶ γὰρ καὶ παρηγορικόν ἐστι τοῦτο, καὶ τὸ δέον δρᾷ. μεταξὺ δὲ τῆς τοιαύτης χρήσεως, καὶ ἀκράτῳ τῷ φαρμάκῳ χρῆσθαι προσήκει, τοῦτο μὲν διαχρίοντα τοῖς

δακτύλοις. τοῦτο δὲ, καὶ διὰ κοχλιαρίου προσαπτόμενον, (A) μετὰ τοῦ ἀναπιέζειν, καὶ ἀδεὲς πρὸς τοὐκτὸς ἄγειν τὴν κιονίδα. συμφέρει γὰρ ὡς ὅτι μάλιστα πρὸς τὴν γλῶτταν αὐτὴν ῥέπειν ἀποχωροῦσαν τῆς εὐθύτητος ἣν ἴσχει τὰ πολλὰ πρὸς τὸν λάρυγγα.

Ἑτέρα στοματικὴ τοῦ αὐτοῦ Ἀνδρομάχου, πρὸς πάντα τὰ ἐν τῷ στόματι.

℞. Κροκομάγματος < β'. ἴρεως < δ'. σανδαράχης < S'. τουτέστι τριώβολον, τερμινθίνης < β'. λυκίου Ἰνδικοῦ < α'. σταφίδος < η'. ἀλόης < α'. ὀμφακίου < α'. στροβύλων πεφωγμένων < η'. γλυκέος χυλοῦ < α'. σχιστῆς (B) < α'. βαλαυστίου < α'. ῥόδων ἄνθους < β'. μέλιτος κοτύλας β'. S'. ἐν τισὶ δὲ ἀντιγράφοις Κο. α'. S'. γέγραπται. αὐτὸς μὲν ὁ Ἀνδρόμαχος, οὐκ ἔγραψεν ὅπως μίγνυσθαι τὸ μέλι χρὴ, πότερον ὠμὸν, ἢ ἑφθὸν, ἢ μόνον ἀπηφρισμένον, ἐγὼ δ' ἀξιῶ τὸ ἀπηφρισμένον μίγνυσθαι. ἔγραψε δὲ καὶ ἄλλας στοματικὰς διαχρίσεις ὁ Ἀνδρόμαχος, ἁπάσας καλὰς, καὶ διὰ τοῦτο κἀμοὶ βέλτιον ἔδοξεν εἶναι μὴ παραλιπεῖν αὐτὰς, ἀλλ' ὑπογράψαι πάσας ἑξῆς, ὡς ἐκεῖνος ἔγραψεν. Στοματικὴ ᾗ χρῆσθαί φησιν αὐτός. ℞. ἄνθους ῥόδων < β'. πιτυΐδων < α'. κρόκου < α'. σὺν μέλιτι. (C) Ἄλλη καὶ αὐτῇ κεχρῆσθαί φησι. ℞. ἴρεως Ἰλλυρικῆς < η'. κρόκου < η'. οἱ δὲ < δ'. ῥόδων ἄνθους < δ'. σὺν μέλιτι. Ἄλλη. ℞. μίσυος Κυπρίου < η'. ἴρεως Ἰλλυρικῆς < δ'. σμύρνης < η'. κρόκου < α'. σὺν μέλιτι. ἄλλη εὐώδης ἁπαλὴ, πρὸς φλεγμονὰς καὶ ἐσχάρας καλή. ℞. πυρήνος < γ'. ἀμύλου < β'. σχιστῆς < α'. ῥόδων ἄνθους < α'. κρόκου τριώβολον σὺν μέλιτι. ταῦτα ἐκ τοῦ Κρατίππου νάρθηκος εἶναί φησιν. ἄλλη στοματικὴ Μενεκράτους. ℞. κρόκου < δ'. βαλαυστίου < γ'. ῥόδων ἄνθους < α'. οἱ δὲ < S'. ἐρείκης καρποῦ < α'. μαλαβάθρου < α'. νάρδου Ἰνδικῆς (D) < α'. στροβίλους κ'. μέλιτι. Ἄλλη, ἣν ἐκ τῶν Μελίτου φησὶν εἶναι. ℞. ῥοῦ ἐρυθροῦ < β'. ῥόδων ἄνθους < α'. κόστου, κρόκου ἀνὰ τριώβολον σὺν μέλιτι. ταύτην καὶ ἀναγαργαρίζεσθαι σὺν γλυκεῖ, ἢ ὑδρομέλιτί φησιν, οὐκ οἶδ' ὅπως τοῦτο προσγράψας. ἅπασαι γὰρ ἀναγαργαρίζεσθαι δύνανται. ἄλλη στοματικὴ, ἣν καὶ αὐτὸς ἐπαινεῖ. ℞. σχοίνου ἄνθους, σμύρνης, κρόκου, κασσίας, στυπτηρίας σχιστῆς, Ἰλλυρίδος, ἀνὰ < δ'. νάρδου Ἰνδικῆς < α'. σὺν μέλιτι ἑφθῷ. ἐνταῦθα μὲν οὖν προσέθηκε τὸ, ἑφθῷ, κατὰ δὲ τὰς ἔμπροσθεν, ἁπλῶς εἶπε μέλιτι, συγχωρῶν ἡμῖν ὡς ἂν θέλωμεν (E) σκευάζειν. ἐγὼ δ', ὡς ἔφην, μέλιτι ἀπηφρισμένῳ χρῶμαι.

Ἄλλαι διαχρίσεις στοματικαὶ, ἃς Ἀσκληπιάδης ἔγραψε.

Διάχρισις πρὸς τὰς ἐν τῷ στόματι σηπεδόνας Ἀσκληπιάδου. ℞. ῥοῦ ἐρυθροῦ < δ'. ἀκακίας < α'. μυελοῦ < δ'. οἴνῳ Πραμνείῳ διαλύσας, ἀναλάμβανε μέλιτι ἑφθῷ, καὶ χρῶ διαχρίων. οὐκ οἶδ' ὅπως παρέλιπε προσγράψαι τὸ τοῦ μυελοῦ, πότερον ἐλαφείου ἢ μοσχείου βούλεται βάλλεσθαι. ἐπεὶ τοίνυν οὐ προσέγραψεν, ἀσφαλέστερόν ἐστιν ἐλαφείου (F) βάλλειν, ἰσχυρὸν γὰρ εἶναι βούλεται τὸ φάρμακον. ἔστι δὲ ἰσχυρότερος ὁ ἐλάφειος μυελὸς, τοῦ μοσχείου. ἄλλη. ℞. ὑποκυστίδος χυλοῦ < β'. βαλαυστίου < α'. λυκίου ὁλκὴν α'. ἀκακίας < α'. ἀναλάμβανε ἐλαίας ὀμφακιζούσης τῷ χυλῷ, καὶ μέλιτι φυράσας χρῶ.

digitis illinendo, partim verò per cochleare admouendo, vnà cum hoc, quòd reprimamus, & intrepidè foràs columellam ipsam ducamus. Confert enim quàm maximè ad linguam ipsam vergere, & à rectitudine secedere, quam habet vt plurimum ad ipsius asperæ arteriæ extremum.

Aliud Stomaticum eiusdem Andromachi ad omnia vitia oris.

℞. Crocomagmatis ʒ. ii. iridis ʒ. iiii. sandarachæ ʒ. ß. hoc est, obol. iii. terebinthinæ ʒ. ii. lycij Indici ʒ. j. vuæ passæ ʒ. viii. aloës ʒ. i. omphacii ʒ. i. nucum pinearum tostarum ʒ. viii. succi glycyrrhizæ ʒ. i. aluminis scissi ʒ. i. balaustii drach. i. floris rosarum drach. ii. mellis heminas duas, & dimidiam, in quibusdam exemplaribus sesquihemina habetur. Ipse quidem Andromachus sic scripsit, non ostendens, quomodo mel miscere oporteat, num crudum, aut coctum, aut despumatum tantùm. Ego verò despumatum miscendum esse censeo. Scripsit etiam alias stomaticas illitiones Andromachus omnes bonas; quare minimè relinquendas putaui; ideoque subscribam omnes deinceps, quemadmodum ipse præscripsit. *Stomaticum, quo ipse se vti dicit.* ℞. floris rosarum ʒ. ii. nucum pinearum ʒ. i. croci ʒ. i. excipe melle. *Aliud, quo item se vti dicit.* ℞. Iridis Illyricæ ʒ. viii. croci ʒ. viii. alii ʒ. iiii. florum rosarum ʒ. iiii. excipe melle. *Aliud.* ℞. misyos Cyprij ʒ. viii. iridis Illyricæ ʒ. iiii. myrrhæ ʒ. viii. croci ʒ. i. excipe melle. *Aliud odorum, tenerum, ad inflammationes, & crustas commodum.* ℞. Nucum pinearum ʒ. iij. amyli ʒ. ii. aluminis scissi ʒ. i. floris rosarum ʒ. i. croci obol. iii. excipe melle. Hæc ex ferula Cratippi esse ait. *Aliud stomaticum Menecratis.* ℞. croci ʒ. iiii. balaustij ʒ. iii. florum rosarum ʒ. i. alii ʒ. ß. fructus ericæ ʒ. i. malabathri ʒ. i. nardi Indicæ ʒ. i. nucum pinearum numero xx. excipe melle. *Aliud, quod ex libris Meliti esse ait.* ℞. rhois rubri ʒ. ii. florum rosarum ʒ. i costi, croci, vtriusque obol. iii. excipe melle. Hanc etiam gargarissari cum passo, aut aqua mulsa ait: neque scio cur hoc hic ascripserit quum omnia gargarissari possint. *Aliud stomaticum quod etiam ipse laudat.* ℞. Schœnanthi, myrrhæ, croci, cassiæ, aluminis scissi, Illyridis, singulorum ʒ. iiii. nardi Indicæ ʒ. i. excipe melle cocto. Hîc quidem igitur, cocto, adiecit; in prioribus verò semper simpliciter melle dixit, permittens nobis, quomodocunque præparare velimus. Ego autem velut dixi, melle despumato vtor.

Aliæ illitiones stomaticæ, quas Asclepiades scripsit.

Illitio ad putredines oris Asclepiadæ. ℞. rhois rubri ʒ. iiii. acaciæ ʒ. i. medullæ ʒ. iiii. vino Pramnio dissoluta excipe melle cocto, & vtere ad illitionem. Haud scio, quomodo reliquerit ascribere ad medullam, num ceruinam, an vitulinam, coniici velit. Quando igitur non ascripsit, tutius est ceruinam adijcere; forte enim esse vult medicamentum, fortior autem est medulla ceruina, quàm bubula. *Alia.* ℞. succi hypocystidis ʒ. duas, balaustij ʒ. i lycii ʒ i. acaciæ ʒ. i. excipe oliuæ immaturæ succo, & melle subactis vtere.

Illitiones oris, apta eis, quæ medicamentarias qualitates ægrè admittunt.

Porrò de mulierculis quid attinet dicere, & maximè diuitibus, quæ præ deliciis stomatica medicamenta ægrè admittũt? Iam verò etiam viri quidam non solùm prę deliciis, sed etiam natura quodam modo malum stomachum habentes, eiusmodi medicamenta non ferunt. Et sanè præterlabentia sæpenumero in stomachũ, non solùm iniucunda aliquo modo sunt, sed etiam noxia. Mansuetissima igitur ex ipsis crocum habēt, & myrrham, & alumen. Melius igitur est aliquas stomaticas cōpositiones absq; his factas habere. In moderatis itaque inflãmationibus, aut tonsillarum, aut vuæ, aut alterius alicuius partis, sufficiunt succi soli fructuũ iam dictorum, velut rubi, & mororum, punicorumque malorum, & cotoneorum. Quin & succus nucum, vbi cum solo melle paratur, suauem gustum habet; itemq; mustum ex acerbioribus vuis, ex quibus aminæum vinum funditur, si in ipsum rhus addatur; hoc enim, velut ascripsit, optimũ fit medicamentum, coctum, vt dictum est. Ad eas verò inflammationes, quæ multa astrictione indigent, illinitiones stomaticas huiusmodi paraui. Austerorum punicorum succum, aut austerorum cotoneorum, aut etiam vtrorumque simul, iuxta prędictam proportionem cum melle miscui, atque sufficiens erat. At verò mororum succus debile medicamentum est. Sed inter hunc, & prædictos, medius est iuxta astringendi vim, succus rubi mororum. Fortis autem est nullo minus ex corticibus nucum, quanquam non sit etiam in gustu acerbus. Vnicuiq; verò ex his licet vuas acerbas expressas miscere, si quidem vehementius efficere velis, eadem mensura; si verò non omninò tamen dimidium succi ipsarum addes. Vehementissimum autem reddetur medicamentum, si punica integra tundas vnà cum corticibus, indeque succum exprimas, atque hoc magis si fuerint acerba. Amplius verò acerbissimum ex his fiet, si ad punicorum austerorum ita tusorum succum, vuæ acerbæ succus superaddatur cum moderato melle. Præstantius adhuc erit, si tota contusa punica mala passo cocta percoles. Licebit etiam ex solis dulcibus punicis medicamentum præparare, vt debilius, ita suauius, & magis si ex solo succo citra cortices composueris. Ego verò sæpe tria punicorum genera permiscui, austera, acida, & dulcia: ne verò valdè exasperet, admixto glycyrrhizæ succo, optimum medicamentum efficies. Quin & ex fructibus factum per se solùm optimum est medicamentum, tum iis, qui gargarissando colluere, tum qui illinire oris inflammationes volunt; est autem, & hoc partim austerius, partim moderatius in astringendo, dicetur que de compositione ipsius paulo post. Quando verò non solùm repulsorium medicamentum nos habere oportet, sed etiam discussorium, siquid appareat induratum, in hunc modum ipsum parabis. Iis quæ medias facultates habent ex prędictis, iniicies aliquid, dum coquuntur, ex pulegio, aut thymo, aut origano, hyssopo, mentha, aut calamintha; deinde colabis, & habebis optimum medicamentum; si verò calidius efficere velis, piper addes. Præparaui quandoque etiam sine pulegio, aut thymo, aut liquido huiusmodi, id quod ex succis constat, solo pipere in ipsum coniecto. Omnibus autem si glycyrrhizæ succus addatur, melius medicamentum efficietur.

A *Διάχριστα στοματικὰ, τοῖς δυσχεραίνουσι τὰς φαρμακώδεις ποιότητας ἐπιτήδεια.*

Περὶ μὲν τῶν γυναικῶν τί δεῖ καὶ λέγειν, καὶ μάλιστα, ὡς αἱ πλούσιαι δυσχεραίνουσιν ὑπὸ τρυφῆς, τὰ φαρμακώδη στοματικά; ἤδη δὲ καὶ ἄνδρες τινὲς, οὐ μόνον ὑπὸ τρυφῆς, ἀλλὰ καὶ κακοστόμαχοι φύσει πως ὄντες, οὐ φέρουσι τὰ τοιαῦτα φάρμακα. καὶ μέντοι καὶ παραῤῥυέντα πολλάκις εἰς στόμαχον, οὐ μόνον ἀηδῆ πώς ἐστιν, ἀλλὰ καὶ βλαβερά. τὰ γοῦν ἐπιεικέστατα αὐτῶν κρόκον ἔχει, καὶ σμύρναν, καὶ στυπτηρίαν. ἄμεινον οὖν ἔνια τῶν στοματικῶν, δίχα τούτων γεγο- B νυίας ἔχειν. ἐπὶ μὲν δὴ τῶν μετρίων φλεγμονῶν, ἢ τῶν παρισθμίων, ἢ σταφυλῆς, αὖ τε ἄλλου τινὸς μέρους ἀρκοῦσιν οἱ χυλοὶ μόνοι τῶν εἰρημένων ἄρτι καρπῶν, ὅ, τε τῶν βάτων, καὶ ὁ τῶν μόρων, ῥοιαί τε καὶ μῆλα τὰ Κυδώνια. καὶ μέντοι καὶ ὁ τῶν καρύων χυλὸς, ὅταν μετὰ μέλιτος μόνου γένηται, τὴν γεῦσιν ἡδεῖαν ἔχει, καὶ γλεῦκος τὸ ἐκ τῶν στρυφνοτέρων σταφυλῶν, ἐξ ὧν ὁ Ἀμιναῖος οἶνος γίνεται, βληθέντος εἰς αὐτὸ ῥοῦ. τοῦθ', ὡς προέγραψε, κάλλιστον γὰρ φάρμακον, ἑψηθὲν, ὡς εἴρηται. πρὸς δὲ τὰς πλείονος δεομένας στύψεως φλεγμονὰς, ἐποίησα διαχρίστους στοματικὰς τοιάσδε. τῶν C αὐστηρῶν ῥοιῶν τὸν χυλὸν, ἢ τῶν αὐστηρῶν κυδωνίων, ἢ καὶ ἀμφοτέρων κατὰ τὴν ἔμπροσθεν εἰρημένην ἀναλογίαν ἔμιξα μέλιτι, καὶ ἦν αὔταρκες. ὁ δὲ τῶν συκαμίνων χυλὸς, ἀσθενὲς φάρμακον. ἀλλὰ τούτου γε, καὶ τῶν εἰρημένων μέσος ἐστὶ κατὰ τὴν στύψιν, ὁ τῶν βάτων. ἰσχυρὸς δὲ οὐδενὸς ἧττόν ἐστι, καὶ ὁ ἐκ τοῦ λέμματος τῶν καρύων, καίτοι γε οὐκ ὢν ἐν τῇ γεύσει στρυφνός. ἑκάστῳ δὲ τούτων ἔνεστιν ὄμφακας ἐκθλίψαντας μιγνύειν, ἐὰν μὲν βουληθῇς σφοδρότερον ἐργάσασθαι κατὰ τὸ ἴσον. εἰ δὲ μή γε πάντως, κατὰ τὸ ἥμισυ. σφοδρότατος δὲ αὐτῶν ἐστιν, ἐὰν τὰς ῥοιὰς ὅλας κόψας μετὰ τῶν λεμ- D μάτων, ἐκθλίψῃς τὸν χυλὸν, καὶ μᾶλλον δὲ ἂν ὦσιν στρυφναί, καὶ ἔτι γε στρυφνότατον ἐν τούτοις ἔσται, προσμιχθέντος τῷ τῶν οὕτω κοπεισῶν αὐστηρῶν ῥοιῶν χυλῷ τοῦ τῆς ὄμφακος, ἅμα συμμέτρῳ μέλιτι. κάλλιον δὲ, ἐὰν τὰς ὅλας κεκομμένας ῥοιὰς ἀνεψήσας γλυκεῖ, διηθήσῃς. ἔσται δέ σοι, καὶ διὰ μόνων τῶν γλυκειῶν ῥοιῶν σκευάζοντι τὸ φάρμακον, ὥσπερ ἀσθενέστερον οὕτως ἥδιον ἐργάσασθαι, καὶ μᾶλλον ἐὰν διὰ τοῦ χυλοῦ μόνου χωρὶς τῶν σιδίων αὐτὸ συνθῇς. ἐγὼ δὲ πολλάκις ἔμιξα τὰ τρία γένη τῶν ῥοιῶν, αὐστηρῶν τε καὶ ὀξέων, καὶ γλυκειῶν. ὅπως δὲ μὴ λίαν τραχύνοι, γλυκυῤῥίζης χυ- E λὸν μιγνύων, ἐργάσῃ κάλλιστον τὸ φάρμακον. καὶ διὰ τῶν ὀπωρῶν δὲ γινόμενον αὐτὸ καθ' αὐτὸ μόνον, κάλλιστόν ἐστι φάρμακον, ἀνακογχυλίζεσθαί τε καὶ διαχρίεσθαι βουλομένοις τὰς ἐν τῷ στόματι φλεγμονάς. ἔστι δὲ καὶ τοῦτο, τὸ μὲν αὐστηρότερον, τὸ δὲ μετριώτερον τῇ στύψει, καὶ λεχθήσεται περὶ τῆς συνθέσεως αὐτοῦ μικρὸν ὕστερον. ἐπεὶ δ' οὐ μόνον ἀποκρουστικὸν δεῖ ἡμᾶς ἔχειν φάρμακον, ἀλλὰ καὶ διαφορητικὸν, εἰ σκιῤῥούμενόν τι φαίνοιτο, σκευάσεις οὕτως αὐτό. τοῖς μέσοις κατὰ τὴν δύναμιν, τῶν εἰρημένων τι ἐμβαλεῖς ἑψομένοις, γλήχωνος, ἢ θύμου, ἢ ὀριγάνου, ἢ F ὑσσώπου, ἢ ἡδυόσμου, ἢ καλαμίνθης, εἶτα διηθήσας, ἕξεις ἄριστον φάρμακον. εἰ δὲ θερμότερον ἐθέλεις εἶναι, πεπέρεως ἐπεμβάλλειν χρή. ἐσκεύασα δέ ποτε καὶ χωρὶς τοῦ γλήχωνος, ἢ θύμου, ἢ τινος τοιούτου, τὸ διὰ τῶν χυλῶν, μόνον αὐτῷ πεπέρεως ἐπεμβαλών. ἅπασι δὲ αὐτοῖς τὸν τῆς γλυκυῤῥίζης χυλὸν μιγνὺς, ἄμεινον ἐργάσῃ τὸ φάρμακον.

εἰ δὲ πλουσίοις σκευάζοις, καὶ ἀμώμου τι μίξεις. ἡ δὲ ποσότης τῶν τοιούτων, ἡ αὐτή σοι γινέσθω, τοῖς τὸν κρόκον, καὶ τὴν στυπτηρίαν, καὶ τὴν σμύρναν λαμβάνουσιν, ὡς προγέγραπται. ἀντ' ἐκείνων γάρ σοι ἔσται τὸ ἄμωμον, καὶ τὴν μαστίχην δὲ τὴν Χίαν ἐνέβαλόν ποτε, μετὰ τὸ διηθῆσαι δὲ δηλονότι, καὶ ἀφελεῖν ἤδη τά γε ἐνεψημένα τὰ τοιαῦτα. A

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ ἐσχαρῶν τῶν ἐν τῷ στόματι.

ΕΝ τοῖς ὑγροῖς καὶ θερμοῖς τόποις τοῦ σώματος, ὁποῖόν ἐστι τὸ στόμα, ταχέως ἐπιγίνεται σηπεδὼν, ἐξ ἧς ἂν τινος αἰτίας ἑλκωθὲν τύχῃ, συντελεῖ δὲ εἰς τοῦτο, καὶ τὸ μηδὲν ἐπικεῖσθαι δύνασθαι διὰ παντὸς φάρμακον, ὥσπερ ἐπὶ τῶν ἄλλων ἑλκῶν. ἐκκλύζεται γὰρ ὑπὸ τοῦ σιάλου πάντα, διὸ καὶ τοῖς ἰσχυροτάτοις φαρμάκοις ἀναγκαζόμεθα χρῆσθαι πολλάκις ἐπ' αὐτῶν. ἰσχυρότατα δέ ἐστιν, ὅσα τὴν καλουμένην ἐσχάραν ἐργάζεται, παραπλησίως τοῖς καυστηρίοις. ἐπὶ μὲν οὖν τῶν ἐκτὸς, ὅταν ἐσχαρωθῇ τὸ θεραπευόμενον μόριον, ἀφιστάμεθα τῶν ἰσχυρῶν φαρμάκων, ἐπὶ τὰ τὰς ἐσχάρας ἀφαιροῦντα μετιόντες, ἅπερ εὔδηλον ὅτι τῆς ῥυπτικῆς ἐστι ποιότητός τε καὶ δυνάμεως. ἐπὶ δὲ τῶν ἐν τῷ στόματι διὰ τὴν τοῦ χωρίου φύσιν, ἀσφαλὲς εἶναι δοκεῖ μοι μιγνύναι τοῖς ῥύπτουσι φαρμάκοις ἔνια τῶν ἰσχυρῶν, ἃ κατὰ μόνας προσφερόμενα, τὰς ἐσχάρας ἐργάζεται. διὰ ταύτην οὖν τὴν αἰτίαν, ῥυπτικωτάτῳ μέλιτι μίγνυμεν φάρμακα, τὰ αὐτὰς τὰς ἐσχάρας ἐργαζόμενα. καθάπερ ἐπὶ τῶν ῥυπαρῶν ἑλκῶν ἔν γε τῷ δέρματι γινομένων, ἔφαμεν χρῆναι μιγνύναι τῷ μέλιτι τὰ βραχέως ῥυπτικὰ, λιβανωτὸν, ὄροβον, ἶριν, ἀριστολοχίαν, ὅσα τε ἄλλα τοιαῦτα, τῷ αὐτῷ λογισμῷ τὰ ἐναντία προστιθέντες, ὡς Ἱπποκράτης ἔφη. ὁ μὲν γὰρ ἐπ' ἀμφοῖν λογισμὸς εἷς ἐστιν, συμμέτρως ἔχον, ὡς πρὸς τὴν διάθεσιν, τὸ ῥυπτικὸν προσφέρειν φάρμακον. ἕξεις δὲ σύμμετρον τὸ μέλι, τῷ μὲν ἐπὶ τῶν ἑλκῶν ῥύπῳ τοῖς ἀσθενέσι τῶν ῥυπτικῶν μιχθέν. ἐφ' ὧν δὲ διὰ τὴν τοῦ τόπου φύσιν, ὑποψίαν σηπεδόνος εὐλαβούμεθα, τῶν ἰσχυροτέρων τι προσλαβόν, εὐλόγως οὖν ἔμιξαν τῷ μέλιτι τὰ ξηρὰ φάρμακα, δι' ὧν τὰς ἐσχάρας ἐργαζόμεθα. τινὰ μὲν οὖν τῶν τοιούτων φαρμάκων, ἔμπροσθεν δῆλον ἐν ἐκείνῳ τῷ λόγῳ, καθ' ὃν γέγραπται πρὸς τὰς ἐν τῷ στόματι νομάς. τὰ γὰρ αὐτὰ καὶ πρὸς ἐσχάρας ἔφασαν ἁρμόττειν, μέλιτος αὐτοῖς μιγνυμένου, καὶ νῦν δὲ ἐπ' αὐτοῖς ἅπαντα γράψω, κἄν τινα δόξῃ δεύτερον λέγεσθαι. τὰ μὲν οὖν ὑπ' Ἀνδρομάχου γεγραμμένα, μικρὸν ἔμπροσθεν ἀναμνῆσαί με χρὴ μόνον, ἐν οἷς ἐδίδαξεν ἃ ἦν φάρμακα πρὸς τὰς ἐν στόματι νομάς, παραθήσομαι δὲ τὰς ἀρχὰς αὐτῶν μόνας. ἓν μὲν οὖν φάρμακον οὕτως ἔγραψεν.

Ἀνδρομάχου στοματικὴ, εὐώδης ἁπαλὴ, πρὸς φλεγμονὰς καὶ ἐσχάρας καλή.

Συνέθηκεν αὐτὴν διὰ πυρήνων, ἀμύλου, καὶ σχιστῆς, καὶ ῥόδων ἄνθους, καὶ κρόκου, μέλι μιγνύς. ἕτερον τοιοῦτον ἔγραψεν. τροχίσκος πρὸς τὰς ἐν τῷ στόματι διαθέσεις, ἐσχάρας, νομὰς, ᾧ καὶ αὐτῷ σὺν μέλιτι χρῆται, καὶ τὰ ἄλλα δὲ πάντα τὰ πρὸς τὰς νομὰς ὑπ' αὐτοῦ γεγραμμένα, καὶ πρὸς ἐσχάρας ἁρμόττει μετὰ μέλιτος.

Quòd si pro opulentis componas, etiam amomi quid miscebis. Quantitas autem huiusmodi rerum eadem tibi seruetur cum iis, quæ crocum, & alumen, ac myrrham assumunt, velut præscriptum est; pro illis enim tibi hic amomum erit. Quin & mastichen Chiam quandoque inieci, post factam videlicet colaturam, & postquam ea, quæ incocta sunt, fuerint exempta.

CAPVT VII.

De crustis in ore.

B IN humidis, & calidis corporis locis, quale est os, citò putredo accedit, ex quacunque tandem causa fuerit exulceratum. Confert ad hanc rem etiam id, quod nihil penitus in ipso ex medicamentis incumbere queat, velut in aliis vlceribus potest; eluuntur enim omnia à saliua. Quapropter etiam fortissimis medicamentis sæpe ad ea vti cogimur. Fortissima autem sunt, quæ crustam dictam efficiunt ad modum cauteriorum. In externis igitur vlceribus, vbi parti curandæ crusta fuerit inducta, a fortibus medicamentis desistimus, ad ea, quæ crustas tollunt transgredientes, quæ manifestum est detersoriæ qualitatis, ac facultatis esse;
C in iis verò, quæ in ore fiunt, propter loci naturam, tutius mihi esse videtur admiscere ad detersoria medicamenta, quædam fortia, quæ sigillatim admota crustas infigunt. Ob hanc igitur causam melli vehementissima detergendi vi prædito medicamenta admiscemus ipsas crustas efficientia. Quemadmodum sanè in sordidis vlceribus in cuticula obortis diximus admisceri oportere melli, quæ parum detergent, thus, eruum, iridem, aristolochiam, & quæcunque alia huiusmodi, eadem ratiocinatione contraria apponentes, velut Hippocrates dixit; vna enim, eademque ratiocinatio
D in vtrisque est, vt videlicet exterforium medicamentum moderatè habens ad affectionem adhibeatur. Habebis autem commoderatum medicamentum ipsum mel, in vlcerum quidem sorde, debilibus detersoriis permixtum; in quibus autem ob loci naturam, putredinis accessionem formidamus, ex fortioribus quippiam ad ipsum mel admiscemus. Rationabiliter igitur ad oris vlcera arida medicamenta cum melle commiscuerunt, per quæ crustas inducimus. Quædam igitur ex huiusmodi medicamentis priùs recensui in eo loco, quo ad nomas oris medicamenta scripta sunt;
E eadem enim etiam ad crustas conuenire dixi, si mel ipsis addatur; quin etiam nunc de ipsis scribam omnia, tametsi bis dici cuipiam videantur. Quæ igitur ab Andromacho scripta sunt paulò antè, in memoriam saltem me reuocare oportet ex eo loco, in quo docuit, quæ medicamenta ad nomas oris conueniant; apponam autem principia ipsorum tantùm. Vnum igitur medicamentum sic conscripsit.

Andromachi stomaticum odorum tenerum ad inflammationes, & crustas commodum.

F Composuit autem ipsum ex nucibus pineis, amylo, & alumine scisso, flore rosarum, ac croco, melle admixto. Alterum autem hoc modo scripsit. Pastillus ad affectiones in ore, crustas, ac nomas, quo etiam ipso cum melle vtitur. Quin & omnia alia ab ipso ad nomas descripta, etiam ad crustas commoda sunt cum melle.

Quæ

A

Quæ Crito ad Crustas conscripsit, illius ipsius verbis sic habent.

Misy crudum è vestigio tollit; in alio exemplari cum melle tostum habetur; ad oris verò crustas aqua diluto, ac modico vtere. Sint autem misyos torrefacti ʒ.iij. mellis boni cyathi sex, commisce, ac vtere. Similiter facit, & chalcitis assata cum melle, vt strigmentitia sit spissitudo.

Quæ Archigenes ad crustas scripsit.

Archigenes autem de his sic tradidit. In iis quæ crustæ appellantur, priuatim commodum est stercus caninum cum melle illitum. Aut chalcanthum purpuræ marinæ tomento inuolutum vrito, neque agitato; deinde cum melle tritum illinito. Aut pice liquida cum pari melle, pauxillo autem cedriæ admixto, vtitor. Aut rhois coriarij quantum satis sit irrigati aqua, donec strigmentosa euadat, vbi coxeris, melli misceto, & vtitor. Facit & Syriacus rhus cum melle. Aut hirundinum vstarum, & stercoris humani, parem modum cum melle illine. Aut hepatis lupi aridi cochlearia duo trita bibenda præbe. Horum medicamentorum maximam partem laudo; quod verò ex rhoë constat, damno, quum astringentis sit facultatis, quæ nequaquam crustis conueniet. Verùm de lupino hepate non habeo, quod dicam. Ad hepaticas enim affectiones scio hoc medicamentum tum per se, tum medicamento ex eupatorio mixtum, bibi; an verò etiam ad crustas in ore potum conueniat, iuxta aliquam totius substantiæ proprietatem, per solam experientiam iudicare oportet; de qua non est, quod dicam, vt qui hoc non sim vsus in huiusmodi affectionibus. Caninum autem stercus, vbi ossa comederint canes, per omnia optimum est; nam & magnopere auxiliatur, neque vllam insuauitatem exhibet vtenti; humanum verò tanquam abominandum semper detestatus sum. Vsus est itaque ipso quidam non prædicens, sed celare conatus. Accepit autem non vulgare, sed pueris dabat in cibo panem cum leguminibus, quæ lupini vocantur, atque ita resiccatum habebat in promptu ad quæcunque eo vtique opus esset. Quin & Musa plurimum vsus est primus adeo stercore canino, album semper assumens. Scribit igitur in præsenti affectione similiter eodem canino stercore se vsum, his adeo verbis.

Musa ad anginam.

Ad anginam stercus caninum album accipito, ac resiccato, tritumque cribro medico cribrato, & in promptu habeto. Vsus tempore melle diluito, atque tunc, vt deuoretur, illinito. Hæc quum scribat Musa, meritò ei astipulamur; hoc enim medicamento fortius nullum nouimus, neque in angina, neque in magna tonsillarum inflammatione, aut iis quibus ex glandulis suffocationis periculum imminet.

Ex Sorano.

Experti sumus etiam Sorano scripta medicamenta probè facere, quæ his verbis tradidit. ℞. chalcitidis tostæ, mellis Attici, quod satis est; chalcitidem cum melle terito ad strigmentitiam crassitudinem, ac vtitor. *Alia ad crustas faciens, & humore prægnantes gingiuas, itemque fœtentes.*

Τὰ δὲ ὑπὸ Κρίτωνος γεγραμμένα πρὸς ἐσχάρας, αὐτοῖς ὀνόμασιν οὕτως ἔχει.

Μίσυ ὠμὸν παραχρῆμα αἴρει· ἐν ἄλλῳ μετὰ μέλιτος ὀπτόν. πρὸς δὲ τὰς ἐν τῷ στόματι, ὑδαρεῖ καὶ ὀλίγῳ χρῶ. ἔστω δὲ μίσυος ὀπτοῦ δραχμαὶ γ'. μέλιτος καλοῦ, κύαθοι ϛ'. χρῶ. ὁμοίως ποιεῖ καὶ χαλκῖτις ὀπτὴ μετὰ μέλιτος, ὡς εἶναι γλοιώδες.

Ἀρχιγένης δὲ περὶ αὐτῶν οὕτως ἔγραψεν.

B

Ἐπὶ δὲ τῶν λεγομένων ἐσχαρῶν, ἰδίως συμφωνεῖ κυνεία μετὰ μέλιτος διαχριομένη. ἢ χάλκανθον, κηρύματι θαλασσίας πορφύρας εἰλήσας συγκαθὸν μὴ σκύλλων, εἶτα λεῖον μετὰ μέλιτος διάχριε. ἢ πίσσῃ ὑγρᾷ μετὰ μέλιτος ἴσου, ἐλάχιστον κεδρίας προσμίξας χρῶ. ἢ ῥοῦς βυρσοδεψικῆς, ἱκανῶς βεβρεγμένης εἰς τὸ ὕδωρ, μέχρι γλοιώδες γένηται· ἑψήσας μέλιτι μίξον καὶ χρῶ. καὶ ὁ Συριακὸς ῥοῦς ποιεῖ μετὰ μέλιτος, ἢ χελιδόνων κεκαυμένων τε καὶ ἀνθρωπείας κόπρου τὸ ἴσον, σὺν μέλιτι διάχριε. ἢ λύκου ἥπατος ξηροῦ, ὡς κοχλιάρια δύο λεῖας, δὸς πιεῖν. τούτων τῶν φαρμάκων, τὰ μὲν ἄλλα πάντα ἐπαινῶ. τὸ δὲ διὰ τῆς ῥοὸς μέμφομαι στυπτικῆς ὂν δυνάμεως, οὐδαμῶς ἁρμοττούσης ἐσχάραις. περὶ δὲ τοῦ λυκείου ἥπατος, οὐκ ἔχω τι εἰπεῖν. πρὸς μὲν γὰρ τὰς ἡπατικὰς διαθέσεις, οἶδα ποτιζόμενον τὸ φάρμακον αὐτὸ καθ' ἑαυτό, καὶ μιγνύμενον τῷ διὰ εὐπατορίου. εἰ δὲ καὶ πρὸς ἐσχάρας τὰς ἐν τῷ στόματι πινόμενον ἁρμόττει, κατά τινα τῆς ὅλης οὐσίας ἰδιότητα, τῇ πείρᾳ χρὴ κρῖναι μόνον, περὶ ἧς οὐδὲν ἔχω φάναι, μὴ κεχρημένος αὐτοῖς ἐπὶ τῶν τοιούτων. ἡ δὲ κυνεία κόπρος, ὅταν ὀστᾶ βεβρωκότες ὦσιν οἱ κύνες, ἀρίστη κατὰ πάντα ἐστί, καὶ ὡς βοηθοῦσα μεγάλως, καὶ ὡς οὐδεμίαν ἀηδίαν ἐμφαίνουσα τῷ προσφερομένῳ. τὴν δὲ ἀνθρωπείαν, ὡς βδελυρὰν ἀεὶ παρῃτησάμην. ἐχρήσατο γοῦν τις αὐτῇ, μὴ προλέγων, ἀλλὰ λανθάνειν πειρώμενος. ἐλάμβανε δὲ οὐ τὴν ἐπιτυχοῦσαν, ἀλλὰ παιδίοις ἐδίδου τὸ πλεῖστον τῆς τροφῆς ἄρτον μετὰ τῶν ὀσπρίων, ἃ καλοῦσι θέρμοι, καὶ οὕτω ξηραίνων, εἶχεν ἀποκειμένην πρὸς ἅ ποτε βούλοιτο χρῆσθαι. καὶ Μούσας δὲ ἐπὶ πλεῖστον ἐχρήσατο πρῶτος τῇ κυνείᾳ λευκὴν ἀεὶ παραλαμβάνων. γράφει γοῦν ἐπὶ αὐτοῦ τοῦ προκειμένου παθήματος ὧδέ πως, ὁμοίως τῇ αὐτῇ κυνείᾳ λευκῇ χρώμενος. καὶ μέντοι καὶ ταῦτα κατὰ λέξιν ὁ αὐτὸς Μούσας ἔγραψεν.

C

D

E

Μούσα πρὸς συνάγχην.

Πρὸς συνάγχην, κυνείαν λευκὴν λαβὼν ξήρανον, καὶ λεάνας σῆσον κοσκίνῳ ἰατρικῷ, ἔχε δὲ ἑτοίμην ἐν σαθμιδίῳ καινῷ, ἐπὶ δὲ τῆς χρείας ἀνίει μέλιτι, καὶ τότε διάχριε, ὥστε καταπίνειν. ταῦτα γράψαντι τῷ Μούσᾳ, δικαίως μαρτυρεῖν ἐστιν. ἰσχυρότερον γὰρ τούτου τοῦ φαρμάκου οὐδὲν ἔγνωμεν, οὔτε ἐπὶ κυνάγχης, οὔτε ἐπὶ τῇ τῶν παρισθμίων μεγάλῃ φλεγμονῇ, ἢ ἀντιάδων κινδυνευόντων πνιγῆναι.

F

Σωρανοῦ.

Καὶ τῶν ὑπὸ Σωρανοῦ γεγραμμένων φαρμάκων πεπειράμεθα καλῶς ποιούντων, ἃ κατὰ λέξιν οὕτως ἔγραψεν. ℞. χαλκίτεως ὀπτῆς, μέλιτος Ἀττικοῦ τὸ αὔταρκες, τὴν χαλκῖτιν τρίβε μετὰ τοῦ μέλιτος, ὡς λάβῃ γλοιοῦ πάχος, καὶ χρῶ. Ἄλλη πρὸς ἐσχάρας ποιοῦσα, καὶ μυδῶντα, καὶ δυσώδη.

℞. μίσυος κεκαυμένου < η'. ἴρεως Ἰλλυρικῆς δραχμὰς δ'. A κρόκου < α'. ταῦτα λεῖα ποιήσας καὶ μίξας, ἀπόθου εἰς πυξίδα ξυλίνην, καὶ χρῶ κατ' ἰδίαν, καὶ μετὰ μέλιτος. καὶ μέντοι καὶ τούτοις ἐφεξῆς ὧδέ πως ἔγραψεν. ἕτερον φάρμακον ἡ ἀνθηρὰ πρὸς τὰ ὅμοια ποιοῦσα. ℞. ἴρεως Ἰλλυρικῆς, σανδαράχης, κυπέρου, ἀνὰ < δ'. στυπτηρίας σχιστῆς, σμύρνης, κρόκου, κροκομάγματος, ἀνὰ < β'. ταῦτα λειώσας, καὶ μίξας χρῶ. τινὲς δὲ καὶ ῥόδων ἄνθος, καὶ κηκῖδας προσβάλλουσιν, ἀνὰ < β'. χρῶ δὲ πρὸς μὲν τὰς σηπεδόνας, καὶ τὰ ἀφιστάμενα οὖλα, καὶ αἱμασσόμενα, ξηρῷ. πρὸς δὲ τὰς ἐσχάρας, μετὰ μέλιτος. B

Τὰ ὑπὸ τοῦ Ταραντίνου Ἡρακλείδου γεγραμμένα, πρὸς τὰς ἐν τῷ στόματι ἐσχάρας.

Ὁ Ταραντῖνος Ἡρακλείδης, ἐν τοῖς πρὸς Ἀντιοχίδα κατὰ λέξιν οὕτως ἔγραψεν, περὶ τῶν ἐν τῷ στόματι σηπεδόνων. ποιεῖ μὲν καὶ ἡ ἀνθηρὰ προσπαττομένη. ἐὰν δὲ εὐτονωτέρα ὑπάρχῃ ἡ σηπεδών, εὔθετός ἐστιν ἡ δύναμις αὕτη. ℞. βδελλίου κεκαυμένου μέρη γ'. ἀρσενικοῦ μέρος α'. λεῖα μίξας χρῶ, καὶ ἄνωθεν δὲ πίλημα προσεπιτίθει, καταβάψας εἰς ῥόδινον, καὶ ἐκθλίψας. ἔνιοι δὲ τοῦ βδελλίου ἐμβάλλουσι μέρη η'. C

Ἄλλη πρὸς εὐτόνους σηπεδόνας τὰς ἐν τῷ στόματι, καὶ τὰς ἐν ἄλλῳ μέρει τοῦ σώματος.

℞. Χαλκίτιδος μέρος α'. κονίας ἀσβέστου τὸ ἴσον, ἀρσενικοῦ μέρος S''. μίξας λεῖα, χρῶ.

Ἄλλη πρὸς τὰς ἐν τῷ στόματι σηπεδόνας, καὶ οὖλα ἀφεστηκότα.

℞. Ῥόδων ἄνθους < δ'. στυπτηρίας σχιστῆς < β'. κηκῖδος < β'. σμύρνης < α'. λειάνας καὶ μέλιτι μίξας, χρῶ. πρὸς D τὰ δὲ ἐλαφρῶς ἐσχαρώδη ἕλκη, ἔμβαλλε στυπτηρίας < δ'. σμύρνης τριώβολον, κηκῖδων < α'. Ἄλλο. ὄξους δριμυτάτου ὅσον κοτύλην α'. λαβοῦσα, ἔμβαλλε ἁλὸς τοσοῦτον, ὥστε μηκέτι τήκεσθαι, εἶτα ἕψε ἕως ξηρανθῇ, καὶ λαμβάνουσα ἀπὸ τούτου, ἐπίχεε ὄξους κύαθον α'. καὶ δίδου διακατέχειν ἐν τῷ στόματι χρόνον ἱκανόν, εἶτα τὸ δεύτερον, καὶ τοῦτο ποίει, τρὶς ἢ τετράκις τῆς ἡμέρας, πρὸς τὰ ὑποκείμενα θεωροῦσα. ἐπὶ δὲ τῶν παίδων, ἔρια ἐπὶ μηλωτίδι περιτιθεῖσα, καταβάπτουσα τὸν τόπον, διάψα σχηματίζουσα, ὅπως μὴ καταπίῃ αὐτό. ἔνιοι δὲ ξηρῷ τῷ ἁλὶ χρῶνται τρίψαντες μετὰ τοῦ ὄξους, E καὶ ἀναξηράναντες. ποιεῖ δὲ καὶ στυπτηρία στρογγύλη, ἴσα καὶ σῶρυ. δεῖ δὲ καὶ διακλύζεσθαι φακοῦ ἀφεψήματι, μέλιτος μιγέντος ὀλίγου, ἢ ῥόδων ἀποβρέγματι μετὰ μέλιτος. μὴ κρατουμένης δὲ τῆς σηπεδόνος καίειν κέλευε, τοὺς κύκλῳ τόπους σκεπάσαντα διαφανεῖ καυτηρίῳ, μέχρις ἂν μηδὲν ἀποῤῥέῃ ὑγρόν, κεκρατημένος δὲ ὁ τόπος φαίνηται. μετὰ δὲ ταῦτα διακλύζεσθαι τοῖς εἰρημένοις, καὶ τῇ ἀνθηρᾷ δυνάμει χρῆσθαι διὰ μέλιτος, ἕως ἂν περιῤῥαγῶσιν αἱ ἐσχάραι, καὶ τότε δὴ μέλιτι χρῶ. Ἄλλη εὐώδης ἁπαλή, πρὸς φλεγμονάς, καὶ ἐσχάρας καλή. ℞. πυρήνων δραχμὰς γ'. ἀμύλου F δραχμὰς β. σχιστῆς < α'. ῥόδων ἄνθους δραχμὴν μίαν, κρόκου τριώβολον σὺν μέλιτι, ταύτην ἐκ τοῦ Κρατίππου νάρθηκος εἶναί φησιν.

℞. Misyos vsti drachmas octo, iridis Illyricæ drachmas quatuor, croci drachmam vnam, hæc trita, ac mixta in pyxide lignea reponito, & tum per se, tùm cum melle, vtitor. Consequenter verò etiam hæc hoc modo prodidit. *Aliud medicamentum Anthera, ad prædicta faciens.* ℞. Iridis Illyricæ, sandarachæ, cyperi, singulorum drach. iv. aluminis scissi, myrrhæ, croci, crocomagmatis, singulorum drach. ij. his tritis, ac mixtis vtere. Quidam verò, & florum rosarum, & gallæ, vtriusque drach. ij. adiiciunt. Vtere autem ad putredines, & disparatas per abscessum, ac cruentas gingiuas arido; ad crustas cum melle.

Quæ Heraclides Tarantinus ad crustas in ore scripsit.

Heraclides Tarantinus in scriptis suis ad Antiochidem in hunc modum scripsit, de putredinibus in ore. Facit quidem, & Anthera sicca admota. Si verò validior sit putrefactio, apposita est hæc compositio. ℞. Bdellij vsti partes tres, auripigmenti partem vnam, tritis, mixtis vtitor; & supernè linamentum conuulsum impone, rosaceo tinctum, ac expressum. Quidam bdellij partes viij. capiunt.

Alia ad robustas putrefactiones oris, ac reliqui corporis.

℞. Chalcitidis partem vnam, calcis viuæ tantundem, auripigmenti partem dimidiam; tritis, mixtis vtere.

Alia ad putredines in ore, & gingiuarum abscessus.

℞. Florum rosarum drach. iv. aluminis scissi drach. ij. gallæ drach. duas, myrrhæ drach. vnam, trita melli misceto, ac vtitor. Verùm ad vlcera leuiter crustosa, iniice aluminis drachmas quatuor, myrrhæ obolos iij. gallarum drach. vnam. *Aliud.* aceti acerrimi heminam vnam accipito, in ipsumque tantum salis, donec non amplius liquetur, coniicito, deinde donec siccetur coquito, & ex illo accipito, atque aceti cyathum vnum affundito, ac ore detinendum exhibeto per satis multum tempus; deinde iterum, atque iterum idem facito ter, aut quater per diem, respectu habito ad subiectas partes. In pueris verò lanas circum specillum apponito, intingitoque, ac locum confricato, ea corporis figura ordinata, ne ipsam deuoret. Quidam verò arido sale vtuntur, terentes ipsum cum aceto, & resiccantes. Faciunt & alumen rotundum, ac sori, pari pondere. Oportet autem colluere lẽtium decoctum modico admixto melle, aut rosarum cremorem cum melle. Quòd si non exuperetur per hæc putrefactio, vrere iube, munitis, & contectis in orbem circumsitis locis. Sit autem candens, ac pellucens cauterium, quod admoueatur, donec nullus humor amplius defluat, & locus videatur exuperatus. Postea colluenda prædicta, & anthera compositione vtendum ex melle, vsquequo crustæ circunrumpantur; atque tum sanè melle vteris. *Alia odora, tenera, ad inflammationes, & crustas commoda.* ℞. nucum pinearum drach. iij. amyli drach. ij. aluminis scissi drach. j. florum rosarum drach. j. croci obolos iij. excipe melle. Hoc medicamentum ex ferula Cratippi sumptum dicit.

CAP.

CAPVT VIII.

Ad columellam, siue gurgulionem.

CArnosa quædam particula in summo ore apparet dependens, si quis aperto plurimum ore toto linguam deprimat. Hæc ipsa caruncula duobus nominibus appellatur, à veteribus Græcis, gargareon, idest, *gurgulio*, & columna; cæterùm posteriores medici ferè omnes non ita, sed cionidem, idest columellam, vocant. Nam qui staphylen, idest, vuam, ipsam appellant, eorum neque meminisse præstat; nos enim non particulam ipsam, sed vnam aliquam eius affectionem, staphylen siue vuam, nominamus. Raro autem hæc affectio circa columellam contingit; verùm valdè sæpe inflammatur. Et sanè quemadmodum in aliis omnibus, in quibus ex humorum influxu contingit morbus, ita etiam hîc prima auxilia reprimunt fluxum. Astringentis igitur facultatis hæc esse oportet; & si quidem moderatus sit influxùs, moderatè astringentis, quam austeram priuatim dicunt; vbi verò vehementior fuerit influxus, acerbæ; ambæ enim astringunt, sed debilius austera, vehementius autem acerba. Relatæ sunt autem sæpe ambarum materiæ; verùm præstat & nunc meminisse, quò in paruis inflammationibus debiles, in magnis vehementes adhibeatis. Collutiones itaque moderatæ sunt ex palmulis, aut phœnicobalanis, aut quomodocunque appellare velis, decoctis quandoque sola aqua, quandoque modico melle iniecto. Huic cõsimilis est collutio ex decocto rosarum, pampinorum vitis, rubi; rubi canini, lẽtisci, hederæ, cypri, terebinthi, rhãni, aspalathi, cyperi, ac cytinorum, item siliquarum, & radicum mori, hypocystidis, malorum austerorum, & pyrorum acerborum, ac eorum quæ sorba dicuntur, quæ multi apponentes ad primam nominis syllabam υ, οὖα appellant, vt nominis quidem tres sint in vniuersum literæ, tum ο, tum υ, tum α: apud græcissantes verò cum ο tum α. His fortiora sunt myrti, ac baccarum eius decoctum, & ex acerbis cotoneis malis, & virgultorum tenerorum ilicis, arbuti, smilacis, ac phagi, & ipsarum glandium, mespilorum item, & cornorum, & fructus memæcyli. Generosissimum autem est decoctum gallarum, & rhois culinarij, ac coriarij, ac fructus myricæ, & spinæ Ægyptiæ. Ex his singula tum per se, tum etiam mixtim, cocta ex aqua gargarissare oportet; mirum enim quam mixturæ ipsorum vtiliores sæpe fiunt ipso simplici vsu. Quin & aridis tritis columellam contingere oportet, sensim quodammodo ad supernam regionem, & externam, ad linguam videlicet ducendo. Verùm trita arida medicamenta cochleario excipiantur; & melius est, vt ipsum cochlearium ad finem in obliquam lineam desinat, quàm in rectam. Et ex his ipsis, moderatæ quidem sunt rosæ, & flos ipsarum, & virgulta iam enumeratarum plantarum, hypocystis, rheon; lapis quo sutores muliebria calceamenta expoliunt, vocatur autem ageratus, velut non senescens; aloëque, & cyperus, & schœnanthos, radix nardi Indicæ, ac nostræ montanæ. Fortiora his sunt, & citra manifestam aspritudinem astringunt, fructus spinæ Ægyptiæ, rheon, & quod diphryges appellatur, rhus obsoniorum, siue culinarius; & ex acerbis balaustium est, cytini, malicorium, galla,

ΚΕΦΑΛΑΙΟΝ Η'.

Πρὸς γαργαρεῶνας.

A Σαρκῶδές τι μόριον ἐν τῷ βάθει τοῦ στόματος ὑψηλὸν φαίνεται κρεμάμενον, ἐὰν διανοίξας τις ἐπὶ πλεῖστον ὅλον τὸ στόμα, τὴν γλῶτταν καταστείλῃ. τοῦτο τὸ σαρκίον ὀνομάζεται δύο ὀνόμασι πρὸς τῶν παλαιῶν Ἑλλήνων, γαργαρεών τε καὶ κίων, οἱ δὲ μετὰ τούτους ἰατροὶ, σχεδὸν ἅπαντες οὐχ οὕτως, ἀλλὰ κιονίδα καλοῦσιν αὐτό. τῶν γὰρ σταφυλὴν ὀνομαζόντων αὐτὸ, βέλτιόν ἐστι
B μηδ' ὅλως μνημονεύειν. οὐ γὰρ τὸ μόριον, ἀλλ' ἕν τι τῶν παθῶν αὐτοῦ σταφυλὴν ὀνομάζομεν. ὀλιγάκις οὖν τοῦτο τὸ πάθημα γίνεται κατὰ τὸν κίονα, φλεγμαίνει δὲ πάνυ πολλάκις, καὶ δηλονότι καθάπερ ἐν τοῖς ἄλλοις ἅπασιν, ἐν οἷς ἐξ ἐπιῤῥοῆς ὑγρῶν ἡ νόσος, οὕτω καὶ τόδε τὰ πρῶτα τῶν βοηθημάτων ἀναστέλλει τὸ ῥεῦμα, στυπτικῆς οὖν δυνάμεως χρὴ ταῦτα εἶναι. μετρίας μὲν οὔσης τῆς ἐπιῤῥοῆς, μετρίως στυφούσης, ἣν αὐστηρὰν ἰδίως ὀνομάζουσιν. ὅταν δὲ σφοδροτέρα, συστῆ διὰ τῆς στρυφνῆς, ἄμφω μὲν γὰρ στύφουσιν, ἀλλ' ἀσθενέστερον μὲν αὐστηρὰ, σφοδρότερον δὲ ἡ στρυφνή. εἴρηνται δὲ ἀμφοτέρων πολλάκις αἱ ὗλαι, ἀλλὰ καὶ νῦν ἀναμνῆσαι
C βέλτιον, ὅπως ἐπὶ μὲν τῶν μικρῶν φλεγμονῶν, τὰς ἀσθενεῖς στύψεις, ἐπὶ δὲ τῶν μεγάλων, τὰς σφοδρὰς παραλαμβάνητε. διακλύσματα μὲν γὰρ σύμμετρα, τά τε τῶν φοινίκων ἐστὶν, ἢ φοινικοβαλάνων, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν, ἀφεψημένων ποτὲ μὲν ὕδατι μόνῳ, ποτὲ δὲ καὶ βραχέος μέλιτος ἐμβεβλημένου. παραπλησίως δὲ τούτῳ, καὶ τὸ διὰ ῥόδων, ἑλίκων τε ἀμπέλων, καὶ βάτου, καὶ κυνοσβάτου, καὶ σχίνου, καὶ κισσοῦ, καὶ κύπρου, καὶ τερεβινθίνης, καὶ ῥάμνου, καὶ ἀσπαλάθου, καὶ κυπέρου, καὶ κυτίνου, καὶ τῶν καλουμένων κερατίων, καὶ μορέας ῥιζῶν. ὑποκυστίδος τε καὶ μήλων αὐστηρῶν, ἢ στρυφνῶν ἀπίων, τῶν τε καλουμένων ὄων, ἅπερ οὖα καλοῦσιν οἱ πολλοὶ, προστιθέντες κατὰ τὴν πρώτην συλλαβὴν τοῦ
D ὀνόματος τὸ υ, ὡς εἶναι τρία γράμματα τοῦ ὀνόματος τὰ πάντα, τό, τε ο, καὶ τὸ υ, καὶ τὸ α, κατὰ δὲ τοὺς ἑλληνίζοντας, τό, τε ο, καὶ τὸ α. τούτων δὲ ἰσχυρότερα, τό, τε τῆς μυρσίνης, καὶ τὸ τῶν μύρτων ἐστὶν ἀφέψημα, καὶ τὸ τῶν στρυφνῶν κυδωνίων μήλων. ἀκρεμόνων τε τῶν μαλακῶν, πρίνου, καὶ κομάρου, καὶ σμίλακος, καὶ φηγοῦ, καὶ τῶν βαλάνων αὐτῶν, μεσπίλων τε καὶ κρανίων, καὶ μεμαικύλου καρποῦ. γενναιότατα δὲ κηκίδων, καὶ ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα, καὶ τῆς βυρσοδεψικῆς, καὶ μυρίκης καρποῦ, καὶ τῆς ἀκάνθης τῆς Αἰγυπτίας ὀνομαζομένης, ὁμοίως τοῦ καρποῦ. τούτων ἑκάστου καθ' ἑαυτὰ μόνα, καὶ σὺν
E ἄλλοις ἑψηθέντων, ἀνακογχυλίζεσθαι χρὴ τῷ ὕδατι. θαυμαστὸν γὰρ ὅπως, αἱ μίξεις αὐτῶν ὠφελιμώτεραι πολλάκις γίνονται τῆς τῶν ἁπλῶν χρήσεως. ξηροῖς δὲ λειωθεῖσι προσάπτεσθαι τοῦ γαργαρεῶνος, ἀτρέμα πως ἀνάγοντα, πρός τε τὴν ἄνω χώραν, καὶ τὴν ἐκτὸς, ὡς ἐπὶ τὴν γλῶτταν. ἐμβεβλήσθω δὲ κοχλιαρίῳ λειούμενα τὰ ξηρὰ φάρμακα, καὶ βέλτιον, εἰ κατὰ τὸ πέρας εἰς ἐγκαρσίαν τομὴν, ἢ εὐθεῖαν εἴη τελευτῶν τὸ κοχλιάριον. καὶ τούτων δὲ αὐτῶν, μέτρια μέν ἐστι τὰ ξηρὰ ῥόδα, καὶ τὸ ἄνθος αὐτῶν, ἀκρέμονές τε ξηρανθέντες, ὧν ἄρτι διῆλθον φυτῶν, ὑποκυστίς τε καὶ ῥῆον, ὅ, τε τῶν σκυτέων λίθος, ᾧ λαμ-
F πρύνουσι τὰ τῶν γυναικῶν ὑποδήματα, καλεῖται δὲ ἀγήρατος, ἀλόη τε καὶ κύπερος, ἄνθος τε σχίνου, καὶ ῥίζα νάρδου τῆς Ἰνδικῆς, καὶ τῆς παρ' ἡμῖν ὀρείας. ἰσχυρότερον δὲ τούτων, ἀλλὰ χωρὶς τοῦ τραχύνειν ἐπιφανῶς στύφει, τῆς Αἰγυπτίας ἀκάνθης ὁ καρπὸς, ῥῆόν τε καὶ τὸ διφρυγὲς ὀνομαζόμενον, ὅ, τε τοῖς ὄψοις ἐπιβαλλόμενος ῥοῦς, τά τε στρυφνὰ, βαλαύστιον τε καὶ κύτινοι, καὶ σίδια, καὶ κη-

κὶς, καὶ μᾶλλον ὅταν ἀκριβῶς ὀμφακῖτις εἴη. στύφουσι δ' A
ἀκριβῶς, καὶ αἱ στυπτηρίαι πᾶσαι, λεπτομερεστέρα δὲ αὐτῶν
οὖσα ἡ σχιστὴ, καὶ χρησιμωτέρα ἐστὶν αὐτῶν. χάλκανθος δὲ
σφοδροτάτην ἔχων στύψιν, οὐκ ἀπήλλακται τοῦ θερμαίνειν, καὶ
διὰ τοῦτο τοῖς σηπεδονώδεσιν ἕλκεσιν ἁρμόττει, ὅμως δὲ
παροξύνει γαργαρεῶνα, κἂν ἤδη ἡ σκιρρώδης. οἱ χυλοὶ δὲ
στύφοντες ἁπάντων τῶν εἰρημένων φυτῶν εἰσι, καὶ τῶν καρ-
πῶν αὐτῶν ὡσαύτως. εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς δια-
χρίστοις στοματικοῖς, ὧν αἱ μὲν διὰ γλεύκους, αἱ δὲ διὰ
μέλιτος μίξεως σκευάζονται. διαφθείρονται γὰρ οἱ χυλοὶ τοὐ-
πίπαν, ἄνευ μέλιτος ἀποτεθέντες, ἢ πάλιν ἀποξηραίνονται B
μέχρι πλείονος ἑψηθέντες. ἔνιοι δὲ χυλοὶ, κἂν ἐν ἡλίῳ θε-
ρινῷ ξηρανθῶσιν ἄχρι συμμέτρου πάχους, ἐν τῷ χρόνῳ ξη-
ραίνονται, καὶ ἂν γε πλειόνων ἐτῶν ἀμυνθῶσιν, εἰς τοσοῦτον
ἥκουσι ξηρότητος, ὡς λεοῦσθαι δύνασθαι παραπλησίως κυ-
τίνοις, καὶ βαλαυστίῳ. τοιοῦτοι δέ εἰσιν, ὅ,τε τῆς ὑποκυ-
στίδος χυλὸς, καὶ ὁ τῆς ὄμφακος, καὶ τῆς γλυκυρρίζης, καὶ
ὁ τοῦ κενταυρείου, καὶ καθόλου φαίην, πάντες οἱ χυλοὶ, κἂν
χωρὶς μέλιτος ἐπιπλέον ἑψηθῶσιν, οὐ διαφθείρονται μὲν,
ἐν τῷ χρόνῳ δὲ γίνονται ξηροί. τινὲς μὲν, ὡς ἔφην, λεοῦ-
σθαι δυνάμενοι, τινὲς δὲ ὅσοι τὸ γλίσχρον ἔχουσι φύσει, πλα- C
τύνονται μᾶλλον, ἢ λεοῦνται. ἁπλᾶ μὲν οὖν ταῦτα χρή-
σιμα, σύνθετα δὲ ἐξ αὐτῶν κατὰ πρὸς χρείας γίνονται, μίαν
μὲν ἐκ τῶν ὁμογενῶν, ὅταν τῷ σφοδρῷ τὸ μαλακὸν μί-
ξωμεν, ἀποροῦντες τοῦ μέσου, ῥόδων ἄνθος, ἢ αὐτὰ τὰ ῥόδα
μετὰ κηκῖδος, ἢ στυπτηρίας λεώσαντες, ἕκαστόν τε τῶν εἰ-
ρημένων ἔμπροσθεν πραέων φαρμάκων, τῷ σφοδρῷ συμ-
πλέξαντες. ἔσται γὰρ ἀριθμὸς οὐκ ὀλίγος κατὰ τὴν τῶν τοιού-
των ὑπαλλαξιν, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν ἐκ δυοῖν τι-
νων μίξιν ἔσται πλείω φάρμακα, κατ' ἄλλην ἄλλου ποσό-
τητα μιγνυμένων αὐτῶν, οἷον εἰ διπλάσιον εἴη τὸ τῶν ῥό- D
δων ἄνθος τῆς στυπτηρίας, ἢ τοὐναντίον τοῦδε, διπλασία τοῦ
ῥόδων ἄνθους ἡ στυπτηρία. δύναιτο δ' ἂν οὐ διπλάσιον, ἀλλὰ
καὶ τριπλάσιον, καὶ τετραπλάσιον, ἑκάτερον ἑκατέρῳ μί-
γνυσθαι. πρόδηλον δ', ὅτι καὶ ἴσον ἴσῳ. τοῦτο μὲν οὖν μέ-
σον ἂν εἴη τῶν ἄκρων, τὰ δ' ἄλλα πάντα, τινὰ μὲν ἐγ-
γυτέρω τοῦ μαλακωτέρου, τὰ πλέον ἔχοντα τῶν ῥόδων, τὰ
δὲ τοῦ σφοδροτάτου, τὰ πλέον ἔχοντα τῆς στυπτηρίας. ἑκα-
τέρων δ' αὐτῶν, οὐκ ἄδηλον τὸ μᾶλλον καὶ ἧττον. ὄντων γὰρ
δυοῖν φαρμάκων, ἰσχυρὸν μὲν ἐν οἷς πλείων ἐστὶν ἡ στυπτη-
ρία τῶν ῥόδων, ἰσχυρότατον δ' ἐστὶ καθ' ὃ τριπλασία τῶν ῥό- E
δων ἡ στυπτηρία περιέχεται, τοῦ διπλάσιον ἔχοντος φαρμά-
κου. ὅπερ οὖν ἀεὶ λέγοντος ἀκούετέ μου, καὶ νῦν ἐρῶ. μω-
ρίζουσιν οἱ ζητοῦντες ὁποῖόν ἐστι τὸ κρεῖττον ἐπὶ δυοῖν ὁμογενῶν
φαρμάκων, ἢ τὸ κάλλιστον ἁπάντων αὐτῶν. ὥσπερ εἰ ζη-
τοίης γε, εἰ χόνδρον ἄμεινον, ἢ πτισάνην διδόναι τοῖς νο-
σοῦσιν, ἢ πότερον οἶνον, ἢ ὀξύμελι, ἢ τῶν καθαιρόντων φαρ-
μάκων. ἆρά γε βελτίων ἐστὶν ἐλλέβορος λευκὸς, ἢ μέ-
λας, ἢ καθόλου περὶ πάντων τῶν βοηθημάτων, τί κάλλιστόν
ἐστιν. ἅπαντα γὰρ ἐν τῷ πρός τι, τό γε ὠφελεῖν ἔχει, καὶ τὸ
βλάπτειν, καὶ τοῦτο Ἱπποκράτους εἰπόντος, ὧν οἶδα πρώτου F
πάντων, οἱ μετ' αὐτὸν ἠκολούθησαν. ἔνιοι δὲ τῶν νεωτέρων ἰα-
τρῶν, ὥσπερ ἄλλα πολλὰ φλυαροῦσιν, οὕτω καὶ τὰ τοιαῦτα.
τεθέασθε δὲ πολλάκις ἔργῳ, τοῦ λεγομένου τὴν ἀλήθειαν.
ἀκαίρως γοῦν ἔνιοι χρησάμενοι φαρμάκοις οἷς εἶχον, εἶτ'
ἐκ τοῦ παροξύνεσθαι τὸ πάθος, ἐφ' ἕτερα μεταβάντες ἄνευ με-

& magis exactè quum omphacitis fuerit. Astringũt etiam eximiè omnia aluminis genera; scissum verò inter ea tenuiorũ partium est, & ob id vtilius. Atramentum verò sutorium vehementem habet astringendi vim, sed non expers est calefaciendi, & propterea putredinosis vlceribus cõuenit; & tamen exacerbat columellã, etiam si iam sit in scirrhum indurata. Succi porrò astringẽtes ex omnibus dictis plantis sunt, & fructibus ipsarũ consimiliter; dictũ est de ipsis inter illinitiones stomaticas, quarũ aliquæ ex musti, aliquæ ex mellis mixtura præparantur; corrumpuntur enim succi omnino si absque melle reponantur, aut rursus resiccantur si plurimũ fuerint cocti. Quidam verò succi etiam si ad Solem æstiuum siccentur ad moderatã spissitudinẽ, per tẽpus tamen exarescũt; & si ad plures annos durarint, in eam perueniũt ariditatẽ, vt cõteri queant in modum cytinorũ, & balaustiorum. Tales sunt hypocystidis succus, & vuæ acerbæ, ac glycyrrhizæ, & centaurij. Et vt in summa dicã, omnes succi etiam si absq; melle diutius fuerint cocti, non quidẽ corrumpuntur, verùm tẽpore fiunt aridi; & quidã sanè velut dixi, conteri possunt; quidã verò natura videlicet tenaces, & viscosi, in laminã magis abeunt, quàm vt conterantur. Atq; hæc quidẽ simplicia commoda existunt. Cõposita autem ex ipsis iuxta duplicem vtilitatem fiunt; vnam quidẽ ex iis, quæ eiusdẽ generis sunt; quando vehementi molle admiscemus, carentes scilicet medio, velut florem rosarum, aut ipsas rosas, cum galla, aut alumine permiscentes, & vnumquodq; ex prædictis lenibus medicamentis cum vehementi cõplicantes. Non pauca enim numero iuxta huiusmodi permutationem erunt. Imò & iuxta mixturam ipsam ex duabus factã plura medicamenta fient, quũ aliàs alia quantitate misceantur; velut si duplus sit rosarum flos quãtitate aluminis, aut vice versa duplum alumen ad florem rosarũ. Possit autẽ non solùm duplum, sed & triplũ, & quadruplum, alterum alteri misceri, neque clam est etiam par pari, atque hoc quidẽ medium fuerit inter summa siue extrema; reliqua verò omnia partim propius molliori accedũt, quæ videlicet plus rosarũ habent; partim autem vehementissimo, quæ scilicet plus aluminis capiunt. In vtrisq; verò non obscurũ est magis, & minus. Quum enim duo sunt medicamenta, validum quidem est, in quo alumen rosas excellit: validius autẽ est, in quo triplũ alumen ad rosas continetur, quàm medicamentũ, quod duplum saltem habet. Quod igitur semper me dicere audiuistis, etiam nũc dicam. Stulti sunt, qui inter duo eiusdẽ generis medicamenta, vtrum ipsorum melius sit, quærunt, aut quod ipsorum omnium optimũ existat. Perinde enim faciunt, ac si quis quærat, præstetne alicam, aut ptisanã ægris exhibere: aut num vinum, an acetum mulsum, aut aliquod purgatoriũ medicamentum; aut num melius sit veratrum album, an nigrum; aut si in vniuersum quis de omnibus auxiliis interroget, quod ipsorum optimũ existat. Omnia enim respectu ad aliquid, tum emolumentum, tum detrimentum, in se habẽt; quod ipsum etiam quum Hippocrates dixerit primus omnium, quos sciam, ij qui post ipsum fuerunt, insequuti sunt; ex recentioribus autem medicis aliqui, quemadmodũ alia multa nugantur, sic etiam talia. Vidistis porrò sæpe opere dicti mei veritatem. Intempestiuè namque aliqui medicamentis, quæ habebant, vsi, deinde quòd exacerbari affectionẽ his viderent, ad alia citra methodum transgressi,

&

& neq; his quicquam efficientes, ad tertiam deinceps transitionē, aliquando etiam quartam, præter rationē delati, & affectum iam malignū esse iudicantes, me in consilium adhibuerunt; quibus vt ostenderent mihi quum iussissem ea medicamēta, quæ habebāt, id quòd cōmodum esset ad præsentem constitutionē indicaui. Atque quum ipsi dicerent per medicamentū, quod ego consulebā, ægrū exacerbatū esse, & ob id se eo vti formidare, verū etiam sic persuasos à me, ad ipsius vsum cōpuli, & tum illis, tū nobis vtrunq; quod Herophilus dixit, verū esse ostendi. Siue enim dixeris medicamenta nihil esse sola per se ipsa, rectè dices; nihil enim sunt, nisi vtentē eis rectè fuerint adepta. Siue rursus medicamenta veluti deorū manus esse dixeris, etiam hoc rectè dices; iuuant enim maximè, si is qui eis vtitur, in rationali methodo fuerit exercitatus, & cum hoc naturā prudens; quidā enim haud sanè præstātiores existētes, de sapientia cum prudentissimis cōtendunt. Mixtura itaq; medicamentorū eiusdē generis, mediorū medicamentorum vsus gratia fit. Et ob id semper duo cōtraria facultatibus medicamenta in vnoquoq; affectū vos habere operæpretium duco; permiscendo enim ipsa, omnino multis mediis medicamētis abundabitis. Vna igitur mixturæ eiusdē generis medicamentorū causa hęc est, iam videlicet relata. Vna verò alia mixtura ex diuersi generis medicamētis, huiusmodi ratiocinatione cœpit. Raro quidem inuenerit quis affectionē, aut discussoriis tantū, aut repulsoriis, indigentē. Paruæ etenim, & affectionis nomine vix à medicis dignatæ, confestim sedantur. Vbi verò generatus affectus maiorē habuerit causam, impossibile est ipsū per repulsoria perfectè sanare, & maximè vbi ægri corpus fuerit humoribus multis refertū, aut particula affecta naturâ debilis. Ob id igitur cogimur sæpè quidem in principio, sæpè verò paulo post, admiscere quippiam ex discussoriis: si verò dolor affuerit simul vehemēs, etiam ex mitigatoriis addere. Itaq; tunc opus est vnicuique prędictorum medicamentorū aliquid ex discussoriis addere. At verò quum hęc omnino multa sint, à mollioribus auspicandū erit; ab acribus enim inflāmata exacerbantur. At ea gratia cōposita medimenta in vsum venerunt, quum ad aliarū partium inflammationes, tum gurgulionis; veluti quum ad alumen iridem illyricam admiscemus, aut farinam eruinam, aut thus, aut myrrham. Quum enim astringentia sint multa, & non pauca citra acrimoniam discutientia, varietas medicamentorū ad columellas inflammatas meritò multiiuga facta est. Cæterū tu perspecta inflāmationis magnitudine, ac caliditate, & cōsiderata influxus quātitate, ampliúsq; copiam humorū in toto corpore per coniecturā assequutus, medicamēto, in quo, aut astringentium, aut discutientium vis excellit, vtêris. Ascribā autē rursus etiam hic medicamēta, quæ ab expertissimis tradita sunt, aliqua quidē cum propriis discriminibus, nō pauca verò etiam citra distinctiones. In quibus sanè ego, velut etiā in aliis, quæ supra tradidi, propria discrimina apponam.

Quæ Archigenes scripsit ad gurguliones inflammatos.

Ad propositam affectionem sic scripsit Archigenes in primo medicamentorum. Vuâ laxatâ succum dissolutum admoue, aut gallā tritam cum sale, aut ipsum sal dissolutum, aut lycij radicem tritam, aut omphacium cum melle. Si verò fortius

A θόδου, καὶ μηδὲν τούτοις ἀνύσαντες, τὴν τρίτην ἐφεξῆς, ἐφ' ἑτέραν μετάβασιν, ἔστι δ' ὅτε καὶ τετάρτην, ἀλόγως ποιήσαντες, καὶ νομίσαντες τὸ πάθος εἶναι κακόηθες, ἐκάλεσάν με συμβουλεῦσαί τι. κἀγὼ κελεύσας αὐτοὺς, ἃ κέκτηνται φάρμακα δεῖξαί μοι, τὸ συμφέρον τῇ παρούσῃ καταστάσει συνεβούλευον, καὶ φασκόντων αὐτῶν, δι' οὗ συνεβούλευσα φαρμάκου παροξύνεσθαι τὸν κάμνοντα, καὶ διὰ τοῦτο χρῆσθαι δεδιότων, ἀλλὰ νῦν γε πεισθέντας ἐμοὶ χρήσασθαι προτρέψας, ἐπέδειξα κἀκείνοις καὶ ὑμῖν ἑκάτερον ὧν ἔλεγεν Ἡρόφιλος, ἀληθὲς ὑπάρχον. ἐάν τε γὰρ εἴπῃς, οὐδὲν εἶναι τὰ φάρμακα μόνα καθ' αὑτὰ, B προσηκόντως ἐρεῖς, οὐδὲν γάρ ἐστιν, ἐὰν μὴ τοῦ χρωμένου ὀρθῶς τύχῃ, ἐάν τε πάλιν, οἷον τὰς θεῶν χεῖρας εἶναι τὰ φάρμακα, καὶ τοῦτο ὀρθῶς ἐρεῖς. ἀνύει γὰρ μεγάλα, τοῦ χρωμένου αὐτοῖς ἔχοντα γεγυμνασμένον ἐν λογικῇ μεθόδῳ, μετὰ τοῦ καὶ συνετὸν εἶναι φύσει. τινὲς γὰρ οὐ μόνον βελτίους ὄντες, ἀμφισβητοῦσι περὶ σοφίας τοῖς συνετωτάτοις. ἡ μὲν οὖν τῶν ὁμογενῶν φαρμάκων μίξις, ἕνεκα τῆς τῶν μεταξὺ χρείας γίνεται, καὶ διὰ τοῦτο, ἀεὶ δύο ἔχειν ὑμᾶς ἐναντία ταῖς δυνάμεσιν ἐφ' ἑκάστου πάθους ἀξιῶ. μιγνύντες γὰρ αὐτὰ, παμπόλλων τῶν μεταξὺ φαρμάκων εὐπορήσετε. μία μὲν οὖν αἰτία τῆς τῶν ὁμογενῶν φαρμάκων μί- C ξεως ἥδε, καὶ δὴ λέλεκται. μία δὲ ἄλλη τῆς τῶν ἑτερογενῶν, ἐκ τοιούτου γίνεται λογισμοῦ. σπανίως ἂν εὕροι τις διάθεσιν, ἤτοι διαφορούντων μόνον, ἢ ἀποκρουομένων δεομένην. αἱ μὲν γὰρ μικραὶ, καθ' ὧν οὐδὲ τὸ τῆς διαθέσεως ὄνομα προσφέρουσιν οἱ ἰατροὶ, παραχρῆμα καθίστανται. μείζονα δ' ὑπόθεσιν ἔχοντος τοῦ γινομένου πάθους, ἀδύνατόν ἐστι διὰ τῶν ἀποκρουομένων αὐτὸ τελέως ἰᾶσθαι, καὶ μάλισθ' ὅταν ᾖ τὸ τοῦ κάμνοντος σῶμα πολύχυμον, ἢ τὸ πεπονθὸς μόριον ἄρρωστον φύσει. διὰ τοῦτο οὖν ἀναγκαζόμεθα πολλάκις μὲν εὐθέως ἐν ἀρχῇ, πολλάκις δὲ ὀλίγον ὕστερον μιγνύναι τι τῶν διαφορητικῶν. ἣν δ' ὀδύνη συνείη D σφοδρὰ, καὶ τῶν παρηγορικῶν. χρεία τοίνυν ἐστὶ τηνικαῦτα τῶν εἰρημένων φαρμάκων ἑκάστῳ, μεμίχθαι τε τῶν διαφορητικῶν. ὄντων δὲ καὶ τούτων παμπόλλων, ἀπὸ τῶν μαλακωτέρων ἄρχεσθαι χρὴ, παροξύνεται γὰρ ὑπὸ τῶν δριμέων τὰ φλεγμαίνοντα. διὰ τοῦτο οὖν ἐγένοντο σύνθετα φάρμακα, πρός τε τὰς τῶν ἄλλων μορίων φλεγμονὰς, καὶ πρὸς τὰς τοῦ γαργαρεῶνος, οἷον ὅταν τῇ στυπτηρίᾳ μίξωμεν ἶριν Ἰλλυρικὴν, ἢ τὸ τῶν ὀρόβων ἄλευρον, ἢ λιβανωτὸν, ἢ σμύρναν. ὄντων δὲ καὶ τῶν στυφόντων πολλῶν, καὶ τῶν ἀδήκτως διαφορούντων οὐκ ὀλίγων, ἡ ποικιλία τῶν πρὸς τοὺς φλεγμαίνοντας κίονας ἁρμοττόντων φαρ- E μάκων, εἰκότως ἐγένετο παμπόλλη. σὺ δὲ θεασάμενος ὅπως ἔχει μεγέθους τε καὶ θερμότητος ἡ φλεγμονὴ, τό τε ἀπορρέον αὐτῆς ὁπόσον ἐστὶ κατασκεψάμενος, ἔτι τε τὴν ποσότητα τῶν ἐν τῷ σώματι χυμῶν στοχασάμενος, ἢ τῷ τοῖς στύφουσιν, ἢ τῷ τοῖς διαφοροῦσιν ἐπικρατουμένῳ φαρμάκῳ χρήσῃ. παραγράψω δὴ πάλιν κἀνταῦθα φάρμακα, τὰ τοῖς ἐμπειροτάτοις γραφέντα, τὰ μὲν ἅμα τοῖς οἰκείοις διορισμοῖς, οὐκ ὀλίγα δὲ καὶ χωρὶς τῶν διορισμῶν, ἐφ' ὧν ἐγὼ προσθήσω, καθάπερ ἐπὶ τῶν ἄλλων, ὅσα πρόσθεν ἔγραψα, τοὺς οἰκείους διορισμούς.

F Περὶ τῶν ὑπ' Ἀρχιγένους γεγραμμένων, πρὸς τοὺς φλεγμαίνοντας γαργαρεῶνας.

Περὶ τοῦ προκειμένου παθήματος, οὕτως ἔγραψεν Ἀρχιγένης τὸ πρῶτον τῶν φαρμάκων. σταφυλῆς δὲ χαλασθείσης προσάπτου ὀπῷ λείῳ, ἢ κηκῖδι λείᾳ μετὰ ἁλῶν. ἢ αὐτοῖς ἁλσὶ διαλύτοις. ἢ λυκίου ῥίζῃ λείᾳ, ἢ ὀμφακίῳ μετὰ μέλιτος. εἰ δὲ εὔτονον ἐθέ-

τοις, χαλκάνθου, λεπίδος, σχιστῆς, μίσυος, σμύρνης, κηκῖδος ἴσα λεῖα, οἴνῳ ἀναλαβὼν χρίε. Εἰ ταυτὶ μόνα γράψας ὁ Ἀρχιγένης ἐπαύσατο, τελέως ἂν ἐμεμψάμην, χωρὶς διορισμοῦ γράψαντι φάρμακα δυνάμεως ἐναντιωτάτης. ἐπεὶ δὲ διὰ τῶν ἑξῆς γεγραμμένων ἐπανορθοῖ, καὶ αὐτὸ τούτων ἀδιόριστον, ὀρθῶς ἐποίησεν. ὅτι δὲ ἀδιορίστως εἴρηται ταῦτα, μαθεῖν πάρεστιν ἐντεῦθεν. σταφυλῆς, φησὶ, χαλασθείσης προσάπτου ὀπῷ λείῳ. ἔδει μὲν οὖν κἀνταῦθα προστεθεικέναι, ποίῳ φησὶν ὀπῷ. ἀλλ᾽ ἐπεὶ πᾶσιν ἤδη πεπίστευται τὸν Κυρηναϊκὸν ὀπὸν ἄριστα ποιεῖν πρὸς τὰς φλεγμονὰς τοῦ κίονος, οὐ προσέθηκε τοῦ Κυρηναίου, κατὰ τοῦτο μὲν οὖν καί τις αὐτῷ μέμψαιτο. καθ᾽ ὅσον δὲ δριμύτατον, καὶ θερμαντικώτατον φάρμακον τὸν Κυρηναϊκὸν ὀπὸν μετὰ τῶν ἐναντίων ἔγραψε, μὴ προσθεὶς διορισμὸν, μηδὲ δηλώσας, πότε μὲν τῷ ὀπῷ χρῆσθαι προσήκει, πότε δὲ τοῖς στυπτικοῖς φαρμάκοις, κατὰ τοῦτο κακῶς ἐποίησε. χάλκανθον γὰρ, καὶ λεπίδα χαλκοῦ, καὶ τὴν σχιστὴν, δῆλον δὲ ὅτι μὲν στυπτηρίαν λέγει καὶ μίσυ, καὶ κηκῖδα, πάντα ἴσα λεαίνειν ἐν οἴνῳ κελεύσας, προσμίξας δὲ αὖθις καὶ σμύρνης ἴσον, τῷ συντεθέντι φαρμάκῳ χρίει τὴν σταφυλὴν, ἰσχυροτάτῳ δηλονότι κατὰ τὴν στύψιν ὑπάρχοντι. παρεμυθήσατο δὲ τὸ τῆς γραφῆς ἀδιόριστον, προσγράψας τῷ περὶ τοῦ φαρμάκου λόγῳ τὴν λέξιν ταύτην. Εἰ δ᾽ εὔτονον ἐθέλοις, ὡς γὰρ ἐπισταμένοις ἡμῖν, πότε τοῖς εὐτόνοις ἐστὶ χρηστέον, οὕτως ἔγραψε καὶ τοῦτο. μικτὸν δὲ φάρμακον ἐν οἷς ἔγραφεν, ἐστὶν ἡ κηκὶς μεθ᾽ ἁλῶν, αὐτὴ μὲν στύφουσα σφοδρῶς. οἱ δ᾽ ἅλες διαφοροῦντες μετά τινος βραχείας στύψεως. ἰδίᾳ δὲ τοῖς ἁλσὶν, οὐκ ἄν τις χρήσαιτο κατ᾽ ἀρχὰς, ὥσπερ οὐδὲ τῷ ὀπῷ, ἀλλ᾽ ἐπὶ σκιρρουμένης ἤδη, καὶ χρονιζούσης τῆς φλεγμονῆς τοῦ κίονος. αὐτὸς δὲ οὐ κίονος ἔγραψεν, ἀλλὰ σταφυλῆς χαλασθείσης, ὁμοίως τοῖς πολλοῖς ἡγούμενος τὴν φλεγμονὴν τοῦ κίονος, σταφυλὴν ὀνομάζεσθαι. καὶ τί θαυμαστὸν ὅπου, καὶ τῶν καθ᾽ ἡμᾶς τις, ἐπ᾽ Ἀττικισμῷ σεμνυνόμενος, ὡς τὸ μόριον αὐτὸ σταφυλὴν ὀνομάζεσθαι. πλέον γὰρ αὐτὸς ἠγνόει τοῦ Ἀρχιγένους, καίτοι παρά τε τοῖς ἄλλοις παλαιοῖς εὐπορηκὼς τὴν χρῆσιν τῆς προσηγορίας, καὶ παρὰ τῷ Ἱπποκράτει κατὰ τὸ προγνωστικὸν, ἐν τῇδε τῇ λέξει. οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι, καὶ ἀποτέμνεσθαι, καὶ διακαίεσθαι, καὶ ἀποσχάζεσθαι. ἔστ᾽ ἂν ἐρυθροὶ ὦσι, καὶ μεγάλοι, καὶ γὰρ φλεγμονὴ ἐπιγίνεται τουτέοισι, καὶ αἱμορραγία. ἀλλὰ χρὴ τὰ τοιαῦτα ἄλλοις μηχανήμασι πειρᾶσθαι κατισχναίνειν ἐν τούτῳ τῷ χρόνῳ. ταῦτα προειπὼν ὁ Ἱπποκράτης, φησὶν ἐφεξῆς. ὅταν δὲ ἀποκριθείη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσιν, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ πελιὸν, τὸ δὲ ἀνωτέρω, λεπτότερον ἐν τούτῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. ἄμεινον δὲ καὶ ὑποκενώσαντα τὴν κοιλίην, τῇ χειρουργίῃ χρῆσθαι, ἢν ὅ,τε χρόνος ἐγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος. ἔτι δὲ σαφέστερον ὁ Διοκλῆς ἡρμήνευκεν, ὁποῖόν ἐστι πάθος ἡ καλουμένη σταφυλὴ, καὶ μετὰ τοῦτον Πραξαγόρας, καὶ Μαντίας, καὶ ὅσοι τὰ συνεδρεύοντα τοῖς πάθεσιν ἔγραψαν. ἔνιοι δὲ καὶ διὰ τοῦτο σταφυλὴν εἶπον κεκλῆσθαι τὸ πάθος, ὅτι ῥαγὶ σταφυλῆς ἔοικε τὸ ἄκρον τοῦ γαργαρεῶνος. τὰ δὲ ἐφεξῆς ὑπὸ τοῦ Ἀρχιγένους γεγραμμένα, καλῶς εἴρηται, καὶ διορισμοὺς τῆς χρήσεως αὐτῶν προσγράψαντος. ἔχει δὲ ἡ λέξις οὕτω.

Κοινὸν φάρμακον κίονος, καὶ παρισθμίων.

Κοινῶς δὲ ἐπὶ τῶν κατὰ παρίσθμια, ἢ τὸν κίονα φλεγμονῶν, ἢ ἑλκώσεων ἀρχομένων μὲν, εὐθὺς ἁρμόδιος ἡσυχία,

A velis, atramenti sutorij, squamæ æris, aluminis scissi, misyos, myrrhæ, gallæ, æquas partes tritas ac vino exceptas illine. Si his solum scriptis quiesceret Archigenes, haud iniuria ipsum reprehẽderim citra discrimen scribentem medicamenta facultatis penitus cõtrariæ, quoniam verò in his, quæ deinceps scribũtur, corrigit interdũ ipsam horum indistinctionem, rectè facit. Quod verò indiscriminatim hæc dicta sint, hinc discere licet. Vuæ, inquit, laxatæ succũ dissolutũ admoue. Oportebat equidem etiam hic apponere, qualẽ succum dicat; verùm quum omnibus iam persuasum sit cyrenaicum succum optimè facere ad columellã inflammatam, non apposuit cyrenaicum; & ob id igitur, B quispiam haud ipsi succensuerit. At verò quòd acerrimum, & maximè calefactorium medicamẽtum ipsum cyrenaicum succum cum cõtrariis scripsit, non apponens discrimen, neque ostendens quando ipso succo vti conueniat, & quando astringentibus medicamentis, in hoc perperam fecit. Atramentum sutorium enim & squamam æris, & alumen scissum, & misy, & gallam, omnia æquis partibus in vino terere iubens, ampliusque ad hæc myrrham pari pondere addens, hoc modo cõposito medicamento vuam illinit, quod fortissima astringendi facultate præditum est. C Verùm huius scripturæ indeterminatam incertitudinẽ mox mitigauit, præscribendo videlicet hæc verba medicamẽti cõpositioni, si verò fortius velis; hoc enim scripsit tanquam scientibus nobis quãdo fortibus vtendum sit. Porrò mixtum medicamentum est & hoc, vbi scripsit, aut gallam tritam cum sale. Galla enim vehementer astringit; sal verò discutit cum modica astrictione. In principio verò sale non est priuatim vtendum, sicut neque succo, sed indurata iam & diuturna columellæ inflammatione; ipse autem non columella scripsit, sed vua laxata, cum D vulgo existimans columellæ inflammationẽ vuam appellari. Et quid mirum hoc putandum, quando etiam ex nostratibus quidam, ob atticismum superciliosus, & iactabundus, vuam ipsam particulã appellari existimauit? Maior enim huius, quam Archigenis ignorantia fuit, quanquam tum ex aliis veteribus huius appellationis vsus parabilis sit, tum ex Hippocrate constet, ex his adeo in Prænotionum libro, verbis; *Gurgultones cum periculo exciduntur, vruntur, ac resiccantur, quandiu rubri fuerint, & magni, nam & inflammatio ad hoc consequitur, & sanguinis eruptio. Verùm tales graciles reddere aliis artibus hoc tempore oportet.* Hæc præfatus E Hippocrates, deinceps ait; *quum verò totum fuerit separatum, quod sanè vuam vocant, & extremum gurgulionis maius, & liuidum fuerit factum, superior verò pars tenuior, in hoc sanè tempore tutum est manus admoliri. Præstiterit autem aluo prius euacuata manum adhibere, si tempus hoc permittat, & non suffocetur homo.* Manifestius autem adhuc Diocles interpretatus est, qualis sit affectio vua appellata, & post eum Praxagoras, & Mantias, & quicunq; concomitantia affectus conscripserunt. Quidam verò etiam ob id affectionem vuam appellatam esse dixerunt, quòd vuæ fructui extremũ gurgulionis si- F mile apparet. Quæ porrò deinceps ab Archigene scripta sunt, rectè dicta sunt, discrimina nimirum vsus ipsorum eo ascribente. Habent autem sic.

Commune medicamentum columellæ & tonsillarum.

In cõmune tum tõsillis, tum columella inflammatis, aut exulceratis, in principio conuenit quies, inedia,

media & consequens diæta, gargarismi simplices leniter astringentes, posca dilutior tepida, aut aqua mulsa; aut palmularum, aut vitis pampinorum, aut malorum cotoneorum, aut mespilorum, aut pyrastrorum, aut rosarum decoctum; ita vt ad austera decocta parum mellis admisceatur. Pulchrè hic ascripsit, austeris oportere mellis pauxillum miscere, verùm paulò ante cum aqua mulsa per se vti iussit in principio inflammationum, non rectè fecit. Nihil enim astringens habet aqua mulsa, sed rectissimè quis ipsam detersoriam dixerit; & si simul discussoriam dicat, nihil deliquerit. Quæ verò deinceps ab eo scripta sunt, rectè habent in hunc modum. Facit & acaciæ succus aqua dilutus. Illinenda sunt etiam consimilia stomatica medicamenta, velut est quod ex moris constat simplex. Rhois item syriacæ, ac coriariæ cremore cocto ad spissitudinem, cum melle mixto vtere. Aut punicorum dulcium, atque acidorum succum ad mellis crassitudinem decoquito, ac vtitor. Aut vuæ acerbæ succum expressum adhibeto. Aut rubi, aut lentisci, aut terebinthi, aut myrti, aut rosarum succo cum melle vtere. Et postea forinsecus alumen scissum cum dimidia aloës parte, ac modica acacia cum succo solani imponere consulens, hæc verba infert. Quòd si moretur inflammatio, acetum tepidum per se gargarisset, aut galla trita admixta, aut rubi, aut agrestis oleæ radice. Aut cyperi decoctum cum melle. Aut passum cum aqua. Aut sycites vinum calidum. Aut maluæ decoctũ. Manifestum est enim hæc auxilia communia esse, velut prædictum est, tum columellæ, tum tonsillarum. Verùm non rectè videtur mihi passo cum aqua confidere, vtpote imbecilli ad talia medicamento; quemadmodum etiam vino sycite, & maluæ decocto, priusquam ad suppurationem perueniat affectus; oportebat autem hoc ipsum ab eo indicari. Connectit deinde Archigenes ad prædicta sic scribens; illinito & ea, quæ supra ad vlcuscula in naribus scripta sunt. Priuatim autem picem cum oleo aut melle. Aut crocomagma cum modica galla, & melle. Aut alumen rotundum cum flore rosarum tritum, aut rosas aridas, aut florem ipsarum, trita insperge; aut tum tonsillis, tum vuæ insuffla. Aut cyperi radicem, vel myrtum, aut lentiscum, vel rubum, aut gallam, aut salem tenuem, similiter insperge. Aut omphacium, vel lentiscum, cum melle illine. Aut florem rosarum, vel crocum cum mali punici succo. Hic rursus astringentia ac discussoria citra discrimen permiscuit. Nihil enim simile est inspergere salem tenuem, aut rosas siccas, vel florem ipsarum; aut pice cum oleo vti, quod medicamentum est calefactorium, ac discussorium; aut galla & alumine, quæ medicamenta sunt maximè astringentia. Cæterùm senescente, atque indurata iam inflammatione rectè pix liquida adhibeatur, aut arida oleo liquefacta. Tunc verò etiam sal commodus fuerit, corpore videlicet prius euacuato. Incipiente verò, aut augescente, & cum multa caliditate vigente, maximè contrarium auxilium est pix cum oleo, eademque ratione etiam sal. Consequenter autem rectè descripsit Archigenes ad vigentem affectionem auxilia. Indicat autem ex eo, augescens, & nihil opus sentiens ex præscriptis malum. Habet sermo eius hoc modo. Si verò in vigorem peruenerit affectio aut aluus subducatur, aut furfurum loturam calidam gargarisset, aut ptisanæ succum, aut passum tepidum, aut radicis dulcis

A ἀσιτία, καὶ ἀκόλουθος δίαιτα. ἀναγαργαρίσματα δὲ ἁπλᾶ ἡσυχῆ στύφοντα, ὀξύκρατον ὑδαρὲς χλιαρὸν, ἢ μελίκρατον, ἢ φοινικοβαλάνων, ἢ ἑλίκων ἀμπέλου, ἢ μήλων κυδωνίων, ἢ μεσπίλων, ἢ ἀχράδων, ἢ ῥόδων ἀφεψήματος, μιγνυμένου μετὰ τῶν ἀφεψημένων αὐστηρῶν, μέλιτος ὀλίγου. καλῶς ἐν τούτῳ προσέγραψε τοῖς αὐστηροῖς χρῆσθαι, μιγνύναι δὲ μέλιτος ὀλίγου. μικρὸν δ' ἔμπροσθεν, αὐτῷ καθ' αὐτὸ τῷ μελικράτῳ κελεύσας χρῆσθαι, κατὰ τὴν ἀρχὴν τῶν φλεγμονῶν, οὐκ ὀρθῶς ἐποίησε. οὐδὲν γὰρ ἔχει στυπτικὸν τὸ μελίκρατον, ἀλλὰ κυριώτατον μὲν αὐτὸ ἄν τις ῥυπτικὸν εἴποι, σὺν τούτῳ δὲ καὶ διαφορητικὸν λέ-
B γων, οὐκ ἂν ἁμάρτοι. τὰ δ' οὖν ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένα, καλῶς εἴρηται, κατὰ λέξιν οὕτως ἔχοντα. ποιεῖ καὶ ἀκακίας χυλὸς ὕδατι ἀνεθείς. διαχριστέον δὲ τοῖς παραπλησίαις τῶν στοματικῶν, οἷα καὶ ἡ διὰ μόρων λιτὴ, καὶ ῥοὸς συριακῆς, καὶ βυρσοδεψικῆς ἀποβρέγματι ἑψηθέντι μέχρι συστῇ, μέλι προσμίξας, χρῶ. ἢ ῥοιῶν γλυκειῶν καὶ ὀξειῶν χυλὸν καθεψήσας μέχρι μέλιτος πάχος σχῇ, χρῶ. ἢ σταφυλῆς ὄμφακος ἐκπιέσματα, αὐτὸς σκευάσας χρῶ. ἢ βάτου, ἢ σχίνου, ἢ τερμινθίνου, ἢ σμύρνης, ἢ ῥόδων χυλῷ μετὰ μέλιτος χρῶ. καὶ μετὰ ταῦτα δὲ καταπλάσσειν ἔξωθεν, σχιστὴν μετ' ἀλόης τοῦ ἡμίσεος, καὶ
C ὀλίγης ἀκακίας, σὺν χυλῷ στρύχνου, συμβουλεύσας, ἐπιφέρει κατὰ λέξιν οὕτως. ἐπιμενούσης δὲ τῆς φλεγμονῆς, διαγαργαριζέσθω ὄξει χλιαρῷ ἰδίᾳ. ἢ κηκῖδος λείας προσμιχθείσης, ἢ βάτου, ἢ ἀγριελαίου ῥίζης, ἢ κυπέρου ἀφεψήματι μετὰ μέλιτος, ἢ γλυκεῖ μεθ' ὕδατος, ἢ συκίτῃ θερμῷ, ἢ μαλάχης ἀφεψήματι. πρόδηλον μὲν ὅτι κοινὰ ταῦτα βοηθήματα, καθότι προείρηται, τοῦ τε κίονός ἐστι, καὶ τῶν παρισθμίων. οὐκ ὀρθῶς δέ μοι δοκεῖ τῷ γλυκεῖ μεθ' ὕδατος θαρρεῖν, ἀσθενεῖ πρὸς τὰ τοιαῦτα φαρμάκῳ. καθάπερ καὶ τῷ συκίτῃ, καὶ τῷ τῆς μαλάχης ἀφεψήματι, πρὶν ἢ πρὸς διαπύησιν ἀφίκοιτο τὸ πάθος,
D ἐχρῆν δὲ τοῦτον, αὐτὸ τοῦτο δεδηλωκέναι. συνάπτων δὲ τοῖς προειρημένοις ὁ Ἀρχιγένης, ὧδέ πως ἔγραψεν. διάχριε δὲ καὶ τοῖς ἀνωτέρω, πρὸς τὰ ἐν τοῖς ῥώθωσιν ἑλκύδρια, μεταγραφεῖσιν. ἰδίως δὲ πίσσῃ σὺν ἐλαίῳ, ἢ μέλιτι. ἢ κροκόμαγμα μετ' ὀλίγης κηκῖδος σὺν μέλιτι, ἢ στυπτηρίᾳ στρογγύλῃ μετὰ ῥόδων ἄνθους λελειωμένῃ, ἢ ῥόδα ξηρὰ, ἢ τὸ ἄνθος αὐτῶν λεῖα πρόσεμπασσε, ἢ ἐμφύσα εἴς τε τὰ παρίσθμια, καὶ τὴν σταφυλήν. ἢ κυπέρου ῥίζαν, ἢ μυρσίνην, ἢ σχῖνον, ἢ βάτον, ἢ κηκῖδα, ἢ ἅλας λεπτοὺς ὁμοίως ἔμπαττε, ἢ ὀμφακίνῳ, ἢ σχίνῳ μετὰ μέλιτος διάχριε, ἢ ῥόδων ἄνθος, ἢ κρόκον μετὰ ῥοιᾶς χυλοῦ. ἐνταῦθα πάλιν ἔμιξε
E τὴν στυπτικὴν ἀγωγὴν, τῇ διαφορητικῇ, χωρὶς διορισμοῦ. οὐδὲν γὰρ ὅμοιον ἐμπάττειν ἅλας λεπτοὺς, ἢ ῥόδα ξηρὰ, καὶ τὸ ἄνθος αὐτῶν, ἢ πίσσῃ σὺν ἐλαίῳ χρῆσθαι, θερμαντικῷ τε καὶ διαφορητικῷ φαρμάκῳ, ἢ κηκῖδι, καὶ στυπτηρίᾳ, στυπτικωτάτοις φαρμάκοις. χρονιζούσης μὲν γὰρ, καὶ σκιρρουμένης τῆς φλεγμονῆς, καλῶς ἄν τις ὑγρὰν πίτταν προσφέρῃ, ἢ τὴν ξηρὰν ἐλαίῳ τήξας. τηνικαῦτα δὲ καὶ οἱ ἅλες χρήσιμοι προκεκενωμένου δηλονότι τοῦ σώματος, ἀρχομένου δὲ, ἢ αὐξανομένου, καὶ μετὰ θερμότητος πολλῆς ἀκμάζοντος, ἐναντιώτατον βοήθημα ἔλαιον, καὶ ἡ πίττα. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ οἱ ἅλες. ἐφεξῆς
F δὲ καλῶς ἔγραψεν ὁ Ἀρχιγένης ἐπ' ἀκμάζοντος τοῦ πάθους βοηθήματα, δηλοῖ δὲ ἐκ τούτου αὐξανόμενον, καὶ μηδὲν ὠφελούμενον ὑπὸ τῶν προγεγραμμένων. ἔχει δὲ ἡ λέξις αὐτοῦ κατὰ τόνδε τὸν τρόπον. εἰ δ' ἐπακμάζοι τὸ πάθος, ἡ κοιλία ὑποσυρέσθω, ἢ ἀναγαργαριζέσθω τῷ τῶν πιτύρων πλύμματι θερμῷ, ἢ πτισάνης χυλῷ, ἢ γλυκεῖ χλιαρῷ, ἢ ἀφεψήματι γλυκείας

A ῥίζης μετὰ γλυκέος, καὶ ὑσσώπου, ἢ σύκων οἴνῳ ἀφεψημένων, ἢ πτισάνης χυλῷ, ἐναφεψημένων αὐτῷ σταφίδων. ὠφελοῦνται δὲ μεγάλως, ἐὰν ἀμυγδάλινον ἔλαιον εἰς τὰ ὦτα ἐγχέῃς, ἔξωθέν τε πυριατέον πραέως, σπόγγοις ἀποτεθλιμμένοις, καὶ ὠμὴν λύσιν ἐπιθετέον, τὴν διὰ κριθίνου ἀλεύρου, ἢ διὰ λινοσπέρμου, ἢ τήλεως, ἢ καὶ σμῆγμα ἐκ τούτων. ἐὰν μὲν οὖν πρὸς διαπύησιν φαίνηται ὄντα τὰ παρίσθμια, συνεργητέον τῷ σύκων ἀφεψήματι συνεχῶς, καὶ μονονουχὶ ἀδιαλείπτως διδόντας ἀναγαργαρίζεσθαι, ἢ τῷ μελικράτῳ θερμῷ ὁμοίως. εἰ δὲ μηδὲν ὑποφαίνοιτο τοιοῦτον, ἐπιτείνοιτο δὲ, καὶ δυσκατάποτοι, ἐν ἀρχῇ τε πνιγμοῦ ὑποπτεύοιντο εἶναι, B τήν τε κοιλίαν εὐτόνῳ κλυστῆρι, ἢ βαλάνῳ ὑπακτέον, ἢ φλεβοτομητέον ἀπ' ἀγκῶνος, σικύας τε κατὰ τοῦ τραχήλου, καὶ ἀνθερεῶνος κολλητέον μετὰ ἀμύξεως, πυρίαις τε καὶ καταπλάσμασι, συνεχέστερον καὶ εὐτονώτερον χρησόμεθα, καὶ τοῖς ἀναγαργαρίσμασι συνεχῶς. εἰ δὲ πρὸς μηδὲν τούτων εἴκοι, ἐπιτείνοιτο δὲ, τάς τε ὑπὸ τὴν γλῶτταν φλέβας τμητέον, ἢ τὰς ἐγκανθίδας τε, ἢ καὶ τὴν ἐν μετώπῳ. διαχριστέον δὲ αὖθις συνεχῶς χολῇ ταυρείᾳ, καὶ ἐλατηρίῳ ὁμοῦ μετὰ μέλιτος, ἢ ἁλσὶ σὺν ἐλαίῳ παλαιῷ μετὰ μέλιτος καὶ ὄξους, ἢ κενταυρείῳ μετὰ μέλιτος, ἢ ἀψινθίῳ μετὰ νίτρου καὶ μέλιτος, ἢ χελιδόνας ὅλας C σὺν τοῖς πτεροῖς καύσας, καὶ λεάνας σὺν μέλιτι κατάχριε. φασὶ δ' ἔνιοι καὶ ἄκρως ποιεῖν χελιδόνος νεοττοὺς τοὺς λεπτοὺς λίαν προσφάτους, εἴτε τεταριχευμένους ὀπτοὺς, καὶ διδομένους αὐτοῖς φαγεῖν, εὐθέως γὰρ κουφίζουσι τὸν πνιγμόν. ἐὰν δὲ παῖδες, ἢ πρεσβῦται ὦσι, θεῖον καὶ ἶριν μετὰ μέλιτος δὸς ἐκλείχειν· ὅτι ταῦτα κοινὰ περὶ ἀμφοτέρων, ὥσπερ ἐν ἀρχῇ προεῖπεν, σταφυλῆς τε καὶ παρισθμίων ἐστὶν ἰάματα. δῆλον ἐποίησεν, καὶ ἐξ ὧν ἐπιφέρων φησίν. ἔνιοι δὲ τοῖς συναγχικοῖς, ἢ κυναγχικοῖς, ἐλατηρίου, καὶ χολῆς ταυρείας ἀνὰ β'. ὀβολοὺς, μετὰ χλιαροῦ μελικράτου διδόασι πίνειν. τινὲς δὲ ὄνους τοὺς D ὑπὸ τὰς ὑδρίας ποτίζουσι, σὺν ὕδατι, ἢ ἐκλείχειν διδόασιν, ἢ διαχρίουσι τὰ ἀλγοῦντα, καὶ λίαν μαρτυροῦσιν ὠφελεῖσθαι, καὶ δι' ἀτμοῦ πυριώμενοι ἔσωθεν τοῦτον τὸν τρόπον, ὀρίγανον, ἢ ὕσσωπον, ἢ θύμβραν σὺν ἱκανῷ ὄξει ζέσας ἐπιμελῶς, ἐν χύτρᾳ περιπεπλασμένῃ, τὸ δὲ πῶμα ἐχέτω κατὰ μέσον τρῆμα, εἶτα κάλαμον τῷ τοῦ πώματος τρήματι, ἕως τοῦ πάσχοντος ἐναρμόσας, ἔα πυριᾶσθαι. ἐὰν δὲ κατακαίηται τὸ στόμα, ζέοντος τοῦ καλάμου, ὠὸν κενὸν τετρημένον ἑκατέρωθεν, ἐν τῷ στόματι κατεχέτωσαν, καὶ δι' αὐτοῦ ὁ κάλαμος διερχέσθω. μαλακωτέρα δὲ ἡ πυρία γίγνεται, ἐὰν ἀντὶ τοῦ ὄξους ὕδωρ ᾖ. E ἔνιοι δὲ νίτρον, καὶ ὀρίγανον, καὶ καρδάμου σπέρμα, καὶ ἔλαιον τετριμμένα ἐν ὀξυκράτῳ μιγνύουσι, καὶ ὁμοίως πυριῶσιν. ἢ σποδὸν νεοσσῶν χελιδόνος μήπως ἐπτερωκότων διάχριε, ἢ στρύχνου χυλὸν, καὶ βούτυρον ἴσον, μετὰ ῥοδίνης κηρωτῆς τῷ ἀνθερεῶνι ἐπιτίθει. τοὺς πνιγομένους, πισσαρίῳ μετὰ ὕδατος καὶ νίτρου πότιζε. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν. ἐγὼ δ' οὐδέ ποτε ἐπεχείρησα δοῦναι τῶν ἐν ταῖς τοιαύταις διαθέσεσιν οὐδενὶ τῶν πινομένων φαρμάκων, ὁποίων αὐτός τε καὶ ἄλλοι τινὲς μέμνηνται. τοῦτ' οὖν τὸ ἐπὶ τῷ τέλει τῆς λέξεως τῆς προγεγραμμένης, F γεγραμμένον κατὰ λέξιν οὕτως τοὺς πνιγομένους πισσαρίῳ καὶ νίτρῳ μετὰ ὕδατος πότιζε. τίνι λόγῳ εἴρηται, μὴ δυνάμενος ἐμαυτὸν πεῖσαι, ἀλλὰ μηδὲ τῶν διδασκάλων τινὰ, μηδὲ ἄλλον χρώμενον ἰδὼν, οὐδ' αὐτὸς ἐπεχείρησα χρῆσθαι. τὸ μὲν γὰρ φλεβοτομεῖν τοὺς πνιγομένους, καὶ τὸ κλύζειν δριμεῖ κλυστῆρι, καὶ τὸ καθαρτικὰ διδόναι χάριν τοῦ κενῶσαι τὸ σύμπαν σῶμα,

decoctum cum passo, & hyssopo, aut ficus vino incoctas, aut ptissanæ succum, in quo vuæ passæ sunt incoctæ. Magnopere iuuantur si amygdalinum oleum in aures infuderis, forinsecusq; spongiis expressis leniter foueris. Quin & dissolutum crudum ex hordeacea farina imponendum, aut ex farina seminis lini, aut fœnigræci, aut etiam mixtura ex his omnibus facta. Si ita propè suppurationem fuerint tonsillæ, coadiuuare assiduè per ficuum decoctum oportet, & ferè continuo id ad gargarissandum exhibere, similiterque aquam mulsam calidam. Si verò nihil apparuerit, augescat tamen malum, ita vt ægrè transglutire possint ægri, & suffocationis principium sit nobis suspectum, aluus forti clystere, aut glande subducenda est, & vena cubiti secanda, cucurbitæque cum scarificatione collo, ac mento affigendæ; fomentis etiam, ac cataplasmatis frequentius, & robustius vtendum, & assiduis gargarismis. Quòd si ad nullum horum præsidiorum cedat, sed augeatur, venæ sub lingua secentur, aut iuxta angulos oculorum, atque ea quæ in fronte est. Illinatur autem assiduè fel tauri, & elaterium cum melle, aut sal, & oleum vetus cum melle, & aceto. Aut centaurea cum melle. Aut absinthium cum nitro, & melle. Aut hirundines integras vnà cum pennis vstas, ac tritas cum melle illinito. Aiunt aliqui etiam summè facere hirundinum pullos teneros valde, siue recentes, siue sale conditos, assatos, & in cibos exhibitos; statim enim leuant suffocationem. Siue autem pueri sint, siue senes, sulfur, & iridem cum melle delingenda dato. Quod hæc cõmunes medelæ sint vtriusq, velut in principio dixit, vuæ videlicet, & tõsillarũ, manifestũ fecit ex his, quæ cõsequenter infert, quũ ait. Aliqui synanchicis vel cynanchicis, elaterij, & fellis tauri, vtriusq; obolos duos cũ aqua mulsa tepida bibendos præbent. Quidã verò asellos sub aquariis vasis nascẽtes in potu exhibẽt, aut delingẽdos dant, aut dolentibus, & affectis partibus illinunt, & valdè se iuuari testãtur. Quin & per vaporẽ intra os receptũ hoc modo fomentũ adhibetur. Origanum, aut hyssopũ, aut satureiam, cũ sufficienti aceto diligẽter in olla feruefacito obturata, operculũ autẽ circa mediũ habeat foramen; deinde arundinẽ ad foramen operculi, ac os ægri adaptato, ac fomentũ admittito. Si verò os à feruore arundinis cõburatur, ouum vacuũ vtrinq; perforatũ ægri in ore contineant & per ipsum arundo inseratur. Mollius fit fomentũ, si pro aceto aqua sumatur. Quidã nitrũ, & origanũ, & nasturtij semen, ac oleũ in posca trita miscẽt, & similiter pro fomento adhibẽt. Aut cinerẽ pullorum hyrundinũ implumium illine. Aut solani succum, & butyrũ, æquis partibus cum rosaceo cerato mẽto impone. Eis verò, qui suffocantur, picem cum aqua & nitro in potu præbe. Hæc quidẽ Archigenes scripsit. Ego verò nunquã tentaui vlli alicui, ea, quæ bibuntur medicamenta, in eiusmodi affectionibus exhibere, qualium sanè tum ipse, tum alij quidam, meminerunt. Itaque hoc, quod ad finem sermonis præscripti habetur his verbis; Eis verò qui suffocantur, picem & nitrum cum aqua in potu præbe, non possum mihi persuadere, qua ratione sit dictum. Imò neque ex præceptoribus aliquem, neque alium vllum, eo vtentem vidi, neque etiam ipse in vsum assumere tentaui. At verò venam secare eis, qui suffocantur, & eluere forti atq; acri clystere, & purgatoria exhibere, gratia euacuandi vniuersum corpus,

&

& transferendi infra humorum cursum; qui ad A affectas partes feruntur, rationabile est, & multa experientia iudicatum, ac cognitum. Similiter etiam post totius corporis euacuationem, & diuersionem ad infernas partes, medicamentis acribus multum discussoriis, vti rationi consentaneum est, & experientiam testem habet. Picem verò cum aqua, & nitro in potu præbere abstinui, vtpote quum neque alium vtentem viderim, neque rationem ad hunc vsum, ducem habeam.

Quæ Apollonius in primo parabilium tradidit.

Apollonius in primo parabilium sic ad verbum B scripsit. *Ad inflammatam columellam illitiones.* Sale trito, & melle illinens reprimes columellam. Picem illinens per digitum apprimito. Succum cyrenaicum aqua diluito, & columellæ adhibeto. Chalcitidem tritam similiter admoueto. Omphacio trito cum melle vtitor. Hæc Apollonius. Licet autem nobis videre in his, quæ absque discrimine scripta sunt. Quòd si quis non vniuscuiusque indefinitè scripti facultates nouerit, quo in opportuno tempore eis vtatur, maximum omnino nocumentum inferet. Scriptum est itaque hic primùm omnium, sale trito, & melle vtendum esse; postremum autem, omphacio C cum melle. Contraria autem facultas est omphacij ad salem. Quare si quis in principio sale vtatur, maximè si humores in corpore ex æquo abundent, aut etiam circa caput hæreant, extremè ægrum lædet. Omphacium verò in principio commodissimum est, non trahens, neque euellens ad se ex alto, velut sal cum melle, sed repellens. Sales autem cum melle discussoriam vim habent, modica adstrictoria vi sali commixta, quæ sanè per admixtionem mellis penitus euertitur. Cæterùm id quod ex pice constat inueteratis inflammationibus, & iam in scirrhum, vt ita dicam, in- D duratis, conuenit; quemadmodum etiam cyrenaicus succus non incipientibus, sed vbi iam quod influit per astringentia repressum est, prodest. Chalcitis verò in totum inepta est, præterquam si valde inueterata, & ægre curabilis sit affectio: est enim medicamentum mordax si cruda adhibeatur; quapropter vt vim ipsius minuamus, vsta frequentius vtimur. Deinceps Apollonius hæc ad verbum scripsit. *Gargarismi ad pendulam columellam.* Origanum tritum aceto, & aqua affusis feruefacito, & cum caricarum F succo misceto, ac vtitor ad gargarissandum. Aut hyssopum terito, & caricarum coctarum succo misceto, ac vtitor velut origano. Mentham ac rutam, & coriandrum lacte asinino trita gargarissanda præbe. Apium & lauri folia trita, & vino, aut lentis decocto diluta gargarissato. Noui quendam, qui omnibus ab Apollonio scriptis indiscriminatim vtitur, in principio inflammationis gurgulionis vno ex his vsum esse, & ægrum extremè læsisse; præter alia enim neque sciebat quid pendula columella esset, quum velit Apollonius valde laxatum absque inflammatione gurgulionis affectum ostendere; quem etiam resecare consueuimus; atque in hoc, re F vera pituitam detrahentia, & calefacientia medicamenta commoda existunt, nam in totum subalbidus fit, & exanguior. Deinde Apollonius hæc subdit. Lotium asini plurimum, & calidissimum bibendum præbe. Idem etiam in angina. Miror equidem eiusmodi auxilia

καὶ μεταστῆσαι κάτω τὴν ῥοπὴν τῶν ἐπὶ τὰ πεπονθότα μέρη φερομένων χυμῶν, εὔλογόν τέ ἐστι, καὶ διὰ πολλῆς πείρας κεκριμένον. ὁμοίως δὲ καὶ τὸ μετὰ τὴν κένωσιν τοῦ παντὸς σώματος, καὶ τὴν ἀντίσπασιν τὴν ἐπὶ τὰ κάτω, δριμέσι χρῆσθαι φαρμάκοις ἱκανῶς διαφοροῦσιν, εὔλογόν τε ἅμα, καὶ τῇ πείρᾳ μαρτυρούμενον. πίσσαν δὲ μεθ' ὕδατος, καὶ νίτρου ποτίζειν, οὔτε τινὰ θεασάμενος ἄλλον, οὔτε τῷ λόγῳ ποδηγούμενος ἀπεχόμην.

Ἀπολλωνίου ἐν τῷ πρώτῳ τῶν εὐπορίστων, κατὰ λέξιν οὕτω γράψαντος.

B Ἀπολλώνιος ἐν τῷ πρώτῳ τῶν εὐπορίστων κατὰ λέξιν οὕτως ἔγραψεν. πρὸς τὰς τῆς κιονίδος φλεγμονὰς διαχρίσματα. ἁλὶ λείῳ καὶ μέλιτι διαχρίων, ἀναστέλλεις τὴν κιονίδα, πίσσῃ διαχρίων, ἀνάπιεζε τῷ δακτύλῳ, ὀπὸν Κυρηναϊκὸν διεὶς ὕδατι, προσάπτου τῆς κιονίδος. χαλκίτιδι λείᾳ προσάπτου παραπλησίως. ὀμφακίῳ λείῳ μετὰ μέλιτος χρῶ. ταῦτα μὲν ὁ Ἀπολλώνιος. ἔξεστι δὲ ἡμῖν ὁρᾶν ἐπὶ τῶν ἄνευ διορισμοῦ γεγραμμένων, εἰ μή τις εἰδείη τὰς ἄνευ διορισμοῦ γεγραμμένας δυνάμεις ἑκάστου ἐν τῷ προσήκοντι καιρῷ χρῆσθαι, μεγίστην ἐργάζεται βλάβην. γέγραπται γοῦν ἐνταῦθα, πρῶ- C τον μὲν ἁπάντων ἁλὶ λείῳ χρῆσθαι μετὰ μέλιτος, ὕστατον δὲ ὀμφακίῳ μετὰ μέλιτος. ἐναντία δὲ δύναμίς ἐστιν ὀμφακίῳ πρὸς τοὺς ἅλας, ὥστε εἰ χρήσαιτό τις ἐν ἀρχῇ τοῖς ἁλσί, καὶ μάλιστα πληθωρικοῦ τοῦ σώματος, ἢ καὶ τῶν κατὰ τὴν κεφαλὴν ὄντων, ἐσχάτως βλάψει τὸν πάσχοντα. τὸ δὲ ὀμφάκιον ἐν ἀρχῇ χρησιμώτατόν ἐστιν, οὐχ ἕλκον, οὐδ' ἐπισπώμενον ἐφ' ἑαυτὸ τὸ ἐκ τοῦ βάθους, ὥσπερ οἱ ἅλες μετὰ τοῦ μέλιτος, ἀλλ' ἀποκρουόμενον. ἅλες δὲ μετὰ μέλιτος διαφορητικὴν ἔχουσι δύναμιν, βραχυτάτου τοῦ στυπτικοῦ μεμιγμένου τοῖς ἁλσίν. ὅταν δὲ τὸ μέλι μιχθῇ, κἀκεῖνο τελείως ἀμαυροῦται, καὶ τὸ διὰ τῆς πίσσης D δέ, ταῖς κεχρονισμέναις φλεγμοναῖς, καὶ ὡς ἂν εἴποι τις, ἤδη σκιρρουμέναις ἐπιτήδειος, ὥσπερ γε καὶ ὁ Κυρηναϊκὸς ὀπὸς οὐκ ἀρχομέναις, ἀλλὰ μετὰ τὸ τοῖς στύφουσιν ἀποκρουσθῆναι τὸ ἐπιρρέον. ἡ δὲ χαλκῖτις οὐδ' ὅλως ἐπιτήδειός ἐστι, πλὴν εἰ σφόδρα κεχρονικυῖά τε καὶ δυσθεράπευτος ἡ διάθεσις ᾖ. δακνῶδες γάρ ἐστι φάρμακον ὠμὴ παραλαμβανομένη, καὶ διὰ τοῦτο καθαίρειν ταύτης τὴν δύναμιν βουλόμενοι, πολλάκις αὐτῇ χρώμεθα ὅταν καυθῇ. ἐφεξῆς τῶν προγεγραμμένων ὁ Ἀπολλώνιος ἔγραψε ταῦτα κατὰ λέξιν. ἀναγαργαρίσματα πρὸς τοὺς τῆς κιονίδος καταρκρεμασμούς. ὀρίγανον τρίψας, καὶ ὄξει καὶ F ὕδατι μίξας, ἀνάζεσον, καὶ ἰσχάδων χυλῷ μίξας χρῶ, καὶ δίδου ἀναγαργαρίζειν. ἢ ὕσσωπον τρίψας, καὶ ἰσχάδων χυλῷ ἑφθῶν μίξας χρῶ. ὀρίγανον ὁμοίως, ἡδύοσμον, καὶ πήγανον, καὶ κόριον τρίψας γάλακτι ὀνείῳ δίδου ἀναγαργαρίζεσθαι. σέλινον καὶ δάφνης φύλλα λεῖα τρίψας, καὶ διεὶς οἴνῳ, ἢ ἀφεψήματι φακοῦ, χρῶ. οἶδα δέ τινα πᾶσι τοῖς ὑπ' αὐτοῦ χρώμενον ἀδιακρίτως, ἐν ἀρχῇ φλεγμονῆς γαργαρεῶνος, ἑνὶ τούτων χρησάμενον, καὶ ἐσχάτως βλάψαντα. πρὸς γὰρ τοῖς ἄλλοις, οὐδὲ τί ποτ' ἐστὶν ὁ καταρκρεμασμὸς τοῦ κίονος ἐνόησε, βουλομένου τοῦ Ἀπολλωνίου τὴν πάνυ κεχαλασμένην, ἄνευ φλεγμονῆς ἐν- F δείκνυσθαι διάθεσιν τοῦ γαργαρεῶνος, ἣν ἵνα καὶ ἀποτέμνειν εἰθίσμεθα, καὶ ὄντως ἐπ' αὐτῆς ταύτης, τὰ ὑποφλεγματίζοντα καὶ θερμαίνοντα φάρμακα χρήσιμα. καὶ γὰρ τοῦ πίπτειν ὑπόλευκος γίνεται, καὶ ἀναιμοτέρα. ἐφεξῆς δὲ γράφει, κατὰ λέξιν ὁ Ἀπολλώνιος οὕτως. οὖρον ὄνου, ὡς πλεῖστον καὶ θερμότατον δίδου πίνειν, τὸ δ' αὐτὸ καὶ ἐπὶ συνάγχης. ἐπὶ τῶν τοιούτων βοηθημάτων θαυμάζω

τοὺς γράψαντας, οἶδα γὰρ ἐγὼ πάντας ἀνθρώπους, πλὴν ὀλίγων πάνυ, θᾶττον ἀποθανεῖν ἐθέλοντας, ἢ πιεῖν οὖρον ὄνου. ὁ δέ γε, καὶ ὡς πλεῖστον προσέθηκεν, καὶ ἄλλως δὲ, καθάπερ ἔφην πρόσθεν, ἀτοπώτατόν ἐστι φλεγμονὴν ἐν στόματι θεραπεύοντα διδόναι φάρμακον ποτὸν, ὅτι μὴ τῶν καθαιρόντων εἴη τι. ταῦτα γὰρ ἑτέρας ἕνεκα χρείας δίδονται, τῶν δ' ἄλλων ἱκανὰ, καὶ χωρὶς τοῦ καταπίνεσθαι βοηθεῖν δυνάμενα. καὶ τὸ μετὰ τοῦτο δὲ γεγραμμένον ὁμοίαν ἔχει τὴν ἀτοπίαν, ὃ καὶ αὐτὸ κελεύει πίνειν. γράφει γοῦν οὕτω περὶ αὐτοῦ, δάφνης φύλλα τρίψας ἐν οἴνῳ καὶ ὕδατι, δίδου πίνειν. Ηρας οὖν ἄμεινον Απολλωνίου πολλῷ τόνδε τὸν τρόπον ἔγραψε, πρὸς κιονίδας κεχαλασμένας. ℞. κηκίδος ὀμφακίτιδος μέρος α'. ἁλὸς ἀμμωνιακοῦ μέρος α'. λειώσας ἕκαστον ἰδίᾳ, καὶ ὁμοῦ πληρώσας κοχλιάριον προσάπτου τῆς σταφυλῆς. λίθον τὸν καλούμενον ἀγήρατον, ᾧ χρῶνται οἱ σκυτεῖς εἰς τὸ λαμπρύνειν τὰ ὑποδήματα τῶν γυναικῶν ἀποξύσας, πλήρου κοχλιάριον, καὶ προσφέρε τῇ σταφυλῇ. τούτων τῶν δύο φαρμάκων, τὸ μὲν ἕτερον, τὸ ὕστερον ἀλυπότατόν ἐστιν, οὐδὲν οὔτε βλάψαι δυνάμενον μέγα, οὔτ' ὠφελῆσαι, καθ' ὃν ἄν τις αὐτῷ καιρὸν εἴη χρώμενος, ἰσχυρότερον δὲ τὸ πρότερον. ἐπὶ οὖν τῶν ἀρχομένων, ἢ σφοδρῶς ἐρυθρῶν, οὐκ ἐπιτήδειον. εἰ δὲ προκεκενωμένου ὅλου τοῦ σώματος, ἀποκρουστικοῖς τε φαρμάκοις κεχρημένων ἡμῶν, μετὰ ταῦτα προσφέροιτο, μὴ σφόδρα ἐνερεύθους ὄντος τοῦ γαργαρεῶνος, ὠφελῆσαι δυνάμενον, ἐξ ἐναντίων γὰρ ἰσχυρῶν σύγκειται δυνάμεων, ἀποκρουστικῆς τε καὶ διαφορητικῆς. οὐκ ὀρθῶς οὖν ἐποίησεν ὁ Ηρας ἀδιορίστως αὐτὰ γράψας. ὁ δὲ Ταραντῖνος Ηρακλείδης ἐν τοῖς πρὸς Αντιοχίδα, καὶ αὐτὸς οὕτως ἔγραψε πρὸς κιονίδας φλεγμαινούσας. ὀμφάκιον ξηρὸν λεάνας, ἀνάμιξον μέλιτος τὸ ἱκανὸν, καὶ διάχριε. ἢ κηκῖδι λείᾳ μετὰ μέλιτος, ἢ στυπτηρίας σχιστῆς ὁμοίως. ἢ ὀπῷ Κυρηναϊκῷ μετὰ μέλιτος. ἢ τῇ μελαντηρίᾳ, ᾗ οἱ σκυτεῖς χρῶνται. ἢ τῇ Ανδρωνείῳ δυνάμει ἣν ἐν τοῖς τραυματικοῖς ἐκθήσομαι, μετ' οἴνου. δεῖ δὲ προσαναγαργαρίζεσθαι, μετὰ ταῦτα τῷ τοῦ φακοῦ ἀφεψήματι. καλῶς ἐπὶ τῷ τέλει προσέγραψε τοῦτο, σφοδρὰ γάρ ἐστι πάντα τὰ γεγραμμένα πρὸς αὐτοῦ φάρμακα, στρυφνὰ ταῖς ποιότησιν ὄντα, καὶ διὰ τοῦτο τραχύνοντα. πραΰνειν οὖν βούλεται τὴν ὑπ' αὐτῶν τραχύτητα τῷ τῶν φακῶν ἀφεψήματι, μετρίως δὲ φλεγμαινόντων, οὐκ ἀνάγκη τούτοις χρῆσθαι, καθάπερ οὐδ' ὅταν ἐξέρυθροί τε σφόδρα, καὶ θερμὴν ἔχοντες φλεγμονὴν ὦσιν οἱ κίονες, ἀλλ' οὐδ' ἐπὶ τῶν παρακμαῖς αὐτῶν. ἐπικρατεῖν γὰρ χρὴ τηνικαῦτα τὴν τῶν διαφορητικῶν φαρμάκων δύναμιν. Ασκληπιάδης δὲ περὶ αὐτῶν οὕτως ἔγραψε, ξηρὸν πρὸς κεχαλασμένας κιονίδας. ἄνηθον σὺν τῷ σπέρματι καὶ ταῖς ῥίζαις, λαβὼν ὅσον ἐξαρκεῖ, καὶ βαλὼν εἰς ἄγγος κεραμεοῦν τὸ στόμα φιμώσας, καὶ πηλῷ περιπλάσας ὄπτα ἐν καμίνῳ, ὥστε τὸ ἄγγος πυρωθῆναι, ἔπειτα ἐξελὼν τῆς καμίνου, τρῖβε κεκαυμένον τὸ ἄνηθον, καὶ ἀνελόμενος ἀπόθου. ἐν δὲ τῇ χρήσει λαβὼν τοῦ ἀνήθου μέρη δύο, καὶ Ιλλυρίδος χνοώδους μέρος α'. μίξας ἐμφύσα διὰ καλαμίδος. Αλλο. ℞. ῥόδων ξηρῶν ξέστην α'. νάρδου Κελτικῆς σὺν ταῖς ῥίζαις, καὶ τῇ περικειμένῃ γῇ δεσμίδιον α'. χελιδόνων ἀγρίων τῆς νεοττιᾶς ξηρᾶς < γ'. σμύρνης < η'. κηκῖδας ὀμφακίτιδας ἀριθμῷ ιε'. κόψας καὶ σήσας, ἐμφύσα, καὶ προσάπτου τοῖς δακτύλοις. τούτων τῶν δύο φαρμάκων, τὸ μὲν πρότερον οὐδ' ὅλως οὐδὲν ἔχει τῶν ἀποκρουστικῶν, ἀλλ' ἔστιν ὅλον διαφορητικόν, τὸ δὲ δεύτερον μικτὸν ἐξ ἐναντίων, διαφορητικοῦ μὲν ἱκανῶς τῆς τῶν ἀγρίων χελιδόνων νεοττιᾶς. στυπτικοῦ δὲ τῶν κηκίδων, μέσης δὲ δυνά-

A tradentes; certè enim scio omnes homines, paucis omnino exceptis, citius mori velle, quã vrinã asini bibere; verũ hic etiam plurimã addit. Et alias velut antea dixi, absurdissimum est curantem oris inflammationẽ medicamentum potabile exhibere, nisi si ex purgantium numero existat; hæc enim alterius vsus gratia dantur. Ex aliis sufficiunt, quæ citra transglutitionẽ auxiliari possunt. Quin & quod postea scriptum est ab ipso medicamentum, quod itidem bibere iubet, similem habet absurditatem. Scribit itaq; sic de ipso; lauri folia trita ex vino & aqua, bibẽda præbeto. Heras igitur multo melius, quàm Apollonius scripsit hoc modo. *Ad columellam laxatam.* B ℞. gallæ omphacitidis partem j. aluminis scissi partem j. salis ammoniaci partem j. vtrumque per se, ac simul terito, & expleto inde cochleari, vuam contingito. Aut lapidem ageratũ appellatum, quo sutores ad muliebria calciamenta expolienda vtuntur, deradito, exindeque cochlear expletum vuæ adhibeto, ex his duobus medimentis, alterum posterius omni molestia caret, neque nocere potens, neq; magnopere iuuare, quocunque tandem tempore quis eo vtatur; fortius est prius. In principio itaque, & quum valde rubent, minimè aptũ est; si verò præeuacuato toto corpo- C re, & post repulsoriorũ medicamentorũ vsum adhibeatur, vbi non valde rubens sit gurgulio, iuuare potest; ex contrariis enim fortibus componitur facultatibus, repulsoria, & discussoria. Quare non rectè fecit Heras indiscriminatim ipsa tradendo. Tarantinus porrò Heraclides in libris ad Antiochidem, ad inflammatas columellas sic scripsit, omphacium siccum terito, & admixto sufficienti melle adhibeto. Aut gallam tritam cum melle; aut alumen scissum eodem modo. Aut succum cyrenaicum cum melle. Aut melanteriam, qua sutores vtuntur. Aut Andronium pastillum, quem in vulnerariis medicamentis referam, cum vino. D Oportet autem post hæc lentium decoctum gargarissare. Rectè ad finem hoc ascripsit. Vehementia enim sunt omnia præscripta ab ipso medicamenta, acerba qualitate prædita, & ob id exasperanti; itaque aspritudinem ab ipsis inductam mitigare vult per lentium decoctum. In moderata inflammatione non est necesse talibus vti; quemadmodum neque, vbi columellæ valde rubræ fuerint, & calidam inflammationem habent; imò neque in declinatione earum, tunc enim discussoriorum medicamentorum vim prædominari oportet. Asclepiades verò ad easdem sic scripsit. E *Siccum ad laxatas columellas.* Anethi vnà cum semine, & radicibus quod satis est accipe, & in vas fictile coniicias, cuius os sit subobturatum, & ipsum vas luto oblitum, in furnum donec vas ignescat mitte; deinde ex furno extractum anethum vstum tere, & sublatũ repone. Vsu verò expetente, anethi partes duas accipe, iridis Illyricæ in tenuissimũ puluillum redactæ partem vnam admisce, ac per arundinem insuffla. *Aliud.* ℞. rosarum siccarum sextarium vnum, nardi Celticæ vnà cum radicibus, & adhærente terra fasciculum vnum, nidi hirundinum syluestrium aridi ʒ. iij. myrrhæ ʒ. viij. F gallas omphacitidas numero quindecim: contusa, & trita insuffla, & cum digitis adhibe. Ex his duobus medicamẽtis priùs penitus nihil ex repulsoriis habet, sed est totũ discussorium. Alterum verò ex cõtrariis mixtum est facultatibus, multã enim discussoriã vim habet syluestrium hirundinũ nidus; astringentem autem gallæ; mediæ verò facultatis est

est myrrha, & mixtæ nardus celtica, ita vt tum discussoria, tum astrictoria facultas, ambæ in eo sint moderatæ. Cæterùm per arundinem eiusmodi medicamenta insufflari valde improbo, defertur enim ex ipsis multum tum in gulæ summum, tum in ipsam gulam. Præstat itaque cochleario indita apprimere quemadmodum ego vti soleo, vt vidistis. Quin & tertium medicamentum Asclepiades post prædicta duo conscripsit his verbis.

Siccum ad laxatam columellam, & tumentem, Neapolitæ.

℞. Piperis albi drach. vnam, myrrhæ drach. vnam, aluminis scissi ʒ. ij. gallæ omphacitidis ʒ. ij. trita admoue. Hoc medicamentum à principio, vsque ad finem vtile esse poterit, præterquam in vehementer rubentibus; in his enim vitare oportet acrium ac mordacium valde mixturam, quale hoc loco piper existit. Aliud deinceps eiusdem facultatis scripsit ad tumétes columellas ex his compositum. ℞. lapidis agerati ʒ. iv. floris lapidis Asij drachmas quatuor, terræ Samiæ drachmas quatuor, aluminis scissi drachmas duas, croci torrefacti drach. ij. gallarum omphacitidum drachmas duas; tritis vtere. Hoc & nos vsi sumus sæpe vt optimo, & quod omni tempore iuuare possit, præterquam velut in præcedenti dixi, statim in principio, & quum ruber, & calidus fuerit inflammationis tumor. In inueteratis autem iam, & corpore euacuato, post vnum vsum statim magnam commoditatem exhibet; sunt enim vehementer astringentia, ac discutientia, & ea, quæ mediæ materiæ sunt, in ipso temperatè mixta.

Critonis medicamentũ hoc modo scriptu ad columellas.

Hoc medicamentũ ad ipsã tẽporis opportunitatẽ apparato. ℞. ossiũ palmularũ, nucũ tenerarũ immaturarũ siccarũ, vtrorũq; ʒ. iv. vrito, ac in puluillũ terito. Vtere arido admoto. Et in hoc medicamẽto ossiũ palmularũ vis satis discussoria est; nã & in aliis affectionibus eorũ experientiam habemus, quòd eiusmodi viribus sint prędita. Nucũ verò tenerarũ siccarũ cinis discussoriã vim habet vnã cũ astringẽte. Quin & Soranus medicamentũ indiscriminatim scripsit, non apponẽs in quibus priuatim faciat. Habẽt autẽ verba eius hoc modo. Radicẽ dulcẽ cõtũdito, & mel, & dulcẽ aquã pari mẽsura affũdito, deinde coquito, & succũ gargarissãdũ prębeto. Peccauit in hoc, quòd nõ adscripsit, maximè mitigatoriũ hoc medicamẽtũ esse, quod in vigore inflãmationum magnopere auxiliari potest. Huius vsus cõmodus etiã est, vbi ex acerbis medicamẽtis immoderatiùs quis irritarit, & exasperarit columellã inflãmatã; hãc enim lenit hoc medicamẽtũ.

CAPVT IX.

De medicamentis ad aphthas.

Vlcerationes in superficie oris obortas aphthas appellãt, habentes quippiã igneæ caliditatis. Fiunt autẽ vt plurimum pueris lactentibus, quum aut vitiosum fuerit lac nutricis, aut non probè ipsum cõcoxerit infans. Curãtur facilè, vtpote, quæ ex moderatè astringẽtibus sedãtur. Quãdoq; tamẽ diuturnæ fiunt, ac ægrè solubiles, & progressu tẽporis putredinosũ quid acquirũt, quod à medicis vlcus depascẽs, appellatur. Scripta itaq; sũt, & ad ipsas medicamenta moderata quidẽ ad eas, quæ nihil maligni habent; fortia verò ad eas, quæ iam quid putredinosum, & serpendo depascẽs habent. Mentionem faciam eorum, quæ recentiores

A μέως τῆς σμύρνης, μικτῆς δὲ τῆς νάρδου τῆς Κελτικῆς, ἔχει γὰρ καὶ στῦφον, καὶ διαφορητικὸν ἄμφω μέτρια. τὸ μέντοι διὰ καλάμου ἐμφυσᾶσθαι τὰ τοιαῦτα φάρμακα πάνυ μέμφομαι, καταφέρεται γὰρ αὐτῶν πολὺ, καὶ εἰς τὸν φάρυγγα, καὶ τὸν στόμαχον. βέλτιον οὖν εἰς κοχλιάριον ἐμβαλόντας ἀναπιέζειν αὐτὸν, καθάπερ ὁρᾶτε ποιοῦντά με. καὶ τρίτον ἄλλο φάρμακον ὁ Ἀσκληπιάδης ἔγραψεν ἐφεξῆς τῶν προειρημένων δυοῖν, αὐτοῖς ὀνόμασιν οὕτω.

Ξηρὸν πρὸς κεχαλασμένον κιονίδα, καὶ ὀγκώδη, τοῦ Νεαπολίτου.

B ℞. Πεπέρεως λευκοῦ < α΄. σμύρνης < α΄. σχιστῆς < β΄. κηκίδος ὀμφακίτιδος < β΄. λείοις προσάπτου. τοῦτο τὸ φάρμακον, μετὰ τὴν ἀρχὴν ἄχρι παντὸς δύναται χρήσιμον εἶναι, χωρὶς τῶν σφοδρῶς ἐξερυθρῶν, ἐπ' ἐκείνων γὰρ φυλάττεσθαι χρὴ μιγνύειν τὰ δριμέα, καὶ δακνώδη σφοδρῶς, οἷόνπερ ἐστιν ἐνταῦθα τὸ πέπερι. καὶ ἄλλο δὲ τῆς αὐτῆς δυνάμεως, ἔγραψεν ἐφεξῆς πρὸς τὰς ὀγκώδεις ἐκ τῶνδε συγκείμενον. ℞. λίθου ἀγηράτου < δ΄. λίθου Ἀσίου τοῦ ἄνθους < δ΄. γῆς Σαμίας < δ΄. στυπτηρίας σχιστῆς < β΄. κρόκου πεφωγμένου < β΄. κηκίδων ὀμφακιτίδων < β΄. λείοις χρῶ. τούτῳ καὶ ἡμεῖς κεχρήμεθα πολλάκις, ὄντι καλλίστῳ, καὶ κατὰ πάντα καιρὸν ὠφελεῖν
C δυναμένῳ, πλὴν, ὡς ἐπὶ τοῦ πρὸ τούτου λέλεκταί μοι, μήτε κατ' ἀρχὰς εὐθέως, μήθ' ὅταν ἐρυθρὸς ᾖ καὶ θερμὸς ὁ τῆς φλεγμονῆς ὄγκος. ἐπὶ δὲ τῶν ἤδη κεχρονισμένων, καὶ τοῦ σώματος κενοῦ, μετὰ μίαν χρῆσιν, εὐθέως ἐπιδείκνυται μεγίστην ὠφέλειαν. καὶ γὰρ τὰ σφοδρῶς στύφοντα, καὶ διαφοροῦντα, καὶ τὰ τῆς μέσης ὕλης, εὐκράτως ἐν αὐτῷ μέμικται.

Κρίτωνος φάρμακον ὧδέ πως γεγραμμένον πρὸς κιονίδας.

Σκεύαζε πρὸς αὐτὸν τὸν καιρὸν, φοινίκων ὀστᾶ, καὶ καρύων ἁπαλῶν, ἀώρων, ξηρῶν, ἑκατέρου < δ΄. καύσας καὶ λεπτοτερήσας χρῶ, ξηρῷ προσαπτόμενος· καὶ κατὰ τοῦτο τὸ φάρμακον,
D ἡ τῶν κεκαυμένων ὀστῶν τοῦ φοίνικος δύναμις, ἱκανῶς ἐστι διαφορητικὴ, καὶ γὰρ ἐπ' ἄλλων αὐτῆς παθῶν πεῖραν ἔχομεν, ὡς τοιαύτης. καὶ ἡ τῶν καρύων δὲ τῶν ἁπαλῶν ξηρανθέντων τέφρα, τὸ διαφορητικὸν ἔχει, μετὰ τοῦ στυπτικοῦ. καὶ Σωρανὸς δὲ φάρμακον ἀδιορίστως ἔγραψεν, ἐπὶ τίνων ἰδίως ποιεῖ μὴ προσθεὶς, ἔχει δὲ ἡ λέξις αὐτοῦ τόνδε τὸν τρόπον. γλυκύρριζαν θλάσας, ἐπίχει μέλι, καὶ γλυκὺ ὕδωρ ἴσον, εἶτα ἑψήσας δίδου τὸν χυλὸν ἀναγαργαρίζεσθαι. ἥμαρτε μὴ προσγράψας, ὅτι παρηγορικώτατόν ἐστι τοῦτο τὸ φάρμακον, ἐν τῇ ἀκμῇ τῶν φλεγμονῶν ὠφελεῖν μεγάλα
E δυνάμενον. ἡ γὰρ τούτου χρεία, κἀπειδὰν ὑπὸ τῶν στρυφνῶν φαρμάκων ἀμετρότερόν τις ἐρεθίσῃ τε, καὶ τραχύνῃ τὸν φλεγμαίνοντα κίονα, παρηγορεῖ γὰρ αὐτὸν τοῦτο τὸ φάρμακον.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Περὶ τῶν πρὸς ἄφθας φαρμάκων.

Τὰς ἐπιπολῆς ἑλκώσεις ἐν τῷ στόματι γινομένας, ὀνομάζουσιν ἄφθας, ἐχούσας τι καὶ θερμότητος πυρώδους. γίνονται δὲ τοὐπίπαν αὗται τοῖς βρέφεσιν, ὅταν ἤτοι μοχθηρὸν εἴη τὸ γάλα τῆς τιτθῆς, ἢ μὴ καλῶς αὐτὸ πάνυ πέττῃ τὸ παιδίον. εὐίατοι
F δὲ εἰσὶ τοὐπίπαν, ἐπὶ τοῖς μετρίως στύφουσι καθιστάμεναι, ποτὲ γε μὴν καὶ χρονίζουσι, καὶ δύσλυτοι, καὶ τῷ χρόνῳ σηπεδονώδεις ἔχουσι, τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν νομήν. γέγραπται οὖν καὶ πρὸς αὐτὰς φάρμακα, μέτρια μὲν πρὸς τὰς μηδὲν ἐχούσας κακόηθες, ἰσχυρὰ δὲ πρὸς τὰς ἤδη νομώδεις τι, καὶ σηπεδονώδεις ἐχούσας. μνημονεύσω δὴ ἐγὼ τῶν τοῖς νεωτέροις

ἠθροισμένων, ἐπεὶ τά τε τῶν παλαιῶν ἰατρῶν ἄριστα γεγράφασιν, ἐκλέξαντες αὐτοὶ μετὰ πείρας μακρᾶς, καὶ ἔνια τῶν ὕστερον μεθευρημένων προστεθείκασιν. εὕροις δ' ἂν μετὰ τοὺς παλαιούς, Μαντίᾳ, καὶ Ἡρακλείδῃ τῷ Ταραντίνῳ πλεῖστα φάρμακα γεγραμμένα. ὡσαύτως δὲ καὶ Μενεκράτης ἐνέγραψε βιβλίον ἀρίστων φαρμάκων, ὧν αὐτὸς εὗρε τὰ πλεῖστα, καθάπερ γε καὶ ὁ Καππαδόκης Ἥρας. Ἀνδρόμαχος δὲ δύο, καὶ τρίτον ἐν ᾧ τὰ τῶν ὀφθαλμῶν γέγραπται φάρμακα. πλείονα δὲ βιβλία συνέθεσαν, ὅ τε Ἀντώνιος Μούσας, καὶ μετ' αὐτὸν Ἀσκληπιάδαι δύο, καὶ μετ' αὐτοὺς Κρίτων. ἀλλ' οὗτοι μὲν οἱ τρεῖς μετὰ τὸν Ἀνδρόμαχον γεγόνασιν, Ἥρας δὲ ἔμπροσθεν Ἀνδρομάχου, καὶ μετ' αὐτόν, Μούσας τε καὶ Μενεκράτης. πολὺ δ' ἔτι τούτων ἀνώτερω, ὁ Ἡρακλείδης, καὶ ὁ διδάσκαλος αὐτοῦ Μαντίας. ἀλλὰ Μαντίας μέν, ὡς ἐξ ἀρχῆς ἦν Ἡροφίλειος, οὕτω καὶ διέμεινεν ἄχρι παντός. ὁ δ' Ἡρακλείδης ἐπὶ τὴν τῶν ἐμπειρικῶν ἰατρῶν ἀγωγὴν ἐπέκρινεν ἰατρὸς ἄριστος, τά τε ἄλλα τῆς τέχνης γεγονώς, καὶ πλείστων φαρμάκων ἔμπειρος. ὅταν μὲν οὖν αἱ ἄφθαι, περὶ τούτων γὰρ πρόκειται λέγειν, ἐκτρέπωνται πρὸς τὸ κακόηθες, ἰσχυροτέρων δέονται φαρμάκων, ὁποῖα, καὶ τὰς ἄλλας ἐν παρισθμίοις τε καὶ στόμασιν διαθέσεις ἰᾶται. προειρημένων οὖν μοι τῶν σκοπῶν τῆς ἐκείνων συνθέσεως, οὐδὲν ἔτι δέομαι περὶ τούτων λέγειν, ἀλλ' ἐπὶ τὴν ἱστορίαν ἀφίξομαι τῶν προεγνωσμένων, ἀρξάμενος ἀπὸ τῶν Ἀνδρομάχῳ γεγραμμένων, ὡς εἴωθα κατὰ λέξιν αὐτὰ γράφειν.

Τὰ ὑπ' Ἀνδρομάχου γεγραμμένα πρὸς ἄφθας.

Οὐ μόνον Ἀνδρόμαχος, ἀλλὰ καὶ ἄλλοι, διττὰ γένη φαρμάκων ἔγραψαν πρὸς ἄφθας. ἐπὶ μὲν τῶν οὐδέπω κακόηθες ἐχουσῶν, τὰ μέτρια ταῖς δυνάμεσι φάρμακα συντιθέντες, ἐπὶ δὲ τῶν κακοηθευομένων, ἰσχυρότερα. προσγράφουσι δ' ἐν τούτοις αὐτοί, ποτὲ μὲν ὅτι πρὸς ἄφθας, καὶ ἕλκη τόδε τὸ φάρμακον ἁρμόττει, ποτὲ δ', ὅτι πρὸς ἄφθας τὰς σηπεδονώδεις. ὅταν δὲ ἁπλῶς προσγράφωσι πρὸς ἄφθας, τὰς ἁπλᾶς δηλοῦσι, καὶ μηδὲν ἐχούσας κακόηθες. ὁ δ' οὖν Ἀνδρόμαχος πρὸς τὰς κακοήθεις ἄφθας οὕτως ἔγραψεν. πρὸς ἄφθας τὰς ἐν τῷ στόματι, καὶ ἕλκη. ℞. στυπτηρίας σχιστῆς κεκαυμένης < β'. ἐρείκης καρποῦ < α'. σὺν ἐλαίῳ ἔκμασσε τῷ δακτύλῳ τοὺς τόπους. ἄλλο πρὸς τὰ αὐτά. ℞. ἰοῦ < β'. στυπτηρίας σχιστῆς μέρη β'. κηκῖδος χνοώδους μέρος α'. λεάνας δι' ὀθονίου χνόϊσον, εἶτα ἐλαίῳ ἐμβρέχων τὸν δάκτυλον, καὶ ἀναλαμβάνων τὸ ξηρόν, παράπτου ἐπιπολὺ ἐκμάσσων τὰ παρίσθμια, καὶ τὴν ὑπερῴαν σὺν τῇ σταφυλῇ. ἀφίστησι δὲ δερμάτια, καὶ αἴρει τοὺς περὶ τὸ στόμα τραχυσμούς, καὶ τύλους ἀποδερματίζει, τὰ δ' ἕλκη ἐπουλοῖ. πρὸς δὲ τὰς ἐπιπολαίους ἄφθας, ὧδέ πως ἔγραψεν. πρὸς ἄφθας λύκιον Ἰνδικὸν σὺν οἴνῳ λειανθὲν περιχριόμενον, ποιεῖ καὶ ἐρείκης καρπὸς λεῖος, ἢ ῥόδα ξηρὰ σὺν μέλιτι. ταῦτα προειπὼν ἐπιφέρει, ἐὰν δὲ μέλαιναι ὦσι καὶ πονηραί, σταφίδος καθαρᾶς μέρη τρία, ἀνίσου ἴσον, λεῖα σὺν μέλιτι διάχριε, εἶτα διάκλυζε.

Πρὸς ἄφθας, Κρίτωνος.

Κρίτων δὲ οὕτως ἔγραψε πρὸς ἄφθας. ἀνδράχνην εἰς μέλι ἀποβάπτων μασάσθω. ἢ ἐλαίας φύλλοις ἐν οἴνῳ ἑψημένοις διακλυζέσθω, ἢ μυρσίνης λευκῆς τῶν φύλλων ἀφεψήματι μετ' οἴνου. ἢ ἰοῦ σκώληκος, τριώβολον ἐν οἴνου κοτύλης τετάρτῳ λειώσας διακλυζέσθω. καὶ ἡ κηκὶς δὲ τριβεῖσα ἐν ὄξει δριμεῖ διαχρίεται. ἐπὶ δὲ παιδίων, δᾳδία καὶ μυελὸν βόειον ἑψήσας ψώμιζε. ποιεῖ δὲ καὶ ἀμύγδαλα πικρὰ μετὰ μέλιτος,

A coaceruarunt; nam ex iis, quæ veteres conscripserũt, optima cum magna experientia ipsi elegerũt, & quædã eorum, quæ postea inuenta sunt, apposuerunt. Inuenias autẽ post veteres, etiam Mãtiæ, & Heraclidæ Tarantini plurima medicamenta scripta. Similiter & Menecrates librũ optimorum medicamentorũ inscripsit, ex quibus plurima ipse inuenit, quemadmodũ & Capadox Heras: Andromachus autẽ duos, & tertium, in quo oculorũ medicamenta cõtinentur. Plures autẽ libros composuerunt Antonius Musa, & post eum Asclepiadæ duo, & post hos Crito. Verùm hi quidem tres B post Andromachũ nati sunt, Heras autẽ ante Andromachum, & post ipsum etiam Musa, ac Menecrates. Longo verò tẽpore etiam hos præcessit Heraclides, & præceptor eius Mantias; verùm Mãtias velut ab initio Herophili sectator fuit, ita & per omnia mansit: Heraclides autem ad medicorum Empiricorum sectã declinauit, optimus medicus tum circa alias artis partes factus, tum plurimorum medicamentorum expertus. Quum itaq; aphthæ (de his enim sermo institutus est) malignæ euadũt, fortioribus medicamentis egent, qualia etiam alios in tonsillis, ac ore affectus sanant. Prædicto igitur scopo compositionis eorum, nihil amplius C opus habeo de iis dicere, sed ad narrationem progrediar præcognitorum, initio sumpto ab iis quæ Andromachus scrpsit, quemadmodum consueui ad verbum ipsa transcribere.

Quæ Andromachus scripsit ad aphthas.

Non solùm Andromachus, sed & alij multi duo medicamentorum genera ad aphthas conscripserunt, ad eas quidem, quæ nihil maligni habent, moderata viribus medicamenta componentes; ad iam malignas verò fortiora. Ascribunt autem in his ipsis aliquando, quòd ad aphthas, & vlcera hoc D medicamentum conuenit; aliquando, quòd ad aphthas putredinosas. Quum verò simpliciter, ad aphthas, adscripserunt, simplices indicant, & nihil maligni habentes. Andromachus igitur ad malignas aphthas sic scripsit. *Ad aphthas in ore, & vlcera.* ℞. aluminis scissi vsti drach. ij. fructus ericæ drachmam vnam, oleo excipito, & per digitum locis apprimito. *Aliud ad eadem.* ℞. æruginis ʒ. ij. aluminis scissi partes duas, gallę in puluillum redactæ partem vnam; terito & per linteolum concernito; deinde digitum oleo madefacito, siccumque excipito, & tonsillis extergendis apprimito; item E palato, & vuæ. Disparat pelliculas, & tollit asperitates circa ipsum os, callos excoriat, & vlcera ad cicatricem perducit. Cæterùm ad aphthas in superficie hærentes sic scripsit. Ad aphthas lycium Indicum vino tritum circumlitum; facit & ericæ fructus tritus, aut rosæ siccæ cum melle. Hæc præfatus, infert. Si verò nigræ sint, & malignæ, vuæ passæ puræ partes tres, anisi tantundem, trita cum melle illine, deinde collue.

Quæ Crito ad aphthas scripsit.

Crito verò sic ad aphthas scripsit. Portulacam in melle tinctam manducet. Aut oleæ fo-F liis in vino coctis os colluat; aut foliorum myrti albæ decocto ex vino. Aut æruginis vermiculatæ obolos tres, in vini heminæ parte quarta tritos colluat. Quin & galla in acri aceto contrita illinitur. In pueris autem, tædulas, bouinamque medullam vbi coxeris, minutim concisas porrige. Faciunt & amygdalæ amaræ cum melle.

Nigre-

Nigrefactas autem aphthas, vuâ passâ exacinatâ, & aniso tritis cum melle illine. Tarantinus autem Heraclides, vbi extenseris, ait, farinâ erui cum melle, gallam cum melle adhibe. Conuenit & rhus obsoniorum cum menthæ ramulis. Sit autem rhois copia quantum tribus digitis præhendi potest, menthæ verò ramuli tres, & rosarum folia septem, & nuces pineæ septem; his omnibus cum melle tritis vtitor. Aut lycio ex aqua. Conuenit & fæx vini dulcis illita cum melle. Aut alumen, & malicorium punici dulcis, æquis portionibus terito, & adipe anserino mixta illinito, atque aquam calidam frequentius colluendam præbeto, ampliusque adipem anserinum admoueto. *Aliud Musæ.* ℞. fructus myricæ drach. sex, aluminis scissi ʒ.ij. oleo excepta admoue. *Aliud maximè in pueris.* Rheon rubrum tritum melle mixtum illine. Aut adipem suillum, & mel liquefacta. Præbeto eis etiam gargarissandum lac asininum. Quòd si multa saliua feratur, gallam & solanum aceto diluta gargarissare facito; aut violas albas siccas, cum melle tritas illinito. Hæc quum scripserit Crito, meritò quis ei succenseat, velut etiam alios semper reprehendo, qui ex ordine indiscriminatim auxilia recensent, nón apponentes, an incipiente affectione, aut progrediente, aut decedente, aut vigente, aut decrescente, conueniant, & num parua existente affectione, & mansueta, aut adeo maligna, vt iam putredinosum quid habeat. Ex his enim, quæ scripsit aliqua simplicissima sunt, in pueris maximè conuenientia, nullam affectionem habentibus. Velut quum adipem suillum, & mel liquefacta assumit, & multo magis quum asininum lac colluere præcipit. Simplicissimum medicamentum est, & portulaca melle tincta, & manducata, & collutio ex foliis oleę, similiterque ex myrto alba. Fortissimum verò quod ex ærugine, & vino constat. Quemadmodum etiam galla, acri aceto trita, ac illita, valde enim forte hoc medicamentum, velut etiam id quod ex ærugine constat. Verùm in illo paucissima est ærugo, obolos enim tres dixit in vini quarta heminæ parte terendos esse, ac colluendos; debilisque fit copia mixturæ vini exoluta. Galla verò aceto acri trita, vt crassa fiat, & illitioni apta, valde vehemens est medicamentum; quemadmodum etiam quod ex alumine, & malicorio punici dulcis componitur; quod nisi ad adipem anserinum admixtum esset, ad putrefactiones fortes congruens esset. Forte est, & quòd ex myricæ fructu, ac alumine constat, sed non adeo velut id quod ex galla, & aceto. Semel porrò tantùm rectè fecit apponendo in verborum serie sic. Quòd si multa saliua feratur, gallam, & solanum aceto diluta gargarissare facito; multum enim saliuam ferri, maiorem affectum esse significat. Præstabilius autem fuisset statim dixisse, quòd si depascendo proserpat affectio, aut vlcera profunda fiant, aut eiusmodi quippiam, ascripsisse.

De iis quæ Asclepiades ad aphthas scripsit.

Rectè igitur fecit Asclepiades, tametsi non multa medicamenta ad aphthas conscripsit. Veruntamen in duobus, quæ in principio tradidit sic, ad aphthas non depascentes, deinde post duo rursus ascribens, ad aphthas depascētes. Lenia enim sunt duo medicamenta, alterum quidem prius in quo ait, medullam bubulam melle mixtam, ac tepefactam illinito, maximè verò pueris infantibus est commodum; alterum verò est, adipe suillo melli

A πρὸς δὲ τὰς μελαινομένας ἄφθας, ἐκγεγιγαρτισμένῃ σταφίδι καὶ ἀνίσῳ λείοις μετὰ μέλιτος διάχριε. ὁ δὲ Ταραντῖνος Ἡρακλείδης, ἀποσμήξας ὀροβίῳ μετὰ μέλιτος, καὶ κηκῖδι μετὰ μέλιτος προσάπτου. ἁρμόζει καὶ ῥοῦς ὁ ἐπὶ τὰ ὄψα, μετὰ μίνθης κλωνίων. ἔστω δὲ τοῦ μὲν ῥοῦ πλῆθος, ὅσον τοῖς τρισὶ δακτύλοις, τῆς δὲ μίνθης κλωνία τρία, καὶ ῥόδων φύλλα ὅσον ἑπτὰ, καὶ στροβίλια ἑπτὰ, τούτοις πᾶσι μετὰ μέλιτος λειωθεῖσι χρῶ, ἢ λυκίῳ μεθ' ὕδατος. ἁρμόζει καὶ τρὺξ οἴνου γλυκέος, μετὰ μέλιτος διαχριομένη. ἢ στυπτηρίαν, καὶ σίδια ῥοιᾶς γλυκείας ἐξ ἴσου τρίψας, καὶ στέατι χηνείῳ μίξας διάχριε, ὕδατι θερμῷ συνεχέστερον διάκλυζε, καὶ προσάπτε χηνείῳ στέατι. B Ἄλλο Μούσα. ℞. μυρίκης καρποῦ < ϛ'. στυπτηρίας σχιστῆς < β'. ἐν ἐλαίῳ. Ἄλλο μάλιστα ἐπὶ παιδίων. ῥοῦ ἐρυθροῦ λεῖον μετὰ μέλιτος μίξας διάχριε, ἢ στέαρ ὕειον, καὶ μέλι τετηγμένα, δίδου δὲ αὐτοῖς διακλύζεσθαι γάλα ὄνειον, ἐπιπλεῖον δὲ φερομένου τοῦ σιέλου, κηκῖδα καὶ στρύχνον ὄξει διεὶς, ποίησον διακλύζεσθαι, λευκόϊα ξηρὰ τρίψας μετὰ μέλιτος διάχριε. Ταῦτα γράψαντι τῷ Κρίτωνι μέμψαιτ' ἄν τις εἰκότως, ὅπερ τοῖς ἄλλοις ἀεὶ μέμφομαι, καταλέγουσιν ἐφεξῆς ἀδιορίστως βοηθήματα, μὴ ἀρχομένου τοῦ πάθους προσθεῖσιν, ἢ ἀναβαίνοντος, ἢ C καταβαίνοντος, ἢ ἀκμάζοντος, ἢ παρακμάζοντος, μήθ' ὅτι μικρὸν ᾖ, καὶ ἐπιεικὲς, ἢ μοχθηρὸν οὕτως, ὡς ἔχεσθαί τι σηπεδονῶδες αὐτοῦ. τούτων γὰρ τῶν γεγραμμένων φαρμάκων, ἔνια μὲν ἁπλούστατά ἐστιν, ἐπὶ παιδίων ἁρμόττοντα μάλιστα, μηδεμίαν ἐχόντων διάθεσιν, οἷον ὅταν ὕειον στέαρ, καὶ μέλι τετηγμένα παραλαμβάνῃ, καὶ πολὺ μᾶλλον ὅταν διακλύζεσθαι ὄνειον γάλα κελεύῃ. ἁπλούστατον δὲ φάρμακόν ἐστι, καὶ ἡ ἀνδράχνη ἐμβαφθεῖσα μέλιτι, καὶ διαμασωμένη, καὶ τὸ διὰ τῶν φύλλων τῆς ἐλαίας διάκλυσμα, καὶ τὸ διὰ τῆς λευκῆς μυρσίνης ὁμοίως. ἰσχυρότατον δὲ καὶ τὸ διὰ τοῦ ἰοῦ, καὶ τοῦ οἴνου, D καθάπερ γε καὶ ἡ κηκὶς ὄξει δριμεῖ τριβεῖσα, καὶ διαχριομένη. πάνυ γὰρ ἰσχυρὸν τοῦτο τὸ φάρμακον, ὥσπερ καὶ τὸ διὰ τοῦ ἰοῦ. ἀλλ' ἐπ' ἐκείνου μὲν ὀλίγιστον τοῦ ἰοῦ. τριώβολον γὰρ εἶπεν, ἐν οἴνου κοτύλης τετάρτῳ λειωθὲν, καὶ διακλυζόμενον, ἀσθενὲς γὰρ τῷ πλήθει τῆς τοῦ οἴνου μίξεως ἐκλυθέν. ἡ δὲ κηκὶς ἐν ὄξει δριμεῖ λειωθεῖσα παχεῖα οὕτως, ὡς διαχρίεσθαι, πάνυ σφοδρόν ἐστι φάρμακον, ὥσπερ γε καὶ τὸ διὰ τῆς στυπτηρίας, καὶ σιδίων ῥοιᾶς γλυκείας συντιθέμενον, ὅπερ εἰ μὴ ἐμέμικτο τῷ χηνείῳ στέατι, πρὸς σηπεδόνας ἂν ἥρμοττεν ἰσχυράς. ἰσχυρὸν δὲ καὶ τὸ διὰ τοῦ τῆς μυρίκης καρποῦ, καὶ τῆς στυπτηρίας, ἀλλ' οὐχ οὕτως, ὡς τὸ E διὰ τῆς κηκῖδος, καὶ τοῦ ὄξους. ἅπαξ δὲ μόνον καλῶς ἐποίησε προσθεὶς κατὰ λέξιν οὕτως. ἐπιπλέον δὲ φερομένου τοῦ σιέλου, κηκῖδα καὶ στρύχνον ὄξει διεὶς ποίησον διακλύζεσθαι. τὸ γὰρ ἐπιπλέον φέρεσθαι τὸ σίελον ἐμφαντικόν ἐστι τοῦ τὴν διάθεσιν εἶναι μείζονα. κάλλιον δὲ ἦν αὐτίκα εἰρηκέναι, νομώδους δὲ τῆς διαθέσεως γινομένης, ἢ γινομένων ἑλκῶν βαθέων, ἤ τι τοιοῦτον προσγράψας.

Περὶ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων πρὸς ἄφθας.

Καλῶς οὖν ἐποίησεν ὁ Ἀσκληπιάδης, εἰ καὶ μὴ πολλὰ φάρμακα πρὸς ἄφθας ἔγραψεν, ἀλλ' ἐπί γε τοῖν δυοῖν ἐν ἀρχῇ γράψας οὕτω. πρὸς ἄφθας χωρὶς νομῆς, ἔπειτα μετὰ δύο πάλιν προσγράψας, πρὸς τὰς νεμομένας ἄφθας, ἄδηκτα γάρ ἐστι τὰ δύο φάρμακα, τὸ μὲν ἕτερον τὸ πρότερον, ἐν ᾧ φησι, μυελὸν βόειον μέλιτι μίξας, καὶ χλιάνας διάχριε, μάλιστα δὲ νηπίοις ἐστὶ χρήσιμον. τὸ δὲ ἐφεξῆς εἰρημένον, στέαρ ὕειον μέλιτι

μίξας χρῶ. πρὸς δὲ τὰς νεμομένας ἄφθας, κηκίδων ἀφεψή- A ματι κελεύσας κύαθον ἕνα, καὶ μέλιτος ἴσον μίξαντα, καὶ ἀναζέσαντα χρῆσθαι. ἐγὼ δ' ἔφθασα, καὶ τοῦτο καὶ ἄλλα τρία μετ' αὐτὸ γεγραμμένα, μικρὸν ἔμπροσθεν ἐν τοῖς πρὸς τὰς νομὰς φαρμάκοις γράψας, καὶ γὰρ οὐδὲν ἡγοῦμαι διαφέρειν, εἴτ' ἐξ ἄφθης, εἴτ' ἐξ ἄλλου τινὸς ἡ μετάπτωσις εἰς τὴν νομὴν γένοιτο.

Περὶ τῶν ὑπ' Ἀπολλωνίου γεγραμμένων πρὸς ἄφθας.

Ἀπολλώνιος δ' ὁ Ἡροφίλειος ἐν τῷ πρώτῳ τῶν εὐπορίστων φαρμάκων, ὧδέ πως ἔγραψε κατὰ λέξιν, πρὸς τὰς λευκὰς ἄφθας. χαλκῖτιν ἐλαίῳ τρίψας διάχριε πτερῷ, τοῦτο παρα- B χρῆμα παύει. ἐπειδὰν δὲ καθαρὰ γένηται, μυρίκης καρπὸν λεάνας, καὶ διεὶς μελικράτῳ, ἢ οἴνῳ διάχριε, μάλιστα νηπίοις. εἶτ' ἐφεξῆς γράφει ἄλλο, καὶ μάλιστα πρὸς τὰς μελαίνας ἄφθας, σταφίδι ἐκγεγιγαρτισμένῃ, καὶ ἀνίσῳ λείοις μετὰ μέλιτος διάχριε. καὶ πάλιν ἄλλο ἐφεξῆς. χαλκάνθῳ κεκαυμένῳ λείῳ μετὰ μέλιτος χρῶ. φαίνεται γὰρ ἐπὶ τῶν κακοήθων, τοῖς φαρμάκοις τούτοις κελεύων χρῆσθαι. ἔγραψε γοῦν κατὰ μὲν τὸ πρῶτον τῶν φαρμάκων πρὸς τὰς λευκὰς ἄφθας, κατὰ δὲ τὸ δεύτερον πρὸς τὰς μελαίνας, ἐνδεικνύμενος τὸ παρὰ φύσιν τῆς χρόας, καὶ τὸ μέγεθος τοῦ πάθους. ἐφεξῆς δὲ προσγράψας διακλύσματα πρὸς C ἄφθας, ἐπιφέρει κατὰ λέξιν οὕτως, οἴνῳ μέλανι αὐστηρῷ, καὶ ὑποστύφοντι διάκλυζε. ἐλαίας φύλλοις ἐν οἴνῳ ἑψημένοις διάκλυζε. μυρσίνης λευκῆς φύλλα ἀφεψήματι μετ' οἴνου, παραπλησίως χρῶ. ταῦτα τὰ διακλύσματα χωρὶς διορισμοῦ γεγραμμένα, βλάβην οὐδεμίαν ἐπιφέρει. καὶ γὰρ ἐπὶ τῶν μετρίων, καὶ ἐπὶ τῶν μειζόνων, καὶ τῶν μεγίστων διαθέσεων ἁρμόζει. καλῶς δὲ ἐφεξῆς ἔγραψεν ἄλλο σφόδρα ἐνεργοῦν. ἰοῦ σκώληκος τριώβολον τρίψας ἐν οἴνου κοτύλης τετάρτῳ δίδου διακλύζεσθαι, εἶθ' οὕτως οἴνῳ διάκλυζε, τοῦτο γὰρ ἐπὶ τῶν ἰσχυροτέρων ἁρμόζει, καθάπερ γε καὶ τὸ ἐφεξῆς οὕτω γεγραμμένον. ἅλμην ἐλαιῶν καὶ ὄξος ἴσον D μίξας δίδου διακλύζεσθαι, εἶθ' οὕτως οἴνῳ διάκλυζε. μετὰ δὲ ταῦτα μελικράτῳ, εἶθ' ἑξῆς ὕδατι χρῶ, ἐπὶ πᾶσι δ' ἐλαίῳ διάκλυζε. μετὰ ταῦτα δὲ δύο γράφει φάρμακα, διαφόροις εἴδεσιν ἀφθῶν ἁρμόζοντα. τὸ μὲν γὰρ ὕσσωπον τριφθὲν πρὸς τὰς θερμὰς, καὶ ἀναβιβρωσκομένας διαθέσεις, καὶ καθαρὰς ἐναντιώτατόν ἐστιν. ἁρμόζει δὲ ταῖς ῥυπαραῖς, καὶ ταῖς φλεγμονώδεσιν ἄφθαις. τὸ δ' ὀμφάκιον μετ' οἴνου ἐπιτήδειον ταῖς καθαραῖς, καὶ δακνομέναις, καὶ ἀναβιβρωσκομέναις. κελεύει δὲ τὸ μὲν ὀμφάκιον μετ' οἴνου τρίψαντα διακλύζεσθαι, τὸ δ' ὕσσωπον μετ' οἴνου, ἢ μελικράτου. ἰσχυρὸν δὲ πάνυ τὸ μετὰ ταῦτα φάρμακον, ὡς ἤδη καὶ E νομώδεσιν ἄφθαις ἁρμόζον, ὃ συντίθησι, μυρίκης καρπὸν ἕψων μετ' ὄξους. ἰσχυρὸν δὲ καὶ τὸ ἐφεξῆς αὐτῷ γεγραμμένον, ἐφ' οὗ φησι κηκίδα τρίψας, ἐν ὄξει δριμεῖ δίδου διακλύζεσθαι. τὸ δὲ μετὰ ταῦτα γεγραμμένον, ἐφ' οὗ φησιν, ὀπῷ σιλφίου διειμένῳ παραπλησίως χρῶ, μετὰ δὲ ταῦτα ἐλαίῳ διάκλυζε. καὶ αὐτὸ δριμὺ, καὶ δακνῶδές ἐστι, καὶ διαφορητικὸν οὐ στυπτικόν. οὐκ ὀρθῶς οὖν ἀναμέμικται τὰ στυπτικὰ, καὶ στρυφνὰ, καὶ ἀποκρουστικὰ τοῖς διαφορητικοῖς, καὶ δριμέσιν ἄνευ διορισμοῦ γεγραμμένα. τὸ δ' ἐφεξῆς τούτοις, ὅτι μὲν δι' ὄξους σκευάζεται, γενναῖόν ἐστιν. ὅτι δὲ οὐ προσέθηκε τῷ ὄξει τὸ δριμὺ, καὶ ὅτι διὰ λίνου καρποῦ μετριώ- F τερον γέγονε, προσέθηκε δ' αὐτῷ καὶ τὰς αἴρας, διαφορητικὸν ἱκανῶς φάρμακον. διὰ τοῦτο οὖν αὐτὸ, καὶ πρὸς τὰ τῆς γλώττης οἰδήματά φησιν ἁρμόττειν. παραγράψω δὲ καὶ πᾶσαν αὐτοῦ τὴν ῥῆσιν. λίνου καρπὸν, καὶ αἴρας ἴσα τρίψας μετ' ὄξους διάκλυζε. τὸ δ' αὐτὸ τοῦτο ποιεῖ, καὶ πρὸς τὰ τῆς γλώττης οἰδήματα.

admixto vtitor. Ceterùm ad depascentes aphthas, gallarum decocti cyathum vnum, ac mellis tantundem miscere iubet, & feruefacto vti. Verùm ego, tum hoc medicamentum, tum alia tria post ipsum tradita, paulo ante in medicamentis ad nomas præscripsi; neque enim referre puto, siue ex aphthis, siue ex alio quopiam, transitio ad vlcus depascens, contingat.

Quæ ab Apollonio ad aphthas scripta sunt.

Apollonius autem Herophili sectator, in primo parabilium medicamentorum sic scripsit ad verbum. *Ad aphthas albas.* Chalcitidem oleo tritam penna illinito; hoc è vestigio sedat. Postquam verò pura facta fuerit, myricæ fructũ tritum, & aqua mulsa, aut vino dilutum, illinito; maximè infantibus est ex vsu. Deinceps autẽ aliud scribit, & maximè ad nigras aphthas. Vuam passam exacinatam, & anisum trita cum melle illinito. Et rursus aliud, atramento sutorio trito cum melle vtitor. Videtur sanè in malignis, eiusmodi medicamentis iubere vti. Adscripsit itaq; ad primum, ad aphthas albas. Ad secundũ, ad nigras, ostendens per id colorem præter naturam, & magnitudinem affectionis. Consequenter ascribit, & collutiones ad aphthas hac verborum serie. Vino nigro austero, & subastringente colluito. Oleæ foliis in vino coctis colluito. Myrti albæ foliorum decocto cum vino similiter vtere. Hæ collutiones citra discrimen scriptæ nullum detrimentum inferunt; nam & in moderatis, & in maioribus, & in maximis affectibus conueniunt. Rectè verò deinceps aliud valde efficax scripsit; æruginis vermiculatæ obolos tres, in vini quarta heminæ parte gargarissandos præbe; deinde etiam vinum colluendum præbe. Hoc enim in fortioribus cõuenit, quemadmodũ etiam quod consequenter sic scriptum est; muriam oliuarum, & acetum pari mensura mixta colluenda dato, indeq; vino colluito, postea etiam aqua mulsa, & deinde aqua; in pueris autem oleum colluendum præbe. Post hæc, duo medicamenta scribit diuersis formis, ac specibus aphtharum congrua. Hyssopum enim tritum ad calidos, & erosos affectus, itemque puros maximè contrarium est; congruit autem sordidis, & inflammatis aphthis. Omphacium verò cum vino aptum est puris, & mordacitatem sentientibus, ac erosis. Iubet autẽ omphacium cum vino tritum collui, hyssopum verò cum vino, aut aqua mulsa. Validũ valde est, quod ab his sequitur medicamentũ vt iam depascendo proserpentibus aphthis conueniat, quod ipsum cõponit, myricæ fructũ coquens cum aceto. Validum est, & quod deinceps ab eo scriptum est, in quo ait; gallam tritam in acri aceto colluendã præbe. Hoc verò, quod postea sequitur, in quo ait, succo silphij diluto similiter vtitor; & postea oleum colluendũ dato; etiam ipsum acre, & mordax est, ac discussorium, non astringens. Non rectè itaque astringentia, & acerba, ac repulsoria, discussoriis admixta sunt, ac acribus, atque hoc nullo discrimine adiecto. Quod verò sequitur ex aceto apparatum, generosum est. Quoniam autem ad acetum non apposuit acre, & quoniam per semen lini, moderatius euadit, adiecit autem ipsi etiam lolium, medicamentum multum discussorium; atque propterea ipsum ad linguæ tumores conuenire ait: Verùm ascribam omnem ipsius dictionem, Semen lini, ac lolium, æquis partibus aceto trita colluito. Hoc itidem ad linguæ tumores facit.

Longè

Lõgè lenius his omnibus medicamentũ deinceps scripsit hoc modo. Folia pruni cõtusa, ac lacte permixta colluito. Quum enim adiecerit sermoni, colluito, manifestum est, quòd multo lacti pauca folia admiscet. Nam si folia cum lacte trita pro medicamento inunctili esse iussisset, palam vtique esset, quòd multa folia, paucum verò lac, esse iussisset. Deinceps porrò etiam, quæ mansa aphthas iuuent, annectit. Mandendę sunt oliuæ muria cõditę. Manifestũ est lenissimum hoc medicamentũ esse. Et rursus. Portulaca melle tincta manducetur. Et hoc similiter mite est. Differunt hęc duo inter se in eo, quòd oliuæ muria conditæ, & astringunt, & discutiunt, plurimam verò in se astringendi vim habẽt; portulaca verò cum melle imbecillius est medicamentum. Consequenter probè fecit, quum ait in pueris conuenire, quæ dicturus est medicamenta. Scribit verò de eis in hæc verba. Vbi puerulus aphthas habeat, similaginem, & medullam bubulam, ac farinam coquens, infanti mande, si iam ipse ab vberibus mandere nequeat. *Aliud.* lienem bubulum in vino coquens, & cum melle terens mande. Hoc medicamentum superuacaneum est, & plus æquo curiosum. Deinceps rectè scripsit, abstinendum circa diætam, acribus, & salsis, & acidis, tum eduliis, tum potibus. Deinde haud scio, quo modo in hanc sententiam scribit, chalcanthum tritum ac vstum cum melle illinito. Hoc enim medicamentum superius scribere oportuit cum aliis validis medicamentis.

Quæ Archigenes scripsit ad aphthas.

Quædã ex his, quæ Archigenes ad aphthas scripsit, eadẽ sunt cum præscriptis. Verũ visum est mihi ex ordine omnẽ ipsius sermonẽ ascribere, ita vt nihil ex eo relinquã. Scribit igitur sic. *Ad aphthas collutiones faciunt;* Foliorum oleæ decoctũ. Aut foliorũ myrti albæ eodẽ modo. Aut aqua oliuæ muriæ innatantis. Facit & amurca, & marrubij succus, aut lẽtis decoctũ, seu rubi, aut ligustri, aut æruginis vermiculatæ obol. tres, in vini cnidii quarta heminæ parte dissolutos, colluat. *Illitiones autem faciunt pleraque ex descriptis stomaticis medicamẽtis, priuatim autem congruunt hæc.* ℞. aluminis scissi, florum rosarum, æquales partes, fructus myricæ, duplũ; vtere siccis. Aut thus, & glycyrrhizę succũ ęquis portionibus; gallæ, myrrhæ, anisi, singulorũ parum quid; cum vino protropo illine. *Aliud.* mannam, & salem pari pondere sicca, per pennam adhibeto. *Aliud.* Fæcem vini dulcis cum melle illinito. *Aliud.* Misy, & alumẽ, & rhoem cũ melle, aut chalcitidem cum oleo, per pennã illinito; vehementer bonũ est. Aut oleæ folia cũ oleo illinito. Postquàm verò repurgatæ fuerint, myricæ fructum cum aqua mulsa, aut vino illine. Aut vbi cũ erui farina, & melle exterseris, gallã cum melle adhibe. Aut myricæ semen, & aluminis tertiã partẽ cum oleo illine. Hoc etiam ad nomas facit. Aut adipem suillum, aut anserinũ, manna inspersa illinito. Aut gallã tritã cum oleo. Aut liquidum alumen dilutum. Aut ligustri folia manducent. Aut lycii radicẽ aridam adhibe. Aut oleæ germina trita ex melle. Aut gallam cum sale. Si verò extendatur affectio, & serpendo putredinosè depascat, collutionibus quidẽ, & gargarismis vtendũ est ad aphthas descriptis fortioribus; priuatim autẽ muria frequentius colluenda est. Aut herbam sacrã aqua, aut vino incoctam colluẽdam, aut gargarissandam dato. Illitionibus etiã ad aphthas descriptis fortioribus vtantur; priuatim verò

A πρᾳότερον δὲ πολὺ τούτων ἁπάντων φάρμακον, ἐφεξῆς ἔγραψε κατὰ λέξιν οὕτως. φύλλα κοκκυμηλέας κόψας, καὶ γάλακτι μίξας, οἴνῳ διάκλυζε. προσκειμένου γὰρ τῷ λόγῳ τοῦ διάκλυζε, δῆλόν ἐστιν ὅτι πολλῷ τῷ γάλακτι μίγνυσιν ὀλίγα τῶν φύλλων, ὡς εἴ γε τὰ φύλλα τῷ γάλακτι συλλειωθέντα, φάρμακον ἐκέλευσεν εἶναι διάχριστον, ἦν ἂν οὕτω γε δῆλον, ὅτι πολλὰ μὲν τὰ φύλλα, τὸ γάλα δὲ ὀλίγον εἶναι ἐκέλευσεν. ἐφεξῆς δὲ προσγράψας, διαμασητὰ πρὸς ἄφθας ἐπιφέρει, ἐλαίας ἁλμάδας διαμασητέον. εὔδηλον δ' ὅτι πρᾳότατον φάρμακόν ἐστιν. εἶτ' αὖθις ἑξῆς. ἀνδράχνην εἰς μέλι ἀποβάπτοντα, B διαμασητέον. καὶ τοῦτο ὁμοίως πρᾷόν ἐστι. διαφέρει δ' ἀλλήλων τὰ δύο ταῦτα, τῷ, τὰς μὲν ἁλμάδας, καὶ στύφειν, καὶ διαφορεῖν, πλεῖστον δ' ἐν αὐταῖς ἔχειν τὸ στυπτικόν. τὴν δὲ ἀνδράχνην, μετὰ τοῦ μέλιτος ἀσθενέστερον εἶναι φάρμακον. ἐφεξῆς δὲ καλῶς ἐποίησεν εἰπὼν, ἐπὶ παιδίων ἁρμόττειν ἃ μέλλει λέγειν φάρμακα. γράφει δὲ περὶ αὐτῶν, κατὰ λέξιν οὕτω. ὅταν παιδίον ἄφθας ἔχῃ, σεμίδαλιν, καὶ μυελὸν βόειον, καὶ ἄλευρον ἑψήσας ψώμιζε, ἐὰν δὲ μὴ δύνηται θηλάζειν. Αλλο. σπλῆνα βοὸς ἑψήσας ἐν οἴνῳ, καὶ τρίψας μετὰ μέλιτος ψώμιζε, τοῦτο μὲν οὖν περίεργον τὸ φάρμακον. ἐφεξῆς δὲ καλῶς ἔγραψεν, ἀπέχεσθαι C κατὰ τὴν δίαιταν, δριμέων τε καὶ ἁλυκῶν, καὶ ὀξέων σιτίων τε καὶ ποτῶν, εἶτα οὐκ οἶδ' ὅπως ἐφεξῆς τούτῳ, γράφει κατὰ λέξιν οὕτως. χαλκάνθην λείαν κεκαυμένην, μετὰ μέλιτος διάχριε. τοῦτο ἐχρῆν ἀνωτέρω γεγράφθαι μετὰ τῶν ἰσχυρῶν φαρμάκων.

Τὰ ὑπ' Αρχιγένους γεγραμμένα πρὸς ἄφθας.

Ενια μὲν καὶ τῶν ὑπ' Αρχιγένους γεγραμμένα πρὸς ἄφθας, ταὐτὰ τοῖς προγεγραμμένοις ἐστὶν, ἀλλ' ἔδοξέ μοι πᾶσαν αὐτοῦ τὴν λέξιν ἐφεξῆς γράψαι, μηδὲν παραλιπόντι. γράφει οὖν οὕτως. πρὸς ἄφθας διακλύσματα μὲν ποιεῖ· D ἐλαίας φύλλων ἀφέψημα, ἢ μυρσίνης φύλλων λευκῆς ὁμοίως, ἢ ἐλαίας κολυμβάδος ὕδωρ. ποιεῖ καὶ ἡ ἀμόργη, καὶ πρασίου χυλὸς, ἢ φακοῦ ἀφέψημα, ἢ βάτου, ἢ κυπρέου, ἢ ἰοῦ σκώληκος τριώβολον, ἐν οἴνου κνιδίου κοτύλης τετάρτῳ, τὸ διακλυζέσθω. διάχριστοι δὲ ποιοῦσι, καὶ αἱ πλείονες τῶν ἀναγραφησομένων στοματικῶν, ἰδιαίτερον δὲ συμφωνεῖ ταῦτα. ℞. σχιστῆς, ῥόδων ἄνθη ἴσα, μυρίκης καρποῦ τὸ διπλοῦν, ξηροῖς χρῶ. ἢ λίβανον, γλυκυῤῥίζης χυλὸν ἴσα, κηκῖδος, σμύρνης, ἀνίσου ἀνὰ ὀλίγον, σὺν προτρόπῳ περίχριε. Αλλο. μάνναν καὶ ἅλας ἴσα, ξηρὰ διὰ πτεροῦ κατάπασσε. Αλλο. E τρύγα οἴνου γλυκέος, σὺν μέλιτι κατάχριε. Αλλο. μίσυ καὶ στυπτηρίαν, καὶ ῥοῦν σὺν μέλιτι. ἢ χαλκῖτιν μετ' ἐλαίου, πτερῷ διάχριε, ἀγαθὸν σφόδρα. ἢ ἐλαίας φύλλα μετ' ἐλαίου, διάχριε. ὅταν δὲ καθαρθῇ, μυρίκης καρπῷ σὺν μελικράτῳ, ἢ οἴνῳ διάχριε. ἢ ἀποσμήξας ὀροβίνῳ, καὶ μέλιτι, καὶ κηκῖδι μετὰ μέλιτος προσάπτου. ἢ μυρίκης σπέρμα, καὶ σχιστῆς τὸ γ'. μετ' ἐλαίου διάχριε. τοῦτο καὶ πρὸς νομὰς ποιεῖ. ἢ στέαρ ὕειον, ἢ χήνειον ἔμπασον μάννα καὶ διάχριε. ἢ κηκῖδα λείαν μετ' ἐλαίου. ἢ στυπτηρία ὑγρὰ ἀνειμένη. ἢ φύλλα κυπρέου διαμασάσθωσαν. ἢ λυκίου ῥίζαν ξηρὰν παράπτου. F ἢ θαλλία λεῖα μετὰ μέλιτος. ἢ κηκῖδα μεθ' ἁλῶν. ἐὰν δὲ ἐπιταθῇ, καὶ νέμηται σηπεδονικῶς, διακλύσμασι μὲν, καὶ ἀναγαργαρίσμασι χρηστέον τοῖς πρὸς ἄφθας, τοῖς εὐτονωτέροις. ἰδίως δὲ ἅλμῃ συνεχέστερον, ἢ ἱερὰν βοτάνην ὕδατι, ἢ οἴνῳ ἐναφεψήσας δὸς διακλύζεσθαι, ἢ ἀναγαργαρίζεσθαι. διαχρίσμασι μὲν τῶν πρὸς ἄφθας τοῖς εὐτονωτέροις· ἰδίως δὲ

κέρας ἐλάφειον λείας παράτριβε. ἢ χαλκάνθη ὀπτὴ λεία A μετὰ μέλιτος. ἢ ἰὸν χαλκοῦ, ἢ λεπίδα μετὰ μέλιτος. ἄκρως ποιεῖ πρὸς νομὰς μαράθου ῥίζης κεκαυμένης σποδός. ταῦτα πρὸς ἄφθας ὁ Ἀρχιγένης ἔγραψεν ἐν τῷ πρώτῳ περὶ φαρμάκων, ὀλίγου δεῖν ἅπαντα καὶ τοῖς ἄλλοις γεγραμμένα. τί δή ποτ' οὖν ἠξίωσα δὶς γράψαι ταῦτα, καίτοι φυλαττόμενος οὕτως πράττειν; ὅτι καὶ τὸν Ἀρχιγένην τῶν ἄλλων ἐπιστάμενος ἀξιολογώτερον, ἐν τῷ τὰ κοινὰ μετὰ τῶν οἰκείων γράφειν διορισμῶν, ἑώρων καὶ αὐτὸν ἐν πολλοῖς ἀμελοῦντα τῆς τοιαύτης διδασκαλίας. νῦν οὖν ἐφεξῆς ἅπαντα χύδην ῥίπτει τὰ βοηθήματα, μετὰ τὸ συνεχὲς ἀλλήλοις εἰρημένα, πραότατά τε καὶ δριμύτατα. B τί γὰρ ὅμοιον ἰὸς ἔχει φακοῦ, καὶ βάτου, καὶ κύπρου ἀφεψήματι; τί δὲ κηκὶς στέατι χηνείῳ, καὶ ὑείῳ; δριμὺ μὲν γὰρ καὶ διαβρωτικὸν, ἰσχυρῶς τε ξηραῖνον φάρμακόν ἐστιν ὁ ἰός· βάτος δὲ καὶ κύπρος, καὶ φακὸς ἐλαχίστην ἔχει στῦψιν. οὕτω δὲ καὶ ἡ κηκὶς, ἰσχυρότατα στύφουσα τὴν ἐναντίαν ἔχει δύναμιν, ὑείῳ τε καὶ χηνείῳ στέατι. γέγραπται δὲ ἐφεξῆς ἀλλήλων, καθάπερ τὰ πρότερα, καὶ τὰ ἄλλα δὲ ὅσα ἐμνημόνευσε, τὴν αὐτὴν ἀταξίαν ἔχει. βέλτιον δ' ἦν, ὥσπερ ἅπαξ που κατὰ τὸν λόγον ἔφη, τοῦτο καὶ πρὸς νομὰς ποιεῖ, κατὰ τὸν αὐτὸν τρόπον, καὶ περὶ τῶν ἄλλων διορίσαι προσγράψαντα, C τοῦτο μὲν βρέφεσιν, ἢ παισὶν ἁρμόττειν εἰπόντα, τουτὶ δὲ τοῖς τελείοις, καὶ τουτὶ μὲν ἀρχομέναις, ἢ μετρίαις ἄφθαις, τουτὶ δὲ ἀκμαζούσαις, ἢ ἰσχυραῖς, ἁπασῶν δὲ μᾶλλον, ἤτοι διαπύροις, καὶ θερμαῖς, ἢ ψυχροτέραις μᾶλλον· καὶ τῶν διαπύρων, τουτὶ μὲν ταῖς ἐρυθροτέραις, τουτὶ δὲ ταῖς ξανθοτέραις. αἱ μὲν γὰρ τὸ φλεγμονῶδες, αἱ δὲ τὸ ἐρυσιπελατῶδες ἔχουσιν, ὥσπερ γε πάλιν αἱ μὴ διάπυροι φλεγματικαὶ τοὐπίπαν εἰσὶν, καθάπερ τῶν χρονιζουσῶν ἔνιαι τῆς μελαγχολικοῦ χυμοῦ κακίας ἐπικτῶνται. διαγνώσονται δ' ἅπασαι ῥᾳδίως, ὄψει τε ἅμα καὶ ἁφῇ, τῇ μὲν ὄψει διὰ τῶν χρωμάτων, καθότι D λέλεκταί μοι καὶ νῦν. αἱ μὲν γὰρ ἐρυθρότεραι, τὸν αἱματικὸν ἐπικρατεῖν ἐνδείκνυνται χυμὸν, αἱ δὲ ξανθότεραι τὸν πικρόχολον, ὥσπερ γε πάλιν, αἱ μὲν λευκαινόμεναι τὸν φλεγματικώτερον, αἱ δὲ πελιδνούμεναί τε καὶ μελαινόμεναι, τὸν μελαγχολικόν. ὁ γὰρ ταῦτα διορισάμενος, ἐπιστάμενός τε τὴν ἑκάστου τῶν ἁπλῶν φαρμάκων δύναμιν, ὡς ἐν τῇ αὐτῶν διδασκαλίᾳ γέγραπται, καθ' ἕκαστον εἶδος ἄφθης ἐπιστήσαιτο χρῆσθαι τοῖς τε ἁπλοῖς καὶ συνθέτοις φαρμάκοις, ὡς πολλάκις ἤδη προείρηται. συνεπισκέψεται δὲ καὶ τὰς τῶν σωμάτων φύσεις, εἰ καὶ μαλακαί τε εἰσὶ καὶ ὑγραὶ, καθάπερ ἐπὶ παίδων, εὐ- E νούχων τε καὶ γυναικῶν· ἢ σκληραί τε καὶ ξηραὶ, καθάπερ ἐπὶ τῶν ἁλιέων, καὶ ναυτῶν, καὶ κυνηγετῶν, καὶ γεωργῶν. τοῖς γὰρ ἰσχυροτέροις σώμασι, τὰ ἰσχυρότερα προσάξεις φάρμακα, τοῖς δ' ἀσθενεστέροις, τὰ μαλακώτερα. ἐγὼ δὲ ἐπὶ μὲν τῶν βρεφῶν, ὅσα ψωμίζουσιν αἱ τροφοὶ, φακῆν μετὰ βραχέος ἄρτου, καὶ μυελοῦ ἐλαφείου, ἢ μοσχείου δίδωμι. μίγνυμι δὲ τῇ τροφῇ, καὶ μήλων κυδωνίων, ἢ τῶν ἄλλων ὅσα στύφει, καθάπερ ἐν Ῥώμῃ τὰ Κεστιανὰ καλούμενα, καὶ τῶν τοιούτων ἀπίων, οἵων τε καὶ μεσπίλων, καὶ κρανίων, καί ποτε καὶ θριδακίνης, καὶ σέρεως, καὶ στρύχνου, καὶ ἀνδράχνης μίγνυμι τῷ ψω- F μίσματι, διαπύρου τῆς ἄφθης ὑπαρχούσης. εἰ δὲ μὴ ψωμίζεσθαι ἔτι δύναται, τὴν τροφὸν ἐπὶ τοῖς τοιούτοις διαιτῶ, μετ' εὐπεψίας δηλονότι. καὶ μέντοι καὶ διαχρίω τὰ βρέφη φαρμάκοις, εἰ μὲν ὑπερύθρους βλέποιμι τὰς ἄφθας, ἐν ἀρχῇ μὲν τοῖς μετριώτατα στύφουσί τε καὶ ψύχουσιν·

cornu cerui tritum affrica. Aut atramentum sutorium tostum tritũ cũm melle. Aut æruginem æris, siue squamam cum melle. Summè facit ad nomas, fœniculi radicis vstæ cinis. Hæc ad aphthas Archigenes in primo de medicamentis scripsit, quæ parum abest, vt omnia etiam aliis sint scripta. Quid igitur operępretium duxi eadẽ bis scribere, quamuis cauerim ne hoc facerẽ? Quòd sanè, & Archigenẽ, quem scimus maiore quàm alios dignitate, etiam cõmunia cũ propriis discriminibus scribere posse, videbã nunc ipsum in pluribus eiusmodi doctrinę negligentẽ. Nunc enim omnia confusim proiicit auxilia, vnà cum hoc quod cõtinenter inter se scribendo cõmiscuit lenissima, & acerrima. Quid enim simile habet ærugo ad lentis, & rubi, ac cypri decoctum? quid galla simile adipi anserino, aut suillo? Acre enim, & erodens, fortiterq; resiccans medicamentũ est ærugo; rubus autem & cyprus, & lens paucissimã habent astringendi facultatem. Sic etiam galla fortissimè astringens, contrariam vim habet suillo, ac anserino adipi. Quin & deinceps ab eo scripta, planeq; omnia quorum mentionem facit, eandem confusionem perturbati ordinis habent. Pręstabat autem, velut semel alicubi in sermone apponendo dixit, hoc etiam ad nomas facit, eodem modo etiam alia distinxisse, vt ascriberet videlicet, hoc quidem infantibus, ac pueris conuenit, hoc verò perfectis; & hoc incipientibus, aut moderatis aphthis, hoc autem vigentibus, & fortibus; maximè verò omnium, aut inflammatis, & calidis, aut magis frigidioribus; & ex inflammatis, hoc quidem rubicundioribus, hoc verò flauioribus; aliæ enim ex sanguine, aliæ ex flaua bile inflammationem habent; quemadmodum illæ rursus non inflammatæ pituitosæ in totum existunt; quemadmodum aliquæ ex inueteratis, humoris atræ bilis malignitatem acquirunt. Cognoscentur hæ omnes facilè visu simul, & tactu. Visu quidem ex coloribus, quemadmodum etiam nunc dictum est; rubicundiores enim sanguineum humorem præualere ostendũt; flauiores autem amaram bilem; quemadmodum rursus albescentes pituitosiorem, liuescentes, & nigrescentes, atræ bilis succum. Qui enim hæc ritè discreuerit, nouéritque amplius singulorum simplicium medicamentorum facultatem, quemadmodum in libris de ipsis à me scriptum est, is in vnaquaque aphthæ specie, tum simplicibus, tum compositis vti sciet, velut iam sæpe est prædictum. Considerabit autem simul, & corporum naturas, num molles sint, & humidæ, velut in pueris, eunuchis, & mulierculis; an duræ, & aridæ, velut in piscatoribus, ac nautis, & venatoribus; atque agricolis. Fortioribus enim corporibus fortiora adhibebis medicamenta, debilioribus molliora. Ego porrò infantibus, quibus nutrices cibum mandunt, lentem cum modico pane, & medulla cerui, aut vituli, præbeo. Admisceo etiam cibis, ex malis cotoneis, atque aliis, quæ astringunt, velut Romæ cestiana appellata. Quin & ex pyris addo, sorbisque, ac mespilis, & cornis. Quandoque etiam de lactuca, & seride, ac solano, & portulaca, in cibos, qui manduntur permisceo, si aphtha fuerit inflammata. Quòd si non adhuc quid mandi queat, nutricem eiusmodi victu alo, eique simul bonam concoctionem prospicio. Veruntamẽ etiam infantes medicamentis illino, si quidem subrubras videro aphthas, in principio quidem iis, quæ moderatissimè astringunt, ac frigefaciunt; deinde

deinde verò iis, quæ citra mordacitatem discutiunt. Si verò subflauas videro, iisdem quidem vtor, sed magis refrigerantibus. Si verò pituitosiores, astringentibus. Si nigrescentes, discussoriis generosioribus. Cæterùm in maioribus pueris, eiusdem generis facultatibus medicamentorum vtor, auctis tantum viribus ipsorum. Quemadmodum sanè etiam in perfectis, & duris corporibus, singulis relatis facultatibus fortissimis vtor. Placebat autem mihi in his per omnia misyos vsus cum vino astringente, quod tum intendit, tum remittit vim suam, prout magis, aut minus vinum fuerit astringens, & prout crassius, aut liquidius efficitur medicamentum ex misyos, ac vini mixtura. Quòd si sordida appareat aphtha, misy cum vino mulso tero. Iis verò, qui fortioribus quàm misy est, medicamentis opus habent, ærugo similiter cum vino, & vino mulso vtilis existit. Illinendæ autem sunt ex his medicamẽtis affectæ oris partes. Commodũ est etiam medicamentũ ad hanc rem, chalcitis oleo trita. Atq; hæc quidem efficaciora. Moderata verò, & maximè ad incipientes affectiones omphaciũ cum vino & vino mulso. Similiter etiã rhus. In pueris sufficit rosarũ flos, & ipsæ rosæ siccæ, & collutiones moderatè astringẽtes, pro ætatis, & naturæ eiusmodi corporũ ratione. Et in summa moderatæ aphthæ maximè in teneris corporibus moderatis medicamentis opus habent; fortes verò, & maximè in duris corporibus, à fortioribus curantur. Fortia medicamenta dico, tum quæ fortiter astringunt, tum quæ mordent, sicut sanè moderata, quæ haud omnino quidem mordent, parum autem astringunt. Fiunt porrò etiam in his, velut in aliis prius dictum est affectionibus, composita medicamenta, & sæpe etiam ex contrariis, quale est quod ex oleo, & chalcitide constat. Ipsum equidem oleum per se infestissimum est aphthæ affectui, velut etiam chalcitis; quandoquidem alterum quidẽ humectat, & sordidum facit, mordet autem vehementer chalcitis; verùm mixtura ipsorum, vbi fuerit moderata, optimum medicamentum efficit. Quemadmodum igitur ex cerato, & ærugine incarnans effici medicamentum ostensum est, quum tamen ambo incarnationi contraria existant; eadem ratione ex oleo, & chalcitide aptum medicamentum efficitur. Si verò in putredinem aphtha vertatur, & exulcerationes faciat, neque aphtham ampliùs affectionem nominare conuenit, neque medicamenta eiusmodi affectus curantia, inter ea quę aphthis commoda sunt, connumerare. Quemadmodum neque inter erysipelãta sanantia, rectè connumerantur ea, quæ præclarè discutiunt liuidas, & duras partes, ex frigidiorum medicamentorum adhibitione tales factas, & iam ad induratam in scirrhum affectionem ex erysipelate delapsas. Profectò enim, qui eiusmodi scripturarum indiscriminata incertitudine decepti, erysipelatis calida, & discussoria medicamenta, aphthis autem ea, quæ putrefactis conueniunt, adhibent, non parum detrimenti inducunt.

A ἐφεξῆς δὲ τοῖς διαφοροῦσιν ἀδήκτως. εἰ δὲ ὑποξανθοτέρας, τοῖς αὐτοῖς μὲν, ἀλλὰ μᾶλλον ψύχουσι. εἰ δὲ φλεγματικωτέρας, τοῖς στυπτικοῖς. εἰ δὲ μελαινομένας, τοῖς διαφοροῦσι γενναιότερον. ἐπὶ δὲ τῶν μειζόνων παιδίων, ταῖς ὁμογενέσι δυνάμεσι τῶν φαρμάκων χρώμενος, ἐπιτείνω τὴν δύναμιν αὐτῶν, ὥσπερ γε καὶ τὰ τέλεια, καὶ σκληρὰ σώματα ταῖς καθ' ἕκαστον ὧν εἶπον ἰσχυροτάταις. ἤρεσε δέ μοι διὰ παντὸς ἐπὶ τούτων, μίσυϊ χρῆσθαι μετ' οἴνου στύφοντος, ἐπιτείνοντί τε καὶ ἀνιέντι τὴν δύναμιν αὐτοῦ. τὸ δὲ μᾶλλον, ἢ ἧττον στύφειν τὸν οἶνον, καὶ τὸ παχύτερον, ἢ ὑγρότερον ἐργάζεσθαι τὸ σκευασθὲν, ἐκ τῆς τοῦ μίσυός τε καὶ οἴνου μίξεως γίνεται. εἰ δὲ ῥυπαρὰ ἡ ἄφθα ἐπιφαίνοιτο, B σὺν οἰνομέλιτι τρίβω τὸ μίσυ. τοῖς δὲ ἰσχυροτέρων, ἢ κατὰ τὸ μίσυ φαρμάκων χρῄζουσιν, ὁ ἰὸς ὁμοίως σὺν οἴνῳ τε καὶ οἰνομέλιτι χρήσιμος ὑπάρχει. διαχριστέον δὲ δηλονότι τοῖς τοιούτοις φαρμάκοις τὰ πεπονθότα μόρια τοῦ στόματος, ἀγαθὸν δὲ εἰς ταῦτα φάρμακόν ἐστι, χαλκῖτις ἐλαίῳ λειωθεῖσα. τὰ μὲν δὴ τοιαῦτα δραστήρια, μέτρια δὲ καὶ μάλιστα, πρὸς τὰς ἀρχομένας διαθέσεις ὀμφάκιον σὺν οἴνῳ, καὶ οἰνομέλιτι, καὶ ῥοῦς ὁμοίως. ἐπὶ δὲ τῶν παιδίων, ἀρκεῖ καὶ τῶν ῥόδων τὸ ἄνθος, καὶ αὐτὰ τὰ ῥόδα ξηρὰ, καὶ τὰ διακλύσματα διὰ τῶν μετρίως C στυφόντων ἐπὶ τῆς ἡλικίας τε καὶ φύσεως τῶν τοιούτων σωμάτων. ἑνὶ δὲ λόγῳ αἱ μέτριαι μὲν ἄφθαι, μάλιστα ἐπὶ τῶν ἁπαλῶν σωμάτων μετρίων χρῄζουσι φαρμάκων. αἱ δὲ ἰσχυραὶ, καὶ μάλιστα ἐπὶ σκληρῶν σωμάτων, ὑπὸ τῶν ἰσχυροτέρων θεραπεύονται. ἰσχυρὰ δὲ δηλονότι λέγω φάρμακα τά τε ἰσχυρῶς στύφοντα καὶ δάκνοντα· καθάπερ γε μέτρια τὰ μηδόλως μὲν δάκνοντα, μετρίαν δὲ στύψιν ἔχοντα. γίγνεται δὲ κἀπὶ τούτων, ὥσπερ ἐπὶ τῶν ἄλλων παθῶν ἔμπροσθεν εἴρηται, σύνθετα φάρμακα, καὶ πολλάκις ἐκ τῶν ἐναντίων, ὁποῖόν ἐστι, καὶ τὸ δι' ἐλαίου τε καὶ χαλκίτεως. αὐτὸ μὲν γὰρ καθ' αὑτὸ τοὔλαιον, ἐναντιώτατόν ἐστι D τῇ διαθέσει τῆς ἄφθης, ὥσπερ γε καὶ ἡ χαλκῖτις, ἐπειδὴ τὸ μὲν ὑγραίνει τε καὶ ῥυπαίνει, δάκνει δὲ σφοδρῶς ἡ χαλκῖτις. ἡ δὲ μίξις αὐτῶν, ὅταν σύμμετρος γένηται, κάλλιστον ἀποτελεῖ φάρμακον. ὥσπερ οὖν ἐκ κηρωτῆς τε καὶ ἰοῦ, σαρκωτικὸν ἐδείκνυτο γίνεσθαι φάρμακον, ἀμφοτέρων ἐναντίων ὑπαρχόντων σαρκώσει. κατὰ τὸν αὐτὸν λόγον, ἐξ ἐλαίου τε καὶ χαλκίτεως ἐπιτήδειον γίνεται φάρμακον. εἰ δὲ εἰς σηπεδονῶδες τραπῇ, ἑλκώσεις τε ποιήσει, οὔτε ἄφθαν ἔτι προσήκει τὸ πάθος ὀνομάζειν, οὔτε τὰ τοιαύτας διαθέσεις ἰώμενα φάρμακα, τοῖς πρὸς τὰς ἄφθας χρησίμοις ἐγκαταριθμεῖν, ὥσπερ οὐδὲ τοῖς ἐρυσιπέλατα E ἰωμένοις, τὰ διαφοροῦντα γενναίως, ὅσα διὰ τῆς τῶν ψυχόντων φαρμάκων προσαγωγῆς ἐγένετο πελιδνὰ, καὶ σκληρὰ μόρια, μεταπεσόντα πρὸς σκληρώδη διάθεσιν ἐκ τῆς ἐρυσιπελατώδους, ἀμέλει καὶ τῷ ἀδιορίστῳ τῶν τοιούτων γραφῶν ἀπατώμενοί τινες ἐρυσιπέλασί τε τὰ θερμὰ, καὶ διαφορητικὰ φάρμακα, ταῖς τε ἄφθαις, τὰ πρὸς σηπεδόνας ἁρμόττοντα προσφέροντες, οὐ μικρὰς ἐργάζονται τὰς βλάβας.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΟΝ Ζ'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBER SEPTIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Ζ'. ΒΙΒΛΙΩι.

Ἀποδείκνυσι τίνα φάρμακα ἁρμόζει τοῖς πεπονθόσι μορίοις δι' ὧν φωνή τε, καὶ ἀναπνοὴ γίνεται.

ARGVMENTVM LIBRI SEPTIMI.

Ostendit quæ medicamenta congruant affectis partibus, per quas vox editur, ac respiratio.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν κατὰ τὰ ἀναπνευστικὰ συμβαινόντων παθῶν.



ΕΘΟΣ ἐστὶ τοῖς νεωτέροις ὀνομάζειν ἀρτηριακὰς, μὴ προστιθεῖσι πότερον ἀντιδότους λέγουσιν, ἢ κατὰ σημαινόμενον ἕτερον. ἔνιοι δὲ ἐκλεκτὰ προσαγορεύουσιν αὐτὰ, μὴ προστιθέντες φάρμακα, καί τινες μὲν ὅλως οὐδένα διορισμὸν αὐτοῖς προσέγραψαν. ἔνιοι δ' ὀλιγάκις προσέθηκαν, οἱ μὲν πρὸς ἀποκεκομμένην φωνὴν, οἱ δὲ γενικώτερον ἔτι, πρὸς βεβλαμμένην φωνήν. εἰσὶ δ' οἳ πρὸς τετραχυσμένην ἀρτηρίαν, καὶ πρὸς ἡλκωμένην ἔγραψαν, ὥστε εὐλόγως οἱ χρώμενοι τοῖς ἀρτηριακοῖς, φαρμάκοις ὀνομαζομένοις ἀδιορίστως, ἐνίοτε μὲν ἐπιτυγχάνουσιν, ἐνίοτε δ' οὐδὲν ὅλως ὠφελοῦσι τοὺς πάσχοντας, ἀλλὰ βλάπτουσι τὰ μέγιστα. πρόδηλον δ' ὅτι τὴν τραχεῖαν ἀρτηρίαν ἐπὶ τῶν τοιούτων παθῶν αἰτιῶνται. πάλαι μὲν οὖν, ὁπότ' οὐδὲ τὰς ὁμοίως τῇ καρδίᾳ σφυζούσας ἀρτηρίας οὕτως ὠνόμαζον, ἐπὶ μόνης τῆς ἐκ τοῦ πνεύμονος ἀνηκούσης εἰς τὸν λάρυγγα, τὸ τῆς ἀρτηρίας ἐπέφερον ὄνομα, φλέβας ὀνομάζοντες τοὐπίπαν, ὥσπερ τὰς ἄλλας ὅσαι μὴ σφύζουσιν, οὕτω καὶ τὰς σφυζούσας. ὕστερον δὲ τῆς προσηγορίας ἐθισθείσης ἐπὶ τῶν σφυζουσῶν λέγεσθαι, διὰ τὴν ὁμωνυμίαν προσθέντες, τὸ τῆς τραχείας ὄνομα τὴν εἰς τὸν πνεύμονα καθήκουσαν ἐκ τοῦ λάρυγγος ἀρτηρίαν οὕτως ὠνόμασαν, ἅμα τῷ καὶ βρόγχον αὐτὴν καλεῖν. ἐπειδὴ τὰ χονδρώδη σώματα, τὸ πλεῖστον τῆς οὐσίας αὐτῆς μέρος ὄντα, βρογχία προσαγορεύουσιν. ὑπαλείφει δὲ τὴν ἀρτηρίαν αὐτὴν ἔνδοθεν παχὺς ὑμὴν, ὃν

CAPVT PRIMVM.

De affectionibus circa partes respirationis contingentibus.



A MOS est recentioribus medicis, arteriacas appellare, non apponētibus, num antidotos dicant, an iuxta aliud significatū; quidā verò eclecta nominant ipsa, non apponentes medicamenta; & quidam penitus nullum discrimen ipsis ascripserunt; aliqui verò rarò addiderunt; alij ad vocem interceptam; alij adhuc generalius, ad vocem læsam; sunt qui & ad exasperatam arteriam, & ad exulceratam, scripserunt; adeò vt rationabile sit eos, qui arteriacis appellatis medicamentis indefinitè vtuntur, aliquando feliciter eis vti, aliquādo verò nihil penitus ægros iuuare, sed maximè lædere. Palam est autē, quòd asperam arteriam in huiusmodi affectionibus accusant. B Quondam igitur, quando nondum eas, quæ similiter vt cor pulsant, arterias sic nominabant, in solam eam, quæ ex pulmone in laryngem emergit arteriam, ipsum arteriæ nomen inferebant, venas appellantes in totum, velut alias, quæ non pulsant, sic etiam pulsantes. Postea verò consuetudine obtinente, arteriæ appellationem in pulsantibus dici, propter æquiuocationē, asperæ nomen apponentes, eam, quę ex larynge in pulmonē descendit arteriam, asperam arteriam appellauerunt, vnà cum hoc, quòd ipsam etiam bronchum vocant, quandoquidem cartilaginosa corpuscula, quæ plurima eius pars sunt, bronchia appellant. Ambit autem ipsam arteriam intrinsecus crassa pellicula, quam ob

A ob crassitudinem aliqui tunicam vocant. Quum igitur affectio aliqua, aut circa hanc, aut circa laryngis (qui summa arteriæ pars est) musculos contingit, arteriacas appellant curantes ipsam, non apponentes, velut dixi, antidotos. Dissimiles autem facultatibus sunt ab ipsis descriptæ, & ob id contingit vtentes ipsis absque discrimine, à scopo aberrare. Quòd verò multa sit differentia earum, quæ in medicamentariis libris scriptæ sunt, ex tribus exemplis discere licet, quorum primum omnis acrimoniæ expers est, & exquisitè meatus obturat, læuigans asperitates; alterum huic contrarium est, acrimoniæ mordacis non parum habens,
B vt si sanæ parti adhibeatur, ipsam exasperet; medium deinde inter ambo dicta aliud genus arteriacorum medicamentorum est, lenis & citra acrimoniam detergentis facultatis. Id igitur quod meatus obducit, ex passo Cretico, & gũmi & tragacantha, ac radice dulci apparatur; acre verò ex pipere, & cassia, & cinnamomo, & galbano, ac resina terebinthina. Medium autem amborum ptissanę constat succo, & amygdalis, & fabis fresis elixis, & aliis huius generis. Inter medium autem & vtrumque extremum plura medicamenta sunt, partim magis, partim minus, à medio progressa;
C de quibus deinceps determinabo, eos quidem, qui discrimen aliquod addiderunt laudaturus, qui verò simpliciter protulerunt, neque admissurus. In horum medio locandi sunt, qui discrimina non tamen integra fecerunt, qualia sunt eorum, qui scripserunt. Arteriace ad interceptam vocem, aut rursus. Arteriace ad raucam vocem. Etenim vox intercepta, quod est non posse loqui, plures causas sequitur, partim quidem destillationes à capite diuturnas; partim verò empyicos, ac tabidos: & eos qui ex magno & multo clamore læsi sunt, & deinde non probè curati sunt; aut etiam
D affectum, qui adhuc generatur, habent. Eodem modo etiam rauca vox fit ob easdem causas, & amplius ob frigidi aëris inspirationem. Affectus itaque interceptæ, ac raucæ vocis eiusdem generis est. Magnitudine tamen differunt inter se hæc mala. Quum enim vocis organa ab humiditate vehementius, & vt ægrè solui possit, fuerint madefacta, vox intercipitur; quando verò moderatiùs sunt humecta, raucedo oboritur; organa vocis quum dico, arteriam accipite, & eius summum, aut fauces. Qui igitur ex vehementi clamore vocem amplius oblæsam habent, his similis quædam affectio contigit ei, quæ manibus, & cruri-
E bus, & lumbis, & spinæ, & musculis, vbi plurimum laborem pertulerint, accidit. Vocant autem aliqui exercitiorum magistri eiusmodi affectum musculorum, in quibus consistit, lassitudinem inflammatam. Itaque iuxta arteriam intrinseca ipsius pellicula, aut tunica, aut quomodocunque quis nominare velit, à spiritu in magnis vociferationibus extra prolato percussa, in affectum inflammatum deuenit; atque hoc multo magis, si ad magnitudinem vocis, acumen quoddam accesserit. Iuxta arteriæ verò summum vltra hanc plagam, etiam musculorum ipsum mouentium actio of-
F fensa, maiorem affectum efficit. Porrò curationis ipsarum genus in omni parte secundum materias euariat. Etenim crura, & manus, & spinam, per oleum confricare facilè licet, quum per cutem in subiectos ipsi musculos vis ipsius olei penetrare possit. Iuxta asperam verò arteriam cartilagines post cutem sitæ, prohibent in subiectam

A διὰ τὸ πάχος, ἔνιοι χιτῶνα προσαγορεύουσιν. ὅταν οὖν τι πάθος, ἤτοι κατὰ τοῦτον, ἢ κατὰ τοὺς ἐν τῷ λάρυγγι γένηται μῦς, ἀρτηριακὰς ὀνομάζουσι τὰς ἰωμένας αὐτὰ, μὴ προστιθέντες, ὡς ἔφην, ἀντιδότους. ἀνόμοιαι δὲ κατ' εἴδη τῆς δυνάμεως εἰσιν αἱ γεγραμμέναι πρὸς αὐτῶν, καὶ διὰ τοῦτο συμβαίνει, τοὺς χωρὶς διορισμοῦ χρωμένους αὐταῖς, ἀποτυγχάνειν τοῦ σκοποῦ πολλάκις. ὅτι δὲ πολλή τίς ἐστιν ἡ διαφορὰ τῶν γεγραμμένων ἐν ταῖς φαρμακίτισι βίβλοις ὑπὸ τῶν ἰατρῶν, ἔνεστί σοι μαθεῖν ἐκ τριῶν παραδειγμάτων, ὧν τὸ μὲν ἀδηκτότατόν ἐστι, καὶ ἀκριβῶς ἐμπλαστικὸν ἐκλεαῖνον τὰς τραχύτητας. τὸ
B δ' ἐναντίον τῷδε, δριμύτητος δακνώδους οὐκ ὀλίγον ἔχον, ὡς ἐὰν ἀκριβῶς ὑγιαίνοντι μορίῳ προσαχθῇ, τραχύνειν αὐτό. μέσον δὲ ἀμφοῖν τῶν εἰρημένων, ἔστιν ἄλλο γένος φαρμάκων ἀρτηριακῶν, ἀδήκτου ῥυπτικῆς δυνάμεως. τὸ μὲν οὖν ἐμπλαστικὸν, ἔστι διὰ γλυκέος Κρητικοῦ, καὶ κόμμεως, καὶ τραγακάνθης, καὶ γλυκυῤῥίζης κατασκευαζόμενον. τὸ δὲ δριμὺ διὰ πεπέρεως, καὶ κασσίας, καὶ κινναμώμου, καὶ χαλβάνης, καὶ ῥητίνης τερμινθίνης. τὸ μέσον δὲ ἀμφοῖν, ἐκ πτισάνης χυλοῦ, καὶ ἀμυγδάλων, καὶ κυάμων ἔτνους, ὅσα τε ἄλλα τοιαῦτα. μεταξὺ δὲ τοῦ μέσου, καὶ τῶν ἄκρων ἑκατέρου, πλείω φαρμακά
C ἐστι, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ἀποκεχωρηκότα τοῦ μέσου. περὶ ὧν ἐφεξῆς διορίσω, τοὺς μὲν προσθέντας τινὰ διορισμὸν ἐπαινῶν, τοὺς δὲ ἁπλῶς προσγράψαντας οὐκ ἀποδεχόμενος. ἐν τῷ μέσῳ δ' ἀμφοῖν εἰσιν, οἱ διορισμοὺς ἐλλιπεῖς ποιησάμενοι, ὁποῖός ἐστι καὶ τῶν γραψάντων, ἀρτηριακὴ ἡ πρὸς ἀποκεκομμένας φωνάς. ἢ πάλιν, ἀρτηριακὴ ἡ πρὸς τοὺς βραγχωδῶς φθεγγομένους. τό τε γὰρ ἀποκεκόφθαι τὴν φωνὴν, ὅπερ ἐστὶ μὴ δύνασθαι φθέγγεσθαι, πλείοσιν αἰτίαις ἕπεται. τοῦτο μὲν τοῖς ἀπὸ κεφαλῆς χρονίσασι κατάῤῥοις, τοῦτο δ' ἐμπύοις, καὶ φθισικοῖς, καὶ τοῖς ἐκ βοῆς μεγάλης, καὶ πολλῆς παθοῦσιν, εἶτα
D μὴ καλῶς ἐκθεραπευθεῖσιν, ἢ καὶ γινομένην ἔτι τὴν διάθεσιν ἔχουσιν. ὡσαύτως δὲ καὶ βραγχώδης ἡ φωνὴ γίνεται, διά τε τὰς αὐτὰς αἰτίας, καὶ διὰ ψυχροῦ πνεύματος εἰσπνοήν. ἡ μὲν οὖν διάθεσις ὁμογενής ἐστιν, ἀφωνίας τε καὶ βράγχους, μεγέθει δὲ ἀλλήλων διαφέρει τὰ πάθη ταῦτα. σφοδρότερον μὲν καὶ δυσλυτότερον, διαβρεχόντων ὑγρότητι γινομένων τῶν φωνητικῶν ὀργάνων ἡ ἀφωνία, μετριώτερον δὲ ὑγρανθέντων, ὁ βράγχος. ὄργανα δὲ φωνητικὰ λέγοντός μου, τήν τε ἀρτηρίαν ἀκούετε, καὶ τὸν λάρυγγα, καὶ τὴν φάρυγγα. τοῖς μὲν οὖν ἐκ τοῦ βοῆσαι σφοδρῶς ἐπὶ πλέον κακωθεῖσι τὴν φω-
E νὴν, ὅμοιόν τι συμβαίνει πάθημα τῷ γινομένῳ πολλάκις ταῖς χερσὶ, καὶ σκέλεσι, καὶ ψόαις, καὶ ῥάχει, καὶ μυσὶ καμοῦσι πλείονα. καλοῦσι δ' ἔνιοι τῶν γυμναστῶν, τὴν τοιαύτην διάθεσιν τῶν μυῶν ἐν οἷς συνίσταται, φλεγμονώδη κόπον. κατὰ μὲν οὖν ἀρτηρίαν, ὁ ἔνδον αὐτῆς ὑμὴν, ἢ χιτὼν, ἢ ὅπως ἄν ὀνομάζειν ἐθέλοι τις, ὑπὸ τοῦ κατὰ τὰς μεγάλας φωνὰς πνεύματος ἔξω φερομένου πληττόμενος, εἰς τὴν φλεγμονώδη διάθεσιν ἀφικνεῖται, πολλῷ δὲ μᾶλλον, ἐὰν πρὸς τῷ μεγέθει τῆς φωνῆς ὀξύτης τις ἐπιπροσίῃ. κατὰ δὲ τὸν λάρυγγα, πρὸς τῇ πληγῇ ταύτῃ, καὶ ἡ τῶν κινούντων αὐτὸν μυῶν βλάβη τῆς ἐνεργείας,
F μείζονα τὴν διάθεσιν ἐργάζεται. θεραπείας δὲ γένος αὐτῶν, ἐπὶ παντὸς μορίου ταῖς ὕλαις διαλλάττον ἐστίν. ἐλαίῳ μὲν γὰρ ἀνατρίβειν σκέλη, καὶ χεῖρας, καὶ ῥάχιν ἐγχωρεῖ ῥᾳδίως, διὰ τοῦ δέρματος εἰς τοὺς ὑποκειμένους αὐτῷ μῦς ἀφικνουμένης τῆς δυνάμεως αὐτοῦ. κατὰ δὲ τὴν τραχεῖαν ἀρτηρίαν, οἱ χόνδροι μετὰ τὸ δέρμα τεταγμένοι, κωλύουσι τὴν εἰς τὸν ὑποκείμενον

A εὐλόγως δίοδον τῆς τῶν μαλαττόντων χρισμάτων δυνάμεως. ὥσπερ γὰρ ἔλαιον, οὕτω καὶ ἄλλα πολλὰ σύνθετα φάρμακα τὴν αὐτὴν ὠφέλειαν ἐργάζεται, καὶ τά γε κατ' ἀρχὰς ἄκοπα λεχθέντα, μόνα ταῦτα κατὰ βραχὺ τὴν προσηγορίαν ἀφ' ἑαυτῶν ἐξέτειναν ἐπὶ τὰ παραπλήσια ταῖς συστάσεσιν, κἂν ἕνεκα τοῦ θερμῆναι σφοδρῶς παραλαμβάνωνται. κοινὴ δὲ ὕλη βοηθημάτων τοῖς φωνητικοῖς ὀργάνοις πρὸς τἄλλα, ἐστὶν ἡ ἐκ τῶν λουτρῶν. εὔδηλον δ' ὅτι τὴν διὰ τῶν γλυκέων ὑδάτων λέγω, τὰ γὰρ θαλάττια, καὶ θειώδη, καὶ στυπτηριώδη, καὶ χαλκανθώδη, καὶ ἀσφαλτώδη, διὰ τὸ ξηραίνειν ἰσχυρῶς, οὐκ ἐπιτήδεια. καὶ μέντοι καὶ ποιοῦσιν οὕτως οἱ φωνασκοῦντες, ὅταν B ἀγωνιζόμενοι θραύσωσι τὴν φωνήν. εἰσὶ δ' οὗτοι κιθαρῳδοί τε, καὶ κήρυκες, οἵ τε τὴν τραγῳδίαν, καὶ κωμῳδίαν ὑποκρινόμενοι. λουτροῖς τε γὰρ πολλοῖς χρῶνται, καὶ τροφὰς ἀδήκτους τε καὶ χαλαστικὰς ἐσθίουσιν. εἰ δὲ καὶ τραχύτητος αἰσθάνοιντο, τὰς ἐμπλαστομένας τοῖς ὁμιλοῦσι μορίοις παραλαμβάνουσιν. εἷς γάρ ἐστιν ἑαυτῷ χιτὼν συνεχής, ὅ, τε ἐν τῷ φάρυγγι, καὶ τῷ λάρυγγι, καὶ στομάχῳ, καὶ ἀρτηρίᾳ τῇ τραχείᾳ, κατὰ τὰ ἔνδον ἐπιτεταμένος. ἐὰν δὲ μὴ καθίσταται τῇ τε διαίτῃ, καὶ τοῖς λουτροῖς ἡ γινομένη διάθεσις ἐν τοῖς φωνητικοῖς ὀργάνοις, ἐπὶ τὰς ἀρτηριακὰς παραγίνονται, τροφαῖς χρώμενοι παρ' ὅλον C τοῦτον τὸν χρόνον, ὅσαι διὰ γάλακτος, ἀμύλου τε καὶ χόνδρου, καὶ ὠῶν, καὶ ἰτρίων σύγκεινται. εἰ δὲ μὴ διὰ τούτων ἐκθεραπευθεῖεν, ἐξεύρηνται τοῖς ἰατροῖς αἱ πρὸς αὐτὴν ὑπογλωττίδες ὀνομαζόμεναι. εἰσὶ δὲ αὗται φάρμακα τῆς αὐτῆς ταῖς ἀφλεγμάντοις ἀρτηριακαῖς δυνάμεως, δι' οἴνου θηραίου, καὶ κόμμεως, καὶ τραγακάνθης, καὶ γλυκυρρίζης συγκείμεναι, ἅπερ, ὡς ἔφην, ἐκλεαίνει τε ἅμα, καὶ ἀναστέλλει τὰς τραχύτητας. ὅσον δ' ἂν ἐν τοῖς μέρεσιν ὑπολείπηται φλεγμονῶδες, πέττει τε τοῦτο, καὶ ταχέως ἐκθεραπεύει. φιλόπονον δ' εἶναι χρὴ τὸν ὑποτιθέντα τῇ γλώττῃ τὸ φάρμακον, ὡς κατὰ βραχὺ τηκομένου D δέχεσθαι τῷ λάρυγγι τὸ καταρρέον εἰς αὐτόν, ἀνθιστάμενον τῇ γινομένῃ βηχί. καρτερήσαντες γάρ, ὡς μὴ βῆξαι συγχωρήσουσιν εἰς τὸν λάρυγγα, καὶ τὴν ἀρτηρίαν καταρρυῆναί τι τοῦ φαρμάκου. λαμπρὸν μέντοι ἔχειν τὸ φώνημα τοῖς οὕτω θεραπευθεῖσιν ἀδύνατον, ἄνευ τοῦ πάλιν χρήσασθαι φαρμάκοις ἀδήκτως ῥυπτοῦσιν, ὁποῖόν ἐστι, τό τε κυάμινον ἔτνος, καὶ ἡ πτισάνη, καὶ τὸ πεφωγμένον λινόσπερμα. ἐν τῷ μεταξὺ γάρ ἐστι τὰ τοιαῦτα, τῶν τε μέσων κατὰ τὴν δύναμιν φαρμάκων, καὶ τῶν ἐμπλαστικῶν. τούτων δὲ ῥυπτικώτερα ῥητίνη τερμινθίνη, καὶ λιβανωτός, τό τε ἀπηφρισμένον μέλι, καὶ τὰ E πικρὰ τῶν ἀμυγδάλων. ὥσπερ γε πάλιν ἰσχυρότερον τούτων ἐστὶ τό τε τῶν ὀρόβων ἄλευρον, ὁρμίνου τε σπέρμα, καὶ ἴρεως ῥίζα, καὶ πάνακος. ἅπασι δὲ τούτοις οἵ τε μαλακοὶ οἶνοι, καὶ γλυκεῖς ὁ κρητικός, θηραῖος, καὶ σκυβελίτης ἐπιτήδειοι, καὶ πρὸς αὐτοῖς, οὐκ οἶδ' ὅπως ἠμελημένον, τὸ καλούμενον ὑπὸ τῶν κατὰ τὴν ἡμετέραν Ἀσίαν Ἑλλήνων ἕψημα. προσαγορεύουσι δὲ αὐτὸ σίραιον οἱ Ἀττικίζοντες, καὶ λέγουσιν, ὥσπερ ἕτεροι τὸ τῶν ἰσχάδων ἀφέψημα, καὶ μάχη αὐτοῖς τί ἐστιν, ὁπότερον αὐτῶν χρὴ καλεῖν τὸ σίραιον. ἔστι δὲ δήπου καὶ αὐτὸ τοῦτο τὸ σίραιον, ὃ τῶν λιπαρῶν ἰσχάδων ἑψομένων ἐν ὕδατι γίνεται, τῆς μέσης δυνά- F μεως, ἣν ῥυπτικήν, καὶ ἀδήκτον ὠνομάσαμεν. τὸ μὲν οὖν ἑψόμενον γλεῦκος, ἐμπλαστικώτατόν ἐστι, καὶ ἀδηκτότατον. τὸ δὲ τῶν ἰσχάδων ἀφέψημα, διαφορητικώτερον, καὶ ῥυπτικώτερον. ὡς οὖν ἐν τοῖς ἔμπροσθεν εἶπον, ἁπάντων χρὴ τῶν ἁπλῶν φαρμάκων ἀκριβῶς ἐπίστασθαι τὰς δυνάμεις, τὸν μέλλοντα

A pelliculam transitum facultatis emollientium vnguentorum. Quemadmodũ enim oleum sic etiam alia multa composita medicamenta eandem vtilitatem præbent. Quin & ea quæ in principio Acopa tantùm appellata sunt, paulatim appellationem suam à se ipsis extenderunt ad similia compage medicamenta, etiam si gratia vehementer calefaciendi assumantur. Cæterùm communis materia auxiliorum ad vocis organa, præter reliqua, est quæ ex balneis contingit; manifestum est autem, quòd dulcium aquarum dico. Marina enim balnea, & sulphurea, & aluminosa, & atramentum sutorium olentia, ac bituminosa, propterea quod B fortiter resiccant, inepta sunt. Et sanè ita faciunt qui vocem exercent cantores, quum contendendo oblæserint vocem (sunt autem hi citharœdi, & præcones, & tragœdiam, ac comœdiam personati repræsentantes) balneis enim multis vtuntur, & cibos lenes, ac laxantes edunt. Si verò etiam asperitudinem percipiant, cibos qui infarciuntur partibus, quas contingunt, assumunt. Vna enim est tunica sibi ipsi cohærens, & continua, quæ summo gulæ, summo asperæ arteriæ; gulæ etiam, atque ipsi asperæ arteriæ, intrinsecus prætenditur. Quòd si ex victu, ac balneis oborta affectio C non sedetur in organis vocis, ad arteriacas transeunt, per totum hoc tempus cibis vtentes, qui ex lacte, amylo, alica, ouis, & dulciariis libis componuntur. Si verò per hæc non curentur, inuenta sunt à medicis medicamenta sublinguia appellata. Sunt autem ea eiusdem cum arteriacis inflammationem arcentibus facultatis, ex vino theræo, & gummi, ac tragacantha, & glycyrrhiza, composita, quæ, vt dixi, læuigant, simulque remittunt asperitates; quicquid verò reliqui est in partibus inflammationis, hoc concoquunt, & citò persanant. Industrium porrò esse oportet, qui medicamentum linguæ subdit, quo eo paulatim liquescente, D summum asperæ arteriæ id, quod in ipsum defluit, suscipiat, renitendo oborienti tussi. Obluctantes enim, vt ne tussiant, permittent quippiam ex medicamento in arteriæ summum, ipsamque adeo arteriam dimanare. At verò sic curatos claram vocem habere impossibile est, citra vsum medicamentorum absque acrimonia extergentium, quale est faba fresa elixa, & ptissana, & semen lini torrefactum; huiusmodi enim medium obtinent inter ea, quæ media facultate prædita sunt, & ea quæ meatus obducunt medicamenta. Magis autem quàm hæc abstergunt, resina terebinthina, E thus, mel despumatũ, ac amygdalæ amaræ. Quemadmodum etiam & his rursus fortiora sunt, oroborum farina, hormini semen, iridis, panacisque semen. Cæterùm his omnibus vina mollia, dulcia, Creticum, & therẹum, ac scybelites apta sunt; & ad hæc haud scio, quomodo neglectum id, quod à Græcis in nostra Asia hepsema appellatur sapa. Verùm Atticissantes ipsum siræum vocant; sicut alij caricarum decoctum siræum appellãdum censent, pugnantque inter se, vtrum ipsorum siræum vocare oporteat. Est sanè & hoc ipsum siræum, quod pinguibus caricis in aqua decoctis fit, mediæ F facultatis, quam lenem & citra acrimoniam detergentem appellauimus. Mustum quidem igitur coctum lenissimum medicamentum est, & maximè meatus oblinens, caricarum autem decoctum magis discutit & exterget. Quemadmodum igitur in præcedentibus dixi, omnium simplicium medicamentorũ vires exquisitè nosse oportet eum, qui

compositum

compositum quoddam sit facturus; atque hic ipse etiam ab aliis compositis rectè vtetur, & maximè vbi indefinitè fuerint conscripta, quemadmodum plures arteriacæ habentur. Palam est etiam, quod hic ipse iis, quæ cum discrimine prodita sunt, rectiùs vtetur. Etenim iuxta exactam rationem, in quantum apparatus affectionum transmutatur, tantum etiam commodum ipsi medicamentum permutare oportet; hoc ipsum verò solus is, qui singulorum simplicium medicamentorum vim nouit, exactè præstabit, ad primum medicamentum parum quiddam ex sequenti ordine apponendo. Velut exempli gratia, in lassitudinibus inflammatis quum in summis ipsius asperæ arteriæ musculis fiunt, in principio quidem lenissima edulia conueniunt, medicamenta verò meatus obducentia; consistente autem inflammatione, parum quid detergentium addendum est; deinde consequenter amplius; deinde rursus aliud illo præstantius, quo paulatim compositio ad medium exterforium perueniat, & rursus secundum eundem modum hoc magis discussorium, ac extersorium; ita progressu ad vehementissimum facto, vbi diutius velut in scirrhum induratus affectus in vocis organis perstiterit. Primi itaque ordinis est tragacantha, & gummi, & Samius aster, amylúmque & ex alica, ac trago probè coctis sorbitio. Quin & lac aptum est, & dulciarij panes, & oua sorbilia, ac nuces pineæ, quas nunc omnes Græci strobilos vocant, quondam autem apud Atticos coni vocabantur. Sesama etiam ex hoc genere sunt. Ab his autem deinceps est butyrum, quod etiam butyros masculino genere appellatur; & decoctum radicis dulcis ad crassitudinem Attici mellis liquidi redactum. Atqui radicem dulcem, quam glycyrrhizam vocant, præstat in primo tempore in aqua, velut dixi, coctam, ad sapam ex musto paratam admiscere; ad passum item Creticum idem decoctum misceri potest. Siue autem cum sapa, siue cum passo Cretico fuerit permixtum, rursus post mixturam decoquendum est. Hæc igitur in affectionibus inflammatis iuxta arteriam, eiusque summum, commoda in principio sunt, donec inflammatio moderata fiat; & præ omnibus à vini potu hoc tempore abstinendum. Quum verò moderatior facta est inflammatio, vinum dulce theræum, aut scybelite bibere licet, aut ex nostra Asia caryinum, & deinde theræum appellatum, deinde etiam dulce tmolite. Eo tempore etiam butyrum aptum est, & sorbitio ex amygdalis, sorbitio item ex lacte, & melle diutius coctis, amylo iniecto; & si amylum non adsit, siligine Romanis appellata iniecta. Manifestum est autem, quòd per huiusmodi victum, inflammatio, tum pellicularum, tum musculorum, circa arteriam eiusque summum sedatur. Relinquitur autem humiditas multa, ob quam impossibile est claram vocem proferri. Quare transire tunc conuenit ab his eduliis ad omnia ex melle cocta, & ad fabam fresam elixatam, & ptissanam, ac brassicam, & porrum probè coctum. Medicamentorum porrò vsus idoneus est, quo tempore, aut inflammatio, aut aspritudo præualescunt, eorum, quæ sub lingua detinentur, de quorum compositione dicam; post hæc magis extersoria, & resiccantia damus; & deinde rursus his adhuc magis extersoria, & ma-

A σύνθετόν τι ποιήσῃ. ὁ δὲ αὐτὸς οὗτος, καὶ τοῖς ὑφ' ἑτέρων συντεθεῖσιν ὀρθῶς χρήσεται, καὶ μάλισθ' ὅταν ἀδιορίστως ᾖ γεγραμμένα, καθάπερ καὶ αἱ πλεῖσται τῶν ἀρτηριακῶν. εὔδηλον δ' ὅτι, καὶ ταῖς μετὰ διορισμῶν γεγραμμέναις αὐτὸς οὗτος ἄμεινον χρήσεται. κατὰ γὰρ τὸν ἀκριβῆ λόγον εἰς ὅσον ἡ τῶν παθῶν κατασκευὴ μεταπίπτει, καὶ τὸ χρήσιμον ταύτῃ φάρμακον ὑπαλλάττεσθαι χρή. τοῦτο δ' ὀρθῶς, μόνος ὁ τὴν δύναμιν εἰδὼς ἑκάστου τῶν ἁπλῶν φαρμάκων ἀκριβῶς ἐπιστήσεται, προστιθεὶς τῷ πρώτῳ φαρμάκῳ βραχύ τι τῆς ἐχομένης τάξεως, οἷον ἐπὶ τῶν φλεγμονωδῶν κόπων, ὅταν ἐν τοῖς τοῦ λάρυγγος
B γίνωνται μυσίν, ἐν ἀρχῇ μὲν ἁρμόττει τὰ πραότατα ἐδέσματα, φάρμακα δὲ ἐμπλαστικά. καταστάσης δὲ τῆς φλεγμονῆς, βραχύ τι τῶν ῥυπτικῶν προσθετέον, εἶτ' ἐφεξῆς πλέον. εἶτ' ἄλλο πάλιν ἐκείνου γενναιότερον, ὡς κατὰ βραχὺ τὴν σύνθεσιν ἐπὶ τὸ μέσον ῥυπτικὸν ἀφικέσθαι, καὶ κατὰ τὸν αὐτὸν αὖθις τρόπον τὸ τούτου, τὸ διαφορητικώτερόν τε καὶ ῥυπτικώτερον. εἶθ' οὕτως ἐπὶ τὸ σφοδρότατον, ὅταν ἐπιπλεῖον, οἷον σκιρρώδης τις διάθεσις ἐν τοῖς φωνητικοῖς ὀργάνοις παραμένῃ. τῆς μὲν οὖν πρώτης τάξεώς ἐστι τραγάκανθα, καὶ κόμμι, καὶ Σάμιος ἀστήρ, ἄμυλός τε καὶ τὸ διὰ χόνδρου, καὶ τράγου κα-
C λῶς ἑψηθέντων ῥόφημα, καὶ γάλα δὲ ἐπιτήδειον αὐτοῖς ἐστι, καὶ ἴτριον, καὶ ὠὰ ῥοφούμενα, καὶ οὓς νῦν ἅπαντες Ἕλληνες ὀνομάζουσι στροβίλους, τὸ πάλαι δὲ παρὰ τοῖς Ἀττικοῖς ἐκαλοῦντο κῶνοι. καὶ τὰ σήσαμα δὲ ἐκ τούτου τοῦ γένους ἐστίν. ἐφεξῆς δὲ τούτων ὑπάρχει τὸ καλούμενον βούτυρον· εἰ δέ σοι φίλον ἀρσενικῶς ὀνομάζειν, βούτυρος. ἀφέψημά τε γλυκείας ῥίζης εἰς πάχος ἠγμένον Ἀττικοῦ μέλιτος ὑγροῦ. τὴν μέντοι γλυκεῖαν ῥίζαν, ἣν γλυκύρριζαν ὀνομάζουσιν, ἄμεινον ἐν τῷ πρώτῳ καιρῷ καθεψήσαντας, ὡς ἔφην, ἐν ὕδατι μίξαι τὸ ἀφέψημα τῷ ἐκ τοῦ γλεύκους γενομένῳ σιραίῳ, καλουμένῳ
D δ' ὑφ' ἡμῶν τῶν κατὰ τὴν Ἀσίαν ἡμετέραν ἑψήματι. μίγνυται δὲ τοῦτο καὶ γλυκεῖ Κρητικῷ, καὶ πάλιν δὲ ἕψειν μετὰ τὴν μίξιν, ἐάν τε ἑψήματι τύχῃ μιχθέν, ἐάν τε τῷ Κρητικῷ γλυκεῖ. ταῦτα μὲν οὖν ἐπὶ ταῖς φλεγμονώδεσι διαθέσεσιν, κατά τε τὴν ἀρτηρίαν τε, καὶ τὸν λάρυγγα, χρήσιμα κατ' ἀρχάς ἐστιν, ἄχρις ἂν ἡ φλεγμονὴ μετρία γένηται. καὶ πρὸ πάντων οἴνου πόσεως ἀπεχέσθω κατὰ τὸν καιρὸν τοῦτον. ὅταν δὲ μετριώτερα γένηται τὰ τῆς φλεγμονῆς, τὸν γλυκὺν θηραῖον, ἢ τὸν σκυβελίτην ἔξεστι πίνειν, ἢ τὸν ἐξ ἡμετέρας Ἀσίας, μάλιστα μὲν Καρυϊνόν. ἐφεξῆς δὲ τὸν θηραῖον ὀνομαζόμενον, εἶτα καὶ τὸν
E γλυκὺν Τμωλίτην, ἐν ᾧ καιρῷ, καὶ τὸ βούτυρον ἐπιτήδειόν ἐστι, καὶ τὸ διὰ τῶν ἀμυγδάλων ῥόφημα, καὶ τὸ διὰ γάλακτος, καὶ μέλιτος ἑψηθέντων ἐπιπλέον ἐπεμβληθέντος ἀμύλου. κἂν ἄμυλον δὲ μὴ παρῇ, τῆς ὀνομαζομένης παρὰ Ῥωμαίοις σιλίγνεως ἐμβαλλομένης. εὔδηλον δ' ὅτι κατὰ τὴν αὐτὴν δίαιταν, ἡ μὲν φλεγμονὴ παύεται τῶν κατὰ τὸν λάρυγγα, καὶ τὴν ἀρτηρίαν ὑμένων τε καὶ μυῶν. ὑγρότης δὲ καταλείπεται πολλή, ἣν τις ἀδύνατός ἐστι λαμπρὰν ἀποφῆναι τὴν φωνήν. μετέρχεσθαι δὲ τηνικαῦτα προσήκει, τῶν ἐδεσμάτων ἐπὶ τὰ διὰ μέλιτος ἑψημένα πάντα, καὶ μέντοι καὶ
F κυάμινον ἔτνος, καὶ πτισάνην, καὶ κράμβην, καὶ τὰ καλῶς ἑψημένα πράσα. φαρμάκων δὲ χρῆσις ἐπιτήδειός ἐστι, καθ' ὃν μὲν χρόνον ἤτοι τὰ τῆς φλεγμονῆς, ἢ τῆς τραχύτητος ἐπικρατεῖ, τὰ ὑπὸ τὴν γλῶτταν λαμβανόμενα, περὶ ὧν τῆς συνθέσεως ἐρῶ. μετὰ δὲ ταῦτα ῥυπτικώτερα τούτων, καὶ ξηραντικώτερα, κἄπειτα τούτων αὖθις αὐτῶν ῥυπτικώτερά τε

καὶ ξηραντικώτερα, μέχρις ἂν ἐπὶ τὰ δριμύτητος ἔχοντά τι A παραγινώμεθα, καὶ τούτων αὐτῶν ἀπὸ τῶν μετριωτέρων ἀρξάμενοι, πρὸς τὰ σφοδρότερα κατὰ βραχὺ μεταβαίνωμεν. τὰ μὲν οὖν ἐκ τῆς διαίτης ὁποῖον ἂν ἔχοι τὸν τύπον, ἔμπροσθεν εἴρηται, καθάπερ γε καὶ ἡ τῶν ἁπλῶν φαρμάκων ἰδέα. τὰ δὲ ἐξ αὐτῶν σύνθετα φάρμακα πολυειδῶς ἔγραψαν ἄλλοι κατ᾽ ἄλλας συμμετρίας. καὶ οἷς μὲν ἤρκεσεν ἐκ τριῶν, ἢ τεττάρων ἁπλῶν συντιθὲν φάρμακον. ἔνιοι δὲ εἰς ἀριθμὸν ἐξέτειναν πλείονα. καί τινες μὲν, ὡς εἴρηται, τῆς μαλακωτάτης τε καὶ πρηγορικωτάτης ὕλης ἐποιήσαντο τὴν σύνθεσιν τῶν ἀρτηριακῶν δυνάμεων. ἔνιοι δὲ ἔμπαλιν τούτοις δριμείας, καὶ θερμῆς, καὶ B ῥυπτικῆς, καὶ ξηραινούσης ἱκανῶς. εἰσὶ δὲ οἳ καὶ τρίτον εἶδος, ὃ μέσον ἀμφοῖν ἐστι. καὶ μετὰ τούτους, ἄλλοι μὲν ἐν τῷ μεταξὺ τοῦ μέσου τε καὶ μαλακωτάτου, ἄλλοι δ᾽ ἐν τῷ μεταξὺ τοῦ τε δριμυτάτου, καὶ τοῦ μέσου, καὶ κατὰ ταῦτα πάλιν αὐτὰ, τινὲς μὲν μᾶλλον, τινὲς δὲ ἧττον ἀποχωρήσαντες τῶν μέσων τῇ δυνάμει φαρμάκων, διαφόρους ἐποιήσαντο τὰς συνθέσεις. τούτοις ἅπασιν ὀρθῶς χρήσεται μόνος ὁ τὴν δύναμιν ἑκάστου τῶν ἁπλῶν ἐπιστάμενος, αὐτὸς γὰρ γνώσεται, καὶ τὴν τάξιν τοῦ φαρμάκου, καὶ κατὰ ποίαν ἀπόστασίν ἐστι τῶν μέσων. ἔγραψαν μὲν οὖν καὶ οἱ περὶ Μαντίου τε καὶ Ἡρακλείδου φάρμακα τοιαῦτα, καὶ οἱ μετ᾽ αὐτούς. πολὺ δὲ C βελτίω τοῖς εἰρημένοις ἀνδράσιν, ἢ αὐτοῖς συντεθεῖσιν, ἢ παρ᾽ ἑτέρων λαβοῦσι γέγραπται διὰ τῶν συγγραμμάτων ἃ κατέλιπον ἡμῖν, αὔξοντες τὸ φαρμακευτικὸν μέρος τῆς τέχνης. ἐν δὲ τῷ χρόνῳ, καὶ ταῦτα, καὶ τὰ πρόσθεν ἀκριβῆ, καὶ μακρᾷ πείρᾳ παραδοθέντα, τοῖς ἀνδράσιν ἐξείλεκται, καὶ ἤθροισται, περὶ ὧν πολλάκις ἐν τῇδε τῇ πραγματείᾳ τὸν λόγον ἐποιησάμην. οὗτοι δ᾽ εἰσὶν οἱ περὶ τὸν Ἀσκληπιάδην, καὶ Μοῦσαν, καὶ Ἀνδρόμαχον, καὶ Ἡρᾶν, καὶ Κρίτωνα, καὶ Μενεκράτην. πολλὰ δὲ καὶ ἄλλα φάρμακα, καὶ οἱ περὶ τὸν Ἀρχιγένην, καὶ Φίλιππον ἔγραψαν, ὡς μηδενὸς ἡμᾶς ἔτι δεῖσθαι τῶν ἀνωτέρω, τούτοις γὰρ, ὡς εἶπον ὅσα τοῖς D πρεσβυτέροις εὕρηται, κάλλιστα γέγραπται πάντα.

gis resiccantia, vsquequo ad ea, quæ aliquid acredinis habēt perueniamus, ita vt etiam in his à moderatioribus initio facto, ad vehementiora paulatim trāscamus. Itaque qualem formam esse conueniat victus, antea dictum est, quemadmodū etiam simplicium medicamentorū species est relata. Ceterùm composita ex ipsis medicamenta multiformiter, alij iuxta aliam cōmensurationem conscripserunt. Et quibusdā sanè ex tribus, aut quatuor simplicibus cōpositum medicamentum suffecit; quidā verò in maiorem numerū extenderunt. Et quidā, velut dictum est, ex mollissima, & lenissima materia arteriacas confectiones cōposuerunt; alij vice versa ex acri calida, extergente, ac multū resiccante; sunt & qui tertium genus medium inter ambo ista fecerunt. Post hos verò, alij medij generis inter medium, & mollissimū, alij medij generis inter medium, & acerrimum; & iuxta eandē rursus rationē, quidā magis, quidam minus, à mediis facultate medicamentis digressi, diuersas cōpositiones fecerūt. Quibus omnibus solus is rectè vtetur, qui singulorum simplicium medicamentorū vires nouit; ipse enim sciet, & ordinē medicamenti, & quanta distātia sit à mediis digressum. Porrò eiusmodi medicamenta scripserūt etiam qui ante Mātian, & Heraclidē, & qui post hos, vixerunt; verùm multo præstantiora à prædictis viris tradita sunt per libros, quos nobis reliquerūt, & in quibus medicamentariam artis partem auxerunt, partim ipsi cōponentes, partim ab aliis cōposita transcribentes. Progressu verò tēporis, tum hæc, tum etiam priora, exacta, & lōga experientia cognita, à viris electa, & coaceruata sunt, quorum iam sæpe in hoc opere mentionē fecimus; sunt autem hi, Asclepiades, Musa, Andromachus, Heras, Crito, & Menecrates; quin & multa alia medicamenta Archigenes, & Philippus scripserunt; vt nullo amplius ex veteribus opus habeamus; hi enim omnia ab antiquioribus inuenta optimè, velut dixi, tradiderunt.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ὑπ᾽ Ἀνδρομάχου γεγραμμένων ἀρτηριακῶν.

Πλείστας ἀρτηριακὰς δυνάμεις ἔγραψεν ὁ Ἀνδρόμαχος, ὡς ἔχειν ἀπὸ τῶν ἀσθενεστάτων ἐπὶ τὰ σφοδρότατα, διὰ τῶν ἐν μέσῳ κατὰ βραχὺ προϊέναι τὸν γνωρίζειν αὐτῶν τὴν διαφορὰν δυνάμενον. αὐτὸς γὰρ ὁ Ἀνδρόμαχος ἀδιοριστότερον ἔγραψεν αὐτὰς, ἀλλ᾽ ἐγὼ προσθήσω τοὺς διορισμοὺς, ἀναμιμνήσκων E ὧν ἄρτι προεῖπον. ὅτι δὲ τὸν μέλλοντα τοῖς λεγομένοις ἀκολουθήσειν, ἄξιον προγεγυμνάσθαι κατὰ τὴν τῶν ἁπλῶν φαρμάκων πραγματείαν, εἴρηταί μοι πολλάκις. ἄνευ γὰρ τοῦ γνῶναι ἑκάστου τῶν ἁπλῶν τὴν δύναμιν ἀκριβῶς καὶ διωρισμένως, οὐχ οἷόν τε γνῶναι τὸ σύνθετον, ἐκ ποίας ἐστὶ τάξεως τῶν ὁμογενῶν, πότερον ἐκ τῆς μαλακωτάτης, ἢ τῆς σφοδροτάτης, ἢ τῆς μέσης, ἢ τινος τῶν μεταξὺ ταύτης, ἢ καὶ τῶν ἄλλων.

Πρώτην μὲν οὖν ἔγραψε δύναμιν ἀρτηριακὴν, οὐ μετὰ πολὺ τῆς ἀρχῆς τοῦ βιβλίου, καθ᾽ ἣν τῶν ἐντὸς τοῦ σώματος γινομένων παθῶν ποιεῖται τὴν θεραπείαν, ὧδέ πως αὐτοῖς ὀνόμασιν. F ἀρτηριακὴ ᾗ χρῶμαι. ℞. λιβάνου < α'. ἐν ἄλλῳ δ'. σμύρνης < α'. ἐν ἄλλῳ δ'. κρόκου < α'. ἐν ἄλλῳ δ'. σκίλλης < β'. γλυκέος Κρητικοῦ ξε γ'. ἡ σκίλλα ἐνέψεται τῷ γλυκεῖ, ἕως συστραφῇ. εἶτα ἡ μὲν σκίλλα ῥίπτεται, ἐπιπάσσεται δὲ τὰ λοιπά. τοῦτο τὸ φάρμακον εἰ μὴ τὴν σκίλλαν εἶχεν, ἦν ἂν τῶν ἀκριβῶς μαλακωτάτων,

CAPVT II.

De Arteriacis ab Andromacho descriptis.

Plurimas arteriacas confectiones scripsit Andromachus, vt promptum sit à debilissimis ad fortissima paulatim per media transitu facto progredi, siquis ipsorum differentiam nouit; ipse enim Andromachus magis indefinitè ipsas prodidit. Verùm ego discrimina apponam, in memoriam reuocatis iis quæ paulo ante dixi. Quòd enim circa simplicium medicamentorum tractatū præexercitatum esse oporteat eum, qui dicenda assequi velit, sæpe à me dictum est; citra enim singulorum simplicium exactam, ac certam cognitionem impossibile est cognoscere, ex quo ordine eiusdem generis medicamentorum compositum sit, num ex mollissimo, an vehementissimo, aut medio, aut alio aliquo inter hunc, & alios intermedio.

Primam itaque Arteriacam confectionem non longè à principio libri, in quo affectionum corporis internarum curationem tradit, hoc modo in hæc verba scripsit. *Arteria qua vtor.* ℞ thuris ℥ j. alij iv. myrrhæ drach. j. alij iv. croci drach. j. alij iv. scillæ drach. ij. passi Cretici sextarios tres, scilla in passo coquitur, donec passum spissetur, deinde scilla abiecta, reliqua insperguntur. Hoc medicamentum si scillam non reciperet, inter exactè mollissima numerandum esset,

vtpotè

vtpotè in tres passi Cretici sextarios, paucissimo thure, ac myrrha, & croco coniectis, vt parum absit, quo minus totum passum creticum existat. Manifestum est autem, quòd medicamentũ eclegma dictum efficitur; vocant autem huiusmodi Atticè eclectas confectiones.

Consequenter ad præscriptam, alteram addidit Andromachus hoc modo. *Arteriaca ex capitibus papaueris.* ℞. capita papaueris viridia mille, & ducenta; mellis Attici ℔. iv. croci Cilicij ʒ.iv. alij x. succi hypocystidis ʒ. x. aquam pluuiam ad capita papaueris. Aqua quidẽ pluuia additur, quò minus putredini obnoxium sit medicamentũ; habet autẽ & astringens quippiam in se hæc aqua. Scopus est prædicto medicamento concoquere affectionem circa arteriam, quæcunque ea sit, per somnum, & concoctoria cum astringendi vi non adeò multa. Cæterũ simplex medicamentũ ex papaueris capitibus, vt ego facere consueui, sola capita habet in aquam coniecta, atq; vbi flaccida reddita fuerint, ipsa quidem proiicimus, aquam verò ipsorum ad solũ mel Atticum admiscemus, vsq; ad compagẽ eclegmatis medicamenti facta coctione, quomodo sanè ego apparare consueui. Quantam autẽ copiam aquæ, itemque mellis miscere oporteat in huiusmodi medicamentorum præparatione, in sequentibus dicam eo loco, quo talia verba scripturus sum; confectio ex capitibus papaueris.

Tertiã deinceps cõfectionẽ arteriacã Andromachus hãc prodidit. *Arteriaca Blasti quatuor ad tabescẽtes valdè bona.* ℞. nardi celticæ ʒ. iv. amomi ʒ. viij. cinnamomi ʒ. x. malabathri ʒ. iv. nardi Indicæ ʒ. iij. schœnanthi ʒ. ij cassiæ ʒ viij. thuris ʒ. iij. myrrhę ʒ. j. costi ʒ. iv. fęcis vnguenti malabathrini ʒ. vj. succi glycyrrhizæ ʒ. iij. succi mandragoræ ʒ. v. mastiches Chię ʒ. iij. croci ʒ. vj. Palmulas in vino mulso, aut protropo coquito; deinde in ipsum decoctũ nuces pineas xx. cõiicito, ac terito. Postea ex medicamẽto ad nucis Põticæ magnitudinẽ, aut paulo minus, accipito; & ad aliquot dies cũ hoc decocto vtitor; deinde etiã simplici medicamẽto vtaris. Postea autẽ ad duos, vel tres dies hiera ex aloë vteris, cochlearij mensura ex aqua in diem data. Vtere medicamento etiam cum lacte in iis, qui arteria affecti sunt, ad gargarissandũ; & rursus facto interstitio, vtere medicamento fabæ Ægyptiæ magnitudine. Quum verò fortis fuerit fluxio, opium & castorium in antidotũ miscemus, vtriusque parum quid. In his autẽ qui stomacho malè affecti sunt, ea ipsa vitamus. Manifestũ igitur ex ipsis verbis, quæ scripsit Andromachus, quod in fluxionibus partiũ thoracis, & pulmonis, ac arteriæ, pręscripta confectio confusæ est facultatis. Dixit enim ipse, quum fortis fuerit fluxio, opium & castorium in antidotũ miscemus, vtriusque modicam partem, resiccare nimirum fluxionem & sanam reddere volentes. Varium autem est medicamentũ, & ex multorum mixtura constans, vt ad omnes conueniat affectus, qui etiam diuturni, & maligni existunt, ac ægrè curabiles, etiam si vlcus sit circa arteriam, aut laryngem, & multo magis si iuxta pulmonem. Talia enim fortibus adeo opus habent medicamentis, quo ad longius tempus sufficere queant tabidũ affectũ habentes. Quum enim obtigerit eis regio sicca, & in conuenientis victus & medicamentorum vsu perseuerarint, quàm diutissimè renitentur, consuetas actiones moderatè obeuntes. Hanc igitur confectionem non censuerim admiscendam esse iis, quæ priuatim arteriacæ appellantur.

A Εἰς τρεῖς ξέστας τοῦ Κρητικοῦ γλυκέος, ἐλαχίστου λιβάνου, καὶ σμύρνης, καὶ κρόκου βαλλομένων, ὡς ὀλίγου δεῖν ὅλον ὑπάρχειν αὐτὸ γλυκὺ Κρητικόν. εὔδηλον δὴ, ὅτι τὸ καλούμενον ἀπ' αὐτῶν ἐκλεικτὸν φάρμακον γίνεται. καλοῦσι δὴ αὐτὰ καὶ Ἀττικῶς, ἐκλεικτὰς δυνάμεις.

Ἐφεξῆς δὲ τῇ προγεγραμμένῃ δυνάμει δευτέραν ἔγραψεν ὁ Ἀνδρόμαχος οὕτως. Ἀρτηριακὴ ἡ διὰ κωδυῶν. κωδύαι χλωραὶ χίλιαι διακόσιαι, μέλιτος Ἀττικοῦ λι. δ'. κρόκου Κιλικίου δραχμαὶ δ'. οἱ δὲ < ι'. ὑποκυστίδος χυλοῦ δραχμαὶ ι'. ἀκακίας δραχμαὶ ι'. ὕδωρ ὄμβριον εἰς τὰς κωδύας. ὕδωρ μὲν B οὖν ὄμβριον βάλλεται, ὅπως ἀσηπτότερον εἴη τὸ φάρμακον, ἔχει δὲ δηλονότι στυπτικόν ἐν αὐτῷ τι τὸ ὕδωρ τοῦτο. σκοπὸς δέ ἐστιν ἐν τῷ προκειμένῳ φαρμάκῳ, πέψαι τὴν κατὰ τὴν ἀρτηρίαν διάθεσιν, ἥτις ἂν ᾖ δι' ὕπνου, καὶ τὴν πεπτικὴν ἅμα στύψει μὴ πολλῇ. τὸ μὲν οὖν ἁπλοῦν φάρμακον διὰ τῶν κωδυῶν, ὡς ἐγὼ ποιεῖν εἴωθα, κωδύας ἔχει μόνας ἐμβεβλημένας ὕδατι, κἀπειδὰν ῥακηραὶ γένωνται, αὐτὰς μὲν ἐκβάλλομεν, τὸ δὲ ὕδωρ αὐτῶν μίγνυμεν Ἀττικῷ μέλιτι μόνῳ, κἄπειτα μέχρι συστάσεως ἐκλεικτοῦ φαρμάκου τῆς ἑψήσεως γινομένης. τὸ δὲ πόσον ὕδατος πόσῳ μέλιτι χρὴ μιγνύειν, ἐν ταῖς τῶν τοιούτων φαρμάκων C σκευασίαις, ἐν τοῖς ἑξῆς ἐρῶ κατ' ἐκεῖνον τὸν τόπον, ἔνθα παραγραφὴν ποιήσομαι τοιαύτην, ἡ διὰ τῶν κωδυῶν.

Τρίτην δύναμιν ἔγραψεν ἐπὶ ταῖς εἰρημέναις, ὁ Ἀνδρόμαχος τήνδε. Ἀρτηριακὴ ἡ Βλάστου, ἡ χρώμεθα πρὸς φθισικευομένους καλὴ λίαν. ℞. νάρδου Κελτικῆς < δ'. ἀμώμου δραχμαὶ η'. κινναμώμου < ι'. μαλαβάθρου δραχμαὶ δ'. νάρδου Ἰνδικῆς δραχμαὶ γ'. σχοίνου ἄνθους < β'. κασσίας < η'. λιβάνου δραχμαὶ γ'. σμύρνης < α'. κόστου δραχμαὶ δ'. μάγματος μαλαβάθρου < ς'. γλυκυῤῥίζης χυλοῦ δραχμαὶ γ'. μανδραγόρου χυλοῦ δραχμαὶ ε'. μαστίχης Χίας < γ'. κρόκου D δραχμαὶ ς'. φοίνικας ἐν οἰνομέλιτι ἑψήσας, ἢ προτρόπῳ, εἶτα εἰς τὸ ἀφέψημα βάλε στροβίλους κ'. καὶ λέαινε, εἶτα τοῦ φαρμάκου, ὡς καρύου Ποντικοῦ, ἢ μικρῷ ἔλαττον, ἐπί τινας ἡμέρας τούτῳ χρῶ, εἶτα ἀκεραίῳ τῷ φαρμάκῳ. εἶτα ἐπὶ δύο, ἢ τρεῖς ἡμέρας χρήσῃ τῇ δι' ἀλόης ἱερᾷ, κοχλιαρίου τὸ πλῆθος σὺν ὕδατι ἐπὶ μίαν ἡμέραν. χρῶ δὲ τῷ φαρμάκῳ, καὶ σὺν γάλακτι ἐπὶ τῶν τὴν ἀρτηρίαν παθόντων. ἀναγαργαρίζεσθαι κελεύων, καὶ πάλιν διαλιπὼν, χρῶ τῷ ἀντιδότῳ κυάμου Αἰγυπτίου τὸ μέγεθος. ὅταν δὲ ἰσχυρὸς ὁ ῥευματισμὸς ᾖ, προσμίγνυμεν τῇ ἀντιδότῳ, ὀπίου καὶ καστορίου, ὀλίγον ἑκατέρου, ἐπὶ δὲ τῶν κακοστομάχων E αὐτὰ φυλαττόμεθα. εὔδηλον οὖν ἐξ αὐτῆς τῆς ῥήσεως, ἃ γέγραφεν ὁ Ἀνδρόμαχος ἐπὶ τῶν ῥευματιζομένων τὰ περὶ τὸν θώρακα, καὶ πνεύμονα, καὶ ἀρτηρίαν ἐπιτηδείως τῆς προγεγραμμένης δυνάμεως συγκειμένης. ἔφη γὰρ αὐτὸς, ὅταν ᾖ ἰσχυρὸς ὁ ῥευματισμὸς, προσμίγνυμεν τῇ ἀντιδότῳ ὀπίου, καὶ καστορίου ὀλίγον ἑκατέρου, δηλονότι ξηρᾶναι τὸ ῥεῦμα, καὶ ὑγιεινὸν ἐργάσασθαι προαιρούμενοι. ποικίλον δέ ἐστι, καὶ πολυμίγματον, ὡς πρὸς πάσας ἁρμόττειν τὰς διαθέσεις, ὅσαι καὶ χρόνιαι, καὶ κακοήθεις εἰσὶ, καὶ δυσίατοι, κἂν ἕλκος ᾖ τι περὶ τὴν ἀρτηρίαν, ἢ τὸν λάρυγγα, καὶ πολὺ μᾶλλον, ἐὰν κατὰ τὸν πνεύμονα. τὰ γὰρ τοιαῦτα τῶν ἰσχυρῶν F οὕτω δεῖται φαρμάκων, ὡς ἐπὶ πλεῖστον χρόνον ἐξαρκέσαι δυνηθῶσιν, οἱ τὴν φθινώδη διάθεσιν [illegible]οντες· ὅταν γὰρ ἐπιλάβωνται χωρίου ξηροῦ, καὶ διαίτῃ προσ[illegible] καὶ φαρμάκοις χρώμενοι διατελῶσιν, ἐπὶ πλεῖστον αὐτ[illegible] κατὰ τὰς συνήθεις πράξεις ἐργαζόμενοι μετρίως αὐτ[illegible] τὴν δύναμιν, οὐκ ἠξίουν ἀναμεμῖχθαι, ταῖς ἰδίως ὀνομαζομέναις ἀρτηριακαῖς.

Τετάρτην ἐπὶ ταῖς προγεγραμμέναις, ἔγραψε δύναμιν ὁ A Ἀνδρόμαχος ὧδέ πως, ἑτέρα τοῦ αὐτοῦ. λέγει δὲ δηλονότι τοῦ Βλάστου, περὶ οὗ κατὰ τὴν ἔμπροσθεν ἀρτηριακὴν ἐγεγράφει· ἀρτηριακὴ Βλάστου ᾗ χρῶμαι. τὴν σύνθεσιν δὲ αὐτῆς, τοιαύτην ποιεῖται. ℞. ἀλόης ℥ β'. κρόκου ℥ α'. μαστίχης ℥ α'. πρόδηλον οὖν ὅτι τὸ φάρμακον τοῦτο, τῶν ἰδίως ὀνομαζομένων ἐκκοπρωτικῶν ἐστι, μετὰ τοῦ πεπτικὸν ἔχειν τι διὰ τὸν κρόκον. ὅταν δ' οὕτως εἴπω πεπτικὸν, ἀκούειν χρὴ τῆς διαθέσεως ἧς ἕνεκα προσάγεται.

Πέμπτην δὲ ἐφεξῆς τῶν προγεγραμμένων, ἔγραψεν ὁ Ἀνδρόμαχος τήνδε. ἀνώδυνος τοῦ αὐτοῦ. ℞. ὀπίου ℥ γ'. κρόκου B ℥ α'. σμύρνης ℥ β'. ἀκακίας ℥ S''. γλυκείας χυλοῦ < δ'. σὺν μέλιτι. ταῦτα μὲν ὁ Ἀνδρόμαχος, ἐγὼ δὲ οὐ πάνυ τι προσίεμαι τὴν τοιαύτην σύνθεσιν τῶν φαρμάκων, μετὰ τοῦ μὴ δεδηλῶσθαι τὴν διάθεσιν, ἐφ' ἧς αὐτῇ χρηστέον. ἴσμεν γὰρ ἐπὶ τῶν ἀνωδύνων τὸν σκοπὸν τῆς συνθέσεως, ὅταν ὕπνον ἐργάσασθαι βουληθῶμεν, καὶ σφοδρὰν ὀδύνην ναρκῶσαι. ἡ δὲ τῆς ἀκακίας μίξις, ὡς πρὸς ἕλκος ἐστὶν, ὥσπερ γε καὶ ὁ τῆς γλυκείας χυλὸς, πρὸς τὸ πραΰναι τὰ τετραχυμμένα. κρόκου δὲ μιγνύειν, ἢ ὀπίου κατὰ τὰς ἀνωδύνους, τοῖς πλείστοις ἤρεσεν, ἐπειδὴ δοκεῖ καὶ αὐτοῖς ἱκανῶς πέττειν ἁπάσας τὰς διαθέσεις.

C Ἕκτην ἐπὶ ταῖς προγεγραμμέναις, ἔγραψε δύναμιν ὁ Ἀνδρόμαχος τοιάνδε. ἀρτηριακὴ τοῦ αὐτοῦ. ℞. λιβάνου ℥ α'. γλυκείας χυλοῦ ℥ α'. σμύρνης δραχμὰς δ'. τραγακάνθης δραχμὰς ϛ'. νάρδου < α'. ἀμώμου δραχμὰς δ'. κρόκου < δ'. μέλιτος Ἀττικοῦ, τὸ αὔταρκες. καὶ αὕτη δέ ἐστι δήλη πρὸς τὰς αὐτὰς διαθέσεις τῶν ἀναπνευστικῶν συντιθεμένη, διά τε τῶν πεπτικῶν, καὶ παρηγορικῶν, καὶ στυφόντων, καὶ ῥυπτόντων. ὁ μὲν γὰρ λίβανος, καὶ ἡ σμύρνα, καὶ ὁ κρόκος τῶν πεττόντων τὰς διαθέσεις εἰσίν. ὁ δὲ τῆς γλυκείας χυλὸς τῶν ἐκλεαινόντων τὰς τραχύτητας, ὥσπερ γε καὶ ἡ τραγάκανθα. τὸ δὲ ἄμωμον ἰσχυρῶς D ξηραίνει, μετὰ τοῦ καὶ βραχὺ στυπτικὸν ἔχειν. τὸ δὲ μέλι τῆς τῶν θερμαινόντων ἐστὶ, καὶ ῥυπτόντων δυνάμεως.

Ἑβδόμην ἐπὶ ταῖς προγεγραμμέναις ὁ Ἀνδρόμαχος ἔγραψεν, ἐκ τῶν πολλῶν πάνυ συγκειμένην φαρμάκων, ἁπάσας σχεδόν τι τὰς δυνάμεις ἐχόντων. καὶ γὰρ στύφοντα, καὶ δάκνοντα, καὶ λεπτύνοντα, καὶ παρηγοροῦντα, καὶ ἐκλεαίνοντα, καὶ ὑπνωτικὸν, καὶ διαφορητικὸν, καὶ ῥυπτικὸν περιέχεται κατ' αὐτὴν, ἐφ' ὧν ἁπασῶν τῶν πολυμιγμάτων δυνάμεων ὧν εἴρηταί μοι, καὶ πρόσθεν ὁ λόγος κοινὸς, ὡς ἐξ ἁπάντων τις εἰ βουληθῇ συνθεῖναί τι τῶν φαρμάκων, ἐλπίδι τοῦ E ποιῆσαι ἓν φάρμακον πρὸς ἁπάσας τὰς ὁμογενεῖς διαθέσεις. ἐξ αὐτῶν τινὰ μὲν εὑρέθη τῇ πείρᾳ μοχθηρὰ καὶ παρεώθη, τινὰ δὲ ηὐτύχησεν κατὰ τὸν τοῦ συνθέντος ἀποβῆναι στοχασμόν. ἔγραψε δὲ καὶ τὴν σκευασίαν αὐτῆς ὁ Ἀνδρόμαχος, οὐ πάνυ τι τοῦτο πράττειν εἰωθώς. ὅτι δὲ ἐκ φαρμάκων δυνάμεις ἐχόντων ἃς εἴρηκα, σύγκειται, κάλλιον μέν ἐστι μεμνῆσθαι τοὺς ὁμιλήσοντας τοῖσδε τοῖς γράμμασιν. εἰ δὲ καὶ μὴ πρόχειρον ἔχοιεν τὴν μνήμην, ἀλλὰ κατά γε τὸν χρόνον αὐτὸν τοῦτον, ἐν ᾧ τὰ τοιαῦτα φάρμακα μανθάνουσιν, ἀναγνώτωσαν ἐπιμελῶς τὸ ἕλκον, καὶ τὸ ζ'. καὶ τὸ η'. περὶ τῆς τῶν ἁπλῶν φαρμάκων F δυνάμεως. ἐν ἐκείνοις γὰρ, ἅπασαν ἔγραψα τὴν ὕλην τῶν φαρμάκων, ὅσα ῥίζαι, καὶ φύλλα, καὶ ἄνθη, καὶ σπέρματα, καὶ καρποὶ, καὶ ὀποὶ, καὶ χυλοὶ τῶν ἐκ τῆς γῆς φυομένων εἰσίν, ἢ ἁπάντων φυτῶν. ὁπότ' οὖν ἀκήκοας ταῦτα, πρόσεχε ἤδη τὸν νοῦν, οἷς ἔγραψε περὶ τοῦ φαρμάκου τούτου ὁ Ἀνδρόμαχος. ἀρτηριακὴ ᾗ χρῶμαι.

Quartam deinceps confectionem Andromachus sic scripsit. *Altera eiusdem.* Blasti videlicet dicit, de quo circa præcedentem arteriacam scriptum est, Arteriaca Blasti, qua vtor. Compositionem autem eius talem facit. ℞. aloës sextantem, croci ℥. j. mastiches ℥. j. palam est hoc medicamentum ex eorum numero esse, quæ priuatim stercorum eductiua appellantur, vnà cum hoc, quòd concoctorium quiddam habet crocus. At verò quum concoctorium dico, intelligere oportet eius affectus, cuius gratia exhibetur.

Quintam ex ordine cõpositionem Andromachus talem tradidit. *Confectio sedans dolorem eiusdem.* ℞. opij ℥. iij. croci ℥. j. myrrhæ ℥. ij. acaciæ ℥. ß. succi radicis dulcis ʒ. iv. excipe melle. Hæc Andromachus. Verũ ego non auidè recipio eiusmodi cõpositionem medicamentorum, vbi non ostenditur affectio, in qua ea sit vtendum. Scimus etenim cõponendi sedãtia dolorẽ scopum, quum somnũ videlicet inducere voluerimus, & vehemẽtem dolorem stupefacere. Acaciæ autem mixtura velut ad vlcus est, quemadmodum radicis dulcis succus ad lenienda exasperata. Crocum autem & myrrham in compositiones dolorem leuantes miscere plurimis placuit; videntur enim ipsis omnes affectus sufficienter concoquere posse.

Sextam consequenter confectionem Andromachus hoc modo scripsit. *Arteriace eiusdem.* ℞. thuris ℥. j. succi radicis dulcis ℥. j. myrrhæ ʒ. iv. tragacanthæ ʒ. vj. nardi ʒ. j. amomi drachmas quatuor, croci drach. quatuor, mellis Attici, quod satis est. Non obscurum est etiam hanc ad respirationis organorum affectus compositam esse ex concoctoriis, mitigatoriis, astringentibus, & detergentibus. Myrrha enim, & thus, & crocus, affectus concoquunt. Radicis dulcis succus exasperata mitigat; idem etiam tragacantha facit. Amomum fortiter resiccat cum modica astringendi facultate. Mel autem calefactoriam, & extersoriam vim habet.

Septimã post relatas cõpositiones Andromachus scripsit ex multis valdè medicamẽtis cõstantem, quæ omnes fermè facultates habent; nam & astringentia, & mordentia, & attenuantia, & mitigantia, & læuigãtia in ea cõtinentur; quin & soporifera vis, & discussoria, ac detersoria in ipsa habẽtur. In quibus omnibus multifariam mixtis facultatibus cõmunis ratio est, quemadmodũ etiam antea dixi, quòd videlicet quispiam ex omnibus medicamentũ quoddã cõponere voluit, spe faciendi vnũ medicamentũ ad omnes eiusdẽ generis affectus cõmodum. Verũ ex ipsis aliqua quidẽ per experientiam cognita sunt maligna, & propterea relicta; aliqua verò feliciter pro ipsius componentis cõiectura, efficacia euaserũt, & ob id recepta. Quin & præparandi ipsam modũ Andromachus ascripsit, quãquã hoc facere aliàs non soleat. Quòd verò ex medicamentis cõposita sit, eas, quas dixi, facultates cõplectẽtibus, præstat meminisse eos, qui hos libros in manus sumẽt; si tamẽn non prõptam habeant memoriã, eo sanè tẽpore quo huiusmodi medicamẽta discũt, sextũ & septimũ, ac octauum de simplicium medicamentorũ facultate librũ legãt; in illis enim omnẽ medicamentorũ materiam cõscripsi, qua radices, & folia, & flores, & semina, & fructus, & liquores, & succi omnium ex terra nascentium plãtarum existunt. His itaque pręmissis iam animum ad ea, quæ Andromachus de hoc medicamento scripsit, aduerte. *Arteriaca qua vtor.*

Radices

Radices filicis crassissimæ lauantur donec purissimæ fiant, & omne terreum deponant; deinde per diem vnum perfrigerantur, & in frusta magnitudinis trium digitorum secta conquassantur; atque ex eis libræ x. in ollam nouam, aquæ dulcis sextarios decem complectentem, iniiciuntur, & ad hoc, vt sextarij v. reliqui fiant, coquuntur; exprimuntur, & liquor quidem in duplum vas diffunditur, & aromata crassa, ac integris partibus adduntur; ♃. nardi Indicæ ʒ.iv. cinnamomi ʒ.vj. radicis dulcis ʒ.vj. cassiæ ʒ.iv. rhei pontici drach. iv. balaustij drach. vj. rosarum siccarum drach. iv. alij vj. Hæc similiter ad dimidias coquuntur, ac exprimuntur; & ad decoctum mellis Attici sextarius vnus additur; sit autem mel præcoctum, & in duplici vase priuatim spissatum, vsquequo manus non inquinet; adiiciuntur & terebinthinæ pellucidæ ʒ. iij. galbani drach. ij. croci drach. v. succi hyoscyami drach. j. succi hypocystidis drach. j. mandragoræ succi oboli iij. piperis albi drach. octo.

Octauam deinceps confectionem scripsit, summâ facultatis ipsius indicatâ, quod ipsum in omnibus fecisse oportuit. Habet autem sic. *Arteriace laudata Mithridatis, ad thoracis collectiones, subpurgat & læuigat.* ♃. irionis torrefacti drach. i. in quibusdam exemplaribus fabę fresæ scriptum est; sunt autem ambo detersoriæ facultatis; seminis lini tosti drach. xx. & hoc detersoriam vim habet; nucis pineæ drach. viij. hæ læuigandi vim habent; vuæ passæ exacinatæ drach. iv. & hæc ob id, quòd modicè subastringat, simulque commodus corpori cibus sit, meritò admixta est; habet autem & passi facultatem, qualem in quarto de simplicium medicamentorum facultatibus indicauimus; croci obol. ij. minimum quid ex croco coniecit, qui medicamentum composuit, vt propè nihil sit aliorum proportione; diximus de croco, eum concoquendi vim habere vnà cum astrictione; dictũ est etiam quòd astrictio corpora cogit, constringit, & corroborat. Adiecit autem etiam mellis, quartam partem heminæ, à vino dulci, ac sapa digressus; vult enim hoc modo præparatum medicamentum velut præfatus est, in pectore hærentes collectiones expurgare; cæterùm in huiusmodi medicamentis ea, quæ crassos succos habent, impediunt repurgationem; his admiscuit tragacanthæ ʒ.iv. quod medicamentum læuigat exasperata; prædictum est autem, quòd vult hoc propositum medicamentum repurgare, & læuigare ea, quæ iuxta thoracem hærent; scopus enim huiusmodi est, attenuare, & abstergere, ac ad eductionem supernè aptas facere collectiones in thorace; verùm sedandi doloris gratia, & ne nimium tussiant partes exasperatæ, læuigantia apponuntur. Maximum hoc est, atque ipsius per omnia meminisse oportet, nimirum quòd sæpe vnus scopus sit, in quem medicamentum componitur; ne verò hoc ipsum aliquo modo offendat, vtraque miscentur, primum vtilitatis scopum nequaquam habentia.

Nonam arteriacen post has Andromachus his verbis tradidit. *Arteriace Marini.* ♃. croci vnc. j. gummi sextantem, tragacanthæ vnc. j. mellis Attici sextarium j. coquito donec, quum diffunditur, non inquinet. Hoc medicamentum medium est facultate; essetque exactè mitigatorium, ac dolorem sedans, si neque crocum haberet, neque mellis sextarium, sed pro ipso thæreum vinum Creticum; aut sapam ex musto cocto factam, quam nos, vt dixi, hepsema appellamus.

A πτέρεως ῥίζαι, ὡς ἁδρόταται πλύνονται, ἕως λίαν καθαρώταται γένωνται, καὶ πᾶν γεῶδες ἀφῶσιν, εἶτα ψύχονται ἡμέραν μίαν, καὶ κατατέμνονται εἰς τριδάκτυλα, καὶ καταθραύονται. ἐκ τούτων λίτραι ι΄. καὶ βάλλονται εἰς χύτραν ἐγκεχαινισμένην, καὶ ὕδατος γλυκέος ξέστας ι΄. καὶ ἕψεται ἕως ἂν λειφθῶσιν ξέσται ε΄. καὶ ἐκθλίβονται, καὶ τὸ μὲν ὑγρὸν εἰς δίπλωμα βάλλεται, τὰ δὲ ἀρώματα ἁδρομερῆ. ♃. νάρδου Ἰνδικῆς δραχμὰς δ΄. κινναμώμου < ς΄. γλυκείας ῥίζης δραχμὰς ς΄. κασίας < δ΄. ῥήου Ποντικοῦ δραχμὰς δ΄. βαλαυστίου < ς΄. ῥόδων ξηρῶν < δ΄. οἱ δὲ δραχμὰς ς΄. ταῦτα ἕψεται ὁμοίως ἐς τὸ ἥμισυ, εἶτα ἐκθλίβεται, B καὶ προσεμβάλλεται τῷ ἀφεψήματι μέλιτος Ἀττικοῦ ξε. α΄. προαφεψημένου, καὶ συνεστραμμένου ἰδίᾳ ἐν διπλώματι, ἕως μὴ μολύνοι, καὶ προσεμβάλλεται τερμινθίνης διαυγοῦς < γ΄. χαλβάνης δραχμὰς β΄. κρόκου δραχμὰς ε΄. ὑοσκυάμου χυλοῦ < α΄. ὑποκυστίδος χυλοῦ < α΄. μανδραγόρου χυλοῦ τριώβολον, πεπέρεως λευκοῦ δραχμὰς η΄.

Ὀγδόην ἐπὶ ταῖς προειρημέναις ἔγραψε, δηλώσας τῆς δυνάμεως αὐτῆς τὸ κεφάλαιον, ὅπερ ἐχρῆν ἐπὶ πασῶν αὐτὸν πεποιηκέναι. ἔχει δὲ οὕτω πως αὐταῖς ὀνόμασιν. Ἀρτηριακὴ ἐπαινουμένη Μιθριδάτειος, πρὸς τὰ ἐν θώρακι συναθροισμένα, C ὑποκαθαίρει καὶ ἀπολεαίνει. ♃. ἐρυσίμου πεφωγμένου < κ΄. ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων ἐρεγμοῦ γέγραπται· ῥυπτικῆς δέ ἐστιν ἄμφω δυνάμεως, λινοσπέρματος πεφωγμένου < κ΄. καὶ τοῦτο ῥυπτικῆς ἐστι δυνάμεως, στροβίλου δραχμὰς η΄. ἐκλεαίνει δηλονότι τοῦτο, σταφίδος ἐκγεγιγαρτισμένης δραχμὰς δ΄. καὶ αὕτη τῷ μὲν βραχύ τι περιστύφειν, καὶ ἅμα τροφή τις εἶναι χρηστὴ τῷ σώματι μέμικται προσηκόντως. ἔχει δὲ καὶ τὴν τοῦ γλυκέος δύναμιν, οἵαν εἰρήκαμεν ἐν τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως· κρόκου ὀβολοὺς δύο. ἐλάχιστον δηλονότι βέβληκε τοῦ κρόκου ὁ συνθεὶς τὸ φάρμακον, ἐγγύς τε τοῦ μηδὲν D εἶναι πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν. εἰρήκαμεν δέ, ὅτι πεπτικῆς ὁ κρόκος ἐστὶ δυνάμεως μετὰ τοῦ καὶ στύφειν. εἴρηται δέ, ὅτι καὶ ἡ στύψις συνάγει, καὶ σφίγγει, καὶ τονοῖ τὰ σώματα. βέβληκε δὲ καὶ κοτύλης μέλιτος τέταρτον, ἀποχωρήσας τοῦ τε γλυκέος οἴνου, καὶ τοῦ ἑψήματος, ἀποκαθαίρειν γὰρ τὸ σκευαζόμενον φάρμακον βούλεται, καθότι προεῖπε τὰ ἐν θώρακι. ἐν δὲ τοῖς τοιούτοις φαρμάκοις τὰ παχύχυμα κωλύει τὴν ἀνακάθαρσιν. ἔμιξε δὲ τούτοις τραγακάνθης δραχμὰς δ΄. ἐκλεαίνοντος φαρμάκου τὰ τραχυνθέντα. προεῖπον δέ, ὅτι βούλεται τὸ προκείμενον φάρμακον, ἀποκαθαίρειν τε καὶ ἐκλεαίνειν τὰ κατὰ τὸν θώρακα. ὁ μὲν E γὰρ σκοπός ἐστιν ἐν τοῖς τοιούτοις, λεπτῦναι καὶ ἀπορρύψαι, καὶ πρὸς τὴν ἀναγωγὴν ἐπιτήδεια ποιῆσαι τὰ κατὰ τὸν θώρακα. τῆς δὲ ἀνωδυνίας ἕνεκα, καὶ τοῦ μὴ πολὺ βήττειν τραχυνθέντα τὰ μόρια, προστίθενται τὰ ἐκλεαίνοντα. μέγιστον δὲ τοῦτ᾽ ἐστί, καὶ διὰ παντὸς χρὴ μεμνῆσθαι αὐτοῦ, τοῦ πολλάκις ἕνα σκοπὸν ἔχειν, δι᾽ ὃν συντίθεται τὸ φάρμακον. ἕνεκα δὲ τοῦ μὴ λυπεῖν αὐτὸ κατὰ μηδένα τρόπον, ἑκάτερα μίγνυται τὸν πρῶτον σκοπὸν τῆς ὠφελείας οὐκ ἔχοντα.

Ἐνάτην ἀρτηριακὴν ἐπὶ ταῖς προγεγραμμέναις ἔγραψεν ὁ Ἀνδρόμαχος, ὧδέ πως κατὰ λέξιν. Ἀρτηριακὴ ἡ Μαρίνου. F ♃. κρόκου ℥ α΄. κόμμεως ℥ β΄. τραγακάνθης ℥ α΄. μέλιτος Ἀττικοῦ ξε. α΄. ἕψε ἕως ἀποσταζόμενον μὴ μολύνοι. τοῦτο τὸ φάρμακον, τῶν μέσων ἐστὶ κατὰ τὴν δύναμιν. ἦν δὲ ἂν ἀκριβῶς παρηγορικόν τε καὶ ἀνώδυνον, εἰ μήτε κρόκου εἶχεν μήτε τὸν μέλιτος τὸν ξε. ἀλλ᾽ ἀντ᾽ αὐτοῦ τὸν θηραῖον οἶνον τὸν Κρητικόν, ἢ τὸ ἐκ τοῦ γλεύκους ἑψηθέντος γινόμενον, ὃ καλοῦμεν ἡμεῖς, ὡς ἔφην, ἕψημα,

παράκειται δὲ κατὰ τὴν λέξιν ἀκαίρως, ἐπὶ τοῖς προειρημένοις ἰσχυροῖς φαρμάκοις, ἃ καὶ τοῖς ἐμπυϊκοῖς, καὶ τοῖς ὑπὸ φθόης ἐχομένοις ἁρμόττει.

Δεκάτην ἐφεξῆς τῇ προγεγραμμένῃ μνημονεύει, μεταξὺ τῆς ἀκριβῶς πραϋντικωτάτης, καὶ τῆς μέσης, ὁποίαν ἔφην εἶναι τὴν προγεγραμμένην. ἐκ κόμμεως γοῦν ταύτην, καὶ γλυκέος Κρητικοῦ, καὶ ὕδατος συντίθησι, μιγνὺς μέλιτι. τοῦ μὲν κόμμεως ἐμβαλὼν ℥ η'. τοῦ δὲ γλυκέος ξε α'. τοῦ δὲ μέλιτος, λίτραν α'. λύειν κελεύων ὕδατι τὸ κόμμι, μὴ προσθεὶς τὸ ποσόν. διὰ μὲν οὖν τὸ κόμμι, καὶ τὸ γλυκὺ, καὶ τὸ ὕδωρ ὅλως οὐδὲν ἔχει ῥυπτικὸν, διὰ δὲ τὸ μέλι τοῦ πραϋντικωτάτου, καὶ ἐκλεαίνοντος ἀποκεχώρηκεν. ἴσμεν γὰρ ὅτι ῥυπτικόν ἐστι τὸ μέλι. ἕψεσθαι δὲ δεῖν ἐπ' ἀνθράκων εἶπεν αὐτὸ, τουτέστιν ἐπὶ μαλακοῦ πυρὸς ἀκάπνου. κάλλιον δ' ἂν ἐπεποιήκει, καὶ περὶ τῶν ἄλλων ἁπασῶν ἀρτηριακῶν τοῦτο προσγράψας. ἐγὼ γοῦν οὕτως αὐτὸ σκευάζω, καὶ οὐδ' ἐπ' αὐτῶν ἀνθράκων ἔτι διακαιομένων ποιοῦμαι τὴν ἕψησιν, ἵνα μηδὲ τὸ ἀπὸ τούτων ἀναφερόμενον καπνῶδες, καὶ δριμὺ προστρίψῃ τῷ φαρμάκῳ δριμύτητας οὐκ ἀναγκαίας. τῆς μὲν γὰρ τοῦ μέλιτος δριμύτητος ἀνεχόμεθα, καίτοι καὶ αὐτῆς οὐκ οὔσης σφοδρᾶς, διὰ τὴν ἄλλην αὐτοῦ χρείαν, καπνοῦ δὲ οὐδεμία χρεία. διαφευκτέον οὖν αὐτὴν εἰς ὅσον ἐνδέχεται κατὰ πάντα τὰ τοιαῦτα φάρμακα, κάλλιον δὲ καὶ ἐπὶ τῶν ἐμπλαστικῶν ἀκάπνοις χρῆσθαι τοῖς ξύλοις.

Ἑνδεκάτην δύναμιν ἔγραψεν οὕτως. ἀρτηριακὴ ἄλλη καλή. ℞. κινναμώμου, λιβάνου ἀνὰ ℥ α'. χυλοῦ γλυκείας ℥ α'. σμύρνης δραχμὰς δ'. τραγακάνθης < ς'. νάρδου Ἰνδικῆς < δ'. ἀμώμου δραχμὰς δ'. κρόκου < α'. μέλι Ἀττικόν. ἀληθῶς εἶπεν, καλὴν εἶναι τὴν ἀρτηριακὴν ταύτην, ἀλλ' ἐνδεῖ τῷ λόγῳ, πρὸς τίνας διαθέσεις αὐτὴν εἶναί φησι καλήν. εἴρηται γὰρ ἐν ἀρχῇ, καὶ διὰ κραυγὴν, καὶ διὰ κατάρρουν κακοῦσθαι τὴν ἀρτηρίαν, καὶ τῷ ἔχειν ἕλκος, ἢ φλεγμονὴν σκιρρουμένην. ἧς δὲ νῦν τὴν σκευασίαν οὕτως ἔγραψεν ὁ Ἀνδρόμαχος, καὶ πρὸς τοὺς φθόῃ κάμνοντας ἐπιτήδειόν ἐστι φάρμακον, καὶ πάσας ἁπλῶς τὰς ἐν θώρακι, καὶ πνεύμονι κεχρονισμένας διαθέσεις. ἡ γὰρ τοῦ κινναμώμου φύσις οὖσα λεπτομερὴς, καὶ ξηραντικὴ, καὶ τὰς ἐσκιρρωμένας διαθέσεις ἰᾶσθαι πέφυκεν. ἐφεξῆς δὲ αὐτῷ, καὶ ἡ τοῦ ἀμώμου δύναμίς ἐστι, μετὰ τοῦ καὶ στυπτικὸν ἔχειν τι. διὰ δὲ τὴν τούτων ἐνέργειαν οὖσαν σφοδρὰν, εὐλόγως ἐμίχθη λιβανωτός τε, καὶ ὁ τῆς γλυκείας χυλὸς, καὶ τραγάκανθα, πραΰνειν τὰ τετραχυσμένα πεφυκότα φάρμακα. περὶ δὲ κρόκου, καὶ σμύρνης πολλάκις εἴπομεν, ὅτι πεπτικὰ καὶ ξηραντικὰ μετρίως τῶν τοιούτων διαθέσεών ἐστι.

Δωδεκάτην ἀρτηριακὴν ὁ Ἀνδρόμαχος ἔγραψεν οὕτως. ἄλλη ἐκ τῶν Γάλλου, πρὸς τὰ τῆς ἀρτηρίας πάθη, καὶ ἕλκη ἐν πνεύμονι, καὶ πύου ἀναγωγὰς, καὶ αἵματος, καὶ τοὺς εἰς θώρακα ῥευματισμοὺς, καὶ πρὸς τὰ δυσανάγωγα σφόδρα ἐνεργεῖ. ℞. ῥητίνης τερμινθίνης < δ'. κρόκου Κιλικίου < δ'. λιβανωτοῦ δραχμὰς δ'. σμύρνης Τρωγλοδύτιδος < δ'. κινναμώμου < δ'. ἀμώμου < γ'. στροβίλου < δ'. γλυκείας ῥίζης ἐξεντερισμένης < δ'. νάρδου Συριακῆς < β' S''. κασσίας μελαίνης < β'. τραγακάνθης < γ'. φοινίκων Συριακῶν τῆς σαρκὸς < γ'. ἀστέρος Σαμίου < δ'. χαλβάνης καθαρᾶς τετρώβολον, κόστου < δ'. ἐν ἄλλῳ < α'. μέλιτος Ἀττικοῦ κοτύλας δ'. ἕψεται ἐν διπλῷ τὸ μέλι τε καὶ ἡ ῥητίνη. ὅταν δὲ ἄρχηται συστρέφεσθαι, χαλβάνη μίγνυται, ἄχρις ἂν μὴ μολύνῃ, εἶτα ψυχθέντι λεῖα τὰ λοιπὰ μίγνυε, καὶ οὕτω χρῶ. καλῶς ἐποίησε ἐπὶ τούτου τοῦ φαρμάκου, καὶ πρὸς

A Verùm hoc loco importunè inter relata fortia medicamenta locatum est, vtpotè quæ suppuratis & tabescentibus conueniunt.

Decimam consequenter recenset, quæ inter exactè læuissimam, ac mediam, qualem sanè esse dixi præcedentem, intermedia est. Ex gummi igitur hanc, & passo cretico, ac aqua componit, melle etiam admixto; & gummi quidem iniicit bessem, passi sextarium vnum, mellis lib. vnam, dissoluere cum aqua iubens ipsum gummi, copia eius non expressa. Itaq; ob gummi, & passum, & aquam, penitus nihil detersorium habet, ob mel verò, à maximè mitigatorio & læuigante est di-
B gressa; scimus enim detersorium esse mel. Coqui autem super prunas oportere ipsum dixit, hoc est, ad mollem, & non fumantem ignem. Melius verò fecisset, si etiam ad alias omnes hoc ascripsisset. Ego itaque sic ipsum præparo, & neque ad prunas adhuc ardentes coctionem facio, ne videlicet inde quid acre, & fumosum sublatum, acrimoniam non necessariam medicamento ipsi affricet. Mellis quidem acredinem toleramus, quanquam ea non sit vehemens, propter aliam ipsius vtilitatem, verùm fumi nulla est vtilitas. Quare fugiendus est fumus, inquantum possibile est, circa omnium hu-
C iusmodi medicamentorum præparationem. Præstat autem, & in iis, quæ meatus obducunt, lignis fumum non edentibus vti.

Vndecimam confectionem sic prodidit. *Arteriaca alia bona* ℞. cinnamomi, thuris, vtriusque ℥. j. succi radicis dulcis ℥. j. myrrhæ drach. iv. tragacanthæ drach. sex, nardi Indicæ drach. iv. amomi ʒ. iv. croci drach. j. melle Attico excipe. Rectè dixit bonam hanc arteriacam esse, verùm deest sermoni, ad quos affectus bona sit; dictum enim in principio est, & per vociferationem, & per destillationem lædi arteriam, ampliusque propter vlcus,
D & inflammationem obduratam. Hæc autem confectio, quam nũc Andromachus descripsit, etiam ad tabidos aptum medicamentum est, & simpliciter omnes inueteratos thoracis, ac pulmonis affectus. Cinnamomi etenim natura tenuium partium, & resiccatoria etiam induratos affectus sanare potest. Ab eo proximum locum amomi facultas habet, simulque astringens quippiam habet. Verùm ob horum actionem vehementem rationabiliter admixta sunt, thus, & radicis dulcis succus, & tragacantha, medicamenta exasperata lenire à natura apta. De croco, & myrrha sæpe di-
E ximus, esse videlicet concoctoria, & modicè resiccatoria huiusmodi affectuum.

Duodecimam arteriacam Andromachus, hoc modo scripsit. *Alia ex libris Galli ad arteriam affectam, vlcera pulmonis, puris & sanguinis reiectiones, & fluxiones in thoracem, & ad ea, quæ ægrè educi possunt, vehementer efficax.* ℞. resinæ terebinthinæ drachmas quatuor, croci Cilicij drach. quatuor, thuris drach. quatuor, myrrhæ troglodyticæ drach. iv. cinnamomi drach. iv. amomi drach. tres, nucis pineæ drach. iv. radicis dulcis eiecta medulla drach. quatuor, nardi Syriacæ drach. ij. ß. cassiæ nigræ drach. duas, tragacanthæ drach. iij.
F palmularum Syriacarum carnis drach. iij. asteris Samij drachmas iv. galbani puri obolos iv. costi drach. iv. alij ʒ. j. mellis Attici heminas iv. Mel & resina in duplo vase coquuntur, atque vbi crassari cœperint, galbanũ miscetur, donec non inquinét; deinde refrigeratis reliqua trita admisce, & sic vtere. Rectè fecit in hoc medicamento, tum quòd ad quas

quas affectiones conueniat, tum quod quomodo præparare ipsum oporteat, ascripsit. Ratio autem compositionis ex superioribus constat.

Decimamtertiam arteriacam Andromachus his verbis tradidit. *Arteriaca Galli; eadem etiam antidotus est ad eadem efficax.* ℞. nardi Syriacæ drach. iv. myrrhæ ʒ.iv. croci ʒ.iv. costi drach. iv. alij ʒ. j. piperis albi grana xxx. radicis dulcis ʒ. j. nuces pineas centum, styracis drach. j. tragacanthæ drach. j. cinnamomi ʒ. j. amomi drach. j. thuris drach. j. obolos iv. cassiæ fistulæ drach. j. balaustij drach. tres, obolos iij. mellis Attici, aut passi Cretici heminas duas. Passum in duplo vasculo coquitur ad spissitudinem mellis, atque ita ad arida trita affunditur; tragacantha autem, & styrax per diem antea in sufficiente protropo macerantur, & ita ad reliqua admiscentur; reponitur pyxide argentea, aut vitrea. Rectè fecit, & hic, quòd tum ea, quæ promittit hoc medicamentum, tum quo modo præparatur, ascripsit. Ego verò propterea omnes ab ipso descriptas arteriacas apposui, ne quis alium scriptorem requirere cogatur; omne enim facultatum genus in ipsis continetur, mollium, fortium, ac mediorum.

Decimaquarta arteriaca eius est, de qua sic prodit. *Arteriaca ex libris Aphroda, Moschionis. Est eius facultas non modicè medias transgressa ad fortes. Habet vim incidendi, & attenuandi, ac calefaciendi ex multis medicamentis, quibus etiam lenta quædam admixta sunt ob eam, quam dixi causam.* Compositio eius hæc est; ℞. rubricæ lemniæ, thuris, myrrhæ, nardi, amomi, cassiæ rufæ, croci, iridis illyricæ, floris iunci odorati, singulorum ʒ.ij. cinnamomi ʒ.iv. resinæ terebinthinæ ʒ.iv. floris rosarum ʒ.iv. opobalsami ʒ.ij. mellis heminam j. aut passi Cretici heminæ dimidium, ampliusq; quartam eius partem; liquorem & resinam, donec fulua reddantur, coquito, deinde ab igne ablatis reliqua addito, ac cõquassato. Datur in thoracis, & arteriæ affectionibus fabæ Græcæ magnitudine, cum aqua, quarta heminæ parte, reliquis forma eclegmatis delingẽdũ.

Decimamquintam arteriacam sic scripsit. *Arteriace ad arteriæ aspritudinem, vocem interceptam, & sanguinem reiectantes, qua vtor. Ex libris Apollonij, & Alcimionis.* ℞. tragacanthæ ʒ. vj. gummi ʒ. vj. thuris drach. j. obol. j. myrrhæ ʒ. j. obolos ij. croci ʒ. j. ob. ij. succi radicis dulcis drach. j. obolos iij. aut radicis ʒ. j. ß. piperis albi ğ. xxv. palmularum pinguium carnis ʒ. iij. alij palmulas v. aut tres habent. Tragacantham passo maceratam, ac tritam reliquis aridis tritis committe, ex eisque omnibus catapotia fabæ magnitudine effice, sub linguaque tenenda exhibe. Huiusmodi confectiones sublingues medici appellant; iubentque id, quod à dissoluto medicamento defluit, sensim in asperæ arteriæ summum excipere, obnitendo simul, ne tussis excitetur.

Decimasexta ex ordine sic scripta est. *Arteriace delingibilis ad omnes internas affectiones, maximè tabescentes, & suppuratos, ad Hydropas incipientes, tusses veteres. Datur per diem, & noctem, cochlearij mensura.* ℞. succi scillæ sextarios iv. passi Cretici sextarios tres, vini Falerni sextarios viij. mellis Attici sextarios tres, myrrhæ ℥. iiij. croci ℥. ij. thuris ℥. ij. aristolochiæ dactylitidis minam vnam, & dimidiam, glycyrrhizæ minam vnam, radicis eryngij ℥. duas, cassiæ ℥. j. nardi Celticæ vnciam vnam, xylobalsami ℥. viij. Aristolochiam, eryngium, glycyrrhizam, xylobalsamũ, cassiam,

A τίνας διαθέσεις ἁρμόττει γράψας, καὶ πῶς αὐτὸ χρὴ σκευάζειν. ἡ δὲ μέθοδος τῆς συνθέσεως, ἐκ τῶν ἔμπροσθεν δήλη ἐστίν.

Τρισκαιδεκάτην ἀρτηριακὴν ὁ Ἀνδρόμαχος ἔγραψεν αὐτοῖς ὀνόμασιν οὕτως. ἀρτηριακὴ ἡ Γάλλου. ἡ δ' αὐτὴ καὶ ἀντίδοτος, πρὸς τὰ αὐτὰ ποιοῦσα. ℞. νάρδου Συριακῆς < δ'. σμύρνης δραχμὰς δ'. κρόκου < δ'. κόστου δραχμὰς δ'. οἱ δὲ < α'. πεπέρεως λευκοῦ κόκκους λ'. γλυκείας ῥίζης < α'. στροβίλους ρ'. στύρακος < α'. τραγακάνθης < α'. κινναμώμου < α'. ἀμώμου < α'. λιβάνου < α'. ὀβολοὺς δ'. κασσίας σύριγγος < α'. βαλαυστίου δραχμὰς γ'. ὀβολοὺς γ'. μέλιτος Ἀττικοῦ, ἢ γλυ- B κέος Κρητικοῦ κοτύλας β'. ὁ γλυκὺς ἐν διπλῷ ἕψεται, ἕως ἂν μέλιτος σχῇ πάχος, εἶθ' οὕτω καταχεῖται κατὰ λείων τῶν ξηρῶν. ἡ δὲ τραγάκανθος καὶ ὁ στύραξ, πρὸ μιᾶς ἀποβρέχονται ἐν προτρόπῳ ἱκανῷ, καὶ οὕτω μίγνυνται τοῖς λοιποῖς, εἶθ' οὕτως ἀναιρεῖται εἰς πυξίδα ἀργυρᾶν, ἢ ὑελίνην. καλῶς ἐποίησεν, καὶ ταύτην τὴν ἐπαγγελίαν, καὶ τὴν σκευασίαν εἰπών. ἐγὼ δὲ διὰ τοῦτο πάσας τὰς ὑπ' αὐτοῦ γεγραμμένας ἀρτηριακὰς ἔγραψα, ὅπως μηδεὶς ἑτέρου συγγραφέως δεηθῇ. πᾶν γὰρ εἶδος ἐν αὐταῖς ἐστι, καὶ τῶν μαλακῶν, καὶ τῶν ἰσχυρῶν, καὶ τῶν μέσων.

Τεσσαρεσκαιδεκάτη τῶν ἀρτηριακῶν ἐστι, περὶ ἧς οὕτω C γράφει· ἀρτηριακὴ ἡ ἐκ τῶν Ἀφρόδα, ἢ Μοσχίωνος. ἔστι δ' αὐτῆς ἡ δύναμις ὑπὲρ τὰς μέσας, οὐκ ὀλίγον ἀποκεχωρηκυῖα πρὸς ἰσχυρὰν, ἔχει γὰρ τμητικὸν καὶ λεπτυντικὸν, καὶ θερμαντικὸν ἀπὸ πολλῶν φαρμάκων οἷς μέμικται, καὶ τινα τῶν γλίσχρων δι' ἣν εἶπον αἰτίαν. ἡ δὲ σύνθεσις αὐτῆς, ἐστιν ἥδε. ℞. μίλτου Λημνίας, λιβάνου, σμύρνης, νάρδου, ἀμώμου, κασσίας κιρρᾶς, κρόκου, Ἰλλυρίδος, σχοίνου ἄνθους, ἀνὰ < β'. κινναμώμου < δ'. ῥητίνης τερμινθίνης < δ'. ῥόδων ἄνθους < δ'. ὀποβαλσάμου < β'. μέλιτος κοτύλην α'. ἢ γλυκέος Κρητικοῦ κοτύλης ἥμισυ τέταρτον, ἕψε τὸ ὑγρὸν, καὶ τὴν ῥητίνην, ἕως γένηται κιρρὰ, εἶτα τὰ D λοιπὰ ἄρας ἀπὸ τοῦ πυρὸς, ἀπόδος, καὶ συνανακόψας, δίδου τοῖς περὶ θώρακα καὶ ἀρτηρίαν, ἡλίκον κύαμον Ἑλληνικὸν, μεθ' ὕδατος κοτύλης τετάρτου. τοῖς δὲ λοιποῖς ἐκλεικτόν.

Πεντεκαιδεκάτην ἔγραψε δύναμιν ὡδί πως. ἀρτηριακὴ πρὸς τραχυσμὸν βρόγχων, καὶ φωνῆς ἀποκοπὴν, καὶ ἀναφορικοὺς, ᾗ χρῶμαι, ἐκ τῶν Ἀπολλωνίου, καὶ Ἀλκιμίωνος. ℞. τραγακάνθης < ϛ'. κόμμεως < ϛ'. λιβάνου < α'. ὀβολὸν α'. σμύρνης < α'. ὀβολοὺς β'. κρόκου < α'. ὀβολοὺς δύο, γλυκυρρίζης χυλοῦ < α'. ὀβολοὺς γ'. ἢ τῆς ῥίζης < α' S. πεπέρεως λευκοῦ κόκκους κε'. φοινικοβαλάνων λιπαρῶν τῆς σαρκὸς < γ'. οἱ δὲ E φοίνικας ε'. ἢ τρεῖς, τὴν τραγάκανθαν γλυκεῖ βρέχων, καὶ λειώσας ἀναλάμβανε. τὰ δὲ ἄλλα ξηρά, καὶ καταπότια ποιῶν κυάμου μέγεθος, κέλευε ὑπὸ τὴν γλῶτταν κρατεῖν. τὰς τοιαύτας δυνάμεις ὑπογλωττίδας ὀνομάζουσιν οἱ ἰατροί, καὶ κελεύουσι διαλυομένου τοῦ φαρμάκου παραδέχεσθαί πως ἀτρέμα εἰς τὸν λάρυγγα τὸ ἀπορρέον, ἀντέχοντας εἰ βὴξ κινοῖτο.

Ἡ δὲ ἑκκαιδεκάτη κατὰ λέξιν οὕτω γέγραπται· ἀρτηριακὴ ἐκλεικτὸς πρὸς ἅπαντα τὰ ἐντὸς, καὶ μάλιστα πρὸς φθισικοὺς, καὶ ἐμπυϊκοὺς, καὶ πρὸς τοὺς ἀρχομένους ὕδρωπας, καὶ βῆχας παλαιὰς, διδομένη δι' ἡμέρας, καὶ νύκτα πλῆθος κοχλιαρίου. F ℞. σκίλλης χυλοῦ ξέστας δ'. γλυκέος Κρητικοῦ ξε γ'. οἴνου Φαλερίνου ξέστας η'. μέλιτος Ἀττικοῦ ξε γ'. σμύρνης ℥ δ'. κρόκου ℥ β'. λιβάνου ℥ β'. ἀριστολοχίας δακτυλίτιδος μνᾶν α' S. γλυκυρρίζης μνᾶν α'. ἠρυγγίου ῥίζης ℥ β'. κασσίας ℥ α'. νάρδου Κελτικῆς ℥ α'. ξυλοβαλσάμου ℥ η'. τὴν ἀριστολοχίαν, καὶ τὸ ἠρύγγιον, καὶ τὴν γλυκύρριζαν, καὶ ξυλοβάλσαμον, καὶ κασσίαν,

καὶ νάρδον κόψας ἁδρομερῆ, ἔμβρεχε εἰς τοὺς τοῦ οἴνου ξέστας η΄. A ἐπὶ ἡμέρας γ΄. εἶτα ἐπὶ μαλακοῦ πυρὸς ἕψε, ἕως λειφθῇ τὸ τρίτον μέρος, καὶ οὕτως ἐκθλίψας, καὶ σκύβαλον ῥίψας, προσαπόδος τὸ γλυκὺ, καὶ τὸ μέλι, καὶ τὸν χυλὸν τῆς σκίλλης, καὶ ἕψε ἕως μέλιτος γένηται πάχος. τὸν δὲ κρόκον, καὶ λίβανον, καὶ σμύρναν ἑξῆς λεῖα σὺν οἴνῳ, καὶ οὕτως εὖ ἔχοντος τοῦ φαρμάκου, προσαπόδος, καὶ ἐπ' ὀλίγον τήξας, ἆρον ἀπὸ τοῦ πυρὸς, καὶ οὕτως ἀποθέμενος χρῶ. καλῶς ἐποίησε, καὶ περὶ αὐτῆς γράψας ὁ Ἀνδρόμαχος, τήν τε ἐπαγγελίαν, καὶ τὴν σκευασίαν.

Ἑπτακαιδεκάτη δύναμις ὑπ' αὐτοῦ γέγραπται τοιάδε. ἀρτηριακὴ ἄλλη, ὡς Ἡρακλείδης Ταραντῖνος. ℞. σκίλλης χυλοῦ ξέστας γ΄. γλυκέος Κρητικοῦ ξε γ΄. οἴνου Φαλερίνου ξέστας γ΄. μέλιτος Ἀττικοῦ κοτύλην α΄. κρόκου ʒ δ΄. οἱ δὲ ʒ β΄. σμύρνης ʒ γ΄. τραγακάνθης ʒ α΄. γλυκείας χυλοῦ ʒ β΄. λιβάνου ʒ α΄. ὀποβαλσάμου ʒ ς΄. σκευάσας χρῶ. περὶ ταύτης τῆς δυνάμεως, οὔτε τὴν ἐπαγγελίαν, οὔτε τὴν σκευασίαν ἔγραψεν, ὡς ἤδη νοεῖν δυναμένων τῶν ἀναγινωσκόντων τὴν γνώμην αὐτοῦ. ἐν μὲν γὰρ τῷ εἰπεῖν, ἄλλη ἀρτηριακὴ, παραπλησίαν τὴν ἐπαγγελίαν αὐτῆς ἡμᾶς νοεῖν προσήκει τῇ γεγραμμένῃ, τὴν δὲ σκευασίαν ἐκ τῶν ἔμπροσθεν λογίζεσθαι.

Ἡ δ' ὀκτωκαιδεκάτη δύναμις οὕτω γέγραπται. ἀρτηριακὴ ἐκ τῶν Περιγένους, πρὸς πάντα τὰ τῆς ἀρτηρίας πάθη. ℞. κρόκου < α΄. σταφίδος ἐκγεγιγαρτισμένης < α΄. ἀμυγδάλων < η΄. σμύρνης τετρώβολον, τραγακάνθης < δ΄. πεπέρεως λευκοῦ τετρώβολον, μέλι ἑφθόν. ἡ σταφὶς φρύγεται, τὰ δ' ἀμύγδαλα λεπίζεται, ἡ τραγάκανθα ἐν ὕδατι βρέχεται, καὶ λεαίνεται ἡμέραν μίαν, καὶ οὕτω μίγνυται ὁμοῦ. καὶ περὶ ταύτης καλῶς ἐποίησε τὴν ἐπαγγελίαν, καὶ τὴν σκευασίαν εἰπὼν, μέσης δέ ἐστι δυνάμεως τὸ φάρμακον, διὸ καὶ πρὸς πάντα φησὶν αὐτὸ χρήσιμον ὑπάρχειν. ἔστι γὰρ ἡ τῶν μέσων φαρμάκων φύσις τοιαύτη, διὸ καὶ αὐταῖς μὲν μέσαις διαθέσεσι κυρίως τε καὶ πρώτως ἁρμόττει. ταῖς δ' ἤτοι μαλακῶν, ἢ ἰσχυρῶν δεομέναις φαρμάκων, οὐδὲν οὔτε ἀγαθὸν, οὔτε κακὸν ἐργάζεται μέγα.

Ἐσχάτην ἁπασῶν ἀρτηριακὴν, ἔγραψεν ὡδί πως. ℞. οἰνομέλιτος παλαιοῦ ξε γ΄. ἕψε ἄχρις εἰς ἕνα, εἶτα ἐπίβαλε στροβίλων πεφωγμένων ἡμίναν, πεπέρεως λευκοῦ ʒ β΄. καὶ χρῶ. ἦν ἂν τοῦτο τὸ φάρμακον ἐν τοῖς μαλακωτάτοις, εἰ μὴ τοῦ πεπέρεως εἴληφέ τι. τοῦτο δὲ λαβὼν, ἐπὶ τὴν τῶν μέσων ἀφικνεῖται δύναμιν, διὸ καὶ ὁμογενὲς αὐτὸ τῷ προγεγραμμένῳ νομίζων εἶναι ὑπέγραψεν.

Αἱ ὑπὸ Κρίτωνος γεγραμμέναι ἀρτηριακαὶ, τὸν ἀριθμὸν τέσσαρες.

Καὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων ἀρτηριακῶν, ἀρκέσει μνημονεῦσαι τεσσάρων. γράφει δὲ περὶ μὲν τῆς πρώτης ὡδί πως κατὰ λέξιν. πρὸς ἀποκεκομμένας φωνὰς διὰ μελέτην. σῦκα καὶ ἠρύγγιον ἑψήσας καλῶς, τῷ ἀφεψήματι μίσγε κόμμι, ὥστε γενέσθαι μέλιτος σκληρότερον, καὶ δίδου εἰς νύκτα. ποιεῖ δὲ καὶ τὸ ἀμμωνιακόν. καὶ διὰ τοῦτο τῆς δυνάμεως αὐτῆς ἐμνημόνευσα, διότι κατὰ μὲν ἀρχὰς ἐπιτήδειός ἐστιν ἡ προγεγραμμένη δύναμις, εἰ διὰ τοῦ ἠρυγγίου σκευάζοιτο. τὸ δὲ ἀμμωνιακὸν ἐπὶ τῶν κεχρονισμένων, ἰσχυρὸν μὲν γάρ ἐστι φάρμακον. οὐ καλῶς οὖν ἐποίησεν ὁ Κρίτων, ἀδιορίστως γράψας, ἅμα τῷ μετρίῳ φαρμάκῳ τὸ ἰσχυρότατον. ἐὰν γὰρ ἐναλλάξῃς τοῦ σκληροῦ τὴν χρῆσιν αὐτῶν, οὐ μόνον οὐδὲν ὀνήσεις, ἀλλὰ καὶ βλάψεις τὸν ἄνθρωπον. ἑτέραν ἀρτηριακὴν ἔγραψεν ὁ Κρίτων μέσην τῇ δυνάμει, πεπτικήν τε καὶ ἄδηκτον, ὡδί πως κατὰ λέξιν. ἄλλη ποιοῦσα μά-

A nardum, in crassas partes contusa in vini sextariis octo, macerato ad triduum; deinde ad lentum ignem ad tertias coquito, atque ita exprimito: & recrementis abiectis, passum, mel, & scillæ succum committito, & ad mellis crassitudinem coquito. Crocum verò, thus, & myrrham cum vino terito; atque vbi optimè habuerit medicamentum, addito; & vbi modicè fuerint liquata, ab igne tollito, & repositis vtitor. Rectè facit & hic Andromachus, quòd quæ promittit, & quomodo præparentur, adscripsit.

Decimaseptima confectio talis ab eo traditur. B *Arteriaca alia, vt Heraclides Tarantinus.* ℞. succi scillæ sextarios iij. passi Cretici sextarios iij. vini falerni sextarios iij. mellis Attici heminam j. croci ʒ. iv. alij ʒ. ij. myrrhæ ʒ. iij. tragacanthæ ʒ. j. succi radicis dulcis ʒ. ij. thuris ʒ. j. opobalsami ʒ. vj. vtere præparato. Iuxta hanc confectionem, neque quæ promittat, neque quomodo præparetur, tradidit, tanquam iam ante sententiam ipsius legentes intelligere queant. Ex eo enim, quod dicit; alia Arteriaca, similia præscriptæ ipsam promittere, nos intelligere conuenit. Præparationem autem ex antea relatis computare oportet.

Decimaoctaua confectio sic tradita est. C *Arteriaca ex libris Perigenis, ad omnes arteriæ affectus.* ℞. croci drach. j. vuæ passæ exacinatæ drach. j. amygdalarum drach. viij. myrrhæ obolos iv. tragacanthæ drach. iv. piperis albi obolos iv. mel coctum. Vua passa torretur, amygdalæ excorticantur; tragacantha in aqua maceratur per diem vnum, & teritur, ac reliquis admiscetur. Et hîc rectè ab eo factum, eo quòd tum promissionem, tum compositionem eius adiecit. Cæterùm mediæ facultatis medicamentum existit, quare ad omnes affectus ipsum commodum esse ait; est enim mediorum medicamentorum natura talis. D Vnde etiam ipsis mediis affectibus propriè, & primariò conuenit; iis verò, qui mollibus, aut fortibus opus habent, neque emolumentum, neque detrimentum magnum affert.

Vltimam omnium arteriacam, hoc modo descripsit. ℞. vini mulsi veteris sextarios iij. ad vnū decoquito; deinde nucum pinearum tostarum heminam adiicito, piperis albi sextantem; ac vtitor. Esset sanè hoc medicamentum ex mollissimis, si non piper accessisset; hoc verò addito, ad mediam facultatem peruenit; propterea etiam eiusdem generis cum præscripto esse ratus, subscripsit.

E *Arteriacæ à Critone conscriptæ quatuor numero.*

Ex arteriacis à Critone conscriptis quatuor produxisse suffecerit. De prima scribit in hæc verba. *Ad vocem interceptam ob contentionem.* Ficum & eryngium probè coquito, & ad decoctum gummi misceto, vt melle durior confectio fiat; dato ad noctem. Facit & ammoniacum. Ob id sanè medicamenti huius mentionem feci, quòd in principio apta est hæc præscripta confectio, si per eryngium præparetur; ammoniacum autem inueteratis commodum, validum enim medicamentum existit. F Non rectè igitur Crito fecit, quòd cum moderato fortissimum medicamentum indefinitè tradidit, si enim ab vsu duri immutaueris, non solùm nihil iuueris, sed etiam lædes hominem. Alteram arteriacam scripsit Crito mediam facultate, concoctoriam & lenem his verbis. *Alia faciens ma-*

ximè

ximè ad eos qui vocem exercent, & asperam arteriam, & tussis irritationes, dolorem aurium, vlcera in auribus, ac pudendo. Concoquit etiam destillationes. ℞. thuris obolos iv. myrrhæ drach. ij. passi cyathos iij. passum ad mellis spissitudinem decoquito, deinde myrrham & thus trita cum passo semicocto ablato, adiicito. Facit etiam ad dysentericos, & cœliacos. Quidam croci etiam drachmam addunt, & fit auribus commoda, atque oculis inflammatis. Hæc Crito perspicuè & probè scripsit; neque opus est me eiusmodi medicamentorum expositionem apponere, vt qui sæpe iam de his dixerim. Porrò alias duas prædictæ quidem similes, verùm moderatiori facultate, & simplicissimas sic scripsit. *Eclegma Faustianum appellatum.* ℞. vini Falerni sextarium j. mellis Attici lib. j. in duplici vase coquito, rutæ ramulo agitando. Alterum medicamentum tale est. *Eclegma ex vino scybelite quo vtimur.* ℞. vini scybelitis sextarium j. gummi ℥. iij. mellis ℥. ix. coquito in duplici vase, gummi prius macerato, ac dissoluto. Hoc solùm loco apposuit in duplici vase coctionem fieri debere. Rectissimè autem fecerit, qui omnes arteriacas, quæ mitigatoriam, concoctoriam, & lenitoriam vim habere prædicantur, in diplomate hoc est in duplici vase coxerit, quomodo sanè vnguētarij vnguenta præparant; nimirum calidam aquam in magnum quendam lebetem infundentes; ac postea vasculum, quod medicamentum coquendum in se habet, imponentes; & sic præustas prunas, aut ligna fumum non edentia succendentes.

Confectio Diacodyon, iuxta veterum ac Galeni traditionem.

Quin & circa huius cōpositionem veteribus indefinita discordia fuit. Quidā enim ex ipsis ad capita papaueris cxx. aquæ sextarios xx. infundēdos censent, vt quælibet sextarij mensura sex papaueris capita recipiat. Quidam verò in lxxx. sextarios, octingēta papaueris capita iniiciūt, vt singuli sextarij capita x. accipiant. Quidam ita temperauerūt, vt sextario vni. viij. capita tribuerentur. Quidam autē haud scio qua ratione, in aquæ sextarios tres, capita papaueris lxxx. coniiciunt. Alij capita cxx. in eosdē tres sextarios addunt; verùm mihi videtur valdè pauca aqua esse, ad tantā copiam capitū.

Confectio ex capitibus papaueris, Andromachi.

Andromachus igitur, velut supra in arteriacis præscriptum est, alteram ex ipsis præparans sic scripsit; capita papaueris viridia mille ducenta; deinde ad finem: aquam pluuiam, non apponens aquæ quantitatem.

Confectio ex capitibus papaueris, Critonis.

Crito verò sic. *Confectio ex capitibus papaueris, simplex.* Capita papaueris agrestis octingenta, aquæ sextarios lxxx. coquito ad tertias, atque expressis addito mellis lib. x. Si verò variam efficere velis, adde croci, myrrhæ, succi hypocystidis, singulorum drach. xij. thuris drach. sex, acaciæ drach. xij. Rectè videtur mihi ad singulos sextarios capita x. coniicere, ita enim contingit, quūm scribat ipse, capita octingenta in aquæ sextarios lxxx. indendos esse. Et ego sanè hoc modo præparo, non apponens, neque crocum, neque myrrham, neque aliud quicquam; optima est enim simplicissima.

A λιστα φωνασκοῖς, καὶ πρὸς τραχεῖαν ἀρτηρίαν, καὶ τοὺς τῆς βηχὸς προξυσμοὺς, καὶ ὠταλγίας, καὶ ἕλκη ἐν ὠσὶ, καὶ αἰδοίῳ. ἔστι δὲ καὶ πεπτικὴ πρὸς καταῤῥοῦς. ℞. λιβάνου ὀβολοὺς δ΄. σμύρνης < β΄. γλυκέος κυάθους γ΄. ἕψε τὸ γλυκὺ ἕως ἂν σχῇ μέλιτος τὸ πάχος, εἶτα πρόσβαλλε σμύρναν καὶ λίβανον, μετὰ γλυκέος ἡμιέφθου ἐξ αὐτοῦ ἀφῃρημένου. ποιεῖ δὲ καὶ πρὸς δυσεντερικοὺς, καὶ κοιλιακούς. τινὲς μίσγουσι καὶ κρόκου < α΄. καὶ γίνεται ὠτικὴ καλὴ, καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς. ταῦτα μὲν ὁ Κρίτων ἔγραψε, καὶ σοφῶς, καὶ καλῶς. ἐμὲ δὲ οὐδὲν ἔτι δεῖ προστιθέναι τὴν ἐξήγησιν τῶν τοιούτων φαρμάκων, πολλάκις ἤδη περὶ αὐτῶν εἰρη-
B κότα. καὶ ἄλλας δὲ δύο παραπλησίας μὲν τῇ προειρημένῃ, μετριωτέρας δὲ τῇ δυνάμει, καὶ ἁπλουστάτας οὕτως ἔγραψεν. ἔκλειγμα τὸ Φαυστιανὸν λεγόμενον. ℞. οἴνου Φαλερίνου ξε α΄. μέλιτος Ἀττικοῦ λίτραν α΄. ἕψε ἐν διπλώματι, κινῶν κλωνίῳ πηγάνου. τὸ δὲ ἕτερον τῶν φαρμάκων ἐστὶ τοιοῦτον. ἔκλειγμα τὸ διὰ σκυβελίτου, ᾧ χρώμεθα. ℞. σκυβελίτου ξέστην α΄. κόμμεως ℥ γ΄. μέλιτος ℥ θ΄. ἕψε ἐν διπλώματι, προβρέξας τὸ κόμμι, καὶ λειώσας. τοῦτο μὲν ἐνταῦθα προσέθηκε μόνον τὸ ἐν διπλώματι. κάλλιστα δ᾽ ἂν τις ποιῇ αὐτὰς ἁπάσας τὰς ἀρτηριακὰς, ὅσαι τὸ παρηγορικὸν, καὶ πεπτικὸν, καὶ πραϋντικὸν ἔχειν
C ἐπαγγέλλονται διὰ διπλώματος ἕψων, ὅπερ ἐστὶν ἐπ᾽ ἀγγείου διπλοῦ, καθάπερ οἱ μυρεψοὶ τὰ μύρα σκευάζουσιν, εἰς μέγαν τινὰ λέβητα θερμὸν ὕδωρ ἐγχέοντες, δεύτερον ἐνιστάντες, ἔχοντα ἐν αὐτῷ τὸ ἑψόμενον φάρμακον, εἶτα προδιακεκαυμένοις ἄνθραξιν, ἢ ξύλοις ἀκάπνοις ὑποκαίοντες.

Ἡ διὰ κωδυῶν, ὡς οἱ παλαιοὶ, καὶ ὡς ὁ Γαληνός.

Καὶ περὶ τὴν ταύτης σύνθεσιν, ἀδιορίστως αὐτοῖς γέγονε διαφωνία. τινὲς μὲν γὰρ αὐτῶν εἰς ρκ΄. κωδύας ἐμβάλλειν ξέστας κ΄. ὕδατος ἀξιοῦσιν, ὡς ἑκάστου ξέστου μέτρον ἔχοντος ἓξ κωδυῶν μίξιν. ἔνιοι δὲ εἰς ξε π΄. ὀκτακοσίας κωδύας ἐμ-
D βάλλουσιν, ὡς ἑκάστου ξέστου δεχομένου κωδύας ι΄. τινὲς δὲ οὕτως, ὡς ὀκτὼ κωδυῶν τοῦ ξέστου δεχομένου. τινὲς δὲ οὐκ οἶδ᾽ ὅπως εἰς ὕδατος ξέστας γ΄. κωδύας π΄. βάλλουσιν. ἄλλοι δὲ ρκ΄. εἰς τοὺς αὐτοὺς γ΄. ξέστας. ἐμοὶ δὲ ὀλίγον πάνυ φαίνεται, τοσοῦτον ὕδωρ εἰς τοσαύτας κωδύας ἐμβάλλειν.

Ἡ διὰ κωδυῶν Ἀνδρομάχου.

Ὁ μὲν οὖν Ἀνδρόμαχος, ὡς ἐν ταῖς ἀρτηριακαῖς ἀνωτέρω προγέγραπται, τὴν δευτέραν ἐν αὐτῷ σκευάζων, οὕτως ἔγρα-
E ψεν. κωδύας χλωρὰς χιλίας διακοσίας, εἶτα ἐπὶ τέλει, ὕδωρ ὄμβριον, οὐ προσθεὶς τὸ πόσον.

Ἡ διὰ κωδυῶν Κρίτωνος.

Ὁ δὲ Κρίτων ὧδέ πως. ἡ διὰ κωδυῶν λιτὴ, κωδύας ἀγρίας ὀκτακοσίας, ὕδατος ξε π΄. ἑψήσας εἰς γ΄. καὶ ἐκθλίψας πρόσβαλλε μέλιτος λίτρας ι΄. εἰ δὲ ποικίλην αὐτὴν ἐθέλοις γενέσθαι, πρόσβαλλε κρόκου, σμύρνης, ὑποκυστίδος χυλοῦ, ἀνὰ δραχμὰς ιβ΄. λιβάνου < ϛ΄ ἀκακίας δραχμὰς ιβ΄. καλῶς οὖν μοι φαίνεται καθ᾽ ἕκαστον ξε ἐμβάλλειν κωδύας ι΄.
F οὕτω γὰρ συμβαίνει γράψαντος αὐτοῦ δεῖν ὀκτακοσίας ἐμβάλλειν εἰς ὕδατος ξέστας π΄ κἀγὼ δὲ τοῦτον τὸν τρόπον σκευάζω μὴ προστιθεὶς, μήτε κρόκου, μήτε σμύρνης, μήτ᾽ ἄλλο τι. καλλίστη γάρ ἐστιν ἡ ἁπλουστάτη.

Ἡ διὰ κωδυῶν τοῦ Ἡρᾶ.

Ὁ γε μὴν Ἡρᾶς εἰς ρκ΄. κωδύας, ὕδατος ὀμβρίου ξε γ΄. ἐμβάλλει, παντάπασιν ὀλίγον. ἢ κατά τινα τῶν ἀντιγράφων, οὐ κωδυῶν ἀριθμὸς ρκ΄. ἀλλὰ δραχμὴ γέγραπται. παραγράψω δὲ τὴν ὅλην αὐτοῦ λέξιν οὕτως ἔχουσαν. κωδύας μήκωνος χλωρὰς ρκ΄. βαλὼν εἰς ἀγγεῖον, καὶ ὕδατος ὀμβρίου ξε γ΄. ἔασον βραχῆναι ἡμέρας γ΄. εἶτα ἕψε ἕως ἂν λειφθῇ τὸ τρίτον μέρος, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς ἔκθλιβε, καὶ διηθήσας, μίσγε μέλιτος ξε α΄. καὶ ἕψε ἐν διπλῷ ἀγγείῳ. ὅταν δὲ ἄρχηται συστρέφεσθαι, προσέμβαλλε ἀκακίας κιῤῥᾶς < α΄. ὑποκυστίδος χυλοῦ < α΄. ὅταν δὲ τὰς κωδύας ἕψῃς ἐν τῷ ὕδατι, κρόκου δραχμὴν μίαν ἔνδησον εἰς ὀθόνιον, καὶ ἔασον συνέψεσθαι. ἔνιοι μέντοι βάλλουσι καὶ σμύρνης < α΄. καὶ λειοτριβοῦσιν αὐτὰ σὺν ὀλίγῳ γλυκεῖ, καὶ ἐπικατεράσι, καὶ συνέψουσι μέχρις οὗ πως συστραφῇ. εἰ μέντοι βούλοιο μὴ φαρμακώδη ποιῆσαι αὐτὴν, σὺν τῷ ἀφεψήματι τῶν κωδυῶν, ἐπειδὰν τὸ τρίτον λειφθῇ μέρος, συνεψήσεις τὸ μέλι, τὰ λοιπὰ μὴ συνεμβάλλων.

Ἡ διὰ κωδυῶν, ὡς Δαμοκράτης.

Ἐσκευάσθη δὲ τὸ φάρμακον τοῦτο, ὡς Δαμοκράτης φησὶν, ὑπὸ Θεμίσωνος πρώτου, γράφων οὕτως ἐν τῷ βιβλίῳ τῷ ἐπιγραφομένῳ, Δαμοκράτους φιλίατρος. ἴσμεν δ᾽ ὅτι διὰ στίχων γέγραπται. φασὶ δὲ Θεμίσωνα, τοῦτο πρῶτον σκευάσαι τὸ φάρμακον πρὸς βῆχας ὑγρὰς, καὶ πόνους ἀρτηρίας, καὶ φάρυγγος, εἴδη ῥευμάτων ἁπλῶς ἁπάντων τῶν περὶ τὸν θώρακα, καὶ τὰς ἀγρυπνίας, ὧν γε ταῦτά ἐστιν αἴτια.

Μήκωνος ἣν λέγουσιν οἱ γεωπόνοι
Μήκωνα ἀγρίαν. οὐδὲ γάρ πω σπείρεται,
Κεφαλὰς ἔτι χλωρὰς, ἃς λέγομεν καὶ κωδύας
Τὸ σπέρμ᾽ ἐχούσας κιῤῥὸν, οὐδέ πω μέλαν,
Τρὶς τεσσαράκοντα τὰς μετρίας τοῖς μεγέθεσι,
Βάλλ᾽ εἰς χύτραν καινήν τε καὶ πλατύστομον,
Καὶ περιχέας τρεῖς, ὕδατος ὀμβρίου μέτρῳ
Ξέστας, ἀπόβρεξον νύκτα χ᾽ ἡμέραν μίαν,
Εἶτ᾽ αὖ μίξας ἐπιπλέον οὐ λάβρῳ πυρὶ,
Ἀπόθλιβ᾽ ἀπ᾽ αὐτῶν ἅπαν ὕδωρ εἰς τὴν χύτραν,
Καὶ προσλαβὼν τρεῖς μέλιτος Ἀττικοῦ λίτρας,
Πάλιν ἕψε κουφοτέρᾳ καὶ μετρίῳ φλογὶ,
Καὶ ἕψε ἕως σχῇ μέλιτος οὐχ ὑγροῦ πάχος.
Ψύξας δ᾽ ἀποθήσεις εἰς ὑελοῦν ἀγγεῖον.
Ἡμεῖς μὲν οὕτως. ὁ Θεμίσων δ᾽ ὅτε ἤρξατο
Χρῆσθαι, προσέβαλλε σμύρναν, ἀκακίαν, κρόκον,
Ὑποκυστίδος χυλόν τε, νῦν δ᾽ οὐ βάλλεται.
Ἁπλουστέρα γὰρ οὖσα, καὶ τὸ συμφέρον
Ἔχει πολὺ μᾶλλον, καὶ προσηνὴς ἔτ᾽ ἄγαν.
Δίδου δὲ πλῆθος σμικροτάτου μύστρου ποτὲ,
Εἰς νύκτα τοῦτο, ποτὲ δ᾽ ἔλαττον ἡμέρας
Ἐν τῷ στόματι, καὶ διακρατεῖν ὀλίγῳ χρόνῳ
Κέλευε τήκειν, καὶ καταπίνειν ἠρέμα.
Εἰ δ᾽ αὐτὸ βούλει κοιλίας ἐφεκτικὸν,
Τῶν ῥευμάτων τε τοῦ στομάχου, καὶ πνεύμονος,
Αἱμοῤῥαγιῶν τε τῶν ἄνω διαφράγματος,
Ποιεῖν, εὐπατορικῆς, ἢ τὸ κρεῖττον Ποντικῆς,
Ῥοὸς καταμίξεις χυλὸν, ὡς δραχμὰς δύο.
Ταὐτὸν δ᾽ ἀκακίας τῆς καλῆς, καὶ προσφάτου.
Μέλλων δ᾽ ἀφαιρεῖν τοῦ πυρὸς τὸ φάρμακον,
Γλυκὺ διαχέας, ταῦτα δύο μίγματα,
Παράχει κατὰ μικρὸν τοῖς ζέουσιν τῆς χύτρας
Συνεκζέσας, ἀποτίθου ὑάλῳ ψυγεί.

A

Confectio ex capitibus papaueris, Heræ.

At verò Heras ad capita cxx. aquæ pluuiæ ſextarios iij. infundit, modicam omnino quantitatem; tametſi in quibuſdam exemplaribus non numerus capitum papaueris cxx ſcriptus ſit, ſed pondus totidem drachmarum. Aſcribam autem totam ipſius dictionem ſic habentem. Capita papaueris viridia cxx. in vas conijcito; & affuſis aquæ pluuiæ ſextariis tribus, ad triduum madeſcere ſinito; deinde ad tertias coquito, & ablata ab igne exprimito, ac colato, admixtoque mellis ſextario, in duplici vaſe coquito; atque vbi ſpiſſari cœperit, acaciæ rufæ drach. j. ſucci hypocyſtidis ʒ. j. adiicito. Cæterùm quum ipſa capita coxeris in aqua, croci drach. j. linteolo illigatam ſimul coqui permittito. Quidam enim myrrhæ drach. j. addunt, ipſaque cum modico paſſo terunt, atque ita indunt; ac ſimul coquunt, donec aliquantulum fuerit confectio inſpiſſata. Quòd ſi tamen non medicamentariam confectionem facere velis, cum capitum decocto ad tertias redacto mel coques, reliquis non adiectis.

B

Confectio ex capitibus papaueris, Damocratis.

C

Hoc medicamentum primum à Themiſone præparatum eſt, inquit Damocrates in libro, Damocratis medicinæ ſtudioſus, inſcripto. Scimus autem ex verſibus eum conſtare. Aiunt Themiſonem hoc medicamentum primum præparaſſe ad tuſſes humidas, dolorem arteriæ, & gulæ, ſpecies fluxionum ſimpliciter omnium, quæ circa thoracem conſiſtunt & ad vigilias, quarum ſanè illæ exiſtunt cauſæ.

Papaueris, quod nominant ipſi agricolæ
Agreſtis (nam ſpontaneum eſt, nec conſeritur)
D *Capita virentia & recentia, integra,*
Semen rubens, nondum nigrum gerentia,
Centena biſque dena magnitudinis
Mediocris, in nouam ollulam ore amplo indito.
Infunde tres pluuia de aqua ſextarios:
Macerato in his totam diem, noctem ſimul;
Dein coquito lento igne, ac diutiuſculè, &
Omnem liquorem expreſſum in ollulam excipe,
Et mellis Attici libras tres addito.
Decoquito rurſus leniorem ad flammulam;
Dum non liquentis mellis inſtar duruerit.
Mox frigefacta in vitreum vas condito.
E *Sic nos quidem. At Themiſon, prior qui prodidit*
Vſum, addidit myrrhã, acaciam, & rubens crocũ, &
Hypocyſtidis ſuccum. Aſt ea obſoleta iam,
Simplex enim parata commodiſsima eſt,
Iucunda valde, lenis, atque viribus.
Ex hac datur myſtri minuti quantitas,
Aliquando plus ſub noctem, & ad diem minus.
Vt hanc in ore quis breui ſic detineat,
Iuſſus liquentem ſenſim ita vt poſt deuoret.
Quod ſi voles aluum morandi gratia, &
Siſtatur vt pulmonis, & ſtomachi fluor,
Eruptioque ſanguinis ſeptum ſupra,
Facere, eupatorica, aut tu potius hinc pontica
F *Addes rhois ſucci ſimul drachmas duas,*
Tantundem & acaciæ bonæ, non veteris:
Auferre iam volens ab igne pharmacum,
Diluta paſſo ambo hæc ſimul confundito,
Paulatim adhuc in ollula feruentibus,
Quò ferueant parum ſimul; mox vaſculo
Refrigerata indantur inde vitreo.

Confectio

A

Confectio ex capitibus papaueris, Sorani.

Soranus porrò ita præparandam censet. ℞. capitum papaueris numero cl. aquæ sextar. xx. in lebetem nouum coniecta ad dimidias coquito, & reiectis capitibus, mellis sextar. j. addito; postea verò myrrhæ, croci, hypocystidis, & acaciæ succi, singulorum drach. vnam, obolos tres, linteolo illigato; & in ollam siue lebetem suspendito, quo simul cum melle coquantur; postquam verò crassescere inceperit, fasciculum colligatum tollito, & in mortarium coniectum cum passi cyathis iij. terito; indeque in lebetem coniectum, lentè simul donec spissetur, coquito. Verùm mitior est confectio, quæ ex solo melle & capitum papaueris cremore constat. Efficacior autem redditur, si in fasciculum linteoli pro astringentibus melilotum, & radicem dulcem addideris.

Confectio ex capitibus papaueris, Galeni.

Cæterùm velut ego compono confectionem ex papaueris capitibus, ita ea vtendum censeo. Etenim quum de prædictis confectionibus experimentum sumpserim, præstantior ea visa est, in qua ad vnum aquæ sextarium capita decem iniiciuntur, quemadmodum Crito scripsit; aut ad duos sextarios quindecim capita, velut Soranus; in medio autem horum amborum terminorum est, vbi octo, aut nouem capita in vnum sextarium coniiciamus. Præmacero autem ea non ad triduum, velut Heras, sed neque statim ablatas coquo, sed siquidem humidiora & molliora fuerint, ad vnum diem. Accipienda est autem in omnibus huiusmodi sermonibus etiam nox, quemadmodum etiam annum dierum ccclxv. esse solemus dicere. Si verò duriora & ficciora sint, etiam longiori tempore ipsa macero; præstat autem accipere nondum indurata. Manifestũ verò, quòd etiam valdè mollia abiicienda sint; ficciora enim exiguum succum habent; humidiora verò multum quidem, sed crudum adhuc, & aquosum, ac debilem; quapropter ex humidis, ac palustribus locis accepta fugienda sunt. At verò numerum quem dixi iniici oportere iuxta proportionem aquæ, de mediocribus intelligere oportet. Quum enim quædam maiora moderatis, quædam minora existant, quædã verò inter hæc media, quemadmodũ vt plurimũ esse solent, ex his prædictũ numerum ad sextarium coniicere oportet. Terminus autem coctionis sit non vt tertia, aut quarta, aut aliqua talis pars aquæ fiat reliqua, verùm vbi primum in totum flaccida fuerint facta; succum enim ipsorum exprimere volumus, hoc verò sufficienter continget ipsis flaccidis factis; superuacuum igitur diutius coquere. Cæterùm mellis dimidiam mensuram huic succo admiscendam censeo, & coquendam simul ad lentum ignem ad compagem Attici mellis. Verùm in aqua pluuia quidam capitum coctionem fecerunt, ne videlicet ipsa ad aliam putredinosam qualitatem transmutetur; tibi verò etiam fontana sufficiet, pluuia non præsente; satis est & ipsam mundam esse, & omnis mixturæ exortem, ob quam rem ea, quæ per plumbeos canales deriuatur, fugienda erit, limus enim quidam ex plumbo in ea continetur. Vnde etiam qui aquæ eiusmodi fæcem combibunt, dysenterici euadunt.

Ἡ διὰ κωδυῶν, Σωρανοῦ.

Σωρανὸς δὲ οὕτω σκευάζειν αὐτὴν ἀξιοῖ. ℞. κωδυῶν ρν'. ὕδατος ξε κ'. λαβὼν, εἰς λέβητα καινὸν, ἕψε ἕως ξε ι'. εἶτα ἐκβαλὼν τὰς κωδύας, βάλε μέλιτος ξε α' καὶ ἐνδήσας εἰς ὀθόνιον, σμύρνης, κρόκου, ὑποκυστίδος ἀκακίας χυλοῦ ἀνὰ δραχμὴν μίαν, καὶ τριώβολον, καὶ ἀποδήσας, ἀποκρέμασον εἰς τὸν λέβητα, ἵνα τῷ μέλιτι συνέψηται. ἐπειδὰν δὲ συστραφῇ, ἆρον τὸ ἐνδέσμιον, καὶ βαλὼν εἰς θυίαν, τρῖψον μετὰ γλυκέος κυάθων γ'. εἶτα B βαλὼν εἰς τὸν λέβητα, συνέψει μαλακῶς, μέχρι συστραφῇ. πρᾳοτέρα δέ ἐστιν ἡ διὰ μόνου μέλιτος, καὶ τοῦ ἀποβρέγματος τῶν κωδυῶν. στυπτικωτέρα δὲ γίνεται, προσλαβοῦσα ἐν τῇ ἀποδέσει τοῦ ὀθονίου μελίλωτον, ἀντὶ τῶν στυφόντων, καὶ γλυκυρρίζης ῥίζαν.

Γαληνοῦ ἡ διὰ κωδυῶν.

Ὡς ἐγὼ συντίθημι, κεχρῆσθαι τῇ διὰ τῶν κωδυῶν ἀξιῶ. πειραθέντι μοι γὰρ τῶν προειρημένων σκευασιῶν, ἔδοξεν ἀμείνων εἶναι καθ' ἣν εἰς ἕνα ξε. ἐμβάλλονται κωδύαι C δέκα, καθάπερ ὁ Κρίτων ἔγραψεν, ἢ εἰς δύο ξε ιε'. καθάπερ ὁ Σωρανὸς, ἐν τῷ μέσῳ δ' ἀμφοῖν τούτων τῶν ὅρων ἐστὶν, ἐμβαλλόντων ἡμῶν ὀκτὼ κωδύας, ἢ θ'. προβρέχω δ' αὐτὰς, οὐ τρισὶν ἡμέραις, ὡς Ἡρας, ἀλλ' οὐδὲ εὐθέως ἀφαιρεθείσας ἕψω, ἀλλ' ἐὰν μὲν ὦσιν ὑγρότεραί τε καὶ μαλακώτεραι μιᾶς ἡμέρας, ὑπακουομένης ἐν ταῖς τοιαύταις λέξεσιν ἁπάσαις, καὶ τῆς νυκτὸς, ὥσπερ καὶ τὸν ἐνιαυτὸν, ἡμέρας λέγουσιν οἱ ἄνθρωποι τξε'. ἐὰν δὲ σκληρότεραι, καὶ ξηρότεραι τυγχάνωσιν οὖσαι, καὶ πλείονι χρόνῳ τῆς μιᾶς ἡμέρας αὐτὰς διαβρέχω, ἄμεινον δὲ τὰς μήπω σκληρὰς D λαμβάνειν. εὔδηλον δ', ὅτι καὶ τὰς λίαν μαλακὰς ἀποβάλλεσθαι προσήκει. αἱ μὲν γὰρ ξηρότεραι, ὀλίγον τὸν χυλὸν ἔχουσιν, αἱ δὲ ὑγρότεραι, πολὺν μὲν, ἀλλ' ἄπεπτον ἔτι, καὶ ὑδατώδη, καὶ ἄτονον, διὸ καὶ τὰς ἐξ ὑγρῶν, καὶ ἑλωδῶν χωρίων παραιτητέον. ὃν δ' εἶπον ἀριθμὸν τῶν κωδυῶν ἐμβάλλειν χρῆναι, κατὰ τὴν ἀναλογίαν τοῦ ὕδατος, ἐπὶ τῶν μέσων ἀκούειν χρή. ἐπειδὰν τινὲς μὲν εἰσὶ μείζους τῶν συμμέτρων, τινὲς δὲ ἐλάττους, ἔνιαι δὲ καὶ μέσαι, καθάπερ εἴωθεν, ὡς τὸ πολὺ γίνεσθαι. πασῶν ἐφεξῆς τὸν εἰρημένον ἀριθμὸν ἐμβάλλῃς τῷ ξε. τῆς δὲ ἑψήσεως ὅρος ἔστω σοι, μὴ E τὸ τρίτον, ἢ τὸ τέταρτον, ἢ ὅλως τοιοῦτόν τι μέρος ἀπολειφθῆναι τοῦ ὕδατος, ἀλλ' ὅταν πρῶτον ὅλαι τακεραὶ γενηθῶσι, βουλόμεθα γὰρ αὐτῶν δηλονότι τὸν χυλὸν ἐκθλίψαι. τοῦτο δ' αὐτάρκως γίνεται, τακερῶν ἀποτελεσθεισῶν αὐτῶν, περιττὸν οὖν τὸ ἐπιπλέον ἕψειν. μίγνυσθαι δ' ἀξιῶ τούτῳ, μέλιτος ἥμισυ μέτρον, καὶ ἕψεσθαι ἐπὶ ἀκάπνου πυρὸς, ἄχρι συστάσεως Ἀττικοῦ μέλιτος. ἐν ὀμβρίῳ δὲ ὕδατι, ἔνιοι τὴν ἕψησιν ἐποιήσαντο τῶν κωδυῶν, διὰ τὸ μὴ μεταβάλλειν αὐτὸ πρὸς ἑτέραν ποιότητα σηπεδονώδη. σοὶ δ' ἀρκέσει καὶ τὸ πηγαῖον, ὅταν μὴ παρῇ τὸ ὄμβριον. ἀρκεῖ δὲ F αὐτὸ καθαρὸν εἶναι, καὶ ἄκρατον πάσης ἐπιμιξίας, ὥστε διὰ τοῦτο, καὶ τὸ διὰ τῶν μολυβδίνων σωλήνων ὀχετευόμενον φευκτέον. ἰλύματα γάρ τινα τοῦ μολύβδου, κατὰ τοῦτο περιέχεται. διὸ καὶ οἱ πίνοντες ὑποστάθμην τοῦ τοιούτου ὕδατος, δυσεντερικοὶ γίνονται.

Περὶ χρήσεως τοῦ διὰ κωδυῶν.

A Ἡ χρῆσις δὲ αὐτοῦ τοῖς ὕπνου δεομένοις ἐστὶν, οἷς καὶ τὰ δι' ὀπίου συντιθέμενα πολλάκις ἀναγκαζόμεθα διδόναι. χρήζουσι δὲ μάλιστα τῶν τοιούτων φαρμάκων, οἷς ἀπὸ κεφαλῆς εἰς τὴν τραχεῖαν ἀρτηρίαν καταρρεῖ ῥεῦμα λεπτὸν, οὐκ ἐπιτρέπον κοιμᾶσθαι διὰ τὰς ἑπομένας βῆχας. ἐπὶ δὲ τῶν τοιούτων ἐγὼ καὶ τὴν σκευασίαν τοῦ φαρμάκου, δι' ἑψήματος εἴωθα ποιεῖσθαι. λέλεκται δέ μοι πρόσθεν, ἕψημα καλεῖσθαι πρὸς ἡμῶν, τὸ ἑψημένον γλεῦκος, ὅπερ καὶ σίραιον ὀνομάζουσί τινες τῶν ἰατρῶν. αὐτάρκης δ' ἡ ἕψησις εἰς τὰ τοιαῦτά B ἐστιν, ὅταν εἰς τὸ ἥμισυ τοῦ ὕδατος, ἑψηθῶσιν αἱ κωδύαι, καὶ διὰ γλυκέος, ἢ θηραίου τοῦ Κρητικοῦ κάλλιον, ἢ διὰ μέλιτος ἕψειν, ὅταν ᾖ τὸ ῥεῦμα πάνυ λεπτόν. ἴσμεν γὰρ, ὅτι λεπτυντικῆς ἐστι δυνάμεως τὸ μέλι. φεύγειν οὖν αὐτὸ χρὴ τηνικαῦτα, τοὺς γὰρ λεπτοὺς καταρρόους ἐπιτείνει. μιγνύσθαι δὲ ἑψομένῳ τῷ τοιούτῳ φαρμάκῳ, γλυκυρρίζης ῥίζαν, ὡς συνεψηθῆναι. μὴ παρούσης δ' ἐκείνης, τὸν ἀπὸ τῆς Κρήτης κομιζόμενον χυλόν. ἐὰν δὲ περιέχηται κατὰ τὸν πνεύμονα καταρροϊκὸν ἀπὸ τῆς κεφαλῆς πλῆθος, ἡ διὰ τοῦ μέλιτος σκευασία βελτίων. ὥσπερ γὰρ ὕπνου χρήζουσιν ἡ δι' ἑψήματος, οὕτω καὶ C τοῦ διαπτύειν ἡ διὰ τοῦ μέλιτος γάρ. καὶ πρὸς τὸ κατεπεῖγον οὖν ἱστάμενος εἰς ὕπνον τρεπομένου τοῦ κάμνοντος, ἤτοι τοῦ διὰ μέλιτος, ἢ τοῦ χωρὶς τούτου σκευασθέντος δώσεις φαρμάκου, καί ποτε καὶ μιγνὺς ἄμφω, σκοπὸν ἔχων κατὰ τὴν μίξιν ἐμβάλλειν πλέον θατέρου τοῦ κατεπείγοντος. ὀνομάζω δὲ κατεπεῖγον, τὸ δεόμενον βοηθείας μείζονος. ἡ δὲ σύμμετρος δόσις, ἔστω σοι δυοῖν κοχλιαρίων ἀξιολόγων τὸ μέγεθος. αὐξήσεις δὲ αὐτὴν, ἢ μειώσεις, ἀποβλέπων εἴς τε τὸ τοῦ σώματος μέγεθος ᾧ προσφέρεις, καὶ τὴν ἡλικίαν, καὶ τὴν ὥραν τοῦ ἔτους, καὶ τὸ χωρίον. ἐν ἅπασι γὰρ τούτοις, ἐπὶ μὲν τὸ ψυ- D χρότερον ῥέπουσι, δώσεις ἐλάχιστον, ἐπὶ δὲ τὸ θερμότερον, ἐκτενέστερον. ὅτι δὲ καὶ πρὸς τὸ τοῦ καταρρόου ποσόν τε καὶ ποιὸν ἀποβλέπων, ἢ πολὺ, ἢ ἔλαττον δώσεις, εὔδηλον ὑπάρχει. κοινὸν γὰρ τοῦτο ἐπὶ πάντων τῶν βοηθημάτων ἐστίν. αὐτάρκεις μὲν οὖν ἦσαν, καὶ αἱ γεγραμμέναι πρόσθεν ἀρτηριακαί. προσθεῖναι δ' ἔδοξέ μοι, καὶ τὰς ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένας ἐν τῷ β'. τῶν ἐντός. ἔνιαι μὲν γὰρ ταὐταὶ πάντη, τινὲς δὲ ἐγγυτάτω ταῖς προγεγραμμέναις εἰσὶν, ὥστε βεβαιοῦσθαι κἀκ τούτου τὰς γραφὰς, καὶ προσέτι διὰ τὸ τὰς σκευασίας αὐτῶν, καὶ χρήσεις ἐπιμελέστερον ὑπ' Ἀσκληπιά- E δου γεγράφθαι.

Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι ἀρτηριακαὶ, ἐν τῷ δευτέρῳ τῶν ἐντὸς, ἃ Μνάσωνος ἐπιγράφει. Ἀντωνίου Μούσα, πρὸς φωνῆς ἀποκοπήν.

Κράμβης χλωρᾶς τοὺς καυλοὺς καθάρας, δίδου διαμασᾶσθαι, καὶ τὸ ἀχυρῶδες αὐτῶν ἀποπτύειν παραίνει, τὸν δὲ χυλὸν καταπίνειν. Ἄλλη. κράμβης χυλὸν μετὰ μέλιτος ἑψήσας, δίδου ἐκλείχειν. τοῦτο ὠφελεῖ παραχρῆμα. Ἄλλη. ἠρυγγίου ἐν ὕδατι ἑψημένου, λαβὼν τοῦ χυλοῦ κοτύλας δύο, καὶ σύκων ἐν ὕδατι ἑψημένων τοῦ χυλοῦ τὸ ἴσον, καὶ τούτοις ἐπιβαλὼν F κόμμεως λειοτάτου < η'. ἕψε φιλοπόνως, ὡς ἀρτηριακῆς ἔχειν τὸ πάχος, ἐκ τούτου δίδου ἐκλείχειν εἰς ὕπνον πορευομένοις, μέχρι κυάθου ἑνός.

De vsu confectionis ex papaueris capitibus.

Vsus eius est in iis, qui somno opus habent, quibus etiam ex opio constantia sæpe exhibere cogimur. Opus habent maximè huiusmodi medicamentis ij, quibus tenuis fluxus à capite ad asperam arteriam destillat, non permittens dormire ob consequentem tussim. In talibus ego etiam ex sapa medicamenti confectionem parare soleo. Dictum autem à me antea est sapam, à nobis appellari mustum coctum, quod etiam siræum quidam medici vocant. Sufficiens coctio eius ad eiusmodi est, vbi capita papaueris ad medietatem aquæ fuerint decocta. Quin & per passum, aut thæreum Creticum, melius est quàm per mel coctionem fieri, vbi fluxus valdè tenuis extiterit; scimus enim attenuantis facultatis mel esse; fugiendum igitur tunc, tenues enim fluxiones auget. Miscenda etiam huiusmodi medicamento, dum coquitur, radix dulcis, quò simul coquatur; vbi verò hæc non adsit, succus qui ex Creta apportatur. Si verò circa pulmonem consistat copia fluoris à capite delati, confectio ex melle melior est. Quemadmodum enim somno opus habentibus, ea quæ ex sapa constat; sic reiectatione per sputum indigentibus, ea quæ ex melle fit, commodior existit. Ei quòd vrget igitur renitendo, vbi in somnum vertitur æger, aut quod ex melle constat, aut quod citra hoc apparatum est, medicamentum exhibebis; aliquando etiam ambobus permixtis, scopum habens ipsum vrgens, circa mixturam, ex vtro amplius coniicere oporteat; appello autem vrgens, id quod maiori auxilio opus habet. Datur commoderata mensura duorum cochleariorum satis magnorum copia. Augebis autem, & minues hanc copiam ad magnitudinem corporis, cui exhibiturus es, respiciens item ad ætatem, & anni tempestatem, ac regionem; in omnibus enim his, frigidioribus minimum dabis, calidioribus amplius. Quòd verò etiam multitudinis, ac qualitatis ipsius destillationis respectu, aut plus, aut minus dabis, manifestum existit; commune enim hoc in omnibus auxiliis est. Suffecerant equidem præscriptæ arteriacæ, verùm apponere amplius mihi visum etiam eas, quæ Asclepiades in secundo Interiorum scripsit. Aliquæ enim ex eis penitus eędem sunt; quædam præscriptis valdè vicinæ, vt & ex eo certitudo descriptionum confirmetur. Quin vltra hæc præparandi, & vtendi modus, diligentiùs ab ipso Asclepiade traditus est.

Arteriaca ab Asclepiade conscripta in secundo internorum, quæ Mnasoni inscribit. Antonij Musæ, ad vocem interceptam.

Brassicæ viridis cauliculos depuratos manducandos præbe, & quod instar palearum exuccum est, expuere iube, succum verò deglutire. *Alia.* Brassicæ succum cum melle coctum delingendum exhibe; auxiliatur confestim. *Alia.* succi eryngij in aqua cocti heminas duas excipito, & succi ficuum in aqua coctarum tantundem; his adde gummi subtilissimè dissoluti drach. octo; coquito diligenter ad arteriacæ spissitudinem, & inde cubitum ituris ad cyathi mensuram delingendum præbe.

Alia

Alia arteriaca Charixenis, facit ad sonum vocis fractum, destillationes in arteriam, vocem interceptam, & raucam, ad interceptiones vocis ex distensione.

℞. Croci ʒ. ij. succi Cyrenaici drach. j. mellis Attici cyath. vj. mel coquito, & vbi spissatum fuerit, reliquis admisceto, ac vtitor velut dictum est, pilulis inde formatis, quæ sub lingua detineantur. *Alia.* ℞. galbani drach. vj. piperis ʒ. j. nitri drach. vnam, mellis Attici cyathos sex; galbanum, & mel coquito, & densata reliquis vnito; vtitor vt dictum est.

Alia ad exulceratam arteriam Charixenis. Facit & iis qui vocem exercent ante, & post certamen data. Facit ad oculorum dolores forinsecus imposita, lana ex ea madefacta. Facit & ad internas affectiones linctu accepta.

℞. Gummi, tragacanthæ, vtriusque ʒ. vj. thuris, myrrhæ, vtriusque ʒ. j. obolos tres, croci, hypocystidis succi, vtriusque ʒ. j. passi scybelitæ, aut theræi sextarios sex. Gummi, tragacantham, myrrhã, thus, vnà cum hypocystidis succo macerato, affusa ipsis passi portione; atque vbi dissoluta fuerint, diligenter terito, & ad passum misceto, assidueque mouendo coquito. Crocum verò sacculo stupa contexto initiis in sublimi contentis inditum, vnà cum medicamento coquito; deinde exemptum passo dilutum, ac tritum ad medicamentum coniicito; & repositis vtitor. *Alia.* ℞. succi radicis dulcis, tragacanthæ, vtriusque ʒ. iij. croci, myrrhæ, vtriusque ʒ. j. thuris, spicæ nardi, vtriusq; obolos tres; protropi sextarios tres; vtere.

Alia Lysiæ ad eosdem affectus.

℞. Croci, myrrhæ, succi radicis dulcis, thuris, cassiæ, singulorum drach. j. piperis grana xxiv. passi cretici sextarios tres, mellis Attici cyathos vj. vtere.

Alia Charixenis.

℞. Croci drachmas tres, myrrhæ drach. j. ß. thuris, succi glycyrrhizæ, vtriusque ʒ. j. passi Cretici sextarios tres. Facit ad sonum fractum, destillationes in arteriam, interceptam vocem, tonsillas inflammatas, facit etiam ad phonascos ante; & post certamen data. Iuuat perfrigeratos, facit ad recentem, & veterem tussim, ad spuentes sanguinem, eundemque sursum reiectantibus; prodest & cœliacis. Conducit item ad spiritus fætorem. *Alia sublinguis, facit ad arteriam exasperatam, & vocem interceptam, itemque reliquos affectus.* ℞. tragacanthæ, gummi Thebaici, vtriusque drach. tres, myrrhæ, thuris non secti, vtriusque drachmam vnam, obolos tres; croci drachmam vnam, succi glycyrrhizæ obolos tres, phœnicobalanorum trium carnem, passi protropi, aut theræi, quod satis est his excipiendis; decoquatur ad crassitudinem mellis. Datur fabæ Ægyptiæ magnitudine sub lingua tenenda, & dissoluta transglutienda.

Alia hypoglossis Dioscoridis.

℞. Croci, myrrhæ, tragacanthæ, radicis dulcis succi, singulorum ʒ. j. nuces pineas repurgatas numero sexaginta, amygdalas mundatas totidem; excipe melle cocto. Datur nucis Ponticæ magnitudine sub lingua tenenda.

A Ἄλλη ἀρτηριακὴ Χαριξένους. ποιεῖ πρὸς ἤχους, καὶ βράγχους, καὶ φωνῆς ἀποκοπὴν, καὶ δασύτητα, καὶ τὰς ἐκ διατάσεως ἀποκοπάς.

℞. Κρόκου δραχμὰς β'. ὀποῦ Κυρηναϊκοῦ < α'. μέλιτος Ἀττικοῦ κυ. ϛ'. ἕψε τὸ μέλι, καὶ ὅταν συστραφῇ, ἐπίβαλε κατὰ τῶν λοιπῶν, καὶ χρῶ καθὰ προείρηται, ἀναπλάττων σφαιρία, καὶ διδοὺς ὑπὸ τὴν γλῶτταν κατέχειν. Ἄλλη. ℞. χαλβάνης < ϛ'. πεπέρεως < α'. νίτρου < α'. μέλιτος Ἀττικοῦ κυάθους ϛ'. ἕψε τὸ μέλι, καὶ τὴν χαλβάνην. καὶ ὅταν συστραφῇ, ἐπίβαλε κατὰ τῶν λοιπῶν, καὶ χρῶ καθὰ προείρηται.

B Ἄλλη πρὸς ἡλκωμένην ἀρτηρίαν Χαριξένους. ποιεῖ καὶ πρὸς φωνασκουμένους πρὸ τῶν ἀγώνων, καὶ μετὰ τοὺς ἀγῶνας διδομένη. ποιεῖ δὲ καὶ πρὸς ὀφθαλμῶν περιωδυνίας, ἔξωθεν ἐπιτιθεμένη ἐρίου ἐμβρεχομένου, ποιεῖ καὶ πρὸς τὰς ἐντὸς διαθέσεις ἐκλειχομένη.

℞. Κόμμεως, τραγακάνθης, ἀνὰ < ϛ'. λιβάνου, σμύρνης, ἀνὰ < α'. καὶ τριώβολον, κρόκου, ὑποκυστίδος χυλοῦ, ἀνὰ < α'. γλυκέος Σκυβελίτου, ἢ θηραίου ξέστας ϛ'. βρέχε κόμμι, τραγάκανθαν, σμύρναν, λίβανον ὑποκυστίδος χυλῷ, τούτοις ἐπιβαλὼν μέρος τοῦ γλυκέος, καὶ ὅταν διαλυθῇ τρίβε φι-
C λοπόνως, καὶ τῷ γλυκεῖ μίξας, ἕψε συνεχῶς κινῶν. τὸν δὲ κρόκον εἰς κροκόφαντον βαλὼν, ἕψε μετὰ τοῦ φαρμάκου, ἄνω τὰς ἀρχὰς κατέχων, καὶ γλυκεῖ διαλύσας, καὶ λεάνας, ἐπιβαλὼν τῷ φαρμάκῳ, ἀνελόμενος χρῶ. Ἄλλη. ℞. γλυκυρρίζης χυλοῦ, τραγακάνθης, ἀνὰ δραχμὰς γ'. κρόκου, σμύρνης, ἀνὰ < α'. λιβάνου, ναρδοστάχυος, ἀνὰ τριώβολον, προτρόπου ξέστας γ'. χρῶ.

Ἄλλη Λυσίου πρὸς τὰς αὐτὰς διαθέσεις.

℞. Κρόκου, σμύρνης, γλυκυρρίζης χυλοῦ, λιβάνου, κασσίας,
D ἀνὰ < α'. πεπέρεως κόκκους κδ'. γλυκέος Κρητικοῦ ξέστας γ'. μέλιτος Ἀττικοῦ κυάθους ϛ'. χρῶ.

Ἄλλη Χαριξένους.

℞. Κρόκου < γ'. σμύρνης < α' S'. λιβάνου, γλυκυρρίζης ἀνὰ < α'. γλυκέος Κρητικοῦ ξε. γ'. ποιεῖ πρὸς ἤχους, καὶ βράγχους, καὶ φωνῆς ἀποκοπὴν, καὶ φλεγμονὴν παρισθμίων. ποιεῖ καὶ πρὸς φωνασκουμένους πρὸ τῶν ἀγώνων, καὶ μετὰ τοὺς ἀγῶνας διδομένη, καὶ τοὺς κατεψυγμένους δὲ ὠφελεῖ, ποιεῖ βήττουσι προσφάτως καὶ χρονίως. ποιεῖ αἱμοπτυϊκοῖς, ἀναφορικοῖς, κοιλια-
E κοῖς, ποιεῖ καὶ πρὸς τὴν τοῦ πνεύματος δυσωδίαν. Ἄλλη ὑπογλωττίς. ποιεῖ πρὸς ἀρτηρίαν τετραχυσμένην, καὶ φωνῆς ἀποκοπὴν, καὶ τὰς λοιπὰς διαθέσεις. ℞. τραγακάνθης, κόμμεως Θηβαϊκοῦ ἀνὰ δραχμὰς γ'. σμύρνης, λιβανωτοῦ ἀτμήτου ἀνὰ < α'. καὶ τριώβολον, κρόκου < α'. γλυκυρρίζης χυλοῦ τριώβολον, φοινικοβαλάνων τριῶν τὴν σάρκα, γλυκέος προτρόπου, ἢ θηραίου, ὅσον ἐξαρκεῖ εἰς ἀνάληψιν. ἔστω δὲ ἀφεψημένον, ὥστε μέλιτος ἔχειν πάχος. δίδου δὲ κυάμου Αἰγυπτίου τὸ μέγεθος ὑπὸ τὴν γλῶτταν κατέχειν, καὶ τὸ διαλυόμενον καταπίνειν.

F

Ἄλλη ὑπογλωττὶς Διοσκορίδου.

℞. Κρόκου, σμύρνης, τραγακάνθης, γλυκυρρίζης χυλοῦ, ἀνὰ < α'. στρόβιλα κεκαυμένα ἀριθμῷ ξ'. ἀμύγδαλα καθαρὰ ἰσάριθμα, μέλιτι ἑφθῷ ἀναλάμβανε, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος, ὥστε ὑπὸ τὴν γλῶτταν κατέχειν.

Ἄλλη Σκριβωνίου Λάργου ὑπογλωσσίς. ποιεῖ πρὸς τὰς τῆς φωνῆς ἀποκοπάς.

A

℞. Κρόκου, τερμινθίνης, ἀνὰ < ιβ΄. ἴρεως Ἰλλυρικῆς < ιϛ΄. τραγακάνθης < η΄. πεπέρεως κόκκους τξ΄ μετὰ μέλιτος ἑφθοῦ, καὶ τερμινθίνης ὁμοῦ ἑφθῆς, χρῶ ὑπὸ τὴν γλῶτταν καρύου Ποντικοῦ τὸ μέγεθος. Ἄλλη Σκριβωνίου Λάργου ὑπογλωσσίς, ποιεῖ πρὸς τὰς τῆς φωνῆς ἀποκοπάς. ℞. γλυκυῤῥίζης < η΄. σμύρνης < κδ΄. τερμινθίνης < λβ΄. τραγακάνθης < λη΄. ἕκαστον τῶν ξηρῶν κόπτε κατ' ἰδίαν, καὶ σῆθε. τὴν δὲ ῥητίνην ἐφ' ὅλμον βαλὼν, κόπτε καταπλάττων τὰ ξηρὰ, εἶτα ἑνώσας ἀνάπλαττε, κυάμου Αἰγυπτίου τὸ μέγεθος, καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ B δὲ τῆς χρήσεως, δίδου μίαν, ἢ δύο ὑπὸ τὴν γλῶτταν κατέχειν, καὶ τὸ τηκόμενον καταπινέτω. δεῖ δὲ τὸ φάρμακον ταχέως ἀναπλάττειν. πρὸς ὃ οὖν ἀναπλάττεις, πρὸς τοῦτο κόπτε, ξηραίνεται γὰρ ταχέως, καὶ διὰ τοῦτο ἀναπλάττοντα πρὸς χεῖρα, δεῖ κόπτειν.

Alia Scribonij Largi hypoglossis facit ad vocem interceptam.

℞. Croci, terebinthinæ, singulorum ʒ xij. iridis Illyricæ ʒ. xvj. tragacanthæ ʒ. viij. piperis g̃. ccclx. excipe melle cocto, & terebinthina simul cocta, vtere sub lingua nucis Ponticæ magnitudine. *Alia Scribonij Largi hypoglossis, facit ad vocem interceptā.* ℞. glycyrrhizæ ʒ. viij. myrrhæ ʒ. xxiv. terebinthinæ ʒ. xxxij. tragacanthæ ʒ. xxxviij. Arida singula per se tundito, ac cribrato; resinam autem in pilam coniectam tundito, arida ad ipsam inspergendo; deinde ex vnitis omnibus pastillos formato fabæ B Ægyptiæ magnitudinis, quos in vmbra siccato; atque vsus tēpore vnū, aut duos sub lingua tenendos dato, ac liquescētes deuorandos. Oportet autē hoc medicamentū confestim in pastillos conformare. Quo tempore igitur pastillos cogis, eodem etiam tundes, resiccantur enim citò; & ob id pastillos ex eo formantem ad manum simul tundere oportet.

Ἄλλη ἀρωματικὴ Μιθριδάτειος. ποιεῖ πρὸς τὰς περὶ ἀρτηρίαν διαθέσεις, πρὸς τὰς ἐν πνεύμονι ἑλκώσεις, αἱμοπτυϊκοῖς, φθισικοῖς, ἐμπυϊκοῖς, περιπνευμονικοῖς.

℞. Κρόκου < β΄ S΄. σμύρνης, ῥητίνης τερμινθίνης ἀνὰ < β΄. λιβάνου < α΄ S΄. νάρδου, κινναμώμου, κασσίας, τραγακάνθης C ἀνὰ < α΄. μέλιτος Ἀττικοῦ κοτύλην α΄. ἕψε μέλι, καὶ ῥητίνην, ὥστε ἄλκιμον γενέσθαι καὶ ἰνῶδες, καὶ ἀμόλυντον ἐνσταζόμενον εἰς ὕδωρ ψυχρὸν, καὶ κατάμιξον κατὰ τῶν ξηρῶν, καὶ ἀνακόψας ἐπιμελῶς ἀνελοῦ, χρῶ καρύου Ποντικοῦ τὸ μέγεθος, δίδου ὑπὸ τὴν γλῶτταν κατέχειν, ὡς προείρηται. Ἄλλη Μιθριδάτειος. ℞. σμύρνης, κρόκου ἀνὰ < δ΄. νάρδου Ἰνδικῆς, τερμινθίνης ἀνὰ < β΄. λιβάνου, κασσίας, κινναμώμου, ἀνὰ < α΄. γλυκέος Κρητικοῦ κοτύλας γ. ἕψε γλυκὺ, καὶ τερμινθίνην μέχρι παντελοῦς συστάσεως, καὶ κατάμιξον κατὰ τῶν ξηρῶν, καὶ ἀνελόμενος δίδου καρύου Ποντικοῦ τὸ μέγεθος ὑπὸ τὴν γλῶτταν κατέχειν.

Alia aromatica Mithridatis, facit ad arteriæ affectus, pulmonis vlcerationes, spuentes sanguinem, tabescentes, suppuratos, & peripneumonicos.

℞. Croci ʒ. ij. ß. myrrhæ, resinæ terebinthinæ, vtriusque ʒ. ij. thuris ʒ. j. ß. nardi, cinnamomi, cassiæ, tragacanthæ, singulorum ʒ. j. mellis Attici heminam j. Mel & resinam coquito, vt tractilia fiant, ac fibrosa, & non inquinent in frigidam aquam instillata; dein cum aridis committito, ac probè contundito, & reponito. Vtere nucis Ponticæ magnitudine sub lingua detenta, vt prædictum est. *Alia Mithridatis.* ℞. myrrhæ, croci, vtriusque ʒ. iv. nardi Indicæ, terebinthinæ, vtriusque ʒ. ij. thuris, cassiæ, cinnamomi, singulorum ʒ. j. passi Cretici heminas tres. Passum & terebinthinam ad perfectam compagem coquito, & cum siccis committito; indeque ad nucis Ponticæ magnitudi- D nem sub lingua tenendum dato.

Ἄλλη διὰ τῆς πτέρεως Ἀνδρομάχου ἀρωματική· ἁρμόζει αἱμοπτυϊκοῖς, πλευριτικοῖς, φθισικοῖς, σπληνικοῖς, ἡπατικοῖς, ἰκτερικοῖς. ποιεῖ καὶ πρὸς τὰς περὶ μήτραν, καὶ κύστιν διαθέσεις.

Αἱ ῥίζαι πτέρεως, ὡς ὅτι μάλιστα, αἱ παχύταται πλύνονται ἐπιμελῶς, ἕως ἂν τὸ γεῶδες ἀποστῇ, εἶτα ψύχονται ἐπὶ ἡμέραν μίαν, ἐκ τούτων ιβ΄. λίτραι κατατέμνονται εἰς δακτυλιαῖα μήκη, καὶ κατατέμνοντες θραύομεν, ἐκ τούτων αἴρομεν ὁλκῆς λίτρας ι΄. καὶ βάλλοντες εἰς κεραμεοῦν ἀγγεῖον, ἐπιβάλλομεν αὐταῖς ὕδατος γλυκέος ξε ι΄. καὶ θέντες ἐπὶ πυρὸς E ἕψομεν. ὅταν δὲ εἰς ἥμισυ καταστῇ, καθαιροῦμεν, καὶ διϋλίζομεν εἰς διπλοῦν ἀγγεῖον μυρεψικὸν, καὶ τὰς μὲν ῥίζας ἐκθλίψαντες ῥίπτομεν, εἰς δὲ τὸ ὕδωρ ἐπιβάλλομεν ἁδρομερῶς κεκομμένα, βαλαυστίου < ϛ΄. νάρδου Ἰνδικῆς, ῥόδων ξηρῶν ἀνὰ < δ΄. κινναμώμου < γ΄. γλυκυῤῥίζης < ϛ΄. κασσίας < δ΄. ῥήου Ποντικοῦ < δ΄. εἶτ' ἐπὶ τὸ πῦρ ἐπιθέντες, πάλιν ἕψομεν, καὶ ὅταν εἰς ἡμίσειαν καταντήσῃ, πάλιν διϋλίζομεν εἰς ἕτερον ἀγγεῖον μυρεψικὸν μικρὸν, καὶ τὰ μὲν ξηρώδη ἐκθλίψαντες ἀποβάλλομεν. τῷ δὲ ὕδατι ἐπιβάλλομεν, μέλιτος Ἀττικοῦ F κοτ. δ΄. καὶ μίξαντες ἐπιμελῶς, καὶ ἐπὶ τὸ πῦρ ἐπιθέντες, πάλιν ἕψομεν, καὶ ὅταν ἐπισταζόμενον εἰς ψυχρὸν ὕδωρ μὴ μολύνῃ, ἐπιβάλλομεν τούτοις, ῥητίνης τερμινθίνης < γ΄. χαλβάνου ἀξύλου τὸ ἴσον. ταχέντων δὲ τούτων, κατερῶμεν κατὰ τῶν ὑπογεγραμμένων. ἔστι δὲ ταῦτα, κρόκου, ὑοσκυάμου χυλοῦ, μανδραγόρου χυλοῦ, πεπέρεως λευκοῦ, ὑποκυστίδος χυλοῦ ἀνὰ < α΄.

Alia ex filice Andromachi aromatica. Prodest hæmoptoicis, pleuriticis, tabescentibus, splenicis, hepaticis, ictericis. Facit & ad affectiones circa vterum, & vesicam.

Radices filicis quàm crassissimæ lauantur diligenter, donec omne terreum ab eis decedat; deinde perfrigerantur ad diem vnam; & ex ipsis libræ xij. in frusta digitalis magnitudinis secantur, & conquassantur, ac in vas figulinum coniiciuntur. Infunduntur deinde aquæ dulcis sextarij x. & ad ignem positæ coquuntur. Quum verò E ad dimidias deuenerint per coctionem, eas tollimus, & in duplum vas vnguentarium excolamus. Et radices quidem expressas proiicimus; in aquam verò crasso modo contusa coniicimus, balaustij drach. vj. nardi Indicæ, rosarum siccarum, vtriusque drach. iv. cinnamomi drachmas tres. glycyrrhizæ drach. vj. cassiæ drachmas iv. rhu Pontici ʒ. iv. Deinde rursus ad ignem admota coquimus; & vbi ad dimidias peruenerint, rursus in aliud paruum vas vnguentarium excolamus: & arida quidem expressa reiicimus, ad aquam verò mellis F Attici heminas quatuor addimus, probeque mixta, & igni adhibita rursus coquimus; & quum instillata frigidam non inquinarint, his resinæ terebinthinæ drachmas tres, galbani non lignosi tantundem, admiscemus. Hæc verò liquefacta ad subscripta deplemus; sunt autem hæc, croci, succi hyoscyami, succi mandragoræ, piperis albi, succi hypocystidis, singulorum drachma vna.

Omnia

A Omnia hæc tenuissime trita, & cum primo filicis succo vnita habeto, vt strigmentitiam crassitudinem habeant. Postquam igitur inuicem permixta, ac probè conquassata fuerint, in vitreum, aut argenteum vas reponimus. Datur ex medicamento cochlearium. Maximè iuuat vocem interceptam.

Alia Panacea Mithridatis, ad phonascos ante & post certamen. Facit & ad glandularum inflammationes, laxatas columellas. Facit ad gingiuas humore prægnantes, & nomas in ore, & motos dentes. Prodest destillationibus, recenti ac veteri tussi; hæmoptuicis, empyicis & anaphoricis.

B Vtor medicamento hoc quandoque puro, quandoque passo dissoluto, aut vino scybelite, & aqua calida. Etenim ad tonsillarum inflammationes dissoluto medicamento vtendum est; ad affectus verò in profundo, puro. Compositio sic habet. ℞. capita papaueris agrestis numero cl. filicis lotæ drachmas tres, symphyti depurgati, corticis mandragoræ, rhu pontici, rosarum siccarum, iridis, chalcidoniæ, glycyrrhizæ ponticæ, balaustij, singulorum trientem; cinnamomi drachmas duas, nardi Celticæ ʒ.j.ß. aquæ pluuiæ sextarios xv. Prædicta in crassas partes contusa in vase duplici vnguentario ad triduum macerantur; C sequenti deinde die ad tertias coquuntur; & postea in qualum coniecta exprimimus ab ipsis in aliud vas vnguentarium liquorem; & res decoctas abiicimus quidem, verùm de expresso liquore quantum sufficit accipientes, subscriptas res in ipso dissoluimus; sunt autem hæ, gummi, tragacanthæ albæ; vtriusque libra vna; myrrhæ, succi radicis dulcis, succi hypocystidis, singulorum sextans; croci, mastiches, vtriusque ℥.j. Hæc dissoluta diligenter terimus, paulatim de expresso liquore adstillantes; postea ad medicamenti confectionem vino scybelite, aut theræo, aut pramnio vti- D mur; sint autem eius sextarij xxiv. Passum in vas fictile diffusum coquimus; atque vbi mellis spissitudinem acceperit, ipsi dissoluta, & trita medicamenta adiicimus, rursusque coquimus ad compagem; & sublato in vas vitreum, aut argenteum vtimur, quemadmodum dictum est antea.

Alia ad destillationes, & omnes tussiculosos affectus.

Asclepiades in primo internorum sic tradidit. *Ad destillationes medicamentum, quo vsus est Co-* E *mon philosophus: auxiliatur statim.* ℞. pyrethri, costi, vtriusque drachmas duas, piperis albi drachmam vnam, tusa, & cribrata reponito; vsu verò expetente naribus admouere, & medicamentum attrahere iubeto. *Alia.* ℞. piperis albi drachmam vnam, seminis vrticæ tantundem; costi, myrrhæ, croci, singulorum obolos tres; præparato, ac vtitor, vt dictum est.

Alia dolorem sedans Antonij Musæ. Facit ad destillationem, & vocem interceptam.

℞. Opij, myrrhæ, seminis hyoscyami, singulorum drachmas duas; singula in cicutæ de- F cocto macerato, ac diligenter terito; & ex mixtis catapotia erui magnitudine formato, & duo ex ipsis ante somnum dato. *Alia facit ad hæmoptoicos.* ℞. seminis hyoscyami albi drachmas octo, nardi Indicæ drachmas sex, croci drachmas quatuor, opij, amyli, anisi, singulorum drachmas duas; rubricæ lemniæ drach. j. cum

ἔχῃ πάντα ταῦτα λειότατα σὺν τῷ χυλῷ τῆς πτέρεως ἑνωθέντα, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος. κατεράσαντες οὖν κατὰ τούτων, καὶ ἀνακόψαντες ἐπιμελῶς, μεταίρομεν εἰς ἀγγεῖον ὑέλινον, ἢ ἀργυροῦν· ἡ δόσις τοῦ φαρμάκου, κοχλιάριον. μάλιστα δὲ ὠφελεῖ τοῖς τὴν φωνὴν παρακεκομμένοις.

Ἄλλη πανάκεια Μιθριδάτειος φωνασκουμένοις πρὸ τῶν ἀγώνων, καὶ μετὰ τοὺς ἀγῶνας. ποιεῖ πρὸς αὐτιάδων φλεγμονὰς, κεχαλασμένας κιονίδας, ποιεῖ πρὸς οὖλα πλαδαρὰ, καὶ τὰς ἐν στόματι νομὰς, καὶ σειομένους ὀδόντας. ἁρμόζει καὶ πρὸς καταῤῥόους, βήττουσι χρονίως, καὶ προσφάτως, ποιεῖ αἱμοπτυϊκοῖς, ἐμπυϊκοῖς, ἀναφορικοῖς.

Χρώμεθα δὲ τῷ φαρμάκῳ, ὅτε μὲν ἀκράτῳ, ἔστι δ' ὅτε λυθέντι γλυκεῖ, ἢ Σκυβελίτῃ, καὶ ὕδατι θερμῷ. πρὸς μὲν γὰρ τὰς τῶν παρισθμίων φλεγμονὰς, καὶ τὰς τοιαύτας διαθέσεις, χρηστέον ἀνειμένῳ τῷ φαρμάκῳ, πρὸς δὲ τὰς ἐν βάθει διαθέσεις, ἀκράτῳ. τὰ δὲ τῆς συνθέσεως ἔχει οὕτω. ℞. κωδύας μήκωνος ἀγρίας, ἀριθμῷ ρν'. πτέρεως πεπλυμένης λίτρας γ'. συμφύτου κεκαθαρμένου, μανδραγόρου φλοιοῦ, ῥήου Ποντικοῦ, ῥόδων ξηρῶν, ἴρεως χαλκηδονίας, γλυκυῤῥίζης Ποντικῆς, βαλαυστίου ἀνὰ ℥ γ'. κινναμώμου < β'. νάρδου Κελτικῆς < α' S''. ὕδατος ὀμβρίου ξε ιε'. τὰ προειρημένα εἰς παχέα κόπτεται, καὶ βρέχεται ἐν ἀγγείῳ διπλῷ μυρεψικῷ, ἐπὶ ἡμέρας γ'. τῇ δ' ἐπιούσῃ ἕψεται εἰς τὸ τρίτον, ἔπειτα εἰς κυρτίδα βαλόντες ἐκθλίβομεν τὸ ὑγρὸν εἰς ἕτερον ἀγγεῖον μυρεψικὸν, τὰ δὲ ἀφεψήματα, ἀποῤῥίπτομεν. ἐκ δὲ τοῦ ἀποθλιβέντος ὑγροῦ, βαλόντες ὅσον ἐξαρκεῖ, διαλύομεν τὰς ὑπογεγραμμένας σκευασίας, εἰσὶ δὲ αἵδε. κόμμεως, τραγακάνθης λευκῆς, ἑκάστου ἀνὰ λίτραν α'. σμύρνης, γλυκυῤῥίζης χυλοῦ, ὑποκυστίδος χυλοῦ ἀνὰ ℥ β'. κρόκου, μαστίχης ἀνὰ ℥ α'. διαλυθέντων δὲ τούτων, λεαίνομεν φιλοπόνως κατὰ μικρὸν ἐπιβάλλοντες τοῦ ἐκθλιβέντος ὑγροῦ, ἔπειτα χρώμεθα πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν, οἴνῳ Σκυβελίτῃ, ἢ Θηραίῳ, ἢ Πραμνείῳ, ἔστωσαν δὲ ξε κδ'. τὸ δὲ γλυκὺν βάλλοντες εἰς ἄγγος κεραμεοῦν ἕψομεν, καὶ ὅταν ἔχῃ μέλιτος πάχος, τούτῳ ἐπιβάλλομεν τὰ διαλυθέντα καὶ τριβέντα τὰ φαρμάκων, καὶ πάλιν ἕψομεν μέχρι συστάσεως, εἶτα ἀνελόμενοι εἰς ἀγγεῖον ὑέλινον, ἢ ἀργυροῦν, χρώμεθα καθὰ προείρηται.

Ἄλλη πρὸς καταῤῥόους, καὶ πάσας τὰς βηχώδεις διαθέσεις.

Ἀσκληπιάδης ἐν τῷ πρώτῳ τῶν ἐντὸς οὕτως ἔγραψεν, πρὸς καταῤῥόους, ᾧ ἐχρήσατο Κόμων ὁ φιλόσοφος, ὠφελεῖ παραχρῆμα. ℞. πυρέθρου, κόστου, ἀνὰ < β'. πεπέρεως λευκοῦ < α'. κόψας, καὶ σήσας ἀπόθου. ἐν δὲ τῇ χρήσει, κέλευε παραπλεῖσθαι τῶν μυξωτήρων, καὶ τὸ φάρμακον ἀνασπᾶν. Ἄλλη. ℞. πεπέρεως λευκοῦ < α'. κνίδης σπέρματος τὸ ἴσον, κόστου, σμύρνης, κρόκου ἀνὰ τριώβολον, σκεύαζε, καὶ χρῶ καθὰ προείρηται.

Ἄλλη ἀνώδυνος Ἀντωνίου Μούσα, πρὸς καταῤῥόουν ποιοῦσα, καὶ πρὸς τὴν τῆς φωνῆς ἀποκοπήν.

℞. Ὀπίου, σμύρνης, ὑοσκυάμου σπέρματος, ἀνὰ < β'. ἕκαστον ἔμβρεχε κωνείου ἀφεψήματι, καὶ λεαίνας ἐπιμελῶς, καὶ μίξας ἀνάπλαττε καταπότια ὀρόβου τὸ μέγεθος, καὶ δίδου δύο εἰς ὕπνον ἀπερχομένοις. Ἄλλη ποιεῖ αἱμοπτυϊκοῖς. ℞. ὑοσκυάμου λευκοῦ σπέρματος δραχμὰς η'. νάρδου Ἰνδικῆς δραχμὰς ς'. κρόκου δραχμὰς δ'. ὀπίου, ἀμύλου, ἀνίσου, ἀνὰ δραχμὰς β'. μίλτου Λημνίας δραχμὴν μίαν, ὕδατι

ἀναπλάσας, ποίει καταπότια ὀροβιαῖα τῷ μεγέθει, καὶ χρῶ καθὰ προείρηται. Ἄλλη ἔκλεικτος πρὸς βῆχας ἐσχάτους, καὶ χρονίους. ℞. οἴνου Φαλερίνου ξε α'. μέλιτος Ἀττικοῦ λίτραν α'. ἕψε συνεχῶς κινῶν κλωσὶ πηγάνου, καὶ δίδου μύστρον, ποιεῖ καὶ στομαχικοῖς. Ἄλλη Πετεινοῦ πρὸς τὰς ἐν βάθει ἑλκώσεις, καὶ διαπυήσεις. ℞. οἰνομέλιτος παλαιοῦ ξε α'. ἀξουγγίου παλαιοῦ ℥ β'. οἱ δὲ ℥ α'. τρίβε φιλοπόνως μετὰ τοῦ οἰνομέλιτος, καὶ διαλύσας μετέρα εἰς ἄγγος κεραμεοῦν, καὶ ἕψε ἐπ' ἀνθράκων κινῶν κλωσὶ πηγάνου, καὶ ὅταν συστραφῇ ἀπόθου εἰς ἄγγος ὑέλινον, καὶ δίδου ἐκλείχειν μύστρον καθὰ προείρηται. Ἄλλη Ὠριγενείας. ℞. γλυκυρρίζης Ποντικῆς < β'. κνίδης σπέρματος πεφωγμένου, λίνου σπέρματος πεφωγμένου ἀνὰ < α'. σμύρνης, κρόκου ἀνὰ ὀβολὸν, μέλιτος Ἀττικοῦ, ὕδατος, ἑκάστου ἀνὰ κυάθους ἕξ, ἕψε γλυκύρριζαν τῷ ὕδατι, ἔπειτα τὸ ὑγρὸν ἐκθλίψας, τρίβε τὰ λοιπὰ, καὶ ἀναλάμβανε μέλιτι ἑφθῷ, καὶ δίδου ἐκλείχειν. Ἄλλη. ℞. ἄρου ὀπτοῦ < α'. ἄμμεως πεφωγμένου, στροβίλων πεφωγμένων, ἐρυσίμου πεφωγμένου, ἀνὰ < α'. μέλιτι ἑφθῷ ἀναλάμβανε. Ἄλλο κοπτάριον βήσσουσιν. ℞. λινοσπέρματος πεφωγμένου, καὶ κεκομμένου, καὶ σεσησμένου, σταφίδος λιπαρᾶς χωρὶς τῶν γιγάρτων, ἀνὰ ξε α'. στροβίλων πεφωγμένων, καρύων Ποντικῶν κεκαθαρμένων ἀνὰ κοτύλην α'. πεπέρεως λευκοῦ ℥ β'. σμύρνης, κρόκου ἀνὰ ℥ α'. μέλιτος Ἀττικοῦ λίτρας δ'. κόπτε, ὡς χρὴ, καὶ λεάνας ἀπόθου. τὸ δὲ λινόσπερμα ἕψε μετὰ μέλιτος, καὶ ὅταν συστραφῇ, ἐπίβαλλε τοῖς λοιποῖς, καὶ μίξας ἀνάκοπτε, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος. Ἄλλο, ποιεῖ καὶ ταῖς περὶ τὸν θώρακα διαθέσεσιν. ℞. ἀλεύρου ἐρεγμινοῦ λεπτοτάτου πεφωγμένου, κοτύλην α'. Ἰλλυρίδος κεκομμένης ℥ γ'. στροβίλων πεφωγμένων ℥ β'. γλήχωνος ξηρᾶς κεκομμένης < α' S''. κνίδης σπέρματος < α'. πεπέρεως ℥ S''. μέλιτος χρηστοῦ ξε β'. ἕψε τὸ ἄλευρον μετὰ τοῦ μέλιτος, ἕως συστραφῇ. ἔχε δὲ καὶ λίνου σπέρματος κεκομμένου, καὶ πεφωγμένου, καὶ σεσησμένου κοτύλην α'. καὶ ἐπίβαλλε. Ἄλλο πρὸς βῆχα καὶ ἀναγωγὴν πνεύματος, πάνυ καλῶς ἐκκαθαῖρον. ℞. ὑσσώπου, γλήχωνος ἀνὰ ℥ β'. ἴρεως, νάπυος σπέρματος, καρδαμώμου ἀνὰ ℥ α'. ἀνίσου, πεπέρεως, ἀνὰ ℥ α'. κόψας, σήσας, ἀναλάμβανε μέλιτι ἀπέφθῳ, ἡ δόσις κοχλιαρίου καλοῦ. Εἰ δὲ χειμὼν εἴη, καὶ ἀπύρετος ὁ λαμβάνων, πεπέρεως ℥ β'. καὶ ἀντὶ ἀνίσου μάραθρον, ἢ κύμινον, καὶ ἀντὶ καρδαμώμου, σίνηπι διπλοῦν. Καταπότιον βηχικὸν πρὸς τὰς προσφάτους διαθέσεις πανάκεια φάρμακον ἀνώδυνον, καὶ ὑπνοποιὸν, ποιεῖ αἱμοπτυϊκοῖς. ℞. στύρακος < η'. ὀπίου, σμύρνης ἀνὰ < δ'. γλυκεῖ διαλύσας ἀνάπλαττε καταπότια, καὶ δίδου ὀρόβου μέγεθος εἰς ὕπνον ἀπερχομένοις. ἐν ἄλλαις γραφαῖς ἴσα ἔχει. Ἄλλο, Πλάτωνος ἐπιγραφόμενον, ὠφελεῖ παραχρῆμα. ℞. στύρακος, σμύρνης, ὀπίου, χαλβάνης, ἑκάστου ἴσον, γλυκεῖ διαλύσας ποίει καταπότια. Ἄλλο, Βάσσου ἐπιγραφόμενον φάρμακον ἐπιτετευγμένον, ὠφελεῖ παραχρῆμα, ποιεῖ αἱμοπτυϊκοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς. ℞. χαλβάνης, στύρακος, ἴριδος Ἰλλυρικῆς, πίτυος φλοιοῦ ἀνὰ < β'. ἑλενίου, ὀπίου, ἀνὰ < α'. ἀναλάμβανε μέλιτι ἑφθῷ, καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος, καὶ μελικράτου κυάθους γ'. ἡ διὰ πρασίου Πλάτωνος. ℞. σμύρνης, στύρακος, ὀπίου, πρασίου χυλοῦ, χαλβάνης, κρόκου ἴσα, σκεύαζε καὶ χρῶ, μέλιτι ἀπέφθῳ ἀναλάμβανε. Καταπότιον ἀνώδυνον φάρμακον ἐπιτετευγμένον, πρὸς τὰς κεχρονισμένας διαθέσεις, ποιεῖ πρὸς καταρροὴν, κεφαλαλγικοῖς, δυσπνοϊκοῖς, περιπνευμονικοῖς, πρὸς τὰς περὶ κύστιν, καὶ μήτραν διαθέσεις. ἐπι-

A aqua catapotia erui magnitudine formato, ac vtitor, vt dictum est. *Alia delingibilis, ad tusses extremas, & inueteratas.* ℞. vini Falerni sextarium vnum, mellis Attici ℔. j. coquito assiduè agitando cum ramulis rutæ; dato inde mystrum. Facit & ad stomachicos. *Alia Petini, ad vlcerationes, & suppurationes in profundo.* ℞. vini mulsi veteris sextarium j. axungiæ veteris sextantem, alij ℥. j. Axungiam probè cum vino mulso terito, ac dissoluito, indeque in vas fictile transferto, & ad prunas ramulis rutæ agitando coquito; & vbi densata fuerint, in vase vitreo reponito; ac mystrum delingendum, vt prædictum est, exhibeto. B *Alia Origeniæ.* ℞. glycyrrhizæ ponticæ ʒ. ij. seminis vrticæ tosti, seminis lini tosti, vtriusque ʒ. j. myrrhæ, croci vtriusque obolum vnum; mellis Attici, aquæ vtriusque cyathos sex. Glycyrrhizam aqua coquito, deinde expresso liquore, reliqua terito, & melle cocto excipito, ac delingenda præbeto. *Alia* ℞. ari tosti drach. vnam; ammi torrefacti, nucum pinearum tostarum, irionis tosti, singulorum drach. j. excipe melle cocto. *Alia placentula, ad tussientes.* ℞. seminis lini torrefacti contusi, & cribrati, vuæ passæ pinguis citra acinos, vtriusque sextarium j. nucum pinearum tostarum, nucum C ponticarum depurgatarum, vtrarumque heminam vnam; piperis albi sextantem; myrrhæ, croci, vtriusque ℥. j. mellis Attici libras quatuor; contusa, vt oportet, tritaque reponito. Semen lini, cum melle coquito, & vbi densata fuerint, reliquis addito, misceto, ac contundito. Datur nucis ponticæ magnitudine. *Alia, facit & ad thoracis affectus.* ℞. farinæ fabaceæ tenuissimæ tostæ heminam j. iridis Illyricæ contusæ quadrantem, nucum pinearum tostarum sextantem, pulegij aridi contusi ʒ. j. ß. seminis vrticæ drach. vnam, piperis ℥. ß. mellis boni sextarios ij. farinam cum melle ad D densitatem coquito; seminis lini etiam tusi, tosti, & cribrati heminam vnam, in promptu habeto, & adiicito. *Alia ad tussim, & spiritus prolationem, valdè probè expurgans.* ℞. hyssopi, pulegij, vtriusque sextantem; iridis, seminis sinapi, cardamomi, singulorum ℥. j. anisi, piperis vtriusque ℥. j. tusa & cribrata melle cocto excipito. Datur cochlearij boni mensura. Si verò hyems sit, & accepturus non febriat, piperis sextantem, & pro aniso fœniculum, aut cuminum, & pro cardamomo sinapi duplum, coniicito. *Catapotium ad tussim recentem, Panacea medicamentum dolorem le-* E *uans, inducens somnum, facit ad hæmoptoicos, ad empyicos & anaphoricos.* ℞. styracis ʒ. viij. opij, myrrhæ, vtriusque ʒ. iv. diluta passo in catapotia cogito, & erui magnitudine cubitum euntibus dato. Alia exemplaria par pondus omnium habent. *Aliud Platoni inscriptum; è vestigio auxiliatur.* ℞. styracis, myrrhæ, opij, galbani, singulorũ par pondus; passo diluta in catapotia redige. *Aliud Basso inscriptum, medicamentum accommodatum; auxiliatur statim. Facit hæmoptoicis anaphoricis, suppuratis.* ℞. galbani, styracis, iridis Illyricæ, corticis pinus, singulorum ʒ. ij. enulæ, opij, vtriusque ʒ. j. excipe melle cocto. & prębe ciceris magnitudine ex aquę F mulsæ cyathis iv. *Confectio ex marrubio, Platonis.* ℞. myrrhæ, styracis, opij, succi marrubij, galbani, croci ęquales partes; prępara, ac vtere melle exceptis cocto. *Catapotium dolorē sedans, medicamentum accommodatum ad inueteratos affectus. Facit ad destillationem, dolorem capitis, ægrè spirantes, peripneumonicos, ad vesicæ, & vteri affectus. Inscribitur*

bitur Panacea accommodata, ab aliquibus Sticus. ℞. myrrhæ, piperis, cardamomi, opij, styracis, castorij, galbani, æquas partes excipe passo; fac catapotia, & vtere. *Aliud medicamentum valde bonum, inscribitur Harmonia; facit ad destillationes, & inexuperabilem defluxũ.* ℞. Styracis, castorij, piperis, cardamomi, singulorum ʒ. iij. opij, myrrhæ, seminis hyoscyami albi, singulorum ʒ. iv. excipe passo, reduc in catapotia, dato ciceris magnitudine ad somnum. *Aliud.* ℞. croci, sulfuris viui, myrrhę, opij, singulorũ ʒ. iv. seminis hyoscyami albi, cardamomi, piperis albi, singulorum ʒ. viij. mellis cocti quincuncem, aut quod satis est. Vsus præmõstratus est. Datur cubitum euntibus. *Confectio Proxeni, ad tusses inueteratas, & valdè diu durantes humidos affectus, appellatur Symphonos & est Lexopyretos,* optimè sedans febrem. *Hac vsus est Antonius Musa.* ℞. piperis albi, opij, cardamomi, singulorum ʒ. viij. croci, sulfuris viui, myrrhæ, seminis hyoscyami albi, singulorum ʒ. iv. mellis cocti sexuncem. Datur nucis ponticæ magnitudine, cum aquæ mulsæ cyathis tribus.

CAPVT III.

Confectiones ad tussim, ab Andromacho libro de confectionibus internis, conscriptæ.

C Postquã multas ad tussim Andromachus scripsit confectiones, deinceps omnes soporem inducentes, & ob id soporiferas appellatas, tradidit. Cæterùm hæ omnes tenues fluxiones incrassare possunt resiccantes simulque refrigerantes; & propterea aliquæ non tantum opium, sed & mandragoræ succum, aut radicis corticẽ, aut hyoscyami semen; aliquę etiam duo, aut tria, aut etiam omnia huiusmodi habent; quemadmodum aliæ styracem, & crocum. Rationabiliter autem his aliis partim calefacientia admiscuerunt, partim cum modica astringendi vi aromatica, & resiccantia, itemque semina quædam familiaria, velut anisi, fœniculi, apij, dauci, seselis, vtpotè, quæ tum medicamentorum insuauitatem, ac vim obtundunt, tum vrinam etiam prolectant. Quædam verò etiam asperitudines læuigant, velut sunt tragacantha, glycyrrhiza, & vina dulcia. At verò ex iis, quæ minùs de aromaticis complectuntur, eas etiam tabescentibus præbent. *Confectio ad tussim ex duobus piperis generibus.* ℞. cinnamomi ʒ. j. succi papaueris ʒ. j. myrrhæ obolos tres, piperis nigri ob. iij. costi ob. iij. castorij obolos tres, piperis albi ob. iij. galbani obolos tres, croci dimidium; redigito in pastillos, dato cum melle, aut passo. *Alia ad tussim excellenter efficax. Eadem febres sedat.* ℞. seminis hyoscyami ℥. ß. vnum exemplar ℥. j. habet; cardamomi drach. vnam, succi papaueris ℥. j. myrrhæ, sulfuris viui, croci singulorum ℥. ß. piperis albi iuxta Heram sesquiunciam, mellis Attici, quod satis est. *Aliud ad tussim siccam.* ℞. Styracis partem vnam, succi papaueris tantundem, croci partem dimidiam, contundito simul, & catapotia inde exhibeto. *Confectio ad tussim, qua vtor, Sacrificuli bona.* ℞. succi papaueris drach. decem, seminis lactucæ ʒ. xx. castorij drach. xviij. alij xvj. rutæ hortensis aridæ drac. xiv. seminis lini ʒ. xvj. panacis drach. xxxvj. myrrhæ drach. quatuordecim, croci drach. vij. alij ℥. j. excipe melle. Datur pro viribus Ægyptiæ fabæ magnitudine, febrientibus ex aqua, febre carentibus ex vino, ad noctem.

A γράφεται ἐπιτετευγμένη πολυάκεια, παρὰ δέ τισιν ὁ στίχος. ℞. σμύρνης, πεπέρεως, ὀπίου, στύρακος, καστορίου, χαλβάνης ἴσα, γλυκεῖ ἀναλάμβανε, καὶ ποίει καταπότια, καὶ χρῶ. Ἄλλο φάρμακον σφόδρα καλὸν, ἐπιγράφεται ἁρμονία, ποιεῖ πρὸς καταῤῥοῦς, καὶ τοὺς ἀνυπερβλήτους ἐπισταγμούς. ℞. στύρακος, καστορίου, πεπέρεως, καρδαμώμου, ἀνὰ < γ'. ὀπίου, σμύρνης, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ < δ'. ἀναλάμβανε γλυκεῖ, καὶ ποίει καταπότια, καὶ δίδου ἐρεβίνθου μέγεθος εἰς ὕπνον. Ἄλλο. ℞. κρόκου, θείου ἀπύρου, σμύρνης, ὀπίου, ἀνὰ < δ'. ὑοσκυάμου λευκοῦ σπέρματος, καρδαμώμου, πεπέρεως λευκοῦ, ἀνὰ < η'. μέλιτος

B ἑφθοῦ ℥ ε'. ἢ ὅσον ἐξαρκεῖ. ἡ χρῆσις δεδήλωται, ὡς προγέγραπται εἰς ὕπνον ἀπερχομένοις. ἡ Προξένου πρὸς βῆχας χρονίους, καὶ τὰς ἄγαν κεχρονισμένας διαθέσεις καθύγρους, ἡ σύμφωνος λεγομένη. ἔστι δὲ καὶ ληξιπύρετος ἀγαθὴ, ᾗ ἐχρήσατο Ἀντώνιος Μούσας. ℞. πεπέρεως λευκοῦ, ὀπίου, καρδαμώμου, ἀνὰ < η'. κρόκου, θείου ἀπύρου, σμύρνης, ὑοσκυάμου λευκοῦ σπέρματος, ἀνὰ < δ'. μέλιτος ἀπέφθου ℥ ς'. ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος μεθ' ὑδρομέλιτος κυ. γ'.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Βηχικαὶ αἱ ὑπὸ Ἀνδρομάχου γραφεῖσαι ἐν τῇ τῶν ἐντὸς δυνάμεων βίβλῳ.

Γράψας ὁ Ἀνδρόμαχος βηχικὰς πολλὰς, ἐφεξῆς ἔγραψεν ἁπάσας καρώσας, καὶ διὰ τοῦτο καλουμένας ὑπνοποιούς. παχύνειν δὲ αὗται τὰ λεπτὰ ῥεύματα πεφύκασιν, ξηραίνουσαί τε καὶ ψύχουσαι, καὶ διὰ τοῦτο, τινὲς μὲν οὐ μόνον ὄπιον, ἀλλὰ καὶ μανδραγόρας χυλὸν, ἢ τῆς ῥίζης τὸν φλοιὸν, ἢ ὑοσκυάμου σπέρμα, τινὲς δὲ καὶ δύο, καὶ τρία, καὶ πάντα ἔχουσι τὰ τοιαῦτα, καθάπερ ἄλλαι στύρακα, καὶ κρόκον. εὐλόγως δὲ τούτοις

D ἔμιξαν ἄλλα, τὰ μὲν θερμαίνοντα, τὰ δὲ μετὰ βραχείας στύψεως ἀρωματίζοντά τε καὶ ξηραίνοντα. καὶ τινὰ σπέρματα συνήθη, καθάπερ ἀνίσου, καὶ μαράθρου, καὶ σελίνου, καὶ δαύκου, καὶ σεσέλεως, ἀμβλυώνοντά τε τὰς φαρμάκων ἀηδίας τε καὶ δυνάμεις, ἐπ' οὖρά τε προτρέποντα. τινὰ δὲ καὶ τραχύτητας ἐκλεαίνοντα, καθάπερ τὴν τραγάκανθαν, καὶ τὴν γλυκύῤῥιζαν, καὶ τοὺς γλυκεῖς οἴνους. ἔσται δὲ αὐτῶν ἧττον κατέχουσιν τῶν καρωτικῶν φαρμάκων, ταύτας καὶ τοῖς φθισικευομένοις διδόασιν. βηχικὴ ἡ διὰ δύο πεπέρεων. ℞. κινναμώμου δραχμὴν μίαν, ὀποῦ μήκωνος < α'. σμύρνης τριώβολον,

E πεπέρεως μέλανος τριώβολον, κόστου τριώβολον, καστορίου τριώβολον, πεπέρεως λευκοῦ τριώβολον, χαλβάνης τριώβολον, κρόκου τὸ ἥμισυ, τροχίσκους ποίει, δίδου σὺν μέλιτι, ἢ γλυκεῖ. Ἄλλη πρὸς βῆχας ἐξόχως ποιοῦσα, ἡ αὐτὴ καὶ ληξιπύρετος. ℞. ὑοσκυάμου σπέρματος ℥ S''. εἰς τὸ ἀντίγραφον ℥ α'. καρδαμώμου < α'. ὀποῦ μήκωνος ℥ α'. σμύρνης, θείου ἀπύρου, κρόκου, ἀνὰ ℥ S''. πεπέρεως λευκοῦ, ὡς Ἥρας ℥ α' S''. μέλιτος Ἀττικοῦ τὸ ἱκανόν. Ἄλλη πρὸς βῆχα ξηράν. ℞. στύρακος μέρος ἓν, μηκωνείου ἴσον, κρόκου μέρος S''. ὁμοῦ συγκόψας, δίδου καταπότια. βηχικὴ ᾗ χρῶμαι, ἡ τοῦ ἱερέως

F καλή. ℞. ὀποῦ μήκωνος < ι'. θρίδακος σπέρματος < κ'. καστορίου < ιη'. οἱ δὲ < ις'. πηγάνου ἡμέρου ξηροῦ < ιδ'. λινοσπέρματος < ις'. πάνακος < λς'. σμύρνης δραχμὰς ιδ'. κρόκου δραχμὰς ζ'. οἱ δὲ ℥ α'. μέλιτι ἀναλάμβανε, δίδοται πρὸς δύναμιν ἡλίκον Αἰγυπτίας κυάμου μέγεθος, πυρέσσουσιν ἐν ὕδατι, ἀπυρέτοις ἐν οἴνῳ εἰς νύκτα.

A

Καταπότιον βηχικὸν ᾧ χρῶμαι.

℞. Στύρακος, σμύρνης, ὀπίου, ἀνὰ < δ΄. ὀποβαλσάμου, κρόκου, ἀνὰ < β΄. ὁμοῦ λεάνας ἀναλάμβανε, καὶ χρῶ. πρὸς βῆχα ξηράν. ℞. γλυκείας χυλοῦ δραχμὰς β΄. στύρακος < α΄. ὀπίου, κρόκου, σμύρνης, ἀνὰ τριώβολον, ἀναλάμβανε γλυκεῖ, ἢ ὕδατι ἡλίκον κυάμου Ἑλληνικοῦ μέγεθος, καὶ χρῶ.

Catapotium ad tußim, quo vtor.

℞. Styracis, myrrhæ, opij, singulorum ʒ. iv. opobalsami, croci, vtriusque ʒ. ij. simul trita excipe, ac vtere. *Ad tußim siccam.* ℞. succi radicis dulcis ʒ. ij. styracis ʒ. j. opij, croci, myrrhæ, singulorum obolos tres, excipe passo, aut aqua, & ad fabæ Græcæ magnitudinem redigito ac vtitor.

Φθισικοῖς πόμα ᾧ χρῶμαι, τὸ παρὰ Ριπάλου ἐν πολλοῖς χρήσιμον, Μηνοδώρειος καὶ ἀμβροσία, ποιεῖ πρὸς περιοδικοὺς πυρετούς.

B

℞. Νάρδου, κρόκου, σμύρνης, κόστου, κασσίας, κινναμώμου, σχοίνου, πεπέρεως μέλανος, καὶ λευκοῦ, καστορίου, χαλβάνης, τερμινθίνης, στύρακος, ὀποῦ μήκωνος, ὑοσκυάμου σπέρματος, ἀνὰ δραχμὰς γ΄. ἀνίσου < α΄. σελίνου σπέρματος < α΄. τραγακάνθης δραχμὰς ς΄. μέλιτος τὸ ἱκανόν, οἴνου Φαλερίνου κοτύλην α΄. τὴν τραγάκανθαν οἴνῳ τῷ αὐτάρκει βρέξον, καὶ τὸ λοιπὸν μῖξον τῷ μέλιτι. ἡ δόσις πυρέσσουσι μεθ' ὑδρομέλιτος < α΄ S. ἀπυρέτοις δὲ καὶ μέλιτος Γο S. καὶ ὄξους κοχλιάριον α΄. καὶ οἴνου Φαλερίνου κυάθοις β΄.

Potio qua vtor ad phthisicos, Ripali, multis commoda, appellatur Menodorios, & Ambrosia. Facit ad febres per circuitum repetentes.

℞. Nardi, croci, myrrhæ, costi, cassiæ, cinnamomi, iunci *rotundi odorati*, piperis, nigri, & albi, castorij, galbani, terebinthinæ, styracis, succi papaueris, seminis hyoscyami singulorum ʒ. iij. anisi drach. vnam, apij seminis ʒ. j. tragacanthæ ʒ. vj. mellis quod satis est, vini Falerni heminam vnam; tragacantham vino sufficienti macerato, & reliqua simul cum melle committito. Datur febrientibus sesquidrachma ex aqua mulsa; febre carentibus vncia dimidia, cum melle, & aceti cochleario vno, & vini Falerni cyathis duobus.

C

Ἀπολλωνίου ποιοῦσα πρὸς πολλά, μάλιστα δὲ πρὸς βῆχας ἐξόχως.

℞. Καρδαμώμου < ιη΄. σμύρνης δραχμὰς ιβ΄. ὑοσκυάμου < ιβ΄. ὀπίου δραχμὰς ι΄. οἱ δὲ < ιβ΄. πετροσελίνου σπέρματος < ιβ΄. κρόκου < ιε΄. μανδραγόρου μήλων δραχμὰς ι΄. ζιγγιβέρεως < η΄. θείου ἀπύρου < ς΄. ἄρου < ς΄. λιβάνου < ς΄. κόστου < ς΄. πεπέρεως λευκοῦ < ς΄. μέλιτος Ἀττικοῦ. Ἄλλη πρὸς τὰς ἐντὸς ἀποστάσεις, ἀνακαθαίρουσα καλῶς. ℞. σαγαπηνοῦ < β΄. σμύρνης δραχμὰς β΄. καρδαμώμου < δ΄. ἐν ἄλλῳ < α΄. καστορίου < α΄. πεπέρεως λευκοῦ τριώβολον, ὀπίου δραχμὰς β΄. σὺν ὕδατι ἀνάπλασσε τροχίσκους, ἀνὰ ὀβολῶν δυοῖν, ἡ δόσις σὺν ὕδατι.

Apollonij confectio, facit ad multa præsertim ad tusses, egregiè.

℞. Cardamomi drach. octodecim, myrrhæ drach. xij. hyoscyami drach. xij. opij drach. x. alij xij. seminis petroselini drach. duodecim, croci drach. quindecim, malorum mandragoræ ʒ. x. zingiberis drach. viij. sulfuris viui drach. vj. ari drach. sex, thuris drach. vj. costi ʒ. vj. piperis albi drach. sex, mellis Attici. *Alia ad internos abscessus probè repurgans.* ℞. sagapeni drach. ij. myrrhæ ʒ. ij. cardamomi drach. iv. alij drach. vnam, castorij ʒ. j. piperis albi obolos tres, opij drach. duas, cum
D aqua in pastillos formato duorum obolorum ponderis. Dantur cum aqua.

Ἰσόθεος βηχική, καὶ πρὸς φθίσεις, καὶ πάντα τὰ ἐντός, καὶ πρὸς περιοδικά.

℞. Νάρδου < β΄. σμύρνης < α΄. κρόκου < α΄ S. κόστου < α΄. πεπέρεως λευκοῦ < α΄. χαλβάνης < α΄. ὀποβαλσάμου τρυγὸς δραχμὰς β΄. κινναμώμου < β΄. μανδραγόρου χυλοῦ < β΄. καστορίου δραχμὰς β΄. δαύκου σπέρματος < α΄ S. ὀπίου < β΄. ἀμώμου < α΄ S. κασσίας μελαίνης < α΄ S. μέλι ἑφθόν. ποιεῖ πρὸς πόνους στομάχου, ἥπατος, πνεύμονος, ὀφθαλμῶν, αἵματος
E ἀναγωγάς, ἀποστάσεις, δυσεντερικοῖς, εἰλεώδεσι, νεφριτικοῖς, ἰσχιαδικοῖς, δυσπνοϊκοῖς, ἰσχουρίαισιν, πλευρῶν πόνοις, ὑποχονδρίων, ῥοῷ γυναικείῳ, πνίγας ὑστερικάς. θαυμαστὴ γὰρ ἡ ἀντίδοτος πρὸς θανάσιμα, καὶ μετὰ τροφήν, καὶ πρὸ τροφῆς, καὶ πρὸς πᾶσαν αἱμοῤῥαγίαν σὺν ψυχρῷ, καὶ πρὸς ἐχιοδήκτους, καὶ φαλαγγιοπλήκτους, ἐν οἴνου κυάθοις τρισί, τεταρταϊκοῖς. πρὸ τῆς ὥρας δίδου ὀβολοὺς δύο, σὺν οἴνου κυάθοις τρισὶ προλελουσμένοις.

Isotheos ad tußim, ad tabem, ad omnes internas, & per circuitum repetentes affectiones.

℞. Nardi ʒ. ij. myrrhæ ʒ. j. croci ʒ. j. ß. costi ʒ. j. piperis albi ʒ. j. galbani ʒ. j. fæcis opobalsami ʒ. ij. cinnamomi ʒ. ij. succi mādragorę ʒ. ij. castorij ʒ. ij. seminis dauci ʒ. j. ß. opij ʒ. ij. amomi ʒ. j. ß. cassiæ nigræ ʒ. j. ß. mel coctum. Facit ad dolores stomachi, hepatis, pulmonis, oculorum, sanguinis reiectionem, abscessus; prodest dysentericis, voluulosis, nephriticis, ischiadicis, ægrè spirantibus; vrinæ suppressæ, doloribus laterum, præcordiorum, fluxui muliebri, & vteri strangulationi. Admiranda est antidotus ad lethalia venena, ante & post cibum sumpta, ad omnem sanguinis eruptionem, cum frigida; & ad morsos à vipera, & percussos à phalangiis, in vini cyathis tribus. Quartanariis prælotis dantur ante horam accessionis oboli duo, ex vini cyathis tribus.

Πόμα πρὸς βῆχας, καὶ δύσπνοιαν, καὶ ἄλλα πολλὰ Ἀντιπάτρου, ᾧ χρῶμαι.

F

℞. Στύρακος δραχμὰς ς΄. τερμινθίνης < δ΄. ὀποπάνακος δραχμὰς β΄ χαλβάνης < β΄. ἴρεως Ἰλλυρικῆς δραχμὰς β΄. σμύρνης δραχμὰς β΄. ὑοσκυάμου σπέρματος λευκοῦ τετρώβολον, ἀφρονίτρου τετρώβολον, πεπέρεως λευκοῦ τετρώβολον, ὀπίου ὀβολοὺς ε΄. δίδου ἡλίκον Αἰγύπτιος κύαμος εἰς κοίτην, καί τινες τοῦ ὀπίου < α΄. οἱ δὲ τριώβολον.

Potio ad tußim, dyspnœam, & alia multa, Antipatri, qua vtor.

℞. Styracis ʒ. vj. terebinthinæ drach. iv. opopanacis drach. ij. galbani drach. ij. iridis Illyricæ drach. ij. myrrhæ drach ij. seminis hyoscyami albi obolos iv. spumæ nitri obolos iv. piperis albi obolos iv. opij obolos v. Datur quantitate fabæ Ægyptiæ ad somnum. Quidam opij obolos tres, alij drachmam vnam coniiciunt.

Eclegma

Eclegma ad tussim. A

℞. Nucleorum nucum pinearum drach. xii. seminis lini tosti drach. octo, tragacanthæ drach. xii. carnis palmularum drach. xviii. iridis Illyricæ drach. xii. amygdalarum dulcium drach. xvi. mel coctum. Dato digito delingendum bis per diem, mane & vesperi. In quibusdam tragacantham aqua pluuia dissolutam primum cum melle coquito.

Catapotium ad tussim, Crispi liberti.

℞. Myrrhæ, piperis albi, galbani, castorij, styracis, croci, opii, singulorum par pondus, styracis dimidium. Dato inde catapotia ii. ad noctem. *Scribonij ad tussim.* ℞. seminis apii drach. ii. schœnanthi, nardi Celticæ, styracis, croci, singulorum ʒ. i. balaustii obolos tres, succi papaueris drach. iv. mellis quod satis est. Datur magnitudo fabæ non febrientibus ex aqua mulsa, febricitantibus, cum aqua. *Asclepiadæ ad tussim.* ℞. thu Pontici, croci Cilicii, succi papaueris, spicæ nardi, thuris, myrrhæ, singulorum drach. i. radicis nardi Celticæ ℥.ii. styracis ℥.iii. Datur drach. i. cum vino mulso. B

Thespiana Apollonij, ad internos abscessus.

℞. Seminis apii drach. tres, succi papaueris drach. tres, melanthii drach. iii. iridis Illyricæ ʒ. vii. castorii drach. duas, seminis dauci drach. vii. sinopidis rubricæ ʒ. vii. excipe melle Attico cocto, & dato nucis Ponticæ magnitudine ex aqua. C

Catapotium resiccatorium, ad fluxiones thoracis, ad molæ dolorem, affectiones per circuitum repetentes, & percussos à scorpio.

℞. Succi papaueris, seminis hyoscyami, vtriusque par pondus; cum passo, aut melle ad fabæ Grecæ magnitudinem formato. Dato ad noctem, somnum inducendo prodest. D

Confectio finiens febrem, Pamphili pharmacopolæ bona.

℞. Seminis hyoscyami ℥. i. cardamomi exenterati ℥.i. succi papaueris ℥.i. sulfuris viui ℥.ß. croci ℥. ß. myrrhæ ℥. ß. euphorbii drach. ii. costi ʒ. iii. iridis Illyricæ ʒ.iij. piperis albi drach. iv. ß. mellis, quod satis est, vtere.

Catapotium ad tussim, & alia multa commodum, & præsertim ad tussim humidam.

℞. Iunci odorati ʒ. vj. opij ʒ. iv. galbani ʒ. vj. styracis ʒ. iv. fiant catapotia, araci magnitudine, dentur ad somnum. E

Alia sedans febrem Darij, hac antidoto vsus est ad omnia, ad tonsillas, Tusses, & Anginas.

℞. Croci ℥.j. piperis quincuncem, myrrhæ ℥.j. succi papaueris ℥. j. thuris tantundem, seminis hyoscyami tantundem, cardamomi tantundem, costi ʒ. iv. iridis Illyricæ drach. tres, aristolochiæ drach. duas, melle Attico excipito.

Aliud ad omnem tussim expertum. F

℞. Anisi ʒ. j. costi obolos tres, myrrhæ ʒ. j. castorij, galbani, piperis albi, seminis hyoscyami, opij, succi radicis dulcis, singulorum drach. vnam, excipe passo, redige in catapotia ciceris magnitudine. Dato in noctem.

Ἐκλεικτὴ βηχική.

℞. Πυρήνων στροβίλων < ιβ'. λινοσπέρματος πεφωγμένου < η'. τραγακάνθης < ιβ'. φοινίκων σαρκὸς < ιη'. ἴρεως Ἰλλυρικῆς < ιβ'. ἀμυγδάλων γλυκέων < ις'. μέλι ἑφθόν. δίδου δακτύλῳ ἐκλείχειν, δὶς τῆς ἡμέρας πρωῒ καὶ δείλης. ἐπὶ τινῶν τὴν τραγάκανθαν ὕδατι ὀμβρίῳ διαλύσας, ἕψε σὺν τῷ μέλιτι πρῶτον.

Καταπότιον βηχικὸν, ὡς Κρίσπος ὁ ἀπελεύθερος.

Σμύρνα, πέπερι λευκὸν, χαλβάνη, καστόριον, στύραξ, κρόκος, ὄπιον, ἑκάστου ἴσον, τοῦ στύρακος δὲ ἥμισυ, δίδου εἰς νύκτα καταπότια β'. βηχικὴ Σκριβωνίου. ℞. σελίνου σπέρματος < β'. σχοίνου ἄνθους, νάρδου Κελτικῆς, στύρακος, κρόκου, ἀνὰ < α'. βαλαυστίου τριώβολον, ὀποῦ μήκωνος < δ'. μέλιτος δὲ ἱκανὸν, δίδου κυάμου μέγεθος, ἀπυρέτοις δι' ὑδρομέλιτος, πυρέσσουσι δι' ὕδατος. βηχικὴ Ἀσκληπιάδου. ℞. ῥόου Ποντικοῦ, κρόκου Κιλικίου, ὀποῦ μήκωνος, ναρδοστάχυος, λιβάνου, σμύρνης, ἀνὰ < α'. νάρδου Κελτικῆς ῥίζης ℥ β'. στύρακος ℥ γ'. δίδοται < α'. σὺν οἰνομέλιτι.

Θεσπιανὴ Ἀπολλωνίου, πρὸς τὰς ἐντὸς ἀποστάσεις.

℞. Σελίνου σπέρματος < γ'. μηκωνείου < γ'. μελανθίου < γ'. ἴρεως Ἰλλυρικῆς < ζ'. καστορίου < β'. δαύκου σπέρματος < ζ'. σινωπίδος < ζ'. ἀναλάμβανε μέλιτι Ἀττικῷ ἑφθῷ, καὶ δίδου καρύου Ποντικοῦ μέγεθος ἐν ὕδατι.

Καταπότιον ξηραντικὸν, πρὸς τοὺς ῥευματιζομένους τὸν θώρακα, καὶ πρὸς μύλης πόνον, καὶ περιοδίζοντα, καὶ σκορπιοδήκτοις.

℞. Ὀποῦ μήκωνος, ὑοσκυάμου σπέρματος, ἑκάστου ἴσον, ἀνάπλασσε μετὰ γλυκέος, ἢ μέλιτος ἡλίκον κύαμος ὁ Ἑλληνικὸς, δίδου εἰς νύκτα, ὕπνον ποιοῦν ὠφελεῖ.

Ἀληξιπύρετος ἡ Παμφίλου μιγματοπώλου, καλή.

℞. Ὑοσκυάμου σπέρματος ℥ α'. καρδαμώμου ἐξεντερισμένου ℥ α'. ὀποῦ μήκωνος ℥ α'. θείου ἀπύρου ℥ S'. κρόκου ℥ S'. σμύρνης ℥ S'. εὐφορβίου < β'. κόστου < γ'. ἴρεως Ἰλλυρικῆς < γ'. πεπέρεως λευκοῦ < δ'. S'. μέλιτος δὲ ἱκανὸν, χρῶ.

Βηχικὸν ἐπιτετευγμένον, καὶ πρὸς ἄλλα πολλὰ, καὶ πρὸς βῆχα ὑγρὰν καταπότιον.

℞. Σχοίνου < ς'. ὀπίου < δ'. χαλβάνης < ς'. στύρακος < δ'. ἔστιν ἡλίκον ὀράκιον εἰς κοίτην.

Ἀληξιπύρετος Δαρείου, ταύτῃ τῇ ἀντιδότῳ ἐχρήσατο πρὸς πάντα, καὶ παρίσθμια, καὶ βῆχας, καὶ συνάγχας.

℞. Κρόκου ℥ α'. πεπέρεως ℥ ε'. σμύρνης ℥ α'. μηκωνείου ℥ α'. λιβάνου ἴσον, ὑοσκυάμου σπέρματος ἴσον, καρδαμώμου ἴσον, κόστου < δ'. ἴρεως Ἰλλυρικῆς < γ'. ἀριστολοχίας < β'. μέλιτι Ἀττικῷ.

Ἄλλο πρὸς πᾶσαν βῆχα πεπειραμένον.

℞. Ἀνίσου < α'. κόστου τριώβολον, σμύρνης < α'. καστορίου, χαλβάνης, πεπέρεως λευκοῦ, ὑοσκυάμου σπέρματος, ὀπίου, γλυκείας χυλοῦ, ἀνὰ < α'. γλυκεῖ ἀναλάμβανε, ποίει καταπότια ἡλίκα ἐρεβίνθιον εἰς νύκτα δίδου.

Καταπότιον πεπτικὸν, ἐκ τῶν Περιγένους, πρὸς βῆχα καὶ κατάῤῥουν.

Præbe febrientibus ex aqua, non febricitantibus in vino; hepaticis in aqua mulsa, itidem, & pleuriticis. Efficax est, & ad tussim. *Alia Trigonos vocata, resiccatoria, & sedans dolorem* ℞. seminis hyoscyami ʒ. iiii. seminis apij ʒ. iiii. anisi ʒ. ii. opij ʒ. ii. cum aqua pastillos formato. Dantur cum frigida, mane, & vesperi, vnus pro vice. *Alia mirabilis sedans dolorem, Asclepiadæ, ad omnes internos affectus.* ℞. seselis, chamæpityos, tussilaginis, seminis rutæ syluestris, seminis dauci singulorum ʒ. vi. seminis hyoscyami, opij, vtriusque ʒ. viii. castorij ʒ. xxv. rheu pontici ʒ. xiiii. excipe melle. *Alia, vt Charicles.* ℞. tordylij ʒ. viii. chamæpityos ʒ. viii. rhu pontici ʒ. vi. castorij ʒ. xii. & dimidiam, tussilaginis drach. viii. seminis rutæ syluestris ʒ. viii. seminis dauci drach. viii. opii ʒ. iiii. seminis hyoscyami drach. iiii. croci ʒ. v. quidam addunt mel Atticum. *Alia dolorem sedans, Iucunda appellata. Facit & ad tabescentes, & inflatos.* ℞. Illyricæ ʒ. xxx. succini, croci, masticheschiæ, singulorum drach. xxx. psyllij ʒ. xlv. aut xxx. succi papaueris drach. xv. cum aqua pluuia pastillos drach. j. & obol. iii. ponderantes formato ac exhibeto. Psyllium per diem, & noctem aqua pluuiali macerato, deinde coquito, & exprimito, atque sic cum reliquis committito. *Alia potio sedans dolorem, ex libris Aphrodæ, ad omnem dolorem in neruis, vtero, coxendicibus.* ℞. succi papaueris ʒ. i. opobalsami ʒ. i. aut carpobalsami ʒ. j. obol. ii. myrrhæ, seminis hyoscyami, castorij, styracis, singulorum ʒ. j. excipe passo, & fac pastillos oboli vnius, & dimidii. Dato ex aquæ calidæ cyathis duobus, aut tribus.

Aliud sedans dolorem Catapotium ex libris Aphrodæ, ad omnes internos affectus, & ad quartanarios, qui interualli tempore inediam ferunt, & deinde accipiunt. Facit, & ad calculosos, dysentericos, stomachicos, & iam desperatos, atque anxios. Est, & oculis valdè commodum.

℞. seminis hyoscyami, anisi, styracis, singulorum ʒ. iiii. croci, opij, vtriusque ʒ. iii. castorij ʒ. ii. fac catapotia Ægyptiæ fabæ magnitudine. Præbe ex aquæ cyathis duobus. *Alia dolorem sedans ad omnes internos affectus.* ℞. seminis apii ʒ. ii. anisi ʒ. ii. piperis longi ʒ. i. & nigri ʒ. i. castorij obol. iiii. myrrhæ, opii, singulorum obol. iiii. panacis, gentianæ singulor. obol. iiii. cinnamomi obol. iii. succi radicis dulcis obol. iii. pastillos obol. iii. formato; dysentericis datur drachma vna.

Alia potio dolorem sedans, ad omnes internos affectus, & sanguinis reiectionem vndecunque feratur, etiam si ex vulnere prodeat quibusdam prodest. Facit, & ad nephriticos, & hepaticos. Hanc ne prius dederis quàm mercedem acceperis.

℞. Cinnamomi, cassiæ, vtriusque ʒ. ii. myrrhæ ʒ. i. piperis albi ʒ. i. & longi ʒ. i. galbani ʒ. i. opii ʒ. ii. trita cum melle pauco in catapotia redige, partim magnitudine fabæ, partim quantitate araci. Dato pro viribus cum aqua, aut pro iudicio tuo. *Alia sedans dolorem. Crateri, ad tabescentes, & sanguinem reiicientes.* ℞. Myrrhæ ʒ. vi. mandragoræ ʒ. iiii. seminis hyoscyami ʒ. iiii. opii ʒ. v. croci, thuris, vtriusque ʒ. v. rhu ʒ. v. seminis cicutæ, styracis, vtriusque ʒ. v. excipe vino mulso.

Alia sedatiua doloris, mysterium appellata, vt Niceratus. Ad phthisicos, tussientes, cœliacos, dysentericos, destillatione confestim auxiliatur.

℞. Croci, costi, castorij, asari, seminis hyoscyami, opii, styracis singulorum ʒ. i. quidam hyoscyami seminis ʒ. ß. excipe melle, ac vtere. *Alia doloris sedatiua*

sedatiua ad destillationem conueniens. ♃. Seminis hyoscyami, succi papaueris, amyli, singulorum ʒ. ii. anisi ʒ. i. spicæ nardi ʒ. i. croci ʒ. i rubricæ sinopicæ obolos iii. aut lemniæ ʒ. i. formato pastillos triginta. Dato duos in noctem cum aqua.

Quæ ab Asclepiade scripta sunt ad eosdem affectus.

Eclegma pharos appellatum. ♃. vini sextarii dimidium; succi marrubij viridis cocti sextarium vnum Hæc in vas vitreum coniecta per diem, & noctem macerari finito. Sequenti die medicamẽtum mollito, quemadmodum alicam maceramus; atque vbi penitus dissolutum fuerit, exprimito liquorem, eique pinguedinem aliquam addito; & igni admota assiduè mouens coquito, donec spissata mellis crassitudinem acceperint. Ex hoc mystrum datur ante cibum, & post cibum tantũdem. *Aliud.* Foliorum marrubij tenerrimorum manipulum cum sufficienti aqua in fictili coquito; & vbi exoluta fuerint, eximito, ac terito; & decocto diluta rursus coquito, pollinis acetabulum inspergens, & pinguedinis arietinæ probè subactæ quadrãtem addens; & vbi coctio rectè habuerit, veluti reliquæ sorbitiones præparantur. Ablata ab igne, & modico sale conspersa, sorbenda exhibe. Amplius absorptum amplius iuuat.

Aliud Nicerati, facit suppuratis, dyspnoicis, veteri tussi, viscosum, ac glutinosum reijcientibus, & iis, quæ à partu purgantur, lac deducit. Prodest etiam infantibus alimentum non sentientibus, si nutricibus præbeatur.

♃. Succi marrubij sextarios sex, verùm probè hunc succum colligere oportet à recenti marrubio tuso expressum; vini falerni sextar. i. mellis Attici tantundem; piperis albi, myrrhæ, thuris singulorum ʒ. viii. vinum, & succum ad tertias coquito, deinde mel addito; quibus inspissatis arida inspergito; & diligenter mixta in vitreum vasculum transferto. Dato mystrum ante cibum. *Aliud, Scribonij Largi.* ♃. succi marrubij sextarios vi. succi semperuiui tantundem; mellis attici sextar. iiii. alii sextar. i. vini Italici sextar. i. picis liquidæ brutiæ tantundem; nardi Indicæ, croci, myrrhæ, thuris, piperis albi, singulorum ʒ. viii. præpara, ac vtere vt prædictum est. *Aliud phthisicis, & ad fluxiones thoracis.* ♃. seminis cucumeris hortensis decorticati ʒ. viii. amyli ʒ. iiii. seminis lini, seminis papaueris albi, vtriusque ʒ. ii. tusa, & cribrata excipe tragacanthæ cremore, & in drachmales pastillos redige. Dantur oboli tres, non febrientibus ex vino, & myrti cremore, febrientibus cum rhois succo. *Aliud.* ♃ amyli ʒ. iiii. seminis cucumeris satiui tosti, seminis papaueris albi tosti, amygdalarum depurgatarum, singulorum ʒ. ii. tragacanthæ ʒ. i. obol. iii. croci ʒ. i. excipe tragacanthæ cremore, & postea etiam vino scybelite cocto. Vtere eodem modo.

Aliud Scribonij Largi Catapotium, Phthisicis, sanguinem reijcientibus, suppuratis; educit pelliculas, repurgat sufficienter. Verùm immorari medicamento oportet.

♃. Sagapeni, myrrhæ, vtriusque ʒ. ii. opii, cardamomi, vtriusque ʒ. iiii. castorii ʒ. iiii. piperis albi obol. iii. excipe passo, fac catapotia. Da ex aquæ calidæ cyathis iii. *Alia confectio Thessaliana, facit suppuratis, & ad abscessus occultos.* ♃ Seminis apii, opii, melanthii, singulorum ʒ. iii. castorii ʒ. ii. seminis dauci, sinonis, iridis, singulorum ʒ. vi. excipe melle cocto; præbe nucis ponticæ magnitudine ex calidæ cyathis iii.

A πρὸς καταῤῥοῦν ἁρμόζουσα. ♃. ὑοσκυάμου σπέρματος, μήκωνος ὀποῦ, ἀμύλου, ἀνὰ <. β'. ἀνίσου <. α'. ναρδοστάχυος <. α'. κρόκου <. α'. μίλτου σινωπικοῦ τριώβολον, ἢ Λημνίας <. α'. ποίει τροχίσκους λ'. δίδου δύο εἰς νύκτα σὺν ὕδατι.

Τὰ ὑπ' Ἀσκληπιάδου γραφέντα περὶ τῶν αὐτῶν διαθέσεων.

Ἔκλεικτον Φάρος καλούμενον. ♃. οἴνου ξε. S'. πρασίου χλωροῦ ἀφεψήματος ξε. α'. ταῦτα βαλὼν εἰς ἄγγος ὑέλινον, βρέχεσθαι ἔα νύκτα καὶ ἡμέραν. τῇ δ' ἐπιούσῃ μάλασσε τὸ φάρμακον, ὥσπερ τὸν χόνδρον βρέχομεν, καὶ ὅταν παντελῶς διαλυθῇ, ἔκθλιβε τὸ ὑγρὸν, καὶ τούτῳ ἐπιβαλὼν λίπος τι καὶ
B θεὶς ἐπὶ πυρὸς, ἕψε κινῶν συνεχῶς, καὶ ὅταν συστραφῇ, ὥστε μέλιτος ἔχειν τὸ πάχος, ἐκ τούτου δίδοται μύστρον πρὸ τροφῆς, καὶ μετὰ τροφὴν τὸ ἴσον. Ἄλλο. ♃. πρασίου τῶν ἁπαλωτάτων φύλλων χειροπληθὲς, ὕδατος ὅσον ἐξαρκεῖ. ταῦτα βαλὼν εἰς ἄγγος κεραμεοῦν ἕψε, καὶ ὅταν διαλυθῇ, ἐξελὼν τρίβε, καὶ τῷ ἀφεψήματι διαλύσας πάλιν ἕψε, καταπάσσων γύρεως ὀξύβαφον, καὶ λίπους ἰοῦ κατειργασμένου ἐπιβαλὼν το γ'. καὶ ὅταν ἑψόμενα καλῶς ἔχῃ, ὥσπερ τὰ λοιπὰ ῥοφήματα, ἄρας ἀπὸ τοῦ πυρὸς, καὶ ἁλῶν ὀλίγων καταπάσας, δίδου ῥοφῆσαι, πλεῖον ῥοφούμενον μᾶλλον ὠφελεῖ.

C Ἄλλο Νικηράτου. ποιεῖ ἐμπυϊκοῖς, δυσπνοϊκοῖς, βήττουσι χρονίως, γλίσχρον καὶ κολλώδες ἀνάγουσι, καὶ ταῖς μετὰ τόκον καθαιρομέναις, κατάγει γάλα. ποιεῖ καὶ νηπίοις ἀτροφοῦσι, διδόμενον ταῖς τροφαῖς.

♃. Πρασίου χυλοῦ ξε. ϛ'. καλῶς δὲ δεῖ τοῦτο συνάγειν, καὶ νεαρὸν κόπτοντας ἐκθλίβειν, οἴνου Φαλερίνου ξε. α'. μέλιτος Ἀττικοῦ τὸ ἴσον, πεπέρεως λευκοῦ, σμύρνης, λιβάνου, ἑκάστου, ἀνὰ <. η'. ἕψε τὸν οἶνον, καὶ τὸν χυλὸν, καὶ ὅταν τὸ τρίτον λειφθῇ, ἐπίβαλλε τὸ μέλι, καὶ ὅταν συστραφῇ, ἐπίβαλλε τὰ ξηρὰ, καὶ μίξας ἐπιμελῶς κατέρα εἰς ἀγγεῖον ὑέλινον, καὶ δίδου μύστρον
D πρὸ τροφῆς. Ἄλλο Σκριβωνίου Λάργου. ♃. πρασίου χυλοῦ ξε. ϛ'. ἀειζώου χυλοῦ τὸ ἴσον, μέλιτος Ἀττικοῦ ξε. δ'. ἢ ἕνα, οἴνου Ἰταλικοῦ ξε. α'. πίσσης ὑγρᾶς Βρυτίας τὸ ἴσον, νάρδου Ἰνδικῆς, κρόκου, σμύρνης, λιβάνου, πεπέρεως λευκοῦ, ἑκάστου ἀνὰ <. η'. σκεύαζε, καὶ χρῶ καθὰ προείρηται. Ἄλλο φθισικοῖς, καὶ ῥευματιζομένοις τὸν θώρακα. ♃. σικύου ἡμέρου σπέρματος λελεπισμένου <. η'. ἀμύλου <. δ'. λινοσπέρματος, μήκωνος λευκοῦ σπέρματος, ἀνὰ <. β'. κόψας, καὶ σήσας ἀνάλαμβανε ἀποβρέγματι τραγακάνθης, ποίει τροχίσκους <. α'. ἄγοντας, καὶ δίδου τριώβολον, ἀπυρέτοις δι'
E οἴνου, καὶ μύρτου ἀποβρέγματος, πυρέττουσι, ῥοὸς χυλῷ. Ἄλλο. ♃. ἀμύλου <. δ'. σικύου ἡμέρου σπέρματος πεφωγμένου, μήκωνος λευκοῦ σπέρματος πεφωγμένου, ἀμυγδάλων κεκαθαρμένων, ἀνὰ <. β'. τραγακάνθης <. α'. καὶ τριώβολον, κρόκου <. α'. ἀνάλαμβανε τραγακάνθης ἀποβρέγματι. μετὰ ταῦτα καὶ Σκυβελίτου ἀφεψημένῳ, καὶ χρῶ ὁμοίως.

Ἄλλο Σκριβωνίου Λάργου καταπότιον, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς, ὑμένας ἀνάγει, ἀνακαθαίρει ἱκανῶς. δεῖ δὲ ἐπιμένειν τῷ φαρμάκῳ.

♃. σαγαπηνοῦ, σμύρνης, ἀνὰ <. β'. ὀπίου, καρδαμώμου, ἀνὰ <. δ'. καστορίου <. δ'. πεπέρεως λευκοῦ τριώβολον, ἀνάλαμβα-
F νε γλυκεῖ, καὶ ποίει καταπότια, δίδου δι' ὕδατος θερμοῦ πίνειν κυάθους γ'. Ἄλλη θετταλική, ἐμπυϊκοῖς, ποιεῖ καὶ πρὸς τὰ ἐν κατακαλύψει ἀποστήματα. ♃. σελίνου σπέρματος, ὀπίου, μελανθίου, ἀνὰ <. γ'. καστορίου <. β'. δαύκου σπέρματος, σίνωνος, ἴρεως, ἑκάστου ἀνὰ <. ϛ'. μέλιτι ἀφεψημένῳ ἀνάλαμβανε, καὶ δίδου καρύου Ποντικοῦ μέγεθος, μεθ' ὕδατος κυάθων τριῶν.

A Ἄλλη Κόσσου πρὸς τὰ δυσανάγωγα ὑγρὰ, ἐμπυϊκοῖς, περιπνευμονικοῖς. μάλιστα δὲ τοῖς παχέα, καὶ κολλώδη ἀνάγουσι χρήσιμός ἐστιν.

℞. Μέλιτος Ἀττικοῦ ἀφεψημένου, ὥστε κολλώδες γενέσθαι, λίτραν μίαν, πεπέρεως κεκομμένου, καὶ σεσησμένου, σμύρνης, ἀνὰ ℥ α΄. ἀναλάμβανε τὴν σμύρναν λείαν, καὶ πέπερι μέλιτι ἑφθῷ, καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος εἰς καταπότια. ἐν ἄλλαις γραφαῖς, ἔχει σμύρνης <.β΄. μέλιτος ἑφθοῦ λίτραν α΄. πεπέρεως ℥ α΄. ὀποπάνακος, ἀνὰ <.ϛ΄. σκεύαζε, καὶ δίδου ὁμοίως καθὰ προείρηται.

B Τροχίσκος ὁ διὰ τοῦ μανδραγόρου, ἐπιγράφεται σφραγίς. ποιεῖ πρὸς αἱμοπτυϊκοὺς, ἀναφορικοὺς, ἐμπυικοὺς, ἔστι δὲ καὶ ἀναξηραντικὸς παντὸς ῥεύματος.

℞. Μανδραγόρου ῥίζης φλοιοῦ <.δ΄. ὑοσκυάμου σπέρματος <.δ΄. λιβανίου ἄῤῥενος, ὀποῦ μήκωνος, κρόκου, σμύρνης, ἀνὰ <.ε΄. λεῖα ποιήσας, ποίει τροχίσκους ὀβολιαίους, καὶ δίδου καταλλήλως ταῖς διαθέσεσιν. Ἄλλο Πτολεμαίου γνωρίμου. ℞. στύρακος, ὀπίου, λιβανίου, κρόκου, ἀνὰ <.ε΄. μανδραγόρου φλοιοῦ, ὑοσκυάμου λευκοῦ σπέρματος, δαύκου Κρητικοῦ, ἀνὰ <.δ΄. κασσίας <.β΄. οἴνῳ Ἀμιναίῳ ἀναλάμβανε, καὶ δίδου ὀβολὸν μεθ᾽ ὕδατος θερμοῦ κυάθων β΄. Ἄλλο πρὸς τὰς αὐτὰς διαθέσεις. ℞. στύρακος <.ϛ΄. σμύρνης, ὀπίου, ὑοσκυάμου σπέρματος, ἐρυσίμου πεφωγμένου, ἀνὰ <.δ΄. μανδραγόρου φλοιοῦ, ὀποπάνακος, ἀνὰ <.β΄. πεπέρεως λευκοῦ, νίτρου ἀφροῦ, ἀνὰ <.α΄. μέλιτι ἑφθῷ ἀναλάμβανε, καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος. C

Ἄλλη πάγχρηστος λεγομένη, ποιεῖ βήττουσι χρονίως, ἐμπύοις, ὀρθοπνοϊκοῖς, φθοϊκοῖς. ποιεῖ πρὸς τὰς ὑποχονδρίων διατάσεις, καὶ πρὸς πᾶσαν ἐμπνευμάτωσιν, καὶ γυναιξὶν ἔμμηνα, καὶ ἐγκαταλείμματα ἐκ φθορᾶς, ἢ τόκου δεύτερα κατάγει, ἀπαλλάττει δὲ τὰς περὶ κύστιν διαθέσεις.

D ℞. τερμινθίνης <.η΄. στύρακος <.ϛ΄. σμύρνης <.ε΄. κρόκου, ἴρεως, χαλβάνης, ἀνὰ <.δ΄. ὑοσκυάμου σπέρματος, μανδραγόρου φλοιοῦ, ἐρυσίμου πεφωγμένου, ὀποπάνακος, ἀνὰ <.β΄. πεπέρεως, ἀφρονίτρου, ἀνὰ <.α΄. γλυκεῖ ἀναλάμβανε.

Χαριξένους περιπνευμονικοῖς, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς, αἱμοπτυικοῖς, βήττουσι χρονίως.

℞. σμύρνης, λιβάνου φλοιοῦ, ἐν ἄλλῳ καὶ ὀπίου, καὶ μανδραγόρου, σαγαπηνοῦ, ὑοσκυάμου λευκοῦ σπέρματος, ὀποπάνακος, δικτάμνου Κρητικοῦ, πρασίου τῶν σφαιρίων, ἀνὰ <.δ΄. ὕδατι φυράσας, ἀνάπλαττε τροχίσκους, δίδου τριώβολον καὶ μελικράτου κυάθους γ΄. Ἄλλη Ἀσκληπιάδου ἐπικληθέντος φιλοφυσικοῦ, φάρμακον ἐπιτετευγμένον. ℞. μανδραγόρου φλοιοῦ, σελίνου σπέρματος, ἀνὰ <.δ΄. σμύρνης, κρόκου, ἀνίσου, δαύκου σπέρματος, ῥοῦ ἐρυθροῦ τοῦ χυλοῦ, ὑοσκυάμου σπέρματος, πεπέρεως λευκοῦ, καστορίου, σαγαπηνοῦ, ὀποπάνακος, ἀνὰ <.β΄. μέλιτι ἑφθῷ ἀναλάμβανε, καὶ δίδου πρὸς δύναμιν. τὸ δὲ ὑγρὸν ἔστω κατάλληλον τῇ διαθέσει. E

Ἀντίδοτος θεσπεσιανὴ, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς. ποιεῖ καὶ πρὸς τὰς ἄλλας τὰς ἐντὸς διαθέσεις, πρὸ παντὸς δὲ εὐορέκτους πρὸς τροφήν.

℞. Σελίνου σπέρματος <.ιβ΄. σμύρνης, ἀνίσου, ὀπίου, ἀνὰ <.ϛ΄. πεπέρεως λευκοῦ <.ε΄. πετροσελίνου, νάρδου, πεπέρεως μακροῦ, ἀνὰ <.δ΄. καστορίου, σχοίνου ἄνθους, κρόκου, ἀνὰ <.γ΄. κινναμώμου <.β΄. κασσίας ἀρωματιζούσης <.δ΄. μέλιτι ἑφθῷ ἀναλάμβανε, καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος εἰς νύκτα, μεθ᾽ ὕδατος κυάθων γ΄. F

Ἀντίδοτος ἡ Ἀριστάρχου, δύναμις θαυμαστὴ, ταύτην Παυλίναν ὀνομάζομεν, ποιεῖ αἱμοπτυϊκοῖς, βήσσουσιν, φθισικοῖς, ἐμπυϊκοῖς, περιπνευμονικοῖς, πρὸς σπάσματα, ῥήγματα.

A *Alia Cosi, ad humores ægrè eductiles, suppuratos, peripneumonicos. Maximè autem iis, qui crassa, & glutinosa educunt, vtilis est.*

℞. Mellis attici cocti ad glutinis consistentiam ℔.i. piperis contusi, & cribrati, myrrhæ, vtriusque ℥.i. myrrham, & piper trita melle cocto excipe, & nucis ponticæ magnitudine in pillulas diuidens deuoranda præbe. In aliis exemplaribus habent myrrhæ ʒ.ii. mellis cocti ℔.i. piperis ℥.i. opopanacis ʒ. vi. præpara, ac exhibe similiter, vt prædictum est.

B *Pastillus ex Mandragora, inscribitur sphragis. Facit ad hemoptoicos, anaphoricos, Empyicos; resiccat quoque omnem fluxionem.*

℞. Radicis mandragoræ corticis ʒ. iiii. seminis hyoscyami ʒ.iiii. thuris masculi, succi papaueris, croci, myrrhæ, singulorum ʒ.v. trita redige in pastillos obolares, & præbe conuenienter iuxta affectus. *Aliud Ptolemæi familiaris.* ℞. styracis, opij, thuris, croci, singulorum ʒ. v. corticis mandragoræ, seminis hyoscyami albi, dauci cretici, singulorum ʒ. iiii. cassiæ ʒ. ii. excipe vino aminæo, ac præbe obolum cum aquæ calidæ cyathis duobus. *Aliud ad eosdem affectus.* ℞. styracis ʒ. vi. myrrhæ, opij, seminis hyoscyami, irionis torrefacti, singulorum ʒ. iiii. corticis mandragoræ, opopanacis, vtriusque ʒ. ii. piperis albi, spumæ nitri, vtriusque ʒ. i. excipe melle cocto. Dato magnitudine ciceris. C

Alia confectio Panchrestus dicta. Facit ad tussim antiquam, suppuratos, orthopnoicos, tabescentes. Prodest præcordiorum distentionibus, & ad omnem inflationem. Mulieribus menses, & quæ à fœtu corrupto, aut à partu relinquuntur, secundas deducit. Liberat etiam ab affectibus circa vesicam.

D ℞. Terebinthinæ ʒ. viii. styracis ʒ. vi. myrrhæ ʒ. v. croci, iridis, galbani, singulorum ʒ. iiii. seminis hyoscyami, corticis mandragoræ, irionis torrefacti, opopanacis, singulorum ʒ. ii. piperis, spumæ nitri, vtriusque ʒ. i. excipe passo.

Charixenis, facit peripneumonicis, phthisicis, anaphoricis, empyicis, hæmoptoicis, ac veteri tussi.

℞. Myrrhæ, corticis thuris; in alio exemplari opii, mandragoræ, sagapeni, seminis hyoscyami albi, opopanacis, dictamni cretici, pillularum marrubij, singulorum ʒ. iiii. subigito cum aqua, & in pastillos cogito. Dato ex his obol. iii. ex aquę mulsæ cyathis tribus. *Alia Asclepiadæ, qui Philophysicus appellatus est, medicamentum accommodatum.* ℞. corticis mandragoræ, seminis apij, vtriusque ʒ. iiii. myrrhæ, croci, anisi seminis dauci, succi rhois rubri, seminis hyoscyami, piperis albi, castorii, sagapeni, opopanacis, singulorum ʒ. ii. excipe melle cocto. Dato pro viribus. Liquor verò ex quo exhibetur, sit conueniens affectioni. E

Antidotus Thespesiana, phthisicis, sanguinem reijcientibus, suppuratis. Facit, & ad alios internos affectus. & præ omnibus cibi appetentiam excitat.

℞. Seminis apii ʒ. xii. myrrhæ, anisi, opii, singul. ʒ. vi. piperis albi ʒ. v. petroselini, nardi, piperis longi, singulor. ʒ. iiii. castorii, floris iunci odorati, croci, singulorum ʒ. iii. cinnamomi ʒ. ii. cassiæ aromaticæ ʒ. iiii. excipe melle cocto. Dato nucis ponticæ magnitudine ad noctem, cum aquæ cyathis tribus. F

Antidotus Aristarchi, compositio admiranda, hanc Paulinam appellamus. Facit Hæmoptoicis, tussientibus, phthisicis, suppuratis, peripneumonicis, ad conuulsa,

conuulsa, rupta, ad stomachi subuersionem, & bilem vomentes, ac secernentes, cœliacos, dysentericos. Facit ad affectus circa vesicam, suffocationes vteri, febres per circuitum repetentes, vna hora ante exacerbationem exhibita. Facit in malum habitum delapsis, cibum nō sentientibus, & ad lethalia medicamenta, ac plagas venenum iaculantium bestiarum. A

℞. Cinnamomi, costi, galbani, castorij, succi papaueris, piperis nigri, & longi, styracis, singulorum ʒ. i. mellis sextarium vnum; arida tunduntur, & cribrantur per angustissimum cribrum; galbanum coquitur cum melle, & vbi dissolutum fuerit, mel excolatur, ipsique reliqua adduntur & tunduntur; deinde in pyxidem vitream, aut argenteam reponuntur. Vsus est ad prædictas affectiones. Datur fabæ Ægyptiacæ magnitudine, cum aquæ mulsæ cyathis duobus, irroratis de digito guttis aceti nouem. B

Alia Antonij Musæ Panacea. Vsus est ea Diogas Iatraliptes. Facit ad eos, qui per circuitum à rigore infestantur, delet febres antiquas, ac reliquos morbos. Facit ad tussim veterem, phthisicos, sanguinem reijcientes, suppuratos, dyspnoicos, conuulsa, rupta, inueteratas inflammationes, splenicos, hydropicos inueteratos, cœliacos. Extrahit lapides è renibus, probè ciet vrinam. Prodest omnium reptilium plagæ, & ad lethalia venena, & ad omnem materiam venenosam, ac corruptoriam vim habentem. C

℞. Piperis albi aut longi ʒ. viii. seminis hyoscyami albi, cinnamomi, cardamomi, myrrhæ, thuris, singulorum ʒ. xii. opij, croci, vtriusque ʒ. x. sulfuris viui ʒ. vi. costi, aristolochiæ longæ, corticis mandragoræ, aut ipsorum malorum, vel foliorum, euphorbij, singulorum ʒ. iii. mellis Attici cocti, quod satis est. Datur iis, qui per circuitum infestantur, magnitudine nucis ponticæ, reliquis pro viribus.

Alia Cerusiana, data est à Philippo Trallianis. Huius vsu phthisicos, & suppuratos liberabat. D

℞. Piperis albi, succi Cyrenaici, Syriaci, succi papaueris, singulorum quadrantem; myrrhæ, croci, sulfuris viui, seminis hyoscyami albi, singulorum ℥. ß. malorum mandragoræ ʒ. ii. cardamomi ℥. i. mellis Attici ℔. i. Datur pro viribus, vt dictum est. Porrò alterum exemplar sic scriptum habebat. ℞. Piperis quadrantem, succi cyreniaci ℥. i. succi papaueris ℥. ß. succi Syriaci ℥. ß. croci ℥. i. sulfuris viui ℥. ß. myrrhæ ℥. ß. seminis hyoscyami albi, malorum mandragoræ, vtriusque ʒ. ii. cardamomi ℥. i. mellis Attici lib. i. Datur pro viribus, vt dictum est. E

CAPVT VI.

De Orthopnœa.

QVi circa febrē densè respirant, qualiter faciunt, qui velociter cucurrerunt, eos à symptomate asthmaticos medici solēt appellare. Eosdem etiam ab alio symptomate orthopnoicos vocant, propterea quòd thoracis corpus penitus rectum habere coguntur, ob timorem suffocationis; quin & stratum circa supernas partes, ad quas thorax reclinatur, sibi ipsis erectius faciunt, ne dormientes strangulentur; minus est enim, quod inspirant, quàm pro vsu respirationis, quamuis thorax plurimum ipsis dilatetur. Ex quo manifestum fit, intrinsecus ipsis coarctationem locorum factam esse præter naturam, quam etiam ægri ipsi F

πρὸς τὰς τοῦ στομάχου ἀνατροπὰς, καὶ πρὸς χολέραν, κοιλιακοὺς, δυσεντερικοὺς, ποιεῖ πρὸς τὰς περὶ κύστιν διαθέσεις, ὑστερικὰς πνιγμονάς. πρὸς τοὺς κατὰ περίοδον πυρετοὺς, πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας διδομένη, ποιεῖ καχεκτικοῖς, ἀποσφόδοις. πρὸς τὰ θανάσιμα τῶν φαρμάκων, καὶ τὰς τῶν ἰοβόλων πληγάς.

℞. κινναμώμου, κόστου, χαλβάνης, καστορίου, ὀποῦ μήκωνος, πεπέρεως μέλανος, καὶ μακροῦ, στύρακος, ἀνὰ < α'. μέλιτος ξε. α'. τὰ ξηρὰ κόπτεται, καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ, ἡ δὲ χαλβάνη, ἕψεται μετὰ μέλιτος. καὶ ὅταν διαλυθῇ, διϋλίζεται τὸ μέλι, καὶ τούτῳ ἐπιβάλλεται τὰ λοιπὰ, καὶ ἀνακόπτεται, εἶτα ἀποτίθεται εἰς πυξίδα ὑελίνην, ἢ ἀργυρέαν, καὶ χρώμεθα πρὸς τὰς εἰρημένας διαθέσεις. ἡ δόσις κυάμου Αἰγυπτίου τὸ μέγεθος, μεθ' ὑδρομέλιτος κυάθων β'. ἐπιρραινομένων τῷ δακτύλῳ ὄξους σταγόνων θ'.

Αλλη Αντωνίου Μούσα, πανάκεια. ἐχρήσατο Διόγας ἰατραλείπτης. ποιεῖ τοῖς κατὰ περίοδον ὑπὸ ῥίγους ὀχλουμένοις, ἀνασκευάζει χρονίους πυρετοὺς, καὶ τὰ λοιπὰ νοσήματα, ποιεῖ βησσουσι χρονίως, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς, δυσπνοϊκοῖς, πρὸς σπάσματα, ῥήγματα, κεχρονισμένας ἐμπνευματώσεις. σπληνικοῖς, ὑδρωπικοῖς κεχρονισμένοις, κοιλιακοῖς. κατάγει τοὺς ἐν νεφροῖς λίθους, ἔστι δὲ καὶ διουρητικὴ ἀγαθή. ποιεῖ καὶ πρὸς παντὸς ἑρπετοῦ πληγὴν, καὶ πρὸς τὰ θανάσιμα τῶν φαρμάκων, καὶ πρὸς πᾶσαν φθοροποιὸν ὕλην.

℞. Πεπέρεως λευκοῦ, ἢ μακροῦ < η'. ὑοσκυάμου λευκοῦ σπέρματος, καρδαμώμου, σμύρνης, λιβάνου, ἀνὰ < ιβ'. ὀπίου, κρόκου, ἀνὰ < ι'. θείου ἀπύρου < ς'. κόστου, ἀριστολοχίας μακρᾶς, μανδραγόρου φλοιοῦ, ἢ τῶν μήλων, ἢ τῶν φύλλων, εὐφορβίου, ἀνὰ < γ'. μέλιτος Αττικοῦ ἀφεψημένου, ὅσον ἐξαρκεῖ. ἡ δόσις τοῖς κατὰ περίοδον ὀχλουμένοις, καρύου Ποντικοῦ τὸ μέγεθος, τοῖς δὲ λοιποῖς πρὸς δύναμιν.

Αλλη Κερουσιανὴ. ἐδόθη ὑπὸ φιλίππου Τραλλιανοῖς. ταύτῃ χρώμενος, φθισικοὺς, ἐμπυϊκοὺς ἀπήλλαττεν.

℞. Πεπέρεως λευκοῦ, ὀποῦ Κυρηναϊκοῦ, Συριακοῦ, ὀποῦ μήκωνος, ἀνὰ ℔ γ'. σμύρνης, κρόκου, θείου ἀπύρου, ὑοσκυάμου λευκοῦ σπέρματος, ἀνὰ ℔ S'. μανδραγόρου μήλων < β'. καρδαμώμου ℔ α'. μέλιτος Αττικοῦ λίτρας α'. ἡ δόσις πρὸς δύναμιν καθὰ προείρηται. ὡς ἐν ἑτέρῳ ἀντιγράφῳ ἐγέγραπτο. ℞. πεπέρεως ℔ γ'. ὀποῦ Κυρηναϊκοῦ ℔ α'. ὀποῦ μήκωνος ℔ S'. ὀποῦ Συριακοῦ ℔ S'. κρόκου ℔ α'. θείου ἀπύρου ℔ S'. σμύρνης ℔ S'. ὑοσκυάμου λευκοῦ σπέρματος, μανδραγόρου μήλων, ἀνὰ < β'. καρδαμώμου ℔ α'. μέλιτος Αττικοῦ λίτρας α'. ἡ δόσις πρὸς δύναμιν, καθὰ προείρηται.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ ὀρθοπνοίας.

ΤΟὺς διὰ τῶν πυρετῶν ἀναπνέοντας πυκνὸν ὁποῖον οἱ δραμόντες ὠκέως, ἀπὸ τοῦ συμπτώματος ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ἀσθματικούς, τοὺς δ' αὐτοὺς τούτους, ἀφ' ἑτέρου συμπτώματος, ὀρθοπνοϊκοὺς καλοῦσιν, ἐπεὶ διὰ παντὸς ἀναγκάζονται, τὸ τοῦ θώρακος σῶμα πάνυ ὄρθιον ἔχειν, φόβῳ τοῦ πνιγῆναι, καὶ τήν γε στρωμνὴν, ἐν τοῖς ἄνω μέρεσιν, οἷς ὁ θώραξ ἐπικλίνεται, παρασκευάζουσιν ἑαυτοῖς ὀρθοτέραν, ὅπως μὴ πνιγῶσιν κοιμώμενοι. τὸ γὰρ εἰσπνεόμενον αὐτοῖς, ἔλαττόν ἐστιν ἢ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς, καίτοι διαστελλομένου τοῦ θώρακος ἐπὶ πλεῖστον, ᾧ καὶ δῆλον, ἐντὸς αὐτοῖς στενοχωρίαν γίνεσθαί τινα παρὰ φύσιν, ἧς ἐναργῶς, καὶ οἱ πάσχοντες αὐτοὶ

A τὴν αἴσθησιν ἔχουσι. γίνεται μὲν οὖν, καὶ τοῖς ἐμπυϊκοῖς ὀνομαζομένοις ἡ στενοχωρία, διὰ τὸ μεταξὺ θώρακός τε, καὶ πνεύμονος ἠθροισμένον ὑγρόν. γίνεται δέ. καὶ τοῖς περιπνευμονικοῖς, διὰ τὴν τοῦ πνεύμονος φλεγμονήν. ὑπόλοιποι δέ εἰσιν δύο διαθέσεις, αἱ στενοχωρίαν ἐργαζόμεναι ταῖς ὁδοῖς τοῦ εἰσπνεομένου πνεύματος, ὅταν ἤτοι πλῆθος ὑγρῶν παχέων τε, καὶ γλίσχρων, ἐμπλασθῇ τοῖς βρογχίοις τοῦ πνεύμονος, ἤ τις ὄγκος ἀποστηματικὸς ἐν αὐτῷ συστῇ. καὶ ἥ γε θεραπεία, τὸ μέν τι κοινὸν ἔχει τῶν διαθέσεων ἀμφοτέρων, τὸ δέ τι καὶ καθ' ἑτέραν B ἴδιον. κοινὸν μὲν, ἐκδαπανῆσαι, καὶ ἀναλῶσαι τὴν περιουσίαν τῆς τὰ πάθη γεννώσης ὑγρότητος. ἴδιον δὲ, τῆς μὲν τῶν γλίσχρων τε, καὶ παχέων ὑγρῶν, διὰ τῶν λεπτυνόντων τε καὶ ῥυπτόντων φαρμάκων. τῆς δὲ τῶν ἀποστηματικῶν ὄγκων, διὰ τῶν λεπτυνόντων τε, καὶ ξηραινόντων, ἥ τις αὖ πάλιν πᾶσι τοῖς ἐν τῷ βάθει τοῦ σώματος ἀποστήμασίν ἐστι κοινή. οἴνου μὲν οὖν πόσις, ἀμφοτέραις ἁρμόζει, λεπτοῦ τῇ συστάσει. τὸ δὲ σύμπαν ποτὸν, ὀλίγον μὲν, οἷς ἀπόστημά που γίνεται, πολὺ δὲ, οἷς ἐμπέφρακται τὰ βρογχία τοῖς γλίσχροις ὑγροῖς καὶ παχέσιν. τὰ γὰρ ἀπορρύπτοντα τοὺς τοιούτους αὐτῶν χυμοὺς C φάρμακα, κινεῖ μὲν ἐξ ἀνάγκης βῆχας, οὐκ εὐκόλως δὲ ἀναπτύεται τὸ ἀπορρυπτόμενον, διὰ τὸ πάχος. ὑγρότητος οὖν αὐτοῖς δεῖ πλείονος, ὡς ἀναφέρεσθαι ῥᾳδίως. καθάπερ δὲ ἐν τοῖς ἄλλοις φαρμάκοις, ἀδιορίστως οἱ πλεῖστοι τῶν ἰατρῶν, οὕτω κἀν τοῖς πρὸς ταῦτα ἀμφότερα χρησίμοις, ἁμαρτάνουσιν. καὶ μὲν δὴ καὶ σύγκειταί τινα μὲν τῶν φαρμάκων, θατέρῳ τῶν παθῶν χρήσιμα, τινὰ δὲ, θατέρῳ, τινὰ δὲ, ὡς πρὸς ἄμφω μὲν ἁρμόττειν μετρίως, ἀξιόλογον δὲ μηδὲν ὠφελεῖν. ἐπισημανοῦμαι δὲ καθ' ἕκαστον ὧν ἔγραψαν οἱ πρὸ D ἐμοῦ φαρμάκων ἀξιολόγων, ὁποίαν τὴν δύναμίν ἐστιν, ἀρξάμενος ἀπὸ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων ἐν τῷ δευτέρῳ τῶν ἐντός.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα δυσπνοϊκοῖς φάρμακα.

Ἐκλεικτὸν δυσπνοϊκοῖς Ἀντωνίου Μούσα. Ὄνων τῶν ὑπὸ ταῖς ὑδρίαις ξέστην α'. ἐμβαλὼν εἰς ἄγγος κεραμεοῦν φρύγε ἐπ' ἀνθράκων, λευκανθέντας δὲ τρίβε, καὶ μέλιτι ἑφθῷ ἀναλάμβανε, καὶ δίδου μύστρον ἐκλείχειν πρὸ τροφῆς. Ἄλλο. σκίλλης ὠμῆς τὸν χυλὸν ἔκθλιβε, τούτῳ παραμέτρει μέλιτος Ἀττικοῦ τοσόνδε, καὶ θεὶς ἐπ' ἀνθράκων E ἕψε, καὶ δίδου μύστρον πρὸ τροφῆς, καὶ μετὰ τροφήν. Ἄλλο Χαριξένους. ℞. ὀριγάνου < η'. θύμου κόμης, ἴρεως Ἰλλυρικῆς, καλαμίνθης ξηρᾶς, πεπέρεως λευκοῦ, ἀνίσου πεφωγμένου ἑκάστου τοσόνδε, κόπτε, καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, καὶ ἀναλάμβανε μέλιτι ἑφθῷ, δίδου τὸ καρύου Ποντικοῦ τὸ μέγεθος. Ἄλλο. ℞. πεπέρεως λευκοῦ λίτραν α'. λιβυστικοῦ ℥ο δ'. καλαμίνθης ξηρᾶς, ἀνίσου πεφωγμένου, γλήχωνος ἀκάρπου, ἀνὰ F ℥ο γ'. σελίνου σπέρματος καὶ θύμου κόμης, ἀνὰ ℥ο α'. ἀναλάμβανε μέλιτι, καὶ σκευάσας, χρῶ καθὰ προείρηται.

Πόμα δυσπνοϊκοῖς, Χαρικλέους, φάρμακον ἐπιτετευγμένον, ὠφελεῖ παραχρῆμα.

℞. Σταφίδος Ῥοδίας, χωρὶς τῶν γιγάρτων, ὀξύβαφον, τήλεως πεπλυμμένης τὸ ἴσον, ὕδατος ὀμβρίου ξέστην α'. ἕψε μέχρι διαλύσεως, καὶ τὸ ὑγρὸν διηθήσας, ἀπόθου. ἐκ τούτου δίδου,

non obscuro sensu perceptant. Fit equidem, & suppuratis locorum coarctatio ob coaceruatum inter thoracem, & pulmonem humorem. Fit etiam peripneumonicis, ob pulmonis inflammationem. Restant autem adhuc duo affectus, qui locorum coarctationem efficiunt in viis, per quas aër inspiratur, quum sanè, aut humorum crassorum, ac viscosorum multitudo pulmonis bronchiis fuerit infarta; aut tumor abscessui similis in ipso constiterit. Cæterùm curatio amborum affectuum aliquid commune habet, aliquid priuatum, & alteri tantùm proprium. Commune quidem vtrisque est vt redundantia humoris affectiones generantis expendatur, & consumatur. Proprium autem affectioni viscosorum, ac crassorum humorum, vt per attenuantia, & extergentia medicamenta consumantur; ei verò, quæ propter tumorem abscessui similem contingit, vt per attenuantia, & resiccantia eadem consumptio fiat; quæ curatio rursus omnibus in profundo corporis abscessibus communis existit. Vini itaque potus ambabus conuenit, tenuis substantiâ. Omnis autem potus modicus sit in iis, qui alicubi abscessum habent: multus contra in iis, quibus bronchia viscosis, ac crassis humoribus sunt obturata. Etenim medicamenta, quæ eiusmodi ipsorum humores abstergunt, necessariò quidem tusses mouent, non verò facilè per sputum reiicitur, quod abstersum est, ob crassitudinem videlicet; quapropter humectatione multa opus habent, quo facilè efferatur. Porrò quemadmodum in aliis medicamentis plurimi medici, sic etiam in iis, quæ ad ambas has affectiones commoda sunt, delinquunt, indefinitè ipsa tradentes, quum tamen composita sint, quædam medicamenta, alteri affectioni commoda, quædam rursus alteri, quædam verò sic, vt ad ambas quidem moderatè conueniant, verùm nihil operæpretium efficiant. Quare recensendo medicamenta alicuius pretii à prioribus medicis prodita, indicabo iuxta singula, quali facultate prædita sunt. initio ab iis, quæ Asclepiades scripsit in secundo Internorum, facto.

Asclepiadæ medicamenta ad Dyspnoicos conscripta.

Eclegma ad Dyspnoicos, Antonij Mus. asellorum sub hydriis nascentium sextarium vnum in vas fictile coniicito, & ad prunas torreto; inalbatos autem terito, ac melle cocto excipito; & ante cibum mystrum deligendum dato. *Aliud.* scillæ crudæ succum exprimito, eique parem mellis Attici mensuram addito, & ad prunas admota coquito. Dato inde ante, & post cibum mystri mensuram. *Aliud. Charixeni.* ℞. Origani ʒ viii. comæ thymi, iridis Illyricæ, calaminthæ siccæ, piperis albi, anisi torrefacti, singulorum tantumdem; tundito, & per angustissimum cribrum concernito, ac melle cocto excipito. Dato nucis ponticæ magnitudinem. *Aliud.* ℞. piperis albi ℔. i. libystici trientem; calaminthæ siccæ, anisi tosti, pulegii semen non gerentis, singulorum quadrantem; seminis apii, comæ thymi, vtriusque ℥. i. excipe melle, & præparato vtere, vt prædictum est.

Potio ad Dyspnoicos, Chariclis medicamentum accommodatum; auxiliatur confestim.

℞. Vuæ passæ Rhodiæ exacinatæ acetabulum, fœnigræci loti tantundem, aquæ pluuiæ sextarium j. coquito, donec dissoluantur, & liquorem excolatum reponito. Ex hoc præbeto assiduè,

&

& iuxta singulas irritationes cyathi mensuram calefactam. *Alia potio.* ℞. abrotoni partes duas, vuæ passæ pinguis tantundem, summitatum rutæ partem vna, aquæ pluuialis sextarios iii. coquito ad tertias, & exprimito liquorem; eique mellis ℥. x. addito, rursúsque coquito; ac dato, vt prædictum est. *Catapotium Dyspnoicu, & Asthmaticus.* ℞. Abrotoni, virgultorum rutæ, comæ absinthii, singulorum ʒ. iv. tusa, & cribrata aceto subigito; & catapotia xii. formato. Dato ex aceto mulso. *Aliud Nicerat.* ℞. castorii, ammoniaci thymiamatis, abrotoni, singulorum ʒ. i. absinthii, cumini Æthiopici, vtriusque ʒ. i. aceto subigito, ac catapotia formato; ac dato ad ciceris magnitudinem.

Medicamentum ex sulfure viuo Dyspnoicis.

℞. Anisi, sulfuris viui, vtriusque quadrantem; ammoniaci thymiamatis, castorii, melanthii, singulorum ʒ. iv. aqua diluta in catapotia cogito; vnúmque in aceti mulsi cyath. iii. dato. *Aliud.* ℞. seminis rutæ syluestris ʒ. iv. aristolochiæ, abrotoni, absinthii, ammoniaci thymiamatis, sulfuris viui, singulorum tantudem; aceto subigito, & catapotia ciceris magnitudinis formato; ex quibus duo cùm aceti mulsi calidi cyathis tribus exhibeto. Hęc omnia medicamenta ab Asclepiade conscripta, iis qui propriè dyspnoici appellantur conueniunt. Vocant autem sic eos, quibus bronchia pulmonis crassis, & viscosis humoribus sunt obfarta, in quibus velut dixi, vltra hoc quòd crassitudinem, & viscositatem humorum necessariò secamus, atque attenuamus, humiditatem quandam cum medicamentis, tum victui, adesse oportet. At verò abscessus, qui attenuantibus, & resiccantibus opus habent, maximè gaudent aromatum facultatibus; quas omnes ostendimus tenuium partium esse, & resiccatorias, vnà cum hoc quòd calefaciant. Quare iis, qui propriè orthopnoici, & asthmatici appellantur, medicamenta conuenient secantia citra calefactionem; & ob id maximè eos iuuat acetum scilliticum appellatum, atque ipsa adeo scilla, & acetum mulsum ex eiusmodi aceto confectum. Cæterùm asellorum sub hydriis nascentium meminit inter ea, tanquam attenuatoriam, & discussoriam vim habeant; verùm quo consilio ad vsum ipsorũ peruenerit, non habeo quod dicam. quemadmodum autem in hac affectione vehementer cauendum est, ne calefaciamus, propterea quod viscosi, & crassi humores non solùm nihil ab his auxilii sentiunt, sed etiam offenduntur; eodem modo etiam, quæ valdè refrigerant vitanda sunt; omnia enim crassefaciunt, & cogunt, ac coagmentant humores, eósque ægrè eluibiles reddunt. Et ob hanc rem sanè rectè fecerunt, qui eiusmodi medicamenta composuerunt, quòd neque papaueris succum, neque mandragoræ succum, aut radicis corticem, aut hyoscyami semen, aut cicutæ, aut psyllii, aut semen lini, admiscuerunt; & multò magis, quòd neque ex adstringentibus quippiam pharmacis addiderunt; maximè enim contraria sunt eiusmodi affectibus, vt palam videtis.

Quæ medicamenta Andromachus ad huiusmodi affectus conscripsit.

Ad Dyspnœam. ℞. sulfuris viui ʒ. j. seminis rutæ syluestris ʒ. j. aristolochiæ, absinthii, ammoniaci thymiamatis, abrotoni, singulorum

A θερμαίνων συνεχῶς, καὶ καθ' ἑκάστην ἐπισημασίαν, κυάθου τὸ πλῆθος. Αλλο. ℞. ἀβροτόνου μέρη δύο, σαφίδος λιπαρᾶς τὸ ἴσον, πηγάνου ἀκρεμόνων μέρος ἕν, ὕδατος ὀμβρίου ξε γ'. ἕψε εἰς τὸ τρίτον, καὶ τὸ ὑγρὸν ἔκθλιβε, καὶ τούτῳ ἐπιβαλὼν μέλιτος ℥ ι'. πάλιν ἕψε, καὶ δίδου καθὰ προείρηται. καταπότιον δυσπνοϊκοῖς, ἀσθματικοῖς. ℞. ἀβροτόνου, πηγάνου ἀκρεμόνων, ἀψινθίου κόμης, ἀνὰ < δ'. κόψας καὶ σήσας, ὄξει φυράσας, ποίει καταπότια δεκαδύο, καὶ δίδου μετ' ὀξυμέλιτος. Αλλο Νικηράτου. ℞. καστορίου, ἀμμωνιακοῦ θυμιάματος, ἀβροτόνου, ἀνὰ < α'. ἀψινθίου, κυμίνου Αἰθιοπικοῦ, ἀνὰ B < α'. ὄξει φυράσας, ἀνάπλαττε καταπότια, καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος.

Τὸ διὰ θείου ἀπύρου δυσπνοϊκοῖς.

℞. Ανίσου, θείου ἀπύρου, ἀνὰ ℥ γ'. ἀμμωνιακοῦ θυμιάματος, καστορίου, μελανθίου, ἀνὰ < δ'. ὕδατι διαλύσας, ποίει καταπότια, καὶ δίδου ἓν δι' ὀξυμέλιτος κυάθων τριῶν. Αλλο. ℞. πηγάνου ἀγρίου σπέρματος < δ'. ἀριστολοχίας, ἀβροτόνου, ἀψινθίου, ἀμμωνιακοῦ θυμιάματος, θείου ἀπύρου, ἑκάστου τὸ ἴσον, ὄξει φυράσας, C ἀνάπλαττε καταπότια ἐρεβίνθου τὸ μέγεθος, καὶ δίδου δύο μετ' ὀξυμέλιτος θερμοῦ κυάθων γ'. ταῦτα πάντα τὰ φάρμακα, τὰ ὑπ' Ασκληπιάδου γεγραμμένα, τοῖς ἰδίως δυσπνοϊκοῖς ὀνομαζομένοις ἁρμόζει. καλοῦσι δὲ οὕτως, ὅσοις ἐμπέπλησται τὰ βρογχία τοῦ πνεύμονος, ὑγρῶν παχέων τε καὶ γλίσχρων, ἐφ' ὧν, ὡς ἔφην, μετὰ τοῦ τέμνεσθαι, καὶ λεπτύνεσθαι τὸ πάχος τε, καὶ τὴν γλισχρότητα τῶν χυμῶν, ὑγρότητός τι δεῖ προσεῖναι τοῖς φαρμάκοις καὶ τῇ διαίτῃ. τὰ δὲ ἀποστήματα, τῶν λεπτυνόντων, καὶ ξηραινόντων δεόμενα, χαίρει μάλιστα ταῖς D τῶν ἀρωμάτων δυνάμεσιν, ἃς ἐπεδείξαμεν ἁπάσας εἶναι λεπτομερεῖς τε καὶ ξηραντικάς, μετὰ τοῦ θερμαίνειν, ὥστε τοῖς ἰδίως λεγομένοις ὀρθοπνοϊκοῖς τε, καὶ ἀσθματικοῖς, ἁρμόσει τὰ τέμνοντα φάρμακα χωρὶς τοῦ θερμαίνειν, καὶ διὰ τοῦτο μάλιστα αὐτοὺς ὀνίνησιν ὄξος, τὸ σκιλλητικὸν ὀνομαζόμενον. αὐτή τε ἡ σκίλλα, καὶ τὸ διὰ τοῦ τοιούτου ὄξους ὀξύμελι. τῶν δὲ ὑπὸ ταῖς ὑδρίαις ὄνων, μέμνηται ἐπ' αὐτῶν, ὡς λεπτυντικὴν ἐχόντων, καὶ διαφορητικὴν δύναμιν. ἐκ τίνος δὲ ἐννοίας, ἐπὶ τὴν χρῆσιν αὐτῶν ἧκεν, οὐκ ἔχω φάναι. καθάπερ δὲ τὸ θερμαῖνον, σφό- E δρα φυλακτέον ἐστὶν ἐπὶ τοῦ τοιούτου πάθους, διὰ τὸ, τοὺς γλίσχρους τε καὶ παχεῖς χυμοὺς οὐ μόνον οὐδὲν ὀνίνασθαι πρὸς αὐτῶν, ἀλλὰ καὶ βλάπτεσθαι, τὸν αὐτὸν τρόπον, ὅσα ψύχει σφοδρῶς, φυλάττεσθαι χρή. παχύνει γὰρ ἅπαντα, καὶ συνάγει τοὺς χυμοὺς, καὶ δυσαπονίπτους ἐργάζεται, καὶ διὰ τοῦτο, καλῶς ἐποίησαν οἱ συνθέντες τὰ τοιαῦτα φάρμακα, μήτε μήκωνος ὀπὸν, μήτε μανδραγόρου χυλὸν, ἢ τῆς ῥίζης φλοιὸν, ἢ ὑοσκυάμου σπέρμα μίξαντες, ἢ κωνείου, ἢ ψυλλίου, ἢ λινοσπέρμου, πολὺ δὲ μᾶλλον, οὐδὲ τῶν στυφόντων τι φαρμάκων. ἐναν- F τιώτατα γάρ ἐστι ταῖς τοιαύταις διαθέσεσιν, ὡς ὁρᾶτε.

Τὰ ὑπ' Ανδρομάχου γεγραμμένα φάρμακα, πρὸς τὰς τοιαύτας διαθέσεις.

Πρὸς δύσπνοιαν. ℞. Θείου ἀπύρου δραχμὴν μίαν, πηγάνου ἀγρίου σπέρματος δραχμὴν μίαν, ἀριστολόχου, ἀψινθίου, ἀμμωνιακοῦ θυμιάματος, ἀβροτόνου,

ἀνὰ <.δ'. λεαίνας ὄξει, ἀνάπλαττε ἡλίκα κύαμος, δίδου πρωῒ, τρεῖς, καὶ ὀψὲ, τρεῖς. Ἄλλο πρὸς δύσπνοιαν, ὡς Ἀλκίμιος. ℞. κολοκυνθίδος σαρκὸς τριώβολον, πάνακος τριώβολον, ἀνίσου ὀβολὸν α'. ἀναλάμβανε ὕδατι καταπότια δ'. καὶ ξηράνας δίδου ὀβολόν. πρὸ μιᾶς δὲ κενούσθω ἁπλῷ κενώματι. Ἄλλο. ℞. κολοκυνθίδος <. α'. S''. Ἰλλυρίδος <. β'. ὀποπάνακος ῥίζης <.β'. ἀβροτόνου <.α'. νίτρου <.α'. οἱ δὲ τριώβολον. ὕδατι ἀναλάμβανε, καὶ ποίει κυάμου μέγεθος. ἡ δόσις δ'. διαστήσας ἡμιώριον, δίδου μελικράτου κοτύλης S''. Ἄλλο. ℞. νάπυος <.α'. ἁλὸς κοινοῦ τριώβολον, ἐλατηρίου τριώβολον, οἱ δὲ ὀβολὸν α' S''. λεαίνας μεθ' ὕδατος, ἀνάπλαττε τροχίσκους ὀκτὼ. παρ' ἡμέραν μεθ' ὑδρομέλιτος. Ἄλλο. ℞. ἀμμωνιακοῦ θυμιάματος <.α'. ἀβροτόνου <.β'. θείου ἀπύρου <.α'. σὺν ὕδατι ἀνάπλαττε τροχίσκους, καὶ δίδου σὺν ὑδρομέλιτι κυάθοις τρεῖς. ἄλλο πρὸς ὀρθοπνοϊκούς. ℞. ἐλατηρίου ἡμιωβόλιον, ὄνους τοὺς ἀπὸ τῶν κοπρίων γ'. λεαίνας ὁμοῦ τὸ ἥμισυ δίδου, σὺν ὕδατος κυάθῳ ἑνί. ἄλλο, ὡς Φιλῖνος, πρὸς ἆσθμα καὶ δύσπνοιαν. ℞. καρδαμώμου <.γ'. ἴρεως <.α' S''. πάνακος <.α' S'' κασσίας <.α'. S''. στρουθίου <.α'. S''. στύρακος <.β'. θύμου <.η'. πηγάνου ἀγρίου σπέρματος <.η'. ἀβροτόνου <.η'. ἀριστολοχίας κληματίτιδος, θείου ἀπύρου, ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ <.η'. σὺν ὄξει δριμεῖ, ποιήσας πάχος κηρωτῆς, δίδου κυάμου Αἰγυπτίου μέγεθος, ἐν ὕδατος κυάθοις τρισί. πρὸς ὀρθόπνοιαν ὡς Ἀπολλώνιος. ℞. σκίλλης μέρος α'. θείου ἀπύρου, ἀσφάλτου, ἀνὰ μέρος α'. ἡ δόσις τριώβολον ἐν ὀξυμέλιτι. πρὸς ὀρθόπνοιαν παρὰ Σωσικράτους. ℞. ὀποπάνακος < α. σμύρνης < α'. πεπέρεως κόκκους μ'. πηγάνου δεσμίδιον, ὅσον τοῖς δυσὶ δακτύλοις, ποιήσας λεῖα, ἀνάπλαττε καταπότια εἴκοσι, καὶ δίδου πρωῒ ἕν, καὶ δείλης ἕν, πυρέσσουσιν ἐν ὕδατος κυάθοις δυσὶν, ἀπυρέτοις μετ' οἴνου. πρὸς ὀρθόπνοιαν Ἀνδρονίκου. ℞. θείου ἀπύρου τριώβολον, ἀμμωνιακοῦ θυμιάματος < α'. ἀνίσου, σμύρνης, καστορίου, ἀνὰ < α'. κυμίνου Αἰθιοπικοῦ < α'. μεθ' ὕδατος ἀνάπλασσε τροχίσκους, ἀνὰ γράμματα τρία, ἢ τέσσαρα, εἰς κοίτην δίδου μεθ' ὕδατος κυάθων β'. πρὸς ὀρθοπνοϊκοὺς, βηχικοὺς, περιπνευμονικοὺς, φθισικευομένους, δυσπνοοῦντας, ἡπατικοὺς, ὡς Εὐγένιος. ℞. κρόκου < η'. μίσυος < δ'. δαφνίδων < β'. πεπέρεως λευκοῦ καὶ μακροῦ ἀνὰ < α'. ὀπίου < γ'. κόστου τριώβολον, τερμινθίνης ὀβολοὺς ε'. χαλβάνης τριώβολον, γλυκείας χυλοῦ ὀβολοὺς δύο κόμμεως ὀβολὸν α'. μέλιτος λίτραν S''. δίδου κοχλιάριον ἓν, μεθ' ὕδατος κυάθων δυοῖν, ἢ τριῶν. ἐὰν δὲ ἐπείγῃ, καὶ πρὸ τροφῆς, καὶ μετὰ τροφήν. πρὸς ὀρθοπνοϊκοὺς Οὐάλεντος. ℞. ὀποπάνακος < β'. κολοκυνθίδος σαρκὸς < α'. ἡ τελεία δόσις ἔστω αὕτη. Ἄλλη Ὀνήτορου. ℞. καστορίου < α'. ἀμμωνιακοῦ θυμιάματος < β'. τούτου τὸ ἥμισυ διδόσθω μετὰ μελικράτου. πρὸς δύσπνοιαν τὸ τοῦ Ποδανίτου. ℞. νάπυος < α'. ἁλὸς < α'. νίτρου τριώβολον, ποιήσας ὀκτὼ καταπότια, δίδου εἰς νύκτα, δύο, καὶ διαλείπων ἡμέραν, εἶτα καὶ ἓξ δίδου, ἀναλάμβανε ὕδατι.

A ʒ. iiij. trita cum aceto, ad catapotia magnitudine fabæ redige. Dato mane tria, & vesperi totidem. *Aliud ad Dyspnœam, vt Alcimius.* ℞. colocynthidis carnis obolos iij. panacis obol. iij. anisi obolum vnum; fac cum aqua catapotia iiij. & resiccatorum obol. j. præbeto. Præcedente autem die æger simplici euacuatorio euacuetur. *Aliud.* ℞. colocynthidis sesquidrachmam, iridis Illyricæ ʒ. ij. radicis opopanacis ʒ. ij. abrotoni ʒ. j. nitri ʒ. i. alij obol. iij. excipe aqua, & redige ad fabæ magnitudinem. Dantur catapotia quatuor, & post semihoræ spatium datur aquæ mulsæ hemina dimidia. B *Aliud.* ℞. sinapi ʒ. j. salis communis obol. iij. elaterij obol. iij. alij obol. j. & dimidium; terito cum aqua; fac pastillos viij. dato alternis diebus cum hydromelite. *Aliud.* ℞. ammoniaci thymiamatis ʒ. j. abrotoni ʒ. ij. sulfuris viui ʒ. j. formato cum aqua pastillos, & cum aquæ mulsæ cyathis tribus præbeto. *Aliud ad Orthopnoicos.* ℞. elaterij oboli dimidium, asellos ex sterquiliniis iij. terito simul; & dimidium ex aquæ cyatho vno dato. *Aliud vt Philinus ad asthma, & dyspnœam.* ℞. cardamomi ʒ. iii. iridis ʒ. j. ß. panacis ʒ. i. ß. cassiæ ʒ. j. ß. struthij ʒ. i. ß. styracis. ʒ. ii. thymi ʒ. viii. seminis rutæ syluestris ʒ. viii. abrotoni ʒ. viii. aristolochiæ clematitidis, sulfuris viui, ammoniaci thymiamatis, singulorum ʒ. viii. cum acri aceto ad cerati crassitudinem redige; præbe fabæ Ægyptię magnitudine ex aquæ cyath. iii. C *Ad Orthopnœas, vt Apollonius.* ℞. scillæ partem vnam; sulfuris viui, bituminis, singulorum partem vnam. Dantur oboli tres in aceto mulso. *Ad Orthopnœam, Sosicratis.* ℞. Opopanacis ʒ. i. myrrhæ ʒ. i. piperis grana xl. rutæ fasciculum quantus duobus digitis apprehendi potest; ex tritis catapotia xx. formato. Dato manè, itemque vesperi vnum, febricitantibus in aquæ cyathis duobus, aliis ex vino. D *Ad Orthopnœam, Andronici.* ℞. sulfuris viui obol. iij. ammoniaci thymiamatis ʒ. i. anisi, myrrhæ, castorii, singulorum ʒ. i. cumini Æthiopici ʒ. i. cum aqua pastillos cogito scrupulorum trium, aut quatuor. Dato ad noctem ex aquæ cyathis duobus. *Ad Orthopnoicos, tussientes; peripneumonicos, tabescentes, ægrè spirantes, hepaticos, vt Eugenius.* ℞. croci ʒ. viii. misyos ʒ. iiii. baccarum lauri ʒ. ii. piperis albi, & longi, vtriusque ʒ. i. opii ʒ. iii. costi obol. iii. terebinthinæ obol. v. galbani obol. iii. succi radicis dulcis obol. ii. gummi obol. i. mellis lib. dimidiam. E Dato cochleare vnum cum aquæ cyathis duobus; aut tribus; si res vrgeat, ante, & post cibum. *Ad Orthopnoicos, Valentis.* ℞. Opopanacis ʒ. ii. carnis colocynthidis ʒ. i. Tantum datur ad summum. *Aliud Onetri.* ℞. castorii ʒ. i. ammoniaci thymiamatis ʒ. ii. Detur dimidium ex aqua mulsa. *Ad Dyspnœam, Podanitæ.* ℞. Sinapi ʒ. i. salis ʒ. i. nitri obol. iii. redigito in catapotia viii. Dato ex his duo ad noctem, & intermittens diem, postea etiam sex deinceps dato; aqua excipe.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΟΝ Η'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBER OCTAVVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Η'. ΒΙΒΛΙΩι.

Ενταῦθα συγγράφεται φάρμακα τὰ τοῖς πάθεσι τῆς γαστρός τε, καὶ ἥπατος ἁρμόττοντα.

ARGVMENTVM LIBRI OCTAVI.

Hic medicamenta ventriculi, ac hepatis affectibus curandis idonea conscribuntur.

CAPVT PRIMVM.

De medicamentis Stomacho congruis.



QVOD semper dico, etiam nunc proloquar, nimirum persuasum me habere, quòd difficillimũ sit ad veritatem reuocare eos, qui Sectæ alicuius seruituti sese addixerunt. Verùm qui prudentes sunt, simúlque veritatem syncerè amant, eos spero custodituros esse ea, quæ veluti iudicandi instrumenta nobis à natura data sunt, ad actionum vitæ cognitionem, experientiam dico, & rationẽ. Quæ quidem vtraque ex æquo quibusdam conferunt ad artem, quibusdam verò alterum altero amplius; & tamen tanquam semper ad perfectionem alterum altero opus habeat. Sic sanè ad residuũ sermonis, & doctrinæ huius absoluendum progrediar. Falsæ etenim opiniones animas hominum præoccupantes non solum surdos, sed & cæcos faciũt, ita vt videre nequeant, quæ aliis conspicuè appareant. Quod ipsum, vel maximè circa affectiones oris ventris videre contingit, præsertim quum fuerit inflãmatum. Eius enim, itémq; iecinoris inflammationes astringentium complexu opus habent; si namque per laxatoriũ medicationis ductum, citra admixtionem facultatis robur addentis, curẽtur, periculum incurrunt de ipsa vita. Atq; hoc ipsum quum oẽs Empirici medici per experientiã edocti sint, & omnes Dogmatici in ipsis artis operibus obseruent, non pauci tamen huius temporis Methodici,

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν τῷ στομάχῳ ἁρμοττόντων φαρμάκων.

A



ΟΠΕΡ ἀεὶ λέγω, καὶ νῦν ἐρῶ, πεπεισμένος ὅτι χαλεπώτατόν ἐστι, μεταστῆσαι πρὸς τὴν ἀλήθειαν, τοὺς φθάσαντας αἱρέσει δουλεύειν. ὅσοι δὲ συνετοί τε ἅμα, καὶ ἀληθείας ὄντως φίλοι, τούτους ἐλπίζω φυλάξειν τὰ παρὰ τῆς φύσεως ἡμῖν δοθέντα κριτήρια τῶν κατὰ τὸν βίον πράξεων, ἐμπειρίαν, καὶ λόγον. ἐπ' ἐνίων μὲν ἴσον ἑκάτερον συντελοῦν εἰς τὴν τέχνην, ἐπ' ἐνίων δὲ, πλέον θατέρου θάτερον, ἀεὶ μέντοι πρὸς τὸ τέλεον, ἑκατέρου δεόμενον, οὕτω ποιήσομαι τὸν λόγον. αἱ γάρ τοι ψευδεῖς δόξαι, προκαταλαμ-

B βάνουσαι τὰς ψυχὰς τῶν ἀνθρώπων, οὐ μόνον κωφοὺς, ἀλλὰ καὶ τυφλοὺς ἐργάζονται, τῶν τοῖς ἄλλοις ἐναργῶς ὁρωμένων. ὅπερ οὐχ ἥκιστα καὶ περὶ τῶν κατὰ τὸ στόμα τῆς κοιλίας παθῶν ἐστιν, καὶ μάλισθ' ὅταν φλεγμαίνῃ. δέονται γὰρ αὗται, καὶ αἱ τοῦ ἥπατος φλεγμοναὶ, τῆς τῶν στυφόντων παραπλοκῆς. ἐὰν γὰρ ὑπὸ τῆς χαλαστικῆς ἀγωγῆς, ἀμίκτου τῆς τονωτικῆς δυνάμεως γινομένης, θεραπεύωνται, κίνδυνον ἐπάγονται περὶ τῆς ζωῆς αὐτῆς, καὶ τοῦτο, πάντων μὲν τῶν ἐμπειρικῶν ἰατρῶν ὑπὸ τῆς πείρας δεδιδαγμένων, πάντων δὲ τῶν δογματικῶν, ἐπὶ τῶν ἔργων τῆς τέχνης φυλαττόντων, οὐκ ὀλίγοι τῶν νῦν μεθοδικῶν,

οὐ γὰρ δὴ πάντες γε, μυρίοις μὲν αὐτοὶ στομαχικοῖς συγκοπῆς αἴτιοι γεγόνασιν, ἅπαντας δὲ τοὺς ἡπατικοὺς ἀναιροῦσιν, οὐδένα γὰρ εἶδον ἐγὼ σωθέντα, τῶν εἰς τοιοῦτον ἰατρὸν ἐμπεσόντων. τινὲς δὲ αὐτῶν, ὀλίγοι μὲν, καταντλοῦσιν ἐλαίῳ, κόμην ἐναποζεννύντες ἀψινθίου, καὶ ναρδίνῳ μύρῳ βρέξαντες, ἔριον ἐπιδέουσιν. ἔνιοι δὲ καὶ μαστίχης χίας μιγνύουσιν, ἢ ἀλόης, ἢ μήλινον ἀντὶ νάρδου παραλαμβάνουσιν. ἐπὶ δὲ τῶν πλουσίων γυναικῶν, καὶ τὸ καλούμενον ὑπ' αὐτῶν φουλίατον καὶ σπικάτον προσφέρουσι, καὶ ταῦτα ποιοῦντες, οἴονται τὴν χαλαστικὴν ἀγωγὴν φυλάττειν, τοσοῦτον αὐτοῖς περίεστιν ἐμπειρίας, φαρμάκων δυνάμεως. εὐξαίμην ἂν πάντας οὕτως ἀμαθεῖς εἶναι μᾶλλον, ἢ γινώσκοντας τὰ στύφοντα, φυλάττεσθαι τὴν χρῆσιν αὐτῶν. ὅσα μὲν οὖν ἐν ἐπιβροχαῖς τε, καὶ καταπλάσμασι τῶν στυφόντων μίγνυται, τοῖς ἧπαρ, ἢ στόμα γαστρὸς ἀλγοῦσιν, ὃ δὴ καὶ στόμαχον καλοῦσιν, οὐ τοῦ παρόντος λόγου διελθεῖν, ὅσα δὲ ἐν φαρμάκοις ἐμπλαστοῖς, καὶ κηρωτοειδέσιν ἔξωθεν ἐπιτιθεμένοις, ὅσα τε ἐν τοῖς καταπινομένοις ἐστὶ χρήσιμα, ταῦτα δηλώσω, τὰ τῶν φλεγμαινόντων πρῶτα γράψας ἐπειδὴ καὶ μάλιστα κινδυνεύουσιν ἐπ' αὐτοῖς οἱ κάμνοντες. Κηρωτῇ μὲν οὖν, ᾗ συνεχῶς χρῶμαι, δι' ἀλόης καὶ μαστίχης, καὶ κηροῦ Ποντικοῦ τοῦ πικροῦ, καὶ ναρδίνου μύρου. συντίθεται δὲ χειμῶνος μὲν εἰς <.η'. τοῦ κηροῦ γο α'. μετρικῆς Ῥωμαϊκῆς ἐμβαλλομένης τοῦ ναρδίνου μύρου, θέρους δὲ, εἰς ζ'. κατὰ τὴν ἀναλογίαν τοῦ μύρου. κάλλιστον δὲ εἶναι χρὴ τὸ μύρον, ὁποῖον ἔμπροσθεν μὲν ἐν Λαοδικείᾳ τῆς Ἀσίας ἐσκευάζετο μόνῃ, νυνὶ δὲ, καὶ κατὰ πολλὰς ἄλλας Ἀσιανὰς πόλεις ὁμοίως συντίθεται. κηρὸς δὲ, εἰ μὴ Ποντικὸς ὁ πικρὸς εὐποροῖτό σοι, τὸν γοῦν ἄλλον Ποντικὸν ἔμβαλλε, κἀκείνου μὴ παρόντος, τὸν καλούμενον Τυρρηνικόν. σὺ δὲ μηδ' ἐκεῖνος παρῇ, τῶν ἄλλων τινὰ τῶν εὐωδῶν, καὶ λιπαρῶν. εἰ δὲ μηδὲ τοιοῦτον ἔχοις, τὸν εὐπορηθέντα σοι κηρὸν πλύνας, ἔμβαλλε· τηκέσθω δὲ ἐν ἀγγείῳ διπλῷ, κἄπειτα ψυχθεῖσαν τὴν κηρωτὴν ξύων, μίγνυε λελειωμένοις ἀκριβῶς τῇ τε ἀλόῃ, καὶ τῇ μαστίχῃ. ἔστω δὲ ἑκατέρου <. α'. καί ποτε καὶ πλεῖον, καὶ μὴ ὥστε ὑπερβάλλειν μίαν τε καὶ ἡμίσειαν. εἰ δὲ καὶ πλέονος δέοιτο στύψεως, ἀτονίας οὔσης, ὡς μηδὲ τῆς τροφῆς κρατεῖν, προσμιγνύσθω καὶ ὀμφακίου τὸ ἴσον, ὥστε τῶν τριῶν ἑκάστου δραχμὴν εἶναι μίαν, τῆς ἀλόης λέγω, καὶ τῆς μαστίχης μίαν, καὶ τρίτην τοῦ ὀμφακίου. μιγνύσθω δὲ ἐν τῇ σκευασίᾳ τῆς κηρωτῆς, πρῶτον μὲν ὀμφάκιον, εἶθ' οὕτω τὰ ἄλλα τούτοις ἑνούσθω, μίγνυμι δ' ὥσπερ ὀμφάκιον, οὕτω καὶ ἀψινθίου χυλόν. ἔστι δ' ὅτε καὶ ἄμφω, καὶ τρίτης ἐπ' αὐτοῖς τῆς ὑποκυστίδος, καὶ τετάρτης οἰνάνθης, οὕτω δ' ὀνομάζω τὸ τῶν ἀγρίων ἀμπέλων ἄνθος ἢ ἐκβλάστημα σὺν τοῖς ἄνθεσιν, ἐξ οὗ, ταῖς ἡμέραις ἡ σταφυλὴ γίνεται. καὶ μέντοι καὶ ῥοῦ χυλὸν οὐκ ὀλιγάκις ἔμιξα, καὶ παραύξειν δὲ χρὴ τῆς ναρδίνης κηρωτῆς τὸ πλῆθος, ἀνάλογον τῷ τῶν ἄλλων φαρμάκων ἀριθμῷ, ὥστε, αἱ τέσσαρες ἐκ τῶν ἄλλων ἀθροίζονται δραχμαὶ, τέτταρας γο εἶναι τῆς ναρδίνης κηρωτῆς, δύο μὲν τοῦ κηροῦ, δύο δὲ τῆς νάρδου, τουτέστιν ἑκκαίδεκα δραχμὰς ἑκατέρου. χρονιζούσης δὲ τῆς φλεγμονῆς, καὶ σκληρυνομένης ἤδη, ποικιλώτερα φάρμακα προσφέρειν χρὴ καὶ τῶν ἀρωμάτων ἔχοντά τι, καὶ τῶν μαλακτικῶν τε, καὶ διαφορητικῶν φαρμάκων, ὁποῖόν ἐστι καὶ τὸ διὰ τοῦ μελιλώτου σκευαζόμενον.

A neque enim de omnibus dico) innumeros quidem stomachicos ipsi in animi deliquium inducunt, omnes verò hepaticos occidunt; nullum enim ego vidi seruatum ex iis, qui in eiusmodi medicum inciderunt. Quidam tamen ex ipsis quanquam pauci, oleo eos fouent, in quo absinthij coma est feruefacta, & lanam nardino vnguento imbutam obligant. Quidam verò etiam mastichen chiam, aut aloën admiscent, aut etiam pro nardino melinum adhibent. In diuitibus verò mulierculis foliatum, & spicatum ab eisdem appellata vnguenta admouent; atque quum hæc faciunt, laxatorium ductum se ser-
B uare putant, tantum scilicet habent experimenti facultatis medicamentorum. Malim autem ego omnes sic indoctos esse, quàm quod adstringentia, quæ sint, sciant, vsum tamen ipsorum vitent. Quæcunque igitur astringentia in fomenta, & cataplasmata misceantur in hepatis, aut oris ventris, quod sanè, & stomachum vocant, affectionibus, non est præsentis sermonis explicare. Quæcunque verò in emplastra, & ceratiformia medicamenta, quæ forinsecus imponuntur, commoda sunt, & quæcunque vtiliter deuorantur, hæc ipsa indicabo, ea, quæ inflammatis prosunt
C primum tradendo, quandoquidem etiam in ipsis ægri maximè periclitantur. Ceratum igitur quo assiduè vtor, ex aloë, & mastiche, & cera pontica amara, atque vnguento nardino, constat. Componitur autem hyeme, ad viij. drachmas, ceræ, vncia j. mensurali Romana vnguenti nardini coniecta; Æstate autem ad vij. eadem vnguenti proportione. Optimum autem vnguentum esse oportet, quale antea quidem in sola Laodicea Asiæ præparabatur; nunc verò etiam in aliis multis Asianis vrbibus similiter componitur. Cera si non pontica amara tibi in promptu sit, aliam
D ponticam conijce; & neque illa præsente, eam quæ tyrrhenica appellatur; si verò neque hæc adsit, aliam aliquam odoratam, & pinguem; si neque talem habeas, eam quam habere potes, lotam adde. Liquefiat autem in duplici vase, atque ita refrigeratum, & erasum ceratum cum tritis reliquis probè permisce, cum aloë videlicet, & mastiche. Sit autem vtriusque drach. j. & quandoque plus, non tamen, vt sesquidrachmam transgrediaris. Quòd si ampliori opus sit adstrictione, nimirum debilitate tanta existente, vt cibum retinere non possint, omphacium pari pondere addatur, vt
E trium singulorum drachma sit vna, aloës vna, mastiches vna, & tertia omphacij. Cæterùm in cerati præparatione primum omphacium misceatur, deinde etiam alia his vniantur. At verò quemadmodum omphacium, sic etiam absinthij succum admisceto, quandoque etiam ambo, & tertium insuper hypocystidis, & quartũ œnanthes, sic autẽ appello vitium syluestrium florem aut germen vnà cum floribus, ex quo succedẽtibus diebus vua fit; quin & rhois succum non rarò admiscui. Sed, & cerati nardini copiam augere oportet iuxta proportionem numeri reliquorum medicamento-
F rum, ita vt si quatuor drachmæ aliarum rerum accumulentur, triens sit nardini cerati, sextans quidem ceræ, sextans item nardini vnguenti, hoc est vtriusque drach. xvj. Porrò si inueterata fuerit inflammatio, & iam obdurata, magis varia medicamenta adhibere oportet, & quæ ex atomaticis quippiam habeant, ac mollientibus, & discussoriis; quale est, quod fit ex meliloto.

Est autem compositio ipsius multiformis, propterea quòd omnibus iuxta præcordia inflammatis conuenit, non magnis adeo differentiis euarians, ita vt aliqua ipsis præparatio inflammato hepati sit commodior, alia stomacho, aut aluo, aut spleni, aut quibusdam istius loci musculis, quæ omnes communi descriptione comprehensæ sunt in malagmatum compositionibus. Verùm in præsenti loco ea, quæ prioribus medicis ad omnes stomachi affectus scripta sunt, & non solùm forinsecus imposita, sed etiam in potu accepta auxiliantur, omnia conscribentur; quædam verò ex ipsis communia sunt etiam affectionibus ventris.

Sæpenumero iam dictum est, quòd medici in more habent, os ventris veluti cor, sic etiam stomachum appellare; verùm quondam frequentior cordis appellatio erat; nunc autem ab ea adhuc restant, *corde dolere*, & *cordis dolor*; quibus vocibus non cordis, sed oris ventris, dolores significantur. Partem autem ipsam stomachum vocant equiuocè cum illa parte, quæ cibum ex ore in ipsam defert. Scripserunt igitur priores medici medicamenta ad affectus in ipso, quum alias, tum subuersiones ab ipsis appellatas; videntur autem sic vocare, tum appetitus perditionem, tum nauseosas dispositiones, in quibus aliquando quidem vomitus contingunt. Fiunt autem, & morsus quidam in ipso, quemadmodum etiam magnæ famis, & anxiæ affectiones. In quibus omnibus communis quidam astringentium medicamentorum vsus inuentus est; admixta autem sunt plerisque ipsorum calefacientia, & resiccantia. Fiunt, & aliæ affectiones rariores, humectantibus, aut refrigerantibus, aut vtrisque simul, opus habentes. Cæterùm qui ab experientia citra rationalem methodum auxilia inueniunt, meritò ea, quæ sæpe iuuerunt, in memoriam reuocant, & in vsum conuertunt; eorum enim, quæ sæpe eodem modo facere visa sunt, obseruationem, & memoriã, suam ipsorum experientiam esse aiunt. Quemadmodum autem in ore ventris, sic etiam circa ipsum totum, singuláque intestina, & vt comprehensim dicam, circa omnem corporis partem, eædem intemperaturæ obortæ, actiones similarium partium offendunt; quas si quis non esse morbos ipsarum credet, nihil circa cognitionem efficiet, qua ignorata, neque curationem inueniet. Habent autem non modicam coniecturam cognitiones ipsæ affectuum in profundo corporis consistentium; & ob id vtilissima medicæ artis pars est, quæ cognitionem docet eiusmodi affectionum; quas neque quòd primæ, & maximæ sunt, plerique ex vulgo medici sciunt; quare meritò neque cognitionem ipsam, neque curationem inuestigarunt. Coguntur igitur, etiam si dogmatici sint, in rationalibus methodis ad solam experientiam peruenire; vt iustè miremur quòd, quum absque febre, & inflammatione abscessúque, & vlceratione quispiam debiliter concoquat, aut penitus non concoquat, promissione facta se inuenturos curationem, quærant an contritione ciborum concoctio fiat; & deinde vbi hoc vt maximum inuenerint, edulia, quæ facilè conterantur, exhibent, neque quod promptissimum est intelligentes; quod etiam quispiam rei medicæ rudis, aliàs autem prudens vir me interrogauit; Quomodo prodest scire per contritionem ciborum fieri concoctionem ad hoc, vt quis affectionem ventris sanet, in qua debilitatur ad concoctionem ciborum?

A ἔστι δὲ ἡ σύνθεσις αὐτοῦ πολυειδεστέρα, διὰ τὸ πᾶσι τοῖς καθ' ὑποχόνδριον φλεγμαίνουσιν ἁρμόττειν, ὑπαλλαττόμενον οὐ μεγάλαις διαφοραῖς, ὥστε τὴν μέν τινα σκευασίαν αὐτοῦ, τοῖς περὶ ἧπαρ εἶναι χρησιμωτέραν, τὴν δέ τινα, τοῖς περὶ τὸν στόμαχον, ἢ κοιλίαν, ἢ σπλῆνα, ἤ τινα τῶν ἐνταῦθα μυῶν, ἃ κοινῇ γραφῇ περιείληπται πάντα, κατὰ τὰς τῶν μαλαγμάτων συνθέσεις. ἐν δὲ τῷ παρόντι, τὰ γεγραμμένα τοῖς πρὸ ἐμοῦ, πρὸς ἁπάσας τὰς περὶ τὸν στόμαχον διαθέσεις, οὐ διὰ τῆς ἔξωθεν ἐπιθέσεως τῶν φαρμάκων μόνον, ἀλλὰ καὶ διὰ πό-B σεως ὠφελοῦντα, γραφήσεται πάντα. τινὰ δὲ αὐτῶν ἐστὶ κοινὰ καὶ τοῖς κατὰ τὴν γαστέρα πάθεσιν.

Εἴρηται πολλάκις, ὡς τὸ τῆς γαστρὸς στόμα, καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ὥσπερ καρδίαν, οὕτω καὶ στόμαχον. ἀλλὰ πάλαι μὲν, ἦν συνηθέστερον τὸ τῆς καρδίας ὄνομα, νυνὶ δὲ, ἀπ' ἐκείνου μὲν ἔτι διαμένει τὸ καρδιάσειν, καὶ ἡ καρδιαλγία. τὸ δὲ μόριον αὐτὸ, στόμαχον ὀνομάζουσιν, ὁμωνύμως τῷ καταφέροντι τὴν τροφὴν ἐκ τοῦ στόματος εἰς αὐτήν. γεγράφασιν οὖν οἱ πρὸ ἡμῶν, φάρμακα πρὸς τὰς ἐν αὐτῷ διαθέσεις, ὥσπερ τὰς ἄλλας, οὕτω καὶ τὰς ὀνομαζομένας αὐτοῖς ἀνατροπάς· ἐοίκασι δ' οὕτω καλεῖν, τάς C τε ἀνορεξίας, καὶ τὰς ναυτιώδεις διαθέσεις, ἐφ' αἷς ἐνίοτε μὲν συμβαίνουσιν ἔμετοι· γίνονται δὲ καὶ δήξεις ἐν αὐτῷ τινες, ὥσπερ βουλιμώδεις τε, καὶ ἀσώδεις διαθέσεις, ἐφ' ὧν ἁπασῶν, κοινὴ μέν τις ἡ τῶν στυφόντων φαρμάκων εὕρηται χρῆσις. ἐπιμέμικται δ' αὐτῶν τοῖς πλείστοις, τὰ θερμαίνοντα, καὶ ξηραίνοντα. γίνονται δὲ καὶ αἱ ἄλλαι διαθέσεις σπανιώτεραι, τῶν ὑγραινόντων, ἢ ψυχόντων, ἢ ἀμφοτέρων ἅμα δεόμεναι φαρμάκων. τοῖς δὲ ἐκ πείρας, ἄνευ λογικῆς μεθόδου τὰ βοηθήματα εὑρίσκουσιν, εἰκότως τὰ D πολλάκις ὠφελήσαντα, μνημονεύεταί τε, καὶ εἰς χρῆσιν ἄγεται. τῶν γὰρ πλειστάκις ὡσαύτως ἑωραμένων, τήρησίν τε, καὶ μνήμην εἶναι φασὶ τὴν ἑαυτῶν ἐμπειρίαν. ὥσπερ δὲ ἐν τῷ στόματι τῆς κοιλίας, οὕτω καὶ κατ' αὐτὴν ὅλην, ἕκαστόν τε τῶν ἐντέρων, καὶ συνελόντι φάναι, κατὰ πᾶν μόριον τοῦ σώματος αἱ αὐταὶ δυσκρασίαι γινόμεναι, τὰς ἐνεργείας τῶν ὁμοιομερῶν βλάπτουσιν, ἅς, εἰ μή τις εἶναι πεισθείη τὰ νοσήματα αὐτῶν, οὐδὲ ἂν ἀσκήσειε τὴν διάγνωσιν. ἀγνοήσας δὲ αὐτὴν, οὐδὲ τὴν θεραπείαν εὑρήσει. ἔχουσι δ' οὐκ ὀλίγον στοχασμὸν, αἱ δια-E γνώσεις τῶν ἐν τῷ βάθει τοῦ σώματος συνισταμένων διαθέσεων, διὸ καὶ χρησιμώτατόν ἐστι τῆς ἰατρικῆς τέχνης μόριον, τὸ διαγνωστικὸν τῶν τοιούτων διαθέσεων, ἃς οὐδ' ὅτι πρῶταί τε καὶ μέγισταί εἰσι, γινώσκουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, ὥστε εἰκότως, οὔτε διάγνωσιν αὐτῶν, οὔτε θεραπείαν ἐζήτησαν. ἀναγκάζονται τοίνυν, εἰ καὶ δογματικοὶ τύχοιεν ὄντες, τὰς λογικὰς μεθόδους, ἐπὶ τὴν ἐμπειρίαν ἀφικνεῖσθαι μόνην, ὥστε θαυμάζειν, ὅταν ἄνευ πυρετοῦ, καὶ φλεγμονῆς, ἀποστήματός τε, καὶ ἑλκώσεως, ἀσθενῶς τινος πέττοντος, ἢ μηδ' ὅλως πέττοντος ἐπαγγελλόμενοι θε-F ραπείαν εὑρεῖν, ζητῶσιν εἰ τῇ τρίψει τῶν σιτίων, ἡ πέψις γίνεται, κἄπειτα ὡς μέγιστον τοῦτο εὑρηκότες, εὔτριπτα διδόασιν αὐτὰ τὰ ἐδέσματα, μηδὲ τὸ προχειρότατον ἐννοοῦντες, ὃ καὶ τῶν ἰδιωτῶν ἰατρικῆς, ἄλλως δὲ συνετῶν ὄντων ἀνδρῶν, ἤρετό μέ τις, ὅπως χρήσιμόν ἐστι τὸ γνῶναι τῇ τρίψει τὴν πέψιν γίνεσθαι, πρὸς τὸ, τὴν διάθεσιν ἐξιάσασθαι τῆς γαστρὸς, καθ' ἣν ἀτονεῖ πέττειν τὰ σιτία,

πρὸς τῷ μηδὲ θεραπείαν εἶναι τὴν τῶν αὐτείων προσ- A φορὰν, ἀλλὰ μόνον ἔκκλισιν τῆς βλάβης, ὥσπερ καὶ τὴν ὀλιγοσιτίαν τε, καὶ ἀσιτίαν. ὥσπερ γὰρ ὁ ἀσιτήσας, οὐκ ἀπεπτήσει μὲν, οὐ μὴν ἐθεραπεύθη τὴν διάθεσιν, οὕτως οὐδ' ὁ τὰ μηδ' ὅλως δεόμενα τρίψεως προσφερόμενος, ὁποῖόν ἐστι τὸ γάλα, καὶ ὁ τῆς πτισάνης χυλὸς, καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. ταῦτα μὲν οὖν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν αὐτάρκως λέλεκται, καὶ δῆλον ὅτι τοῖς ἐν ἐκείνοις γεγυμνασμένοις, ἡ νῦν ἐνεστῶσα διδασκαλία χρήσιμος ὑπάρχει. καθάπερ δὲ ἐπὶ τῶν ἄλλων, ὡς ἔμπροσθεν εἶπον, ἀναμιμνήσκων ἕκαστα τῶν ἐν ἐκείνῃ μοι προδεδειγμέ- B νων κεφαλαίων, ἐπὶ τὴν περὶ τῶν φαρμάκων σύνθεσιν ἠρχόμην, οὕτω καὶ νῦν ποιήσω.

Δυσκρασιῶν οὐσῶν ὀκτὼ καθ' ἕκαστον τῶν μορίων, καὶ τούτων ἁπασῶν γινομένων, ἢ κατὰ ψιλὰς καὶ μόνας τὰς ποιότητας, ἢ καὶ μετά τινος χυμοῦ, τὴν μὲν κατὰ ξηρότητα δυσκρασίαν, ὑγραίνειν χρὴ, τὴν δὲ καθ' ὑγρότητα, ξηραίνειν, οὕτω δὲ καὶ τὴν κατὰ θερμότητα, ψύχειν, τὴν δὲ κατὰ ψύξιν, θερμαίνειν χρή. ὁμοίως δὲ καὶ τὰς συνθέτους δυσκρασίας, ἤτοι θερμαίνειν, καὶ ξηραίνειν, ἢ ὑγραίνειν καὶ θερμαίνειν, ἢ ψύχειν καὶ ὑγραίνειν, ἢ ξηραίνειν καὶ ψύχειν. ἐπεὶ δὲ, ὡς ἔφην, αἱ C πλεῖσται δυσκρασίαι, τοῖς ἀνθρώποις, ἐκ περιουσίας ὑγρῶν μᾶλλον, ἢ ἐνδείας γίνονται, τὰ ξηραίνοντα φάρμακα τοὺς πολλοὺς ὀνίνησι μᾶλλον. ἐπὶ δὲ τῶν ξηραινόντων, τὰ μὲν στύφει, συνάγοντα καὶ στύφοντα τὴν τῶν ὁμιλούντων οὐσίαν. τὰ δὲ διαφορεῖ, κἂν τούτῳ διαλύοντα τὴν οὐσίαν αὐτῶν, διὰ τοῦτο, πλείους εἰσὶν οἱ τῶν στυφόντων δεόμενοι. ἀλλ' ἐὰν μετὰ ψύξεως ἡ ὑγρὰ δυσκρασία γίνηται, βλάπτονται διὰ τῶν στυφόντων μόνων θεραπευόμενοι, ψυχρῶν ὄντων ταῖς δυνάμεσιν. εἰκότως οὖν τὰ πλεῖστα τῶν διὰ πείρας εὑρημένων φαρμάκων, ἐκ μικτῆς ὕλης σύγκειται, D στυφούσης τε, καὶ θερμαινούσης. γνωρίσεις δὲ αὐτῶν τὴν διαφορὰν τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἔχων τὴν μνήμην. εἴρηται γάρ μοι πολλάκις ἤδη, μηδένα δύνασθαι, λογικῶς τε καὶ κατὰ μέθοδον, τοῖς ἐν τῇδε τῇ πραγματείᾳ γεγραμμένοις χρήσασθαι, χωρὶς τοῦ μεμνῆσθαι τῶν εἰρημένων ἐν ταῖς πρὸ ταύτης δύο πραγματείαις, τῆς τε τῶν ἁπλῶν φαρμάκων δυνάμεως, καὶ τῆς θεραπευτικῆς μεθόδου. τινὲς μὲν γὰρ, ἄνευ διορισμοῦ τινος, ἔγραψαν φάρμακα πρὸς τὰς τοιαύτας διαθέσεις στομάχου τε καὶ γαστρὸς, ἔνιοι δὲ ἐφήψαντο διορισμῶν τινων, ἀπὸ συμπτωμάτων ἅ- E πασι φαινομένων. ὅπως οὖν καὶ ὑμεῖς εἰδῆτε γνωρίζειν ἑκάστου τῶν διὰ πείρας εὐδοκιμησάντων φαρμάκων τὰς δυνάμεις, εἰ καὶ μὴ προσγεγραμμένας εὑρίσκοιτε τὰς διαφορὰς τῶν διαθέσεων, ἐφ' ὧν ἁρμόττουσιν, παραγράψω πρῶτας μὲν τὰς ὑπ' Ἀνδρομάχου γεγραμμένας, εἶτα τὰς ὑπ' Ἀσκληπιάδου, καὶ μετὰ ταύτας, ἐὰν δόξῃ, καὶ ἄλλας τινάς.

quum non per exhibitionem alimentorum, quæ facilè conterantur, curatio fiat, sed læsio tantùm euitetur velut etiam per paucum alimentum, ac inediam. Quemadmodum enim qui inediam perfert, in concoctionis quidem debilitatem non incurrit, non tamen ab affectu hoc modo curatur, sic neque qui in cibo accipit ea, quæ in totum nulla contritione opus habent; quale est lac, ptissanæ succus, & sorbitiones ex alica. Hæc quidem igitur in libris De curandi methodo sufficienter tradita sunt, & non obscurum est, præsentem doctrinam vtilem esse iis, qui se in illis præexercuerunt. Quemadmodum autem in aliis, quæ prius tradidi, reuocatis in memoriam singulis illic mihi præmõstratis capitibus, ad medicamentorum compositionem progressus sum, sic etiam nunc faciam.

Quum octo sint in singulis partibus corporis intemperaturæ, atque hæ omnes, aut circa solas nudas qualitates, aut cum alicuius humoris complexu fiant, intemperiem quidem siccam humectare oportet, humidam autem siccare; sic & calidam refrigerare, frigidam calefacere; similiter verò etiam compositas intemperaturas, aut calefacere, & siccare, aut humectare, & calefacere, aut refrigerare, & humectare, aut siccare, & refrigerare oportet. Quando verò velut dixi, plurimæ intemperaturæ hominibus ex redundantia humorum magis, quàm ex inopia fiunt, medicamenta resiccantia plerosque magis iuuant. At verò quum resiccantia partim quidem astringant cogendo, ac astringendo substantiam eorum, quæ contingunt; partim verò discutiant, & in hoc substantiam ipsorum dissoluant; ob hoc ipsum sanè plures sunt, qui astringentibus indigent, verùm si humida intemperies cum frigiditate fiat, læduntur qui per sola astringentia curantur, quæ frigidæ facultatis existunt. Quapropter meritò plurima pharmaca per experientiam inuenta, ex mixta materia componuntur astringente videlicet, & calefaciente. Verùm ipsorum differentiam cognosces, si simplicium medicamentorum facultatem memoria tenueris. Dictum enim iam mihi sæpe est, neminem posse rationabiliter, & secundum methodum vti his, quæ in hoc opere conscripta sunt, si non memoria teneat, quæ in duobus operibus, ante hoc opus editis prodita sunt, de simplicium medicamentorum facultate, & curandi methodo dico. Quidam enim absque discrimine medicamenta ad eiusmodi affectus stomachi, & ventris conscripserunt; quidam verò aliqua discrimina attigerunt à symptomatis, quæ omnibus apparent. Quò igitur, & vos cognoscere sciatis facultates vniuscuiusque medicamenti per experientiam longam approbati, etiam si non inueneritis differentias affectionum, in quibus conueniunt, ascriptas, primùm quidem ea, quæ Andromachus prodidit, ascribam; deinde, quæ Asclepiades, & post hæc, si ita videbitur, etiam alia quædam.

ΚΕΦΑΛΑΙΟΝ Β'.

F

Αἱ ὑπ' Ἀνδρομάχου γεγραμμέναι στομαχικαὶ δυνάμεις.

ΠΡογράψας Ἀνδρόμαχος, στομαχικαὶ, μετὰ τὴν προγραφὴν τήνδε, οὕτως ἤρξατο. πρὸς στομαχικοὺς, ἱερὰ ἡ χρωμένη, κἄπειθ' ἑξῆς ἔγραψε τὴν ὅλην αὐτῆς σύνθεσιν, ὧδέ πως ἔχουσαν. ℞. σχοίνου ἄνθους, ξυλοβαλσάμου,

CAPVT II.

Confectiones Stomachicæ Andromachi.

ANdromachus postquam præscripsit, Stomachicæ, post hanc præscriptionem, sic auspicatur. *Ad Stomachicos Hiera qua utor & deinceps totam eius compositionem [illegible] modum.* ℞. schœnanthi, xylobalsami, ma-

stiches,

masticheſ, croci, nardi Indicæ, aſari, cinnamomi, ſingulorum ʒ. vi. aloës lotæ ʒ. c. ſimul trita repone. Præbe ieiunis cochlearia duo, alii vnum præbent cum aquæ frigidæ cyathis quatuor, aut calidæ. Hæc quidem Andromachus ſcripſit, neque quos ſtomachicos nominet oſtendens, ac declarans; neque an omnibus ipſis hoc medicamentum conueniat, an pluribus. Itaque id mihi neceſſarium eſt dicere; quum ex iis, qui ſtomachici dicuntur, aliqui quidem ſtatim magnopere ex prædictæ hieræ vſu iuuentur, aliqui verò lædantur; plerique quidem vulgò homines eos, qui appetentiam perdiderunt, ita vocant; & quibus poſt acceptum cibum ventris os grauatur, atque opprimitur, & quandam ægrè tolerabilem anxietatem habet. Appellant eodem modo etiam illos, quibus nauſea contingit, & maximè ſi ad vomitum impellat; & adhuc magis, ſi ſimul cibi corrumpantur, quandoque acidi, quandoque nidoroſi facti, quandoque etiam aliam vitiatam qualitatem adepti. Et præ his omnibus, adhuc magis illos ſtomachicos nominãt, quibus ructus eiuſmodi cum moleſtia quadam, & anxietate, ac ſubuerſione contingunt ſæpe, quum nondum cibum acceperunt. Quin etiam ſi per plurimum tempus cibi in ore ventris morentur grauantes, & vix deſcendentes, hos itidem ſtomachicos appellant. Alios item appetitũ caninum appellatum habentes, & vt plurima edant, & maximè grauati paulo poſt reuomãt, ſimiliter vocant. Alios rurſus, qui fortiter exoluuntur, vbi diutius inediam pertulerint; &, ſi non citius cibum accipiant, in ore ventris morſus percipiunt; eodem modo ſtomachicos vocant. Horum ipſorum verò aliqui facilè nauſeoſi fiunt, niſi citius potum, ac cibum acceptent. Itaque qui ſecundum rationalem methodum auxilia inueſtigat, ad affectus inquiſitionem procedit; quâ inuentâ, abundaturum ſe ſperat propriis ipſi auxiliis. Qui verò per ſolam experientiam auxilia accumulat, ipſe ſuam fortuitam occaſionem expectat, & à prioribus tradita relegit. Quum verò plurima ab ipſis indefinitè prodita ſint, & in pleriſque etiam inter ſe differant, ac diſſentiant, meritò etiam ipſe aliâs aliud ſentit, maximè vbi ab ipſis auxiliis aliquando quidem iuuari ſtomachicos videt, aliquando verò lædi; quemadmodum in propoſita hiera contingere ſolet, quam quidem omnes, qui nunc Romæ medicantur, picram .i. amaram, nominant, quandoquidem hieræ appellationem medicamento ex colocynthide cenſuerint adſcribendam. Verùm qui ante nos Romæ medicinam exercuerunt, ambo ea medicamenta hieras appellarunt, & diſtinctionis gratia, alteri ex colocynthide, alteri ex aloe, appoſitionem addiderunt, ſic ſcribentes; hiera ex colocynthide; hiera ex aloë. Hiera itaque ex aloë dupliciter præparatur, ab aliquibus, velut Andromachus deſcribit, ad centum aloës drachmas ſingulorum aliorũ drachmis ſex admixtis; ab aliquibus verò non ſex, ſed octo. Quidam verò in octoginta aloës drachmas, ſex aliorum addunt. Plurimi autem ad medicamẽta, quæ aloæ miſcentur, & ſex numero ſunt, etiam florem iunci odorati apponunt. At verò ipſam aloen Andromachus quidem lotam, aliqui verò ex aliis etiam ſic, aliqui verò illotam adiiciunt. Verùm noſſe operæpretium eſt ad ventris ſubductionem illotam aloen aptiorem eſſe; multum verò de medicamẽtoria vi deponere lotam, quam etiam febricitantibus dare aliquis audeat, ſi non vehemens, ſed valdè debilis, ſit febris.

A μαστίχης, κρόκου, νάρδου Ἰνδικῆς, ἀσάρου, κινναμώμου, ἀνὰ < ϛʹ. ἀλόης πεπλυμμένης < ρʹ. ὁμοῦ λεάνας ἀπόθεσο, δίδου νήστει κοχλιάρια βʹ. οἱ δὲ ἓν, μεθ' ὕδατος ψυχροῦ κυάθων δʹ. ἢ θερμοῦ. ταῦτα μὲν οὖν ὁ Ἀνδρόμαχος ἔγραψεν, οὔτε τίνας ὀνομάζει στομαχικοὺς δηλώσας, οὔτε εἰ πᾶσιν αὐτοῖς ἁρμόττει τὸ φάρμακον, οὔτ' εἰ πλείοσιν. ἐμοὶ τοίνυν ἀναγκαῖον εἰπεῖν, ἐπειδὴ τῶν λεγομένων στομαχικῶν, ἔνιοι μὲν ὑπὸ τῆς εἰρημένης ἀρτίως ἱερᾶς ὀνίνανται μεγάλως, ἔνιοι δὲ βλάπτονται. Οἱ μὲν γὰρ πολλοὶ τῶν ἀνθρώπων, τούς τε ἀνορέκτους οὕτω καλοῦσι, καὶ ὅσοις μετὰ τὸ προσφέρεσθαι τὴν τροφὴν, τὸ τῆς γαστρὸς στόμα βαρύνεταί τε, καὶ θλίβεται, καί τινα δύσφορον B ἄσην ἔχει. καλοῦσι δ' ὡσαύτως κἀκείνους, οἷς ἐπιγίνεται ναυτία, καὶ μᾶλλόν γε ἐὰν εἰς ἔμετον ὁρμήσῃ, καὶ μᾶλλον ἔτι μετὰ τοῦ διαφθείρεσθαι τὰ σιτία, ποτὲ μὲν ὀξώδη γινόμενα, ποτὲ δὲ καὶ κνισώδη, ποτὲ δὲ καὶ ἄλλην ποιότητα μοχθηρὰν ἐπικτώμενα. καὶ τούτων ἁπάντων ἔτι μᾶλλον, ἐκείνους στομαχικοὺς ὀνομάζουσιν, ὅσοις ἐρυγαὶ τοιαῦται μετὰ δυσφορίας τινὸς, καὶ ἄσης, καὶ ἀνατροπῆς γίνονται, πολλάκις οὐδέπω τροφὴν προσενηνεγμένοις, κἂν ἐπὶ πλεῖστον δὲ χρόνον ἐν τῷ στόματι τῆς γαστρὸς διαμένῃ τὰ σιτία βαρύνοντα, καὶ μόλις ὑποβιC βαζόμενα, καὶ τούτους στομαχικοὺς ὀνομάζουσιν. Ἑτέρους δὲ, τὴν καλουμένην ὄρεξιν κυνώδη ἔχοντας, ὡς ἐσθίειν τε πλεῖστα, καὶ βαρυνομένους μάλιστα, ὀλίγον ὕστερον ἐμεῖν, ὁμοίως προσαγορεύουσιν, ἄλλους δὲ ἰσχυρῶς ἐκλυομένους, ὅταν ἐπὶ πλεῖον ἀσιτήσωσι, κἂν μὴ θᾶττον ἐπὶ τὴν τῶν σιτίων ἀφίκωνται προσφορὰν, δακνομένους τὸ τῆς γαστρὸς στόμα, καλοῦσιν ὡσαύτως στομαχικούς. αὐτῶν δὲ τούτων ἔνιοι, ναυτιώδεις γίνονται ῥᾳδίως, εἰ μὴ, θᾶττον προσάροιντο πόμα καὶ σιτία. κατὰ μέθοδον οὖν λογικὴν, ὁ τὰ βοηθήματα εὑρίσκων, ἐπὶ τὴν D τῆς διαθέσεως ἀφικνεῖται ζήτησιν, ἧς εὑρεθείσης, εὐπορήσειν ἐλπίζει τῶν οἰκείων αὐτῇ βοηθημάτων. ὁ δὲ διὰ μόνης τῆς πείρας ἀθροίζων τὰ βοηθήματα, περίπτωσίν τε τὴν ἑαυτοῦ περιμένει, καὶ τὴν τῶν ἔμπροσθεν ἱστορίαν ἀναλέγεται. γεγραφότων δὲ αὐτῶν ἀδιορίστως τὰ πλεῖστα, καὶ μέντοι καὶ διαφερομένων ἐν πολλοῖς, εἰκότως καὶ αὐτὸς, ἄλλοτε ἄλλης γίνεται γνώμης, καὶ μᾶλλον ὅταν ὑπ' αὐτῶν τῶν βοηθημάτων, ἐνίοτε μὲν ὠφελουμένους ὁρᾷ τοὺς στομαχικοὺς, ἐνίοτε δὲ βλαπτομένους, καθάπερ ἐπὶ τῆς προκειμένης ἱερᾶς, ἣν οἱ νῦν ἰατρεύοντες ἐν Ῥώμῃ, σχεδὸν ἅπαντες ὀνομάζουσι πικρὰν, ἐπειδὴ τὸ τῆς ἱερᾶς E ὄνομα, τῇ διὰ τῆς κολοκυνθίδος ἐπιφέρειν ἐδικαίωσαν. οἱ δὲ πρὸ ἡμῶν ἰατρεύσαντες ἐν Ῥώμῃ, τὰς δύο καλοῦντες ἱερὰς, προσέθεσαν αὐταῖς ἕνεκα διαστολῆς, τῇ μὲν ἑτέρᾳ, τὸ διὰ κολοκυνθίδος, τῇ δ' ἑτέρᾳ, τὸ δι' ἀλόης, οὕτω γράφοντες, ἱερὰ ἡ διὰ κολοκυνθίδος, ἱερὰ ἡ δι' ἀλόης. Ἡ τοίνυν διὰ τῆς ἀλόης ἱερὰ, σκευάζεται διττῶς, ὑπὸ μὲν ἐνίων, ὥσπερ καὶ ἡ τοῦ Ἀνδρομάχου, πρὸς ἑκατὸν δραχμὰς τῆς ἀλόης, μιγνυμένων ἑκάστου τῶν ἄλλων, δραχμῶν ἕξ, ὑπὸ δὲ ἐνίων τε οὐχ ἕξ, ἀλλ' ὀκτώ. τινὲς δὲ, τῆς ἀλόης εἰς ὀγδοήκοντα δραχμὰς ἓξ τῶν ἄλλων μιγνύουσιν. οἱ μὲν οὖν πλεῖστοι, τὰ μιγνύμενα τῇ ἀλόῃ φάρμακα, F τὸν ἀριθμὸν ἕξ, καὶ τὸ καλούμενον ἄνθος σχοίνου, καὶ μέντοι καὶ τὴν ἀλόην αὐτὴν ὁ μὲν Ἀνδρόμαχος πεπλυμμένην, τῶν δὲ ἄλλων, ἔνιοι μὲν οὕτως, ἔνιοι δὲ ἄπλυτον ἐμβάλλουσιν. ἡμᾶς δὲ νῦν χρὴ γινώσκειν, εἰς μὲν τὴν ὑπαγωγὴν τῆς γαστρὸς ἐπιτηδειοτέραν εἶναι τὴν ἄπλυτον ἀλόην, ἀποτίθεσθαι δὲ τὸ πολὺ τοῦ φαρμακώδους τὴν πεπλυμμένην, καὶ ταύτην μᾶλλον ἄν τις θαρρήσειε δοῦναι τοῖς πυρέσσουσιν, οὐδὲ τούτοις σφοδρῶς, ἀλλὰ πάνυ βληχρῶς-

ἔνιοι δὲ καὶ τὸ διὰ τῆς ἀπλύτου, πολλοῖς τῶν οὕτω πυρεσσόντων δόντες, εἶτα μηδὲν σαφὲς βλάψαντες, ἐπ' ἄλλων, μεγίστης ἐπειράθησαν βλάβης, ἐναντιωτάτη γάρ ἐστιν ἀλόη, κἂν πλυθῇ, τοῖς ἄνευ μοχθηρῶν ὑγρῶν, κατὰ δυσκρασίαν τὴν θερμὴν, καὶ ξηρὰν ἐνοχλουμένοις. ἐγγὺς δέ τι τούτων, καὶ οἱ κατὰ τὴν ξηρὰν δυσκρασίαν, εἰ μετὰ ψυχρότητος εἴη, τὴν βλάβην ἴσχουσιν, καὶ ὅλως ὅσοι κατὰ τὰς ποιότητας μόνας ἐβλάβησαν τι μόριον. αἱ γὰρ ἐπὶ χυμοῦ δυσκρασίαι, τῶν κενούντων αὐτὰς δέονται φαρμάκων. αἱ δ' ἄνευ τούτων, εἰς μαρασμὸν ἀφικνοῦνται πάντως, ἐπὶ τῷ διὰ τῆς ἀλόης φαρμάκῳ, ἔνθα τοίνυν ὑγρότης μοχθηρὰ, διαβρέχει τοὺς χιτῶνας τῆς γαστρὸς, ἡ δι' ἀλόης πικρὰ χρήσιμος, ἐκκαθαίρουσα τὴν ὑγρότητα. πάντως δὲ τοῖς οὕτω διακειμένοις, ὑπάρχει σύμπτωμα ναυτιῶδες, ἧττον ἢ μᾶλλον. Αὕτη μὲν οὖν ἡ κένωσις τοῦ λυποῦντος χυμοῦ, διὰ τῆς ἀλόης γίνεται μόνης, καθαρτικὴν ἐχούσης δύναμιν οὐκ ἰσχυρὰν, ἀλλ' ὥστε, τὰ μὲν κατὰ τὴν κοιλίαν, ὧν ψαύει, δύνασθαι καθαίρειν, κἂν πλείων ποτὲ δοθῇ, μέχρι τῶν κατὰ τὸ ἧπαρ ἀναβαίνει χωρίων, οὐ μὴν ὅλου τοῦ σώματός ἐστι καθαρτικὸν ἡ ἀλόη, τῶν μιγνυμένων δ' αὐτῇ, μαστίχη μὲν ὡς εὐστόμαχός τε καὶ εὐώδης, θραῦσαι τὸ φαρμακῶδες τῆς ἀλόης δυναμένη, μίγνυται. κιννάμωμον δὲ πρὸς αὐτοῖς ὅτι λεπτομερέστατόν ἐστιν, ὡς ἀναστομοῦν τε ἅμα τοὺς πόρους τῆς γαστρὸς διαρρύπτειν τε, καὶ λεπτύνειν εἴ που τι γλίσχρον, ἢ παχὺ τοῖς χυμοῖς ἐπιφέροιτο. τὰ γὰρ παχέα τῶν ὑγρῶν, διὰ τὴν τῆς καθαρτικῆς δυνάμεως ἀρρωστίαν, οὐ πέφυκεν ἕλκειν ἡ ἀλόη. διὸ καὶ τῶν χολωδῶν τῶν ἐν τῇ γαστρὶ διαθέσεων, ἄριστόν ἐστι φάρμακον, ὡς ἐν ἡμέρᾳ μιᾷ πολλάκις ἰᾶσθαι, στομαχικῶς ἐνοχλεῖσθαι πεπιστευμένους πολλούς. ὠφελεῖ δὲ καὶ ταῦτα, καὶ τἄλλα πάντα πάθη τὰ κακόχυμα, τὸ κιννάμωμον μιγνύμενον, ἀλλοιωτικὴν ἐπὶ τὸ κατὰ φύσιν ἔχον δύναμιν τῶν μοχθηρῶν ποιοτήτων. Εἰδέναι τοίνυν χρὴ, τὰς ἐπὶ χυμοῖς μοχθηροῖς διαθέσεις, κατά τε τὴν γαστέρα καὶ τὸν στόμαχον, ὠφελουμένας μὲν διὰ τῶν τῆς ἀλόης φαρμάκων, εἰς μεγίστην δὲ βλάβην ἀφικνουμένας, ὑπὸ τῶν στυφόντων ἐδεσμάτων τε, καὶ πομάτων, καὶ φαρμάκων. ὥσπερ γε πάλιν ἐφ' ὧν ὑγρότης πολλὴ, καὶ οἷον πλαδαρότης τίς ἐστι, κατὰ τὸ πεπονθὸς, ἄνευ κακίας χυμῶν, αὐτῷ μόνῳ τῷ ποσῷ λυποῦσα, καὶ οἷον διάβροχον ἐργασαμένη τὸ τῆς γαστρὸς σῶμα, χρησιμωτάτη τῶν στυφόντων ἐδεσμάτων τε, καὶ πομάτων, καὶ φαρμάκων ἡ χρῆσίς ἐστιν, ἐκλύτου, καὶ παρέτου γινομένου τηνικαῦτα τοῦ πεπονθότος, ὁμοίως τοῖς κεχαλασμένοις ἄρθροις, ἐφ' ὧν καὶ αὐτῶν, ἡ τῶν στυφόντων χρῆσις ἐπανορθοῦται τὴν διάθεσιν. ἀλλ' ἥγε πικρὰ, περὶ ταύτης γὰρ ἡμῖν ὁ λόγος, ὥσπερ τὸ κιννάμωμον, οὕτω καὶ τἄλλα, τὰ μὲν, ὡς εὐστόμαχα, τὰ δὲ, ὡς λεπτομερῆ τε καὶ ῥύπτοντα λαμβάνει, τῇ μὲν ἰσχύϊ, πάμπολυ κινναμώμου λειπόμενα, τὸ δὲ γένος τῆς δυνάμεως ταὐτὸν ἔχοντα. δευτέραν ἐπὶ τῇ προγεγραμμένῃ σύνθεσιν ὁ Ἀνδρόμαχος κατὰ λέξιν οὕτως ἔγραψεν, ὡς Λάμπων ὁ Πηλουσιώτης. ℞. Κινναμώμου, καλάμου ἀρωματικοῦ, κασσίας μελαίνης, ξυλοβαλσάμου, σχοίνου ἄνθους, ἐλάτης ἀνὰ Ϛο γ'. οἱ δὲ ἀνὰ Ϛο α'. κόψας πάντα ἀδρομερῶς, ἔμβαλλε εἰς χύτραν καινὴν, ἐπιβαλὼν ὕδατος ὀμβρίου ξε γ'. καὶ ἕψε ἕως τὸ ἥμισυ λειφθῇ, καὶ διήθησον, καὶ λαβὼν ἀλόης Ἰνδικῆς λίτραν α'. ἐπίχει ὕδατος ὀμβρίου τὸ ἱκανὸν, καὶ λέαινε τοῖς ὑπὸ κύνα καύμασιν, ἕως ξηρανθῇ,

A Quidam verò etiam ex illota aloë medicamentum multis sic febricitantibus exhibuerunt, deindéque quum nihil manifestè læsissent, in aliis rursus magnam experti sunt cladem. Infestissima est enim aloë, etiam lota, iis qui citra vitiatos humores ex intemperie calida, & sicca affliguntur. Proximam ab his cladem percipiunt, qui siccam intemperiem habent cum frigiditate implicata; & in vniuersum, qui ex sola qualitate partem aliquam affectam, ac læsam habent. Etenim in humoribus intemperaturæ, medicamentis ipsas euacuantibus egent; quæ verò absque his consi- B stunt, penitus in tabem deueniunt ex medicamenti huius ex aloë constantis vsu. Itaque vbi humiditate vitiata tunicæ ventris perfunduntur, Picra ex aloë vtilis est, expurgans humiditatem; omninò autem sic affectis accessio nauseæ plus, aut minus adest. Euacuatio igitur affligentis humoris per solam aloën contingit, quæ purgatoriã vim non fortem habet, sed vt ea, quæ circa aluum sunt, quæ etiam contingit, purgare possit. Et si aliquãdo ampliori pondere exhibeatur, vsque ad locos circa hepar conscendit; non tamen totius corporis purgatoria aloë existit. Cæterùm ex iis, quæ ei admiscentur, mastiche, vt stomacho commoda, & odo- C ra, & quæ medicamentariam aloes vim frangere queat, admiscetur. Cinnamomum verò his additur, propterea quòd tenuissimarũ est partium, vt aperire ventris meatus possit, extergeréque ac attenuare, si quid viscosum, aut crassum in humoribus feratur; crassos enim humores, ob purgatoriæ facultatis imbecillitatem, aloe trahere non potest. Quapropter biliosarum ventris affectionum optimum medicamentum est, adeo vt in vno die sæpe multos stomacho ita affectos credita sit persanasse. Iuuat autem, & hos, & alios omnes affectus ex vitiatis humoribus ortos cinnamomum admix- D tum, vtpotè, quod alterantem habet facultatem vitiosarum qualitatum in id, quod secundum naturam habet. Quare scire oportet affectiones in humoribus vitiatis circa ventrem, & stomachum, maximè per medicamenta ex aloe iuuari; in maximum verò detrimentum peruenire ex astringentium eduliorum, potuum, ac medicamentorum vsu; quemadmodum vice versa, in quibus humiditas multa, & velut mador quispiam est circa affectam partem, citra vitiatos humores, qui ipse sola quantitate, & copia affligat, & velut irriguum E ventris os reddat, vtilissimus astringentium eduliorum, potuum, ac medicamentorum vsus existit, languidâ nimirum, & exolutâ tunc redditâ affectâ particulâ ad modum laxatorum articulorum; in quibus ipsis etiam astringentium vsus corrigit affectionem. Cæterùm picra confectio (de hac enim nobis sermo est) velut cinnamomum, sic etiam alia partim, vt stomacho commoda, partim vt tenuium partium, & extergentia, assumit; quæ robore quidem multùm à cinnamomo deficiunt, idem verò facultatis genus habent. Secundam à præscripta compositione Andromachus F sic ad verbum tradidit. *Vt Lampon Pelusiota.* ℞. Cinnamomi, calami aromatici, cassiæ nigræ, xylobalsami, floris iunci odorati, palmæ elates, singulorum quadrantem, alii ℥. j. omnia in crassas partes tusa in ollam nouam conice; & aquæ pluuiæ sextariis tribus infusis, donec dimidium supersit coque, & excola; & accepta aloes Indicæ libra vna, aquam pluuiam sufficientem superfundito; & sub caniculæ æstus donec resiccetur, terito; atque

atque vbi primùm per hanc aquam aloën ipsam dulcem feceris, postea eam, quæ ab aromatis excolata est, aquam affundito, & in Sole, donec resiccetur, terito; indéque trita hæc quæ sequuntur admisceto; croci, myrrhæ, mastiches, singulorum quadrantem, alij ℥. i. conterito simul omnia, & sicca reponito, atque in potionibus ad conuulsa, rupta plagas internarum partium, incipientes laterum dolores vtitor; item ad inflatos, dolentes stomachum, tardè concoquentes, reiicientes sanguinem, & ischiadicos. Datur ad summum obolus j. aut duo, ex aquæ cyatho vno; reliquis pro viribus præbeto. In vulneribus, & inflammationibus, dilutum aceto mulso vtiliter imponitur; in oculorum inflammationibus succo menthæ, aut calaminthæ, aut solani aut alicuius consimilis; In podicis inflammationibus cum rosaceo, aut vino aminæo. Vtere etiam in paronychiis, sicco, supernè linamento cum rosaceo imposito; & ad sanguinis eruptiones sicco cum aceto; & ad crustas in ore, ex passo gargarissandum dato. Hoc medicamentum, quod Pelusiotæ Lamponis esse ait, ex iis est quæ ad multos affectus commoda sunt, de quibus etiam ante aliquid dictum est, quod videlicet deficiant ab iis, quæ vnum quoddam optimè faciunt, ob multitudinem eorum quæ promittunt. Apparantur autem quum vnum habere viginti affectionibus congruum malumus, quàm tot numero alia; quum tamen ad singulas affectiones vnum aliquod destinatum, eo, quod ad plures paratum est, melius existat. Facultas autem ipsius, per quam in prædictis efficax est, tenuium partium existit, & calefactoria, secans, extergens, & aperiens, & ob id discussoria redundantium in quibusdam partibus serosorum succorum, ac humorum. Et propterea etiam prædictis in sermone affectibus conuenit, discutiens, vt dixi, vitiosos, & serosos succos, ac humores affectarum partium, quare etiam prædictas alui affectiones, in quibus picra confectio moderatam purgationem operatur, curauerit per modicam resiccationem, non per coaceruatam euacuationem. Præstantior igitur est ad huiusmodi affectus picra compositio prima descripta. Tertium post prædicta medicamentum Andromachus sic descripsit.

Ad Stomachicos, & cœliacos pastillus amarus, mollit aluum, facit ad somnum. Est autem ex libris Aphrodæ. Facit, & ad vesicam, & coli affectus.

℞. Seminis apij ʒ. vj. anisi ʒ. vi. piperis albi ʒ. i. ß. castorii ʒ. ii. myrrhæ ʒ. i. ß. nardi celticæ floris ʒ. i. ß. opii ʒ. i. ß. cinnamomi ʒ. i. ß. comæ absinthii ʒ. iii. aloës obol. iij. mastiches, ʒ. i. cum aqua pastillos formato triobolares, aut drachmales, & dato cum aquæ cyathis tribus. Neque in hoc medicamento ascripsit Andromachus, quosnam stomachicos dicat ex iis, qui quidpiam patiuntur; verùm ex eo, quòd compositioni additum est opium, manifestum fit, compositorem huius medicamenti intentionem suam eo direxisse, vt resiccatorium simul & doloris sedatorium medicamentum efficeret, somnumque aliquem induceret, non tamen contentiosè contra vnum aliquem ex prædictis affectibus instando, quo videlicet breui ipsam excideret. Quartum deinde medicamentum Andromachus scripsit, neque ad vnum aliquem affectum contentiosè compositum, neque ad multas moderatè. Habet descriptio hoc modo.

A τούτῳ πρῶτον, ἀπογλυκήνας τὴν ἀλόην, τό, τε ἀπὸ τῶν ἀρωματικῶν βαλὼν ὕδωρ, λέαινε ἐν ἡλίῳ ἄχρι ξηρανθῇ, καὶ λεάνας, λεῖα καὶ ἄμισγε ταῦτα. κρόκου, σμύρνης, μαστίχης, ἀνὰ ℥ γ'. οἱ δὲ ἀνὰ ℥ α'. συλλεάνας ὁμοῦ πάντα, ἀπόθου ξηρὸν, καὶ χρῶ ποτίσματι πρὸς σπάσματα, ῥήγματα, πληγὰς τῶν ἐντὸς, ἐναρχομένους πόνους πλευρῶν, καὶ ἐπὶ τῶν πνευματουμένων, στομάχοις ἀλγούντων, καὶ βραδυπεπτούντων, καὶ αἷμα ἀναγόντων, καὶ ἰσχιαδικῶν, τὴν τελείαν δόσιν δίδου, ἐν ὕδατος κυάθῳ ἑνὶ, ὀβολὸν α'. οἷς δὲ ὀβολοὺς δύο, τοῖς δὲ ἄλλοις, πρὸς δύναμιν. B ἐπὶ δὲ τῶν τραυμάτων καὶ φλεγμονῶν διεθὲν, ὀξυμέλιτος πάχος ἐπιτεθειμένον. ἐπὶ δὲ τῶν ἐν ὀφθαλμοῖς φλεγμονῶν, χυλῷ ἡδυόσμου, ἢ καλαμίνθης, ἢ στρύχνου, ἢ τινος τῶν ὁμοίων. ἐπὶ δὲ τῶν ἐν δακτυλίῳ φλεγμονῶν, ἐν ῥοδίνῳ, ἢ οἴνῳ ἀμιναίῳ. χρῶ δὲ καὶ ἐπὶ παρωνυχιῶν ξηρῷ, ἐπάνω μοτὸν σὺν ῥοδίνῳ, καὶ πρὸς αἱμορραγίας, καὶ ξηρὸν σὺν ὄξει, καὶ πρὸς ἐσχάρας ἐν στόματι, ἐν γλυκεῖ ἀναγαργαριζόμενον. τοῦτο τὸ φάρμακον, ὅ τοῦ Πηλουσιώτου Λάμπωνος εἶναί φησι, τῶν πολυχρήστων ἐστὶ, περὶ ὧν εἴρηταί τι καὶ πρόσθεν, ὡς ἀπολειπόμενα τῶν ἕν τι ποιούντων C ἄριστα, τῷ πλήθει τῆς ἐπαγγελίας σπουδάζεται, βουλομένων ἡμῶν ἓν ἔχειν μᾶλλον ἐπὶ παθῶν εἴκοσιν ἁρμόζον, ἢ τοσαῦτα τὸν ἀριθμὸν ἕτερα, βελτίω, καθ' ἓν ἕκαστον πάθος, ἑνὸς τοῦ πολυχρήστου. δύναμις δὲ αὐτοῦ, καθ' ἣν ἐπὶ τῶν προειρημένων ἐνεργεῖ, λεπτομερής τε, καὶ θερμαίνουσα, καὶ τέμνουσα, καὶ διαρρύπτουσα, καὶ ἀναστομοῦσα, καὶ διὰ ταῦτα, διαφορητικὴ τῶν πλεοναζόντων ἔν τισι μορίοις ἰχώρων τε, καὶ χυμῶν, κατὰ τοῦτο δὲ, καὶ τοῖς προκειμένοις ἐν τῷ λόγῳ πάθεσιν ἁρμόττει, D διαφοροῦν τοὺς μοχθηροὺς, ὡς ἔφην, ἰχῶράς τε, καὶ χυμοὺς τῶν πεπονθότων μορίων, ὥστε καὶ τὰς προειρημένας τῆς κοιλίας διαθέσεις, ἐφ' ὧν ἡ πικρὰ κάθαρσιν ἐργάζεται μετρίαν, ἰάσαιτο τῷ ξηραίνειν κατ' ὀλίγον, οὐ τῷ κενοῦν ἀθρόως, ἀμείνων οὖν εἰς τὰς τοιαύτας διαθέσεις, ἡ πρώτη γεγραμμένη πικρά. τρίτον ἐπὶ τοῖς προγεγραμμένοις, ὁ Ἀνδρόμαχος ἔγραψε φάρμακον ὡδί πως.

Πρὸς στομαχικοὺς, καὶ κοιλιακοὺς, ὁ πικρὸς τροχίσκος, μαλάσσει κοιλίαν, ποιεῖ καὶ πρὸς ὕπνον, καὶ ἔστιν ἐκ τῶν Ἀφροδᾶ. ποιεῖ δὲ πρὸς κύστιν δὲ πρὸς τὰ ἐν κώλῳ.

E

℞. Σελίνου σπέρματος < ϛ' ἀνίσου < ϛ'. πεπέρεως λευκοῦ < α'. S'. καστορίου < β'. σμύρνης < α'. S'. νάρδου Κελτικῆς τοῦ ἄνθους < α'. S'. ὀπίου < α'. S'. κινναμώμου < α'. S'. ἀψινθίου κόμης < γ'. ἀλόης τριώβολον, μαστίχης < α'. μεθ' ὕδατος ἀνάπλασσε τροχίσκους τριωβολιαίους, ἢ ἀνὰ < α'. καὶ δίδου μεθ' ὕδατος κυάθων γ'. οὐδ' ἐπὶ τούτου τοῦ φαρμάκου, προσέγραψεν ὁ Ἀνδρόμαχος, ὁποίους λέγει στομαχικοὺς, τούς τι πάσχοντας. ἐκ δὲ τοῦ προσκεῖσθαι τῇ συνθέσει, τὸ ὀπίου, ὁ συνθεὶς τὸν τρο- F χίσκον εὔδηλός ἐστιν ἐστοχασμένος τοῦ ξηραντικόν τε ἅμα, καὶ ἀνώδυνον ἐργάσασθαι τὸ φάρμακον, ὕπνον τε τινα φέρειν, οὐ μὴν πρὸς μίαν γε τῶν εἰρημένων διαθέσεων ἀγωνιστικῶς ἱστάμενος, ἐκκόψαι διὰ ταχέων αὐτήν. τέταρτον ἄλλο φάρμακον, ὁ Ἀνδρόμαχος ἔγραψεν, οὐδὲ πρὸς μίαν διάθεσιν ἀγωνιστικῶς συγκείμενον, οὔτε πρὸς πολλὰς μετρίως. ἔχει δὲ οὕτως ἡ γραφή.

Πρὸς στομαχικοὺς ἱερὰ Ἀντιπάτρου.

℞. Ἀλόης καλῆς < δ'. μαστίχης < β'. ἀσάρου < δ'. ῥόδων ξηρῶν, σχοίνου, μήου, φοῦ, κασσίας ὁμοίως ἀνὰ ℥ S''. ξηρῷ λείῳ χρῶ ὡς ἐπὶ τῆς ἀλόης. τὸ πέμπτον δὲ ἐπὶ τούτοις φάρμακον, ὃ δι' ἀρνογλώσσου χυλοῦ σκευάζεται, καί φησιν Ἀπολλωνίου εἶναι αὐτό, τοιοῦτόν ἐστιν. ℞. ἀρνογλώσσου χυλοῦ ξηροῦ < γ'. μαστίχης < β'. σμύρνης < α'. ἡδυόσμου < α'. ζιγγιβέρεως < α'. δοκεῖ μοι ταύτης τῆς δυνάμεως ὁ Ἀπολλώνιος πεπειρᾶσθαι, θερμοτέραν διάθεσιν ἔχοντος τοῦ στομάχου, καὶ οὕτως αὐτὴν ἀδιορίστως ἐπαινεῖν, οὐ δυναμένην ἐπὶ τῶν ψυχρὰν ἐχόντων διάθεσιν ἁρμόττειν, ἐμψυκτικὸς γάρ ἐστιν ὁ τοῦ ἀρνογλώσσου χυλός. ἡ δ' ἐφεξῆς γεγραμμένη, δοκεῖ μοι συντίθεσθαι προσπταίσαντος ἐν τῇ τῆς προτέρας χρήσει τοῦ συνθέντος αὐτήν, καὶ γνόντος ὡς ἐμψυχον ἐποίησεν τὸ φάρμακον, εἶτα διὰ τοῦτο, καστορίου τε προσθέντος ὀλίγον, καὶ ἀλόης τι κενοῦν δυναμένης, καὶ μαστίχης ὡς εὐστομάχου, καὶ κρόκου, καὶ σμύρνης, ὡς πέττειν δυναμένων. διόπερ οὔτε τοῦτο τὸ φάρμακον, οὔτε τὸ πρὸ αὐτοῦ, παραλάβοιμι ἂν ἐπὶ στομαχικῆς διαθέσεως, οὐδεμίαν ἰάσασθαι καλῶς δυνάμενα, πλὴν τῆς ἱκανῶς θερμῆς. ἔγραψε δ' οὕτως αὐτό. ℞. ἀρνογλώσσου χυλοῦ ξηροῦ < ι'. ἀλόης Ἰνδικῆς < α'. μαστίχης < α'. κρόκου ὀβολοὺς β'. ὀπίου τριώβολον, καστορίου τριώβολον, σμύρνης < α'. ἀνάπλασσε ἡλίκα ἐρέβινθος. ὡσαύτως δέ, οὐδὲ τὸ ἐφεξῆς γεγραμμένον, ἄνευ διορισμοῦ καλῶς ἄν τις παραλάβοι, κατὰ διάθεσιν ἄλλην, ὅτι μὴ μετρίας ξηρότητος, καὶ στύψεως δεομένην, ἐπὶ χυμοῖς ὀλίγοις μέν, μοχθηροῖς δὲ τῇ ποιότητι, σύγκειται γὰρ ἐξ ἠλέκτρου, καὶ μαστίχης, ὥς πως αὐτὸ γράψαντος καὶ τοῦ Ἀνδρομάχου. ℞. ἠλέκτρου, μαστίχης χίας, τὴν ἤλεκτρον πλείονα βάλλε, δίδου κοχλιάριον ἕν, λεάνας ὕδατι. τὸ δ' ἐφεξῆς τῶν προγεγραμμένων φαρμάκων, οὕτω πως ἔχον ἐν τῇ γραφῇ, στομαχικὴ Γάλλου, τῇ θερμαίνεσθαί τε καὶ τέμνεσθαι δεομένῃ διαθέσει, χρήσιμός ἐστιν, ἐκ μαράθρου καὶ ὄξους, καὶ μέλιτος συγκειμένη, ἣν κατὰ λέξιν ἔγραψεν οὕτως ὁ Ἀνδρόμαχος. στομαχικὴ Γάλλου. ℞. μαράθρου χλωροῦ ῥίζης φλοιοῦ λίτρας S''. ὄξους δριμέος ξε α'. S''. ἀλόης ℥ γ'. μέλιτος Ἀττικοῦ λίτραν μίαν. τὰς ῥίζας πλύνας, ἔμβρεχε τῷ ὄξει ἡμέρας γ'. εἶτα ἕψονται εἰς τὸ τρίτον, εἶτα ὅταν ἑφθαὶ γίνωνται, ἐκθλιβεῖσαι ῥίπτονται, ἐπιχέας δὲ τὸ μέλι συνέψει, εἶτα ἐπίπασσε τὴν ἀλόην, καὶ δίδου κοχλιάρια γ'. σὺν ὕδατι. Ἀλκέτας δ' ὁ σοφιστής, προσέθηκε τῇ γραφῇ, πηγάνου, καὶ σελίνου ἐγκάρπων, ἀνὰ χειροπληθές, κελεύσας σὺν ταῖς ῥίζαις βρέχεσθαι, καὶ τοῦ ὄξους ξε S''. τοῦ μέλιτος λίτρας β'. καὶ ταύτην ἐπαινεῖ. τοῖς προγεγραμμένοις ἐφεξῆς ἔγραψεν ὁ Ἀνδρόμαχος, οὕτως εἰπών. στομαχικὴ ὡς Νικόστρατος. ℞. καθαρᾶς ἠλέκτρου, χίας μαστίχης, ἴρεως Ἰλλυρικῆς, ἀνὰ ℥ δ'. ῥόδων ἀνθοῦς ℥ β'. δίδου ξηροῦ λείου κοχλιάρια β'. μεθ' ὕδατος γαλακτώδους, εὐθὺς γὰρ ἄπονον ποιεῖ, ἐν κερατίνῳ δὲ ἀποκείσθω. καὶ τοῦτο δὲ τὸ φάρμακον, εὔδηλον ὅτι στυπτικώτερόν πώς ἐστι, καὶ δεῖται διαθέσεως ὑγροτέρας, ἐπὶ χυμοῖς οὔτε πολλοῖς, οὔτε λίαν δακνώδεσιν, ἐφ' οἷς, οἶμαι, πειραθέντα τὸν συνθέντα τὸ φάρμακον, ἢ χρώμενον αὐτῷ συνεχῶς, ἄπονον ποιῆσαι τὸν κάμνοντα, καὶ καθολικὴν ἀπόφασιν προσθεῖναι τῷ φαρμάκῳ, τοῦ ποιεῖν εὐθέως ἄπονον τὸν κάμνοντα, οὐ δυνάμενον ἐπὶ πολλῶν τοῦτο πράττειν. καὶ τὸ τελευταῖον γεγραμμένον φάρμακον ὑπ' Ἀνδρομάχου τόνδε τὸν τρόπον,

A

Ad Stomachicos hiera Antipatri.

℞. Aloës bonæ ʒ. iv. mastiches ʒ. ii. asari ʒ. iv. rosarum siccarum, iunci odorati, mei, phu, cassiæ, singulorum ℥. ß. Vtere arido trito quemadmodum in hiera ex aloë. Quintum post hęc medicamentum, quod ex plantaginis succo præparatur, & ipsum Apollonii esse ait, tale est. ℞. succi plantaginis aridi ʒ. iij. mastiches ʒ. ij. myrrhæ ʒ. i. mentæ ʒ. i. zingib. ʒ. j. Videtur mihi Apollonius hanc compositionem experimento cognouisse in stomacho calidiorem affectum habente, atque ita ipsam indiscriminatim extulisse, non potentem B frigidis affectibus conuenire; refrigeratorius enim est plantaginis succus. Porrò, quæ sequitur, videtur mihi composita esse ab eodem auctore, in prioris vsu successum non sentiente, & cognoscente medicamentum refrigeratorium se effecisse, & ob id castorii modicum, & aloës quippiam apponente, quæ euacuare potest; & mastichen, vt stomacho commodam; ac crocum, & myrrham, vt quæ concoquere queant. Quapropter neque hoc, neque hoc præcedens medicamentum adhibuerim in stomachico affectu, quum nullum probè curare possint, præterquàm multum calidum. Scripsit C de ea hoc modo. ℞. succi plantaginis sicci ʒ. x. aloës Indicæ ʒ. j. mastiches ʒ. j. croci obol. ij. opii obolos tres, castorii obolos tres, myrrhæ ʒ. j. formato ad magnitudinem ciceris. Similiter autem neque consequenter scriptum citra discrimen rectè quis adhibuerit in alio affectu, quam qui moderata siccatione, & adstrictione opus habeat; in humoribus quidem modicis, qualitate verò vitiatis: componitur enim ex succino, & mastiche, sic ipso Andromacho prodente. ℞. succini, masticheschiæ, succini plus coniice. Dato chochleare vnum ex aqua tritum. Cæterùm quod D sequitur medicamentum, hac descriptione, Stomachica Galli, affectui, qui calefieri, & incidi postulat, vtilis existit, ex fœniculo, aceto, & melle constans, quod ipsum Andromachus his verbis tradidit. *Stomachica Galli.* ℞. corticis radicis fœniculi viridis libræ dimidium, aceti acris sextarium vnum & dimidium, aloës quadrantem, mellis Attici lib. j. Radices lotas ad triduum aceto macerato deinde coquito; atque vbi coctæ fuerint, expressas proiicito, & affuso ad acetum melle simul coquito; deinde aloën inspergito; & cochlearia tria cum aqua dato. Alcetius sophista ad hanc E descriptionem addidit rutæ, & apii, semina gerentium, vtriusque manipulum, iubens cum radicibus macerari, ac coqui; & aceti sextarium dimidium, & mellis libras duas coniicit: atque hanc laudat. Post præscripta medicamenta Andromachus sic ait. *Stomachica, vt Nicostrat*[illegible] succini puri, mastiches Chiæ, iridis Il*yricæ*, [illegible]gulorum trientem, floris rosarum sextantem; dato aridi triti cochlearia duo, cum aqua lactea; statim enim dolorem leuat; reponatur in corneo vase. Et hoc medicamentum palàm est adstringentius quodammodo esse; optátque affectum humidiorem in humoribus non multis, neque valdè mordaci- F bus; in quibus sanè experimentum medicamenti fecisse eius authorem opinor; aut certè assiduò eius vsu ægrũ à dolore leuasse, atque inde vniuersalem pronunciationem ipsi apposuisse, quod videlicet statim ægrum à dolore leuet, quum non possit id in multis præstare. Postremum deinceps medicamentum ab Andromacho scriptũ hoc modo est.

Ad

Ad stomachicos. ℞. corticis radicis fœniculi ʒ. ij. vini cyathos tres, coquito donec vnus cyathus supersit; ac totum præbeto. Et hoc ex calefacientibus est, opusque habet affectu, qui calefieri expetat.

πρὸς στομαχικούς. ℞. μαράθρου ῥίζης φλοιοῦ < β΄. οἴνου κυάθους γ΄. ἕψε ἕως γένηται κύαθος εἷς, καὶ δίδου ὅλον, καὶ τοῦτο τῶν θερμαινόντων ἐστὶ, καὶ δεῖται διαθέσεως θερμαίνεσθαι δεομένης.

CAPVT III.

Stomachica medicamenta ab Asclepiade in primo Internorum conscripta.

Asclepiades porrò de Stomachicis scripturus, de ipsis sic orditur: Ad stomachi subuersiones. Quas verò subuersiones dicat, non manifestè indicauit. Potest enim & inappetentiam ita appellare. Potest etiam nauseosos affectus, qui ab accepto cibo fiunt: aliquando enim hoc vnum solum symptoma accidit accepto cibo, vt si paulo fortiori motu moueantur, statim vomant; appellant igitur aliqui etiam tales stomachicos, & stomachum ipsis supinum reddi aiunt. Sequitur autem hoc symptoma quandoque ad solam oris ventris debilitatem, quòd cibos amplecti non potest, velut tota ventris amplitudo solet. Quandoque verò, & cum vitiatæ alicuius modicæ tamen humiditatis complexu; etenim multa, quemadmodum etiam valde vitiata etiam citra cibum, nauseam efficit. Cæterùm, quæ à multis vulgò resupinitas stomachi appellatur, contingit quidem iuxta intemperiem quamcunque tandem citra vitiatos humores. Fit etiam per humiditatem multam quidem, non tamen malignæ qualitatis; irriguus enim stomachus per largam humectationem similiter, vt ligamenta neruorum, laxatur. Facillimè itaque curabilis hæc est affectio ex omnibus ferè aliis, medicamentis indigens, quæ siccare humiditatem, & coagmentare & constringere laxatum corpus, valent. Vbi igitur per profundũ fuerit extenta humiditas crassaque sit, & viscosa, opus est mixtura medicamenti attenuatorii, & si ita dicere libeat, corrosiui, quale est acetum, & acetum mulsum. Si verò neque talis sit humiditas, neque in altum extensa, astringentia sola suffecerint ad curationem. Propositum igitur in sermone medicamẽtum non moderatarum resupinitatum, sed fortiorum est curatiuum; esset autem & moderatarum sanatiuum, si astringentia sola quis misceret, aut etiam ex calefacientibus quippiam, si frigidum esse affectum sentiret. Sufficiens autem signũ est frigidi affectus, si æger se non sitire percipiat; vbi enim neque siticulosus fuerit, neque ardorẽ senserit in ore vẽtris, palàm est affectum non calidũ esse. Idonea itaque sunt ad huiusmodi ventris affectus quatuor medicamenta ab Asclepiade cõscripta, quæ etiã ego nunc scribam, ipsius Asclepiadæ, & verbis, & ordine seruatis.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων στομαχικῶν φαρμάκων, ἐν τῷ πρώτῳ τῶν ἐντός.

ΗΡξατο μὲν οὖν αὐτῶν ὧδέ πως, πρὸς στομάχου ἀνατροπάς. τίνας δὲ λέγει ἀνατροπὰς, οὐκ ἐδήλωσε σαφῶς. δύναται μὲν γὰρ, καὶ τὰς ἀνορεξίας λέγειν, δύναται δὲ, καὶ τὰς ἐπὶ τῇ τροφῇ γινομένας ναυτιώδεις διαθέσεις. ἐνίοτε μὲν γὰρ, ἓν τοῦτο μόνον σύμπτωμα γίνεται, μετὰ τὰς ἐδωδὰς, ἂν κινηθῶσιν ἰσχυροτέραν βραχὺ κίνησιν, εὐθέως ἐμοῦσι. καλοῦσι γοῦν ἔνιοι καὶ τοὺς τοιούτους στομαχικοὺς, καὶ ὑπτιοῦσθαι τὸν στόμαχον αὐτοῖς φασιν. ἕπεται δὲ τὸ σύμπτωμα τοῦτο, ποτὲ μὲν ἀτονίᾳ μόνῃ τοῦ στόματος τῆς κοιλίας, οὐ δυναμένου περιστέλλεσθαι τοῖς σιτίοις, ὁμοίως τῷ παντὶ κύτει τῆς γαστρὸς, ἔσθ' ὅτε δὲ, καὶ μετὰ τοῦ μοχθηράν τινα περιέχειν ὑγρότητα βραχεῖαν. ἡ γὰρ πολλὴ, καθάπερ γε καὶ ἡ πάνυ μοχθηρὰ, καὶ χωρὶς τροφῆς ἐργάζεται τὴν ναυτίαν, ἀλλ' ὅ γε καλούμενος ὑπὸ τῶν πολλῶν ὑπτιασμὸς τοῦ στομάχου, γίνεται μὲν καὶ κατὰ δυσκρασίαν ἡντιναοῦν, ἄνευ κακίας ὑγρῶν, γίνεται δὲ καὶ δι' ὑγρότητα, πολλὴν μὲν, οὐ μὴν κακοήθη τῇ ποιότητι. διαβρεχόμενος γὰρ ὁ στόμαχος ὑγρότητι δαψιλεῖ, χαλᾶται τοῖς συνδετικοῖς νεύροις ὁμοίως. εὐιατωτάτη τοιγαροῦν ἡ διάθεσις αὕτη σχεδὸν ἁπασῶν ἐστι, δεομένη φαρμάκων, ξηραίνειν μὲν τὴν ὑγρότητα δυναμένων, συνάγειν δὲ, καὶ σφίγξαι τὸ κεχαλασμένον σῶμα. διὰ βάθους μὲν οὖν ἐκτεταμένης τῆς ὑγρότητος, καὶ παχείας, καὶ γλίσχρας οὔσης, χρεία μίξεώς ἐστι φαρμάκου λεπτυντικοῦ τε, καὶ ὡς ἂν εἴποι τις, διαβρωτικοῦ, ὁποῖόν ἐστιν ὄξος τε, καὶ ὀξύμελι. μήτε δὲ τοιαύτης οὔσης τῆς ὑγρότητος, μήτε διὰ βάθους, ἱκανὰ μόνα τὰ στύφοντα θεραπεύειν ἐστί. τὸ τοίνυν προκείμενον ἐν τῷ λόγῳ φάρμακον, οὐ τῶν μετρίων ὑπτιασμῶν, ἀλλὰ τῶν ἰσχυροτέρων, ἐστὶν ἰατρικόν. ἦν δ' ἂν μετρίων, εἰ τὰ στύφοντα μόνα τις ἔμιξεν, ἢ καὶ τῶν θερμαινόντων τι, ψυχρᾶς τῆς διαθέσεως αἰσθανόμενος. ἱκανὸν δὲ γνώρισμα τοῦ ψυχροτέραν τὴν διάθεσιν εἶναι, πρὸς τῇ τοῦ κάμνοντος αἰσθήσει, τὸ ἄδιψον. ὅταν γὰρ μήτε διψώδης εἴη, μήτε καύματος αἰσθάνηται κατὰ τὸ τῆς κοιλίας στόμα, δῆλόν ἐστιν οὐκ εἶναι θερμὴν τὴν διάθεσιν. ἐπιτήδεια τοίνυν ἐστὶν εἰς τὰ τοιαῦτα πάθη τῆς γαστρὸς, τὰ γεγραμμένα τέτταρα φάρμακα, κἀγὼ νῦν γράψω κατὰ τὴν αὐτοῦ Ἀσκληπιάδου λέξιν τε, καὶ τάξιν.

Ad Stomachi subuersiones.

℞. Nucleorum mali punici acidi tusorum succi sextarios iij. succi mentæ sextarium j. mellis attici sextarium j. in vas fictile coniicito, ac coquito assiduè agitando; & vbi densata fuerint, ab igne ablata reponito. Tempore vsus dato mystrum j. aut duos ante cibum. *Aliud, facit ad Dysentericos, & vomentes cibum.* ℞. radicis mali cotoneæ lib. j. vini myrtei sextarios tres, coquito ad tertias; deinde exprimito liquorem, & mellis Attici sesquilibram addito; rursúsque coquito assiduè mouendo. Dato ex reposito velut dictum est.

Πρὸς στομάχου ἀνατροπάς.

℞. Ροιᾶς ὀξείας τῶν πυρήνων τεθλασμένων τοῦ χυλοῦ ξε γ΄. ἡδυόσμου χυλοῦ ξε α΄. μέλιτος Ἀττικοῦ ξε α΄. βαλὼν εἰς ἀγγεῖον κεραμεοῦν, ἕψε κινῶν συνεχῶς, καὶ ὅταν συστραφῇ, ἄρας ἀπὸ τοῦ πυρὸς, ἀπόθου. ἐν δὲ τῇ χρήσει, δίδου πρὸ τροφῆς μύστρον α΄. ἢ καὶ δύο. Ἄλλο, ποιεῖ καὶ δυσεντερικοῖς, καὶ ἐμοῦσι τὴν τροφήν. ℞. μηλέας κυδωνίας τῆς ῥίζης λίτραν α΄. οἴνου μυρτίτου ξε γ΄. ἕψε εἰς τὸ τρίτον, εἶτα ἐκθλίψας τὸ ὑγρὸν, ἐπίβαλλε μέλιτος Ἀττικοῦ λίτραν α΄ S''. καὶ πάλιν ἕψε, συνεχῶς κινῶν, καὶ ἀνελόμενος, δίδου καθὰ προείρηται.

A

Ἡ διὰ τῶν ὀπωρῶν. ποιεῖ πρὸς στομάχου ἀνατροπήν, καὶ κοιλιακοῖς, καὶ δυσεντερικοῖς.

℞. Μῆλα Κυδώνια ἀριθμῷ ι'. οὖα, ἀριθμῷ ν'. μέσπιλα ἀριθμῷ ν'. ῥοῦ ἐρυθροῦ ξε α'. ὕδατος χοᾶς ζ'. τὰς ὀπώρας θλάσας, καὶ βαλὼν εἰς ὕδωρ, ἕψε φιλοπόνως. καὶ ὅταν διαλυθῇ, ἔκθλιβε τὸ ὑγρὸν, καὶ πάλιν ἕψε, ἐκβαλὼν τὸ ἀχυρῶδες τῶν ὀπωρῶν, καὶ ὅταν τὸ τρίτον τοῦ ὑγροῦ ὑπολειφθῇ, ἐπίβαλλε μέλιτος Ἀττικοῦ λίτρας δ'. καὶ ἕψε ἐπ' ἀνθράκων κινῶν συνεχῶς, καὶ ὅταν συστραφῇ, ἄρας ἀπόθου. ἡ χρῆσις δεδήλωται. B Ἄλλο. ℞. οὔων πεπείρων ξε α'. μύρτων μελάνων ξε α'. ῥοῦ Συριακοῦ ξε α'. κοκκυμήλων ἀγρίων ξε α'. μεσπίλων ξε α'. φοινικοβαλάνων Θηβαϊκῶν λίτρας β'. μῆλα κυδώνια ι'. ῥοιὰς ὁλοκλήρους σὺν τοῖς πυρῆσιν ι'. γλεύκους ἀμιναίου ξε μη'. σκεύαζε κατὰ τρόπον, καὶ τὸ ὑγρὸν ἐκθλίψας, πάλιν ἕψε φιλοπόνως, ὥστε συστραφῆναι, καὶ χρῶ καθὰ προείρηται, ὁμοίως ταῖς προγεγραμμέναις δυνάμεσιν. πέμπτην ἔγραψεν ὁ Ἀσκληπιάδης ὧδέ πως.

Confectio ex fructibus; facit ad stomachi subuersionem, cœliacos & dysentericos.

℞. Mala cotonea numero decem, sorba numero quinquaginta, mespila quinquaginta, rhois rubri sextarium j. aquæ congios septem. Fructus tusos, & in aquã coniectos diligẽter coquito; & vbi dissoluti fuerint, liquorem exprimito; ac rursus coquito eiecto eo, quod ex fructibus instar palearũ exuccum reliquum est; quum verò tertia pars liquoris superfuerit, mellis Attici ℔. iv. addito: & ad prunas assiduè agitando coquito, ac spissata reponito. Vsus ostensus est. *Aliud medicamentũ.* ℞. sorborum maturorũ sextarium j. baccarum myrti nigrarum sextarium j. rhois Syriaci sextarium j. prunorum syluestrium sextarium j. mespilorum sextarium j. phœnicobalanorum Thebaicorum lib. duas, mala cotonea decem, mala punica integra vnà cum nucleis decem, musti aminæi sextarios xlviij. Præpara pro consuetudine, & expressum liquorem rursus diligenter coque, donec spissetur. Vtere vt dictum est. Porrò post præscriptas confectiones quintam scripsit Asclepiades hoc modo.

C

Καταπότια πρὸς στομάχου ἀνατροπὰς, Ὠριγενείας, καλὰ, καὶ δόκιμα λίαν.

℞. Ῥόδων ἀνθοῦς < η'. μυρσίνης μελαίνης τοῦ καρποῦ, χωρὶς τῶν γιγάρτων, ὀξύβαφον, ὑοσκυάμου σπέρματος ὀξυβάφου ἥμισυ, τρῖβε ὁμοῦ φιλοπόνως, κατὰ μικρὸν ἐπιβαλὼν προτρόπου ὅσον ἐξαρκεῖ, ἔπειτα τούτοις ἐπιβάλλων φοινίκων πατητῶν ι'. τὴν σάρκα, καὶ συλλεάνας, ἀνάπλασσε καταπότια ἐρεβίνθου τὸ μέγεθος, καὶ δίδου γ'. ἢ καὶ δ'. καὶ μελικράτου παλαιοῦ κεκραμένου κυάθους β'. καὶ τοῦτο τὸ φάρμακον, ἐπὶ τῶν αὐτῶν διαθέσεών ἐστι χρήσιμον, ἐφ' ὧν καὶ τὰ πρὸ αὐτοῦ τέσσαρα. D βεβούληται δὲ ὁ συνθεὶς αὐτὸ καὶ ὑοσκυάμου σπέρμα μίξας, διὰ τὴν μίξιν ταύτην, ἀνωδυνώτερόν τε καὶ ὑπνοποιὸν ἐργάσασθαι, μετὰ τοῦ καὶ ξηραίνειν. εὔδηλον δ' ὅτι καὶ ψυκτικὸν ἔχει τι τὸ σπέρμα τοῦ ὑοσκυάμου, καθάπερ καὶ τὰ τῆς μήκωνος, ὥστε πρὸς τὰς θερμὰς διαθέσεις ἁρμόττειν. Ὅμοιον τῷ προγεγραμμένῳ φάρμακον, ἐφεξῆς αὐτῷ γέγραπται, κατὰ λέξιν τήνδε. ℞. ῥόδων προσφάτων χωρὶς τῶν λοβῶν < η'. μήκωνος λευκῆς τοῦ σπέρματος < δ'. ὑοσκυάμου σπέρματος < β'. ἀλόης τριώβολον, ἀσάρου τριώβολον, ὕδατι διαλύσας, ἀνάπλασσε σφαιρία, καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος. E ἕβδομον ἐπὶ τοῖς προγεγραμμένοις φάρμακον, ὁ Ἀσκληπιάδης ἔγραψεν, προσθεὶς αὐτῷ διορισμὸν, ἀπὸ συμπτώματος φαινομένου. φησὶ γὰρ τοῖς ἐγκαιομένοις ἁρμόζειν αὐτὸ, καὶ διὰ τοῦτο, ἄδιψον ὀνομάζει, τὴν σύνθεσιν αὐτοῦ γράφων τήνδε.

Catapotia ad stomachi subuersiones, Origeniæ, bona & valde probata.

℞. Florum rosarum ʒ. viii. baccarum myrti nigræ exacinatarum acetabulum, seminis hyoscyami acetabuli dimidium. Terito simul diligenter, sufficiente protropo paulatim instillato; deinde his palmularum passarum decem numero, carnem addito; & ex contritis catapotia ciceris magnitudine formato; & tres aut quatuor cum aquæ mulsæ veteris dilutæ cyath. ii. exhibeto. Et hoc medicamentum in iisdem affectibus commodum est, in quibus quatuor præscripta. Voluit autem author huius medicamenti per seminis hyoscyami mixturam, doloris sedationem, & somnum inducere vnà cum resiccatione. Manifestum est autem refrigeratorium quippiam hyoscyami semen habere, velut etiam papaueris semen habet; quare ad calidos affectus facit. Simile præscripto medicamentum deinceps proditum ab ipso est his verbis; ℞. rosarum recentium desectis vnguibus ʒ. viij. seminis papaueris albi ʒ. iv. seminis hyoscyami ʒ. ij. aloës obol. iij. asari obol. iij. cum aqua diluta in pillulas redigito, & ciceris magnitudinem præbeto. Septimum post prædicta medicamentum Asclepiades scripsit, apposito discrimine à symptomate palàm apparente; ait enim, ardori stomachi ipsum conuenire, & propterea adipsum .i. sitim extinguens, appellat, compositionem ipsius sic tradens.

Ἐγκαιομένοις, ἄδιψον καταπότιον.

℞. σικύου ἡμέρου σπέρματος < η'. ἀνδράχνης σπέρματος < η. τραγακάνθης < δ'. διάλυε τὴν τραγάκανθαν ᾠῶν ὠμῶν προσφάτων τῷ λευκῷ, καὶ ὅταν διαλυθῇ, τρίψας ἐπιμελῶς, ἐπίβαλλε τοῖς λοιποῖς, καὶ τρίψας ἐπιμελῶς, καὶ F μίξας, ἀνάπλαττε καταπότια, καὶ ξήραινε ἐν σκιᾷ, καὶ δίδου ἓν ὑπὸ τὴν γλῶτταν κατέχειν, καὶ τὸ διαλυόμενον ὑγρὸν καταπινέτω, καὶ τὸ μετὰ τοῦτο δὲ, ψυκτικόν τε ἅμα καὶ τονωτικὸν πλαδῶντος στομάχου, διάθεσιν ἔχοντος ὑγρὰν καὶ θερμήν. γράφει δὲ περὶ αὐτοῦ κατὰ λέξιν οὕτως ὁ Ἀσκληπιάδης.

Ad Ardorem stomachi Adipson catapotium.

℞. Seminis cucumeris satiui ʒ. viij. seminis portulacæ ʒ. viij. tragacanthæ ʒ. iv. Tragacanthã ouorum crudorum recentium candido dissolue, & probè tritis aliis adde; & ex mixtis catapotia forma, eaque in vmbra resicca; atque vnum sub lingua tenendum præbe, ac liquorem inde solutum deuorare iube. Quin, & quod postea sequitur, refrigerat, ac corroborat stomachum madore prægnantem, & qui humidum, ac calidum affectum habet. Scribit autem de ipso Asclepiades hæc verba.

Aliud

Aliud, facit ad stomachi subuersionem, maximè commodum est ardorem multum perferentibus, & qui stomacho exuruntur.

℞. Foliorum rosarum viridium ʒ.vi. glycyrrhizæ ʒ.iv. nardi Indicæ ʒ.iv. excipe vino dulci, aut protropo, & redige in catapotia; ex quibus vnum sub lingua tenendum præbe; aut ciceris magnitudinem cum frigida aqua dissolue, & in potu exhibe. Nonum deinceps medicamentum Asclepiades scripsit hoc modo. *Ad singultum, & stomachi debilitatem, & cibi reiectionem.* Reiectio itaque, hoc est vomitus ex genere est supinitatum. Quando enim os ventris fortiter afficitur, hoc autē velut dixi, ob vitiosos humores, quos venter abrumpere conatus, propter debilitatem nauseæ symptoma perpetitur, atque hanc etiam, tum ante acceptionem cibi, tum post ingestum cibum, ob extremam debilitatem perfert. Supinitates igitur ex vitiatis humoribus obortas picra confectio, quàm celerrimè curat, nempe vitiatos humores expurgans. Vomitus verò ob imbecillitatem grauati stomachi oborti curantur per intemperiei emendationem. Non parum sæpe contingit etiam non solum stomachum, sed & ventrem, ob debilitatem ferre nō posse ciborum onus, atque ideo reiicere, aliquando quidem ad infernam partem, vbi illis robustior sit stomachus; aliquādo verò sursum ob stomachi imbecillitatem, quando sanè hic debilior fuerit infernis partibus. Hoc itaque vomitus symptoma vnum quidem est, sequitur autem ad multos affectus diuersam medelam exigentes. Similiter & singultus stomacho interdum ob frigiditatem, aut repletionem accidit; interdum ob mordacitatem humorum acrium, & medicamentaria qualitate præditorum. Impossibile itaque est medicamentum inuenire omnibus dictis affectibus aptum. Cæterùm quæ deinceps scripsit Asclepiades duo medicamenta, ostensa sunt substantiam habere multum ab humana natura diuersam, quæ ipsa maximè omnium inter reliquas corporis partes stomachus non fert ob excellentiam sensus, qua præditus existit. Magnopere igitur affligitur stomachus etiā vbi ex stomaticis medicamētis quippiam in ipsum fuerit præterlapsum, maximè quæ atramentum sutorium, aut tale quid in se habent. Quod enim ex fructibus constat, ex comestili materia compositū est; verùm atramentum sutorium contrariæ penitus homini naturæ est; quemadmodum etiā mandragora. Fugienda itaque sunt hæc duo medicamēta ex chrysobalano, & radicis mandragoræ cortice cōposita; apponam tamen etiam ipsorum compositionem. Et prioris quidē descriptio hæc est. ℞. chrysobalani ℔. j. mastiches chiæ libræ dimidium, corticis radicis mādragoræ quadrantem; tusa, & cribrata excipe mentæ succo, & redige in catapotia. Da inde obolos tres cum aquæ frigidæ cyathis tribus. Posterioris autem descriptio hæc est. ℞. mastiches chiæ ℔. i. tragacanthæ albæ, ℔. j corticis radicis mandragoræ sextantem; tusa, & cribrata reponito. Vsu exigente, dato cochleare inspersum aquæ frigidæ cyatho vno. Post præscriptas duo confectiones Asclepiades sic scripsit. Ad voluulosas stomachi subuersiones. Coniectarit quispiam, ipsum voluulosas appellare fortes; quemadmodum enim in voluulis subuersiones fiunt cum magna contentione, & violentia, adeo vt stercus etiam euomant, sic etiam alios vomitus concitatos quis appellare voluulosos possit,

A Ἄλλο. ποιεῖ καὶ πρὸς τὴν τοῦ στομάχου ἀνατροπὴν, μάλιστα δὲ χρήσιμόν ἐστι τοῖς καῦμα πολὺ ὑπομένουσιν, καὶ τοῖς καυσουμένοις.

℞. Ῥόδων χλωρῶν τῶν φύλλων < ϛʹ. γλυκυῤῥίζης < δʹ. νάρδου Ἰνδικῆς < δʹ. οἴνῳ γλυκεῖ, ἢ προτρόπῳ ἀναλάμβανε, καὶ ποίει καταπότια, καὶ δίδου ἓν ὑπὸ τὴν γλῶτταν κατέχειν, ἢ διαλύων ὕδατι ψυχρῷ, ἐρεβίνθου τὸ μέγεθος δίδου πίνειν. ἔνατον ἐπὶ τοῖς προγεγραμμένοις φάρμακον, ἔγραψεν ὁ Ἀσκληπιάδης ὧδέ πως. πρὸς λυγμὸν, καὶ στομάχου ἀτονίαν, καὶ τροφῆς ἀναβολήν. ἡ μὲν οὖν ἀναβολὴ, τουτέστιν ὁ ἔμετος, ἐκ τοῦ γένους ἐστὶ τῶν ὑπτιασμῶν. ὅταν γὰρ ἰσχυρῶς τὸ στόμα τῆς γα-
B στρὸς πάθῃ. τοῦτο γὰρ καθάπερ ἔφην, ἐπί τε μοχθηρῶν χυμῶν· οὓς ἀποῤῥῦψαι δι' ἀτονίαν ἡ γαστὴρ ὁρμήσασα, τὸ τῆς ναυτίας ἴσχει σύμπτωμα, καὶ πρὸ τοῦ προσφέρεσθαι τὴν τροφὴν, καὶ δι' ἀτονίαν ἐσχάτην, ἐπὶ τῇ τροφῇ, πάσχει τοῦτο. τοὺς μὲν οὖν ἐπὶ τῇ τῶν ὑγρῶν φαυλότητι γινομένους ὑπτιασμοὺς, ἡ πικρὰ θεραπεύει τάχιστα τὴν κακοχυμίαν ἐκκαθαίρουσα. τῶν δὲ διὰ τὴν ἀτονίαν βαρυνομένου τοῦ στομάχου γινομένων ἐμέτων, ἴασίς ἐστι κατὰ τὴν τῆς δυσκρασίας ἐπανόρθωσιν. οὐκ ὀλιγάκις δὲ συμβαίνει, μὴ μόνον τὸν στόμαχον, ἀλλὰ καὶ τὴν γαστέρα, δι'
C ἀτονίαν, οὐ δυναμένην φέρειν τὸ βάρος τῶν σιτίων, ἀποῤῥιπτεῖν αὐτὰ, ποτὲ μὲν εἰς τὸ κάτω μέρος, ὅταν καὶ ὁ στόμαχος ἐκείνων εὐτονώτερος ᾖ, ποτὲ δὲ ἄνω, δι' ἀτονίαν στομάχου, καθ' ὃν ἂν καιρὸν οὗτος ἀτονώτερος ᾖ τῶν κάτω. τοῦτο τοίνυν τὸ σύμπτωμα τὸ κατὰ τοὺς ἐμέτους, ἓν μέν ἐστιν, ἕπεται δὲ πολλαῖς διαθέσεσι, διαφόρους ἐχούσαις ἰάσεις. ὡσαύτως δὲ καὶ ὁ λυγμὸς, ἐνίοτε μὲν ἐπιγίνεται τῷ στομάχῳ διὰ ψύξιν, ἢ πλήρωσιν. ἐνίοτε δὲ διὰ δῆξιν ὑγρῶν, δριμέων τε καὶ φαρμακωδῶν ταῖς ποιότησιν. οὐκοῦν οἷόν τε φάρμακον εὑρεῖν ἐστιν ἐπιτήδειον ἁπάσαις ταῖς εἰρημέναις διαθέσεσιν. ἃ δὲ
D ἐφεξῆς ἀλλήλων ἔγραψεν ὁ Ἀσκληπιάδης, δύο πρὸς τοῖς ἄλλοις φάρμακα, δέδεικται πολὺ διαφέρουσαν ἔχοντα τὴν οὐσίαν τῆς ἀνθρωπίνης φύσεως, ἃ μάλιστα πάντων τῶν μορίων τοῦ σώματος ὁ στόμαχος οὐ φέρει, διὰ τὸ περιττὸν τῆς αἰσθήσεως. ἀνιᾶται οὖν μεγάλως, κἀπειδὰν τῶν στοματικῶν τι φαρμάκων εἰς αὐτὸν τύχῃ παραῤῥυὲν, ὅσα χάλκανθον, ἤ τι τοιοῦτον ἔχει. τὸ γὰρ διὰ τῶν ὀπωρῶν, ἐξ ἐδωδίμου γέγονεν ὕλης. ἐναντιώτατον δέ ἐστιν ἀνθρώπου φύσει, τὸ χάλκανθον, ὥσπερ δὴ καὶ ὁ μανδραγόρας. φευκτέον οὖν ἐστιν τὰ δύο ταῦτα φάρμακα, τὰ διὰ χρυσοβαλάνου τε, καὶ μανδραγόρου
E ῥίζης τοῦ φλοιοῦ, συγκείμενα, παραθήσομαι δὲ ὅμως, αὐτῶν καὶ τὴν σύνθεσιν. ἔστι δὲ ἡ μὲν τοῦ προτέρου γεγραμμένη τοιάδε. ℞. χρυσοβαλάνου λίτραν αʹ. μαστίχης χίας λίτραν Sʹʹ. μανδραγόρου ῥίζης φλοιοῦ Γο γʹ. κόψας καὶ σήσας, ἀναλάμβανε ἡδυόσμου χυλῷ, καὶ ποίει καταπότια, καὶ δίδου τριώβολον μεθ' ὕδατος ψυχροῦ κυάθων τριῶν. Η δὲ τοῦ δευτέρου γεγραμμένου φαρμάκου σύνθεσις, ἐστὶν ἥδε. ℞. μαστίχης χίας λίτραν αʹ. τραγακάνθης λευκῆς λίτραν μίαν, μανδραγόρου ῥίζης τοῦ φλοιοῦ Γο βʹ. κόψας καὶ σήσας ἀπόθου. ἐν δὲ τῇ χρήσει, δίδου κοχλιάριον, ἐπιπάσσων ὕδατος ψυχροῦ κυά-
F θῳ ἑνί. μετὰ τὰς προγεγραμμένας δύο δυνάμεις, ὁ Ἀσκληπιάδης οὕτως ἔγραψεν. πρὸς τὰς εἰλεώδεις τοῦ στομάχου ἀνατροπάς. εἰκάσειε δὲ ἄν τις αὐτὸν, εἰλεώδεις ὀνομάζειν τὰς ἰσχυράς, ὡς γὰρ ἐν τοῖς εἰλεοῖς, ἔμετοι μετὰ σφοδρᾶς γίνονται συντονίας, ὡς καὶ κόπρον ἐμεῖν, οὕτω καὶ τοὺς ἄλλους ἐμέτους, ὅσοι σύντονοί γε εἰσὶν, δύναιτ' ἄν τις εἰλεώδεις ὀνομάζειν.

ἕπονται δ' οὗτοι, μεγάλως διατεθεῖσι τοῖς πάσχουσι μορίοις ὑπὸ φαρμακωδῶν ἰχώρων, ἐὰν δὲ καὶ ἀτονώτερά πως ᾖ, διπλασιάζεται τὸ κακόν. ἔσται δὴ διὰ τοῦτο τῆς ἰάσεως ὁ σκοπός, ἅμα μὲν ἀντιθέντων ἡμῶν τοῖς πάσχουσι μορίοις εὐώδεις ποιότητας οἷαί περ αὐτῶν τῶν ἀρωμάτων εἰσί, καί τινων ἐδωδίμων σπερμάτων, ὁποῖόν ἐστιν, ἄνισόν τε, καὶ σέλινον, καὶ δαῦκος, καὶ κύμινον, καὶ σέσελι. κατὰ τοῦτο οὖν καὶ ὁ Ἱπποκράτης ἐπὶ τῶν πλευριτικῶν διδοὺς καθαῖρον φάρμακον, μιγνύναι τι τούτων ἐκέλευσε γράφων ὧδε. ἢν δὲ ὑπὸ φρένας εἴη τὸ ἄλγημα, εἰς δὲ τὴν κληΐδα μὴ σημαίνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίαν μέλανι ἐλλεβόρῳ, ἢ πεπλίῳ, μέλανι μὲν δαῦκον, ἢ σέσελι, ἢ κύμινον, ἢ ἄνισον, ἢ ἄλλό τι τῶν εὐωδῶν μιγνύντας. φαίνεται γὰρ ἐν τούτοις τῆς εὐωδίας αὐτῶν μάλιστα δεόμενος εἰς τὴν μίξιν, ἕνεκα τοῦ τὸ φαρμακῶδες, ὅπερ ἐστὶν ἐναντίον ἀνθρώπου φύσει, παραμυθήσασθαί τε καὶ ἀμβλῦναι. καθάπερ γὰρ τὰ δυσώδη πάντα, τὸν στόμαχον ἀνατρέπειν πέφυκεν, οὕτω τὰ εὐώδη ῥωννύναι. ἂν δὲ πρὸς τοῦτο, καὶ τὸ ἐδωδίμοις αὐτοῖς εἶναι παρῇ, πολλαπλασίως ὠφελήσει τὸν ἀνατετραμμένον στόμαχον, ἐπὶ τῇ κακίᾳ τῶν ἰχώρων. κατὰ τοῦτον μὲν οὖν τὸν λογισμόν, ἄνισόν τε, καὶ σέλινον ἐνέμιξεν ὁ συνθεὶς τὸ προκείμενον φάρμακον, ἀψίνθιόν τε, διότι ῥυπτικὸν πέφυκεν, καὶ ἀποσμῆχον, καὶ ὑπάγειν ὅσοι κατὰ τὸν στόμαχόν εἰσι μοχθηροὶ χυμοὶ συνάγειν τε, καὶ σφίγγειν, καὶ τόνον ἐπιτιθέναι τῷ μορίῳ. τὸ δὲ κιννάμωμον, ὡς ἐν ἅπασι τοῖς δυσώδεσι, καὶ σηπεδονώδεσιν ἀντιτεταγμένον ἰχῶρσι, κατ' ἄμφω τὰς ἑαυτοῦ δυνάμεις, ἀλλοιωτικήν τε, καὶ διαφορητικήν, οὐ μικρὰν γὰρ ἐκ τῆς εὐωδίας ὠφέλειαν παρέχει ταῖς κακοῖς ἁπάσαις διαθέσεσιν. ὄπιον δ' ὀλίγον ἔμιξε τῷ φαρμάκῳ, τὴν αἴσθησιν ἀμβλῦναι τοῦ στομάχου βουλόμενος, ᾧ λόγῳ, καὶ τοῖς κοιλιακοῖς αὐτὸ δίδομεν, εἴ τε καρώδη τινὰ ὕπνον ἐπενεγκεῖν δυνάμενον. ἐπανορθούμενος δὲ ὁ συνθεὶς τὸ φάρμακον, τὴν ἐκ τοῦ ὀπίου σφοδρὰν ψῦξιν, ἔμιξεν αὐτῷ τὸ καστόριον, ἀντιτεταγμένον πως αὐτοῦ τῇ δυνάμει. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὸ πέπερι μέμικται. περὶ δὲ τῆς σμύρνης ἄξιον ἐπιστῆσαι, καθ' ὅσον γάρ, ἡ δύναμις αὐτῆς ἐστι πεπτικὴ τῶν παρὰ φύσιν, καὶ μοχθηρῶν χυμῶν, κατὰ τοσοῦτον, προσηκόντως μέμικται. καθ' ὅσον δὲ φαρμακώδης ἐστίν, οὐ προσηκόντως, ἀλλ' ἡ βραχύτης αὐτῆς, εἰς μὲν τὴν πέψιν τι συντελεῖ. τὸ δὲ τῆς ποιότητος ἀλλόκοτον οὐκ ἐνδείκνυται, νικωμένης ὑπὸ τῶν εὐόσμων. ἐγὼ γοῦν, τὸ προκείμενον φάρμακον, καὶ χωρὶς τῆς σμύρνης εἴωθα σκευάζειν, ἐπὶ τὸ ἀσφαλέστερον ἀεὶ πειρώμενος ἄγειν τὰς χρήσεις ἁπάντων τῶν φαρμάκων, καὶ μάλισθ' ὅταν ὀξέως πυρέττοντι δίδοταί τι τοιοῦτον. ὡς οὖν κιννάμωμον ἔχον τοῦτο τὸ φάρμακον, καὶ σπέρματα θερμά, καὶ διουρητικά, καὶ πέπερι, καὶ πρὸς τούτῳ γε καστόριόν τε, καὶ ὄπιον, ἐπὶ πολλῶν παθῶν εἰκότως ὠφέλιμον γίνεται, ποτὲ μὲν μετ' οἴνου τινὸς τῶν εὐστομάχων διδόμενον, ὁποῖος ὁ πρότροπός ἐστι, ποτὲ δέ, μετὰ μύρτων ἀφεψήματος, ὡς ἐπὶ δυσεντερικῶν, ἢ μετ' ὀξυμέλιτος, ὡς ἐπὶ σπληνικῶν. ἐπὶ δὲ χολέρας μετὰ ψυχροῦ, καθάπερ ὁ Ἀσκληπιάδης ἔγραψεν. ἀλλὰ προσδιορισάμενος, εἰ διψωδέστερός ἐστι νῦν ἢ πρόσθεν, ἢ ἄσης θερμῆς αἴσθησις αὐτῷ, κατὰ τὸ στόμα τῆς κοιλίας, ἢ ψυχροπότης ἦν ὁπόθ' ὑγίαινε. ἐγὼ τοῦτο τὸ φάρμακον, ἐπὶ τὸ ἀσφαλέστερον ἄγων, ἀφῆκά τε τὴν σμύρναν, ηὔξησά τε τὴν τοῦ πεπέρεως ποσότητα. πλεῖστον δὲ κιννάμωμον αὐτοῦ λαβόντος, ἀναγκαῖον ἡμῖν ἐστιν, ὅταν ἀπορῶμεν κινναμώμου,

A sequuntur autem huiusmodi vomitus, vbi affectæ partes à medicatis serosis humoribus magnopere fuerint afflictæ; si verò etiam imbecilliores fuerint, duplicatur malum. Erit itaque ob id curationis scopus, vt simul ad affectas partes odoratas qualitates opponamus, quales aromatum sunt, & quorundam seminum in ciborum vsum venientium, velut est anisum, apium, daucus, cuminum, & seseli. Iuxta hanc itaque rationem Hippocrates in pleuriticis purgatiuum exhibens medicamentum, misceri aliquid ex his iussit, sic scribens: *si verò sub septo transuerso sit dolor, & ad claviculam non se extendat, mollire ventrem oportet veratro ni-* B *gro, aut peplio; ad veratrum quidem dauco, aut seselide, aut cumino, aut aniso, aut alio quopiam odorato addito.* Apparet enim quòd in his miscendis maximè odorem ipsorum respiciat, quo medicamentariam vim, quæ hominis naturæ contraria est, mitiget, & obtundat; quemadmodum enim graueolentia omnia stomachum subuertere solent, sic odorata corroborare. Si verò vltra hoc etiam in ciborum vsum veniant, multipliciter auxiliantur stomacho ob vitiatos serosos humores subuerso. Atque iuxta hanc ratiocinationem author propositi medicamenti anisum, & apium admi- C scuit; absinthium verò propterea, quòd à natura vim habet extergendi, ac repurgandi, & subducendi, vitiatos stomachi humores, ampliúsque densat, & constringit, ac robur addit parti affectæ. Cinnamomum autem addidit, vt quod omnibus fœtidis, & putredinosis serosis humoribus, se opponat iuxta vtramque facultatem suam, alteratiuam, & discussoriam: non paruam enim ex odore suo exhibet vtilitatem omnibus malis affectionibus. Opii verò parum medicamento immiscuit, sensum stomachi hebetare volens; qua ratione etiam cœliacis ipsum damus, vt quod profundum D quendam soporem inducere possit. Quo verò vehementem opii frigiditatem compositor ipse corrigeret, castorium ipsi adiecit, oppositum fermè ipsi in facultate; eadem ratione etiam piper admixtum est. De myrrha verò operæpretium est scire, quòd in quantum facultas ipsius est concoctoria humorum præter naturam, & vitiosorum, in tantum conuenienter admiscetur; in quantum autem medicamentaria est, non conuenienter; verùm paucitas eius ad concoctionem quippiam confert, qualitatis autem peregrinitas non apparet, vtpote victa ab odoratis. Ego itaque hoc medicamentum etiã sine myrrha præparare consue- E ui, ad securitatem perducere semper tentans vsum omnium medicamentorum, præsertim vbi in acuta febre tale quid exhibetur. Quum igitur cinnamomum habeat hoc medicamentum, & semina calida vrinam cientia, ac piper, & præterea castorium, ac opium, meritò multis affectionibus commodum est, quandoque cum vino stomacho grato datum, quale protropũ est; quandoque cum myrti baccarum decocto, velut in dysentericis; aut cum aceto mulso, velut in splenicis; in cholera verò & bilis vomitu, ac effluxu, cum frigida, velut Asclepiades scripsit, sed addito discrimine, si siticulo- F sior est nunc, quàm antea, aut nauseæ calidæ sensus circa os ventris ipsi contingat, aut frigidam bibere sanus consueuit. Ego sanè hoc medicamentum ad securiorem vsum perduxi, myrrhámque dimisi, & piperis quantitatem auxi. Quum verò plurimum cinnamomum accipiat, necessarium nobis est, vbi cinnamomo caremus,

cassiam

A

cassiam optimam coniiciamus, aut plus, quàm duplo cinnamomi pondere, aut omninò non minus. Cæterùm commensuratio, ac apponderatio medicamentorum, quæ ipsum constituunt, ab Asclepiade his verbis proditur.

Ad voluulosas stomachi subuersiones pastillus Amazonum. Facit ad inflatos, ardorem stomachi, & vomentes cibum. Facit, & ad internos affectus.

℞. Seminis apii ʒ. vj. anisi ʒ. vj. absinthii ʒ. iiij. piperis ʒ. ij. myrrhæ ʒ. ij cinnamomi ʒ. vj. opii ʒ. ij. castorii ʒ. ij. cum aqua pastillos formato, & ad summum ʒ. j. dato, stomachicis cum protropi diluti cyathis tribus; cholericis, & vomentibus cibum, cum frigida; cœliacis, & dysentericis cum baccarum myrti decocto; spleniticis cum aceti mulsi cyath. iij. Aliud medicamentum deinceps scripsit Asclepiades, non solùm ad voluulosas stomachi subuersiones ipsum conuenire promittens, sed & ad intensos singultus, & stomachicos, qui ardorem, hoc est multam caliditatem percipiunt. Dictum autem iam sæpe à me est, impossibile esse inuenire medicamentum ad multos affectus optimum: inuenitur enim in vnaquaque ipsarum id, quod propriè ipsis destinatum est præstantius esse. Verùm iis, qui vnum medicamentum ad multos affectus habere volunt, etiam horum præparatio, ac compositio vtilis existit. Continetur tamen ambiguitas quædam in huiusmodi medicamentorum promissionibus, qualem Asclepiades nunc de proposito medicamento fecit. Putabunt enim fortassis aliqui ex ignaris, tum singulorum trium symptomatum curationem promitti, tum duorum simul coincidentium, aut omnium simul; velut quum lancinatur vehemēter nauseans æger, & singultit, & multæ anxiosæ caliditatis sensum circa stomachum percipit. Et de tali sanè affectione primo dicam, in qua tria hæc mala simul hominem infestant, nimirum ardoris sensus, & singultus, & affectio voluulosa. Hippocrates quidem igitur conuulsionem fieri dixit ex repletione, & euacuatione, & additum est ad aphorismum, fermè in omnibus exemplaribus, Sic autem & singultus. Ego verò in conuulsione tertiam aliquam causam supra euacuationem, & repletionem nondum reperi; Singultum autem sine his fieri video, acribus humoribus, aut serosis, & medicatis, stomachum mordentibus, quos vbi vomitu reiecerint, statim singultu liberantur. Quin, & multi deuorato medicamento ex tribus piperis generibus constante, si statim vinum insuper bibant, omninò singultiunt, ex quorum numero etiam ego sum. Amplius autem, & cibo in mordacem qualitatem corrupto aliqui singultiunt; & quod à vomitu statim liberantur, omnibus notum est. Quidam etiam ex rigore oris ventris singultiunt. Verùm pueros maximè frequenter singultire contingit, tum ob corruptionem alimenti in ventre, tum ob partis frigiditatem. An verò, & ob nimiā euacuationem fiat singultus, veluti etiam conuulsio, dignum consideratione est. Verùm si in præsens hac consideratione relicta, eos, qui ob frigiditatem, aut ciborum copiam, aut mordacē acredinem, grauātur, intueamur, vomitum reperiemus sufficientem medelam eorum, qui ob copiam, aut morsum singultiunt, caliditatem verò eorum, qui ob frigiditatem. Alio autē modo reperiemus etiam sensus stupefactionem per refrigerantia, & permutationē, ac discussionem mordacium per attenuantia, & reficcantia.

κασίας τὴν διπλῶν ἐμβάλλῃ, ἤτοι πλείονα διπλῷ σταθμῷ τοῦ κινναμώμου, ἢ πάντως οὐκ ἐλάττονα. ἡ δὲ ὑπ' Ἀσκληπιάδου γεγραμμένη συμμετρία τῶν μιγνυμένων φαρμάκων ἐστὶν ἥδε, κατὰ λέξιν.

Πρὸς τὰς εἰλεώδεις τοῦ στομάχου ἀνατροπὰς, ὁ τῶν Ἀμαζόνων. ποιεῖ πρὸς ἐμπνευματώσεις, ἐσχημένοις καὶ ἐμοῦσι τὴν τροφήν. ποιεῖ δὲ πρὸς τὰς τῶν ἐντὸς διαθέσεις.

℞. Σελίνου σπέρματος < ϛ'. ἀνίσου < ϛ'. ἀψινθίου < δ'. πεπέρεως < β'. σμύρνης < β'. κινναμώμου < ϛ'. ὀπίου < β'. καστορίου < β'. ἀνάπλαττε δι' ὕδατος, καὶ ποίει τροχίσκους, καὶ δίδου τὴν τελείαν δόσιν < α'. στομαχικοῖς μετὰ προτρόπου κεραννυμένου κυάθων γ'. χολερικοῖς, καὶ ἐμοῦσι τὴν τροφὴν, μετὰ ψυχροῦ, κοιλιακοῖς, καὶ δυσεντερικοῖς μετὰ μύρτων ἀφεψήματος. τοῖς δὲ σπληνικοῖς, μετ' ὀξυμέλιτος θερμοῦ κυάθων γ'. Ἄλλο φάρμακον ἐφεξῆς ἔγραψεν ὁ Ἀσκληπιάδης, οὐ μόνον πρὸς τὰς εἰλεώδεις τοῦ στομάχου διαθέσεις ἁρμόττειν ἐπαγγελλόμενος, ἀλλὰ καὶ πρὸς τοὺς ἐπιτεταμένους λυγμοὺς, καὶ τοὺς δι' ἐγκαύσεως, ὅπερ ἐστὶ, πολλῆς θερμασίας αἰσθανομένους, στομαχικούς. Εἴρηται δέ μοι πολλάκις, ὡς ἔστιν ἀδύνατον, εὑρεῖν φάρμακον εἰς πολλὰς διαθέσεις ἄριστον, εὑρίσκεται γὰρ ἑκάστης αὐτῶν ἕτερον ἴδιον, ἄμεινον. ἀλλὰ τοῖς βουλομένοις ἓν ἔχειν φάρμακον πρὸς πολλὰ πάθη, καὶ ἡ τούτων σκευασία, καὶ παρασκευὴ χρήσιμος γάρ. περιέχεται μέντοι καὶ ἀμφιβολία τις ἐν ταῖς τοιαύταις ἐπαγγελίαις τῶν φαρμάκων, ὁποίαν ὁ Ἀσκληπιάδης νῦν περὶ τοῦ προκειμένου πεποίηται. δόξουσι γὰρ ἴσως ἔνιοι τῶν ἀγνοούντων, ἑκάστου τε τῶν τριῶν συμπτωμάτων ἐπαγγέλλεσθαι θεραπείαν, ἅμα τε δύο συνελθόντων, καὶ πάντων ὁμοῦ, καθάπερ ὅταν σπαράττηται σφοδρῶς, ναυτιῶν ὁ κάμνων, καὶ λύζῃ, καὶ θερμασίας πολλῆς, καὶ ἀσώδους κατὰ τὸν στόμαχον αἰσθάνηται. καὶ περὶ πρώτης γε ἐρῶ τῆς τοιαύτης διαθέσεως, ἐφ' ἧς ἅμα τρία παθήματα ἐνοχλεῖ τὸν ἄνθρωπον, ἥ τε τῆς ἐγκαύσεως αἴσθησις, ὅ, τε λυγμὸς, ἥ, τε εἰλεώδης διάθεσις. Ἱπποκράτης μὲν οὖν, σπασμὸν ἔφησε γίνεσθαι, ὑπό τε πληρώσεως, καὶ κενώσεως, καὶ πρόσκειται τῷ ἀφορισμῷ, σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις, οὕτω δὲ καὶ λυγμός. ἐγὼ δὲ, ἐπὶ τοῦ σπασμοῦ, τρίτον αἴτιον, παρὰ τὸ τῆς κενώσεως, καὶ πληρώσεως, οὐδὲν προσθεῖναι εὗρον. λυγμὸν δὲ ὁρῶ, καὶ χωρὶς τούτων γιγνόμενον, ἐνίοτε δριμέων χυμῶν, ἢ ἰχώρων φαρμακωδῶν δακνόντων τὸν στόμαχον, οὓς ἐὰν ἐμέσωσιν, εὐθέως παύονται λύζοντες, καὶ πολλοὶ τὸ διὰ τριῶν πεπέρεων φάρμακον καταπιόντες, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον αὐτῷ, πάντως λύζουσιν, ὧν εἷς εἰμι κἀγὼ αὐτός. ἔτι δὲ καὶ τροφῆς διαφθαρείσης εἰς δακνώδη ποιότητα, λύζουσιν ἔνιοι. καὶ ὅτι γε ἐμέσαντες, παραχρῆμα παύονται, τῶν ἅπασι γινωσκομένων ἐστί. καὶ ῥιγώσαντες τὸ στόμα τῆς κοιλίας, ἔνιοι λύζουσι, μάλιστα δὲ τοῖς παιδίοις συμβαίνει λύζειν συνεχῶς, ἐπί τε διαφθορᾷ τῆς κατὰ τὴν γαστέρα τροφῆς, καὶ ψύξει τοῦ μορίου. εἰ δὲ καὶ δι' ὑπερκένωσιν γίνηται λυγμὸς, ὥσπερ καὶ σπασμὸς, ἄξιον σκέψεως ἐστιν. ἀλλ' ἐὰν ἐν τῷ παρόντι καταλιπόντες ἄσκεπτον τοῦτο, τοὺς διὰ ψύξιν, ἢ πλῆθος σιτίων βαρυνομένους, ἢ δριμύτητα δακνούσῃ ἐνοχλουμένους, ἔμετον μὲν εὑρήσομεν αὐταρκὲς ἴαμα, τῶν, διὰ τὸ πλῆθος, ἢ δῆξιν, λυζόντων, θερμασίαν δὲ, τῶν διὰ ψύξιν. ἑτέρῳ δὲ τρόπῳ, καὶ τὴν τῆς αἰσθήσεως νάρκωσιν ἐπὶ τοῖς ψύχουσιν, καὶ τὴν ἀλλοίωσιν δακνόντων, καὶ τὴν διαφόρησιν, ὑπὸ τῶν λεπτυνόντων τε, καὶ ξηραινόντων.

A σύγκειται δὲ ἐκ τοιούτων τὸ φάρμακον. ὄπιον μὲν γὰρ, καὶ ῥόδα, καὶ ψυλλίου χυλὸς, τῶν ψυχόντων ἐστὶ, νάρδου δὲ στάχυς, καὶ χρυσοβάλανος, τῶν διαφορούντων τε καὶ τονούντων, ἄσαρον δὲ, τῶν ἐπ' οὖρα ποδηγούντων τὰς μοχθηρίας τῶν ὑγρῶν· ἡ δ' ἀλόη, τῶν ἐκκαθαιρόντων τε τὴν κακοχυμίαν ἐστὶν, ἐκκενούντων τε διὰ τῆς κάτω γαστρός. ὁ δὲ κρόκος, καὶ πέττει, καὶ τονοῖ τὰ μόρια, καὶ τῷ μὲν εὐκράτῳ τῆς θερμότητος, τὴν πέψιν ἐργαζόμενος, τῇ δὲ συνούσῃ στύψει, τὸν τόνον. ὁ δὲ κόστος, τῶν ἱκανῶς μὲν θερμαινόντων, μετρίως δὲ στυφόντων ἐστὶν, ὡς αὐτὸς ἐνδείκνυται τοῖς γευομένοις αὐτοῦ. B ἐκ τούτων δὲ συγκείμενον τὸ φάρμακον, ἐπιτήδειον μὲν τοῖς λύζουσίν ἐστιν, ἐπιτήδειον δὲ καὶ τοῖς σπαραττομένοις ἐμετικῶς, διὰ τοὺς κατὰ τὸ προγεγραμμένον εἰρημένους χυμοὺς, ἀλλ' οὐχ ὁμοίως ἐκείνῳ, μήτ' ἄλλο τι τῶν εὐωδῶν ἔχον, μήτε κιννάμωμον. ἡ δὲ τῶν ψυχόντων ἐν αὐτῷ μίξις, ναρκῶσαι τὴν αἴσθησιν δυναμένη, καὶ πραΰνειν τὴν ἐκ τῶν δακνόντων ἰχώρων τε, καὶ χυμῶν ἀνίαν, ἐπιτήδειον ὄντως ἐργάζεται τὸ φάρμακον, εἰς τὴν τῆς ναυτιώδους διαθέσεως μείωσιν. ἐπεὶ δὲ, καὶ τοῖς ἐγκαιομένοις τὸν στόμαχον ἁρμόττειν ἔφησε τὸ φάρμακον· ἀνθίσταται δὲ τῷ λόγῳ τούτῳ ὁ θερμαίνων κόστος, ἄξιον εἰπεῖν καὶ περὶ τοῦδε. C Καθάπερ ἐν ταῖς κωλικαῖς καλουμέναις ἀντιδότοις, ὑπὸ δέ τινων ἀνωδύνοις, ὁποία καὶ ἡ τοῦ Φίλωνός ἐστιν. ὁ μὲν σκοπὸς τῆς συνθέσεως τοῦ φαρμάκου, ναρκῶσαι τῇ ψύξει τὴν αἴσθησιν τῶν ὀδυνωμένων. ὅπως δὲ μὴ μετὰ μεγάλης βλάβης συμβαίνῃ τοῦτο, διά τε τοῦ βάθους τῶν ὀδυνωμένων σωμάτων ἡ ψύξις ταχέως διέλθῃ, μίγνυται τὰ θερμαίνοντα, ποδηγεῖν δυνάμενα τὴν ἐκ τῶν ψυχόντων νάρκωσιν, ὡς ἂν ἐκείνων αὐτῶν, καθ' ἑαυτὰ βραδυπόρων ὑπαρχόντων. Ταῦτα οὖν προακηκοώς τις, ἐπισκεπτέσθω τὴν ποσότητα τῶν μιγνυμένων ἐν D ταῖς συνθέσεσι τῶν ἁπλῶν φαρμάκων. ἐκ ταύτης γὰρ εἴσεται, εἴ τέ τι μᾶλλον ὧν ἐπαγγέλλεται, τὸ σύνθετον φάρμακον ἐργάζεσθαι δυνατόν ἐστιν, ἢ καί τι ἧττον. εἰ μὲν γὰρ φαίνοιτο τὰ ψύχοντα πλείω, τὴν αἴσθησιν τῶν πεπονθότων ἀμβλυνεῖ μᾶλλον, ὅσον δὲ θερμασίας ἦν ἐν τῷ μορίῳ, καὶ ταύτην σβέννυσι. τῶν θερμαινόντων δὲ αὐξηθέντων, ἧττον μὲν ταῦτα ἐργάζεται τὸ φάρμακον, ἀβλαβέστερον δὲ γίνεται. χρὴ γὰρ γινώσκειν ὑπὸ πάντων τῶν δι' ὀπίου, καὶ ὑοσκυάμου, καὶ μανδραγόρου φαρμάκων, ὅμοιον τῇ νεκρώσει πάσχοντα τῶν ζώντων τὰ σώματα, τῶν ὀδυνώντων αἰτίων ἀναισθήτων γινο- E μένων, καὶ πολλοὶ τῶν συνεχῶς τὰ τοιαῦτα λαμβανόντων εἰς ἀνίατον ψύξιν ἤγαγον τὰ μόρια. καθάπερ δὲ ἐπὶ τῆς τῶν ψυχόντων τε, καὶ θερμαινόντων ἀντιθέσεως, ἡ ποσότης ἑκατέρων ἐνδείκνυται τὴν ἐπικρατοῦσαν ἐνέργειαν τοῦ φαρμάκου, κατὰ τὸν αὐτὸν τρόπον, κἀπὶ τῶν ἄλλων ἐννοεῖν προσήκει, οἷον πυκνούντων τε, καὶ ἀραιούντων, ἢ συναγόντων, καὶ χεόντων, ἢ εὐωδῶν τε, καὶ δυσωδῶν, ἢ ὑγραινόντων τε, καὶ ξηραινόντων, διαφορούντων τε, καὶ συνεχόντων. ὑπογράψας οὖν τούτοις τὴν τῶν μιχθέντων ποσότητα, πρὸς τὰ συνεχῆ μετα- F βήσομαι. γράφει δὲ αὐτὴν ὁ Ἀσκληπιάδης αὐταῖς ὀνόμασιν οὕτως.

Στομαχικοῖς, ἐγκαιομένοις, πρὸς ἐπιτεταμένους λυγμοὺς, καὶ τὰς εἰλεώδεις τοῦ στομάχου διαθέσεις.

℞. Κόστου < δ'. ναρδοστάχυος < δ'. χρυσοβαλάνων < δ'. ῥόδων χλωρῶν < δ'. μαστίχης δραχμὰς δ'. ἀλόης δραχμὰς β'. ἀσάρου δραχμὰς β'. ὀπίου δραχμὴν μίαν,

A Componitur autem ex huiusmodi ipsum medicamentum. Opium enim, & rosæ, & psyllij succus, ex refrigerantibus sunt. Spica nardi verò, & chrysobalanos, ex discutientibus, & corroborantibus. Asarum autem per vrinam deducit vitiosos humores. Aloë verò vitiatos humores expurgat, & infernè per ventrem euacuat. Crocus autem concoquit, & roborat partes, per temperamentum quidem caliditatis concoctionem efficiens, per astringendi verò vim, quæ ipsi adest, robur addens. Costus autem sufficienter calefacit, B moderatè verò astringit, quod & ex gustu eius percipitur. Ex his porrò compositum medicamentum aptum est singultientibus; aptum est & iis, qui ad vomendum lancinantur; ob humores in præcedenti dictos, verùm non similiter vt illud, neque aliquid aliud ex odoratis habet, neque cinnamomum. Refrigerantium autem in ipso mixtura stupefacere sensum potens, mitigando molestiam ex mordacitate serosorum, & aliorum etiam humorum obortam, verè aptum medicamentum efficit ad nauseosæ affectionis imminutionem. Quandoquidem verò etiam ad stomachi ardorem conuenire medicamentum dixit, repugnat autem huic sermoni calefaciens C costus, operæpretium fuerit & de eo dicere. Quemadmodum in antidotis colicis appellatis, & à quibusdam, dolorum sedatoriis, qualis est Philonis antidotus, scopus componendi medicamentum est stupefacere sensum dolentium. Quo verò non cum magno detrimento id fiat, & vt per altum dolentium corporum frigiditas celeriter penetret, calefacientia miscentur, quæ refrigerantium stupefactionem deducere possunt; quum illa ipsa per se tardi transitus existant, Hæc igitur vbi quis inaudiuerit, quanti- D tatem consideret simplicium medicamentorum, quæ in compositiones miscentur: ex hac enim sciet, num magis, aut minus, efficere possit compositum medicamentum ea, quæ promittit. Si nanque refrigerantia plura apparuerint, sensum affectorum magis obtundit, & quantum caloris in ipsa particula fuerit, etiam hunc extinguit; vbi verò calefacientia fuerint aucta, minus quidem hæc efficiet ipsum medicamentum, innocentius autem reddetur. Nosse enim oportet corpora viuentium mortificationi simile quippiam perpeti ab omnium ex opio, & hyoscyamo, & mandrago- E ra compositorum medicamentorum vsu, nimirum causis dolorem infligentibus insensibilibus factis; & multi sanè, qui assiduè talia accipiunt, ad immedicabilem frigiditatem partes perducunt. Quemadmodum autem in refrigerantium & calefacientium oppositione, vtrorumque quantitas ostendit prædominantem medicamenti actionem, eodem modo etiam in aliis considerationem facere oportet, velut densantibus, & rarefacientibus, coagmentantibus, & diffundentibus, odoratis, & graueolentibus, humectantibus, & siccantibus, discutientibus & cohibentibus. Itaque F vbi subscripsero his mixtorum in compositione quantitatem, ad cohærentia transibo. Scripsit autem ipsam Asclepiades in hæc verba.

Stomachicis ardorem sentientibus, & intensos singultus, & voluulosos stomachi affectus.

℞. Costi ʒ. iiii. spicæ nardi ʒ. iiii. chrysobalanorum ʒ. iiii. rosarum viridium ʒ. iiii. mastiches ʒ. iiii. aloës ʒ. ii. asari ʒ. ii. opii drachmam vnam.

Excipe

Excipe succo psyllij, & reduc ad pastillorum formam, & exhibe obolos tres. Liquor sit affectui conueniens. Post præscripta medicamenta Antidotum Hieram iam antea in Andromachi medicamentis conscriptam, ex aloë, & cinnamomo compositam, etiam ipse tradidit, non iuxta eandem commensurationem, & symmetriam. Habent autem verba eius in hunc modum.

Antidotus Hiera Themisonis, ad stomachi subuersiones. Facit, & ad sentientes ardorem, & omnem inflationem, tardam concoctionem, & affectiones vteri. Probè ciet vrinam, & omninò admiranda confectio est Hydropicis, Hepaticis, & Nephriticis. Deducit & fœminis Menses.

℞. Aloës ʒ. c. mastiches ℥. j. croci ℥. j. nardi Indicæ ℥. j. cinnamomi ℥. j. carpobalsami ℥. j. asari ℥. j. tundito, & angustissimo cribro excernito, atque aridum, ne transpiret, seruato. Vsus eius est ad tardè concoquentes, atque ita sanos ʒ. iij. cum frigidæ cyath. iiij. vomentibus bilem, aut aliàs fluxione laborantibus drachmæ dimidium ad inflammationes internas conuenit cum aqua mulsa bibitum; verùm quibus vrinam ciere volumus, aut menses deducere, medicamentum cum vino damus. Est autem medicamentum inspersile, in pulueris, ac farinæ formam redactum. Hæc quidem scripsit Asclepiades de prædicto medicamento. Videamus autem primum in his de quantitate medicamentorum ipsum constituentium quatenus consensit, & dissensit cum Andromacho; deinde consequenter de promissione, & vsu. Equidem in mixtura medicamentorum consenserunt inter se Andromachus, & Asclepiades in hoc, quòd aloës drachmas centum coniiciunt; Dissentiunt autem, in eo, quòd Asclepiades simpliciter aloës scripsit, Andromachus autem lotæ apposuit; Et quòd Asclepiades reliquorum singulorum singulas vncias admiscuit, hoc est drachmas argenteas octo, aut septem & dimidiam, Andromachus verò sex. Amplius etiam in eo, quòd Asclepiades carpobalsamum, Andromachus xylobalsamum iniicit; & præterea quòd Asclepiades florem iunci odorati penitus relinquit. Cæterùm circa promissionem operũ Andromachus nihil amplius scripsit, quàm quibusdã vnum cochleare, quibusdam duo, cum aquæ frigidæ, aut calidæ cyathis tribus exhibere; verùm Asclepiades plura de vsu propositæ antidoti prodidit. Ad tardas enim concoctiones sanorum ʒ. j. dari iubet, cum aquæ frigidæ cyath. quatuor; opinor autem ipsum dicere drachmam argenteam, etenim sic ferè omnes recentiores medici appellare in more habent; neque ipsa rei natura aliud nos intelligere cogit; manifestum est autem, quòd drachmam dicimus nunc in huiusmodi omnes, quod Romani denarium appellant. Verùm non omnibus tardè concoquentibus expedit præbere hoc medicamentum, sed iis solum, quibus ob vitiosos humores tarda concoctio contingit, & maximè cùm tenues fuerint, & biliosi. Fecerit & quietem in iis, quibus citra vitiatos humores humida intemperies in tantum affectam partem perrigauit, vt exoluatur. & laxetur ad modum ligatoriorum neruorum circa laxatos articulos. At verò, qui bilem in ventre habent, quæ præsertim ipsis in tunicis in alto continetur, præstantius medicamentum non repererint.

A ἀναλάμβανε ψυλλίου χυλῷ καὶ ἀνάπλαττε τροχίσκους, καὶ δίδου τριώβολον. τὸ ὑγρὸν ἔστω κατάλληλον τῇ διαθέσει. ἐφεξῆς τοῖς προγεγραμμένοις, τὴν ἔμπροσθεν ἤδη γεγραμμένην ἀντίδοτον, ἱερὰν δι' ἀλόης τε καὶ κινναμώμου συγκειμένην, ἐν τοῖς Ἀνδρομάχου φαρμάκοις, καὶ αὐτὸς ἔγραψεν, οὐ κατὰ τὴν αὐτὴν συμμετρίαν. ἔχει δὲ ἡ λέξις αὐτοῦ, τόνδε τὸν τρόπον.

Ἀντίδοτος ἱερὰ Θεμίσωνος πρὸς τὰς τοῦ στομάχου ἀνατροπάς. ποιεῖ καὶ τοῖς καυσουμένοις, καὶ πρὸς πᾶσαν ἐμπνευμάτωσιν, καὶ βραδυπεψίαν, καὶ πρὸς τὰς περὶ μήτραν διαθέσεις. ἔστι δὲ καὶ διουρητικὴ ἀγαθὴ, καὶ καθόλου δύναμις θαυμαστὴ, ὑδρωπικοῖς, B νεφριτικοῖς, ἡπατικοῖς, κατάγει καὶ γυναιξὶν ἔμμηνα.

℞. ἀλόης < ρ'. μαστίχης ℥ α'. κρόκου ℥ α'. νάρδου Ἰνδικῆς ℥ α'. κινναμώμου ℥ α'. καρποβαλσάμου ℥ α'. ἀσάρου ℥ α'. κόπτε, σῆθε λεπτοτάτῳ κοσκίνῳ, καὶ φύλαττε ξηρὸν καὶ ἀδιάπνευστον. ἡ χρῆσις, πρὸς μὲν τὰς βραδυπεψίας, καὶ τοὺς οὕτως ὑγιαίνοντας, ὁλκὴ μία μετὰ ψυχροῦ ὕδατος κυάθων δ'. τοῖς δὲ χολὴν ἐμοῦσιν, ἢ ἄλλως πως ῥευματιζομένοις, ὁλκῆς ἥμισυ. πρὸς δὲ τοὺς φλεγμαίνοντάς τι τῶν ἐντὸς, ἁρμόσει μεθ' ὑδρομέλιτος διδόμενον. ἐφ' ὧν δὲ οὖρα C κινεῖν προαιρούμεθα, ἢ ἔμμηνα κατάγειν, δίδομεν μετ' οἴνου τὸ φάρμακον. ἔστι δὲ καταπαστόν. ταῦτα μὲν ἔγραψεν ὁ Ἀσκληπιάδης περὶ τοῦ προκειμένου φαρμάκου. σκεψώμεθα δὲ πρῶτον μὲν ἐν τοῖς περὶ τῆς ποσότητος τῶν συντεθέντων αὐτὴν φαρμάκων, ᾗ συνεφώνησέν τε, καὶ διεφώνησεν, εἶθ' ἑξῆς περὶ τῆς ἐπαγγελίας τε, καὶ χρήσεως αὐτῆς. ἐν μὲν δὴ τῇ μίξει τῶν φαρμάκων, συνεφώνησαν ἀλλήλοις ὅ, τε Ἀνδρόμαχος καὶ ὁ Ἀσκληπιάδης, ἐν τῷ τῆς ἀλόης ρ'. ἐμβάλλειν δραχμάς. διεφώνησαν δὲ, ἔν τε τῷ τὸν Ἀσκληπιάδην, ἁπλῶς ἀλόης γράψαι, τὸν δὲ Ἀνδρόμαχον τὸ, πεπλυμμένης D προσθεῖναι. κἀν τῷ, τὸν Ἀσκληπιάδην τῶν ἄλλων οὐγγίας μίξαι, τουτέστιν ὁλκὰς ἢ δραχμὰς ἀργυρᾶς η'. ἢ ἑπτὰ ἥμισυ, ἓξ δὲ, τὸν Ἀνδρόμαχον. ἔτι τὸ, καθόσον μὲν ὁ Ἀσκληπιάδης βαλσάμου καρπὸν, ὁ δ' Ἀνδρόμαχος ξυλοβάλσαμον ἐμβάλλει, καὶ πρὸς τούτοις, ὅτι μηδ' ὅλως ὁ Ἀσκληπιάδης τὸ ἄνθος τοῦ σχοίνου μίγνυσι, κατὰ δὲ τὴν ἐπαγγελίαν τῶν ἔργων τοῦ φαρμάκου, τῷ μὲν Ἀνδρομάχῳ πλέον οὐδὲν γέγραπται, τοῦ δίδοσθαι, τισὶ μὲν, ἓν κοχλιάριον, τισὶ δὲ, δύο μεθ' ὕδατος ψυχροῦ κυάθων δ'. ἢ θερμοῦ. τῷ δ' E Ἀσκληπιάδῃ πλείω περὶ τῆς χρήσεως εἴρηται τῆς προκειμένης ἀντιδότου. πρὸς μὲν γὰρ τὰς δυσπεψίας τῶν ὑγιαινόντων, κελεύει δίδοσθαι μίαν ὁλκὴν, μεθ' ὕδατος ψυχροῦ κυάθων δ'. ἡγοῦμαι δὲ λέγειν αὐτὸν δραχμὴν ἀργυρᾶν, καὶ γὰρ οὕτω σχεδὸν ἅπασι τοῖς νεωτέροις ἰατροῖς ἔθος ὀνομάζειν. ἄλλο δὲ νοεῖν ἡμᾶς οὐδὲν, ἡ τοῦ πράγματος φύσις ἀναγκάζει. πρόδηλον δ' ὅτι δραχμὴν λέγομεν νῦν ἐν τοῖς τοιούτοις ἅπαντες, ὅπερ Ῥωμαῖοι δηνάριον ὀνομάζουσιν. ἀλλ' ἐπί γε τῶν βραδυπεπτούντων οὐχ ἁπάντων, ἁρμόσει διδόναι τὸ φάρμακον, ἀλλ' ἐπ' ἐκείνων μόνον, ἐφ' οἷς, ἐπὶ χυμοῖς μοχθηροῖς γίνεται τοῦτο, F μᾶλλον δ' ὅταν ὦσι λεπτοὶ, καὶ χολώδεις. ποιήσει δ' ἄν τινα ῥαστώνην, καὶ τοῖς ἄνευ χυμῶν τὴν ὑγρὰν δυσκρασίαν ἔχουσιν, ἐπὶ τοσοῦτον διαβεβρωκυῖαν τὸ πεπονθὸς μόριον, ὡς ἐκλύεσθαι, καὶ χαλᾶσθαι, παραπλησίως τοῖς συνδετικοῖς καλουμένοις νεύροις, ἐπὶ τῶν κεχαλασμένων ἄρθρων. ἐπὶ μέν τοι τῶν χολὴν ἐχόντων ἐν τῇ κοιλίᾳ, μάλιστα ἐφ' ὧν ἐν αὐτοῖς τοῖς χιτῶσι διὰ βάθους περιέχεται, κάλλιον φάρμακον οὐκ ἂν εὕροις.

ἀλλ᾽ οὐκ οἶδα, ὅπως ὀλίγον αὐτοῦ δίδωσιν ὁ Ἀσκληπιάδης, τῆς συμμέτρου δόσεως εἰς < ϛʹ. ἐξισούσης. πρὸς δὲ τοὺς φλεγμονήν τινα ἔχοντας, οὐχ ἁπλῶς δοτέον ἐν παντὶ καιρῷ τῆς φλεγμονῆς, ἀλλ᾽ ὅταν πεφθῇ τε, καὶ παρακμάσῃ, πέπονα γὰρ φαρμακεύειν ἀξιοῖ καλῶς ὁ Ἱπποκράτης, μὴ ὠμὰ, μηδ᾽ ἐν ἀρχῇσιν, εἰ μὴ ὀργᾷ, τουτέστιν εἰ μὴ πρὸς τὴν ἔκκρισιν ἐπείγοιτο ἡ κίνησις, καὶ μήπω μηδεμίαν ἔχουσα πρὸς ἓν μέρος ἑδραίαν ῥοπήν τε, καὶ στάσιν. ὀρθῶς δὲ τὸ φάρμακον τοῦτο, τοῖς μὲν βραδυπεπτοῦσι, καὶ τοῖς χολὴν ἐμοῦσιν, ἢ ἄλλως πως ῥευματιζομένοις τὸν στόμαχον, ἐπιπάττων ὕδατος κυάθοις τέσσαρσι, δίδωσι, τὴν ἐκ τοῦ μέλιτος ἀνατροπὴν προσγινομένην τῷ στομάχῳ δεδιώς. B πρὸς δὲ τὰς παρακμὰς τῶν ἔνδον φλεγμονῶν, μεθ᾽ ὑδρομέλιτος ὡραίως ἄν τις διδοίη τοῦτο. καθάπερ καὶ κινεῖν οὖρα προαιρούμενος, ἢ ἔμμηνα κενοῦν, ὁ μὲν Ἀσκληπιάδης φησὶ μόνον, δι᾽ οἴνου. βέλτιον δ᾽ ἂν, ὡς ἐγώ φημι, ποιεῖ τις, εἰ δι᾽ οἰνομέλιτος διδοίη τὸ φάρμακον. οὕτω γὰρ ἅμα τε τὰ κατὰ τὴν ἐκ τῆς κοιλίας ἀνάδοσίν τε καὶ φορὰν ἐπ᾽ οὖρα, καὶ τὰ κατὰ τὰς μήτρας ἐνιστάμενα, διαλύει καὶ τέμνει, καὶ ῥώμην τοῖς μορίοις παρέχει, δι᾽ ὧν ποιεῖται τὴν πορείαν. ἔτι τε τὴν θερμασίαν αὔξει τῶν τόπων, δι᾽ ὧν φέρεται, συντελοῦσαν καὶ αὐτὴν οὐ σμικρὰ, πρός τε τὴν χύσιν τῶν ἐνισταμένων ὑγρῶν, καὶ τὴν κένωσιν. C μετὰ δὲ τὴν προγεγραμμένην ἱερὰν, Θεμίσωνος ἀντίδοτον, ὁ Ἀσκληπιάδης ἑτέραν οὕτως ἔγραψεν· ἄλλη ἐκ τῶν Μαντίου δυνάμεων, Ἀτταλική. ποιεῖ στομαχικοῖς, καὶ ἀπορρίπτουσι τὴν τροφὴν, ποιεῖ χολερικοῖς, κοιλιακοῖς, δυσεντερικοῖς. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτω. ℞. κρόκου < βʹ. νάρδου < βʹ. ὑοσκυάμου σπέρματος < αʹ. ἀλόης ℥ αʹ. βαλαυστίου ℥ αʹ. τραγακάνθης ℥ αʹ. πεπέρεως λευκοῦ ℥ αʹ. ἀκακίας ℥ αʹ. ῥήου Ποντικοῦ ℥ αʹ. ῥοὸς Συριακοῦ τοῦ ἐπὶ τὰ ὄψα ℥ αʹ. ῥόδων χυλῷ D ἀφεψημένων ἐν οἴνῳ αὐστηρῷ ἀναλαβὼν, ποίει τροχίσκους ἀνὰ < αʹ. τὴν δὲ τραγάκανθαν προεμβρέξας τῷ χυλῷ, ἕνου. τοῦτο τὸ φάρμακον, οὐδὲν ἔοικε τῷ προγεγραμμένῳ, καθαρτικὸν μὲν γὰρ ἐκεῖνο, συσταλτικὸν δὲ τοῦτό ἐστιν, ἁρμόττον τοῖς δι᾽ ὑγρότητα πολλὴν, ἔκλυτόν τε, καὶ χαλαρὸν ἔχουσι τὸν στόμαχον, ἢ καὶ σύμπασαν τὴν γαστέρα. καθάπερ κἀν τοῖς ἄρθροις τὰ χαλάσματα γίγνεται, διαβραχέντων ὑγρότητι πολλῇ τῶν ἐν αὐτοῖς συνδέσμων, ἃ τοῖς πλείστοις τῶν ἰατρῶν ἔθος ἐστὶν ὀνομάζειν συνδετικὰ νεῦρα. πολλαὶ γὰρ τοιαῦται διαθέσεις, ἔν τε τῇ γαστρὶ, καὶ τῷ στομάχῳ, E γίνονται τοῖς πολυποτοῦσιν, καὶ δαψιλῶς ὀπώρας ὑγραινούσας, ἢ ὅλως ἐδέσματα τοιαύτης κράσεως, προσενεγκαμένοις. πολλῶν οὖν ὄντων τῶν οὕτω διῃτημένων, εὐλόγως καὶ τὰ τῆς προειρημένης διαθέσεως φάρμακα, πλειστάκις εὐδοκιμεῖ, τὴν στύψιν ἐπικρατοῦσαν ἔχοντα. ἔνθα δὲ, ἤτοι κακοχυμίας ἐκκενῶσαι προσήκεν, ἢ θερμῆναι τὸ πεπονθὸς μόριον, οὐ μόνον οὐδὲν ὀνίνησιν ἡ τῶν οὕτω στυφόντων φαρμάκων χρῆσις, ἀλλὰ καὶ βλάπτει. μετὰ γὰρ τὸ προγεγραμμένον φάρμακον, ἑτέρων δυοῖν ὁ Ἀσκληπιάδης μέμνηται, καλῶν ἑκατέρων αὐτῶν. σύγκειται δὲ ἐκ πολλῶν ἀμφότερα, καὶ διὰ τοῦτό ἐστι πολύχρηστα, F καὶ μᾶλλόν γε τὸ δεύτερον. ὅτι δὲ ἐστὶ τοιοῦτον, οἷον εἶναί φησιν αὐτὸ, τῶν ἁπλῶν ἐν αὐτῷ φαρμάκων ἀναμιμνησκομένοις ἡμῖν, ὁποῖόν ἐστιν ἕκαστον, ἀκηκοόσι τε περὶ τῆς κατὰ τὴν σύνθεσιν αὐτῆς μεθόδου, δυνατὸν ἔσται κρίνειν καὶ αὐτοῖς.

A Verùm haud scio qua ratione parum de ipso exhibeat Asclepiades, quum moderata exhibitio ipsius ad drachmas tres progrediatur. Porrò ad inflammationem habentes non simpliciter in omni inflammationis tempore dandum est, sed vbi concocta fuerit, & declinarit. *Concocta enim medicanda rectè censet Hippocrates, non cruda, neque in principijs, nisi suopte cieantur impetu*, hoc est nisi motus ad excretionem nos adducat, qui nondum firmam aliquam inclinationem, ac stationem ad vnam partem habeat. Rectè autem hoc medicamentum tardè concoquentibus, aut bilem vomentibus, aut aliàs stomachi fluxione B laborantibus, aquæ cyathis quatuor inspergens præbet, nimirum subuersionem stomacho ex melle orientem formidans. Ad declinationem autem internarum inflammationum cum aqua mulsa tempestiuè quis exhibuerit; quemadmodum etiam vrinam ciere volens, aut menses euacuare, Asclepiades quidem ex vino dandum ait. Præstiterit autem, vt ego sentio, cum vino mulso medicamentum præberi; ita enim simul, & quæ circa distributionem, & delationem ex ventre in vrinam, & quæ circa vterum instant, secat, ac dissoluit; & robur partibus addit, per quas transitum facit, ampliúsque, & locorum, per quos fertur, caliditatem auget, quæ & ipsa non parum confert ad instantes humores fundendos, ac euacuandos. Post præscriptam Hieram Themisonis antidotum, Asclepiades aliam sic scripsit. *Alia ex Mantiæ compositionibus Attalica. Facit ad stomachicos, & reijcientes cibum, cholericos, cæliacos, dysentericos.* Compositio sic habet. ℞. Croci ʒ. ij. nardi ʒ. duas, seminis hyoscyami ʒ. j. aloës ℥. j. balaustii ℥. j. tragacanthæ ʒ. j. piperis albi ℥. j. acaciæ ℥. j. rheu pontici ℥. j. rhois syriaci culinarii ℥. j. excipe succo D rosarum in vino austero coctarum, & redige in pastillos drachmæ vnius; tragacantham verò succo præmaceratam vnito. Hoc medicamentum nihil priori simile habet; illud enim purgatorium est; hoc astringens, iis qui stomachum, aut totum ventrem ob multam humiditatem exolutum, ac laxum habent, conueniens; quemadmodum etiam in articulis eiusmodi laxitates contingunt ligamentis ipsorum multa humiditate perrigatis, quæ plurimi medici neruos ligatorios appellare solent. Multi enim eiusmodi affectus, tum in ventre, tum in stoE macho, fiunt iis, qui multo potu se explent, aut fructus humectantes, aut etiam edulia talis temperamenti, ingerunt. Quum itaque multi sint qui tali victu vtantur, rationabiliter etiam prædictæ facultatis medicamenta sæpe successu clara euadunt, vt quæ prædominantem astringendi vim habeant. Vbi verò, aut vitiatos humores euacuare, aut affectam partem calefacere oportet, non solum nihil iuuat ita astringentium medicamentorum vsus, sed etiam nocet. Post præscriptum medicamentum, aliorum duorum Asclepiades meminit, quæ & ipsa ambo F bona sunt, & ex multis composita, ac propterea multi ad varios affectus vsus, & præsertim posterius. Quòd verò tale sit, quale ipsum esse dicit, etiam nobis ipsis facile erit iudicare vbi in memoriam reuocarimus simplicia in ipso medicamenta, qualia singula sint, ampliúsque methodum compositionis eius audiuerimus.

Aster stomachicus, facit ad eos, quibus cibus in ventre acescit, ad tormenta, destillationes, dolorem capitis, spuentes sanguinem, tabescentes, affectiones circa vesicam, & vterum. Praeparatur sic.

℞. Succi mandragoræ drach. iv. myrrhæ drac. iv. balaustij ℥. iv. castorij ℥. iv. croci drach. iv. opij drach. sex, anisi ℥. viij. seminis apij drach. viij. styracis ℥. viij. hyssopi Cretici ℥. xij. seminis hyoscyami albi drach. xij. componito, pro more, & digerito in pastillos; dato pro viribus. Liquor sit affectioni conueniens. *Aster alter inexuperabilis, medicamentum accommodatum, sedans dolorem, inducens somnum, multi vsus ad varios affectus. Nam & stomachi morbos mirabiliter sanat à ructibus acidis, ægris concoctionibus, torminibus, volulis, inflationibus. Facit & ad capitis dolores potatum, & foris illitum fronti, aceto dilutum. Facit & ad oculorum dolorem pastillus perdicij succo dilutus. Facit & ad dentium dolorem cauernæ inditus; tritus, ac galbano exceptus, aut fici succo. Prodest ad epiphoras, & tonsillarum inflammationes, vino dulci dilutus, ita vt ad oculos lanam eo imbutam imponamus: in tonsillis verò affectis tepefactum colluamus. Facit ad omnem sanguinis fluxum vino myrtite dissolutus: & ad veteres, ac recentes tusses & destillationes dilutus vino theræo, aut protropo, aut scybelite. Facit phthisicis, suppuratis, marrubij succo dissolutus. Hæmoptoicis, Dysentericis, cholericis, sanguinariæ succo dilutus; & ad omnis reptilis plagam cum ruta decocto potatus. Soluit irritationes per circuitum repetentes, duabus ante eius inuasionem horis ex vini diluti cyathis tribus acceptus. Menses etiam fæminarum ducit, artemisiæ decocto dilutus. Facit & ad vesicæ affectiones vino mulso dissolutus. Similiter etiam iis quæ ab vtero suffocantur, auxiliatur. Facit Arthriticis, Podagricis, gentianæ decocto dilutus. Et de his quidem, quæ efficit, hactenus. Compositio verò hoc modo habet.* ℞. Myrrhæ drachmas quatuor, styracis drachmas quatuor, nardi Indicæ drachmas quatuor, cassiæ fistulæ drachmas quatuor; terræ lemniæ, drachmas quatuor; corticis mandragoræ drachmas quatuor. In alio exemplari etiam piperis drachmas quatuor, croci drachmas sex, succi papaueris drachmas sex, seminis dauci Cretici drachmas octo, anisi drachmas octo, seselis Massiliensis drachmas octo, seminis apij drachmas octo. Myrrha & styrax, atque opium, vino dissoluuntur odorato, & teruntur; arida verò tunduntur, & cribrantur, ac deinde simul miscentur, subiguntur, ac in pastillos coguntur ponderis drachmæ dimidiæ, & in vmbra resiccantur. Vsus ostensus est. In aliis exemplaribus pastillorum pondus drachmale proditur.

CAPVT IV.

Quæ Archigenes in primo medicamentorum secundum genus prodidit, de affectionibus circa stomachum.

QVum multæ, & variæ sint circa stomachum affectiones, atque hæ omnes ferè in totum ex cruditate oboriantur, totis viribus considerandum. Et si quidem aquarum, aut aëris malitia ostendatur, vniuersali via, ac ratione, quàm maximè licet vtentes, hæc immutando, hominem liberare est opus. Si verò ob inconsuetos cibos, eis interdicemus; si verò ob copiam, cibos cõtrahemus:

A Ἀστὴρ στομαχικός. ποιεῖ ἀποξυνοῦσι τὴν τροφὴν, στροφουμένοις, καταῤῥοϊκοῖς, κεφαλαλγικοῖς, αἱμοπτυϊκοῖς, φθισικοῖς, ποιεῖ καὶ πρὸς τὰς περὶ κύστιν, ἢ μήτραν διαθέσεις. ἡ δὲ σκευασία ἔχει οὕτως.

℞. Μανδραγόρου χυλοῦ < δ'. σμύρνης < δ'. βαλαυστίου < δ'. καστορίου < δ'. κρόκου < δ'. ὀπίου < ϛ'. ἀνίσου < η'. σελίνου σπέρματος < η'. στύρακος < η'. ὑσσώπου Κρητικοῦ < ιβ'. ὑοσκυάμου λευκοῦ σπέρματος < ιβ'. συντίθει κατὰ τρόπον, καὶ ἀνάπλαττε τροχίσκους, καὶ δίδου πρὸς δύναμιν. τὸ δὲ ὑγρὸν, ἔστω κατάλληλον τῇ διαθέσει. Ἀστὴρ ἀνίκητος, B φάρμακον ἐπιτετευγμένον ἀνώδυνον, ὑπνοποιὸν, πολύχρηστον. καὶ γὰρ τὰ περὶ τὸν στόμαχον ἰᾶται νοσήματα θαυμαστῶς, ὀξυρεγμίας, καὶ δυσπεψίας ἀπαλλάττει, στρόφους, λυγμοὺς, ἐμπνευματώσεις. ποιεῖ καὶ πρὸς τὰ τῆς κεφαλῆς ἀλγήματα, πινόμενον τὸ φάρμακον, καὶ ἔξωθεν καταχριόμενον κατὰ τοῦ μετώπου, ὄξει λυθέν. ποιεῖ καὶ πρὸς ὠταλγίαν, περδικίου χυλῷ ὁ τροχίσκος ἀνεθείς. ποιεῖ καὶ πρὸς ὀδονταλγίαν, τῷ βρώματι ἐντιθέμενος. λεανθεὶς δὲ χαλβάνῃ ἀναληφθεὶς, ἢ συκῆς ὀπῷ. ποιεῖ καὶ πρὸς τὰς τῶν ὀφθαλμῶν ἐπιφορὰς, καὶ τὰς τῶν παρισθμίων φλεγμονὰς, οἴνῳ γλυκεῖ ἀνεθεὶς, ὥστε ἐπὶ μὲν τῶν ὀφθαλμῶν τὸ C ἔριον ἐμβρέχοντας ἐπιτιθέναι. τοῖς γὰρ τὰ παρίσθμια πεπονθόσιν, χλιαίνοντας πραεῖα ἀναγαργαρίζεσθαι. ποιεῖ δὲ καὶ πρὸς πᾶσαν αἵματος φορὰν, ἀνεθεὶς οἴνῳ μυρτίτῃ, ποιεῖ καὶ πρὸς βῆχας χρονίους καὶ προσφάτους, καὶ καταῤῥοὺς διαλυθεὶς οἴνῳ θηραίῳ, ἢ προτρόπῳ, ἢ Σκυβελίτῃ. ποιεῖ καὶ φθισικοῖς, ἐμπυϊκοῖς, διαλυθεὶς πρασίου ἀφεψήματι. ποιεῖ αἱμοπτυϊκοῖς, δυσεντερικοῖς, χολερικοῖς, χυλῷ πολυγόνου διαλυθεὶς, καὶ πρὸς παντὸς ἑρπετοῦ πληγὴν ποθεὶς μετὰ πηγάνου ἀφεψήματος. λύει καὶ τὰς κατὰ περίοδον ἐπισημασίας, πινόμενος πρὸ δυοῖν ὡρῶν τῆς ἐπισημασίας, μετ' οἴνου κεκραμένου κυάθων γ'. καὶ D ἔμμηνα γυναιξὶ κατάγει, διαλυθεὶς ἀρτεμισίας ἀφεψήματι. ποιεῖ καὶ πρὸς τὰς περὶ κύστιν διαθέσεις, οἰνομέλιτι διαλυθεὶς, ὁμοίως καὶ ταῖς ὑστερικαῖς πνιγομέναις βοηθεῖ. ποιεῖ ἀρθριτικοῖς, ποδαγρικοῖς, γεντιανῆς ἀφεψήματι διαλυθείς. καὶ περὶ μὲν τούτων διαπράττεται, ἐπὶ τοσοῦτον. τὰ δὲ τῆς συνθέσεως οὕτως ἔχει. ℞. σμύρνης < δ'. στύρακος < δ'. νάρδου Ἰνδικῆς < δ'. κασσίας σύριγγος < δ'. σφραγῖδος Λημνίας < δ'. μανδραγόρου φλοιοῦ < δ'. ἐν ἄλλῳ καὶ πεπέρεως < δ'. κρόκου < ϛ'. ὀποῦ μήκωνος < ϛ'. δαύκου Κρητικοῦ σπέρματος < η'. ἀνίσου < η'. σεσέλεως Μασσαλεωτικοῦ < η'. E σελίνου σπέρματος < η'. τὸ σμύρνιον, καὶ τὸ στυράκιον, καὶ τὸ ὄπιον οἴνῳ διαλύεται εὐώδει, καὶ λεαίνεται. τὰ δὲ ξηρὰ κόπτεται, καὶ σήθεται, εἶθ' ὁμοῦ μίγνυται, καὶ φυρᾶται, καὶ ἀναπλάττομεν τροχίσκους ὁλκῆς ἄγοντας ἥμισυ, καὶ ξηραίνομεν ἐν σκιᾷ. ἡ χρῆσις δεδήλωται. ἐν ἄλλοις τῶν τροχίσκων ἡ ὁλκὴ ἀνὰ < α'.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων, περὶ τῶν κατὰ τὸν στόμαχον παθῶν.

F ΤΩν δὲ περὶ τὸν στόμαχον παθῶν, πολλῶν καὶ ποικίλων ὄντων, καὶ τούτων σχεδὸν ἁπάντων, ὡς ἐπίπαν ἐξ ἀπεψίας γινομένων, παντὶ σθένει αὐτὸν ἐπισκεπτέον. Εἰ μὲν δὴ ὑδάτων, ἢ ἀέρος κακία δείκνυται, ὡς μάλιστα ἐπιδέχεται μεθοδεύοντας, ταῦτα ἀλλάσσοντας ἀπαλλάττειν. εἰ δὲ ἀσυνήθων βρωμάτων, παραιτουμένους ταῦτα. εἰ δὲ διὰ πλῆθος, συστέλλοντας τὰ σιτία.

A καὶ καθόλου ἐξ οὗ ἂν ὑπονοήσωμεν γίνεσθαι, τοῦτο πραγματευομένοις. εἰ δὲ πάντα τὰ εἰρημένα εὐτακτοίη, περὶ αὐτὸν δὲ τὸν στόμαχον τὰ κατὰ τὰς πέψεις παραποδίζοιτο, ἀλείμμασι, καὶ γυμνασίοις, ἀναφωνήσεσί τε, καὶ τοῖς τοιούτοις ὁμοίοις γινομένοις, τὸν στόμαχον ῥωστέον. τοῖς δὲ ὀξυρεγμιώδεσιν, κοριάννου, ὡς κοχλιάριον δίδου πρὸ ἑτέρου τῶν σιτίων τρώγειν, καὶ ἐπιρρόφειν ἄκρατον. γινομένης δὲ ἀπεψίας μετρίας ποτὲ, καὶ εὐκαταφρονήτου, πλείονα χρόνον ἐπὶ τῆς κλίνης ἠρεμητέον. εἰ δὲ μὴ τὰ πράγματα ἐπιτρέποι, ἐφ᾽ ὅσον ἐνδέχεται, πᾶσαν διάτασιν, καὶ κόπον, ἔτι τε καῦμα, καὶ ψύχος, καὶ θυμὸν ἐκφευκτέον. ὀψιαίτερον δὲ τῆς συνήθους ὥρας ἐν ζεστῷ λουστέον. B ἔν τε τῷ προβαλανείῳ χλιαρὸν ὕδωρ πιόντες, ἀπερευγέτωσαν πάντα τὰ εἰς τὸν στόμαχον συναθροισθέντα φλέγματα, ὀλιγοσιτίᾳ τε καὶ ὀλιγοποσίᾳ τῇ πρώτῃ χρήσθωσαν. εἰ δὲ εὔτονος ἡ φθορὰ τῶν σιτίων γένοιτο, δάκνοιντό τε τὸν στόμαχον, καὶ ἐρεύγοιντο αὐτά, ἔτι τε ναυτιῷεν, χλιαρῷ ποτίσας ἀνάγκαζε ἐξερᾷν, μέχρι πᾶν τὸ διεφθορὸς καθαρθῇ, εἶτα ἐμβρέξας τὴν κεφαλὴν λιπαροῖς ὀθονίοις παρὰ πυρὶ θερμανθεῖσιν, ἢ τοιαύτῃ τινὶ ἀπεριέργῳ ἀγωγῇ, πυρίᾳ τὰ περὶ τὸν στόμαχον, καὶ ὑποχόνδρια παρηγορήσας, τά τε ἄκρα λιπαρᾷ ψηλαφίᾳ, ἢ καὶ κατειλησίᾳ λεάνας, ἐπὶ τοῦ κλινιδίου ἠρεμεῖν ἐάσεις, ἀσιτήσαντάς τε ἐξ ὅλου τῇ ἑξῆς. C εἰ μηδὲν ἐπακολουθήσειεν ἄτοπον, εὐτονοῦντας μὲν, ὡς προείρηται, λούσας ἐπιμελοῦ. εἰ δὲ ἀτονοῖεν, συμμέτρως ἐπὶ μίαν ἀναλαβὼν τῇ ἑξῆς λοῦε, πραΰνων μέχρι τριῶν ἡμερῶν ἐν ταῖς τροφαῖς, καὶ τοῖς πότοις μετριάζειν. ἀπεψίας μὲν οὖν τοιαύτη τις, ὡς τύπῳ εἰπεῖν, ἡ ἐπιμέλεια. περὶ δὲ τῶν ἐξ αὐτῆς ἀποβαινόντων, οἷον διαρροίας, ἢ χολέρας, ἢ τῶν τοιούτων, ἐν ἰδίῳ τόπῳ εἰρήσεται. ἐπὶ δὲ τῶν ἄλλων τῶν περὶ τὸν στόμαχον δυσχερειῶν, τοῖς μὲν καυσουμένοις τὸν στόμαχον μετ᾽ ἐκλύσεως, ἢ λειποθυμίας, ἢ τινος ἀνορεξίας ἐξ οἱασδηποτοῦν αἰτίας, ὅτι μὴ πυρετοῦ, κυάθους τρεῖς, ἢ τέτταρας D δίδου ψυχροῦ ὕδατος καταρροφεῖν, δὶς, ἢ τρὶς, ἐκ διαλειμμάτων. καὶ εἰ μὲν παρηγοροῖντο, τούτῳ αὖθις ἀνακτησάμενος, ὡς τροφῇ καὶ τοῖς ἄλλοις ἀναλάμβανε. εἰ δὲ ἐπιμένοι, διακρατουμένων, καὶ διαλεαινομένων τῶν ἄκρων, ἀπόβρεγμά τι τῶν τοιούτων συνεχῶς καταρροφεῖν δίδου, οἷον φοινικοβαλάνων, μήλων κυδωνίων, ἀπίων, μεσπίλων, ἀρκευθίδων, ἑλίκων ἀμπέλου, ῥόδων, ῥοιᾶς ἀπυρήνου χυλὸν, ἢ στροβίλους κʹ. καὶ σικύου σπέρματος κόκκους κεʹ. μύρτων κʹ. κρόκου ὀβολοὺς βʹ. ῥόδων δυοῖν φύλλα μεθ᾽ ὕδατος δίδου πίνειν. ἢ ψυχρὸν ὕδωρ δίδου μετ᾽ ὀμφακίου χυλοῦ. ἢ ῥόδων ἄνθος μετὰ νάρδου, καὶ E ὕδατος ψυχροῦ. ἢ ἀνδράχνης σπέρματος προσμιγέντος, ἢ ἀτραφάξιος σπέρματος, ἢ μήλων κυδωνίων ἀφεψήματος. ἢ σικύων σπερμάτια νʹ. λεῖα ἐκ ψυχροῦ δίδου. ἢ ὄρυζαν ἑψήσας μετὰ βουτύρου, δίδου φαγεῖν. ἢ τραγορίγανον λείαν μεθ᾽ ὕδατος χυλίσας, δὸς φαγεῖν. ἢ κυάμους Αἰγυπτίους ιʹ. καὶ νάρδου Κελτικῆς ὀβολοὺς δύο, φρύξας ἀμφότερα, καὶ λεάνας δίδου πιεῖν. ἐπιπάσας ῥόας ὀξείας, καὶ γλυκείας χυλοῦ, καὶ ὕδατος ἑκάστου ἴσον. ἢ κλώνιον ἡδυόσμου συλλεάνας, δὸς πίνειν. ἢ οἰνάνθην ὁμοίως τρίψας μετὰ νάρδου Ἰνδικῆς, δὸς πιεῖν. ἢ φακοὺς ἑψημένους λείους, δίδου μεθ᾽ ὕδατος. ἢ φοινικοβαλάνους F μετὰ ῥόδων. ἢ πρασίου χυλὸν μετὰ μέλιτος, καὶ βραχὺ ἡσυχάσασιν, δίδου οἶνον μετὰ ἀλφίτου. ἢ καρδαμώμου δραχμὴν μίαν, μετὰ ὀξυμέλιτος κυάθων τριῶν ποτίσας, συγχρῖε, καὶ ἄφες ἠρεμεῖν. τοῖς δὲ σιελίζουσι, ξηρὰν κόνυζαν δίδου μασσᾶσθαι. ἐπιθετέον δὲ ἔξωθεν ἐπὶ τὸν στόμαχον ἀμπέλου φύλλα

& in vniuersũ ex quacũq; causa suspicati fuerimus fieri, eã prohibebimus. Quòd si in omnib. ipsis bono ordine tractetur, & iuxta ipsũ stomachũ tamen cõcoctiones impediãtur, vnctionib. & exercitiis, vociferationibusq; & aliis huiusmodi, per expertũ artificẽ adhibitis, stomachus corroboretur. Verùm ructu acido affectis coriandrũ cochlearij mensura ante reliquũ cibũ edẽdũ dato, & merũ insuper bibẽdũ. Quòd si quãdoq; moderata cruditas, & quæ cõtemni possit, oboriatur, lõgiore tẽpore in lecto decũbẽdũ est; & si negocia id nõ permittãt, quãto possibile est, omnis distẽtio, & labor, ampliusq; æstus & frigus ac ira, vitãda sũt. Serius etiã, quã pro cõsueto tẽpore ex feruida aqua lauãdum est; & in priore balnei domo aqua tepida hausta, omnia in stomachũ coaceruata pituitosa remouẽda; & modico cibo itẽq; potu prima die vtẽdũ. Si verò fortis ciborũ corruptio fiat stomachiq; morsũ sẽtiãt, ac ipsos eructẽt, ampliusq; nausea afficiantur, aqua tepida exhibita vomere cogito, donec omne corruptũ expurgetur; deinde caput mollibus linteolis ad ignẽ calefactis obducito; aut huiusmodi aliquo nõ inani ductu locos circa stomachũ foueto, & præcordia mitigato; sũmas itẽ partes molli frictione, aut etiam constrictione lenito. Atq; ita in lectulo quiescere finito, ac inediã per totã sequentẽ diem perferre, si nõ absurdũ quid inde cõsequatur. fortiores quidẽ, vt prędictũ est, effectos lauatione curato; si verò infirmi essent, moderatè ad diem vnũ refectos, in sequẽtẽ lauato, moderatis cibis, ac potibus ad triduũ vti iussos. Et cruditatis quidẽ talis quædã (vt rudi quadã forma expressi) curatio existit. Verũ de iis, quæ ex ipsa proueniunt, velut profluuio vẽtris, aut bilis per vomitũ, ac secessũ reiectione, aut aliis eiusmodi, in proprio loco dicetur. Cæterùm in aliis stomachi molestiis, iis quidẽ, qui stomacho exurũtur cũ exolutione, aut animi deliquio, aut appetẽtia perdita, ex qualicũq; tãdẽ causa præter febrem, cyathos iij. aut iv. aquæ frigidæ absorbẽdos dato, bis aut ter per interualla; & si quidẽ inde mitius habeãt, ipsos reuocatos, tũ cibo, tũ etiam aliis, refocillare tentabis. Si verò permaneat malũ, deprehẽsis, atq; leuigatis extremitatibus, huiusmodi quẽdã cremorẽ assiduè absorbẽdũ dato, velut palmularũ, malorũ cotoneorũ, pyrorũ, mespilorũ, baccarũ iuniperi, pãpinorum vitis, rosarũ, mali itẽ punici nucleũ non habẽtis succum, aut nuces pineas xx. & seminis cucumeris ℥.xxv. baccas myrti xx. croci ob.ij. & rosarũ duarũ folia ex aqua bibẽda exhibeto. Aut aquã frigidã cum omphacij succo præbeto. Aut florẽ rosarum cum nardo, & aqua frigida. Aut etiã portulacæ semẽ admisceto, aut attriplicis semen, aut malorũ cotoneorũ decoctũ. Aut cucumerũ satiuorũ semina l. trita, ex frigida præbe. Aut oryzam coctã cũ butyro edendã exhibe. Aut tragoriganũ tritã, & exuccatã cum aqua edẽdam præbe. Aut fabas Ægyptias x. & nardi Celticæ ob.ij. vtraq; tosta, & trita bibẽda exhibe cũ mali punici acidi, ac dulcis succo, & aqua pari vtriusq; mẽsura. Aut mẽthæ ramulũ cõtritu bibendũ dato. Aut œnanthen similiter tritã cũ nardo Indica bibendã dato. Aut lẽtes coctos tritos ex aqua præbeto. Aut phœnicobalanos cũ rosis. Aut marrubij succũ cum melle; & vbi paululũ quieuerint, vinũ cũ polẽta exhibeto. Aut cardamomi ʒ.j. cũ aceti mulsi cyathis tribus potãdã dato, ac quiescere finito. Porrò iis qui saliuã multã in stomacho aggregarunt, aridã conyzam manducandam dato; forinsecus verò stomacho imponantur vitis folia viridia

viridia trita; aut mala cotonea, aut palmulæ, aut mespila cum cerato. Aut myrti folia tenera, vel rubi, vel lentisci, trita cum polentæ flore frigida subacto. Aut portulaca viridis similiter præparata. Aut caseus recens mollis cum polenta, & apij foliis. Aut seridis folia cum aceto, & polenta, ac apij foliis. Si verò multum sint æstuosi, vesicam aqua expletam imponito. Aut niuem superdato. Aut cucurbitarum ramenta imponito, & omnino omnia, quibus in cardiacis vtimur. Dolores autem stomachi lenit, & maximè iis, quibus anxietas aliqua, aut indigentia accedit, lac asininum, aut muliebre, aut bubulum, silicibus incoctis potatum. Aut vnguentum nardinum, vel aliquod pretiosum dato ex aqua. Aut decoctum schœnanthi, rosarum flore simul insperso. Aut portulacæ succum, quandoque per se, quandoque cum nardo. Aut oui vitellum tostum, & in farinam comminutum, cum polenta bibendum dato. Aut amaras nuces cum cucumeris semine, & nuce pinea. Aut rumicis syluestris seminis obolos tres bibendos præbeto. Omnes verò circa stomachum dolores, & implacabiles molestias sedari aiunt cochlea Africana cruda integra vorata. Exoluto autem solùm & nauseabundo facto stomacho, lactucæ albæ semen modicum ex aquæ cyathis quatuor, aut vno bibendum dato. Aut passerum stercus aridum velut polentam, siue aquam biberint, siue vinum, inspergito. Aut mastiches Chiæ cochleare ex aqua frigida dato. Aut glaciem ieiunis quotidie exhibeto, vt ea assiduè manducata saliuam expuant. Aut conyzam aridam manducent. Si verò vnà cum humectatione etiam inflammatio aliqua adsit, œnanthen cum meliloto, aut rosam siccam cum cerato rosaceo parum resinæ vstæ habente, impone. Aut acaciæ, & aluminis Melij pares partes dupla cerati proportione excipe, & vt malagma impone. Cæterùm quibus bilem atram generantibus stomachus inflatur, spongias aceto acerrimo calido imbutas ad stomachum imponito, atque hoc maximè tempore distentionum; & si postea etiamnum perseuerarint, alumen liquidum cum chalcantho trito melle exceptum imponito. Aut hæc & aloëm pari portione mixta, & cerato myrteo excepta imponito. Aut hederæ foliis vino coctis pro cataplasmate vtitor; aut plantaginis cum sale tritis. Aut armentariæ bouis stercus aridum vino coctum. Aut marrubium cum pane, & rosaceo subactum. Aut bulbos rufos, & alumen pari portione imponito. Post hæc antidotus apyretos appellata, aut hiera, aut alia quæpiam, quæ cuique per experientiam cognita est, in potu exhibenda est. In cibo stomachicis conueniunt beta, lens, tragus, oryza, alica; malis cotoneis, aut palmulis, aut mespilis, aut mali punici nucleo carentis, granis, aut melapiis, simul incoctis; aut teneris lentisci, aut myrti, aut rubi ramulis admixtis. Panis sit summè tantum fermentatus, aut penitus absque fermento præparatus. Ex oleribus conueniunt cruda, cichorium, meconides, eryngium, intybus, gingidium, seris, lactucæ; cocta maximè commoda est brassica, & sisarum. Ex reliquis autem coctis conueniunt cochleæ, & bulbi. Ex carnibus venter, rostra, pedes: turdi, perdices, attagenes, turtures, palumbes, anates, lepores, dorcades. Ex piscibus squillæ, gammari, colymbænæ, locustæ, loligines, sepiæ; & ex iis qui duras carnes habēt mulli; ex testaceis maximè buccina, purpuræ, pectines, glauci, cerri, glandes.

A χλωρὰ λεῖα, ἢ μῆλα κυδώνια, ἢ φοινικοβαλάνοις, ἢ μέσπιλα μετὰ κηρωτῆς, ἢ μυρσίνης ἁπαλὰ φύλλα, ἢ βάτου, ἢ σχίνου λεῖα, μετὰ πάλης ἀλφίτου ψυχρᾷ πεφυραμένου. ἢ χλωρὰν ἀνδράχνην, ὁμοίως ἐσκευασμένην. ἢ τυρὸν ἁπαλὸν νεαρὸν, μετ᾽ ἀλφίτου καὶ σελίνου φύλλων. ἢ σέρεως φύλλα, μετ᾽ ὄξους καὶ ἀλφίτων, καὶ σελίνου φύλλων. πυρεττομένων δὲ εὐτόνως, φύσαν πληρωθεῖσαν ὕδατος ἐπιτίθει. ἢ χιόνα ἐπίβαλλε. ἢ τῶν κολοκυνθῶν τὰ ξύσματα ἐπιτίθει, καὶ καθόλου πάντα ὅσοις ἐπὶ τῶν καρδιακῶν χρώμεθα. τὰ δὲ ἀλγήματα τοῦ στομάχου πραΰνει, καὶ μάλιστα ἐφ᾽ ὧν δυσθυμία τις, ἢ ἀπορία παρέπεται, γάλα ὄνειον, ἢ γυναικεῖον, ἢ βόειον, κοχλάκων ἐναφεψημένων, πινόμενον. ἢ νάρδινον μύρον, ἢ τῶν λίαν πολυτελῶν δίδου μεθ᾽ ὕδατος. ἢ ἀπόζεμα σχοίνου ἄνθους. ἢ καὶ ῥόδων ἄνθους ἐπιπασσομένου. ἢ ἀνδράχνης χυλὸν, ὅτε μὲν καθ᾽ αὑτὸν, ὅτε δὲ μετὰ τῆς νάρδου, ἢ ὠοῦ λέκιθον πεφρυγμένην, καὶ ἀληλεσμένην, μετὰ ἀλφίτων πότιζε. ἢ κάρυα πικρὰ μετὰ σικύου σπέρματος, καὶ στροβίλου. ἢ λαπάθου ἀγρίου σπέρματος τριώβολον πότιζε. πάντα τὰ κατὰ τὸν στόμαχον ἀλγήματα, καὶ δυσαρεστήματα φασὶ παύειν, κοχλίαν ὠμὸν Λιβυκὸν καταπινόμενον ὅλον. ἀναλυομένου δὲ αὐτοῦ μόνου, καὶ ναυτιώδους τοῦ στομάχου γινομένου, θρίδακος λευκῆς σπέρματος ὀλίγον, μεθ᾽ ὕδατος κυάθων τεσσάρων, ἢ ἑνὸς πιεῖν δίδου. ἢ στρουθῶν ἀφόδευμα ξηρὸν ἐπιπάσσων, ὡς ἄλφιτον, εἴτε ὕδωρ πίνοιεν, εἴτε οἶνον. ἢ μαστίχης Χίας κοχλιάριον, μετὰ ψυχροῦ ὕδατος. ἢ ἀπὸ πάγου νήστει καθ᾽ ἡμέραν δίδου, καὶ μασσώμενοι αὐτὴν συνεχῶς, τὸ σίελον ἀποπτυέτωσαν. ἢ κόνυζαν ξηρὰν μασσάσθωσαν. εἰ δὲ πρὸς τῷ πλάδῳ, καὶ φλεγμονή τις εἴη, οἰνάνθην σὺν μελιλώτῳ. ἢ ῥόδον ξηρὸν, μετὰ κηρωτῆς ῥοδίνης, ὀλίγον ἐχούσης ῥητίνης ἀποκεκαυμένης ἐπιτίθει. ἢ ἀκακίας, καὶ στυπτηρίας Μηλείας ἴσα, κηρωτῆς τῷ διπλῷ ἀναλαβὼν, ὡς μάλαγμα ἐπιτίθει. ἐπὶ δὲ τῶν χολὴν μέλαιναν γεννώντων καὶ φυσωμένων τὸν στόμαχον, ἐπιτίθει τῷ στομάχῳ, καὶ μάλιστα ἐν ταῖς ἐπιτάσεσι, σπόγγους ὄξει δριμυτάτῳ θερμῷ βεβρεγμένους. μετὰ δὲ τούτους εἰ ἐπιμένοιεν, στυπτηρίαν ὑγρὰν, μετὰ χαλκάνθου λείου, μέλιτι ἀναλαβὼν ἐπιτίθει. ἢ ταῦτα, καὶ ἀλόην ἴσην μίξας αὖθις, κηρωτῇ μυρσίνῃ ἀναλαβὼν ἐπιτίθει. ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε. ἢ ἀρνογλώσσου μετὰ ἁλῶν τριβέντα. ἢ ἀγελαίας βοὸς βόλβιτον ξηρὸν ἑψημένον ἐν οἴνῳ. ἢ πρασίῳ μετὰ ἄρτου καὶ ῥοδίνου φυραθέντι. ἢ βολβοῖς πυῤῥοῖς, καὶ στυπτηρίας ἴσης. μετὰ δὲ ταῦτα ποτιστέον αὐτοὺς τῇ τε ἀπυρέτῳ λεγομένῃ, ἢ τῇ ἱερᾷ ἀντιδότῳ, ἢ τινι ἄλλῃ, ἥτις ἑκάστῳ διὰ πείρας. Τροφὰς δὲ ἁρμοδίους τοῖς στομαχικοῖς τάσδε δοτέον. τεῦτλον, φακῆν, τράγον, ὄρυζαν, χόνδρον, ἐγκαθεψημένων μήλων κυδωνίων, ἢ φοινικοβαλάνων, ἢ μεσπίλων, ἢ ῥοᾶς ἀπυρήνου κόκκων, ἢ μηλαπίων, ἢ σχίνου κλωνίων ἁπαλῶν, ἢ μυρσίνης, ἢ βάτου συμμιγνυμένων, ἄρτον δὲ ἀκρόζυμον, ἢ ἄζυμον. τῶν δὲ λαχάνων, τῶν μὲν ὠμῶν κιχώρεια, μηκωνίδες, ἠρύγγιον, ἴντυβον, ἢ γιγγίδιον, σέρις, θρίδακες. τῶν δὲ ἑφθῶν εὐθετεῖ μάλιστα κράμβη, καὶ σίσαρον. τῶν δὲ λοιπῶν ἀφεψημάτων, κοχλίαι, καὶ βολβοί. κρεῶν ἡ γαστὴρ, ῥύγχη, πόδες, κίχλαι, πέρδικες, ἀτταγῆνες, τρυγόνες, φάτται, νῆτται, λαγωοὶ, δορκάδες. ἰχθύων δὲ καρίδες, ἀστακοὶ, κολύμβαιναι, κάραβοι, τευθίδες, σηπίαι, καὶ τῶν σκληροσάρκων τρίγλαι. τῶν δὲ ὀστρακωδῶν, μάλιστα μὲν κήρυκες, πορφύραι, κτένες, γλαῦκοι, σμαρίδες, βάλανοι.

τὸ δὲ σίσαρον ἐπὶ πᾶσι λαμβανόμενον, καὶ ὡς εὐστόμαχον πρὸς τὰς ἀναλήψεις, κατὰ τὰ πλεῖστα τῶν περὶ τὸν στόμαχον συμπτωμάτων συμφωνεῖ. πόμα δὲ, ὁ ὑφ᾽ ἑκάστου πινόμενος ἡδέως οἶνος. τοὺς δὲ πνευματουμένους καὶ διατεινομένους τὸν στόμαχον, πολίου δεσμίδιον καθεψῶν πότιζε. ἢ καλαμίνθης ἀφέψημα ἐξ ὑπαιθριασμένου τοῦ ὕδατος, μίξας ὀλίγον μέλιτος, καὶ πεπέρεως δραχμὴν μίαν δίδου. ἢ σπόγγον ὄξει δριμυτάτῳ βρέξας τοῖς ποσὶ, καὶ τοῖς βραχίοσιν ἐπιτίθει, μέχρι φλυκταινώσεως μάλιστα, εἰ καὶ ἀποροῖεν τὰς τροφάς. ἢ τήλινον ἄλευρον ὄξει φυρῶν, ἢ σίναπι λεῖον σὺν ὄξει μέχρι φοινίξεως. ἢ ψύλλιον, ὄξει καὶ ὕδατι βρέξας, καὶ ἐν ὅλμῳ κόψας, προσδοὺς κοχλιῶν σαρκῶν ἴσον, μαλαγματῶδες ποιῶν ἐπιτίθει. ἀνώδυνα στομαχικοῖς. κύμινον πεφρυγμένον, καὶ σέλινον, ἀνὰ ὀλίγον πότιζε σὺν ὕδατι. ἢ ἀλόης δύο ὀβολοὺς μετὰ οἰνομέλιτος, ἢ οἴνου, ἢ ὕδατος πότιζε. ἢ ἀβροτόνου, καὶ θύμου, ἀνὰ δύο ὀβολοὺς σὺν οἴνῳ δὸς πιεῖν. διαδέσμοις δὲ τῶν ἄκρων εὐτόνως χρῶ, κατ᾽ αὐτοῦ δὲ τοῦ στομάχου, σικύαις τε καὶ πυρίαις ποικίλαις. εἰ δὲ εὔτονος σφόδρα ἡ διάτασις εἴη, καὶ φλεβοτομία δραστήριον βοήθημα, καὶ λύσις κοιλίας διὰ βαλάνου. ἐφεξῆς τῶν προγεγραμμένων ἔγραψεν ὁ Ἀρχιγένης περὶ τοῦ βουλίμου, καὶ τοῦ λυγμοῦ τὰ ὑπογεγραμμένα. τοὺς δὲ βουλιμιῶντας ἐν ταῖς ὁδοῖς, ἢ ἄλλως πως ἀνακτησόμεθα μὲν ὀσφραίνοντες ὄξει, ἢ γλήχωνι. ἢ τῇ παρατυχούσῃ γῇ βρέξαντες ὄξει, ἢ μήλοις, ἢ ἀπίοις, ἢ τῶν ἄλλων καρπῶν τῶν παρακειμένων. ἔτι δὲ ἀρτίδιον συνοσφραίνοντες, καὶ προσφέρεσθαι ἀναγκάζοντες, πρὸς ἕκαστον γὰρ τούτων διεγείρονται ταχέως. πρὸς δὲ τούτοις, ὕειον κρέας ὀπτὸν, καὶ ἑφθόν. καὶ καθόλου πᾶν τὸ εὐτροφῶδες, καὶ μάλιστα τὰ ὀσμὴν κνισώδη, καὶ εὐάρτυτον, καὶ ἰσχυρὰν ἔχοντα. ταύταις γὰρ ταῖς ὀσμαῖς, κατὰ τὸ πλεῖστον οἱ τοιοῦτοι ἀνακτῶνται, τά τε ἄκρα αὐτῶν οὐδὲν ἔλαττον διακρατητέον, καὶ διεγερτέον αὐτοὺς, τάς τε σιαγόνας νύσσοντας, καὶ τρίχας, ἢ ὦτα ἀνατείνοντας. ἀνάκτησις δὲ ἀπὸ τῆς ἐκλύσεως, ἄρτον ἐν κράματι, ἢ καὶ ἄλλο τι τῶν δυναμένων ἀθρόως ἀναλαβεῖν διδοὺς, οἷον ᾠὰ ῥοφητὰ, βολβοὺς, κοχλίας. καὶ γὰρ τὸ πλαδαρὸν τοῦ στομάχου, τούτων ἕκαστον παραιτεῖται, καὶ ἐν ὀλίγῳ πλήθει δύναμιν ἱκανὴν ἔχον ἀθρόως ῥώννυσιν. τοῖς δὲ λύζουσι πήγανον μετ᾽ οἴνου δίδου, ἢ νίτρον ἐν μελικράτῳ, ἢ σέλινον, ἢ καστόριον, ἢ ἀβρότονον, ἢ ἀριστολοχίαν, ἢ δαῦκον Κρητικὸν, ἢ κύμινον, ἢ ἄνισον, ἢ ζιγγίβερι, ἢ σκίλλαν μετ᾽ ὄξους καὶ ἐλαίου, ἢ τορδύλου, ἢ δίκταμνον, ἢ καλαμίνθην, ἢ ἄκορον, ἢ ἄσαρον, ἢ νάρδον Κελτικὴν, ἢ γλήχωνα, ἰδίᾳ ἕκαστον, καὶ ὁμοῦ.

Τὸ διὰ τῶν κυδωνίων μήλων τοῦ χυλοῦ, φάρμακον ἡμέτερον.

Αἱ μὲν μεγάλαι τοῦ στόματος τῆς κοιλίας διαθέσεις, ὑπὸ τῶν ἔμπροσθεν εἰρημένων φαρμάκων θεραπεύονται. τὰς δὲ μετρίας σχεδὸν πλὴν τῶν κατ᾽ ἔγκαυσιν σφοδρὰν γινομένων, ὠφελεῖ τὸ ὑπογεγραμμένον φάρμακον. ℞. κυδωνίων μήλων χυλοῦ ξε β΄. μέλιτος Ἀττικοῦ ξε β΄. ὄξους ξε α΄ S. ἐὰν δὲ ἰσχυρῶς εἴη δριμὺ, ξε α΄. ἀρκεῖ, ζιγγιβέρεως ℥ γ΄. πεπέρεως λευκοῦ ℥ α΄. τὰ ξηρὰ ἐπιπάσσεις, ὅταν ἐπὶ μαλακοῦ πυρὸς ἑψόμενος ὁ χυλὸς τῶν μήλων μετὰ τοῦ μέλιτος, καὶ τοῦ ὄξους ἔχῃ σύστασιν Ἀττικοῦ μέλιτος.

A Verũ ſiſarũ à reliquis omnibus acceptũ, vt ſtomacho gratũ, & refectioni cõmodũ, ad pleraq; omnia ſtomachi ſymptomata cõueniens eſt. In potu prodeſt vinũ, quod vnuſquiſq; libẽter bibit. At verò, iis, qui inflãtur, & ſtomacho diſtẽduntur, polij faſciculũ coquito, & bibendũ dato. Aut calaminthæ decoctũ per noctẽ ſub dio expoſitũ, modico melle, & piperis ʒ. j. admixtis, bibendũ præbeto. Aut ſpõgiã acerrimo aceto imbutã pedibus, ac brachiis imponito, vſquequo bullæ excitentur, maximè ſi cibos reiectẽt. Aut fœnigræci farinam aceto ſubactã. Aut ſinapi tritũ cũ aceto vſquequo rubefiat locus. Aut pſyllium aceto, & aqua maceratũ, & in
B mortario tuſum, pari portione carniũ cochlearum admixta, in malagmatis forma imponito. *Quæ ſtomachicis dolorem eximant.* Cuminũ toſtũ & apium, vtrunq; modica portione cũ aqua bibẽdũ præbe. Aut aloës ob. ij cũ vino mulſo, aut vino, aut aqua, bibẽdos dato. Aut abrotoni, & thymi vtriuſq; ob. ij. ex vino præbe bibendos. Ligaturas inſuper extremarũ partiũ fortiter adhibe, & circa ipſum ſtomachũ cucurbitulis, & fomẽtis variis vtere. Quod ſi vehemẽter valida ſit diſtẽtio, etiam venæ ſectio efficax auxiliũ erit, & alui ſolutio per ſuppoſititiam glandẽ. Deinceps poſt præſcripta Archigenes de
C fame ingẽti, itemq; de ſingultu, prodit quę ſequũtur. Porrò eos, qui ex ingenti fame in viis, vel alio quocunq; modo animo linquuntur, reuocabimus odoramentis aceti, aut pulegij, aut quæ fortè obtingit, terra aceto macerata, aut malis, aut pyris aut aliis ſimilibus fructibus, qui ad manũ ſunt. Panẽ inſuper odorandum dabimus, & ingerere cogemus. Ad hæc enim ſingula cõfeſtim excitantur, & præterea ad ſuillã carnẽ aſſatã, ac coctã, & in vniuerſũ ad omne, quod multum alit, & præſertim ea, quæ odorẽ nidoroſum, ac probè cõditũ abundãter habent; per huiuſmodi enim odores vt plurimũ tales
D reuocantur. Nihilo minus tamen etiam extremæ partes ipſorũ cõſtringendæ ſunt, ipſiq; excitãdi tũ maxillarũ punctura, tũ capillorũ, ac aurium diſtẽtione. Refocillabis porrò ab exolutione, panem in vino diluto, aut etiam aliud quippiam ex iis, quæ aceruatim reficere vires poſſunt exhibendo; velut ſunt oua ſorbilia, bulbi, cochleæ. Etenim ſingula hæc ſtomachi humiditatem eximunt, & in modica mole multam vim complexa cumulatim corroborant. Singultientibus autem rutam cum vino dato, aut nitrum in aqua mulſa, aut opium, aut caſtorium, aut abrotonu, aut ariſtolochiam, aut daucum creticum, aut cuminum, aut aniſum, aut zin-
E giberis radicem, aut ſcillã cum aceto, & oleo, aut tordylion, aut dictamnum, aut calaminthen, aut acorum, aſarum item, & nardum Celticum, & pulegium, ſingula tum per ſe, tum ſimul mixta.

Medicamentum noſtrum, ex ſucco malorum cotoneorum conſtans.

Magnæ equidem oris ventris affectiones à prædictis medicamentis curantur; moderatas verò omnes fermè, præter eas, quæ ex vehementi ardore fiunt, ſubſcriptũ medicamentum iuuat. ℞.
F ſucci malorum cotoneorum ſextarios duos, mellis Attici ſextarios duos, aceti ſeſquiſextarium; ſi verò multum acre fuerit, ſextarium vnum; zingiberis quadrantem, piperis albi vnciam vnam, arida ſperges, vbi malorum ſuccus cum melle, & aceto coctus ad lentum ignem, Attici mellis craſſitiem acceperit.

Aliud

Aliud ex malorum cotoneorum carne constans.

℞. Malorum cotoneorum carnis lib. iij. mellis lib. iij. aceti albi lib. iij. piperis quadrantem, zingiberis quadrantem, petroselini Macedonici vnciam vnam.

CAPVT V.

De medicamentis, quæ foris ori ventris imponuntur.

VOcant quidē plurimi medici, haud scio quare, velut Asclepiades, & Andromachus, omnia medicamenta, quæ forinsecus imponuntur, siue astringendo condensent, siue indurent, Malagmata. Verùm nos permittemus ipsis, etiam si non propriè appellant. Quæ autem conscripserunt ad stomachi affectus commoda medicamenta, per experientiam non illorum solùm, sed etiam nostram approbata, ea nunc ascribemus, ab iis quę Asclepiades prodidit initio facto.

Quæ medicamenta Asclepiades ad stomachi affectus in quarto externorum tradidit, quæ Marcellæ inscribit.

Eueni ad stomachi subuersiones, doloresque; facit etiam ad inflammationes. ℞. œnanthes drachmas octo, croci drach. duas, rosarum siccarum drach. quatuor, meliloti drach. quatuor, mastiches drach. quatuor, ramentorum succini drachmas quatuor, carnis phœnicobalanorum quadrantem, vini myrtei quod satis est. Arida tundito, & per angustissimum cribrum concernito, & cum vino myrteo diluito, vt cerati spissioris crassitudinem accipiant; his carnem phœnicobalanorum addito, & conquassata cerato ex rosaceo apparato excipito, & linteolo infarta ori ventris imponito. Facit & ad oculos inflammatos. *Aliud.* ℞. œnanthes drachmas sex, croci drachmas iv. myrrhæ drachmas quatuor, floris rosarum drach. iv. meliloti, mastiches, vtriusque drachmas quatuor, aloës drach. quatuor, corticis mandragoræ ʒ. iv. carnis palmularum quadrantem; excipe cerato ex rosaceo apparato.

Asclepiadæ qui Philophysicus dictus est, ad stomachi subuersiones. Facit & cœliacis & dysentericis.

℞. Seminis hyoscyami ʒ. iv. seminis apij ʒ. iv. floris rosarum drach. duas, seminis anisi drach. ij. succi hypocystidis ʒ. ij. myrrhæ ʒ. duas, croci ʒ. j. ß. opij ʒ. j. ß. Arida tundito, & per angustissimum cribrum excernito; hypocystidem verò, & myrrham, & papaueris succum vino myrteo dissoluta aridis adiicito, & pastillos formato, eosque in vmbra resiccato. Vsus tempore quantum opus est tusum, melle cocto excipito, & deinde linteolo infartum locis affectis imponito. Si vehemens fuerit fluxio, succi hypocystidis aliam adhuc drachmam addito, & floris rosarum tantundem.

Aliud Galli Marci Asclepiadei, ad eosdem affectus.

℞. Seminis hyoscyami drach. iij. florum rosarum drach. duas, anisi drach. duas, seminis apij drach. iv. opij drach. j. succi hypocystidis drach. ij. myrrhæ troglodytidis drachmas duas, croci sesquidrachmam, vini myrtei, quod satis est, mellis cocti quod sufficit, præpara, ac vtere vt dictum est.

Ἄλλο τὸ διὰ τῆς κυδωνίων μήλων τῆς σαρκός.

℞. Τῶν κυδωνίων μήλων τῆς σαρκὸς λίτρας γ'. μέλιτος λίτρας γ'. ὄξους λευκοῦ λίτρας γ'. πεπέρεως 𐅵 γ'. ζιγγιβέρεως 𐅵 γ'. πετροσελίνου Μακεδονικοῦ 𐅵 α'.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ἔξωθεν ἐπιβαλλομένων τῷ στόματι τῆς κοιλίας.

ΚΑλοῦσι μὲν οἱ πλεῖστοι τῶν ἰατρῶν οὐκ οἶδ' ὅπως, ὥσπερ ὁ Ἀσκληπιάδης, καὶ ὁ Ἀνδρόμαχος, ἅπαντα τὰ ἔξωθεν ἐπιτιθέμενα, κἂν στεγνώσῃ στύφοντα, κἂν σκληρυνῇ, μαλάγματα. συγχωρήσαντες δὲ αὐτοῖς ἡμεῖς, εἰ καὶ μὴ κυρίως ὀνομάζοιεν, ἃ γεγράφασιν πρὸς τὰς τοῦ στομάχου διαθέσεις χρήσιμα φάρμακα, διὰ τῆς πείρας οὐ μόνης τῆς ἐκείνων, ἀλλὰ καὶ τῆς ἡμετέρας κεκριμένων νῦν ὑπογράφομεν, ἀπὸ τῶν ὑπὸ Ἀσκληπιάδου γεγραμμένων ἀρξάμενοι.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα φάρμακα, πρὸς τὰς τοῦ στομάχου διαθέσεις ἐν τῷ τετάρτῳ τῶν ἐκτός, ἃ Μαρκέλλας ἐπιγράφει.

Εὔοδος πρὸς τὰς τοῦ στομάχου ἀναστροφάς, καὶ περιωδυνίας, ποιεῖ καὶ πρὸς τὰς κατὰ μέρος φλεγμονάς. ℞. οἰνάνθης < η'. κρόκου < β'. ῥόδων ξηρῶν < δ'. μελιλώτου < δ'. μαστίχης < δ'. ἠλέκτρου ῥινήματος < δ'. φοινικοβαλάνων τῆς σαρκὸς 𐅵 γ'. οἴνου μυρτίτου ὅσον ἐξαρκεῖ. τὰ ξηρὰ κόπτε, καὶ σῆθε λεπτῷ κοσκίνῳ, καὶ τῷ μυρτίτῃ διαλύσας, ὥστε κηρωτῆς παχυτέρας πάχος ἔχειν, ἐπίβαλλε τούτοις τὴν σάρκα τῶν φοινικοβαλάνων, καὶ ἀνακόψας, ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον, ἐπιτίθει κατὰ τοῦ στόματος τῆς κοιλίας, ποιεῖ καὶ πρὸς τὰς τῶν ὀφθαλμῶν φλεγμονάς. Ἄλλο. ℞. οἰνάνθης < ς'. κρόκου < δ'. σμύρνης < δ'. ῥόδων ἄνθους < δ'. μελιλώτου, μαστίχης ἀνὰ < δ'. ἀλόης < δ'. μανδραγόρου φλοιοῦ < δ'. φοινικοβαλάνων τῆς σαρκὸς 𐅵 γ'. ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου.

Ἀσκληπιάδου τοῦ ἐπικληθέντος φιλοφυσικοῦ, πρὸς τὰς τοῦ στομάχου ἀνατροπάς, ποιεῖ κοιλιακοῖς, δυσεντερικοῖς.

℞. Ὑοσκυάμου σπέρματος < δ'. σελίνου σπέρματος < δ'. ῥόδων ἄνθους < β'. ἀνίσου σπέρματος < β'. ὑποκιστίδος χυλοῦ < β'. σμύρνης < β'. κρόκου < α' S. ὀπίου < α' S. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ. τὴν δὲ ὑποκιστίδα, καὶ τὴν σμύρναν, καὶ τοῦ μήκωνος τὸν ὀπόν, οἴνῳ μυρτίτῃ διαλύσας ἐπίβαλλε τοῖς ξηροῖς, καὶ ἀνάπλαττε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ. ἐν δὲ τῇ χρήσει κόπτων ὅσον ἐξαρκεῖ, ἀναλάμβανε μέλιτι ἑφθῷ, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει ἐπὶ τῶν πεπονθότων. ἐὰν δέ πως ἰσχυρὸν εἴη τὸ ῥεῦμα, προσετίθει ὑποκιστίδος χυλοῦ ἄλλην <. καὶ ῥόδων τοσόνδε.

Ἄλλη, Γάλλου Μάρκου τοῦ Ἀσκληπιάδου, πρὸς τὰς εἰρημένας διαθέσεις.

℞. Ὑοσκυάμου σπέρματος < γ'. ῥόδων ἄνθους < β'. ἀνίσου < β'. σελίνου σπέρματος < δ'. ὀπίου < α'. ὑποκιστίδος χυλοῦ < β'. σμύρνης Τρωγλοδυτίδος δραχμὰς β'. κρόκου < α' S. οἴνου μυρτίτου τὸ αὔταρκες, μέλιτος ἀφεψημένου ὅσον ἐξαρκεῖ, σκεύαζε καὶ χρῶ καθὰ προείρηται.

τὰ τοιαῦτα τῶν φαρμάκων πίνεται, καὶ σφόδρα βοηθεῖ. ἐπισχεθέντος δὲ τοῦ ῥεύματος, καὶ παραμενούσης ὀδύνης, προστιθέναι δεῖ τῇ τοῦ φαρμάκου σκευασίᾳ τοσαύτας ὁλκὰς κηρωτῆς σκευασθείσης διὰ ῥοδίνου. ἐπιγινομένου δὲ πολλοῦ ῥεύματος, προστίθεμαι τῷ φαρμάκῳ ὑποκιστίδος χυλοῦ < γ'. καὶ ῥόδων ἄνθους ἄλλην <. ἀγρυπνίας δὲ ἐπιγινομένης, καὶ τοῦ μήκωνος ὀποῦ πρόσθες ἄλλην <.

Ἄλλο Νικηράτου κοιλιακοῖς, δυσεντερικοῖς, σφόδρα γενναῖον.

℞. Οἰνάνθης < β'. ῥόδων ξηρῶν ℥ α'. μαστίχης ℥ α'. ἀλόης ℥ α'. κηκίδων ὀμφακιτίδων ℥ α'. στυπτηρίας στρογγύλης ℥ α'. ἀκακίας ℥ α'. κηροῦ λίτραν α'. πίσσης βρυττίας ℥ γ'. μυρσίνου ἐλαίου λίτραν α'. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Ἄλλο σφόδρα γενναῖον. ℞. οἰνάνθης ℥ α'. ὀμφακίου ℥ α'. κηκίδος ὀμφακίτιδος ℥ α'. στυπτηρίας σχιστῆς ℥ α'. ἀκακίας ℥ α'. κυτίνων ῥοιᾶς ℥ α'. βαλαυστίου < α'. μαστίχης ℥ α'. οἴνου μυρτίτου, ὥστε τὰ ξηρὰ φυρᾶσαι, φοινικοβαλάνων τῆς σαρκὸς ℥ ϛ'. ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ σχινίνου λίτρᾳ μιᾷ σκεύαζε, καὶ χρῶ καθὰ προείρηται. τὰ μὲν οὖν προγεγραμμένα φάρμακα στυπτικώτερά ἐστι δυνάμει, τὰ δ' ἐφεξῆς ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένα μικτῆς, ὡς καὶ τὰς σκληρυμμένας φλεγμονὰς ἐκθεραπεύειν, καὶ διὰ τοῦτο, καὶ τοῖς ἡπατικοῖς ἐστι χρήσιμα. δέονται γὰρ κἀκεῖνοι μεμίχθαι τι τῶν στυπτικῶν τοῖς χαλαστικοῖς, οὐ μὴν ὁμοίως τοῖς στομαχικοῖς, ἐπικρατεῖ γὰρ ἡ στυπτικὴ ποιότης ἐν τοῖς στομαχικοῖς φαρμάκοις.

Μάλαγμα Νείλου ἐπιγραφόμενον, ποιεῖ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις, καὶ πρὸς τὰς τῶν ἄρθρων ὀδύνας. ἔστι δὲ καὶ διαλυτικὸν πάσης σκληρίας. ποιεῖ πρὸς τρίμματα, καὶ λυγίσματα μετὰ τὰς παρακμὰς τῶν φλεγμονῶν ἐπιτιθέμενον, ποιεῖ σπληνικοῖς, ἡπατικοῖς.

℞. Κηροῦ λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. ἐλαίου κυπρίνου λίτραν α'. κρόκου ℥ S. ὄξους ὅσον ἐξαρκεῖ, τὸ ἀμμωνιακὸν διαλύσας, εἶθ' οὕτως ἐπίβαλλε τὰ ξηρά.

Ἄλλο ἐκ τῶν Ἀρείου Ἀσκληπιάδου.

℞. Ἀμμωνιακοῦ θυμιάματος λίτρας δύο, λεάνας ἐπιμελῶς καὶ βαλὼν εἰς ἄγγος κεραμεοῦν, ἐπίβαλλε τούτῳ ἁλὸς ἄνθους λίτραν α'. καὶ ἐλαίου κυπρίνου λίτραν α' S. ἕψε μαλακῷ πυρὶ χρώμενος, καὶ κινῶν συνεχῶς, καὶ ὅταν ἐμπλαστρῶδες γένηται, ἐπίβαλλε κηροῦ λίτρας β'. καὶ ὅταν τακῇ καὶ ἀμόλυντον γένηται, ἐξαιρέσας εἰς θυίαν καὶ ἀνακόψας, ἐπιμελῶς ἀνελόμενος χρῶ.

Μάλαγμα Νειλέως κροκηρὸν, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς εἰρημένας διαθέσεις. ποιεῖ καὶ πρὸς ἐρυσιπέλατα, τούτῳ ἐχρήσατο Λυκίνιος Ἀττικός.

℞. Ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. κηροῦ λίτραν α'. ῥοδίνου λίτραν α'. κρόκου ℥ α'. ὄξους ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον.

Ἄλλο τὸ μήλινον ἐπιγραφόμενον ἀρωματικὸν, ἡπατικοῖς, στομαχικοῖς, καὶ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις, καὶ πᾶσαν νευρικὴν συμπάθειαν.

℞. Ἀμμωνιακοῦ θυμιάματος < ρ'. κηροῦ Ποντικοῦ < ρ'. μελιλώτων < ιβ'. κρόκου, σμύρνης, βδελλίου ἀνὰ < η'. ἐλαίου κυπρίνου λίτραν α'.

[A] Eiusmodi medicamenta etiam bibuntur, & valde auxiliantur. Cohibito autem fluxu, & sequente dolore, tantundem ponderis cerati rosacei ad medicamenti confectionem addere oportet. Si verò multa fluxio contingit, ad medicamentum succi hypocystidis drachmas tres coniicito, & florum rosarum aliam drachmam. Vigiliis infestantibus, etiam succi papaueris aliam drachmam addito.

Aliud Nicerati, cœliacis, dysẽtericis, valde generosum.

℞. OEnanthes drach. duas, rosarum siccarum [B] ℥. j. mastiches ℥. j. aloës ℥. j. gallarum omphacitidum ℥. j. aluminis rotundi ℥. j. acaciæ ℥. j. ceræ lib. j. picis brutiæ ℥. iij. olei myrtei lib. j. arida cum liquidis committito. *Aliud valde præclarum.* ℞. œnanthes ℥. j. omphacij ℥. j. gallæ omphacitidis ℥. j. aluminis scissi ℥. j. acaciæ vnc. vnam, cytinorum mali punici ℥. j. balaustij ℥. j. mastiches ℥. j. vini myrtitæ, quantum satis est his subigendis, carnis phœnicobalanorum ℥. vj. excipe cerato præparato ex lentiscini librâ vnâ, præpara, ac vtere vt dictum est. Hæc quidem igitur præscripta medicamenta facultatis sunt astringentioris; quæ verò deinceps ab Asclepiade prodita sunt, mixtam facultatem [C] habent, adeò vt etiam induratas inflammationes curent, & propterea etiam hepaticis vtilia sunt, opus enim habent etiam illi astringentium ad laxantia mixtura, non tamen æquè, vt stomachici; in stomachicis enim medicamentis qualitas astrictoria prædominatur.

Malagma Nilo inscriptum, facit ad hypochondriorum distentiones, & articulorum dolores. Dissoluit omnem duritiem. Facit & ad exarticulata & luxata post declinationem inflammationum impositum. Facit spleniticis & hepaticis.

[D] ℞. Ceræ lib. j. ammoniaci thymiamatis lib. j. olei cyprini lib. j. croci ℥. ß. aceti quod satis est; ammoniacum dissoluito, deinde sic arida adiicito.

Aliud ex libris Arij Asclepiadei.

℞. Ammoniaci thymiamatis lib. ij. diligenter tritas in vas fictile coniice, eique floris salis lib. j. adde, & olei cyprini sesquilibram. Coque ad lentum ignem assiduè agitando; atque vbi emplastri formam acceperint, adiice ceræ lib. ij. quâ eliquatâ, quum medicamentum am-[E]plius non inquinauerit, eximito, & in mortarium transferto, conquassatumque diligenter reponito, ac vtitor.

Malagma Nilei crocerum, medicamentum accommodatum ad prædictos affectus, facit & ad erysipelata. Hoc vsus est Licinius Atticus.

℞. Ammoniaci thymiamatis libram vnam, ceræ libram vnam, olei rosacei libr. vnam, croci vnciam vnam, aceti quantum sufficit; præparato pro more.

Aliud melinum inscriptum aromaticum, hepaticis, sto-[F]machicis, & ad præcordia distenta, & omnem neruorum per consensum affectionem.

℞. Ammoniaci thymiamatis ʒ. c. ceræ Ponticæ drach. c. melilotorum drac. duodecim; croci, myrrhæ, bdellij, singulorum drach. viij. olei cyprini lib. vnam.

Aliud

Aliud facit stomachicis, hepaticis, ad præcordia inflammata, & omnem neruorum per consensum affectionem.

℞. Ceræ ʒ. c. croci ʒ. xij. ammoniaci thymiamatis ʒ. c. myrrhæ ʒ. xij. bdellij ʒ. viij. confectionis hedychroi quadrantem, vini dulcis quantum sufficit, olei cyprini lib. j. præpara pro more.

Aliud Neapolitæ, Aromaticum inscriptum, medicamentum accommodatum ad internos affectus.

℞. Ammoniaci thymiamatis lib. iij. ceræ lib. iij. olei rosacei lib. iij. confectionis hedychroi lib. ß. meliloti lib. ß. cyperi lib. ß. nardi Celticæ lib. ß. floris iunci odorati lib. ß. vini dulcis, quod satis est. Arida cum liquidis subacta committito.

Malagmata bona inflammationibus citra debilitatem inueteratis; quæ ad hepatis inflammationes similiter conueniunt. Malagma Asclepiadis ex meliloto Hieraticon inscriptum, stomachicis, hepaticis, & ad viscerum dolores.

℞. Nardi Celticæ ʒ. x. cyperi ʒ. x. myrrhæ ʒ. x. cardamomi ʒ. viij. meliloti ʒ. xl. croci ʒ. viij. amomi ʒ. viij. cypheos sacrificulorum ʒ. xvj. ammoniaci thymiamatis ʒ. xl. resinæ terebinthinæ ʒ. lxxx. ceræ minã j. olei cyprini minã j. vini odorati Italici heminã j. Præpara, vt dictum est, ac vtere.

Aliud Basilicum inscriptum, faciens ad prædictos affectus, omnemque per consensum neruorum affectionem.

℞. Ceræ minas iij. ammoniaci thymiamatis minas ij. resinæ frictæ minam vnam, meliloti minæ dimidium, propoleos ʒ. xxv. myrrhæ ʒ. xxv. nardi celticæ ʒ. xxv. styracis ʒ. xxv. cyperi ʒ. xxv. iridis Illyricæ ʒ. xxv. cardamomi, panacis, vtriusq; ʒ. xxv. croci, cassiæ, mastiches, opobalsami, amomi, floris iunci odorati, singulorum ʒ. xvj. vini Italici odorati quantum sufficit. Arida cum nardini Asiani aromatici libris quatuor, subacta, pro more præparato.

Malagma Polyarchion facit peripneumonicis, stomachicis, splenicis, hydropicis. Facit ad affectus circa vesicam, aut vterum; ad omnem neruorum per consensum affectionem.

℞. Ceræ minam j. terebinthinæ minam j. bdellij minam j. ammoniaci thymiamatis, cardamomi, cyperi, singulorum minam j. meliloti, amomi, nardi Indicæ, croci, myrrhæ, thuris, xylocinnamomi, singulorũ ʒ. xxv. olei cyprini heminã j. vini Italici, quod satis est. Prępara pro more, ac vtere, quãdoq; immixto, quandoq; dissoluto cũ cerato cyprino.

Polyarchi medicamentum accommodatum; facit ad prædictos affectus, & omnem neruorum per consensum affectionem. Facit etiam ad aßiduas cruditates, & corrumpentes cibum, & vomentes bilem, ac omnes inueteratos affectus. Vsus est eo Iulius Agrippa. Compositio hoc modo habet.

℞. Castorij, amomi, vtriusque ℥. j. ß. piperis albi ℥. j. ß. & longi ℥. j. ß. myrrhæ ℥. iij. cõfectionis hedychroi ℥. iij. carpobalsami ℥. iij. costi ℥. iij foliorũ malabathri, cassiæ rosas referentis, panacis, opobalsami, nardi Indicæ, singulorũ ℥. iij. floris iunci odorati, cinnamomi, vtriusque trientẽ; pyrethri, croci, cardamomi, singulorum trientem; cyperi semissem; iridis Illyricæ, aristolochiæ longæ & rotũdæ, singulorũ ℥. vj. ceræ ℔. iv. terebinthinę ℔. ij. resinæ laricis ℥. iij. in alio exẽplari, etiã bdellij ℥. iv. ammoniaci thymiamatis ℥. iv. vnguenti ñardini

A Ἄλλο. ποιεῖ στομαχικοῖς, ἡπατικοῖς, καὶ πρὸς τὰς τῶν ὑποχονδρίων φλεγμονάς, καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν.

℞. Κηροῦ < ρ'. κρόκου < ιβ'. ἀμμωνιακοῦ θυμιάματος < ρ'. σμύρνης < ιβ'. βδελλίου < η'. μάγματος ἡδυχρόου ℥ γ'. οἴνου γλυκέος ὅσον ἐξαρκεῖ, ἐλαίου κυπρίνου λίτραν α'. σκεύαζε κατὰ τρόπον.

Ἄλλο, τὸ τοῦ Νεαπολίτου ἀρωματικὸν ἐπιγραφόμενον φάρμακον ἐπιτετευγμένον, πρὸς τὰς τῶν ἐντὸς διαθέσεις.

℞. Ἀμμωνιακοῦ θυμιάματος λίτρας γ'. κηροῦ λίτρας γ'. ῥοδίνου λίτρας γ'. μάγματος ἡδυχρόου λίτρας S''. μελιλώτου
B λίτρας S''. κυπέρου λίτρας S''. νάρδου Κελτικῆς λίτρας S''. σχοίνου ἄνθους λίτρας S''. οἴνου γλυκέος ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ φύρα.

Τῶν χωρὶς ἀτονίας φλεγμονῶν χρονιζουσῶν μαλάγματα καλά, καὶ πρὸς τὰς τοῦ ἥπατος ὁμοίως φλεγμονάς. Ἀσκληπιάδου μάλαγμα τὸ διὰ μελιλώτου, ἱερατικὸν ἐπιγραφόμενον, στομαχικοῖς, ἡπατικοῖς, καὶ πρὸς τὰς τῶν σπλάγχνων ὀδύνας.

℞. Νάρδου Κελτικῆς < ι'. κυπέρου < ι'. σμύρνης < ι'. καρδαμώμου < η'. μελιλώτου < μ'. κρόκου < η'. ἀμώμου < η'. κύφεως ἱερατικοῦ < ις'. ἀμμωνιακοῦ θυμιάματος < μ'. ῥητίνης τερμινθίνης < π'. κηροῦ μνᾶν α'. ἐλαίου
C κυπρίνου μνᾶν α'. οἴνου εὐώδους Ἰταλικοῦ κοτύλην α'. σκεύαζε καθὰ προείρηται, καὶ χρῶ.

Ἄλλο βασιλικὸν ἐπιγραφόμενον ποιοῦν πρὸς τὰς εἰρημένας διαθέσεις, καὶ πᾶσαν νευρικὴν συμπάθειαν.

℞. Κηροῦ μνᾶς γ'. ἀμμωνιακοῦ θυμιάματος μνᾶς β'. ῥητίνης φρυκτῆς μνᾶν α'. μελιλώτου μνᾶς S''. προπόλεως < κε'. σμύρνης < κε'. νάρδου Κελτικῆς < κε'. στύρακος < κε'. κυπέρου < κε'. Ἰλλυρικῆς < κε'. καρδαμώμου, πάνακος ἀνὰ < κε'. κρόκου, κασσίας, μαστίχης, ὀποβαλσάμου, ἀμώμου, σχοίνου ἄνθους ἀνὰ < ις'. οἴνου Ἰταλικοῦ εὐώδους
D ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ φυράσας, νάρδου Ἀσιανῆς ἀρωματικῆς λίτρας δ'. σκεύαζε κατὰ τρόπον.

Μάλαγμα Πολυάρχιον. ποιεῖ περιπνευμονικοῖς, στομαχικοῖς, σπληνικοῖς, ὑδρωπικοῖς, ποιεῖ πρὸς τὰς περὶ κύστιν, ἢ μήτραν διαθέσεις, πρὸς πᾶσαν νευρικὴν συμπάθειαν.

℞. Κηροῦ μνᾶν α'. τερμινθίνης μνᾶν α'. βδελλίου μνᾶν α'. ἀμμωνιακοῦ θυμιάματος, καρδαμώμου, κυπέρου ἀνὰ μνᾶν α'. μελιλώτου, ἀμώμου, νάρδου Ἰνδικῆς, κρόκου, σμύρνης, λιβανου, ξυλοκινναμώμου, ἀνὰ < κε'. ἐλαίου κυπρίνου κοτύλην α'. οἴνου
E Ἰταλικοῦ ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον, καὶ χρῶ, ποτὲ μὲν ἀκράτῳ, ἔσθ' ὅτε δὲ ἀνιεμένῳ κηρωτῇ σκευασθείσῃ διὰ κυπρίνου.

Πολυάρχου φάρμακον ἐπιτετευγμένον. ποιεῖ καὶ πρὸς τὰς εἰρημένας διαθέσεις, καὶ πᾶσαν νευρικὴν συμπάθειαν. ποιεῖ καὶ πρὸς τὰς συνεχεῖς ἀπεψίας, καὶ τοῖς φθείρουσι τὴν τροφήν, καὶ χολεμετοῦσι, καὶ πάσας τὰς κεχρονισμένας διαθέσεις, ἐχρήσατο Ἰούλιος Ἀγρίππας. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως.

℞. Καστορίου, ἀμώμου ἀνὰ ℥ α' S''. πεπέρεως λευκοῦ ℥ α' S''. καὶ μακροῦ ℥ α' S''. σμύρνης ℥ γ'. μάγματος ἡδυχρόου ℥ γ'. καρποβαλσάμου ℥ γ'. κόστου ℥ γ'. φύλλων μαλαβάθρου,
F κασσίας ῥοδιζούσης, πάνακος, ὀποβαλσάμου, νάρδου Ἰνδικῆς, ἀνὰ ℥ γ'. σχοίνου ἄνθους, κινναμώμου ἀνὰ ℥ δ'. πυρέθρου, κρόκου, καρδαμώμου ἀνὰ ℥ δ'. κυπέρου ℥ ς'. ἴρεως Ἰλλυρικῆς, ἀριστολοχίας μακρᾶς, καὶ στρογγύλης ἀνὰ ℥ ς'. κηροῦ λίτρας δ'. τερμινθίνης λίτρας β'. ῥητίνης λάρικος ℥ γ'. ἐν ἄλλῳ καὶ βδελλίου ℥ δ'. ἀμμωνιακοῦ θυμιάματος ℥ δ'. νάρδου Ἀσιανῆς τῆς

μύρου λίτρας γ΄. οἴνου Φαλερίνου ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον. ἐγὼ δὲ προσβάλλω, μαστίχης, κινναμώμου, ἀμμωνιακοῦ θυμιάματος, στύρακος, ἀλόης, ὀποβαλσάμου, ἀνὰ 𐅻ο γ΄.

Τὸ διὰ μελιλώτου, Ἀνδρομάχου μάλαγμα.

℞. Νάρδου Κελτικῆς < η΄. κυπέρου < η΄. καρδαμώμου < η΄. ἴρεως Ἰλλυρικῆς < η΄. σμύρνης < η΄. κρόκου < δ΄. μελιλώτου < κε΄. ἀμμωνιακοῦ θυμιάματος < ν΄. τερμινθίνης < ν΄. κηροῦ < ρ΄. κυπρίνου κοτύλης S΄. ὄξους τὸ ἱκανόν. τινὲς ἀμμωνιακοῦ θυμιάματος < ρ΄. ποιεῖ πρὸς τὰ ἐντὸς πάντα. Τὸ Πολυάρχου ἐκ τῆς ἐπιστολῆς πρὸς πάντα τὰ ἐντὸς μάλαγμα. ℞. κυπέρου μνᾶν α΄. καρδαμώμου μνᾶν α΄. μάννης ἴσον, κηροῦ ἴσον, τερμινθίνης φρυκτῆς μνᾶν α΄ S΄ ἢ ὑγρᾶς μνᾶς γ΄. κυπρίνου τὸ ἱκανόν, ἐγὼ δὲ καὶ βδελλίου προστίθημι μνᾶν α΄. Ἄλλο ἡ δευτέρα γραφή. ℞. κυπέρου, καρδαμώμου, ἀμώμου, βδελλίου, λιβάνου, βαλσάμου, ἀνὰ μνᾶν α΄. κηροῦ μνᾶν α΄ S΄. ῥητίνης φρυκτῆς μνᾶς δ΄. κυπρίνου κοτύλης S΄. οἴνου εὐώδους κοτύλην α΄ S΄ σκεύαζε κατὰ τρόπον, καὶ χρῶ, ὡς καὶ τοῖς προ αὐτοῦ. ὡς δὲ ἐγώ. ℞. κυπέρου, καρδαμώμου, ἀμώμου, βδελλίου, λιβάνου, ἀνὰ μνᾶν α΄. κηροῦ μνᾶς S΄. ῥητίνης φρυκτῆς, ἢ τερμινθίνης μνᾶς δ΄. κυπρίνου κοτύλην α΄. κασσίας μνᾶς δ΄. ἀμμωνιακοῦ θυμιάματος μνᾶς δ΄. νάρδου Ἰνδικῆς, κρόκου, σμύρνης ἀνὰ μνᾶς δ΄. οἶνος εὐώδης.

ΚΕΦΑΛΑΙΟΝ ϛ΄.

Περὶ ἥπατος καὶ τῶν ἐν αὐτῷ παθῶν.

Ὑστάτης ἁπασῶν τῆσδε τῆς πραγματείας μοι γραφομένης, ἡγοῦμαι πάντι που πρόδηλον ὑπάρχειν, ὡς δυοῖν τῶνδε θάτερον ἀληθές ἐστιν, ἢ τὰς ἄλλας πάσας ἀχρήστους εἶναι, καὶ περιττάς, εἴ τις ἐκ ταύτης μόνης ἱκανὸς ἔσται θεραπεύειν ἅπαντα τὰ πάθη τὰ δεόμενα τῆς διὰ φαρμάκων ἰάσεως, ἢ εἴπερ ἐκεῖναι χρήσιμοι τυγχάνουσιν οὖσαι, πρῶτον αὐτὰς ἀναγνωστέον ἐστί, καὶ μνημονευτέον τοῖς μέλλουσιν ὠφελήσεσθαί τι πρὸς τῆσδε. τὰς μὲν γὰρ μεθόδους αὐτὰς τῆς τῶν εἰρημένων ἰάσεως, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου ιδ΄. βιβλίοις ἔγραψα. νῦν δέ, ὡς εἰδόσιν αὐτάς, ἤδη χωρὶς τῶν εἰρημένων ἀποδείξεων ἀναμιμνήσκω, δηλῶν πάντως, ὅπως καλῶς τε ἡμεῖς συνθήσομεν φάρμακα, τά τε ὑπὸ τῶν ἔμπροσθεν γεγραμμένα κρίναντες, εἰς πεῖραν ἄγειν θαρρήσομεν, καὶ χρήσιμόν γε τοῦτο τὸ σκέμμα. καὶ γὰρ ἄλογον εἶναι βουλόμενοι τὴν ἑαυτῶν τέχνην οἱ ἐμπειρικοὶ μετεχειρίσαντο, πάντα μὲν ἀναγινώσκειν ἀξιοῦντες, ὅσα καὶ τοῖς ἐνδόξοις ἰατροῖς γέγραπται, μὴ πάντα δὲ εἰς χρῆσιν ἄγειν εὐθέως, ἀλλὰ καὶ κρίνειν πρότερον, εἰ δυνατὸν ἕκαστον αὐτῶν ἐστι τὴν ἐπαγγελίαν ἔργῳ ἐπιδείξασθαι. ἡμεῖς δὲ τὴν ἐμπειρίαν ἐν πάσῃ τῇ τέχνῃ μέγα τι δύνασθαι πεπεισμένοι, τά τε διὰ λογικῆς μεθόδου τῶν θεωρημάτων εὑρημένα, τοῖς περὶ κρίσεως ἱστορίας ὑπ᾽ αὐτῶν εἰρημένοις, τὰ διὰ τῆς λογικῆς ἐνδείξεως προστίθεμεν, δεδειχότες ἐν ἑτέροις, ὁποίαν δύναμιν εἰς τὸ βαδίζειν ἑκάτερον τῶν σκελῶν εἰσφέρεται, τοιαύτην ἐν ἰατρικῇ τὴν ἐμπειρίαν τε, καὶ τὸν λόγον ἔχειν. ἐν μὲν οὖν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, δι᾽ ἕνδεκα βιβλίων γεγραμμένῃ τὴν δύναμιν ἑκάστου τῶν αὐτοφυῶν φαρμάκων, ὅπως ἄν τις εὑρίσκοι μεθόδῳ διήλθομεν, ἐπί τε τὴν κατὰ μέρος αὐτῶν ὕλην ἀφικόμενοι, τὴν χρησιμωτάτην εἰς τὰ τῆς τέχνης ἔργα, κατ᾽ εἴδη πᾶσαν ἐγράψαμεν. ἐφεξῆς δὲ αὐτῇ, καὶ τὴν θεραπευτικὴν πραγματείαν, ὅπως ἄν τις ἄριστα μὴ μόνον τοῖς ἁπλοῖς, ἀλλὰ καὶ τοῖς συνθέτοις χρῷτο διήλθομεν,

A Asiani lib. iij. vini Falerni, quod ſatis eſt; præpara pro more. Ego autem adiicio maſtiches, cinnamomi, ammoniaci thymiamatis, ſtyracis, aloës, opobalſami, ſingulorum quadrantem.

Malagma Andromachi ex meliloto.

℞. Nardi Celticæ ʒ. viij. cyperi ʒ. viij. cardamomi ʒ. viij. iridis Illyricæ ʒ. viij. myrrhæ ʒ. octo, croci ʒ. iv. meliloti ʒ. xxv. ammoniaci thymiamatis ʒ. l. terebinthinæ ʒ. l. ceræ ʒ. c. cyprini heminæ dimidium, aceti quod ſatis eſt; quidam ammoniaci thymiamatis ʒ. c. coniiciunt. Facit ad omnia interna. *Malagma Polyarchi ex epiſtola ad omnia interna.* ℞. cyperi minam j. cardamomi minam j. mannæ B tantundem, ceræ tantundem, terebinthinæ frictæ ſeſquiminam, aut liquidæ minas iij. cyprini quantum ſufficit. Ego etiam bdellii appono minam j. *Aliud, altera deſcriptio.* ℞. cyperi, cardamomi, amomi, bdellij, thuris, balſami, ſingulorum minam j. ceræ ſeſquiminam, reſinæ frictæ minas iv. cyprini heminæ ß. vini odorati ſeſquiminam. Præpara vt moris eſt, ac vtere velut præſcriptis. Vt ego componere ſoleo; ℞. cyperi, cardamomi, amomi, bdellij, thuris, ſingulorũ minã j. ceræ minæ ß. reſinæ frictæ, aut terebinthinæ minas iv. cyprini heminã i. caſſiæ minæ quartã partẽ, ammoniaci thymiamatis minæ quartã partẽ, nardi Indicæ, croci, myr- C rhæ, ſingulorũ minæ quartã partẽ, vinũ odoratum.

CAPVT VI.

De hepate, & eius affectionibus.

Qvum hæc tractatio poſtrema omnium à me cõſcribatur, omnibus ſanè manifeſtum eſſe opinor, quòd ex duobus his alterũ verum ſit; aut alias omnes inutiles eſſe, & ſuperuacaneas, ſi quis ex hac ſola ſufficiens ſit omnes affectiones curare, quæ medelã per medicamenta requirãt; aut ſi qui- D dẽ illæ vtiles exiſtãt, primũ ipſas legendas eſſe, & in memoriã reuocãdas illis, qui hinc aliquid commodi auferre velint. Ipſas etenim methodos curandi prędictas affectiones in xiv. libris de curandi Methodo inſcriptis prodidi; nũc verò tanquam his ipſis cognitis, citra prædictas demonſtrationes in memoriam reuoco, oſtendẽs omnino, quomodo nos medicamenta cõponamus, & quæ à prioribus ſcripta ſunt iudicemus, indeq; in vſum agere, ac aſſumere confidamus. Et ſanè vtilis hæc ſpeculatio exiſtit. Nam Empirici, qui ſuam artẽ rationis expertẽ eſſe volũt, omnia quidẽ legenda eſſe cenſent, quæ à probatis medicis ſunt conſcripta; non E autẽ ſtatim in vſum aſſumẽda eſſe, ſed priùs iudicãda, an ſingula ex ipſis ea, quæ promittunt, opere etiam demõſtrare poſſint. Nos autẽ experientiam in omni arte magnũ quid poſſe perſuaſi, ſpeculationes, tum per rationalẽ methodũ, tum per rationalem indicationem, inuentas, ad ea, quæ ab ipſis de iudicationis hiſtoria tradita ſunt, apponimus, demonſtrantes, qualem facultatẽ ad ambulandum vtrumq; crus exhibet, talẽ medicina experientiã, & rationẽ habere. Itaq; in tractatione de ſimplicibus medicamentis per vndecim libros conſcripta, F ſingulorũ ſpontè naturæ productorũ medicamẽtorum facultatem, qua methodo quis inueniat, recenſuimus; atque etiam ad particularẽ ipſorũ materiam progreſſi, vtiliſſimã ad artis opera facultatem omnem ſecundũ ſpecies prodidimus. Conſequenter autem ab illo opere, etiam curatiuam tractationẽ; quomodo quis optimè non ſolum ſimplicibus, ſed etiam cõpoſitis, vtatur, expoſuimus; ſimulque

simulq; vias cōpositionis ipsorum omnes indicauimus. Cæterū in proposito iam opere, quomodo varietas cōpositorum medicamentorū inducta sit, ostendimus, ac certos iuxta speciem scopos, tum compositionē, tum vsum ipsorum deducētes, ampliusq; iudicationem eorum, quæ iam ante scripta sunt docentes. Quum igitur cōsequenter post prędicta ad affectionū hepatis doctrinā progredi velimus, affectus circa ipsum consistentes non nuda doctrina sed ratione exquisitos, referemus, & ab vniuersalibus scopis curationis ipsorū, quos in curādi methodo tradidimus, ad cōpositorum doctrinam perueniemus. Primū igitur omnium discernendū est, num debilitas quędā visceris adsit, quēadmodum etiam de ventre diximus; aut etiam alia quædā affectio ipsum apprehenderit; aut citra debilitatem affectum sit inflammatione, aut induratione, aut abscessu laborans, aut obturatione; quemadmodum etiam an erysipelatosum habeat affectum, aut vlcus, aut aliquam putrefactionem, nam & in hoc hepaticam affectionem dicunt; quemadmodum etiam ore ventris affecto plerique medici, ac idiotæ stomachicum affectum vocant, in multis symptomatibus, non tamen omnibus, circa vnam affectionem accidentibus contingentem, sed circa multas vna quadam generali communitate comprehensas, & tamen inter se in tantum differentes, vt aliquæ ipsarum maximè contrariæ existant. Quomodo enim non maximè contrariam quis dixerit frigidā intemperiem calidæ, humidam siccæ, quanquam secundum genus eædem sint? Fermè autem omnia contraria eadem genere siquis dixerit, non peccabit, contrariorum enim notio contingit, vbi plurimum inter se distarint. Plurimum autem distant à mediis in quocunque genere ea, quæ extrema sunt, adeò vt contraria sæpe quidem eadem videantur iuxta communis generis fines; sæpe verò generalioribus contrariis supra ipsa ascendentibus, ab illis comprehendantur. Illa ipsa verò ob id omnino cōtraria sunt, quòd quum vnius generis sint, plurimū inter se distēt, adeò, vt quæ his subiacēt, primū & supremū genus cōmune habeant. Atq; hoc quidē, hoc loco semel à nobis obiter, & accessionis loco dictū, semper in memoria teneatur, ne videlicet cuipiā videri possit à se ipso dissētire, qui aliquādo vnā affectionē in duobus hominibus eādē esse dixerit; aliquādo non vnā, neq; eandē, sed duas contrarias. Intēperiem enim vnā quandā affectionem generaliter appellāt, sed quę in cōtrarias differentias secetur. Licet enim secundum hoc, quod diximus, duo & tria, & plura iuxta particulares differentias inter se contrariissima esse; & secundum hoc debilitatis hepatis affectum vnum esse, quem intemperiem vocant, præfatus, non malè rursus dixero non vnum, sed octo affectus esse, propterea, quòd tot differentiæ intemperierum existant. Etenim rursus iuxta aliam sectionem duæ intemperierum differentiæ fiunt, & rursus iuxta aliam tres; hæ quidem in qualitatibus solis, affectis partibus alteratis; hæ verò cum humoribus quibusdam, aut in spatiis affectarum partium contentis, aut in ipsis corporibus irriguis ab illis factis. Circa vētrem igitur, & intestina vna in singulis est cauitas, quæ vitiatā humiditatem suscipere potest: Verū circa hepar tot numero sunt, quot sunt arteriæ, & venæ. Quū verò hæ omnes angusta oscula habeant, qua parte sima huius visceris cum gibbis coeunt, ac committuntur, obturatio, & oppilatio

A ἅμα τῷ καὶ τὰς ὁδοὺς τῆς συνθέσεως αὐτῶν πάσας εἰπεῖν. ἐν δὲ τῇ νῦν προκειμένῃ πραγματείᾳ, τὴν ποικιλίαν τῶν συνθέτων φαρμάκων, ὅπως ἐγένετο δηλοῦμεν, εἰς ἀφωρισμένους σκοποὺς κατ' εἶδος ἄγοντες αὐτῶν τήν τε σύνθεσιν καὶ τὴν χρῆσιν, ἔτι τε τὴν κρίσιν τῶν ἤδη γεγραμμένων. μέλλοντες οὖν ἀκολούθως τοῖς προειρημένοις ἐπὶ τὴν τῶν ἐν ἥπατι παθῶν ἀφικέσθαι διδασκαλίαν, ἐροῦμεν τὰ κατ' αὐτὸ πάθη, λόγῳ διελθόντες, οὐ ψιλαῖς διδασκαλίαις, ἀπό τε τῶν καθόλου σκοπῶν τῆς ἰάσεως αὐτῶν, οὓς ἐν τῇ θεραπευτικῇ πραγματείᾳ διήλθομεν, ἐπὶ τὴν τῶν συνθέτων ἀφιξόμεθα διδασκαλίαν. B ἔστιν οὖν ἐν αὐτοῖς πρῶτον ἁπάντων διαγνῶναι, πότερον ἀτονία τίς ἐστι τοῦ σπλάγχνου, καθάπερ ἐπὶ τῆς κατὰ τὴν κοιλίαν εἴπομεν, ἢ καί τι ἄλλο πάθημα κατείληφε τὸ σπλάγχνον, ἢ χωρὶς ἀτονίας πάσχει φλεγμαῖνον, ἢ σκιρρούμενον, ἢ ἀποστήματι κάμνον, ἢ ἐμφράξει, καθάπερ καὶ ἐρυσιπελατώδη διάθεσιν ἴσχον, ἢ ἕλκος, ἤ τινα σηπεδόνα. καὶ γὰρ οὖν κἀπὶ τούτου ἡπατικὴν λέγουσι, καθάπερ κἀπὶ τοῦ στόματος τῆς κοιλίας πάσχοντος, οἱ πολλοὶ τῶν ἰατρῶν τε καὶ τῶν ἰδιωτῶν, ὀνομάζουσι στομαχικὴν διάθεσιν, ἐπὶ πολλοῖς συμπτώμασιν, οὐ κατὰ μίαν ἅπασι γιγνομένοις διάθεσιν, C ἀλλὰ κατὰ πολλὰς μιᾷ μέν τινι γενικῇ κοινότητι περιλαμβανομένας, ἀλλήλων δὲ διαφερούσας εἰς τοσοῦτον, ὡς ἐνίας αὐτῶν ἐναντιωτάτας εἶναι. πῶς γὰρ τίς οὐκ ἐναντιωτάτην εἶναι φαίη, τὴν μὲν ψυχρὰν δυσκρασίαν τῇ θερμῇ, τῇ δὲ ὑγρᾷ τὴν ξηράν, καίτοι κατά γε τὸ γένος εἰσὶν αἱ αὐταί. σχεδὸν δὲ καὶ πάντα τὰ ἐναντία, τὰ αὐτὰ τῷ γένει λέγων ἄν τις οὐκ ἂν ἁμάρτοι, καὶ γὰρ ἡ ἔννοια τῶν ἐναντίων ἐστὶν, ἐπειδὰν πλεῖστον ἀλλήλων ἀφέστηκε. πλεῖστον δὲ ἀφέστηκε τῶν μέσων καθ' ὁτιοῦν γένος τὰ ἐπὶ τοῖς πέρασιν ὄντα, ὡς τὰ ἐναντία πολλάκις μὲν τὰ αὐτὰ φαίνεσθαι κατὰ τὰ πέρατα τοῦ κοινοῦ γένους. D πολλάκις δὲ ἐπαναβεβηκότων αὐτοῖς γενικωτέρων ἐναντίων, ὑπ' ἐκείνων περιέχεσθαι, αὐτὰ δὲ ἐκεῖνα πάντως διὰ τοῦτό ἐστιν ἐναντία, διότι καθ' ἓν γένος ὄντα, πλεῖστον ἀλλήλων ἀφέστηκεν, ὥστε καὶ τὰ τούτοις ὑποπεπτωκότα τὸ πρῶτον, καὶ ἀνωτάτω γένος κοινὸν ἴσχει. τοῦτο μὲν οὖν ἡμῖν ἅπαξ ἐνταῦθα κατὰ τὸ πάρεργον εἰρημένον, εἰσαεὶ μνημονευέσθω, πρὸς τὸ μὴ δόξαι τινὶ διαφωνεῖν ἑαυτῷ, εἰπόντα ποτὲ μὲν ἕν τι πάθος εἶναι ταὐτὸν ἀνθρώποιν δυοῖν, ποτὲ δὲ οὐχ ἕν, οὔτε ταὐτὸν, ἀλλ' ἐναντία δύο. δυσκρασίαν γὰρ ἓν μέν τι πάθος γενικῶς ὀνομάζουσι, τεμνόμενον δ' εἰς ἐναντίας διαφοράς. ἔξεστι γὰρ, E καθάπερ ἐνταῦθα εἴπομεν, οὕτως καὶ δύο, καὶ τρία καὶ πολλὰ, κατὰ τὰς ἐν μέρει διαφορὰς ἐναντιωτάτας ἀλλήλαις εἶναι, καὶ κατὰ τοῦτο τῆς ἀτονίας τοῦ ἥπατος, ὀρθῶς ἂν εἰπὼν διάθεσιν αἰτίαν εἶναι μίαν, ἣν δυσκρασίαν ὀνομάζομεν, αὖθις ὀρθῶς ἂν λέγοιμι, μὴ μίαν, ἀλλ' ὀκτὼ τὰς διαθέσεις εἶναι, διότι τοσαῦται διαφοραὶ τῶν δυσκρασιῶν εἰσι. καὶ γὰρ αὖ καὶ καθ' ἑτέραν τομὴν, δύο διαφοραὶ τῶν δυσκρασιῶν γίγνονται, καὶ καθ' ἑτέραν τρεῖς, αἱ μὲν ἐν ταῖς ποιότησι μόναις ἀλλοιουμένων τῶν πασχόντων μορίων, αἱ δὲ μεθ' ὑγρῶν τινῶν, ἤτοι γε ἐν ταῖς εὐρυχωρίαις τῶν πεπονθότων περιεχομένων, ἢ ἐν τοῖς σώμασιν αὐτοῖς F διαβρόχοις ὑπ' αὐτῶν γιγνομένοις. κατὰ μὲν οὖν τὴν γαστέρα, καὶ τὰ ἔντερα, μία καθ' ἕκαστόν ἐστι κοιλότης, ὑγρότητα μοχθηρὰν δέξασθαι δυναμένη· κατὰ δὲ τὸ ἧπαρ τοσαῦται τὸν ἀριθμὸν, ὅσαι περ αἵ τε ἀρτηρίαι, καὶ αἱ φλέβες. τῶν δ' ἁπασῶν ἐχουσῶν στενὰ τὰ πέρατα, καθ' ἃ συμβάλλει τὰ σιμὰ τοῦ σπλάγχνου τοῖς κυρτοῖς, ἐμφράξεις τε, καὶ σφηνώσεις

A ἐνίοτε γίγνονται τῶν μοχθηρῶν ὑγρῶν, αἷς ἕπεται σηπεδὼν ἐν ταχὺ ταῖς ψυχραῖς δυσκρασίαις, θερμαῖς δὲ οὐ ταχέως, ἀλλ' ἐπὶ προήκοντι τῷ χρόνῳ συμπίπτουσα. γίγνεται δὲ ἡ δυσκρασία κατά τε τὴν ἰδίαν οὐσίαν τοῦ ἥπατος, ἣν Ἐρασίστρατος ἡγεῖται παρέγχυμά τι, καὶ οὐκ αὐτὸ τὸ κυριώτατον εἶναι μόριον τοῦ σπλάγχνου· γίγνεται δὲ ἡ δυσκρασία, καὶ κατὰ τὰς περιεχομένας ἐν αὐτῷ φλέβας τε καὶ ἀρτηρίας, καὶ δηλονότι, καὶ κατὰ τὰς ἐν ταῖς εὐρυχωρίαις αὐτῶν ὕλας. ἔχοντος δὲ τοῦ σπλάγχνου τῶν ἐνεργειῶν, ἃς ἐνεργεῖ κατὰ τὸν τῆς ζωῆς χρόνον, οὐ μίαν, ἀλλὰ πλείους δυνάμεις, καὶ τοσαύτας γε τὸν ἀριθμὸν, ὅσα τῶν ἐνεργειῶν εἴδη. συμβαίνει πολλάκις μὲν ἐξαιρέτως μίαν B αὐτῶν βλάπτεσθαι, πολλάκις δὲ δύο καὶ τρεῖς, καὶ πάσας ἅμα τὰς τέσσαρας. ἐνέργεια γὰρ αὐτοῦ, μία μὲν ἑλκύσαι τὴν τροφὴν ἐφ' αὑτὸ, μία δὲ ἄλλη περιστεῖλαί τε καὶ κατασχεῖν, ἄχρις ἂν ἀλλοιώσαν αὐτὴν ἑαυτοῦ ποιήσηται μόριον. ἔστι γὰρ οὖν δὴ καὶ αὕτη δύναμις αὐτοῦ, κυριωτάτη τε καὶ σχεδὸν πρώτη, πέττειν τε καὶ μεταβάλλειν, καὶ ἀλλοιοῦν, καὶ ὁμοιοῦν ἑαυτῷ τὴν τροφὴν, ἣν ὀνομάζομεν ἀλλοιωτικήν. ὅσα δὲ κατὰ τὴν ἀλλοίωσιν τήνδε γίγνεται περιττώματα τοῦ σπλάγχνου, ταῦτα δι' ἑτέρας δυνάμεως, ἣν ὀνομάζομεν ἐκκριτικὴν καὶ ἀποκριτικὴν, ἀπωθεῖται. δεδειγμέναι δὲ εἰσὶν αἱ δυνάμεις αἵδε πᾶσαι τοῖς τοῦ C σώματος ὑπάρχουσαι μορίοις, ἐν ἅπαντι τῷ τῆς ζωῆς χρόνῳ· πάντα γὰρ ἕλκει τὸ οἰκεῖον ἑαυτῷ, καὶ ἀποκρίνει τὸ ἀλλότριον, ἀλλοιοῖ τε τὸ ἑλχθὲν, ἔν τε τῷ χρόνῳ, καθ' ὃν ἀλλοιοῖ, κατέχει τε καὶ σφίγγει. καλεῖται δὴ ἀλλοίωσις αὕτη, μέχρι μὲν ἂν εἰς ὁμοιότητα τοῦ τρεφομένου μορίου μεταβάλληται πέψις, ὅταν δὲ ἤδη προστίθεται τῷ μορίῳ, θρέψις. ὅταν μὲν οὖν ἕλκειν ἐκ τῆς κοιλίας τε καὶ τῶν ἐντέρων τὴν τροφὴν ἀτονήσῃ τὸ ἧπαρ, ὑγρὰ καὶ ἀνεκχύμωτα ἐκκρίνεται διὰ τῆς ἕδρας. ἐὰν μὲν ἡ γαστὴρ συνατονῇ τῷ σπλάγχνῳ, μὴ πέττουσα καλῶς ἠπεπτημένα, ἐὰν δὲ εὐρωστῇ, πεπεμμένα μὲν, ἀλλ' D ὑγρὰ, διὰ τὸ μηδεμίαν, ἢ βραχεῖαν γε τὴν ἐξ αὐτῆς ἀνάδοσιν εἰς τὸ ἧπαρ γεγονέναι. ἐὰν δὲ ἕλκῃ μὲν τὸ ἧπαρ ἐφ' ἑαυτὸ τὴν ἐκ τῆς κοιλίας τε καὶ τῶν ἐντέρων τροφὴν, αἱματοῦν δὲ αὐτὴν ὑπ' ἀτονίας ἀδυνατῇ, καθάπερ ἐν τῇ γαστρὶ πολυειδὴς ἡ φθορὰ γίγνεται τῶν ἀπεπτηθέντων, οὕτω καὶ κατὰ τὸ ἧπαρ. καλῶ δὲ νῦν ἀπεψίαν μόνην, οὐ περιλαμβάνων τῷ λόγῳ τὴν βραδυπεψίαν. εἰ δὲ βούλει, κἀπειδὰν τροφὴ ὠμὴ διαμείνῃ, τὴν κατὰ φύσιν ὑπὸ τοῦ μορίου γιγνομένην ἀλλοίωσιν οὐκ εἰληφυῖα, καὶ ταύτην ἄπεπτον καλεῖν, οὐδ' ἐγὼ φεύγω τὴν προσηγορίαν, ἐάν μοι μόνον ἡ διαφορὰ τῶν πραγμάτων φυλάττηται. χεῖρον μὲν γάρ ἐστιν ἡ εἰς ἀλλόκοτον ποιότητα μεταβολὴ, κατὰ τὴν ἀπεψίαν γινομένη. μετριώτερον δὲ καθ' ἣν ἐπὶ πλεῖστον φυλάττει τὴν ἑαυτῆς φύσιν ἡ τροφὴ, μηδεμίαν ἐκ τοῦ πεφυκότος πέττειν αὐτὴν ἀλλοίωσιν εἰληφυῖα, καὶ μὴν καὶ τρίτον τι παρὰ ταῦτα ἐστὶν εἶδος ἀποτυχίας πέψεως, ὅταν ἡμίπεπτος ἡ τροφὴ γίνηται, καὶ κατ' αὐτήν γε τὴν ἀποτυχίαν τῆς ἀκριβοῦς πέψεως, τοῖς ἡπατικοῖς ἐκκρίνεται διὰ τῆς κοιλίας αἱματώδης χυμός. τοιοῦτος δὲ τῇ συστάσει, καθάπερ εἴ τις ὕδατι κεράσειεν αἷμα, καὶ πολλοὶ τῶν ἰατρῶν ἔγραψαν, εἰκάζοντες αὐτοῦ τὴν σύστασιν, ὡς ἂν εἰ νεοσφαγοῦς ἱερείου τὰ κρέα πλυνεῖ τις E ὕδατι, καὶ πλεῖσταί γε τῶν ἡπατικῶν διαθέσεων ἀπὸ τοιούτων ἐκκρίσεων ἄρχονται, μήπω μεγάλην ἀτονίαν ἔχοντος τοῦ ἥπατος, ἀλλ' ἔτι πέττειν τε καὶ μεταβάλλειν τὴν τροφὴν εἰς τὴν τοῦ ὑπογραφὴν τοῦ αἵματος δυναμένου. αὐξηθέντος δὲ τοῦ πάθους, οὐκ ἔτι μὲν οὐδὲν τοιοῦτον ἐκκρίνεται, ἀλλὰ πολυειδεῖς.

vitiosorum humorum, aliquando contingunt, ad quas putrefactio consequitur in calidis breui, in frigidis intemperaturis verò non citò, sed tēporis progrssu accedens. Fit autem intēperies iuxta propriam hepatis substantiam, quam Erasistratus putat parenchyma, & non principalissimam visceris partē esse. Fit etiam intemperies circa contentas in ipso venas & arterias, & iuxta materias in spatiis ipsarum cōtentas. Quum autem habeat hoc viscus non vnam, sed plures facultates actionū, quas vitę tēpore operatur, easq; tot numero, quot sunt actionum species, contingit sæpe vnam ipsarum præcipuè lædi, sæpe duas, & tres, atque omnes quatuor simul. Actio namq; ipsius vna quidē attrahere cibum, & alimentum in sese: altera verò obuoluere, & continere, donec permutans ipsum sui ipsius faciat partē. Est igitur hæc ipsius facultas principalissima, & ferè prima, cōcoquere videlicet, & permutare, ac alterare, atq; assimilare sibi ipsi alimentum, quam alteratiuam vocamus: quæ verò iuxta hanc alterationem remanent recrementa, ea per aliam facultatē, quam excretricē, & expulsoriam nominamus, expelluntur. Ostensum autē est, quod hæ facultates omnes in omnibus sunt partibus corporis per omne vitæ tempus: omnes enim familiare sibi attrahunt, & alienum excernunt: attractumque temporis progressu alterant, quo tempore etiam retinent, & constringunt. Vocatur autem alteratio ipsa, vsq; quo in similitudinem partis, quæ nutritur, transmutatur, concoctio: vbi verò iam parti apponitur, nutritio. Quum igitur hepar præ imbecillitate ex ventre, & intestinis alimentum trahere non potest, liquida & nondum iusto modo exuccata per sedem excernuntur: & si quidē venter simul cum hoc viscere fuerit imbecillis, ac non probè concoquens, cruda: si verò validus fuerit, concocta quidē, sed liquida, propterea quòd nulla, aut omninò modica digestio, ac distributio ad hepar est facta. Si verò traxerit quidem hepar in se ipsum ex ventre, & intestinis alimentum, sanguificare autē ipsum præ debilitate nequit, quemadmodum in ventre multiformis corruptio contingit eorum, quæ cruda remanent, sic etiam circa hepar. Dico autem nunc cruditatem solam, non comprehendens hoc sermone tardam concoctionem. Quod si velis alimentum, vbi crudum permanet, & alterationem, quæ fit à particula iuxta naturam, non assumpsit, itidem crudum appellare, neque ego fugio appellationem, si mihi saltē differentia rerum conseruetur. Peior enim est ea transmutatio, quæ in peregrinam qualitatem iuxta cruditatem fit: moderatior verò ea est, in qua alimentum suam naturam, quàm diutissimè seruat, nullâ alteratione ex particula, quæ ad ipsum concoquendum à natura destinata est, susceptâ: Atqui & tertia, præter has, species est frustratæ concoctionis, quum semicoctum fit alimentum. Et circa ipsam sanè exactam concoctionem frustratam, hepaticis sanguinolentus humor per aluum excernitur talis cōsistentiæ, veluti si quis sanguinē cum aqua cōfudisset: & plerique sanè medici imaginē eius depingentes scripserunt, talem eius cōsistentiam esse, velut si quis victimæ recens mactatæ carnes aqua lauasset. Et plurimi hepatici affectus ab eiusmodi excretionibus initium capiunt, nondum magnam debilitatem hepate habente, sed adhuc concoquere, & alimentum alterare, velut in formam sanguinis, potente. Aucta autem affectione, nihil amplius tale excernitur, sed multiformes aliæ

aliæ qualitates, & cōsistentiæ, velut à vētre ex cruditate laborante. Verū in ventre ciborum ipsorum corruptiones manifestè apparēt: circa hepar verò distributum alimentum ad sanguinem prius in viscere existentē admiscetur, corrumpiturq; tēporis progressu etiam hic, vna cum alimēto circa ipsum non concocto. Calida igitur intēperie circa viscus existēte, colliquationes fiunt, primum humorum, deinde etiam carnis ipsius hepatis: & euacuatur per ventrem bilis crassa, graueolens, & abundè colorata, quemadmodum in pestilentibus febribus contingit. Frigida verò intemperie existente, neque assiduæ excretiones, neque multæ fiunt: durat tamen affectus diutius, & per aliquos dies profluet ipsis venter maiori copia, cuius neque fœtor similis est iis, quæ ex calore sunt liquefacta, neq; color similis, aut consistentia, verùm minus graueolentia ab his excernuntur, speciem putrefacti sanguinis, non colliquatæ carnis, habentia. Aliquando verò id quod excernitur, velut sanguis niger apparebit: verùm diligenter consideranti, neque sanguis niger est, neq; grumus, sed velut limus quidam sanguinis crassi, qui propè ad atram bilem accedat: & plures, ac ægrè iudicabiles colores circa eiusmodi affectionem in egestionibus apparent. In vtraque autem intemperie, tùm calida, tum frigida, quando intemperies humida, & sicca fuerint admixta, liquidiora in humiditatis complexu, sicciora verò ex siccitatis copula, fient recrementa. Scopus igitur curationis in eiusmodi affectionibus fit communis quidem iuxta intemperiei contrarietatem, peculiaris autem vnicuique per cuiusq; contrarietatem. Affectio igitur hepatica peculiariter appellata, veluti etiam cœliaca, & stomachica, citra tumores præter naturam circa ipsas partes contingit. Inflammatum enim esse hepar, aut abscessu laborare, aut induratum esse, medici dicunt, aut aliud quippiam tale, non tamen hepaticum vocant hominem ipsum, cui tale quippiam accidit: verùm quando citra manifestum aliquod in viscere malum, in propriis actionibus debilitatur, tunc ægrum hepaticum appellant. Videamus igitur primum ea, quæ scripserunt ij, qui ante nos de medicamentis optimè, & studiosissimè tradere satagerunt, initio ab iis, quæ Andromachus prodidit, facto. Hic enim vir in libro internarum affectionum curationes continente, multas hepaticas confectiones conscripsit, quarum omnium faciam mentionem hoc loco, ipsius verbis in medium adductis, & primum sanè antidotos adscribam.

A ἄλλαι ποιότητές τε καὶ συστάσεις, ὥσπερ ἀπὸ τῆς γαστρὸς ἀπεπτούσης. ἀλλ' ἐν μὲν τῇ γαστρὶ, τῶν σιτίων αὐτῶν αἱ διαφθοραὶ σαφῶς φαίνονται, κατὰ δὲ τὸ ἧπαρ τῆς ἀναδοθείσης τροφῆς μιγνυμένης τῷ προϋπάρχοντι κατὰ τὸ σπλάγχνον αἵματι. συνδιαφθείρεται γὰρ ἐν τῷ χρόνῳ, καὶ τοῦτο τῇ μὴ πεφθείσῃ κατ' αὐτὸ τροφῇ. θερμῆς μὲν οὖν κατὰ τὸ σπλάγχνον τῆς δυσκρασίας οὔσης, αἱ συντήξεις γίνονται. πρῶτον μὲν τῶν χυμῶν, εἶτα καὶ τῆς σαρκὸς αὐτῆς τοῦ ἥπατος, καὶ κενοῦται διὰ τῆς γαστρὸς δυσώδης πολὺ χολὴ παχεῖα, καὶ κατακορὴς τῇ χροιᾷ, καθάπερ ἐν τοῖς λοιμώδεσι πυρετοῖς. ψυχρᾶς δὲ δυσκρασίας οὔσης, οὔτε συνεχεῖς **B** ἐκκρίσεις, οὔτε πολλαὶ γίνονται. χρονίζει δὲ τὸ πάθος, καὶ δι' ἡμερῶν τινων καταρρήσσει ἡ γαστὴρ αὖθις ἀθροώτερον, οὔθ' ὁμοίαν ἐχόντων τὴν δυσωδίαν τοῖς διὰ θερμότητα συντακεῖσιν, οὔθ' ὁμοίαν τὴν χρόαν, ἢ τὴν σύστασιν, ἀλλ' ἧττόν τε δυσώδη διαχωρεῖται τούτοις, ἰδέαν τε σεσηπότος αἵματος, οὐ συντετηκυίας ἔχοντα σαρκὸς, ἐνίοτε δ' ἄν σοι τὸ διαχωρούμενον δοκεῖ αἷμα μέλαν εἶναι φανεῖν, θεωροῦντι δὲ ἀκριβῶς, οὔτε αἷμα μέλαν ἐστὶν, οὔτε θρόμβος, ἀλλ' οἷον ἰλεύς τις αἵματος παχέος ἐγγὺς τῇ μελαίνῃ χολῇ, καὶ πλείω γε, καὶ δύσκριτα χρώματα κατὰ τὴν τοιαύτην διάθεσιν ἐμφαίνεται τοῖς διαχωρουμένοις. ἐν **C** ἀμφοτέραις δὲ ταῖς δυσκρασίαις, τῇ τε κατὰ θερμότητα, καὶ τῇ κατὰ ψυχρότητα, μιχθείσης τῆς καθ' ὑγρότητα, καὶ ξηρότητα δυσκρασίας, ὑγρότερα μὲν ἐπὶ τῆς καθ' ὑγρότητα, ξηρότερα δὲ ἐπὶ τῆς κατὰ ξηρότητα τὰ διαχωρήματα γίγνεται. ὁ σκοπὸς οὖν τῆς θεραπείας, ἐν τοῖς τοιούτοις παθήμασι γίγνεται, κοινὸς μὲν κατὰ τὴν ἐναντίωσιν τῆς δυσκρασίας, καθ' ἑκάστην δὲ ἴδιος, ὁ καθ' ἑκάστην ἐναντίος. τὸ μὲν οὖν ἡπατικὸν ἰδίως ὀνομαζόμενον πάθος, ὥσπερ οὖν καὶ τὸ κοιλιακόν τε καὶ στομαχικὸν, ἄνευ τῶν κατὰ τὰ μόρια παρὰ φύσιν ὄγκων γίγνεται. φλεγμαίνειν μὲν ἧπαρ, ἢ ἀφίστασθαι λεγόντων, ἢ σκιρροῦσθαι τῶν ἰατρῶν, ἤ τι τοιοῦτον **D** ἕτερον πάσχειν, οὐ μὴν ἡπατικόν γε καλούντων τὸν ἄνθρωπον αὐτὸν, ᾧ συμβαίνει τι τούτων. ἀλλ' ὅταν, ἄνευ φανεροῦ τινος ἐν τῷ σπλάγχνῳ κακοῦ περὶ τὰς οἰκείας ἐνεργείας ἀτονῇ, τηνικαῦτα τὸν κάμνοντα προσαγορευόντων ἡπατικόν. ἴδωμεν οὖν πρῶτον ἃ γεγράφασιν οἱ πρὸ ἡμῶν, ἄριστα πραγματευόμενοι περὶ φαρμάκων, ἀπὸ τῶν τοῦ Ἀνδρομάχου τὴν ἀρχὴν ποιησάμενοι. ἐστὶ γὰρ ἀνὴρ ἐν τῇ τῶν ἐντὸς παθῶν ἰάσεις ἐχούσῃ βίβλῳ, πολλὰς ἔγραψε δυνάμεις ἡπατικὰς, ὧν ἁπασῶν μνημονεύσω, κἀνταῦθα κατὰ τὴν ἐκείνου λέξιν αὐτοῦ γεγράψεται τὰ φάρμακα, καὶ πρῶτόν γε αἱ ἀντίδοτοι. τὸ **E** πρῶτον γεγραμμένον αὐτοῖς ὀνόμασιν ὧδέ πως.

CAPVT VII.

Medicamenta ab Andromacho conscripta ad hepaticos.

ANdromachi antidotus Cyphoides ad hepaticos, & omnia Thoracis vitia. ℞. vuæ passæ carnis ʒ.xxv. alij ʒ. c. croci ʒ.j. alij obol. iij. calami ʒ.ij.ß. bdellij ʒ.ij.ß. cassiæ sesquidrachmam, cinnamomi obolos tres, spicæ nardi ʒ. tres, floris iunci odorati drach. duas, & dimidiam, myrrhæ drach. quatuor, terebinthinæ drach. iv. alij drach. xvj. ramentorum aspalathi ʒ. ij. mellis drach. xvj. vini quod satis est. Hæc quidem est antidoti descriptio. Appellauit autem ipsam Cyphoide, ob similitudinem; nam & odore & gustu similis est cyphi ab Ægyptiis appellato, qui sanè primi hoc medicamentum cōposuerunt, & vtuntur eo quotidie ad vaporem edendum accenso in deorum honorem.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Τὰ ὑπ' Ἀνδρομάχου γεγραμμένα πρὸς ἡπατικοὺς φάρμακα.

ΑΝδρομάχου πρὸς ἡπατικοὺς κυφοειδὴς, καὶ πρὸς τὰ ἐν θώρακι πάντα. ℞. σταφίδος σαρκὸς < κε΄. οἱ δὲ < ρ΄. κρόκου < α΄. οἱ δὲ τριώβολον· καλάμου < β΄ S. βδελλίου < β΄ S. κασσίας < α΄ S. κινναμώμου τριώβολον, ναρδοστάχυος < γ΄. σχοίνου ἄνθους < β S. σμύρνης **F** < δ΄. τερμινθίνης < δ΄. οἱ δὲ < ις΄. ἀσπαλάθου ῥινήματος < β΄. μέλιτος < ις΄· οἴνου τὸ ἀρκοῦν. αὕτη μὲν ἡ τῆς ἀντιδότου γραφή. κέκληκε δὲ ταύτην κυφοειδῆ, διὰ τὴν ὁμοιότητα. καὶ γὰρ ὀσμῇ, καὶ γεύσει παραπλήσιός ἐστι τῷ κύφει καλουμένῳ πρὸς Αἰγυπτίων. οἵπερ δὴ καὶ πρῶτοι συνέθεσάν τε τὸ φάρμακον τοῦτο, καὶ χρῶνται θυμιῶντες ἑκάστοτε τοῖς θεοῖς.

τὰ πλεῖστα δ' ἐστὶ τῶν ἐν ἐκείνῳ τῷ θυμιάματι γεγραμμένων, τὰ αὐτὰ τοῖς ἐν τῷδε τῷ φαρμάκῳ, καὶ μέντοι καὶ θυμιᾶσθαι τοῦτ' αὐτὸ δύναται, παραπλησίως τῷ κυφεῖ. σύγκειται δὲ ἔκ τε τῶν μετρίως στυφόντων, καὶ ξηραινόντων τε καὶ διαφορούντων ἰχῶρας μοχθηρούς, καὶ ἐπανορθουμένων τὴν κακοχυμίαν, ἔτι τε ἐκ τῶν ἐναντιουμένων ταῖς σηπεδόσιν, ὧν τὰ πλεῖστα τῆς τῶν ἀρωμάτων ἐστὶν ὕλης. ἔχει γοῦν τὸ φάρμακον τοῦτο κιννάμωμον, πάσας ἐπανορθοῦν τὰς σηπεδονώδεις τε, καὶ δηλητηρίους δυνάμεις, οὐ μόνον ἰχώρων τε καὶ χυμῶν, ἀλλὰ καὶ θανασίμων φαρμάκων, ὥσπερ γε καὶ τοῖς ἰοβόλοις ὀνομαζομένοις θηρίοις ὑπαρχόντων ἰῶν. ἐφεξῆς δὲ τοῦ κινναμώμου, καὶ ἡ κασία τὴν αὐτὴν ἔχει δύναμιν, ἡ ἀρίστη τέ καὶ συγγενὴς αὐτῷ, καὶ μετὰ ταύτην τῶν ἀρωμάτων ἅπαν γένος, ὥσπερ ἐνταῦθα νάρδος τε καὶ σχοῖνος, καὶ κάλαμος, καὶ σμύρνα. ταῦτα γὰρ ἐμβέβληται τῷ προκειμένῳ φαρμάκῳ, κατὰ τὸν εἰρημένον ἄρτι λογισμὸν καὶ τρόπον, ὥσπερ γε καὶ τῶν παρ' ἡμῖν γινομένων, ὅ,τε ἀσπάλαθος, καὶ ὁ κρόκος, στυπτικόν τε καὶ πεπτικὸν ὑπάρχον φάρμακον, ἐπανορθούμενόν τε σηπεδόνας. ἡ δὲ σταφὶς, εὐκαταφρόνητος μὲν εἶναι δόξει, διὰ τὸ συνήθης. αὐτὸ δὲ τοῦτο αὐτὴν ἐργάζεται χρησιμωτέραν, ὅτι συνήθης ἡμῖν οὖσα, στυπτικὸν ἐπὶ τοσοῦτον ἐστὶν, ὅσου δεῖται τὸ πεπονθὸς σπλάγχνον. ἔχει δὲ καί τι πεπτικὸν τῶν ἀπέπτων χυμῶν, ἐπικρατητικόν τε τῶν κακοήθων, αὐτή τε δύσσηπτός ἐστι, καὶ προσέτι καθ' ὅλην τὴν οὐσίαν οἰκεία τῷ σπλάγχνῳ· μεμαθήκαμεν γὰρ, ὡς αἱ τροφαὶ τοῖς τρεφομένοις τὴν οἰκειότητα καθ' ὅλην τὴν ἑαυτῶν οὐσίαν κέκτηνται, ὅπερ ἐστὶ μέγιστον ἐν ταῖς τῶν τοιούτων παθῶν θεραπείαις, ὅσα κατὰ δυσκρασίαν γίνονται· κάλλιστα γὰρ ἐπ' αὐτῶν ἐνεργεῖ, τὰ πρὸς τῷ τὴν δυσκρασίαν ἰᾶσθαι τρέφειν δυνάμενα, καὶ διὰ τοῦτο, καὶ ὁ οἶνος ἐπιτηδειότατός ἐστι τοῖς ἄνευ φλεγμονῆς, ἢ ἐρυσιπέλατος, ἢ ἀποστήματος, ἢ θερμῆς δυσκρασίας κάμνουσιν, καὶ γὰρ τρέφει, καὶ πέττει, καὶ τονοῖ, καὶ σηπεδόσιν ἀνθίσταται, κἂν δυσκρασία τύχῃ γεγονυῖα καθ' ὑγρότητα, καὶ ψύξιν, ἀλύπως τε καὶ ἀσφαλῶς αὐτὴν ἰᾶται. τὰ δ' αὐτὰ, καὶ τῷ μέλιτι πρόσεστιν, πλὴν τοῦ μὴ συνάγειν τὴν οὐσίαν τῶν σωμάτων, οἷς ἂν ὁμιλῇ, ἀλλ' ἀντὶ τούτου διαρρύπτειν τε, καὶ ἀναστομοῦν, καὶ καθαρὰς ἐργάζεσθαι τὰς διεξόδους, ἔτι οὖρά τε προτρέπειν, οὐ μικρὰ βοηθήματα κέκτηται. μέμικται δὲ ὑπὸ τοῦ συνθέντος τὸ φάρμακον, καὶ βδέλλιον, ἱκανῶς μαλακτικόν τε καὶ πεπτικόν, ὡς ἐμάθομεν, ἔτι τε μετρίως διαφορητικόν. ὁμοίως δέ πως αὐτῷ καὶ ἡ τερμινθίνη ῥητίνη δύναμιν ἔχει, πρὸς τὸ διαρρύπτειν τε καὶ διακαθαίρειν τὰς στενὰς διεξόδους, ὧν καὶ αὐτῶν δεῖται τὸ θεραπευόμενον σπλάγχνον, ὅπως αἱ συναναστομώσεις τῶν κατὰ αὐτὸ φλεβῶν, ἀναπεπταμέναι τε καὶ ἔκφρακτοι διαμένωσιν. μεμαθήκαμεν γὰρ, ὅπως ἡ ἔμφραξις ἐργάζεται τὰς σηπεδόνας. ἔνιοι μέντοι τῶν συνθέντων τὰς τοιαύτας δυνάμεις, καθάπερ καὶ πρόσθεν ἐπὶ τῶν στομαχικῶν ἐδείκνυτο, μίξαντες ὄπιον, ἢ ὑοσκύαμον, ἤ τι τῶν ἄλλων ὅσα ψύχει, πρὸς τὰς θερμὰς δυσκρασίας χρήσιμον εἰργάσαντο φάρμακον, καὶ διὰ τοῦτο, καὶ ἡ Φίλωνος, ἐνίοτε θαυμαστῶς ὅπως ἅπαξ δοθεῖσα, δυσκρασίαν ἡπατικὴν ἰάσατο, καὶ τοῦτο αὐτῇ, καὶ ὁ συνθεὶς αὐτὴν ἐμαρτύρησεν. ἀλλὰ τῶν γε ὑπὸ Ἀνδρομάχου γεγραμμένων φαρμάκων ἡπατικῶν, οὐδέν ἐστι τοιοῦτον, καὶ μέντοι καὶ σφοδρῶς ψυκτικὸν οὐδὲν εἶναι προσήκει, ἀλλ' ὁποῖα γέγραπται τισὶν ἄλλοις τε, καὶ τῷ Ἀσκληπιάδῃ.

A Plurima autem eorum, quæ in illo thymiamate & suffumigio scripta sunt, eadem sunt cum iis, quę in hoc medicamento habentur: quin & suffumigari hoc ipsum similiter vt cyphi potest. Compositum est autem ex moderate astringentibus, & resiccantibus, ac discutientibus vitiosos serosos humores, & corrigentibus humorū malitiam, & contrariam vim habentibus aduersum putrefactiones, quorū plurima ex aromatum sylua existunt. Habet itaq; medicamentum hoc cinnamomum, omnes putredinosas, & venenosas facultates corrigens, non solum serosorum & aliorum humorum, sed etiam lethalium medicamentorum quemadmodū & feris B virus eiaculantibus cōtrarium existit. Consequenter autem post cinnamomum cassia candem vim habet, optima videlicet, & cognata ipsi cinnamomo. Et post hanc omne aromatum genus velut hic est nardus, & iūcus odoratus, calamusque, & myrrha: hæc enim ad propositū medicamentū iniecta sunt iuxta iam dictam ratiocinationem & modū: quemadmodū etiam ex iis, quæ apud nos gignuntur, aspalathus, & crocus, astringens & concoctorium medicamentum, & quod corrigit putrefactiones. Cæterùm vua passa contemptibilis videri possit ob familiarem eius vsum: at verò hoc ipsum C eam facit vtiliorē, nam quum familiaris nobis sit, in tantū astringens est, quantum opus habet viscus affectū. Habet autem & vim concoctoriam crudorum humorum, & vim coercendi maligna: fitque ipsa haud facilè putredini obnoxia, & vltra hęc secundum totam substantiam visceri ipsi familiaris est & propria. Didicimus enim, quòd alimenta secundum totam suam substātiam, proprietatem, ac familiaritatē habent ad ea, quæ aluntur, quod maximum est in huiusmodi affectionibus curandis, quæ iuxta intemperiem fiunt: optimè enim in ipsis faciunt, quæ vnà cum hoc, quòd intemperiem D curant, etiam alere possunt. Et ob id etiam vinum conuenientissimum est citra inflammationem, aut erysipelas, aut abscessum, aut calidā intemperiem, ægrotantibus: nam & nutrit, & concoquit, & roborat, & putrefactioni resistit: & si intemperies ex humiditate facta sit, & frigiditate, eam citra omnē molestiam, ac securè persanat. Eadē est, & mellis facultas, præterquam, quòd non condensat substantiam corporū, quæ contingit, sed pro hoc vim extergendi, & aperiendi, ac puros reddendi meatus, & vrinam ciendi, non parua sanè auxilia, possidet. Porrò admixtum est à compositore medica-E menti bdellium, sufficienter emolliens, & concoquēs, velut didicimus, ampliusq; moderatè discutiens. Consimilem fermè vim terebinthina resina habet, supra hoc, quòd angustos meatus extergit, & expurgat: quibus auxiliis viscus curandum opus habet, quo osculorum venarum in ipso commissuræ laxæ, & ab obturatione liberæ permaneant: didicimus namq; quomodo obturatio efficiat putrefactiones. Aliqui tamen huiusmodi confectionum compositores, quemadmodum etiam prius in stomachicis dictum est, opium, aut hyoscyamum, aut quippiam aliud ex refrigerantibus miscendo, ad calidas intemperies vtile medicamentum effece-F runt. Et ob id etiam Philonis antidotus mirificè semel tantum exhibita hepaticam intemperiem sanauit, id quod & cōpositor eius testatum reliquit. Verùm ex medicamentis hepaticis ab Andromacho conscriptis nullum est huiusmodi. Et sanè vehementer refrigerans nullum esse debet, sed qualia, tum ab aliis, tū ab Asclepiade, sunt scripta.

Nunc

Nunc igitur hepaticas antidotos consequenter ab Andromacho proditas subscribam, modò memoria nos teneamus, nullam ipsarum calidis intemperiebus conuenire, sed aut humidis, aut frigidis, aut ex vtrisque compositis, aut certè humidis quidem fortiter, calidis verò moderatè. Conscribentur autem omnes iuxta ipsius Andromachi dictionem.

Alia Cyphoides ad hepaticos, ex libris Galli, ad tusses item, & reiectiones.

℞. Croci ʒ. i. cinnamomi drach. i. myrrhæ drach. i. bdellii ʒ. iv. aspalathi obol. iv. iunci odorati drach. iii. calami ʒ. ii. cassiæ ʒ. i. nardi Indicæ ʒ. i. terebinthinæ ʒ. vi. carnis passarum vuarum ʒ. clx. mellis heminam dimidiam, vini Chii quod satis est ad macerandam vuam passam, bellíumque, ac myrrhã, resinã verò melle liquefacito & deinde omnia mixta, ac trita reponito. *Alia ad hepaticos & ictericos.* ℞. Amygdalarum amararum ʒ. ii. anisi ʒ. i. absinthii, cumini, seminis apii, singulorum ʒ. i. cornu cerui obol. iii. trita cum aqua in pastillos triobolares redigito, ex eisque vnum mane, ac vesperi cum vino mulso dato. *Nectarea antidotus ad hepaticos, & ictericos.* ℞. helenii sesquilibram, crocomagmatis lib. ii. aristolochiæ ℥. i. petroselini ℥. i. piperis nigri ℥. ß. myrrhæ ℥. i. mel quod satis est.

Antidotus hepatica, Athanasia appellata. Facit & ad nephriticos & ictericos, multum mouet sudorem.

℞. Croci ʒ. ii. cinnamomi drachmam vnam, nardi drachmas duas, cassiæ, myrrhæ, iunci odorati, singulorum ʒ. i. melle Attico excipe. Datur fabæ græcæ magnitudine, febricitantibus ex aqua mulsa.

Hepatica admiranda, qua Pharnaces herbarius ægrotus vsus est.

℞. Croci ʒ. ii. mei, asari, phu Pontici, dauci, petroselini, myrrhæ, singulorum ʒ. iv. nardi Indicæ, & Celticæ, vtriusque drach. vi. costi, cassiæ, iunci odorati, singulorum obol. iii. carpobalsami ʒ. iii. ß. rubiæ drachmas octo, succi radicis dulcis drah. iii. hemionitidis herbæ ʒ. iii. polii drach. iii. succi balsami ʒ. vi. confectionis hedychroi ʒ. v. mellis, quod satis est: vtere. Ad omnia vitia efficax est, nucis Ponticæ magnitudine, cum vino mulso.

Antidotus hepatica à Nearcho laudata.

℞. Radicis panacis, rubiæ, radicis eryngii, eupatorii, helenii radicis, polii, costi, aristolochiæ, piperis, scolopendrii herbæ, seminis cucumeris, chamæpityos, radicis gentianæ, rubricæ sinopidis, fellis vrsini, spicæ nardi, baccarum iuniperi, seminis brassicæ, seminis erucæ, singulorum par pondus: melle Attico cocto excipe, ac vtere. *Antidotus hepatica Dioscori.* ℞. Cinnamomi, cassiæ, vtriusque ʒ. iv. croci, nardi, costi, seminis balsami, hyperici, glycyrrhizæ, singulorum ʒ. viii. excipe melle Attico, ac exhibe nucis Ponticæ magnitudine. *Alia ad hepaticos, & reliquos internos affectus, vt Aristocles.* ℞. Piperis grana xl. myrrhæ ʒ. viii. croci, costi, mei, acori, nardi, dauci seminis, petroselini, scordii, singulorum ʒ. iv. cinnamomi ʒ. xii. cassiæ ʒ. xii. mellis, quod sufficit. Datur nucis Ponticæ magnitudine.

A νῦν οὖν ὅσας ἐφεξῆς ἔγραψεν ὁ Ἀνδρόμαχος ἡπατικὰς ἀντιδότους ὑπογράψω, μεμνημένων ἡμῶν, οὐδεμίαν αὐτῶν ἁρμόττειν θερμαῖς δυσκρασίαις, ἀλλ᾽ ἢ ταῖς ὑγραῖς, ἢ ταῖς ψυχραῖς, ἢ ταῖς ἐξ ἀμφοτέρων συνθέτοις, ἢ εἴπερ ἄρα ταῖς μὲν ὑγραῖς ἰσχυρῶς, μετρίως δὲ θερμαῖς. γεγράψονται δὲ πᾶσαι κατὰ τὴν αὐτοῦ Ἀνδρομάχου λέξιν.

Ἄλλη κυφοειδὴς, πρὸς ἡπατικοὺς ἐκ τῶν Γάλλου, πρὸς βῆχας, καὶ ἀναγωγάς.

℞. Κρόκου, κινναμώμου, ἀνὰ < α'. σμύρνης < α'. βδελλίου < δ'. B ἀσπαλάθου τετρώβολον, σχοίνου < γ'. καλάμου < β'. κασσίας < α'. νάρδου Ἰνδικῆς < α'. τερμινθίνης < ϛ'. σαφίδος σαρκὸς < ρξ'. μέλιτος κοτύλης S''. οἴνου Χίου εἰς τὸ βρέξαι τὴν σαφίδα, καὶ τὸ βδέλλιον, καὶ τὴν σμύρναν, τὴν δὲ ῥητίνην τήξας τῷ μέλιτι, εἶτα πάντα συμμίξας, καὶ λεάνας ἀπόθου. πρὸς ἡπατικοὺς, καὶ ἰκτερικούς. ℞. καρύων πικρῶν < β'. ἀνίσου < α'. ἀψινθίου, κυμίνου, σελίνου σπέρματος, ἀνὰ < α'. κέρατος ἐλαφείου τριώβολον, λεάνας σὺν ὕδατι τροχίσκους ποίει τριωβολιαίους, δίδου ἕνα πρωῒ, καὶ δείλης σὺν οἰνομέλιτι. πρὸς ἡπατικοὺς, καὶ ἰκτερικοὺς ἡ Νεκτάρεος. ℞. ἑλενίου λίτρας α' S''. κροκομάγματος λίτρας β'. ἀριστολοχίας C ℥ α'. πετροσελίνου ℥ α'. πεπέρεως μέλανος ℥ S''. σμύρνης ℥ α'. μέλι τὸ ἱκανόν.

Ἡπατικὴ ἀθανασία καλουμένη. ποιεῖ καὶ πρὸς νεφριτικοὺς, καὶ ἰκτερικοὺς, κινεῖ δὲ ἱδρῶτα πολύν.

℞. Κρόκου < β'. κινναμώμου < α'. νάρδου < β'. κασσίας, σμύρνης, σχοίνου, ἀνὰ < α'. μέλιτι Ἀττικῷ ἀναλάμβανε. ἡ δόσις κυάμου Ἑλληνικοῦ τὸ μέγεθος, πυρέσσουσι μεθ᾽ ὑδρομέλιτος.

D Ἡπατικὴ θαυμαστὴ, ᾗ Φαρνάκης ὁ ῥιζοτόμος παθὼν ἐχρήσατο.

℞. Κρόκου < β'. μήου, ἀσάρου, φοῦ Ποντικοῦ, δαύκου, πετροσελίνου, σμύρνης, ἀνὰ < δ'. νάρδου Ἰνδικῆς καὶ Κελτικῆς ἀνὰ < ϛ'. κόστου, κασσίας, σχοίνου, ἀνὰ τριώβολον, βαλσάμου καρποῦ < γ' S''. ἐρυθροδάνου < η'. γλυκείας χυλοῦ < γ'. ἡμιονίτιδος βοτάνης < γ'. πολίου < γ'. ὀποῦ βαλσάμου < ϛ'. μάγματος ἡδυχρόου < ε'. μέλιτος τὸ ἱκανόν, χρῶ. πρὸς πάντα τὰ πάθη ἐνεργεῖ, καρύου Ποντικοῦ τὸ μέγεθος μετ᾽ οἰνομέλιτος.

E Ἡπατικὴ παρὰ Νεάρχου ἐπαινουμένη.

℞. Πάνακος ῥίζης, ἐρυθροδάνου, ἠρυγγίου ῥίζης, εὐπατορίου, ἑλενίου ῥίζης, πολίου, κόστου, ἀριστολοχίας, πεπέρεως, σκολοπένδρου βοτάνης, σικύου σπέρματος, χαμαιπίτυος, γεντιανῆς ῥίζης, Σινωπίδος μίλτου, χολῆς ἀρκείου, ναρδοστάχυος, ἀρκευθίδων, κράμβης σπέρματος, εὐζώμου σπέρματος, ἑκάστου ἴσον μέλιτι Ἀττικῷ ἑφθῷ ἀναλαβὼν χρῶ. ἡπατικὴ ἡ τοῦ Διοσκόρου. ℞. κινναμώμου, κασσίας, ἀνὰ < δ'. κρόκου, νάρδου, κόστου, βαλσάμου καρποῦ, ὑπερικοῦ, γλυκυρρίζης, ἀνὰ < η'. F μέλιτι Ἀττικῷ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος. Ἄλλη πρὸς ἡπατικοὺς, καὶ τὰ λοιπὰ τὰ ἐντὸς, ὡς Ἀριστοκλῆς. ℞. πεπέρεως κόκκους μ'. σμύρνης < η'. κρόκου, κόστου, μήου, ἀκόρου, νάρδου, δαύκου σπέρματος, πετροσελίνου, σκορδίου, ἀνὰ < δ'. κινναμώμου < ιβ'. κασσίας < ιβ'. μέλιτος τὸ ἀρκοῦν, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος.

πότιμα πρὸς ἡπατικοὺς, σπληνιτικοὺς, νεφριτικοὺς, ὑδρωπικοὺς, A ὠφελεῖ καὶ στομαχικοὺς, καὶ τὰς ἐκ τόκων ἐνοχλουμένας, καὶ πρὸς σπασμοὺς, καὶ πρὸς τοὺς ἀπ' ἀῤῥωστίας ἀναλαμβάνοντας, καὶ κακοχύμους, καὶ ἰκτερικοὺς, καὶ βῆχας, καὶ πλευριτικούς. ἀντίδοτος καὶ πρὸς τὰ θανάσιμα φάρμακα, καὶ τὰς τῶν θηρίων πληγάς. ℞. νάρδου Ἰνδικῆς < β'. κόστου < β'. κασσίας < α'. κρόκου < α'. πεπέρεως λευκοῦ ὀβολοὺς ε'. ἐν ἄλλῳ < β'. σελίνου σπέρματος < α'. πεντώβολον, ἴρεως Ἰλλυρικῆς ἴσον, ἀκόρου < α'. ὀβολὸν α'. ὀποβαλσάμου < α'. ἄρου ἀρσενικοῦ ὀποῦ < γ'. σταφίδος ἀγιγάρτου < ς'. λεάνας σὺν τῷ γλυκεῖ, ἢ μέλιτι ἀναλάμβανε, καὶ δίδου < α'. μετ' οἴνου γλυκέος κε- B κραμένου, ἢ ὑδρομέλιτος κυάθων τεττάρων, ἢ ὡς ἂν ἁρμόττῃ. αὗται μὲν εἰσιν αἱ ὑπὸ Ἀνδρομάχου γραφεῖσαι δυνάμεις ἡπατικαὶ, μεταβήσομαι δ' ἤδη πρὸς τὰς ὑπ' Ἀσκληπιάδου γεγραμμένας ἐν τῷ τρίτῳ τῶν ἐντὸς, ἃς Μνάσωνος ἐπιγράφει.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Αἱ ὑπ' Ἀσκληπιάδου γραφεῖσαι δυνάμεις ἡπατικαί.

Πρώτην μὲν ἔγραψεν, ἣν Ἀντωνίου Μούσα φησὶν εἶναι, συγκειμένην οὕτω. κιχωρείου χυλίσματος κύαθον α'. C δίδου μεθ' ὕδατος θερμοῦ κυάθων γ'. ἐπιβαλὼν μέλιτος Ἀττικοῦ κοχλιάριον· ἢ πτέρεως, καὶ ἀνήθου χυλοῦ κύαθον α'. μετὰ μελικράτου κυ. γ'. ἢ ἴρεως ἁπαλῆς, ἢ σέρεως ἁπαλῆς τοῦ χυλοῦ κύαθον α'. μετὰ μελικράτου θερμοῦ κυάθων τριῶν. αὕτη ἡ πρώτη γραφὴ, κατὰ τὸ τοῦ Ἀσκληπιάδου βιβλίον ἐστὶ φαρμάκων τριῶν. τὰ μὲν οὖν κιχώρεια, καὶ ἡ σέρις ἐκ τῶν ἐδωδίμων εἰσὶν, παρ' ἡμῖν γοῦν οἱ κατὰ τοὺς ἀγροὺς ἐσθίουσιν ἄμφω ταῦτα, καὶ ὠμὰ καὶ ἑφθά. χρῆται δὲ αὐτοῖς, καὶ ὁ Ἐρασίστρατος ἱκανῶς, ἐν οἷς θεραπεύει τὰ κατὰ τὴν κοιλίαν πάθη, δύναμις δὲ τῶν λαχάνων τούτων ἐστὶν ὑπόψυχρός τε D καὶ ὑπόπικρος, καὶ μετρίως στύφουσα, καὶ διὰ ταύτας γε τὰς ποιότητας, ἄριστα φάρμακα ταῖς θερμαῖς δυσκρασίαις ἐστὶ τοῦ ἥπατος. πρὸς γὰρ τῷ ψύχειν μετρίως, ἔτι καὶ τόνον ἐντίθησι τῷ σπλάγχνῳ διὰ τῆς στύψεως, ἔτι τε ἀναῤῥύπτει τὰς συναναστομώσεις τῶν ἐν τοῖς σιμοῖς τοῦ σπλάγχνου φλεβῶν, πρὸς τὰς ἐν τοῖς κυρτοῖς, οὐ μὴν οὐδὲ τὰς ψυχρὰς δυσκρασίας βλάπτει μεγάλως, ὥσπερ ὅσα ψυχρὰν ὑγρότητα κέκτηται χωρὶς στύψεως, ἢ πικρότητος. ὠφελεῖν δὲ δύναται τὸ σπλάγχνον, ἡ τῶν τοιούτων λαχάνων οὐσία, κἂν ἄνευ χυμῶν, ἢ ἰχώρων μοχθηρῶν γίνηται ἡ δυσκρασία, καθ' αὑτὸ καὶ μεθ' ὑγρότητος ἡστινοσοῦν. ἐν γὰρ τῇ μίξει τοῦ μέλιτος, ἐπ' οὖρα προάγει τὴν ὑγρότητα, διὸ κἂν ξηρανθέντα κόψας ἐπιπάσσῃ τις τῷ ποτῷ, καὶ E οὕτως ὀνίνησιν, καὶ μέντοι καὶ ἀφεψημένων τὸ ἀφέψημα πινόμενον, ὠφέλιμον ἱκανῶς ἐστιν. εἰ δὲ μὴ θερμή τις ἐνοχλοίη δυσκρασία, ἢ κἂν μόνον ἔμφραξίς τις εἴη κατὰ τὸ σπλάγχνον, ὠφελεῖ μεγάλως δι' οἴνου λευκοῦ λεπτοῦ πινόμενα, μετὰ τῶν οὖρα κινούντων. χρήσιμος δὲ οὐ μόνον ὁ χυλὸς αὐτῶν ἐστι πρόσφατός τε καὶ ἐξηραμμένος, ἀλλὰ κἂν ξηραινόμενα κόψας, καὶ λειώσας ἐπιμελῶς ἐπιπάττοι τις τῷ ποτῷ, κἂν ἀφεψήσας πίνοι. πρὸς δὲ τὸ διακαθαίρειν τὸ σπλάγχνον, F ἀναστομῶσαί τε τὰς διεξόδους αὐτοῦ χωρὶς τοῦ θερμῆναι σαφῶς, ἢ ψύξαι, κάλλιστον φάρμακον ἡ πτέρις ἐστὶν, ἐπικρατοῦσαν ἔχουσα τὴν πικρὰν ποιότητα. τὸ δ' ἄνηθον, οὐδὲν ἰσχυρὸν ἔχει πρὸς τὰς τοιαύτας διαθέσεις, ἀλλ' ἔστιν ἐψυγμένου μετρίως, καὶ πεπυκνωμένου τοῦ σπλάγχνου θεραπευτικόν.

Potio ad hepaticos, spleniticos, nephriticos, hydropicos. Auxiliatur & stomachicis, & molestiis ex partu, & conuulsis. Prodest conualescentibus, & se reficientibus ex infirmitate. Facit ad vitiosos humores, ictericos, & tusses, ac pleuriticos. Est etiam antidotus ad lethalia medicamenta, & ad ferarum plagas. ℞. nardi Indicæ drach. duas, costi drach. duas, cassiæ drach. vnam, croci drach. vnam, piperis albi obolos v. alij drach. duas, seminis apij drach. j. obol. iv. iridis Illyricæ tantundem, acori drachmam vnam, obol. j. opobalsami drachmam vnam, succi ari masculi drachmas tres, vuæ passæ exacinatæ drach. vj. terito cum passo, aut melle excipito: & drach. j. cum vino diluto dato, aut cum aquæ mulsæ cyathis quatuor, aut vt conueniens fuerit. Hæ quidem sunt hepaticæ confectiones ab Andromacho proditæ. Transibo autem iam inde ad eas, quas Asclepiades tradidit in tertio internorum, quæ Mnasoni inscribit.

CAPVT VIII.

Confectiones hepaticæ ab Asclepiade conscriptæ.

PRimam equidem confectionem Asclepiades Antonij Musæ esse dicit, hoc modo compositam. Succi cichorij cyathum vnum cum aquæ calidæ cyathis tribus dato, mellis Attici cochleari addito; aut filicis, vel anethi succi cyathum vnum, cum aquę mulsæ cyathis iij. dato. Aut iridis recentis, aut seridis recentis succi cyathum vnum, cum aquæ mulsæ calidæ cyathis iij. Hæc prima est descriptio triũ medicamentorũ in Asclepiadis libro. Cichoria itaque & seris cibarij generis existunt: apud nos namque & rurales ambo hæc edunt, & cruda, & cocta: vtitur eis etiam Erasistratus abunde in affectionum circa aluum cura. Facultas horum olerum subfrigida est, & subamara, ac moderatè astringens, & propter has qualitates, optima medicamenta calidis intemperaturis ipsius hepatis existunt: vltra hoc enim quòd moderatè refrigerant, amplius & robur visceri addunt per astrictoriam facultatem. Insuperq; commissuras osculorũ venarũ in sima visceris parte ad eas, quæ in gibba sunt, extergent. Neque verò frigidas intemperies magnopere lædunt, quemadmodũ, quæ frigidam humiditatem absq; astrictione, aut amarore possident, facere solent. Iuuare etiam viscus talium olerum substantia potest, etiam si citra serosorum, aut aliorum humorum vitiationem intemperies fiat per se, & cum humiditatis cuiuscunque complexu: ex mixtura enim mellis, humiditatem per vrinam educunt: quapropter etiam si siccata tusa quis potioni inspergat, itidem iuuant: quin & decoctorum decoctum potatum multum commodi affert. Si verò non calida aliqua intemperies infestet, aut si obturatio quædam sit circa viscus, magnopere auxiliantur ex vino albo tenui potata cum iis, quæ vrinam cient. Vtilis autem non solum succus ipsorum est, tum recens, tum exiccatus: sed & ipsa olera exiccata tusaque, ac trita potui inspersa, & eorum decoctum in potu acceptum, auxiliantur. Cæterùm ad visceris expurgationem, & meatuum apertionem, citra manifestam calefactionem, aut refrigerationem, optimum medicamentum filix est, prædominantem habens amaram qualitatem. Anethum verò nihil forte habet ad huiusmodi affectiones, sed modicè refrigerati, ac condensati visceris curatiuum existit.

A At verò catapotium ex chamæpity, cuius itidem meminit, eiusdem cum prædictis facultatis est, amarum enim & hoc medicamentum est: nihil igitur mirum est, ipsam chamæpityn, tum per se, tum cum cichorio potatam, hepaticas intemperies iuuare: quemadmodum Asclepiades scripsit in hæc verba.

Catapotium hepaticis.

℞. Radicis chamæpityos drachmas octo, radicis cichorij drachmas quatuor: contunde, & excipe melle cocto ac præbe nucis Ponticæ magnitudinem, & aquæ calidæ cyathos tres insuper bibendos. Hæc Asclepiades scripsit. Iuuant autem prædictæ herbæ hepaticos, non solùm radicibus ipsarum acceptis, & præparatis, velut Asclepiades prodidit, sed & succo, & decocto, & arida coma vnà cum semine tusa, ac trita, assumptis. Quin & aceris radix tusa & trita, nam & huius meminit, eiusdem est cum prædictis facultatis. Exhibet autem ex ea drachmam vnam, cum vini mulsi diluti cyathis tribus. Insuper & ex nardo celtica medicamentum, cuius item meminit, his consimile est: scripsit autem ipsum sic: ℞. Nardi Celticæ partes tres, absinthij partem vnam, tusa & cribrata melle cocto excipito, & mystrum delingendum dato. Et quod post hoc scriptum est, consimile ipsi existens in reliquis, plus habet de vi expurgandi ipsum viscus per vrinas. Scripsit autem sic Asclepiades de ipso: *Pastillus hepaticus amarus.* ℞. Anisi, seminis apij, asari, amygdalarum amararum mundatarum, absinthij, singulorum drachmas quatuor, præpara cum aqua & reduc in pastillos: ac febre carentibus exhibe drachmam vnam, cum vini diluti cyathis tribus, febrientibus cum aqua mulsa. Hoc medicamentum leniter quodammodo est calidum propter vrinam cientium mixturam: reliqua verò omnia superiora, aut prædominantem habent frigiditatem, aut omninò neque hanc, neque caliditatem: verùm vim extergendi, & vias digestionis ab obstructione vindicandi omnia habent. Alia insuper medicamenta ab Asclepiade scripta sunt, partim extergendi, ac aperiendi, & secandi vim habentia, partim verò calidiora paululum quàm sunt media: media autem dico, quæ neque calefaciunt, neque refrigerant manifestè. Vnum verò inter ipsa calefactorium est, vbi ait. Costi triti cochleare præbe cum aquæ mulsæ calidæ cyathis iij. Reliqua verò, quæ propè ad medium temperamentum accedentia, ad caliditatem vergunt, hæc sunt. ℞. Helenij drach. xij. crocomagmatis drach. viij. excipe cichorij succo, & fac catapotia, eaque pro viribus exhibe: datur ad summum drachma ex vini mulsi diluti calidi cyathis tribus: Hoc medicamentum poterat & absque helenio calidis intemperiebus conuenire. Quoniam autem helenium extergentibus admixtum est, ad caliditatem vergit, nisi quis omnino modicum de eo cum multa frigida permisceat. Quod & id, quod ex fœniculo constat, calefactorium est, sic habens: ℞. fœniculi drach. j. petroselini ʒ. ij. anisi, amygdalarum amararum, absinthij, singulorum drach. j. croci, myrrhæ, vtriusque obol. iij. excipe aqua, ac redige in pastillos: & dato drach. vnam, vt supra dictum est. Etenim hoc loco fœniculum quidem, & petroselinum multũ calefaciunt, reliqua verò moderatè.

A καὶ τὸ διὰ τῆς χαμαιπίτυος δὲ καταπότιον, οὗ καὶ αὐτοῦ μέμνηται, τῆς αὐτῆς ἐστι δυνάμεως τοῖς εἰρημένοις. πικρὸν γὰρ καὶ τοῦτό ἐστι τὸ φάρμακον, οὐδὲν οὖν θαυμαστόν ἐστιν, αὐτήν τε καθ᾽ ἑαυτὴν πινομένην τὴν χαμαίπιτυν ὠφελεῖν τὰς ἡπατικὰς δυσκρασίας, καὶ μετὰ κιχωρείου, καθάπερ ὁ Ἀσκληπιάδης ἔγραψεν ὡδί πως αὐτοῖς ὀνόμασιν.

Καταπότιον ἡπατικοῖς.

℞. Χαμαιπίτυος ῥίζης < η'. κιχωρείου ῥίζης < δ'. κόπτε, καὶ ἀναλάμβανε μέλιτι ἑφθῷ, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος, καὶ ὕδατος θερμοῦ ἐπιπίνειν κυάθους γ'. ταῦτα μὲν ὁ Ἀσκληπιάδης ἔγραψεν, ὠφελοῦσι δὲ αἱ εἰρημέναι βοτάναι τοὺς ἡπατικούς, οὐ μόνον ἐὰν τὴν ῥιζῶν τις αὐτῶν προσφέρηται, σκευάσας ὡς ὁ Ἀσκληπιάδης ἔγραψεν, ἀλλὰ κἂν τὸν χυλόν, ἢ τὸ ἀφέψημα, ἢ ξηρὰν τὴν κόμην μετὰ τοῦ καρποῦ κόψας, καὶ λειώσας προσφέρῃ. καὶ ἡ τῆς σφενδάμνου δὲ ῥίζα, κοπεῖσα, καὶ λειωθεῖσα, καὶ γὰρ καὶ ταύτης μέμνηται, τῆς αὐτῆς ἐστι τοῖς εἰρημένοις δυνάμεως. δίδωσι δὲ ταύτης < α'. μεθ᾽ ὕδατος κεκραμένου κυάθων γ'. καὶ τὸ διὰ τῆς νάρδου δὲ τῆς Κελτικῆς φάρμακον, οὗ καὶ αὐτοῦ μέμνηται, τούτοις ἐστὶ παραπλήσιον. ἔγραψε δ᾽ οὕτως αὐτό. ℞. νάρδου Κελτικῆς μέρη γ'. ἀψινθίου μέρος ἕν, κόψας καὶ σήσας, ἀναλάμβανε μέλιτι ἑφθῷ, καὶ δίδου ἐκλείχειν μύστρον. καὶ τὸ τούτῳ γεγραμμένον ἐφεξῆς παραπλήσιον ὑπάρχον αὐτῷ κατὰ τὰ ἄλλα, πλέον ἔχει τὸ δι᾽ οὔρων μᾶλλον ἐκκαθαίρειν τὸ σπλάγχνον. ἔγραψε δ᾽ οὕτως ὁ Ἀσκληπιάδης περὶ αὐτοῦ. Τροχίσκος ἡπατικὸς ὁ πικρός. ℞. ἀνίσου, σπέρματος σελίνου, ἀσάρου, ἀμυγδάλων πικρῶν κεκαθαρμένων, ἀψινθίου, ἑκάστου ἀνὰ < δ'. σκεύαζε δι᾽ ὕδατος, καὶ ἀνάπλαττε τροχίσκους, καὶ δίδου < α'. ἀπυρέτοις μετ᾽ οἴνου κεκραμένου κυάθων γ'. πυρέττουσι, μεθ᾽ ὑδρομέλιτος. τοῦτο τὸ φάρμακον ἠρέμα πώς ἐστι θερμόν, διὰ τὴν τῶν οὐρητικῶν μίξιν. τὰ δ᾽ ἄλλα πάντα τὰ πρόσθεν, ἢ ἐπικρατοῦσαν ἔχει τὴν ψῦξιν, ἢ πάντως οὔτε ταύτην, οὔτε τὴν θερμότητα. τὸ μέντοι διαρρύπτειν τε, καὶ τὰς ὁδοὺς τῆς ἀναδόσεως ἐκφράττειν ἔχει πάντα. καὶ ἄλλα δέ τινα φάρμακα γέγραπται τῷ Ἀσκληπιάδῃ, τὰ μὲν διαρρύπτειν, καὶ ἐκφράττειν, καὶ τέμνειν ἔχοντα. βραχεῖ δέ τινι τῶν μέσων ἕτερα θερμότερα. μέσα δὲ λέγω, τὰ μήτε θερμαίνοντα, μήτε ψύχοντα σαφῶς. ἓν δὲ ἐν αὐτοῖς τι τῶν θερμαινόντων ἐστίν, ἔνθα φησί, κόστου λείου κοχλιάριον δίδου, μετὰ μελικράτου θερμοῦ κυάθων γ'. τὰ δ᾽ ἄλλα ὅσα πλησίον τῆς μέσης κράσεως ὄντα, πρὸς τὸ θερμότερον ῥέπει, ταῦτά ἐστιν. ℞. ἑλενίου < ιβ'. κροκομάγματος < η'. ἀναλάμβανε κιχωρείου χυλῷ, καὶ ποίει καταπότια, καὶ δίδου πρὸς δύναμιν. ἡ τελεία δόσις ὁλκή, καὶ οἰνομέλιτος κεκραμένου θερμοῦ κύαθοι γ'. τοῦτο τὸ φάρμακον, ἠδύνατο καὶ χωρὶς ἑλενίου ταῖς θερμαῖς δυσκρασίαις ἁρμόττειν. ἐπεὶ δὲ τὸ ἑλένιον ἐμίχθη τοῖς ῥυπτικοῖς, ἐπὶ τὸ θερμότερον ἔρρεψε, πλὴν εἰ μὴ παντελῶς ὀλίγον ἐπιμίσγοιτο πλείονι τῷ ψυχρῷ. καὶ μέντοι καὶ τὸ διὰ τοῦ μαράθρου τῶν θερμαινόντων ἐστίν, ἔχον οὕτω. ℞. μαράθρου < α'. πετροσελίνου < β'. ἀνίσου, ἀμυγδάλων πικρῶν, ἀψινθίου ἀνὰ < α'. κρόκου, σμύρνης ἀνὰ τριώβολον, ὕδατι ἀναλάμβανε, καὶ ἀνάπλαττε τροχίσκους, καὶ δίδου < α'. καθὼς ἀνώτερον προείρηται. καὶ γὰρ ἐνταῦθα, τὸ μὲν μάραθρον, καὶ τὸ πετροσέλινον ἱκανῶς θερμαίνει, τὰ ἄλλα μετρίως.

τὰ δ᾽ ἀμύγδαλα τῆς λεπτυντικῆς ἐστι δυνάμεως, καὶ μᾶλλον ὅταν ᾖ πικρά. μέσον δέ πως τῶν θερμαινόντων τε καὶ ψυχόντων, καὶ τοῦτό ἐστι τὸ φάρμακον, ὅπερ ὁ Ἀσκληπιάδης ἔγραψεν ὧδέ πως. ἐκλεικτὸν ἡπατικὸν Παυλίνου, ὠφελεῖ παραχρῆμα. ℞. χαμαιπίτυος ξηρᾶς λίτραν α΄. σμύρνης ℥ α΄. γλυκέος προτρόπου ξε γ΄. ἕψε χαμαίπιτυν, καὶ γλυκύ, καὶ ὅταν τὸ γ΄. ἀπολειφθῇ, ἔκθλιβε τὸ ὑγρόν, καὶ τούτῳ ἐπιβαλὼν μέλιτος Ἀττικοῦ λίτρας S. πάλιν ἕψε. μετὰ δὲ ταῦτα, ἐπίβαλλε τὸ σμύρνιον κινῶν συνεχῶς, καὶ ὅταν διαλυθῇ, ἄρας ἀπὸ τοῦ πυρός, ἀπόθου, καὶ δίδου πρὸ τροφῆς μύστρον. ἔγραψε δὲ καὶ διὰ κοχλιῶν ὁ Ἀσκληπιάδης, φάρμακον ἡπατικὸν τοιοῦτον. κοχλιῶν χερσαίων εὖ μάλα τὴν σάρκα λεάνας, καὶ οἴνου μέλανος ἐπιβαλὼν κυάθους τρεῖς, καὶ θερμήνας, δίδου πίνειν. ἔοικε δὲ τὰ τοιαῦτα καθ᾽ ὅλην τὴν οὐσίαν ἐνεργεῖν, οὐ κατὰ μίαν, ἢ δευτέραν ποιότητα, ὁποῖόν ἐστι καὶ τὸ λύκειον ἧπαρ, οὗ πεῖραν ἱκανὴν ἔχομεν. ἡ χρῆσις δὲ αὐτοῦ παραπλησία τοῖς κοχλίοις ἐστί, λειοῦται γὰρ ἀκριβῶς τὸ λύκειον ἧπαρ, καὶ δίδοται < α΄. μετ᾽ οἴνου τῶν γλυκέων τινός, οἷοί περ εἰσὶν θηραῖος ὁ Κρητικός, καὶ ὁ Σκυβελίτης, ὅ,τε γλυκὺς πρότροπος. εὐμενεῖς γάρ εἰσιν οὗτοι τῷ σπλάγχνῳ, τρέφειν αὐτὸ δυνάμενοι, καὶ μέσοι τὴν κατὰ τὸ ψυχρόν τε, καὶ θερμὸν ἀντίθεσιν, καὶ διὰ τοῦτο, τὰ τοιαῦτα φάρμακα, πάσαις ἁρμόττειν φαίνεται ταῖς δυσκρασίαις, ὡς αὐτῇ τε τῆς οὐσίας ἰδιότητι τὴν ὠφέλειαν παρεχόμενα, καὶ τὰς μήτε τὰς θερμάς, μήτε τὰς ψυχρὰς δυσκρασίας βλάπτειν. ἐπὶ μέντοι τῶν πυρεττόντων σαφῆ πυρετόν, ἢ οὐκ ἀμυδρῶς, ὥσπερ εἰώθεσαν ἐνίοις τῶν ἡπατικῶν συμπίπτειν, ἄμεινόν ἐστι δι᾽ ὕδατος θερμοῦ διδόναι τὸ φάρμακον, ἢ διά τινος τῶν εἰρημένων ἔμπροσθεν χυλῶν, ὁποῖός ἐστιν ὁ τῆς σέρεως. πρὸς τὰς τοῦ ἥπατος σκιρρώδεις διαθέσεις. καὶ πρὸς ταῦτα ἔγραψεν ὁ Ἀσκληπιάδης τέσσαρα φάρμακα τῇ λέξει τῇδε.

Οὐρητική, ποιεῖ πρὸς τὰς σκιρρώδεις τοῦ ἥπατος διαθέσεις, καὶ σπληνικοῖς, καὶ τοῖς δυσαναλήπτοις, καὶ ὑδρωπικοῖς, καὶ καθόλου εὐχροιαν ἐμποιεῖ.

℞. Κρόκου, νάρδου, κασσίας ἀνὰ < β΄. κόστου, σχοίνου ἄνθους, κινναμώμου, σμύρνης στακτῆς, ἀνὰ < α΄. μέλιτος ἑφθοῦ < κε΄. ἡ δόσις κυάμου Αἰγυπτίου τὸ μέγεθος, μετ᾽ οἰνομέλιτος κυάθων δ΄.

Ἄλλη ᾗ ἐχρήσατο Πασικράτης, ἄγει οὖρα πολλά.

℞. Δαύκου σπέρματος < α΄ S. ῥήου Ποντικοῦ τῆς ῥίζης, σχοίνου ἄνθους, βαλσάμου καρποῦ, κεδρίδων, ἀνίσου, νάρδου Ἰνδικῆς, κρόκου, κινναμώμου, κασσίας, φοῦ, ἀσάρου, πετροσελίνου, χαμαιπίτυος, ἀνὰ < α΄ S. ἡδυόσμου ξηροῦ τριώβολον, πυρήνων στροβίλων κεκαθαρμένων ἀριθμῷ ν΄. ἀναλάμβανε μέλιτι ἑφθῷ, καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος, μετ᾽ οἰνομέλιτος κεκραμένου κυάθων τριῶν.

Ἀντίδοτος ἡ διὰ τῆς ἀρκείου χολῆς, φάρμακον ἐπιτετευγμένον, πρὸς τὰς σκιρρώδεις τοῦ ἥπατος διαθέσεις.

℞. Χαμαιπίτυος, πρασίου, πετροσελίνου σπέρματος, γεντιανῆς, ἄγνου σπέρματος, ἄρκτου χολῆς, νάπυος, σικύου σπέρματος, σκολοπενδρίου, πάνακος, μίλτου Λημνίας, ἐρυθροδάνου, κράμβης σπέρματος, ἀριστολοχίας, πεπέρεως, νάρδου Ἰνδικῆς, κόστου, σελίνου σπέρματος, εὐζώμου σπέρματος, ἠρυγγίου, πολίου, ἐχίου, εὐπατορίου, ἀρκευθίδων, ἀνὰ < α΄. κόψας, σήσας, ἀναλάμβανε μέλιτι, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος, ἐν οἰνομέλιτι κυάθοις β΄.

A Amygdalæ verò attenuatoriæ sunt facultatis, & præsertim si fuerint amaræ. Medium autem quodammodo inter calefacientia & refrigerantia est hoc medicamentum, quod Asclepiades scripsit hoc modo. *Eclegma hepaticum Paulini: auxiliatur confestim.* ℞. Chamæpityos siccæ libram vnam, myrrhæ vnciam vnam, passi protropi sextar. iij. chamæpityn & vinum dulce coquito: & vbi superfuerit tertia pars, liquorem exprimito, eique mellis Attici libram dimidiam adiicito, ac rursus coquito: postea verò myrrham addito assiduè agitando: atque vbi dissoluta fuerit, ab igne ablata reponito: & ante cibum mystrum exhibeto. B Scripsit & ex cochleis medicamentum hepaticum Asclepiades huiusmodi. Cochlearum terrestrium carnem valdè probè terito, & affusis vini nigri cyathis tribus calefacito, ac bibendum dato. Videntur autem hæc iuxta totam substantiam efficacia esse, non secundum vnam, aut alteram qualitatem: Quale est & lupinum hepar, cuius abundè experimentum habemus. Vsus autem ipsius consimilis cochleis est: teritur enim exactè hepar lupinum, & datur drachma vna, cum vino aliquo dulci, qualia sunt theræum, creticum, scybelite, ac dulce protropum. Benigna enim hæc C sunt visceri, ipsum nutrire potentia, & media iuxta calidi, & frigidi oppositionem: & ob id talia medicamenta omnibus intemperaturis conuenire videntur, vt quæ ex substantiæ proprietate commoditatem de se exhibent, & neque calidas, neq; frigidas intemperies lædant. Atqui in febricitantibus manifestâ febri, aut non obscurè, velut solet aliquibus hepaticis accidere, melius est ex aqua calida medicamentum præbere, aut ex aliquo prædictorum succorum, velut est seridis succus. Ad induratas hepatis affectiones. Et ad has Asclepiades quatuor medicamenta his verbis scripsit.

D *Confectio ciens vrinam, facit ad induratas Hepatis affectiones, ad splenicos, & ægrè se à morbo recolligentes, ad hydropicos, & in vniuersum bonum colorem inducit.*

℞. Croci, nardi, cassiæ, singulorum ʒ.ij. costi, floris iunci odorati, cinnamomi, myrrhæ stactæ, singulorum ʒ.j. mellis cocti ʒ.xxv. Datur fabæ Ægyptiæ magnitudine cũ vini mulsi cyath. iv.

Alia, qua vsus est Pasicrates, vrinam multam ducit.

℞. Seminis dauci sesquidrachmam: radicis rheu Ponticæ, floris iunci odorati, seminis balsami, cedridum, anisi, nardi Indicæ, croci, cinnamomi, cassiæ, phu, asari, petroselini, chamæpityos, singulorum ʒ.j.ß. menthæ siccæ obolos tres, nucleorum pinearum nucum repurgatorum numero quinquaginta, excipe melle cocto, & dato nucis Ponticæ magnitudinem cum vini mulsi diluti cyathis iij.

Antidotus ex felle vrsino, medicamentum accommodatum ad induratas Hepatis affectiones.

℞. Chamæpityos, marrubij, seminis petroselini, gentianæ, seminis viticis, fellis vrsi, sinapi, seminis cucumeris, scolopendrij, panacis, rubricæ lemniæ, rubiæ, seminis brassicæ, aristolochiæ, piperis, F nardi Indicæ, costi, seminis apij, seminis erucæ, eryngij, polij, echij, eupatorij, baccarum iuniperi, singulorum ʒ.j. tusa & cribrata melle excipe. Datur nucis auellanæ magnitudo, in vini mulsi cyathis duobus.

Alia

Alia accommodata. Facit & ad alias internas affectiones citra tussim. A

℞. Radicis gentianæ, chamæpityos, marrubij, seminis petroseleni, fellis vrsi, sinapi, seminis cucumeris, scolopendrij, radicis panacis, rubricæ sinopicæ, rubiæ, seminis brassicæ, aristolochiæ longæ, piperis albi, spicæ nardi, costi, seminis erucæ, eryngij, baccarum iuniperi, fructus fraxini, chamædryos, dictamni Cretici, seminis cestri, seminis dauci, singulorum vnciam vnam: mellis Attici quod satis est. Datur nucis Ponticæ magnitudo. Liquor sit passi Cretici cyathi duo. Hoc medicamentum vsu & experimento approbatum est. In B alio exemplari etiam pelecini tãtundem habetur. Circa prædicta quatuor medicamenta rectè fecit Asclepiades, quòd non simpliciter ascripsit, velut in aliis, quòd ad hepaticos ipsis sit vtendum, sed cum appositione, ad induratas videlicet affectiones. Humidæ etenim visceris affectiones exolutum, & imbecille ipsum facere solent, veluti sunt articuli laxati: siue autem cum frigiditate, siue cum caliditate, siue sine his, laxitas ipsius sola constiterit, penitus astringentibus medicamentis opus habent: verùm hoc, aut cum calefacientium mixtura, si frigida qualitas prędominetur: aut cum C refrigerantium, si calida. Quæ verò ob frigidos, & crassos, ac viscosos humores in solidis corporibus imbibitos indurantur, ex necessitate frigidam habent affectionem; quare & calefacientibus, simulque tenuium partium medicamentis opus habent; hæc enim sufficientia sunt, & ad lentorem humorum induratis partibus infartorum extergendum, & ad incidendam crassitudinem, & discutiendos ita extenuatos. Verùm in quinto de simplicium medicamentorum facultate, vbi de eiusmodi affectionibus sermo mihi habitus est, emollientium medicamentorum mixturam laudaui, nimirum vt præparantem indurata corpora, & prædictis me- D dicamentis idonea facientem; citra verò præemollitionem diffunduntur quodammodo ea ipsa corpora, & è vestigio manifestam imminutionem habent, sed in immedicabiles reliquias terminatur res, vbi fuerint superreficcata. Hæc eadem & in decimoquarto methodi medendi nobis sunt dicta. Igitur & circa hepar coniectare oportet emollientium mixturam: nam quum compagis humectæ sit hepatis corpus, valdè moderatis opus habet emollientibus. Prædominatur itaque in ipso, præter aliarum partium induratarum morem, calefacientium & attenuantium mixtura. Meritò E itaque ex præscriptis quatuor medicamentis Asclepiades postremum maximè laudat, vt quod multam de se experientiam præbuit; ex aromatis enim componitur, attenuare, ac discutere valentibus; aliaque medicamenta assumpsit, acria, incidentiaque, ac discussoria; mitigatoria autem his admixta sunt, cucumeris semen, ac iuniperi baccæ; deinde verò mel, & eryngium velut vrinam cientia, his addita sunt, quo extersæ visceris affectionis per vrinas deductio fiat.

Ἄλλη ἐπιτετευγμένη. ποιεῖ καὶ πρὸς τὰς ἄλλας τῶν ἐντὸς διαθέσεις, χωρὶς βηχός.

℞. Γεντιανῆς ῥίζης, χαμαιπίτυος, πρασίου, πετροσελίνου σπέρματος, ἄρκτου χολῆς, νάπυος, σικύου σπέρματος, σκολοπενδρίου, πάνακος ῥίζης, μίλτου Σινωπίδος, ἐρυθροδάνου, κράμβης σπέρματος, ἀριστολοχίας μακρᾶς, πεπέρεως λευκοῦ, ναρδοστάχυος, κόστου, εὐζώμου σπέρματος, ἠρυγγίου, ἀρκευθίδων, μελίας καρποῦ, χαμαίδρυος, δικτάμνου Κρητικοῦ, κέστρου σπέρματος, δαύκου σπέρματος ἀνὰ ℥ α΄. μέλιτος Ἀττικοῦ τὸ αὔταρκες, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος. τὸ δ' ὑγρὸν γλυκέος Κρητικοῦ κύαθοι β΄. τὸ φάρμακον δεδοκίμασται. ἐν ἄλλῳ ἀντιγράφῳ ἔχει, καὶ πελεκίνου τὸ ἴσον. περὶ τῶν προγεγραμμένων τεσσάρων φαρμάκων καλῶς ἐποίησεν ὁ Ἀσκληπιάδης, οὐχ ἁπλῶς προσγράψας, ὥσπερ ἐπὶ τῶν ἄλλων, ὅτι πρὸς ἡπατικοὺς αὐτοῖς χρηστέον, ἀλλὰ προσθεὶς τὸ πρὸς τὰς σκιρρώδεις διαθέσεις. αἱ γὰρ καθ' ὑγρότητα τοῦ σπλάγχνου διαθέσεις, ἔκλυτον αὐτὸ καὶ ἄτονον πεφύκασι ποιεῖν, ὡς τὰ κεχαλασμένα τῶν ἄρθρων, ἐάν τε μετὰ ψύξεως, ἐάν τε μετὰ θερμότητος, ἐάν τε χωρὶς τούτων ἡ χάλασις αὐτοῖς μόνη συστῇ. πάντως μὲν γὰρ δέονται τῶν στυφόντων φαρμάκων, ἤτοι δὲ μετὰ τῆς τῶν θερμαινόντων μίξεως, ἐὰν ἐπικρατῇ ψυχρὰ ποιότης, ἢ μετὰ τῆς τῶν ψυχόντων, ἐὰν ἡ θερμή. τὰ δὲ σκιρρούμενα διὰ ψυχροὺς χυμοὺς, καὶ παχεῖς, καὶ γλίσχρους ἀναπεμπομένους ἐν τοῖς στερεοῖς σώμασιν, ψυχρὰν ἐξ ἀνάγκης ἴσχει τὴν διάθεσιν, ὥστε καὶ τῶν θερμαινόντων τε ἅμα καὶ λεπτομερῶν δεῖται φαρμάκων. ταῦτα γὰρ ἱκανὰ, καὶ τὴν τῶν ἐμπεπλασμένων τοῖς σκιρρώδεσι μορίοις χυμῶν γλισχρότητα διαρρύψαι, καὶ τὸ πάχος τεμεῖν, καὶ διαφορῆσαι τοὺς οὕτω λεπτυνθέντας. ἀλλ' ἐν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἔνθα περὶ τῶν τοιούτων διαθέσεων ὁ λόγος ἐγένετό μοι, τὴν μίξιν τῶν μαλακτικῶν ὀνομαζομένων φαρμάκων ἐπῄνουν, ὡς προπαρασκευαζόντων τὰ σκιρρούμενα σώματα, τοῖς εἰρημένοις φαρμάκοις ἐπιτήδεια. χωρὶς δὲ τοῦ προμαλαχθῆναι διαφορούμενά πως ταῦτα, τὸ μὲν παραχρῆμα σαφῆ τὴν μείωσιν ἔχει, εἰς ἀθεράπευτον δὲ τελευτᾷ λείψανον ὑπεξηρανθέντα. τὰ δὲ αὐτὰ ταῦτα κἀν τῷ ιδ΄. τῆς θεραπευτικῆς μεθόδου λέλεκται. καὶ κατὰ τὸ ἧπαρ οὖν δεῖ στοχάζεσθαι τῆς μίξεως τῶν μαλαττόντων τῷ δ' οἷον ὑγροπαγὲς εἶναι τὸ τοῦ ἥπατος σῶμα, πάνυ μετρίων δεῖται τῶν μαλαττόντων. ἐπικρατεῖ δ' ἐν αὐτῷ παρὰ τὰ ἄλλα μόρια τὰ σκιρρούμενα, τῶν θερμαινόντων τε καὶ λεπτυνόντων ἡ μίξις. εἰκότως οὖν ἐπαινεῖ μάλιστα τῶν γεγραμμένων φαρμάκων τεσσάρων ὁ Ἀσκληπιάδης τὸ ἔσχατον, ὡς πεῖραν ἱκανὴν παρεσχηκός. ἐξ ἀρωμάτων τε γὰρ σύγκειται, λεπτυνόντων καὶ διαφορεῖν δυναμένων, ἕτερά τε προσείληφε φάρμακα, δριμέα τε καὶ τμητικὰ, καὶ διαφορητικὰ, πραϋντικὰ δὲ αὐτοῖς μέμικται, τό τε τοῦ σικύου σπέρμα καὶ ἀρκευθίδος, εἶτα μέλι, καὶ τὸ ἠρύγγιον, ὥσπερ γε καὶ οὐρητικά τινα παρείη τούτοις, ἀπορρυπτομένης τῆς τοῦ σπλάγχνου διαθέσεως, ἐπὶ τὰ οὖρα τὴν προσήγησιν ποιεῖσθαι.

F

CAPVT IX.

Quæ Archigenes ad hepaticos in secundo medicamentorum secundum genus scripsit.

IN hepaticis conueniente prægresso ductu per alimenta, vnctiones, communia cataplasmata,

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα πρὸς ἡπατικοὺς ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος φαρμάκων.

ΕΠὶ δὲ τῶν ἡπατικῶν προηγουμένης τῆς ἁρμοζούσης ἀγωγῆς ἔν τε τροφαῖς καὶ ἀλείμμασιν, καὶ τοῖς κοινοῖς καταπλασμα-

σιν, φλεβοτομίᾳ, σικύαις, σιναπισμοῖς, δρώπαξιν, καὶ τοῖς ὁμοίοις διαιτήμασιν, πρὸς τοῖς ἀναγραφησομένοις συνθέτοις πόμασί τε καὶ μαλάγμασιν, τοῖς γε ἄριστα συμφωνοῦσι. χρῶ πομασι μὲν τοῖσδε· ἠριγέροντος ἀφέψημα, ὡς μάλιστα ὠφέλιμον δίδου, φύεται δὲ τούτου ὁ καυλὸς ἐπὶ τοῖς κεράμοις. ἢ ναρδίνου μύρου κοχλιάρια δ΄. πίνειν δίδου καθ᾽ ἡμέραν, καὶ μάλιστα ἐπὶ τῶν σκιρρουμένων. ἢ ἀριστολοχίας ὀβολοὺς γ΄. πότιζε πυρέσσοντας μεθ᾽ ὕδατος, ἀπυρέτους μετ᾽ οἴνου, λίαν καλῶς ποιεῖ. ἢ τρίφυλλον τὴν ὀξύζουσαν ἐν ὕδατι ἕψε, μέχρι τὸ τρίτον λειφθῇ, καὶ δίδου ἡμέρας γ΄. ἀνὰ κύαθον α΄. ἢ χολὰς ἀρκείας πραέως ἐν ἀγγείῳ ζέσας, ξήρανον ἐν ἡλίῳ, καὶ δίδου ἐκ τούτου τοῖς ἡπατικοῖς κοχλιάριον ἕν. ἢ βάτου τῆς ῥίζης φλοιοῦ μνᾶν μίαν, σὺν ὕδατι χοῒ ἑνὶ, ἑψήσας ἐν καινῷ ἀγγείῳ μέχρι λειφθῇ τὸ δ΄. αἰθριασθέντι πρόσμιξον μέλιτος τῷ χυλῷ κυάθους ϛ΄. καὶ πινέτω νῆστις ἐφ᾽ ἡμέρας γ΄. ἢ ψευδοβουνίου ὀβολὸν ἕνα δίδου μετὰ μέλιτος νήστει. ἢ δαύκου καὶ μαράθρου ῥίζης τὸ ἥμισυ σὺν ὀξυμέλιτι μέχρι τὸ τρίτον λειφθῇ, ἑψήσας, δίδου νήστει κύαθον α΄. ἢ γλυκυῤῥίζης χυλοῦ ὀβολὸν α΄. ἢ β΄. δίδου νήστει, καὶ γὰρ κοιλίαν ὑπάγει, καὶ οὖρα κινεῖ. ἐπὶ δὲ μεγάλης σκληρίας ἀβροτόνου χυλὸν, ὡς ὅτι παχύτατον πότιζε. ἢ ἀκόρου ὀβολὸν α΄. πάνακος ἴσον μεθ᾽ ὕδατος πότιζε. ἢ ναρδοστάχυος ἀφέψημα διηνεκῶς δίδου.

A venæ sectionẽ, cucurbitas, sinapismos, dropaces, & consimilem diætam, amplius conscribendis cõpositis potionibus, & malagmatis, optimè ipsis conuenientibus, vtaris. Et potionibus quidem his; Senecionis decoctum, vt valdè cõmodum exhibeto: nascitur autem huius caulis maximè in tegulis. Aut vnguenti nardini cochlearia quatuor quotidie bibenda dato, & maximè in induratis. Aut aristolochiæ obolos iij. propinato febrientibus ex aqua, febre carentibus ex vino; valdè benefacit. Aut trifolium acidũ in aqua coquito ad tertias, & per triduum bibendũ dato pro vice cyathum vnũ. Aut fel vrsinũ in vase leniter feruefacito, & in Sole **B** resiccato, atque ex eo hepaticis cochleare vnum dato. Aut radicis rubi corticis minam j. cum aquæ congio vno, in nouo vasculo ad residuum quartæ partis coquito; & ad succum per noctẽ sub dio expositum mellis cyathos vj. admisceto; & ieiunis ad triduum bibendum dato. Aut pseudobunij obol. j. dato cum melle ieiunis. Aut dauci & fœniculi radicis dimidium, cum aceto mulso ad tertias coquito; & ieiunis cyathum vnum exhibeto. Aut glycyrrhizæ succi obolum vnum, aut duos ieiunis dato; & aluum subducit, & vrinam mouet. In magna duritia, abrotoni succum, quàm crassissimum **C** præbe bibendum. Aut acori obolum vnum, panacis tantundem, cum aqua propinato. Aut spicæ nardi decoctum assiduè exhibeto.

Περὶ καταπλασμάτων.

De cataplasmatis.

Κατάπλασμα δὲ ἡπατικὸν, μήλοις κυδωνίοις μετὰ ἀλεύρου κριθίνου, καὶ τήλεως ἑψημένοις. ἢ λινοσπέρματι λείῳ, μετὰ ἀλφίτων ἐν οἴνῳ ἑψημένων. ἢ λινοσπέρματι, ἑψημένῳ ἐν γλυκεῖ οἴνῳ. ἢ λινοσπέρματι λείῳ, μετὰ μέλιτος πεφυραμένῳ. ἢ καππάρεως ῥίζης ἐν ὀξυμέλιτι ἑψημένης. ἢ κριθίνῳ ἀλεύρῳ μετὰ συκῆς. ἢ ἐλαίας ῥίζης ἐν οἴνῳ ἑψημένης. ἢ μυρεψικῆς βαλάνου, κεκομμένης μετ᾽ οἴνου. ἢ τὴν διὰ φοινικοβαλάνων κηρωτήν. ἄκρως γὰρ ποιεῖ πρὸς φλεγμονὰς ἥπατος, μάλιστα δὲ ἐφ᾽ ὧν καὶ στόμαχος πέπονθεν, καὶ πλευραὶ διατεταμέναι εἰσίν. ἢ φοίνικα, δίχα τῆς ἐντεριώνης κόψας ἐπιμελῶς, ἴσῃ κηρωτῇ ῥοδίνῃ ἐν ὅλμῳ γνησίως ἕνωσον, μικρὸν παραστάζων ῥόδινον, καὶ ἐπιτίθει. ἢ ἀμιναίῳ οἴνῳ ἐμβρέξας, σμύρναν μίξον τοῖς φοίνιξιν, καὶ εἰς ῥάκος ἐμπλάσας ἐπιτίθει.

Cataplasma porrò hepaticum fit, malis cotoneis cum farina hordeacea, & fœnogræco coctis. Aut semine lini trito cum polenta in vino cocta; aut ipso lini semine in passo cocto. Aut semine lini trito cum melle subacto. Aut capparis radice in aceto mulso cocta. Aut farina hordeacea cum ficubus. Aut oleæ radice in vino cocta. Aut myrobalano tusa cum vino. Aut cerato ex phœ- **D** nicobalanis facto; summè enim ad hepatis inflammationes facit, maximè in quibus etiam stomachus affectus est, & costæ distentæ sunt. Aut palmulam reiecto interno nucleo diligenter tundito, & cum ęquali parte cerati rosacei in mortario probè vnito, rosaceum adstillando, atq; ita imponito. Aut myrrham aminæo vino macerato, & palmulis admisceto, & linteolo infarto imponito.

Περὶ μαλαγμάτων φλεγμονῆς ἥπατος.

De malagmatis in phlegmone hepatis.

Οἷς δὲ ἄν τις χρήσαιτο μαλάγμασιν, ἐπὶ φλεγμονῇ ἥπατος, ἄνευ φανερᾶς αἰτίας, μετὰ τὰς ἐπιβροχὰς, καὶ καταπλάσματα, γέγραπται ἤδη πρόσθεν ἐν τῷ περὶ τῆς τοῦ στόματος τῆς κοιλίας φλεγμονῆς λόγῳ, τὰ κοινὰ ἐκείνου, καὶ ἥπατος, ἐν οἷς ἐστι καὶ τὰ διὰ μελιλώτου σκευαζόμενα, καὶ τὸ Πολυάρχιον, ἀλλὰ καὶ νῦν τινα προστεθήσεται ἐκ τῶν Ἀνδρομάχου.

Cæterùm malagmata, quibus quis vti possit in inflammatione hepatis citra manifestam causam, **E** post irrigationes, & cataplasmata, iam ante scripta sunt in sermone de oris ventris phlegmone, nimirum communia illi, & hepati existentia; in quibus sunt etiam, quæ ex meliloto præparantur, & polyarchium. Verùm etiam nunc apponentur quædam ex ipso Andromacho.

Ἀνδρομάχου μάλαγμα πρὸς ἡπατικούς.

Malagma Andromachi ad hepaticos.

℞. Ἀμμωνιακοῦ θυμιάματος < ρμδ΄. οἱ δὲ < ρ΄. βδελλίου < κδ΄. οἱ δὲ < ρ΄. ὄξους κοτύλης δ΄. κυπρίνου κοτύλην α΄. ἐγὼ δὲ ℞ S΄.

℞. Ammoniaci thymiamatis ʒ. cxliv. alij ʒ. c. habent; bdellij ʒ. xxiv. alij centum; aceti heminæ quartam partem; cyprini heminam vnam, ego verò heminæ dimidium.

F

Τὸ Ἀπολλοφάνους.

Malagma Apollophanis.

℞. Κηροῦ < π΄. βδελλίου < π΄. ἀμμωνιακοῦ θυμιάματος < π΄. ῥητίνης τερμινθίνης < μ΄. μάννης λιβάνου < μ΄. ἰρίνῳ σύγκοπτε.

℞. Ceræ drach. lxxx. bdellij drach. lxxx. ammoniaci thymiamatis drach. lxxx. terebinthinæ drachmas xl. mannæ thuris drachmas xl. cum irino contundito.

A

CAPVT X.

Malagmata à Damocrate conscripta ad hepar, & præcordia. Quædam ex eis etiam ad totum ventrem & splenem.

Affecta si quis per stomachum præcordia,
Et per iecur, intestina per, dein per colum,
Per ventriculum, aut viscus aliud sic propriè
Dictum, volet inquam læsa quis præcordia
Malagmate integere bono & percommodo,
Primum paratum habebit hoc longè antea.
Recens enim, est ægris minus firmum, ac valens. B
Ceræ capit quod Ponticæ libras duas,
Ammoniaci thymiamatis solam libram,
Terebinthinæ frictæ pariter solam libram,
Vstæque resinæ piceæ simul libram,
Et post trientem cardamomi seminis,
Aridæ cyperi tantundem, item myrrhæ bonæ,
Pondusque par vni horum, iridis mox candidæ,
Sextantem, & inde celticæ spicæ integræ,
His vnciam vnam, & dimidiam croci boni,
Ex sex meliloti, item duas, bessem puto.
Verùm melilotum præstiterit hîc Atticum,
Recentis, & cyprini libras olei duas. C
Oleum cyprinum tu cum reliquis liquoribus,
Et decoque lenta flammula, & deradito.
Dein tusa, cribrata, & reliqua, vino bono
Rigata per noctem integram, & totam diem
Vinum omne donec combibant, seponito.
Vnctisque post cyprino manibus hæc pharmaca
Mortario amplo vini, & simul committito,
Mollique pelle tecta simul reponito.

Aliud Malagma eiusdem.

Aliud valens, ætas itidem si accesserit.
Verùm hoc mage affectus vitiantes mox habitum. D
Quicunque non cum flatibus feruentibus,
Et phlegmonis lædunt diutioribus,
Et viscera irritant grauibus doloribus,
Iuuat. Solubiles malè, & iam duritias
Soluit, soluta mole earum celeriter.
Paratur hoc modo, vt bonæ terebinthinæ
Libram mediam, tantumque ceræ Ponticæ
Fœnique Græci vnam capias puri libram.
Et de nitro, & de panace, vnicam libram.
Rursus anisi seminis vnicam libram,
Pinguedinis puræ vituli simul libram,
Pondusque par contusæ, & albidæ iridis.
Parum de aceto, tres cyathos, sine dimidio, E
Mellis duas libras recentis Attici.
Ammoniaci thymiamatis solam libram
Quidam addidere, verùm alij libras duas.
Sic tusa, cribro excussaque tenuißimo,
Cataplasmatis modo, sed & mel addito,
Nec omne acetum, coquito; vbi molle fuerit,
Addas calenti exiguam aceti stillulam,
Ceræ liquatæ infusor, & pinguedini
Terebinthinæque; coctaque egregiè simul
Omnia manibus exactius committito,
Et vasculo maiore derasa excipito,
Vsurus haud mox; inualidum est factum recens. F

Aliud Damocratis malagma.

Odorum & hoc, tollensque mox vitia hepatis,
Affectiones renibus, colo & graues,
Stomacho simul, & vuluæ diutiusculas.
Idemque iam corrupto habitu superdatur,

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τὰ ὑπὸ Δαμοκράτοις μαλάγματα γεγραμμένα, πρὸς ἧπαρ καὶ ὑποχόνδριον. τινὰ δὲ αὐτῶν καὶ πρὸς ὅλην τὴν γαστέρα, καὶ τὸν σπλῆνα.

Υποχονδρίοις δὲ τοῖς πεπονθόσι θέλων,
Διὰ στομάχου κάκωσιν, ἢ τῆς κοιλίας,
Τῶν ἐντέρων τε καὶ κώλου τοῦ θ' ἥπατος,
Αλλου θ' ὁμοίως κυρίου σπλάγχνου τινὸς,
Μάλαγμ' ἐπιῤῥίπτειν τοῦτο πρῶτον σκευάσας,
Εμπροσθεν αὐτό. προσφάτως γὰρ γινόμενον,
Ελαττον ἔσται τοῖς νοσοῦσι χρήσιμον.
Εστι δὲ κηροῦ Ποντικοῦ λίτραι δύο,
Αμμωνιακοῦ θυμιάματος λίτρα μία,
Τερμινθίνης τε τῆς πεφρυγμένης λίτρα,
Καὶ τῆς πιτυΐνης τῆς κεκαυμένης λίτρα.
Λίτρας δὲ τὸ τρίτον καρδαμώμου σπέρματος,
Ξηρᾶς κυπέρου ταὐτὸν, σμύρνης τὸ ἴσον,
Ισον τε ἑνὶ τούτων ἴρεως λευκῆς σταθμῷ,
Κεκαθαρμένης Κελτικῆς οὐγγίαι δύο.
Κρόκου δὲ ℥ο α' S''.
Εξ δὲ μελιλώτου, πρὸς αὖ γε ταῖς δύο.
Τὸ δὲ Ατ̓τικὸν μελίλωτον αἱρετώτερον,
Κυπρίνου δ' ἐλαίου προσφάτου λίτραι δύο.
Κυπρίνου μὲν οὖν καὶ τ' ἄλλα τηκτὰ μίγματα,
Εψον φλογὶ τῇ κούφῃ, εἶθ' οὕτω ξύσον.
Τὰ δὲ λοιπὰ κόψας σῆσον, εἶτ' οἴνῳ καλῷ
Φύρασον, εἶτα νύκτα καὶ ἡμέραν μίαν,
Αφες τὸν οἶνον ἀναπιεῖν τὰ μίγματα.
Χεῖρας δ' ἀλείψας τῷ κυπρίνῳ. τὰ φάρμακα
Απαντα μίξας ἐν θυείᾳ πλατυτέρᾳ,
Οὕτως ἀποτίθου, δέρμασι μαλακοῖς σκέπε.

Αλλο μάλαγμα τοῦ αὐτοῦ.

Πρὸς ταῦτα ποιοῦν ἕτερον, ἂν χρόνον λάβῃ
Τὰ πάθη φθόροις ἔχοντα τοὺς καχεξίας.
Τοῦτ' ὠφελεῖται μᾶλλον, ὅσα μὴ πνεύμασιν
Τὰ σπλάγχνα βλάπτει φλεγμοναῖς μακροτέραις.
Πυκνῶς γὰρ ὀξυνόντα μετὰ πόνων σφοδρῶν,
Σκληρῶν τε καὶ σκίῤῥων γε δυσλύτοις φθόροις.
Λύει δὲ αὐτῶν τὰς κατασκευὰς ταχὺ,
Σκεύαζε δ' οὕτω. τῆς καλῆς τερμινθίνης
Λίτρας ἥμισυ, Ποντικοῦ κηροῦ τὸ ἴσον,
Κεκαθαρμένης δὲ τήλεως λίτραν μίαν.
Νίτρου τε αὐτὸ, καὶ πάνακος λίτραν μίαν,
Πάλιν ἀνίσου σπέρματος λίτραν μίαν,
Μόσχου τε λίποις κεκαθαρμένου λίτραν,
Καὶ ταὐτὸ λευκῆς ἴρεως κεκομμένης.
Οξους δὲ κυάθους δύο ἥμισυ βραχύ.
Μέλιτος δὲ λίτρας δύο Ατ̓τικοῦ τοῦ προσφάτου,
Αμμωνιακοῦ θυμιάματος λίτραν μίαν
Τινὲς κατέμιξαν, ἄλλοι δὲ λίτρας δύο.
Τὰ ξηρὰ σήσας πάντα λεπτῷ κοσκίνῳ,
Εψησον ὡς κατάπλασμα προσβαλὼν μέλι,
Οξος τε μὴ πᾶν, καὶ ποιήσας εὐαφὲς
Πρόσβαλε τῷ θερμῷ, παραχέων ὄξος βραχὺ,
Τετηγμένῳ κηρῷ τε καὶ λιπάσματι,
Τερμινθίνῃ τε, καὶ καλῶς ἑψημένα,
Ταῖς χερσί τε ἅμα πάνθ' ἑνώσας ἐπιμελῶς,
Εν μείζονι ἀγγείῳ, χρῆσαι μὴ παραυτίκα.
Αδρανέστερον γὰρ ἐστιν, ἄρτι γενόμενον.

Αλλο Δαμοκράτους μάλαγμα.

Καὶ τοῦτο εὐῶδές τε, καὶ τὰς ἥπατος
Αἶρον διαθέσεις, τὰς νεφρῶν τε καὶ κώλου,
Τὰς τοῦ στομάχου τε χρονίας, τῆς θ' ὑστέρας.
Επίβαλλε δ' αὐτὸ, καὶ καχέκταις διὰ νόσοις

Μακραῖς γεγονόσιν ὠχροτέροις, ὑδερώδεσιν,
Καὶ τὸ βραχὺ μὴ πέττουσιν, ἀνορεκτοῦσί τε.
Ἐστιν δ' ἀμώμου Σκυθικοῦ, ξυλοβαλσάμου,
Βδέλλης διαυγοῦς, καρδαμώμου σπέρματος,
Ξηρᾶς κυπέρου, καὶ λιβάνου, πάντων ἴσα.
Τούτων ἀνὰ λίτραν, καὶ κασσίας δαφνίτιδος,
Σμύρνης τε χρηστῆς, καὶ κρόκου. τούτων πάλιν
Λίτρας ἑκάστου τὸ τρίτον, ἢ μικρῷ πλέον.
Στάχυος δὲ νάρδου Συριακῆς δύ' οὐγγίας,
Τερμινθίνης τε τῆς καθαρᾶς, λίτρας δύο,
Κηροῦ τε λευκοῦ τοῦ καθαροῦ, λίτραν μίαν,
Κυπρίνου τε μύρου προσφάτου, λίτραν μίαν,
Οἴνου φαλερίνου τοῦ καλοῦ ξέστην ἕνα.
Τὰ μὲν ἄλλα κόψας σῆθε λεπτῷ κοσκίνῳ,
Λίβανον δὲ καὶ βδέλλιον εἰς ὅλμον βαλὼν,
Σμύρναν τε χρηστὴν, καὶ κρόκον λελεασμένον
Θραύων, παράχεε κύπρινον δι' οἴνου βραχὺ,
Εἶτα ὁλμοκόπει, ὡς μέλιτος ἔχειν πάχος,
Προσεμβαλὼν τε τ' ἄλλα λεῖ' ἀρώματα,
Οἴνου τε τὸ λοιπὸν παραχέας, ἕνου καλῶς,
Ἀφες τε συμπιεῖν, ἡμέραν καὶ νύχθ' ὅλην,
Τερμινθίνην τε, καὶ κύπρινον κηρόν θ' ἅμα
Τήξας ἐπὶ πυρὸς κουφοτάτου, ἔασον.
Καὶ πάντα μίξας χερσὶ τὴν μύρων τινὶ,
Λελιπασμέναις, ἔασον οὕτως, ἀποτίθου.
Μετὰ χρόνον αὐτῷ, μὴ παραχρῆμα χρώμενος.
Τὰ πολλὰ μιγνὺς ξυσθὲν ἐκ μέρους τινὸς,
Κηρωτάριον γιγνόμενον εὐαφέστερον.
Σπανίως δὲ χρῆσαι, καὶ μόνῳ τῷ φαρμάκῳ.

Ἀλλο Δαμοκράτους μάλαγμα.

Πρὸς τὰς διαθέσεις τὰς ἄγαν κεχρονισμένας,
Ἑτερον μάλαγμα πρὸς ἃ προεῖπον, εὔτονον,
Τοῖς σπληνικοῖς, πάντων δὲ μᾶλλον ἁρμόσει,
Κἂν ὦσιν ὠχροὶ, καὶ πυρέσσωσιν σφοδρῶς,
Ὑδωρ τ' ἴσχωσιν ἐν ὑποχονδρίῳ βραχύ.
Πολὺ γὰρ, θεραπεύειν ἀδύνατον μαλάγμασι.
Σύκων λιπαρῶν, ξηρῶν μὲν, ἔτι δὲ προσφάτων,
Τὸ σπέρμ' ἀπάρας τὸ πολὺ, καὶ τὸν ὀμφαλὸν,
Στῆσον δραχμὰς γ'. πέντε καὶ ἑτέρας δέκα,
Κηροῦ τε λευκοῦ Ποντικοῦ. ταύταις ἴσως,
Μυροβαλάνου τε τῆς λιπαρᾶς λίτραν,
Νίτρου θαλασσίου δὲ λίτρας S''.
Στυπτηρίας τε σχιστῆς δραχμὰς δώδεκα,
Μιᾶς τε δραχμῆς ἥμισυ τριώβολον,
Βδέλλης, ὄνυχός τε τὰς ἴσας, στυπτηρίας,
Ἰσον τε νίτρου τ', ἄνθος Ἀσίου λίθου,
Ἀμμωνιακοῦ τε ταὐτὸ θυμιάματος.
Καὶ πτέρεως δὲ σπέρματος, καὶ καρδάμου,
Καὶ καρδαμώμου, καὶ καλῆς ὀριγάνου,
Ξέστου τέταρτον ἐξ ἑκάστου μίγματος,
Ἐρεχμοῦ τε τὸ μέτριον, ἰρίνου μύρου.
Τὸ μάλαγμα δὲ σκεύαζε τοῦτον τὸν τρόπον,
Βδέλλιον οἴνῳ διάβροχον ποιῶν γλυκεῖ,
Μάλασσ' ἐν ὅλμῳ γενομένῳ λείῳ δ' ἄγαν,
Πρόσβαλλε σῦκα, καὶ πάλιν κόπτε ἅμα,
Οἶνον παραχέων, λεῖα ποίησον καλῶς.
Προσεμπάσας δὲ ἄλλα πάντα μίγματα,
Ἐν ὕδατι θερμῷ κηρὸν ἐμβρέξας καλῶς,
Μάλασσε χερσὶ, καὶ πλατύνας πρόσβαλε
Τοῖς ὁλμοκοπουμένοις, ὑπέρῳ τε χρώμενος
Ξυλίνῳ, λιπαίνων ταῦτα συνεχῶς τῷ μύρῳ.
Καιρὸς δὲ πάντων χρήσεως μαλαγμάτων,
Ὀσα κοιλίᾳ, στομάχῳ, κἂν καὶ τοῖς ἐντέροις
Ἐπιβάλλεται, κάλλιστος ὁ μέχρι τῆς τροφῆς
Ἡς ἔλαβον ἐν τῇ γαστρὶ, μὴ παρακειμένης.

A *Morboque longo pallidis, hydropicis,*
Et qui minus coquunt cibum, & fastidiunt.
Habet hoc amomi Scythici, xylobalsami,
Et cardamomi, bdelliique lucidi,
Aridæ cyperi, thuris boni, omnium parem
Modum, libram; post casiæ daphnitidis,
Myrrhæ bonæ, pariter croci, de singulis
Libræ trientem, aut amplius quid paululum.
Nardi bonæ post Syriacæ vncias duas,
Terebinthinæ puræ bonæ libras duas,
Albæque ceræ perpolitæ vnam libram,
Recentis vnguenti cyprini libram vnicam,
B *Vini Falerni hinc optimi sextarium.*
Contusa alia cribro tenui concernito;
Thus, bdellium in mortarium coniicito.
Myrrham bonam, simul crocumque his addito:
Fractisque pauco cyprinum vino indito.
Dein tundito, mellisque craßitudinem
Formato, & his aromata mox trita addito.
Et, quod superest vinum addito, committito.
Totam diem, noctem simul quò combibant.
Terebinthinam verò; cyprinum, ceram, & simul
Igni liquida lentulo his affundito.
Vnctisque post manibus per vnguen quodpiam,
Subacta sic committito, & reponito.
C *Nec mox parato vti velis tu pharmaco,*
Sed tempore interiecto. Et vt cerotulum
Sit mollius, quandoque derasum diu
Misceto, solo rarius sed vtitor.

Aliud Damocratis Malagma.

Aliud malagma ad iam relatas commodum
Affectiones, si fuerint diutinæ.
Confert lienosis, vel omnium optimè,
Si palleant, febri laborent, ac grauiter,
Aquamque habeant præcordia his si pauculam,
Multam nequeunt curare enim malagmata.
D *Ficus cape pingues ficciores, sed nouas,*
Et semine eiecto, simul vmbilitulo,
Appende drachmas quinquies tres, ac decem,
Albæque ceræ Ponticæ parem modum,
Myrobalani pinguis libram post integram,
Nitri marini, sed libram modo dimidiam,
Aluminis scißi duas supra, & decem
Drachmas, superque dimidiam, triobolon.
Et mox onychis, quod sic vocatur, bdellij
Addes parem tu aluminis dictum modum,
Nitro parem florem lapidis sed Asij,
Ammoniaci tantumque thymiamatis;
E *Et seminis post filiculæ, & nasturtij,*
Et cardamomi, quàm optimiqua origani,
De singulis sextarij quartam modo.
Viniqne post, irini vnguinis, quod sufficit.
Paratur at tandem malagma in hunc modum,
Vino rigatum suaue olenti bdellium
Mortario emollito, & hinc adiicito
Ficus, simul rursusque ritè tundito,
Quò trita vini stillulis fiant probè.
Mixtura mox addatur inde inspersilis.
At post rigatam feruida ceram ex aqua,
Mollem manibus, factamque latam adiicito.
Et tusa mox ligni radio compingito,
F *Guttis, & vnguinis frequens madefacito.*
Vsus malagmatum omnium, quæ ventriculo
Induntur, & stomacho, simul interaneis,
Est tempus, in quo, qui cibus congestus est,
Non amplius residet, sed aluum iam subit.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΟΝ Θ'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBER NONVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Θ'. ΒΙΒΛΙΩι.

Ὑπόλοιπα τοῦ πεπονθότος ἥπατός τε, καὶ σπληνός, καὶ τῶν ἐντέρων, ἕδρας τε, καὶ αἰδοίων, καὶ ὑστέρας φάρμακα διέρχεται.

ARGVMENTVM LIBRI NONI.

Reliqua affecti Hepatis medicamenta, Lienis item, intestinorum, sedis, pudendorum, ac vteri, explicantur.

CAPVT PRIMVM.

De Ictericis.

A Fiunt quidē Icterici ratione bonæ iudicationis in febribus, prouente nimirum ad cutē bilioso humore. Et facilè sanè hi curantur balneis aquarum potabiliū, & olei discussorij affrictu, omniumq; rarefacientium cutem; quale est anethinū oleum, & chamæmelinū, ac cicinū; post hæc etiam vnguenta faciunt, gleucinum, cōmaginum, deinde irinū, & amaracinū. Verùm alias confectiones, priuatim Ictericas appellatas suis authoribus, ne putes ad huiusmodi Ictericos conuenire (neq; enim hoc illi ipsi de his prodiderunt) sed ad eos Ictericos, qui ob vasorum circa hepar obstructionē fiunt; imò etiam eos, qui ex inflammatione Icterici fiūt. Itaq; qui Icterici ab obstructione fiūt, sine febre permanent: qui verò ex inflāmatione,
B omnino febricitāt. Quicunq; igitur medicamentis Ictericis quæ scripserunt, addiderūt, in quibus ea ipsa cōuenire dicāt, hi rectè fecerunt; qui verò indefinitè, & simpliciter protulerūt, non parū peccauerūt. Etenim quæ multū medicamentaria sunt, itidemq; facultate calida, magnopere febricitātes lædūt; talia sunt gētiana, struthion, heleniū, costus, aristolochia, polion, cētaurea. Cōueniūt autē Ictericis ex inflāmato hepate, quęcunq; inflāmationes sanāt; quēadmodū etiam iis, qui ab obstructione, omnia quæcunq; strenuè extergēt, etiam si medicamentariā substātiam habeant, & calidæ sint facultatis; si verò coincidant simul obstructio, & inflāmatio, laxantibus, simulque extergentibus opus erit. Fugienda autē quæcunque medicamentariæ

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ ἰκτέρων.

A Γίνονται μὲν ἰκτερικοί, καὶ λόγῳ κρίσεως ἀγαθῆς ἐν πυρετοῖς, ἐπισκήψαντος τοῦ χυμοῦ τοῦ χολώδους πρὸς τὸ δέρμα, καὶ ῥᾷστα παύονται λουτροῖς ὑδάτων ποτίμων, ἐλαίου τε διαφορητικοῦ τρίψει, καὶ πάντων τῶν ἀραιούντων, ὁποῖόν ἐστι τὸ ἀνήθινον ἔλαιον, καὶ τὸ χαμαιμήλινον, καὶ τὸ κίκινον. ἐφεξῆς δὲ τούτων χρίσματα, γλεύκινόν τε καὶ κομμαγηνόν, εἶτα τὸ ἴρινον, καὶ τὸ ἀμαράκινον. τὰς ἄλλας δὲ τὰς ὀνομαζομένας ἐξαιρέτως ἰκτερικὰς δυνάμεις οἱ γράψαντες, οὐ πρὸς τοιούτοις ἰκτερικοῖς ἁρμόττειν ἔφασαν, ἀλλὰ μάλιστα μὲν πρὸς τοὺς δι' ἔμφραξιν τῶν κατὰ τὸ ἧπαρ ἀγγείων, ἤδη δὲ καὶ πρὸς τοὺς διὰ φλεγμονάς. οἱ μὲν οὖν δι' ἔμφραξιν ἰκτεριῶντες, ἀπύρετοι
B διαμένουσι, πάντως δὲ οἱ ἐπὶ φλεγμονῇ πυρέττουσι. ὅσοι μὲν οὖν οἷς ἔγραψαν ἰκτερικοῖς φαρμάκοις, προσέθεσαν ἐπὶ τίνων ἁρμόττειν ταῦτά φασιν, ὀρθῶς ἐποίησαν, ὅσοι δὲ ἀδιορίστως καὶ ἁπλῶς ἔγραψαν, ἥμαρτον οὐ σμικρά. τὰ γὰρ ἰσχυρῶς φαρμακώδη, καθάπερ γε καὶ τὰ θερμὰ ταῖς δυνάμεσι, βλάπτει μεγάλως τοὺς πυρέττοντας. ἔστι δὲ τοιαῦτα γεντιανή, καὶ στρούθιον, ἑλένιόν τε καὶ κόστος, ἀριστολοχία τε καὶ πόλιον, καὶ κενταύρειον. ἁρμόττει δὲ τοῖς ἐπὶ φλεγμονῇ τοῦ ἥπατος ἰκτεριῶσιν, ὅσα φλεγμονὰς ἰᾶται. καθάπερ γε καὶ τοῖς ἐπ' ἐμφράξει πάνθ' ὅσα ῥύπτει γενναίως, εἰ καὶ φαρμακώδη τύχοι ταῖς οὐσίαις ὄντα, καὶ θερμὰ ταῖς δυνάμεσιν. ἐὰν δ' εἰς ταὐτὸ συνέλθωσιν, ἔμφραξίς τε καὶ φλεγμονή, τῶν χαλώντων τε ἅμα καὶ ῥυπτόντων ἐστὶ χρεία. φευκτέον δὲ ἐπὶ ὅσα φαρμακώδη ταῖς

οὐσίαις, καὶ θερμαὶ ταῖς δυνάμεσίν εἰσι. γεγραμμένων οὖν καὶ τῶν ἰκτερικῶν φαρμάκων ἀδιορίστως, τοῖς πλείστοις τῶν πρὸ ἐμοῦ προσθήσω τοὺς οἰκείους διορισμοὺς ἑκάστῳ αὐτῶν, ὅπως εἰδῆτε, τίσι μὲν ἀκίνδυνον ἐν πυρετοῖς χρῆσθαι, τίσι δὲ ἕπεται μείζων τις ἐκ τοῦ διαῤῥύπτειν ὠφέλεια, ἢ ἐκ τοῦ παροξύνειν τὸν πυρετόν τε καὶ τὴν φλεγμονὴν γιγνομένη βλάβη.

Περὶ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων ἰκτερικῶν φαρμάκων.

Ἀδιορίστως ἔγραψεν ὁ Ἀνδρόμαχος τέσσαρα φάρμακα πρὸς ἰκτερικούς, ἀκίνδυνον μὲν ἐπὶ τῶν ἀπυρέτων ἔχοντα τὴν χρῆσιν, οὐκ ἀσφαλῆ δὲ ἐπὶ τῶν πυρεττόντων, καὶ μάλιστα ἐὰν δι' οἴνου τις ταῦτα, ἢ οἰνομέλιτος διδῶσιν, καθάπερ ἐνίοτε δίδομεν, ἐπὶ μετρίοις μὲν πυρετοῖς, ἐμφράξει τε τῇ κατὰ τὸ σπλάγχνον. ἀλλὰ δι' ὀξυμέλιτος μὴ λίαν ὀξέος, ἀσφαλέστερόν ἐστι τηνικαῦτα δίδοσθαι τὰ τοιαῦτα φάρμακα. ἔστι δὲ τὰ ὑπ' Ἀνδρομάχου γεγραμμένα φάρμακα τέσσαρα κατὰ τὴν ἐκείνου λέξιν αὐτοῦ ὑπογεγραμμένα. πρὸς ἰκτερικούς. Εἰς τὸ τῆς κολοκυνθίδος κέλυφος ἐμβαλὼν οἶνον, καὶ θερμάνας, δίδου πιεῖν, ὑπάγει κοιλίαν. τὸ δ' αὐτὸ καὶ λίβανος ποιεῖ. Ἄλλο πρὸς ἰκτερικούς. ℞. ἀδιάντου τριώβολον, νάρδου ὀβολοὺς δύο, ἀψινθίου < α'. σμύρνης τριώβολον, γλυκεῖ ἀναλάμβανε, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος εἰς ὕδατος κυάθους β'. Ἄλλο πρὸς ἰκτερικούς ᾧ χρῶμαι. στρούθιον κρόκῳ χρῶσαι ἡλίκον κάρυον Ποντικὸν ἐν ὕδατι καὶ ὑδρομέλιτι, δίδοται δὲ καὶ ἄγχουσα πλῆθος κοχλιαρίου. Ἄλλο πρὸς ἰκτερικούς, ὡς Ἀπολλώνιος. ℞. ὀρόβου < κδ'. κέρατος ἐλαφείου κεκαυμένου < η'. λιβάνου < γ'. νάρδου Κελτικῆς < β'. νάρδου Συριακῆς < α'. πεπέρεως < α' S''. σχοίνου ἄνθους < α'. σμύρνης ὀβολοὺς β'. κόστου ὀβολοὺς β'. κασσίας ὀβολὸν α'. κινναμώμου ὀβολὸν ἕνα, χρῶ ξηρῷ, σὺν οἰνομέλιτος κυάθοις τρισίν.

Περὶ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων ἰκτερικῶν φαρμάκων, ἐν τῷ τρίτῳ τῶν ἐντός.

Ἐξ ὧν ἔμπροσθεν εἴρηκα δῆλα, κἂν χωρὶς διορισμοῦ γράφηται τὰ φάρμακα, τίνα φευκτέον ἐστὶν ἐπὶ τῶν πυρεσσόντων. Εἴωθε δὲ ὁ Ἀσκληπιάδης ἐνίοτε διορίζεσθαι, προστιθεὶς τοῖς πυρέττουσι μὲν ὡδίπως δίδοσθαι χρῆναι τὸ φάρμακον, ἀπυρέτοις δὲ ὡδίπως. ἔνθα δὲ ὅλως οὐδὲν προστίθησιν, ἐπὶ τῶν ἀπυρέτων ἐστὶ μᾶλλον χρηστέον, ὥσπερ γε κἀπειδὰν δι' οἴνου μόνου τὴν χρῆσιν, ἢ δι' οἰνομέλιτος ἀξιώσαιμεν γίνεσθαι, τὰ γὰρ τοιαῦτα τοῖς ἀπυρέτοις ἁρμόττει. ταῦτα δὲ τὰ γεγραμμένα πρὸς αὐτοῦ φάρμακα, τάδε ἐστί. πότημα ἰκτερικοῖς. κιχωρείου χυλοῦ κυάθους ς'. δίδου πυρέττουσι μὲν καθ' ἑαυτό, ἀπυρέτοις δὲ μετ' οἴνου κυάθων γ'. Ἄλλο. στρύχνου χυλοῦ κύαθον α'. καὶ οἰνομέλιτος κεκραμένου τὸ ἥμισυ. Ἄλλο καταπαστόν. ἀγχούσης λεοτάτης κοχλιάρια β'. δίδου μεθ' ὕδατος ποτίμου πίνειν. Ἄλλο. στρουθίου κοχλιάριον ἕν, δίδου μετὰ μέλιτος κεκραμένου κυάθων γ'. Νικηράτου διουρητικόν. ℞. ἐρεβίνθων ξηρῶν ξε α'. λιβανωτίδος χειροπληθές, ὕδατος ξε ς'. μαράθου χειροπληθές, ἀσπαράγων ἑλείων ῥιζῶν τὸ χειροπληθές σκεύαζε, καὶ δίδου, ὡς εἴρηται καθεψήσας καὶ διϋλίσας τὸ ὑγρόν, δίδου πυρέττουσι πίνειν διηνεκῶς, ἀπυρέτοις μετ' οἴνου κεκραμένου. Ἄλλο. ℞. ἐρεβίνθων ξε α'. ἀδιάντου χειροπληθές, ὕδατος ξε ς'. ἀσπαράγων ἑλείων τῶν ῥιζῶν χειροπληθές· σκεύαζε, καὶ δίδου καθὰ προείρηται.

A substantiæ, & calidæ facultatis, existunt. Quum igitur & plerique ante me Icterica medicamenta indefinitè conscripserint, ego propria discrimina singulis ipsorum adiiciam, quo sciatis, quibusnam in febribus citra periculum vti queatis; & quibus maius, ex exacerbatione febris, & inflammationis, detrimentum subsequatur, quam ex abstersione emolumentum resultet.

De medicamentis Ictericis ab Andromacho scriptis.

Andromachus quatuor medicamenta ad Ictericos indefinitè tradidit, minimè quidem periculosi vsus in iis, qui non febricitant, B verùm non securi in febricitantibus, & maximè si cum vino, aut vino mulso ea quis exhibeat, quemadmodum aliquando damus in febribus moderatis, & visceris obstructione. Quare ex aceto mulso non valdè acido securius est tunc ea propinare. Sunt autem huiusmodi quatuor medicamenta iuxta illius ipsius dictionem subscripta. *Ad Ictericos.* In colocynthidis calicem vinum fundito, calefacito, ac bibendum dato; subducit aluum. Idem thus facit. *Aliud ad Ictericos.* ℞. adianti obolos tres, nardi obolos duos, absinthij drachmam vnam, myrrhæ obolos tres, excipe passo, ac dato C nucis auellanæ magnitudine ex aquæ cyathis duobus. *Aliud ad Ictericos, quo vtor.* Struthion cum croco coloratum nucis Ponticæ magnitudine ex aqua, aut aqua mulsa, dato. Datur & anchusa cochlearis mensura. *Aliud ad Ictericos, vt Apollonius.* ℞. erui drachmas vigintiquatuor, cornu cerui vsti drachmas octo, thuris drachmas tres, nardi celticæ drachmas duas, nardi Syriacæ drachmam vnam, piperis sesquidrachmam, schœnanthi drachmam vnam, myrrhæ obolos duos, costi obolos duos, cassiæ obolum vnum, cinnamomi obolum vnum. Vtere sicco, cum vini mulsi D cyathis tribus.

De medicamentis Ictericis ab Asclepiade scriptis in tertio internorum.

Ex iis, quæ antea dixi, apparet, etiam si citra discrimen medicamenta prodantur, quæ fugienda sint febricitantibus. Consueuit autem Asclepiades aliquando distinguere, apponendo, febrientibus hoc modo exhibere oportere medicamentum, non febrientibus hoc modo; vbi verò omninò nihil apponit, iis in non febrientibus magis est E vtendum; quemadmodum sanè etiam, quando ex vino solo, aut vino mulso, vsum fieri debere censemus, talia enim non febrientibus conueniunt. Verùm scripta ab ipso medicamenta hæc sunt. *Potio ad Ictericos.* cichorij succi cyath. vj. febrientibus per se dato, non febrientibus autem cum vini cyathis iij. *Aliud.* solani succi cyath. j. & vini mulsi diluti dimidium. *Aliud inspersile.* anchusæ tenuissimè tritæ cochlearia ij. cum aqua potabili exhibe. *Aliud.* struthij cochleare j. dato cum mulsi diluti cyathis iij. *Aliud Nicerati ciens vrinam.* ℞. cicerum siccorum sextarium j. rosmarini manipulum, aquæ sextar. vj. fœniculi manipulum, F asparagorum palustrium radicum manipulum; præparato, ac dato, vt dictum est coctum, ac excolatum liquorē febrientibus simpliciter, & assiduè bibendum; non febrientibus cum vino diluto. *Aliud.* ℞. cicerum sextarium j. adianti manipulum, aquæ sextar. vj. asparagorum palustrium radicum manipulū præparato, & exhibeto, velut dictū est.

Pastillus ad Ictericos: facit & ad Hepaticos.

♃. Amygdalarum amararum mundatarum drach. iv. anisi, absinthij, vtriusque drach. vnam, nardi Indicæ, asari, vtriusque drach. j. tusa & cribrata aqua subigito, ac formatis pastillis drach. j. cum vini mulsi cyathis iij. non febrientibus dato. *Alius, quo vsus est Charixenes.* ♃. asari, absinthij, vtriusque drach. octo; seminis anisi, fœniculi, seminis apij, amygdalarum amararum repurgatarum, singulorum ʒ. iv. aqua subige, ac forma pastillos; & exhibe, vt dictum est.

Nicerati Errhinum quod morbum regium expurgat, quando reliquum corpus iuxta naturam habuerit, oculi verò pallidi permanserint.

Aceti acerrimi cochleare vnum in balneo naribus attrahendum exhibe; detrahit multæ bilis fluxionem. *Eiusdem aliud.* Nasturtij viridis folia tenera, aut rosmarini viridis folia tenerrima, terito; & expresso inde liquore, vt prædictum est vtitor. *Aliud eiusdem.* Elaterium cum lacte muliebri tritum naribus infundito, & attrahere iubeto. *Aliud.* Cyclamini succum ex aqua dissolutum: vtere sicuti dictum est.

Quæ medicamenta Archigenes ad Ictericos conscripsit in secundo medicamentorum secundum genus.

Ad Ictericos conuenienti diæta & ductu per frequentes deambulationes, & multa vnguentorũ frictione vtaris, ampliusq; fomentis siccis, & subscriptis medicamentis. Aiunt eos, qui in febribus morbũ regium incidunt, rubi canini fuluo fructu comesto, statim probè iuuari. Auxiliatur & chelidoniæ herbæ succus cum vino, aut aqua mulsa potatus; aut adiantũ, vel rubiæ radicis ob. iij. cũ aqua mulsa exhibe. Aut struthion cum melle delingat. Aut fellis vrsini cyathum bibendũ dato. Aut hyperici ʒ. j. ex vino mulso propinato, vel aquę mulsę cyatho vno. Aut helxinæ decoctũ ad dies v. vel vj. cum vino mulso. Aut stercoris canini albi sextantẽ cum mellis quadrante ad triduum bibendũ dato. Aut lichenas in petris nascentes, cum aqua mulsa propina. Aut lichenis in tegulis, vel lapidibus nascentis ʒ. j. ex meraco propina. Aut nasturtium, cũ olei cyatho vno bibendũ præbeto, radicem verò eius in nares indito. Aut absinthij cochlearia iv. anisi cochlearia iij. exhibeto ex aceto mulso. Aut oxylapathi, siue lapathi radicis tritæ acetabulũ dato ex aqua mulsa; si non febriat, cum vino, aut vino mulso. Aut adianti, & menthę, & rubiæ parẽ mensuram in aqua feruefacito, & heminã inde bibendam exhibeto, diutiùs ad Solẽ insolato, ac sitienti, & anheloso, quo post acceptũ potũ exudet; statim transmutat colorẽ. Aut adianti, & myrrhæ eius dimidium, ieiuno à balneo exhibeto in vini hemina dimidia. Aut leporis coagulũ, cum meraco ad dies quinque, vel sex præbeto. Aut scolopendrij ʒ. iv. ieiunis ex vino ad dies quinque, vel sex dato. Aut menthæ, & rubiæ, ac adianti æquas portiones cum aquæ cyathis duobus propinato. Aut betæ foliorũ crudorum ʒ. vj. myrrhæ ob. ij. cum aqua mulsa ieiunis exhibeto; ac prælotis, ac ieiunis, cum vini hemina dimidia dato. Aut ♃ adianti ʒ. j. myrrhæ ʒ. viij. menthæ ʒ. j. in aquæ heminis duabus coquito, donec medietas supersit; deinde vbi plurimũ deãbulauerit, probè fricato, & spiritu adhuc sublimiore existente, bibendã dato; hoc ad biduum facito.

A Τροχίσκος ἰκτερικοῖς, ποιεῖ δὲ ἡπατικοῖς.

♃. Ἀμυγδάλων πικρῶν κεκαθαρμένων < δ΄. ἀνίσου, ἀψινθίου ἀνὰ < α΄. νάρδου Ἰνδικῆς, ἀσάρου ἀνὰ < α΄. κόψας καὶ σήσας, ὕδατι φυράσας, ἀνάπλαττε τροχίσκους, καὶ δίδου < α΄. ἀπυρέτοις μετ᾽ οἰνομέλιτος κυάθων τριῶν. Ἄλλος, ᾧ ἐχρήσατο Χαριξένης. ♃. ἀσάρου, ἀψινθίου ἀνὰ < η΄. ἀνίσου σπέρματος, μαράθρου, σελίνου σπέρματος, ἀμυγδάλων πικρῶν κεκαθαρμένων, ἀνὰ < δ΄. ὕδατι φυράσας, ἀνάπλαττε τροχίσκους, καὶ δίδου καθὰ προείρηται.

B Νικηράτου ἔῤῥινον, καθαρτικὸν ἰκτερικοῦ, ὅταν τὸ μὲν ἄλλο σῶμα κατὰ τὴν φύσιν ἔχῃ, οἱ δὲ ὀφθαλμοὶ μένωσιν ὠχροί.

Δίδου ἐν βαλανείῳ, ὄξους δριμυτάτου κοχλιάριον ἓν διὰ τῶν μυκτήρων ἀνέλκειν, ἀποῤῥεῖ χολώδες πολύ. τοῦ αὐτοῦ. καρδάμου χλωροῦ τὰ ἁπαλὰ φύλλα, ἢ λιβανωτίδος χλωρᾶς τὰ ἁπαλώτατα τρίψας, καὶ τούτων τὸ ὑγρὸν ἐκθλίψας, χρῶ καθὰ προείρηται. τοῦ αὐτοῦ. ἐλατήριον μετὰ γάλακτος γυναικείου τρίψας ἐγχυμάτιζε τοὺς μυκτῆρας, καὶ κέλευε ἀνασπᾶν. Ἄλλο. κυκλαμίνου χυλὸν ὕδατι λειώσας χρῶ καθὰ προείρηται.

C Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα φάρμακα πρὸς ἰκτερικοὺς, ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος φαρμάκων.

Ἐπὶ δὲ τῶν ἰκτερικῶν τῇ ἁρμοδίῳ διαίτῃ, καὶ διαγωγῇ, διά τε περιπάτων ἱκανῶν, καὶ πολλῆς τῆς ἐπὶ τοῖς ἀλείμμασι τρίψεως, ἔτι τε τῶν ξηρῶν πυριῶν, χρῶ καὶ τοῖς ὑπογεγραμμένοις. Φασὶ τοὺς ἐν πυρετοῖς ἐὰν ἰκτεριῶσιν ἐσθίοντας τὸν πυῤῥὸν καρπὸν τῆς κυνοσβάτου, ὠφελεῖσθαι παραχρῆμα καλῶς. ὠφελεῖ καὶ τῆς χελιδόνος βοτάνης ὁ χυλὸς μετ᾽ οἴνου, ἢ ὑδρομέλιτος ποτιζόμενος. ἢ ἀδίαντον, ἢ ἐρυθροδάνου ῥί-
D ζης τριώβολον μετὰ μελικράτου δίδου. ἢ στρούθιον μετὰ μέλιτος ἐκλειχέτωσαν. ἢ ἄρκτου χολῆς ὅσον κύαθον δίδου πίνειν. ἢ ὑπερικοῦ Γο α΄. πότιζε μετ᾽ οἰνομέλιτος. ἢ μελικράτου κύαθον α΄. ἢ ἑλξίνης ἀφέψημα ἐπὶ ἡμέρας ε΄. ἢ ς΄. μετ᾽ οἰνομέλιτος. ἢ κυνείας λευκῆς Γο β΄. μετὰ μέλιτος Γο γ΄. ἐπὶ ἡμέρας γ΄. δίδου πίνειν. ἢ τοὺς ἀπὸ τῶν πετρῶν λειχῆνας πότιζε μεθ᾽ ὑδρομέλιτος, ἢ λειχῆνος τοῦ ἐπὶ τοῖς κεράμοις, ἢ λίθοις γινομένου < α΄. ἐν ἀκράτῳ πότιζε. ἢ κάρδαμον σὺν ἐλαίου κυάθῳ ἑνὶ δὸς πιεῖν. Εἰς δὲ τοὺς ῥώθωνας, τὴν ῥίζαν αὐτοῦ ἔμβαλλε. ἢ ἀψινθίου κοχλιάρια δ΄. ἀνίσου κοχλιάρια γ΄.
E δίδου ὀξυμέλιτος. ἢ ὀξυλαπάθου. ἢ λαπάθου ῥίζης λείας ὀξύβαφον, δίδου μεθ᾽ ὑδρομέλιτος. ἐὰν δὲ μὴ πυρέσσοι, μετ᾽ οἴνου, ἢ ὀξυμέλιτος. ἢ ἀδιάντου, καὶ ἡδυόσμου, καὶ ἐρυθροδάνου ἴσον ζέσας ἐν ὕδατι δίδου πιεῖν κοτύλην α΄. ἐν ἡλίῳ ἡλιασμένῳ ἐπὶ πολὺ, καὶ δεδιψηκότι, καὶ πνευματιῶντι, ἵνα πιὼν ἱδρώσῃ. εὐθέως μεταβάλλει τὸ χρῶμα. ἢ ἀδιάντου καὶ σμύρνης τὸ ἥμισυ, νήστει λελουμένῳ δίδου, ἐν οἴνου κοτύλης ἡμίσει. ἢ λαγωοῦ πιτύαν μετὰ ἀκράτου, ἐπὶ ἡμέρας ε΄. ἢ ς΄. δίδου. ἢ σκολοπενδρίου < δ΄. ἐν οἴνῳ δίδου νήστει ἐπὶ ἡμέρας ε΄. ἢ ς΄. ἢ ἡδύοσμον, καὶ ἐρυθρόδανον, καὶ ἀδίαντον, ἴσα πότιζε μεθ᾽ ὕδατος κυάθων β΄. ἢ
F τεύτλου φύλλων ὠμῶν < ς΄. σμύρνης ὀβολοὺς δύο. μετὰ μελικράτου νήστει πότιζε. ἢ προλουσας ἐπιμελῶς, νήστει δίδου μετ᾽ οἴνου κοτύλης ἥμισυ. ἢ ♃. ἀδιάντου < α΄ σμύρνης < η΄. ἡδυόσμου < α΄. ὕδατος κοτύλας δυο, ἕψε μέχρι τὸ ἥμισυ λειφθῇ. εἶτα περιπατήσαντα πολλὰ τρίψας εὖ μάλα, ἔτι μετεωροτέρου τοῦ πνεύματος ὄντος δὸς πιεῖν. τοῦτο ποίει ἐπὶ ἡμέρας δύο.

ἢ ἐρεβίνθους τοὺς ὀροβίας ἐξαιθριάσας ἐν ὕδατι, δὸς τοῦ ὕδατος πίνειν, καὶ τοὺς ἐρεβίνθους ἐπιφαγεῖν πρωῒ καὶ δείλης, εἶτα τρεῖς ἡμέρας ἀψίνθιον ἐν μελικράτῳ πινέτωσαν. ἢ κυκλαμίνου χυλῷ διὰ ῥινὸς καθάρας, λοῦε. ἢ τὴν λεγομένην ὀρόντιον βοτάνην πολλὴν καθεψήσας, ἢ ἀφεψήσας, λοῦε τῷ ἀφεψήματι, καὶ καταστήσεις εὐθέως γίνεσθαι τὸ ὕδωρ χλωρόν. ἢ τὴν ὑπὸ τὴν γλῶτταν τέμνε φλέβα. εἰ δὲ πρὸς μηδὲν τούτων ἐπείκοιτο, τό τε τῆς διὰ σκαμμωνίας, καὶ ἀκριβοῦς διαίτης αὐτοῖς ἀκτέον, καὶ ἐπὶ τούτῳ, ἐπὶ γυμνάσια ἀπολυτέον.

A Aut cicer eruinum in aqua sub dio per noctem exponito, aquamque bibendam dato, & cicer insuper comedendum manè, ac vesperi; inde verò per triduum absinthium ex aqua mulsa bibant. Aut cum cyclamini succo purgatis naribus lauato. Aut herbam orontiũ appellatam coquito, & cum decocto lauato, & decoctum confestim viride reddes. Aut venam sub lingua secato. Quòd si ad nullum horum auxiliorum malum cedat, expurgatione per scammoniam, & exquisita diæta vtantur, atque ita ad exercitia progrediantur.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ σπληνός.

ΟΤι πάντα τὰ μόρια τὸν οἰκεῖον ἑαυτοῖς ἐκ τῶν φλεβῶν ἕλκει χυμόν, ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι μεμαθηκότες, ἐν οἷς καὶ ὅτι τὴν οἷον ἰλὺν τοῦ αἵματος, ἐξ ἧς ἡ μέλαινα γίνεται χολή, τὸ σπλάγχνον τοῦτο τὴν τροφὴν ἔχει. πρὸς αὐτοῖς δὲ ἀναμνησθέντες, καὶ ὅσα κατὰ τὴν θεραπευτικὴν μέθοδον εἴρηται περὶ σπληνός, ὁμοίως ἀκολουθήσετε τοῖς νῦν λεχθησομένοις, ὧν τὸ πρῶτον καὶ κυριώτατόν ἐστι τὸ, ὅτι τάχιστα τὸ σπλάγχνον τοῦτο σκιρροῦσθαι πέφυκεν, τοῦ κατὰ τὰς φλέβας αὐτοῦ σφηνωθέντος αἵματος, οὔτε ἐκκριθῆναι διὰ τὸ πάχος, οὔτε διαφορηθῆναι ῥᾳδίως δυναμένου. λεπτυνόντων οὖν χρῄζει φαρμάκων, ἄνευ θερμότητος ἐπιφανοῦς, ὅπως μὴ παχυνθείη σφοδρότερον ὁ ἐσφηνωμένος ἐν αὐτῷ παχὺς χυμός. ὅπως δ' αὐτῷ φυλάττοιντο αἱ τῆς ἐνεργείας, ἐπιμίγνυται τούτοις τι καὶ τῶν αὐστηρῶν, ὁποῖόν ἐστι καὶ τὸ τῶν στυφόντων γένος. ἐμάθετε γὰρ ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων λόγοις, ὅτι πάντων τῶν μορίων, ἕνεκα τῆς ἑαυτῶν διαμονῆς ἐχόντων δυνάμεις, τήν τε τῶν οἰκείων ἑλκτικήν, καὶ τὴν τῶν ἀλλοτρίων ἀποκριτικήν, καὶ δηλονότι καὶ τὴν ὁμοιωτικὴν ἑαυτοῖς ὧν ἂν ἕλξωσιν, ἐνίοις αὐτῶν ὑπάρχει κατὰ συμβεβηκὸς ὠφελεῖν μεγάλα τὸ σύμπαν σῶμα. τῶν τοιούτων δέ ἐστι καὶ ὁ σπλήν, ἕλκων εἰς ἑαυτὸν ἐκ τοῦ ἥπατος τὴν οἷον τρύγα τοῦ αἵματος, ὥσπερ ἡ μὲν ἐπὶ τοῦ ἥπατος κύστις τὴν χολήν, οἱ δὲ νεφροὶ τὸ οὖρον. ἐὰν οὖν ἀτονήσας ἀδυνατῇ πρὸς ἑαυτὸν ἕλκειν τὸ τοιοῦτον αἷμα, κακοχυμία ἅπαντι τῷ σώματι προστρίβεται. διὰ τοῦτο οὖν αὐτοῦ δεῖ φυλάττεσθαι τὸν φυσικὸν τόνον, ὅπως ἕλκῃ τὴν προσήκουσαν αὐτῷ τροφήν, ὑφ' ἧς ἐνεργείας εἰς εὐχυμίαν τῷ παντὶ σώματι συντελεῖ, τά τε ἐν αὐτῷ γεννηθέντα περιττώματα καταπέμπειν εἰς τὴν γαστέρα δύναται, μετὰ τῶν τῆς τροφῆς περιττῶν ἐκκριθησόμενα. διὰ τοῦτο οὖν αὐτῷ τά τε πάνυ πικρὰ φάρμακα προσφέρομεν, ἔνιά τε μίγνυμεν αὐτοῖς τῶν αὐστηρῶν. εἰς δὲ ὕλην χρήσιμον, ἢ κηρωμάτων τε καὶ μαλαγμάτων ποίησιν ἔνια προστίθεμεν, ὁποῖόν ἐστι φάρμακον ὅ, τε κηρὸς, καὶ ἡ ῥητίνη, καὶ πίττα, καὶ ἄσφαλτος, ὅσα τε ἄλλα τοιαῦτα. κατὰ πρῶτον δὲ λόγον, ὄξος τε καὶ ὀξύμελι χρήσιμα τῷ σπλάγχνῳ, τέμνειν τε καὶ λεπτύνειν τοὺς παχεῖς χυμοὺς δυνάμενα, χωρὶς τοῦ θερμαίνειν. ὥσπερ οὖν ἐπὶ τῶν ἄλλων μορίων, ὅσα διὰ καταπλασμάτων, ἢ ὑγρῶν φαρμάκων ἐπιθέσεως ἢ καταντλήσεως ὠφελεῖ, καθ' ἑτέραν εἴρηται πραγματείαν, οὕτως καὶ νῦν ἐάσας τὰ τοὺς φλεγμαίνοντας ὠφελοῦντα σπλῆνας, μόνων μνημονεύσω τῶν τοῖς σκιρρουμένοις ἁρμοζόντων, ὃ κἂν ταῖς φαρμακίτισι βίβλοις, οἱ πρὸ ἐμοῦ τὴν γραφὴν ἐποιήσαντο, καλοῦντες ἰδίως σπληνικούς, τοὺς ἐν σκίρρῳ διάθεσιν τὸν σπλῆνα ἔχοντας.

B CAPVT II.

De Splenis affectionibus.

QVòd omnes corporis partes familiarem sibi ipsis ex venis trahant humorem, in commentariis de naturalibus facultatibus edocti; in iisdémque etiam, quòd velut fæcem sanguinis, ex qua atra gignitur bilis, hoc viscus alimentum habet, instituti; & vltra hæc memoria tenentes ea, quæ in curandi methodo de splene sunt dicta; facilè assequemini ea, quæ nunc referentur. Quorum primum, & principalissimum hoc est, quòd hoc viscus à natura celerrimè indurari soleat, C sanguine nimirum in venis ipsius obturato, & ob crassitudinem, neque excerni, neque discuti facilè potente. Attenuantibus igitur opus habet medicamentis citra manifestam caliditatem, vt ne vehementiùs incrassescat succus crassus in ipso coercitus; quo verò actiones ipsius conseruentur, ex austeris aliquid his admiscetur, quale est etiam astringentium genus. Didicistis enim in naturalium facultatum commentariis, quòd quum omnes partes suæ conseruationis gratia habeant facultates, tum familiarium attractoriam, tum alienorum expulsoriam, itémque assimilatricem sibi ipsis eorum, quæ attraxerint, aliquibus ipsarum D insuper inest per accidens magnopere iuuare totum corpus. Ex horum genere est, & lien, qui ex hepate in seipsum velut fæcem sanguinis trahit, quemadmodum vesica in hepate bilem, & renes vrinam. Si igitur præ imbecillitate eiusmodi sanguinem ad sese trahere non potest, vitiosus humor vniuerso corpori affricatur. Ob id itaque naturalem ipsius firmitatem custodire oportet, quo conueniens sibi alimentum attrahat; per quam actionem vniuerso corpori ad humorum bonitatem confert, & generata in ipso recrementa in ventrem demittere potest, vnà cum ciborum re-E crementis excernenda. Ea gratia igitur valdè amara medicamenta ipsi offerimus, quædámque ipsis ex austeris miscemus. Quædam verò ad materiam commoda, ad ceratorum videlicet, & malagmatum præparationem apponimus, quale medicamentum est cera, & resina, & pix, & bitumen, & quæcunque alia huiuscemodi. Iuxta primam autem rationem acetum, & acetum mulsum, visceri commoda sunt, vtpote incidere, & attenuare crassos humores potentia citra calefactionem. Quemadmodum igitur in aliis partibus ea, quæ per cataplasmata, aut liquida medicamenta imposita, aut F affusa, fotu auxiliantur, in alio opere relata sunt: Ita & nunc relictis his, quæ inflammato spleni conferunt, eorum solum mentionem faciam, quæ indurato visceri opitulantur, quod ipsum etiam in medicamentariis libris fecerunt, qui ante me scripserunt, propriè eos splenicos appellantes, qui induratam splenis affectionem habent.

A *Medicamenta potabilia ab Andromacho ad splenicos conscripta ad verbum sic habent.*

Potio ad splenicos Antipatri, vt Nilus. ℞. carnis myrobalani drach. iij. hemionitidis herbæ, quam quidam asplenum, quidam scolpendrium dicunt drach. vj. corticis radicis capparis drach. iv. costi drach. iv. chamedryos drach. vj. polij drach. tres, radicis cotyledonis ʒ. ij. corymborum hederæ nigræ grana xxv. ammoniaci thymiamatis drach. iv. seminis hyperici drach. ij. galbani drach. ij. seminis periclymeni drach. j. aut radicis drach. iij. nasturtij nigri ʒ. j. ß. succi fructus scillæ drach. xvj. Dantur B oboli duo in aceto mulso. *Aliud splenicis potabile.* ℞. glandis vnguentariæ drach. iv. hederæ albæ grana xxiv. costi drach. ij. seminis periclymeni drach. ij. hyperici drach. j. alij drach. iv. galbani drach. j. obolos ij. nasturtij drach. iv. excipe succo scillæ cocto. Dato fabam Græcam in aceto mulso. *Aliud.* ℞. carnis myrobalani ʒ. iij. hyperici ʒ. vj. seminis periclymeni ʒ. vj. radicis dauci ʒ. vj. rubiæ, acori, phu Pontici, croci, singulorum ʒ. vj. iunci odorati ʒ. iij. mei drach. vj. nasturtij, chamæpityos, radicis capparis, singulorum drach. vj. polij drach. vj. alij drach. iij. ammoniaci thymiamatis drach. iij. cum aceto mulso pastillos duorum obolorum ponderis formato, & vnum in aceto mulso dato. Facit C & ad hepaticos, & hydropicos. *Aliud, facit ad splenicos.* ℞. trixaginis drach. iv. polij drach. v. chamæpityos drach. iv. rubiæ drach. v. ammoniaci thymiamatis ʒ. iij. artemisiæ drach. iij. myrobalani drach. iv. corticis radicis capparis drach. iij. aristolochiæ drachmas vj. tragacanthæ drach. duas, cum aqua in pastillos triobolares redigito, ac dato ex aceto mulso.

Aliud stomacho commodum. Vtere etiam ad omnem affectionem splenis, facit & ad conuulsa, inflata, & vitia muliebria. D

℞. Myrrhæ drach. iv. nardi Indicæ drach. iv. corticis radicis capparis drach. iv. costi drach. v. radicis panacis drach. iv. radicis peucedani ʒ. iv. dictamni ʒ. iv. polij drach. duas, corticis radicis periclymeni ʒ. iv. rubiæ ʒ. iij. ß. ammoniaci thymiamatis ʒ. iv. ß. aliqui etiam iridis drach. iv. & dimidiam; excipe aceto mulso; præbe obolos duos in aceto mulso. *Aliud splenicis, orthopnoicis.* ℞. struthij, scillæ assatæ, panacis, radicis capparis, singulorum drach. v. crocomagmatis drach. ij. & dimidiam; excipe aceto, & præbe in aceto scillitico. E *Aliud.* ℞. struthij, corticis radicis capparis, trixaginis, panacis, singulorum drach. x. fructus myricæ drach. iij. excipe aceto scillitico, & drach. j. ex aceto scillitico exhibeto.

Medicamenta potabilia ab Asclepiade ad splenem conscripta.

Cynoglossi manipulum cum vini cyathis iij. terito, & expressum liquorẽ ante cibum bibendũ dato; facit & succus per se. Colligere autẽ oportet herbam sinistra manu ante Solis exortum. *Aliud.* F trixaginis manipulũ cum vini sextario vno coquito, & expressum liquorem reponito, atque ex eo cyathos ij. ante cibum dato. *Aliud medicamentum inspersile splenicis.* Myricæ fructũ tusum, & cribratum reponito; vsus verò tempore cochlearia duo cum aceti mulsi diluti cyathis tribus dato. Aut herbam pelargitin appellatam tusam, ac cribratam

Τὰ ὑπ' Ἀνδρομάχου γεγραμμένα ποτὰ φάρμακα, πρὸς σπληνικοὺς κατὰ λέξιν οὕτω.

Πότημα πρὸς σπληνικοὺς Ἀντιπάτρου, ὡς Νεῖλος. ℞. μυροβαλάνου σαρκὸς < γ'. ἡμιονίτιδος βοτάνης, ἣν οἱ μὲν ἄσπληνον, οἱ δὲ σκολοπένδριον λέγουσιν < ϛ'. καππάρεως ῥίζης φλοιοῦ < δ'. κόστου < δ'. χαμαίδρυος < ϛ'. πολίου < γ'. κοτυληδόνος ῥίζης < β'. κισσοῦ μέλανος τῶν κορύμβων κόκκους κε'. ἀμμωνιακοῦ θυμιάματος < δ'. ὑπερικοῦ καρποῦ < β'. χαλβάνης < β'. περικλυμένου καρποῦ < α'. ἢ τῆς ῥίζης < γ'. καρδάμου μέλανος < α' S'. σκίλλης καρποῦ ὀποῦ < ιϛ'. ἐν ὀξυμέλιτι δίδου ὀβολοὺς β'. Ἄλλο σπληνικοῖς πότιμον. ℞. βαλάνου μυρεψικῆς < δ'. κισσοῦ λευκοῦ κόκκους κδ'. κόστου < β'. περικλυμένου σπέρματος < β'. ὑπερικοῦ < α'. σκορόδου < δ'. χαλβάνης < α'. ὀβολοὺς β'. καρδάμου < δ'. ἀναλάμβανε σκίλλης ἑφθῷ χυλῷ, δίδου κύαμον Ἑλληνικὸν δι' ὀξυμέλιτος. Ἄλλο. ℞. μυροβαλάνου σαρκὸς < γ'. ὑπερικοῦ < ϛ'. περικλυμένου καρποῦ < ϛ'. δαύκου ῥίζης < ϛ'. ἐρυθροδάνου, ἀκόρου, φοῦ Ποντικοῦ, κρόκου ἀνὰ < ϛ'. σχοίνου < γ'. μήου < ϛ'. καρδάμου, χαμαιπίτυος, καππάρεως ῥίζης, ἀνὰ < ϛ'. πολίου < ϛ'. σκορόδου < γ'. ἀμμωνιακοῦ θυμιάματος < γ'. ὀξυμέλιτος ἀναλάμβανε τροχίσκους ἀνὰ ὀβολοὺς β'. καὶ δίδου ἐν ὀξυμέλιτι ἕνα. ποιεῖ δὲ καὶ πρὸς ἡπατικοὺς, καὶ ὑδρωπικούς. Ἄλλο ποιεῖ σπληνικοῖς. ℞. χαμαίδρυος < δ'. πολίου < ε'. χαμαιπίτυος < δ'. ἐρυθροδάνου < ε'. ἀμμωνιακοῦ θυμιάματος < γ'. ἀρτεμισίας < γ'. μυροβαλάνου < δ'. καππάρεως ῥίζης φλοιοῦ < γ'. ἀριστολοχίας < ϛ'. τραγακάνθης < β'. ὕδατι ἀναλάμβανε τροχίσκους τριωβολιαίους, δίδου ἐν ὀξυμέλιτι.

Ἄλλο εὐστόμαχον. χρῶ δὲ πρὸς πᾶσαν διάθεσιν σπληνός. ποιεῖ δὲ πρὸς σπάσματα, πνευματώσεις, καὶ πρὸς γυναικεῖα πάθη.

℞. Σμύρνης < δ'. νάρδου Ἰνδικῆς < δ'. καππάρεως ῥίζης φλοιοῦ < δ'. κόστου < ε'. πάνακος ῥίζης < δ'. πευκεδάνου ῥίζης < δ'. δικτάμνου < δ'. πολίου < β'. περικλυμένου ῥίζης φλοιοῦ < δ'. ἐρυθροδάνου < γ' S'. ἀμμωνιακοῦ θυμιάματος < δ' S'. ἔνιοι καὶ ἴρεως < δ' S'. ὀξυμέλιτι ἀναλάμβανε, δίδου ὀβολοὺς δύο ἐν ὀξυμέλιτι. Ἄλλο σπληνικοῖς, ὀρθοπνοϊκοῖς. ℞. στρουθίου, σκίλλης ὀπτῆς, πάνακος, καππάρεως ῥίζης ἀνὰ < ε'. κροκομάγματος < β' S'. ὄξει ἀναλάμβανε, δίδου ἐν ὀξυμέλιτι σκιλλητικῷ. Ἄλλο. ℞. στρουθίου, καππάρεως ῥίζης φλοιοῦ, χαμαίδρυος, πάνακος ἀνὰ < ι'. μυρίκης καρποῦ < γ'. ὄξει σκιλλητικῷ ἀναλάμβανε, καὶ < α'. δίδου ἐν ὀξυμέλιτι σκιλλητικῷ.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα ποτὰ φάρμακα, πρὸς σπλῆνα.

Κυνογλώσσου χειροπληθὲς λαβὼν, τρίβε μετ' οἴνου κυάθων γ'. καὶ τὸ ὑγρὸν ἐκθλίψας, δίδου πίνειν πρὸ τροφῆς, ποιεῖ καὶ ὁ χυλὸς κατ' ἰδίαν. αἴρειν δὲ δεῖ τὴν βοτάνην εὐωνύμῳ χειρὶ, πρὶν ἡλίου ἀνατολῆς. Ἄλλο. χαμαίδρυος χειροπληθὲς ἀφέψας, μετ' οἴνου ξε α'. καὶ τὸ ὑγρὸν ἐκθλίψας ἀπόθου, καὶ δίδου κυάθους δύο πρὸ τροφῆς. καταπλαστὸν σπληνικοῖς. μυρίκης καρπὸν κόψας καὶ σήσας, ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως, δίδου κοχλιάρια β'. μετ' ὀξυμέλιτος κεκραμένου κυάθων τριῶν. ἢ βοτάνην τὴν λεγομένην πελαργῖτιν, κόψας καὶ

σήσας, δίδου καθὰ προείρηται. Ἄλλο. ὀνάγρου, ἢ ἵππου ἀγρίου σπλῆνα ξηράνας κόψε, ἀπόθου, καὶ δίδου κ. χλιάρια β'. μετ' οἴνου κεκραμένου κυάθων τειῶν. καταπότιον σπληνικοῖς. κισσοῦ λευκοῦ τῶν κορύμβων δίδου κόκκους γ'. καὶ ὀξυμέλιτος ἐπιπιεῖν κυάθους γ'. Ἀνδρέου τὸ παιόνιον. μυρίκης τὸν καρπὸν κόψας καὶ σήσας, ἀναλάμβανε χαλβάνῃ, καὶ ποίει καταπότια, καὶ δίδου πρὸς δύναμιν.

Τροχίσκος σπληνικὸς, ὑπεκτήκει τὸν ὄγκον.

℞. Ἐρείκης καρποῦ < δ'. πεπέρεως λευκοῦ, νάρδου Συριακῆς, ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ < β'. τὰ ξηρὰ κόπτεται καὶ σήθεται· τὸ δὲ ἀμμωνιακὸν ὄξει σκιλλητικῷ διαλύεται, καὶ τοῖς ξηροῖς ἐπιβαλλόμενον ἀναπλάττεται, καὶ γίγνονται τροχίσκοι, ἀνὰ < α'. ἄγοντες, δίδοται < α'. καὶ ὀξυμέλιτος κύαθοι γ'. ὁ δοὺς τὸ φάρμακον, ἔλεγεν πεπωκέναι δελφάκιον ἐπὶ ἡμέρας τρεῖς. μετὰ δὲ ταῦτα τὸ δελφάκιον ἀνατμηθὲν, ἄσπληνον εὑρεθῆναι.

Ἄλλο ὑπεκτήκει τὸν ὄγκον.

℞. Ἀμμωνιακοῦ θυμιάματος, βάτου φύλλων τῶν ἁπαλωτάτων, ἀνὰ < η'. καππάρεως φλοιοῦ < δ'. μυρίκης καρποῦ, βοτάνης ἀσπληνίου, λεγομένης σκολοπενδρίου, ἢ ἡμιονίτιδος, ἀνὰ < β'. σκίλλης ὀπτῆς κεκαθαρμένης τοῦ πυρῆνος, πεπέρεως λευκοῦ, ἀνὰ < β'. ὕδατι ἀναλάμβανε, καὶ ἀνάπλαττε τροχίσκους, καὶ δίδου < α'. μετ' ὀξυμέλιτος κυάθων γ'. Χρυσέρμου σπληνικοῖς, ὑδρωπικοῖς. ἔστι δὲ καὶ διουρητικοῖς ἀγαθὴ, κοιλίας μαλακτική. σκίλλαν εὐμεγέθη πηλῷ περιπλάσας, ὄπτα καὶ περίελε τὸν φλοιὸν, καὶ τοῦ πυθμένος τὸ σκληρὸν, τοῦ δὲ πυρῆνος λαβὼν λίτρας β'. δαύκου σπέρματος ὀξύβαφον, ὅ ἐστιν ℥ α'. ἀνίσου, σεσέλεως, πάνακος ῥίζης, ἴρεως ἑκάστου ἴσον, κνίδης σπέρματος, κεδρίδων ἀνὰ < ιβ'. σμύρνης < δ'. ὀρόβων ἀληλεσμένων χοίνικα, οἴνου εὐώδους ὅσον ἐξαρκεῖ, φυράσας ἀνάπλαττε τροχίσκους. ἔχει δὲ καὶ τραγακάνθης μνᾶς δ'. ἡ δόσις < α'. μετ' ὀξυμέλιτος τειῶν κυάθων. Ἄλλο. Εὐγηρασίας. ℞. σκίλλης ὀπτῆς κεκαθαρμένης, μνᾶς δύο, βρυωνίας ῥίζης μνᾶς η'. πεπέρεως λευκοῦ τὸ ἴσον, πετροσελίνου τὸ ἴσον, δαύκου Κρητικοῦ σπέρματος τὸ ἴσον, ὀρόβων ἀληλεσμένων τὸ ἴσον, κεδρίδων ξέ. ς'. ἐχέτω δὲ ὁ ξέστης ℥ η'. ἴρεως, πάνακος ῥίζης, σμύρνης ἀνὰ ℥ γ'. οἴνου Φαλερίνου εἰς ἀνάληψιν ὅσον ἐξαρκεῖ, ἀνάπλαττε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ, δίδου < α'. μετ' οἴνου κεκραμένου κυάθων γ'.

Ἐπιθέματα καὶ ἔμπλαστρα τοῦ αὐτοῦ Ἀσκληπιάδου, πρὸς τὰς προσφάτους τοῦ σπληνὸς φλεγμονάς.

℞. Δένδρου ἀκτῆς τῶν ἁπαλωτάτων φύλλων λίτρας γ'. ἀλόης λίτραν α'. σκεύαζε δι' ὄξους, καὶ εἰς ὀθόνιον ἐμπλάσας ἐπιτίθει. Ἄλλο. ℞. ἐρείκης καρποῦ ℥ ς'. χαλβάνης λίτραν α'. ἔνιοι ℥ ς'. τὸν καρπὸν κόπτε καὶ σῆθε, καὶ οὕτως ἐπίβαλλε τὴν χαλβάνην, καὶ μίξας φιλοπόνως, εἰς ὀθόνιον ἐπιτίθει ἐμπλάσας.

Τὸ τοῦ Ἰδιώτου φάρμακον ἐπιτετευγμένον.

℞. Ἰξοῦ δρυΐνου λίτραν α'. ἀσβέστου λίτραν α'. τὸν ἰξὸν βαλὼν εἰς ἀγγεῖον κεραμεοῦν καὶ θεὶς ἐπ' ἀνθράκων, ἔα διαλύεσθαι· ὅταν δὲ διαλυθῇ, κατάπασσε τὴν ἄσβεστον, καὶ μίξας, καὶ θερμὸν ἐμπλάσας εἰς δέρμα λευκὸν ἐπιτίθει. δεῖ δὲ καὶ συλλούεσθαι

A dato, vt prædictum est. *Aliud.* Asini, aut equi syluestris lienem siccatum tundito, ac reponito; & cochlearia duo cum vini diluti cyathis tribus exhibeto. *Catapotium splenicis.* Corymborum hederæ albæ grana tria deuoranda præbe, & aceti mulsi cyathos iij. insuper bibendos. *Catapotium Andreæ, pæonium dictum.* Myricæ fructum tusum, & cribratum galbano excipe, & in catapotia redige, eaque pro viribus exhibe.

Pastillus splenicus, tumorem eliquat.

℞. Fructus ericæ drachmas quatuor, piperis
B albi, nardi Syriacæ, ammoniaci thymiamatis, singulorum drachmas duas, arida tunduntur, & cribrantur; ammoniacum aceto scillitico dissoluitur, & aridis additum in pastillos cogitur. Fiunt autem pastilli drachmæ pondere, daturque drachma vna, ex aceti mulsi cyathis tribus. Qui medicamentum hoc tradidit, dixit porcellum ad triduum hoc bibisse, & postea resectum sine liene inuentum esse.

Aliud splenem tumentem eliquans, & consumens.

℞. Ammoniaci thymiamatis, foliorum rubi
C tenerrimorum, vtrorumque drach. viij. corticis capparis drach. iv. myricæ fructus, herbæ aspleni, quæ & scolopendrium, & hemionitis dicitur, vtriusque drach. ij. nuclei scillæ assatæ, & purgatæ, piperis albi, vtriusque drach. ij. excipe aqua, & redige in pastillos: atque exhibe drach. vnam, cum aceti mulsi cyathis tribus. *Chrysermi pastillus, splenicis, hydropicis, ciet vrinam, mollit aluum.* Scillam magnam luto oblitam assato, & corticem detrahito, ac quod ad fundum est durum; ex nucleo verò libras duas accipito, seminis dauci drach. viij. hoc est ℥. j. anisi, seseleos, radicis panacis, iridis,
D singulorum tantundem; seminis vrticæ, baccarum cedri, vtrorumque drach. duas, myrrhæ drach. iv. erui moliti chœnicem, vini odorati, quod satis est; subacta in pastillos redigito, habet autem & tragacanthæ minas quatuor. Datur drac. vna cum aceti mulsi cyathis iij. *Aliud Eugerasiæ* ℞. scillæ assatæ depuratæ minas duas, radicis bryoniæ minas viij. piperis albi tantundem, petroselini tantundem, seminis dauci Cretici tantundem, erui moliti tantundem; cedridum sextarios sex, habeat verò sextarius vncias octo, iridis, radicis panacis, myrrhæ, singulorum quadrantem; vini Falerni quantum satis est his in pa-
E stillos cogendis. Formatos autem pastillos in vmbra resicca, & vnciam vnam, cum vini diluti cyathis iij. exhibe.

Epithemata & emplastra eiusdem Asclepiadæ ad recentes splenis inflammationes.

℞. Foliorum tenerrimorum arboris sambuci lib. iij. aloës lib. j. cum aceto subigito; & linteolo infarta imponito. *Aliud.* ℞. ericæ fructus semissem, galbani lib. j. alij semissem; fructum tundito, ac cribrato: atq; ita galbanum addito, ac diligenter misceto atque in linteolum impacta imponito.

F

Medicamentum Idiotæ, accommodatum.

℞. Visci quercini lib. j. calcis viuæ lib. vnam, viscum in vas fictile coniectum, ac prunis appositum, dissoluito; & dissoluto calcem viuam inspergito, misceto, & calidum albæ pelli infartum imponito; oportet autem, cum adhærente adhuc

medica-

medicamento lauari, atque ita sinere donec sua sponte cadat. Curam item habere oportet, vt disparatæ splenij partes resecentur. *Alud.* ♃. visci quercini lib. j. calcis viuæ ℥. j. floris lapidis Asij trientem, cedriæ ℥. j. præparato pro more, ac vtere quotidie auferens medicamentum, spongiis calidis fouens locos, rursusque imponens. Hoc medicamentum vrinam mouet.

Malagma auri colorem referens, valdè commodum.

♃. Ceræ, resinæ pinus, & frictæ, singulorum lib. ij. arsenici, aluminis scissi, calcis viuæ, singulorum sextantem, aceti, olei, vtriusque cyathos viij. apparato pro more.

Aliud valdè generosum, quo vsus est Andromachus.

♃. Ceræ, resinæ pinus, picis brutiæ aridæ, singulorum lib. ij. arsenici, aluminis scissi, calcis viuæ, singulorum sextantem; aceti cyathos viij. præpara pro consuetudine. Facit ad splenicos, hydropicos, & ad præcordia distenta. Facit & ad ischiadicos, arthriticos. Nos ad medicamentum hoc apposuimus myrrhæ ℥. ij. ß. visci trientem.

Ad induratas splenis affectiones, vsus est Tryphon Cortyniates.

♃. Fœnigræci moliti, sinapi, mannæ thuris, singulorum sextarium vnum; retrimentorum à myrobalano expressa reliquorum sextarij dimidium, spumæ nitri ℥. iij. tenuissimè trita, ac mixta, cedria cocta excipe, vt emplastri liquidi habeant spissitudinem; vsus eius est per interualla; medicamentum autem impositum fasciolis complectere, & obliga. Tempus imponendi est ante balneum, quantum possibile est ægrum ferre; postea verò obligatum adhuc in balneum inducito, & post reliqui corporis curationem, in solium demittito, atque ita in aqua fasciam resoluito.

Aliud ad splenicos per vnam diem sanans. Verùm supra medicamenti impositionem per tres dies certo viuendi modo vtimur.

♃. Myrrhæ, mannæ thuris, vtriusque quadrantem; sinapi Alexandrini, nasturtij, vtriusque sextantem; aceti scillitici, quod satis est: sinapi, & nasturtium tundito, ac cribrato, mannam verò, & myrrham dissoluito; eisque arida addito, & simul aceto subacta ad malagmatis formam reducito; & à secunda hora vsque ad nonam imponito. Postea verò duabus fasciis obligatum in balneum inducimus, atque vbi relaxatus fuerit, in calidæ solium demittemus. In solio verò longiori tẽporis spatio moretur cruribus extra aquam emotis. Ne verò in animi deliquium delabatur, acetum, & pulegium odoret, & fascias paulatim resoluat. Egresso porrò è balneo salsamentum citra panem exhibendum est, & vinum mari mixtum. Sequenti die eadem offerenda sunt. Tertia verò gymnasiis vtendum, quæ spiritum acutum reddere valent. *Aliud Arij Tarsensis. Vsus est per interualla.* ♃. ficuum pinguissimarum, sinapi, radicis capparis corticis, singulorum lib. j. aceti quantum satis est. *Aliud Diodori.* ♃. sinapi, nasturtij fœnigræci, seminis lini, retrimentorum ab expressa myrobalano reliquorum, singulorum ʒ. viij. excipe cedria cocta aceto scillitico admixto. Vsus est ante balneum; medicamentum bonum est, & post vsum sanguinem meiunt.

A τῷ φαρμάκῳ, καὶ οὕτως ἐᾶν ἕως αὐτόματον ἀποπέσῃ. φροντίζειν δὲ δεῖ, ὥστε τὰ ἀφιστάμενα μέρη τοῦ σπληνὸς ἀποκόπτειν. Ἄλλο. ♃. ἰξοῦ δρυΐνου λίτραν α΄. ἀσβέστου ℥ α΄. λίθου Ἀσίου τοῦ ἄνθους ℥ δ΄. κεδρίας ℥ α΄. σκεύαζε κατὰ τρόπον, καὶ χρῶ, καθ' ἡμέραν αἴρων τὸ φάρμακον, καὶ σπόγγοις ἀποπυριῶν τοὺς τόπους, καὶ πάλιν ἐπιρρίπτων. τὸ φάρμακον οὖρα κινεῖ.

Μάλαγμα χρυσίζον, σφόδρα καλόν.

♃. Κηροῦ, πιτυΐνης καὶ φρυκτῆς ἀνὰ λίτρας δύο, ἀρσενικοῦ, στυπτηρίας σχιστῆς, ἀσβέστου ἀνὰ ℥ δύο, ὄξους, ἐλαίου, ἀνὰ
B κυάθους η΄. σκεύαζε κατὰ τρόπον.

Ἄλλο σφόδρα γενναῖον, ᾧ ἐχρήσατο Ἀνδρόμαχος.

♃. Κηροῦ, πιτυΐνης, πίσσης Βρυτίας ξηρᾶς ἀνὰ λίτρας δύο, ἀρσενικοῦ, στυπτηρίας σχιστῆς, ἀσβέστου ἀνὰ ℥ β΄. ὄξους κυάθους η΄. σκεύαζε κατὰ τρόπον, ποιεῖ σπληνικοῖς, ὑδρωπικοῖς, καὶ πρὸς τὰς ὑποχονδρίων διατάσεις, ποιεῖ ἰσχιαδικοῖς, ἀρθριτικοῖς, ἡμεῖς προσεθήκαμεν τῷ φαρμάκῳ σμύρνης ℥ β΄ S. ἰξοῦ ℥ δ΄.

Πρὸς τὰς σκιρρώδεις τοῦ σπληνὸς διαθέσεις. ἐχρήσατο Τρύφων Γορτυνιάτης.

C

♃. Τήλεως ἀληλεσμένης, νάπυος, μάννης λιβάνου ἀνὰ ξε α΄. μυροβαλάνου πιέσματος ξε S. νίτρου ἀφροῦ ℥ γ΄. λειότατα ποιήσας καὶ μίξας, ἀναλάμβανε ἀφεψημένῃ κεδρίᾳ, ὥστε ἐμπλάστρου ὑγρᾶς ἔχειν τὸ πάχος. ἡ χρῆσις ἐν διαλείμματι, ἐπιθεὶς τὸ φάρμακον καταλάμβανε ταινιδίοις. ὁ χρόνος τῆς ἐπιθέσεως, πρὸ βαλανείου, ἐφ' ὅσον οἷόν τέ ἐστι τὸν κάμνοντα φέρειν, ἔπειτα ἐπιδεδεμένον εἰσάγειν εἰς τὸ βαλανεῖον, καὶ μετὰ τὴν λοιπὴν τοῦ σώματος ἐπιμέλειαν ἐμβιβάζειν, καὶ οὕτως ἐν τῷ ὕδατι λύειν τὴν ταινίαν.

D

Ἄλλο σπληνικοῖς, αὐθήμερον. πρὸ δὲ τῆς ἐπιθέσεως τοῦ φαρμάκου, τρεῖς ἡμέρας διαιτώμεθα.

♃. Σμύρνης, μάννης λιβάνου ἀνὰ ℥ γ΄. σινήπεως Ἀλεξανδρίνου, καρδάμου ἀνὰ ℥ β΄. ὄξους σκιλλητικοῦ τὸ ἱκανόν, σίναπι, κάρδαμον κόψας καὶ σήσας, τὴν δὲ μάνναν, καὶ τὴν σμύρναν ἐκλειώσας ἐπίβαλλε τὰ ξηρά, καὶ φυράσας τῷ ὄξει ποίει μαλαγματῶδες, καὶ ἀποτίθει ἀπὸ ὥρας δευτέρας μέχρι ἐννάτης. ἔπειτα δὲ ἐπιδεδεμένον δυσὶ ταινίαις εἰσάγομεν εἰς
E βαλανεῖον, καὶ ὅταν ἀναχαλασθῇ, ἐμβιβάζομεν. ἐν δὲ τῇ ἐμβάσει πλείονα χρόνον κατεχέσθω, ἔξω ἔχων τοῦ ὕδατος τὰ σκέλη. πρὸς δὲ τὸ μὴ λειποθυμεῖν, ὄξος καὶ γλήχωνα ὀσφραινέσθω, καὶ τὰς ταινίας κατὰ μικρὸν ἐπιλυέσθω. ἐξελθόντι δὲ ἐκ τοῦ βαλανείου, δοτέον τάριχος, χωρὶς ἄρτου, καὶ οἶνον τεθαλαττωμένον, καὶ τῇ ἐπιούσῃ τὰ αὐτὰ δοτέον. τῇ δὲ τρίτῃ γυμνασίοις χρηστέον, ἀποξύνειν τὸ πνεῦμα δυναμένοις. Ἄλλο Ἀρείου Ταρσέως, ἡ χρῆσις ἐν διαλείμματι. ♃. σύκων πιοτάτων, σινήπεως, καππάρεως ῥίζης τοῦ φλοιοῦ ἀνὰ λίτραν α΄. ὄξους τὸ ἱκανόν. Ἄλλο Διοδώρου. ♃. σινήπεως, καρδάμου, τή-
F λεως, λινοσπέρμου, μυροβαλάνου πιέσματος ἀνὰ < η΄. ἀναλάμβανε κεδρίᾳ ἑφθῇ, προσφυράσας ὄξει σκιλλητικῷ. ἡ χρῆσις πρὸ βαλανείου, τὸ φάρμακόν ἐστι καλόν, καὶ μετὰ τὴν χρῆσιν αἷμα ἀπουροῦσι.

Τὰ ὑπὸ τοῦ αὐτοῦ Ἀσκληπιάδου γεγραμμένα φάρμακα κατὰ τὸ δ΄. τῶν ἐκτὸς, πρὸς σπληνικοὺς, καὶ ὑδρωπικοὺς, κατὰ λέξιν οὕτως ἔχοντα. A

Ἐπίθεμα σπληνικοῖς τοὺς ὄγκους ὑπεκτήκει. ℞. ἀκτῆς τῶν φύλλων ἁπαλῶν λίτρας γ΄. ἀλόης λιπαρᾶς λίτραν α΄. τρίβε μετ᾽ ὄξους, καὶ λεάνας καὶ ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει. Ἄλλο. ℞. ἐρείκης καρποῦ λίτραν α΄. χαλβάνης λίτραν α΄. κόψας τὸν καρπὸν, καὶ σήσας ἀναλάμβανε χαλβάνῃ, καὶ πάλιν κόπτε παραπτόμενος ἰρίνου ὑποστάθμης, ὥστε μαλαγματῶδες γενέσθαι, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει. Μάλαγμα σπληνικοῖς. B ℞. μυροβαλάνου τῶν λεπύρων κεκομμένων, καὶ σεσησμένων μνᾶς ἥμισυ, καὶ τοῦ πιέσματος τὸ ἴσον, κηροῦ < ς΄. ῥητίνης τερμινθίνης < λβ΄. χαλβάνης < ι΄. ἰρίνου βραχὺ, τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Ἄλλο λίαν γενναῖον. ℞. μυροβαλάνου ἀλεύρων ℥ γ΄. νίτρου ℥ α΄. οἱ δὲ δ΄. κηροῦ ℥ ς΄. τερμινθίνης ℥ η΄. ὄξους τὸ αὔταρκες, ὑπεκτήκει.

Μάλαγμα τὸ διὰ τῆς κεδρίας, σπληνικοῖς, ὑδρωπικοῖς, φάρμακον ἐπιτετευγμένον, οὖρα κινεῖ πολλὰ, καὶ τὸν σπλῆνα ὑπεκτήκει. δεῖ δὲ συλλούεσθαι τῷ φαρμάκῳ, καὶ τὸ ἀφιστάμενον ἀπὸ τοῦ χρωτὸς περικείρειν, τουτέστι τοῦ σπληνίου, ἐᾶν γὰρ δεῖ τὸ φάρμακον περικεῖσθαι, μέχρις οὗ αὐτόματον ἀποπέσοι. ἡ δὲ σύνθεσίς ἐστιν ἥδε. C

℞. Ἰξοῦ δρυΐνου λίτραν α΄. ἀσβέστου ℥ ς΄. λίθου Ἀσίου τοῦ ἄνθους ℥ δ΄. κεδρίας ℥ γ΄. τὸν ἰξὸν ἕψει βαλὼν εἰς λοπάδα χαλκῆν, καὶ ὅταν ξανθὸς γένηται, ἐπίβαλλε τὴν κεδρίαν κινῶν συνεχῶς, καὶ τὰ ξηρὰ λεάνας ἐπίβαλλε, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς ἔα ποσῶς ψυγῆναι, εἶτα ἐμπλάσας εἰς δέρμα λευκὸν τὸ ἀπὸ ἀκάνθης λεγόμενον, ἐπιτίθει κατὰ τῶν παρόντων τόπων, καὶ συλλούεσθαι προσαίνει, ἕως αὐτόματον ἀποπέσοι τὸ σπλήνιον. δεῖ μέντοι, ὥσπερ καὶ ἄνω προείρηται, τὰ ἀφιστάμενα μέρη τοῦ σπληνίου ἀποκείρειν. Ἄλλο σφόδρα γενναῖον. ℞. λίθου Ἀσίου τοῦ ἄνθους ℥ β΄. λίθου γαγάτου ℥ α΄. ἀσβέστου ℥ η΄. ἰξοῦ δρυΐνου D λίτραν α΄. σκεύαζε, καὶ χρῶ καθὰ προείρηται. Μάλαγμα Ἀντιοχίδος, σπληνικοῖς, ὑδρωπικοῖς, ἰσχιαδικοῖς, ἀρθριτικοῖς, ἐσκευάσθη Φαβίλλῃ. ℞. κηροῦ λίτρας γ΄. ῥητίνης τερμινθίνης λίτρας γ΄. μυροβαλάνου πιέσματος λίτραν α΄. νίτρου ἀφροῦ λίτραν α΄. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α΄. ἀμμωνιακοῦ θυμιάματος λίτραν α΄. ἐλαίου κυπρίνου λίτρας γ΄. ὄξος, ὥστε τὸ ἀμμωνιακὸν διαλῦσαι. Ἄλλο Φαβίλλῃ συντεθὲν, σφόδρα γενναῖον πρὸς τὰς αὐτὰς διαθέσεις. ℞. σμύρνης στακτῆς, βδελλίου, ὄνυχος, μυελοῦ ἐλαφείου, ἀμμωνιακοῦ θυμιάματος, ἴρεως ξηρᾶς ἀνὰ λίτρας β΄. ὀποπάνακος λίτραν α΄. χαλβάνης E λίτραν α΄. μαστίχης λίτραν α΄. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α΄. στύρακος λίτραν α΄. ὀποῦ συκομόρων λίτραν α΄. κάγχρυος λίτραν α΄. πεπέρεως λευκοῦ οὐγγίας ς΄. κηροῦ λίτρας ε΄. τερμινθίνης λίτρας ε΄. κοπτόν ἐστι τὸ φάρμακον. καὶ δεῖ κόπτοντας παραπτέσθαι ἰρίνου μύρου τῇ ὑποστάθμῃ ἕως ἂν εὐαφέστατον γένηται τὸ φάρμακον, καὶ γὰρ κείμενον εὐαφέστατον γίνεται. Μάλαγμα ὃ καὶ χρυσίζουσαν καλοῦμεν. ℞. ἀρσενικοῦ ℥ α΄. στυπτηρίας σχιστῆς ℥ β΄. ἀσβέστου ℥ β΄. τὰ ξηρὰ κόπτομεν καὶ σήθομεν, καὶ εἰς θυείαν ἐμβάλλομεν, τούτοις ἐπιβάλλομεν ὄξους κυάθους η΄. καὶ λεάναντες ἐπιμελῶς ἀναλαμβάνομεν F τοῖς τηκτοῖς. ἔστι δὲ ταῦτα κηροῦ λίτρα α΄. ῥητίνης φρυκτῆς λίτραι β΄. πιτυΐνης λίτραι β΄. ἐλαίου κοινοῦ κύαθοι η΄. ταῦτα τήξαντες ἐῶμεν ψυγῆναι, καὶ ἀναξύσαντες ἐπιβάλλομεν τοῖς λεανθεῖσιν. ἡμεῖς προστεθείκαμεν τῇ τοῦ φαρμάκου σκευασίᾳ σμύρνης ℥ β΄.

Medicamenta ab Asclepiade in quarto Externorum conscripta, ad splenicos, & hydropicos; quæ iuxta dictionem eius sic habent.

Epithema splenicis, tumorem eliquat. ℞. foliorum tenerorum sambuci lib. iij. aloës pinguis lib. j. terito cum aceto, & linteolo excepta imponito. *Aliud.* ℞. fructus ericæ lib. j. galbani lib. j. fructum tundito, & cribrato, ac galbano excipito; rursusq; tundito vnguenti irini fæce admota, quo ad malagmatis formam redigantur; deinde linteolo infarta imponito. *Malagma ad splenicos.* ℞. myrobalani corticum tusorum cribratorum minam dimidiam, & expressionis eiusdem tantundem; ceræ drach. vj. resinæ terebinthinæ drach. xxxij. galbani drach. x. irini parum; arida cum liquidis committito. *Aliud valde præclarum.* ℞. farinæ myrobalani quadrantem; nitri ℥. j. alij ℥. iv. ceræ semissem, terebinthinæ bessem, aceti quod sufficit; splenem eliquat.

Malagma ex cedria splenicis, hydropicis, medicamentũ accomodatum. Vrinam ciet multam, & splenem eliquat. Oportet autẽ vnà cum medicamẽto lauari, & quod ab eo disparatũ est, à splenio videlicet, de corporis cuticula desecare; sinendũ enim est adhærescens medicamẽtũ, donec sua spõte dilabatur. Cõpositio hæc est.

℞. Visci quercini lib. j. calcis viuæ semissem, floris lapidis Asij trientem, cedriæ quadrantem; viscum ærea patina coquito, & postquam fuluum factum fuerit, cedriam adiicito, assidueq; moueto, ac arida trita inspergito; deinde ab igne ablata aliqualiter frigefieri sinito; atque in pellem albam à spina appellatam infarta affectis locis imponito; & vnà cum medicamento lauare iubeto, donec splenium sua sponte delabatur. Oportet tamen, vt prædictum est, disparatas splenij partes desecare. *Aliud valde præclarum.* ℞. floris lapidis Asij sextantem, lapidis gagatæ ℥. j. calcis viuæ bessem, visci quercini lib. j. præpara, ac vtere, vt dictum est. *Malagma Antiochidis, ad splenicos, hydropicos, ischiadicos, arthriticos. Præparatum est Fabullæ.* ℞. ceræ lib. iij. resinæ terebinthinæ lib. iij. retrimentorum ab expressa myrobalano reliquorum lib. j. spumæ nitri lib. j. floris lapidis Asij lib. j. ammomiaci thymiamatis lib. j. olei cyprini lib. iij. acetum ad ammoniacum dissoluendum. *Aliud Fabullæ compositum, valde præclarum, ad easdem affectiones.* ℞. myrrhæ stactæ, bdellii, onychis, medullæ ceruinæ, ammoniaci thymiamatis, iridis siccæ singulorum lib. ij. opopanacis lib. j. galbani lib. vnam, mastiches lib. j. floris lapidis Asij lib. j. styracis lib. vnam, succi sycomororum lib. i. canchryos lib. j. piperis albi semissem, ceræ lib. v. terebinthinæ lib. v. medicamentum est tusile. Oportet autem tundentes vnguenti irini fæcem admouere, donec quammollissimum medicamentum reddatur; repositum enim mollissimum euadit. *Malagma, quod aurei coloris appellamus.* ℞. auripigmenti ℥. j. aluminis scissi sextantem, calcis viuæ sextantem; arida tundimus, ac cribramus, & in mortarium coniicimus, hisque aceti cyathos octo superfundimus, & probè trita liquidis excipimus. Sunt autem liquida hæc; ceræ libra vna, resinæ frictæ lib. ii. olei communis cyathi octo. Hæc frigefieri post eliquationem sinimus, & sic erasa tritis adiicimus. Nos ad medicamenti præparationem etiam myrrhæ sextantem apposuimus.

Aliud

Aliud, hoc vsus est Andromachus; facit splenicis, hydropicis, & ad præcordia distenta; facit item ischiadicis, arthriticis, & ad inueteratos affectus.

℞. Ceræ lib. j. picis brutiæ lib. j. pro resina fricta, picem addimus, olei cyath. octo, auripigmenti auricoloris sextantem, aluminis scissi sextantem, calcis viuæ sextantem; præpara, vt dictum est. Nos ad medicamentum etiam myrrhæ sextantem, & visci quercini trientem, apposuimus.

Ad inueteratos induratos splenis affectus, Authemeron appellatum. Oportet autem cum medicamenti impositione ægrum ad triduum conuenienti diæta vti.

℞. Myrrhæ, mannæ thuris, vtriusq; quadrantem; sinapi Alexandrini sextantem, nasturtij sextantem, aceti scillitici, quod satis est. Arida tundito, & cribrato, & cum aceto ad malagmatis formã subigito; & linteolo excepta ab hora secunda vsque ad nonam imponito, ita vt complectaris, & contineas incumbens malagma fasciola obligata: Deinde verò, ita obligatum in balneum mittito; & vbi probè laxatus fuerit, in solium desidere facito, & pedes extra solium extendere iubeto, ac longiori tempore in ipso immorari. Cæterùm ad reuocandos in animi deliquium collapsos, acetum cum pulegio naribus admouemus, & paulatim resoluere fascias tentamus. Sint autem duæ fasciæ malagmati incumbentes; quum enim fasciæ tolluntur, auferimus etiam incumbens malagma, & post, affectos locos sufficienter fouemus. Egresso de balneo salsamentum citra panem exhibemus, & vinum mari mixtum. Idem etiam sequenti die facimus. Et tertia similiter, insuperq; exercitationibus vtimur, quæ spiritũ acutũ reddere possunt.

Aliud Tryphonis Gortyniatæ Cretensis medicamentum accommodatum.

℞. Fœnigræci moliti sextarium vnum, retrimentorum myrobalani sextarium dimidium, spumæ nitri quadrantem; omnia trita cedria excipe: Verùm hanc prius coctam condensare oportet ad cerati spissitudinem. Vsus est ante balneum, quantum æger ferrè potest; à balneo cerotarium imponimus.

Aliud Authemeron inscriptum, liberat à tota affectione.

℞. Pyrethri drachmas viginti, myrobalani bessem, nasturtij bessem, piperis bessem, seminis vrticæ bessem, sinapi sextarium dimidium; omnia trita, & aceto subacta per interualla imponito ad horas tres, si æger tolerare possit; deinde ablato medicamento lauari iube. Post balneum verò cerato vtendum est ex rosaceo apparato. *Aliud, tumorem liquefacit.* ℞. floris lapidis Asij, nitri rubri, retrimentorum myrobalani, ammoniaci thymiamatis, singulorum drach. xxiv. corticis radicis capparis drach. octo, seminis raphani drach. x. aut succi cyathum vnum; aceti acerrimi, quod satis est, visci quercini drach. xl. ammoniacum sambuci succo, aut myricæ, aut trifolij, dissolue; arida verò tunde, & angustissimo cribro excute, ac aceto subige; indeque admixto visco, omnia simul contunde, & vtere.

A Ἄλλο. τούτῳ ἐχρήσατο Ἀνδρόμαχος. ποιεῖ σπληνικοῖς, ὑδρωπικοῖς, καὶ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις, ποιεῖ ἰσχιαδικοῖς, ἀρθριτικοῖς, καὶ πρὸς τὰς κεχρονισμένας διαθέσεις.

℞. Κηροῦ λίτραν α'. πίσσης Βρυτίας λίτραν α'. ἀντὶ ῥητίνης φρυκτῆς, τὴν πίσσαν βαλλόμεθα. ἐλαίου κυ η'. ἀρσενικοῦ χρυσίζοντος ℥ β'. στυπτηρίας σχιστῆς ℥ β'. ἀσβέστου ℥ β'. σκεύαζε καθὰ προείρηται. ἡμεῖς προσεθήκαμεν τῷ φαρμάκῳ σμύρνης ℥ β'. ἰξοῦ δρυΐνου ℥ δ'.

B Πρὸς τὰς κεχρονισμένας τοῦ σπληνὸς σκιρρώδεις διαθέσεις, αὐθήμερον λεγόμενον. δεῖ δὲ περὶ τῆς ἐπιθέσεως τοῦ φαρμάκου ἐπὶ τρεῖς ἡμέρας τὸν κάμνοντα διαιτῆσαι.

℞. Σμύρνης, μάννης λιβάνου ἀνὰ ℥ γ'. νάπυος Ἀλεξανδρίνου ℥ β'. καρδάμου ℥ β'. ὄξους σκιλλητικοῦ τὸ ἱκανόν, κόψας καὶ σήσας τὰ ξηρά, καὶ ὄξει φυράσας, ὥστε μαλαγματῶδες γενέσθαι, ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει ἀπὸ ὥρας β'. ἕως θ'. φυλάττων, καὶ ταινιδίῳ κατέχων τὸ ἐπικείμενον μάλαγμα, εἶτα πέμπε εἰς βαλανεῖον οὕτως ἐπιδεδεμένον, καὶ ὅταν καλῶς ἀναχαλασθῇ, ἐμβίβαζε, κελεύων ἔξω τῆς ἐμβατῆς ἔχειν τοὺς πόδας, καὶ ἐπὶ πλείονα χρόνον ἐμμένειν. C πρὸς δὲ τὴν τούτων ἀνάκτησιν, ὄξος καὶ γλήχωνα προσάγομεν τοῖς μυκτῆρσιν, καὶ πειρώμεθα κατὰ μικρὸν ἐπιλύειν τὰς ταινίας, ἔστωσαν δὲ δύο κατὰ τοῦ μαλάγματος ἐπικείμεναι. κατὰ δὲ τὴν ἄρσιν τῶν ταινιδίων, αἴρομεν καὶ τὸ ἐπικείμενον μάλαγμα, καὶ τοὺς πεπονθότας τόπους ἱκανῶς ἀπαντλοῦμεν. ἐξελθόντι δὲ τοῦ βαλανείου, δίδομεν τάριχον χωρὶς ἄρτου, καὶ οἶνον τεθαλασσωμένον, καὶ τῇ ἐπιούσῃ τὸ αὐτὸ ποιοῦμεν. τῇ δὲ τρίτῃ τὸ αὐτὸ ποιούμεθα, γυμνασίοις χρώμεθα ἀποξύνειν δυναμένοις τὸ πνεῦμα.

D Ἄλλο Τρύφωνος Γορτυνιάτου Κρητός, φάρμακον ἐπιτετευγμένον.

℞. Τήλεως ἀληλεσμένης ξέστην α'. μυροβαλάνου πιέσματος ξέστου S. νίτρου ἀφροῦ ℥ γ'. πάντα λεάνας ἀναλάμβανε κεδρίᾳ, δεῖ δὲ πρότερον ταύτην ἑψήσαντα συστρέφειν, ὥστε κηρωτῆς ἔχειν πάχος. ἡ χρῆσις πρὸ βαλανείου, ἐφ' ὅσον ὁ κάμνων δύναται φέρειν, μετὰ δὲ τὸ βαλανεῖον ἐπιρρίπτομεν κηρωτάριον.

Ἄλλο, αὐθήμερον ἐπιγραφόμενον, ἀπαλλάττει τῆς ὅλης διαθέσεως.

E ℞. Πυρέθρου < κ'. μυροβαλάνου ℥ η'. καρδάμου ℥ η'. κνίδης σπέρματος ℥ η'. πεπέρεως ℥ η'. σινήπεως ξέστου S. ἅπαντα λειώσας καὶ ὄξει φυράσας, καὶ λεάνας ἐπιτίθει ἐν διαλείμμασιν ἐπὶ ὥρας γ'. εἰ δυνατὸν ὑπομένειν τὸν ἀσθενοῦντα, ἔπειτα βαστάσας τὸ φάρμακον λούεσθαι παραίνει. κατὰ δὲ τὸ βαλανεῖον, χρηστέον κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου. Ἄλλο τὸν ὄγκον ἐκτήκει. ℞. λίθου Ἀσίου τοῦ ἄνθους, νίτρου ἐρυθροῦ, μυροβαλάνου πιέσματος, ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ < κδ'. καππάρεως ῥίζης τοῦ φλοιοῦ < η'. ῥαφανίου σπέρματος < ι'. ἢ τοῦ χυλοῦ κύαθον α'. F ὄξους δριμυτάτου τὸ αὐτάρκες, ἰξοῦ δρυΐνου < μ'. διάλυε ἀμμωνιακὸν ἀκτῆς χυλῷ, ἢ μυρίκης, ἢ τριφύλλου. τὰ δὲ ξηρὰ κόπτε, καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, καὶ ὄξει φυράσας, καὶ μίξας ἐπίβαλλε τὸν ἰξόν, καὶ ἀνακόψας ἀνελόμενος χρῶ.

Τὰ ὑπ' Ἀρχιγένους ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων γεγραμμένων σπληνικά.

Ἐπὶ δὲ τῶν σπληνικῶν προηγουμένης ὁμοίως τῆς ὅλης διαίτης, ἐκ τῶν ἀναγραφησομένων συνθέσεων τοῖσδε χρῶ. πόμα μὲν ὕδωρ, σιδήρου διαπύρου πολλάκις ἐναποσβεσθέντος αὐτῷ, ἀπυρέτοις μὲν μετ' οἴνου, πυρέσσουσι δὲ ὕδωρ πιεῖν. ἢ ἀναγαλλίδος τῆς τὸ κύανον ἄνθος ἐχούσης ὀβολὸν ἕνα μετ' ὀξυμέλιτος. ἢ ἕρπυλλον μετ' ὄξους. ἢ πάνακος ῥίζαν χλωρὰν πότιζε μετὰ μελικράτου. ἢ τὸν καρπὸν ὁμοίως, προεξαιθρίαζε δὲ τὸ μελίκρατον. ἢ περικλυμένου ῥίζης φλοιοῦ, καὶ τοῦ καρποῦ ὅσον τοῖς τρισὶ δακτύλοις, ἐν ἀκράτῳ οἴνῳ θερμῷ λευκῷ, δίδου πίνειν νήστει ἐπὶ ἡμέρας μ'. ἢ ἀλώπεκος ξηρὸν ἧπαρ μετ' ὀξυμέλιτος δίδου πίνειν. ἢ κύμινον Αἰθιοπικὸν, ὁμοίως τῷ ἥπατι πινόμενον ἐν ὀξυμέλιτι. ἢ ἄρου ῥίζης φλοιοῦ < S'. μετ' ὀξυμέλιτος κυάθων γ'. ἢ πόλιον ὁμοίως μετ' ὀξυμέλιτος. ἢ κισσοῦ λευκοῦ κόκκους γ'. μετ' ὀξυμέλιτος κυάθων γ'. ἢ καππάρεως λεῖα ξηρὰ φύλλα μετ' ἀκράτου πότιζε. καταπλάσσε δὲ τοὺς σπληνικοὺς τοῖσδε πρὸς τοὺς ἡπατικούς· καὶ ἔτι τέφρα ἐκ χαλκείου μετ' ὄξους. ἢ κάππαριν βεβρεγμένην ἐν ὄξει λεῖαν ἀνειλημμένην κηρωτῇ κυπρίνῃ. ἢ τῷ διὰ καρδάμου καὶ τήλεως, καὶ ἀσβέστου καὶ νίτρου, καὶ μέλιτος μαλάσσων ἐπιτίθει. ἢ τήλεως, καὶ ἀσβέστου καὶ νίτρου, καὶ μέλιτος μαλάσσων ἐπιτίθει. ἢ καταπλάσσε λεπιδίου φύλλοις. ὅταν δὲ ἤδη δάκνωνται, εἰσαγαγὼν εἰς τὸ βαλανεῖον, ἄρας τὸ φάρμακον εἰς ζεστὸν ἐμβίβαζε, καὶ κάτεχε. δυσανασχετοῦσι γὰρ ὑπερδακνόμενοι, ὑγιεῖς δὲ ἐξίασι. τὸ αὐτὸ δὲ καὶ ἐπὶ ἰσχιαδικῶν ποιεῖ. ἢ μυροβαλάνου τὸ πίεσμα ὄξει βρέξας, ῥοδίνῃ κηρωτῇ μίσγε, καὶ ἐπιτίθει. ἢ τήλεως, καὶ καρδάμου τὸ ἴσον, μάννης τὸ διπλοῦν, ἀσβέστου βραχὺ σὺν μέλιτι, ὡς ἔμπλαστρα σπλήνια ποιήσας ἐπιτίθει. ἢ τρύγα ὄξους δριμέος ἐπιτίθει. καππάρεως ῥίζαν μετ' ὄξους. ἢ σπόγγον ἐξ ὄξους δριμυτάτου. ἄκρως ποιεῖ μυροβαλάνου λεπύχανα, καὶ νίτρου τὸ τρίτον, λεῖα ὄξει φυράσας. ῥητίνην καὶ κηρὸν κατ' ὀλίγον ἐλαίου τήξας ἐπίχει, καὶ μαλάξας χρῶ. ἐπιμένοντος δὲ, σικύας προσβάλλε μετὰ ἀμυχῶν. περίαπτα δὲ καὶ ἀντιπαθῆ πρός τε ἧπαρ καὶ σπλῆνα, τάδε δοκεῖ πεπιστεῦσθαι. τὴν ὑπὲρ τὸ ἀριστερὸν οὖς φλέβα λύσας, ἀνάτριβε τῷ αἵματι τὸν πεπονθότα σπλῆνα.

A *Medicamenta ad splenicos ab Archigene in primo medicamentorum secundum genus conscripta.*

In splenicis porrò præcedēte similiter tota diæta, ex describēdis cōpositionibus his vtitor. Potus quidē sit aqua, in qua ignitum ferrum sæpe sit extinctū, non febrientibus cum vino, febricitantibus verò aqua sola. Aut anagallidis cœruleum florem habentis ob. j. exhibeto cum aceto mulso. Aut serpillū cum aceto. Aut panacis radicem viridē, cum aqua mulsa. Aut semen similiter; aquam mulsam verò per noctē sub dio exponito. Aut corticis radicis periclymeni, & seminis eius quantum tribus
B digitis apprehendi potest, in vino albo meraco calido ieiunis bibendū ad dies xl. exhibeto. Aut vulpis hepar siccum, cum aceto mulso exhibe bibendū. Aut cuminum Æthiopicum similiter, vt hepar ex aceto mulso. Aut radicis ari corticis ʒ. ß. cum aceti mulsi cyathis iij. Aut polium similiter, cum aceto mulso. Aut hederæ albæ g̃. tria cum aceti mulsi cyathis iij. Aut arida trita capparis folia propinato. Cataplasmata autem eadē impones splenicis, quæ hepaticis. Ampliusque cinerē ex ferraria officina, cum aceto. Aut capparim maceratam aceto, ac tritam cerato cyprino exceptam. Aut nastur-
C tium, & fœnumgræcum, ac calcem viuam, & nitrum, cum melle mollita imponito. Aut fœnūgræcum, & calcē, ac nitrum, item cum melle imponito. Aut lepidij folia imponito; quū verò iam morsum perceperint, in balneum inducito: & ablato medicamento in feruidæ solium demittito, ac detineto; ægrè enim ferunt nimiam mordacitatē, verùm sani exeunt. Idē etiam in ischiadicis facit. Aut myrobalani expressę retrimentū aceto maceratū, rosaceo cerato excipe, ac impone. Aut fœnigræci, & nasturtij par pondus, mannæ duplū, calcis viuæ parum, cum melle splenia velut emplastra facito,
D ac imponito. Aut fæcem acris aceti imponito. Aut capparis radicem cum aceto. Aut spongiam acerrimo aceto imbutam. Egregiè faciunt myrobalani cortices, & nitri tertia ipsorum pars, trita aceto subigito; & resinam, ac ceram cum modico oleo liquefacta affundito, & mollitis vtitor. Perseuerante malo, cucurbitas, cum scarificatione affigito. Amuleta autem, & per contrarietatem quandam naturalem ad hepar, & splenem facere credita hęc sunt; venam retrò sinistram aurem secato, & detracto sanguine affectum splenem confricato.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ὕδρωπος.

ΥΔρωπικῶν φάρμακα, καὶ ἄλλα κοινὰ πρὸς τοὺς σπληνικοὺς αὐτοὺς, καὶ ἄλλα τινὰ πολύχρηστα, πρός τε τὰ προειρημένα πάθη, καὶ σκληρίας, καὶ ὅπου τι διαφορῆσαι χρὴ, κἂν ἤδη πυώδης ἡ σύστασις. ἄρξομαι δὲ καὶ ἐπὶ τούτων, ἀπὸ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα φάρμακα, πρὸς τὰ εἰρημένα πάθη, κατὰ τὸ δ'. τῶν ἐκτὸς, ἃ Μαρκέλλας ἐπιγράφει.

Ἐπίθεμα ὑδρωπικοῖς σφόδρα καλὸν, καὶ τὸ παρακείμενον ὑγρὸν ἀναπίνει. ℞. φάρρεως, ὃ καλοῦσι ζέαν, ἀληλεσμένου ξε β'. λίθου ἀσίου τοῦ ἄνθους ξε α'. μάννης λίτρας α'. λεάνας ἐπιμελῶς, ἀναλάμβανε στέατι ὑείῳ παλαιῷ κατειργασμένῳ, ἐν οἴνῳ βεβρεγμένῳ νυκτὶ ὅλῃ, τὸ δὲ πλῆθος ἔστω τοῦ ὑείου, ὅσον δύναται ἐπιβληθὲν εὐαφὲς ποιῆσαι τὸ φάρμακον. Ἄλλο. βήσασα,

E

CAPVT III.

De hydrope.

HYdropicorum medicamenta, & alia communia ad splenicos ipsos, iteq; quædā multiplicis vsus ad varias affectiones, tum iam prædictas, tū duritias, & vbi quid discutere oportet, etiā si iam purulenta sit consistentia, dicere aggrediar, initio ab iis, quæ Asclepiades tradidit, sumpto.

Medicamenta ab Asclepiade conscripta ad prædictas affectiones in quarto Externorum, quæ Marcellæ inscribit.

F *Epithema hydropicis valdè commodum, quod adiacentem humorem absorbet.* ℞. farris, quod zeam vocant, moliti sextar. ij. floris lapidis Asij sextar. j. mannæ lib. j. probè trita adipe suillo veteri probè subacto, & vino per integram noctē macerato, excipito; sit autē tanta adipis copia, quanta ad mollefaciendū medicamentum satis est. *Aliud.* Besasa;

est autem semen rutæ syluestris, quod in Syria nascitur, & vernacula lingua Harmala ab illis appellatur; ℞ huius tusi sextarium j. mannæ sextarium dimidium, adipis suilli veteris quantum sufficit, præparato, vt dictum est. *Aliud.* ℞. ficuum pinguissimarum lib. iij. aphronitri lib. j. origani lib. j. quidam cumini lib. j. sulfuris viui quadrantem, cochlearum Africanarum lib. j. arida tundito, & cribrato, & tusis ficubus vnà cum carne cochlearum excepta, ac in linteolum infarcta imponito, melle cocto sufficienti addito.

Aliud ex Critone.

℞. Fœnigræci moliti, ac cribrati sextarios ij. sulfuris viui lib. ij. & dimidiam, in aliis lib. ij. nitri lib. ij. absinthij sicci contusi ac cribrati sextarios duos, & dimidium; arida tenuissimè trita melle cocto excipito, indeque linteolo infarcta per noctem imponito. In die vtere, & gestatione, & confectione subscripta; ℞. ceræ libram vnam, picis aridæ libram vnam, lapidis Asij libram vnam, olei veteris libram vnam, arida cum liquidis misceto.

Malagma Poterium inscriptum, absorbet humiditates ex alto, & duritias dissoluit.

℞. Ceræ, picis aridæ, vtriusque lib. ij. aluminis liquidi, sulfuris viui, mannæ, nitri rubri, singulorum lib. j. resinæ frictæ lib. quatuor, olei veteris heminam vnam, aceti quantum satis est arida dissoluenda; præpara, ac vtere, vt probato. *Aliud præclarum Poterium medicamentum accommodatum. Facit hydropicis, splenicis, & ad inueteratos affectus.* ℞. resinæ frictæ lib. iv. ceræ lib. ij. sulfuris viui lib. j. mannæ lib. j. picis liquidæ lib. ij. aluminis liquidi lib. j. nitri rubri lib. j. aristolochiæ quadrantem, bdellij quadrantem, ammoniaci racemi quadrantem, radicis cucumeris syluestris quadrantem, aloës semissem, pyrethri quadrantem, ammoniaci thymiamatis quadrantem, visci quercini quadrantem, succi sycomororum quadrantem; aceti sesquisextarium, aut pro aceto, vini Italici tantundem; olei heminas iij. præparato pro more.

Malagma ex baccis lauri, ad splenicos, Hydropicos. Dissoluit omnẽ duritiem, absorbet abscessus in profundo.

℞. Ceræ lib. j. resinæ pinus lib. j. picis brutiæ lib. j. baccarum lauri siccarum lib. j. nitri rubri lib. j. ammoniaci thymiamatis lib. j. adipis vitulini subacti lib. j. arida tundito, & cribrato per angustissimum cribrum; liquabilia liquantur, & frigefacta aridis adiiciuntur; atque ita contusis simul, ac repositis vtimur. *Aliud.* ℞. baccarum lauri lib. j. picis lib. j. mannæ lib. j. adipis taurini lib. j. ammoniaci thymiamatis lib. j. ceræ lib. j. præparato, vt prædictum est. *Emplastrum Tonsoris appellatione, ad splenicos, & hydropicos. Hoc tonsor quidam vir Bithyniensis vsus ischiadicos à coxendicum morbo penitus liberauit.* ℞. Picis aridæ lib. iv. ceræ lib. ij. resinæ pinus lib. ij. ammoniaci thymiamatis lib. ij. nitri rubri lib. ij. baccarum lauri aridarum lib. ij. adipis taurini lib. j. In alio exemplari etiam iridis lib. ij. habentur, canchryos vnciæ xviij. farinæ fœnigræci sextarius j. pollinis sextar. j. radicis chamæleonis nigræ tenuissimè tusæ sextar. j. cumini tenuissimè triti sesquisextarius, passi sextar. j. In alio exemplari anisi triti sextarius dimidius habetur, & pollen deest.

A σπέρμα δέ ἐστιν ἐν Συρίᾳ γινόμενον τοῦ ἀγρίου πηγάνου, ὃ δὴ οἱ ἐντόπιοι ἅρμαλα καλοῦσιν, ℞. τούτου κεκομμένου ξε α'. μάννης ξε S'' στέατος ὑείου παλαιοῦ ὅσον ἐξαρκεῖ, σκεύαζε καθὰ προείρηται. Αλλο. ℞. σύκων λιπαρωτάτων λίτρας γ'. ἀφρονίτρου λίτρας α'. ὀριγάνου λίτρας α'. τινὲς κυμίνου λίτρας α'. θείου ἀπύρου Γο γ'. κοχλιῶν Αφρικανῶν λίτρας α'. τὰ ξηρὰ κόπτε, καὶ σῆθε, καὶ ἀναλάμβανε σύκοις κεκομμένοις σὺν ταῖς σαρξὶ τῶν κοχλιῶν, ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει, μέλιτος ἑφθοῦ ἐπίβαλλε ὅσον ἐξαρκεῖ.

Αλλο ἐκ τοῦ Κρίτωνος.

B ℞. Τήλεως ἀληλεσμένης, καὶ σεσησμένης ξε β'. θείου ἀπύρου λίτρας β' S. ἐν ἄλλοις ℔ β'. νίτρου λίτρας β'. ἀψινθίου ξηροῦ λείου, καὶ σεσησμένου ξε β' S. τὰ ξηρὰ λειότατα ποιήσας ἀναλάμβανε μέλιτι ἑφθῷ, εἶτα ἐμπλάσας εἰς ὀθόνιον, ἐπιτίθει εἰς νύκτα· περὶ δὲ τὴν ἡμέραν χρῶ, καὶ αἰώρᾳ, καὶ τῇ ὑπογεγραμμένῃ σκευασίᾳ, ℞. κηροῦ λίτρας α'. πίσσης ξηρᾶς λίτρας α'. λίθου Ασίου λίτρας α'. ἐλαίου παλαιοῦ λίτρας α'. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν.

C Μάλαγμα τὸ ποτήριον ἐπιγραφόμενον, ἀναπίνει τὰς ἐν βάθει ὑγρασίας, καὶ σκίρρους διαλύει.

℞. Κηροῦ, πίσσης ξηρᾶς ἀνὰ λίτρας β'. στυπτηρίας ὑγρᾶς, θείου ἀπύρου, μάννης, νίτρου ἐρυθροῦ ἀνὰ λίτραν α'. ῥητίνης φρυκτῆς λίτρας τέσσαρας, ἐλαίου παλαιοῦ κοτύλην α'. ὄξους, ὥστε τὰ ξηρὰ διαλῦσαι ὅσον ἐξαρκεῖ, καὶ χρῶ σκευάσας, ὡς δοκίμῳ. Αλλο γνήσιον, ἢ ποτήριον φάρμακον ἐπιτετευγμένον. ποιεῖ ὑδρωπικοῖς, σπληνικοῖς, καὶ πρὸς τὰς κεχρονισμένας διαθέσεις. ℞. ῥητίνης φρυκτῆς λίτρας δ'. κηροῦ λίτρας β'. θείου ἀπύρου λίτραν α'. μάννης λίτραν α'. πίσσης ὑγρᾶς λίτρας β'. στυπτηρίας ὑγρᾶς λίτραν α'. νίτρου ἐρυθροῦ λίτραν α'.
D ἀριστολοχίας Γο γ'. βδελλίου Γο γ'. ἀμμώμου βότρυος Γο γ'. σικύου ἀγρίου ῥίζης Γο γ'. ἀλόης Γο ϛ'. πυρέθρου Γο γ'. ἀμμωνιακοῦ θυμιάματος Γο γ'. ἰξοῦ δρυΐνου Γο γ'. ὀποῦ συκομόρων Γο γ'. ὄξους ξε α' S. ἢ οἴνου Ιταλικοῦ ἀντὶ τοῦ ὄξους βαλλομένου, ἐλαίου κοτύλας γ'. σκεύαζε κατὰ τρόπον.

Μάλαγμα διὰ δαφνίδων, σπληνικοῖς, ὑδρωπικοῖς· διαλύει πᾶσαν σκληρίαν, ἀναπίνει τὰς ἐν βάθει ἀποστάσεις.

℞. Κηροῦ λίτραν α'. πιτυΐνης λίτραν α'. πίσσης Βρυτίας λίτραν α'. δαφνίδων ξηρῶν λίτραν α'. νίτρου ἐρυθροῦ λίτραν α'.
E ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. στέατος μοσχείου κατειργασμένου λίτραν α'. τὰ ξηρὰ κόπτε, καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ. τὰ δὲ τηκτὰ τήκεται καὶ ψύχεται, καὶ τοῖς ξηροῖς ἐπιβάλλεται, καὶ ἀνακόψαντες ἀνελόμενοι χρώμεθα. Αλλο. ℞. δαφνίδων λίτραν α'. πίσσης λίτραν α'. μάννης λίτραν α'. στέατος ταυρείου λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. κηροῦ λίτραν α'. σκεύαζε καθὰ προείρηται. ἡ τοῦ Κουρέως λεγομένη σπληνική, ὑδρωπική. ταύτῃ Κουρεὺς ἀπὸ Βιθυνίας ἀνὴρ χρώμενος, ἰσχιαδικοὺς ἀπήλλαττε παντελῶς. ℞. πίσσης ξηρᾶς λίτρας δ'. κηροῦ λίτρας β'. πιτυΐνης λίτρας β'. ἀμμω-
F νιακοῦ θυμιάματος λίτρας β'. νίτρου ἐρυθροῦ λίτρας β'. δαφνίδων ξηρῶν λίτρας β'. στέατος ταυρείου λίτραν α'. ἐν ἄλλῳ καὶ ἴρεως λίτρας β'. κάγχρυος Γο ιη'. ἀλεύρου τηλίνου ξε α'. γύρεως ξε α'. χαμαιλέοντος μέλανος ῥίζης κεκομμένης λειοτάτης ξέστην α'. κυμίνου λειοτάτου ξε α' S. γλυκέος ξε α'. ἐν ἄλλῳ ἀνίσου λειοτάτου ξε S. τὴν δὲ γύρειν οὐκ ἔχει.

Ἄλλη Βιθυνὴ λεγομένη φάρμακον ἐπιτετευγμένον, πρὸς τὰς προειρημένας διαθέσεις.

℞. Πίσσης Βρυτίας λίτρας δ'. ῥητίνης πιτυΐνης, κηροῦ, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ λίτρας β'. μυελοῦ ἐλαφείου λίτραν α'. στέατος ταυρείου κατειργασμένου λίτραν α'. ὀποῦ συκομόρου λίτραν α'. λίθου Ἀσίου τοῦ ἄνθους ℥ ϛ'. χαμαιλέοντος μέλανος τῆς ῥίζης κεκομμένης ℥ ϛ'. δαφνίδων ξηρῶν λίτρας S''. ἀλεύρου αἰρίνου λίτρας S''. δαύκου Κρητικοῦ σπέρματος κεκομμένου ℥ δ'. πετροσελίνου ℥ δ'. κυμίνου Αἰθιοπικοῦ ℥ δ'. ἀνίσου ℥ δ'. ἁλῶν Σπανῶν ℥ ϛ'. ἀφρονίτρου ℥ ϛ'. κυπρίνου ℥ ϛ'. οἴνου Φαλερίνου ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ φυράσας σκεύαζε κατὰ τρόπον.

Μάλαγμα τὸ διὰ τῶν σπερμάτων φάρμακον ἐπιτετευγμένον, πρὸς τὰς προειρημένας διαθέσεις, τούτῳ ἐχρήσατο Ὀλύμπιος.

℞. Κηροῦ < ρ'. τερμινθίνης < ρ'. ἀμμωνιακοῦ θυμιάματος < ρ'. στέατος ταυρείου < ρ'. ἀνίσου < ρ'. τήλεως < ρ'. πετροσελίνου < ρ'. ἄμμεως, ἴρεως Ἰλλυρικῆς ἀνὰ < ν'. πάνακος < ρ'. νίτρου < ν'. γλυκυῤῥίζης < ν'. κυπέρου < κε'. βράθυος < κε'. σαμψύχου < κε'. μελιλώτου < κε'. καρδαμώμου < ιβ' S''. κασσίας σύριγγος < ιβ' S''. νάρδου Κελτικῆς, δαύκου Κρητικοῦ τῆς ῥίζης ἀνὰ < ιβ' S''. μέλιτος κοτύλης S''. οἴνου εὐώδους ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον. Ἄλλο. ℞. κηροῦ μνᾶν α'. ἀμμωνιακοῦ θυμιάματος μνᾶν α'. τερμινθίνης μνᾶν α'. σαμψύχου, δαφνίδων, κυπέρου, ἀνὰ μνᾶς S''. ἴρεως Ἰλλυρικῆς μνᾶς τέταρτον, ὅ ἐστι < λ'. λινοσπέρμου πεφωγμένου μνᾶς δ'. τήλεως, πάνακος, ἀνὰ μνᾶς δ'. στέατος ταυρείου μνᾶς δ'. σικύου ἀγρίου ῥίζης ξηρᾶς, ἀνίσου, σελίνου σπέρματος, ἄμμεως, κυμίνου, μαράθρου, νίτρου ἀνὰ μνᾶς δ'. πεπέρεως < ιβ' S''. μέλιτος κοτύλην, οἴνου κοτύλην α' S''. κυπρίνου κοτύλην α' S''. ὄξους κοτύλην α' S''. συντίθει καὶ χρῶ.

Ἐκ τῶν Ἀνδρομάχου, πρὸς ὑδρωπικοὺς, καὶ ἐμπνευματώσεις.

℞. Πίσσης ὑγρᾶς λίτρας β'. κηροῦ λίτραν α'. νίτρου ℥ ϛ'. θείου ἀπύρου ℥ ϛ'. στυπτηρίας ℥ ϛ'. πρὸς ὑδρωπικοὺς, Κλεοφάντου. ℞. κηροῦ, ῥητίνης, ἀφρονίτρου ἀνὰ < ρ'. χαλβάνης < ιβ' S''. προπόλεως < ιβ' S''. ἀμμωνιακοῦ θυμιάματος < ιβ' S''. κυπρίνου κυάθους β'. ὄξους κυάθους δύο.

Ἀρχιγένους ἐκ τοῦ δευτέρου τῶν κατὰ γένος φαρμάκων.

Ὑδρωπικοῖς δίαιτα, ὡς προσῆκε. κατάπλαττε μὲν βολβίτῳ ἀγελαίας βοὸς, ξήραινε δὲ αὐτὸ ἐπιμελῶς, καὶ λεάνας, ἕψε ἐν ὀξυκράτῳ ὠμῆς λύσεως τρόπον, προσεμπάσας θείου ἀπύρου τὸ τέταρτον μέρος, ὅλῳ δὲ τῷ κύτει ἐπίβαλλε. ὡς Μούσας κατέπλαττεν αὐτοὺς, ἐλατηρίῳ, σταφίδι ἀγρίᾳ, ὑσσώπῳ, χολῇ ταυρείᾳ, ἴσοις, σύκοις κεκομμένοις ἀναληφθεῖσιν. ἢ σικύου ἀγρίου τῆς ῥίζης μνᾶ μία, ἑψημένης ἐν οἴνῳ. σύκων ὁμοίως ἑψημένων μνᾶς S''. ταῦτα ὁμοῦ λέαινε παραχέων τοῦ ἀφεψήματος αὐτοῖς, μέχρι μαλαγματῶδες ποιήσῃς, εἶτα μίξας αὐτοῖς ἀλθαίας λείας ῥίζης τὸ ἴσον, καὶ συνέψων συλλέαινε, καὶ οὕτω κατάπλαττε. ἢ σπυράθους αἰγείους, ἕψων ἐν οὔρῳ παιδίου ἀφθόρου· ἢ αὐτῆς αἰγὸς τῷ οὔρῳ, γλοιοῦ ποιῶν πάχος κατάπλασσε, ἄκρως αὐτοὺς διὰ κοιλίας καθαίρει. Ἄλλο. ἐλλέβορον μέλανα, χολὴν ταυρείαν, νίτρον, πέπερι, ἴσα σὺν μέλιτι καταπλάσσων τὴν κοιλίαν ἐπὶ ἡμιώριον.

A *Aliud Bithynum appellatum, medicamentum accommodatum ad prædictos affectus.*

℞. Picis brutiæ lib. iv. resinæ pinus, ceræ, ammoniaci thymiamatis, singulorum libras duas, medullæ ceruinæ lib. j. adipis taurini subacti lib. j. succi sycomororum libram vnam, floris lapidis Asij semissem, radicis chamæleonis contusæ semissem, baccarum lauri siccarum libram dimidiam, farinæ loliaceæ libram dimidiam, seminis dauci Cretici contusi trientem, petroselini trientem, cumini Æthiopici trientem, anisi trientem, B salis Hispani sexuncem, aphronitri sexuncem, cyprini sexuncem, vini Falerni quod satis est; arida cum liquidis pro more apparato.

Aliud Malagma ex seminibus, medicamentum accommodatum ad prædictos affectus, hoc vsus est Olympius.

℞. Ceræ ʒ.c. terebinthinæ ʒ.c. ammoniaci thymiamatis ʒ.c. adipis taurini ʒ.c. anisi ʒ.c. fœnigræci ʒ.c. petroselini ʒ.c. ammij, iridis Illyricæ, vtriusque ʒ.l. panacis ʒ.c. nitri ʒ.l. glycyrrhizæ ʒ.l. cyperi ʒ.xxv. sabinæ ʒ.xxv. sampsuchi ʒ.xxv. meliloti ʒ.xxv. cardamomi ʒ.xij. ß. cassiæ fistulæ ʒ.xij. ß. C nardi Celticæ, radicis dauci Cretici, vtriusque ʒ.xij. ß. mellis heminam, & dimidiam, vini odorati, quod sufficit, præpara pro consueto more. *Aliud.* ℞. Ceræ minam vnam, ammoniaci thymiamatis minam vnam, terebinthinæ minam j. sampsuchi, baccarum lauri, cyperi, singulorum minam dimidiam, iridis Illyricæ minæ quartam partem, hoc est ʒ.xxx. seminis lini tosti, minæ quartam partem; fœnugræci, panacis, vtriusque minæ quartam partem; adipis taurini, minæ quartam partem; radicis siccæ cucumeris syluestris, anisi, seminis apij, ammij, cumini, fœniculi, nitri singu- D lorum minæ quartam partem; piperis ʒ.xij. ß. mellis heminã, vini sesquiheminam, cyprini sesquiheminam, aceti sesquiheminam; cõponito, ac vtitor.

Ex Andromacho ad hydropicos, & inflationes.

℞. Picis liquidæ lib. ij. ceræ lib. j. nitri ℥.vj. sulfuris viui sexuncem, aluminis sexuncem. *Ad hydropicos Cleophanti.* ℞. ceræ, resinæ, spumæ nitri, singulorum ʒ.c. galbani ʒ.xij. ß. propolis ʒ.xij. ß. ammoniaci thymiamatis ʒ.xij. ß. cyprini cyathos duos, aceti cyathos duos.

Ex Archigenis secundo libro medicamentorum secundum genus.

E Hydropicis diætã conuenientẽ constitue. Pro cataplasmate quidẽ stercus bouis armentariæ impone. Resicca autẽ ipsũ stercus diligẽter, & tritũ in posca velut crudã hordeaceã farinã coq; inspersa sulfuris viui quarta parte; cataplasma verò per omnem vẽtris amplitudinẽ impone. Musa verò cataplasma ad ipsos præparauit ex elaterio, staphide syluestri, hyssopo, felle tauri, æqualibus partibus ipsorũ ficubus cõtusis exceptis. Aut radicis cucumeris syluestris minã j. in vino coquito, & ficuum minę ß. similiter coquito; atq; hæc simul terito, affuso eorũ decocto, donec malagmatis forma euadat; indeq; altheæ radicis tritæ tãtũdẽ admisceto, F simulq; coquito, ac terito; atque ita imponito. Aut caprinum stercus in vrina pueri impubis veneris expertis, vel ipsius capræ vrina coctũ, ad strigmentitiam spissitudinem redigito, ac imponito: egregiè ipsum per aluum purgat. Aut veratrum nigrũ, fel taurinum, nitrum, piper, æquis partibus cum melle, aluo per dimidiæ horæ spatium imponito.

Porrò

Porrò per omne curationis tẽpus vnã aliquam ex his potionibus ipsis propinato. ℞. cotyledonis ʒ.i. scillæ aridæ mundæ ʒ.i. in vino mulso diluto quotidie exhibe. Aut ℞ corticis radicis ari ʒ.i. Aut cneori, quam aliqui chamælæan appellãt, teneras eminẽtias ad calamorũ radices nascentes exuccato, ac succi cyath. iii. prædictis admixtis quotidie exhibeto. Optimè facit & hoc; ℞ cancri fluuialis sicci triti, pedibus, ac eminẽtiis omnibus amputatis ʒ.i asari ʒ.i. misceto aqua ex ipso flumine, vnde cãcri extracti sunt, accepta, & propinato. Aliquando verò pro asaro opobalsami par põdus additur; aut corallij ʒ.i. aluminis scissi ʒ.i. ob.ii. cũ calaminthæ cremore terito, & in pastillos duorũ obolorũ ponderis redigito, & obolũ inde ex calaminthæ aqua bibendũ dato. Sũmè facit & ad nephriticos. Aut radicẽ calaminthæ coctã propina. Aut lauer dictũ itidẽ coctũ propina: idemq; etiam edendum exhibe. Aut tribuli folia siue radicẽ cũ vino dato. Aut in balneo cũ sale, & oleo diligẽter, vsque quo exudẽt, illitos educito; & solis testibus exudãtibus ablutis, primũ linteis, deinde etiam reliquis amiculis, cõtectos curato; ac panẽ furnaceum cum sufficientibus caricis edendũ dato; vinũ verò nigrum Italicũ, aut Spicatũ recẽs, in quo ficuum triens in vini sextariis vi. incoctus est; donec tertia pars superfuit, bibendum exhibeto; purgat per vrinã. Aut vrinæ capræ cochleare vnũ cum nardi ʒ. j. calefactum bibendũ dato. Aut cucumim syluestrẽ, vino nardino, vel aminæo macerato, & ex cremore ter cyathũ vnum bibendũ prębeto, & paulatim vsque ad cyathos iii. progreditur. Aut seseli in potu, vel cibo exhibe, aut daphnoides tritũ lupini magnitudine inspergens bibendũ dato; ducit vrinã multam. Aut corticẽ radicis ari ex vino. Aut squamæ æris ʒ.i. panis medulla excipito, & catapotia facito, ac exhibeto; fortiter aquam ducunt. Aut ℞ æris vsti ʒ.i. rutæ ramulos tres, stercoris colũbæ ʒ.i. salis cõmunis parum, cum vino Ephesio, & aqua, ita vt tota mixtura heminæ dimidiæ sit, præbeto. Sũmè faciunt, & Theriacæ omnes vrinã cientes. Insuperq; potiones aquam ducentes, quæ vnicuique per experientiam cognitæ sunt minimè periculosæ. Similiter, & catapotia. Cæterùm hydropicos diutius ad Solem, cõtecto capite, inungito ex oleo multo sale admixto, & multa salsugine calida perfundito. Inflatos verò maximè locos, vesicis magnis probè inflatis quotidie cõtinenter pulsato, inde enim arctantur, ac contrahuntur. Scarificatis item ipsorum talis, & vulnusculis impactis, ipsos in ferculo, aut lectica gestato, ac circũuehito; multus enim humor hoc modo ipsis profluere solet.

Ad eosdem affectus confectio Biennij.

℞. Croci, opij, opopanacis, myrrhæ, iridis, acori, mandragoræ, asari, costi, nardi Indicæ, dauci Cretici, mei, singulorum drachmas octo, piperis albi, & longi, gentianæ, stœchadis, cassię, phu Pontici, singulorum drachmas octo; excipe melle.

A Πρὸ ὅλων δὲ τὴν ἀγωγὴν πότιζε τινὶ τούτων. ℞. κοτυληδόνος < α΄. σκίλλης καθαρᾶς ξηρᾶς < α΄. ἐν οἰνομέλιτι κεκραμένῳ δίδου καθ' ἡμέραν. ἢ ἄρου ῥίζης φλοιοῦ < α΄. καὶ κνεώρου, ὃν ἔνιοι χαμελαίαν καλοῦσι, χυλίσας καλάμων τοὺς περὶ τὰς ῥίζας ἁπαλοὺς ὄζους λάβε κυάθους γ΄. μίξας τε τὰ προειρημένα, δίδου καθ' ἡμέραν πίνειν. κάλλιστα δὲ ποιεῖ τοῦτο, ℞. καρκίνου ποταμίου ξηροῦ χωρὶς τῶν ποδῶν, καὶ χηλῶν λελεπτωμένου < α΄. ἀσάρου < α΄. μίξας ὕδατι ἐξ αὐτοῦ τοῦ ποταμοῦ, ὅθεν οἱ καρκῖνοι, δίδου πίνειν. ἐνίοτε δὲ ἀντὶ τοῦ ἀσάρου, ὀποβαλσάμου προσβάλλεται ἴσον. ἢ ℞. κοραλ-
B λίου < α΄. στυπτηρίας σχιστῆς < α΄. ὀβολοὺς β΄. λεάνας μετὰ καλαμίνθης ἀποβρέγματος, ἀνάπλαττε διωβολιαίους τροχίσκους, καὶ δίδου πίνειν ἐν τῷ τῆς καλαμίνθης ὕδατι ὀβολόν· ἄκρως ποιεῖ καὶ πρὸς νεφριτικούς. ἢ τὴν ῥίζαν τῆς καλαμίνθης καθεψήσας, πότιζε. ἢ τὸ σίον λεγόμενον πότιζε· τοῦτο δὲ καὶ ἐσθίειν δίδου. ἢ τριβόλου τὰ φύλλα. ἢ τὴν ῥίζαν μετ' οἴνου δίδου. ἢ ἐν βαλανείῳ ἁλὶ καὶ ἐλαίῳ ἐπιμελῶς, ἄχρις ἂν ἱδρώσωσιν, ἀλείψας ἔξαγε, καὶ μόνους τοὺς διδύμους ἀποκλύσας ἀφιδροῦντας, πρῶτον ὀθονίοις, εἶτα τοῖς λοιποῖς περιβολαίοις συσκεπάσας, κόμιζε, καὶ δίδου φουρνίτου ἄρτου μετὰ
C ἰσχάδων ἱκανῶν φαγεῖν, πότιζε δὲ οἴνῳ μέλανι Ἰταλικῷ, ἢ σπικάτῳ προσφάτῳ, ἐνεψημένων αὐτῷ σύκων γο η΄. εἰς τοὺς ξε ϛ΄. μέχρι τὸ γ΄. λειφθῇ, καθαίρει δι' οὔρων. ἢ αἰγὸς οὔρου κοχλιάριον α΄. μετὰ νάρδου < α΄. θερμήνας δίδου πίνειν. ἢ σίκυον ἄγριον οἴνῳ ναρδίνῳ, ἢ ἀμιναίῳ ἐναποβρέξας τρεῖς, ἐκ τοῦ ἀποβρέγματος δίδου κύαθον α΄. καὶ προστίθει κατὰ βραχὺ, ἕως κυάθων τριῶν. ἢ σεσέλεως δίδου πίνειν, ἢ ἐσθίειν. ἢ δαφνοειδοῦς λείου ἡλίκον θέρμον ἐπιπάσσων, δίδου πιεῖν, ἄγει οὖρα πολλά. ἢ ἄρου ῥίζης φλοιὸν ἐν οἴνῳ. ἢ λεπίδος χαλκοῦ < α΄. ἄρτου τὸ ἐντὸς ἀναλαβὼν καταπότια ποίει, καὶ δί-
D δου· ὕδωρ ἄγει εὐτόνως. ἢ ℞. χαλκοῦ κεκαυμένου < α΄. πηγάνου κλωνία τρία, περιστερᾶς κόπρου < α΄. ἁλὸς κοινοῦ ὀλίγον μετ' οἴνου Ἐφεσίου καὶ ὕδατος, τὸ πᾶν κρᾶμα κοτύλης S. δίδου. ἄκρως ποιοῦσιν αἵ τε θηριακαὶ διουρητικαὶ πᾶσαι, ἔτι τε τὰ ἑκάστῳ διὰ πείρας ἀκίνδυνα ὑδραγωγὰ πόματα, ἢ καταπότια. διάγειν δὲ τοὺς ὑδρωπικοὺς ἐπὶ πολὺ ἐν ἡλίῳ, σκέπων τὴν κεφαλὴν, μιγνὺς τῷ ἐλαίῳ ἅλας πολλοὺς, καταιόνα τε ἅλμῃ πολλῇ καὶ θερμῇ, τοὺς ἐμπεφυσημένους μάλιστα τόπους. κύστεις εὖ μεγέθεις ἐμφυσήσας ἐπιμελῶς, κατάκρουε καθ' ἡμέραν συνεχῶς, πιλοῦνται γὰρ καὶ προστέλλονται.
E διελὼν δὲ τὰ σφυρὰ αὐτῶν, ἢ καὶ χαράξας ἐν φορείῳ αἰώρει, πολὺ γὰρ διαρρεῖν ὑγρὸν εἴωθεν αὐτοῖς.

Πρὸς τὰς αὐτὰς διαθέσεις, ἡ τοῦ Βιεννίου.

℞. Κρόκου, ὀπίου, ὀποπάνακος, σμύρνης, ἴρεως, ἀκόρου, μανδραγόρου, ἀσάρου, κόστου, νάρδου Ἰνδικῆς, δαύκου Κρητικοῦ, μήου ἀνὰ < η΄. πεπέρεως λευκοῦ, καὶ μακροῦ, γεντιανῆς, στοιχάδος, κασίας, φοῦ Ποντικοῦ ἀνὰ < η΄. μέλιτι ἀναλάμβανε.

F

CAPVT IV.

De medicamentis anodynis, & colicis appellatis.

HVjusmodi medicamentis, magni doloris, aut vigiliarum gratia, aut ne per violentã tussim

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ τῶν ἀνωδύνων τε, καὶ κολικῶν ὀνομαζομένων φαρμάκων.

ΤΟῖς τοιούτοις φαρμάκοις, ἕνεκα μεγάλης ὀδύνης, ἢ ἀγρυπνίας, ἢ τοῦ μὴ ταράττεσθαι χάριν, διὰ βῆχα

βιαίαν, ὡς ἐφ᾽ αἵματος ἀναγωγῆς ἐνίοτε γίνεται, καὶ καταῤῥῶν χαλεπῶν, εἰώθαμεν χρῆσθαι. κατὰ μέντοι τὰ μετριώτερα τῶν εἰρημένων, αἱ διὰ τῶν σπερμάτων ἰδίᾳ ὀνομαζόμεναι βηχικαὶ δυνάμεις αὐτάρκεις, ἔχουσαι μὲν πάντως τι καὶ αὗται τῶν καρωτικῶν φαρμάκων, ἀλλ᾽ ὀλίγον ἐν πολλοῖς τοῖς σπέρμασιν, ἅπερ εὐώδη τέ ἐστι, καὶ λεπτομερῆ, καὶ διουρητικά. προσαγορεύουσι δὲ πολλάκις αὐτὰ οἱ ἰατροὶ, καὶ χωρὶς τοῦ προσθεῖναι τὸ τοῦ σπέρματος ὄνομα, κύμινον λέγοντες, καὶ δαῦκον, καὶ σέσελι, σέλινόν τε καὶ ἄνισον. αἱ μὲν οὖν τῶν τοιούτων φαρμάκων συνθέσεις, ἐν ταῖς βηχικαῖς ὀνομαζομέναις δυνάμεσιν εἴρηνται. ταῖς δὲ τῶν ἀνωδύνων τε καὶ κωλικῶν, αἵπερ εἰσὶν ὁμογενεῖς μὲν ἐκείναις, σφοδρότεραι δὲ πολὺ ταῖς δυνάμεσιν, ἐν τῷδε τῷ λόγῳ δηλώσω. πρώτη μὲν οὖν αὐτῶν, ὡς ἔοικεν ἐν τοῖς πάλαι χρόνοις, ἡ τοῦ Φίλωνος ἔνδοξος ἐγένετο, περὶ ἧς αὐτὸς ἐποίησε τάδε τὰ ἐλεγεῖα.

Η φίλωνος Αντίδοτος.

Ταρσέως ἰητροῖο μέγα θνητοῖσι φίλωνος
  Εὕρεμα, πρὸς πολλάς εἰμὶ παθῶν ὀδύνας.
Εἴτε κῶλον πάσχει τις ἅπαξ δοθὲν, εἴτε τις ἧπαρ,
  Εἴτε δυσουρίῃ ἴσχεται, εἴτε λίθῳ.
Ιῶμαι δὲ σπλῆνα, καὶ ὀρθόπνοιαν ἀνιηρὴν,
  Καὶ φθίσιν ἰῶμαι, σπασμὸν ἐνιστάμενον,
Καὶ σφαλερὴν πλευρῖτιν. ἀποπτύων δέ τις αἷμα
  Η ἐμέων, ἕξει μ᾽ ἀντίπαλον θανάτου.
Πάντα δ᾽ ὅσα σπλάγχνοισιν ἐνίσταται ἄλγεα παύω,
  Βῆχά τε καὶ πνιγμὸν, λύγγα τε καὶ κατάρρουν.
Γέγραμμαι δὲ σοφοῖσι, μαθὼν δέ τις οὐ βραχύ μ᾽ ἕξει
  Δῶρον, ἐς ἀξυνέτοις δ᾽ οὐκ ἐπόθησα φράν,
Ξανθὴν μὲν τρίχα βάλλε μυείπνοον ἰσοθέοιο,
  Οὗ λύθρος Ερμείαις λάμπεται ἐν βοτάναις.
Κρόκου δὲ σταθμὸν φρένας ἀνέρος, οὐ γὰρ ἄδηλον,
  Βάλλε δὲ καὶ δραχμὴν Ναυπλίου Εὐβοέως.
Καὶ τρίτου ἐν Τρώεσσι, Μενοιτιάδαο φονῆος,
  Δραχμὴν τὴν μήλων γαστέρι σωζομένην.
Ολκὰς δ᾽ ἀργεννοῖο πυρώδεος εἴκοσι βάλλε,
  Εἴκοσι καὶ κυάμου θηρὸς ἀπ᾽ Αρκαδίης.
Δραχμὴν καὶ ῥίζης ψευδωνύμου, ἣν ἀνέθρεψε
  Χῶρος, ὅ τ᾽ Πίσσῃ Ζῆνα λοχευσάμενος.
Πῖον δὲ γράψας, ἄρθρον βάλε πρῶτον ἐπ᾽ αὐτῷ,
  Αῤῥεν εὖ δραχμὰς πέντε δὶς ἑλκόμενον.
Νᾶμα δὲ θυγατέρων ταύρων, καὶ Κεκροπίδαισι
  Συγγενὲς, οἱ Τρίκκης, ὡς ἐνέπουσιν ἐμοί.

Γαληνοῦ ἐξάπλωσις τῆς φίλωνος Αντιδότου.

Εν τούτοις τοῖς ἔπεσιν, ὁ Φίλων κελεύει, κρόκου μὲν < ε᾽. ἐμβάλλεσθαι, πυρέθρου δὲ μίαν, εὐφορβίου μίαν, στάχυος νάρδου μίαν, πεπέρεως δὲ λευκοῦ, καὶ ὑοσκυάμου τὸ ἴσον, ἑκατέρου < κ᾽. ὀπίου δὲ < ι᾽. οἱ μὲν οὖν πρῶτοι δύο στίχοι τὸν κρόκον δηλοῦσιν, ξανθὸν μὲν τῇ χρόᾳ ὄντα, τριχώδη δὲ τῇ λεπτότητι. λύθρον δὲ τοῦ κρόκου φησὶν ἐν ταῖς Ερμείαις, τουτέστι ταῖς τοῦ Ερμοῦ λάμπεσθαι βοτάναις. ἐπεὶ μειράκιον καλούμενον Κρόκος, ἅμα τῷ Ερμῇ δισκεύων, εἶθ᾽ ἑστὼς ἀμελέστερον, ἐμπεσόντος αὐτῷ δίσκου τῇ κεφαλῇ, συνέβη μὲν ἀποθανεῖν αὐτίκα. τοῦ δ᾽ αἵματος εἰς τὴν γῆν διαῤῥυέντος, ἐξ αὐτοῦ φῦναι τὸν κρόκον. λάμπεσθαι δὲ εἶπε τὸν λύθρον, τουτέστι τὸ ἀπὸ τοῦ σφαγέντος αἷμα,

A lancinemur, velut in sanguinis reiectione, & grauibus distillationibus aliquando contingit, vti solemus. In moderatioribus tamen prædictis affectionibus confectiones ex seminibus, priuatim tussiculares appellatæ, sufficiunt, quæ & ipsæ omnino aliquid ex soporiferis seminibus habent; verùm modicum inter multa adeò semina, quæ odorata, & tenuium partium, ac vrinam cientia existunt. Appellant autem hæc medici sæpe citra appellationis seminis appositionem, cuminũ dicentes, & daucũ, & seseli, apiumque, & anisum. Eiusmodi igitur medicamentorum compositiones inter tussiculares appellatas confectiones sunt rela-
B tæ; verùm dolorem sedantes, anodynæque, & colicæ dictæ, quæ eiusdem quidem generis cum illis sunt, multum autem facultatibus illas exuperant, in hoc sermone ostenduntur. Prima itaque ex ipsis priscis temporibus, vt apparet, celebris fuit, quam Philo prodidit, & de qua ipse hanc Elegiam fecit.

Philonis Antidotus.

En me Tarsensis medici prægrande Philonis
  Inuentum, mala quod multa dolore leuo.
Siue colum doleas, seu tu iecur, auxiliabor;
C *Seu lapis infestet, difficile aut lotium.*
Et medeor spleni hinc, orthopnϾque molestæ,
  Conuulsa, atque tabem protinus exupero.
Pleuritimq; malam, & sputum vomitumq; cruoris,
  Euinco, mortis terror, & hostis ego.
Viscera tentantes omnes ego sedo dolores,
  Interna, & quicquid membra dolore quatit.
Tussim, singultum, destillantesque fluores
  Sisto, etiam si quid strangulet, excipio.
Me dedit ille author sapienti munera magna
  Discipulo, stupidos nil ego curo viros.
Fragrantem fuluumque pilum pueri cape, cuius
  Fulget adhuc campis Mercurij ille cruor,
D *Pondus ad humanos sensus perpendito prudens,*
  Dein drachmæ pondo Nauplion Euboicum.
Inde Menœtiadæ occisoris ponito drachmam,
  Qui pecoris densis ventribus excipitur.
Viginti, & drachmas candentis coniice flammæ,
  Et totidem fabæ post suis Arcadicæ.
Et drachmam dictæ falso radicis, ab ipsa
  Terra, Pissæo quæ Ioue clara manet.
Cumque pion scribes, voci caput amplius addes,
  Masculum Achiuorum nominis articulum.
Indeque post drachmas expensæ sumito lancis
E *Quinque bis. Atque istæc prouidus excipito.*
Natarum tauri textura Cecropidarum.
  Sic mecum Tricca progeniesque facit.

Galeni explicatio antidoti Philonis.

In his versibus Philo iubet, croci drachmas quinque coniici, pyrethri vnam, euphorbij vnam, spicæ nardi vnam: piperis autem albi, & hyoscyami par pondus, vtriusque drachmas viginti, opij verò drachmas decem. Primi quidem igitur duo versus crocum indicant, vt qui fuluus colore sit, & tenuis ad formam pi-
F lorum. Cruorem autem croci fulgere adhuc in campis Mercurij dicit. Adolescens enim Crocus appellatus cum Mercurio disco ludens, & incuriosius consistens, illapso in caput ipsius disco, statim mortuus est: ex sanguine autem ipsius in terram acto crocus natus est. Fulgere verò cruorem dixit, hoc est sanguinem iam occisi, propter

propter coloris croci splendorem. Scribitur autem non solum campis, sed & herbis in versu, hoc modo, Fulget adhuc herbis Mercurij ille cruor. Cæterùm pondus croci ʒ. v. esse vult, quum humanos sensus perpendere iussit, qui quinque numero existunt. Quod verò drachmas quinque esse velit, & neque obolos, neque libras, neque aliud quicquam tale, per sequentia commonstrat, primum quidem quum ait, dein drachmæ pondo Nauplion Euboicum. Deinde verò, & consequenter cum aliis, idem drachmæ nomen apponit. Nauplion itaque Euboicum, pyrethrum vocat, propterea quòd Nauplius magnis pyris incensus, vt aiunt, circa Eubœæ portum, multos Græcorum decepit, vt perirent, tanquam ad regionem portus bonos habentem applicantes. Id ipsum verò ob Palamedis necem ipsum fecisse tradunt. At verò, & euphorbium similiter his ænigmaticè vocauit, quum ait, inde Menœtiadæ occisoris ponito drachmam. Quandoquidem poëta Patroclum sic loquentem facit:

Sed me parca ferox, Latonæ & filius aufert,
Atque vir Euphorbus.

Pecoris autem, hoc est ouium ventribus excipi, & asseruari euphorbium ait, propterea quòd hos solos non corrumpit, & ob hoc in his reponi medicamentum potest. Est porrò euphorbium plantæ cuiusdam spinosæ in Maurusiorum terra nascentis succus, facultate calidissimus: & de ipso libellus paruus scriptus est Iubæ regi Maurusiorum. Consequenter verò Philo ait, *viginti & drachmas candentis conisce flammæ*; piper album per hoc significans. Est autem stomacho commodius, & acrius quàm nigrum. Viginti insuper drachmas seminis hyoscyami iniicere iubet, quod ænigmaticè fabam suis Arcadicæ appellat, quandoquidem aprum Erymanthium Hercules occidisse fertur, qui in Arcadum terra fuit connutritus. Quin & nardi ipsius drach. j. coniiciendam censet, quam radicem falsò dictam appellat, quandoquidem spica nardi verè nominatur. Vult autem eam Creticam esse, quum ait: ab ipsa terra, Pissæo, quæ Ioue clara manet. Quandoquidem fabularum scriptores Iouem in Dictæo Cretæ monte educatum aiunt, occultatum ibidem à matre Rhea, ne & ipse à patre Saturno deuoraretur. Apposuit autem Ioui epitheton Pissæi, quemadmodum multi etiam extra poëticam, in communi sermone dicere solent, per Æsculapium Pergamæum, per Dianam Ephesiam, per Delphicum Apollinem, per Vestam Eleusiniam. Quidam verò non Creticam terram, sed Indicam indicatam esse aiunt, ex qua ebur affertur, ex hoc enim statuam Iouis in Pissa factam, ac formatam esse. His omnibus, & papaueris succum admisceri iubet, qui recepto à medicis more priuatim opium appellatur, quum nullus aliorum succorum quantumuis multi sint, in neutro genere, opium videlicet, nominetur. Quando igitur ipsum nomen opion ex voce, o, & pion componitur, ob id sanè inquit:

Cumque pion scribes, voci caput amplius addes
Masculum Achiuorum nominis articulum.
Indeque post drachmas expensæ sumito lancis
Quinque bis, &c.

Hoc est iniice & opij drach. x. Superest postremũ, quo omnia hæc trita excipiuntur, ipsum mel, itidem coniecturaliter ab ipso appellatum. Natarum tauri textura, quandoquidem ex putrescentibus

A διὰ τὸ στιλπνὸν τῆς χρόας τοῦ κρόκου. γράφεται δὲ οὐ μόνον βοτάναις, ἀλλὰ καὶ πεδίοις ὡδί πως ὁ στίχος, Ἑρμείοις λάμπεται ἐν πεδίοις. σταθμὸν δὲ ἀξιοῖ τοῦ κρόκου πέντε δραχμὰς εἶναι, φρένας ἀνέρος εἰπὼν τὰς αἰσθήσεις, οὔσας πέντε. ὅτι δὲ δραχμὰς πέντε βούλεται εἶναι, καὶ οὔτε ὀβολοὺς, οὔτε λίτρας, οὔτε ἄλλο τι τοιοῦτον ἐνδείκνυται διὰ τῶν ἑξῆς. πρῶτον μὲν εἰπὼν, μίσγε δὲ καὶ δραχμὴν Ναυπλίου Εὐβοέως. εἶθ' ἑξῆς, καὶ τοῖς ἄλλοις προστιθεὶς ταὐτὸν ὄνομα τὸ τῆς δραχμῆς. Ναύπλιον μὲν οὖν Εὐβοέα τὸ πύρεθρον λέγει, διότι Ναύπλιος πυρὰς μεγάλας καύσας, ὥς φασι, κατὰ τὸν τῆς Εὐβοίας λιμένα, πολλοὺς τῶν Ἑλλήνων ἐξηπάτησεν, B ὡς ἐπὶ χώραν εὐλίμενον καταίροντας ἀπολέσθαι. ἐργάσασθαι δὲ φασὶν αὐτὸν τοῦτο, διὰ τὸν τοῦ Παλαμήδους θάνατον. καὶ μὴν καὶ τὸ εὐφόρβιον, αἰνιγματωδῶς ὁμοίως τούτοις κέκληκεν εἰπὼν, καὶ τεῖτου ἐν Τρώεσσι, Μενοιτιάδαο φονῆος, ἐπεὶ ὁ ποιητὴς ἐποίησε λέγοντα τὸν Πάτροκλον,

Ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱὸς,
Ἀνδρῶν δ' Εὔφορβος.

μήλων δὲ τουτέστι προβάτων, ἐν τῇ γαστρὶ διασώζεσθαί C φησι τὸ εὐφόρβιον, ὅτι μόνην ταύτην οὐ διαβιβρώσκει, καὶ διὰ τοῦτο δυνατόν ἐστιν ἀποτίθεσθαι κατ' αὐτὴν τὸ φάρμακον. ὀπὸς δὲ ἐστὶ φυτοῦ τινος ἀκανθώδους, ἐν τῇ τῶν Μαυρουσίων γῇ φυομένου, θερμότατος τῇ δυνάμει, καὶ γέγραπται περὶ αὐτοῦ βιβλίδιόν τι σμικρὸν, Ἰούᾳ τῷ βασιλεύσαντι τῶν Μαυρουσίων. ἐφεξῆς δὲ ὁ Φίλων φησὶν, δραχμὰς δ' ἀργυνόιο πυρώδεος, εἴκοσι βάλλε, ὡς λευκὸν πέπερι σημαίνων. ἔστι δὲ εὐστομαχώτερον, καὶ δριμύτερον τοῦ μέλανος. εἴκοσι δ' ἀξιοῖ δραχμὰς ἐμβάλλεσθαι σπέρματος ὑοσκυάμου, γράψας καὶ τοῦτο αἰνιγματωδῶς, εἴκοσι καὶ D κυάμου θηρὸς ἀπ' Ἀρκαδίης. ἐπεὶ τὸν Ἐρυμάνθιον κάπρον ὁ Ἡρακλῆς ἀποκτεῖναι λέγεται, κατὰ τὴν τῶν Ἀρκάδων γῆν αὐξηθέντα. νάρδου δὲ καὶ αὐτῆς < α'. ἀξιοῖ βάλλειν, ἣν ψευδώνυμον εἴρηκε ῥίζαν, ἐπεὶ στάχυς ὀνομάζεται νάρδου. βούλεται δ' αὐτὴν εἶναι Κρητικὴν, ἔνθα φησὶν, ἣν ἀνέθρεψε χῶρος ὁ τὸν Πίσση Ζῆνα λοχευσάμενος. ἐπεὶ τὸν Δία φασὶν οἱ μυθολόγοι, κατὰ τὸ Δικταῖον ὄρος ἐν Κρήτῃ τραφῆναι, κρυπτόμενον ὑπὸ τῆς μητρὸς Ῥέας, ὅπως μὴ ὑπ' αὐτοῦ ὑπὸ τοῦ πατρὸς τοῦ Κρόνου καταποθῇ. προσέθηκε δὲ τῷ Διῒ τὴν Πίσσην, ὡς εἰώθασι πολλοὶ, καὶ χωρὶς ποιητικῆς E ἐν τῷ βίῳ λέγειν, μὰ τὸν ἐν Περγάμῳ Ἀσκληπιὸν, μὰ τὴν ἐν Ἐφέσῳ Ἄρτεμιν, μὰ τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, μὰ τὸ ἐν Ἐλευσῖνι πῦρ. ἔνιοι δὲ οὐ τὴν Κρητικὴν χώραν, ἀλλὰ τὴν Ἰνδικὴν εἰρῆσθαί φασιν, ἐξ ἧς ὁ ἐλέφας φέρεται. ἐκ τούτου γὰρ τὸ ἐν Πίσσῃ τοῦ Διὸς ἄγαλμα λελογχεῦσθαι, τουτέστι γεγλύφθαι. τούτοις ἅπασι μίγνυσθαι κελεύει τὸν τοῦ μήκωνος ὀπὸν, εἰθισμένον ὑπὸ τῶν ἰατρῶν ὄπιον ἰδίως ὀνομάζεσθαι. μηδενὸς τῶν ἄλλων ὀπῶν, καίτοι παμπόλλων ὄντων κατὰ τὸ καλούμενον οὐδέτερον γένος ὀνομαζομένων. ἐπεὶ τοίνυν τὸ ὄνομα, ἐκ τῆς ο φωνῆς, καὶ τῆς πίον σύγκειται, διὰ F τοῦτο ἔφη

Πίον δὲ γράψας ἄρθρον βάλε πρῶτον ἐπ' αὐτῷ,
Ἄρρεν εἰ δραχμαῖς πέντε δὶς ἑλκόμενον,

ὅπερ ἐστὶν ἔμβαλλε καὶ τὸν ὀπίου < ι'. ὑπόλοιπον δὲ ἐστὶν ᾧ πάντα ταῦτα ἀναλαμβάνεται λεωθέντα, τὸ μέλι κεκλημένον ὑπ' αὐτοῦ συμβολικῶς, νάμα ταύρου θυγατέρων, ἐπεὶ σηπομένων

ἀρσενικοῦ < ιβ'. σανδαράχης < ιβ'. ἀναλάμβανε μυρτίτῃ, A ἢ ῥόδων ἀφεψήματι σὺν οἴνῳ αὐστηρῷ ἑψημένων εἰς τὸ ἥμισυ, ἔκθλιβε τὰ ῥόδα, καὶ οὕτω συλλεάνας, ἀνάπλασσε, καὶ τὸ αὐτὸ ἔνιε σὺν ὕδατι. ἔνεμα παρ' Εὐβούλου. ♃. λεπίδος χαλκοῦ < κ'. χάρτου κεκαυμένου < ιϛ'. ἀσβέστου < ϛ'. ἀρσενικοῦ < η'. σανδαράχης < ιε'. ἀκακίας < ε'. ὀμφακίου < γ'. τρυγὸς κεκαυμένης < α'. οἴνῳ μυρτίτῃ ἀναλάμβανε, καὶ ἔνιε κεράματι θερμῷ. ἔνεμα Ηρα. ♃. χάρτου κεκαυμένου ℥ α'. ἀσβέστου ℥ S''. καδμείας ℥ α'. ἀρσενικοῦ ℥ α'. τοῦ ξηρίου κοχλιάρια δύο, ἀφεψήματος μύρτων, ἢ μυρτίτου κυάθοις δ'. τὴν ἄσβεστον σβέννυε χυλῷ ἀρνογλώσσου. ἔνεμα τοῦ αὐ- B τοῦ. ♃. σανδαράχης, ἀρσενικοῦ, ἀνὰ < η'. ἀκακίας < δ'. ἀσβέστου < δ'. οἴνῳ αὐστηρῷ ἀναλάμβανε ποιῶν τροχίσκους < γ'. ἐπὶ τῶν ἀσθενῶν ἔλασσον, ἐν κεράματι οἴνου ἔνιε. Αλλο. ♃. σανδαράχης < η'. ἀσβέστου προσφάτου < ι'. χάρτου κεκαυμένου < η'. οἱ δὲ < λ'. σιδίων, κηκίδων, ἀκακίας, ἀνὰ < ε'. μαινίδων τεταριχευμένων ὄξει ἐπὶ ἡμέρας κα'. καὶ κεκαυμένων < γ'. ἀρσενικοῦ < ιϛ'. καίονται δὲ μαινίδες ἐν χύτρᾳ ὠμῇ, καὶ οἱ μὲν ξηρῷ χρῶνται, οἱ δὲ τροχίσκους μετὰ μύρτου ἀφεψήματος. ἐὰν δὲ μὴ βραδύνῃ, προσένιε πολυγόνου χυλῷ, ἢ ἅλμῃ. ἔνεμα ᾧ χρῶμαι, προσφωνηθὲν ἄφθα. ♃. ῥοῦ τοῦ ἐν C Συρίᾳ, κηκίδων κεκομμένων < ιε'. χάρτου κεκαυμένου ἴσον, φελλοῦ κεκαυμένου < ιε'. ἄρτου Ἀλεξανδρίνου ξηροῦ κεκαυμένου < ιε'. ἀρσενικοῦ < ι'. σανδαράχης < ι'. ἀκακίας < ε'. ψιμμυθίου < κ'. ἀσβέστου < ι'. λιθαργύρου < γ'. οἴνῳ παλαιῷ ἀναλάμβανε, ποιῶν τροχίσκους, τοὺς μὲν < β'. τοὺς δὲ < γ'. τοὺς δὲ < δ'. ἐγχυμάτιζε ἐν μὲν ἀρχῇ, ἀρνογλώσσου χυλῷ, ἢ πολυγόνου, ἢ ἐλξίνης. ἐὰν δὲ μὴ παρῇ τι τούτων, μεθ' ὕδατος. ἐὰν δὲ ἀκμὴ εἴη, καὶ ἰσχὺς τοῦ νοσήματος, ὅταν περιώδυνος εἴη, ἔνιε μετὰ τήλεως ἀφεψήματος, ἢ λινοσπέρμου. ἐὰν δὲ παρακμὴ εἴη, μετὰ ἀφεψήματος μυρσίνης, καὶ D βάτου σὺν οἴνῳ ἑψημένων, ἐπὶ μὲν παίδων, πλῆθος κυάθων δύο, ἐπὶ δὲ γυναικῶν, κυάθων γ'. ἐπὶ δὲ ἀνδρῶν, κυάθων τεσσάρων. ἔνεμα ᾧ χρῶμαι, τὸ Γεμέλλου. ♃. ἀρσενικοῦ < η'. σανδαράχης < δ'. ἀσβέστου < η'. λεπίδος χαλκοῦ < ϛ'. στυπτηρίας σχιστῆς ἴσον, ὀμφακίου < η'. λυκίου Ινδικοῦ ἴσον, ὀποῦ μήκωνος < δ'. ὑποκυστίδος χυλοῦ ἴσον, κρόκου < β'. ἐγὼ δὲ δ'. χάρτου κεκαυμένου < κ'. οἱ δὲ < ιϛ'. ἀναλάμβανε οἴνῳ μυρτίτῃ, ποίει τροχίσκους ἀνὰ < δ'. καὶ γ'. ἔνιε ἐν κεράματι οἴνου. ἔνεμα τὸ παρ' Αγαθίου. ♃. ἀρσενικοῦ < β'. σανδαράχης < ε'. ἀσβέστου < γ'. χάρτου κεκαυμένου E < δ'. ἔνιε τοῦ φαρμάκου < γ'. μετὰ ἁλῶν λείων < γ'. ἐν ὕδατι ψυχρῷ κυάθων ἕξ.

Ενεμα πρὸς δυσεντερικοὺς ὡς Νικόστρατος, ᾧ Μένανδρος ἐχρήσατο.

♃. Ασβέστου < α'. γύψου < η'. ἀκακίας < β'. ὄμφακος < α'. στίμμεως < γ'. λιβάνου < α'. κηκίδος < δ'. τραγακάνθης < β'. οἴνῳ μυρσίτῃ ἀναλάμβανε τροχίσκους, ἀποτίθεται ἐν στεμφύλοις ξηροῖς ἵνα μὴ διαπνέῃ. ἔνεμα πρὸς δυσεντερικοὺς, παρὰ Θαμύρου. F ♃. ἀρσενικοῦ < β'. σχιστῆς < β'. καδμείας ἴσον, ἀσβέστου νεαρᾶς < α'. χάρτου κεκαυμένου < β'. φελλοῦ ἀπὸ κεραμίου οἴνου Φαλερίνου κεκαυμένου < ζ'. S''. ἀναλάμβανε τροχίσκους, ἑψήματι ἢ γλυκεῖ, ἢ Σπανῷ πάλιν ἑψομένῳ παρὰ σοι, λειοτριβῶν δὲ τὸν τροχίσκον, ἔνιε κοχλιάρια β'. τοῖς

auripigmenti drach. xii. sandarachæ drach. xii. excipe vino myrteo, aut rosarum decocto, quæ cum vino austero ad dimidias coctæ sint, & expressæ, atque ita læuigatas forma in pastillos, eósque infunde cum aqua. *Infusum ab Eubulo.* ♃. Squamæ æris drach. xx. chartæ vstæ ʒ. xvi. calcis viuæ ʒ. vi. auripigmẽti ʒ. viii. sandarachæ ʒ. xv. acaciæ ʒ. v. omphacii ʒ. iii. fæcis vini vstæ ʒ. i. excipe vino myrteo, & infunde cum vino diluto calido. *Infusum Heræ.* ♃. chartæ vstæ ℥. i. calcis viuæ ℥. ß. cadmiæ ℥. i. auripigmenti ℥. i. ex hoc arido cochlearia duo, cum decocto baccarum myrti, aut vino myrteo, cyathorum iiii. mensura infunde, calcem verò cum succo plantaginis extingue. *Infusum aliud eiusdem.* ♃. sandarachæ, auripigmenti, vtriusque ʒ. viii. acaciæ ʒ. iiii. calcis viuæ ʒ. iiii. excipe vino austero, & coge pastillos ʒ. iii. In debilibus verò minus cum vino diluto infunde. *Aliud.* ♃. sandarachæ ʒ. viii. calcis viuæ recentis ʒ. x. chartæ vstæ ʒ. viii. alij ʒ. xxx. malicorii, gallarum, acaciæ, singulorum ʒ. v. mænarum aceto conditarum ad dies viginti vnum, ac vstarum, ʒ. iii. auripigmenti ʒ. xvi. vruntur mænæ in olla cruda; & aliqui arido medicamento vtuntur, aliqui in pastillos cum myrti baccarum decocto cogunt. Si verò non moretur medicamentum retentum, ante eius vsum polygoni succum, aut muriam infundito. *Infusum, quo vtor, Aphtha appellatum.* ♃. rhois syriaci, gallarum tusarum, vtriusque ʒ. xv. chartæ vstæ tantundem, suberis vsti ʒ. xv. panis Alexandrini sicci vsti ʒ. xv. auripigmenti ʒ. x. sandarachæ ʒ. x. acaciæ ʒ. v. cerussæ ʒ. xx. calcis viuæ ʒ. x. spumæ argenti ʒ. iii. excipe vino veteri, & forma pastillos, alios duarũ, alios trium, alios quatuor drachmarum pondere. In principio quidem in plantaginis, aut sanguinariæ, aut helxines succo infundito; qui si non adsint, in aqua. Si verò vigor sit, & morbus vehemens cum dolore, in fœnigræci, aut seminis lini decocto infunde. In declinatione autem in decocto myrti, & rubi, vino coctorum. In pueris cyathorum duorum copia, in fœminis trium, in viris quatuor. *Infusum, quo vtor. Gemelli.* ♃. auripigmenti ʒ. viii. sandarachæ ℥ iiii calcis viuæ ʒ. octo, squamæ æris ʒ. vi. aluminis scissi tantundem, omphacii ʒ. viii. lycii Indici tantundem, succi papaueris ʒ. iiii. succi hypocystidis tantundem; croci ʒ. ii. ego autem ʒ. iiii. chartæ vstæ ʒ. xx. aliqui ʒ. xvi. excipe vino myrtite; fac globulos quorum singuli sint ʒ. iiii. & trium. Infunde cum vino diluto. *Infusum Agathij.* ♃. auripigmenti ʒ. ii. sandarachæ ʒ. v. calcis viuæ ʒ. iii. chartę vstæ ʒ. iiii. huius medicamenti ʒ. iii. cum salis triti ʒ. iii. infundito in aquæ frigidæ cyathis vi.

Infusum Nicostrati ad dysentericos, quo Menander vsus est.

♃. Calcis viuæ drach. i. gypsi drachmas octo, acaciæ drachmas duas, omphacii drach. i. stibii drach. iii. thuris drach. i. gallæ drach. iiii. tragacanthæ drachmas duas cum vino myrteo cogito in pastillos. Reponuntur in vinaceis siccis, ne transpirent. *Infusum ad dysentericos Thamyræ.* ♃. auripigmenti drachmas duas, aluminis scissi drachmas duas, cadmiæ tantundem, calcis viuæ nouæ drachmam vnam; chartæ vstæ drachmas duas, suberis ex dolio vini Falerni vsti drachmas vii. & dimidiam; cum sapa, aut passo Hispano apud te recocto pastillos cogito. Cæterùm pastillis rursus tritis cochlearia ii. infundito.

Reliquis

Reliquis pro viribus cum lenticulæ decocto, si lenticula non adsit, rubum cum rosis aridis decoquito, & seorsim myrti baccas cum vino austero coquito, & vtriusque cyathum vnum misceto; quandoque verò vini austeri cyathos iiij. & rubi decocti cyathos ii. Facit item in potu acceptum pro viribus ad cochlearij plus minúsve mensuram ex frigida aqua. *Infusum, vt Deletius Epagathus.* ℞. auripigmenti ʒ. xii. succi hypocystidis ʒ. iii. sandarachæ ʒ. iii. chartæ vstæ ʒ. xxx. calcis viuæ ʒ xxiiii. balaustij ʒ. xlviii. Balaustium in vino veteri austero coquitur, deinde cum decocto reliqua teruntur, formantúrque pastilli drachmarum quatuor; quidam vnciæ ponderis faciunt. Infunduntur autem ante cœnam in myrti baccarum, & lenticulæ decocto.

Quæ ab Asclepiade ad dysentericos scripta sunt; quorum aliqua etiam cœliacis conueniunt.

℞. Vini myrtitæ sextar. iii. rhois rubri heminam i. mellis Attici cocti lib. j. rhoëm, & vinum coquito rubi ramulis mouendo; & vbi tertia pars restiterit, liquorem exprimito, eique mel adiicito, ac rursus coquito, donec spissetur. Datur mystrum ante cibum. *Aliud.* ℞. rhois syriaci, farinæ polentæ, vuæ passæ non exacinatæ, singulorum ʒ. ij. malicorij putaminis tusi, & cribrati ʒ. i. excipe melle cocto. Dato mystrum ante, & post cibum. *Pastillus cœliacis, & dysentericis.* Ouum crudum recens perforato, & in vasculum euacuato, & cum testa subscripta mensurato olei omphacini testam oui vnam, piperis albi tenuissimè triti tantundem; rhois Syriaci tenuissimè triti, tantundem, & gallarum omphacitidum tenuissimè tritarum, tantundem, farinæ tritici tantundem; omnia subacta, & mollita in pastillos redigito, & in sartagine fricta ante cibum dato. *Aliud. Hoc scimus multos vsos à morbo liberatos esse.* ℞. Gallarum subtilissimè tritarum cochlere; piperis albi, rhois rubri, malicorij tenuissimè triti; singulorum æqualem partem; omnia mixta oui luteo excipe, & in vacuam mali punici testam coniice, atque obturato cum farina osculo ipsius ad prunas torre; deinde depurgata mali punici testa cochleare vnum comedendum exhibe. *Catapotia, cœliacis, dysentericis.* ℞. gallarum omphacitidum non perforatarum ʒ. iiij. opij Hispani ʒ. ij. petroselini ʒ. i. excipe aqua, fac catapotia, & da magnitudinem ciceris, virium tamen ratione circa mensuram habita. *Aliud Aspasij, medicamentum generosum.* ℞. Petroselini, fructus ericæ, rhois syriaci, opii, singulorum ʒ. ii. cum myrti decocto in catapotia redigito, ac dato, vt dictum est.

Pastillus sedans dolorem, cœliacis, & dysentericis, & bibitur, & infunditur. Quandoque etiam ipso pro cataplasmate vtimur excipientes melle cocto.

℞. Seminis hyoscyami ʒ. iiii. seminis apij tantundem; anisi, florum rosarum, vtriusque ʒ. ij. hypocystidis, opii, vtriusque ʒ. i. cum aqua trita in pastillos reducito; & obolos tres exhibeto febrem non habentibus, cum vini diluti cyathis tribus, febricitantibus cum aqua.

Aliud, Cœliacis, dysentericis, medicamentum accommodatum, & bibitur, & infunditur, & foris impositum auxiliatur.

℞. Seminis apii, seminis hyoscyami, anisi,

A δὲ λοιποῖς πρὸς δύναμιν, μετὰ φακοῦ ἀφεψήματος. ἐὰν δὲ μὴ ἔχῃς φακὸν, βάτον καθέψησον σὺν ῥόδοις ξηροῖς, καὶ χωρὶς μύρτα ἀφέψει μετὰ οἴνου αὐστηροῦ, μίσγε ἑκάστου κύαθον α΄. ὁτὲ δὲ μετ' οἴνου κυάθων δ΄. καὶ τοῦ ἀφεψήματος τοῦ βάτου κυάθους δύο. ποιεῖ δὲ καὶ πινόμενον πρὸς δύναμιν μετὰ ψυχροῦ, ὅσον κοχλιάριον, ἔλαττον ἢ πλέον. ἔνεμα, ὡς Δηλήτιος Επάγαθος. ℞. ἀρσενικοῦ < ιβ΄. ὑποκυστίδος χυλοῦ < γ΄. σανδαράχης < γ΄. χάρτου κεκαυμένου < λ΄. ἀσβέστου < κδ΄. βαλαυστίου < μη΄. Βαλαύστιον ἕψεται ἐν οἴνῳ αὐστηρῷ παλαιῷ, εἶτα τῷ ἀφεψήματι τρῖβε τὰ λοιπὰ, καὶ ἀνάπλαττε τροχίσκους, ἀνὰ < δ΄. τινὲς δὲ λέγουσιν, ἐν μύρτου καὶ φακοῦ ἀφεψήματι.

Τὰ ὑπ' Ασκληπιάδου γεγραμμένα πρὸς δυσεντερικοὺς, ὧν ἔνια καὶ κοιλιακοῖς ἁρμόττει.

℞. Οἴνου μυρτίτου ξε γ΄. ῥοῦ ἐρυθροῦ κοτύλην α΄. μέλιτος Αττικοῦ καθεψημένου λίτραν α΄. ἕψε τὸν ῥοῦν καὶ τὸν γλυκὺν κινῶν κλωσὶ βάτου, καὶ ὅταν τὸ τρίτον λειφθῇ, ἔκθλιβε τὸ ὑγρὸν, καὶ τούτῳ ἐπιβαλὼν τὸ μέλι, πάλιν C ἕψε, ἕως συστραφῇ, καὶ δίδου μύστρον πρὸ τροφῆς. Αλλο. ℞. ῥοῦ Συριακοῦ, ἀλφίτου πάλης, σταφίδος σὺν τοῖς γιγάρτοις, < β΄. ῥοιᾶς κελύφων κεκομμένων καὶ σεσησμένων < α΄. ἀναλάμβανε μέλιτι ἑφθῷ, καὶ δίδου μύστρον πρὸ τροφῆς καὶ μετὰ τροφήν. Τροχίσκος κοιλιακοῖς, δυσεντερικοῖς. ᾠὸν ὠμὸν πρόσφατον τρήσας, καὶ κενώσας εἰς ἀγγεῖον, τούτῳ παραμέτρει ἐλαίου ὀμφακίνου ἀγγεῖον ἓν, πεπέρεως λευκοῦ λειοτάτου τὸ αὐτὸ, ῥοῦ Συριακοῦ λειοτάτου τὸ αὐτὸ, κηκίδων λειοτάτων ὀμφακιτίδων τὸ αὐτὸ, ἀλεύρων πυρίνων ἴσον, ἅπαντα φυράσας καὶ μαλάξας, τροχίσκους ἀνάπλασσε, D καὶ τηγανίσας δίδου πρὸ τροφῆς. Αλλο. τούτῳ ἴσμεν πολλοὺς χρησαμένους, καὶ τῆς νόσου ἀπαλλαγέντας. ℞. κηκίδων λειοτάτων κοχλιάριον, πεπέρεως λευκοῦ, ῥοῦ ἐρυθροῦ, σιδίων λειοτάτων, ἑκάστου ἴσον, ἅπαντα μαλάξας, ἀνάλαμβανε ᾠοῦ λεκίθῳ, καὶ βαλὼν εἰς ῥοιᾶς κένωμα, καὶ τὸ στόμιον στέατι περιπλάσας, ὄπτα ἐπ' ἀνθράκων, ἔπειτα τὴν ῥοιὰν ἀποκαθάρας, δίδου κοχλιάριον ἓν φαγεῖν. καταπότια κοιλιακοῖς, δυσεντερικοῖς. ℞. κηκίδων ὀμφακιτίδων ἀτρήτων < δ΄. ὀπίου Σπανοῦ < β΄. πετροσελίνου < α΄. ἀναλάμβανε ὕδατι, ποίει καταπότια, καὶ δίδου ἐρεβίνθου τὸ μέγε-E θος παραμετρῶν τῇ δυνάμει. Αλλο Ασπασίου φάρμακον γενναῖον. ℞. πετροσελίνου, ἐρείκης καρποῦ, ῥοῦ Συριακοῦ, ὀπίου. ἀνὰ < β΄. μύρτων ἀφεψήματι ποίει καταπότια, καὶ δίδου καθὰ προείρηται.

Τροχίσκος ἀνώδυνος, κοιλιακοῖς, δυσεντερικοῖς, καὶ πίνεται, καὶ ἐνίεται. ἔστι δ' ὅτε αὐτῷ καὶ καταπλάσματι χρώμεθα, ἀναλαμβάνοντες μέλιτι ἑφθῷ.

℞. Υοσκυάμου σπέρματος < δ΄. σελίνου σπέρματος τὸ ἴσον, ἀνίσου, ῥόδων ἄνθους, ἀνὰ < β΄. ὑποκυστίδος, ὀπίου, ἀνὰ F < α΄. ὕδατι λειώσας ἀνάπλασσε τροχίσκους, καὶ δίδου τριώβολον, ἀπυρέτοις μετ' οἴνου κεκραμένου κυάθων τριῶν, πυρέττουσι μεθ' ὕδατος.

Αλλη κοιλιακοῖς, δυσεντερικοῖς φάρμακον ἐπιτετευγμένον, καὶ πίνεται, καὶ ἐνίεται, καὶ τοῖς ἔξωθεν ἐπιτιθέμενον βοηθεῖ.

℞. Σελίνου σπέρματος, ὑοσκυάμου σπέρματος, ἀνίσου,

μαράθρου, ἀνὰ < δ'. ὀπίου, ῥοῦ Συριακοῦ, ἀνὰ < β'. ὑποκυστίδος χυλοῦ, βαλαυστίου, ἀνὰ < α' S''. ὕδατι ἀναλάμβανε καὶ ποίει τροχίσκους, δίδου καθὰ προείρηται. Τροχίσκος ἀρωματικὸς κοιλιακοῖς, δυσεντερικοῖς, ὁ τοῦ Βηρυτίου ἐπικαλούμενος, φάρμακον ἐπιτετευγμένον, ἵστησι παραχρῆμα. ℞. κρόκου < δ'. νάρδου Ινδικῆς, ἀνίσου, ἑκάστου τὸ ἴσον, σμύρνης < β'. ἀλόης Ινδικῆς, ὑποκυστίδος χυλοῦ, λυκίου Ινδικοῦ, ἀκακίας χυλοῦ, ὀποῦ μήκωνος, κηκίδων ὀμφακιτίδων, τραγακάνθης, πεπέρεως λευκοῦ, ἑκάστου τοσόνδε, οἴνῳ ἀναλάμβανε, ἀνάπλαττε τροχίσκους, δίδου τριώβολον.

Αλλος ὁ τοῦ Φιλίππου, πρὸς δυσεντερικοὺς κεχρονισμένους ἀνώδυνος, πίνεται καὶ ἐνίεται.

℞. βαλαυστίου, ἀκακίας, ὑποκυστίδος χυλοῦ, ῥοῦ, ὀπίου, λιβάνου, σμύρνης, μύρτων μελάνων, κρόκου, κηκίδων, λυκίου, ἀλόης, ῥοῦ Ποντικοῦ, σιδίων, ἀνὰ < δ'. ἀναλάμβανε οἴνῳ Ιταλικῷ, καὶ ποίει τροχίσκους, ὁλκὴν ἄγοντας τριώβολον, δίδου ἀπυρέτοις μετ' οἴνου, πυρέσσουσιν μεθ' ὑδρομέλιτος.

Τροχίσκος ἀνώδυνος, γενναῖος ὑπνοποιὸς, κεχρονισμένοις δυσεντερικοῖς.

℞. Χάρτου κεκαυμένου < ι'. σανδαράχης, ἀρσενικοῦ, λεπίδος χαλκοῦ, στυπτηρίας σχιστῆς, ὀμφακίου, ἀσβέστου, ἀνὰ < ε'. κρόκου, ὀπίου, ἀνὰ < β'. ἕκαστον τρίβε φιλοπόνως, καὶ τρίψας ἀναλάμβανε οἴνῳ μυρτίτῃ, καὶ ποίει τροχίσκους ὁλκὴν ἄγοντας, καὶ χρῶ, λαμβάνων τὴν τελείαν ἔνεσιν < γ'. τὴν δὲ μέσην β'. τὴν δὲ ὑφειμένην α'. ἐν δὲ τῇ σκευασίᾳ, ἔστω σοι τὸ ὀμφάκιον μετὰ τοῦ ὀπίου βεβρεγμένον τῷ μυρτίτῃ γλυκεῖ. τὸν δὲ κρόκον ἔστω χωρὶς τετριμμένον, εἶτα ὁμοῦ μίξας, τρίβε φιλοπόνως, εἶτα τοῖς ξηροῖς καταμίξας, καὶ ἑνώσον, προσέχων μὴ ὑπὸ τῆς ἀσβέστου καῇ τὸ φάρμακον. ἐὰν δὲ τι τοιοῦτον ἐπακολουθήσῃ, ἐπίβαλλε τοῦ μυρτίτου ἱκανὸν, ὥστε ἅπαντα διαλυθῆναι. δεῖ δὲ ἐνθέρμου ὄντος τοῦ φαρμάκου, ἀναπλάττειν τοὺς τροχίσκους. ἡ χρῆσις τῆς ἐν τῇ συστάσει ἀπαλλαγῆς, πρὸς τὰς εὐπαθείας, καὶ δυσπαθείας τῶν καμνόντων, καὶ πρὸς τὸ μέγεθος. ἔνιε δὲ ἐπιμελῶς, ἐπὶ μὲν τῶν ἀπυρέτων, μετ' οἴνου αὐστηροῦ κεκραμένου κυάθων ς'. ἐπὶ δὲ τῶν πυρεσσόντων, μεθ' ὕδατος, ἢ ἀφεψήματος φοινικοβαλάνων, ἢ ῥόδων, ἢ μυρσίνης. δεῖ δὲ πρὸ τῆς ἐνέσεως, ἄρτον διδόναι, ἀπυρέτοις μὲν μετὰ κράματος οἴνου, πυρέττουσι δὲ, μεθ' ὕδατος.

Αλλος δυσεντερικοῖς ἀπυρέτοις, ποιεῖ παραχρῆμα.

℞. Χάρτου κεκαυμένου < ι'. σανδαράχης, ἀρσενικοῦ, λεπίδος χαλκοῦ, σχιστῆς, ὀμφακίου, λυκίου Ινδικοῦ, ἀκακίας χυλοῦ, ὑποκυστίδος χυλοῦ, ἀσβέστου, ἀνὰ < ε'. κρόκου, ὀπίου ἀνὰ < β'. οἴνῳ μυρτίτῃ ἀναλάμβανε, καὶ ἀνάπλαττε τροχίσκους διαφόρους τὰ μεγέθη, ἡ τελεία ἔνεσις < δ'. ἐνιέναι δὲ χρὴ πρὸς τὸ μέγεθος τῆς διαθέσεως παραμετροῦντα καὶ τὴν ποσότητα. ἔστω δὲ τὸ ὑγρὸν κρᾶμα γλυκέος Κρητικοῦ, ὥστε εἶναι ἐπὶ τελείας ἐνέσεως κυάθους ς'.

Επιθέματα κοιλιακοῖς, δυσεντερικοῖς.

℞. Υοσκυάμου λευκοῦ σπέρματος, σελίνου σπέρματος, ἀνὰ Γο δ'. ἀνίσου σπέρματος, ῥόδων ἄνθους, ὑποκυστίδος χυλοῦ,

fœniculi, singulorum ʒ. iiii. opij, rhois syriaci, vtriusque ʒ. ii. succi hypocystidis, balaustii, singulorum drachm. i. ß. excipe aqua, & coge pastillos; dato, vt prædictum est. *Pastillus Aromaticus, cœliacis, dysentericis, Berytij appellatus, medicamentum accommodatum, sistit confestim.* ℞. croci ʒ. iiii. nardi Indicæ, anisi, vtriusque tantundem; myrrhæ ʒ. ii. aloës Indicæ, succi hypocystidis, lycii Indici, succi acaciæ, succi papaueris, gallarum omphacitidum, tragacanthæ, piperis albi, singulorum tantundem; excipe vino, & forma pastillos, dato obol. tres.

Pastillus Philippi, ad dysentericos inueteratos, sedans dolorem, bibitur, & iniicitur.

℞. Balaustii, acaciæ, succi hypocystidis, rhois, opii, thuris, myrrhæ, baccarum myrti nigrarum, gallarum, lycii, aloës, rhu Pontici, malicorii, singulorum ʒ. iiii. excipe vino Italico, & coge pastillos pondere obolorum trium. Da non febrientibus cum vino, febrientibus cum aqua mulsa.

Pastillus sedans dolorem, præclarè inducens somnum ad inueteratos dysentericos.

℞. Chartæ vstæ ʒ. x. sandarachæ, auripigmenti, squamæ æris, aluminis scissi, omphacij, calcis viuæ, singulorum ʒ. v. croci, opii, vtriusque ʒ. ii. singula diligenter trita in pastillos drachmales cum vino myrtite, coagmentato, ac vtitor. Iniiciuntur ad summum ex eo drachmæ tres, medium duæ, minimum vna. In conficiendo autem omphacium, cum opio tibi sit in vino myrtite maceratum. Crocus seorsum teratur, deinde simul mixta probè terito, & additis aridis vnito, animaduersione habita ne medicamentum à calce viua exuratur: si tamen tale quid consequatur, de myrtite sufficienter affunde; vt omnia dissoluantur. Oportet autem calente adhuc medicamento pastillos formare. Vsus iuxta apponderationis variationem fit, secundum quod ægri subtili, aut hebete sensu præditi id tolerare possunt, & secundum magnitudinem affectionis. Iniicito autem diligenter in non febricitantibus cum vini austeri diluti cyathis sex, in febrientibus, cum aqua, aut decocto palmularum, aut rosarum, aut myrti. Ante iniectionem detur panis non febrientibus cum vino diluto, febrientibus ex aqua.

Alius dysentericis non febrientibus, facit confestim.

℞. Chartæ vstæ ʒ. x. sandarachæ, auripigmenti, squamæ æris, aluminis scissi, omphacij, lycii Indici, succi acaciæ, succi hypocystidis, calcis viuæ, singulorum ʒ. v. croci, opii, vtriusque ʒ. ii. excipe vino myrteo, & forma pastillos magnitudine differentes. Iniiciuntur ad summum ʒ. iiii. Inijcere autem oportet quantitate medicamenti ad magnitudinem affectus apponderata. Sitque liquor passum Creticum dilutum, & ex eo ad summum cyathi sex iniiciuntur.

Epithemata cœliacis, dysentericis.

℞. Seminis hyoscyami albi, seminis apii, vtriusque trientem; seminis anisi, floris rosarum, succi hypocystidis,

hypocystidis, balaustii, rhois syriaci, singulorum sextantem; succi papaueris ℥. i. hæc singula cum vino myrteo terito, deinde mixta in pastillos cogito, eosque in vmbra siccato. Inde verò quantum sufficit tundens, & cribrans, palmis passis excipito, deinde linteolo infarta ventri imponito. *Aliud.* ℞. succi acaciæ, malicorii, seminis hyoscyami, opii, gallarum, omphacij, rhois culinarii, syriaci, singulorum quadrantem; baccarum myrti nigrarum heminam i. tundito, cribrato, & vino austero subacto in pastillos coagmentato, eosque in vmbra siccato. Vsus iam ostensus est.

A βαλαυστίου, ῥοῦ Συριακοῦ, ἀνὰ ℥ β'. ὀποῦ μήκωνος ℥ α'. κρόκου ℥ α'. τούτων ἕκαστον λειώσας μετ' οἴνου μυρτίτου, εἶτα ὁμοῦ μίξας, ἀνάπλασσε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ, ἔνθεν κόπτων, καὶ σήθων ὅσον ἐξαρκεῖ, ἀναλάμβανε φοίνιξι πατητοῖς, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον, ἐπιτίθει ἐπὶ τῇ κοιλίᾳ. Ἄλλο. ℞. ἀκακίας χυλοῦ, σιδίων ῥοιᾶς, ὑοσκυάμου σπέρματος, ὀπίου, κηκίδων, ὀμφακίου, ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα, Συριακοῦ, ἀνὰ ℥ γ'. μύρτων μελάνων κοτύλην α'. κόπτε, καὶ σῆθε, καὶ οἴνῳ αὐστηρῷ φυράσας, ἀνάπλασσε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ, B ἡ χρῆσις δεδήλωται.

CAPVT VI.

De affectionibus sedis.

SEdis vitia, ob multas causas difficilem curam accipiunt, exquisito enim sensu particula hæc prædita est. Dictum autem sæpe est, eiusmodi partes facilè per acriora, & austera medicamenta irritari. At verò, & ipse excrementorum alimenti transitus per se mordax est, & hoc magis vbi eruperit ipsa bilis, & serosi quidam aliquando humores; quibus accedit, & hoc, quòd neque statum tempus habeant medici ad imponenda medicamenta, sed plerunque tempore minimè conuenienti ægri ad excernendum concitantur. Quin, & humiditas, ac caliditas ipsius loci siccantibus, simulque refrigerantibus opus habens, non parum confert ad hoc, vt ægrè curabilis ani affectio existat, siquidem mordent astringentia, verùm locus subtili sensu præditus acrimoniam ferre non potest. Ob id igitur aptissima ipsis medicamenta sunt, quæ citra aspritudinem astringunt; qualia maximè sunt ex metallicis, quæ neque acria, neque acerba penitus existunt; hæc enim lota citra mordacitatem, id quod oportet, operantur. Horum itaque in summa dictorum memores, deinceps materiæ syluam experimento cognitam subscriptam habebitis.

Medicamenta ani ab Andromacho conscripta.

Medicamentum sedis quo vtor. ℞. cerussæ, spumæ argenti vtriusque ʒ. v. thuris, aluminis scissi, vtriusque ʒ. iii. croci obol. iii. vini, & rosacei, quod satis est. *Aliud ad sedem, vt Apollonius, quo vtor.* ℞. lycii Indici sextantem, œsypi ℥. i. ceræ tyrrhenicæ trientem, alii sextantem; rosacei, quod satis est. *Aliud.* ℞. butyri ℥. i. ß. ceræ ℥. i. ß. medullæ ceruinæ ℥. i. œsypi ℥. i. thuris ℥. i. aluminis scissi ℥. iii. lycii sextantem, vini, & rosacei, quod satis est. *Aliud, vt Nicostratus.* ℞. ceræ tyrrhenicæ ℥. i. lycii Indici sextantem, balaustii ℥. ß. œsypi ℥. i. acaciæ ℥. ß. rosacei trientem. *Aliud, vt Herophilus.* ℞. Rosarum siccarum, aut viridium ʒ. ii. cerussæ ʒ. ii. pompholygis ʒ. ii. croci ʒ. ii. spumæ argenti lotæ ʒ. ii. meliloti ʒ. ii. iunci odorati ʒ. i. succi papaueris ʒ. i. œsypi ʒ. i. oui assati vitellum i. rosacei, quod sufficit, succi plantaginis cyathos duos. *Aliud, faciens & ad pruritus.* ℞. spumæ argenti ℔. ß. thuris, terræ samiæ, vtriusque ℥. i. œsypi sextantem, rosacei sextantem, melini ℔. ß. arida in vmbra cum vino falerno terito, œsypumque infarcito, & affusis duobus vnguentis terito, ac commisceto.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ παθῶν ἑδρικῶν.

ΤΑ κατὰ τὴν ἕδραν πάθη, διὰ πολλὰς αἰτίας ἐστὶ δυσίατα, καὶ γὰρ αἰσθητικὸν ἱκανῶς ἐστι τὸ μόριον. εἴρηται δὲ πολλάκις, ἐρεθίζεσθαι ῥᾳδίως τὰ τοιαῦτα, πρὸς τῶν δριμυτέρων καὶ αὐστηρῶν φαρμάκων, καὶ μέντοι καὶ ἡ τῶν περιττωμάτων τῆς τροφῆς διέξοδος, αὐτή τε καθ' αὑτὴν δακνώδης ἐστὶ, καὶ μᾶλλον, ἐπὶ τῷ διεξέρχεσθαι τήν τε C χολὴν αὐτὴν, καί τινας ἰχῶρας ἐνίοτε, καὶ πρὸς τούτοις ἔτι τὸ μηδὲ ἐπὶ τοῖς ἰατροῖς εἶναι τὴν προθεσμίαν τῆς ἐπιθέσεως τῶν φαρμάκων, ἀλλ' ὡς τὰ πολλὰ, κατὰ καιροὺς οὐ προσήκοντας, ἐπὶ τὴν ἀπόκρισιν ὁρμᾶν τοὺς κάμνοντας. ἀλλὰ καὶ ἡ ὑγρότης, καὶ θερμότης τοῦ χωρίου, δεομένη τῶν ξηραινόντων τε ἅμα, καὶ ψυχόντων, οὐ σμικρὰ συντελεῖ πρὸς τὸ δυσίατον. εἴ γε δὴ δάκνει μὲν τὰ στύφοντα, φέρειν δὲ οὐ δύναται τὴν δῆξιν ὁ τόπος, εὐαίσθητος τυγχάνων, διὰ ταῦτ' αὖθις ἐπιτηδειότατα φάρμακά ἐστιν, ὅσα στύ- D φει χωρὶς τοῦ τραχύνειν, ὁποῖα μάλιστά ἐστι, τὰ μεταλλικὰ, ὅσα μήτε δριμέα, μήτε στρυφνὰ πάνυ τι τετύχηκεν ὄντα. ταῦτα γὰρ πλυθέντα, χωρὶς τοῦ δάκνειν, ἐργάζεται τὸ δέον. ταῦτ' οὖν καθόλου μεμνημένοι, τὴν πεπειραμένην ὕλην ἐφεξῆς γεγραμμένην ἕξετε.

Αἱ ὑπ' Ἀνδρομάχου γεγραμμέναι ἑδρικαί.

Ἑδρικὴ ᾗ χρῶμαι. ℞. ψιμμυθίου, λιθαργύρου, ἀνὰ < ε'. λιβάνου, σχιστῆς, ἀνὰ < γ'. κρόκου τριώβολον, οἴνου καὶ ῥοδίνου τὸ ἱκανόν. ἑδρικὴ, ὡς Ἀπολλώνιος ᾗ χρῶμαι. E ℞. λυκίου Ἰνδικοῦ ℥ β'. οἰσύπου ℥ α'. κηροῦ Τυρρηνικοῦ ℥ δ'. οἱ δὲ ℥ β'. ῥοδίνου τὸ ἱκανόν. Ἄλλη. ℞. βουτύρου ℥ α'. S. κηροῦ ℥ α'. S. μυελοῦ ἐλαφείου ℥ α'. οἰσύπου ℥ α'. λιβάνου ℥ α' σχιστῆς ℥ γ'. λυκίου ℥ β'. οἴνου καὶ ῥοδίνου τὸ ἱκανόν. ἄλλη ὡς Νικόστρατος. ℞. κηροῦ Τυρρηνικοῦ ℥ α'. λυκίου Ἰνδικοῦ ℥ β'. βαλαυστίου ℥ S. οἰσύπου ℥ α'. ἀκακίας ℥ S. ῥοδίνου ℥ δ'. ἑδρικὴ ὡς Ἡρόφιλος. ℞. ῥόδων ξηρῶν, ἢ χλωρῶν < β'. ψιμμυθίου < β'. πομφόλυγος < β'. κρόκου < β'. λιθαργύρου πεπλυμμένου < β'. μελιλώ- F του < β'. σχοίνου < α'. μηκωνίου < α'. οἰσύπου < α'. ᾠοῦ λέκιθον ὀπτὴν α'. ῥοδίνου τὸ ἱκανὸν, χυλοῦ ἀρνογλώσσου κυάθους δύο. ἄλλη ποιοῦσα καὶ πρὸς κνησμούς. ℞. λιθαργύρου λίτρας S. λιβάνου, γῆς σαμίας, ἀνὰ ℥ α'. οἰσύπου ℥ β'. ῥοδίνου ℥ β'. μηλίνου λίτρας S. λέαινε τὰ ξηρὰ οἴνῳ Φαλερίνῳ ἐν σκιᾷ, ἐπιπάσσων οἴσυπον, καὶ τὰ μύρα τὰ δύο προσθεὶς, τρῖβε.

ἑδρικὴ, ἣ χρῶμαι πρὸς κονδυλώματα, καὶ τὰς ἐν δακτυλίῳ A
φλεγμονὰς, καὶ ῥαγάδας. ♃. ἀμμωνιακοῦ θυμιάματος, λίθου αἱματίτου, λιβάνου, στυπτηρίας στρογγύλης, ἑκάστου < β. κηκίδος, κρόκου, ἀνὰ < α'. τερμινθίνης < α'. κηροῦ Τυῤῥηνικοῦ < ιβ'. ῥοδίνου κοτύλας δ'. χρῶ ἐν τῷ πεσσῷ μετὰ συριακοῦ, ἐπὶ τῶν λοιπῶν, μετὰ ῥοδίνου. ἑδρικὴ ἡ διὰ τῶν ἐγκεφάλων. ♃. στέατος χηνείου τεθεραπευμένου, κηροῦ, λιβάνου, μυελοῦ ἐλαφείου, ῥόδων ἄνθους, πομφόλυγος, καδμείας, μολίβδου πεπλυμένου, ἀνὰ < δ'. ψιμμυθίου < η'. ἐγκεφάλου γεράνου < β'. ὀποῦ μήκωνος < α'. S. οἰσύπου < ε'. σεριδος χυλοῦ κοτύλην α'. ῥοδίνου κοτύλης S". ἑδρικὴ παρὰ Ρουστίκου, ἣ χρῶ- B
μαι. ♃. ῥόδων χλωρῶν < η'. γάλακτος γυναικείου κοτύλην α'. λιθαργύρου < μ'. μηκωνίου < μ'. ᾠὰ ὠμὰ ὁλόκληρα δύο, βουτύρου < ιϛ'. οἰσύπου < ιϛ'. σιδίων < ιϛ'. μέλιτος < ρ'. ἐν ἄλλῳ κοτύλης S". κηροῦ < μ'. ῥοδίνου, ἢ μυρσίνου κοτύλης S". ὡς δὲ Ηρας, ἀντὶ οἰσύπου, χηνείου στέατος ἴσον, καὶ λιθαργύρου < ι'. γάλακτος κοτύλας δ'. καὶ λέκιθον ὀπτήν. ἑδρικὴ παρὰ Τυράννου. ♃. λιθαργύρου ℥ β'. ψιμμυθίου ℥ β'. S. λιβάνου ℥ α'. σμύρνης ℥ α'. καδμείας ℥ α'. S. σχιστῆς ℥ δ'. κηροῦ ℥ δ'. οἴνου καὶ ῥοδίνου. ἄλλη Σαμίθρης, πολύχρηστος. ♃. λιθαργύρου < ιβ'. ψιμμυθίου < β'. χαλκίτεως < β'. μίσυος ὀπτοῦ < α'. τερμινθίνης C
< ϛ'. ἐλαίου καὶ ὕδατος κοτύλας δ'. λιπαρὰ πρὸς ἀχῶρας καὶ ψώρας. ♃. λιθαργύρου, ψιμμυθίου, ἀνὰ < λβ'. χαλκάνθου < ιϛ'. θείου ἀπύρου < η'. μυρσίνου καὶ ὄξους τὸ ἱκανόν. λιπαρὰ Γάλλου ♃. λιθαργύρου < κδ'. ψιμμυθίου < κδ'. σμύρνης < η'. λιβάνου < ι'. μυρσίνης < ιδ'. οἴνου αὐστηροῦ τὸ ἴσον. λιπαρὰ ἣ χρῶμαι, Κλεοφάντου. ♃. μυρσίνου ἐλαίου, σχινίνου, ῥοδίνου, ἀνὰ < ιϛ'. ψιμμυθίου λίτραν μίαν, λιθαργύρου πεπλυμένου ℥ ϛ'. οἴνου παλαιοῦ Ιταλικοῦ ξέστου S". κηροῦ ℥ δ'. ἄλλη ἐννεαφάρμακος. ♃. μέλιτος μέρος ἕν, κηροῦ λευκοῦ μέρος ἕν, μυελοῦ ἐλαφείου, σμύρνης, ἀνὰ μέρος ἕν, βουτύρου D
μέρος ἕν, στέατος χηνείου, στέατος μοσχείου ἀνὰ μέρος α'. τερμινθίνης μέρος ἕν, ἐλαίου ῥοδίνου μέρος ἕν, ἔνιοι δὲ καὶ κίκεως ἕν. ἡ Ξανίτης, πολύχρηστος. ♃. κηροῦ < ιϛ'. βουτύρου < ι'. οἰσύπου < ι'. στέατος χηνείου < η'. τερμινθίνης < η'. μυελοῦ ἐλαφείου < δ'. ῥοδίνου ὀλίγον. ἡ διὰ πηγάνου. ♃. λιθαργύρου μνᾶν α'. πηγάνου μνᾶς S. οἱ δὲ μνᾶν α'. ὄξους < δ'. ἐλαίου τὸ ἱκανόν. πρὸς φίμους, καὶ τὰ ἐν ἕδρᾳ. ♃. μολύβδου κεκαυμένου καὶ πεπλυμένου < ι'. ψιμμυθίου < δ'. κηροῦ < ιβ'. στέατος χοιρείου, ἢ χηνείου < δ'. ἐλαίου τὸ ἱκανόν. πρὸς φίμους, καὶ τὰ ἐν ἕδρᾳ τοῦ Εἰκοδότου, ἐν ᾧ Αστάϊνος ἐθεραπεύθη. ♃. οἰσύ- E
που < α'. ὀβολοὺς γ'. στέατος χηνείου τεθεραπευμένου χειμῶνος, < ϛ'. θέρους < δ'. μυελοῦ ἐλαφείου, ἢ καμήλου < β'. κηροῦ Τυῤῥηνικοῦ < η'. μολύβδου κεκαυμένου καὶ πεπλυμένου < δ'. λαδάνου < β'. στέατος μοσχείου < δ'. τερμινθίνης < δ'. ψιμμυθίου < β'. λιθαργύρου < α'. ῥοδίνου κοτύλης τέταρτον, τουτέστι κύαθον α'. S, ὅ ἐστι ℥ β'. S. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ὅταν τῷ χρόνῳ σκληρωθῇ, ἀνίεται ῥοδίνῳ, καὶ στέατι χηνείῳ, ποιεῖ καὶ πρὸς ἀγκύλας. πρὸς κονδυλώματα, οὗ ἄμεινον οὐκ ἔστιν. ♃. Στυπτηρίας σχιστῆς < γ'. κηροῦ < η'. κρόκου < δ'. ψιμμυθίου < β'. ὀποβαλσάμου < α'. οἰσύπου < η'. λιβάνου < δ'. F
ἀλόης < δ'. τὰ τηκτὰ τήξας, τῶν ξηρῶν τετριμμένων καταχεῖ.

Ασκληπιάδου πρὸς τοὺς προπίπτοντας ἀρχοὺς, τὰ ἐκ τοῦ πέμπτου τῶν ἐκτός.

Πρὸς προπίπτοντας ἀρχοὺς ὡς Αρχέλαος. ♃. Σκωρίας

A *Aliud ad sedem, quo vtor, ad condylomata, inflammationes ani, ac rimas.* ♃. ammoniaci thymiamatis, lapidis hematitæ, thuris, aluminis rotundi singulorum ʒ. ii. gallæ, croci, vtriusque ʒ. i. terebinthinæ ʒ. i. ceræ tyrrhenicæ. ʒ. xii. rosacei heminas iiii. excipe pesso, cum syriaco, in reliquis cum rosaceo. *Medicamentum sedis ex cerebellu.* ♃. adipis anserini curati, ceræ, thuris, medullæ cerui, florum rosarum, pompholygis, cadmiæ, plumbi loti, singulorum ʒ. iiii. cerussæ ʒ. viii. cerebri gruis ʒ. ii. succi papaueris ʒ. i. ß. œsypi ʒ. v. succi seridis heminam i. rosacei heminam dimidiam. *Medicamentum sedis à Rustico, quo vtor.* ♃. rosarum viri-
B dium ʒ. viii. lactis muliebris heminam i. spumæ argenti ʒ. xl. succi papaueris ʒ. xl. oua cruda integra duo, butyri ʒ. xvi. œsypi ʒ. xvi. malicorij ʒ. xvi. mellis ʒ. c In alio exemplari heminam dimidiam, ceræ ʒ. xl. rosacei, aut myrtei heminam dimidiam. Verùm Heras pro œsypo, adipem anserinum pari pondere coniecit, & spumæ argenti ʒ. x. lactis heminas iiii. & oui vitellum assatum. *Aliud à Tyranno.* ♃. spumæ argenti sextantem, cerussæ ℥. ii. ß. thuris ℥. i. myrrhæ ℥. i. cadmiæ ℥. i. ß. aluminis scissi trientem, ceræ trientem, vinum, & rosaceum. *Aliud Samithræ ad multa com-*
C *modum.* ♃. spumæ argenti ʒ. xii. cerussæ ʒ. ii chalcitidis ʒ. ii. misyos assati ʒ. i. terebinthinæ ʒ. vi. olei, & aquæ heminas iiii. *Pinguis compositio ad achoras, & psoras.* ♃. spumæ argenti, cerussæ, vtriusque ʒ. xxxii. atramenti sutorii ʒ. xvi. sulfuris viui ʒ. viii. olei myrtei, & aceti, quod sufficit. *Alia pinguis Galli* ♃. spumæ argenti ʒ. xxiiii. cerussæ ʒ. xxiiii. myrrhæ ʒ. viii. thuris ʒ. x. olei myrtei ʒ. xiiii. vini austeri tantundem. *Alia pinguis, qua vtor, Cleophanti.* ♃. olei myrtei, lentiscini, rosacei, singulorum ʒ. xvi. cerussæ ℔. i spumæ argenti lotæ sescuncem, vini veteris Italici sextar. dimidium, ceræ trientē. *Alia*
D *ex nouem medicamentis constans.* ♃. mellis partem i. ceræ albæ partem i. medullæ ceruinæ, myrrhæ, vtriusque partem i. butyri partem i. adipis anserini, adipis vitulini, vtriusque partem i. terebinth. partē j. olei rosacei partem j. aliqui, & ricinini partem i. *Alia Xanitæ multi vsus.* ♃. ceræ ʒ. xvi. butyri ʒ. x. œsypi ʒ. x. adipis anserini ʒ. viii. terebinthinæ ʒ. viii. medullæ ceruinæ ʒ. iiii. rosacei parum. *Alia ex ruta.* ♃. spumæ argenti minam i. rutæ minam ß. alii minam i. aceti ʒ. iiii. olei, quod satis est. *Alia ad obturationes, & alia sedis vitia.* ♃. plumbi vsti & loti ʒ. x. cerussæ ʒ. iiii. ceræ ʒ. xii. adipis
E porcini, vel anserini ʒ. iiii. olei quantum sufficit. *Ad obturationes, & vitia sedis compositio Icodoti, qua Astainus curatus est.* ♃. œsypi ʒ. i. obol. iii. adipis anserini per hyemem curati ʒ. vi. per æstatē ʒ. iiii. medullæ cerui, aut cameli ʒ. ii. ceræ tyrrhenicæ ʒ. viii. plūbi vsti, & loti, ʒ. iiii. ladani ʒ. ii. adipis vitulini ʒ. iiii. terebinthinæ ʒ. iiii. cerussæ ʒ. ii. spumæ argēti ʒ. i. rosacei heminæ iiii. partem, hoc est sesquicyathū, hoc est ℥. i. ß arida cum liquidis committito. Quando verò temporis progressu fuerit induratum, dissoluitur rosaceo, & adipe anserino. Facit & ad contractos articulos. *Ad Condylomata, quo melius nullum reperitur.* ♃. aluminis scissi ʒ. iii. ce-
F ræ ʒ. viii. croci ʒ. iiii. cerussæ ʒ. ii. opobalsami ʒ. i. œsypi ʒ. viii. thuris ʒ. iiii. aloës ʒ. iiii. liquabilia liquefacito, ac cum aridis tritis committito.

Ad prolabentem podicem Asclepiadæ medicamenta ex quinto Externorum.

Ad prolabentes podices, vt Archelaus. ♃. Recrementi

menti plumbi ʒ. viii. rhois syriaci ʒ. viii. floris rosarum ʒ. iiii. myrrhæ minææ ʒ. ii. Admoue siccum, vbi prælaueris vino austero, aut lentisci decocto. *Aliud.* ♃. gallæ omphacinæ, malicorii sicci, rhois coriariæ, singulorum ʒ. ii. plumbi vsti ʒ. iiii. spumæ argenti ʒ. viii. thuris ʒ. ii. trita inspergito. *Aliud.* ♃. Balaustii ʒ. j. malicorij ʒ. ij. seminis hyoscyami ʒ. ij. cerussæ ʒ. viij. myrrhæ ʒ. ij. plumbi loti ʒ. ij. tritis vtitor. *Aliud.* ♃. corticis pinus, spumæ argenti, mannæ, singulorum ʒ. ii. pilularum cupressi aridarum ʒ. ii. plumbaginis ʒ. ii. trita insperge, vbi prælaueris vino acerbo. *Medicamentum nostrum ad procidentem sedem.* ♃. fructus ericæ, gallarum, acaciæ, cerussæ, succi hypocystidis, corticis pinus, thuris, myrrhæ minææ singulorum ʒ. iiii. arida trita insperge, vino austero prælotis locis.

A μολύβδου < η'. ῥοῦ Συριακοῦ < η'. ῥόδων ἄνθους < δ'. σμύρνης μινναίας < β'. ξηρῷ προσάπτου, προαποπλύνων οἴνῳ αὐστηρῷ, ἢ σχίνων ἀφεψήματι. Ἄλλο. ♃. κηκίδος ὀμφακίνης, σιδίων ξηρῶν, ῥοῦ βυρσοδεψικῆς, ἀνὰ < β'. μολύβδου κεκαυμένου < δ'. λιθαργύρου < η'. λιβάνου < β'. λείοις καταπλάσσε. Ἄλλο. ♃. βαλαυστίου < α'. σιδίων ῥοιᾶς < β'. ὑοσκυάμου σπέρματος < β'. ψιμμυθίου < η'. σμύρνης < β'. μολύβδου πεπλυμένου < β'. λείοις χρῶ. Ἄλλο. ♃. πίτυος φλοιοῦ, λιθαργύρου, μάννης, ἀνὰ < β'. κυπαρίσσου σφαιρίων ξηρῶν < β'. μολυβδαίνης < β'. λείοις καταπλάσσε, πρότερον οἴνῳ ἀπο-
B νίψας στρυφνῷ. Τὸ ἡμέτερον, πρὸς τοὺς προπίπτοντας ἀρχούς. ♃. ἐρείκης καρποῦ, κηκίδων, ἀκακίας, ψιμμυθίου, ὑποκυστίδος χυλοῦ, πίτυος φλοιοῦ, λιβάνου, σμύρνης μινναίας, ἀνὰ < δ'. ξηροῖς καταπάσσε προαπονίψας οἴνῳ αὐστηρῷ.

CAPVT VII.

De Hæmorrhoidibus.

QVæ Asclepiades in quinto Externorum de hæmorrhoidibus scripsit, in subscripto sermone continentur. Quandoquidem verò plurimę hæmorrhoides opus habent extractione ad facilem medicamentorum impositionem, necesse est etiam huiusmodi compositiones subscribere. *Extractorium Hæmorrhoidum Magni Tarsensis, medicamentum accommodatum ad hæmorrhoidum extractiones.* ♃. Piperis, nitri, vtriusque ʒ. i. terito & admoueto ante reliquorum medicamẽtorum impositionem. *Aliud.* ♃. spumæ nitri, fellis tauri, staphidis syluestris singulorũ ʒ. i. trita adhibe, modico addito melle. *Aliud.* ♃. succi absinthij ʒ. i. fellis tauri, staphidis syluestris, vtriusq; ʒ i. *Aliud vt Diogenes.* ♃. succi cyclamini, mellis, vtriusque parem mensuram; coquito in vase æreo ad cerati liquidi spissitudinem. *Aliud ex scriptis Largi, quod vix procidentes extrahit hæmorrhoidas.* ♃. succi centaureæ ʒ. ij. aluminis liquidi ʒ. ii. misyos ʒ. i. staphidis syluestris ʒ. i. excipe melle, & anum obline, aut lanã ex eo madefactam in sedem inde. Postquam verò hoc medicamẽtum promptitudinem induxerit ad egerendum, & tumor hæmorrhoidum prociderit, medicamenta ad hæmorrhoidas conscripta adhibeto. Quãdo verò aliquod huiusmodi medicamẽtum illitum, sedem, ac anum ipsum extrahit, necessariò tales confectiones adhibemus, qualis est & Nicodemi Romæ medicantis, quæ Euaphion à lenitudine appellatur. ♃. cerussæ ℥. i. spumæ argenti quicuncem, cadmiæ bessem, aut pompholygis ℥. i. olei myrtei bessem, vini boni bessẽ, butyri ℥. i. *Ad sedem inflãmatam, ac prolapsam.* Gallam flauã coctam, ac tritam imponito, cum vino, si fortiore vti velis; aut cum aqua, si mitiore. Succus item echini facit ad inflammationes, & prolapsam sedem. *Aliud.* ♃. Corticis pinus ʒ. viii. pilularum cupressi aridarum ʒ. ii. prælotis vino austero inspergito. Cæterùm ad ardentes sedis dolores, oui assati vitellum vino albo terito, & cerato rosaceo exceptum illinito. Verùm ad pruritus, cimoliam tritam cerato myrteo excipito. Ad rimas verò, tum sedis, tum pudendi, rasuram linteolorum vrito, eiusque cinerem cum pari amylo tritum succo foliorum oleæ admixto illinito. *Pastillus ad eminentias.* ♃. Aloes, croci, vtriusque ʒ. ii. & ß. aluminis scissi ℥. i. terito vino aminæo, ac vtitor.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ αἱμοῤῥοΐδων.

ΤΑ ἐν τῷ πέμπτῳ τῶν ἐκτὸς ὑπὸ Ἀσκληπιάδου γεγραμμένα, περὶ αἱμοῤῥοΐδων, ἐπὶ λέξεως τῆς ὑπογε-
C γραμμένης. ἐπεὶ δὲ τῶν αἱμοῤῥοΐδων αἱ πολλαὶ χρείαν ἔχουσιν ἐκστροφῆς, πρὸς εὐχερῆ τῶν φαρμάκων ἐπίθεσιν, ἀναγκαῖον καὶ τὰς τοιαύτας δυνάμεις ὑπογράφειν. ἐκστρόφια αἱμοῤῥοΐδων Μάγνου Ταρσέως, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς τῶν αἱμοῤῥοΐδων ἐκστροφάς. ♃. Πεπέρεως, νίτρου, ἀνὰ < α'. λείοις προσάπτου πρὸ τῆς τῶν φαρμάκων ἐπιθέσεως. Ἄλλο. ♃. ἀφρονίτρου, χολῆς ταυρείας, σταφίδος ἀγρίας, ἀνὰ < α'. λείοις προσάπτου, μέλιτος ὀλίγον προσέβαλλε. Ἄλλο. ♃. ἀψινθίου χυλοῦ < α'. χολῆς ταυρείας, σταφίδος ἀγρίας, ἀνὰ < α'. ἄλλο, ὡς Διογένης. ♃. κυκλαμίνου χυλοῦ, μέλιτος, ἑκάστου ἴσον,
D ἕψε ἐν ἀγγείῳ χαλκῷ, ὥστε κηρωτῆς ὑγρᾶς ἔχειν τὸ πάχος. ἄλλο, ἐκ τῶν Λάργου, ὥστε τὰς μόγις προπιπτούσας ἐκστρέφειν αἱμοῤῥοΐδας. ♃. κενταυρείας χυλοῦ < β'. στυπτηρίας ὑγρᾶς < β'. μίσυος < α', σταφίδος ἀγρίας < α'. μέλιτι ἀναλάμβανε, καὶ περίχριε τὸν δακτύλιον, ἢ ἔριον καταβρέξας εἰς τὴν ἕδραν ἐπιτίθει. Εἰ δὲ προθυμίαν ἐμποιοῖ σοι τὸ φάρμακον ἐξαναστάσεως, καὶ προπέσοι ὁ ὄγκος, κατάπλαττε τοῖς πρὸς αἱμοῤῥοΐδας ἀναγεγραμμένοις, ἐπειδὰν ὑπὸ τῶν τοιούτων ἐγχρίστων τὴν ἕδραν ἐκστρέφῃ, ἀναγκαῖον ἀναγράφειν σκευασίας παρὰ Νικοδήμου τοῦ ἐν Ῥώμῃ εὐαφίου. ♃. ψιμμυθίου ℥ α'. λιθαργύρου
E ℥ ε'. καδμείας ℥ η'. ἢ πομφόλυγος ℥ α'. ἐλαίου μυρσίνου ℥ η'. οἴνου καλοῦ ℥ η'. βουτύρου ℥ α'. Πρὸς τὰς ἐν ἕδρᾳ φλεγμονὰς, καὶ προπτώσεις. Κηκίδα τὴν ξανθὴν ἑψήσας καὶ λειώσας, κατάπλασσε, ἰσχυροτέρῳ μὲν οἴνῳ, πρᾳοτέρῳ δὲ ὕδατι, καὶ ὁ χυλὸς τῆς ἐχίνου ποιεῖ πρὸς φλεγμονὰς, καὶ προπτώσεις τῆς ἕδρας. Ἄλλο. ♃. πίτυος φλοιοῦ < η'. κυπαρίσσου σφαιρίων ξηρῶν < β'. προαπονίψας οἴνῳ στρυφνῷ, λείοις κατάπλασσε. πρὸς δὲ τὰς πυρώδεις ὀδύνας τῆς ἕδρας, ὠοῦ ὀπτοῦ λέκυθον λειώσας οἴνῳ λευκῷ, καὶ ῥοδίνῃ κηρωτῇ, ἀναλαβὼν διάχριε. πρὸς δὲ τοὺς κνησμούς. τὴν κιμωλίαν λειώσας ἀναλάμβανε κηρωτῇ
F μυρσίνῃ. πρὸς δὲ τὰς ἐν δακτυλίῳ καὶ αἰδοίῳ ῥαγάδας, ἀποδοῦ ξυσμάτων, ὀθονίων κεκαυμένων, καὶ ἀμύλου ἴσον λεάνας, καὶ ἐλαιῶν φύλλων χυλοῦ μίξας, κατάχριε. Τροχίσκος πρὸς ἐξοχάς. ♃. ἀλόης, κρόκου, ἀνὰ < β'. S. στυπτηρίας σχιστῆς ℥ α'. λείου οἴνῳ ἀμιναίῳ, καὶ χρῶ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Πρὸς τὰς τοῦ αἰδοίου διαθέσεις.

Τῆς τοῦ αἰδοίου ἑλκώσεως ἡ διάγνωσις, ἐκ τοῦ σαφῶς ὀδυνᾶσθαι κατ' αὐτό, μετὰ τοῦ καὶ κατὰ τὰς οὐρήσεις ἐκκρίνεσθαί τι τῶν συνεδρευόντων τῷ ἕλκει. διακρίνεται δὲ ταῦτα τῶν ἐκ κύστεως φερομένων, τῷ φθάνειν αὐτίκα κατὰ τὴν πρώτην ἔξοδον φαίνεσθαι· τὰ δὲ ἐκ τῆς κύστεως ἀναμεμίχθαι τοῖς οὔροις. τὰ δὴ ἐν αἰδοίοις ἕλκη καὶ κατὰ τὴν ἕδραν χωρὶς φλεγμονῆς ὄντα ξηραινόντων πάνυ δεῖται φαρμάκων, οἷά ἐστι τό, τε διὰ τοῦ κεκαυμένου χάρτου, καὶ ἄνηθον κεκαυμένον ξηρόν, καὶ κολοκύνθη κεκαυμένη. τοῖς δὲ αὐχμώδεσι καὶ προσφάτοις τῶν ἑλκῶν, καὶ ἀλόη φάρμακον ἀγαθόν, ἐπιπαττομένη ξηρὰ χνοώδης. πάντων δὴ αὐτῶν ἀναδυνωτάτη τε, οὐδενὸς ἧττον δραστήριος ἡ πομφόλυξ ἐστίν. εἰ δὲ ὑγρότερα τύχοι τὰ ἕλκη, πίτυος φλοιὸς καθ' ἑαυτόν, καὶ λίθος αἱματίτης. εἰ δὲ καὶ βάθος αὐτοῖς εἴη σὺν τοῖς εἰρημένοις, μάννης μικτέον. αἱ δὲ κατὰ τὴν μήτραν ἑλκώσεις, ἢ κύστιν, τῶν αὐτῶν δέονται φαρμάκων, ὀργάνων χρήζουσι τῶν εἴσω διαπεμπόντων αὐτά, διὰ τῶν μητρεγχυτῶν καὶ καθετήρων καλουμένων. ἐπιτηδειότερα τοίνυν τὰ ξηρά, οἷός ἐστι κρόκος, καὶ πομφόλυξ, καὶ ἀλόη, μιγνύμενα ῥᾳδίως, εἴτε ἀρνογλώσσου χυλῷ, εἴθ' ἑτέρῳ τοιούτῳ. Πρὸς πεὸς ὀσχέου, καὶ αἰδοίου πόνους. Βουτύρῳ καὶ ῥητίνῃ ἴσοις χρῶ. ἢ λινόσπερμον ἑψήσας μεθ' ὕδατος καὶ μίξας σμύρνης ὅσον δέκατον μέρος, καὶ ῥητίνης ἴσον, κατάπλασσε. Πρὸς δὲ τὸ οἰδοῦν αἰδοῖον. ℞. ἀμπέλου φύλλων ἁπαλῶν < α'. λιβανωτοῦ < α'. ψιμμυθίου < ε'. τρίψας κατάπλασσε. χρῶ δὲ καὶ καταντλήσει θαλάσσης ψυχρᾶς, καὶ ἀναπαύσει, καὶ ἀναδέσει τοῦ καυλοῦ. Ἄλλο. φακῶν ἑψήσας ἐν ὕδατι, καὶ ῥοιᾶς λέπη λειώσας, κατάπλασσε. ἐὰν δὲ ἀπὸ ἱδρώτων ἐν ὀσχέῳ ἕλκη γίνηται, κηκῖδα λείαν, καὶ στυπτηρίαν ἐπίπασσε. Πρὸς δὲ τὰ ἐν αἰδοίοις φύματα. ἀπίου σπέρμα ἐπίπασσε, καὶ τραγείᾳ χολῇ περίχριε. τὰς δὲ ῥαγάδας ἐν αἰδοίοις ὠφελεῖ, ῥητίνη φρυκτὴ σὺν ῥοδίνῳ τριβεῖσα, ἄχρις ἂν γλοιώδης ᾖ, μιγνυμένης καὶ ὠοῦ λεκίθου ὀπτῆς, ἢ ῥοδίνου, καὶ ἀμύλου, καὶ λιβάνου ἀνὰ Γο α'. ἢ κισσοῦ φύλλων ξηρῶν κεκαυμένων ἡ τέφρα, τριβεῖσα μετ' ἐλαίου ἐν θυείᾳ μολυβδίνῃ. Πρὸς τὰς τῶν αἰδοίων φλεγμονάς. σταφίδος ἐκγεγιγαρτισμένης, καὶ κύμινον τρίψας ἐπιτίθει. ἢ κρίθινον ἄλευρον ἑψήσας ἐν μελικράτῳ, ἀμπέλου ἁπαλὰ φύλλα τρίψας μετὰ ἀλφίτου, ἅπαντα ἐπίθες. ἢ κύμινον τρίψας μετὰ βουτύρου καὶ ῥητίνης, ἴσων τακέντων. πρὸς δὲ τοὺς διδύμους ἀφθώδεις, γῆν κιμωλίαν μεθ' ὕδατος περικαταχρίσας, ἔασον ξηρανθῆναι, καὶ καταντλήσας, ὕδατι θερμῷ μυρσίνην ξηρὰν λείαν, καὶ σμυρνίου σμικρὸν τρίψας κατάπλασσε. τὰς δὲ ἐκσαρκώσεις τὰς ἐπὶ τῶν διδύμων, τέφρα κληματίνη, σὺν νίτρῳ καὶ ὕδατι φυραθεῖσα, ἰᾶται καταπλασσομένη.

CAPVT VIII.

Ad pudendorum affectus.

Exulcerati pudendi cognitio ex manifesto circa ipsum dolore contingit, vnà cùm hoc, quòd & circa mictiones excernitur quid ex corpusculis vlceri ipsi insidentibus. Discernuntur autem hæc ab eis, quæ ex vesica feruntur, quòd statim circa primum exitum illa appareant, verùm ex vesica delata ipsis vrinis admixta sunt. B Cæterùm vlcera pudendorum, & circa sedem citra inflammationem consistentia resiccantibus valde indigent medicamentis, qualia sunt, quod ex charta vsta constat, & anethum vstum siccum, & cucurbita vsta. Verùm siccis, & recentibus vlceribus etiam aloë bonum est medicamentum, si eius aridæ puluillus inspergatur. Omnium autem maximè dolorem sedat, neque vllo minus efficax est pompholyx. Si verò humidiora sint vlcera, pinus cortex per se, & lapis hæmatites; verùm si profunda etiam sint vlcera, manna prædictis addatur. Porrò, quæ circa vterum, aut vesicam sunt vlcerationes, iisdem medicamentis C indigent; sed instrumentis insuper opus habent, quæ ipsa intromittant, quæ metrenchytæ, & catheteres, Græcis appellantur. Aptiora itaque sunt arida, qualis est crocus, & pompholyx, & aloë, quæ facilè plantaginis, aut alteri tali succo misceantur. *Ad Scroti, & pudendi dolores.* Butyro, & resina pari mensura vtere. Aut semen lini cum aqua coquito, & admixta myrrhæ fermè decima parte, resinæ tantundem etiam imponito. *Ad pudendum intumescens.* ℞. foliorum vitis tenerorum ʒ. i. cerussæ ʒ. v. trita cataplasmatis vice impone. Vtere etiam marinæ aquæ frigidæ perfu- D sione, & quiete, & colis religatione. *Aliud.* Lenticulam in aqua coquito, & cum mali punici cortice tritam imponito. Si verò à sudoribus vlcera in scroto fiant, gallam tritam cum alumine inspergito. Ad tubercula verò in pudendis nascentia, pyri semẽ inspergito, & fel hircinum oblinito. Cæterùm fissuras, ac rimas pudendorum iuuat resina fricta cum rosaceo trita ad strigmentitiam crassitudinem, admixto etiam oui assati vitello. Aut rosacei, & amyli, ac thuris, singulorum ℥. j. Aut foliorum hederæ aridorum vstorum cinis cum oleo in mortario plumbeo tritus. Ad inflam- E mationes autem pudendorum, vuam passam exacinatam, & cuminum trita imponito. Aut farinam hordeaceam aqua mulsa coquito, & vitis folia tenera cum polenta terito, omniáque simul imponito. Ad cuminum tritum cum butyri & resinæ æqualibus partibus eliquatis committito. Testiculos porrò vlcere aphthæ non absimili apprehẽsos, ex terra cimolia cum aqua oblinito, & exiccari sinito; indéque aqua calida ablutos myrto arida trita, & modico smyrnio item trito conspergito. Excrescentem verò testium carnem cinis sarmentitius cum nitro, & aqua subactus sanat, cata- F plasmatis vice impositus.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ πριαπισμοῦ.

Ὁ πριαπισμός, αὔξησις αἰδοίου ἐστὶ μόνιμος, εἰς μῆκός τε καὶ κύκλον ὀγκουμένου, χωρὶς τῆς εἰς ἀφροδίσια

CAPVT IX.

De Priapismo.

Priapismus est incrementum pudendi stabile in longitudinem, ac orbem tumefacti, citra rei

rei venereæ appetentiam. Est autem flatus ventosus videlicet, qui membrum ipsum tumefacit, ex humoribus viscosis, ac crassis generatus per moderatam caliditatem. Palam est igitur non oportere membra ipsa calefacere, sed refrigerare leniter per ceratum rosaceum in aqua conquassatum; item per chamæmelinum ceratum tum pudendo, tum lumbis impositum. Victus & medicamenta exhibeantur attenuantis facultatis citra manifestam calefactionem. Adhibenda sunt etiam naturali efficacia prædita per experientiam inuenta; nymphæáque in potu danda, ac viticis semen; ruta etiam viridis obsoniis admisceatur, verùm hoc à principio ne fiat, multum enim calefacit, sed posterius post aliorum extenuantium vsum. Quòd si euacuatione vti libeat, per vomitum id fiat; quæ enim per inferiorem ventrem fiunt euacuationes, sæpenumero vicinas partes fluxione infestant. *Ad eos, qui se in somno permingunt.* Vesicam caprinam, aut ouillam vstam ex posca bibendam præbeto, & ad vesperam siticulosos somnum petere iubeto. Facit & leporis testiculus in vino odorato feruefactus, atque ita potatus. *Aliud.* Calaminth† & myrrham in vino ante cœnam bibenda dato. Oblinat autem & pudendum cimolia terra cum perdicii succo.

A ὁρμῆς. φυσῶδές ἐστι πνεῦμα δηλονότι τὸ ἐξογκοῦν τὸ μόριον, τικτόμενον ἐξ ὑγρῶν γλίσχρων καὶ παχέων, ὑπὸ θερμότητος μετρίας. πρόδηλον οὖν ὡς οὐ δεῖ τὰ μόρια θερμαίνειν, ἀλλὰ ψύχειν ἐπιεικῶς, τῇ ῥοδίνῃ κηρωτῇ μεθ᾽ ὕδατος ἀνακοπτομένῃ, καὶ διὰ τοῦ χαμαιμήλου, τῷ τε αἰδοίῳ καὶ ταῖς ψόαις ἐπιτεθεῖσα. τὰ δὲ ἐν διαίτῃ καὶ φαρμάκοις προσφέρειν, τῆς λεπτυνούσης δυνάμεως ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς, προσάγειν δὲ καὶ τὰ φυσικῶς ἐνεργοῦντα διὰ τῆς πείρας εὑρημένα, καὶ τήν τε νυμφαίαν πίνειν διδόναι, καὶ τὸ τοῦ ἄγνου σπέρμα, καὶ πήγανον χλωρὸν, τοῖς ὄψοις

B μιγνύντα. τοῦτο δὲ κατ᾽ ἀρχὰς μὴ διδόναι (θερμαίνει γὰρ ἱκανῶς) ἀλλ᾽ ὕστερον μετὰ τὴν χρῆσιν τῶν ἄλλων λεπτυνόντων. κενῶσαι δὲ χρῄζοντα, δι᾽ ἐμέτων τοῦτο ποιεῖν. αἱ γὰρ διὰ τῆς κάτω γαστρὸς, ῥευματίζουσι πολλάκις καὶ τὰ γειτνιῶντα μόρια. Πρὸς τοὺς ἐνουροῦντας. Κύστιν αἰγείαν ἢ προβατείαν κεκαυμένην πότιζε δι᾽ ὀξυκράτου, ἑσπέρας δὲ διψῶντας κοιμᾶσθαι. ποιεῖ δὲ καὶ λαγωοῦ ὄρχις ἐπιζεννύμενος οἴνῳ εὐώδει, εἶτα πινόμενος. καλαμίνθην καὶ σμύρναν δὸς πίνειν ἐν οἴνῳ πρὸ τοῦ δείπνου. καταχριέσθω δὲ καὶ τὸ αἰδοῖον κιμωλίᾳ, μετὰ περδικίου χυλοῦ.

C

CAPVT X.

Ad vteri affectus.

IN vteri suffocatione contingit sensus, ac motus priuatio, & pulsus obscurus, ac paruus, & penitus interceptus. In aliquibus verò, tum sensus, tum motus adest, itémque ratio, verùm vix respirant, aliquibus etiam vox intercipitur. Aliis contrahuntur artus. Fiunt igitur & sensus, & motus, & spirationis interceptiones ob frigiditatem; quum ipsæ sola perspiratione totius corporis per arterias contingente contentæ sint, & respirationem per os non expetant; atque hoc, vt dictum est, ob frigiditatem, quando sanè in priori tempore probè purgatæ, & concipientes, ac viris coeuntes, his ipsis priuatæ fuerint, vt palam sit humidum & frigidum in ipsis semen, totum corpus perfrigerare. Ad vuluæ igitur strangulatus conuenit agarici ʒ. i. in potu accepta ex vino. Plantaginis semen, & succus cum vino. Onyx detractus ex conchylio potatus. Acetum scilliticum absorptum. Cæterùm olfactu excitant strangulatas, bitumen, castorium, galbanum, pix liquida, cedria, pili vsti, ruta, allium, cæpa. Eandem in rem cornu cerui suffitur. Et ruta cum melle lana excepta in anum inditur.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Πρὸς τὰς τῆς ὑστέρας διαθέσεις.

ΕΠὶ τῆς ὑστερικῆς πνιγὸς συμβαίνει ἀναισθησία, καὶ ἀκινησία, καὶ σφυγμὸς ἀμυδρὸς, καὶ μικρὸς, καὶ παντελὴς ἀσφυξία. ἐφ᾽ ἐνίων δὲ, ἡ μὲν αἴσθησις, καὶ ἡ κίνησις πάρεστι, καὶ ὁ λογισμὸς, μόλις δὲ ἀναπνέουσιν. ἔνιαι δὲ καὶ ἄφωνοι τυγχάνουσιν, ἕτεραι δὲ συνέλκονται τὰ κῶλα. γίνεται τοίνυν ἡ ἀναισθησία,

D καὶ ἀκινησία, καὶ ἄπνοια κατὰ ψύξιν αὐταῖς, ἀρκουμέναις μόνῃ τῇ διὰ τῶν ἀρτηριῶν παντὸς τοῦ σώματος διαπνοῇ, τῆς διὰ τοῦ στόματος ἀναπνοῆς μὴ χρῃζούσαις, ὡς εἴρηται, διὰ ψύξιν, ὁπόταν ἐν τῷ πρόσθεν χρόνῳ καθαιρούμεναι καλῶς, καὶ κυΐσκουσαι, καὶ ἀνδράσιν ὁμιλοῦσαι στερηθῶσιν τούτων, ὡς ὁρᾶν τοῦ ὑγροῦ καὶ ψυχροῦ ἐν ἑαυτοῖς σπέρματος καταψύχοντος τὸ πᾶν σῶμα. πρὸς οὖν τοὺς ἀπὸ τῆς ὑστέρας πνιγμοὺς, ἁρμόζει πινομένη ἀγαρικοῦ < α᾽. ἐν οἴνῳ, ἀρνογλώσσου καρπὸς καὶ χυλὸς σὺν οἴνῳ. ὄνυξ ὁ ἐκ κοχύλης,

E πινόμενος. ὄξος σκιλλητικὸν ῥοφούμενον. ὀσφραινόμενα δὲ ἐπεγείρει τὰς πνιγομένας, ἄσφαλτον, καστόριον, χαλβάνη, πίσσα ὑγρὰ, κεδρία, τρίχες καυθεῖσαι, καὶ πήγανον, κρόμμυον, σκόροδον. ὑποθυμιᾶται δὲ καὶ πρὸς τὰ αὐτὰ, καὶ κέρας ἐλάφου, καὶ πήγανον σὺν μέλιτι, ἐρίῳ ἀναληφθὲν, προστίθεται τῷ δακτυλίῳ.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ, ΒΙΒΛΙΟΝ Ι'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM SECVNDVM LOCOS, LIBER DECIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Ι'. ΒΙΒΛΙΩι.

Διέρχεται φάρμακα, τοῖς τῶν νεφρῶν τε, καὶ τῆς κύστεως, καὶ τοῦ ἰσχίου, καὶ τῶν ἄρθρων πάθεσιν ἁρμόττοντα.

ARGVMENTVM LIBRI DECIMI.

Recensentur medicamenta, quæ renum, vesicæ, coxæ, ac articulorum affectionibus succurrunt.

A

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ νεφριτικῶν.



ὍΤΙ μὲν νεφριτικὰς ἀντιδότους τε, καὶ δυνάμεις ὀνομάζουσιν, ὅσαι νεφροὺς πάσχοντας ὠφελοῦσιν, ἐξ αὐτῆς τῆς προσηγορίας δῆλον. ἔστι δὲ αὐτῶν ἡ διαφορὰ ἡ γενικωτάτη διττή. τινὲς μὲν γὰρ, τοὺς λιθιῶντας νεφροὺς ὀνινᾶσιν, ἔνιαι δὲ, τοὺς φλεγμονώδεις τε καὶ ἑλκώδεις, αἵπερ καὶ πρὸς τὴν κύστιν ὁμοίως πάσχουσαν ἁρμόττουσιν. B ἐναντιώταται δὲ εἰσὶν ἀλλήλαις, αἱ δυνάμεις τῶν εἰρημένων φαρμάκων. πρὸς μὲν γὰρ τὰς φλεγμονώδεις, καὶ ἑλκώδεις διαθέσεις συντιθέμεναι, παρηγορικῶν δέονται φαρμάκων. ἐπεὶ δ᾽ ἀδύνατόν ἐστι, ταῦτα διὰ ταχέων ἀφικέσθαι πρὸς τὰ κατὰ νεφροὺς χωρία, διὰ ταῦτα, αὐτοῖς μίγνυμεν διουρητικὰ φάρμακα· τὰ δὲ τοῖς λιθιῶσιν ἀρήγοντα, μιᾶς δεῖται δυνάμεως, τῆς τέμνειν, καὶ διαρρύπτειν πεφυκυίας, μετὰ θερμότητος ἐπιφανοῦς. ἔστι δὲ τὰ τοιαῦτα, σχεδὸν ἅπαντα πικρά. C καθάπερ οὖν ἐπὶ τῶν ἄλλων, οὕτω καὶ ἐπὶ τούτων, τὴν πεπειραμένην ὕλην ἐφεξῆς γράψω, τὴν ἀρχὴν ἀπὸ τῶν πρὸς τὰς ἑλκώδεις τε, καὶ φλεγμονώδεις διαθέσεις ἁρμοττόντων ποιησάμενος, ἀφ᾽ ὧν καὶ οἱ περὶ τὸν Ἀνδρόμαχόν τε, καὶ Ἀσκληπιάδην ἀρξάμενοι, μετέβησαν ἐφεξῆς ἐπὶ τὰς λίθους θρυπτούσας.

CAPVT PRIMVM.

De Nephriticis.



QVOD nephriticas antidotos, & compositiones appellent, quæ renibus affectis conferunt, ex ipsa appellatione manifestum est. Nephriticę enim nihil aliud, quàm renales sonant. Est autẽ differentia ipsarum generalissima duplex. B Quædam enim calculosos renes iuuant; quædam verò inflammatos, & vlceratos, quę etiam ad vesicam similiter affectam conueniunt. Maximè verò contrarię inter se sunt, prædictorum medicamentorum facultates. Quæ enim ad inflammatas & vlceratas affectiones cõponuntur, mitigatoriis medicamentis opus habẽt; quum verò impossibile sit hæc citò ad regiones renum peruenire, ob id ipsis medicamenta vrinã cientia miscemus. Quæ verò calculosis auxiliantur, vnica facultate indigent, quæ secare, & extergere cum manifesta caliditate potest; sunt autem talia omnia amara. C Quemadmodum igitur in aliis, sic etiam in his materiam experimento cognitam deinceps subscribam, initium ab iis, quæ ad vlceratas, & inflammatas affectiones conueniunt, facturus, à quibus etiam Andromachi sectatores, & Asclepiadis orsi, inde ad compositiones calculos frangentes transierunt.

Confe-

Confectiones Renales ab Andromacho ad Renum, & Vesicæ affectiones conscriptæ.

A *Potio.* ℞. Seminis lini, seminis papaueris albi, seminis cucumeris, tragacanthæ, singulorum ʒ. ij. amyli ʒ. iiii. cum aqua in pastillos redigito, & ad vesicam vlceratam, ac dysuriam exhibeto. *Alia.* ℞. nuces pineas xxx. amygdalas xx. palmas xv. tragacanthæ ʒ. iiii. succi radicis dulcis ʒ. ii. croci obol. i. myrrhæ obol. i. vino protropo diluito, ac vtitor, vt accommodato. *Alia, ad Vesicæ affectus & vlcerationes. Pastillus, quo vtor.* ℞. seminis cucumeris ʒ. xii. seminis hyoscyami ʒ. vi. seminis cicutæ, opij, fœniculi, croci, singulorum ʒ. iii. cassiæ ʒ. iiii. amygdalas x. nuces ponticas x. seminis apij ʒ. vi. seminis maluæ syluestris ʒ. iii. excipe passo Cretico, & præbe obolos tres non febrientibus ex passo. Quidam cicutæ ʒ. v. habent. *Alia, ad eadem, & vesicæ dolores.* ℞. croci, seminis rutæ syluestris, seminis maluæ syluestris, singulorum ʒ. vi. seminis hyoscyami ʒ. xii. opij, ʒ. vi. seminis apii ʒ. xii. nuces auellanas vii. amygdalas xx. seminis cucumeris ʒ. xii. mellis Attici quod satis est. Datur magnitudo nucis ponticæ cum vini mulsi cyathis tribus. *Alia, ad Profluuia sanguinis ex vesica.* ℞. Aluminis scissi ʒ. i. tragacanthæ ʒ. ii. gummi obol. i. Dato ex passo quandoque obolos duos, quandoque vnum. *Alia, ad vesicæ affectiones, vrinam ciens, à Macedone. Facit & ad hepaticos, hydropicos, ictericos, nephriticos, ac omnia vesicæ symptomata; frangit etiam lapides.* ℞. acori ʒ. l. phu ʒ. xxv. nardi celticæ ʒ. xxiiii. seminis dauci ʒ. xxii. cinnamomi ʒ. xxxii. mei ʒ. xvi. asari ʒ. xxiiij. petroselini ʒ. xvi. opobalsami ʒ. xvi. & carpobalsami tantundem, croci ʒ. xxiiii. myrrhæ ʒ. xx. radicis dulcis drach. xvi. nardi Indicæ ʒ. xvi. cassiæ drachm. xii. amomi drach. xvi. vuæ passæ drach. viii. tragacanthæ drach. ix. arida melle excipito, & tragacantham vino aminæo macerato. Dato nucis ponticæ magnitudinem cum vini cyathis iiii. febricitantibus cum aqua mulsa. *Alia ad vesicæ Vlcera, & inflammationes.* ℞. nuces pineas xx. seminis cucumeris satiui grana xl. amyli obol iii. thuris, nardi, singulorum ʒ. i. seminis apij cyath. ii. nardus & apium in aquæ sextario vno coquuntur, deinde ex decocto duo cyathi præscriptis admiscentur. *Alia ad Calculosos, qua Bassa vxor Mary curata est. Frangit ita vt neque rursus gignantur.* ℞. cassiæ drach. ii. seminis apij drach. iii. myrrhæ minææ drach. iiii. piperis albi drach. ii. thuris drach. iii. lapidis syriaci masculi drach. i. aut fæminæ drach. i. seminis pastinacæ, anisi, vtriusque drach. ii. styracis drach. iii. iridis illyricæ drach. iii. seminis papaueris albi ʒ. ii. spicæ nardi tantundem, amygdalarum amararum mundatarum, asari vtriusque ʒ. iii. seminis smyrnii, cyperi, vtriusque drach. ii. mellis Attici quod satis est. Dato quotidie. *Alia ad Calculosos, frangens & paulatim expellens, donec mundam vesicam reddat, deinde æger pellucida lotia reddat; & quod maximum est, curat vt non amplius renascantur.* ℞. seminis dauci, anisi, seminis cucumeris, petroselini, myrrhæ, singulorum drach. vi. cassiæ daphnitidis, cinnamomi, nardi celticæ, singulorum drach. iiii. terito, & cum aqua ad parui lupini quantitatem coagmentato; & ieiunis quotidie per dies triginta ex aquæ cyathis tribus præbeto.

B C D E F

Αἱ ὑπ' Ἀνδρομάχου γεγραμμέναι νεφριτικαὶ πρὸς τὰς ἐν νεφροῖς καὶ κύστει διαθέσεις.

Πότημα. ℞. Λινοσπέρματος, μήκωνος λευκοῦ σπέρματος, σικύου σπέρματος, τραγακάνθης ἀνὰ < β'. ἀμύλου < δ'. δι' ὕδατος τροχίσκους ἀναλάμβανε, δίδου πρὸς κύστιν ἡλκωμένην, καὶ δυσουρίαν. Ἄλλο. ℞. στροβίλους λ'. ἀμύγδαλα κ'. φοίνικας ιε'. τραγακάνθης < δ'. χυλοῦ γλυκυρρίζης < β'. κρόκου ὀβολὸν α'. σμύρνης ὀβολὸν α. δίεις οἴνῳ προτρόπῳ, ὡς ἐπιτηδείῳ χρῶ. Ἄλλο πρὸς τὰς ἐν κύστει διαθέσεις, καὶ ἑλκώσεις. Τροχίσκος ᾧ χρῶμαι. ℞. σικύου σπέρματος < ιβ'. ὑοσκυάμου σπέρματος < ϛ'. κωνείου σπέρματος, ὀπίου, μαράθρου, κρόκου, ἀνὰ < γ'. κασσίας < δ'. ἀμύγδαλα ι'. κάρυα Ποντικὰ ι'. σελίνου σπέρματος < ϛ'. μαλάχης ἀγρίας σπέρματος < γ'. γλυκεῖ Κρητικῷ ἀναλαβὼν, δίδου τριώβολον ἀπυρέτοις ἐν γλυκεῖ, ἔνιοι κωνείου < ϛ'. Ἄλλο πρὸς τὰ αὐτὰ, καὶ ἀλγήματα κύστεως. ℞. Κρόκου, βρύσσου σπέρματος, μαλάχης ἀγρίας σπέρματος, ἀνὰ < ϛ'. ὑοσκυάμου σπέρματος < ιβ'. ὀπίου < ϛ'. σελίνου σπέρματος < ιβ'. κάρυα Ποντικὰ η'. ἀμύγδαλα κ'. σικύου σπέρματος < ιβ'. μέλιτος Ἀττικοῦ τὸ ἱκανὸν, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος μετ' οἰνομέλιτος κυάθων τριῶν. Ἄλλο, πρὸς τοὺς αἱμορροοῦντας ἀπὸ κύστεως. ℞. σχιστῆς < α'. τραγακάνθης < β'. κόμμεως ὀβολὸν α'. ἐν γλυκεῖ δίδου ὀβολοὺς β'. ποτὲ δὲ ὀβολὸν α'. πρὸς τὰς ἐν κύστει διαθέσεις, οὐρητικὰ ἀπὸ Μακεδόνος, καὶ πρὸς ἡπατικοὺς, ὑδρωπικοὺς, ἰκτερικοὺς, νεφριτικοὺς, καὶ πάντα τὰ περὶ τὴν κύστιν συμπτώματα, θρύπτει λίθους. ℞. ἀκόρου < ν'. φοῦ < κε'. νάρδου Κελτικῆς < κδ'. δαύκου σπέρματος < κβ'. κινναμώμου < λβ'. μήου < ιϛ'. ἀσάρου < κδ'. πετροσελίνου < ιϛ'. ὀποβαλσάμου < ιϛ'. καὶ τοῦ καρποῦ, τὸ [illegible], κρόκου < κδ'. σμύρνης < κ'. γλυκείας ῥίζης < ιϛ'. νάρδου Ἰνδικῆς < ιϛ'. κασσίας < ιβ'. ἀμώμου < ιϛ'. σταφίδος < η'. τραγακάνθης < θ'. τὰ ξηρὰ ἀναλαμβάνων μέλιτι, τὴν τραγάκανθαν οἴνῳ ἀμιναίῳ βρέχων, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος, μετ' οἴνου κυάθων τεσσάρων, πυρέττουσιν ἐν μελικράτῳ. Ἄλλο πρὸς τὰ ἐν κύστει ἕλκη, καὶ φλεγμονάς. ℞. στροβίλους κ'. σικύου σπέρματος ἡμέρου κόκκους μ'. ἀμύλου τριώβολον, λιβανωτοῦ, νάρδου ἀνὰ < α'. σελίνου σπέρματος κυάθους β'. ἐν ὕδατος ξε. α'. ἕψεται νάρδος, σέλινον, εἶτα τοῦ ἀφεψήματος μίγνυνται τοῖς προγεγραμμένοις κύαθοι β'. πρὸς λιθιῶντας, ᾧ Βάσσα ἡ Μαρίου ἐθεραπεύθη, ὥστε θρύπτειν, καὶ αὖθις μὴ συνίστασθαι. ℞. κασσίας < β'. σελίνου σπέρματος < γ'. σμύρνης μιναίας < δ'. πεπέρεως λευκοῦ < β'. λιβάνου < γ'. λίθου Συριακοῦ ἄρρενος < α'. ἢ τοῦ θήλεος < α'. σταφυλίνου σπέρματος, ἀνίσου ἀνὰ < β'. στύρακος < γ'. ἴρεως Ἰλλυρικῆς < γ'. μήκωνος λευκῆς σπέρματος < β'. ναρδοστάχυος ἴσον, ἀμυγδάλων πικρῶν καθαρῶν, ἀσάρου ἀνὰ < γ'. σμυρνίου σπέρματος, κυπέρου ἀνὰ < β'. μέλιτος Ἀττικοῦ τὸ ἱκανὸν, δίδου καθ' ἡμέραν. πρὸς λιθιῶντας, θραύουσα, καὶ κατὰ μικρὸν ἐκκρίνουσα, μέχρις οὗ καθαρείσῃ τὴν κύστιν, εἶτα διαυγὲς ἀπουρήσῃ· καὶ τὸ μέγιστον, ἀποθεραπεύει, ὡς μηκέτι γεννᾶσθαι. ℞. δαύκου σπέρματος, ἀνίσου, σικύου σπέρματος, πετροσελίνου, σμύρνης, ἀνὰ < ϛ'. κασσίας δαφνίτιδος, κινναμώμου, νάρδου Κελτικῆς ἀνὰ < δ'. λεῖα ποιήσας ἀνάλαμβανε σὺν ὕδατι, ἡλίκα θέρμος μικρὸς, καὶ δίδου νήστεσι καθ' ἡμέραν, ἐπὶ ἡμέρας λ'. σὺν ὕδατος κυάθοις γ'.

A τοῦτο, ὡς παρελάβομεν, μετά τινος θρησκείας σκευάζεται. ξυλίνῳ γὰρ ὅλμῳ, καὶ ὑπέρῳ κόπτεται, καὶ τὸν κόπτοντα δεῖ, μήτε δακτυλίδιον ἔχειν σιδηροῦν, μήτε ὑποδήματα ἡλοκοπημένα. τοῦτο ἀπὸ Ῥουστίκου ὡς μυστήριον ἐλάβομεν. Πρὸς νεφριτικοὺς καὶ ῥεῦμα πᾶν, ὡς Ἀπολλώνιος. ℞. μανδραγόρου φλοιοῦ πεφωσμένου < α΄. S΄. ὑοσκυάμου σπέρματος πεφωσμένου, μήκωνος μελαίνης σπέρματος πεφωσμένου ἀνὰ < α΄. S΄ ἀνίσου πεφωσμένου < α΄. S΄. τραγακάνθου, φοινικοβαλάνων τῆς σαρκὸς, ἀνὰ < γ΄ μῖξ μέλιτος δίδου.

Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι νεφριτικαί.

B Ἀντωνίου Μούσα. ℞. Πιτυΐδων κεκομμένων, καὶ κεκοσκινισμένων < κ΄. μήκωνος μελαίνης σπέρματος, τραγακάνθης ἀνὰ < β΄. νάρδου Κελτικῆς, κρόκου, ἀνίσου ἐπτισμένου, δαύκου Κρητικοῦ τῆς ῥίζης, γλυκείας ῥίζης ἀνὰ < α΄. κόστου τριώβολον, σκεύαζε διὰ προτρόπου, καὶ ἀνελοῦ εἰς πυξίδα, καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος, καὶ προτρόπου κύαθον α΄. καὶ ὕδατος θερμοῦ κυάθους β΄. Ἄλλο. ℞. Σικύου ἡμέρου σπέρματος πεφωσμένου < γ΄. μαλάχης καρποῦ < ε΄. στροβίλου πεφωσμένου < ϛ΄. σελίνου σπέρματος < ζ΄. λινοσπέρματος < α΄. ἀμυγδάλων πικρῶν κεκαθαρμένων < θ΄. ἀναλάμβανε γλυκεῖ, καὶ δίδου καθὰ προείρηται. Ἄλλο νεφριτικοῖς, Ὀνησιδήμου. C ℞. Ἀμυγδάλων πικρῶν < ιϛ΄. δαύκου Κρητικοῦ σπέρματος, μαλάχης καρποῦ ἀνὰ < ϛ΄. ἴρεως ἀγρίας ῥίζης < η΄. κέρατος ἐλαφείου κεκαυμένου, τραγακάνθης, νάρδου Κελτικῆς, σικύου ἡμέρου σπέρματος ἀνὰ < ϛ΄. γλυκέος, ὅσον ἐξαρκεῖ, σκεύαζε καθὰ προείρηται. Ἄλλο φάρμακον ἐπιτετευγμένον. τούτῳ ἴσμεν πολλοὺς χρησαμένους νεφριτικοὺς, καὶ τῆς ὅλης ἀπαλλαγέντας διαθέσεως. δεῖ δὲ ἐπὶ πολλὰς ἡμέρας ἐπιμένειν τῷ φαρμάκῳ, δίδοται καὶ λιθιῶσι, καὶ κωλικοὺς θεραπεύει, καὶ τὰς περὶ κύστιν διαθέσεις. ἔχει δὲ οὕτω. ℞. Καρύων Ποντικῶν κεκαθαρμένων, ἀμυγδάλων D πικρῶν κεκαθαρμένων, σικύου σπέρματος κεκαθαρμένου ἀνὰ < γ΄. κωνείου σπέρματος, κρόκου, μαλάχης σπέρματος, ὀπίου ἀνὰ < ϛ΄. ὑοσκυάμου λευκοῦ σπέρματος, σελίνου σπέρματος ἀνὰ < ιβ΄. ἀναλάμβανε τροχίσκους μέλιτι ἀναπλάττων, καὶ δίδου τριώβολον, καὶ μελικράτου θερμοῦ κυάθους γ΄. ἐν ἄλλῳ, καὶ βήσασα < ϛ΄. ἄλλο πρὸς τὰς ἐν νεφροῖς πωρώδεις ὑποστάσεις, Ὀνησιδήμου. σύμφυτον, καὶ σίον, καὶ ἀρτεμώνιον ἕψε μετ' οἴνου, καὶ τὸ ὑγρὸν ἐκθλίψας δίδου κυάθους δύο, καὶ ὕδατος τὸ ἴσον. Ἄλλο. E μαλάχης ἀγρίας τὴν ῥίζαν, καὶ πηγάνου ἀγρίου ῥίζαν, καὶ ὀρεοσελίνου ῥίζαν, ἕψε μετ' οἴνου, καὶ καθὰ προείρηται δίδου. Ἄλλο πρὸς λιθιῶντας, καταπαστόν. ℞. Βαλσάμου καρποῦ μέρη β΄. λίθου τοῦ ἐν σπόγγοις εὑρισκομένου τὸ ἴσον, γλήχωνος ξηρᾶς, μαλάχης ἀγρίας σπέρματος, ὠκίμου ξηροῦ ἑκάστου τὸ ἴσον, κόψας καὶ σήσας, ἀπόθου, καὶ δίδου κοχλιάριον, καὶ οἴνου κεκραμένου κυάθους δύο. Ἄλλο. στρουθίου ῥίζης μέρος ἕν, ἴρεως ἀγρίας ξηρᾶς ἴσον, ὀξαλίδος ξηρᾶς τὸ ἴσον, ἀνεμώνης ἐχούσης τὸ ἄνθος μήλινον, ξηρᾶς, τοσόνδε, κόψας καὶ σήσας, καθὰ προείρηται χρῶ. Καταπότια Ἡρακλείδου Ταραντίνου, διαλύει τοὺς ἐν κύστει πώ- F ρους, ἀγαθὰ δὲ καὶ πρὸς στραγγουρίαν. ℞. Πεπέρεως, χαλβάνης ἀνὰ < α΄. ὀποῦ Λιβυκοῦ < β΄. σμύρνης < δ΄. προτρόπου τὸ ἱκανὸν, ποίει καταπότια ἐρεβίνθου τὸ μέγεθος, καὶ δίδου τρία, καὶ γλυκέος ἐπιπίνειν κυάθους δύο. Ἄλλο. ℞. ἀμμωνιακοῦ θυμιάματος, πεπέρεως, ἀφρονίτρου ἀνὰ < α΄.

Hoc verò medicamentum quemadmodum accepimus, cum quadam religione præparatur, ligneo enim mortario, ac pistillo tunditur; oportetque eum, qui tundit, neque anulum habere ferreum, neque calciamenta clauis ferreis transfixa. Hoc à rustico, vt mysterium accepimus. *Alia ad Nephriticos, & omnem Fluxionem, vt Apollonius.* ℞. corticis mandragoræ tosti ʒ.i.ß. hyoscyami seminis tosti, seminis papaueris nigri tosti, vtriusque ʒ.i.ß. anisi tosti ʒ. i.ß. tragacanthi, carnis palmarum, vtriusque ʒ. iii. dato cum melle.

Nephriticæ Compositiones ab Asclepiade conscriptæ.

Antonij Musæ. ℞. Fructuum pini, tusorum cribratorum, ʒ. xx. seminis papaueris nigri, tragacanthæ, vtriusque ʒ. ii. nardi celticæ, croci, anisi decorticati, radicis dauci cretici, radicis dulcis, singulorum drach. i. costi obol. iii. præpara cum protropo, & repone in pyxide. Da nucis Ponticæ magnitudinem cum protropi cyatho vno, & aquæ calidæ cyathis duobus. *Alia.* ℞. seminis cucumeris satiui tosti drach. iii. seminis maluæ drachmas quinque, nucum pinearum tostarum drach. vi. seminis apij drachmas vii. seminis lini drachmam vnam, amygdalarum amararum mundatarum drach. ix. excipe passo, & exhibe vt prædictum est. *Alia ad Nephriticos Onesidemi.* ℞. amygdalarum amararum drach. xvi. seminis dauci Cretici, seminis maluæ, vtriusque drach. vi. radicis iridis syluestris drach. viii. cornu cerui vsti, tragacanthæ, nardi celticæ, seminis cucumeris satiui, singulorum drach. vi. passi quantum sufficit, præpara vt dictum est. *Aliud medicamentum accommodatum.* Hoc scimus multos nephriticos vsos esse, & à toto affectu penitus liberatos. Oportet per multos dies in medicamenti huius vsu perseuerare. Datur & calculosis, & colicis medetur, ac vesicæ affectibus. Componitur hoc modo. ℞. nucum Ponticarum purgatarum, amygdalarum amararum mundatarum, seminis cucumeris repurgati, singulorum drach. iii. seminis cicutæ, croci, seminis maluæ, opij, singulorum drach. vi. seminis hyoscyami albi, seminis apii, vtriusque drachmas xii. cogito in pastillos cum melle, ac dato obol. iii. cum aquæ mulsæ cyathis iii. in alio exemplari, & seminis rutæ syluestris drachmas vi. *Ad callosas in Renibus concretiones, Onesidemi.* Symphytum, & sion, & artemonium, cum vino coquito; & expressi liquoris cyathos duos, cum pari aqua dato. *Aliud.* maluæ syluestris radicem, & rutæ syluestris radicem, & apii montani radicem, cum vino coquito; & eo, qui dictus est, modo exhibeto. *Aliud ad calculosos inspersile.* ℞. seminis balsami partes ii. lapidis, qui in spongiis reperitur, tantundem, pulegij aridi, seminis maluæ syluestris, ocymi aridi, singulorum tantundem; tusa & cribrata reponito, & dato cochleare cum vini diluti cyathis duobus. *Aliud* ℞. Struthij radicis partem i. iridis syluestris siccæ tantundem, oxalidis siccæ tantundem, anemones luteum florem habentis siccæ tantundem. Tusis & cribratis, vt dictum est, vtere. *Catapotia Heraclidæ Tarantini, dissoluunt vesicæ tophos, conferunt & ad vesicæ stillicidium.* ℞. piperis, galbani, vtriusque ʒ. i. succi Libyci ʒ. ii. myrrhæ ʒ. iiii. protropi quod satis est; forma catapotia ciceris magnitudine, & tria deuoranda dato, & passi cyath. ii. insuper bibendos. *Aliud.* ℞. ammoniaci thymiamatis, piperis, spumæ nitri, singulorum drach. i.

carpo-

carpobalsami ʒ.ii. myrrhæ ʒ.iiii. excipe protropo, & forma catapotia ciceris magnitudine; ac tria deuoranda dato, ita vt vini dulcis quadrantem insuper propines. Hoc ad dies xlviii. ægro præloto facies. *Pastillus ciens vrinam, detrahit Lapillos & tophosas concretiones.* ℞. asari, petroselini, phu, mei, singulorum ʒ. iiii. acori, seminis anisi, seminis dauci, apij montani, carpobalsami, tragacanthæ, singulorum ʒ. ii. tragacantham passo dissolutam aridis adiicito & pastillos formato, indéque obolos tres cum passi diluti cyathis duobus exhibeto. *Alius pastillus Charilis, educit Arenosas subsidentias, facit & ad affectiones vlceratas.* ℞. seminis apii, seminis petroselini, anisi, singulorum ʒ. xvi. floris iunci odorati, croci, tragacanthæ, singulorum ʒ. vi. seminis dauci Cretici, piperis albi, vtriusque ʒ. iiii. præpara vt dictum est; & da ʒ. i. cum protropi diluti cyathis tribus. *Antidotus ex lapidibus vt Mithridates, facit nephriticis, & ad vesicæ affectus, atterit calculos, & tophos dissoluit.* ℞. seminis smyrnij, cyperi, spicæ nardi, seminis papaueris albi, cinnamomi, cassiæ fistulæ, piperis albi, seminis pastinacæ, singulorum ℥. i. thuris non secti, seminis apij, croci, styracis, iridis, amygdalarum amararum, acori, singulorum ℥. i. ß. lapidis syriaci fœminæ, aut masculi, vtriusque ℥. ß. myrrhæ minneæ sextantem; excipe melle. Datur nucis Ponticæ magnitudine. *Alia antidotus Biennitis, medicamentum accommodatum, sedans dolorem. Vtile & nephriticis affectibus, & ad vesicæ vlcerationes. Frangit lapides, & lutum per vrinam expellit.* ℞. iridis ʒ. iiii. mei, seselis, chamædryos, hyperici, cneori, canchryos, singulorum tantundem, amomi ʒ. viii. cinnamomi ʒ. xii. rosmarini montani, nardi Indicæ, croci Cilicij, petroselini, polij, seminis rutæ syluestris, dictamni cretici, singulorum tantundem, glycyrrhizæ, lapidis Syriaci masculi, vtriusque ʒ. xvi. thlaspeos ʒ. xxiiii. seminis viticis, myrrhæ, spondylij, singulorum tantundem: cardamomi ʒ. xlviii. excipe melle cocto, & præbe nucis Ponticæ magnitudinem cum vini mulsi diluti cyathis quatuor.

Quæ Archigenes ad renum affectiones scripsit in secundo medicamentorum secundum genus.

Nephriticos conuenienti diæta adseruo. Et ceratum quidem rosaceum cum styrace ad malagmatis formam redactum impono. Cæterùm Antiochus apud Phricen Linophobum, valde iuxta naturalem contrarietatem auxilio fuisse ait ad mali euersionem prototomi caulis decocti cyathos duos ieiuno ad dies nouem exhibitos. Inspergito autem salem modicum & magis proficies. *Alia Potio.* ℞. foliorum rosarum, amygdalarum decorticatarum, thuris, æquales partes, capitum papaueris duplum; excipe protropo, & in vas fictile repone in loco non humido, & obolos duos cum protropo exhibe. Quidam pro amygdalis amylum conijciunt, & pro protropo aqua excipiunt, verùm cum protropo bibendum exhibent.

A βαλσάμου καρποῦ < β΄. σμύρνης < δ΄. ἀναλάμβανε πρωτρόπῳ, καὶ ποίει καταπότια ἐρεβίνθου τὸ μέγεθος, καὶ δίδου τρία, καὶ οἴνου γλυκέος ἐπιρροφείτω τεταρτημόριον, δίδου δὲ ἐπὶ ἡμέρας μη΄. προλουομένῳ. Τροχίσκος διουρητικὸς, κατάγει λίθους, καὶ πωρώδεις ὑποστάσεις. ℞. Ἀσάρου, πετροσελίνου, φοῦ, μήου, ἀνὰ < δ΄. ἀκόρου, ἀνίσου σπέρματος, δαύκου σπέρματος, ὀρεοσελίνου, καρποῦ βαλσάμου, τραγακάνθης ἀνὰ < β΄. τὴν τραγάκανθαν γλυκεῖ διαλύσας, ἐπίβαλλε τοῖς ξηροῖς, καὶ ἀνάπλαττε τροχίσκους, καὶ δίδου τριώβολον, μετὰ γλυκέος κεκραμένου κυάθων β΄. Ἄλλο Χαρικλέους, κατάγει ψαμμώδεις ὑποστάσεις, ποιεῖ πρὸς τὰς μεθ' ἑλκώσεως διαθέσεις.

B ℞. σελίνου σπέρματος, πετροσελίνου σπέρματος, ἀνίσου ἀνὰ < ιϛ΄. σχοίνου ἄνθους, κρόκου, τραγακάνθης ἀνὰ < ϛ΄. δαύκου Κρητικοῦ σπέρματος, πεπέρεως λευκοῦ ἀνὰ < δ΄. σκεύαζε καθὰ προείρηται, καὶ δίδου < α΄. μετὰ πρωτρόπου κεκραμένου κυάθων γ΄. Ἀντίδοτος ἡ διὰ τῶν λίθων, ὡς Μιθριδάτης, ποιεῖ νεφριτικοῖς, καὶ πρὸς τὰς περὶ κύστιν διαθέσεις, θρύπτει λίθους, καὶ πώρους διαλύει. ℞. Σμυρνίου σπέρματος, κυπέρου, ναρδοστάχυος, μήκωνος λευκῆς σπέρματος, κινναμώμου, κασσίας σύριγγος, πεπέρεως λευκοῦ, σταφυλίνου σπέρματος,

C ἀνὰ ℥ α΄. λιβάνου ἀτμήτου, σελίνου σπέρματος, κρόκου, στύρακος, ἴρεως, ἀμυγδάλων πικρῶν, ἀκόρου, ἑκάστου ℥ α΄. S΄. λίθου Συριακοῦ θήλεος ἢ ἄρρενος, ℥ S΄. σμύρνης μινναίας ℥ β΄. μέλιτι φύρα, ἡ δόσις, καρύου Ποντικοῦ τὸ μέγεθος. Ἄλλη ἡ τοῦ Βιεννίτου, φάρμακον ἐπιτετευγμένον, ἀνώδυνον, χρήσιμον καὶ νεφριτικοῖς, καὶ πρὸς τὰς περὶ κύστιν ἑλκώσεις, καὶ λίθους θρύπτει, καὶ πηλὸν ἀπουρεῖν ποιεῖ. ℞. ἴρεως < δ΄. μήου, σεσέλεως, χαμαίδρυος, ὑπερικοῦ, κνεώρου, κάγχρυος, ἑκάστου τοσόνδε, ἀμώμου < η΄. κινναμώμου < ιβ΄. λιβανωτίδος ὀρεινῆς, νάρδου Ἰνδικῆς, κρόκου Κιλικίου, πετροσελίνου, πολίου, πηγάνου

D ἀγρίου σπέρματος, δικτάμνου Κρητικοῦ ἑκάστου τὸ ἴσον, γλυκυρρίζης, λίθου Συριακοῦ ἄρρενος, ἀνὰ < ιϛ΄. θλάσπεως < κδ΄. ἄγνου καρποῦ, σμύρνης, σφονδύλου, ἑκάστου τοσόνδε, καρδαμώμου < μη΄. ἀναλάμβανε μέλιτι ἑφθῷ, καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος, καὶ οἰνομέλιτος κεκραμένου κυάθους δ΄.

Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα πρὸς τοὺς νεφριτικοὺς, ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος φαρμάκων.

Τοὺς δὲ νεφριτικοὺς διαιτῶ προσηκόντως, ἐπιθεὶς μὲν κηρωτὴν ῥοδίνην, μετὰ στύρακος, μαλαγματώδες ποιήσας. σφόδρα ἔφη ἀξιολόγως ὁ παρὰ τῷ Φρίκῃ Λινοφόβῳ ἀντιπαθῶς βοηθεῖν

E εἰς ἀνασκευὴν, πρωτοτόμου καυλοῦ ἀφεψήματος κυάθους β΄. νήστει διδόμενον ἐπὶ ἡμέρας θ΄. ἐπίπασσε δὲ ἅλας ὀλίγους, καὶ μᾶλλον ὀνήσεις. Ἄλλο. πότιζε ῥόδων φύλλων, ἀμυγδάλων λελεπισμένων, λιβάνου ἴσα, μήκωνος κωδυῶν τὸ διπλοῦν, πρωτρόπῳ ἀναλάμβανε, καὶ εἰς κεραμεοῦν ἀγγεῖον ἀπόθου μὴ ἐν νοτερῷ, δίδου δύο ὀβολοὺς μετὰ πρωτρόπου. ἔνιοι, ἀντὶ τῶν ἀμυγδάλων, ἄμυλον βάλλουσι, καὶ ἀντὶ

F πρωτρόπου, ὕδατι μὲν ἀναλαμβάνουσι, ποτίζουσι δὲ μετὰ πρωτρόπου.

CAPVT II.

De Ischiade, Podagra, & arthritide.

EX genere arthritidis est, tum ischias, tum podagra; quod enim in omnibus articulis arthri-

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ ἰσχιάδος, καὶ ποδάγρας, καὶ ἀρθρίτιδος.

ΕΚ τοῦ γένους τῆς ἀρθρίτιδος, ἥ τε ἰσχιάς ἐστι καὶ ποδάγρα. ὅπερ γὰρ ἐν ἅπασι τοῖς ἄρθροις ἡ ἀρθρῖτις

ἐστὶ, τοῦτ' ἐφ' ἑνὸς μὲν τοῦ κατ' ἰσχίον, ἰσχιάδα καλοῦσιν, ἐπὶ ποδὸς δὲ, ποδάγραν. ἄρχεται μὲν οὖν, ὡς τὰ πολλὰ, καὶ ἡ τῆς ποδάγρας γένεσις ἐξ ἑνὸς ἄρθρου, προέρχεται δὲ ἐπὶ πάντα χρονίζουσα. κοινὸν δὲ τῶν τριῶν παθῶν ἐστι, πλεονεξία χυμοῦ, καταλαμβάνουσα τὴν πάσχουσαν διάρθρωσιν, ἧς πληρωθείσης, εἰς πάντα συμβαίνει τείνεσθαι τοῖς περικειμένοις νευρώδεσι μορίοις, κἀκ τούτων γίγνεσθαι τὴν ὀδύνην. ἐνίοτε μὲν οὖν, ὁ κατασκήπτων χυμὸς, αἱματικός ἐστιν. ὡς δὲ τὸ πολὺ δὲ, φλεγματώδης, ἢ μικτὸς ἐκ φλεγματώδους τε, καὶ χολώδους, ἢ καὶ σὺν αὐτοῖς αἵματος. ἀκριβέστερον δέ τις ἑρμηνεύων, οὐ φλεγματώδη χυμὸν, ἀλλὰ τὸν ἰδίως ὀνομαζόμενον ὠμὸν, ἐπικρατεῖν ὡς τὸ πολὺ φαίη κατὰ τὰς ἀρθρίτιδας. ἔστι δὲ παχὺς οὗτος, ὁμοίως τῷ πύῳ τῷ παχεῖ. χρονίζων δὲ ἐν τοῖς ἄρθροις, οὐ μόνον παχύτερος, ἀλλὰ καὶ γλισχρότερος γίνεται. τῶν τε οὖν ὀνομαζομένων πώρων ἡ γένεσις ἐκ τούτων, κἀπειδὰν γένωνται, μηκέτι ἐλπίσῃς, εἰς τὴν ἀρχαίαν κατάστασιν ἀκριβῶς ἐπανελθεῖν δύνασθαι τὸ ἄρθρον. εὐφώρατοι δὲ αἱ διαφοραὶ τῶν λυπούντων χυμῶν εἰσι, ταῖς χροιαῖς, καὶ τοῖς συμπτώμασι, καὶ τῇ πείρᾳ τῶν προσφερομένων φαρμάκων. ἡ μὲν οὖν ἀπὸ τῆς χρόας διάθεσις τε, καὶ διάγνωσις αὐτῶν, ἅπασι γνώριμος. ἡ δὲ ἀπὸ τῶν συμπτωμάτων, εἰ καὶ μὴ πᾶσι, μηδ' ἐκ προχείρου σαφὴς, ἀλλ' οὐδὲ χαλεπὴ γνωσθῆναι. τὸ γὰρ χολῶδες αἷμα, θερμασίας πολλῆς αἴσθησιν ἐργάζεται τῷ κάμνοντι, παροξύνεταί τε, τῶν θερμαινόντων ἐπιτιθεμένων, ὥσπερ αὖ πάλιν, ὑπὸ ψυχόντων ἀνίεται. πρὸς δὲ τὴν διάγνωσιν τοῦ λυποῦντος χυμοῦ, συντελέσει σοι, καὶ ἡ προγεγενημένη δίαιτα, διὰ γυμνασίων, ἢ ἀργίας γεγονυῖα, καὶ λουτρῶν ἐπὶ τροφαῖς, ἢ πρὸ τροφῶν, ὥσπερ γε καὶ τούτων τῶν γυμνασίων, καὶ ἐδεσμάτων, ἥ τε ποσότης, καὶ ἡ ποιότης, ἥ θ' ὥρα τοῦ ἔτους, καὶ ἡ κατάστασις τοῦ χωρίου, ὥσπερ γε καὶ ἡ ἡλικία, καὶ ἡ ἕξις τοῦ σώματος, ὧν ἁπάντων, ἐν πολλοῖς πολλάκις τὰς δυνάμεις διῆλθον. ἀρχὴ δὲ ἔστω σοι τῆς θεραπείας, ἡ τοῦ λυπεῖν εὑρεθέντος χυμοῦ κένωσις. εἰ μὲν πληθωρικὸν εἴη τὸ σῶμα, φλεβοτομίας πρῶτον ἁπάντων παραλαμβανομένης, εἶτα καθάρσεως, ἐφ' ᾗ ἡ τῶν ῥηθησομένων φαρμάκων, ἐν καιρῷ καὶ τάξει προσήκουσα χρῆσις. ἐπὶ μὲν τῶν χειρῶν καὶ ποδῶν, ἀποκρουστικοῖς τοῦ ῥεύματος χρωμένων ἡμῶν φαρμάκοις, ἐπὶ δὲ τῆς κατ' ἰσχίον διαρθρώσεως, φυλαττομένων τοῦτο δρᾶν. ἐν βάθει γὰρ οὔσης αὐτῆς, συλλαμβάνεται τὸ ἐκ τῶν περιεχόντων ἀγγείων αἷμα, καὶ μυῶν πρὸς ἐκείνην. παρηγορικῶν οὖν ἐν ἀρχῇ φαρμάκων χρεία, ἐπὶ τῆς κατ' ἰσχίον ὀδύνης, οὔτε ψυχόντων ἱκανῶς, οὔτε θερμαινόντων ἰσχυρῶς, ὁποίων ὕστερον δεῖται. παροξύνεται γὰρ ἐπ' αὐτῶν τὰ ῥεύματα, τῆς θερμασίας ἑλκούσης αὐτὰ μᾶλλον, ἢ κωλυούσης. ἐπεὶ δὲ οὐ πρόκειται κατὰ τὴν ἐνεστῶσαν ἡμῖν πραγματείαν, οὔτε περὶ καταπλασμάτων, οὔτε περὶ ἐπιβροχῶν τι λέγειν, ἀλλὰ περὶ τῆς μεθόδου τῶν συνθέτων φαρμάκων, ἐπὶ ταύτην ἀφίξομαι μόνην, ἀπὸ τῆς ἰσχιάδος ἀρξάμενος, ὀλιγάκις ὑπὸ πλήθους αἵματος γινομένης, καὶ θεραπευομένης γε τάχιστα, τῶν κατὰ τὴν ἰγνύαν, ἢ κατὰ τὰ σφυρὰ φλεβῶν τεμνομένων, ὥσπερ δὲ πολλάκις, μόνη ἡ ἐκ τοῦ αἵματος κένωσις αὐτάρκης γίνεται βοήθεια, κατὰ τοὐναντίον, ἐπὶ πάσης ἰσχιάδος, ἐξαιρέτως δὲ ἐπὶ τῆς διὰ πλῆθος, ἄν τις, πρὸ τοῦ κενωθῆναι τὸ πᾶν σῶμα, δριμέσι φαρμάκοις χρήσηται κατὰ τοῦ πεπονθότος μορίου, δυσιατοτάτην ἐργάσεται τὴν διάθεσιν,

A tis est, hoc in vno iuxta coxendicem quidem ischiada appellant; iuxta pedem autem podagram. Incipit igitur plerumque podagræ generatio ex vno articulo, & progreditur in omnes temporis diuturnitate accedente. Communem habent hi tres affectus humoris redundantiam, quæ affectā occupat coarticulationem; qua expleta in omnē partem circunsitæ neruosæ partis tenduntur, & ex his dolor oritur. Aliquando quidem igitur irruens humor sanguineus est, vt plurimum verò pituitosus, aut ex pituitoso & bilioso mixtus, aut etiā
B sanguine cum ipsis permixto. Quòd si quis exactiùs interpretari rem velit, non pituitosum humorem, sed qui propriè crudus appellatur, vt plurimum in arthritide prædominari dixerit. Est autem hic crassus ad similitudinem puris crassioris; vbi verò in ipsis articulis diutius moram traxerit, non solùm crassior, sed & viscosior, redditur. Eorum igitur qui tophi appellantur generatio ex his est; & postquam fuerint producti, ne speraueris ad pristinam constitutionem exactè redire articulum posse. Cæterùm differentiæ affligentium humorum facilè deprehendi possunt, tum coloribus, tum symptomatis coincidentibus: itémque per experientiam medicamentorum, quæ adhi-
C bentur. Cognitio igitur ipsorum ex colore omnibus exposita est; ex symptomatis verò coincidentibus, tametsi non omnibus, neque ex procinctu, manifesta sit, tamen non adeo difficilis cognitu existit. Biliosus enim sanguis multæ caliditatis sensum ægroto exhibet, & calefacientibus impositis exacerbatur, quemadmodum rursus à frigidis relaxatur. Verùm ad humoris noxij cognitionem conferet tibi etiam prægressa diæta, siue per exercitia, siue per otium transmissa, & per balnea, post aut ante acceptum cibum. Quemadmodum conferet etiam horum gymnasiorum, & edulio-
D rum, tum quantitas, tum qualitas; item anni hora, & regionis, ac aëris constitutio; insupérque & ætas, & habitus corporis; quorum omnium facultates sæpè in plerisque locis enarraui. Porrò principium curationis sit tibi euacuatio humoris quem affligere compereris; ac si plethoricum fuerit corpus, venæ sectione primum omnium assumpta, deinde purgatione; quibus accedat medicamentorum dicendorum conueniens & tempore, & ordine, vsus, ita vt in manibus, & pedibus medicamentis fluxionem repellentibus vtamur, circa co-
E xendicum verò articulationem id facere vitemus, quum enim in profundo ea sita sit, sanguis ex vicinis, & ambientibus vasis, ac musculis ad illam cōpellitur. Mitigatoriis igitur in principio medicamentis opus est in dolore circa coxendicem hærente, quæ neque refrigerent multum, neque vehementer calefaciant, qualibus sanè postea opus habet; exacerbātur enim per ipsas fluxiones, caliditate nimirū plus attrahēte ipsas, quā impediēte. Quandoquidē verò præsentis operis institutū est neq; de cataplasmatis, neq; de irrigationib. quicquā dicere, sed de methodo cōpositorū medica-
F mentorū, ad hanc solā progrediar, initio ab ischiade sumpto. Raró equidem fit ischias ex sanguinis multitudine; & citissimè curatur, venis circa poplitem, aut talos sectis. Quemadmodū autē sæpe sola sanguinis euacuatio sufficiens auxilium existit, sic contra in omni ischiade, & præsertim ea, quæ ex humorum copia exorta est, si quis, ante euacuationē totius corporis, acribus medicamētis circa partē affectā vtatur, ægrè curabilē reddet affectionē,

copia

copia nimirum indissolubiliter ibidem condensata; præter alia enim & crassa & viscosa fit ob calorem & siccitatem acrium medicamentorum, non dissimile quippiam assationi perpetiens. Tanquam igitur maximam vim ad affectionis curationem habeat totius corporis euacuatio, ab ipsa incipiendum est, non solum à cruribus, sed à cubito primum, sanguinis detractione facta. Auxiliantur etiam vomitus ipsis ischiadicis magis vtique, quàm euacuationes infernæ per ventrem, vt qui reuellant repentem deorsum humorem. Faciendi itaque sunt vomitus in principio ab accepto cibo; postea verò etiam per vomitoria medicamenta, initio à mediocribus facto. In quibus autem vehemens humorum densatio, quæ ægrè dissolui potest, à medicis intempestiuè acribus medicamentis vtentibus facta est, his cucurbita affixa maximè auxiliatur, & purgatio per efficaciora infusa, quale est & quod ex colocynthide constat. Si igitur ea, quæ nunc dicta sunt præ oculis habueritis, medicamentis sanè à prioribus medicis traditis iuxta methodum vtemini. Verùm in ipsis recensendis auspicabor ab iis, quæ ab Andromacho scripta sunt in illa parte libri de Externis medicamentis conscripti, in qua præscriptis malagmatis propriè appellatis, inde etiam alia omnia prodit, iuxta quemcunque tandem modum inueteratos affectus iuuantia, in quibus est etiam ischiadicorum appellatorum cura.

Compositiones ab Andromacho conscriptæ ad Ischiadicos ipsis verbis, in libris externorum.

℞. Seminis rutæ syluestris ʒ. iiii. silphij, baccarũ lauri, singul. ʒ. iiii. spumæ nitri, abrotoni, colocynthidis, cardamomi, ammeos, singulor. ʒ. iiii. rutæ viridis minæ octauam partem. Quidam horum singulorum ʒ. xx. accipiunt; & picis terebinthinæ, resinæ, ceræ, singulorum tantundem, adipis taurini tantundem, galbani ʒ. vi. ammoniaci thymiamatis ʒ. vi. opopanacis ʒ. iiii. sulfuris viui ʒ. iiii. Quòd hoc medicamentum valde calefactorium sit, si memoria tenuerimus ea, quæ in libris de Simplicium medicamentorum facultate scripta sunt, nihil opus recentiore assertione. Est enim vehementissimum & calidissimum medicamentum syluestris rutæ semen, & cum eo silphium, & baccæ lauri, deinde spuma nitri. Post hæc abrotonum, indéque colocynthis, & cardamomum, & ammi. Ruta etiam viridis minus quidem his, non tamen contemnendam habet caliditatem, quemadmodum neque sulfur viuum. Ex profundo itaque attrahere omnia hæc possunt humores articulum coxendicis vexantes. Quo verò emplastrum ex ipsis fieret, picem & terebinthinam, resinam, & ceram, ac adipem admiscuit is, qui medicamentum composuit. Verùm ammoniacum thymiama, & galbanum, vltra hoc quòd conferunt ad emplastri compositionem, etiam emolliendi, ac mitigandi vim quandam habent. Opopanax verò eiusdem cum ipsis est generis, sed vehementiori facultate præditus. Alteram porrò compositionem ad eandem affectionem Andromachus sic scripsit. *Aliud Malagma ad Ischiadicos, & alia multa.* ℞. ceræ ʒ. lxxii. terebinthinæ ʒ. xlviii. ammoniaci thymiamatis ʒ. xxxiii. propoleos ʒ. xliii. galbani ʒ. xxxvi. bdellij ʒ. xxv. croci ʒ. v. opopanacis ʒ. xii. spumæ nitri ʒ. xxx. vnguento irino admoto tundito. *Aliud Protæ Pelusiotæ, ad Coxendicum, & capitis dolorem, & ad omnes diuturnos dolores.*

σφηνουμένου τοῦ πλήθους αὐτόθι, δυσλύτως. πρὸς γὰρ τοῖς ἄλλοις, καὶ παχύνεται, καὶ γλίσχρον γίγνεται τῇ θερμότητι, καὶ ξηρότητι τῶν δριμέων φαρμάκων, ὀπτήσει τινὶ παραπλήσιον πάσχον. ὡς οὖν μεγίστην δύναμιν ἐς θεραπείαν ἐχούσης ἐπὶ τοῦ πάθους, τῆς τοῦ παντὸς σώματος κενώσεως, ἀπ᾽ αὐτῆς ἀρκτέον, οὐ μόνον ἀπὸ τῶν σκελῶν, ἀλλὰ καὶ ἀπ᾽ ἀγκῶνος ἀφαίρεσιν ποιουμένοις. ὠφελοῦσι δὲ καὶ οἱ ἔμετοι τοὺς ἰσχιαδικοὺς μᾶλλον, τῶν διὰ τῆς κάτω γαστρὸς κενώσεων, ἀντισπῶντες τὸν κάτω ῥέποντα χυμόν. ποιητέον δ᾽ αὐτούς, ἐν ἀρχῇ μὲν μετὰ τροφῆς, ὕστερον δὲ καὶ διὰ φαρμάκων ἐμετικῶν, ἀρχομένους ἐπὶ τούτων, ἀπὸ τῶν μετριωτέρων. ἐφ᾽ ὧν δὲ σφήνωσις ἐγένετο σφοδρά, καὶ δύσλυτος, ὑπὸ τῶν ἀκαίρως χρησαμένων ἰατρῶν φαρμάκοις δριμέσιν, ἡ σικύα βοήθεια μεγίστη, καὶ ἡ διὰ τῶν καθαρτικῶν γιγνεται κλυσμάτων, ὁποῖός ἐστι καὶ ὁ διὰ τῆς κολοκυνθίδος. ἔχοντες οὖν πρὸ ὀφθαλμῶν, ταῦτα τὰ νῦν εἰρημένα, τοῖς γεγραμμένοις φαρμάκοις ὑπὸ τῶν ἔμπροσθεν, ἕξετε χρῆσθαι κατὰ μέθοδον. ἄρξομαι δὴ ἐν αὐτοῖς ὑπὸ τῶν ὑπ᾽ Ἀνδρομάχου γεγραμμένων ἐν ἐκείνῳ τῷ μέρει τῆς τῶν ἐκτὸς φαρμάκων βίβλου, καθ᾽ ὃ προγράψας μαλάγματα πρὸς τοῖς κυρίοις ὀνομαζομένοις, οὕτω καὶ τὰ ἄλλα γράφει πάντα, τὰ καθ᾽ ὁντιναοῦν τρόπον ὠφελοῦντα τὰς χρονιζούσας διαθέσεις, ἐν αἷς ἐστι καὶ ἡ τῶν ἰσχιαδικῶν ὀνομαζομένων.

Αἱ ὑπ᾽ Ἀνδρομάχου γεγραμμέναι δυνάμεις αὐτοῖς ὀνόμασιν, ἐν τοῖς τῶν ἐκτὸς, πρὸς ἰσχιαδικούς.

℞. Πηγάνου ἀγρίου σπέρματος < δ΄. σιλφίου, δαφνίδων ἀνὰ < δ΄. ἀφρονίτρου, ἀβροτόνου, κολοκυνθίδος, καρδαμώμου, ἄμμεως ἀνὰ < δ΄. πηγάνου χλωροῦ μνᾶς ὄγδοον, τινὲς τούτων ἀνὰ < κ΄. πίσσης τερμινθίνης, ῥητίνης, κηροῦ τὸ ἴσον, καὶ στέατος ταυρείου ἴσον, χαλβάνης < ϛ΄. ἀμμωνιακοῦ θυμιάματος < ϛ΄. ὀποπάνακος < δ΄. θείου ἀπύρου < δ΄. ὅτι τοῦτο φάρμακον ἰσχυρῶς ἐστι θερμαντικόν, εἴ τι μεμνήμεθα τῶν ἔμπροσθεν γεγραμμένων πολλάκις, ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, οὐδὲν ἔτι δεησόμεθα λόγου καινοτέρου. σφοδρότατον γάρ, καὶ θερμαντικώτατόν ἐστι τὸ φάρμακον ἀγρίου πηγάνου σπέρμα, σὺν τούτῳ δὲ σίλφιον, καὶ δαφνίδες, εἶτα τὸ ἀφρόνιτρον, μετὰ ταῦτα, καὶ ἀβρότονον, ἐφ᾽ οἷς ἡ κολοκυνθίς, καὶ τὸ καρδάμωμον, καὶ τὸ καλούμενον ἄμμι, καὶ τὸ χλωρὸν δὲ πήγανον, ἧττον μὲν τούτων, οὐ μὴν εὐκαταφρόνητον ἔχει τὴν θερμασίαν, ὥσπερ οὐδὲ τὸ θεῖον ἄπυρον. ἐκ βάθους οὖν ἕλκειν πάντα ταῦτα δύναται, τοὺς λυποῦντας τὸ κατ᾽ ἰσχίον ἄρθρον χυμούς. ὅπως δ᾽ ἔμπλαστρος ἐξ αὐτῶν γένηται, πίττης τε τερμινθίνης, καὶ ῥητίνης, καὶ κηροῦ, καὶ στέατος ἔμιξε, συνθεὶς τὸ φάρμακον. ἀμμωνιακὸν δὲ θυμίαμα, καὶ χαλβάνη, πρὸς τῷ συντελεῖν εἰς ἐμπλάστρου σύνθεσιν, ἔτι καὶ μαλακτικὸν ἔχει τι, καὶ παρηγορικόν. ὁ δ᾽ ὀποπάναξ, ἐκ ταὐτοῦ μὲν αὐτοῖς ἐστι γένους, ἰσχυροτέραν δὲ δύναμιν ἔχει. ἑτέραν δὲ δύναμιν πρὸς αὐτὸ τὸ πάθος, ὁ Ἀνδρόμαχος οὕτως ἔγραψεν. Ἄλλο μάλαγμα πρὸς ἰσχιαδικούς, καὶ ἄλλα πολλά. ℞. Κηροῦ < οβ΄. τερμινθίνης < μη΄. ἀμμωνιακοῦ θυμιάματος < λγ΄. προπόλεως < μγ΄. χαλβάνης < λϛ΄. βδελλίου < κε΄. κρόκου < ε΄. ὀποπάνακος < ιβ΄. νίτρου ἀφροῦ < λ΄. μύρῳ ἰρίνῳ κόπτων παράπτου. Ἄλλο Πρωτᾶ Πηλουσιώτου, πρὸς ἰσχιαδικοὺς καὶ κεφαλαλγικούς, καὶ πρὸς πάντα τὰ χρόνια ἀλγήματα δυνάμενον ἁρμόττειν τόδε.

℞. Κηροῦ < κδ'. ἀμμωνιακοῦ θυμιάματος < ζ'. τερμινθίνης < ζ'. θαψίας χυλοῦ < η'. ἐλαίου κύαθον ἕνα. καὶ ἄλλην δὲ δύναμιν ἐν τοῖς μαλάγμασιν ὁ Ἀνδρόμαχος ἔγραψεν ὡδί πως. Πρὸς ἰσχιαδικοὺς παρὰ Ἥρα Καππάδοκος. ℞. Πίσσης ὑγρᾶς κοτύλας γ'. ἢ β'. S. κηροῦ λίτραν α'. πιτυΐνης λίτραν α'. θείου ἀπύρου λίτραν α'. νίτρου λίτραν μίαν S. σταφίδος ἀγρίας ξε α'. πυρέθρου λίτρας S. οἴνου τρυγὸς κεκαυμένης λίτρας β'. καρδαμώμου ξε α'. χαλβάνης λίτρας S. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. τοῦτο τὸ φάρμακον, καὶ αὐτὸς ὁ Ἥρας ἐν τῷ ἰδίῳ βιβλίῳ, τῆς τελευτῆς πλησίον, ἔγραψεν. οὐ προσέσκηπται δὲ ἐν αὐτῷ, ἐπὶ τῆς πίσσης τὸ β'. ἢ S. ἀλλ' ἁπλῶς γέγραπται κοτύλας γ'. προέγραψε δὲ αὐτῆς κατὰ λέξιν οὕτως. Κηρωτὴ πρὸς ἰσχιαδικούς, διασκευάζουσα καὶ τὰς λίαν κεχρονισμένας διαθέσεις, ταύτῃ ἐχρησάμην πρὸς ἀνασκευήν, ἐπὶ Φροντίνου. ℞. Πίσσης ὑγρᾶς κοτύλας γ'. κηροῦ λίτραν α'. πιτυΐνης λίτραν α'. θείου ἀπύρου λίτραν α'. νίτρου λίτραν α'. σταφίδος ἀγρίας ξε α'. πυρέθρου λίτρας S. οἴνου τρυγὸς κεκαυμένης λίτρας β'. καρδαμώμου ξε α'. χαλβάνης λίτρας S. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἔγραψε δὲ καὶ ἄλλας ἰσχιαδικὰς ὁ Ἥρας δύο δυνάμεις, ὧν ἡ μὲν ἑτέρα, τόνδε τὸν τρόπον ἔχει. Πρὸς ἰσχιαδικούς, παρηγορικὴ λίαν. ℞. Πίσσης μέρη δύο, θείου ἀπύρου μέρος ἕν, λεῖα ἀμφότερα μίξας, σύμπλασσε τὸν ἀλγοῦντα τόπον, προλούσας δὲ τὸν πάσχοντα, χρὴ ἵνα κολληθῇ τὸ φάρμακον, καὶ ἄνωθεν ἐπιρρίπτε χάρτην, καὶ ἔα μέχρις ἀφ' ἑαυτοῦ ἀποπέσῃ, ἐνδέχεται δὲ λούεσθαι, ἔχοντα τὴν χάρτην. ἔν τισι τῶν ἀντιγράφων, πίσσης μέρος ἕν, καὶ δυνατόν ἐστιν, καὶ οὕτως αὐτὸ σκευασθῆναι, γιγνωσκόντων ἡμῶν ὅτι πρακτικώτερόν ἐστι τὸ ἴσα μιγνῦναι ἀμφότερα, τὴν πίσσαν καὶ τὸ θεῖον ἄπυρον. ἀσθενέστερον δὲ ἐφ' οὗ ἡ πίσσα διπλασία τοῦ θείου βάλλεται. ἡ δὲ λοιπή, καὶ τρίτη τῶν ἰσχιαδικῶν δυνάμεων, οὕτως ὑπὸ τοῦ Ἥρα γέγραπται.

A ℞. Ceræ ʒ. xxiiii. ammoniaci thymiamatis ʒ. vii. terebinthinæ drachmas septem, succi thapsiæ ʒ. viii. olei cyathum vnum. Quin & aliam compositionem inter malagmata Andromachus retulit hoc modo. *Ad Ischiadicos ab Hera Cappadoce.* ℞. picis liquidæ heminas tres aut duas & dimidiam, ceræ libram vnam, resinæ pini lib. vnam, sulfuris viui libram vnam, nitri sesquilibram, staphidis syluestris sextarium vnum, pyrethri libram dimidiam, fæcis vini vstæ libras duas, cardamomi sextarium vnum, galbani libram dimidiam; arida cum liquidis committito. B Hoc medicamentum etiam ipse Heras in proprio libro propè finem scripsit, sed non appositum est ad picem, aut duas & dimidiam, sed simpliciter scriptum est, heminas tres. Præscripsit autem hæc verba; Ceratum ad ischiadicos, quod eruit etiam valde inueteratos affectus; hoc vsus sum in Frontino. ℞. picis liquidæ heminas tres, ceræ libram vnam, resinæ pineæ libram vnam, sulphuris viui libram vnam, nitri libram vnam, staphidis syluestris sextarium vnum, pyrethri libram dimidiam, fæcis vini C vstæ libras duas, cardamomi sextarium vnum, galbani libram dimidiam, liquida cum siccis misce. Scripsit autem & alias duas ischiadicas compositiones Heras, quarum altera hoc modo habet. *Ad ischiadicos valde mitigatoria.* ℞. picis partes duas, sulfuris viui partem vnam; vtraque trita mixta dolenti loco imponito. Verùm prælauare ægrum oportet, vt medicamentum agglutinetur, & supernè chartam superponere, ac sinere donec sua sponte dilabatur; licet etiam lauare charta suprapo sita adhuc incumbente. In quibusdam exemplaribus, picis pars vna habetur; & licet etiam sic præparare, modò sciamus nos efficacius esse ambo pari mensura misceri. D Debilius verò medicamentum, in quo duplum picis ad sulfur coniicitur. Porrò quæ restat adhuc tertia compositionum ischiadicarum, hoc modo ab Hera prodita est.

Ἄλλη ἰσχιαδική. ταύτῃ ἐχρησάμην ἐπὶ Φροντίνου, εὐθὺς ἐπὶ τῶν παροξυσμῶν.

℞. Κηροῦ < ρ'. ἰξοῦ δρυΐνου < ιϛ'. σμύρνης < ϛ'. τερμινθίνης < κε'. χαλβάνης < ϛ'. ἴρεως Ἰλλυρικῆς < ϛ'. κεδρίας κοτύλης τὸ ἥμισυ, κυπρίνου, κοτύλης S. τὸν κηρόν, καὶ τὴν κεδρίαν, μετὰ τοῦ κυπρίνου τῆξον, εἶτα τὴν ῥητίνην, καὶ τὴν χαλβάνην. ὅταν δὲ μέλλῃς αἴρειν, ἐπίπασσε τὴν ἶριν, καὶ τὸν ἰξόν. ἠρμένης δὲ τῆς λοπάδος, ἔστω λελειωμένη ἡ σμύρνα, εἶτα τὰ τηκτὰ κατάχει, καὶ μίξας χρῶ. ἔνιοι καὶ νίτρου προσέβαλλον < ε'.

Alia ischiadica. Hac vsus sum in Frontino, statim in exacerbationibus.

℞. Ceræ ʒ. c. visci quercini ʒ. xvi. myrrhæ ʒ. vi. terebinthinæ ʒ. xxv. galbani ʒ. vi. iridis Illyricæ ʒ. vi. cedriæ heminam dimidiam, cyprini heminam E dimidiam; ceram & cedriam cum cyprino liquefacito, deinde resinam, & galbanum; atque vbi iam ab igne auferre voles, iridem inspergito, itémque viscum indito. Ablata autem iam olla in promptu sit tibi myrrha trita, ad quam liquefacta diffundes, & mixtis simul omnibus vteris. Quidam supra hæc omnia etiam nitri ʒ. v. addiderunt.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα ἐν τῷ τετάρτῳ τῶν ἐκτός, ἃ Μαρκέλλας ἐπιγράφει.

Ὀνομάζει μὲν καὶ οὗτος ἅπαντα τὰ τοιαῦτα μαλάγματα. προστίθησι δὲ τοῖς μέν, ὅτι πρὸς ἰσχιάδα, τοῖς δέ, ὅτι πρὸς σπλῆνα, τοῖς δέ, πρὸς πλευράν, ἢ ἄλλο τι μέρος. ἔνια δέ, καὶ πολύχρηστά φησιν εἶναι, καθάπερ καὶ τόδε γεγραμμένον ὑπ' αὐτοῦ κατὰ λέξιν οὕτως. Μάλαγμα Ἀντιοχίδος, σπληνικοῖς, ὑδρωπικοῖς, ἰσχιαδικοῖς, ἀρθριτικοῖς, ἐσκευάσθη Φαβίλλῃ Λιβυκῇ. ℞. Κηροῦ λίτρας τρεῖς, δρυΐνου ἰξοῦ λίτρας γ'. ῥητίνης τερμινθίνης λίτρας γ'. μυροβαλάνου πιέσματος

Quæ medicamenta Asclepiades in quarto Externorum prodidit, quæ Marcellæ inscribit.

Nominat equidem & hîc omnia huiusmodi F malagmata; apponit autem aliis, quòd ad ischiada, aliis quòd ad splenem, aliis ad latus, aut aliam aliquam partem, conducant; quædam etiam varii vsus esse ait; quemadmodum etiam hoc scriptum ab ipso in hæc verba. *Malagma Antiochidis, splenicis, hydropicis, ischiadicis, arthriticis. Præparatum est Fabullæ Libycæ.* ℞. ceræ libras tres, visci quercini lib. tres, resinæ terebinthinæ lib. tres, magmatis myrobalani lib. i.

℔.j spumæ nitri lib. j. floris lapidis Asii, lib. j. ammoniaci thymiamatis ℔. i. olei cyprini lib. iij. acetum ad ammoniacum dissoluendum. Post hoc scribit rursus aliud sic. *Aliud Fabullæ compositum valde præclarum, ad eosdem affectus.* ♃. Myrrhæ stactæ lib. ii. bdellij onychis lib. ij. medullæ ceruinæ lib. ii. ammoniaci thymiamatis lib. ii. iridis siccæ lib. ii. opopanacis lib. j. galbani, styracis, vtriusque lib. i. mastiches lib. i. floris lapidis Asii lib. vnam, succi sycomororum lib. i. canchryos lib. vnam, piperis albi lib. vnam, ceræ, terebinthinæ, vtriusque lib. v. tundendum est medicamentum, ita vt qui tundit fæcem vnguenti irini adhibeat, quo mollius medicamentum fiat. Aliud deinceps Asclepiades scripsit hoc modo. *Malagma quod & Aurei coloris appellatur.* ♃. auripigmenti auricoloris, calcis viuæ, vtriusque sextantem; aluminis liquidi ℥. ij. aluminis scissi ℥. ii. arida tundimus & cribramus, & in pilam coniectis, aceti cyathos octo affundimus, & probè trita liquefactis excipimus. Sunt autem hæc: ♃. ceræ, resinæ frictæ, & pinus, singulorum lib. ii. olei communis cyath. viii. hæc liquefacta frigefieri sinimus, & erasa tritis admiscemus. Nos ad medicamenti præparationem etiam myrrhæ sextantem addimus. Alii etiam sandarachæ sextantem apponunt, aluminis liquidi sextante sublato. Nos autem coniectis omnibus præscriptis conficimus, & fit efficacius. Post præscriptum aliud subdidit hoc modo. *Hoc vsus est Andromachus. Facit splenicis, hydropicis, & ad præcordia distenta. Facit ischiadicis, arthriticis, & ad inueteratos affectus.* ♃. ceræ, picis brutiæ, vtriusque lib. i. nos pro pice resinam frictam indimus; resinæ pinus lib. i. olei cyath. viii. auripigmenti auricoloris, aluminis scissi, calcis viuæ, singulorum ℥. ii. præpara vt dictum est. Nos apposuimus ad medicamentum myrrhæ sextantem, visci quercini trientem. Post relata alia quædam ad hydropicos & splenicos recenset, & inde rursus multi vsus compositionem tradit, quam etiam ischiadicis conuenire ait, hoc modo. *Andreæ Malagma. Compositio admiranda ad ea quæ velis perforare, dissoluere, adæquare. Educit ossa corrupta, aculeos, & infixa. Descriptum est etiam à Serapione Empirico. Facit & ad ischiadicos, commodum est suppuratis, facit & ad induratos viscerum affectus. Est & Acopon bonum diutinis resolutionibus, & distortis corporis partibus. Facit etiam ad ea, quæ pingui mucore obsessa sunt; educit enim aliena, & vlcus ad cicatricem perducit.* ♃. grani cnidii purgati, nitri rubri, salis ammoniaci, aristolochiæ Creticæ, radicis cucumeris syluestris, terebinthinæ, singulorum drach. viginti; piperis rotundi, & longi, ammoniaci thymiamatis, & vt quidam volunt amomi, & xylobalsami, singulorum drach. x. thuris masculi, myrrhæ, resinæ siccæ, visci subacti, singulorum drach. decem; succi mororum drach. x. ceræ drach. xxx. adipis caprini drach. xv. fæcis vnguenti irini quantum satis excipiendis erit; arida tunduntur, & angustissimo cribro excernuntur; liquabilia verò singulatim diligenter tunduntur; deinde omnia simul miscentur, ac rursus tunduntur admota irini fæce; deinde vbi probè fuerint vnita, emollita reponimus. Quòd si velis acopo vti, accipe medicamenti quadrantem,

A λίτραν α'. νίτρου ἀφροῦ λίτραν α'. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. ἐλαίου κυπρίνου λίτρας τρεῖς, ὄξους ὡς τὸ ἀμμωνιακὸν διαλῦσαι. Μετὰ τοῦτο γράφει ἐφεξῆς πάλιν οὕτως. ἄλλο Φαβίλλης συντεθὲν, σφόδρα γενναῖον, πρὸς τὰς αὐτὰς διαθέσεις. ♃. Σμύρνης στακτῆς λίτρας β'. βδέλλης ὄνυχος λίτρας β'. μυελοῦ ἐλαφείου λίτρας β'. ἀμμωνιακοῦ θυμιάματος λίτρας β'. ἴρεως ξηρᾶς λίτρας δύο, ὀποπάνακος λίτραν μίαν, χαλβάνης, στύρακος ἀνὰ λίτραν α'. μαστίχης λίτραν α'. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α'. ὀποῦ συκομόρων λίτραν α'. κάγχρυος λίτραν α'. πεπέρεως λευκοῦ λίτραν α'.
B κηροῦ, τερμινθίνης ἀνὰ λίτρας ε'. κόπτεσθαι δεῖ τὸ φάρμακον, καὶ δεῖ κόπτοντα παραπτεσθαι ἰρίνου μύρου τῇ ὑποστάθμῃ, ἕως ἂν ἁπαλώτερον γένηται τὸ φάρμακον. ἕτερον ἐφεξῆς ἔγραψεν ὁ Ἀσκληπιάδης οὕτως. Μάλαγμα, ὃ καὶ χρυσίζουσαν καλοῦμεν. ♃. ἀρσενικοῦ χρυσίζοντος, ἀσβέστου ἀνὰ ℥ β'. στυπτηρίας ὑγρᾶς ℥ β'. στυπτηρίας σχιστῆς ℥ β'. τὰ ξηρὰ κόπτομεν καὶ σήθομεν, καὶ εἰς θυείαν βάλλοντες, τούτοις ἐπιβάλλομεν ὄξους κυάθους η'. καὶ λεάναντες ἐπιμελῶς ἀναλαμβάνομεν τοῖς τηκτοῖς. ἔστι δὲ ταῦτα. ♃. κηροῦ, ῥητίνης φρυκτῆς, καὶ πιτυΐνης ἀνὰ λίτρας β'. ἐλαίου κοινοῦ κυάθους η'. ταῦτα τή-
C ξαντες ἐῶμεν ψυγῆναι, καὶ διαξύσαντες, ἐπιβάλλομεν τοῖς λεανθεῖσιν. ἡμεῖς προστεθείκαμεν τῇ τοῦ φαρμάκου σκευασίᾳ, σμύρνης ℥ β'. καὶ ἕτεροι δὲ προστιθέασι καὶ σανδαράχης ℥ β'. ὑφαιροῦντες τὰς δύο ℥. τῆς ὑγρᾶς στυπτηρίας. ἡμεῖς δὲ ἐμβάλλοντες πάντα τὰ ὑπογεγραμμένα, σκευάζομεν, καὶ γίνεται δραστικώτερον. μετὰ τὸ προγεγραμμένον, ἕτερον ἔγραψεν οὕτως. Τούτῳ ἐχρήσατο Ἀνδρόμαχος, ποιεῖ σπληνικοῖς, ὑδρωπικοῖς, καὶ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις, ποιεῖ ἰσχιαδικοῖς, ἀρθριτικοῖς, καὶ πρὸς τὰς κεχρονισμένας διαθέσεις. ♃. Κηροῦ, πίσσης Βρυτίας ἀνὰ λίτραν α'. ἀντὶ τῆς πίσ-
D σης, ῥητίνην φρυκτὴν βάλλομεν, ῥητίνης πιτυΐνης λίτραν α'. ἐλαίου κυάθους η'. ἀρσενικοῦ χρυσίζοντος, στυπτηρίας σχιστῆς, ἀσβέστου ἀνὰ ℥ β'. σκεύαζε καθὰ προείρηται. ἡμεῖς προστεθήκαμεν τῷ φαρμάκῳ σμύρνης ℥ β'. ἰξοῦ δρυΐνου ℥ δ'. Μετὰ τὰ προειρημένα, διελθὼν ἕτερά τινα πρὸς ὑδρωπικοὺς, καὶ σπληνικοὺς· αὖθις ἔγραψε πολύχρηστον δύναμιν, ἣν καὶ τοῖς ἰσχιαδικοῖς ἁρμόττειν φησὶν ὧδέ πως. Ἀνδρέου μάλαγμα. δύναμις θαυμαστὴ πρὸς ἃ βούλει κατατρῆσαι, διαλῦσαι, ὁμαλίσαι· ἀνάγει ὀστᾶ ἐφθορότα, σκόλοπας, ἀκίδας. ἀναγέγραπται δὲ καὶ Σεραπίωνι τῷ ἐμπειρικῷ. ποιεῖ καὶ πρὸς ἰσχιαδικοὺς,
E χρήσιμόν ἐστι καὶ τοῖς ἐμπυΐκοις. ποιεῖ καὶ πρὸς τὰς σκιρρώδεις τῶν σπλάγχνων διαθέσεις. ἔστι δὲ καὶ ἄκοπος ἀγαθὴ παρειμένοις χρονίοις, διεστραμμένοις μέρεσί τι τοῦ σώματος. ποιεῖ καὶ πρὸς τὰ λιπωθέντα, ὥστε ἀνάγειν τὰ ἀλλότρια, καὶ τὸ ἕλκος εἰς οὐλὴν ἄγειν. ♃. κόκκου κνιδίου κεκαθαρμένου, νίτρου ἐρυθροῦ, ἁλὸς ἀμμωνιακοῦ, ἀριστολοχίας Κρητικῆς, σικύου ἀγρίου ῥίζης, τερμινθίνης ἀνὰ < κ'. πεπέρεως στρογγύλου καὶ μακροῦ, ἀμμωνιακοῦ θυμιάματος, τινὲς καὶ τοῦ ἀμώμου, καὶ τοῦ ξυλοβαλσάμου ἀνὰ < ι'. λιβάνου ἄρρενος, σμύρνης. ῥητίνης ξηρᾶς, ἰξοῦ εἰργασμένου ἀνὰ < ι'. συκαμίνου ὀποῦ < ι'. κηροῦ < λ'. στέατος
F αἰγείου < ιε'. ἰρίνου μύρου ὑποστάθμης εἰς ἀνάληψιν ἴσον ἐξαρκεῖ. τὰ ξηρὰ κόπτεται καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ, καὶ τὰ τηκτὰ κόπτεται καθ' ἕκαστον φιλοπόνως, εἶθ' ὁμοῦ πάντα μίγνυται, καὶ πάλιν κόπτεται, καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ, παραπτομένου ἰρίνου ὑποστάθμῃ εἶθ' ὅταν καλῶς ἑνωθῇ, μαλάξαντες ἀποτιθέμεθα. ὁπότε δὲ βούλει καὶ ἀκόπῳ χρῆσθαι, λάμβανε τοῦ φαρμάκου ℥ γ'.

στέατος χηνείου ℥ γ'. ἐλαίου κυπρίνου ℥ γ'. μίξας χρῶ. καὶ τούτου δὲ ἐφεξῆς οὕτως ἔγραψεν. Ἄλλο πρὸς τὰς αὐτὰς διαθέσεις. ℞. Πυρέθρου < κ'. κόκκου κνιδίου, καὶ ἀφρονίτρου ἀνὰ < κ'. ἁλὸς ἀμμωνιακοῦ, ἀριστολοχίας Κρητικῆς λεπτῆς τοῦ φλοιοῦ, σικύου ἀγρίου ῥίζης, τερμινθίνης ἀνὰ < κ'. πεπέρεως στρογγύλου καὶ μακροῦ, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου, ξυλοβαλσάμου, λιβάνου, σμύρνης, καρδαμώμου, ἀμώμου, στέατος αἰγείου, ῥητίνης ξηρᾶς ἀνὰ < ι'. κηροῦ < λ'. ἰξοῦ εἰργασμένου < η'. συκαμίνου ὀποῦ < η'. ἰρίνου μύρου τῆς ὑποστάθμης εἰς ἀνάληψιν, οἴνου Ἰταλικοῦ ὅσον ἐξαρκεῖ, διαβρέξας, ὅσα χρὴ διαλύειν, σκεύαζε κατὰ τρόπον. ἐν ἄλλῳ οὔτε τὸ ξυλοβάλσαμον, οὔτε τὸ καρδάμωμον εὗρον, οὔτε ἄμωμον. Μετὰ τὰ γεγραμμένα γράψας ἕτερα φάρμακα, πάλιν ἐμνημόνευσε τῶν ἰσχιαδικῶν οὕτω γράψας. Ἄλλο τοῦ αὐτοῦ ἐπίθεμα ἰσχιαδικοῖς, ἀρθριτικοῖς, παραχρῆμα ὠφελεῖ. Τῆλιν βαλὼν εἰς ἄγγος κεραμοῦν, καὶ ταύτῃ ἐπιβαλὼν ὀξυκράτου ὅσον ἐξαρκεῖ, ἕψε, θεὶς ἐπ' ἀνθράκων μέχρι διαλύσεως. ὅταν δὲ διαλυθῇ, ἐπίβαλλε μέλιτος ὅσον ἐξαρκεῖ, καὶ πάλιν ἕψε, εἶτα ἐξελὼν, τρῖβε φιλοπόνως, καὶ εἰς ὀθόνιον ἐπιπλάσας ἐπιτίθει κατὰ τῶν πονούντων τόπων, καὶ ταινιδίῳ περιειλήσαντες ἐῶμεν, καὶ τοῦτο πράττομεν ἐπὶ δύο καὶ τρεῖς ἡμέρας. ἐν δὲ τῷ τρίβεσθαι, ὅταν σκληρανθῇ τὸ φάρμακον, ἐπιβάλλομεν τοῦ ὑγροῦ ὅσον ἐξαρκεῖ. τὸ δὲ ἐπιβαλλόμενον, ποσὸν ἔστω, ὥστε τὸ κατάπλασμα γενέσθαι ἁλκιμώτερον. Ἄλλο τοῦ αὐτοῦ. τῶν προγεγραμμένων συνεχὲς ἔγραψε φάρμακον οὕτω. συμφύτου λίτραν α' S''. ξύσας, καὶ εἰς λεπτὰ τεμὼν, καὶ βαλὼν εἰς θυίαν ὀστρακίνην, φιλοπόνως τρῖβε, καὶ ὅταν λειωθῇ, ἐπίβαλλε μάννης ℥ γ'. καὶ ὠῶν τριῶν προσφάτων ὠμῶν τὸ λευκὸν σὺν ταῖς λεκίθοις, καὶ πάλιν τρῖβε, καὶ ὅταν ἑνωθῇ, ἐπίβαλλε τούτοις στέατος ὑείου παλαιοῦ λίτραν μίαν, καὶ ἀνακόψας ἐπιμελῶς, ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει, παρηγορεῖ παραχρῆμα. Μετὰ τὸ γεγραμμένον, ἐφεξῆς ἕτερον ἔγραψεν οὕτως. Ἄλλο τοῦ αὐτοῦ. μάλαγμα ἰσχιαδικοῖς ἐπὶ τῶν παροξυσμῶν εὐθὺς ἐπιτιθέμενον, διδυμαῖα λεγόμενον. ποιεῖ καὶ πρὸς τὰ συντρίμματα, καὶ πρὸς πᾶσαν νευριτικὴν συμπάθειαν. ἔστι δὲ καὶ διαλυτικὸν πάσης σκληρίας. ποιεῖ καὶ πρὸς τὰς ἄλλας φλεγμονὰς, καθαίρει καὶ τὰς οὐλὰς τὰς πονηρὰς, ποιεῖ πρὸς τὰ στρέμματα καὶ λυγίσματα, ποιεῖ καὶ πρὸς τὰς τῶν μαστῶν διαθέσεις κακοήθεις. ℞. Κηροῦ, ἰξοῦ δρυΐνου, τερμινθίνης, ἴρεως ξηρᾶς, σμύρνης, χαλβάνης ἀνὰ < μη'. ἐλαίου κυπρίνου, ἢ μύρου Αἰγυπτίου ὅσον ἐξαρκεῖ, τὴν χαλβάνην βαλόντες εἰς τὸ κύπρινον, ἢ εἰς τὸ μύρον τὸ Αἰγύπτιον, καὶ θέντες ἐπὶ τὸ πῦρ διαλύομεν, καὶ τὸν κηρὸν μαλάσσομεν, καὶ τοῖς λοιποῖς μίξαντες κόπτομεν φιλοπόνως, καὶ τούτοις ἐμβαλόντες τακεῖσαν τὴν χαλβάνην μετὰ τοῦ κυπρίνου πάλιν κόπτομεν, καὶ ποιήσαντες ἀφέστατον μάλαγμα, ἀνελόμενοι χρώμεθα. ἐφεξῆς τῶν προγεγραμμένων καὶ τοῦτο ἔγραψεν ὁ Ἀσκληπιάδης. Ἄλλο τοῦ αὐτοῦ, ἐκ τοῦ Ἀρείου. ποιεῖ κωλικοῖς ἀφάτως, ἐν αὐτοῖς παροξυσμοῖς ἐπιτιθέμενον, καὶ ψώρας θεραπεύει χωρὶς ἑλκώσεως. ℞. Κηροῦ, πίσσης ὑγρᾶς ἀνὰ λίτραν α'. πίσσης ξηρᾶς λίτραν α'. θείου ἀπύρου, στυπτηρίας σχιστῆς, νίτρου ἐρυθροῦ ἀνὰ λίτρας S''. τὰ τηκτὰ τῆκε, τὰ δὲ ξηρὰ κόπτε, καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, καὶ ὅταν τὰ τηκτὰ συστρέφηται, ἐπίβαλλε τὰ ξηρὰ κατ' ὀλίγον ἐπιπάσσων, καὶ κινῶν συνεχῶς, καὶ εἰς θυίαν κατεράσας, καὶ ἀνακόψας, ἀνελόμενος χρῶ. Μετὰ τὸ προγεγραμμένον, ἕτερον ἔγραψεν ὧδέ πως.

A adipis anserini quadrantem, olei cyprini quadrantem, ac mixtis vtitor. Postea verò consequēter sic scripsit. *Aliud ad eosdem affectus.* ℞. pyrethri ʒ. xx. grani cnidii, spumæ nitri, vtriusque ʒ. xx. salis ammoniaci, aristolochiæ Creticæ tenuis corticis, radicis cucumeris syluestris, terebinthinæ, singulorum ʒ. xx. piperis rotūdi, & longi, ammoniaci, thymiamatis, bdellij, xylobalsami, thuris, myrrhæ, cardamomi, amomi, adipis caprini, resinæ siccæ, singulorum ʒ. x. ceræ ʒ. xxx. visci probè subacti ʒ. viii. succi mororum ʒ. viii. fæcis vnguēti irini quod sufficit his excipiendis, vini Italici quod satis est, maceratis his, quæ dissoluere oportet, pro more apparato. In alio exemplari neque

B xylobalsamum, neque cardamomum, neque amomum reperi. Post hæc alia medicamenta prodidit, & deinde rursus ischiadicorum meminit, sic scribens. *Aliud eiusdem Epithema, ischiadicis, & Arthriticis, auxiliatur confestim.* Fœnugræcum in vas fictile coniicito, & ad ipsum poscam sufficientem affundito, & prunis impositum, donec dissoluatur, coquito, ad dissolutum verò mellis quod satis est iniice, ac rursus coque; deinde exempta diligenter tere, & in linteolum infarta locis affectis impone, fasciaque obligatos sine. Hoc autem ad biduum,

C & triduum facimus. Cæterùm si dum teritur medicamentum induretur, liquoris quantum sufficit addimus; liquor autem tantus sit, vt tractile cataplasma reddatur. *Aliud quod continenter ad prædicta sequitur, hoc modo.* Symphyti sesquilibram rasam & minutim concisam, ac in mortarium testaceum coniectam, diligenter terito; & ad tritam mannæ quadrantem addito, atque ouorum crudorum recentium trium numero candidum vnà cum luteo, & rursus terito; & vbi vnita fuerint, his adipis suilli veteris libram vnam adiicito, & conquassata diligenter, atque in

D linteolum infarta imponito; mitigat confestim. Post præscriptum aliud deinceps scripsit hoc modo. *Aliud eiusdem malagma, ischiadicis statim in exacerbationibus imponitur. Appellatur Didymæa. Facit ad attrita, & omnem neruorum per consensum affectum; dissoluit omnem duritiem; facit etiam ad alias inflammationes; delet malignas cicatrices; facit ad luxata & collisa; facit & ad Mammillarum affectus malignos.* ℞. ceræ, visci quercini, terebinthinæ, iridis siccæ, myrrhæ, galbani, singulorum drachm. xlviii. olei cyprini, aut vnguenti Æ-

E gyptiaci quòd satis est. Galbanum in oleum cyprinum, aut vnguentum Ægyptium coniectum ad ignem dissoluimus; & ceram mollimus, ac reliquis mixtam probè tundimus; atque his galbanum liquefactum cum cyprino inijcimus, ac rursus tundimus, malagma lenissimum tactui reddendo; quo vtimur. Consequenter etiam hoc Asclepiades subdidit. *Aliud eiusdem ex Areo. Facit ad colicos supra quàm dici potest, in ipsis vexationibus impositum; & psoras curat citra exulcerationem.* ℞. Ceræ, picis liquidæ, vtriusque libram j. picis aridæ libram j. sulfuris viui, aluminis scis-

F si, nitri rubri, singulorum libram dimidiam; liquabilia liquefacito; arida verò tundito, & per angustissimum cribrum concerniro, & ad liquefacta adiicito, paulatim ea inspergendo, ac assiduè mouendo, indéque in pilam translata, ac tusa reponito, & vtitor. Deinceps rursum aliud prodidit hoc modo.

Aliud

Aliud eiusdem malagma ex silphio, ischiadicis valde commodum.

℞. Ammij drach. xij. silphij, seminis rutæ syluestris, baccarum lauri purgatarum, singulorum drach. xiv. medullæ colocynthidis drach. duas, nitri drach. quatuor, abrotoni Thebaici drach. quatuor, cardamomi drach. quatuor, ceræ Ponticæ minæ octauam partem, picis, resinæ, adipis anserini, ammoniaci thymiamatis, singulorum minæ octauam partem; liquida cum aridis committito. Consequenter & hoc ab Asclepiade scriptum est ita.

Aliud eiusdem, quo vsus est Antipater.

℞. Silphij, rutæ syluestris siccæ, baccarum lauri siccarum, spumæ nitri, medullæ colocynthidis, abrotoni Thebaici, ammij, cardamomi, singulorum drach. quatuor, rutæ satiuæ viridis, picis siccæ, resinæ terebinthinæ, ammoniaci thymiamatis, adipis vitulini, singulorum minæ octauam partem; galbani drach. sedecim, opopanacis drach. quatuor, sulfuris viui drach. quatuor, olei cyprini heminas iv. Vsus tempore oportet priùs coriandrum aridum vstum cyprino excipere, & ex eo coxendicem illinere, atque post huius vsum malagma ipsum imponere. Post hoc rursus aliud scripsit hoc modo.

Aliud eiusdem malagma, in ischiadicis humores ex alto euocat, ac transfert, liberatque à tota affectione. Facit & dissolutis, & trementibus, & affectibus inueteratis.

℞. Picis liquidæ brutiæ lib. iij. fæcis aridæ vstæ lib. ij. nitri rubri sesquilibram, resinæ pini, lib. j. ceræ lib. j. staphidis syluestris lib. j. sulfuris viui lib. j. pyrethri lib. dimidiam, cardamomi sextarium vnum; picem, ceram, resinam coquito; arida tundito, & cribrato angustissimo cribro, ac cum liquefactis committito; & vtitor. Post præscriptum, adhuc aliud medicamentum subdidit, ita habens.

Aliud eiusdem quo vsus est Philocalus.

℞. Sinapi, fœnigræci moliti, vtriusque sextarium dimidium; pyrethri, staphidis syluestris, nitri rubri, singulorum drach. quatuor, opopanacis drach. ij. galbani drach. ij. resinæ terebinthinæ lib. j. ceræ lib. j. olei cyprini lib. j. arida cum liquidis committito, & vtitor.

Ischiadicorum cura à Damocrate conscripta, ex Iberide.

Damocratis extat libellus Clinicus inscriptus, in quo versibus iambicis, quemadmodum solet, de tribus disserit medicamentis; ac primo quidem eo, quod ex herba, quã ipse Iberidẽ appellat, constat. Secundo ex semine dolores sedãte cõposito. Tertio verò purgatorio, & ab ipso Hiera appellato. De primo igitur in ischiadicorum curatione in eo libello hæc scripsit. In Iberide, inquit, medicum quendã amicum suum per hanc herbam curatũ esse; quam herbam, vt dixi, ipse Damocrates Iberidem appellat, vt qui ipse visu herbam cognorit, nomen autem eius nullum audierit, quum etiam id ipsum ignorarit is, qui eum vsum eius docuit. Verùm ex signis, quæ scribit, videtur Iberidem appellare, quę à Græcis lepidium nominatur, à regione, in qua amicus eius curatus est, appellatione ducta. Describit autẽ ipsius signa per hos Iambos.

A Ἄλλο τοῦ αὐτοῦ μάλαγμα, τὸ διὰ τοῦ σιλφίου ἰσχιαδικοῖς σφόδρα γενναῖον.

℞. Ἄμμεως < ιβʹ. σιλφίου, πηγάνου ἀγρίου σπέρματος, δαφνίδων κεκαθαρμένων, ἀνὰ < ιδʹ. κολοκυνθίδος τῆς ἐντὸς < βʹ. νίτρου δραχμὰς δʹ. ἀβροτόνου Θηβαϊκοῦ < δʹ. καρδαμώμου < δʹ. κηροῦ Ποντικοῦ μνᾶς ὄγδοον, πίσσης, ῥητίνης, στέατος χηνείου, ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ μνᾶς ὄγδοον, τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἐφεξῆς τῷ προγεγραμμένῳ, καὶ τόδε γέγραπται ὑπὸ Ἀσκληπιάδου B κατὰ λέξιν οὕτως.

Ἄλλο τοῦ αὐτοῦ ᾧ ἐχρήσατο Ἀντίπατρος.

℞. Σιλφίου, πηγάνου ἀγρίου ξηροῦ, δαφνίδων ξηρῶν, ἀφρονίτρου, κολοκυνθίδος τῆς ἐντὸς, ἀβροτόνου Θηβαϊκοῦ, ἄμμεως, καρδαμώμου, ἑκάστου < δʹ. πηγάνου ἡμέρου χλωροῦ, πίσσης ξηρᾶς, ῥητίνης τερμινθίνης, ἀμμωνιακοῦ θυμιάματος, στέατος μοσχείου, ἑκάστου μνᾶς ὄγδοον, χαλβάνου < ιςʹ. ὀποπάνακος < δʹ. θείου ἀπύρου < δʹ. ἐλαίου κυπρίνου κοτύλας δʹ. ἐν δὲ τῇ χρήσει πρότερον χρὴ κορίαννον ξηρὸν καύσαντα ἀναλαμβάνειν κυπρίνῳ, καὶ οὕτως ἐπιχρίειν τὸ ἰσχίον, καὶ C μετὰ τὴν τούτου χρῆσιν ἐπιθεῖναι τὸ μάλαγμα. μετὰ τοῦτο δὲ πάλιν ἕτερον ἔγραψεν ὧδέ πως.

Ἄλλο τοῦ αὐτοῦ, μάλαγμα ἰσχιαδικὸν, μετασυγκριτικὸν, ἀπαλλάσσει τῆς ὅλης διαθέσεως. ποιεῖ καὶ παρέτοις, καὶ τρομώδεσιν, καὶ ταῖς κεχρονισμέναις διαθέσεσιν.

℞. Πίσσης ὑγρᾶς Βρυτίας λίτρας γʹ. τρυγὸς ξηρᾶς κεκαυμένης λίτρας βʹ. νίτρου ἐρυθροῦ λίτραν αʹ S. ῥητίνης πιτυΐνης λίτραν αʹ. κηροῦ λίτραν αʹ. σταφίδος ἀγρίας λίτραν αʹ. θείου D ἀπύρου λίτραν αʹ. πυρέθρου λίτρας S. καρδαμώμου ξε αʹ. ἕψε πίσσαν, κηρὸν, ῥητίνην, τὰ δὲ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, καὶ τοῖς τηκτοῖς ἀναλαβὼν χρῶ. μετὰ τὸ προγεγραμμένον, ἕτερον φάρμακον ἔγραψεν ὧδέ πως.

Ἄλλο τοῦ αὐτοῦ, ᾧ ἐχρήσατο Φιλόκαλος.

℞. Νάπυος, τήλεως ἀληλεσμένης ἑκάστου ξε S. πυρέθρου, σταφίδος ἀγρίας, νίτρου ἐρυθροῦ, ἀνὰ < δʹ. ὀποπάνακος < βʹ. χαλβάνης < βʹ. ῥητίνης τερμινθίνης λίτραν αʹ. κηροῦ λίτραν μίαν, ἐλαίου κυπρίνου λίτραν αʹ. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν.

E Ἡ ὑπὸ Δαμοκράτους γεγραμμένη θεραπεία τῶν ἰσχιαδικῶν, διὰ τῆς Ἰβηρίδος.

Ἐπιγράφεται βιβλίον Δαμοκράτους κλινικὸς, ἐν ᾧ διὰ μέτρων ἰαμβικῶν, ὡς εἴωθε, περὶ τῶν τριῶν διαλέγεται φαρμάκων. πρώτου μὲν τοῦ διὰ τῆς βοτάνης, ἣν καὶ αὐτὸς Ἰβηρίδα καλεῖ, τοῦ δευτέρου δὲ τοῦ διὰ σπέρματος ἀνωδύνου, τρίτου δὲ τοῦ καθαρτικοῦ, καλουμένου ὑπ' αὐτοῦ ἱερᾶς. περὶ πρώτης οὖν τῆς τῶν ἰσχιαδικῶν θεραπείας, ἔγραψεν ἐν τῷ βιβλιδίῳ ταῦτα· ἐν Ἰβηρίδι, φησὶν, ἰατρόν τινα φίλον ἑαυτοῦ θεραπευθῆναι διὰ τῆς βοτάνης, ἣν ὡς ἔφην, αὐτὸς ὁ Δαμοκράτης F Ἰβηρίδα καλεῖ, μαθὼν μὲν αὐτοπτικῶς τὴν βοτάνην, ὄνομα δὲ οὐδὲν ἀκούσας αὐτῆς, ὅτι μηδ' ὁ διδάσκων ἠπίστατο. δι' ὧν δὲ γράφει γνωρισμάτων, ἔοικε τὴν ὑπὸ τῶν Ἑλλήνων ὀνομαζομένην λεπίδιον Ἰβηρίδα καλεῖν, ἀπὸ τῆς χώρας ἐν ᾗ θεραπευθεὶς ἔτυχεν ὁ φίλος αὐτοῦ. γράφει δὲ αὐτοῦ τὰ γνωρίσματα διὰ τῶν ἰάμβων.

φύεται δὲ πολλὴ πανταχοῦ, μάλιστα δὲ
Παρὰ τοῖς παλαιοῖς μνήμασι, τοίχοισί τε,
Καὶ παρὰ ταῖς ὁδοῖσι ταῖς πάλαι τετριμμέναις,
Παρ' αἷς γεωργὸς τὰ λήϊ' οὔ ποτ' ἤροσεν.
Ἀεὶ δὲ θάλλει, φύλλ' ἔχουσα καρδάμου.
Ἔαρος μὲν εὐθαλῆ τε καὶ μείζω·
Καυλὸν δὲ αὐτῆς ὄντι μῆκος πήχεως,
Μικρῷ τ' ἔλαττον, καὶ πάλιν μικρῷ πλέον,
Θέρους περίκειται λεπτὰ φύλλα, μέχρι περ ἂν
Κρύους γενομένου, φρυγανώδη τἄλλα μὲν
Τὰ φύλλα ἀποβάλλει τε καὶ μαραίνεται,
Πρὸς τῇ δὲ ῥίζῃ προσπεφύκασί τινα.
Φέρει δ' ὁ καυλὸς ἐν θέρει λεπτὸν πάνυ
Πολύχροον ἄνθος, τῇ χρόᾳ γαλάκτινον,
Εἶτ' ἐπακολουθεῖ παντελῶς τούτῳ βραχὺ
Σπέρματος, ἀκριβῶς αὐτὸ μηδ' ὁρᾶν τινα.
Ἡ ῥίζα δὲ καὶ ὀσμὴν δριμυτάτην ἔχει,
Μάλιστα πάντων καρδάμῳ προσεμφερῆ.

Διὰ τούτων μὲν ἐδήλωσε τὴν ἰδέαν τῆς βοτάνης, ἐφεξῆς δὲ τὴν χρῆσιν αὐτῆς διὰ τῶνδε.

Ταύτην ὀρύξας καὶ λαβὼν πλῆθος πολὺ,
Θέρους μάλιστα δ' ἐστὶ πρακτικωτάτη
Καὶ πρόσφατος. ξηρὰ γὰρ ἀδρανὴς τυγχάνει,
Κόψας δ' ἐπιμελῶς, ἔστι γὰρ καὶ δύσκοπος,
Ἀξουγγίῳ λίπανον ὀλίγῳ παντελῶς,
Εἶτα ἐπιθεὶς κοτύλῃ τε καὶ παντὶ σκέλει,
Δήσας τ' ἄφες ὥρας μὴ μένειν ἐλάττονας,
Γυναιξὶ μὲν δύ', ἀνδράσιν δὲ τέτταρας.
Εἶτ' εἰς βαλανεῖον ἐσάγων αὐτοὺς, μηδενὶ
Μήτε περιαλείψας, μήτε χρίσας σμήγματι.
Σμικρᾶς δὲ νοτίδος γενομένης, εἰς τὴν μακρὰν
Καθεὶς, κράτησον, ἐπιφέρει γὰρ πολλάκις
Δηγμὸν φέροντ' αἴσθησιν ἔνθερμόν τινα.
Μικρὸν δ' ἀποβρέξας ἔξαγ' αὐτοὺς ἔξωθεν,
Κἂν ὦσι πολλῶν χερσὶν εἰσκεκομισμένοι,
Ἰδίοις ἕκαστος ἐξελεύσεται ποσί.
Μίξας δ' ἐλαίῳ δαψιλεῖ βραχὺν πάνυ
Οἶνον, ἀνάκοπτε, καὶ συνάλειφ' αὐτοὺς ὅλους.
Ἄρας τ' ὀθονίοις, ἰκμάδα καὶ ἅπαν λίπος,
Σκέπασον τὸ κῶλον κουφοτάτοις ἐριδίοις.
Τἄλλα τε κέλευε πάντα πράττειν ὅσα θέλοις
Ἐν τοῖς συνήθεσιν ὄντα, καὶ τοῖς ἤθεσι.
Τὸ γὰρ βοήθημ' αὐτοτελὲς ὂν τυγχάνει,
Οὐ χρῇζον ἄλλου συμβάλλεσθ' αὐτῷ τινος,
Κἂν μὲν δίχα πόνου διαμένωσιν, ὃ γίνεται
Τὰ πολλὰ, χαίρων προσκυνεῖ τὸ ῥίζιον.
Ἂν δὲ καταλειφθῇ τοῦ πάθους ἴχνος ἔτι,
Ἅπαν ἐπαλείψεις αὐτὸ χρίσει δευτέρᾳ.
Μέσας διαλιπὼν ἡμέρας, ὡς εἴκοσι.

Τούτῳ τῷ τρόπῳ τῆς χρήσεως, καὶ κεφαλαλγίας χρονίας, καὶ ἄλλα πάντα καθ' ὅ τι ἂν ᾖ μέρος ἀλγήματα χρόνια, καὶ δυσλύτους διαθέσεις, καὶ παραλύσεις τεθεραπευκέναι φησί. καὶ ὅλως ἐφ' ὧν οἱ ἄλλοι χρῶνται τῷ καλουμένῳ σιναπισμῷ, καὶ τῷ διὰ θαψίας βοηθήματι, διὰ τῆς βοτάνης ταύτης ἐξιᾶσθαί φησι. περὶ τῆς Ἰβηρίδος ταύτης, καὶ ὁ Ἀρχιγένης λέγει, ὀνομάζων αὐτὴν λεπίδιον, ἐν τῷ β'. τῶν κατὰ γένος φαρμάκων, ἁρμόζειν δὲ αὐτὴν σπληνικοῖς, καὶ ἰσχιαδικοῖς λέγει. πρὸς ἰσχιάδας καὶ ψυγμοὺς, Ὑγιεινοῦ Ἱππάρχου· βοτάνην ἰβηρίδα, ἣν τινες καλοῦσι λεπίδιον, ἢ ἀγριοκάρδαμον, ἀνελόμενος τὴν ῥίζαν αὐτῆς, κόψον, καὶ στέατι χοιρείῳ συμμαλάξας εἰς τρόπον ἐμπλάσματος, ἐπιτίθει κατὰ τοῦ ἀλγοῦντος τόπου ἐπὶ ὥρας τρεῖς, εἶτα πέμπε εἰς βαλανεῖον. τὸ αὐτὸ ἀπαλλάττει καὶ παλαιὰς κεφαλαλγίας ἐν ὁμοίᾳ χρήσει, ἣν Δαμοκράτης ὁ ἰατρὸς διὰ στίχων ἔγραψεν.

A *Herba hæc vbique multaque frequens nascitur*
Monumenta iuxta antiqua, muros & veteres,
Tritasque quondam publicè pedibus vias,
Quas iuxta aratrum duxit haud quis agricola.
Semper virescens, foliis nasturtij
Florentibus, vere attamen maioribus.
Caulem cubitalis longitudinis gerit,
Paulo minorem, aut rursus ampliorem. Ab hoc
Æstate pendent folia, donec multa hyems
Sarmentitiam deducat hæc ad imaginem, &
Deiecta & exiccata depereant gelu;
Adnata radici tamen cernes alia.
B *Æstate florem fert colore lacteo*
Multùm tenuem, variumque valde cauliculus.
Ad quem sequitur semen penitus sic exiguum,
Visum ferè vt fallens, oculos quoque effugiat.
Odorem habet radix at inde acerrimum,
Vero similem quàm maximè nasturtio.

Per hos quidē versus figuram herbæ indicauit. Consequenter autem vsum ipsius per huiusmodi.

Hanc erutam larga satis cape copia,
Æstate; nam tunc optima, & fortißima est
Adhuc recens, siccata fit sed debilior.
Tusam hinc probè (nam difficulter tunditur)
C *Pauca subactamque excipies axungia;*
Crurique toti & maximè coxendici
Adhibebis, & ligabis, & sines duas
Horas mulieribus, viris sed quatuor.
Hinc balneo inductos, nec vllo ex vnguine,
Nec smegmate vllo pinguiore collines,
Sudore sed modico exiliente in solium
Merges, manere coge, siquidem sæpius
Morsum caloris quempiam, ac sensum afferat.
Verùm hinc rigatos leniter producito.
Illati enim quamuis manibus sint plurium,
Exibit attamen suis pedibus valens.
D *Ad multum oleum miscebis hinc vinum modicum*
Et concuties, & illines totos eo.
Ac mox madore terso & pinguitudine
Totum teges crus mollibus tu velleribus,
Iubens obire assueta vitæ munia.
Quacunque vult, & non grauatim suscipit.
Hoc auxilium certum, atque constans integrè est,
Et nullo alio adiiciendo ei simul indigum.
Expers doloris, & vbi manseris, ferè
Quod accidit, radiculam lætus cole.
Quòd si tamen inde affectionis vestigium
Quoddam supersit, post repetes hoc præsidium,
Diebus vt multum decem bis præteritis.

E Hoc sanè vtendi modo & inueteratos capitis dolores, & alias omnes quacunque corporis parte inueteratas, & ægrè solubiles affectiones, ac resolutiones, se curasse ait. Et omnino vitia, in quibus alij sinapismo appellato, & auxilio ex thapsia conflato, vtuntur, se per hanc herbam persanasse dicit. Porrò de hac Iberide etiam Archigenes scribit in secundo medicamentorū secundū genus, lepidium ipsam appellans. Dicit autem splenicis & ischiadicis ipsam conuenire. *Ad Ischiadas, & perfrigerationes Hygiani Hipparchi.* Herbam Iberidem, quam
F aliqui lepidium vocant, aut nasturtium syluestre, colligito; & radicem eius tusam, ac adipe porcino commollitam, emplastri vice imponito ad dolentem locum ad horas tres, indeque in balneum mittito. Idem præsidium & veteres capitis dolores depellit, in consimili vsu adhibitum, quem Damocrates medicus per versus prodidit.

CAP.

A

CAPVT III.

De Podagricis, & Arthriticis affectionibus.

DIctum antea est in sermone de Ischiade, ex fluxionibus generari eiusmodi affectiones irruentibus in locis articulationum; quare etiam curatio ipsarum iuxta eundem fit modum, nimirũ vt irruentes fluxiones euacuentur. Influentibus igitur adhuc ipsis, scopum afferendorum auxiliorum cõmuni rationi influentium humorum subiicere oportet, ita vt repellamus, ac restringamus. B Vbi verò amplius non influant, vt discutiamus iam illapsos. Cæterùm materia medicamentorum, per quæ hæc fiunt, multiformis est, quemadmodum etiam in aliis affectionibus, excogitantibus videlicet à principio prudentioribus viris iuxta quandam artificialem coniecturam modò hoc, modò aliud eorum, quæ optima per experientiam sunt iudicata. Quapropter & ego velut in aliis affectionibus, sic etiam in his optima ex eis, quæ priores medici experientia cognouerunt, adscribam.

Medicamenta ab Asclepiade ad prædictas affectiones in quarto Externorum prodita, quæ Marcellæ inscribit.

C

Epithema Podagricis, Arthriticis, sedans dolorem. Vsus est in ipsis accessionibus. ℞. succi papaueris drachmas quatuor, croci drachmam vnam, cum lacte bubulo, aut caprino terito; & adiecta medulla panis diligenter læuigato vt molle cataplasma fiat, & rosaceo admoto mollito; ac vtitor leni cataplasmate, forinsecus betæ, aut lactucæ foliis, custodiendi eius gratia, impositis. Quandoque opium & crocum cum lacte trita cerato rosaceo excipimus, & linteolo infarta imponimus. *Aliud.* ℞. styracis drachmas duas, opij D drachmam vnam, confice, ac vtere vt dictum est. *Aliud, confestim à dolore liberat, verùm ante medicamenti impositionem ægrum lauare oportet, & tunc detersis locis imponere.* ℞. succi absinthij Pontici, croci, opij, singulorum drachmam vnam, ceræ Ponticæ drachmas quatuor, vnguenti irini drachmas sex, passi Cretici quantum sufficit; opium, absinthium, crocum læuigato, & læuigata liquidis excipe, & linteolo infarta impone. *Aliud.* ℞. seminis cicutæ dempto cortice expoliti drachmas sex, croci drachmam vnam, opij drachmam vnam, passi Cretici, quod satis est; E trita excipe rosaceo cerato.

Epithema podagricorum, arthriticorum, facit ad Maximos affectus. Vsus est eo Erasistratus Sicyonius.

℞. Radicis capparis tusæ, & cribratæ chœnicẽ vnum; seminis hyoscyami, chœnicem dimidium; radicis chamæleonis nigri chœnicis quartam partem, seminis cicutę chœnicis quartam partem, radicis mãdragoræ chœnicem j. radicis solani, aut vt alij dorychnij, chœnicis quartam partem; omnia tusa, & cribrata mixta in vasculum figulinum reponito, & probè obturata seruato. Vsus verò tẽpore F chœnicis quartam partẽ inde accipito, & passo tritam in vas fictile non picatum coniicito; & addita fæcis vini aridæ quarta heminæ parte, ad prunas posita diligenter mouendo coquito, donec bis, aut ter efferueant, deinde ab igne ablata, quã calidissima imponito, aut quomodo perferre ægri possunt. Verùm ante huius cataplasmatis vsum, pedes

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν ποδαγρικῶν, καὶ ἀρθριτικῶν παθῶν.

ΕΙρηται πρόσθεν ἐν τῷ περὶ τῆς ἰσχιάδος λόγῳ, ῥευμάτων ἔκγονα τὰ τοιαῦτα ὑπάρχειν πάθη, κατασκηπτόντων εἰς τὰς χώρας τῶν διαρθρώσεων, ὥστε καὶ τὴν θεραπείαν αὐτῶν, ἑνὸς ἔχεσθαι τρόπου, τοῦ κενῶσαι τὸ κατασκῆψαν. ἔτι μὲν οὖν ἐπιῤῥέοντος αὐτοῦ, τῷ κοινῷ τῶν ἐπιῤῥεόντων χυμῶν λόγῳ, τὸν σκοπὸν τῶν βοηθημάτων ὑποβάλλειν χρὴ ἀποκρουομένους, καὶ ἀνασέλλοντας. ἐπειδὰν δὲ μηκέτι ἐπιῤῥέῃ, διαφοροῦντας τὸ κατασκῆψαν. ἡ δὲ ὕλη τῶν φαρμάκων, δι' ὧν ταῦτα γίνεται, πολυειδής ἐστιν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων παθῶν, νοησάντων μὲν ἐξ ἀρχῆς τῶν συνετωτέρων κατά τινα τεχνικὸν στοχασμὸν, ἄλλοτ' ἄλλου τῇ πείρᾳ, καὶ τῶν ἀρίστων κεκριμένων. διὸ κἀγὼ, καθάπερ ἐπὶ τῶν ἄλλων παθῶν, οὕτω κἀπὶ τούτων τῶν πεπειραμένων τοῖς πρὸ ἐμοῦ, γράψω τὰ κάλλιστα.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα, πρὸς τὰ εἰρημένα πάθη, ἐν τῷ τετάρτῳ τῶν ἐκτὸς ἃ Μαρκέλλας ἐπιγράφει.

Ἐπίθεμα ποδαγρικοῖς, ἀρθριτικοῖς ἀνώδυνον, ᾧ χρῆσις ἐν αὐτοῖς τοῖς παροξυσμοῖς. ℞. ὀποῦ μήκωνος < δ'. κρόκου < α'. λεάνας μετὰ γάλακτος βοείου, ἢ αἰγείου, καὶ ἄρτου τὸ ἐντὸς ἐπιβαλὼν τρῖβε φιλοπόνως, ὥστε ἁπαλὸν εἶναι κατάπλασμα, καὶ μαλάξας ῥοδίνῳ ἐλαίῳ, καὶ χρῶ καταπλάσματι πρᾳοτάτῳ, ἔξωθεν ἐπιβαλὼν φυλακῆς χάριν φύλλα σεύτλου, ἢ θρίδακος. ἔστι δ' ὅτε τὸ ὄπιον, καὶ τὸν κρόκον μετὰ γάλακτος λεάναντες, ἀναλαμβανόμενοι κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου, ἔπειτα ἐμπλάσαντες εἰς ὀθόνιον ἐπιτιθέμεθα. Ἄλλο. ℞. στύρακος < β'. ὀπίου < α'. σκεύαζε, καὶ χρῶ καθὰ προείρηται. Ἄλλο. παραχρῆμα τὸν πόνον ἀπαλλάττει. δεῖ δὲ πρὸ τῆς ἐπιθέσεως τοῦ φαρμάκου τὸν πάσχοντα λούειν, καὶ τότε περισμήξαντα τοὺς τόπους ἐπιτιθέναι. ℞. ἀψινθίου Ποντικοῦ χυλοῦ, κρόκου, ὀπίου ἀνὰ < α'. κηροῦ Ποντικοῦ < δ'. ἰρίνου μύρου < ς'. γλυκέος Κρητικοῦ ὅσον ἐξαρκεῖ, διάλυε ὄπιον, ἀψίνθιον, κρόκον, καὶ ὅταν διαλυθῇ, ἀναλάμβανε τοῖς τηκτοῖς, καὶ εἰς ὀθόνιον ἑλκύσας ἐπιτίθει. Ἄλλο. ℞. κωνείου σπέρματος ἐκλεπισμένου < ς'. κρόκου < α'. ὀπίου < α'. γλυκέος Κρητικοῦ ὅσον ἐξαρκεῖ, καὶ λεάνας ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου.

Ἐπίθεμα ποδαγρικῶν, ἀρθριτικῶν, ποιεῖ πρὸς τὰς μεγίστας διαθέσεις, ᾧ ἐχρήσατο Ἐρασίστρατος ὁ Σικυώνιος.

Καππάρεως ῥίζης κεκομμένης καὶ σεσησμένης χοῖνιξ εἷς, ὑοσκυάμου σπέρματος χοίνικος S''. χαμαιλέοντος μέλανος ῥίζης χοίνικος τέταρτον, κωνείου σπέρματος χοίνικος δ'. μανδραγόρου ῥίζης χοῖνιξ α'. στρύχνου, οἱ δὲ δορυκνίου ῥίζης χοίνικος τέταρτον. ἅπαντα μίξας κεκομμένα καὶ σεσησμένα ἀπόθου εἰς ἄγγος κεραμεοῦν, καὶ φιμώσας ἐπιμελῶς φύλαττε. ἐν δὲ τῇ χρήσει λαβὼν χοίνικος τέταρτον, καὶ γλυκεῖ λεάνας, καὶ βαλὼν εἰς ἄγγος κεραμεοῦν ἀκονίατον, ἐπίβαλλε τρυγὸς ξηρᾶς κοτύλης τέταρτον, καὶ θεὶς ἐπ' ἄνθρακας, ἕψε, κινῶν ἐπιμελῶς, ἕως δὶς, ἢ τρὶς ἀναζέσῃ, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς, καταπλάττε θερμότατον, ἢ ὡς δύναται φέρειν. δεῖ δὲ πρὸ τοῦ καταπλάσματος, τοὺς πόδας καταιονῆσαι

πολλῷ ὕδατι ψυχρῷ, καὶ περισπογγίσαντας χρῆσθαι τῷ φαρμάκῳ. ἔπειτα δὲ ὁ κατάπλασμα, δι' ὀθονίων λεπτοτάτων εἰς ὄξος ἐμβάπτοντας ἐπιτιθέναι, καὶ ταινιδίῳ ἐπικαταλαβόντας, ἐᾶν ἐπικείμενον τὸ φάρμακον ἐπὶ ὥρας δύο, καὶ μετὰ ταῦτα αἴροντας τὸ ἐπικείμενον, τὰς ἐπηρμένας φλυκτίδας, βελόναις δεῖ κεντεῖν. ἀπὸ τούτων γὰρ ὑγρὸν ἀπορρεῖ μυξῶδες, καὶ πολύ, καὶ κολλῶδες. μετὰ δὲ τὴν τῶν τοιούτων ὑγρῶν ἔκκρισιν, χρὴ πολλῷ ὕδατι ψυχρῷ τοὺς πόδας καταντλεῖν, καὶ πάλιν χρῆσθαι τῇ ἐπιθέσει τοῦ φαρμάκου, καθὰ προείρηται ἀντὶ τοῦ ὄξους χρωμένους ὕδατι ποτίμῳ, καὶ τὸ ἐπιτιθέμενον ὀθόνιον ὕδατι ψυχρῷ βρέξαντας.

A multa aqua frigida perfundere oportet, & spongiis detergere, atque ita medicamentum imponere. Supra verò cataplasma linteola tenuissima aceto imbuta imponantur, & fascia circundata ad horas duas medicamentum incumbere sinatur. Postea verò eo ablato excitatas bullas acubus perforare oportet, ab iis enim humor mucosus multus, ac glutinosus profluet; post cuius excretionem multa aqua frigida pedes proluantur, & rursus medicamentum, vt dictum est, imponatur, ita tamen, vt pro aceto aqua potabili vtamur, & ex ea rigatum linteolum medicamento superindemus. B

Ἄλλο τοῦ αὐτοῦ. τούτῳ ἀντὶ σικύων, καὶ βδελλῶν χρώμεθα, ὥστε ἐκμυζῆσαι ἰχῶρας αἱματώδεις, ποιεῖ καὶ πρὸς πώρους, καὶ πρὸς σκίρρους, ὥστε διαλῦσαι.

Aliud eiusdem. Hoc pro cucurbitis, & hirudinibus vtimur; nam serosos sanguinis humores exugit; facit & ad tophos, ac duritias, vt inde dissoluantur.

℞. Τήλεως ἀληλεσμένης ξε α'. λίθου Ἀσίου τοῦ ἄνθους ξε α'. ἀλεύρου ἐρεγμίνου τοῦ μέλανος συναληλεσμένου, ἀλεύρου θερμίνου ἀνὰ ξέστην ἕνα. πάντα μίξας, καὶ ὕδατι θερμῷ φυράσας, ἐπιτίθει θερμῷ, καὶ ταινιδίῳ καταλάμβανε. δεῖ δὲ πρότερον καταντλῆσαι τοὺς πάσχοντας τόπους, ἢ καὶ τούτους λούοντας ἐμβιβάζειν. ἤδη δὲ τῶν ἐπικειμένων ἐπιδέσμων ἡμαγμένων καὶ διαβρόχων γινομένων, αἴρομεν τὸ φάρμακον, καὶ τοὺς τόπους ἀποπυριάσαντες χρώμεθα τῷ διὰ πικρῶν ἀμυγδάλων, καὶ μαλάγματι ἔχοντι κρόκον, καὶ ἶριν, καὶ ἀριστολοχίαν. τοῦτο δὴ ἀναγέγραπται, ἐν τοῖς ἀναγεγραμμένοις πρὸς ποδάγραν μαλάγμασιν.

℞. Farinæ fœnigræci sextarium vnum, floris lapidis Asij sextarium vnum, lomenti, fabæ nigræ molitæ, farinæ lupinorum, vtriusque sextarium vnum, omnia mixta, & aqua calida subacta; calida imponito, & fascia constringito. Oportet autem prius affectos locos perfundere, aut etiam in solio lauare. Quum verò fasciæ circundatæ C madidæ, ac cruentæ factæ fuerint, medicamentum tollimus; & fotis locis, pastillo ex amygdalis amaris vtimur, & malagmate, quod crocum, iridem, & aristolochiam habet; hoc ipsum verò inter malagmata ad podagram descripta habetur.

Τροχίσκος ποδαγρικοῖς, ἀρθριτικοῖς. ἡ χρῆσις ἐν αὐτοῖς τοῖς παροξυσμοῖς.

Pastillus podagricis, arthriticis. Vsus eius est in ipsis accessionibus.

℞. Ἀλόης λίτραν α'. κενταυρείου χυλοῦ Γο ϛ'. λιβάνου ἀτόμου Γο δ'. σμύρνης Γο δ'. λίθου Ἀσίου τοῦ ἄνθους Γο β'. ὀπίου Γο β'. μανδραγόρου χυλοῦ Γο β'. στυπτηρίας σχιστῆς Γο β'. ἀναλάμβανε γλυκεῖ, καὶ ποίει τροχίσκους. ἐν δὲ τῇ χρήσει, ἐν γάλακτι διαλύων ἐπίχριε πτερῷ, καὶ κατὰ τοῦ χρίσματος ἐπίβαλλε ὀθόνιον γλυκεῖ δεδευμένον. Ἄλλος, ὁ Ζεὺς ἐπικαλούμενος. ℞. ἀλόης < ιβ'. ὀπίου < η'. μηκωνείου χυλοῦ < ϛ'. ὑοσκυάμου χυλοῦ < ϛ'. ἀκονίτου < δ'. ὑποκυστίδος < ϛ'. γλαυκίου < η'. κρόκου < ιβ'. κόμμεως < κδ'. μήλων μανδραγόρου < κ'. ὄξους κοτύλας δύο. ἕψε μῆλα μετ' ὄξους, καὶ ὅταν ἐκθλίψῃς, ἐπίβαλλε τοῖς προειρημένοις, καὶ διαλύσας, καὶ λεάνας ἐπιμελῶς, ἀνάπλαττε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ, ἡ χρῆσις δεδήλωται.

℞. Aloës libram vnam, succi centaurij sexuncem, thuris non secti trientem, myrrhæ trien- D tem, floris lapidis Asij sextantem, opij sextantem, succi mandragoræ sextantem, aluminis scissi sextantem; excipe passo, & fac pastillos. Vsu expetente, lacte dissolutos cum pennis illine, & supra illitionem linteolum passo imbutum impone. *Alius Pastillus, Iuppiter appellatus.* ℞. aloës drach. xij. opij drachmas octo, succi papaueris drach. sex, succi hyoscyami drachmas sex, aconiti drachmas quatuor, hypocystidis drach. vj. glaucij ʒ. viij. croci ʒ. xij. gummi ʒ. xxiv. malorum mandragoræ ʒ. xx. aceti heminas duas; mala cum aceto coquito, & expressa prædictis admisceto; & E ex dilutis, ac probè læuigatis pastillos formato, eosque in vmbra siccato. Vsus ostensus est.

Μάλαγμα ἀρθριτικοῖς, ποδαγρικοῖς, τὸ διὰ κωνείου, καὶ ἀγαρικοῦ, φάρμακον ἐπιτετευγμένον.

Malagma arthriticis, podagricis, ex cicuta, & agarico; accommodatum.

℞. Κωνείου σπέρματος ξέστην α'. ἀγαρικοῦ ξέστην α'. τήλεως ξέστην α'. νίτρου Γο α'. κηροῦ λίτραν μίαν, ῥητίνης φρυκτῆς λίτραν α'. ἐλαίου παλαιοῦ λίτραν α'. μυελοῦ ἐλαφείου Γο δ'. Ἰλλυρικῆς Γο τέσσαρας. τὰ ξηρὰ κόπτε, καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, τὰ δὲ τηκτὰ τῆκε, εἶτα ἐάσας ψυχθῆναι, καὶ ἀναξύσας ἐπίβαλλε τοῖς ξηροῖς, καὶ ἀνακόψας ἀνελόμενος χρῶ. Τοῦ αὐτοῦ ἄλλο. ℞. κηροῦ λίτραν α'. ἐλαίου παλαιοῦ, ἢ Σαβίνου ξέστην α'. τήλεως ξέστην α'. κωνείου ξε S. ῥητίνης φρυκτῆς λίτραν α'. νίτρου ἐρυθροῦ Γο. ἐννέα, λίθου Ἀσίου ἄνθους Γο ϛ'. μυελοῦ ἐλαφείου Γο β'. Ἰλλυρικῆς Γο δ'. σκεύαζε καθὰ προείρηται.

℞. Seminis cicutæ sextarium j. agarici sextarium j. fœnigræci sextarium j. nitri ℥. j. ceræ lib. j. resinæ frictæ libram vnam, olei veteris libram j. medullæ ceruinæ trientem, Illyricæ trientem; arida tusa per angustissimum cribrum concernito; liquabilia verò eliquato, & frigefieri finito, & sic erasa aridis committito; & contusis, ac repositis vtitor. *Aliud eiusdem.* ℞. ceræ lib. j. olei veteris, F aut Sabini sextarium j. fœnigræci sextarium j. cicutæ sextarium dimidium, resinæ frictæ lib. j. nitri rubri dodrantem, floris lapidis Asij semissem, medullæ ceruinæ trientem, Illyricæ trientem; præpara vt dictum est.

Aliud

A

Aliud Malagma eiusdem ex tædis, Titi Cæsaris. Facit Podagricis, & Arthriticis. Emollit omnem duritiem.

♃. Visci quercini lib. j. ß. thuris lib. j. ceræ lib. j. tædarum pinguium lib. j. resinæ pinus lib j. liquabilia coquito, ac pinguibus tædis moueto; postquam verò omnis pinguedo ab ipsis effluxerit, ab igne ablatum liquorem excolato, atque huic thus tenuissimè tritum inspergito, assidueque moueto, donec ad consistentiam manus non inquinantem redigatur; & in mortarium translata reponito, ac vtitor. *Aliud.* ♃. tædarum pinguissimarum lib. j. thuris masculi lib. j. resinæ pinus lib. j. visci quercini lib. ß. præpara, vt prædictum est.

B

Malagma ex Lapide Asio, podagricis, arthriticis valdè commodum. Liberat à toto affectu. Vsus est in intermissione.

♃. Visci quercini, terebinthinæ, vtriusque lib. j. spumæ nitri, floris lapidis Asij, thuris, singulorum libram dimidiam; olei cyprini lib. j. adipis quantum satis est; arida tunduntur, & cribrantur, ac cum aqua teruntur ad cerati liquidi spissitudinem; liquabilia verò eliquantur, & tritis adiiciuntur; quibus simul conquassatis, ac repositis vtimur. *Aliud.* ♃. visci lib. j. terebinthinæ lib. j. lapidis Asij, nitri, vtriusque trientem; mannæ quadrantem, cyprini sextantem, aquæ lixiuij figulini, quod satis est.

C

Aliud ad arthriticos valdè præclarum; auxiliatur confestim, humores in alto absorbens.

♃. Visci lib. j. terebinthinæ lib. j. adipis taurini, floris lapidis Asij, vtriusque quadrantem, calcis viuæ quadrantem, mannæ quadrantem, cyprini lib. j. præpara, vt dictum est. *Aliud Diodori.* ♃. calcis viuæ ʒ. j. thuris, terebinthinæ, ammoniaci thymiamatis, ana. ʒ. iv. adipis taurini ʒ. viij. spumæ nitri ʒ. iv. floris lapidis Asij ʒ. ij. in alio exemplari ʒ. iv. olei cyath. ij. arida cum liquidis committito. Hoc medicamentum valdè commodum est. Absorbet etiam collectiones circa articulos consistentes, & à doloribus liberat.

Τοῦ αὐτοῦ, ἄλλο μάλαγμα τὸ διὰ τῶν δᾳδίων. Τίτου Καίσαρος, ποδαγρικοῖς, ἀρθριτικοῖς, καὶ πᾶσαν σκληρίαν μαλάττει.

♃. Ἰξοῦ δρυΐνου λίτραν α΄ S. λιβάνου λίτραν α΄. κηροῦ λίτραν α΄. δᾳδίων λιπαρῶν λίτραν α΄. πιτυΐνης λίτραν α΄. ἕψε τὰ τηκτὰ κινῶν δᾳδίοις λιπαροῖς· καὶ ὅταν ἀπορρεύσῃ πᾶν τούτων τὸ λίπασμα, καθελὼν ἀπὸ τοῦ πυρὸς, ὕλιζε τὸ ὑγρὸν, καὶ τούτῳ βάλλε τὸν λίβανον λεπτότατον, κινῶν συνεχῶς ἕως ἀμολύντου, καὶ εἰς θυΐαν ἐξαιρεθείσας ἀνελόμενος χρῶ. Αλλο. ♃. δᾳδίων λιπαρωτάτων λίτραν α΄. λιβάνου ἄρρενος λίτραν α΄. ῥητίνης πιτυΐνης λίτραν α΄. ἰξοῦ δρυΐνου λίτρας S. σκεύαζε καθὰ προείρηται.

Μάλαγμα τὸ διὰ τοῦ ἀσίου, ποδαγρικοῖς, ἀρθριτικοῖς σφόδρα γενναῖον, ἀπαλλάττει τῆς ὅλης διαθέσεως, ἡ χρῆσις ἐν διαλείμματι.

♃. Ἰξοῦ δρυΐνου, τερμινθίνης ἀνὰ λίτραν α΄. ἀφρονίτρου, λίθου ἀσίου τοῦ ἄνθους, λιβάνου ἀνὰ λίτρας S. ἐλαίου κυπρίνου λίτραν α΄. στέατος ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ κόπτεται, καὶ σήθεται, καὶ μετὰ τοῦ ὕδατος τρίβεται, ὥστε κηρωτῆς ὑγρᾶς ἔχειν τὸ πάχος. τὰ δὲ τηκτὰ τήκεται, καὶ τοῖς λεανθεῖσιν ἐπιβάλλεται, καὶ ἀνακόψαντες ἀνελόμενοι χρώμεθα. Αλλο. ♃. ἰξοῦ λίτραν μίαν, τερμινθίνης λίτραν μίαν, λίθου ἀσίου, νίτρου ἀνὰ ℔ δ΄. μάννης ℔ γ΄. κυπρίνου ℔ β΄. ὕδατος πηλοποιητικοῦ τὸ αὔταρκες.

Αλλο τὸ ἀρθριτικὸν σφόδρα γενναῖον, παραχρῆμα ὠφελεῖ ἀναπίνων, καὶ τὰς ἐν βάθει ὑγρασίας.

♃. Ἰξοῦ λίτραν α΄. τερμινθίνης λίτραν α΄. στέατος ταυρείου, λίθου ἀσίου τοῦ ἄνθους, ἀνὰ ℔ γ΄. ἀσβέστου ℔ γ΄. μάννης ℔ γ΄. κυπρίνου λίτραν α΄. σκεύαζε καθὰ προείρηται. Αλλο Διοδώρου. ♃. ἀσβέστου < α΄. λιβάνου, τερμινθίνης, ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ < δ΄. στέατος ταυρείου < η΄. ἀφρονίτρου < δ΄. λίθου ἀσίου τοῦ ἄνθους < β΄. ἐν ἄλλῳ < δ΄. ἐλαίου κυάθους β΄. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. τὸ φάρμακον σφόδρα καλόν ἐστιν, ἀναπίνει καὶ τὰς περὶ πάντα τὰ ἄρθρα συνισταμένας συλλογὰς, καὶ ἀπαλλάττει τῶν πόνων.





ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ, ΒΙΒΛΙΑ Ζ'.

ΠΡΩΤΟΝ.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA, LIBRI SEPTEM.

PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Α'. ΒΙΒΛΙΩι.

Διέρχεται ὑπὲρ τοῦ τρόπου τε, καὶ χρείας τῆς συνθέσεως τῶν φαρμάκων· καὶ ἐξηγεῖται ἔμπλαστρά τινα, μάλιστα δὲ τὰ λευκά, τὰ πρὸς ἄλλοτε ἄλλο καὶ τὴν ἐπούλωσιν ἁρμόττοντα.

ARGVMENTVM LIBRI PRIMI.

Agit de ratione, & vsu componendorum medicamentorum; ac recenset Emplastra quædam maximè verò candida, quæ cùm ad alia tum ad cicatricem inducendam accommodata sunt.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τίνα ἂν περιέχῃ τὰ δύο Γαληνοῦ βιβλία περὶ συνθέσεως φαρμάκων τῶν κατὰ γένη, ἅπερ ἐν Ῥώμῃ μετ' ἄλλων ἐκαύθη.



ΗΔΗ μοι καὶ πρόσθεν ἐγέγραπτο πραγματεία, δυοῖν μὲν ἐξ αὐτῆς τῶν πρώτων βιβλίων ἐκδοθέντων, ἐγκαταλειφθέντων δὲ ἐν τῇ κατὰ τὴν ἱερὰν ὁδὸν ἀποθήκῃ, μετὰ τῶν ἄλλων ἡνίκα τὸ τῆς Εἰρήνης τέμενος ὅλον ἐκαύθη, καὶ κατὰ τὸ παλάτιον αἱ μεγάλαι βιβλιοθῆκαι. τηνικαῦτα γὰρ ἑτέρων τε πολλῶν ἀπώλοντο βιβλία, καὶ τῶν ἐμῶν, ὅσα κατὰ τὴν ἀποθήκην ἐκείνην ἔκειτο, μηδενὸς τῶν ἐν Ῥώμῃ φίλων ἔχειν ὁμολογοῦντος ἀντίγραφα τῶν πρώτων δυοῖν. ἐγκειμένων οὖν τῶν ἑταίρων αὖθις με γράψαι τὴν αὐτὴν πραγματείαν, ἀναγκαῖον ἔδοξέ μοι δηλῶσαι περὶ τῶν προεκδοθέντων, ὅπως μή τις προεντυχὼν αὖθις ποτε, ζητοίη τὴν αἰτίαν, τοῦ δὶς με περὶ τῶν αὐτῶν πραγματεύσασθαι. Κατ' ἐκεῖνα μὲν οὖν ἐποιησάμην τὸν λόγον, ἀπὸ τῆς ἀρχῆς τοῦ πρώτου βιβλίου, πρὸς τοὺς σοφιστικῶς ἀναιροῦντας, ὡς οἷόν A

CAPVT PRIMVM.

Quid in duobus Galeni libris de compositione medicamentorum per genera, qui Romæ vnà cum aliis incendio conflagrarunt, contineretur.



IAM à me & priùs scriptum est opus, cuius priores duo libri in publicum sanè prodierant; sed cum aliis in apotheca, quæ ad viam sacram est, relicti intercidere, quando Pacis delubrum totum, & ingentes Palatij bibliothecæ incendio conflagrarunt. Tunc enim, & aliorum multorum, & mei libri, qui in apotheca illa erant sepositi, interierunt, idque quum amicorum nullus, qui Romæ degebant, priorum duorum exemplaria habere se fateretur. Efflagitantibus itaque familiaribus, vt idem opus denuo scriberem, operæpretium mihi visum est prius editorum mentionem facere, ne, si quis antea in illos inciderit, causam quæritet, cur bis de eisdem rebus tractauerim. In illis igitur à primi libri exordio disputationem in eos direximus, qui sophistarum modo, compositorum medicamentorum pollicita,

sed

ſeu profeſſionem, quantum licuit, abrogare, nonnullaque ſimplicium calumniis deprimere conabantur; dicteriis eos pariter inceſſentes, qui ſcriptum de illis reliquerunt, alia iecur, alia lienem, alia renes, vel veſicam, vel caput, vel pulmones iuuare. Vtrum enim (aiunt) præſes quidam eis imperat? quemadmodum in Tragœdia,

Abi quidem tu flumina ipſa ad Inachi,
Thebas, at age tu, pergito Cadmeias.

Sic hîc tu quidem ad hepatis portas, tu verò ad veſicam, vel renes duos, proficiſcere. An quod in ventriculum ingeſtum eſt, in iecur quidem diſtribuitur, inde verò per vniuerſas corporis partes defertur? At hoc ſcomma eos, qui hæc cauillantur, tam eſſe medicamentorum facultatis imperitos arguit, vt à marino lepore pulmonem exulcerari ſolùm ex omnibus corporis partibus ignorent, veſicam ſolam à cantharidibus; ab aliis renum lapides conteri; ab aliis rurſus ex pulmone, atque thorace faciles fieri exereationes; quemadmodum ab aliis alia in vna quadam parte peculiariter perfici. Atqui variè hunc ſermonem in primo commentariorum iam antea nobis (vt dixi) conſcriptorum libro, ſicut rurſus in ſecundo alterum, ſumus exequuti, quòd alij quidam putarent in compoſitione ſimplicium medicamentorum contrarias inter ſe facultates omnino corrumpi. Etenim ſi aquam (inquiunt) feruentiſſimam cum frigidiſſima temperaueris, neutra illarum, qualis priùs extitit, permanet, ſed tertia quædam ab vtraque diuerſa generabitur. At hîc quoque vanam ipſorum nugacitatem oſtendimus, qui ignorent ex iis, quæ corpori admouentur, nonnulla pro innatis facultatibus, alia pro acquiſitis qualitatibus, functionem obire. Quis enim cicutam, aut papauer refrigerandi vim habere dubitat? quin tu ſi recalefacta ea vehementer, animalis corpori offeras, non ſecus, ac cauterium, vlcus concitabunt. Quemadmodum rurſus, vbi ſinapi in frigido aëre cum aqua tritum, frigidiſſima hyemis tempeſtate, repente corpori raro, acimbecilli applices, horrebit nihilominus, quàm ſi nix, aut glacies ipſum contigiſſet. Sed ſi longiori tempore corpori animalis admotum fuerit, principio ſanè exigui caloris ſenſum præbebit, dein maioris, poſtea tam copioſi, vt igne vri videatur. E contrario verò & cicuta, & papauer, calida adhibita, ſi corpori diuturno tempore admoueris, tantam parient refrigerationem, vt ſtuporem corporibus quamlibet acuto ſenſu antea præditis inferant. Quum igitur id genus omnia in commentariis, qui vndecim numero ſunt, de ſimplicium medicamentorum facultate definiuerimus, iam ad ipſam diſciplinam vtilem deſcendemus, in qua quiuis exercitatus, etiam ſi facultatum multorum medicamentorum ſcriptiones minus attulerit, non indigebit idoneis ad quemque affectum, modò ſimplicium medicamentorum, vti diximus, materiæ non ſit imperitus. Cæterùm hic liber obiter oſtendit, & Empiricorum medicorum contentionem, qui ad inſomnia, fortunam, & caſum, medicamenta compoſita propè vniuerſa referunt, pauciſſimis quibuſdam exceptis, quæ communi omnium hominum ratione, quam epilogiſmum ipſi vocant, inueniſſe ſe dicunt. Quemadmodum vbi eiuſdem facultatis medicamenta inuicem miſcuerimus, quæ alia in

A τὴν ἐπαγγελίαν τῶν συνθέτων φαρμάκων, ἐνίοις δὲ καὶ τῶν ἁπλῶν ἐπηρεάζοντας, ἅμα τῷ σκώπτειν τοὺς γεγραφότας ὑπὲρ αὐτῶν, ὡς τὰ μὲν ἧπαρ ὠφελεῖ, τὰ δὲ σπλῆνα, τὰ δὲ νεφρούς, ἢ κύστιν, ἢ κεφαλὴν, ἢ πνεύμονα. πότερα γὰρ, φασὶν, ἐφεστηκώς τις αὐτοῖς προστάττει, καθάπερ ἐν τῇ τραγῳδίᾳ,

Σὺ μὲν βάδιζε τὰς ἐπ' Ἰνάχου ῥοάς,
Σὺ δ' ἀμφὶ Θήβας στεῖχε τὰς Καδμείας.

οὕτως ἐνταῦθα, σὺ μὲν βάδιζε τὰς ἐφ' ἥπατι πύλας, σὺ δ' ἐπί τε κύστιν, ἢ καὶ νεφροὺς δύο, ἢ τὸ καταποθὲν εἰς τὴν
B κοιλίαν, ἀναδίδοται μὲν εἰς ἧπαρ, ἐντεῦθεν δὲ φέρεται πάντῃ τοῦ σώματος; ἀλλὰ τοῦτό γε τὸ σκῶμμα, δηλοῖ τοὺς ταῦτα λέγοντας, εἰς τοσοῦτον ἀπείρους εἶναι φαρμάκων δυνάμεως, ὡς ἀγνοεῖν ὑπὸ μὲν τοῦ θαλαττίου λαγωοῦ, μόνον τῶν πάντων ἐν τῷ σώματι μορίων ἑλκούμενον πνεύμονα. κύστιν δ' αὖ μόνην ὑπὸ τῶν κανθαρίδων. ὑπ' ἄλλων δὲ τοὺς ἐν νεφροῖς λίθους θρυπτομένους, ὑφ' ἑτέρων δὲ τὰς ἐκ πνεύμονός τε καὶ θώρακος ἀναπτύσεις εὐπετεῖς γινομένας, ὥσπερ ὑπ' ἄλλων ἄλλα, καθ' ἕν τι μόριον ἐξαιρέτως ἐπιτελούμενα. πολυειδῶς δὲ τοῦτον τὸν λόγον ἐν τῷ πρώτῳ τῶν γεγραμμένων ἤδη μοι πρόσθεν, ὡς ἔφην, ὑπομνημάτων ἐξειρ-
C γασάμην, ὥσπερ αὖ κατὰ δεύτερον ἄλλον, οἰομένων τινῶν ἐν τῇ συνθέσει διαφθείρεσθαι παντάπασι τὰς ἐναντίας ἀλλήλαις δυνάμεις τῶν ἁπλῶν φαρμάκων. εἰ γὰρ ὕδωρ, φασὶ, τὸ ζεστότατον τῷ ψυχροτάτῳ μίξεις, οὐδέτερον μὲν τῶν μιχθέντων ὁποῖον ἦν ἔμπροσθεν, ἀλλ' ἕν τι γενήσεται τρίτον, ἕτερον ἀμφοῖν. ἐδείχθησαν δὲ κἀνταῦθα ληροῦντες μάταια, διὰ τὸ μὴ γινώσκειν, ἔνια μὲν τῶν προσφερομένων τῷ σώματι, κατὰ τὰς ἐμφύτους δυνάμεις, ἔνια δὲ, κατὰ τὰς ἐπικτήτους ποιότητας ἐνεργεῖν. τίς γὰρ οὐκ οἶδε
D κώνειον, ἢ μηκώνειον ψύχοντα; καὶ μὴν εἰ θερμήνας αὐτὰ σφοδρῶς, προσφέροις ζώου σώματι, καυτηρίῳ παραπλησίως ἕλκος ἐργάσῃ. καθάπερ γε πάλιν εἰ νάπυ τρίψας ἐν ἀέρι ψυχρῷ, μεθ' ὕδατος ψυχροτάτου χειμῶνος ὥρᾳ, προσενέγκῃς ἐξαίφνης ἀραιῷ τε καὶ ἀσθενεῖ σώματι, φρίξει οὐδὲν ἧττον, ἢ εἰ χιὼν, ἢ κρύσταλλος ἔψαυσεν αὐτοῦ. ἀλλ' ἐὰν ὁμιλήσῃ σώματι ζώου χρόνῳ πλέονι, πρῶτα μὲν αἴσθησιν ἐργάσεται θερμασίας ὀλίγης, εἶτα πλείονος, εἶθ' οὕτω πολλῆς, ὡς ὑπὸ πυρὸς καίεσθαι δοκεῖν. ἔμπαλιν δὲ κώνειόν τε καὶ μηκώνειον θερμὰ προσαχθέντα, ἐὰν ὁμιλήσῃ τῷ σώματι
E χρόνῳ πλέονι, τοσαύτην ἐργάσεται τὴν ψύξιν, ὡς ἀναίσθητα γενέσθαι τὰ σώματα, κἂν πρότερον αἰσθητικώτατα ὑπάρχῃ. διωρισμένων οὖν ἡμῖν τῶν τοιούτων ἁπάντων ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν, ἕνδεκα τὸν ἀριθμὸν οὖσιν, ἐπ' αὐτὴν ἤδη τρέψομαι τὴν χρήσιμον διδασκαλίαν, ἐν ᾗ γυμνασάμενός τις, ἐὰν καὶ μηδ' ὅλως ἐπιφέρηται τὰς γραφὰς τῶν πολυφαρμάκων δυνάμεων, οὐκ ἀπορήσει τῶν ἐπιτηδείων πρὸς ἕκαστον πάθος, ἐὰν οὕτως, ὡς ἔφην, ἔμπειρος ᾖ τῆς ὕλης τῶν ἁπλῶν φαρμάκων. ἐν παρέργῳ δὲ ὁ λόγος οὗτος ἐπιδείκνυσι, καὶ τὴν τῶν ἐμπει-
F ρικῶν ἰατρῶν φιλονεικίαν, εἰς ὀνείρατά τε καὶ τύχην, καὶ περίπτωσιν ἀναγόντων τὰ σύνθετα φάρμακα σχεδὸν ἅπαντα, πλὴν ὀλιγίστων τινῶν, ἃ κατὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων λόγον, ὃν ἐπιλογισμὸν αὐτοὶ καλοῦσιν, εὑρηκέναι φασί. ὥσπερ ὅταν ἀλλήλοις μίξωμεν φάρμακα, τὴν αὐτὴν ἐπιδεδειγμένα διὰ τῆς πείρας ἐνέργειαν, ἄλλο δ' ἐπ'

ἄλλου σώματος ἄμεινον, ἢ χεῖρον ἐνεργητικὸς, εὔλογον μὲν ἡμῖν ἔδοξε, φασὶν ἔνιοι τῶν ἐμπειρικῶν, οὐ γὰρ δὴ πάντες γε, συνθεῖναι πλείω τοιαῦτα χάριν τοῦ, κἂν ἓν ἐξ αὐτῶν εὑρεθῆναι τῇ φύσει τοῦ θεραπευομένου σώματος οἰκεῖον. ὅπερ ἐπὶ τούτου δὴ τοῦ καινοτάτου φαρμάκου τοῦ καλουμένου κεφαλικοῦ γεγονέναι φασὶ, μιχθέντων ἐν αὐτῷ πάντων τῶν καὶ κατὰ μόνας ἐγνωσμένων ἕλκη σαρκοῦν. ἀλλὰ κατά τινα γε λόγον, ἰὸς μιχθεὶς ἁπλῇ κηρωτῇ, σαρκωτικὸν ἐργάζεται φάρμακον, οὐδετέρου τῶν μιχθέντων σαρκοῦντος, οὐκ ἔτι λέγουσιν. ὁ μὲν γὰρ ἰὸς ἀναβιβρώσκει τὴν ἡλκωμένην σάρκα, θερμὸν καὶ δριμὺ φάρμακον ὑπάρχον. ἡ κηρωτὴ δὲ πρᾶον μὲν ἐστι καὶ ἄδηκτον, αὐτὴ δὲ σαρκὸς νέας ῥύπον ἐπιτρέφει τοῖς ἕλκεσιν. ἐμοὶ δὲ καὶ τοῦθ' ὅπως ἀλλήλοις ἐπιμίγνυται, καὶ τἆλλα, ὅσα κατὰ τὸν αὐτὸν τρόπον ἐκ τῶν ἐναντίων σύγκειται, λέλεκται μὲν ἤδη, καὶ κατὰ τὸ τρίτον γράμμα τῆς θεραπευτικῆς πραγματείας, εἰρήσεται δὲ καὶ νῦν ἡ κατὰ μέρος γυμνασία μετὰ παραδείγματος ἐφ' ἑκάστου πάθους.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τίνα προεπίστασθαι χρὴ τὸν μέλλοντα καλῶς συνθεῖναι τὰ φάρμακα.

Περὶ μὲν τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, εἴρηται δι' ἑτέρας πραγματείας, ὅτι χρὴ γινώσκειν ἑκάστου τὴν δύναμιν, οὐ κατὰ γένος μόνον, ὡς ἔγραψάν τινες, ἤτοι θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν εἰπόντες, ἀλλὰ διωρισμένως τε καὶ διηρθρωμένως, ἐκ τίνος ἐστὶ τάξεως, ὡς ἡμεῖς ἐδηλώσαμεν. ἔνια μὲν γὰρ φάρμακα παντάπασιν ἀμυδρῶς ἐργάζεται τῶν εἰρημένων ἕκαστον, ἔνια δὲ σαφῶς, ἔνια δὲ ἰσχυρῶς, ὥσπερ ἄλλα τελέως. οὔκουν αὔταρκες ἐπίστασθαι θερμαίνειν, ἢ ψύχειν τόδε τὸ φάρμακον, ἀλλὰ καὶ μέχρι πόσου θερμαίνει καὶ ψύχει, προσδιορίσασθαι χρή. θερμαίνουσι γὰρ αἱ ῥητίναι πᾶσαι, καὶ τοῦτο κοινὸν αὐταῖς, ἀλλὰ τὸ μᾶλλον καὶ ἧττον, οὐκ ὀλίγον ἐν τῇ θερμότητι κέκτηνται. θερμαίνουσι δὲ καὶ ὀποὶ πολλοὶ, διαφέροντες ἀλλήλων οὐ σμικρὰν διαφορὰν, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. εἰ γὰρ παραβάλλοις ὀπὸν πάνακος τῷ Κυρηναίῳ καὶ Μηδικῷ, δόξει σοι τοῦτο μηδὲν, ὡς πρὸς ἐκείνους εἶναι. καὶ τί δεῖ πόρρω τὸν λόγον ἀπάγειν, αὐτῶν οἷς ὁσημέραι προσφερόμεθα τὰς διαφορὰς ἀναμνῆσαι δυναμένους; ἄνηθον γοῦν, καὶ πήγανον, καὶ κρόμμυον θερμαίνοντα πάντα, πολὺ διενηνόχεν ἀλλήλων, ὥστε καὶ κατὰ τὰς θεραπείας, τῷ μὲν ἱκανῶς ἐψυγμένῳ μορίῳ, τὸ θερμαῖνον ἱκανῶς προσοίσομεν φάρμακον. τῷ δὲ βραχὺ τοῦ κατὰ φύσιν ἐξηλλαγμένῳ, τὸ μετρίως θερμαῖνον, ὥσπερ γε καὶ τῷ πάνυ κατεψυγμένῳ, τὸ σφοδρότατα θερμαῖνον. εἰκότως οὖν ἡμεῖς ἐποιησάμεθα τέσσαρας τάξεις ἐν τοῖς θερμαίνουσι, διορισάμενοι τῶν ἐπ' ὀλίγον θερμαινόντων, τά τε σαφῶς τοῦτο δρῶντα, καὶ τὰ πάνυ θερμαίνοντα, καὶ τὰ σφόδρα μετὰ τοῦ καίειν. ἐν ἑκάστῃ δὲ τῶν τεσσάρων διαφορῶν, ἔνια μὲν εἰσὶν ἀρχομένης τε διαφορᾶς, ἔνια δὲ τελευτώσης τε καὶ πλησιαζούσης τῇ μετὰ ταύτην, ἔνια δὲ ἐν τῷ μεταξύ. τῶν γοῦν ἑλκούντων διὰ θερμότητα, καθάπερ καὶ τῶν σηπτῶν ὀνομαζομένων, ἔνια μὲν ἅμα τῷ προσαχθῆναι τῷ σώματι τὴν ἑαυτῶν ἐπιδείκνυνται δύναμιν, ἔνια δὲ δυοῖν, ἢ τριῶν, ἢ τεττάρων ὡρῶν δεῖται. τινὰ δὲ ὅλης ἡμέρας, ἢ καὶ τῆς μετ' αὐτὴν νυκτὸς, ἢ καὶ πλειόνων ἐφεξῆς. ταῦτ' οὖν, ὥσπερ ἐπὶ τῶν θερμαινόντων,

A alio corpore melius, aut peius functionem suam obiisse visu, ac experimẽtis didicimus, rationi consonum certè nobis esse videtur (Empiricorum aliqui dicunt, non enim omnes) componere plura huiusmodi, vt vel vnum ex eis corporis curandi naturæ idoneum inueniatur. Quod in hoc vtique recentissimo medicamento, vocato cephalico, accidisse ferunt, mixtis in eo omnibus iis, quæ vel per se vlcera carne implere cognoscuntur. Sed qua ratione ærugo cerato simplici mixta medicamentum sarcoticum faciat, quum neutrum ex illis carnis procreandæ vim habeat, non item exponunt; siquidem ærugo vlceratam carnem erodit,
B quum acre, & calidum medicamentum sit; ceratum verò mite quidem est, nec mordax, verùm nouæ carnis loco sordes parit vlceribus. Nos verò diximus in tertio methodi medendi libro, quomodo, tum hoc, tum alia, quæ ex contrariis eodem pacto constant, inuicem commisceantur; dicetur nunc quoque particularis exercitatio, morbi cuiusque apposito exemplo.

CAPVT II.

C *Quæ præscire oporteat eum, qui medicamenta probè compositurus sit.*

Altero de simplicium medicamentorum facultatibus opere dictum est, singulorum facultates esse noscendas, non in genere solùm, vt quidam scripserunt, dicentes ea, vel calefacere, vel refrigerare, vel siccare, vel humectare; verùm definitè, articulatimque, ex quo sint ordine, vti nos declarauimus. Nam nonnulla quidem medicamenta obscurè prorsus vnumquodque prædictorum efficiunt, quædam manifestò, aliqua validè, sicut alia absolutè. Non satis est ergo nouisse medicamentum hoc calefacere, aut refrigerare, sed
D quousque calefaciat vel refrigeret, definire oportet. Calefaciunt enim resinæ omnes, idque ipsis commune, attamen maioris minorisque rationem non exiguam in calore sortitę sunt. Item succi plures non mediocriter ratione ad maius minusque facta differentes, calefaciunt. Nam si panacis succum Cyrenæo, & Medico conferas, videbitur tibi hic nihil ceu ad illos esse. At quorsum attinet sermonem ipsorum diuertere longiùs, quum eorum differentiæ, quibus in cibo vtimur quotidie, possimus meminisse? Anethum igitur, & ruta, cepaque, omnia calefacientia, magno inter se variant
E discrimine. Quapropter in curationibus quoque parti admodum refrigeratæ, medicamentũ quod impensè calefaciat admouebimus; illi verò, quod paululum à naturali habitu recessit, modico calore præditum; sicut & insigniter refrigeratæ, vehementissimè calefaciens adhibebitur. Meritò igitur quatuor nos excalefacientium ordines statuimus, separantes à modicè calefacientibus ea, quę manifestè id agunt; tum quæ validè; tum quæ vehementer adeo, vt vrant. In singulis autem illis quatuor ordinibus diuersis quædam esse velut incipientis differentiæ; nonnulla desinentis, & ei quæ
F post hanc existit, propinquæ, alia in medio constituta. Itaque sunt ex iis, quæ propter caloris vim exulcerãt; quemadmodũ etiam ex illis, quæ septica putrefacientia nominãtur, alia simulatq; corpora contigerint, facultatẽ suam ostendũt; quædam duabus tribúsve, aut iv. horis, opus habẽt; nõnulla diẽ totũ, vel etiam post eum noctẽ, vel maius deinspatium, requirũt. Hæc iam vt in calefacientibus, ita

ita quoque in refrigerantibus, intelligere eum oportet, qui medicamentum aliquod confecturus est; pari modo, & in iis quæ humectant, exiccantque. At materiæ medicamentorum quædã à plantis, quædam à metallis, nonnulla ab animantibus, proueniunt, quas omnes in tractatu de simplicibus medicamentis definitè expressas didicistis. Nam cum familiaribus hic sermo potissimum est, qui precibus me adegerunt, hæc nunc propter librorum interitū denuò perscribere. Iam verò, vt simplicium medicamentorū vniuersorum facultates adamussim vobis cognoscendæ sunt, quo vbiuis corporibus curationẽ desiderantibus idonea ex iis quæ adsunt, facilè possitis remedia componere, ita etiam omnium præter naturã affectuum differentias tenere expedit, quas primum quidem libro de morborū, altero de symptomatū differentiis, tertio post illos, in quo de causis morbos efficientibus dissero, cõprehensas habetis; ad hæc aliis tribus de symptomatum causis; vno insuper meo de plenitudine, nec non de febrium differentia cõmentario; postremo medendi methodo: in quibus affectiones actionem lędentes didicistis, item curationem harum primam esse (quemadmodum etiam præseruationem) causarum eas parientium. Docti pariter estis, primum curationis scopum à morbosis dispositionibus suggeri; ac cum his vnà affectæ partis naturam indicari. Præterea aëris nos ambientis temperamentum, constitutionem, ętatem, tempus, locum, vitæ propositum, & ἔθη, idest, consuetudines, plures egregij medici inspiciunt, de quibus, vbi eorum vsus fuerit, aliqua simul, & hic nobis dicentur. Hæc itaque in memoria vos omnia sic exprompta habere expedit, si quouis loco medicamentorum, tum simplicium, tum compositorum copiam habere desideratis. Insuper quòd ab vno interim aliquo spontè nato medicamento, ac simplici morbus curari possit, interim verò compositi vsus requiratur; ac quamobrem id agamus, rationem deinceps explicabimus.

CAPVT III.

Quis compositorum medicamentorum vsus.

SI solis simplicibus medicamentis vniuersos præter naturam affectus curare liceret, nullus vtique compositi vnquam vsus foret; at hoc nunc ita comparatum non est, nam sæpe quum corpus aliquatenus calefacere volumus, simplex nullum, quod præstare id queat, habemus; medicamentum enim curans, affectioni cui adhibetur, proportione nimirum respondere oportet. Ergo si dispositio sit frigidã, quatuor numeris à naturali recedens, curaturum ipsam medicamentum totidem gradibus mediocri symmetróve calidius esse oportere omnibus est manifestum. Porrò quum interim tale simplex nullum adsit, si duo habeamus, quorum hoc numeris quinque, illud tribus calidius sit ea, si miscuerimus, medium efficiemus, quatuor numeris symmetron exuperans. Iam quædam simplicia citra alterius mixturam ne in vsu quidem esse possunt, veluti quum emplastrum medicamentum apponere cuipiam volumus, quippe simplex nullum ad talem vsum idoneum est. Ergo neque bitumen, neque cera, neque resina, sicut neque pix, neque propolis, ac ladanum, multo minùs ærugo, & cerussa, vel spuma argenti, vel molybdæna, vel aliud quodpiam

A οὕτω καὶ ἐπὶ τῶν ψυχόντων ἐπίστασθαι χρὴ, τὸν μέλλοντα συντίθεσθαί τι φάρμακον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ὑγραινόντων, καὶ ξηραινόντων. αἱ δὲ ὗλαι τῶν φαρμάκων, αἱ μὲν ἀπὸ φυτῶν εἰσιν, αἱ δὲ ἀπὸ μετάλλων, αἱ δ' ἀπὸ ζώων. καὶ πάσας αὐτὰς διωρισμένας ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ μεμαθήκατε. πρὸς γὰρ τοὺς ἑταίρους ὁ λόγος οὗτός ἐστί μοι μάλιστα, τοὺς ἀξιώσαντάς με δεύτερον νῦν ἐπὶ τοῖς ἀπολωλόσι γράφειν ταῦτα. καθάπερ δὲ τῶν ἁπλῶν φαρμάκων τὰς δυνάμεις ἁπάντων ὑμᾶς ἀκριβῶς ἐπίστασθαι προσήκεν, ἵνα ἐν παντὶ χωρίῳ δύνησθε ῥᾳδίως ἐκ τῶν παρόντων B συντιθέναι τὰ λυσιτελοῦντα τοῖς θεραπείας δεομένοις σώμασιν, οὕτω καὶ τῶν παρὰ φύσιν πασῶν διαθέσεων τὰς διαφορὰς ὑπόμνημα· δεύτερον δὲ τὸ περὶ τῆς τῶν συμπτωμάτων. καὶ τρίτον ἐπ' αὐτοῖς, ἐν ᾧ περὶ τῶν τὰς νόσους ἐργαζομένων αἰτίων διέρχομαι. καὶ πρὸς τούτοις ἄλλα τρία τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων. ἔχετε δὲ καὶ τὸ περὶ πλήθους ἐμὸν γράμμα, καὶ τὸ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς· ἐπ' αὐτοῖς τε τὰ τῆς θεραπευτικῆς μεθόδου, δι' ὧν ἐμάθετε τάς τε διαθέσεις ὑφ' ὧν ἐνέργεια βλάπτεται, καὶ ὡς ἡ θεραπεία τούτων πρώτων ἐστὶν, ὥσπερ γε πάλιν ἡ προφυλακὴ τῶν ἐργαζο- C μένων αὐτὰς αἰτιῶν. ἐμάθετε δὲ καὶ ὅτι πρῶτος σκοπὸς τῆς θεραπείας, ἐκ τῶν νοσωδῶν εὑρίσκεται διαθέσεων, ὅτι τε συνενδείκνυται τούτοις ἡ τοῦ πεπονθότος μορίου φύσις, ἅμα τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κράσει· καὶ καταστάσιν, καὶ ἡλικίαν, καὶ ὥραν, καὶ χώραν, ἐπιτηδεύματά τε, καὶ ἔθη συνεπισκέπτονται πολλοὶ τῶν ἀρίστων ἰατρῶν, ὑπὲρ ὧν εἰρήσεταί τινα καὶ νῦν, ἔνθ' ἂν αὐτῶν γένηται χρεία. ταῦτ' οὖν ὑμᾶς οὕτως ἅπαντα διὰ μνήμης ἔχειν χρὴ πρόχειρα, βουλομένους ἐν ἅπαντι χωρίῳ φαρμάκων εὐπορεῖν, ἁπλῶν τε καὶ συνθέτων, ἔτι τε πρὸς τούτοις, ὡς ἐνίοτε μὲν ἕν τι φάρμα- D κον αὐτοφυὲς ἁπλοῦν, ἱκανόν ἐστι τὴν παρὰ φύσιν ἰάσασθαι διάθεσιν, ἐνίοτε δὲ χρεία γίνεται συνθέτου, καὶ διὰ τί γε πράττομεν τοῦτο λεκτέον ἐφεξῆς.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίς ἡ χρεία τῶν συνθέτων φαρμάκων.

ΕΙ διὰ τῶν ἁπλῶν φαρμάκων μόνον ἦν δυνατὸν ἁπάσας ἰάσασθαι τὰς παρὰ φύσιν διαθέσεις, οὐκ ἂν ἐδεήθημεν οὐδέποτε συνθέτου φαρμάκου, νυνὶ δὲ οὐχ οὕτως ἔχει. E πολλάκις γὰρ ἄχρι ποσοῦδέ τινος ἐκθερμανθῆναι τὸ σῶμα βουλόμενοι, τῶν ἁπλῶν οὐδὲν ἔχομεν τοιοῦτον. ἀνάλογον γὰρ εἶναι χρὴ τῇ θεραπευομένῃ διαθέσει, τὸ θεραπεῦον φάρμακον. ἐὰν οὖν ἡ διάθεσις ᾖ ψυχρά, τέτταρσιν ἀριθμοῖς ἀφεστῶσα τῆς κατὰ φύσιν, ὅτι μὲν εἶναι χρὴ τὸ θεραπεῦσον αὐτὴν φάρμακον, ἴσῃ ποσότητι θερμότερον τοῦ συμμέτρου, πρόδηλον παντί. μὴ παρόντος δ' ἐνίοτε μηδενὸς τοιούτου τῶν ἁπλῶν, ἂν εὐπορῶμεν δυοῖν, ὧν τὸ μὲν ἀριθμοῖς πέντε, τὸ δὲ τρισὶ θερμότερον, μίξαντες αὐτά, τὸ μέσον ἐργασόμεθα, τέτρασιν ἀριθμοῖς ὑπερέχον τοῦ συμμέτρου. ἔνια δὲ τῶν F ἁπλῶν, οὐδ' εἰς χρῆσιν ἀχθῆναι δύναται, χωρὶς ἑτέρας μίξεως, οἷον ὅταν ἔμπλαστον φάρμακον ἐπιτιθέναι τινὶ βουλώμεθα, τῶν γὰρ ἁπλῶν οὐδὲν ἐπιτήδειον εἰς τὴν τοιαύτην χρείαν. οὔτ' οὖν ἄσφαλτος, οὔτε κηρός, οὔτε ῥητίνη, καθάπερ οὐδὲ πίττα, πρόπολίς τε καὶ λάδανον, ἔτι δὲ μᾶλλον ἰός, καὶ ψιμμύθιον, ἢ λιθάργυρος, ἢ μολύβδαινα, ἢ τῶν ἄλλων τι με-

ταλλικῶν φαρμάκων. ὡσαύτως δὲ οὐδὲ βοτάναι μόναι, φάρμακον ἔμπλαστὸν δύνανται ποιεῖν. Εἰκότως οὖν ἐπενόησαν οἱ πρῶτοι συνθέντες ἔμπλαστὰ φάρμακα, καὶ δι᾽ ἐλαίου μίξεως ἑψεῖν μὲν τὰ μεταλλικὰ, τήκειν δὲ τὰ τηκτὰ, προσεμβάλλειν δ᾽ αὐτοῖς καὶ βοτάνας ξηρὰς, κεκομμένας τε καὶ διηθημένας. ἐφ᾽ ἑτέρων πάλιν διαθέσεων, χρεία ἑνὸς φαρμάκου μόνου τῶν αὐτοφυῶν ἐστιν, ἐπιμίγνυμεν δ᾽ αὐτῷ τινὰ, ποτὲ μὲν ἀμβλῦναι τὸ σφοδρὸν τῆς δυνάμεως αὐτοῦ βουλόμενοι, ποτὲ δὲ τὴν ἀηδίαν παραμυθήσασθαι, καθάπερ Ἱπποκράτης ἐν τῷ περὶ διαίτης ὀξέων ἔφη κατὰ τήνδε τὴν ῥῆσιν. ἢν δ᾽ ὑπὸ φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῗδα μὴ σημαίνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην, ἢ μέλανι ἐλλεβόρῳ, ἢ πεπλίῳ, μέλανι μὲν δαῦκον, ἢ σέσελι, ἢ κύμινον, ἢ ἄνισον, ἢ ἄλλο τι τῶν εὐωδέων μίσγοντα, πεπλίῳ δὲ ὀπὸν σιλφίου. ἐν ταύτῃ τῇ ῥήσει σαφῶς ὁ Ἱπποκράτης ἐνεδείξατο χρείαν μὲν εἶναι τοῦ καθαίροντος φαρμάκου, τὴν δ᾽ ἀηδίαν αὐτοῦ κατὰ τὴν πόσιν, καὶ τὴν ἐν τῇ κοιλίᾳ μονὴν ἡδύσματος δεῖσθαι. πολλὰ γάρ τοι τῶν πινομένων φαρμάκων, ἐπὶ τοσοῦτον ἀηδῆ τοῖς προσφερομένοις ἐστὶν, ὡς ἀνατρέπεσθαι τὸν στόμαχον, ἐμεῖσθαί τε παραχρῆμα, τινὰ δὲ καὶ ἐπ᾽ ὀλίγον ἐν τῇ γαστρὶ μεῖναι δυνηθέντα, μετὰ ταῦτα γοῦν ἐμεῖσθαι, μοχθηρὰς ἐρυγὰς κινήσαντα. καθάπερ δὲ τῶν καθαιρόντων εἰσὶν ἡδύσματά ἐστι τὰ τοιαῦτα τῶν φαρμάκων, ὧν Ἱπποκράτης ἐμνημόνευσεν, οὕτως τῶν ἀνωδύνων ὀνομαζομένων, ἕτερα τῆς σφοδρότητος ὑπάρχει πραϋντικὰ, καθάπερ ὅταν ὀπὸν μήκωνος, ἢ ὑοσκυάμου σπέρμα παραδιδῶμεν, ἢ μανδραγόρου ῥίζης φλοιόν, ὥστε καὶ αὕτη χρεία συνθέσεως φαρμάκων ἐστί· μεγίστη δ᾽ ἐπὶ τῶν ἐναντίων δυνάμεων ἅμα χρῃζόντων παθῶν, οἷς ἀποκρουστικῶν τε καὶ διαφορητικῶν, ἢ ῥυπτικῶν τε καὶ λεαντικῶν, ἢ παχυνόντων τε ἅμα καὶ λεπτυνόντων χυμούς, καθὰ τε πολυχρηστότατα, καὶ κάλλιστα φάρμακα τὰς ἐναντίας ἐν αὐτοῖς ἔχει δυνάμεις, ὡς ἐπιδείξομεν. ἀλλὰ καὶ ἥδε ἡ χρεία συνθέσεως φαρμάκων ἐστὶν, ὅταν ἕν τι φάρμακον ἔχειν βουλώμεθα, πρὸς πολλὰ τῶν ἰοβόλων θηρίων, ἢ θανασίμων φαρμάκων ἐπιτήδειον, ἥτις χρεία καὶ τὴν θηριακὴν ὀνομαζομένην ἀντίδοτον ἐσκεύασε, καὶ πρὸς αὐτῇ τὴν Μιθριδάτειον, ἑτέρας τε πολλάς. Εἰσὶ δὲ καὶ ἄλλαι τινὲς χρεῖαι, μικρότεραι μὲν τῶν εἰρημένων, ὅμως δ᾽ οὖν ἀναγκάζουσαι πολλάκις ἡμᾶς ἐπὶ τὴν σύνθεσιν ἀφικνεῖσθαι τῶν φαρμάκων, ἃς ἐν τῇδε τῇ πραγματείᾳ, πάσας μαθήσεσθε. νυνὶ γὰρ ἤδη τῶν προκειμένων ἄρξομαι, πρῶτον μνημονεύσας ἐμπλάστου φαρμάκου πολυχρηστοτάτου, συντεθέντος ὑπ᾽ ἐμοῦ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τοῦ διὰ χαλκίτεως ἐμπλαστοῦ φαρμάκου.

Τίνι λόγῳ συνέθηκα τὴν διὰ χαλκίτεως ἔμπλαστρον, ἣν φοινικίνην ὀνομάζω, κολλητικήν τε καὶ συνουλωτικὴν ἑλκῶν, καὶ φλεγμονῶν θεραπευτικὴν, ἐπειδὰν τάχιστα σύστασιν ὑγρᾶς ἔχῃ κηρωτῆς, τοὺς μὲν ἐμπειρικοὺς ἐάσαντες ὁμολογεῖν τὴν ἑαυτῶν ἀμαθίαν, ἀποστάντες δὲ καὶ τῶν περὶ τὸν Θεσσαλὸν, ἀγνοούντων τὰ κάλλιστα τῶν εὑρημένων τοῖς ἰατροῖς φαρμάκων, ἐξ ἐναντίων δυνάμεων συγκείμενα, τὸν λογισμὸν ἀσκεῖτε πρὸς τὸ δύνασθαι συντιθέναι φάρμακα, ταῖς αὐταῖς ἐμοὶ χρώμενοι μεθόδοις, ἵν᾽ ἔργῳ καὶ αὐτοὶ πεισθῆτε, καὶ τὰ τοῖς ἔμπροσθεν εὑρημένα λογισμῷ συντίθεσθαι πάντα,

A metallicum medicamentum, simili modo, nec herbę solę, emplaston medicamentũ efficere possunt. Quare primi emplastrorũ authores non temerè ex oleo quoq; metallica coquere excogitarunt, quæ liquefieri possint, liquefacere, ac siccas herbas cõtusas cribratasq; eis adiicere. Rursus in aliis affectibus vnum medicamentũ solum ex iis, quæ suaptè natura proueniunt, vsurpamus, cui tamen nõnulla adiicimus, aliquando facultatũ ipsius vehementiæ obtundendæ, interdũ insuauitatis mitigandæ gratia, quemadmodũ Hippocrates in libro de victus ratione in morbis acutis hisce verbis, inquit; *Si sub transuerso septo dolor sit, ad clauiculam verò signum* B *non fecerit, emolliendus est venter, vel nigro veratro, vel peplio; veratro quidem daucum, vel seseli, vel cuminum, vel anisum, vel aliud quid odoriferum miscendo: peplio autem silphij succum.* Hac dictione manifesto Hippocrates vsum quidẽ medicamenti purgantis esse ostẽdit, sed insuauitatẽ eius in potu, moramq; in ventriculo, condimentum requirere; multa siquidem, quæ bibuntur medicamenta, tam sunt assumentibus insuauia, vt stomachũ subuertant, vomitumq; protinus cieant; quædã licèt paululum in ventriculo manere possint, postea tamen euomantur, quum prauas eructationes mouerint. C Quemadmodũ verò purgantium, ceu condimenta sunt eiusmodi medicamenta, quorum Hippocrates meminit, ita dolorem leuantium, quæ anodyna appellantur, alia vehementiam mitigant, vt quum papaueris succum, vel hyoscyami semen, præbemus, vel mandragoræ radicis corticẽ. Quare & hic medicamentorum cõpositionis vsus est, maximus autem in morbis, qui cõtrarias simul facultates desiderant, verbi gratia, repellendi, & discutiendi, vel detergendi, ac læuigandi, vel incrassandi simul, & attenuandi humores, ac veluti plurimi vsus medicamenta polychrestotata & optima, diuersas in se facultates, vt indicabimus, conti- D nent. Verùm is quoque medicamentorum compositionis vsus est, quum vnum aliquod illorum ad multas venenatas feras, vel exitialia medicamenta, efficax habere volumus, qui vsus etiam theriacam, vt vocant, antidoton comparauit, item mithridation, aliasq; multas. Sunt porrò & aliæ quædam vtilitates minores quidem prædictis, attamen quæ crebrò nos ad medicamentorum compositionem descendere cogunt, quas vniuersas hoc in opere docebimini. Nunc enim vbi primùm emplastri medicamenti, & ad plura vtilissimi à me confecti mentionem fecero, iam insti- E tutum aggrediar.

CAPVT IV.

De emplastro medicamento dia chalciteos.

Qva ratione cõposuerim emplastrũ ex chalcitide, quod à palma, quam phœnica Græci vocãt, Phœnicinũ appello, medicamentũ glutinãdis vlceribus, cicatrice obducẽdis, & phlegmonis curandis, accõmodum (vbi liquefactũ humidi cerati crassitudinem obtinet) animũ exercere, tum F permissis Empiricis suam ipsorũ fateri inscitiam, tũ relictis quoq; Thessali sectatoribus, qui optima medicamenta à medicis inuenta cõtrariis cõstare facultatibus ignorant. Exercete, inquã, ingenium, vt eisdẽ mecum vtentes methodis, medicamenta possitis cõficere, ac sitis re ipsa persuasi, vel ea quæ à maioribus inuẽta sunt, omnia ex ratione cõponi,

nimirum

nimirum quum empiricorum incidentia nugatoria sit. Dicenda itaque iam est propositi medicamenti compositionis ratio. Oleum vetus, & adeps, digerendi vim obtinent; chalcitis, & palmæ succus, repellendi, astringendique. Ex his igitur medicamentum composui, quo iam complures vti nouistis, ideo, quod omnibus sui generis melius esse ex ipsis operibus comprobatum sit. Etenim ratio compositionem inuenit, experientia de inuentorum virtute decernit, vt etiam rationalium methodorum imperitis artificiosè confecta fidem faciant. Porrò cum modo dictis medicamentis argenti spumam miscui, quæ nihil magni adeo momenti afferre potest, neque repellentibus, quod influit, neque digerentibus, quod iam partibus phlegmone laborantibus infixum est; quippe siccandi virtutem habet; sed non validam, quare ipsam ceu aptum medicamentum in emplastri compositionem adiunxi; nam cum prædictis incoquitur, donec substantiam, quæ non polluat, consequatur. Adipem verò insulsum, & quàm maximè fieri licet, vetustissimum esse conuenit; tum oleum vetus similiter, quod cum suillo adipe propinquam virtutem habere quodammodo didicistis, licet adeps paulo maiorem emolliendi calefaciendique vim obtineat. Didicistis quoque vetustate ipsa tenuiorum partium fieri, & digerere promptius; eoque phlegmonis, quæ magnum dolorem inferunt, magis blanda, ac mitia esse ipsa recentia; iis verò quæ tales non sunt, commodiora vetusta. Et quo phlegmone, & diuturnior, & contumacior, hoc magis vetera prosunt, ac sola curare valent; modò præterea nihil afflictæ parti influat. Quod si quidquam influat, mixtam esse medicamenti quoque virtutem oportet, cuiusmodi habet à me compositum medicamentum. Itaque propterea chalcitidem, & palmam digerentibus admiscui, non ignarus paucas omninò phlegmonas diuturnas existere, quibus nihil influat, nam ob humores in eas confluentes diutinæ esse solent. Dum autem hæ incipiunt, & accrescunt, astringentium, refrigerantiumque medicamentorum virtutis præpollere debet; ideoque hoc emplaston medicamentum ad humidi cerati spissitudinem liquefactum multis admodum vtile redditur, interim vino adiecto, vel aceto, vel aqua illiquescens; nonnunquam ex oleo immaturo, vel alio quopiam astringente, quale est Hispanum, & Histricum; vel ex dulci aliquo astrictionis experte, vel etiam vetusto. Ego quoque sæpe myrteo, & melino, vbi validius astringere res postulabat, medicamentum liquefeci. Hæc igitur compositio medicamenti tali symmetria cõficitur; vetusti adipis, quem institores axungiam appellant, sint lib. ij. olei veteris lib. iij. & argenti spumæ lib. iij. chalcitidis ℥. iv. Hæc autem ita coquere oportet. Adipis membranulæ omnes eximuntur, reliquum contunditur, vt liquari facile possit; mox ad ignem liquefit; deinde per colum destillatur, vt purum fiat, nihilque membranæ habeat, pondo duo prædicta pendens; postea chalcitidis læuigatæ pondo triens cum olei tribus libris adipi miscetur; his & argenti spumæ pondo tria adiiciuntur; ac omnia vbi simul in mortario coierint, coniiciuntur in cacabum, ac rudicula palmæ mouentur. Sufficiet autem tibi ramus vnus maiusculus, vt solida ligni parte mouendo vtaris in modũ spathæ dictæ; vocant enim

A λῃρώδους τῆς τῶν ἐμπειρικῶν περιπτώσεως οὔσης. λεκτέον οὖν ἤδη τὸν λόγον τῆς τοῦ προκειμένου φαρμάκου συνθέσεως. διαφορητικὴν μὲν ἔχει δύναμιν ἔλαιόν τε παλαιὸν, καὶ στέαρ, ἀποκρουστικὴν δὲ καὶ συσταλτικὴν, ἥτε χαλκῖτις, καὶ ὁ τοῦ φοίνικος χυλός. ἐκ τούτων οὖν ἐγὼ συνέθηκα φάρμακον, ᾧ πάνυ πολλοὺς ἤδη χρωμένους ἴστε, διὰ τὸ τῶν ὁμογενῶν ἁπάντων ἄμεινον κεκρίσθαι, δι' αὐτῶν τῶν ἔργων βασανισθέν. ὁ μὲν γὰρ λόγος εὑρίσκει τὴν σύνθεσιν, ἡ δὲ πεῖρα κρίνει τὴν τῶν εὑρεθέντων ἀρετὴν, ὥστε καὶ τοῖς ἀπείροις λογικῶν μεθόδων πιστεύεσθαι τὰ τεχνικῶς συντεθέντα. προσέμιξα δὲ τοῖς εἰ-

B ρημένοις ἄρτι φαρμάκοις λιθάργυρον, οὐδέν τι μέγα συντελέσαι δυναμένην, οὔτε τοῖς ἀναστέλλουσι τὸ ἐπιρρέον, οὔτε τοῖς διαφοροῦσι τὸ ἐστηριγμένον ἤδη, κατὰ τὰ φλεγμαίνοντα μόρια, ξηραντικῆς γάρ ἐστι δυνάμεως, οὐ μὴν ἰσχυρᾶς. ἀλλ' ὡς ἐπιτήδειον φάρμακον, αὐτὴν εἰς ἐμπλαστοῦ σύνθεσιν ἔμιξα, σὺν γὰρ τοῖς εἰρημένοις ἕψηται, μέχρι συστάσεως ἀμολύντου. χρὴ δὲ τὸ στέαρ ἄναλόν τε, καὶ ὡς ἔνι μάλιστα παλαιότατον εἶναι, τό τε ἔλαιον ὁμοίως παλαιόν. ἐμάθετε γάρ πως παραπλησίας μὲν εἶναι ἀλλήλοις δυνάμεως, τό τε ἔλαιον, καὶ τὸ στέαρ τῶν ὑῶν, μαλακτικώτερον βραχὺ καὶ θερμότερον

C ὂν τῇ δυνάμει τὸ στέαρ. ἐμάθετε δὲ καὶ ὡς παλαιούμενα λεπτομερέστερά τε καὶ διαφορητικώτερα γίνεται, καὶ διὰ τοῦτο ταῖς μὲν ὀδυνηραῖς φλεγμοναῖς παρηγορικώτερα τὰ νέα, ταῖς δὲ μὴ τοιαύταις, ὠφελιμώτερα τὰ παλαιά. καὶ ὅσῳ γ' ἂν ᾖ χρονιωτέρα τε καὶ δύσλυτος ἡ φλεγμονὴ, τοσούτῳ τὰ παλαιὰ χρησιμώτερα, καὶ μόνα θεραπεύειν ἱκανὰ, μηδενὸς ἐπιρρέοντος ἔτι τῷ πεπονθότι μορίῳ. εἰ δ' ἐπιρρέοι τι, μικτὴν εἶναι χρὴ καὶ τοῦ φαρμάκου τὴν δύναμιν, οἵα περ ἐστὶ τοῦ συντεθέντος ὑπ' ἐμοῦ. διὰ τοῦτο γοῦν ἔμιξα τοῖς διαφοροῦσι τὴν χαλκῖτιν, καὶ τὸν φοίνικα, παντάπασιν ὀλίγας

D φλεγμονὰς εἰδὼς χρονιζούσας, ἐφ' ὧν οὐδὲν ἐπιρρεῖ. διὰ γὰρ τοὺς ἐπιρρέοντας αὐταῖς χυμοὺς, εἰώθασι χρονίζειν. ἀρχομένων δὲ καὶ αὐξανομένων τῶν φλεγμονῶν, ἐπικρατεῖν προσήκει τὴν τῶν στυφόντων τε καὶ ψυχόντων φαρμάκων δύναμιν, καὶ διὰ τοῦτο τηκόμενον εἰς πάχος κηρωτῆς ὑγρᾶς τὸ ἔμπλαστον τοῦτο φάρμακον, ἱκανῶς πολύχρηστον γίνεται, ποτὲ μὲν οἴνου προσλαμβάνον, ἢ ὄξους, ἢ ὕδατος. ἔστι δὲ ὅτε, δι' ὠμοτριβοῦς ἐλαίου τηκόμενον, ἢ τινος τῶν στύψιν ἐχόντων, οἷόν ἐστι τὸ Σπανόν τε καὶ τὸ Ἰστρικὸν, ἢ διά τινος τῶν γλυκέων, ἀμοίρου στύψεως, ἢ διὰ παλαιοῦ. καὶ διὰ μυρσίνου δὲ καὶ μη-

E λίνου πολλάκις ἔτηξα τὸ φάρμακον, ἐφ' ὧν ἐστὶ στύψεως ἰσχυροτέρας χρεία. αὕτη μὲν οὖν ἡ σύνθεσις τοῦ φαρμάκου κατὰ τοιάνδε γίνεται συμμετρίαν. Τοῦ παλαιοῦ στέατος ὃ καλοῦσιν ἀξούγγιον οἱ πιπράσκοντες, ἔστωσαν λίτραι β'. τοῦ δὲ ἐλαίου τοῦ παλαιοῦ λίτραι γ'. καὶ λιθαργύρου λίτραι γ'. χαλκίτεώς τε οὐγγίαι δ'. ἕψειν δὲ αὐτὰ χρὴ κατὰ τόνδε τὸν τρόπον. τοῦ στέατος τοὺς ὑμένας ἐξελὼν, καὶ τὸ λοιπὸν θλάσας, ὡς εὔτηκτον γίνεσθαι, μετὰ τοῦτο τῆξον ἐπὶ πυρὸς, εἶτα λαβὼν ἠθμὸν, διήθησον, ὡς καθαρὸν αὐτὸ γίνεσθαι, μηδὲν ὑμένος ἔχον, ἕλκον σταθμὸν τὰς προειρημένας δύο λίτρας, εἶτα λε-

F λειωμένας τὰς δ'. οὐγγίας τῆς χαλκίτεως σὺν ταῖς τρισὶ λίτραις τοῦ ἐλαίου μίξεις τῷ στέατι, προσεπιβαλὼν καὶ τὰς γ'. λίτρας τῆς λιθαργύρου. καὶ πάντα κατὰ θυίαν ἑνώσας, ἔμβαλλε ἐν τῇ κακκάβῃ, κινῶν ξύλῳ φοίνικος. ἀρκεῖ δέ σοι κλάδος εἷς τῶν μεγάλων, ὡς τῷ μὲν ἀδρῷ μέρει τοῦ ξύλου χρῆσθαι κινοῦντα, κατὰ τὴν τῆς καλουμένης σπάθης χρείαν· οὕτω γὰρ

A

ὀνομάζουσιν ᾧ κινοῦσι τὰ σκευαζόμενα, καὶ ἡμεῖς τοῦ σαφοῦς ἐχόμενοι, καλέσομεν ὡσαύτως αὖθις. τὸ δὲ συνεχὲς τῷ ἀδρῷ μέρει τοῦ κλάδου περικαθήρας, καὶ τὰς ἑκατέρωθεν ἐκφύσεις τὰς λεπτὰς ἀποτρίψας κατάτεμνε, προπεριξύσας τὸν φλοιόν, ὅπως ἐμβληθέντα τὰ τμήματα τῷ φαρμάκῳ, μεταδῷ τοῦ καθ' ἑαυτὰ χυλοῦ. τῇ μὲν οὖν σπάθῃ χρῆσθαι προσήκεν ἀπ' ἀρχῆς εὐθέως, τὰ δὲ λεπτὰ τμήματα τῆς φοίνικος ἐμβάλλειν, ὅταν εἰς σύστασιν ἥκῃ τὸ φάρμακον ὁμοίαν κηρωτῇ. ἐὰν γὰρ ἀπ' ἀρχῆς ἐμβάλλῃς αὐτά, καταναλωθήσεται διὰ τῆς ἑψήσεως ὁ χυλὸς τῶν ἐμβληθέντων, ὃν διαμεῖναι βουλόμεθα. καὶ αὐτῆς δὲ τῆς σπάθης, ᾗ κινεῖς ἐξ ἀρχῆς τὸ φάρμακον, ὅταν τὸ διαβρεχόμενον ἐν τῇ κακάβῃ γένηται ξηρόν, ὡς μηκέτ' ἔχειν τὸν οἰκεῖον χυλόν, ἀποτέμνων αὐτό, καὶ ἀπορρίπτων, τῷ λοιπῷ χρῶ. καὶ αὖθις ὁμοίως, εἰ τύχοι τὸ διαβεβρεγμένον ἐν τῷ φαρμάκῳ ξηρανθέν, αὖθις ἀπότεμνε. πρόδηλον δ' ὅτι τὸν κλάδον τοῦ φοίνικος, οὐ χρὴ πρὸ πολλῶν ἡμερῶν ἀποτετμῆσθαι τοῦ δένδρου, ξηραίνεται γὰρ ἐν τῷ χρόνῳ, καὶ ἄχυλος γίνεται. κατὰ τὴν προτέραν οὖν, εἴπερ εἴη χειμών, ἀφῃρήσθω, θέρους δὲ χρὴ καὶ κατ' αὐτὴν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗπερ ἂν ἕψῃς τὸ φάρμακον, ἀφῃρῆσθαι τοῦ δένδρου τὸν κλάδον. ὅταν δ' οὕτως ἑψόμενον ἀμόλυντον γένηται τὸ φάρμακον, αὐτῷ μὲν ἐμπλάστρῳ χρήσῃ κατά τε τῶν δυσεπουλώτων ἑλκῶν, καὶ τῶν ἐναίμων ἐλαίῳ διατήκων, ἐπὶ τῶν φλεγμαινόντων, ἐν ποδάγραις, ἐν ἀρθρίτισιν, ἐν βουβῶσιν, ἐν φύμασιν, ἐν κατακαύμασιν, ἐν χιμέθλοις, ἐν κατάγμασιν, ἐν θλάσμασιν, ἐν ταῖς ῥευματικαῖς καλουμέναις διαθέσεσιν ἁπάσαις. ἤδη δὲ καὶ τῶν τὰς κήλας τεμνόντων πολλοὶ μετὰ τὴν χειρουργίαν, εὐθέως ἐπιτιθέασιν αὐτό, μετά τε τῶν ἐπιβροχῶν, καὶ τῶν καταπλασμάτων διαπραττόμενοι, εἰ μέντοι τῆς χαλκίτεως ἐμβάλοις οὐγγίας ϛʹ. ὅπερ ἐστὶν ἥμισυ λίτρας, ἔσται σοι μεγάλων τραυμάτων κολλητικώτερον τὸ φάρμακον, ἐπουλωτικώτερόν τε τῶν δυσεπουλώτων. ἀλλ' ἐν τούτῳ μέν ἐστι, καὶ ἄλλα φάρμακα τῆς αὐτῆς δυνάμεως. τηχθέντι δὲ αὐτῷ μετ' ἐλαίου, θαρρεῖν χρὴ τῶν ἄλλων ἁπάντων μᾶλλον, ἐπὶ τῶν ῥευματικῶν διαθέσεων. ἐν γοῦν τῇ Ῥώμῃ πλείστων γινομένων τοιούτων, οὐδὲν οὕτως ηὐδοκίμησεν. ἐπιτήδειον δέ, ὡς ἔφην, ἐστὶ καὶ ποδάγραις, καὶ ἀρθρίτισιν ἐν ἅπαντι καιρῷ, καθ' ὃν οὐκ εἰσὶν ὀδύναι σφοδραί, δεόμεναι καταντλημάτων τε καὶ καταπλασμάτων παρηγορικῶν. ἀρχομένων οὖν καὶ αὐξομένων ἔτι τῶν τοιούτων διαθέσεων, ἐπειδὰν τήξῃς τὸ φάρμακον, ἐάσας ἀποψυχθῆναι, καὶ ξύων σπαθομήλῃ, τὸ ξυσθὲν ἔμβαλε εἰς θυίαν παραχέων οἴνου, καὶ τρίβων ταῖς χερσὶ πρὸς τῇ θυίᾳ, χάριν τοῦ δέξασθαι τὸν οἶνον. ἔστω δ' οὗτος ἐκ τῶν αὐστηροτέρων, ἡλικίαν μὲν μέσος, οὐ παχὺς δὲ κατὰ τὴν σύστασιν, ἀλλ' ὡς οἷόν τε μάλιστα, διαυγέστερος. ὁ γὰρ τοιοῦτος, ὡς λεπτομερέστερος ὤν, εἰς τὸ βάθος δύεται τῶν σωμάτων. ἄχρι τοσούτου δ' αὐτὸν ἐπίχει τῷ τετηκότι φαρμάκῳ, τρίβων ταῖς χερσὶν ἄχρις ἂν ὑποδέχηται καὶ μιγνύηται, καὶ μὴ παραπλέῃ τὸ ὑγρὸν ἄμικτον τῷ τριβομένῳ τε καὶ μαλασσομένῳ φαρμάκῳ. καὶ χωρὶς δὲ τοῦ προψύχοντα ξύειν, ἔτι θερμῷ τῷ τετηκότι φαρμάκῳ τὸν οἶνον ἐγχέας τις, ἀναμίξαι δυνήσεται. κατὰ μὲν οὖν τὰς ἀρχὰς τῶν φλεγμονῶν, τὴν ἀποκρουστικὴν δύναμιν ἐπικρατεῖν προσήκει. κατὰ δὲ τὰς αὐξήσεις ἀφαιρεῖν μέν τι αὐτῆς, προστιθέναι δὲ τῆς διαφορητικῆς. ὅταν δ' εἰς τὴν οἰκείαν ἀκμὴν ὁ τῆς φλεγμονῆς ὄγκος ἀφίκηται, παραπλησίας ἀλ-

sic id, quo confecturas mouent, & nos perspicuitatis gratia similiter nominabimus. Quod autem solidæ rami parti continuum est, in orbem purgato, ac tenellos ramusculos vtrinque procedentes contusos decide, sed cortice prius exuto, vt segmenta iniecta medicamentum succo suo imbuant, inficiantque. Igitur statim ab initio spatha vtendum est, sed tenuia palmæ segmenta iniicere oportet, vbi medicamentum cerato similem consistentiam habuerit. Nam si à principio ea immittas, succus iniectorum, quem manere volumus, ex decoctione consumetur.

B

Insuper spathæ, qua medicamentum initio mouetur, pars in cacabo intincta, postquam inaruerit, vt proprium succum non ampliùs seruet, amputatam reiice, reliqua vtere. Hanc rursus, cùm medicamento intincta siccata fuerit, simili modo abscecato. Constare autem vobis arbitror, quòd palmæ ramum non multis diebus ante abscissum arbore esse oportet, quippe temporis interuallo arescit, & succum amittit. Pridie igitur per hyemem auferatur; æstate, vel eodem ipso die, quo cocturus es medicamentum. Vbi autem sic coctum spissitudinem, vt non inquinet, acquisierit medicamentum,

C

ipso vteris emplastro ad vlcera quæ cicatricem ægrè ducunt, dysepulota vocantur; ad cruenta valet oleo liquefactum; benefacit phlegmonis, podagris, articulorum morbis, bubonibus, phymatis, ambustis, pernionibus, fracturis ossium, contusionibus, omnibus denique affectibus, quos appellant rheumaticos. Iam verò, & multi, qui hernias abscecant, post manus operam, statim ipsum cum irrigationibus, & cataplasmatis præparatum imponunt. Si verò chalcitidis vnciæ sex immittantur, quæ est selibra, medicamentum ad magna vulnera glutinanda promptius, atque ad ea quæ cicatricem

D

ægrè ducunt, efficacius fiet. Sunt quidem in hoc etiam alia eiusdem potentiæ medicamenta, ipsi tamen cum oleo liquefacto magis quàm aliis omnibus, in rheumaticis affectionibus fidendum est. Quum igitur plurima eiusmodi Romæ existerent, nullum tam celebre, probatúmque fuit. Conducit, vt dixi, & podagricis, & articulorum vitio laborantibus quolibet tempore, quum dolores intensi non sunt, qui perfusiones, & cataplasmata lenientia postulent. Incipientibus igitur, atque augescentibus etiamnum id genus vitiis, liquefactum medica-

E

mentum refrigerari sinito, idque spathomela deradens pilæ iniicito, cui vinum superfundito, quod vt recipiat, manibus ad pilam subigito; erit autem vinum austerius ætate quidem medium, substantia non crassum, sed quàm maximè fieri potest, dilucidius; nam huiusmodi, vtpotè substantiæ tenuioris, in altum corpus penetrat. Tantisper autem liquefacto medicamento ipsum infundito, manibus conterens, dum excipiatur, misceaturque, nec humidum adnatet, quod contrito, ac emollito medicamento mixtum non sit. Ad hæc etiam si non priùs re-

F

frigeratum medicamentũ deraseris, liquefacto, & adhuc calido vinum superfusum permiscere licet. Itaq; in phlegmonũn principiis vim repulsoriam validiorem esse oportet; in incrementis verò hæc nonnihil imminuenda, quæ digerit virtus augenda est. Quum autem in statum proprium, seu vigorem phlegmones tumor peruenerit, pares inuicem

inuicem esse potestates conuenit repellendi, & digerendi, nisi quis vehemens dolor medicamentũ leniens requirat. Cæterùm declinante phlegmone, discutiendi vim augebitis, vt prorsus nihil vini eo tempore misceatis. Præterea dum id liquescit, vbi astrictoriam qualitatem satis excellere volumus, Hispanum oleum, vel Istricum, vel quod omphacinum, & omotribes *crudum* vocatur iniiciendum est. Vbi æquales vtrasque facultates habere cupias, oleo dulci, nec recenti, nec vetusto liquandum est. Si vt digerat expetis, vetus oleum, vel cicinum, commodè sumitur. Emplastri autem medicamenti in liquescendo huiusmodi fiat symmetria; Oleum paulo copiosius, quàm medicamentum esto, magisque æstate, videlicet, vt libram vnam absoluat; medicamenti verò decem vnc. iniecisse abundè suffecerit. Clarum est autem cuilibet, hoc efficacius reddi emplastrum, quo plus medicamenti habuerit; tanto autem magis mitigare, ac dolorem tollere, quanto liquidius fuerit ex rosaceo liquefactum. At cerati, quod inungi possit, consistentiam recipit, dum medicamenti libra j. in olei sel. bra liquata fuerit. Tale verò phlegmonῶn declinationibus ex vsu est. Item sedis, rectiq; intestini tumores phlegmonodas sponte obortos omnibus melius iuuat. Ipsum autem tunc liquefactum oportet cum oleo copiosiore, vt per cornu recti foraminis, cui vesica suis alligata sit, immittatur, velut in eiusmodi vsurpare consueuimus. Ad hæc frequenter ipsum in his ex rosaceo liquefecimus, cacabo vasi, in quo liquescit, priùs subiecto, qui calidam contineat; prunis verò ardentibus incumbat, aut flammæ fumo carenti. Iam verò pro superioris symmetriæ modo liquatum, vt liquidi cerati spissitudinem habeat, & pudendi, & podicis vlcera persanat, imò & alia omnia vsque ad vlceratos perniones, & ambusta. Etenim vniuersa statim inflammatione liberat, puraque reddit, & solida implet carne, præsertim vbi plus chalcitidis adiectum fuerit. Insuper nemo ignorat, vinum quoque medicamento id effecturo admiscendum esse. Quòd si acetum acceperit, ambustis optimè facit, & statim, & postea, quolibet tempore impositum, siue illa iam pustulas, siue non, habeant. Constat autem, si quis in aqua feruenti vstus fuerit, hunc etiam affectum, pyricauton, ambustum igne, nominari. Porrò si medicamentum ante imposueris quàm phlegmone sit orta, nihil adeo ipsius generationem impedit, prohibetque. Quapropter, vt dictum est, nonnulli qui hernias secant, statim eo vtuntur, neque prius vulnere madefacto. Ad hæc contusionibus, fracturis, & qualibuscunq; plagis, si liquidum imponitur, accommodatissimum est remedium. Ligamentis autem circundatum, fasciarum instar, quibus rupturæ deligantur, catagmaticas vocant, œdemata omnia, & inflationes mirificè iuuat. Quum malo succo corpus abundat, vel admodum sentiens est, quamprimum contusis, & percussis partibus illud impones, hyoscyamus recens adiicietur; qui si non est recens propter anni tempus, aut locum, nihilo magis ipsum desiderabis, si adiungas eum, qui per æstatem repositus est, qualis etiam singulis annis ex Creta nobis Romam apportatur. Hoc magis adhuc dolori sedando opportunum, idest anodynon medicamentum, succus mandragoræ mixtus efficiet; non autem vos latet, & hunc à Creta optimum fictilibus poculis afferri; cuius vnciam j. libræ olei emplastri liquefacti miscere sufficit;

A ἀλλήλαις εἶναι χρὴ τὰς δυνάμεις, τήν τε ἀποκρουστικὴν, καὶ διαφορητικὴν, ἐάν γε μή τις ὀδύνη σφοδρὰ, παρηγορικοῦ δέηται φαρμάκου. παρακμαζούσης δὲ τῆς φλεγμονῆς, τὴν διαφορητικὴν δύναμιν ἐπικρατεῖν προσήκει, ὡς μηδ᾽ ὅλως ἐν ἐκείνῳ τῷ καιρῷ μίγνυσθαί τι τοῦ οἴνου. καὶ μέντοι καὶ κατ᾽ αὐτὴν τὴν τῆξιν, ἔνθα μὲν ἐπικρατεῖν ἱκανῶς βουλόμεθα τὴν στύφουσαν ποιότητα, τὸ Σπανὸν ἔλαιον, ἢ τὸ Ἰστρικὸν, ἢ τὸ καλούμενον ὀμφάκινόν τε καὶ ὠμοτριβὲς ἐμβάλλειν προσήκει. ἔνθα δὲ παραπλησίας ἔχειν ἀμφοτέρας τὰς δυνάμεις, ἐλαίῳ γλυκεῖ, μήτε προσφάτῳ, μήτε παλαιῷ τήκειν αὐτό. διαφορητικὸν δὲ
B ποιῆσαι βουλόμενοι, ἐπιτήδειόν ἐστι παλαιὸν ἔλαιον, ἢ κίκινον. ἡ δὲ ἐν τῷ τήκεσθαι συμμετρία τοῦ ἐμπλαστοῦ φαρμάκου, τοιάδε γιγνέσθω. βραχὺ πλέον ἔστω σοι τὸ ἔλαιον τοῦ φαρμάκου, καὶ μᾶλλον δηλονότι τοῦ θέρους, ὡς εἶναι δέκα μὲν οὐγγίας τοῦ φαρμάκου, τοῦ δὲ ἐλαίου λίτραν μίαν αὐτάρκως ἂν ἐμβάλλοι τις. εὔδηλον δ᾽ ὅτι δραστικώτερον μὲν γίγνεται πλέον ἔχον τοῦ φαρμάκου, παρηγορικώτερον δὲ καὶ ἀνωδυνώτερον, ὅσῳ περ ἂν ὑγρότερον γένηται ταχὲν σὺν ῥοδίνῳ. κηρωτῆς δὲ ἐγχρίστου σύστασιν λαμβάνει, ταχείσης τοῦ φαρμάκου λίτρας μιᾶς, ἐν ἡμιλίτρῳ ἐλαίου. χρήσιμον δὲ τὸ τοιοῦτο ταῖς παρακμαῖς τῶν φλεγμονῶν ἐστι. καὶ
C τοὺς ἐν ἕδρᾳ δὲ, καὶ κατὰ τὸ ἀπευθυσμένον ἔντερον ὄγκους φλεγμονώδεις αὐτομάτως γιγνομένους, οὐδὲν οὕτως ὀνίνησι. τετῆχθαι δὲ αὐτὸ χρὴ τηνικαῦτα μετ᾽ ἐλαίου πλείονος, ὡς δι᾽ εὐθυτρήτου κέρατος ἐνίεσθαι, κύστιν ὑείαν ἔχοντος προσδεδεμένην, ὡς εἰώθαμεν ἐπὶ τῶν τοιούτων χρῆσθαι. καὶ διὰ ῥοδίνου δὲ ἐπὶ τούτων ἔτηξα πολλάκις αὐτὸ, προϋποκειμένης τῷ ἀγγείῳ καθ᾽ ὃ τήκεται κακκάβης, ὕδωρ μὲν ἐν αὐτῇ ἐχούσης θερμὸν, ἄνθραξι δὲ διαπύροις ἐπικειμένης, ἢ κατὰ φλογὸς ἀκάπνου. κατὰ μέντοι τὴν προειρημένην συμμετρίαν τετηκὸς, ὡς σύστασιν ἔχειν ὑγρᾶς κηρωτῆς, καὶ τὰ κατὰ τὸ αἰδοῖον ἕλκη, καὶ τὰ κατὰ τὴν
D ἕδραν ὀνίνησιν. οὐχ ἥκιστα δὲ καὶ τἄλλα πάντα, καὶ μέχρι τῶν ἑλκωθέντων χιμέθλων τε καὶ πυρικαύτων. καὶ γὰρ ἀφλέγμαντα, καὶ καθαρὰ ποιεῖ ταχέως ἅπαντα, καὶ σαρκοῖ στερεᾷ σαρκὶ, καὶ μάλιστα ὅταν ἔχῃ πλέον χαλκίτεως. εὔδηλον δ᾽ ὅτι καὶ οἴνου μεμῖχθαι χρὴ τῷ τοῦτο δράσοντι φαρμάκῳ. εἰ προσλάβοι δὲ ὄξους, ἄριστον ἐπὶ τῶν πυρικαύτων ἐστὶ, καὶ παραχρῆμα, καὶ μετὰ ταῦτα κατὰ πάντα καιρὸν ἐπιτιθέμενον, ἐάν τε ἤδη φλυκταίνας ἔχῃ τὸ πυρίκαυτον, ἐάν τε μή. πρόδηλον δ᾽ ὅτι κἂν ἐφ᾽ ὕδατος ζέοντος καυθῇ τις, ὀνομάζεται καὶ τοῦτο τὸ πάθημα πυρίκαυτον. εἰ δὲ πρὶν φλεγμῆναί τις ἐπιθείη τὸ φάρμα-
E κον, οὐδὲν οὕτως κωλύει γένεσιν φλεγμονῆς, ὥστε καθάπερ ἔφην καὶ τῶν τὰς κήλας τεμνόντων, εὐθέως αὐτῷ χρῶνταί τινες, οὐδὲ προεπιβρέξαντες τὸ τραῦμα. καὶ καταθλασμάτων δὲ, καὶ καταγμάτων, καὶ τῶν ὁπωσοῦν πεπληγότων, ἐπιτηδειότατόν ἐστιν ὑγρὸν ἐπιτιθέμενον. ἐπιδέσμοις δὲ περιλαμβανόμενον τῷ τρόπῳ καταγματικῆς ἐπιδέσεως, οἰδήματά γε πάντα, καὶ ἐμφυσήματα θαυμαστῶς ὀνίνησι. κακοχύμου δ᾽ ὄντος τοῦ σώματος, ἢ καὶ λίαν αἰσθητικοῦ, μιγνύειν αὐτῷ χρὴ κατ᾽ ἀρχὰς ἐπιτιθέντα τοῖς τεθλασμένοις τε καὶ πεπληγόσι μέρεσιν ὑοσκυάμου πρόσφατον. εἰ δ᾽ ἀπορήσεις προσφάτου διὰ τὴν ὥραν τοῦ ἔτους, ἢ τὸ χωρίον,
F οὐδὲν μεῖον ἕξεις ἐπεμβάλλων τὸν ἀποτιθέντα διὰ τοῦ θέρους, οἷος καὶ ὁ ἀπὸ Κρήτης ἐστὶ κομιζόμενος ἡμῖν εἰς Ῥώμην καθ᾽ ἕκαστον ἔτος. ἔτι δὲ μᾶλλον τούτου, τὸν χυλὸν τοῦ μανδραγόρου μιγνύων, ἀνώδυνον ἐργάσῃ τὸ φάρμακον. ἴστε δ᾽ ὅτι καὶ τοῦτον ἀπὸ Κρήτης κομίζεται κάλλιστος, ἐν ὀστρακίνοις ποτηρίοις. ἀρκεῖ δὲ μίαν οὐγγίαν μῖξαι τοῦ χυλοῦ, λίτρᾳ ἐλαίου τῆς τηκομένης ἐμπλάστρου.

καὶ πλέον δ᾽ ἂν ἐᾶσθ᾽ ὅτε καὶ ἔλαττον ἐμβάλλοις κατὰ τὴν χρείαν τῆς διαθέσεως. συντελεῖ δὲ ἐπὶ τῶν τοιούτων σωμάτων, καὶ τὸ διὰ ῥοδίνου τετηγμένον φάρμακον. ὅσα δὲ ἐκ καταπτώσεως ἐθλάσθη μέρη τοῦ σώματος, ἢ πληγέντα ξύλῳ, καὶ λίθῳ, κἂν ἐκχύμωμά τι γένηται, κατὰ τὰς ἀρχὰς εὐθέως ἐπιτιθέναι χρὴ τὸ τετηκὸς φάρμακον, ὡς εἴρηται, μιχθέντος οἴνου. προσήκει δὲ κατὰ τὴν τρίτην ἡμέραν, ἢ πάντως γε τὴν τετάρτην, ἐὰν ἀφλέγμαντον εἴη τὸ μόριον, ἀφαιρεῖν μὲν τὸν οἶνον, ἐλαίῳ δὲ τήκειν παλαιῷ τὴν ἔμπλαστρον. ἐὰν γὰρ ἐπὶ πλέον στύφηται τὰ ἐκχυμώματα, δυσδιαφόρητα γίνεται. τούτῳ τῷ φαρμάκῳ, καὶ πρὸς ἐρυσιπέλατα χρῶμαι, καὶ μάλιστα φλεγμονώδη, καὶ πολὺ δὴ μᾶλλον ἔτι πρὸς τὰς ἐρυσιπελατώδεις φλεγμονάς. ἐν ἀρχῇ μὲν οὖν ἐπιτίθημι, τήκων αὐτὸ ῥοδίνῳ δι᾽ ὠμοτριβοῦς ἐλαίου, καὶ ἀνάλου σκευασθέντι, κάλλιστον μὲν γὰρ πρὸς ἐρυσιπέλατα τὸ τοιοῦτον. τακέντι δ᾽ οὕτως αὐτῷ, μιγνύσθω κατὰ τὴν θυίαν, ἀναφυρόμενός τε καὶ δεύμενος ἀκριβῶς ὅλος δι᾽ ὅλου στρύχνου χυλός, ἢ εἰ μὴ τοῦτο παρείη, ψυλλίου. θέρους δὲ ὄντος, καὶ ὁ τῆς ὄμφακος μετὰ τοῦ τῆς ἀνδράχνης, ἢ ἀειζώου. μόνος μὲν γὰρ ὁ τῆς ὄμφακος πλέον, ἢ δεῖ στύφει. βλάπτει δὲ ἡ τοσαύτη στύψις ἐρυσιπέλατα, κατακλείει γὰρ αὐτῶν τὴν θερμότητα, πυκνοῦσα τὸ δέρμα. πάλιν δὲ ὁ τῆς ἀνδράχνης χυλός, οὐδ᾽ ἐκθλιφθῆναι δύναται μόνος ὑπὸ γλισχρότητος. ἄριστον οὖν ἐστιν ἐκθλίψαντα τὸν τῆς ὄμφακος χυλόν, ἐπιβάλλειν ἐν ὅλμῳ, κεκομμένῃ τῇ ἀνδράχνῃ, καὶ οὕτως αὖθις κόπτειν. εἶθ᾽ ὅταν ἀκριβῶς ἑνωθῇ τὸ μικτὸν ἐξ ἀμφοῖν, ἐκθλίβειν τὸν χυλόν. ὁμοίως δὲ καὶ τὸν τοῦ ἀειζώου χυλὸν ἐκθλίψεις. καταμόνας γὰρ οὐδὲ ἐκ τούτου δυνατὸν ἐκθλίψαι δαψιλῆ, καθάπερ οὐδ᾽ ἐκ τῆς κοτυληδόνος. εἰ δὲ καὶ τῶν τοῦ μανδραγόρου μήλων ἀκμαίων ὄντων ἐκθλίψειε πρόσφατον χυλόν, ἐπιτηδειότερον ἐργάσεται τὸ φάρμακον. εἰ δὲ μὴ κατὰ καιρὸν εἴη, ἀλλὰ τοῦ γε ἀπὸ Κρήτης, ἤ τινος ἑτέρου χωρίου τοιούτου κομιζομένου, μιγνύειν χρή. καὶ ὑοσκυάμου δὲ χυλὸν εἴωθα μιγνύειν αὐτῷ, καί ποτε καὶ μηκώνιον. ὀνομάζεται δὲ οὕτως ὁ τῆς μήκωνος ὀπός. ἄμεινον δὲ ἅμα τούτῳ, καὶ γλαυκίου τι προσεπεμβάλλειν. ἀσθενέστερος δὲ πολὺ τούτων, ἀλλ᾽ εὐπόριστος ὁ τῆς θριδακίνης χυλός, ὅ τε τῆς ἀγρίας, καὶ ὁ τῆς κηπευομένης, ἣν ἅπαντες οἱ Ἕλληνες οἱ νῦν, οὐ θριδακίνην, ἀλλὰ θρίδακα προσαγορεύουσι, τὴν ἀγρίαν μόνην, θριδακίνην ὀνομάζοντες. ἀσθενέστεροι δὲ τούτων εἰς ψύξιν χυλοί, σέρεως, καὶ πολυγόνου, καὶ τριφύλλου, καὶ μυὸς ὤτων εἰσί, ψύχουσι δ᾽ οὖν καὶ αὐτοί. καὶ μᾶλλον αὐτῶν ὁ ἀπὸ τῶν τελμάτων φακός. εἰ δὲ μηδὲν τούτων παρείη, μιγνύειν ὄξους τε καὶ ὕδατος. ἅπαντα δὲ τὰ τοιαῦτα φάρμακα, τὰς ἐπικτήτους ποιότητας ἐχέτω ψυχράς, ἐνισταμένων τῶν ἀγγείων ὕδατι ψυχρῷ λίαν, ἢ χιόνι. καὶ αὐτὸ δὲ τὸ τῆς φοινικίνης φάρμακον, ὁμοίως κατεψυγμένον προσαγέσθω ἐρυσιπέλασιν, ἄχρι περ ἂν αὐτῶν παύσηται τὸ πάνυ φλογῶδες. εὔδηλον δ᾽ ὅτι συνεχῶς ὑπαλλάττεσθαι χρὴ τὰ δι᾽ ἐπικτήτου ποιότητος ψυχρᾶς ὠφελοῦντα τὰς ἐρυσιπελατώδεις διαθέσεις, καὶ μάλιστα ὅταν ἀκριβὲς ᾖ τὸ ἐρυσίπελας, ἄνευ τοῦ μεμίχθαι φλεγμονῇ. παυσαμένου μέντοι τοῦ πάνυ φλογώδους, ἢ μηδὲ τὴν ἀρχὴν ἀκριβοῦς ἐρυσιπέλατος γεγονότος, ἀλλ᾽ ἤτοι φλεγμονῆς ἐρυσιπελατώδους, ἢ ἐρυσιπέλατος φλεγμονώδους, οὐδὲν ἔτι δεόμεθα τῆς ἐπικτήτου ψύξεως, ἀλλὰ καὶ τῶν ψυχόντων πάνυ χυλῶν ἀφεξόμεθα, τοῖς μετρίως ψυχροῖς μιγνύντες τῷ τηχθέντι φαρμάκῳ. καὶ μετὰ τούτους ἤδη, καὶ λινοσπέρμου χυλόν, καὶ χαμαιμήλου μίξομεν· αὐτῷ τε μόνῳ μετὰ ταῦτα χρησόμεθα τῷ τετηκότι φαρμάκῳ, μηδὲν ἐπιμιγνύντες ἄλλο.

A atque interdum amplius, interdū minus impones, prout dispositio postulat. Conducit autē in in eiusmodi corporibus, & medicamentum ex rosaceo liquefactum esse. Cæterùm ex casu contusis partibus, vel ligno, ac lapide percussis, etsi ecchymosis quædam cōtigerit, protinus ab initio medicamentum liquatum imponi oportet, vino, vt docui, mixto. Quod vinum die tertio, aut certè quarto, si pars inflammatione careat, auferri oportet, oleo autem veteri emplastrum liquare; nam si plus astringantur ecchymomata, vix queant per halitum digeri. Hoc medicamento etiam vtor aduersus erysipelata, præsertim phlegmonode, & adhuc longè magis ad phlegmonas erysipelatodeis. Principio igitur

B impono ipsum liquatum ex rosaceo, quod oleo omotribe, *crudo*, & salis experte constet; tale enim erysipelatis est accommodatissimum. Ita iam liquefacto solani succus in mortario misceatur, qui totus per totum accuratè subigatur, excipiaturque; qui si non adest, psyllij; si æstas fuerit, etiam omphacis, idest, vuæ acerbæ, cum portulacæ, vel semperuiui succo. Etenim vuæ acerbæ liquor per se plus, quā oportet astringit; tanta autem astrictio erysipelata lædit, vt quæ calorē ipsorum cutē densando includat. Rursus portulacæ succus, neque is

C solus præ lentore potest exprimi. Optimum igitur est qui ex vua acerba prius tusa exprimitur, portulacæ in pila cōmittere, & sic iterum cōtundere; deinde vbi ex ambobus mixtum exactè vnitum fuerit, liquorem elicere. Simili modo etiam semperuiui succum exprimes; nam seorsum neq; ex hoc, quemadmodum neq; ex cotyledone, succum copiosum exprimere quisquam potest. At mandragoræ pomorum maturitate vigentium succus recens adiectus magis aptum medicamentū efficiet, quem si tempus non admittat, illius quæ à Creta, vel alio quopiam loco aduehatur, miscere non du-

D bitabis. Quin & hyoscyami succū miscere ei consueuimus, interdū meconium, ita autē nominatur papaueris succus. Satius autem est vnà cum hoc, & glaucij quippiam superindere. At his multò imbecillior, sed acquisitu facilis, lactucæ succus est, tum agrestis, tum hortensis, quam vniuersi Græci huius tēpestatis non thridacinem, sed thridaca; nominant, agrestem solam thridacinen appellantes. His rursus sereos, polygoni, trifolij, & auriculæ muris, succi minus ad refrigerandum efficaces sunt, quanquam, & ipsi refrigerant, sed his euidentiùs lenticula palustribus locis proueniens. Horum omnium penuria, miscebis acetum, & aquam.

E Porrò medicamenta hæc vniuersa ascititias qualitates frigidas habeant, vasis videlicet aquæ admodum frigidæ, aut niui insistentibus. Atqui ipsum quoque phœnicinum medicamentū simili modo refrigeratum erysipelatis admoueatur, donec vehemens ipsorum ardor subsidat. Liquet autē, subinde ea quæ aduentitia qualitate frigida erysipelatosis affectibus succurrunt, immutanda esse, maximè, vbi exactū erysipelas citra phlegmonem fuerit. Posteaquam verò vehemens ille ardor quieuerit, aut nec perfectum planè erysipelas affixerit,

F sed vel erysipelatodes phlegmone, vel phlegmonodes erysipelas, non adhuc externum frigus admoliemur, verùm à succis etiam impensè frigidis abstinebimus, eos medicamento liquefacto miscentes, qui mediocriter refrigerant. Atque ab his iam, & lini seminis, & chamæmeli succum misceamus, ipsoque solo postea medicamento liquato vtemur, nihil aliud præterea immittentes.

At

A At si quando liuidum ex frigefacientium vi erysipelas euaserit, tale non amplius erysipelas appellandum est, sed tunc abstinere non à vini mixtura modò, sed rosacei quoque, & astringentium oleorum, oportet, nam solùm phœnicinum veteri oleo liquefactum, quod liuorem contraxit, per halitum discutere potest; & tunc affectæ partes aqua calida fouentur, & scarificantur. Vobis si fuerit visum hoc interdum facere, protinus phœnicini liquefacti humidum medicamentum, cui vinum adiectum sit, imponere conuenit, altero die vinum auferendum. Quòd si iam plus impendio erysipelas refrigeratum ab immodicè refrigerantibus medicis acceperimus, vt iam quoque nigricet, perfusione, & scarificatione magis vtemur, atque citra hęc calcis viuæ quippiam liquido medicamento immittemus, si verò laborantes teneri sunt, lotam ipsam vsurpabimus. Tunc prodest etiam succus coriandri medicamento inditus, qui sanè, & cum cerato rosaceo iuuat non mediocriter. Ad hæc sanè similesque affectus alia pleraque medicamenta sequenti sermone dicentur, quædam pari virtute cum phœnicino, nonnulla etiam efficaciore prædita. Aduersus autem rheumaticos affectus, omnium optimum hoc medicamentum est, ac spe maiora frequenter præstitit. Quum itaque femur aliquando prope inguen, cruda phlegmone totum id affligente suppurasset, crus ita nobis figurabatur, vt sanies ad inguen confluеret. Facto autem vlcere, dum hoc longiore interuallo contingeret, fluxio quæ in femur decubuerat, euacuata est; sed fistulosa quædam affectio sub femoris totius cute orta est, vt ipsam, iuxta patellam, seu epigonatidem diuidere cogitaremus, quò saniei vtrinque liber esset exitus, medicamentis autem liquidis inditis largius pertranseundi via promptior. Vbi autem femur soluissem postero die, quo incidere ipsum decreueram, inuenta sunt omnia collapsa, arida, madorisque expertia. Nemo igitur non nouit, quòd rationi consentaneum erat, & postero die, & sequentibus similiter, vti medicamento, quandoquidem particula quotidie coloratior, ac omninò sanior, quàm esset, reddebatur. Curato itaque hoc modo adolescente, postea multas rheumaticas affectiones hoc medicamento sanaui, quæ quidem osculum simplex haberent, sed vt glutinari non posset, & fistulosum intus esset. Non est autem ab ipsius medicamenti vsu desistendum, etiam si multis diebus euidens nullũ præsidium afferre videatur, vt quod postea vno interim die simul vniuersam vtilitatem maximam ostendat. Quare bono animo hoc semper in rheumaticis affectionibus vtamini, in teneræ quidẽ carnis homine, vel puero aliquo, vel muliere, post prædictã symmetriam quatuor vncias chalcitidis immittentes; in valido, ac duro corpore, ex proportione, vel vnciam vnã, vel duas apponentes, vt quinque, vel sex chalcitidis vnciæ sint, tres libræ vtriusque nempe olei veteris, & argenti spumæ, duæ vetusti adipis, quem institores axungiam appellare diximus. Diluatur autem in rheumatum vitiis oleo dulci, nec nouo, nec veteri, assumatque vinum austerum ętatis mediæ. Hoc medicamentum coarguit Thessali nugacitatem, efficacissimum auxilium ex contrariis potentiis compositum ostendens, quarum si alteram adimas, nihil faciet prædictorum. Nam neque ex astringentibus solùm sine laxantibus ad rheumaticos affectus præclarum quidquam perficiet, vel certè ad phlegmonas incipientes, & augescentes

Φθάσαντος δέ ποτε πελιδνοῦ γενέσθαι τοῦ ἐρυσιπέλατος, ὑπὸ τῆς τῶν ψυχόντων δυνάμεως, χρὴ μὲν οὐδ᾽ ὀνομάζειν ἔτι τὸ τοιοῦτον ἐρυσίπελας. ἀπέχεσθαι δὲ προσήκει τηνικαῦτα, μὴ ὅτι τῆς οἴνου τῆς μίξεως, ἀλλὰ καὶ τοῦ ῥοδίνου καὶ τῶν στυπτικῶν ἐλαίων. ἱκανὴ γὰρ ἡ φοινικίνη μόνη, διαφορῆσαι τὸ πελιδνωθὲν, ἐλαίῳ τηκομένη παλαιῷ, καὶ καταντλεῖται ὕδατι θερμῷ τηνικαῦτα τὰ πεπονθότα μόρια, καὶ καταχαράζεται. καὶ ὑμῖν εἰ δόξῃ ποτὲ τοῦτο πρᾶξαι, μετὰ τὸ χρῆμα μὲν ἐπιτιθέναι χρὴ τὸ τῆς φοινικίνης τακείσης ὑγρὸν φάρμακον ἔχον οἶνον, μετὰ δὲ μίαν ἡμέραν ἀφαιρεῖν τὸν οἶνον. εἰ δὲ πλέον ἤδη κατεψυγμένον ἐρυσίπελας ὑπὸ τῶν ἀμέτρως B ψυχόντων ἰατρῶν παραλάβοιμεν, ὡς ἤδη καὶ μελαίνεσθαι, τῇ τε καταντλήσει καὶ τῇ ἀποσχαράξει μᾶλλον χρησόμεθα. καὶ χωρὶς δὲ τούτων, τῷ ὑγρῷ φαρμάκῳ μίξομεν τι τῆς ἀσβέστου τιτάνου. μαλακοσάρκων δὲ τῶν πεπονθότων ὄντων, πεπλυμένης αὐτῆς μίξομεν. ἀγαθὸς δὲ τηνικαῦτα, καὶ ὁ τοῦ κοριάνδρου χυλὸς ἀναμιγνύμενος τῷ φαρμάκῳ. ὃς μὲν γε καὶ μετὰ ῥοδίνης κηρωτῆς ὀνίνησι μεγάλως. πρὸς ἃ δὴ καὶ τὰς τοιαύτας διαθέσεις, καὶ ἄλλα πολλὰ φάρμακα, κατὰ τὸν ἑξῆς λόγον εἰρήσεται, τινὰ μὲν ὁμοίαν ἔχοντα δύναμιν τῇ φοινικίνῃ, τινὰ δὲ καὶ δραστικωτέραν. πρὸς δὲ τὰς ῥευματικὰς, πάντων ἄριστον φάρμακον τοῦτο, καὶ πολλάκις ἐλ- C πίδος τε μεῖζον αὐτῶν. ἐκπυήσαντος οὖν ποτε μηροῦ πλησίον τοῦ βουβῶνος, ἀπέπτου τῆς καθ᾽ ὅλον αὐτὸν οὔσης φλεγμονῆς, ἐσχηματίζετο μὲν ὑφ᾽ ἡμῶν τὸ σκέλος, ὡς ἐκρεῖν τοὺς ἰχῶρας ἐπὶ τὸν βουβῶνα. κατὰ δὲ τὸ γενόμενον ἕλκος, ἐν πλείονι χρόνῳ τούτου συμβάντος, ἐξεκενώθη μὲν τὸ κατασκῆψαν εἰς τὸν μηρὸν ῥεῦμα, συριγγώδης δέ τις ἐγένετο διάθεσις ὑπὸ τῷ δέρματι, καθ᾽ ὅλον τὸν μηρὸν, ὡς βούλεσθαι μὲν διελεῖν αὐτὸν ἐπὶ τῆς ἐπιγονατίδος, ὅπως ἑκατέρωθεν ἔκροις μὲν ὑπάρχῃ τοῖς ἰχῶρσιν, εὐπορία δὲ τοῖς ἐνιεμένοις ὑγροῖς φαρμάκοις, ἐπὶ πλέον διεξιέναι. λυθέντος δὲ τοῦ μηροῦ κατὰ τὴν ὑστεραίαν, ἐν ᾗ τέμνειν αὐτὸν ἐγνώκειν, D εὑρέθη προσαπεπτωκότα, καὶ ξηρὰ, καὶ ἄικμα πάντα. πρόδηλον οὖν, ὅτι καὶ κατ᾽ ἐκείνην τὴν ἡμέραν εὔλογον ἦν χρήσασθαι τῷ φαρμάκῳ, καὶ μετὰ τὴν ἐπιοῦσαν ὡσαύτως, ἔν τε ταῖς ἑξῆς, ἐπειδὴ καθ᾽ ἑκάστην αὐτῶν εὐχρούστερόν τε καὶ ὅλον ὑγιεινότερον αὐτοῦ τὸ μόριον ἐγίγνετο. θεραπευθέντος οὖν οὕτως τοῦ μειρακίου, μετὰ ταῦτα πολλὰς ῥευματικὰς διαθέσεις ἐθεράπευσα τῷ φαρμάκῳ, στόμιον μὲν ἐχούσας ἓν, ἀκόλλητον δὲ καὶ συριγγῶδες τὸ ἔνδον. οὐ χρὴ δὲ ἀφίστασθαι τῆς χρήσεως αὐτοῦ, κἂν μηδὲν αἰσθητὸν ὠφελεῖν φαίνηται, μέχρι πολλῶν ἡμερῶν. ὕστερον γάρ ποτε κατὰ μίαν ἡμέραν ἀθρόαν ὠφέλειαν ἐπιδείκνυται με- E γίστην, ὥστε θαρροῦντες αὐτῷ χρῆσθε διὰ παντὸς ἐπὶ τῶν ῥευματικῶν διαθέσεων, ὅταν μὲν ἁπαλόσαρκος ἄνθρωπος, ἢ τις παῖς, ἢ γυνὴ πάσχῃ, μετὰ τὴν προειρημένην συμμετρίαν, ἐμβάλλοντες οὐγγίας δ. τῆς χαλκίτεως. ὅταν δὲ ἰσχυρὸν καὶ σκληρὸν πάσχῃ σῶμα, κατὰ τὴν ἀναλογίαν, ἤτοι μίαν οὐγγίαν, ἢ δύο προστιθέντες, ὥστε ε. μὲν ἢ ς΄. εἶναι τῆς χαλκίτεως οὐγγίας, πρὸς δὲ λίτρας ἑκατέρου τοῦ τε ἐλαίου τοῦ παλαιοῦ, καὶ τοῦ λιθαργύρου, καὶ δύο τοῦ παλαιοῦ στέατος, ὃ καλεῖν ἔφην τοὺς πιπράσκοντας ἀξούγγιον. ἀνιέσθω δὲ ἐπὶ τῶν ῥευματικῶν διαθέσεων ἐλαίῳ γλυκεῖ, μήτε προσφάτῳ, μήτε παλαιῷ, καὶ προσλαμβανέτω τὸν αὐστηρὸν οἶνον, ἡλι- F κίας ὑπάρχοντα μέσης. τοῦτο τὸ φάρμακον ἤλεγξε τὴν Θεσσαλοῦ φλυαρίαν, ἐνεργεστάτην μὲν ἐπιδεικνύμενον ὠφέλειαν, ἐξ ἐναντίων δὲ ταῖς δυνάμεσι συγκείμενον, ὧν ἐὰν ἀφέλῃς τὴν ἑτέραν, οὐδὲν τῶν εἰρημένων ἐργάσεται. οὔτε γὰρ ἐκ τῶν στυφόντων μόνον ἄνευ τῶν χαλώντων αὐτὸ τι γενναῖον ἐπὶ τῶν ῥευματικῶν διαθέσεων, ἢ ὅλως τῶν ἀρχομένων τε καὶ αὐξανομένων φλεγμονῶν.

οὐδὲ γὰρ ἕξει τὸ παρηγορικὸν, οὔτε ἐκ μόνων τῶν χαλώντων τὸ διαφορητικὸν ἄνευ στύψεως γινόμενον, οἷς μαλάττειν ὑπάρχει τὰ σκληρυνόμενα. χαλαστικὸν δ' ἂν ἀκριβῶς γίνοιτο, καὶ μετρίως μαλακτικὸν, εἰ μὴ πάνυ παλαιὸν ἔχοι τό τε ἔλαιον καὶ τὸ στέαρ. ὃ γοῦν συνέθηκεν ὁ Μνασαῖος φάρμακον, ἴσα μὲν ἀλλήλοις ἔχει, τό τε ἔλαιον καὶ τὴν λιθάργυρον, καὶ τὸ στέαρ. ἐναντιώτατον δέ ἐστιν ἀρχομέναις τε καὶ αὐξανομέναις φλεγμοναῖς. ἔχει δὲ δηλονότι καὶ τὸ ἡμέτερον τοῦτο φάρμακον, ὅσα περ καὶ τὸ τοῦ Μνασαίου, τήν τε λιθάργυρον, καὶ τὸ στέαρ, καὶ τὸ ἔλαιον. ἀλλ' ἐὰν μηδὲν προσλάβῃ τῶν στυφόντων, ἐκθηλύνει τὰ μόρια, καὶ διαλύει τὸν τόνον αὐτῶν, διὸ καὶ ῥευματικὰ γίνεται. B μεμαθήκατε γὰρ, ὡς οὐκ ἀεὶ διὰ θερμασίαν πολλὴν, ὥς τινες οἴονται, ῥευματίζεται τὰ μόρια τοῦ σώματος, ἀλλὰ τοῦτο μὲν γίνεται σπανίως αὐτοῖς. ἡ δὲ ἀσθένεια τῶν μορίων, τὰς ῥευματικὰς ἐργάζεται διαθέσεις, ἥτις, ὡς τὸ πολὺ κατὰ δυσκρασίαν ἀποτελεῖται ψυχράν. ἐὰν οὖν ὑγραίνῃ τις αὐτὰ, καὶ θερμαίνῃ τοῖς χαλαστικοῖς φαρμάκοις, τελέως ἔκλυτά τε καὶ ἄρρωστα γίνεται. πάλιν δ' αὖ στύφων ἰσχυρῶς τοὺς ἐν ταῖς ῥευματικαῖς διαθέσεσιν ὄγκους, ἐν ἀρχῇ μὲν ὀνήσαι δόξει, δύσλυτον δ' ἐργάσεται, καὶ σκιρρῶδες αὐτῶν τὸ λειπόμενον. ὡς τὰ πολλὰ δ' οὐδὲ φέρουσι τὴν τῶν ἄγαν στυφόντων ἐπίθεσιν αἱ τοιαῦται C διαθέσεις, ὀδυνώμεναί τε καὶ συντεινόμεναι πρὸς αὐτῶν. ὀδύνη δὲ πᾶσα παροξύνει τὰ φλεγμαίνοντα, καὶ ῥευμάτων αἰτία γίνεται, κἂν μὴ ῥευματικὴν ἔχῃ δυσκρασίαν ὁ πεπονθώς. ἀλλ' οὐδὲν θαυμαστὸν, ἄπειρόν τε τῶν κατ' ἰατρικὴν τέχνην ἔργων ὄντα τὸν Θεσσαλὸν, ἀδύνατόν τε τῷ λόγῳ τὰς διαθέσεις ἐξευρεῖν, ἀγνοεῖν ἅπαντα τὰ κατὰ τὰς ἰάσεις τῶν φλεγμονῶν. ὑμᾶς δὲ τεθεαμένους πολλάκις, καὶ τῆς φοινικίνης τῆσδε, καὶ τῶν ἄλλων φαρμάκων ἐξ ἐναντίων δυνάμεων συγκειμένων, ἐναργεστάτην ὠφέλειαν, ἐπὶ πολλῶν διαθέσεων, πειρᾶσθαι χρὴ καὶ αὐτοὺς, ὅταν ἀπορῆτέ ποτε τῶν ἤδη συγκειμένων, συντιθέναι φάρμακα κατὰ τὴν αὐτὴν μέθοδον, ἐκ τῶν εὐπορουμένων ἐν ἐκείνῳ τῷ χωρίῳ, D προσδοκωμένης μὲν ἔσεσθαι φλεγμονῆς, ἢ καὶ κατηργμένης ἤδη, πλέονα τὴν στύψιν ἔχοντα. κατὰ δὲ τὰς αὐξήσεις αὐτὰς ἐλάττονα, κατὰ δὲ τὰς ἀκμάς τε καὶ παρακμὰς, πλέονα τὴν χαλαστικήν τε καὶ διαφορητικὴν ἔχοντα δύναμιν. ἀεὶ μέντοι μεμίχθωσαν ἀμφότεραι, ἥ τε ἀποκρουστικὴ, καὶ διαφορητικὴ, πλὴν εἴ ποτε τῶν ἐπιρρεόντων ἤδη τελέως πεπαυμένων, καὶ κενοῦ τοῦ σώματος ὄντος, ἐπὶ τὰς διαφορητικὰς δυνάμεις ἀκινδύνως ἄν τις ἔλθοι, καθάπερ ἐν ταῖς πρώταις εἰσβολαῖς ἐπὶ τὰς ἀποκρουστικάς.

A neque enim leniendi vim obtinebit; neque ex solis relaxantibus discussorium, sine astrictione confectum, quæ indurata habent emollire. Porrò laxabit perfectè, & mediocriter emolliet, si non admodum vetus oleum, & adipem receperit. Quod ita Mnaseus medicamentum condidit, æqualia inuicem continet, tum oleum, tum argenti spumam, tum adipem, sed maximè phlegmonis incipientibus, increscentibusque est contrarium. Habet & nostrum videlicet hoc medicamentum eadem omnia, quæ Mnasei & argenti spumam, & adipem, & oleum; verùm si nihil ex iis, quæ astringunt, acceperit, partes effæminat, & robur earum dissoluit, ob quod etiam fluxioni fiunt obnoxiæ. Didicistis enim non semper ob calorem immodicum, vt quidam arbitrantur, corporis partes fluxionibus laborare, sed hoc quidem ipsis rarò accidere; ab imbecillitate verò illarum id genus vitij progigni, quæ vt plurimum ex intemperie frigida proficiscitur. Itaque si humectet eas quispiam, calefaciatque medicamentis laxantibus, dissolutæ prorsus, & infirmæ fiunt. Rursus si tumores in rheumaticis affectionibus fortiter astringat; initio quidem proficere videbitur, cæterùm quod restat, contumax, & scirrhosum faciet; nam magna ex parte tales affectus ne quidem ferunt nimis astringentium impositionem, vt qui illis, & dolore, & tensione molestentur. Atqui omnis dolor inflammata exacuit, irritatque, & fluxionibus occasionem præbet, quamuis rheumatica intemperie æger non afficiatur. Sed miri nihil est, Thessalum medicæ artis operum inexpertum, & qui affectiones ratione inuenire nequeat, omnem phlegmonarum curationem ignorare. Vobis autem, qui crebrò, tum phœnicini huius, tum aliorum medicamentorum, quæ contrariis constant virtutibus, euidentissima in multis morbis auxilia videritis, conandum est ipsis quoque, vbi iam composita interdum desiderantur, eadem methodo ex illis quæcunque regio præbet, conficere; quum phlegmonem suspicamini futuram, vel incepisse modò, quæ magis astringunt; in augmento ipso, quæ minus; in statu, & declinatione, quæ magis relaxant, & digerunt. Semper tamen vtraque misceatur, & repellendi, & discutiendi facultas, nisi quando fluxio prorsus constiterit, & corpus vacuum fuerit, tunc ad digerentem, sicut in primis incursibus ad repulsoriam virtutem, tuta est accessio.

E

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν διὰ λιθαργύρου σκευαζομένων ἐμπλάστρων.

Ἐπειδὴ κατὰ σύνθεσιν τῆς ἐμῆς φοινικίνης ἐμπλάστρου, διαφορητικὴν μὲν ἔφην δύναμιν εἶναι, ἔν τε τῷ στέατι τῷ παλαιῷ καὶ τῷ ἐλαίῳ, συνακτικὴν δὲ καὶ ἀποκρουστικὴν, ἔν τε τῇ χαλκίτιδι καὶ τῷ φοίνικι, ταῦτα δ' ἄνευ τῆς λιθαργύρου ποιῆσαι φάρμακον ἔμπλαστον οὐ δύναται, διὰ τοῦτ' ἔδοξέ μοι περὶ τῆς κατὰ τὴν λιθάργυρον χρείας ἐφεξῆς διελθεῖν. εἰς μὲν F γὰρ τὴν δύναμιν τῆς φοινικίνης, οὔτ' ἀντιπράττειν τι νομιστέον αὐτὴν, οὔτε συντελεῖν, ὕλης δὲ λόγον ἔχειν μόνον ἐπιτηδείου πρὸς ἐμπλαστοῦ φαρμάκου ποίησιν. εὔλογον οὖν ἔδοξέ μοι τὸν περὶ τῶν τοιούτων φαρμάκων λόγον, ὡς ἐπὶ παραδείγματος τῆς λιθαργύρου διελθεῖν. ἔστι δ' οὐκ ὀλίγα, δύναμιν μὲν, ἢ οὐδεμίαν,

CAPVT V.

De emplastris, quæ ex lithargyro parantur.

QVoniam in emplastri mei phœnicini confectura adipem vetustum, & oleum digerendi potestatem habere dixi, chalcitidem verò, & palmam cogendi repellendique; hæc autem medicamentum emplastrum, sine argenti spuma procreare non possunt; ob id visum mihi est, de ipsius spumæ argenti vsu deinceps verba facere. si quidem phœnicini viribus, nec eam obesse quicquam nec conducere, sed materiæ ad emplastri medicamenti cōpositionem tantùm idoneæ rationem obtinere putandum est. Non absurdum itaq; mihi apparet, si de eiusmodi medicamenti exempli gratia de lithargyro disputationem instituero. Sunt non pauca, quæ potestatem, aut nullam,

aut exiguam admodum medicamento, quod præparatur, simul afferunt, commoditatem verò materiæ præbent, vt vel emplastri, vel cerati, speciem referat. Neque enim lithargyrus manifestò calida est, sicut nec frigida, nec humida, sed exiguam siccandi habet virtutem in primo abscessu ab iis quæ adamussim media sunt inter humida, & sicca. Non tamen vis eius est obstruere, sicut nec aperire, item nec abstergere, quemadmodum, nec inquinare euidenter, sed paulum à mediis ad crassius quodammodo recessit. Verùm hoc quoque ex diuturna coctione deponit, fusa per ignis potentiam, & alterata. Porrò sola per se cruda femorum attritus ex itinere iuuat, quo etiam parum exiccare cognoscitur. At neque acrem, vel dulcem, neque acidam, vel amaram, vel austeram, vel acerbam, vel omninò astringentem facultatem, ipsam habere gustus abundè testis est. Quemadmodum etiam vlcera, nec ab ea derodi, nec calefieri, nec refrigerari, nec purgari, nec carne impleri, nec quum caro supercreuerit, tolli percipimus. Licet itaque nobis in varium vsum administrare argenti spumam, interim ex oleo, & aqua coctionem eius adusque emplastri spissitudinem molientibus, interdum ex oleo, & aceto, aliquando ex oleo, & vino. Porrò in quibuscunque istorum coquatur, melius id medicamenti redditur, quod magis coctum fuerit; quod liquidorum, quæ miscentur, copia continget. Est enim ex iis medicamentis, quæ liquefieri possunt, etiam spuma argenti, dum tota funditur, sicut resina, & cera, sed non statim, vbi ignem contigerit; vnde multis imponit, qui nullo modo ipsam fundi existimant. Igitur si cum oxelæo coquatur, liquescit citius, perinde, ac cum ærugine, quæ & ipsa fundi natura solet, vti chalcitis quoque, & misy. Ipsorum itaque celerrimè chalcitis funditur, tardissimè argenti spuma; at in horum medio sunt ærugo, & misy. Funditur & sori, sed longiore temporis interuallo, vt quod terrestre magis, & saxeum sit, quàm chalcitis, & misy; sed de his iterum dicetur. Argenti autem spumam per oxelæum coquēs, ocyus liquefacies, per hydrelæum tardius, tamen funditur sic quoque, si duplum eius sit vterque humor. Ego certè plus etiam quàm duplum miscui frequenter, vt paulo post exponam. Atqui melius est statim ab initio hæc tria in mortario miscere, argenti spumam, aquā, & oleum. Quòd si candidum medicamentum esse cures, oleum purius lucidiusque iniicito, atque aquam similiter puram, ac candidam; coquatur in loco sub dio, Soli exposito, quia nubilus aër medicamentum denigrat, syncerus magnum ad albedinem adiumentum affert, sicut aqua etiam in huiusmodi aëre aspersa. Cæterùm obseruato, ne coctionem lignis, aut carbonibus peruri incipientibus, moliaris, nam fumus ei facilè nigredinem conciliat. Perustis igitur antea carbonibus, cum exactè ardent, tunc coctionem auspicare; quod si illam per hos absolui non licuerit, in alio foco simili modo carbonibus præparatis cacabum superponito. Quæ ergo medicamenti candidi faciendi gratia obseruanda sunt, abundè satis indicatum est. Iam verò hoc fit glutinantius, quo plus, vt dictum est liquoris affuerit: quemadmodum si singulorum trium pondo libram vnam iniicias, firmius adhærebit. At si argenti spuma non illiquescat, causa est potissimum, cur id facilè decidat; sicut diutius adhæret quum argenti spuma cocta funditur, alteraturque.

A ἢ πάνυ σμικρὰν τῷ σκευαζομένῳ συνεισφερομένη, χορηγεῖ δ' ὕλης ἐπιτήδειον, πρὸς τὸ γενέσθαι φάρμακον ἔμπλαστον, ἢ κηρωτῶδες· οὔτε γὰρ θερμαίνουσα σαφῶς ἡ λιθάργυρος, καθάπερ οὐδὲ ψύχουσα, οὐδ' ὑγραίνουσα, βραχεῖαν ἔχει δύναμιν ξηραντικήν. κατὰ τὴν πρώτην ἀπόστασιν τῶν ἀκριβῶς μέσων, τοῦ θ' ὑγραίνειν καὶ ξηραίνειν. οὐ μὴν οὐδ' ἐμπλαστικῆς ἐστι δυνάμεως, ὥσπερ οὐδ' ἐκφρακτικῆς, ὡσαύτως δὲ οὐδὲ ῥυπτικῆς, ὥσπερ οὐδὲ ῥυπαινούσης σαφῶς, ἠρέμα δέ πως ἀποκεχώρηκε τῶν μέσων ἐπὶ τὸ παχυμερέστερον. ἀλλὰ κατὰ τὴν ἐπὶ πλέον ἕψησιν ἀποτίθεται καὶ τοῦτο, χεομένη τε καὶ ἀλλοιουμένη, διὰ τῆς τοῦ

B πυρὸς δυνάμεως. μόνη δὲ καθ' ἑαυτὴν ὠμὴ, παρατρίμματα μηρῶν ἐξ ὁδοιπορίας ὀνίνησιν, ᾧ καὶ δῆλον ὅτι βραχέως ξηραίνει. τοῦ δὲ μήτε δριμεῖαν ἔχειν αὐτὴν, ἢ γλυκεῖαν ποιότητα, μήτ' ὀξεῖαν, ἢ πικρὰν, ἢ αὐστηρὰν, ἢ στρυφνὴν, ἢ ὅλως στυπτικὴν, ἡ γεῦσις ἱκανὴ μάρτυς, ὥσπερ καὶ τὰ ἕλκη, μήτε δακνόμενα πρὸς αὐτῆς, μήτε θερμαινόμενα, μήτε ψυχόμενα, μήτε καθαιρόμενα, μήτε σαρκούμενα, μήθ' ὅταν ὑπερσαρκώσῃ καθαιρούμενα. πάρεστιν οὖν ἡμῖν εἰς πολλὰ κεχρῆσθαι λιθαργύρῳ, ποτὲ μὲν ἐλαίῳ, καὶ ὕδατι τὴν ἕψησιν αὐτῆς ποιουμένοις ἄχρι συστάσεως ἐμπλαστρώδους, ἔστι δ' ὅτε ἐν ἐλαίῳ καὶ ὄξει, καί ποτε ἐν

C ἐλαίῳ καὶ οἴνῳ. ἐν οἷς δ' ἂν ἕψηται τούτων, ἄμεινον γίγνεται τὸ φάρμακον ἐπὶ πλέον ἑψηθέν. ἔσται δὲ τοῦτο, τῷ πλήθει τῶν μιγνυμένων ὑγρῶν. ἔστι μὲν γὰρ τῶν τηκτῶν φαρμάκων, καὶ ἡ λιθάργυρος ὅλη χεομένη, καθάπερ ἥ τε ῥητίνη, καὶ ὁ κηρὸς, ἀλλ' οὐκ εὐθέως ἅμα τῷ ψαῦσαι τοῦ πυρὸς, ὅθεν καὶ λανθάνει πολλοὺς, καὶ νομίζουσιν αὐτὴν οὐδ' ὅλως χεῖσθαι. σὺν ὀξελαίῳ μὲν οὖν ἑψομένη, τήκεται θᾶττον, ὥσπερ γε καὶ σὺν ἰῷ, καὶ αὐτοῦ δηλονότι τοῦ ἰοῦ χεῖσθαι πεφυκότος, ὥσπερ ἥ τε χαλκῖτις, καὶ τὸ μίσυ. τάχιστα μὲν οὖν αὐτῶν ἡ χαλκῖτις τοῦτο πάσχει, βραδύτατα δ' ἡ λιθάργυρος· ἐν δὲ τῷ μεταξὺ τούτων, ὅ τε ἰός ἐστι καὶ τὸ

D μίσυ. χεῖται καὶ τὸ σῶρυ χρόνῳ πλέονι, γεωδέστερόν τε γάρ ἐστι καὶ λιθωδέστερον τῆς χαλκίτεώς τε καὶ τοῦ μίσυος. ἀλλὰ περὶ μὲν τούτων αὖθις εἰρήσεται. τὴν λιθάργυρον δὲ δι' ὀξελαίου μὲν ἕψων, θᾶττον τήξεις, δι' ὑδρελαίου δὲ βραδύτερον, ὅμως μὲν χεῖται καὶ οὕτως, ἐὰν ᾖ διπλάσιον αὐτῆς ἑκάτερον τῶν ὑγρῶν. ἐγὼ δὲ καὶ πλέον, ἢ διπλάσιον ἔμιξα πολλάκις, ὡς ὀλίγον ὕστερον εἰρήσεται. κάλλιον δ' ἐστὶν εὐθέως ἐξ ἀρχῆς ἐν θυίᾳ μιγνύειν τὰ τρία, τήν τε λιθάργυρον, καὶ τὸ ὕδωρ, καὶ τὸ ἔλαιον. εἰ δὲ τοῦ λευκὸν γίνεσθαι τὸ φάρμακον φροντίζεις, ἔλαιόν τε καθαρώτερον καὶ διαυγέστερον ἔμβαλλε, καὶ ὕδωρ ὁμοίως καθαρόν τε

E καὶ λευκὸν, ἑψέσθω τε κατὰ χωρίον ὑπαίθριον ἡλιούμενον. ὁ μὲν γὰρ ζοφώδης ἀὴρ μελαίνει τὸ φάρμακον, ὁ δὲ καθαρὸς, εἰς λευκότητα μεγάλως συντελεῖ, καθάπερ γε καὶ τὸ καταρραινόμενον ὕδωρ ἐν ἀέρι τοιούτῳ. φυλάττου δὲ καὶ τὸ διὰ ξύλων ποιεῖσθαι τὴν ἕψησιν, ἢ ἀνθράκων ἀρχομένων διακαίεσθαι, μελαίνει γὰρ αὐτὸ ῥᾳδίως ὁ καπνός. προδιακαύσας οὖν τοὺς ἄνθρακας, ἐπειδὰν ἀκριβῶς ὦσι διάπυροι, τότε ἕψειν ἄρξαι. καὶ εἰ μὴ φθάσοιεν οὗτοι συμπληρῶσαι τὴν ἕψησιν, ἐφ' ἑτέρας ἑστίας ὁμοίως παρασκευάσας ἄνθρακας, ἐπιτίθει κατ' ἐκείνην τὴν κακκάβην. ἕνεκα μὲν οὖν τοῦ λευκὸν γενέσθαι τὸ φάρμακον, ὅσα χρὴ

F παραφυλάττειν, αὐτάρκως εἴρηται. γίγνεται δὲ ἐγκολλότερον εἰς τοσοῦτον, εἰς ὅσον ἂν ἔχει πλέον, ὡς εἴρηται, τὸ ὑγρόν. ὥστ' ἐάν γε τῶν τριῶν ἀνὰ λίτραν [illegible] ἐμβάλῃς δυσαπόπτωτον ἔσται. καὶ μέντοι τὸ ἄτηκτος ἡ λιθάργυρος μένειν, καὶ τοῦτό γέ ἐστιν αὐτὸ μάλιστα αἴτιον τοῦ ῥᾳδίως ἀποπίπτειν αὐτὸ, καθάπερ γε καὶ τὸ προσμένειν μέχρι πλέονος, εἰ ἡ λιθάργυρος ἑψηθεῖσα χυθείη τε καὶ ἀλλοιωθείη.

λευκότερον δ' ἔσται, καὶ θᾶττον ἑψηθήσεται βληθεισῶν δύο λιτρῶν ὕδατος εἰς τρεῖς ἑκατέρου, λιθαργύρου τε καὶ ἐλαίου. καὶ τούτῳ συνήθως ἐπὶ τῶν μικρῶν ἑλκῶν χρώμεθα. πρόδηλος δὲ ἡ δύναμίς ἐστι τοῦ δι' ὕδατος ἑψομένου φαρμάκου, μεμνημένοις ἡμῖν τῶν εἰρημένων ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῆς διὰ λιθαργύρου, καὶ ὑδρελαίου, σκευαζομένης ἐμπλάστρου.

ΤΟ ὕδωρ ὑγραίνει μὲν ἀεί, καὶ ψύχει κατὰ τὴν οἰκείαν οὐσίαν· ἐπίκτητον δὲ θερμότητα προσλαβόν, ἄχρι περ ἂν αὐτὴν διαφυλάττῃ, θερμαίνει, ψυχρὸν δὲ γινόμενον, ψύχει. τό γε μὴν ἔλαιον, ἐὰν εἴη νέον, οὐκ ἀντιπράττει τῷ φαρμάκῳ, διαμένει γὰρ ὑγρόν τε καὶ μετρίως ψυχρόν, ὁποίου μάλιστα δεῖται τά θ' ἁπαλόσαρκα σώματα, καὶ τὰ κακόχυμα. γυναῖκές τε οὖν καὶ παῖδες, καὶ τῶν τελείων οἱ μαλακὴν ἔχοντες τὴν ἕξιν τοῦ σώματος, εἰσὶ δ' οὗτοι καὶ λευκοὶ κατὰ τὸ χρῶμα, τῶν τοιούτων δέονται φαρμάκων. ἑψηθὲν δ', ὡς εἴρηται μετὰ πλείονος ἐλαίου τε καὶ ὕδατος, οὕτως γὰρ δυσαπόπλυτον, ὡς μηδὲ λουομένων ἀποῤῥεῖν. καὶ μέντοι καὶ συμφέρει τοῖς ἐπουλουμένοις ἕλκεσιν ἐπιμένειν τὸ φάρμακον ἐφεξῆς ἡμερῶν πλειόνων, ἄμεινόν τε γὰρ οὕτω καὶ θᾶττον ἐπουλοῦται. πρόδηλον δ' ὅτι κνήσμασι, καὶ ἀποσύρμασι, καὶ συνελόντι φάναι, μικροῖς ἕλκεσιν ἁρμόττει τὸ τοιοῦτον φάρμακον, ἐφ' ὧν καὶ ἡ διάχυλος ὀνομαζομένη κηρωτή, καὶ ἄλλαι τινὲς ὅμοιαι, χρησιμώτεραι τῶν ἰσχυρὰν δύναμιν ἐχόντων εἰσίν, ὁποῖα τοῖς μεγάλοις τραύμασιν ἐπιτίθεμεν. ὑπὲρ ὧν ἁπάντων τῆς καθόλου δυνάμεως, ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου γέγραπται, καθ' ὃ τοὺς γενικούς, καὶ κοινοὺς λόγους, οὓς καθόλου καλοῦσιν, ἐφ' ἑκάστης διαφορᾶς ἕλκους, διῆλθον, ἐπιδεικνὺς ὁποίας τινὰς εἶναι προσήκει τὰς δυνάμεις τῶν ἰασομένων αὐτὰ φαρμάκων, ἐνταυθοῖ δὲ τὰς κατὰ μέρος ὕλας διέρχομαι, συμμετρίας τε τῶν μιγνυμένων ὁρίζων, ἐπιδεικνύς τε τοὺς τρόπους ἐν οἷς σκευαζόμενα γενήσεται κάλλιστα. δι' ὑδρελαίου μὲν οὖν ἡ λιθάργυρος, ὡς εἴρηται, σκευαζομένη, τὴν μὲν ἔμπλαστρον, ἁφῇ προσηνεστάτην τε ἅμα καὶ δυσαπόπλυτον ἐργάζεται, καὶ προσέτι λευκὴν ὀφθῆναι, δύναμιν ἔχουσαν ψυκτικὴν μετρίαν, ᾗ χρωμένη, καὶ κωλύει τι τοῖς ἡλκωμένοις μορίοις ἐπιῤῥεῖν, καὶ τὸ φθάσαν ἐπιῤῥυῆναι, πάλιν ἀποκρούεται πρὸς τοὺς πέριξ τόπους, ὡς γίνεσθαι τὸ πρᾶγμα τοιοῦτον, οἷον ὅταν ὕδατι ψυχρῷ διαβεβρεγμένον ἐργασάμενοι σπόγγον, ἐπιθῶμεν τινι μορίῳ τοῦ σώματος. ἐκεῖνός τε γὰρ ῥυσὸν καὶ προσεσταλμένον ἐργάζεται τὸν τόπον ὅλον, οὐ μόνον ἀποκρουόμενος τὸ ἐπιῤῥέον, ἀλλὰ καὶ τὸ περιεχόμενον ἐν αὐτῷ πρὸς τοὺς πλησιάζοντας ἐκθλίβων. ἥ τε νῦν εἰρημένη κατὰ τὸν λόγον ἔμπλαστρος, οὐ κατὰ πρώτην δύναμιν, ἀλλὰ κατὰ συμβεβηκὸς ξηραίνειν ἂν λεχθείη. κυρίως μὲν γὰρ καὶ πρώτως, τά τε διαφοροῦντα, καὶ τὰ τὰς κράσεις ὑπαλλάττοντα πρὸς τὸ ξηρότερον, ὀνομάζεται ξηραίνοντα. κατὰ συμβεβηκὸς δέ, καὶ τὰ διὰ ψύξιν, ἀναστέλλοντα μὲν τὸ ἐπιῤῥέον, ἐκθλίβοντα δὲ τὸ περιεχόμενον. ὅλως δὲ οὐδὲν τῶν ὑγραινόντων, ἢ πρώτως, ἢ κατὰ συμβεβηκός, ὠφέλιμον ἕλκεσίν ἐστιν, ὡς ἐν τῷ τρίτῳ δέδεικται τῆς θεραπευτικῆς μεθόδου.

A Candidius sanè erit, citiusque coquetur, libris duabus aquæ in tres vtriusque, puta spumæ argenti, & olei, iniectis; atque hoc in paruis vlceribus vti consueuimus. Medicamenti quod aqua coquitur, potestas nota est, si meminerimus eorum quæ in commentario de simplicibus medicamentis dicta sunt.

CAPVT VI.

De emplastro, quod ex lithargyro, & hydrelæo conficitur.

B AQua peculiari substantia semper humectat, & refrigerat; ascititio autem calore assumpto, donec ipsum conseruat, calefacit; frigida facta, refrigerat. Oleum verò si recens sit, medicamento non renititur, permanet enim humidum, & modicè frigidum, quali maximè tenera corpora, & vitiosis humoribus repleta indigent. Mulieres itaque & pueri, atque ex grandioribus mollem corporis habitum sortiti (sunt autem hi, & candidi cute) eius generis medicamenta requirunt. Porrò coctum ostendimus ex oleo copiosiore, & aqua, reddi tam glutinans, vt ne qui-
C dem à lotis decidat. Et verò etiam vlceribus, quæ ad cicatricem veniunt, multis diebus subsequentibus medicamentum immanere expedit, quo melius, & citius, ita cicatrix ducatur. Notum est huiusmodi medicamentum pruritus, desquamata, &, vt vno verbo expediam, parua vlcera persanare, in quibus, & subliquidum vt vocant, ceratum, aliaque id genus quædam vtiliora sunt iis, quæ validam potestatem obtinent, qualia magnis vulneribus imponimus. De quorum omnium vniuersali virtute in tertio libro de morbis curandis dictum est, in quo generales communesque ser-
D mones (vniuersales nuncupant) de quaque vlceris differentia tradidi, ostendens quales medicamentorum, quibus illa curabuntur, vires esse conueniat. Hic verò particulares materias recenseo, symmetrias miscendorum definiens: & modos, quibus si præparentur, reddantur optima, demonstrans. Ex hydrelæo itaque argenti spuma, sicuti dictum est, præparata, emplastrum tactu blandissimum simul, & adhærendo pertinax efficit; præterea aspectu album, refrigeratoriam vim habens mediocrem, cuius auxilio, exulceratis partibus ne quid influat, impedit, & quod iam influxit, denuo ad partes circumiacentes retru-
E dit, vt res fiat huiusmodi, qualis quum spongiam aqua frigida humentem parti cuipiam corporis imponimus. Nam illa rugosum, contractumque totum locum facit, non tantùm repellens, quod influit, sed etiam, quod in eo continetur, ad vicina elidens. Atque emplastrum modò commemoratum non ea prima facultate, sed per accidens, exiccare dicetur. Nam propriè quidem, & primario ea quæ digerunt, & temperamenta ad sicciorem statum perducunt, nominantur siccantia; ex accidenti verò etiam ea, quæ fri-
F goris causa, id quod influit, propulsant, quod continetur expellunt. In summa nullum humectans, vel primariò, vel ex accidenti, vlceribus commodum est, vt in tertio Methodi medendi libro monstrauimus. De argenti spuma, quæ ex hydrelæo præparatur, etiam hæc sufficiunt.

CAP.

A

CAPVT VII.

De emplastro, quod ex lithargyro, & oxelæo componitur.

DIgrediendum modò est ad eam, quę oxelæo constat. Itaque mediocriter exiccans medicamentum fit, si vtriusque nempe olei, & aceti duplo maior portio, quàm argenti spumæ misceatur. At si vetus quoque oleum sit, adhuc etiam magis exiccat. Copiosior verò, quàm duplum sit vtriusque mensura, valentius enim facit medicamentum; quapropter fistulas, quæ nondum callum durum habent, curat. Cæterùm spumæ argenti vna pars iniicitur, illorum singulorum duæ, & semis. Quin etiam tripla vtriusque parte nonnunquam mixta, toto die coxi medicamentum; vnde reddebatur quidem nigrum, sed perinde, ac bitumen probum splendescebat. Porrò maxima siccandi potentia hoc pollet, curatque vlcera difficilia; & fistulas, quales dixi, iungit; vulnera cruenta glutinat; vno verbo, exiccat sine morsu; huius rei gratia etiam alia vniuersa vlcera sanat, maiora minoraque, donec ad cicatricē perueniant. Æquum est, & alia quædam eius opera cōmemorare, quæ forsan ne quidem speraueris, quātum ad materiæ humilitatem attinet. Nam quum quis in febre ex parotide suppurata iudicatus fuisset, parua relicta est fistula, quam post sex menses à principio in agro mihi ostenderunt; erat enim puer filius agricolæ, annos natus circiter quindecim. Huic cum ex emplastro illo, quanta tunc mihi copia aderat, imponendum dedissem, ipse in vrbem reuersus sum; ac pluribus negociis medicis occupatus, oblitus sum eius, qui medicamentum acceperat; sed post duos certè menses in vrbem venit incolumis, cùm hoc ego euenturum, non admodum sperassem. Immittentibus enim nobis suillum pilum per fistulam, ad articuli commissuram vsque procedere videbatur. Non multos post dies, quum alius puer fortè fortuna eiusdem cum priore ætatis, eodemque morbo laborans, mihi esset ostensus, emplastrum hoc imposui, quo ille pariter integrè sanitati restitutus est. Ab eo tempore plurimos eodem vitio huius medicamenti virtute liberaui, tum pueros, tum adolescentes, tum mulieres. Igitur si vos quoque vti eo ad huiusmodi affectus volueritis, vetustissimum oleum, & acetum quàm acerrimum ex vino videlicet solo confectum, iniicitote, non vt quidam aqua mixta ipsum præparant, sed purum sit quàm maximè licet, ac pellucidum; tale siquidem tenuius, commodiusque iis erit, ad quæ ipsum requirimus. Hoc medicamento etiam musculos induratos subinde curaui.

CAPVT VIII.

De emplastro, quod ex lithargyro, & œnelæo præparatur.

REliquum est, vt de argenti spuma dicam, quę ex œnelęo componitur, & eandem prædictis symmetriam, ac virtutis excessus pro humorum copia respondentes habet. Etenim æquali portione tria missa præparaui, & duplo maiori vtriusque liquidi mensuræ, quàm argenti spumæ, dimidium insuper, ac interdum & triplum, addidi.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς διὰ λιθαργύρου, καὶ ὀξελαίου σκευαζομένης ἐμπλάστρου.

ΠΕρὶ μὲν οὖν τῆς δι᾽ ὑδρελαίου σκευαζομένης λιθαργύρου, καὶ ταῦθ᾽ ἱκανά. μεταβῆναι δὲ ἤδη καιρὸς ἐπὶ τὴν δι᾽ ὀξελαίου συντιθεμένην. συμμέτρως μὲν οὖν ξηραντικὸν γίγνεται τὸ φάρμακον, ἐὰν διπλάσιον ἑκάτερον ᾖ τῆς λιθαργύρου, τό τε ἔλαιον καὶ τὸ ὄξος. ἐὰν δὲ καὶ παλαιὸν ᾖ τὸ
B ἔλαιον, ἔτι καὶ μᾶλλον ξηραίνει. πλέον δὲ, ἢ διπλάσιον ἑκάτερον αὐτῶν ἐμβληθὲν, ἰσχυρότερον ποιεῖ τὸ φάρμακον, ὥστε καὶ σύριγγας, ὅσαι μήπω τύλον ἔχουσι σκληρὸν ἰᾶσθαι. βάλλεται δὲ λιθαργύρου μὲν ἓν μέρος, ἑκατέρου δ᾽ ἐκείνων, δύο καὶ ἥμισυ. καὶ μέντοι καὶ τριπλάσιον ἐνίοτε μίξας ἑκατέρου, δι᾽ ὅλης μὲν ἡμέρας ἥψησα τὸ φάρμακον. ἐγένετο δὲ μέλαν μὲν, στίλβον δ᾽ ὁμοίως ἀσφάλτῳ τῇ καλῇ. ξηραντικωτάτην δ᾽ ἔχει δύναμιν τοῦτο, θεραπεύει τε ἕλκη δυσίατα, καὶ σύριγγας οἵας εἶπον, ἐναίμων τε τραυμάτων κολλητικὸν ὑπάρχει. ἑνὶ δὲ λόγῳ ξηραντικὸν ἀδήκτως. διὰ τοῦτο οὖν
C καὶ τἄλλα πάντα ἕλκη θεραπεύει, τά τε μείζω, καὶ τὰ μικρότερα, μέχρι συνουλώσεως. ἄξιον δὲ καὶ ἄλλα τινὰ τῶν ἔργων αὐτοῦ διελθεῖν, ἃ τάχ᾽ ἂν οὐδὲ ἐλπίσειέ τις, ὅσον ἐπὶ τῷ τῆς ὕλης εὐκαταφρονήτῳ. κριθέντος γάρ τινος ἐν πυρετῷ διὰ παρωτίδος ἐκπυησάσης, ὑπελείφθη συρίγγιον, ὃ μετὰ μῆνας ἓξ τῆς ἀρχῆς, ἐδείχθη μοι κατ᾽ ἀγρόν. ἦν γὰρ ὁ παῖς υἱὸς γεωργοῦ, περὶ τὴν πέντε καὶ δέκα τὴν ἡλικίαν, τούτῳ δοὺς ἐπιτεθῆναι τῆς ἐμπλάστρου ταύτης, ὅσον εἶχον ἕτοιμον, αὐτὸς μὲν ἐπανῆλθον εἰς τὴν πόλιν, ἐν ἀσχολίαις πλείοσιν ἰατρικαῖς γενόμενος, ἐπελαθόμην τοῦ λαβόντος τὸ φάρμακον. ἀλλὰ μετὰ δύο
D γε μῆνας ἧκεν ὑγιὴς, οὐ πάνυ τι ἐλπίσαντος ἐμοῦ τοῦτο γενέσθαι. καθιέντων γὰρ ἡμῶν ὑείαν τρίχα διὰ τοῦ συριγγίου, μέχρι τῆς διαρθρώσεως ἐφαίνετο προερχομένη. κατὰ τύχην δὲ μετ᾽ ὀλίγας ἡμέρας ἄλλου μοι δειχθέντος παιδαρίου, τὴν ἡλικίαν ἄγοντος τὴν αὐτὴν τῷ πρόσθεν, ὁμοίαν τε διάθεσιν ἔχοντος, ἐπέθηκα τῆς ἐμπλάστρου, καὶ συνέβη καὶ τούτῳ τελέως ὑγιασθῆναι. μετὰ ταῦτα δὲ οὐκ ὀλίγους ἐκ τῆς αὐτῆς διαθέσεως ἰασάμην τῷ φαρμάκῳ τούτῳ, καὶ παῖδας, καὶ γυναῖκας, καὶ νεανίσκους. εἰ τοίνυν καὶ ὑμεῖς βούλεσθε χρῆσθαι πρὸς τὰ τοιαῦτα αὐτῷ, παλαιότατόν τε τὸ ἔλαιον ἐμβάλλετε,
E καὶ ὄξος δριμύτατον ἐξ οἴνου δηλονότι μόνου γεγονὸς, οὐχ ὡς ἔνιοι σκευάζουσιν αὐτὸ, μιγνύντες ὕδωρ. ἔστω δὲ καθαρὸν, ὡς ἔνι μάλιστα, καὶ διαφανὲς τὸ ὄξος. οὕτω γὰρ ἂν εἴη, λεπτομερέστερόν τε καὶ βέλτιον εἰς ἃ δεόμεθα. τούτῳ τῷ φαρμάκῳ, καὶ μῦς ἐσκληρυσμένους πολλάκις ἰασάμην.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς διὰ λιθαργύρου, καὶ οἰνελαίου σκευαζομένης ἐμπλάστρου.

F ΥΠόλοιπον οὖν μοι διελθεῖν περὶ τῆς δι᾽ οἰνελαίου σκευαζομένης λιθαργύρου, τὰ μὲν τῆς συμμετρίας ἐχούσης τὰ αὐτὰ τοῖς εἰρημένοις, ἀκολούθως τε τὰς τῆς δυνάμεως ὑπεροχὰς τῷ πλήθει τῶν ὑγρῶν. καὶ γὰρ ἴσα τὰ τρία βαλὼν, ἐσκεύασα, καὶ διπλάσιον ἑκάτερον τῶν ὑγρῶν τῆς λιθαργύρου, καὶ πρὸς τῷ διπλασίονι, ἔτι τὸ ἥμισυ προσθεὶς, καί ποτε καὶ τριπλάσιον.

Ἐσκεύασα δέ ποτ' αὐτὸ, καὶ οὕτως. ὥρᾳ θέρους ἐν ἡλίῳ θερμῷ, καθ' ἑκάστην ἡμέραν ἡ λιθάργυρος ἐτρίβετο μετ' οἴνου Φαλερίνου, καὶ τοῦτο ἡμέραις ἐγένετο ιέ. προσεπιχέοντός μου πάλιν οἶνον, εἰ διαφορηθεὶς ἔτυχεν ὁ πρότερος. μετὰ δὲ τὰς εἰρημένας ἡμέρας, ἑψηθὲν τὸ φάρμακον, ἱκανῶς ἐγένετο ξηραντικόν. ἐχρησάμην δὲ αὐτῷ, καὶ κατὰ τῶν ῥευματικῶν διαθέσεων ὁμοίως τῇ φοινικίνῃ διατήκων ἐλαίῳ, καθάπερ ἐπ' ἐκείνης προείρηται. καὶ μηρὸν δὲ χρονίως ἐσκληρυσμένον ἰασάμην αὐτῷ, καὶ κατὰ τραυμάτων ἐναίμων ἐπέθηκα, καὶ ἦν εἰς πάντα κάλλιστον. ἔστω τοιγαροῦν ἐπ' αὐτοῦ, κἂν μὴ Φαλερῖνον ἔχῃ τις ἕτοιμον, ἕτερος κιῤῥὸς μὲν τὴν χρόαν, λεπτὸς δὲ τὴν σύστασιν, ὡς διαυγεῖσθαι. τοιοῦτος δέ ἐστιν ὅ,τ' Ἀριούσιος ἐν τῇ Χίῳ γεωργούμενος, ὅ,τ' εὐώδης πάνυ Λέσβιος, ἐν Μιτυλήνῃ μὲν ὀλίγος, ἐν Ἐρεσσῷ δὲ καὶ Μηθύμνῃ πλείων τε, καὶ βελτίων ἅμα γινόμενος, ὅ,θ' ὅμοιος τῷ Φαλερίνῳ Τμωλίτης. ἔστι δὲ καὶ οὗτος λεπτότατος καὶ διαυγής, κιῤῥὸς δὲ τὴν χρόαν, καὶ μετρίως γλυκὺς, εὐώδης τε πάνυ. τούτῳ παλαιωθέντι, εἰς ἅπαντα χρῆσθαι δυνατόν ἐστιν, εἰς ἅπερ καὶ τῷ Φαλερίνῳ. καὶ ἕτερος δ' ἐστὶ Τμωλίτης οἶνος, ὅμοιος αὐτῷ κατὰ τὴν χρόαν καὶ τὴν σύστασιν, ἀλλ' οὔτε γλυκὺς, οὔτ' εὐώδης. ἔχει δέ τινα στύψιν, ἀπολειπόμενος δὲ τοῦ γλυκέος πολύ. ταυτὶ μὲν οὖν ἑψομένης τῆς λιθαργύρου τὰ φάρμακα.

A Confeci autem nonnunquam ipsum & hoc modo. Per æstatem Sole calido argenti spumam ex vino falerno conterebam singulis diebus quindecim continuis, vinum rursus, si fortè primum euaporarat, infundens. Post dictos dies coctum medicamentum, exiccans abundè factum est; quo in rheumaticis quoque affectionibus perinde, ac phœnicino, vsus sum, ex oleo liquefaciens, vt in illo prædictum est. Ac femur iam diu induratum, cruentaque vulnera eo suauimus, atque ad omnia fuit optimum. Itaque si Falernum ad manum non habeas, aliud sumito colore fuluum, sed tenue substantia, vt pelluceat, cuiusmodi est Ariusium, B quod in Chio nascitur; & odorum vehementer Lesbium, in Mitylene paucum, in Eresso, & Methymna copiosius, meliusque proueniens; item quod falerno simile est, Tmolite. Est & hoc tenuissimum, pellucidum, fuluum colore, dulce mediocriter, nimis quàm odoratum; potes inueteratum hoc vsurpare ad quæcunque, & falerno vteris. Est porrò, & aliud vinum Tmolitæ huic, tum colore, tum substantia simile, verùm neque dulce, neque odoratum; habet autem vim quandam astringendi, sed dulcedine multò inferius est. Hæc itaque ex cocta spuma argenti fiunt medicamenta. C

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ χρήσεως ὠμῆς λιθαργύρου.

Χωρὶς δὲ ἑψήσεως, καθ' ἑαυτὴν μὲν, ὡς ἔφην, ἐπὶ παρατριμμάτων ἐστὶ χρήσιμος. εἰ δὲ παρασκευασθείη δι' ὄξους, ἢ οἴνου τριβεῖσα καὶ ξηρανθεῖσα, τῶν δι' ὑγρότητα δυσεπουλώτων ἑλκῶν ἴαμα γίνεται. καὶ εἴ γε βουληθείης ἄδηκτον αὐτὴν εἶναι, πλυτῇ χρήσῃ.

CAPVT IX.

De crudæ lithargyri vsu.

NOn cocta quidem, per se, vt annotauimus, attritus emendat. Ex aceto autem, seu vino trita siccataque, vlceribus medetur, quæ ob humiditatem vix cicatricem recipiunt. Quòd si mordacitatis expertem esse cupis, elota vtitor.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ὅπως δεῖ πλύνειν λιθάργυρον, καὶ μεταλλικὰ λοιπά.

Ῥαδίως δὲ πλύνεται, διὰ τὸ σύμφυτον βάρος ὑφισταμένη ταχέως τοῖς ὑγροῖς, ἐν οἷς λειοῦται. τελεώτατα μὲν οὖν ἄδηκτος γίνεται, δι' ὕδατος πλυθεῖσα. τοῖς δὲ εὐαισθήτοις σώμασι, βραχεῖαν αἴσθησιν φέρει δήξεως, ὅταν δι' ὄξους, ἢ οἴνου πλυθῇ. χρὴ δὲ ἱκανῶς αὐτὴν προσλειώσαντα, δι' ὅλης ἡμέρας μετὰ τοῦ ὑγροῦ, ἐᾶσαι καταστῆναι τῆς νυκτὸς, εἶτα κατὰ τὴν ὑστεραίαν ἕωθεν ἀποχέοντα τὸ ὑγρὸν, αὖθις ἐπιχεῖν ἕτερον, εἶτ' αὖθις ὁμοίως τρίβειν, ἀποχεῖν τε πάλιν ἐπὶ τῆς ὑστεραίας, καὶ τοῦτο ποιεῖν, ἄχρις ἂν ἅμα τῷ ὑγρῷ φαίνηταί τις οἷον ἄχνη τῆς λιθαργύρου. μηκέτι δ' ἐφισταμένου μηδενὸς, οὐδ' ἀποχεῖν ἔτι προσήκει, τρίβειν μέντοι πλείοσιν ἡμέραις, κἂν μηδὲν ἐφίστηται, βέλτιόν ἐστι. καὶ τοῦτο πράττε ἐν ἡλίῳ θερμῷ, ξηραντικώτερον γὰρ οὕτως τὸ φάρμακον γίνεται. εὔδηλον δὲ ὅτι θέρους ὥρᾳ τοῦτο πράττειν ἄμεινον, οὐκ ἐπὶ λιθαργύρου μόνον, ἀλλὰ καὶ τῶν ἄλλων, ὅσα τὸν τρόπον τοῦτον παρασκευάζεται. καὶ γὰρ ἡ Καδμεία, καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, ὅ,τε κεκαυμένος χαλκὸς, ἔτι τε πρὸς τούτοις τὸ διφρυγὲς ὀνομαζόμενον, καὶ τὸ ψιμμύθιον, καὶ τὸ μίσυ, καὶ τὸ σῶρυ, καὶ τὸ στίμμι, καὶ πάντες οἱ λίθοι, καὶ πρὸς αὐτοῖς ὁ τίτανος, ὁμοίως τῷ λιθαργύρῳ, καὶ πλύνεται, καὶ λειοῦται μετά τινος τῶν εἰρημένων. ἐνίοτε δὲ καὶ διὰ θαλάττης αὐτῶν ποιοῦμαι τὴν παρασκευὴν, περὶ ὧν αὖθις εἰρήσεται προϊόντος τοῦ λόγου. νυνὶ γὰρ πρόκειταί μοι τὰς ἐμπλάστρους διελθεῖν, ἃς οἱ νεώτεροι τῶν ἰατρῶν μετὰ τοῦ ρω. γράφουσί τε καὶ λέγουσιν, ἐπὶ τῆς ἐσχάτης συλλαβῆς.

D CAPVT X.

Quomodo lauare oporteat lithargyron, & reliqua metallica.

FAcilè autem eluitur, vt quæ statim propter innatam grauitatem liquoribus, in quibus læuigatur, subsidat; vnde totam mordacitatem in aqua lota exuit, acuti verò sensus corpora parum adeo mordacẽ percipiunt, si ex aceto, vel vino eluatur. Porrò conuenit diligenter toto die cõtritam, cum liquore per noctem relinquere; postero die mane illum auferre, alium mox superfundere; postea rursus terere similiter, iterumque sequenti aurora E liquorem emittere. Quod faciendum est, donec simul cum humore lithargyri velut tenuissima quædam portio achne dicta appareat; quumque nihil amplius innatat, nihil etiam magis effundendum est, attamen conterere diebus pluribus, & si nihil ei insistat, idque sole feruenti, satius est: ita enim accidit, vt medicamentum exiccet valentius. Porrò nouerunt omnes id æstate non solùm in argenti spuma, verũ in aliis etiam, quæ hoc modo præparantur, fieri cõmodius. Siquidẽ cadmia, æris squama, æs vstum, ad hæc item, quod vocatur diphryges, cerussa, misy, sori, stymni, & omF nes lapides. præterea calx, perinde, vt argenti spuma, ex liquore aliquo prædicto eluuntur, læuiganturque. Interdum ex marina præparationem ipsorum molior, de quibus in sermonis processu rursus agetur; nunc enim propositum mihi est, emplastra percensere, quæ Græci iuniores medici, cum ρω. in vltima syllaba, & scribunt, & enunciant. Quem-

Quemadmodum in centrio, & melotride facere omnes consueuerunt; siquidẽ in his prima nominum positio videtur, sine ρω facta fuisse à verbo quidem centân, quod est pungere, centrio nominato, vltima syllaba rho non habente; melotride verò cõposita ex mela, & ote, idest, specillo, & aure. At quum hoc tẽpore propè omnes ea cum rho efferant, non peccaueris, si simili modo cum illis pronuncies, præsertim in centrio; quippe ostendimus in opere, quod contra illos, qui solœcismum committentes corripiunt, prodidimus, & ipsos Atticos viros valescentem vsum, & consuetudinem sequutos fuisse. Nam alij quoque ante me indicarunt Atticorum linguam permultum à proprietate sua decidisse; ac omnes, quorum eloquentiæ laus, ac gloria maxima apud Græcos extat, suæ quemque tempestatis morem imitatos fuisse. Et nos itaque, quum omnes inueniamus iam medicamentarios libros emplastri nomen, cum rho scriptum habere, vsum præualentem sequemur.

A ὥσπερ ἐπὶ τοῦ κεντρίου, καὶ τῆς μηλωτρίδος εἰώθασι ποιεῖν ἅπαντες. καὶ γὰρ ἐπὶ τούτων ἡ μὲν πρώτη θέσις τῶν ὀνομάτων, ἔοικεν ἄνευ τοῦ ρω γεγονέναι, παρὰ μὲν τὸ κεντεῖν ὠνομασμένου τοῦ κεντείου, τῆς ἐσχάτης συλλαβῆς οὐκ ἐχούσης τὸ ρω. τῆς μηλωτείδος δὲ, συγκειμένης ἐκ μήλης τε καὶ ὠτός. νυνὶ μέντοι σχεδὸν ἁπάντων αὐτὰ μετὰ τοῦ ρω λεγόντων, οὐκ ἂν ἁμάρτοι τις, ὁμοίως αὐτοῖς φθεγγόμενος, καὶ μάλιστα τὸ κέντειον. ἐπιδέδεικται γάρ μοι κατὰ τὰ πρὸς τοὺς ἐπιτιμῶντας τοῖς σολοικίζουσι, καὶ αὐτοὺς Ἀττικοὺς ἄνδρας ἠκολουθηκέναι τῇ κρατούσῃ συνηθείᾳ. δέδεικται γὰρ καὶ ἄλλοις πρὸ ἐμοῦ, τῆς Ἀττίδος αὐτῆς B διαλέκτου μετάπτωσις γεγονέναι πολυειδής, ἕπεσθαί τε τοῖς καθ᾽ ἑαυτοὺς ἔθη πάντας, ὧν δόξα μεγίστη παρὰ τοῖς Ἕλλησίν ἐστιν ἐπὶ λόγων δεινότητι. καὶ ἡμεῖς οὖν, ἐπεὶ πάσας εὑρίσκομεν ἤδη τὰς φαρμακίτιδας βίβλους, μετὰ τοῦ ρω γεγραμμένον ἐχούσας τοὔνομα τὸ τῆς ἐμπλάστρου, καὶ αὐτοὶ τῇ κρατούσῃ συνηθείᾳ χρησόμεθα.

CAPVT XI.

De medicamentis, quæ ex Molybdæna conficiuntur.

Relatum à me est superius quoque molybdænam, & argenti spumam in eundẽ ferè vsum adhiberi. Omnia enim quæ ex argenti spuma cõponuntur, etiam ex molybdæna fieri possunt; sed facultate inuicem differunt tantum, vt molybdæna substantiæ crassioris, frigidiorisque sit; argenti spuma tenuioris, & inter calidam, ac frigidam mediæ. Cæterùm colores medicamentorum, quæ inde præparantur, molybdæna nonnihil euariat, quatenus fusciores ipsos efficit. Quare & alborum emplastrorum, quæ non modò cerussam, sed argenti spumam quoque habent, nullum ex molybdæna constat; quippe ex huius mixtura color albus cinereus redditur. Potestas autem in albo emplastro, quod ex hydrelæo componitur, melior etiam euadit; præcipuè in teneris corporibus, tantùm abest, vt pereat. Quum discutere quid volumus, argenti spuma, quàm molybdæna potior est. Pari modo, & in reliquis medicamentis cunctis, quæ ex argenti spuma compositionis titulum sortita sunt, cum molybdænam adiicimus, color & virtus tantum immutantur medicamenti, quantum paulo ante indicauimus.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν διὰ μολυβδαίνης σκευαζομένων φαρμάκων.

C Εἴρηταί μοι καὶ πρόσθεν, ὡς ἡ τῆς μολυβδαίνης χρεία, παραπλησία ἐστὶ τῇ τῆς λιθαργύρου. πάντα γὰρ ὅσα διὰ λιθαργύρου συντίθενται, καὶ διὰ μολυβδαίνης δύναται σκευάζεσθαι. τῇ δυνάμει δὲ ἀλλήλων διαφέρουσι τοσοῦτον, ὡς παχυμερεστέραν μὲν εἶναι καὶ ψυχροτέραν τὴν οὐσίαν τῆς μολυβδαίνης, λεπτομερεστέραν δὲ καὶ μέσην θερμοῦ τε καὶ ψυχροῦ τὴν τῆς λιθαργύρου. πρὸς δὲ τὰς χρόας τῶν φαρμάκων, ὅσα δι᾽ αὐτῶν σκευάζεται, διαφορά τις αὐτῆς ἐστι, καθόσον ἐπὶ τὸ φαιότερον ἄγει τὰς χρόας ἡ μολύβδαινα. διὸ καὶ τῶν λευκῶν ἐμπλάστρων, οὐ μόνον ψιμμύθιον, ἀλλὰ καὶ λιθάργυρον ἐχουσῶν, οὐδεμία D διὰ μολυβδαίνης σκευάζεται. μιχθείσης γὰρ αὐτῆς, τὸ μὲν λευκὸν χρῶμα, τεφρῶδες γίγνεται. τὰ δὲ τῆς δυνάμεως, οὐ μόνον οὐκ ἀπόλλυται, κατά γε τὴν δι᾽ ὑδρελαίου σκευαζομένην ἔμπλαστρον λευκήν, ἀλλὰ καὶ βελτίων γίνεται, καὶ μάλιστα ἐπὶ τῶν μαλακοσάρκων. ἡνίκα δὲ διαφορῆσαί τι βουλόμεθα, βελτίων ἐστὶ μολυβδαίνης λιθάργυρος. οὕτω δὲ καὶ τῶν ἄλλων φαρμάκων ἁπάντων, ὅσα διὰ λιθαργύρου γέγραπται συντιθέμενα, βαλλόντων τὴν μολύβδαιναν, ἥ τε χρόα τοῦ φαρμάκου, καὶ ἡ δύναμις, εἰς τοσοῦτον ἔχει τὴν ἀλλοίωσιν, εἰς ὅσον ἀρτίως μοι δεδήλωται.

CAPVT XII.

E

De emplastris albis, quæ ex lithargyro, & cerussa fiunt.

Vel coloris causa medici cerussam argẽti spumæ ad emplastra alba conficienda miscent; vel vt quandam astringendi, ac refrigerandi vim, medicamento concilient. Videntes autem, & huiusmodi nigrescere, quum largius coctum fuerit, præsertim lignis, & iis quoq; fortasse fumidis, nec in aëre puro, mox ab igne tollere cogũtur, ob quod ipsum, nec aquam copiosam, nec oleum, miscere. Meritò igitur resinam ei adiungere excogitarunt, quo sequax, ac sibi continuum fiat, viscosum quid assumens, maximè, cum liquida resina immittitur. At ex tali mixtura deterius efficitur medicamentũ, cùm mordax quiddã resina repræsentet; quòd verò siccet, nihil admodum generosum, cuius vsum maximè vlceribus esse necessariũ didicistis.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν διὰ λιθαργύρου καὶ ψιμμυθίου σκευαζομένων λευκῶν ἐμπλάστρων.

Ἤτοι τῆς χροιᾶς ἕνεκεν οἱ ἰατροὶ μίξαντες ψιμμύθιον τῇ λιθαργύρῳ, σκευάζουσι τὰς λευκὰς ἐμπλάστρους, ἢ χάριν τοῦ στύφειν, καὶ ψύχειν τινὰ προσθεῖναι τῷ φαρμάκῳ. θεώμενοι δὲ καὶ μελαινόμενον, ὅταν ἐπὶ πλέον ἕψηται τὸ τοιοῦτο, καὶ μάλιστα ὅταν ἐπὶ ξύλων, οὐδὲ τούτων ἴσως ἀκάπνων, οὐδὲ ἐν ἀέρι καθαρῷ, ταχέως μὲν αἴρειν ἀπὸ τοῦ πυρὸς ἀναγκάζονται, δι᾽ αὐτὸ δὲ F τοῦτο, μήθ᾽ ὕδωρ δαψιλὲς, μήτ᾽ ἔλαιον μιγνύειν. ἐπενόησαν οὖν εἰκότως ἐπεμβάλλειν αὐτῷ ῥητίνης, ὅπως ὁλκιμόν τε καὶ συνεχὲς εἴη, προσλαμβάνον τινὰ γλισχρότητα, καὶ μάλιστα ὅταν ἡ ὑγρὰ ῥητίνη μιχθῇ. χεῖρον δὲ γίνεται τὸ φάρμακον ἐπὶ τῇ τοιαύτῃ μίξει, δακνῶδες μέν τι καὶ ῥητίνης ἐχούσης, τὸ ξηραντικὸν δὲ οὐ πάνυ τι γενναῖον, οὗ μάλιστα χρείαν εἶναι τοῖς ἕλκεσιν ἐμάθετε.

τινὲς μὲν οὖν ῥητίναι, καὶ πάνυ δακνώδεις εἰσί, καὶ ῥηθήσεται A περὶ πασῶν αὐτῶν αὖθις. αἱ πραότεραι δὲ ἐν αὐταῖς, δύο εἰσί. πρώτη μὲν ἡ τερμινθίνη, δευτέρα δὲ ἡ λάριξ ὀνομαζομένη. τούτων οὖν ἄμεινον μιγνύειν, ὅταν τις βουληθῇ τοιαύτην ἔμπλαστρον σκευάσαι. πολὺ δὴ διαφέρειν γίγνεται πάντα, τά τε διὰ ῥητίνης σκευαζόμενα προσλαμβάνοντα κηροῦ τι, τά τε διὰ κηροῦ, μιχθείσης αὖθις ῥητίνης. ἐπεμβάλλειν οὖν χρὴ τῇ ῥητίνῃ, καὶ κηρόν. ὅπως δὲ τὸ χρῶμα τῆς ἐμπλάστρου λευκὸν φυλάττοιτο, λευκὸν εἶναι προσήκει τὸν κηρόν. ἔστι δὲ λευκὸς αὐτοφυὴς μὲν ὁ Ποντικός. ὀνομάζεται γὰρ οὕτως συνήθως ἤδη κἂν ἐξ ἑτέρου τινὸς ᾖ χωρίου, διὰ τὸ πλεῖστον μὲν ἐν τῷ Πόντῳ B γίγνεσθαι τὸν λευκόν, ἐλάχιστον δὲ ἐν ἑτέροις χωρίοις. οὐκ αὐτοφυὴς δὲ λευκός, ὁ Τυρρηνικὸς ὀνομασμένος ἐστίν. οὗτοι μὲν οὖν οὐδεμίαν ἔχει σαφῆ δριμύτητα. τῶν αὐτοφυῶν δὴ ἔνιοι δριμεῖς εἰσιν, οὓς χρὴ πλύνειν πρότερον. ἡ πλύσις δὴ αὐτῶν γίγνεται τακέντων ἐπὶ πυρός, εἶτ' εἰς ὕδωρ πηγαῖον καθαρὸν ἐμβληθέντων, ἀνακινουμένων τε ἐνταῦθα, καὶ διαρρυπομένων. οὕτω καὶ πίτταν, καὶ ῥητίνην, καὶ τὸ καλούμενον φύσημα πλυτέον ἐστί, περὶ ὧν αὖθις ἀκριβέστερον εἰρήσεται. νυνὶ δ' ἐπεὶ τῆς λευκῆς ἐμπλάστρου τὴν σύνθεσιν γράφω, τὸ κατάλοιπον ὧν εἶπον, ἐφεξῆς διηγήσομαι. κηροῦ γὰρ ἐπεμβληθέντος C ἅμα τῇ ῥητίνῃ, προεψημένοις τῷ τε ψιμμυθίῳ καὶ τῇ λιθαργύρῳ, μέχρις ἂν ἀκριβῶς ἀμόλυντον γένηται τὸ φάρμακον, ἔχοιτ' ἂν ἤδη λευκὴν ἔμπλαστρον εἰ βούλεσθε, ποτὲ μὲν ὕδατος ἐμβάλλοντες αὐτῇ, ποτὲ δὲ ἐλαίου μόνου. καὶ τούτου ποτὲ μὲν νέου, ποτὲ δὲ παλαιοῦ. προακηκόατε γὰρ ἤδη, τίνα δύναμιν ὕδωρ καὶ παλαιὸν ἔλαιον ἔχει. γιγνώσκετε δέ, καὶ ὡς στυφτικῶς τι προσδίδωσι τοῖς φαρμάκοις, τό τ' ὀμφάκινον ἔλαιον, καὶ τὸ κατὰ τὴν Ἰβηρίαν γεωργούμενον, ἣν νῦν ὀνομάζουσιν Ἱσπανίαν. τὸ δὲ Ἰστρικόν, οὐ μόνον τὴν στύψιν ἔχει βραχεῖαν, ἀλλὰ καὶ πικρότητα. διαφορὰν οὖν ἔξουσιν αἱ διὰ D τῶν στυφόντων σκευασίαι, τῶν διὰ τοῦ γλυκέος ἐλαίου, καθόσον ἐν ἀρχῇ μὲν καὶ τελευτῇ τῶν ἑλκῶν, ἀμείνω πάντα ἐστὶ τὰ στυφτικῶς ἔχοντά τι, κατὰ δὲ τὰ μέσα, τὰ γλυκέα. δεῖται γὰρ ἐν μὲν ταῖς ἀρχαῖς, τὰ ἕλκη τῶν ἀποκρουομένων φαρμάκων, ὅπως μηδὲ ἄρξηται φλεγμαίνειν. ἐφεξῆς δὲ τῶν χαλαστικωτέρων, ἐὰν μὲν μὴ γένηται φλεγμονή, χάριν τοῦ διαπνεῦσαι, φθασάσης δὲ γενέσθαι, καὶ δι' ἐκείνης ὅπως θᾶττον λυθείη. εὔδηλον δὴ ὅτι περὶ σμικρᾶς φλεγμονῆς ὁ λόγος ἐστίν. οὐδὲ γὰρ δύναται βραχέσιν, ἐφ' ὧν χρώμεθα ταῖς λευκαῖς ταύταις ἐμπλάστροις ἐπιγίνεσθαι μεγάλη φλεγμονή, μηδενὸς ἁμαρ- E τήματος προσελθόντος. ὅτι δὲ καὶ συνουλουμένων ἤδη τῶν ἑλκῶν, ἡ στύφουσα ποιότης ὠφέλιμός ἐστιν, οὐδεὶς ἀγνοεῖ. καιρὸς οὖν ἤδη τὴν συμμετρίαν εἰπεῖν τῶν συντιθέντων φαρμάκων τὴν χρησιμωτάτην ἔμπλαστρον λευκήν.

Ἡ σταθμία τῆς ἐμπλάστρου.

Ἴσον ἔστω μέρος ἑκατέρου τῶν μεταλλικῶν, τοῦ τε ψιμμυθίου καὶ τῆς λιθαργύρου, καὶ τοῦτ' εἰ βούλεσθε, σταθμὸς ἔστω μιᾶς λίτρας ἑκατέρου. συναμφοτέρων δὲ ἴσον ἐλαίου μέτρον, ἢ ὡς ὀνομάζουσι Ῥωμαῖοι, λίτραι δύο, τοῦ κηροῦ δὲ ἡμίλιτρον F ἔστω, καὶ τῆς τερμινθίνης ἥμισυ, τουτέστιν οὐγγίας τρεῖς ὁ σταθμός. εἰ δὲ καὶ λιβανωτοῦ μίξαις, ἀνωδυνώτερόν τε καὶ πεπτικώτερον τῶν φλεγμαινόντων ἑλκυδρίων ἐργάσῃ τὸ φάρμακον, ἀλλὰ πρός γε τὴν ἐπούλωσιν ἀτονώτερον. ὑπερσαρκώσεως γάρ, ἐπεὶ σαρκωτικόν ἐστιν ὁ λιβανωτός, ὡς κἂν τῷ τρίτῳ τῆς

A Quædam itaque, vel insigniter mordaces sunt resinæ, de quibus vniuersis iterum sermo futurus est. Mitissimæ verò duæ inter eas sunt, prima terebinthina, larix altera nuncupatur. Has igitur miscere satius est, vbi id genus emplastri conficere cogitas. At multo leniora tactu omnia fiunt, tum quæ resina constant, si ceræ quid adiectum sit, tum quæ ex cera, si resinæ nonnihil admixtum habeant. Quamobrem cera quoque resinæ immittenda est: vt autem color emplastri albus seruetur, albam ceram esse congruit. Est sanè alba, quæ suapte natura prouenit, Pontica; sic enim nominari iam consueuit, licet aliunde veniat, quòd B plurima in Ponto alba nascatur, aliis in regionibus paucissima; ac candida, quæ Tyrrhenica nominata est, non sponte nascitur, quare nullam euidentem habet acrimoniam. Quæ verò suo instinctu proueniunt, nonnullæ acres sunt, quas prius eluere oportet in hunc modum. Liquantur primùm ad ignem, deinde in aqua fontis pura demerguntur; vbi permouentur, expurganturque. Simili ratione, & pix, & resina, & quod physema dicitur, lauandum est; de quibus iterum exactius commentabimur. In præsentia, quoniam albi emplastri compositionem tradimus, reliquum C eorum, quæ præcepta sunt, deinceps percensebimus. Posteaquam ergo cerussæ, spumæque argenti, coctis prius, vsque dum medicamentum adamussim non inficiat, cera simul cum resina fuerit adiecta, candidum iam emplastrum si placet, habebitis; interim aquam iniicientes, interim oleum duntaxat; idque nunc recens, nunc vetus. Prius enim iam audiuistis, quam virtutem aqua, & oleum vetus habeat. Nouistis item, quod omphacinum oleum, & id, quod colitur in Iberia, quæ nunc Hispania dicitur, astringens quippiam medicamento adiicit. Histricum non modò exiguam D astrictionem, sed amaritudinem quoque refert. Proinde different tantùm ex astringentibus confecturæ ab iis quæ dulci oleo constant, quanto initio vlceris, & fini potiora sunt omnia, quæ nonnihil astringens continent, in mediis, dulcia. Nam in principio medicamenta repellentia prosunt vlceribus, ne phlegmone corripi incipiant; inde quæ magis relaxent, si non phlegmone adsit, transpiratus gratia; quòd si affuerit, etiam ob illam, vt citius dissoluatur. Enimuerò clarum est de parua phlegmone verba fieri; siquidem exigua vlcera, in quibus albis hisce emplastris vtimur, magna comitari E phlegmone non potest, si error nullus accesserit. Cæterùm & vlceribus, quæ iam ad cicatricem veniunt, astringendi qualitatem vtilem esse nullus ignorat. Tempus igitur iam postulat medicamentorum, quæ emplastrum album vtilissimum constituunt, symmetriam exponere.

Pondus emplastri.

Æqua sit portio vtriusque metallici, cerussæ, & argenti spumæ; & hæc, si videatur, esto singulorum pondo libra, olei verò mensura amborum simul pondus absoluat, vel vt Romani dicunt, sint pondo libræ duæ, ceræ pondo selibra, terebin- F thinæ illius dimidium, hoc est pondo vnciæ tres. Quòd si & thus admisceas, primum dolori mitigando aptum magis erit, tum parua vlcera, quæ phlegmone infestat, ocyus concoquet, sed ad cicatricem ducendam erit imbecillius; nam carnem supercrescentem promouet, quoniam thus carnem generat, vt in tertio quoque libro de

de morbis curandis legistis. Satius itaque est iniicere, & aluminis paululum, tum ad cicatricem ducendam, tum alterius causa; quandoquidem laxantia medicamenta plethoricis, & vitioso succo abundantibus corporibus adhibita, affectis partibus fluxum concitant. Ex his autem omnibus compositum medicamentum tumores præter naturam in molli corpore, qui nec magni adeo, nec dolorifici sunt, discutere poterit, præsertim quum thus abundè assumpserit. Erit itaque in prædictis copiosum thus, si æquale ipsi terebinthinæ pondus accipiat; sin eius dimidium, minorem digerendi vim medicamentum habebit; magis autem cicatrici ducendæ erit idoneum, quàm quod duplo copiosius id receperit. Iam si plenius adhuc digerere cupiatis, etiam piperis albi pauxillum adiicitote, quod vlcerum cicatrici obducendæ nihil obesse potest. Sit igitur aluminis pondo vncia, piperis verò semuncia; ratio siquidem est, huius tres denarios, aluminis sex iniicere. Quoniam verò & alias præstat alumen, quod scissile nominatur, & colore candidum est, id immittere expedit.

CAPVT XIII.

Album emplastrum ex pipere, vt Attalus Herasque composuerunt.

IVuat senum vlcera, & eorum, qui mollem habent cuticulam; denique omne vlcus curat, quod & humidius est, & non facilè cicatricem admittit; ad hæc abrasa, quæ aposyrmata Græci vocant, vt cutis suspensa sit, interim nigrescens in cubito, tibia, & genu, quibus neque caro, sed membrana sola os ambiens (periostios Græcis dicitur) subiecta est. Hisce igitur, vt omnia ordine recenseam, medicamenti compositio constat. Argenti spumæ, cerussæ, vtriusque pondo libra; olei duarum librarum mensura: nuncupatur enim à Romanis æquiuocè ponderalis, vt ita dicam, libra solidorum corporum, & mensuralis libra liquidorum, quæ copiosissima in tota vrbe ex materia cornea constat; præter hæc ceræ pondo selibra, terebinthinæ resinæ pondo vnciarum trium, thuris vel dimidio ipsius resinæ vel æquali pondere, aluminis pondo denariorũ sex, piperis pondo denariorum trium. Coctio manifesta est. Initio quidem metallica in Sole coquuntur, dum planè non inficiat, vel etiam paulo durius fiat; immittuntur autem tunc cera, & resina, dein cum omnia in vnum coierint, thus primum, mox alumen, & piper addentur. Iniicere autem conuenit cerussam, quàm vocant rhodiacam, si emplastrum candidum eximiè fieri cupias; quin etiam in ciuitate Dicæarchia olim, nunc Puteolia vocant nonnulli, quam cerussam præparant, similem rhodiacæ albam facere consueuerunt. Porrò quòd in Sole conficiendum sit emplastrum, & aqua admiscenda, vt albius simul, & magis refrigerans fiat, antea discussum est. At si mauis ad cicatricem ducendam commodius ipsum reddere, ab aqua in totum abstineto; olei autem veteris pondo vncias duas, ac dimidiam, imò etiam tres, immittito. Hoc medicamentum non ex eorum numero est, quæ à me primo authore composita sunt, sed iam annis multis ante à Rege nostro Pergamenorum Attalo, viro omnigenorum medicamentorum studioso. Constat ratione præ-

A θεραπευτικῆς μεθόδου μεμαθήκατε. βέλτιον οὖν ἐστιν, ἐμβάλλειν τι καὶ στυπτηρίας ὀλίγον, ἕνεκά τε τῆς ἐπουλώσεως καὶ ἄλλως. ἐπεὶ τὰ χαλαστικὰ φάρμακα πληθωρικοῖς τε καὶ κακοχύμοις σώμασι προσφερόμενα, προτρέπει ῥευματίζεσθαι τὰ πεπονθότα μόρια. τὸ δὴ ἐκ τούτων ἁπάντων συντεθὲν φάρμακον, δυνήσεται διαφορεῖν ὄγκους παρὰ φύσιν, ἐπὶ τῶν ἁπαλοσάρκων, ὅσοι μήτε μεγάλοι λίαν εἰσὶ, μήτ᾽ ὀδυνώδεις, καὶ μάλιστα ὅταν λάβῃ δαψιλῆ τὸν λιβανωτόν. εἴη δ᾽ ἂν ἐπὶ τοῖς προειρημένοις δαψιλὴς ὁ λιβανωτὸς, ἐὰν ἴσος ᾖ κατὰ τὸν σταθμὸν τῇ τερμινθίνῃ. εἰ δὲ ἥμισυς ὁ λιβανωτὸς εἴη
B τῆς ῥητίνης, ἧττον μὲν ἔσται διαφορητικὸν τὸ φάρμακον, ἐπουλωτικώτερον δὲ τοῦ διπλάσιον ἔχοντος τὸν λιβανωτόν. εἰ δέ τι μᾶλλον ἐργάσασθαι διαφορητικὸν αὐτὸ βουληθείητε, καὶ πεπέρεως ἐμβάλλετε τοῦ λευκοῦ βραχύ τι, μηδὲν εἰς τὴν ἐπούλωσιν τῶν ἑλκῶν βλάψαι δυναμένου. καὶ τοίνυν ἔστω τῆς μὲν στυπτηρίας Γο. σταθμὸς, ἥμισυ δὲ τοῦ πεπέρεως. εὔλογον οὖν, τούτου μὲν ἐμβληθῆναι τρεῖς δραχμὰς, ἓξ δὲ τῆς στυπτηρίας. ἐπεὶ δὲ καὶ ἄλλως ἐστὶ βελτίων τῶν στυπτηριῶν, ἡ σχιστὴ καλουμένη, καὶ τῇ χρόᾳ λευκή, ταύτης ἐμβάλλειν προσήκει.

C

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Λευκὴ ἡ διὰ τοῦ λευκοῦ πεπέρεως, ὡς Ἄτταλος καὶ Ἥρας.

Ὠφελεῖ γερόντων ἕλκη, καὶ ἁπαλοχρώτων, καὶ πᾶν ἕλκος ἰᾶται, ὅσα ὑγρότερα καὶ δυσεπούλωτα, καὶ ἀποσύρματα, ὡς ἀποκρέμασθαι τὸ δέρμα, ἐνίοτε μελαινόμενον ἐπ᾽ ὠλεκράνου, καὶ ἀντικνημίου, καὶ γόνατος, ἐφ᾽ ὧν οὐδὲ σὰρξ, ἀλλ᾽ ὁ περιόστιος ὑμὴν ὑπόκειται μόνος. γέγονε τοίνυν πάντα ἐφεξῆς καταλέγοντι, τὸ φάρμακον ἐκ τῶνδε συγ-
D κείμενον. λιθαργύρου μὲν καὶ ψιμμυθίου, λίτρας ἑκατέρου σταθμῷ, δυοῖν δὲ λιτρῶν ἐλαίου μέτρῳ. καλεῖται γὰρ ὑπὸ Ῥωμαίων ὁμωνύμως ὁ λιτραῖος σταθμὸς τῶν στερρῶν σωμάτων, τῷ λιτραίῳ μέτρῳ τῶν ὑγρῶν, ὃ πάμπολυ καθ᾽ ὅλην τὴν πόλιν ἐστὶν, ἐξ ὕλης κερατίνης γιγνόμενον. ἐπὶ τούτοις δὲ τοῦ κηροῦ μὲν ἡμίλιτρον τῷ σταθμῷ, τριῶν δὲ οὐγγιῶν τῆς τερμινθίνης ῥητίνης. λιβανωτοῦ δὲ ἤτοι τοῦ ἡμίσεος, ἢ τοῦ ἴσου ταύτῃ, καὶ στυπτηρίας μὲν ἓξ δραχμῶν, τριῶν δὲ τοῦ πεπέρεως. ἡ δὲ ἕψησις εὔδηλος, ἀπ᾽ ἀρχῆς μὲν ἑψομένων τῶν μεταλλικῶν ἐν ἡλίῳ, μέχρι τοῦ γενέσθαι τελέως ἀμόλυντον, ἢ καὶ βραχὺ
E σκληρότερον. ἐμβαλλομένων δὲ τηνικαῦτα κηροῦ καὶ ῥητίνης, εἶθ᾽ ὅταν ἑνωθῇ πάντα, τοῦ λιβανωτοῦ μὲν πρῶτον, ἐπ᾽ αὐτῷ δὲ τῆς στυπτηρίας τε καὶ τοῦ πεπέρεως. ἐμβάλλειν δὲ χρὴ τὸ ῥοδιακὸν καλούμενον ψιμμύθιον, εἰ βούλοιτό τις πάνυ λευκὴν τὴν ἔμπλαστρον γενέσθαι. ἀλλὰ καὶ κατὰ τὴν πάλαι μὲν Δικαιαρχίαν ὀνομαζομένην, νῦν δὲ Ποτιόλους, ἔνιοι τῶν σκευαζόντων τὸ ψιμμύθιον, ὁμοίως τῷ ῥοδιακῷ λευκὸν εἰώθασι ποιεῖν. ὅτι δὲ ἐν ἡλίῳ τε χρὴ σκευάζειν τὴν ἔμπλαστρον, ὕδατός τε μιγνύειν, ὡς λευκοτέραν τε ἅμα καὶ ψυκτικωτέραν γενέσθαι, λέλεκται πρόσθεν. εἰ δ᾽ ἐπουλωτικωτέραν ἐθέλοι
F τις αὐτὴν ἐργάσασθαι, τοῦ μὲν ὕδατος οὐδ᾽ ὅλως μικτέον ἐστὶ, δι᾽ ἐλαίου δὲ παλαιοῦ μόνον σκευαστέον Γο β'. ἥμισυ, ἀλλὰ καὶ τρεῖς ἐμβάλλοντα. τοῦτο τὸ φάρμακον, οὐ τῶν ὑπ᾽ ἐμοῦ πρώτου συντεθέντων ἐστὶν, ἀλλ᾽ ἤδη πρὸ πολλῶν ἐτῶν ὑπὸ τοῦ βασιλεύσαντος ἡμῶν τῶν Περγαμηνῶν, Ἀττάλου σπουδάσαντος ἀνδρὸς περὶ φάρμακα παντοῖα, καὶ σύγκειται λόγῳ

τῷ προειρημένῳ, καὶ κρεῖττον αὐτοῦ τάχα μὴ ζητοίημεν ἄν, εἴ τι δύναται τῶν ὁμοειδῶν συντεθῆναι. μέμνηται δὲ αὐτοῦ καὶ ὁ Ἡρας ἐν τῷ βιβλίῳ τῶν φαρμάκων, ὅ τινες μὲν ἐπιγράφουσι νάρθηκα, τινὲς δὲ τόνον δυνάμεων, ἀξιῶν τὸ μὲν ἔλαιον εἶναι παλαιὸν, ὕδατος δ' αὐτῷ μίγνυσθαι τὸ ἴσον, ἢ τὸ ἥμισυ. τὰ δ' ἄλλα τῆς συμμετρίας, ὡς ὑπ' ἐμοῦ γέγραπται, πλὴν ὅτι κοτύλας ἐκεῖνος, οὐ λίτρας ἔγραψε, τοῦ τε ὕδατος καὶ τοῦ ἐλαίου, μὴ δηλώσας ὁπόσων οὐγγιῶν βούλεται εἶναι τὴν κοτύλην, ἤτοι σταθμικὴν, ἢ μετρικήν. αἱ μὲν γὰρ σταθμικαὶ τὸ βάρος κρίνουσι τῶν σωμάτων, αἱ δὲ μετρικαὶ τὸν ὄγκον. θεραπεύειν μὲν οὖν λέγων τὸ φάρμακον τοῦτο γερόντων ἕλκη καὶ ἁπαλοχρώτων, ἀληθεύει. πλέον δὲ, ἢ δεῖ χαρίζεται, πᾶν ἕλκος ἰᾶσθαι φάσκων. ὅσα μὲν γὰρ ὑγρότερα, καὶ διὰ τοῦτο δυσεπούλωτα θεραπεύει ταῦτα, τῶν κακοήθων δ' οὐδὲν, ὥσπερ οὐδὲ τῶν ἐναίμων τι τραυμάτων. ὁ δέ γε καὶ ταῦτα πάντα φησίν. ἀποσύρματα μέντοι λέγων αὐτὸ θεραπεύειν, ἀληθεύει, πολλάκις γὰρ οὕτως ἀποσεσυρμένου, ὡς ἀποκρέμασθαι τὸ δέρμα μετὰ τῆς ὑποκειμένης ἐπί τινος σαρκὸς, ἐπιθεὶς τὸ φάρμακον, ἐθεασάμην ἑνωθὲν αὐτῇ τὸ ἀποσεσυρμένον, καὶ τό γε τούτου μεῖζον, ἐνίοτε μελαινόμενον ἤδη. καὶ πάλιν γε ἕτερον ἔτι τοῦδε μεῖζον, ἐπ' ὠλεκράνου τε καὶ ἀντικνημίου, καὶ γόνατος, ἐφ' ὧν οὐδὲ σὰρξ, ἀλλ' ὁ περιόστιος ὑμὴν, ἢ τένων πλατὺς ὑπόκειται μόνος, ὥστε πρὸς ἀποσύρματα μὲν ἄριστον ἂν ἔχοιτε τὸ φάρμακον τοῦτο. κόλπων δὲ καὶ ἀποστημάτων, οὔτ' ἄριστον ἁπάντων, οὔτ' ἀρετῇ τῶν ἀρίστων δεύτερον, ἀλλ' ἐπὶ μετρίων τοῖς μεγέθεσι τούτων τῶν παθῶν, ἐν ἁπαλοχρώσι, καὶ γυναιξὶ, καὶ παισὶ, καὶ γέρουσιν, ἀγαθὸν φάρμακον, ὥστε κἀνταῦθα πλέον, ἢ δεῖ, μεμαρτύρηκεν ὁ Ἡρας τῷ φαρμάκῳ. πολὺ δὲ μᾶλλον ἡνίκα ἐπήνεσεν αὐτὸ, πρὸς δήγματα πάντα φάσκων ἁρμόττειν. τί γὰρ βούλεται, τὸ πάντα προσκείμενον τῷ λόγῳ; πότερον εἰ καὶ θηρίον εἴη τὸ δακὸν, ἢ μόνα τὰ τῶν ἁπάντων ἀνθρώπων λέγει; καὶ μὴν ψεῦδός ἐστιν ἑκάτερον, ἐπὶ μὲν τῶν θηρίων ἄντικρυς. ἃ γὰρ ὑπὸ δραστηρίων φαρμάκων θεραπεύεται μόγις, οὐκ ἄν τις ταῦτα φαίη διὰ τοῦδε κατορθοῦσθαι δύνασθαι. περὶ δὲ τῶν ἀνθρώπων εἰ λέγει, καὶ οὕτως ἀδιόριστος ὁ λόγος, ὡς βλάπτειν μᾶλλον, ἢ ὠφελεῖν τοὺς ἀκούοντας. ἀνέπεισε γοῦν τις τινα τῶν ἰατρῶν, ἐπιτιθέναι τὴν ἔμπλαστρον ταύτην ἐν παγκρατίῳ δηχθέντι νεανίσκῳ τὸν λιχανὸν δάκτυλον, ὃς οὕτως ἔσχε κακῶς, ὡς κινδυνεῦσαι μὲν ἀποσαπῆναι τὸ δηχθὲν μόριον ὅλον, ἐπιγινομένης σηπεδόνος αὐτῷ. μόλις δ' ἐν χρόνῳ πλέονι θεραπευθεὶς, ἐκολλήθη. γενομένου τοῦδε τοῦ δήγματος, οὐκ εἰς νεῦρον, ἀλλ' εἰς σάρκα, θαυμαστὸν οὐδὲν ὑπὸ τοῦ τοιούτου φαρμάκου θεραπευθῆναι. τὰ γὰρ τῶν ἀνθρώπων δήγματα, παραπλήσια τοῖς ἄλλοις ἐστὶν ἕλκεσιν, εἰ μὴ πάνυ κακόχυμος ὁ δακὼν εἴη, ἢ νενηστευκώς γε μέχρι καὶ πλέονος, ἢ τεθυμωμένος, ὡς ἐκκεχολῶσθαι τό τε σύμπαν σῶμα, καὶ τὰ περὶ τοὺς ὀδόντας. οὐ μὴν οὐδ' ἐπὶ τούτων, τί τοιοῦτον ἀξιόλογον φαίνεται ποιοῦν τὸ φάρμακον, ἀλλ' ἀρκέσει τῷ παραχρῆμα χρησαμένῳ, μηδὲν ἀδικηθῆναι, πρίν τι τῶν ἰδίως ἐπιτηδείων εἰς τὰ τοιαῦτα φαρμάκων ἐπιβληθῆναι κατὰ τοῦ δηχθέντος μορίου, περὶ ὧν αὖθις εἰρήσεται. νυνὶ δ' ἀποχρήσει τοσοῦτον εἰπεῖν, ὡς ἐφ' ὧν, ἤτοι γε ἄνθρωπος ὁποῖον εἴπομεν, εἴτε πίθηκος, εἴτε κύων, εἴτ' ἄλλο τι τοιοῦτον ζῶον εἴη δακόν.

A dicta. Et sanè admirarer, si quid eiusdem speciei hoc ipso præstantius possit confici. Meminit eiusdem Heras quoque in medicamentorum libro, quem nonnulli, narthecem, idest, ferulam inscribunt, alij tonon dynameōn, idest, *robur virium*, censens oleum vetus attribuendum, eique parem aquæ mensuram, vel dimidiam, esse miscendam. Cæterùm alia quæ ad symmetriam spectant, ita habent vt à me scripta sunt, nisi quòd ille heminas non libras, tum aquæ, tum olei, posuerit, non indicans, quot vnciarum heminam, siue ponderis, siue mensuræ, constituant; etenim ponderales vnciæ grauitatem corporum, mensurales mo-
B lem decernunt. Quum igitur medicamentum hoc senum vlcera, & tenerorum curare dicit, verus est, quum verò vlcus sanare scribit, amplius quàm par est, ei condonat, & tribuit. Siquidem humidiora, eoque minùs ad cicatricem venientia curat, cacoëthes nullum, sicut nec vllum vulnus cruentum; ille autem, & hæc omnia promittit. Attamen derasis ipsum mederi scribens, non falsus est; subinde enim tam derasum os, vt cutis inde cum subiecta quadam carne dependeret, medicamento imposito, cum ipsa coaluisse vidi; & quod hoc maius est, interdum iam nigricante;
C rursus aliud, quam hoc etiam admirabilius, in cubiti gibbero, tibia, & genu, quibus nulla caro, sed os conuestiens membrana, vel latus tendo solus subiectus est. Quare ad abrasa optimum hoc medicamentum habueritis; ad sinus, & abscessus, nec omnium optimum, nec bonitate optimorum secundum; verùm ad mediocres hos affectus in teneris, mulieribus, pueris, & senibus, commendatur. Quare & hic plus quàm oportebat Heras medicamento detulit; multo autem magis, cùm laudaret ipsum, scribens ad morsus vniuersos esse remedio. Cur enim sermoni appositum esse vult,
D vniuersos? vtrum si etiam ferarum morsus fuerit, an hominum vniuersorum tantùm, dicit? atqui falsum est vtrunque. In feris quidem clarum est, quæ enim ab efficacibus medicamentis vix curantur, hæc nemo ab illo sanari posse dixerit; quòd si de hominibus dicat, & sic oratio incerta indistinctaque est, adeo, vt auditores magis offendat, quàm iuuet. Itaque persuasit aliquis cuidam medico, vt emplastrum hoc adolescenti in Pancratio digitum indicem morso imponeret; qui inde tam malè habuit, vt in periculo esset ne pars tota morsa computresceret, oborta iam putredine; vix autem diuturna curatione glutinatus est. At quum
E non in neruum, sed carnem, læsionem acceperit, nihil mirum est huiusmodi medicamento saluum euasisse. Etenim hominum morsus aliis vlceribus admodum similes sunt, nisi qui momorderit, vitiosis humoribus abundet, aut diutius à cibo abstinuerit, aut ira correptus sit, vniuersum corpus, & etiam dentes bile madeant; neque in his tamen eiusmodi quicquam mentione dignum medicamentum facere videbitur. Atqui ei qui subitò fuerit vsus, satis erit, si nihil incommodi acceperit prius, quàm medicamentum aliquod talibus curandis peculiariter dedicatum, morsæ particulæ
F imposuerit; de quibus mox disputabitur. Nunc verò tantum dixisse sufficiet in iis, quos siue homo qualem diximus, siue simia, siue canis, siue id genus animantium aliud, momorderit.

CAP.

CAPVT XIV.

Attalici secundum Andromachum albi narratio, & compositio, quod minus lædit à rabiosis morsos & neruos vulneratos.

A Lba quæ oleo recenti, & aqua citra piperis, atque thuris mixturam conficiuntur, commorsas partes vehementer offendunt, licet animātis saliua, quod momorderit, vel pauxillū adeo virus contineat; at minus illis omnibus Attalicum lędendi naturā obtinet, quòd terebinthina, oleum vetus, thus, & piper, adiecta sint. Pari etiam modo in neruorum vulneribus reliqua alba magis nocēt, sed multo minor offensa est ex hoc, quod quidem oleum vetus habet, aquam non item. Insuper hoc magis eueniet, si tres vncias thuris integras, & non eius dimidium recipiat. Dictum siquidem mihi est & antea, quod si & hoc pacto præparemus, in huiusmodi albis alumen medicamento malè congruat; nam opus est hic non astringentibus, sed abunde extrahentibus, quę in alto neruos punctos affligunt, & venenatam animalium saliuam. Heras hoc emplastrum ex rhodino, vel myrteo, vel myrrhino, dilutum mederi & ambustis igne tradit; & si etiam hic longe inferius sit medicamentis, quæ ambusta cōmodè sanant, de quibus ipsis quoque rursus sermonem instituemus. Præstantiora enim in his sunt alia candida, quæ neq; thus, neque resinam habent. Quin & hæc non parum ab iis superantur, quæ ambustis igne propriè auxiliantur; quemadmodum à me compositum eadem sanare dixi, si acetum adiungas; illud siquidem nullo non tempore cōmodum est. Quod autem ex pipere album constat, excoriatis adustionibus quum ad cicatricē perueniunt vtile est, ante per se nihil conducit; dilutum verò ex oleo myrteo prodest, non tamen æquali, cum his medicamentis virtute, quæ ad ambusta propriè faciunt. Heras morsis etiam ipsum conuenire scribit. Sed hîc quoq; distinctione vtamur oportet, siquidē in duris, & ad patiendū difficilibus imbecillius est medicamentum, in mediocribus, maximè in senibus, pueris, mulieribus, & vt breuiter dicam, molli carne præditis, abundè sufficit. Insuper varis aptum est, quemadmodum, & hoc verè prodidit Heras. At de exanthematis, indistinctè pronunciauit. Etenim ex horū numero mediocriter subdura persanat; quæ verò plus caloris, aut phlegmonodes quippiam referunt, irritat, præsertim initio. Post commemorata, deinceps in hæc verba Heras disseruit. *Fecit etiam ad duritiam trimestrem, quæ ex partu profecta erat, ac perspiratu discußit, non impoßibilia dicens.* At conueniebat ipsum præscripsisse, cuiusnam durities esset, totiúsne vuluæ, an ceruicis solius, vel orificij, vel cornuum, vel externi cuiusdam corporis ei incumbentis. Iam verò id ipsum emplastrum impensius, quàm natura comparatum sit, laudat aduersus fistulas quum alias omnes, tum maximè, quæ in dactylio id est podice oriuntur; sic enim appellauit ipse, cum illud curare affirmaret. Simili modo ad podagrā, carbunculos, epinyctidas, condylomata, lepras, vitiligines, sugillata, propositum emplastrū Heras extollit. Si itaq; tanquā meliorū penuria, eo vsus quispiam mediocre pręsidiū attulerit, verè prædicat; sin autem, vt medicamentum ad hæc optimum adducit, manifesti mendacij arguitur, quum multa alia præstantiora inueniantur.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Περὶ τῆς Ἀτταλικῆς Ἀνδρομάχου λευκῆς, ἐξήγησις καὶ σύνθεσις, ὅτι ἧσσον βλάπτει τοὺς λυσσοδήκτους, καὶ τοὺς νευροτρώτους.

Αἱ δι᾽ ἐλαίου νέου καὶ ὕδατος σκευαζόμεναι λευκαί, χωρὶς τοῦ τὸ πέπερι καὶ τὸν λιβανωτὸν λαβεῖν, ἀδικοῦσι μεγάλως τὰ δηχθέντα μόρια, κἂν βραχύτατον ἰῶδες ἔχῃ τὸ τοῦ δακόντος ζώου σίαλον. ἧττον δ᾽ ἐκείνων ἁπασῶν ἡ Ἀτταλικὴ βλάπτειν B πέφυκε παρὰ τὴν τερμινθίνην ἐμβάλλεσθαι, καὶ τὸ ἔλαιον τὸ παλαιόν, καὶ τὸν λιβανωτόν, καὶ τὸ πέπερι. κατὰ ταῦτα δὲ κἀπὶ τῶν νευροτρώτων, αἱ μὲν ἄλλαι λευκαὶ βλαβερώτεραι. πολὺ δὲ ἐλάττων ἡ ἐκ τῆσδε βλάβη, παλαιὸν μὲν ἔλαιον ἐχούσης, ὕδωρ δ᾽ οὐκ ἐχούσης. ἔτι δὲ μᾶλλον εἰ τὰς τρεῖς ὅλας οὐγγίας ἔχει τοῦ λιβανωτοῦ, καὶ μὴ τὸ ἥμισυ. λέλεκται γάρ μοι καὶ πρόσθεν, ὡς εἰ καὶ οὕτω σκευάζοιμεν, ἐπὶ τῶν τοιούτων λευκῶν ἡ στυπτηρία πρὸς κακοῦ γίνεται τῷ φαρμάκῳ. δεῖται γὰρ οὐ τῶν στυφόντων, ἀλλὰ τῶν ἱκανῶς ἑλκόντων ἔξω τὰ διὰ βάθους ἐνοχλοῦντα, τά τε νενυγμένα νεῦρα, καὶ τὸ τῶν ζώων ἰῶδες σίαλον. καὶ πυρίκαυτα δὲ τὴν ἔμπλαστρον ταύτην ἰᾶσθαί φησιν ὁ Ἡρᾶς, ἀνιεμένην C ῥοδίνῳ, ἢ μυρσίνῳ, ἢ μυρρίνῳ. πολὺ δὲ κἀνταῦθα λείπεται τῶν θεραπευόντων καλῶς φαρμάκων τὰ πυρίκαυτα, περὶ ὧν καὶ αὐτῶν αὖθις εἰρήσεται. βελτίους γὰρ ἐπὶ τούτων, αἱ ἄλλαι λευκαί, μήτε λιβανωτὸν ἔχουσαι, μήτε ῥητίνην. ἀπολείπονται δὲ καὶ αὗται πάμπολυ τῶν ἰδίως ἰωμένων τὰ πυρίκαυτα, καθάπερ ἔφην τὴν ὑπ᾽ ἐμοῦ συντεθεῖσαν ἐκθεραπεύειν αὐτὰ προσλαβοῦσαν ὄξος. ἐκείνη μὲν γὰρ ἐν ἅπαντι καιρῷ χρήσιμος. ἡ δὲ διὰ τοῦ πεπέρεως λευκή, τοῖς ἀποδαρεῖσι κατακαύμασιν. ὅταν μὲν ἤδη εἰς οὐλὴν ἄγηται, χρήσιμος. ἔμπροσθεν δὲ D καθ᾽ ἑαυτὴν μὲν ἄχρηστος, ἀνεθεῖσα δ᾽ ἐν ἐλαίῳ μυρσίνῳ, χρήσιμος, οὐ μὴν ἰσοσθενῶς γε τοῖς ἰδίως ἁρμόττουσι πρὸς τὰ πυρίκαυτα φαρμάκοις. καὶ δηχθεῖσιν αὐτὴν ὁ Ἡρᾶς ἁρμόττειν φησίν. ἀλλὰ κἀνταῦθα διορισμοῦ χρεία, ἐπὶ μὲν γὰρ τῶν σκληρῶν καὶ δυσπαθῶν, ἀσθενέστερόν ἐστι τὸ φάρμακον, ἐπὶ δὲ τῶν μετριωτέρων ἱκανόν, καὶ μάλιστα ἐπὶ γερόντων, καὶ παίδων, καὶ γυναικῶν, καὶ συλλήβδην φάναι τῶν ἁπαλοσάρκων. ἔστι δὲ καὶ τοῖς ἰόνθοις τὸ φάρμακον χρήσιμον, ὡς καὶ τοῦτο ἔγραψεν ὁ Ἡρᾶς ἀληθεύων. ἀδιορίστως δὲ περὶ τῶν ἐξανθημάτων ἀπεφήνατο. καὶ γὰρ καὶ τούτων ὅσα μετρίως ὑπόσκληρα θεραπεύει, τὰ δ᾽ ἐπὶ πλέον E ἥκοντα θέρμης, ἤτοι φλεγμονῶδες ἔχοντα, παροξύνει, καὶ μάλιστα ἐν ἀρχῇ. ἐφεξῆς δὲ τῶν εἰρημένων, ὁ Ἡρᾶς ἔγραψε κατὰ λέξιν οὕτως. ἐποίησε καὶ ἐπὶ σκληρίας τριμηνιαίου, ἥτις συνέστη ἐκ τόκου, καὶ διεφόρησεν, οὐκ ἀδύνατα λέγων. ἐχρῆν δ᾽ αὐτὸν προσγεγραφέναι, τίνος ἦν ἡ σκληρία, πότερον αὐτῆς ὅλης τῆς μήτρας, ἢ κατὰ τὸν αὐχένα μόνον, ἢ τὸ στόμιον, ἢ κατὰ τὰς κεραίας. ἢ καθά τι τῶν ἔξωθεν ἐπικειμένων σωμάτων αὐτῇ. καὶ πρὸς σύριγγας δ᾽ ἐπαινεῖ τὴν ἔμπλαστρον αὐτὴν ὁ Ἡρᾶς μειζόνως, ἢ πέφυκεν, ἁπάσας τε τὰς ἄλλας, καὶ μάλιστα τὰς ἐν δακτυλίῳ γινομένας· αὐτὸς γὰρ οὕτως ὠνόμασε, θεραπεύειν αὐτὴν ἀποφηνάμενος. ὁμοίως δὲ καὶ F πρὸς ποδάγρας καὶ ἄνθρακας, ἐπινυκτίδας τε καὶ κονδυλώματα, λέπρας τε καὶ λειχῆνας, καὶ ὑπώπια, τὴν προκειμένην ἔμπλαστρον ἐπαινῶν ἐστιν ὁ Ἡρᾶς. εἰ μὲν οὖν, ὡς τῶν βελτιόνων αὐτῷ μὴ παρόντων χρησάμενός τις αὐτῇ. μετρίως ἂν ὠφελήσειν, ἀληθῶς ὑπείληφεν. εἰ δ᾽, ὡς ἀρίστῳ φαρμάκῳ πρὸς ταῦτα, ψεύδεται φανερῶς, ἑτέρων πολλῶν ἀμεινόνων ὄντων.

ἐπὶ δ' οὖν τῷ τέλει τῶν ἐπαίνων αὐτῆς, οὕτως ἔγραψεν αὐτοῖς A ὀνόμασι. χρῶ δὲ αὐτῇ μάλιστα, ὅταν ἕλκος ὑπὸ δριμέων φαρμάκων, καὶ ἐναίμων ἀναλύηται, καὶ ἀναφλεγμαίνῃ, καὶ ἐπὶ τῶν περὶ τὸ γόνυ ἀποστημάτων. ἐχρῆν δὲ κἀνταῦθα προσγεγράφθαι, κατὰ μὲν τὸν τῶν ἀποστημάτων λόγον, τοὺς ἁπαλοσάρκους, καὶ παῖδας, καὶ γυναῖκας, καὶ γέροντας, ἐπὶ δὲ τῶν ἑλκῶν, τὰς ἰδέας αὐτῶν, ὡς ἡμεῖς ποιήσομεν ἐν τῷ περὶ τῶν κακοήθων ἑλκῶν λόγῳ. τῶν γὰρ οὕτως κακοήθων, οὐδενός ἐστιν ἡ προκειμένη κατὰ τὸν ἐνεστῶτα λόγον ἔμπλαστρος ἐπουλωτική. διορισμοῦ δὲ δεῖ τοῖς δυσεπουλώτοις, ἀπὸ τῶν κακοήθων. οὐδὲ γὰρ πάντ' ἐστὶ τὰ κακοήθη, δυσεπούλωτα. καὶ λεχθήσεται δηλονότι προϊόντος τοῦ B λόγου, περί τε τῆς διαφορᾶς αὐτῶν, καὶ τῶν φαρμάκων, ὅσα πέφυκεν ὠφελεῖν ἑκάτερα. καὶ διὰ μόνων δὲ τῶν μεταλλικῶν ἐγχωρεῖ σκευασθῆναι λευκὴν ἔμπλαστρον, ὡς ὀλίγον ἔμπροσθεν ἐπὶ τῆς λιθαργύρου μόνης ἑψηθείσης ἔλεγον. ἐὰν γὰρ τῇ λιθαργύρῳ προσβληθῇ τὸ ψιμμύθιον, εἶτα ἐλαίου τε καὶ ὕδατος ἑκατέρου διπλάσιον μιχθῇ, καὶ τὴν ἕψησιν, ὡς ἀρτίως εἶπον, ἐπ' ἀνθράκων προδιακεκαυμένων ἐν ἀέρι λαμπρῷ ποιήσηταί τις, εὐκόλλον τε τὸ φάρμακον ἔσται, καὶ λευκὸν τῇ χρόᾳ, τοῦ διὰ μόνης λιθαργύρου κατασκευασθέντος, ἐμψυκτικώτερον. ὥσπερ γὰρ ἡ μολύβδαινα, ψυχρικωτέρας τε καὶ παχυμερεστέρας ἐστὶ φύ- C σεως, καὶ ἐὰν λιθαργύρῳ περιβάλλῃ τις αὐτήν, οὕτω καὶ τὸ ψιμμύθιον, ἢ καὶ μᾶλλον ἔτι τῆς μολυβδαίνης. εἰ δὲ καὶ παλαιὸν ἐμβληθείη τὸ ἔλαιον, ἕξει καὶ τοῦτο τὸ φάρμακον, οὐκ ὀλίγην γλισχρότητα, πρὸς τὸ μὴ ῥᾳδίως ἀποπίπτειν τοῦ σώματος, ᾧ περ ἂν ἐπιτεθὲν τύχῃ. λευκὴν δὲ γενέσθαι τὴν ἔμπλαστρον εἰ βούλοισθε, καθαρώτατον, ὡς οἷόν τε καὶ λαμπρότατον ἔλαιον ἐμβάλλετε, πολλὰ γάρ ἐστιν οὐ τοιαῦτα. παρηγορικὸν δὲ καὶ ἀνώδυνον ἔσται τὸ φάρμακον, ἐὰν καὶ στέατος αὐτῷ τις ἐπεμβάλῃ, καθάπερ εἴωθα ποιεῖν ἐγώ. χήνειον δ' ἔστω τὸ στέαρ, ἢ τούτου μὴ παρόντος, ὀρνίθειον. εἰ δὲ μηδὲ τοῦτ' ἔχοιμεν, ὕειον ἐμβάλ- D λωμεν, εἰδότες μὲν οὐ σμικρὰν ὑπεροχὴν εἶναι τοῦ χηνείου παρὰ τὰ ἄλλα, χρώμενοι δὲ καὶ τοῖς χείροσιν, ὅταν ἀπορῶμεν τοῦ καλλίστου. καὶ γὰρ ὅταν μὴ παρῇ κιννάμωμον, ἐπὶ τὴν ἀρίστην ἐρχόμεθα κασσίαν. ἀρκεῖ δὲ ἐπὶ τῇ προειρημένῃ συμμετρίᾳ, μιγνύναι τοῦ στέατος ἥμισυ μέρος τοῦ σταθμοῦ τῶν μεταλλικῶν ἑκατέρου, ὡς εἶναι λιθαργύρου μὲν καὶ ψιμμυθίου. μέρος ἓν ἑκατέρου. διπλάσιον δὲ ἐλαίου, καὶ διπλάσιον ὕδατος, ἢ καὶ πλέον ὀλίγῳ, τοῦ δὲ στέατος ἥμισυ μέρος. ὅπως δὲ λέγω τοῖς ἱσταμένοις ἐπὶ ζυγοῦ τὰ μετρούμενα, διπλάσιά τε ἡμίσεα καὶ ἴσα, μικρὸν ἔμπροσθεν ἐδήλωσα, τὴν ὁμωνυμίαν ἐξηγησάμενος τὴν παρὰ Ῥω- E μαίοις σταθμικῆς λίτρας τῇ μετρικῇ. τοῦτο τὸ φάρμακον ἐσκεύασα πολλάκις, καὶ γὰρ ἴσα τὰ τέτταρα μίξας, ἥμισυ τοῦ στέατος ἐνέβαλον εἰς αὐτά, καί ποτε καὶ τῶν ὑγρῶν ἑκατέρου μέρος ἓν καὶ ἥμισυ. γενήσεται δέ, ὡς ἐπὶ παραδείγματος, ἡ συμμετρία τοιάδε. λιθαργύρου ℔ α'. ψιμμυθίου ℔ α'. τοῦ δὲ ἐλαίου καὶ τοῦ ὕδατος, ἑκατέρου λίτρας ἥμισυ, καὶ λοιποῦ στέατος ἡμιλίτριον. ἐσθ' ὅτε δὲ καὶ τὸ τρίτον τῆς λίτρας ἔβαλλον, ὥσπερ καὶ τοῦ ὕδατος μίαν λίτραν. ὃ δ' εἰώθασι λέγειν πολλάκις οἱ ἰδιῶται, καὶ τῶν ἰατρῶν οἱ τοιούτοις ὅμοιοι, φυλάξασθέ ποτε εἰπεῖν, ὡς αὐτοὶ λέγουσιν, ἄμεινον γίνεσθαι τόδε τι τὸ φάρμακον εἰ προσλάβοι τοῦδέ τινος, ὅπερ ἂν ὀνο- F μάσωσιν. ἔνιοι δ' αὐτῶν μὲν ἀγνοεῖν ὁμολογοῦσιν, ἐρωτῶσι δ' ἡμᾶς, ὁποία τῶν συνθέσεων καὶ σκευασιῶν ἐστὶ καλλίστη, μὴ γινώσκοντες ἄλλην ἐπὶ ἄλλης διαθέσεως εἶναι χρησιμωτέραν, ἁπλῶς δὲ καὶ ἀδιορίστως, οὐδεμίαν ἀρίστην. διὰ τοῦτ' οὖν ἐγὼ τῶν ἁπλῶν φαρμάκων ὑμᾶς ἀξιῶ τὰς δυνάμεις ἀκριβῶς ἐπίστασθαι·

Cæterùm post ipsius laudes, his verbis præcipit: *Vtere hoc maximè, quum vlcus ab acribus medicamentis, & iis quæ cruentis imponuntur vulneribus soluitur, & phlegmonen recipit; tũ in abscessibus, qui circa genu fiunt.* Hîc quoq; fidei illius erat apponere pro abscessuũ quidẽ ratione, tenera carne præditos pueros, mulieres, & senes: in vlceribus autẽ, species eorum adscribere; vti nos faciemus in sermone de malignis vlceribus, nam istud, de quo nunc loquimur, emplastrũ nulli tã cacoëthi, seu maligno cicatricẽ obducit. Verũ distinguenda sunt ea quę cicatricẽ ægrè ducũt, à cacoëthibus; neq; enim omnia cacoëthe difficulter cicatricẽ admittũt. At dicetur sermone procedẽti de ipsorũ differentia, & medicamentorũ, quę vtrisq; sanãdis dicata sunt. Quin ex solis metallicis albũ emplastrũ præparare licet, vt paulo antè in sola argẽti spuma cocta admonuimus. Si enim spuma argenti cerussæ cõmittatur; deinde olei, & aquæ, vtriusq; duplũ misceatur; & coctionẽ, vt nuper est dictũ, carbonibus antea perustis, in aëre lucido peragas; tũ glutinãs, ac tenax, tũ albũ colore, medicamentũ erit; maiore autẽ refrigerãdi virtute præditũ, quã quod est ex sola argenti spuma confectũ. Quemadmodũ enim molybdæna frigidioris, crassiorisq; naturæ est, etsi argẽteę spumę eã admisceas, sic etiã cerussa, vel magis adhuc quã molybdæna; quòd si vetus oleũ indatur, non parũ lẽtoris, & hoc medicamentũ habiturũ est, ne videlicet à corpore facilè decidat, cuicunq; fuerit impositũ. Atqui si emplastrum candidum fieri postulatis, oleum quàm fieri potest purissimum simul, & lucidissimũ iniicitote; multa enim eius generis non sunt. Mitigans verò, ac dolorem sedans erit medicamentum, si & adipis aliquid inieceris veluti ego facere consueui. Adeps verò anserinus sit, vel huius inopia gallinaceus. Si neque hunc habemus, suillũ iniiciamus, non ignari quidẽ magnã esse anserini ad reliquos eminentiam; vtẽtes autem peioribus etiam, si quãdo optimi copia non cõceditur; nam & quum cinnamomum desideratur, ad cassiam optimam descendimus. Verùm in prędicta symmetria adipis pondus dimidio minus, quàm vtriusq; metallici, miscere sufficit; vt argenti spumæ, & cerussæ singulorũ pars vna adsit, olei dupla, & aquæ dupla, vt etiam paulo amplior, adipis pars dimidia. Cæterùm quomodo dicam iis qui lance metiuntur, dupla, dimidia, & æqualia, ante paulũ ostensum est, dum Romanæ libræ ponderalis cum mensurali cognominationem, quam vocant homonymiam, seu ęquiuocationem, interpretarer. Medicamentum hoc variis modis pręparaui; siquidem quatuor pari portione mixtis, dimidiam adipis, interdum quoque liquidorum vtriusque vnã & dimidiam, adiunximus. Porrò fiet veluti exemplo symmetria talis, argenti spumæ pondo libra, cerussæ pondo libra; olei aquæ vtriusque pondo libras, postremò adipis pondo selibra. Est quum & pondo trientem adiecerim, sicut & aquæ pondo libram integram. Quod autem idiotæ frequẽter dicere solent, & medici ipsis similes, obseruate ne interdũ dicatis, nẽpe medicamentũ quodlibet generosius fieri, si adiectũ hoc fuerit, quodcunq; scilicet nominauerint. Nõnulli ignorare se fatentur, rogantq; nos, qualisnã compositio præparatioq; sit optima, ignorantes aliam in alio affectu esse cõmodiorem, simpliciter verò, & indefinitè ne vnã quidem optimam, huius itaq; rei gratia ego simplicium medicamentorum virtutes accuratè pernoscere operæ pretium esse vobis puto; nam

nam cōposito probè vti non possitis illorū ignari. Nimirū igitur in proposito hic albo emplastro recens adeps admixtus medicamentum efficit, quod dolorē magis adeo leuat, vt si & inflāmatione laboret vlcus, iuuet ipsum; at cicatrice obducēda minùs reddet accōmodatum. Quod citra adipē cōficitur, faciliùs quidē cicatricē inducit, verū non ex æquo sedat dolorē. Dictum quoq; est priùs, quòd aqua admixta euidētius refrigeret, sed oleo veteri, magis discutiat. Itaq; qui eam facultatē assequutus est, vt quo potissimū vlcus indigeat, scire possit, is optimè, & ipse componet medicamenta, & iam cōpositis vtetur. Atq; vidistis me subinde medicorum, qui me in consilium aduocarunt, medicamentis multa curasse, à quibus illi sanitatis spem abiecerant. Optimū igitur medicamentū dictum est non sermone simplici, sed inter ea quæ hoc aliquid facere pollicentur; quemadmodū ego Phœnicinum optimum esse retuli aduersus rheumatica; si eo iuxta prædictas distinctiones vtamur.

A χρῆσθαι γὰρ οὐχ οἷόν τε καλῶς τοῖς συνθέτοις, τούτων ἀγνοουμένων. αὐτίκα γοῦν ἐπὶ τῆς προκειμένης κατὰ τὸν λόγον τόνδε λευκῆς ἐμπλάστρου, τὸ πρόσφατον στέαρ μιγνύμενον, ἀνωδυνώτερον μὲν ἐργάζεται τὸ φάρμακον, ὡς κἂν ὑποφλεγμαίνῃ τὸ ἕλκος, ὠφελεῖν αὐτό, χεῖρον δὲ εἰς τὴν ἐπούλωσιν ποιήσει. τὸ δὲ χωρὶς τοῦ στέατος, ἐπουλωτικώτερον μὲν, οὐχ ὁμοίως δὲ ἀνώδυνον. εἴρηται δὲ καὶ πρόσθεν, ὡς ὕδατος μὲν προσλαβὸν, ἐμψυκτικώτερον γίγνεται, παλαιοῦ δὲ ἐλαίου διαφορητικώτερον. ὁ δυνάμενος οὖν γνῶναι τίνος μᾶλλον χρῄζοι τὸ ἕλκος, οὗτος ἄριστα καὶ αὐτὸς συνθήσει τὰ φάρμακα, καὶ τοῖς ἤδη συγκειμένοις B χρήσεται. κἀμὲ πολλάκις ἐθεάσασθε τοῖς τῶν παρακαλεσάντων ἰατρῶν εἰς συμβουλὴν φαρμάκοις, θεραπεύσαντα πολλὰ, τῶν ἐκείνοις ἀπεγνωσμένων. ἄριστον οὖν εἴρηται φάρμακον, οὐχ ἁπλῶς, ἀλλὰ τῶν ἐπαγγελλομένων τόδε τι ποιεῖν. ὥσπερ ἐγὼ τὸ φοινίκινον ἀρίστην ἔφην εἶναι πρὸς τὰ ῥευματικὰ, χρωμένων αὐτῇ κατὰ τοὺς προειρημένους διορισμούς.

CAPVT XV.

De aliis emplastris albis.

Alba igitur antè cōmemorata, qua dixi ratione iam olim confecta sunt; post quæ alia diuersa medici posteri excogitarunt, quedā adimentes, addentes, & immutantes; de quibus & ipsis præstat dicere, vt in varia medicamentorum compositione vos exerceamini. Scripsit itaq; Andromachus in libro, cui titulum fecit, virtutes ad exteriora, hisce quodammodo verbis. *Album, quo vtor.* Argenti spumæ mina vna, cerussæ mina vna, ceræ pars quarta, resinæ pars quarta, olei heminæ tres, aquæ heminæ duæ. Hactenus Andromachus nec quibus conueniat adscripsit, nec coctionis eius mentionem fecit. Nonnulli viginti vncias minam continere tradunt, quidam sedecim. Atque medicamentum vtroq; modo præparari possit, non tamen rectè mihi parem modum resinæ, & ceræ iniicere videtur; nam Attalici compositio melior est, quæ ceram resinæ duplo copiosiorem accipit. Constat autem, si resinæ, & ceræ æqualis portio adiecta sit, emplastrum fore glutinantius, non tamen ex æquo suaue gratumq; vlceribus, sed acrimoniam habiturum. Quin etiam eo quod indicare noluit, qualis immitti debeat resina, parum rectè fecit; nos autem haud ignari, esse meliorem per omnia terebinthinam, tum colophoniam, tum eam quæ phryctè nominatur, illam iniiciemus. At si & laricem habeamus, quid vti prohibet, quum sibi inuicem propemodum sint assimiles? Olei heminas tres, Atticas puto ipsum scribere, aut certè scripsisset, libras. Atqui miretur quispiam, quomodo Romæ degens pro libris heminas nominauerit; eius nempe regionis illa sunt nomina, libra, sextarius, vncia. Ex multis medicamentis quondam conscriptis, priusquam Romanorum res eò potentiæ accreuissent, conieci, quam illi vocarent heminam, esse æqualem vnciis nouem libræ Romanæ hodiernæ. Nunquid igitur, & Andromachus tres heminas censet adiiciendas, tanquam singulæ vnciis nouem valeant? eademque ratione, & aquæ duas? Vos ergo si simplicis cuiusque potestatem cognitam ante habeatis, quomodocunque præparato vti potueritis ad ea quæ compositionis modus promittit, aliis permittentes inquirere, qualisnam confectio sit optima;

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῶν ἄλλων λευκῶν ἐμπλάστρων.

C Αἱ μὲν οὖν προειρημέναι λευκαὶ, καθ' ὃν εἴρηκα λόγον ἐσκευάσθησαν ἐκ παλαιοῦ. πολυειδεῖς δὲ ἄλλαι μετὰ ταῦτα συνετέθησαν, ἀφαιρούντων γέ τινα, καὶ προστιθέντων, καὶ ὑπαλλαττόντων τῶν ἐπιγινομένων ἰατρῶν, περὶ ὧν καὶ αὐτῶν ἄμεινον εἰπεῖν, ἕνεκα τοῦ γυμνάσασθαι ποικίλως ὑμᾶς ἐν τῇ τῶν φαρμάκων συνθέσει. γέγραπται τοίνυν ὑπ' Ἀνδρομάχου κατὰ τὸ βιβλίον, ὃ ἐπιγράφει, δυνάμεις πρὸς τὰ ἐκτὸς, ὧδέ πως αὐτοῖς ὀνόμασι. λευκὴ ᾗ χρῶμαι. λιθαργύρου μνᾶ α'. ψιμμυθίου μνᾶ α'. κηροῦ τέταρτον, ῥητίνης τέταρτον, ἐλαίου κοτύλαι γ'. ὕδατος κοτύλαι β'. ταῦτα μὲν ἔγραψεν ὁ Ἀνδρόμαχος, οὔτ' ἐπὶ D τίνων ἁρμόττει προσγράψας, οὔτε περὶ τῆς ἑψήσεως αὐτοῦ διελθών. τινὲς μὲν οὖν εἴκοσιν οὐγγίας ἔχειν φασὶ τὴν μνᾶν, ἔνιοι δὲ ἑκκαίδεκα. καὶ δύναιτ' ἂν ἑκατέρως σκευάζεσθαι τὸ φάρμακον. οὐ μὴν ὀρθῶς μοι δοκεῖ τὸ ἴσον ἐμβάλλειν ῥητίνης τε καὶ κηροῦ. βελτίων γὰρ ἡ Ἀτταλικὴ σύγκειται, τὸν κηρὸν τῆς ῥητίνης λαμβάνουσα διπλάσιον. πρόδηλον δὲ ὅτι τῆς ῥητίνης ἴσης ἐμβληθείσης τῷ κηρῷ, γένοιτ' ἂν ἐγκολλητικωτέρα μὲν ἔμπλαστρος, οὐχ ἡδεῖα δὲ ὁμοίως τοῖς ἕλκεσιν, ἀλλ' ἔχουσα δριμύ. καὶ μέντοι καὶ τῷ μὴ δηλῶσαι ποίαν βούλεται βάλλεσθαι ῥητίνην, οὐκ ὀρθῶς ἔπραξεν. ἀλλ' ἡμεῖς γε γινώσκοντες, ἀμείνω κατὰ πάντα τὴν E τερμινθίνην εἶναι τῆς κολοφωνίας τε καὶ φρυκτῆς ὀνομαζομένης, ἐκείνην ἐμβαλοῦμεν. εἰ δὲ καὶ τῆς λαρικῆς εὐποροίημεν, οὐδὲν κωλύει χρήσασθαι, παραπλήσιαι γάρ πώς εἰσιν. ἐλαίου δὲ κοτύλας τρεῖς ἡγοῦμαι γράφειν αὐτὸν τὰς Ἀττικὰς, ἢ πάντως ἂν ἐγέγραφε λίτρας. καίτοι θαυμάσειεν ἄν τις, ὅπως ἐν Ῥώμῃ διατρίβων, ἀντὶ λιτρῶν ὠνόμαζε κοτύλας. ἐπιχώρια γὰρ ταῦτα ὀνόματα, τό τε τῆς λίτρας, καὶ τὸ τοῦ ξέστου, καὶ τὸ τῆς οὐγγίας. ἐκ πολλῶν φαρμάκων πάλαι συγγεγραμμένων, πρὶν εἰς τοσοῦτο δυνάμεως ηὐξῆσθαι τὰ τῶν Ῥωμαίων, ἐστοχασάμην ἣν ὀνομάζουσιν ἐκεῖνοι κοτύλην, ἴσην εἶναι ταῖς κατὰ τὴν νῦν ἐν Ῥώμῃ λί- F τραν οὐγγίαις ἐννέα. μή τι οὖν καὶ ὁ Ἀνδρόμαχος τὰς τρεῖς κοτύλας ἀξιοῖ βάλλειν, ὡς ἑκάστης αὐτῶν οὔσης οὐγγιῶν θ'. καὶ κατὰ τὸν αὐτὸν λόγον, καὶ τὰς τοῦ ὕδατος δύο; προειδότες οὖν ὑμεῖς τὴν ἑκάστου τῶν ἁπλῶν δύναμιν ὅπως ἂν σκευάσητε, χρῆσθαι δυνήσεσθε πρὸς ἅπερ ὁ τῆς συνθέσεως ἐπαγγέλλεται τρόπος, ἐπιτρέψαντες ἑτέροις ζητεῖν, ὁποία τῶν συνθέσεων ἐστὶν ἀρίστη.

πᾶσαι γὰρ ἄρισταί τέ εἰσι, καὶ οὐκ ἄρισται, καθότι προεπιδέδεικταί μοι. καὶ γὰρ αὖ καὶ ταύτης ἐφεξῆς, ἑτέραν ὁ Ἀνδρόμαχος γράφει τήνδε.

A omnes enim optimæ sunt, & non optimæ, quemadmodum nobis priùs ostensum est. Postea Andromachus aliud subiungit huiusmodi.

Λευκὴ ἄλλη.

℞. Λιθαργύρου < ρξ'. ψιμμυθίου < σ'. κηροῦ < ν'. τερμινθίνης < κδ'. ἐλαίου κοτύλης ἥμισυ, ὕδατος κυάθους ς'. Αὕτη τοίνυν ἡ ἔμπλαστρος, τῆς προτέρας πλέον ἔχουσα τὸ ψιμμύθιον τοῦ λιθαργύρου, λευκοτέρα μὲν ἂν γένοιτο, καὶ ψυκτικωτέρα κατά γε τοῦτο. ῥᾳδίως δὲ ἀποπίπτουσα, κἂν ἑκκαίδεκα, καὶ δίμοιρον οὐγγίας τὴν κοτύλην ἔχειν ὑποθώμεθα, καθάπερ ἔνιοί φασι. βοηθεῖ γε μὴν αὐτῇ πρὸς τοῦτο ἡ τερμινθίνης ἡ μίξις, ὡς μὴ κραῦρον γίνεσθαι τὸ φάρμακον, ἐπεὶ τελέως ἂν ἀλιπὲς ἦν καὶ ξηρόν, ὀλίγον ἔχον ἐλαίου τε καὶ ὕδατος. οὐ προσέγραψε δὲ οὐδὲ ἐπὶ ταύτης ὁ Ἀνδρόμαχος, οὔθ' ἕψησιν, οὔτ' ἐπαγγελίαν.

Album aliud.

℞. Argenti spumæ ʒ. clx. cerussæ ʒ. cc. ceræ ʒ. l. terebinthinæ ʒ. xxiv. olei heminæ dimidium, aquæ cyathos vj. Hoc igitur emplastrũ priori plus cerussæ, quã argenti spumæ, habẽs, candidius euadet, magisq; refrigerans, quod ad hoc attinet, sed facilè decidit, minusq; adhæreſcit, licet sedecim vncias, & duas partes heminam habere statuamus, quemadmodum nonnulli aiunt. Iuuat sanè ipsum B ad hæc terebinthinæ mixtura, ne friabile fiat medicamentũ; quoniam omnino alipes, vt Græci dicunt, id est pinguis expers, & aridum esset, pauco oleo, & aqua addita. Neque in hoc verò ascripsit Andromachus, vel coctionẽ, vel quid promittat.

Λευκὴ ἄλλη.

Ἑτέραν δὲ ἐφεξῆς τήνδε γράφει τρίτην, τὰ μὲν ἄλλα τὰ αὐτὰ πάντα ἔχουσαν, τῇ διὰ τοῦ λευκοῦ πεπέρεως Ἀτταλικῇ. πρόσκειται δὲ αὐτῇ ταῦτα τὰ δύο, ὄρχεως βοτάνης < η'. στρουθίου οὐγγίαι δύο, ὕδωρ δὲ οὐδ' ὅλως ἐμβάλλει τῷ φαρμάκῳ τούτῳ, καὶ τοῦ λιβανωτοῦ τὰς ε'. καὶ εἴκοσι δραχμὰς ἀξιοῖ βάλλειν, οὐ προσγράψας, ὡς ὁ Ἡρᾶς εἴωθεν. ἔνιοι δὲ δέκα δύο καὶ εἴκοσι βάλλουσιν, ἐλαίου μέντοι κἀνταῦθα δύο κοτύλας μιγνύει, τὴν αὐτὴν ἀσάφειαν ἡμῖν καταλιπών, ἧς ἔμπροσθεν ἐμνημόνευσα. μέμψαιτο δὲ ἄν τις αὐτὸν μεγάλως, μὴ προσγράψαντι τὰς ἐπαγγελίας τῶν φαρμάκων. οὐ γὰρ δήπου τὴν αὐτὴν δύναμιν ἔχει τὸ δεύτερον γεγραμμένον τῷ πρώτῳ τε καὶ τῷ τρίτῳ. τὸν Ἡρᾶν δὲ ἐπαινεῖν προσήκει τάς τε ἐπαγγελίας τῶν φαρμάκων γράψαντα, καὶ τοὺς τρόπους τῶν χρήσεων, οὓς ὅλως ὁ Ἀνδρόμαχος ἐπὶ τῶν λευκῶν ἐμπλάστρων κατέλιπε, σπανίως που μόνην τὴν ἐπαγγελίαν προσθείς, οὐ μὴν οὐδ' ὅπως χρὴ τὸ φάρμακον ἕψειν ἔγραψεν. ἀλλ' οὐκ ἄν τις αὐτὸν ἴσως ἐν τούτῳ μέμψαιτο τοῖς ἤδη γεγυμνασμένοις κατὰ τὴν ἰατρικὴν τέχνην, οὐκ ἰδιώταις γράφοντα. τὸ δὲ μὴ προστιθέναι τὰς ἐπαγγελίας, ἢ τὰς καθόλου δυνάμεις, οὐ σμικρὸν ἁμάρτημα. τί γὰρ καί φησί τις ἀπολογούμενος ὑπὲρ αὐτοῦ; τάχ' ἴσως, ὅτι τοῖς ἐπισταμένοις τὰς τῶν ἁπλῶν φαρμάκων δυνάμεις γέγραπται ταῦτα. καὶ μὴν οὐδεὶς ἐκείνων Ἀνδρομάχου δεῖται, δυνάμενός γε καὶ αὐτὸς ὁμοίως συντιθέναι.

Aliud album.

Aliud post hoc ponit tertium, quod eadem alia omnia cum Attalico ex pipere albo confecto continet. Adiecta autem sunt ei hæc duo, orchis herbæ drachmæ octo, struthij vnciæ duæ. Aquam verò nequaquam huic medicamento adiungit, sed thuris pondo denariûm vigintiquinque, C iniiciendum censet, non adscribens, vt Heras consueuit; nonnulli autem xxvj. immittunt. Olei tamen hîc ille heminas duas imponit, eandem nobis obscuritatem relinquens, cuius supra memini. Accusauerit quis eum vehementer, quòd medicamentorum pollicita, seu titulum non præfixerit, quippe secundum cum primo, & tertio eandem potentiam non obtinet. Herasque sanè laudandus est, qui medicamentorum virtutes adscripserit, vtendique modos, quos Andromachus in emplastris albis prorsus omisit, raro ad quid valeant apponens; quin nec quo pa- D cto coquendum medicamentum sit, indicauit. Attamen nemo forsan eum accusare possit, quòd iam exercitatis in re medica, non idiotis, scribat. Verùm quòd titulum præterit, vel vniuersales potentias, non mediocre peccatum est. Quid enim dicet, qui defensionem eius susceperit? forsan, quòd peritis simplicium medicamentorum virtutum hæc tradiderit; atqui illorum nullus Andromachum desiderat, quum & ipse simili modo possit componere.

E

ΚΕΦΑΛΑΙΟΝ ις'.

Λευκὴ Ἡρᾶ, πρὸς τοὺς ὑδροφόβους.

Πάλιν οὖν ἐπὶ τὸν Ἡρᾶν ἀφικόμεθα, γράφοντα μετὰ τὴν Ἀτταλικὴν ἔμπλαστρον ἑτέραν λευκήν, αὐτοῖς ὀνόμασι τοῖσδε. λευκὴ πρὸς τοὺς λυσσοδήκτους. ποιεῖ δὲ ἀκριβῶς, καὶ πρὸς τοὺς ὑδροφόβους. ῥύεται γὰρ εὐθὺς τοῦ κινδύνου ἐπιτεθεῖσα τῷ τραύματι. τοῖς μέντοι κεκρατημένοις ἄγαν, καὶ καταπότιον ὅσον καρύου Ποντικοῦ ἐξ αὐτῆς ποιήσαντα διδόναι, καὶ τοῦτο ποιεῖν ἐφ' ἡμέρας μ'. μεταβάλλει μέντοι τὴν χρόαν ἐπὶ τῶν σπληνίων, καὶ γὰρ μέλαινα. ποιεῖ δὲ καὶ πρὸς ἀνθρωπόδηκτα, κυνόδηκτα, ἀποσύρματα, δυσκατούλωτα, αἴρει καὶ ὑπώπια κεράτιον α'. καὶ τραύματα κολλᾷ. ποιεῖ καὶ πρὸς φύματα, καὶ ῥαγάδας. ἔστι δὲ καὶ πεσσὸς μαλακτικός. δεῖ μέντοι παρὰ μίαν ἡμέραν λύειν, καὶ ἀποσπογγίζειν τὴν ἐπιγινομένην τοῖς ἕλκεσι μελανίαν. καὶ τοῦτο ποιεῖν, ἕως ἂν μηκέτι φαίνηται ἡ μελανία.

CAPVT XVI.

Aliud Heræ aduersus rabiosos morsus.

Rursus ad Heram reuertamur, aliud candidum emplastrum post Attalicum iisdem hisce verbis scribentem. *Candidum aduersus Rabiosorum morsus. Facit exactè etiam ad aquam expauescentes rabidi canis morsu, præseruat enim statim à periculo vulneri impositum; item deuictis valdè catapotium nucis auellanæ magnitudine ex eo dandum est, idque diebus quadraginta; mutat tamen colorem in spleniis, redditurque nigrum. Valet &* F *contra Morsus hominum, canumque abrasa, & vlcera, quæ cicatricem difficulter admittunt. Tollit etiam sugillata siliqua vna, vulnera conglutinat, aufert Phymata, & Rhagadas. Est & pessus emolliens. Oportet tamen post diem soluere, & nigredinem vlceribus obortam spongia detergere; idque tantisper faciendum est, donec nigricies amplius nulla appareat.*

Iam

Iam quoque idem cicatricem ducit, & ad omnia bonum est. Hæc præfatus Heras deinceps symmetriam emplastri his verbis enarrauit. *Album.* ℞. ceræ albæ Ponticæ lib. ij. argenti spumæ chrysitidis lib. j. cerussæ lib. j. myrrhæ ℥. ij. medullæ ceruinæ ℥. ij. thuris insecti ℥. j. olei veteris sextarium j. Hæc sanè symmetria eorum est, quæ emplastrum constituunt. Coquendi verò modum deinceps ita scripsit. Argenti spuma ex oleo coquitur; vbi sordium crassitudinem habere videtur, cera, mox cerussa aspergitur, moueturque; vnita iam, nec polluentia ab igne tollũtur, & medulla iniicitur; postquam refrixerit medicamentum, myrrha & thus miscetur; deinde emollitum, subactumque manibus vsui est. In hoc igitur Heras commendandus est, qui non reliquerit nobis, quomodocunque lubet, emplastrum coquendum, sed ipse apposuerit. Procliue enim erat cerussam cum argenti spuma, vt in albis aliis statim ab initio coquere, & nos id plerunque factitare consueuimus, imò & ille ipse in aliis conscripsit; verùm in hoc ipsam secundo iniicere præcipit, non apponens causam, cur id agere præstiterit, etsi ostendat non vnum coquendi modum in omnibus esse similiter vtilem, sed in quibusdam, & duos, & tres efficere licere, non modò colorem, verùm & facultatem immutantes medicamentorum; quemadmodum in hoc nunc proposito cerussam cum argenti spuma coquere noluit, sciens ipsam, & exactum candorem ex coctione perdere, & astrictionem, quam habet, cum refrigerandi virtute, deponere. Forsan igitur inquiret aliquis, ecquid quum emplastri author primus, quicunque fuerit, digerens id esse vellet, conatus tamen est cerussam crudam in eo præseruare? Mihi sanè videtur huius gratia ad talem venisse confecturam, vt medicamentum repulsoriæ quoque virtutis quippiam habeat, etenim eiusmodi nullã habentia, plethoricis corporibus nequaquã tuta sunt. Vt ergo conueniat & his cerussam crudã mixtam esse, verisimile est. Cęterùm neminem latet, magna de se propositũ medicamentũ promittere, inde quòd myrrham, & ceruinam medullam assumpserit, sicut & alia quoq; eadem, cum cõmunibus his emplastris cõtinet. Didicimus autẽ myrrham valde siccans, tenuiumq; admodum partium esse medicamentum; medullam rursus nullo inter ea, quæ mollientia vocantur, inferiorem. De hac facultate, quemadmodum & de aliis omnibus secundis in libro v. simplicium medicamentorum dictum est, videtur tamen non iis tantùm medicamenti compositor, sed etiam albæ ceræ Ponticæ, quæ vim habet medicamentosam, confidere, atq; ideo plurimum eius immittere. Cæterùm sextarij (hoc est xesti) Romani Heram meminisse puto: nam apud Athenienses neque mensura, neque nomen hoc erat; nunc ex quo Romani imperare orbi cœperunt, nomen sextarij apud omnes, quæ Græca lingua vtuntur, nationes existit; ipsa verò mensura Romanæ æqualis non est, quippe alij aliam sextarij mensuram vsurpant. Apud Romanos sextarius libram vnam, semissem, & sextam illius partem pendet, vt omnes simul iunctæ vncię sint viginti; quas plurimum cornibus metiuntur, incisis extrinsecus lineis quibusdam orbicularibus. Nonnulli falso Romanum sextarium opinati sunt octodecim mensurales vncias capere. Videtur igitur & Heras, quum heminam scribit, sextarij dimidium indicare; num verò nouem vncias ex librali cornu, an decẽ innuant, etiamnũ ignoratur.

A ἡ αὐτὴ καὶ κατουλωτική ἐστι, καὶ πρὸς πάντα ἀγαθή. Ταῦτα
προειπὼν Ἥρας, ἐφεξῆς ἔγραψε τὴν συμμετρίαν τῆς ἐμ-
πλάστρου κατὰ τήνδε τὴν λέξιν. Λευκή. ℞. κηροῦ λευκοῦ Πον-
τικοῦ λίτρας β'. λιθαργύρου χρυσίτιδος λίτραν α'. ψιμμυθίου
λίτραν α'. σμύρνης οὐγγίας β'. μυελοῦ ἐλαφείου οὐγγίας β'. λι-
βάνου ἀτόμου οὐγγίαν α'. ἐλαίου παλαιοῦ ξε. α'. συμμετρία
μὲν ἥδε τῶν συντιθέντων τὴν ἔμπλαστρον. ἐφεξῆς δὲ τὴν ἕψη-
σιν οὕτως ἔγραψε. λιθάργυρον ἐλαίῳ ἕψε, ὅταν δὲ δοκῇ γλοιοῦ-
σθαι κατὰ τὴν σύστασιν, κηρὸν, εἶτα τὸ ψιμμύθιον ἔμπασσε, καὶ
κίνει. ὅταν δ' ἑνωθῇ, καὶ ἀμόλυντος γένηται, ἀφελὼν τὴν ἀνθρα-
B κιὰν, τὸν μυελὸν ἀπόδιδου. ψύξας δὲ ἀπόδιδου τὴν σμύρναν, καὶ
τὸν λιβανωτὸν, καὶ μαλάξας χρῶ. καὶ κατὰ τοῦτο οὖν ἐπαινεῖν χρὴ
τὸν Ἥραν, οὐκ ἐφ' ἡμῖν ἀπολιπόντα τὴν ἔμπλαστρον ἕψειν,
ὅπως ἂν βουληθῶμεν, ἀλλ' αὐτὸν προσγράψαντα. πρόχειρον
γὰρ ἦν ἅμα τῇ λιθαργύρῳ τὸ ψιμμύθιον εὐθέως ἀπ' ἀρχῆς
ἕψειν, ὡς ἐπὶ τῶν ἄλλων λευκῶν, ἡμεῖς τε τοῦτο, ὡς ἐπίπαν εἰώ-
θαμεν ποιεῖν, ἀλλ' αὐτός τε ἐκεῖνος ἐπ' ἄλλων ἔγραψεν. ἀλλ'
ἐπί γε ταύτης ὕστερον ἐμβάλλειν αὐτὸ κελεύει, μὴ προσγράψας
μὲν τὴν αἰτίαν, δι' ἣν τοῦτο ποιεῖν ἄμεινον, ἐνδεικνύμενός γε
μὴν, ὡς οὐχ εἷς τρόπος ἑψήσεως ἐπὶ πάντων ἐστὶν ὁμοίως
C χρήσιμος, ἀλλ' ἐπ' ἐνίων, καὶ δύο, καὶ τρεῖς ποιήσασθαι δυνατόν
ἐστιν, οὐ μόνον ὑπαλλάττοντας τὴν χροιὰν, ἀλλὰ καὶ τὴν δύνα-
μιν τῶν φαρμάκων. ὥσπερ ἐπὶ τῆσδε τῆς νῦν προκειμένης, οὐκ
ἐβουλήθη τὸ ψιμμύθιον ἑψηθῆναι μετὰ τῆς λιθαργύρου, γινώ-
σκων αὐτὸ, καὶ τὴν ἀκριβῆ λευκότητα μὴ φυλάττον ἐν τῷ κα-
θέψεσθαι, καὶ τὴν στύψιν ἣν ἔχει μετὰ τῆς ψύξεως ἀποτιθέμενον.
ἴσως οὖν τις ζητήσει, καὶ τί διαφορητικὸν εἶναι βουλόμενος τὸ φάρ-
μακον ὁ συνθεὶς πρῶτον, ὅς τίς ποτ' ἦν, ὅμως ἐπειράθη δια-
φυλάξαι τὸ ψιμμύθιον ὠμὸν ἐν αὐτῷ; δοκεῖ δέ μοι τούτου χάριν
ἐπὶ τὴν τοιαύτην ἐλθεῖν σκευασίαν, ἵν' ἔχῃ τι καὶ τῆς ἀποκρουστι-
D κῆς δυνάμεως τὸ φάρμακον. τὰ γὰρ οὐδεμίαν ἔχοντα τοιαύτην,
οὐκ ἀσφαλῆ τοῖς πληθωρικοῖς σώμασιν. ὅπως οὖν ἁρμόττῃ καὶ
τούτοις, εἰκὸς μεμῖχθαι τὸ ψιμμύθιον ὠμόν. εὔδηλον δ' ὅτι
μεγάλας ἐπαγγελίας τὸ προκείμενον ἐπαγγέλλεται φάρμα-
κον, ἐκ τοῦ προσειληφέναι τήν τε σμύρναν, καὶ τὸν ἐλάφειον μυε-
λὸν, ὡς τά τε ἄλλα ταῖς κοιναῖς ταύταις ἐμπλάστροις ἔχει τὰ
αὐτά. μεμαθήκαμεν δὲ τὴν μὲν σμύρναν ἰσχυρῶς ξηραῖνον εἶναι
φάρμακον, ἱκανῶς τε λεπτομερές. τὸν δὲ μυελὸν, οὐδενὸς ἥτ-
τονα τῶν μαλακτικῶν ὀνομαζομένων. εἴρηται δὲ περὶ τῆς δυνά-
μεως ταύτης, ὥσπερ καὶ τῶν ἄλλων ἁπασῶν τῶν δευτέρων ἐν
E τῷ ε'. τῆς περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείας. ἔοικέ
γε μὴν οὐ τούτοις μόνοις ὁ συνθεὶς τὸ φάρμακον, ἀλλὰ καὶ τῷ
λευκῷ κηρῷ τῷ Ποντικῷ θαρρῆσαι. φαρμακώδη δύναμιν
ἔχοντι, καὶ διὰ τοῦτο πλεῖστον αὐτὸν ἐμβάλλειν. ξέστου δὲ νομίζω
μεμνῆσθαι τὸν Ἥραν τοῦ Ῥωμαϊκοῦ, παρὰ μὲν γὰρ τοῖς Ἀθηναίοις,
οὔτε τὸ μέτρον ἦν, οὔτε τοὔνομα τοῦτο. νυνὶ δὲ ἀφ' οὗ Ῥωμαῖοι
κρατοῦσι, τὸ μὲν ὄνομα τοῦ ξέστου παρὰ πᾶσίν ἐστι τοῖς Ἑλληνικῇ
διαλέκτῳ χρωμένοις ἔθνεσιν, αὐτὸ δὲ τὸ μέτρον οὐκ ἶσον τῷ
Ῥωμαϊκῷ. χρῶνται γὰρ ἄλλος ἄλλῳ ξεστιαίῳ μέτρῳ. παρὰ γοῦν
τοῖς Ῥωμαϊκοῖς, ὁ ξέστης ἔχει μίαν λίτραν, καὶ ἡμισείαν, καὶ ἕκτον, ὡς
F εἶναι τὰς πάσας οὐγγίας κ'. ἃς ὡς τὸ πολὺ τοῖς κέρασι μετροῦσιν,
ἐπιτετμημένοις ἔξωθεν γραμμαῖς τισι κυκλοτερέσιν. ἔνιοι δὲ
ψευδῶς ὑπειλήφασι τὸν Ῥωμαϊκὸν ξέστην, ὀκτωκαίδεκα μετρι-
κὰς ἔχειν οὐγγίας. ἔοικεν οὖν καὶ ὁ Ἥρας ὅταν κοτύλην γράφῃ,
τὸ μὲν ἥμισυ τοῦ ξέστου σημαίνειν. ἤτοι δὲ τὰς θ'. δηλοῦσιν οὐγ-
γίας, ἐκ τοῦ λιτραίου κέρατος, ἢ τὰς δέκα, τοῦτο γὰρ ἄδηλον.

A Εἰ δὲ καὶ πρὸς λυσσοδήκτους ἐπιτήδειόν ἐστι φάρμακον, εἴτ' οὖν καταπινόμενον, εἴτ' ἔξωθεν ἐπιτιθέμενον, ἐκ λόγου μὲν οὐχ οἷόν τε γνῶναι. δέδεικται γὰρ ἡμῖν ὅλῃ τῇ τῆς οὐσίας ἰδιότητι, τὰ τοιαῦτα φάρμακα τὴν ἐνέργειαν ἔχοντα, καὶ διὰ τοῦτο τῇ πείρᾳ κρινόμενα. πειρασθῆναι δὲ οὐδέποτε ἐτόλμησα τοῦ φαρμάκου τοῦδε, τίνα δύναμιν ἐν τοῖς λυσσοδήκτοις ἐπιδείκνυται, διὰ τὸ βεβαίως θεραπεῦον ἔχειν φάρμακον, τὸ διὰ τῶν καρκίνων. ὅταν δὲ τοῦτο μὴ παρῇ, καὶ ἄλλα τινὰ μηδέποτε ἀποτυγχάνοντα. τὸ τοίνυν ἐν οὕτως ἐπικινδύνῳ πάθει καταλιπόντα τὰ βέβαια, πολυπράγμονος ἕνεκα πείρας προδοῦναι τὴν σωτηρίαν τοῦ δεδηγμένου, δεινὸν καὶ ἄδικον ἐφαίνετό μοι. B περὶ μὲν δὴ τῶν λυσσοδήκτων ἀρκεῖ καὶ ταῦτα εἰρῆσθαι. τὰ δ' ἄλλα, τὰ περὶ τῆσδε τῆς ἐμπλάστρου γεγραμμένα τῷ Ἥρᾳ, καθάπερ ἐπὶ τῆς Ἀτταλικῆς, ἔνια μὲν ἀληθεύεσθαί φημι, τινὰ δὲ ἐπὶ τὸ μεῖζον ἐξαίρεσθαι. κάλλιστον μὲν γάρ ἐστι φάρμακον, ὡς ἐν ἐμπλάστροις, τῶν ὀνομαζομένων ὑπωπίων, ἐναίμων δὲ τραυμάτων κολλητικόν, οὐκ ἐν τοῖς πρώτοις καὶ ἀρίστοις. ὅλως δὲ περὶ τοῦ γένους τούτου τῶν ἐμπλάστρων εὑρίσκω παμπόλλους τῶν ἰατρῶν, οὐ μόνον τῶν νῦν, ἀλλὰ καὶ τῶν γεγραφότων συγγράμματα, μείζονας τῶν ἀληθῶν ἐπαίνους πεποιημένους, ὑπὲρ ὧν ἐν τῷ μετὰ ταῦτα λόγῳ ῥηθήσεται. C νῦν δὲ ἐπὶ τὴν προκειμένην ἐλθόντες, αὖθις ἐπισκεψόμεθα περὶ τῶν εἰρημένων τῷ Ἥρᾳ. φησὶ γὰρ αὐτὴν ἰᾶσθαι φύματα, μηδένα προσθεὶς διορισμόν, ὧν ἐγὼ περὶ τῆς φοινικίνης ἔγραψα. τινὰ μὲν γὰρ πάνυ θερμὰ τῶν φυμάτων ἐστί, καὶ σφοδρῶς ἐξορμῶντα, τινὰ δὲ καὶ ψυχρὰ καὶ ξηρά. πάμπολλα δ' ἄλλα μεταξὺ τούτων, ἔνια μὲν ἀκριβῶς μέσα τῶν εἰρημένων, ἔνια δὲ ὀλίγον ἀφιστάμενα τῆς μεσότητος ἑκατέρωσε, καί τινα πλέον ὡσαύτως ἐφ' ἑκάτερα, καί τινα τῶν ἄκρων ἐγγύς, ἢ μεταξύ πως ἐξ ἴσου τῶν τε μέσων, καὶ τῶν ἄκρων, ἐφ' ὧν ἁπάντων ἀδύνατόν ἐστι τὴν ἔμπλαστρον ταύτην ἐφαρμόττειν, εἰ μὴ ἄρα βούλοιτο τήκειν αὐτὴν ὑγροῖς τισιν, ὡς γίγνεσθαι τρόπους πολ- D λοὺς τῆς χρήσεως, οὓς ἐχρῆν αὐτὸν εἰρηκέναι, καθάπερ ἐπ' ἄλλων ἐποίησε. διὸ καὶ δίκαιον εἶναί φημι, τοῦτον μὲν ἐπαινεῖν ἐφ' οἷς οὕτως ἔγραψε, μέμφεσθαι δὲ Ἀνδρομάχῳ. περὶ δὲ τοῦ τὴν ἔμπλαστρον ταύτην ἐπ' ἀνθρωποδήκτων καὶ κυνοδήκτων ἁρμόττειν, τοὺς αὐτοὺς νόμιζε παρ' ἐμοῦ λόγους ἀκούειν, οὓς καὶ περὶ τῆς Ἀτταλικῆς εἶπον. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων, ὅσα μαρτυρεῖ τῷ φαρμάκῳ, καθάπερ ἐπ' ἐκείνης οὕτω κἀπὶ ταύτης λέγων καλὸν εἶναι τὸ φάρμακον, ἀλλὰ πολὺ λείπεσθαι τῶν εἰς ἕκαστον ἐκείνων ἄριστα ποιούντων, ὡς χρήσασθαί τινα αὐτῷ θαρρούντως, μηδενὸς τῶν ἀρίστων παρόντος. οὐ σμικρὸν E δὲ οὐδὲ τοῦτ' ἔστιν ἐν τοῖς φαρμάκοις, ὥσπερ κἀν τοῖς διαιτήμασι, καὶ πᾶσι τοῖς κατὰ τὴν τέχνην, οὗ κατεφρόνουν μὲν ἐγὼ τὸ πρῶτον, ὡς μηδ' ἄξιον Ἱπποκράτει εἶναι νομίζειν, παραινοῦντι ἡμῖν οὕτω πάντα τὰ κατὰ τέχνην πράττειν, ὡς ὠφελεῖν, ἢ μὴ βλάπτειν. ὕστερον δ' ἔγνων αὐτὸ μεγίστην δύναμιν ἔχον, ὡς ἑώρων ἐνίους τῶν ἰατρῶν, οἷς κατώρθωσαν ἔμπροσθεν φαρμάκοις, ὡς θαυμασθῆναι, τούτοις ὕστερον ἐπ' ἄλλων ἀποτυχόντας, ὡς καταγελασθῆναι. καὶ διὰ τοῦτ' ἐπειράθην ἀεὶ τοιούτοις χρῆσθαι βοηθήμασιν, ἐφ' οἷς ἡ μὲν τῆς ὠφελείας ἐλπίς, ἐνίοτε ἀμφιβολίαν ἔχει, τὸ δὲ μηδεμίαν ἀπαντῆσαι βλά- F βην, ἀκριβῆ γνῶσιν. ἅπερ οὖν ἐπῄνεσε τῆς Ἀτταλικῆς ἐμπλάστρου, καὶ ταύτης ὁ Ἥρας, ἔστι μέν, ὡς ἔφην, οὐ μεγάλα. οὐ παρόντων δὲ τῶν μεγάλως αὐτὰ δρώντων, οὐκ ἄν τις τούτοις χρώμενος, ἐργάσεται βλάβην σαφῆ, κἂν μηδὲν ὠφελήσῃ. χρῆσθαι μέντοι τις τῷ φαρμάκῳ τούτῳ βουλόμενος ἐπὶ φυμάτων,

Item ad rabiosos morsus aptũ ne sit medicamentum, siue bibitum, siue extrinsecus impositum, ratione cognoscere nemini licet. Indicauimus enim tota substantię proprietate eiusmodi medicamenta efficaciam habere, & ob id experientia iudicari. At experiri nunquam ausus sum hoc medicamentum, quam vim in rabidorum morsibus ostenderet, quòd certo sanans haberem medicamentum ex cancris confectum; quum autẽ hoc non adest, alia quoq; nonnulla, quę nunquã prospero successu nos frustrantur. Quare in tam periculoso affectu certis medicamentis relictis curiosæ experientiæ causa, morsi salutẽ prodere graue, & iniquum mihi videbatur. Iam quidem de rabiosis morsibus hæc quoq; dicta sufficiunt. Reliqua verò, quę Heras de hoc emplastro retulit, vt in Attalico, partim sanè vera prædicari, partim impendio magis ab eo extolli, dixerim. Optimũ enim est medicamentum, vt inter emplastra, quæ sugillatis dictis admouentur; inter ea verò, quæ cruenta vulnera glutinant, non in primis, & optimis est. Summatim permultos inuenio non modò huius tempestatis medicos, sed etiam veteres, qui libros posteritati reliquerũt, hoc genus emplastra supra veri fidem extulisse, de quibus sequenti volumine agetur. In præsentia ad institutum reuersi, iterum Heræ dicta examinabimus. Ait enim phymatis medicamentum illud mederi, nulla distinctione eorum apposita, quæ ego de phœnicino protuli. Quædam siquidem calida sunt phymata, & cum vehementia quadam exiliunt; quædam frigida siccaque sunt, permulta alia inter hæc consistunt, alia quidem exactè media illorum, quę diximus, alia à medio in vtranque partẽ paulum inclinant; aliqua plus idem faciunt, nonnulla summis vicina, vel à mediis quodammodo, & summis pari spatio absunt. Quibus vniuersis emplastrum hoc conuenire non potest, nisi cum mollibus quibusdam id velit liquefacere, vt multi modi fiant, quibus eo vtamur, quos explicasse ipsum, sicut in aliis factitauit, oportebat. Proinde par esse puto, vt hunc laudemus ob ea, quæ tradidit, Andromachum accusemus. Cæterùm de eo, quòd emplastrum istud hominum canumq; morsibus conferat, easdem puta à me rationes audire, quas & de Attalico pronunciaui; similiter etiam de aliis, quæ medicamentũ commendant; quemadmodum illud, ita hoc quoq; bonum esse medicamentũ dicens, sed multum ab iis, quæ optimè ad vnumquodque illorũ faciunt, inferius esse, vt quis eo confidenter vtatur, vbi optima desint omnia. Hoc autem non paruum est in medicamentis, quemadmodum nec in victus ratione, & omnibus quæ circa artem versantur. Ego contempsi quidẽ id primum, vt neque dignum esse iudicarem Hippocrate, qui adhortatur nos, ita omnia artis opera perficere, vt iuuent, vel non offendãt. Postea verò cognoui magnam vim habere, quum scilicet viderem nonnullos medicos in medicamentis se primum rectè gessisse, vt in admirationem sui alios perducerent; eosdẽ postea in aliis prospero euentu frustratos, vt risui essent. Ideóq; semper conatus sum eiusmodi vti præsidiis, quæ an profutura essent, nonnunquam sanè dubitabam, quòd autẽ nihil afferrent incõmodi, certo sciebam. Quæ igitur in Attalico emplastro, atq; hoc laudauit Heras, non quidem, vt dixi, magna sunt, sed vbi desiderantur, quæ id magnificè efficiant, nemo his vtens manifestam læsionem inferet, etsi nihil iuuerit. Atqui si quis hoc medicamento vti volet in phymatis, ab

ab illis, quæ in phœnicino docui, ipse intelliget, aliàs aliter ipsum liquefaciens. Tractabitur autem vberius deinceps, & phymatum tota curatio, vnde spero vos methodum exactam, perfectamque medicamentorum, quæ illa iuuare possunt, habituros. Vocetur autem vobis emplastrum hoc, Album ad rabiosos morsus, sicut illud, quod ex albo constat pipere, Attalicum. Subiungit mox & aliud emplastrum Heras in hanc sententiam. *Album Ariobarzanion, quo Xenocrates abscessum iam inalteratum circa tarsum, discussit.* Deinde eorum quæ ipsi immittuntur, symmetriam, & postea coquendi modum præfatus, ad calcem hæc verba apponit. *Maximè facit ad cacoëthe, pascentia, contumacia, vniuersaliter ad omne vlcus.* Porrò cur eorum, quibus constat medicamentum, symmetriæ tertiam partem recitauerit, compertum non habeo, quum alij integram hoc modo tradiderint; ℞. argenti spumæ drach. cc. ceræ drachmas quinquaginta, olei veteris heminas iij. cerussæ drach. lxxx. terebinthinæ drach. trigintaduas, cineris buccinorum drach. x. thuris drach. xix. & aquæ cyathos duodecim. Hæc omnia à me prolata medicamenta Heras ad tertiam partem imminuit, sic; ℞. argenti spumæ drach. sexaginta sex obolos quatuor, ceræ drach. xvj. obolos iv. olei veteris heminam, cerussæ drach. xxvj. obolos quatuor, terebinthinæ resinæ drach. decem, obol. quatuor, cineris buccinorum drach. iij. obolos ij. thuris drach. vj. obolos duos, aquæ cyathos quatuor. Postea coctionem ita subdit; argenti spumam, & cerussam, cum aqua, & oleo terito, deinde recenti olla igne non acri coquito, ferrea spatha sedulo mouens, ne adurantur. Vbi semicocta fuerint, ceram immittito; hac liquefacta, resinam, & thus; ac tam diu coquito, dum aliquatenus non inquinet. Postquam bene habere propemodum videtur, buccinos iniectos reliquo tempore concoquito. Quum perfectè coierint, in mortarium demittito, aqua exigua priùs subiecta, & subacto vtitor. Hoc medicamentum, vt sine morsu discutiat, præparatum est, quòd & cerussæ parum ad argenti spumæ portionem habeat, & cum hac ab initio coctum sit, validéque exiccet ob buccinorum cinerem additum. Non dissimilis quodammodo facultas est, & purpuris, & ostreis concrematis; notum est autem sine carnibus horum animalium testas concremari. Ac Heras quidem vnum de facultatibus librum conscripsit: Asclepiades cognomento Pharmacion, decem præter theriacas, & gynæcea; apponens & ipse cuiusque medicamenti titulum, in multis etiam coctionis, in quibusdam vtendi modum. Porrò Andromachus multas vires collegit, & ferè non pauciores iis, quæ in decem libris Pharmacionis Asclepiadis habentur, tribus ipsas libris comprehendens. Primo medicamenta docet, quæ extrinsecus imponuntur; altero quæ intrò assumuntur; & tertio quæ oculis adhibentur. Reprehendere autem ipsum iure possis, vt admonui, quòd nec confecturas, nec vsus rationem, nec vires, nec quid promittant, adiecerit.

A ἐξ ὧν εἶπον ἐπὶ τῆς φοινικίνης, αὐτὸς ἐξευρήσει, τήκων ἄλλοτε ἄλλως αὐτήν. εἰρήσεται δὲ ἐπὶ πλέον ἐν τοῖς ἑξῆς, καὶ τῶν φυμάτων ἐπιμέλεια πᾶσα, δι' ἧς ἐλπίζω τὴν μέθοδον ὑμᾶς ἕξειν ἀκριβῆ τε καὶ τελείαν τῶν δυναμένων φαρμάκων ὠφελεῖν φύματα. καλείσθω δὲ ὑμῖν ἡ ἔμπλαστρος αὕτη, λευκὴ πρὸς λυσσοδήκτους, ὥσπερ ἡ διὰ τοῦ λευκοῦ πεπέρεως Ἀτταλική. γράφει δ' ἐφεξῆς τήνδε καὶ ἄλλην ἔμπλαστρον ὁ Ἡρᾶς, κατὰ τήνδε τὴν λέξιν. Λευκὴ ἡ Ἀριοβαρζάνειος, ᾗ Ξενοκράτης, τὸ περὶ τὸν ταρσὸν ἀπόστημα διεφόρησεν ἤδη μεταβεβληκός. εἶτα τήν τε συμμετρίαν τῶν ἐμβαλλομένων εἰς αὐτὴν εἰπὼν, B καὶ μετὰ ταῦτα τὴν ἕψησιν, ἐπὶ τέλει προσέγραψε, κατὰ λέξιν οὕτως. ποιεῖ μάλιστα πρὸς τὰ κακοήθη, καὶ νεμόμενα, καὶ δυσαλθῆ, καθόλου τε πρὸς πᾶν ἕλκος. αὐτὴν δὲ τὴν συμμετρίαν τῶν συντεθέντων τὸ φάρμακον, οὐκ οἶδ' ὅπως ἐκ τρίτου μέρους ἔγραψε, τῆς ὁλοκλήρως ὑπ' ἄλλων γεγραμμένης κατὰ τόνδε τὸν τρόπον. ℞. λιθαργύρου < σ'. κηροῦ < ν'. παλαιοῦ ἐλαίου κο. γ'. ψιμμυθίου < π'. τερμινθίνης < λβ'. κηρύκων κεκαυμένων < ι'. λιβανωτοῦ < ιθ'. ὕδατος κο. ιβ'. ταῦτα πάντα τὰ νῦν ὑπ' ἐμοῦ λελεγμένα φάρμακα κατὰ τὸ τρίτον μέρος ἔγραψεν ὁ Ἡρᾶς. ℞. λιθαργύρου < ξς'. ὀβολοὺς δ'. κηροῦ C < ις'. ὀβολοὺς δ'. ἐλαίου δὲ παλαιοῦ κο. α'. καὶ ψιμμυθίου μὲν < κς'. καὶ τετρώβολον· τῆς δὲ τερμινθίνης ῥητίνης < ι'. καὶ τετρώβολον, κηρύκων κεκαυμένων < γ'. καὶ διώβολον, καὶ λιβανωτοῦ < ς'. καὶ διώβολον, ὕδατος κυάθους δ'. εἶτ' ἐφεξῆς τὴν ἕψησιν οὑτωσὶ γράφει. τὴν λιθάργυρον, καὶ τὸ ψιμμύθιον, σὺν τῷ ὕδατι, καὶ τῷ ἐλαίῳ τρίβε, εἶτα ἕψε ἐν καινῇ χύτρᾳ ἐπὶ μαλακοῦ πυρὸς, κινῶν σιδηρᾷ σπάθῃ ἐπιμελῶς, ἵνα μὴ καυθῶσιν. ὅταν δὲ ἡμίεφθος ᾖ, ἐπέμβαλλε κηρὸν, τακέντος δὲ ῥητίνην καὶ λιβανωτὸν, καὶ ἕψε ἕως ἀμόλυντον γένηται πως, εἶθ' ὅταν δοκῇ ἐγγὺς εἶναι τοῦ καλῶς ἔχειν, D ἐπεμβαλὼν τοὺς κήρυκας, συνέψησον τὸν λοιπὸν χρόνον. ὅταν δὲ τελέως συστραφῇ, κατέρασον εἰς θυίαν, ὕδατος ὀλίγου προϋποκειμένου, καὶ μαλάξας χρῶ. τοῦτο τὸ φάρμακον, εἰς τὸ διαφορεῖν ἀδήκτως παρεσκεύασται, τό τε ψιμμύθιον ὀλίγον ἔχον, ὡς πρὸς τὴν ἀναλογίαν τῆς λιθαργύρου, καὶ μετὰ ταύτης ἀπ' ἀρχῆς ἑψόμενον, ἰσχυρῶς τε ξηραῖνον φάρμακον, διὰ τοὺς κεκαυμένους κήρυκας. ἡ δ' αὐτή πως ἐστι δύναμις, καὶ ταῖς πορφύραις, καὶ τοῖς ὀστρέοις κεκαυμένοις. εὔδηλον δ' ὅτι χωρὶς τῶν σαρκῶν καίεται τὰ τῶν ζώων τούτων ὄστρακα. καὶ Ἡρᾶς μὲν ἓν ἔγραψε βιβλίον τῶν δυνάμεων. Ἀσκληπιάδης δὲ ὁ ἐπικληθεὶς E Φαρμακίων, δέκα, χωρὶς τῶν θηριακῶν καὶ γυναικείων, προσθεὶς καὶ αὐτὸς ἑκάστου φαρμάκου τὴν ἐπαγγελίαν, ἐπὶ πολλῶν δὲ καὶ τὴν ἕψησιν, ἐπ' ἐνίων δὲ καὶ τὸν τρόπον τῆς χρήσεως. ὁ δὲ Ἀνδρόμαχος, πολλὰς ἤθροισε δυνάμεις, καὶ σχεδὸν οὐκ ἐλάττους τῶν ἐν τοῖς δέκα τοῦ Φαρμακίωνος Ἀσκληπιάδου. τρισὶ δ' αὐτὰς περιέλαβε βίβλοις. ἐνὶ μὲν ἐν ᾧ τὰ ἔξωθεν ἐπιτιθέμενα φάρμακα γράφει, δευτέρῳ δὲ ἐν ᾧ τὰ εἴσω τοῦ σώματος λαμβανόμενα, καὶ τρίτῳ τῷ κατὰ τοὺς ὀφθαλμούς. μέμψαιτο δ' ἄν τις, ὡς ἔφην, αὐτὸν, μήτε τὰς σκευασίας προσγράφοντι, μήτε τοὺς τρόπους τῶν χρήσεων, μήτε τὰς δυνάμεις, μήτε τὰς ἐπαγγελίας.

F

CAPVT XVII.

Quæ Asclepiades alba scripserit.

AD Asclepiadē igitur iam transgressus producam in medium, quæ ipse alba emplastra ad

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι λευκαί.

ΕΠὶ τὸν Ἀσκληπιάδην οὖν ἤδη μεταβὰς, παραθήσομαι τὰς ὑπ' αὐτοῦ γεγραφείσας ἐμπλάστρους λευκὰς ἐπὶ

τῷ τέλει τοῦ τρίτου βιβλίου τῶν ἐκτός. ἐπιγράφει δ' αὐτὸς A αὐτὰ πρώτην Μαρκέλλαν, καὶ δευτέραν, καὶ τρίτην, καὶ τετάρτην, καὶ πέμπτην, ὥσπερ τὰ ἄλλα τῶν ἐντὸς πέντε, πρῶτον Μάσωνα, καὶ δεύτερον, καὶ τρίτον, καὶ τέταρτον, καὶ πέμπτον. ἐν δὲ τῇ τρίτῃ Μαρκέλλῃ κατὰ τὸ τέλος, ἔγραψε λευκὰς ἐμπλάστρους, μίαν μὲν ἧς τὴν ἐπαγγελίαν φησὶν εἶναι πρὸς τὰ πυρίκαυτα, καὶ ἀποσύρματα, καὶ χρῶτας ἁπαλούς, ἣν ἄκεσιν ὀνομάζεσθαί φησιν. ἑψεῖν δὲ ὁμοῦ τὰ τέτταρά φησι, λιθάργυρον, ψιμμύθιον, ἔλαιον, ὕδωρ, ἴσα πάντα, καὶ δῆλον ὅτι ψαθυρὸν, καὶ ἀλιπὲς γίνεται τὸ φάρμακον τοῦτο, ὡς μηδὲ προσμεῖναι τῷ χρωτὶ δύνασθαι χωρὶς ἐπιδέσεως. B εἰ μὴ γὰρ, ὡς προέφην ἔμπροσθεν ἐπὶ πλέον ἑψηθείη τὰ μεταλλικὰ, τοιαύτην ἀναγκαῖόν ἐστι γίνεσθαι τὴν ἔμπλαστρον. ἐπὶ πλέον δ' ἕψεται, πλείονα μοίρας ἐν τῇ μίξει τῶν ὑγρῶν ἔχοντα. Ἑτέραν δ' ἐφεξῆς τῇδε λευκὴν ἔμπλαστρον ἔγραψεν ὁ Ἀσκληπιάδης, τὴν αὐτὴν μὲν ἐπαγγελίαν ἔχουσαν, οὐ τὴν αὐτὴν δὲ σύνθεσιν. οὔτε γὰρ ἴσον ἐμβάλλει σταθμὸν τῶν μεταλλικῶν, ἀλλὰ τὸ ψιμμύθιον ἡμιόλιον τοῦ λιθαργύρου, καὶ προσεμβάλλει στέατος μοσχείου, τὴν ὅλην συμμετρίαν ποιήσας τήνδε. ℞. ψιμμυθίου < ρκ'. λιθαργύρου < π'. στέατος μοσχείου < λ'. κηροῦ < κε'. ἐλαίου κοτύλας β'. τοῦτο τὸ φάρμακον, ὀλίγον ἔχει C ἔλαιον, ὡς πρὸς τὴν τῶν μεταλλικῶν ἀναλογίαν, ἐάν τις ὑπόθηται τὴν κοτύλην ἔχειν οὐγγίας θ'. Ῥωμαϊκὰς τὰς καταγεγραμμένας ἐν τοῖς συνήθεσι κέρασι λιτραίοις. ἐπεὶ δὲ πεπλεόνασται τὸ ψιμμύθιον ἐν αὐτῷ, καὶ διὰ τοῦτο στυπτικώτερον ἐγίνετο τοῦ προγεγραμμένου, τὸ στέαρ ἔμιξεν ὁ συνθεὶς αὐτό. γινώσκων δὲ τὸ τῶν βοῶν στέαρ, θερμότερόν τε καὶ διαφορητικώτερον ὑπάρχειν τοῦ τῶν ὑῶν, ἐφυλάξατο τελείου βοὸς ἐμβάλλειν στέαρ. ἐν ἅπαντι γάρ τοι γένει ζώου, τὰ νέα τῶν τελείων ὑγρότερόν τε καὶ ἧττον θερμὸν ἔχει τὸ στέαρ. εἴη ἂν οὖν καὶ ἥδε ἡ σύνθεσις περιεργοτέρα μὲν τῆς ἁπλῆς λευκῆς ἐμπλάστρου D τῆς προγεγραμμένης ὑπ' αὐτοῦ, πλέον οὐδὲν εἰς ὠφέλειαν ἔχουσα. Τρίτην δὲ ἄλλην λευκὴν ἔγραψεν ἐπουλωτικὴν, ἐκ ψιμμυθίου μὲν ἴσου τῷ λιθαργύρῳ, κηροῦ δὲ τετάρτου μέρους, ἢ κατὰ ταῦτα, καὶ τῆς τερμινθίνης αὖ πάλιν ἐξ ἡμίσεος μέρους τοῦ κηροῦ. τὸ δὲ ἔλαιον ὀλίγου δεῖν ἴσον ἐμβέβληται τοῖς μεταλλικοῖς ἀμφοτέροις ὁμοῦ, καὶ τούτῳ πάλιν αὐτῷ τὸ ὕδωρ ἴσον. ἐβουλήθη γὰρ ὁ συνθεὶς τὸ φάρμακον, τοῦ μὲν ψιμμυθίου, καὶ τῆς λιθαργύρου βάλλεσθαι < ρ'. ἑκατέρου, τοῦ κηροῦ δὲ < κε'. καὶ τῆς τερμινθίνης ιβ'. τοῦ δὲ ἐλαίου καὶ τοῦ ὕδατος, ἀνὰ δύο κοτύλας. τῆς οὖν Ἀτταλικῆς ἀναμνησθέντες ἐμπλάστρου, τὰ μεταλ- E λικὰ μὲν ὡσαύτως ἐχούσης τῇδε, καθάπερ καὶ τὸ ἔλαιον ἅμα τῷ ὕδατι. τὸν δὲ κηρὸν διπλάσιον τοῦ κατὰ τήνδε, καὶ τὴν τερμινθίνην ὡσαύτως· εἴσεσθε σαφῶς, ἥν τινα διαφορὰν ἔχει πρὸς ἄλληλα τὰ φάρμακα. προσέκειτο γὰρ ἐκείνοις καὶ λιβανωτὸς, καὶ στυπτηρία, καὶ πέπερι. Καὶ μέντοι καὶ μέμνηται τῆς Ἀτταλικῆς ἐκείνης ἐμπλάστρου καὶ ὁ Ἀσκληπιάδης, οὐκ ὀνομάζων αὐτὴν Ἀτταλικὴν, ἀλλ' οὐδὲ τὸ πέπερι βάλλων. τὰ δ' ἄλλα πάνθ' ὡσαύτως ἔγραψε κατὰ λέξιν οὕτως. Λευκὴ Μνασαίου λεγομένη, ποιεῖ καὶ πρὸς τὰ χρόνια καὶ δυσαλθῆ. ℞. λιθαργύρου, ψιμμυθίου ἀνὰ < ρ'. κηροῦ < ν'. τερμινθίνης, λιβανωτοῦ ἀνὰ < κε'. στυπτη- F ρίας σχιστῆς < ιβ'. ἐλαίου κοτύλας β'. μὴ νομίσητε δὲ διαφέρειν, ἐὰν εὕρητέ που < ρ'. ἀντὶ μιᾶς λίτρας γεγραμμένας, ἀλλ' ἐκεῖνο σκοπεῖτε, πότερον ὁ γράψας τὰς < ρ'. τὸ ἥμισυ τοῦ κηροῦ μιγνύουσιν αὐταῖς, εἴτ' ἐκείνου τὸ ἥμισυ τῆς τερμινθίνης, ὡς εἶναι τοῦ μὲν κηροῦ ν'. τῆς δὲ τερμινθίνης < κε'. ἤ τινα ἑτέραν ποιεῖται συμμε-

finem tertij libri Externorum tradidit. Nam inscribit eorum primam Marcellam, secundam, tertiam, quartam, quintam; veluti alios Interiorum quinque primum Masonem, secundum, tertium, quartum, & quintum. Verùm in tertia Marcella ad calcem alba emplastra ascripsit; prioris titulum esse ait, ad ambusta & abrasa, & cutem teneram; quod emplastrum Acesin, idest, medelam, nominari dicit. Omnia verò simul quatuor, argenti spumam, cerussam, oleum, aquam pari pondere incoqui oportere commemorat. Constatque hoc medicamentum fragile, & alipes effici, hoc est pinguis expers, vt cuti sine deligatura adhærere non possit; nisi enim vt præfatus sum antè, metallica plenius cocta fuerint, tale fieri emplastrum necesse est. Coquuntur largius, dum maiorem liquidorum mensuram in mixtura continent. Huic aliud emplastrum Asclepiades subdit, eiusdem quidem tituli, sed non eiusdem confecturæ; neque enim æquale metallicorum pondus immittit, verùm cerussam argenti spumæ sesquiplam; quin & seuum vitulinum adiicit, totam symmetriam sic faciens; ℞. cerussæ drach. cxx. argenti spumæ drach. lxxx. adipis vitulini drach. xxx. ceræ drach. xxv. olei heminas duas. Hoc medicamentum olei parum habet, ceu ad metallicorum proportionem, si quis heminam statuat valere vnciis nouem Romanis, quæ in cornibus consuetis libralibus descriptæ sunt. Quoniam verò cerussa in ipso superat, eoque magis astringens magisque refrigerans, quàm superius reddebatur, adipem author admiscuit. Sciens autem bubulum adipem calidiorem esse suillo, & vehementius digerere, cauit perfecti bouis seuum indere; quippe in omni animantium genere iuuenilia perfectis humidiorem, minusque calidum adipem habent. Erit igitur & hæc compositio difficilior quidem, ac simplicis albi emplastri, quod ante scripsit, sed nihilo vtilior. Ab his tertium aliud profert cicatricem ducens album, ex pari, cum argenti spuma pondere, ceræ quarta illorum parte, & terebinthinæ rursus dimidio minore, quàm in cera; oleum & aqua ferè æqua portione metallicis mensuris vtrisque simul indita sunt. Voluit enim medicamenti author cerussæ, & argenti spumæ, singulorum drach. c. miscere, ceræ drach. vigintiquinque, terebinthinæ drach. xij. olei & aquæ cuiusque heminas duas. Itaque Attalici memores Emplastri, quod metallica perinde, ac istud continet, sicut etiam oleum simul, cum aqua, ceram dupla portione ad eam, quæ in hoc medicamento additur, terebinthinam similiter, scietis manifestò, quonam discrimine medicamenta inter se variant: adiectum namque est illis, & thus, & alumen, ac piper. Quin etiam Asclepiades Attalici illius emplastri commeminit, non vocans id Attalicum, imò nec piper admiscens. Alia verò omnia pariter, ita scripsit ad verbum. *Album, quod ad Mnasæum refertur; facit & ad diuturna, ac difficilia.* ℞. argenti spumæ, cerussæ, cuiusque drach. c. ceræ drach. quinquaginta, terebinthinæ, thuris, singulorum drach. xxv. aluminis scissi drach. xij. olei heminas duas. Porrò ne putetis differre, si drach. centum alicubi inueniatis loco vnius libræ scriptas, sed illud potius considerate, vtrum qui scripsit drachmas centum, dimidium ceræ ipsis misceat, siue huius dimidium terebinthinæ, vt sint ceræ quidem drach. quinquaginta, terebinthinæ vigintiquinque, an aliam quandam symmetriam faciat.

Si

Si namque prædictam, nihil referet dicere libram, & selibram, & tres vncias; siquidem libra denarios sex habet ad nonaginta, selibra octo, & quadraginta; & sic & huius rursus dimidium quatuor & viginti. Quapropter eadem proportio seruatur, nulla insigni differentia, siue centum drachmis metallicorum, siue nonagintasex, heminæ duæ olei misceantur. In hoc itaque non variabunt aut different medicamenta, siue libra nominetur, siue drachmæ centum. Illa verò Asclepiadis scriptum medicamentum ab Attalico emplastro disiunxit, quòd Attalicum sex quidem drachmas aluminis scissi, piperis verò albi tres, habeat. Asclepiadis album piper non habeat, sed duplum pondus scissi aluminis. Porrò validius astringere quodammodo, ideoque promptiùs cicatricem ducere Asclepiadis medicamentum, Attali magis digerere, omnes norunt. Vnde quod dixi & priùs, qui rogant, vtrum ipsorum præstet, medicamentis vti nesciunt: Etenim ad cicatricem ducendam, Asclepiadis; ad digerendum, Attalicum est melius. In vniuersum meminisse oportet, quod apud Hippocratem scriptum est in libro De alimento, *prauum videlicet, & non prauum, noxium & vtile, relatione ad aliquid dici* Alia enim ratione pronunciaueris, Attalicum hoc emplastro esse præstantius; alia ad multa vtilius illud esse. Denique & Asclepiades ipse post hoc modò recitatum, scribens illud ipsum, quod ex pipere fit, non vocat Attalicum, sed Pamphilion, ignorans opinor primùm ipsius inuentorem. Apponit autem nomen vtentis, ac vnde acceperit; tum quid valeat, his verbis præfixit. *Aliud Pamphilion dictum medicamentum accommodatum. Facit ad vetera, vix sanabilia, carbunculos, epinyctidas, achoras, psoricos affectus, sinus glutinat, facit ad abscessus, condylomata, & ferè omnibus vtilius est.* Constare ipsum tradit ex cerussa, argenti spuma, cera, terebinthina, duabus heminis olei, eodem modo sicut & Heras; ad hæc item fissili alumine, & albo pipere; aquæ verò non meminit in confectura, sed neque thuris. Quidam non quinque & viginti, sed dimidium immittunt, quin etiam de aqua; quum enim olei veteris heminas duas infundi scripsisset, postea aquæ duas, vel vnam adiecit. Ego & sine aqua medicamentum sæpius præparaui, & ad omnia alia melius fieri apparet, præterquam in teneris corporibus; nam in his aquam præstat adhibere, præsertim cum phlegmone tentantur vlcera. Inde aliud Asclepiades cum superioribus albis emplastris profert, quod rabiosos morsus sanare promittit, quemadmodum & quod apud Heram scriptum est, pollicebatur. Assumit & hoc præter simplex album, quod ex argenti spuma, cerussa, thure, cera constat, insuper medullam ceruinam, & myrrham; porrò miscet ei argenti spumæ drachmas quadraginta, cerussæ drachmas triginta, thuris drachmas decem, myrrhæ drachmas decem, medullæ ceruinæ duobus pauciores quàm decem, ceræ albæ drachmas quinquaginta, olei veteris sextarium vnum. Primum autem horum omnium quæ recitauit, prodidit Asclepiades, quod Rhodiacum nominat, ceu discutiens & curans in mammis duritias, & ex his componitur;

A τείαν. εἰ μὲν γὰρ τὴν εἰρημένην, οὐδὲν διοίσει τοῦ λέγοντος λίτραν καὶ ἡμιλίτρον καὶ τρεῖς οὐγγίας. ἡ μὲν γὰρ λίτρα < ϛ'. ἔχει πρὸς ταῖς ἐνενήκοντα, τὸ δὲ ἡμιλίτρον, ὀκτὼ καὶ μ'. δηλονότι, καθάπερ καὶ τούτου πάλιν τὸ ἥμισυ, τέτταρας καὶ κ'. ὥσθ' ἡ αὐτὴ ἀναλογία σώζεται, μηδὲν μέγα διαφέροντος, εἴτε ταῖς < ρ'. τῶν μεταλλικῶν, εἴτε ταῖς ἐνενήκοντα ἕξ, αἱ δύο κοτύλαι τοῦ ἐλαίου μιγνύοιντο. κατὰ τοῦτο μὲν οὖν; οὐ διοίσει τὰ φάρμακα λίτρας ὀνομαζομένης, ἢ < ρ'. ἐκείνη δὲ διενήνοχε τὸ ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένον φάρμακον τῆς Ἀτταλικῆς ἐμπλάστρου, τῷ τὴν Ἀτταλικὴν ἓξ μὲν δραχμὰς τῆς σχιστῆς στυπτηρίας, τρεῖς δὲ τοῦ λευκοῦ πεπέρεως. B τὴν δὲ ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένην, τὸ μὲν λευκὸν οὐκ ἔχειν πέπερι, διπλάσιον δὲ τὸν σταθμὸν τῆς σχιστῆς στυπτηρίας, δῆλον δὲ ὅτι στυπτικώτερον μέν πως, καὶ διὰ τοῦτο ἐπουλωτικώτερον ἐστι τὸ τοῦ Ἀσκληπιάδου φάρμακον, διαφορητικώτερον δὲ τὸ Ἀτταλικὸν, ὥσθ' ὅπερ ἔφην καὶ πρόσθεν οἱ ζητοῦντες, ὁπότερον αὐτῶν ἐστι βέλτιον, οὐκ ἴσασι χρῆσθαι φαρμάκοις. εἰς μὲν γὰρ τὴν ἐπούλωσιν, τὸ τοῦ Ἀσκληπιάδου βέλτιόν ἐστιν, εἰς δὲ τὴν διαφόρησιν, τὸ Ἀτταλικόν. ἑνὶ δὲ λόγῳ μεμνῆσθαι χρὴ τοῦ ὑφ' Ἱπποκράτους γεγραμμένου κατὰ τὸ περὶ τροφῆς, ὡς ἐν τῷ πρός τι, τό τε φαῦλον, C καὶ τὸ οὐ φαῦλον λέγεται, καὶ δηλονότι τὸ βλαβερόν τε καὶ ὠφέλιμον. ἑτέρῳ γὰρ λόγῳ φαίης ἂν εἶναι τήνδε τῆς ἐμπλάστρου τὴν Ἀτταλικὴν βελτίονα, τῷ πολυχρηστοτέραν ἐκείνην ὑπάρχειν. ἀμέλει καὶ αὐτὸς Ἀσκληπιάδης, ἐφεξῆς τῇδε τῇ νῦν εἰρημένῃ γράφων αὐτὴν ἐκείνην τὴν διὰ τοῦ λευκοῦ πεπέρεως, οὐκ ὀνομάζει Ἀτταλικὴν, ἀλλὰ Παμφίλειον, ἀγνοῶν, ὡς οἶμαι, τὸν πρῶτον αὐτὴν εὑρόντα, προσθεὶς δὲ τοὔνομα τοῦ χρωμένου τε καὶ δόντος αὐτῷ. τὴν δὲ οὖν ἐπαγγελίαν αὐτῆς κατὰ λέξιν οὕτως ἔγραψεν. Ἄλλη, Παμφίλειον λεγομένη, φάρμακον ἐπιτετευγμένον. ποιεῖ πρὸς τὰ παλαιὰ, καὶ δυσαλθῆ. ἄνθρακας, D ἐπινυκτίδας, ἀχῶρας, ψωρώδεις διαθέσεις, κόλπους περικολλᾷ, ποιεῖ πρὸς ἀποστήματα, κονδυλώματα, καὶ σχεδὸν πολυχρηστότερόν ἐστι τὸ φάρμακον. συγκεῖσθαι δὲ αὐτό φησιν ἐκ ψιμμυθίου μὲν καὶ λιθαργύρου, καὶ κηροῦ καὶ τερμινθίνης, καὶ τῶν δύο κοτυλῶν τοῦ ἐλαίου, κατὰ τὰ αὐτὰ τῷ Ἥρᾳ, καὶ πρὸς τούτοις ἔτι τῆς σχιστῆς στυπτηρίας, καὶ τοῦ λευκοῦ πεπέρεως, ὕδατος δὲ οὐ μέμνηται κατὰ τὴν σκευασίαν, ἀλλ' οὐδέ τι τοῦ λιβανωτοῦ. τινὲς δὲ οὐ πέντε καὶ εἴκοσι βάλλουσιν, ἀλλὰ τὸ ἥμισυ. καὶ μέντοι γε καὶ περὶ τοῦ ὕδατος. γράψας γὰρ ἐλαίου παλαιοῦ κοτύλας δύο βάλλεσθαι. μετὰ ταῦτα προσέγραψεν ὕδατος κοτύλας δύο, ἢ κοτύλην μίαν. E ἐγὼ δὲ καὶ χωρὶς ὕδατος ἐσκεύασα τὸ φάρμακον πάνυ πολλάκις, καὶ βέλτιον εἰς πάντα τἄλλα γινόμενον φαίνεται, πλὴν ἐπὶ τῶν ἁπαλοχρώτων, ἄμεινον γὰρ ἐπὶ τούτων ἐστὶ τὸ προσειληφὸς ὕδωρ, καὶ μάλισθ' ὅταν ὑποφλεγμαίνῃ τὰ ἕλκη. διαγράφει δὲ σὺν ταῖς εἰρημέναις λευκαῖς ἐμπλάστροις, καὶ ἄλλην ὁ Ἀσκληπιάδης, ἐπαγγελλομένην θεραπεύειν λυσσοδήκτους, ὥσπερ καὶ ἡ παρὰ τῷ Ἥρᾳ γεγραμμένη τὴν ἐπαγγελίαν εἶχε. προσλαμβάνει δὲ καὶ αὕτη παρὰ τὴν ἁπλῆν λευκὴν, τὴν ἐκ λιθαργύρου καὶ ψιμμυθίου, καὶ λιβανωτοῦ, καὶ κηροῦ συγκειμένην, ἔτι ἔξωθεν μυελὸν ἐλάφειον καὶ σμύρναν. ἐμβάλλει δὲ εἰς αὐτὴν, λιθαργύρου μὲν < μ'. ψιμμυθίου δὲ < λ'. λιβανωτοῦ < ι'. καὶ τὰς ἴσας τῆς σμύρνης, ἐλαφείου δὲ μυελοῦ δυοῖν δεούσας τῶν δέκα, καὶ κηροῦ λευκοῦ < ν'. καὶ τοῦ παλαιοῦ ἐλαίου ξε. α'. πρώτην δὲ τούτων ἁπασῶν ὧν εἶπεν, ἔγραψεν ὁ Ἀσκληπιάδης, ἣν ὀνομάζει Ῥοδιακὴν, ὡς διαφορητικὴν, καὶ τὰς ἐπὶ τῶν μαστῶν σκληρίας θεραπεύουσαν, ἐκ τῶνδε συγκειμένην.

λιθαργύρου καὶ κηροῦ Ποντικοῦ κελεύει βάλλειν, ἀνὰ λίτραν α'. ψιμμυθίου δὲ καὶ στέατος ὑείου κατειργασμένου, τὸ τῆς λίτρας ἥμισυ, τουτέστιν οὐγγίας ἓξ ἑκατέρου, καὶ σμύρνης μὲν οὐγγίας δ'. ὀπτῶν δὲ ὠῶν λεκίθους β'. καὶ κοτύλην α'. καὶ ἡμίσειαν ἐλαίου. ταύτην φησὶ καὶ ἑδρικὴν ἀγαθὴν εἶναι, μὴ προσγράψας διὰ τίνος βούλεται τήκεσθαι τὸ φάρμακον, ἀλλ' ἡμῖν ἐπιτρέψας ἴσως στοχάζεσθαι, ποτὲ μὲν διὰ ῥοδίνου, ποτὲ δὲ διὰ μυρσίνης, ποτὲ δὲ διά τινος τῶν ἐλαίων χρὴ τήκειν αὐτό.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Πῶς χρὴ συντιθέναι λευκὰς ἐμπλάστρους, πρὸς τὰ δυσεπούλωτα καὶ κακοήθη.

Τίνα τῶν ἑλκῶν ὀνομάζω δυσεπούλωτα, καὶ τίνα κακοήθη, διελέσθαι καιρὸς, οὐκ εἰς τὰ παρόντα μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα λέγεσθαι, χρησίμου τοῦ διορισμοῦ γενησομένου. τὰ μὲν οὖν ἐξ ἐπιῤῥοῆς ὑγρῶν, ἤτοι πολλῶν, ἢ δριμέων, ἄνευ τοῦ διάθεσιν ἤδη τοιαύτην ἐσχηκέναι τὸν πεπονθότα τόπον, ὡς κἂν ᾖ χρηστὸν τὸ ἐπιῤῥέον, ὅμως διαφθείρειν αὐτὸ, δυσεπούλωτα καλῶ. τὰ δ' ἤδη τὴν εἰρημένην ἔχοντα διάθεσιν, ἐξαιρέτως ὀνομάζω κακοήθη. νῦν οὖν ἐπειδή τινας τῶν λευκῶν ἐμπλάστρων, ὡς καλῶς ἐπουλώσας τὰ δυσεπούλωτα, γεγράφασιν οἱ πρὸ ἐμοῦ, διὰ τοῦτο κἀγὼ γράφω λευκὰς ἐμπλάστρους, ἃς συνέθηκα, πρός τε τὰ δυσεπούλωτα πάντα, καί τινα τῶν κακοήθων, ὅσα μὴ πονηρὰν πάνυ ἔχει τὴν κατασκευὴν, ἐπ' ἐκείνων γὰρ αὖθις εἰρήσεται τὰ πρόσφορα φάρμακα. πρότερον κἀνταῦθα τὴν μέθοδον ἐρῶ, καθ' ἣν μαθήσετε πολλὰς τοιαύτας ἐμπλάστρους συντιθέναι. διττὸς δ' αὐτῆς ὁ σκοπός. ὁ μέν τις κοινὸς ἁπάντων τῶν κατὰ μέθοδον συντιθεμένων φαρμάκων, ὁ δέ τις ἴδιος, ὁ πρὸς τὴν χρόαν τούτων διαφέρων. ὅσα τοίνυν ἐγνώκατε κατὰ τὴν περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείαν, ἀδήκτως μὲν, ἰσχυρῶς δὲ πάνυ ξηραίνοντα, ταῦτα ἀναμνήσθητε. πάντως δ' εἶναι προσῆκεν αὐτὰ πρὸς τῷ μὴ δάκνειν, ἢ στύφειν σαφῶς, ἔτι καὶ ῥύπτειν δύνασθαι. καὶ γὰρ καὶ κοῖλα φαίνεται τὰ πλεῖστα τῶν τοιούτων ἑλκῶν, ὡς ἐξ ἀναβρώσεως ὑγρῶν κακοήθων γενόμενα, καὶ διὰ τοῦτο σαρκωθῆναι δεόμενα. δέδεικται δ' ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου, τὰ σαρκοῦντα φάρμακα πάντα, ῥυπτικὴν ἔχοντα δύναμιν. πολλὰ μὲν οὖν καὶ ἄλλα φάρμακα ξηρὰν δύναμιν ἔχει, τοιούτων ἑλκῶν θεραπευτικήν. ἀλλὰ νῦν ἡμεῖς ἀναμνησθῶμεν τῶν, ἤτοι φυλάξαι τὴν λευκότητα τῆς συντεθειμένης ἐμπλάστρου δυναμένων, ἢ μὴ πολύ γε βλάψαι. τοιαῦτα δ' ἐστὶ καδμεία, καὶ πομφόλυξ, καὶ τίτανος, ὄστρεά τε κεκαυμένα, καὶ πορφύραι, καὶ κήρυκες, καὶ τὸ τῆς σηπίας ὀστῶδες. οὐ πολὺ δ' ἂν λυμαίνοιτο τῇ χρόᾳ, καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, καὶ τῆς κεκαυμένης χαλκίτεως τὸ μὴ πυῤῥὸν, ἀλλὰ τεφρῶδες, ἢ ὑπόλευκον. ὅπως δὲ χρὴ τὸ τοιοῦτο παρασκευάζειν, αὖθις εἰρήσεται κατὰ τὸν τῆς θηριακῆς ἀντιδότου λόγον. ἕκαστον δὲ τῶν εἰρημένων εἰ πλυθείη, παντάπασιν ἄδηκτον γίνεται. καθάπερ καὶ ὁ κηρὸς, ὃν χρὴ μίξαι σκευαζομένῳ τῷ φαρμάκῳ, καὶ ἡ ῥητίνη. λέλεκται δ' ὅτι κηρὸς μὲν ὁ Τυῤῥηνικὸς, ἢ ὁ Ποντικὸς ὀνομαζόμενος, ἐπιτήδειός ἐστιν εἰς τὴν τῆς λευκῆς ἐμπλάστρου κατασκευήν. αἱ ῥητίναι δὲ ἥτε λάριξ ὀνομαζομένη, καὶ ἡ τερμινθίνη, πρὸς τὰ κακοηθέστερα τῶν ἑλκῶν λυσιτελέστερα. καὶ λιβανωτοῦ δὲ ἐμβάλλειν τι προσήκει μέρος, ἕνεκα τοῦ πέττεσθαι καὶ διαπυΐσκεσθαι τὴν διάθεσιν τῶν κακοήθων ἑλκῶν. οὐ μόνον δὲ πλύνειν χρὴ τῶν εἰρημένων φαρμάκων ἕκαστον,

A ℔. argenti ſpumæ, ceræ Ponticæ, ſingulorum libram vnam, ceruſſæ, adipis ſuilli elaborati, cuiuſque ſelibram, hoc eſt vncias ſex; myrrhæ vncias quatuor, ouorum toſtorum vitellos duos, olei heminam vnam & ſemis. Iſtud etiam ſedi benefacere confirmat, non apponens quonam liquefieri velit, ſed nobis coniectandum forſan relinquens interdum ex roſaceo vnguento, interdum myrteo, aliàs ex oleo quopiam, liquandum eſſe.

CAPVT XVIII.

B *Quomodo candida emplaſtra componenda ſint aduerſus vlcera cacoëthe, ideſt maligna, & ea quæ cicatricem difficulter admittunt.*

QVæ dyſepulota, ideſt *vix ad cicatricē venientia*, quæ itē cacoëthe, ideſt *maligna* appellē, diſtinguendū modò eſt; quia non ſolū in præſentem diſputationē, ſed etiam in futurā, commoda præfinitio eſt futura. Quę itaq; ex humorū confluxu, vel multorū, vel acrium, oriuntur, ſine eo, quòd locus affectus huiuſmodi iam diſpoſitionē habuerit, vt, licet bonū ſit quod influit, tamen ipſum corrumpat, dyſepulota nomino; quæ verò dictā diſ-
C poſitionē iam obtinent, pręcipuo vocabulo cacoëthe appello. Nūc igitur, quoniam priores me emplaſtra quædā alba, vt quæ dyſepulotis cicatricem probè obducāt, conſcripſerūt, propterea ego quoque alba ſcribo emplaſtra, quæ aduerſus dyſepulota omnia, & cacoëthe nōnulla, quæ non prauum admodū habēt ſtatū, compoſui; nam in illis denuò medicamenta accōmoda dicentur. Primùm & hic methodum dicturus ſum, qua id genus emplaſtra cō plura conficere diſcetis. Duplex porrò eius ſcopus eſt, alter omnium, quæ ratione componuntur, medicamentorū cōmunis; alter peculiaris, colore ab his differens. Quę igitur in cōmentario De ſim-
D plicibus medicamentis cognouiſtis, ſine roſione quidē, ac morſu, validè tamen adeò exiccātia, hęc in memoriam reducite. Omnino autē conueniebat, præterquā quòd non mordicent, vel aſtringāt manifeſtò, etiam detergere poſſe; ſiquidem caua plurima eius generis vlcera, tanquam ab exeſione humorū malignorū, facta apparent, eiuſq; rei gratia carne impleri deſiderant; oſtendimus autem in tertio therapeuticę methodi libro, omnia quę carnem generant, medicamenta detergendi facultatē habere. Multa etiam alia ſiccam obtinent virtutē, huiuſmodi vlceribus curandis accōmodam. Sed
E age nūc repetamus ea quę aut compoſiti emplaſtri candorem tueri poſſint, aut non adeò lædere. Hoc ex genere eſt cadmia, pōpholyx, calx, oſtrea concremata, purpuræ, buccina, & ſepiæ pars oſſea; parum officiet colori & æris ſquama, & vſtæ chalcitidis non fuluum, ſed cineritium, vel ſubalbidum. Quomodò autē huiuſmodi res præparāda ſit, ruſſus in Theriacæ antidoti ſermone dicemus. Porrò dictorū quodq; ſi lauetur, totam mordicationem amittet, quemadmodum cera quæ medicamento conficiendo admiſcenda eſt, tum reſina. Cæterū
F quòd cera tyrrhenica, vel Pontica dicta ad cādidi emplaſtri pręparationē ſit idonea, priùs explicatū eſt; reſinæ verò, & quæ laryx vocatur, & terebinthina, aduerſus vlcera maligniora magis valent. Thuris quoque partem aliquam indere non ab re fuerit, vt vlcerum maleficorū diſpoſitio coquatur, & ad ſuppurationem veniat. At non ſolū ex prædictis medicamentis vnumquodq; lauandū venit, ſed

sed etiam metallica, quàm maximè in loco Soli exposito, cum aqua, vel aceto, vel marina, vel vino, læuigare oportet. Pura autem, & candida, & perspicua, singula hæc erunt, candoris cuiusdam medicamento conciliandi gratia. De cerussa, oleo, coctionis modo, aëre circunfluo, & igne, quomodo quodque eorum ad albedinem aliquid afferat, antè exposuimus. At quemadmodum in aliis, ita in his quoque, facultatis aquæ, aceti, marinæ, vinique albissimi peritum, id in compositura miscere conuenit, quod maximè curando affectui profuturum est. Etenim in vlceribus prætumidis, ac duris quæ oras crassas, callosas, multamque attenuationem requirentes habent, ex aceto, & marina læuigata, magis quàm quæ per aquam, idonea sunt. In quibus autem acre, & mordax est humidum, quod in vlcera fertur, ex aqua terere potiùs singula metallica necesse est. Quemadmodum rursus ex vino magis, vbi copiosus humor vlceribus influens apparet. Hæc igitur singula, quæ dixi, in vnoquoque iam nominato humore læuigata diebus pluribus, inieci frequenter medicamentis, quæ ex argenti spuma, & cerussa consiunt, eaque expertus sum omnia cicatricem optimè ducere. Verùm scriptiones quasdam amicis quoque dedimus, qui huiusmodi medicamenta desiderarent. à quibus ipsis quoque in experientiam producta, quòd titulo promittunt, tueri videbantur. Itaque argenti spuma cum cerussa priùs cocta, & medicamento propè ad non inquinantem consistentiam perueniente, iniicienda est larix, vel terebinthina resina cum cera candida. His pulchrè vnitis adde metallica, quæ huiusmodi symmetriam habent. Argenti spumæ, & cerussæ pro consuetudine singulorum libra coquatur cum olei libris duabus, frequenter etiam aquæ selibra addita; liquescit enim sic argenti spuma citius, & coctio aquam consumit, vt nihil ad humiditatem medicamento apertè prosit, resinæ tres vnciæ, ceræ duplum sufficit. Quanquam si duas resinæ indideritis interdum, quatuor ceræ, sic quoque compositiones non adeo differre inuenientur. Thuris etiam vncia vna semis satisfacit post ceram, & resinam iniecta; deinde tres aliorum vnciæ, quæ drachmæ quatuor sunt ad viginti. Impones autem duorum, trium, plurium, ac omnium quæ numeraui, quorum singulorum tibi copia contingat; vt si omnia habeas, æquam portionem cuiusque iniicias, cadmiæ dico, & pompholygis, buccinorum cineris, vel ostreorum, & æris squamæ; singulorum drachmæ sex erunt, quæ tres vncias absoluunt. Quòd si & calcem lotam misceas, singulorum drachmæ quinque ponentur. Si vstæ chalcitidis, singulorum drachmæ quatuor, vt ex omnibus sex counitis tres vnciæ fiant. Verùm chalcitis vsta sit elota, & colore cinereo, non qualem multi ex iis, qui vrunt eam, faciunt, veluti si dicas ex pallido flauam. Si duo quædam ex his habeas solùm, tres vncias ex ambobus ponito, hoc est, vtriusque vnam ac semissem. Hæc in præsentia ad alborum emplastrorum constitutionem, vlceribus dysepulotis curandis, cognoscere vobis sufficit. Atq; subhumida cerata candida etiam ex iis ipsis præparantur differũt tamen ab emplastris, quòd neq; argenti spuma, nec cerussa coquatur; adeps verò, vel anserinus, vel gallinaceus, vel suillus, vel vitulinus indatur. Quòd si vinum interdum habeas, vel acetum, quæ albissima lucidissimaque sint, aquæ loco ipsa admiscebis.

A ἀλλὰ τά γε μεταλλικὰ, καὶ λεαίνειν ἐπὶ πλεῖστον ἐν ἡλιουμένῳ χωρίῳ μεθ' ὕδατος, ἢ ὄξους, ἢ θαλάττης, ἢ οἴνου. καθαρὸν δὲ καὶ λευκὸν, καὶ διαφανὲς ἀκριβῶς, ἕκαστον τούτων ἔστω χάριν τοῦ συντελέσαι τι τῇ λευκότητι τοῦ φαρμάκου. καὶ περὶ τοῦ ψιμμυθίου δὲ πρόσθεν εἴρηται καὶ τοῦ ἐλαίου, καὶ τοῦ τρόπου τῆς ἑψήσεως, καὶ τοῦ περιέχοντος ἀέρος, καὶ τοῦ πυρὸς, ὅπως ἂν ἕκαστον αὐτῶν συντελοῖ τι τῇ λευκότητι. καθάπερ δὲ ἐπὶ τῶν ἄλλων, οὕτως κἀπὶ τούτων εἰδότα χρὴ τὰς δυνάμεις ὕδατός τε καὶ ὄξους, καὶ θαλάττης, οἴνου τε τοῦ λευκοτάτου, μιγνύειν ἐν τῇ συνθέσει τὸ χρησιμώτατον εἰς τὴν θεραπευομένην διάθεσιν. ἐπὶ μὲν γὰρ τῶν ὀχθωδῶν ἑλκῶν,
B καὶ τὰ χείλη παχέα, καὶ σκληρὰ καὶ πολλῆς δεόμενα λεπτύνσεως ἐχόντων, τὰ δι' ὄξους καὶ θαλάττης λελειωμένα, χρησιμώτερα τῶν δι' ὕδατος. ἐφ' ὧν δὲ δριμὺ καὶ δακνῶδές ἐστι τὸ φερόμενον ἐν τοῖς ἕλκεσιν ὑγρὸν, ἐν ὕδασι χρὴ λελειῶσθαι μᾶλλον ἕκαστον τῶν μεταλλικῶν, ὥσπερ γε πάλιν ἐν οἴνῳ μᾶλλον, ἐφ' ὧν πολὺ φαίνεται τὸ ἐπιῤῥέον ὑγρὸν τοῖς ἕλκεσι. τούτων οὖν ἕκαστον, ὧν εἶπον ἐν ἑκάστῳ τῶν εἰρημένων, ὑγρῶν λελειωμένων ἡμέραις πλείοσιν, ἐμβαλὼν ἑκάστοτε τῶν διὰ ψιμμυθίου τε καὶ λιθαργύρου φαρμάκων, πάντων αὐτῶν ἐπειράθην ἐπουλούντων κάλλιστα. τινὰς δὲ γραφὰς καὶ φίλοις ἔδωκα, δεομένοις τοιούτων
C φαρμάκων, ὑφ' ὧν καὶ αὐτῶν εἰς πεῖραν ἀχθέντα, τὴν ἐπαγγελίαν ἐφαίνετο διασώζοντα. προεψηθείσης οὖν, ὡς εἴρηται, τῆς λιθαργύρου μετὰ τοῦ ψιμμυθίου, καὶ πλησίον ἀμολύντου συστάσεως ἥκοντος τοῦ φαρμάκου, προσβάλλειν χρὴ τῆς λαρικος, ἢ τῆς τερμινθίνης ῥητίνης μετὰ τοῦ λευκοῦ κηροῦ, καὶ τούτων καλῶς ἑνωθέντων, ἐπεμβάλλειν τὰ μεταλλικὰ, τοιάνδε συμμετρίαν ἔχοντα. τῆς μὲν λιθαργύρου καὶ τοῦ ψιμμυθίου, κατὰ τὸ σύνηθες ἑκατέρου λίτρα μετὰ δυοῖν ἐλαίου λιτρῶν ἑψέσθω, πολλάκις δὲ καὶ ὕδατος ἡμίλιτρον ἐπεμβάλλων. τήκεται γὰρ οὕτως ἡ λιθάργυρος θᾶττον, ἥ θ' ἕψησις ἀναλίσκει τὸ ὕδωρ, ὡς μηδὲν σαφῶς εἰς
D ὑγρότητα συντελεῖν τῷ φαρμάκῳ· ῥητίνης δὲ τρεῖς οὐγγίαι, καὶ κηροῦ διπλάσιαι τούτων, αὐτάρκεις εἰσίν. οὐ μὴν, ἀλλὰ κἂν δύο μὲν τῆς ῥητίνης ἐμβάλλητέ ποτε, τέτταρας δὲ τοῦ κηροῦ, καὶ οὕτως οὐδὲν μέγα διαφερούσας εὑρήσετε τὰς συνθέσεις. ἱκανὴ δὲ καὶ λιβανωτοῦ μία καὶ ἡμίσεια οὐγγία, μετὰ τὸν κηρὸν, καὶ τὴν ῥητίνην ἐμβαλλομένη. καὶ μετὰ ταῦτα, οὐγγίαι τρεῖς τῶν ἄλλων, ἅπερ εἰσὶ < δ΄. πρὸς ταῖς εἴκοσιν. ἐμβαλεῖς δὲ δυοῖν, καὶ τριῶν, καὶ πλεόνων, καὶ πάντων ὧν εἶπον, ὧν ἂν ἑκάστου τύχῃς εὐπορῶν. εἰ δὲ πάντ' ἔχῃς, ἴσον ἐμβαλεῖς ἑκάστου, τῆς καδμείας λέγω, καὶ πομφόλυγος, καὶ τῶν κεκαυμένων κηρύκων, ἢ ὀστρέων, καὶ τῆς τοῦ
E χαλκοῦ λεπίδος. ἔσονται δὲ ἑκάστου, ἀνὰ < ς΄. ἡ συμπλήρωσις τῶν τριῶν οὐγγιῶν. εἰ δὲ καὶ τιτάνου πεπλυμένης μιγνύεις, ἑκάστου < ε΄. βληθήσονται. εἰ δὲ καὶ τῆς κεκαυμένης χαλκίτεως, ἑκάστου < δ΄. ὡς ἁπάντων τῶν ἓξ συνελθόντων, συμπληροῦσθαι τὰς τρεῖς οὐγγίας. ἔστω δὲ ἡ κεκαυμένη χαλκῖτις πεπλυμένη, καὶ δηλονότι τεφρώδης τὴν χροιὰν, οὐχ οἵαν οἱ πολλοὶ τῶν καιόντων ποιοῦσιν αὐτὴν, ὠχρόξανθον, ὡς ἂν εἴποι τις. καὶ εἰ δύο δέ τινα τούτων ἔχοι τις μόνα, τρεῖς οὐγγίας ἐξ ἀμφοῖν ἐμβαλλέτω, τουτέστιν ἑκατέρου μίαν καὶ ἡμίσειαν. ταῦτα ἀρκεῖ κατὰ τὸ παρὸν ὑμῖν, εἰς ἐμπλάστρων λευκῶν σύστασιν ἐπί-
F στασθαι πρὸς ἕλκη δυσεπούλωτα. καὶ κηρωταὶ δὲ λευκαὶ καὶ ἔνυγροι, διὰ τῶν αὐτῶν σκευάζονται, διαφέρουσαι τῶν ἐμπλάστρων, τῷ μήθ' ἑψῆσθαι τὴν λιθάργυρον καὶ τὸ ψιμμύθιον, ἐμβεβλῆσθαι δὲ στέαρ, ἤτοι χηνὸς, ἢ ἀλεκτορίδος, ἢ ὑὸς, ἢ μόσχου. εἰ δ' οἴνου ποτ' εὐπορήσεις, ἢ ὄξους, λευκοτάτων τε καὶ διαυγεστάτων, ἐμβαλεῖς αὐτῶν ἀντὶ ὕδατος.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

Δαμοκράτους περὶ λευκῆς ἐμπλάστρου.

Ἐπεὶ δὲ αἱ διὰ μέτρων ἐγγεγραμμέναι δυνάμεις φαρμάκων εὐμνημόνευτοί εἰσι, καὶ διαφυλάττουσαι ἀκριβῆ τὴν συμμετρίαν αὐτῶν, ἔδοξέ μοι κάλλιον καὶ τούτων μνημονεῦσαι. γεγραφότος οὖν Δαμοκράτους λευκὰς ἄλλας ἐμπλάστρους, καὶ μέντοι καὶ λευκὴν ἣν ἐπαινεῖ παραθήσομαι τὴν γραφὴν, αὐτοῖς τοῖς ὑπ᾽ ἐκείνου γεγραμμένοις στίχοις, τῷ τριμέτρῳ καλουμένῳ μέτρῳ.

Δεῖ δὲ μετὰ τούτων τοὺς φιλιάτρους ἔχειν
Λευκὴν καλὴν ἔμπλαστρον εἰς ἀποσύρματα,
Καὶ τὰ πυρίκαυτα, καὶ τὰ χωρὶς αἰτίας
Ἐξ ἐπιπολῆς γινόμενα φανερᾶς ἕλκεα.
Σκευάζεται δὲ οὕτως. ψιμμυθίου λίτραν,
Λιθαργύρου τε τῆς τρυφερᾶς, μάλιστα νῦν
Λίτραν αʹ. τε καὶ μέρος λίτρας τρίτον,
Κηροῦ τε καθαροῦ Ποντικοῦ πέντ᾽ οὐγγίας,
Τερμινθίνης τ᾽ οὐγγίαν τῆς καθαρωτάτης,
Λιβάνου δὲ μάννης, ἢ λιβάνου πέντ᾽ οὐγγίας.
Λευκοῦ δ᾽ ἐλαίου τοῦ καλοῦ καὶ προσφάτου
Δύ᾽ ἥμισυ λίτρας, καὶ ὕδατος ξέστην αʹ.
Ἕψε δὲ ἔλαιον, ψιμμύθιον, λιθάργυρον,
Ὕδωρ πυρὶ κούφῳ, τῇ σπάθῃ κινῶν ἀεί.
Ὅταν δὲ πᾶν μὲν ἐκφρυγῇ, καλῶς θ᾽ ὕδωρ,
Τὸ δὲ φάρμακον λεῖόν τε καὶ λευκὸν βλέποις,
Μαλακὸν, ἀμόλυντον, τότε βάλλεις τερμινθίνην,
Ἔπειτα κηρὸν, εἶτα λίβανον ὕστερον.
Ἄρας τε κίνει τὴν χύτραν, ἀπὸ τοῦ πυρὸς,
Ὑποψυχέν τε συμμέτρως τὸ φάρμακον
Εἰς τὴν θυείαν καταχέας, ἀναλάμβανε.
Ἐπί τε γυναικῶν, ἢ τρυφερῶν τῶν παιδίων,
Ἐπί τε γερόντων, ἢ τῶν καχεκτούντων νέων.
Ταύτῃ κατάμισγε τῆς στυπτηρίας τρίτον
Ἣν προαποδέδωκα μὲν ἔμπλαστρον ἔμπροσθεν βραχὺ,
Καὶ χρῶ πρὸς ἅπαντα καὶ νεότρωτα τραύματα.
Κατάμισγε δ᾽ αὐτῇ ῥόδινον τετηγμένην,
Καὶ κηρὸν ὀλίγον, καὶ λιπαρὰν ἕξεις καλὴν,
Οἶνον παραχέας λευκὸν, αὐστηρὸν βραχύ.

Τῆς στυπτηρίας, ἧς ἐμνημόνευσεν, ἡ σύνθεσις ἐν τῷ πέμπτῳ τῆσδε τῆς πραγματείας.

CAPVT XIX.

Damocrates de albo emplastro.

Qvoniam medicamentorum facultates versibus exscriptæ faciliùs memoria tenentur, & exactam ipsorum symmetriam perseruant, satius mihi visum est, & horum meminisse. Quum itaque Damocrates præter alia alba emplastra, etiam candidum scripserit, quod commendat, apponam scripturam iisdem illius versibus, Iambico trimetro expressis.

At cum his habere emplastrum medicis conuenit
B *Album, efficax aduersus auulsam cutem,*
Ambusta, ad vlcera, & per summa corporis
Occasionem citra manifestam edita.
Ita consit; cerussæ libra sumitur;
Lithargyri, tryphera, eodem simul modo,
Et portio præterea libræ tertia:
Ceræque puræ Ponticæ quinque vnciæ,
Terebinthinæ pondo vncia purissimæ:
Thurisque mannæ, vel thuris, quinæ vnciæ
Candidi olei boni recentis selibra.
Aquæ superfundetur his sextarius.
Oleum, cerussa, argenti spuma, aqua coquitur
Leni igne, agitatur sedulo rudicula.
Cum tota pulchrè desiccata sic aqua,
Et leue medicamentum apparet, candidum,
C *Et molle, inficiens nec, terebinthina inditur,*
Deinde cera succedet, thus postea.
Ab igne cùm depones ollulam, moue.
Quum mediocriter est refrigeratum pharmacum,
Mortario superfundas, atque excipe
In mulieribus, vel delicatis puerulis,
In senibus, habitu aut prauo iuuenibus simul.
Huic tertiam partem immisceto aluminis,
Quod prodidimus emplastrum non multo antea;
Ac vtitor ad omnia recentia vulnera.
Ipsi verò rhodinon liquefacto immisceas,
Paulum ac ceræ, liparon habebis, ac bonum,
Album vinum, parum austerum, si affuderis.

Aluminis, cuius meminit, compositio in quinto huius operis commentario.



ΓΑΛΗΝΟΥ



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ, ΒΙΒΛΙΟΝ Β'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA, LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Β'. ΒΙΒΛΙΩι.

Ἔμπλαστροι χλωραί τε, καὶ μήλιναι, καὶ κιρραὶ, καὶ τῶν ἄλλων χρωμάτων, ἐξηγοῦνται· καί τινες ἔτι κεφαλικαί τε, καὶ καταγματικαὶ προσαγορευόμεναι.

ARGVMENTVM LIBRI SECVNDI.

Exponuntur emplastra viridia, melina, gilua, ac cæteris coloribus prædita, tum quædam quoque, quæ cephalica, ac catagmatica appellantur.

CAPVT PRIMVM.

Quæ authores scripserint de componendis medicamentis; ac de ratione ipsorum componendorum exemplo medicamenti ex cera, rosaceo, & ærugine confecti.



VVM propositum opus hunc quoque cum aliis scopum teneat, vt si quando librum, quo medicamentorum, quibus vtimur, compositiones scriptas habemus, perdiderimus, ipsi nos perditis similia possimus conficere, necessarium est primùm nos in vniuersum formulam quandam viæ didicisse, qua propositũ inueniamus. Deinde per hãc viam in multis particularibus exerceamur oportet, scientes, citra talis studij exercitationem, nullum rectè opus perfici. Et verò graue est, quod iam quibusdã accidit medicis duobus mihi cognitis, quorum alter, dolore ex talium scriptionũ interitu cõtabefactus, periit; alter ab operibus medicis destitit. Verùm exercitatis, iudicio meo, præterquã medicamenta vtilia cõponere, etiam à superioribus nobis medicis scriptorum arbitris esse licet, cõmodeque omnia ea quæ ab illis prodita sunt, vsurpare, atque illa quæ ipsi methodo inferius posita inuenerint. Melius igitur est experimentis iam cõprobata sumere eum, qui vsus ipsorum methodum didicerit, licèt, quod dixi, necessitas frequenter nos cogat, vt vel experientia incompertis ex tẽpore vtamur.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τίνες ἂν ἔγραψαν περὶ συνθέσεως φαρμάκων, καὶ περὶ τρόπου τοῦ αὐτὰ συνθεῖναι ἐπὶ παραδείγματος τοῦ διὰ κηροῦ τε, καὶ ῥοδίνου, καὶ ἰοῦ, συντιθεμένου φαρμάκου.



A ΤΗΣ προκειμένης πραγματείας, σκοπὸν ἐχούσης σὺν τοῖς ἄλλοις καὶ τοῦτον, ὡς ἐὰν ἀπολέσωμέν ποτε τὸ βιβλίον, ἐν ᾧ τῶν φαρμάκων οἷς χρώμεθα τὰς συνθέσεις γεγραμμένας ἔχομεν, αὖθις ἡμᾶς δύνασθαι συντιθέναι παραπλήσια τοῖς ἀπολλυμένοις, ἀναγκαῖόν ἐστι, πρῶτον μὲν ἡμᾶς καθόλου τινὰ τύπον ὁδοῦ μεμαθηκέναι, δι' ἧς εὑρήσομεν ὃ προὐθέμεθα. δεύτερον δὲ γεγυμνάσθαι κατὰ τὴν ὁδὸν ταύτην ἐπὶ πολλοῖς τῶν κατὰ μέρος, εἰδότας ὅτι χωρὶς τοῦ γυμνάσασθαι τὸ τοιοῦτο γυμνάσιον, οὐδὲν τῶν ἔργων ὀρθῶς περαίνεται. δεινὸν δὲ καὶ τὸ συμβὰν
B ἤδη τισὶν, ὧν ἐγὼ γινώσκω, δυσὶν ἰατροῖν. ὁ μὲν γὰρ ὑπὸ λύπης, ἐπὶ τῇ τῶν τοιούτων γραφῶν ἀπωλείᾳ συντακεὶς, ἀπέθανεν, ὁ δὲ ἀπέστη τῶν ἰατρικῶν ἔργων. ὑπάρχει δὲ τοῖς γυμνασθεῖσιν, ὡς ἐγὼ λέγω, πρὸς τῷ δύνασθαι συντιθέναι φάρμακα χρήσιμα, καὶ τὸ κριτικοῖς εἶναι τῶν γεγραμμένων τοῖς πρὸ ἡμῶν ἰατροῖς, ἐπιτηδείως τε χρῆσθαι πᾶσι τοῖς ὑπ' ἐκείνων γεγραμμένοις, οἷς τ' ἂν αὐτὸς εὕρῃ κατὰ τὴν διδαχθησομένην μέθοδον. βέλτιον μὲν οὖν ἐστι, τοῖς διὰ τῆς πείρας ἤδη βεβασανισμένοις χρῆσθαι, μαθόντα τῆς χρήσεως αὐτῶν τὴν μέθοδον, ἀλλ' ὅπερ ἔφην, ἀνάγκη καταλαμβάνει πολλάκις ἡμᾶς, ὡς καὶ τοῖς ἀπειράστοις αὐτοσχεδιάζοντας χρῆσθαι.

κατὰ μὲν οὖν τὸ περὶ τούτου βιβλίον, ὅπως ἄν τις ἐκ λιθαργύρου μόνης ἐμπλάστρους σκευάζοι, λέλεκται, ποτὲ μὲν ἔλαιον μόνον μιγνὺς, ποτὲ δ' ὄξος, ἢ οἶνον, ἤ τινα τούτων, ἐξ ὁποίας τε συμμετρίας αὐτῶν ἔμπλαστρος δύναται γίγνεσθαι λευκὴ, προσηκόντως ἑψηθεῖσα. γίγνεσθαι δ' ἔφαμεν ἐκ τούτων τῶν ἐμπλάστρων, ἐνίας μὲν ἐπουλωτικὰς, ἐνίας δὲ καὶ κολλητικὰς ἐναίμων τραυμάτων, ἐνίας δὲ φλεγμονῶν τῶν μικρῶν θεραπευτικὰς, ἐνίας δὲ αὐτῶν, καὶ τὰ δυσεπούλωτα θεραπεύειν, ὁπόσα μὴ κακοήθη, καί τινας ἐξ αὐτῶν ὄγκους παρὰ φύσιν, ὅσοι μὴ μεγάλοι, μηδὲ σκιρρώδεις εἰσὶ διαφορεῖν. ἐγράφη δ' οὐ μετὰ πολὺ τῆς ἀρχῆς ἐν αὐτῷ, καὶ ἡ ὑπ' ἐμοῦ συντεθεῖσα ἔμπλαστρος, ἣν ὀνομάζω φοινικίνην. ἐν τούτῳ δὲ τῷ βιβλίῳ, τῷ νῦν ἡμῖν προκειμένῳ, περί τε τῶν χλωρῶν ἐμπλάστρων εἰρήσεται, καὶ μηλίνων, καὶ κιρρῶν, καὶ φαιῶν, καὶ πυρρῶν, ἐν αἷς εἰσι καὶ αἱ δίχρωμοι καλούμεναι, μεταξύ τε τούτων ἕτεραι, τινὲς μὲν ὠνομασμέναι, καθάπερ λευκομήλιναί τε καὶ μελάγχλωροι, καὶ ῥυπώδεις, ἀερίζουσαί τε καὶ κυανίζουσαι, τινὲς δὲ καὶ παντάπασιν ἀνώνυμοι. τὸ μὲν οὖν ἐφεξῆς ἀλλήλαις γράφειν τὰς κατὰ δύναμιν ὁμοίας, χρήσιμόν ἐστιν, εἰς τὸ πλείοσιν ἐντυγχάνοντα, ἢ ἀναγινώσκοντα τὸ βιβλίον, ἑλέσθαι τὴν ἐπιτηδειοτάτην τῷ θεραπευομένῳ σώματί τε καὶ πάθει. τὸ δὲ τὰς κατὰ χρόαν ὁμοίας ἀναγράφειν, οὐ κατὰ τεχνικὴν ὁμοιότητα σκοπουμένων ἐστίν. ἀλλ' ἐπεί τινες ἐνίοτε τῶν πολὺ δυναμένων ἀνδρῶν, κελεύουσιν ἡμᾶς ἔμπλαστρον αὐτοῖς μηλίνην ποιῆσαι κολλητικὴν ἑλκῶν, ἢ ἐπουλωτικὴν, ἢ μαλακτικὴν τῶν σκληρυνομένων, ἤ τι τοιοῦτον ἐργάσασθαι δυναμένην, ἠναγκάσθησαν ἔνιοι τῶν νεωτέρων ἰατρῶν, ἐφεξῆς ἀλλήλων γράφοντες ὁμοίας κατὰ χρῶμα, προσγράφειν ἑκάστῃ τὰς οἰκείας ἐπαγγελίας. ἐγὼ τοίνυν πειράσομαι, μικτήν τινα ποιήσασθαι τὴν διδασκαλίαν, ἀπὸ τῆς τεχνικωτέρας ἀρξάμενος. γράφω γὰρ πρῶτον μὲν τὰς σαρκωτικὰς τῶν κοίλων ἑλκῶν, ὧν αἱ πλεῖσται χλωραὶ κατὰ χρόαν εἰσὶν, ἐπισημαινόμενος, ὅσαι τε κολλητικαὶ τούτων ὑπάρχουσι, καὶ ὅσαι τῶν κακοηθευομένων ἰατρικαὶ, καί τι τῶν τοιούτων ἄλλο δυνάμεναι διαπράττεσθαι. δευτέρας δὲ τὰς κολλητικὰς, οὐ μόνον τῶν προσφάτων ἑλκῶν, ἀλλὰ καὶ τῶν κόλπων, ἐν αἷς εἰσι καὶ μέχρι συνουλώσεως ἄγουσαι πολλαὶ, καὶ τούτων ἁπασῶν ἕνα μὲν στίχον ποιήσομαι τῶν μηλίνων, ἕτερον δὲ τῶν βαρβάρων ὀνομαζομένων, ἕτερον δὲ φαιῶν, ἐπί τε τῶν ἄλλων χρωμάτων ὁμοίως. ἐρῶ δὲ καὶ καθ' ἓν ἄλλο βιβλίον, δίχα χρωμάτων ὁμοιότητος, ὅσαι τὰ δυσεπούλωτα τῶν ἑλκῶν θεραπεύουσιν, ἃ καὶ χειρώνεια καλοῦσι. καὶ μετὰ τοῦτο καθ' ἕτερον βιβλίον, ὅσαι καὶ ταῦτα, καὶ ἄλλ' ἄττα πολύχρηστοι λεγόμεναί τε καὶ οὖσαι. καὶ μετὰ ταύτας ἁπάσας, ὅσον ὑπόλοιπόν ἐστι τῶν κατὰ τὰς δυνάμεις ἐμπλάστρων ἐγνῶσθαι μεθόδῳ, διελθεῖν πειράσομαι. ταῦτα μὲν οὖν προείρηται κοινόν τι προοίμιον ἁπασῶν τῶν προσγραφησομένων ἐμπλάστρων. ἐπὶ δὲ τὰς ἐν τούτῳ τῷ βιβλίῳ γεγραμμένας μεταβήσομαι, προτάξας αὐτῶν τινα λόγον κοινὸν, ὡς εἰ καὶ μηδὲν ἤδη μοι προείρητο. φαρμάκων συνθέσεις παμπόλλων ἀξίων ἐπαίνου, πρῶτος ὧν οἶδα Μαντείας ὁ Ἡροφίλειος ἔγραψεν, οὗ μαθητὴς γενόμενος Ἡρακλείδης ὁ Ταραντῖνος, οὐ μόνον ἐν τῇ τῶν φαρμάκων χρήσει φαίνεται μιμούμενος ἐκεῖνον, ἀλλὰ καὶ κατὰ τὸ διαιτητικὸν μέρος τῆς τέχνης. μεθ' οὓς ἄλλοι μέν τινες ἐν πλείοσι βιβλίοις, ὥσπερ ὅ τε Μαντείας, καὶ Ἡρακλείδης. εἰσὶ δὲ καὶ οἳ καθ' ἓν, ἢ δύο μόνα, τὴν γραφὴν αὐτῶν ἐποιήσαντο, καθάπερ ὁ Καππαδόκης Ἥρας, οὔτ' ἀδόκιμον γράψας τι φάρμακον,

A Itaque superiore libro quomodo ex argẽti spuma sola emplastrum præpares docuimus, interim oleo tantum, interdum aceto admixto, vel vino, vel huiusmodi alio; item ex quali ipsorũ symmetria emplastrum fieri candidũ possit, si probè coctum fuerit. Cæterùm ex his emplastris quædam ducendæ cicatrici accõmodata fieri diximus, quædam vulneribus cruentis glutinandis, quædam phlegmonis exiguis curandis; quædam vlceribus, quæ cicatricem ægrè admittunt, sanandis, si non cacoëthe sint; quædam ad tumores præter naturam, sed non magnos, neque duros, discutiendos. Scriptũ simul in eo est non multo post initium, & emplastrum à B me compositũ, quod phœnicinum nomino. Præsenti autem hoc libro de viridibus, & melinis, & giluis, & fuscis, & rufis agetur emplastris, quibus etiam adnumerantur, quæ dichroma id est bicolora, dicuntur. Inter hæc alia quædam sunt medio inter hæc nomine, vt ex candido melina, & ex nigro viridia, & rhypode, idest, strigmentosa; adde quæ aërem imitantur, & cœrulea; quædam verò nomine prorsus carentia. Itaq; similia inuicẽ viribus deinceps scribere commodum est, vt qui in plura incidit, vel librum legit, id quod optimũ corpori, eiusque curando affectui sit, eligat. At colore C similia tradere, eorum est, qui similitudinem non artificialem attendunt; verùm quoniam potentes quidam viri, interdum nos iubẽt emplastrum sibi melinum conficere, quod vlcera glutinet, vel cicatricem ducat, vel indurata emolliat, vel aliud huiusmodi facere possit, coacti sunt nonnulli recentiorum medicorũ, vbi similia colore seriatim conscriberent, proprias cuiq; professiones apponere. Quamobrem ego mixtam quandam disciplinam conabor effingere, à magis artificiosa auspicatus. Scribo enim priùs, quæ caua vlcera carne implent, quorum plurima colore viridia sunt; adnotans, quot ex his glutinantia sint, quotque in mali- D gna euadentibus medeantur, atque huiusmodi aliud quid quã possint perficere. Deinde glutinantia non modo recentium vlcerum, sed etiam sinuum; ex his plura sunt quæ ad vsque cicatricem vlcera perducant. Atque horum omnium vnam seriem facturus sum, melinorum aliam, barbarorum (vt vocant) aliam, & fuscorum aliam, nec non in reliquis coloribus similiter. Producam in alio quoque vno libro similitudines absque coloribus, quæ vlcera cicatricem vix admittentia (dicuntur & chironia) persanant. In alio rursus post E istum, quæ tum hæc, tum alia quædam curant, quæ dicuntur & sunt vsus multiplicis. At post hęc omnia, quicquid emplastrorum facultatum reliquum fuit methodo cognoscendum, percensere conabor. Hæc igitur vice procemij cuiusdam omnium emplastrorum, quæ commemorabuntur, communis, præfati, ad ea quæ hoc libro scripta sunt, digrediemur, oratione quadam generali eis præposita, tanquam nihil etiam mihi iam prædictum sit. Compositiones medicamentorum complurium laudabilium primus omnium, quos nouerim, Mantias Herophileus scripsit; cuius di- F scipulus factus Heraclides Tarantinus non solùm in medicamentorum vsu videtur imitatus illum, sed etiam in ea artis parte, quæ victus rationem docet. Post quos alij sanè quidam non paucis voluminibus, sicut Mantias & Heraclides. Sunt etiam qui vno, aut altero tantùm ea conscripserint, quemadmodum Cappadox Heras, qui nec improbatum aliquod medicamentum tradidit; nec

nec confecturas ipsorum omisit, & vniuersos particulatim vsus recensuit. Permulta medicamenta pluribus libris studiosè scripserunt Musa, & Asclepiades, & Crito. Verũ Andromachus vnico libro medicinalia medicamenta ad exteriora corporis vitia; altero quæ interna curãt, memoriæ prodidit; item tertio his minore, oculorum remedia. Paucissimis autem ipsorum, tum preparandi modus, tum vtendi, appositus est; neque verò horum quispiam, nec alius, cuiusq; medicamenti cõponendi rationem docuit. Ob quod empirici confidentius, licet absurda, pronunciant, vt qui medicamentorum cõpositionis inuentionẽ ad casum referunt; inde nimirum confidentiæ occasionẽ sumentes, quòd nemo ex Dogmaticis medicis cõfectionis eorum regulam absolutè scripserit. Nam cum dogmatici interrogati rationẽ, qua medicamenta singula cõposita sint, quibus vtuntur, nihil, quod dicant, habeant; perpeditisq; illorum scriptionibus, ipsi alia cõponere ex tempore non possint; & ipsi meritò cõtemnuntur, & empiricis cõtradicendi maiorem præbent audaciam. Quòd si affectus cuiuslibet eorum, quos curandos suscipiunt, naturam scirent, methodumq; cognoscerẽt, qua & simplicium singulorum medicamentorũ vires, & scopum curationis, inuenirent; non vtiq; cõpositionis rationem ignorarẽt. Vt exẽpli gratia, cauum vlcus apertum, Græcè aperistaton (nihil enim mali est, vt quidam vocant, breuioris disciplinæ gratia, sic nos quoque nominare) quomodo quis sanare queat cõsideremus; tanquam si nondũ aliquod ei curando aptum medicamentũ inuentũ sit. Nam quum docti à ratione fuerimus, cauorum vlcerum curationẽ subministrari, nascente alia carne loco perditæ, ex ea videlicet, quæ subiecta est, cogitauimus fieri non posse hoc, si in vlcere sordes, aut copiosa humiditas, insit. Verũ sordes medicamenta detergẽtia auferunt, humorem exiccantia discutiunt. Conuenit igitur huiusmodi medicamentorum materias cognoscere non simpliciter secundũ genus, vt Dioscorides alioqui scripsit, sed vti nos in cõmentariis De simplicibus medicamentis fecimus, non tantũ apponẽtes, vel calefacere, vel refrigerare, vel huiusmodi aliquid aliud, quoduis medicamentũ facere, verũ etiam quòd prima distãtia, vel secũda, vel tertia, vel quarta, à medio tale existat. Frequenter etiam, quòd in horũ media vnaquaque, vel incipiente, vel desinẽte sit; vt duodecim medicamentorũ, quæ per excellẽtiam quancunq; proferũtur, ordines subsistant. Interdũ enim vel mediocriter calefaciens, vel exiccans: interdũ quod vehementissimè quoduis horum facere possit, requirimus. Qui autem simpliciter partẽ calefactione indigere intelligit, non magis piper, & sinapi, quàm thus, accipiet. Hæc sanè & priùs ostendimus, diximus verò & in tertio Methodi therapeutices cõmentario; quasi verò præscientes, ea ex demonstratione cõuenienti, ad reliqua deducã, hinc præsentis sermonis sumpto initio. Quoniam vlcera carne implenda, medicamento exiccante & detergẽte mediocriter sine morsu indigere demonstrauimus, cõuenit eiusmodi medicamentorũ materiã, quænam sit, in memoriam reducere. Indicata est autẽ in libro De simplicium medicamentorũ facultatibus, insuper & conueniens singulorũ ordo expositus est. Hoc etenim, sicut dixi, admodũ vtile est, vt si quando fortiore quis medicamento opus habeat, ad quod digrediatur, cognoscat. Verùm quum simplex nullum habemus, cõposito vtimur.

A οὔτε τὰς σκευασίας αὐτῶν καταλιπών, τάς τε κατὰ μέρος χρήσεις ἁπάσας διελθών. πολλὰ δὲ φάρμακα γεγράφασιν ἐπιμελῶς ἐν πλείοσι βιβλίοις, ὅ τε Μούσας, καὶ ὁ Ἀσκληπιάδης, καὶ ὁ Κρίτων. ὁ δ' Ἀνδρόμαχος, ἐν ἑνὶ μὲν βιβλίῳ τὰ τῶν ἐκτὸς τοῦ σώματος ἰατρικὰ φάρμακα, καθ' ἕτερον δὲ ἕν, ἔγραψε τὰ τῶν ἐντός. ὄντος καὶ τρίτου μικροτέρου τούτων ὀφθαλμικοῦ. οὐ πρόσκειται δὲ ὀλιγίστων αὐτῶν, ἥ τε σκευασία καὶ ἡ χρῆσις. οὔτε δὲ τούτων τις, οὔτε ἄλλος ἔγραψε τὸν λογισμὸν τῆς συνθέσεως ἑκάστου τῶν φαρμάκων, καὶ διὰ τοῦτο θαρραλεώτεροι οἱ ἀπὸ τῆς ἐμπειρίας ἀποφαίνονται, καίτοι γε ἀδιανόητα λέγοντες, B εἰς περίπτωσιν γὰρ ἀναφέρουσι τὴν εὕρεσιν τῶν συνθέτων φαρμάκων. ἐθάρρησαν δὲ τῷ μηδένα τῶν δογματικῶν ἰατρῶν διηρθρωμένως γεγραφέναι τὴν μέθοδον τῆς συνθέσεως αὐτῶν. ὅταν γὰρ οἱ δογματίζοντες ἐρωτώμενοι τὸν λόγον, ᾧ σύγκειται τῶν φαρμάκων ἕκαστον οἷς χρῶνται, μηδὲν ἔχωσι λέγειν, ἀπολέσαντές τε τὰς γραφὰς αὐτῶν, ἀδυνατῶσιν αὐτοσχεδιάζειν ἑτέρας συνθέσεις, αὐτοί τε εἰκότως καταφρονοῦνται, τούς τε ἐμπειρικοὺς ἐργάζονται τολμηροτέρους εἰς ἀντιλογίαν. εἰ δ' ἠπίσταντο τὴν ἑκάστου πάθους ὧν θεραπεύουσι φύσιν, ἐγίγνωσκόν τε μέθοδον, ὡς ἐξ αὐτῆς ἐξευρίσκειν C τόν τε σκοπὸν τῆς θεραπείας, ἑκάστου τε τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν, οὐκ ἂν ἠγνόουν τὸν λόγον τῆς συνθέσεως. οἷον αὐτίκα κοῖλον ἕλκος ἀπερίστατον, οὐδὲν γὰρ χεῖρον, ὡς ἔνιοι καλοῦσι, συντόμου διδασκαλίας ἕνεκεν, οὕτως καὶ ἡμᾶς ὀνομάσαι, πῶς ἄν τις ἰάσαιτο προκείσθω σκοπεῖν, ὡς εἰ καὶ μήπω μηδὲν εὕρητο φάρμακον ἐπιτήδειον εἰς αὐτό. διδαχθέντες γὰρ ὑπὸ τοῦ λόγου, τὴν τῶν κοίλων ἑλκῶν ἴασιν γίγνεσθαι γεννωμένης σαρκός, ἀντὶ τῆς ἀπολωλυίας ἑτέρας, ἐξ αὐτῆς δηλονότι βλαστανούσης τῆς ὑποκειμένης σαρκός, ἐνενοήσαμεν ἀδύνατον εἶναι γενέσθαι τοῦτο, ῥύπου κατὰ τὸ ἕλκος, ἢ πολλῆς ὑγρότητος D ὑποκειμένης. ἀλλὰ τὸν μὲν ῥύπον, ἀφαιρεῖ τὰ ῥυπτικὰ τῶν φαρμάκων, τὴν δ' ὑγρότητα διαφορεῖ τὰ ξηραντικά. χρὴ τοίνυν ἐπίστασθαι τὰς ὕλας τῶν τοιούτων φαρμάκων, οὐχ ἁπλῶς κατὰ γένος, ὡς Διοσκουρίδης ἄλλως ἔγραψεν, ἀλλ' ὡς ἡμεῖς ἐποιησάμεθα ἐν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων, οὐ μόνον γράψαντες, ἤτοι θερμαίνειν, ἢ ψύχειν, ἤ τι τοιοῦτον ἕτερον ἐργάζεσθαι τόδε τι τὸ φάρμακον, ἀλλὰ καὶ ὅτι κατὰ τὴν πρώτην ἀπόστασιν, ἢ δευτέραν, ἢ τρίτην, ἢ τετάρτην τοῦ μέσου φάρμακον τοιοῦτον εἴη. καὶ πολλάκις γε ὅτι κατὰ μέσον δὴ ἑκάστην τούτων, ἢ ἀρχομένην, ἢ τελευτῶσαν. ὡς εἶναι δώδεκα τάξεις τῶν E κατ' ἐπικράτειαν ἡντιναοῦν λεγομένων φαρμάκων. ἐνίοτε μὲν γὰρ, ἤτοι μετρίως θερμαίνοντος, ἢ ξηραίνοντος, ἐνίοτε δὲ σφοδρότατα ποιεῖν ὁποιονοῦν τούτων δυναμένου χρήζομεν. ὁ δ' ἁπλῶς ὅτι θερμανθῆναι δεῖται τὸ μόριον ἐπιστάμενος οὐδὲν μᾶλλον αἱρήσεται λιβανωτοῦ, πέπερι, καὶ νᾶπυ. ταῦτ' οὖν εἴρηται μὲν ἡμῖν καὶ πρόσθεν, εἴρηται δὲ κἀν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου. ὡς προεπισταμένοις δ' αὐτὰ μετ' ἀποδείξεως τῆς προσηκούσης, ἐπὶ τὰ λοιπὰ προάξω τὸν ἐνεστῶτα λόγον ἐντεῦθεν ἀρξάμενος. ἐπειδὴ ξηραίνοντός τε καὶ ῥύποντος μετρίως, ἄνευ δήξεως ἐδείχθη δεόμενα τὰ σαρκωθησόμενα τῶν ἑλκῶν. ἀναμνησθῆναι χρὴ τὴν ὕλην τῶν τοιούτων φαρμάκων ἥτις ἐστί. δέδεικται δ' ἐν τῇ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως πραγματείᾳ, μετὰ τοῦ καὶ τὴν προσήκουσαν ἑκάστου τάξιν εἰρῆσθαι. τοῦτο γὰρ, ὡς ἔφην, ἐστὶ τὸ μάλιστα χρήσιμον, ὥστε ἐάν ποτε δέηταί τις ἰσχυροτέρου φαρμάκου, γινώσκειν ἐφ' ὃ μεταβήσεται, μὴ παρόντος δὲ τῶν ἁπλῶν μηδενός, ἐπὶ τὸ σύνθετον ἐρχόμεθα.

καὶ πρόχειρον γε ὑποκείσθω κηρὸν ἔχειν ἡμᾶς, καὶ ἰόν, ἄλλο δὲ μηδὲν τῶν ἁρμοττόντων ἄντικρυς ἕλκει κοίλῳ, λιβανωτὸν λέγω καὶ ἶριν, καὶ ἀριστολοχίαν, ἄλευρόν τε τὸ τῶν ὀρόβων, καὶ πάνακος ῥίζαν, ὅσα τἄλλα τοιαῦτα. γιγνώσκοντες οὖν, ὅτι κηροῦ μὲν ἐπιτεθέντος μόνου, ῥυπαρὸν εὑρεθήσεται τὸ ἕλκος, ὡς ἂν μήτε ῥύπτειν, μήτε ξηραίνειν δυναμένου, δηχθήσεται δὲ καὶ διαβρωθήσεται, καὶ φλεγμανεῖ προσαχθέντος ἰοῦ. τούτων μὲν ἑκάτερον παραιτησόμεθα, μέσον δ' ἐξ ἀμφοῖν ἄλλο ποιήσομεν, ἀσθενέστερον μέν, ἢ κατὰ τὸν ἰόν, ἰσχυρότερον δὲ κηροῦ. ἀλλ' ἐπεὶ βραχὺ μὲν ἀπολείπεται τοῦ χρησίμως ἂν προσαχθέντος ὁ κηρός, ὁ δ' ἰὸς ὑπερβάλλει πολύ, πολλῷ τῷ κηρῷ μίξομεν ὀλίγον ἰοῦ. πόσον οὖν πόσῳ; τοῦτο γὰρ ἐφεξῆς εἰπεῖν ἐστιν, ἀκριβῶς μὲν οὐχ οἷόν τε τὸ πόσον εὑρεῖν ἑκατέρου πρὸ τῆς πείρας, στοχάσασθαι δὲ οἷόν τε καὶ κρῖναι καὶ συνθεῖναι τὴν πρώτην, μηδεμίαν ἀποτυχίαν ἀξιόλογον ἕξον φάρμακον, ὥσπερ ἐγώ ποτ' ἐποίησα κατά τινα κώμην, ἐν ᾗ μήτ' αὐτὸς εἶχόν τι φάρμακον ἑπόμενον, ἄλλος τε οὐδ' ηὐπόρει τῶν κατ' αὐτήν, εὗρόν τε μόνα τῶν ἐπιτηδείων εἰς σύνθεσιν ἰὸν καὶ κηρόν. ἀναλαβὼν δ' ἀμφότερα, καὶ τήξας ἐπὶ πυρὸς τὸν κηρὸν σὺν ἐλαίῳ ῥοδίνῳ, ὡς γενέσθαι κηρωτὴν ὑγράν, ἔμιξα τῇ λίτρᾳ τῆς κηρωτῆς οὐγγίαν μίαν ἰοῦ, τουτέστι τὸ δωδέκατον μέρος. ἐνενόησα γάρ, ἢ τὸ δέκατον, ἢ τὸ ιβ'. μίξαι, τὸ πλέον μὲν ὑποπτεύσας, ὡς δριμύτερον ἐσόμενον τοῦ κηροῦ, τὸ δ' ἔλαττον, ὡς ἀσθενέστερον. ἐλθόντες δὲ εἰς πεῖραν τοῦ συντεθέντος, ἐφάνη καὶ τὸ δέκατον, καὶ τὸ δωδέκατον ὀρθῶς μιγνύμενα, κατὰ τὰς διαφορὰς τῶν σωμάτων. ὑπεδείχθη γὰρ ἡμῖν, ὅπερ καὶ διὰ τῆς πείρας μαρτυρεῖται, τὰ μὲν ἰσχυρὰ σώματα φαρμάκων ἰσχυροτέρων ἀνεχόμενα, τὰ δ' ἀσθενέστερα, μὴ φέροντα τὴν τῶν τοιούτων προσφοράν. ἰσχυρότερα δὲ λέγω σώματα, τὰ ξηρότερα ταῖς κράσεσιν, ὁποῖα τά τε τῶν γεωργῶν ἐστι καὶ ναυτῶν, καὶ κυνηγετῶν. ἀσθενέστερα δὲ τὰ μαλακώτερα κατὰ φύσιν, ἢ ἔθος, ὁποῖα τὰ τῶν γυναικῶν, εὐνούχων τε καὶ παίδων, ὅσοι τ' εἰσὶν ὑγροὶ φύσει ταῖς κράσεσι, λευκὸν καὶ μαλακὸν ἔχοντες τὸ σῶμα. τὰ μὲν οὖν σκληρὰ σώματα, πλέονος ἰοῦ τῇ κηρωτῇ μιγνυμένου, σαρκοῦται, τὰ μαλακὰ δέ, ἐλάττονος. ὅθεν ὡς εἴρηται πολλάκις, ἓν φάρμακον ἀδύνατόν ἐστι πᾶσιν ἁρμόττειν σώμασιν, ἀλλὰ χρὴ μέσον μὲν εἶναι τὸ φάρμακον, ὡς πρὸς τὴν μέσην κρᾶσιν ἡρμοσμένον, ἄγεσθαι δ' ἐφ' ἑκάτερα τῇ καθ' ἑκάστην ἡμέραν χρήσει κρινόμενον. ἐὰν μὲν γὰρ φαίνηται τὸ δέον εἰργασμένον, ἐπιμένειν αὐτῷ προσήκει. ἐὰν δ' ἐλλιπέστερον, αὐξάνειν αὐτοῦ τὴν δύναμιν, ὥσπερ γε καὶ καθαιρεῖν, ἡνίκα περαιτέρω τοῦ προσήκοντος ἐνήργησεν. οἷον ἐπ' αὐτοῦ τοῦ προκειμένου διὰ τῆς κηρωτῆς καὶ ἰοῦ φαρμάκου, σκοπεῖσθαι πότερον ἐσαρκώθη τὸ ἕλκος, ἢ σὰρξ μὲν οὐκ ἐγεννήθη, ῥυπαρὸν δὲ εὑρέθη καὶ μεστὸν ὑγρότητος, ἢ πρὸς τῷ μὴ σεσαρκῶσθαι, δήξεώς τις αἴσθησις ἐγένετο τῷ κάμνοντι, καὶ θερμότερον, ἢ ἐρυθρότερόν γε τὸ ἡλκωμένον ἐφάνη. ἐὰν μὲν οὖν ἀσθενέστερον φαίνηται, μίξεις μέλιτος, ἢ ἰοῦ, τὴν δύναμιν αὐτοῦ παραοξήσεις. ἐὰν δ' ἰσχυρότερον, ἔλαιον, ἢ ῥόδινον μίξεις, μαλάττων τὸ μέλλον ἀναλαμβάνεσθαι τοῖς μοτοῖς φάρμακον. ἐπὶ καιροῦ μὲν ἥ τε κηρωτή, καὶ ὁ ἰὸς οὕτω μίγνυται, καθάπερ ἔφην ὑπ' ἐμοῦ μιχθῆναί ποτε. παρασκευὴ δ' ἔστω τοῖς ἰατρεύουσιν ἐμπλάστρου γεγονυίας ἣν ἀπὸ τῆς χρόας ὀνομάζουσι χλωράν, ἰωμένης μὲν καὶ τὰ πρόσφατα τραύματα θεραπεύειν, ὅσα μὴ μεγάλα, δυναμένης δὲ καὶ διὰ ῥοδίνου τήκεσθαι πρὸς σύστασιν ἐμμέσου φαρμάκου.

A Atque primũ fingamus nos habere ceram, & æruginẽ, aliud nihil, quod cauo vlceri manifestè conducat; thus dico, irim, aristolochiam, farinam eruorum, radicem panacis, & quæcunque ex hoc sunt genere. Quum igitur sciamus cera sola imposita sordidũ vlcus euasurum, vt quod neq; detergere, neque exiccare possit; ærugine autẽ adiecta morsum, & rosionem illatũ iri, atque phlegmonẽ excitandam; horum sanè vtrunq; deuitabimus, medium autem ex ambobus aliud cõficiemus, imbecillius quidem ærugine, valentius autem cera; sed quoniam hæc paulo inferior est eo, quod cõmodè B queat adiici, ærugo autem multũ præcellit, multæ ceræ parum æruginis admiscebimus. Quantã ergo quantæ? hoc enim deinceps venit dicendũ. Exactè quidem quantitatẽ cuiusq; ante experientiam inuenire nemo potest, coniicere tamen, & iudicare, & componere medicamentũ prima potest experientia, nullũ insigniter improsperũ successum habiturum; quemadmodum ego aliquãdo feci in quodam vico, vbi quum neque ipse medicamentum, quod me sequeretur, haberem; neque alius ex iis, qui ibidẽ agebant, copiam mihi facere posset, reperi solum ad compositionem idonea æruginem, & ceram, quibus acceptis, & ad ignem cera C liquefacta cum oleo rosaceo, vt liquidum ceratum fieret, miscui cerati libræ vnciam vnam æruginis, hoc est, duodecimam partem; statui enim decimã, vel duodecimam miscere, suspicatus quidem maiorem, vt acriorem, cera futuram; minorem tanquam imbecilliorem. Expertis autem nobis cõpositionem, visæ sunt partes, & decima, & duodecima rectè pro corporum differentia commixtæ. Ostendimus enim, quod etiam vsus attestatur, valida corpora validiora sustinere medicamẽta, imbecilliora huiusmodi non ferre. Validiora dico corpora, quæ temperamento sicciora sunt, veluti D agricolarum naturã, & venatorum; imbecilliora, molliora, vel natura, vel victus cõsuetudine, cuiusmodi sunt mulierum, eunuchorum, puerorum, & qui naturali temperamento sunt humidi, candido mollique corpore præditi. Dura igitur corpora ex copiosiore ærugine cerato admixta, carnem recipiunt, molliora ex pauciore. Vnde vt frequenter dictum est, vnum medicamentũ omnibus nequaquã conuenire potest corporibus, sed oportet medium esse, ceu ad mediam tẽperaturã aptatũ; duci verò ad vtranq; eius medij partem, dũ quotidiano vsu probatur. Si enim quod res postulat effecisse E videatur, in eo manere conuenit; si paulũ deficiat, augere ipsius vires; quemadmodũ etiam adimere, cùm præter modũ efficax fuerit; velut in ipso hoc proposito medicamento, quod cerato, & ærugine constat, considerare priùs oportet, vlcúsne carne obductũ sit, an nondũ, sed sordibus, humoreq; sit refertũ; vel præterquã quòd carne impletum non est, mordicationis sensus aliquis laborãti ortus sit; & calidior, vel rubicunda magis, pars vlcerata apparuerit. Si igitur imbecillius videatur, melle, vel ærugine admixtis, facultatẽ eius adaugebis; si validius, oleum vel rosaceum miscebis, molliens medicamentũ, quod linamẽtis excipiendũ est. Com-F modè quidem ceratum, & ærugo sic miscentur, quemadmodũ à me nonnunquã esse mixta retuli. Confectura autem medicantibus hæc esto emplastri compositi, viride à colore vocant, sanantis quidem & recentia vulnera, quæcunque non magna sunt, sed quod ex rosaceo simul ad mediocris medicamenti consistentiam potest liquefieri.

Quin

Quin & resinæ, vel colophoniæ, & frictæ nominatæ vel terebinthinæ, nonnihil ipsum habere oportebit; ostendimus autem laricem vocatam terebinthinæ quodãmodo esse similem. Porrò quantitas earum mixturæ, & hîc coniecturalis est. Si enim plus resinæ, quàm ex vsu sit, admisceamus, donec manibus subigitur, molle apparet; in linteolum verò illitum, paulo post instar pellis durum erit, facilè à corpore decidens. Sin minus iusto resinæ, cum cera mixtum sit, non habebit hoc, quod echecollon, idest, *glutinans*, appellatur, vt distrahendo eo, plurimum extendatur. Liquet autem, si alicui particulæ imposueris, fore vt difficulter agglutinetur, & protinus ab ipsa delabatur. Quæ igitur mediocris mixtura, ceu emplastri consistentiæ conueniens? siquidem mihi fidem adhibes, par vtriusque portio. Nec verò cera, nec resina, sicca, vetusque esto, optimum siquidem, ita amborum mixtionis coagmentum est, si ambo pinguia, & mollia assumantur; si alterum excedat, semper resinam præpollere satius est; quare nonnulli vel duplum huius pondus ceræ admiscent.

A δεήσει δ' αὐτὴν ἔχειν τι καὶ ῥητίνης, ἤτοι τῆς κολοφωνίας τε καὶ φρυκτῆς ὀνομαζομένης, ἢ τῆς τερμινθίνης. εἴρηται δὲ, ὅτι τῇ τερμινθίνῃ παραπλησία πώς ἐστιν ἡ λάριξ ὀνομαζομένη. στοχαστικὴ δὲ κἀνταῦθα τῆς μίξεως αὐτῶν ἐστιν ἡ ποσότης. ἐὰν μὲν γὰρ πλέον, ἢ προσήκει μίξωμεν τῆς ῥητίνης, ἐν τῷ μαλάττεσθαι διὰ τῶν χειρῶν φαίνεται μαλακὸν, εἰς ὀθόνιον δὲ ἐμπλασθὲν, ὀλίγον ὕστερον, ὡς δέρμα σκληρὸν ἔσται, ῥᾳδίως ἀποπίπτον τοῦ σώματος. ἐὰν δὲ ἔλαττον τοῦ συμμέτρου μιχθῇ τῷ κηρῷ τῆς ῥητίνης, οὐχ ἕξει τοῦτο δὴ τὸ καλούμενον ἐγχέκολλον, ὡς ἑλκόμενον ἐπὶ πλέον ἐκτείνεσθαι, πρόδηλον δ' ὅτι κἂν ἐπιτεθῇ B κατά τινος μορίου, δυσκόλλητον ἔσται, καὶ ταχέως ἀποπίπτον αὐτοῦ. τίς οὖν ἡ σύμμετρος μίξις, ὡς πρὸς ἐμπλαστρώδη σύστασιν; εἰ μὲν ἐμοὶ πείθοις, τὸ ἴσον ἑκατέρου. μήτε δὲ ὁ κηρὸς ἔστω ξηρὸς, καὶ παλαιὸς, μήτε ἡ ῥητίνη. κάλλιστα γὰρ οὕτως ἡ σύστασις γίνεται τοῦ μιχθέντος ἐξ αὐτῶν, ἐὰν ἀμφότερα λιπαρὰ καὶ μαλακὰ παραλαμβάνηται. εἰ δ' ὑπερβάλλοι θάτερον, ἄμεινον ἀεὶ τὴν ῥητίνην ἐπικρατεῖν, ὥστε ἔνιοι καὶ διπλασίαν σακτῷ τῷ κηρῷ μιγνύουσιν.

CAPVT II.

Confectura simplicis emplastri viridis Andromachi, & facultatis ipsius explicatio.

AC sanè viride nõnulli, sic enim ipsi nominãt, ex dupla resinæ portione confecerunt; duas quidẽ eiusdem libras, vnã verò ceræ, & binos olei cyathos, immiscentes. Æruginis autẽ alij duas, alij tres vncias, huiusmodi ceræ, & resinæ mixtioni immittũt. Sed etiam in præparatione, liquefactis, quæ liquari possunt, æruginẽ inspergunt; quidam vbi refrigerauerint, mox raserint, in mortario mixturam moliuntur. Porrò qui medicamentum cruentorum vlcerum glutinantius facere statuunt, æruginẽ in pila priùs cum aceto læuigatã iniiciunt, ceratum radentes. Proinde si quis vos roget, quale horũ viridium emplastrorũ sit præstantissimũ, succurat id, quod identidẽ à me prædicatur, respondere, omnia esse optima ei, qui affectus, quibus singula offeruntur, cognoscat, sicut & eos ignorãti omnia pessima. Mei etenim officij est dicere, id exiccare valentiùs, quod acetum assumit. Cõstat autem, quod plus æruginis cõtinet, id tum validũ esse, tum magis exiccans, tũ sordida vlcera rectiùs purgare. Terminus ipsius est, vt hæc citra morsum efficiat; nam adeò valens, vt iam puris vlceribus impositum morsum pariat, nec ea vnquã carne replebit, sed alio modo humida, sordidaque reddet, sicuti illa, quæ parũ integrè siccant detergentque. Iam verò ex acrioribus cauum magis vlcus euadit, & rubicundius, calidiusque est, quum æger etiam ipse morsum eius percipit. Ne igitur quoduis medicamentũ simpliciter laudate citra dispositionis, in qua commendatur, appositionẽ; nec in alio quoquã medicamẽto, nec in iis quæ modò nobis proponuntur, id agendũ est. Quos igitur, viridibus ordine suo descriptis, affectus, quibus ea cõueniunt, distinguere non piguit, minùs peccãt quàm ij, qui ne hoc quidem fecerunt. Qui verò sine distinctionibus, ac indefinitè scripserunt, quum ad alia transeunt, apponentes, aliud viride, disciplinam reddunt prauissimã. si modò oportet omnino disciplinam vocare huiusmodi scriptiones. Igitur Andromachus in libro, quem externorũ inscribit, paulopost principium, primo fusca posuit, mox rufa,

ΚΕΦΑΛΑΙΟΝ Β'.

Σκευασία τῆς ἁπλῆς χλωρᾶς Ἀνδρομάχου, καὶ περὶ τῆς δυνάμεως αὐτῆς ἐξάπλωσις.

C ΚΑὶ τήν γε χλωρὰν (οὕτω γὰρ αὐτὴν καλοῦσιν) ἐκ διπλασίας τῆς ῥητίνης ἔνιοι πεποιήκασι, δύο μὲν λίτρας ἐμβάλλοντες αὐτῆς, μίαν δὲ κηροῦ, καὶ κυάθους δύο ἐλαίου. τοῦ δὲ ἰοῦ, τινὲς μὲν δύο, τινὲς δὲ τρεῖς οὐγγίας ἐπεμβάλλουσι τῇ τοιαύτῃ μίξει τοῦ κηροῦ καὶ τῆς ῥητίνης. ἀλλὰ καὶ κατὰ τὴν σκευασίαν, τὸν ἰὸν ἔνιοι μὲν ἐμπλάττουσι τακεῖσι τοῖς τηκτοῖς, ἔνιοι δὲ ψύξαντες, εἶτα ξύσαντες, ἐν τῇ θυίᾳ τὴν μίξιν ποιοῦνται. ὅσοι δὲ κολ- D λητικώτερον ἐναίμων ἑλκῶν βούλονται ποιῆσαι τὸ φάρμακον, ἐν θυίᾳ προλειώσαντες σὺν ὄξει τὸν ἰὸν ἐπεμβάλλουσι, ξύοντες τὴν κηρωτήν. ἐὰν τίς οὖν πυνθάνηται ὑμῶν, ποία τούτων τῶν χλωρῶν ἐμπλάστρων ἐστὶν ἀρίστη, μέμνησθε τὸ πολλάκις ὑπ' ἐμοῦ λεγόμενον, ἀποκρίνασθαι, πάσας ἀρίστους εἶναι τῷ γινώσκοντι τὰς διαθέσεις, αἷς ἑκάστη προσφορὸς ὑπάρχει, καθάπερ γε καὶ πάσας μοχθηρὰς τῷ μὴ γινώσκοντι. ἐνὸν μὲν γὰρ εἰπεῖν, ὅτι γενναιότερον ξηραίνει τὸ προσλαμβάνον ὄξους. ἄδηλον δ' ὅτι τὸ πλέονα τὸν ἰὸν ἔχον, ἰσχυρόν τέ ἐστι καὶ ξηραντικώτερον, ἑλκῶν τε ῥυπαρῶν καθαρτικώτερον. ὅρος δὲ αὐτοῦ, τὸ χωρὶς δήξεως ἐρ- E γάζεσθαι ταῦτα. τὸ γὰρ οὕτως ἰσχυρὸν, ὡς ἤδη καὶ δάκνειν ἐπιτιθέμενον ἕλκεσι καθαροῖς, οὔτε σαρκώσει ποτ' αὐτὰ, καὶ καθ' ἕτερον τρόπον ὑγρὰ καὶ ῥυπαρὰ ποιήσει, παραπλησίως τοῖς ἐνδεῶς ξηραίνουσί τε καὶ ῥύπτουσιν, ἀλλ' ἐπὶ τῶν δριμυτέρων, κοιλότερόν γε γίνεται τὸ ἕλκος, ἐρυθρότερόν τε καὶ θερμότερον. ἔστι δ' ὅτε καὶ αὐτὸς ὁ κάμνων αἰσθάνεται τῆς δήξεως αὐτοῦ. μὴ τοίνυν ἁπλῶς ἐπαινεῖτε φάρμακόν τι, χωρὶς τοῦ προσθεῖναι τὴν διάθεσιν, ἐφ' ἧς ἐπαινεῖται, μήτ' ἐπ' ἄλλου τινὸς φαρμάκου, μήτε ἐπὶ τῶν νῦν προκειμένων ὅσοι μὲν οὖν ἀλλήλων ἐφεξῆς τὰς χλωρὰς γράψαντες. οὐκ ὤκνησαν διορίσαι τὰς διαθέσεις ἐφ' ὧν ἁρ- F μόττουσιν, ἧττον ἁμαρτάνουσι τῶν μηδὲ τοῦτο ποιησάντων. ὅσοι δ' ἀδιορίστως γεγράφασι κατὰ τὰς μεταβάσεις αὐτῶν προστάττοντες, ἄλλη χλωρά, μοχθηροτάτην ποιοῦνται διδασκαλίαν. εἴ γε δὴ χρὴ διδασκαλίαν ὀνομάζειν ὅλως τὴν τοιαύτην γραφήν. ὁ γοῦν Ἀνδρόμαχος ἐν τῇ βίβλῳ ἣν τῶν ἐκτὸς ἐπιγράφει, μετ' ὀλίγα τῆς ἀρχῆς, πρώτας μὲν φαιὰς ἔγραψεν, εἶτα πυῤῥὰς,

καὶ μετὰ ταῦτα μελαίνας, εἶτα ἐπὶ τὰς χλωρὰς τραπόμενος, A ἀρχὴν τῆς διδασκαλίας ἐποιήσατο τοιάνδε, προγράψας, χλωραί, πρώτην ἁπασῶν ἔγραψε κατὰ λέξιν τήνδε. χλωρὰ Γάλλου. ℞. ῥητίνης στροβιλίνης < τ'. κηροῦ < ρ'. ἰοῦ ξυστοῦ < ν'. λιβάνου < κε'. ὄξους τὸ ἱκανόν. Ἐχρῆν μὲν οὖν ἴσως αὐτὸν εἰρηκέναι τι καὶ περὶ τῆς σκευασίας, εἴτε καὶ τὸν λιβανωτὸν ἅμα τῷ ἰῷ λειοῦσθαι βούλεται παραχεομένου τοῦ ὄξους, εἴτε μόνον τὸν ἰόν. ἑκατέρως γὰρ ἐγχωρεῖ· καὶ κατὰ πολλὰς συνθέσεις, οἱ μὲν οὕτως, οἱ δ' ἐκείνως ἔγραψαν. ἀλλ' ἐπὶ τούτου μὲν ἀπομαντεύσασθαι τῆς διανοίας αὐτοῦ δυνατόν, ὡς ἄμφω τρίβεσθαι σὺν ὄξει βούλεται, τὸν λιβανωτὸν καὶ τὸν ἰόν. ἐπὶ τίνων B μέντοι παθῶν ἐστι χρηστέον τῷ φαρμάκῳ, πάντως ἐχρῆν δεδηλῶσθαι. μήτι οὖν ἐπειδὴ πρὸ ταύτης ἐγεγράφει δύο τινὰς ἐμπλάστρους, ὧν ἐπὶ μὲν τῆς προτέρας προύγραψε, πρὸς γαγγραίνας καὶ σηπεδόνας, καὶ νομὰς παλαιάς, καὶ κακοήθεις, ἐπὶ δὲ τῆς δευτέρας, πρὸς νομὰς ᾗ χρῶμαι, καὶ ἄλλα πολλά, διὰ τοῦτ' ἐφεξῆς ἔγραψεν, ἄνευ προσθήκης τήνδε χλωρὰν ταύτην, ἐνδεικνύμενος ἐπὶ τῶν αὐτῶν διαθέσεων ἁρμόττειν αὐτήν. ἀλλὰ πάλιν ἐφεξῆς γράφων ἑτέραν, ἁπλῶς εἶπε, χλωρὰ Ποτάμωνος, εἶτ' ἄλλην τρίτην χλωράν, καὶ τετάρτην χλωράν, ᾗ χρῶμαι, καὶ πέμπτην ἄλλην, ἕκτην τε ἐπ' αὐταῖς, C ἑβδόμην τε καὶ ὀγδόην, ἐννάτην τε καὶ δεκάτην, ια'. τε καὶ δωδεκάτην, καὶ ιγ'. τε καὶ ιδ'. τε ιε'. καὶ ιϛ'. ἔγραψεν, ἓν μόνον τοῦτο προγράψας αὐτῶν ἑκάστης, τὸ, ἄλλη, διαφερούσας μὲν ἀλλήλων ἁπάσας κατὰ δύναμιν γράψας, οὐ μὴν πρός γε σηπεδόνας, καὶ νομάς, καὶ γαγγραίνας ἐπιτηδείους ἁπάσας, ὡς ἐκ τῆς ὕλης αὐτῶν ἔνεστι γνῶναι, ᾧ καὶ δῆλον, ὅτι κατὰ τὴν τῆς χρόας ὁμοιότητα μετ' ἀλλήλων ἔγραψεν αὐτάς, οὐ κατὰ τὴν τῆς δυνάμεως. ἡμεῖς οὖν ἐροῦμεν ἑκάστης αὐτῶν τὴν δύναμιν, ἐκ τῆς τῶν ἁπλῶν φαρμάκων φύσεως ἑρμηνεύοντες. ἔσται γὰρ τοῦτο χρησιμώτατον τοῖς βουλομένοις, οὐ μόνον ἐν τῷ καθόλου τὴν μέ- D θοδον ἐπίστασθαι τῆς τε συνθέσεως καὶ χρήσεως τῶν τοιούτων φαρμάκων, ἀλλὰ καὶ διὰ τὸ αὐτοσχεδιάζειν δύνασθαι, καὶ διαγινώσκειν τὰ χωρὶς διορισμοῦ γεγραμμένα τοῖς πρεσβυτέροις, ὁποίας ἐστὶ δυνάμεως. τὴν οὖν πρώτην ἔγραψεν ὁ Ἀνδρόμαχος ἐπισκεψόμεθα, προχειριζόμενοι καὶ σκοπούμενοι τῶν ἁπλῶν ἕκαστον ἐξ ὧν σύγκειται. πρώτης οὖν ἐν αὐτῇ μνημονεύει ῥητίνης στροβιλίνης. ἔστι δ', ὡς ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐλέγετο, θερμαντικωτάτη τε τῶν ῥητινῶν ἡ τοιαύτη, καθάπερ ἡ τερμινθίνη μετριωτάτη πασῶν εἰς ἄμφω. πᾶσαι μὲν γὰρ αἱ ῥητῖναι, θερμαίνουσί τε καὶ ξηραίνουσιν, ἀλλ' αἱ E μὲν μᾶλλον, αἱ δ' ἧττον αὐτῶν ταῦτα δρῶσιν. ἰσχυροτάτη μὲν οὖν ἐστιν ἡ στροβιλίνη, μετριωτάτη δ', ὡς ἔφην, ἡ τερμινθίνη. καὶ μέντοι καὶ ξηραίνει τάχιστα μὲν ἡ στροβιλίνη, καὶ τὸ καλούμενον ἰδίᾳ προσηγορίᾳ πιτύϊνον φύσημα, ῥητίνη μὲν ὑπάρχον τῷ γένει καὶ αὐτό, ξηραῖνον δὲ καὶ θερμαῖνον, ἀλλὰ τῷ μὲν ξηραίνειν οὐκ ἀπολείπεται τῆς στροβιλίνης, τῷ θερμαίνειν δέ, οὐκ ὀλίγον λείπεται. αὗται μὲν οὖν ἀλιπεῖς εἰσι ξηρανθεῖσαι, διὸ καὶ τὰς εὐαφεῖς ἐμπλάστρους οὐ δύνανται κατασκευάζειν, ὥσπερ αἱ γλίσχραι τε καὶ ὑγραί. μεταξὺ δὲ τοῦ τε πιτυΐνου φυσήματος, F καὶ τῆς στροβιλίνης ῥητίνης, ἔστιν ἡ ἐλατίνη, κατά γε τὸ θερμαίνειν ὑγρὰ μὴν, ἕως πλείονος αὐτὴ διαμένει, καθάπερ καὶ τῆς κολοφωνίας, ἡ λιβανίζουσα, καὶ ταύτην γε μόνην ἔνιοι καλοῦσι κολοφωνίαν, ἡδύ τι κατὰ τὴν ὀσμὴν ἔχουσα, ὥσπερ ἡ ἐλατίνη, καὶ θερμαίνουσα συμμέτρως, ὡς ἐκείνη. γίνεται δ' ὀλίγη πάνυ, καὶ διὰ τοῦτο τίμιος ὑπάρχει. ὑγροτάτη γε

deinde nigra, postremò ad viridia conuersus, disciplinæ huiusmodi initium fecit, præfixo nomine, viridia. Ac quod principem locum habet, scripsit his verbis. *Viride Galli.* ℞. resinæ pineæ ʒ.ccc. ceræ drach.c. æruginis rasæ drach.l. thuris ʒ.xxv. aceti quantum satis est. Conueniebat igitur ipsum nonnihil forsitan & de confectura dixisse, num etiam thus simul cum ærugine in læuorem redigi aceto affuso velit, an solam æruginem; vtrunque enim licet, atque in multis compositionibus nonnulli hoc, quidam illo modo, scripserunt. Verùm in hoc mentem eius coniicere possumus, nempe ambo cum aceto velle conteri; thus puta, & æruginem; attamen in quibusnam affectibus medicamento sit vtendum, significatum prorsus oportebat. Nunquid igitur, quoniam ante hoc, duo quædam emplastra scripserat, quorum priori præposuit; Ad gangrænas, putredines, nomas vetustas, & malignas; secundo, ad nomas quo vtor, & alia pleraque; ideò viride istud sine appositione deinceps protulit, ostendens iisdem ipsum affectibus conuenire. Cæterùm aliud rursus, huic subiungens simpliciter dixit, viride Potamonis, deinde aliud tertium viride, & quartum, quo vtor. Ad hæc quintum aliud, sextum, septimum, octauum, nonum, decimum, vndecimum, duodecimum, decimumtertium, decimumquartum, decimumquintum, decimumsextum, recensuit, vno duntaxat hoc nomine, aliud, singulis præposito, differentia quidem inter se omnia viribus commemorans, non tamen vniuersa ad putredines, nomas, & gangrænas idonea, quemadmodum ex ipsorum materia est cognoscere. Vnde etiam constat pro coloris, non virium, similitudine, simul inuicem hæc ipsum conscripsisse. Itaque nos cuiusque eorum potestatem exponemus, à simplicium medicamentorum natura sumpto principio. Nam hoc longè vtilissimum fuerit iis qui non solùm in vniuersali compositionis methodum, ac vsum talium medicamentorum, cupiant intelligere, sed etiam suomet ipsorum marte conficere posse, & quæ à veteribus citra distinctionem tradita sunt, qualemnam facultatem habeant, dignoscere. Quod igitur primum Andromachus prodidit, inspiciamus, proponentes, considerantesque simplicia singula, quibus confectum est. Primùm igitur resinæ strobilinæ in eo meminit, quæ vt in commentariis de simplicium medicamentorum facultatibus asserui, resinarum longè calidissima est, sicut terebinthina ambabus qualitatibus omnium moderatissima; omnes siquidem resinæ calefaciunt, & exiccant, sed hæ magis, illæ minùs. Validissima igitur est strobilina; moderatissima, vt dixi, terebinthina. Quin etiam siccat celerrimè strobilina; & quod peculiari appellatione pityinon physema dicitur, resina quidem & ipsum genere, cæterùm siccans, & calefaciens, siccando autem à strobilina non superatur, calefaciendo plurimum. Hę ergo exiccatæ pinguedinis expertes sunt, ideoq; emplastra bene adhærentia conficere non habent, vt viscosæ & liquidæ. Inter pityinon physema, idest piceam, & strobilinam resinam, media calore abietina est, liquida tamen diutius perdurat, sicut etiam colophonia illa, quæ thus redolet, & quæ nonnullis sola vocatur colophonia, odoratu suauitatem quandam referens, sicut abietina, & colore mediocri prædita vt illa; nascitur autem admodũ modica, atque ob id pretiosa est. Humidissima

tamen omnium est altera laricis appellatæ differentia, nam hæc quoque duplex quodammodo est, vna quidem similis in omnibus terebinthinæ; altera hac acrior, calidior, magis liquida, & odoratu grauior, & gustu amarior, calidiorque. Porrò humida resina, quæ in continentibus pineam resinam subsidet vasis fictilibus, consistentia & colore terebinthinæ adamussim similis, odore & gustu diuersa, ingratior quidem olfactu, sicut etiam acrior, & gustu mordacior. Quare satius est, terebinthinam omnibus medicamentis, quæ vlcera rectè curabunt, admiscere, quoniam primus præcipuusq; in eis scopus est, vt id, quod offertur, non mordeat. Igitur ad compositum emplastrum reuertamur, in quo Andromachus strobilinæ resinæ drach. ccc. ceræ drach. c. mixtis iubet iniicere, neque consistentiam, neque virtutem exactè assequutus, vel ipse, vel qui id composuit. Neque enim glutinans erit, & acre fiet; auxilium verò ei ad vtrunque contulit thus admiscens, verùm pro illorum copia paucum adeò, præsertim quum æruginis drachmas quinquaginta immittat, octauam partem quadringentorum ex cera, resinaque collectorum explentes. Atqui nemo hoc illi vitio verterit, vtpotè cui consilium fuerit medicamentum conficere vehementer exiccãs, quum & alioquin ipsum carni generandæ, ac mediocribus glutinandis vulneribus aptum reddere volenti, drachmæ quinquaginta misceri rectè possint, itaque lenius, ad carnem producendam commodius, adhærendo pertinacius, & ad multa vtilius fieri. Commendanda verò est thuris commixtio, quòd emplastri coagmentum iuuet, anodynon enim est, & concoquit. Quare si æqua ipsius portio ærugini fuisset coniuncta, hoc est drachmæ quinquaginta, glutinantius, vt dixi, redditum fuisset, & mitius medicamentum. Quoniam verò vigintiquinque adiecit, siccantem æruginis vim seruare curans, emplastrum ad glutinandum maiora vulnera, & vlceribus vix sanabilibus curandis, idoneum factum est; quodque tale ipsum fore in animo habuerit, aceti quoque mixtura innuit. Penes nos itaque est, & vehementius, & lenius ipsum facere, vel plus aceti, vel minus miscentes, sicut acrius, vel minus mordax; etenim ex acrioris mixtione, quemadmodum etiam copiosioris, medicamentum exiccabit fortius, & cruentorum erit glutinantius, si vinosum acetum sit adiectum. Porrò præstat in compositione pluscùlis diebus æruginem ex aceto acri, in Sole calido allæuigare; quod enim in eo mordax est, mitescet, virtusque nihilo fiet minor. Thus autem initio admiscere necessarium non est, verùm huic dies vnus satis est. Siquidem meminisse vos puto, & huius, quod toties repeto, fortium medicamentorum, cuiusmodi est ærugo, misy, chalcitis, sori, æris squama, vel chalcanthum, ex aceto diebus pluribus contritorum morsum obtundi, bonitatem augeri. Quoniam enim metallica, vt quæ crassioribus natura constant partibus, facultatem suam in altum vsque corporis, quod curatur, non extendunt; ideò vt tenuiora fiant, iis per trituram, & acetum adhibendus est cultus; hęc enim curiosè ita attenuata ad intima vsque penetrant. Accedit autem, & aliud quoddam commodum in huiusmodi medicamentorum præparationibus, quòd diligenter elaborata, corporis meatus, nusquam inter eundem retenta pertranseunt; eiusque rei gratia, & si calidioris naturæ sint,

A μία ἁπασῶν ἐστι τῆς λάρικος ὀνομαζομένης ῥητίνης, ἡ ἑτέρα διαφορά. διττὴ γάρ πώς ἐστι καὶ αὕτη, παραπλησία μὲν ἡ ἑτέρα τῇ τερμινθίνῃ κατὰ πάντα. δριμυτέρα δὲ αὐτῆς ἡ ἑτέρα καὶ θερμοτέρα, καὶ ὑγροτέρα, καὶ κατὰ τὴν ὀσμὴν ἀηδεστέρα, καὶ κατὰ τὴν γεῦσιν πικροτέρα, καὶ θερμοτέρα. ἡ δὲ ὑφισταμένη τοῖς τὴν πιτυΐνην ῥητίνην περιέχουσι κεραμείοις, ὑγρὰ ῥητίνη, κατὰ μὲν τὴν σύστασιν καὶ τὴν χρόαν ἀκριβῶς ἔοικε τῇ τερμινθίνῃ, τῇ δὲ ὀσμῇ, καὶ τῇ γεύσει διενήνοχεν. ἀηδεστέρα μὲν οὖσα κατὰ τὴν ὀσμήν, ὥσπερ καὶ δριμυτέρα, καὶ κατὰ τὴν γεῦσιν δακνωδεστέρα, διὸ καὶ κάλλιόν ἐστι τὴν τερμινθίνην μιγνύειν ἅπασι τοῖς μέλλουσιν ἕλκη καλῶς ἰά-
B σασθαι φαρμάκοις, ἐπειδὴ πρῶτός τε καὶ ἄριστος ἐν αὐτοῖς ἐστι σκοπός, ἄδηκτον εἶναι τὸ προσφερόμενον. ἐπὶ τὴν προκειμένην οὖν ἀνέλθωμεν ἔμπλαστρον, εἰς ἣν ὁ Ἀνδρόμαχος ἐμβάλλειν κελεύει τῆς στροβιλίνης ῥητίνης τὰς < τ'. ταῖς ἑκατὸν δραχμαῖς τοῦ κηροῦ μεμιγμέναις, οὔτε τῆς συστάσεως, οὔτε τῆς δυνάμεως ἀκριβῶς ἐστοχασμένος, ἢ αὐτός, ἢ ὅ γε συνθεὶς αὐτήν· οὔτε γὰρ ἐγκόλλος ἔσται, καὶ δριμεῖα γενήσεται. βοήθημα δὲ αὐτῇ πρὸς ἄμφω καλῶς ἐποίησε τὸν λιβανωτὸν μίξας, ἀλλ' ὡς πρὸς τὸ πλῆθος ἐκείνων ὀλίγον ἔμιξε, καὶ μάλισθ' ὅτι τοῦ ἰοῦ < ν'. ἐμβάλλει, μέρος δὲ εἰσὶν ὄγδοον αὗται τῶν ἐκ τοῦ κηροῦ τε καὶ τῆς
C ῥητίνης ἀθροιζομένων τετρακοσίων. ἀλλὰ τοῦτο μὲν οὐκ ἄν τις μέμψαιτο τῷ σκοπὸν ἔχοντι ξηραντικὸν ἱκανῶς ἐργάζεσθαι φάρμακον, ἐπεί τοι τῷ τε σαρκωτικὸν αὐτό, καὶ τῶν μετρίων τραυμάτων κολλητικὸν ἀποτελέσαι βουληθέντι, αἱ < ν'. καλῶς ἂν μιγνύοιντο. καὶ γένοιτ' ἂν οὕτω πραότερόν τε καὶ σαρκωτικώτερον, ἐγκολλότερόν τε καὶ πολυχρηστότερον. ἐπαινεῖν δὲ χρὴ τὴν τοῦ λιβανωτοῦ μίξιν, εἰς σύστασιν ἐμπλαστρώδη βοηθοῦντος, ἀνώδυνός τε γάρ ἐστι, καὶ πεπτικός. εἰ μὲν οὖν ἴσον αὐτοῦ σταθμὸν ἔμιξε τῷ ἰῷ, τουτέστι τὰς < ν'. ἐγκολλότερόν τ' ἄν, ὡς ἔφην, εἰργάσατο, καὶ πραότερον τὸ φάρμακον. ἐπεὶ δὲ εἴκοσι καὶ ε'.
D ἔμιξε, τὴν ξηραντικὴν ἰσχὺν τοῦ ἰοῦ φυλάξαι βουληθείς, ἐπιτήδειον εἰργάσατο τὴν ἔμπλαστρον, εἴς τε μειζόνων τραυμάτων κόλλησιν, ἑλκῶν τε δυσθεραπεύτων ἴασιν. ὅτι τε τοιοῦτον αὐτὸ γενέσθαι προὔθετο, δηλοῖ καὶ ἡ τοῦ ὄξους μίξις. ἐφ' ἡμῖν οὖν ἐστι καὶ σφοδρότερον ἐργάζεσθαι, καὶ πραότερον αὐτό, μιγνύουσι ἤτοι πλέον, ἢ ἔλαττον ὄξους. ὡσαύτως δὲ δριμύτερον, ἢ ἀδηκτότερον. ἐκ μὲν γὰρ τῆς τοῦ δριμυτέρου μίξεως, ὥσπερ καὶ τῆς τοῦ πλέονος, ξηραντικώτερον ἔσται τὸ φάρμακον, κολλητικώτερόν τε τῶν ἐναίμων, οἰνώδους ὄξους μιχθέντος. ἄμεινον δὲ ἐν τῇ συνθέσει τὸν ἰὸν σὺν ὄξει δριμεῖ λεαίνειν ἡμέραις πλείοσιν ἐν ἡλίῳ
E θερμῷ. τὸ μὲν γὰρ δηκτικὸν αὐτοῦ πραϋνθήσεται, τῆς δυνάμεως δὲ οὐδὲν ἐλαττωθήσεται. τὸν λιβανωτὸν δὲ οὐκ ἀναγκαῖον ἐξ ἀρχῆς μιγνύειν, ἀλλ' ἀρκεῖ μία πρὸς ταῦτα ἡμέρα. μεμνῆσθαι γὰρ ὑμᾶς νομίζω, καὶ τούτου πολλάκις εἰρημένου. τῶν μὲν ἰσχυρῶν φαρμάκων, ὁποῖός ἐστιν, ὅ τε ἰός, καὶ τὸ μίσυ, καὶ ἡ χαλκῖτις, καὶ τὸ σῶρυ, καὶ ἡ λεπίς, ἥ τε χάλκανθος ἐν ὄξει λειουμένων ἡμέραις πλείοσι, τὴν μὲν δῆξιν ἀμβλύνεσθαι, τὴν δὲ ἀρετὴν αὐξάνεσθαι. παχυμερέστερα γὰρ φύσει ὄντα τὰ μεταλλικὰ πάντα, μέχρι βάθους τῶν θεραπευομένων σωμάτων οὐκ ἐκτείνει τὰς δυνάμεις. ὅπως οὖν γένηται λεπτομερέστερα, τὴν διὰ τῆς
F τρίψεως καὶ τοῦ ὄξους, αὐτοῖς κατεργασίαν χρὴ προστίθεσθαι, διὰ ταύτης γὰρ ἀκριβῶς λεπτουργηθέντα, μέχρι τοῦ βάθους καταδύεται. προσέρχεται δέ τι καὶ ἄλλο χρηστὸν ἐν ταῖς τοιαύταις παρασκευαῖς τῶν φαρμάκων, ἀκριβῶς γὰρ κατεργασθέντα, διεξέρχεται τοὺς κατὰ τὸ σῶμα πόρους, μηδαμόθεν κατὰ τὴν ὁδοιπορίαν ἰσχόμενα, καὶ διὰ τοῦτο κἂν ᾖ θερμότερα φύσει,

χωρὶς τοῦ δάκνειν ἐνεργεῖ. καὶ τῶν χυμῶν δὲ αὐτῶν κατὰ τὸ σῶμα γινομένων, οἱ μὲν λεπτοὶ διαπνέονται ῥᾳδίως ἄνευ δήξεως, οἱ παχύτεροι δὲ, κατεχόμενοί τε καὶ σφηνούμενοι, λυποῦσιν ὅταν ὦσι δακνώδεις. ὁ δ' αὐτὸς λόγος ἐστὶ, καὶ ἐπὶ τῶν καυθέντων μεταλλικῶν φαρμάκων, ἀλλ' ἐκεῖνα μὲν, ἐκ τῆς τοῦ πυρὸς ὁμιλίας διασώζει τι δακνῶδες, ὃ κατὰ τὰς πλύσεις ἀποθέμενα, παντάπασιν ἄδηκτα γίγνεται. τὰ δ' αὐτὶ τοῦ πυρὸς ὅμοιόν τι καύσει παθοῦντα κατὰ τὴν δι' ὄξους ἐν ἡλίῳ τρῖψιν, οὐδὲ τὴν ἐκ τοῦ πυρὸς ἐπικτᾶται θερμότητα. λειούμενα γε μὴν ἐν ὄξει καὶ τὰ καυθέντα, πολὺ βελτίω γίγνεται. ταῦτά τε οὖν κοινὰ πολλῶν φαρμάκων ἐστὶν, ἀναγκαῖα γιγνώσκεσθαι, τό τε τῆς χρήσεως αὐτῶν ὁμοίως, ἄλλο μὲν ἐπ' ἄλλων παθῶν. ἐπὶ δὲ τῶν κοίλων, ὅταν ἀναληφθέντα μοτοῖς ἐπεμβάλλεται. τὴν γοῦν προκειμένην ἔμπλαστρον, εἰ τήξας μετὰ ῥοδίνου χρῷο, χρησίμη μὲν ἐπὶ ῥυπαρῶν τε καὶ ὑγρῶν ἔσται ἑλκῶν, δακνώδης δ' ἐπὶ τῶν ἀπεριστάτων, καὶ διὰ τοῦτο δεήσει μιγνύειν αὐτῇ, κηρωτὴν ὑγρὰν ἐκ κηροῦ καὶ ῥητίνης γεγονυῖαν, ἤτοι διὰ ῥοδίνου τετηγμένην, ἢ δι' ἐλαίου. γένοιτο δ' ἄν ποτε καὶ μυρσίνου χρεία, καὶ χρὴ καὶ τὸ τούτων μίξεως ἐπίστασθαί τινα μέθοδον. ἐλαίου γοῦν ἓν μὲν ὄνομα, ποιότης δὲ καὶ δύναμις, οὔ. τὸ μὲν γὰρ ὀμφάκιον ψυχρότερον, τὸ δ' ἐκ πεπείρων τῶν ἐλαιῶν θερμότερον. εἰ δὲ χρονίσειεν, αὐξήσει τὴν τοῦ θερμαίνειν δύναμιν. οὕτως δὲ καὶ τὸ μὲν ἁλῶν ἔχον, εἰς ὅσον ἂν ἐκείνων μεταλάβῃ, θερμαντικώτερόν τε καὶ ξηραντικώτερον τοῦ μὴ προσλαβόντος. τὸ δ' ἁπαλοὺς κλῶνας ἐλαίας, οὓς θαλλοὺς ὀνομάζουσι, στυπτικώτερον. ὑπαγορεύει δέ σοι τὸ χρησιμώτερον, ἥ τε τοῦ ἕλκους ἰδέα, καὶ ἡ τοῦ θεραπευομένου σώματος φύσις, τοῦ μὲν ἕλκους ὑπὸ τῶν ἐναντίων θεραπευομένου, τοῦ δ' ἡλκωμένου σώματος ὑπὸ τῶν ὁμοίων, ὥστε καὶ μυρσίνῳ τήξεις τὸ μέλλον ἔμμοτον ἔσεσθαι φάρμακον, ὅταν σοι φαίνηται πλαδαρωτέρα τοῦ προσήκοντος ἡ γεννωμένη σὰρξ εἶναι, καὶ μᾶλλον ὅταν ἐγγὺς ᾖ τοῦ συνουλοῦσθαι τὸ ἕλκος, ὡς ὅταν βραχύ τι φλεγμονῆς ἐν τοῖς πέριξ ὑπολείπεται, κάλλιστόν ἐστι σὺν ῥοδίνῳ τήκειν τὸ φάρμακον. ἄριστον δὲ ῥόδινον ἔμαθες εἶναι, τὸ διὰ ῥόδων μόνον πολλῶν ἐμβραχέντων ἐπὶ πλεῖον ἐλαίῳ, χωρὶς ἁλῶν ἐσκευασμένῳ γεγονός. ἐὰν οὖν ταῦτά τις ἐν μνήμῃ προχείρῳ διὰ παντὸς ἔχῃ, μεμνημένος τε ᾖ, καθάπερ ἔφην, πάντων τῶν ἁπλῶν φαρμάκων τῆς δυνάμεως, αὐτός τε συνθήσει πολυειδεῖς ἐμπλάστρους χλωρὰς, ἑκάστῃ τε τῶν ἤδη συγκειμένων ἄριστα χρήσεται. τὴν γοῦν προτεθεῖσαν ἄχρι δεῦρο κατὰ τὸν λόγον ἔμπλαστρον, ἣν πρώτην τῶν χλωρῶν ἔγραψεν ὁ Ἀνδρόμαχος, ἔνεστι μεταρρυθμίζειν πολυειδῶς, τοῦτο μὲν ἀντὶ τῆς στροβιλίνης ῥητίνης, ἄλλην τινὰ βάλλοντα. τοῦτο δ' αὐξάνοντα τὸν λιβανωτὸν, ἢ σὺν αὐτῷ βάλλοντά τι τῶν ξηρῶν σαρκωτικῶν, οἷον ἶριν, ἀριστολοχίαν, ὀρόβινον ἄλευρον, ὅσα τ' ἄλλα τοιαῦτα. καὶ μέντοι καὶ μαλακτικὸν τῶν ἐσκληρυσμένων χειλῶν τοῦ ἕλκους, ἔνεστι μιγνύντα, ποικίλλειν τὴν σύνθεσιν. ἐξ ἧς ἐννοίας, ἔνιοι μὲν ἀμμωνιακὸν θυμίαμα, καὶ χαλβάνην, ἔνιοι δὲ μυελὸν ἐλάφειον, ἢ μόσχειον, ἢ στέαρ ἔμιξαν, ὥσπερ γε πάλιν ἄλλοι τῶν ἀποκρουστικῶν τι, τὰς ἐπιρροὰς ἀναστεῖλαι βουλόμενοι. κατὰ τοῦτο γοῦν, οἱ μὲν τὴν σχιστὴν στυπτηρίαν, οἱ δὲ τὴν στρογγύλην, οἱ δὲ τὴν ὀμφακίνην ἐνέβαλον κηκίδα. τὸ λάδανον δὲ ἕτεροι τὰς δυνάμεις ἀμφοτέρας ἔχον ἔμιξαν, μαλακτικήν τε καὶ ἀποκρουστικὴν, ὅπως τὰ χείλη μαλάττοιτο, καὶ μηδὲν ἐκ τῶν ὑπερκειμένων ἐπιρρέοι. καὶ μὴν καὶ ὅσοι τὰ δυσαλθῆ θεραπεῦσαι ἠβουλήθησαν, ὡς πολύχρηστον εἶναι τὸ φάρμακον, ἔμιξαν τοῖς προειρημένοις χρυσοκόλλαν, ἢ διφρυγὲς, ἢ χαλκὸν κεκαυμένον, ἢ λεπίδα. τινὲς μὲν χαλκοῦ, τινὲς δὲ στομώματος, ἢ σιδήρου.

A sine morsu munere suo funguntur. Quin & inter humores ipsos in corpore generatos, tenues facilè citra morsum perspirant; crassiores retenti obstructiq; molestant, vbi mordaces fuerint. Eadem ratio est in metallicis medicamentis cōbustis, sed illa ex ignis commercio nonnihil mordax perseruant, quod per lauationes deponunt, ac lenia prorsus redduntur. Quibus autē simile quippiam vstioni ex tritura cum aceto in Sole facta ignis loco accidit, ea neque ex igne genitum calorem consequuntur; si tamen & quæ combusta sunt, ex aceto læuigentur, multo præstantiora fiunt. Igitur tum hæc multorum medicamentorum cōmunia, sunt B cognitu necessaria, tum vsus ipsorum similiter, alius quidem in aliis affectibus; in cauis verò vlceribus cum linamentis excepta exponuntur. Propositum itaque emplastrum si ex rosaceo liquefaciens eo vtaris, prodest sordidis & humidis vlceribus; aperistata verò idest aperta, mordicat, cuius rei causa miscendum ei est ceratum liquidum ex cera, & resina confectum, vel ex rosaceo, vel ex oleo liquefactum. Poteris interdum & myrteo vti, atque horū mixtionis methodum quandā intelligas oportet. Olei sanè nomen vnum est, qualitas & facultas diuersa. Nam omphacinum frigidius; C ex maturis oleis pressum calidius est, temporis autem processu calefaciendi vim auget. Sic etiam quod salem habet, quantū ex illo sumpserit, tanto calidius est, magisque siccat, quàm quod ipsius expers est. Quod surculos oleæ, quos thallos nominant, continet, valentius astringit. Indicat autem tibi id quod est vtilius, & vlceris forma, & corporis ægri natura; vlceris quidem sanandi, contrariis; corporis autē vlcerati, similibus. Quapropter medicamentum, quod linamento exceptum immittendum est, myrteo liquefacies, quum generata caro flaccidior, quàm par est, apparet, præsertim vlcére ad cicatricem perueniente propemodum. D Nam quum pauxillum quiddam phlegmones in ambientibus partibus relinquitur, optimū est medicamentum ex rosaceo liquare. Rosaceum verò præstantissimū esse nouisti, quod solis rosis pluribus in oleo citra salem præparato diutiùs maceratis confectū est. Si ergo hæc quispiam in memoria prōpta semper habeat, nec oblitus sit, vt præcepimus, omnium simplicium medicamentorum potentiæ, & varia ipse emplastra viridia cōponet, & singulis iam confectis optimè vtetur. Emplastrum igitur hactenus in sermone propositum, quod primū viridium scripsit Andromachus, multifariam E licet adaptare, partim pro strobilina resina aliquā aliam adiiciendo, partim thus augendo, vel cum eo siccum aliquod carne explens, velut irim, aristolochiam, erui farinam, atque huius generis alia admiscendo. Quin etiam, quod ora vlceris indurata emolliat, miscendo, compositionem variare licet. Vnde nonnulli guttam ammoniaci, & galbanum; nonnulli medullam ceruinam, aut vitulinam, aut seuum admiscuerunt: sicut rursus alij repellens aliquod, dum influxus conantur reprimere. Hac ratione igitur alij scissile alumen, alij rotundum, alij gallam immaturam adiecerunt; qui- F dam ladanum vtraque virtute prędit um, molliendi videlicet & repellendi, vt labra emolliantur, & nihil ex superioribus influat. Insuper qui vix sanabilia curare studuerunt, vt multiplicis vsus medicamentum esset, adiunxerunt enumeratis chrysocollam, vel diphryges, vel æs combustum, vel squamam, aliqui æris, aliqui chalybis, vel ferri.

Et propè omnia modò enarrata, viridium emplaſtrorum colorem ſeruant, alia verò iiſdem facultatibus prædita mixta corrumpunt. Quare nec ego omnium memini pro qualibet facultate, ſed illorum duntaxat, quæ emplaſtri compoſiti colorem tuebuntur: non enim de glutinantibus, vel iis quæ carni alendæ ſunt, emplaſtris ſimpliciter, verùm de eiſdē viridibus, dicere etiam ſtatuimus. Quamobrem hæc modò narrata, & atramentum ſutoriū & chalcitis cruda, ſi breui menſura admiſceantur, colorem medicamentorum in ſermone præcedentium reſeruant. Itaque de talium compoſitione abundè ſatis actum eſt. Vſum verò ipſorum quoniam Andromachus omiſit, à quo traditum eſſe conueniebat, nos apponemus, cōmunem vnū de talibus medicamentis vſurpandis ſermonem planè neceſſarium præfati; deinde vniuerſalē methodum interpretati, particulares, eorum cauſa, qui illam didicerunt, conuenit effingamus. At huiuſmodi opus ad dialecticos pertinet in omnibus particulares ipſis perſcribere, ſicut Heras, Crito, Aſclepiades, aliique complures factitarunt. Atqui etiam tertia diſciplinæ ſpecies eſt, quam nos tractamus, neque in omnibus particularibus medicamentis vſum ſcribentes, imò nec vniuerſim communi methodi diſciplinæ ſoli totum concedentes, ſed hanc quidem primam docentes, inde verò vnum, vel alterum, vel etiam tertium exemplum, claritatis, & exercitij diſcentium gratia accommodantes. Quemadmodum ſanè ea & nunc re ipſa oſtendimus, vt iam in prioribus quoq; fecimus. Nam quatenus medicamentum exiccet, detergatque cum ex ſimplicium facultate, quæ id conſtituunt, inuenerimus, inde ſimul affectionem, cui conueniet, adipiſcemur. Vbi enim humiditas multa, & copioſa ſordes eſt, ibi deſiccans euidenter, purganſque medicamentum applicare oportet; vbi verò apertum (aperiſtaton vocant) vlcus eſt, carnis indigum, moderatiſſimum inter exiccantia, detergentiaque competit. Verùm minoris maioriſque in eo rationem ab ægri natura ſumere conducit. Siquidem durioribus, vel ex temperamento naturali, vel ætate, vel loco, vel ſtudiis, corporibus magis exiccantia exhibenda ſunt, humidioribus minus. Quapropter primus cuiuſque medicamenti linteolis excepti (emmoton appellatur) vſus ex prædictis nuper ſcopis coniecturali artificio ſumitur: Secundus vt etiam antea monuimus, ex ſignis in corpore curando apparentibus. Si namque cauum vlcus citra phlegmonen, & purum inueniatur, nihil nouum tentare oportet; ſi humidius, vel ſordidius, intendere deſiccans, detergenſque medicamentum ratio poſtulat; ſi cauum magis, quàm priùs exiſtit, ſoluere; intenditur itaque mellis mixtione, mitigatur ex oleo & cerato, vel oleoſo quopiam, cuiuſmodi eſt roſaceum, myrteum, & cyprinum, ſimpliciter præparata ſine ſpiſſamentis, quæ addunt odoris gratia, vel vt confecta diutius ab iniuriis immunia permaneant. Iam verò ſi contentioſus quiſpiam nos increpet, tanquam præter id quod ab initio inſtituimus, ad medicamentorum vſus orationem deducamus, polliciti nos de eorum compoſitione verba facturos, ille conſiderato, quòd in vſu etiam confectura quædam fit, ſilentium ſibi imponat. Prima enim medicamentorum, quæ cerato miſcentur, in eo confectio eſt; altera roſaceo, vel myrteo, vel cyprino, vel lentiſcino oleo, vel melle appoſito conſtat. Atq; de his ſatis.

A καὶ σχεδὸν ἅπαντα τὰ νῦν εἰρημένα φυλάττει τὴν χρόαν τῶν χλωρῶν ἐμπλάστρων, ἕτερα δὲ τῶν αὐτῶν ὄντα δυνάμεων εἰ μιχθείη, διαφθείρει. διό περ οὐδὲ ἐγὼ πάντων ἐμνημόνευσα τὴν καθ' ἑκάστην δύναμιν, ἀλλὰ μόνων ἐκείνων, ὅσα τὴν χρόαν φυλάξει τῆς συντιθεμένης ἐμπλάστρου. προῄρητο γὰρ οὐχ ἁπλῶς εἰπεῖν περὶ ἐμπλάστρων κολλητικῶν, ἢ σαρκωτικῶν, ἀλλὰ μετὰ τοῦ χλωρὰς ὑπάρχειν αὐτάς, ὥστε καὶ ταῦτα τὰ νῦν εἰρημένα, καὶ χάλκανθος, καὶ ὠμὴ χαλκῖτις βραχεῖ μέτρῳ μιγνύμενα, φυλάττει τὴν χρόαν τῶν προκειμένων ἐν τῷ λόγῳ φαρμάκων. περὶ μὲν οὖν τῆς συνθέσεως τῶν τοιούτων, αὐτάρκως εἴρηται, περὶ δὲ τῆς χρήσεως αὐτῶν, προσγεγράφθαι μὲν
B ἐχρῆν ὑπ' Ἀνδρομάχου καὶ ταύτην. ἐπεὶ δὲ ἐκείνῳ παραλέλειπται, προσθήσομεν ἡμεῖς αὐτήν, εἰπόντες γε πρότερον ἕνα λόγον κοινὸν ἐπὶ τῇ χρήσει τῶν τοιούτων φαρμάκων. ἀναγκαῖος δὲ ὁ λόγος οὗτός ἐστιν· εἶτα τὴν καθόλου μέθοδον εἰπόντας, τὰ κατὰ μέρος ἐπὶ τοῖς ἐκείνην μαθοῦσι ποιεῖσθαι προσήκει. διαλεκτικῶν δὲ ἀνδρῶν ἐστιν ἔργον τὸ τοιοῦτον, τὰ κατὰ μέρος ἐπὶ πασῶν γράφειν αὐτοῖς, ὡς ὁ Ἡρᾶς καὶ Κρίτων, καὶ ὁ Ἀσκληπιάδης, καὶ ἕτεροι δὲ πολλοί. καὶ μὴν καὶ τρίτον εἶδός ἐστι διδασκαλίας, ὅπερ ἡμεῖς ποιοῦμεν, μήτε ἐπὶ πάντων τῶν κατὰ
C μέρος φαρμάκων τὴν χρῆσιν γράφοντες, ἀλλὰ μηδὲ τῇ καθόλου κοινῇ τῆς μεθόδου διδασκαλίᾳ μόνῃ τὸ πᾶν ἐπιτρέποντες, ἀλλὰ διδάσκοντες μὲν ταύτην πρώτην, ἐπ' αὐτῇ δὲ ἓν, ἢ δεύτερον, ἢ καὶ τρίτον παράδειγμα γράφοντες, ἕνεκα σαφηνείας τε καὶ γυμνασίας τῶν μανθανόντων. ὥσπερ ἀμέλει καὶ νῦν ἔργῳ δείκνυμεν αὐτά, ὡς ἤδη καὶ διὰ τῶν ἔμπροσθεν αὐτὰ πράξαντες. εἰς ὅσον γὰρ ἥκει τοῦ ξηραίνειν τε καὶ ῥύπτειν τὸ φάρμακον εὑρόντες, ἐκ τῆς τῶν συνθέντων αὐτὸ δυνάμεως, ἐκ ταύτης εὑρήσομεν καὶ τὴν διάθεσιν ἐφ' ἧς ἔσται χρήσιμον. ἔνθα μὲν γὰρ ὑγρότης τε πολλή, καὶ ῥύπος δαψιλής, ἐν-
D ταῦθα χρὴ προσφέρειν ἀξιολόγως ξηραῖνόν τε καὶ ῥύπτον φάρμακον. ἔνθα δὲ τὸ καλούμενον ἀπερίστατον ἕλκος ἐστὶ σαρκώσεως δεόμενον, ἐνταῦθα τὸ μετριώτατον τῶν ξηραινόντων τε καὶ ῥυπτόντων. τὸ δ' ἧττόν τε καὶ μᾶλλον ἐν αὐτῷ, παρὰ τῆς τοῦ θεραπευομένου φύσεως εὑρίσκειν προσήκει. τοῖς μὲν γὰρ σκληροτέροις σώμασιν, ἢ διὰ φυσικὴν κρᾶσιν, ἢ διὰ ἡλικίαν, ἢ διὰ χώραν, ἢ ἐπιτηδεύματα, μᾶλλον ξηραίνοντα προσφέρειν χρή, τοῖς δ' ὑγροτέροις, τὰ ἧττον. ἡ μὲν οὖν πρώτη χρῆσις ἑκάστου τῶν ἐμμότων ὀνομαζομένων φαρμάκων, ἐκ τῶν εἰρημένων ἄρτι σκοπῶν λαμβάνεται στοχαστικῶς. ἡ δευτέρα δέ, ὡς καὶ πρόσθεν
E ἔφην, ἐκ τῶν κατὰ τὸ θεραπευόμενον σῶμα φαινομένων σημείων. εἰ μὲν γὰρ ἀφλέγμαντόν τε καὶ καθαρὸν εὑρίσκοιτο τὸ κοῖλον ἕλκος, οὐδὲν χρὴ νεωτερίζειν. εἰ δ' ὑγρότερον, ἢ ῥυπαρώτερον, ἐπιτείνειν χρὴ τὸ ξηραντικὸν καὶ ῥυπτικὸν φάρμακον. εἰ δὲ κοιλότερον, ἢ πρόσθεν, ἐκλύειν. ἐπιτείνεται μὲν οὖν μέλιτος μίξει, πραΰνεται δὲ ἐλαίου καὶ κηρωτῆς, ἤ τινος τῶν ἐλαιωδῶν, ὁποῖόν ἐστι, τό τε ῥόδινον, καὶ τὸ μύρσινον, καὶ τὸ κύπρινον ἁπλῶς ἐσκευασμένα, χωρὶς τῶν στυμμάτων ἅπερ προστιθέασιν, ἤτοι γε εὐωδίας ἕνεκεν, ἢ τοῦ μέχρι πλείονος χρόνου διαμένειν ἀπαθῆ τὰ σκευασθέντα. εἰ δέ τις ἡμῖν τῶν φιλεγκλημόνων ἐγκαλέσειεν, ὡς παρὰ τὸ προ-
F κείμενον ἐξ ἀρχῆς, ἐπὶ τὰς χρήσεις τῶν φαρμάκων ἄγουσι τὸν λόγον, ὑπεσχημένοις περὶ συνθέσεως αὐτῶν ἐρεῖν, ἐννοήσας ὅτι καὶ κατὰ τὴν χρῆσιν γίνεταί τις σύνθεσις, ἡσυχασάτω. πρώτη μὲν γὰρ ἐν αὐτῇ σύνθεσίς ἐστιν ἡ τῶν μιγνυμένων τῇ κηρωτῇ φαρμάκων. δευτέρα δ' ἐν τῷ ῥόδινον, ἢ μύρσινον, ἢ κύπρινον, ἢ σχίνινον ἔλαιον, ἢ μέλι προστιθέναι. καὶ περὶ μὲν τούτων ἅλις.

A ἐπὶ δὲ τὴν γραφὴν τῶν ἤδη πεῖραν ἱκανὴν δεδωκότων ἐμπλάστρων ἀφίξομαι. ταῦτα μὲν οὖν ἔγραψεν ὁ Ἀνδρόμαχος ἀξιόλογα φάρμακα τοῖς ἐπισταμένοις χρῆσθαι. τοιούτων δ᾽ ὄντων αὐτῶν, ἐκλέγεσθαι χρὴ, τά τ᾽ ἐξ ἐλαττόνων, ἢ εὐποριστοτέρων τῶν ἁπλῶν συγκείμενα, καὶ τὰ πολυχρηστότερα, καὶ τὰ τοῦ προκειμένου σκοποῦ μάλιστ᾽ ἐχόμενα. γένοιτο δ᾽ ἂν ὃ λέγω σαφέστερον ἐπὶ παραδείγματος. ἔστω δὴ τὸ παράδειγμα, κοῖλον ἕλκος ἀπερίστατον ἐν ὑγιεινῷ σώματι. τὸ δὲ τοιοῦτον ἕλκος ὑπὸ τῆς καλουμένης λιτῆς χλωρᾶς ἐμπλάστρου θεραπευθήσεται, τακείσης ἅμα ῥοδίνῳ. λιτὴν δὲ καλοῦσι τὴν ἐξ ἰοῦ καὶ κηροῦ, καὶ ῥητίνης. B ἐγὼ δὲ, ὡς ἔφην, ἑκατέρου μίγνυμι τὸ ἴσον, ἰοῦ δὲ τὸ δέκατον, ἢ ιβ΄. ἢ ὄγδοον. ἔστι δὲ δηλονότι δωδέκατον μὲν, εἰ λίτραν κηροῦ καὶ λίτραν ῥητίνης, ἰοῦ δὲ μίξαιμεν οὐγγίας δύο. τὸ δέκατον δὲ, εἰ ταῖς δύο οὐγγίαις τοῦ ἰοῦ μίξαιμεν εἴκοσι συναμφοτέρου, τῆς τε ῥητίνης καὶ τοῦ κηροῦ, τουτέστιν εἰ ἑκατέρου δέκα. καὶ μέντοι κἂν εἰ τὸ ὄγδοον μέρος ἰοῦ μίξωμεν τῇ διὰ τοῦ κηροῦ καὶ τῆς ῥητίνης κηρωτῇ, καὶ οὕτως εὖ ἕξει. δριμύτερον μὲν γὰρ ἔσται καὶ ῥυπτικώτερον τὸ τοιοῦτο φάρμακον, οὐ μὴν ἄχρηστόν γε. τοῖς γὰρ σκληροῖς σώμασιν, ἐπιτηδείως προσαχθήσεται. καλλίων δὲ σύνθεσις ἔσται, τὸ μὲν ὄγδοον μέρος ἰοῦ μιξάντων, τῇ διὰ τοῦ κηροῦ, καὶ τῆς ῥητίνης συνθέσει, C προλειωσάντων δὲ πλείοσιν ἡμέραις τὸν ἰὸν μετ᾽ ὄξους δριμυτάτου. κάλλιον δ᾽ ἂν εἴη, εἰ καὶ λιβανωτοῦ μίξαιμεν ἥμισυ μέρος, ἢ κατὰ τὸν ἰόν. ἐλαίου δὲ μίξεις, ὅταν μὲν χωρὶς ὄξους τε καὶ λιβανωτοῦ σκευάζῃς τὸ φάρμακον, ἰσαρίθμους κυάθους ταῖς οὐγγίαις τοῦ ἰοῦ. ὅταν δὲ λιβανωτὸν καὶ ὄξος μιγνύῃς, ἐὰν μὲν ἡ φρυκτὴ λιπαρωτέρα πως ᾖ καὶ μαλακωτέρα, καὶ θέρους σκευάζῃς, οὐδὲν μίξεις. ὅταν δὲ σκληρὰ, καὶ χειμῶνος, ἕνα κύαθον. ἔνεστι δέ σοι τῷ κηρῷ τῶν ὑγρῶν τινα μιγνύοντι ῥητινῶν, μηδ᾽ ὅλως ἐλαίου δεηθῆναι. μίξεις δὲ τῆς μὲν ὑγροτάτης, τὸ τρίτον τοῦ κατὰ τὸν κηρὸν σταθμοῦ, τῆς δ᾽ ἧττον ὑγρᾶς, τὸ ἥμισυ. γενήσεται δὲ δηλονότι D τοιαύτη τις σύνθεσις. τὸν κηρὸν καὶ τὴν ῥητίνην τήξας καὶ ψύξας, μίξον ἰοῦ μέρει, ποτὲ μὲν ὀγδόῳ, ποτὲ δὲ δεκάτῳ, ποτὲ δὲ δωδεκάτῳ, γιγνώσκων ἐπὶ μὲν τῶν σκληρῶν σωμάτων, τὴν πρώτην συμμετρίαν ἁρμόττειν, ἐπὶ δὲ τῶν μαλακῶν, τὴν τρίτην, ἐπὶ δὲ τῶν μέσων τὴν μέσην, λειώσεις δὲ σὺν ὄξει τὸν ἰόν. εἰ δὲ πρᾳότερον βουληθείης ἐργάσασθαι τὸ φάρμακον, ἐμβάλλῃς τοῦ λιβανωτοῦ σταθμὸν ἥμισυν, οὗ κατὰ τὸν ἰὸν ἐποιήσω. εἰ δέ τις τοῦδε πρᾳότερον, ἴσον τοῦ λιβανωτοῦ μίξεις τὸν ἰόν. καὶ χωρὶς δὲ τοῦ ξύσαι ψύξαντες τὴν ῥητίνην μετὰ τοῦ κηροῦ, καταχέομεν αὐτὰ τήξαντες ἐπὶ τὸν ἰόν τε καὶ τὸν λιβανωτὸν, ἐν θυίᾳ μετ᾽ ὄξους E λελειωμένα. αὗται μὲν οὖν αἱ πρῶται συνθέσεις ἐμπλάστρου χλωρᾶς, κολλητικῆς μὲν ἐναίμων τραυμάτων, ὅσα μὴ μεγάλα, καὶ μέχρι συνουλώσεως δὲ τἄλλα δυναμένης ἰᾶσθαι, καὶ σαρκούσης, εἰ τακείη μετά τινος ἐλαιώδους ὑγροῦ. λέγω δὲ ἐλαιώδη, τό τε ῥόδινον, ᾧ μάλιστα χρῆσθαι προσήκει καθ᾽ ὃν εἴρηκα τρόπον ἐσκευασμένῳ, καὶ μετὰ τοῦτο τῷ μυρσίνῳ, καὶ τῷ κυπρίνῳ, καὶ τῷ σχινίνῳ, αὐτὸ δὲ τὸ ἔλαιον, ἐφ᾽ ὧν μὲν βούλει θερμότητός τι προσθεῖναι τῷ τηκομένῳ φαρμάκῳ, τὸ κοινὸν τοῦτο μίξεις. ἐφ᾽ ὧν δὲ ψύξεως, τὸ καλούμενον ὠμοτριβές, ἐφ᾽ ὧν δὲ στύψεως μύρσινον. ἐφ᾽ ὧν δὲ μικτῆς δυνάμεως, ἐχούσης μέν τι καὶ πεπτικὸν, ἐχούσης δὲ καὶ ἀποκρουστικὸν, τὸ ῥόδινον. F ἐφ᾽ ὧν δὲ βραχείας στύψεως, μετὰ πλείονος θερμότητος, κύπρινόν τε καὶ σχίνινον. πολλαὶ δὲ καὶ ἄλλαι συνθέσεις, ὡς ἔφην, ἔσονται τοῖς εἰρημένοις ἄρτι φαρμάκοις ἁπλοῖς, μιγνυμένων ἤτοι τῶν σαρκωτικῶν, ἢ μαλακτικῶν, ἢ τῶν στυπτικῶν, ἢ τῶν τὰ δυσίατα τῶν ἑλκῶν ἰωμένων.

Verùm ad emplastra, quæ iam per experientiam abundè probata sunt, transeamus. Hęc igitur Andromachus memoratu digna medicamenta vsurpare ipsa scientibus præscripsit. Vnde quum talia sint, ea deligēda quæ ex paucioribus, paratúve facillimis simplicibus cōponuntur: tum quæ ad plura valēt, & proposito maximè scopo seruiunt. Res fiet exēplo ita dilucidior. Finge cauum vlcus apertum in sano corpore; tale verò ab emplastro viridi, quod lite vocatur, liquefacto ex rosaceo curabitur; appellant autem litē quod ex ærugine, cera, & resina cōficitur. Ego sanè, vt ostēdi, æquā vtriusq; portionē misceo, æruginis decimam, vel duodecimam, vel octauā. Est videlicet duodecima, si ceræ pondo, & resinæ tantundē, æruginis ℥.ij. miscuerimus; decima, si duabus æruginis vnciis, viginti ambarum, resinæ & ceræ, hoc est vtriusq; decem adiiciantur; quin etiam si octauam æruginis partem cerato ex cera & resina cōfecto apponamus, etiam sic bene habebit; nam acrius quidē magisque detergens huiusmodi medicamentū erit, non tamen inutile, duris enim corporibus percōmodè adhibebitur. Melior euadet compositio, vbi octauam portionem æruginis confecturæ ex cera resinaque immiscuerimus, ærugine ex aceto quàm acerrimo diebus plusculis ante in læuorem redacta. Prętantior erit, si etiam thuris partem dimidio *minorem*, quàm *fuit* in ærugine, indiderimus. Olei pares numero cyathos æruginis vnciis adiunges, cùm sine aceto, & thure medicamentū conficis. Quādo autem thus, acetumq; adiicis, si quidem fricta resina pinguior quodammodo molliorque sit, ac æstate medicamentum præparas, miscebis nihil; si verò dura, idq; per hyemem conficis, cyathum j. infundes. Quòd si liquidarum quampiam resinarū ceræ misceas, oleo prorsus carere licet. Liquidissimæ quidem tertiam ceræ portionem addes, minus liquidæ dimidiam. Fiet autem videlicet huiusmodi quædam cōpositio. Ceram resinamque liquatam, vbi refrigeraueris, æruginis parti nunc octauæ, nunc decimæ, alias duodecimæ commisceto; cognoscens duris corporibus primam symmetriam cōuenire, mollibus tertiam, mediis mediam. Æruginem ex aceto læuigabis; si lenius medicamentum voles efficere, thuris pondus dimidium eius, quod ærugo continet, adiungens; sin hoc mitius, thus & æruginem æquali modo committes. Atqui & resinam cum cera, vbi sine rasura refrigerauerimus, liquefactas, æruginí thurique in pila ex aceto tritis superfundimus. Hæ igitur primæ compositiones sunt viridis emplastri, quod cruenta quidē vulnera non adeò magna glutinat, & reliqua ad vsque cicatricem sanare potest, & carnem in eis producere, ex humido quodam oleoso liquatum. Voco autem oleosa, rosaceum, quo maximè ad illum, quem retuli, modum confecto vtendum est; & post hoc myrteo, cyprino, & lentiscino. Sed ipsum oleum, vbi medicamento liquescenti caloris quippiam adiicere cordi est, commune hoc miscebis; in quibus refrigerare studes, id quod omotribes appellatur; vbi astringere, myrteum; vbi mixtæ facultatis aliquid, concoquens puta, & repellens, rosaceum; in quibus modicam astringendi vim cum maiore caliditate desideras, cyprinum & lentiscinum. Porrò & pleræque aliæ, quemadmodum dixi compositiones erunt, dum medicamentis simplicibus modò commemoratis, vel carne explētia, vel emollientia, vel astringentia, vel quæ difficilia vlcera curant, cōmiscentur.

Nonnulli-

A Nonnulli verò digerentia miſcuerunt, ſicut etiam cicatricem ducentia. Aliis autem quibuſdam omnia commiſcentibus, vel confecturam inutilem, vel medicamentum variis accommodum, præparare contigit. Quorum materias cognoſcentes, tum iam inuentis vti, tum ſimilia componere, ipſi poteritis. Aſcribam tamen & ego nonnulla celebria, ab iis denuò, quæ Andromachus tradidit auſpicatus. Sunt itaque ordine à præcedenti triginta; quæ verò ab ipſo commendantur, duntaxat adiiciam. Quartum ergo poſt primum, ita ſcriptum eſt. *Viride, quo vtor.* ℞. æruginis raſæ ʒ. ix. chryſocollæ ʒ. ix. terebinthinæ ℥. xvj. minam j. B ceræ minæ dimidium, aceti parum. Quid ſingula emplaſtra polliceantur, non (vt prius dixi) præpoſuit Andromachus, ſed ex ſimplicium medicamentorum materia, ex quibus propoſitum componit, nulli obſcurum eſt, vel ipſum per ſe, priuſquam liquefiat, vlceribus mederi poſſe, ac liquatum linamento exceptum immitti. Minam verò ſedecim vnciarum iniicit; nam quæ viginti continet, ceu ad chryſocollæ, & æruginis æquam menſuram, magna eſt. Poſt hoc verò aliis tribus ſeriatim productis, rurſus aliud ſic ad verbum ſubiungit. *Aliud, quo vtor.* ℞. æruginis raſæ lib. j. mannæ ℥. x. ego lib. j. iniicio; ceræ lib. v. reſinæ fri- C ctæ lib. v. reſinæ liquidæ lib. v. olei cyathum j. aceti quantum ſatis eſt; ego etiam guttæ ammoniaci vncias decem pono. Poſt hæc Andromachus ceſſat. Liquet autem, ſi prædictorum meminimus, etiam hoc ipſum emplaſtrum, perſimilem ſuperiori facultatem obtinere. Deinde aliud ſcribens Andromachus, ſic exorſus eſt. *Aliud Molochinum.* Ac poſtea ſimplicium medicamentorum ſymmetriam, vnde ipſum conficit, his verbis ſubſcribit. ℞. æruginis raſæ lib. j. picis lib. ij. mannæ lib. j. ceræ lib. ij. reſinæ lib. ij. olei lib. j. aceti quantum ſufficiat. Hoc itaque ſuperioribus ſimile eſt. D Manifeſtum verò eſt vtriuſque, & æruginis, & mannæ parem portionem, ex aceto læuigandam eſſe; duplam horum, ceræ, picis, & reſinæ, hoc eſt cuiuſque lib. ij. cum olei libra liquanda; & ſic in læuorem ex aceto redactis admiſcere oportet, vti frequenter nobis dictum eſt, refrigerantes magis & radentes, quàm infundentes, ne aëre iam frigido encerides appellatas fieri contingat. Aliud ab hoc celebre emplaſtrum ſubnectit. *Viride Hecatondrachmon.* ℞. Guttæ ammoniaci ʒ. viij. ſquamæ drach. xij. mannæ drach. viij. reſinæ ſiccæ drach. xij. æruginis drach. octo, ſeui vitulini ʒ. xiv. reſinæ terebinthinæ drach. octo, ceræ drach. xxx. olei quartam cyathi partem, aceti quantum ſatis eſt. Hoc & magna vulnera glutinare poteſt, & ſordida vlcera purgare; vbi ceratum inter liqueſcendum aſſumpſerit, carni producendæ eſt; prius quàm verò liquefactum ſit, craſſas vlcerum oras ſanare, & ſinus iungere, in totum digerere & repellere poteſt, nam ex contrariis facultatibus mixtum eſt. Quod ſuccedit viride nunc commemorato ſimilis & potentiæ, & vſus, huiuſmodi ſymmetriam obtinet. ℞. terebinthinæ F minam vnam, ſerapiadis herbæ drach. vigintiquinque, æruginis raſæ drach. decem, ſeui vitulini drach. vigintiquinque, ceræ drach. vigintiquinque, thuris drachmas duodecim, cyprinum aridis adiicitur. Ac emplaſtrum, quod ab aliis Iſis nuncupatur, ipſe citra hanc appellationem in hunc modum conſcripſit. *Viride Epigoni.* Quum autem omnes eius meminerint,

A ἔνιοι δὲ καὶ τῶν διαφορητικῶν ἔμιξαν, ὥσπερ γε καὶ τῶν ἐπουλωτικῶν. ἕτεροι δέ τινες πάντα μίξαντες, ἤτοι κακόχυμον, ἄχρηστον ἐποίησαν, ἢ πολύχρηστον εὐτύχησαν ἐργάσασθαι φάρμακον, ὧν τὰς ὕλας ἐπιστάμενοι, χρῆσθαι ταῖς εὑρημέναις ἤδη, καὶ συντιθέναι παραπλησίως αὐτοὶ δυνήσεσθε. παραγράψω δὲ κἀγὼ τῶν ἐνδόξων ἐνίας, ἀρξάμενος αὖθις ἀφ᾽ ὧν ὁ Ανδρόμαχος ἔγραψεν. Εἰσὶ μὲν οὖν ἐφεξῆς τῇ προγεγραμμένῃ, τριάκοντά που. τὰς δ᾽ ἐπαινουμένας ὑπ᾽ αὐτοῦ μόνας παραθήσομαι. τετάρτη μὲν οὖν ἀπὸ τῆς πρώτης οὑτωσὶ γέγραπται. χλωρὰ ᾗ χρῶμαι. ℞. ἰοῦ ξυστοῦ < θ΄. χρυσο- B κόλλης < θ΄. τερμινθίνης οὐγγιῶν ιϛ΄. μνᾶν μίαν, κηροῦ μνᾶς ἥμισυ, ὄξους ὀλίγον. ὥσπερ δὲ καὶ πρόσθεν εἶπον, οὐ προσέγραψεν ἑκάστῃ τῶν ἐμπλάστρων ὁ Ανδρόμαχος τὴν ἐπαγγελίαν, ἀλλ᾽ ἐκ τῆς ὕλης τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν συντίθησι τὴν προκειμένην, οὐκ ἄδηλόν ἐστι, καὶ αὐτὴν κατ᾽ ἑαυτὴν πρὶν τακῆναι, δύνασθαι θεραπεύειν ἕλκη, καὶ τακεῖσαν ἔμμοτον γίγνεσθαι. τὴν μνᾶν δὲ οὐγγιῶν δεκαὲξ ἐμβάλλειν. ἡ γὰρ τῶν εἴκοσι, ὡς πρὸς τὴν τῆς χρυσοκόλλης καὶ τοῦ ἰοῦ ἰσομετρίαν, μεγάλη. Μετὰ δὲ ταύτην ἄλλας ἐφεξῆς γράψας τρεῖς, αὖθις ἑτέραν γράφει κατὰ λέξιν οὕτως. ἄλλη ᾗ χρῶμαι. C ℞. ἰοῦ ξυστοῦ λίτραν μίαν, μάννης οὐγγίας ι΄. ἐγὼ λίτραν α΄. κηροῦ λίτρας ε΄. ῥητίνης φρυκτῆς λίτρας ε΄. ῥητίνης ὑγρᾶς λίτρας ε΄. ἐλαίου κύαθον α΄. ὄξους τὸ ἱκανόν. ἐγὼ δὲ καὶ ἀμμωνιακοῦ θυμιάματος οὐγγίας ι΄. ἐπὶ τούτοις μὲν ὁ Ανδρόμαχος ἐπαύσατο, πρόδηλον δέ ἐστιν εἴ τι μεμνήμεθα τῶν προειρημένων, καὶ ταύτην αὐτὴν τὴν ἔμπλαστρον παραπλησίαν ἔχειν δύναμιν τῇ προγεγραμμένῃ. Εφεξῆς τῇ προγεγραμμένῃ γράφων ὁ Ανδρόμαχος ἑτέραν, οὕτως ἤρξατο. ἄλλη μολοχίνη. καὶ μετὰ τοῦτο τὴν συμμετρίαν τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν αὐτὴν συντίθησιν ὑπέγραψεν οὕτως. ℞. ἰοῦ ξυστοῦ λίτραν α΄. D πίσσης λίτρας β΄. μάννης λίτραν α΄. κηροῦ λίτρας β΄. ῥητίνης λίτρας β΄. ἐλαίου λίτραν α΄. ὄξους τὸ ἱκανόν. ἔστι μὲν οὖν αὕτη παραπλησία ταῖς ἔμπροσθεν. εὔδηλον δ᾽ ὅτι τὸν μὲν ἰὸν, καὶ τὴν μάνναν ἀνὰ λίτραν α΄. ἑκάτερα μετὰ τοῦ ὄξους λειοῦσθαι χρὴ, διπλάσιον δὲ τούτων ἑκατέρου τοῦ κηροῦ, καὶ τῆς πίσσης, καὶ τῆς ῥητίνης, τουτέστιν ἑκάστου λίτρας β΄. μετὰ τῆς τοῦ ἐλαίου λίτρας τήκεσθαι, καὶ οὕτως μίγνυσθαι τοῖς λελειωμένοις μετὰ τοῦ ὄξους, ὡς πολλάκις ἡμῖν εἴρηται, ψύξαντας μᾶλλον καὶ ξύοντας, ἤπερ ἐπικαταχέοντας, ἵνα μήπου τοῦ περιέχοντος ὄντος ψυχροῦ, συμβῇ τὰς καλουμένας ἐγκηρίδας συστῆναι. Αλλην ἐφεξῆς τήνδε δόκιμον ἔμπλαστρον ἔγραψεν οὕτως. χλωρὰ ἑκατοντάδραχμος. ℞. ἀμμωνιακοῦ θυμιάματος < η΄. λεπίδος < ιβ΄. μάννης < η΄. ῥητίνης ξηρᾶς < ιβ΄. ἰοῦ < η΄. στέατος μοσχείου < ιδ΄. ῥητίνης τερμινθίνης < η΄. κηροῦ < λ΄. ἐλαίου κυάθου τέταρτον, ὄξους τὸ ἱκανόν. αὕτη καὶ κολλᾷν τραύματα δύναται μεγάλα, καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν καθαίρειν, προσλαβοῦσα δὲ κηρωτὴν ἐν τῷ τήκεσθαι, σαρκοῖ. πρὶν δὲ τακῆναι καὶ τὰ παχέα χείλη τῶν ἑλκῶν ἰᾶσθαι, καὶ προστέλλειν κόλπους, καὶ ὅλως διαφορεῖν καὶ ἀποκρούεσθαι δύναται. μικτὴ γὰρ ἐκ τῶν ἐναντίων δυνάμεών ἐστι. Καὶ ἡ ἐφεξῆς δὲ αὐτῇ γεγραμμένη χλωρὰ, F παραπλησίας ἐστὶ δυνάμεως καὶ χρήσεως, ἔχουσα συμμετρίαν τήνδε. ℞. τερμινθίνης μνᾶν α΄. σεραπιάδος βοτάνης < κε΄. ἰοῦ ξυστοῦ < ι΄. στέατος μοσχείου < κε΄. κηροῦ < κε΄. λιβανωτοῦ < ιβ΄. κύπρινον εἰς τὰ ξηρά. καὶ τὴν ὑπὸ τῶν ἄλλων λεγομένην Ισιν, αὐτὸς ἄνευ ταύτης τῆς προσηγορίας, ἔγραψεν οὕτως. χλωρὰ Επιγόνου. πάντων δ᾽ αὐτῆς μνημονευόντων,

οὐδὲν ἧττον καὶ νῦν γράψω τὴν κατὰ τοῦτο συμμετρίαν τῶν A ἁπλῶν φαρμάκων, ἐπειδή τινες ἐν αὐτοῖς διαφέρονται. κελεύει γὰρ βάλλειν χαλκοῦ μὲν κεκαυμένου, καὶ ἁλὸς ἀμμωνιακοῦ, καὶ λεπίδος χαλκοῦ, καὶ ἰοῦ, καὶ ἀμμωνιακοῦ θυμιάματος, καὶ ἀριστολοχίας, καὶ λιβανωτοῦ τὸ ἴσον ἑκάστου < η'. τουτέστιν ℥ α'. ἀλόης δὲ καὶ σμύρνης καὶ χαλβάνης, ἡμιόλιον τούτων ἑκάστου, τουτέστιν ℥ α' S''. ὅπερ ταὐτόν ἐστι τῷ φάναι ℥ ιβ'. καὶ ἡμίσειαν, στυπτηρίας τῆς στρογγύλης < ϛ'. μίγνυσι καὶ τῆς κολοφωνίας ῥητίνης < σ'. καὶ κηροῦ τὸ ἥμισυ, τουτέστι ρ'. ἐλαίου δὲ κοτύλης τὸ ἥμισυ. τινὰς δέ φησι τέταρτον μιγνύειν, καὶ ὄξους τὸ ἱκανόν, καὶ δρακοντίου ῥίζης τὸ ἥμισυ τῆς οὐγγίας, ὅπερ ἐστὶ B < δ'. ἐπὶ τέλει δὲ τοῦτο προσέγραψεν, οὐ φερόμενον ἐπὶ τῆς Ἴσιδος γραφῆς. ὁ γὰρ Ἐπίγονος αὐτὸ προσέθηκε, καὶ ταύτῃ διήνεγκεν ἡ Ἶσις τοῦ Ἐπιγόνου. Ἐφεξῆς δὲ ταῖς προγεγραμμέναις ὁ Ἀνδρόμαχος ἔγραψε χλωρὰν Πασίωνος, ἐν τῇδε τῇ συμμετρίᾳ. ℞. ῥητίνης κολοφωνίας < τ'. κηροῦ < ρν'. ἰοῦ < η'. στυπτηρίας στρογγύλης < η'. λεπίδος χαλκοῦ < ιβ'. λιβανωτοῦ < ιϛ'. χαλκοῦ κεκαυμένου < η'. ἁλὸς ἀμμωνιακοῦ < η'. ἐλαίου κυάθου τὸ ἥμισυ, ὄξους τὸ ἱκανόν. τοῦτο τὸ φάρμακον διὰ τὸ προειληφέναι τοὺς ἀμμωνιακοὺς ἅλας, ἑλκτικώτερον καὶ διαφορητικώτερον, καὶ ῥυπτικώτερον τῶν ἔμπροσθεν ἐγένετο. C τὰ δ' ἄλλα πάντα παραπλήσιον. Ἰσχυροτέραν τῆς προγεγραμμένης, καὶ πολυχρηστοτέραν ἔγραψε μετὰ μέσην μίαν ὁ Ἀνδρόμαχος, ἣν ὀνομάζει χλωρὰν Ἀλκιμίωνος, ἐν τῇδε τῇ συμμετρίᾳ. ℞. τερμινθίνης < σ'. κηροῦ < ρν'. λεπίδος χαλκοῦ < ιη'. ἰοῦ ξυστοῦ < ιϛ'. στυπτηρίας στρογγύλης < ιϛ'. χαλβάνης ιϛ'. λιβάνου ι'. ἁλὸς ἀμμωνιακοῦ < ιβ'. χαλκοῦ κεκαυμένου < ιϛ'. ἀριστολοχίας < ι'. ἀλόης Ἰνδικῆς < ιβ'. σμύρνης < ιϛ'. ἀμμωνιακοῦ θυμιάματος < ιη'. χαλβάνης < ιβ'. οἱ δὲ η'. ἐλαίου κοτύλης ἥμισυ, ὄξους κοτύλης ἥμισυ. Ἄλλην ἐφεξῆς τῇδε γράφει καλουμένην Ἀθηνᾶν, ὡς αὐτὸς D ἐπὶ τῇ τελευτῇ προσέγραψεν. ἔχει δ' αὐτῆς ἡ συμμετρία τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν σύγκειται κατὰ τόδε. ℞. κηροῦ < σν'. τερμινθίνης < σ'. φρυκτῆς < ρ'. στέατος μοσχείου < ν'. χαλβάνης < κδ'. μάννης < κδ'. ἁλὸς ἀμμωνιακοῦ < ιβ'. χαλκοῦ κεκαυμένου < ιβ'. ἀλόης < ιβ'. λεπίδος χαλκοῦ < κδ'. στυπτηρίας στρογγύλης < ιβ'. καὶ σχιστῆς < η'. χαλκάνθης < η'. μίσυος < η'. ὀποπάνακος < η'. ἰοῦ ξυστοῦ < ϛ'. ἀμμωνιακοῦ θυμιάματος < ϛ'. μίλτου Σινωπίδος < γ'. ὄξους κοτύλας γ'. ἐλαίου κοτύλας β'. τὴν μίλτον ἐν ἀρχῇ βάλλε. Ἀθηνᾶ καλεῖται. πολύχρηστον, ὡς ἔφην, καὶ E τοῦτο τὸ φάρμακον, ὅπως δὲ δεῖ χρῆσθαι τοῖς πολυχρήστοις, ἐν τῷ περὶ αὐτῶν λόγῳ δηλωθήσεται. Ταύτῃ δ' ἐφεξῆς, ἔγραψεν ἑτέραν χλωρὰν κατὰ λέξιν οὕτως. χλωρὰ διὰ κυπρίνου Ἀφροδᾶ. ℞. κηροῦ < κδ'. ῥητίνης ξηρᾶς < ιβ'. ἰοῦ ξυστοῦ < η'. Ἀφροδᾶς < ιβ'. μάννης < η'. κυπρίνου κοτύλης ὄγδοον. συγκόπτεται δὲ αὐτῇ, καὶ πρὸς τὰ δυσθεράπευτα τῶν ἑλκῶν ἁρμόττειν δύναται, καὶ διὰ τοῦτο ταύτην ἔγραψε, δι' ὀλίγων τε συντιθεμένην, καὶ χρήσιμον εἶναι δυναμένην ἱκανῶς. Ἐφεξῆς δὲ πολλὰς ἄλλας χλωρὰς γράφοντος τοῦ Ἀνδρομάχου, πολυμιγμάτους τε καὶ πολυχρήστους, ἔδοξέ μοι καταλι- F πεῖν αὐτάς, μόνων τῶν λιτῶν, ὡς αὐτοὶ καλοῦσι, μνημονεῦσαι. γράφει τοίνυν αὐτὸς κατὰ λέξιν οὕτως. ἑτέρα χλωρὰ λιτὴ ᾗ χρῶμαι. ℞. ῥητίνης λίτρας δώδεκα, κηροῦ λίτρας η'. ἰοῦ ξυστοῦ λίτρας δύο, στέατος μοσχείου λίτρας δύο, ὄξους λίτραν μίαν· ἐγὼ δὲ μάννης λίτραν μίαν ἐμβάλλω.

nihilo minus & nunc ſimplicium in ipſo medicamentorũ ſymmetriam adducturus ſum, quoniam nonnulli in eis diſſentiunt. Iubet enim immittere æris vſti, ſalis ammoniaci, æris ſquamæ, æruginis, guttæ ammoniaci, ariſtolochiæ, & thuris, ſingulorum drachmas octo, hoc eſt vnciam; aloës autem, myrrhæ, galbani, ſingulorum ſexquiplex, hoc eſt, vnciam & ſemiſſem, quod perinde eſt, ac ſi dicas omnium vncias duodecim & dimidiam, aluminis rotundi drachmas ſex. Miſcet etiam reſinæ colophoniæ drachmas ducentas, ceræ dimidium, hoc eſt, centum, olei heminæ dimidium. Quoſdã ait quartam partem miſcere, aceti quantum ſatis eſt, dracontij radicis vnciæ dimidium, quod eſt ʒ. iv. In fine autem hoc adiecit, quod in Iſidis ſcriptura non continetur, nam Epigonus id appoſuit; atque hac ratione Iſis ab Epigono differt. Iam verò poſt nuper relata addidit Andromachus viride Paſionis hac ſymmetria. ℞. reſinæ colophoniæ drach. trecentas, ceræ drachmas centumquinquaginta, æruginis drachmas octo, aluminis rotundi drach. octo, æris ſquamæ drach. duodecim, thuris drachmas ſedecim, æris vſti drach. octo, ſalis ammoniaci ʒ. viij. olei dimidium cyathi, aceti quantum ſufficit. Hoc medicamẽtum, quia ſalem ammoniacum prius aſſumpſit, magis quàm ſuperiora extrahit, magiſque diſcutit, magiſque detergit; in aliis omnibus cum illis conuenit. Fortius autem magiſque ad multa vtile præſcripto poſt medium vnum recenſet Andromachus, quod *Viride Alcimionis* nominauit in hac ſymmetria. ℞. terebinthinæ ʒ. cc. ceræ ʒ. cl. æris ſquamæ ʒ. xviij. æruginis raſæ ʒ. xvj. aluminis rotundi ʒ. xvj. galbani ʒ. xvj. thuris ʒ. x. ſalis ammoniaci ʒ. xij. æris vſti ʒ. xvj. ariſtolochiæ ʒ. x. aloës Indicæ ʒ. xij. myrrhæ ʒ. xvj. guttæ ammoniaci ʒ. xviij. galbani ʒ. xij. alij octo; olei heminæ dimidium, aceti heminæ dimidium. Aliud inde ſcribit, cui titulus *Athena*. Minerua, ſicut ipſe ad calcem refert. Porrò ſimplicium eius medicamentorum ſymmetria, vnde componitur, in hunc modum habet. ℞. ceræ ʒ. ccl. terebinthinæ ʒ. cc. frictæ ʒ. c. ſeui vitulini ʒ. l. galbani ʒ. xxiv. mannæ ʒ. xxiv. ſalis ammoniaci ʒ. xij. æris vſti ʒ. xij. aloës ʒ. xij. æris ſquamæ ʒ. xxiv. aluminis rotundi ʒ. xij. & fiſſilis ʒ. viij. chalcanthi ʒ. viij. miſyos ʒ. viij. opopanacis ʒ. viij. æruginis raſæ ʒ. vj. guttæ ammoniaci ʒ. vj. minij ſinopici ʒ. iij. aceti heminas tres, olei heminas duas, minium initio inditur. Athena, hoc eſt *Minerua* vocatur hoc emplaſtrum, vtiliſſimum multis, vt indicauimus. Quomodo autem vſui erunt emplaſtra multis vtilia, in ſermone de iis futuro ſignificabitur. Ab hoc deinceps aliud viride his verbis conſcripſit. *Viride ex Cyprino Aphroda*. ℞. ceræ drach. xxiv. reſinæ aridæ drach. xij. æruginis raſę drach. octo, Aphrodas drach. xij. mannæ drach. octo, cyprini dimidium acetabuli. Contunditur autem cum eo, & difficilibus curatu vlceribus poteſt conducere. Atque hæc cauſa eſt, cur ipſum ſcripſerit, tum quòd paucis conſtet, tum quòd vtiliſſimum eſſe poſſit. Quum autem multa deinceps viridia alia multiplicis mixturæ, & vtilitatis adducat Andromachus, viſum mihi eſt ea relinquere, & vt ipſi vocant, Litas duntaxat percenſere. Is igitur ſic ad verbum ſcribit. *Aliud viride lite, quo vtor*. ℞. reſinæ libras duodecim, ceræ libras octo, æruginis raſæ libras duas, ſeui vitulini libras duas, aceti libram vnam; ego autem mannæ libram inijcio.

Liquet

Liquet igitur acetum cum duabus æruginis libris, & libra thuris, esse læuigandum, sicut antea præcepi, deinde liquabilia his miscenda; dico autem seui libras octo cum ceræ octo, & resinæ duodecim. Emplastrum hoc Lite adamussim foret, nisi adipem assumpsisset, & mannam; ita namq; ęrugo decima amborum simul portio esset, resinæ videlicet, & ceræ. Quòd si resina dura fuerit, omnino etiam olei quid addendum putabis, vti priùs expositum est. Quoniam verò seuum vitulinum recepit, nec amplius exactè est Lite, vt quod molliens, & concoquens medicamentum acceperit: multo autem magis, si etiam mannam assumpserit quæ concoquit, purique mouendo est, & carnis gignendæ quandam vim obtinet.

A εὔδηλον οὖν, ὅτι τὸ ὄξος μετὰ τῶν δύο λιτρῶν τοῦ ἰοῦ, καὶ τῆς λίτρας τοῦ λιβανωτοῦ λειοῦσθαι βούλεται, καθάπερ ἔμπροσθεν εἶπον, εἶτα μίγνυσθαι τὰ τηκτὰ τούτοις. λέγω δὲ τὰς τοῦ στέατος λίτρας ὀκτὼ, μετὰ τῶν ὀκτὼ τοῦ κηροῦ, καὶ τῶν ιβʹ. τῆς ῥητίνης. ἡ ἔμπλαστρος αὕτη, λιτὴ μὲν ἀκριβῶς ἂν ἦν, εἰ μήτε τοῦ στέατος εἰλήφει, μήτε τῆς μάννης. οὕτως γὰρ ἂν ἦν ὁ ἰὸς δέκατον μέρος συναμφοτέρου, τῆς τε ῥητίνης καὶ τοῦ κηροῦ. καὶ εἴπερ ἦν ἡ ῥητίνη σκληρὰ, πάντως ἄν τι καὶ ἐλαίου ἐμίχθη, καθάπερ εἴρηται πρόσθεν. ἐπεὶ δὲ τὸ μόσχειον ἔλαβε στέαρ, οὐκέτ' ἀκριβῶς ἐστὶ λιτὴ, μαλακτικόν τε καὶ πεπτικὸν φάρμακον προσλαβοῦσα.
B πολὺ δὲ δὴ μᾶλλον, εἰ καὶ τὴν μάννην λάβοι. πεπτικὴ γάρ ἐστι καὶ διαπυητικὴ, καί τι σαρκωτικὸν ἔχουσα.

CAPVT III.

Communis sermo de emplastris colore similibus.

QVò sanè medicaméta non secundũ coloris, sed facultatis similitudinẽ, vnà scribi cõueniat, manifestũ planè est. Vt ergo Andromachus, sic alij quoque nonnulli, ordine tradunt emplastra non solũ viridia, sed etiam melina, fusca, & candida. Quo igitur modo fiant candida, priori volumine dictum est. Viridium verò compositionis, licet antea expositæ, nunc quoq; mentionẽ faciemus.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Κοινὸς λόγος ἐπὶ ταῖς ὁμοχρόαις ἐμπλάστροις.

ΟΤι μὲν οὐ χρὴ κατὰ τὴν τῆς χροιᾶς ὁμοιότητα τὴν ἐν τῇ γραφῇ τῶν φαρμάκων γίνεσθαι κοινωνίαν, ἀλλὰ κατὰ τὴν τῆς δυνάμεως, εὔδηλον δήπου γε. γράφουσι γοῦν, ὥσπερ καὶ ὁ Ἀνδρόμαχος, οὕτως καὶ ἄλλοι τινὲς ἐφεξῆς ἀλλήλων, οὐ μόνον τὰς χλωρὰς ἐμ-
C πλάστρους, ἀλλὰ καὶ τὰς μηλίνας, καὶ τὰς φαιὰς, καὶ τὰς λευκάς. ὅπως οὖν αἱ λευκαὶ γίγνονται, διὰ τοῦ πρώτου τῶνδε τῶν ὑπομνημάτων εἶπον. ὅπως δὲ χλωραὶ, καὶ πρόσθεν εἴρηται, καὶ νῦν ἀναμνήσω.

CAPVT IV.

Quomodo viridia fiant.

ÆRugo non pauca iis immittitur, vt & aliorum colorẽ vincat, & omnia in suum permutet. Porrò coniicere oportet eum, qui tale emplastrum conficit, præter æruginis quantitatem, etiam colorem illorum, quæ ipsi commiscentur; ad hæc coctionis rationem, in iis quæ miscentur quidem, colores pertinaces vitare, cuiusmodi flaua, & rufa, & nigra medicamenta obtinent. Dico autem flaua & rufa, qualia sunt melitites, chalcitis combusta, auripigmentum, sandaracha; nigra verò, quod genus sunt pix, bitumen, terra ampelitis, lapis gagates. At inter coquendum non oportet æruginem super ignem coëuntibus committere, verùm vbi in mortario vnitas facta est, admiscere, si colore viride medicamentum permanere desideras; sin autem melinum voles emplastrum conficere, intelligito in coctione æruginem primùm in hunc colorem perduci; postea in giluum, vt emplastrum, quod dichromon, id est bicolor, appellãt, euadat. Etenim à coctionis tẽpore paucis diebus post, in summo quidem emplastri fuscus magis redditur color, in imum verò giluus currit. Quoniam verò de ipsorum colore quæ conueniebant diximus, rursus ad facultatis sermonem reuertemur, memoria repetentes, vnde primùm hoc in libro exordium sumpserimus. Agere autem cœpimus, si quid meminimus, de medicamentis carnem generantibus; quorum facultatis scopus est vt mediocriter & sine morsu detergeant, exiccentque; at speciales cõfecturę pro diuersa simplicium medicamentorũ materie differunt. Cæterũ nemo ignorat ea quæ propriè & primariò sarcotica nominantur, aperta vlcera carne implere, hoc est quæ caua quidem sunt, non tamen sordes, aut inflammationem coniunctam habent, magis verò etiam nec prauorum humorum influxionem,

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Πῶς χλωραὶ γίνονται.

ΒΑλλεται μὲν εἰς αὐτὰ ἰὸς οὐκ ὀλίγος, ἀλλ' ὥστε κρατῆσαι τῆς τῶν ἄλλων χρόας, αὐτῷ τε συνομοιῶσαι τὸ πᾶν. ἐστοχάσθαι δὲ δεῖ τὴν τοιαύτην ἔμπλαστρον συντιθέντα, πρὸς τῇ
D ποσότητι τοῦ ἰοῦ, καὶ τὰς τῶν μιγνυμένων αὐτῷ χροιὰς, καὶ τοῦ τρόπου τῆς ἑψήσεως, ἐπὶ μὲν τῶν μιγνυμένων φυλαττόμενον τὰς δυσκινήτους χροιὰς, ὁπόσαι τῶν ξανθῶν εἰσι, καὶ πυῤῥῶν, καὶ μελαίνων φαρμάκων. λέγω δὲ ξανθῶν μὲν καὶ πυῤῥῶν, οἷάπερ ἐστὶ, τό τε τῆς μηλίτου, καὶ τὸ τῆς κεκαυμένης χαλκίτεως, ἀρσενικοῦ τε καὶ σανδαράχης. μελαίνων δὲ, οἷάπερ πίττης τε καὶ ἀσφάλτου, καὶ γῆς ἀμπελίτιδος, καὶ λίθου γαγάτου. κατὰ δὲ τὴν ἕψησιν, οὐ χρὴ τοῖς ἐπὶ τοῦ πυρὸς ἑνουμένοις συμβάλλεσθαι τὸν ἰὸν, ἀλλ' ἑνωθεῖσι μίγνυσθαι κατὰ τὴν θυΐαν, εἴπερ ἐθέλοις τῇ χρόᾳ χλωρὸν διαμεῖναι τὸ φάρμακον. εἰ δέ γε μηλίνην
E βούλοιο ποιῆσαι τὴν ἔμπλαστρον, εἰδέναι χρή σε κατὰ τὴν ἕψησιν, εἰς πρώτην μὲν ταύτην τὴν χρόαν μεταβαλόντα τὸν ἰὸν, ὕστερον δὲ εἰς τὴν κιῤῥὰν, ὡς γενέσθαι τὴν ὀνομαζομένην δίχρωμον ἔμπλαστρον. ἐν γὰρ τῷ μετὰ τὴν ἕψησιν χρόνῳ, μετ' ὀλίγας ἡμέρας, ἐπιπολῆς μὲν αὐτῇ γίγνεται τὸ φαιότερον, εἰς δὲ βάθος δὲ τοῦ φαρμάκου συντρέχει τὸ κιῤῥόν. ἐπεὶ δὲ περὶ τῆς χρόας αὐτῶν εἴρηται τὰ προσήκοντα. μεταβησόμεθα πάλιν ἐπὶ τὸν περὶ τῶν δυνάμεων λόγον, ἀναμνήσας ὅθεν πρώτως ὡρμήθην κατὰ τόδε τὸ βιβλίον. ὡρμήθην δὲ, εἴ τι μεμνήμεθα, περὶ τῶν σαρκωτικῶν φαρμάκων εἰπεῖν, ὧν ὁ μὲν τῆς δυνάμεως σκοπός
F ἐστιν, ἐν τῷ μετρίως τε καὶ ἀδήκτως ῥύπτειν τε καὶ ξηραίνειν. αἱ δὲ κατ' εἴδη συνθέσεις, διαφέρουσι, κατὰ τὰς τῶν ἁπλῶν φαρμάκων ὕλας ὑπαλλαττόμεναι. πρόδηλον δ' ὅτι τὰ κυρίως τε καὶ πρώτως ὀνομαζόμενα σαρκωτικὰ, τῶν ἀπερισπάστων ἑλκῶν ἐστὶ σαρκωτικὰ, τουτέστιν ὅσα κοῖλα μὲν, οὐ μὴν ῥύπον, ἢ φλεγμονὴν ἔχει συνοῦσαν, ἔτι δὲ μᾶλλον, οὐδ' ἐπιῤῥοὴν ὑγρῶν μοχθηρῶν,

οὐδὲ δύσκρατον κατὰ τὸ κοῖλον ἕλκος σάρκα. μιγνυμένου γάρ A τινος τῶν εἰρημένων τῇ κοιλότητι, πρότερον ἐκεῖνο θεραπευτέον ἐστίν. οἱ σκοποὶ δὲ τῆς θεραπείας αὐτῶν εἰσιν, ἐπὶ μὲν τῶν ῥυπαρῶν, τὰ ῥύπτειν δυνάμενα φάρμακα. τῶν δ' ἐξ ἐπιρροῆς ὑγρῶν, τὸ ξηραίνειν τε καὶ ἀποκρούεσθαι τὸ ἐπιρρέον. εἰ δ' εἴη πολὺ καὶ δυσνίκητον, τὴν αἰτίαν τῆς ἐπιρροῆς ἐκκόψαι πρότερον. εὔδηλον δ' ὅτι καὶ τῶν μὲν φλεγμαινόντων, τὴν φλεγμονὴν ἰᾶσθαι χρή. τῶν δὲ δύσκρατον ἐχόντων τὴν σάρκα μορίων, εὔκρατον ταύτην ἐργάσασθαι. δυσκράτου δὲ αὐτῆς γιγνομένης, κατὰ τρόπους ἁπλοῦς μὲν τέτταρας, συνθέτους δὲ ἄλλους τέτταρας, ἡ ἴασις ἔσται διὰ τῶν ἐναντίων ποιοτήτων. B ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις εἰρήσεται, περὶ δὲ τῶν ἰσχυρῶς ῥυπτόντων φαρμάκων, ἐφεξῆς ἐρῶ.

neque carnem in cauo vlcere intemperatam; nam prædictorum aliquod cauitati si immixtum est, priùs illud curandum. Scopi verò curationis ipsorum sunt, sordidis quidem detergentia medicamenta adhibere; eis verò quæ ex influxione humorum proueniunt, exiccantia, atque repellentia id, quod influit; at si multum & contumax existat, fluoris causa priùs amputanda est. Constat autem & inflammatarum partium phlegmonem sanandam esse, carnem autem intemperatam habentium, hanc ad temperiem reducendam. Porrò intemperata illa quum fiat quatuor sanè modis simplicibus, quatuor item compositis, per contrarias qualitates succurretur. Sed de his & postea. Nunc autem de medicamentis vehementer detergentibus agemus.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ἰσχυρῶς ῥυπτόντων φαρμάκων.

ΟΤι μὲν ἐκ τοῦ γένους ἐστὶ ταῦτα τῶν προειρημένων, ὅσα τῷ μετρίως ῥύπτειν, ἕλκεσι κοίλοις, καθαροῖς, ἀπερισάπτοις προσεφέρετο μηδ' ὅλως δάκνοντα, λέλεκται πρόσθεν. ἐπιτεταμένην δὲ τὴν ῥυπτικὴν δύναμιν ἔχει τὰ τὸν πολὺν C ἀφαιροῦντα ῥύπον, ὥσπερ ἔνια τῶν εἰρημένων φαρμάκων χλωρῶν, ἑνὶ μόνῳ τῶν ἁπλῶς σαρκωτικῶν διαφέρει, τῷ πλήθει τοῦ ἰοῦ. τινὰ δὲ καὶ τῶν ἄλλων, ὅσα ῥύπτει σφοδρῶς μίξει, καθάπερ Ἶσις ὀνομαζομένη, καὶ τὸ τοῦ Μαχαιρίωνος, ᾧ ἡμεῖς χρώμεθα συνήθως, ἐλαιώδει καλουμένῳ διὰ τὴν χρῆσιν. ἔνθα γὰρ ἡμῖν πρόκειται σαρκῶσαι κόλπον, ἐλαίῳ πολλῷ τήκοντες, ἐγχέομεν αὐτὸ δι' εὐθυτρήτου κέρατος, ἐν τρόπῳ κλυστῆρος ὑείᾳ κύστει συνημμένου, χρώμεθα καὶ τοῖς καλουμένοις πυουλκοῖς ἐπ' αὐτοῦ· καὶ γὰρ καὶ τούτων, ὅσοις εὐρύτερόν ἐστι τὸ τρῆμα, χρήσιμοι πρὸς τὴν τοιαύτην ὑπηρεσίαν εἰσί. πρόδηλον δ', ὅτι D τὸν μὲν ῥυπαρὸν κόλπον ἐργαζόμεθα καθαρὸν, ἀκρατεστέρῳ χρώμενοι τῷ φαρμάκῳ, τουτέστιν ἐλάττονι μιγνύντες ἐλαίῳ, τὸν δὲ καθαρὸν, ἐπὶ πλέον ὑγρασμένῳ δι' ἐλαίου δαψιλεστέρου μίξεως. εἰ μὲν οὖν ὑποψία τις εἴη μεμιγμένης φλεγμονῆς ἔτι βραχείας τῷ κόλπῳ, διὰ ῥοδίνου πάντως τηκέσθω τὸ φάρμακον. εἰ δ' ἀφλέγμαντος εἴη, δι' ἐλαίου, κἂν ἀδήκτως ἀνέχηται τῆς τοῦ παλαιοῦ μίξεως, ἐκείνῳ διατηκέσθω τὸ φάρμακον. ἐπιτήδειον δὲ εἰς τὴν τοιαύτην χρῆσίν ἐστιν, οὐ τοῦτο μόνον τὸ φάρμακον, ἀλλὰ καὶ τὸ τοῦ Μαχαιρίωνος, καὶ ἡ Ἶσις, ὅσα τἄλλα γεγράφασιν οἱ πρὸ ἐμοῦ, μετὰ κηρωτῆς μιγνύμενα, σαρκωτικὰ E γίγνεσθαι κοίλων ἑλκῶν. ἅπαντα γὰρ ταῦτα, χωρὶς τοῦ μιχθῆναι κηρωτῇ, δι' ἐλαίου καὶ ῥοδίνου τηκόμενα, τοῖς κόλποις ἐνίεται, διὰ τὸ μὴ δύνασθαι τὴν καλουμένην ἔμμοτον σύστασιν ἐνίεσθαι κόλποις, οὕτως γέ τοι καὶ τὸ διὰ τοῦ κεκαυμένου χάρτου φάρμακον ξηρὸν, ῥοδίνῳ πολλῷ μιγνύντες, ἐγχέομεν αὐτοῖς. ὥσπερ δὲ οἱ κόλποι τῶν ὑγροτέρων δέονται φαρμάκων, οὐ δυναμένων ἐνίεσθαι τῶν παχυτέρων, οὕτως ὅσα τῶν κοίλων ἑλκῶν ἐπιπολῆς ἐστι, παχυτέρου χρήζει φαρμάκου, διὰ τὸ ταχέως αὐτῶν ἀπορρεῖν τὰ ὑγρὰ, καὶ καταλείπεσθαι ξηροὺς τοὺς μοτούς. εἰκότως οὖν ἐπὶ μὲν τῶν τοιούτων, τοῖς ἰσχυρῶς ῥυπτικοῖς μιγνύμεν F κηρωτήν. ἐπὶ δὲ τῶν κόλπων, ἔλαιον, ἢ ῥόδινον πάμπολυ. ταυτὶ δὲ τὰ οὕτως ῥυπτικὰ φάρμακα πάντως ἐστὶ καὶ διαφορητικὰ, καὶ διὰ τοῦτο καὶ ξηραντικὰ σφοδρῶς, καὶ γίνεταί τι γένος αὐτῶν κοινὸν, ὃ καλοῦσι πολύχρηστον. ἐπέκεινα δὲ τούτου τοῦ γένους ἐστὶ, τὸ τῶν πάνυ δριμέων ἐμπλάστρων,

CAPVT V.

De medicamentis vehementer abstergentibus.

QVòd hæc ex prædictorũ genere sint, quę ob moderatã detersionẽ cauis vlceribus, puris, apertis, sine omni morsu admouebantur, antea diximus. Intensam verò detergẽdi virtutẽ obtinent, quæ copiosas sordes auferunt. Quare nonnulla ex prædictis viridibus medicamentis vna re solùm, nẽpe æruginis copia, ab iis quę simpliciter carnem producũt, euariant. Quædã & aliorũ vehementer detergentium mixtura, sicuti vocatum Isis, & Machærionis emplastrũ, quod nos pro more vsurpamus, oleosum ex vsu nũcupant; vbi enim sinũ carne implere proponimus, copiosiore oleo liquefacientes per cornu recti foraminis, modo clysteris, porcinæ vesicæ cõiuncti, ipsum infundimus. Quin & vocatis pyulcis, hoc est, *pus trahentibus*, in eo vtimur; etenim horũ etiam ij, quibus latius foramen est, ad huiusmodi administrationẽ commodi sunt. Perspicuum autem est, sinus oppletos sordibus ex meraciore hoc medicamento purgari, idest, oleo pauciore adhibito, rursus puriores ex humectato magis olei vberioris mixtura. Itaq; si paruæ adhuc phlegmones sinũ infestãtis suspicio quæpiam existat, medicamentum ex rosaceo prorsus liquefiat; sin à phlegmone fuerit liber, ex oleo; & si citra mordicationẽ veteris mixturã sustinuerit, illo medicamentum liquetur. Cæterũ in huiusmodi vsum non solũ hoc, sed Machærionis quoq; emplastrũ, & Isis, atque alia faciunt, quæ maiores nostri perscripsere, cerato mixta, cauis vlceribus carnẽ inducere. Omnia nãque hæc sine cerati mixtura ex oleo & rosaceo liquefacta sinibus immittuntur, eo quòd consistẽtia, quæ linamẽto excipitur (emmoton systasin vocant) sinibus illini non potest. Pari modo & medicamentum siccum, quod cõbusta charta constat, rosaceo copiosiore diluentes, ipsis infundimus. Quemadmodũ verò sinus liquidioribus medicamẽtis indigẽt, dũ crassiora imponi nequeũt, ita quæ in sũmo caua vlcera affligũt, crassius medicamentũ desiderãt, hac videlicet occasione, quòd liquida statim ab eis decidunt, & linamenta sicca relinquuntur. Meritò igitur in id genus vitiis ceratũ validè abstergentibus admiscemus, in sinibus oleum, vel rosacei plurimũ. Atqui hæc in eum modum detergẽtia medicamenta omnino etiam discutiunt, ideoq; vehementer exiccant, ac commune quoddam ipsorum genus efficitur, quod polychrestum, idest, *multiplicis vsus*, appellant. Accedunt huic generi emplastra admodum acria,

qualia

qualia sunt ea quę di halōn, idest *ex salibus*, nominantur, quæ non offerēda sunt vbi carne quidquā explere cogitamus. Nā præter alia, hoc quoq; sal eximium habet, vt astringat magis, quā purget; siccare verò nihilo minus, quā aphronitrum, ac nitrū potest; sed illa astringēdi facultatē non agnoscunt, sicut nec Asiæ petræ flos, atq; huius rei gratia discutere, & ceratis admixta vlcerum sordes tollere, nata sūt; sal propter astringēdi potestatē hoc efficere nō potest. Proinde quū hęc in memoria habeatis, & methodū cōpositionis vsusq; omniū eiusmodi medicamentorū audiueritis, deinceps illa quæ à clarissimis propter optimorū medicamentorum cognitionem experimentis probata sunt, enumerabo, primū sanè Mātiæ, atq; eius discipuli Tarentini Heraclidis sectatoris, permulta medicamēta, quæ subsequētibus annis per experientiam probātes distinxerūt, & pręstātissima eorū ipsi duo literis mandarūt; quæ verò minus efficaciæ habere videbātur, omiserūt. Iure igitur & ego maiorē facio mentionē eorū qui illis successerunt. Sunt autem inter eos, qui in medicamentorū experientia rectissimè se gessisse videntur, Petronius Musa, Heras, Andromachus, Asclepiades, & Crito. Iam verò Archigenis & Philippi studiosi nō pauca medicamēta prodidere. Quin etiā liber vnus est Menecratis, cui nomen inditū est, Insignium medicamentorum imperator integris literis descriptus. Quæ ergo pulcherrima ipsis tradita sunt medicamenta, & commendantur, quorumque nos inter omnia relata experientiam habemus, & quibus præceptores nostri vsi sunt, ad hæc, si quod & nobis inuentum sit, deinceps adducam, quo singula genere contineantur, exponens. Nunc autem viridibus relatis, melina protinus subiungam.

CAPVT VI.

Melina emplastra.

QVemadmodum viridium emplastrorū plurima propter æruginem præpollentem talia fiunt, præsertim quæ sunt ex ipsis coloratiora, ita quoque Melina. Sed viridia æruginem incoctam habent; melina verò coctam quidem, sed mediocriter; nam si amplius coquas, bicolora emplastra quibusdam appellata, quibusdam gilua, efficies. Solent medici viridia simpliciter melina, & rufa nominare, quæ non adeo magna vulnera glutinant, & vlceribus cicatricem obducunt, quæ mos est medicis appellare aperistata, quasi dicas aperta. Item ex rosaceo liquefacta cauis carnem gignunt. Multiplicis vsus sunt inter ea quæ plura pollicentur. Quædam multa non promittunt, sed vnum mentione dignum, videlicet vel vlcera cacoëthe bene curare, vel plus digerere, vel meliceridas, vel duritias emollire, vel huiusmodi quid non contemnendum, nec curatu facile. Andromachus itaque quatuordecim melina conscripsit, ex quorum numero quinque æruginem habent, reliqua sine hac confecta sunt. Porrò ex iis quæ ærugine constant, vnum quidem primum inter quatuordecim positum est, alterum verò quartum, post hoc aliud sextum, inde septimū, & decimum. Quibus ergo nihil eximij apposuit omnia simul & conglutinant vlcera, & cicatricem inducūt. Quæ si ex rosaceo liquefiant, carnem procreant; quin & mediocribus phlegmonis medentur; sicut mediocres etiā duritias emolliunt, atq; hoc faciūt euidentius, quæ guttam ammoniaci continent;

A ὁποῖαι καὶ αἱ καλούμεναι δι' ἁλῶν εἰσιν, ἃς οὐ χρὴ προσφέρειν ἔνθα σαρκῶσαί τι βουλόμεθα. πρὸς γὰρ αὖ τοῖς ἄλλοις, καὶ τοῦτο τοῖς ἁλσὶν ἐξαίρετον ὑπάρχει, τὸ στύφειν μᾶλλον, ἢ ῥύπτειν. ἐπὶ τό γε ξηραίνειν, οὐδὲν ἧττον ἔχουσιν ἀφρονίτρου καὶ νίτρου, ἀλλ' ἐκείνοις μὲν οὐ μέτεστι τῆς στυπτικῆς δυνάμεως, ὥσπερ οὐδὲ τῷ τῆς Ἀσίας πέτρας ἄνθει, καὶ διὰ τοῦτο διαφορεῖν τε δύναται, καὶ κηρωταῖς μιγνύμενα καθαίρειν ἕλκη ῥυπαρά. τοῖς δ' ἁλσὶν οὐχ ὑπάρχει τοῦτο, διὰ τὴν στύψιν. τούτων οὖν μνημονεύουσιν ὑμῖν, ἀκηκόσι τε τὴν μέθοδον τῆς τε συνθέσεως, καὶ τῆς χρήσεως ἁπάντων τῶν τοιούτων φαρμάκων ἐν τοῖς ἐφεξῆς γράψω τὰ δεδοκιμασμένα τῇ πείρᾳ πρὸς τῶν ἐνδόξων ἰατρῶν, ἐπὶ φαρμάκων ἀρίστων γνώσει. πρώτων δὲ τῶν περὶ Μαντίαν, καὶ τῶν μαθητῶν αὐτοῦ τοῦ Ταραντίνου Ἡρακλείδου, πολλὰ φάρμακα γραψάντων, ἃ τοῖς μετὰ ταῦτα διὰ πείρας ἀφικόμενα διωρίσθη. καὶ τὰ μὲν ἄριστα ἐν αὐτοῖς, αὐθὶ πάλιν ἔγραψαν, ὅσα δ' ἧττον ἐκείνων ἐνεργεῖν ἐδόκει, κατέλιπον. εἰκότως οὖν κἀγὼ τὴν πλείονα μνήμην ποιοῦμαι, τῶν μετ' ἐκείνους γεγονότων. εἰσὶ δὲ αὐτῶν οἱ μάλιστα δοκοῦντες ἐν τῇ τῶν φαρμάκων ἐμπειρίᾳ κατωρθωκέναι, Πετρώνιος Μούσας, καὶ Ἡρας, καὶ Ἀνδρόμαχος, Ἀσκληπιάδης τε καὶ Κρίτων. γέγραπται δὲ καὶ τοῖς περὶ C τὸν Ἀρχιγένην τε καὶ τὸν Φίλιππον, οὐκ ὀλίγα φάρμακα. καί τι καὶ βιβλίον ἕν ἐστι Μενεκράτους ἐπιγεγραμμένον, αὐτοκράτωρ ὁλογράμματος ἀξιολόγων φαρμάκων. ὅσα τε οὖν τούτοις γέγραπται κάλλιστα φάρμακα, καὶ πρὸς αὐτῶν ἐπαινούμενα, καὶ ὅσων ἡμεῖς πεῖραν ἔχομεν, ἐξ αὐτῶν τε τούτων τῶν γεγραμμένων, καὶ ὧν οἱ διδάσκαλοι ἡμῶν ἐχρῶντο, καὶ εἴ τι καὶ ἡμῖν προσεξεύρηται, τοῦτ' ἐν τοῖς ἑξῆς γράψω, τίνος ἐστὶ γένους ἕκαστον αὐτῶν ἐξηγούμενος. νυνὶ δὲ ἐπὶ τὰς χλωρὰς διῆλθον, ἐφεξῆς ταύταις γράψω τὰς μηλίνας.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

D Μήλιναι ἔμπλαστροι.

ΩΣπερ τῶν χλωρῶν ἐμπλάστρων αἱ πλεῖσται, διὰ τὸν ἰὸν ἐπικρατοῦντα γίγνονται τοιαῦται, καὶ μάλιστα αὐτῶν αἱ εὐχρούστεραι, κατὰ τὸν αὐτὸν τρόπον, καὶ αἱ μήλιναι, ἀλλ' αἱ μὲν χλωραὶ τὸν ἰὸν ἀνέψητον ἔχουσιν, αἱ μήλιναι δὲ ἑψόμενον μὲν, ἀλλὰ μετρίως. ὡς ἐάν γε ἐπὶ πλέον ἕψῃς, τὰς καλουμένας ὑπ' ἐνίων μὲν διχρώμους, ὑπ' ἐνίων δὲ κιρρὰς, ἐργάσῃ. καλεῖν δ' ἔθος ἐστὶ τοῖς ἰατροῖς, ἁπλῶς μὲν χλωρὰς, καὶ μηλίνας, καὶ κιρρὰς, ὅσαι κολλῶσί τε τὰ μὴ πάνυ μεγάλα τραύματα, καὶ ἕλκη συνουλοῦσιν, ἃ καλεῖν τοῖς ἰατροῖς ἔθος E ἀπερίστατα, σαρκοῦσί τε τὰ κοῖλα τηκόμεναι διὰ ῥοδίνου. πολύχρηστοι δὲ ἐξ αὐτῶν, ἐφ' ὧν ἐπαγγελία πλείων ἐστίν. ἔνιαι δὲ πολλὰς μὲν οὐκ ἔχουσιν ἐπαγγελίας, ἀξιόλογον δὲ μίαν, ἤτοι πρὸς τὰ κακοήθη τῶν ἑλκῶν ἁρμόττειν, ἢ διαφορεῖν πύον, ἢ μελικηρίδας, ἢ μαλάττειν σκληρότητας, ἢ τι τοιοῦτον τῶν οὐκ εὐκαταφρονήτων οὐδ' εὐθεραπεύτων. ὁ Ἀνδρόμαχος μὲν οὖν ἔγραψε ιδʹ. μηλίνας, ὧν αἱ πέντε μὲν ἔχουσιν ἰὸν, αἱ δ' ἄλλαι χωρὶς ἰοῦ γεγόνασι. τῶν δὲ τὸν ἰὸν ἐχουσῶν, μία μέν ἐστι πρώτη γεγραμμένη τῶν ιδʹ. μία δ' ἄλλη τετάρτη, F καί τις ἐπ' αὐτῆς ἕκτη, καὶ μετ' ἐκείνην, ἥ τε ζʹ. καὶ ἡ ιʹ. ὅσαις μὲν οὖν οὐδὲν ἐξαίρετον προσγέγραφεν, αὗται πᾶσαι, καὶ κολλῶσιν ἕλκη, καὶ ἐπουλοῦσιν. εἰ δὲ βούλοιτό τις, καὶ τακεῖσαι μετὰ ῥοδίνου, σαρκοῦσι. θεραπεύουσι δὲ καὶ μετρίας φλεγμονὰς, ὥσπερ γε καὶ σκληρότητας μετρίας μαλάττουσι. καὶ μᾶλλόν γε τοῦτο ποιοῦσιν, ὅσαι θυμιάματος ἔχουσιν ἀμμωνιακοῦ.

καὶ τούτων αὐτῶν μᾶλλον ὅσαι πλείονος, ὡς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν. ἐν ἐνίαις δὲ προσέθηκεν αὐτὸς ἁπαλή, τουτέστι πρὸς ἁπαλοὺς χρῶτας ἁρμόττουσα δηλονότι. καὶ καθ' ἣν πρόσκειται δ', ἐπισπαστική, καὶ ἐξιπωτική, δηλῶν ὅτι πρὸς περιωδυνίας, καὶ συνάγχην, καὶ πλευροῦ πόνον ἁρμόττει. ἢ ὅτι διαφορεῖ τὰ ἐντὸς ἀποστήματα, πλέον ἢ ταύταις μαρτυρεῖ τῶν ἁπλῶς γεγραμμένων. ἐφεξῆς οὖν αὐτὰς ἁπάσας ὑπογράψω.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Μήλιναι Ἀνδρομάχου.

Μήλινη ᾗ χρῶμαι. ℞. λιθαργύρου < ρδ'. ἐλαίου θέρους κοτύλην α'. χειμῶνος κοτύλης ἥμισυ, κηροῦ < μη'. κολοφωνίας < μη'. ἀμμωνιακοῦ θυμιάματος < κδ'. ἰοῦ ξυστοῦ < η'. χαλβάνης < η'. σμύρνης < η'. Ἄλλη. ℞. λιθαργύρου < ρ'. ἐλαίου κυάθους γ'. ἢ κοτύλης ἥμισυ, ῥητίνης κολοφωνίας < ξδ'. ἀμμωνιακοῦ θυμιάματος < μ'. ψιμυθίου < κδ'. Ἄλλη. ℞. λιθαργύρου < μ'. ἢ ν'. ψιμυθίου < ς'. κηροῦ Τυῤῥηνικοῦ < ις'. ῥητίνης πιτυΐνης ξηρᾶς < ις'. ἀμμωνιακοῦ θυμιάματος < β'. ἐλαίου κοτύλην α'. Ἄλλη. ℞. λιθαργύρου < ρ'. κολοφωνίας < ξδ'. οἱ δὲ μη'. κηροῦ < πδ'. χαλβάνης < η'. σμύρνης < η'. ἰοῦ < η'. ὀποπάνακος < ς'. ἐλαίου θέρους κοτύλην α'. χειμῶνος κοτύλης S. ἢ κυάθους γ'. Ἄλλη. ℞. λιθαργύρου < ρ'. πιτυΐνης ῥητίνης < ρ'. κηροῦ < ιβ'. ἐλαίου κοτύλης ἥμισυ, ἢ κυάθους γ'. οἴνου Φαλερίνου κοτύλης ἥμισυ. ἡ λιθάργυρος σὺν τῷ οἴνῳ λεαίνεται ἕως ξηρανθῇ, εἶτα ἕψεται. Ἄλλη. ℞. λιθαργύρου < ρ'. ἐλαίου παλαιοῦ κοτύλας ο'. ἢ β'. κηροῦ < ρ'. ἰοῦ σκώληκος < κε'. χαμαιλέοντος μέλανος < ιβ'. καὶ ἥμισυ, χρυσοκόλλης < μ'. Ἄλλη. ℞. λιθαργύρου < σ'. ἐλαίου παλαιοῦ κοτύλας γ'. κηροῦ < ρξη'. ἀμμωνιακοῦ θυμιάματος < ρ'. σμύρνης < δ'. ἰοῦ < η'. ἢ κ'. ῥητίνης κολοφωνίας < ρκη'. χαλβάνης < κ'. χαμαιλέοντος μέλανος < η'. οἱ δὲ προπόλεως < η'. ἢ κ'. ἀντὶ χαμαιλέοντος. Ἄλλη. ℞. ἐλαίου παλαιοῦ ἀναπεζεσμένου χαμαιλέοντος, ὡς ὅτι πλείονος ξέστην α'. λιθαργύρου λίτραν α'. ἀναζέσας ἔμπασσε λιθάργυρον, καὶ ἕψε. Ἄλλη πρὸς νομάς. ℞. σανδαράχης < γ'. στυπτηρίας σχιστῆς < δ'. λιβάνου < δ'. σμύρνης < δ'. ἀμμωνιακοῦ θυμιάματος < ιη'. κηροῦ < ιη'. τερμινθίνης < ς'. στέατος ὑείου < β'. μέλιτος κοτύλης ἑκκαιδέκατον. Ἄλλη. ℞. λιθαργύρου < ρη'. ἢ ρκ'. κηροῦ < ρη'. ἢ ρκ'. ἐν ἄλλῳ ρ'. ἀμμωνιακοῦ θυμιάματος < ν'. τερμινθίνης < μ'. ἀριστολοχίας < κε'. ζειᾶς ῥίζης < η'. ἢ κ'. ἰοῦ σκώληκος < ις'. στυπτηρίας σχιστῆς < ις'. ἐλαίου παλαιοῦ κοτύλας β'. Ἄλλη ἁπλῆ. ℞. λιθαργύρου < ρ'. ἀξουγγίου < οε'. ἐλαίου παλαιοῦ < οε'. πρὸς ἁπαλόχρωτας, καὶ διαφορεῖ. Ἄλλη ἄφρα λεγομένη, μαλακτικὴ μηλίνη Διοφάντους, ἐπισπαστικὴ καὶ ἐξιπωτική, ἐν ᾗ ἄρθρα ἐθεραπεύθη. ℞. ἰξοῦ εἰργασμένου λίτραν α'. κηροῦ λίτραν α'. ῥητίνης τερμινθίνης λίτραν α'. χαλβάνου οὐγγίας γ'. τήξας, χρῶ. Ἄλλη Σαλώμη, πρὸς πᾶσαν περιωδυνίαν καὶ συνάγχην μετὰ σικύας, καὶ πρὸς πλευρᾶς πόνον. ℞. λιθαργύρου λίτρας β'. ἐλαίου παλαιοῦ οὐγγίας η'. ἕψε ὁμοῦ.

A his adhuc ipsis magis, quæ copiosiorem reliquorum proportione eam assumpserunt. In quibusdam verò apposuit ipse, tenerum, hoc est teneræ cuti conueniens videlicet; & cui præfixit, epispasticon & exipoticon, idest attrahens & eruens, innuit membrorum doloribus, synanchæ, & lateris cruciatui benefacere, vel interiores abscessus discutere; magis quoddam testimonium his afferens, quàm simplici sermone scriptis. Igitur omnia ipsa deinceps subiiciam.

CAPVT VII.

B *Melina Andromachi.*

Melinum quo vtor. ℞. spumæ argenti drach. civ. olei æstate heminam j. hyeme heminam dimidiam, ceræ drach. xlviij. colophoniæ drach. xlviij. guttæ ammoniaci drachmas xxiv. æruginis rasæ drach. viij. galbani ʒ. octo, myrrhæ ʒ. octo. *Aliud.* ℞. spumæ argenti drach. c. olei tres cyathos, aut heminā dimidiam, resinæ colophoniæ ʒ. lxiv. guttæ ammoniaci drach. xl. cerussæ ʒ. xxiv. *Aliud.* ℞. spumæ argenti drach. xl. aut l. cerussæ drach. vj. ceræ tyrrhenicæ drach. xvj. resinæ pityinæ siccæ drach. xvj. guttæ ammoniaci C drach. ij. olei heminam vnam. *Aliud.* ℞. spumæ argenti drach. c. colophoniæ drach. lxiv. alij xlviij. ceræ drach. lxxxiv. galbani ʒ. octo; myrrhæ ʒ. viij. æruginis ʒ. octo, opopanacis drach. vj. olei heminam vnam, æstate, hyeme verò heminam dimidiam vel tres cyathos. *Aliud.* ℞. spumæ argenti drach. centum, resinæ pityinæ drach. c. ceræ ʒ. xij. olei heminam ß. vel tres cyathos, vini falerni heminæ dimidium. Spuma argenti ex vino læuis fit, donec siccata fuerit, deinde coquitur. *Aliud.* ℞. spumæ argenti ʒ. c. olei veteris heminas lxx. D vel duas, ceræ drach. c. æruginis scoleciæ ʒ. xxv. chamæleontis nigri drach. xij. ß. chrysocollæ ʒ. xl. *Aliud.* ℞. spumæ argenti ʒ. cc. olei veteris heminas tres, ceræ ʒ. clxviij. guttæ ammoniaci drach. c. myrrhæ ʒ. iv. æruginis ʒ. viij. vel xx. resinæ colophoniæ ʒ. cxxviij. galbani drach. xx. chamæleontis atri ʒ. viij. alij propoleos drach. octo, vel xx. pro chamæleonte. *Aliud.* ℞. olei veteris, in quo chamæleon ferue factus sit quamcopiosissimus, sextarium vnum, spumæ argenti lib. j. vbi ebullierit, argenti spumam inspergito, & coquito. *Aliud ad nomas.* ℞. sandarachæ ʒ. iij. aluminis scissilis ʒ. iv. thuris ʒ. iv. myrrhæ ʒ. iv. guttæ ammoniaci ʒ. xviij. E ceræ ʒ. xviij. terebinthinæ ʒ. vj. adipis suilli ʒ. ij. mellis decimam sextam heminę portionem. *Aliud.* ℞. spumæ argenti drac. cviij. vel cxx. ceræ ʒ. cviij. vel cxx. alibi centum inuenio, guttæ ammoniaci ʒ. l. terebinthinæ ʒ. xl. aristolochiæ ʒ. xxv. zeæ radicis ʒ. viij. vel xx. æruginis scoleciæ ʒ. xvj. aluminis scissilis ʒ. xvj. olei veteris binas heminas. *Aliud simplex.* ℞. spumæ argenti ʒ. c. axungiæ ʒ. lxxv. olei veteris drach. lxxv. Ad molli carne præditos facit, & discutit. *Aliud melinum emolliens, Diophantis, Aphra nominatur, attrahens, & eruens, quo articuli curantur* ℞. visci elaborati lib. j. ceræ F lib. j. resinæ terebinthinæ lib. j. galbani vncias tres; liquefactis vtitor. *Aliud Salome, ad omnem dolorem, & anginam cum cucurbitula, & ad lateris dolorem.* ℞. spumæ argenti lib. ij. olei veteris vncias viij. simul coquito.

Aliud

Aliud Melinum Heraclidis, interiores abscessus sine dolore discutiens.

A ℞. Spumæ argenti ʒ. c. cerussæ drach. c. ceræ ʒ. lxxx. resinæ aridæ ʒ. lx. guttæ ammoniaci ʒ. l. galbani drach. xvj. olei veteris heminas duas. Vt autem Rusticus ille familiaris Isidori, ℞. spumæ argenti drach. l. cerussæ drach. l. guttæ ammoniaci drach. octo, vel xl. ceræ drach. xxv. resinæ aridæ drach. l. liquoris folliculorum vlmi drach. xv. galbani drach. viij. olei veteris heminæ dimidium vel heminam j. ß. Inter hæc emplastra, nullius coctionem scripsit Andromachus. Ego verò ad colorem ipsorum pertinere dixi, scilicet neque æruginem crudam esse oportere, vt in viridibus, neque nimis coctam, sicut in iis quæ bicolora & gilua nominantur; verùm vbi iam cacabus ab igne auferendus propemodum est, iniici ærugo debet; deinde quum mutat colorem, & Melinum redditur, medicamentum tollere iam ab igne tempus est, si iam non inquinet; sin minus, paululum super ignem lentissimum remorati sic tollemus, nam in admodum vehementi facilè in giluum degenerat. Cuius rei gratia quoque duo insignia emplastra melina, alterum Menœti, alterum Serapionis, subiungam; quorum coquendi rationem plerique tradidere, & vos confecturæ eorum quæ Andromachus scripsit, exemplum habebitis.

Ἄλλη μηλίνη παρὰ Ἡρακλείδου, διαφοροῦσα τὰ ἐντὸς ἀποστήματα ἀνωδύνως.

℞. Λιθαργύρου < ρ'. ψιμμυθίου < ρ'. κηροῦ < π'. ῥητίνης ξηρᾶς < ξ'. ἀμμωνιακοῦ θυμιάματος < ν'. χαλβάνης < ις'. ἐλαίου παλαιοῦ κοτύλας β'. Ὡς δὲ Ῥουστικὸς ὁ γνώριμος Ἰσιδώρου. ℞. λιθαργύρου < ν'. ψιμμυθίου < ν'. ἀμμωνιακοῦ θυμιάματος < ν'. ἢ μ'. κηροῦ < κε'. ῥητίνης ξηρᾶς < λ'. πτελέας τῆς ἐν θυλακίοις < ιε'. χαλβάνης < η'. ἐλαίου παλαιοῦ κοτύλης ἥμισυ, ἢ κοτύλην α' S. Τούτων τῶν ἐμπλάστρων οὐδεμιᾶς τὴν ἕψησιν ἔγραψεν ὁ Ἀνδρόμαχος, B ἐγὼ δὲ τὸ μὲν συνέχον τῆς χρόας αὐτῶν ἔμπροσθεν εἶπον, ὅτι μήτε ὠμὸν εἶναι δεῖ τὸν ἰόν, ὡς ἐν ταῖς χλωραῖς, μήτ' ἐπὶ πλεῖστον ἑψημένον, ὡς ἐν ταῖς διχρώμοις τε καὶ κιρραῖς ὀνομαζομέναις. ἀλλ' ἐγγὺς ἤδη τοῦ μέλλειν ἀναιρεῖσθαι τὴν κακκάβην ἀπὸ τοῦ πυρός, ἐπεμβάλλεσθαι τὸν ἰόν, εἶθ' ὅταν μεταβάλλῃ καὶ γίγνηται μηλίνη, βαστάζειν ἀπὸ τοῦ πυρός, ἐὰν ἀμόλυντον ἤδη τὸ φάρμακον εἴη. εἰ δὲ μή, βραχὺ προσεπιμείναντες ἐπὶ μαλακωτάτου πυρός, οὕτως αἴρειν. ἐν γὰρ τῷ λαβροτάτῳ, μεταβάλλει ῥᾳδίως ἐπὶ τὸ κιρρόν. ὑπογράψω δὲ διὰ τοῦτο καὶ δύο ἄλλας ἐμπλάστρους μηλίνας ἐνδόξους, τὴν μὲν ἑτέραν C Μενοίτου λεγομένην, τὴν δ' ἑτέραν Σεραπίωνος, ὧν καὶ τὰς ἑψήσεις ἔγραψαν πολλοί, καὶ ὑμεῖς ἕξετε παράδειγμα τῆς σκευασίας, τῶν ὑπὸ τοῦ Ἀνδρομάχου γεγραμμένων.

CAPVT VIII.

Menœti melinum.

℞. Spumæ argenti lib. iv. olei lib. iij. terebinthinæ pellucidæ lib. ij. ceræ lib. j. æruginis, thuris, galbani, singulorum ℥. iv. guttæ ammoniaci ℥. vj. Argenti spuma ex oleo ad multam spissitudinē vsq; incoquitur; deinde resina ceraq; iniicitur; quum pulchrè soluta hęc fuerint, cacabus deponitur, & refrigerari benè sinitur; post illa ærugo immittitur; & vbi infra motū fuerit, denuò super ignē lenem coquitur, donec melinū colorem repręsentet; postremò galbanum, & thus, læuia facta, ac in mortarium demissa, vbi ammoniacum ex aceto in læuorem redactum est, vt sordium imaginem habeat; statimque manibus subacta excipiuntur; & aceto modico affuso in sequentem diem vsque relinquuntur, ac tunc rursus emollita reponuntur.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Μενοίτου μηλίνη.

℞. Λιθαργύρου λίτρας δ'. ἐλαίου λίτρας γ'. τερμινθίνης διαυγοῦς λίτρας β'. κηροῦ λίτραν α'. ἰοῦ, λιβανωτοῦ, χαλβάνης ἀνὰ οὐγγίας δ'. ἀμμωνιακοῦ θυμιάματος Ƒο ς'. D ἕψε λιθάργυρον, καὶ ἔλαιον ἕως ἂν λίαν συστῇ, εἶτα βάλλε τὴν ῥητίνην καὶ τὸν κηρόν. καὶ ὅταν λυθῇ καλῶς ταῦτα, θὲς κάτω τὴν κακκάβην, καὶ ἔα ψυχθῆναι καλῶς, εἶτα βάλλε τὸν ἰόν, καὶ κινήσας κάτω, ἕψε πάλιν ἐπὶ μαλακοῦ πυρός, ἄχρις ἂν μηλοειδὲς γένηται, εἶτα τὴν χαλβάνην καὶ τὸν λιβανωτὸν λειώσας, καὶ κατεράσας εἰς θυίαν, ἔνθα προλελείωται τὸ ἀμμωνιακὸν ἐν ὄξει, ὡς εἶναι γλοιῶδες, καὶ μαλάξας εὐθέως, ἀναλάμβανε, καὶ ἐπιχέας ὄξους ὀλίγον, ἔα μέχρι τῆς ἑξῆς ἡμέρας, καὶ τότε πάλιν μαλάξας, ἀπόθου.

CAPVT IX.

Melinum Serapionis ad vulnera, & ad resoluendum, militare, prorsus vtile.

℞. Spumę argēti ʒ. c. guttę ammoniaci ʒ. xxviij. ceræ ʒ. lvj. æruginis Cypriæ ʒ. ix. myrrhæ ʒ. j. colophoniæ ʒ. lvj. galbani ʒ. ix. olei heminæ dimidium, æstate heminæ vnius quartam partem. Argenti spumā, ac oleum coquito; quum inalterata sunt, ammoniacū, deinde ceram; postquā deposueris cacabū, galbanum, ęruginem, & reliqua addito, atq; molliter incoquito. Huiusmodi coquendi modos melinorū, quæ scripsimus, emplastrorū multi me priores tradidere, iuxta quorum similitudinem etiam alia melina coquere poteritis. Argenti spumam sanè primū iniicere conuenit, mox resinas & ammoniacum, deinde galbanum & ęruginem, postea si vel thus, vel myrrham, vel aloëm capiat, hæc immittenda sunt, quum medicamentum ab igne tollitur, quippe coctionē non ferētia.

E

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Μηλίνη Σεραπίωνος τραυματικὴ, καὶ διαλυτική, πυκτική, πάγχρηστος.

℞. Λιθαργύρου < ρ'. ἀμμωνιακοῦ θυμιάματος < κη'. κηροῦ < νς'. ἰοῦ κυπρίου < θ'. σμύρνης < α'. κολοφωνίας < νς'. χαλβάνης < θ'. ἐλαίου κοτύλης ἥμισυ, θέρους Κζ α'. τέταρτον, ἕψε λιθάργυρον, ἔλαιον. ὅταν μεταβάλῃ, ἀμμωνιακόν, εἶτα κηρόν, καὶ καθελὼν βάλλε χαλβάνην, ἰόν, καὶ τὰ λοιπά, καὶ μαλακῶς ἕψε. Τοιαύτας ἑψήσεις ἔγραψαν πολλοὶ F τῶν πρὸ ἐμοῦ τῶν γεγραμμένων ἐμπλάστρων μηλίνων, ἀφ' ὧν καθ' ὁμοιότητα, καὶ τὰς ἄλλας μηλίνας ἕψειν δυνήσεσθε. τὴν μὲν λιθάργυρον δεῖ πρῶτον ἐμβαλόντας, εἶτα ῥητίνας καὶ ἀμμωνιακόν, εἶτα χαλβάνην καὶ ἰόν. εἶτα ἐὰν ἤτοι λιβανωτόν, ἢ σμύρναν, ἢ ἀλόην λαμβάνῃ, ταῦτα γὰρ ὅταν αἴρηται τὸ φάρμακον ἀπὸ τοῦ πυρὸς ἐπεμβάλλεσθαι χρή, μὴ φέροντα τὰς ἑψήσεις.

προείρηται δ' ὅτι καὶ μαλακῶς ἕψεσθαι χρὴ, μάλιστα ὅταν A ὁ ἰὸς ἐμβληθῇ. καὶ μέντοι καὶ ὅτι βάλλειν αὐτὸν χρὴ, καθέντα κατὰ γῆς τὴν κακάβην, καὶ μικρὸν ἀποψύχοντα, καὶ μᾶλλον ἐὰν μικρὸν ᾖ τὸ ἀγγεῖον, ἐν ᾧ ἡ ἕψησις γίνεται. ζέοντι γὰρ τῷ προεψημένῳ, κατ' αὐτὸ προσεμβληθεὶς ὁ ἰὸς, ὑπερχεῖσθαι πολλάκις ἐποίησε τοῦ ἀγγείου τὸ φάρμακον. ἐν δὲ τῇ τοῦ Μενοίτου μηλίνῃ τῇ πρώτῃ, τῇ πυκτικῇ καλουμένῃ, διότι μάλιστα οἱ πύκται χρῶνται τῷ φαρμάκῳ, καὶ ὅτι δι' ὄξους τὸ ἀμμωνιακὸν ἐν τῇ θυίᾳ δύναται λεοῦσθαι, τῶν ἄλλων ἁπάντων ἐν τῇ κακάβῃ μιχθέντων, εἶτα καταχεομένου αὐτοῦ προμεμαθήκαμεν.

Prædiximus autem lentè coquenda esse, præsertim quum ærugo indita fuerit; quin & ipsam miscendam, vbi cacabum in terram deposueris, ac parum refrigeraueris, eique magis, si vas paruum sit, in quo coquitur, nam efferuescenti immissa ærugo, frequenter ex ipso vase diffundi medicamentum cogit. Porrò in Menœti primo melino, quod ideo Pycticon, *pugillatorium* vocatur, quoniam pugiles potissimum medicamento eo vtantur, ammoniacum quoque ex aceto læue in mortario fieri posse, aliis omnibus in cacabo mixtis, deinde ex ipso defusis, priùs instituti sumus.

B

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Μήλιναι Ἡρᾶ ἔμπλαστροι.

Πρὸς χοιράδας τοῦ Ἡρᾶ, αἱ ὑφ' Ἡρᾶ γεγραμμέναι κατὰ λέξιν οὕτως. μηλίνη πρὸς τοὺς παλαιοὺς κόλπους, κἂν ὦσιν εἰς τὰ κενὰ συντετρημένοι. ἡ δ' αὐτὴ καὶ διαφορεῖ χοιράδας τὰς ἐπὶ τῶν παίδων ἄρτι συστάσας, ποιεῖ καὶ πρὸς τὰ ἐσπαραγμένα τῶν ἄρθρων. ℞. λιθαργύρου χρυσίτιδος < ρ'. ῥητίνης πιτυΐνης ξηρᾶς < ρ'. κηροῦ Ποντικοῦ < ιβ'. καὶ τετρώβολον, ἐλαίου κοτύλης ἥμισυ, οἴνου Φαλερίνου κοτύλης ἥμισυ, C ἡ λιθάργυρος μετὰ τοῦ οἴνου λεαίνεται ἕως ἂν ξηρανθῇ, εἶθ' οὕτως ἕψεται σὺν τῷ ἐλαίῳ ἕως μεταβαλῇ, καὶ τότε μίγνυται ῥητίνη, καὶ ὁ κηρὸς, καὶ ἕψεται ἕως ἂν μὴ μολύνῃ. ἡ Μενοιτίου χρυσίζουσα, ποιοῦσα πρὸς τοὺς ἁπαλόχροας, καὶ μάλιστα εὐνούχους. ἁρμόζει δὲ ἐπὶ ἀποσυρμάτων, καὶ παντὸς ἕλκους παλαιοῦ, καὶ προσφάτου, καὶ κατακαυμάτων. ἔστι δὲ μάλαγμα, διαφορεῖ φύματα, παρωτίδας, χοιράδας, σκληρίας πάσας, ποιεῖ δὲ πρὸς ῥαγάδας, καὶ κονδυλώματα, λίαν καλή. ℞. λιθαργύρου < ρ'. ἐλαίου παλαιοῦ < ρ'. ῥητίνης πιτυΐνης ξηρᾶς < ν'. ἢ ρ'. κηροῦ < ν'. ἕψε τὴν λιθάργυρον, καὶ τὸ ἔλαιον ἕως ἂν D ἄρξηται συστρέφεσθαι, καὶ ἀπόδος ῥητίνην λείαν, ταχείσης δὲ ταύτης, κηρόν. καλῶς δὲ ἔχουσαν, κατέρασον εἰς θυίαν προκεχρισμένην ἐλαίῳ, καὶ ἀνατρίψας ἀνελοῦ. ἔστι δὲ εὐκόλλος καὶ ἀμόλυντος. Ἡ Ὑγιείνου εἰς πολλὰ εὔχρους, ποιοῦσα ἐπὶ τῶν δυσεπουλώτων, καὶ ἐπὶ παρωνυχιῶν. ταύτης καλλίων ἔμπλαστρος οὐκ ἔστι. λιθαργύρου χρυσίτιδος μνᾶ α'. κηροῦ μνᾶ α'. χαμαιλέοντος μέλανος ῥίζης < λϛ'. ἰοῦ ξυστοῦ < ιη'. χρυσοκόλλης < μ'. ἐλαίου παλαιοῦ κοτύλαι γ'. λιθάργυρον, ἔλαιον ἕψε μαλακῷ πυρὶ, ἕως ἄρξηται ἀναζεῖν, εἶτα ἔμπασσε τὸν ἰὸν, ἄρας ἀπὸ τοῦ πυρὸς, καὶ κίνει πάλιν ἕψων, ἕως τὸ χρῶμα τὸ E ἴδιον ἀπολάβῃ, εἶτα κηρόν. ὅταν δὲ καλῶς ἔχῃ, χρυσοκόλλαν καὶ χαμαιλέοντα, κατερράσας δὲ εἰς θυίαν ὄξος ἐπίρραινε. πρὸς μὲν οὖν τὰ προειρημένα ποιεῖ, καὶ τῆς χρυσοκόλλης παραπεπλεγμένης. χωρὶς μέντοι ταύτης παρηγορικωτάτη ἐστὶ, καὶ ἄκρως ποιοῦσα πρὸς τὰ τῶν νεύρων νύγματα, καὶ ὅπου τι ἀναπλῶσαι ἀπὸ μυῶν, ἢ νεύρων δεῖ. τούτων τῶν τριῶν ἐμπλάστρων ἃς ὁ Ἡρᾶς ἔγραψεν, ἡ πρώτη δι' οἴνου σκευάζεταί τε καὶ λέγεται. καὶ πολλοὶ τῶν ἡμετέρων διδασκάλων τε καὶ φίλων αὐτῇ χρῶνται, χωρὶς ἰοῦ δηλονότι σκευαζομένῃ, γεγραμμένῃ δὲ καὶ ὑπὸ Ἀνδρομάχου, καὶ σχεδὸν ὑπὸ πάντων τῶν F συνθέντων ἐμπλάστρους ποικίλας. οἱ μὲν οὖν πολλοὶ σκευάζοντες αὐτὴν ἀμελῶς, εὐκαταφρόνητον ποιοῦσι τὸ φάρμακον. ἔστι δὲ κάλλιστον, ἐὰν ὡς γέγραπται δι' οἴνου Φαλερίνου σκευασθῇ. μὴ παρόντος δὲ τούτου, κιῤῥὸν οἶνον χρὴ βάλλειν, παλαιὸν, λεπτὸν τῇ συστάσει, καθόλου ἐγχωρεῖ κιῤῥὸν τοῦτον

CAPVT X.

Melina Heræ emplastra.

Ad strumas Heræ. Quæ ab Hera his verbis ita scripta sunt. *Melinum ad veteres sinus, & si in vacua perforati sint. Idem etiam discutit strumas, quæ in pueris nuper ortæ sunt. Facit etiam ad artus è loco motos.* ℞. argenti spumæ chrysitidis drach. c. resinæ pityinæ siccæ ℥.c. ceræ Ponticæ drach. xij. obol. iv. olei dimidium heminæ, vini Falerni heminæ dimidium. Argenti spuma ex vino læuigatur, donec siccescat; post vnà cum oleo sic coquitur, quousque mutata fuerit; & tunc resina læuis additur, ac cera coquitur, donec non inquinet. *Menœti, coloris aurei, ad teneros, maximè eunuchos facit. Aptum est Abrasis, & omni inueterato, & recenti vlceri, itidem Combustis. Est etiam malagma, discutit phymata, parotidas, strumas, & omnes duritias; valet etiam ad rhagadas & ad condylomata; valdè generosum est.* ℞. argenti spumæ ℥.c. olei veteris ℥.c. resinæ pityinæ aridæ ℥.l. vel c. ceræ ℥.l. Argenti spumā cum oleo coquito, donec vnitas fieri inceperit; mox resinam læuem indito; hac liquata, ceram, vbi bene habuerit medicamentum, in mortarium oleo prius inunctum demittito, & denuò tritum excipito. Est autem glutinans, nec polluit. *Hygiini emplastrum ad multa boni coloris; curat vlcera vix cicatricem ducentia, & paronychia, hoc melius emplastrum non extat.* ℞. argenti spumæ chrysitidis minam vnam, ceræ minam vnam, chamelæontis nigri radicis drachmas trigintasex, æruginis rasæ drachmas octodecim, chrysocollæ drach. quadraginta, olei veteris heminas tres. Argenti spuma cum oleo igne non acri coquitur, vsquedum efferuescere inceperit; deinde ærugo inspergitur cacabo deposito, atque iterum reposito, emplastrum permouetur, quousque proprium colorem receperit; postea cera; quæ vbi bene se habuerint, chrysocollam & chamęleontem assumūt: demisso iam in mortarium acetum superfunditur. Itaque prædictis affectibus bene facit etiam chrysocolla admixta, attamen sine hac mitigantissimū est, & præcipuè ad neruorum puncturas valet, itidē vbi à musculis, vel neruis abluere quid oportet. Horum trium emplastrorum, quæ Heras conscripsit, primum ex vino, & confectionem, & titulum habet; multique nostri tam præceptores, quàm amici eo sine ærugine videlicet præparato vtuntur, scripto autem ab Andromacho, & ferè omnibus, qui varia emplastra composuerunt. Proinde non pauci illorum negligenter ipsum conficientes, contemptum emplastro pariunt. Optimum verò est, si vti tradidimus, ex vino Falerno cōficiatur, cuius penuria giluum vetus, tenue substantia, quatenus potest giluum hoc esse, immiscebimus;

miscebimus; nam candida hoc peculiariter habent, vt pelluceant. Porrò præstantissima apud nos sunt in Asia tria, Tmolite vocatum, Lesbium, ac celebratissimum apud veteres Ariusium, in Chio proueniens, quo omnes ad optima medicamenta, præsertim antidotos, sicut nunc Falerno, vtebantur. Huiusmodi igitur vinum si in argenti spumam sub caniculæ æstu, vel Sole alioqui calido, mittamus, deinde teramus; vel sine Sole etiam diu teramus, vt humor resiccescat, ipsaque argenti spuma relinquatur, vel omninò madoris expers, & sicca, vel propè fiat; medicamentum optimum euadit. Vnus sanè ex præceptoribus meis, postquam in vino Falerno tritam exiccasset, hoc modo ipsam præparabat; oleum alio, vinum item alio vase calefaciens, paulatim argenti spumam superfundebat interdum vino in quo læuigatæ probeque permixtæ oleum adiiciebat; interdum ab oleo auspicatus, ad vinum transibat. Alternis autem vicibus hoc sæpius agendo vtrunque consumebat, & sic ex mortario in cacabum demittens, pityinam resinam, quàm propriè physema vocant, læuem adamussim factam addebat, mox ceram; & sensim, quoad non inficeret, decoquebat. Vtebatur eo, & ad sinus diuturnos, illinens priùs sanguine columbæ non domesticæ, sed ex eis, quæ in turribus nidum collocant (boscadas quidam nominant) quas apud nos in agris extruunt; nonnulli has agrestes vocant. Pari modo magnis vulneribus, recentibus, huiusmodi sanguine columbino illinens medicamentum imponebat, non mediocri eius confidentia. Vini autem sesquiheminam indebat, non vt Heras, & Andromachus, semissem tantùm; atque huius occasione medicamentum longè melius factum est. Cæterùm vbi ipsum voles boni odoris efficere, opopanacis semunciam, quod est denarios quatuor, miscebis. Coloris gratia ceram candidam Ponticam adiicies. Hoc medicamentum vlcera vel ad vsque cicatricem probè perducit.

CAPVT XI.

Critonis melina medicamenta.

QVæ Crito melina scripsit, buxea nominat. *Buxeum ad recentia vulnera; idem cicatricem obducit & extrahit.* ℞. spumæ argenti lib. iv. ceræ lib. iv. terebinthinæ vncias octo, æruginis ℥. octo, olei veteris sextarios ij. aceti, sextarij dimidium. Spumam argenteam, oleum, æruginem, acetum, vnà super ignem lentum incoquito; vbi verò coitura sunt, resina ceraq; adiungatur; & in vnum redactis, ad recentia vulnera potissimũ vtitor. Scripsit & aliud ante hoc Crito, quod buxeum vocat, simplex quidem quantum ad mixtorum numerũ pertinet, magnum verò pollicitis. Scripsit igitur de ipso ad verbum hoc modo. *Emplastrum ex Chamæleonte, eadem faciens, quæ Tyria. Cicatricem vlceribus difficillimis, callosis, & inueteratis, maximè inducit, medetur etiam rhagadiis digitorum, condylomati, & duritiis.* ℞. spumæ argenteæ minam j. ceræ minas vj. æruginis minas iv. chamæleontis minas viij. olei minam j. Oleo spumam argenteam coquito rudicula mouens, donec consistat, & fiat melinum; post hoc æruginem inspergito, inde ceram adiicito. Porrò vbi diligenter liquata ab igne tuleris, chamæleontem indito; quum vnitas facta est, in mortarium demittito, vbi subacta, excipito.

A ὑπάρχῃ. ἴδιον γὰρ τῶν λευκῶν τὸ διαφανές. εἰσὶ δὲ κιρροὶ κάλλιστοι παρ' ἡμῖν ἐν Ἀσίᾳ, ὅ τε Τμωλίτης καλούμενος, καὶ ὁ Λέσβιος, καὶ ὁ ἐνδοξότατος παρὰ τοῖς παλαιοῖς Ἀριούσιος ὁ ἐν Χίῳ γινόμενος, ᾧ πάντες ἐχρῶντο πρὸς τὰ κάλλιστα τῶν φαρμάκων, καὶ μάλιστα τὰ ἀντίδοτα, ὥσπερ νῦν τῷ Φαλερίνῳ. τοιοῦτον οὖν οἶνον, ἐὰν βάλλωμεν εἰς τὴν λιθάργυρον ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἢ ἄλλως ἐν ἡλίῳ θερμῷ, εἶτα τρίβωμεν, ἢ καὶ χωρὶς ἡλίου, πολλῷ χρόνῳ τρίψωμεν, ὡς ξηρανθῆναι τὸ ὑγρὸν, αὐτήν τε καταλειφθῆναι τὴν λιθάργυρον, ἢ παντελῶς ἀνικμόν τε καὶ ξηρὸν, ἢ ἐγγύς τι ταύτης, B ἄριστον γίγνεται τὸ φάρμακον. ἐσκεύαζε δὲ αὐτὴν εἷς τῶν ἐμῶν διδασκάλων, μετὰ τὸ διασκευασθῆναι ξηρὰν, ἐν οἴνῳ Φαλερίνῳ τετριμμένην, ὧδέ πως. τὸ μὲν ἔλαιον ἐν ἑτέρῳ, τὸν δὲ οἶνον ἐν ἑτέρῳ ἀγγείῳ θερμαίνων, κατὰ βραχὺ κατέχει τῆς λιθαργύρου, ποτὲ μὲν ἐπὶ τὸν οἶνον, καὶ καλῶς λειώσας, καὶ ἀναμίξας ἐπέβαλε τοῦ ἐλαίου, ποτὲ δὲ ἀπὸ τοῦ ἐλαίου ἀρξάμενος ἐπὶ τὸν οἶνον μετέβαινεν. ἐναλλὰξ δὲ τοῦτο ποιῶν πολλάκις ἑκάτερον ἐξεδαπάνα, καὶ οὕτως εἰς κακάβην κατεράσας ἐκ τῆς θυίας, ἐπέβαλλε τὴν πιτυΐνην ῥητίνην, ἣν ἰδίως καλοῦσι φύσημα, λελειωμένην ἀκριβῶς, εἶτα τὸν κηρὸν, C καὶ ἧψε κατὰ βραχὺ, μέχρις ἀμολύντου. ἐχρῆτο δὲ αὐτῷ καὶ ἐπὶ κόλπων, προχρίων αἵματι περιστερᾶς, οὐ τῶν κατοικιδίων, ἀλλὰ τῶν βοσκάδων καλουμένων ὑπό τινων εἰς τοὺς πύργους, οὓς παρ' ἡμῖν κατασκευάζουσιν ἐν τοῖς ἀγροῖς. ἔνιοι δὲ ταύτας ἀγρίας ὀνομάζουσιν. ὡσαύτως δὲ καὶ τὰ μεγάλα τραύματα πρόσφατα, διαχρίων αἵματι περιστερᾶς τοιαύτης, ἐπετίθει τὸ φάρμακον, θαρρῶν αὐτῷ σφόδρα. τοῦ δὲ οἴνου κοτύλην ἐνέβαλλε μίαν καὶ ἡμίσειαν, οὐχ ὡς ὁ Ἡρᾶς τε καὶ Ἀνδρόμαχος, ἥμισυ μόνον τῆς κοτύλης, καὶ κατὰ τοῦτο βέλτιον πολὺ τὸ φάρμακον ἐγίγνετο. βουληθεὶς δὲ εὐῶδες αὐτὸ ποιῆσαι, μίξεις D ὀποπάνακος ἡμιούγκιον ὅπερ ἐστὶ < δ'. ἔμβαλλε δὲ χάριν τῆς εὐχροίας τὸν λευκὸν κηρὸν τὸν Ποντικόν, τὸ φάρμακον τοῦτο καὶ μέχρι συνουλώσεως ἄγει καλῶς τὰ ἕλκη.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Κρίτωνος μήλινα φάρμακα.

ΠΕρὶ ὧν Κρίτων ἔγραψε μηλίνων, ἃς αὐτὸς πυξίνας ὀνομάζει. Πυξίνη πρὸς τὰ νεότρωτα. ἡ δ' αὐτὴ ἐπουλοῖ, καὶ ἐπισπᾶται. ℞. λιθαργύρου λίτρας δ'. κηροῦ λίτρας δ'. E τερμινθίνης οὐγγίας η'. ἰοῦ οὐγγίας η'. ἐλαίου παλαιοῦ ξέστας β'. ὄξους ξέστου ἥμισυ, λιθάργυρον, ἔλαιον, ἰὸν, ὄξος ἕψε ὁμοῦ ἐπὶ μαλακοῦ πυρός. ὅταν δὲ μέλλῃ συστρέφεσθαι, βάλλε ῥητίνην, κηρὸν, καὶ ἑνώσας χρῶ μάλιστα ἐπὶ νεοτρώτων. Ἔγραψε δὲ καὶ ἄλλην ὁ Κρίτων πρὸ ταύτης, ἣν ὀνομάζει πυξίνην, ἁπλῆν μὲν, ὅσον ἐπὶ τῷ τῶν μιγνυμένων ἀριθμῷ, τῇ δ' ἐπαγγελίᾳ μεγάλην. γράφει γοῦν ἐπ' αὐτῇ κατὰ λέξιν οὕτως. Ἡ διὰ χαμαιλέοντος, ποιοῦσα τὰ αὐτὰ τῇ Τυρίᾳ. ἔστι δὲ ἐπουλωτικωτάτη τῶν δυσαλθῶν, καὶ τυλωδῶν, καὶ χρονίων ἑλκῶν, ἰᾶται δὲ καὶ τὰς ἐν τοῖς δακτυλίοις ῥαγάδας, καὶ κονδυλώματα, F καὶ σκληρίας. ℞. λιθαργύρου μνᾶν α'. κηροῦ μνᾶς ϛ'. ἰοῦ μνᾶς δ'. χαμαιλέοντος μνᾶς η'. ἐλαίου μνᾶν α'. ἔλαιον, λιθάργυρον ἕψε κινῶν σπάθῃ ἕως οὗ συστῇ καὶ γίνηται μηλίνη. τούτου δὲ γινομένου, ἰὸν ἐπίπασον, ἔπειτα πρόσβαλε κηρὸν, τήξας δὲ ἐπιμελῶς, καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίπασον τὸν χαμαιλέοντα. ὅταν δὲ ἑνωθῇ, κατέρασον εἰς θυίαν, καὶ μαλάξας, ἀνελοῦ.

A Γέγραφε δὲ καὶ ἄλλας ὁ Κρίτων τινὰς ἐμπλάστρους ἐν τῷ τετάρτῳ τῶν φαρμάκων, πυξίνας μὲν, ὡς αὐτὸς ὀνομάζει, μηλίνας δὲ κατὰ τοὺς ἄλλους, ἀλλά τινες μὲν αὐτῶν χωρὶς ἰοῦ συντίθενται, τινὲς δὲ λαμβάνουσι μὲν ἰόν. ἀλλ' ἐν ἑτέρῳ γένει φαρμάκων εἰρήσονται, κατὰ τὰς τῆς δυνάμεως ὁμοιότητας, ἐν ταῖς ἐπουλωτικαῖς, αἱ ἐπουλωτικαὶ, ἐν δὲ ταῖς διὰ χυλῶν, αἱ διὰ χυλῶν, ἐν δὲ ταῖς μαλακτικαῖς, ὅσαι μαλάττειν πεφύκασιν, ὥσπερ καὶ ἡ τοῦ Μνασαίου πολυειδῶς ὑπ' αὐτοῦ σκευαζομένη, κατὰ τὸ προκείμενον βιβλίον. νῦν οὖν ἤδη καιρὸς ἐπὶ τὰς κολλητικὰς μεταβῆναι, διαφερούσας κατὰ χρόαν ἀλλήλων τε καὶ μηλίνων. B

Iam verò & alia quædam emplastra Crito tradidit in quarto medicamentorum volumine, Buxea quidem, vt ipse nuncupat; melina verò, vt alij; attamen nonnulla ex iis extra æruginem componuntur; nonnulla æruginem quidem assumunt, sed in alio medicamentorum genere pro facultatis, seu virium similitudine dicentur, in Epuloticis, Epulotica; in iis quæ succis constant, ex succis composita, in mollientibus, illa quæ mollire nata sunt; quemadmodum & Mnasæi emplastrum multifariam ab eo in hoc opere conficitur. Nunc igitur ad glutinantia ire iam tempus est, colore inuicem & à melinis, differentia.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν κιῤῥῶν ἐμπλάστρων, ἃς διχρώμους ὀνομάζουσιν.

Ἔνιαι μὲν ἐκ τῆς αὐτῆς ὕλης σύγκεινται, ταῖς τὸν ἰὸν ἐχούσαις μηλίναις, ὡς καὶ πρόσθεν ἔφην, ἑνὶ μόνῳ διαφέρουσαι τῷ μέχρι πλείονος ἡψῆσθαι. πᾶσαι γὰρ διὰ τὸν ὠμὸν ἰὸν χλωραὶ, μήλιναι μὲν γίγνονται, μετρίως ἑψηθέντος αὐτοῦ, κιῤῥαὶ δὲ πλέον. εὔδηλον οὖν ὅτι πλέον ἔλαιον ἀναγκαῖόν ἐστιν ἔχειν C τάς μηλίνας τε καὶ τὰς κιῤῥὰς τῶν χλωρῶν, εἰ καὶ πάντα τὰ ἄλλα ἔχοιεν ταὐτά. καὶ διὰ τοῦτο ἐμβάλλειν προσήκει τῇ κακκάβῃ, πρῶτον μὲν τὴν λιθάργυρον, ἄχρι γλοιώδους συστάσεως ἑψηθησομένην, ἐφεξῆς δὲ τὸν ἰόν. καὶ μετ' αὐτὸν, εἴ τι τῶν μεταλλικῶν ἐμβάλλοιτο, καθάπερ ὁ κεκαυμένος χαλκὸς, καὶ ἡ λεπὶς αὐτοῦ, κἀπειδὰν παχυνθῇ, τηνικαῦτα κηρὸν, καὶ ῥητίνην, εἰ καὶ ταῦτα λαμβάνοι τὸ φάρμακον. ἐπὶ τέλει δὲ λίβανωτόν τε καὶ σμύρναν, καὶ ἀλόην καὶ ὅσα τἄλλα τοιαῦτα, καθάπερ τὴν ἐνδοξοτάτην τῶν κιῤῥῶν, ἣν ὀνομάζουσι διὰ δικτάμνου, τῶν ἱερῶν ὀνομαζομένων καὶ αὐτὴν, ὥσπερ ἡ Ἶσις, ἐπειδή φασιν αὐ- D τὰς ἐκ τῶν ἱερῶν τῶν ἐν Αἰγύπτῳ κομισθῆναι. πολύχρηστος μὲν οὖν ἐστιν αὕτη, καὶ διὰ τοῦτο κατὰ τὸν ἑξῆς λόγον ἅμα τοῖς πολυχρήστοις γεγράψεται. Νυνὶ δὲ περὶ τῶν ἄλλων κιῤῥῶν, ὅσαι τ' ἀκριβῶς ἁπλαῖ καὶ ὅσαι μεταξὺ τούτων τε καὶ τῶν πολυχρήστων εἰσὶ, τὸν λόγον ποιήσομαι. καθάπερ οὖν ἁπλαῖ χλωραὶ, διὰ κηροῦ τε καὶ ῥητίνης, ἐλαίου τε καὶ ἰοῦ συνετίθεντο, κατὰ τὴν εἰρημένην ἐπ' αὐτῶν συμμετρίαν, οὕτως αἱ κιῤῥαὶ προσλαβοῦσαι λιθάργυρον, ἐλαίου τε πλέον, ἢ αἱ χλωραὶ, τὴν σύνθεσιν ἔχουσιν. ἐὰν μὲν οὖν ἐπὶ πλέον ἑψηθῆναι βουληθῇς τὴν ἔμπλαστρον, αὐξήσεις τε τὸ ἔλαιον, ἕξεις τε τὸ φάρμακον ξηραντικώτερον, καὶ διὰ τοῦτο τῶν ἐναίμων τραυμάτων κολλητικώτερον. E ἐὰν δὲ συμμέτρως, ἀρκεῖ τοσοῦτον εἶναι τὸ ἐλαίου μέτρον, ὅσον σταθμὸν τοῦ λιθαργύρου. λίτρας γὰρ ἐλαίου τὴν Ῥωμαϊκὴν μετρήσαντες, εἰς λίτραν λιθαργύρου τὴν σταθμικὴν ἐμβαλοῦμεν. ἐὰν δ' ἐπὶ πλέον ἑψηθῆναι βουλώμεθα τὸ φάρμακον, οὐ μόνον μίαν καὶ ἡμίσειαν ἐλαίου λίτραν ἐμβαλοῦμεν, ἀλλὰ καὶ δύο καὶ πλείους. ξηραντικώτεραι δὲ τῶν οὕτω σκευαζομένων κιῤῥῶν ἐμπλάστρων εἰσὶν, ὅσαι μηδ' ὅλως ἔχουσι ῥητίνην καὶ κηρὸν, ἀλλὰ διὰ τῶν μεταλλικῶν καλουμένων μόνον σύγκεινται, καθάπερ ἄλλοι τέ τινες τῶν ἔμπροσθεν ἔγραψαν τοιαύτας. ἥ τε ἐγὼ χρῶμαι διὰ παν- F τὸς ὑπ' ἐμοῦ συντεθεῖσα, κατὰ τόνδε τὸν τρόπον ἑψομένη. Τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου προεψήσας ἐπεμβάλλω τὰ μεταλλικὰ λελειωμένα μετ' ὄξους, καὶ οὕτως ἕψω ἄχρις ἀμολύντου. βάλλω δὲ τοῦ μὲν ἐλαίου λίτρας δ'. ὅσῳ δ' ἂν ᾖ παλαιότερον, τοσούτῳ ἔσται βέλτιον, καὶ μᾶλλον ἐὰν ᾖ Σαβῖνον. τοῦ λιθαργύρου δὲ λίτρας γ'.

CAPVT XII.

De giluis emplastris, quæ & dichroma, idest bicolora, dicuntur.

Quædam ex eadē materia constant, qua ęruginem habentia melina, sicut prius quoque diximus, hoc solo differentia, quòd diutius coquātur; omnia siquidē propter crudam æruginem viridia, fiunt melina, vbi mediocriter ipsa cocta fuerit; gilua, vbi liberalius. Manifestum igitur, melina, giluaq; oleum copiosius quàm viridia necessariò habere, etsi reliqua omnia eadem recipiant. Atq; huius gratia primùm spuma argenti cacabo iniicienda est, in quo tātisper coquetur, dum sordium crassitudinem consequatur; mox ærugo, deinde si metallicum aliquod ceu æs cōbustum, eiusq; squama, immittatur. Ac quando spissitudinem acceperint, tunc ceram & resinam, si hæc etiam medicamentum recipiat, indere cōueniet; postremò thus, myrrham, aloën, aliaque id genus; sicut celeberrimum giluum, quod ex dictamno vocatur, sacrum & ipsum appellatum, velut Isis, quoniam aiunt ea ex sacris Ægypti locis esse allata. Vsum igitur hoc præstat multiplicem, proinde in sequenti sermone simul cum iis quæ ad plura valent, paulo post describetur. In præsentia de aliis giluis, tum omnino simplicibus, tum iis quæ inter hæc & polychresta, idest multipliciter vtilia, consistunt, verba facturi sumus. Vt igitur viridia emplastra simplicia ex cera, resina, oleo, & ærugine, conficiebantur iuxta dictam illic symmetriam, sic gilua ex argenti spuma & oleo copiosiore, quā in viridibus, sumpto cōponuntur. Itaq; si emplastrum largiùs voles coquere, augeasq; oleum, medicamentum habiturus es, quod magis siccet, ideoque vulnerum cruentorum glutinantius; sin autem mediocriter, tantam olei mensuram, quantum argenti spumæ pondus esse sufficit; libram enim olei mensuralem Romanorum in argenti spumæ libram ponderalē iniiciemus. Iam si medicamentū plenius incoquere placet, non solùm lib. j. ß. sed etiam duas & plures immittemus. Porrò inter hæc gilua emplastra sic præparata plus siccant, quæ nec resinam, nec ceram omnino habent, sed ex solis, vt vocant, metallicis conficiuntur; quemadmodum alij quoq; nonnulli ex prioribus alia scripserunt. Cæterùm quo ego semper mea industria composito vtor, in hunc modum coquitur. *Giluum ex metallicis.* Argenti spumæ cum oleo prius coctæ metallica ex aceto læuigata immitto, & sic coquo, donec non inficiat. Addo his olei libras quatuor, hoc autem quanto vetustius, tanto erit melius, magisque si id fuerit sabinum, argenteæ spumæ libras tres, aceti

aceti quàm acerrimi libras duas; horum trium metallicorum, squamæ æris nigri, æruginis, chalcitidis, singulorum æquale pondus, nimirum vncias duas, hoc est, drach. sedecim. At quum vetus oleum existit, crassumque ex vetustate, quatuor libras & dimidiam immittito. Nos & quinq; interdum, idque per hyemem indidimus, non ignari hyeme plus olei, quàm per æstatem, immiscendum. At argenti spumam priùs videlicet coques, donec sordium crassitudinem recipiat. Quòd si & oleum cicinum habeas, id pro vetere vsurpato. Medicamentum hoc cruenta vulnera facilè glutinat, magisq; in duris corporibus, quàm mollibus, cuiusmodi sunt mulierum, puerorum, & eunuchorum; dilutum quoque ex oleo cicino, vel veteri, ac linteo exceptum impositumque, mirum est, quàm vlcera curatu difficillima concoquat, quæ pus nequaquam faciunt. Ad hæc sinus conglutinat, & fistulas astringit, exiccat, & prorsus claudit. Atque vbi iam ipsum hæc pulchrè velis efficere, metallica pluribus diebus aceto longè acerrimo conterito, ac potius in Sole; pari modo argenti spumam tritam exiccatamque, & oleo postea mixtam, eo quo dixi modo incoquito. Attamen ad vlcera, quibus cicatrix difficulter induci potest, metallica sic elaborari, & argenti spumam ita conterere, non est necessum; etenim sine his quoque, cicatrici ducendæ promptius, illud euadit. Adiiciatur autem tunc ei diphrygis, & chrysocollæ, singulorum vncia. At hæc non simul cum spuma & ærugine committuntur, vti nec vbi iam coctum medicamentum fuerit omnino, sed eo quod intercedit, tempore. Tantam enim huiusmodi medicamenta coctionem requirunt, vt exactè cum prioribus in vnum coeant; quod mediocri interuallo accidit, neque multo antè, nec paulo minus, quàm cacabus ab igne tollatur. Solùm itaque hoc emplastrum fistulas, sinus, & magna vulnera, glutinare potest. Iuuat ipsum spongia recens, non dura, veteri vino respersa. Deligatura in sinibus ab imo fiat, ligamento ad orificium perueniente, sicut in sermone de fistulis clariùs ostendetur.

A καὶ ὄξους δριμυτάτου λίτρας β'. μεταλλικὰ δὲ τρία τάδε, λεπίδα χαλκοῦ μέλανος, ἰοῦ τε καὶ χαλκίτιδος, ἴσον ἑκάστου σταθμὸν ἀνὰ οὐγγίας β'. ὅπερ ἐστὶ δραχμαὶ ἑκκαίδεκα. παλαιὸν δ' ὅταν ᾖ τὸ ἔλαιον, καὶ παχὺ διὰ τὴν παλαιότητα, τέτταρας καὶ ἥμισυ λίτρας ἐμβάλλῃς, ἐγὼ δὲ καὶ ε'. ποτὲ καὶ διὰ τοῦτο ἐνέβαλον ὄντος χειμῶνος. ἴσμεν γὰρ, ὅτι πλέον ἐν χειμῶνι βάλλεται τὸ ἔλαιον, ἤπερ ἐν θέρει. προεψήσεις δὲ δηλονότι τὴν λιθάργυρον, ἄχρι γλοιώδους συστάσεως. ἐὰν δὲ καὶ κίκινον ἔχῃς ἔλαιον, ἀντὶ τοῦ παλαιοῦ ἔμβαλλε αὐτό. τοῦτο τὸ φάρμακον, ἔναιμα τραύματα κολλᾷ ῥᾳδίως, καὶ μᾶλλον ἐπὶ τῶν σκλη-
B ρῶν σωμάτων, ἤπερ ἁπαλῶν τε καὶ γυναικωδῶν, καὶ παιδίων, ὁποῖα καὶ τὰ τῶν εὐνούχων ἐστὶν, ἀνιέμενόν τε δι' ἐλαίου κικίνου, ἢ παλαιοῦ. καὶ ἔμμοτον ἐπιτιθέμενον θαυμαστὸν ὅπως πέττει τὰ δυσιατότατα τῶν ἑλκῶν, ὅσα μηδ' ὅλως πύον ἐργάζεται. κολλᾷ δὲ καὶ κόλπους, καὶ σύριγγας προστέλλει, καὶ ξηραίνει, καὶ κλείει τελέως. καὶ ὅταν γε ταῦτα καλῶς ἐργάζεσθαι βουληθῇς αὐτό, δι' ὄξους δριμυτάτου τὰ μεταλλικὰ τρῖψον ἡμέραις πλείοσι, καὶ μᾶλλον ἐν ἡλίῳ. καὶ τὴν λιθάργυρον δ' ὡσαύτως τρίψας καὶ ξηράνας, εἶτα μίξας τῷ ἐλαίῳ, καθ' ὃν εἴρηται τρόπον ἕψε. πρὸς μέντοι τὰ δυσεπούλωτα τῶν ἑλκῶν
C οὐκ ἀναγκαῖον οὕτως κατεργάζεσθαι τὰ μεταλλικὰ, καὶ τὴν λιθάργυρον ἐν τῇ τρίψει. καὶ γὰρ καὶ χωρὶς τούτων, ἐπουλωτικώτερον γίνεται. προσέμβαλλε δ' αὐτῷ τηνικαῦτα, καὶ διφρυγοῦς οὐγγίαν, καὶ χρυσοκόλλης οὐγγίαν. βάλλεται δὲ οὐχ ἅμα τῇ λεπίδι, καὶ τῷ ἰῷ ταῦτα, καθάπερ οὐδ' ὅταν ἑφθὸν ἤδη τελέως ᾖ τὸ φάρμακον, ἀλλ' ἐν τῷ μεταξὺ καιρῷ. τοσαύτης γὰρ ἑψήσεως δεῖται τὰ τοιαῦτα τῶν φαρμάκων, ὡς ἀκριβῶς ἑνωθῆναι τοῖς προϋπάρχουσιν, ὃ διὰ συμμέτρου γίγνεται χρόνου, μήτε λίαν πολὺ πρὸ τῆς ἄρσεως τῆς κακκάβης, μήτ' ἐγγὺς αὐτῆς. καὶ μόνη μὲν οὖν ἡ ἔμπλαστρος αὕτη, σύριγγάς τε καὶ κόλπους, καὶ
D τὰ μεγάλα τραύματα κολλᾶν ἐστιν ἱκανή. συνεργεῖ δ' αὐτῇ καὶ σπόγγος καινὸς μὴ σκληρὸς, οἴνῳ παλαιῷ βεβρεγμένος. ἡ δ' ἐπίδεσις ἐπὶ τῶν κόλπων, ἀπὸ τοῦ πυθμένος γιγνέσθω, πρὸς τὸ στόμιον ἀφικνουμένου τοῦ ἐπιδέσμου, καθότι δηλωθήσεται σαφέστερον ἐν τῷ περὶ συρίγγων λόγῳ.

CAPVT XIII.

De iis quæ cicatricem obducunt.

EMplastra cicatricem inducentia, siue synulotica, siue epulotica, nominare velis, sicut etiam alia medicamenta epipasta, idest quæ insperguntur, & quæ linamentorum vsu apponuntur, nihil vt ad curationes eorum, differentiæ affert, si qualis quodq; facultatis medicamentum huiusmodi esse debeat memineris; quam simul cum reliquis omnibus in therapeutices Methodi libris explicauimus. Quãto enim agglutinantia carnem generantibus, siccare magis ostensa sunt, tanto agglutinantibus epulotica; nam ipsorũ beneficio carnẽ cauis vlceribus generatã cutem reddere statuimus; ob quod etiã tale medicamentorũ genus, siue illinendum, siue inspergendum sit, astringere oportet. Hic autem illorum duntaxat emplastrorum mentionem facere cogitamus, siquidem ea quæ linamentis excepta imponuntur medicamenta, ex his, rosaceo, vel myrteo liquatis, fiunt. Atque myrteum rosaceo hoc magis conducit, quò vehementiùs astringit. At si neutrũ habeas, ex cyprino, lentiscino, & melino, liquãda sunt; si his quoq; careas,

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῶν ἐπουλωτικῶν.

ΕΙ τ' ἐπουλωτικὰς, εἴ τε συνουλωτικὰς ἐθέλεις ὀνομάζειν,
E τὰς οὐλὴν ποιούσας ἐμπλάστρους, ὡσαύτως δὲ καὶ τἄλλα φάρμακα τά τ' ἐπίπαστα, καὶ τὰ διὰ μοτῶν χρήσεως προσφερόμενα, διήνεγκεν ὡς οὐδὲν πρὸς τὰς ἰάσεις αὐτῶν, εἰ μεμνημένος εἴης τῆς δυνάμεως, ὁποίας εἶναι προσήκει τῶν τοιούτων φαρμάκων, εἰρημένης ἅμα ταῖς ἄλλαις ἁπάσαις ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. ὅσῳ γὰρ αἱ κολλητικαὶ τῶν σαρκωτικῶν ἐδείχθησαν εἶναι ξηραντικώτεραι, τοσούτῳ τῶν κολλητικῶν αἱ ἐπουλωτικαί. πρόκειται γὰρ ἡμῖν ἐν αὐταῖς, τὴν γεννηθεῖσαν ἐν τοῖς κοίλοις ἕλκεσι σάρκα, δέρμα ποιῆσαι. διὸ καὶ στύφειν χρὴ τὸ τοιοῦτον γένος τῶν φαρμάκων, εἴ τ' ἐπίχριστον,
F εἴ τ' ἐπίπαστον εἴη. προκείμενον δ' ἡμῖν ἐνταῦθα τῶν ἐμπλάστρων ἐκείνων μόνον μνημονεῦσαι. καὶ γὰρ τὰ διὰ τῶν μοτῶν ἐπιτιθέμενα φάρμακα, τούτων τηκομένων ἐν ῥοδίνῳ, ἢ μυρσίνῳ γίγνεται. καὶ μᾶλλόν γε τὸ μύρσινον τοῦ ῥοδίνου χρησιμώτερον, ὅσῳ καὶ στυπτικώτερόν ἐστιν. εἰ δὲ μηδ' ἕτερον ἔχοις τούτων, διὰ κυπρίνου, καὶ σχινίνου, καὶ μηλίνου τηκτέον· εἰ δὲ μὴ τούτων ἔχοις τι,

δι' ὠμοτριβοῦς ἐλαίου, ἢ τοῦ ἀπὸ τῆς Ἰβηρίας, ὃ καλοῦσιν Σπανόν. A ὅταν δὲ μηδὲ τοῦτ' ἔχῃς, θαλλοὺς ἐλαιῶν ἁπαλοὺς θλάσας, ἐμβαλεῖς ἑτέρῳ τινὶ τῶν ἐπιτυχόντων ἐλαίων. εἰ δὲ καὶ τούτων ἀπορεῖς, ἄμεινον ἐλαίῳ παλαιῷ τήκειν. τὸ γοῦν ξηραντικώτερον γίνεσθαι τὸ φάρμακον, ἐκ τούτου ἔχοις. οἱ μὲν οὖν πολλοὶ τῶν ἰατρῶν, ἀφίστανται τῶν ἐκ παλαιοῦ χρόνου πεῖραν ἱκανὴν δεδωκότων φαρμάκων ἅπασι τοῖς ἀρίστοις ἰατροῖς, καὶ διὰ τοῦτο ἐνδόξων γενομένων, ὅπως δοκῶσιν αὐτοὶ βέλτιόν τι παρὰ τοὺς ἔμπροσθεν ἔχειν. εἰδέναι δὲ χρή, τῶν ἐνδόξων φαρμάκων ἃ παρὰ πᾶσιν ἐπῄνηται, τό τε διὰ καδμείας, καὶ τὸ διὰ τοῦ λαδάνου φάρμακον ἄριστον εἰς ἐπούλωσιν. οὐ παρὰ πᾶσι δὲ τοῖς B ἰατροῖς ἡ τῶν μιγνυμένων ἁπλῶν φαρμάκων ὡμολόγηται συμμετρία. διὰ τοῦτ' οὖν ἔδοξέ μοι γράψαι τὰς ἑκάστῳ τῶν γραψάντων αὐτὰς ἀρεσκούσας, ἀπὸ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων, ἀρξαμένῳ κατὰ τὸ τρίτον τῶν ἐκτὸς, ἃ Μαρκέλλας ἐπιγράφει.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῶν ἐπουλωτικῶν ἐμπλάστρων Ἀσκληπιάδης οὕτως γράφει.

C

Τῶν δὲ κατὰ μέρος ἑλκῶν, χωρὶς ἑτέρας διαθέσεως ἤδη πρὸς οὐλὴν ῥεπόντων, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. Ἡ διὰ καδμείας ἐπουλωτική. ταύτῃ ἐχρήσατο ὁ Καθηγητὴς Λούκιος. ℞. καδμείας κεκαυμένης, καὶ οἴνῳ κατεσκευασμένης, χαλκίτεως ὀπτῆς ἀνὰ < ιϛ'. κηροῦ < π'. κολοφωνιακῆς πίσσης οὐγγίας η'. οἴνου Ἰταλικοῦ τὸ αὔταρκες. τρῖβε χαλκῖτιν καὶ τὴν καδμείαν μετ' οἴνου, ὥστε ὑγρᾶς κηρωτῆς ἔχειν τὸ πάχος. τὸν δὲ κηρὸν κατακλάσας, καὶ τὴν ῥητίνην, καὶ βαλὼν εἰς ἀγγεῖον κεραμεοῦν, καὶ τούτοις ἐπιβαλὼν μυρσίνου λίτραν α'. τίθει ἐπ' ἀνθράκων κινῶν συνεχῶς. καὶ ὅταν δὲ λυθῇ, ἄρας ἀπὸ τοῦ D πυρὸς, ἔα ψυγῆναι, καὶ ἀναξύσας, ἐπίβαλλε τοῖς λεανθεῖσι, καὶ μίξας ἀνελόμενος χρῶ, διαλύων μυρσίνῳ ἐλαίῳ. ἡ κρᾶσις ἔστω κατάλληλος τῇ διαθέσει. Ἄλλη διὰ καδμείας. ℞. καδμείας ὀπτῆς, χαλκίτεως ὀπτῆς, διφρυγοῦς ἀνὰ < ιϛ'. κηροῦ, ῥητίνης φρυκτῆς, ἐλαίου μυρσίνου ἀνὰ ἡμίλιτρον, οἴνου Ἰταλικοῦ ὅσον ἐξαρκεῖ, σκεύαζε καθὰ προείρηται, καὶ χρῶ, ποτὲ μὲν ἀνιεμένῳ, ποτὲ δὲ ἀκράτῳ τῷ φαρμάκῳ. Ἄλλη. ℞. λιθαργύρου, ψιμμυθίου, καδμείας, διφρυγοῦς, ῥητίνης ἀνὰ < η'. χαλκίτεως < β'. κηροῦ < η'. μυρσίνου τὸ αὔταρκες, οἴνου Ἀμιναίου ὅσον ἐξαρκεῖ. E Ἄλλη Εὐφράνορος. ℞. διφρυγοῦς, μίσυος ὀπτοῦ ἀνὰ < η'. χαλκίτεως ὀπτῆς, μολυβδαίνης ἀνὰ < β'. καδμείας < α'. κηροῦ < ϛ'. κολοφωνίας οὐγγίας γ'. μυρσίνου λίτρας ϛ'. οἴνου Ἰταλικοῦ τὸ αὔταρκες. Ἄλλη ἡ διὰ τοῦ λαδάνου, φάρμακον ἐπιτετευγμένον, οὐ μόνον ἐπουλοῦσα, ἀλλὰ καὶ τύλους ἐκκόπτουσα, καὶ τὰς κακουργίας κατορθοῦσα. ℞. χαλκίτεως, λιθαργύρου, λαδάνου, ἀνὰ < κδ'. ἀσφάλτου < η'. κηροῦ < οβ'. μυρσίνου κοτύλην μίαν. οἱ δὲ < ιη'. οἴνου κοτύλην μίαν. σκεύαζε κατὰ τρόπον. ἐν δὲ τῇ χρήσει, χρῶ καὶ σπληνίῳ, καὶ ἀνιεμένῃ. F Ἄλλη. ℞. λιθαργύρου < ρ'. πίσσης < ν'. λαδάνου < κε'. ἰοῦ ξυστοῦ, χαλκοῦ κεκαυμένου ἀνὰ < η'. ἐλαίου μυρσίνου λίτρας β'. λεπίδος χαλκοῦ < δ'. σκεύαζε, καὶ χρῶ. Ἄλλη, ἡ πυρίκαυστος λεγομένη, ἐκ τῶν Ἀτταλικῶν δυνάμεων, φάρμακον ἐπιτετευγμένον. ℞. ἐλαίου κοτύλην α'. στυπτηρίας σχιστῆς, μάννης, λιβανωτοῦ, λιθαργύρου, χαλβάνης ἀνὰ < α'. κηροῦ < κδ'. ἀγχούσης < η'.

ex omphacino, vel eo, quod ab Hispania portatur, Hispanũ nominãt; vbi nec huius copia adsit, teneros oliuarũ surculos cõtusos alij cuipiã vulgari oleo adm iscebis; quòd si hos etiã desideres, pręstat oleo vetere liquefacere, hinc enim medicamẽtũ siccãdi virtute augebis. Proinde pleriq; medicorum à medicamentis, quæ optimi quiq; medici longi tẽporis experientia satis probarũt, eoq; nobilia reddiderũt, hac ratione solùm abstinẽt, vt ipsi melius quippiam præter maiores habere videantur. Attamen sciendũ est, his ipsis celebrib. medicamẽtis, quæ ab omnibus laudãtur, haud facilè aliorũ vllũ reperiri, quod sit pręstatius. Ab antiquo igitur laudata sunt, tum quod ex cadmia, tũ quod ex ladano inscribitur, ad cicatricem ducendã vtrunque esse præstantissimũ. Quanquam apud omnes mixturæ simplicium medicamentorum symmetriam eandem non sit inuenire. Quapropter visum mihi est eas, quæ cuique scriptori placent, describere, auspicati à proditis ab Asclepiade in tertio de Exterioribus commentario, quæ Marcellas inscribit.

CAPVT XIV.

De epuloticis emplastris Asclepiades sic scribit.

POsteaquam vlcera particularia sine alia dispositione ad cicatricem iam tendunt, vtendum est iis compositionibus, quæ infra scribuntur. *Emplastrum ex cadmia, ad cicatricem ducendam. Hoc Lucius Cathegetes, idest præceptor, vsus est.* ℞. cadmiæ vstæ & ex vino præparatæ, chalcitidis tostæ, singulorum drach. xvj. ceræ drach. lxxx. picis colophoniacæ ℥. viij. vini Italici quod satis est. Chalcitis & cadmia ex vino terantur, vt humidi cerati spissitudinem habeant; ceram & resinam perfractam in vas fictile immittito, atque his olei myrtei pondo libram adiicito: deinde carbonibus superponito, mouens sine requie; quum soluta fuerint ab igne tollito; vbi refrixerint, radito, læuigatisque indito, ac mixta excipito. In vsu oleo myrteo subigito; temperatura dispositioni respondeat. *Aliud ex cadmia.* ℞. cadmiæ tostæ, chalcitidis tostæ, diphrygis, singulorum ʒ. xvj. ceræ, resinæ frictæ, olei myrtei, singulorum selibram, vini Italici quantum satis est. Præpara quomodo dictum est; ac vtitor nunc diluto, nunc mero medicamento. *Aliud.* ℞. argenti spumæ, cerussæ, cadmiæ, diphrygis, resinæ, singulorum ʒ. viij. chalcitidis ʒ. ij. ceræ ʒ. viij. myrtei olei quod sufficit, vini aminæi quod satis est. *Aliud Euphranoris.* ℞. diphrygis, misyos tosti, singulorum ʒ. viij. chalcitidis tostæ, molybdænæ, singulorum ʒ. ij. cadmiæ ʒ. j. ceræ ʒ. vj. colophoniæ ℥. iij. myrtei libras vj. vini Italici quod satis est. *Aliud ex ladano accommodatum medicamentum, non solum cicatricem ducens, sed etiam callos excindens, & male curata instaurans.* ℞. chalcitidis, argenti spumæ, ladani, singulorum ʒ. xxiv. bituminis ʒ. viij. ceræ ʒ. lxxij. myrtei heminam vnam, alij ʒ. xviij. vini heminam j. Præparato in modum prædictum, quum res exigit, & splenio, & diluto vtitor. *Aliud.* ℞. argenti spumæ ʒ. c. picis ʒ. l. ladani drachmas xxv. æruginis rasæ, æris vsti, singulorum ʒ. viij. olei myrtei lib. ij. æris squamę ʒ. iv. conficito, ac vtitor. *Aliud, quod pyricaustos dicitur, ex Attalicis virtutibus medicamentum accommodatum.* ℞. olei heminã j. aluminis scissilis, mannæ, thuris, argenti spumę, galbani, singulorũ ʒ. j. cerę ʒ. xxiv. anchusę ʒ. viij. medullę

medullæ ceruinæ, adipis suilli, æruginis, cerussæ, singulorum drachmas duas, ouorum trium lutea. Quæ liquari possunt, siccis immiscentur. Hoc medicamento aliàs diluto, aliàs mero vtitor. *Aliud medicamentum accommodatum. Facit ad vetera, ac sanatu difficilia.* ℞. cerussæ, argenti spumæ, aluminis fissilis, mannæ, galbani, thuris, medullæ ceruinæ, & vitulinæ, singulorum drachmas iv. ceræ, anchusæ, ouorum luteorum, singulorum drach. octo, olei heminas iv. Medullas diligenter tundito, & liquato cum iis quæ liquefieri possunt, mouens anchusa, ex qua possint ea colorari; deinde ab igne sublata, & in aliud vas coniecta, refrigerari finito; derasa siccis immisceto, deinde in vsum excipito. *Candidum, quod magnum dicitur; medicamentum accommodatum. Valet & ad diuturna vulnera, & quæ vix cicatricem recipiunt, item Scabiosos affectus; benefacit & sedis vitiis rosaceo aut myrtino dilutum.* ℞. argenti spumæ drac. c. ceræ drach. l. cerussæ drach. c. terebinthinæ drach. xxv. thuris ʒ. xxv. aluminis scissilis drachmas xij. olei heminas duas. Componito simili modo; & vtitor interdum emplastro, interdum diluto medicamento. *Aliud, cui nomen est Pamphilion, ad idem. Insuper sinus conglutinat, & fistulis callum exterit. Valet ad vlcerum fluxiones, tum ad diuturna, & dysepulota, Scabiemque sanat, tollit sugillata, benefacit caput dolentibus, & oculorum Epiphoris fronti impositum, nec minus sedi conuenit dilutum rosaceo, vel myrteo. Cæterùm in hunc modum componitur.* ℞. argenti spumæ drachmas centum, ceræ drachmas quinquaginta, terebinthinæ drachmas vigintiquinque, thuris drachmas vigintiquinque, cerussæ drach. centum, aluminis fissilis drachmas xvj. piperis albi ʒ. iij. olei veteris heminas duas. Liquato, vt dictum est, nunc diluto medicamento, nunc emplastri modo vtens. Nam in capitis manantibus vlceribus, quæ achores Græcis dicuntur, & oculorum asperitatibus, vel in iis quas epinyctidas vocant, vel ani vitiis, dilutum medicamentum myrteo, vel lentiscino illinitur. *Aliud Telamonis medicamentum accommodatum. Facit & ad carbunculos, sinus exiccat immissum, vel instillatum. Ad hæc cicatricem probè inducit.* ℞. pityinæ, ceræ, calcis viuæ, argenti spumæ, singulorum ʒ. l. cerussæ ʒ. xxv. olei heminæ dimidium. Argenti spumam oleumque, dum in vnum coëant, incoquito, mox ceram, inde resinam. Porrò calci & cerussæ in læuorem redactis liquabilia indito. Dum vteris, oleo cineri calido superposito, medicamentum confringendo iniicito, vbi incaluerit, mortario superfundito, & diligenter subigito, donec sordium spissitudo fiat. Ab igne deposito vtitor tanquam maximo medicamento, aliàs pennis illinens, aliàs instillans. Cæterùm carbunculis vocatis linteolo illitum adhibeto. *Aliud Moschionis, celebre ad quælibet à callo vindicanda, & cicatrice obducenda; idem & sedi prodest insigniter.* ℞. argenti spumæ, cerussæ, calcis viuæ, singulorum drachmas viij. medullæ ceruinæ, ceræ, vtriusque drach. xvj. olei myrtei quantum satis est; quæ liquari possunt, aridis immiscentur, & mollita sedulo in pastillos digeruntur. Quum vti voles, prius aqua, vel lacte diluetur quantum habet, vt sordium crassitudinem habeat, deinde rosacei quod sufficit, immittitur, vel myrtei; contusum diligenter in plumbeam pyxidem reponitur; vsui est, quemadmodum prædiximus.

A μυελοῦ ἐλαφείου, στέατος ὑείου, ἰοῦ, ψιμμυθίου, ἀνὰ < β'. ᾠῶν τριῶν τὸ χλωρόν, τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, καὶ χρῶ, ποτὲ μὲν ἀνιεμένῳ τῷ φαρμάκῳ, ποτὲ δὲ ἀκράτῳ. Ἄλλη, φάρμακον ἐπιτετευγμένον, ποιεῖ πρὸς τὰ παλαιά, καὶ δυσαλθῆ. ℞. ψιμμυθίου, λιθαργύρου, στυπτηρίας σχιστῆς, μάννης, χαλβάνης, λιβάνου, μυελοῦ ἐλαφείου καὶ μοσχείου ἀνὰ < δ'. κηροῦ, ἀγχούσης, ᾠῶν λεκίθων ἀνὰ < η'. ἐλαίου κοτύλας δ'. κόπτε τοὺς μυελοὺς ἐπιμελῶς, καὶ τῆκε μετὰ τῶν τηκτῶν, κινῶν ἀγχούσῃ, ὥστε χρωσθῆναι, εἶτα ἄρας ἀπὸ τοῦ πυρός, καὶ διϋλίσας εἰς ἕτερον ἀγγεῖον, ἔα ψυγῆναι, καὶ ἀνα-
B ξύσας ἐπίβαλλε τοῖς ξηροῖς, καὶ ἀνελόμενος χρῶ. Λευκὴ μάγνη λεγομένη, φάρμακον ἐπιτετευγμένον. ποιεῖ δὲ καὶ πρὸς τὰ χρόνια τραύματα, καὶ μόγις ἐπουλούμενα, ποιεῖ καὶ πρὸς ψωρώδεις διαθέσεις. ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή, ἀνιεμένη ῥοδίνῳ, ἢ μυρσίνῳ. ℞. λιθαργύρου < ρ'. κηροῦ < ν'. ψιμμυθίου < ρ'. τερμινθίνης < κε'. λιβανωτοῦ < κε'. στυπτηρίας σχιστῆς < ιβ'. ἐλαίου κοτύλας β'. σκεύαζε κατὰ τρόπον, καὶ χρῶ, ὅτε μὲν ἐμπλάστρῳ, ὅτε δὲ ἀνιεμένῳ τῷ φαρμάκῳ. Ἄλλη Παμφίλειος λεγομένη, πρὸς τὰς προειρημένας διαθέσεις, καὶ κόλπους προσκολλᾷ, καὶ σύριγγας ἐκτυλοῖ. ποιεῖ
C πρὸς τὰ ῥευματικὰ τῶν ἑλκῶν, καὶ πρὸς τὰ χρόνια, καὶ δυσεπούλωτα, ψώρας τε θεραπεύει, καὶ ὑπώπια βαστάζει. ποιεῖ καὶ κεφαλαλγικοῖς, καὶ πρὸς τὰς τῶν ὀφθαλμῶν ἐπιφορὰς ἐπιτιθεμένη κατὰ τοῦ μετώπου. ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή, ἀνιεμένη ῥοδίνῳ, ἢ μυρσίνῳ. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ℞. λιθαργύρου < ρ'. κηροῦ < ν'. τερμινθίνης < κε'. λιβάνου < κε'. ψιμμυθίου < ρ'. στυπτηρίας σχιστῆς < ιϛ'. πεπέρεως λευκοῦ < γ'. ἐλαίου παλαιοῦ κοτύλας β'. σκεύαζε κατὰ τρόπον, ποτὲ μὲν ἀνιεμένῳ τῷ φαρμάκῳ, ποτὲ δὲ ἐμπλάστρῳ χρώμενος. ἐπὶ μὲν γὰρ τῶν κατὰ τὴν κεφαλὴν
D ἀχώρων, ἢ τῶν περὶ τὴν ὄψιν τραχυτήτων, ἢ τῶν λεγομένων ἐπινυκτίδων, ἢ τῶν περὶ τὴν ἕδραν διαθέσεων, ἀνιεμένῳ τῷ φαρμάκῳ μυρσίνῳ, ἢ σχινίνῳ ἐπιχριόμενον. Ἄλλη Τελαμῶνος. φάρμακον ἐπιτετευγμένον. ποιεῖ καὶ πρὸς ἄνθρακας, ἀναξηραίνει κόλπους, ἐνιεμένη καὶ ἐγχυματιζομένη, ἔστι δὲ καὶ ἐπουλωτικὴ ἀγαθή. ℞. πιτυΐνης, κηροῦ, ἀσβέστου, λιθαργύρου ἀνὰ < ν'. ψιμμυθίου < κε'. ἐλαίου κοτύλης ἥμισυ, ἕψε λιθάργυρον, ἔλαιον ἕως συστῇ, εἶτα κηρόν, εἶτα ῥητίνην. τὴν δὲ ἄσβεστον, καὶ τὸ ψιμμύθιον λείωσον, καὶ τούτοις ἐπίβαλλε τὰ τηκτά. ἐν δὲ τῇ χρήσει ἔλαιον ἐπὶ θερμοσποδιᾷ θεὶς, ἐπί-
E βαλλε καταθλάσας τοῦ φαρμάκου. καὶ ὅταν θερμανθῇ, εἰς θυίαν βαλών, ἀνάκοπτε φιλοπόνως ἕως γλοιῶδες γένηται, καὶ ἀποθέμενος, χρῶ, ὡς μεγίστῳ φαρμάκῳ, ὅτε μὲν ἐπιχρίων πτεροῖς, ὅτε δὲ ἐγχυματίζων. ἐπὶ δὲ τῶν λεγομένων ἀνθράκων εἰς ὀθόνιον ἐμπλάσσων ἐπιτίθει. Ἄλλη Μοσχίωνος γνώριμος πρὸς ὅσα βούλει ἐκτυλῶσαι καὶ ἐπουλῶσαι, ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή. ℞. λιθαργύρου, ψιμμυθίου, ἀσβέστου ἀνὰ < η'. μυελοῦ ἐλαφείου, κηροῦ ἀνὰ < ιϛ'. ἐλαίου μυρσίνου τὸ αὔταρκες. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, καὶ μαλάξας ἐπιμελῶς ποίει τροχίσκους. ἐπὶ δὲ τῆς χρήσεως ὕδατι, ἢ γάλακτι
F προσανίεται, ὅσον βούλεσθε, ὅσον γλοιοῦ ἔχειν τὸ πάχος, εἶτα ἐπιβάλλεται ῥοδίνου τὸ αὔταρκες, ἢ μυρσίνου, καὶ ἀνακόψαντες ἐπιμελῶς, καὶ ἀνελόμενοι εἰς μολυβδίνην πυξίδα, χρῆσθαι καθάπερ προείρηται.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ἐπουλωτικαὶ Ἀνδρομάχου.

℞. Καδμείας λίτραι α'. χαλκίτεως κεκαυμένης λίτραι ἥμισυ, κηροῦ λίτραι α'. ῥητίνης ξηρᾶς λίτρας γ'. μυρσίνου λίτρας γ'. οἴνου εἰς τὰ ξηρά. Ἄλλη ἡ διὰ λαδάνου. ℞. λιθαργύρου < μ'. λαδάνου < λβ'. χαλκάνθης < η'. σχιστῆς < ιβ'. κηροῦ < ρ'. λεπίδος < η'. ἀσφάλτου < λβ'. μυρσίνου κοτύλης μιᾶς τέταρτον, οἶνος Φαλερῖνος εἰς τὰ ξηρά. Ἄλλως, ὡς Ἀλκιμίων, ἣν ἐσκεύασα. ℞. λαδάνου < η'. ὑσσώπου < δ'. προπόλεως < η'. ἀσφάλτου < η'. λιθαργύρου < δ'. λεπίδος χαλκοῦ < δ'. μίσυος ὠμοῦ < δ'. κηροῦ < κδ'. μυρσίνης μνᾶς η'. Ἡ διὰ κριθῶν. ℞. ψιμμυθίου < ν'. λιθαργύρου < ν'. κριθῶν κεκαυμένων ἀτρίπτων ξέστην α'. κηροῦ < ν'. ἐλαίου ξέστην α'. ἐσχάτην τὴν κριθήν. Ἄλλη ἐπουλωτική. ℞. καδμείας οὐγγίας β'. χαλκίτεως, κηροῦ, τερμινθίνης ἀνὰ οὐγγίας δ'. ὑσσώπου οὐγγίαν α'. μυρσίνης οὐγγίας δ'. χαλκάνθης οὐγγίας δ'. οἴνου εἰς τὰ ξηρά. Ἄλλη ἐπουλωτική. ℞. ῥητίνης ξηρᾶς < ιη'. διφρυγοῦς < δ'. λιθαργύρου < ις'. κηροῦ < ι'. ἐλαίου κοτύλας δ'. Ταύταις ἐφεξῆς ἄλλας ὁ Ἀνδρόμαχος ἔγραψεν ἐμπλάστρους ἓξ τῶν δυσεπουλώτων θεραπευτικάς, ἅς τινας οὐκ ἔδοξέ μοι νῦν προσγράφειν. εἰρήσονται γὰρ ἅμα ταῖς τὰ δυσίατα τῶν ἑλκῶν θεραπευούσαις ἐν τῷ δ'. τῷδε τῶν ὑπομνημάτων. γεγραφότος δὲ τοῦ Ἀνδρομάχου κατὰ τὸν αὐτὸν τόπον τοῦ βιβλίου, πρὸ τῶν ἄρτι γεγραμμένων ἐπουλωτικῶν καὶ ἑτέρας τινάς, ἄνευ τοῦ προσγεγράφθαι αὐταῖς, ὅτι ἐπουλωτικαί εἰσιν ἀπεριστάτων ἑλκῶν, καὶ μάλιστα ἐπὶ παίδων, καὶ γυναικῶν, καὶ εὐνούχων, καὶ ἁπλῶς τῶν ἁπαλὴν ἐχόντων τὴν σάρκα, ἔδοξέ μοι καὶ ταύτας ἐνταῦθα προσγράψαι τὴν ἐπιγραφὴν ἐχούσας παρὰ τῷ Ἀνδρομάχῳ τὴν ἀπὸ τῆς χρόας. ἔγραψε γὰρ περὶ αὐτῶν οὕτω κατὰ λέξιν. Λευκαὶ ἐπουλωτικαὶ Ἀνδρομάχου. Λευκὴ ᾗ χρῶμαι. ℞. λιθαργύρου μνᾶν α'. ψιμμυθίου μνᾶν α'. κηροῦ δ'. ῥητίνης δ'. ἐλαίου κοτύλας γ'. ὕδατος κοτύλην α'. Ἄλλη. ℞. λιθαργύρου < ρξ'. ψιμμυθίου < σ'. κηροῦ < ν'. τερμινθίνης < κδ'. ἐλαίου παλαιοῦ κοτύλης ἥμισυ, ὕδατος κυάθους ς'. Ἄλλη. ℞. λιθαργύρου < ρ'. ψιμμυθίου, κηροῦ ἀνὰ < ν'. τερμινθίνης < κε'. στυπτηρίας σχιστῆς < ς'. πεπέρεως λευκοῦ < γ'. ὄρχεως βοτάνης < η'. στρουθίου < β'. μάννης < κε'. Ἄλλη. ℞. λιθαργύρου < ο'. ψιμμυθίου < ρ'. κηροῦ < ν'. ἐλαίου παλαιοῦ κυάθους β'. ἄλλως < β'. ὕδατος κοτύλας β'. Ἄλλη. ℞. λιθαργύρου < κε'. κηροῦ < νζ'. στέατος ὑείου < λζ'. σμύρνης < β' ὠῶν ἑφθῶν λεκίθους δ'. τινὲς ὠμῶν. Ἡ ἀρετή. ℞. γλοιοῦ καθαροῦ κοτύλας ιβ'. λιθαργύρου μνᾶς γ'. λεπίδος < ς'. οἱ δὲ < ις'. ῥητίνης κολοφωνίας μνᾶς ς'. οἱ δὲ < ν. κηροῦ μνᾶν α'. οἱ δὲ μνᾶς με'. θαλάσσης κοτύλας γ'.

Ἀνδρομάχου πανάκεια.

℞. Λιθαργύρου < ρν'. κηροῦ < μ'. τερμινθίνης < νγ'. θαλάσσης παλαιᾶς, ἢ μᾶλλον, οἴνου παλαιοῦ κοτύλας β'. γλοιοῦ κοτύλας ς'. λεπίδος < ις'. κίκεως κοτύλας β'. ψιμμυθίου < π'. ἀμμωνιακοῦ θυμιάματος < κδ'. στέατος μοσχείου < π'. ἀσβέστου < κδ'. ἀριστολοχίας < κε'. ἕψε, ὡς οἶδας.

CAPVT XV.

Epulotica Andromachi.

℞. Cadmiæ lib. j. chalcitidis vstæ lib. j. ceræ lib. j. resinæ aridæ lib. tres, myrtei lib. iij. vinum siccis immiscetur. *Aliud ex ladano* ℞. argenti spumæ ʒ. xl. ladani drach. xxxij. chalcanthi drach. octo, aluminis scissilis drachmas xij. ceræ drach. c. squamæ drach. viij. bituminis drach. xxxij. myrtei quartam heminæ partem, vinum Falernum siccis adiicitur. *Aliter, vt Alcimion, quod* B *præparaui.* ℞. ladani drach. viij. hyssopi drach. iv. propoleos drach. viij. bituminis drach. viij. argenti spumæ drach. iv. æris squamæ drach. iv. misyos crudi drach. iv. ceræ drach. xxiv. myrtei octauam minæ portionem. *Aliud ex hordeis.* ℞. cerussæ ʒ. l. argenti spumæ drach. l. hordei vsti non triti sextarium j. ceræ drach. l. olei sextarium j. postremum hordeum adiicitur. *Aliud ad ducendam cicatricem.* ℞. cadmiæ ℥. ij. chalcitidis, ceræ, terebinthinæ, singulorum ℥. iv. hyssopi vnciam vnam, myrti vncias quatuor, chalcanthi vncias quatuor, vinum siccis affunditur. *Aliud ad idem.* ℞. resinæ C aridæ drach. xviij. diphrygis drach. iv. argenti spumæ drach. xvj. ceræ drach. x. olei heminas iv. Post hæc Andromachus alia emplastra sex percensuit cicatricem ægrè ducentibus accommoda, quæ sane hic nūc ascribere visum non est; dicētur enim simul cum illis, quæ vlcera curatu difficilia sanant, in quarto huius operis volumine. Quum autem Andromachus ibidem ante prædicta modo epulotica alia quædam tradiderit, non præponens, quod apertis vlceribus cicatricem inducerent, præsertim in pueris, mulieribus, & eunuchis, summatim in omnibus, qui teneram habent carnem, melius mihi visum est, hæc quoque huc ad- D iicere. Titulum ipsis à colore Andromachus indidit, vt qui de iis hunc in modum ad verbum scripserit. *Candida Andromachi epulotica; album quo vtor.* ℞. argenti spumæ minam j. cerussæ minam j. ceræ iv. resinæ iv. olei heminas tres, aquæ heminam j. *Aliud.* ℞. argenti spumæ drachmas clx. cerussæ drach. cc. ceræ drach. l. terebinthinæ drach. xxiv. olei veteris heminæ dimidium, aquæ cyathos vj. *Aliud.* ℞. argenti spumæ drachmas c. cerussæ, ceræ, singulorum drach. l. terebinthinæ drach. xxv. aluminis fissilis drach. vj. piperis albi drach. iij. orcheos herbæ ʒ. viij. struthij ʒ. ij. man- E næ ʒ. xxv. *Aliud.* ℞. argenti spumæ ʒ. lxx. cerussæ drach. c. ceræ drach. l. olei veteris cyathos duos, aliter drach. duas, aquæ heminas duas. *Aliud.* ℞. argenti spumæ ʒ. xxv. ceræ ʒ. lvij. adipis suilli ʒ. xxxvij. myrrhæ ʒ. ij. ouorum coctorum lutea iv. alij crudorum. *Medicamentum arete* idest, virtus, *appellatum.* ℞. strigmenti puri heminas xij. argenti spumæ minas iij. squamæ ʒ. vj. alij ʒ. xvj. resinæ colophoniæ minas vj. alij ʒ. l. ceræ minam j. quidam minas xlv. marinæ aquæ heminas iij.

Andromachi Panacea. i. vniuersale remedium.

F ℞. Argenti spumæ ʒ. cl. ceræ ʒ. xl. terebinthinæ ʒ. liij. marinæ veteris vel potius vini vetusti heminas ij. strigmenti heminas vj. squamæ ʒ. xvj. ricini heminas ij. cerussæ ʒ. lxxx. guttæ ammoniaci ʒ. xxiv. seui vitulini drachmas lxxx. calcis viuæ drach. xxiv. aristolochiæ drachmas xxv. Coquito vt didicisti.

Candidum Telephanis.

A ℞. Argenti spumæ drach. lxxx. cerussæ ʒ. cxx. myrrhæ drach. iij. obolos ij. sagapeni drachmas v. thuris drach. vj. obolos iv. olei heminas ij. ß. omnia simul incoquito. *Aliud.* ℞. ceræ candidæ lib. j. myrrhæ ℥. j. thuris ℥. j. medullæ ceruinæ vncias ij. adipis hyænæ ℥. ij. coaguli cerui, vel hœdi ℥. ij. nitri ℥. ij. galbani ℥. j. guttæ ammoniaci ℥. iv. argenti spumæ lib. j. ß. cerussæ ʒ. vj. olei veteris heminam j. ß. marinæ aquæ heminæ ß. Cauniace dicitur. *Aliud.* ℞. argenti spumæ drach. cc. ceræ drach. lij. olei heminas tres, cerussæ drach. lxxx. terebinthinæ drach. xxxij. buccinorum vstorum drach. decem, thuris drach. xix. aquæ sextarium vnum. *Aliud.* ℞. adipis suilli recentis drachmas octogintaocto, ceræ candidæ drach. quadragintaocto, cerussæ drach. duodecim, argenti spumæ drachmas duodecim. Aliud ad herpetas, carbunculos, condylomata, rhagadas, phlegmonen prorsus arcet, vt Heras Cappadox meminit. In hoc igitur rectè fecit, quod non simpliciter ceræ scripserit, sed candidæ adiecerit; nam sic fieri possit, vti vult, colore candidum. Post hæc autem aliud commemorans, neque ceræ, neque vini candorem apposuit, sed nos adiungere oportet, si emplastrum candidum reddere statuimus. Porrò compositio eius his verbis ab ipso Andromacho tradita est.

Aliud ex vino Publij.

℞. Cadmiæ lib. j. ℥. ix. argenti spumæ lib. ij. cerussæ lib. ij. vini Græci sextarios ij. rosacei lib. v. ceræ lib. iij. oua cruda numero xij. thuris ℥. tres. Hæc incoquito. Candidorum emplastrorum coquendi rationes in priori commentario percensui, simulq; methodũ non coquendi modò, sed etiam eorum cõpositionis, ostendi. Et fortasse nihil amplius eiusmodi emplastrorum doctrinæ adiiciendum restat; sed quia hic liber non solum de carnẽ generantibus emplastris, quæ quidem, vt plurimũ viridia sunt, verùm etiam de glutinantium, & epuloticorum omnium ratione egit, quæ vlcera malignitate carentia cicatrice obducunt, quoniamque melina, ac gilua percurri, ideo candida quoque emplastra, quorum in illo libro mentionem nullam fecimus, in hoc producere visum est. Cæterùm, vt nihil præsenti commentario desit, non pigebit adiicere emplastra, quæ ab ipsis cephalica, & catagmatica, idest capiti fracturisque medentia, nominantur, & magna vulnera, sinusque glutinant, quum verò diluta fuerint, linamentis excipiuntur, & fiunt sarcotica, idest carnem progignentia.

CAPVT XVI.

De emplastris ad fracturas, & caput idoneis.

QVi plurima, ac optima medicamenta prodiderunt (antea omnes nominatim citauimus) genus quoddam emplastrorum cephalicum, & catagmaticum vocant, à caluariæ fracturis potissimum nomen eis imponentes. Sunt autem talia abstergendi, digerendi, & siccandi, potestate prædita. Plerique paulutum ex astringentibus medicamentis eis admiscuerunt, idque duplicis vsus gratia, sicut diximus, nempe vt id, quod affectis

Λευκὴ ἡ Τελεφάνους.

℞. Λιθαργύρου < π'. ψιμμυθίου < ρκ'. σμύρνης < γ'. ὀβολοὺς β'. σαγαπηνοῦ < ε'. λιβανου < ς'. τετρώβολον, ἐλαίου κοτύλας β'. ἥμισυ, ἕψε ὁμοῦ πάντα. Αλλη. ℞. κηροῦ λευκοῦ λίτραν α'. σμύρνης οὐγγίαν α'. λιβάνου οὐγγίαν α'. μυελοῦ ἐλαφείου οὐγγίας β'. στέατος ὑαίνης οὐγγίας β'. πιτυίας ἐλαφείας οὐγγίας β'. ἢ ἐριφείας, νίτρου οὐγγίας β'. χαλβάνου οὐγγίαν α'. ἀμμωνιακοῦ θυμιάματος οὐγγίας δ'. λιθαργύρου λίτραν α' S''. ψιμμυθίου < ς'. ἐλαίου παλαιοῦ κοτύλην α' S''. θαλάσσης κοτύλης ἥμισυ, καυνιακὴ καλεῖται.

B Αλλη. ℞. λιθαργύρου < σ'. κηροῦ < νβ'. ἐλαίου κοτύλας γ'. ψιμμυθίου < π'. τερμινθίνης < λβ'. κηρύκων κεκαυμένων < ι'. λιβάνου < ιθ'. ὕδατος ξέστην α'. Αλλη. ℞. στέατος ὑείου προσφάτου < πη'. κηροῦ λευκοῦ < μη'. ψιμμυθίου < ιβ'. λιθαργύρου < ιβ'. Αλλη πρὸς ἕρπητας, ἄνθρακας, κονδυλώματα, ῥαγάδας, ἀφλέγμαντος ἄγαν, ὡς Ηρας ὁ Καππάδοξ. ἐπὶ ταύτης μὲν οὖν ὀρθῶς ἐποίησεν οὐχ ἁπλῶς κηροῦ γράψας, ἀλλὰ μετὰ τοῦ προσθεῖναι τοῦ λευκοῦ. γένοιτο γὰρ ἂν οὕτως, ὡς βούλεται, λευκὴ τῇ χρόᾳ. μετὰ ταῦτα δὲ γράφων ἄλλην οὐ προσέθηκεν, οὔτε τοῦ κηροῦ τὸ

C λευκὸν, οὔτε τοῦ οἴνου τὸ λευκὸν, ἀλλ' ἡμᾶς δεῖ προσθεῖναι, εἴπερ βουλόμεθα λευκὴν τὴν ἔμπλαστρον ποιῆσαι. γέγραπται δὲ ἡ σύνθεσις αὐτῆς ὑπ' αὐτοῦ τοῦ Ανδρομάχου κατὰ λέξιν οὕτως.

Λευκὴ δι' οἴνου, Πουπλίου.

℞. Καδμείας λίτραν α'. οὐγγίας θ'. λιθαργύρου λίτρας β'. ψιμμυθίου λίτρας β'. οἴνου Ελληνικοῦ ξέστας β'. ῥοδίνου λίτρας ε'. κηροῦ λίτρας γ'. ὠὰ ὠμὰ ἀριθμῷ ιβ'. λιβάνου οὐγγίας γ'. ἕψε. τῶν λευκῶν ἐμπλάστρων τὰς ἑψήσεις ἐν

D τῷ α'. λόγῳ δίηλθον, ἅμα καὶ τὴν μέθοδον ἐπιδεικνὺς οὐ μόνον τῆς ἑψήσεως, ἀλλὰ καὶ τῆς συνθέσεως αὐτῶν. καὶ οὐδὲν γε ἴσως ἔτι ἔλιπε προσθεῖναι τῇ διδασκαλίᾳ τῶν τοιούτων ἐμπλάστρων. ἀλλ' ἐπεὶ τοῦτο τὸ βιβλίον οὐ μόνον περὶ τῶν σαρκωτικῶν ἐμπλάστρων, αἳ δὴ, ὡς ἐπίπαν εἰσὶ χλωραὶ, τὸν λόγον ἐδίδαξεν, ἀλλὰ καὶ τῶν κολλητικῶν, ἐπουλωτικῶν τε πασῶν, ὅσαι γε τὰ χωρὶς κακοηθείας ἐπουλοῦσιν ἕλκη. δίηλθον δὲ καὶ περὶ τῶν μηλίνων, καὶ τῶν κιρρῶν, καὶ διὰ τοῦτο ἔδοξέ μοι, καὶ τὰς λευκὰς ἐμπλάστρους, ὅσων ἐν ἐκείνῳ τῷ βιβλίῳ λόγον οὐδένα πεποίημαι, προσεπιγράψαι κατὰ τοῦτο. ὅπως δὲ μηδὲν λείποιτο

E τῷ προκειμένῳ βιβλίῳ, καὶ τὰς κεφαλικάς τε καὶ καταγματικὰς ὀνομαζομένας ὑπ' αὐτῶν ἐμπλάστρους προσγράψω, κολλητικάς τε οὔσας τῶν μεγάλων τραυμάτων καὶ κόλπων, ὅταν δὲ ἀνεθῶσιν, ὡς ἐμμότους γίνεσθαι καὶ σαρκωτικάς.

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Περὶ τῶν καταγματικῶν, καὶ κεφαλικῶν ἐμπλάστρων.

F ΟΙ πλεῖστα καὶ κάλλιστα φάρμακα γράψαντες, οὓς ἔμπροσθεν ὀνομαστὶ δίηλθον, ἐκάλεσάν τι γένος ἐμπλάστρων κεφαλικάς τε καὶ καταγματικὰς, ἀπὸ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων μάλιστα τὴν προσηγορίαν αὐταῖς θέμενοι. ῥυπτικῆς δ' εἰσὶ καὶ διαφορητικῆς, καὶ ξηραντικῆς αἱ τοιαῦται δυνάμεως. ἔμιξαν δ' αὐταῖς οἱ πλεῖστοι τῶν στυφόντων φαρμάκων ὀλίγον, ἕνεκα δυοῖν χρειῶν, ὡς εἴρηται, τοῦ τ' ἀποκρούεσθαι τὸ

ἐπιρρέον τοῖς πεπονθόσι μέρεσι, καὶ τοῦ ποδηγεῖν ἄχρι βάθους τὴν τῶν ῥυπτικῶν δύναμιν. ἐλέχθη δὲ ἡμῖν ἔμπροσθεν, ὡς εἰ μὴ κατεργασθείη τῇ τρίψει τὰ στύφοντα, μέχρι τοῦ χνοώδη γενέσθαι, βλάβην μᾶλλον, ἢ ὠφέλειαν προξενεῖ αὐτὰ, τοῖς τὴν ἑλκτικὴν δύναμιν ἔχουσιν. ἀρίστην δ᾽ αὐτῶν ἔφην γίγνεσθαι κατεργασίαν, ἐν ὄξει δριμεῖ λειωθέντων. ἄρξομαι τοίνυν ἤδη τῆς τῶν τοιούτων φαρμάκων γραφῆς ἀπὸ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῶν ὑπ᾽ Ἀσκληπιάδου καταγματικῶν ἐμπλάστρων.

Πρώτην ἔγραψεν ἐν τῷ τρίτῳ τῶν ἐκτὸς φαρμάκων κατὰ λέξιν οὕτως. Μέλαινα Ἀρίστη καταγματική. τούτῳ τῷ φαρμάκῳ ἐχρησάμην ἐπὶ καταγμάτων πολλῶν ὀστέων ἐμπλεόντων, καὶ πάντων παραινούντων τὰ ἐμπλέοντα βαστάζειν, ὅμοιόν τι παραδόξῳ εἰργάσατο ἡ Ἀρίστη. τὰ γὰρ ἐμπλέοντα καὶ κεχωρισμένα τῶν ἄλλων ὀστέων, οὕτως διακατέσχεν, ὥστε συμπωρῶσαι τοῖς ἄλλοις. ἔχει δὲ οὕτως. ℞. λιθαργύρου, ἀσφάλτου ἀνὰ < σ'. πίσσης ξηρᾶς, κηροῦ ἀνὰ < ρ'. ῥητίνης τερμινθίνης < ν'. στυπτηρίας σχιστῆς, προπόλεως ἀνὰ < λ'. ἀμμωνιακοῦ θυμιάματος < κδ'. ἰοῦ < ι'. ἐλαίου ξέστας δ'. σκεύαζε καθὰ προείρηται. Ἄλλας ὁμογενεῖς τῇ προγεγραμμένῃ κατὰ τὸ αὐτὸ βιβλίον ἔγραψεν ὁ Ἀσκληπιάδης κατὰ λέξιν οὕτως. Ἄλλη Πυθίωνος καταγματική. ταύτῃ Ἕλενος ἐχρήσατο. ποιεῖ δὲ καὶ πρὸς τὰ ἐκ πληγῆς τραύματα, ἐν δὲ τῇ ἀρχῇ, σπόγγῳ δεῖ θερμῷ βεβρεγμένῳ ἀναχαλᾶν τὸ σπληνίον, ἔγκολλον γάρ ἐστιν ἰσχυρῶς τὸ φάρμακον. ποιεῖ δὲ καὶ πρὸς χοιράδας τὸ αὐτὸ φάρμακον, καὶ σύριγγας. καὶ χρὴ κατὰ τῶν συρίγγων, καὶ κόλπων ἐκκόπτειν τὸ σπληνίον, τουτέστι κατὰ τοῦ στόματος, ὥστε τόπον ἔχειν τὸ ἐκκρινόμενον ὑγρόν. χρὴ δὲ καὶ συλλούεσθαι τῷ φαρμάκῳ. τὰ δὲ τῆς σκευασίας, ἔχει τὸν τρόπον τοῦτον. ℞. ἀσφάλτου Ἰουδαϊκῆς λίτρας ε'. οὐγγίας δ'. πίσσης Βρυτίας ξηρᾶς τὸ ἴσον, ῥητίνης φρυκτῆς λίτρας η'. κηροῦ λίτρας δ'. λιβάνου λίτρας δ'. λεπίδος ἐρυθρᾶς λίτραν μίαν, οὐγγίας δ'. ἐλαίου θέρους λίτραν μίαν, χειμῶνος λίτραν α'. ἥμισυ, ὄξους κοτύλην α'. τὰ τηκτὰ τῆκε, τὸν δὲ λίβανον, καὶ τὴν λεπίδα τρίψας μετ᾽ ὄξους, ἐπίβαλλε τοῖς λοιποῖς, προσέχων μὴ ἀναβράσῃ, καὶ κινήσας, εἰς θυίαν κατέρα, καὶ ἀνακόψας, καὶ μαλάξας, ἀνελόμενος χρῶ. ἐν ἄλλῳ ἀντιγράφῳ εὗρον λεπίδος ἐρυθρᾶς λίτραν α'. ἥμισυ. εὔδηλον δ᾽ ὅτι δραστικώτερον γίγνεται τὸ πλείονα λαβὸν τὴν λεπίδα. Μοσχίωνος καταγματική, φάρμακον ἐπιτετευγμένον πρὸς τὰ νεότρωτα, καὶ διακοπὰς τῶν νεύρων, καὶ τὰς μετὰ θλάσεως διαιρέσεις, ποιεῖ καὶ πρὸς τὰ μετὰ τραύματος κατάγματα. καὶ γὰρ τοῖς τραύμασι βοηθεῖ, καὶ πωροῖ τὰ ὀστέα μετὰ τῆς δεούσης ἐπιδέσεως ἐπιτιθέμενον, καὶ τοῖς ἀρχομένοις ὑδρωπικοῖς. ποιεῖ καὶ πρὸς τὰς τῶν διδύμων θλάσεις, σταφίδας καὶ τὰς περὶ τὴν ἕδραν ἐξοχάς. ποιεῖ καὶ πρὸς ῥαγάδας βουτύρῳ ἀνιεμένον, ποιεῖ καὶ πρὸς βρογχοκήλας, διαλύει πᾶσαν σκληρίαν. ποιεῖ καὶ πρὸς παρατρίμματα καὶ λυγίσματα. ποιεῖ καὶ πρὸς τὰς ἐπὶ τῶν ποδῶν, καὶ χειρῶν τυλώδεις ἐπαναστάσεις, ἃς ἥλους καλοῦμεν, ὡς χωρὶς ἑλκώσεως ἀφαιρεῖν, καὶ καθόλου ἐστὶ πολυχρηστότατον φάρμακον, ποιεῖ καὶ πρὸς ἀρχομένους ὑδρωπας. τὰ δὲ τῆς σκευασίας

A partibus influit, repelleretur, & abstergentium facultatem in profundum vsque deduceret. Porrò docuimus nos antea, nisi astringentia elaborentur tritura, quoadusque in puluerem redigantur, noxam magis quàm præsidium esse allatura iis quæ trahendi vim obtinent. At optimè elaborari ostendimus ea, si ex aceto acri læuia fiant. Itaque huiusmodi medicamentorum seriem ab iis quæ Asclepiades tradidit, iam auspicabimur.

CAPVT XVII.

B

De emplastris ad fracturas idoneis ab Asclepiade traditis.

PRimum in tertio Exteriorum medicamentorum his verbis præscripsit. *Nigrum Ariston, idest optimum catagmaticum.* Hoc medicamento vsus sum in fracturis ossium multorum, ita vt eorum plura mouerentur, ac innatarent, omnesque hortarentur innatantia illa ossa auferri. At hoc Aristus id fecit, quod præter omnium opinionem est visum; nam fluitantia, & ab aliis ossibus separata, ita copulauit, vt aliis continuauerit. C Hæc recipit, argenti spumæ, bituminis, singulorum drachmas ducentas; picis aridæ, ceræ, singulorum drachmas centum, resinæ terebinthinæ drachmas quinquaginta, aluminis scissilis, propoleos, singulorum drachmas triginta, guttæ ammoniaci drachmas vigintiquatuor, æruginis drachmas decem, olei sextarios quatuor; præparato, vt prædictum est. Alia præposito generi similia in eodem libro Asclepiades conscripsit in hæc verba. *Aliud Pythionis ad fracturas, quo Helenus vsus est. Valet etiam ad vulnera ex ictu. Quum exhibebis, spongia calida madefacta splenium relaxare oportet, nam medicamentum validè glutinat.* D *Benefacit idem ad strumas, & fistulas. In finibus autem, & fistulis splenium excindere conuenit, hoc est in orificio, vt humor, qui excernitur, locum habeat; item simul cum medicamento lauandum est. Præparatur hoc pacto.* ℞. Bituminis Iudaici lib. v. vncias quatuor, picis brutiæ siccæ pares portiones, resinæ frictæ lib. viij. ceræ lib. iv. thuris libras iv. squamæ rubræ libram vnam, ℥. iv. olei per æstatem libram vnam, hyeme libram j. ß. aceti heminam vnam. Quæ liquari possunt, liquefacito, thus, & squamam ex aceto trita reliquis admisceto, attendens ne ebulliant, mouensque in mortarium E demittito, contusa, & subacta excipito, ac vtitor. In alio exemplari squamæ rubræ pondo libram dimidiam offendi. Liquet autem efficacius esse, quod copiosiorem squamam receperit. *Moschionis medicamentum; ad fracturas, recentia vulnera, & neruos præcisos confectum; item ad diuisa cum contusione. Benefacit etiam fracturis cum vulnere; etenim vulneribus succurrit, & ossa, cum deligatura conuenienti impositum, ad callum perducit. Nec minus incipientibus hydropicis, & testium contusionibus prodest, eminentias circa anum reprimit, & rhagadas butyro dilutum sanat, &* F *faucium tumores, quos Græci bronchocelas appellant. Dissoluit omnem duriciam. Insuper valet ad laxatum, & peruersum articulamentum: itidem ad callosos excessus in manibus, pedibusque quos clauos appellamus, ita valet, vt sine exulceratione auferat. In summa, medicamentum est longè vtilissimum; facit & ad incipientes hydropas. Hoc modo conficitur.*

conficitur. ℞. lithargyri minam j. (mina verò in hoc medicamento habet drachmas clx.) picis liquidæ ʒ.clx. seui vitulini drac.clx. resinæ terebinthinæ drachmas lxxx. mannæ thuris drachmas lxxx. ceræ drach. quadraginta, æruginis drach. octo, opopanacis drachmas octo, galbani drach. octo, olei cicini heminam j. aceti tantundem, liquoris sycamini heminam vnam; picis liquidæ heminæ dimidium. Argenti spuma læuissima, & cicinum oleum in vas fictile æreumue iniecta, & super ignem posita incoquuntur; posteaquam ebullierint, seuum, & manna thuris adduntur, mouenturque continuè; quum coiuerint, pix, cera, resina admiscentur; & coctis quoad vsque non polluant, galbanum aspergitur, deinde ærugo, & opopanax ex aceto resoluta. Liquor verò sycomori, & pix liquida, in alterum vas transfusa coquuntur; vbi coiuerint, priori medicamento admiscentur; rursusque supra ignem posita, vsque dum non inquinent, coquuntur; & in vinum demersa relinquuntur triduum; inde subactis vtimur, in linteolum illinentes. Oportet autem in medicamenti impositione vittam respersam vino exprimere, & tunc medicamento circundare. Quemadmodum verò Lucius præceptor noster præparauit, ita habet; adeps, & oleum priùs liquantur; vbi dissoluta fuerint, manna thuris læuissima, & argenti spuma, inspergitur; his in vnum coactis, sequentia facimus. Atque tum in hoc medicamento, tum in eo, quod proximè subscribitur, minam denariis cẽtum sexaginta valere ait. Vnde clarum est Alexandriæ minam ipsum intelligere, quæ vncias viginti pendet, & singulæ vnciæ drach. viij. habent; sic enim accidet minam drachmas clx. continere. *Aliud Claudij Philoxeni Apelum*, idest, hiulcis conueniens, *inscriptum, ad cruenta, & fracturas. Facit etiam ad prædicta vitia.* ℞. argenti spumæ minam vnam, hoc est drach. clx. seui vitulini drach. clx. thuris drach. lxxx. opopanacis, resinæ terebinthinæ singul. ʒ. lxxx. ceræ ʒ. xl. æruginis, aluminis scissilis, chrysocollæ, galbani, singulorum ʒ. xij. olei cicini heminam vnam, aceti quantum sit satis; postremum thus, & æruginem, & opopanacem, & alumen, & chrysocollam, & id genus reliqua priùs aceto dissoluta, & sedulo læuigata iniicito. In alia scriptura sic habet, ℞. lithargyri ʒ. clx. picis ʒ. clx. seui vitulini ʒ. clx. resinæ terebinthinæ ʒ. lxxx. mannæ thuris ʒ. lxxx. ceræ ʒ. xl. opopanacis, æruginis rasæ, vtriusque ʒ. xvj. chrysocollæ, aluminis scissilis, vtriusque ʒ. xij. guttæ ammoniaci ʒ. vj. ciceos heminam j. aceti tantundem, vt catagmatica componito. *Oenanthe catagmaticum, accommodatum medicamentum; facit ad prædictas affectiones.* ℞. argenti spumæ ʒ. clx. picis vinariæ ʒ. clx. hanc ex Italicis doliis defluentem capimus; resinæ terebinthinæ ʒ. lxxx. thuris ʒ. lxxx. seui vitulini elaborati ʒ. lxxx. medullæ ceruinæ elaboratæ drach. lxxx. ceræ ʒ. xl. œnanthæ siccæ, symphyti radicis, centaurij comæ, singulorum lib. j. æruginis rasæ, opopanacis, singulorum ʒ. viij. papaueris succi, myrrhæ, aloës, galbani, singulorum ʒ. viij. aceti heminas tres, olei cicini heminam j. Symphyton, œnanthen, centaurium, non minutim contusa, ac in acetum iniecta, ad tertias coquimus, & humore expresso ad medicamenti confecturã vtimur. Prodest medicamentũ etiam podagricis. Alibi sic scriptum est; ℞. argenti spumæ, picis vinariæ, singulorum ʒ. clx. medullæ ceruinæ, resinæ terebinthinæ, seui vitulini, thuris,

A ἔχει οὕτως. Λιθαργύρου μνᾶ α'. ἡ δὲ μνᾶ ἐπὶ τούτου τοῦ φαρμάκου ἔχει ὁλκὰς ρξ'. πίσσης ὑγρᾶς < ρξ'. στέατος μοσχείου < ρξ'. ῥητίνης τερμινθίνης < π'. μάννης λιβάνου < π'. κηροῦ < μ'. ἰοῦ < η'. ὀποπάνακος < η'. χαλβάνης < η'. ἐλαίου κικίνου κοτύλην α'. ὄξους τὸ ἴσον, ὀποῦ συκαμίνου κοτύλην α'. πίσσης ὑγρᾶς κοτύλης ἥμισυ. τὴν λιθάργυρον λεωτάτην, καὶ τὸ κίκινον ἔλαιον βαλὼν εἰς ἀγγεῖος κεραμεοῦν καὶ χαλκοῦν, καθεὶς ἐπὶ πυρὸς ἕψε. καὶ ὅταν ἀναβράσῃ, ἐπίβαλλε τὸ στέαρ καὶ τὴν μάνναν, κινῶν συνεχῶς. καὶ ὅταν συστραφῇ, ἐπίβαλλε πίσσαν, κηρὸν, ῥητίνην, καὶ ἑψήσας μέχρις
B ἀμολύντου, ἐπίπασσε χαλβάνην, εἶτα ἰὸν καὶ ὀποπάνακα ὄξει διαλυθέντα. τὸν δὲ ὀπὸν τοῦ συκομόρου, καὶ τὴν πίσσαν τὴν ὑγρὰν, εἰς ἕτερον ἀγγεῖον ἐμβάλλοντες ἕψομεν, καὶ ὅταν συστραφῇ, ἐπιβάλλομεν τῷ προτέρῳ φαρμάκῳ, καὶ πάλιν θέντες ἐπὶ τὸ πῦρ, ἕψομεν μέχρις ἀμολύντου, καὶ εἰς οἶνον κατερράσσοντες ἐῶμεν ἐπὶ τρεῖς ἡμέρας, ἔπειτα μαλάσσοντες χρώμεθα, εἰς ὀθόνιον ἐμπλάσσοντες. δεῖ δὲ κατὰ τὴν ἐπίθεσιν τοῦ φαρμάκου, οἴνῳ δεύσαντας ταινίδιον ἐκθλίβειν, καὶ τότε περιτιθέναι τῷ φαρμάκῳ. Ὡς δὲ ὁ ἡμέτερος Καθηγητὴς Λεύκιος ἐσκεύασεν, ἔχει οὕτως. τὸ στέαρ καὶ τὸ ἔλαιον πρότε-
C ρον τήκομεν, καὶ ὅταν διαλυθῇ, καταπάσσομεν λεωτάτην μάνναν, καὶ τὴν λιθάργυρον. καὶ ὅταν συστραφῇ, τὰ ἑπόμενα ποιοῦμεν, καὶ κατὰ τοῦτο τὸ φάρμακον, καὶ κατὰ τὸ ἐφεξῆς αὐτῷ γεγραμμένον ρξ'. δραχμὰς φησὶν ἔχειν τὴν μνᾶν. εὔδηλον οὖν, ὅτι τὴν Ἀλεξανδρεωτικὴν λέγει μνᾶν οὐγγίας κ'. ἔχουσαν, ὅπως ἑκάστη τῶν οὐγγιῶν ἔχῃ < η'. οὕτω γὰρ συμβήσεται τὰς < ρξ'. ἔχειν τὴν μνᾶν. Ἄλλη Κλαυδίου Φιλοξένου, ἀπελοῖς ἐπιγραφομένη, ἔναιμος καταγματική. ποιεῖ καὶ πρὸς τὰς προειρημένας διαθέσεις. ℞. λιθαργύρου μνᾶν α'. ὅ ἐστι < ρξ'. στέατος μοσχείου < ρξ'. λιβάνου < π'.
D ὀποπάνακος, ῥητίνης τερμινθίνης ἀνὰ < π'. κηροῦ < μ'. ἰοῦ, στυπτηρίας σχιστῆς, χρυσοκόλλης, χαλβάνης ἀνὰ < ιβ'. ἐλαίου κικίνου κοτύλην α'. ὄξους ὅσον ἀρκεῖ. ἔσχατον τὸν λίβανον, καὶ τὸν ἰὸν, καὶ τὸν ὀποπάνακα, καὶ στυπτηρίαν, καὶ χρυσόκολλαν, καὶ τὰ τοιαῦτα, πρότερον ὄξει διαλύων, καὶ λεαίνας ἐπιμελῶς ἐπίβαλλε. Ἐν ἄλλῃ γραφῇ ἔχει οὕτως. ℞. λιθαργύρου < ρξ'. πίσσης < ρξ'. στέατος μοσχείου < ρξ'. ῥητίνης τερμινθίνης < π'. μάννης λιβάνου < π'. κηροῦ < μ'. ὀποπάνακος, ἰοῦ ξυστοῦ ἀνὰ < ιϛ'. χρυσοκόλλης, στυπτηρίας σχιστῆς ἀνὰ < ιβ'. ἀμμωνιακοῦ θυμιάματος < ϛ'. κίκεως κο-
E τύλην α'. ὄξους τὸ αὐτό. συντίθει ὁμοίως ταῖς καταγματικαῖς. Οἰνάνθη καταγματική, φάρμακον ἐπιτετευγμένον. ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℞. λιθαργύρου < ρξ'. πίσσης οἰνηρᾶς < ρξ'. ταύτην λαμβάνομεν ἀποῤῥέουσαν ἐκ τῶν Ἰταλικῶν κεραμείων, ῥητίνης τερμινθίνης < π'. λιβάνου < π'. στέατος μοσχείου κατειργασμένου < π'. μυελοῦ ἐλαφείου κατειργασμένου < π'. κηροῦ < μ'. οἰνάνθης ξηρᾶς, συμφύτου ῥίζης, κενταυρείου κόμης, ἀνὰ λίτρας α'. ἰοῦ ξυστοῦ, ὀποπάνακος ἀνὰ < η'. μήκωνος ὀποῦ, σμύρνης, ἀλόης, χαλβάνης, ἀνὰ < η'. ὄξους κοτύλας γ'. ἐλαίου κικίνου κο-
F τύλην α'. σύμφυτον, οἰνάνθην, κενταύρειον κόψαντες εἰς παχέα, καὶ εἰς τὸ ὄξος ἐμβάλλοντες ἕψομεν εἰς τὸ τρίτον, καὶ τὸ ὑγρὸν ἐκθλίψαντες, χρώμεθα πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν. ποιεῖ δὲ τὸ φάρμακον, καὶ ποδαγρικοῖς. Ἐν ἄλλαις γραφαῖς ἔχει οὕτως. ℞. λιθαργύρου, πίσσης οἰνηρᾶς, ἀνὰ < ρξ'. μυελοῦ ἐλαφείου, ῥητίνης τερμινθίνης, στέατος μοσχείου, λιβάνου,

συμφύτου ῥίζης, ὀποῦ συκαμίνης, ἀνὰ < π'. οἰνάνθης ξηρᾶς, κενταυρείου, ἀνὰ λίτραν μίαν, κηροῦ < μ'. ἰοῦ, ὀποπάνακος, στύρακος, ὀποῦ μήκωνος, μανδραγόρου χυλοῦ, σμύρνης, ἀλόης, χαλβάνης, χρυσοκόλλης, στυπτηρίας σχιστῆς, ἀνὰ δραχμὰς ιβ'. ὄξους ξέστας γ'. ἐλαίου κικίνου λίτραν μίαν· σκεύαζε καθὰ προείρηται, καὶ εἰς οἶνον Ιταλικὸν ἄφεψε, καθάπερ ἐπὶ τῆς Μοσχίωνος καταγματικῆς πεποιήκαμεν.

A symphyti radicis, succi sycamini, singulorum drach. octoginta, œnanthes aridæ, centaurij, singulorum lib. j. ceræ drachmas quadraginta, æruginis, opopanacis, styracis, papaueris succi, mandragoræ succi, myrrhæ, aloës, galbani, chrysocollæ, aluminis scissilis, singulorum drach. xij. aceti sextarios tres, olei cicini libram vnam. Præparato quemadmodum prædiximus, & in vinum Italicum demergito, vt in catagmatico Moschionis fecimus.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῶν ἰδίως κεφαλικῶν ὀνομαζομένων ἐμπλάστρων.

ΟΝομάζειν εἰώθασι κεφαλικὰς ἐμπλάστρους, ἐπὶ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων, ὅσα μέχρι διπλόης ἐγένετο, χρώμενοι. δύναμις δ' αὐτῶν, καὶ λεπίδας ὀστῶν ἀναφέρειν καὶ ἀνάγειν θρέμματα, κατά τε τὴν κεφαλὴν, καὶ τἄλλα τοῦ σώματος ὀστᾶ. τινὲς δὲ καὶ κοινῷ γένει, καὶ ταύτας ὀνομάζουσι καταγματικάς. εἰσὶ δὲ τῶν ἰδίως καταγματικῶν ὀνομαζομένων ἰσχυρότεραι. τὸ μὲν γὰρ ῥυπτικόν τε καὶ ξηραντικὸν, αἱ καταγματικαὶ καλούμεναι παρ' αὐτῶν, ἔχουσιν. αὗται δὲ καὶ δριμύτητά τινα προσειλήφασι, δυναμένην ἐκ τοῦ βάθους ἐπισπάσασθαι πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν, οὐκ ὀστᾶ μόνον, ἀλλὰ καὶ πολὺ μᾶλλον αὐτῶν, ὑγρόν τι παχὺ καὶ γλίσχρον, ἢ ὅλως μοχθηρόν. ἐμνημόνευσε δὲ τῶν τοιούτων ἐμπλάστρων ὁ Ασκληπιάδης ἐν τῷ τρίτῳ τῶν ἐκτὸς φαρμάκων, ἅ τινα γέγραπται κατὰ τὸ δ'. ὑπόμνημα ταύτης τῆς πραγματείας. ἐπεὶ δὲ καὶ πρὸς τὰ κακοήθη τῶν ἑλκῶν, καὶ πρὸς τὰ χρόνιά τινα αὐτῶν ἁρμόττειν ἔφασκεν, ἥν τε γὰρ αὐτὸς ἐπιγράφει Δηϊλέοντος κεφαλικὴν, καὶ μετὰ ταύτην τὴν μελάγχλωρον κεφαλικὴν, καὶ μετὰ ταύτας, Φιλώτου κεφαλικὴν, εἶτα καὶ τὴν Ισιν, ἣν καὶ αὐτὴν κεφαλικὴν ὀνομάζει, καὶ ἄλλας τινὰς τοιαύτας ἐκ τούτου τοῦ γένους ἡγητέον εἶναι, διὸ καὶ νῦν οὐκέτι παρεθέμην αὐτὰς, ἀλλ' ἐπὶ τὰς ὑπὸ τῶν ἄλλων ἰατρῶν γεγραμμένας καταγματικάς τε καὶ κεφαλικὰς μεταβήσομαι, προειρηκὼς ἑκατέρων τὴν καθόλου δύναμιν. ἐξ ὧν δὲ καὶ ἔμπροσθεν, καὶ κατὰ ταύτην τὴν πραγματείαν εἶπον, ἔν τε τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἀναμιμνήσκομένους ὑμᾶς, χρὴ γνωρίζειν ὅτι γενναιότεραι τῶν καταγματικῶν εἰσιν, ἃς ἐπιγράφουσι κεφαλικάς. καὶ διὰ τοῦτο μετὰ κηρωτῆς σαρκοῦν πεφύκασιν, ὥστε καὶ ταῖς σαρκωτικαῖς καθ' ἕτερον τρόπον, ὁμογενεῖς πώς εἰσιν. ἐκλυθεῖσαι γὰρ τῇ κηρωτῇ τὴν δύναμιν, ἔμμοτοι σαρκωτικαὶ γίνονται, προσβληθέντος δηλονότι, ποτὲ μὲν ἐλαίου, ποτὲ δὲ ῥοδίνου, ποτὲ δὲ ἄλλου τινὸς τοιούτου.

CAPVT XVIII.

B

De emplastris, quæ propriè cephalica nominantur.

CApitis fracturarum quæ ad crassæ membranæ duplicaturam vsque peruenere, emplastra cephalica dici consueuerunt. Eorum virtus est, vt ossium squamas sursum attrahant, ac in pristinum locum reuocent, & fragmenta, tum in capite, tum in aliis corporis ossibus educant. Nonnulli communi genere hæc etiam vocant catagmatica, propriè verò nuncupatis fortiora sunt. Siquidem catagmatica ab eis dicta purC gandi siccandique facultatem habent; hæc autem acrimoniam etiam quandam sortita sunt, vt ex alto in superficiem extimam non ossa modò, sed his multo magis quoq; humorem crassum aliquem, & viscosum, vel omnino deprauatum attrahant. Meminit huiusmodi emplastrorum Asclepiades in tertio libro De exteriorum medicamentis, quæ sanè in quarto huius operis libro tractamus. Quoniam verò ad cacoëthe vlcera, & chironia, quædam ipsorum conuenire dixit, tum quod ad Deilcontem authorem refert cephalicum, tum hoc sequens ex nigro viride ceD phalicum, tum post hæc Philotæ cephalicum, tum deinde Isin, quod & ipsum cephalicum appellat, aliaque nonnulla huiusmodi, huius generis esse putandum est. Ideo nunc quoque ipsa non apposui, sed ad catagmatica, & cephalica ab aliis medicis memoriæ mandata transgrediar, vbi generalem vtriusque potentiam exposuerim. Quæ verò, & antea, & in hoc libro protulimus, & in opere De simplicium medicamentorum facultate, in memoriam reducentes, cognoscere vos expedit cephalica catagmaticis esse valentiora, eoque cum cerato carnem proE ducere natura sunt apta. Quapropter, & sarcoticis alio quodam modo genere similia sunt. Nam vbi ex cerato vim remiserint, sarcotica fiunt, quæ linamentis excipiuntur, adiecto videlicet interdum oleo, aliàs rosaceo, nonnunquam alio quodam huiusmodi.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ ὧν Ηρας ἔγραψε καταγματικῶν τε καὶ κεφαλικῶν.

ΠΡώτην μὲν τῶν τοιούτων ἐμπλάστρων ὁ Ηρας ἔγραψε τὴν Ισιν ὀνομαζομένην, ἱκανῶς πολύχρηστον φάρμακον. ἐφεξῆς δὲ τὴν διὰ τῶν βοτανῶν, ἣ καὶ αὐτὴ πολυχρηστοτάτη οὖσα μαρτυρεῖ, τὸ κεφαλικὴν ὑπάρχειν. ἀλλὰ καὶ ἡ διὰ σκίλλης ἐφεξῆς γεγραμμένη, τὴν αὐτὴν ἐπαγγελίαν ἔχει, τῶν πολυχρήστων ἱκανῶς φαρμάκων οὖσα, καὶ μέντοι καὶ μετὰ

CAPVT XIX.

De quibus Heras catagmaticis, & cephalicis scripserit.

F PRimum id genus emplastrorum Isin vocatum Heras scripsit, medicamentum ad satis multa idoneum; deinde quod ex herbis appellant, quod & ipsum multiplicis esse vsus attestatur id, nempe quod cephalicum existat. Quin & quod cōfectum ex scilla scriptū deinceps est, quum multi satis vsus medicamentū existat, idē pollicetur. Insuper post hæc

hæc omnia aliud emplastrum manifestò his verbis exposuit. *Aliud cephalicum. Ad capitis fracturas facit, ossa facilè reducit, & squamas separat, reliquaque omnia facit, quæ & ante ipsum pastillus.* ℞. squamæ æris rubri drach. xxv. aluminis drach. xx. aristolochiæ dactylitidis drach. xx. guttæ ammoniaci drach. xxv. thuris drach. xxv. myrrhæ drach. xij. seui taurini lib. iv. ceræ lib. iv. terebinthinæ lib. quatuor, pityinæ siccæ lib. iv. olei heminam vnam, aceti quantum satis est; sicca ad læuorem terito, quot sufficiat diebus sub æstu caniculæ; ammoniacum madefactum priùs aceto infundito, demum quæ liquari possunt rasa; ac in vnum coactis vtitor. In quibusdam exemplaribus adscriptum est, olei veteris. At quum hoc ipsum emplastrum dixerit efficere, quæ & ante ipsum pastillus, visum mihi est illius quoque compositionem subscribere, quæ secundum Heræ ipsius verba ita habet. *Pastillus cephalicus triplici mixtura constans. Facit ad capitis fracturas, item ad phymata, fistulas, podagras, callos, coxendices.* ℞. terræ erythriadis minas duas, alij duodecim, squamæ æris rubri minas quatuor, ichthyocollæ Ponticæ minas iv. in libris autem Heræ reperitur mina vna. Erythrias, & squama seorsum teruntur; deinde simul acetum acre affunditur, vt mellis crassitudinem habeant, & læuigantur; resiccatis acetum rursus admouetur; hoc fit diebus viginti sub caniculæ æstibus; post ichthyocolla ex aceti hemina confringitur, & lento igne liquatur; mox terra, squamaque additur; quæ in vas æris rubri coniecta, Soli octo diebus exponuntur, bis quotidie mouentur, donec coiuerint; post hæc exempta paulatim in mortario conteruntur aceto affuso, vsquedum constiterint; inde pastilli finguntur, & collyria, tum longitudine, tum crassitie inæqualia, & refrigerata reponuntur. In vsu ad vnam medicamenti partem ex aceto læuissimam factam tres cerati rosacei portiones admisceto; vtitor platysmate primùm, mox splenio, in capitis fractura, desuper lanis succidis ex aceto adiectis. Porrò collyrio fistulis imposito, splenium ex hoc cum cerato superdandum est. *Aliud eiusdem ad multa valens.* Scripsit aliud quoque multiplicis vsus emplastrum, ad fracturas quoque conueniens, de quo sic ad verbum inquit. *Emplastrum ad fracturas artuum cum vulnere, & sine vulnere, item ad malè curata, & sinus.* ℞. Picis aridæ minam vnam, argenti spumæ minam j. mannæ minæ dimidium, seui vitulini minam vnam, ceræ tyrrhenicæ minas quatuor, opopanacis drach. viij. æruginis rasæ minas sedecim, æris cyprij decimamsextam minæ portionem, galbani drachmam vnam, terebinthinæ minæ dimidium, ricini, vel olei veteris heminam vnam, aceti heminæ dimidium, & obol. iij. Argenti spumam, oleum, & seuum, lento igne incoquito; vbi colorem mutauerint, picem, resinam, galbanum adiicito; postea coquito, donec coëant: & tunc subtracto igne finens paululum refrigerari, mannam, mox opopanacem, & æruginem ex aceto tritam, in ollam fundito; ac vbi tantillum incoxeris, dum bene habeat, tollito. Vtimur facultate, frigidam affundentes æstate, hyeme gelu adimentes. Cæterùm vbi medicamentum tenerius facere animus est, vel vt os maturiùs abscedat, medulla cerui ipsum diluimus. Iam verò in hoc medicamento Heras minam sedecim vnciarum esse velle planè ostenditur, aliàs enim decimamsextam minæ partem

A ταύτας δ' αὖ τῆς ἑτέραν ἔμπλαστρον γράφων, οὕτως κατὰ λέξιν φησί. Ἄλλη κεφαλικὴ ποιοῦσα πρὸς τὰ ἐν κεφαλῇ κατάγματα, ἀνάγει ὀστᾶ εὐχερῶς, καὶ λεπίδας ἀφίστησι. καὶ τὰ λοιπὰ δὲ πάντα ποιεῖ, ὅσα καὶ ὁ πρὸ ταύτης τροχίσκος. ℞. λεπίδος ἐρυθροῦ χαλκοῦ < κε'. στυπτηρίας < κ'. ἀριστολοχίας δακτυλίτιδος < κ'. ἀμμωνιακοῦ θυμιάματος < κε'. λιβάνου < κε'. σμύρνης < ιβ'. στέατος ταυρείου λίτρας δ'. κηροῦ λίτρας δ'. τερμινθίνης λίτρας δ'. πιτυΐνης ξηρᾶς λίτρας δ'. ἐλαίου κοτύλην α'. ὄξους τὸ ἀρκοῦν, τὰ ξηρὰ λειοτρίβει ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἐφ' ἱκανὰς ἡμέρας, τὸ
B ἀμμωνιακὸν προβρέξας εἰς ὄξος ἐπίχει, τελευταῖον τὰ τηκτὰ ἐξυσμένα, καὶ ἑνώσας χρῶ. ἔν τισιν ἀντιγράφοις προσγέγραπται ἐλαίου παλαιοῦ. ἐπεὶ δὲ ταύτην αὐτὴν τὴν ἔμπλαστρον, ἔφη ποιεῖν ὅσα καὶ ὁ πρὸ αὐτῆς τροχίσκος, ἔδοξέ μοι κἀκείνου τὴν σύνθεσιν ὑπογράψαι, κατὰ τὴν αὐτοῦ τοῦ Ἡρᾶ λέξιν οὕτως ἔχουσαν. Τροχίσκος κεφαλικὸς τριμίγματος, ποιῶν ἐπὶ τῶν ἐν κεφαλῇ καταγμάτων, καὶ πρὸς φύματα, καὶ σύριγγας, ποδάγρας, πώρους, ἰσχιάδας. ℞. γῆς ἐρυθριάδος μνᾶς β'. ἄλλ. ιβ'. λεπίδος ἐρυθροῦ χαλκοῦ μνᾶς δ'. ἰχθυοκόλλης Ποντικῆς μνᾶς δ'. ἐν δὲ τοῖς Ἡρᾶ βιβλίοις εὑρί-
C σκεται μνᾶ α'. λέαινον ἰδίᾳ τὴν ἐρυθριάδα, καὶ τὴν λεπίδα· εἶθ' ὁμοῦ παράχει ὄξος δριμὺ, ὡς ἔχειν μέλιτος πάχος. καὶ λειοτρίβει, ἀναξηραινομένοις δὲ, ὄξος παράχει. τοῦτο ποίει ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἐφ' ἡμέρας κ'. ἔπειτα λαβὼν τὴν ἰχθυοκόλλαν, θλάσον ἐπιχέας ὄξους κοτύλην α'. τῆκε ἐπὶ μαλακῷ πυρὶ, εἶτα ἐπίβαλλε τὴν γῆν, καὶ τὴν λεπίδα, καὶ κατέρας εἰς ἄγγος ἐρυθροῦ χαλκοῦ, καὶ θὲς εἰς ἥλιον ἐπὶ ἡμέρας η'. κίνει δὶς τῆς ἡμέρας, ἕως ἂν παγῇ, εἶτ' ἐξαίρων κατὰ μικρὸν τρίβε ἐν θυίᾳ, ὄξος παραχέων μέχρι συσταθείη, εἶτα ἀνάπλασσε τροχίσκους, καὶ κολλούρια ἀνισομήκη, καὶ ἀνισο-
D παχῆ, καὶ ψύξας ἀπόθου. καὶ ἐπὶ τῆς χρείας πρὸς ἓν μέρος τοῦ φαρμάκου μετ' ὄξους λελειοτριβημένου, τρία μέρη κηρωτῆς ῥοδίνης μίσγε, καὶ χρῶ πλατύσματι, εἶτα σπληνίῳ ἐπὶ τῶν ἐν κεφαλῇ, καὶ ἄνωθεν μίσγε ἐρίοις ῥυπαροῖς ἐξ ὄξους. ἐπὶ δὲ τῶν συρίγγων τοῦ κολλουρίου κατατεθέντος, σπλήνιον ἐκ τούτου σὺν κηρωτῇ, ἄνωθεν ἐπίρριπτε. Ἄλλη πολύχρηστος. Ἔγραψε δὲ καὶ ἄλλην πολύχρηστον ἔμπλαστρον, ἣν καὶ ἁρμόττειν φησὶ πρὸς τὰ κατάγματα. λέγει δὲ περὶ αὐτῆς κατὰ λέξιν οὕτως. πρὸς τὰ μετὰ τραύματος, καὶ χωρὶς τραύματος ἐπὶ τῶν κώλων κατάγματα καὶ λειπουργίας, καὶ κόλπους. Πίσσης ξηρᾶς
E μνᾶ α'. λιθαργύρου μνᾶ α'. μάννης μνᾶς ἥμισυ, στέατος μοσχείου μνᾶ α'. κηροῦ τοῦ Τυρρηνικοῦ μνᾶς δ'. ὀποπάνακος < η'. ἰοῦ ξυστοῦ μνᾶς ιϛ'. κυπρίου χαλκοῦ μνᾶς ἑκκαιδέκατον, χαλβάνης < α'. τερμινθίνης μνᾶς ἥμισυ, κίκεως, ἢ ἐλαίου παλαιοῦ κοτύλην α'. ὄξους κοτύλης ἥμισυ καὶ τριώβολον. τὴν λιθάργυρον, καὶ τὸ ἔλαιον, καὶ τὸ στέαρ ἕψε ἐπὶ μαλακοῦ πυρὸς, εἶθ' ὅταν μεταβάλλῃ τὴν χρόαν, ἀπόδος πίσσαν, ῥητίνην, χαλβάνην, ἔπειτα ἕψε ἕως συστῇ, καὶ τότε ὑφελὼν τὸ πῦρ, καὶ ἐάσας μικρὸν ψυγῆναι, τὴν μάνναν, εἶτα τὸν ὀποπάνακα, καὶ τὸν ἰὸν τετριμμένον σὺν ὄξει καταχέων εἰς τὴν χύτραν, καὶ ἐπὶ
F βραχὺ ἑψήσας, ὅταν ἔχῃ καλῶς, ἆρον. χρώμεθα τῇ δυνάμει ψυχρὸν ἐπαντλοῦντες θέρους, χειμῶνος δὲ τὸν πάγον ἀφαιροῦντες. ἐπειδὰν δὲ βουλώμεθα τὸ φάρμακον ποιῆσαι ἁπαλώτερον, ἢ τάχιον ὀστέον ἀποστῆσαι, ἀνίεμεν αὐτὸ μυελῷ μοσχείῳ. ἐν τούτῳ τῷ φαρμάκῳ ὁ Ἡρᾶς δῆλός ἐστι, τὴν μνᾶν ιϛ'. οὐγγιῶν βουλόμενος εἶναι. οὐ γὰρ ἂν ἑκκαιδέκατον ἐγεγράφει μνᾶς,

εἰ μὴ τοῦτ' ἐβούλετο. Ἄλλη. καὶ μετὰ ταύτην ἐφεξῆς ἑτέραν A ἔμπλαστρον ὁμοίας ἐπαγγελίας, ὧδέ πως ἔχουσαν ἔγραψεν ὁ Ἡρας· ἀφλέγμαντος πρὸς τὰ νύγματα καὶ κατάγματα. ταύτῃ πολλάκις, καὶ ἐπὶ ἐξαρθρημάτων αὐθήμερον ἐχρησάμεθα καὶ καταγμάτων, ἐπί τε λυγισμάτων τῶν περὶ σφυρὰν, ἢ γόνυ. διαφορεῖ δὲ καὶ τὰ ἄργα ὑγρὰ τὰ περὶ γόνατα ἀνισάμενα ἄκρως, καὶ μάλιστα εἰ προκαταπλασθείη τὰ μέρη πρὸ δύο, ἢ τριῶν ἡμερῶν ὀροβίνῳ ἀλεύρῳ, ὀξυμέλιτι πεφυραμένῳ, καὶ καθόλου πρὸς πᾶν σπάσμα καὶ ῥῆγμα ποιεῖ, δαιμονίως γάρ ἐστιν ἀφλέγμαντος. ℞. λιθαργύρου < κε'. ἀσφάλτου ξηρᾶς < ρ'. πίσσης ξηρᾶς < ν'. κηροῦ < ν'. ῥητίνης πιτυΐνης < κε'. B ἀμμωνιακοῦ θυμιάματος < ιε'. στυπτηρίας σχιστῆς < ιε'. ἰοῦ < ιε'. προπόλεως < ιε'. ἐλαίου παλαιοῦ λίτρας γ'. ἕψε λιθάργυρον ἐλαίῳ, καὶ ὅταν ἄρξηται συστρέφεσθαι, ἐπίβαλλε ἄσφαλτον, καὶ ἕψε μέχρις οὗ αὕτη καλῶς τακῇ, τήκεται γὰρ χρόνῳ, εἶτα πίσσαν, εἶτα ῥητίνην, κηρὸν, ἀμμωνιακὸν, πρόπολιν. ἕκαστον δὴ αὐτῶν ἀποδίδου συστρέφων, καὶ ὑποσπῶν τὸ πῦρ. ἀμολύντων δὴ ὄντων, ἰὸν, σχιστὴν, καὶ ἐνδοὺς ζέμα, κάταχε εἰς λεκάνην ψυχρὸν ἔχουσαν. ταύτῃ μετὰ τὸ πωρωθῆναι τὸ λοιπὸν κάταγμα, σκινδαλμῶν ἐμπλεόντων πλεόνων ἐχρησάμεθα, καὶ ἐν ὀλίγαις ἡμέραις εἰς τοῦτο προήγαγεν, ὥστε τὸν C πῶρον περιελθεῖν καὶ τοὺς σκινδαλμούς, λίαν ἐστὶ πολύχρηστος.

Καὶ μετὰ ταύτην, ἄλλην ἐφεξῆς ὁμογενῆ ταῖς προειρημέναις ἐμπλάστροις ὁ Ἡρας, ὧδέ πως ἔγραψεν. ἔμπλαστρος καταγματική, καὶ πρὸς ὑδρωπικούς. ℞. πίσσης ξηρᾶς μνᾶν α'. πίσσης ὑγρᾶς κοτύλης ἥμισυ, ὀποῦ συκομόρου κοτύλην α'. λιθαργύρου μνᾶν α'. λιβάνου μνᾶν α. χαλβάνης < η'. τερμινθίνης μνᾶς ἥμισυ, στέατος μοσχείου μνᾶν α'. κηροῦ μνᾶν μίαν, ὀποπάνακος < η'. ἰοῦ ξυστοῦ < η'. κίκεως ἀδόλου κοτύλας δ'. ὄξους δριμέος κοτύλην α'. ἕψεται πραέως ἡ λιθάργυρος, καὶ ὁ λίβανος σὺν τῷ κικίνῳ καὶ τῷ στέατι, εἶτα πίσσα προσβάλλεται. D κηρὸς. ῥητίνη, χαλβάνη κεκαθαρμένη, καὶ μικρῷ ὄξει διειμένη. τοῦ δὲ λοιποῦ ὄξους, μίγνυται τὸ μὲν τρίτον μέρος τῷ ἰῷ, τὸ δὲ δίμοιρον τῷ ὀποπάνακι, καὶ ταῦτα προσεμβάλλεται. ἐν ἑτέρῳ δὲ λοπαδίῳ, ὑγρὰ πίσσα, καὶ ὁ τῆς συκομόρου ὀπὸς, καὶ ὁ τοῦ κίκεως, ὅσον ὄγδοον μέρος, ἵνα μὴ ὁ ἰὸς συστραφῇ, εἶτα ἕψεται μετρίως, ὅσον ἑνωθῆναι. ὅταν δὲ καλῶς ἑνωθεὶς εἶναι δόξει, εἰς οἶνον ἀποτίθεται τὸ φάρμακον. ταύτῃ πολλοὺς περιεγενόμεθα ὑδρωπικῶν, ἐπιρρίπτοντες αὐτὴν, καὶ ἄγοντες ἀπεριέργως, καὶ μόνον εὐπεψίας προνοούμενοι. ὅταν μέντοι πολλῆς προκοπῆς οἱ πάσχοντες αἴσθωνται, μεταβαίνομεν ἐπὶ τὴν E ὑπογεγραμμένην αὐτῇ δι' ἁλῶν.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Καταγματικὴ Ἀνδρομάχου.

ΠΡώτην δὲ τῶν καταγματικῶν ὁ Ἀνδρόμαχος ὧδέ πως ἔγραψε. Καταγματικὴ ᾗ χρώμεθα συνεχῶς. Λιθαργύρου μνᾶ α'. πίσσης μνᾶ α'. κηροῦ μνᾶ α'. στέατος ταυρείου μνᾶ α'. λιβάνου μνᾶ α'. πίσσης ὑγρᾶς κοτύλης ἥμισυ, ὀποῦ συκαμίνου κοτύλη α'. τερμινθίνης μνᾶ α'. ὀποπάνακος < η'. F χαλβάνης < η'. ἰοῦ < η'. κίκεως κοτύλη α'. τινὲς καὶ βουτύρου μνᾶ α'. ἀμμωνιακοῦ θυμιάματος < κε'. ἐν οἴνῳ αὐστηρῷ. Μετὰ ταύτην, ἑτέραν οὑτωσὶ γράφει. Ἄλλη καταγματική. Λιθαργύρου μνᾶ α'. κηροῦ μνᾶς ἥμισυ, οἱ δὲ τέταρτον, πίσσης μνᾶ α'. τερμινθίνης μνᾶς ἥμισυ, στέατος μοσχείου μνᾶ α'.

non scripsisset. *Aliud.* Huic deinceps aliud ad eadem hisce verbis Heras subdidit; *Emplastrum phlegmonas arcens. Ad puncturas neruorum, ac fracturas. Hoc frequenter, & ad articulos luxatos ipso die vsi sumus, tum in fracturis, item in contorsione tali, vel genu. Discutit humores incoctos circa genua summè se attollentes, præsertim si partes affectæ duobus, vel tribus diebus antè, erui farina oxymelite madefacta illita sunt. Summatim ad omnem conuulsionem, & rupturam valet, nam mirificè phlegmonem arcet.* ℞. argenti spumæ drach. xxv. bituminis aridi drach. centum, picis aridæ drach. quinquaginta, ceræ drach. quinquaginta, resinæ pityinæ drach. xxv. guttæ ammoniaci drach. quindecim, aluminis fissilis drach. xv. æruginis drach. xv. propoleos drach. xv. olei veteris lib. iij. Argenti spuma cum oleo coquitur; & vbi confluere cœperint, bitumen adiicitur; vsque dum probè liquefactum fuerit, incoquitur, liquatur enim pedetentim; dein pix, postea resina, cera, ammoniacum, propolis adduntur; singula autem adhibe contorquendo, ignemque subtrahendo; quibus sic spissatis, vt non ampliùs inquinent, æruginem, ac scissile alumen, adiungito; tum feruore remisso, in ollam, in qua frigida sit, transfundito. Hoc postquam fractura reliqua callum cepit frustulis pluribus innatantibus, vsi sumus, idque paucis diebus eo rem perduxit, vt callus etiamdum frustula comprehenderet. Valde est in multis vsui. Inde aliud quoque deinceps eiusdem generis cum prædictis emplastris in hunc modum Heras recensuit. *Emplastrum ad fracturas & ad hydropicos.* ℞. picis aridę minam j. picis liquidæ heminæ dimidium, liquoris sycomori heminam j. argenti spumæ minam j. thuris minam j. galbani ʒ. viij. terebinthinæ minę dimidium, adipis vitulini minam j. ceræ minam j. opopanacis ʒ. viij. æruginis rasæ ʒ. viij. ricini non adulterati heminas iv. aceti acris heminam j. argenti spuma, & thus cum ricino, & seuo leniter incoquuntur; deinde pix adiicitur, cera, resina, galbanum purgatum, & pauco aceto dilutum; reliqui aceti tertia pars ærugini, duæ opopanaci, admiscentur, & hęc immittuntur. In alia autem ollula picis liquidę, sycomori, & ricini liquoris pars octaua, ne ęrugo densetur, deinde mediocriter coquuntur, vt vnitas fiat; quum bene vnita videbuntur, in vino reponitur medicamentum. Hoc multis hydropicis succurimus, iniicientes ipsum, ac moroso minus victu regentes, solumque, vt bene concoquerent, prouidentes. Quum verò profecisse se multum ęgri sentiunt, descendimus ad emplastrum ei subiectum, quod ex salibus dicitur.

CAPVT XX.

Catagmaticum Andromachi.

PRimum catagmaticũ Andromachus ita scripsit. *Catagmaticum, quo continuè vtor.* ℞. argenti spumę minam j. picis minam j. cerę minam j. seui taurini minam j. thuris minam j. picis liquidę heminę dimidium, liquoris sycamini heminam j. terebinthinę minam j. opopanacis ʒ. octo, galbani ʒ. octo, ęruginis ʒ. octo, ricini heminam j. Nonnulli etiam butyri minam j. addunt. guttę ammoniaci ʒ. xxv. ex vino austero diluitur. Mox post hoc aliud hac sententia scribit. *Aliud catagmaticum.* ℞. argēti spumę minā j. cerę minę ß. alii partem iv picis minam j. terebinthinę minæ ß. seui vitulini minam j. opopanacis

opopanacis drach. viij. æruginis ʒ. octo, galbani ʒ. octo, alij sex, ricini heminam j. aceti tantundem. Gallus iniecit scissilis drach. xij. chrysocollæ ʒ. xij. Aliud superioribus catagmaticum hoc modo Andromachus subnectit. *Nigrum catagmaticum.* ℞. argenti spumæ ʒ. cc. bituminis ʒ. cc. picis drach. c. ceræ ʒ. c. scissilis drach. xxx. propoleos ʒ. xxx. terebinthinæ ʒ. l. guttę ammoniaci drach. xxiv. æruginis rasæ drach. x. olei sextarios iv. alij sextarios ij. adiiciunt. Veteres etiam lapidis pyritæ drach. lx. Hæc igitur ab Andromacho ordine scripta sunt, seorsum verò inter viridia postremum emplastrum quoddam his verbis expressum inuenio. *Aliud viride cephalicum ex collectaneis Aphrodæ.* ℞. squamæ ʒ. xl. terræ eretriadis ʒ. xx. aristolochiæ ʒ. xxx. ichthyocollæ ʒ. xvj. salis ammoniaci ʒ. xij. misyos ʒ. xij myrrhæ ʒ. xij. thuris ʒ. xxxvj. æris usti drach. xvj. aluminis fissilis ʒ. xij. rotundi ʒ. xvj. bryoniæ ʒ. xij. chamæleontis nigri ʒ. xij. resinæ vstæ ʒ. xviij. guttæ ammoniaci ʒ. xviij. argenti spumæ ʒ xij. in alio reperi sulfuris viui, Illyridis, singul. ʒ. xij. chalcanthi ʒ. xij. fellis taurini heminæ dimidium, aceti congium j. Sub caniculæ æstu pastillos fingito, qui singuli drach. quatuor pendant, ceræ quartam partem misceto, aceti heminas sex, olei heminas sex.

A ὀποπάνακος < η'. ἰοῦ < η'. χαλβάνης < η'. οἱ δὲ ϛ'. κίκεως κοτύλη α'. ὄξους ἴσον. Γάλλος ἐνέβαλλε σχιστῆς < ιβ'. χρυσοκόλλης < ιβ'. ἄλλην ἐπὶ ταῖς προειρημέναις καταγματικὴν, οὕτως ἔγραψεν ὁ Ἀνδρόμαχος. Μέλαινα καταγματική. ℞. λιθαργύρου < σ'. ἀσφάλτου < σ'. πίσσης < ρ'. κηροῦ < ρ'. σχιστῆς < λ'. προπόλεως < λ'. τερμινθίνης < ν'. ἀμμωνιακοῦ θυμιάματος < κδ'. ἰοῦ ξυστοῦ < ι'. ἐλαίου ξε δ'. οἱ δὲ ξε β'. οἱ παλαιοὶ καὶ λίθου πυρίτου < ξ'. Αὗται μὲν οὖν ἐφεξῆς ἐγράφησαν ὑπὸ τοῦ Ἀνδρομάχου. χωρὶς δὲ τούτων ἐν ταῖς χλωραῖς ὑστάτη γέγραπταί τις ἔμπλαστρος οὕ-
B τως. Ἄλλη χλωρὰ κεφαλικὴ ἐκ τῶν Ἀφροδᾶ. ℞. λεπίδος < μ'. γῆς ἐρετριάδος < κ'. ἀριστολοχίας < λ'. ἰχθυοκόλλης < ιϛ'. ἁλὸς ἀμμωνιακοῦ < ιβ'. μίσυος < ιβ'. σμύρνης < ιβ'. λιβάνου < λϛ'. χαλκοῦ κεκαυμένου < ιϛ'. στυπτηρίας σχιστῆς < ιβ'. καὶ στρογγύλης < ιϛ'. βρυωνίας < ιβ'. χαμαιλέοντος μέλανος < ιβ'. ῥητίνης κεκαυμένης < ιη'. ἀμμωνιακοῦ θυμιάματος < ιη'. λιθαργύρου < ιβ'. ἐν ἄλλῳ εὗρον θείου ἀπύρου, Ἰλλυρίδος ἀνὰ < ιβ'. χαλκάνθης < ιβ'. χολῆς ταυρείας κοτύλης ἥμισυ, ὄξους χοέα α'. ὑπὸ κύνα τροχίσκους ποίει ἀνὰ < δ'. μίσγε κηροῦ δ'. ὄξους κοτύλας ϛ'.
C ἐλαίου κοτύλας ϛ'.

CAPVT XXI.

De emplastris glutinantibus.

QVidam hæc sanguinaria, & vulneraria idest cruentis, & vulneribus adhibẽda, nũcupant. Opus eorũ est cõiungere diuisas partes, & cõglutinare, vt in pristinã vnitatẽ particula reducatur. Verũ non modo cruenta protinus glutinãtur, vbi sanguinẽ ex diuisione profluentẽ adhuc spõgia deterserimus, deinde suturis, aut fibulis coarctauerimus; sed etiam sinus veteres, quũ ab omni inflãmatione immunes, & puros, medicamẽtis appositis, effecerimus, cõmittũtur, coëuntque. Dictũ est in therapeutices methodi libris medicamentũ primario, atq; ex sese sordis detersoriũ appellari, secundaria verò ratione carnẽ producens, & glutinans. Non enim tanquã ipsum carnẽ generet, aut vniat, neq; tanquã hęc naturæ solius opera non sint, sed quòd talibus impositis medicamẽtis, vlcera carne replẽtur, ac coëunt, appellationẽ hãc sortita sunt. Opus ipsorũ propriũ est, affectã partẽ recremẽtis vacuare, ne videlicet sanies carnis generationẽ, glutinationẽq; impediat. Indicatũ porrò est glutinatoria carne explẽtib. esse sicciora, itẽ quę carne explẽt, detergẽdi vim omnis morsus expertẽ referre, glutinãtib. autẽ nõ abstersoriis prorsus, verũ desiccãtib. solũ, esse licet. At quũ cicatricẽ quoq; ducẽtia medicamenta multò his (præterquã, quòd abũdè astringũt) sicciora sint, statuamus demum, & quæ glutinãt, & quę cõiungũt, moderatiùs istis exiccare. Finis autem glutinãtium est nullã inter coitura subnasci humiditatẽ permittere; cicatricem verò cõtrahentium, non hãc tantũ impedire, sed etiamnum consistentẽ in iis, quæ mox cicatricẽ ducent, consumere, hæc callum obducere, & astringendo indurare. Quæ carne implent, sanguinem ad refectionẽ idoneum, tum pro quantitate, tum pro qualitate tuentur, ac tantum talemq; quanto natura, & quali ad carnis generationem indiget. Cæterùm mordicationis prorsus expers medicamẽtum purum vlcus seruat, si quidem tale acceperit; si verò

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῶν κολλητικῶν ἐμπλάστρων.

ΕΝιοι ταύτας ἐναίμους τε καὶ τραυματικὰς ὀνομάζουσιν. ἔργον δ' αὐτῶν ἐστι, συμφῦσαι τε καὶ κολλῆσαι τὰς διῃρημένας σάρκας, ὡς εἰς τὴν ἀρχαίαν ἕνωσιν ἀχθῆναι τὸ μόριον. οὐ μόνον δὲ τὰ ἔναιμα κολλᾶται παραχρῆμα, τῆς διαιρέσεως ἔτι ῥέον τὸ αἷμα ἀποσπογγιζόντων ἡμῶν, εἶτα ῥαφαῖς, ἢ ἀγκτῆρσιν
D συναγόντων, ἀλλὰ καὶ κόλπους παλαιοὺς ἀφλεγμάντους τε καὶ καθαροὺς πρότερον ἐργασάμενοι διὰ φαρμάκων ἐπιθέσεως, ἑνοῦμέν τε καὶ συμφύομεν. Εἴρηται δὲ ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὅτι ἀφαιρετικὸν μὲν ῥύπου φάρμακον, πρώτως τε καὶ καθ' ἑαυτὸ λέγεται, σαρκωτικὸν δὲ καὶ κολλητικὸν δευτέρως. οὐ γὰρ, ὡς αὐτὸ σαρκοῦν, ἢ συμφύον, οὐδ' ὡς οὐκ ὄντων τούτων φύσεως μόνης ἔργων, ἀλλ' ὅτι τοιούτων ἐπιτιθεμένων φαρμάκων, σαρκοῦταί τε καὶ συμφύεται τὰ ἕλκη, τὴν προσηγορίαν ταύτην ἔλαβε. ἔργον δ' αὐτῶν ἴδιόν ἐστιν, ἀπέριττον ἐργάσασθαι τὸ πεπονθὸς μόριον, ὡς μὴ κωλύοιεν οἱ
E ἰχῶρες αὐτοῦ τὴν σάρκωσιν, ἢ τὴν κόλλησιν. ἐδείχθη δὲ, ὅτι ξηραντικώτερα τῶν σαρκωτικῶν ἐστι τὰ συμφυτικά. καὶ ὡς τὰ μὲν σαρκωτικὰ, ῥυπτικῆς δυνάμεώς ἐστιν ἀδηκτοτάτης, τὰ κολλητικὰ δὲ, οὐ πάντως ῥυπτικῆς, ἀλλὰ χρὴ μόνον αὐτοῖς ξηραντικοῖς ὑπάρχειν. ἐπεὶ δὲ καὶ τὰ τὴν οὐλὴν ἐργαζόμενα φάρμακα, πολὺ τούτων ἐστὶ ξηραντικώτερα μετὰ τοῦ στύφειν ἱκανῶς, δεδείχθω καὶ τούτων τὰ κολλητικά τε καὶ συμφυτικὰ, τῷ μετριώτερον ξηραίνειν. ὅρος δὲ τῶν μὲν κολλητικῶν, μηδεμίαν ἐᾶσαι μεταξὺ τῶν κολληθησομένων ὑγρότητα γενέσθαι. τῶν δ' ἐπουλωτικῶν, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὴν οὖσαν ἐν
F τοῖς ἐπουλωθησομένοις ἐκδαπανᾶν, καὶ προσέτι τυλοῦν, καὶ σκληρύνειν τῇ στύψει. τὰ σαρκωτικὰ δὲ, τὸ μὲν εἰς ἀνάθρεψιν ἐπιτήδειον αἷμα φυλάττει, κατά τε ποσότητα καὶ ποιότητα, τοσοῦτόν τε καὶ τοιοῦτον, ὁπόσου καὶ ποίου δεῖται πρὸς τὴν τῆς σαρκὸς γένεσιν ἡ φύσις. καθαρὸν δὲ φυλάττει τὸ ἕλκος, εἰ μὲν παρέλαβεν αὐτὸ τοιοῦτον ἀδηκτότατον. εἰ δὲ

ῥύπον ἔχον, ἀναγκαῖον μὲν αὐτὸ ῥυπτικὸν εἰς τοσοῦτον εἶναι A κατὰ τὴν ἑαυτοῦ δύναμιν, εἰς ὅσον ἥκει πάχους ὁ ῥύπος. ἀναγκαῖον δὲ καὶ δάκνειν, καὶ διαβιβρώσκειν τὴν νεοπαγῆ σάρκα. δῆλον οὖν ὅτι τοιοῦτον ὂν οὐ σαρκώσει τὸ ἕλκος, οὐδὲ πληρώσει τὴν κοιλότητα τῆς σαρκὸς, ἀλλὰ συντήξει τε καὶ μειώσει, καὶ διὰ τοῦτο τὰ ῥύπου πολλοῦ καθαρτικὰ φάρμακα, περὶ ὧν ἔμπροσθεν εἶπον, οὐκ ἀεὶ δύναται σαρκοῦν. ἀλλ᾽ ὅταν ἤτοι δι᾽ ἐλαίου πλείονος, ἢ ῥοδίνου ταχέντα, καθάπερ τό τε ἐλαιῶδες, καὶ τὸ διὰ χάρτου, κολασθῇ τὸ σφοδρὸν τῆς ῥύψεως, ἢ διὰ κηρωτῆς μίξεως, ἄδηκτα γίγνεται. τοιαῦτα δὲ πολλαὶ τῶν πολυχρήστων δυνάμεών εἰσιν, ὡς ἥτε B τοῦ Μαχαιρίωνος καὶ ἡ Ἶσις. ὁ μὲν οὖν σκοπὸς ἑκάστου τῶν τοιούτων ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου λέλεκται γράμμασιν. ἡ δὲ ὕλη τῶν δυνάμεων, ἡ μὲν ἁπλῆ δι᾽ ἑτέρας πραγματείας ἔμπροσθεν, ἡ σύνθετος δὲ, διὰ τῆς νῦν ἐνεστώσης λέγεται. καὶ πρώτης γε ἐν αὐτῇ μεμνῆσθαι χρὴ, τῆς τῶν θεραπευομένων σωμάτων φύσεως. τὰ μὲν ὑγρὰ, καὶ διὰ τοῦτο μαλακὰ, καθάπερ τὰ τῶν γυναικῶν, καὶ παιδίων, εὐνούχων τε καὶ γυναικείως βιούντων, ἀσθενεστέρων δεῖται φαρμάκων. τὰ δὲ τῶν ἀνδρῶν, καὶ μάλισθ᾽ ὅσοι δι᾽ ἐνεργειῶν ἀνδρικῶν, καὶ ἡλίου, σκληρὰν εἰσήγοντο τὴν ἕξιν τοῦ σώματος ὑπὸ τῶν ἀσθενῶν, C οὐδὲν ὠφελεῖται. διὰ τοῦτ᾽ οὖν, οὐδὲ τὰ κολλητικὰ κοινὰ τῶν σωμάτων ἑκατέρων ἐστὶν, ἀλλ᾽ ὅσα μὲν διὰ λιθαργύρου, καὶ ἐλαίου σκευάζεται, καὶ ὄξους, περὶ ὧν ἐν τῷ προτέρῳ λόγῳ διῆλθον, ἀσθενοῦς καὶ μαλακῆς σαρκός ἐστι κολλητικά. τὰ δὲ δι᾽ ἀσφάλτου, καὶ ἰοῦ, καὶ λεπίδος, ἀλόης τε καὶ σμύρνης, ἰσχυρᾶς τε καὶ σκληρᾶς. ἔστι μὲν οὖν ἡ ἄσφαλτος αὐτὴ καθ᾽ ἑαυτὴν ἐν τῷ σκοπῷ τούτων τῶν δυνάμεων, ἀλλ᾽ οὐχ οἷόν τε χρῆσθαι μόνῃ μετ᾽ ἐλαίου τήξαντα, ψαθυρωτέρα γάρ ἐστιν, ἢ ὡς ἐμπλαστρῶδες ἐργάσασθαι φάρμακον. ἵν᾽ οὖν ἔμπλαστρος γένηται, κηρὸν, καὶ ῥητίνης αὐτῇ μίγνυμεν, ὑφ᾽ ὧν πάλιν D ἐκλυθησομένην αὐτῆς δύναμιν εἰδότες, ἐνίοτε μὲν χαλκὸν, ἢ λεπίδα χαλκοῦ, πολλάκις δὲ ἀλόην, ἢ σμύρναν, ἢ συνελόντι φάναι, τῶν ξηραινόντων τι φαρμάκων οὐκ ἀγεννῶς μίγνυμεν.

sordidum, necesse est tantùm pro sua ipsius potestate detergens sit, quantum crassitudinis sordes habuerit; quin etiam carnem recens iunctam mordere, & exedere debebit. Vnde palàm colligitur id, quum tale existat, vlceri carnem non esse inducturum, nec cauitatem carnis repleturum, sed quod potius colliquabit, imminuetque. Atque huius rei causa medicamentum, quod sordibus copiosis repurgandis est, quod antea dixi, non semper carnem potest gignere, nisi vel ex vberiore oleo, vel rosaceo liquatum; sicut quod oleosum, & quod ex charta inscribitur, detersionis vehementiam remittat, vel ex cerati mixtura mordicationem deponat. Huiusmodi sunt plura multiplicis vsus medicamenta, quemadmodum Machærionis emplastrum, & Isis. Scopus igitur singulorum id genus in therapeuticæ Methodi libris declaratus est, simplex facultatum materia in alio opere priori, composita in præsenti tractantur. Ac primum sanè in eo meminisse oportet naturæ corporum, quæ curanda susceperis. Nam humida, eoque mollia, quemadmodum mulierum, puerorum, eunuchorum, & qui muliebriter degunt, imbecillioribus medicamentis indigent; virorum corpora, potissimum qui ex virilibus muniis, & Sole durum corporis habitum conciliarunt, ab imbecillibus nihil præsidij sentiunt. Quapropter nec glutinantia vtrorumque corporum communia sunt, sed quæ ex argenti spuma, oleo, & aceto præparantur (in priori libro de ipsis egimus) imbecillam, mollemque carnem glutinant, quæ bitumine, ærugine, squama, aloë, & myrrha constant, robustam, & duram. Itaque bitumen ipsum per se in harum facultatum scopo continetur. At nulla ratione solùm ex oleo liquatum, vsurpare poteris, vt quod friabilius sit, quàm medicamento emplastri forma faciendo conueniat. Vt igitur emplastrum fiat, ceram, & resinam ei admiscemus; à quibus denuò facultatem eius solutum iri scientes, interdum æs, vel eius squamam, sæpe aloën, vel myrrham, vel in summa siccans aliquod medicamentum, non ineptè adiicimus.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Αἱ δι᾽ ἀσφάλτου βάρβαροι.

ΠΡώτας κἀνταῦθα παραθήσομαι τὰς ὑπὸ Ἀνδρομάχου γεγραμμένας, αὐτῇ τῇ ἐκείνου λέξει. Βάρβαρος E ᾗ χρῶμαι. ℞. κηροῦ < σ΄. πίσσης < σ΄. ῥητίνης < σ΄. ἀσφάλτου < σ΄. λιβάνου < κδ΄. ἐλαίου κοτύλην α΄. Ἄλλη. ℞. πίσσης λίτρας β΄. ἀσφάλτου λίτραν α΄. κηροῦ λίτραν α΄. ἀμμωνιακοῦ θυμιάματος ℥ ϛ΄. μάννης ℥ ϛ΄. ψιμμυθίου ℥ γ΄. ἐλαίου κοτύλης S. ὄξους κοτύλας δ΄. ταύτην Ἀφροδᾶς ἐθαύμασεν. Μέλαινα ἄλλη. ℞. πίσσης ξηρᾶς λίτραν α΄. ῥητίνης ξηρᾶς λίτραν α΄. ἀσφάλτου λίτραν α΄. ψιμμυθίου ℥ ϛ΄. μάννης, χαλκάνθης, ἰοῦ ξυστοῦ ἀνὰ οὐγγίας γ΄. ἐλαίου κοτύλης ἥμισυ, ὄξους κοτύλης ἥμισυ. Ἄλλη ἐκ τῶν Γάλλου. ℞. στέατος αἰγείου < λ΄. ἰοῦ < η΄. κηροῦ < ν΄. ἀριστολοχίας < κε΄. ἀσφάλτου < κε΄. πίσσης < κε΄. ἀμμωνιακοῦ θυμιάματος < ιβ΄. χαλβάνης < ιβ΄. ἥμισυ, σιλφίου < η΄. ἄλλ. κ΄. μάννης ιβ΄. σκεύαζε. Ἄλλη ἡ καλουμένη ἀνίκητος. ℞. κηροῦ < ρ΄. στέατος ταυρείου < λ΄. ἀσφάλτου < κε΄. πίσσης < κε΄. τερμινθίνης < κε΄. νίτρου < κβ΄. ἥμισυ,

CAPVT XXII.

De bitumine barbara.

PRima hîc quoque ab Andromacho scripta apponã ipsis illius verbis. *Barbarum, quo vtor.* ℞. ceræ ʒ.cc. picis ʒ.cc. resinæ ʒ.cc. bituminis ʒ.cc. thuris ʒ.xxiv. olei heminam vnam. *Aliud.* ℞. picis lib. ij. bituminis lib. j. ceræ lib. j. guttæ ammoniaci ℥. vj. mannæ ℥. vj. cerussæ ℥. iij. olei heminæ dimidium, aceti heminas iv. Hoc Aphrodas admiratus est. *Aliud nigrum.* ℞. picis aridæ lib. j. resinæ aridæ lib. j. bituminis lib. j. cerussæ ℥. vj. mannæ, atramenti sutorij, æruginis rasæ singulorum ℥. iij. olei heminæ dimidium, aceti heminæ dimidium. *Aliud ex emplastris Galli.* ℞. seui caprini drach. triginta, æruginis drach. octo, ceræ drach. quinquaginta, aristolochiæ drach. vigintiquinque, bituminis drach. xxv. picis ʒ. vigintiquinque, guttę ammoniaci drach. duodecim, galbani ʒ. xij. ß. silphij ʒ. viij. alias xx. mannę ʒ. xij. F preparato. *Aliud quod inuictum dicitur.* ℞. cerę drach. centum, seui taurini drach. xxx. bituminis drach. xxv. picis drach. xxv. terebinthinę drach. vigintiquinque, nitri drachmas xxij. & dimidiam, aristolochię

aristolochiæ drach. xij. galbani drach. octo, myrrhæ drach. xviij. thuris drach. xij. ß. ammoniaci drach. octo, amomi drach. octo, cardamomi ʒ.xij. opopanacis drach. octo, medullæ ceruinæ drach. quindecim, æruginis drach. xij. aloës drach. viij. bdellij drach. xvj. olei heminas ij. Ego verò adieci propoleos drach. duodecim.

Aliud, quod cruentis vulneribus imponitur, Iuliani.

℞. Argenti spumæ drach. l. bituminis ʒ.l. ceræ ʒ.l. picis brutiæ drach. l. resinæ frictæ ʒ. xv. æris squamæ drach. duodecim, thuris drach. quatuordecim, galbani drachmas octo, chalcitidis drachmas quatuor, aloës drach. vj. gallæ drach. quatuor, myrrhæ drachmas quatuor, aristolochiæ longæ drachmas sex, aristolochiæ rotundæ drachmas quatuor, olei veteris heminas quatuor, nos olei heminas tres.

Barbara Heræ.

Quod Heras conscripsit barbarum, sic habet. *Nigrum emplastrum, ad cruenta vulnera, ad diuisiones notatu dignas, maximè capitis, ad fistulas, sinus, fracturas. Conuenit etiam Hepaticis, & Lienosis, citra inflammationem glutinat. Benefacit etiam neruis, cartilaginibus, & ossibus præcisis. Cohibet etiam mirificè sanguinem erumpentem. Insuper valet ad Tubos, & Sinus, glutinat enim insigniter. Item in abscessibus humore ablato hoc imponitur. Est etiam ad sanguinem cohibendum præstantissimum, præsertim in iis, qui sanguinem reiiciunt; duas verò in pelles illinito, & vnam pectori, & lateribus imponito, alteram dorso; præter opinionem sanguinem sistit. Valet insuper ad canum, hominumque morsus, in totum phlegmonem arcet. Idem ea quæ vulneribus adhibentur, superat, vt experientia indicauit. Hyeme diebus septem soluitur, per æstatem quinque, si verò necessitas vrgeat, tribus.* ℞. ceræ libram vnam, picis libram vnam, bituminis lib. j. pityinæ lib. j. mannæ vncias sex, cerussæ vncias quatuor, chalcanthi vncias quatuor, opopanacis vncias duas, olei semunciam, alij semiminam, alij selibram; aceti heminas duas. Ceram, bitumen, oleum, acetum paululum relinquens, in olla recenti liquato; deinde picem, & resinam adiicito; in minima frusta diligenter concidito; vbi semicoctum fuerit, tollito ollam; & aliquandiu refrigerato, atramentum sutorium percolatum læuigatumque ex duabus aceti heminis paulatim inspergito, ne efferuescat; quando autem effundis, leuiter ignem subministrato, mouens; quum non inquinat, cacabum deponito; opopanacem in reliqui aceti parte pridie madefactum infundito, vt dissoluatur; mox cerussam, mannamque vnà pariter trita inspergito; & paululum tepefaciens, vt in vnum coëant, obserua ne opopanax, & manna adurantur; refusa in mortarium ibi refrigerari sinito; ac rursus subacta reponito, atque vtitor. Porrò manifestum est etiam, alia barbara, quæ tum Andromachus, tum reliqui tradiderunt, eodem modo confici oportere. Quidam opopanacem cacabo non iniiciunt, sed læui ex aceto facto, liquata in mortario superfundunt. Cum eo nonnulli miscent mannam, & cerussam, quemadmodum ego quoque sæpius feci, in mortario terens ex aceto, & quæ liquari possunt, liquefacta infundens. Subinde verò atramentum sutorium duntaxat cum opopanace læue factum cacabo indidi, mannam, cerussamque inspergens.

A ἀριστολοχίας < ιβ'. χαλβάνης < η'. σμύρνης δραχμὰς ιη'.
λιβάνου < ιβ'. ἥμισυ, ἀμμωνιακοῦ δραχμὰς η'. ἀμώμου
δραχμὰς η'. καρδαμώμου < ιβ'. ὀποπάνακος δραχμὰς η'.
μυελοῦ ἐλαφείου < ιε'. ἰοῦ < ιβ'. ἀλόης δραχμὰς η'.
βδελλίου < ις'. ἐλαίου κοτύλας β'. ἐγὼ δὲ ἔβαλλον προ-
πόλεως δραχμὰς ιβ'.

Ἄλλη ἔναιμος Ἰουλιανοῦ.

℞. Λιθαργύρου < ν'. ἀσφάλτου δραχμὰς ν'. κηροῦ
< ν'. πίσσης βρυτίας δραχμὰς ν'. ῥητίνης φρυκτῆς < ιε'.
λεπίδος χαλκοῦ < ιβ'. λιβάνου δραχμὰς ιδ'. χαλβάνης
B < η'. χαλκίτεως δραχμὰς δ'. ἀλόης < ς'. κηκίδος < δ'.
σμύρνης δραχμὰς δ'. ἀριστολοχίας μακρᾶς < ς'. ἀριστο-
λοχίας στρογγύλης δραχμὰς δ'. ἐλαίου παλαιοῦ κοτύλας δ'.
ἐγὼ δὲ ἐλαίου κοτύλας γ'.

Βάρβαρος Ἡρᾶ.

Ἣν Ἡρᾶς ἔγραψε βάρβαρον οὕτως. μέλαινα ἔμπλα-
στρος ἔναιμος πρὸς τὰς ἀξιολόγους διαιρέσεις, καὶ μάλιστα πρὸς
τὰς ἐν τῇ κεφαλῇ, πρὸς σύριγγας, κόλπους, κατάγματα. ἁρ-
μόζει καὶ ἡπατικοῖς, καὶ σπληνικοῖς, ἀφλεγμάντως κολλᾷ. ποιεῖ
C καὶ ἐπὶ νεύρων, καὶ χόνδρων διακεκομμένων καὶ ὀστῶν, ἐπέχει δὲ
παραδόξως, καὶ αἷμα φερόμενον. ἔτι δὲ ποιεῖ πρὸς ὑποφο-
ρὰς καὶ κόλπους, κολλᾷ γὰρ μεγάλως, καὶ ἐπὶ τῶν ἀποστημά-
των κομισάμενος τὸ ὑγρὸν, ταύτην ἐπιτίθει. ἔστι καὶ ἴσχαιμος
καλλίστη, μάλιστα ἐπὶ τῶν αἷμα ἀναγόντων. ἐμπλάσας δὲ εἰς
δέρματα δύο, ἓν μὲν ἐπὶ τὰ στήθη, καὶ τὰς πλευρὰς ἐπιτίθει,
ἕτερον δὲ ἐπὶ τὸ μετάφρενον, παραδόξως ἐπέχει τὸ αἷμα.
ποιεῖ καὶ πρὸς κυνόδηκτα, καὶ ἀνθρωπόδηκτα, τὸ ὅλον ἀ-
φλέγμαντος. αὕτη τὰς τραυματικὰς, ὡς ἡ πεῖρα δέδειχεν
ἐνίκησε. λύε χειμῶνος δι' ἡμερῶν ἑπτὰ, θέρους διὰ ε'. ἐὰν
D δὲ ἐπείγῃ, διὰ τριῶν. ℞. κηροῦ λίτραν μίαν, πίσσης λί-
τραν μίαν, ἀσφάλτου λίτραν μίαν, πιτυΐνης λίτραν μίαν,
μάννης οὐγγίας ς'. ψιμμυθίου οὐγγίας δ'. χαλκάνθης οὐγ-
γίας δ'. ὀποπάνακος οὐγγίας β'. ἐλαίου ἡμιούγγιον, οἱ μὲν ἡμί-
μναν, οἱ δὲ ἡμιλίτραν, ὄξους κοτύλας β'. κηρὸν, ἄσφαλτον,
ἔλαιον, ὄξος ὀλίγον ὑπολειπόμενος, εἰς χύτραν καινὴν
βαλὼν, τῆκε, εἶτα ἐπίβαλλε τὴν πίσσαν, καὶ τὴν ῥητί-
νην, λεπτοκοπήσας ἐπιμελῶς. ὅταν ἡμίεφθος ᾖ, ἄρας
τὴν χύτραν, καὶ διαψύξας πως, ἔμπασσε διηθημένον τὸ
χάλκανθον λειωθὲν ὄξει, ἐκ τῶν δύο κοτυλῶν κατὰ μικρὸν,
E ἵνα μὴ ὑπερζέσῃ. ἐπὰν δὲ ἐκχέῃς, ἐλαφρῶς ὑπόκαιε κι-
νῶν. ὅταν ἀμόλυντος ᾖ, ἄρας ἀπὸ τοῦ πυρὸς, ἔγχει τὸν ὀπο-
πάνακα πρὸ μιᾶς βεβρεγμένον εἰς μέρος τοῦ ὑπολειπο-
μένου ὄξους, ὥστε διαλυθῆναι, εἶτα ἔμπασσον τὸ ψιμμύ-
θιον, καὶ τὴν μάνναν ὁμοῦ ἐπιμελῶς λελειωμένα, καὶ μι-
κρὸν χλιάνας, ὡς ἑνωθῆναι, φυλαττόμενος μὴ προσκαῇ
ὀποπάναξ, καὶ ἡ μάννα, κατάχει εἰς θυίαν, καὶ ἐάσας ψυγῆναι,
ἀναμαλάξας, ἀπόθου, καὶ χρῶ. δῆλον δὲ, ὅτι καὶ τὰς ἄλλας
βαρβάρους, ἅς ὅ,τε Ἀνδρόμαχος ἔγραψε, καὶ οἱ ἄλλοι, τὸν αὐ-
τὸν τρόπον σκευάζειν προσῆκεν. ἔνιοι οὐκ ἐμβάλλουσι τῇ κα-
F κάβῃ τὸν ὀποπάνακα, λειώσαντες δὲ μετ' ὄξους ἐν θυίᾳ κατα-
χέουσι τὰ τηκτά. σὺν αὐτῷ δὲ ἔνιοι, καθάπερ κἀγὼ πολλά-
κις ἐποίησα, καὶ τὴν μάνναν, καὶ τὸ ψιμμύθιον ἐν τῇ θυίᾳ προ-
λειώσας μετ' ὄξους ἐπιχέων, τήξας τὰ τηκτά. πολλάκις δὲ
τὸ χάλκανθον μόνον μετὰ τοῦ ὀποπάνακος λειώσας, εἰς τὴν
κακάβην ἐμβαλὼν, τὴν μάνναν, καὶ τὸ ψιμμύθιον ἐμπάσσων.

A Ἄλλη βάρβαρος Ἡρα. ὁ μὲν Ἡρας, ταύτης μόνης προὔγραψε τὸ βάρβαρος. ἐγὼ δὲ καὶ τὴν ἔμπροσθεν ὁμοίως ὠνόμασα, καίτοι μέλαιναν ὑπ' αὐτοῦ κεκλημένην, ἐπεὶ τὰς δι' ἀσφάλτου, βαρβάρους εἰώθασι καλεῖν οἱ πλεῖστοι τῶν νεωτέρων ἰατρῶν. αὐτὸς δὲ ὁ Ἡρας, οὕτως περὶ αὐτῆς ἔγραψε κατὰ λέξιν. Βάρβαρος πρὸς τὰ νεότρωτα, κόλπους, κυνόδηκτα, ἀνθρωπόδηκτα, κονδυλώματα φλεγμαίνοντα, πρὸς τὰ ἐν ἄρθροις πάντα ἐν ἀρχῇ, καὶ πρὸς ποδάγραν. ℞. κηροῦ μνᾶν α'. πίσσης μνᾶν α'. ῥητίνης φρυκτῆς μνᾶν α'. ἀσφάλτου Ἰουδαϊκῆς μνᾶν α'. λιθαργύρου < ι'. ψιμμυθίου < ε'. ἰοῦ < ν'. ὀποπάνακος < δ'. ἐλαίου κοτύλην α'. ὄξους κύαθον α'. ἕψε κηρὸν, πίσσαν, ἄσφαλτον, ῥητίνην ἕως τακῇ, B εἶτα τὰ λοιπὰ μετὰ τοῦ ἐλαίου λελειοτριβημένα ἔμβαλλε, καὶ βαστάσας, καὶ μικρὸν διαψύξας, ἐκ τοῦ ὄξους κατ' ὀλίγον ἐπίσταζε. Τοιοῦτος μὲν τις ὁ τύπος τῶν βαρβάρων ἐμπλάστρων. ἐγὼ δέ τι προσθεὶς, ὡς αὐτὸς χρῶμαι, καταπαύσω τὸν περὶ αὐτῶν λόγον. εἰσὶ δὲ δύο, μία μὲν πρὸς τὰ μέγιστα τραύματα, ἄλλη δὲ πρὸς τὰ μικρότερα. τῆς μὲν οὖν πρὸς τὰ μέγιστα παραλαμβανομένης, ἡ σύνθεσίς ἐστιν ἥδε.

Βάρβαρος Γαληνοῦ.

℞. Πίσσης λίτρας η'. κηροῦ λίτρας ς'. οὐγγίας η'. πιτυΐνης λίτρας ε'. οὐγγίας δ'. ἀσφάλτου λίτρας δ'. ἐλαίου λίτραν α'. οὐγγίας ς'. λιθαργύρου, καὶ ψιμμυθίου, καὶ ἰοῦ ἀνὰ C < κδ'. λιβανωτοῦ λίτρας ἥμισυ, στυπτηρίας ὑγρᾶς < ιβ'. σχιστῆς οὐγγίας δ'. ὀποπάνακος, λεπίδος, χαλβάνης ἀνὰ < ιβ'. ἀλόης, καὶ ὀπίου, καὶ σμύρνης ἀνὰ < δ'. τερμινθίνης, οὐγγίας κδ'. μανδραγόρου χυλοῦ < ς'. ὄξους κοτύλας ς'. αἳ εἰσι λίτραι ε'. Ἡ δὲ τῆς ἁπλουστέρας βαρβάρου συμμετρία, τῇ συνθέσει ἐστὶν ἥδε. ℞. πίσσης, κηροῦ, ῥητίνης πιτυΐνης, ῥητίνης φρυκτῆς, ἀσφάλτου, τῶν ε'. τούτων ἀνὰ λίτραν α'. λιθαργύρου < ι'. ψιμμυθίου < ε'. ἰοῦ < ε'. ὀποπάνακος < γ'. ἐλαίου χειμῶνος οὐγγίας θ'. θέρους οὐγγίας ς'. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν καταχεῖται λελειωμένων ἐν θυΐᾳ μετ' ὄξους δριμέος. ἐὰν δὲ ἀνωδυνώτερον εἶναι βουληθῇς τὸ φάρμακον, προσμίξεις ὑοσκυάμου χυλοῦ < α'. ἥμισυ. καὶ ὀπίου < α'.

A *Aliud Barbarum Heræ.* Heras soli huic præscripsit, barbarum, ego verò antecedens etiam similiter appellaui, etsi nigrum ab ipso nuncupatum; quoniam plerique ex recentioribus medicis emplastra ex bitumine barbara nominare consueuerunt. Heras de ipso sic ad verbũ scripsit. *Barbarum ad recentia vulnera, sinus, canum, hominumque morsus, condylomata inflammata, ad articulorum vitia omnia in principio, & podagram.* ℞. ceræ minam vnam, picis minam vnam, resinæ frictæ minam vnam, bituminis Iudaici minam vnam, argenti spumæ drachmas decem, cerussæ drachmas quinque, æruginis drachmas l. opopanacis drachmas quatuor, olei heminam vnam, aceti cyathum B vnum. Cera, pix, bitumen, resina incoquuntur, donec illiquata fuerint; deinde reliqua ex oleo trita iniiciuntur; his ablatis ab igne, & aliquantulum refrigeratis, acetum paulatim instillatur. Talis sanè barbarorum emplastrorum formula est. Ego vbi paucis exposuero quomodo ipse vtar, sermonem de eis finiam. Sunt autem duo, vnum ad maxima vulnera, alterum ad minora. Quod itaque ad maxima adhibetur, hæc recipit.

Barbarum Galeni.

℞. Picis lib. viij. ceræ lib. vj. & ℥. viij. pityinæ lib. quinque, & ℥. iv. bituminis lib. quatuor, olei libram vnam, & vncias vj. argenti spumæ, ceC russæ, æruginis, singulorum drach. vigintiquatuor, thuris selibram, aluminis liquidi drachmas xij. fissilis vnc. iv. opopanacis, squamæ, galbani, singulorum drach. duodecim, aloës, opij, myrrhæ, singulorum drach. iv. terebinthinæ ℥. xxiv. mandragoræ succi drach. vj. aceti heminas sex, quæ sunt libræ quinque. *Simplicioris compositionis Barbari symmetria est talis.* ℞. picis, ceræ, resinæ pityinæ, resinæ frictæ, bituminis, horum quinque singulorum libram vnam, argenti spumæ drach. x. cerussæ drach. quinque, æruginis drach. quinque, opopanacis drach. iij. olei hyeme ℥. ix. æstate ℥. vj. Quæ liquari possunt, siccis in mortario aceto acri læuigatis affunduntur. Quòd si sedando dolori aptius voles medicamentum reddere, hyoscyami succi drachmam vnam & dimidiam, item opij drach. j. admisceto.





ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ, ΒΙΒΛΙΟΝ Γ'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA, LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩΙ Γ'. ΒΙΒΛΙΩΙ.

Περὶ φαρμάκων τῶν τοῖς νευροτρώτοις τε, καὶ νενυγμένοις, καὶ τεθλασμένοις, καὶ ὁπωσοῦν πάσχουσι νεύροις προσφερομένων.

ARGVMENTVM LIBRI TERTII.

De medicamentis, quæ ad vulneratos, punctos, contusos, ac quocunque pacto affectos neruos adhibentur.

CAPVT PRIMVM.

De vulneribus neruorum.

ET hæc, amici, commentaria vobis A paro, qui iam ex ipsis medicinæ operibus comperistis, quàm efficax sit nostra neruorum vulneratorum curatio, nempe ex qua omnes seruati sint, non autem manci nec claudi redditi, quæ aliter curatis accidere conspexistis, quemadmodum etiam nonnullos conuulsione correptos, vel cum dolore, vel putredine, vel febre mortuos. Par autem est hosce libros ad aliorum quoque manus peruenturos, qui scriptis bene vti non possunt, vel quia à præceptore medicæ artis speculationem non didicerunt, sed omnino rudes, quasi vix initiati, & prorsus inexercitati permanent; aut quia perperam edocti, adhæserunt iis, qui composita medicamenta sola experientia ci- B tra rationem esse inuenta asserunt. Etenim ij manifestò contentione sua errant. Altero modo non minùs prædictis errant ij, qui nullum medicamentum ex simplicibus facultate contrariis confici oportere arbitrantur. Verũ hos medicamenta superiore libro citata coarguunt, vt quæ magnas ipsorum facultates ex contrariis inuicem simplicibus compositis ostentent; imò etiam in libris hunc subsecuturis præstantissima medicamenta ex contrariis virtutibus composita indicabuntur.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ νευροτρώτων.

A ΚΑΙ ταῦθ' ὑμῖν τοῖς ἑταίροις ὑπομνήματα γράφω, δι' αὐτῶν τῶν ἔργων τῆς τέχνης ἐγνωκόσιν, ὁπόσην ἔχει δύναμιν ἡ ἡμετέρα τῶν νευροτρώτων θεραπεία, καὶ ὡς ἐσώθησαν ἅπαντες, οὔτε κυλλωθέντες, οὔτε χωλωθέντες, ἃ τοῖς ἑτέρως θεραπευομένοις ἐθεάσασθε συμβαίνοντα, καθάπερ γε καὶ σπασθέντας ἐνίους, ἢ σὺν ὀδύναις, ἢ σηπεδόσιν, ἢ πυρετοῖς ἀποθανόντας. εἰκὸς δὲ ἐκπεσεῖν, καὶ εἰς ἄλλους τὰ ὑπομνήματα ταῦτα, μὴ δυναμένοις καλῶς χρῆσθαι τοῖς ἐγγεγραμμένοις, ἢ διὰ τὸ μὴ μεμαθηκέναι παρὰ διδασκάλου τὴν θεωρίαν τῆς ἰατρικῆς τέχνης, ἀλλὰ ὅλως αὐτοσχεδίους τε καὶ ἀγυμνάστους εἶναι τὸ παράπαν, ἢ διὰ τὸ κακῶς μεμαθηκέναι παραμένοντας τοῖς ἄνευ λόγου, διὰ μόνης B πείρας εὑρῆσθαι λέγουσι τὰ σύνθετα φάρμακα. καὶ γὰρ οὗτοι περιφανῶς ἁμαρτάνουσι φιλονεικοῦντες. ἕτερον δὲ τρόπον, οὐδὲν ἧττον αὐτῶν οἱ νομίζοντες οὐδὲν φάρμακον ἐξ ἐναντίων χρῆναι ταῖς δυνάμεσι συντίθεσθαι τῶν ἁπλῶν. ἀλλὰ τούτους μὲν ἤλεγξε, τὰ κατὰ τὸ πρῶτον ὑπόμνημα γεγραμμένα φάρμακα, μεγάλας ἐπιδειξάμενα τὰς ἑαυτῶν δυνάμεις, ἐξ αὐτῶν τὴν σύνθεσιν ἐξ ἐναντίων ἐσχηκότων ἁπλῶν. οὐχ ἥκιστα δὲ καὶ κατὰ τὰ μέλλοντα γραφήσεσθαι μετὰ τοῦτο τὸ βιβλίον, ἐπιδείξομεν ἄριστα φάρμακα τὴν σύνθεσιν ἐξ ἐναντίων ταῖς δυνάμεσιν ἔχοντα.

νυνὶ δὲ περὶ τῆς ἡμετέρας ἀγωγῆς, ἣν ἐπενοήσαμεν ἐπὶ τοῖς νευροτρώτοις, ὁ καθ' ὅλον τουτὶ τὸ βιβλίον ἔσται μοι λόγος, ἐπιδεικνύντι πόσον πλῆθος φαρμάκων τὰς αὐτὰς δυνάμεις ἐχόντων εὗρον, ἔκ τε τοῦ τόν γε καθόλου τρόπον τῆς θεραπείας ἐπινοῆσαι, καὶ τὰς τῶν ἁπλῶν φαρμάκων ἐπίστασθαι δυνάμεις. A

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τίς ὁ καθόλου τρόπος ἐστὶ τῆς θεραπείας τῶν νευροτρώτων, καὶ τίνα τὰ κατ' εἶδος φάρμακα.

Ἐθεασάμην μὲν ἅπαντας τοὺς διδασκάλους τῇ καλουμένῃ συνήθως ἤδη τοῖς νεωτέροις ἰατροῖς ἐναίμῳ, καὶ κολλητικῇ θεραπεύοντας ἀγωγῇ. B κατ' ἀρχὰς γὰρ ἐπιτιθέντες τι φάρμακον τῶν ἐναίμων καλουμένων, ἐπειρῶντο κολλᾶν τὰ χείλη τοῦ τραύματος. εἰ δὲ φλεγμήνειεν, ὕδατί τε κατήντλουν θερμῷ δαψιλεῖ, παραχέοντες ἔλαιον, ἐπίπλασμά τε προσέφερον ἄλευρον πύρινον ἑψημένον ἐν ὑδρελαίῳ. καὶ μέντοι καὶ τοὺς μονομάχους, ὅσοι τε κατὰ τῆς μύλης ἐτρώθησαν, ἀνωτέρω τε ταύτης κατὰ τὸν πλατὺν καὶ λεπτὸν τένοντα θεραπευομένους ὑπ' αὐτῶν ἑώρων ὡσαύτως. ἴσως δὲ ἄμεινον ἦν εἰπεῖν, οὐ θεραπευομένους, ἀλλ' ἀπολλυμένους, ὀλίγιστοι γὰρ ἐξ αὐτῶν, καὶ C οὗτοι χωλούμενοι διεσώζοντο. καὶ μέντοι καὶ τῶν ἐν ἄκρᾳ τῇ χειρὶ τενόντων, δι' ὧν οἱ δάκτυλοι κάμπτονταί τε καὶ ἐκτείνονται, παμπόλλους ἐθεασάμην, ἤτοι θλασθέντας, ἢ νυγέντας ἐλαχίστῳ νύγματι, σηπομένους οὕτως, ὡς ἐοικέναι τοῖς ἑψομένοις ἐν ὕδασι, καὶ μάλιστα ἐπὶ πλέον. ὁμοίως γὰρ αὐτοῖς ἐκλύονταί τε καὶ μαλακύνονται κατὰ τὴν σύστασιν, οἱ διὰ τῆς προειρημένης ἀγωγῆς θεραπευόμενοι. κατέγνων οὖν αὐτῆς, ὡς σηπούσης τὸ τετρωμένον μόριον. ἐπεὶ δὲ τὰ σηπόμενα πάντα προσεγίγνωσκον, ὑφ' ὑγρότητός τε καὶ θερμότητος τοῦτο πάσχοντα, τὴν θεραπείαν ἔγνων χρῆναι, διὰ τῶν ξηραινόντων D καὶ ψυχόντων ποιεῖσθαι. πάλιν δ' ἐννοήσας, ὡς τὸ ψυχρὸν ἀληθῶς ὑφ' Ἱπποκράτους εἴρηται πολέμιον εἶναι τοῖς νεύροις, ἔγνων ἄριστον ἔσεσθαι φάρμακον ἐπὶ τῶν νευροτρώτων, ὅπερ ἂν ξηραίνῃ τε, καὶ μέσως ἔχῃ τοῦ θερμαίνειν τε καὶ ψύχειν, ἢ μὴ πολὺ τοῦ μέσου πρὸς τὸ θερμαίνειν ἀποκεχωρηκὸς εἴη. δύνασθαί γε μὴν καὶ θερμὸν ἱκανῶς εἶναι τὸ φάρμακον, ἐάν γε αὐτῷ τὸ ξηραίνειν ὑπάρχῃ. χωρὶς γὰρ ὑγρότητος, οὐχ οἷόν τ' ἐστὶ σήπειν τὸ θερμαῖνον. ἔτι δὲ πρὸς τούτοις κἀκεῖνο προσεννοήσας, ὡς πολὺ διαφέρει γυμνῷ τῷ πεπονθότι μορίῳ προσφέρειν τὸ φάρμακον, ἢ διὰ σωμάτων ἑτέρων προκειμένων αὐτοῦ, E προσήκειν ἔγνων, ἑτέροις μὲν ἐπὶ γεγυμνωμένου τοῦ νεύρου χρῆσθαι φαρμάκοις. ἑτέροις δ' ὅταν ᾖ νενυγμένον, ἀπαθῶν τῶν προκειμένων αὐτοῦ σωμάτων ὑπαρχόντων. ἔνθα μὲν γὰρ γυμνῷ τῷ νεύρῳ προσφέρει τις τὸ φάρμακον, ἐνταῦθα τὴν εἰρημένην ἔνδειξιν τῶν ὠφελησόντων φαρμάκων εἰλικρινῆ παραλαμβάνεσθαι προσήκεν. τῶν δὲ προκειμένων μορίων ἀπαθῶν ὄντων, λεπτομερέστερον εὑρίσκειν χρὴ φάρμακον, ὅπως ἡ δύναμις αὐτοῦ μὴ προεκλύηται διὰ τῶν ἐν μέσῳ σωμάτων, ἀλλ' εἰς τὸ βάθος ἀφίκηται. δύνασθαι δὲ τὸ τοιοῦτο φάρμακον, ἐὰν ἰσχυρῶς πεφύκῃ ξηραίνειν, ἔτι εἰ καὶ μὴ σύμ- F μετρον εἴη, κατὰ θερμότητα καὶ ψυχρότητα, μηδὲ ἀδικεῖν, ἀσθενεστέρας αὐτοῦ γιγνομένης τῆς κατὰ τὸ θερμαίνειν, ἢ ψύχειν ἐνεργείας ἐν τῷ διεξιέναι τὰ προκείμενα μόρια τοῦ νευρώδους σώματος. εὑρημένου δὲ τοῦ σκοποῦ τῶν ὠφελησόντων φαρμάκων, ἐν τῷ λεπτομερεῖ τῆς οὐσίας αὐτῶν, ἐφεξῆς ἂν ἀνα-

Nunc de nostra curandi ratione, quam in neruorum vulneribus excogitauimus, toto hoc libro differemus, ostendentes quantam eiusdem facultatis medicamentorum copiam, tum ex generalis sanandi scopi indeptione, tum ex simplicium virtutis cognitione, inuenerimus.

CAPVT II.

Quis communis vulneratorum neruorum curationis modus, & quæ medicamenta specialia.

Spectauimus omnes præceptores præsidio, quod iam recentiores medici sanguinarium, seu cruentis opitulans (enæmon dicitur) & glutinatorium appellare solent, vti; nam initio medicamentum aliquod ex enæmis imponentes, vulneris oras committere, seu glutinare moliebantur. Si verò phlegmone eas obsederat, calida aqua liberaliter fouebant, oleum affundentes; ac tritici farinam ex hydrelæo decoctam, epiplasma applicabant. Quin etiam gladiatores in patella vulneratos, supraque hanc in lato tenuique tendine, pari modo ab ipsis curatos vidi; forsan melius dicas non curatos, sed perditos, paucissimi enim illorum, & ij claudi superuixerunt. Et verò etiam permultos in manu summa tendones, per quos digiti flectuntur extenduntur que, vel contusos, vel minimo punctu læsos, putrescentes adeo conspexi, vt coctis præsertim diutius in aqua similes apparerent; non enim secus exoluuntur, & consistentia emollescunt, qui superiorem sanandi modum experiuntur. Itaque ipsum reprobaui, vt qui partem vulneratam putrefaceret. Quoniam verò putrescentia omnia ab humiditate, ac caliditate id pati prænoscebam, curationem per siccantia refrigerantiaque moliendam esse deprehendi. Rursus apud me contemplatus, frigidum verè ab Hippocrate neruis inimicum dici, optimum fore neruorum vulneribus medicamentum intellexi, quod & siccaret, & medium esset inter calefaciens, & refrigerans, vel non multum à medio ad calorem, recederet; calidum verò etiam esse satis posse, modò siccandi potestate polleat, etenim calor citra humiditatem putrefacere nihil habet. Insuper illud quoque cùm cogitando adinuenissem, multum referre, nudæ parti affectæ medicamentum offeras, an per alia corpora ei præposita, conuenire aduerti aliis in nudato neruo vti medicamentis; aliis quum punctus fuerit, partibus quæ ipsi præiacent illæsis. Vbi etenim nudo neruo medicamentum afferas, ibi prædictam auxiliorum integram indicationem assumi conuenit; præpositis autem partibus saluis, tenuius medicamentum inueniendum est, cuius facultas interiacentes particulas permeando, non dissoluatur, sed in altum penetret. Hoc autem efficere tale medicamentum posse, si validè siccet, & si non calore, & frigiditate medium sit, ac symmetron, neque offendere, dum efficacia ipsius calefaciendi, vel refrigerandi in particulis, quæ neruoso corpori præpositæ sunt, penetrandis, imbecillior est reddita. Atqui inuento iam præsidiorum scopo in substantiæ eorum tenuitate, deinceps materiæ mentionem facere

facere oportet. Plurima igitur, quę calefaciunt, tenuiorũ esse partiũ, permulta rursus, quę refrigerãt, crassiorũ, in simplicium medicamentorũ speculatione didicimus. Quippe vna solũ inter ea qualitas acida cum tenui substãtia nonnunquã fit, eoq; inter omnia, quæ refrigerandi vim obtinẽt, tenuiorũ partium aceto est acerrimũ, quod etiã caloris exigui particeps esse demonstrauimus. Calefacientiũ verò liquores probi tenuissimam habent substantiam, & apud omnes iam homines Cyrenæus primas tenere cognoscitur; qui si non adsit, etiam medico vtimur, & iis quæ cum ipsis ab orientalibus plagis afferuntur, cuiusmodi est, quod sagapenum appellamus. Hoc genere cõprehenditur, & liquor euphorbij in occiduis orbis regionibus natus, siue liquorẽ ipsum, siue aliud quid nominare velis; nobis in toto cõmentario euphorbium hoc medicamentũ vocare sufficiet, quemadmodũ iam omnes consueuerunt. Quin imò, & inter ea quæ in nostra regione proueniunt, & panacis, & tithymallorum liquores subtili facultate præditi sunt. Et verò etiã omnes nominati liquores generosè calefaciunt. Opobalsami verò, qui subtilis & ipse est, non admodũ calefacit. Ex terrestribus autem nitri spuma tenuem substantiam habet; item quod ex aqua facilè soluitur aphronitrũ, si ad corpora terrestria videlicet relationẽ fieri inaudiamus. Subsequitur nitrum nomine berenicium; & Asia petra, cuius flos etiam omnium terrestrium est subtilissimus. Porrò ex metallis auripigmentũ, & sulfur, tum subtilia, tũ calida sunt; quibus succedit misy, æris squama, & chalcitis, paululum simul astringentia. Quare vsta quoq; chalcitide frequenter in subtiliorũ medicamentorum compositionibus vtimur. Citra calorem verò manifestũ tenuium partium metallica sunt spodium, & pompholyx; adde quod vocatur psoricum; subtilis abundè est, & chrysocolla. Cæterùm inter succos Laurinum simul cum eo, quod validè calefacit, vt ad sensum, tenuem esse dicimus. Nihilo enim minùs eo calefacit facultate Cedrinus, calore tamen, qui sensibus subiicitur, propter substantiæ suæ tenuitatem, illi cedit. Eiusdem cum cedrino generis est lixiuia, quæ stacte, idest, *stillatitia*, dicitur; atque inter hanc ipsam, ea quæ ex materia subtili vsta fit, cedrinũ oleum virtute superat. Ex malo igitur, & ficu, eaque magis agresti, quam vocant caprificum, item ex tithymallis cõbustis, huiusmodi lixiuiam conficimus. Præstantissimus est ex tithymallis, qui characias nuncupatur. Cæterùm ex seminibus frumentariis, vti nominant, subtilissimum est eruum, sine insigni calefaciendi potestate, lolium verò cum insigni; hordeum nequaquam calefacit. Mediam inter ea materiam obtinent, qualitatibus amara, quæ multum tenuibus substantia cedunt, crassi licet nihil habentia. Nonnulla ipsorum à mediis tantillum declinarunt, alia ad calorem, alia ad frigiditatem; quorum omnium materias in opere de Simplicibus medicamẽtis exequutus sum, quemadmodum etiam nucum acrodryω̃n, in quarum numero sunt amygdalæ amaræ, & pistatia. At stirpium materiæ in præsentia non memini, redire enim ad principium cogito, atque exponere, quãdo quoque modo, singula per rationem nobis inuenta vsurpauerimus. Hinc enim puto bonæ indolis iuuenes incitatum iri, vt medicamentorum materiam cognoscant ipsimet inspicientes, non semel, aut bis, sed frequenter, quoniam sensibilium rerũ cognitio sedula inspectione cõfirmatur,

A μιμνήσκεσθαι τῆς ὕλης. ἔγνωστο δ' ἐν τῇ τῶν ἁπλῶν φαρμάκων ἐπισκέψει, τὰ μὲν πλεῖστα τῶν θερμαινόντων λεπτομερῆ, τὰ δὲ πλεῖστα τῶν ψυχόντων παχυμερῆ. μόνως γὰρ ἐν αὐτοῖς μία ποιότης ἡ ὀξεῖα μετὰ λεπτομεροῦς οὐσίας γίνεταί ποτε, καὶ διὰ τοῦτο πάντων τῶν ψυχόντων λεπτομερέστερόν ἐστιν ὄξος τὸ δριμύτατον, ὃ καὶ θερμότητος βραχείας μετέχειν ἀποδέδεικται. τῶν δ' αὖ θερμαινόντων ὀποὶ καλοὶ λεπτομερέστατοι τυγχάνουσιν ὄντες, καὶ πᾶσιν ἀνθρώποις ἤδη γινώσκεται πρωτεύων αὐτῶν ὁ Κυρηναῖος, ἀλλὰ τούτου μὴ παρόντος, καὶ τῷ Μηδικῷ χρώμεθα, καὶ τοῖς μετ' αὐτῶν ἀπὸ τῶν ἀνατολικῶν χωρίων κομιζομένοις,
B ὁποῖός ἐστι, καὶ ὁ σαγαπηνὸς ὀνομαζόμενος. ἐκ ταύτης δὲ γένους ὑπάρχει τοῖσδε, καὶ ὁ τοῦ εὐφορβίου κατὰ τὰ δυτικὰ μέρη τῆς οἰκουμένης γινόμενος, εἴτ' ὀπὸν αὐτὸν, εἴτ' ἄλλο τι καλεῖν ἐθέλοι τις. ἡμῖν δ' ἀρκέσει καθ' ὅλον τὸν λόγον εὐφόρβιον ὀνομάζειν τὸ φάρμακον τοῦτο, καθάπερ ἔθος ἤδη πᾶσίν ἐστιν. ἀλλὰ καὶ τῶν κατὰ τὴν ἡμετέραν χώραν γινομένων, ὅ, τε τοῦ πάνακος ὀπὸς, καὶ οἱ τῶν τιθυμάλλων λεπτομεροῦς εἰσι δυνάμεως. καὶ μέντοι καὶ θερμαίνουσιν οἱ εἰρημένοι πάντες ὀποὶ γενναίως. ὁ δὲ τοῦ ὀποβαλσάμου, λεπτομερὴς ὢν καὶ αὐτὸς, οὐ πάνυ θερμαίνει, λεπτομερῆ δ' οὐσίαν ἔχει. καὶ τῶν γεωδῶν, ὅ, τ' ἀφρὸς τοῦ νίτρου, καὶ τὸ
C ῥᾳδίως ὕδατι λυόμενον ἀφρόνιτρον, ὡς ἐν γεώδεσι σώμασι δηλονότι ἀκουόντων ὑμῶν. ἐφεξῆς δ' αὐτῶν ἐστι τὸ Βερενίκιον ὀνομαζόμενον νίτρον, ἥ τ' Ἀσία πέτρα. τὸ δ' ἄνθος αὐτῆς, ἁπάντων ἐστὶ τῶν γεωδῶν λεπτομερέστατον. ἐκ δὲ τῶν μεταλλευομένων ἀρσενικόν τε καὶ θεῖον, ἔστι λεπτομερῆ τε καὶ θερμά. τούτων δ' ἐφεξῆς τὸ μίσυ, καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, καὶ χαλκῖτις, ἔχοντά τι καὶ στύψεως, διὸ καὶ καυθείσῃ τῇ χαλκίτιδι, χρώμεθα τὰ πολλὰ πρὸς τὰς τῶν λεπτομερεστέρων φαρμάκων συνθέσεις. ἄνευ δὲ τοῦ θερμαίνειν ἐπιφανῶς λεπτομερῆ μεταλλικὰ φάρμακα, σποδιόν τε καὶ πομφόλυξ ἐστὶ, καὶ τὸ καλούμενον
D ψωρικόν. λεπτομερὴς δὲ ἱκανῶς ἐστι, καὶ ἡ χρυσοκόλλα. ἐν δὲ τοῖς χυλοῖς ἐμάθομεν εἶναι λεπτομερῆ δάφνινον μὲν ἅμα τῷ θερμαίνειν ἰσχυρῶς, ὡς πρὸς τὴν αἴσθησιν. οὐδὲν γὰρ ἧττον αὐτοῦ θερμαῖνον τῇ δυνάμει τὸ κέδρινον, ἀπολείπεται τῇ κατὰ τὴν αἴσθησιν θερμότητι, διὰ τὴν λεπτομέρειαν. ἐκ τούτου δὲ γένους ἐστὶ τῷ κεδρίνῳ, καὶ ἡ στακτὴ καλουμένη κονία. καὶ ταύτης αὐτῆς, ἥ τις ἂν ἐξ ὕλης λεπτομεροῦς γένηται καυθείσης, ὑπερβάλλει τῇ δυνάμει τὸ κέδρινον ἔλαιον. ἐκ μηλέας τε οὖν καὶ συκῆς, καὶ μᾶλλόν γε τῆς ἀγρίας, ἣν ἐρινεὸν ὀνομάζουσιν, ἔκ τε τῶν τιθυμάλλων καιομένων τὴν τοιαύτην ἐργαζόμεθα κονίαν.
E ἄριστος δὲ τῶν τιθυμάλλων ὁ χαρακίας προσαγορευόμενος. ἐκ δὲ τῶν σιτηρῶν ὀνομαζομένων σπερμάτων, λεπτομερέστατος μὲν ὁ ὄροβος, ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς. ἡ δ' αἶρα, μετὰ τοῦ θερμαίνειν σαφῶς. ἡ κριθὴ δ' οὐδ' ὅλως θερμαίνει. μέσης δ' ὕλης ἐν αὐτοῖς ἐστι τὰ πικρὰ ταῖς ποιότησι, τῶν μὲν πάνυ λεπτομερῶν ἀπολειπόμενα, παχυμερὲς δ' οὐδὲν ἔχοντα. ἔνια δ' αὐτῶν ἀποκεχώρηκε βραχὺ τῶν μέσων, τὰ μὲν, ὡς ἐπὶ τὸ θερμαίνειν, τὰ δὲ, ὡς ἐπὶ τὸ ψύχειν, ὧν ἁπάντων τὰς ὕλας ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ διῆλθον, ὥσπερ γε καὶ τῶν ἀκροδρύων, ἐν οἷς ἐστι τὰ ἀμύγδαλα τὰ πικρὰ, καὶ τὰ πιστάκια.
F τῆς δὲ ἀπὸ τῶν φυτῶν ὕλης, οὐ μέμνημαι κατὰ τὸ παρόν, ἀνελθεῖν γὰρ ἐπὶ τὴν ἀρχὴν βούλομαι, καὶ διηγήσασθαι, πότε καὶ πῶς ἐχρησάμην ἑκάστῳ τῶν ἐπινοηθέντων. ἐκ τούτου γὰρ οἶμαι τοὺς εὐφυεῖς τῶν νέων προτραπήσεσθαι, γνῶναι τὴν ὕλην τῶν φαρμάκων, αὐτόπτας αὐτῆς γινομένους, οὐχ ἅπαξ, ἢ δὶς, ἀλλὰ πολλάκις. ἡ γὰρ τῶν αἰσθητῶν διάγνωσις ἐκ συνεχοῦς θέας ἀκριβοῦται,

καὶ τούτου μέγιστόν ἐστι τεκμήριον ἡ τῶν ἀπαραλλάκτων μὲν ἡμῖν εἶναι δοκούντων διδύμων, οὐκ ἀπαραλλάκτων δὲ τοῖς συνήθεσι μὴ παραδραμεῖν. τὴν μὲν οὖν ἀπό τε βοτανῶν, καὶ θάμνων, καὶ δένδρων ὕλην ἄριστόν ἐστι, πρὶν ἐξαιρεθῆναι τῆς γῆς σκοπεῖσθαι, κατὰ τὰς ἐγκαρπώσεις, μελλούσας τε καὶ ἀρχομένας, καὶ προϊούσας, καὶ ἀκμαζούσας. αὕτη γὰρ ἡ συνεχὴς αὐτῶν θέα, διδάξει σε πηνίκα μάλιστα καλῶς ἄν τις αὐτὰ λαμβάνων, καὶ ἐν οἴκοις ξηροῖς τιθέμενος φυλάττοι, μήθ' ὑπ' ἀκτίνων ἡλιακῶν ἐξοπτώμενα, μήτε ὑπὸ νοτίδος, ἐκ τῆς ὀροφῆς, ἢ τοίχων ὑγραινόμενα. γένοιτο δ' ἂν τοῦτο τῶν οἴκων, μήτε καταγείων ὄντων, μήτε προσχώρων, μήθ' ὑπὸ κεράμων, πρὸς μεσημβρίαν μέντοι τὰς θυρίδας ἐστραμμένας ἐχόντων. ἀλλὰ τά γε φάρμακα μὴ πλησίον αὐτῶν ἀποκείσθω. τοὺς δ' ἑταίρους προτρέπω καὶ κατὰ τοῦτο μιμήσασθαί με, βουλομένους γε καλῶς ἐργάζεσθαι τὰ τῆς τέχνης ἔργα. γιγνώσκετε γὰρ, ὅπως ἐξ ἑκάστου τῶν ἐθνῶν, τὰ κάλλιστά μοι διακομίζεται καθ' ἕκαστον ἔτος φάρμακα, διὰ τὸ τοὺς ἐπιτρίπτους ῥωποπώλας, παντοίως αὐτὰ λυμαίνεσθαι. βέλτιον δ' ἴσως οὐ τούτοις μόνοις, ἀλλὰ πολὺ μᾶλλον αὐτῶν τοὺς κομίζοντας ἐμπόρους μέμφεσθαι, κἀκείνων ἔτι μᾶλλον, αὖθις τοὺς ῥιζοτόμους μὲν ὀνομαζομένους, οὐδὲν δ' ἧττον τῶν ῥιζῶν ὀπούς τε καὶ χυλοὺς, καὶ καρποὺς, ἄνθη τε καὶ βλαστὰς ἐκ τῶν ὀρῶν κατακομίζοντας εἰς τὰς πόλεις· οὗτοι γάρ εἰσιν οἱ πρῶτοι πάντων εἰς αὐτὰ πανουργοῦντες. ὅστις οὖν βούλεται πανταχόθεν βοηθημάτων εὐπορεῖν, ἔμπειρος γινέσθω πάσης μὲν τῆς ἀπὸ τῶν φυτῶν ὕλης, πάσης δὲ τῆς ἀπὸ τῶν ζώων τε καὶ μετάλλων, ὅσα τε γεώδη σώματα χωρὶς μεταλλείας εἰς ἰατρικὴν χρῆσιν ἄγομεν, ὡς διαγινώσκειν αὐτῶν τά τε ἀκριβῆ καὶ τὰ νόθα, καὶ μετὰ τοῦτο γυμνασάσθω κατὰ τὴν ἐμὴν πραγματείαν, ἐν ᾗ περὶ τῆς δυνάμεως ἔγραψα τῶν ἁπλῶν φαρμάκων. εἰ μὴ γὰρ οὕτως παρεσκευασμένος ἥκει πρὸς τὴν ἐκ τῶνδε τῶν ὑπομνημάτων ὠφέλειαν, ἄχρι λόγου μὲν εἴσεται τὴν μέθοδον, ἔργον δ' οὐδὲν ἄξιον αὐτῆς ἐργάσεται. φέρε γὰρ αὐτὰ μὲν ἃ προείρηκα περὶ τῶν νευροτρώτων ἐπίστασθαί τινα, δεδολωμένα δὲ φάρμακα δι' ἄγνοιαν ἐμβάλλειν τοῖς συντιθεμένοις, ἢ μηδὲ τὴν ἀρχὴν ἐπίστασθαι τὰς δυνάμεις ἀκριβῶς αὐτῶν. ἆρα οὐκ ἀναγκαῖον ἔσται πλεονάκις τοῦτον διαμαρτάνειν, ἢ κατορθοῦν; ἐμοὶ μὲν καὶ πάνυ δοκεῖ. τὸ δὲ ἀκριβῶς ἐπίστασθαι τὰς δυνάμεις, τοῦ μὲν ἐπίστασθαι διαφέρει πάμπολυ. τὸ μὲν γὰρ μόνον ἐπίστασθαι, γινώσκειν ἐστὶν, εἰ ξηραίνειν τὸ φάρμακον, ἢ ὑγραίνειν, ἢ ψύχειν, ἢ θερμαίνειν ἡμᾶς πέφυκε. τὸ δ' ἀκριβῶς ἐπίστασθαι, πρὸς τούτῳ καὶ τὸ ποσὸν τῆς δυνάμεώς ἐστιν ἐγνωκέναι· τινὰ μὲν γὰρ φάρμακα δύναμιν ἔχει χλιαρᾶς θερμασίας γεννητικὴν, ὅταν ὁμιλήσῃ τοῖς σώμασιν ἡμῶν, ἔνια δὲ συμμέτρου, καθάπερ ἄλλα βραχὺ ταύτης ἰσχυρότερα, ἕτερα δ' ἤδη ζεούσης οὕτως ἰσχυρῶς, ὡς καίειν δύνασθαι. χρὴ τοίνυν τὸν ἰατρὸν ἐστοχάσθαι, μὴ μόνον τοῦ ποιοῦ τῆς διαθέσεως, ἀλλὰ καὶ τοῦ κατ' αὐτὴν, ὡς ἂν εἴποι τις ποσοῦ. λέγεται μὲν γὰρ οὐ πάνυ τι κυρίως τὸ ποσὸν ἐν τῇ ποιότητι. λέγεται δ' οὖν ὅμως, ὅπως καὶ πυρετὸς μέγας, καὶ μικρός. καὶ τοσαύτη γε χρῆσίς ἐστι τῶν οὕτω λεγομένων, ὡς ἤδη κυρίου δύναμιν ἔχειν αὐτὰ παραπλησίως πυξίδι, καὶ χαλκεῖ, καὶ ζωγράφῳ, καὶ δρυοτόμῳ, καὶ συνελόντι φάναι, τοῖς ἀρξαμένοις μὲν ἐκ τῆς ὑπὸ τῶν γραμματικῶν ὀνομαζομένης καταχρήσεως, ὕστερον δὲ κυρίοις λέγεσθαι πεπιστευμένοις. ταῦτα μὲν εἴρηταί μοι, διὰ τοὺς οὐκ ἐν καιρῷ διαλεκτικευομένους. ὃ δὲ λέγων ἀπέλιπεν, ἐστὶ τοιόνδε, ὅτι τὸ ξηραίνεσθαι δεόμενον, οὐχ ἁπλῶς δεῖται τοῦ ξηραίνοντος,

A cuius rei indicium est euidentissimũ, quòd gemini per omnia similes esse nobis videantur; differentes autem iis qui ipsos inspicere consueuerunt. Itaq; herbarum, fruticum, & arborum materiam priùs, quàm è terra eximantur, contemplari pulcherrimum est, dum fructus videlicet futuri sunt, dum eduntur, dum augescunt, & dum vigent. Hęc siquidem continua eorum speculatio docebit te, quando potissimum ipsos commodè decerpas, ac in siccis domunculis repositos custodias, ne à solis radiis exurantur, neq; ab humiditate ex tecto, vel muris madefiant. Id optimè fiet, si domus neque
B subterraneæ sint, neq; aliis vicinæ, neq; sub tegulis, sed ostia ad meridiem spectantia habeant, propè quæ tamen medicamenta reponi non debent. Amici, vos admoneo, vt in hoc quoque me sequamini, si artis opera pulchrè obire velitis; nouistis enim, quomodo ex omni natione præstantissima quotannis medicamenta mihi afferantur, eo quòd perditi illi quarumcunq; rerum coëmptores scentarios, variis modis ea contaminant. Præstiterat forsan non hos solùm, sed multò magis etiam mercatores, qui illa aduehunt incusare; atque his multò magis ipsos herbarios; item nihil minus eos, qui radicum liquores, succos, fructus, flores, &
C germina ex montibus in vrbes conferunt, hi siquidem omnium primi in eis dolum exercent. Quisquis igitur auxiliorum vndique copiam habere volet, omnis stirpium materiæ, animalium, metallorum, & absque metallica natura terrestrium corporum, quæ ad medicinæ vsum ducimus, expertus esto, vt ex eis, & exquisita, & notha cognoscat; deinde in commentario meo, quem de simplicium medicamentorum facultate prodidi, sese exerceat. Nisi enim hoc modo instructus ad præsentis operis præsidia veniat, verbotenus quidem medendi methodum sciet, opus
D verò nullum ipsa dignum perficiet. Fingat namque ipsa, quæ de neruorum vulneribus prædixi, quædam aliquis cognoscere, adulterata verò medicamenta per ignorantiam compositioni inijcere, vel neque omnino exactè facultates ipsorum intelligere, an non erit necessarium frequentius hunc errare, quàm rectè agere? mihi quidem, vel admodum videtur. Iam verò accuratè facultates cognoscere ab eo multum differt, quod est cognoscere. Etenim solùm cognoscere, scire est, an medicamentum siccare, vel humectare, vel refrigerare, vel calefacere suaptè natura
E nos possit; accuratè verò cognoscere, præter hoc, etiam facultatis quantitatem sciuisse est. Quædam enim medicamenta calorem tepidum generant corporibus nostris admota, quædam moderatum, quemadmodum alia hoc paulo validiorem, nonnulla iam sic feruentem, vt vrere possint. Conuenit igitur medicum non modò affectus qualitatem, sed etiam ipsius, vt ita dicam, quantitatem, coniectasse; nam haud ita propriè quantitas in qualitate dicitur, quanquam dicatur tamen, vt febris magna, & parua. Ac tantus vsus est eorum, quæ sic dicuntur, vt iam proprij vim obtineant ipsa, perinde, ac pyxis, excusor, pictor,
F quercus incisor; in totum quæ ex vocato à grammaticis abusu inceperunt, deinde verò propria dici credita sunt. Hoc quidem attulimus propter eos, qui parum opportuno tempore de sermonis proprietate argumentantur. Quod autem dicere desiit, tale est, nempe, quod exiccari desiderat, non simpliciter siccante indiget medicamento;

sed

sed conuenienti mensura; copiosa quidē humiditate auctū, insigniter exiccante; parua, parum hoc faciente; quemadmodum multa, admodum resiccante, non tamen extremè, neque in summo, siccitatis enim quātitatem, humiditatis copiæ, respondere conuenit. Ego itaque dum cōmunem neruorum vulnerum curationis modum immutare primùm ausus sum, conieci in quantam humiditatem caliditatemq; affecta pars recidisset. Et quum adolescens quidam mihi ostensus esset, in primo articulo medij dextræ manus digiti totū circa neruum locum humentem adeo ex contusione habens, vt iam cōputresceret; partem sanè putrescentē cataplasmate ex lixiuia stillatitia, & cruda lysi (sic autem nosti me hordei farinam nominare) foui; non putrescentem verò, sed tensam dolentemq; oleo calente liberaliter perfundi; inde quum lana sicca madorem exhausissem, ceratum tam humidum illeui, quā in fracturis vtimur, cui euphorbium sit admixtum. Confectū autem mihi fuerat hoc quoque mea industria huiusmodi occasione. Profectus ad me quispiam hyeme vehementi, ostendēsque genu, facilè dicebat rigore id affici, statim verò calefacientibus iuuari. Rogabat igitur huiusmodi aliquod medicamentū darem, vt qui profectus in frigore inalgeret doleretq; vehementiùs, quàm aliàs. Nunc igitur, inquit, loturus discedo, mittam autem ex balneo qui medicamentū accipiat. Hęc quum dixisset, abiit. At ego cùm tale nullum medicamentū ad manus haberem, euphorbium cum oleo triui, & ceram liquatam immiscui; paulopost cùm amicus medicamento ferendo puerum misisset, exhibui. Dolore protinus cessante, inde in aliis partibus similiter affectis vti præcepimus, de quibus mox dicetur. Nunc ad nerui vulnerati sermonem redeo propter eos, qui nihil, quod ego nunc dico, intelligūt, vitio autem vertunt dictiunculas; quos inuenire auguror neruisaucios perperam eos nominari, qui in tendonibus vulnus acceperint; tēdones enim ipsis puto vocari qui extra manū toti carpo, & digitis supertensi sunt. Quanquā sanè non ignorem manifestius magisque propriè tendinisaucios ipsos nominari; tamen cùm omnes neurisaucios nuncupare soleant, & ego ne quis innouare me appellationem dicat, consuetam pro vera suscepi, etsi nec illa sine ratione abire in consuetudinem potuerit, plerisque medicis tendones etiam neruorum nomine iam vocitantibus. Verū siue in neruis, siue in tendonibus vulneratos appellasse mauis, neque ob has voces incolumes erunt, neque conuulsione laborabunt, quemadmodum, neque manci fient, nec morientur; appellatio siquidem nec seruauit hominem vnquam, nec perdidit, sed medicamentorum facultas vtrunque efficit. Atque ego hæc immutans, putrescentes, conuulsos, mancos, nonnullos etiam pereuntes, sanos, viuosque reddo. Nam neruos contusos habentes sicut ille habuerat, neruosaucios non neurothlastos, idest, in neruis contusos nuncupare anticiparunt. Cæterùm curatio communis est, & periculum æquale amborum, nempè cōtusorum, & vulneratorum, vel neruis, vel tendonibus. Itaq; homo ille putredine iam circa primum medij digiti articulum orta, quum superiacentium tensione doloreque infestaretur, multo melius habere cœpit die postero, quo vice hordei farinæ, eruorum farinam stactæ lixiuiæ commiscuimus. Ac tertio sanè quum consimiliter etiam curaretur, iam quidē in aliis partibus dolorem omnino non percepit;

A ἀλλὰ σὺν τῷ προσήκοντι μέτρῳ. τὸ μὲν εἰς ὑγρότητα πολλὴν ἐπιδεδωκός, τοῦ πάνυ ξηραίνοντος, τὸ δ' εἰς ὀλίγην, τοῦ βραχέως τοῦτο δρῶντος, ὥσπερ γε τὸ εἰς πολλήν, τοῦ μεγάλως μὲν ξηραίνοντος, οὐ μὴν ἐσχάτως, οὐδ' ἄκρως. ἀνάλογον γὰρ ἀεὶ τῷ ποσῷ τῆς ὑγρότητος εἶναι χρή, τὸ ποσὸν τῆς ξηρότητος. ἐγὼ γ' οὖν ὁπότε πρῶτον ἐτόλμησα τὴν κοινὴν ἀγωγὴν τῆς τῶν νευροτρώτων θεραπείας ὑπαλλάττειν, ἐστοχασάμην εἰς ὁπόσην ὑγρότητά τε καὶ θερμότητα τὸ πεπονθὸς ἥκει σῶμα. καί μοι δειχθέντος τινὸς νεανίσκου, κατὰ τὸ πρῶτον ἄρθρον τοῦ μέσου δακτύλου τῆς δεξιᾶς χειρός, ἐκ περιθλάσεως ὑγρὸν οὕτως ἐσχηκότος ἅπαν τὸ κατ' αὐτὴν,
B περὶ τὸ νεῦρον χωρίον, ὡς ἤδη σήπεσθαι, τὸ μὲν σηπόμενον αὐτοῦ κατέπλασα διὰ κονίας στακτῆς, καὶ ὠμῆς λύσεως, οὕτω δ' ἴσθι με καλοῦντα τὸ κρίθινον ἄλευρον, ἐλαίῳ δὲ πολλῷ θερμῷ καταντλήσας, τὸ μὴ σηπόμενον μέν, τεταμένον δὲ καὶ ὀδυνώμενον, εἶτα ἐκμάξας ἐρίῳ ξηρῷ, περιέχρισα κηρωτὴν οὕτως ὑγράν, ὡς ἐπὶ τῶν καταγμάτων χρώμεθα, μεμιγμένον ἔχουσαν εὐφόρβιον. ἐσκεύασο δέ μοι καὶ ἥδε, κατ' ἐμὴν ἐπίνοιαν ἐπὶ καιροῦ τοιοῦδε. παραγενόμενός τις χειμῶνι σφοδρῷ, καὶ δείξας τὸ γόνυ, ῥᾳδίως ἔφη πάσχειν αὐτὸ ῥιγῶσαν, ὀνίνασθαι δ' εὐθέως ὑπὸ τῶν θερμαινόντων. ἠξίου δὲ λαβεῖν τι τοιοῦτον φάρμακον, ὁδοιπο-
C ρήσαντα γὰρ ἐν κρύει, κατεψῦχθαί τε καὶ ὀδυνᾶσθαι σφοδρότερον, ἢ ἄλλοτε. νῦν μὲν οὖν, ἔφη, λουσόμενος ἄπειμι, πέμψω δ' ἐπὶ τὸ φάρμακον ἐκ τοῦ βαλανείου. ὁ μὲν ταῦτ' εἰπών, ᾤχετο. μηδὲν δ' ἔχων ἕτοιμον τοιοῦτο φάρμακον, εὐφόρβιον ἐλείωσα μετ' ἐλαίου, καὶ τήξας κηρὸν ἔμιξα, καὶ μικρὸν ὕστερον, ἡνίκα ἔπεμψεν ὁ φίλος αἰτῶν τὸ φάρμακον, ἔδωκα. τάχιστα δ' ἀνωδύνου γενομένου, προὐτράπην ἐντεῦθεν ἐπ' ἄλλων μορίων ὁμοίως πεπονθότων χρήσασθαι, περὶ ὧν αὖθις εἰρήσεται. νυνὶ δ' ἐπὶ τὸν τοῦ νευροτρώτου λόγον ἐπάνειμι, διὰ τοὺς μηδὲν μὲν τούτων, ὧν ἐγὼ νῦν ὑφηγοῦμαι γινώσκοντας, ἐγκαλοῦντας δὲ λεξει-
D δίοις· οὓς εὑρεῖν μαντεύομαι κακῶς ὀνομάζειν νευροτρώτους, ὅσοι τῶν τενόντων ἐτρώθησαν. τένοντας γὰρ αὐτοὺς οἶμαι καλεῖν τοὺς ἔξωθεν τῆς χειρὸς ἐπιτεταμένους, ὅλῳ τε τῷ καρπῷ καὶ τοῖς δακτύλοις. ἐγὼ δ' ὅτι μὲν σαφέστερον καὶ κυριώτερον ἦν αὐτοὺς ὀνομάζεσθαι τενοντοτρώτους, οὐκ ἀγνοῶ. πάντων δ' ἀνδρῶν συνήθως καλούντων νευροτρώτους, ὅπως μή τις με νεωτεροποιεῖν ἐν ταῖς προσηγορίαις φῇ, τὴν συνήθη προειλόμην ἀντὶ τῆς ἀληθοῦς. εἶχε δὲ οὐδ' αὐτὴ συνήθης γεγονέναι, δίχα λόγου φθασάντων τῶν πλείστων ἰατρῶν, καὶ τοὺς τένοντας ὀνομάζειν νεῦρα. ἀλλ' εἴ τε νευροτρώτους ἐθέλοις ὀνομάζειν αὐτούς,
E εἴ τε τενοντοτρώτους, οὔτε σωθήσονται διὰ τὰς φωνὰς ταύτας, οὔτε σπασθήσονται, καθάπερ οὐδὲ κυλλωθήσονται, καὶ τεθνήξονται. προσηγορία γάρ, οὔτε ἔσωσέ ποτε ἄνθρωπον, οὔτ' ἀπέκτεινεν, ἀλλ' ἡ τῶν φαρμάκων δύναμις, ἑκάτερον τούτων ἐργάζεται. κἀγὼ ταῦθ' ὑπαλλάττων τοὺς σηπομένους, καὶ σπωμένους, καὶ κεκυλλωμένους, ἐνίους δὲ καὶ διαφθειρομένους, ὑγιεῖς καὶ ζῶντας ἐργάζομαι. καὶ γὰρ αὖ καὶ τοὺς τεθλασμένους τὰ νεῦρα, καθάπερ ἐκεῖνος ἐτέθλαστο, νευροτρώτους ἐφθάκασι καλεῖν, οὐ νευροθλάστους. ἡ δὲ θεραπεία κοινή, καὶ ὁ κίνδυνος ἴσος ἀμφοῖν ἐστι τῶν τεθλασμένων τι καὶ τρωθέντων, ἤτοι νεῦρα, ἢ τένοντας. ὁ
F γοῦν ἄνθρωπος ἐκεῖνος, ὁ σηπόμενος μὲν ἤδη τὰ περὶ τὸ πρῶτον ἄρθρον τοῦ μέσου δακτύλου, τεινόμενός τε καὶ ὀδυνώμενος τὰ ὑπερκείμενα, πολὺ βελτίων ἑαυτοῦ κατὰ τὴν ὑστεραίαν ἐγένετο, καθ' ἣν ἀντὶ τῆς ὠμῆς λύσεως, ἔμιξα τὸ τῶν ὀρόβων ἄλευρον τῇ στακτῇ κονίᾳ, καὶ τῇ γε τρίτῃ τῶν ἡμερῶν ὁμοίως ἔτι θεραπευόμενος, ἦν μὲν ἤδη τελέως ἀνώδυνος τὰ ἄλλα,

κατὰ δὲ τὸ θλάσμα, νευρῶδές τι σῶμα παραπλήσιον ὑμένι παχεῖ προὔκυψεν, ὃ μετρίως διακινήσαντός μου, ῥᾳδίως ὅλον ἐξέπεσεν ἡμισαπὲς ὄν. ἐδόκει δὴ πᾶσι τοῖς θεασαμένοις τοῦτο τὸ σῶμα, τὸ νεῦρον ὅλον εἶναι τὸ διασεσηπός, ὡς ἂν οὐκ εἰδόσιν ὅπως ἠμφιεσμένοι νευρώδεσιν ὑμέσιν οἱ τένοντες οὗτοι, διά τε τοῦ καρποῦ προέρχονται, καὶ καθ' ὅλων ἐπιτείνονται τῶν δακτύλων. ἐμοὶ δὲ καὶ διαστείλαντι τὸ σεσηπὸς τοῦ θλάσματος, ὁ τένων ἐφαίνετο σωζόμενος. λύσας οὖν ἕνα τῶν τροχίσκων, ἢ κυκλίσκων, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλοι τις, ὧν εἷς ἐστι, καὶ ὁ τοῦ Πολυείδου, δι' ἑψήματος, ἢ σιραίου. καὶ γὰρ καὶ τοῦτο καλεῖν, ὡς ἂν αὐτὸς βουληθῇς ἔξεστί σοι, καὶ περιχρίσας τὸ φαινόμενον τοῦ νεύρου, τῷ τε καταπλάσματι πάλιν ἐχρησάμην ὡσαύτως, καὶ τῷ δι' εὐφορβίου χρίσματι κατὰ τῶν αὐτῶν τόπων, ὡς ἔμπροσθεν ἑκατέρῳ. θεασάμενος δὲ τῇ τετάρτῃ τῶν ἡμερῶν προεσταλμένα πάντα, τὰ περὶ τὸ τεθλασμένον μὲν ἔμπροσθεν, ἡλκωμένον δὲ τότε τοῦ δακτύλου πρῶτον ἄρθρον, ἐσκοπούμην ἐφ' ὅτι μεταβαίην ἀπὸ τοῦ καταπλάσματος. ἐνενόησα τοίνυν, εἰ μὲν ἀκριβῶς ἀφλέγμαντον εἴη τὸ νεῦρον, ἐπὶ τὰ συνουλοῦντα μεταβαίνειν· εἰ δέ τι τῆς φλεγμονῆς αὐτοῦ σκιρρῶδες ὑπολείποιτο, τῶν ἱκανῶς τι ξηραινόντων προσφέρειν. ἐπεὶ τοίνυν ἐφαίνετο λείπεσθαί τι, τῷ διὰ τῆς ῥίζης τοῦ δρακοντίου φαρμάκῳ πρότερον ἐχρησάμην, ὃ τὰ μὲν ἄλλα ταὐτὰ ἔχει τῷ Αἰγυπτίῳ φαρμάκῳ, τῇ Ἴσιδι καλουμένῃ, προσείληφε δὲ τὴν τοῦ δρακοντίου ῥίζαν. ἐφεξῆς δὲ τούτου τῇ Ἀθηνᾷ καλουμένῃ χρησάμενος, ἀπ' ἐκείνης λοιπὸν ἐπὶ τὰ συνουλοῦντα παρεγενόμην. ἐφ' ἑτέρου δὲ τῷ διὰ τοῦ σιραίου λελυμένῳ τροχίσκῳ, καταχρίων τὰ γεγυμνωμένα μέρη τοῦ τραύματος, ἔξωθεν ἐπέβαλλον τὸ εὐφόρβιον, ἀναμίξας κηρῷ καὶ ῥητίνῃ τοσούτοις τὸ πλῆθος, ὡς ἐμπλαστρῶδές τε ἅμα γενέσθαι, καὶ διασώζειν τὴν δύναμιν τοῦ εὐφορβίου. πῶς δ' ἄν τις ἀποβλέπων πρὸς τούτους τοὺς σκοποὺς συνθείη τὸ φάρμακον, ἐφεξῆς ἐρῶ. καὶ γάρ τοι καὶ διὰ τοῦ ὄξους ἄλλο φάρμακον ἐποίησα, καὶ κατ' ἐκεῖνο σκοπὸν ἔχων, τήν τε σύστασιν αὐτοῦ, καὶ τὴν τοῦ ὄξους λεπτομερῆ δύναμιν, ὅπως φυλάττοιτο, μετὰ τοῦ τὴν ψυκτικὴν δύναμιν ἐκλύεσθαι. περὶ μέντοι τούτων ὅπως συνετέθη, μετ' ὀλίγον εἰρήσεται, νυνὶ δ' ἐπειδὴ τὴν ἀγωγὴν τῆς τῶν νευροτρώτων θεραπείας ἐπενόησα διὰ λογικῆς ἐνδείξεως, ἄνευ τῆς ληρώδους περιπτώσεως τῶν ἐμπειρικῶν, ὅλην εἰπεῖν αὐτὴν βούλομαι, μηδένα παραλείπων διορισμόν, ἀπ' ἀρχῆς αὖθις ἀναλαβὼν τὸν λόγον. ὅταν γάρ τινα τετρωμένον εὐθέως παραλάβω, ποτὲ μὲν διὰ τῶν ὑγρῶν φαρμάκων ποιοῦμαι τὴν θεραπείαν, ἔστι δ' ὅτε διὰ τῶν ἐμπλάστρων, ἐπιβαλὼν ἔξωθεν ἔριον, ὡς μαλακώτατον, ἐλαίῳ θερμῷ βεβρεγμένον. εἰ δὲ τῷ δι' ὄξους χρώμενος εἴην φαρμάκῳ, μιγνὺς ὄξος ὀλίγον τῷ ἐλαίῳ, καὶ λύω γε δίς, ἢ τρὶς ἡμέρας, καὶ καταντλῶ δι' ἐλαίου θερμοῦ. μεγάλων δ' οὐσῶν τῶν νυκτῶν, καὶ κατὰ ταύτας εἴωθα λύειν. καὶ μᾶλλόν γε ποιῶ τοῦτο δακνομένου τοῦ ἕλκους ὑπὸ τῶν φαρμάκων, ὡς ὅταν γε ἀπ' ἀρχῆς χρωμένῳ μοι τοιούτῳ φαρμάκῳ, μήτε δάκνεσθαι λέγῃ, μήτε ὀδυνᾶσθαι, μήτε τάσεως ὁ κάμνων αἰσθάνηται, δὶς τῆς ἡμέρας ἐπιλύω τε καὶ καταντλῶ, περὶ μὲν τὴν ἕω τὸ πρῶτον, εἰς ἑσπέραν δὲ τὸ δεύτερον. ἔστω δὲ καταντλούμενον ἔλαιον, ἱκανῶς μὲν θερμόν, ἀλλ' ἄχρι τοῦ μὴ λυπεῖν τὸ τετρωμένον. ὥσπερ γὰρ τὸ ψυχρὸν ἐναντιώτατόν ἐστι ταῖς τοιαύταις διαθέσεσιν, οὕτω τὸ χλιαρόν, οὐ τελέως ὠφέλιμον. ἐμάθομεν γὰρ ἐν τῷ πρώτῳ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ὥσπερ τὸ ὕδωρ ἐναντιώτατα πέφυκε ποιεῖν, ἐν τῷ θερμόν, ἢ ψυχρὸν ὑπάρχειν, οὕτω καὶ τὸ ἔλαιον. ἐμπλάττει μὲν γάρ πως, μᾶλλον δὲ ἐπέχει τὰς διαπνοὰς τοῦ σώματος, ὅταν ψυχρὸν προσφέρηται,

A ex contusione verò neruosum quoddam corpus crassæ membranæ persimile exertum est; quod mediocriter me commouente facilè totum semiputridum excidit. Videbatur omnibus contemplantibus hoc corpus neruus totus esse, qui computruisset, vt qui ignorarent, quo pacto tendones hi neruosis membranis conuelati per brachiale procedunt, & super totos digitos extenduntur; mihi verò putridum ex contusione attollenti, tendo saluus apparuit. Quum igitur, vel pastillo vno, vel trochisco, vel vtcunque vocasse libet, quorum in numero est, & ille Polyidæ, soluto ex hepsemate, vel siræo
B id est sapa (nam & hoc pro arbitrio nominare liceat) apparentem nerui partem priùs iunxissem; rursus eodem modo, & cataplasmate, & vnctione ex euphorbio, in iisdem locis sicut prius, vtroque vsus sum. Quarto iam die omnia composita circa contusum quidem antea, vlceratum verò nunc primum digiti articulum intuitus considerabam, quorsum à cataplasmate transgrederer. Visum igitur est si neruus inflammatione prorsus vacaret, ad cicatricem ducentia transire; si verò phlegmones ipsius scirrhosum quidquam remaneret, aliquod ex abundè sic-
C cantibus exhibere. Quoniam igitur nonnihil ex ea reliquum esse videbatur, medicamentum ex dracunculi radice cōfectum priùs vsurpaui, quod alia eadem, cum Ægyptio medicamento, quæ Isis vocatur, cōtinet; assumpsit autē dracunculi radicem. Ab hoc verò deinceps Athene, idest, Minerua dicta vsus, inde ad ea quæ cicatricem ducunt, perrexi. At quum alium curarē pastillo sapa diluto nudatas vulneris partes illinens, euphorbium extrinsecus imponebam, tātum ceræ, ac resinæ miscens, vnde emplastri crassitudo simul fieret, & euphorbij vires conseruarentur. Cæterùm quomodo ad
D hos scopos respiciens medicamentum componas, deinceps declarabimus. Etenim aliud quoque ex aceto medicamentū confecimus, hoc spectātes vt ipsius spissitudo, & subtilis aceti virtus, cum refrigerantis facultatis exolutione incolumis permaneat. De his sanè, quomodo cōposita sint, post paulum tractabitur. Nunc quia neruis vulneratis medendi modum ex rationali indicatione, nugatorio illo empiricorum casu repudiato, inueni, totam cogito ipsam dicere, ita vt nullā distinctionē prætcream, sermonē ab initio rursus repetens. Quādo igitur vulneratum aliquem protinus suscipio, interdum per liquida medicamenta curationē mo-
E lior, interdū emplastris, lanam extrinsecus quàm mollissimam oleo calēte imbutā applicans. Quòd si medicamentum ex aceto vsurpem, aceti parum oleo admisceo, ac bis térve quotidie soluo, & oleo calente foueo. Si noctes longæ fuerint, etiam in his soluere consueui; idq; magis facio, dum vlcus à medicamentis mordetur; nam vbi initio tali medicamento vtenti æger, nec se morderi, nec dolere, nec tensionem percipere mihi dicat, die soluo, & fouco mane semel, & vesperi iterum. Oleum verò, quo fouemus, satis calens esto, verùm ita, ne
F vulneratam partem offendat; sicut enim frigidum huiusmodi affectibus maximè est contrarium, sic tepens non omnino vtile. Namque in primo de Simplicibus medicamentis volumine didicimus, vt aqua in eo, quòd calens, aut frigida sit, maximè contraria facere nata est, ita quoque oleum, nam frigidum corpori admotum, perspiratum quodammodo ipsius obstruit, imò prohibet; calidum

calidũ verò digerit, ac extenuat. Quod tibi etiam ex carnibus in eo coctis licet condiscere; similiter etenim, vt prærancidas friabiles efficit, etsi protinus quum animans mactatũ est, in eo coquas, aut sartagine frigas. Propter quod & ego fomentũ ex oleo satis calente vsurpare malui, tepidum semper vitans, adhuc autem magis frigidũ. Porrò ab aquæ vsu in tota curatione ita tẽpero, vt ne attingat quidẽ vlcus; proinde cùm sanguis initio statim à vulnerata parte eluendus est, ex oleo id facere expedit. Vbi autẽ iam ægri mediocriter habentes lauacro vtuntur, neq; tunc affectũ locum in aquam demergere ipsis concedendũ; magna siquidẽ ex parte nerui in manibus vulnerantur. Memini cuiusdã ex huiusmodi vulneratis, qui quum diem quartũ citra omnem dolorẽ ageret, partemq; affectã absque phlegmone videret, multo in frigore domo egressus ad opus quoddã necessarium, eiq; diu immoratus, domũ rediit membro vniuerso ad ceruicem vsque tenso, idque cum ingenti ipsius dolore. Postquam verò quodam me accersente profectus ad eum, vidi quibus in malis esset, oleum ex itinere refrigeratum à parte auferri iussi, calente verò totum mẽbrum foui; deinde ceruicis partem aduersam lanis oleo respersis, & medicamento liquido ex euphorbio simul, cum castorio hominem statim mitigaui, & somno post hæc accedente vsque ad vesperam omnia cessarunt symptomata. Præ omnibus igitur danda opera est, vt lana permaneat calida, siue oleo tantũ, siue oxelæo hoc est aceto, & oleo, quoque imbuta fuerit, fiet hoc si aliæ lanæ siccæ extrinsecus circũponantur, & æger intra tectum, quum hyems fuerit, ad quintũ vsq; vel septimum morbi diem sese cõtineat. Nam si eousq; nec phlegmone aliqua tẽtetur, vacetq; prorsus dolore, & nullã sentiat tensionẽ, in posterũ tutus erit. Curabis autem, ne in aceto vinosum aliquid appareat, quemadmodũ oleum quoque, vt omni astrictione vacet. Neq; igitur, quod crudũ, vel immaturũ dicitur, adhibebis; neque id, quod ab Hispania vehitur, ac vocant Hispanum, imò nec aliud quodlibet ex iis quæ oleæ surculos habent. Optimum oleum est tenue, quale in Italia Sabinum; alibi verò in nationibus Romano Imperio subiectis, quæ nullam astringendi vim obtinent. Iam verò qualis res sit rationalis indicatio, & quanto ditior, quàm nuda experientia citra methodum, vel hinc condisces. Quum permultis neruorum vulneribus sępe in itinere, in nauigio, in agro, vel in ciuitate, sed procul à meis ædibus incidissem; nec medicamenti ex euphorbio copia adesset, nec illius, quod ex aceto conficitur, nec alterius; medicamenta, quorum fortè fortuna eo loco facultas erat, vulneri imponentes, propositum semper sumus assequuti. Noui etenim, me ipsum in agro propolim recentem liquidam, & pinguem, quam agricola habebat, vulneri imposuisse. interdum fermentum solùm, interdum ambo cõmixta. At fermentum quàm vetustissimum esse; propolim verò contra habere conuenit, quantum ad tempus attinet; sin autem vetustior sit, ex oleo iuxta ignem, vel in Sole, emolliatur. Rursus in alio quodam rustico succum tithymalli fermento mixtum imposui, quem propè ipsius cortem succreuisse conspexeram; quippe fermentum, vt recens, contemnebam. Nonnunquam & propolim ex oleo liquefactam fermento subegi, sed priùs aceto quàm acerrimo dissoluto. Prestat oleum esse vetus in huiusmodi mixtionibus, puta ex oxymelite, & fabarum farina,

A διαφορεῖ δὲ καὶ λεπτύνει τὸ θερμόν. ἔνεστι δέ σοι τοῦτο κἀπὶ τῶν ἑψημένων κρεῶν ἐν αὐτῷ μαθεῖν. ὁμοίως γὰρ αὐτὰ τοῖς προεωλισθεῖσιν ἐργάζεται ψαθυρὰ, κἂν εὐθέως ἅμα τῷ τυθῆναι τὸ ζῶον ἑψῇς, ἢ ταγηνίσῃς ἐν αὐτῷ. διὰ τοῦτο οὖν κἀγὼ τὴν διὰ τοῦ ἐλαίου κατάντλησιν εἱλόμην ἱκανῶς θερμοῦ, φεύγων ἀεὶ τὸ χλιαρὸν, ἔτι δὲ μᾶλλον τὸ ψυχρόν. ὕδατος δὲ χρῆσιν ἐν ὅλῃ τῇ θεραπείᾳ φυλάττομαι, μέχρι τοῦ μηδ᾽ ἅψασθαι τοῦ ἕλκους, ὥσθ᾽ ὅταν μὲν εὐθέως ἐν ἀρχῇ δέῃ τὸ αἷμα τοῦ τετρωμένου μέρους ἀποπλύνειν, δι᾽ ἐλαίου τοῦτο πράττειν. ὅταν δ᾽ ἤδη μετρίως ἔχοντες οἱ κάμνοντες λούωνται, μηδὲ τότε ἐμ-
B βάλλειν ἐπιτρέπειν αὐτοῖς εἰς τὸ ὕδωρ τὸν πεπονθότα τόπον, ὡς τὸ πολὺ γὰρ ἐν αὐταῖς ταῖς χερσὶν οἱ νευρότρωτοι γίνονται. μέμνημαι δέ τινα τῶν οὕτω τετρωμένων, ἐπὶ τετάρτην ἡμέραν ἄγων ἀνώδυνος τελέως ὤν, ἀφλέγμαντόν τε τὸ πεπονθὸς ἑωρακὼς μόριον, ἐν κρύει πολλῷ προελθόντα τῆς οἰκίας ἐπί τινα πρᾶξιν ἀναγκαίαν, ἐν ᾗ διατρίψας ἐπὶ πλέον, ἧκεν οἴκαδε τεινόμενος τὸ κῶλον ὅλον ἄχρι τοῦ τραχήλου, καὶ μεγάλης ὀδύνης αἰσθόμενος. ὡς δ᾽ ἀφικομένου τινὸς ἐπ᾽ ἐμὲ, παραγενόμενος ὡς αὐτὸν, ἐθεασάμην ἐν οἷς ἦν, ἀπορρίψαι μὲν ἐκέλευσα τὸ κατὰ τὸ μόριον ἔλαιον ψυχρὸν ἐκ τῆς προόδου γενόμενον, ἐλαίῳ δὲ θερμῷ καταντ-
C λήσας ὅλον τὸ κῶλον, εἶτα καὶ τοῦ τραχήλου τὸ κατ᾽ εὐθὺ μέρος, ἐλαιοβρεχέσιν ἐρίοις πυριάσας, ἐπιθείς τε τὸ διὰ τοῦ εὐφορβίου φάρμακον ὑγρὸν ἅμα καστορίῳ, παρηγόρησα τὸν ἄνθρωπον αὐτίκα, καὶ ὕπνου ἐπιγενομένου μέχρι τῆς ἑσπέρας, ἐπέπαυτο πάντα τὰ συμπτώματα. περὶ παντὸς οὖν ποιεῖσθαι χρὴ θερμὸν διαμένειν τὸ ἔριον, εἴτ᾽ οὖν ἐλαίῳ μόνῳ βεβρεγμένον, εἴ τε καὶ ὀξελαίῳ τύχοι. γένοιτο δ᾽ ἂν τοῦτο περιβαλλομένων ἔξωθεν ἐρίων ἄλλων ξηρῶν, ἔνδον τε μένοντος, ὅταν ᾖ χειμὼν ἄχρι τῆς ε´. ἢ τῆς ζ´. ἡμέρας τοῦ κάμνοντος. ἐὰν γὰρ ἄχρι ταύτης, μήτε φλεγμονὴ φαίνηταί τις, ἀνώδυνός τε παντάπασιν ᾖ, καὶ μηδεμιᾶς αἰσθά-
D νηται τάσεως, ἀκινδύνως λοιπὸν ἔσται. φροντὶς δ᾽ ἔστω σοι, τοῦ μηδὲν οἰνῶδες ἐμφαίνεσθαι τῷ ὄξει, καθάπερ γε καὶ κατὰ τοὔλαιον, ὡς ἀπηλλάχθαι στύψεως ἁπάσης. μήτε οὖν τὸ καλούμενον ὠμοτριβὲς, ἢ ὀμφάκινον ἔστω, διττῶς γὰρ ὀνομάζεται, μήτε τὸ ἀπὸ τῆς Ἰβηρίας, ὃ καλοῦσι Σπανὸν, ἀλλὰ μηδ᾽ ἄλλο τι τῶν θαλλοὺς ἐλαίας ἐχόντων. ἄριστον οὖν ἔλαιόν ἐστι τὸ λεπτομερὲς, ὁποῖον ἐν Ἰταλίᾳ μὲν τὸ Σαβῖνόν ἐστιν, ἄλλοθι δὲ τῶν ὑπὸ Ῥωμαίοις ἐθνῶν, ὅσα μηδεμίαν ἐμφαίνει στύψιν. ὁποῖον δέ τι πρᾶγμά ἐστιν ἔνδειξις λογικὴ, καὶ ὅσον πλουσιώτερον ἐμπειρίας ψιλῆς ἄνευ μεθόδου, κἀκ τῶνδε μάθοις. νευροτρώτων τε πολλοῖς πολλάκις, ἐν
E ὁδοῖς τε καὶ κατὰ πλοῦν, καὶ κατ᾽ ἀγρὸν, ἢ ἐν πόλει μὲν, ἀλλὰ πόρρω τῆς ἐμῆς οἰκίας παραγενόμενος, οὔτε τοῦ διὰ εὐφορβίου φαρμάκου παρόντος, οὔτε τοῦ δι᾽ ὄξους, ἀλλ᾽ οὔτε ἄλλου, τῶν ἐν ἐκείνῃ τῇ χώρᾳ κατὰ τύχην εὐπορηθέντων φαρμάκων ἐπιθεὶς τῷ τραύματι, διὰ παντὸς ἔτυχον τοῦ σκοποῦ. κατ᾽ ἀγρὸν μὲν γὰρ, ἐμαυτὸν οἶδα καὶ πρόπολιν πρόσφατον, ὑγρὰν καὶ λιπαρὰν, ἣν ὁ γεωργὸς εἶχεν, ἐπιθέντα κατὰ τοῦ τραύματος, καί ποτε ζύμην μόνην, καί ποτε ἄμφω μίξαντα. χρὴ δὲ τὴν μὲν ζύμην ὅτι παλαιοτάτην εἶναι, τὴν πρόπολιν δὲ ἐναντίως ἔχειν αὐτῇ κατὰ χρόνον. εἰ δὲ εἴη παλαιοτέρα, μαλαττέσθω παρὰ τὸ πῦρ δι᾽ ἐλαίου, ἢ
F ἐν ἡλίῳ. ἐπ᾽ ἄλλου δέ τινος ἀγροίκου, τῇ ζύμῃ τὸν ὀπὸν τοῦ τιθυμάλλου μίξας ἐπέθηκα, πλησίον τῆς αὐλῆς αὐτοῦ θεασάμενος αὐτὸν πεφυκότα, κατέγνων γὰρ τῆς ζύμης, ὡς προσφάτου. καί ποτε πρόπολιν μετ᾽ ἐλαίου τήξας ἀνέδευσα τῇ ζύμῃ, προδιέρασας αὐτὴν ὄξει δριμυτάτῳ. κάλλιον δ᾽ ἐπὶ τῶν τοιούτων μίξεων, τὸ ἔλαιον παλαιὸν εἶναι, δι᾽ ὀξυμέλιτός τε καὶ ἀλεύρου κυά-

μων, ἢ ὀρόβων, ἢ αἰρῶν, ἢ ἐρεβίνθων, ἢ θέρμων πικρῶν, ἢ πάλης ἀλφίτων, ἢ κριθῶν ἀλεύρου, οἷς κατὰ τὰς πόλεις κέχρημαι καταπλάσμασιν, οὐ μόνον ἐπὶ τῶν ἤδη φλεγμαινόντων, ἀλλὰ καὶ κατ' ἀρχὰς εὐθέως. ἐν ἀγρῷ δὲ καὶ πίτταν εὑρὼν ὑγρὰν παρά τινι τέκτονι, τῇ ζύμῃ μίξας, ἐπέθηκα, καὶ παρ' ἄλλῳ τὸ τῶν ὀρόβων ἄλευρον ἀναδεύσας αὐτῇ. μὴ παρόντος δὲ τούτου, καὶ τῶν προειρημένων ὁποιονοῦν ἔνεστι μιγνύειν. καὶ ὀξέλαιον δὲ μόνον ἀναλαβὼν ἐρίῳ θερμὸν ἐπέβαλον εὐθέως, ἄλλου μὴ παρόντος. ἐθάρρησα γὰρ τῷ ὄξει δριμεῖ τε ἱκανῶς ὄντι καὶ παλαιῷ. ἐφ' ἑτέρου δὲ περικατεψυγμένου, διὰ τὸ περὶ μιᾶς ὥρας, ἢ καὶ πλείονος ἔτι χρόνου τεθλάσθαι τὸ νεῦρον. ἄχρι τῶν ἐπιτηδείων τί μοι κομισθησόμενον ἀνέμενον, ἐλαίῳ καταντλεῖσθαι τὸ μόριον κελεύσας. καὶ τότε προσμίξας ὄξος, ἐπεὶ τὸ περιέχον θερμότατον ἦν ὥρᾳ θέρους, τὸ μικτὸν ἐξ ἀμφοῖν ἄχρι πλείστου κατήντλουν, ἕως τῶν ἄλλων ἐκομίσθη τι φαρμάκων. ἕκαστον δὲ τῶν εἰρημένων ἀλεύρων καὶ τῆς στακτῆς διαμίξας πολλάκις, ἐπέπλασα καὶ κατ' ἀρχὰς εὐθέως, καὶ μετὰ ταῦτα, φθάσαντος ἀνθρώπου τῶν ἐναίμων τινὶ φαρμάκων οὐ καλῶς κεχρῆσθαι. πάντα δὴ οὖν ταῦτα τὰ ὁπωσοῦν ἐπιτιθέμενα φάρμακα, θερμὰ ταῖς ποιότησι προσφερέσθω. καὶ μέντοι κἀπὸ τῆς ἐμαυτοῦ ποτ' οἰκίας, οὐδενὸς τῶν συνθέτων φαρμάκων ἑτοίμου εὑρισκομένου, σπεύδων προελθεῖν, ἔδωκά τινι τῶν ἐμῶν παλαιὸν εὐφόρβιον, ἐκέλευσά τε λειώσαντα μετ' ἐλαίου παλαιοῦ, μέχρι πάχους ὑγρᾶς κηρωτῆς, ἐπιτεῖναι τῷ νύγματι τοῦ κατὰ τὴν χεῖρα τένοντος. ὡς δ' ἐπανελθὼν, ἐπυνθανόμην τοῦ τρωθέντος, εἰ θερμασίας πολλῆς αἴσθησις αὐτῷ γίγνοιτο κατὰ τὸν τόπον, ὁ δὲ συμμέτρου τινὸς ἔφησεν αἰσθάνεσθαι, πάλιν οὖν ἐπυθόμην εἰ δάκνοιτο κατὰ τὸ τραῦμα, πρὸς τοῦ φαρμάκου. τοῦ δὲ εἰπόντος μὴ δάκνεσθαι μὲν, οἱονεὶ δὲ κνήσεώς τινος αἴσθησιν ἔχειν, συνεχώρησα μέχρι τῆς νυκτὸς ἐπικεῖσθαι τὸ φάρμακον. ἐπεὶ δὲ ἀφαιρεθέντων τῶν ἐπικειμένων, θερμασία τέ μοι σύμμετρος ἐφαίνετο κατὰ τὸ πεπονθὸς χωρίον, καὶ μὴ μεμυκὸς τὸ νύγμα, κάλλιον ἔδοξέ μοι εἶναι τῷ αὐτῷ χρῆσθαι φαρμάκῳ. καὶ μέντοι κατὰ τὴν ὑστεραίαν ἀμέμπτως ἔχοντος τοῦ νευροτρώτου, καὶ κατὰ τὴν τρίτην τε καὶ τετάρτην, ἄχρι τέλους ἐχρησάμην τῷ αὐτῷ φαρμάκῳ, καί τις τοῦτο θεασάμενος ἐφ' ἑτέρου τρωθέντος, ὁμοίως ἐχρήσατο τῷ προσφάτῳ εὐφορβίῳ, κατὰ τὸν αὐτὸν τόπον. ἐξ ἀνάγκης οὖν ἠκολούθησε τῷ τετρωμένῳ θερμασία τε πολλὴ, καὶ δῆξις, καὶ ὀδύνη κατὰ τὸ ἕλκος, ὥστε ἀχθῆναι πρὸς ἐμὲ τὸν ἄνθρωπον, ὡς ἐπὶ παραδόξῳ τῷ συμβεβηκότι. κἀγὼ συνεὶς αὐτίκα τοῦ γεγονότος, ἀπέρριψα μὲν τὰ ἐπικείμενα, καταντλήσας δ' αὐτὸν ἐλαίῳ, τὸ διὰ τοῦ ὄξους ἐπέθηκα φάρμακον. εἰ δ' οὐκ ἦν τοῦθ' ἕτοιμον, ἐπιτεθείκειν ἂν τὸ διὰ εὐφορβίου, πλέονα κηρὸν ἔχον. οὐκοῦν ἐχρῆν, καθάπερ ὀλίγον ἔμπροσθεν ἐλέγομεν, μὴ ἀγνοεῖν τάς τε δυνάμεις, καὶ τὰς ἰδέας τῶν δοκίμων φαρμάκων, οὐδὲ τίνα μὲν ἐν τάχει μεταβάλλει τὴν δύναμιν, τίνα δὲ ἕως παμπόλλου διαφυλάττει. τῶν γὰρ ταχέως ἐξίτηλον ἐχόντων τὴν θερμότητα, τὸ εὐφόρβιόν ἐστι. γνωριεῖς δὲ αὐτὸ, καὶ χωρὶς τοῦ διαμασήσασθαι τὸ χρῶμα θεασάμενος. οὐ γὰρ, ὡς ἐν ἀρχῇ τεφρῶδες, ἀλλ' ὑπόχλωρόν τε καὶ ὑπόξανθον γίγνεται παλαιούμενον. εὐθὺς δὲ καὶ ξηρὸν ἱκανῶς φαίνεται τηνικαῦτα, καὶ διαλύεται μόγις ἐν τῷ λειοῦσθαι δι' ἐλαίου τοῦ νέου ταχέως χυλουμένου. χρὴ δ' οὐκ εὐθέως αὐτὸ μιγνύναι τῷ ἐλαίῳ, ἀλλὰ πρότερον ἐν τῇ θυίᾳ λειοῦν ἀτρέμα, ὅπως μὴ πλατυνθῇ, καὶ τί δεῖ λέγειν, ὅτι καὶ γευσαμένῳ σοι, τὸ μὲν πρόσφατον φαίνεται πυρωδέστατον, ὡς κατακαίειν τὴν γλῶτταν, τὸ δὲ παλαιὸν, ὀλίγην ἐργάζεται θερμασίαν;

A vel eruorum, vel lolij, vel ciceris, vel lupinorum amarorum, vel tenuiori polentæ puluere, vel hordeacea farina; quibus in vrbibus vsus sum cataplasmatis, non solùm in iis quos iam phlegmone prehenderat, sed etiam protinus ab initio. In agro cum & picem liquidam apud fabrum inuenissem, fermento mixtam imposui; item apud alium eruorum farinam illo subactam; cuius penuria etiam prædictarum quæuis misceri potest. Quin etiam oxelæum solùm, quod calere, lana exceptum, statim, dum aliud nihil haberem, obtuli, confisus aceto abundè acri, & vetusto. In alio refrigerato, quod ante horam vnam, vel longius B etiam tempus neruus contusus esset, quousque mihi quoddam idoneum medicamentum afferretur, expectaui, partem oleo foueri præcipiens, interdum aceto prius admixto, quoniam aër per æstatem calidissimus erat, mixtura ex vtroque diutissimè foui, donec aliud medicamentum allatum fuit. Singulis autem prædictis farinis permixtam quoque stacten sæpe illeui, & mox à principio, & postea, quum homo medicamento quodam, quod cruentis imponitur, non probè vsus esset. Hæc itaque omnia, quomodocunque applices, medicamenta calida qualitatibus offeras.

C Et verò etiam cùm domo mea egredi festinãs aliquando medicamentũ nullum in promptu cõpositum haberem, dedi cuidam familiari vetus euphorbium; iniunxique læue factum ex oleo veteri, donec humidi cerati spissitudinem haberet, tendinis puncturę in manu admoueret. Reuersus igitur interrogaui vulneratum, multúmne caloris in parte affecta sentiret, ille mediocrem quendam respondit se percipere. Rursus igitur quæsiui, an mordicationem à medicamento in vulnere sentiret, ille quum se non morderi, sed veluti pruritum quendam sentire dixisset, medicamentum ad no- D ctem vsque adhærere permisi. Quoniam verò quum imposita abstulissem, calor in affecto loco mediocris mihi apparuit, neque punctura hians, satius mihi visum est eodem vti medicamento; & verò cũ vulneratus altero die prosperè haberet, itẽ tertio, & quarto, ad finem vsq; idem medicamentum vsurpaui; quod contemplatus quidam, in alio vulnerato similiter recenti euphorbio in eundem modum vsus est: quare necessario calor ægrũ multus, & cõmorsus, & dolor in vlcere subsecutus est, adeo vt homo ad me deductus sit, tanquam hoc præter omnium opinionẽ accidisset. Atq; ego statim re intellecta, quod impositum erat abieci; fotu E autem per oleum ipsi adhibito, medicamentum ex aceto imposui; quod si non in procinctu fuisset, medicamentũ ex euphorbio copiosioris ceræ participes admouissem. Quapropter non oportet, vti paulo ante diximus, probatorum medicamentorũ facultates, ac species ignorare, nec quæ celeriter virtutem mutant, tum quæ rursus diutino tempore cõseruant. Nam ex iis, quæ caducũ, ac statim euanescentẽ calorem habent, euphorbium est. Id autẽ cognosces, etiam si non mãduces, colorẽ contemplatus; quippe non vt ab initio cinereum, verũ suppallidũ, & subflauũ redditur inueterascẽs. Statim F etiã siccũ abundè videretur tũc, & vix inter læuigandũ ex oleo recenti protinus imbibito dissoluitur. At subito ipsum oleo miscendum non est, sed priùs in mortario sensim terendum, ne dilatetur. Quid item opus est dicam, quod etiam gustãti tibi recens percipiatur feruentissimum, vt linguam adurat, vetus autem exiguam efficiat caliditatem?

Iam aliis quoque multis medicamentis euanidam potentiam pauculis annis habere contingit, attamen euphorbium post thapsiam; hæc enim anno admodum imbecillis redditur, vt bimula prorsus expiret; euphorbium verò, quum principio bonum fuerit, & probè repositum asseruatumque, etiam anno tertio adhuc vim aliquam retinet, interdum, & quarto; quinto autem, & sexto iam exoluitur, deinde procedente tempore in totum elanguescit. Porrò id, quo me aliquando, cum inueterato oleo, sine cera vsum esse dixi, quinque annorum, aut sex erat euphorbium. Vnde vsum ipsius mensura comprehendere nemo potest. Nam recens oleo decuplo, & duodecim partibus superante, cum cera tripla commiscetur; veterascens copiosius ei immittendum est; trimum verò, & quadrimum, vel duplicatum prioris pondus, vel æquale ceræ. Quum igitur medicamentum consistentia simile acopis dictis vnctionibus habere volueris (quæ spissitudo liquidi etiam cerati est) oleum ceræ quadruplum esse curabis. Vbi verò ad emplastri speciem fiet, ceram omnino æqualem oleo miscere oportet, maximè si sicca fuerit, & vetusta; sicut recens, & pinguis pauciore oleo indiget, vt ceratum in emplastri modum efficiat, idque magis adhuc per æstatem. Itaque si ceratum emplastri formula facere statueris, ceræ ex oleo liquefactæ, qua dixi symmetria, sextam recentis euphorbij partem admiscebis, vt illius vna sit drachma, ceræ sex, olei item sex, vel quinque. Sed quoniam cera glutinans, ac viscosa non est, quemadmodum resinæ, & pix, ideo hanc, vel illam, vel vtriusque partem, cerato admisceo. Clarum igitur est, dum hæc miscentur, non amplius oleum pari illis portione affundendum. Etenim cera ad liquiditatem multo pingui indiget; at resinæ quæ quidem aridæ prorsus sunt, pauco; liquidæ & siccam quandam substantiam ad emplastri crassitudinem assumere postulant. In ceris igitur non magna humiditatis, ac siccitatis differentia est; in resinis, sicut etiam in picis genere, contra, aridæ ab humidis permultum differunt. Omnium ergo resinarum siccissima est, quam nonnulli frictam, alij colophoniam, appellant. Huic succedit, quæ ex fictilibus impura, nec fricta sumitur; quam si purges, in frictam mutabitur. His ambabus siccior est, quæ dicitur pityinon physema, ac si dicas picea germinatio. Hanc sanè ceu squalidam, in præsentis emplastri compositionem non esse idoneam ratus abieci; vsus autem sum fricta, & liquidis. Iam verò ex his quoque nonnullæ diutiùs liquidæ permanent, quemadmodum terebinthina; aliæ citò inarescunt, sicut strobilina; media vtriusque est abietina. Quin etiam facultate calidior est quidem strobilina, mox verò abietina, deinde terebinthina. Cupressi resinam miscere non ausus sum, vt quæ nonnihil astringeret. Putabit forsan aliquis nobiscum dissentire Dioscoridem Anazarbeum in sermone de resinis hęc verba scribentem primo de medica materia commentario. *Ex omnibus resinis principatus terebinthinæ datur, post eam lentiscinæ, tum ei, quæ de picea raditur, & abiete, post quas pinea strobilinaque numeratur.* In his enim Dioscorides tãquam de infima strobilina, optima verò terebinthina, sentire videtur. Verùm ego ex his tribus resinis strobilina, abietina, terebinthina, principem certè strobilinam calore, secundam abietinam, postremã terebinthinã, esse dixi.

A συμβαίνει μὲν οὖν καὶ ἄλλοις πολλοῖς τῶν φαρμάκων, ὀλίγοις ἔτεσιν ἐξίτηλον ἴσχειν τὴν δύναμιν, οὐδενὸς δ' ἧττον τὸ εὐφόρβιον μετά γε θαψίαν. αὕτη γὰρ μετ' ἐνιαυτὸν μὲν ἀσθενὴς ἱκανῶς ἐστι, τελέως δ' ἐκ τοῦ διετὴς γινομένη. τό γε μὴν εὐφόρβιον, ὅταν ἐξ ἀρχῆς τε καλὸν ᾖ, καὶ καλῶς ἀπόκειται, καὶ κατὰ τὸ τρίτον ἔτος διασώζει ἔτι τινὰ δύναμιν, ἔσθ' ὅτε δὲ καὶ κατὰ τὸ τέταρτον. ἐκλύεται δ' ἤδη καὶ κατὰ τὸ ε'. καὶ ἕκτον. εἶτ' ἐπὶ προήκοντι τῷ χρόνῳ τελέως ἀμαυροῦται, ᾧ δ' ἔφην ἐγὼ, σὺν ἐλαίῳ χρήσασθαί ποτε παλαιωθέντι, χωρὶς κηροῦ ε'. σχεδὸν ἐτῶν, ἢ ἓξ ἦν. ὅθεν οὐδὲ περιλαβεῖν ἐν μέτρῳ δυνατόν ἐστι τὴν χρῆσιν
B αὐτοῦ. νέον μὲν γὰρ ὂν, ἐλαίῳ δεκαπλασίῳ καὶ δωδεκαπλασίῳ μίγνυται, μετὰ κηροῦ τριπλασίου. παλαιούμενον δὲ, πλέον ἐμβάλλειν αὐτῷ χρή. τριετὲς δὲ καὶ τετραετὲς γινόμενον, ἤτοι διπλάσιον τοῦ κατ' ἀρχάς, ἢ ἴσον τῷ κηρῷ. ὅταν μὲν οὖν τοῖς ἀκόποις ὀνομαζομένοις χρίσμασιν ὁμοίαν ἔχειν βουληθῇς τὸ φάρμακον τὴν σύστασιν, ἥπερ δὴ καὶ τῆς ὑγρᾶς κηρωτῆς ἐστι, τετραπλάσιον εἶναι χρὴ τοῦ κηροῦ τὸ ἔλαιον. ὅταν δ' ἐμπλαστρώδης γίνηται, τὸν κηρὸν ἴσον τοὐπίπαν τῷ ἐλαίῳ χρὴ μιγνύναι, μάλιστα ἐὰν ξηρὸς ᾖ, καὶ παλαιός, ὡς ὁ πρόσφατός γε καὶ λιπαρὸς ὤν, ἐλάττονος δεῖται τοῦ ἐλαίου, πρὸς τὸ ποιῆσαι κηρωτὴν ἐμπλαστρώδη, καὶ
C μᾶλλον ἐπὶ θέρους ὥρᾳ. βουληθεὶς οὖν τις τὴν κηρωτὴν ἐμπλαστρώδη ποιῆσαι, τὸν κηρὸν τήξας ἐν ἐλαίῳ, καθ' ἣν εἴρηκα συμμετρίαν, προσμίξει τὸ ἕκτον μέρος αὐτῷ τοῦ προσφάτου εὐφορβίου, ὡς εἶναι μὲν < α'. ἐκείνου, τοῦ δὲ κηροῦ, ἓξ, ἐλαίου δὲ ἓξ, ἢ πέντε. ἀλλ' ἐπεὶ τὸ κολλῶδές τε καὶ γλίσχρον οὐχ ὑπάρχει τῷ κηρῷ, καθάπερ τῇ ῥητίνῃ τε καὶ τῇ πίττῃ, διὰ τοῦτο μιγνύω τῇ κηρωτῇ ῥητίνην, ἢ πίτταν, ἢ ἑκατέρου, μέρος. εὔδηλον οὖν ὅτι τούτων μιγνυμένων, οὐκέτι τὸ ἔλαιον ἴσον αὖθις ἐμβλητέον. ὁ μὲν γὰρ κηρὸς, εἰς ὑγρότητα πολλοῦ δεῖται τοῦ λίπους. αἱ ῥητίναι δὲ, αἱ μὲν ξηραὶ παντάπασιν, ὀλίγου χρῄζουσιν. αἱ δὲ ὑγραί, καὶ προσλαβεῖν τινα
D ξηρὰν οὐσίαν ἐθέλουσιν εἰς ἐμπλαστρώδη σύστασιν. ἐν μὲν οὖν τοῖς κηροῖς, οὐ πολλή τίς ἐστιν ἡ διαφορὰ καθ' ὑγρότητα καὶ ξηρότητα. ταῖς ῥητίναις δ' ἔμπαλιν, ὥσπερ καὶ τῇ πίττῃ, παμπόλλη ἡ διαφορὰ ταῖς ξηραῖς ἐστι πρὸς τὰς ὑγράς. ξηροτάτη μὲν οὖν τῶν ῥητινῶν ἐστιν, ἣν ὀνομάζουσί τινες, φρυκτήν, τινὲς δὲ κολοφωνίαν. δευτέρα δ' ἡ ἐκ τῶν κεραμείων, ἀκάθαρτός τε καὶ ἄφρυκτος, ἐὰν δ' αὐτὴν καθάρῃ τις, εἰς τὴν φρυκτὴν μεταπίπτει. τούτων δ' ἀμφοτέρων ξηρότερόν ἐστι, τὸ καλούμενον πιτύϊνον φύσημα. τοῦτο μὲν, ὡς αὐχμηρὸν, οὐκ ἐπιτήδειον νομίσας εἶναι εἰς τὴν τῆς προκειμένης ἐμπλάστρου σύνθεσιν, ἀπωσάμην, ἐχρη-
E σάμην δὲ τῇ τε φρυκτῇ, καὶ ταῖς ὑγραῖς. εἰσὶ δὲ καὶ τούτων, ἔνιαι μὲν ἐπὶ πλέονα χρόνον ὑγραὶ διαμένουσαι, καθάπερ ἡ τερμινθίνη. τινὲς δὲ ταχέως ξηραινόμεναι, καθάπερ ἡ στροβιλίνη. μέση δ' ἀμφοῖν ἐστιν ἡ ἐλατίνη. καὶ μέντοι καὶ κατὰ τὰς δυνάμεις θερμοτέρα μὲν ἡ στροβιλίνη, δευτέρα δὲ ἡ ἐλατίνη, τρίτη δ' ἀμφοῖν ἡ τερμινθίνη. τὴν κυπαρισσίνην δὲ ὑποπτεύσας μὴ μιγνύειν, ὡς στύψεως ἔχουσάν τι. δόξει δέ τις ἡμῖν διαφέρεσθαι, κατὰ τὸν περὶ ῥητινῶν λόγον Διοσκορίδῃ τῷ Ἀναζαρβεῖ γράψαντι τήνδε τὴν ῥῆσιν, ἐν τῷ πρώτῳ περὶ ὕλης. προάγει δὲ πασῶν τῶν ῥητινῶν ἡ τερμινθίνη, καὶ μετὰ ταύτην ἡ σχινίνη, εἶτα πιτυΐνη, καὶ
F ἐλατίνη, μεθ' ἃς ἀριθμοῦνται, ἥ τε πευκίνη, καὶ ἡ στροβιλίνη. φαίνεται γὰρ ἐν τούτοις ὁ Διοσκορίδης, ὡς περὶ φαυλοτάτης μὲν φρονῶν τῆς στροβιλίνης, ἀρίστης δὲ τῆς τερμινθίνης. ἐγὼ δὲ τῶν τριῶν ῥητινῶν, τῶνδε στροβιλίνης, ἐλατίνης, τερμινθίνης, πρώτην μὲν εἶπον ἀρίστην τὴν στροβιλίνην εἶναι κατὰ θερμότητα, δευτέραν δὲ τὴν ἐλατίνην, ὑστάτην δὲ τὴν τερμινθίνην.

A ὥσπερ οὖν ὁ λέγων τῶν κατὰ τὴν Ἰταλίαν οἴνων αὐστηρῶν, ἄριστον εἶναι τὸν Ἰταλικὸν οἶνον· ὁ μὲν γὰρ πρὸς μίαν ποιότητα τὴν ἀναφορὰν τοῦ λόγου ποιούμενος, ὁ δὲ ἁπλῶς ὑπὲρ ὅλης ἀποφαινόμενος αὐτῶν τῆς οὐσίας, ἀληθεύει, κατὰ τὸν αὐτὸν τρόπον, καὶ ἐπὶ τῶν ῥητινῶν, ἀρίστην μὲν, ὡς πολυχρηστότατον φάρμακον, εἰκότως ἄν τις εἴποι τὴν τερμινθίνην ὑπάρχειν, οὐ μὴν ἔν γε τῇ θερμότητι πρωτεύειν. ὥσπερ οὖν ἔλεγον, ἔνεστί σοι τῷ κηρῷ μιγνύντι τῶν ῥητινῶν, ἣν ἂν ἐθέλῃς, εἰς σύστασιν ἐγκολλοτέραν ἀνάγειν τὴν ἁπλῆν κηρωτὴν, ἣν δι' ἐλαίου τε καὶ κηροῦ μόνον συντίθεμεν. ἐν τούτῳ δὲ καὶ τῆς πείρας ἐστὶ χρεία, κρινούσης τὸν στοχασμὸν ἡμῶν. B ἔξεστι γάρ σοι τριπλάσιον τοῦ κηροῦ τῇ τερμινθίνῃ μίξαντι, γνῶναι πότερον ἤδη σύστασιν ἐμπλαστρώδη τὸ φάρμακον εἴληφεν, ἢ αὐχμηρότερόν ἐστιν ἔτι, καὶ δεῖται πλείονος ἔτι ῥητίνης, ὥσθ' ὅταν ποτέ σοι τὸν τρόπον τοῦτον πειρωμένῳ φανῇ συμμέτρως ἔχειν, μιγνύναι τηνικαῦτα τῷ γινομένῳ φαρμάκῳ, τὸ δωδέκατον τοῦ εὐφορβίου. ἐὰν δὲ ἀγνοῇς, πότερον ἀκριβῶς ἐστι θερμὸν τὸ εὐφόρβιον, ἢ ἀπολείπεταί κατά τι τοῦ τοιούτου, μετὰ τὴν σκευασίαν, ἐμπλάσας ὀθονίῳ βραχὺ τοῦ κατασκευασθέντος, ἐπίβαλλε κατὰ τῆς ἑαυτοῦ κνήμης, ἢ πήχεως ὥραις τισὶν, εἶτα ἐὰν μέν σοι δόξῃ μετρίως θερμαίνειν, εὐκράτως ἔχειν ὑπόλαβε τὸ σκευασθέν. C εἰ δ' ἤτοι μηδεμίαν αἰσθητὴν ποιοίη θερμασίαν, ἢ πυρωδέστερον εἴη τοῦ προσήκοντος, ἔξεστιν ἤτοι γ' ἐκλῦσαι τὸ φάρμακον, ἢ ἐπιτεῖναι, ἐκλῦσαι μὲν μίξει κηρωτῆς, ἐπιτεῖναι δ' εὐφορβίου προσθέσει. ἐάν γε μὴν λιπαρὰν ἔχῃς πρόπολιν, ἐπιτηδειοτέραν ἴσθι σοι πασῶν τῶν ῥητινῶν ἐσομένην αὐτὴν, ὡς ἂν ἐπισπᾶσθαί τε καὶ τοῦ βάθους ἕλκειν ἔξω πεφυκυῖαν ἀτμώδη τε πάχη πνεύματος, ὑγρότητάς τε περιττάς. αἱ μὲν γὰρ ῥητῖναι μετὰ τοῦ κηροῦ τῆς ἐμπλαστρώδους συστάσεως ἕνεκεν, οὐχ ὡς ὑπὸ τὸν σκοπὸν τῆς θεραπείας πεπτωκυῖαι παραλαμβάνονται. τοῦ σκοποῦ δ' αὐτοῦ τῆς ἰάσεως ἡ πρόπολις ἔχεται. καί ποτε D αὐτῇ μόνῃ προσφάτῳ καθ' ὑγρὸν ἐχρησάμην, ὡς ἔφην, ἐπί τινος γεωργοῦ, σκληρὸν ἔχοντος σῶμα, καὶ θαυμαστὸν ὅπως ὤνητο μόνῃ χρησάμενος ἄχρι τέλους, ὡς μηδενὸς δεηθῆναι φαρμάκου. βαθύτερον ἔχοντος ἑτέρου τὸ νύγμα, βραχύ τι προσέμιξα τῶν τιθυμάλλων τινὸς ὀποῦ. τοῖς μέντοι μαλακοῖς σώμασι σκληρότερον φαίνεται τὸ φάρμακον ἐν τῇ ψαύσει, πλὴν εἰ πάνυ τις αὐτὸ μαλακύνει ἐλαίου μίξει. καὶ μέντοι καὶ τἄλλα φάρμακα πάνθ' ὅσα προσφέρεται τοῖς νευροτρώτοις, ὑγρὰ καὶ μαλακὰ προσήκει εἶναι· τὴν μὲν οὖν μαλακότητα, πᾶν ἔλαιον δύναται παρασχεῖν, τὴν δ' ἰσχὺν τοῦ φαρμάκου φυλάξαι τὸ E παλαιὸν ἔλαιον. ὥσπερ δὲ τὴν πρόπολιν ἐν ἀγρῷ ποτε ἐπέθηκα τῶν τότε παρόντων, ὡς βέλτιον φάρμακον ἐκλεξάμενος, οὕτως καὶ τὴν ζύμην αὖθις ἐφ' ἑτέρου, φαρμάκου μὴ παρόντος, ἐπειδὴ καὶ ταύτην, τὰ ἐκ τοῦ βάθους ἐπιστάμην ἕλκουσάν τε καὶ διαφοροῦσαν. ὅσῳ δ' ἂν ᾖ πλείονος χρόνου ἡ ζύμη, τοσούτῳ βελτίων ἐστίν. οὐ μόνον δὲ τὰ τοιαῦτα κατὰ τὰς ἀγροικίας εὑρίσκεται ῥᾳδίως, ἀλλὰ καὶ θεῖον ἄπυρον, ᾧ ποτε καὶ αὐτῷ ἐχρησάμην μίξας τῷ τετραφαρμάκῳ. ταύτῃ μὲν οὖν, καὶ ἀφρόνιτρον, καὶ Βερενίκιον λίτρον, καὶ ἀφρόλιτρον τὸ μὴ λιθῶδες, ἀλλ' ὄντως ἀφρόλιτρον, ὅπερ ἀφρώδη τὴν σύστασιν ἔχει, μίξας ἐχρησάμην πολλάκις, οὐ μόνον ἐπ' ἀγροικίας ἀπορίᾳ τῶν ἄλλων, F ἀλλὰ καὶ παρόντων τῶν εἰρημένων φαρμάκων, ἕνεκα τοῦ τῇ πείρᾳ βασανίσαι μου τὴν ἐπίνοιαν, καὶ διὰ μόνης τῆς τοιαύτης χρήσεως ὁ τετρωμένος ἐθεραπεύθη, καταντλώμενος δηλονότι τῷ ἐλαίῳ. τοῦτο γὰρ κοινὸν ἐπὶ πάντων ἔστω σοι τῶν ἐνταῦθα λεγομένων φαρμάκων ἁρμόττειν τοῖς νευροτρώτοις.

A Quemadmodum igitur, qui inter Italię vina austera optimum ponit vinum Italicum . alius ad qualitatem vnam sermonem referens, alius absolutè de tota ipsorum substantia pronuncians, verus deprehenditur: Eadem ratione etiam inter resinas optimam, tanquam medicamentū in multiplices vsus accommodatum, meritò terebinthinam affirmaueris, non tamen caliditate primas obtinere. Itaq; vt aiebam, licet tibi quamlibet resinam ceræ miscenti simplex ceratum glutinantius efficere, quod ex oleo, & cera duntaxat componimus. Hîc verò experientiæ quoq; vtilitas est, quæ de coniectura B nostra decernat. Potes enim vbi triplicatam ceram terebinthinæ commiscueris, intelligere, emplastri ne spissitudinem iam medicamentū acceperit; an adhuc siccius sit, ac copiosiorem insuper resinam desideret. Quapropter vbi hunc in modum experienti tibi, mediocriter habere visum fuerit, miscebis tunc medicamento, quod conficis, duodecimā partem euphorbij. At si ignores, an euphorbium exactè sit calidum, an nonnihil à tali discedat, post confectionem linteo paulum illius medicamenti illitum, tuæ ipsius tibiæ, vel cubito horis aliquot imponito; postea si modicè calefacere deprehendis, benè temperatum esse medicamentum arbi- C traberis, quòd si, vel nullum sensilem calorem dat, vel iusto feruentiorem, integrum est, aut medicamentum remittere, aut intendere: remittere quidem mixtura cerati, intendere apposito euphorbio. Atqui si propolim pinguem habeas, eam omnibus resinis aptiorem fore tibi intelligito, vt quę vaporosam spiritus crassitiem, humoresque superfluos elicere, ac ex alto foras ductitare, suapte queat natura. Siquidem resinæ cum cera, emplastri spissitudinis gratia, non tanquam curationis consilio, assumuntur, propolis autem curationis ipsius scopo continetur. Atque hæc aliquando D sola, vt dixi, recenti, quantum ad humiditatem attinet, vsus sum in agricola quodam duro corpore; ac mirum est, quomodo sola adusq; finem adhibita adiuuerit, adeo vt nullius medicamenti præterea venerit necessitas. Alteri qui puncturam profundiorem haberet, tithymalli cuiusdā exiguum quid liquoris admiscui. Mollioribus verò corporibus medicamentum tactu durius apparet, nisi olei mixtura vehementer ipsum mollias. Quin & alia medicamenta omnia, quæ neruorum vulneribus adhibentur, liquida, & mollia esse conuenit. Mollitiem igitur quoduis oleum cōciliare, robur verò E medicamenti vetus oleum tueri potest. Vt autem propolim in agro nonnunquam accōmodaui, tanquam melius medicamentum iis, quæ tum affuerant eligens, ita fermentum rursus in alio admoui, medicamenti inopia, quoniam hoc quoq; in alto fixa extrahere, & discutere sciebam. Quāto autem vetustius fermentum tanto est præstantius. Porrò huiusmodi res non solùm facilè in agris reperiuntur, sed etiam sulphur viuum, quo nonnunquam & ipso sum vsus miscens cū tetrapharmaco. Huic igitur, & spumam nitri, & Berenicium Litrum, & aphrolitrum non lapidosum, sed verè aphrolitrū, quod spumæ consistentiam habet, adiiciens fre- F quenter vsurpaui, non modò in agris aliorum penuria, sed etiam præsentibus enumeratis medicamentis hoc nomine, vt animi sensum experientia explorarem, probaremque. At vulneratus talis rei solo vsu conualuit, fotus videlicet oleo. Hoc enim cōmune tibi esto in omnibus medicamentis, quæ hic dicuntur neruorum vulneribus conducere.

Iam

Iam verò, & quod à medicis vocatur Arsenicum, ab iis autem, qui Atticè omnia volũt proferre, Arrhenicum, adiunxi tetrapharmaco, quod animo conceperam, experientia volens pertentare; rursus quum id non adesset, sandaracham, vti vocant, sicut calcem restinctam, & viuam, lotam & illotam, minus autem viuæ, plus restinctæ, & plus adhuc lotæ adieci. Cæterùm de exacta cuiusque componendæ quantitate paulo post dicemus, vbi hæc simplicia omnia, vsusque ipsorum distinctiones, retulerimus. In hoc enim sermone propter Empiricos, qui ex casu plurima compositorum medicamentorum inuenta esse putant, visum mihi est commemorare, neruorum vulnera curandi rationem à me citra casum repertam, inde, quod sanationis ipsorum scopum, & simplicium medicamentorum facultates cognoscerem. Etenim ex casu vnum aliquod simplex medicamentum inuenitur, rationalis autem methodus plurima simul inuenit, & varias ipsorum compositiones. Quæ igitur ex alto humores educere, digerereque natura possunt, neruorum vulneribus ex vsu sunt. Quandoquidem verò nonnulla caliditatem immoderatam, vel mordacem vehementer acrimoniam, vel acidam qualitatem coniunctas habent, alia ipsis medicamenta admisceri ratio est, quæ prædictos excessus sine virtutis offensa temperare queant. At hoc fieri rectè non potest, nisi cuiusque medicamenti non modò qualitatis genus, sed etiam quantitatem, in eo cognoscas. Quædam namque, vt ostendimus in commentario de Simplicibus medicamentis, in primo calefacientium ordine collocantur, à temperatis paululum abscedentia; alia in secundo, magis inde declinantia; alia tertio, nonnulla quarto, quæ vrere iam queant. Igitur pro vehementiæ virtutis cuiusque medicamenti proportione, miscendorum facultas inuenitur, modò simplicium omnium temperamenta intelligas. Empiricorum hæresis sola genere consimilia propter vniuscuiusque medicamenti naturæ ignorantiam miscet; & qui hanc nouerunt, sola eadem miscent, quia excessus quantitatem certo non cognoscunt. Quod itaque ipse primum præparaui medicamentum, ex multis eiusdem generis compositum est, quoniam nondum cuiusque virtutis quantitatem exactè pernoscebam. Inieci etenim nonnihil arsenici, sulfuris, misyos, calcis lotæ, & illotæ, & pompholygis, similiter spodij, item squamæ æris, chalcitidis vstæ lotæ, & illotæ, ad hæc non vstæ. Hæc igitur priùs in aceto quàm acerrimo diebus multis, Sole æstiuo, læuia reddidi. Quæ superfundi his debebant, cera erat necessario, & mellis nonnihil priùs expurgati, resinæ propemodum omnes, propolis, pix, & ladanum, liquida cyprinum, susinum, opobalsamum, amaracinum, gleucinum, cedrinum, & oleum ricininum, & vetustum; ex singulis autem liquoribus, quos non multo ante recensui, paulum aliquid. Postremò aliàs aliud auferens experientiæ gratia, nihilo simpliciora singula, quibus in hunc diem vtor, inferiora esse animaduerti; ipsorum autem symmetriæ mox ponentur. Itaque ex aceto, & liquoribus talia confeci, ceræ, resinarum, propoleos, & picis nonnihil adiungens, pari modo ex columbarum stercore, & herbis tenuium partium. Minùs ergo molesta sunt liquida medicamenta,

A καὶ τὸ καλούμενον δὲ ὑπὸ μὲν τῶν ἰατρῶν ἀρσενικόν, ὑπὸ δὲ τῶν Ἀττικίζειν τὰ πάντα βουλομένων ἀῤῥενικόν, ἔμιξα τῷ τετραφαρμάκῳ δυνάμει, πειραθῆναί μου τῆς ἐπινοίας βουλόμενος. αὖθις δὲ μὴ παρόντος τούτου, τὴν ὀνομαζομένην σανδαράχην, ὥσπερ γε καὶ τὴν τίτανον ἐσβεσμένην τε καὶ ἄσβεστον, ἄπλυτόν τε καὶ πεπλυμένην, ὀλίγον μὲν ἐμβαλὼν τῆς ἀσβέστου, τὸ πλέον δὲ τῆς ἐσβεσμένης, καὶ πλέον ἔτι τῆς πεπλυμένης. εἰρήσεται δὲ ὀλίγον ὕστερον ὑπὲρ τῆς καθ' ἑκάστην σύνθεσιν ἀκριβοῦς ποσότητος, ἐὰν πρότερον ἐπέλθω ταῦθ' ἁπλᾶ πάντα, καὶ τοὺς διορισμοὺς τῆς χρήσεως αὐτῶν. ἐν γὰρ τούτῳ τῷ λόγῳ, διὰ τοὺς ἐμ-B πειρικούς, ἐκ περιπτώσεως τὰ πλεῖστα τῶν συνθέτων φαρμάκων ἡγουμένους εὑρῆσθαι, τὴν τῶν νευροτρώτων ἀγωγὴν, ἔδοξέ μοι διελθεῖν, εὑρημένην ὑπ' ἐμοῦ χωρὶς περιπτώσεως, ἐκ τοῦ τόν τε σκοπὸν τῆς θεραπείας αὐτῶν γνῶναι, καὶ τῶν ἁπλῶν φαρμάκων ἐπίστασθαι τὰς δυνάμεις. ἐκ μὲν γὰρ περιπτώσεως, ἕν τι τῶν ἁπλῶν εὑρίσκεται φαρμάκων, ἡ λογικὴ δὲ μέθοδος ἀθρόα τε, καὶ πολλὰ τῶν ἁπλῶν εὑρίσκει, καὶ συνθέσεις παμπόλλας ἐπ' αὐτοῖς. ὅσα γοῦν ἐκ βάθους ἕλκειν ἔξω πέφυκε, καὶ διαφορεῖν τὰς ὑγρότητας, ἐπιτήδεια τοῖς νευροτρώτοις ἐστίν. ἐπεὶ δὲ ἔνια τούτων ἐζευγμένας ἔχει θερμότητας ἀμετροτέρας, ἢ δακνώδεις ἰσχυρῶς C δριμύτητας, ἢ ὀξύτητας, εὔλογόν ἐστι μιγνύειν αὐτοῖς ἕτερα φάρμακα, δυνάμενα τὰς εἰρημένας ὑπεροχὰς μετριωτέρας ἐργάζεσθαι, χωρὶς τοῦ μὴ βλάπτειν τὴν δύναμιν. οὐκ ἐνδέχεται δὲ τοῦτο πράττειν ὀρθῶς, ἄνευ τοῦ γινώσκειν ἑκάστου τῶν φαρμάκων, οὐ μόνον τὸ γένος τῆς ποιότητος, ἀλλὰ καὶ τὸ ποσὸν ἐν αὐτῇ. ἔνια μὲν γὰρ, ὡς ἐδείκνυμεν ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, τῆς πρώτης τάξεώς ἐστι τῶν θερμαινόντων, ἀποκεχωρηκότα βραχύ τι τῶν εὐκράτων, ἕτερα δὲ ἐπ' αὐτῆς τῆς δευτέρας ἐπὶ πλέον ἀφεστηκότα. καί τινα τῆς τρίτης, καὶ τετάρτης, ἀλλ' ἄττα καίειν ἤδη δυνάμενα. κατὰ τὴν ἀναλογίαν οὖν τῆς D κατὰ τὴν δύναμιν ἑκάστου φαρμάκου σφοδρότητος, ἡ τῶν μιγνυμένων εὑρίσκεται δύναμις, ἐάν τις ἐπίστηται τῶν ἁπλῶν φαρμάκων ἁπάντων τὰς κράσεις. ἡ δὲ τῶν ἐμπειρικῶν, μόνα μιγνῦσα τὰ ὁμογενῆ, διά τε τὴν ἄγνοιαν ἑκάστου τῆς φύσεως φαρμάκου γίγνεται, καὶ τοῖς ταύτην ἐπισταμένοις, διὰ τὸ μὴ γινώσκεσθαι βεβαίως τὸ ποσὸν τῆς ὑπεροχῆς. ἐγὼ γ' οὖν αὐτός, ὃ πρῶτον ἐσκεύασα φάρμακον, ἐκ πολλῶν ὁμογενῶν συνέθηκα, διὰ τὸ μηδέπω γινώσκειν ἑκάστου τὸ ποσὸν τῆς δυνάμεως ἀκριβῶς. ἐνέβαλον μὲν γάρ τι καὶ ἀρσενικοῦ, καὶ θείου, καὶ μίσυος, καὶ τιτάνου, τῆς ἀπλύτου τε καὶ πεπλυμένης, καὶ πομφόλυγος, ὡσαύ-E τως καὶ σποδίου. πρὸς τούτοις δὲ καὶ λεπίδος χαλκοῦ, καὶ χαλκίτεως κεκαυμένης, ἀπλύτου τε καὶ πεπλυμένης, καὶ προσέτι τῆς ἀκαύστου. ταῦτα μὲν οὖν ἐν ὄξει δριμυτάτῳ πολλαῖς ἡμέραις ἐν ἡλίῳ θερινῷ παρελείωσα. τὰ δὲ μέλλοντα καταχεῖσθαι τούτων, ὅ, τε κηρὸς ἦν ἐξ ἀνάγκης, καὶ μέλιτός τι βραχὺ προαπηφρισμένου, καὶ αἱ ῥητῖναι σχεδὸν ἅπασαι, καὶ πρόπολις, καὶ πίττα, καὶ λάδανον. ὑγρὰ δὲ κύπρινόν τε καὶ σούσινον, ὀποβάλσαμόν τε καὶ ἀμαράκινον, καὶ γλεύκινον, καὶ κέδρινον, ἔλαιόν τε κίκινον, καὶ παλαιόν. ἐξ ἑκάστου δέ τι σμικρὸν ὧν ὀλίγον ἔμπροσθεν εἶπον ὀπῶν. ὕστερον δὲ ἀφαιρῶν ἄλλοτε ἄλλο πείρας ἕνεκεν, οὐδὲν ἀπολειπόμενον εὕρι-F σκον ἕκαστον τῶν ἁπλουστέρων, οἷς ἄχρι τοῦ δεῦρο χρῶμαι. λεχθήσονται δὲ αὐτῶν ὀλίγον ὕστερον αἱ συμμετρίαι. δι' ὄξους μὲν οὖν ἐσκεύαζον τὰ τοιαῦτα, διά τε τῶν ὀπῶν, μιγνὺς αὐτοῖς τι κηροῦ, καὶ τῶν εἰρημένων ῥητινῶν, καὶ προπόλεως, καὶ πίττης, ὡσαύτως δὲ καὶ διὰ κόπρου περιστερῶν, καὶ τῶν λεπτομερῶν βοτανῶν. ἀλυπότερα μὲν οὖν ἐστι τὰ ὑγρὰ φάρμακα,

καὶ τοῖς ἄλλοις μὲν ἕλκεσιν, ἐξαιρέτως δὲ τοῖς κατὰ τὰ νεῦρα. χρώμεθα δὲ καὶ τοῖς ἐμπλαστρώδεσι, διὰ τοὺς λούεσθαι βουλομένους. ἀφαιρεθέντων γὰρ τῶν ἐρίων, αὐτὸ μόνον ἐπικείμενον ἔχοντες τὸ τοιοῦτον φάρμακον ἀοχλητότερον λούονται. προείρηται γὰρ, ὅτι μηδὲ τότε προσήκει βρέχειν ὕδασι τὸ τετρωμένον, ἐάν γε ἐν χειρὶ ᾖ. κατὰ μέντοι τὸν πόδα τῆς τρώσεως ἐπιγινομένης, ἀδύνατον μὲν ἐστὶ μὴ βρέχειν τὸ μόριον, ἀπέχεσθαι δὲ χρὴ τηνικαῦτα βαλανείου τὰς πρώτας τέτταρας ἡμέρας. ἐπεὶ δὲ ἀπόλωλεν ἐν τῷ νῦν βίῳ ἡ καρτερία πάντων ἀνθρώπων, ἤδη μέχρι καὶ τῶν ἐν τοῖς ἀγροῖς, καθ' ἡμέραν εἰωθότων λούεσθαι, τοὺς μὲν μὴ πάνυ τρυφῶντας, εἶεν δ' ἂν οἱ πένητες οὗτοι, πειθομένους ἔχομεν, ὡς τὸ πολὺ, τοὺς πλουσίους δὲ καὶ μάλιστα αὐτῶν ὅσοι πολὺ δύνανται, ἢ δυσπειθοῦντας, ἢ τελείως ἀπειθοῦντας. ἄριστον μὲν οὖν ἦν, μηδὲ θεραπεύειν αὐτούς. ἐπεὶ δ' οὐκ οἶδ' ὅπως κατ' ἄλλην ἄλλος αἰτίαν, οἱ μὲν ἄκοντες ἡμῶν, οἱ δὲ ἑκόντες ἀναγκάζονται τῆς μαλακίας αὐτῶν ἀνέχεσθαι, τοιοῦτόν τι ποιεῖν εἴωθα. κατὰ τοῦ τετρωμένου μέρους ἐπιτιθεὶς τῶν ἐμπλαστρωδῶν τι φαρμάκων, ἔξωθεν αὐτοῦ πάλιν ἐπιβάλλω πολυπτύχους ὀθόνας πλείονας, ἐλαίῳ διαβρέχων, αἷς αὖθις ἔξωθεν ἐπίδεσμον ἐξ ὀθόνης ἐπιβάλλω, καὶ μετὰ ταῦτα πάλιν ἐν αὐτῷ τῷ βαλανείῳ περικαταχέω τὸ ἔλαιον τοῦ ἐπιδέσμου, μέλλοντος εἰς τὴν πύελον ἐμβαίνειν τοῦ νευροτρώτου, καὶ δηλονότι λουσαμένου, τὰ μὲν ἐπικείμενα πάντα ἀποβάλλω, χρῶμαι δὲ τῇ προειρημένῃ τῆς ὅλης θεραπείας ἀγωγῇ. εὔδηλον δ' ὅτι καὶ τῆς τῶν μορίων φύσεως ἔμπειρον εἶναι χρὴ τὸν μέλλοντα καλῶς προνοήσασθαι τῶν νευροτρώτων. εἴρηται γὰρ ἔμπροσθεν, ὅτι καὶ οἱ τένοντες εἰς οὓς οἱ πλεῖστοι τῶν μυῶν τελευτῶσι, συμπαθείας οὐ μικρὰς ἐπιφέρουσι, πρῶτον μὲν τοὺς σπασμοὺς γεννῶντες, ὕστερον δὲ σηπόμενοί τε αὐτοὶ καὶ τὰ πλησιάζοντα πάντα συνδιαφθείροντες. ἔνιοι δ' αὐτῶν, ὡς ὑμένες εἰσὶ λεπτοὶ καὶ πλατεῖς, ὁποῖοι κατά τε τὰ πρὸς τοῖς γόνασι τέλη τῶν μηρῶν, ἔνδον τε τῶν χειρῶν, καὶ κάτω τῶν ποδῶν ὑποτέτανται. πάντες γὰρ οὗτοι τοῦ δέρματος ψαύουσι, συμφυεῖς μὲν ἱκανῶς, οἱ κατὰ τὰς χεῖρας καὶ τοὺς πόδας ὄντες αὐτῶν, κατὰ δάρσιν δὲ ἀπολυόμενοι τοῦ περικειμένου δέρματος, οἱ καθήκοντες εἰς τὴν μύλην. ἐμοὶ δὲ καὶ τοῦτο συνέβη κατὰ τύχην, ἐπενόησα μὲν γὰρ τὴν ἀγωγὴν τῶν νευροτρώτων ἔτι νέος ὢν, ἡνίκα πρῶτον ἐκ τῆς Ἀλεξανδρείας ἐπανῆλθον εἰς τὴν πατρίδα, γεγονὼς ἔτος ὄγδοον ἐπὶ τοῖς εἴκοσι. ἐπεὶ δ' ἕκαστον ὧν ἐπενόησα φαρμάκων ἔδωκα τοῖς φίλοις ἰατροῖς, οὐ μόνον τοῖς πολίταις, ἀλλὰ καὶ τοῖς ἀστυγείτοσιν, ἕνεκεν τοῦ βεβαιωθῆναι πάντα τῇ πείρᾳ· δόξαι δ' οὐκ οἶδ' ὅπως τῷ κατὰ τὴν πόλιν ἡμῶν ἀρχιερεῖ, τὴν θεραπείαν ἐγχειρῆσαί μοι μόνῳ τῶν μονομάχων, καίτοι νέῳ τὴν ἡλικίαν ὄντι. τοῦ γὰρ ἐνάτου καὶ εἰκοστοῦ ἔτους ἠρχόμην, τηνικαῦτα τοὺς τρωθέντας κατὰ τὸ πρόσω τε καὶ κάτω μέρος τοῦ μηροῦ, διὰ τῆς ἐπινενοημένης ἀγωγῆς ἐθεράπευσα, τῶν μὲν ἐγκαρσίαν ἐχόντων τὴν πληγὴν, τὸ τοῦ τένοντος ὑπόλοιπον ἐκτέμνων αὐτὸς, ὡς ἀκίνδυνον εἶναί μοι τὴν θεραπείαν. τῶν δὲ τὸ μικρὸν, ἢ ὄρθιον ἐχόντων τὸ τραῦμα, σὺν ἀσφαλείᾳ τε ἅμα καὶ δέει, τὴν ὅλην ἀγωγὴν ποιούμενος. τῶν γὰρ πρὸ ἐμοῦ πάντων ἰατρῶν, ἐπὶ πλεῖστόν τε καταντλούντων αὐτοὺς ὕδατι θερμῷ, καὶ καταπλαττόντων ἀλεύρῳ πυρίνῳ, δι' ὑδρελαίου συμμέτρως ἑψημένῳ, τὸ μὲν ὕδωρ, οὐδ' ὅλως προσήνεγκα, τῷ δὲ ἐλαίῳ πολλάκις καταιονῶν, ἅμα τοῖς εἰρημένοις φαρμάκοις, ὑγιεῖς πάντας ἐν τάχει εἰργασάμην. κατὰ τύχην δὲ πολλῶν τεθνεώτων ἐν τοῖς ἔμπροσθεν ἔτεσιν, ἐμοῦ δὲ, οὔτε τῶν ὡς εἴρηται τετρωμένων ἀποθανόντος τινός,

A cùm aliis, tum neruorum maximè vulneribus. Vtimur etiam emplastri modo cōpositis propter eos, qui se lauare volunt; lanis enim ablatis, ac tali medicamento solo adhærente, minore cum molestia lauant. Prædictum enim est, neque tunc vulnere affectam partem aquis respergendā, si in manu id contigerit; pes verò si is læsus sit, vt non madefiat fieri non potest, sed tunc à balneo primis quatuor diebus abstinendum est. Quoniam verò omnium huius tempestatis hominum, & eorum iam etiam, qui ruri degunt, fortitudo periit, qui lauare se quotidie consueuerunt, equidem qui non adeò deliciis affluunt (sunt hi maximè pauperes) vt plurimùm obtemperantes nobis habemus; diuites verò, & præsertim potentes admodum, illos vel ægrè obtemperantes, vel prorsus haud morigeros experimur. Optimum igitur fuerit, nec ipsis mederi; verùm quum, nescio quo modo, alius ob aliam causam, quidam nostrum inuiti, quidam vltrò, ipsorum mollitiem tolerare coguntur, tale quippiam factitare consueui; vulneratæ parti medicamentum aliquod in emplastri modum imponens, extrinsecus iterum multiplices pannos oleo tinctos plures superiniicio; quibus rursum extrinsecus fasciam ex linteis accommodo; quam deinde in ipso rursus balneo, quum æger in solium est ingressurus, oleo priùs perfundo, & loto videlicet iam omnia imposita aufero, vtorque prædicto totius curationis genere. At verò patet omnibus eum, qui pulchrè neruorum vulneribus prospecturus est, etiam partium naturæ peritum esse oportere. Nam antea comprehensum est, tendines pariter, in quos musculi plurimi desinunt, non mediocriter condolescere, primùm quidem conuulsionem generantes, dein putrescentes, & ipsos vicinas simul partes vniuersas inficere. Nonnulli autem eorum, ceu membranæ, tenues latique sunt, quales in femorum terminis ad genua spectantibus, tum intra manus, infraque pedes subtensi sunt. Omnes enim, qui in manibus, pedibusque sunt, satis quidem coëuntes cutem contingunt; qui verò in patellam perueniunt, à circumposita cute, per excoriationem abscedunt. Mihi etiam hoc fortè fortuna contigit; etenim neruorum vulnerum curationem iuuenis adhuc, quum primum ex Alexandria in patriam reuerterer, annos vigintiocto natus, excogitaui. Quia verò singula medicamenta, quæ adinueneram, medicis amicis non solùm ciuibus, sed etiam vicinis exhibueram, vt omnia vsu, ac experimentis firmarentur; visumque erat, haud noui quomodo, ciuitatis nostræ pontifici, gladiatorum curationem mihi soli tradere, quanuis iuueni adhuc, vigesimum nonum enim tum primum attingebam, tunc vulneratos in priore, infernaque femoris parte inuento præsidio curaui; in iis sanè qui per transuersum percussi erant, reliquum tendinis ipse amputans, vt tuta esset mihi curatio; qui verò paruum, vel per directum, vulnus acceperant, cum securitate simul, & metu totam sanandi deductionem exercens. Nam quum omnes ante nos medici plurimum aqua calente ipsos fouerent, & triticea farina ex hydrelæo modicè decocta illinirent, ego sanè aquam omnino non obtuli; oleo autem frequenter respergens simul cum prædictis medicamentis, statim omnes sanitati restitui. Quandoquidem verò multi superioribus annis fortuitò perierunt, mihi tamen ne quidem vnus, vel ex neruorum vulnere, vel

vel alio, mortuus est, alter pontifex succedens illi, qui mihi, tum medendi officium cõmiserat, similiter & ipse à septẽ mẽsium interuallo gladiatorum curationẽ fidei meæ concredidit; siquidẽ primus autũnali solstitio, secũdus vigẽte vere, pontificatũ gessit. Rursus post hũc, omnibus à me seruatis, tertius, quartus, & quintus, pari modo gladiatores mihi curandos tradiderunt, vt iam permultum illam medendi curationem exploratam habeam. Quin etiam hoc tempore tale quid industria inuenimus, cui animum aduertere maximè illos medicos conuenit, qui vulnerum curationem rectè administrare cupiunt. Contẽplatus enim gladiatorem quendam ex iis, quos equites nominant, transuersam diuisionem in priore, ac inferiore femoris parte habentem, camque satis altam; ac vulneris labrum intuitus, sursum alterum reuulsum, infra alterum quasi ad patellam detractum; non dubitaui distantes inuicem musculorum partes suturis contrahere, curatione illa, quæ per latitudinem dicitur, neglecta. Itaque veritus tendines ipsis consuere, denudatis priùs illis, sic altioribus suturis vsus sum, haud ignarus carnosam ipsam musculorum partem periculo vacare, tendines verò non item; quanuis hoc nullum ex præceptoribus facientem viderim. Quidam siquidem ipsorum in huiusmodi vulneribus solas cutis oras consuebant; nonnulli in carnosis partibus musculos ipsos suere ausi, id in superficie ipsorum facere solebant; proinde siquando vulnus insigniter altum, non secundum membri longitudinem, contigerit, summam quidem musculi partem glutinabant, reliquam verò totam inglutinatam relinquebant. Etenim in vulneribus iuxta membri lõgitudinem factis, deligatura vulnerati musculi partibus inuicem contrahendis sufficit: per transuersum vulneri accepto, cùm deligatura nihil prodesse possit, ex sola sutura totum absoluitur; has igitur nisi quis altas faciat, musculi in profundo partes inglutinatæ permanent. Cæterùm nonnulli opus à me confectum imitantes, anatomes imperiti, ab omnibus musculis subiectas membranas auellunt nescientes has simul cum musculis tutò consui, tendines autem similiter ipsis dilatatos non mediocri cum periculo. Verùm quomodocunque illi dilatati fuerint, tamen crassiores adhuc, durioresque membranis sunt, tenues abundè illos videbis, & in omnibus iuxta abdomen musculis, præter quàm duobus rectis, quibus obliquorum membranosæ aponeuroses (ij sunt neruosi ex musculis exortus) incumbunt. Alius tendo nullus præter enumeratos membranæ modo dilatatur; quippe seruant omnes, qui dilatantur, crassitudinem magnam satis, vt neminem latere queant. Atqui consensus superpositarum partium vsque ad ipsum neruorum principium, non minus quàm iis, qui iuxta femoris articulum, musculis, tum in cubiti gibberum, tum in calcaneum insertis, accidit. Dilatantur itaque vtriusque tendines, sed ita, vt crassitudinem notandam retineant; calcis tendo ex sura descendens magis adhuc robustus crassusque, ceu ex tribus neruosis exporrectionibus compositus, apparet. Latuit autem hoc ætate nobis maiores anatomicos, sicut & pleraque alia in totis musculis, ac multo etiam magis in venis, arteriis, & neruis. Multi verò iam ex meis sodalibus etiamnum hęc omnia nouerunt, & discipulis ostendunt, libris meis anatomicis perlectis. Memini sanè ex anatome, euidentium nihil, vt quis putauerit,

A οὔτ᾽ ἐξ ἄλλου τραύματος, ὁ μετὰ τὸν ἐγχειρίσαντά μοι τότε τὴν θεραπείαν, δεύτερος ἀρχιερεὺς, ὁμοίως καὶ αὐτὸς ἐπίστευσε τὴν ἐπιμέλειαν τῶν μονομάχων, μετὰ μῆνας ἑπτὰ μέσους. ὁ μὲν γὰρ πρότερος περὶ τὴν φθινοπωρινὴν ἰσημερίαν, ὁ δὲ δεύτερος ἀκμάζοντος τοῦ ἦρος ἠρχιερεύσατο. πάλιν δ᾽ ἐπὶ τούτῳ σωθέντων ἁπάντων, ὁ τρίτος, καὶ ὁ τέταρτος, καὶ πέμπτος ὡσαύτως ἐνεχείρισάν μοι τὴν θεραπείαν τῶν μονομάχων, ὥστε πολλὴν βάσανον ἔχειν τῆς ἀγωγῆς. ἐν δὲ δὴ χρόνῳ τούτῳ, καὶ τοιοῦτον ἐπενοήθη μοί τι, καὶ μάλιστα αὐτῷ προσέχειν χρὴ τὸν νοῦν ἐκείνους τῶν ἰατρῶν, ὅσοι τραυμάτων θεραπείαν ὀρθῶς βούλονται μεταχειρίζεσθαι. B θεασάμενος γάρ τινα μονομάχον τῶν καλουμένων ἱππέων ἐγκαρσίαν ἔχοντα διαίρεσιν, ἄχρι βάθους πολλοῦ, κατὰ τὰ πρόσω τε καὶ κάτω τοῦ μηροῦ, καὶ τὸ χεῖλος ἰδὼν τοῦ τραύματος, ἄνωθεν μὲν τὸ ἕτερον ἀνεσπασμένον, κάτω δὲ θάτερον, ὡς ἐπὶ τὴν μύλην κατεσπασμένον, ἐτόλμησα τῆς κατὰ πλάτος ὀνομαζομένης ἀγωγῆς ἀποστὰς, συναγαγεῖν ῥαφαῖς πρὸς ἄλληλα τὰ διεστῶτα μέρη τῶν μυῶν. εὐλαβηθεὶς οὖν συνδιαρράπτειν αὐτοῖς τοὺς τένοντας, ἀποδείρας πρότερον ἐκείνους, οὕτως ἐχρησάμην διὰ πολλοῦ βάθους ταῖς ῥαφαῖς, εἰδὼς ἀκίνδυνον μὲν εἰς αὐτὸ τὸ σαρκῶδες μυῶν, τὸ κίνδυνον δὲ ἐκ τῶν τενόντων γινόμενον, οὐδὲ τοῦτό τινα τῶν διδασκάλων ἑωρακὼς C ποιοῦντα. τινὲς μὲν γὰρ αὐτῶν ἐν ταῖς τοιαύταις τρώσεσι τὰ τοῦ δέρματος χείλη μόνα συνέρραπτον, ἔνιοι δὲ κατὰ τὰ σαρκώδη τοὺς μῦς αὐτοὺς τολμῶντες ῥάπτειν, ἐπιπολῆς αὐτῶν ἐποιοῦντο τὴν συναγωγὴν, ὥστε εἴποτε μέχρι βάθους συχνοῦ τὸ τραῦμα διῆκον, ἐγεγόνει μὴ κατὰ τὸ μῆκος τοῦ κώλου, τὸ μὲν ἐπιπολῆς τοῦ μυὸς, κολλᾶσθαι, τὸ δ᾽ ἄλλο πᾶν ἀκόλλητον μένειν. ἐπὶ μὲν γὰρ τῶν κατὰ τὸ μῆκος τοῦ κώλου τραυμάτων, ἡ ἐπίδεσις ἱκανὴ συναγαγεῖν ἀλλήλοις τὰ μέρη τοῦ τετρωμένου μυός. ἐφ᾽ ὧν δὲ ἐγκάρσιον γίγνεται τὸ τραῦμα, τῆς ἐπιδέσεως οὐδὲν ὠφελῆσαι D δυναμένης, ἐκ μόνης τῆς ῥαφῆς τὸ σύμπαν περαίνεται. ταῦτ᾽ οὖν ἐὰν μὴ διὰ βάθους ποιῆταί τις, ἀκόλλητα διαμένει τὰ κατὰ τὸ δὲ μέρη τοῦ μυός. ἐπιτευχθέντος δέ μοι τοῦ ἔργου, μιμούμενοί τινες ταὐτὸ τῶν ἀπείρων ἀνατομῆς, ἁπάντων μυῶν ὑποδέρουσι τοὺς ὑποκειμένους ὑμένας, οὐκ εἰδότες ἀκινδύνως μὲν τούτους ἅμα τοῖς μυσὶ συρράπτεσθαι, κινδυνωδέστατα δὲ τοὺς ὁμοίως αὐτοῖς πεπλατυσμένους τένοντας. ἀλλ᾽ ὅπως ἂν αὐτοὶ πλατυνθῶσιν, ὅμως ἔτι παχύτεροί τε τῶν ὑμένων εἰσὶ καὶ σκληρότεροι. λεπτοὺς δ᾽ ἱκανῶς τένοντας ὄψει κἂν τοῖς κατ᾽ ἐπιγάστριον μυσὶν ἅπασι, πλὴν δυοῖν τῶν ὀρθίων, οἷς αἱ τῶν λοξῶν ὑμενώδεις E ἀπονευρώσεις ἐπιβέβληνται. ἄλλος δὲ τένων οὐδεὶς παρὰ τοὺς εἰρημένους, ὑμενωδῶς πλατύνεται. διασώζουσι γὰρ ἅπαντες οἱ πλατυνόμενοι πάχος ἱκανὸν, ὡς μηδένα λαθεῖν. ἥ γε μὴν συμπάθεια τῶν ὑπερκειμένων μερῶν, ἄχρι τῆς ἀρχῆς τῶν νεύρων αὐτῆς, οὐδὲν ἧττον τοῖς κατὰ τὸ πέρας τοῦ μηροῦ, τοῖς τε εἰς τὸν ἀγκῶνα τοῦ πήχεως ἐνδυομένοις μυσὶ, καὶ τοῖς εἰς τὴν πτέρναν γίγνεται. πλατύνονται μὲν οὖν ἑκάτεροι οἱ τένοντες, ἀλλὰ μετὰ τοῦ φυλάττειν πάχος ἀξιόλογον, ἐπὶ δὲ τῆς πτέρνης ἔτι μᾶλλον, ὁ καθήκων ἐκ τῆς γαστροκνημίας τένων, εὔρωστός τε φαίνεται καὶ παχὺς, ὡς ἂν ἐκ τριῶν ἀπονευρώσεων συγκείμενος. ἐλελήθει F δὲ καὶ τοῦτο τοὺς ἐμοῦ πρεσβυτέρους ἀνατομικοὺς, ὥσπερ καὶ ἄλλα πολλὰ, κατά τε τοὺς μῦς ὅλους, καὶ πολὺ μᾶλλον ἔτι, κατὰ φλέβας τε, καὶ ἀρτηρίας, καὶ νεῦρα. πολλοὶ δὲ καὶ ἤδη τῶν ἐμῶν ἑταίρων ἴσασιν ἅπαντα ταῦτα, καὶ δεικνύουσι τοῖς μαθηταῖς, ἀναγινωσκομένων τῶν ἐμῶν ἀνατομικῶν βιβλίων. ἐμνημόνευσα δὲ τῶν ἐξ ἀνατομῆς φαινομένων, οὐδὲν, ὡς ἄν τις ὑπολάβοι,

A κοινὸν ἐχόντων τῇ περὶ συνθέσεως φαρμάκων πραγματείᾳ, δεδιὼς δ᾽ ἐκ τῆς τοιαύτης ἀγνοίας ἁμαρτάνοντας, ἤτοι γε ὑποπτεῦσαι τὴν ἀγωγὴν ὅλην, ἢ μάτην ἀποδέρειν τοὺς ὑμένας, εὐλαβουμένους τὴν ἐξ αὐτῶν, ὡς ὑπονοοῦσι ψευδῶς, ἐσομένην βλάβην. ὥσπερ ἕτεροί τινες, οὐκ εἰδότες γνωρίζειν τοὺς συνδέσμους, ὁμοίως ὑποπτεύουσι τοῖς νεύροις τε καὶ τένουσι τιτρωσκομένοις, ἀκινδύνους ὄντας αὐτοὺς, ὅτι ἂν πάσχωσιν, ὡς ἀναισθήτους τε ὄντας, ἐξ ὀστῶν τε τὴν φύσιν ἔχοντας, οὐκ ἐκ μυῶν, ὥσπερ οἱ τένοντες, ἢ ἐξ ἐγκεφάλου καὶ νωτιαίου, καθάπερ τὰ νεῦρα. κάλλιστα τοίνυν, ὥσπερ ἄλλα πολλὰ, καὶ ἐπὶ τούτων εἰρήκασιν ἰατροὶ πολλοὶ τῶν δοκιμωτάτων, ὡς ἀλλήλων δεῖται τὰ μέρη τῆς ἰατρι- B κῆς, τό τε χειρουργικὸν λέγω καὶ φαρμακευτικὸν, καὶ διαιτητικὸν, καὶ μάλιστά γε τὸ κατὰ χειρουργίαν, ἀμφοτέρων τῶν ἄλλων. ἐὰν οὖν ἐπὶ τῶν πιθήκων ἴδῃς πολλάκις, ἑκάστου τένοντός τε καὶ νεύρου θέσιν τε καὶ μέγεθος, ἀκριβῶς μνήσῃ, κἂν ἀνθρώπου ποτὲ σώματος ἀνατομῆς εὐπορήσῃς, ἕκαστον, ὡς ἐτεθέασο ταχέως εὑρεῖν. ἀγύμναστος δὲ παντάπασιν ὢν, οὐδὲν ἂν ἐκ τῆς τοιαύτης εὐπορίας ὠφεληθείης, ὥσπερ οὐδ᾽ οἱ κατὰ τὸν Γερμανικὸν πόλεμον ἰατροὶ, ἔχοντες ἐξουσίαν ἀνατομῆς σωμάτων βαρβαρικῶν, ἔμαθόν τι πλέον, ὧν οἱ μάγειροι γινώσκουσιν. ἡ μὲν γὰρ τῶν ἐμπειρικῶν κατὰ περίπτωσιν ἀνατομὴ, λῆρός ἐστι μακρὸς, ὅμοιος ταῖς παρακεν- C τουμέναις αἰξὶν ὁλοσχοίνοις ὀξείαις. ἔτι δὲ ληρωδεστέρα ταύτης, ἡ διὰ τῶν ἀνατομικῶν συγγραμμάτων μάθησις, ἐοικυῖα τοῖς κατὰ τὴν παροιμίαν λεγομένοις ἐκ βιβλίου κυβερνήταις. ὅπου γὰρ, οἱ θεασάμενοι σαφῶς ὑπὸ διδασκάλου δεικνύμενα τὰ κατὰ τὸ σῶμα νεῦρα, καὶ τοὺς τένοντας αὐτῶν, εἰ μὴ καὶ δεύτερον ἴδοιεν αὐτὰ, καὶ τρίτον, καὶ πολλάκις ἐφεξῆς, οὐ μνημονεύουσιν ἀκριβῶς τὸν τόπον ἐν ᾧ κεῖνται, σχολῇ δ᾽ ἄν τις ἀναγνοὺς, δυνηθείη μαθεῖν. ὁ γοῦν τῶν καθ᾽ ἡμᾶς ἐμπειρικῶν ἄριστος, ἀνεγνωκὼς τὰ πάντα τῶν ἀνατομικῶν βιβλία, νυχθέντος ποτε γραφείῳ παιδίου ἐν διδασκαλείῳ κατὰ τὴν ἐντὸς τοῦ βραχίονος χώραν, ὑπεράνω τῶν D μέσων αὐτοῦ μερῶν, ἐπιθεὶς τῶν ἐμπλάστρων φαρμάκων, οὗ πεῖραν ἔναγχος εἰλήχει τεθεραπευκότος νευρότρωτον, ἀφλέγμαντόν τε καὶ ἀνώδυνον ὁρῶν ἐπ᾽ αὐτῷ τὸ παιδίον, ᾤετο τεθεραπεῦσθαι τελέως, ἀλλ᾽ ἐξαίφνης γε κατὰ τὴν ἑβδόμην ἡμέραν ἀπέθανε σπασθέν. ὡς οὖν, ὡς δυσαιτιολόγητόν τε καὶ ἄπορον διηγεῖτό μοι τὸ γεγονὸς, ἀξιώσαντός μου τὴν γραφὴν ἀναγνῶναι τῆς τοῦ φαρμάκου συνθέσεως, ὁ μὲν ἑτοίμως τοῦτ᾽ ἔπραξεν, ἐγὼ δ᾽ εὐθέως ἔφην αὐτῷ ταῦτα. μή τι μοι διηγούμενος ἄρτι τὰ συμβάντα τῷ νεοτρώτῳ παιδίῳ, πλέον ἄλλο τι τῇ διηγήσει προσέθηκας, ἢ ὅτι πεῖραν εἰλήχεις ἔναγχος τοῦ φαρμάκου θαυμαστῶς E ἐκθεραπεύσαντος παῖδα νεότρωτον; ὡς δ᾽ ὡμολόγει μηδὲν ἄλλο προστεθεικέναι τῷ λόγῳ, πάλιν οὖν ἔφην, ἄκουσον παρ᾽ ἐμοῦ λέγοντός σοι τὸ γεγενημένον. ἀξιόλογον ἦν τὸ τραῦμα τοῦ τὸ νεῦρον βαλόντος, ὃ φῄς ὑπὸ τοῦ φαρμάκου θεραπευθῆναι τούτου, καὶ θαρρῶν γε καὶ αὖθις αὐτῷ χρῶ κατὰ τῶν τοιούτων τραυμάτων. νύγματα δὲ νεύρων, στενὴν ἔχοντα τὴν τοῦ δέρματος διαίρεσιν, οὐχ οἷόν τε θεραπεύειν ἐστὶ φάρμακον τοιοῦτο, ὥσπερ οὐδὲ τὸ τὰ νύγματα θεραπεῦον, αὐτῷ τῷ νεύρῳ γυμνῷ προσαγόμενον. ἔστι γὰρ πολὺ θερμότερόν τε καὶ δακνωδέστερον, ἢ ὡς γυμνὸν νεῦρον ἀνασχέσθαι τῆς ὑπ᾽ αὐτοῦ δήξεώς τε καὶ φλογώσεως. F ἔνθα μέντοι καὶ δέρμα, καὶ ὑμὴν ἐπ᾽ αὐτῷ, καί που καὶ σὰρξ πρόκειται, τὸ δακνῶδες φάρμακον, ἐὰν καὶ λεπτομερὲς ᾖ, τὴν αὐτὴν θεραπείαν ἐργάζεται πρὸς τὸ νεῦρον, ἣν τὸ σὸν φάρμακον, ὅταν αὐτοῦ μόνου ψαύῃ γυμνοῦ τοῦ πεπονθότος νεύρου. χρὴ δὲ περὶ παντὸς ποιεῖσθαι, τὸ στόμιον ἀνεῷχθαι τῶν στενῶν νυγμάτων,

cōmune cum opere de medicamentis componendis habentium, timens ne ex huiusmodi inscitia errantes, vel vniuersam curandi ratione suspectā haberent, vel frustra mēbranas auellerent, fugientes inde, sicut falsò existimāt, noxam futuram. Quemadmodum alij quidā, quum non valeant ligamenta cognoscere, ea tāquam neruos, & tendines vulneratos suspecta habent; à periculo alioquin remota, quomodocunq; afficiantur, vtpote insensilia, & ex ossibus, non ex musculis sicut tendines orta, vel ex cerebro, spinalique medulla, vt nerui. Optimè igitur, velut alia pleraq; etiam in his permulti medici clarissimi dixerunt, medicinæ partes mutuam opem requirere, eam dico chirurgicem quæ manu, pharmaceuticen quæ medicamentis, & diæteticen quæ victu medetur, ac sanè maximè illam, quæ manu curat, reliquis duabus indigere. Itaque si frequenter in simiis cuiusque tendinis, & nerui positū, ac magnitudinē contempleris, exactè poteris etiam, si humani corporis incidendi copia tibi vnquam suppetet, singula, vt vidisti, celeriter inuenire; quòd si inexercitatus omnino facias, nihil inde promouebis. Quemadmodum nec medici bello Germanico, barbarorū corporum insectionis potestatem habentes, amplius quippiam didicerunt iis, quæ coqui intelligunt. Etenim Empiricorum anatome casu contingens prolixum nugamentū est, simile capris, quæ iuncis manualibus cōpunguntur. Hac nugacior est ex libris anatomicis institutio, non absimilis iis, qui secundum parœmiam, ex libro gubernare dicuntur. Quandoquidē enim contēplati palam à preceptore ostensos in corpore neruos, & tendines ipsorū, nisi denuo eos videant, & tertium, & sæpius deinceps, loci accuratè, in quo positi sunt, non meminere, multo minùs ex lectione poterūt addiscere. Itaq; huius tempestatis empiricorū optimus, quum libros omnes anatomicorum perlegisset, puerum stilo in interiore brachij regione, supra medias ipsius partes, in schola quandoq; punctum medicamento emplastico curare aggressus est, cuius experientiam ex nerui vulnere curatio paulo ante acceperat, puerumq; ob id ab inflammatione, ac dolore immunē videns, in totum curatū putabat, verùm repetente septimo die conuulsus periit. Ille igitur quum factū, quasi cuius ratio, aut causa dari non facilè posset, nobis recenseret, ego verò medicamenti cōpositionis scripturā recitaret, postulassem; ei quum id statim egisset, hec protinus subieci, nunquid recensendo, quæ puero neruum vulnerato nuper contigerunt, plus aliquid narrationi adiecisti, quàm quod medicamenti mirificè puerum recens vulneratum curatis experimentū habueras? Vt autē ille confessus est nil se aliud sermoni addidisse; rursus igitur, inquam, audi à me quid gestum sit. Notabile vulnus erat nerui percussi, quod medicamēto hoc curatū esse dicis; & quidē audacter in id genus vulneribus iterum eo vtitor; pūcturas autē neruorū angustā cutis diuisionē habētes tale medicamētū sanare nō potest; sicut nec id, quod puncturis medendis dicatū est, ipsi neruo nudo adhibitū; quippe multo calidius est, magisq; mordet, quā vt nudus neruus mordicationē eius, & ardorē sustineat. Vbi verò, & cutis, & mēbrana super ipso, itē caro preposita est, mordax medicamentū, si tenuiū etiā partiū sit, eadē ratione neruo medetur, qua medicamētum tuū, quādo ipsū solū nudū neruū affectū cōtigerit. Præcipua autē dāda opera est, vt oræ angustiorū pūctuum apertæ sint,

vt calidum medicamentum extrinsecus applicatum per eas vapores educat, attrahens humiditatem circa affectum locum in alto latentem. Ob quam rem in id genus puncturis orificium duabus in cutem sectionibus secundum rectos angulos diuidere oportet. Atque tum hæc, tum alia multa priùs relata, dixit ei, qui in pueri neruo vulnerati curatione errauerat adeo, vt ex praua medendi ratione ipse conuulsus interierit. Itaque omnes norunt etiam punctæ partis naturam indicare nonnunquam vulnus absque periculo, nonnunquam suspectum esse, quum neruum subiectum viderimus, vt in puero ad brachium puncto; non enim sermone locus potest exprimi, vbi quæ per alam in totam manum pertendunt, brachio inseruntur. Et sanè hîc quoque demirari est empiricorum litigandi studium, qui quidem in aliis omnibus medicinæ opus, quodlibet subinde contemplatum melius ipsum imitari concedunt, quàm si rarò viderit; itidem melius eum quolibet, opere perfungi, si frequenter illi assueuerit. Sola verò quæ ex corporum incisione cognoscuntur, posse quempiam firmiter assequi, modò anatomicorum virorum historiam perlegerit, quum vel ex iis, qui à præceptore ostensas corporis partes conspexerunt, nemo semel, vel iterum speculatus adamussim memoria tenere possit, sed frequenter illum conspicere conuenit. Nerui autem non modò magni in alto partes multas corporis permeant, sed in cutem quoque solam distributorum tanquam radices quædam sunt; in quibus vulnerati, nisi probè curentur, subiacentium neruorum magnorum consensus affectum obtinent, vnde ij prodeunt, quos in anatomicis administrationibus accuratè pertractauimus, ab omnibus, qui me præcesserunt, omissos. Atque has radices, nisi crebro in simiis fueris intuitus, fieri non potest, vt quum humanum corpus in dissectionem nactus fueris, exactè deprehendas. Quemadmodum multo minùs in anatome fortuita, quam & speculationem vulnerariam nominant, locum ex sola lectione inuenire queas; quanquam nec aliquis permulta vulnera ipsemet inspicere poterit, si ea excipias, quæ in bello contingunt, in quibus & ipsis nemo, dum saucium citò curare studet, contemplatur, vbi vulneratis partibus nerui, vbi arteriæ, venæque subiaceant. Videntur itaque in huiusmodi affectuum curationibus anatomes imperiti similes iis, qui iter in lectica cæci faciunt, eoque vehementer errant. Verùm qui inter ipsos, & partium experientiam ex incisione cognitam, & methodum confectionis, vsusque medicamentorum coniunxerit, is semper neruorum vulnera, vti nos, sine omni periculo curaturus est, vt nec principalior vlla pars condoleat, nec vulneratus neruus, aut contusus inflammatione laboret; vbi iam hæc sunt, multo minùs, vel putredo, vel claudicatio, vel conuulsio, vel ipsa mors comitabitur.

A ἵνα ἐξατμίζῃ δι' αὐτοῦ τὸ ἔξωθεν ἐπικείμενον θερμὸν φάρμακον, ἑλκτικὸν ὑπάρχον τῆς ἐν τῷ βάθει, τὴν περὶ τὸ πεπονθὸς νεῦρον ὑγρότητα, ὥστε καὶ προσεπιτέμνειν ἐπὶ τῶν τοιούτων προσήκει τὸ στόμα τοῦ νύγματος, δύο τομαῖς κατὰ τὸ δέρμα τεμνούσαις ἀλλήλας κατ' ὀρθὰς γωνίας. Ταῦτά τε οὖν εἶπον, καὶ ἄλλα πολλὰ τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων, τῷ κατὰ τὴν θεραπείαν τοῦ νευροτρώτου παιδίου σφαλέντι τοσοῦτον, ὡς διὰ τὴν μοχθηρὰν ἀγωγὴν σπασθῆναί τε καὶ ἀποθανεῖν αὐτό. πρόδηλον οὖν, ὅτι καὶ ἡ τοῦ νενυγμένου μορίου φύσις ἐνδείξεται, ποτὲ μὲν ἀκίνδυνον εἶναι τὸ νύγμα, ποτὲ δ' ὕποπτον, ὅταν ἴδωμεν B ὑποκείμενον νεῦρον, ὡς ἐπὶ τοῦ κατὰ τὸν βραχίονα νυγέντος παιδός. οὐ γὰρ οἷόν τε λόγῳ τὸν τόπον ἑρμηνεῦσαι, καθ' ὃν ἐπιβαίνει τῷ βραχίονι, τὰ διὰ τῆς μασχάλης εἰς ὅλην ἀφικνούμενα τὴν χεῖρα, καὶ θαυμάσαι γ' ἐστὶ κἀν τούτῳ, τὴν τῶν ἐμπειρικῶν φιλονεικίαν, ἐπὶ μὲν τῶν ἄλλων ἁπάντων τὸν πολλάκις ἑωρακότα τῶν κατὰ τὴν ἰατρικὴν ἔργων ὁτιοῦν, ἄμεινον αὐτὸ μιμεῖσθαι φασκόντων, ἢ εἴπερ ὀλιγάκις ἑωρακὼς ἔτυχεν. ὡσαύτως δὲ καὶ τὸν ὁτιοῦν ποιοῦντα, βέλτιον ἐνεργεῖν εἰ πολλάκις εἴη πεποιηκὼς αὐτό, μόνα δὲ τὰ διὰ τῆς ἀνατομῆς εἰς γνῶσιν ἥκοντα, δύνασθαί τινα τὴν τῶν ἀνατομικῶν ἀνδρῶν ἱστορίαν ἀναγνόντα βεβαίως ἐπίστασθαι, ὅπου γε καὶ τῶν C ἑωρακότων ὑπὸ διδασκάλου δεικνύμενα τὰ μόρια τοῦ σώματος, οὐδεὶς ἐστὶν ἱκανός, ἅπαξ, ἢ δὶς ἰδών, ἀκριβῶς διαμνημονεύειν, ἀλλὰ χρὴ πολλάκις ἰδεῖν. οὐ μόνον δὲ μεγάλα νεῦρα διὰ τοῦ βάθους ὁδοιποροῦντα κατὰ πολλὰ μόρια τοῦ σώματός ἐστιν, ἀλλὰ καὶ τῶν εἰς μόνον τὸ δέρμα διανεμομένων, οἷον ῥίζαι τινές εἰσιν, ἃς οἱ νυγέντες, ἐὰν μὴ καλῶς θεραπευθῶσι, συμπάθειαν ἴσχουσι τῶν ὑποκειμένων νεύρων μεγάλων, ἀφ' ὧν ἀποφύεται ταῦτα, περὶ ὧν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν, ἀκριβῶς ἔγραψα, παραλελειμμένων ἅπασι τοῖς πρὸ ἐμοῦ. καὶ ταύτας D τὰς ῥίζας, ἐὰν μὴ πολλάκις ἐπὶ τῶν πιθήκων ἴδῃ τις, ἀδύνατον αὐτῷ, κἂν εὐπορήσῃ ποτὲ ἀνθρωπείου σώματος εἰς ἀνατομήν, ἀκριβῶς ἐξευρεῖν, ὥσπερ γε πολὺ μᾶλλον ἐπὶ τῆς κατὰ περίπτωσιν ἀνατομῆς, ἣν καὶ τραυματικὴν θέαν ὀνομάζουσιν, οὐχ οἷόν τε τὸν τόπον εὑρεῖν ἐκ μόνης ἀναγνώσεως. οὐ μὴν οὐδ' αὐτόπτην γενέσθαι τραυμάτων παμπόλλων οἷόν τέ τινα, χωρὶς τῶν ἐν πολέμοις γινομένων, ἐφ' ὧν, οὐδ' αὐτῶν οὐδείς, ὑπερειδὼν τοῦ τάχιστα θεραπεύειν τὸν τετρωμένον, ἐπισκέπτεταί που μὲν ὑπόκειται τοῖς τετρωμένοις μέρεσι νεῦρα, ποῦ δ' ἀρτηρίαι καὶ φλέβες. ὁρῶνται τοιγαροῦν ἐν ταῖς τῶν τοιούτων παθῶν θεραπείαις E οἱ ἄπειροι τῶν ἐξ ἀνατομῆς φαινομένων, ἐοικότες τοῖς μετὰ σκίμποδος ὁδοιποροῦσι τυφλοῖς, καὶ διὰ τοῦτο σφάλλοντες μέγιστα. συνθεὶς δέ τις ἐξ αὐτῶν εἰς ταὐτὸν, τήν τε τῶν μορίων ἐμπειρίαν, ἐξ ἀνατομῆς ἐγνωσμένην, καὶ τὴν ἐπὶ τῇ συνθέσει τε καὶ χρήσει τῶν φαρμάκων μέθοδον, ἀεὶ θεραπεύσει τοὺς νευροτρώτους, ὥσπερ ἡμεῖς ἄνευ κινδύνου παντός, ὡς μήτε συμπαθῆσαί τι τῶν κυριωτέρων, μήτε φλεγμῆναι τὸ τετρωμένον, ἢ τεθλασμένον νεῦρον. ὅπου δὲ ταῦτα πολὺ μᾶλλον, οὔτε σῆψιν, οὔτε κύλλωσιν, οὔτε σπασμόν, οὔτε θάνατον ἐπακολουθῆσαι.

CAPVT III.

Confectiones medicamentorum ex metallicis, ad neruorum vulnera.

EX metallicis medicamentis astringentia vitare consultum est, præsertim vbi compositi

F

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Αἱ διὰ τῶν μεταλλικῶν φαρμάκων συνθέσεις, πρὸς νευροτρώτους.

ΤΩν μεταλλικῶν φαρμάκων, τὰ μὲν στύφοντα φευκτέον ἐστί, καὶ μάλιστα ὅταν ἐπὶ νύγματος ἡ χρῆσις γίγνηται τοῦ

συντεθέντος φαρμάκου, τὰ δὲ ῥυπτικὴν ἔχοντα δύναμιν, A ὥσπερ ἡ λεπὶς τοῦ χαλκοῦ, χρήσιμα. παχυμερῆ δ' ὄντα πάντα τὰ μεταλλικά, πολὺ γὰρ ἐν ἑαυτοῖς ἔχει τῆς γεώδους οὐσίας, χρήζει τινὸς ἐπιτεχνήσεως ἐν τῷ σκευάζεσθαι, πρὸς τὸ λεπτομερέστερα γενέσθαι. ταύτην οὖν ἐπενόησα δι' ὄξους δριμυτάτου ποιεῖσθαι, καὶ μάλιστα ἐξ οἴνου μὴ αὐστηροῦ τὴν φύσιν ἐσχηκότος, κἂν ἐκ μὴ τοιούτου δὲ γεγονὸς ᾖ, χρόνου δὲ ὑπάρχῃ συχνοῦ, χρηστέον αὐτῷ. πρόσεχε δὲ ἀκριβῶς ἐν τῇ γεύσει, μή τί σοι δόξῃ κἂν ἐλάχιστον οἴνου ποιότητος ἐμφαίνειν. οὐ γὰρ ἔχει τὸ τοιοῦτον ὄξος ἰσχυρὰν τὴν διαβρωτικὴν καὶ τμητικὴν τῶν πλησιαζόντων δύναμιν. ἐν δὲ τῷ δριμυτάτῳ, καὶ ὡς οἷόν τε παλαιοτάτῳ καὶ λεπτοτάτῳ B κατὰ τὴν σύστασιν ὄξει, λειοῦν χρὴ τὰ μεταλλικά, τὸ παχὺ τῆς συστάσεως παραιτούμενον, ἄμεινον δὲ ἐν ἡλίῳ θερινῷ γίγνεσθαι τὴν λείωσιν τῶν φαρμάκων. ἔνια μὲν οὐδὲ κοπῆναι δεῖται τῶν μεταλλικῶν, οὔτε σηθῆναι, λυόμενα ῥᾳδίως ὑπὸ τοῦ ὄξους, ὥσπερ ἥ χαλκῖτίς τε καὶ τὸ μίσυ. τινὰ δὲ χρήζει καὶ κοπῆναι καὶ σηθῆναι, καθάπερ ἡ τοῦ χαλκοῦ λεπίς. ὁπότε μὲν οὖν τὸ πρῶτον ἐσκεύασα τὸ φάρμακον, ἐνέβαλον αὐτῷ καὶ ἀρρενικοῦ, μετὰ ταῦτα δὲ ἔδοξέ μοι περιττὸν εἶναι. καὶ γὰρ διὰ τῆς λεπίδος τοῦ χαλκοῦ, καὶ τοῦ μίσυος καὶ τῆς χαλκίτεως, αὐτάρκως ἐφαίνετό μοι συντεθήσεσθαι τὸ φάρμακον. ἔμιξα δὲ κατὰ τὴν πρώτην σύνθεσιν, καὶ τὸν κε- C καυμένον ἰόν, ὑποπτεύσας γὰρ τὸν ἄκαυστον, ὡς περαιτέρω τοῦ προσήκοντος δάκνοντα. μετὰ ταῦτα μέντοι καὶ ἄκαυστον ἔβαλον ὀλίγον, ὡς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν. οὕτως δὲ καὶ τὴν χαλκῖτιν, εἰ μὲν ὠμὴν ἐνέβαλλον, ὀλιγίστην ἔμισγον, εἰ δὲ καὶ κεκαυμένην, ἴσην τῷ μίσυϊ καὶ λεπίδι τοῦ χαλκοῦ. κάλλιον δ' ἁπάντων τῶν σκευασθέντων ἤλπισά τε, καὶ διὰ τῆς πείρας εὗρον, ἐν ᾧ πλείστη μὲν ἡ τοῦ χαλκοῦ λεπὶς ἦν, δευτέρα δὲ ἡ κεκαυμένη χαλκῖτις, εἶτα μίσυ. λειούσθω δ' οὖν, ὡς ἔφην, ἐν ἡλίῳ, θέρους ὥρᾳ πολλαῖς ἐφεξῆς ἡμέραις, ἅπαντα μιχθέντα φάρμακα δι' ὄξους δριμυτάτου. ὅσῳ γὰρ ἂν πλείονι χρόνῳ λειωθῇ, τοσούτῳ γίγνεται D λεπτομερέστερα, καὶ διὰ τοῦτο χρησιμώτερα πρὸς τὰς στενὰς τρώσεις, ὡς ἐπί γε τῶν γεγυμνωμένων νεύρων φυλάττεσθαι χρὴ τὰ λίαν λεπτομερῆ τε καὶ διαβρωτικά. διὰ τοῦτο δὲ οἱ εἰρημένοι τροχίσκοι, πᾶσι τοῖς τοιούτοις χρήσιμοι, προσειλήφασι γάρ τινα καὶ τῶν στυφόντων. ἔνδοξοι δ' αὐτῶν εἰσίν, ὅ τε τοῦ Ἄνδρωνος, καὶ ὁ τοῦ Πολυείδους, καὶ ὁ τοῦ Πασίωνος. ἔστι δὲ καὶ ἄλλος τις τέταρτος καὶ πέμπτος, οἷς ἐγὼ συνήθως χρῶμαι, τούτων ἰσχυρότερος. ῥηθήσονται δ' αὐτῶν αἱ ἀκριβεῖς συμμετρίαι προϊόντος τοῦ λόγου. νυνὶ μέντοι τοσοῦτον εἰρήσθω περὶ τῆς χρήσεως αὐτῶν, ὡς χρὴ λειωθέντας αὖθις ξηρούς, μετὰ ταῦτα πάλιν ἐπιβαλόντα σίραιον, οὕτως λειοῦν, E ἄχρι τοῦ γλοιῶδές τε γενέσθαι τὸ φάρμακον, καὶ λεῖον ὁμαλῶς. ὀνομάζουσι δὲ νῦν καὶ σίραιον τοῦτο παρ' ἡμῖν ἅπαντες, ἕψημα τοῦ γλεύκους ἑψομένου γινόμενον. ἔστω δὲ καὶ τοῦτο μηδὲν οἰνῶδες ἔχον. γίγνεται δὲ καὶ τοιοῦτον, μήτε ἐξ αὐστηρῶν σταφυλῶν ὄντος τοῦ γλεύκους, ἀλλ' ὡς ἔνι μάλιστα γλυκειῶν, μήτε ἐκ τοῦ πρώτου ῥέοντος, ἀλλ' ἐκ τοῦ τελευταίου. εἰ μὲν οὖν εἴη τὸ γλεῦκος τοιοῦτον, ἕψειν αὐτὸ χρή, μέχρις ἂν ἥμισυ λειφθῇ τοῦ κατὰ τὴν ἀρχὴν ἐμβληθέντος. εἰ δὲ μὴ τοιοῦτον, μέχρι τοῦ τὸ τρίτον ἀπολειφθῆναι, καθεψητέον ἐστί. τοιούτῳ μὲν ἑψήματι διαλύειν χρὴ τοὺς τροχίσκους, ὥστε μελιτώδη σύστασιν ἔχοντας, ἀναληφθέντας μοτοῖς, ἐπι- F τίθεσθαι τοῖς γεγυμνωμένοις νεύροις, καὶ μάλιστα τοὺς μετριωτέρους αὐτῶν, ὁποῖός ἐστιν ὁ τοῦ Πολυείδους. καὶ πολὺ δὴ μᾶλλον, ἐὰν ἁπαλόσαρκον ᾖ τὸ σῶμα, καθ' ὃ καὶ τελέως ἀποχωρεῖν ἀσφαλέστερόν ἐστι τῆς τῶν τροχίσκων χρήσεως, ἑτέροις χρώμενον φαρμάκοις, ὑπὲρ ὧν ἤδη τε προείρηται, καὶ αὖθις εἰρήσεται.

medicamenti vsus in punctura eueniat; quæ verò detergendi vim obtinent, sicut æris squama, ex vsu sunt; cæterùm omnia metallica, quum crassiorum partium existãt (multum enim terrestris substantiæ in se continent) artificij nonnihil in præparando requirunt, quo tenuiora fiant. Hoc igitur ex aceto facere quàm acerrimo excogitaui, præsertim quod ex vino non austero confectum est. Ac si ex tali non sit, sed admodum vetus, eo vtitor. Attende tamen diligenter in gustu, ne tibi minimam vini qualitatem referre videatur; tale quippe acetum validam exedendi, incidendique vicina, facultatem non habet. Iam verò metallica ex acerrimo, & quàm fieri potest vetustissimo, substantiaq; tenuissimo læuigare oportet eum, qui consistentiæ crassitudinem deuitat. Præstat autem id in Sole æstiuo perficere. Sunt quidẽ ex metallicis, quæ nec comminui, nec cribrari postulant, quum facilè ab aceto soluantur, sicut chalcitis, & misy; nonnulla, & contundi, & cribrari, & postea læuigari desiderant, quemadmodum æris squama. Quum igitur primum præpararem medicamentum, immiscui ei & arsenicum, postea superfluum esse putaui; etenim ex æris squama, & misy, & chalcitide, medicamentum cõpositum iri abundè mihi satis videbatur. Miscui autem prima cõfectione etiam æruginem combustam; nam quæ ignem experta non erat, tanquam iusto mordaciorem suspicatus sum; deinde tamen non vstæ pauxillum simul adieci, quantũ aliorum portio ferebat. Pari modo chalcitidem sanè paucissimã, vstam verò æqualem misy, & æris squamæ, indidi. Præstantius autem omnibus compositis fore speraui, imò etiam experientia deprehendi, in quo plurima æris squama inesset, dein chalcitis combusta, postea misy. Quæcunque igitur miscebis medicamenta, ad Solem, vt dixi, æstiuo tempore, multis deinceps diebus in puluerem ex aceto quàm acerrimo redigantur; quanto enim longiori tempore trita fuerint, hoc tenuiorem substantiam consequentur. Ideoq; angustis vulneribus aptiora, sicut in neruis denudatis, admodum tenuia exedentiaque cauenda sunt; ob quod prædicti pastilli omnibus id genus conueniunt, siquidem nonnulla astringentia quoque assumpserunt. Porrò celebres ex illis sunt, qui ad Andronem, Polyidam, & Pasionem, authores referuntur. Sunt & alij quidam quartus, & quintus, illis valentiores, quibus ego subinde vtor. Symmetriȩ verò ipsorum perfectæ sermonis processu dicentur. Nunc de eorundem vsu tantum explicasse sufficiat, quòd tritos ipsos aridos, postea rursus sapa adiecta, ita terere conuenit donec sordium spissitudinem recipiat medicamentum, & æqualiter læue fiat. Vocant autem nunc omnes apud nos, & siræon, ex musto decocto natum, id autem nihil vinosum habeat, quale non ex austerarum vuarum, sed quàm maximè dulcium, musto præparatur, neque ex primo fluentes, sed postremo. Si igitur tale mustum extiterit, coquendum est, dum ad dimidiam partem mensuræ consumatur; sin minus tale, ad tertias coquendum est. Huiusmodi quidem decocto pastillos soluere expedit, vt mellis crassitudine linamentis excepti, neruis denudatis imponantur, maximeque ex ipsis temperatiores, qualis Polyidæ est. Ac multo sanè magis, si corpus sit tenerum, ac molliusculum; in quo, & prorsus à pastillorum vsu te abstinere tutius est, aliis vtentem medicamentis; de quibus iam sermo factus est, iterumque fiet.

Neruo autem nudo linamentis cooperto, extrinsecus vnum aliquod ex iis, quæ ad angusta vulnera conueniunt, superdandū est. Quorum sunt quatuor genera, vnum hoc quod ex metallicis conficitur, alterum quod ex liquoribus; inter quæ refertur & illud, quod ex euphorbio constat, tertium ex columbarum stercore, & quartum praon idest mite, à me appellatum, quo etiam ad neruos tenerorum corporum omnino denudatos vtor: ex his quatuor vnum quoddam toti affectæ parti circundandum est ita, vt sanarum quoque partium multum vnà comprehendat, præsertim superpositarum, quas bis die, vel ter, si necessitas incidit, perfusione fouere oportet. Quin etiam nocte interim linamentis quidem denudato neruo impositis, cæterùm eo, quod extrinsecus admotum erat, ablato. Porrò quum permagna humanorum corporum sit differentia, tum in natiuis ipsorum temperamentis, tum ætatum mutationibus, insuper vitæ studiis, nulla ratione, quod componitur medicamentum, omnibus conuenire potest. Quamobrem duo in promptu habeto, alterum valentius eiusdem generis reliquis, alterum mitius; quibus inuicem mixtis, dum vsus postulat, permulta inter hæc media iuxta mixturæ quantitatem constituas. Si namque parem vtriusque portionem confuderis, mixtum exactè medium amborum erit; quòd si alterius plus adiicias, tantum à medio ad illud summum recedet, quanto mixtura superauerit. Esto igitur valentissimum metallicum ex his constructum, vnam partem crudæ chalcitidis habens, duas misyos similiter crudi, tres æris squamæ; inualidissimum; vnam itidem misyos, & chalcitidis, sed vtriusque combusti, squamæ quatuor. At verò amborum medium, quo subinde vsus sum, tale esto, misyos, chalcitidis, æruginis, cuiusque vsti pars vna, æris squamæ partes tres. His sicut prædixi contritis, ceræ in valentissimo dupluin; in altero duæ partes & ß. miscentur; in medio, quod intra hæc consistit, partes duæ, & quarta; sicut in primo trium, quod valentissimum esse dixi, omnes partes numero sex, ex misy, chalcitide, & squama collectæ, nascuntur. His ergo duodecim ceræ partes adiicientur. At in medicamento inualidissimo si metallicorum sex partes existant, ceræ duodecim apponas: in mediocri amborum medium, sunt autem inter octodecim, & duodecim, media quinque, & decē. Siue igitur drach. j. statuas vnam esse partem, omnium videlicet, tot denarios adiicito, quot partes, siue vnciam, siue libram; sic enim apud Romanos consuetudo est nominari tot vncias, vel libras. Porrò mensura quidem apud ipsos est, qua oleum metiuntur, insecta discretaque lineis totam in duodecim partes diuidentibus; atque integra mensura ab eis libra nominatur; duodecima verò eius portio, vncia. Metallica igitur, & cera in lance aliis vnciis ponderantur, oleum cornu metiuntur. Itaque prædictis medicamentis omnibus iuxta ceræ proportionem oleum immittatur, superetque in singulis ipsis dimidio, vt si cera vncias viij. compleat, oleum duodecim, hoc est integram libram pēdat. Esto autem id sabino simile, partium tenuiorum, minimeque astringens; at etiam si vetus sit, præstat; acerbum verò, & quod ex oleæ surculis cōfectum est, nequaquam conuenit. Cæterùm omnibus medicamentis commemoratis, vbi metallica ex aceto pluribus diebus in mortario trita fuerint, thus candidissimum, & pingue admisceatur;

A σκεπασθέντος δὲ τοῦ γεγυμνωμένου νεύρου τοῖς μοτοῖς, ἔξωθεν ἐπιβλητέον ἕν τι τῶν πρὸς τὰς στενὰς τρώσεις ἁρμοττόντων, ἃ ἐστι τέτταρα γένη, τουτὶ μὲν ἓν τὸ διὰ τῶν μεταλλικῶν, ὑπὲρ οὗ πρόκειται λέγειν, ἕτερον δὲ τὸ διὰ τῶν ὀπῶν, ἐν οἷς ἐστι καὶ τὸ δι' εὐφορβίου, καὶ τρίτον τὸ διὰ τῆς κόπρου τῶν περιστερῶν, καὶ τέταρτον, ὃ καλῶ τὸ πρᾶον, ᾧ καὶ πρὸς τὰ τελέως γεγυμνωμένα νεῦρα τῶν ἁπαλοσάρκων σωμάτων χρῶμαι. τούτων τῶν τεττάρων, ἕν τι περιβάλλειν χρὴ παντὶ τῷ πεπονθότι μορίῳ συνεπιλαμβάνοντα πολὺ καὶ τῶν ὑγιεινῶν μερῶν, καὶ μάλιστα τῶν ὑπερκειμένων, οἷς τὴν καταντλησιν ποιεῖσθαι χρὴ δὶς τῆς ἡμέρας, ἢ τρὶς, ἐὰν ἐπείγῃ.

B καὶ μέντοι καὶ τῆς νυκτὸς ἐνίοτε, τῶν μὲν μοτῶν ἐπικειμένων κατὰ τοῦ γεγυμνωμένου νεύρου, τοῦ δ' ἐπιβεβλημένου κατ' αὐτῶν ἔξωθεν αἰρομένου. παμπόλλης δ' οὔσης διαφορᾶς τῶν ἀνθρωπίνων σωμάτων, κατά τε τὰς ἐξ ἀρχῆς αὐτῶν κράσεις, καὶ τὰς τῶν ἡλικιῶν μεταβολὰς, ἔτι τε πρὸς τούτοις τὰ ἐπιτηδεύματα, τὸ συντιθέμενον φάρμακον ἀδύνατον ἅπασιν ἁρμόττειν. ἔστω τοίνυν διὰ τοῦτό σοι δύο προεσκευασμένα, τὸ μὲν ἕτερον ἰσχυρότερον τῶν ὁμογενῶν, τὸ δὲ ἕτερον πραότερον, ἃ μιγνὺς ἀλλήλοις ἐπὶ τῆς χρείας, ἐργάσῃ πάμπολλα τὰ μεταξὺ παρὰ τὸ ποσὸν τῆς μίξεως. ἐὰν γὰρ ἴσον ἑκατέρου μίξῃς, ἔσται σοι τὸ μιχθὲν ἀκριβῶς

C ἀμφοῖν μέσον. ἐὰν δὲ θατέρου πλέον, ἐπὶ τοσοῦτον ἀποκεχωρηκὸς τοῦ μέσου πρὸς ἐκεῖνο τῶν ἄκρων, ἐφ' ὅσον ἡ μίξις ὑπερέσχεν. ἔστω τοίνυν τὸ μὲν ἰσχυρότατον τῶν μεταλλικῶν, ἐκ τούτων συγκείμενον· ἓν μὲν ἐχέτω μέρος τῆς ὠμῆς χαλκίτεως, δύο δὲ τοῦ μίσυος ὡσαύτως ὠμοῦ, τρία δὲ τῆς τοῦ χαλκοῦ λεπίδος· τὸ δ' ἀσθενέστατον, ἓν μὲν ὡσαύτως μίσυός τε καὶ χαλκίτεως, ἀλλὰ κεκαυμένων ἀμφοτέρων, τῆς δὲ λεπίδος τέτταρα. καὶ μέντοι καὶ μέσον ἀμφοῖν, ᾧ κέχρημαι πολλάκις, ἔστω τοιόνδε. μίσυος, καὶ χαλκίτεως, καὶ ἰοῦ, κεκαυμένων ἁπάντων ἓν ἑκάστου μέρος, τῆς δὲ λεπίδος τοῦ χαλκοῦ μέρη τρία. τούτοις οὖν, ὡς προείρηκα

D λειωθεῖσι, μιγνύσθω κηροῦ, κατὰ μὲν τὸ ἰσχυρότατον, τὸ διπλάσιον, κατὰ δὲ τὸ ἀσθενέστατον, δύο καὶ ἥμισυ μέρη, κατὰ δὲ τὸ μέσον, ὃ μεταξὺ τούτων ἐστὶ, μέρη δύο καὶ τέταρτον, οἷον ἐπὶ τοῦ πρώτου γεγραμμένου τῶν τριῶν, ὅπερ ἰσχυρότατον ἔφην εἶναι, τὰ πάντα μέρη γίγνεται τὸν ἀριθμὸν, ἐκ μίσυος, καὶ χαλκίτεως, καὶ λεπίδος ἀθροιζόμενα ἕξ. τούτοις οὖν ἐπιβαλεῖς κηροῦ μέρη ιβʹ. κατὰ δὲ τὸ ἀσθενέστατον, ἐὰν ἓξ ᾖ μέρη τῶν μεταλλικῶν, μέρη ιβʹ. βάλλῃς κηροῦ, τὸ μεταξὺ δὲ ἐπὶ τοῦ μέσου. μεταξὺ δ' ἐστὶ τῶν ὀκτωκαίδεκα καὶ δώδεκα, τὰ πέντε καὶ δέκα. ἐάν τε οὖν < αʹ. ὑποθῇς τὸ ἓν εἶναι μέρος ἁπάντων δηλονότι, τοσαύτας βάλλῃς

E δραχμὰς, ὅσα περ τὰ μέρη, ἐάν τε οὐγγίας, ἢ λίτρας, οὕτω γὰρ εἴθισται παρὰ τοῖς Ῥωμαίοις ὀνομάζεσθαι, τοσαύτας οὐγγίας, ἢ λίτρας. ἔστι δὲ παρ' αὐτοῖς μέτρον, ᾧ τὸ ἔλαιον μετροῦσιν ἐντετμημένον γραμμαῖς διαιρούσαις τὸ σύμπαν εἰς μέρη ιβʹ. καὶ καλεῖται μὲν τὸ ὅλον μέτρον ὑπ' αὐτῶν λίτρα, τὸ δωδέκατον δ' αὐτῆς, οὐγγία. τὰ μὲν οὖν μεταλλικὰ, καὶ ὁ κηρὸς, ἐπὶ ζυγοῦ δι' ἑτέρας οὐγγίας ἵσταται. τὸ δ' ἔλαιον, τῷ κέρατι μετρεῖται. βαλλέσθω τοίνυν εἰς τὰ προειρημένα φάρμακα πάντα, κατὰ τὴν ἀναλογίαν τοῦ κηροῦ τὸ ἔλαιον, ἐν ἅπασιν αὐτοῖς τὸ ἥμισυ πλεονάζον, ὥστε ἐὰν ὁ κηρὸς ᾖ Γο ηʹ. τὸ ἔλαιον βάλλεται Γο ιβʹ. τουτέστιν ὅλην

F τὴν λίτραν. ἔστω δὲ τὸ ἔλαιον ὅμοιον τῷ Σαβίνῳ λεπτομερές τε καὶ στύψεως ἥκιστα μετέχον. ἄμεινον δ' εἰ καὶ παλαιὸν εἴη. τὸ δ' ὠμοτριβὲς ὀνομαζόμενον, καὶ τὸ μετὰ θαλλῶν ἐλαίας ἐσκευασμένον, οὐκ ἐπιτήδειον. ἅπασι δὲ τοῖς εἰρημένοις φαρμάκοις, ὅταν ἐν τῇ θυίᾳ τὰ μεταλλικὰ πλείοσιν ἡμέραις τριφθῇ μετ' ὄξους, ἐπεμβαλλέσθω λιβανωτὸς, ὁ λευκότατός τε καὶ λιπαρὸς,

A εἶτα πάλιν ἅμα τοῖς μεταλλικοῖς λειούσθω τινὰς ἡμέρας, πρὶν τὴν κηρωτὴν αὖθις ἐπιμίγνυσθαι. ὅσον δ' ἂν ἐξ ἁπάντων τῶν μεταλλικῶν ἀθροίζηται πλῆθος, τούτου τὸ ἥμισυ μέρος ὁ λιβανωτὸς ἐχέτω. εἰ δὲ μαλακώτερον ἐθέλοις ποιῆσαι τὸ φάρμακον, ἔμβαλλε πλέον, ἢ κατὰ τὸ ἥμισυ, καθάπερ εἰ καὶ δριμύτερον, ἔλαττον, ἢ τὸ ἥμισυ. καὶ μέντοι καὶ τηκομένῳ τῷ κηρῷ μετὰ τοῦ ἐλαίου τῶν εἰρημένων ῥητινῶν τινος ἐπιβάλλειν ἔξεστιν, εἰδότος σου δριμύτερον μὲν αὐτὸ γίνεσθαι, τῆς στροβιλίνης ἐμβληθείσης, μαλακώτερον δὲ, τῆς τερμινθίνης, μέσον δ' ἀμφοῖν, τῆς ἐλατίνης. ἐκ δὲ τοῦ γένους τῶν ῥητινῶν ἐστὶ, καὶ ἡ λάριξ ὀνομαζομένη, τοὐπίπαν μὲν ὑγροτέρα τῶν προειρημένων οὖσα. παραπλησία δὲ κατὰ τὴν σύ- B στασιν τῇ ὑγρᾷ πευκίνῃ, ἣν ἀντὶ τῆς τερμινθίνης πιπράσκουσιν οἱ ῥωποπῶλαι, τοῖς οὐκ εἰδόσι διακρίνειν αὐτάς. ἔστι δ' ἡ τοιαύτη ῥητίνη, καὶ τῇ ὀσμῇ, καὶ τῇ γεύσει, καὶ τῇ δυνάμει δριμυτέρα τῆς τερμινθίνης. ταύτῃ τε οὖν τῇ ῥητίνῃ, καὶ τῇ τερμινθίνῃ παραπλησίαν ἔχει δύναμιν, ἡ λάριξ ὀνομαζομένη, λεπτομερεστέρα δ' αὐτῶν ἐστὶ καὶ διαφορητικωτέρα. μίξεις οὖν τῷ κηρῷ τῶν εἰρημένων ῥητινῶν, βουλόμενος ἐμπλαστρῶδες γίνεσθαι τὸ φάρμακον ἕκτον μέρος, ὡς ἐὰν τοῦ κηροῦ βάλῃς λίτραν α'. τῆς ῥητίνης ἐμβάλλεις Γο β'. εἰ δ' εἴη λίαν ὑγρὰ, καὶ μίαν ἀρκέσει μόνην μίξαι. μὴ φροντίζων μέντοι τοῦ γίνεσθαι τὸ φάρμακον ἐμ- C πλαστρῶδες, οὐ πάνυ τι δεήσει τὴν ῥητίνην μιγνύναι αὐτῷ. καὶ χαλβάνης δὲ μίγνυε πάντως, ἔνθα μὲν τὸ προκεῖται πρᾳότατον ἐργάσασθαι τὸ φάρμακον ἴσον τῷ κατὰ τὸν λιβανωτὸν σταθμῷ. ἔνθα δ' ἰσχυρότερον, τὸ ἥμισυ. κατὰ δὲ τὸ μέσον ἀμφοῖν, τὸ μεταξὺ τοῦ τε ἴσου καὶ τοῦ ἡμίσεως, οἷον εἰ τέτταρες εἶεν αἱ τοῦ λιβανωτοῦ δραχμαὶ, δύο μὲν ἐμβάλλεις τῆς χαλβάνης, ἰσχυρὸν διαμεῖναι τὸ φάρμακον βουλόμενος, πρᾷον δὲ τέσσαρας, τρεῖς δὲ μέσον. ὥσπερ γὰρ ἔχει τι μαλακὸν καὶ ἀνώδυνον, οὕτω καὶ σηπτικόν. τοῦτο δὲ ὑπάρχει, καὶ τοῖς πλείστοις τῶν μαλακτικῶν. διὸ καὶ γεγυμνωμένῳ τῷ νεύρῳ προσφέροντός σου τὸ φάρμακον, οὐ πάνυ τι μεμίχθαι D χρὴ τὴν χαλβάνην, ἄνευ δὲ γυμνώσεως, οὐ σμικρῶς χρήσιμος ἡ μίξις αὐτῆς, εἰς ἀνωδυνίαν συντελοῦσα. καὶ τοίνυν ἔνεστί σοι καὶ τοιοῦτον φάρμακον ἔχειν ἕτοιμον ἐπὶ τῶν εὐαισθήτων τε καὶ ἁπαλοσάρκων καὶ κακοχύμων, ἐν ᾧ πλέον ἐστὶ τῆς χαλβάνης. ἅπαντα γὰρ τὰ μεταλλικὰ τραχυντικά τ' ἐστὶ, καὶ ὀδυνηρά. καὶ τῶν ὑγρῶν, ὄξος. εἰκότως οὖν τὰ δι' αὐτῶν σκευαζόμενα φάρμακα, τραχέα τε φαίνεται καὶ ὀδυνηρά. καὶ διὰ τοῦτο αὖθις ἐπιτήδειός ἐστιν, ἥ τε δι' ἐλαίου κατάντλησις, ἥ τε μίξις τῆς χαλβάνης ὁμοίως. ἔστι δ' οὐδὲν ἧττον χαλβάνης ἀνώδυνον, τὸ λεπτομερὲς στέαρ ἔχειν οὖν ἀξιῶ σέ τι καὶ διὰ τούτων ἐσκευασμένον ἕτε- E ρον φάρμακον, ὃ μιγνύναι δυνήσῃ τῷ διὰ τῶν μεταλλικῶν, ἐπί τε τῶν εἰρημένων σωμάτων, ὅσα τε ἄλλα τραχέος τε καὶ ὀδυνηροῦ τοῦ φαρμάκου λάβῃ ποτὲ αἴσθησιν. ἐκλέγεσθαι δὲ καὶ τούτων ὅσα λεπτομερέστερα, τοιαῦτα δ' ἐστὶ τά τε τῶν ἀγρίων ζώων, καὶ μάλιστα λέοντός τε καὶ παρδάλεως, καὶ ὑαίνης, καὶ ἄρκτου, τά τε τῶν πτηνῶν, καὶ μάλιστα τῶν χηνῶν. εἰ δὲ μὴ παρείη τοῦτο, τῶν ἀγρίων ἀλεκτρυόνων τε καὶ ἀλεκτορίδων. οὕτω δὲ καὶ τὸ τῶν ἀγρίων χηνῶν στέαρ προαιρεῖσθαι. τῶν γὰρ ἐν ταῖς πόλεσι τρεφομένων ζώων, ὡς ἂν ἀργῶν καὶ κατακεκλεισμένων, ὑγρότερόν τέ ἐστι καὶ παχυμερέστερον τὸ στέαρ. ὅταν δ' ἡ σύστασις τοῦ φαρμάκου κηρω- F τοειδὴς ᾖ, μιγνύσθω κηροῦ τὸ τρίτον, ἢ τέταρτον, ἢ εἰ λίαν ὑγρὸν εἶναί σοι φαίνοιτο τὸ στέαρ, ἐγχωρεῖ καὶ τὸ ἥμισυ τοῦ κηροῦ μίξαι, ὥσπερ γε εἰ καὶ ξηρὸν εἴη, τὸ τέταρτον. εἰ δὲ μέσως ἔχει, τὸ τρίτον. εἰς πολλὰ δὲ χρήσιμος ἡμῖν ἡ τοιαύτη κηρωτὴ μέλλουσα γενήσεσθαι, διὰ στεάτων ὀνομαζέσθω.

deinde rursus vnà cum metallicis diebus aliquot læuigetur, priusquam ceratum eis immisceas. Quanta verò ex omnibus metallicis copia colligitur, huius partem dimidiam thus contineat; quòd si mollius medicamentum facere postulas, amplius quàm dimidiam; sicut vbi acrius expetis, minus dimidio, adiungas. Et verò etiam ceræ, cum oleo liquatæ resinam quandam ex iis, quas recensuimus, misceas licet, sciens acrius ipsum, adiecta strobilina, fieri, mollius terebinthina, medium vtriusque abietina. Ex harum genere larix quoque est, prædictis planè humidior; consistentia verò similis liquidæ piceæ, quam loco terebinthinæ institores vendunt ignorantibus eas discernere; est autem talis resina odore, gustu, & facultate, quàm terebinthina acrior. Cum hac igitur, & terebinthina, persimilem potentiam larix obtinet; sed tenuioribus partibus, maioreque discutiendi virtute prædita est. Miscebis igitur ceræ sextam superiorum resinarum partem, volens medicamentum emplastri figuram induere; nam vni ceræ libram, resinæ vncias duas adiicias; sin autem liquida insigniter fuerit, vel vnam tantum miscere satis est. Attamen si, vt in modum emplastri medicamentum fiat, nihil curas, resinam addere non admodum opus est; galbani verò æquale thuri pondus indes, vbi mitissimum reddere medicamentum statuis; dum valentius, dimidium; quando ipsorum medium, id quod inter æquale, & dimidium est. Verbi gratia, si quatuor thuris drachmæ fuerint, duas galbani impones, validum permanere medicamentum postulans; mite, quatuor; medium, tres. Vt enim molle, & dolorem leuans quippiam habet, ita quoque putrificum, quod sanè, & plurimis mollientibus accidit. Quare quum neruo denudato medicamentum adhibes, non adeo galbanum esse commixtum oportet; quòd si nudus ille non est, haud mediocriter ipsius admixtio dolori auferendo conuenit, ideoque tale etiam medicamentum acuto sensu præditis, teneris & cacochymis paratum habere expedit, in quo plus galbani adiectum sit. Omnia siquidem metallica exasperant, doloremque concitant, & ex liquidis acetum; vnde meritò ex illis confecta medicamenta aspera videntur, & dolorifica; ob quam rem, & fotus ex oleo, & galbani mixtura similiter ipsis idonea est; nihilo autem minus tenuium partium adeps galbano dolorem sedat. Quare velim te alium quoque medicamentum ex his aliquod præparatum habere, quod ex metallicis composito miscere possis, tum in dictis corporibus, tum in iis, quæ asperum, & dolorificum quandoque medicamentum perceperint. Deligendus autem adeps, qui tenuiorum partium existat, cuiusmodi sunt agrestium animantium, maximè leonis, pardi, hyænæ, & vrsi; ad hæc volatilium, maximè anserum; horum inopia agrestium gallorum, gallinarumque, ita verò anserum quoque syluestrium; nam animalium, quæ in vrbibus aluntur, & tanquam in ocio conclusa sunt, humidior est adeps, & crassior. Cæterùm quò medicamenti consistentia cerati spissitudinem habeat, ceræ tertia, vel quarta pars admisceatur; vel si adeps humidus nimium esse tibi videatur, licet & ceræ dimidium adiicere; quemadmodum & vbi sicca fuerit, quartam; quum mediocriter habeat, tertiam. Porrò huiusmodi ceratum, quod vtile nobis futurum est, ex seuis nominetur.

CAP.

CAPVT IV.

De medicamento, quod ex euphorbio componitur.

DIctum mihi est & antea, vetus euphorbium recentiori multo inferius. Si igitur anniculũ sit, etiam Cyrenæo magis liquore calefacit, præsertim eo, quem nunc habemus; ex quo per aquæ irrigationem stirpes augent, & ad liquoris copiam generandam præparant. Nam post annum vnum abundè calidũ est, deficit autem iam non mediocriter à recenti; bimum adhuc magis à nouo degenerat; quemadmodũ trium, aut quatuor annorum, etiam hoc magis; vetustioris virtus omnino resoluitur. Cognosces autẽ, vt dixi, quam ætatẽ, quamque vim obtineat, & colorem & cõsistentiam eius respiciens. Colore quidẽ vetus nouo flauius pallidiusq; apparet, cõsistentia durius, & siccius. Iam si gustu voles discernere non coniecturalem eius dignotionem, sed firmam habiturus es: quod verò dixi calefactoriam vnctionem ex eo me confecisse ex temporali vsu exigente, exactissimè medicamenti facultatem tibi indicabit. Constat autem hac symmetria. Vna pars est euphorbij, tres ceræ, olei duodecim; ceram quidem euphorbio triplo copiosiorem, oleum verò quam ipsa cera, quadruplo esse conuenit. Vbi igitur in hunc modum medicamentum composueris, fricata eo parte aliqua, manifestò licebit dignoscas, quantam virtutẽ obtineat; maximè autem in balneo innotescit, siquidem ab aëre quidem mordentur, sed magis adhuc validè ab aqua, quum euphorbium sit calidum, recens, & vehemẽs. Tale igitur cõsequutus, & hanc ipsam cõmemoratam vnctionẽ audacter puncturis imponito, vbi oras conniuere metus est. Si imbecillius fuerit, auge mensuram euphorbij pro imbecillitatis ratione, interdũ partem vnam, ac dimidiam iniiciens, interdũ duas, nonnunquam etiam pares ceræ, & plures; si vetus nimium extiterit. Primus sanè vsus in puncto neruum, vel tendonẽ, ad secundũ te deducet. Si namq; & vulneratus ipse mordicationem sensisse dicat, tibiq; ipsi partes puncturam ambientes calidæ appareant, tum ipsa punctura magis, ac par est elata, & oræ inflãmatione subafficiantur, vel olei copiosioris mixtura vim medicamenti remittes, vel cõpones aliud ad priorem symmetriam; aut euphorbio vetustiore, moderatum ita efficies. Quòd si contrario quàm dixi eueniat, virtutẽ medicamenti adaugebis. Sin mediocriter omnia habere videbuntur, seruabis. Itaque confectura ceram triplo euphorbio copiosiorem cõtinens aliarum est valentissima, quum illud (quemadmodum diximus) recens additur, quincuplo autem habens, inualidissima; quadruplo capiens, medio inter vtrasque ordine consistit. At si vnguenta proponis efficere, qualia à medicis acopa, idest, lassitudinẽ leuantia, nuncupantur, oleum ceræ quadruplũ immiscebis; si verò vt in fracturis liquidũ ceratum parare, duplum; quando cera, & sicca, & pinguitudinis expers fuerit, etiam amplius quàm duplum; plerunq; verò sufficit vnius partis dimidium duplo apponere, vt tota ceræ mensura duarum partium & dimidiæ fiat. Atqui in modũ emplastri medicamentũ cupiens cõponere, oleum pari mensura ceræ miscebis, siquidem ambiens fuerit calore temperatus, sin cera vetus, & arida, & ille frigidus sit, paulo ampliùs; sicut quum cera est pinguis, ambiens calidus, paulo minus.

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Περὶ τοῦ δι' εὐφορβίου συντιθεμένου φαρμάκου.

A Λέλεκταί μοι καὶ πρόσθεν, ὡς ἀπολείπεται πάμπολυ τοῦ νέου τὸ παλαιὸν εὐφόρβιον. ἂν μὲν οὖν αὐτοετὲς ᾖ, καὶ τοῦ Κυρηναίου μᾶλλον ὀποῦ θερμαίνει, καὶ μάλιστα τοῦ νῦν, ἐξ ὅτου δι' ὕδατος ἐπαρδεύσεως αὐξάνουσί τε τὰ φυτὰ, καὶ πρὸς πλῆθος ὀποῦ γενέσεως παρασκευάζουσι. μετ' ἐνιαυτὸν γὰρ ἕνα, θερμὸν ἱκανῶς ἐστι, λείπεται δὲ ἤδη συχνῷ τοῦ προσφάτου. δυοῖν δὲ ἐτῶν γενόμενον, ἔτι δὴ καὶ πλέον ἀπολείπεται τοῦ νέου. B καθάπερ γε τριῶν, ἢ τεττάρων, ἔτι μᾶλλον. εἰ δέ τι τούτων χρονιώτερον εἴη, παντάπασιν ἡ δύναμις αὐτοῦ καταλύεται. γνωριεῖς δὴ, ὡς ἔφην, ὅπως ἔχει χρόνου καὶ δυνάμεως, εἴς τε τὴν χρόαν ἀφορῶν αὐτοῦ καὶ τὴν σύστασιν. τῇ μὲν γὰρ χρόᾳ, ξανθότερον καὶ ὠχρότερον φαίνεται τοῦ νέου τὸ παλαιὸν, τῇ συστάσει δὲ σκληρόν τε καὶ ξηρότερον. εἰ μέντοι γευόμενος ἐθέλοις διακρίνειν, οὐ στοχαστικὴν, ἀλλὰ βεβαίαν ἕξεις τὴν διάγνωσιν αὐτοῦ. ὃ δὲ ἔφην αὐτοσχεδιάσαι δι' αὐτοῦ χρῖσμα θερμαντικὸν, ἀκριβέστατά σοι δηλώσει τὴν δύναμιν τοῦ φαρμάκου. σύγκειται δὲ κατὰ τήνδε τὴν συμμετρίαν.

C Ἓν μὲν ἐστὶ μέρος τοῦ εὐφορβίου, τρία δὲ τοῦ κηροῦ, τοῦ δὲ ἐλαίου ιβʹ. τριπλάσιον μὲν εἶναι χρὴ τοῦ εὐφορβίου τὸν κηρόν. αὐτοῦ δὲ πάλιν τοῦ κηροῦ, τετραπλάσιον τὸ ἔλαιον. ἐπειδὰν οὖν οὕτω συνθῇς τὸ φάρμακον, ἀνατρίψας τι μέρος αὐτῷ, δυνήσῃ γνῶναι σαφῶς, ὁπόσην δύναμιν ἔχει. μάλιστα δὲ ἐν τῷ βαλανείῳ καταφανὲς γίγνεται. δάκνονται γὰρ καὶ ὑπὸ τοῦ ἀέρος μὲν, ἀλλ' ἔτι καὶ μᾶλλον ὑπὸ τοῦ ὕδατος ἰσχυρῶς, ἐπειδὰν ᾖ θερμὸν καὶ νέον, καὶ ἰσχυρὸν τὸ εὐφόρβιον. ἐὰν μὲν οὖν ἔχῃς τοιοῦτον, καὶ αὐτὸ τοῦτο τὸ εἰρημένον χρῖσμα, θαρρῶν ἐπιτίθει τοῖς νύγμασιν, ἐφ' ὧν εὐλαβῇ μύσαι τὸ στόμιον. ἐὰν δὲ ἀσθενέστερον ᾖ, προστίθει τῷ σταθμῷ τοῦ D εὐφορβίου, κατὰ τὴν ἀναλογίαν τῆς ἀσθενείας, ἐνίοτε μὲν ἓν ἥμισυ μέρος ἐμβάλλων, ἔστι δ' ὅτε δύο, καί ποτε ἴσον τῷ κηρῷ καὶ πλέον, ἐὰν λίαν ᾖ παλαιόν. ἥ γε μὴν πρώτη χρῆσις ἐπὶ τοῦ νενυγμένου τὸ νεῦρον, ἢ τὸν τένοντα, ποδηγήσει σε πρὸς τὴν δευτέραν. ἐὰν μὲν γὰρ αὐτός τε ὁ τετρωμένος φησὶ δεδῆχθαι, σοί τε αὐτῷ φαίνηται τὰ περὶ τὸ νύγμα θερμὰ, καὶ αὐτὸ τὸ νύγμα πλέον, ἢ δεῖ ἐπηρμένον, ὑποφλεγμαῖνόν τε τοῖς χείλεσιν, ἤτοι γε ἐκλύσεις τοῦ φαρμάκου τὴν δύναμιν ἐλαίου μίξεις πλέονος, ἢ συνθεὶς ἄλλο κατὰ προτέραν συμμετρίαν, ἢ δι' εὐφορβίου παλαιοτέρου, σύμμετρον οὕτως ἐργάσῃ. ἐὰν δὲ τὰ ἐναντία τῶν εἰρη- E μένων περὶ ᾖ, παραυξήσεις τοῦ φαρμάκου τὴν δύναμιν. ἐὰν δὲ συμμέτρως ἔχειν ἅπαντα φαίνηται, φυλάξεις. ἡ μὲν οὖν τριπλάσιον ἔχουσα τὸν κηρὸν τοῦ εὐφορβίου σύνθεσις, ἰσχυροτάτη τῶν ἄλλων ἐστὶν, ἐπειδάν γε, ὡς εἴρηται, νέον ᾖ τὸ εὐφόρβιον. ἡ δὲ πενταπλάσιον, ἀσθενεστάτη. μέση δὴ ἀμφοῖν ἡ τετραπλάσιον ἔχουσα τὸν κηρὸν τοῦ εὐφορβίου. τὸ δὲ ἔλαιον, εἰ μὲν οἷα τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ἄκοπα χρίσματα βούλοιο ποιῆσαι, τετραπλάσιον ἐμβαλεῖς τοῦ κηροῦ. εἰ δ' οἵαν ἐπὶ τῶν καταγμάτων τὴν ὑγρὰν κηρωτὴν ἐργαζόμεθα, διπλάσιον. εἰ δὲ καὶ ξηρὸς, καὶ ἀλιπὴς ὁ κηρὸς εἴη, καὶ πλέον τοῦ διπλασίου. τοὐπίπαν δ' ἀρκέσει προσ- F θεῖναι μέρους ἑνὸς τὸ ἥμισυ τῷ διπλασίῳ, ὡς γενέσθαι τὸ πᾶν μέτρον τοῦ κηροῦ δυοῖν καὶ ἡμίσεος μερῶν. ἐμπλαστρῶδες δὲ ποιῆσαι βουληθεὶς τὸ φάρμακον, τῷ κηρῷ μίξεις τὸ ἴσον ἔλαιον. ἐὰν δὲ τὸ περιέχον ᾖ σύμμετρον κατὰ θερμότητα, ὅ, τε κηρὸς παλαιὸς καὶ αὐχμηρὸς, τό τε περιέχον ψυχρὸν, ὀλίγῳ πλέον, ὥσπερ γε καὶ ἐὰν ὅ, τε κηρὸς ᾖ λιπαρὸς, τό τε περιέχον θερμὸν, ἔλαττον ὀλίγῳ.

A τὸ δ' ὀλίγον τοῦτο, δωδέκατόν ἐστι μέρος ἐφ' ἑκάτερα τοῦ μέσου. καὶ γὰρ καὶ ἕνδεκα, καὶ δεκατρεῖς ἐλαίου οὐγγίας ποτὲ ἔμιξα τῇ λίτρᾳ τοῦ κηροῦ κατὰ τὸ ποσὸν τῆς τε συστάσεως αὐτοῦ, καὶ τῆς τοῦ περιέχοντος θερμότητός τε καὶ ψύξεως. σπανίως δὲ βραχεῖ πλέον, ἢ ἔλαττον· ἵνα δ' ἐπίδεσιν ἔχῃ, καὶ λιπαρότητα, καὶ γλισχρότητα, καὶ μὴ ψαθυρὸν ᾖ, μηδ' εὐδιάλυτον, μηδ' εὐαπόπτωτον τοῦ χρωτὸς τὸ σκευασθέν, ἐπέμιξα ῥητίνης αὐτῷ, μάλιστα μὲν εἰ παρείη τερμινθίνης ἀληθοῦς. εἰ δὲ μή, τῆς γε εὐπορωτάτης, ἣν ὀνομάζουσι φρυκτήν τε καὶ κολοφωνίαν. ἔστω δ' ἴσος αὐτῆς ὁ σταθμὸς τῷ κηρῷ. φυλάττει γὰρ οἷς ἂν ἐμβληθῇ B φαρμάκοις τὴν προϋπάρχουσαν σύστασιν, ὅταν γε καὶ αὐτὴ συμμέτρως ἔχῃ. πρόδηλον γὰρ ὅτι καθάπερ ἐν ἅπασι τοῖς ἄλλοις, οὕτω κἂν τῇ ῥητίνῃ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν. ἐὰν οὖν ποτε φαίνηται λιπαρωτέρα τε καὶ ὑγροτέρα, γινώσκειν χρὴ τὴν ἐκ τοῦ κηροῦ τετηκότος ἐλαίῳ γενησομένην κηρωτήν, ἑαυτῆς ὑγροτέραν ἐσομένην. ὅλως δ' ἐπὶ νευροτρώτων, ὅταν ἁμαρτάνηταί ποτε τῆς ἀκριβοῦς τε καὶ μέσης συστάσεως τῶν ἐμπλαστρωδῶν φαρμάκων, ἐπὶ τὸ μαλακώτερον ἄμεινον ῥέπειν, εἰ καὶ μολυνὸν ἔσεσθαι μέλλοι τὸ σκευασθέν. ὡσαύτως δὲ καὶ ἡ σύμμετρος τῇ συστάσει. πίττα δὲ φυλάττει τὴν τῆς κηρωτῆς σύστασιν. C ἀρίστη δ', ὡς ἔφην, εἰς τὴν τοιαύτην μίξιν ἡ λιπαρά, καθάπερ γε καὶ ἡ ῥητίνη. ἐὰν δ' ὑγρὰν ἐμβάλλῃς ῥητίνην, ὁποία κατὰ τὴν σύστασίν ἐστιν ἡ τερμινθίνη, τρίτον αὐτῆς μέρος εἶναι τοῦ κηροῦ προσήκει, καὶ αὐτῆς δὲ τῆς τερμινθίνης ἡ νέα πολὺ τῆς παλαιᾶς ἐστιν ὑγροτέρα. μέμνησθε τοίνυν ὅπερ ἐπὶ κηροῦ καὶ ῥητίνης ἠκούσατε, τοῦτο ἐπὶ πάντων φυλάττειν. οὐ γὰρ τῶν ξηρῶν καὶ αὐχμηρῶν, ἢ διὰ χρόνον, ἢ διὰ τὴν ἐξ ἀρχῆς φύσιν, ἀλλὰ τῶν συμμέτρων τῇ συστάσει τοσοῦτον ἑκάστου μικτέον ἐστὶν ἐν τῇ συνθέσει τῶν φαρμάκων, ὅσον ἂν ὑπ' ἐμοῦ γεγραμμένον εὑρίσκηται. ἔστω δὴ τὸ συμμέτρως ἔχον δυνάμεώς τε καὶ συστάσεως τοῦ προκειμένου φαρμάκου, κηροῦ μὲν, καὶ ῥητίνης D φρυκτῆς, καὶ ἐλαίου τὸ ἴσον ἔχειν, αὐτοῦ δὲ τοῦ εὐφορβίου τὸ ἕκτον, ὡς εἶναι λίτρας μὲν ἐκείνων ἑκάστου, τοῦ δὲ εὐφορβίου δύο οὐγγίας. εἰ δὲ μαλακώτερον αὐτὸ ποιῆσαι βουληθείημεν, ἀρκεῖ τὸ ὄγδοον μέρος ἐμβάλλειν τοῦ εὐφορβίου, τουτέστιν ℥ α'. καὶ ἡμίσειαν, ἐπὶ τοῦ νέου καὶ θερμοτάτου, καθότι προεῖπον εὐφορβίου, τῆς συμμετρίας ταύτης ὡρισμένης, ὡς ἐάν γε παλαιότερον ᾖ, καὶ διὰ τοῦτο ἀσθενέστερον, εἴρηται πρόσθεν, ὡς πλέον εἶναι προσήκει τοῦτο τῆς τῶν ἄλλων ἀναλογίας. εἰ δὲ μὴ μόνης ῥητίνης, ἀλλὰ καὶ πίττης ἐμβάλλειν ἐθελήσαιμεν, ἡμίλιτρον ἑκατέρας μίξομεν, ὡς εἶναι ἴσον τὸν σταθμὸν τῷ κηρῷ. E πολὺ δὲ κάλλιόν ἐστι τὸ φάρμακον, ἐὰν ἀντὶ τῆς ῥητίνης τε καὶ πίττης, πρόπολιν μίξῃ τις ἴσην τῷ κηρῷ. τὸ λιπαρὸν δ' οὐκ ἐχούσης αὐτῆς ὁμοίως ταῖς ῥητίναις, ἐὰν μὲν ἀνεπίδετον ἐθελήσωμεν εἶναι τὸ φάρμακον, ἐμβαλοῦμεν τῆς τερμινθίνης, ἢ τῆς λάρικος ὀνομαζομένης, ἢ καὶ τῆς συγκομιστῆς πευκίνης. ὀνομάζω δὲ συγκομιστὴν μὲν, ἣν ἐν τοῖς γλωσσοκομείοις τε καὶ κεραμείοις κομίζουσι, ξύλα τε πολλὰ καὶ λιθώδη σώματα καθ' ἑαυτὴν ἔχουσαν. ἐὰν δὲ τήξας αὐτὴν διηθήσῃς, καθαρὰ τότε γίγνεται, ὁμοίως αὐτῇ τῇ κολοφωνίᾳ, καὶ φρυκτῇ καλουμένῃ. καὶ τῶν αὐτορρύτων δὲ καλουμένων ῥητινῶν ἐγχωρεῖ μιγνύναι. καλοῦσι δ' αὐτὰς ἐν Λακεδαίμονι μὲν καὶ τισιν ἄλ- F λοις χωρίοις, πρωτορρύτους. ἐν Κιλικίᾳ δὲ καπνέλαιον ὀνομάζουσι τὴν τοιαύτην ῥητίνην, ἁπασῶν τῶν ὑγρῶν ῥητινῶν ὑγροτέραν τε καὶ θερμοτέραν, καὶ λεπτομερεστέραν οὖσαν, ὥστ' αὕτη μὲν συντελέσει τῇ τοῦ συντιθεμένου φαρμάκου δυνάμει. καὶ μάλιστ' αὐτὴν ἐμβάλλειν προσήκει, ὅταν ἄτονον ᾖ τὸ εὐφόρ-

Id autem minus duodecima vtroq; versum medij portio est, etenim & vndecim, & tredecim nonnunquam olei vncias ceræ libræ miscui, tum pro eius consistentiæ quantitate, tum aëris circunflui caloris, frigorisque. Rarò autem paulo plus, vel minus, verùm vt colligationem, pinguedinem, lentoremque haberet, nec friabile esset, aut facilè dissolueretur, aut à cute decideret, adiunxi resinã ei potissimum, si aderat, terebinthinam veram, sin minùs, paratissimam vbique, quam frictam, & colophoniam appellant, eamque pari cum ceræ pondere. Conseruat enim medicamentis, quibus iniecta est, priorem consistentiam, vbi & ipsa mediocriter habeat; quippe notum est, vt in omnibus aliis, sic in resina quoque, maioris minorisque rationem consistere. Itaque si pinguior, liquidiorque nonnunquam appareat, sciendum est ceratum, quod ex cera cum oleo liquata proueniet, liquidius multo, quàm fuisset, euasurum, summatim in neruorum vulneribus, quum interim ab exacta, mediaq; medicamentorũ emplastri modo confectorũ consistentia erratum fuerit, ad molliorem potius tendere, si inquinaturum quoque sit, quod confectum est; simili ratione, & quod consistentia mediocri est. Pix autem cerati consistentiam seruat; optima verò sicut dictum est, in talem mixturam pinguis existit, quemadmodum & resina. Si liquidam resinam iniicias, quali consistentia est terebinthina, tertiam ipsius partem ceræ esse oportet. Atque ipsa terebinthina recens, veteri longè est liquidior. Mementote igitur, quod de cera, & resina audiuistis, id in omnibus obseruare; nec enim ex siccis, & aridis, vel tempore, vel ex primaria natura, verùm ex mediocribus consistentia, tantum cuiusque miscendum est in medicamentorum compositione, quantum à me scriptum inueniatur. Esto igitur quod vim, & substantiam prædicti medicamenti mediocrem habet, ceræ, resinæ frictæ, & olei, pares portiones continere, ipsius euphorbij sextam, vt singulorum sit illorum libra, euphorbij vnciæ duæ. Quòd si mollius ipsum reddere voluerimus, octauam euphorbij partem iniicere sufficit, hoc est vnciam & dimidiam, in recente & calidissimo, velut præcensui, euphorbio symmetria hac definita; nam si vetustius sit, eoque imbecillius, copiosius hoc aliorum portione esse debere priùs indicauimus. At si non resinam duntaxat, imò etiam picem, iniicere est animus, selibram vtriusque miscebimus, vt modus ceræ sit æqualis; quanquam multo præstat medicamentum, si resinæ picisque loco, propolim ceræ parem adiungas. Quòd si ipsa pinguedinem non habeat, similiter resinis, si adhærens medicamentum, vt fasciis ligari non opus sit, esse curemus, terebinthinam, vel laricem nominatam, vel etiam syncomisten pineam, indemus; voco syncomisten, quã in alueis, & doliis cõportant ligna multa, ac lapidosa corpora in se habentem; quæ liquata, dum percolatur, pura tunc, sicut colophonia, & fricta dicta redditur. Quin & resinas autorrhytos, *sponte fluentes* dictas admiscere licet; nominant ipsas in Lacedæmone, ac aliis regionibus nonnullis, protorrhytos *primifluas*; in Cilicia verò nuncupant talem resinam capnelæon, liquidis omnibus resinis, tum liquidiorem, tum calidiorem, tum partibus tenuioribus præditam; quare potentiæ quidem hæc medicamenti, quod componis, conferet, ac maximè iniicienda, quum euphorbium roboris expers fuerit.

Porrò

Porrò & inter alias resinas odoratior est, sicut terebinthina, & abietina. Enimuerò dictum est antea terebinthina, abietinam esse calidiorem, hac verò strobilinam. Differt autem à prædictis resinis, quod vocatur strobilinum physema, & pityinum, adeò siccum, pinguedinis expers, arescensque vtrunque celeriter, vt in pila contundatur, & cribro secernatur; quare ad propositi medicamenti compositionem neutiquam hæc conueniunt. Vsus tamen sum frequentissimè, quum euphorbium anniculum existeret. Porrò dum componitur, olei, ceræ, resinæ frictæ singulorum libram j. misceto; picis pinguis selibram, & his liquefactis euphorbij vncias duas; si imbecillius sit, tres; si terebinthinam ceræ adiicere voles, vnam. Mediocrem medicamenti consistentiam facies, si cera terebinthinam liquidam, & recentem triplo superet. Huius verò exiccatæ temporis spatio resinæ dimidium pondus oleo adæquato. Totum autem ex tribus mixtum, oleo inquam, cera, & terebinthina, quum fit libræ vnius, ac semissis, euphorbij anniculi vnciam vnam accipiet; si tale non extiterit, vnam & semissem. Vnde sicut iam subinde dictauimus, euphorbium pro temporis ratione augere nobis est integrum. Quin etiam, si vulneri impositum medicamentum, primo vsu videatur quodammodo imbecillius, euphorbium oleo læuigatum medicamento emplastroso manibus ante subacto licet admiscere; sic enim nobis facientibus promptè vnitatem accipit. Cæterùm in prima medicamenti compositione satius est ceratum rasum, seorsum vbi præparaueris, ita læui facto euphorbio ex oleo admiscere; quippe iis, quæ liquata sunt, ipsi superfusis in mortario plerunque fiunt encerides nominatæ, præsertim ambiente frigido. Aquam verò ceræ liquefactæ cum resina committere non est necessarium, sicut ego ab initio factitabam, tantum ei admiscens, quantum in ipsa coctione consumendum erat.

A βιον. ἔστι δὲ καὶ τῶν ἄλλων ῥητινῶν εὐωδεστέρα, καθάπερ ἡ τερμινθίνη καὶ ἡ ἐλατίνη. λέλεκται δ' ἔμπροσθεν, ὅτι θερμοτέρα ἐστὶ τῆς τερμινθίνης ἡ ἐλατίνη, ταύτης δὲ ἡ στροβιλίνη. διαφέρει δὲ τῶν εἰρημένων ῥητινῶν τό τε στροβίλινον ὀνομαζόμενον φύσημα, καὶ τὸ πιτύϊνον, ξηρὸν καὶ ἀλιπὲς, καὶ αὐχμηρὸν ἑκάτερον ἐν τάχει γιγνόμενον, ὡς ἐν ὅλμῳ τε κόπτεσθαι καὶ διαττᾶσθαι κοσκίνῳ. διὰ τοῦτ' οὖν, ἄχρηστα μέν ἐστι ταῦτα πρὸς τὴν τοῦ προκειμένου σύνθεσιν φαρμάκου, συνεχέστατα δ' ἐχρησάμην, ὅταν ᾖ τὸ εὐφόρβιον αὐτοετές. τῇ δὲ συνθέσει τοῦ ἐλαίου, καὶ τοῦ κηροῦ, καὶ τῆς φρυκτῆς ῥητίνης, ἑκάστου λίτραν

B μίαν, ἡμίλιτρον δὲ τῆς λιπαρᾶς πίσσης. καὶ τούτοις τακεῖσιν, εὐφορβίου μίγνυμι δύο οὐγγίας. εἰ δ' ἀσθενέστερον εἴη, τρεῖς. εἰ δὲ τερμινθίνην ἐθέλοις μῖξαι τῷ κηρῷ, μόνην· εἰς σύμμετρον αὐξήσεις τοῦ φαρμάκου σύστασιν, ἐὰν τριπλάσιος ὁ κηρὸς ᾖ, τῆς τερμινθίνης ὑγρᾶς καὶ νέας οὔσης. ἐξηρασμένης δ' ὑπὸ χρόνου, μίξεις ἐλαίου τὸ ἥμισυ τοῦ σταθμοῦ τῆς τερμινθίνης. ὅλον δὲ τοῦτο τὸ ἐκ τῶν τριῶν μιχθὲν, τοῦ τ' ἐλαίου λέγω καὶ τοῦ κηροῦ, καὶ τῆς τερμινθίνης, ὅταν γένηται λίτρας μίας καὶ ἡμισείας τοῦ εὐφορβίου τοῦ αὐτοετοῦς προσλήψεται μίαν οὐγγίαν. εἰ δὲ μὴ τοιοῦτον εἴη, μίαν καὶ ἡμίσειαν. ἐξ ὧν γ' ἔμπροσθεν εἶπον ἤδη

C πολλάκις, ἔνεστιν ἡμῖν τὸ εὐφόρβιον αὔξειν ἀνάλογον τῷ χρόνῳ. καὶ μέντοι κἂν ἐπιτεθὲν τῷ τετρωμένῳ τὸ φάρμακον, ἐν τῇ πρώτῃ χρήσει φαίνηταί πως ἀσθενέστερον, ἔνεστιν ἐλαίῳ τὸ εὐφόρβιον λειώσαντα μιγνύειν αὐτὸ τῷ ἐμπλαστρώδει φαρμάκῳ προμεμαλαγμένῳ κατὰ τὰς χεῖρας, οὕτως γὰρ ποιούντων ἑτοίμως ἑνοῦται. κατ' αὐτὴν δὲ τὴν πρώτην σύνθεσιν τοῦ φαρμάκου, κάλλιόν ἐστιν τὴν κηρωτὴν ἐξυσμένην, ἰδίᾳ προκατασκευάσαντα μιγνύειν οὕτω τῷ λελειωμένῳ μετὰ τοῦ ἐλαίου εὐφορβίῳ. καταχυθέντων γὰρ αὐτοῦ τῶν τετηκότων ἐν τῇ θυίᾳ, αἱ καλούμεναι πολλάκις ἐγκηρίδες γίγνονται, καὶ μάλισθ' ὅταν

D ᾖ τὸ περιέχον ψυχρόν. ὕδατος δὲ βάλλειν τηκομένῳ τῷ κηρῷ μετὰ τῆς ῥητίνης οὐκ ἀναγκαῖον, ὡς ἐγὼ κατ' ἀρχὰς ἐποίουν ἐπιμιγνὺς αὐτῷ τοσοῦτον, ὅσον ἔμελλεν ἀναλίσκεσθαι κατ' αὐτὴν τὴν ἕψησιν.

CAPVT V.

Medicamentum ex liquabilibus confectum.

Liquabilia voco medicamenta, tum quæ ignis cõmercio colliquantur, tum quæ ex humidis quibusdã, velut aqua, aceto, & vino. Ex aceto itaq; citra ignẽ liquescit gutta ammoniaci, sagapeni liquor, & panacis similiter, quem appellatione composita opopanacem vocant. Igni verò liquescunt propolis, cera, resina, ladanum, seuum, galbanum, verùm hoc in duplici vase colliquare melius est. Nominamus autẽ sic, quũ in cacabo, qui aquã calidam habeat (prunis enim incumbit) vas alterum cõsistit, prȩter liquabilia etiam galbanũ continẽs. Habeto autem tale quoddam confectum medicamentum saltem vnum, & si duo habere præstaret; quorum validius erit huiusmodi. Opopanacem ex aceto dissolutum diutiùs conterito; huic postea liquefacta super igne propolim, galbanum, resinam terebinthinam, misceo. Singulorum itaque aliorum pars vna esto, propolis verò recentis pinguisque sex; quòd si sicca vetusque contigerit, præstat omnino tali non vti; at si aliam non habes, duas portiones, non vnam, miscebis. Sin absit propolis, eius loco picẽ pinguem immitte, qualis est brutia,

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὸ διὰ τῶν τηκτῶν συντιθέμενον φάρμακον.

Τηκτὰ καλῶ φάρμακα, τά τε διὰ πυρὸς ὁμιλίας τηκόμενα, καὶ τὰ δι' ὑγρῶν τινῶν, οἷον ὕδατος, ὄξους, οἴνου. δι' ὄξους

E μὲν οὖν, τήκεται πυρὸς χωρὶς ἀμμωνιακὸν θυμίαμα, καὶ σαγαπηνὸς ὀπὸς, ὅ τε τοῦ πάνακος ὁμοίως, ὃν ἐν συνθέτῳ προσηγορίᾳ καλοῦσιν ὀποπάνακα. διὰ πυρὸς δὲ πρόπολις, κηρὸς, ῥητίνη, λάδανον, στέαρ, χαλβάνη. βέλτιον δὲ ταύτην ἐπὶ διπλοῦ σκεύους τήκειν. ὀνομάζομεν δὲ οὕτως, ὅταν ἐν κακάβῃ θερμὸν ὕδωρ ἐχούσῃ, σκεῦος ἕτερον ἐνίσταται, μετὰ τῶν τηκτῶν ἔχον καὶ τὴν χαλβάνην, ὑποκαιομένης τῆς κακάβης. ἔστω δέ σοι καὶ τοιοῦτον ἐσκευασμένον τι φάρμακον, ἓν μὲν πάντως, ἄμεινον δὲ καὶ δύο. ἔσται δ' αὐτῶν, τὸ μὲν ἰσχυρότερον τοιόνδε. ὀποπάνακα διαλύσας ὄξει, λείωσον ἐπὶ πλέον, εἶτα τήξας ἐπὶ πυρὸς πρόπολίν τε καὶ

F χαλβάνην, καὶ ῥητίνην τερμινθίνην μῖξον τῷ ὀποπάνακι. τῶν μὲν οὖν ἄλλων ἑκάστου μέρος ἓν ἔστω, τῆς δὲ προπόλεως ἕξ, νέας τε καὶ λιπαρᾶς οὔσης. εἰ δὲ ξηρὰ καὶ παλαιὰ τύχοι, βέλτιον μὲν μηδ' ὅλως χρῆσθαι τῇ τοιαύτῃ. εἰ δὲ ἀπορήσῃς τῆς ἑτέρας, δύο μέρη μίξεις, οὐχ ἕν. εἰ δὲ μὴ παρείη σοι πρόπολις, ἀντ' αὐτῆς ἔμβαλλε λιπαρὰν πίτταν, οἵα ἐστὶν, ἥ τε Βρυτία, καὶ ἡ ἐκ τῶν κατὰ τ...

Πόντου χωρίων κομιζομένη, λιπαρά τε ἅμα καὶ εὐώδης, ἣν εἰς τὸ μέλαν ἀμαράκινον ἐμβάλλουσιν ὁποῖον ἔμπροσθεν ἅπαν ἐσκευάζετο. νυνὶ γὰρ καὶ χωρὶς αὐτῆς τὸ ὑπόλευκον ἀμαράκινον συντιθέασιν. εἰ δὲ καὶ τῆς τοιαύτης ἀπορείης, τῇ ἄλλῃ χρῶ, μετὰ τοῦ καὶ τὴν τερμινθίνην, ὡς εἴρηται, διπλασιάζειν. ἐγὼ δέ ποτε καὶ μόνον ἐπέθηκα τὸ διὰ τῆς λιπαρᾶς πίττης φάρμακον, ᾧ καὶ πρὸς τοὺς λυσσοδήκτους χρῶμαι. μόνην γὰρ τοῦτο τὴν λιπαρὰν ἔχει πίτταν ἡψημένην ἐν ὄξει δριμεῖ κατὰ συμμετρίαν τοιάνδε. ξέστης εἷς Ρωμαϊκὸς τοῦ ὄξους, μία δὲ λίτρα τῆς πίττης, τοῦ δὲ ὀποπάνακος, τὸ τέταρτον μέρος τῆς λίτρας, ὅπερ ἐστὶν 𐅻 γʹ. τοῦτο τὸ φάρμακον, οὐκ ἐᾷ τῶν λυσσοδήκτων συνουλωθῆναι τὸ ἕλκος. ἐπιτήδειον δέ ἐστι καὶ τοῖς νενυγμένοις νευρῶδές τι μόριον, οὐκ ἐῶν μύσαι τὸ στόμιον τοῦ νύγματος. ἀλλ᾽ ἐπεὶ σκληρόν ἐστιν, ἐπὶ μόνων τῶν σκληρῶν σωμάτων αὐτῷ χρηστέον, ὁποῖα τά τε τῶν σκαπανέων εἰσὶ καὶ θεριστῶν. εἰ δὲ μόνον ὑμῶν τινι παρείη τοῦτο, τοῦ νενυγμένου, παιδὸς ὄντος, ἢ γυναικὸς, ἢ ἁπαλοσάρκου τινὸς, ἔνεστι τήκειν αὐτὸ, μετά τινος τῶν διαφορητικῶν μύρων, ἀμαρακίνου τε καὶ ὀποβαλσάμου μάλιστα. δεύτερον δὲ ἰρίνου καὶ Κομμαγηνοῦ. μὴ παρόντων δὲ τούτων, λευκίνου τε καὶ σουσίνου, καὶ κυπρίνου. καὶ τούτων δ᾽ ἀπορῶν, ἐλαίῳ τῆξον αὐτὸ παλαιῷ, ἢ εἴπερ ἐν Ἀλεξανδρείᾳ τύχοις ὤν, κικίνῳ τε καὶ ῥαφανίνῳ, πλεῖστα γὰρ ταῦτα κατ᾽ ἐκείνην τὴν πόλιν ἐστὶν, ὥσπερ γε καὶ καθ᾽ ὅλην τὴν Αἴγυπτον. οὐ χαλεπῶς δ᾽ εὑρισκόμενον ἐν τοῖς χωρίοις ἐκείνοις ἐστὶ καὶ τὸ σινάπινον ἔλαιον, οὗ καὶ αὐτοῦ μίξας ποτὲ μέρος, εὔδηλον ὅτι δριμύτατον ἐργάσῃ φάρμακον, ὡς πρὸς τὸ διανοίγειν τὰ μεμυκότα νύγματα. πρόδηλον δ᾽ ἐστὶν ἐκ τῶν εἰρημένων, κἂν σαγαπηνὸν ἀντὶ ὀποπάνακος ἐν θυίᾳ δι᾽ ὄξους προλειώσας, ἐπιχέοις αὐτῷ τετηκυῖαν ῥητίνην καὶ πρόπολιν, καὶ στέαρ τι τῶν δριμυτέρων, ἐκ ταὐτοῦ γένους ἔσται τὸ φάρμακον. ἕτερον δὲ μαλακώτερον γένος τῶν τηκτῶν ἐστι φαρμάκων, ὄξους δ᾽ οὐκ ἔχον, ὃ διὰ τῶν ῥητινῶν, καὶ προπόλεως, καὶ στεάτων σκευάζεται μόνον, ἐπεμβαλλομένου καὶ κηροῦ διὰ τὴν σύστασιν, εὐαφέστερον γὰρ ἐκ τῆς μίξεως αὐτοῦ γίγνεται τὸ φάρμακον. ἔστω δὲ λεπτομερές τε καὶ δριμὺ τὸ στέαρ, ὁποῖόν ἐστι τὸ λεόντειον, καὶ παρδάλειον, ὑαίνης τε καὶ ἄρκτου μετὰ ταῦτα. περὶ δὲ τοῦ χηνείου τί δεῖ καὶ λέγειν, καὶ μάλιστα ὅταν ἐξ ἀγροικίας ὦσιν οἱ χῆνες; ἀλλὰ καὶ τὸ τοῦ ταύρου παλαιωθὲν, ἐπιτήδειον εἰς ταῦτα, καὶ τὸ τοῦ τράγου, μικτῆς γὰρ ὄντα φύσεώς τε καὶ δυνάμεως, ἐπειδὴ γεώδη τέ ἐστι καὶ δριμέα, τῷ χρόνῳ πρὸς τὸ δριμύτερον ἀποκλίνει, παραπλησίως δηλονότι τοῖς πλείστοις τῶν παλαιουμένων. οὕτω γάρ τοι καὶ αὐτὸ τὸ χοίρειον στέαρ ἁπάντων ὂν μαλακώτατον, ἐν τῷ χρόνῳ δριμύτητα προσκτᾶται. ταὐτὸν δὲ τοῦτο, καὶ οἶνος καὶ ὄξος, καὶ μέλι πέπονθεν. ἐν δὲ τῷ γένει τῷδε τῶν φαρμάκων, εἰσὶ καὶ οἱ μυελοί. κάλλιστος δ᾽ αὐτῶν, ὅ, τ᾽ ἐλάφειός ἐστι καὶ ὁ μόσχειος, πυτίαι δριμύτεραι τῶνδε. καὶ πλησίον ἤδη τοῦ σφοδροτέρου γένους τῶν φαρμάκων εἰσίν. ἔχειν οὖν ὑμᾶς ἀξιῶ καὶ τῶν τοιούτων τι φαρμάκων, ἵνα ὅταν ὑπό τινος τῶν ἰσχυρῶν φαρμάκων, ἀμετρότερον δηχθὲν, ἀγανακτήσῃ τὸ τετρωμένον μόριον, ἐλαίῳ προκαταντλήσαντες αὐτὸ τῶν τοιούτων τινὶ σκεπάζητε. παρηγορηθέντος γὰρ οὕτως αὐτοῦ, πάλιν ἐπὶ τὴν ἀγωνιστικὴν ἀγωγὴν ἐπανελθεῖν ἔξεστιν. ἐγὼ γοῦν ἐπιλυθέντος ποτὲ τοῦ νευροτρώτου μορίου, θεασάμενος ἠρεθισμένον τὸ τραῦμα, παρόντος κατὰ τύχην ὑγροῦ φαρμάκου, τοῦ διὰ τῶν στεάτων ὠτικοῦ, θερμήνας ἐπ᾽ ἀγγείου διπλοῦ, τοῦτο κατὰ τοῦ πεπονθότος ἐπιθεὶς μορίου, ταχίστην ὠφέλειαν ἐξ αὐτοῦ γενομένην εἶδον αὐτῇ τῇ τοῦ κάμνοντος αἰσθήσει, παραχρῆμα γὰρ ἀνώδυνος ἐγένετο, καὶ μετὰ ταῦτα λυσάντων ἡμῶν αὐτὸ, κατὰ φύσιν ἔχειν ἐφαίνετο.

A & quæ ex regionibus circa Pontũ apportatur, pinguis simul & odorata, quam in nigrũ amaracinum iniiciunt, quale prius omne cõficiebatur; nũc enim & sine ea subalbidũ amaracinũ componunt. Quòd si tali etiam careas, alia vtitor terebinthina, sicut prædiximus, duplicata. Ego nonnunquam, vel solùm medicamentum ex pingui pice confectũ imposui, quo etiam ad canum morsus vtor. Hoc namque solã picem pinguem, ex aceto acri coctam huiusmodi symmetria continet. Sextarium vnũ Romanum aceti, lib. j. picis, opopanacis quadrãtem, quod est vnc. iij. Hoc medicamentum vlcus ex rabiosi morsu cicatricem ducere non sinit, sed punctis in neruosa aliqua particula idoneum est, quippe quòd puncturæ oras conniuere nequaquã permittat. Quoniam verò durum est, in duris solùm corporibus eo vtemur, qualia sunt fossorũ, & messorum. Sin autem puero, vel muliere, vel molliore corpore puncto, hoc tantùm quispiam vestrũ præsens habeat, idẽ cum vnguento aliquo discussorio, amaracino maximè, & opobalsamo, colliquare licet, deinde cum irino, & comageno; hęc si non adsint, gleucino, susino, & cyprino; his quoque desideratis, oleo veteri liquefaciat, vel si in Alexandria fortè fuerit, ricinino & raphanino; hæc siquidem copiosissima in illa ciuitate habentur, sicut etiam in vniuersa Ægypto. Atqui in illis regionibus sinapinum oleum haud ęgrè reperiri potest, cuius & ipsius parte aliquando mixta medicamentum acerrimum fore nemo ambigit, vt ad puncturas conniuentes aperiendas conducat. Patere autẽ cuilibet arbitror ex prędictis, si & loco opopanacis sagapeno priùs in pila ex aceto trito liquefactam resinam, propolim, & adipem quampiam acriorem adiicias, eiusdem generis medicamentum futurum. Alterum verò mollius est genus medicamentorum liquabilium, sed acetum non habet, quod resinis, & propoli, & seuis tantùm præparatur, cera quoque propter spissitudinem adiecta, ex cuius mixtura medicamentũ tactui cõmodius redditur. Adeps porrò tenuium partium, acrisq; esto, sicut leoninus, & pardalinus, & post hos hyænæ, & vrsi. Sed de anserino quid attinet dicere, præsertim quum anseres rusticæ fuerint? Quin & tauri vetustus adeps, & hircinus huc conuenit; nam quum mixtæ naturæ, ac facultatis existant, temporis interuallo (quia terrestres acresque sunt) ad maiorem acrimoniam declinant, similiter videlicet plurimis, quæ vetustescunt; sic namque & ipse porcinus adeps omnium quum sit mollissimus, tẽporis processu acrimoniam acquirit. Idem vino, aceto, & melli accidit. In horum autẽ medicamentorũ genere sunt etiam medullæ, longè verò præstat ceruina, & vitulina. Horũ acrius coagulum, & iam vehementiori medicamentorũ generi propinquum existit. Itaq; & huiusmodi aliquod medicamenti habere te cõsulo, vt quũ à forti aliquo medicamento supra modũ morsam partẽ vulneratã indignatam offenderis, oleo prius fotam huiusmodi quopiam cõtegas, sic namque placata ea, rursus ad acrem curandi modũ redire poteris. Ego itaq; dum partẽ in neruo vulneratam quandoq; soluissem, vulnus irritatum cõtemplatus, medicamentũ liquidũ fortè fortuna pręsens, quod ex adipe constat, ad aures inscriptum, in vase duplici calefactum, affectæ particulæ illeui, ac subitò inde auxilium ipso ęgrotantis sensu accessisse percepi; quippe statim omnis dolor quieuit, atque inde à nobis soluta secundum naturam habere visa est.

CAP.

A

CAPVT VI.

De medicamento ex columbarum stercore confecto.

COlumbarum in rusticorum turribus agentium stercus acre est, quo interdum ruri vsus sum in adolescente nerui vulnere affecto. Atque hoc agricola quum vidisset, qui fundi curam gerebat (erat enim non imprudens) imitatus semper vsurpat, & neruis vulneratis medetur. Porrò compositio, & vsus idem est medicamento ex euphorbio, aliis nimirum eodem modo habentibus, sed euphorbij loco stercore indito. Verùm stercus hoc subtilitate euphorbio cedit, eoque duris corporibus in agris ex vsu est. Miscui aliquando ipsum, & metallicis experiundi gratia, statim à principio cum eis terens ex aceto ad Solem, sicut nuper docui, multoque acrius medicamentum euasit, quemadmodum & quum æruginem viuam, idest, non combustam, acceperit.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τοῦ διὰ κόπρου περιστερῶν συντιθεμένου φαρμάκου.

ΤΩν ἐν τοῖς ἀγροικικοῖς πύργοις περιστερῶν, ἡ κόπρος ἐστὶ δριμεῖα, καί ποτε αὐτῇ κατ᾽ ἀγρὸν ἐχρησάμην, ἐπὶ νευροτρώτου νεανίσκου. καὶ τοῦτο θεασάμενος ὁ προνοούμενος τοῦ χωρίου τούτου γεωργὸς, ἦν γὰρ οὐκ ἀσύνετος, ἀπομιμησάμενος, ἀεὶ χρῆται καὶ θεραπεύει τοὺς τρωθέντας τὰ νεῦρα. ἔστι δ᾽ ἥ τε σύνθεσις, καὶ ἡ χρῆσις ἡ αὐτὴ τῷ διὰ εὐφορβίου φαρμάκῳ. τῶν ἄλλων ὡσαύτως ἐχόντων, ἀντὶ δὲ τοῦ εὐφορβίου τῆς κόπρου βαλλομένης. λείπεται δὲ ἡ κόπρος αὕτη τοῦ εὐφορβίου τῇ λεπτομερείᾳ, καὶ διὰ τοῦτο ἐν ἀγροῖς ἐπὶ σωμάτων σκληρῶν ἐστι χρήσιμος. ἔμιξα δέ ποτε αὐτὴν καὶ τοῖς μεταλλικοῖς ἕνεκα πείρας, εὐθὺς ἀπ᾽ ἀρχῆς συντρίβων αὐτοῖς δι᾽ ὄξους ἐν ἡλίῳ, καθάπερ ἀρτίως εἶπον. καὶ πολὺ δριμύτερον ἐγένετο τὸ φάρμακον, ὥσπερ καὶ ὅταν ἰὸν ἄκαυστον λάβῃ.

B

CAPVT VII.

De medicamento ex herbis composito.

INsuper ex herbis tenuium partium ad neruos vulneratos medicamentũ composui, initio quidem ex dictamno, amaraco, & aristolochia tãtùm, postea verò, & ex aliis, mei ipsius periculũ faciens, an rectè compositionem ipsorum coniectura assequerer; atque omnia, quò volebam, perduxi. Idoneæ verò ad id herbæ amaritudinẽ sine astrictione gustu referant, vel acrimoniam quidem, non tamen immodicam; tales sunt pręter prædictas, maron, amaracum, polium, argemone, chamæpitys, centaurium, quæque eius notæ in simplicium medicamentorũ doctrina cõmemoratæ sunt, quemadmodũ etiam radices omniũ aristolochiarũ, dracunculi, cucumeris agrestis, bryonię, althęæ, iridis, acori, mei, asari, phu, gentianę, & panacis; omnium enim id genus materiam in simplicium medicamentorum commentariis exposui. At radices herbasq; totas non modo scire oportet accuratè contusas tenuibus cribris secernere, sed etiam denuò exactè læuigare, vt arida collyria, quousq; in puluerem redigantur. Nam quod crassis constat partibus, neruos vulneratos nihil iuuat, qui subtilia, vt diximus, medicamenta requirunt. Cæterũ concisum medicamentum læuigatumq; liquido aliquo excipiatur cerati speciem habente, ea symmetria quæ in euphorbio priùs indicata est. Quantũ enim in illo bimuli euphorbij, tantum iis dictamni, mei, & acori, iniiciendum est, & quæ his similiter calida gustu percipiuntur; quantum verò illis trimuli, tantum his aristolochiæ, iridis, dracunculi, gentianæ, aliorumque id genus, quæ perinde, atque hæc amara sunt, immittemus.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ διὰ βοτανῶν συντιθεμένου φαρμάκου.

C

ΚΑὶ διὰ τῶν λεπτομερῶν βοτανῶν, πρὸς τοὺς νευροτρώτους συνέθηκα φάρμακον, ἐν ἀρχῇ μὲν διὰ δικτάμνου καὶ ἀμαράκου, καὶ ἀριστολοχίας μόνον, ὕστερον δὲ καὶ διὰ ἄλλων ἐμαυτοῦ πειρώμενος, εἰ καλῶς στοχάζομαι τῆς συνθέσεως αὐτῶν, καὶ πάντα τοῦ τέλους ἔτυχον. αἱ δ᾽ ἐπιτήδειοι πρὸς τοῦτο βοτάναι πικραὶ γευομένῳ ἔστωσαν ἄνευ στύψεως, ἢ δριμεῖαι μὲν οὐ μὴν ἀμέτρως γε. τοιαῦται δ᾽ εἰσὶ πρὸς ταῖς εἰρημέναις, τό τε μάρον καὶ τὸ ἀμάρακον, καὶ τὸ πόλιον, ἀργεμώνη τε καὶ χαμαίπιτυς, καὶ κενταύρειον, ὅσας τ᾽ ἄλλας ἐν τῇ τῶν ἁπλῶν φαρμάκων διδασκαλίᾳ διῆλθον, ὥσπερ καὶ αἱ ῥίζαι τῶν τε ἀριστολοχιῶν ἁπασῶν, καὶ δρακοντίου, καὶ σικύου ἀγρίου, καὶ βρυωνίας, καὶ ἀλθαίας, καὶ ἴρεως, ἀκόρου τε καὶ μήου, καὶ ἀσάρου καὶ φοῦ, καὶ γεντιανῆς, καὶ πάνακος. πάντων γὰρ ἔχετε τῶν τοιούτων τὴν ὕλην ἐν τοῖς τῶν ἁπλῶν φαρμάκων ὑπομνήμασιν. οὐ μόνον δ᾽ ἐπίστασθαι χρὴ τάς τε ῥίζας καὶ ὅλας τὰς βοτάνας, κόπτοντας ἀκριβῶς, διαττᾶν λεπτοτάτοις κοσκίνοις, ἀλλὰ καὶ λειοῦν αὖθις ἐπιμελῶς, ὡς τὰ ξηρὰ κολλύρια, μέχρι τοῦ χνοώδη γενέσθαι. τὸ παχυμερὲς γὰρ, οὐδὲν ὀνίνησι τοὺς νευροτρώτους, δεομένους φαρμάκων, ὡς εἴρηται λεπτομερῶν. ἀναλαμβανέσθω δὲ κηρωτοειδεῖ τινι τὸ διατμηθέν τε καὶ λειωθὲν συμμετρίᾳ τὴν ἀναλογίαν ἐχούσῃ, τὴν προειρημένην κατὰ τὸ εὐφόρβιον. ὅσον γὰρ ἐν ἐκείνῳ τοῦ διετοῦς εὐφορβίου, τοσοῦτον ἐν τούτοις δικτάμνου τε, καὶ μήου, καὶ ἀκόρου βλητέον, ὅσα τ᾽ ἄλλα τούτοις ὁμοίως ἐστὶ θερμὰ γευομένοις. ὅσον δ᾽ ἐν ἐκείνοις ἐστὶ τοῦ τριετοῦς, τοσοῦτον ἐν τούτοις, ἀριστολοχίας, ἴρεως τε καὶ δρακοντίου, καὶ γεντιανῆς, ὅσα τ᾽ ἄλλα παραπλησίως τοῖσδε πικρά ἐστιν.

D

E

CAPVT VIII.

De sumptuosis medicamentorum confecturis, ad neruos vulneratos.

NOn ab re fuerit etiã eiusmodi medicamenta cognoscere; vsus enim ipsorũ quãdoque, sed rarius incidit, queadmodũ simpliciorũ frequẽter. Vbi enim quispiã medicamentorũ medicinæque studiosus, non plura quingẽtis myriadibus habẽs,

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν πολυτελῶν σκευασιῶν τῶν πρὸς τοὺς νευροτρώτους φαρμάκων.

F

ΟΥκ ἄχρηστον ἂν εἴη, καὶ τὰ τοιαῦτα ἐπίστασθαι φάρμακα. χρεία γὰρ αὐτῶν ποτε γίνεται σπανιώτερον, ὥσπερ τῶν εὐτελῶν πολλάκις. ὅπου γάρ τις, οὐ πλείους ἔχων πεντακοσίων μυριάδων, ἀνὴρ φιλοφάρμακός τε καὶ φιλίατρος,

οὐδενὶ τῶν εὐτελῶν ἠξίου χρῆσθαι, πολὺ μᾶλλον, ἤτοι πλούσιός τις, ἢ καὶ μόναρχος, εὐῶδές τε ἅμα καὶ πολλοῦ σκευαζόμενον ἀργυρίου βουληθήσεται τοιοῦτον ἔχειν φάρμακον. τοῦ δὲ ἱστορηθέντος μοι πλουσίου κατὰ τὸ πρῶτον τῶν περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως μέμνημαι χωρὶς ὀνόματος, ὥσπερ καὶ νῦν, ὁποῖός τις ἦν, ἐκ δυοῖν αὐτοῦ τοιῶνδε μαθήσῃ πράξεων. ἕλκος οἰκέτου κακόηθες ἐπειρᾶτο θεραπεύειν αὐτός. ὡς δὲ οὐδὲν ἤνυσεν, ἐνεχείρισεν ἐμοὶ τὸν ἄνθρωπον, ἰδών τε θεραπευθέντα, τοῦ φαρμάκου τὴν γραφὴν ᾔτει, μὴ γιγνώσκων πολλὰς μὲν εἶναι διαφορὰς τῶν κακοήθων ἑλκῶν, πολλὰς δὲ τῶν φαρμάκων, ἀλλ' οἰόμενος ἓν φάρμακον δύνασθαι θεραπεύειν ἅπαντα μὴ γιῶ μήτε τεχνικῶς αὐτῷ χρωμένου τοῦ προσφέροντος, ὡς ἤκουσεν ἐκ τίνων συνέκειτο, καὶ ἦν ἅπαντα εὔωνα, τοῦτο μὲν ἔφη τοῖς προσαίταις φύλαττε, τῶν πολυτελεστέρων δέ τι δίδαξόν με. καὶ μέντοι καὶ παιδαρίου χρονίαν ἐν ὠσὶ διάθεσιν ἔχοντος, ὡς αὐτὸς ἐπὶ πολλοῖς οἷς ἐχρήσατο φαρμάκοις, ἄνευ μεθόδου μηδὲν ὤνησεν, ἐμοὶ κἀκεῖνο τὸ παιδάριον ἐκέλευσε προσαχθῆναι θεραπευθησόμενον. ὕστερόν τε γνοὺς αὐτὸ διά τινος τῶν ἐπιτυχόντων θεραπευθὲν, οὐκ ἠξίωσε λαβεῖν τοῦ φαρμάκου τὴν γραφήν. οὗτος τοίνυν αὐτὸς ἑωρακὼς πολλὰς τῶν νευροτρώτων, ἀποκοπέντας τε δακτύλους καὶ σαπέντας, ἐνίους δὲ καὶ τελευτήσαντας, ἢ κυλλωθέντας, εἶτα γνοὺς, ὅτι μηδεὶς ἐκινδύνευσε τῶν ὑπ' ἐμοῦ θεραπευθέντων, ἅπαντες δὲ διὰ ταχέων ὑγιεῖς ἐγένοντο, φάρμακον ἠξίου τι παρ' ἐμοῦ λαβεῖν, εὔπνουν τε ἅμα καὶ πολυτελὲς, ᾧ τοὺς νευροτρώτους δυνήσεται θεραπεύειν. ἐγὼ δὲ πολλὰς ἤδη πολλάκις ἐδεδώκειν ἑταίροις τε καὶ φίλοις ἰατροῖς γραφὰς αὐτοσχεδίους, κατὰ τὴν προγεγραμμένην μέθοδον, ὅπως ὑπὸ τῶν ἐκβάσεων ὁ τῆς συνθέσεως αὐτῶν λόγος βεβαιῶται. πολυτελὲς δ' οἷον ἐκεῖνος ἐβούλετο, πένησιν ἀνθρώποις οὐκ ἂν ἔδωκα, νομίζων ἄμεινον εἶναι διὰ τῶν εὐπορίστων γίγνεσθαι τὰς ἰάσεις. ὡς οὖν ὁ πλούσιος ἠξίωσεν εὔπνου τε καὶ πολυτελοῦς φαρμάκου λαβεῖν τινα σύνθεσιν, ἔδωκα πλείους αὐτῷ γραφὰς, κατὰ τὴν προειρημένην μέθοδον ποιήσας ὧν πειραθῆναι σπεύδων ἐκεῖνος, ἐκέλευσε τοῖς ἐλευθέροις τε καὶ δούλοις ἀναζητεῖν αὐτῷ νευροτρώτους. ἐνεργησάντων δὲ τῶν φαρμάκων ὑπὲρ ἅπασαν ἐλπίδα, πρῶτον μὲν ἐπήνεσεν, ὡς ἀφθόνως αὐτῷ κοινωνήσαντά με τῶν γραφῶν, εἶτα καὶ δώροις ἐτίμησε, καὶ γὰρ ἦν ἕτοιμος, καὶ εἰς τὰ τοιαῦτα. τῶν δοθέντων δ' αὐτῷ φαρμάκων ἡ σύνθεσις ἦν τοιάδε. ℞. κινναμώμου, δικτάμνου, καὶ μάρου ἀνὰ ἑκάστου δραχμὰς μ'. καὶ γὰρ εὐώδη καὶ λεπτομερῆ ταῦτ' ἐστί. τὸ δὲ ἀμάρακον, ὡς οὐκ εὐῶδες, ἐνενόησα μηδ' ὅλως μιγνύειν. εἶτ' ἐπεὶ δυσπόριστον ἦν ἐν Ῥώμῃ, καθάπερ καὶ τὸ μάρον, ἑώρων δὲ ἐκεῖνον χαίροντα τοῖς δυσπορίστοις, ὥσπερ γε καὶ τοῖς πολυτελέσι, προσέθηκα τῇ γραφῇ κἀκείνου βραχύ τι μέρος ἑνὸς, ὡς οἶμαι τέταρτον, ἢ πέμπτον. ταῦτα κοπέντα καὶ σηθέντα λεπτοτάτῳ κοσκίνῳ, μιγνύειν ἐκέλευσα κηρωτῇ, δι' ὀποβαλσάμου τοῦ ἀρίστου, καὶ κηροῦ Τυρρηνικοῦ. σύμμετρον δ' ἐστοχασάμην εἶναι, τοῦ κηροῦ μὲν ὀκτὼ ποιήσασθαι μέρη, τοῦ δὲ ὀποβαλσάμου δέκα. χάριν δὲ τοῦ μὴ ψαθυρὸν εἶναι τὸ φάρμακον, ἀλλ' ἡνωμένον πως ἑαυτῷ, καὶ τῆς τερμινθίνης ῥητίνης ἔμιξα μέρος ἓν οὔσης καὶ αὐτῆς εὐώδους, ὅταν ᾖ καλλίστη. γενναιότερον δ', ὡς ἔφην, εἰ βούλοιο ποιῆσαι τὸ φάρμακον, οὐχ ἓν μέρος ἑκάστης τῶν εἰρημένων βοτανῶν ἐμβάλλῃς, ἀλλὰ πλέον, ὡς ἓν καὶ ἥμισυ γενέσθαι. τοῦτ' οὖν ὑπὸ τῆς πείρας ἐμαρτυρήθη τὸ φάρμακον.

A vllo simpliciore vti dedignabatur, multo magis, vel diues aliquis, vel Monarcha, odoratum simul, & quod multa constet pecunia, volet habere medicamentum. Porrò diues citatus, cuius in primo de præcognitione ex pulsibus suppresso nomine memini, quemadmodum & nunc, qualis erat, ex duabus ipsius actionibus huiusmodi condisces. Vlcus famuli malignum ipse sanare conabatur; vbi autem nihil promouit, mihi hominem tradidit, ac quum videret curatum, medicamenti scripturam postulabat, nesciens multas quidem malignorum vlcerum esse differentias, multas item medicamentorum, sed arbitratus vnum B medicamentum omnibus posse mederi. Quum igitur, qui applicabat, neque artificiosè ipso vteretur, postquam audiuit, quibus constaret, essentque omnia vilis pretij, hoc, inquit, mendicis serua, me autem sumptuosius aliquod doceto. Quin etiam puellum diu ex auribus laborantem, vbi ipse multis, quibus vsus erat medicamentis citra methodum, nihil attulisset præsidij, nobis quoque curandum adduci præcepit; posteaque audiens re quadam vili puerum sanatum, non postulauit à me medicamenti scripturam. Hic igitur ipse contemplatus, multis, quibus nerui vulnerati erant, digitos & abscissos, C & putrefactos, quosdam verò periisse, vel mancos redditos; deinde intelligens nullum ex eis, qui à me curati essent, periclitatum, omnes verò celeriter sanos euasisse; medicamentum cupiebat aliquod à me accipere odoratum simul, & sumptuosum, quo neruorũ vulnera posset sanare. Ego sanè multas iam sępe, tum familiaribus tum amicis medicis scripturas iuxta prædictam methodum ex tempore compositas tradideram, vt experimentis compositionis ipsorum ratio confirmaretur; sumptuosum verò, cuiusmodi ille volebat, pauperculis hominibus nullum vtique dedi, ratus melius esse remedia ex paratu facillimis componi. D Cum igitur diues ille odori, sumptuosique medicamenti cõpositionem aliquam sibi dari petisset, plures ei scripturas donaui prædicta methodo factas; quas ille cùm experiri festinaret, tum liberis, tum seruis, neruis vulneratos sibi conquirere iniunxit; medicamentis autem supra omnẽ spem operatis primùm sanè me laudauit, vt qui citra inuidiam, ac liberaliter scripturas ei communicauerim, postea etiam donis prosequutus est; etenim ad huiusmodi quoque officia promptus erat. Porrò medicamentorum, quæ ei dederam, confectura est talis. ℞. cinnamomi, dictamni, mari, E singulorum drach. xl. Hęc namq; odorata sunt & tenuium partium. At amaracum quasi non boni odoris nequaquã miscere cogitaui; deinde quoniam Romæ ægrè poterat inueniri, sicut & marum; videbam autem illum ægrè parabilibus gaudere, quemadmodũ & sumptuosis; apposui scripturę etiam illius pauxillum quiddam partis vnius, vt puto quartam, vel quintam portiunculam. Hęc contusa, cribroque subtilissimo secreta, miscere iussi cerato ex opobalsamo optimo, & cera tyrrhenica facto; cõmodum verò esse conieci, si ceræ partes octo, opopalsami decem, receperit. At ne friabile F medicamentũ foret, sed sibi cohærẽs vnitumque, etiam resinæ terebinthinæ, quæ & ipsa est odorata, modò sit optima, partẽ vnam adieci. Verùm si generosius, vt dixi, medicamentũ facere proponas, non vnam cuiusque herbæ cõmemoratæ partem immittas, sed amplius, vt vna & semis fiat. Hoc igitur ab experientia probatum est medicamentum.

Alterum

Alterum præterea ex eodem cerato, & liquore Cyrenæo compositum, mixtura proportione euphorbij facta. Tertiumque aliud ex ambobus mixtis cõfectum. Quartũ deinde, quod stacten myrrham accepit. In quibus autem neruus nudus est, ibi ceratum ex cera, quæ myrepsice, idest, *vnguentaria* vocatur, & vnguentis apud Romanos dictis spicato, & foliato, composui, duodecimam partem pompholygis ei admiscens, siue eloti masculino genere, siue elotæ fœminino, malis dicere, nihil enim quomodocunque dicas, vel præsidij, vel nocumenti medicamento afferes. Licet autem tibi & ex tyrrhenica cera ipsum præparare. Nec prohibet quicquam, sine prædictis vnguentis tyrrhenicam ceram ex nardo proba liquefacere, in duplici nempe vasculo, quod in omnibus vnguentis commune est. At raso cerato, spicæ nardi, amomi, folij malabathri, & pompholygis eloti, pares singulorum portiones miscebis. Etenim in puncturis, sicut prædictum est, acrioribus medicamentis est opus, quæ vulnus apertum perpetuò seruent; denudatis autem, mediocri astrictione cum digerendi virtute absque morsu prædita afferre conuenit. Quanquam & amomum astrictionis sit aliquatenus particeps, magis autem ipso nardi spica, & malabathri folium.

A ἕτερον δὲ δεύτερον ἐπ' αὐτῷ, διὰ τῆς αὐτῆς κηρωτῆς, καὶ ὀποῦ τοῦ Κυρηναίου συντεθὲν, κατὰ τὴν αὐτὴν ἀναλογίαν τῷ εὐφορβίῳ τῆς μίξεως γινομένης, ἄλλο τε τρίτον ἐκ τῆς μίξεως ἀμφοῖν συντεθὲν, καὶ τὸ τέταρτον ἐπ' αὐτοῖς τὸ στακτῆς σμύρνης προσλαβόν. ἐφ' ὧν δὲ γυμνόν ἐστι τὸ νεῦρον, ἐπὶ τούτων τὴν μὲν κηρωτὴν ἐκ κηροῦ τοῦ καλουμένου μυρεψικοῦ, καὶ μύρων τῶν παρὰ Ῥωμαίοις ὀνομαζομένων σπικάτου καὶ φουλιάτου συνέθηκα. δωδέκατον δὴ αὐτῇ μέρος ἔμιξα πομφόλυγος, εἴ τε πεπλυμμένου λέγειν ἐθέλοις ἀρρενικῶς, εἴ τε πεπλυμμένης θηλυκῶς. οὐδὲν γὰρ ὁποτέρως ἂν εἴποις, οὔτ' ὠφελήσεις, οὐδὲ βλάψεις τὸ
B φάρμακον. ἔστι δέ σοι καὶ διὰ τοῦ Τυρρηνικοῦ κηροῦ σκευάζειν αὐτό. πάρεστι δὲ καὶ χωρὶς τῶν εἰρημένων μύρων, τὸν μὲν Τυρρηνικὸν κηρὸν τῆξαι διὰ νάρδου καλῆς, ἐπὶ διπλοῦ δηλονότι σκεύους· κοινὸν γὰρ τοῦτο ἐπὶ πάντων τῶν μύρων. ξυσθείσῃ δὲ τῇ κηρωτῇ, μίξεις νάρδου στάχυος, καὶ ἀμώμου, καὶ φύλλου μαλαβάθρου, καὶ πομφόλυγος πεπλυμμένου τὸ ἴσον ἑκάστου. ἐπὶ μὲν γὰρ τῶν νύξεων, ὡς εἴρηται, δριμυτέρων ἐστὶ χρεία φαρμάκων ἀνεῳγμένον ἀεὶ φυλαττόντων τὸ τραῦμα. τοῖς γεγυμνωμένοις δὲ τὰ μετρίαν στύψιν ἔχοντα, μετὰ διαφορητικῆς ἀδήκτου δυνάμεως προσφέρεσθαι χρή· στύψεως δὲ μέτεστι μέν τι καὶ τῷ ἀμώμῳ, μᾶλλον δὲ
C αὐτοῦ τῷ τε τῆς νάρδου στάχυϊ, καὶ τῷ τοῦ μαλαβάθρου φύλλῳ.

CAPVT IX.

De medicamentis ab aliis medicis aduersus neruorum vulnera proditis.

VNiuersam neruorum vulnera curandi rationem, quam ego deorum quadam prouidentia composui, nullus ante me conscripsit; medicamenta tamen, quæ neruorum vulnera quædam curare promitterent, composuerunt sine distinctione, & vario vtendi modo, neque in angustis punctibus sanandi rationem, qualis futura esset, indicantes; neque in latioribus vulneribus, vel denudato neruo, vel tendine, vel contuso; multo minùs si pars affecta phlegmone infestaretur, vel etiam gangræna propemodũ. Porrò vnum quendam nostræ ætatis medicũ medicamento vtentẽ vidi, perinde ac meis ex metallicis præparatis, indistinctè quidem & ipsum; quoniam verò ex paucis spontè nascentibus ipsum componi audieram, quod autem multis constat, ego illo tempore præparaueram; cogitaui pluribus ademptis aliud rursus ex paucis compositum inspicere, ac experientia inquirere, multóne ab eo, quod varia mixtura paratur, inferius esse videretur, an paulo. Quouis igitur modo curaui etiam medicamenti, quod medicus nostræ ætatis habebat, scripturam accipere, & statim simile præparatum eadem, & ipsum polliceri & præstare, quæ varium illud, comperi. Huius igitur cõpositio in hunc modum scripta erat. ℞. ceræ ℥. vj. olei ℥. ix. misyos drach. vj. chalcitidis drach. j. squamæ æris ℥. ij. ß. thuris vnciam j. ß. galbani vnciam vnam. Quæ liquari possunt, hoc est cera, & galbanum, liquefacta metallicis in aceto acri, priùs accuratè tritis superfunduntur. Hoc medicamentum, haud scio, quis composuerit, neque enim apud Asclepiadem Pharmacionem scripturam inueni, nec apud Petronam, nec Andromachum, etsi omnes antiquiores medici optima medicamenta conscripserint. Planè autem constat, nec apud Heram Cappadocem, nec Mantiam, nec Heraclidem Tarentinum,

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν τοῖς ἄλλοις ἰατροῖς εἰρημένων φαρμάκων ἐπὶ τῶν νευροτρώτων.

ΤΗν μὲν ὅλην ἀγωγὴν τῆς θεραπείας τῶν νευροτρώτων, ἣν ἐγὼ κατά τινα πρόνοιαν θεῶν ἐποίησα, τῶν πρὸ ἐμοῦ πρεσβυτέρων οὐδεὶς ἔγραψε. φάρμακα μέντοι τινὰς νευροτρώτους θεραπεύειν ἐπαγγελλόμενα, συνέθεσαν ἄνευ διορισμοῦ τε καὶ τρόπου χρήσεως ποικίλου, μήτε τὴν ἐπὶ τῶν στενῶν νυγμάτων
D ἀγωγὴν, ὁποία τις ἔσοιτο δηλώσαντες, μήτε τὴν ἐπὶ τῶν εὐρυτέρων τρώσεων, ἢ γεγυμνωμένου νεύρου, ἢ τένοντος, ἢ τεθλασμένου. πολὺ δὲ μᾶλλον, οὐδ' εἰ φλεγμαῖνον ἤδη τὸ πεπονθὸς εἴη μόριον, ἢ καὶ πλησίον ἥκει γαγγραινώσεως. ἕνα δέ τινα τῶν καθ' ἡμᾶς ἰατρῶν εὗρον χρώμενον φαρμάκῳ, παραπλησίως τοῖς ὑπ' ἐμοῦ διὰ τῶν μεταλλικῶν σκευαζομένοις, ἀδιορίστως μὲν καὶ αὐτόν. ἀλλ' ἐπεὶ δι' ὀλίγων τῶν αὐτοφυῶν ἐπυθόμην αὐτὸ συγκεῖσθαι, τὸ δὴ ἐκ τῶν πολλῶν σύνθετον, ἐγὼ κατ' ἐκεῖνον τὸν καιρὸν ἤμην ἐσκευακὼς, ἐνενόησα ἀφελὼν τὰ πλείω, καὶ δι' ὀλίγων
E ἄλλο συνθεὶς, αὖθις ἐπισκέψασθαί τε καὶ βασανίσαι διὰ τῆς πείρας, εἴ τε πολλῷ τινι τοῦ πολυμιγμάτου φαίνοιτο λειπόμενον, εἴ τε ὀλίγῳ. περὶ παντὸς οὖν ἐποιησάμην, καὶ τοῦ παρὰ τοῦ καθ' ἡμᾶς ἰατροῦ λαβεῖν τὴν γραφὴν, καὶ παραχρῆμα σκευάσας, παραπλήσιον ἔχον εὗρον ἐπαγγελίαν τε καὶ δύναμιν αὐτὸ τῷ ποικίλῳ. Τούτου μὲν οὖν ἡ γραφὴ τῆς συνθέσεώς ἐστι τοιάδε· ℞. κηροῦ οὐγγίας ϛ'. ἐλαίου οὐγγίας θ'. μίσυος < ϛ'. χαλκίτεως < α'. λεπίδος χαλκοῦ οὐγγίας β' S. λιβανωτοῦ οὐγγίαν α' S. χαλβάνης οὐγγίαν α'. ἐν ὄξει δριμεῖ προλελειωμένοις τοῖς μεταλλικοῖς ἐπιμελῶς, τακέντα καταχύσαι τὰ
F τηκτὰ, τουτέστι τὸν κηρὸν καὶ τὴν χαλβάνην. τοῦτο τὸ φάρμακον οὐκ οἶδα τίς ὁ συνθήκας ἐστίν. οὔτε γὰρ παρ' Ἀσκληπιάδῃ τῷ Φαρμακίωνι τὴν γραφὴν εὗρον, οὔτε παρὰ Πετρωνᾷ, οὔτε παρ' Ἀνδρομάχῳ, καίτοι πάντων τῶν πρεσβυτέρων ἰατρῶν, ἄριστα φάρμακα γραψάντων. εὔδηλον δὲ ὅτι μήτε παρὰ Ἡρᾳ τῷ Καππαδόκι, μηδὲ Μαντίᾳ, μηδὲ Ἡρακλείδῃ τῷ Ταραντίνῳ,

πολλὴν ἐμπειρίαν φαρμάκων ἐσχηκόσιν. ἀλλ' οὐδὲ τοῖς περὶ τὸν Ἀρχιγένην, Φίλιππον, ἢ τινὰ τῶν μαθητῶν αὐτοῦ. καὶ Σωρανῷ δὲ τὰ περὶ φαρμάκων γεγραμμένα ἀναγνοὺς ἅπαντα, καὶ Μενεκράτει, καὶ Κρίτωνι, καὶ Δαμοκράτει, καὶ τοῖς ἄλλοις ὅσοι δόξαν ἴσχουσιν ἐπὶ τῇ γνώσει τῶν φαρμάκων, παρ' οὐδενὶ τουτὶ τὸ γεγραμμένον ἄρτι φάρμακον εὗρον. ἃ δ' ἐστὶ παρὰ τοῖς ἀνδράσιν οἷς εἶπον, ἐφεξῆς γεγραμμένα δηλώσω, τὴν ἀρχὴν δὲ ἀπὸ τοῦ Φαρμακίωνος Ἀσκληπιάδου ποιήσομαι, κατὰ τὸ τρίτον τῶν ἐντὸς φαρμάκων, ἃ καὶ Μαρκέλλας ἐπιγράφει κατὰ λέξιν οὕτως γράψαντος. Ἀνδρομάχου Αἰγυπτία, ἔναιμος τραυματικὴ, ὡς Ἀσκληπιάδης ἀναγράφει. ποιεῖ πρὸς νεύρων διακοπὴν καὶ μυῶν, ποιεῖ πρὸς νύγματα, περιθλάσεις, παρατρίμματα, λυγίσματα, ποιεῖ πρὸς ἀποστήματα. ἔστι δὲ καὶ ὀφθαλμιώντων παράκολλημα. ποιεῖ κεφαλαλγικοῖς, καὶ πρὸς πολλὰς διαθέσεις χρήσιμόν ἐστι τὸ φάρμακον. ℞. λιθαργύρου, κηροῦ, ἀνὰ < ρμδ'. ἀμμωνιακοῦ θυμιάματος < οβ'. τερμινθίνης < λϛ'. ἐρίων οἰσυπηρῶν κεκαυμένων < ιβ'. λεπίδος χαλκοῦ < η'. λεπίδος στομώματος < η'. λιβάνου < η'. ἀριστολοχίας στρογγύλης < η'. ἐλαίου κικίνου ℔ γ'. ἕψε λιθάργυρον, ἔλαιον, καὶ ὅταν μεταβάλλῃ, ἐπίβαλλε κηρὸν, ῥητίνην. καὶ ὅταν ἀμόλυντον γένηται, ἐπίβαλλε ἀμμωνιακὸν πλατύνας, καὶ τότε τὰ οἰσυπηρὰ ἔρια καὶ τὰ λοιπά. τοῦτο τὸ φάρμακον ὅσῳ πολυχρηστότερον ἐγένετο, προσλαβὸν τὴν λεπίδα τοῦ στομώματος, οὕτω φαυλότερον ἐπὶ τῶν νευροτρώτων ἐγένετο. εἰ μὲν γὰρ νύγμα μόνον εἴη, καὶ ἡ τοῦ χαλκοῦ λεπὶς περιττή. χωρὶς γὰρ τοῦ προλελειῶσθαι χρόνῳ πλείονι δι' ὄξους δριμέος, οὐδὲν τῶν μεταλλικῶν ἐπὶ τούτων χρήσιμον. ἐπὶ μέντοι τῶν γεγυμνωμένων νεύρων καὶ τενόντων, ἀγαθὸν ἂν εἴη φάρμακον. εἰ δὲ καὶ ἤδη φλεγμαίνει, τήκειν αὐτὰ προσήκει διὰ ῥοδίνου, καὶ οὕτως ἐμμότῳ χρῆσθαι. χωρὶς δὲ τοῦ φλεγμαίνειν εὐθέως ἐν ἀρχῇ βελτίω τὰ μαλακώτερα καὶ ὑγρότερα τῶν φαρμάκων ἐστὶ, τῶν σκληροτέρων τε καὶ ξηροτέρων. καὶ βέλτιόν ἐστι χρῆσθαι τετηκόσιν αὐτοῖς ἔν τινι τῶν διαφορητικῶν, ἢ παρηγορικῶν. λέγω δὲ διαφορητικὰ μὲν, τό τε παλαιὸν ἔλαιον, καὶ τὸ κίκινον, καὶ τὸ σικυώνιον. παρηγορικὰ δὲ, τό τε ῥόδινον καὶ τὸ χαμαιμήλινον, καὶ τὸ διὰ τῆς ἀλθαίας. ἰσχυρότερα δὲ τούτων, καὶ διὰ τοῦτο σώμασι σκληροτέροις ἁρμόττοντα, τό τε διὰ τοῦ σικύου τοῦ ἀγρίου τῆς ῥίζης ἀναφεψημένης τῷ ἐλαίῳ, καὶ τὸ διὰ τῆς ἴρεως καὶ βρυωνίας, καὶ ἄρου, καὶ τούτων ἰσχυρότερόν ἐστι τὸ διὰ τοῦ δρακοντίου, καὶ ἀριστολοχίας καὶ πάνακος. ἐγὼ δὲ πολλάκις ἐχρησάμην, καὶ τῷ διὰ τῆς ἐλάτης σπέρματος ἐλαίῳ, καὶ τῷ διὰ τοῦ τῶν αἰγείρων ἄνθους, ἀποβρέχω γὰρ ἐν ἐλαίῳ Σαβίνῳ ταῦτα, χρόνῳ πλείονι. ταῦτα μὲν οὖν ὅσα νῦν εἴρηκα περὶ τῆς χρήσεως τῶν τοιούτων φαρμάκων, ἀξιῶ μεμνημένους ὑμᾶς ἐπὶ τἄλλα τὰ ῥηθησόμενα μεταφέρειν, ἐγὼ δὲ, ὅπερ ὡρμήθην πρᾶξαι, ποιήσω. προσθήσω γὰρ καὶ ἄλλα φάρμακα αὐτῆς δυνάμεως, ὁποῖόν ἐστι καὶ τὸ ἐφεξῆς τῷ προειρημένῳ γεγραμμένον ὑπὸ τοῦ Ἀσκληπιάδου κατὰ λέξιν οὕτως ἔχον. Κλαυδίου Φιλοξένου χειρουργοῦ Αἰγυπτία, πρὸς τὰς προειρημένας διαθέσεις. ℞. λιθαργύρου, κηροῦ, ἀνὰ < ρξ'. ἀμμωνιακοῦ θυμιάματος < π'. προπόλεως < μ'. ῥητίνης ξηρᾶς, τερμινθίνης, λεπίδος χαλκοῦ, λιβάνου, ἀνὰ < ιϛ'. ἐρίων οἰσυπηρῶν κεκαυμένων, λεπίδος στομώματος, ἀνὰ < η'. ὀποπάνακος < δ'. κίκεως ℔ γ'. πρόδηλον οὖν, ὅτι καὶ τοῦτο τὸ φάρμακον ὅμοιόν τέ ἐστι τῷ προγεγραμμένῳ, καὶ τρόπον τῆς χρήσεως ἕξει τὸν αὐτὸν, τῷ μικρῷ πρόσθεν ὑπ' ἐμοῦ γεγραμμένῳ. καὶ μέντοι καὶ κατὰ ταύτας τὰς δύο ἐμπλάστρους, ἄλλην

A reperiri, qui magnam medicamentorũ experientiam habuerunt; imò nec apud Archigenem, aut Philippum, aut apud aliquem eius discipulum. Insuper Sorani libris de medicamentis perlectis omnibus, item Menecratis, Critonis, Damocratis, & aliorum, qui medicamentorum cognitione claruerunt, apud nullum, hoc modo citatum medicamentum comperi. Quæ verò apud viros iam dictos habentur, deinceps scripta indicabo; ac initium à Pharmacione Asclepiade facturus sum, qui in tertio interiorum medicamentorum, quas etiam Marcellas inscribit, hunc in modum docet. *Andromachi Ægyptia ad vulnera cruenta, vt Asclepiades præscribit.* B *Facit ad neruos, musculosque præcisos; item ad punctus, contusiones, attritus, artus fractos. Valet etiam ad abscessus; est item lippientibus collyrium, iuuat capite dolentes, & ad multas dispositiones vtile est remedium.* ℞. argenti spumæ, ceræ, singulorum drach. cxliv. guttæ ammoniaci drachmas lxxij. terebinthinæ drach. xxxvj. lanæ succidæ combustæ drach. xij. squamæ æris drach. viij. squamæ stomomatis drach. viij. thuris drach. viij. aristolochiæ rotundæ drach. viij. olei ricinini heminas iij. Argenti spuma, & oleum incoquuntur; ac vbi mutata fuerint, cera resinaque adiicitur; C quum non inquinant, ammoniacum indas dilatando, & tunc lanas succidas, ac reliqua. Hoc medicamentum quanto vtilius ex stomomatis squama euasit, tanto deterius ad neruorum vulnera factum est; si namque punctus solùm fuerit, etiam æris squama superuacua est. Quippe nullum metallicum his conducit, nisi priùs ex aceto acri pluribus diebus læue factum fuerit, quanquam in nudis neruis, & tendonibus bonum fuerit remedium. At si iam phlegmone coniuncta est, liquare ea ex rosaceo conuenit, & sic illito linamento vti; vbi verò non adest phlegmone, molliora, hu- D midioraque statim ab initio potiora sunt medicamentis durioribus, ac siccioribus, præstatque liquata ipsa in digerente quodam, vel mitigatorio medicamento vsurpare. Voco digerentia quidem vetus oleum, & ricininum, & sicyonium; mitigatoria autem rosaceum, chamæmelinum, & quod ex althæa conficitur. His fortiora, eoque durioribus corporibus magis idonea sunt, quod ex cucumeris agrestis radice in oleo decocta, & quod ex iride, bryonia, & aro paratur. His valentius est ex dracunculo, aristolochia, & panace factum. Porrò nos frequenter etiam ex abietis semine, E oleo, item ex populi flore confecto, vsi sumus, nam hæc diutiùs sabino oleo intingimus. Quæ igitur de eiusmodi medicamentorum vsu dicta sunt, vos memoriter seruantes ad alia, quæ explicanda veniunt, traducere operæpretium esse arbitror. Quod autem nobis institutum erat facere, aggrediemur; apponemus enim & alia eiusdem facultatis medicamenta, quale est & quod ab Asclepiade post prædictum his verbis scriptum est. *Claudij Philoxeni chirurgi Ægyptium ad prædicta vitia.* ℞. argenti spumæ, ceræ, singulorum drachmas centum sexaginta, guttæ ammoniaci drachmas octoginta, propoleos drachmas quadraginta, resinæ F siccæ, terebinthinæ, squamæ æris, thuris, singulorum drach. xvj. lanæ succidæ combustæ, squamæ stomomatis, singulorum drach. viij. opopanacis ʒ. iv. ricini heminas iij. Hoc igitur medicamentum superiori esse simile omnibus apparet, & vtendi modum eundem cum nuper à me citato habebit. Quin etiam ad hæc duo emplastra aliud tertium

tertium Asclepiades sic ad verbum inquiens tradidit. A *Gluum Haliei. Facit ad cruenta vulnera, & neruos præcisos; item ad vetera cicatricem ægrè ducentia & fluentia vlcera. Quin & probè emollit duritias, maximè in mammis orientes. Vtimur eo ad canum hominumque morsus. Summè facit ad pastinacæ, draconis, aliorumque sæuorum piscium ictus. In totum virtutem habet mirabilem.* ℞. argenti spumæ, ceræ, singulorum drachmas centum; terebinthinæ, mannæ, thuris, galbani, minij sinopici, singulorum drachmas octo, olei sextarium vnum. Nec ipse ergo Asclepiades hoc medicamentum ad punctus tendinum, ac B neruorum, sed ipsis præcisis, vtile esse promittit, quum videlicet maius vulnus extiterit, & neruus nudus appareat; quippe aptiora tunc sunt medicamenta, quæ mitigatoriam, & mediocrem vim obtinent, cuius generis est nuper ab ipso citatum. Itaque hæc tria emplastra in medio ferè libro Asclepiades produxit; superius etiam aliud multiplicis quidem vsus emplastrum, melius autem iis tribus, ceu ad neruos præcisos, corruptosque tradidit. Verba Asclepiadis ita habent. *Moschionis catagmaticum. Valet ad recentia vulnera, neruos præcisos, & cum contusione diuisiones.* C *Facit etiam ad fracturas cum vulnere, etenim vulneribus auxiliatur, & ossa callo obducit conuenienti deligatura impositum. Prodest hydropicis incipientibus, item facit ad testiculorum contusiones, tollit circa anum eminentias, sanat rhagadas butyro dilutum, facit ad bronchocelas, soluit omnem duriciem. Curat attritos, & fractos articulos, item pedum manuumque callosas excrescentias, quos clauos vocamus, vt eos etiam citra exulcerationem auferat. Summatim medicamentum est vtilissimum. Confectio hæc ita se habet.* ℞. argenti spumæ minam vnam, mina continet drachmas centum sexaginta, picis aridæ drachmas centum sexaginta, seui vitulini D drachmas centum sexaginta, resinæ terebinthinæ drach. lxxx. mannæ thuris drachmas lxxx. ceræ drach. xl. æruginis drachmas octo, opopanacis drach. octo, galbani drach. octo, olei ricinini heminam vnam, aceti parem mensuram, liquoris sycamini heminam vnam, picis liquidæ heminæ dimidium. Argenti spuma tenuissima, & cicinum oleum in vas fictile, vel æreum coniecta, ignique suprapositа, coquuntur; quum efferbuerint, seuum & manna thuris adiiciuntur, mouenturque assiduè; vbi confluxerint, pix, cera, resina E induntur, & donec non ampliùs inquinent, incoquuntur; deinde galbanum, post ærugo, & opopanax, ex aceto soluta insperguntur. Liquor sycamini, & pix liquida, in aliud vas transfusa coquuntur, & cùm commixta fuerint, seu confluxerint, priori medicamento immittuntur, & rursus supra ignem posita, quousque non inquinent, incoquuntur, ac in vinum demissa triduo relinquuntur, postea subactis manu, in linteolumque illitis, vtimur. Oportet autem post medicamentum impositum, linteum vino madefactum exprimere, & tunc medicamento circundare. Porrò nostri F præceptoris Lucij confectio sic habet. Seuum ac oleum prius liquefacimus; ac vbi soluta fuerint, mannam leuissimam factam, & spumam argenti inspergimus; postquam confluxerint, reliqua facimus. Cæterùm laude dignus est hîc quoq; Asclepiades, qui confecturæ medicamentorũ modum adscribat, non, vt Andromachus, omittat, qui nec,

τρίτην ἔγραψεν ὁ Ἀσκληπιάδης, οὕτως εἰπὼν κατὰ λέξιν. Κιῤῥὰ ἡ τοῦ Ἁλιέως. ποιεῖ πρὸς τὰ ἔναιμα τῶν τραυμάτων, καὶ νεύρων διακοπάς. ποιεῖ δὲ καὶ πρὸς τὰ παλαιὰ, καὶ δυσεπούλωτα, καὶ ῥευματικὰ τῶν ἑλκῶν. ἔστι δὲ καὶ μαλακτικὴ ἀγαθὴ, μάλιστα δὲ τῶν περὶ τοὺς μαστοὺς γιγνομένων σκληριῶν. χρώμεθα δὲ αὐτῇ καὶ ἐπὶ τῶν κυνοδήκτων, καὶ ἀνθρωποδήκτων. ἄκρως ποιεῖ καὶ πρὸς τρυγόνων θαλασσίων, καὶ δρακόντων, καὶ τῶν ἄλλων χαλεπῶν ἰχθύων πληγάς. καὶ καθόλου ἐστὶν ἡ δύναμις θαυμαστή. ℞. λιθαργύρου, κηροῦ, ἀνὰ < ρ΄. τερμινθίνης, μάννης, λιβάνου, χαλβάνης, μίλτου Σινωπίδος, ἀνὰ < π΄. ἐλαίου ξε α΄. οὔτε αὐτὸς οὖν Ἀσκληπιάδης ἐπὶ νυγμάτων τῶν εἰς τένοντας, καὶ νεῦρα ἐπαγγέλλεται τὸ φάρμακον εἶναι χρήσιμον, ἀλλὰ πρὸς τὰς τῶν νεύρων διακοπὰς, ὅταν δηλονότι μεῖζον γένηται τὸ τραῦμα, καὶ γυμνὸν φαίνηται τὸ νεῦρον. ἐπιτηδειότερα γάρ ἐστι τηνικαῦτα, τὰ μετρίας τε καὶ πραϋντικῆς δυνάμεως φάρμακα. τοιοῦτον δέ ἐστι καὶ τὸ νῦν εἰρημένον ὑπ' αὐτοῦ. ταύτας μὲν οὖν τὰς τρεῖς ἐμπλάστρους ὁ Ἀσκληπιάδης ἔγραψεν, ἐγγύς τι τῆς μέσης χώρας τοῦ βιβλίου. πρὸ αὐτῶν δὲ ἀνωτέρω, πολύχρηστον καὶ ἄλλο ἔμπλαστρον ἔγραψεν, ἄμεινον δὲ τῶν τριῶν τούτων, ὡς πρὸς τὰς τῶν νεύρων διακοπὰς καὶ διαφθοράς. ἡ δὲ λέξις αὐτὴ, καθ' ἣν ὁ Ἀσκληπιάδης ἔγραψεν, ἐστὶν ἥδε. Μοσχίωνος καταγματική. φάρμακον ἐπιτετευγμένον πρὸς τὰ νεότρωτα, καὶ διακοπὰς τῶν νεύρων, καὶ τὰς μετὰ θλάσεως διαιρέσεις. ποιεῖ καὶ πρὸς τὰ μετὰ τραύματος κατάγματα, καὶ γὰρ τοῖς τραύμασι βοηθεῖ, καὶ πωροῖ τὰ ὀστέα μετὰ τῆς δεούσης ἐπιδέσεως ἐπιτιθεμένη, καὶ τοῖς ἀρχομένοις ὑδρωπικοῖς. ποιεῖ δὲ καὶ πρὸς τὰς διδύμων περιθλάσεις. σαφιδοῖ καὶ τὰς περὶ τὴν ἕδραν ἐξοχάς. ποιεῖ καὶ πρὸς ῥαγάδας βουτύρῳ ἀνιεμένη. ποιεῖ καὶ πρὸς βρογχοκήλας, διαλύει πᾶσαν σκληρίαν, ποιεῖ πρὸς παρατρίμματα καὶ λυγίσματα. ποιεῖ πρὸς τὰς ἐπὶ τῶν ποδῶν καὶ χειρῶν τυλώδεις ἐπαναστάσεις, ἃς ἥλους καλοῦμεν, ὥστε καὶ χωρὶς ἑλκώσεως ἀφαιρεῖν, καὶ καθόλου ἐστὶ πολυχρηστότατον τὸ φάρμακον. ποιεῖ καὶ πρὸς ἀρχομένους ὕδρωπας. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ℞. λιθαργύρου μνᾶν α΄. ἡ δὲ μνᾶ ἔχει < ρξ΄. πίσσης ξηρᾶς < ρξ΄. στέατος μοσχείου < ρξ΄. ῥητίνης τερμινθίνης < π΄. μάννης λιβάνου < π΄. κηροῦ < μ΄. ἰοῦ < η΄. ὀποπάνακος < η΄. χαλβάνης < η΄. ἐλαίου κικίνου κο α΄. ὄξους τὸ ἴσον, ὀποῦ συκαμίνου κο α΄. πίσσης ὑγρᾶς ἡμικοτύλιον. τὴν λιθάργυρον λειοτάτην, καὶ τὸ κίκινον ἔλαιον βαλὼν εἰς ἀγγεῖος κεραμεοῦν, ἢ χαλκοῦν, καὶ θεὶς ἐπὶ πυρὸς, ἕψε, καὶ ὅταν ἀναζέσῃ, ἐπίβαλλε στέαρ, καὶ τὸ μάννινον, κινῶν συνεχῶς. καὶ ὅταν συστραφῇ, ἐπίβαλλε πίσσαν, κηρὸν, ῥητίνην, καὶ ἕψε μέχρις ἀμολύντου, ἐπίπασσε χαλβάνην, εἶτα ἰὸν, καὶ ὀποπάνακα ὄξει διαλυθέντα. τὸν δὲ ὀπὸν τοῦ συκαμίνου, καὶ τὴν πίσσαν τὴν ὑγρὰν, εἰς ἕτερον ἀγγεῖον βαλόντες ἕψομεν. καὶ ὅταν συστραφῇ, ἐπιβάλλομεν τῷ προτέρῳ φαρμάκῳ, καὶ πάλιν θέντες ἐπὶ τὸ πῦρ, ἕψομεν μέχρις ἀμολύντου, καὶ εἰς οἶνον ἐξεράσαντες, ἐῶμεν ἐπὶ τρεῖς ἡμέρας, ἔπειτα μαλάξαντες χρώμεθα, εἰς ὀθόνιον ἐμπλάσσοντες. δεῖ δὲ μετὰ τὴν ἐπίθεσιν τοῦ φαρμάκου, οἴνῳ δεύσαντα ταινίδιον ἐκθλίβειν, καὶ τότε περιτιθέναι τῷ φαρμάκῳ. Ὡς δὲ ὁ ἡμέτερος καθηγητὴς Λούκιος ἐσκεύαζεν, ἔχει οὕτως. τὸ στέαρ καὶ τὸ ἔλαιον πρότερον τήκομεν, καὶ ὅταν διαλυθῇ, καταπλάσσομεν λειοτάτην μάνναν, καὶ τὴν λιθάργυρον, καὶ ὅταν συστραφῇ, τὰ ἐπίλοιπα ποιοῦμεν. Ἐπαινέσαι δὲ δίκαιόν ἐστι, καὶ κατὰ τοῦτο τὸν Ἀσκληπιάδην, ὅτι τὸν τρόπον τῆς σκευασίας γράφει τῶν φαρμάκων, οὐχ ὥσπερ ὁ Ἀνδρόμαχος παραλείπει, μήτε τινὰ

δύναμιν ἔχει προσθείς. ἀμέλει τὴν ὑπὸ Ἀσκληπιάδου A πρώτην τῶν τριῶν ὑπ' ἐμοῦ γεγραμμένην ἔμπλαστρον Αἰγυπτίαν, ἣν καὶ αὐτὸς τοῦ Ἀνδρομάχου φησὶν ὑπάρχειν, οὔτε δὲ τίνος ἐστὶ δυνάμεως ὁ Ἀνδρόμαχος ἔγραψεν, οὔθ' ὅπως σκευαστέον αὐτήν, οὔθ' ὅπως χρηστέον, ἀλλ' ἁπλῶς ἔρριπται, καθάπερ τι τῶν ἐπιτυχόντων φαρμάκων ἐν τῷ βιβλίῳ τῶν ἐκτὸς δυνάμεων ὑπ' αὐτοῦ γεγραμμένῳ δευτέρῳ. πρώτην μὲν γὰρ ἁπασῶν ἔγραψεν ἣν αὐτὸς ὀνομάζει Παντάγαθον, ἐφεξῆς δὲ τὴν Αἰγυπτίαν ταύτην, οὐδὲν ὡς ἔφην ἄλλο προσθείς. ἔχει γὰρ ἡ λέξις αὐτοῦ τόνδε τὸν τρόπον. Αἰγυπτία. ♃. λιθαργύρου < ρμδ΄. κίκεως κο ϛ΄. κηροῦ < ρμδ΄. ἀμμωνιακοῦ θυμιάματος < οβ΄. τερμινθίνης < λϛ΄. ἐρίων κεκαυμένων < ιη΄. λεπίδος στομώματος < η΄. λεπίδος χαλκοῦ < η΄. λιβάνου B < η΄. ἀριστολοχίας < η΄. ἔνιοι σμύρνης < δ΄. ὀποπάνακος < η΄. ἄλλ. ιβ΄. τούτοις ἐπὶ τέλει ἐπιγέγραπται, θαλάσσης εἰς ἐμβροχὴν κηροῦ κο η΄. τί ποτ' αὐτῷ σημαίνει τὸ εἰς ἐμβροχὴν κηροῦ, σαφῶς οὐκ ἴσμεν, ἐπινοεῖν γὰρ ἔστι πλείω. θαυμάσαι δ' ἔστι πῶς ἅπαντα τἄλλα γράψας Ἀσκληπιάδης ὡσαύτως τῷ Ἀνδρομάχῳ, τὸ μέτρον τοῦ κίκεως οὐκ ἴσον ἔγραψεν. ὁ μὲν γὰρ Ἀνδρόμαχος κο ϛ΄. ὁ δὲ Ἀσκληπιάδης κο γ΄. ἔγραψεν. οὐ προσέθηκε δὲ οὐδὲ τὸ κατὰ τὴν τελευτὴν τῆς γραφῆς ὑπ' Ἀνδρομάχου προσκείμενον· ἔνιοι σμύρνης < δ΄. ὀποπάνακος < β΄. πάλιν δὲ προσέθηκεν αὐτὸς ἐπὶ τῶν κεκαυμένων ἐρίων τῶν οἰσυπηρῶν, ὅπερ οὐ πρόσκειται κατὰ τὴν Ἀνδρομάχου γραφήν. ἐφεξῆς δὲ τῆς εἰρημένης Αἰγυπτίας, ἔγραψεν ὁ Ἀνδρόμαχος θηριακὰς ἐμπλάστρους ε΄. καὶ μετὰ ταύτας ἑτέραν πάλιν C φαιάν, ἣν Εὐβούλου φησὶν εἶναι. καὶ μετὰ ταύτην αὖθις ἑτέραν φαιάν, ἣν Ἀθηνᾶν ὀνομάζει. κἄπειτα ἐφεξῆς πάλιν ἑτέρας φαιὰς ἁπλῶς δύο, καὶ μετὰ ταύτας ἑτέραν ἐφ' ἧς κατὰ λέξιν οὕτως γέγραπται. Φαιὰ νυγματικὴ Ἀνδρομάχου. ♃. ἀμμωνιακοῦ θυμιάματος < η΄. κηροῦ νέου < η΄. τερμινθίνης < η΄. χαλκοῦ κεκαυμένου < η΄. πίσσης ξηρᾶς < μ΄. ὡς δὲ Ζήνων, μνᾶς ἥμισυ τέταρτον, λιθαργύρου < δ΄. ἀλόης Ἰνδικῆς < β΄. ἀριστολοχίας < β΄. χαλβάνης < β΄. ἰοῦ < α΄. οἱ δὲ < β΄. λιβάνου < β΄. ἐλαίου χειμῶνος κο δ΄. θερείας ὄγδοον, ὄξους κοτύλης ἥμισυ εἰς ἄνεσιν τοῦ ἀμμωνιακοῦ. ταύτην εἰκός ἐστιν αὐτὸν ὀνομάζειν νυγματικήν, πρὸς τὰ τῶν νεύρων νύγματα δυναμένην εἶναι χρησίμην.

quam virtutem habet, apponit. Denique primùm è tribus ab Asclepiade traditis à me scriptum emplastrum Ægyptium, & ipse Andromachi esse confirmat, neque cuius sit virtutis, nec quomodo præparandum sit, aut vtendum, Andromachus indicauit. Verũ simpliciter tanquam vulgare quoddam medicamentum libro de exterioribus facultatibus, quem ipse secundum inscripsit, proiecit. Primum enim omnium scripsit, quod ipse nominat Pantagathium, idest, *ad omnia valens*, deinde hoc Ægyptium, aliud, vt dixi, nihil adiungens. Habet enim eius dictio in hunc modũ. *Ægyptium.* ♃. argenti spumæ drach. cxliv. ricini heminas vj. ceræ drach. cxliv. guttæ ammoniaci drach. lxxij. terebinthinæ drac. xxxvj. lanæ combustæ ʒ. xviij. squamæ stomomatis drach. octo, squamæ æris drach. viij. thuris drach. viij. aristolochiæ ʒ. viij. nonnulli myrrhæ drach. iv. opopanacis drach. ij. aliàs duodecim. His ad finem adscripta sunt, marinæ aquæ ad irrigandam ceram heminas octo. Quid sibi velit, quum dicat, ad irrigationem ceræ, manifestò non scimus, intelligere enim plura licet. Mirandum verò, quomodo in aliis omnibus cum Andromacho conueniat, mensuram ricini parem non ponat, Andromachus enim heminas sex, Asclepiades tres scripsit. Neque verò etiam apposuit, quod in fine scripturæ ab Andromacho adiectum est, nonnulli myrrhæ drach. iv. opopanacis drach. ij. Rursus adiunxit ipse, in combustis lanis succidis, quod in Andromachi scriptura non habetur. Post dictum Ægyptium theriaca emplastra quinque retulit Andromachus; deinde aliud fuscum, quod ad Eubulũ authorem refert; postea rursus aliud fuscum, quod Mineruam nominat. Post hæc iterum alia fusca simpliciter duo, quibus subnectit aliud, vbi sic ad verbum scriptum est. *Fuscum Nygmaticum ad neruorum puncturas vtile, Andromachi.* ♃. guttæ ammoniaci drach. viij. ceræ nouæ drach. viij. terebinthinæ drach. viij. æris vsti drach. viij. picis aridæ drach. xl. vt autem Zeno ait, minæ dimidium, & quartam partem, argenti spumæ ʒ. iv. aloës Indicæ ʒ. ij. aristolochiæ ʒ. ij. galbani ʒ. ij. æruginis ʒ. j. alij ʒ. ij. thuris ʒ. ij. olei hyeme quartam heminæ partem, æstate octauam; aceti heminæ dimidium ad ammoniaci dissolutionem. Hoc verisimile est ab ipso nominari nygmaticum, vt quod neruorum puncturis ex vsu esse queat.





ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ, ΒΙΒΛΙΟΝ Δ'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA, LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Δ'. ΒΙΒΛΙΩι.

Ἐκδιδάσκει τὰ πρὸς πυώδη τε, καὶ κακοήθη ἕλκη, καὶ νομὰς ἁρμόττοντα φάρμακα, καὶ λοιπὰ τὰ δυσεπούλωτα.

ARGVMENTVM LIBRI QVARTI.

Docet medicamenta quæ faciunt ad putrida ac maligna vlcera, ad nomas; & reliqua quæ vix ad cicatricem perueniunt.

CAPVT PRIMVM.

De methodo parandorum medicamentorum ad maligna vlcera & ægrè cicatricem admittentia.

PRIMVS sanè liber in alborum A emplastrorũ confecturis, tum aliis, tum eorum, quæ vlceribus cicatricem ægrè ducentibus conueniunt, finitus est; vbi distinximus communiter appellata dysepulota, *cicatricem difficulter admittentia*, ab iis, quæ propriè maligna dicuntur, & ipsa nimirum dysepulota. Quoniam verò quędã saniei, humorumq; vlceratis partibus influẽtiũ vitio cicatricẽ ęgrè admittũt; quędã ipsa affecta sede influẽtẽ succũ qualibet probũ corrũpente; vlcera secũdo modo habẽtia, dysepulota & cacoëthe propriè nominãt; in quibus interdũ totã partẽ affectã excidere, vel adurere, nõnulli cogũtur, aut medicamẽtis crustã inducentibus, aut igne B vtẽtes. Atquũ ampla sit latitudo vtrinq; in eo, quòd alterũ altero magis minúsve dysepulotũ, malignũque est, tãtũ medicãtiũ medicamẽtorũ esse numerũ oportet, quantus ipsorũ quoq; vlcerũ extiterit. Meritò igitur omnes, qui vnũ dũtaxat medicamẽtũ vlceribus malignis cicatricẽ inducere promittẽs habẽt, successu crebrò frustrantur. Nã duo minimũ, quę idẽ pollicẽtur, eandẽq; facultatẽ ostendũt, diuersa alioquin inter se non simpliciter maioris minorisque, verùm vt apertissimè dicã, maximi, ac minimi ratione, in prõptu adesse illi conuenit, qui omnia id genus vitia curare proposuerit.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τρόπου τῆς κατασκευῆς τῶν πρὸς κακοήθη τε, καὶ δυσεπούλωτα τῶν ἑλκῶν φαρμάκων.



ΜΕΝ πρῶτός μοι λόγος ἐτελεύτησεν εἰς τὰς τῶν λευκῶν ἐμπλάστρων συνθέσεις τάς τε ἄλλας, καὶ ὅσα πρὸς τὰ δυσεπούλωτα τῶν ἑλκῶν ἁρμόττουσιν, διῃρεισμένων ἡμῶν τὰ κοινῶς δυσεπούλωτα καλούμενα, τῶν ἰδίως κακοήθων ὀνομαζομένων, ὄντων μὲν αὐτῶν δηλονότι δυσεπουλώτων. ἐπεὶ δέ τινα μὲν ἐκ τῶν ἐπιρρεόντων τοῖς ἡλκωμένοις μέρεσιν ἰχώρων τε καὶ χυμῶν, δυσεπούλωτα γίνεται, τινὰ δ' αὐτοῦ τοῦ πεπονθότος μορίου διαφθείροντος τὸ ἐπιρρέον, εἰ καὶ χρηστὸν εἴη, τὰ κατὰ τὸν δεύτερον τρόπον ἕλκη, δυσεπούλωτα καὶ κακοήθη καλοῦσιν ἰδίως, ἐφ' ὧν ἐνίοτε πᾶν ἐκκόπτειν τὸ πεπονθὸς, ἢ καίειν ἀναγκάζονταί τινες, ἤτοι φαρμάκοις ἐσχαρωτικοῖς, ἢ πυρὶ χρώμενοι. πλάτους δ' ὄντος συχνοῦ καθ' ἑκάτερον τὸν τρόπον ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἕτερον ἑτέρου δυσεπούλωτόν τε καὶ κακόηθες εἶναι, τοσοῦτον ἀριθμὸν ὑπάρχειν τῶν ἰωμένων φαρμάκων ἀναγκαῖόν ἐστιν, ὅσος ἂν ᾖ καὶ αὐτῶν τῶν ἑλκῶν. εἰκότως οὖν ἕκαστον τῶν ἓν ἐχόντων φάρμακον, ἐπαγγελλόμενον ἐπουλοῦν ἕλκη κακοήθη, πολλάκις ἀποτυγχάνει. δύο γὰρ ἑτοιμάσαι χρὴ τοὐλάχιστον ᾧ πρόκειται πάντα θεραπεύειν τὰ τοιαῦτα, τῆς αὐτῆς μὲν ἐπαγγελίας καὶ δυνάμεως ὑπάρχοντα, διαφέροντα δὲ ἀλλήλων οὐχ ἁπλῶς τῷ μᾶλλόν τε καὶ ἧττον, ἀλλ' ὡς ἄν τις εἴποι σαφέστατα, τῷ μάλιστά τε καὶ ἥκιστα.

A καθάπερ οὖν ἐπὶ πάντων τῶν παθῶν ἐδείκνυμεν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν εὑρίσκεσθαι πρώτην μὲν ἁπασῶν τὴν καθόλου δύναμιν τῶν βοηθημάτων, ἐφεξῆς δὲ τὰς ὕλας ἐν αἷς αὕτη περιέχεται, κατὰ τὸν αὐτὸν λόγον, καὶ νῦν ἐπὶ τῶν δυσεπουλώτων ἑλκῶν, ἡ καθόλου δύναμις ἥτις ποτέ ἐστι τῶν θεραπευσόντων αὐτὰ φαρμάκων, εὑρῆσθαι χρὴ πρότερον. ἐδείχθη δέ μοι καὶ ἤδη κατ᾽ ἐκείνην τὴν πραγματείαν, ἐφ᾽ ὧν μὲν οὐδεμία καχεξία περὶ τοῖς ἡλκωμένοις μέρεσι, δύο τούτοις ἔχουσα σκοπούς, ἕνα μὲν ἀποκρούσασθαι τὸ ἐπιρρέον, ἕτερον δὲ διαφορῆσαι τὸ ἐστηριγμένον ἐν τῷ πεπονθότι μορίῳ. γίγνεται δὲ ταῦτα δι᾽ ἐναντίων δυνάμεων. ἀναστέλλει μὲν γὰρ τὸ B ἐπιρρέον, ὅσα στύφειν πέφυκε φάρμακα, διαφορεῖ δὲ τὸ περιεχόμενον ἐν τῷ πεπονθότι, τὰ δύναμιν ἑλκτικὴν ἔχοντα. τούτων δὲ τὰ μὲν στύφοντα τραχύνει, καὶ κατὰ τοῦτ᾽ ἐστὶν ἀνιαρά. τὰ δὲ ἕλκοντα, καὶ διαφοροῦντα τὰς ἐκ βάθους ὑγρότητας, οὐκ ἄνευ δριμύτητος ἐργάζεται τοῦτο. τῇ δριμύτητι δ᾽ ἐξ ἀνάγκης ὀδύνη τις ἕπεται δάκνουσα τὸ ἡλκωμένον. καὶ οὕτως συμβαίνει διὰ τὴν ἐκ τῶν τραχυνόντων καὶ δακνόντων αἰτίαν, ἐρεθίζεσθαι τὴν ἐπιρρέουσαν ὑγρότητα τοῖς ἡλκωμένοις μέρεσι. τούτου δὲ γιγνομένου, φλεγμαίνειν τε ἅμα καὶ διαβιβρώσκεσθαι τὸ ἕλκος, ὥσθ᾽ ὅσον ἐπὶ τοῖς εἰρημένοις, ἄπορός ἐστιν C ἡ τῶν βοηθησόντων φαρμάκων εὕρεσις τοῖς δυσεπουλώτοις ἕλκεσι, καὶ πολύ γε μᾶλλον ἔτι τοῖς κακοήθεσιν. εὑρεῖν οὖν χρὴ καθόσον οἷόν τε τοιαύτην ὕλην φαρμάκων, ἐφ᾽ ἧς ξηρανθήσεται τὸ ἕλκος ὀδύνης χωρίς, ὅπερ ἀδύνατόν ἐστιν ἀκριβῶς γενέσθαι, μὴ γνωρίζοντος τοῦ θεραπεύοντος, ὅπως ἐνεργήσῃ τὸ προσβληθὲν φάρμακον. ἔστι μὲν γὰρ ἐξ ἀνάγκης ἰσχυρὸν κατ᾽ ἄμφω τὰ συντεθέντα, τό τε δάκνον καὶ τὸ στῦφον. ἀλλ᾽ ὅ, τε ῥύπος ὁ ἐπικείμενος τοῖς τοιούτοις ἕλκεσι, τό τε τῆς ὑγρότητος πλῆθος, οἷον προβλήματά τινα τοῖς ἡλκωμένοις μέρεσι γιγνόμενα, τὴν ἀπὸ τῶν ἰσχυρῶν φαρμάκων δῆξιν ἐκλύει. προσέχειν D οὖν χρὴ πόσον ἡ πρώτη χρῆσις ἐξήρανε τῆς κατὰ τὸ ἕλκος ὑγρότητος, ἢ εἰ καὶ ῥύπον ἔχοι, πόσον ἀπέρριψε καὶ τούτου. καὶ οὕτως ἐκ δευτέρου τε καὶ τρίτου χρῆσθαι, μέχρι περ ἂν φανῇ καθαρόν τε καὶ ξηρόν. ὁπόταν δὲ πρῶτον ἴδῃς αὐτὸ τοιοῦτον, μεταβαίνειν ἐφ᾽ ἕτερον φάρμακον, ὁμοειδὲς μέν, ἀσθενέστερον δὲ τοῦ προτέρου. τὰ γὰρ ἰσχυρότερα τῷ δάκνειν τὸ ἕλκος, ὀδυνηρὰ γινόμενα, ῥεύματά τε κινεῖ καὶ φλεγμονὰς ἐγείρει. ἀλλ᾽ ἐὰν πάλιν ἀσθενέστερον πολὺ τοῦ πρώτου φαρμάκου προσενέγκῃς, ὑγρὸν καὶ ῥυπαρὸν ἔσται τὸ ἕλκος. τούτῳ τοίνυν ὁ τεχνωθεὶς ἰατρός, τοῦ διὰ μόνης ἐμπειρίας ἕλκος E θεραπεύοντος ἀμείνων ἐστίν, ὡς ἂν ἐπιστάμενος οὐκ ἄλλῃ δυνάμει θεραπεύεσθαι τὸ ἕλκος ὑπὸ τῶν φαρμάκων, ὅτι μὴ τῷ ξηρὸν οὕτως ἐργάζεσθαι τὸ μόριον, ὡς ὅτ᾽ εἶχε κατὰ φύσιν. ἔσται δὲ τοῦτο δῆλον, ἐκ τοῦ μήτ᾽ ἀπορρεῖν ἔτι λεπτὸν ἰχῶρα, πύου τε γένεσιν ὑποστρέφεσθαι. εἰς τοῦτο δὲ ἀφίξεται, καθ᾽ ὃν εἴρηκα τρόπον ξηραινόμενα, τουτέστι στυφόμενά τε καὶ διαφορούμενα, κἀπειδὰν ξηρὰ μὲν ᾖ, ῥυπαρὰ δ᾽ ἔτι φαίνηται, διὰ τῶν ῥυπτικῶν φαρμάκων καθαιρόμενα, περὶ ὧν ἐν αὐτοῖς εἴρηται μέν τι κἀν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων ὑπομνήμασιν. ἡ τελεωτάτη δὲ μέθοδος πᾶσα γέγραπται διὰ F τῆς θεραπευτικῆς πραγματείας, ἐν ᾗ προτετεχνῶσθαι χρὴ τὸν μέλλοντα τελέως ὑπὸ τῶν νῦν λεγομένων ὠφεληθήσεσθαι. τοῦτο δ᾽ ὑμῖν τοῖς ἑταίροις ἐγνωκὸς ὑπάρχειν, οἷς ταῦτα γράφεται, πάνυ σαφῶς οἶδα, καὶ πρὸς τούτῳ γε ἔτι τὸ μὴ λόγον εἶναι πιθανόν, ἄνευ τῆς ἐπὶ τῶν ἔργων βασάνου, τὰ λεγόμενα νῦν ὑπ᾽ ἐμοῦ.

Quemadmodum igitur commentario therapeutices Methodi, in vniuersis affectibus primam omnium communem auxiliorum facultatem inueniri docebamus, dein materias, quibus illa continetur; ita nunc quoque in vlceribus dysepulotis generalem medicamentorum, quibus illa curabuntur facultatem, quæ tandem sit, priùs inuentam esse oportet. Indicata verò mihi est & hæc in illo opere, quum quidem nullus vitiosus habitus vlceratas partes infestat, duos scopos habens, vnum, vt id quod influit, repellat; alterum, vt quod affectæ parti inhæret, infixumque est, discutiat. Hæc autem contrariæ vires præstant; siquidem influxum reprimunt, quæ sunt astringentia medicamenta; discutiunt impacta iam exceptaque, trahendi potestate prædita. Porrò quæ astringunt vt plurimum exasperant, atque hac occasione molesta sunt; trahentia verò, ac digerentia ex alto humiditates, non citra acrimoniam id efficiunt. At acrimoniam dolor quidam necessariò sequitur, vlceratam partem mordens. Atque sic propter dolorem, quæ exasperantia mordentiaque concitant, humores vlceratis partibus influentes irritari contingit; vnde quoque vlcus phlegmone obsideri, exedique. Ex quibus dictis colligitur, vlceribus dysepulotis præsidia inueniri difficulter posse, multo magis adhuc malignis. Quare talis medicamentorum materia, quo ad eius fieri possit, inuenienda est, vnde vlcus citra dolorem siccescat; quod accuratè fieri nulla ratione licet medico ignorante, quem effectum medicamentum exhibitum ostenderit. Quippe ambobus componentibus mordente puta, & astringente, necessariò validum existit; verùm sordes & humiditatis copia, id genus vlceribus incumbens, veluti propugnacula quædam vlceratis partibus facta, mordicationem medicamentis valentibus exoluunt. Itaque attendendum est, quantum primus vsus humiditatis in vlcere desiccauerit; vel si etiam sordes habeat, quantum harum quoque absterserit; ac ita secundum, tertiumque vti illo debemus, donec purum, & siccum vlcus apparuerit. Vbi verò primum id tale conspexeris, ad aliud medicamentum te conferes; eiusdem quidem speciei, sed priore imbecillius; nam validiora, dum mordendo vlcus dolorem inferunt, fluores mouent, & phlegmonas concitant. Quòd si rursum multo imbecillius priore medicamentum adhibeas, vlcus humidum sordidumque euadet. Hac igitur parte artificio vtens medicus, eo qui solo experimento innititur, melior est, quòd sciat vlcus non alia medicamentorum facultate curari, quàm dum affecta pars eam siccitatem consequatur, quam in naturali statu sita possidebat; quod factum intelligimus, vbi neq; tenuis amplius sanies influat, neq; pus producatur. Hanc dispositionem vlcera nanciscentur, quo dixi modo, siccescentia, hoc est, adstricta, discussaque; dein vbi sicca quidē fuerint, verùm sordida adhuc appareant, detersoriis medicamentis repurgantur; de quibus ipsis quoque nonnihil in opere de simplicibus medicamentis commemorauimus. Omnis autem absolutissima methodus est tractatu De morbis curandis perscripta, in quo priùs exercitatum esse conuenit, qui hinc perfectè frugem reportaturus est. Hoc vobis, amici, quibus ista scribuntur, constare manifestò admodum noui; itidem rationem sine exploratione in operibus facta probabilem non esse, quæ nunc à me dicuntur, demonstrant.

Etenim

Etenim vidistis subinde illis ipsis medicamentis, A quibus sine methodo medici quidam vtentes nihil proficiebant, multa me eius generis vlcera persanasse. Quamobrem in memoriam reducite medicamenta citra demorsum exiccantia, sunt autem ipsorum pleraque metallica. Atqui hoc etiam memineritis, quòd combustis elotisque mordicatio, quæ priùs adfuit, edomatur, ac interit. His igitur in præsentia vti vobis licet, elotis quidem in pueris, eunuchis, mulieribus, & qui molli natura carne sunt præditi; item qui ad sentiendum habiles admodum sunt, & vitioso succo laborant. In aliis corporibus etiam illota vsurpare potueritis, B manè primum ipsa iis, qui curantur, vbi probè concoxerint, adhibentes. Si verò, & corpus totum præparationem quandam requirat, & hanc priùs factam esse oportet, præcepimus de his in commentario De morbis curandis. Nonnullis siquidem, vel purgatio sola sufficit, quibusdam sanguinis detractio, aliis vtraque hæc adhibere profuerit. Sunt in quibus superiacentem varicem excindere opus est; vel lieni, vel iecinori, prospicere; aliquibus ambientes vlcus partes scarificare, quemadmodum interdum labrorum callos amputare. Si horum nullo egemus, humoris copia simul cum sordibus inspicienda est, atque ita ad C idoneum medicamentum veniemus, rursus simplicium singulorum memores, quę desiccant, non tamen vlceris sordes abstergunt; item quæ abstergunt quidem, non tamen probè desiccant. Quæ verò vtrunque possunt efficere, prospiciemus ex quoto quodque ordine existat, quod maximum inter ea censeo, quæ ad curationem pertinent, neglectũ tamen medicinalis materiæ scriptoribus. Nam hi soli omnes ipsius vires dicere studuerunt, sicut etiam Dioscorides, quem nulli eorum, qui in ea quasi arena desudarunt, secundum esse quispiam dixerit. Ego igitur deinceps D omnia medicamenta recensebo, quæ vlcera citra mordicationem exasperationemque manifestam exiccare possunt. Incipiam à metallicis, quibus etiam terræ species adnumerantur. Porrò quum variè inter se differant in eo, quòd magis minusque siccent, à mediis orsus ad vehementius, vel obscurius exiccantia me conferam. Siccant igitur modicè lemnia sphragis, & cadmia, atque hac magis ea, quæ sua sponte nascitur citra permutationem, in torrentibus, aut riuis, ac in cypriorũ montibus, aliisque in locis inuenta, præcipuè verò vbi metalla sunt. Porrò cõsueui eam magis siccantem E reddere, per æstatem in Sole pluribus deinceps diebus terens ex aceto, aut vino colore giluo, substantia pellucido; cuiusmodi est in Italia Falernum, in Asia Tmolite, quod vinorum maximè siccare natum est. Hoc genere comprehenditur & Ariusium in Chio natum; item odoratum Lesbium in Eresso & Mithymna. His succedunt omnia vetera, quum ex albis, & astringentibus inueterata sunt, in Italia Signinum, Tiburtinum, & Marsum, in Sicilia vocatũ ab incolis Aminæum; in Asia Aphrodisieum, & Misyum. Sufficit enim mihi facultatum vniuersalium veluti exempla exposuisse. F Iam verò cadmiam ex aceto acri similiter multis per æstatem diebus in Sole præparo, siccatamq; repono, vt vlceribus malignitatẽ assumentibus inspergi possit. Valentius hoc medicamentũ est, chalcitis combusta eodẽ modo prius in puluerem redacta; per se autem ignem non experta, tam valẽs medicamentum est, vt crustas faciat.

A πολλάκις γὰρ ἐθεάσασθε δι' αὐτῶν ἐκείνων τῶν φαρμάκων, οἷς ἀμεθόδως χρώμενοί τινες ἰατροὶ μηδὲν ἤνυον, ἐκθεραπευθέντα με πολλὰ τῶν τοιούτων ἑλκῶν. ἀναμνήσθητε τοίνυν τῶν ξηραίνειν ἀδήκτως πεφυκότων φαρμάκων, ἔστι δ' αὐτῶν τὰ πλεῖστα μεταλλικά. καὶ μέντοι καυθέντων, καὶ πλυθέντων, ἡ τις ἦν πρόσθεν δῆξις ἀπόλλυται, καὶ τοῦτ' ἀναμνήσθητε. τούτοις οὖν ὑμῖν ἐξέστω χρῆσθαι ἐν τῷ παρόντι, πεπλυμμένοις μὲν, ἐπὶ παίδων, εὐνούχων τε καὶ γυναικῶν, καὶ ὅσοι φύσει λευκὴν καὶ μαλακὴν ἔχουσι τὴν σάρκα, καὶ πρὸς τούτοις γ' ἐπὶ τῶν εὐαισθήτων τε πάνυ καὶ κακοχύμων. ἐπὶ δὲ τῶν ἄλλων σωμά- B των ἐγχωρεῖ καὶ τοῖς ἀπλύτοις χρῆσθαι, τὴν πρώτην ἐπίθεσιν αὐτῶν, εὐπεπτηκόσι τοῖς θεραπευομένοις ἕωθεν ποιουμένους. εἰ δὲ καὶ τοῦ σώματος ὅλου παρασκευῆς τινος δέοι, καὶ ταύτην χρὴ προπεποιῆσθαι. λελεγμέναι δ' εἰσὶν αἱ παρασκευαὶ διὰ τῆς θεραπευτικῆς πραγματείας. ἐπ' ἐνίων μὲν γὰρ ἀρκεῖ καθᾶραι μόνον, ἐπ' ἐνίων δ' ἀφελεῖν αἵματος, ἐπ' ἄλλων δ' ἄμφω ταῦτα πρᾶξαι. τινῶν δ' ὑποκείμενον ἐκκόψαι κιρσὸν, ἢ σπληνὸς, ἢ ἥπατος προνοήσασθαι, τινῶν δὲ καὶ ἀποσχάσαι τὰ περὶ τὸ ἕλκος, ὥσπερ γε καὶ περικόψαι ποτὲ τῶν χειλῶν τύλον. ἐὰν δὲ μηδενὸς τούτων δεώμεθα, τὴν ποσότητα τῆς ὑγρότητος C ἐπισκεπτέον ἅμα τῷ ῥύπῳ, καὶ οὕτως ἐπὶ τὸ προσῆκον ἰτέον φάρμακον, ἀναμνησθέντας ἑκάστου τῶν ἁπλῶν, ὅσα τε ξηραίνει μὲν, οὐ μὴν ἀπορρύπτει γε τὸν ῥύπον τοῦ ἕλκους, ὅσα τε ῥύπτει μὲν, οὐ μὴν ξηραίνει γενναίως. ὅσα δ' ἄμφω δρᾷν πέφυκε, προσεπισκεπτομένους ἐκ ποίας τάξεως ἕκαστόν ἐστιν, ὃ μέγιστον μὲν ὑπάρχει τῶν εἰς τὴν θεραπείαν διαφερόντων, ὀλιγώρηται δὲ τοῖς γράψασι τὰ περὶ ὕλης βιβλία. μόνοι γὰρ οὗτοι πάσης αὐτῆς ἐνεχείρησαν εἰπεῖν τὰς δυνάμεις, ὥσπερ γε καὶ ὁ Διοσκορίδης, ὃν οὐδενὸς ἂν τις εἴποι δεύτερον εἶναι τῶν περὶ ταῦτα σπουδασάντων. ἐγὼ τοίνυν ἐφεξῆς ἅπαντα καταλέξω, D τὰ ξηραίνειν ἕλκη δυνάμενα φάρμακα, χωρὶς τοῦ δάκνειν, ἢ τραχύνειν ἐπιφανῶς. ἄρξομαι δὲ ἀπὸ τῶν μεταλλικῶν, ἐν οἷς ἀριθμοῦσι καὶ τὰ τῆς γῆς εἴδη. πολλῆς δ' ἐν αὐτοῖς οὔσης διαφορᾶς ἐν τῷ κατὰ τὸ μᾶλλόν τε, καὶ ἧττον ξηραίνειν, ἀπὸ τῶν μέσων ἀρξάμενος, ἐπὶ τὰ σφοδρότερον, ἢ ἀμυδρότερον ξηραίνοντα μεταβήσομαι. ξηραίνει τοίνυν μετρίως, ἥ τε Λημνία σφραγὶς, καὶ ἡ καδμεία, καὶ μᾶλλον ταύτης, ἡ αὐτοφυὴς, ἄνευ τοῦ μεταβάλλεσθαι κατὰ τοὺς χειμάρρους τε καὶ ῥύακας, καὶ ἐν τοῖς τῶν Κυπρίων ὄρεσιν εὑρισκομένη, καὶ κατὰ τὰ ἄλλα χωρία, μάλιστα δ' ἐν οἷς ἐστι τὰ μεταλλικά. κατασκευάζειν δ' αὐτὴν εἴωθα ξηραν- E τικωτέραν, ὥρᾳ θέρους ἐν ἡλίῳ τρίβων ἐφεξῆς ἡμέραις πλείοσι μετ' ὄξους, ἢ οἴνου κιρροῦ μὲν τὴν χρόαν, διαυγοῦς δὲ τὴν σύστασιν, οἷός ἐστιν ὁ Φαλερῖνος μὲν ἐν Ἰταλίᾳ, Τμωλίτης δ' ἐν Ἀσίᾳ, ξηραντικώτατος δ' οἴνων ὁ τοιοῦτος. ἐκ τοῦ αὐτοῦ δὲ γένους ἐστὶν, ὅ τ' Ἀριούσιος ἐν Χίῳ γεννώμενος, ὅ τ' εὐώδης Λέσβιος ἐν Ἐρεσσῷ καὶ Μηθύμνῃ. τούτων δ' ἑξῆς εἰσιν οἱ παλαιοὶ πάντες, ὅταν ἐκ τῶν λευκῶν καὶ στυφόντων παλαιωθῶσιν, ἐν Ἰταλίᾳ μὲν ὅ τε Σιγνῖνος, καὶ ὁ Τιβουρτῖνος καὶ Μαρσός. ἐν Σικελίᾳ δ' ὁ καλούμενος ὑπ' αὐτῶν Ἀμιναῖος. ἐν Ἀσίᾳ δὲ ὅ τ' Ἀφροδισιεὺς, καὶ ὁ Μίσυος. ἀρκεῖ γὰρ, ὡς παραδείγματα τῶν καθόλου δυνάμεων F εἰρῆσθαί μοι τούτους. ἀλλὰ καὶ δι' ὄξους δριμέος ὁμοίως ἐν ἡλίῳ, πολλαῖς ἡμέραις ὥρᾳ θέρους, παρασκευάζω τὴν καδμείαν. ἀποτίθεμαί τε ξηράνας, ὡς ἐπιπάττειν δύνασθαι τοῖς κακοηθευομένοις ἕλκεσιν. ἰσχυρότερον δὲ τούτου φάρμακόν ἐστι, χαλκῖτις κεκαυμένη, προλειωθεῖσα τὸν αὐτὸν τρόπον τῇ καδμείᾳ. μετ' αὐτὴν δ' ἄκαυστος, ἰσχυρὸν οὕτως ἐστὶ φάρμακον, ὡς ἐσχάρας ἐργάζεσθαι.

πεπλυμένην οὖν αὐτήν, εἶτα ἐξηρασμένην ἔχειν ἄμεινον. ἀσθενέστερον μὲν γὰρ τῆς κεκαυμένης, ἡ πεπλυμένη ξηραίνει, πραοτέρα δὲ ἐστι πολὺ καὶ ἀδηκτοτέρα. παραπλήσιον δὲ αὐτῇ φάρμακόν ἐστι καὶ ὁ κεκαυμένος ἰός. ὁ δὲ ἄκαυστος ἰσχυρότατον φάρμακον, ὥσπερ καὶ ἡ χαλκῖτις. ἀλλ' ἐκείνη μὲν καὶ στύψεώς τι μέτεστι, καὶ πολὺ μᾶλλον αὐτῆς τῷ χαλκάνθῳ ξηραντικωτάτῳ τῶν μεταλλικῶν ὄντι. τῷ δὲ ἰῷ, τοιαύτης δυνάμεως οὐδ' ὅλως μέτεστιν. ὁμογενὲς δ', ὡς ἐμάθετε τῇ χαλκίτιδι, τό τε μίσυ, καὶ τὸ σῶρυ. ἐκ μιᾶς γάρ, ὡς ἂν εἴποι τις ἐκφυόμενα ῥίζης ἐστί, λεπτομερέστερον μὲν ὑπάρχον τὸ μίσυ, καὶ ἧττον δακνῶδές τε καὶ καυστικόν, παχυμερέστερον δὲ τὸ σῶρυ, καὶ ἧττον ξηραῖνον ἀμφοτέρων, ὥσπερ καὶ τὸ στίμμι τοῦ σώρεως στυπτικωτέραν καὶ ξηραντικωτέραν ἔχει δύναμιν. ἐπιτηδειότατον δὲ φάρμακον ἕλκεσι δυσεπουλώτοις δι' ὑγρότητα, καὶ τὸ διφρυγὲς ὀνομαζόμενον, ἰσχυρῶς γὰρ ξηραίνει, καίτοι μετρίως δάκνον, ἔχει δὲ καὶ αὐτὸ πρὸς τῇ δριμείᾳ ποιότητί τε καὶ δυνάμει τὴν στύφουσαν, ἃς ἀμφοτέρας ἰσχυροτέρας, ἥ τ' ὠμὴ χαλκῖτις καὶ τὸ χάλκανθον, εἴτ' ἀρρενικῶς ὀνομάζειν αὐτὸ βούλοιτό τις, εἴ τε θηλυκῶς, εἴ τ' οὐδετέρως. ἀεὶ γὰρ μέμνησθε τοῦ μὴ φιλονεικεῖν ὑπὲρ ὀνομάτων, ἔνθα πρόκειται θεωρίαν ἐκμαθεῖν ἀναγκαίαν εἰς τὰ τῆς τέχνης ἔργα. καὶ αἱ στυπτηρίαι δὲ πᾶσαι ξηραίνουσιν ἱκανῶς ἕλκη, στύφουσαι σφοδρῶς. ὅθεν οὐκ ἄν τις αὐταῖς χρήσεται μόναις ἐφ' ἑλκῶν, ὥσπερ οὐδὲ ὠμῇ χαλκίτιδι καὶ ἰῷ. κεκαυμένα δὲ ταῦτα, καὶ τὸ μίσυ, χρήσιμα, καθάπερ γε καὶ πλυθέντα. γίγνεται μὲν ἄδηκτα, ξηραίνει δ' ἧττον. ἀσφαλέστερον οὖν αὐτοῖς χρῆσθαι πεπλυμένοις, ἐπειδὴ τὰ πλεῖστα τῶν σωμάτων ἃ θεραπεύειν ἀναγκαζόμεθα, μίαν γέ τινα διάθεσιν ἔχει, μὴ φέρουσαν ἰσχυρὰν δῆξιν. ἀκηκόατε δ' αὐτὰ πολλάκις, ἀλλὰ καὶ νῦν ἀναμνήσω πάλιν, ἀξιώσω τε μεμνῆσθαι πρὸς ἅπαντα τὸν ἑξῆς λόγον. ὅσα τοίνυν πληθωρικά, καὶ ὅσα κακόχυμα, καὶ πρὸς τούτοις ἔτι μαλακόσαρκα, καὶ ἱκανῶς αἰσθητικὰ σώματ' ἐστί, ῥᾳδίως εἰς φλεγμονὴν ἄγεται δηχθέντα. περιέχεται δὲ ἐν τοῖς μαλακοσάρκοις, δηλονότι τὰ τῶν λευκῶν γυναικῶν σώματα, καὶ τὰ τῶν παιδίων, εὐνούχων τε καὶ ἀνδρῶν λευκῶν τὴν χροιάν, ὅσοι τε γῆν ἐποικοῦσι ψυχράν, ὑγρὰ καὶ τούτων ἐστί, καὶ φλεγματικὰ τὰ σώματα, καὶ διὰ τοῦτο μαλακά τε καὶ λευκά. καθάπερ γε καὶ τὰ θερμὴν οἰκοῦντα γῆν, οἷα τὰ κατ' Αἴγυπτον καὶ Ἀραβίαν ἐστί, σκληρὰν ἔχει καὶ ξηρὰν τὴν τῶν σωμάτων ἕξιν. ὡς οὖν ἀεὶ ταῦθ' ὑμῶν μνημονευόντων, προσθήσω τινὰ καὶ ἄλλην ὕλην φαρμάκων ἁπλῶν, θεραπεύειν ἕλκη δυναμένην κακοήθη. σαρκοκόλλα τοίνυν, καὶ ἰχθυοκόλλα, καὶ μᾶλλον αὐτῶν ἡ χρυσοκόλλα τοιαύτης εἰσὶ δυνάμεως. ἄριστον δὲ φάρμακον εἰς τὰ τοιαῦτα, καὶ ὁ κεκαυμένος μόλυβδός ἐστι, καὶ μετ' αὐτὸν σῶρυ, καὶ στίμμι, κεκαυμένα καὶ ταῦτα. καὶ ἡ σκωρία δὲ τοῦ μολύβδου ξηραίνει καλῶς, ὥσπερ γε καὶ ἡ τοῦ σιδήρου λεπίς, καὶ μᾶλλον ἡ τοῦ στομώματος. ἡ δὲ τοῦ χαλκοῦ, πρὸς τῷ ξηραίνειν, καὶ ῥύπτει, διὸ καὶ καθαρὰ ποιεῖ τὰ ἕλκη, τῶν ἄλλων λεπίδων οὐκ ἐχουσῶν τοῦτο. ταῦτ' οὖν πάντα τὰ φάρμακα ξηρὰ καταπάττων ἕλκεσι κακοήθεσι, θαυμαστῶς ὄψει ξηραινόμενα χωρὶς δήξεως. ὥσπερ γε καὶ τὰ τῶν κηρύκων ὄστρακα καυθέντα, πορφυρῶν τε καὶ ὀστρέων, ὅσα τ' ἄλλα τοιαῦτα. καὶ τὸ Διαφανὲς δὲ καλούμενον, ὃ σπεκλάριον ὀνομάζουσι Ῥωμαῖοι, τῶν ἀδήκτως ξηραινόντων ἐστί, καυθὲν ἐπὶ τῶν δυσεπουλώτων ἑλκῶν χρήσιμον ὑπάρχον, οὐ μὴν τῶν κακοήθων. μετριώτερον γάρ, ἢ κατὰ ταῦτα ξηραίνει. τῆς αὐτῆς δ' αὐτῷ δυνάμεώς ἐστι,

A Lotam igitur ipsam, deinde siccatam habere satius est; minus enim lota, quàm usta desiccat, ac longè mitior est, minusq; mordax. Persimile huic medicamentum est etiam ærugo combusta; quæ verò ignem non experta est, fortissimum medicamentū est, sicut etiam chalcitis; verū hæc nonnihil etiam astringit, & ea multo magis chalcanthum, quod inter metallica maximè siccat; at ærugo huius facultatis omnino particeps non est. Misy autem & sori, vt didicistis, chalcitidi genere cognata sunt, ex vna vt ita dicam, radice producta; tenuius tamen misy apparet, ac minus mordax & vrens; crassius sori est, & vtroq; siccat imbecillius; quemadmodū & stibi maiorem astringendi siccandique vim, ac sori possidet. B Porrò diphryges appellatū medicamentum vlceribus ægrè humiditatis vitio ad cicatricē venientibus, aptissimum est; validè namque siccat, etsi modicè mordeat. Enimuerò id quoq; præter acrem tum qualitatem, tum potentiam, vim habet astrictoriam; quas tamen ambas fortiores, & chalcitis cruda, & chalcanthū repræsentat, siue id masculino genere, siue fœminino, siue neutro, appellasse quis malit; nam hoc vobis semper succurrat, de nominibus contendendum non esse, vbi speculationem ipsius artis vsui necessariam ediscere statueritis. C Quin & alumen quodlibet vlcera satis exiccat, generosè astringens. Vnde nemo solis his ad vlcera vtetur, sicut nec cruda chalcitide, & ærugine; vsta verò hæc & misy vtilia sunt; vt elota morsum quidem remittunt, verùm minus siccant. Itaque lotis ipsis vti tutius est, quoniam permulta corpora, quibus mederi cogimur, vnam quandam dispositionem habēt, qua vehementem commorsum ferendo non sunt. Audiuistis autem ipsa frequenter, sed & nunc iterum commemorabo, atq; ad omnem sequentem sermonē memoriter teneri operæpretium esse arbitrabor. D Quæ igitur plethora, vitiosoque succo laborant corpora, ad hæc quæ tenera carne prædita, & ad sentiendum insigniter habilia sunt, facilè ex morsu phlegmonem recipiunt. In carne molli præditorum numero continentur mulieres videlicet cādidæ, pueri, eunuchi, viri cute alba, insuper qui regionem frigidā incolunt, humidi hi quoque, & pituitosi, eoq; molles & albi, quemadmodū ij, qui calidum tractum inhabitant, vt Ægyptum, & Arabiam, duros corporū habitus, & siccos sortiuntur. Itaq; horum vobis veluti memoribus appositurus sum quandā, & aliam medicamentorū simplicium materiem, quæ malignis vlceribus curandis sit idonea. E Sarcocolla igitur, & ichthyocolla, & his magis adhuc chrysocolla tali facultate prædita est. Huc optimè facit, & plūbum cōbustum; post hoc sori, stibique, hæc quoq; combusta; insuper plumbi recrementum probè siccat; quemadmodum & ferri squama, euidētius tamen stomomatis. Porrò æris squama, præter quàm quòd siccat, etiam abstergit, purgatq; vnde pura quoq; vlcera efficit; quod reliquæ squamæ non possunt. Quare si hæc omnia medicamenta arida vlceribus malignis, ac contumacibus inspergis, mirificè videbis citra mordicationem ea desiccari, sicut vbi buccinorum testas concrematas, F purpurarum, ostreorum, aliorumque id genus, adhibueris. Quin & quod Græcè Diaphanes, Romanis lapis dicitur specularis, ex iis est, quæ leniter, ac sine morsu exiccant; qui vstus vlceribus ægrè cicatricem admittentibus, non item malignis, ac rebellibus conducit; quippe minus exiccat, quàm illa requirant. Idem potest vitrum vstum,

ac

ac ignitum illud, quod in calefactoriis ærariorum fabrorum officinis consistit. Cæterùm Ægyptiæ spinæ fructus, galla omphacitis, idest, *immatura*, rheon, malicorium, radices, herbæque non paucæ vltra siccandi, etiam astringendi facultatē habent. Nam & aristolochia, iris, acorum, artemisia, panacis radix, argemone, chamæleontis nigri radix, cyperum, dracunculus, gladiolus, affatim exiccant. His euidentius adhuc centaurium, & polium; quibus paulo imbecillior est terra nomine erethrias, vti valentior est ampelitis. Talis sanè medicamentorum simplicium ad vlcera maligna, ac contumacia materies existit. Extrinsecus autem nonnulla ipsis apponuntur, quę quidem per se vehementis potentiæ gratia non admoueri, sed aliis misceri solent, veluti ærugo ignem nondum experta, calx viua, & illota, & molle aphronitrum, quod re vera aphrolitrum est; quanto enim spumantius, tantò præstantius est vtraque facultate, tum quà minus mordet, tum quà magis discutit. Didicistis enim & in opere De simplicibus medicamentis tenuiora crassioribus hac facultate inter omnia, quæ simili specie comprehenduntur, præcellere. Porrò nihil tam nobis euitandū est, quàm medicamenta generis oleosi, quæ Hippocrates malthacodea, idest, *mollicina*, nominat; cuiusmodi sunt omnes adipes, præsertim porcorum, dein resinæ, postea cera; alia verò ratione, & quæ indurata remolliunt (malactica Græcis dicuntur) non conueniunt, galbanū, bdellium, gutta ammoniaci, styrax, medullæ; item alio modo acria, piper, zingiber, sinapi, canchri, multaque eius generis alia.

CAPVT II.

Quomodo medicamentis siccis modò commemoratis in vlceribus ad cicatricem ægrè venientibus, & malignis, vtendum sit.

HViusmodi vlcera vitioso plena humore necessariò existunt, pleraque verò ipsorum etiam sordes copiosas continent. Quoniam ergo siccum aliquod medicamentū ipsis sumus inspersuri, conuenit priùs ea linteolo molli, puro, & sicco, extergere. Vbi vlceris cauitatem medicamento impleueris, latum linteum emplastri labris attenuandis accommodati extrinsecus superdandum est, atque huic rursus linamentum vndique æquale foris iniiciendum, cui spongiam ex aqua, aut vino tinctam applicabimus. At in primis curandum est, vt spongia frigida permaneat; quod ex facili fiet, si frigida ipsam continuè citra deligaturæ solutionem foueas. Sed fasciam ei iniicere, ac circumdare debes, vt Hippocrates in commentario de Fracturis edocuit, maximam læsionem fore ratus ex deligatura, quæ ad elegantem formam, non vsum, conducit. Si igitur fascia vna fuerit, infernè sursum tribuenda est, siue tibia, siue genu, siue talus, siue cubitus, siue manus summa, siue alia quæuis pars, laborauerit. Quòd si duabus vti velis, vt in fracturis, altera à parte affecta sursum feretur duntaxat; altera deorsum priùs, mox in superiore parte desinet, eodemque cum priore perueniet. Quamobrem hasce fascias ex linteis, non panniculos esse, vt omnes nouistis, expedit. Tertio autem quoque die non singulis soluendum membrum est, sic vt aqua non adhibita, quo dixi modo nuper, molli puro & sicco linteo saniem vlceri abstergas. At si ambientes vlcus partes phlegmonodes quippiam repræsentent,

A καὶ ὕαλος κεκαυμένη, καὶ τὸ συνιστάμενον πυρῶδες ἐν τοῖς θερμαντηρίοις χαλκείοις. μετὰ δὲ τοῦ ξηραίνειν, ἔτι καὶ στυπτικὴν ἔχει δύναμιν ὁ καρπὸς τῆς Αἰγυπτίας ἀκάνθης, ἥ τε ὀμφακῖτις κηκὶς, καὶ τὸ ῥῆον, καὶ τὰ σίδια, οὐκ ὀλίγαι τε ῥίζαι καὶ πόαι. καὶ γὰρ καὶ ἀριστολοχία, καὶ ἶρις, ἄκορόν τε καὶ ἀρτεμισία, καὶ πάνακος ῥίζα, καὶ ἀργεμώνη, χαμαιλέοντός τε μέλανος ἡ ῥίζα, καὶ κύπειρον, δρακόντιόν τε καὶ ξίφιον, ἱκανῶς ξηραίνει, καὶ τούτων ἔτι μᾶλλον, κενταύριόν τε καὶ πόλιον. ἀσθενεστέρα δὲ βραχὺ τούτων ἐστὶν, ἡ Ἐρετριὰς ὀνομαζομένη γῆ, καθάπερ γε ἡ ἀμπελῖτις ἰσχυροτέρα. τοιαύτη μὲν τις ὕλη τῶν τὰ κακοήθη θεραπευόντων ἕλκη, ἁπλῶν φαρμάκων ἐστίν. ἔξωθεν δ' αὐτοῖς
B προστίθεταί τινα, καθ' ἑαυτὰ μὲν οὐ προσαγόμενα διὰ τὸ σφοδρὸν τῆς δυνάμεως, ἑτέροις δὲ μιγνύμενα, καθάπερ ὁ ἄκαυστος ἰὸς, καὶ ἡ ἄσβεστος, καὶ ἡ ἄπλυτος τίτανος, καὶ τὸ μαλακὸν ἀφρόνιτρον, ὅπερ ὄντως ἐστὶν ἀφρόλιτρον. ὅσῳ γὰρ ἂν ἀφρωδέστερον ᾖ, τοσούτῳ κάλλιόν ἐστι κατ' ἄμφω, καὶ τὸ δάκνειν ἧττον, καὶ τὸ διαφορεῖν μᾶλλον. ἐμάθετε γὰρ κἀν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων, τοιαύτης ἔχεσθαι δυνάμεως τὰ λεπτομερέστερα τῶν παχυμερεστέρων, ἐν τοῖς ὁμογενέσιν ἅπασιν. οὐδὲν δὲ οὕτως ἐστὶ φυλακτέον, ὡς τὰ μαλθακώδη καλούμενα πρὸς Ἱπποκράτους φάρμακα, τοῦ κατὰ τὸ
C ἔλαιον ὄντα γένους. ἔστι δὲ τοιαῦτα τά γε στέατα πάντα καὶ μάλιστα αὐτῶν τὸ χοίρειον, εἶθ' ἑξῆς αἱ ῥητίναι, καὶ μετὰ ταῦτα ὁ κηρός. ἑτέρῳ δὲ τρόπῳ καὶ τὰ μαλακτικὰ τῶν ἐσκληρυσμένων, οὐκ ἐπιτήδεια· χαλβάνη, βδέλλιον, ἀμμωνιακὸν θυμίαμα, στύραξ, καὶ οἱ μυελοί. καὶ κατ' ἄλλον αὖ τρόπον τὰ δριμέα, πέπερι, ζίγγιβερ, νάπυ, κάγχρυ, καὶ πολὺ πλῆθος ἑτέρων τοιούτων.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πῶς δεῖ χρῆσθαι τοῖς εἰρημένοις ἄρτι ξηροῖς φαρμάκοις ἐπὶ τῶν δυσεπουλώτων τε καὶ κακοήθων ἑλκῶν.

D Ἀναγκαῖόν ἐστι τὰ τοιαῦτα τῶν ἑλκῶν, ὑγρότητος εἶναι μεστὰ μοχθηρᾶς, οὐκ ὀλίγα δ' αὐτῶν, καὶ ῥύπον ἔχειν δαψιλῆ. ἐπειδὴ μὲν οὖν ἐπιπάττειν αὐτοῖς μέλλομέν τι τῶν ξηρῶν φαρμάκων, προεκμάττειν δι' ὀθονίου χρὴ μαλακοῦ τε, καὶ καθαροῦ, καὶ ξηροῦ, πληρώσαντα δὲ τῷ φαρμάκῳ τὸ κοῖλον τοῦ ἕλκους, ἐπιβάλλειν ἔξωθεν, ἐμπλάστρου λεπτυνούσης τὰ χείλη πλάτυσμα, κατά τε τούτου πάλιν ἔξωθεν ὀθόνιον ἴσον ἀπάντῃ, καὶ κατ' αὐτοῦ σπόγγον ἐξ ὕδατος, ἢ οἴνου. περὶ παντὸς δὲ ποιεῖσθαι χρὴ, ψυχρὸν διαμένειν τὸν σπόγγον, ὃ γίγνοιτ' ἂν εὐκόλως, εἰ συνε-
E χῶς αὐτοῦ καταντλοίη τις ὕδωρ ψυχρὸν, ἄνευ τοῦ λύειν τὸν ἐπίδεσμον. αὐτὸν δὲ τὸν ἐπίδεσμον ἐπιβάλλειν τε καὶ περιβάλλειν, ὡς ἐν τοῖς περὶ καταγμάτων Ἱπποκράτης ἐδίδαξε, μεγίστην βλάβην ἡγούμενος ἐξ ἐπιδέσεως ἔσεσθαι τῆς εἰς εὐμορφίαν, οὐκ ὠφέλειαν διαφερούσης. εἰ μὲν οὖν εἷς ὁ ἐπίδεσμος εἴη, κάτωθεν ἄνω νέμεσθαι χρὴ, κἂν ἀντικνήμιον ᾖ, κἂν γόνυ, κἂν σφυρὸν, κἂν ἀγκὼν, ἢ χεὶρ ἄκρα, κἂν ὁτιοῦν ἄλλο μέρος. εἰ δὲ δυοῖν ἐθέλοις χρῆσθαι, καθάπερ ἐπὶ τῶν καταγμάτων, ὁ μὲν πρότερος ἀπὸ τοῦ πεπονθότος μορίου πρὸς τὴν ἄνω χώραν νεμέσθω μόνην. ὁ δὲ δεύτερος κάτωθεν πρότερον, ἐφεξῆς δὲ ἄνω τελευτῶν ἐπ' αὐτῷ τῷ προτέρῳ παραγινέσθω. πρόδηλον οὖν ὅτι τοὺς ἐπιδέσμους τούτους ἐξ ὀθονίων, οὐ ῥάκους εἶναι προσήκει. λύειν δὲ διὰ τρίτης, μὴ καθ' ἑκάστην ἡμέραν, καὶ λύσαντα μὴ προσφέρειν ὕδωρ τῷ ἕλκει, ἀλλὰ καθ' ὃν προείρηται τρόπον ἀρτίως, δι' ὀθόνης μαλακῆς τε καὶ καθαρᾶς, καὶ ξηρᾶς ἀπομάττοντα τοὺς ἰχῶρας. ἐὰν δὲ καὶ τὰ πέριξ τοῦ ἕλκους ἐμφαίνῃ τι φλεγμονῶδες,

A ἐπιβάλλειν κατὰ τοῦ πλατύσματος ἔξωθεν, ἐπὶ πολὺν τόπον ἐξῆκον ὑγρὸν φάρμακον ἐκ τῆς ἐμῆς φοινικίνης, οὐχ ἁπλῶς τετηκυίας, ἀλλὰ στύφοντος οἴνου προσειληφυίας, ὅσον οἷόν τε πλεῖστον. οὐ μὴν οὐδὲ διὰ τοῦ τυχόντος ἐλαίου τήκειν αὐτὴν προσήκει, ἀλλ' εἰ μὲν ἐρυθρότης τις, ἢ ὅλως θερμότης ἐπικρατεῖ κατὰ τὰ πέριξ τοῦ ἕλκους, διά τινος τῶν στυφόντων καὶ ψυχόντων. ἔστι δὲ τοιαῦτα, μύρσινόν τε καὶ μήλινον. εἰ δὲ μὴ παρείη ταῦτα, τὸ καλούμενον ὀμφάκινόν τε καὶ ὠμοτριβὲς ἔλαιον. εἰ δὲ σκληρότης ἐπικρατεῖν φαίνοιτο, δι' ἐλαίου παλαιοῦ τηκτέον, ἢ διὰ κικίνου τὴν αὐτὴν φοινικίνην. ἀσφαλέστερον δὲ, κἂν μηδὲν ἐν B τῷ περιέχοντι τὸ ἕλκος τόπῳ μοχθηρὸν ἐμφαίνηται, αὐτῷ γοῦν τῷ ὑποκειμένῳ χωρίῳ, τὸ ὑγρὸν φάρμακον ἐπιβάλλειν ἀποκρουσόμενον, εἴ τι πρόσθεν, ἢ μοχθηρὸν, ἢ πλέον τοῦ προσήκοντος ἐπιρρεῖ. καὶ μάλιστα ὅταν ἐν σκέλει τὸ ἕλκος ὑπάρχον, ὑποκειμένην ἔχοι φλέβα κιρσώδη. μεγάλης δ' οὔσης αὐτῆς, καὶ κατὰ τὴν χρόαν ἐμφαινούσης, οὔτε ἐρυθρὸν, οὐδὲ χρηστὸν αἷμα περιέχειν, ἀλλὰ μελάντερον καὶ μελαγχολικώτερον, ἐκκόπτειν χρὴ τὴν φλέβα. συνέβη δέ ποτε φλεβὸς τοιαύτης ἐκκοπείσης, τὸ μὲν ἕλκος εὐθέως ἐπουλωθῆναι, καίτοι γ' ἐνιαυσιαῖον ὄν, ἀντ' αὐτοῦ δὲ κατὰ τὴν διαίρεσιν ὅθεν ἡ φλὲψ ἐξεκόπη, γε- C νέσθαι κακόηθες ἕλκος, ἐπουλωθῆναι μὴ δυνάμενον. ἄμεινον οὖν ἐπὶ τῶν τοιούτων, τὴν ἰσχὺν τοῦ θεραπευομένου θεασάμενον, ἀπὸ φλεβοτομίας μὲν ἄρξασθαι, καθῆραι δὲ ἐφεξῆς φαρμάκῳ μελαγχολικὸν ἐκκενοῦντι χυμὸν, καὶ σὺν τούτῳ καὶ φλεγματικὸν, ἐπειδὴ καὶ οὗτος συνεπιρρεῖ ποτε τῷ μελαγχολικῷ κατὰ τὰς τῶν κιρσῶν γενέσεις. εἶθ' ἑξῆς αὐτὴν κατὰ τὸ μῆκος σχάσαι τὴν ὑποκειμένην τοῦ ἕλκους φλέβα, καὶ κενώσαντα δαψιλὲς, αὐτὴν ταύτην πρότερον ἰᾶσθαι τὴν γενομένην διαίρεσιν τῆς φλεβὸς, ὅταν δ' ἀκριβῶς ἤδη φαίνηται συνουλουμένη, τηνικαῦτα τῇ θεραπείᾳ τοῦ κακοήθους ἕλκους D ἐπιχειρεῖν, ὡς προείρηται. καὶ σπλὴν δὲ ἐνίοτε μοχθηρῶς διακείμενος, αἴτιος γίνεται τοιαύτης κακοχυμίας, ὥσπερ γε καὶ ἧπαρ. ὧν χρὴ προνοησάμενον, οὕτως ἐπιχειρεῖν τῇ τοῦ ἕλκους ἰάσει. κατὰ δὲ τὸν αὐτὸν λόγον, κἂν κακόχυμον, ἢ πληθωρικὸν ὅλον ᾖ τὸ σῶμα, προκαθῆραί τε καὶ προκενῶσαι πρότερον αὐτὸ, πρὶν ἐπιτιθέναι τῷ ἕλκει φάρμακον. ἐν αὐτῷ δὲ τῷ θεραπεύειν τὸ ἕλκος διὰ τῶν ξηρῶν φαρμάκων, ἐφ' ἑκάστῃ ἐπιλύσει, προσέχειν χρὴ τὴν γεγενημένην ὑπ' αὐτοῦ περὶ τὸ μόριον ἐνέργειαν, ἐπισταμένους τε καὶ μεμνημένους, ὅτι τὰ μὲν ἄνευ τοῦ ῥύπτειν ξηραίνοντα, τοιαῦτα δ' ἐστὶν ἐν οἷς ἡ στύφουσα ποιό- E της ἐπικρατεῖ, καθαρὸν οὐκ ἐργάζεται τὸ ἕλκος. ὅσα δὲ πρὸς τῷ ξηραίνειν, ἔτι καὶ τὸ ῥύπτειν ἔχει, ταῦτα οὐ μόνον ξηρὸν, ἀλλὰ καὶ καθαρὸν ἀποδείκνυσι τὸ ἡλκωμένον ὅλον μόριον. εἰδέναι δὲ χρὴ, καὶ ὡς δάκνεται τὰ καθαρὰ τῶν ἑλκῶν, ὑφ' ὧν ἔμπροσθεν οὐδὲν ἐδάκνετο φαρμάκων, ἡνίκα ἦν ῥυπαρά. μεταβαίνειν οὖν ἀπὸ τῶν ἰσχυρότερον ῥυπτόντων, ἐπὶ τὸ πρᾳότερον καὶ ἀδηκτότερον, καθ' ὃν ἂν καιρὸν ἀκριβῶς καθαρὸν εὑρέθη τὸ ἕλκος, ὥσπερ γε πάλιν ἐπὶ τῶν ῥυπαρῶν, ἐπανέρχεσθαι ἐπὶ τὰ ῥυπτικώτερα, πλὴν εἰ μὴ διὰ τὸ δηχθῆναι ῥυπαρὸν ἐφάνη. τουτὶ γὰρ ἐνίοτε καὶ τοὺς ἀγαθοὺς δοκοῦντας εἶναι ἰατροὺς, F ἐξηπάτησεν, ὡς μεταβῆναι πρὸς ἄλλο ῥυπτικώτερόν τε καὶ δριμύτερον, ὑφ' οὗ πάλιν διαβρωθὲν τὸ ἕλκος, ὁμοίως ῥυπαρὸν, ἢ καὶ μᾶλλον ἔτι κατὰ τὴν ἑξῆς λύσιν ἐφάνη, τῆς συντακείσης ὑπὸ τοῦ φαρμάκου σαρκὸς ῥυπαινούσης αὐτό. λύεται μὲν γὰρ εἰς ἰχῶρας μοχθηροὺς ἡ συντηκομένη σάρξ. αὐτῶν δὲ τούτων ὅσον μὲν λεπτομερέστερόν ἐστι κατὰ τὴν σύστασιν,

humidum medicamentum latum extrinsecus platysmati superaccommodandum est ex meo phœnicino, non simpliciter liquefacto, sed cui plurimum, quoad fieri potest, vini astringentis adiectum sit. Neque tamen obuio quouis oleo liquare ipsum conuenit, verùm si rubor quispiam, vel omnino calor, in circumpositis vlceri partibus exuperet, astringente & refrigerante aliquo id faciendum est; sunt huiusmodi myrteum & melinum; si hæc non adsint, adhibeto, quod omphacinum & omotribes nominant. Si durities maior extiterit, oleo veteri, vel ricinino, ipsum phœnicinum liquefacies. Sed tutius fuerit, si nihil in ambiente vlcus loco vitiosi appareat, superpositæ regioni; liquidum medicamentum admouere, quod repellat, siquid prius, vel prauum, vel plusquam par est, influat, maximè cum in crure vlcus obortum superpositam venam varicosam habeat. Quæ dum magna est, ac colore nec rubrum nec probum sanguinem, sed atriorem magisque melancholicum, continere videtur, excidenda venit. Interim verò contigit, vt vena tali excisa vlcus statim ad cicatricem veniret, etsi iam annum durarat, verùm ipsius loco iuxta diuisionem, vbi vena erat excisa, vlcus malignum, ac contumax orietur, cui cicatrix induci non potuerit. Igitur id genus vitiis præstat, viribus ægri consultis, à venæ incisione auspicari, deinde medicamento purgare, melancholicum humorem, vel cum hoc etiam pituitosum educente, quoniam is quoque vnà nonnunquam cum melancholico influit, dum varices generantur. Postea ipsam venam vlceri suprapositam in longum scarificare commodum est. Vbi abundè vacuaris, ei ipsi venæ sectæ priùs medendum. Postquam exactè iam cicatricem ducere videtur, tunc maligni vlceris curationem, vt prædictum est, aggredere. Iam verò lien interdum malè affectus, vitiosi talis humoris author est, sicut & iecur. Quibus vbi prospexeris, sic tandem ad vlcus curandum venire oportet. Pari modo, si vniuersum corpus cacochymum, vel plethoricum existat, priùs expurgare vacuareque ipsum expedit, quam medicamentum vlceri admoueas. Porrò intra vlceris per arida medicamenta curationem, quotiescunque solueris, aduertendum est, qualemnam in parte effectum ediderint. Sciendumque ac in memoria habendum, quòd quæ desiccare, non autem detergere valent, cuiusmodi sunt illa, quæ astringendi qualitatem obtinent, vlcus purum non efficiunt; at quæ præterquam quòd siccant, adhuc etiam detergunt, ea non modò siccam, sed puram quoque, totam partem exulceratam efficiunt. Præterea notandum venit pura vlcera ab iis medicamentis, vnde priùs, quum essent sordida, nihil mordicationis percipiebant, nunc morderi. Quæ causa est, vt à valentioribus abstersoriis medicamentis ad mitiora, minusque mordacia, digrediamur, vbi vlcus adamussim purum inuenerimus; quemadmodum rursus in sordidis ad magis abstergentia transimus, nisi ex mordicatione sordida apparuerint. Hoc siquidem medicis etiam bonis existimatis nonnunquam imposuit, vt ad abstersorium valentius acriusque se conferrent, vnde iterum vlcus erosum, ex æquo sordidum, vel etiam magis adhuc, altera solutione visum fuerit carne à medicamento colliquata ipsum fœdante; nam in prauam saniem degenerat colliquescens caro. Cæterùm quicquid ex his ipsis tenuioris cõsistentię est, à medi-

à medicamento discutitur; reliquum ibidem circa vlcera concretum, sordes ipsis redditur. Quare animum attendere oportet, vtrum vlcus carne, quæ subest, exesa, ac colliquescente sordidum euaserit; an quia medicamentum sordibus auferendis aptum requirat, impositum verò tale non sit. Indicat autem vlceris maior facta cauitas, tum oræ rubentiores, calidioresque, quum medicamenti acrimonia sordescat. Forsan igitur superuacaneum fuerit in præsenti commentario compositorum medicamentorum vsus rationem modumque adscribere, quippe in Methodo curandi explicatum; at quæ necessaria sunt, & magnam noxam afferunt, neglecta satius est bis terue, vt fidelius memoriæ inhæreant, repetere. Ponamus igitur, & hoc etiam in talium vlcerum curatione, si quidem citra totius corporis noxam fieri poterit, ægro à balneo abstinere, perfricari linteis largiter, mox oleo, deinde halteribus exerceri, si crus fuerit affectum; vel cursu, si partes superiores malè habeant. Quod si à balneo temperare sine totius corporis noxa non poterit, soluere deligaturam non oportet, verùm vt ligatum est, membrum lauare, & aquam calidam ex spongia exprimere, aliamque mox frigidam infundere, vt nullus in deligatura calor sit reliquus. Iam si curatio succedere videatur, etiam absque spongia alligata sanari potest, si phœnicinum liquefactum, vt dixi, extrinsecus imponas, & citra spongiam, quæ fasciis comprehensa, velut in fracturis, ægrotæ corporis parti orbiculatim circundatur.

A ὑπὸ τοῦ φαρμάκου διαφορεῖται, τὸ λοιπὸν δὲ αὐτόθι παραπηγνύμενον τοῖς ἕλκεσι, ῥύπος αὖθις γίγνεται. προσέχειν οὖν χρή, πότερον ἀναβιβρωσκομένης τε καὶ συντηκομένης τῆς ὑποκειμένης σαρκὸς, ἐρρυπώθη τὸ ἕλκος, ἢ διὰ τὸ δεῖσθαι μὲν ἀφαιροῦντος τὸν ῥύπον φαρμάκου, τὸ δὲ ἐπιτεθὲν, οὐκ εἶναι τοιοῦτον. διακρίνεται δὲ τῷ κοιλότερόν τε ἅμα γεγονέναι τὸ ἕλκος, ἐνερευθῆ τε τὰ χείλη, καὶ θερμότερα ἔχειν, ὅταν ὑπὸ τῆς τοῦ φαρμάκου δριμύτητος ῥυπαίνηται. τάχα μὲν οὖν περιττὸν εἴη ἐν τῇ προκειμένῃ πραγματείᾳ, τὸν τρόπον τῆς χρήσεως τῶν συνθέτων φαρμάκων προσγράφειν. εἴρηται γὰρ ἐν τῇ θεραπευτικῇ μεθόδῳ. B τὰ δὲ ἀναγκαῖα, καὶ μεγάλην φέροντα βλάβην εἰ παροφθείη, βέλτιόν ἐστι καὶ δὶς καὶ τρὶς λέγειν, ἀναμνήσεως ἕνεκα. προσκείσθω τοίνυν ἔτι καὶ τοῦτο κατὰ τὸν λόγον, ἐν τῇ θεραπείᾳ τῶν τοιούτων ἑλκῶν, εἰ μὲν εἴη δυνατὸν ἄνευ τῆς τοῦ παντὸς σώματος βλάβης ἀλουτεῖν τὸν θεραπευόμενον, ἀνατριβόμενόν τε σινδόσιν ἐπὶ πλέον, ἐφεξῆς τε δι' ἐλαίου, κἄπειτα δι' ἁλτήρων γυμναζόμενον, εἰ σκέλος εἴη τὸ πεπονθὸς, ἢ διὰ δρόμων ἐπὶ τῶν ὑπερκειμένων. εἰ δὲ ἀλουτεῖν ἀδύνατον εἴη τῷ θεραπευομένῳ χωρὶς βλάβης ὅλου τοῦ σώματος, οὐ χρὴ λύειν τὴν ἐπίδεσιν, ἀλλ' ὡς ἐπιδέδεται λουσάμενον, ἐκθλίψαντα τὸ τοῦ σπόγγου θερμὸν ὕδωρ, C αὐθέως ἄλλο καταχεῖν ψυχρὸν, ὡς μηδεμίαν ὑπολείπεσθαι θερμότητα κατὰ τὴν ἐπίδεσιν. εἰ δὲ φαίνοιτο προχωρεῖν ἡ θεραπεία, καὶ χωρὶς ἐπιδέσεως σπόγγου θεραπεύεσθαι, τὸ ὑγρᾶς φοινικίνης ἐπιβαλλομένης ἔξωθεν, ὡς εἴρηται· καὶ χωρὶς ἐπιθέσεως σπόγγου καταλαμβανομένης ἐπιδέσμοις, καταγματικῷ τρόπῳ περιελιττομένης τῷ θεραπευομένῳ μέρει τοῦ σώματος.

CAPVT III.

Compositio medicamentorum emplastris similium.

Quoniam malignorum, & difficulter cicatricem recipientium vlcerum curationis summus est scopus, vt medicamentum citra morsum exiccet, aqua verò, & oleum maximè omnium humectant, ab eis abstinendum est ita, vt nec per se adhibeantur, nec siccis, quæ recensuimus, misceantur medicamentis. Itaque cera deligenda est neque natura, neque vetustate sicca, verùm recens, & pinguis natura. Qua in Sole emollita, aridorum medicamentorum dictorum, quodcunque volueris, excipere poteris; sin autem Sol absit, apud ignem calefacta subigatur, & in calidam aquam demergatur; non enim aqua per totam miscetur, sed statim ab ea emollescente defluit, antequam vlceri fuerit imposita. Symmetria verò mixturæ est talis. Mediocre medicamentum hoc modo efficitur. Quarta pars metallicorum ceræ adiicitur; valentius erit, si tertia sumatur. Porrò quum ipsa metallica minus, magisque morsu carentia, siccaque existant, virtus in iis, quæ magis siccant, intendetur; quæ minùs, remittetur; quemadmodum rursus tutior leniorum vsus est, mordaciorum periculosior. Dictum namque frequenter est nonnullas naturas corporum, tum cutem, tum carnes magis sensorias habere; quibusdam has ambas minus esse sensorias. Item pro maioris minorisque sensus ratione doloris etiam affectus sequitur, vt & phlegmones. Accedit huc non mediocris differentia, quòd quis molli sit carne, vel duriore, boni malique succi, vel plethoricus, vel vacuus, vel medio quodam modo inter enumeratos affectus.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Σύνθεσις ἐμπλαστρωδῶν φαρμάκων.

D Ἐπειδὴ τὸ κεφάλαιόν ἐστι τῆς τῶν κακοήθων τε καὶ δυσεπουλώτων ἑλκῶν θεραπείας ἐν τῷ ξηραίνειν ἀδήκτως τὸ φάρμακον, ὑγραίνει δὲ πάντων μάλιστα, τό θ' ὕδωρ καὶ τὸ ἔλαιον. ἀπέχεσθαι χρὴ τούτων, ὡς μήτε αὐτὰ καθ' ἑαυτὰ προσφέρειν, μήτε κατὰ τῶν εἰρημένων ξηρῶν φαρμάκων μιγνύναι. κηρὸν οὖν ἐκλέγεσθαι χρὴ, μήτε φύσει ξηρὸν, μήθ' ὑπὸ παλαιότητος εἰς τοῦθ' ἥκοντα, πρόσφατον δὲ καὶ φύσει λιπαρὸν, ὃν ἐν ἡλίῳ μαλάττων τις, ἀναλαβεῖν εἰς αὐτὸν δυνήσεται τῶν εἰρημένων ξηρῶν φαρμάκων. μὴ ὄντος δὲ ἡλίου, παρά τε πυρὶ θαλπόμενος μαλαττέσθω, καὶ καθιέμενος εἰς ὕδωρ θερμόν. οὐ γὰρ E ἀναμίγνυται δι' ὅλου τὸ ὕδωρ, ἀλλ' ἀπορρεῖ ταχέως αὐτοῦ μαλαττομένου πρὶν ἐπιτεθῆναι τῷ ἕλκει. Συμμετρία δὲ τῆς μίξεώς ἐστι τοιάδε. Μέτριον μὲν εἴ τις βούλοιτο γενέσθαι τὸ φάρμακον, τὸ τέταρτον μέρος προσβάλλῃ τῷ κηρῷ τῶν μεταλλικῶν, ἰσχυρότερον δὲ ἔσται τοῦ τρίτου μιχθέντος. αὐτῶν δὲ τῶν μεταλλικῶν ἧττόν τε καὶ μᾶλλον ἀδήκτων τε καὶ ξηραντικῶν ὄντων, ἐπιταθήσεται μὲν ἐν τοῖς ξηραντικωτέροις ἡ δύναμις, ἐκλυθήσεται δὲ ἐν τοῖς ἧττον ξηραίνουσιν, ὥσπερ γε πάλιν, ἀσφαλεστέρα μὲν ἡ χρῆσις ἔσται διὰ τῶν ἀδηκτοτέρων, σφαλερωτέρα δὲ διὰ τῶν δακνωδεστέρων. εἴρηται γὰρ πολλάκις, ὡς ἔνιαι μὲν φύσεις σωμάτων, F αἰσθητικώτερον ἔχουσι τό τε δέρμα καὶ τὰς σάρκας, ἐνίαις δὲ, δυσαισθητότερα ταῦτ' ἐστὶν ἄμφω. κατὰ δὲ τὸ μᾶλλόν τε καὶ ἧττον αἰσθάνεσθαι, καὶ τὸ τῆς ὀδύνης πάθος ἀκολουθεῖ μᾶλλόν τε καὶ ἧττον, ὥς γε καὶ τὸ τῆς φλεγμονῆς, οὐ μικρὰ δὲ διαφορὰ καὶ παρὰ τὸ μαλακόσαρκον ὑπάρχειν, ἢ σκληρότερον, εὔχυμόν τε καὶ κακόχυμον, ἢ πληθωρικὸν, ἢ κενὸν, ἢ μέσως διακείμενον ἐν τοῖς εἰρημένοις.

ἐννοῶ οἷόν τε πᾶσιν ἀνθρώποις ἓν ἐπιτήδειον σκευάσαι φάρμακον. ἀλλ' ὁποῖον ἂν σκευασθῇ τῶν ὁμοειδῶν, ἐπίστασθαι τούτῳ χρῆσθαι προσήκει τεχνωθέντα κατὰ τὴν ἐν τῷδε τῷ λόγῳ διδασκομένην μέθοδον, οἷον εὐθέως ἐπὶ τῆς προκειμένης ὕλης, ἐὰν ἴσον μὲν ἑκατέρου μίξῃς, ἰοῦ τε καὶ χαλκοῦ κεκαυμένου. μέρους δ' ἑνὸς ἥμισυ στυπτηρίας σχιστῆς, ὡς γενέσθαι τὸ συμπληρούμενον ἐκ τῶν τριῶν ἤτοι < β'. καὶ ἡμισείας, ἢ οὐγγίας τοσαύτης, ἀρκέσει, κηροῦ μίξαι μὲν < ι'. ταῖς δραχμαῖς, γο δ' ι'. ταῖς οὐγγίαις, εἰς μετρίου τε καὶ μέσου τῇ δυνάμει φαρμάκου σύνθεσιν. ἄμεινον δ' ἅμα, καὶ ἀδηκτότερον ἔσται διφρυγὲς λαμβανόντων ἀντὶ τῆς σχιστῆς, καὶ μιᾶς τε δραχμῆς ὅλης ἐμβληθείσης, ὥσπερ τοῦ χαλκοῦ τε καὶ ἰοῦ, κάλλιον ἔσται τὸ φάρμακον. εἰ δὲ τὴν ἀπὸ τοῦ ἰοῦ δῆξιν ὑποπτεύοντες, ἐθελήσαιμεν ἀκριβῶς ἄδηκτον αὐτὸ γενέσθαι, κεκαυμένον ἐμβάλλειν χρὴ τὸν ἰόν. εἰ δὲ καὶ ῥύπον ἀφαιρεῖν, λεπίδος χαλκοῦ προσβλητέον ἥμισυ δραχμῆς, ὡς γενέσθαι τὴν ὅλην συμμετρίαν τοιάνδε. ℞. χαλκοῦ καὶ ἰοῦ κεκαυμένου, καὶ διφρυγοῦς, ἴσον ἑκάστου, τουτέστιν ἀνὰ < α'. τῆς δὲ τοῦ χαλκοῦ λεπίδος, ἡμίδραχμον. ἀναλαμβανέσθω δὲ ταῦτα τῷ λιπαρῷ κηρῷ μαλαττομένῳ, καθότι προείρηται. ξηροτέρου δ' ὄντος, ἢ ὡς δέξασθαι τὰ εἰρημένα, μιγνύναι χρὴ μαλάττοντα μύρσινον, ἢ μήλινον, ἢ σχίνινον, ἢ κίκινον, ἢ κύπρινον, ἢ παλαιὸν ἔλαιον ὠμοτριβές, ἢ τὸ πρόσφατον Σπανόν, ἢ τὸ παρ' ἡμῖν διὰ θαλλῶν ἐλαίας ἐσκευασμένον. εἰ δὲ μηδ' ὅλως ἐθέλοιμεν ἐλαιῶδές τι τῷ φαρμάκῳ προσφέρειν, τῆς λάρικος ῥητίνης μιγνύειν. εἰ δὲ μὴ παρείη ταύτης ἡμῖν, ἀντ' αὐτῆς τῇ τερμινθίνῃ χρηστέον. ἀεὶ δὲ καὶ τούτου χρὴ μεμνῆσθαι τοὺς ἀναγινώσκοντας ταῦτα, μάλιστα μὲν ἐπὶ τὸ πρῶτον εἰρημένον, ὡς ἄριστον ἔρχεσθαι, μετὰ τοῦτο δ' ἐπὶ τὸ δεύτερόν τε καὶ τρίτον, ἐφεξῆς τε τἄλλα τὰ μετὰ τὸ τρίτον, ὡς ἀνάλογον τῆς τῶν φαρμάκων ἀρετῆς τε καὶ δυνάμεως τῇ τάξει τοῦ λόγου χρωμένων ἡμῶν. προακηκοὼς οὖν τις ταῦτα, καὶ τῶν ἁπλῶν φαρμάκων τὰς δυνάμεις ἐπιστάμενος, ἱκανὸς ἔσται διακρίνειν, ὅσα τοῖς πρὸ ἡμῶν ἐγράφη, πρὸς τὰ κακοήθη τῶν ἑλκῶν φάρμακα, οἷον εὐθέως Ἀσκληπιάδης ὁ Φαρμακίων ἐπικληθεὶς, ἐν τῷ τρίτῳ τῶν ἐκτὸς οὕτως ἔγραψε.

A Vnde colligo, vnum omnibus idoneum medicamentum pręparari non posse; sed qualecunque ex similibus specie confectum fuerit, hoc vti sciet ille, qui methodum isto libro traditam artificiosè didicerit. Exempli gratia, in subiecta materie, si pares vtriusque, æruginis, & æris vsti, partes misceas, aluminis scissi partis vnius dimidium, vt totū tribus, vel duabus drachmis & semisse, vel vnciis totidem, constet; sufficiet decem ceræ drachmas adiicere drachmis; decem verò vncias vnciis, in temperati & medij facultate medicamenti compositionem. Melius fiet, minusq; mordebit, si loco aluminis scissilis diphryges accipiat; cuius vna B drachma integra iniecta, quemadmodū æris quoque & æruginis, medicamentum erit præstantius. Quòd si æruginem mordacius facturam suspicati, lene prorsus ipsum fieri postulemus, vstam apponimus. Insuper si expurgare sordes statuerimus, æris squamæ drachmæ dimidium addetur, vt tota medicamenti symmetria talis euadat; ℞. æris, æruginis vstæ, diphrygis, singulorum partes æquales, hoc est, cuiusque drachmam vnam; æris squamæ drachmæ dimidium; hæc pingui cera, vt dixi, mollita excipiantur. Vbi siccior paulo fuerit, quàm vt commemorata excipiat, miscendum est C myrteum molliendo, vel melinum, vel lentiscinū, vel ricininum, vel cyprinum, vel omotribes oleum vetus, vel recens Hispanum, vel quod apud nos ex oleæ surculis pręparatur. Aut si omnino nihil oleosum medicamento adhibere placet, laricem resinam admisceto, cuius si copia non est, terebinthina eius loco vtendum. Cæterùm hoc semper in memoria tenendū est iis, qui hæc legunt, maximè ad primum, quod dictū est, tanquam præstantissimum veniendū esse, mox ad secundū, & tertium, deinde ad alia, quæ post tertium sunt, ceu pro medicamentorū virtutis & potentię proportione, ser- D monis ordinē nobis vsurpātibus. His igitur auditis quispiam, simpliciū medicamentorū facultatibus intellectis, diiudicare poterit, quæ maiores nostri ad vlcera maligna medicamenta conscripsere, sicut verbi gratia Asclepiades cognomento Pharmacion in tertio Exteriorū in hūc modū tradidit.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων φαρμάκων.

Πρὸς τὰ χρόνια καὶ δυσαλθῆ τῶν ἑλκῶν, φάρμακον ἐπιτετευγμένον. ℞. λεπίδος χαλκοῦ οὐγγίαν α'. ἰοῦ ξυστοῦ οὐγγίαν α'. κηροῦ ἡμίλιτρον, ῥητίνης λάρικος γο α' S''. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, καὶ ἀνελόμενος χρῶ μαλάξας ἐπιμελῶς, καὶ πλατυσμάτιον ἐπιρρίπτων κατὰ μόνου τοῦ πεπονθότος, ὥστε περιλαμβάνειν μόνον τὸ ἕλκος. δεῖ δὲ τὰ πέριξ ἀφλεγμάντῳ φαρμάκῳ περιλαμβάνειν. ἐν δὲ τῇ θεραπείᾳ λύειν χρὴ διὰ τρίτης τὸ ἕλκος, ἔπειτα προσπυριᾶν, καὶ τὸ αὐτὸ πλατυσμάτιον ἀπονίπτοντα μαλάσσειν, καὶ πάλιν ἐπιτιθέναι, ἕως ἂν ἄρξηται συνουλώσεως. αὕτη μὲν ἡ τοῦ φαρμάκου γραφή, καλῶς προσγράψαντος αὐτοῦ πρὸς τὰ χρόνια, καλοῦσι γὰρ οὕτως τὰ μὴ μετρίως κακοήθη τῶν ἑλκῶν, ἀλλὰ τὰ πάνυ σφόδρα, πάνυ γενναῖον δ' ἐστὶ τοῦτο τὸ φάρμακον, ὡς ἂν ἐκ τρίτου μέρους ἔχον τοῦ κηροῦ τὰ μεταλλικά, τὸν μὲν ἰὸν ἰσχυρότερον φάρμακον, τὴν δὲ λεπίδα τοῦ χαλκοῦ, μετριώτερον μὲν πολὺ τοῦ ἰοῦ, γενναῖον δὲ ὅμως καὶ αὐτό, συμμέτρως δ' εἴπερ εἶχε κράσεως, ὡς καὶ τὰ μετρίως κακοήθη θεραπεύειν,

CAPVT IV.

Quæ medicamenta scripserit Asclepiades.

AD chironia & curatu difficilia vlcera medicamentum accommodatum. ℞. æris squamæ vn- E ciam j. æruginis rasæ ℥.j. ceræ selibram, resinæ laricis ℥.j.ß. Ea quæ liquari possunt, aridis affundūtur; quibus exceptis, ac curiosè mollitis vtitor; itē platysma exiguum soli affectæ parti, vt vlcus tantùm cōprehendat, iniicito. Cæterùm ambientes partes medicamento, quod phlegmonē arceat, circūdare oportet; inter curandū tertio quoque die soluere, deinde fomentis mitigare, idemque emplastrum quòd à latitudine platysma vocatur, abluendo emollire, ac rursus imponere donec cicatricē inducere incipiat. Hæc est medicamenti scriptura. Pulchrè verò author ipse adiunxit, ad chironia; no- F minăt enim sic vlcera, non mediocriter, sed maximè maligna, cōtumaciaque. Generosū hoc medicamentū est, vt quod ex tertia ceræ parte metallica contineat, ęruginem sanè medicamentū valentius, ęris squamam multo illo moderatius, attamen & ipsum generosum. Mediam, ac symmetram habet temperiem, vt etiam modicè maligna curet, si non

si non triplex, sed quadrupla, ceræ portio aliis commixta fuerit; moderatius adhuc extiterit, si quincupla adiiciatur, vt nondum maligna, sed ægrè cicatricem ducentia, persanet. Quemadmodum etiam si metallicorum sex partes cera capiat, vt sit æruginis & squamæ vtriusque denarius, ceræ duodecim, laricis quot exigit proportio; quæ erit, si tres ipsius deharij imponantur. At vbi cera pinguis est, etsi minus resinæ addatur, spissitudinem, quanta sufficit, medicamentum habebit, siquidem huiusmodi medicamentis resina ob consistentiam inditur, veluti & myrteum, vel lentiscinum. Ego cerè Attico nonnunquam œsypo ceram emollitam miscui; ac vsu didici, vel nihil, vel parum adeò medicamentum ab illis, quæ sine hoc præparata sunt, superari. Manifestum autem est me hæc ad futuri medicamenti robur referre; nam auxilium ad aliquid spectat, quippe mollius medicamentum ad moderatiùs maligna, magis quàm vehementiùs conducit. Vbi igitur vlcus ipsum minus malignum est, oræ verò ochthodes, *pretumidæ, ac duræ*, potior in his est œsypus. Benefacit etiam his cerui vitulique medulla, quam læuem ante factam ceræ priùs admiscere oportet: dein sic in vnitatem coactis iis metallica trita, vt in puluerem redigantur, excipienda sunt, vt quæ mordicationem pariant. Omnia verò sicca, ac terrestria medicamenta, quantum satis est, antea læuigentur, vt est galla, cytinus, malicorium, Ægyptiæ spinæ fructus, quoniam id genus omnia ægrè fiunt læuia; sicut facilè, quæ ex succis & liquoribus resiccatis proueniunt, myrrha, aloë, acacia, & quæ his sunt genere finitima. Cæterùm rectè Asclepiades ad finem superioris medicamenti scripti hæc verba adiecit; & hæc triduo soluito, fomentisque mitigato, idemque emplastrum ablutum emollito, rursusque apponito. Nisi enim diutius cuti medicamentum adhæserit, nihil efficiet. Quòd & plerosque medicos latuit, arbitrantes, si ter die saniem ab vlcere detersérint, melius se facturos iis, qui bis idem faciunt, qui verò semel soluunt, ab ipsis quoque ægris tanquam negligentes malè audiunt. Conuenit hîc quoque vos meminisse, quod in plerisque nostris commentariis dictum est, qualitates videlicet omnium vicinorum corporum mutuò in se quicquam agere, etsi alterum ipsorum multo sit validius; hac namque ratione specie quodammodo inter se similes fiunt spatio temporis, tametsi permultum differant; vbi autem qualitas medicamenti curando corpori similis specie fuerit, vtilitas maior sequitur. His igitur rationibus, qui primus emplastro ante imposito vti statuit, laude dignus est; & nos ipsum sequi multo magis decet, quum quod ratione inuenit, experientia comprobatum cognouerimus. Nec temerè triduo quoque ipsum foueri, singulis videlicet solutionibus, præcipit; nam quia valens medicamentum est, meritò lenitionem desiderat. Satius igitur est in vlceribus non ita malignis, ceram quadruplam, vel quincuplam amborum simul metallicorum esse. Post hoc medicamentum, aliud Asclepiades deinceps tradidit, quod his constat, ℞. æruginis vncias ij. squamæ vnc. ij. diphrygis vnciam vnam, ceræ libram vnam, laricis ℥.iij. Hæc rursus symmetria simplicium medicamentorum eadem est, quæ superioris, solo diphryge superans; alia certè omnia

A οὐ τριπλάσιος, ἀλλὰ τετραπλάσιος ὁ κηρὸς ἐμέμικτο τοῖς ἄλλοις. ἔτι δ' ἂν μετριώτερον, εἰ πενταπλάσιος, ὡς καὶ τὰ μηδέπω κακοήθη, δυσεπούλωτα δ' ἄλλως ὄντα, θεραπεύειν. ὥσπερ γὰρ κἂν εἰ τὸν κηρὸν ἑξαπλάσιον ἐργάσαιτό τις τῶν μεταλλικῶν, ὡς εἶναι τοῦ μὲν ἰοῦ καὶ τῆς λεπίδος ἑκατέρου δραχμὴν, κηροῦ δὲ < ιβ΄. τῆς λάρικος δὲ τὸ ἀνάλογον. ἀνάλογον δὲ ἔσται, εἰ τρεῖς εἶεν αὐτῆς δραχμαί. λιπαροῦ δ' ὄντος τοῦ κηροῦ, κἂν ἔλαττον ἐμβληθῇ τῆς ῥητίνης, αὐτάρκη σύστασιν ἕξει τὸ φάρμακον. ἐπεὶ γάρ τοι τῶν τοιούτων φαρμάκων, ἡ ῥητίνη διὰ τὴν σύστασιν ἐμβάλλεται, καθάπερ γε καὶ τὸ μύρσινον, ἢ σχίνινον. ἐγὼ δὲ καὶ

B Ἀττικῷ ποτε οἰσύπῳ μαλάττων, τὸν κηρὸν ἔμιξα. καί μοι κατὰ τὴν χρῆσιν ἐφάνη τὸ φάρμακον, ἢ οὐδὲν, ἢ βραχὺ παντελῶς ἀπολείπεσθαι τῶν ἄνευ τούτων σκευασθέντων. εὔδηλον δὲ, ὡς ἐναντίας λέγω τοῦ γινομένου φαρμάκου ταῦτα. τὸ γὰρ τῆς ὠφελείας ἐν τῷ πρός τι, δυναμένου τοῦ μαλακωτέρου φαρμάκου πρὸς τὰ μετριώτερα τῶν κακοηθῶν ἁρμόττειν, μᾶλλον τοῦ σφοδροτέρου. ἔνθα γοῦν ἧττον μέν ἐστι κακόηθες αὐτὸ τὸ ἕλκος, ὀχθῶδη δὲ τὰ χείλη, βελτίων ἐπὶ τούτων ἐστὶν ὁ οἴσυπος. ἀγαθὸν δ' εἰς ταῦτα φάρμακόν ἐστι, καὶ ὁ τῆς ἐλάφου τε καὶ μόσχου μυελὸς, ὅν τινα χρὴ προλελειώσαντα, μιγνύναι τῷ κηρῷ πρό-

C τερον, εἶθ' οὕτως αὖθις ἡνωμένοις, ἀναλαμβάνειν τὰ μεταλλικὰ προλελειωμένα, μέχρι τοῦ χνοώδη γίνεσθαι, δακνώδη γάρ ἐστι τὰ τοιαῦτα. καὶ πάντα δ' ἱκανῶς προλελειώσθω τὰ ξηρὰ καὶ γεώδη τῇ συστάσει φάρμακα, καθάπερ ἥ τε κηκίς ἐστι, καὶ οἱ κύτινοι, καὶ τὰ σίδια, καὶ ὁ τῆς Αἰγυπτίας ἀκάνθης καρπός. καὶ γὰρ δυσλείωτα πάντ' ἐστὶ τὰ τοιαῦτα, καθάπερ εὐλείωτα τὰ ἐκ χυλῶν, ἢ ὀπῶν ἐξηρασμένων γεγονότα, σμύρνα, καὶ ἀλόη, καὶ ἀκακία, καὶ ὅσα τούτοις ὁμογενῆ. καλῶς δ' ἐπὶ τῇ τελευτῇ τοῦ προειρημένου φαρμάκου τῆς γραφῆς, ὁ Ἀσκληπιάδης προσέθηκεν αὐτοῖς ὀνόμασι. καὶ ταῦτα λύε διὰ τρίτης, καὶ ἀποπυρία, καὶ τὸ

D αὐτὸ πλατυσμάτιον ἀποψήσας, μάλαξον, καὶ πάλιν ἐπιτίθει. εἰ μὴ γὰρ ἐπὶ πλέον ὁμιλήσειε τῷ χρωτὶ τὸ φάρμακον, οὐδὲν ἀνύσει. λέληθε δὲ καὶ τοῦτο αὐτὸ τοὺς πολλοὺς τῶν ἰατρῶν, καὶ νομίζουσιν εἰ τρὶς τῆς ἡμέρας ἐκμάξαιεν τοὺς ἰχῶρας τοῦ ἕλκους, ἄμεινόν τι πράττειν, τῶν δὶς ἀποματτόντων. τοὺς δ' ἅπαξ λύοντας, καὶ αὐτοὶ πολλάκις οἱ κάμνοντες, ὡς ἀμελοῦντας μέμφονται. προσήκει δ' ὑμᾶς μεμνῆσθαι κἀνταῦθα τοῦ πολλάκις ἡμῖν εἰρημένου. κατὰ πολλὰ τῶν ἡμετέρων ὑπομνημάτων, ὡς αἱ ποιότητες ἁπάντων τῶν πλησιαζόντων σωμάτων, εἰς ἀλλήλας τι δρῶσι, κἂν τὸ ἕτερον αὐτῶν ἰσχυρότερον ᾖ πολλῷ. κατὰ γὰρ τοι

E τοῦτον τὸν λόγον, ὁμοιότεραι πως ἀλλήλαις ἐν τῷ χρόνῳ γίγνονται, κἂν διαφέρωσι πάμπολυ. γινομένης δ' ὁμοιότητος τῷ θεραπευομένῳ σώματι τῆς τοῦ φαρμάκου ποιότητος, ἡ ὠφέλεια μείζων ἕπεται. διὰ τούτων οὖν, ὅ τε πρῶτος ἐπινοήσας χρῆσθαι τῷ πρότερον ἐπιτεθέντι πλατύσματι, δικαίως ἂν ἐπαινοῖτο, καὶ ἡμᾶς ἕπεσθαι προσήκει αὐτῷ πολὺ μᾶλλον, ἐπεὶ καὶ τῇ πείρᾳ μαρτυρουμένην τὴν ἐπίνοιαν ἐγνώκαμεν. εὐλόγως δὲ καὶ πυριᾶσθαι κελεύει διὰ τρίτης αὐτὸ καθ' ἑκάστην δηλονότι λύσιν, ἐπεὶ γὰρ ἰσχυρόν ἐστι τὸ φάρμακον, εἰκότως παρηγορείας δεῖται. βέλτιον οὖν ἐπὶ τῶν μὴ πάνυ κακοηθῶν, τετραπλάσιον, ἢ πεν-

F ταπλάσιον εἶναι τὸν κηρὸν ἀμφοῖν ὁμοῦ τῶν μεταλλικῶν. ἐφεξῆς δὲ τῷ προγεγραμμένῳ φαρμάκῳ, γέγραφεν ἕτερον φάρμακον ὁ Ἀσκληπιάδης, τὴν σύστασιν ἔχον τήνδε. ℞. ἰοῦ ℥ β΄. λεπίδος ℥ β΄. διφρυγοῦς ℥ α΄. κηροῦ ℔ α΄. λάρικος ℥ γ΄. αὕτη πάλιν ἡ συμμετρία τῶν ἁπλῶν φαρμάκων, ἡ αὐτὴ τῇ πρόσθεν ἐστὶν, μόνῳ τῷ διφρυγεῖ πλεονεκτοῦσα. τἄλλα γοῦν ἅπαντα

A διπλάσια τῶν ἔμπροσθέν ἐστιν. ἐν ἐκείνῃ μὲν γὰρ τῇ γραφῇ <ο α'. ἔβαλλεν ἰοῦ καὶ λεπίδος ἑκατέρου, συναμφοτέρου δὴ αὐτοῖς τὸ κηροῦ τριπλάσιον. εἴ γε τὰς πάσας <ο ϛ'. ἠξίου βάλλειν αὐτοῦ, τὴν μέντοι ῥητίνην, ἡμιούγγιον ἑκατέρου τῶν μεταλλικῶν. ἐν δὲ τῇ δευτέρᾳ γραφῇ, ταύτης μὲν ἀντὶ μιᾶς καὶ ἡμισείας οὐγγίας, τρεῖς ἐμβάλλειν κελεύει. τῶν μεταλλικῶν δὴ ἀντὶ <ο α'. ἑκατέρου δύο. καὶ τοῦ κηροῦ λίτραν, ἐν τῇ προτέρᾳ γραφῇ βάλλων ἡμίλιτρον. εὔδηλον οὖν, ὅτι τὸ διφρυγὲς μόνον ἐν τῇ δευτέρᾳ προσέθηκε. καὶ εἴπερ οὐγγίας αὐτοῦ βάλλειν κελεύει κατὰ διπλασίων τῶν ἄλλων, ἐάν τις ἁπλᾶ πάντα τὰ κατὰ τὴν προτέραν γραφὴν μιγνὺς, τοῦ διφρυγοῦς αὖθις ἡμιούγγιον προσθήσει, ποιήσει τὴν B σύνθεσιν τοῦ φαρμάκου τοιάνδε· ℞. λεπίδος <ο α'. ἰοῦ <ο α'. κηροῦ ἡμίλιτρον, ῥητίνης λαρικῆς <ο α'. καὶ ἡμίσειαν, διφρυγοῦς ἡμιούγγιον, ἡ αὐτὴ κατὰ πάντα καὶ ἥδε τῇ προτέρᾳ γίγνεται, πλὴν τοῦ διφρυγοῦς. ἔστι δὲ τὸ μὲν διφρυγὲς οὕτω μέτριον φάρμακον, ὡς καὶ μόνον ἐπιπαττόμενον ἰᾶσθαι τὰ δυσεπούλωτα τῶν ἑλκῶν. ὁμοίως δὴ αὐτῷ, καὶ ὁ κεκαυμένος χαλκός. ἰσχυρότερος δ' ἱκανῶς ὁ ἰὸς, ὡς ἐκπεπτωκέναι τοῦ, καὶ τὰ πάνυ ῥυπαρὰ, καὶ ὑγρὰ θεραπεύειν, εἰ καταπάττοι τις αὐτὸ μόνον, ἀναβιβρώσκει γὰρ καὶ δάκνει σφοδρῶς. ἐπὶ δὲ τῶν χειρωνείων ἑλκῶν, τοῖς ἄλλοις μιχθεὶς φαρμάκοις, εἰς τοσοῦτον ἐκλύεται μὲν αὐτὸς τοῦ σφοδροῦ τῆς δυνά- C μεως, αὔξει δὲ τὴν ἐκείνων, ὡς γενέσθαι τὸ σύνθετον ἐξ ἁπάντων φάρμακον κάλλιστον. ᾧ λόγῳ δὴ ἐμίχθη τοῖς εἰρημένοις φαρμάκοις ὁ ἰὸς, τούτῳ καὶ ἡ ἄσβεστος τίτανος, ὀλίγη τῇ ἀναλογίᾳ πολλοῖς ἐπεμβληθεῖσα πρός τινων. ἡ δὴ ἐσβεσμένη, μέτριόν ἐστι φάρμακον, εἰ δὲ καὶ πλυθείη, παντάπασιν ἄδηκτον. ταύτην μὲν οὖν τὴν ἔμπλαστρον ἕνεκα παραδείγματος ἔγραψα, διότι γυμνάζεσθαι τοὺς νέους ἐπὶ τῶν κατὰ μέρος ἀξιῶ, καὶ μὴ μόνοις ἀρκεῖσθαι τοῖς καθόλου. πάλιν δὴ ἐπ' ἀρχὴν ἀγαγὼν τὸν λόγον ἐπὶ τὰς ὑπ' Ἀνδρομάχου γεγραμμένας μεταβήσομαι.

A priorum duplicata sunt. In illa enim scriptura æruginis, & squamæ, vtriusque vnciam vnam, adiiciebat, ceræ modum ambabus triplo maiorem; siquidem omnes vncias sex, eius admiscendas censuit, resinæ verò semunciam, supra vtriusque metallici portionem. Secunda scriptura, illius quidem, loco vnciæ, & semissis, tres imponendas iubet; metallicorum verò pro vna vncia singulorum duas, ceræ libram, cùm in priore scriptura selibram immittat. Clarum itaque est, diphryges solùm in secunda eum apposuisse. Ac si vnciam ipsius immittendam aliis duplicatis præcipit, modò, simplicibus vniuersis in priore scriptura mixtis, di- B phrygis semunciam addideris, talem medicamenti confecturam habiturus es; ℞. squamæ vnciam j. æruginis vnciam j. ceræ selibram, resinæ laricis vnciam j. ß. diphrygis semunciam. Eadem omnino, & hæc est priori, si diphryges excipias, quod tam moderatum est medicamentum, vt etiam solum inspersum vlceribus, quæ cicatricem difficulter admittunt, medeatur; similiter & æs vstum. Valentior autem longè ærugo, vt vel sordida admodum, & humida curandi terminos excesserit, si solam eam inspergas, exedit enim, & mordet insigniter. Porrò in chironiis vlceribus, aliis mixta C medicamentis tantum de vehementia quidem facultatis suæ remittit, auget autem illorum, vt compositum ex omnibus medicamentum fiat præstantissimum. Qua verò ratione prædictis medicamẽtis ærugo mixta fuerit, hac, & viua calx, exigua proportione aliorum multis à quibusdam adiecta. Extincta mediocre est medicamentũ, elota prorsus læue, & mordacitatis expers. Hoc igitur emplastrũ exempli gratia adscripsi, quòd iuuenes in particularibus exerceri velim, nec vniuersalibus solis esse cõtentos. Rursus autẽ reuocato ad initiũ sermone, ad Andromachi medicamẽta digrediar.

D

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων ἐμπλάστρων, πρὸς τὰ κακοήθη τῶν ἑλκῶν.

Παραθήσομαι τοίνυν ἕνεκα παραδείγματος, ὅσα τῇ πείρᾳ κέκριται τῶν συνθέτων φαρμάκων, πρὸς τὰ κακοήθη τῶν ἑλκῶν ἁρμόττοντα, τὴν ἀρχὴν ἀπὸ τῶν Ἀνδρομάχου γεγραμμένων ποιησάμενος. μέμψαιτο δὴ ἄν τις αὐτῷ, χωρὶς διορισμοῦ τὰ φάρμακα γράψαντι. τούτου γὰρ παραλελειμμένου, συμβαίνει κακῶς αὐτοῖς χρῆσθαι τοὺς πολλοὺς τῶν ἰατρῶν, καὶ διὰ E τοῦτο, ποτὲ μὲν ἐπιτυγχάνειν τοῦ σκοποῦ θαυμασίως, ἔστι δὲ ὅτε καὶ διαμαρτάνειν, ἀποπίπτοντας πάμπολυ. δέον οὖν εἰπεῖν ἰσχυρότατον τόδε τι, πάνθ' ἑξῆς ἔγραψεν ὁ Ἀνδρόμαχος, καὶ τούτου πάλιν ἕτερον μετριώτατον. ἀσθενέστατον δὲ τοῦτο, οὐδένα διορισμὸν προσθείς. ἄρχεται γοῦν αὐτῶν τούτων, προσγράψας μὲν ἐπουλωτικαί. μετὰ δὲ τὸ πρόσγραμμα τοῦτο, γράφων ἐφεξῆς. ℞. καδμείας ὀπτῆς λίτραν α'. χαλκίτεως κεκαυμένης λίτ. α'. κηροῦ λίτρας δ'. ῥητίνης ξηρᾶς λίτρας γ'. μυρσίνου λίτρας γ'. οἴνου εἰς τὰ ξηρά. τούτων δὲ ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως. ἡ F διὰ λαδάνου. καὶ προσθεὶς τὴν συμμετρίαν, ἐφεξῆς πάλιν ἔγραψεν. Ἄλλως, ὡς Ἀλκιμίων. εἶτα κἀνταῦθα τὰς συμμετρίας τῶν ἁπλῶν φαρμάκων γράψας, ἐπιφέρων, φησίν. ἡ διὰ κριθῶν. καὶ μετὰ τὸ ταύτην συνθεῖναι, πάλιν οὕτως ἔγραψεν. Ἄλλη ἐπουλωτική. ℞. ῥητίνης ξηρᾶς < ιη'. διφρυγοῦς < δ'. λιθαργύρου < ιϛ'. κηροῦ < ι'. ἐλαίου κοτ. δ'. ὡς εἶναι τοῦτο

CAPVT V.

De scriptis ab Andromacho emplastris ad vlcera maligna.

Apponam igitur causa exempli, quæ ex compositis medicamentis ad cacoëthe vlcera cõuenire vsu probata sunt, ab iis exorsus, quæ scripsit Andromachus; quem non iniuria queas accusare, quòd citra distinctionem medicamenta tradiderit. Hac enim omissa permultos medicos E malè ipsis vti contingit, ideoque nonnunquam scopum mirificè assequi, interdum ab illo errare, permultum delabentes. Quum igitur par esset, vt ipse diceret; hoc ipsum validissimum est, ab hoc rursus aliud moderatissimum, hoc verò imbecillimum, ille omnia subinde scripsit, nulla distinctione apposita. Auspicatur igitur ea ipsa hoc titulo. *Cicatricem inducentia.* Mox ita subdit; ℞. cadmiæ tostæ libram vnam, chalcitidis vstæ lib. j. ceræ libras quatuor, resinæ aridæ libras tres, myrtei libras tres, vinum aridis miscetur. Ab his verò deinceps in hunc modum scribit ad verbum; *Medicamentum ex Ladano.* Et symmetria apposita, ite- F rum deinceps ait; *Aliter, vt Alcimion.* Deinde hic quoque symmetriis expositis, infert inquiens. *Medicamentum ex Hordeo.* Post huius compositionem in hanc sententiam iterum scribit. *Aliud cicatricem inducens.* ℞. resinæ siccæ drach. xviij. diphrygis ℨ. iv. spumæ argenti drachmas xvj. ceræ ℨ. x. olei heminæ quartam partem, vt hoc sit ei medica-

medicamentum ab initio sextum. His subiungit iterum alia sex, vnicuique præponens. *Aliud.* Volens nimirum cicatricem inducens nos inaudire. Quinque igitur sunt epulotica quibus vti mos est, nec malignis, nec ægrè cicatricẽ ducentibus, idoneis. Sextum ad vlcera quidem dysepulota, id est, quæ cicatricem difficulter recipiunt, non tamen iam ad maligna, valet. Reliqua verò sex adiecta malignis prosunt, viribus inuicem diuersa; quibus alterutrum oportebat, nempe vel rationalem, ac methodicam disciplinam conficiendo, adscripsisse in eorum vehementia differentiam, tanquam nobis intellecturis ad maligniora vlcera valentioribus vtendum remediis, ad mediocria imbecillioribus; vel Empiricorum more posuisse, quædam horum medicamentorum phagedænicis, in summaque exesis, ac pastis, esse vtilia, quædam cauis, quædam vehementer sordidis; iis verò, qui phlegmonodem simul, aut scirrhosum affectum habent, aut labra vlceris dura, vel prætumida, vel nigra, vel alterius cuiusquam coloris, singulis propria, horum autem nihil ille effecit. Postea sex facultates cicatricem inducendi ordine retulit, quarum ego compositionem cum propriis distinctionibus narraturus sum. Primum itaque ab eo scriptum, quod tamen à principio septimum est, satis validum, vt quod æquale habeat pondus æruginis, & squamæ; remisit autem, minuitque vim ipsius ceræ mixtura, quæ octo partes vtriusque sigillatim, quatuor amborum simul explet. Etenim æruginis, & squamæ, cuiusque vnciam miscere præcipit, ceræ vncias octo, admodumque commodè cauit, qui id composuit, miscere aliquod lene; oleum dico, & seuum, & œsypum, & butyrum, & resinam. At si pinguis cera non adsit, metallica ægrè miscebuntur. Ac si iuxta ignem, vel in Sole calido miscere ipsa cogamur, paulo post medicamentum indurescet. Quapropter quum vlceri fuerit impositum, sanum suum æger durum contingere putabit; quippe ciusmodi medicamenta omnia talem habent vsum. Si verò calidis manibus tractetur, tantum ex ipsis recipit magnitudinis, vt emollitum dilatatumque toti vlceri imponatur, atque etiam oras cõtegat. Quum altum vlcus extiterit, totum ipsius cauum medicamento indito replebitur, postque hoc rursus aliud platysma superaccommodabitur, quod & labra cõprehendat. Huic deinde rursum linteus pannus frigida madens tãtus vndiq; obiicitur, vt medicamentũ occultet. Postremò extrinsecus spongia mollis fascia ex linteo excepta, vel semel, vel bis affectam partẽ orbiculatim ambiente, tantæ magnitudinis, quo totum vlcus cum labris, ac superpositorum ipsis aliquid, subiectorumque, complectatur. Deligatio à duobus principiis fiat; vocant sic, quoties tota pars media vinculi affecto loco incumbat, caput autem vtrunq; in oppositũ deducatur. Postremò si pannus tam sit validus, vt semel iniectis spongiam tutò contineat, illic terminis cõsuetur, eo quod superfluit, forfice adempto; sin imbecillis, rursus vtrunque caput ducetur, simili robore ad id, quod affectum est, attractum; quod in primis obseruare conuenit, cùm in primo fasciæ traiectu, tum vel maximè in secundo. Quin nec illius obliuisci te oportet, cuius primus, quorum ad nos memoria peruenit, Hippocrates inuentor extitit, olim ab omnibus ante ipsum medicis, nunc ab iis, qui artem parum legitimè didicerunt, commissi. Putant enim satius esse

A τὸ φάρμακον, ἕκτον ἀπὸ τῆς ἀρχῆς αὐτῷ. καὶ μετ᾽ αὐτὸ πάλιν ἓξ ἄλλα γράφει, προγράφων ἑκάστου τό. Ἄλλη. προσυπακούσαι δηλονότι κελεύων ἡμᾶς τὸ ἐπουλωτική. τὰ μὲν οὖν πέντε, τῶν συνήθων ἐστὶν ἐπουλωτικῶν, οὔτε τῶν δυσεπουλώτων, οὔτε τῶν κακοήθων. τὸ δ᾽ ἕκτον τῶν δυσεπουλώτων, οὐ μὴν ἤδη γε τῶν κακοήθων. ἀλλ᾽ αἱ γραφαὶ τῶν ὑπολοίπων ἓξ φαρμάκων, τοῖς κακοήθεσιν ἁρμόττουσι, διαφέρουσαι κατ᾽ ἰσχὺν ἀλλήλων, αἷς δυοῖν θάτερον ἐχρῆν, ἤτοι λογικὴν καὶ μεθοδικὴν ποιούμενον τὴν διδασκαλίαν, προσγεγραφέναι τὴν κατὰ σφοδρότητα διαφοράν, ὡς ἡμῶν νοησόντων, ἐπὶ μὲν τῶν κακοηθεστέρων ἑλκῶν,
B τοῖς ἰσχυροτέροις χρῆσθαι φαρμάκοις, ἐπὶ δὲ τῶν μετριωτάτων, τοῖς ἀσθενεστέροις, ἢ τοῖς ἐμπειρικοῖς ὁμοίως γράψαι, τοῖς μὲν φαγεδαινικοῖς, καὶ ὅλως τοῖς ἀναβιβρωσκομένοις, καὶ νεμομένοις ἐπιτήδεια τάδε τινὰ τῶν φαρμάκων εἶναι, τοῖς δὲ κοίλοις, τάδε τινά, καὶ τοῖς μὲν ἰσχυρῶς ῥυπαροῖς ταυτί. τοῖς δὲ μετὰ φλεγμονώδους, ἢ σκιρρώδους διαθέσεως, ἢ τῶν χειλῶν τοῦ ἕλκους σκληρῶν, ἢ ὀγκωδῶν, ἢ μελαινῶν, ἢ τινα ἄλλην χροιὰν ἐχόντων, ἴδια ἑκάστου, τούτων μὲν οὐδὲν ἐποίησεν. ἐφεξῆς δ᾽ ἀλλήλων ἔγραψεν ἓξ ἐπουλωτικὰς δυνάμεις, ὧν ἐγὼ τὴν σύνθεσιν ἐρῶ μετὰ τῶν οἰκείων διορισμῶν. τὸ μὲν οὖν πρῶτον αὐτῷ γεγραμμένον, ἕβδομον δ᾽
C ἀπὸ τῆς ἀρχῆς ἰσχυρὸν ἱκανῶς ἐστιν, ὡς ἂν ἴσον ἔχον ὄγκον, ἔλαβεν ἰοῦ καὶ λεπίδος, ἐκλέλυκε δ᾽ αὐτό, καὶ καθῄρηκε τὴν ἰσχὺν, ἡ τοῦ κηροῦ μίξις, ὀκταπλασία μὲν ἑκατέρου, τετραπλασία δὲ συναμφοτέρου γινομένη. τοῦ μὲν γὰρ ἰοῦ καὶ τῆς λεπίδος, οὐγγίαν ἑκατέρου μίξαι κελεύει, τοῦ κηροῦ οὐγγίας ὀκτὼ, πάνυ καλῶς τοῦ συνθέντος αὐτὸ φυλαξαμένου, μίξαι τι τῶν μαλθακωδῶν, ἐλαίου λέγω καὶ στέατος, οἰσύπου τε καὶ βουτύρου, καὶ ῥητίνης. ἀλλ᾽ ἐὰν λιπαρὸς ὁ κηρὸς μὴ ᾖ, δύσμικτα γε ἔσται τὰ μεταλλικά. κἂν βιασώμεθα τὴν μίξιν αὐτῶν, ἢ παρὰ πυρὶ ποιεῖν, ἢ ἐν ἡλίῳ θερμῷ, μικρὸν ὕστερον σκληρὸν ἔσται τὸ φάρμακον, ὥσθ᾽ ὅταν
D ἐπιτεθῇ τῷ ἕλκει, διφθέραν ἑαυτοῦ σκληρὰν ὁ κάμνων οἰήσεται ψαύειν. πάντα γὰρ τὰ τοιαῦτα φάρμακα τὴν χρῆσιν ἔχει τοιαύτην, ἣν καὶ θερμὰς ἔχων τις τὰς χεῖρας, ἀναιρεῖται τηλικοῦτον μέγεθος ἐξ αὐτῶν, ἡλίκον μαλαχθέν τε καὶ πλατυνθέν, ἐπιτεθήσεται καθ᾽ ὅλου τοῦ ἕλκους, ὡς καὶ τὰ χείλη σκέπειν. ὅταν δ᾽ ᾖ βαθὺ, προσαναπληροῦται τὸ κοῖλον αὐτοῦ πᾶν, ἐντεθέντος αὐτῷ τοῦ φαρμάκου. καὶ μετὰ τοῦτο πάλιν ἐπιτίθεται πλάτυσμα ἕτερον, συμπεριλαμβάνον καὶ τὰ χείλη. κἄπειτα τούτῳ βεβρεγμένον πάλιν ὀθόνιον ὕδατι ψυχρῷ τηλικοῦτον ἐπιβάλλεται κατὰ παντὸς, ὡς σκεπάσαι τὸ φάρμακον, εἶτ᾽ ἔξωθεν σπόγγος μαλα-
E κὸς, ἐπιδέσμῳ κατειλημμένος ἐξ ὀθόνης, ἤτοι ἅπαξ, ἢ δὶς ἐν κύκλῳ περὶ τὸ πεπονθὸς μόριον ἑλιττομένῳ, τηλικοῦτῳ τὸ πλάτος, ὡς ἅπαν κατειλῆφθαι τὸ ἕλκος ἅμα τοῖς χείλεσι, καί τι καὶ τῶν ὑπερκειμένων τε καὶ ὑποκειμένων αὐτοῖς, ἡ δὲ ἐπίδεσις ἀπὸ δυοῖν ἀρχῶν γιγνέσθω καλοῦσι δ᾽ οὕτως, ὅταν τὸ μέσον ὅλον τοῦ τελαμῶνος ἐπιβάλληται τῷ πεπονθότι τόπῳ, τῶν κεφαλῶν δ᾽ ἑκάτερον ἀπάγηται πρὸς τὸ ἀντικείμενον. εἶτα ἐὰν μὲν ἰσχυρὸν ᾖ τὸ ὀθόνιον, ὡς διὰ μιᾶς ἐπιβολῆς ἀσφαλῶς κατέχειν τὸν σπόγγον, αὐτόθι που συρραφήσεται διὰ τῶν περάτων, ἀφαιρουμένου ψαλίδι τοῦ περιττεύοντος. ἐὰν δὲ ἀσθενὲς, αὖθις ἀχθήσεται
F τῶν κεφαλῶν ἑκάτερον ὁμοτόνως ἑλκόμενον ἐπὶ τὸ πεπονθὸς, ὅπερ ἐν τοῖς μάλιστα φυλακτέον ἐστὶ, κατά τε τὴν πρώτην ἐπιβολὴν, οὐχ ἥκιστα δὲ, καὶ κατὰ τὴν δευτέραν. οὐ μὴν οὐδὲ ἐκείνου σε χρὴ λήθην ἔχειν, οὗ πρῶτος ὧν ἴσμεν Ἱπποκράτης εὗρεν, ἁμαρτανομένου πάλαι μὲν ὑπὸ πάντων τῶν πρὸ αὐτοῦ, νυνὶ δ᾽ ὑπὸ τῶν μὴ μαθόντων νομίμως τὴν τέχνην. οἴονται γὰρ ἄμεινον εἶναι,

τὸ μὲν ἡλκωμένον μέρος ἄθλιβον φυλάττειν, ἑκατέρωθεν δ' αὐτοῦ περιβάλλειν τὸν ἐπίδεσμον, ὅπερ εἰς ὅσον ἐστὶ βλαβερὸν, ὑφ' Ἱπποκράτους ἐδείχθη. ὅταν οὖν σοι ταῦτα κατὰ τὴν πρώτην ἡμέραν πραχθῇ, τῇ δευτέρᾳ διάβρεχε τὸν σπόγγον, ἐπιχέων ὕδατι ψυχρῷ. θερμοῦ δὲ καὶ ξηροῦ τοῦ περιέχοντος ὄντος, καὶ δὶς καὶ τρὶς τῆς ἡμέρας ποιητέον τοῦτο, καὶ λυτέον τὸν ἐπίδεσμον διὰ τρίτης. εἰ δὲ χειμὼν εἴη, καὶ διὰ τετάρτης. ἐπισκεπτέον δὲ τὴν γεγονυῖαν ἐκ τοῦ φαρμάκου περὶ τὸν πεπονθότα τόπον ἀλλοίωσιν, ἔν τε τῇ κοιλότητι τοῦ ἕλκους, καὶ κατὰ τὰ χείλη, καὶ μέντοι περὶξ αὐτῶν. ἡ δ' ἐπίσκεψις, ἐξ ὧν ἔμαθες ἐν τοῖς περὶ κράσεων ὑπομνήμασι γιγνέσθω σοι, λέλεκται δὲ περὶ τούτων τῶν ἑλκῶν, καὶ κατὰ τὴν θεραπευτικὴν μέθοδον. ἤτοι γὰρ ξηρότερον, ἢ ὑγρότερον, ἢ θερμότερον, ἢ ψυχρότερον ἐφάνη τοῦ πρόσθεν, ὅλον τε τὸ πεπονθὸς μόριον, ἕκαστόν τε τῶν μερῶν αὐτοῦ, καὶ πρὸς τούτοις, ἐπισκέπτεσθαι προσήκει, πότερα καθῄρηταί τι τῶν χειλῶν, ἢ μεμάλακταί πως, ἢ λελέπτυνται, καὶ περὶ τῆς κατὰ τὴν χροιὰν ὑπαλλαγῆς, καὶ περὶ τοῦ κατὰ τὸν ῥύπον πλήθους. ἐκ τούτων γὰρ εἴσῃ, πότερον ἰσχυρότερον, ἢ μαλακώτερον, ἐπιθεῖναι προσήκει φάρμακον, ἢ ταὐτὸ τῷ προτέρῳ. δυνήσῃ δὲ καὶ τὸ πρῶτον αὐτὸ ῥᾳδίως ἐξαλλάττειν, εἰ μὲν μαλακώτερον ποιῆσαι βούλοιο, μιγνὺς ἐν τῷ μαλάττειν ὀλίγον τινὸς τῶν στυφόντων ἐλαίου, ἤτοι μυρσίνου, ἢ ῥοδίνου, ἢ μηλίνου, ἢ σχινίνου, ἢ μαστιχίνου, ἢ κυπρίνου. εἰ δ' ἰσχυρότερον, ἤτοι τῆς λεπίδος, ἢ τοῦ ἰοῦ, παρεσκευάσθω γάρ σοι τούτων ἑκατέρου βραχὺ λεῖον ἀκριβῶς, ἵν' ἐν τῷ μαλάττειν προσβάλλῃς. ἐγὼ δὲ, ὡς ἴστε, καὶ προσεπιπάττω τι τῶν πραέων φαρμάκων τῷ ἕλκει, καὶ κατ' αὐτοῦ τὸ πρῶτον ἐπιτίθημι φάρμακον ἐμπλαστρῶδες. εὔδηλον δ' ὅτι πραέα λέγω φάρμακα, διφρυγὲς, σαρκοκόλλαν, χαλκῖτιν κεκαυμένην, ὁμοίως δὲ καὶ τὸν χαλκὸν, καὶ τὸν ἰὸν κεκαυμένον, καὶ τὸ χάλκανθον. ἄκαυστα μὲν γὰρ ταῦτα πάντα δριμέα, καυθέντα δὲ μέτρια, πλυθέντα δὲ μετὰ τὴν καῦσιν, ἄδηκτα γίγνεται. ἄμεινον δὲ καὶ τὴν ἔμπλαστρον αὐτὴν μεταρρυθμίζειν, ὡς εἴρηται τῇ μίξει, καί τι τῶν ἄλλων ἐπιτιθέναι φαρμάκων, ὧν ἐφεξῆς Ἀνδρόμαχος ἐμνημόνευσε, μὴ μόνον ὁρῶντας δυνάμεις τῶν μιγνυμένων, ἀλλὰ καὶ τὰς ποσότητας, ὥσπερ ἐπ' αὐτοῦ τοῦ νῦν εἰρημένου. τετραπλάσιος γὰρ ὁ κηρὸς μίγνυται συναμφοτέρῳ, τῷ τε ἰῷ καὶ τῇ τοῦ χαλκοῦ λεπίδι. μιχθεὶς οὖν τριπλάσιος ἰσχυρότερον αὐτὸν ποιήσει, καθάπερ γε κἂν πενταπλάσιος, ἀσθενέστερον. οὕτως οὖν πράττειν χρὴ κἀπὶ τῶν ἄλλων, οἷον ἐπὶ τοῦ μετὰ τὸ προειρημένον φάρμακον γεγραμμένου κατὰ τὴν ἑξῆς τάξιν ὀγδόου, συμμετρίαν ἔχοντος τήνδε. ℞. χρυσοκόλλης < β'. λεπίδος < β'. κηροῦ < ς'. διφρυγοῦς < β'. λιθαργύρου < η'. ῥοδίνου, ἢ μυρσίνου ὀλίγον. ἐν τούτῳ τῷ φαρμάκῳ, χρυσοκόλλα μὲν καὶ διφρυγὲς αὐτὰ καθ' αὑτὰ μόνα καταπαττόμενα τοῖς κακοήθεσιν ἕλκεσιν, ἱκανὰ θεραπεύειν ἐστίν. ἡ λεπὶς δὲ ἰσχυρότερον, καὶ τραχυντικώτερον, καὶ δηκτικώτερον φάρμακόν ἐστι, καὶ διὰ τοῦτο λιθάργυρον ἔμιξεν ὁ συνθεὶς τὸ φάρμακον ὑπειδόμενος τὸ βίαιον τῆς λεπίδος, ἐκλῦσαί τε βουληθεὶς αὐτὸ τῇ μίξει τοῦ μαλακωτέρου φαρμάκου. καὶ εἴ τις ἄνευ κηροῦ τὰ τέτταρα μίξειε κατὰ τὴν εἰρημένην συμμετρίαν, ἕξει φάρμακον ξηρὸν ἐπίπαστον, οὐκ ἀγεννὲς εἰς τὴν τῶν κακοήθων ἑλκῶν ἴασιν. ἀλλ' ἔμπλαστρόν γε βουλομένῳ σοι ποιῆσαι, τόν τε κηρὸν ἀναγκαῖόν ἐστι μιγνύναι. καὶ διὰ τὸ τῶν μεταλλικῶν πλῆθος, ἐξ ἀνάγκης καὶ τῶν ὑγρῶν ἐμνημόνευσεν ὁ Ἀνδρόμαχος ἐν τῇ προκειμένῃ δυνάμει, ῥοδίνου τε καὶ μυρσίνου. πάνυ γὰρ ὁ κηρὸς ὀλίγος ἐστὶν, ὡς πρὸς τὸ τῶν μεταλλικῶν πλῆθος.

A partem exulceratam incõpreſſam ſeruare, vtrinque verò ligamentum ei circumponere; quod quàm ſit incommodum, ac noxium, Hippocrates demonſtrauit. Igitur vbi hæc primo die peregeris, altero aqua frigida ſpongiam perrigato. Si ambiens aër calidus, & ſiccus fuerit, bis hoc, térve in dies ſingulos faciendum eſt; ac deligatura tertio quoque die ſoluenda, per hyemem etiam quarto. Cæterùm inſpicienda eſt, à medicamenti vi facta alteratio, tum in vlceris cauitate, tum in labris, tum in locis ea ambientibus. Porrò vnde hæc diſcas, libri De temperamentis ſuppeditabunt; nec non in opere B therapeutices Methodi de his vlceribus tractatum eſt. Vel enim ſiccius, vel humidius, vel calidius, vel frigidius, quàm priùs, & totum membrum affectum, & ſingulæ eius partes, apparuere. Inſuper conſiderabimus, nunquid ex oris ademptum ſit; vel emollitæ quodammodo, vel attenuatæ ſint; item colórne mutatus, & an ſordium copia eadem remanſerit. Vnde cognoſces vtrum fortius, vel mollius, vel ſimile priori medicamentum imponendum veniat. Poteris ſanè & primum ipſum ex facili immutare, ſi mollius voles reddere, mixto inter molliendum C paululo cuiuſdam olei aſtringentis, aut myrtei, aut roſacei, aut melini, aut lentiſcini, aut maſtichini, aut cyprini; ſin validius, aut ſquama, aut ærugine, ex quibus vtriſque paulum adamuſſim læue reddes, vt ſubigendo adiicias. Nos vti nouiſtis, vel mite aliquod medicamentum vlceri inſpergimus, eique medicamentum emplaſtrodes ſuperimponimus. Nulli dubium eſt mitia medicamenta mihi dici, diphryges, ſarcocollam, chalcitidem vſtam, item combuſtum & æs, & æruginem, & chalcanthum; quæ ignem non experta, acria omnia ſunt; vſta, D moderata; lota poſt vſtionem, lenia mordacitatiſque fiunt expertia. Præſtat autem, ſicut prædiximus, & emplaſtrum mixtioni adaptare, aliquódque ex aliis medicamentis imponere, quorum deinceps meminit Andromachus; idque non modò ſimplicium facultates ſed menſuram quoque inſpicientes, vt in eo quod iam commemorauimus. Quatuor enim partes ceræ cum æruginis & ſquamæ, vtriuſque vnà miſcentur; tres fortius ipſum efficient, ſicut quinque imbecillius. Eodem modo in aliis agendum eſt, puta in eo, quod prædictum ſequitur, octauum ordine, tali ſymmetria. ℞. chry- E ſocollæ drachmas duas, ſquamæ drachmas duas, ceræ drachmas ſex, diphrygis drachmas duas, ſpumæ argenti drachmas octo, roſacei, vel myrtei parum. In hoc medicamento chryſocolla & diphryges ipſa per ſe inſperſa malignis vlceribus curandis ſufficiunt. Squama validius, aſperius, mordaciuſque medicamentum eſt; eoque argenti ſpumam author admiſcuit, ſubueritus ſquamæ violentiam, cupienſque ipſam mollioris medicamenti mixtura mitigare, ac exoluere. Sin abſque cera quatuor illa iuxta dictam temperaturam miſceas, medicamentum F aridum inſperſile, habiturus es, ad malignorum vlcerum curationem non inefficax. At vbi emplaſtrum facere conaris, cera miſcenda eſt. Et propter metallicorum copiam, neceſſariò etiam liquidorum in præſenti facultate meminit Andromachus, roſacei nempe, & myrtei; cera namq; modica nimis eſt pro metallicorum modo.

Quum

Quum igitur chrysocollæ, squamæ, & diphrygis, binas drachmas, argenti spumæ octo misceri iubet, quatuordecim videlicet vniuersas efficiens; vel ceram pinguem permultam, vel oleosum aliquod, medicamento affundere debebat. In superiore medicamento cera quadruplo metallica superabat; vnde spuma argenti ablata, ex aliis licet medicamentum componere, quemadmodum ego nonnunquam factitaui. Quod si fiat, myrteo non opus erit, cera, vt dixi, pingui adhibita; si dura sit, liquidum aliquod miscere oportebit. Quamobrem nonnulli in id genus medicamentis ceræ apposuisse videntur, alij nouæ, alij recentis, non per Iouem ipsius ætatem, sicut in aliis medicamentis, sed humiditatem requirentes. Est etenim re vera melior noua, sed non iam vt bimulam, trimulámve reiicias. Cęterùm ad sequens emplastrũ ire tempus est, quod habet in hunc modum. ℞. diphrygis drach. lxxxiv. argenti spumæ drach. ccxl. ceræ drach. cccxviij. olei heminas vj. Poterit autem hoc medicamentum vlceribus nondum malignis, verùm cicatricem ægrè recipientibus eam obducere, quoniam exiccat, sed non validè, vt quod post ipsum scribitur; minori tamen symmetria conficiendum est, idem enim ei hoc est. ℞. diphrygis drach. xiv. argenti spumæ drach. xl. ceræ drach. liij. olei myrtei ℥. x. Nam Andromachi medicamenta horum sescupla sunt. Hoc igitur cicatrici obducendæ re vera est respondens ex cadmia confecto, & glyceæ nominatæ, de quibus sequenti sermone dicemus. Huic subscriptum validius quidem est, non tamen primo ex hisce sex, verùm septimo à primordio finitimum; in quo squamam & æruginem ceræ quadruplæ commiscuit; diphrygis enim adhuc drach. xvj. argenti spumæ drach. xlviij. ceræ drach. lxvj. adiicit. Inde horum copiæ gratia coactus est, & myrtei olei heminam j. ß. affundere. Numeretur ergo hoc quoque inter ea, quæ cicatricem generant. Quod statim subiungitur, eiusdem generis est, mitissimum verò, minimeque mordax, ex plumbo combusto & eloto, spodio, cadmia, diphryge, & terebinthina compositum. Zenonem aiunt galbanum quoque miscere, quod mihi prædictis videtur superfluum. Scribit igitur ipsius symmetriam talem. ℞. eloti plumbi drachmas duas, spodij drachmas quatuor, cadmiæ tantundem drachmas quatuor, diphrygis drachmam vnam, aliàs quatuor. Excipit ea terebinthinæ drachmis sex. Zenonem dicit galbani addere drach. ß. al. drach. iv. Siquidem ceu molliendis labris callosis, ac duris, eoque verrucosis appellatis id facit, probè admiscet; sin ad vlceris malignitatem, & contumaciam, non item; tametsi enim galbanum quoque receperit, etiam sic à malignorum vlcerum prauitate vincetur. Magis autem verisimile videtur, duodecim hæc ordine se consequentia medicamenta ad cicatricem ducendam idonea scripsisse. Etenim præter duo ex ipsis, puta septimum à principio, & octauum, alia omnia vlceribus quidem ægrè ad cicatricem venientibus, sed nondum malignis, medentur. Item duodecimum inter ea similiter quidem cicatricem obducit, imbecillius autem est, quàm maligna persanet. Compositio quoque huius hæc capit. ℞. molybdænæ drachmas centum, diphrygis drachmas sedecim, soreos drachmas decem, misyos cyprij tosti drachmas octo, resinæ terebinthinæ drachmas octo, ceræ drachmas quadraginta, myrtei drachmas quadraginta.

A ὅπου τοίνυν τῆς χρυσοκόλλης μὲν, καὶ τῆς λεπίδος, καὶ τοῦ διφρυγοῦς, ἐκ δυοῖν δραχμῶν τῶν εἰρημένων, τῆς λιθαργύρου δὲ, ὀκτὼ μίγνυσθαι κελεύει, τεσσαρεσκαίδεκα δηλονότι τὰς πάσας ἐργαζόμενος, ἢ κηρὸν λιπαρὸν ἐδεῖτο μίξαι πάμπολυ, ἢ προσμίξαι τι τῷ φαρμάκῳ τῶν ἐλαιωδῶν. ἐπὶ δὲ τοῦ προειρημένου φαρμάκου, τετραπλάσιος ἦν ὁ κηρὸς τῶν μεταλλικῶν. ἔξεστιν οὖν ἡμῖν ἀφελοῦσι τὴν λιθάργυρον, ἐκ τῶν ἄλλων συντιθέναι τὸ φάρμακον, ὥσπερ ἐγώ ποτε ἐποίησα. εἰ γὰρ τοῦτο πράξειέ τις, οὐ δεήσεται τοῦ μυρσίνου, λιπαροῦ γε, ὡς ἔφην, ὄντος τοῦ κηροῦ. σκληρὸς δ' εἴπερ εἴη, δεήσει προσθεῖναί τι καὶ τῶν ὑγρῶν. διὰ τοῦτο οὖν μοι δοκοῦσιν ἔνιοι καὶ τὰ
B τοιαῦτα φάρμακα προσγεγραφέναι τῷ κηρῷ, τινὲς μὲν τοῦ νέου, τινὲς δὲ τοῦ προσφάτου, οὐ μὰ Δία τῆς ἡλικίας αὐτοῦ χρήζοντες, ὥσπερ ἐπ' ἄλλων φαρμάκων, ἀλλὰ τῆς ὑγρότητος. ἔστι μὲν γὰρ ὄντως κρείττων ὁ νέος, ἀλλ' οὐχ ὥστε φεύγειν ἤδη τὸν δυοῖν, ἢ τριῶν ἐτῶν. ἐπὶ δὲ τὴν ἐφεξῆς τῇδε γεγραμμένην ἔμπλαστρον ἰέναι καιρὸς, οὕτως ἔχουσαν. ℞. διφρυγοῦς < πδ'. λιθαργύρου < σμ'. κηροῦ < τιη'. ἐλαίου ℔ ς'. εἴη δ' ἂν τοῦτο τὸ φάρμακον ἐπουλωτικὸν, ἑλκῶν οὐδέπω μὲν κακοήθων, ἤδη δὲ δυσεπουλώτων. ξηραίνει μὲν γὰρ, ἀλλ' οὐκ ἰσχυρῶς,
C ὥσπερ τὸ μετ' αὐτὸ γεγραμμένον, οὐ μὴν οὐδ' ἐν τηλικαύτῃ συμμετρίᾳ σκευάζειν αὐτὸ προσήκει. ταὐτὸν γὰρ αὐτῷ τοῦτό ἐστι. ℞. διφρυγοῦς < ιδ'. λιθαργύρου < μ'. κηροῦ < νγ'. μυρσίνου ἐλαίου ℥ ι'. ἑξαπλάσια γὰρ τούτων ἐστὶ τὰ ὑπὸ τοῦ Ἀνδρομάχου γεγραμμένα. τοῦτο μὲν οὖν ἐπουλωτικὸν ὄντως ἐστὶν, ὅμοιον τῷ διὰ καδμείας, καὶ τῇ γλυκείᾳ καλουμένῃ, περὶ ὧν κατὰ τὸν ἑξῆς λόγον εἰρήσεται. τὸ δὲ μετ' αὐτὸ γεγραμμένον, ἰσχυρότερον μὲν, οὐ μὴν ἐγγύς γε τῷ πρώτῳ τῶν ἐξ τούτων, ἑβδόμῳ δ' ἀπὸ τῆς πρώτης ἀρχῆς, εἰς ὃ τήν τε λεπίδα, καὶ τὸν ἰὸν ἔμιξε τετραπλασίῳ κηρῷ. διφρυγοῦς γὰρ ἐπὶ
D τούτοις < ις'. μιγνὺς, λιθαργύρου μὲν ἐπιβάλλει < μη'. κηροῦ δὲ ξς'. εἶτα διὰ τὸ τούτων πλῆθος, ἠναγκάσθη μιγνύειν αὐτοῖς μυρσίνου ℔ α' S. ἀριθμείσθω τοιγαροῦν ἡμῖν ἐν τοῖς ἐπουλωτικοῖς, καὶ τοῦτο. Καὶ τὸ μετ' αὐτὸ δὲ, ταὐτοῦ μέν ἐστι γένους. πρᾷον δὲ ἱκανῶς, καὶ ἄδηκτον ἐκ μολύβδου κεκαυμένου, καὶ πεπλυμένου, καὶ σποδίου, καὶ καδμείας, καὶ διφρυγοῦς, καὶ τερμινθίνης συγκείμενον. Ζήνωνα δέ φησι, καὶ χαλβάνην αὐτῷ μιγνύειν, ὅπερ ἐμοὶ περιττὸν εἰς τὰ προκείμενα φαίνεται. γράφει δ' οὖν αὐτοῦ τὴν συμμετρίαν τοιάνδε. ℞. τοῦ μὲν πεπλυμένου μολύβδου < β'. τοῦ δὲ σποδίου
E < δ'. καὶ τῆς καδμείας ὡσαύτως < δ'. τοῦ διφρυγοῦς δὲ α'. ἢ δ'. ἀναλαμβάνει δὲ αὐτὰ < ς'. τῆς τερμινθίνης. τὸν δὲ Ζήνωνά φησι τῆς χαλβάνης μιγνύναι < S. ἄλλως δ'. εἰ μὲν, ὡς πρὸς τὸ μαλάξαι τὰ τυλώδη, καὶ σκληρὰ χείλη, καὶ διὰ τοῦτο καλούμενα πρός τινων ὀχθώδη, καλῶς μιγνύντα, εἰ δ', ὡς πρὸς τὴν κακοήθειαν τοῦ ἕλκους, οὐκ ὀρθῶς. κἂν μὴ προσλάβῃ γὰρ τῆς χαλβάνης ἔτι, καὶ οὕτως ἀπολείπεται τῆς τῶν κακοήθων ἑλκῶν ἰσχύος. εἰκότερον οὖν, ὡς ἐπουλωτικὰ τὰ δώδεκα ταῦτα ἐφεξῆς ἀλλήλων ἔγραψε φάρμακα. πλὴν γὰρ δυοῖν ἐν αὐτοῖς, τοῦ τε κατὰ τὴν τάξιν ἀπὸ τῆς ἀρχῆς ἑβδόμου, καὶ
F τοῦ μετ' αὐτὸ, τἄλλα πάντα, δυσεπουλώτων μὲν ἐστιν ἑλκῶν ἰατικὰ, κακοήθων δ' οὐκ ἔτι. καὶ γὰρ τὸ δωδέκατον ἐπ' αὐτοῖς ὁμοίως ἐπουλωτικὸν μέν ἐστιν, ἀσθενέστερον δὲ, ἢ ὥς γε κακοήθη θεραπεύειν. ἡ δὲ σύνθεσις καὶ τούτου, τοιάδε τίς ἐστι. ℞. μολυβδαίνης < ρ'. διφρυγοῦς < ις'. σώρεως < ι'. μίσυος κυπρίου ὀπτοῦ < η'. ῥητίνης τερμινθίνης < η'. κηροῦ < μ'. μυρσίνου < μ'.

διὰ βραχυτέρας δὲ συμμετρίας ἀνάλογον ἐχούσης τῇδε, A συντιθέναι χρὴ πάντα τὰ τοιαῦτα φάρμακα γινώσκοντας ὑμᾶς, σκληρὰ καὶ λιθώδη γίγνεσθαι ταχέως αὐτά. τοσοῦτον οὖν ἄμεινον ἑκάστου σκευάζειν, ὅσου περ ἂν ᾖ χρεία. καὶ μάλιστα ἐὰν χειμὼν διαδέχηται τὴν χρῆσιν αὐτῶν. εἰ δὲ τέταρτον μέρος ἑκάστου τῶν εἰρημένων λαμβάνοις, τῆς μὲν μολυβδαίνης, πέντε καὶ εἴκοσι ἔσονται δραχμαί, τέσσαρες δὲ τοῦ διφρυγοῦς, δύο δὲ καὶ ἡμίσεια τοῦ σώρεως. τοῦ δὲ ὀπτοῦ μίσυος δύο, καὶ τῆς τερμινθίνης < θ'. ἄλλως β'. κηροῦ δὲ καὶ μυρσίνου, τὸ ἴσον ἑκατέρου < ι'. συναμφότεροι δὲ δηλονότι τῶν εἴκοσιν. B ἐπὶ πάντων δὲ τῶν τοιούτων φαρμάκων τήξας τὰ τηκτά, καὶ ψύξας, ἔπειτα ξύσας μίγνυε τοῖς ξηροῖς ἀκριβῶς λελειωμένοις. ἐὰν γὰρ ἐπικαταχέῃς αὐτοῖς τὰ τηκτά, συμβαίνει πολλάκις ἐγκηρίδας γίγνεσθαι, καὶ μάλισθ' ὅταν ᾖ κρύος. εἰ δ' ἐν ἡλίῳ θερμῷ τὴν μίξιν ποιοῖς, καὶ καταχεῖν ἐγχωρεῖ κινοῦντα σφοδρῶς, τὰ μὲν πρῶτα τῇ σπάθῃ, τῷ κοχλιαρίῳ δ' ὀλίγον ὕστερον. ἄμεινον δὲ ἐπὶ τῶν τοιούτων πάντων, τὴν σπάθην φοίνικος εἶναι κλάδον. ταῦτα μὲν οὖν ὁ Ἀνδρόμαχος ἔγραψεν, ὡς ἔφην, ἀδιορίστως ιβ'. φάρμακα, προγράψας αὐτῶν κοινῇ τοῦτο μόνον, ὡς ἐστιν ἐπουλωτικά. τὴν διαφορὰν δ' αὐτῶν ἐξηγησάμενος ἐγὼ σαφῶς, ὡς νομίζω, ποδηγῆσαι δυνάμενον ἄνδρα συνετόν, εἰς τὴν κατὰ μέρος ἐπιδέξιον χρῆσιν. ἔξωθεν δὲ τούτων, ἄλλων ἐμνημόνευσε πολυχρήστων φαρμάκων, ὥσπερ εἰς ἄλλας πολλὰς διαθέσεις ἐπιτηδείων, οὕτως καὶ εἰς τὴν τῶν δυσεπουλώτων, ὧν κἀγὼ μνημονεύσω κατὰ τὸν ἑξῆς λόγον, ἔνθα περὶ τῶν πολυχρήστων φαρμάκων διέξειμι. νυνὶ δὲ περὶ τῶν ἰδίως ἁρμοττόντων τοῖς κακοήθεσι καὶ δυσεπουλώτοις, ὁ λόγος ἐστί μοι. καὶ μᾶλλόν γε περὶ τῶν κακοήθων, ἃ καὶ χειρώνεια καλοῦσιν ἔνιοι, καθάπερ καὶ αὐτὸς ὁ Ἀνδρόμαχος. ἐφεξῆς γοῦν ὧν ἄρτι πέπαυμαι λέγων δώδεκα φαρμάκων, δύο μὲν πρὸς ἄνθρακας, ἓν δὲ πρὸς ἕρπητας γράψας ἐπὶ τοῖς τρισί, τέταρτον ἄλλο κατὰ τήνδε τὴν λέξιν ἔγραψεν. ἐπουλωτικὴ πρὸς τὰ χειρώνεια Διοσκορίδου. ποικιλώτερον μέν, οὐ μὴν ἰσχυρότερον φάρμακον τοῦ προγεγραμμένου συνθείς, καθ' ὃ τετραπλάσιον ἔμιγνυε τὸν κηρὸν συναμφοτέρου τῆς τε λεπίδος, καὶ τοῦ ἰοῦ. κατὰ δὲ τὸ νῦν προκείμενον, ἐλάττονα βαλὼν τὸν κηρὸν τῆς τῶν μεταλλικῶν ἀναλογίας, τήκειν αὐτὸν κελεύει μυρσίνῳ, ἢ ῥοδίνῳ ὀλίγῳ, μὴ προσγράψας αὐτῶν τὴν ποσότητα. προσγράψω δὲ ἤδη τὸ σύμπαν αὐτοῦ κατὰ τὴν τοῦ Ἀνδρομάχου λέξιν. Ἐπουλωτικὴ πρὸς τὰ χειρώνεια Διοσκορίδου. ℞. χρυσοκόλλης < β'. ἰοῦ ξυστοῦ < β'. λεπίδος < β'. κηροῦ < ς'. διφρυγοῦς < β'. λιθαργύρου < η'. ῥοδίνου, ἢ μυρσίνου ὀλίγον, ὥστε τακῆναι. τοῦτο τὸ φάρμακον ἀκριβῶς ταὐτόν ἐστι τῷ προγεγραμμένῳ, κατὰ τὰ δώδεκα ἐπουλωτικά, μετὰ τὸ διὰ τῆς λεπίδος, καὶ τοῦ ἰοῦ τῇ τάξει, καθάπερ ἔφην, ὄγδοον ἐν αὐτοῖς, ἑνὶ μόνῳ πλεονεκτοῦν ἐκείνου τῷ ἰῷ, καὶ διὰ τοῦτο, ἐκεῖνο μὲν ἐν τοῖς ἐπουλωτικοῖς ἔγραψεν, ἐπὶ τούτου δὲ μείζονα τὴν ἐπαγγελίαν ἐποιήσατο, πρὸς τὰ χειρώνεια, φήσας ἁρμόττειν αὐτό. καὶ μέντοι καὶ κατὰ τοῦτο καλλίστου φαρμάκου μνημονεύει γράφων οὕτως. Ἐπουλωτικὴ ἐκ τῶν Πριμίωνος πρὸς τὰ ἀπεγνωσμένα. Βούλεται δ' αὐτῷ τοὔνομα τὸ ἀπεγνωσμένα, σημαίνειν ἐκεῖνα τῶν ἑλκῶν, ὅσα πολλοὶ θεραπεῦσαι σπουδάσαντες, οὐκ ἔτυχον τοῦ τέλους, ἀλλ' ἀπέστησαν, ὡς ἀνιάτων. χρὴ θαρρεῖν τῷ φαρμάκῳ τῷδε, τά τ' ἄλλα, καὶ τῇ πείρᾳ κεκριμένῳ. σύνθεσιν δ' αὐτοῦ γράφει τήνδε. ℞. σώρεως < κδ'. στυπτηρίας σχιστῆς < ις'.

A Porrò minoris symmetriæ, quæ huic proportione respondeat, omnia eiusmodi medicaméta conficere oportet, scientem ipsa confestim duram, ac saxeam duritiem acquirere. Tantum igitur cuiusque præparare satius est, quanti vsus fuerit; præsertim si hyems vsum ipsorũ excipiat. At si quartam singulorũ partem capias, molybdænæ quinque & viginti drachmæ erunt, quatuor diphrygis, duæ, & semis soreos, tosti misyos duæ, terebinthinæ ʒ. ix. aliàs ij. & ceræ, & myrtei pares portiones, vtriusque decem, amborum simul videlicet viginti. Porrò in omnibus eius notæ medicamentis, illa quæ liquari possunt, liquefacta, & refrigerata, deinde rasa, siccis diligenter in puluerem redactis admisceto. Nam si liquida ipsis affundas, sæpe fient grumi cerei *encerides* maximè quum frigus fuerit. In Sole feruenti si mixtura fiat, licet ea superfundere, mouendo vehementer rudicula primùm, deinde cochleario; præstat autẽ in hisce omnibus rudiculam palmæ esse ramusculum. Hæc Andromachus indistinctè, sicut diximus, duodecim medicamenta tradidit, hoc ipsis tantum communiter præponens, Epulotica, hoc est ad cicatricem ducendam idonea. Ego verò differentiam ipsorum manifestò (vt arbitror) exposui, quæ cor- C datum virum ad dextrum particularium vsum veluti manu ducere queat. Insuper aliorum multiplicis vsus medicamentorum meminit, vt ad alios plerosque affectus, ita ad vlcera ægrè cicatricem ducentia, aptorum quæ nos sermone procedente percensebimus, vbi medicamenta polychresta aggrediemur. In præsentia peculiariter de iis sermo nobis est, quæ ad maligna, & dysepulota faciunt, eaque potius maligna, quæ chironia nonnullis appellantur, quemadmodum, & ipsi Andromacho. Ordine itaque ex duodecim medicamentis modò relatis, quum duo ad carbunculos pro- D diderit, vnum ad herpetas, quartum aliud post tria hisce verbis conscripsit. *Epuloticum ad Chironia, Dioscoridis.* Magis varium quidem medicamentum componens, non tamen septimo illo suprascripto valentius, in quo ceram quadruplo copiosiorem, quàm vtriusque, nempe squamæ, & æruginis, miscebat. At in nunc proposito, pauciore cera metallicorum proportione iniecta, liquari ipsam pauco myrteo iubet, aut rosaceo, quantitate eorum non adscripta. Iam verò vniuersam eius sententiam ex Andromachi verbis apponam. *Cicatricem obducens, ad Chironia, Dioscoridis.* ℞. chry- E socollæ drach. ij. æruginis rasæ drach. ij. squamæ drach. ij. ceræ drach. vj. diphrygis drach. ij. spumæ argenti drachmas octo, rosacei vel myrtei modicum, vt liquefiat. Hoc medicamentum adamussim superiori illi conuenit, quòd inter cicatricem obducentia locum, vt dixi, octauum obtinet, post id positum, quod squama atque ærugine constat, sola illud ærugine nimirum superans. Ideoque cicatricem illud inducentibus adscripsit; maiora tamen de ipso pollicetur, ad chironia conuenire id dicens. Et verò post hoc quoque optimi medicamenti mentionẽ facit in istum modum. *Medicamentum obducendis cicatricibus ex collectaneis Primionis, ad desperata.* Hoc nomen, F Desperata, vlcera illa, quorum curationem plerique aggressi non absoluerunt, sed tanquam ab insanabilibus destitere, ei significat. Fidendum huic medicamento, quòd præter alia, vsu quoque probatum est. Hanc autem eius compositionem scribit. ℞. soreos ʒ. xxiv. aluminis scissilis drach. xvj.

malicorij

malicorij drachmas sedecim, calcis viuæ drachmas sedecim, thuris drachmas trigintaduas, gallæ drachmas trigintaduas, ceræ drachmas centum viginti, seui vitulini drachmas centum sexaginta, olei veteris heminam vnam. Hæc est simplicium medicamentorum symmetria ad præsentis compositi præparationem. At quomodo illud præparandum sit, omisit, vt in aliis etiam multis, quæ confecturæ narrationem requirunt, nam in hoc quidem, vel admodum facilius est, vt paulò post dicemus. Cæterùm vos scire in primis volo, vt si quando vitulinum pingue desideretur, eius loco vetus suillum, quod nominant axungiam, admiscendum, verùm salis expers, & non multorum nimis annorum. Vetus itaque oleum abundè satis discutit, sic adeps quoque, idque citra mordicationem ambo efficiunt; bubulus similiter quidem discutit, sed non æquè morsu caret; medium locum obtinet vitulinus, quo porcino acrior, hoc bubulo mollior. Itaque medicamentum, quo de sermo institutus est, validissima continet, sori, alumen scissile, malicorium, gallam, non discutiendi facultate eximia, sed astringendi, vt vocant, prædita. Clarum est autem gallam semper adiiciendam esse, quæ vocatur omphacitis, idest, *immatura*, alumen verò Ægyptium, & scissile, cuius penuria rotundum, quod scissili quidem est crassius, sed non minùs astringens. Quòd autem malicorium putamen mali granati vocatur, omnes nouerunt. Breui adeò tempore viget, si velis aridum contundere, & in puluerem redigere, seu læuigare; namque dum arescit malicorium, imbecilliorem quoque vim sortitur, cum humore eius discusso pereuntem. Quare tutius est succulentum priùs ex vino decoquere, donec optimè læuigari possit. Vinum autem austerum prorsus, sed neque recens, esse oportet, nam austera nisi vetera sint, crassarum partium existunt; neque vetustum adeò, vt iam acre existat, etenim recens penitiora corporis non permeat, vetus acre & mordax est. Ergo ætate medium potius est, quod plurimum intra quinque & decem annos consistit. Postulat locus hic in memoriam reducere, quod multi sæpe dictarunt, de austeris, acerbis, in totum de astringentibus, vinis, cibis, & medicamentis; ac primum de harum vocum significationibus agendum est. Austerum enim Græcis idem sibi vult, quod mediocriter astringens; acerbum, quod validè, ac vehementer id facit. Genus vtrique commune astrictionis vocabulo signatur, non etiam vtrum validè, an obscurè ea fiat, declarante. Omnia igitur astringentia contrahunt, ac densant meatus; ad hæc vinciunt, ac continent partium sibi inuicem cohærentium substantiam; atque minus magisque hoc pro astrictionis quantitate efficiunt. Cæterùm stringendo, ac densando summa corporis, quod astringitur, virtus illorum excluditur, & in altum ire prohibetur. Ob quam rationem pulchrè nonnulli medicorum huiusmodi medicamentis alia tenuium partium, & acri potestate prædita, indere cogitarunt, à quibus veluti ductæ astringentium vires in profundum corpus perueniant. Hoc igitur medicamenti propositi author considerauit, qui calcem viuam ei addiderit; at in Andromachi libro calcis vox omissa est, viuæ nomen adscriptum, medicis compendij gratia & pleraque alia sic interpretantibus.

A σιδίων < ιϛʹ. ἀσβέστου < ιϛʹ. λιβάνου < λβʹ. κηκῖδος < λβʹ. κηροῦ < ρκʹ. στέατος μοσχείου < ρξʹ. ἐλαίου παλαιοῦ, κοτύλην αʹ. αὕτη μὲν ἡ συμμετρία τῶν μιγνυμένων ἁπλῶν φαρμάκων, εἰς τὴν τοῦ προκειμένου συνθέτου κατασκευήν. ὅπως δὲ χρὴ σκευάζειν αὐτὸ, παρέλιπεν, ὥσπερ καὶ ἐπὶ ἄλλων πολλῶν, ἀναγκαίαν ἐχόντων τὴν διήγησιν τῆς σκευασίας. ἐπὶ τούτου μὲν γὰρ καὶ πάνυ ῥᾴδιός ἐστιν, ὡς ὀλίγον ὕστερον εἰρήσεται. γινώσκειν δὲ ὑμᾶς βούλομαι πρὸ πάντων, ὡς ἐὰν μὴ παρείη ποτὲ μόσχειον στέαρ, ἀντ' αὐτοῦ μιγνύναι τὸ παλαιὸν ὕειον, ὃ καλοῦσιν ἀξούγγιον. ἄναλον δ' εἶναι χρὴ τοῦτο, καὶ μὴ πάνυ πολ-

B λῶν ἐτῶν. ἔστιν οὖν καὶ τὸ παλαιὸν ἔλαιον, ἱκανῶς διαφορητικόν. ἔστι δὲ καὶ τὸ στέαρ, ἀδήκτως ἄμφω τοῦτο δρῶντα. τὸ δὲ βόειον, ὁμοίως μὲν ἐστὶ διαφορητικὸν, ἄδηκτον δ' οὐχ ὁμοίως. ἐν τῷ μεταξὺ δ' ἀμφοῖν ἐστι τὸ μόσχειον, ὅσῳ τοῦ χοιρείου δριμύτερόν ἐστι, τοσούτῳ τοῦ βοείου μαλακώτερον ὑπάρχει. τὸ μὲν οὖν φάρμακον ὑπὲρ οὗ πρόκειται λέγειν, ἰσχυρότατα μὲν ἔχει σῶρυ, καὶ τὴν σχιστὴν στυπτηρίαν, καὶ τὰ σίδια, καὶ τὴν κηκῖδα, οὐ μὴν διαφορητικήν γε δύναμιν ἔχοντα γενναίαν, ἀλλὰ τὴν καλουμένην στυπτικήν. εὔδηλον δ' ὅτι κηκῖδα μὲν, ἀεὶ βάλλειν προσήκει τὴν ὀμφακῖτιν ὀνομαζομένην, στυπτη-

C ρίαν δὲ τὴν Αἰγυπτίαν τε καὶ σχιστήν. εἰ δὲ ἀπορήσαιμεν αὐτῆς, τὴν στρογγύλην, παχυμερεστέραν μὲν οὖσαν τῆς σχιστῆς, οὐχ ἧττον δὲ στύφουσαν. ὅτι δὲ σίδια τὰ τῆς ῥοιᾶς λέμματα καλεῖται, πάντες γινώσκουσιν. ὀλιγοχρόνιός γε μὴν ἐστι τῆς ἀκμῆς αὐτῶν ὁ καιρὸς, ἐάν τις θέλῃ ξηρὰ κόπτειν τε καὶ λειοῦν. ἅμα γὰρ τῷ ξηραίνεσθαι, καὶ τὴν δύναμιν ἀσθενεστέραν ἔχει τὰ σίδια, μετὰ τῆς διαφορουμένης ὑγρότητος αὐτῶν ἀπολλυμένην. ἀσφαλέστερον οὖν ἐστιν ἔγχυλα λαβόντα, παραφέψειν ἐν οἴνῳ μέχρις ἂν εὐλείωτα γένηται. χρὴ δὲ τὸν οἶνον αὐστηρὸν μὲν εἶναι πάντως, ἀλλὰ μήτε λίαν νέον. οἱ γὰρ αὐστηροὶ, πα-

D χυμερεῖς εἰσι, πρὶν χρονισθῆναι, μήτε λίαν παλαιὸν, ὡς ἤδη δριμὺν ὑπάρχειν αὐτόν. ὁ μὲν γὰρ νέος, οὐκ εἰσδύεται τῷ βάθει τοῦ σώματος, ὁ δὲ παλαιὸς, δριμὺς καὶ δακνώδης ἐστίν. ἄμεινον οὖν ὁ μέσος κατὰ τὴν ἡλικίαν. εἴη δ' ἂν οὗτος τοὐπίπαν ἐν τῷ μεταξὺ, τοῦ τε πενταετοῦς καὶ τοῦ δεκαετοῦς. ἀναμνῆσαι δὲ καὶ νῦν ἀναγκαῖόν ἐστι τοῦ πολλάκις πολλοῖς εἰρημένου περὶ τῶν αὐστηρῶν καὶ στρυφνῶν, καὶ ὅλως στυφόντων οἴνων τε καὶ σιτίων καὶ φαρμάκων, ἔτι δὲ πρότερον ὑπὲρ τῶν κατὰ τὰς εἰρημένας φωνὰς σημαινομένων. ἐκ μὲν γὰρ τῆς αὐστηρὸν, τὸ μετρίως στῦφον σημαίνεται παρὰ τοῖς Ἕλλησιν, ἐκ δὲ τῆς, στρυφνὸν,

E τὸ βιαίως καὶ σφοδρῶς. τὸ δ' ἀμφοῖν γένος κοινὸν ἐκ τοῦ τῆς στύψεως ὀνόματος δηλοῦται, μὴ προσδιασαφουμένου, πότερα σφοδρῶς, ἢ ἀμυδρῶς. πάντα μὲν οὖν τὰ στύφοντα, συνάγει καὶ πυκνοῖ τοὺς πόρους κἀπιδεῖ καὶ σφίγγει τὴν οὐσίαν τῶν ὁμιλούντων ἑαυτοῖς μορίων. ἧττον δὲ καὶ μᾶλλον ἐργάζεται τοῦτο, πρὸς τὸ ποσὸν τῆς στύψεως. ἐν δὲ τῷ σφίγγεσθαι, καὶ πυκνοῦσθαι τὸ ἐπιπολῆς τοῦ στυφομένου σώματος, ἀποκλείεταί τε καὶ κωλύεται πρὸς τὸ βάθος ἰέναι τῶν στυφόντων ἡ δύναμις. καὶ διὰ τοῦτο καλῶς ἐπενόησαν ἔνιοι τῶν ἰατρῶν μιγνύναι τοῖς τοιούτοις φαρμάκοις, ἕτερα λεπτομερῆ καὶ δριμεῖαν ἔχοντα δύναμιν, ἕνεκα τοῦ

F δι' αὐτῶν εἰς τὸ βάθος τοῦ σώματος ἄγεσθαι, ποδηγουμένας τὰς τῶν στυφόντων δυνάμεις. τοῦτ' οὖν αὐτὸ νοήσας ὁ συνθεὶς αὐτὸ τὸ προκείμενον φάρμακον, ἔμιξεν αὐτῷ τὴν τίτανον ἄσβεστον. ἐν δὲ τῇ τοῦ Ἀνδρομάχου βίβλῳ παραλέλειπται μὲν ἡ τῆς τιτάνου προσηγορία, τὸ δὲ τῆς ἀσβέστου μόνον ὄνομα γέγραπται, πολλὰ καὶ ἄλλα τῶν ἰατρῶν, ἕνεκα συντόμου λέξεως οὕτως ἑρμηνευόν-

των. αὐτίκα γοῦν ἐν αὐτοῖς τοῖς φαρμάκοις, ὅσα πρὸς δυσεπούλωτα καὶ κακοήθη συντεθείκασι, λεπίδος ἁπλῶς γεγραμμένης χωρὶς τοῦ προσκεῖσθαι χαλκοῦ, καὶ σχιστῆς χωρὶς στυπτηρίας, καὶ τὸ τερμινθίνης, χωρὶς τοῦ προσκεῖσθαι, τὸ, ῥητίνης· προσυπακουόμενα αὐτοῖς τὰ παραλελειμμένα κατὰ τὴν λέξιν οὕτως, ὥσπερ καὶ νῦν ἐπὶ τῆς ἀσβέστου τὴν τίτανον. ὀνομάζουσι γὰρ κατ' ἐξοχὴν τὴν αὐτὴν μόνην ἐσβεσμένην τε καὶ ἄσβεστον, οὐχ ἧττον καὶ τοῖς ἄλλοις ὅσα καίεται, πρεπούσης τῆς προσηγορίας. μίξας οὖν τὴν ἄσβεστον τίτανον ὁ συνθεὶς τὴν ἔμπλαστρον τήνδε τοῖς στρυφνοῖς φαρμάκοις, ἰσχυρὸν εἰργάσατο τὸ ἐξ ἁπάντων σύνθετον, ἕνεκα τοῦ μέχρι τοῦ βάθους ἀφικνεῖσθαι τὴν δύναμιν αὐτοῦ. ἐπεὶ δὲ ἐξ ἰσχυροτάτων φαρμάκων ἡ σύνθεσις ἐγεγόνει, παρηγορικὸν δὴ οὐδὲν οὐδὲ πεπαντικὸν, οὐδὲ τῆς πεπτικῆς ὕλης εἶχεν, εἰκότως ἔμιξεν αὐτῷ πυοποιὸν φάρμακον, τὸν λιβανωτόν. εἰ μὲν οὖν ξηρῷ τῷ συνθέτῳ χρῆσθαί τις ἔμελλεν, ἐπιπάττων αὐτὸ κατὰ τοῦ ἕλκους, ἦν ἂν οὕτω γε σφοδρὸν ἱκανῶς, καὶ δακνῶδες, καὶ τραχυντικὸν, καὶ διαβρωτικόν. ἐπεὶ δὴ ἔμπλαστρον αὐτὸ προὔκειτο ποιῆσαι, δῆλον μὲν, ὅτι ῥητίνης, ἢ κηροῦ μικτέον ἦν, ἢ καὶ πρὸς τούτοις στέατος, ἢ μυελοῦ. καὶ εἰ μηδέ πω σύστασιν ἐμπλαστρώδη διὰ τούτων λάβοι, προσβαλεῖν ἐλαίου τινός, ὅταν δὲ προσθῶ τὸ τινος, ἀκούειν χρή σε πρὸς τῷ κυρίως τε καὶ ἁπλῶς ἐλαίῳ λεγομένῳ, καὶ τὸ μετὰ προσθήκης ὀνομαζόμενον, ῥόδινον ἔλαιον, ἢ μύρσινον, ἢ κύπρινον, ἤ τι τοιούτων. διώρισται γὰρ ἤδη πολλάκις ὅπῃ διαφέρει μύρον εἰπεῖν ῥόδινον, ἐλαίου ῥοδίνου, καὶ μύρον κύπρινον, ἐλαίου κυπρίνου, καὶ τῶν ἄλλων ὁμοίως. εἰκότως οὖν ἡ τῶν τοιούτων φαρμάκων μίξις, οὐχ ἡ αὐτὴ γέγονεν ἅπασι τοῖς συνθεῖσι τὰς τοιαύτας ἐμπλάστρους. ὅτι γὰρ αἰτίαι πλείους εἰσὶ τῆς τοιαύτης διαφορᾶς, οὐκ ἐξ ἐπινοίας, ἀλλ' ἐμπειρίας εὗρον ἐμαυτῷ συμβεβηκυίας. ἐνίοτε μὲν γὰρ ἐξ ὀλίγων τὸν ἀριθμὸν τῶν ἁπλῶν, ἔσπευσα συνθεῖναι τὸ φάρμακον, ἐνίοτε δὲ, ἐκ πλειόνων, ἔστι δ' ὅτε καὶ πλείστων, ἢ πάντων τῶν ὁμογενῶν. καὶ μέντοι καὶ τῷ, τινὰ μὲν ἔχειν ἄφθονα, τινὰ δ' οὐδ' ὅλως, ἢ ἐλάχιστα κατὰ τὸν καιρὸν ἐκεῖνον ἐξ ὧν εἶχον, περὶ τὴν σύνθεσιν ἐτραπόμην τοῦ φαρμάκου τῆς χρείας ἐπειγούσης, εἶθ' εὑρὼν αὐτὸ τῇ πείρᾳ δόκιμον, οὕτως ἐχρησάμην ἀεί. πολλάκις δ' ἑκὼν, ἔνια μὲν ἰσχυρότερα τῶν συνθέτων φαρμάκων, ἔνια δὲ ἀσθενέστερα ποιῆσαι προθέμενος, ὡς πρὸς πλείονας ἔχειν διαθέσεις ἁρμόττοντα φάρμακα, διαφερούσας ἐποιησάμην τὰς συνθέσεις, καὶ μέντοι κἀκ τοῦ πλειόνων χρῄζειν δυνάμεων τὸ τὴν ἕλκωσιν ἔχον μόριον. ὥσπερ ὅταν ἅμα τε κοῖλον, καὶ πλαδαρὸν, καὶ ῥυπαρὸν, ὀχθῶδές τε τοῖς χείλεσι, καὶ ῥευματιζόμενον ἐκ τῶν ὑπερκειμένων. ἐὰν γὰρ ἁρμόζεσθαί τις ἐθέλοι, πρὸς ἅπαντα τὰ συμβεβηκότα τοῖς ἡλκωμένοις οὕτω μορίοις, ἀναγκαῖον αὐτῷ διαφερουσῶν δυνάμεων ὕλας μιγνύειν. ἐὰν δ' ἕν τι πρῶτον ὃ κατεπείγει θεραπεύειν ἐθέλῃ, τῶν ἄλλων ἀμελῶν, οὐκ ἀναγκαῖον εἰς ποικιλίαν φαρμάκων ἐκτρέπεσθαι. δῆλον οὖν, ὅτι καὶ οἱ πρὸ ἐμοῦ συνθέντες τὰ τοιαῦτα φάρμακα διὰ τὰς προειρημένας αἰτίας διηνέχθησαν, οἷον εὐθέως ἐπὶ τοῦ προκειμένου νῦν φαρμάκου τὸ μόσχειον εἵλετο στέαρ συνθεὶς, ἐπειδὴ μαλακτικόν ἐστι τῶν ἐσκληρυσμένων χειλῶν. ἔμελλεν οὖν αὐτῷ διττὴν παρέξειν χρείαν, τὴν μὲν ἑτέραν, ὡς μαλακώδη εἰς ἕνωσιν τῶν ξηρῶν, ἃ πρώτως ἦν ὠφέλιμα, τὴν δ' ἑτέραν, ὅπως καὶ αὐτό τι τῶν συμβεβηκότων τῷ πεπονθότι μορίῳ θεραπεύοι. ἔτι δ' ἂν μᾶλλον ὠφελίμως μιχθείη μυελὸς ἐλάφειος ἐπὶ τῶν ἐσκληρυσμένων χειλῶν, ἢ εἰ μὴ τοῦτον ἔχοιμεν, μόσχειος.

A Nimirum igitur in ipsis medicamentis ad vlcera vix cicatricem recipientia & maligna compositis, squama simpliciter apposita, citra adscriptionem æris, & scissile, sine vocabulo aluminis; & terebinthina, absque adiectione resinæ; subaudimus quæ ipsi sic in dictione omiserunt, quemadmodum & nunc in vocabulo, viua, calcem; nuncupant enim per excellentiam ipsam, restinctam, & viuam, appellatione non minus, & aliis quæ vruntur, accommodata. Itaque viua calce mixta emplastri huius author acerbis medicamentis validum compositum reddidit, vt virtus eius in imum vsque penetret. Quoniam verò ex valentissimis B confectura est; ac nullum mitigatorium, nec leniens, nec concoquens aliquod continet; meritò thus ei, quod puri mouendo medicamentum est, admiscuit. Si igitur sicco composito vteris, vlceri ipsum inspergens, sic vehemens admodum esset, mordax, asperum, & exedens; at quia emplastrum id facere proposuimus, perspicuum est vnicuique, resinam, vel ceram, vel adhuc adipem, vel medullam miscendam fuisse; ac si nondum ex his emplastri spissitudinem acceperit, oleum aliquod affundendum. Quum autem addo aliquod, inaudiendum est tibi præterquam quod C propriè & simpliciter oleum dicitur, etiam quod cum adiectione rosaceum nominatur oleum, vel myrteum, vel cyprinum, vel eius generis aliquod; distinctum namque est iam sæpius, quid discriminis sit, rosaceum vnguentum dicas, an oleum rosaceum; & vnguentum cyprinum, an cyprinum oleum; aliaque similia. Meritò igitur eiuscemodi medicamentorum mixturam non eandem omnes fecerunt, qui id genus emplastra composuere. Nam quòd plures huius differentiæ causæ existant, non ratione, sed mea ipsius experientia, deprehendi. Nonnunquam enim ex pau- D cis numero simplicibus medicamentum subitò præparaui, interdum ex pluribus, aliàs ex plurimis, vel omnibus, eiusdem generis. Insuper quia nonnulla apud nos abundè copiosa, quædam ex toto non essent, aut paucissima eo tempore, ex iis quæ habebam medicamentum composui vsu ita postulante; deinde quum experimento id probatum inuenissem, ita semper vsurpaui. Sæpe fortiora quædam medicamenta composita, quædam imbecilliora, vltrò facere instituens, vt variis affectibus accommodata haberem, diuersas compositiones aggressus sum; præterea hac ratione motus quòd pars exulceratione laborans E plures requirat facultates; vt quum simul & caua est, & fluida, & sordida, & oris prætumida, ac dura, & fluxionem ex superioribus recipit. Si namque medicamentum ad omnia, quæ sic exulceratis partibus acciderunt, valere cupias, diuersarum virium materias miscere necessarium est. At si vnum aliquod primum, quod vrget, sanare studeas, aliis neglectis non est quod medicamentorum varietatem requiras. Clarum est igitur & illos, qui ante me eiusmodi medicamenta confecerunt, ob prædictam rationem dissensisse; veluti F verbi gratia in proposito medicamento, vitulinum pingue author cepit, quòd oras induratas emolliat. Proinde duplicē ei vsum adhibere debebat, vnū vt molliusculo medicamēto ad vnitatē siccorū faciendā, quę primū erant vtilia; alterū vt & ipsum aliqua partis affectæ symptomata, seu accidentia persanaret. Verùm multo vtilius medulla ceruina induratis oris adhibetur; quæ si non adsit, vitulina;

sin vtraque desideratur, humida aliqua & non acris resina. Nam omnes resinæ humiditatis gratia simul, & viscositatis, quam habent cognatam, sicca medicamenta veluti colligant; quia verò non euidentem habent acrimoniam, vlcus nequaquam irritant. Quapropter nonnulli meritò talibus medicamentorum confecturis admiscuerunt, vel terebinthinam, vel laricem nominatam resinam. Meminisse autem vos inter componendum oportet illius etiam, quod à plerisque medicorum negligitur, à quibusdam per ignorantiam committitur. Credunt enim institoribus, vetus oleum dare se affirmantibus, ignari, quomodo ipsius loco vendant adipem suillum veterem, ex oleo communi liquatum temperatumque, sed membranulis priùs diligenter exemptis, apparet enim sic, crassum inspicientibus, si odoreris, vetustatis graueolentiam repræsentat, similitudo igitur est fœtoris; qui verò vtriusque ad vnguem meminit, manifestò alterum ab altero discernit; alia siquidem est odoris adipis, alia veteris olei proprietas. Accedit huc, quòd crassitudo ipsius adulterati continua non est, nec similaris, quemadmodum olei veri. Quin & crassius in vasis fundo, tenuius in summo, euadit; ob quod etiam id adulterantes permouent, dum emptoribus tradunt. At si re vera quoque sit oleum sine tali astu sua spontè natum, nomen quidem hoc obtinet vetus; vis autem trimi non est propinqua trigenario; aut quod annorum quatuor est, nullam confinitatem cum quinquagenario habet; siquidem temporis spatio, quum inueterarunt tum oleum, tum adeps, mordacitatem quandam acquirunt. Sed hæc quidem sunt maxima, maxima verò, & facultatis permutatio; maximam enim digerendi facultatem tum oleum, tum adeps, quando inueterata sunt, habent. Atque hoc ego expertus sum ideo, quòd oleum, ac adipem vetustissima sorte quadam haberem à patre multis annis obseruata; quæ ipse rursum ambo admodum iuuenis adhuc, copiosa reposui, vt iam inueteratis eis vti possem, vbi patris essent consumpta. Sed etiam post hæc iterum ambo sæpe recondidi, vt vetustescerent, tantaque mihi nunc illorum copia est, quanta, vel centum annis victuro sufficiat. Propterea medicamentum, de quo sermo est, oleum, & adipem quadraginta annorum recipiens, semper apud me vlcera diuturna præter modum maligna, quàm opinio ferret, melius sanauit. Sunt huiusmodi vlcera, in quibus ipsa affecta pars in tam vitioso habitu consistit, vt quanuis sanguis nutriendi causa ad eam perueniens probè sit concoctus, tamen mutet ipsum, corrumpatque: siue id, quod influit, adeo prauo succo præditum est, vt etiam si pars nihil passa fuerit, ab illo certè ipso solo erodatur. Mirificè igitur medicamenti compositor astringentia medicamenta repellendi facultate prædita assumpsit, vt nihil parti affectæ, dum curetur, influat; quædam discutientia, vt sanies in laborante parte contentæ per halitum discutiantur, vacuenturque. Symmetria verò ipsorum ita habet. Aluminis scissilis, & malicorij, vt quæ validissimè astringant, minus iniecit, vtriusque drachmas sedecim in idem miscens; soreos sesquiplum vtriusque, hoc est drach. vigintiquatuor, minus quidem astringentis, non minus autem siccantis; scissilis quoque, & malicorij æquales vtriusque portiones indidit;

A Εἰ δὲ μηδὲν τούτων παρείη, τῶν ὑγρῶν τε καὶ μὴ δριμέων ῥητινῶν τις. ἐκ μὲν γὰρ τῆς ὑγρότητος, ἅμα δὲ καὶ γλισχρότητος, ἣν ἔχουσι σύμφυτον αἱ ῥητῖναι πᾶσαι, σύνδεσμος γίνεται τῶν ξηρῶν φαρμάκων. ἐκ δὲ τοῦ μὴ σαφῶς εἶναι δριμείας, τὸ μὴ παροξύνειν τὸ ἕλκος. Εἰκότως οὖν ἔμιξάν τινες ἐν ταῖς συνθέσεσι ταῖς τοιαύταις τῶν φαρμάκων, ἤτοι τὴν τερμινθίνην, ἢ τὴν λάρικα προσαγορευομένην ῥητίνην. μεμνῆσθαι δ' ὑμᾶς ἐν τῇ συνθέσει χρὴ, καὶ τοῦδε, τοῖς πολλοῖς τῶν ἰατρῶν ἀμελουμένου, τισὶ δὲ καὶ δι' ἄγνοιαν ἁμαρτανομένου. πιστεύουσι γὰρ τοῖς ῥωποπώλαις ἔλαιον παλαιὸν ἐπαγγελλομένοις διδόναι, μὴ γιγνώσκοντες ὅπως αὐτὸ
B παραδιδόναι ποιοῦσι στέαρ παλαιὸν ὕειον, ὅταν ἀκριβῶς ἐξινίσωσι, τήκοντες καὶ ἀναμιγνύντες ἐλαίῳ τῷ κοινῷ. φαίνεται γὰρ οὕτω παχὺ μὲν ὁρῶσιν, ὀσμωμένοις δὲ, δυσῶδες, ὡς τὸ παλαιόν. ὁμοία μὲν οὖν ἡ δυσωδία, τῷ δ' ἀκριβῶς ἑκατέρου μεμνημένῳ, σαφὴς ἡ διαφορά. ἄλλη μὲν γὰρ ἰδιότης ἐστὶ τῆς ὀσμῆς στέατος, ἄλλη δὲ ἐλαίου παλαιοῦ. καὶ τὸ πάχος δὲ αὐτοῦ τοῦ δεδολωμένου, συνεχὲς οὐκ ἔστιν, οὐδ' ὁμοιομερὲς, ὥσπερ τὸ τοῦ μὴ δολωθέντος, ἀλλὰ καὶ πρὸς τῷ πυθμένι τοῦ ἀγγείου, παχύτερον γίγνεται. τὸ δ'
C ἐπιπολῆς, λεπτότερον, ὅθεν καὶ διακινοῦσιν αὐτὸ, διδόντες τοῖς ὠνουμένοις, οἱ παραποιήσαντες. ἀλλὰ κἂν ἀληθῶς ᾖ τὸ ἔλαιον, ἄνευ τῆς τοιαύτης πανουργίας αὐτοφυὲς, ὄνομα μὲν ἔχει τοῦτο δὴ τὸ παλαιὸν, ἡ δύναμις δ' οὐκ ἐγγύς ἐστι τῷ τριετεῖ πρὸς τὸ τριακονταετὲς, ἢ τὸ τετραετεῖ, πρὸς τὸ πεντηκονταετές. ἐπικτᾶται μὲν γάρ τινα δῆξιν ἐν τῷ χρόνῳ, τό τε ἔλαιον καὶ τὸ στέαρ, ὅταν παλαιωθῇ. ἀλλὰ αὕτη μὲν μεγίστη, μεγίστη δὲ ἡ κατὰ δύναμιν ἐξαλλαγή. διαφορητικώτατα γάρ ἐστι τό τε ἔλαιον, καὶ τὸ στέαρ ὅταν παλαιωθῇ. καὶ τούτου πειραθεὶς ἐγὼ, διὰ τὸ κατά τινα τύ-
D χην ἔλαιόν τε καὶ στέαρ ἔχειν παλαιότατον, τοῦ πατρὸς ἐκ πολλοῦ φυλάττοντος αὐτὰ, αὐτὸς πάλιν ἄμφω κατέθηκα δαψιλῆ, κομιδῇ νέος ὤν, ὅπως ἔχοιμι χρονίζουσιν αὐτοῖς χρῆσθαι, μετὰ τὸ καταναλῶσαι τὰ τοῦ πατρὸς, ἀλλὰ καὶ μετὰ ταῦτα πάλιν οὐκ ὀλιγάκις ἀπεθέμην ἀμφότερα παλαιωθησόμενα. καὶ νῦν ἐστί μοι τοσοῦτον πλῆθος αὐτῶν, ὡς ἐξαρκέσαι κἂν ἑκατὸν ἔτη ζήσω. καὶ τοίνυν τὸ προκείμενον ἐν τῷ λόγῳ φάρμακον, ἔλαιόν τε καὶ στέαρ ἐτῶν τεσσαράκοντα λαβὸν, ἀεὶ παρ' ἐμοὶ τὰ κακοηθέστατα τῶν πολυχρονίων ἑλκῶν ὠφέλησεν ἐλπίδος μειζόνως. ἔστι δὲ τὰ τοιαῦτα
E τῶν ἑλκῶν, ἐφ' ὧν αὐτὸ τὸ πεπονθὸς μόριον ἐν καχεξίᾳ τοσαύτῃ γέγονεν, ὡς κἂν εὔπεπτον ᾖ τὸ παραγιγνόμενον ἐπ' αὐτὸ τροφῆς ἕνεκεν αἷμα, μεταβάλλειν τε καὶ διαφθείρειν, ἐάν τε κακόχυμον ᾖ τὸ ἐπιρρέον εἰς τοσοῦτον, ὡς εἰ καὶ μηδὲν ἐπεπόνθει τὸ μόριον, ὑπ' ἐκείνου γοῦν αὐτοῦ μόνου διαβιβρώσκεσθαι. θαυμαστῶς οὖν ὁ συνθεὶς αὐτὸ, τὰ μὲν στυπτικὰ φάρμακα, δύναμιν ἀποκρουστικὴν ἔχοντα παρέλαβεν, ὡς μηδὲν ἐπιρρέοι τῷ πεπονθότι μορίῳ κατὰ τὸν τῆς ἰάσεως καιρόν. τὰ δὲ διαφορητικὰ, χάριν τοῦ τοὺς περιεχομένους ἰχῶρας ἐν τῷ πεπονθότι μορίῳ διαφορῆσαί τε καὶ κενῶσαι. περὶ δὲ
F τῆς συμμετρίας αὐτῶν, ὧδε ἔχει. Τῆς μὲν σχιστῆς στυπτηρίας καὶ τῶν σιδίων, ὡς σφοδρότατα στυφόντων, ἔλαττον ἐνέβαλεν, ἑκκαίδεκα δραχμὰς ἑκατέρου μίξας εἰς ταὐτό. τοῦ σώρεως δὲ τὸ ἡμιόλιον ἑκατέρου, τουτέστι τέσσαρας ἐπὶ ταῖς εἴκοσι, ἧττον μὲν στύφοντος, οὐχ ἧττον δὲ ξηραίνοντος, ἴσον δὲ συναμφοτέρου, τῆς τε σχιστῆς, καὶ τῶν σιδίων ἐνέβαλλε, τῆς κηκί-

A δος ἐπὶ ταῖς τριάκοντα δραχμαῖς, δύο προσθεὶς, ὡς ἀθροισθῆναι τὰς πάσας ἐκ τῶν φαρμάκων, ὀκτὼ καὶ ὀγδοήκοντα. τούτοις δ' ἀντέταξεν ἰσχυρῶς διαφορητικόν τε καὶ ξηραντικὸν φάρμακον τὴν ἄσβεστον, ἀρκεσθεὶς ἑκκαίδεκα δραχμαῖς, ἱκαναὶ γὰρ αὗται τὴν τῶν στυφόντων προδηγῆσαι δύναμιν. ἑκατὸν γοῦν καὶ τεττάρων ἀθροισθεισῶν δραχμῶν ἐκ τῶν μεταλλικῶν φαρμάκων, ἐνεδέχετο μὲν καὶ πλέον αὐταῖς μίξαι τοῦ λιβανωτοῦ. καὶ τοσούτῳ γε ἂν ἐγεγόνει τὸ φάρμακον πραότερον, ὅσῳ πλέον ἐμέμικτο. σφοδρὸν δ' αὐτὸ φυλάξαι βουληθεὶς, ἔλαττον ἔμιξε. σοὶ δ' ἔξεστι διττῶς αὐτὸ συνθεῖναι.

B μετὰ γὰρ τὸ λειῶσαι τὰ πρῶτα πέντε, καὶ μίξαι πάνθ' ὁμοῦ, διελὼν εἰς δύο μοίρας τὸ γενησόμενον ἄθροισμα, τῇ μὲν ἑτέρᾳ μοίρᾳ μίξον ἑκκαίδεκα δραχμὰς τοῦ λιβανωτοῦ, τῇ δ' ἑτέρᾳ τὸ διπλάσιον, εἶτα τήξας, καὶ ψύξας, καὶ ξύσας τὴν γενομένην ἐκ τῶν τηκτῶν φαρμάκων κηρωτὴν, διελὼν καὶ ταύτην δίχα, τὸ μὲν ἕτερον μέρος μίξον τῷ πλέονα τοῦ λιβανωτὸν ἔχοντι, τὸ δ' ἕτερον τῷ λοιπῷ. καὶ περὶ τὴν τοῦ κηροῦ δὲ καὶ στέατος συμμετρίαν ὁ πρῶτος στοχασμὸς ἱκανὸν ἔχει τὸ πλάτος, οὐκ εἰδότων ἡμῶν ἀκριβῶς, ὁποῖόν τι τῇ συστάσει τὸ φάρμακον ἔσοιτο. μετὰ δὲ τὸ μιχθῆναι πάντα, δῆλον γίνεται, πότερον ἁπαλώτερον, ἢ σκληρότερον ἀπετελέσθη τοῦ

C προσήκοντος, ὥστ' ἐν τῇ δευτέρᾳ συνθέσει προσελθεῖν ἡμᾶς ἀκριβέστερον τῷ στοχασμῷ, καὶ τούτων μὲν αὐτῶν, καὶ σὺν αὐτοῖς δὲ τοῦ ἐλαίου. ὥσπερ γὰρ ἄνευ λογικῆς μεθόδου συνθεῖναι φάρμακον ἀδύνατόν ἐστιν, οὕτως ἄνευ πείρας οὐχ οἷόν τε γνῶναι βεβαίως τε, καὶ ἀκριβῶς τὴν δύναμιν αὐτοῦ. τοῦτο μὲν οὖν τὸ φάρμακον, αὐτὸς ὁ Ἀνδρόμαχος ἔφη τοῖς ἀπεγνωσμένοις ἀρήγειν. ἐφεξῆς δ' αὐτοῦ, πρὸς παρωνυχίας τι γράψας, μετ' αὐτὸ πάλιν οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασι. πρὸς τὰ κακοήθη ἐπὶ Βαλλερίας Σεκούνδης. προσϋπακοῦσαι δὲ δεῖ δηλονότι τὸ ἐχρησάμην.

D ἡ δ' ὕλη τοῦ φαρμάκου δηλοῖ, θεραπείας μὲν ἀγωνιστικῶς ἀπολειπομένην, παρηγορεῖν δὲ δυναμένην τὰ παροξυνόμενα διὰ τῆς τῶν ἀγωνιστικῶν φαρμάκων προσαγωγῆς. ἡ οὖν σύνθεσις αὐτοῦ, τοιάδε τίς ἐστι. ℞. Τυῤῥηνικοῦ < η'. προσϋπακοῦσαι δὲ δηλονότι τοῦ κηροῦ, στέατος ταυρείου < δ'. τερμινθίνης < δ'. μολίβδου κεκαυμένου < δ'. ἐμμότῳ χρῶ. ταῦτα μὲν ἔγραψεν αὐτῇ λέξει. κακῶς δὲ ἐποίησε, μήτε πρὸς τίνα κακοήθη φησὶν ἁρμόττειν αὐτὸ δηλώσας, μήθ' ὡς ἀγωνιστικὸν, μήθ' ὡς παρηγορικόν ἐστι προσθείς. ἕτερα γάρ ἐστι παρηγορικὰ φάρμακα,

E τὰ μὲν καὶ προσωφελοῦντα βραχύ τι τὰς διαθέσεις, ἔνια δὲ καὶ βλάπτοντα βραχύ. τινὰ δὲ μήτ' ὠφελοῦντα, μήτε βλάπτοντα, πραΰνοντα δὲ μόνον τὰς ὀδύνας, ὑπὲρ ὧν αὖθις εἰρήσεται, καὶ πολλά γε τοιαῦτα διὰ πείρας μακρᾶς βεβασανισμένα γραφήσεται. καί τινά γε θαυμαστῶς οὕτως ἐπιτετευγμένα ταῖς συμμετρίαις, ὡς ὠφελεῖν μὲν πάντως, ἐνίοτε δὲ καὶ θεραπεύειν αὐτὰς μόνας τὰς διαθέσεις τῶν ἀγρείων, ὡς ἂν εἴποι τις ἑλκῶν. ἀλλ' ἐκ τῆς ἐκείνων ὕλης, ὁ μὲν Τυῤῥηνικὸς κηρός ἐστι, καὶ ὁ κεκαυμένος μόλυβδος. οὐ μὴν ἡ τερμινθίνη, καὶ τὸ ταύρειον στέαρ, ἀλλ', ὡς ἔφην, ἴδιος ὁ τῶν

F τοιούτων ἑλκῶν τε καὶ φαρμάκων λόγος ὑπάρχων, ὕστερον ἡμᾶς ἀναμενεῖ. νυνὶ δὲ περὶ τῶν δυσαλθῶν, ἢ χειρωνείων, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, πρόκειται διελθεῖν, ἐξ ὧν καὶ αἵδ' εἰσὶν αἱ ἐπιγεγραμμέναι, κατὰ τὴν τετάρτην Κρίτωνος βίβλον, οὐσῶν τῶν ἁπασῶν ε'.

gallæ ad triginta drachmas, duas apponens; vt omnes ex medicamentis drachmæ octogintaocto colligerentur. His oppoſuit validè digerens, & ſiccans medicamentum, calcem viuam, contentus ſedecim denariis, qui aſtringentium vires ſufficiunt deducere. Centum igitur, & quatuor denariis ex metallicis medicamentis collectis, plus quoque thuris adiicere conueniebat: & hoc mitius euaſiſſet medicamentum, quo copioſius illud recepiſſet; cæterùm vehemens ipſum ſeruare curans, minùs adiecit. Tibi autem licet bifariam ipſum componere; nam vbi priora quinque contriueris, omniaque ſimul commiſeris, aceruo in duas portiones diuiſo, alteri parti ſedecim thuris drachmas, alteri duplum indito, deinde liquato; & poſtquam refrigeraueris, radito ceratum ex liquabilibus medicamentis confectum; quod & ipſum in duas partes ſeiungito, alteram ei, quod plus thuris habeat, alteram reliquo, admiſcens. Atque de ceræ, & adipis ſymmetria prima coniectura latitudinem magnam ſatis obtinet, nobis haud planè intelligentibus, quale tandem craſſitudine medicamentum futurum ſit; at poſtquam omnia mixta fuerint, clarum fit, tenerius, an durius æquo ſit redditum. Quare in altera compoſitione diligentius nobis coniectandum eſt, & de his ipſis, & ſimul cum his de oleo. Vt enim citra rationalem methodum medicamenta componere, ita vim illorum certò, & accuratè cognoſcere ſine experientia nemo poteſt. Hoc itaque medicamentum Andromachus ipſe deſperatis auxiliari dixit. Ab hoc verò deinceps quoddam ad paronychias tradidit. Ac poſt hoc rurſus ſic ad verbum ſcripſit. *Ad maligna vlcera in Valeria Secunda.* Subaudiendum nimirum eſt, vſus ſum. Materia ſanè medicamenti innuit curatione quidem ſe à vehementibus relinqui, ſed poſſe ea, quæ vehementium medicamentorum adhibitione irritantur, mitigare. Compoſitio itaque eius hæc capit. ℞. tyrrhenicæ drachmas octo, ſubaudi videlicet ceræ, ſeui taurini drachmas quatuor, terebinthinæ drachmas quatuor, plumbi vſti drachmas quatuor. Linamentis excepto vtitor. Hæc ipſius verba ſunt. Malè autem fecit, quòd ad quæ maligna conuenire id dicat, non declarauit; nec quod vehemens ſit, aut mitigatorium adiecit; diuerſa namque ſunt mitigatoria medicamenta. Nam quædam tantillum etiam affectus iuuant; nonnulla verò, vel paululum offendunt; aliqua nec iuuant, nec offendunt, ſed dolores tantùm leniunt, de quibus aliàs agemus, multa eius generis longo vſu explorata ſcripturi; ac quædam mirificè adeò ſymmetriis compoſita, vt omnino iuuent; interdum etiam ipſos tantum affectus agreſtium, vt ita dicam, vlcerum perſanent. Verùm ex illorum materie eſt cera tyrrhenica, & plumbum vſtum, non tamen terebinthina, & taurinum ſeuum. Verùm de eiuſmodi vlceribus, ac medicamentis ſermo, vt dictum eſt, peculiaris in poſterum nos expectat; nunc de curatu difficilibus, vel chironiis, vel quomodocunque appellaſſe velis, differere propoſitum eſt; ex quorum numero ſunt & hæc quinque vniuerſa, in quarto Critonis libro conſcripta.

A

CAPVT VI.

De medicamentis à Critone ſcriptis. Medicamentum ex ladano.

Optimum medicamentum epuloticum, ex ladano. *Conuenit prætumidis cum duritia vlceribus, & cauis; deligatum verò membrum in diem quartum continendum eſt.* ℞. picis aridæ ʒ. c. æruginis raſæ ʒ. xxiv. æris vſti ʒ. xv. ſquamæ rubræ ʒ. xxiv. ladani ℥. ix. argenteæ ſpumæ lib. iij. olei ſextarium j. ß. vini optimi ſextarium j. ß. Hoc emplaſtrum præparaui & ego materia recepta, quæ nullum mollicinum medicamentum contineret; ſic enim vocat Hippocrates omne genus medicamentorum, quæ connatam humiditatem habent, qualis in pingui eſt, ſingulíſque oleoſis medicamentis, & quidem in ipſo oleo, & aqua. Quin & reſina, ceraque mollicinum quippiam obtinet. In medio ipſorum, dico autem ſiccorum temperamento, & mollicinorum, pix conſiſtit; eoque ambobus generibus citra offenſam admiſcetur; quemadmodum, tum argenti ſpuma, tum arida medicamenta, quæ circa mediam temperiem verſantur, etiam ſi nonnihil ad vtrumuis exceſſum interdum declinent. Hoc genere comprehenditur pix quoque, quæ ſecundum ſiccitatis, ac humiditatis oppoſitionem manifeſtò iam à mediis receſſit; ſecundum alteram oppoſitionem calefacientium & refrigerantium, non item; calefacit enim modicè, atque ideò medicamentis, quæ pus mouent, admiſcetur. Quamobrem in propoſito medicamento arida pix mediis attribuitur, atque hac magis argenti ſpuma, & alia, quæ ſiccandi vim obtinent. Porrò quum & hic error committi poſſit, diſputationem de ipſa inſtituam, theoremate primùm ad multa vtili in memoriam reuocato; quanquam id in aliis operibus, maximè de ſimplici medicina, & Therapeutice ſatis abundè ſim exequutus. Calidum enim & frigidum, humidum & ſiccum medicamentum appellamus, quod corpus noſtrũ calefacere, vel refrigerare, vel ſiccare, vel humectare queat, ad optimũ hominis temperamentum collatione facta. Medium verò quoddam hoc eſt inter alia tẽperamenta vitioſa, quæ etiam calida, vel frigida, vel humida, vel ſicca nominamus, à præpollente in ipſis, ſiue qualitate, ſiue facultate, ſiue ſubſtantia, ſiue temperie malis dicere, denominationẽ facientes. Eadem ratione, neque, ſi à ſuperante in mixtura elemento vniuerſam tẽperiem denominare velis, rerũ ſcientiam offendes: oſtẽſum enim eſt in medẽdi Methodo præſidia per indicationẽ, ab ipſis quidẽ affectibus, contrariæ illis tẽperaturę inueniri; à tota verò animantis cuiuſq; natura, atque à ſingularũ rurſus partium, propriæ & ſimilis. Vnde ſi & vlcus ſimplex cauum habeat quis, ab iiſdem quidẽ genere, ſed quæ non mediocrẽ differentiam in particularium ſpeciebus habent, curatio ſumetur. Atque ob id demonſtrauimus vlcerum omnino ſimilium quædã medicamentis, quæ admodum ſiccent, perſanari, puta radice panacis, ariſtolochia, acoro, iride; nonnulla ſolo thure, licet hoc carnem non inducat, ſed illas naturas ad ſuppurationem perducat, quas ariſtolochia carne replet. Sicut autem in corporibus curandis differentia particularis permagna eſt, ita quoque in vlceribus. Nam ſimplex, cauum, & purum vlcus à mediocriter ſiccantibus curatur; ſordidum verò, & malignum, & oris prætumidis, ac duris quidem

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων, ἡ διὰ λαδάνου.

Ἡ Διὰ λαδάνου καλλίστη ἐπουλωτική, ἁρμόζουσα δὲ ἐπὶ τῶν ὀχθωδῶν ἑλκῶν, καὶ κοίλων. δεῖ δὲ ἀνεπίλυτον τηρεῖν ἐφ' ἡμέρας τέσσαρας. ℞. πίσσης ξηρᾶς < ρ'. ἰοῦ ξυστοῦ < κδ'. χαλκοῦ κεκαυμένου < ιε'. λεπίδος ἐρυθρᾶς < κδ'. λαδάνου ℥ θ'. λιθαργύρου ℔ γ'. ἐλαίου ξε α' S''. οἴνου καλοῦ ξε α' S''. ταύτην τὴν ἔμπλαστρον ἐσκεύασα κἀγὼ, τὴν ὕλην ἀπο-
B δεξάμενος, οὐδὲν ἔχουσαν μαλθακῶδες. οὕτως γὰρ Ἱπποκράτης ὀνομάζει τὸ γένος ὅλον, τῶν ὑγρότητα σύμφυτον ἐχόντων φαρμάκων, ὁποῖα τὸ στέαρ ἐστὶν, ἅπαντά τε τὰ ἐλαιώδη φάρμακα, καὶ δηλονότι τὸ ἔλαιον αὐτὸ καὶ ὕδωρ. ἔχει δέ τι καὶ ἡ ῥητίνη, καὶ ὁ κηρὸς μαλθακῶδες. ἐν μέσῳ δ' αὐτῶν, λέγω δὲ τῶν ξηρῶν τῇ κράσει, καὶ τῶν μαλθακῶν ἐστιν ἡ πίττα. καὶ διὰ τοῦτο μίγνυται τοῖς γένεσιν ἀμφοτέροις ἀβλαβῶς, ὥσπερ καὶ ἡ λιθάργυρος, ὅσα τε ἄλλα φάρμακα περὶ τὴν μέσην ἐστὶ κρᾶσιν, εἰ καὶ βραχὺ παραλλάττοι ποτὲ πρὸς ὁποτέραν οὖν τῶν ἀμετριῶν. τῶν τοιούτων ἐστὶ καὶ ἡ πίττα, κατά γε τὴν τοῦ ξη-
C ραίνειν καὶ ὑγραίνειν ἀντίθεσιν, ἀποκεχωρηκυῖα σαφῶς ἤδη τῶν μέσων, κατὰ τὴν ἑτέραν ἀντίθεσιν τῶν θερμαινόντων καὶ ψυχόντων φαρμάκων, οὐκ ἔτι· θερμαίνει γὰρ μετρίως, καὶ διὰ τοῦτο καὶ τοῖς ἐκπυΐσκουσι φαρμάκοις μίγνυται, ὥστε κατὰ τὸ προκείμενον φάρμακον, ἡ μὲν ξηρὰ πίττα τῶν μέσων ἐστὶ, καὶ λιθάργυρος ἔτι μᾶλλον, τά τ' ἄλλα τῶν ξηραντικῶν. δυναμένης δὲ κἀνταῦθα παρακοῆς γενέσθαι, διαλέξομαι περὶ αὐτῆς, ἀναμνήσας γε πρότερον εἰς πολλὰ χρησίμου θεωρήματος, ὃ καὶ κατ' ἄλλας μὲν εἴρηταί μοι πραγματείας, ἱκανῶς δ' ἐξείργασται κατά γε τὴν περὶ τῶν ἁπλῶν φαρμάκων, καὶ τὴν
D τῆς θεραπευτικῆς μεθόδου. θερμὸν γὰρ καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν ὀνομάζομεν φάρμακον, ὅτι τὸ ἀνθρώπου σῶμα θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν δύνηται, πρὸς τὴν ἀρίστην κρᾶσιν ἐν ἀνθρώπῳ, τὰς διαφορὰς ποιούμενοι. μέση δέ τις αὕτη τῶν μεμπτῶν, ἃς καὶ δι' αὐτὸ τοῦτο θερμὰς, ἢ ψυχρὰς, ἢ ὑγρὰς, ἢ ξηρὰς ὀνομάζομεν, ἀπὸ τῆς ἐπικρατούσης ἐν αὐταῖς, εἴ τε ποιότητος, εἴ τε δυνάμεως, εἴ τ' οὐσίας, εἴ τε κράσεως ἐθέλοις φάναι προσονομάζοντες. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὐδ' εἰ παρώνυμον ἀπὸ τοῦ πλεονάζοντος ἐν τῇ μίξει στοιχείου τὴν ὅλην κρᾶσιν ἐθέλοις λέγειν, ἐμποδίσεις τῇ τῶν πραγ-
E μάτων ἐπιστήμῃ. δέδεικται γὰρ ἐν τῇ θεραπευτικῇ πραγματείᾳ τῶν βοηθημάτων ἡ εὕρεσις γιγνομένη δι' ἐνδείξεως, ἀπὸ μὲν αὐτῶν τῶν παθῶν τῆς ἐναντίας αὐτοῖς κράσεως, ἀπὸ δὲ τῆς ἑκάστου φύσεως ὅλης τοῦ ζώου, καὶ καθ' ἕκαστον αὖ πάλιν μόριον, οἰκείας τε καὶ ὁμοίας, ὥστε κἂν ἁπλοῦν ἕλκος ἔχῃ τις κοῖλον, ἀπὸ μὲν τῶν αὐτῶν κατὰ γένος, οὐ μικρὰν δὲ ἐχόντων ἐν τοῖς κατὰ μέρος εἴδεσι διαφορὰν, ἡ θεραπεία γενήσεται, καὶ διὰ τοῦτ' ἐδείχθη τῶν ἀπαραλλάκτως ὁμοίων ἑλκῶν, ἔνια μὲν ἀπὸ τῶν ἱκανῶς ξηραινόντων φαρμάκων θεραπευόμενα, πάνακος ῥίζης, ἀριστολοχίας, ἀκόρου τε καὶ ἴρεως. ἔνια δὲ ὑπὸ μόνου λι-
F βανωτοῦ, καίτοι μὴ σαρκοῦντος, ἀλλὰ διαπυΐσκοντος ἐκείνας τὰς φύσεις, ἃς ἀριστολοχία σαρκοῖ. καθάπερ δ' ἐν τοῖς θεραπευομένοις σώμασιν, ἡ κατὰ μέρος διαφορὰ παμπόλλη τίς ἐστι, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν ἑλκῶν. ἁπλοῦν μὲν γὰρ ἕλκος κοῖλόν τε καὶ καθαρὸν, ὑπὸ τῶν μετρίως ξηραινόντων θεραπεύεται, ῥυπαρὸν δὲ, καὶ κακόηθες, καὶ τοῖς χείλεσι μὲν ὀχθῶδες,

πλαδαρὸν δὲ τὴν κατὰ τὸ δέρμα σάρκα τῶν σφοδρότατα ξηραινόντων δεῖται. ἐπὶ τούτων οὖν τῶν ἑλκῶν, ἐπειδὴ καὶ περὶ τούτων ὁ λόγος ἐστὶν, ὁ μὲν λιβανωτὸς, οὕτως ἐστὶν ἀσθενὲς φάρμακον, ὡς μηδὲ διαπυΐσκειν δύνασθαι. λιθάργυρος δὲ, τούτου μὲν ἰσχυρότερον, ἀλλ' ἔτι καὶ αὐτὸ κατωτέρω τῶν μέσων. ἡ ξηρὰ δὲ πίττα, τῶν μέσων, ὥσπερ γε ταύτην ὑπεραίρει κατὰ τὸ ξηραίνειν ὁ κεκαυμένος χαλκὸς, ἥ τε χρυσοκόλλα, καὶ τὸ διφρυγές. ἐναργῶς δὲ ξηραίνει χαλκῖτις κεκαυμένη, καὶ ἰὸς, καὶ μίσυ, καὶ χάλκανθος, ἥ τε λεπὶς τοῦ χαλκοῦ. καὶ κατὰ θάτερον τρόπον, ὅσα στρυφνὰ, κηκὶς, ὀμφακῖτις, σίδια, στυπτηρία. διαβρωτικὰ δὲ πρὶν καυθῆναι, χαλκῖτίς τε καὶ ἰὸς, καὶ μίσυ, καὶ τίτανος. ὅσα μὲν οὖν ἰσχυροτάτας ἔχει δυνάμεις, ἐπὶ πάντων δοκεῖ τῶν σωμάτων τὴν αὐτὴν ἐνέργειαν ἐπιδείκνυσθαι. τὰ δὲ ἀσθενῆ, σαφῆ τὴν διαφορὰν ἐνδείκνυται, προσέχοντί σοι δὲ τὸν νοῦν, οὐδὲ ἧττον φαίνεται. καὶ τοῖς ἰσχυροῖς φαρμάκοις, οὐ μικρὰ διαφορὰ τῆς ἐνεργείας, ἣν ποιεῖται κατὰ τὰ μαλακὰ καὶ σκληρὰ σώματα, καὶ γὰρ θᾶττον ἅπτεται τῶν μαλακῶν, καὶ σφοδρότερον ἀνιᾷ, καὶ φλεγμονὰς ἐπεγείρει μείζονας. ὁπότ' οὖν ταῦτά μοι χρησίμως, οὐκ εἰς τὰ παρόντα μόνον, ἀλλὰ καὶ εἰς ἄλλα πολλὰ τῶν κατὰ τήνδε τὴν πραγματείαν εἴρηται, πάλιν ἐπὶ τὸ προκείμενον ἀφίξομαι φάρμακον, ἐφ' οὗ τῆς μὲν ξηρᾶς πίττης ἑφθῆς ὑπὸ τοῦ Κρίτωνος γεγράφθαι ʒ ρ'. λιθαργύρου δὲ λίτρας γ'. οὐδετέρου μὲν αὐτῶν ἐκ τῆς οἰκείας δυνάμεως ἰᾶσθαι δυναμένου κακόηθες ἕλκος, ἵνα δὴ ἔμπλαστρον γένηται τὸ συντιθέμενον φάρμακον, εὐλόγως μιχθέντων τοῖς ὠφελοῦσιν. ἡ δὲ ποσότης αὐτῶν στοχασμῷ τεχνικῷ ληφθεῖσα, κατὰ τὸν εἰρημένον ἀρτίως ἐγένετο σταθμὸν, εὐλαβουμένου τοῦ συντεθέντος, ἢ οὕτως ὀλίγον ἑκατέρου μῖξαι τοῖς ἰσχυροῖς φαρμάκοις, ὡς τὰ δακνώδη τε καὶ διαβρωτικὰ λυπηρὰ γενέσθαι τοῖς θεραπευομένοις, ἢ οὕτω πολλὰ, κατά τε τὸν ὄγκον καὶ τὸν σταθμὸν, ὡς ἐκλῦσαι τὴν δύναμιν αὐτῶν. ἥ τε γὰρ τοῦ χαλκοῦ λεπὶς, ἰσχυρῶς ξηραίνει τε καὶ ῥύπτει, καὶ μᾶλλον ἔτι ταύτης ὁ ἰός. ἄμφω δὲ ταῦτα, δρᾷ καὶ διαβιβρώσκει τὰς σάρκας. ὁ δὲ κεκαυμένος χαλκὸς, οὔτ' ἐπιτείνεσθαι πρός τινος, οὔτ' ἐκλύεσθαι χρήζει, σύμμετρος ὑπάρχων κατὰ δύναμιν εἰς τὰ παρόντα. πρόδηλον δὴ ὅτι τοῦ μὲν ἐλαίου τὸ μέτρον ἔκ τε τῶν μιγνυμένων αὐτῷ, καὶ τῆς κατὰ τὴν ἕψησιν ἐστοχάσθη ποσότητος. ἐπὶ πλέον γὰρ ἑψηθῆναι δεῖται τὰ μεταλλικὰ παρασκευαζόμενα πρὸς τὸ ξηραίνειν ἀδήκτως, καὶ διὰ τοῦτο καὶ τὴν ἕψησιν αὐτοῖς προσέθηκεν ὁ Κρίτων, ὧδέ πως γράψας αὐτοῖς ὀνόμασιν. ἕψε λιθάργυρον, ἔλαιον ἕως συστραφῇ ποσῶς, εἶτα λεπίδα χαλκοῦ, καὶ ἰὸν ἕως συστραφῇ, καὶ εὔχροα γένηται, εἶτα πίσσαν ἐπίβαλλε, εἶτα ψύξας, λάδανον λεῖον γενόμενον σὺν οἴνῳ, προσέχων μὴ ὑπερζέσῃ τούτου βληθέντος, εἶτα ἐπὶ μαλακοῦ πυρὸς ἑνώσας, κατάχει καὶ μάλασσε. αὕτη μὲν ἡ τῆς ἑψήσεως γραφή. ἐγχωρεῖ δὲ, καὶ πλεῖον ἔλαιον βαλόντας ἐπὶ πλέον ἑψῆσαι, πρῶτον μὲν τὴν λιθάργυρον, εἶτα κατὰ ταύτην ἐμβληθέντας, τόν τε ἰὸν καὶ τὴν λεπίδα, καὶ τὸν χαλκόν. τὰ γὰρ ἐπὶ πλέον ἑψόμενα, διττὴν ἐπί γε τῶν τοιούτων ἑλκῶν ἀρετὴν ἐπικτᾶται, ξηραντικώτερα καὶ ἀδηκτότερα γινόμενα. περὶ μὲν οὖν τῶν ἄλλων φαρμάκων τῶν ἁπλῶν, ὅσα κατὰ τὴν προκειμένην ἔμπλαστρον εἴρηται τῷ Κρίτωνι, λέλεκταί μοι συμμέτρως. ἐφύλαξα δὲ τὸν περὶ τοῦ λαδάνου λόγον, ὅτι καὶ μόνον ἁρμόττει τοῖς δυσεπουλώτοις σὺν οἴνῳ τριβόμενον, οὐχ ὅτι δεῖται οἴνου δυνάμεως, ἀλλ' ὅτι σκληρότερόν ἐστιν, ἢ κατὰ τὴν ἔμπλαστρον. ἀλλ' ἐάν τις αὐτῷ μίξας ἔλαιον ἑψήσῃ, τὴν δύναμιν ἀμβλυνεῖ τοῦ φαρμάκου. ἔστι δ' οὐχ οὕτως ἰσχυρὸν, ὡς ἀμβλυνθῆναι δεῖσθαι.

A sed carne iuxta cutem fluida, validissimè siccantia requirit. In his igitur vlceribus, quoniam & de ipsis verba facimus, thus est adeò imbecillum medicamentum, vt ne pus quidem concoquere, vel mouere possit. Argenti spuma hoc est validius, sed mediis tamen & ipsum inferius. At pix arida mediorum gregi annumeratur; quemadmodum hanc superat exiccando æs combustum, chrysocolla, & diphryges. Porrò euidenter siccat chalcitis combusta, ærugo, misy, atramentum sutorium, æris squama; atque altero modo quæcunque acerba sunt, galla omphacitis, idest, *immatura*, B malicorium, alumen. Exedunt autem non vsta, chalcitis, ærugo, misy, & calx. Quæ iam vehementissimas facultates habent, in omnibus corporibus eandem actionem ostendere videntur; imbecillia manifestam differentiam indicant. At si mentem adhibeas, neque minus in valentibus medicamentis magnum actionis discrimen deprehendes, quàm in mollibus & duris corporibus obeunt; etenim mollia citiùs accendunt, vehementiùs molestãt & maiores phlegmonas concitant. Quum igitur hæc non modò ad præsentia, sed ad alia quoque multa, quæ hoc commentario continentur, vtilia dixerim, rursus ad propositum C medicamentum reuertar, in quo picis aridæ ʒ. c. à Critone scriptum fuisse retulimus, argenti spumæ lib. iij. quum neutrum propria facultate vlcus malignum persanare queat; verùm vt medicamentum, quod componitur, emplastri speciem induat, rectè præsidiis admixta sunt. Quantitas autem ipsorum artificiali coniectura sumpta dicto nuper pondere statuta est, cauente hoc illo, qui composuit, ne tam exiguum vtriusque validis medicamentis misceatur, vt mordacia, euidentiaque fiant, ægris molesta; vel tam multa mole, & pondere, vt ipsorum facultatem dissoluant. Nam D æris squama admodum siccat, abstergitque, atque hac etiam magis ærugo; quæ ambo efficacia sunt, & carnem exedunt. Æs combustum nec à quoquam intendi, nec resolui postulat mediocri facultate præsentibus commodum. Constat autem olei mensuram ex illis, quibuscum miscetur, & coctionis quantitate, coniici; nam quæ metallica præparas ad siccandum sine vllo morsu, coquere diutiùs oportet. Atque hæc ratio est, cur Crito coctionem quoque ipsis hisce verbis apposuerit. Argenti spumam, & oleum coquito, donec aliquatenus coierint; deinde spumam æris, æruginem, dum confluxerint, & colorem bonum acqui- E rant, mox picem, adiicito; posteaquam refrigerata fuerint, ladanum ex vino tritum, obseruans ne ex hoc adiecto efferuescat; postremò supra ignem lenem vnita defundito, subigitoque. Hæc quidem coctionis scriptura est. Licet etiam copiosiore oleo adiecto, diutius coquere primum argenti spumam; deinde his iniectam æruginem, squamam, & æs; etenim vbi diutius coquuntur, duplicem in huiusmodi vlceribus virtutem consequuntur, quippe magis siccant, & minus mordent. Itaque de aliis simplicibus medicamentis, quæ in proposito emplastro Crito percensuit, satis F mihi dictum est. Ladani autem sermonem vitaui, quòd etiam solùm ex vino tritum vlceribus ægrè ad cicatricem venientibus conducat, non quia vini facultatem requirat, sed quia durius est, quàm vt emplastro conueniat; sed si oleo admixto id coquas, medicamenti facultatem obtundas; adeo autem validum non est, vt obtundi desideret; quemad-

quemadmodum ærugo, vel chalcitis, vel squama, vel tale quippiam, & propter id mollius. Est autem tale recens; nam vlceribus difficulter cicatricem ducentibus accommodatissimum est. In Cypro igitur, vbi plurimũ nascitur, medicus quidam, recẽs adhuc, & molle, id genus vlceribus ipsum molliens imponebat; quòd si paulùm induruisset, ex myrteo emolliebat; huius inopia ex cyprino, vel rosaceo. Aliud autem medicamentũ non multò post hoc in quarto volumine Crito hisce verbis conscripsit. *Medicamentum ex chamæleonte, facit ad eadem, quæ Tyria. Inducit egregiè cicatricem vlceribus curatu difficilibus, callosis, & veteribus. Medetur itidẽ ani rhagadis, condylomatis, & duritiis.* ℞. argenti spumæ minam j. ceræ minæ ß. æruginis minæ partem quartam, chamæleontis octauam, olei minã. Oleum & argenti spumã incoquito, rudicula mouens, donec crassitudinẽ accipiat, & fiat melinum; quod vbi feceris, æruginem inspergito; deinde ceram diligenter liquatam adiicito; & ab igne sublato chamæleontem indito, quum in vnitatẽ coierint, in mortarium fundito, ibique subactum excipito. Hoc medicamentũ vice ladani, chamæleontẽ eiusdem sanè facultatis accepit; ambo namq; vlceribus vix sanabilibus cicatricẽ inducunt. Differũt tamen, quòd illud æs vstum habeat, minimè verò ceram, hoc ceram quidem, sed æs non contineat. Atque hîc rectè auctor fecit, qui in illo ceræ loco ladanum ad siccorum medicamentorũ vnitatem faciendam vsurpauerit; hîc verò nihil tale habens ceram miscuit, quæ sanè remollit mediocriter, non tamen cicatricem generat; potuisset autem, & hîc plus olei infundere, sicut vetus, vel ricininum. Ego verò huiusmodi medicamenti lentiscinum quoq; iniicio, quod plurium facultatum est particeps; siquidem emollit nonnihil, discutit, & astringit; quibus omnibus difficilia cicatrici obducendæ vlcera cum oris induratis indigent.

CAPVT VII.

De medicamentis ab Heraclide scriptis.

OPportunum jam est etiam medicamentorum ab Heraclide Tarantino in tertio libro ad Astydamantem scriptorum meminisse. Vir namque fide dignus est, si quisquam alius, qui sola experimentis suis probata commemoret. Is igitur vir hunc in modum conscripsit ad verbum. *Aduersus vetera vlcera.* Squamæ pars vna, æruginis rasæ partes quatuor, cerati myrtei partibus octo excipiuntur. Heraclides itaque, tanquam medicis commentarium scribens adiecit, cerato myrteo excipito. Sunt autem plerique huius tempestatis tum audaces, vt priusquam à præceptoribus habitum quendam medicum acquisierint, huiusmodi libris confidentes, optimis medicamentis citra methodum vtantur, ideoque frequenter de prospero successu frustrentur. Iam verò myrtei cerati plus minúsve adiicientem, nunc humidiore, & molliore medicamento, nunc duriore, & ficciore, vti licet; in primo quidem vsu latiore coniectura, sicut dictum est, in secundo propiùs accedente. Nam vlcus intuentes, si minùs quàm par est, exiccatum sit, vehementius medicamentum reddemus, vt magis siccet; sin plus, ac conuenit, mollius ipsum copiosioris myrtei cerati mixtura faciemus; quia metallicorum vis non solùm ab hoc,

A καθάπερ ὁ ἰὸς, ἢ ἡ χαλκῖτις, ἢ ἡ λεπὶς, ἢ τι τοιοῦτον, καὶ διὰ τοῦτο μαλακώτερον. ἔστι δὲ τοιοῦτον τὸ νέον, ἐπιτηδειότατον γάρ ἐστιν εἰς ἐπούλωσιν ἑλκῶν δυσεπουλώτων. ἐν Κύπρῳ γοῦν ἔνθα πλεῖστον γίγνεται, πρόσφατον ἔτι καὶ μαλακὸν ὑπάρχον αὐτὸ, μαλάττων τις ἰατρὸς ἐπετίθει τοῖς τοιούτοις ἕλκεσιν. εἰ δὲ καὶ βραχὺ σκληρυνθείη, μετὰ μυρσίνου τὴν μάλαξιν ἐποιεῖτο. μὴ παρόντος δὲ μυρσίνου, μετὰ κυπρίνου, ἢ ῥοδίνου. ἕτερον δὲ φάρμακον, οὐ μετὰ πολὺ τοῦδε κατὰ τὴν τετάρτην βίβλον ὁ Κρίτων ἔγραψεν ἐν αὐτοῖς ὀνόμασιν ὧδε. ἡ διὰ χαμαιλέοντος, ποιοῦσα πρὸς τὰ αὐτὰ τῇ Τυρίᾳ. ἔστι δὲ ἐπουλωτικωτάτη τῶν δυσαλθῶν καὶ τυλωδῶν, καὶ χρονίων ἑλκῶν. ἰᾶται δὲ, καὶ τὰς ἐν τῷ δακτυλίῳ ῥα-
B γάδας, καὶ κονδυλώματα καὶ σκληρίας. λιθαργύρου μνᾶ α΄. κηροῦ μνᾶς 𐅵΄. ἰοῦ μνᾶς τέταρτον, καὶ χαμαιλέοντος ὄγδοον, ἐλαίου μνᾶ. ἔλαιον, καὶ λιθάργυρον ἕψε, κινῶν σπάθῃ, ἕως ὅσου συστῇ καὶ γένηται μηλίνη. τούτου δὲ γινομένου, ἰὸν ἐπίπασσον. ἔπειτα πρόσβαλλε κηρὸν, τήξας ἐπιμελῶς, καὶ ἄρας ἀπὸ τοῦ πυρὸς, ἐπίπασσον τὸν χαμαιλέοντα, ὅταν δὲ ἑνωθῇ, κατέρα εἰς θυίαν, καὶ μαλάξας ἀναιροῦ. τοῦτο τὸ φάρμακον, ἀντὶ μὲν τοῦ λαδάνου τὸν χαμαιλέοντα τῆς αὐτῆς ὄντα δυνάμεως ἔλαβεν. ἀμφότερα γάρ ἐστιν ἐπουλωτικὰ τῶν δυσιάτων ἑλκῶν. ἡ διαφορὰ δὲ αὐτῶν, ἐν τῷ
C τὸ μὲν κεκαυμένον χαλκὸν ἔχειν ἐκεῖνο, καὶ μηδὲ ὅλως ἔχειν τὸν κηρόν. ἐν τούτῳ δὲ, τῷ τὸν μὲν κηρὸν εἶναι, τὸν χαλκὸν δὲ οὐκ εἶναι, καὶ τοῦτ' εὐλόγως ἐποίησεν. ἐν ἐκείνῳ μὲν γὰρ ἀντὶ τοῦ κηροῦ, τῷ λαδάνῳ συνεχρήσατο πρὸς τὴν τῶν αὐχμηρῶν φαρμάκων ἕνωσιν, ἐνταυθοῖ δὲ μηδὲν ἔχων τοιοῦτον, τὸν κηρὸν ἔμιξε, μαλακτικὸν μὲν ὄντα μετρίως φάρμακον, οὐ μὴν ἐπουλωτικόν γε. δυνατὸν δὲ ἦν κἀνταῦθα πλέον ἔλαιον ἐμβεβλῆσθαι, καθάπερ γε καὶ παλαιὸν, ἢ κίκινον. ἐγὼ δὲ εἰς τὰ τοιαῦτα καὶ σχίνινον ἐμβάλλω, πλεόνων μετέχον δυνάμεων. καὶ γὰρ μαλακτικὸν ἔχει τι, καὶ διαφορητικὸν, καὶ στυπτικὸν, ὧν ἁπάντων δεῖται τὰ μετὰ
D σκληρότητος τῶν χειλῶν δυσεπούλωτα ἕλκη.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ τῶν ὑφ' Ἡρακλείδου γεγραμμένων.

ΚΑιρὸς οὖν ἤδη καὶ τῶν ὑφ' Ἡρακλείδου τοῦ Ταραντίνου γεγραμμένων ἐν τῇ πρὸς Ἀστυδάμαντα βίβλῳ μνημονεῦσαι. πιστὸς γὰρ ἀνὴρ, εἴπερ τις ἄλλος ἐστὶ, τὰ διὰ τῆς πείρας αὐτῷ κεκριμένα μόνα γράφων. ἐπεὶ οὖν ὁ ἀνὴρ κατὰ λέξιν οὕτως ἔγραψε, πρὸς τὰ παλαιὰ ἕλκη. λεπίδος μέρος
E ἓν, ἰοῦ ξυστοῦ μέρη δ΄. κηρωτῇ μυρσίνῃ προσαναλαμβάνεται ὀκταπλῇ. ὁ μὲν οὖν Ἡρακλείδης, ὡς ἂν ἰατροῖς γράφων ὑπομνήματα, προσέγραψε, κηρωτῇ μυρσίνῃ ἀναλάμβανε. τολμηροὶ δὲ οὕτως εἰσὶ πολλοὶ τῶν νῦν, ὡς πρὸ τοῦ παρὰ διδασκάλων κτήσασθαι τινα ἕξιν ἰατρικὴν, ἐκ τῶν τοιούτων βιβλίων ὁρμώμενοι, χρῆσθαι καλοῖς φαρμάκοις ἀμεθόδως, καὶ διὰ τοῦτο πολλάκις ἀποτυγχάνειν, αὐτίκα γέ τοι τῆς μυρσίνης κηρωτῆς, ἔξεστιν ἔλαττόν τε καὶ πλέον μίξαντα, ποτὲ μὲν ὑγροτέρῳ τε καὶ μαλακωτέρῳ χρῆσθαι τῷ φαρμάκῳ, ποτὲ δὲ σκληροτέρῳ καὶ ξηροτέρῳ. κατὰ μὲν τὴν πρώτην ἐπίθεσιν ἐν
F πλατεῖ στοχασμῷ, καθάπερ εἴρηται πρόσθεν, ἐν δὲ τῇ δευτέρᾳ χρήσει πλησιαίτερον ἀφικνουμένου, ὡς ἐδείχθη. βλέποντες γὰρ τὸ ἕλκος, εἰ μὲν ἐνδεῶς ἐξηράνθη, σφοδρότερον ἐργασόμεθα τὸ φάρμακον, ὡς μᾶλλον ξηραίνειν. εἰ δὲ ἐπὶ πλέον, ἢ δεῖ, μαλακώτερον αὐτὸ ποιήσομεν, πλείονα μίξαντες τὴν μυρσίνην κηρωτήν. ἡ γὰρ τῶν μεταλλικῶν δύναμις, οὐ μόνον ὑπὸ ταύτης,

ἀλλὰ καὶ πάσης κηρωτῆς ἐκλύεται. ἑξῆς δὲ τούτῳ προσγράψας, ἄλλη. προσυπακοῦσαι δὲ χρὴ δηλονότι δύναμις, ὑπέταξε ταυτί. λεπίδα λελείας, ἐπίχεε ὄξος, καὶ τρίβε ὑπὸ κύνα, μέλιτος ποιῶν πάχος, ἢ ἕψε. ὅταν δὲ ξηρὸν γένηται, προσαπολεάνας, μίσγε κηρωτῆς μέρη ὀκτὼ, καὶ χρῶ πρός τε τὰ πρόσφατα τραύματα, καὶ τὰ παλαιὰ ἕλκη, καὶ σύρματα, καὶ τρίμματα, καὶ χίμετλα τὰ μὴ ἄγαν ἑλκώδη. γινώσκειν δ' ὑμᾶς χρὴ, καὶ περὶ τοῦδε τοῦ φαρμάκου ταῦτα. πρὸς μὲν τὰ ἄλλα μετρίως ἄν τις ὀκταπλασίαν κηρωτὴν μίξειε τῇ λεπίδι. πρὸς δὲ τὰ παλαιὰ πάνυ, τουτέστι τὰ δυσίατα, κἂν ἑξαπλασίαν, ἢ πενταπλασίαν μίξῃς, οὐ βλαβήσῃ, ἰσχυροτέρων γὰρ δέονται. τὴν δὲ περὶ τοῦ φαρμάκου διήγησιν ἔγραψεν ὁ Ἡρακλείδης οὕτως. ἐγχωρεῖ δὲ καὶ ἐπὶ πυρὸς ἀναξηράναντα τὴν λεπίδα, χρῆσθαι. βούλεται δ' ὁ λόγος αὐτοῦ, κἂν ἐν ἄλλῳ τινὶ καιρῷ συντιθῶμεν τὸ φάρμακον, ἀντὶ τῆς ἡλιακῆς θερμασίας χρῆσθαι πυρί. καλλίω μέντοι γίγνεται τὰ τοιαῦτα πάντα κατὰ τὸν θερινὸν ἥλιον, ἐν πολλαῖς ἡμέραις λεούμενα, τὰ μὲν δι' οἴνου, τὰ δὲ δι' ὄξους. λεπτομερέστερα μὲν οὖν γίγνεται, τὰ δι' ὄξους λεαθέντα, καὶ διὰ τοῦτο καθαιρετικώτερά τε καὶ λεπτυντικώτερα, καὶ ξηραντικώτερα. πρὸς δὲ τὰς ἐπουλώσεις, τὰ δι' οἴνου βελτίω, καὶ χρεία γε τούτων γίγνεται προεξηρανθέντων, εἶτα προεκκαθαρθέντων τῶν δυσεπουλώτων ἑλκῶν. προεξηρανθήσεται μὲν οὖν διὰ τῶν ἰσχυρῶς ξηραινόντων, καθαρθήσεται δὲ διὰ τῶν ῥυπτόντων, ἀπουλωθήσεται δὲ διὰ τῶν στυφόντων. Ἄλλο. ἐφεξῆς δ' ἕτερον φάρμακον ἔγραψεν ὁ Ἡρακλείδης, ἐκ μὲν τῆς αὐτῆς ὕλης, οὐκ ἰσχυρὸν δὲ, διὰ τὸ πολὺ τῆς λιθαργύρου μίξαι τῷ διφρυγεῖ. τῆς μὲν γὰρ λιθαργύρου, πέντε καὶ τριάκοντα δραχμὰς ἀξιοῖ βάλλειν εἰς αὐτὸ, τοῦ διφρυγοῦς δὲ ὀκτώ. καὶ ταῦτα δὲ ἀναλαμβάνει κηρωτῇ, τῆς μὲν κηροῦ ἐχούσης < μ'. τοῦ δ' ἐλαίου κοτ. γ'. ἐγὼ δὲ πολλάκις ἐχρησάμην μόνῳ τῷ διφρυγεῖ μετὰ τῆς τοιαύτης κηρωτῆς, οὐδ' οὕτω οὐδ' αὐτῷ πρὸς τὰ φαγεδαινικὰ, καὶ χειρώνια, καὶ σηπεδονώδη. πολὺ γὰρ ἀποδεῖ τῇ δυνάμει, τῶν τὰ τοιαῦτα θεραπευόντων, ἀλλ' ἐπὶ τῶν ἄνευ μεγάλης κακίας δυσεπουλώτων, ὥστε ἂν καὶ λιθάργυρον αὐτῷ τις μίξῃ, καὶ ταύτην πολλὴν, ἀσθενὲς ἐργάσεται τὸ φάρμακον. μετὰ δὲ τοῦτο τῆς αὐτῆς ἐπαγγελίας ἐχόμενον, γέγραπται φάρμακον τοιόνδε. ℞. κηροῦ < ιβ'. ῥητίνης τερμινθίνης < γ'. λεπίδος < δ'. λαδάνου < δ'. ἀσφάλτου < γ'. τὸ λάδανον τρίψον κατ' ἰδίαν, καὶ τὴν λεπίδα, εἶτα τὰ ἄλλα τήξας μετὰ μυρσίνου ἐλαίου μίσγε. ἐὰν δὲ ᾖ τὸ λάδανον μαλακὸν, τῆκε. κατὰ τὴν γραφὴν ταύτην ἐνεδείξατο σαφῶς ὁ Ἡρακλείδης, ὅταν μὲν σκληρὸν ᾖ τὸ λάδανον, ἐν τῇ θυΐᾳ λεοῦν αὐτὸ μόνον, ὅταν δὲ ὑγρόν τε καὶ μαλακὸν, ἐπὶ πυρὸς διατήκειν, ἤτοι μόνον, ἢ καὶ μετ' ἐλαίου βραχέος, ὅπερ ἑωράκατέ με διαπαντὸς οὐκ ἐπὶ τούτου μόνου, ἀλλὰ καὶ τοῦ ἀμμωνιακοῦ θυμιάματος ποιοῦντα. ἔστι δὲ καὶ τὸ μετὰ τοῦτο γεγραμμένον φάρμακον ὑπὸ τοῦ Ταραντίνου τῆς αὐτῆς ἐπαγγελίας, κατὰ τήνδε τὴν συμμετρίαν. ℞. χαλκίτιδος < κε'. καδμείας < ιβ' S. λεάνας κατ' ἰδίαν, καὶ μίξας οἶνον ἀπαράχυτον, καὶ ζέσας καταχεῖς, ὥστε φυραθῆναι συμμέτρως, εἶτα λέαινε ἄχρι τοῦ ξηρανθῆναι. καὶ τήξας κηροῦ < ν'. ῥητίνης τερμινθίνης < λ'. μυρσίνης κοτ. η'. μίσγε τῇ κηρωτῇ ἀπὸ τῶν ξηρῶν < κ'. καὶ τοῦτο τὸ φάρμακον οὐδὲν ἔχει τῶν μαλθακωδῶν. ἐν μέντοι τῇ πρὸς τὴν κηρωτὴν μίξει, τὴν προσήκουσαν ἐφ' ἑκάστου τῶν ἑλκῶν ποσότητα τῆς μίξεως, ὁ γεγυμνασμένος λογικῶς ἐν αἷς ὑπεθέμην μεθόδοις ἐπιτηδείως ἐργά-

A sed etiam quouis cerato resoluitur. Ab hoc quum deinceps scripsisset. *Alia*, inaudire autem videlicet oportet, virtus, ista subiunxit; squamæ læuigatæ acetum affundito, ac sub canicula læuigato, mellis spissitudinem faciens, vel incoquito; postquam siccum fuerit, in puluerem redactum cerati partes octo misceto, ac vtitor ad recentia vulnera, & vetera vlcera, & rasa, & attritus, & perniones non nimis vlcerosos. Hæc vobis de hoc medicamento sunt intelligenda. Ad alia quidem, mediocriter octo partes cerati squamæ adieceris; ad vetera nimium, hoc est curatu difficilia, si partes sex, aut quinque illius apponas, nihil peccabis;

B valentioribus enim indigent. Inde hanc de medicamento narrationem sic scripsit Heraclides dicens; potes insuper squama super ignem resiccata vti. Illius autem sermo innuit, si alio quopiam tempore medicamentum conficiamus, loco caloris ex sole, igne vtendum esse; quanquam huiusmodi omnia æstiuo sole meliora fiant multis diebus trita, quædam ex vino, quædam ex aceto. Subtiliora igitur fiunt, quæ ex aceto læuigantur; atque ob id meliùs detrahunt, attenuant, siccantque; verùm ad cicatrices ducendas ex vino trita meliora. In vsu sunt hæc priùs exiccatis dein-

C de præpurgatis vlceribus, quæ cicatricem ægrè recipiunt. Siccabuntur itaque iis, quæ validè siccant, purgabuntur per detergentia, cicatricem ducent astringentibus. *Aliud*. Deinceps aliud medicamentum scripsit Heraclides, eiusdem quidem materiæ, sed non validum, quia argenti spumæ multùm cum diphryge mixtum est. Etenim argenti spumæ trigintaquinque drachmas, diphrygis octo, in id coniiciendas esse consulit: atque hæc cerato excipit, quod ceræ drachmas quadraginta, olei tres heminas capiat. Ego subinde vsus sum solo diphryge cum tali cerato, non

D quidem ad phagedænica, & chironia, & putrida (multum enim virtute abest ab iis, quæ talia curant) sed ad illa, quæ citra magnam malignitatem ægrè cicatricem ducunt. Quare si & argenti spumam ipsi admisceas, eamque copiosam, medicamentum reddes imbecillum. Post hoc, aliud ad eadem, ita scriptum est. ℞. ceræ drach. xij. resinæ terebinthinæ drach. iij. squamæ drach. iv. ladani drach. iv. bituminis drach. iij. Ladanum, & squama separatim teruntur, deinde alia liquefacta ex myrteo oleo miscentur; quòd si molle ladanum fuerit, liquefacito. Hac scriptura palam indicauit

E Heraclides ladanum durum mortario solùm ipsum esse læuigandum, humidum simul, & molle super ignem liquandum, vel solum, vel cum oleo modico; quod me non modò in hoc, verùm in gutta ammoniaci quoque perpetuò facientem vidistis. Est verò, & quod post hoc sequitur, medicamentum à Tarantino conscriptum ad eadem, hac symmetria compositum. ℞. chalcitidis drach. vigintiquinque, cadmiæ drach. xij. ß. Seorsum teruntur; vinum aparachyton, idest, originale, miscetur; vbi efferbuerint, superfunditur, vt hæc modicè irrigentur; postea læuigantur, donec sic-

F cescant; ad hæc, liquatarum ceræ ʒ.l. resinæ terebinthinæ ʒ.xxx. myrtei heminæ partis octauæ, cerato è siccis confecto ʒ.xx. miscentur. Hoc quoq; medicamentũ nihil habet ex iis, quæ malthacode, idest, *mollicina* nominauimus; verùm in mixtione ad ceratum, qui exercitatus est methodis rationalibus à me propositis, is conuenientem in singulis vlceribus mixtionis quantitatem cõmode faciet,

Pulchrè

Pulchrè autem vinum aparachyton, idest, cui marina non addita est, calidum chalcitidi, & cadmiæ affundit, vt qui chalcitidis acrimoniam caloris ipsius beneficio auferre studeat. *Aliud huic proximum insigne medicamentum scriptum est, ex tot, & talibus simplicibus compositum.* ℞. squamæ stomomatis ʒ.iv. æruginis rasæ ʒ.ij. in quibusdã exemplaribus scriptum est ʒ.j. chrysocollę ʒ.xxv. vel xv. cerę ʒ.xxv. in quibusdam verò exemplaribus, nec ceram, nec æruginem inuenimus. Læuigatis aliis ceram cum resina modica liquefacito, ne medicamentũ durescat; vbi commiscueris, vtitor; desuper autem spongiam aceto expressam imponito. Demetrius Bithynus aiebat ipsam chrysocollam super calēte admodũ cera exceptam se vsurpare. Ostēdit item Heraclides hoc in medicamento resinam non primo vsu eiusmodi medicamētis misceri, sed vt lentorem quendam ad emplastri spissitudinē conciliandam ipsis exhibeat, præsertim quum cera, nec natura pinguis, nec recens, sed dura, atq; arida fuerit; & quidem stomomatis squama præterquam, quòd astringendi vim habet, etiam validè exiccat. Demetrium autem Bithynum dixit chrysocolla sola cera excepta vti, quod nimirum rectè faciens Demetrius in hunc modũ vsurpauit; quemadmodum ego quoq; sæpe non chrysocollam duntaxat, sed alia quoq; singula ipsa per se molli cera resoluens ad huiusmodi vtor. Nemini verò dubium est, me alia singula dixisse, nimirum ea, quæ id genus vlceribus prodesse supra recensui: & terere in singulis, quæ curo, ægrè sanabilibus vlceribus talia medicamenta cum cera cōponentem. Interdum enim chrysocollam cera excipio, nonnunquam æs cōbustum, vel squamam, eamque vel stomomatis, vel ferri, vel æris; interdum æruginem viuam, vel vstam, sicut etiam misy, & chalcitidem. Aliquando ex austeris aliquid miscemus, quorum supra meminimus, quoties id, quod influit, repellere conamur, ex quorum numero est alumen, malicorium, galla, cytini, balaustium, aliaque his similia. Itaque fide mihi adhibita, nullũ hactenus cōmemoratum medicamentũ repudiandum esse, exercete vsus eorum methodũ, qua voti compotes fiatis, quemadmodũ ego. Cæterùm quum alia quoq; duo haud quaquam contemnenda medicamenta deinceps à Tarantino scripta sint, non abs re mihi visum est, ea quoq; addidisse. Eorum itaq; prius sic tradidit. ℞. squamæ ʒ.iv. mãnæ ʒ.iv. aluminis scissilis ʒ.ij. misyos ʒ.ij. trita ex aceto in pastillos digerito, qui singuli pendant ʒ. ij. & reponito. Quum vsus poscet, ceræ ʒ.iv. aliàs xl. resinæ pityinæ ʒ.ij. seui taurini ʒ.iv. liquata refrigerare sinito, pastilloque misceto; vtitor ad vulnera tanquam glutinatorio, & quod inflammationē arceat. Hæc quidem Tarantinus. Nos verò sic tēperato ad vlcera commodè vsurpari dicimus, verùm ad cacoëthe tale ceratum miscendum non est, quippe cera sola, veluti in prioribus declaratum est, hîc sufficit. Ac si ex mollicinis quippiam miscere oportebit, id exiguum myrteum, vel cyprinũ, vel rosaceum esto. Nihil item lædes, si resinã laricem appellatã adiungas; nec si terebinthinã quæ licet minus idonea sit aduersus hoc genus vlcera, non tamen reiicienda est. Alias verò resinas, nisi prædictarum magna sit inopia, miscere non oportet. Sic de seuo intelligendum venit; neque enim hoc apponere debemus, nisi vlceris oras emollire cupiamus. Porrò quòd taurinũ pingue inter alia omnia, quę mansuetorũ animãtium sunt, maximè siccet,

A σαντο. καλῶς δὲ καὶ τὸν ἀπαράχυτον οἶνον, τουτέστιν ᾧ μὴ μέμικται θάλαττα, θερμὸν καταχεῖ τῆς χαλκίτεως, καὶ τῆς καδμείας, ὡς ἀφελέσθαι τὴν δριμύτητα τῆς χαλκίτεως βουλόμενος διὰ τῆς θερμασίας αὐτοῦ. ἕτερον δὲ συνεχὲς τούτῳ γέγραπται φάρμακον ἀξιόλογον, ἐκ τοσῶνδε καὶ τοιῶνδε τῶν ἁπλῶν συγκείμενον. ℞. λεπίδος στομώματος < δ΄. ἰοῦ ξυστοῦ < β΄. ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων γέγραπται < α΄. χρυσοκόλλης < κε΄. ἢ ιε΄. κηροῦ < κε΄. ἐν τισὶ δ᾽ ἀντιγράφοις, οὔτε τὸν κηρὸν, οὔτε τὸν ἰὸν εὕρομεν. λεάνας τὰ ἄλλα, τῆκε τὸν κηρὸν μετ᾽ ὀλίγης ῥητίνης, ὥστε μὴ κατάσκληρον τὸ φάρμακον εἶναι, καὶ μίξας χρῶ, ἄνωθεν δὲ σπόγ-

B γον ἐξ ὄξους ἐκθλίψας ἐπιτίθει. Δημήτριος δὲ ὁ Βιθυνὸς ἔφη, αὐτὴν τὴν χρυσόκολλαν λίαν κηρῷ θερμῷ ἀναλαμβάνων χρῆσθαι. ἐνεδείξατο καὶ κατὰ τοῦτο τὸ φάρμακον ὁ Ἡρακλείδης, ὡς οὐ κατὰ πρώτην χρείαν ἡ ῥητίνη μίγνυται τοῖς τοιούτοις φαρμάκοις, ἀλλ᾽ ὑπὲρ τοῦ γλισχρότητά τινα παρέχειν αὐτοῖς εἰς ἐμπλαστρώδη σύστασιν, καὶ μάλιστ᾽ ὅταν ὁ κηρὸς ᾖ μήτε λιπαρὸς φύσει, μήτε νέος, ἀλλὰ σκληρός τε καὶ αὐχμηρός. ἡ μέντοι τοῦ στομώματος λεπὶς, ἰσχυρῶς ξηραίνει πρὸς τῷ καὶ στυπτικὴν ἔχειν δύναμιν. Δημήτριον δ᾽ ἔφη τὸν Βιθυνὸν ἀναλαμβάνοντα τῷ κηρῷ μόνῳ τὴν χρυσόκολλαν, οὕτως χρῆσθαι. καὶ καλῶς γε ποιῶν ὁ

C Δημήτριος, οὕτως ἐχρῆτο· καθάπερ κἀγὼ πολλάκις, οὐ χρυσόκολλαν μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον, αὐτὸ καθ᾽ αὑτὸ μετὰ μαλακοῦ μαλάττων κηροῦ, κατὰ τὰ τοιαῦτα χρῶμαι. δῆλον δ᾽ ὅτι τῶν ἄλλων ἕκαστον εἶπον, ὧν διῆλθον ἔμπροσθεν ὠφελεῖν τὰ τοιαῦτα τῶν ἑλκῶν, καὶ λέγεσθαί γέ με καθέκαστον, ὧν αἱ θεραπεῖαι τῶν δυσιάτων ἑλκῶν, μετὰ τοῦ κηροῦ συντεθέντα τὰ τοιαῦτα φάρμακα. ποτὲ μὲν γὰρ τὴν χρυσόκολλαν ἀναλαμβάνω κηρῷ, ποτὲ δὲ τὸν κεκαυμένον χαλκὸν, ἢ τὴν λεπίδα, καὶ ταύτην ἤτοι στομώματος, ἢ σιδήρου, ἢ χαλκοῦ, ποτὲ τὸν ἰὸν ἄκαυστον, ἢ κεκαυμένον, ὥσπερ καὶ μίσυ, καὶ χαλκίτιν. ἐνίοτε δὲ καὶ τῶν αὐστηρῶν τι μίγνυμι,

D περὶ ὧν ἔμπροσθεν εἶπον, ὅταν ἀποκρούσασθαι βουληθῶ τὸ ἐπιρρέον, ἐξ ὧν ἐστιν ἥ τε στυπτηρία, καὶ τὰ σίδια, καὶ ἡ κηκὶς, οἵ τε κύτινοι, καὶ τὸ βαλαύστιον, ὅσα τἆλλα τοιαῦτα. πιστεύσαντες οὖν ἐμοὶ, τῶν εἰρημένων ἄχρι τοῦδε φαρμάκων, ἁπάντων οὐδὲν ἀπόβλητον ὑπάρχειν, ἀσκεῖτε τὴν μέθοδον τῆς χρήσεως αὐτῶν, ὅπως ἐπιτυγχάνητε, καθάπερ ἐγώ. γεγραμμένων δ᾽ ἐφεξῆς ὑπὸ τοῦ Ταραντίνου, καὶ ἄλλων δύο φαρμάκων ἀξιολόγων, εὔλογον ἔδοξέ μοι κἀκεῖνα προσθεῖναι. τὸ μὲν οὖν πρότερον αὐτῶν, ὧδέ πως ἔγραψε. ℞. λεπίδος < δ΄. μάννης < δ΄. στυπτηρίας σχιστῆς < β΄. μίσυος < β΄. τρίψας μετ᾽ ὄξους καὶ κυκλίσκους

E ποιήσας, ἄγοντας ἀνὰ < β΄. ἀπόθου. ὑπὸ δὲ τὴν χρείαν, κηροῦ < δ΄. ἄλλ. μ΄. ῥητίνης πιτυΐνης < β΄. στέατος ταυρείου < δ΄. τήξας καὶ ἐάσας παγῆναι, μίσγε τῷ τροχίσκῳ. χρῶ δὲ πρὸς τραύματα, ὡς κολλώδει καὶ ἀφλεγμάντῳ. ταῦτα μὲν ὁ Ταραντῖνος. ἐγὼ δὲ τῇ μὲν οὕτως μιχθείσῃ φημὶ χρῆσθαι δέον πρὸς τραύματα, πρὸς μέντοι τὰ κακοήθη τῶν ἑλκῶν, οὐ χρὴ μιγνύειν τὴν τοιαύτην κηρωτὴν, ἀλλ᾽ ἱκανὸς ὁ κηρὸς μόνος, ὡς ἐπὶ τῶν ἔμπροσθεν εἴπομεν. καὶ εἰ δεήσει ποτὲ μίξαι τι τῶν μαλθακωδῶν αὐτῷ, βραχὺ μύρσινον, ἢ κύπρινον, ἢ ῥόδινον ἔστω. βλάψεις δ᾽ οὐδὲν, οὐδ᾽ εἰ τὴν λάρικα προσαγορευομένην ῥητίνην μίξαις,

F οὐδὲ τὴν τερμινθίνην, ἧττον μὲν ἐπιτήδειον, ὡς πρὸς τὰ τοιαῦτα τῶν ἑλκῶν οὖσαν, οὐ μὴν ἀπόβλητόν γε. τὰς δ᾽ ἄλλας ῥητίνας, οὐ χρὴ μιγνύναι ἄνευ μεγάλης ἀπορίας τῶν προειρημένων. οὕτω δὲ καὶ περὶ στέατος. οὐ γὰρ οὖν οὐδὲ τοῦτο μιγνύναι χρὴ, πλὴν εἰ καὶ τὰ χείλη μαλάττειν ἐθέλῃς. ὅτι δὲ ξηραντικώτερον ὑπάρχει τὸ ταύρειον στέαρ πάντων τῶν ἄλλων, ὅσα τῶν ἡμέρων ζώων ἐστὶν,

ἀκηκόατε πολλάκις. ὑπερέχει γὰρ αὐτοῦ λεπτομερείᾳ, τό τε τοῦ λέοντος καὶ τὸ τῆς παρδάλεως, καὶ δηλονότι καὶ τὸ τῆς ὑαίνης. ἄμεινον οὖν ὅταν δέῃ μιγνύναι στέαρ, τὸ χηνὸς ἐμβάλλειν, καὶ μᾶλλόν γε τῶν νομάδων χηνῶν, ἱκανῶς γάρ ἐστι λεπτομερές τε καὶ πραϋντικόν. ἔτι δὲ ἑνὸς ὑπολοίπου γεγραμμένου τοῦ φαρμάκου συνεχοῦς τῷ προγεγραμμένῳ, καθ' ὃ τὴν ἀρχὴν ἐποιήσατο τῆς διδασκαλίας, οὕτως εἰπὼν ὁ Ἡρακλείδης, τὸ ἱπποτήριον, καὶ μάλιστα πρὸς τοὺς ἁπαλοχρῶτας, ἐπεὶ τῆς ἑτέρας ἐστὶν ὕλης τε καὶ δυνάμεως, ἣν ἔφαμεν ἁρμόττειν τοῖς μὴ φέρουσι τὴν ἰσχυρῶν φαρμάκων τὴν προσαγωγὴν, ἀλλὰ δακνομένοις τε καὶ προξυνομένοις, καὶ ῥευματιζομένοις, ἀναβεβλήσθω μὲν ὁ περὶ τούτου λόγος, ὅταν περὶ τῶν τοιούτων φαρμάκων διεξέρχωμαι λεχθησόμενος. νυνὶ δὲ τῇ ἐπὶ τὰ παραπλήσια τοῖς προγεγραμμένοις μεταβήσομαι, τοσοῦτον ἔτι προσθεὶς ὑπὲρ αὐτῶν, ὅτι καὶ καθ' ἕτερον βιβλίον ὁ Ἡρακλείδης ἐπιγεγραμμένον στρατιώτην, ἔγραψε τὰ αὐτὰ φάρμακα, κατὰ τὸ τρίτον ἐν αὐτοῖς τῇ τάξει μόνον, ἑαυτῷ διαφωνήσας. ἐνταῦθα μὲν γὰρ ἁπλῶς γέγραπται, κηροῦ < μ'. κατὰ δὲ τὸν στρατιώτην πρόσκειται, οἱ δὲ < ις'. καὶ βέλτιόν γε τοῦτ' ἐστιν. ἡ γὰρ πολλὴ μίξις τοῦ κηροῦ, καθαιρεῖ τὴν δύναμιν τοῦ φαρμάκου. τῶν αὐτῶν τούτων φαρμάκων ὁ Ἡρακλείδης μέμνηται, κἀν τοῖς πρὸς τὴν Ἀντιοχίδα γεγραμμένοις αὐτῷ, καὶ πρώτως γε τοῦ πρώτου, καθάπερ ἐν τούτοις, καὶ ἐν ἐκείνοις γράφων οὕτως. πρὸς μὲν τὰ ἄγαν πεπαλαιωμένα, καὶ τυλώδη, χρήσῃ ταύτῃ. λεπίδος μέρος α'. ἰοῦ κατὰ τινα μὲν τῶν ἀντιγράφων, ἀπεστιγμένον τὸ δ'. γέγραπται· κατά τινα δὲ γραμμὴν ἄνωθεν ἔχον μακρὰν, ὥστε ἤτοι μέρη δ'. σημαίνειν, ἢ τοῦ ἑνὸς τὸ δ'. οὕτως δὲ καὶ κατὰ τὰ προειρημένα συγγράμματα, διαφερόντως εὗρον αὐτὸ γεγραμμένον, ὥστε καὶ κατὰ τοῦτο χρεία τῆς προκειμένης πραγματείας ἐστὶν, ὅπως ἄν τις ἐπίστηται διαγινώσκειν τὰς φαρμάκων τὰς διαφοράς. μόνος γὰρ οὗτος αὐτοῖς κατὰ τρόπον χρήσαιτο. τοῦτο γοῦν αὐτὸ τὸ προκείμενον φάρμακον, ἐὰν μὲν τετραπλάσιον λάβῃ τὸν ἰὸν, ἱκανῶς ἔσται δριμύ. τέταρτον δὲ μέρος ἰοῦ βαλών τις, ὡς πρὸς ἓν μέρος τῆς λεπίδος, ἕξει μέτριον φάρμακον, ὡς πρὸς τὰ κακοήθη, καὶ μάλιστα, ἐὰν μὴ διὰ κηροῦ μόνου τὴν μίξιν αὐτῶν, ἀλλὰ διὰ κηρωτῆς ποιήσηται. προείρηται δὲ ὅτι καὶ μαλακὸν εἶναι χρὴ, καὶ νέον τὸν κηρόν· ἐὰν δὲ ἀπορῶμεν τοῦ τοιούτου, παρὰ πυρὶ θερμαίνοντες ὃν ἔχομεν, ἢ ἐν ἡλίῳ, καὶ μαλάττοντες μετ' ὀλίγου μυρσίνου, μίξομεν οὕτως τήν τε λεπίδα καὶ τὸν ἰόν. εἴρηται δὲ καὶ κατὰ τὴν ἀρχὴν τούτου τοῦ γράμματος, ὡς εἴη κάλλιστον φάρμακον συγκείμενον ἐκ λεπίδος καὶ ἰοῦ, προσλαβὸν τετραπλάσιον τὸν κηρόν. καὶ διὰ τοῦτο συνεχῶς αὐτῷ χρῶμαι, μιγνὺς, ὡς τὸ πολὺ, καὶ τοῦ κεκαυμένου χαλκοῦ τὸ ἴσον. προσέθηκε δὲ τῇ χρήσει τοῦ φαρμάκου τούτου κατὰ τὸ πρὸς τὴν Ἀντιοχίδα γεγραμμένον αὐτῷ βιβλίον ὁ Ταραντῖνος, ἃ διὰ τῶν ἔμπροσθεν ὧν εἶπον συγγραμμάτων αὐτοῦ οὐ προσέθηκεν. ὅλην οὖν αὐτοῦ γράψω τὴν ῥῆσιν οὕτως ἔχουσαν. πρὸς μὲν τὰ ἄγαν πεπαλαιωμένα, καὶ τυλώδη χρήσῃ ταύτῃ. λεπίδος μέρος ἕν, ἰοῦ τέταρτον, λεάνασα μυρσίνῃ κηρωτῇ ὀκταπλῇ σκληρᾷ, ἀναλαμβάνουσα χρῶ, προκαταντλήσασα τὸ ἕλκος ὕδατι ψυχρῷ. προσέθηκε μὲν καὶ ὅτι προκαταντλῆσαι χρὴ τὸ ἕλκος ὕδατι ψυχρῷ. νῦν οὖν ἤδη γράψω τὰ παραλελειμμένα μοι τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων ἐπὶ τῆς αὐτῆς ἐπαγγελίας. τὰς γὰρ ἐμπλάστρους μόνας διῆλθον ἔμπροσθεν. ὅσα δὲ φάρμακα διὰ τροχίσκων προπεσκευασμένα, μιγνυμένων κηρωταῖς ἐπὶ τῆς χρείας, ἐπουλωτικά φησιν εἶναι τῶν δυσιάτων ἑλκῶν, ἢ ὅσα ξηρὰ καταπαστὰ, ταῦτα προσθήσω νῦν, ἀρξάμενος ἀπὸ τῶν γεγραμμένων κατὰ τὰ ξηρὰ, πλησίον τοῦ τέλους.

A non semel audiuistis; quippe superat ipsum tenuitate, tum leonis, tum pardi, tum hyænæ adeps. Potius igitur est, vbi adipem miscere oportet, anserinum indere, vel magis anserum in pascuis degentium, satis enim est tenuis, & mitigans. Iam quum adhuc restet medicamentum superiori proximum, in quo disciplinæ principium fecit, ita fatus Heraclides, Ippoterion quasi dicas expressionum, præsertim ad teneros; quoniam alterius tum materiæ, tum virtutis, quam diximus conuenire iis, qui valida medicamenta non sustinent, sed mordentur, exagitantur, & fluxionem acquirunt; sermonem de eo differemus, quum de B id genus medicamentis agemus, exponendum. Nunc ad similia præscriptis descendam, tantum insuper de iis apponens, quod etiam altero libro quem Stratiotem, idest, *militem*, Heraclides inscripsit, eadem medicamenta repetiit, in tertio sibi ipsi duntaxat dissentiens. Hic enim simpliciter scripsit, ceræ drachmas quadraginta; verùm in Stratiote, appositum est, alij drachmas sedecim, atque hoc rectius est, quia multa ceræ mixtura medicamenti vim minuit. Præterea in libris quos ad Antiochidem scripsit, horum ipsorum medicamentorum meminit Heraclides, atque in C primis primi, quemadmodum in his, ita in illis quoque, commentatus. *Ad nimis quàm inueterata, & callosa hoc vteris.* Squamæ parte vna, æruginis in quibusdam exemplaribus punctis distinctum Δ. scriptum est; in aliis lineam suprascriptam habet oblongam Δ', vt vel quatuor partes, vel vnius quartam partem significet. Itidem in prædictis exemplaribus variè ipsum scriptum inueni. Quare in hoc quoque vtilitas propositi operis est, vt medicamētorum differentias possis pernoscere, nam solus ipsis rectè vti possis. Hoc igitur ipsum medicamentum, quod propositum est, si quatuor æru-D ginis portiones capiat, admodum acre futurum est. At si quartam æruginis partem iniicias vni squamæ portiunculæ, mediocre medicamentum habebis, puta ad maligna; potissimumque si non ex sola cera, sed cerato ipsa temperes. Prædiximus ceram, & mollem, & nouam esse oportere; si talis non sit, apud ignem paratum, calefaciendam, vel in Sole, & cum myrtei pauxillo emolliendam; itáq; ęruginem, & squamam ei commiscendam. Ostendimus quoque in huius commentarij principio optimum hoc esse medicamentum, ex squama, & ærugine confectum, si cera quadrupla adiecta sit. E Atque ob id frequenter ipso vtor, cum æris combusti æquali pondere, plurimum admixto. Apposuit autem medicamenti huius vsui in libro, quem ad Antiochidem Tarantinus edidit, ea quæ suis commentariis suprà nominatis omisit. Vniuersam igitur ipsius orationis seriem adducam; habet autem in hunc modum. *Ad vetera quidem admodum, & callosa, hoc vteris.* Squamæ parte vna, æruginis quarta; hæc læuigata, myrteo cerato duro, quod octo partes cōtineat, excipiuntur, vsuique sunt, sed priùs aqua frigida vlcus eluitur. Apposuit præterea elui oportere vlcus aqua frigida. Modo producam, quæ ex Andromachi F medicamentis eadem promittentibus omiseram. Antea namque emplastra duntaxat retuli; quæ verò medicamenta ex pastillis præparata, ceratis admixtis dum vsus postulat, ęgrè sanabilium vlcerum epulotica esse dicit, vel quę sicca insperguntur, ea in pręsentiarum subiungam, ab illo, quod inter arida iuxta finem scribitur, exorsus.

CAP.

CAPVT VIII.

Sicca Andromachi; aridum cicatricem ducens.

℞. Ossium aliàs ostreorum vstorum ʒ.ij. mannæ ʒ. j. cadmiæ obolos iv. aliàs drach. iv. tritis vtitor etiam ad nomas. *Aliud aridum epuloticum.* ℞. picei corticis ʒ. vj. aristolochiæ drach. vj. pumicis drach. iv. resinæ siccæ ʒ. iv. mannæ ʒ. vj. clarum est, colophoniam ipsum dicere; iridis Illyricæ ʒ. ij. Læuigatis vtitor. *Aliud cicatricem ducens, etiam malignis.* ℞. piceæ corticis ʒ. vj. cornu ceruini vsti ʒ. iv. cadmiæ ʒ. xviij. mannæ, aliàs cerussæ ʒ. iv. æruginis rasæ ʒ. ij. tritis vtitor. *Aliud.* ℞. gallæ ʒ. iv. cerussæ drach. octo, myrtei ʒ. iv. spumæ argenti ʒ. viij. retrimenti plumbi ʒ. iv. tritis vtitor. Horum quatuor medicamentorum, primum simplex est admodum, sine morsu siccans, obscuræ astrictionis particeps. Secundum ob piceæ corticem adiectum, sensibilem astringendi facultatem obtinet, qualem habere conuenit ea, quæ cicatricem probè ductura sunt. Tertium non modò corticem piceæ, sed æruginem quoque capiens, iis conducit, quæ sordiciem facilè vlceratis adnascentem fouent; quippe sordes ipsorum tollit, & cicatricem non impedit. Quartum loco piceæ corticis, myrtum habet, aliaque citra mordacitatem exiccantia. Post hæc vbi alia trita arida scripserit, quartum ita ad verbum subdit. *Aliud aridum ad excrescentia, cicatricem ducens sine morsu, vt Harpocras.* ℞. sandarachæ, chrysocollæ, arsenici, pares singulorum portiones. Facit & ad maligniora. Hoc medicamentum nihil cum prioribus similitudinis habet, sed vlceribus propter nimiam humiditatē carne excrescentibus conuenit, vt quę etiam repurget. Nam talis potentię est sandaracha, & arsenicum, quibus vnum ex iis, quæ mirificè maligna iuuant adiectum est, nempe chrysocolla.

CAPVT IX.

Quæ ab Archigene scripta sunt.

QVæ Archigenes de id genus vlceribus in secundo medicamentorū libro scripsit, sic ex illius dictione ad verbū sonant. *De vlceribus quibus callus obduci non potest, & veteribus.* Vlcera vetera cicatricē ducēt, cōmuni quodā expurgatis oleum vetustissimū cum linamētis imponitur. Vel ęrugo rasa cū cerato rosaceo, quod paulū resinę habeat, excepta imponitur. Itē squamę ęris rubri quāplurimū cerato myrteo exceptū, vsurpatur. Vel amyli eloti partes iij. seui vitulini partes iij. cerę tyrrhenicę pars j. liquatis quę liquari possunt, amylū miscetur, & vsui est. Vel ℞ diphrygis, & squamę ęris, sing. ʒ. iv. mannę ʒ. viij ex aceto probè lęuigētur, dū mellis spissitudo fiat, cerā ʒ. xxxij. cū olei hemina j. ß. liquefactā superfūdito, ac vnita vtitor. Linamēto excipito, vel paucius oleū & spleniō facito. Vel ℞ chalcitidis, cerussę parē mēsurā, salis communis duplā; argēti spumę portionē duplo, quàm salis, maiorē, vino oleóq; alternis lęuigans, vt liparo hoc est pingui medicamento vtitor. Vel ℞ argēti spumę, cerussę, diphrygis ęquale pōdus; calcis viuę duplū, cū myrteo cerato vsurpato. Vel diphryges, squamā, gallā pari mēsura, ęruginem dimidiā cum cerato myrteo; nonnulli & pityinā resinam admiscent. Vel cucumeris agrestis radicem inspergito; desuper verò linamentum filatim excerptum ex frigida repurgat, & cicatricē obducit.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ξηρὰ ἐκ τῶν Ἀνδρομάχου, ἐπουλωτικὸν ξηρόν.

℞. Ὀστέων ἄλλως ὀστρέων κεκαυμένων < β'. μάννης < α'. καδμείας ὀβολοὺς δ'. ἐν ἄλλῳ < δ'. λείοις χρῶ, καὶ πρὸς νομάς. Ἄλλο ἐπουλωτικὸν ξηρόν. ℞. πίτυος φλοιοῦ < ς'. ἀριστολοχίας < ς'. κισσήρεως < δ'. ῥητίνης ξηρᾶς < δ'. μάννης < ς'. εὔδηλον δ' ὅτι τὴν κολοφωνίαν λέγει. ἴρεως Ἰλλυρικῆς < β'. λείοις χρῶ. Ἄλλο, ἐπουλωτικὸν καὶ κακοήθη.
B ℞. πίτυος φλοιοῦ < ς'. κέρατος ἐλαφείου κεκαυμένου < δ'. καδμείας < ιη'. μάννης, ἄλλως ψιμμυθίου < δ'. ἰοῦ ξυστοῦ < β'. λείοις χρῶ. Ἄλλο. ℞. κηκῖδος < δ'. ψιμμυθίου < η'. μυρσίνης < δ'. λιθαργύρου < η'. σκωρίας μολύβδου < δ'. λείοις χρῶ, τούτων τῶν τεττάρων φαρμάκων, τὸ μὲν πρῶτον ἁπλοῦν ἐστι λίαν, ἄδηκτόν τε καὶ ξηραντικόν, ἀμυδρᾶς μετέχον στύψεως. τὸ δὲ δεύτερον, διὰ τὸ μεμίχθαι φλοιὸν αὐτῷ πίτυος, αἰσθητὴν ἔχει τὴν στύψιν, ὁποίαν ἔχειν χρὴ τὰ μέλλοντα καλῶς ἐπουλοῦν. διὰ τὸ δὲ γ'. οὐ μόνον τὸν φλοιὸν τῆς πίτυος, ἀλλὰ καὶ τὸν ἰόν, πρὸς τὰ μετὰ ῥύπου ῥᾳδίως ἐπιτρεφομένου
C τοῖς ἡλκωμένοις ἁρμόττει, τόν τε γὰρ ῥύπον αὐτῶν ἀφαιρεῖ, καὶ τὴν ἐπούλωσιν οὐκ ἐμποδίζει. τὸ δ' ἐφεξῆς, ἀντὶ τοῦ τῆς πίτυος φλοιοῦ τὴν μυρσίνην ἔχει, καὶ τἄλλα ξηραίνοντα χωρὶς δήξεως. μετὰ δὲ ταῦτα τρία γράψας ἕτερα ξηρά, τέταρτον ἐπ' αὐτοῖς προσέθηκε κατὰ λέξιν οὕτως. Ἄλλο ξηρὸν πρὸς τὰ ὑπερσαρκοῦντα ἐπουλωτικὸν ἄδηκτον, ὡς Ἁρποκρᾶς. σανδαράχης, χρυσοκόλλης, ἀρσενικοῦ ἴσον ἑκάστου. καὶ πρὸς κακοήθη ποιεῖ τοῦτο τὸ φάρμακον. οὐδὲν ἔοικε τοῖς ἔμπροσθεν, ἀλλ' ἐπὶ τῶν ὑπερσαρκούντων ἑλκῶν δι' ὑγρότητα πολλὴν ἁρμόττει, καὶ καθαιρετικὸν ὑπάρχον αὐτῶν. τοιαύτης γὰρ δυνάμεώς ἐστιν, ἥ τε σαν-
D δαράχη καὶ τὸ ἀρρενικόν. ἓν δ' αὐτοῖς πρόσκειται, τῶν κακοήθη θαυμαστῶς ὠφελούντων ἡ χρυσοκόλλα.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν ὑπ' Ἀρχιγένους γεγραμμένων.

Ἃ δ' Ἀρχιγένης ἔγραψε περὶ τῶν τοιούτων ἑλκῶν ἐν τῷ δευτέρῳ περὶ φαρμάκων βιβλίῳ, διὰ τῆς ἐκείνου λέξεως αὐτοῖς ὀνόμασιν οὕτω γέγραπται. περὶ ἑλκῶν ἀτυλώτων καὶ παλαιῶν. τῶν δ' ἑλκῶν τὰ μὲν παλαιὰ οὕτως ἐπουλοῦν,
E κοινῷ τινι ἀνακαθάρας, ἔλαιον παλαιότατον μετὰ μοτῶν ἐπιτίθει. ἢ ἰὸν ξυστὸν μετὰ κηρωτῆς ῥοδίνης, ὀλίγον ῥητίνης ἐχούσης, ἀναλαβὼν ἐπιτίθει. καὶ λεπίδος ἐρυθροῦ χαλκοῦ, ὡς πλεῖστον ἀναλαβὼν, κηρωτῇ μυρσίνῃ χρῶ. ἢ ἀμύλου πεπλυμένου μέρη γ'. στέατος μοσχείου μέρη γ'. κηροῦ Τυρρηνικοῦ μέρος α'. τήξας τὰ τηκτά, μίσγε τὸ ἄμυλον, καὶ χρῶ. ἢ διφρυγοῦς καὶ λεπίδος χαλκοῦ, ἀνὰ < δ'. μάννης < η'. σὺν ὄξει εὖ λεαίνας μέχρι μέλιτος πάχους, κηροῦ μὲν < λβ'. μετ' ἐλαίου ℔ α' S''. τήξας καταχεῖ καὶ ἑνώσας χρῶ; ἔμμοτον, ἢ ἔλασσον τὸ ἔλαιον, καὶ σπληνίον ποίει. ἢ χαλκίτιδος, ψιμμυθίου ἴσον, ἁλὸς κοινοῦ τὸ διπλοῦν,
F λιθαργύρου τὸ διπλοῦν τοῦ ἁλὸς, οἴνῳ καὶ ἐλαίῳ ἐναλλὰξ λεαίνων, ὡς λιπαρῷ χρῶ. ἢ λιθαργύρου, ψιμμυθίου, διφρυγοῦς ἴσα, ἀσβέστου τὸ διπλοῦν μετὰ μυρσίνης κηρωτῆς χρῶ. ἢ διφρυγὲς, λεπίδα, κηκῖδα ἴσα, ἰοῦ τὸ ἥμισυ μετὰ κηρωτῆς μυρσίνης. ἔνιοι δὲ καὶ πιτυΐνην ῥητίνην προσμιγνύουσιν. ἢ σικύου ἀγρίου ῥίζαν ἐπίπασσε, ἐπάνω δὲ τίλμα ἐκ ψυχροῦ ἀνακαθαίρει, καὶ ἐπουλοῖ.

A Πρὸς τὰ ἐν οἵῳ δή ποτε τόπῳ, ἕλκη τοῦ σώματος δυσκατούλωτα. Ἐρυσίμου σπέρματος λείου μιχθέντος, καὶ γινομένου ῥυπώδους, ἐπιτεθέντος σπληνίου τρόπον, τάχιστα ἐπουλοῖ καὶ τὰ κακοήθη. Ἐπουλωτικὴ πρεσβυτικῶν. πρὸς δὲ τὰ πρεσβυτικά, σκωρία μολύβδου μετὰ μυρσίνης κηρωτῆς χρῶ. ἐὰν δὲ παλαιῶσαι θέλῃς, καὶ στέαρ χοίρειον μίσγε. Τὰ δὲ μελαινόμενα ἕλκη προπυριάσας ἄρτοις κριθίνοις, ἀρτίως πεπεμμένοις, βούτυρον καὶ ψιμμύθιον ἴσα ἐπιμελῶς ἑνώσας, χρῶ.

Ad vlcera in quocunque corporis loco, quæ cicatricem ægrè ducunt. Erysimi semine læuigato, mixtoque, dum sordium habeat speciem, splenij modo imposito, celerrimè vlcera ad cicatricẽ perueniunt, vel maligna. *Aliud cicatricem inducens senilibus.* Ad senilia retrimento plumbi cum myrteo cerato vtitor: si vetustũ ipsum cupias, adipem porcinum addito. Quæ nigricãt vlcera, vbi priùs panibus fouebis hordeaceis nuper coctis, butyrum, & cerussam pari põdere diligẽter in vnitatẽ rediges, & vteris.

ΚΕΦΑΛΑΙΟΝ Ι΄. B

Περὶ σηπεδονικῶν, καὶ νομῶν.

Ἐπὶ δὲ τῶν σηπεδονικῶν, καὶ τῶν νομῶν, ὀρόβινον ἄλευρον, στυπτηρίαν ὑγρὰν, ἄρτου σεμιδαλίτου τὸ ἐντὸς, χοιρείου παλαιοῦ, ἢ ἄλλου ταριχηροῦ παλαιοῦ, σαρκὸς ἀπλύτου, τερμινθίνην ὑγρὰν, μέλι καλὸν, ἴσα σταθμῷ συνελάσας, ἐπιτίθει. Ἢ ἀριστολοχίας καὶ κικίνων φύλλων χυλοῦ ἴσα, ἰοῦ τὸ ἥμισυ, δι᾽ ὕδατος, μέλιτος τὸ πάχος κατάχριε, μικρὸν τοῦ ὑγιοῦς προσλαμβάνων. ἐὰν δὲ μὴ ἀφίστηται ἡ ἐσχάρα, ἐλατηρίου, ἰοῦ τὸ ἴσον πρόσμισγε. Καλῶς ποιεῖ ἐπὶ τῶν σηπεδόνων, στῶρυ λεῖον ἐπὶ πάχος ἐπιπασσόμενον, καὶ ἐπάνω τίλμα ξηρόν. Ἢ ἀριστολο- C χίαν στρογγύλην, καὶ κηκίδα ἴσα μετ᾽ ἐλαίου περίχριε. Ἢ σικύου ἀγρίου ῥίζαν, ἢ κράμβης, ἢ τεύτλου, ἢ λαπάθου φύλλοις ἐνδήσας, θερμοσποδιᾷ ἔγκρυψον. ὅταν δὲ μαλακωθῇ, συντρίψας ἐπίθες, εὐτόνως ἀνακαθαίρει. ἢ θαλλία ἐν οἴνῳ ἑφθῇ μετὰ μέλιτος κατάπασσε. ἢ χαλκῖτιν κατάπασσε, ἄνωθεν δὲ τίλματα ξηρὰ ἐπιτίθει. ἐλατηρίου, ἢ λινοσπέρμου λεῖα μετὰ χαλκάνθου ἐπιτίθει. ἢ θύμῳ καὶ σταφίδι ἀγρίᾳ, ἢ ἡμέρῳ κατάπασσε μετὰ σύκων ἑφθῶν. ἢ συκίνοις φύλλοις λείοις μετὰ μέλιτος. ἢ νίτρον μετὰ κυμίνου. καὶ ἄλευρον μετὰ μέλιτος. ἢ σικύου ἀγρίου ῥίζαν μετὰ μέλιτος. ἢ σκίλλης ἑφθῆς μετὰ μέλιτος. ἢ D ἐλλεβόρου μετὰ μέλιτος. ποιεῖ καὶ πρὸς φαγεδαίνας ταῦτα, καὶ μελανίας, καὶ νομάς. ἢ σῶρεως < ιβ΄. χαλκίτεως < ι΄. μίσυος < δ΄. σὺν ὄξει δριμυτάτῳ ἡμικοτυλίῳ λέαινε, μέχρις ἂν ξηρανθῇ, καὶ ἀνελοῦ. χρῶ δὲ μήλην βάπτων, καὶ ἐπικυλίων τῷ ἕλκει, καὶ ἐπάνω ὀθόνιον ἁπλοῦν ἐξ οἰνελαίου ἐπιτίθει. ἐὰν δὲ φλεγμαίνῃ, ὑοσκυάμῳ μετὰ ἀλφίτων, ἢ κράμβῃ μετὰ μέλιτος κατάπασσε. ἐπὶ δὲ τῶν σκώληκας ἐχόντων, ψιμμύθιον καὶ πόλιον ἴσα σὺν πίσσῃ ὑγρᾷ κατάχριε.

CAPVT X.

De putridis, & nomis.

Pvtridis, & nomis erui farinã, alumen liquidũ; panis similaginei internã micã, porci veteris; vel alterius carnẽ salsam vetustã illotã, terebinthinã liquidã, mel optimum, pari mensura; imponito omnia læuigata. Vel aristolochiæ, ac cicinorũ foliorũ succi æquales partes, æruginis dimidiam ex aqua, sed mellis spissitudine illinito, paululũ partis incolumis apprehẽdens. Si crusta non decidat, elaterij, æruginis, parem modũ adiicito. Benè facit ad putredines, sori tritũ crassius inspersũ, & supra siccum linamentũ concerptũ. Vel aristolochiam rotundã, & gallã, æquali põdere ex oleo circunline. Vel cucumeris agrestis radicem, vel brassicæ, vel betæ, vel lapathi, foliis illigatam, calido cinere recondito. Quum autẽ emollita fuerit, contritã imponito; validè purgat. Vel summos germinantis oleæ surculos in vino coctos cum melle aspergito; vel chalcitidẽ inspergito, desuper verò pãniculos succos filatim excerptos accõmodato. Elaterium, vel lini semen tritũ cum chalcãtho imponito. Vel thymo, & staphide agresti, aut satiua, cũ ficis coctis aspergito. Vel ficulneis foliis in puluerem redactis cũ melle. Vel nitrũ cũ cumino. Et farinã cũ melle. Vel ficus agrestis radicẽ cum melle, vel squillę coctæ ex melle. Vel veratri cũ melle. Faciunt itidem hęc ad phagedęnas, nigritias, & nomas. Vel soreos ℨ.xij. chalcitidis ℨ.x. misyos ℨ.iv. cũ aceto acerrimo tribus cyathis cõterito donec inarescãt, & excipito; vtere verò specillũ ex eis tingẽs, atq; in vlcus deuoluẽs; deinde linteolũ simplex ex œnelæo madẽs superimponito. Quòd si phlegmone adest, alterci semẽ cũ polenta, vel brassicã cũ melle, inspergito. Quibus autẽ vermes adsunt, cerussam, & polium æquali põdere cum pice liquida inungito.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄. E

Περὶ καρκινωδῶν.

Ἐπὶ δὲ τῶν καρκινωδῶν, καὶ κακοήθων ἑλκῶν, καρκίνου ποταμίου κεκαυμένου, καδμείας, ἴσα λεῖα ἐπίπασσε. ἢ τὴν σποδὸν τῶν καρκίνων μετὰ κηρωτῆς ἐπιτίθει. ἢ ἐρυσίμου σπέρμα λειότατον σὺν μέλιτι τρυγῶδες ποιῶν, ἐπιτίθει, ὡς σπλήνιον. ἄκρως ποιεῖ πρὸς τὰ χρόνια, καὶ παλαιά, καὶ δυσκατούλωτα, καὶ τὰ ἐπὶ τῶν κνημῶν κακοήθη μελάντερα, καὶ τὰ ἐν μαστοῖς κακοήθη. χοιράδας, καὶ παρωτίδας ἐπισπᾶσαι ἄκρως F ποιεῖ, στέατος βοείου λίτρας γ΄. ὡς δέ τινες ε΄. τερμινθίνης οὐγγίας ε΄. μάννης οὐγγίας S″. γῆς τῆς λεγομένης σάρδης, ᾗ οἱ γναφεῖς χρῶνται, οὐγγίας ε΄. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, καὶ ἑνώσας χρῶ. ἢ φακῷ ἑφθῷ μετὰ μέλιτος, ἢ θαλλία, ἢ ἀμφοτέροις κατάπασσε.

CAPVT XI.

De vlceribus cancrosis.

Cancrosis, & malignis vlceribus cancri fluuiatilis combusti, cadmiæ pares portiones tritas inspergito; aut cinerem cancrorum cum cerato imponito. Aut erysimi semen læuissimũ ex melle fæculentum faciens, splenij modo imponito. Summè facit ad chironia, & vetusta, & cicatricẽ ægrè ducentia; item ad contumaces, & malignas nigritias tibiarum, & quæ in mamillis sunt; strumas, ac parotidas extrahit, si inspergas seui bubuli lib. iij. (vt quidam aiunt quinque) terebinthinæ vncias v. mannæ semunciam, terræ sardæ dictæ, qua tinctores vtuntur ℥.v. quæ liquari possunt, aridis misceto, ac in vnum coactis vtitor. Aut lentem coctam cum melle, aut oleæ virentis surculos, aut vtrunque, inspergito.

CAP.

CAPVT XII.

De vlceribus callosis.

IN iis quæ callum contraxerunt, & prætumidas oras, ac duras habent, dulciaq; vocantur vlcera, cõmuniter quidé per experientiam bene facient vrentia, propriè verò litrum torrefactum. Calcem viuam cum vrina pueri incorrupti circumlinito; aut æruginem, thus, salem, mel inungito.

CAPVT XIII.

De emplastris, quæ Asclepiades ad huiusmodi vlcera conscripsit.

PRæstantissima de id genus vlceribus Asclepiades tradidit cognomento Pharmacion. Quum enim vnum sit omnibus ipsis commune, nempe vt difficulter ad cicatricem veniant; quædam quòd malè curantur, vel molliusculo victu à medico reguntur, cicatricem non ducunt, nullam de se malignitatem habentia; quædam verò suo vitio ægrè sanantur, vel quòd praui humores ipsis influant, vel quòd exulcerata pars talem iam affectum habuerit, vt quamuis probus, qui influit, sanguis existat, ipsum corrumpat. Asclepiades igitur eiusmodi vlcera tribus distinguens generibus, de singulis proprium sermonem instituit, quæ ego quoque illius verbis deinceps adscribam, enarrans, decernensque si ambiguitas quæpiam in sermone appareat. Itaque de primo horum vlcerum, ac medicamentorum genere, ita Asclepiades ad verbum disserit. *Vbi callum partes contraxerint, & ægrè ad cicatricem veniunt, confecturis infra positis vtendum est. Andreæ emplastrum, omnem excrescentiam reprimens. Item vlceribus cruentis, ac vulneribus conuenit, inflammationem arcet, facit ad pasta, sinus iungit. Valet ad vlcera fluentia, diuturna, & quæ difficulter cicatricem admittunt.* ℞. argenti spumæ libras iij. squamæ æris, chalcitidis, æruginis rasæ, singulorum ℥.iij. aceti heminam j. olei veteris libras octo. Præparatur, sicut prædictum est. *Asteris medicamentum ad idem accommodatum. Probè autem etiam discutit.* ℞. argenti spumæ libram vnam, olei veteris libras duas & dimidiam, æruginis vnciam vnam, chalcitidis vnciam j. squamæ rubræ ℥. j. aceti heminam vnam. *Amphionis ad idem.* ℞. argenti spumæ lib. ij. olei veteris lib. iv. chalcitidis vncias nouem, squamæ æris drach. iv. aceti heminam vnam; conficito in eundem modum. *Turpilliani, quod Philosophorum dicitur. Facit ad vlcera fluida, & diuturna, ægreque cicatricem sumentia, ossa corrupta reducit.* ℞. argenti spumæ libras tres, olei veteris sextarios tres, chalcitidis lib. ij. ß. æris squamæ drach. xxv. aceti heminam vnam. Argenti spumam, & oleum vsque ad consistentiam incoquito, deinde squamam læuissimam factam adiicito, assiduè mouens; ac quum bene habet, chalcitidem ex aceto tritam paulatim medicamento aliquatenus refrigerato immittito; deinde ponens supra ignem rursus incoquito, vsque dum non coinquinet; quum in pilam demissum rursus contuderis, ac subegeris, excipito, & ad supradicta vitia vtitor. *Isis vocatum emplastrum giluum, ad fluentia, diuturna, maligna valet, ac vix curabilia, maximè in partibus extremis. Conficiendum est mollius, ac tenerius, densatur enim repositum, & siccius euadit.* Ita habet.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ τῶν τυλωδῶν.

Ἐπὶ δὲ τῶν τετυλωμένων καὶ ὀχθωδῶν, γλυκέων λεγομένων ἑλκῶν, ποιήσουσι μὲν καὶ τὰ διὰ πείρας καυστικά. ἰδίως δὲ λίτρον πεφωγμένον, καὶ ἄσβεστον μετ' οὔρου παιδὸς ἀφθόρου περίχριε, ἢ ἰὸν, λίβανον, ἅλας, μέλι περίχριε.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Περὶ τῶν ὑπ' Ἀσκληπιάδου, εἰς τὰ τοιαῦτα τῶν ἑλκῶν γεγραμμένων ἐμπλάστρων.

Κάλλιστα περὶ τῶν τοιούτων ἑλκῶν Ἀσκληπιάδης ἔγραψεν, ὁ ἐπικληθεὶς Φαρμακίων. ἑνὸς γὰρ ὄντος ἅπασιν αὐτοῖς κοινοῦ τοῦ δυσεπουλώτοις εἶναι, τινὰ μὲν ἐκ τοῦ θεραπεύεσθαι κακῶς, ἢ μαλακῶς διαιτᾶσθαι τὸν θεραπευόμενον, οὐκ ἐπουλοῦται, μηδεμίαν οἰκείαν αὐτὰ κακοήθειαν ἔχοντα, τινὰ δὲ, δι' ἑαυτὰ δυσθεράπευτά ἐστιν, ἤτοι διὰ τὸ χυμοὺς ἐπιρρεῖν αὐτοῖς μοχθηρούς, ἢ διὰ τὸ τοιαύτην ἤδη διάθεσιν ἐσχηκέναι τὸν ἡλκωμένον τόπον, ὡς κἂν χρηστὸν ᾖ τὸ ἐπιρρέον αἷμα, διαφθείρειν αὐτό. διελόμενος οὖν ὁ Ἀσκληπιάδης τρισὶ γένεσι τὰ τοιαῦτα τῶν ἑλκῶν, ὑπὲρ ἑκάστου διωρισμένως ἐποιήσατο τὸν λόγον, ἃ κἀγὼ ταῖς ἐκείνου λέξεσιν ἐφεξῆς παραγράψω, προστιθεὶς ἐξήγησιν, ἢ κρίσιν, εἴ πού τις ἀμφιβολία κατὰ τὸν λόγον ὑπάρχοι. Περὶ μὲν οὖν τοῦ προτέρου γένους τῶν τοιούτων ἑλκῶν τε καὶ φαρμάκων, ὧδέ πως γράφει κατὰ λέξιν ὁ Ἀσκληπιάδης. Τετυλωμένων δὲ τῶν σωμάτων, καὶ μόλις εἰς οὐλὴν ἀγομένων, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. Ἀνδρέου καταστατικὴ πάσης ἐξοχῆς. ἔστι δὲ καὶ ἔναιμος, τραυματική, ἀφλέγμαντος. ποιεῖ πρὸς τὰ νεμόμενα, καὶ κόλπους παρακολλᾷ. ποιεῖ πρὸς τὰ ῥευματικὰ τῶν ἑλκῶν, καὶ χρόνια, καὶ δυσεπούλωτα. ℞. λιθαργύρου λίτρας γ'. λεπίδος χαλκοῦ, χαλκίτεως, ἰοῦ ξυστοῦ, ἀνὰ οὐγγίας γ'. ὄξους κοτύλην α'. ἐλαίου παλαιοῦ λίτρας η'. σκεύαζε κατὰ τρόπον. Ἀστέρος φάρμακον, ἐπιτετευγμένον πρὸς τὰς προειρημένας διαθέσεις. ἔστι δὲ διαφορητικὴ ἀγαθή. ℞. λιθαργύρου λίτραν α'. ἐλαίου παλαιοῦ λίτρας β' S''. ἰοῦ οὐγγίαν α'. χαλκίτεως οὐγγίαν α'. λεπίδος ἐρυθρᾶς οὐγγίαν α'. ὄξους κοτύλην α'. Ἀμφίωνος πρὸς τὰς αὐτὰς διαθέσεις. ℞. λιθαργύρου λίτρας β'. ἐλαίου παλαιοῦ λίτρας δ'. χαλκίτεως οὐγγίας θ'. λεπίδος χαλκοῦ < δ'. ὄξους κοτύλην α'. σκεύαζε κατὰ τρόπον. Τουρπιλιανοῦ ἡ τῶν φιλοσόφων λεγομένη. ποιεῖ πρὸς τὰ ῥευματικὰ τῶν ἑλκῶν, ποιεῖ πρὸς τὰ χρόνια, καὶ δυσεπούλωτα, ἀνάγει ὀστᾶ διεφθορότα. ℞. λιθαργύρου λίτρας γ'. ἐλαίου παλαιοῦ ξέστας γ'. χαλκίτεως λίτρας β' S''. λεπίδος χαλκοῦ < κε'. ὄξους κοτύλην α'. λιθάργυρον, ἔλαιον ἕψε μέχρι συστάσεως, εἶτα βάλλε λεπίδα λειοτάτην, καὶ κίνει συνεχῶς, καὶ ὅταν εὖ ἔχῃ, βάλλε κατὰ μικρὸν τὴν χαλκῖτιν λεανθεῖσαν μετ' ὄξους, ποσῶς κατεψυγμένου τοῦ φαρμάκου. εἶτα θεὶς ἐπὶ τὸ πῦρ, πάλιν ἕψε μέχρις ἀμολύντου, καὶ εἰς θυίαν ἐξερύσας, καὶ ἀνακόψας, καὶ μαλάξας, ἀνελόμενος χρῶ πρὸς τὰς προειρημένας διαθέσεις. Ἶσις λεγομένη κιρρά, φάρμακον ἐπιτετευγμένον, πρὸς τὰ ῥευματικά, καὶ χρόνια, καὶ κακοήθη, καὶ δυσαλθῆ, καὶ μάλιστα ἐπὶ τῶν ἀκρωτηρίων. σκευάζειν δὲ αὐτὴν δεῖ ἁπαλώτερον, συστρέφεται γὰρ κείμενον καὶ ξηρότερον γίνεται. ἔχει δὲ οὕτως.

℞. λιθαργύρου < ρ'. μίλτου Σινωπίδος < η'. διφρυγοῦς, κηροῦ, χαλκίτιδος κεκαυμένης, ἀνὰ οὐγγίαν α'. ἐν ἄλλῳ, ἀνὰ < δ'. χαλκίτεως ὠμῆς < β'. ἐλαίου κο β'. ἕψε λιθάργυρον, ἔλαιον, ἕως ἂν ζέσῃ ἐκ δευτέρου καὶ τρίτου. τούτου δὲ γινομένου, καταῤῥαινε ὕδατι ὀλίγον τοῖς δακτύλοις, εἶτα ἐπίπασσε τὸ διφρυγὲς καὶ τὴν χαλκῖτιν ὀπτὴν λείαν, ὑπὸ χεῖρα τῷ ὕδατι καταῤῥαίνων, ἕως ἂν μηκέτι ψοφῇ ἑψόμενον τὸ φάρμακον. ὅταν δὲ συστῇ, ἐπίβαλλε κηρόν. ἔστω δέ σοι τὰ μετ' ὀλίγου ἐλαίου λεανθέντα κείμενα, χαλκῖτις ὠμὴ, καὶ Σινωπίς. καὶ ὅταν εὖ ἔχῃ τὸ φάρμακον, ἐπίβαλλε ταῦτα, καὶ κίνει συνεχῶς, καὶ ὅταν καλῶς ἔχῃ, εἰς θυίαν ἐξεράσας, καὶ ἀνακόψας, καὶ μαλάξας, ἀνελόμενος χρῶ. Ἄλλη Σκριβωνίου Λάργου, φάρμακον ἐπιτετευγμένον. ℞. κηροῦ < ρ'. ἄλλ. ν'. λιθαργύρου < ν'. ἐλαίου μυρσίνου κο α'. μίσυος κεκαυμένου, χαλκίτεως κεκαυμένης, στυπτηρίας σχιστῆς κεκαυμένης, ψιμμυθίου, ῥητίνης τερμινθίνης, ἀνὰ < ιβ'. σκεύαζε κατὰ τρόπον. Ἄλλη. καταστέλλει καὶ τὰ ἐν ὀφθαλμοῖς σταφυλώματα, ποιεῖ πρὸς τὰ δυσαλθῆ. ℞. μίλτου Σινωπίδος < ιε'. λιθαργύρου < ρ'. κηροῦ < μ'. πιτυΐνης < κ'. χαλκίτεως < λ. ἁλὸς ἀμμωνιακοῦ < α'. λιβάνου < α'. ἐλαίου κο α'. σκεύαζε κατὰ τρόπον. Ἄλλη, ὡς Ἀφροδᾶς. ποιεῖ καὶ πρὸς κονδυλώματα, καὶ ῥαγάδας δυσαλθεῖς. ℞. λιθαργύρου < μη'. τερμινθίνης < κη'. μίσυος ὀπτοῦ, χαλκίτιδος ὀπτῆς, ἀνὰ < η'. μίλτου Σινωπίδος, χαλκάνθου, ἀνὰ < δ'. ἐλαίου παλαιοῦ κο α'. ὕδατος κο α'. κηροῦ < μ'. κικίνου λίτραν α'. ἄλλοι κυάθου S'. τὰ ξηρὰ, μετὰ τοῦ ὕδατος λεαίνεται, καὶ περὶ μὲν τούτων, ἐπὶ τοσοῦτον.

Περὶ τοῦ δευτέρου γένους τῶν δυσθεραπεύτων ἑλκῶν, περὶ ὧν ὁ Ἀσκληπιάδης ἔγραψε κατὰ λέξιν οὕτως.

Πρὸς δὲ τὰ ῥευματικὰ τῶν ἑλκῶν καὶ δυσαλθῆ, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. ἡ διὰ χαμαιλέοντος, ᾗ ἐχρήσατο Φιλόξενος πρὸς τὰ ῥευματικὰ τῶν ἑλκῶν καὶ δυσαλθῆ. ℞. λιθαργύρου λίτραν α'. ἐλαίου παλαιοῦ λίτρας β'. χαμαιλέοντος ῥίζης οὐγγίας δ'. ἀριστολοχίας οὐγγίας δ'. χαλβάνης οὐγγίας β'. κηκίδος οὐγγίας β'. λιβάνου ℥ β'. σκεύασε κατὰ τρόπον. Ἄλλη, ἡ τοῦ Θηβαίου λεγομένη. ℞. λιθαργύρου λίτραν α'. ἐλαίου παλαιοῦ ξε α'. χαλκάνθου < κδ'. χαμαιλέοντος < ιβ'. ἀριστολοχίας < ιβ'. χαλβάνης < η'. λιβάνου < η'. σκεύαζε κατὰ τρόπον. Ἄλλη διὰ τῶν καλάμων πρὸς τὰ ῥευματικὰ καὶ χειρώνεια ἕλκη, ποιεῖ καὶ πρὸς παντὸς ἑρπετοῦ πληγήν. ℞. λιθαργύρου λίτραν μίαν, ἐλαίου παλαιοῦ λίτρας β'. χαμαιλέοντος μέλανος τῆς ῥίζης, ἀριστολοχίας, κηκίδων ὀμφακίνων, ἑκάστου ἀνὰ < δ'. χαλβάνης, ἀμμωνιακοῦ θυμιάματος, λιβανωτοῦ, ἑκάστου, ἀνὰ οὐγγίας β'. σκεύαζε κινῶν ῥίζαις καλάμων χλωρῶν. Κάστου γαγγραινικὴ λεγομένη, φάρμακον ἐπιτετευγμένον. ℞. λιθαργύρου < ρκ'. ἐλαίου ξε β'. ἥμισυ, χαμαιλέοντος μέλανος ῥίζης < ιϛ'. ὄξους ξέστας β'. ἥμισυ, ἰοῦ < η'. πίτυος φλοιοῦ < η'. σμύρνης < δ'. σκεύαζε κατὰ τρόπον. μέλαινα ἡ διὰ τοῦ πυρίτου λεγομένη Δαμωνικοῦ. ποιεῖ πρὸς τὰ ῥευματικὰ, καὶ δυσαλθῆ, καὶ φαγεδαινικά. ποιεῖ καὶ πρὸς σύριγγας ἐντιθεμένη, καὶ μαλάττει πᾶσαν σκληρίαν. ℞. λιθαργύρου, ἀσφάλτου ἀνὰ < ρ'. ἢ ν'. πίσσης, κηροῦ ἀνὰ < η'. πυρίτου, τερμινθίνης, ἀνὰ < κε'. προπόλεως, σχιστῆς ἀνὰ < ιε'. ἀμμωνιακοῦ θυμιάματος < ιβ'. χαλβάνης, ἀλόης ἀνὰ < η'. ἰοῦ, μάννης ἀνὰ < ε'. ἐλαίου παλαιοῦ ξε β'.

A ℞. argenti spumæ drach. c. minij Sinopici ʒ. viij. diphrygis, ceræ, chalcitidis vstæ, singulorum vnciam vnam, in alio exemplari, singulorum ʒ. iv. chalcitidis crudæ drachmas duas, olei heminas ij. Argenti spuma & oleum coquuntur, dum iterum, ac tertio efferuetur; hoc facto, aquæ modicum digitis instillatur; mox diphryges, chalcitis tosta læuis facta inspergitur, sub manu aquam instillando, donec non amplius medicamentum inter coquendum strepat; vbi constiterit, ceram indito. Adsint autem chalcitis cruda, & minium, ex oleo modico contrita; quum bene habet medicamentum, hæc immittito, continuè mouens; quum B rectè se habet, in pilam conijcito, ac rursus tundito, subigitoque, excipiens vtitor. *Aliud Scriboni Largi medicamentum accommodatum.* ℞. ceræ drach. centum, aliter l. argenti spumæ drach. l. olei myrtei heminam j. misyos vsti, chalcitidis vstæ, aluminis scissilis vsti, cerussæ, resinæ terebinthinæ, singulorum drachmas xij. componitur eodem modo. *Aliud. Compescit in oculis staphylomata, valet ad vlcera curatu difficilia.* ℞. minij Sinopici ʒ. xv. argenti spumæ drach. centum, ceræ drach. xl. pityinæ drach. xx. chalcitidis drach. xxx. salis ammoniaci drach. vnam, thuris drach. j. C olei heminam vnam. Præparato, quo dixi modo. *Aliud, vt Aphrodas. Facit item ad condylomata, & rhagades contumaces.* ℞. argenti spumæ ʒ. xlviij. terebinthinæ ʒ. xxviij. misyos tosti, chalcitidis tostæ, singulorum ʒ. viij. minij Sinopici, chalcanthi, singulorum ʒ. iv. olei veteris heminam j. aquæ heminam j. ceræ drach. xl. ricini lib. j. alij cyathi dimidium; sicca ex aqua læuigantur. Atque de his hactenus.

De secundo vix sanabilium vlcerum genere, de quibus Asclepiades hoc modo scripsit ad verbum.

D *Ad fluentia vlcera, & curatu difficilia confecturis infra scriptis vtemur. Medicamentum ex chamæleonte, quo vsus est Philoxenus ad fluentia, & ægre curabilia vlcera.* ℞. argenti spumæ libram vnam, olei veteris libras duas, chamæleontis radicis ʒ. iv. aristolochiæ trientem, galbani ʒ. ij. gallæ ʒ. ij. thuris ʒ. ij. conficito, sicut prius. *Aliud, quod Thebano adscribitur.* ℞. argenti spumæ libram j. olei veteris sextarium j. chalcanthi ʒ. xxiv. chamæleontis ʒ. xij. aristolochiæ ʒ. xij. galbani ʒ. viij. thuris ʒ. viij. componito similiter. *Aliud ex arundinibus, ad fluentia, & chironia vlcera, item ad cuiuslibet serpentis ictum.* ℞. argenti spumæ lib. j. olei veteris E lib. ij. chamæleontis nigri radicis, aristolochiæ, gallarum immaturarũ, singulorũ ʒ. iv. galbani, guttæ ammoniaci, thuris, singulorum ʒ. ij. præpara mouens radicibus arundinum viridium. *Aliud Casti nominatum gangrænicum, medicamentum accommodatum.* ℞. argenti spumæ ʒ. c. viginti, olei sextarios duos, & dimidium, chamæleontis nigri radicis ʒ. xvj. aceti sextarios duos, & dimidium, æruginis drach. octo, piceæ corticis drach. viij. myrrhæ drach. iv. præparato sicut priora. *Nigrum ex Pyrite lapide vocatum, quod ad Damonicum refertur. Valet ad fluentia, difficilia curatu, & phagedænica* F *vlcera. Facit item ad fistulas impositum, emollitque omnem duritiem.* ℞. argenti spumæ, bituminis, singulorum ʒ. c. aliter l. picis, ceræ, singulorum ʒ. viij. pyritis, terebinthinæ, vtriusque ʒ. xxv. propolis, aluminis scissilis, singulorum ʒ. xv. ammoniaci thymiamatis ʒ. xij. galbani, aloës, vtriusq; ʒ. viij. æruginis, mannæ, vtriusque ʒ. v. olei veteris sext. ij. argenti

Argenti spuma cum oleo incoquitur, donec coierint; mox bitumen, pix, cera, resina, propolis inijcitur; quibus liquefactis, refrigeratisque ærugo, & lapis pyrites immittitur, deinde ammoniacum; quum cacabus ab igne sublatus modicè refrixerit, alumen, galbanum, mannaque inditur, & mediocriter cocta in frigidam demittuntur, ad diem noctemque sinuntur. Subactis vtitor. *Aliud Facit ad curatu difficil.a.* ℞. picis, ceræ, pyritæ, singulorum ʒ. xij. guttæ ammoniaci ʒ. x. bituminis ʒ. l. argenti spumæ ʒ. xl. propolis ʒ. viij. scissilis ʒ. v. æruginis ʒ. ij. olei sextarium j. *Aliud nigrum ex salicibus ad idem.* ℞. misyos peregrini, aluminis rotundi, chalcitidis, cretæ sutoriæ, æruginis rasæ, aluminis scissilis, gallarum immaturarum, cerussæ; singulorum selibram, ceræ, resinę siccæ, picis Brutiæ, bituminis, singulorum lib. ij. aceti acris sextarij dimidium, olei omphacini lib. ij. salicis surculorum tenerorum foliorum lib. ij. Folia salicis in acetum mittito, ignique suprapósita coquito mouens sine requie, dum tertia liquoris pars relicta fuerit; sicca verò tundito, & cribro tenuissimo secernito; deinde in mortarium coniecta his humorem expressum adiicito, teritoque diligenter, tanquam cephalica medicamenta. Quæ autem liquefieri possunt, vsque dum non coinquinent, coquito; posteaquam refrigerata raseris, læuigatis immisceto, ac in pilam coniecta excipiens vtitor. *Indum Tharsei chirurgi, ad eadem.* ℞. ceræ, resinæ frictæ, picis aridæ, bituminis liquidi, zacynthij, singulorum lib. ij. cerussæ, æruginis, chalcitidis, misyos peregrini, melanteriæ, aluminis, & scissilis, & rotundi, gallæ omphacitidis, malicorij, rhu, thuris, singulorum selibram, aceti quantum sufficit. Quæ liquantur eo spissitudinis, vt non inquinent, coquito, sicca tundito, tenuissimo cribro cernito, aceto perfundito, & liquabilibus excipito. *Aliud Cyzicenum. Facit ad diuturnos affectus, & neruos præcisos* ℞. thuris quàm optimi, ceræ, myrrhæ, aristolochiæ, chalcitidis, Illyricæ, galbani, singulorum ʒ. iv. terebinthinæ, argenti spumæ, singulorum ʒ. viij. olei heminam j. Omnia in vas æreum conijcito; super cinerem molliusculum coquito mouens, donec in frigidam descendens mellis habeat spissitudinem; deinde tollito mouens. Hoc in pelliculam illitum imponito, & soluito hyeme post septimum diem, æstate à quinto. *Aliud ex collectaneis Philoxeni.* ℞. thuris, myrrhæ, croci, illyricæ, bdellij, squamæ æris, chalcanthi, chalcitidis, aluminis rotundi, & fissi, misyos peregrini, guttæ ammoniaci, propolis, visci quercini, opopanacis, malicorij inclusi, singulorum ʒ. iv. aristolochiæ ʒ. viij. ceræ ʒ. c. quod minam inscribit; seui taurini ʒ. c. resinæ terebinthinæ ʒ. lxxv. quod Græcè triatettara nuncupat. Resina in ollam fictilem nouam coniecta coquatur, donec odorem amittat; deinde seuum, & cera purgata adiiciantur, liquenturque; sicca tundantur, & tenuissimo cribro incernantur. Deinde ab igne deposita, quæ liquefacta sunt, aliquandiu refrigerari permittantur; quibus sicca inspergito, curiosè mouens, myrrham verò, thus, bdellium, opopanacem, ex aceto trita ea habere oportet; quibus ea quæ in olla sunt, immittenda, terendaque; ne in grumos ceræ modo coëant. Quum bene habuerit medicamentum, pyxide lignea irino prius illita reponito.

A ἕψε λιθάργυρον μετ' ἐλαίου, ἕως συστραφῇ, εἶτα ἐπίβαλλε ἄσφαλτον, πίσσαν, κηρὸν, ῥητίνην, πρόπολιν, καὶ ὅταν τακῇ, ἐάσας ψυχθῆναι, ἐπίβαλλε ἰὸν καὶ τὸν λίθον, ἔπειτα τὸ ἀμμωνιακὸν, εἶτα ἄρας, καὶ ἐπ' ὀλίγον ψύξας, ἐπίβαλλε σχιστὴν, χαλβάνην, μάνναν, καὶ ὀλίγον ἑψήσας, κατέρασον εἰς ψυχρὸν ὕδωρ, καὶ ἐάσας ἡμέραν καὶ νύκτα, μαλάξας χρῶ. ποιεῖ πρὸς τὰ δυσαλθῆ. Ἄλλη. ℞. πίσσης, κηροῦ, πυρίτου ἀνὰ < ιβ'. ἀμμωνιακοῦ θυμιάματος < ι'. ἀσφάλτου < ν'. λιθαργύρου < μ'. προπόλεως < η'. σχιστῆς < ε'. ἰοῦ < β'. ἐλαίου ξε α'. Ἄλλη μέλαινα ἡ διὰ τῶν ἰτεῶν, πρὸς τὰς αὐ-
B τὰς διαθέσεις. ℞. μίσυος ξενικοῦ, στυπτηρίας στρογγύλης, χαλκίτεως, μελαντηρίας, ἰοῦ ξυστοῦ, στυπτηρίας σχιστῆς, κηκίδων ὀμφακίνων, ψιμμυθίου, ἑκάστου ἡμίλιτρον, κηροῦ, ῥητίνης ξηρᾶς, πίττης Βρυτίας, ἀσφάλτου ἀνὰ λίτρας β'. ὄξους δριμέος, ξέστου τὸ ἥμισυ, ἐλαίου ὀμφακίνου λίτρας β'. ἰτέας ἀκρεμόνων ἁπαλῶν τῶν φύλλων λίτρας β'. τὰ φύλλα τῆς ἰτέας εἰς ὄξος βαλὼν, καὶ θεὶς ἐπὶ τὸ πῦρ ἕψε, κινῶν συνεχῶς ἕως τὸ τρίτον τοῦ ὑγροῦ ὑπολειφθῇ. τὰ δὲ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, καὶ εἰς θυίαν βαλὼν, ἐπίβαλλε τούτοις ἐκθλίψας τὸ ὑγρὸν, καὶ τρῖβε φιλοπόνως, ὥσπερ τὰς κεφαλικὰς δυνά-
C μεις. τὰ δὲ τηκτὰ, ἕψε μέχρις ἀμολύντου, εἶτ' ἐάσας ψυχθῆναι, καὶ ἀναξύσας ἐπίβαλλε τοῖς λεανθεῖσι, καὶ εἰς θυίαν ἐξεράσας, ἀνελόμενος χρῶ. ἡ Ἰνδὴ Θαρσέου χειρουργοῦ, πρὸς τὰς προειρημένας διαθέσεις. ℞. κηροῦ, ῥητίνης φρυκτῆς, πίσσης ξηρᾶς, ἀσφάλτου ὑγρᾶς, Ζακυνθίας, ἑκάστου λίτρας β'. ψιμμυθίου, ἰοῦ, χαλκίτιδος, μίσυος ξενικοῦ, μελαντηρίας, στυπτηρίας καὶ σχιστῆς, καὶ στρογγύλης, κηκίδων ὀμφακίδων, σιδίων, ῥοῦ, λιβάνου ἑκάστου, ἀνὰ ἡμίλιτρον, ὄξους ὅσον ἐξαρκεῖ. τὰ τηκτὰ ἕψε μέχρις ἀμολύντου, τὰ δὲ ξηρὰ κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ, ὄξει φυράσας, ἀναλάμβανε τοῖς
D τηκτοῖς. Ἄλλη Κυζικηνή. ποιεῖ πρὸς τὰς κεχρονισμένας διαθέσεις, καὶ τὰς τῶν νεύρων διακοπάς. ℞. λιβανωτοῦ, ὡς καλλίστου, κηροῦ, σμύρνης, ἀριστολοχίας, χαλκίτιδος, Ἰλλυρικῆς, χαλβάνης ἀνὰ < δ'. τερμινθίνης, λιθαργύρου ἀνὰ < η'. ἐλαίου κοτύλην α'. ἅπαντα βαλὼν εἰς ἄγγος χαλκοῦν, ἕψε ἐπὶ τέφρας μαλακῆς, κινῶν ἕως ἂν ἀποσταζόμενον εἰς ὕδωρ ψυχρὸν, πάχος ἔχῃ μέλιτος. μετὰ δὲ ταῦτα αἶρε κινῶν, τοῦτο ἐγχρίσας εἰς δερμάτιον ἐπιτίθει, καὶ λύε χειμῶνος μὲν, μετὰ τὴν ἑβδόμην ἡμέραν, θέρους δὲ μετὰ τὴν πέμπτην. Ἄλλη ἐκ τῶν Φιλοξένου. ℞. λιβάνου, σμύρνης, κρόκου, Ἰλλυρικῆς,
E βδελλίου, λεπίδος χαλκοῦ, χαλκάνθους, χαλκίτεως, στυπτηρίας στρογγύλης, καὶ σχιστῆς, μίσυος ξενικοῦ, ἀμμωνιακοῦ θυμιάματος, προπόλεως, ἰξοῦ δρυΐνου, ὀποπάνακος, σιδίων μεμυκότων, ἀνὰ < δ'. ἀριστολοχίας < η'. κηροῦ < ρ'. ὃ μνᾶν ἐπιγράφει, στέατος ταυρείου < ρ'. ῥητίνης τερμινθίνης < οε'. ὃ τριατέτταρα ἐπιγράφει. τὴν ῥητίνην βαλὼν εἰς λοπάδα ὀστρακίνην καινὴν, ἕψε ἕως ἂν ἄνοσμος γένηται. εἶτα τὸ στέαρ καὶ τὸν κηρὸν καθαρίσας, ἐπίβαλλε καὶ τῆκε. τὰ δὲ ξηρὰ κόπτε, καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, ἔπειτα καθελὼν ἀπὸ τοῦ πυρὸς, τὰ τηκτὰ ποσῶς ἐάσας ψυχθῆναι, τούτοις κατάπασσε τὰ ξηρὰ
F κινῶν ἐπιμελῶς. ἔχειν δὲ δεῖ μετ' ὄξους τετριμμένα σμύρναν, λίβανον, βδέλλιον, ὀποπάνακα, καὶ τούτοις ἐμβάλλεται τὰ ἐν τῇ λοπάδι καὶ τρίβεται, ὥστε ἐγκηρίδας μὴ γίνεσθαι. ὅταν δὲ καλῶς ἔχῃ, ἀνελοῦ εἰς πυξίδα ξυλίνην προϋποχρίσας ἰρίνῳ.

Περὶ τοῦ τρίτου γένους τῶν δυσθεραπεύτων ἑλκῶν, περὶ ὧν κατὰ λέξιν ὁ Ἀσκληπιάδης ἔγραψε ταῦτα.

A Ἐπὶ δὲ τῶν μηδ' ὅλως συνερχομένων ἑλκῶν, ἢ συνερχομένων μὲν, ἀναλυομένων δὲ πάλιν, ἤτοι τῆς σαρκὸς διαφθειρομένης, ἢ καὶ τῶν ὑποκειμένων ὀστέων ἐφθορότων, χρηστέον ταῖς ὑποκειμέναις σκευασίαις. πρὸς τὰ χειρώνια καὶ δυσαλθῆ, φάρμακον ἐπιτετευγμένον. ℞. λεπίδος χαλκοῦ, ἰοῦ ξυστοῦ, ἀνὰ ℥ α'. κηροῦ ἡμίλιτρον, ῥητίνης λαρικος ℥ α'. ἥμισυ, τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, καὶ ἀνελόμενος χρῶ, μαλάσσων ἐπιμελῶς, καὶ πλατυσμάτιον ἐπιρρίπτων κατὰ μόνου τοῦ πεπονθότος, ὥστε περιλαμβάνειν μόνον τὸ ἕλκος. δεῖ δὲ τὰ B πέριξ, ἀφλεγμάντῳ φαρμάκῳ περιλαμβάνειν. ἐν δὲ τῇ θεραπείᾳ, λύειν χρὴ διὰ τρίτης τὸ ἕλκος, ἔπειτα προπυριᾶν, καὶ τὸ αὐτὸ πλατυσμάτιον ἀποπλύνοντα μαλάσσειν, καὶ πάλιν ἐπιτιθέναι, ἕως ἂν ἄρξηται συνουλώσεως. Ἄλλη ἐπιτετευγμένη. ℞. ἰοῦ, λεπίδος χαλκοῦ, ἀνὰ ℥ β'. διφρυγοῦς ℥ α'. κηροῦ λίτραν α'. λαρικος ℥ γ'. σκεύαζε, καὶ χρῶ καθὼς προείρηται. μετὰ ταῦτα περὶ τῶν ὀνομαζομένων κεφαλικῶν, ὡς ἔγραψεν Ἀσκληπιάδης κατὰ λέξιν οὕτως. Δηϊλέοντος κεφαλική. πρὸς τὰ χρόνια καὶ δυσαλθῆ, ἀνάγει ὀστᾶ διεφθορότα. C ℞. λεπίδος χαλκοῦ, μάννης, λιβανωτοῦ, ῥητίνης ξηρᾶς ἀνὰ < ρ'. ὄξους κοτύλας ιβ'. τρῖβε λεπίδα χαλκοῦ μετ' ὄξους, καὶ ὅταν ἐκλεανθῇ, ἐπίβαλλε λεπτότατον λιβανωτὸν, καὶ ῥητίνην, καὶ ἀνάπλαττε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ. ἐν δὲ τῇ χρήσει ἐφ' ὧν βούλει ἐκτυλῶσαι, λάμβανε τοῦ φαρμάκου μέρος ἓν καὶ κηρωτῆς σκευασθείσης διὰ ῥοδίνου τὸ ἴσον. ἐπὶ δὲ τῶν ἄλλων ἔστω τοῦ φαρμάκου μέρος ἓν, καὶ τῆς κηρωτῆς μέρη γ'. ἢ δ'. δεῖ γὰρ τὴν κρᾶσιν γίνεσθαι κατάλληλον ταῖς ὑποκειμέναις διαθέσεσι. Μελάγχλωρος κεφαλική, ᾗ ἐχρήσατο Τρύφων ὁ ἀρχαῖος. ποιεῖ πρὸς τὰ χρόνια καὶ δυσαλθῆ, D ἀνάγει ὀστᾶ διεφθορότα. ℞. λεπίδος χαλκοῦ ιβ'. μάννης, λιβανωτοῦ, ἀμμωνιακοῦ θυμιάματος, ῥητίνης πιτυΐνης ξηρᾶς, στέατος μοσχείου τεθεραπευμένου, ῥητίνης τερμινθίνης ἀνὰ < ιϛ'. κηροῦ, ἐλαίου ἀνὰ μνᾶς τέταρτον, ὄξους κοτύλην α'. σκεύαζε κατὰ τρόπον. Φιλώτου κεφαλική πρὸς τὰ χρόνια καὶ δυσαλθῆ, ἀνάγει ὀστᾶ διεφθορότα, καὶ τύλους ὑπεκτήκει. ℞. γῆς Ἐρετριάδος < ρ'. λεπίδος χαλκοῦ < ν'. ἰχθυοκόλλης < κε'. ὄξους κοτύλας ιβ'. τὴν ἰχθυοκόλλαν δὲ εἰς λεπτὰ χρὴ συγκόψαντα βάλλειν εἰς ἀγγεῖον ὑελοῦν, καὶ ταύτῃ ὄξος ἐπιβάλλοντα ἐᾶν βρέχεσθαι, καὶ διαλυθεῖσαν ἐπιβάλλειν σκευασθέντι τῷ φαρμάκῳ, καὶ μίξαντας ἀναπλάττειν τροχίσκους, E ἡ χρῆσις δεδήλωται. Διονυσίου Σαμίου. ℞. γῆς Ἐρετριάδος μνᾶν α'. λεπίδος χαλκοῦ ἡμιμναῖον, ἰχθυοκόλλης μνᾶς τέταρτον, λιβάνου μνᾶς ὄγδοον, ἰοῦ ξυστοῦ μνᾶς ὄγδοον. σμύρνης μνᾶς ἑκκαιδέκατον, ὄξους χοᾶς β'. συντίθει ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἐν ἡλίῳ τρίβων πάντα ὁμοῦ σὺν τῷ ὄξει. τὴν δ' ἰχθυοκόλλαν λεπτὰ ποιήσας, βρέχε σὺν ὀλίγῳ ὄξει ἐν ὑελίνῳ ἀγγείῳ, εἶτα μίξας τοῖς ἐν τῇ θυίᾳ, ἀνάπλαττε τροχίσκους ἀνὰ ὁλκὰς ἀγούσας τέσσαρας, οὓς δὲ ὀκτὼ καὶ ξήραινε. ἐπὶ δὲ τῆς χρήσεως τοῦ φαρμάκου μέρος ἓν, πρὸς τρία κηρωτῆς σκευασθείσης διὰ ῥοδίνου, ἐπὶ δὲ τῶν σπληνίων ἐπιρρίπτει ἔρια οἰσυ- F πηρὰ βεβρεγμένα ὄξει, ἐπὶ συρίγγων πρὸς μέρος ἓν φαρμάκου, κηρωτῆς ῥοδίνης μέρη β'. ποιῶν κολλύρια ἐντίθει. ἡ διὰ τῶν βοτανῶν, ὡς Λεύκιος ὁ καθηγητής. ℞. ἀναγαλλίδος τῆς τὸ κυάνεον ἄνθος ἐχούσης < νϛ'. μήκωνος ἀγρίας < νϛ'. ὑοσκυάμου χλωροῦ τῶν φύλλων, καὶ πράσων χλωρῶν ἀνὰ < νϛ'.

De tertio genere vlcerum, quæ vix ad sanitatem perueniunt, Asclepiades hæc ad verbum scripsit.

Ad vlcera, quæ nequaquam coëunt; aut si coëant, rursus soluuntur, vel carne corrupta, vel etiam ossibus subiectis labefactatis; huiusmodi confecturis vtendum est. Ad chironia, & quæ difficilem curationem habent, medicamentum confectum. ℞. squamæ æris, æruginis rasæ, singulorum vnciam j. ceræ selibram, resinæ laricis ℥. j. ß. Quæ liquantur, aridis misceto, excipitoque, ac vtitor curiosè subigens, latiusculum ceratum soli affectæ parti iniiciens, vt vlcus tantùm comprehendat; ambientes verò particulas medicamento, quod phlegmonem propellit, circundare oportet; tertio curationis die vlcus soluere, dein fomentis lenire, ipsumq; ceratum ablutũ emollire, ac rursus imponere, donec cicatrix appareat. *Aliud accommodatum.* ℞. æruginis, squamæ æris, singulorum vncias ij. diphrygis vnciam vnam, ceræ libram vnam, laricis vncias iij. præparato, ac vtitor, sicut prædictum est. Post hæc de medicamentis, quæ nominantur Cephalica, idest capiti accommodata, sic ad verbum Asclepiades tradidit. *Deileontis cephalicum ad diuturna, & quæ difficulter seruantur. Ossa corrupta educit.* ℞. æris squamæ, mannæ, thuris, resinæ siccæ, singulorum drach. centum, aceti heminas xij. Terito squamam ex aceto, & quum læuis facta fuerit, thus in minutissimum puluerem redactum adiicito, & resinam; pastillos fingito, quos in vmbra desiccabis. In vsu, quum callum auferre conaris, medicamenti partem vnam, cerati ex rosaceo confecti æqualem sumito. In aliis verò sit medicamenti portio vna, cerati partes tres, vel quatuor; nam temperamentum subiectis affectibus conuenire oportet. *Cephalicum melanchloron*, idest, *ex nigro viride, quo vsus est Tryphon Archaus: Facit ad diuturna, & vix sanabilia. Ossa corrupta reducit.* ℞. æris squamæ drach. xij. mannæ, thuris, guttæ ammoniaci, resinæ pityinæ siccæ, seui vitulini curati, resinæ terebinthinæ, singulorum drach. xvj. ceræ, olei vtriusque quartam minæ partem, aceti heminam vnam, conficito ad modum prædictum. *Philotæ cephalicum, ad diutina, difficiliáque sanatu. Ossa corrupta reducit, & callos consumit.* ℞. terræ Eretriadis drach. centum, æris squamæ drach. quinquaginta, ichthyocollæ drach. xxv. aceti heminas xij. Ichthyocollam minutim contusam in vas vitreum coniicere oportet, acetum affundere, vt irrigetur, dissolutam medicamento præparato immittere; vbi miscuerimus, pastillos efformare; vsus indicatus est. *Dionysij Samij.* ℞. terræ Eretriadis minam vnam, æris squamæ minæ dimidium, ichthyocollæ quartam partem, thuris octauam, æruginis rasæ octauam, myrrhæ decimamsextam, aceti congios duos. Componito sub æstu caniculæ, in sole omnia cum aceto simul terens; ichthyocollam verò tenuem faciens aceto modico in vase vitreo imbuito; deinde quum miscueris iis, quæ sunt in mortario, pastillos fingito quatuor singulos drachmarum, quosdam octo, & desiccato. Vbi vtendum erit, medicamenti partem j. cum tribus cerati ex rosaceo confecti sumito, spleniis lanam succidam aceto madentem superdato, fistulis medicamenti partẽ j. cerati rosacei ij. collyria faciens imponito. *Emplastrum dia botanon. i. ex herbis, vt Lucius præceptor conficiebat.* ℞. anagallidis flore cœruleo ʒ. lvj. papaueris agrestis ʒ. lvj. hyoscyami viridis foliorũ, & porrorum viridiam singulorũ ʒ. lvj.

squamæ

A squamæ æris ʒ. xxv. mannæ ʒ. xx. resinæ pityinæ siccæ ʒ. xvj. aloës ʒ. vj. aluminis scissilis drach. iv. rotundi ʒ. iv. salis ammoniaci ʒ. iv. ceræ minam j. olei veteris heminas ij. aceti quantum satis est. Herbis diligenter contusis, acetoque solutis, humorem ad medicamenti confecturam exprimito; *Isis cephalica, ad chironia, & curatu difficilia; est item cruentis idoneum.* ℞. ceræ ʒ. c. resinæ colophoniacæ ʒ. cc. guttæ ammoniaci, squamæ æris, thuris vsti, aristolochiæ tenuis, æruginis, salis ammoniaci, singulorum drach. octo, galbani, mannæ, myrrhæ, aloës singulorum drach. xij. aluminis rotundi ʒ. vj. olei veteris heminam vnam, aceti B quantum sufficit. Præparato, ac vtitor interdum mero, interdum diluto medicamento.

A λεπίδος χαλκοῦ < κε'. μάννης < κ'. ῥητίνης πιτυίνης ξηρᾶς < ιϛ'. ἀλόης < ϛ'. στυπτηρίας σχιστῆς < δ'. καὶ στρογγύλης < δ'. ἁλὸς ἀμμωνιακοῦ < δ'. κηροῦ μνᾶν α'. ἐλαίου παλαιοῦ Κο β'. ὄξους τὸ ἱκανόν. τὰς βοτάνας κόψας ἐπιμελῶς, καὶ ὄξει διαλύσας, ἔκθλιβε τὸ ὑγρὸν πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν. ἡ Ἶσις κεφαλικὴ, πρὸς τὰ χειρώνεια καὶ δυσαλθῆ. ἔστι δὲ καὶ ἔναιμος ἀγαθή. ℞. κηροῦ < ρ'. ῥητίνης κολοφωνιακῆς < σ'. ἀμμωνιακοῦ θυμιάματος, λεπίδος χαλκοῦ, λιβανωτοῦ κεκαυμένου, ἀριστολοχίας λεπτῆς, ἰοῦ, ἁλὸς ἀμμωνιακοῦ ἀνὰ < η'. χαλβάνης, μάννης, σμύρνης, ἀλόης ἀνὰ < ιβ'. στυπτηρίας στρογγύ-B λης < ϛ'. ἐλαίου παλαιοῦ Κο α'. ὄξους τὸ ἱκανόν. σκεύαζε, καὶ χρῶ ποτὲ μὲν ἀκεράτῳ τῷ φαρμάκῳ, ποτὲ δὲ ἀνιεμένῳ.

CAPVT XIV.

De scriptis ab Hera vtilibus emplastris ad vix sanabilia vlcera.

ALia sanè quædam emplastra vsus multiplicis tradidit, quæ vlceribus quoque ægrè cicatricem ducentibus, & malignis esse accommodata affirmat. Vnius verò propriè ad ea sola conducentis meminit, sic ferè de ipso scribens ad ver-C bum. *Emplastrum ipsius Hygiini ad multa vtile, bonicoloris. Facit bene vlceribus, quæ ad cicatricem ægrè perueniunt; item ad Paronychia, quo nullum extat præstantius.* ℞. argenti spumæ chrysitidis minam j. ceræ minam j. chamæleontis nigri radicis drach. xxxvj. æruginis rasæ ʒ. xviij. chrysocollæ ʒ. xl. olei heminas iij. Argenti spumam cum oleo leni igne coquito, donec inferuescere incipiat; deinde quum ab igne deposueris, æruginem inspergito; iterum coquens moueto, quousque colorem proprium receperit; mox cerã indito, quum bene D medicamentũ habet, chrysocollã, & chamæleontem, in mortarium demissis acetũ instillato. Valet ad eadẽ chrysocolla etiã cõtenta, quanquã, & sine hac longè mitigantissimũ est, summeq; iuuat neruorum punctus, item quum à neruis, vel musculis eluere quid oportet. Ac rectè fecit Heras, ad finem sermonis de emplastro, scribens chrysocolla addita non esse mitigatorium, seu leniens; quippe astringens aliquid medicamentũ hoc continet, at quæ ob dolorem videlicet mitigantur, relaxantibus indigent. Nam in hoc solùm accidens mitigari postulat, & subinde mitigantia dolorificum ipsum affectũ offendunt. Verùm vehementiori malo succurrentes, dolorem primo lenimus, deinde sic ad ea, quę morbum curare possunt, accedimus. Itaq; chrysocolla, sicut & priùs dictũ est, medicamentũ ex iis, quę ad vlcera vix curabilia mirificè faciunt, quemadmodũ pleraq; alia, quę prę terquã, quòd vehementer siccant, etiam nonnihil astringunt. Porrò nullum huiusmodi medicamentum est mitigatorium. Quoniam verò minę, & heminę meminit, spumę argenti minã vnam inijcere pręcipiens, olei heminam (dictum namque mihi est etiam in superioribus cõmentariis, nonnullos viginti vnciis, quosdam sedecim, minam ęstimare, vt heminam alios vnciis nouem, alios duodecim) F distinguenda quoq; hęc veniunt. Sumetur autem distinctio ab iis, quę medicamentum promittit, & metallicorum quantitate. Etenim propter pollicitationem coqui affatim postulat, eóque plus olei accipere; ob metallicorum autem mixtionem, quę non pauca sunt, oleosam humiditatem exigit.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῶν ὑπὸ τοῦ Ηρα γεγραμμένων χρησίμων ἐμπλάστρων εἰς τὰ δυσθεράπευτα τῶν ἑλκῶν.

ΑΛλας μὲν τινὰς ἐμπλάστρους ἔγραψε πολυχρήστους, ἃς καὶ πρὸς τὰ δυσκατούλωτα καὶ κακοήθη φησὶν ἁρμόττειν. ἐξαιρέτως δὲ πρὸς ταῦτα μόνα διαφερούσης, ἐμνη-C μόνευσε μιᾶς ὧδέ πως γράψας αὐτοῖς ὀνόμασι περὶ αὐτῆς. ἡ Ὑγιείνου αὐτοῦ πρὸς πολλὰ εὔχρους, ποιοῦσα ἐπὶ τῶν δυσεπουλώτων, καὶ ἐπὶ παρωνυχιῶν, ταύτης καλλίων ἔμπλαστρος οὐκ ἔστι. ℞. λιθαργύρου χρυσίτιδος μνᾶν α'. κηροῦ μνᾶν α'. χαμαιλέοντος μέλανος ῥίζης < λϛ'. ἰοῦ ξυστοῦ < ιη'. χρυσοκόλλης < μ'. ἐλαίου Κο γ'. λιθάργυρον, ἔλαιον ἕψε μαλακῷ πυρὶ, ἕως ἄρξηται ἀναζεῖν, εἶτα ἔμπασσε τὸν ἰὸν, ἄρας ἀπὸ τοῦ πυρὸς, καὶ κίνει πάλιν ἕψων, ἕως τὸ χρῶμα τὸ ἴδιον ἀπολάβῃ, εἶτα κηρὸν, ὅταν δὲ καλῶς ἔχῃ, χρυσοκόλλαν καὶ χαμαιλέοντα, κατεράσας δὲ εἰς θυίαν, ὄξος ἐπίρραινε. πρὸς D μὲν τὰ προγεγραμμένα ποιεῖ, καὶ τῆς χρυσοκόλλης παραπλεκομένης. χωρὶς μέντοι ταύτης, παρηγορικωτάτη ἐστὶ, καὶ ἄκρως ποιοῦσα πρὸς τὰ τῶν νεύρων νύγματα, καὶ ὅπου τι ἀναπλῦσαι δεῖ, ἀπὸ μυῶν, ἢ νεύρων. καλῶς ἐποίησεν ὁ Ηρας, ἐπὶ τῷ τέλει τοῦ περὶ τῆς ἐμπλάστρου λόγου, προσγράψας ὅτι μετὰ τῆς χρυσοκόλλης οὐκ ἔστι παρηγορική, στυπτικὸν γὰρ ἔχει τι φάρμακον τοῦτο, χαλαστικῶν δὲ δεῖται τὰ παρηγορούμενα δι᾽ ὀδύνην δηλονότι. παρηγορεῖσθαι γὰρ ἐν τούτῳ μόνον τὸ σύμπτωμα χρήζει, καὶ πολλάκις γε τὰ παρηγοροῦντα, τὴν ὀδυνώδη διάθεσιν αὐτὴν βλάπτει. ἀλλὰ πρὸς τὸ κα-E τεπεῖγον ἱστάμενοι, τὴν ὀδύνην πρῶτον πραΰνομεν, εἶθ᾽ οὕτως ἐπὶ τὰ τὴν διάθεσιν ἰᾶσθαι δυνάμενα παραγινόμεθα. χρυσοκόλλα μὲν οὖν, ὡς καὶ πρόσθεν εἴρηται, τῶν θαυμαστῶν ἐστι ποιούντων φαρμάκων πρὸς τὰ δυσίατα τῶν ἑλκῶν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν σφοδρῶς ξηραινόντων, ἅμα τῷ στυπτικόν τι ἔχειν, παρηγορικὸν δ᾽ οὐδέν ἐστι τῶν τοιούτων φαρμάκων. ἐπεὶ δὲ καὶ μνᾶς ἐμνημόνευσε, καὶ κοτύλης, λιθαργύρου μὲν μνᾶν α'. κελεύσας ἐμβαλεῖν, ἐλαίου δὲ κοτύλην, εἴρηται γάρ μοι καὶ διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων, ἐνίοις μὲν εἴκοσιν οὐγγιῶν, ἐνίοις δὲ ἑκκαίδεκα νομί-F ζειν τὴν μνᾶν, ὥσπερ γε καὶ κοτύλην, ἐνίοις μὲν γο θ'. τινὰς δὲ ιβ'. διορίσαι χρὴ καὶ περὶ τούτων. ὁ διορισμὸς δὲ ἐκ τῆς ἐπαγγελίας τοῦ φαρμάκου, καὶ τῆς ποσότητος τῶν μεταλλικῶν γίνεται. διὰ μὲν γὰρ τὴν ἐπαγγελίαν, ἑψήσεως ἱκανῶς δεῖται. διὰ τοῦτο δὲ, καὶ πλέονος ἐλαίου, διὰ δὲ τὴν τῶν μεταλλικῶν μίξιν, οὐκ ὀλίγων ὄντων, ὑγρότητος ἐλαιώδους δεῖ τῷ φαρμάκῳ.

μὴ λαμβάνοντος οὖν αὐτοῦ, μήτε στέαρ, μήτε μυελὸν, μήτε A
ῥητίνην ὑγρὰν, οὐ δῆλον αὐξῆσαι τὸ ἔλαιον. ἐὰν μὲν οὖν, ὡς πρὸς εἰκοσιουγγίας τὴν μνᾶν λογιζώμεθα, βαλοῦμεν ἐλαίου πάντως τρεῖς κοτύλας, ἑκάστην οὐγγιῶν ιβ΄. ἐὰν δὲ ἑκκαίδεκα, δυνατὸν μέν ἐστι, καὶ τὴν τοῦ ἐλαίου κοτύλην, ὡς πρὸς ἐννέα οὐγγίας ἐμβαλεῖν. δυνατὸν δὲ καὶ ὡς πρὸς ιβ΄. καὶ διὰ τὴν ἕψησιν ἐπὶ πλέον ὠφελοῦσαν γενέσθαι. τοῖς γὰρ τοιούτοις φαρμάκοις, ὠφελιμώτατον τοῦτο, καὶ διὰ τὰ μεταλλικὰ πλῆθος οὐκ ὀλίγον ὄντα. ἐὰν γὰρ τὰς τοῦ χαμαιλέοντος < λϛ΄. συναριθμήσαις ταῖς ιη΄. μὲν τοῦ ἰοῦ, χρυσοκόλλης δὲ μ΄. γένοιντ᾽ ἂν ἐννενήκοντα τέσσαρες < δεόμεναι καὶ αὗται μίξεως ἐλαίου συχνοῦ, B
καὶ μάλιστα ὅτι καὶ κηροῦ < ρ΄. ἀξιοῖ βάλλεσθαι. πάντως γὰρ δήπου καὶ οὕτως, πολλοῦ ἐλαίου δεήσεται. ταύτην μὲν οὖν τὴν ἔμπλαστρον ὁ Ἡρας ἔγραψε, μαρτυρήσας αὐτῇ, τὸ ἐπὶ τῶν δυσεπουλώτων ἁρμόττειν, ἄλλας δὲ πολυχρήστους κατὰ τὴν αὐτὴν βίβλον γράψας, ἐπὶ πολλοῖς ἔργοις αὐτῶν, καὶ τὸ τοῖς δυσεπουλώτοις, ἢ καὶ κακοήθεσιν, ἢ χειρωνείοις ἁρμόττειν προσέγραψε. πάντες γὰρ τήν τε Ἀριβαρζάνειον ὑπ᾽ αὐτοῦ καλουμένην ἐπῄνεσαν, ὡς τὰ κακοήθη, καὶ νεμόμενα, καὶ δυσαλθῆ θεραπεύουσαν, καὶ τὴν Ἶσιν, ὡς γαγγραίνας περιγράφουσαν. καὶ τρίτην ἐπὶ ταύταις, ἧς ἤρξατο κατὰ τήνδε τὴν λέξιν. εὔχρους, ἔναιμος, ἐπουλω- C
τικὴ, λέγων αὐτὴν καὶ τοῖς χειρωνείοις βοηθεῖν. καὶ τετάρτην ἣν αὐτὸς ὀνομάζει πανάκειαν, καὶ πέμπτην τὴν Ἱκεσίου. περὶ μὲν οὖν τῶν πολυχρήστων ἐμπλάστρων, ὁ μετὰ τοῦτο τὸ βιβλίον ἔσται μοι λόγος, ἐν ᾧ καὶ ταύτας γράψω τὰς ἐπῃνημένας ὑπὸ Ἡρα. ἐν τούτῳ δὲ προσγράψω τὰ πρὸς δυσθεράπευτα, χειρώνεια δὲ ὑπό τινων καλούμενα, διὰ μακρᾶς πείρας βεβασανισμένα τοῖς τε διδασκάλοις ἡμῶν, καὶ ἡμῖν αὐτοῖς. ἔνια δ᾽ αὐτῶν, καὶ ὑπὸ παλαιοτέρων ἀνδρῶν ἐνδόξων μεμαρτύρηται, καθάπερ γε καὶ ἡ γεγραμμένη κατὰ τὸ βιβλίον τὸ ἐπιγεγραμμένον Μαντίου φαρμακοπώλης ὁ κατ᾽ ἰατρεῖον. ἔγραψε δὲ περὶ αὐ- D
τῶν αὐτοῖς ὀνόμασιν οὕτως. Ἰώδης Μαντίου. ℞. χαλκοῦ κεκαυμένου μνᾶς δ΄. ῥητίνης πιτυΐνης ξηρᾶς < η΄. κηροῦ < η΄. ἰοῦ < ι΄. ἐλαίου ℔ α΄. γῆς κιμωλίας < δ΄. λιβάνου < δ΄. λεπίδος χαλκοῦ < δ΄. τὰ ξηρὰ λεάνας, ἔασον ἐν τῇ θυίᾳ, τὸν δὲ κηρὸν τήξας μετὰ τοῦ ἐλαίου, κατέρασον ἐπάνω τῶν τετριμμένων, καὶ ἔασον συμπιεῖν βραχὺν χρόνον, καὶ παράχει ὄξους ℔ α΄. καὶ λεῖα ποίει ἐπὶ ἡμέρας γ΄. παραχέων ὄξους ὅσον ἂν ἐπιδέχηται, ὥστε γενέσθαι κηρωτῆς ὑγρᾶς πάχος. χρῶ δὲ αὐτῇ πρὸς πᾶν τραῦμα, καὶ τὰ παλαιὰ, καὶ τὰ δυσεπούλωτα ἕλκη, καὶ ὅσα καρκινώδη ἐστὶ μετὰ πλιμάτων. δεῖ δὲ ἐπάνω τοῦ σπληνίου, ἔριον οἰσυ- E
πηρὸν οἴνῳ καὶ ἐλαίῳ βρέχοντας ἐπιδεσμεῖν ἐλαφρῶς, λύοντα τοῦ μὲν θέρους, δι᾽ ἡμερῶν β΄. τοῦ δὲ χειμῶνος, διὰ τριῶν, καὶ καταντλεῖν τὰ ἕλκη ὕδατι χλιαρῷ. τὰ δὲ βαθέα τῶν τραυμάτων, ἐλαφρῶς διαμοτοῦν αὐτὰ τὰ στόματα. ἡ γὰρ δύναμίς ἐστιν ἔμμοτος καὶ πυοποιός. ὡς δ᾽ ἂν καθαρὰ γένηται τὰ ἕλκη, καὶ ἡ ἐσχάρα ἐκπέσῃ, κηρῷ μίσγων ἶσον ἰῷ ἀπουλοῖ. ἐκβάλλει δὲ καὶ τοὺς ἄνθρακας ἀλύπως, καὶ πᾶν νεμόμενον κακόηθες ἵστησι, καὶ ἐκθεραπεύει. χρῶ δὲ καὶ πρὸς τοὺς ἕρπητας, καὶ τοὺς σαπροὺς ὄνυχας. ὁμοίως δὲ καὶ πρὸς πάντα, τῷ οἴνῳ καὶ ἐλαίῳ δεῖ χρῆσθαι μετὰ τοῦ ἐρίου, καὶ τοὺς ὀδόντας δὲ τοὺς βεβρωμένους F
πλήρου τῷ φαρμάκῳ. ἔμπλαστρος Γαληνοῦ. καλὴ ἡ ἡμετέρα. ℞. κηροῦ καὶ πίσσης, καὶ ἀσφάλτου ἀνὰ λίτρας α΄. μάννης, ἰοῦ, ψιμμυθίου κατὰ τὸ S. τῶν προειρημένων, τουτέστιν ἡμίλιτρον ἑκάστου. σιδίων δὲ καὶ κηκίδος, καὶ ἀκάνθης Αἰγυπτίας, καὶ ἴρεως Ἰλλυρικῆς, καὶ ἀριστολοχίας στρογγύλης, καὶ χαλκάνθου,

A Quum igitur, nec pingue, nec medullam, nec resinam liquidam capiat, oleum augere ratio est. Itaque si minam ceu viginti vnciis æstimemus, olei certè tres heminas infundemus, singulas vnciarum duodecim; sin autem sedecim reputauerimus, olei heminam ceu vnciarum nouem licet immittere. Potest etiam addi, si vncias duodecim pendat, propter coctionem diutùs celebrandam; nam id talibus medicamentis est vtilissimum, vel metallicorum causa, quorum non mediocris copia existit. Si enim chamæleontis drach. xxxvj. adnumeres, æruginis quidem octodecim, chrysocollæ quadraginta drachmis, fient vniuersi nonagintaquatuor, qui & ipsi copiosi olei mixturam B
requirunt, maximè quum ceræ drach. centum, simul addi præcipiat, omnino enim, vel sic multo oleo erit opus. Hoc igitur emplastrum Heras conscripsit, affirmans vlceribus ægrè cicatricem contrahentibus ex vsu esse. Aliis verò vsus multiplicis eodem in libro scriptis, post multa ipsorum opera subdidit. *Cicatricem ægrè sumentibus, vel malignis quoque, vel chironiis idonea.* Nam & Aribarzanion ab ipso dictum commendat aduersus maligna, pascentia, & difficilia curatu; item Isim, vt gangrænas coërcentem. Deinde tertium his C
verbis auspicatur. *Boni coloris, cruentis idoneum, cicatricem inducens.* Quod chironiis simul auxiliari dicit; insuper quartum, cui nomen indidit, Panacea; ad hæc quintum, Icesiam. De emplastris igitur, vario vsui accommodatis sequenti libro disputabimus, vbi simul ea, quæ Heras commendauit, adscribentur. Hîc autem quæ vix sanabilibus (chironia nonnulli vocant) medentur, longo vsu, tum à præceptoribus nostris, tum à nobis ipsis explorata, quorum nonnulla ab antiquioribus quoque viris præclaris approbata sunt, quemadmodum, & illud, quod in libro, cui titulus est Mantiæ pharmacopola de re medica, D
scriptum inuenio. Verba ipsius ita sonant. *Æruginosum Mantiæ.* ℞. æris vsti minas quatuor, resinæ pityinæ siccæ drachmas octo, ceræ drachmas octo, æruginis drachmas decem, olei heminam vnam, terræ cimoliæ drachmas quatuor, thuris drach. iv. squamæ æris drach. iv. Sicca læuigata in mortario sinito, ceram liquefactam cum oleo tritis superfundito, sinitoque pauxillo tempore combibere, aceti heminam addito; per triduum terito, quantum aceti excipiatur, immittens, vt liquidi cerati fiat spissitudo. Vtitor ad omne vulnus, & ad vlcera, & vix ad cicatricem venientia vlcera, & E
quæcunque cancrosa sunt, cum panniculis filatim concerptis; supra splenium verò lanam succidam vino, oleoque madentem leuiter alligare oportet, biduo per æstatem soluere, hyeme triduo, ac vlcera tepente aqua abluere, in profundis vulneribus ipsas oras leuiter linamentis intercipere, quippe medicamentum linamento excipi aptum est, & pus mouet. Hac ratione pura fient vlcera. & crusta excidet, ceram miscendo æqualem ærugini ad cicatricem perueniet. Exterit & carbunculos citra dolorem, omneque pascens malignum sistit, persanatque. Vtitor quoque ad herpetas, & vngues putridos; similiter autem, & ad omnia vino, F
& oleo vtendum est cum lana. Præterea dentes erosos medicamento repleto. *Emplastrum Galeni. Bonum nostrum.* ℞. ceræ, picis, bituminis, singulorum libram j. mannæ, æruginis, cerussæ, singulorum selibram, malicorij, gallæ, spinæ Ægyptiæ, iridis Illyricæ, aristolochiæ rotundæ, chalcanthi, singulorum

singulorum trientem, hoc est vncias quatuor; aristolochiæ verò longæ, & æris combusti, vtriusque sextantem, hoc est vncias duas. Sicca ex aceto pluribus diebus terito, vt etiam priùs ostensum est; iis probè elaboratis, quæ liquari possunt, cum oleo liquatis, heminam ipsis superfundito, mannam inspergens; vbi liquefacta frigefeceris, & deraseris, aridis ex aceto læuigatis sic admisceto, vt ne inter fundendum grumos ceræ modo facias, idq; potissimum ambiente nos aëre frigido. *Aliud nostrum.* ℞. bituminis, aluminis liquidi, singulorum libram vnam, picis, resinæ pityinæ, ceræ, duplum; aristolochiæ rotundæ, gallæ, spinæ Ægyptiæ, singulorum vncias octo, malicorij, æris vsti, mannæ, aristolochiæ longæ, singulorum vncias quatuor, olei ricinini, aut veteris, si illud non adsit, libras duas, quarum singulæ vncias duodecim contineant, vt omnes simul vnciæ collectæ sint vigintiquatuor. Præparo hoc quoque eodem modo cum prædicto, metallica ex aceto teruntur, deinde sicca adiiciuntur, rursusque læuigantur; postea cùm luti spissitudinem habuerint, liquata miscentur, vt prædiximus. *Aliud.* ℞. bituminis, resinæ terebinthinæ, picis brutiæ, singulorum libram vnam, olei drachmas vigintiquatuor; argenti spumæ, cerussæ, mannæ, æruginis, squamæ, opopanacis, singulorum pares portiones drachmis olei vigintiquatuor; ladani vncias duas, quæ valent drachmas sedecim, aceti heminas duas. Hoc quoque medicamentum perinde, ac superiora duo, conficitur. *Aliud.* ℞. chrysocollæ, squamæ, stomomatis, singulorum drach. iv. æruginis, & chalcanthi, vtriusque dimidium, hoc est, singulorum ʒ. ij. ceræ ʒ. xxv. hoc est, vncias tres, & drach. j. resinæ terebinthinæ vncias duas, idest, drach. xvj. Ceram cum terebinthina liquefacito, deinde aliis admisceto, bifariam medicamentum conficiens, interdum, vt prius citata aceto conterens arida, interdum sine hoc curiosè læuigata liquefactis misceto. Esto autem terebinthina liquidior, sicut plerunque larix appellata. In summâ, omnibus his medicamentis quæ Chironiis conuenire palàm est, laricem resinam si loco terebinthinæ misceas, non peccabis. *Aliud.* ℞. ceræ vncias iij. hoc est, drach. vigintiquatuor, æris vsti, squamæ, æruginis, singulorum drachmas duas, vt trium horum simul drachmæ sex existant. Cera esto pinguis, vt quæ cum rosaceo, vel myrteo modico emolliatur. Arida probè læuigata excipiantur, quemadmodum in omnibus medicamentis, quæ ad Chironia parantur, vehementer est necessarium. Quin etiam vbi sicca ceræ fuerint admixta, melius est ea diu in mortario contundere. *Aliud.* ℞. ceræ vncias sex, æruginis partem sextam, quæ est ℥. j. æris vsti, resinæ laricis, singulorũ ʒ. iij. vt ambo simul habeant ʒ. vj. Cera pinguis esto; inque aquam calentem proiecta, quò mollior fiat, manibus subigatur, æruginem, & æs in eam recipiendo, postea contundendo in pila, vbi resinæ quoque mixtio paulatim instillando fiet. *Aliud.* ℞. cadmiæ vncias tres, dimidio chalcitidis ponderi misceto, quod est vnciæ semissi. Tritis probè vinum austerum affundito, & rursus læuigato; vbi mellis consistentiam habuerit, ceratum ex cera, & resina fricta compositum immittito. Sint autem cuiusque pares portiones vnius vnciæ, vt ambæ duas vncias efficiant, myrtei liquefacti pauxillum adiicito.

A τούτων ἑκάστου τὸ τρίτον τῆς λίτρας, τουτέστιν οὐγγίας δ'. ἀριστολοχίας δὲ μακρᾶς, καὶ χαλκοῦ κεκαυμένου τὸ ἕκτον ἑκατέρου τῆς λίτρας, τουτέστιν ἀνὰ ℥ β'. τὰ μὲν οὖν ξηρὰ λέαινε σὺν ὄξει πλείοσιν ἡμέραις, ὡς καὶ πρόσθεν εἴρηται. καλῶς δὲ αὐτῶν κατειργασμένων, τὰ τηκτὰ τήξας σὺν ἐλαίῳ, κοτύλην καταχέε κατ' αὐτῶν, ἐπιπάσσων τὴν μάνναν, καὶ ψύξας τὰ τηκτά, καὶ ξύσας, οὕτως μίγνυε τοῖς ξηροῖς, λελειωμένοις σὺν ὄξει, μή πως ἐν τῷ καταχεῖν ἐγκηρίδας ποιήσῃς, καὶ μάλιστα ὅταν τὸ περιέχον ψυχρὸν ᾖ. ἡμετέρα ἄλλη. ℞. ἀσφάλτου καὶ στυπτηρίας ὑγρᾶς, ἑκατέρου λίτρας α'. πίσσης δὲ καὶ ῥη-B τίνης πιτυΐνης, καὶ κηροῦ, διπλάσιον ἑκάστου, τουτέστιν ἀνὰ λίτρας β'. ἀριστολοχίας δὲ στρογγύλης, καὶ κηκῖδος, καὶ ἀκάνθης Αἰγυπτίας ἀνὰ ℥ η'. τούτου δὲ σταθμοῦ τὸ ἥμισυ καθ' ἕκαστον τούτων, σιδίων καὶ χαλκοῦ κεκαυμένου, καὶ μάννης, καὶ ἀριστολοχίας μακρᾶς, τουτέστιν ἀνὰ ℥ δ'. ἐλαίου κικίνου, ἢ παλαιοῦ, ἐὰν μὴ ἔχῃς τὸ κίκινον λίτρας β'. τῆς λίτρας ἐχούσης ℥ ιβ'. ὥστε εἶναι τὰς πάσας ℥ κδ'. καὶ σκεύαζε, καὶ τοῦτο τὸν αὐτὸν τρόπον τῷ προτέρῳ, λειῶν τὰ μεταλλικὰ σὺν ὄξει, καὶ μετὰ ταῦτα προσεμβάλλων τὰ ξηρά, καὶ πάλιν λειῶν, εἶθ' ὅταν ἔχῃ ταῦτα πηλώδη σύστασιν, τὰ τηκτὰ μιγνὺς, ὡς προείρηται.

C Ἄλλη. ℞. ἀσφάλτου καὶ ῥητίνης τερμινθίνης, καὶ πίσσης Βρυτίας ἀνὰ λίτρας α'. ἐλαίου < κδ'. λιθαργύρου καὶ ψιμμυθίου, καὶ μάννης, καὶ ἰοῦ, καὶ λεπίδος, καὶ ὀποπάνακος, ἴσον ἑκάστου ταῖς εἴκοσι τέσσαρσι δραχμαῖς τοῦ ἐλαίου, λαδάνου ℥ δύο ὅπερ ἐστὶ < ιϛ'. καὶ δύο κοτύλας ὄξους, ὁμοίως καὶ τοῦτο τὸ φάρμακον τοῖς πρὸ αὐτοῦ δύο σκευάζεται. Ἄλλη. ℞. χρυσοκόλλης, καὶ λεπίδος, καὶ στομώματος ἀνὰ < δ'. ἰοῦ δὲ καὶ χαλκάνθου, ἑκατέρου τὸ ἥμισυ, τουτέστιν ἀνὰ < β'. κηροῦ < κε'. τουτέστι ℥ γ'. καὶ δραχμὴν μίαν, ῥητίνης τερμινθίνης ℥ β'. τουτέστιν < ιϛ'. τὸν κηρὸν μετὰ τῆς τερμινθίνης τῆξον, εἶτα τοῖς D ἄλλοις μιγνὺς, διττῶς σκευάζων τὸ φάρμακον, ποτὲ μὲν, ὡς τὰ πρόσθεν ὄξει τρίβων τὰ ξηρὰ, ποτὲ χωρὶς ὄξους ἀκριβῶς λελειωμένα μιγνὺς τοῖς τηκτοῖς. ἔστω δὲ ἡ τερμινθίνη ὑγροτέρα, καθάπερ ὡς ἐπὶ πολὺ ἡ λάριξ ὀνομαζομένη. καθόλου δὲ πᾶσι τοῖς φαρμάκοις τούτοις, ὅσα τοῖς χειρωνείοις ἁρμόττειν ὡμολόγηται, τῆς λαρικος ῥητίνης μιγνὺς ἀντὶ τῆς τερμινθίνης, οὐχ ἁμαρτήσεις. Ἄλλη. ℞. κηροῦ οὐγγίας γ'. τουτέστι < κδ'. χαλκοῦ κεκαυμένου, καὶ λεπίδος, καὶ ἰοῦ, ἀνὰ < β'. ὡς εἶναι τῶν τριῶν ὁμοῦ < ϛ'. ὁ κηρὸς ἔστω λιπαρὸς, ὡς μαλασσόμενος μετ' ὀλίγου ῥοδίνου, ἢ μυρσίνου, ἀναλαμβανέτω τὰ ξηρὰ E λελειωμένα καλῶς, ὅπερ ἐπὶ πάντων τῶν πρὸς τὰ χειρώνεια συντιθεμένων φαρμάκων, ἀναγκαιότατόν ἐστι. καὶ μέντοι καὶ μετὰ τὸ μίξαι τὰ ξηρὰ τῷ κηρῷ, κάλλιον ἐν ὅλμῳ κόπτειν ἐπὶ πλέον αὐτά. Ἄλλη. ℞. κηροῦ ℥ ϛ'. ἰοῦ τὸ ἕκτον, ὅπερ ἐστὶν ℥ α'. χαλκοῦ κεκαυμένου, καὶ ῥητίνης λαρικος ἑκατέρου < γ'. ὡς εἶναι συναμφοτέροις < ϛ'. ὁ κηρὸς λιπαρὸς ἔστω. καὶ βληθεὶς εἰς ὕδωρ θερμὸν, ὡς μαλακώτερος γενέσθαι, μαλασσέσθω διὰ τῶν χειρῶν, ἀναλαμβανομένων εἰς αὐτὸν τοῦ τε ἰοῦ καὶ τοῦ χαλκοῦ, καὶ μετὰ ταῦτα κοπτομένων ἐν ὅλμῳ, ἐν ᾧ καὶ ἡ τῆς ῥητίνης μίξις γενήσεται κατὰ βραχὺ παραστάζομένη.

F Ἄλλη. ℞. καδμείας ℥ γ'. τῷ ἡμίσει σταθμῷ χαλκίτεως μίξας, ὅπερ ἐστὶν ℥ α'. καὶ ἡμίσεια, λειώσας καλῶς, ἐπίχει οἶνον αὐστηρὸν, καὶ πάλιν λείου, καὶ ποιήσας μελιτῶδες τῇ συστάσει, μίξον τὴν κηρωτὴν ἐκ κηροῦ καὶ ῥητίνης φρυκτῆς γεγενημένην. ἔστω δὲ ἑκατέρου τὸ ἴσον οὐγγία α'. ὥστε συναμφότεραι οὐγγίαι β'. εἶναι, προσμίξεις δὲ αὐτοῖς βραχὺ μυρσίνου τηκομένης.

Ἄλλη. ℞. ἐλαίου παλαιοῦ, ἢ κικίνου, κοτύλην α'. κηροῦ καὶ πίσσης, καὶ ἀσφάλτου ἀνὰ λίτρας α'. μάννης, ἰοῦ, ψιμμυθίου κατὰ τὸ ἥμισυ τῶν προειρημένων, ὅπερ ἐστὶν ἑκάστου ἀνὰ ἡμιλίτριον, σιδίων, κηκίδος, ἀκάνθης Αἰγυπτίας, ἴρεως, ἀριστολοχίας στρογγύλης, χαλκάνθου τὸ τρίτον τῆς λίτρας ἑκάστου, ὅπερ ἐστὶν οὐγγίαι δ'. χαλκοῦ κεκαυμένου, ἀριστολοχίας μακρᾶς, ἕκτον τῆς λίτρας, ὅπερ ἐστὶν οὐγγίαι β'. ἑκατέρου, τὰ τηκτὰ συμμίξας τοῖς ξηροῖς προλελειωμένοις ἐν ὄξει, καθότι προείρηται. Ἄλλη. ℞. καδμείας, χαλκίτεως, ἀνὰ < μ'. δι' οἴνου λειοτριβήσας ἐν ἡμέραις πλείοσι, μίξας κηρωτῇ γινομένῃ δι' ἐλαίου καὶ κηροῦ. ἔστωσαν δὲ τοῦ μὲν ἐλαίου λίτραι β'. τοῦ δὲ κηροῦ δραχμαὶ σ'. κάλλιον δὲ ἐν ἐλάττονι συμμετρίᾳ σκευάζειν τοῦτο, καδμείας μὲν καὶ χαλκίτεως, ἀνὰ < ι'. ἐμβάλλοντα, κηροῦ δὲ καὶ ἐλαίου, ἀνὰ δραχμὰς ν'. Ἄλλη. ℞. καδμείας κεκαυμένης, καὶ χαλκίτεως κεκαυμένης, καὶ τερμινθίνης, καὶ κηροῦ τὸ ἴσον ἑκάστου, τὰ ξηρὰ λειώσεις ἐν οἴνῳ. Ἄλλη διὰ κίκεως. ℞. ἰοῦ δραχμὴν μίαν, στυπτηρίας ὑγρᾶς λίτραν μίαν, σιδίων, καὶ χαλκοῦ κεκαυμένου, καὶ μάννης μὲν τρίτον τῆς λίτρας ἑκάστου, ὅπερ ἐστὶν οὐγγίας δ'. κηκίδος τὸ διπλάσιον, ὅπερ ἐστὶν οὐγγίας η'. πίσσης δὲ καὶ πιτυΐνης, ἀνὰ λίτρας β'. καὶ ἀσφάλτου τὸ ἥμισυ τουτέστι λίτραν, ὅπερ καὶ τῆς ὑγρᾶς στυπτηρίας ἐμβεβλήκεις, ἀριστολοχίας δὲ στρογγύλης, καὶ τῆς κηκίδος ℥ η'. τῆς δὲ μακρᾶς ἀριστολοχίας ἥμισυ, τουτέστιν οὐγγίας δ'. ἐλαίου κικίνου λίτρας β'. τὰ μεταλλικὰ σὺν ὄξει λειώσεις, ὡς ἐπὶ τῶν προγεγραμμένων. Ἄλλη. ℞. κηροῦ οὐγγίας γ'. χαλκοῦ κεκαυμένου, καὶ λεπίδος, καὶ ἰοῦ, ἀνὰ λί. β'. τὸν κηρὸν προθερμάνας ἐν ὕδατι θερμῷ, μαλάξεις ἐν ταῖς χερσὶ μιγνὺς ῥόδινον, εἶτα ἀναλαβὼν, τὰ ξηρὰ κόψεις ἐν ὅλμῳ μέχρι πλείονος, ὡς ἀληθῶς ἑνωθῆναι πάντα, διὰ τρίτης, ἢ τετάρτης ἡμέρας λύε καὶ τοῦτο, καὶ τὰ ἄλλα πάντα τὰ τοιαῦτα, σπόγγον ἐπιτιθεὶς ἔξωθεν ἐξ ὕδατος, ἢ ὀξυκράτου. Ἄλλη. ℞. κηροῦ οὐγγίας ς'. ῥητίνης λάρικος τὸ ἥμισυ, τουτέστιν ℥ γ'. ἰοῦ τὸ τρίτον, ἢ κατὰ τὴν λάρικα, τουτέστιν ℥ α'. πίσσης Βρυτίας < γ'. χαλκίτεως κεκαυμένης ὁμοίως < γ'. σκεύαζε καὶ τοῦτο παραπλησίως τῷ προγεγραμμένῳ. Ἄλλη. ℞. χαλκοῦ κεκαυμένου, λεπίδος καὶ ἰοῦ, τὸ ἴσον ἑκάστου μίξον ἡμιολίῳ κηρῷ, μαλάξας τὸν κηρὸν, ὡς προείρηται, προβρέξας ὕδατι θερμῷ, καὶ προσβαλὼν ἐν τῷ μαλάττειν, ἢ ῥόδινον, ἢ μύρσινον, εἶτα εἰς ὅλμον ἐμβαλών. ἄμεινον δὲ τῶν τριῶν σταθμῶν τὸν κηρὸν ἴσον μιγνύειν, ὡς ὅτι νεώτατόν τε καὶ μαλακώτατον, καὶ λιπαρώτατον, ἵνα μὴ δεηθῇς πολλοῦ τοῦ ἐλαιώδους ὑγροῦ. Ἄλλη. ℞. ἰοῦ καὶ τερμινθίνης ἴσον ἑκατέρου, κηροῦ δὲ τὸ τριπλάσιον, στυπτηρίας δὲ τῆς σχιστῆς, καὶ καδμείας, καὶ λεπίδος ἑκάστου τὸ τετραπλάσιον, ὡς εἶναι τοῦ μὲν ἰοῦ μέρος α'. καὶ τῆς τερμινθίνης μέρος α'. τοῦ δὲ κηροῦ γ'. μέρη, λεπίδος καὶ καδμείας, καὶ στυπτηρίας σχιστῆς ἑκατέρου μέρη τέσσαρα. τὰ ξηρὰ κόψας καὶ σήσας, καὶ λειώσας ἀκριβῶς, εἰς ὅλμον ἐμβαλὼν, τὸν κηρὸν καὶ τὴν τερμινθίνην κόπτε προσεπιπάσσων τὰ ξηρά. βρέχων δὲ ὑπέροι μυρσίνῳ, ἢ ῥοδίνῳ ἐν ἀέρι θερμῷ, ῥᾳδίως γὰρ ἐν τούτῳ κοπήσεται, μάλιστα δὲ εἰ ἐν ἡλίῳ κόπτοιτο θερινῷ. ἡ χρῆσις, ὡς καὶ τῶν ἄλλων προαποῤῥυφθέντος τοῦ ἕλκους ἀφρολίτρῳ, καὶ καταπλυθέντος μελικράτῳ, καὶ σπογγισθέντος καλῶς, ὡς ἄνικμον εἶναι, καὶ μετὰ ταῦτα πλατύσματος ἐκ τῆς ἐμπλάστρου κατὰ τοῦ ἕλκους τεθέντος, εἶτα ἔξωθεν ἐξ ὕδατος ψυχροῦ διπλοῦ πτύγματος ἐξ ὀθόνης, εἶτα καινοῦ σπόγγου μαλακοῦ, καὶ λύσαις δηλονότι διὰ τρίτης, ἢ τετάρτης.

A *Aliud.* ℞. olei veteris, vel ricinini heminam j. ceræ, picis, bituminis, singulorum libram vnam, mannæ, æruginis, cerussæ, dimidio minus, quàm in prædictis, quod est cuiusque selibram, malicorij, gallæ, spinæ Ægyptiæ, iridis, aristolochiæ rotundæ, chalcanthi, singulorum trientem, qui valet vncias quatuor; æris combusti, aristolochiæ longæ, cuiusque sextantem, qui pendet vncias duas. Quæ liquantur, aridis antea ex aceto læuigatis commiscebis, vt prædictum est. *Aliud.* ℞. cadmiæ, chalcitidis, singulorum drachmas quadraginta. Ex vino tritis pluribus diebus ceratum, quod ex oleo, & cera constat, immittes. Sint autem olei libræ duæ, ceræ drachmæ ducentæ. B At satius est hoc minori symmetria conficere, ℞. cadmiæ, & chalcitidis, singulorum drachmas decem, ceræ & olei, cuiusque drachmas quinquaginta, iniiciendo. *Aliud.* ℞. cadmiæ combustæ, chalcitidis vstæ, terebinthinæ, ceræ, singulorum parem mensuram. Arida ex vino conteres. *Aliud ex Ricino.* ℞. æruginis ʒ. j. aluminis liquidi lib. j. malicorij, æris vsti, mannæ, singulorum trientem, qui valet ℥. iv. gallæ duplum adiicias, quod est ℥. viij. picis, pityinæ, singulorum lib. ij. bituminis dimidio minus, hoc est libram j. cui C aluminis liquidi etiam indideris, aristolochiæ rotundæ, & gallæ, singulorum vncias octo, longæ aristolochiæ dimidium, hoc est vncias quatuor, olei ricinini libras duas. Metallica ex aceto conteruntur, vt in superioribus. *Aliud.* ℞. ceræ vncias tres, æris vsti, squamæ, æruginis, singulorum libras duas. Ceram priùs in aqua calente calefaciens; manibus rosaceum admiscens, emollies, deinde arida excepta in mortario contundes diutius, vt verè omnium fiat vnitas. Tertio quartóve die hoc, & alia huiusmodi omnia soluito, spongiam extrinsecus ex aqua, vel D posca imponens. *Aliud.* ℞. ceræ vncias sex, resinæ laricis eius dimidium, hoc est vncias tres; æruginis triplo minus, quàm laricis fuit, hoc est vnciam, picis Brutiæ drachmas tres, chalcitidis vstæ similiter drachmas tres. Conficito & hoc, vt prædictum. *Aliud.* ℞. æris vsti, squamæ, æruginis, parem cuiusque mensuram, ceræ sesculplam misceto. Ceram, vt prædictum est, calente prius aqua madidam subigito; ac interea dum hoc agis, vel rosaceum, vel myrteum adiicito; deinde in pilam immittito. Præstat autem trium pondo ceram æqualem miscere quàm recentissimam, mollissimam, pinguissimam, ne multo E humore oleoso indigeas. *Aliud.* ℞. æruginis, terebinthinæ, pares vtriusque partes, ceræ triplo plures; aluminis scissilis, cadmiæ, squamæ, singulorum quadruplum, vt æruginis pars vna sit, item terebinthinæ vna, ceræ tres, squamæ, cadmiæ, aluminis scissilis, vniuscuiusque quatuor. Vbi arida contuderis, cribraueris, in puluerem exactè redegeris, in mortarium coniectam ceram, & terebinthinam contundito, sicca aspergens, pastillum myrteo, vel rosaceo madefaciens in aëre calido, nam in hoc facilè tundentur, maximè si id æstiuo Sole fiat. F Vsus est is, qui aliorum quoque, nimirum vlcere prius deterso aphrolitro, & postea eloto per melicratum, tum per spongiam probè purgato, vt madoris sit expers; deinde super id latiore linteo, cui emplastrum illitum sit, imposito; postea duplici linamento aqua frigida tincto extrinsecus superdato, præterea noua spongia molli, & tertio, aut quarto die id resolues.

Acerum hoc est absque cera, nostrum. ℞. argenti spumæ libras tres, olei ricinini veteris libras iv.ß. aceti quàm acerrimi libras duas; æris squamæ nigræ, chalcitidis, æruginis, singulorum vncias ij. Argenti spumam cum oleo priùs coquere oportet, donec strigmenti spissitudinem accipiat; deinde metallica plusculis diebus ex aceto trita adiicere; atque sic incoques, quousque non coinquinet. Licet etiam statim ab initio argenti spumam, cum oleo, & aceto diligenter mixtam coquere: ac vbi semicocta fuerint, squamam, chalcitidem, & æruginem immittere. Voco autem nunc libram olei, & aceti Romanam, quæ vncias duodecim peculiares continet. Quin & sex olei libras tribus argẽti spumæ pondo interdum committito, & nimirum secundum hanc symmetriam diutius incoquuntur. Quum præparas & hoc medicamentum, præstat argenti spumam cum solo oleo esse coctam; deinde metallica cum aceto iniici. Vbi verò tria fuerint, cuiusque vncias duas dixi immittendas aceti libris duabus, argenti spumæ tribus, olei ricinini veteris libris sex, vel, vt prius dixi, quatuor ß. Hoc medicamentum, & fistulas iungit, & callosas iam exiccat, contrahit, & claudit. At si bona victus ratione vsus quis fuerit, non resoluuntur; plenitudine verò insigni collecta, periculum est ne pars ex fluxione infestante phlegmone rursus tentetur, & fistula aperiatur. Et verò inueteratis vlceribus, & dysepulotis, quæ & chironia nominantur, non solùm medicamentũ impermixtum imponimus, sed etiam liquefactum oleo veteri, vel ricinino, ac linamento exceptum, etiam si puris vel minimum nondum in vlcere antea fuerit, concoquit ipsum, & generat, & crassum efficit. Cæterùm vlcus triduo solues, si nihil prohibet. Quòd si stomomatis squama fuerit, præstat; sin minus eam habeas, nec nigram, Cyprij æris squama iniicietur. Confeci aliquando hoc emplastrum, phrygij quoque lapidis vncia admixta, interdum etiam chrysocollæ vncia, sicut & amborum nonnunquam; glutinat & magna vulnera. *Aliud ad teneros & ex iisdem vlceribus nimis grauiter conflictantes.* ℞. ceræ lib. j. rosacei lib. j. cerussæ ℥. viij. salis ammoniaci ℥. iv. squamæ Cypriæ ℥. ij. thuris vnciam vnam, calcis viuæ ℥. j. aluminis fissilis vnciam vnam, æruginis vnciam vnam, malicorij vnciam vnam. Vsus prædictis idem est. Nouem in præsentia sunt medicamenta citra rosaceum composita, decimum enim illud. Ex nouem quinque sunt pari pondere, calx viua, malicorium, thus, alumen scissile, & ærugo. Squamæ duplo maius pondus est, & hanc sal ammoniacus duplo exuperat, hunc cerussa, huius sescupla rursus cera in libram vnam reducta, quam & rosaceum habet.

A Ἄκηρος ἡμετέρα. ℞. λιθαργύρου λίτρας γ'. ἐλαίου κικίνου παλαιοῦ λίτρας δ' S''. ὄξους δριμυτάτου λίτρας β'. λεπίδος χαλκοῦ μελαίνης, καὶ χαλκίτεως, καὶ ἰοῦ, τῶν τριῶν ἑκάστου ἀνὰ ℥ β'. τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου προεψεῖν χρὴ, μέχρι γλοιώδους συστάσεως, εἶτ' ἐπεμβάλλειν τὰ μεταλλικὰ, λελειωμένα πλείοσιν ἡμέραις μετ' ὄξους, καὶ οὕτως ἕψεις μέχρις ἀμολύντου. ἔνεστι δὲ καὶ κατ' ἀρχὴν εὐθέως τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου, καὶ τοῦ ὄξους ἀκριβῶς μίξαντα ἕψειν, ἐπεμβάλλειν τε ὅταν ἡμίεφθον γένηται, τὴν λεπίδα καὶ τὴν χαλκῖτιν, καὶ τὸν ἰόν. ὀνομάζω δὲ νῦν λίτραν ἐλαίου καὶ ὄξους τὴν Ῥωμαϊκὴν, ἥ τις ἐστὶν οὐγγιῶν τῶν ἰδίων δεκαδύο. βάλλων δέ ποτε καὶ ἓξ λί-
B τρας ἐλαίου πρὸς τὰς τρεῖς τοῦ λιθαργύρου, καὶ δηλονότι μέχρι πλείονος ἕψεται κατὰ ταύτην τὴν συμμετρίαν. σκευάζοντί σοι καὶ τοῦτο τὸ φάρμακον, ἄμεινόν ἐστι προηψῆσθαι μετὰ τοῦ ἐλαίου μόνου τὴν λιθάργυρον, εἶτα μετὰ τοῦ ὄξους ἐμβεβλῆσθαι τὰ μεταλλικά. τριῶν δὲ ὄντων αὐτῶν, ἑκάστου ℥ β'. ἔφην βάλλεσθαι, πρὸς ὄξους λίτρας β'. λιθαργύρου δὲ γ'. ἐλαίου δὲ κικίνου παλαιοῦ τὰς ἓξ λίτρας, ἢ, ὡς ἔμπροσθεν ἔφην, τὰς τέσσαρας καὶ ἡμίσειαν. τοῦτο τὸ φάρμακον, καὶ σύριγγας κολλᾷ, καὶ τετυλωμένας γε ἤδη ξηραῖνον, συνάγει καὶ κλείει, καὶ εἰ καλῶς
C διαιτώμενος εἴη τις, οὐκ ἀναλύονται. πλήθους δὲ ἀθροισθέντος ἀξιολόγου, κίνδυνος ἐκ ῥεύματος ἐπελθόντος, ἀναφλεγμῆναί τε καὶ τὸ μόριον, ἀνοιχθῆναί τε τὴν σύριγγα, καὶ ἐπὶ τῶν πεπαλαιωμένων δὲ ἑλκῶν καὶ δυσεπουλώτων ἃ καὶ χειρώνεια καλεῖται, οὐ μόνον αὐτὸ τὸ φάρμακον ἄκρατον ἐπιτίθεμεν, ἀλλὰ καὶ τακὲν ἐν ἐλαίῳ παλαιῷ, ἢ κικίνῳ ἔμμοτον ἐπιτεθὲν, εἰ καὶ μή πω πρόσθεν ποτὲ πύου, μηδὲ τὸ ἐλάχιστον εἴη γεγονὸς ἐν τῷ ἕλκει, συμπέσσει τε αὐτὸ καὶ πυοποιεῖ, καὶ τό γε πύον ἐργάζεται παχύ. λύσεις καὶ τοῦτο διὰ τρίτης ἐὰν μηδὲν κωλύῃ. ἐὰν δὲ ἡ λεπὶς στομώματος ᾖ, βέλτιον. εἰ δὲ μὴ ταύτην
D ἔχοις, μήτε τὴν μέλαιναν, ἡ τοῦ Κυπρίου χαλκοῦ βληθήσεται. ἐσκεύασά ποτε ταύτην τὴν ἔμπλαστρον, καὶ λίθου Φρυγίου μίξας οὐγγίαν, ἄλλοτε δὲ καὶ χρυσοκόλλης οὐγγίαν, ὥσπερ γε καὶ ἀμφοτέρων ποτὲ, κολλᾷ καὶ τὰ μεγάλα τραύματα. Ἄλλη πρὸς ἁπαλόχροας, καὶ δυσελκεῖς ἐπὶ τῶν αὐτῶν ἑλκῶν. ℞. κηροῦ λίτραν α'. ῥοδίνου λίτραν α'. ψιμμυθίου ℥ η'. ἁλὸς ἀμμωνιακοῦ ℥ δ'. λεπίδος Κυπρίας ℥ β'. λιβανωτοῦ ℥ α'. ἀσβέστου ℥ α'. σχιστῆς ℥ α'. ἰοῦ ℥ α'. σιδίων ℥ α'. ἡ χρῆσις ταῖς προγεγραμμέναις ὡσαύτως θ'. τὰ παρόντα ἐστὶ φάρμακα, συντεθέντα χωρὶς τοῦ ῥοδίνου, δέκατον γὰρ ἐκεῖνο. τῶν ἐννέα, πέντε
E μέν ἐστιν ἴσα τῷ σταθμῷ ἄσβεστος, καὶ σίδια, καὶ λιβανωτὸς, καὶ σχιστὴ στυπτηρία, καὶ ὁ ἰός. ἡ δὲ λεπὶς διπλασίου σταθμοῦ, καὶ ταύτης οἱ ἀμμωνιακοὶ ἅλες διπλάσιοι· καὶ τούτων τὸ ψιμμύθιον. ἡμιόλιος δὲ τούτου πάλιν ὁ κηρὸς εἰς λίτραν α'. ἀγόμενος, ἣν ἔχει καὶ τὸ ῥόδινον.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ, ΒΙΒΛΙΟΝ Ε'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA. LIBER QVINTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Ε'. ΒΙΒΛΙΩι.

Πολυχρήστοις ἐμπλάστροις τε, καὶ τροχίσκοις, καὶ ξηραῖς πραγματεία.

ARGVMENTVM LIBRI QVINTI.

Continet multiplicis vsus emplastra, pastillos, & arida.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν πολυχρήστων φαρμάκων.

ΠΕΡΙ τῶν πολυχρήστων φαρμάκων ἐνταῦθα λεχθήσεται. πολύχρηστα δ' ὀνομάζουσιν ὅσα πρὸς πολλὰς διαθέσεις ἁρμόττει, καί τινα αὐτῶν, οὐ μόνον ἑτερειδῆ, ἀλλὰ καὶ ἑτερογενῆ. ἅπαντα δὲ ἐξ ἐναντίων σύγκειται φαρμάκων, οὐ κατὰ τὰς πρώτας μόνον ποιότητάς τε καὶ δυνάμεις, ἀλλὰ καὶ κατὰ τὰς δευτέρας. εὔδηλον δ' ὅτι πρώτας μὲν ὀνομάζω, θερμότητα καὶ ψυχρότητα, καὶ ξηρότητα, καὶ ὑγρότητα, καὶ τὰς ἐκ τούτων συνθέτους, κατὰ συζυγίαν ἰώτινασιῶ. δευτέρας δὲ τὰς ἑπομένας αὐταῖς, ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τῷ πέμπτῳ τῆς τῶν ἁπλῶν φαρμάκων πραγματείας διῆλθον, ἐπιδεικνὺς ἔνια μὲν τῶν φαρμάκων, οὐ μόνων τῶν συνθέτων, ἀλλὰ καὶ τῶν αὐτοφυῶν μαλάττειν, ἔνια δὲ σκληρύνειν, ὥσπερ καὶ τὰ μὲν ἐμπλάττειν, τὰ δὲ ἐκφράττειν, καὶ τὰ μὲν ἐπιτρέφειν ῥύπον, τὰ δὲ καὶ τὸν ἐπικείμενον ἀπορρύπτειν. καὶ τὰ μὲν λεπτύνειν, τὰ δὲ παχύνειν. καὶ τὰ μὲν πυκνοῦν, τὰ δὲ ἀραιοῦν, καὶ τὰ μὲν ἀνατρέφειν σάρκα, τὰ δὲ ἀνακαθαίρειν, καὶ τὰ μὲν ἐπουλοῦν, τὰ δὲ ἑλκοῦν, καὶ τὰ μὲν ἕλκειν, τὰ δὲ ἀποκρούεσθαι, ἑτέρας τε τοιαύτας ἐν αὐτοῖς διαφοράς. εἴρηται δέ μοι καὶ διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων, ἥτις τῶν ἐναντίων ταῖς δυνάμεσι φαρμάκων ἀναγκαία μίξις, ἧς ἀναμνήσω καὶ νῦν ὀλίγον ὕστερον. ἄμεινον γάρ μοι δοκεῖ γράψαι τινὰ δύο καὶ τρία φάρμακα τῶν ἐνδόξων πολυχρήστων, εἶτ' ἐξηγήσασθαι τὸν λόγον τῆς συνθέσεως αὐτῶν. ἄρξομαι δὲ ἀπὸ τῶν ἅπασι γνωρίμων, ἃ κατά τε τὸν Ἡρα νάρθηκα γέγραπται, καὶ παρ' ἄλλοις τῶν φαρμακίτιδας βίβλους συνθέντων. ἐπεὶ δὲ κατὰ τὸ πρὸ τούτου βιβλίον ὁ λόγος ἐγένετό μοι περὶ τῶν δυσεπούλωτα θεραπευουσῶν ἕλκη δυνάμεων,

CAPVT PRIMVM.

De medicamentis multiplici vsui accommodatis.

A DE medicamentis Polychrestis futura híc est disputatio, vocant autem polychresta, quæ multis affectibus conueniunt. Suntque nonnulla ipsorum non modò specie, sed etiam genere diuersa, omnia verò ex contrariis cõstant medicamentis, etiam iuxta secundas qualitates, ac vires, non tãtùm primas. Patere arbitror cuius primas me appellare caliditatem, frigiditatem, siccitatem, & humiditatem, atque ex harum coniugatione quauis compositas; secundas verò, quæ ipsas sequuntur, vt in quinto libro De simplicibus medicamentis vberiùs percensui, ostendens nonnulla non solùm composita medicamina, sed simplicia quoque vt nascuntur, emollire, quædã indurare; quemadmodũ alia obstruere, alia reserare, alia sordes gignere, alia abstergere: alia attenuare, alia crassitiem admoliri; alia dẽsare, alia rarefacere, alia carnẽ inducere, alia repurgare; alia cicatricem ducere, alia exulcerare; alia trahere, alia repellere, aliasque similes eorum differentias. Porrò dictum mihi est, & superioribus cõmentariis, quæ contrariorum facultate medicamentorũ necessaria esset mixtura, cuius etiam nunc paulo post mentionem facturus sum. Melius enim mihi videtur duo quædam, triáve medicamenta celebria, quæ multiplicẽ vsum exhibeant, præscribere, deinde cõpositionis ipsorum rationẽ interpretari. Exordiar autem ab iis, quę nemo non nouit, quippe in Herę libro, cui titulus est, Nartex, idest, promptuarium medicamentorum prodita, tum apud alios, qui libros De medicamentis condiderunt. At quia superiori libro De virtutibus, quæ vlcera dysepulota curant, verba fecerim, animus

animus est nunc quoque emplastra illa multiplicis vsus primùm exponere, quæ causa malignorum (nonnulli chironia nominant) composuimus. Alia verò vsus dicta multiplicis, quòd multis quidem affectibus aliis conferant, non tamen etiam chironiis, ea rursus seriatim referre proposuimus.

A ἔδοξέ μοι καὶ νῦν ἐκείνας τῶν πολυχρήστων ἐμπλάστρων ἐξηγήσασθαι πρότερον, ὅσαι κακοήθων ἕνεκα συνετέθησαν, ἃ καλοῦσιν ἔνιοι χειρώνεια. ὅσαι δ' ἄλλαι πολύχρηστοι καλοῦνται, διὰ τὸ πρὸς πολλὰ μὲν ἁρμόττειν ἕτερα πάθη, μὴ μέντοι καὶ πρὸς τὰ χειρώνεια, ταύτας αὖθις ἐφεξῆς ἀλλήλαις διελθεῖν ἔγνωκα.

CAPVT II.

Quæ scripserit Heras.

ITaque quum opere medicamentorum Heras Cappadox emplastrũ quoddã ad huiuscemodi vlcera mirificè faciens tradiderit, inde sumam exordium, verba ipsius adscribens, quæ in hunc modum sonant. *Boni coloris cruentis idoneum, cicatricem ducens. Conglutinat, perfectè implet, atque cicatricem ducit solutum cum cerato, magisque adhuc circa cicatricem inducendam efficax est. Valet etiam ad chironia vlcera, aliaque similia summopere. Nam callos consumit, deinde genuinam carnem generat, valde album.* ♃. ceræ lib. ij. frictæ lib. iij. æruginis rasæ ℥.vj. mannæ ℥.iij. olei heminas quinque. aceti sextarium. Liquabilia siccis admiscentur. Vsus est emplastri ad vulnera, cum rosaceo temperatum pus generat, cerato solutum ad cicatricis generationem repurgat. Quidam tamen resinæ frictæ lib. ij. & terebinthinæ tantundem, ingesserunt; atque sic præparatum ærugine rasa ipsum exceperunt, vt collyrij tenorem haberet; atque hoc imposuerunt, vbi callos consumere studerent; promptè enim hæc facit, vt etiam ossa separet. Merito igitur, & emplastrum hoc Heras commendat, ceu ex æruginis, & aceti copiâ efficax, si quid in superiore libro dictorum meminimus. Laudat item Panaceam ab eo vocatam, quam deinceps verbis illius apponimus. *Panacea Heræ à nonnullis sanitas nominata. Ad omnem paßionem, & malignitatem. Sistit autem nomas, neque crustas facit, neque circumpositis partibus duritiem conciliat. Rumpit ac tabefacit omne corruptum, vt nihil à liquida staphide differat. Cohibet sanguinis eruptionem, tum aliam, tum quæ per hæmorrhoidas fieri solet, myrteo dilutum. Item hæmorrhoidas ipsas tabefacit, & consumit. Insuper fistulis medetur, & carbunculis. Sanat ægylopas, & chironia, vt vocant. In summa vix sanabilium, & diuturnorum genus latentibus quidem locis veluti vtero, vnguento cyprino liquidum: exterioribus autem præstat, vt alia singula, sic apponere. At omni vlceri impositum, quamuis agresti, mitius statim id efficiet, dolores minuet & vigilias. Hæc eius virtus est.* ♃. Chamæpityos drachmas quatuor, symphyti drachmas quatuor, chamæleontis drachmas quatuor, marrubij drachmas quatuor, apud alios sex: polij drach. vj. centaurij tenuis drach. vj. helenij drach. iv. aristolochiæ drach. iv. thuris drach. xij. ß. myrrhæ drach. iij. aloës drach. vj. galbani ʒ.vj. oboli vnius, & semissis; olei ʒ.clxxx. mellis xxx. propolis drach. xij. ß. aluminis fissilis drach. vj. oboli vnius, & semissis; terebinthinæ drachmas sex, oboli vnius, & semissis, chalcitidis drachmas sex, oboli vnius, & semissis; bituminis drachmas quinquaginta, terræ ampelitidis drach. quinquaginta; argenti spumæ drachmas quinquaginta, gallæ drachmas tres, pulueris iridis drachmas tres; contusæ pridie herbæ, & radices, oleo immittuntur; vbi nocte tota in eo durauerint, manè argenti spuma, ampelitis, bitumen inijcitur; supra ignem lenem incoquuntur;

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ὑπὸ Ἡρα γεγραμμένων.

ΓΕγραμμένης οὖν ἐν τῇ βίβλῳ τῶν φαρμάκων ὑπὸ τοῦ
B Καππαδόκου Ἡρα, πρὸς τὰ τοιαῦτα τῶν ἑλκῶν ἐμπλάστρου τινὸς ἄκρως ποιούσης, ἀπ' αὐτῆς ἄρξομαι, τὴν λέξιν παραγράψας τἀνδρὸς ὧδέ πως ἔχουσαν. εὔχρους ἔναιμος, ἐπουλωτική, κολλῶσα μὲν ἀκραιφνῶς, πληροῦσα δὲ καὶ ἐπουλοῦσα, ἐκλυθεῖσα μετὰ κηρωτῆς, καὶ ἔτι μᾶλλον περὶ τὴν ἐπούλωσιν. ποιεῖ μέντοι καὶ ἐπὶ τῶν χειρωνείων ἑλκῶν, καὶ τῶν ἄλλων τῶν παραπλησίων ἄκρως. τούς τε γὰρ τύλους τήκει, καὶ μετὰ ταῦτα γνησίαν σάρκα γεννᾷ. λίαν λευκή. ♃. κηροῦ λίτρας β'. φρυκτῆς λίτρας γ'. ἰοῦ ξυστοῦ ℥ ς'. μάννης ℥ γ'. ἐλαίου κοτύλας ε'. ὄξους ξε α'. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, χρῶ τῇ ἐμπλάστρῳ
C πρὸς τραύματα, καὶ ἀνιεμένη δὲ σὺν ῥοδίνῳ πυοποιεῖ, καὶ ἀνακαθαίρει τῇ κηρωτῇ διεκλυθεῖσα εἰς ἐπούλωσιν. τινές γε μὴν τῆς ῥητίνης ἔβαλον φρυκτῆς λίτρας β'. καὶ τερμινθίνης λίτρας δύο, καὶ οὕτω παρασκευάσαντες, ἀνελάμβανον αὐτὴν ἰῷ ξυστῷ, ὡς κολλυρίου τόνον ἔχειν, καὶ τοῦτο ἐνετίθεσαν, ὅπου τύλους ἐκτῆξαι ἤθελον. εὐχερῶς γὰρ τοῦτο ποιεῖ, ὡς καὶ ὀστᾶ ἀφιστάναι. καὶ ταύτην μὲν οὖν εἰκότως ἐπαινεῖ τὴν ἔμπλαστρον ὁ Ἡρας, ὡς ἐκ τοῦ πλήθους τοῦ ἰοῦ καὶ τοῦ ὄξους τὸ δραστήριον ἔχουσαν, εἴ τι μεμνήμεθα τῶν εἰρημένων, κατὰ τὸ πρὸ τούτου βιβλίον. ἐπαινεῖ δὲ καὶ τὴν ὑπ' αὐτοῦ καλουμένην πανά-
D κειαν, ἣν ἐφεξῆς γράφω κατὰ τὴν ἐκείνου λέξιν. πανάκεια Ἡρα, ἡ ὑπό τινων ὑγεία λεγομένη. πρὸς πᾶσαν νομὴν, καὶ κακοήθειαν. ἵστησι δὲ τὰς νομὰς, οὔτ' ἐσχάρας ποιοῦσα, οὔτε σκληρύνουσα τὰ πέριξ σώματα. ῥηγνύουσα δὲ καὶ μαραίνουσα πᾶν τὸ διεφθαρμένον, ὡς μηδὲν διαφέρειν ὑγρᾶς σταφίδος. ἐπέχει δὲ καὶ φορὰν αἵματος, τήν τε ἄλλην, καὶ τὴν δι' αἱμορροΐδων διειμένη μυρσίνῳ, καὶ τὰς αἱμορροΐδας αὐτὰς μαραίνει, καὶ δαπανᾷ. πρὸς τούτοις δὲ καὶ σύριγγας ἰᾶται, καὶ τοὺς ὀνομαζομένους ἄνθρακας, καὶ τοὺς αἰγίλωπας, καὶ τὰ χειρώνεια λεγόμενα, καὶ καθόλου τὸ τῶν δυσιάτων καὶ χρονίων γένος, εἰς μὲν
E τοὺς ἀφανεῖς τόπους, οἷον ὑστέρας, διατηκομένη μύρῳ κυπρίνῳ, τοῖς δ' ἔξωθεν ἄμεινόν ἐστιν, ὡς ἑκάστην τῶν ἄλλων οὕτως ἐπιθεῖναι. παντὶ δὲ ἕλκει ἐπιτεθεῖσα, κἂν ᾖ τῶν ἀγρίων, πραΰτερον εὐθὺς ποιήσει. καὶ τοὺς πόνους ἠπιωτέρους, καὶ τὰς ἀγρυπνίας. ἡ δὲ δύναμίς ἐστιν αὕτη. χαμαιπίτυος < δ'. συμφύτου < δ'. χαμαιλέοντος < δ'. πρασίου < δ'. οἱ δὲ ς'. πολίου < ς'. κενταυρίου λεπτοῦ < ς'. ἑλενίου < δ'. ἀριστολοχίας < δ'. λιβάνου < ιβ' S. σμύρνης < γ'. ἀλόης < ς'. χαλβάνης < ς'. ὀβολὸς εἷς S. ἐλαίου < ρπ'. μέλιτος < λ'. προπόλεως < ιβ' S. στυπτηρίας σχιστῆς < ς'. ὀβο-
F λὸς εἷς S. τερμινθίνης < ς'. ὀβολὸς εἷς S. χαλκίτεως < ς'. ὀβολὸς εἷς S. ἀσφάλτου < ν'. γῆς ἀμπελίτιδος < ν'. λιθαργύρου < ν'. κηκῖδος < γ'. χροὸς ἴρεως < γ'. κόψαντα δὲ δεῖ τῇ προτεραίᾳ τὰς βοτάνας, καὶ τὰς ῥίζας ἐμβάλλειν εἰς ἔλαιον. ἐμμεναίτωσαν δι' ὅλης νυκτὸς, πρωῒ δεῖ ἐπεμβάλλειν τὸ λιθάργυρον, καὶ τὴν ἀμπελῖτιν, καὶ τὴν ἄσφαλτον, καὶ ἕψειν ἐπὶ πυρὸς μαλακοῦ.

παχυνομένης δὲ τῆς συστάσεως, ἆραι τὴν χύτραν ἀπὸ τοῦ πυρός. ἔστω δὲ ἐν ἄλλῳ ἀγγείῳ τὸ μέλι, καὶ ἡ ῥητίνη, καὶ ἡ χαλβάνη, καὶ ἡ πρόπολις συντετηκότα. δεῖ δὲ καταμίσγειν, καὶ ταῦτα ἐπεγχέοντα εἰς τὴν χύτραν, ἐπὶ δὲ τούτοις τὰ ξηρά. καὶ μετὰ τούτων ἕψειν, ἕως ἂν μὴ μολύνῃ τὸ φάρμακον. πάλιν δὲ ἄραντα ἀπὸ τοῦ πυρὸς, ἐμπάσσειν λείαν τὴν σμύρναν καὶ τὸν λίβανον. προσέχειν δὲ δεῖ, μή ποτε ὑπερζέσῃ, καὶ ὡς οἷόν τε ἕψειν ἐν εὐρυχωρίᾳ, δυσκατάσβεστον γὰρ γίγνεται, εἴ τινος ἅψαιτο. ταῦτα μὲν ὁ Ἡρᾶς περὶ τῆς πανακείας. ἡμᾶς δὲ χρὴ τὴν ὕλην αὐτὴν ἐπισημήνασθαι, διαφέρουσαν τῶν κατὰ τὸ πρὸ τούτου βιβλίον γεγραμμένων φαρμάκων, πρὸς τὰ δυσθεράπευτα τῶν ἑλκῶν. διὰ μεταλλικῶν μὲν γὰρ ἐκεῖνα συνέκειτο μόνων, τινὰ μὲν ὀλίγων, τινὰ δὲ πλειόνων, ὀλίγων τινῶν ἐν αὐτοῖς ἐχόντων ῥίζας, ἢ πόας. τῇ πανακείᾳ δὲ ταύτῃ τοὐναντίον ὑπάρχει. λαμβάνει μὲν καὶ τὸν χαμαιλέοντα, καὶ τὸ κενταύρειον ἱκανὸν ὠφελεῖν ἑκάτερον ἕλκη κακοήθη. λαμβάνει δὲ καὶ ἀριστολοχίαν, καὶ ἶριν, ἀσθενέστερα μὲν κενταυρείου καὶ χαμαιλέοντος, ὡς πρὸς τὴν τῶν κακοήθων ἑλκῶν ἴασιν, οὐ μὴν ἀπόβλητά γε. λαμβάνει δ' ἰσχυρὰς βοτάνας, καὶ μόνας πολλάκις θεραπεύειν ἕλκη κακοήθη δυναμένας, τήν τε χαμαίπιτυν, καὶ τὸ πόλιον, καὶ τὸ σύμφυτον. ἰσχυρότερον δὲ τούτων ἐστὶ, τό τε πράσιον, καὶ τὸ ἑλένιον. τῷ μὲν οὖν πρασίῳ καὶ μόνῳ χρήσαιτ' ἄν τις ἐπὶ τῶν ἰκμάδος ὑγρᾶς ἐχόντων τὴν κατὰ τὸ ἕλκος σάρκα, καὶ ῥυπαρωτέρας. τὸ δὲ ἑλένιον, οὐδ' ἐπὶ τούτων ἁρμόττει μόνον ἐπιπαττόμενον, ὥσπερ οὐδ' ἄλλο τι τῶν δριμέων οὐδέν. ἐμάθετε γὰρ ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ τὴν διαφορὰν τῶν δριμέων καὶ πικρῶν φαρμάκων, ἐρεθιστικῶν μὲν ὄντων, καὶ δακνωδῶν, καὶ θερμῶν, καὶ ῥευματιζόντων τὰ πάσχοντα μόρια τῶν δριμέων· ξηραντικῶν δὲ χωρὶς τοῦ δάκνειν καὶ θερμαίνειν τῶν πικρῶν, καὶ διὰ τοῦτο ἐπιτηδείων τοῖς ἡλκωμένοις μορίοις. ἀλλ' ἐπεὶ προκείμενον ἦν τῷ συντιθέντι τὰς βοτάνας ταύτας, ἔμπλαστρον ἐξ αὐτῶν, οὐ ξηρὸν ἐπίπαστον ποιῆσαι, πρὸς δὲ τὴν τῆς ἐμπλάστρου σύνθεσιν, ἔμελλεν ἤτοι κηρὸν, ἢ ῥητίνην μίξειν, ἢ πάντως γε λιθάργυρον ἐπὶ πλέον ἑψημένην, ὑφ' ὧν ἡ δύναμις ἐξελύετο τῶν βοτανῶν, ἔμιξεν αὐταῖς ἔνια τῶν ἰσχυρῶν οὕτως φαρμάκων, ὡς μὴ δύνασθαι μόνα προσφέρεσθαι τοῖς ἕλκεσι. τὰ δ' ἰσχυρὰ ταῦτα διττὴν ἔχει τὴν καθόλου δύναμίν τε καὶ ποιότητα, ἔνια μὲν αὐστηράν τε καὶ στρυφνὴν, ἔνια δὲ δριμεῖάν τε καὶ στρυφνήν. διὰ τοῦτ' οὖν τῶν μὲν δριμεῖαν ἐχόντων δύναμιν, ἔμιξεν ἑλένιον, τῶν δ' ἰσχυρῶς στυφόντων, ταῦτα γὰρ ὀνομάζομεν αὐστηρά τε καὶ στρυφνὰ, τήν τε στυπτηρίαν, καὶ τὴν κηκῖδα τὴν ὀμφακῖτιν δηλονότι. τὰς ποιότητας δ' ἀμφοτέρας ἰσχυρὰς ἔχει, καθάπερ καὶ τὰς ἐν αὐταῖς δυνάμεις ἡ χαλκῖτις, δριμεῖά τε οὖσα καὶ στυπτική. λέλεκται δ' ἐν τοῖς ἔμπροσθεν ἀναγκαίαν εἶναι τοῖς κακοήθεσιν ἕλκεσι, καὶ μάλιστα ὅταν ᾖ ῥευματικὰ, τὴν αὐστηρὰν ποιότητα. τούτοις οὖν ἅπασιν οἷς εἶπον, ἐμίχθη λιθάργυρός τε καὶ ῥητίνη, καὶ λιβανωτὸς, ἕνεκα τοῦ γενέσθαι τὸ φάρμακον ἐμπλαστρῶδες. ἀλλ' ἡ μὲν λιθάργυρος, ἐκ τῆς μέσης ὕλης ἐστὶν, ὁ δὲ λιβανωτὸς, πεπτικός τε καὶ πυοποιὸς, ὡς πρὸς τὴν εὔκρατον φύσιν ἀποβλεπόντων. ἐδείχθη γὰρ ὅτι τοῖς ὑγροτέροις σώμασι, σαρκωτικός ἐστι, καὶ μέντοι καὶ ὅτι τῶν πεπτικῶν φαρμάκων, ἃ δὴ καὶ τὴν ἐκπυητικὴν ὀνομαζομένην ἔχει δύναμιν, οὐδέν ἐστιν ἰσχυρῶς διαφορητικὸν, ὥσπερ γε οὐδὲ δριμύ. μετρίως γὰρ θερμαίνει τὰ τοιαῦτα, καὶ μέντοι καὶ μαλάττει μᾶλλον, ἢ ξηραίνει. καλῶς οὖν ἐμίχθη, καὶ τοῦ λιβανωτοῦ κατὰ τὴν τῆς προκειμένης ἐμπλάστρου σύνθεσιν, ἵνα τι καὶ παρηγορικὸν ἔχῃ, καὶ πρᾶον.

A ubi spissitudinem adepta fuerint, olla ab igne tollitur. Sint autem in alio vase mel, resina, galbanum, propolis colliquata, quæ oportet simul commiscere, in ollam fundendo; deinde arida, quibus quum medicamentum coquitur, donec non coinquinet; rursus ab igne deposito myrrha læuis facta, & thus inspergitur. Est autem aduertendum, nequando efferuescat, & quantum fieri potest in amplo spatio coquatur, difficulter enim restingui potest, si quid attingat. Hæc quidem Heras de Panacea. Nobis autem materiam ipsam à medicamentis, quæ priore libro scripta sunt ad vlcera vix sanitatem recipientia, differre notandum est. B Nam illa solis constant metallicis, quædam paucis, quædam pluribus, pauca illorum radices, ac herbas continent; at panacea hæc secus habet. Recipit enim hæc chamæleontem, & centaurium, quorum vtrunque maligna vlcera iuuare idoneum est. Accipit præterea aristolochiam, & iridem, imbecilliora quidem centaurio, & chamæleonte, quod ad malignorum vlcerum curationem attinet, non tamen repudianda. Herbas autem valentes assumit, quæ vel solæ maligna vlcera curare possunt sæpenumero, chamepityn, polium, & symphyton, quibus valentius est mar- C rubium, & helenion. Itaque marrubio etiam solo vti queas in iis, quæ carnem abunde humidam circa vlcus habent, & sordidiorem; helenion verò neque iis conuenit solum inspersum, sicut nec aliud quoduis acre. Siquidem didicistis in opere de Simplicibus medicamentis, acrium, & amarorum medicamentorum discrimen, nempe acria irritare, mordere, calefacere, & fluorem in affectis partibus concitare; amara verò exiccare citra morsum, & calorem, eoque exulceratis partibus conducere. At quoniam ex herbis isti compositionem paranti, institutum erat emplastrum D inde non siccum, quod inspergi possit, efficere; ad emplastri verò confecturam vel ceram, vel resinam, vel omnino argenti spumam diutius coctam adiecturus erat, vnde virtus herbarum solueretur; miscuit ipsis nonnulla medicamenta tam valida, vt vlceribus per se exhiberi nequeant. Valida autem duplicem communem vim, & qualitatem obtinent, nonnulla austeram acerbamque, alia acrem, & acerbam. Huius igitur gratia ex iis, quæ acrimoniam sortita sunt, helenion miscuit; ex validè autem astringentibus (hæc enim austera, & acerba nominamus) alumen, & gallam immaturam. E Qualitates autem vtrasque valentes habet chalcitis, quemadmodum & vires quæ in ipsis sunt, quum sit acris, & astringens. Enimuerò dictum est superius necessariam esse malignis vlceribus, & præsertim cùm fluori sint obnoxia, qualitatem austeram. His ergo omnibus, quæ dixi, admixta argenti spuma est, resina, & thus, quo medicamentum emplastri formam acciperet. Sed argenti spuma ex media materia est. Thus concoquit, & pus mouet, si tanquam ad probè temperatam naturam respicimus; nam id humidioribus corporibus carnem producere ostendimus. Quin etiam ex medicamentis, quæ F concoquunt, quæque vim à pure mouendo, quasi purificam, vel expurgatoriam dictam habent, nullum valenter discutit, sicut nec acre; siquidem talia mediocriter calefaciunt, imò & emolliunt magis, quàm exiccant. Quare thus etiam rectè admixtum est in propositi emplastri compositione, vti mitigatorium quid, & lene accipiat.

Huius

Huius nimirum potentiæ oleum quoque est, emplastri coquendi causa secundum primam rationem adiectum, secum verò duas facultates inferens, mitigatoriam videlicet, & quæ valida medicamenta obtundit, siue hæc acri, siue austera virtute sint prædita. Certè ampelitis terra siccat, & discutit, nihil manifestò acre continens; propterea malignis vlceribus idonea est, & si solam per se tritam inspergas. Galbanum verò & ipsum, eo quòd concoquit, emollit, mitigat, & dolorem sedat, prædictæ compositioni adiectum est, quum thus easdem vires, sed imbecilliores habeat; galbano facultates ambas valentiores possidente. Terebinthina resina ipsa quoque simul quum detergendi discutiendique facultatem habeat, etiam affectus tales, quòd concoquat, quidpiam obtinet. Bitumen verò, cum calore non admodum vehementi siccare nouimus; quibus omnibus emplastri author medicamentum trahentis facultatis propolim nimirum admiscuit, quoniam eius vsum multiplicem esse voluit. Omnia verò, quæ multiplicem vsum præstant, maximè varias facultates habere necessitas est, vt pluribus vitiis medeantur. Sic etiam non parum mellis addidit sciens ipsum siccans, digerensque putrescentibus esse accommodatissimum; quippe & ipsum ex iis est, quæ non putrefiunt, & mixta à putredine reseruat, præterquam extremè ad putrescendum idonea, quæ humida sunt, & calida. Atque mel copiosius aliis medicamenti compositor indidit; nam si tria, quæ coqui desiderant, excipias, bitumen, argenti spumam, terram ampelitidem, aliis maius est. Atque his ipsis bitumini, argenti spumæ, & ampelitidi tantum adiecit olei, quantum coctioni commodum erat futurum, coniectura, & ab aliis sumpta, quæ sicca medicamento immittuntur. Insuper omnibus perfectè coctis myrrham, & aloën voluit iniici, quæ ambo citra mordicationem siccant; verùm differunt, quòd aloë astringat, myrrha tenuiorum partium sit, magisque siccet. Cæterùm haud scio, cur Heræ visum fuerit minoribus symmetriis Panaceam hanc conscribere, quam alij maioribus conficiunt; siquidem nonnulli omnia duplicata habere ipsam tradiderunt, alij quadruplo copiosiora. Galbani sanè drachmas sex obolum vnum & semissem Heras numerauit; alij drachmas decem & semissem; quemadmodum alij rursus viginti-quinque, augentes simul & alia ad portionem, vt nusquam dicatur in symmetria obolus, vel semiobolus. Itaque aduertere vos oportet Panaceas apud alios scriptas huic conferentes, vtrum omnia duplicata, an quadrupla, habeant; ac si sint omnia aucta, non putare illas ab hac esse diuersas.

Isis à quibusdam Epigoni dicta.

Multiplicis vsus est medicamentum, quod Isidem appellant, ab omnibus commendatum. Ego verò apponam modò, quæ Heras de illo memoriæ prodidit. Hæc illius verba sunt. *Medicamentum à nonnullis Epigoni dictum, ab aliis Isis. Facit ad omne vulnus, & ad vulnera capitis, cum ossium præcisione, sanat citra reparationem. Valet ad punctus, item paxillos infixos, & hominum, atque canum morsus. Venenum trahit viperæ, scorpij, draconis marini, pastinacæ. Curat fracturas artuum*

A ἔστι δὲ δηλονότι καὶ τὸ ἔλαιον ἐκ τῆς αὐτῆς δυνάμεως, ἕνεκα μὲν ἑψήσεως τῆς ἐμπλάστρου, κατὰ τὸν πρῶτον λόγον μιχθέν, ἐν αὐτῷ δὲ συνεπιφέρον δύο δυνάμεις, τήν τε παρηγορικὴν καὶ τὴν ἀμβλυντικὴν τῶν ἰσχυρῶν φαρμάκων, ἐάν τε δριμείας, ἐάν τε αὐστηρᾶς δυνάμεως ᾖ ταῦτα. ἡ δὲ ἀμπελῖτις γῆ, ξηραίνει τε καὶ διαφορεῖ, μηδὲν ἔχουσα δριμὺ σαφῶς. καὶ διὰ τοῦτο τοῖς κακοήθεσιν ἕλκεσιν ἐπιτήδειός ἐστιν, εἰ καὶ μόνην αὐτὴν λειώσας, ἐπιπάττοις. ἡ χαλβάνη δὲ καὶ αὐτή, τῷ πεπτική τε εἶναι, καὶ μαλακτική, καὶ παρηγορική τε καὶ ἀνώδυνος, ἐμίχθη κατὰ τὴν προκειμένην σύνθεσιν, ἔχοντος μὲν καὶ τοῦ λιβανωτοῦ τὰς
B αὐτὰς δυνάμεις, ἀλλὰ ἀσθενεστέρας, ἢ κατὰ τὴν χαλβάνην, ἐκείνης γε κατ᾽ ἀμφοτέρας ἰσχυροτέρας ὑπαρχούσης. ἡ τερμινθίνη δὲ ῥητίνη, καὶ αὕτη μετὰ τοῦ ῥυπτικοῦ τε καὶ διαφορητικοῦ, πεπτικὸν ἔχει τι τῶν τοιούτων διαθέσεων. ἡ δὲ ἄσφαλτος, ἴσμεν ὅτι ξηραντικῆς ἐστι δυνάμεως ἅμα θερμασίᾳ μὴ πάνυ σφοδρᾷ. τούτοις οὖν ἅπασιν ὁ συνθεὶς τὴν ἔμπλαστρον, ἔμιξεν ἑλκτικῆς δυνάμεως φάρμακον τὴν πρόπολιν, ἐπεὶ πολύχρηστον ὑπάρχειν αὐτὴν ἐβούλετο. πάντα δ᾽ ὅσα πολύχρηστα, ποικιλωτάτας ἀναγκαῖον ἔχειν δυνάμεις, ὅπως θεραπεύῃ διαθέσεις πλείονας. οὕτως δὲ καὶ τοῦ μέλιτος ἔμι-
C ξεν οὐκ ὀλίγον, εἰδὼς αὐτὸ ξηραῖνόν τε καὶ διαφοροῦν, οἰκειότατόν τε τοῖς σηπομένοις ὑπάρχον. καὶ γὰρ αὖ καὶ τὸ τῶν ἀσήπτων ἐστί, καὶ τὰ μιγνύμενα φυλάττει τοιαῦτα, πλὴν τῶν ἐσχάτως ἐπιτηδείων εἰς σῆψιν, ἅπερ ὑγρά τέ ἐστι καὶ θερμά. καὶ πλέον τῶν ἄλλων γε, ὁ συνθεὶς τὸ φάρμακον ἔβαλε τὸ μέλι. πλὴν γὰρ τριῶν τῶν ἑψηθῆναι δεομένων, ἀσφάλτου, καὶ λιθαργύρου, καὶ τῆς ἀμπελίτιδος γῆς, τῶν ἄλλων πλέον ἐστίν· αὖθις τε τούτοις, τῇ τε ἀσφάλτῳ, καὶ τῷ λιθαργύρῳ, καὶ τῇ ἀμπελίτιδι τοσοῦτον ἔμιξεν ἔλαιον, ὅσον εἰς τὴν ἕψησιν ἐπιτήδειον ἔσται, προστοχασάμενος, καὶ τῶν ἄλλων ὅσα ξηρὰ κατὰ τὸ φάρμακον βάλ-
D λεται. καὶ μὴν καὶ τελείως ἡψημένων ἁπάντων, ἠξίωσεν ἐπεμβληθῆναι τήν τε σμύρναν καὶ τὴν ἀλόην, ξηραίνοντα μὲν ἀδήκτως ἀμφότερα, διαφέροντα δὲ τῷ τὴν μὲν ἀλόην στύφειν, λεπτομερεστέραν δὲ καὶ ξηραντικωτέραν εἶναι τήν τε σμύρναν. οὐκ οἶδα δέ τι τὸ δόξαν τῷ Ἡρᾳ, διὰ βραχυτέρων συμμετριῶν γράψαι τὴν πανάκειαν ταύτην, ὑπ᾽ ἄλλων διὰ μειζόνων γεγραμμένην. τινὲς μὲν γὰρ διπλάσια πάντ᾽ ἔχουσαν αὐτὴν ἔγραψαν, ἔνιοι δὲ τετραπλάσια. χαλβάνης γοῦν ἓξ δραχμάς, καὶ ὀβολὸν ἕνα, καὶ ἥμισυν ὁ Ἡρας ἔγραψεν, ἄλλων γραψάντων δέκα δραχμὰς καὶ ἡμίσειαν, ὥσπερ αὖ πάλιν ἄλ-
E λων πέντε καὶ εἴκοσι, ἀνάλογον δὲ καὶ τἄλλα συναυξησάντων, ὡς μηδαμόθι λέγεσθαι κατὰ τὴν συμμετρίαν ὀβολόν, ἢ ἡμιωβόλιον. προσέχειν οὖν ὑμᾶς χρή, τὰς παρὰ τοῖς ἄλλοις γεγραμμένας πανακείας παραβάλλοντας τῇδε, πότερα διπλάσια ἔχουσι πάντα, ἢ τετραπλάσια, κἂν ἀνάλογον ᾖ πάντα ηὐξημένα, μὴ νομίζειν ἐκείνας ἑτέρας εἶναι τῆσδε.

Η Ισις, Επιγόνου λεγομένη παρά τινων.

Πολύχρηστόν ἐστι φάρμακον, ἣν προσαγορεύουσιν Ἶσιν ὑπὸ πάντων ἐπῃνημένην. ἐγὼ δὲ παραθήσομαι νῦν, ὅσα περὶ
F αὐτῆς ἔγραψεν ὁ Ἡρας οὕτως ἔχοντα κατὰ λέξιν. ἡ ὑπό τινων μὲν Ἐπιγόνου λεγομένη, ὑπό τινων δὲ Ἶσις, ποιοῦσα πρὸς πᾶν τραῦμα, καὶ πρὸς τὰ ἐν κεφαλῇ μετὰ ὀστῶν διακοπῶν. ὑγιάζει δὲ χωρὶς ἀνασκευῆς, ποιεῖ καὶ πρὸς νύγματα, σκόλοπας, ἀνθρωπόδηκτα, κυνόδηκτα ἰούς τε ἕλκει ἐχέως, σκορπίων, δρακόντων θαλασσίων, καὶ τρυγόνος, καὶ πρὸς τὰ ἐπὶ τῶν κώλων

σὺν τραύματι καταγμάτα. πωροῖ γὰρ θᾶσσον καὶ ἀσφαλέστερον. A σύριγγας πάσας προσφάτους, παλαιὰς ὑποφορὰς, κόλπους, φύματα, παρωτίδας, τὰ ἐν μαστοῖς, καὶ μασχάλαις ἀποστήματα, ἢ ἵνα μὴ γένηται, ἢ γινόμενα θεραπευθῇ. εἰς ὑπόῤῥευσιν δ' ὄντων ἡμῶν, ἔτι χοιράδας κομίζεται σὺν τοῖς χιτῶσι τάχιστα ἐκπυοῦσα, ἵστησι καὶ ῥεῦμα ὀφθαλμῶν ἐπὶ τὸ μέτωπον ἐπιτιθεμένη. αἴρει δὲ καὶ πελιώματα, καὶ γαγγραίνας περιγράφει, καὶ σηπεδόνας ἀνακαθαίρει, καὶ τὸ ὅλον, πρὸς πάντα ἀγαθή. ℞. κηροῦ δραχμὰς ρ'. τερμινθίνης < σ'. οἱ δὲ ρ'. λεπίδος χαλκοῦ ἐρυθροῦ < η'. ἰοῦ ξυστοῦ < η'. ἀριστολοχίας στρογγύλης δραχμὰς η'. λιβάνου < η'. ἁλὸς ἀμμωνιακοῦ < η'. B ἀμμωνιακοῦ θυμιάματος < η'. στυπτηρίας κεκαυμένης, ἢ στρογγύλης < ϛ'. χαλκοῦ κεκαυμένου, < η'. σμύρνης < ιβ'. ἀλόης < ιβ'. χαλβάνης < ιβ'. ἐλαίου παλαιοῦ κοτύλην α'. ὄξους δριμέος κοτ. β'. τὰ τηκτὰ καταχένου εἰς θυίαν κατὰ τῶν ξηρῶν. οὕτως μὲν ὁ Ηρας ἔγραψε, τὴν Ἶσιν οὐκ ἔτι προσγράψας αὐτῇ τὴν κατὰ μέρος χρῆσιν ἅπασαν, ὡς ἐπ' ἄλλων εἴωθε. καὶ μέντοι κἂν τῷ καλεῖν αὐτὴν Ἐπιγόνου, διαφέρεται πολλοῖς, οὓς ἀκριβέστερον ἡγοῦμαι περὶ τοῦ Ἐπιγόνου γεγραφέναι, τά τε ἄλλα, καὶ ὡς ἐν εἱρκτῇ καταχεκλεισμένος, ἰασάμενός τέ τινα τῶν πολὺ δυναμένων, ἀφείθη διὰ τοῦτο. C προστεθεικέναι δ' αὐτόν φασι τὴν τοῦ δρακοντίου ῥίζαν τῷ προγεγραμμένῳ φαρμάκῳ, κἀγὼ διὰ παντὸς οὕτως ἐχρησάμην. ἐπεὶ καὶ τῶν διδασκάλων μού τις ἐχρῆτο, βαλὼν εἰς τὴν γεγραμμένην συμμετρίαν ὑπὸ τοῦ Ηρα < η'. τοῦ δρακοντίου. καὶ μέντοι καὶ τοῦ ἐλαίου μὲν ἐνέβαλεν ἥμισυ κυάθου, ὄξους δὲ κοτ. α'. ἔβαλλε δὲ καὶ τὴν κολοφωνίαν ῥητίνην, οὐχ ὥσπερ ὁ Ηρας τὴν τερμινθίνην, ἀλλὰ κἀν τῇ κατασκευῇ τῆς ἐμπλάστρου διεφώνει τῷ Ηρᾳ, τὴν χαλβάνην τῷ ὄξει συγκατεργαζόμενος τοῖς ἄλλοις ἐν θυίᾳ. καὶ οὕτως ἀναμιγνὺς αὐτά, καθάπερ καὶ ὁ Ηρας φησί, τοῖς τηκτοῖς, ἐμάλασσέ τε μετὰ D ταῦτα τὸ φάρμακον, ἐπὶ πλεῖστον ἐν ταῖς χερσὶ προσαπτόμενος ὄξους δριμυτάτου, καὶ μετὰ ταῦτα εἰς χαλκοῦν ἀγγεῖον κατετίθετο, καὶ καταχύσας ἐφύλαττε χρόνῳ πλείονι. καὶ οὕτως ἀνελόμενος ἐχρῆτο. προσηγόρευε δὲ αὐτήν, ὡς καὶ ἄλλοι τινές, Ερμωνος τοῦ ἱερογραμματέως. ἐν ἑτέροις δ' αὖ εὕροις γεγραμμένην ἐκ τῶν ἀδύτων εἶναι, καὶ τήνδε κατὰ τὸ Ηφαιστεῖον ἐν Αἰγύπτῳ, καθάπερ καὶ τὴν διὰ τοῦ δικτάμνου. τὴν μέντοι συμμετρίαν τῶν συντιθέντων αὐτὴν ἁπλῶν φαρμάκων, σχεδὸν ἅπαντες ἴσην γεγράφασιν, ὥστε κἂν ἡ προγραφὴ διάφορος ᾖ, μὴ δόξῃς ἑτέραν εἶναι, καὶ ἑτέραν, τήν τ' ἐκ τῶν ἀδύ- E των ἱεράν, καὶ τὴν Ερμωνος τοῦ ἱερογραμματέως, καὶ τὴν Ἐπιγόνου. ἅπαντα γὰρ ταῦτα προσαγορεύεται. τηκομένη δὲ μετὰ κηρωτῆς ὑγρᾶς, ἀνακαθαίρει καὶ ἐπουλοῖ τὰ ἕλκη. καὶ γεγράφασι γάρ τινες μὲν μετὰ τριπλασίας κηρωτῆς αὐτὴν ἀνιέναι, τινὲς δὲ μετὰ διπλασίας, ἀδιορίστως ἑκάτεροι τὴν συμμετρίαν ὁρίσαντες. ἐφ' ὧν μὲν γὰρ αὐτάρκως καθαρὸν ἐργάζεται τὸ ἕλκος, εἰ τρισὶ μιχθείη τῆς κηρωτῆς μέρεσιν, οὐ χρὴ διπλάσιον μιγνύειν. ἐφ' ὧν δὲ ἐνδεέστερον καθαίρει, τηνικαῦτα διπλασίαν χρὴ παραλαμβάνεσθαι τὴν κηρωτήν. ἴσμεν γὰρ ὅτι ῥυπτικώτερον μέν ἐστι πᾶν φάρμακον τοιοῦτον, μὴ πολλῇ τῇ κηρωτῇ F μιγνύμενον, ἀσθενέστερον δὲ πλέονι μιχθέν. οὐ χεῖρον δὲ καὶ περὶ τοῦ δρακοντίου τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐν τῷ θέρει ξηρανθέντος τοῦ καυλοῦ, καὶ ὅλης τῆς πόας, ἀναιρεῖσθαι χρὴ τὴν ῥίζαν, εἶτα τιθέμενον ἐν οἴκῳ ξηρῷ μὲν οὐκ ἔχοντι δὲ ἥλιον, ὀλίγον ὕστερον μεθ' ἡμέρας ἕξ, ἢ ἑπτὰ τέμνειν τὴν ῥίζαν εἰς κυκλίσκους, καὶ

cum vulnere, callum enim obducit citiùs tütiusque. Fistulas omnes recentes, veteres foueas, sinus, phymata, parotidas, abscessus in mammis, & alis futuros, aut factos, sanat. Aduersus fluxionem nobis venientibus, strumas adhuc aufert, cum tunicis celerrimè pus educens. Sistit oculorum fluxiones fronti impositum, tollit liuorem; gangrænas non patitur latius serpere; putredinem purgat; in summa ad quoduis bonum est. Hæc recipit, ceræ drachmas centum, terebinthinæ drachmas ducentas, secundum alios centum, squamæ æris rubri drachmas octo, æruginis rasæ drachmas octo, aristolochiæ rotundæ drachmas octo, thuris drachmas octo, salis ammoniaci drachmas octo, guttæ ammoniaci drachmas octo, aluminis vsti vel rotundi, drachmas sex, æris vsti drachmas octo, myrrhæ drachmas duodecim, aloës drachmas duodecim, galbani drachmas duodecim, olei veteris heminam vnam, aceti acris heminas duas. Quæ liquari possunt, siccis in mortarium superfunduntur. Sic quidem Heras Isim scripsit non etiam particularem omnem vsum ei apponens, vt in aliis consueuerat. Insuper quòd ad Epigonum illud refert, à plerisque dissentit, quos exactiùs de Epigonio scripsisse arbitror, cùm alia, tum illud quoque, nempe quod in carcere conclusus, quum quendam admodum potentem curasset, eius rei gratia fuit dimissus. Adiecisse verò ipsum aiunt præscripto medicamento, dracunculi radicem; atque ego semper, ita vsus sum, quoniam & præceptorum meorum vnus vsurpabat, apponens in prædictam symmetriam Heræ, dracunculi drachmas octo, insuper, & olei cyathi dimidium, aceti heminam; ad hæc colophoniam resinam, non vt Heras, terebinthinam. Sed & in emplastri confectione ab illo dissentiebat, galbanum aceto, cum aliis in pila elaborans, atque ita admiscens ea, quemadmodũ & Heras inquit, liquabilibus; deinde medicamentum manibus plurimùm emolliebat, attingens acetum quàm acerrimum; postea in vase æreo reponebat, & perfusum longo tempore seruabat; atque ita excipiens vtebatur. Appellauit ipsum, velut alij quidam. Hermonis sacri scribæ; alibi scriptum inuenias ex adytis templi Vulcani in Ægypto hoc quoque esse, quemadmodum & illud, quod ex dictamno constat. Symmetriam verò simplicium medicamentorum, quæ id constituunt, omnes propemodum æqualem scripserunt, proinde titulus licet diuersus existat, non opineris aliud esse, atque aliud, & quod ex adytis sacrum dicitur, & Hermonis sacri scribæ, & Epigoni; nam omnes has appellationes habet; liquatum autem cum cerato liquido purgat, & vlcera cicatrice obducit. Quidam ex cerato triplicato dilui ipsum tradiderunt; nonnulli duplicato, vtrique symmetriam indefinitè distinguentes. In quibus etenim vlcus purum satis efficitur, si tribus cerati partibus temperatum fuerit, non oportet duplicatum adiicere; in quibus autem minùs purgatur, ibi ceratum duplo maius assumendum. Nouimus enim efficacius omne id genus medicamentum esse, quod non multo cerato miscetur; imbecillius, quod multo. Nihil mali est autem de dracunculo quoque eatenus dicere, quòd per æstatem caule exiccato, & herba tota, radicem amputare oportet; deinde in domo sicca solem non habente repositam, paulo post dies sex, vel septem in orbiculos diuidere,

eosque

eosque filo traiectos in sicca domo, & à sole remota rursus suspendere; ac sic vbi medicamentum præparare voles radicem contundere; quæ ipsa quoque seorsum tusa, & læuigata probè, vt puluis fiat, malignis vlceribus medetur.

Emplastrum ex dictamno.

Item quod ex dictamno emplastrum conficitur, sacrum appellant, dicentes, & hanc scripturam in Vulcani templo iuxta Memphim inuentam esse; omnes ipsius huiusmodi symmetriis meminerunt, vel parum adeo ab his differentibus. Sufficiet autem verba Heræ, & de ipso adscripsisse, quæ in hunc modum habent. *Sacrum ex Vulcani templo in Memphi. Facit ad recentia cruenta, fluentia, ad neruorum præcisiones, vetera vlcera, suppascentia, contusa, putredines, carbunculos, nigritias, vlcera fluentia, cicatricem ægrè admittentia; parotidas, perniones, abscessus, strumas, furunculos, duritias. Tela educit, aculeos, ossa ex capite. Sanat ferarum ictus, scorpionum morsus, phalangiorum, muris aranei, hominum. Valet ad omnem colli dolorem, humeri, articulorum, vice malagmatis. Sistit oculorum fluxus, non modò recentes, sed etiam veteres. Tollit capitis dolorem inunctum, rosacco dilutum. Et vteri dolorem sedat, tum illitu, tum suffitu. Necat insuper feras suffitu.* Hæc recipit olei veteris heminas ij. argenti spumæ drach. c. æruginis rasæ drach. viij. squamæ ʒ. vj. colophoniæ liquidæ, alij pineæ ʒ. l. mannæ drach. xij. guttæ ammoniaci ʒ. xvj. æris vsti ʒ. viij. diphrygis ʒ. vj. gentianæ ʒ. sex, aloës ʒ. viij. galbani ʒ. xij. propolis ʒ. viij. ceræ ʒ. xxv. aristolochiæ ʒ. x. dictamni cretici ʒ. x. Argenti spumam, & oleum in olla magna supra prunam incoquito, vt omnino, aut ferè non inquinet; deinde cacabum deponens æruginem indito squamamque, & coquito, ne prorsus inficiat. Postea rursus auferens, resinam, ammoniaci guttam, iniice cribrata, mouens donec feruere desinat; mox quum reposueris paululumque dimiseris, tollito, atque æs diphrygesque inspergito, rursus coquens, quoad non inquinet, interdum enim his iniectis remittitur; postea deponens, ceram addito, iterum coquito, vsque dum non polluat, quod celeriter accidit. Dein quum deposueris, propolim immittes, ac repones denuò, paulisper fines, quum depones, addes aloën, mannam, dictamnum, aristolochiam, gentianam; his abundè refrigeratis singula læuissima insperges mouens; si non inficiat, tolles, sin minus, leni igne coques. Hæc quidem Heras de emplastro scripsit. Composuimus autem id nos interdum, & sine vsto ære, & diphryge; vnde quæ in alto latebant, magis attrahebat, emolliebatque magis, discutiebatque; non tamen vlceribus ægrè cicatricem ducentibus idoneum. Quin etiam ipsum citra dictamnum confecimus, rursus aliis apponentes chrysocollæ drachmas sex, vt maligna vlcera fælicius sanaret.

Icesium nigrum.

Medicamentum titulo Icesium, vsus multiplicis; quidam gignendi casu scripserunt, Icesij. Heras itaque de ipso hæc tradit. *Icesium ad vulnera, & canum morsus, duritias diffundens, ad parotidas, condylomata, & maligna. Item est attrahens, & glutinatorium. Valet insuper ad aquam inter cutem.* ℞. argenti spumæ drach. cètum,

A τούτοις διείραντα λίνῳ κρεμάσαι πάλιν ἐν οἴκῳ ξηρῷ μὲν, ἀνηλίῳ δὲ, καὶ οὕτως ἐπειδὰν ἐθέλοις σκευάζειν τὸ φάρμακον, κόπτειν τὴν ῥίζαν. ἔστι δὲ καὶ αὐτὴ καθ' ἑαυτὴν κοπεῖσα, καὶ λεανθεῖσα καλῶς, ὡς χνοώδη γενέσθαι, τῶν κακοήθων ἑλκῶν θεραπευτική.

Ἡ διὰ δικτάμνου.

Καὶ τὴν διὰ δικτάμνου σκευαζομένην ἔμπλαστρον, ἱερὰν ὀνομάζουσιν, εὑρῆσθαι λέγοντες καὶ ταύτην τὴν γραφὴν ἐν τῷ κατὰ Μέμφιν Ἡφαιστείῳ. καὶ μέμνηνταί γε πάντες αὐτῆς ἐπὶ ταῖς τοιαύταις συμμετρίαις, ἢ βραχύ τι διαφερούσαις. ἀρκέσει δὲ καὶ περὶ ταύτης τὴν τοῦ Ἥρα παραγράψαι λέξιν οὕτως ἔχουσαν. B ἱερὰ ἡ ἐκ τοῦ ἐν Μέμφει Ἡφαιστείου. ποιεῖ ἐπὶ προσφάτων ἐναίμων, ῥευματικῶν, πρὸς νεύρων διακοπὰς, παλαιὰ ἕλκη, ὑπόνομα, θλάσματα, σηπεδόνας, ἄνθρακας, μελανίας, ἕλκη ῥευματικὰ, δυσκατούλωτα, παρωτίδας, χίμεθλα, ἀποστήματα, χοιράδας, δοθιῆνας, σκληρίας, βέλη ἀνάγει, σκόλοπας, ὀστέα ἐκ τῆς κεφαλῆς, θηρίων πληγὰς, καὶ δήγματα σκορπίων, φαλαγγίων, μυγαλῆς, ἀνθρωπόδηκτα. πρὸς πάντα πόνον τραχήλου, ὤμου, ἄρθρων ἀντὶ μαλάγματος. ἵστησι ῥεύματα ὀφθαλμῶν, οὐ μόνον πρόσφατα, ἀλλὰ καὶ παλαιά, καὶ C πρὸς κεφαλαλγίαν ποιεῖ, καταχριστὸς ῥοδίνῳ, διειμένη καὶ πρὸς ὑστέρας πόνον, καὶ διαχριομένη, καὶ ὑποθυμιωμένη. ἐκδιώκει ἡ ἔμπλαστρος καὶ θηρία, θυμιωθεῖσα. ἔστι δὲ ἐλαίου παλαιοῦ κοτύλαι β΄. λιθαργύρου < ρ΄. ἰοῦ ξυστοῦ < η΄. λεπίδος < ϛ΄. κολοφωνίας ὑγρᾶς, οἱ δὲ πευκίνης < ν΄. μάννης < ιβ΄. ἀμμωνιακοῦ θυμιάματος < ιϛ΄. χαλκοῦ κεκαυμένου < η΄. διφρυγοῦς < ϛ΄. γεντιανῆς < ϛ΄. ἀλόης < η΄. χαλβάνης < ιβ΄. προπόλεως < η΄. κηροῦ < κε΄. ἀριστολοχίας < ι΄. δικτάμνου Κρητικοῦ < ι΄. ἕψε ἐν λοπάδι μεγάλῃ ἐπὶ ἀνθράκων λιθάργυρον, ἔλαιον, ὡς ἀμόλυντον κατὰ πᾶν εἶναι, ἢ παρὰ μικρὸν, εἶτα ἄρας τὴν χύτραν, D μίσγε ἰὸν καὶ λεπίδα, καὶ ἕψε, καὶ μὴ μολυνέτω κατὰ πᾶν, εἶτα πάλιν βαστάσας, βάλε ῥητίνην καὶ ἀμμωνιακὸν σεσησμένα, κινῶν ἕως παύσηται ζέων, εἶτα ἐπιθεὶς καὶ μικρὸν ἐάσας, βαστάσας ἔμπασσε χαλκὸν, καὶ διφρυγὲς, καὶ ἑψήσας πάλιν, ἕως μὴ μολύνῃ, ἐνίοτε γὰρ τούτων βληθέντων ἐπανίεται, εἶτα βαστάσας πρόσδιδου κηρὸν, καὶ πάλιν ἕψε, ἕως ἀμόλυντος γένηται, ταχέως δὲ γίνεται, εἶτα ἄρας ἀποδώσεις πρόπολιν, καὶ ἐπιθεὶς πάλιν, μικρόν τε ἐάσας, καὶ ἄρας ἀπόδιδου ἀλόην, μάνναν, δίκταμνον, ἀριστολοχίαν, γεντιανήν. ἐψυγμένων δὲ ἱκανῶς τούτων, καθ' ἓν ἕκαστον λειότατον ἐμπάσεις, καὶ κινήσας ἐὰν ᾖ ἀμόλυντος, E βαστάσεις. ἐὰν δὲ μὴ, ἐπὶ κούφου πυρὸς ἑψήσεις. ταῦτα μὲν ὁ Ἥρας ἔγραψε περὶ τῆς ἐμπλάστρου. συνεθήκαμεν δ' αὐτὴν ἡμεῖς ἐνίοτε, καὶ χωρὶς τοῦ κεκαυμένου χαλκοῦ, καὶ διφρυγοῦς, ἑλκτικωτέραν μὲν τῶν ἐν τῷ βάθει, καὶ μαλακτικωτέραν, καὶ διαφορητικωτέραν γινομένην, οὐ μὴν πρός γε τὰ δυσεπούλωτα τῶν ἑλκῶν ἁρμόττουσαν. ἐποιήσαμεν δὲ αὐτὴν, καὶ χωρὶς τοῦ δικτάμνου, πάλιν αὐτὴν προσθέντες τοῖς ἄλλοις, χρυσοκόλλης < ϛ΄. ὡς γενέσθαι θεραπευτικωτέραν τῶν κακοήθων ἑλκῶν.

Ἡ Ἱκέσιος μέλαινα.

F Ἡ Ἱκέσιος ὀνομαζομένη. τινὲς δὲ κατὰ γενικὴν πτῶσιν ἡ Ἱκεσίου γεγράφασι, πολύχρηστον φάρμακον. ὁ γοῦν Ἥρας περὶ αὐτῆς γράφει ταῦτα. ἡ Ἱκέσιος πρὸς τραύματα, καὶ κυνόδηκτα, καὶ τὰς σκληρίας διαχέουσα. πρὸς παρωτίδας, καὶ κονδυλώματα, καὶ πρὸς τὰ κακοήθη. ἔστι δὲ καὶ ἐπισπαστικὴ, καὶ κολλητικὴ, ποιεῖ καὶ πρὸς ὕδρωπας. ℞. λιθαργύρου < ρ΄.

ἀσφάλτου Ἰουδαϊκῆς < ρ΄. γῆς ἀμπελίτιδος < ρ΄. μάννης, προπόλεως ἀνὰ < κε΄. χαλβάνης < ιβ΄. σχιστῆς < ιβ΄ S″. τερμινθίνης < ιβ΄ S″ ἴρεως < ϛ΄. ἐλαίου ὠμοτριβοῦς κο. ϛ΄. μέλιτος κο. α΄. χαλκίτεως < ζ΄. ἥμισυ, κηκίδος ὀμφακίτιδος < ϛ΄. σμύρνης < ϛ΄. ἕψε τὴν λιθάργυρον, καὶ τὴν ἄσφαλτον, καὶ τὴν ἀμπελῖτιν μετὰ τοῦ ἐλαίου. ἐπειδὰν δ' ἡμίεφθα ᾖ, τὴν πρόπολιν μίσγε, καὶ τὴν ῥητίνην, καὶ τὴν χαλβάνην ἡψημένα ἐν τῷ μέλιτι ἰδίᾳ. ἐπὰν δὲ συνίσηται, τὰ λοιπὰ ἀποδίδου, κίνει δὲ σπάθῃ δᾳδίνῃ, ταύτης τῆς ἐμπλάστρου τὸν σταθμὸν τῶν μιγμάτων, οὐ τὸν αὐτὸν ἅπαντες ἔγραψαν, ὡς ἐν τοῖς ἐφεξῆς δηλωθήσεται. A B

Ἡ διὰ δυοῖν ἀριστολοχιῶν μέλαινα.

Ἔνδοξος ἔμπλαστρος πολύχρηστός ἐστι, καὶ ἡ διὰ τῶν δυοῖν ἀριστολοχιῶν, ἣν καὶ αὐτὸς ὁ Ἥρας ἔγραψε κατὰ τήνδε τὴν λέξιν. Μέλαινα ἡ διὰ τῶν δυοῖν ἀριστολοχιῶν, ποιοῦσα πρὸς τὰ παλαιὰ, καὶ τυλώδη, καὶ δυσκατούλωτα, καὶ νεμόμενα. ἔστι δὲ καὶ ἔναιμος κεφαλικὴ, ἀνάγει ὀστᾶ, ἀνακολλητικὴ, ποιοῦσα πρὸς τὰ λελυμένα ἄρθρα, ῥευματιζόμενα, ἀνακαθαίρει, πληροῖ διειμένην. Πίσσης λίτρας α΄. κηροῦ λίτρας α΄. ἀσφάλτου λίτρας α΄. τερμινθίνης λίτρας α΄. μάννης λίτρας ἥμισυ, ἢ οὐγγίας ζ΄. ἰοῦ ξυστοῦ λίτρας ἥμισυ, ψιμμυθίου λίτρας ἥμισυ, χαλκάνθου οὐγγίας δ΄. ἀριστολοχίας μακρᾶς οὐγγίας δ΄. Ἰλλυρικῆς οὐγγίας δ΄. σιδίων οὐγγίας β΄. κηκίδος ὀμφακίτιδος οὐγγίας β΄. χαλκοῦ κεκαυμένου οὐγγίας β΄. ἀκάνθης οὐγγίας δ΄. ἀριστολοχίας στρογγύλης Γο δ΄. ὄξους κο. α΄. κικίνου, ἢ ἐλαίου παλαιοῦ κο. α΄. τὰ τηκτὰ τήξας ὁμοῦ, εἶτα τὸ ψιμμύθιον, τὸν ἰὸν, καὶ τὸ χάλκανθον, σὺν τῷ ὄξει λελειοτριβημένα ἐπίσσαζε, εἶτα ἐπιθεὶς ἐπὶ πυρὸς ἕως ἑνωθῇ, ἔμπασσε τὰ ξηρὰ ὑποσπάσας τὸ πῦρ, εἶτα καταχέας, μάλασσε. ταῦτα μὲν ὅ θ' Ἥρας, καὶ οἱ ἄλλοι περὶ αὐτῆς ἔγραψαν. ὁ δὲ λογισμὸς τοῦ συνθέντος αὐτὴν, οὐκ ἄδηλός ἐστι τοῖς μεμνημένοις, ὅσα κατά γε τοῦτο, καὶ διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων εἴρηταί μοι. σύγκειται γὰρ ἐξ ἐναντίων δυνάμεων, ἑλκτικῶν τε καὶ ἀποκρουστικῶν, κοινὸν ἐχουσῶν τὸ ξηραίνειν. ἐπικρατεῖ δὲ ἐν αὐτῇ, τὸ τῶν ἀποκρουστικῶν, ὃ τοῖς στύφουσιν ὑπάρχει, τῷ χαλκάνθῳ, καὶ τοῖς σιδίοις, καὶ τῇ κηκίδι, καὶ τῷ κεκαυμένῳ χαλκῷ, καὶ τῇ ἀκάνθῃ. διὰ τοῦτο δὲ καὶ πρὸς τὰ παραλελυμένα, τουτέστι κεχαλασμένα τῶν ἄρθρων ἁρμόττειν αὐτὴν ἔφη. τὴν δ' ἀριστολοχίαν, καὶ τὴν ἶριν ἔμιξε τοῖς στυπτικοῖς, ἀραιωτικῆς τε καὶ διαφορητικῆς οὔσας δυνάμεως. ὅπως δὲ ἔμπλαστρος γένοιτο, καὶ μὴ ξηρὸν ἐπίπαστον εἴη τὸ φάρμακον, ἔλαιόν τε καὶ κηρὸς ἐμίχθη. κηρὸς μὲν, ὡς ὕλη μόνον, ὥσπερ καὶ τοὔλαιον. εἰ τὸ κοινὸν εἴη τοῦτο, καὶ μὴ τὸ κίκινον, ἢ τὸ παλαιόν. ἐμάθομεν γὰρ ὅτι θερμαίνει ταῦτα, καὶ διαφορεῖ. τερμινθίνη δὲ ῥητίνη πρὸς τῷ τὴν ἐμπλαστρώδη σύστασιν ἐργάζεσθαι τῷ φαρμάκῳ, τοῦ κηροῦ μόνου μὴ δυναμένου τοῦτο ποιῆσαι, καὶ μαλακτικὸν ἔχει τι καὶ διαφορητικὸν, καὶ ῥυπτικόν. ἔχοντος δὲ καὶ λιβανωτοῦ ταῦτα, προσείληφεν ἡ μάννα στυπτικὴν ὅλην τὴν δύναμίν τε καὶ ποιότητα. καλοῦσι γὰρ οὕτως τὸ ἀπόσεισμα τοῦ λιβανωτοῦ μετέχον τι βραχὺ καὶ τοῦ φλοιοῦ. ξηραντικὴ δὲ ἱκανῶς ἐστι καὶ ἡ ἄσφαλτος, ἢ ὁ ἄσφαλτος, ὁποτέρως ἂν ἐθέλῃς καλεῖν, εἰς ἐμπλάστρου σύνθεσιν ἐπιτήδειον φάρμακον. καὶ ταῦτα μὲν οὖν ἦν αὐτάρκη πρὸς τὴν τῆς ἐμπλάστρου σύνθεσιν. ἰσχυρὰν δὲ δύναμιν ἔχοντα φάρμακα μῖξαι προθέμενος ὁ συνθεὶς τὴν ἔμπλαστρον ταύτην, ἰόν τε καὶ ὄξος αὐτοῖς προσέθηκε, τέμνειν καὶ διαβιβρώσκειν, καὶ μέχρι τοῦ βάθους τῶν

bituminis Iudaici drach. c. terræ ampelitidis ʒ. c. mannæ, propolis, singulorum drach. xxv. galbani ʒ. xij. scissilis drach. xij. ß. terebinthinæ ʒ. xij. ß. iridis drach. vj. olei immaturi heminas sex, mellis heminam j. chalcitidis drach. vij. ß. gallæ omphacitidis drach. vj. myrrhæ drach. vj. Argenti spuma, bitumen, ampelitis, cum oleo incoquuntur; vbi semicocta fuerint, propolis, resina, & galbanum, ex melle separatim cocta miscentur; postquam constiterint, reliqua adiiciuntur; mouentur autem spatha, ex tædæ ligno confecta. Huius emplastri mixturæ pondus non idem omnes, vt in sequentibus ostendetur, tradiderunt.

Nigrum ex duabus aristolochiis.

Celebre quoque emplastrum vsus multiplicis est id, quod ex duabus aristolochiis conficitur, quod ipse Heras quoque his verbis descripsit. *Nigrum ex duplici aristolochia. Facit ad antiqua, callosa, agrè cicatricem inducentia, depascentia. Est etiam enæmum cephalicum, ossa reducit, & est glutinatorium. Facit ad articulos solutos. Fluori obnoxia repurgat, implet immissum.* ℞. picis libram vnam, ceræ libram j. bituminis libram vnam, terebinthinæ libram vnam, mannæ selibram, vel vncias septem, æruginis rasæ selibram, cerussæ selibram, chalcanthi vncias quatuor, aristolochiæ longæ vncias quatuor, Illyricæ vncias quatuor, malicorij vncias duas, gallæ immaturæ vncias duas, æris vsti vncias duas, spinæ vncias quatuor, aristolochiæ rotundæ vncias quatuor, aceti heminam vnam, ricinini, vel olei veteris heminam vnam. Quæ liquefieri poterunt, simul liquato; deinde cerussam, æruginem, & chalcanthum cum aceto læuia facta inspergito, mox supra ignem, vsque dum coierint, arida infricato, igne subtracto; dehinc defusa subigito. Hæc tum Heras, tum alij de ipso scriptum reliquerunt. Ratio autem eius qui id composuit, non obscura est, recordantibus, quæ hîc, & in prioribus commentariis dicta sunt. Constat enim ex contrariis facultatibus, attractricibus, & repultricibus, quæ commune habent, vt exiccent. Superat autem in eo repellentium virtus, quæ adest astringentibus, chalcantho, malicorio, gallæ, æri vsto, & spinæ; ob hoc etiam ad solutos, idest, laxatos articulos conuenire ipsum affirmat. Aristolochiam autem, & iridem astrictoriis admiscuit, vtpotè rarefaciendi, & digerendi potestate prædita. Vt autem emplastrum fieret, nec siccum, sed vt superinduci posset, medicamentum, oleum & cera mixta sunt; cera quidem ceu materies solùm, sicut & oleum, si commune fuerit hoc, nec ricininum, vel vetustum; quippe didicimus hæc calefacere, & discutere. Terebinthina verò resina præterquam, quòd emplastri consistentiam medicamento conciliet, quum cera hoc sola facere non possit, etiam emolliens quid, & discutiens detergensque obtinet. At quum thus eadem præstet, manna astringendi facultatem totam, & qualitatem assumpsit; vocant enim sic thuris micas concessu elisas, corticis parum item participes. Iam & bitumen abundè siccat, ad emplastri confectionem idoneum medicamentum. Atque hæc de illius compositione sufficiunt. Porrò emplastri huius author, quum vellet medicamenta valenti virtute prædita miscere, æruginem, & acetum ipsis adiecit, quæ siccare, exedere, & vsque in profundum corporis

corporis penetrare, atque alia deducere possunt. Miscentur autem hæc cum digerentibus, vt humores crassos partibus, quas curamus, infixos attenuent. Restat igitur, & de cerussa quippiam dicere, quam ceu ad emplastrum conficiendum aptam, non vt aliquid cooperaturam admiscuisse illum, est perspicuum. Ego verò argenti spumam potius adiecissem, quæ & emplastris conuenit, & refrigerat; cerussa verò aliis quibusdam vtilis, ad propositi emplastri vires nihil præsidij affert.

Emplastrum Azanitæ.

Emplastrum Azanitæ varij vsus est, & nobile, de ipso autem Heras ita scribit. *Emplastrum Azanitæ.* ♃. picis aridæ ℥. j. ceræ ℥. iij. adipis suilli ℥. iij. seui taurini ℥. iij. œsypi ℥. iij. resinæ pineæ ℥. v. Facit ad maligna omnia, gangrænas, fistulas, recentia vulnera, ambusta igne; perfrigeratis prodest, vt acopon; item pessulus est emolliens. Conuenit autem, & ad vteri vlcera, phymata, & parotidas. Quum vlcera caua fuerint, copiosiore vtitor medicamento; vbi ad cicatricem inclinare videntur, parciore. Porrò medicamenti proprietas est concretum humorem sordidum per summa gignere. Benefacit lippientibus, palpebris suprapositum. Oleum medicamenti affectui opponitur, quare obseruato ne infundas. Quum autem præparas, picem, ceram, seuum taurinum iniicito; vbi fuerint liquata, adipem suillum, mox resinam, postremò œsypum, vbi refrigeraueris; totum autē igne, non flamma liquefacito. Maximè valet in quibus nerui, vel musculi percussi sunt, item ad maligna.

Emplastrum Halei, seu piscatoris, ex sinopide.

Haliei celebre, & multiplicis vsus emplastrum nihil minus, quàm priora, Heras ita tradidit. *Haliei ad vetera, & quæ cicatricem ægrè ducunt. Item discutit, præsertim in mamillis duritias. Vtimur eo tanquam optimo ad plurima.* ♃. ceræ minam vnam, argenti spumæ minam vnam, mannæ drach. viij. terebinthinæ drach. viij. galbani drach. viij. Sinopidis drach. viij. olei veteris heminas ij. Oleum & argenti spuma dum non inquinent, incoquuntur, deinde cera resinaque: liquefactis ipsis, sublatisque ab igne Sinopidem immittito, & galbanum, postea mannam. Idem facit ad marinorum ictus summè. Vsus quandoque eo sum in quodam à pastinaca percusso, summoque dolore vexato, & mirificè profecit; similiter & in iis, qui à scorpione morsi erant. Hactenus Heras. Deinceps verò Critonis emplastra inspiciamus.

CAPVT III.

De medicamentis à Critone scriptis.

HEras quidem librum vnam de medicamentorum compositione fecit, cui titulus est Nartex, idest, *medicamentorum promptuarium.* Quinque verò tales Critonis præter illos de exornatione seruantur. In quarto horum quinque emplastra prædictis similia specie cōmemorat; quædam, vt Heras in totum simili modo confecta; nonnulla insuper, quorum Heras non cōmeminit, quæ ego mox ordine apponā, non etiam si cuiusdā aliter, quàm ab Hera descripti mentionē facit, omittens, quemadmodū in Icesij emplastro factitasse apparet; alia namque pondera, & mensuras huius emplastri Crito scripsit, sicut alij quidam,

A σωμάτων αὐτά τε φέρεσθαι, καὶ τοῖς ἄλλοις ποδηγεῖν ἱκανά. μίγνυται δὲ ταῦτα τοῖς διαφορητικοῖς, ἕνεκα τοῦ προσλεπτῦναι τὰς ἐν τοῖς θεραπευομένοις μέρεσι παχείας ὑγρότητας. ὑπόλοιπον οὖν ἐστιν εἰπεῖν τι καὶ περὶ τοῦ ψιμμυθίου, ὅπερ, ὅτι μὲν, ὡς εἰς ἐμπλαστροποιΐαν ἐπιτήδειον, οὐχ ὡς αὐτό τι συμπράξον ἔμιξεν, εὔδηλόν ἐστιν. ἐγὼ δ' ἂν τὴν λιθάργυρον ἐμεμίχειν μᾶλλον, ἐμπλαστικόν τε γάρ ἐστι καὶ ψυκτικόν. τὸ δὲ ψιμμύθιον, εἰς ἄλλα μέν τινα χρήσιμον ὑπάρχει, εἰς δὲ τὴν τῆς προκειμένης ἐμπλάστρου δύναμιν, οὐδὲν συντελεῖ.

Ἡ τοῦ Ἀζανίτου.

B Ἡ τοῦ Ἀζανίτου πολύχρηστός ἐστι, καὶ ἔνδοξος. περὶ αὐτῆς δὲ γράφει Ἡρας οὕτως. ἡ τοῦ Ἀζανίτου. ♃. πίσσης ξηρᾶς ℥ α'. κηροῦ ℥ γ'. στέατος ὑείου ℥ γ'. στέατος ταυρείου ℥ γ'. οἰσύπου ℥ γ'. ῥητίνης πευκίνης ℥ ε'. ποιεῖ πρὸς τὰ κακοήθη πάντα, γαγγραίνας, σύριγγας, πρόσφατα τραύματα, πυρίκαυτα, περιψυγμούς, ὡς ἄκοπον. ἔστι δὲ καὶ πεσσὸς μαλακτικός. ἁρμόττει δὲ καὶ πρὸς τὰ ἐν ὑστέρᾳ ἕλκη, φύματα, παρωτίδας. ὅταν μὲν κοῖλα ᾖ τὰ ἕλκη, πλείονι χρῶ τῷ φαρμάκῳ, ὅταν δὲ πρὸς ἐπούλωσιν, ἐλάττονι. ἴδιωμα δὲ τοῦ φαρμάκου, ἐπιπαγῆ ῥυπώδη ποιεῖν. ποιεῖ καὶ ἐπὶ τῶν ὀφθαλμιώντων, ἐπὶ βλεφάρων ἐπιτιθέμενον. C ἀντιπαθές ἐστι τὸ ἔλαιον τῷ φαρμάκῳ, διὸ φυλάττου. ὅταν δὲ σκευάζῃς, βάλλε πίσσαν, κηρόν, ταύρειον στέαρ. ὅταν δὲ τακῇ, ὕειον, εἶτα ῥητίνην, ἔσχατον οἴσυπον, ψύξας. τὸ δὲ ὅλον πυρί, καὶ μὴ φλογὶ τῆκε. μάλιστα δὲ ποιεῖ, ἐφ' ὧν ἡ πληγὴ περὶ τὰ νεῦρα, ἢ μῦν ἐστι, καὶ ἐπὶ κακοήθων.

Ἡ τοῦ Ἀλιέως διὰ Σινώπιδος.

Ἡ τοῦ Ἀλιέως ἔνδοξός τε καὶ πολύχρηστος, οὐδὲν ἧττον τῶν πρόσθεν οὕτως ὑπὸ τοῦ Ἡρα γεγραμμένη. ἡ τοῦ Ἀλιέως πρὸς τὰ παλαιὰ καὶ δυσκατούλωτα. ἔστι δὲ καὶ διαφορητική, D καὶ μάλιστα ἐπὶ τῶν περὶ μαστοὺς σκληριῶν. χρώμεθα δ' αὐτῇ ὡς καλλίστῃ πρὸς τὰ πλεῖστα. κηροῦ μνᾶ α'. λιθαργύρου μνᾶ α'. μάννης < η'. τερμινθίνης < η'. χαλβάνης < η'. Σινώπιδος < η'. ἐλαίου παλαιοῦ ℔ β'. τὸ ἔλαιον καὶ τὴν λιθάργυρον ἕψε, ἕως ἀμόλυντον γένηται, εἶτα κηρόν, ῥητίνην. καὶ τακέντων αὐτῶν, ἄρας ἀπὸ τοῦ πυρός, μίσγε Σινώπιδα, χαλβάνην, εἶτα τὴν μάνναν. αὕτη ποιεῖ καὶ πρὸς τὰς τῶν θαλασσίων πληγὰς ἄκρως. ἐχρησάμην γέ τοί ποτε αὐτῇ, ἐπί τινος ἀπὸ τρυγόνος θαλασσίας πεπληγότος, καὶ πάνδεινα πάσχοντος, καὶ δαιμονίως ἐποίησεν, ὁμοίως καὶ ἐπὶ σκορπιοδήκτων. ταῦτα μὲν ὁ Ἡρας E ἔγραψεν. ἐφεξῆς δὲ τὰ Κρίτωνος ἴδωμεν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν ὑπὸ τοῦ Κρίτωνος γεγραμμένων.

Ὁ Μὲν Ἡρας ἓν βιβλίον ἐποιήσατο τῆς τῶν φαρμάκων συνθέσεως, ἐπιγεγραμμένον νάρθηκα. πέντε δὲ τοιαῦτα σώζεται τοῦ Κρίτωνος, ἔξωθεν τῶν κοσμητικῶν. ἐν δὲ τῷ τετάρτῳ τῶν πέντε τούτων, τὰς ὁμοειδεῖς ταῖς γεγραμμέναις ἐμπλάστροις διέρχεται. F τινὰς μὲν, ὥσπερ ὁ Ἡρας κατὰ πάντα ὡσαύτως ἐχούσας. τινὰς δὲ ἔξωθεν, ὧν ὁ Ἡρας οὐκ ἐμνημόνευσεν, ἃς νῦν ἐφεξῆς γράψω, μετὰ τοῦ καὶ εἴ τινος τῶν ὑφ' Ἡρα γεγραμμένων μνημονεύοι διαφερόντως, μὴ παραλιπεῖν, ὥσπερ ἐπὶ τῆς Ἱκεσίου φαίνεται πεποιηκώς. ἄλλους γὰρ ἔγραψε σταθμούς, καὶ μέτρα τῆς ἐμπλάστρου ταύτης ὁ Κρίτων, ὥσπερ καὶ ἄλλοι τινές,

οὐ ταῖς αὐταῖς τῷ Ἥρᾳ. ἄρξομαι τοιγαροῦν ἀπὸ τῆς πρώτης Ἱκεσίου, διαπεφωνημένης αὐτῆς κατὰ τὸν σταθμὸν τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν συντιθέασι τὴν ἔμπλαστρον.

Ἡ Ἱκεσίου.

Περὶ τῆς Ἱκεσίου κατὰ λέξιν ὁ Κρίτων οὕτως ἔγραψεν. Ἱκεσίου πρὸς πᾶν τραῦμα, πρόσφατον, παλαιὸν, πρὸς θλάσματα, στρέμματα, κατάγματα, πρὸς φλεγμονὰς, καὶ πάντα πόνον, ἄπονον γὰρ εὐθέως ποιεῖ, πρὸς ἀποστήματα, φύματα, χοιράδας, ἄνθρακας, παρωτίδας, φύγεθλα, κονδυλώματα, λειχῆνας, ἥλους, μελανίας, αἱμορροΐδας φλεγμαινούσας, σύριγγας, πυρίκαυτα. ἀνιεμένη μυρσίνῳ, ἢ ῥοδίνῳ πρὸς ἕλκη, σκόλοπας, ἀκίδας, κυνόδηκτα, ἀνθρωπόδηκτα, θηρείων πληγὰς, καὶ ἴσχαιμος, χρῶ καὶ ἀντὶ μαλάγματος πρὸς πάντα, ἔλαιον δὲ μὴ πρόσαγε, καὶ ἀνακόλλημα ἐπ' ὀφθαλμιώντων ἐν ὀθονίῳ. ἔστω δὲ ἀεὶ τὰ σπλήνια μείζονα. ποιεῖ καὶ ἐπὶ ὑδρωπικῶν. ℞. γῆς ἀμπελίτιδος, ἀσφάλτου, λιθαργύρου, ἀνὰ μνᾶς β'. κηροῦ, λιβανωτοῦ, τερμινθίνης, προπόλεως, ἀνὰ μνᾶς S''. χαλβάνης, σχιστῆς, ἀνὰ μνᾶς ε'. σμύρνης, κηκίδος, ἴρεως, ἀνὰ < ιβ'. χαλκίτεως < ϛ'. μέλιτος κο β'. ἐλαίου ὀμφακίνου χοᾶς β'. τινὲς δὲ κο β'. ἕψε ἀμπελῖτιν, ἄσφαλτον, λιθάργυρον σὺν τῷ ἐλαίῳ, προχυλώσας, ὡς λεῖα γενέσθαι. ἕψε δὲ ἐπὶ μαλακοῦ πυρὸς, κινῶν σπάθῃ δᾳδίνῃ ἀδιαλείπτως, ὥστε μὴ ὑποκαθίσαι, τάχιστα γὰρ κατακαίεται. τὰ δὲ τηκτὰ ἐν ἑτέρῳ ἀγγείῳ τῆξον, προεψήσας κατ' ἰδίαν τὸ μέλι, ὥστε συστραφῆναι, καὶ μίξον τοῖς ἐν τῷ κακκάβῳ καλῶς συστραφεῖσι. πάλιν γὰρ ἀναλύεται τούτων προβληθέντων, εἶτα τὰ ξηρὰ ἔμπασσε ψύξας ποσῶς, τελευταῖον τὸν λιβανωτὸν, καὶ ἑνώσας χρῶ. ταύτην τὴν γραφὴν ἔλαβον παρὰ Ἡροδότου. Ταῦτα μὲν ἔγραψεν ὁ Κρίτων περὶ τῆς Ἱκεσίου. φαίνεται δὲ διαφερόμενος τῷ Ἥρᾳ περὶ τῆς συμμετρίας τῶν ἁπλῶν φαρμάκων, ἐξ ὧν ὅλη σύγκειται. καὶ τῆς διαφωνίας, ἡ μέν τις ἐστὶ σαφὴς, ἡ δὲ δυσεπίκριτος. ὁ μὲν γὰρ Ἥρας καλῶς ποιῶν, τὸν σταθμὸν ἁπάντων τῶν φαρμάκων εἰς δραχμὰς ἀνήγαγεν. ὁ δὲ Κρίτων τὴν μὲν ἀμπελῖτιν γῆν, καὶ τὴν ἄσφαλτον, καὶ τὴν λιθάργυρον, οὐ κατὰ τὸν τῶν δραχμῶν σταθμὸν ἔγραψεν, ἀλλὰ μνᾶς β'. ἑκάστης αὐτῶν ἠξίωσεν ἐμβάλλειν. διαπεφώνηται δὲ τοῖς περὶ τῶν σταθμῶν καὶ μέτρων γράψασιν, ὁπόσος ἐστὶν ὁ τῆς μνᾶς σταθμὸς, ἐνίων μὲν ἑκκαίδεκα λεγόντων οὐγγιῶν εἶναι τὴν μνᾶν, ἐνίων δὲ εἴκοσι, ἐνίων δὲ καὶ διοριζομένων, καὶ τὴν μὲν Ἀλεξανδρινὴν εἴκοσι φασκόντων εἶναι οὐγγιῶν, τὴν δὲ ἄλλην ἑκκαίδεκα, καὶ τοῦτο μὲν ἔτι μικρότερον. ἀλλὰ τῶν εἰς δραχμὰς ἀναγόντων τὴν μνᾶν, εἰσὶν οἵ φασιν ἑκατὸν εἶναι δραχμῶν τὴν μνᾶν, ἔνιοι δὲ πλειόνων, ἐπειδὴ καὶ τὴν οὐγγίαν οἱ πλεῖστοι μὲν ἑπτὰ καὶ ἡμίσεος δραχμῶν εἶναί φασιν· ἔνιοι δὲ ζ'. μόνον. ἕτεροι δὲ η'. τούτων οὖν οὕτως ἐχόντων, πόσων δραχμῶν χρὴ λογίσασθαι τὴν ὑπὸ τοῦ Κρίτωνος γεγραμμένην μνᾶν εἶναι, χαλεπὸν εὑρεῖν. φαίνεται δὲ καὶ ἐν ἄλλοις μὲν < ρ'. ὁ βουλόμενος εἶναι τὴν μνᾶν. καὶ εἴπερ τοῦτο οὕτως ἔχει, κατὰ τὸ διπλάσιον χρὴ νοεῖν τῆς Ἱκεσίου τὴν σύνθεσιν γεγράφθαι παρ' αὐτοῦ, τοῦ μὲν Ἥρα γράψαντος περὶ τῶν τελῶν τούτων φαρμάκων τῶν πρώτων, τῆς δὲ γῆς τῆς ἀμπελίτιδος, καὶ τῆς ἀσφάλτου, καὶ τῆς λιθαργύρου, ἑκατὸν ἑκάστου δραχμὰς τὸ βάρος, εἰς σ'. δὲ τοῦ Κρίτωνος ἀνάγοντος. ἴδωμεν οὖν εἰ τὰ ἐφεξῆς ὁμολογεῖ τῷ διπλασίῳ, τινὰ μὲν γὰρ φαίνεται, τινὰ δ' οὔ. μνημονεύει δὲ μετὰ τὰ τρία τὰ πρῶτα, κηροῦ, λιβάνου, τερμινθίνης, καὶ προπόλεως, ἀξιῶν ἑκάστου μνᾶς S''. βάλλεσθαι. τουτέστι < ν'.

A non vt Heras posuit. Incipiam igitur à primo Icesij, in cuius simplicium medicamentorum pondere inter omnes non conuenit.

Emplastrum Icesij.

De Icesij medicamento hæc ad verbum scripsit Crito. *Icesij ad omne vulnus recens, vetus, contusa, luxata, fracturas, phlegmonas, & omnem dolorem, quem protinus sedat. Facit ad abscessus, phymata, strumas, carbunculos, parotidas, phygethla condylomata, impetigines, clauos, nigritias, hæmorrhoidas phlegmone tentatas, fistulas, ambusta igne, Dilutum myrteo, vel rosaceo, valet ad vlcera, aculeos,* B *tela, canum hominumque morsus, ferarum ictus. Item ad sanguinem cohibendum vtitor, & loco malagmatis ad omnia. Oleum verò non adhibendum est. Iam lippientibus in linteolo collyrium adhibetur; sint autem splenia semper maiora. Iuuat quoque hydropicos.* ℞. terræ ampelitidis, bituminis, argenti spumæ, singulorum minas duas; ceræ, thuris, terebinthinæ, propolis, singulorum minæ dimidium, galbani, fissilis, singulorum minas quinque; myrrhæ, gallæ, iridis, singulorum ʒ. xij. chalcitidis ʒ. vj. mellis heminas ij. olei omphacini congios duos, quidam heminas ij. Ampelitis, bitumen, argēti spuma cum oleo coquuntur, humore priùs expresso, vt fiant C læuia, incoquuntur autem igne non acri, spatha ex tædarum ligno assiduè mouentur, ne subsidant, nam citissimè comburuntur. Quæ liquari possunt, in alio vase liquefacito, melle priùs seorsum cocto, vt coëat, ac in cacabo pulchrè consertis misceto, rursus enim resoluitur his præmissis; deinde arida insperguntur aliquatenus refrigerata, postremò thus. Ac vbi in vnitatem coierint, vtitor. Hanc scripturam ab Herodoto accepi. Hæc sanè Crito de Icesio scripta reliquit. Videtur autem in simplicium medicamentorum, vnde totum componitur, symmetria ab Hera dissentire; D ac partim hæc discordia manifesta est, partim diiudicari vix potest. Etenim Heras rectè faciens, omnium medicamentorum pondus in drachmas redegit. Crito autem ampelitidem terram, bitumen, argenti spumam, non pro drachmarum pondere scripsit, sed duas singulorum minas iniiciendas censuit. At ab his dissensit, qui de ponderibus, & mensuris scripserunt, quantum videlicet minæ pondus existat; nonnulli enim sedecim vnciarum esse dicunt, quidam viginti; alij etiam distinctionem faciunt, Alexandrinam ponentes viginti vncias pendere, aliam E sedecim; atque hoc quidem adhuc leuius est. Verùm ex iis, qui minam in drachmas redigunt, alij centum, alij plurium, drachmarum esse confirmant; quia & vnciam plerique septem drachmas, & semissem valere malunt, alij septem duntaxat, reliqui octo. Hæc igitur quum ita se habeant, quot drachmarum minam à Critone positam æstimare oporteat, inuenire operosum est. Apparet autem in aliis quoque centum drachmarum minam esse velle; ac si ita res habet, duplicatam Icesij compositionem ab eo scribi putabimus, quum Heras trium horum medicamentorū prio- F rum terræ ampelitidis, bituminis, & argenti spumæ, singulorum drachmas centum posuerit. Critone pondus in ducentas redigente. Videamus igitur an sequentia duplicato consentiant, quædam namque apparent, quædam non item. Meminit ergo post tria prima, ceræ, thuris, terebinthinæ, propolis, singulorum minæ dimidium, hoc est drachmas quinquaginta, immittendū pręcipiens; etenim

etenim proposuimus tanquam mina centum drachmas valeat, symmetriam esse scriptam. Quod si est, in thure, pro manna videlicet posito, Crito cum Hera conueniet, pari modo in propoli; non tamen terebinthina, quippe vigintiquinque drachmas Critonem scripsisse oportebat, quum Heras duodecim, & semissem statuerit. Porrò in cera maximè viri controuersantur discordantque, quippe quum Heras ceram omnino non iniiciat; didicimus enim illius vim esse, mediocriter emollire. Cæterùm apud Critonem deinceps scriptum est galbani, scissilis, singulorum quarta minæ portio. Atque in hoc vir Heræ suffragatur. Nam quarta pars minæ, quæ centum pendet drachmas, vigintiquinque drachmas efficiet, quæ duplum sunt duodecim, & semissis ab Hera scriptorum. Iam verò à minæ vocabulo digressus in sequentibus Crito myrrhæ, gallæ, iridis, singulorum drachmas duodecim, cum prædictis miscendas iubet, in hoc Heræ consentiens; siquidem ille sex cuiusque adiiciendas præcepit; inde rursus Crito chalcitidis drachmas sex tradidit, hîc non parum ab Hera discordans. Nam quum omnia duplicata sint, conueniebat & chalcitidem non sex, verùm quindecim drachmas habere, vbi Heras septem & dimidiam scripsit. In melle quidem viri concordes sunt, quum Heras heminam vnam, Crito heminas duas, posuerit. Restat autem de oleo quæstio magna, non solùm inter duos illos viros, sed alios quoque, qui medicamentum hoc scripserunt, sicut procedente sermone dicemus. Hi igitur inter se hactenus differunt, etenim Heras olei immaturi heminas sex scripsit; melius enim sic, quàm, vt alij quidam dixerunt, cyathos sex. Quippe in coctione argenti spuma, bitumen, terra ampelitis, vbi semicocta fuerint, tum alia singula Heras immittenda existimat; atqui semicocta fieri non possunt, cyathis sex immissis; scimus enim plerosque ex iis, qui medicamenta componunt, subinde centum argenti spumæ drachmis duas heminas indere. Atque hoc iam etiam totum antea in primo huius operis volumine comprehensum est, nempe metallicorum quoque vncias ix. heminam esse licere, sicut quidam putarunt. Quin & duodecim iniicere possumus, vt alij præcipiunt, probè docti, si medicamentum diutius coctum fuerit (licebit autem hoc ipsum copiosiore oleo imposito) maiorem siccandi vim acquirere; quòd si ab igne statim sublatum fuerit, minùs propter olei paucitatem exiccaturum, emolliturum autem magis, & mitigaturum. Quare sex cyathi omnino repudiandi sunt, sex autem heminæ, quæ singulæ vncias nouem faciunt, iniiciendæ. At si largiùs medicamentum voles incoquere, quò siccet euidentius, nihil obstat, etiam duodecim vnciarum heminas infundere. Itaque Hera sex heminas scribente, liquet Critonem duodecim heminas immittere oportuisse, vt simul in hoc, sicut in aliis, duplicata mensura existat. Verùm scripti sunt ab eo, olei omphacini congij duo. Iterum hîc quoque damnandi sunt, qui heminas duas posuerunt. Ergo si congium sex heminarum esse statuamus, virorum consensus manebit; si verò non heminas sex, verùm sextarios sex ponamus, non parua dissensio orietur; multa namque erit copia, vt ad proportionẽ aliorũ, si olei sextarios duodecim infundas.

A προυθέμεθα γὰρ, ὡς < ρ΄. τῆς μνᾶς οὔσης, οὕτως γεγράφθαι τὴν συμμετρίαν, ἀλλ' εἴπερ οὕτως ἔχει τοῦτο, κατὰ μὲν τὸν λιβανωτὸν ἀντὶ τῆς μάννης δηλονότι γεγραμμένον, ὁμολογία γενήσεται τῷ Κρίτωνι πρὸς τὸν Ἡρᾶν. ὡσαύτως δὲ καὶ κατὰ τὴν πρόπολιν, οὐ μὴν κατά γε τὴν τερμινθίνην. ἐχρῆν γὰρ εἴκοσι καὶ ε΄ < ὑπὸ τοῦ Κρίτωνος γεγράφθαι, τοῦ γε Ἡρᾶ γράψαντος δέκα καὶ β΄. καὶ ἡμίσειαν. ἐν δὲ τῷ κηρῷ μεγίστη διαφωνία τοῖς ἀνδράσιν ἐγένετο, μηθ' ὅλως ἐμβαλόντος κηρὸν τοῦ Ἡρᾶ. μεμαθήκαμεν γὰρ τὴν τοῦ κηροῦ δύναμιν μετρίως μαλακτικήν. ἐφεξῆς δὲ παρὰ τῷ Κρίτωνι γέγραπται χαλ-
B βάνης, σχιστῆς, ἀνὰ μνᾶς τέταρτον. συμφωνοῦντος ἐν τούτῳ τἀνδρὸς τῷ Ἡρᾷ. τὸ γὰρ τέταρτον τῆς μνᾶς ὑποκειμένης < ρ΄. εἶναι, γένοιντ' ἂν εἴκοσι καὶ ε΄ < διπλάσιον δὲ εἰσὶν αὗται τῶν ὑπὸ τοῦ Ἡρᾶ γεγραμμένων ιβ΄. καὶ ἡμισείας. ἀποχωρήσας δὲ τοῦ τῆς μνᾶς ὀνόματος, ἐν τοῖς ἐφεξῆς ὁ Κρίτων, σμύρνης, καὶ κηκῖδος, καὶ ἴρεως τῶν τριῶν, ἀνὰ < ιβ΄. κελεύει μιγνύναι τοῖς προειρημένοις, ὁμολογῶν ἐν τούτῳ τῷ Ἡρᾷ. ἓξ γὰρ ἐκεῖνος ἐκέλευσεν ἑκάστου βάλλειν. ἐφεξῆς δὲ πάλιν ὁ Κρίτων γέγραφε χαλκίτεως < ϛ΄. οὐ μικρὸν διαφερόμενος ἐνταῦθα τῷ Ἡρᾷ. διπλασίων γὰρ πάντων ὄντων, ἐχρῆν
C καὶ τὴν χαλκῖτιν, οὐχ ἓξ δραχμάς, ἀλλὰ πεντεκαίδεκα γεγράφθαι, τοῦ γε Ἡρᾶ γεγραφότος ζ΄. καὶ ἡμίσειαν. ἐν μέντοι τῷ μέλιτι συμφωνοῦσιν οἱ ἄνδρες, τοῦ μὲν Ἡρᾶ γράψαντος κοτύλην α΄. τοῦ δὲ Κρίτωνος γράψαντος κοτύλας β΄. λοιπὸν δὲ περὶ τοῦ ἐλαίου ζήτησις οὐ σμικρὰ γένοιτ' ἂν ἡμῖν, οὐ μόνον κατὰ τοὺς δύο τούτους ἄνδρας, ἀλλὰ καὶ κατὰ τοὺς ἄλλους τῶν γραψάντων τὸ φάρμακον, ὡς ἐφεξῆς ἐροῦμεν. οὗτοι δ' οὖν κατὰ τοῦτο διαφέρονται πρὸς ἀλλήλους. ὁ μὲν γὰρ Ἡρᾶς ἔγραψεν ἐλαίου ὠμοτριβοῦς κοτύλας ϛ΄. ἄμεινον γὰρ οὕτως γράφειν, ἢ ὡς τινες ἔγραψαν κυάθους ϛ΄. ἀξιοῦντός γε κατὰ τὴν
D ἕψησιν τοῦ Ἡρᾶ τὴν λιθάργυρον, καὶ τὴν ἄσφαλτον, καὶ τὴν γῆν τὴν ἀμπελῖτιν, ἡμίεφθα ποιήσαντα, τηνικαῦτα τῶν ἄλλων ἕκαστον ἐμβάλλειν. ἡμίεφθα δὲ οὐκ ἂν γένοιτο κυάθων ϛ΄. ἐμβληθέντων. ἴσμεν γὰρ εἰς τὰς < ρ΄. τῆς λιθαργύρου πολλοὺς πολλάκις τῶν φάρμακα συντιθέντων ἀνδρῶν, ἀξιοῦντας ἐμβάλλεσθαι κοτύλας β΄. καὶ ἤδη καὶ πάνυ τοῦτο πρόσθεν εἶπον ἐν τῷ α΄. τῶνδε τῶν ὑπομνημάτων, ὡς ἐγχωρεῖ καὶ τῶν μεταλλικῶν οὐγγίας θ΄. τὴν κοτύλην εἶναι, καθάπερ τινὲς ᾠήθησαν: ἐγχωρεῖ δὲ καὶ ιβ΄. συμβάλλειν, ὡς ἄλλοι κελεύουσιν εὖ εἰδότες, εἰ μὲν, μὲν ἐπὶ πλέον ἑψηθείη τὸ φάρμακον, ἔσται δὲ
E τοῦτο πλέονος ἐμβληθέντος ἐλαίου, ξηραντικώτερον αὐτὸ γενήσεσθαι. εἰ δὲ ταχέως ἀπὸ τοῦ πυρὸς ἀρθείη διὰ τὴν ὀλιγότητα τοῦ ἐλαίου, ξηραντικώτερον μὲν ἧττον αὐτὸ γενήσεσθαι, μαλακτικώτερον δὲ καὶ παρηγορικώτερον, ὥστε τοὺς μὲν ἓξ κυάθους παντάπασιν ἀποβλητέον, ἓξ δὲ κοτύλας οὐγγίας θ΄. μίαν ἑκάστην ἐμβλητέον. εἰ δ' ἐπὶ πλέον ἑψῆσαι βούλοιο τὸ φάρμακον, ὡς γενέσθαι ξηραντικώτερον, οὐδὲν κωλύει καὶ τὰς τῶν οὐγγιῶν ιβ΄. κοτύλας ἐμβληθῆναι. γεγραμμένων οὖν ἓξ κοτυλῶν παρὰ τοῦ Ἡρᾶ, δῆλον ὅτι ιβ΄. τὸν Κρίτωνα τὰς κοτύλας ἐχρῆν ἐμβάλλειν, ἵνα καὶ κατὰ τοῦτο διπλάσιον ᾖ τὸ μέτρον, ὡς ἐπὶ
F τῶν ἄλλων. ἀλλὰ γέγραπταί γε παρ' αὐτῷ, ἐλαίου ὀμφακίνου χόες δύο. πάλιν κἀνταῦθα καταγνωστέον τῶν γραψάντων κοτύλας β΄. τὸν μὲν οὖν χοέα, εἰ μὲν ἓξ κοτυλῶν ἀριθμοίημεν, ἡ συμφωνία μένει τοῖς ἀνδράσιν. εἰ δ', οὐ κοτυλῶν ϛ΄. ἀλλὰ ξεστῶν ϛ΄. οὐ μικρὰ διαφωνία γενήσεται. πολὺ γὰρ ἔσται τὸ πλῆθος, ὡς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν, εἴ τις ἐμβάλλοι ξέστας ιβ΄. ἐλαίου.

ταῦτα μὲν ἐν τῷ παρόντι περὶ τῆς Ἡρα, καὶ Κρίτωνος ἐν τῷ προκειμένῳ φαρμάκῳ διαφωνίας, ὅταν δὲ ἐπὶ τὸν Ἀνδρόμαχον ἔλθωμεν, εἰρήσεταί τι καὶ περὶ τῆς ἐκείνου πρὸς ἀμφοτέρους αὖθις κατά τινα μὲν ὁμολογίας, κατά τινα δὲ διαφωνίας.

Ἡ Ἶσις χλωρά.

Ταύτην μὲν Ἶσιν ἔγραψε καὶ οὗτος, ὥσπερ καὶ ἄλλοι σχεδὸν ἅπαντες. ἐπεὶ δὲ ἐπιμελέστερον ἥ τε χρῆσις αὐτῆς ὅλη, καὶ ἡ σκευασία παρὰ τούτῳ γέγραπται, μετὰ τοῦ καὶ διαφωνεῖν βραχέα πρὸς τὸν Ἥραν, ἔδοξέ μοι καὶ τὰ ὑπὸ τούτου γεγραμμένα, κατὰ λέξιν ὑπογράψαι. ἡ Ἶσις ἣν τινες Ἐπιγόνου καλοῦσι, ποιοῦσα, ἄκρατος μὲν πρὸς λεπίδων ἀποστάσεις, καὶ ἀναπλεούσης ὀστέων παχείας, ἔμμοτος δὲ καὶ σπληνίον ἐπιτιθεμένη, καὶ πρὸς σκόλοπας, καὶ θηρίων πάντων πληγάς τε καὶ δήγματα, καὶ πρὸς πάσας τὰς ὑπὸ σιδήρου γινομένας ἐν πολέμοις τε καὶ ἄλλως, νύξεις τε καὶ τρώσεις, θεραπεύει καὶ σύριγγας ἐπιτιθεμένη, καὶ κολλύριον ἐντιθεμένη, ἐκτυλοῦσα καὶ παρακολλῶσα ταῦτα, καὶ κεκραμένη δὲ αὕτη πρὸς πᾶν τραῦμα ἔμμοτον καὶ σπληνίον ἐπιτιθεμένη, καὶ πρὸς τὰ κακοήθη, καὶ χρόνια, καὶ ὑπὸ ἄλλων κατεφθαρμένα, ἐφ᾽ ὧν προαναξέων, τῷ φαρμάκῳ χρῶ τῇ κεκραμένῃ. ποιεῖ δὲ θαυμαστῶς καὶ πρὸς τὰς παρακολλήσεις τῶν κόλπων, ἕως ἂν ὦσι μεγάλοι. ἐξικμάζουσα γὰρ καὶ παρακολλῶσα, τούτοις εὔθετεῖ, καὶ ἔμμοτος, καὶ κεκραμένη, καὶ ἄκρατος, ἐφ᾽ ὧν ὑπεκτῆξαι θέλομεν ἀδένας τινάς, ἢ ὑμένας ἐγκειμένους. χρῶ δὲ καὶ πρὸς τὰ κατάγματα σὺν τραύματι, καὶ χωρὶς τραύματος. πωροῖ γὰρ τάχιστα καὶ σφίγγει τὰ πεπονθότα. καὶ ἐφ᾽ ὧν δ᾽ ἄλλο μάλαγμα οὐ ποιεῖ, αὕτη ἀκριβῶς ποιεῖ, ὄνυχάς τε ἐκ προσκόμματος σεσαλευμένους, ἢ πήσσει, ἢ ἐκβάλλει, καὶ ὀδόντας ἐκ πληγῆς κεκινημένους πήσσει, καὶ καθόλου μυρία ἐστίν, ἐφ᾽ ὧν ποιεῖ διαφόρως ἀγομένη. ἔστι δὲ καὶ ἡ διειμένη αὕτη. τῆς ἀκράτου μέρος ἕν, κηρωτῆς μέρη β'. ἐνίοτε, καὶ ἔτι μᾶλλον ἐξανειμένη. τριβῆς δὲ εἰς τοῦτο καὶ γυμνασίας δεῖ. γίνεται γὰρ ἡ κηρωτή ποτε, καὶ διὰ πιτυΐνης ῥητίνης. ἡ δὲ σύνθεσις, ἀμμωνιακοῦ θυμιάματος < η'. ἰοῦ ξυστοῦ < η'. ἁλὸς ἀμμωνιακοῦ < η'. λεπίδος χαλκοῦ < η'. χαλκοῦ κεκαυμένου < η'. στυπτηρίας στρογγύλης < ϛ'. ἀριστολοχίας < η'. λιβάνου < η'. σμύρνης < ιβ'. ἀλόης < ιβ'. χαλβάνης < ιβ'. κηροῦ η'. ῥητίνης κολοφωνίας < ϛ'. ἔνιοι δὲ τερμινθίνης τὸ αὐτό. ἐλαίου παλαιοῦ Κο β'. ὄξους Κο β'. Ἐπίγονος δὲ καὶ δρακοντίου ῥίζης χυλοῦ < ιβ'. καὶ πρασίου χυλοῦ < ιβ'. καὶ σέρεως χυλοῦ < η'. πάντα κόψας καὶ σήσας ἐπιμελῶς βάλλε εἰς θυίαν, καὶ καθ᾽ ὀλίγον ἐν ἡλίῳ παράχει τὸ ὄξος, ἕως οὗ λεοτριβῶν, ἐξαναλώσεις ὅλον τὸ ὄξος. καὶ λείου γινομένου, τὰ τηκτὰ τήξας, καὶ ψύξας, ξύσας τε ἐπιμελῶς πρόσβαλλε τοῖς ἐν τῇ θυίᾳ, καὶ μαλάξας ἀναλοῦ. ταῦτα μὲν ὁ Κρίτων ἔγραψεν. ἐγὼ δ᾽ αὐτὴν χωρὶς τοῦ τῆς σέρεως χυλοῦ σκευάσας, ἀφελὼν δέ ποτε καὶ τὰς στυπτηρίας, ἐχρώμην ἐπὶ τῶν νευροτρώτων ὁμοίως τῷ διὰ μεταλλικῶν ἐν τῷ περὶ τῶν νευροτρώτων λόγῳ γεγραμμένῳ φαρμάκῳ. ἰσχυρότερον γὰρ γίνεται, ἣν ὄξει δριμυτάτῳ περικλυζομένη πάντοθεν, ἀποκέηται, καὶ δι᾽ ἡμερῶν, ὡς πεντεκαίδεκα, μαλάττηται.

Ἡ Μαχαιρίωνος.

Ἔνδοξός τε ἅμα, καὶ πολύχρηστός ἐστιν· ἁρμόζει καὶ ταῖς διαθέσεσι τῶν ἑλκῶν ὑπὲρ ὧν ὅλον ἐστὶ τοῦτο τὸ ὑπόμνημα γραφόμενον. οὕτω δὲ αὐτὴν ὁ Κρίτων ἔγραψε κατὰ λέξιν. ἡ Μαχαιρίωνος ποιοῦσα πρὸς πάντα πρόσφατα τραύματα, κολλῶσα,

A Hæc quidem in præsentia de Heræ, & Critonis in proposito medicamento discordia. Quum verò ad Andromachum venerimus, dicetur itidem nonnihil de illius, cum vtroque, partim consensu, partim controuersia.

Isis viridis.

Isidem hic quoque scripsit, quemadmodum alij propè omnes. At quia diligentiùs, tum vsum ipsius vniuersum, tum præparationem tradidit, ac simul nonnihil ab Hera discessit, visum mihi est etiam ab hoc scripta ad verbum subiungere.

B *Isis, quam nonnulli Epigoni vocant. Per se ad squamarum abscessus facit. Item crassa ossium fragmenta innatantia iuuat linamento, vel splenij modo imposita. Valet ad aculeos, omniumque ferarum ictus, & morsus. Sanat omnes punctos, & vulnera ferro facta in bello, & aliter. Curat etiam fistulas imposita, & vt collyrium indita. Discutit callos, & conglutinat. Alteri temperata ad omne vulnus linamento, & splenij instar, adhibita valet. Prodest ad maligna, & diutina, ac ab aliis corrupta; in quibus derasis priùs, medicamento diluto vtitor. Mirificè facit, & ad sinus conglutinandos, dum magni fuerint, nam exiccan-* C *dis illis, coniungendisque conuenit, linamento quoque imposita, tum per se, tum alteri mixta, in quibus adenes aliquos, vel insitas membranas eliquare volumus. Vtitor etiam ad fracturas cum vulnere, & sine hoc; callum enim ducit celerrimè, & partes affectas astringit. Insuper in quibus aliud malagma non proficit, ipsa exactè prodest; & vngues ex offendiculo vacillantes, vel confirmat, vel extrudit; & dentes ex ictu motos stabilit. Summatim infinita sunt, quibus differenter adhibita, conducit. Est autem & diluta hæc; intemperata pars vna sumitur, cerati partes duæ nonnunquam, atque adhuc magis diluitur. Sed vsus, & exercitatio in hoc requiritur; fit namque ceratum* D *interdum, & per resinam pityinam. Compositio autem talis est.* ℞. Guttæ ammoniaci drach. octo, æruginis rasæ drach. viij. salis ammoniaci ʒ. viij. squamæ æris ʒ. viij. æris vsti drach. vii. aluminis rotundi drach. vj. aristolochiæ drach. viij. thuris ʒ. viij. myrrhæ ʒ. xij. aloës ʒ. xij. galbani ʒ. xij. ceræ drachmas octo, resinæ colophoniæ drach. sex, nonnulli terebinthinæ tantundem; olei veteris heminas duas, aceti heminas duas. Epigonus verò, & dracunculi radicis succi drach. duodecim, & marrubij succi drachmas duodecim, & sereos succi ʒ. viij. Omnia diligenter contusa, ac cribrata mortario iniiciuntur, ac paulatim acetum E in Sole affunditur, donec terendo totum acetum consumatur; vbi læue factum fuerit, liquefacta, & refrigerata, rasaque diligenter, iis quæ in mortario sunt, admiscentur, ac subacta excipiuntur. Hæc scripsit Crito. Ego verò sine liquore sereos ipsam præparaui, & nonnunquam de alumine ademi, vsusque sum in neruorum vulneribus hoc medicamento simili modo, quo medicamento, quod ex metallicis confectum est, quod in sermone neruorum vulneratorum scriptum est; nam valentius efficitur; aceto acerrimo vndique circunfusum, reponitur, & diebus circiter quinde- F cim emollitur.

Medicamentum Macherionis.

Celebre simul & multi vsus est. Conuenit affectibus vlcerum, de quibus totus hic liber scribitur. Sic autem Crito ipsum protulit ad verbum. *Macherionis: Ad omnia recentia vulnera: coglutinat, & phlegmo-*

& phlegmonem arcet, præsertim vbi confusio fuerit. Rabiosi canis morsum summè curat, ampliori loco impositum, ac mutatum frequentissimè. Pilulæ quoque modo sumptum fabæ magnitudinis diebus triginta ad omnem affectum facit, maximè phagedænicum; item ad aurium, naturaliumque vlcera. In ossibus denudatis carnem producit, narium vlcera sanat. Est etiam viride, diluitur rosaceo vel omphacino. Hæc recipit aristolochiæ rotundæ vnciam vnam, galbani vnciam vnam, opopanacis vnciam vnam, æruginis rasæ vnciam j. iridis Illyricæ ℥.j. guttæ ammoniaci vnciam vnam, myrrhæ ℥.j. terebinthinæ ℥.vij.ß. ceræ vncias vij. ß. olei omphacini vnciias septem & dimidiam. Dimidium olei, cum ærugine ad læuorem teritur, reliquum cum cera & terebinthina coquitur.

Dysrachitis Damocratis ad verbum.

Et hoc ex celebrium, lateque vsu patentium medicamentorum numero existit, scribit de eo Crito hunc in modum. *Dysrachitis. Mirum in modum facit ad sinus callo vndique circundatos, & fistulas impositum; si orificium sit, quod linteolum medicamento illitum queat excipere, imponito, ac citiùs proficiet. Vtitor eius virtute in humectis, fluentibus, & diutinis affectionibus, tertio quoque die, vt plurimum ipsum mutans. Podagricos quoque iuuat mirificè in accessionis principio illitum, ac in latum circumpositum, qui & ad consuetas ambulationes, & vitæ vsus demittantur. Citra balneum ad triduum, diesque aliquot permaneant; non enim materiæ dat accessum, vt affectum increscat. Conuenitque omni vlceri ad sex partes cerato admixtum; inucterascens melius euadit.* ℞. Aluminis rotundi drach. viij. squamæ ʒ. xij. æris vsti drachmas quatuor, aristolochiæ drachmas nouem, galbani drachmas decem, guttæ ammoniaci drachmas duodecim, alij decem, thuris drach. ix. myrrhæ drach. nouem, styracis drach. xv. misyos drachmas tres, chalcitidis ʒ.iij. scillæ medullæ drach. octo, picis liquidæ drachmas quatuor, iridis Illyricæ drach. ix. secundum alios quatuor; terebinthinæ drach. decem, alij drachmas septem; pityinæ drachmas decem, alij sex, ceræ drachmas septuagintaquinque, olei libram vnam & dimidiam, quidam etiam medullæ cerui drachmas octo, aliter viginti, adiiciunt. Squamam, æs, misy, chalcitidem, scillam, ex aceto priùs quàm accerrimo in Sole terito, vt læuia fiant; maximè læuigatis aristolochiam, & iridem adiicito. Hæc priùs contusa, tenuique cribro discreta, rursus aceto circunfusa terantur, atque hoc tam diu facito, quàm asspredinem sentias, non parcens aceto sumptitando. Postquam læuia fuerint, alumen addito, facitoque hæc donec & illud in pulucrem redigatur; deinde myrrham, mox thus, ab hoc ammoniacum, postea styracem, postremò picem indito. Hæc in calido sole vruntur, quò styrax elaboretur. Vbi iam læuitatem, & sordium crassitudinem nacta fuerint omnia, ceram, resinas, & oleum liquefacito, & paululum decocti galbano superfundito, idque congregatum in pila terito, ac quæ liquefiunt modicæ refrigerata indito; tunc galbanum demittens, dissoluensque, in vas fictile percolato; ac vbi deraseris, cum iis, quæ in pila sunt, permisceto.

A καὶ ἀφλέγμαντα τηροῦσα, καὶ μάλιστα ἐπὶ μετὰ θλάσεως. ἐπὶ δὲ λυσσοδήκτων ἄκρως, ἐπιτιθεμένη ἐπὶ πλέονος τόπου, καὶ ἀλλασσομένη συνεχέστατα, καὶ λαμβανομένη καταπότιον, ὡς κυάμου μέγεθος ἐπὶ ἡμέρας λ΄. πρὸς νομὴν πᾶσαν, καὶ μάλιστα φαγεδαινικήν, καὶ πρὸς τὰ ἐν ὠσὶ, καὶ ἐν αἰδοίοις ἕλκη, ἐπί τε τῶν ἐψιλωμένων ὀστέων σάρκα αὔξουσα, καὶ πρὸς τὰ ἐν ῥισὶν ἕλκη. ἔστι δὲ καὶ χλωρά. διίεται δὲ ῥοδίνῳ, ἢ ὀμφακίνῳ. ℞. ἀριστολοχίας στρογγύλης ℥ α΄. χαλβάνης ℥ α΄. ὀποπάνακος οὐγγίαν α΄. ἰοῦ ξυστοῦ ℥ α΄. ἴρεως Ἰλλυρικῆς ℥ α΄. ἀμμωνιακοῦ θυμιάματος οὐγγίαν α΄. σμύρνης οὐγγίαν α΄. τερμινθίνης οὐγ-

B γίας ζ΄ S΄ κηροῦ ℥ ζ΄ S΄. ἐλαίου ὀμφακίνου ℥ ζ΄ S΄. τὸ ἥμισυ τοῦ ἐλαίου μετὰ τοῦ ἰοῦ λεαίνεται. τὸ δὲ λοιπὸν, μετὰ τοῦ κηροῦ, καὶ τῆς τερμινθίνης, ἕψε.

Δυσραχῖτις πρὸς λέξιν, ὡς Δαμοκράτης.

Καὶ αὕτη τῶν ἐνδόξων τε καὶ πολυχρήστων ἐστὶ φαρμάκων. γράφει δὲ περὶ αὐτῆς ὁ Κρίτων οὕτως. δυσραχῖτις, παραδόξως ποιοῦσα ἐπὶ τῶν κόλπων τῶν περιτετυλωμένων, καὶ συρίγγων ἐπιτιθεμένη. ἐὰν δὲ στόμιον ᾖ, δυνάμενον παραδέξασθαι ὀθόνιον κεχρισμένον τῷ φαρμάκῳ ἐντίθει, καὶ τάχιον ἐνεργήσει. χρῶ δὲ τῇ δυνάμει ἐπὶ τῶν καθύγρων, καὶ ῥευματικῶν,

C καὶ χρονίων διαθέσεων, διὰ τρίτης τὰ πολλὰ ἀλλάττων αὐτήν. θαυμαστῶς δὲ ἐνεργεῖ, καὶ ἐπὶ τῶν ποδαγρικῶν ἐν ἀρχῇ τοῦ παροξυσμοῦ ἐπιπλασσομένη, καὶ ἐν πλάτει περιτιθεμένη, οἱ καὶ ἀπολύεσθωσαν ἐπὶ τοὺς συνήθεις περιπάτους, καὶ τὰς τοῦ βίου χρείας δίχα βαλανείου, ἕως τῆς διὰ τρίτης, καὶ ἐπί τινας ἡμέρας ἐπιμενέτωσαν. οὐ γὰρ δίδωσι τῇ ὕλῃ πρόσοδον εἰς ἐπίτασιν τοῦ πάθους. ἁρμόζει δὲ καὶ ἐπὶ παντὸς ἕλκους, πρὸς ἓξ μέρη κηρωτῇ μιγνυμένη. παλαιουμένη δ΄ ἡ δύναμις γίγνεται κρείττων. ℞. στυπτηρίας στρογγύλης < η΄. λεπίδος < ιβ΄.

D χαλκοῦ κεκαυμένου < δ΄. ἀριστολοχίας < θ΄. χαλβάνης < ι΄. ἀμμωνιακοῦ θυμιάματος < ιβ΄. οἱ δὲ < ι΄. λιβάνου < θ΄. σμύρνης < θ΄. στύρακος < ιε΄. μίσυος < γ΄. χαλκίτεως < γ΄. σκίλλης ἐγκαρδίου < η΄. πίσσης ὑγρᾶς < δ΄. ἴρεως Ἰλλυρικῆς < θ΄. οἱ δὲ δ΄. τερμινθίνης < ι΄. οἱ δὲ < ζ΄. πιτυΐνης < ι΄. οἱ δὲ ς΄. κηροῦ < οε΄. ἐλαίου λίτρας α΄ S΄. τινὲς δὲ καὶ μυελοῦ ἐλαφείου < η΄. ἄλλ. κ΄. τὴν δὲ λεπίδα, καὶ τὸν χαλκὸν, καὶ τὸ μίσυ, καὶ τὴν χαλκῖτιν, καὶ τὴν σκίλλαν προαποτρίβε μετ΄ ὄξους δριμυτάτου ἐν ἡλίῳ, ὡς λεανθῆναι. γινομένων δὲ λειοτάτων, ἀπόδος τὴν ἀριστολοχίαν, καὶ τὴν ἶριν.

E προκόψας δὲ ταῦτα, καὶ λεπτοτάτῳ κοσκίνῳ σήσας, καὶ πάλιν περιχέας ὄξος λεαίνε, καὶ τοῦτο ποίει ἐφ΄ ὅσον τραχύτατος ἐμφαίνῃ, ἀφειδῶν τῆς τοῦ ὄξους ἀναλώσεως. ἐπὰν δὲ λεῖα γένηται, βάλε τὴν στυπτηρίαν, καὶ ταῦτα ποίει ἄχρι καὶ αὐτὴ λεανθῇ. εἶτα τὴν σμύρναν, μεθ΄ ἣν τὸν λιβανωτὸν, εἶτα τὸ ἀμμωνιακὸν, καὶ μετὰ ταῦτα τὸν στύρακα, εἶτα τὴν πίσσαν. πυρούσθω δὲ ταῦτα ἐν ἡλίῳ θερμῷ, ὅπως κατεργασθῇ ἡ στύραξ. γινομένων δὲ πάντων λείων, καὶ ἐχόντων τὸ πάχος ῥυπῶδες, καὶ γλοιῶδες, τὸν κηρὸν καὶ τὰς ῥητίνας, καὶ τὸ ἔλαιον τήξας, καὶ βραχὺ ἐκ τοῦ ζέματος καταχέας τῆς χαλβάνης, καὶ συνενώσας ταύτην, ἐν

F θυίᾳ τρίβε, καὶ ψύξας ἐπ΄ ὀλίγον ἐπίβαλλε τὰ τηκτὰ, τότε καθεὶς τὴν χαλβάνην, καὶ διαλύσας αὐτὴν, δίηθησον εἰς ὀστράκινον σκεῦος, καὶ ἀναξύσας, μίσγε τοῖς ἐν τῇ θυίᾳ.

A

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Η διὰ ἰτεῶν.

ΤΗν διὰ τῶν ἰτεῶν, ἔνδοξόν τε καὶ πολύχρηστον οὖσαν καὶ αὐτὴν, ὁμοίως ταῖς προγεγραμμέναις ὁ Κρίτων οὕτως γράφει. Η διὰ τῶν ἰτεῶν ἁρμόζουσα πρὸς τὰ ἔναιμα, καὶ ἄρθρα λελυμένα, καὶ πρὸς σύριγγας ἐντιθεμένη, καὶ πρὸς πλαδαρὰς σάρκας, καὶ μάλιστα τὰς ἐπὶ τοῖς ἀκρωτηρίοις. ποιεῖ καὶ πρὸς ἐρυσιπέλατα, καὶ πρὸς ἄλλας πλείστας διαθέσεις, δίχα κατακαυμάτων. ℞. Μίσυος, χαλκίτεως, ἰοῦ, ψιμμυθίου, κηκίδων, στυπτηρίας σχιστῆς καὶ στρογγύλης, μελαντηρίας ἀνὰ οὐγγίας ς'. κηροῦ, ῥητίνης πιτυίνης, πίσσης, ἀσφάλτου, ἰτέας φύλλων, ἀνὰ οὐγγίας β'. ἐλαίου κοτύλας δ'. οὐγγίας δ'. χαλκάνθου οὐγγίας ς'. σιδίων ℥ ς'. ὄξους ξε ς'. τὰς ἰτέας μετ' ὄξους, ἕως λειφθῶσι ξέσται β'. ἕψε, εἶτα ἰῷ, προλελειοτριβημένῳ, καὶ ψιμμυθίῳ καὶ μελαντηρίᾳ ἐπίβαλλε τὰ φύλλα, καὶ συλλειοτρίβει, εἶτα τὰ ξηρὰ, λεῖα, καὶ πάλιν χύλωσον, εἶτα τὰ τηκτὰ ἐπικατάχει. Ταύτην ὁ Ἀσκληπιάδης ἄνευ τοῦ χαλκάνθου καὶ τῶν σιδίων σκευάζει καθότι γέγραπται διὰ τοῦ πρόσθεν ὑπομνήματος τοῦ δευτέρου. Ἑτέραν ἐφεξῆς τῆσδε διὰ ἰτεῶν ἔγραψεν ὁ Κρίτων ὧδέ πως. Η διὰ ἰτεῶν λιτὴ, ὡς Ἡρόδοτος. ℞. Μελαντηρίας, κηκίδος ὀμφακίτιδος, στυπτηρίας σχιστῆς, στρογγύλης, ἀνὰ οὐγγίας ς'. κηροῦ, ἀσφάλτου, πίσσης ξηρᾶς, ἰτέας φύλλων, πιτυίνης, ἀνὰ λίτρας β'. ἐλαίου λίτραν α'. ὄξους ξέστου ἥμισυ.

CAPVT III.

Emplastrum ex salicibus.

QVod ex salicibus constat, præclarum, & in multos vsus idoneum similiter prædictis, Crito hisce verbis recensuit. *Emplastrum ex salicibus. Prodest cruentis vlceribus impositum, articulis solutis, fistulis inditum, flaccidis carnibus, humidisque, præsertim quæ in extremis partibus extant. Valet item* B *ad erysipelata, aliósque plurimos affectus sine vsturis.* ℞. mysios, chalcitidis, æruginis, cerussæ, gallæ, aluminis scissilis, & rotundi, *cretæ sutoriæ*, seu melanteriæ, singulorum ℥. vj. ceræ, resinæ pityinæ, picis, bituminis, salicis foliorum, singulorum ℥. ii. olei heminas iv. ℥. iv. chalcanthi ℥. vi. malicorij ℥. vj. aceti sextarios vi. Salices ex aceto incoquantur, donec relicti fuerint sextarii duo; deinde ærugini, cerussæ, & cretæ sutoriæ, priùs tritis folia immittito, simúlque ad læuorem terito, deinde sicca læuigata, rursúsque exprimito, postea liquefacta superfundito. Hoc Asclepiades sine chalcantho, & malicorio præparat, sicut in secundo huius operis commentario docui- C mus. Aliud post hoc ex salicibus Crito in istam sententiam edidit. *Ex salicibus Lite, vt Herodotus.* ℞. melanteriæ, gallæ omphacitidis, aluminis scissilis, rotundi, singulorum ℥. vj. ceræ, bituminis, picis aridæ, salicis foliorum, pityinæ, singulorum lib. ii. olei libram vnam, aceti sextarii dimidium.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων τοῦ αὐτοῦ γένους ἐμπλάστρων.

ΕΝ ταύταις ἐκ τῶν προγεγραμμένων εἰσὶν, ἥ τε τοῦ Ἁλιέως ὑπὸ πάντων γινωσκομένη, καὶ ἡ διὰ δικτάμνου. ἀλλ' ἐπεὶ σαφῶς ὑπὲρ αὐτῶν ἔγραψεν ὁ Ἀσκληπιάδης, διὰ τοῦτο καὶ νῦν αὐτῶν ἀναμνήσω. χρήσιμον δ' ἔτι καὶ ἄλλο, τοῦ δὶς καὶ τρὶς γραφομένου ὑπάρχει, τὸ γνῶναι κατὰ τίνα μὲν τῶν ἐμβαλλομένων αὐταῖς, συνεφώνησαν ἀλλήλοις, κατὰ τίνα δὲ διεφώνησαν οἱ γράψαντες αὐτάς. ἔν τε ταῖς περὶ αὐτῶν ἐπαγγελίαις ὁμοίως. Η τοῦ Ἁλιέως. Κιρρὰ, πρὸς τὰ ἔναιμα τῶν τραυμάτων, καὶ νεύρων ποιεῖ διακοπὰς, καὶ πρὸς τὰ παλαιὰ καὶ δυσεπούλωτα, καὶ ῥευματικὰ τῶν ἑλκῶν. ἔστι δὲ καὶ μαλακτικὴ ἀγαθὴ, μάλιστα δὲ τῶν περὶ τοῖς μαστοῖς γιγνομένων σκληριῶν. χρώμεθα δὲ αὐτῇ ἐπὶ τῶν κυνοδήκτων, καὶ ἀνθρωποδήκτων. ἄκρως ποιεῖ καὶ πρὸς τρυγόνων θαλασσίων, καὶ δρακόντων, καὶ τῶν ἄλλων χαλεπῶν ἰχθύων πληγὰς, καὶ καθόλου ἐστὶν ἡ δύναμις θαυμαστή. ℞. Λιθαργύρου, κηροῦ, ἀνὰ < ρ'. τερμινθίνης, μάννης λιβάνου, χαλβάνης, μίλτου Σινωπίδος, ἀνὰ < η'. ἐλαίου ξέστην α'. σκεύαζε κατὰ τρόπον. Γήλινος, ἡ τοῦ Ἁλιέως. ℞. Λιθαργύρου, κηροῦ, ἀνὰ δραχμὰς ρ'. τερμινθίνης, σμύρνης, Σινωπίδος, ἰοῦ ξυστοῦ, λεπίδος, ἀνὰ δραχμὰς η'. ἀριστολοχίας < η'. λιβάνου δραχμὰς κε'. διφρυγοῦς δραχμὰς ς'. χαλβάνης < ιβ'. ἀμμωνιακοῦ θυμιάματος δραχμὰς ιβ'. ἐλαίου κοτύλας β'. σκεύαζε κατὰ τρόπον. Η τῶν κυνηγῶν. Φάρμακον ἐπιτετευγμένον. ποιεῖ καὶ πρὸς τὰς τῶν τετραπόδων πληγὰς καὶ δήγματα, καὶ τὰ λοιπὰ τῶν ἰοβόλων. ℞. Λιθαργύρου μνᾶν α'.

CAPVT IV.

De emplastris eiusdem generis ab Asclepiade scriptis.

D

HIs annumerantur ex suprascriptis, tum quod ad Halieum refertur ab omnibus cognitum, tum quod ex dictamno constat; sed quia Asclepiades manifestò de ipsis scripsit, ob id etiam nunc eorundem mentionem faciam. Porrò commodum ex eo, quod bis, vel ter scribitur, aliud insuper accedit, puta vt cognoscamus, in quibus simplicibus miscendis, ac ipsorum pollicitis, scriptores illorum inter se conueniant, in quibus item discordent. *Halici Gilaum. Ad cruenta vulnera, & neruos præcisos valet. Item vlceribus vetustis cica-* E *tricem ægrè ducentibus, & rheumaticis conducit. Quin & emollit optimè, præsertim in mammis ortas duritias. Medetur canum hominúmque morsibus, insigniter valet & ad pastinacæ, & draconis, aliorúmque sæuorum piscium ictus. In summa virtutem habet mirificam.* ℞. argenti spumæ, ceræ, cuiusque drach. centum, terebinthinæ, mannæ thuris, galbani, minii sinopici, cuiusque ʒ. viii. olei sextarium vnum, præparato sicut prædiximus. *Haliei giluum ex Galeno.* ℞. argenti spumæ, ceræ, cuiusque drach. centum, terebin- F thinæ, myrrhæ, sinopidis, æruginis rasæ, squamæ, singulorum drachmas octo, aristolochiæ drachmas octo, thuris drachmas vigintiquinque, diphrygis drachmas sex, galbani drach. duodecim, guttæ ammoniaci drach. xii. olei heminas duas, conficito quemadmodum superiora. *Emplastrum Venatorum, pharmacum confectum, facit ad quadrupedum ictus, morsúsque, & ad reliqua venenata.* ℞. argenti spumæ minam vnam, olei

olei veteris, ſquamæ æris rubri, ceræ, reſinæ frictæ, ſingulorum ℔. i. guttæ ammoniaci ʒ. iv. galbani, minii ſinopici, ſingulorum ʒ. duas. Argenti ſpumam, ſquamam, & oleum, ad ſpiſſitudinem vſque incoquito, deinde ceram, ac reſinam iniicito; quum liquata fuerint, ab igne tollito, & ammoniacum dilatatum immittito; vbi refrixerint, galbanum, & ammoniacum indito, ſinopicum inſpergens, ac in mortarium defuſis mollitiſque vtitor. *Emplaſtrum Chalcidei, conglutinat, inflammationem arcet, diuiſiones cum contuſione iuuat; ſinus coniungit, reſiccat & abſceſſus prohibet, oſſa corrupta educit; maximè autem, & in partibus extremis valet; in vniuerſum mirabilis ei facultas eſt.* ℞. argenti ſpumæ, ſquamæ æris, reſinæ pityinæ, ceræ ſingulorum ʒ. centum, guttæ ammoniaci, galbani, cuiuſque ʒ. xvi. diphrygis drach. xii. ariſtolochiæ læuiſſimæ drachmas quadraginta, olei veteris ſextarios tres. Argenti ſpuma, ſquamáque ex oleo coquuntur; ac vbi colorem mutauerint, diphryges immittitur, deinde cera, reſina pityina, vel pinea; liquatum, vt non inquinet, ab igne tollitur, ac ammoniacum elotum iniicitur; poſtquam liquefeceris, ariſtolochia medicamento iam refrigerato inſpergatur, & continuè moueatur; deinde in mortarium immittito, ac ſubigito, excipienſque vtitor.

Ex dictamno ſacrum, facultate mirandum.

Benefacit neruis muſculiſque præciſis, & contuſis, vetuſtis, & ſanatu difficilibus. Oſſa corrupta elicit. Aculeos, & telorum cuſpides, quæ infixa ſunt corpori, eximit; nec minus diſcutit. Iuuat capitis dolores, & oculorum fluxiones. Eſt etiam malagma pleuriticis, & hepaticis idoneum. Efficax eſt, & ad cuiuſlibet virulenti ictus. ℞. argenti ſpumæ ʒ. centum, colophoniæ drach. quinquaginta, ceræ drach. vigintiquinque, guttæ ammoniaci, ariſtolochiæ, ſingulorum ʒ. xvi. mannæ, galbani, vniuſcuiuſque drach. duodecim, æruginis, dictamni, æris vſti, aloes, propolis, ſingulorum drach. viii. diphrygis, æris ſquamæ, gẽtianæ radicis ſing. ʒ. vi olei veteris hyeme heminas duas, per æſtatem vnam ac ſemiſſem. Præparatur quo dixi modo. Huius ſcriptura ab Hera in horum pondere variat. Nam Aſclepiades dictamni drach. viii. Heras decem, iniicere præcipit; & verò etiam ariſtolochiæ, & guttæ ammoniaci, hic cuiuſque drach. ſexdecim, Heras ſex quidem & viginti guttæ ammoniaci, ariſtolochiæ verò decem. Cæterùm Heras oleum indiſtinctè ſcripſit, ſolùm heminas duas eius iubens infundere, Aſclepiades autem hyeme tantum, æſtate verò vnam, & ſemiſſem. *Diophanti Chirurgi, quo vſus eſt Phylacus.* ℞. argenti ſpumæ drach. centum quinquaginta, ceruſſæ, picis, ſquamæ æris, ceræ, ſingulorum ʒ. xviii. æruginis, reſinæ pityinæ ſiccæ, mannæ, thuris, propolis, ſingulorum ʒ. xii. galbani, ariſtolochiæ, cyperi ſingulorum drach. ſex, dictamni, trifolii, guttæ ammoniaci, ſingulorum drach. iii. Illyricæ, artemiſiæ, polii, marrubii, ſingulorum drach. ii. olei veteris heminas duas. Ad dictum modum præparatur.

A ἐλαίου παλαιοῦ, λεπίδος ἐρυθρᾶς χαλκοῦ, κηροῦ, ῥητίνης φρυκτῆς, ἀνὰ λίτραν α΄. ἀμμωνιακοῦ θυμιάματος οὐγγίας δ΄. χαλβάνης, μίλτου Σινωπίδος, ἀνὰ οὐγγίας β΄. ἕψε λιθάργυρον, λεπίδα, ἔλαιον μέχρι συστάσεως, εἶτα ἐπίβαλλε κηρὸν καὶ ῥητίνην. καὶ ὅταν τακῇ, ἄρας ἀπὸ τοῦ πυρὸς, ἐπέμβαλλε ἀμμωνιακὸν, πλατύνας. καὶ ὅταν ψυγῇ, ἐπίβαλλε τὴν χαλβάνην, καὶ ἀμμωνιακὸν, ἐπιπάσσων τὴν Σινωπίδα, καὶ εἰς θυίαν ἐξεράσας καὶ μαλακῶς μαλάξας, χρῶ. Η τοῦ Χαλκιδέως. κολλητικὴ ἀφλέγμαντος. ποιεῖ δὲ καὶ πρὸς τὰς μετὰ περιθλάσεως διαιρέσεις, καὶ κόλπους προσκολλᾷ, καὶ ἀναξηραίνει, καὶ B κωλύει ἀποστάσεις, ἀνάγει ὀστᾶ διεφθορότα, μάλιστα δὲ ποιεῖ, καὶ ἐπὶ τῶν ἀκρωτηρίων, καὶ καθόλου ἡ δύναμίς ἐστι θαυμαστή. Λιθαργύρου, λεπίδος χαλκοῦ, ῥητίνης πιτυΐνης, κηροῦ, ἀνὰ < ρ΄. ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης, ἀνὰ < ις΄. διφρυγοῦς < ιβ΄. ἀριστολοχίας λειοτάτης < μ΄. ἐλαίου παλαιοῦ ξέστας τρεῖς. ἕψε λιθάργυρον, λεπίδα, μετὰ τοῦ ἐλαίου, καὶ ὅταν μεταβάλλῃ τὸ χρῶμα, ἐπίβαλλε διφρυγὲς, εἶτα κηρὸν καὶ ῥητίνην πιτυΐνην, ἢ πευκίνην. ὅταν δὲ τακῇ, καὶ ἀμόλυντος γένηται, ἄρας ἀπὸ τοῦ πυρὸς, ἐπέμβαλλε ἀμμωνιακὸν πλύνας. καὶ ὅταν τακῇ, ἀριστολοχίαν κατάπασσε ψυχροῦ γενομένου τοῦ φαρμάκου, καὶ κίνει C συνεχῶς, ἔπειτα εἰς θυίαν ἐξεράσας, καὶ μαλάξας, ἀνελόμενος χρῶ.

Η διὰ δικτάμνου ἱερὰ, δύναμις θαυμαστική.

Πρὸς νεύρων καὶ μυῶν διακοπὰς, καὶ περιθλάσεις. ποιεῖ καὶ πρὸς τὰ παλαιὰ καὶ δυσαλθῆ, ἀνάγει ὀστᾶ διεφθορότα, καὶ σκόλοπας, καὶ ἀκίδας, ἔστι δὲ καὶ διαφορητική. ποιεῖ καὶ πρὸς ἀλγήματα κεφαλῆς, καὶ ὀφθαλμῶν ῥεύματα, ἔστι καὶ μάλαγμα ἀγαθὸν πλευριτικοῖς, ἠπατικοῖς. D ποιεῖ καὶ πρὸς παντὸς ἰοβόλου πληγήν. ℞. Λιθαργύρου < ρ΄. κολοφωνίας < ν΄. κηροῦ < κε΄. ἀμμωνιακοῦ θυμιάματος, ἀριστολοχίας, ἀνὰ < ις΄. μάννης, χαλβάνης, ἀνὰ < ιβ΄. ἰοῦ, δικτάμνου, χαλκοῦ κεκαυμένου, ἀλόης, προπόλεως, ἀνὰ < η΄. διφρυγοῦς, λεπίδος χαλκοῦ, γεντιανῆς ῥίζης, ἀνὰ < ς΄. ἐλαίου παλαιοῦ, χειμῶνος κοτύλας β΄. θέρους α΄. S. σκεύαζε κατὰ τρόπον. Διεφώνησεν ἡ τούτου γραφὴ πρὸς τὴν τοῦ Ηρα κατὰ τὸν σταθμὸν ἐν τοῖσδε. δικτάμνου < η΄. κελεύοντος τούτου βάλλειν, ὁ Ηρας ἐκέλευσε δέκα. καὶ μέντοι καὶ ἀριστολοχίας, καὶ ἀμμωνιακοῦ θυμιάματος, οὗτος μὲν ἑκατέρου < ις΄. ὁ δὲ Ηρας E ς΄. καὶ εἴκοσιν μὲν ἀμωνιακοῦ θυμιάματος, ἀριστολοχίας δὲ ι΄. τὸ δὲ ἔλαιον, ἀδιορίστως μὲν ὁ Ηρας ἔγραψε, μόνον β΄. κοτύλας κελεύσας, ὁ δὲ Ασκληπιάδης ἐν χειμῶνι μὲν τοσοῦτον, ἐν δὲ θέρει μίαν ἥμισυ. Διοφάντου χειρουργοῦ ᾗ ἐχρήσατο Φύλακος. ℞. Λιθαργύρου < ρν΄. ψιμυθίου, πίσσης, λεπίδος χαλκοῦ, κηροῦ ἀνὰ < ιη΄. ἰοῦ, ῥητίνης πιτυΐνης ξηρᾶς, μάννης λιβάνου, προπόλεως, ἀνὰ < ιβ΄. χαλβάνης, ἀριστολοχίας, κυπέρου ἀνὰ < ς΄. δικτάμνου, τριφύλλου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ < γ΄. F Ιλλυρικῆς, ἀρτεμισίας, πολίου, πρασίου ἀνὰ < β΄. ἐλαίου παλαιοῦ κοτύλας β΄. σκεύαζε κατὰ τρόπον.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων ἐκ τοῦ αὐτοῦ γένους ἐμπλάστρων.

ΠΟλυχρήστοις ἐμπλάστροις ἅμα, καὶ πρὸς τὰ δυσεπούλωτα ποιούσας, προὔθέμην ἐν τῷδε τῷ γράμματι διελθεῖν. ἐξ αὐτῶν δὲ εἰσι καὶ αἱ δέκα κάλλισται τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων. Χλωρὰ Εὐαγγέως ℞. ῥητίνης τερμινθίνης, οἱ δὲ ξηρᾶς < ν'. οἱ δὲ < ρ'. κηροῦ < κε'. λιβανίου < γ'. λεπίδος < γ'. χαλβάνης < γ'. ἀλόης < γ'. σμύρνης < γ'. ἁλὸς ἀμμωνιακοῦ < β'. ὀποπάνακος < β'. ἰοῦ ξυστοῦ < β'. χαλκοῦ κεκαυμένου < β'. ἀριστολοχίας < β'. ἀμμωνιακοῦ θυμιάματος < β'. σχιστῆς, οἱ δὲ στρογγύλης < β'. ἰχθυοκόλλης < γ'. ὄξους κοτύλας δ'. ἐλαίου κοτύλης τέταρτον, οἱ δὲ ὄγδοον. χρῶ χωρὶς ἐνθέσεως σκώληκος. Ῥυπώδης ἣ χρῶμαι. ℞. Ἰχθυοκόλλης οὐγγίας γ'. σαρκοκόλλης οὐγγίας γ'. λίθου Ἀσίου ℥ γ'. Ἐρετριάδος λίτρας S''. γῆς Σαμίας ℥ δ'. σμύρνης ℥ δ'. λιβανωτοῦ ℥ ς'. λεπίδος χαλκοῦ ℥ η'. ἁλὸς ἀμμωνιακοῦ οὐγγίας γ'. ἰοῦ ξυστοῦ οὐγγίας ς'. στυπτηρίας σχιστῆς οὐγγίας β'. ἀλόης Ἰνδικῆς οὐγγίας δ'. χαλβάνης οὐγγίας δ'. κηροῦ λίτρας β'. τερμινθίνης λίτρας β'. ἐλαίου λίτρας δ'. ὄξος εἰς τὸ βρέξαι τὴν ἰχθυόκολλαν. τὰ ξηρὰ λεῖα ἔμπασσε τοῖς τηκτοῖς. Ἄλλη χλωρά. ℞. Ῥητίνης πιτυΐνης < σ'. ἀμμωνιακοῦ θυμιάματος < ν'. ὀποπάνακος, < η'. κηροῦ < ρ'. προπόλεως < η'. χαλβάνης < η'. λεπίδος χαλκοῦ < ιβ'. ἰοῦ < ιβ'. στυπτηρίας στρογγύλης, < η'. μίσυος < ζ. ἁλὸς ἀμμωνιακοῦ < η'. χαλκίτεως < ε'. θείου ἀπύρου < η'. λιβανωτοῦ < ιβ'. χολῆς ταυρείας ξηρᾶς < ς'. ἢ ὑγρᾶς ιβ'. κυπρίνου κοτύλας ς'. οἱ δὲ δ'. ὄξους τὸ ἱκανόν. Χλωρὰ Ἐπικούρου πολλὴν ἐπαγγελίαν ἔχουσα. ℞. Κηροῦ < σ'. κολοφωνίας < τ'. λεπίδος < ις'. χαλκοῦ κεκαυμένου < ις'. ἰοῦ < ις'. ἀριστολοχίας λεπτῆς < ις'. ἀλόης < κδ'. στυπτηρίας στρογγύλης < ιβ'. σμύρνης < κδ'. χαλβάνης < κδ'. ἁλὸς ἀμμωνιακοῦ < ις'. ὄξους κοτύλας δ'. ἐλαίου κοτύλας β'. ὅτε δὲ ἔλαττον. Χλωρά, πολλὴν ἐπαγγελίαν ἔχουσα, Ἀλκιμίωνος, ἢ Νικομάχου. Πρὸς σύριγγας καὶ τὰ μελαινόμενα, ἢ νομάς. κολλᾷ ὀστέα, καὶ ἀνάγει, καὶ διαχεῖ χοιράδας. ℞. Χαλβάνης < ις'. χαλκοῦ κεκαυμένου < η'. λεπίδος < κδ'. κηροῦ < ν'. στέατος αἰγείου, ἢ μοσχείου < λ'. λιβανίου < κε'. ῥητίνης ξηρᾶς < κε'. ἀμμωνιακοῦ θυμιάματος < κε'. τερμινθίνης < κε'. νίτρου < κε'. ἀριστολοχίας < κε'. βρυωνίας < ιβ'. ὄρχεως βοτάνης < ιβ'. ἴρεως ξηρᾶς < δ'. ἀλόης Ἰνδικῆς < ιβ'. σχιστῆς < η'. ταυρείας χολῆς < η'. ὄξους κοτύλην μίαν, ἐλαίου κοτύλην α'. ὅταν δὲ μολύνῃ, ῥοδίνῳ. Χλωρὰ πρὸς ἕρπητας, ὡς Ἀνδρόμαχος, καὶ χειρώνεια καὶ δυσεπούλωτα. ℞. Κριθῶν κεκαυμένων < ι'. ἰοῦ < η'. κηροῦ < π'. κυπρίνου κοτύλην α'. Τοῦτο τὸ φάρμακον ἰὸν ἔχει πολύν, ὡς πρὸς τὴν τοῦ κηροῦ καὶ τοῦ κυπρίνου συμμετρίαν. αἱ γάρ τοι κεκαυμέναι κριθαί, καθ' ἑαυτὰς ἐπιπασσόμεναι, τὰ χειρώνεια τῶν ἑλκῶν ὠφελοῦσιν, οὔτ' ἐπιτείνουσαι τὴν τοῦ κηροῦ καὶ κυπρίνου δύναμιν, οὔτ' ἐκλύουσαι τὴν τοῦ ἰοῦ. ἀφαιρεθεισῶν δ' αὐτῶν, ὅμοιον γίνεται τὸ φάρμακον πολλοῖς τῶν γεγραμμένων

CAPVT V.

De scriptis ab Andromacho eiusdem generis emplastris.

EMplastra variis vsus, simul, & cicatricem ægrè ducentibus idonea, hoc in libro percensere statui, ex quorum grege sunt, & decem illa longè optima, inter ea, quæ scripsit Andromachus. *Viride Euangei.* ℞. Resinæ terebinthinæ, secundum alios siccæ, drachmas l. alii verò c. ceræ drachmas xxv. thuris drachmas iii. squamæ drachmas iii. galbani drachmas iii. aloës drachmas iii. myrrhæ drachmas iii. salis ammoniaci, drachmas ii. opopanacis drachmas ii. æruginis rasæ drachmas ii. æris vsti drachmas ii. aristolochiæ drach. ii. guttæ ammoniaci drach. ii. sciffilis, secundum alios rotundi drachmas ii. ichthyocollæ drachmas iii. aceti heminas iv. olei quartam hæminæ partem, secundum alios octauam. Vtitor, vermiculari erugine non imposita. *Strigmentosum emplastrum, quo vtor.* ℞. Ichthyocollæ ℥. iii. sarcocollæ ℥. iii. lapidis Asii ℥. iii. Eretriæ selibram, terræ samiæ ℥. iv. myrrhæ ℥. iv. thuris ℥. vi. squamæ æris ℥. viii. salis ammoniaci ℥. iii. æruginis rasæ ℥. vi. aluminis sciffilis ℥. ii. aloës Indicæ ℥. iv. galbani ℥. iv. ceræ ℔. ii. terebinthinæ libras ii. olei lib. iv. aceti, quod ichthyocollæ irrigandæ sufficit. Sicca læuigata liquidis insparguntur. *Aliud viride.* ℞. resinæ pityinæ drachmas cc. guttæ ammoniaci drachmas l. opopanacis drachmas viii. ceræ drachmas c. propolis drachmas viii. galbani drachmas viii. squamæ æris drachmas xii. æruginis drachmas xii. aluminis rotundi drachmas viii. misyos drachmas vii. salis ammoniaci drachmas viii. chalcitidis ʒ. v. sulfuris ignem non experti drachmas viii. thuris drachmas xii. fellis taurini sicci drachmas vi. vel humidi drachmas xii. cyprini heminas vi. alii iv. aceti quod satis est. *Viride Epicuri multa promittens.* ℞. ceræ drachmas cc. colophoniæ drachmas ccc. squamæ ʒ. xvi. æris vsti ʒ. xvi. æruginis ʒ. xvi. aristolochiæ tenuis ʒ. xvi. aloës ʒ. xxiiii. aluminis rotundi drachmas xii. myrrhæ drachmas xxiiii. galbani drachmas xxiiij. salis ammoniaci drachmas xvi. aceti heminas iv. olei heminas ii. interdum pauciores. *Viride multa promittens Alcimionis, vel Nicomachi, ad fistulas, nigritias, vel nomas. Glutinat ossa, & reducit, strumas discutit.* ℞. galbani ʒ. xvi. æris vsti ʒ. viii. squamæ ʒ. xxiv. ceræ ʒ. l. seui caprini, vel vitulini ʒ. xxx. thuris ʒ. xxv. resinæ siccæ ʒ. xxv. guttæ ammoniaci ʒ. xxv. terebinthinæ ʒ. xxv. nitri ʒ. xxv. aristolochiæ ʒ. xxv. bryoniæ ʒ. xii. orcheos herbæ ʒ. xii. iridis aridæ ʒ. iiii. aloës Indicæ ʒ. xii. sciffilis ʒ. viii. fellis taurini ʒ. viii. aceti heminam j. olei heminam j. Quum inficit, rosaceo. *Viride ad Herpetas, item ad chironia, & difficulter ad cicatricem venientia vlcera, vt Andromachus.* ℞. Hordei vsti ʒ. x. æruginis ʒ. viii. ceræ ʒ. lxxx. cyprini heminam i. Hoc medicamentum æruginem multam continet, pro ceræ, & cyprini symmetria; nam hordeũ vstum si per se inspergitur, chironia vlera iuuat, neque intẽdit ceræ, & cyprini vires, neq; æruginis resoluit. Ablato ipso, simile medicamentum redditur multis, quæ superiore

superiore libro ad huiusmodi vlcerum curationem scripta sunt. Non tamen multum cyprini assumetur, præsertim si cera pinguis existat, sed quantum ad ceram ærugini admixtam emolliendam capere necessarium est. Superiora omnia emplastra hoc nomine vano vsui seruiunt, quòd medicamenta emollientia, trahentia, discutientia, concoquentia, insuper citra mordicationem siccantia, assumpserint, plurima ipsorum etiam validè astringentia, quorum virtus est humores affectæ parti influentes repellere. Porrò dictorum medicamentorum potestatis materias nominatim in operis De simplicibus medicamentis sexto, septimo, octauo, nono, decimo, & vndecimo libro expressas habetis. Multorum autem hoc commentario nominatim memini, ac iterum meminero. Quin etiam hoc medicamentum in præsentia apposui, eorum, quæ nuper dixi, mentionem facere desiderans, quia id quoque superiore libro commemoratis genere simile est; ac proprium magis videbatur illis ipsum appendere.

Icesium nigrum Andromachi.

Hoc emplastrum Andromachus non vbi viridia, tractat; sed superiùs prope initium; in symmetria multùm euarians, vt priùs Critonem, & Heram prodidisse indicaui, scribitur hoc pacto. ℞. Bituminis ʒ. ccc. terræ ampelitidis ʒ. cc. argenti spumæ ʒ. lx. galbani ʒ. xxxvi. terebinthinæ ʒ. xxxvj. scissilis ʒ. xxxvi. propolis ʒ. lxxij. mannæ ʒ. l. myrrhæ ʒ. xii. iridis ʒ. xii. chalcitidis ʒ. vi. gallæ ʒ. x. olei congium vnum, & dimidium, mellis heminæ dimidium. Rectè fecit, qui de mina ambiguitate relicta, omnia per drachmas conscripserit, vt de solo congio quæstionem instituamus. In hoc enim melius egerunt, qui sex heminas posuere, à triplicato autem bitumine proportione illius, quod Heras immiscuit, scripturam exorsi sunt. Etenim Heras centum denarios, hic trecentos posuit, etsi in quibusdam exemplaribus non fide dignis, ducentos inuenerim. Terra sanè ampelitis duplo eam, quam Heras scripsit, planè exuperat. Argenti autem spuma, quam & ipsam ampelitidi pondere æqualem esse conueniebat, multò minus ab eo iniecta est; nam drachmas sexaginta huius miscet. Galbani verò triginta sex drachmas immittens, proportionem cum Hera, & Critone non seruat, quemadmodum in alumine scissili; paululum enim hîc ab exacta proportione declinat, quæ ad trigintaseptem, & ß. peruenit. In terebinthina sanè parum ab Hera dissidet, tantum scilicet, quantum in galbano, & scissili; à Critone verò plurimum, qui minam ß. iniicere iubeat, quod aliarum ipsius mixturam, proportione, ad quinquaginta drachmas excedit. Iam verò in propoli nonnihil discordat, quantum ad duplicatam proportionem spectat. Item in manna à Critone, & Hera recedit, quippe centum drachmas, ceu ad illorum proportionem, iniectas esse oportebat. In chalcitide etiam multum admodum à proportione subtraxit. In aliis parua controuersia est, nisi in melle, cuius heminas tres tanquam ad illorum proportionem immisisse ipsum conueniebat, at his heminæ dimidium adiicit.

A ἐν τῇ πρὸ ταύτης βίβλῳ κατὰ τὴν τῶν τοιούτων ἑλκῶν ἴασιν. οὐ μὴν λήψεταί γε κυπρίνου δαψιλὲς, καὶ μάλιστ᾽ ἐὰν ὁ κηρὸς ᾖ λιπαρὸς, ἀλλ᾽ ὅσον ἀναγκαῖον εἰς τὸ μαλάττεσθαι τὸν τῷ ἰῷ μεμιγμένον κηρόν. Αἱ προγεγραμμέναι ἔμπλαστροι πᾶσαι, διὰ τοῦτο πολύχρηστοι γεγόνασιν, ὅτι φαρμάκων προσειλήφασι μαλακτικῶν, ἑλκτικῶν, διαφορητικῶν, πεπτικῶν, ἔτι τε τῶν ξηραινόντων ἀδήκτως. αἱ πλεῖσται δὲ αὐτῶν, καὶ τῶν ἰσχυρῶς στυφόντων, ὧν δύναμίς ἐστιν ἀποκρουστικὴ τῶν ἐπιρρεόντων ὑγρῶν τῷ πεπονθότι μορίῳ. τὰς δὴ ὕλας τῶν εἰρημένων φαρμάκων δυνάμεως, ὀνομαστὶ γεγραμμένας ἔχετε κατὰ τὴν B περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείαν, ἐν ἕκτῳ, καὶ ἑβδόμῳ, καὶ ὀγδόῳ, καὶ θ΄. καὶ ι΄. καὶ ια΄. πολλῶν δὲ ὀνομαστὶ κατὰ τὴν ἐνεστῶσαν πραγματείαν ἐμνημόνευσα, καὶ πάλιν μνημονεύσω. καὶ μέντοι καὶ τοῦτο τὸ φάρμακον ἐνταῦθα προσέγραψα, τούτων αὐτῶν ὧν νῦν εἶπον ἀναμνῆσαι βουλόμενος, ἐπεί τοι καὶ αὐτὸ τοῖς προγεγραμμένοις κατὰ τὸ πρὸ τούτου βιβλίον ὁμογενὲς ὑπάρχει, καὶ ἦν οἰκειότερον αὐτὸ σὺν ἐκείνοις γεγράφθαι.

C Η Ικεσία μέλαινα Ανδρομάχου.

Τὴν ἔμπλαστρον ταύτην ὁ Ανδρόμαχος, οὐ κατὰ τὸ χωρίον, καθ᾽ ὃ τὰς χλωρὰς ἔγραψεν, ἀλλ᾽ ἀνωτέρω τῆς ἀρχῆς ἐγγὺς ἔγραψε, καὶ κατὰ συμμετρίαν πολὺ διαλλάττουσαν, ὡς ἔμπροσθεν ἐδήλωσα, τόν τε Κρίτωνα καὶ τὸν Ηραν γεγραφέναι. ἔχει δὴ οὕτως ἡ γραφή. ℞. Ασφάλτου < τ΄. γῆς ἀμπελίτιδος < σ΄. λιθαργύρου < ξ΄. χαλβάνης < λϛ΄. τερμινθίνης < λϛ΄. σχιστῆς < λϛ΄. προπόλεως < οβ΄. μάννης < ν΄. σμύρνης < ιβ΄. ἴρεως < ιβ΄. χαλκίτεως < ϛ΄. κηκίδος < ι΄. ἐλαίου χοῦν ἕνα ἥμισυν, μέλιτος κοτύλης ἥμισυ. Καλῶς μὲν ἐποίησε τὴν περὶ τῆς μνᾶς ἀμφιβολίαν D ἐξελὼν, καὶ πάντα γράψας διὰ δραχμῶν, ὡς ἐπὶ μόνου τοῦ χοέως ἡμᾶς ζητεῖν. ἐν τούτῳ γὰρ ἄμεινον οἱ τὰς ϛ΄. κοτύλας γράψαντες. ἤρξαντο δὲ τῆς γραφῆς ἀπὸ τριπλασίας τῆς ἀσφάλτου, ὡς πρὸς τὴν τοῦ Ηρα γεγραμμένην· ὁ μὲν γὰρ Ηρας ρ΄. ἔγραψε δραχμὰς, οὗτος δὲ τ΄. καί τι κατά τινα τῶν ἀντιγράφων, οὐκ ἀξιόπιστα, σ΄. εὗρον, ἡ μέν τοι γῆ ἡ ἀμπελῖτις, διπλασία τῆς παρὰ τῷ Ηρᾳ γέγραπται σαφῶς. ἡ λιθάργυρος δ᾽ ἣν καὶ αὐτὴν ἔδει τῇ ἀμπελίτιδι κατὰ τὸν σταθμὸν ἴσην εἶναι, ἐλάττων πολὺ βέβληται πρὸς αὐτοῦ. δραχ-E μὰς γὰρ ἑξήκοντα μίγνυσιν αὐτῆς, τῆς μέντοι χαλβάνης ἓξ καὶ λ΄. δραχμὰς ἐμβαλὼν, οὐ τηρεῖ τὴν ἀναλογίαν, πρός γε τὸν Ηραν, καὶ τὸν Κρίτωνα, καθάπερ γε καὶ τῆς σχιστῆς· βραχὺ γάρ τι κατὰ τοῦτο διαφωνεῖ τῆς ἀκριβοῦς ἀναλογίας, τῆς τριάκοντα ἑπτὰ ἥμισυ ἐξηκούσης. ἐν μὲν τῇ τερμινθίνῃ, τῷ μὲν Ηρᾳ βραχὺ διαφέρεται, τοσοῦτον δηλονότι, ὅσον κατὰ τὴν χαλβάνην τε, καὶ τὴν σχιστήν. τῷ δὲ Κρίτωνι, πάμπολυ, μνᾶν καὶ ἡμίσειαν κελεύοντι βάλλειν, ὅπερ ὡς πρὸς τὴν τῶν ἄλλων αὐτοῦ μιγμάτων ἀναλογίαν, εἰς πεντήκοντα δραχμὰς ἐξήκει. ἐπὶ μέντοι τῆς προπόλεως βραχύ τι διεφώνησεν, ὡς πρὸς F τὸ διπλάσιον τῆς ἀναλογίας. καὶ κατὰ τὴν μάνναν δὲ, διαφέρεται τῷ τε Ηρᾳ καὶ τῷ Κρίτωνι ἐχρῆν γὰρ αὐτὸν ρ΄. δραχμὰς, ὡς πρὸς τὴν ἐκείνων ἀναλογίαν ἐμβεβληκέναι, κατὰ δὲ τὴν χαλκῖτιν, καὶ πάνυ πολὺ τῆς ἀναλογίας ὑφεῖλεν. ἐν δὲ τοῖς ἄλλοις ἡ διαφωνία βραχεῖα, πλὴν ὅσον ἐν τῷ μέλιτι. ἐχρῆν γὰρ αὐτὸν ἐμβεβλήκειν κοτύλας γ΄. ὡς πρὸς τὴν ἐκείνων ἀναλογίαν. ὁ δὲ κοτύλης ἥμισυ ἐμβέβληκεν,

οὕτω δὲ καὶ κατὰ τὸ ἔλαιον, ὡς πρὸς τὸν Κρίτωνα, τρεῖς ἐχρῆν αὐτὸν ἐμβεβληκέναι χοέας. ὡς δὲ πρὸς τὸν Ἥραν, ὀκτωκαίδεκα κοτύλας. ὁ δέ γε χοέα καὶ ἥμισυ συνέγραψεν.

A Ita quoque in oleo, tres congios miscuisse debebat, si non à Critone discrepare voluisset; si verò cum Hera conuenire, octodecim heminas; verùm ipse congium, & dimidium conscripsit.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ὡς ὁ Ταραντῖνος Ἡρακλείδης ἔγραψε τὴν Ἱκεσίου μέλαιναν.

Πρὸς πᾶν τραῦμα, καὶ μάλιστα τὰ ἐν τοῖς ἄκροις ποιοῦσα ἄπονα, καὶ κολλῶσα, καὶ πρὸς κυνόδηκτα, καὶ δοθιῆνας, καὶ τὰς σκληρίας διαχέουσα, καὶ μάλιστα τὰς περὶ τοὺς μαστοὺς, καὶ τὰ ἐν δακτυλίῳ κονδυλώματα. ℞. Λιθαργύρου < ρʹ. ἀσφάλτου ἴσον, γῆς ἀμπελίτιδος ἴσον, μάννης < κεʹ. προπόλεως ἴσον, χαλβάνης < ιβʹ. S. στυπτηρίας σχιστῆς, ῥητίνης τερμινθίνης ἴσον, ἴρεως < ϛʹ. χαλκίτεως < ζʹ. S. κηκῖδος < ηʹ. σμύρνης ἴσον, μέλιτος κοτύλην αʹ. ἐλαίου ὠμοτριβοῦς κοτύλας ϛʹ. ἕψε τὴν λιθάργυρον, καὶ τὴν ἄσφαλτον, καὶ τὴν γῆν μετὰ τοῦ ἐλαίου, κινῶν σπάθῃ δᾳδίνῃ. ὅταν δὲ συστῇ, ἀπόθες τὴν πρόπολιν, καὶ τὴν ῥητίνην καὶ τὴν χαλβάνην. ἔστω δὲ ταῦτα ἐν τῷ μέλιτι προεψημένα, καὶ μιγέντων τούτων, εὐθέως ἄρας ἀπὸ τοῦ πυρὸς τὴν χύτραν, ἔμπασσον τὰ ξηρά. Ταῦτα γράψαντος τοῦ Ἡρακλείδου, ἐν τοῖς πρὸς Ἀντιοχίδα, θαυμάζω πῶς ἔνιοι τῶν μετ᾽ αὐτὸν, οὐκ ἐφύλαξαν αὐτοῦ τὴν γραφήν. ὁ μὲν οὖν Ἥρας ἠκολουθηκέναι πάντη φαίνεται τῷ Ἡρακλείδῃ, πλὴν ἐν τῇ σμύρνῃ, καὶ κηκῖδι. τοῦ γὰρ Ἡρακλείδου βάλλοντος ἑκατέρου τούτων ηʹ. δραχμὰς, ὁ Ἥρας ἓξ ἔλαβεν ἑκατέρου τούτων. καὶ παρ᾽ Ἀσκληπιάδῃ δὲ κατὰ τὸ δεύτερον τῶν ἐκτὸς, ἐν τετραπλασίονι τῇ ἀναλογίᾳ πάντα γέγραπται, ὡς πρὸς τὸν Ἥραν, μετὰ τοῦ καὶ κοτύλας ἐλαίου ὀμφακίνου γεγράφθαι ιβʹ. τοῦ Κρίτωνος χοέας δύο γεγραφότος. καίτοι πάντα κατὰ τὸ διπλάσιον ἡ σύνθεσις εἶχεν αὐτοῦ, διὸ καὶ προσγεγραφέναι μοι δοκοῦσί τινες κοτύλας β. τοῦτο δ᾽ αὖ πάλιν μειζόνως ἐναντιοῦται τῇ τ᾽ ἀληθείᾳ, καὶ τῇ τοῦ Ταραντίνου τε, καὶ Ἥρα, γραφῇ. ὁ μὲν γὰρ Ἥρας ρπʹ. δραχμὰς ἔγραψεν εἰς σταθμὸν ἀνάγων, οὐκ εἰς μέτρον τὸ ἔλαιον, ὡς ξʹ. < ἑλκούσης τῆς κοτύλης. καὶ γὰρ ἕλκει ἥ γε Ἀττικὴ, θʹ. οὐγγίας οὖσα τῶν Ἰταλικῶν. ἕλκουσι γὰρ αἱ θʹ. οὐγγίαι Ἰταλικαὶ αἱ ἐν τοῖς κατατετμημένοις κέρασιν, ἑπτὰ καὶ ἥμισυ οὐγγίας σταθμικὰς, αἵ τινες ξʹ. δραχμαὶ γίνονται, τῆς μιᾶς οὐγγίας, ηʹ. δραχμὰς δεχομένης, ὥστε καὶ κατὰ τοῦτο συμφωνεῖν τὸν Ἥραν τῷ Ἡρακλείδῃ, τρεῖς βάλλοντα κοτύλας, τοῦ Ἀσκληπιάδου ιβʹ. γεγραφότος, ἐπειδὴ τετραπλάσια πάντα κατὰ τὴν σύνθεσιν αὐτοῦ γέγραπται. ὁ δ᾽ Ἥρας, ἐπειδὴ πολὺς ὄγκος ἐγίνετο τοῦ φαρμάκου κατὰ τὴν τοῦ Ταραντίνου γραφὴν, διὰ τοῦτο μοι δοκεῖ τὸ τέταρτον ἁπάντων γράψαι. δεῖ γὰρ, ὡς ἔφην ἐν τῇ σμύρνῃ καὶ κηκῖδι βραχὺ παραλλάξαι· καὶ ἄλλων γεγραφότων τὴν Ἱκεσίου ταύτην ἔμπλαστρον, ὅσοι μὲν ἀκριβέστερον τῷ τε Ταραντίνῳ καὶ τῇ κατ᾽ ἀλήθειαν ὑφ᾽ ἡμῶν κεκριμένῃ, διὰ τῆς ἑψήσεως ἐσκευασμένῃ, σύμφωνοι γεγόνασιν. ὅσοι δ᾽ ἀμελέστερον, ἢ καθ᾽ ἓν μόνον, ἢ δύο τῶν μιγνυμένων, ἢ καὶ πλείονα, φαίνονται διαφωνοῦντες τῷ Ἡρακλείδῃ, διὸ περιττὸν ἔδοξέ μοι μνημονεύειν αὐτῶν. σκευαστέον γὰρ ἐστὶ τὸ φάρμακον, ὡς Ἡρακλείδης ἐκέλευσεν, ἢ ὡς Ἥρας, βραχυτάτη γὰρ ἡ διαφορὰ παρ᾽ αὐτοῖς ἐστι. Λιτὴν Ἱκέσιον Ἡρακλείδης τήνδε φησὶν εἶναι. ℞. Ἀσφάλτου δραχμὰς νʹ. λιθαργύρου < νʹ. ἐλαίου κοτύλας ιʹ. ἕψε, ἐπὰν δὲ συνίστηται, ἔμβαλλε κηροῦ < εʹ, χαλβάνης < εʹ. σμύρνης < εʹ.

CAPVT VI.

Vt Tarentinus Heraclides Icesij nigrum emplastrum tradiderit.

AD omne vulnus, maximè quæ in extremis partibus sunt, dolore vindicat, & conglutinat. Item canum morsus, & furunculos sanat. Duritias B *discutit, præsertim mamillas obsidentes. Ani condylomatis succurrit.* ℞. argenti spumæ ʒ. c. bituminis tantundem, terræ ampelitidis tantundem, mannæ ʒ. xxv. propolis totidem, galbani ʒ. xii. ß. aluminis scissi, resinæ terebinthinæ, pares mensuras; iridis ʒ. vi. chalcitidis ʒ. vii. ß. gallæ ʒ. viii. myrrhæ tantundem, mellis heminam vnam, olei immaturi heminas sex. Argenti spuma, bitumen, & terra, cum oleo coquuntur, & spatha ex tedarum ligno mouentur, quum constiterint, propolis, resina, & galbanum adduntur; hæc autem prius melle incoquuntur; quibus C mixtis, olla statim ab igne tollitur, & sicca insperguntur. Hæc quum Heraclides tradiderit in libris ad Antiochidem, demiror quomodo nonnulli post eum scripturam ipsius non obseruauerint. Heras sanè vbique Heraclidem imitatus esse videtur, præterquam in myrrha, & galla. Nam dum Heraclides vtriusque horum denariorum pondo octo miscet, Heras vtriusque sex iniecit. Insuper Asclepiades in secundo libro de exterioribus, omnia proportione quadruplo maiore, quàm Heras tradidit. Adde quòd olei omphacini heminas duodecim, Crito congios duos, D conscripserit, & si omnia duplicata compositio ipsius habeat. Quare nonnulli mihi videntur adscripsisse, heminas duas. Quod ipsum rursus tum veritati, tum Heræ, & Tarentini scripturæ, magis aduersatur. Siquidem Heras clxxx. drachmas posuit, in pondus, non mensuram oleum reducens, tanquam hemina ʒ. lx. pendente. Nam Attica nouem Italicas vncias conficit; pendunt enim nouem Italicæ vnciæ, quas in cornibus insectis metiuntur, septem vncias ponderales, & semissem, quæ sexaginta drachmæ fiunt, singulis vnciis viii. drachmas recipientibus. Quare etiam hîc cum Heraclide Heram consentire E videas, quum tres heminas iniiciat, Asclepiades duodecim, quoniam omnia in ipsius compositione quadrupla sunt. Heras autem, quoniam medicamenti in Tarentini scriptura magna moles fieret, videtur mihi quartam omnium portionem posuisse. Nam in myrrha, vt dixi, & galla paululum mutare videtur. Ac quum alij quoque hoc Icesij emplastrum tradiderint, qui exactiùs in eo, cuius præparationem ex coctione conjecimus, Tarentino concordes facti sunt; qui autem negligentiùs, vel in vno solùm, vel in pluribus simplicibus, dissonasse ab Heraclide videntur. F Proinde superfluum fuerit, de iis mentionem facere; præparandum enim medicamentum est, vt Heraclides iussit, vel vt Heras, qui parum adeo inter se differunt. *Heraclides Liten Icesion hanc esse dicit.* ℞. bituminis ʒ. L. argenti spumæ ʒ. l. olei heminas x. coquito; vbi coierint, ceræ ʒ. v. iniicito; galbani, ʒ. v. myrrhæ, ʒ. v.

CAP.

A

CAPVT VII.

Cyzicenum Heræ.

HOc quoque inter celebria emplastra refertur, ab omnibus probè conscriptum, magno in simplicium medicamentorum symmetria consensu. Nonnulli tamen discordant, vt innotescet, quum subiungemus, quomodo quisque componendum censeat. Heras igitur de præsenti emplastro ita ad verbum scribit. *Cyzicenum. Facit ad recentia vulnera, & vetera depascentia; duritias præsertim in mammis discutit, extrahit, repurgat, implet; glutinat, cicatricem ducit; tollit cancrosas durities, malè curata reficit; & in quibus scalpello uti non licet, vt in ceruice, collyrij loco vtitor. Abscessus furentes mitigat, chymata discutit, ganglia, & contractiones, sine coitus dissoluit, abrumpitque. Tela, ossa, lignorum fragmenta educit, crustas citra dolorem deijcit. In depascentibus, magnis spleniis vti oportet. Insuper strumas dissipat, hæmorrhoidas cohibet, & vesicæ morbis summè prodest.* Hæc autem recipit thuris drach. iv. myrrhæ drach. iv. croci drach. iv. iridis Illyricæ drach. iv. bdellij, drach. iv. squamæ drach. xii. chalcanthi drach. iv. aluminis scissi drach. iv. rotundi drach. iv. guttæ ammoniaci drac. iv. misyos drach. iv. putaminum mali granati dulcis drach. iv. aristolochiæ, gallæ omphacitidis, vtriusque drach. viii. aliter xvi. chalcitidis drach. iv. ammoniaci guttæ drach. iv. visci quercini drach. viii. opopanacis drach. viii. æruginis rasæ drach. viii. acaciæ drach. viii. floris rosarum, drach. viii. terebinthinæ minam i. alii ℥. l. liquoris papaueris drach. vi. ceræ minas ii. secundum alios drach. iv. seui vitulini curati minam i. alii drach. cl. aceti communis heminas ii. vini, quod sufficit, in ficca immittitur. Hæc de Cyziceno quum Heras scripserit, atque Andromachus, videbitur quibusdam maxima esse dissensio, quum Heras thuris, croci, myrrhæ, & eius quod deinceps ab eo positum est, drach. iv. immiserit, Andromachus viii. Verùm, quod iam priùs obseruandum nobis esse dicebam, id etiam nunc dicturus sum. Si omnia simplicia medicamenta licet duplicata horum, quæ alij scripserunt, misceas, eadem fiet symmetria, quemadmodum si, & triplicata omnia inijcias; ac nunc Andromachus omnia ferè duplicata miscuit, quum Heras simplicia ipsa indiderit. Ac etiam hîc discrepant, quòd ille aloën addat, Heras secus faciente. Quin etiam in panacis radice differentia est, quum Heras opopanacem tantùm scripserit, Andromachus non hoc solùm, sed etiam panacem; solent autem sic vocare radicem herbę, quam panacem appellant. Adiecit autem Andromrchus papaueris liquorem, doloris euitandi gratia, acaciam verò, & rosarum florem, tanquam astringentia. Porrò coctionem pro more suo Heras adiunxit, Andromachus omittit, quippe qui ipse etiam raro illam soleat apponere. Cæterùm ex eo, quòd in calce aceti communis heminas duas, & vinum ficcis infundit, planè innuit se arida ex vino, vel aceto læuigari velle, deinde liquefacta his superfundi; Heras autem neque omninò aceti, aut vini meminit; & ad calcem coctionis ita ascripsit; cæterùm arida, & opopanacem in cacabum conijcito; & vbi vnita fuerint, defundito, mollitoque, irino vnguento manus inquinans. Ego ipsum Andro-

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Κυζικηνὴ τοῦ Ἡρα.

ΤΩν ἐνδόξων ἐμπλάστρων ἐστὶ καὶ αὕτη, σχεδὸν ὑπὸ πάντων γεγραμμένη, τὰ πλεῖστα μὲν ἐν τῇ συμμετρίᾳ τῶν ἁπλῶν φαρμάκων ὁμολογουμένα γραψάντων αὐτῶν, ἐνίοις δὲ καὶ διαφωνησάντων, ὡς ἔσται φανερὸν, ὑπογραψάντων ἡμῶν, ὡς ἕκαστος αὐτῶν ἀξιοῖ συντίθεσθαι. Ἡρας
B μὲν οὖν οὕτως γράφει περὶ τῆς προκειμένης ἐμπλάστρου κατὰ λέξιν. Κυζικηνὴ, ποιοῦσα πρὸς τὰ πρόσφατα τραύματα, καὶ παλαιὰ τὰ νεόνομα. διαφορεῖ μάλιστα τὰς ἐν μαστοῖς σκληρίας, ἐπισπᾶται, ἀνακαθαίρει, πληροῖ, κολλᾷ, ἐπουλοῖ. ποιεῖ καὶ πρὸς καρκινώδεις σκληρίας, λιποδέρμα, καὶ ἐφ' ὧν οὐκ ἔστι σμιλίῳ χρήσασθαι, ὡς ἐπὶ τραχήλου, κολλυρίῳ χρῶ. καὶ τὰ ἐν ἀπειλῇ θραύνει ἀποστήματα, φύματα διαφορεῖ, καὶ τὰ γαγγλία, τάς τε συναγωγὰς ἀποκρούφοι καὶ ῥήσσει. ἀνάγει καὶ βέλη καὶ ὀστᾶ, καὶ σκινδαλμούς. ἐκπινάσσει δ' ἀλύπως καὶ ἐσχάρας. ἐπὶ τῶν νεονόμων μεγάλοις δεῖ χρῆσθαι τοῖς σπληνίοις. διαφορεῖ καὶ χοιράδας καὶ αἱμορροΐδας ἐπέχει, καὶ ἐπὶ τὴν περὶ κύστιν ἄκρως ποιεῖ.
C Ἔχει δὲ λιβανωτοῦ < δ'. σμύρνης < δ'. κρόκου < δ'. ἴρεως Ἰλλυρικῆς < δ'. βδελλίου < δ'. λεπίδος δραχμὰς ιβ'. χαλκάνθου < δ'. στυπτηρίας σχιστῆς < δ'. στρογγύλης < δ'. ἀμμωνιακοῦ θυμιάματος < δ'. μίσυος < δ'. σιδίων ῥοᾶς γλυκείας < δ'. ἀριστολοχίας, κηκῖδος ὀμφακίτιδος ἀνὰ < η'. ἄλλως ις'. χαλκίτιδος < δ'. ἀμμωνιακοῦ θυμιάματος < δ'. ἰξοῦ δρυΐνου < η'. ὀποπάνακος < η'. ἰοῦ ξυστοῦ < η'. ἀκακίας < η'. ῥόδων ἄνθους < η'. τερμινθίνης μνᾶν α'. οἱ δὲ
D < ν'. ὀποῦ μήκωνος < ς'. κηροῦ μνᾶς β'. οἱ δὲ < δ'. στέατος μοσχείου θεραπευομένου μνᾶν α'. οἱ δὲ ρν'. ὄξους κοινοῦ κοτύλας β'. οἴνου εἰς τὰ ξηρά. Ταῦτα γραψάντων περὶ τῆς Κυζικηνῆς, τοῦ τε Ἡρα καὶ τοῦ Ἀνδρομάχου, δόξει μέν τισιν εἶναι διαφωνία μεγίστη, τοῦ μὲν Ἡρα λιβανωτοῦ καὶ κρόκου καὶ σμύρνης, καὶ τοῦ ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένου βάλλοντος < δ'. τοῦ δὲ Ἀνδρομάχου η'. ἀλλ' ὅπερ ἤδη καὶ πρόσθεν ἔλεγον ἀναγκαῖον ἡμῖν παραφυλάττειν, τοῦτο καὶ νῦν ἐρῶ, ἐὰν ἁπάντα τὰ ἁπλᾶ φάρμακα, εἴ καὶ διπλάσια τις ἐμβάλλοι τῶν παρ' ἑτέροις γεγραμμένων, ἡ αὐτὴ συμμετρία γίνεται, καθάπερ εἰ καὶ τριπλάσια
E πάντα. καὶ νῦν οὖν σχεδὸν ἅπαντα διπλάσια βέβληκεν ὁ Ἀνδρόμαχος, ἁπλᾶ βεβληκότος αὐτὰ τοῦ Ἡρα. διαφωνεῖ δ' ἔν τε τῷ ἀλόην ἐμβάλλειν, οὐκ ἐμβεβληκότος αὐτὴν τοῦ Ἡρα, καὶ μέντοι καὶ πάνακος τῆς ῥίζης. ὁ γὰρ Ἡρας ὀποπάνακος μόνον ἔγραψεν, ὁ Ἀνδρόμαχος δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πάνακα. καλοῦσι δ' οὕτως συνήθως τὴν ῥίζαν τῆς βοτάνης ἣν ὀνομάζουσι πάνακα. προσεμβέβληκε δὲ καὶ τὸν τοῦ μήκωνος ὀπὸν ὁ Ἀνδρόμαχος ἀνωδυνίας ἕνεκεν, ἀκακίαν δὲ καὶ ῥόδων ἄνθος, ὡς στύφοντα. τὴν δὲ ἕψησιν, ὁ μὲν Ἡρας ἔγραψεν ὡς ἔθος αὐτῷ, παραλείπει δ' ὁ Ἀνδρόμαχος, ὡς καὶ τούτῳ πάλιν ἔθος ἐστὶ σπανιάκις
F γράφοντι τὴν ἕψησιν. ἐκ μέντοι τοῦ προσθεῖναι κατὰ τὸ τέλος ὄξους κοινοῦ κοτύλας β'. οἴνου εἰς τὰ ξηρά, δῆλός ἐστι βουλόμενος λειοῦσθαι τὰ ξηρὰ μετὰ τοῦ οἴνου ἢ τοῦ ὄξους, εἶτα τὰ τηκτὰ τακέντα καταχεῖν αὐτῶν. ὁ δὲ Ἡρας, οὔτε ἐμνημόνευσεν ὅλως ὄξους ἢ οἴνου, καὶ κατὰ τὸ τέλος τῆς ἑψήσεως οὕτως προσέγραψε. λοιπὸν, τὰ ξηρὰ καὶ τὸν ὀποπάνακα ἔμβαλε εἰς τὸν κάκκαβον, καὶ ἑνώσας, κατάχει καὶ μάλασσε, ἰρίνῳ τὰς χεῖρας μολύνων. ἐγὼ δ' αὐτὴν σκευάζω

κατὰ τὸν Ἀνδρομάχου τρόπον, ἐν τῇ θυΐᾳ λεάων τὸν ὀποπάνακα μετὰ τῶν ξηρῶν. εἰ μὲν ἰσχυρότερόν τε καὶ διαφορητικώτερον τὸ φάρμακον ἐθελήσαιμι ποιῆσαι, μιγνὺς ἐν τῇ λεάνσει τὸ ὄξος. εἰ δὲ στυπτικώτερον καὶ ἀποκρουστικώτερον, τὸν οἶνον. ὥσπερ γε πάλιν καὶ τοῦ αὐτοῦ τοῦ οἴνου, ποτὲ μὲν τὸν αὐστηρὸν αἱρούμενος, ποτὲ δὲ τὸν κιρρὸν, καί ποτε μὲν τὸν παλαιὸν, ποτὲ δὲ τὸν μέσον κατὰ τὴν ἡλικίαν. ὁ μὲν γὰρ αὐστηρὸς καὶ μὴ παλαιὸς, στυπτικώτερος, ὁ δὲ παλαιὸς καὶ μὴ αὐστηρὸς, διαφορητικώτερος.

A machi more conficio, opopanacem cum siccis in mortario terens; si valentius, & quod magis discutiat, medicamentum facere desiderem, acetum inter læuigandum admiscens; si magis astringens repellensque, vinum; quemadmodum rursus, & id nunc austerum, nunc giluum, nunc vetus, nunc ætate medium assumens; nam quod austerum est, nec vetus, magis astringit; quod vetus nec austerum, valentius digerit.

ΚΕΦΑΛΑΙΟΝ Η'.

B

Κυζικηνὴ ὡς Ἀσκληπιάδης.

ΓΕγράπται μὲν ἤδη καὶ κατὰ τὸ τέταρτον ἡ ἔμπλαστρος αὕτη, πάνθ' ἑξῆς ὅσα πρὸς κακοήθεις φάρμακα συμβεβούλευκεν ἔχειν, ἐν ἐκείνῳ τῷ βιβλίῳ γράψαντός μου. καὶ νῦν δὲ ἐπεὶ καὶ αὐτὸς διαφωνεῖ τῷ τε Ἡρᾳ καὶ τῷ Ἀνδρομάχῳ, βέλτιον εἶναί μοι δοκεῖ γράψαι πρὸς λέξιν, ἃ κατὰ τὸ τρίτον τῶν ἐκτὸς φαρμάκων ἔγραψεν αὐτῇ λέξει τῇδε. Κυζικηνή. ποιεῖ πρὸς κεχρονισμένας διαθέσεις, καὶ τὰς τῶν νεύρων διακοπάς. ♃. λιβανωτοῦ ὡς καλλίστου, κηροῦ, σμύρνης, ἀριστολοχίας, χαλκίτιδος, Ἰλλυρικῆς, χαλβάνης ἀνὰ < δ'. τερμινθίνης, λιθαργύρου ἀνὰ < η'. ἐλαίου κοτύλην α'. πάντα βαλὼν εἰς ἀγγεῖος χαλκοῦν, ἕψε ἐπὶ τέφρας μαλακῆς, κινῶν ἕως ἂν ἀποσταζόμενον εἰς ὕδωρ ψυχρὸν, πάχος ἔχῃ μέλιτος. μετὰ δὲ ταῦτα αἶρε κινῶν, τοῦτο ἐγχρίσας εἰς δερμάτιον, ἐπιτίθει, καὶ λύε χειμῶνος μὲν μετὰ τὴν ἑβδόμην ἡμέραν, θέρους δὲ, μετὰ τὴν πέμπτην. C

CAPVT VIII.

Cyzicenum, vt Asclepiades.

SCriptum est hoc emplastrum iam, & in quarto, vbi omnia ordine, quæ ad malignitatem medicamenta habere consuluit, commemorauimus. Et verò nunc, quia ipse pariter ab Hera, & Andromacho euariat, satius mihi esse videtur ipsius verbis in tertio libro de exteriorũ medicamentis tradita subiungere. *Cyzicenum, facit ad diutinos affectus, & neruos præcisos.* ♃. thuris quàm optimi, ceræ, myrrhæ, aristolochiæ, chalcitidis, illyricæ, galbani, singulorum ʒ. iv. terebinthinæ, argenti spumæ, singulorum ʒ. viii. olei heminam i. Omnia in vas æreum coniecta, supra cinerem mollem coquuntur, mouentúrque, donec in aqua frigida demersum, mellis spissitudinem habeat; postea mouendo tollitur. Hoc illitum pelliculæ imponitur; hyeme post septimum diem, æstate post quintum, soluitur.

Ἄλλη, ἐκ τῶν Φιλοξένου.

♃. Λιβάνου, σμύρνης, κρόκου, Ἰλλυρικῆς, βδελλίου, λεπίδος χαλκοῦ, χαλκάνθου, χαλκίτεως, στυπτηρίας στρογγύλης καὶ σχιστῆς, μίσυος ξενικοῦ, ἀμμωνιακοῦ θυμιάματος, προπόλεως, D ἰξοῦ δρυΐνου, ὀποπάνακος, σιδίων μεμυκότων, ἀνὰ < δ'. ἀριστολοχίας δραχμὰς η'. κηροῦ, στέατος ταυρείου ἀνὰ δραχμὰς ρ'. ὃ μνᾶν ἐπιγράφει. ῥητίνης τερμινθίνης < ιε'. ὃ τρία τέταρτα ἐπιγράφει, τὴν ῥητίνην βαλὼν εἰς λοπάδα ὀστρακίνην, ἕψε ἕως ἄοσμα γένηται, εἶτα τὸ στέαρ καὶ τὸν κηρὸν κατακνήσας, ἐπέμβαλε, καὶ τῆκε. τὰ δὲ ξηρὰ, κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, ἔπειτα καθελὼν ἀπὸ τοῦ πυρὸς τὰ τηκτὰ, καὶ ποσῶς ἐάσας ψυγῆναι, τούτων κατάπασσε τὰ ξηρὰ, καὶ κίνει ἐπιμελῶς. ἔχειν δὲ δεῖ μετ' ὄξους τετριμμένα σμύρναν, λίβανον, βδέλλιον, ὀποπάνακα. τούτοις ἐπίβαλλε τὰ ἐν τῇ λοπάδι, καὶ τρῖβε ὥστε ἐγ- E κηρίδας μὴ γίνεσθαι. ὅταν δὲ καλῶς ἔχῃ, ἀνελοῦ εἰς πυξίδα ξυλίνην, προσεγχρίσας ἰρίνῳ μύρῳ.

Aliud ex iis, quæ ad Philoxenum referuntur.

♃. Thuris, myrrhæ, croci, Illyricæ, bdellij, squamæ æris, chalcanthi, chalcitidis, aluminis rotundi, & scissilis, misyos peregrini, guttæ Ammoniaci, propolis, visci quercini, opopanacis, malicorij præclusi, singulorum ʒ. iiii. aristolochiæ ʒ. viii. ceræ, seui taurini, singulorum ʒ. c. quod minam inscribit, resinæ terebinthinæ ʒ. xv. quod tres quartas appellat. Resina in ollam fictilem coniecta, donec odorem amittat, concoquitur; deinde seuum, & cera derasa iniiciuntur, & liquefiunt; arida contunduntur, & cribro tenuissimo incernuntur. Postea liquida ab igne tolluntur, quibus aliquatenus refrigeratis arida insperguntur, & curiosè mouentur. Habere autem oportet ex aceto trita, myrrham, thus, bdellium, opopanacem, quibus quæ in olla sunt, adiiciuntur, teruntúrque, ne grumi ceræ modo fiant. Vbi autem rectè habuerint, in lignea pyxide irino vnguento priùs illita reponuntur.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἡ διὰ δυοῖν ἀριστολοχιῶν, ὡς Ἀνδρόμαχος.

ΠΕρὶ ταύτης ὁ Ἀνδρόμαχος κατὰ λέξιν οὕτως γράφει. F Ἡ διὰ δυοῖν ἀριστολοχιῶν. ♃. Ῥητίνης φρυκτῆς λίτραν α'. κηροῦ λίτραν α'. πίσσης λίτραν α'. κίκεως, ἢ ἐλαίου παλαιοῦ κοτύλην μίαν, κυάθους δύο, ψιμμυθίου οὐγγίας ς'. ἰοῦ οὐγγίας ς'. χαλκάνθου οὐγγίας δ'. μάννης οὐγγίας ς'. ἀριστολοχίας μακρᾶς οὐγγίας δ'. καὶ στρογγύλης οὐγγίας δ'. Ἐρετριάδος οὐγγίας ς'. Ἰλλυρικῆς οὐγγίας δ'. κηκίδος οὐγγίας β'. ὄξους κοτύλην α'. ἐγὼ πλέον, σιδίων οὐγγίας β'. λείου σὺν ὄξει τὰ ξηρὰ, εἶτα τὰ τηκτά.

CAPVT IX.

Emplastrum ex duabus aristolochiis, vt Andromachus.

DE hoc in eam sententiam scribit Andromachus ad verbum. *Emplastrum ex duabus aristolochiis.* ♃. resinæ frictæ ℔. i. ceræ ℔. j. picis ℔. i. ciceos, vel olei veteris heminam vnam, & cyathos duos; cerussæ ℥. vi. æruginis ℥. vi. chalcanthi ℥. iiii. mannæ ℥. vi. aristolochiæ longæ ℥. iiii. rotundæ ℥. iiii. eretriæ ℥. vi. Illyricæ ℥. iiii. gallæ ℥. ii aceti heminam i. ego amplius malicorij ℥. ii. Sicca ex aceto teruntur, deinde liquabilia.

A

CAPVT X.

Emplastrum ex dictamno ut Damocrates.

Diximus frequenter metricas scriptiones non solùm ad memoriam, sed etiam ad mixturas exactè commensurandas, prosa oratione conscriptis esse commodiores. Cuius gratia etiam nunc medicamentum ex dictamno perfectam in Damocratis scriptis symmetriam perseruans apposui.

Emplastrorum unum insignium numero ascribitur.
Solumque, quod recipit dictamnum Creticum
Dictum. Medetur prospere serpentium
Percußibus uenenatis, ac morsibus
Quadrupedum cunctorum, etsi rabies quadã agat,
Iuuat ulcerum callos, & neruos perditos,
Et musculos, & alto cartilagines
Corpore putrescentes, quæ incumbunt oßibus.
Colli, mamillarum, dorsi quoque ulcera,
Persanat, & diu si iam durauerint.
Ac omnia simul, quæ facere paulo antea
Dixi, emplastrum nomine scilicet Aegyptium.
Hoc admodum quum sit bonum, quidam omnibus
Vnum bonis reputant usu præstantius,
Haudquaquam nempe experti multa pharmaca.
Concinnantur mixturis his. Lithargyri
Drachmas habet ducentas; istis additur
Olei uetusti libræ quarta portio,
Alij magis quartam uolunt partem heminæ.
Et quinquaginta ceræ drachmas Ponticæ,
Colophoniæ probaque plus cera duplo;
Alij malunt terebinthinæ parem modum.
Aeruginis quoque, aloës nec non Indicæ,
Item combusti æris, & diphrygis boni,
Cuiusque sedecim, semissemque ponito.
Quaternas, & uigenas drachmas galbani,
Mannæ pares, thurisque bis duodecim,
Ammoniaci uiginti bisque & quinque bis,
Et sedecim iungantur propolis Atticæ,
Aristolochiæ longæ bis drachmæ decem,
Aeris Cyprij squamæ drachmæ duodecim,
Et gentianæ radicis siccisimæ
Aequale, cunctis herbæ his dictamni quoque
Siccæ, sed habentis florem, drachmas bis decem,
Læuis. Lithargyrum, at cum oleo demittito
Ollæ recenti, cui patulum os figulus dedit.
Pruna leni coques, mouens rudicula
Quousque spißitudo mellis Attici
Fiat, Paribus at squamæ immissis partibus,
Rursus magis coquas: ac postquam pharmacum
Giluum fuerit, æs misceas, & diphryges;
Crassumque reddens pharmacum, ut non polluat,
Ceram, resinamque unà dictis addito.
Quibus liquatis, ubi probè coierit
Emplastrum, ab igne tolles, quumque adieceris
Propolimque mannamque, aloën, atq; galbanum,
Ammoniacumque, tunc ubi refrixerit,
Feruorque ignitus pharmaci subsederit,
Aristolochiam perquam leuißimam,
Et gentianam dictamnumque inspergito,
Spatha atque medicamentum agitando sedulo,
Manibus tibi magdalias ipse effingens habe,
Eaque mala, ad quæcunque est prædictum, utitor.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Η διὰ δικτάμνου, ὡς Δαμοκράτης.

Εἴρηταί μοι πολλάκις, ὡς οὐ μόνον εἰς μνήμην, αἱ ἔμμετροι γραφαὶ χρησιμώτεραι τῶν πεζῇ γεγραμμένων εἰσὶν, ἀλλὰ καὶ εἰς τὴν τῆς συμμετρίας τῶν μιγνυμένων ἀκρίβειαν. διὰ τοῦτ᾽ οὖν καὶ νῦν τὴν διὰ δικτάμνου προσέγραψα συμμετρίαν ἀκριβῆ διασώζουσαν ἐν τῇ Δαμοκράτου γραφῇ.

Τῶν περιβοήτων δ᾽ ἐστὶν ἐμπλάστρων μία,
B Μόνη τ᾽ ἔχουσα Κρητικὸν τὸ καλούμενον
Δίκταμνον, ἰᾶται δὲ τὰς τῶν ἑρπετῶν
Ἰοβόλων πληγάς τε, καὶ τὰ δήγματα
Πάντων τετραπόδων, κἂν λελυσσήκῃ τινά,
Τετυλωμένα θ᾽ ἕλκη, τάς τε τῶν νεύρων φθοράς,
Μυῶν τε, καὶ τῶν ὀστέοις ἐπικειμένων
Χόνδρων, ἐχόντων διὰ βάθους ἤδη φθοράν.
Τά τε περὶ μαστοὺς καὶ τράχηλον, καὶ ῥάχιν.
Ἕλκη θεραπεύει, κἂν χρόνους πολλοὺς ἔχῃ.
Καὶ πάνθ᾽ ὅσα εἶπον τὴν καλουμένην ποιεῖν
Αἰγυπτίαν ἔμπλαστρον ἔμπροσθεν βραχύ.
C Ταύτην ἀγαθὴν σφόδρα οὖσαν, ἔνιοι καὶ μόνην
Δοκοῦσι πασῶν τῶν καλῶν βελτίονα,
Πολλῶν διὰ πεῖραν οὐκ ἔχοντες φαρμάκων.
Ἔχει δὲ λιθάργυρον, δὶς ἑκατὸν δραχμάς,
Λίτρας δ᾽ ἐλαίου τοῦ παλαιοῦ τέταρτον.
Τινὲς δὲ κοτύλης φασὶ μᾶλλον τέταρτον.
Δὶς δὲ εἴκοσι πέντε Ποντικοῦ κηροῦ δραχμάς,
Κολοφωνίας δὲ τῆς καλῆς, κηροῦ διπλοῦν
Τινὲς δὲ μᾶλλον ταὐτὸ τῆς τερμινθίνης.
Ἰοῦ δὲ χαλκοῦ, καὶ ἀλόης Ἰνδικῆς,
Χαλκοῦ τε κεκαυμένου, καὶ διφρυγοῦς καλοῦ
Ἑκκαίδεκ᾽ ἥμισυ, ἐξ ἑκάστου μίγματος,
Εἴκοσι δραχμὰς δὲ χαλβάνης καὶ δ᾽.
D Μάννης, λιβάνου τε τὰς ἴσας δὶς ιβ'.
Ἀμμωνιακοῦ δὶς ε'. καὶ δὶς κ'.
Ἑκκαίδεκα δραχμάς, προπόλεως τῆς Ἀττικῆς,
Ἀριστολοχίας τῆς μακρᾶς δὶς ι'. δραχμάς
Δὶς ϛ'. λεπίδος, τοῦ Κυπρίου χαλκοῦ δραχμάς,
Καὶ γεντιανῆς ξηροτάτης ῥίζης ἴσον.
Τούτοις προσαπόδος πᾶσι δικτάμνου πόας,
Ξηρᾶς ἐχούσης ἄνθος ὁλκὰς κ'.
Λείας. λιθάργυρον δὲ μετ᾽ ἐλαίου βαλὼν,
Εἰς λοπάδα καινὴν κεραμίαν πλατύστομον,
Ἕψε πυρὶ κούφῳ καὶ μαλακῷ, κινῶν σπάθῃ
Ἕως γένηται μέλιτος Ἀττικοῦ πάχος.
E Ἴσον δὲ καὶ τῆς λεπίδος προσβαλὼν, πάλιν
Ἕψε λαβρότερον, εἶτα κιῤῥοῦ γενομένου
Τοῦ φαρμάκου, πρόσβαλε χαλκὸν καὶ διφρυγές,
Ποιῶν τ᾽ ἀμόλυντον καὶ πεπηγὸς φάρμακον,
Πρόσβαλλε κηρὸν, τήν τε ῥητίνην ἅμα.
Ὧν συντακέντων, ὅταν ἴδῃς κεκραμένην
Ἔμπλαστρον, αἴρε τὴν χύτραν ἀπὸ τοῦ πυρός,
Καὶ προσβαλὼν προπόλεώς τε καὶ χαλβάνην,
Ἀμμωνιακὸν, μάνναν τε καὶ ἀλόην, τότε
Ψύξας τὸ πυρῶδες καὶ ζέον τοῦ φαρμάκου,
Ἀριστολοχίαν λεοτάτην προσεμπάσας,
Καὶ γεντιανὴν, τήν τε δίκταμνον πόαν,
F Καὶ προσανακόψας τῇ σπάθῃ τὸ φάρμακον
Χερσὶ, καὶ μαγδαλιὰς ποιῶν, ἔχε,
Εἰς ἃς προεῖπον χρώμενος περιστάσεις.

ΚΕΦΑΛΑΙΟΝ ΙΑʹ.

Περὶ τροχίσκων Ἀσκληπιάδου.

Ὥσπερ δὲ ἐμπλάστρους ἀπὸ τῆς χρόας, ἀλλ' οὐκ ἀπὸ τῆς κατὰ δύναμιν ἐπαγγελίας, ὠνόμασαν ἔνιοι τῶν ἰατρῶν μηλίνας, καὶ λευκάς, καὶ φαιάς, καὶ κιῤῥάς, οὕτως ἀπὸ τοῦ κατὰ τὴν ἀνάπλασιν σχήματος, ὀνομάζουσι τροχίσκους, οὐ πρὸς ἓν πάθος, ἀλλὰ πρὸς πάνυ πολλὰ διαφέροντας. ἀκολουθήσαντες οὖν αὐτοῖς καὶ ἡμεῖς, ἐφεξῆς γράψομεν πάντας τούς γε δοκίμους, εἴτε κυκλίσκους, εἴτε τροχίσκους, ἑκατέρως γὰρ αὐτοὺς ὀνομάζουσι. καλῶς δὲ ποιοῦντες ἐφ' ἑκάστου τὴν ἐπαγγελίαν παρέγραψαν, καὶ μάλιστα ὁ Ἀσκληπιάδης, οὗ καὶ πρῶτου τὰ κατὰ τὸ τρίτον περὶ τῶν ἐκτὸς γεγραμμένα φάρμακα, παραθήσομαι. Τροχίσκοι Ἀσκληπιάδου. Τροχίσκοι πολύχρηστοι Ἀριστάρχου Ταρσέως. Ποιεῖ πρὸς ἕλκη πρόσφατα καὶ παλαιά, ποιεῖ καὶ πρὸς τερηδόνας, κηρία, ποιεῖ πρὸς σύριγγας, ὦτα πυοῤῥοοῦντα, ὀστᾶ ἐφθαρμένα, ποιεῖ πρὸς νομάς, καταστέλλει πᾶσαν ὑπεροχήν, αἴρει πτερύγια, ποιεῖ πρὸς τὰς περὶ μήτραν διαθέσεις, πρὸς ὀζαίνας, φαγεδαίνας, κονδυλώματα, ποιεῖ πρὸς τὰ κεχρονισμένα καὶ δυσαλθῆ, ποιεῖ ἀρχομένοις φθισικοῖς, σπληνικοῖς, κοιλιακοῖς, δυσεντερικοῖς, ὁλκῆς τριώβολον διδόμενος μετὰ τοῦ οἰκείου πόματος. ὠφελεῖ καὶ συναγχικούς, καὶ τὰς τῶν οὔλων νομάς, καὶ καθόλου ἐστὶν εὔθετος, πρὸς τὰς τῶν ἐκτὸς καὶ τῶν ἐντὸς διαθέσεις. ℞. Σμύρνης δραχμὰς ϛʹ. κρόκου δραχμὰς γʹ. κροκομάγματος < γʹ. κυτίνων < ϛʹ. χαλκάνθου < ϛʹ. στυπτηρίας σχιστῆς < ϛʹ. ἀλόης < ϛʹ. οἴνῳ Φαλερίνῳ ἀναλάμβανε καὶ ποίει τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως ἀνίει καταλλήλως ὑγρῷ πρὸς τὰς ὑποκειμένας διαθέσεις. Ὁ τοῦ Νεαπολίτου. ℞. Σμύρνης < ϛʹ. λιβάνου < ϛʹ. κηκίδων < ηʹ. λυκίου < ηʹ. στυπτηρίας < ηʹ. κροκομάγματος < ηʹ. ἀλόης < ηʹ. κυτίνων < ιβʹ. χαλκοῦ < ηʹ. οἴνῳ Φαλερίνῳ. Ἀνδρώνιος ἐπιγεγραμμένος. ℞. Κυτίνων < ιʹ. σχιστῆς < δʹ. χαλκάνθου < ιβʹ. σμύρνης < δʹ. λιβάνου < ηʹ. ἀριστολοχίας < ηʹ. κηκίδων < ηʹ. γλυκέος κοτύλας βʹ. παρὰ δὲ τῷ Ἡρακλείδῃ οὕτως ἔχει. ℞. σιδίων < ιʹ. ἀριστολοχίας < ηʹ. κηκίδων < ηʹ. ἁλὸς ἀμμωνιακοῦ < δʹ. λιβάνου < δʹ. σχιστῆς < δʹ. χαλκάνθου < βʹ. σμύρνης < δʹ. γλυκεῖ ἀναλάμβανε. Πολυείδου σφραγίς. ℞. σιδίων < ϛʹ. σμύρνης < ηʹ. στυπτηρίας σχιστῆς < εʹ. λιβάνου < δʹ. ἀλόης < ηʹ. χαλκάνθου < γʹ. χολῆς ταυρείας < ϛʹ. οἴνῳ γλυκεῖ ἀναλάμβανε. Ἡ κορακίνη σφραγίς. ποιεῖ πρὸς παρισθμίων φλεγμονάς, καὶ κεχαλασμένας κιονίδας, οὖλα μυδῶντα, ποιεῖ πρὸς νομάς. ποιεῖ πρὸς τὰς περὶ τὴν ἕδραν διαθέσεις, καὶ σύριγγας ἐκτυλοῖ. ℞. Ἀριστολοχίας Κρητικῆς στρογγύλης, κυτίνων, χαλκίτεως ὀπτῆς, λιβάνου, σμύρνης, χαλκάνθου, κροκομάγματος, ἀλόης Ἰνδικῆς, χολῆς ταυρείας, ἀνὰ < ηʹ. γλυκέος τὸ αὔταρκες. Τροχίσκος πρὸς νομάς. ℞. Βράθυος < νʹ. σμύρνης < γʹ. σώρεως < βʹ. κυπέρου < βʹ. χαλκάνθου < βʹ. λιβάνου < βʹ. οἴνῳ ἀναλάμβανε. ἐν ἄλλαις γραφαῖς ἐλαίας φύλλων < βʹ. μυρσίνης ξηρᾶς < δʹ. ὄρχεως βοτάνης < δʹ. ἀρσενικοῦ < αʹ. σμύρνης < δʹ. Ἐκ τῶν Ἡρακλείδου. ℞. Ὄρχεως < βʹ. ἀρσενικοῦ < δʹ. κηκίδων < ηʹ. λεπίδος < ηʹ. λεπίδος < ϛʹ. σώρεως < ηʹ. σμύρνης < βʹ. λιβάνου

CAPVT XI.

De pastillis Asclepiadis.

C χρηστος χωρὶς κατακαύματος, καὶ τῶν μὴ ἀνεχομένων δριμέος φαρμάκου· ἁρμόζει καὶ πρὸς σκληρίας ἥπατος καὶ σπληνὸς, καὶ πρὸς χοιράδας, καὶ πρὸς ἰσχιαδικούς. ἰδίως δὴ χρῆσις ἐπ' αὐτῶν γινέσθω ἡμέραις ἑπτά. ἐὰν δὲ τρυφεροὶ ὦσι, πέντε, ὕδατος τὸ μέρος, ἢ ἐλαίου μὴ ἁπτέσθω, ἕως οὗ ψυδρακώσῃ, καὶ ἰχῶρας ἐπισπάσηται παχεῖς, εἶτα λύσας τῇ λευκῇ κηρωτῇ, δι' ὕδατος χρῶ, ἐὰν δὲ πρακτικώτερον ἐθέλῃς, τῇ διὰ πεπέρεως ἀκόνῃ. ℞. κηροῦ, χαλβάνης, τερμινθίνης, πιτυΐνης φρυκτῆς, ἐλαίου δαφνίνου, ἐλαίου παλαιοῦ, ἀνὰ λίτραν α'. λεπίδος χαλκοῦ λίτρας α' S. ἰοῦ ℥ ς'. ἀμμωνιακοῦ θυμιά-

D ματος ℥ α'. νάπυος, ἀδάρκης, θείου, ἀνὰ ℥ α'. ἀβροτόνου, κενταυρείου, χαλκάνθου, ἁλὸς ἀμμωνιακοῦ, λιβάνου, ἁλὸς κοινοῦ, στυπτηρίας στρογγύλης, λιθαργύρου, προπόλεως, κόκκου Κνιδίου, ἀνὰ ℥ γ'. πάντα ὁμοῦ κόψας, καὶ σήσας ἀναλάμβανε τοῖς στυπτικοῖς μετὰ τῶν ἐλαίων. αὕτη μὲν ἡ τῆς προκειμένης ἐμπλάστρου σύνθεσις, οὐ μικρῶς διαφέρουσα τῆς προγεγραμμένης θερμότητι. νάπυ γοῦν ἔχει, καὶ ἀδάρκην, θεῖόν τε καὶ κόκκον Κνίδιον εἰς τοσοῦτον ἥκοντα θερμότητος, ὡς ἑλκοῦν οἷς ἂν ἐπὶ πλέον ὁμιλήσῃ. καὶ δάφνινον δὲ τῶν ἱκανῶς θερμαινόντων ἐστὶ, καὶ μετὰ ταῦτα χάλκανθός τε καὶ οἱ ἅλες. ἐμάθετε δὲ,

E ὅτι καὶ στύψεως ταῦτα μετέχει, βραχείας μὲν οἱ ἅλες, πολλῆς δὲ ὁ χάλκανθος. ἀλλὰ καὶ περὶ τῆς μίξεως τῶν στυφόντων φαρμάκων τοῖς διαφορητικοῖς, εἴρηται πρόσθεν ἐπὶ τῶν πολυχρήστων ἐμπλάστρων. ὅλως γὰρ οὐδὲν δύναται γίνεσθαι πολύχρηστον, εἰ μὴ καὶ τῆς ἐναντίας δυνάμεως μετέχει. ἥ τε γὰρ ἁπλῶς διαφορητικὴ δύναμις ἡ μόνη, πρὸς ἓν εἶδος ἁρμόσει παθῶν, ὃ διαφορεῖσθαι προσήκει, ἥ τε στυπτικὴ, πρὸς ἓν ἕτερον, ἐφ' οὗ τὸ ἐπιρρέον ἀναστέλλειν προσήκει. διὸ τὰ μὲν στύφοντα τοῖς ἀρχομένοις ἐξ ἐπιρροῆς ὑγρῶν γίνεσθαι πάθεσιν ἁρμόττει. τὰ δὲ διαφοροῦντα χωρὶς τῆς τῶν στυφόντων μίξεως, ἐφ' ὧν σωμά-

F των οὐδὲν ἐπιρρυῆναι δύναται, διὰ τὸ προκεκενῶσθαι, ὡς ἐάν γε περιουσία τις ᾖ χυμῶν, οὐ μόνον διαφορεῖται τὸ περιεχόμενον ὑγρὸν ἐν τοῖς πεπονθόσιν, ἀλλὰ καὶ παράγεται πρὸς αὐτὰ, τῶν διαφορούντων ἕλκειν πεφυκότων ὑφ' ἑαυτὰ, καθάπερ τὰ περιεχόμενα ψαύοντα τῶν ὑγρῶν, οὕτως καὶ τὰ κατὰ βάθος ὄντα τοῦ σώματος. εὐλόγως δὴ μίγνυται τοῖς διαφορητικοῖς,

τά τε σταλτικὰ καὶ ἀποκρουστικὰ προσαγορευόμενα, τοῦ μὲν ἐπὶ τὴν σύνθεσιν αὐτῶν ἀφικομένου, τῷ λογισμῷ τούτῳ χρησαμένου, τῆς πείρας δὲ μαρτυρούσης τῷ λογισμῷ. εἰκότως οὖν κατὰ τὸ προκείμενον φάρμακον, καίτοι σκοπὸν ἔχοντος θερμῆναί τε καὶ ξηρᾶναι, καὶ διὰ τοῦτο καὶ ψύδρακας ποιεῖν, ἐμίχθη τι καὶ τῶν στυφόντων, ἀλλ' οὐχ ἱκανά γε πρὸς πολλὰ θερμαίνοντα σφοδρῶς φάρμακα, δύο ταῦτα χάλκανθος καὶ ἅλες, ἀλλὰ καὶ λεπὶς χαλκοῦ κατὰ τὸν αὐτὸν ἐμίχθη λογισμὸν, ἥ τε στυπτηρία, διὰ τὸ σφοδρῶς στύφειν, καὶ τοὔνομα λαβοῦσα τοῦτο. Αλλη. ἄλλην ἔμπλαστρον ἔγραψεν ὁ Κρίτων ἐνδοξοτάτην, ἣν ὀνομάζει Μεσιανὴν, ἑτέρας ὕλης ἔχουσα γένος τῆς προγεγραμμένης, καὶ τῆς μελλούσης ὑπ' ἐμοῦ γραφήσεσθαι νῦν ἐφεξῆς, ἣν αὐτὸς ὁ Κρίτων ἀνίκητον ὀνομάζει, συγκειμένην ἐκ δριμέων τῶν πλείστων φαρμάκων, οὐκ οὔσης τῆς Μεσιανῆς τοιαύτης, ὡς μετὰ ταῦτα δειχθήσεται, κατὰ τὸν οἰκεῖον αὐτῆς καιρόν. καὶ μέντοι καὶ κεφαλικὰς ἄλλας ὀνομάζων, ὧν ἡ καθόλου δύναμις, ὀλίγον ὕστερον εἰρήσεται, γράψας ἐφεξῆς τῇ Μεσιανῇ τὴν καλουμένην, μετὰ ταῦτα ἀνίκητον ὑφ' ἑαυτοῦ γράφει, παραπλησίας δυνάμεως οὖσαν τῇ προγεγραμμένῃ, ἣν δι' ἀκόνης ἐκάλει. ἔχει δὲ ἡ περὶ αὐτῆς λέξις τοῦ Κρίτωνος, ὧδέ πως αὐτοῖς ὀνόμασιν. ἡ ἀνίκητος ἐν χρήσει ἡμῖν οὖσα. ἔστι δὲ πάγχρηστος, ἐπισπᾶται, ῥήσσει, ἀνακαθαίρει, κολλᾷ, ἐξιποῖ, διὰ σπληνίου καὶ παραθέσεως σωλήνων, καὶ ἀνιεμένη ἔχουσα πάντοτε πηλὸν, δι' ὀξελαίου. διαφορεῖ δὲ καὶ τὰς σκληρίας, καὶ ταῖς συνολκαῖς τῶν νεύρων βοηθεῖ, ἐπιτιθεμένη χωρὶς ἐμβροχῆς, ἵνα μὴ περιψύχωνται. καὶ ἐν μέρει ἀλείμματος, ποιεῖ ἀνιεμένη, ὡς ἄκοπος. παύει γὰρ καὶ τοὺς ἐν ἀρχαῖς τῶν νόσων κόπους, καὶ τοὺς ἐξ ἀδήλης αἰτίας. ἔστι δὲ καὶ μάλαγμα ἐπὶ τῶν ἀκρωτηρίων, ἐν μεγάλοις σπληνίοις ἐπιτιθεμένη. ἔστι δὲ καὶ ἐναίμων κολλητικὴ ἐπιδέσει ῥαφῇ, ἢ ἀγκτηριασθῇ, πτύγματος ἐκ μόνου ὄξους προσεπιτιθεμένου τῷ σπληνίῳ, θέρους μὲν ψυχροῦ, χειμῶνος δὲ θερμοῦ. ποιεῖ καὶ πρὸς τὰ ἐν τοῖς πέλμασι, καὶ πρὸς κόμματα, σηπεδόνας τε καὶ περὶ δακτύλους διαθέσεις, καὶ τὰ σὺν τραύμασι κατάγματα. ἔνεστι μήτε σαρκωτικῷ, μήτε ἐπουλωτικῷ ἑτέρῳ χρῆσθαι, ἀλλὰ μόνῃ πιστεύειν. ποιεῖ καὶ πρὸς ἀνθρωπόδηκτα, καὶ κυνόδηκτα, καὶ θηριόδηκτα. μέγιστον δή ἐστιν αὐτῆς ἐπάγγελμα, τὸ τὰ ἐν κατακαλύψει ἀποστήματα ἐν κώλῳ καὶ περιτοναίῳ μὴ ἐᾶν γίνεσθαι, ὅταν γε μὴ φθάσῃ πυωθῆναι, ἢ γενόμενα λεπτοποιῆσαι, καὶ εἰς ἔντερα συρρῆξαι. ἐπιτίθεσθαι δὲ δεῖ τῷ τόπῳ σπλήνιον, καὶ ἐπάνω πίλημα ἐξ ὀξελαίου θερμοῦ, καὶ ἐμβρέχειν δὶς τῆς ἡμέρας. μὴ λύε δὲ, εἰ μὴ διὰ τριῶν, ἢ τεσσάρων ἡμερῶν, εἶτα μετὰ τὸ πυριᾶσαι, ἀτμίδα πάλιν ἐπιτίθει. ἐπεκλήθη δὲ ἀνίκητος διὰ τὰ θαυμαστὰ, καὶ πολλὰ αὐτῆς ἔργα. ℞. λεπίδος χαλκοῦ < νη'. πυρέθρου, σταφίδος ἀγρίας, κόκκου κνιδείου, νάπυος σπέρματος, κάγχρυος, περιστερᾶς κόπρου, ἀριστολοχίας λεπτῆς, ἰοῦ, κυπέρου, εὐζώμου σπέρματος, κυμίνου ἀνὰ < ις'. νίτρου < λβ'. ἁλὸς ἀμμωνιακοῦ < λβ'. δαφνίδων < ρκ'. μάννης < ρκ'. ἴρεως < ρκ'. ὄξους δριμέος ξε ις'. ἑψήματος ἰσχάδων κυάθους δ' S. κόψας καὶ σήσας ἅπαντα ὁμοῦ, λειοτρίβει σὺν τῷ ὄξει ἐν τοῖς ὑπὸ κύνα καύμασιν. ξηροῦ δὲ καὶ χλωροῦ γενομένου, πρόσβαλε τὸ τῶν σύκων ἀφέψημα, καὶ συμμαλάξας, ἀναιροῦ καὶ ἀπότιθει εἰς χύτραν χαλκῆν ἐρυθροῦ χαλκοῦ. τὸ δ' ἕψημα τῶν ἰσχάδων ἔχει οὕτως. ℞. ἰσχάδων λιπαρῶν λι ε'. ὕδατος ξε ς'. ἕψε ἕως ἂν περιλειφθῶσι ξε β'. ἡ δὲ χρῆσίς ἐστιν ἓν μέρος τοῦ φαρμάκου ὄξει ἀνιεμένου, ὡς γλοιώδες γενέσθαι, πρὸς ἓξ τοῦ ῥητινοκήρου.

A & reprimentia, meritò, quum qui ad ipsorum compositionem descendit, ratione hac vsus sit, experientia verò attestante rationi. Quare non iniuria, licet consilium scopumque habeat in proposito calefacere, & exiccare, eoque etiam vlcera concitare, mixtum est & astringentium quidpiam. Sed non sufficiunt ad multa vehementer calefacientia medicamenta, duo hæc, atramentum sutorium, & sal. Quin etiam æris squama pari ratione mixta est, & alumen, quod à vehementer astringendo stypteria appellatum est. Aliud emplastrum celeberrimum scripsit Crito, B quod Mesianum appellat, diuersum materiæ genus habens à superiore, & illo, quod mox à me ordine suo describetur. Vocat hoc Crito ipse Anicetum, idest, inuictum, ex acribus pluribus medicamentis compositum, quum Mesianum tale non sit, vt postea suo tempore demonstrabitur. Quinetiam cephalica alia nominans, quorum generalis facultas paulo post explicabitur, post Mesianum tradita, inuictum ab ipso appellatum subiungit, eiusdem facultatis cum præscripto, quod dia acones, idest, ex cote, vocitabat. Verba Critonis in hunc modum sonant. *Aniceton in vsu nobis est, utile ad omnia; extrahit, rumpit, pur-* C *gat, glutinat, excolat splenij modo, & cum canalibus impositum, ac dilutum ex oleo, & aceto, constringit undique. Discutit autem duritias. Et neruorum contractiones iuuat sine perfusione impositum, ne refrigerentur. Et vnguenti vice dilutum facit vt Acopon; sistit enim morborum principiis lassitudines, & eas quæ sine causa manifesta proueniunt. Est etiam malagma extremarum corporis partium in magnis spleniis impositum; item cruenta glutinat, suturis vel fibulis iuncta, si plicatum linteum ex solo aceto splenio imponas, æstate quidem frigidum, hyeme autem calidum. Facit ad plantæ pedis vitia, ad* D *contusiones, putredines, & digitorum affectus, item fracturas cum vulneribus. Licet neque carnem generante, neque quod cicatricem inducat, alio uti, sed soli credere. Valet ad hominum, canum, & ferarum morsus. Maximum hoc est quod pollicetur, nempe abscessus latentes in colo, & peritonæo, prohibere ne fiant, antequam in vomicam exierint, aut factos extenuare, & intestina coniicere. Imponendum autem est splenium loco, & desuper centunculum ex aceto, & oleo calente, fouendumque bis quotidie. Non soluetur autem nisi triduo, vel quatriduo. Deinde post fomenta, madorem rursus imponito. Vo-* E *catum autem est insuperabile, propter miranda, & multa ipsius opera.* ℞. squamæ æris drachmas quinquaginta octo, pyrethri, staphidis agriæ, cocci cnidij, synapis seminis, cachryos, columbini stercoris, aristolochiæ tenuis, æruginis, cyperi, erucæ seminis, cumini, singulorum drachmas sedecim; nitri drachmas triginta duas, salis ammoniaci drachmas xxxij. lauri baccarum drach. cxx. mannæ drachmas cxx. iridis drachmas cxx. aceti acris sextarios sedecim, decocti caricarum cyathos quatuor & dimidium. Tusa cribrataque omnia simul, cum aceto ad læuorem teruntur sub æstu F caniculæ. Vbi siccum & viride euaserit, ficuum decoctum adiicitur, & simul emollita tolluntur, & in olla æris rubri reponuntur. Decoctum autem caricarum ita habet. ℞. caricarum pinguium lib. v. aquę sextarios vj. coque donec sextarij duo relicti fuerint. Vsus est, vna pars medicamenti aceto diluti, vt sordes repræsentet, ad sex partes resinoceri, idest, resinæ cum cera iunctæ.

Est

Est autem syncerum resinocerum, ceræ pars vna, resinæ frictæ tres, cum oleo pauco liquefacto; medium, ceræ pars vna, resinæ duæ; dilutum verò, & abundè temperatum, ceræ pars vna, resinæ tantundem; dissolutum, ceræ partes duæ, resinæ vna; quod supra quam dilutum, ceræ partes tres, resinæ vna. Scribitur etiam agresti licheni, idest, *impetigini*, conuenisse, purum iniectum. Hæc Crito ad verbum prodidit. Ego à fine eorum, quæ dixit, sermonis principium statuam. Agrestes impetigines nominant, quum à medicamentis imbecilliter siccantibus nihil iuuari vident, à validis autem irritari. Opus igitur in ipsis est medicamento efficaci abundè, non tamen vehementer mordaci; quod, vt dixi, ex artificiali coniectura compositum experientia probatur. Constat propositum medicamentum ex multis acribus tenuiorum partium, & discutientibus; habet autem & quædam citra mordicationem detergentia, & nonnulla parùm astringentia. Itaque acria ex iis, quæ continet, sunt pyrethrum, sinapi, coccus cnidius, columbinum stercus, ærugo, baccæ lauri, nitrum, sal ammoniacus, item acetum acre, tale namque iniiciendum censet. Detergentium summè quidem lenia, immordaciaque sunt iris, & aristolochia; atque his adhuc magis, vt ex genere concoquentium iam sit, manna; generosius autem canchrys, & staphis agria; his adhuc præcellit cuminum, & erucæ semen. Cyperum sine morsu quidem exiccat, sed nonnihil etiam astringit; quemadmodum, & æris squama, validum & ipsum medicamentum. Oportebat enim vt priùs demonstratum est, medicamentum hoc astringentis facultatis vtcunque esse particeps, eoque squama copiosè admixta est. Si verò & manna reuera manna sit, & non thus, ipsa quoque aliquantulum astringit. Iniecta est autem & hæc multo copiosior, quàm squama, merito, vt acrium medicamentorum vehementiam leniat, simulque humores in afflicta parte contentos coquat. Porrò caricarum decoctio mitigantissima est, & maximè coquit, simulque quodammodo digerit. Hæc igitur omnia mixta multi vsus medicamentum iure effecerunt. Acetum verò efficaciam eorum plurimum iuuat, in quo medicamenta æstiuo Sole conteri præcipit; omnia enim sic præparata tenuem substantiam acquirunt, eoque in corporis altum facultas ipsorum penetrat.

CAPVT III.

De scriptis ab Hera eiusdem generis emplastris.

Emplastrum ex herbis quo modo Crito præparet prius posui; & ipse Heras similiter conficit, sicut Crito eius meminit. Differt tamen in confectione emplastri ex scilla confecti, nam ammoniaci, myrrhæ, resinæ pityinæ, styracis, squamæ, & scillæ tantum cum aliis Crito miscet, quantum Heras; sed in aristolochia, & iride discordat; quippe Heras scripsit aristolochiæ rotundæ drachmas triginta, iridis siccæ drachmas triginta, alij quindecim.

A ἔστι δὲ τὸ μὲν ἄκρατον ῥητινόκηρον, κηροῦ μέρος ἕν, ῥητίνης φρυκτῆς μέρη τρία, σὺν ἐλαίῳ ὀλίγῳ τετηκότα. τὸ δὲ μέσον, κηροῦ μέρος ἕν, ῥητίνης μέρη δύο· τὸ δ' ἀνειμένον καὶ εὔκρατον, κηροῦ μέρος ἕν, ῥητίνης μέρος ἕν· τὸ δ' ἐκλελυμένον κηροῦ μέρη δύο, ῥητίνης μέρος ἕν, τὸ δ' ὑπερανειμένον, κηροῦ μέρη τρία, ῥητίνης μέρος ἕν. ἱστορεῖται καὶ ἐπ' ἀγρίου λειχῆνος ἡρμοκέναι, ἄκρατον ἐπιῤῥιφέν. ταῦτα μὲν ὁ Κρίτων ἔγραψεν αὐτοῖς ὀνόμασιν. ἐγὼ δὲ ἀπὸ τοῦ τελευταίου τῶν εἰρημένων αὐτῷ τὴν ἀρχὴν ποιήσομαι τοῦ λόγου. τοὺς ἀγρίους λειχῆνας ὀνομάζουσιν, ὅταν B ὑπὸ μὲν τῶν ἀσθενῶς ξηραινόντων φαρμάκων ὁρῶσιν αὐτοὺς μηδὲν ὠφελουμένους, ὑπὸ δὲ τῶν ἰσχυρῶν, ἐρεθιζομένους. χρεία τοίνυν ἐπ' αὐτῶν ἐστι, φαρμάκου δραστηρίου μὲν ἱκανῶς, οὐ μὴν δακνώδους σφοδρῶς, ὅπερ, ὡς ἔφην, ἐκ στοχασμοῦ τεχνικοῦ συντεθὲν, ὑπὸ τῆς πείρας βασανίζεται. σύγκειται δὲ τὸ προκείμενον φάρμακον ἐκ πολλῶν δριμέων λεπτομερῶν τε καὶ διαφορητικῶν. ἔχει δέ τινα καὶ τῶν ἀδήκτως ῥυπτικῶν, καί τινα τῶν ἐπ' ὀλίγον στυφόντων. τὰ μὲν οὖν δριμέα τῶν ἐν αὐτῷ, πύρεθρόν τε, καὶ νάπυ, καὶ κόκκος κνίδειος, καὶ ἡ τῆς περιστερᾶς κόπρος, ἰός τε καὶ C δαφνὶς, καὶ νίτρον, εἶθ' ἅλες ἀμμωνιακοὶ καλούμενοι, καὶ πρὸς αὐτοῖς ὄξος τὸ δριμύ. τοιοῦτον γὰρ ἀξιοῖ βάλλειν. τὰ δὲ ῥυπτικὰ τελέως μὲν ἄδηκτά ἐστιν ἶρις τε, καὶ ἀριστολοχία, καὶ τούτων ἔτι μᾶλλον, ὡς ἐκ τοῦ γένους τῶν ἤδη πεπτικῶν εἶναι, μάννα, γενναιότερον δὲ κάγχρυ καὶ σταφὶς ἀγρία. τούτων δ' ἔτι γενναιότερον, κύμινόν τε, καὶ τὸ τοῦ εὐζώμου σπέρμα. τὸ δὲ κύπειρον, ἔστι μὲν ἀδήκτως ξηραντικὸν, ἔχει δέ τι καὶ στυπτικὸν, ὥσπερ καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, ἰσχυρὸν οὖσα φάρμακον. ἔδει γὰρ, ὡς πρόσθεν ἐδείχθη, μετέχειν τι καὶ τῆς στυπτικῆς δυνάμεως τὸ φάρμακον D τοῦτο, καὶ διὰ τοῦτό γε λεπὶς ἐμίχθη δαψιλής. εἰ δὲ καὶ ἡ μάννα ὄντως εἴη μάννα, καὶ μὴ λιβανωτὸς, εἴη ἂν καὶ αὕτη στυπτικόν ἔχουσά τι. βέβληται δὲ καὶ αὕτη δαψιλεστέρα πολὺ τῆς λεπίδος, εἰκότως, ἵνα πραΰνῃ τὸ σφοδρὸν τῶν δριμέων φαρμάκων, μετὰ τοῦ πέττειν τὰ κατὰ τὸν πεπονθότα τόπον ὑγρά. πραϋντικώτατον δὲ καὶ πεπτικώτατον ἅμα τῷ διαφορεῖν πώς ἐστι τὸ τῶν ἰσχάδων ἀφέψημα. ταῦτ' οὖν ἅπαντα μιχθέντα, πολύχρηστον εἰκότως εἰργάσατο τὸ φάρμακον. εἰς δὲ τὸ δραστήριον αὐτῶν, μέγιστα συντελεῖ τὸ ὄξος, ἐν ᾧ κελεύει λειοῦσθαι τὰ φάρμακα κατὰ τὸν θερινὸν E ἥλιον. πάντα γὰρ τὰ οὕτω σκευασθέντα, λεπτομερῆ γίνεται, καὶ διὰ τοῦτο, μέχρι τοῦ βάθους τῶν σωμάτων ἡ δύναμις αὐτῶν καταδύεται.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν ὑπὸ τοῦ Ηρα γεγραμμένων τοῦ αὐτοῦ γένους ἐμπλάστρων.

Τὴν μὲν διὰ τῶν βοτανῶν, ἣν ὅπως ὁ Κρίτων σκευάζει, προὔγραψα, καὶ αὐτὸς ὁ Ηρας ὁμοίως σκευάζει, καθότι καὶ E ὁ Κρίτων ἐμνημόνευσεν αὐτοῦ, διαφέρεται δὲ ἐν τῇ διὰ σκίλλης σκευασίᾳ. τοῦ μὲν γὰρ ἀμμωνιακοῦ καὶ τῆς σμύρνης, καὶ τῆς πιτυΐνης ῥητίνης, καὶ τοῦ στύρακος, καὶ τῆς λεπίδος, καὶ τῆς σκίλλης τοσοῦτον μιγνύει τοῖς ἄλλοις ὁ Κρίτων, ὅσον ὁ Ηρας. ἐπὶ δὲ τῆς ἀριστολοχίας καὶ τῆς ἴρεως διαφέρεται. γράψαντος γὰρ τοῦ Ηρα ἀριστολοχίας στρογγύλης < λ'. ἴρεως ξηρᾶς < λ'. οἱ δὲ ιε'.

καὶ μετὰ ταῦτα πάλιν ὁ Κρίτων οὕτως ἔγραψεν. ℞. ἀριστολοχίας < λ'. ἴρεως < λ'. ἄλλοι μ'. ἐπὶ τῷ τέλει τῆς σκευασίας τοῦ Ἡρᾶ γράψαντος. ἐκπληρωθεισῶν δὲ τῶν ἡμερῶν, κηρωτὴν ποίει τοιαύτην. ℞. κηροῦ λίτρας ε'. οἱ δὲ < μ'. τερμινθίνης λίτραν α'. οἱ δὲ < λ'. ἐλαίου παλαιοῦ ξέστας β' S''. οἱ δὲ κοτύλας ϛ'. ἐμοὶ δ' οὐκ ἀρέσκει ἀντὶ τῶν ε'. λιτρῶν τοῦ κηροῦ μιγνύναι τῷ φαρμάκῳ < σμ'. ποτὲ μὲν γὰρ ἀντὶ τῆς λίτρας < ρ'. γράφουσιν αὐτοὶ, ποτὲ δὲ ἀντὶ τῆς μνᾶς, οὐδέ ποτε δὲ λίτραν οὕτως μικρὰν οὐδεὶς ἔγραψεν, ὡς < μη'. εἶναι. τοῦτο γὰρ συμβαίνει βαλλομένων < σμ'. ἀντὶ τῶν ε'. λιτρῶν. ὡσαύτως δὲ, οὐδὲ ἀντὶ τῆς λίτρας τῆς τερμινθίνης < λ'.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἡ Σεραπίωνος.

ΚΑὶ ταύτην ἔγραψεν ὁ Κρίτων ἐν τῇ φαρμακίτιδι βίβλῳ κατὰ τήνδε τὴν λέξιν. ἡ Σεραπίωνος, ἣν τινες Αἰγυπτίαν, οἱ δὲ Ἀφροδίτην καλοῦσι. ποιεῖ δὲ πρὸς πᾶν τραῦμα, καὶ δεῖ αὐτῇ ἐπιμένειν μὴ ἀπελπίζοντας. ποιεῖ πρὸς νύγματα, καὶ σκόλοπας, καὶ παρωτίδας, καταπίτρησίν τε καὶ φύματα, καὶ ὀξίπουσα, παρακολλᾷ, ποιεῖ καὶ πρὸς πᾶσαν σκληρίαν, καὶ πρὸς ἐπινυκτίδας, καὶ πρὸς ἐπιφορὰν τῶν ἄρθρων, καὶ πρὸς τὰ θλάσματα τῶν ὤτων, ποιεῖ καὶ πρὸς τὰ πρεσβυτικὰ, καὶ χειρώνεια, καὶ παχύχειλα ἕλκη. ℞. ἐλαίου παλαιοῦ κο γ'. λιθαργύρου < σ'. ἀμμωνιακοῦ θυμιάματος < ρξη'. ῥητίνης κολοφωνίας, πιτυΐνης < ξη'. κηροῦ < ρξη'. χαλβάνης < κ'. ἰοῦ < ν'. οἱ δὲ < κ'. σμύρνης < δ'. οἱ δὲ < η'. ἕψε λιθάργυρον, ἔλαιον ἕως μετρίως δοκῇ συνεστράφθαι, εἶτ' ἄρας τὴν λοπάδα, προσέμβαλλε ἀμμωνιακὸν, εἶτα ῥητίνην, εἶτα κηρόν. τήξας δὲ ἓν ἕκαστον αὐτῶν προσεχόντως, ἵνα μὴ προσκαῇ, ἄρας πάλιν, χαλβάνην ἀποδίδοθι καὶ ἰὸν, εἶτα ἐπιθεὶς ἐπὶ τὸ πῦρ ἕως μηλίνη γένηται, καὶ εὐσύστατος, ἕψε. ἔσχατον δὲ ἄρας τὴν σμύρναν ἀποδίδου, καὶ κινήσας κατάχεε, ἀναλαμβάνων ἐν δέρματι, ἀποτίθεσο.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὡς Ἀνδρόμαχος ἔγραψε τὰς προειρημένας ἐμπλάστρους.

ΤΡεῖς συνθέσεις ἔγραψεν ὁ Ἀνδρόμαχος ταύτης τῆς ἐμπλάστρου, τὴν πρώτην μὲν βραχὺ διαφωνοῦσαν τῇ προγεγραμμένῃ Κρίτωνος, ἐφεξῆς δ' ἄλλας β'. πλείονα διαφωνίαν ἐχούσας. ἡ δὲ ἐπαγγελία τοῦ φαρμάκου, καὶ ἡ σκευασία γέγραπται καλῶς ἔμπροσθεν ὑπὸ τοῦ Κρίτωνος. ὁ δ' οὖν Ἀνδρόμαχος οὕτως ἔγραψε περὶ αὐτῆς. ἡ διὰ τῶν βοτανῶν. ℞. ἀναγαλλίδος τῆς τὸ κυάνεον ἄνθος ἐχούσης < νϛ'. πρασίου < νϛ'. μήκωνος ἀγρίου < νϛ'. ὑοσκυάμου χλωροῦ < νϛ'. λεπίδος < κε'. λιβανίου < η'. ῥητίνης ξηρᾶς < ιϛ'. ἀλόης < ιϛ'. σχιστῆς < δ'. κηροῦ μνᾶν α'. ἐλαίου παλαιοῦ κοτύλας β'. ὄξους. πολλοὶ μὲν τῶν δύο ἀναγαλλίδων ἔβαλλον εἰς τὴν διὰ τῶν βοτανῶν, Θεόκριτος δὲ καὶ γῆς Ἐρετριάδος, καὶ χρυσοκόλλης, καὶ ἁλὸς ἀμμωνιακοῦ, καὶ ἀρσενικοῦ, ἀνὰ < δ'.

A Crito autem ſic protulit. ℞. ariſtolochiæ ʒ. xxx. iridis drach. xxx. alij xl. Rurſus quoque poſt hæc Heras iuxta confectionis finem tradit, expletis diebus ceratum huiuſmodi facito; ℞. ceræ libras quinque, alij drachmas xl. terebinthinæ libram vnam, alij drach. triginta, olei veteris ſextarios duos & dimidium, alij heminas ſex. Mihi verò non placet pro quinque libris ceræ, drach. ccxl. medicamento miſcere. Interdum namque loco libræ, centum drachmas ſcribunt, interdum loco minæ; atqui nullus vnquam libram tam exiguam poſuit, vt drachmas xlviij. penderet; hoc enim accidit, dum pro quinque libris drachmæ B ducentæ quadraginta immittuntur, ſic neque pro libra terebinthinæ drach. triginta.

CAPVT IV.

Emplaſtrum Serapionis.

ET hoc Crito in opere medicamentario in hæc verba conſcripſit. *Emplaſtrum Serapionis, quod nonnulli Ægyptium, alij Venerem vocant. Facit ad omne vulnus, cui innitendum eſt, omni deſperatione abiecta. Valet ad punctus, aculeos, parotidas, perfo- C rationem, phymata, excolando conglutinat. Tollit omnem duritiem, iuuat epinyctidas, articulorum epiphoram, aurium contuſiones. Sanat & vlcera ſenilia, chironia, & quæ craſſas oras obtinent.* ℞. olei veteris heminas tres, argenti ſpumæ drach. ducentas, guttæ ammoniaci drach. centum ſexaginta octo, reſinæ colophoniæ, pityinæ drach. ſexaginta octo; ceræ drach. centum ſexaginta octo, galbani ʒ. xx. æruginis drac. quinquaginta, alij viginti; myrrhæ drachmas quatuor, alij octo. Argenti ſpuma coquitur ex oleo, donec mediocriter coiuiſſe viſa fuerint. Deinde olla ab igne depoſita gutta am- D moniaci immittitur, poſtea reſina, poſtremo cera. Vbi ſingula curioſè liquata fuerint, ne adurantur, olla ab igne rurſus ſublata, galbanum aſpergitur, & ærugo; iterum ſuper ignem ponitur, coquiturque donec melinum fiat, & iuſtam craſſitiem nanciſcatur; poſtremo ſublato myrrha adiicitur, ac vbi moueris, defundito, pelleque excipiens reponito.

CAPVT V.

Vt Andromachus prædicta emplaſtra conſcripſerit.

E TRes huius emplaſtri confectiones tradidit Andromachus, primam à præſcripta Critonis nonnihil diſſentientem; deinde alias duas magis euariantes. Titulum autem medicamenti & præparationem rectè priùs Crito conſcripſit. Andromachus in hanc ſententiam de ea precepit. *Emplaſtrum ex herbis.* ℞. anagallidis cœruleum florem habentis ʒ. lvj. marrubij ʒ. lvj. papaueris agreſtis ʒ. lvj. alterci viridis ʒ. lvj. ſquamæ ʒ. xxv. thuris drach. viij. reſinæ ſiccæ drach. xvj. aloës drach. xvj. aluminis fiſſilis drach. quatuor, ceræ F minam vnam, olei veteris heminas duas, aceti. Multi quidem vtriuſque anagallidis. Theocritus autem, & terræ Eretriæ, & chryſocollæ, & ſalis ammoniaci, & auripigmenti, ſingulorum ʒ. iv. in emplaſtrum ex herbis coniecit.

CAP.

A

CAPVT VI.

Alia emplastra ex eodem genere, de quibus scripsit Andromachus.

AD gangrænas, putredines, nomas veteres, & cacoëthes, Isidori Antiochei. ℞. argenti spumæ drach. quatuor, æruginis rasæ drach. viij. olei cyathos sex; Talius Ælius cyathos xij. & æruginis scoleciæ. Argenti spuma, & ærugo in cacabum læuigata mittitur, olei tres cyathi superfunduntur, coquitur pruna non acri, mouetur que spatha lignea, donec viride fiat. Postea ab igne sublata, ac mortario superfusa contunditur, dum calidum est, diutius; deinde rursus tres olei cyathos in ollam fundito, mouetoque, ne aduratur; quousque melinum fiat, incoquito. Ac rursus eximens terito, vt collyria, iterumque excipiens in ollam coquito mouendo, quousque rubrum colorem accipiat. Quinetiam tertio ex cacabo in mortarium defusa diutius terito; atque iterum quarto in olla coquito, vt in vnum coeant. Rursusque dum calet, defusa tritaque excipito, & in rubra pyxide deponito, ad prædictaque vtitor. Post commemoratum emplastrum, alterius deinceps his verbis Andromachus meminit. *Humidum emplastrum ad nomas, quo vtor, & ad alia multa.* ℞. ceræ drachmas octo, resinæ terebinthinæ drachmas octo, adipis taurini curati drachmas quatuor, chalcitidis drach. duas, squamæ æris drach. tres, mannæ thuris drach. duas, gallæ immaturæ drach. quatuor, olei myrtei heminas quinque. Arida cum aceto, & melle sumuntur, deinde sic liquabilia superfunduntur.

CAPVT VII.

Fuscæ multiplicis vsus. Ad artis opera methodo, & exercitatione opus esse.

QVòd auxiliorum quædam ratio sola inuenit, quædam experientia, quæ & ipsa rationem non requirit; nonnulla vtriusque opem postulant; subinde vobis demonstratum est. Ad hæc etiam quòd quæ ratione, & experientia comperta sunt, coniecturali via ad eorum, quæ inquiruntur, inuentionem, vtuntur; quæ verò per rationem separata sunt, experientia confirmantur: Quinetiam spei coniecturalis non mediocrem, quemadmodũ & in vniuersa vita, maioris, minorisque esse differentiam; non enim pluuiam hyemali solstitio, & caniculæ ortu, futuram similiter speramus, quæ hyemali frequenter, sub caniculæ æstu rarò accidit. Porrò quum omnia artium opera frequenti firmentur exercitio, non satis est generalia ipsarum addiscere duntaxat, sed etiam in particularibus exerceri subinde oportet; nam quæ per imperfectas actiones fit exercitatio, ad perfectarum possessionẽ via est. Quare ego quoque in omnibus cõmentariis, quos vobis amici petẽtibus cõposui, non solis cõmunibus theorematicis contentus fui, sed exẽpla multa etiam exercẽdi gratia adieci, quibus ipsorũ cognitionẽ vobis euidentiorem, magisq; firmã, fore sperabam. Quemadmodum igitur in aliis omnibus medicinæ partibus, ita & in neruorum vulnerum curatione scripsi, primum vobis rationalem viam ostendens, qua ad præsidiorũ inuentionẽ perueniatis; deinde materias, quibus vires à ratione inuentas cõtineri didi-

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ἄλλαι ἔμπλαστροι τοῦ αὐτοῦ γένους, περὶ ὧν ὁ Ἀνδρόμαχος ἔγραψεν.

ΠΡὸς γαγγραίνας, καὶ σηπεδόνας, καὶ νομὰς παλαιὰς, καὶ κακοήθεις, Ἰσιδώρου Ἀντιοχέως. ℞. λιθαργύρου < δʹ. ἰοῦ ξυστοῦ < ηʹ. ἐλαίου κυάθους ϛʹ. Τάλιος Αἴλιος, κυάθους ιβʹ. καὶ ἰοῦ σκώληκος. τὴν δὲ λιθάργυρον, καὶ τὸν ἰὸν λεῖα ἐμβαλὼν εἰς χύτραν, καὶ ἐπιχέας ἐλαίου κυάθους τρεῖς, ἕψε ἐπὶ πυρὸς μαλακοῦ, κινῶν σπάθῃ ξυλίνῃ, ἕως ἂν γένηται χλωρά, B εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς, καὶ εἰς θυίαν κατεράσας, τρῖβε ἕως ἐστὶ θερμὸν ἐπὶ πλέον. εἶτα πάλιν εἰς τὴν χύτραν ἐπιχέας τοῦ ἐλαίου κυάθους γʹ. κινῶν μὴ προσκαῇ, ἕως ἂν γένηται μηλίνη, ἕψε, καὶ πάλιν κατακενώσας, τρῖβε ὡς κολλύρια. καὶ πάλιν ἀνελόμενος εἰς τὴν χύτραν, ἕψε, κινῶν ἕως ἂν γένηται ἐρυθρά, καὶ κατακενώσας εἰς θυίαν πάλιν τὸ τρίτον τρῖβε ἐπὶ πλέον, καὶ πάλιν τὸ τέταρτον ἕψε εἰς τὴν χύτραν, ἵνα συστραφῇ, καὶ πάλιν ἕως ἐστὶ θερμὴ κατεράσας, καὶ τρίψας ἀνελοῦ, καὶ ἀπόθου εἰς πυξίδα ἐρυθράν, καὶ χρῶ πρὸς τὰ εἰρημένα. ἐφεξῆς δὲ τῇ προγεγραμμένῃ, περὶ C ἑτέρας ἐμπλάστρου κατὰ λέξιν οὕτως ἔγραψεν ὁ Ἀνδρόμαχος. ὑγρὰ ἔμπλαστρος πρὸς νομὰς ᾗ χρῶμαι, καὶ ἄλλα πολλά. ℞. κηροῦ < ηʹ. ῥητίνης τερμινθίνης < ηʹ. στέατος ταυρείου τεθεραπευμένου < δʹ. χαλκίτεως < βʹ. λεπίδος χαλκοῦ < γʹ. μάννης λιβανωτοῦ < βʹ. κηκῖδος ὀμφακίνης < δʹ. ἐλαίου μυρσίνου κοτύλας εʹ. τὰ ξηρὰ σὺν ὄξει καὶ μέλιτι, εἶθ' οὕτως τὰ τηκτὰ καταχεῖται.

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

D *Πολύχρηστοι φαιαί. πρὸς τὰ τῆς τέχνης ἔργα χρείαν εἶναι μεθόδου τε καὶ ἀσκήσεως.*

ΟΤι τῶν βοηθημάτων, ἔνια μὲν ὁ λόγος εὑρίσκει μόνος, ἔνια δὲ ἡ πεῖρα, καὶ αὕτη τοῦ λόγου μὴ χρήζουσα, τινὰ δ' ἀμφοῖν ἀλλήλοις συνεργούντων δεῖται, πολλάκις ὑμῖν ἐπιδέδεικται, καὶ πρός γε τούτοις, ὅτι τὰ διὰ λόγου, καὶ πείρας εὑρισκόμενα, στοχαστικῇ μὲν ὁδῷ χρῆται, πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν, ἐλπισθέντα δὲ τῷ λόγῳ βεβαιοῦται τῇ πείρᾳ, καὶ μέντοι καὶ ὡς τῆς στοχαστικῆς ἐλπίδος, οὐκ ὀλίγη ἐστὶν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἡ διαφορά, καθάπερ καὶ καθ' ὅλον τὸν βίον. οὐ γὰρ ὁμοίως E ἐλπίζομεν ὑετὸν ἔσεσθαι κατά γε τὰς χειμερινὰς τροπὰς, καὶ τὴν τοῦ κυνὸς ἐπιτολήν. ἐν μὲν γὰρ ταῖς χειμεριναῖς τροπαῖς, σπανιάκις οὐ γίνεται, κατὰ δὲ τὴν τοῦ κυνὸς ἐπιτολὴν σπανιάκις γίνεται. πάντων δὲ τῶν κατὰ τὰς τέχνας ἔργων ὑπὸ συνεχοῦς ἀσκήσεως ἀκριβουμένων, οὐκ ἀρκεῖ τὸ καθόλου μόνον ἐν αὐταῖς καταμαθεῖν, ἀλλὰ κἀν τοῖς κατὰ μέρος ἐνεργῆσαι χρὴ πολλάκις. ἡ γὰρ διὰ τῶν ἀτελῶν ἐνεργειῶν ἄσκησις, ὁδός ἐστιν ἐπὶ τὴν τῶν τελείων κτῆσιν. διὰ τοῦτ' οὖν κἀγὼ κατὰ πάσας τὰς πραγματείας, ἃς ὑμῖν τοῖς ἑταίροις ἀξιώσασιν ἐποιησάμην, οὐκ ἠρκέσθην μόνον τοῖς καθόλου θεωρήμασιν, ἀλλὰ καὶ γυμνάσματα F πολλὰ προσέγραψα, δι' ὧν ἤλπιζον ὑμῖν ἐναργεστέραν τε καὶ βεβαιοτέραν ἔσεσθαι τὴν γνῶσιν αὐτῶν. ὥσπερ οὖν ἐπὶ τῶν ἄλλων ἁπάντων μερῶν τῆς ἰατρικῆς, οὕτω κἀπὶ τῆς τῶν νευροτρώτων θεραπείας ἔγραψα, πρότερον μὲν ὑμῖν ἐπιδείξας τὴν λογικὴν ὁδὸν εἰς τὴν τῶν βοηθημάτων εὕρεσιν. ἐφεξῆς δὲ ταύτῃ, τὰς ὕλας, ἐν αἷς, τὰς εὑρεθείσας ὑπὸ τοῦ λόγου δυνάμεις ἐμπ-

θετε περιειργασμένας. ἐν γὰρ τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων **A** δυνάμεως ὑπομνήμασιν ια΄. τὸν ἀριθμὸν οὖσι, τὰς ἐν ταῖς κατὰ μέρος ὕλαις δυνάμεις ἁπάσας γε, ἢ τὰς πλείστας χρησιμωτάτας ἔγραψα. πρὸς γάρ τοι τὴν εὐπορίαν τῶν βοηθημάτων, ἐδείχθη τοῦτ' ἀναγκαῖον ὑπάρχειν, οὐ μόνον δὲ εἰς τὸ δύνασθαι, καὶ ὑμᾶς αὐτοὺς αὐτῶν τῶν ἐσκευασμένων φαρμάκων ἐν ἀπορίαις εὐπορεῖν τῶν βοηθημάτων, ὡς Ἐρασίστρατός ποτε τοὺς τῶν βοτανῶν εὐπόρησε χυλοὺς, μὴ παρόντος αὐτοῦ στοματικοῦ φαρμάκου κατὰ τὸ χωρίον ἐκεῖνο τῆς ὁδοιπορίας, ἀλλὰ κἂν αὐτῶν συντεθέντων ἀπολέσητε τὰς γραφὰς, ὅμως ὑμᾶς αὐτοὺς δύνασθαι συντιθέναι παραπλήσια τοῖς ἀπολομένοις. καὶ μέντοι καὶ **B** πρὸς τὸ καλῶς χρῆσθαι τοῖς ὑφ' ἑτέρων ηὑρημένοις, ἡ διὰ τῆς προκειμένης πραγματείας ἄσκησις ὠφέλιμός ἐστι. τί δεῖ λέγειν, ὅτι καὶ πρὸς τὸ διακρίνειν δύνασθαι τά τε περιττῶς ἐμβεβλημένα τοῖς συνθέτοις φαρμάκοις, καὶ κατὰ τοὐναντίον, ὅσα παραλέλειπται τοῖς πρώτοις συντιθεῖσιν; ὡς ἐπὶ τῶν κατὰ τὸ γ΄. βιβλίον ἔδειξα τὸν λόγον ποιούμενος, ἐπὶ τῶν τοῖς νευροτρώτοις ἁρμοττόντων, ὡσαύτως δὲ καὶ νῦν ἐπιδείξω, γυμνάζων ὑμᾶς ἐπὶ τοῖς ὑπὸ τῶν ἐμοῦ πρεσβυτέρων ἰατρῶν ηὑρημένοις. ἡ μὲν γὰρ καθόλου μέθοδος, οὔτε μετὰ διορισμῶν ἀκριβῶς, οὔτ' αὖ διορισμῶν ἐλλιπῶς ἐγράφη τινὶ τῶν πρόσθεν, ἀλλ' οὐδὲ φάρ- **C** μακον ἐπαγγελλόμενον ἰᾶσθαι τοὺς νυγέντας νεῦρον ὑπό τινος ὀξέος, οἷαί περ εἰσιν αἱ βελόναι, καὶ τὰ γραφεῖα τῶν παιδίων, ἔγραψέ τις αὐτὸ τοῦτο μόνον ἄριστα ποιεῖν δυνάμενον, ἐμοῦ πλῆθος οὐκ εὐαρίθμητον ἐν τῷ προειρημένῳ γράμματι διελθόντος αὐτῶν. πολύχρηστα μέντοι φάρμακα γράψαντες ἀξιόλογά τινες αὐτῶν, ὅσοι γε ἐπιμελέστεροι, πρὸς τοῖς ἄλλοις οἷς ἐπαγγέλλονται ποιεῖν αὐτὰ προσέθηκαν, ἐνίοτε μὲν, ὡς καὶ τοῖς νευροτρώτοις ἐστὶν ὠφέλιμα, ποτὲ δὲ, ὡς ταῖς τῶν νεύρων τε καὶ μυῶν διακοπαῖς, ἔστι δὲ ὅτε καὶ νύξεσιν αὐτῶν, ἢ θλάσεσιν ἀρήγειν ἔφασαν αὐτά. ὑμῖν δὲ ἐξ ὧν ἐμάθετε πάρεστι γνωρί- **D** ζειν πρὸ τῆς πείρας, εἴ τε δυνατά τις ἐπαγγέλλεται περὶ ὧν ἔγραψεν, εἴτ' ἀδύνατα. πάρεστι δὲ καὶ τὰ χωρὶς ὧν πέφυκε ποιεῖν γεγραμμένα φάρμακα γνωρίζειν ὑμῖν, ἐφ' ὧν ἐστι χρηστέον αὐτοῖς. ἵνα γοῦν, ὡς ἐπὶ παραδείγματος ἄρξωμαι τινος ἐμπλάστρου φαρμάκου πολυχρήστου, ἐπὶ δευτέρου τῇ τάξει γεγραμμένου κατὰ τὴν φαρμακῖτιν Ἀνδρομάχου βίβλον, ἣν ἐποιήσατο τῶν ἔξωθεν τῷ σώματι προσφερομένων, αὐτοῦ τοῦ δηλῶσαι, πρὸς τίνα μάλιστα χρηστέον αὐτῇ, γυμνάσασθαι πάλιν ὑμῖν πάρεστιν, ὅπως χρὴ γνωρίζειν ἐκ τῶν γεγραμμένων φαρμάκων ἁπλῶν, τὴν δύναμιν τοῦ συνθέτου. **E**

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Φαιὰ Αἰγυπτία Ἀνδρομάχου.

Ὁ μὲν γὰρ Ἀνδρόμαχος οὕτως ἔγραψε κατὰ λέξιν. ἡ φαιὰ Αἰγυπτία. ♃. λιθαργύρου < μδ΄. κίκεως κο ϛ΄. κηροῦ < ρμδ΄. ἀμμωνιακοῦ θυμιάματος < οβ΄. τερμινθίνης < λϛ΄. ἐρίων κεκαυμένων < ιη΄. λεπίδος στομώματος < η΄. λεπίδος χαλκοῦ < η΄. ἀριστολοχίας < η΄. λιβάνου < η΄. ἔνιοι δὲ σμύρνης < δ΄. ὀποπάνακος < β΄. θαλάσσης < ν΄. εἰς ἔμ- **F** βροχον κηροῦ. αὕτη μὲν ἡ γραφὴ τοῦ φαρμάκου καλοῦ καὶ πολυχρήστου κατὰ ἀλήθειαν ὄντος, ἀλλὰ αὐτός γε παρέλιπεν εἰπεῖν, ἐπὶ τίνων αὐτῷ χρηστέον. εἰ μὲν οὖν προειρηκὼς ἑκάστου γε τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν, ὥσπερ ἡμεῖς ἐποιησάμεθα ἐν ὑπομνήμασιν ἕνδεκα, μέθοδόν τέ τινα γεγραφὼς καθόλου

cistis, siquidē in commentariis, qui vndecim numero sunt De simplicium medicamentorū facultate, particularium materiarum vires vniuersas, vel plurimas, easque vtilissimas exposui. Nam vt præsidiis nunquā destitueremini, hoc esse necessarium demonstrauimus, non solū vt vos ipsi quoque in præparatorū ab aliis medicamentorū inopia, auxiliorum copiam haberetis (sicut olim Erasistratus, quum stomaticum medicamentū in illo profectionis loco ad manū non esset, interdū herbarum succos, quibus abundabat, vsurpauit) sed etiam, vt si illorū authorum scriptiones perierint, ipsi queamus similia perditis conficere. Insuper, vt ab aliis inuentis rectè vtamur, exercitatio ex proposito opere accedens profuerit. Quid opus est, vt dicam illam quoque adiumento esse, vt quæ compositis medicamētis superfluo iniecta sint, & contrà quæ primi illorum authores omiserint, discernere possimus? sicut in tertio libro ostendimus, sermonem de medicamentis ad neruorum vulnera idoneis facientes. Ita verò & nunc indicabimus, exercentes vos in iis, quæ me seniores medici inuenerunt. Vniuersalis etenim methodus neque cum distinctionibus exactè, neque sine iis imperfectè à quoquam priorum tradita est; imò nec medicamentū, quod curare promittat neruos ab acuto aliquo punctos, cuiusmodi sunt acus, & puerorum styli, quisquam memoriæ prodidit, quod ipsum hoc solùm facere optimè possit; at ego certè eorum innumerabilē copiam prædicto libro percensui. Quidam tamen ipsorum nimirum diligentiores, cùm multi vsus medicamenta notatu digna scripsissent, præter alia quæ facere ipsa pollicentur, adiunxere interdum quidem, & neruorum vulneribus esse accommoda, interdū neruorum, & musculorum præcisionibus, aliquando etiam puncturis ipsorum, vel cōtusionibus auxiliari. Vobis autem ex iis, quæ didicistis, licet cognoscere ante experientiam, possibilia ne quis, an impossibilia, de quibus scripsit, polliceatur. Præterea & ea, sine quibus descripta medicamenta agere nata sunt, vobis intelligere integrum est, in quibus ipsis est vtendū. Vt igitur, ceu exempli gratia exordiar emplastrum quoddam, medicamentum multiplicis vsus, quod Andromachus in libro de medicamentis extrinsecus corpori adhibitis, ordine secundum posuit, haud indicans ad quæ maximè ipso vtendum sit. Exerceri rursus vobis licet, quomodo ex commemoratis simplicibus medicamentis compositi vires sint cognoscendæ.

CAPVT VIII.

Fusca Ægyptia Andromachi.

ANdromachus enim ita ad verbum prodidit. *Fusca Ægyptia.* ♃. argenti spumæ ʒ. xliv. ricini heminas vj. ceræ ʒ. cxliv. guttæ ammoniaci ʒ. lxxij. terebinthinæ ʒ. xxxvj. lanarum vstarum ʒ. xviij. squamæ stomomatis ʒ. viij. squamæ æris ʒ. viij. aristolochiæ ʒ. viij. thuris ʒ. viij. Nonnulli myrrhæ ʒ. iv. opopanacis ʒ. duas, marinæ aquæ drach. quinquaginta, ad cerām compergendam. Hęc quidē scriptura medicamenti boni & re vera vsus multiplicis est; verùm ipse dicendū omisit, in quibus eo vtendum erit. Si igitur cuiusque simplicis medicamenti facultate ante exposita, quemadmodum nos in vndecim libris factitauimus, & methodo quapiam vniuersali compositionis medica-

medicamentorum scripta, sicut à nobis quoque præcedente libro factum est, viuentibus amicis huiusmodi scriptiones exercitij gratia protulisset, vt ad quos affectus vtile esse cōpositum medicamentum posset, decernerent, nimirum hominis institutum laudassemus; quoniam verò nihil horum egit, quis non ipsum omnino accusatione dignum censeat? Vnde medicamentarij ipsius libri, qui complurium optimorum medicamentorum compositiones habent, merito à medicis neglecti sunt; nam inter sexcentos vix vnus artis absolutionem habere videtur; alij idiotarum modo satis habēt, si medicamētis manifestè scriptis rectè vti queant. At quid oportet dicere de huiusmodi medicis? Quum etiam empiricorum nonnulli, vt vocant, quanuis celebres ex artis operibus cōspiciantur, tamen ignorare se fateantur, quanam ratione vnumquodque compositorum medicamentorum inuentum fuerit. Atqui quid ego dico ratione? protinus enim ne vllum ex eiusmodi medicamentis inuentum esse ratione pronunciant. Inutilis igitur ipsis est fusci huius emplastri scriptura, quæ colorem tantùm in titulo docet, vires non item, quas ante colorem scriptas esse præstiterat. Quoniam itaque Andromachus facultatem ipsius dicere neglexit, nos ex mixtorum specie & facultate inuenire conemur. Argenti spumam medij temperamenti calefaciendo, & refrigerando, paulùm ad siccitatem inclinare didicistis; præterea vsum, est in emplastris esse duplicem, nempe si non liquefiat, ceu materiæ duntaxat momentum adferre; si liquata fuerit, etiam siccare posse, idque magis, si diutius cocta fuerit. Nunc tamen quæstio est, quatenus incoqui debeat, quum Andromachus sex heminas ricini, quod est olei ricinini, miscendas esse tradiderit. Quot enim vnciarum Romanæ libræ, heminam esse velit, non explicuit; & si melius erat hominem, qui Romæ degerat, librarum, sextariorum, & vnciarum meminisse, relinquere autem cotyles, idest, heminæ, vocabulum Græcis ciuitatibus extra Italiam vsitatum. Si ergo in omnibus ipsis idem nomen heminæ esset, nulla vtique foret quæstio; nunc verò quum permagna quantitatis inter eas sit differentia, conueniebat ipsum monere, se vel Atticam, vel Alexandreoticam, vel Ephesiam, vel aliam quampiam heminam dicere. Nam permuiti, qui de mensuris & ponderibus scripserunt, nouem vnciis Romanæ libræ heminam medicos in medicorum libris æstimasse produnt, alij duodecim vnciis ab eis reputari affirmant, sicut Romæ olei libram ex more appellant. Iam verò quendam audiui, qui heminam à medicis in medicamentorum commentariis traditam sedecim vncias Romanas pendere diceret. At non parum refert ad medicamenti facultatem, vel magnas, vel paruas heminas iniicere. Ego sanè olei libram Romæ vocatam, quam per incisuris distincta cornua metiuntur, ponderaui quandoq; discere cupiens quantum grauitatis pondus cōtineret, inueni duodecim olei mensurales, decem vnciis ponderum æquales. Quare medicos in libris de medicamentis accuratiùs scribere oportebat, quales videlicet vncias, vel libras, medicamentorum liquidorum immitti vellent, mensuralésne, an ponderum; perspicuum enim est, liquidorum horū corporum, sicut etiam solidorum, alia grauiora, alia leuiora esse. Ac singulorum liquidorum, quæ in medicamenta mittuntur, pondus alio libro declarauimus,

A συνθέσεως φαρμάκων, ὡς ἐγὼ κατὰ τὸ πρὸ τοῦδε τοῦ βιβλίου πεποίημαι, προὔβαλλε ζῶσι τοῖς ἑταίροις τοιαύτας γραφὰς ἕνεκα γυμνασίας, ὅπως ἀποκρίνοιντο πρός τινα παθήματα, δύναται χρήσιμον ὑπάρχειν, ἐπῃνέσαμεν ὄντως αὐτοῦ τὴν διδασκαλίαν. ἐπεὶ δ᾽ οὐδὲν τούτων ἐποίησε, παντοίως ἄν τις αὐτὸν μέμψαιτο. διὰ τοῦτο οὖν εἰκότως αἱ φαρμακίτιδες αὐτοῦ βίβλοι παμπόλλων φαρμάκων ἀρίστων ἔχουσαι συνθέσεις ἠμέληνται τοῖς ἰατροῖς. ἐν γὰρ τοῖς χιλίοις, εἷς τις δοκεῖ τὸ τέλος ἔχειν τῆς τέχνης. οἱ δ᾽ ἄλλοι τοῖς ἰδιώταις ὡσαύτως ἀγαπῶσιν, ἐὰν τοῖς σαφῶς γεγραμμένοις φαρμάκοις ὀρθῶς χρῆσθαι
B δύνωνται. καὶ τί δεῖ λέγειν περὶ τῶν τοιούτων ἰατρῶν; ὅπου δὲ καὶ τῶν ἐμπειρικῶν ὀνομαζομένων ἔνιοι, καίτοι ἀξιόλογοι διὰ τῶν τῆς τέχνης ἔργων ὀφθέντες, ὅμως ἀγνοεῖν φασιν, ᾧ τινι λογισμῷ τῶν συνθέτων φαρμάκων ἕκαστον εὕρηται, καὶ τί λέγω λογισμῷ; τὴν ἀρχὴν γὰρ οὐ λογισμῷ φασιν εὑρῆσθαι, τῶν τοιούτων οὐδέν. ἄχρηστος οὖν αὐτοῖς ἐστιν ἡ τῆς φαιᾶς ταύτης ἐμπλάστρου γραφὴ, τὸ χρῶμα μόνον ἐν τῷ προγράμματι διδασκούσης, χωρὶς τῆς κατὰ δύναμιν ἐπαγγελίας, ἣν ἄμεινον ἦν γεγράφθαι πρὸ τοῦ χρώματος. ἐπεὶ τοίνυν ὁ Ἀνδρόμαχος εἰπεῖν παρέλιπε τὴν δύναμιν αὐτῆς, ἡμεῖς εὑρεῖν πειρασθῶμεν ἐκ τῆς τῶν μιγνυμένων
C φαρμάκων ἰδέας τε καὶ δυνάμεως. ἡ μὲν δὴ λιθάργυρος, ὅτι τῆς μέσης οὖσα κράσεως, ἐν τῷ θερμαίνειν καὶ ψύχειν ἀποκεχώρηκε βραχὺ πρὸς τὸ ξηραίνειν, ἐμάθετε. καὶ μέντοι καὶ τὴν χρείαν αὐτῆς εἰς τὰς ἐμπλάστρους, ἔγνωτε διττὴν ὑπάρχουσαν. εἰ μὲν ἄτηκτος μείνειεν, ὡς ὕλης μόνον, εἰ δὲ τακείη, καὶ ὡς ξηραίνειν δυναμένης, καὶ μᾶλλον εἰ ἐπὶ πλέον ἑψηθείη. νυνὶ μέντοι ζήτημά ἐστι, ἐπὶ πόσον ἑψηθήσεται. κο ϛʹ. γράψαντος τοῦ Ἀνδρομάχου μίγνυσθαι κοτύλας τοῦ κίκεως, ὅπερ ἐστὶν ἐλαίου κικίνου· πόσων γὰρ οὐγγιῶν τὴν ἐκ τῆς Ῥωμαϊκῆς λίτρας εἶναι βούλεται κοτύλην, οὐκ ἐδήλωσε, καί τι βέλτιον ἦν ἐν Ῥώμῃ βεβιωκότα,
D λιτρῶν μὲν, καὶ ξεστῶν, καὶ οὐγγιῶν μεμνῆσθαι, παραλιπεῖν δὲ, τὸ τῆς κοτύλης ὄνομα ταῖς ἔξω τῆς Ἰταλίας πόλεσιν Ἑλληνικαῖς ὑπάρχον ἐν χρήσει. εἰ μὲν οὖν ἐν ἁπάσαις αὐταῖς ταὐτὸ ἦν ὄνομα τῆς κοτύλης, οὐδὲν ἂν ἦν ζήτημα. νυνὶ δὲ, ἐπειδὴ παμπόλλη διαφορὰ κατὰ τὸ ποσὸν ἐν αὐταῖς ἐστιν, ἐχρῆν αὐτὸν εἰπεῖν, ἤτοι γε, ὅτι τὴν Ἀττικὴν λέγω κοτύλην, ἢ τὴν Ἀλεξανδρεωτικὴν, ἢ τὴν Ἐφεσίαν, ἢ τινὰ ἄλλην. οἱ μὲν οὖν πλεῖστοι τῶν γραψάντων περὶ μέτρων καὶ σταθμῶν θʹ. φασὶν οὐγγιῶν τῶν ἐκ τῆς Ῥωμαϊκῆς λίτρας, τὴν ὑπὸ τῶν ἰατρῶν ἐν τοῖς φαρμακίτισι βιβλίοις γεγραμμένην κοτύλην. ἄλλοι δὲ τὴν τῶν ιβʹ. φα-
E σὶν οὐγγιῶν ὑπ᾽ αὐτῶν λέγεσθαι, καθάπερ ἐν Ῥώμῃ τὴν λίτραν τοῦ ἐλαίου συνήθως ὀνομάζουσιν. ἤδη δέ τινος ἤκουσα λέγοντος, Γο ιϛʹ. Ῥωμαϊκὰς ἔχειν τὴν ἐν ταῖς φαρμακίτισι βίβλοις γεγραμμένην ὑπὸ τῶν ἰατρῶν κοτύλην, οὐ μικρὰ δὲ ἐστι διαφορὰ πρὸς τὴν τοῦ φαρμάκου δύναμιν, ἢ μεγάλας ἐμβάλλειν, ἢ μικρὰς τὰς κοτύλας. ἐγὼ γοῦν ἐν τῇ Ῥώμῃ τὴν τοῦ ἐλαίου καλουμένην λίτραν, ἣν διὰ τῶν κατατετμημένων κεράτων μετροῦσιν, ἔστησά ποτε, βουλόμενος μαθεῖν ὁπόσον ἔχει σταθμὸν τοῦ βάρους. εὗρον δὲ καὶ ταῖς σταθμικαῖς δέκα οὐγγίαις ἴσας τὰς μετρικὰς τοῦ ἐλαίου ιβʹ. διὸ γράφειν ἐχρῆν ἐπιμελέ-
F στερον ἐν ταῖς φαρμακίτισι βίβλοις τοὺς ἰατροὺς, ὁποίας τινὰς κελεύουσι βάλλεσθαι τὰς οὐγγίας, ἢ τὰς λίτρας τῶν ὑγρῶν φαρμάκων, πότερα τὰς μετρικὰς, ἢ τὰς σταθμικάς. πρόδηλον γὰρ, ὅτι τῶν ὑγρῶν τούτων σωμάτων, ὥσπερ καὶ τῶν στερεῶν, τὰ μέν ἐστι βαρύτερα, τὰ δὲ κουφότερα. καὶ λέλεκταί μοι κατὰ λόγον ἕτερον, ἑκάστου τῶν εἰς τὰ φάρμακα βαλλομένων ὑγρῶν ὁ σταθμὸς,

ἀλλὰ νῦν γε τὸ προκείμενον ἀναλάβωμεν. τὰς γάρ τοι τρεῖς A κοτύλας, εἰ μὲν ἐξ ἐννέα τις οὐγγιῶν μετρικῶν ἑκάστην θείη, τὰς μὲν τρεῖς οὐγγιῶν ἑπτὰ καὶ κʹ. ἐργάσεται. τεμνομένης δὲ ἑκάστης αὐτῆς εἰς ηʹ. δραχμὰς, τὰς δραχμὰς ἕξουσι διακοσίας ιϛʹ. εἰ δὲ ἐκ τῶν ιβʹ. οὐγγιῶν ἑκάστην κοτύλην ὑπάρχειν ὑπόθοιτο, γενήσονται μὲν ϛʹ. καὶ λʹ. οὐγγίαι, δραχμαὶ δὲ σπηʹ. τεμνομένης εἰς ηʹ. δραχμὰς ἑκάστης οὐγγίας. πεπείραμαι δ' ἐγὼ πολλάκις ἐν ἐλαίῳ λιθάργυρον ἑψηκὼς, τὴν μὲν σύμμετρον αὐτῆς μίξιν ἴσην τῇ σταθμικῇ λίτρᾳ τῆς λιθαργύρου, τῇ μετρικῇ δὲ τοῦ ἐλαίου γίγνεσθαι. εἰ δὲ ἐμβάλλοι τις ἔλαιον πλέον, ἑψομένην τε δηλονότι πλείονι χρόνῳ, ξηραντικωτέραν B γίγνεσθαι. ἐπὶ δὲ τῶν λευκῶν ἐμπλάστρων, διὰ τὸ χρῶμα μίγνυται καὶ τὸ ψιμμύθιον τῇ λιθαργύρῳ, τοὐπίπαν ἴσον ἴσῃ κατὰ τὸν σταθμόν. ἐμβάλλεται δὲ ἡ κοτύλη τῶν θʹ. οὐγγιῶν, ὡς πρὸς τὴν σταθμικὴν λίτραν τῆς λιθαργύρου, βουλομένοις φυλάττειν τὸ χρῶμα, διὰ τὸ τὴν πλείονα ἕψησιν ἐργάσασθαι μελαντέραν τὴν λιθάργυρον, ἀλλ' ἧττον ἐγκόλλητον γίνεται τὸ φάρμακον, ἐλαίου βληθέντος ὀλίγου. διό τινες ἔμιξαν ἤτοι τὴν τερμινθίνην ῥητίνην, ἢ τὴν κολοφωνίαν καλουμένην τὴν διαυγῆ, καθόσον οἷόν τε πειρώμενοι μήτε τὴν χρόαν βλάψαι, μήτε τὴν δύναμιν τοῦ φαρμάκου, προσθεῖναί τε τῆς ῥητίνης μίξει τὸ δυσαπό- C πτωτον αὐτῇ, διὰ τὸ ψαθυρὸν γίνεσθαι τὸ φάρμακον, ἂν ἐν ἐλαίῳ τοσούτῳ τοσοῦτον ἕψηται τῆς λιθαργύρου τε καὶ τοῦ ψιμμυθίου. τινὲς δὲ κατὰ τὸν αὐτὸν λόγον ἐνέβαλον ἑψημένῳ τῷ φαρμάκῳ τὸν λευκὸν κηρόν. τῇ μέντοι διπλάσιον ἐχούσῃ τὸ ἔλαιον λιθαργύρῳ, κἂν μηδὲν ἐπεμβάλλῃς ῥητινῶδες, ἢ κηρῶδες, ὑπάρξει τὸ ἐγκόλλητον ἐκ τῆς ἑψήσεως, καὶ πολύ γε μᾶλλον, ἐὰν τριπλάσιον μίξῃς τὸ ἔλαιον τῇ λιθαργύρῳ, τουτέστιν ἐὰν τρεῖς μετρικὰς ἐλαίου μίξῃς τρισὶ σταθμικαῖς τῆς λιθαργύρου. εἰκὸς οὖν ἐστι τὸν Ἀνδρόμαχον θʹ. τῶν μετρικῶν οὐγγιῶν ἀξιοῦν ἐμβάλλεσθαι τὸ κίκινον ἔλαιον, ὡς γίγνεσθαι τῶν ἓξ κοτυλῶν οὐγγίας νδʹ. μετρικάς. ὅπερ ἐστὶ ταὐτὸν λίτραις μετρικαῖς Ῥω- D μαϊκαῖς δʹ. καὶ S''. εὔδηλον δ' ὅτι μὴ παρόντος ποτὲ ἡμῖν τοῦ κικίνου, τὸ παλαιὸν ἔλαιον ἀντ' αὐτοῦ παραληψόμεθα. καὶ τὸ σικυώνιον δ' ἐγὼ πολλάκις ἐνέβαλον, εἰς τὰς διαφορητικὰς ἐμπλάστρους, κἀκείνου μὴ παρόντος, ἕτερον ἔλαιον αὐτοσχεδιάσας, ὅμοιον ἐκείνοις εἰργασάμην, ἐναφεψήσας αὐτῷ ῥίζας σικύου ἀγρίου, καὶ βρυωνίου, καὶ ἀλθαίας. ὅτι δὲ διαφορητικόν τε καὶ μαλακτικὸν εἶναι βούλεται τὸ προκείμενον φάρμακον ὁ Ἀνδρόμαχος, εὔδηλον ἐκ τοῦ κίκινον ἔλαιον ἐμβάλλειν αὐτῷ, καὶ πλεῖστον ἀμμωνιακὸν θυμίαμα. τῇ γὰρ λιθαργύρῳ τὸν μὲν κη- E ρὸν ἴσον εἶναι βούλεται τῷ σταθμῷ, τὸ δ' ἀμμωνιακὸν S''. καίτοι κατὰ πολλὰς τῶν ἐνδόξων ἐμπλάστρων οὐχ ἡμίσεος, ἀλλὰ δʹ. μέρους, ἢ εʹ. καὶ πολλάκις ἑβδόμου τε καὶ ὀγδόου, καί ποτε δεκάτου βαλλομένου τοῦ φαρμάκου τούτου κατὰ τὸν σταθμὸν, ὡς πρὸς τὴν λιθάργυρον. περὶ δὲ τοῦ κηροῦ μεμαθήκαμεν, ὡς ὕλης ἔχει τάξιν ἐν ταῖς τῶν πλείστων φαρμάκων συνθέσεσιν, οὐ δυνάμεως δραστηρίου συντελεῖν. ὑπάρχει δὲ καὶ αὐτῷ βραχεῖά τις δύναμις μαλακτική, ἀλλ' οὐ διὰ ταύτην ἐν τῷ προκειμένῳ φαρμάκῳ παρείληπται, καθάπερ οὐδ' ἡ τερμινθίνη ῥητίνη, καίτοι πολὺ πλαστικωτέρα κατὰ δύναμιν οὖσα τοῦ κηροῦ. καὶ γὰρ μαλάττει μᾶλλον F αὐτοῦ, καὶ προσέτι θερμαίνει καὶ διαφορεῖ, τοῦ κηροῦ μηδ' ἕτερον ἔχοντος τούτων. ἀλλὰ τὸ ἀμμωνιακὸν θυμίαμα μόνον ἐμβληθὲν, αὐχμηρὸν ἐργάσεται τὸ φάρμακον. ὡς δ' εἰς ἐμπλαστροποιίαν, οὐδὲ γὰρ χεῖρον οὕτως ὀνομάσαι, χρήσιμός ἐστιν ὅ τε κηρὸς καὶ ἡ ῥητίνη. τὸ γάρ τοι μαλάττειν τε καὶ διαφορεῖν ὑπάρχει τῷ φαρ-

sed in præsentia id quod propositum est repetamus. Etenim si nouem vnciarum mensuralium singulas heminas esse statueris, ex tribus septem & viginti vncias produces; si in octo drachmas quanque vnciam diuidas, drachmas ducentas & sedecim habebis; si duodecim vnciis singulas heminas æstimes, fient nimirum sex & triginta vnciæ, drach. verò cclxxxviij. singulis vnciis in octo drachmas diuisis. Expertus sum ego plerunque, quum argenti spumam ex oleo coxissem, commoderatam ipsius mixturam libræ quidem argenti spumæ ponderali, mensurali verò olei parem fieri; quòd si copiosius oleum iniicias, & coctam videlicet diutius, maiorem vim siccandi assumere. In candidis emplastris coloris gratia cerussam quoque argenti spumæ miscemus, omnino æqualem pondere. Immittitur autem hemina nouem vnciarum iuxta ponderalem argenti spumæ libram, colorem seruare volentibus, eo quòd diuturnior coctio nigriorem argenti spumam efficiat; sed oleo pauco indito medicamentum glutinans euadit. Proinde quidam vel terebinthinam resinam, vel quam vocant colophoniam quantum licet pellucentem, miscuerunt, conantes neque colorem offendere, neque medicamenti facultatem, adiicereque resinæ mixturæ tenacitatem, quo non facilè decidat; quippe medicamentum, si tanto oleo tantum argenti spumæ & cerussæ coquatur, arenidum ac friabile redditur. Nonnulli eadem ratione cocto medicamento albam ceram indiderunt. Spumæ tamen argenti duplum olei habenti, si nihil etiam resinosum, vel cerosum immittas, ex coctione glutinans erit, & multo magis, si cum argēti spuma olei triplum misceas, hoc est, si tres olei mensurales vncias cum tribus argenti spumæ ponderalibus committas. Consentaneum igitur est Andromachum nouem vnciis mensuralibus oleum ricini immitti iubere, vt sex heminæ vncias quinquaginta quatuor expediant mensurales, quod idem est, ac si dicas, mensuræ Romanæ lib. iv.ß. At clarum est ricini inopia interdum vetus oleum eius loco assumendum esse. Ego subinde & sicyonium inieci emplastris discutientibus; & quum illud non adesset, aliud mea ipsius industria simile illis effeci, radicibus cucumeris agrestis, bryoniæ, & althææ in eo decoctis. Quod verò propositum medicamentū discutiens emolliensque Andromachus esse cupiat, ricinini olei, & copiosa guttæ ammoniaci mixtura, palàm indicat; nam argenti spumæ ceram pondere parem, ammoniacū dimidium esse præcipit; & si in multis nobilibus emplastris non dimidium, sed quarta pars, vel quinta, crebro septima, & octaua, nonnunquam decima, pondere ad argenti spumę proportionem medicamenti huius immittatur. De cera didicimus, quòd in huiusmodi medicamentorum cōpositionibus materię locum obtinet, non facultatis efficaciam adiuuat. Adest verò, & ei vis quædam emolliendi exigua, sed non illius ergo medicamento præsenti admixta est, quemadmodum, nec terebinthina resina, quanquā multo viribus, quàm cera, præstātior, etenim magis mollit, quàm illa, itē calefacit & discutit, ex quibus cera, ne alterum quidem efficit. Verùm gutta ammoniaci sola imposita squalidum, aridumque reddet medicamentū. Quantum verò ad emplastri confectionem, hoc est, emplastropœiam (neq; enim ita appellasse nocet) attinet, vtilis est, tum cera, tū resina; quippe mollit discutitq; medicamentū,

vel

vel solius ammoniaci beneficio, quòd quidem inter emollientia principatum occupat, in discutientibus verò concertat. Porrò si quæ in libro quinto De simplicium medicamentorum facultate dicta sunt, in memoriam reuocaueritis ad intelligendũ qualénam huiusmodi medicamentis tẽperamentum esse oporteat, nihil adhuc recentiori disciplina indigebitis. Nam primæ facultates effectiuæ medicamentis sunt, in calore, frigiditate, humiditate, & siccitate; secundæ emollientes, discutientes, repercussoriæ, attractrices, coctrices, detersoriæ, & exedentes; quemadmodum & tertiæ dicuntur, quæ glutinant vulnera, cicatricem inducunt, & carnem generant. Compositum igitur ex oleo ricinino, & gutta ammoniaci medicamentũ abundè potest discutere, emollire, & nimirũ etiam siccare, vbi materiam idoneam assumpserit, ceram, resinam, & diutius coctam argenti spumam. Ad hæc verò iubet iniicere lanas vstas, aristolochiam, medicamenta plurimùm discutientia, & exiccantia. Præterea meminit medicamenti concoquentis, & discutientis, nempe thuris. Quòd si myrrhæ nonnihil, & opopanacis adiicit (quosdam enim ait, & ex iis aliquid miscere medicamento) illã sanè scimus non ignauiter calefacere & exiccare; opopanacem verò, & generosius adhuc hæc vtraque efficere, insuper attenuandi, discutiendique facultate præstare; sed huius quidem pauxillum inditur, timente, opinor, eo qui ipsum apponit, medicamenti acrimoniam, & volente non solùm discutiens, emolliensque emplastrum, sed vulneribus quoque idoneum, efficere. Propterea igitur, & squamam æris, & stomomatis cum eã miscuit, quæ præterquã quòd validè siccant, astringendi etiam vim sortita sunt. Ergo propter horum mixturam propositum nobis in sermone emplastrum Ægyptium cruentis vulneribus, vlceribusque aliis non paucis, bonum medicamentũ redditur. Quin etiam ad abscessus, & omnia, quæ discuti postulant, subinde audiuistis medicamenta, quæ simul cum discutientibus etiam astringentium aliquod capiunt, tutiora fieri; quæ verò sine astringentibus discutiunt, efficaciora quidem, sed non perinde tuta. Sæpe enim fluxiones attrahunt, dum corpus, quod curatur, plethoricum est, vel prauo succo obnoxium; sin autem vacuum corpus est, ac superfluitatibus liberum, promptiùs medicamenta, quæ magis discutiunt, sola, sine astringentibus assumpta, ad finem perueniunt; at quum pauca id genus corpora, quibus medicamenta afferuntur, reperias, iccirco securius esse visum est miscere etiam nonnulla repellentia. Ita sanè & emplastro discutienti, quod ex sale conficitur, quidam adiecerunt chalcanthi paululum, quanuis & sal ipse astringens quippiam possideat. Igitur propositum medicamentum vehementer discutere compertum est, vt etiam pus iam non admodum copiosum sine cutis perforatione discutere queat, emollire scirrhosa, & quomodocunque indurata; item magna vulnera conglutinare, quemadmodum & vlceribus iam ad malignitatem declinantibus cicatricem obducere, aliisque omnibus affectibus, qui discutiendi simul, & repellendi facultatem desiderant; in quibus sunt, & quæ fronti, dum oculi fluxione laborant, imponuntur, vocata à medicis anacollemata. Idem hoc medicamentum conueniet, & neruis denudatis, etsi in parte sua ipsorum quapiam absecti fuerint; etenim præcisi periculo, quod ex consensu oritur, carentes,

A μάκῳ, κἂν μόνου τοῦ ἀμμωνιακοῦ, πρωτεύοντος μὲν ἐν τοῖς μαλακτικοῖς, ἐνάμιλλου δὲ καὶ τοῖς διαφορητικοῖς ὄντος. ἀναμνησθέντες δὲ τῶν ἐν τῷ ε΄. τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως εἰρημένων, ὁποίαν τινὰ τὴν κρᾶσιν εἶναι χρὴ τοῖς τοιούτοις φαρμάκοις, οὐδὲν ἔτι δεηθήσεσθε νεωτέρας διδασκαλίας. αἱ μὲν γὰρ πρῶται δυνάμεις, δραστικαὶ τοῖς φαρμάκοις εἰσὶν ἐν θερμότητι καὶ ψυχρότητι, καὶ ὑγρότητι καὶ ξηρότητι. δεύτεραι δὲ, αἵ τε μαλακτικαὶ καὶ διαφορητικαὶ, καὶ ἀποκρουστικαὶ, καὶ ἑλκτικαὶ, καὶ πεπτικαί τε καὶ ῥυπτικαὶ, καὶ σηπτικαὶ, καθάπερ γε καὶ τρίται, κολλητικαὶ τραυμάτων, ἐπουλωτικαί τε καὶ σαρκωτικαί.
B καὶ τὸ συγκείμενον οὖν ἐξ ἐλαίου κικίνου καὶ ἀμμωνιακοῦ θυμιάματος φάρμακον, ἱκανόν ἐστι διαφορεῖν τε καὶ μαλάττειν, καὶ δηλονότι καὶ ξηραίνειν, ὕλην ἐπιτηδείαν προσειληφὸς τόν κηρόν τε καὶ τὴν ῥητίνην, καὶ τὴν ἐπὶ τὸ πλέον ἑψημένην λιθάργυρον. ἐπεμβάλλειν δ᾽ αὐτῷ κελεύει, καὶ τῶν κεκαυμένων ἐρίων, καὶ ἀριστολοχίας, διαφορητικωτάτων τε καὶ ξηραντικωτάτων φαρμάκων, ἐφ᾽ οἷς πεπτικοῦ καὶ παρηγορικοῦ φαρμάκου μνημονεύει τοῦ λιβανωτοῦ. εἰ δὲ καὶ τῆς σμύρνης ἐμβάλλοι μέν τι καὶ ὀποπάνακος, ἐνίους γὰρ φησὶ καὶ τούτων τι μιγνύναι τῷ φαρμάκῳ, τὴν μὲν σμύρναν ἴσμεν
C οὐκ ἀγεννῶς θερμαίνουσάν τε καὶ ξηραίνουσαν, τὸν δὲ ὀποπάνακα, καὶ γενναιότερον ἔτι ταῦτ᾽ ἄμφω δρῶντα, καὶ προσέτι λεπτυντικῆς τε καὶ διαφορητικῆς ὄντα δυνάμεως. ἀλλὰ τούτου μὲν ὀλίγιστον ἐμβάλλεται, δεδιότος εἶμαι τοῦ προσθέντος αὐτὸ, τὴν δριμύτητα τοῦ φαρμάκου, καὶ βουλομένου μὴ μόνον διαφορητικήν τε καὶ μαλακτικὴν ἐργάσασθαι τὴν ἔμπλαστρον, ἀλλὰ καὶ τραύμασιν ἐπιτηδείαν. διὰ τοῦτο οὖν αὐτῷ, καὶ τὴν λεπίδα τοῦ χαλκοῦ τε, καὶ τοῦ στομώματος ἔμιξε, φάρμακα στυπτικὴν ἔχοντα δύναμιν ἅμα τῷ ξηραίνειν ἰσχυρῶς. διὰ γοῦν τὴν τούτων μίξιν, ἐπί τε τῶν ἐναίμων τραυμάτων, ἄλλων θ᾽
D ἑλκῶν οὐκ ὀλίγων, ἀγαθὸν γίγνεται φάρμακον ἡ προκειμένη κατὰ λόγον ἔμπλαστρος Αἰγυπτία. καὶ μέντοι καὶ πρὸς ἀποστήματα, καὶ πάνθ᾽ ὅσα διαφορεῖσθαι δεῖται, πολλάκις ἀκηκόατε τὰ μὲν ἅμα τοῖς διαφορητικοῖς φαρμάκοις ἔχοντά τι καὶ τῶν στυπτικῶν, ἀσφαλέστερα γίγνεσθαι, τὰ δὲ χωρὶς τῶν στυφόντων, δραστικώτερα μὲν οὐκ ἀσφαλῆ δέ. πολλάκις γὰρ ἐπισπᾶται ῥεύματα πληθωρικοῦ τοῦ θεραπευομένου σώματος ὄντος, ἢ κακοχύμου. κενὸν δ᾽ εἴπερ εἴη τὸ σῶμα, καὶ ἀπέριττον, ἑτοιμότερον ἀφικνεῖται τοῦ τέλους, τὰ διαφορητικώτερα φάρμακα μόνα παραλαμβανόμενα χωρὶς τῶν στυπτικῶν. ὀλίγοις
E δὲ προσφερόμενα ἐπὶ τοιούτοις σώμασι, τὰ φάρμακα, διὰ τοῦτο ἀσφαλέστερον ἔδοξεν εἶναι μιγνύναι τι καὶ τῶν ἀποκρουστικῶν. οὕτω τοι καὶ τῇ διὰ τῶν ἁλῶν ἐμπλάστρῳ διαφορητικῇ, προσέθεσάν τινες χαλκάνθου βραχὺ, καί τοι καὶ τῶν ἁλῶν αὐτῶν ἐχόντων τι στυπτικόν. τὸ τοίνυν προκείμενον φάρμακον, εὕρηται μὲν διαφορητικὸν ἰσχυρῶς, ὡς καὶ πύον ἤδη τό γε μὴ πάνυ πολὺ, χωρὶς τοῦ διατρῆσαι τὸ δέρμα, διαφορεῖν δύνασθαι, μαλακτικὸν δὲ τῶν σκιρρουμένων τε καὶ ὁπωσοῦν σκληρυνομένων. κολλητικὸν δὲ μεγάλων τραυμάτων, ὥσπερ γε καὶ τῶν ἤδη κακοηθευομένων ἑλκῶν ἐπουλωτικὸν, ἁπάντων τε τῶν ἄλλων παθημάτων, ὅσα
F διαφορητικῆς τε ἅμα καὶ ἀποκρουστικῆς μετέχεται δυνάμεως, ἐν οἷς ἐστι καὶ τὰ κατὰ τοῦ μετώπου ῥευματιζομένων ὀφθαλμῶν ἐπιτιθέμενα, καλούμενα δὲ ὑπὸ τῶν ἰατρῶν ἀνακολλήματα. ταὐτὸν δὲ τοῦτο τὸ φάρμακον ἐπιτήδειον ἔσται καὶ τοῖς γεγυμνωμένοις νεύροις, εἰ καὶ τετμημένα κατά τι μέρος αὐτῶν τύχοι. τὰ γάρ τοι διακεκομμένα, τὸν ἐκ τῆς συμπαθείας οὐκ ἔχοντα κίν-

δεινον, ἔτι καὶ τὴν αἴσθησιν ἀφαιρεῖται τῶν ὑποκειμένων ἐν αὐτοῖς σωμάτων, εἰς ἃ κατάγεται. δεῖταί γε μὴν καὶ ταῦτα τοιούτου φαρμάκου. τὰ γὰρ ὑγραίνοντα σήπει ῥᾳδίως αὐτά, διὰ τοῦτο καὶ οἱ ξηραντικοὶ κυκλίσκοι, καίτοι στύφοντες ἱκανῶς, ὅμως ἁρμόττουσι τοῖς γεγυμνωμένοις νεύροις, ἅ γε μήπω φθάσαντα, πρὸς τὴν ἀκμὴν τῆς φλεγμονῆς ἀφίκετο. ταῦτα γὰρ ἀγανακτεῖ, καὶ προξύνεται πρὸς τῶν τοιούτων φαρμάκων. ἀλλὰ περὶ μὲν τούτων, ἐπὶ προήκοντι τῷ λόγῳ ῥηθήσεται. περὶ δὲ τῆς προκειμένης ἐμπλάστρου, τὰ λείποντα τῷ λόγῳ προσθῶμεν. ἐπεὶ δὲ οἱ πολλοὶ τῶν ἰατρῶν, ἀγνοοῦντες ἐπιτιθέασι ταῖς τοιαύταις ἐμπλάστρους σκληράς, ἄμεινον ἐμμότους ποιῆσαι τήξαντας, ἢ κατὰ τὴν σκευασίαν εὐθὺς ἐργάσασθαι μαλθακάς. ἔπειτα δὲ ὅταν ἐπὶ μεγάλων διαιρέσεων, ἐν αἷς γεγύμνωται νεῦρα πειραθῶσιν αὐτῶν, ἐλπίζουσιν ἐπὶ τῶν νυγμάτων ἔσεσθαι πολὺ μᾶλλον ὠφελίμους, ἀγνοοῦντες κἀνταῦθα, μέγιστόν τι θεώρημα, περὶ οὗ διελέχθην ἤδη, διδάσκων ὑμᾶς ἐν τῷ λόγῳ μὲν πρότερον ἐξεῦρον, εἶθ' ὑπὸ τῆς πείρας ἔγνων βεβαιούμενα, διὰ τοῦτο καὶ νῦν ἀναμιμνήσκω. πολὺ γὰρ θερμοτέρων τε καὶ διαφορητικωτέρων δέονται φαρμάκων αἱ νύξεις τῶν νεύρων, ἤπερ ὅταν ὅλον γυμνωθῇ, τραύματος ἀξιολόγου γενομένου. τὰ γάρ τοι γυμνωθέντα, τὰς τῶν δριμέων τε καὶ θερμῶν πάνυ φαρμάκων ἐπιθέσεις, οὐ φέρει διὰ τὴν δῆξιν, ἀλλὰ τῶν χαλαστικῶν καὶ διαφορητικῶν δεῖται, μεμιγμένων συμμέτρως τοῖς στύφουσι φαρμάκοις. ἀλλὰ καὶ ἔτι βέλτιόν ἐστι τὰ πέριξ τοῦ τραύματος καταλαμβάνειν τοῖς δριμέσι τε καὶ λεπτομερέσι, καὶ διαφορητικοῖς ἰσχυρῶς, ὁποῖόν ἐστι τὸ διὰ τοῦ εὐφορβίου. ἐγὼ μὲν οὖν ἐτεκμηράμην τὴν προκειμένην ἔμπλαστρον ἱκανὴν εἶναι ποιεῖν ἃ προείρηκα, καὶ σκευάσας ταύτην, εὗρον τὴν πεῖραν μαρτυροῦσαν. ὕστερον δέ ποτε, καὶ ταῖς Ἀσκληπιάδου τε καὶ Κρίτωνος ἐντυγχάνων φαρμακίτισι βίβλοις, ἔγνων αὐτοὺς γεγραφότας, οὐχ ὥσπερ καὶ Ἀνδρόμαχος ἀδιορίστως, ἀλλὰ μετὰ διορισμοῦ σαφοῦς, ἣν τινα δύναμιν ἔχει. διά τε οὖν τοῦτο καὶ ὅτι διαφωνοῦσιν ἐν τῇ σκευασίᾳ, κατά τινα τῷ Ἀνδρομάχῳ, κάλλιον ἔδοξέ μοι προσγράψαι, καὶ τὰς ἐκείνων αὐτῶν λέξεις, ἔπειθ' οὕτως εἰπεῖν τι, καὶ περὶ τῆς ἐν τῇ συνθέσει τοῦ φαρμάκου διαφωνίας αὐτῶν.

A adhuc etiam subiectis sibi partibus, in quæ inseruntur, sensum adimunt; indigent sanè & hi quoque tali medicamento, nam quæ humectant, facilè eos putrefaciunt. Ob quod & pastilli siccantes, etsi abundè astringant, tamen denudatis neruis conueniunt, qui nondum ad phlegmones vigorem peruenerunt; hi namque indignantur irritanturque ab huiusmodi medicamentis. Sed de his postea. Quæ de proposito emplastro dicenda restant, apponamus. Quoniam plerunque medici ex inscitia, id genus emplastra dura imponunt, quum liquata linamentis excipere præstaret, vel etiam in confe- B ctione statim molliuscula reddere; postea quum in magnis diuisionibus, vbi nerui denudati sunt, experimentum de ipsis fecere, sperant in puncturis multo vtiliora fore, ignorantes & hic maximam quandam speculationem, de qua disserui modo, vos docens, quæ ratione inueni, inde per experientiam confirmari cognoui; propterea etiam tunc admoneo. Multo namque calidiora, & quæ discutiant magis, medicamenta, punctus neruorum requirunt, quàm quum omnino denudati fuerint vulnere insigni facto; quippe nudi acria, calidaque admodum medi- C camenta propter erosionem morsumque non ferunt, verùm laxantia discutientiaque astringentibus mediocriter mixta postulant. At quoniam etiam melius est ambientes vulneris particulas acribus, & tenuibus, multumque discutientibus, quale est ex euphorbio confectum, contegere, nos sanè propositum emplastrum satis posse, quæ prædixi, efficere coniectauimus; eique preparato experientia testimonium accessit. Postea interdum in Asclepiadis, & Critonis libros medicatorios incidens, deprehendi ipsos non vt Andromachus quoque indistinctè, sed cum D manifesta distinctione, facultatem ipsius scriptitasse. Igitur tum huius gratia, tum quòd in confectione in quibusdam ab Andromacho dissentiant, satius visum est mihi etiam eorundem verba subiungere, deinde ita & de ipsorum discordia in medicamenti compositione nonnihil dicere.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν γεγραμμένων ὑπ' Ἀσκληπιάδου, καὶ Κρίτωνος περὶ τῆς προκειμένης ἐμπλάστρου.

Περὶ τῆς ὑπὸ Ἀνδρομάχου γεγραμμένης Αἰγυπτίας ἐμπλάστρου, ὁ Ἀσκληπιάδης οὕτως ἔγραψεν. Ἀνδρομάχου Αἰγυπτία ἄναιμος, τραυματικὴ ποιεῖ πρὸς νεύρων καὶ μυῶν διακοπάς, ποιεῖ πρὸς νύγματα, περιθλάσεις, παρατρίμματα, λυγίσματα. ἔστι δὲ καὶ ὀφθαλμιώντων παράκολλημα. ποιεῖ κεφαλαλγικοῖς, καὶ πρὸς πολλὰς διαθέσεις χρήσιμόν ἐστι τὸ φάρμακον. ℞. λιθαργύρου, κηροῦ ἀνὰ < ρμδ'. ἀμμωνιακοῦ θυμιάματος < οβ'. τερμινθίνης < λς'. ἐρίων οἰσυπηρῶν κεκαυμένων < ιη'. λεπίδος χαλκοῦ < η'. λεπίδος στομώματος < η'. λιβάνου < η'. ἀριστολοχίας στρογγύλης < η'. κίκεως κο γ'. ταῦτα προειπὼν ὁ Ἀσκληπιάδης, ἐφεξῆς γράφει τὸν τρόπον τῆς ἑψήσεως. οὐδὲ τοῦτο τὸ μέρος τῆς συνθέσεως ἐπὶ τῶν ἐμπλάστρων φυλάξαντος τοῦ Ἀνδρομάχου, παραλέλειπται γὰρ ἐν ἁπάσαις σχεδόν. ἀλλὰ περὶ μὲν τῆς ἑψήσεως, εἴρηται μὲν οὐκ ὀλίγα κατὰ τὸ δ'. γράμμα, καὶ νῦν

CAPVT IX.

Quæ Asclepiades, & Crito de proposito Ægyptio emplastro conscripserint.

E DE emplastro Ægyptio, ab Andromacho tradito, Asclepiades in hunc modũ disserit. *Andromachi Ægyptium, cruentis vulneribus accommodatum. Facit ad neruorum, musculorumque præcisiones, punctus, contusiones; iuuat attritus, artuum fracturas; est & lippientibus collyrium; confert capite dolentibus; summatim ad multos affectus vtile est medicamentum.* ℞. argenti spumæ, ceræ, singulorum drachmas cxliv. guttæ ammoniaci drachmas lxxij. terebinthinæ drachmas trigintasex, lanæ succidæ vstæ drachmas xviij. squamæ æris drachmas octo, squamæ stomo- F matis drachmas octo, thuris drachmas octo, aristolochiæ rotundæ ʒ. viij. ricini heminas tres. Hæc præfatus Asclepiades, deinceps coquendi modum tradit, Andromacho neque hanc partem compositionis in emplastris obseruante, siquidem in omnibus ferè omisit. Verùm de coctione dicta sunt non pauca in libro quarto, & nunc paulo

paulo post dicetur. Æquum autem est inspicere controuersiam, quam Asclepiades in simplicium medicamentorum quantitate cum Andromacho suscepit; non enim sex heminas ricini, vt Andromachus, sed tres iniicere præcepit. Cæterùm in aristolochia nullam Andromachus distinctionem fecit, ipse rotundam adiecit, sicut & in lana vsta, succidam addidit, quanquam idem pondus, quod Andromachus immittat. Hæc igitur ipsius verba sunt; ℞. lanæ succidæ vstæ drach. duodeuiginti, aristolochiæ rotundæ drach. viij. Quæ verò ad calcem posuit Andromachus, neque omnino Asclepiades meminit, neque de myrrha, neque de opopanace quicquam loquutus, multo magis de marina, quæ manifesto Andromachus præposuit, marinæ, inquiens, ad ceram irrigandam drach. quinquaginta. Hoc enim, nec Asclepiades, nec Crito adiunxit, attamen aristolochiam rotundam Crito æquè, ac Asclepiades indidit, quemadmodum, & lanæ succidæ drach. octodecim, & olei ricinini, ita enim ad verbum scripsit, heminas sex. Coctionem emplastri Asclepiades his verbis docet; argenti spumam, & ricininum incoquito, donec in vnum coëant, deinde squamas; vbi color bonus apparet, reliqua immittito. Apud Critonem hoc modo traditur; argenti spuma cum ricino coquitur, dum mellis spissitudinem habeat; hoc facto squamæ insperguntur, abundeque incoquuntur, quousque digitos non inquinent, postea terebinthina & cera; vbi in vnum coierint, ammoniacum, priùs apud ignem digitis emollitum; quum iam ab igne deponitur, lanæ succidæ puluis inspergitur, postremò thus; deinde ita tolluntur. Porrò & ad quæ medicamentum valeat, accuratiùs Crito his verbis exposuit. Ægyptia omnem diuisionem contusionemque à phlegmone præseruat; valet ad quoslibet ferarum morsus, iuuat phlegmonas, sine vlceribus factas, benefacit etiam neruorum, & musculorum doloribus, sine causa obortis.

CAPVT X.

Alia Andromachi Fusca.

SCripsit alia quoque fusca Andromachus superiori quodammodo genere similia; vocat alterum Mineruam, alterum Nygmaticum, idest, puncturis accommodatum. Minerua quidem ad plures affectus, quàm nygmaticum conuenit, præsertim cum vlceribus consistentes: quoniam magis varia est, magisque astringentibus insuper medicamentis participat; nygmaticum verò magis hac laxat, & doloris mitigantius est. Itaque de priore medicamento, ita ad verbum scriptum reliquit. *Fuscum minerua.* ℞. argenti spumæ drach. centum, terebinthinæ drachmas trigintasex, ceræ drach. vigintiquinque, minij Sinopici drach. vigintiquatuor, guttæ ammoniaci drachmas trigintasex, galbani ʒ. xij. aloës ʒ. viij. diphrygis ʒ. viij. æris vsti ʒ. vj. mastiches ʒ. vj. aristolochiæ drach. v. propolis ʒ. v. mannæ ʒ. vj. squamæ æris ʒ. vj. lapidis Asij ʒ. iij. trifolij seminis ʒ. ij. symphyti radicis ʒ. j. obolos iv. olei heminas iv. De altero fusco sic ad verbum Andromachus scripsit. *Fuscum, nygmaticum.* ℞. guttæ ammoniaci ʒ. viij. ceræ recentis ʒ. viij. terebinthinæ drach. iij. æris

A εἰρήσεται μετ' ὀλίγον. ἄξιον δὲ ἐπισκέψασθαι τὸ τῆς διαφωνίας, ἣν ἐν τῇ ποσότητι τῶν ἁπλῶν φαρμάκων ἐποιήσατο πρὸς τὸν Ἀνδρόμαχον ὁ Ἀσκληπιάδης. οὐ γὰρ ἓξ κοτύλας τοῦ κίκεως, ὥσπερ ὁ Ἀνδρόμαχος, ἀλλὰ τρεῖς ἐμβάλλειν ἀξιοῖ, κατὰ δὲ τὴν ἀριστολοχίαν οὐδὲν προσδιορισαμένου τοῦ Ἀνδρομάχου, προσέθηκεν αὐτὸς τὸ στρογγύλην, ὥσπερ γε καὶ κατὰ τὸ κεκαυμένον ἔριον τὸ οἰσυπηρόν. τὸν μέντοι σταθμὸν ἴσον ἐμβάλλει τῷ Ἀνδρομάχῳ. γράφει γοῦν οὕτως. ℞. ἐρίων οἰσυπηρῶν κεκαυμένων < ιη'. ἀριστολοχίας στρογγύλης < η'. ἃ δ' ἐπὶ τέλει προσέθηκεν ὁ Ἀνδρόμαχος, οὐδὲ ὅλως ἔγραψεν ὁ Ἀσκλη-
B πιάδης, οὔτε περὶ τῆς σμύρνης, οὔτε περὶ τοῦ ὀποπάνακος εἰπών τι, πολὺ δὲ μᾶλλον οὐδὲ περὶ τῆς θαλάσσης, ἃ σαφῶς προσγράψαντος τοῦ Ἀνδρομάχου, θαλάσσης εἰς ἐμβροχὴν κηροῦ < ν'. τοῦτο γὰρ, οὔτε ὁ Ἀσκληπιάδης, οὔτε ὁ Κρίτων προσέγραψε· τὴν μέντοι ἀριστολοχίαν τὴν στρογγύλην, ὁ Κρίτων ὁμοίως τῷ Ἀσκληπιάδῃ βάλλει, καθάπερ καὶ τῶν οἰσυπηρῶν ἐρίων, τάς τε < ιη'. ἐλαίου τε κικίνου, κατὰ λέξιν γὰρ οὕτως ἔγραψε, κοτύλας ϛ'. ἡ δὲ ἕψησις τῆς ἐμπλάστρου, παρὰ μὲν Ἀσκληπιάδου γέγραπται τόνδε τὸν τρόπον. ἕψε λιθάργυρον καὶ κίκινον ἕως συστραφῇ, εἶτα τὰς λεπίδας, καὶ ὅταν εὔχροος
C γένηται, τὰ λοιπὰ ἐπίβαλλε. παρὰ δὲ τῷ Κρίτωνι τόνδε τὸν τρόπον. ἕψε λιθάργυρον μετὰ κικίνου, ἕως μέλιτος ἔχῃ τὸ πάχος. τούτου δὲ γενομένου, ἐπίπασσε τὰς λεπίδας, καὶ συνέψε ἐφ' ἱκανὸν, ἕως ἀμόλυντος γένηται, ἔπειτα τερμινθίνην καὶ κηρὸν, ἑνωμένοις δὲ ἀμμωνιακὸν, προμαλαχθὲν παρὰ πυρὶ τοῖς δακτύλοις. βαστάζων δὲ ἤδη ἀπὸ τοῦ πυρὸς, ἔμπασσε τῶν οἰσυπηρῶν ἐρίων τὴν κόνιν, μετέπειτα ἐπὶ τέλει τὸν λίβανον, εἶθ' οὕτως ἀναιροῦ. καὶ περὶ τῆς ἐπαγγελίας δὲ τοῦ φαρμάκου ἐπιμελέστερον ὁ Κρίτων ἔγραψε κατὰ λέξιν οὕτως. Αἰγυπτία τηροῦσα χωρὶς φλεγμονῆς πᾶσαν διαίρεσιν, καὶ πᾶν
D θλάσμα. εὐθετεῖ δὲ καὶ πρὸς πᾶν δῆγμα τῶν θηρίων, ὠφελεῖ δὲ καὶ τὰς γινομένας φλεγμονὰς, χωρὶς ἑλκῶν. ἀγαθὴ δὲ καὶ πρὸς πόνους νεύρων καὶ μυῶν, τοὺς δίχα φανερᾶς αἰτίας γινομένους.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ἄλλη Ἀνδρομάχου φαιά.

Ἔγραψε καὶ ἄλλας φαιὰς ὁ Ἀνδρόμαχος ὁμογενεῖς πως τῇ προγεγραμμένῃ. καλεῖ δὲ τὴν μὲν ἑτέραν Ἀθηνᾶν,
E τὴν δὲ ἑτέραν νυγματικήν. ἔστι δὲ ἡ μὲν Ἀθηνᾶ, τῆς νυγματικῆς πρὸς πλέονας διαθέσεις ἁρμόττουσα, καὶ μάλιστα τὰς μετ' ἑλκῶν, ἐπεὶ ποικιλωτέρα τέ ἐστι, καὶ στυφόντων φαρμάκων ἔτι μᾶλλον μετέχει. ἡ δὲ νυγματικὴ, χαλαστικωτέρα τε καὶ ἀνωδυνωτέρα ταύτης ἐστί. περὶ μὲν οὖν τῆς προτέρας τῶν εἰρημένων φαρμάκων, οὕτως ἔγραψε κατὰ λέξιν. Φαιὰ Ἀθηνᾶ. ℞. λιθαργύρου < ρ'. τερμινθίνης < λϛ'. κηροῦ < κε'. μίλτου Σινωπικῆς < κδ'. ἀμμωνιακοῦ θυμιάματος < λϛ'. χαλβάνης < ιβ'. ἀλόης < η'. διφρυγοῦς < η'. κεκαυμένου χαλκοῦ < ϛ'. μαστίχης < ϛ'. ἀρι-
F στολοχίας < ε'. προπόλεως < ε'. μάννης < ϛ'. λεπίδος χαλκοῦ < ϛ'. λίθου Ἀσίου < γ'. τριφύλλου σπέρματος < β'. συμφύτου ῥίζης < α'. καὶ τετρώβολον, ἐλαίου κοτύλας δ'. περὶ τῆς ἑτέρας φαιᾶς αὖθις ὀνόμασιν οὕτως ἔγραψεν ὁ Ἀνδρόμαχος. Φαιὰ νυγματική. ℞. ἀμμωνιακοῦ < η'. κηροῦ νέου < η'. τερμινθίνης < γ'. χαλκοῦ κεκαυ-

κεκαυμένου < η'. πίσσης ξηρᾶς < μ'. ὡς δὲ Ζήνων μνᾶς S''. τέταρτον, λιθαργύρου < δ'. ἀλόης Ἰνδικῆς < β'. ἀριστολοχίας < β'. χαλβάνης < β'. ἰοῦ < α'. οἱ δὲ < β'. λιβάνου < β'. ἐλαίου χειμῶνος κοτύλας δ'. θερείας ὄγδοον, ὄξους κοτύλης ἥμισυ, εἰς ἄνεσιν τοῦ ἀμμωνιακοῦ. καὶ ἄλλας δὲ πολλὰς ἔγραψεν ἅμα ταύταις ὁ Ἀνδρόμαχος ἐμπλάστρους, οὐδὲν ἄλλο προσθεὶς αὐταῖς, ἢ τὸ τοῦ χρώματος ὄνομα, συγκειμένας ἐκ τῶν ἐναντίων ταῖς δυνάμεσι φαρμάκων, ἀλλά τινες μὲν αὐτῶν ἐπικρατοῦν ἔχουσι τὸ χαλαστικόν τε καὶ ἀνώδυνον, τινὲς δὲ διαφορητικόν τε καὶ ῥυπτικόν, τινὲς δὲ τὴν στύψιν· ὥστε καὶ ἡμᾶς χρὴ πάσαις αὐταῖς θαρροῦντας, ἐπιτηδείως ἑκάστῃ χρῆσθαι. πρὸς μὲν τὰ δυσεπούλωτα καὶ κακοήθη τῶν ἑλκῶν, ταῖς στυπτικὸν ἐχούσαις πλέον. ἔνθα δὲ παρηγορῆσαί τε καὶ χαλάσαι πρόκειται, ταῖς τὸ χαλαστικόν. ἔνθα δὲ ἑλκῦσαί τε καὶ διαφορῆσαι, ταῖς τὰ θερμαίνοντα, καὶ πρὸς ἑαυτὰς τὰς ἐν βάθει διαθέσεων ἐπισπώμενα μοχθηρὰς ὑγρότητας. ἐνίαις δὲ καὶ τοῦτο προσγέγραπται. Φαιὰ λιτὴ ᾗ χρῶμαι. τρεῖς γὰρ ἐφεξῆς οὐ πολυμιγμάτους ἔγραψε τοιαύτας, ὧν καὶ αὐτῶν τὴν σύνθεσιν, ἔδοξέ μοι βέλτιον εἶναι προσγράψαι κατὰ τὴν ἐκείνου λέξιν αὐτοῦ. Φαιὰ λιτὴ ᾗ χρῶμαι. ℞. λιθαργύρου < κδ'. κίκεως κοτύλην α'. χαλκοῦ κεκαυμένου < δ'. μάννης < δ'. ῥητίνης < δ'. κολοφωνίας < η'. Ἄλλη ἀνώδυνος Ἰσιδώρου. ℞. λιθαργύρου < λς'. κηροῦ < λς'. ἐλαίου κοτύλην α' S''. ῥητίνης κολοφωνίας < ιε'. λεπίδος χαλκοῦ < θ'. μάννης < ν'. ἕψε. Ἄλλη ᾗ χρῶμαι. ℞. λιθαργύρου < ρμδ'. ῥητίνης ξηρᾶς < ρμδ'. λεπίδος < κδ'. ἐλαίου κοτύλας γ'. ὥσπερ δὲ ταύταις ταῖς προγεγραμμέναις τρισὶ προσέγραψε, ταῖς μὲν ὅτι χρῆται αὐτός, ταῖς δὲ ὅτι ἀνώδυνός ἐστιν, οὕτως ἑτέραις μαρτυρεῖ, θηριακὰς αὐτὰς ὀνομάζων. ἡ γοῦν ἀπὸ τῆς ἀρχῆς τρίτη, κατὰ λέξιν οὕτως γέγραπται. Θηριακὴ ᾗ χρῶμαι. καὶ μετὰ ταύτην ἄλλη πάλιν, ἧς πρόγραμμά ἐστι τοιοῦτον, Εὐπατόρειος θηριακή. Ἀλλὰ περὶ μὲν τῶν θηριακῶν ἐν τοῖς ἑξῆς εἰρήσεται, νυνὶ δὲ περὶ τῶν φαιῶν ἔτι τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων, εἰπεῖν βούλομαι, μεμφόμενος αὐτῷ, διότι τάς τε ἐπαγγελίας αὐτῶν παρέλιπεν εἰπεῖν, καὶ τὰς σκευασίας. εὐθέως γοῦν τῇ πρώτῃ πασῶν γεγραμμένῃ, τῶν φίλων τις ἰατρῶν ἐχρήσατο πάμπολλα ποιούσῃ. καὶ γὰρ ἐπουλωτική τῶν δυσεπουλώτων ἐστί, καὶ μάλισθ' ὅταν τετυλωμένα, καὶ σκληρὰ χείλη περιέχῃ τὸ ἕλκος. ἁρμόττει δὲ καὶ πρὸς σηπεδόνας, καὶ πρὸς σύριγγάς τε καὶ κόλπους, καὶ τὰ μεγάλα τραύματα, καὶ ὅλως ἐστὶ πολύχρηστος. ἡ δὲ τῶν συντεθέντων αὐτὴν φαρμάκων συμμετρία, κατὰ τόδε γέγραπται. ℞. λιθαργύρου < ρμδ'. ἐλαίου κοτύλας ε'. ἀσβέστου < μη'. λιβάνου < μη'. χαλκοῦ κεκαυμένου < μη'. τερμινθίνης < μη'. ἀριστολοχίας < μη'. πίσσης δραχμὰς ἐνενήκοντα ἕξ, κηροῦ δραχμὰς ἐννενήκοντα ἕξ, ἀμμωνιακοῦ δραχμὰς ἐννενήκοντα ἕξ. οὕτως μὲν ὁ Ἀνδρόμαχος ἔγραψεν. ἔξεστί σοι καὶ δι' ἐλάττονος συμμετρίας αὐτὴν σκευάζειν, ἑκάστου τῶν εἰρημένων τέταρτον μόριον μιγνύντα. γενήσεται γὰρ ἡ σύνθεσις τοιάδε. ℞. λιθαργύρου < λς'. ἀσβέστου δὲ καὶ χαλκοῦ κεκαυμένου, καὶ λιβανωτοῦ, καὶ τερμινθίνης, καὶ ἀριστολοχίας, τὸ τρίτον ἑκάστου σταθμῷ τῆς λιθαργύρου, τουτέστι < ιβ'. εἶτα πίσσης, καὶ κηροῦ, καὶ ἀμμωνιακοῦ θυμιάματος, ἑκάστου τὸ διπλάσιον τῶν εἰρημένων πέντε φαρμάκων, τῆς ἀριστολοχίας λέγω καὶ τερμινθίνης, καὶ λιβάνου, καὶ

A vsti drachmas octo, picis aridæ drachmas quadraginta. Vt Zeno vult, minæ dimidium, & quartam portionem; argenti spumæ drach. quatuor, aloës Indicæ drach. duas, aristolochiæ drach. ij. galbani drachmas duas, æruginis drachmam j. alij duas, thuris drachmas duas, olei per hyemem heminas quatuor, per æstatem octauam partem; ammoniacum ex tribus aceti cyathis diluitur. Iam verò & alia multa cum his emplastra prodidit Andromachus, nihil aliud ipsis apponens, quàm coloris nomen; quæ constant quidem ex contrariis facultate medicamentis, sed alia ipsorum laxandi **B** & doloris tollendi vim maiorem obtinent, quædam discutiendi, & detergendi, nonnulla astringendi. Quare nos etiam ipsos omnibus fidentes commodè vti conuenit ad vlcera, quæ vix cicatricem recipiunt, & cacoëthe, fortius astringentibus; vbi lenire & laxare proposueris, magis laxantibus; vbi trahere & discutere conaris, iis, quæ calefaciendi facultatem præpollentem habent, quæque prauos humores in profundo ad sese trahunt. Quibusdam & hoc adiectum est; fuscum lite quo vtor. Tria enim deinceps talia non variæ mixturæ descripsit, quorum ipsorum etiam confectionem ipsiusmet verbis allegare melius esse **C** videtur. *Fuscum lite, quo vtor.* ℞. argenti spumæ drachmas xxiv. ricini heminam vnam; æris vsti drach. quatuor, mannæ drach. quatuor, resinæ drachmas quatuor, colophoniæ drachmas octo. *Aliud Isidori ad dolorem sedandum.* ℞. argenti spumæ drachmas xxxvj. ceræ drachmas trigintasex, olei heminam j. ß. resinæ colophoniæ drachmas quindecim, squamæ æris drach. ix. mannæ drach. quinquaginta; incoquito. *Aliud, quo vtor.* ℞. argenti spumæ drachmas cxliv. resinæ siccæ drach. cxliv. squamæ drachmas vigintiquatuor, olei heminas tres. Quemadmodum autem his commemoratis tribus adiunxit aliis quòd ipse vtatur, aliis **D** quòd dolori leniendo sit, ita de aliis testimonium perhibuit, theriacas ipsa nominans. Tertium igitur ab initio his verbis traditum est. *Theriaca, qua vtor.* Hanc sequitur alia rursus, cui præscriptum sic est. *Eupatorios theriaca.* Verùm de theriacis postea dicemus, nunc autem de fuscis adhuc quæ prodidit Andromachus, dicere cogito, quorum quòd vires ille & confecturas neglexit, accusandus est. Statim igitur primo omnium scripto amicus quidam medicus vsus est, permulta facienti. Etenim vlcera, quæ cicatricem ægrè ducunt, **E** præsertim vbi callosa, & dura labra vlcus amplectantur, claudit. Prodest etiam putredini, fistulis, sinus iungit, & magna vulnera. Summatim multiplicis vsus est. Componentium ipsam medicamentorum symmetria hunc in modum scripta est. ℞. argenti spumæ ʒ. cxliv. olei heminas v. calcis viuæ ʒ. xlviij. thuris ʒ. xlviij. æris vsti ʒ. xlviij. terebinthinæ ʒ. xlviij. aristolochiæ ʒ. xlviij. picis drach. xcvj. ceræ drach. xcvj. ammoniaci drach. xcvj. Ita quidem Andromachus scripsit. Licet tibi etiam minori mixtura ipsum præparare, singulorum quæ numerauimus quartam partem miscendo, fiet enim compositio talis. ℞. argenti **F** spumæ drachmas trigintasex, calcis viuæ, æris vsti, thuris, terebinthinæ, aristolochiæ, singulorum tertiam argenti spumæ partem, hoc est drachmas duodecim, deinde picis, ceræ, guttæ ammoniaci, singulorum duplo maius pondus, quàm in dictis quinque medicamentis erit, aristolochia dico, terebinthina, thure, ære vsto, &

calce,

calce, quam viuam & recentem esse oportet. Ita medicamentum etiam ad putrida vtile fiet. Quum autem Andromachus omnia medicamenta per drachmas scripserit, melius egisset, si & olei secundum eandem symmetriam meminisset, vt quod iniiceretur, totidem drachmas penderet; aut si non hoc, certè conueniebat ipsum Romanorum libræ mentionem facere; nunc autem heminam scribit, consuetam de hac mensura ambiguitatem nobis relinquens, nouémne videlicet mensurales vncias, an duodecim, esse heminam velit. Mea quidem sententia perfecta symmetria sex vncias ponderis capiet, quia Romanorum libra xij. vncias pendit. Si ex quarta parte componis, nota est proportio, nec latere arbitror, vel si drachmas quis dicat ad absolutam symmetriam quadringentas octoginta assumi, eo quod ponderalis vncia octo drachmas valeat. Insuper aliud quoddam inter fusca ab Andromacho positum est, quòd & ipsum calcem viuam recipit, eiusdem cum superiore generis. Præponit autem ei. *Fuscum Eubuli.* Et secundum hanc symmetriam præparat. ℞. argenti spumæ libram vnam, ceræ minam vnam; æris vsti drachmas duodecim, æruginis drachmas duodecim, terebinthinæ drach. duodecim, resinæ siccæ drachmas sedecim, guttæ ammoniaci drachmas octo, thuris drachmas duodecim, opopanacis drachmas octo, olei heminas quatuor, aceti heminas quatuor; in quibusdam exemplaribus scriptum est, heminæ dimidium. Et nimirum dupliciter conficere ipsum licet, scienti copiosius acetum valentissimum medicamentum efficere. Quin etiam aliud fuscum, cui hoc ipsum præponitur. *Aliud fuscum.* refert Andromachus singulorum connexum, hoc est medicamentum, ex marina præparatum, similibus vitiis, quibus præscripta, accommodum. Compositio eius talis est. ℞. argenti spumæ minæ dimidium, ceræ minæ dimidium; chalcitidis quartam minæ portionem squamæ æris drachmas sedecim, thuris drachmas octo, terebinthinæ quartam partem & octauam, minæ videlicet; guttæ ammoniaci quartam partem, marinæ aquæ heminam vnam, alij heminæ dimidium, ricini heminas tres; ammoniacum marina diluitur. Hæc sanè Andromachus retulit, eatenus confectionis mentionem faciens, vt diceret ammoniacum cum marina priùs videlicet diluendum. De chalcitide verò & squama nihil posuit, quanquam & hæc ex marina læuigari queant, sicut etiam coqui cum argenti spuma, cera, & terebinthina. Vt igitur nullum aliud fuscum à quouis alio quæratis, adiiciam alia duo eiusdem Andromachi. Vocat alterum ipsorum, *Phtheirographi*, quod hæc recipere dicit. ℞. argenti spumæ drachmas centum, resinæ drachmas quinquaginta, guttæ ammoniaci drachmas triginta, ceræ ʒ. l. æruginis rasæ drach. duodecim, squamæ æris drach. ij. aristolochiæ drachmas octo, centaurij radicis drachmas octo, olei heminas duas. Irionis autem medicamentum ex his constare ait. ℞. argenti spumæ drachmas cxliv. picis siccæ drachmas cxliv. terebinthinæ drachmas lxxij. guttæ ammoniaci drachmas lxxij. mannæ, thuris singulorum drach. cij. scui vitulini drachmas cxliv. ceræ drachmas trigintasex, aristolochiæ drachmas nouem, æris vsti drachmas nouem, æruginis rasæ drachmas nouem, galbani drachmas nouem, opopanacis drachmas nouem; aceti heminæ dimidium, olei heminam j.ß. ricini,

A χαλκοῦ κεκαυμένου, καὶ ἀσβέστου. χρὴ δὲ τὴν ἄσβεστον ἀκατάσβεστον δηλονότι, καὶ πρόσφατον εἶναι, οὕτω τὸ φάρμακον, καὶ πρὸς τὰ σηπεδονώδη χρήσιμον γίνεται. ἅπαντα δὲ διὰ δραχμῶν γράψας ὁ Ἀνδρόμαχος τὰ φάρμακα, κάλλιον ἂν ἐπεποιήκει κατὰ τὴν αὐτὴν συμμετρίαν, καὶ τοῦ ἐλαίου μνημονεῦσαι, ὡς ἕλκειν τὸ βαλλόμενον δραχμὰς τοσάσδε, ἢ εἰ μὴ τοῦτο, πάντως γοῦν ἐχρῆν αὐτὸν τῆς Ῥωμαϊκῆς λίτρας μνημονεῦσαι. νυνὶ δὲ κοτύλην γράφει, τὴν συνήθη περὶ τοῦ μέτρου ταύτου καταλιπὼν ἡμῖν ἀμφιβολίαν, εἴτε ἐννέα μετρικῶν οὐγγιῶν εἴτε δώδεκα βούλεται τὴν κοτύ-
B λην εἶναι. κατὰ δὲ τὴν ἐμὴν γνώμην, ἡ μὲν τελεία συμμετρία, τὰς ℥ ϛ'. τοῦ σταθμοῦ λαμβανέτω, διὰ τὸ τὴν Ῥωμαϊκὴν λίτραν ἕλκειν ℥ ιβ'. κατὰ δὲ τὸ δ'. τῆς σκευάσεως, εὔδηλος ἡ ἀναλογία. εὔδηλον δὲ καὶ ἐὰν δραχμὰς εἴπῃ τις εἰς τὴν τελείαν συμμετρίαν λαμβάνεσθαι υπ'. διὰ τὸ τὴν σταθμικὴν οὐγγίαν η'. δραχμὰς ἕλκειν. καὶ ἄλλη δέ τίς ἐστιν ἐν ταῖς φαιαῖς, ὑπ' Ἀνδρομάχου γεγραμμένη, λαμβάνουσα καὶ αὐτὴ τὴν ἀκατάσβεστον τίτανον, ὁμογενὴς τῇ προγεγραμμένῃ. προγράφει δ' αὐτῆς. Φαιὰ Εὐβούλου, καὶ σκευάζει κατὰ τὴν ὑπογεγραμμένην συμμετρίαν. ℞.
C λιθαργύρου λίτραν α'. κηροῦ μνᾶν α'. χαλκοῦ κεκαυμένου < ιβ'. ἰοῦ < ιβ'. τερμινθίνης < ιβ'. ῥητίνης ξηρᾶς < ιϛ'. ἀμμωνιακοῦ θυμιάματος < η'. λιβάνου < ιβ'. ὀποπάνακος < η'. ἐλαίου κοτύλας δ'. ὄξους κοτύλας δ'. ἔν τισι τῶν ἀντιγράφων, κοτύλης S''. γέγραπται, καὶ δηλονότι διττῶς ἔξεστιν αὐτὴν σκευάζειν, εἰδότα τὸ πλέον ὄξος ἰσχυρότατον ἐργάζεσθαι τὸ φάρμακον. καὶ μὴν καὶ ἄλλην φαιάν, ἧς αὐτὸ τοῦτο προέγραψεν. Ἄλλη φαιά. ἔγραψεν ὁ Ἀνδρόμαχος ἀξιόλογον ἑκάστου, τοῦτ' ἔστι τὸ φάρμακον διὰ θαλάσσης σκευαζόμενον, ἐπὶ τῶν παραπλησίων ταῖς προγεγραμ-
D μέναις ἁρμόττειν δυνάμενον. ἔστι δὲ ἡ σύνθεσις αὐτοῦ τοιάδε. ℞. λιθαργύρου μνᾶς S''. κηροῦ μνᾶς S''. χαλκίτεως τέταρτον, λεπίδος χαλκοῦ < ιϛ'. λιβάνου < η'. τερμινθίνης τέταρτον ὄγδοον. λέγει δὲ δηλονότι τῆς μνᾶς, ἀμμωνιακοῦ θυμιάματος τέταρτον, θαλάσσης κοτύλην μίαν, οἱ δὲ κοτύλης ἥμισυ, κίκεως κοτύλας γ'. τὸ ἀμμωνιακὸν σὺν τῇ θαλάσσῃ. ταῦτα μὲν ὁ Ἀνδρόμαχος ἔγραψεν, ἄχρι τοσούτου τὴν σκευασίαν μνημονεύσας, ὥστ' εἰπεῖν ὅτι τὸ ἀμμωνιακὸν σὺν τῇ θαλάσσῃ προδιαβρέχεται δηλονότι. περὶ δὲ τῆς χαλκίτεως καὶ τῆς λεπίδος, οὐδὲν ἔγραψε, καίτοι καὶ τού-
E των δυναμένων μετὰ τῆς θαλάττης λειοῦσθαι, καθάπερ γε καὶ συνέψεσθαι τῇ λιθαργύρῳ, καὶ τῷ κηρῷ, καὶ τῇ τερμινθίνῃ. ἵνα τοίνυν μήτ' ἄλλην φαιὰν ζητῆτε παρὰ μηδενὶ τῶν ἄλλων, προσθήσω ἄλλας δύο γεγραμμένας ὑπὸ τοῦ Ἀνδρομάχου. καλεῖ δ' αὐτῶν τὴν μὲν ἑτέραν τοῦ Φθειρογράφου, ἣν διὰ τούτων συγκεῖσθαί φησι. ℞. λιθαργύρου < ρ'. ῥητίνης δραχμὰς ν'. ἀμμωνιακοῦ θυμιάματος < λ'. κηροῦ < ν'. ἰοῦ ξυστοῦ δραχμὰς ιβ'. λεπίδος χαλκοῦ < β'. ἀριστολοχίας < η'. κενταυρείου ῥίζης δραχμὰς η'. ἐλαίου κοτύλας β'. τὴν δὲ τοῦ Ἰρίωνος, οὕτως συγκεῖσθαί
F φησι. ℞. λιθαργύρου < ρμδ'. πίσσης ξηρᾶς < ρμδ'. τερμινθίνης δραχμὰς οβ'. ἀμμωνιακοῦ θυμιάματος < οβ'. μάννης, λιβάνου, ἀνὰ < ρβ'. στέατος μοσχείου < ρμδ'. κηροῦ δραχμὰς λϛ'. ἀριστολοχίας < θ'. χαλκοῦ κεκαυμένου δραχμὰς θ'. ἰοῦ ξυστοῦ < θ'. χαλβάνης < θ'. ὀποπάνακος δραχμὰς θ'. ὄξους κοτύλης S''. ἐλαίου κοτύλην α' S''. κίκεως

ἴσον, εὔδηλον ὅτι τὴν λιθάργυρον, καὶ τὴν πίσσαν, καὶ τὸ μόσχειον στέαρ διπλάσιον βούλεται τῷ σταθμῷ τῆς τερμινθίνης εἶ(ναι), καὶ τοῦ θυμιάματος, καὶ τοῦ λιβάνου, τετραπλάσιον δὲ τοῦ κηροῦ. τῆς δ' ἀριστολοχίας, καὶ τοῦ κεκαυμένου χαλκοῦ, καὶ τοῦ ἰοῦ, καὶ τῆς χαλβάνης, καὶ τοῦ ὀποπάνακος ἑκκαιδεκαπλάσιον. καὶ τοῦτο τὸ φάρμακον ἱκανῶς ἐστι πολύχρηστον, ὥσπερ καὶ τὰ ἄλλα τὰ προγεγραμμένα, καὶ χρῆσθαι δεῖ πᾶσιν αὐτοῖς θαρροῦντα. Ἑλλησποντία, ὡς Ἀνδρόμαχος. ἔνδοξον οὖσαν καὶ ταύτην τὴν ἔμπλαστρον, ἔγραψεν ὁ Ἀνδρόμαχος ἐν ταῖς φαιαῖς, ἐν τῇδε τῇ συμμετρίᾳ. ℞. λιθαργύρου < ρ'. πίσσης < ν'. λαδάνου < κε'. ἰοῦ ξυστοῦ < η'. χαλκοῦ κεκαυμένου < η'. λεπίδος < β'. ἐλαίου παλαιοῦ < σ'.

A tantundem. Perspicuum est terebinthinæ, guttæ, & thuris, partes, duplo pondere ab argenti spuma, pice, seuo vitulino, superari velle; ceræ quadruplo; æris vsti, æruginis, galbani, opopanacis sexcuplodecuplo. Atque hoc medicamentum abunde in vsum venit multiplicem, quemadmodum & alia præcedentia, quibus omnibus audacter vtendum est. *Hellespontia vt Andromachus.* Celebre & hoc emplastrum inter fusca retulit Andromachus hac symmetria. ℞. argenti spumæ drachmas centum, picis drachmas quinquaginta, ladani drachmas vigintiquinque, æruginis rasæ drachmas octo,
B æris vsti drachmas octo, squamæ drachmas duas, olei veteris drachmas ducentas.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἑλλησποντία Ἥρα.

Ἐπεὶ δὲ διαφέρεται πρὸς τὸν Ἥραν ἐν τῇ τοῦ φαρμάκου συνθέσει ὁ Ἀνδρόμαχος, ἔδοξέ μοι καὶ τὰ ὑπὸ τοῦ Ἥρα γεγραμμένα προσθεῖναι, κατὰ λέξιν οὕτως ἔχοντα. Ἑλλησποντία διαπνευστική, ἀφλέγμαντος. πρὸς χοιράδας, φύγεθλα, παρωτίδας, ἐπιτεθὲν τὸ σπλήνιον, ἐπισπᾶται, πυοποιεῖ, ῥήσσει, κολλᾷ, καὶ καθόλου ποιεῖ ἐπὶ πάντων τῶν πυρικαύτων, πραΰνει δὲ καὶ ποδαγρικούς. ℞. ἐλαίου παλαιοῦ < ρ'. πίσσης ξηρᾶς δραχμὰς ν'. λαδάνου < κε'. λιθαργύρου < ρ'. ἰοῦ ξυστοῦ δραχμὰς η'. χαλβάνης < δ'. τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου λειοτριβήσας, ἕψε. ἡνίκα δὲ συστρέφεται, πρόσβαλλε τὴν πίσσαν, καὶ τὸν ἰόν, εἶτα λάδανον καὶ τὴν χαλβάνην, καὶ οὕτως κατεράσας εἰς θυίαν, μάλασσε καὶ χρῶ. τινὲς δὲ ὑπὲρ τοῦ εὔχρουν αὐτὴν γίνεσθαι καὶ φαιάν, μίσγουσι καὶ λεπίδος < η'. ἄλλως γὰρ γίγνεται μελαντάτη. ταύτῃ καὶ ἐπὶ ποδαγρῶν ἐχρησάμην πολλάκις, καὶ ἐποίησεν ἄκρως. δεῖ δὲ δᾳδίοις ἀντὶ ξύλων χρῆσθαι. πρόδηλον δ' ὅτι διαφωνοῦσιν οἱ ἄνδρες, ἐν μὲν τοῖς ἄλλοις, βραχὺ ἤ, κατὰ δὲ τὴν τοῦ ἐλαίου συμμετρίαν, πάμπολυ. διπλάσιον γάρ, ἢ κατὰ τὸν Ἥραν, ὁ Ἀνδρόμαχος ἐμβάλλει. δυνάμεθα δὲ καὶ ἑτέρως σκευάζεσθαι, γινωσκόντων ἡμῶν ἐὰν μὲν πλεῖον ἔλαιον ἐμβληθῇ, χρονιωτέραν γίνεσθαι τὴν ἕψησιν δηλοῖ, αὐτό τε τὸ φάρμακον γενήσεσθαι ξηραντικώτερον. ἐὰν δὲ ἔλαττον, αὐτίκα τε τὴν ἕψησιν ἐσομένην, καὶ τὸ φάρμακον ἧττον ἔσεσθαι ξηραντικόν.

CAPVT XI.

Hellespontia Heræ.

Quoniam verò Andromachus ab Hera in medicamenti compositione differt, visum mihi est & Heræ prodita adiungere, quæ ad verbum ita sonant. *Hellespontia perspiratu discu-*
C *tiens, phlegmonem prepulsans; valet ad strumas, panos, parotidas; impositum splenium attrahit, pus maturat, rumpit, conglutinat; in summa omnibus igne combustis benefacit, mitigat etiam podagricos.* ℞. olei veteris drachmas centum, picis siccæ drachmas quinquaginta, ladani drachmas vigintiquinque, argenti spumæ drachmas centum, æruginis rasæ drachmas octo, galbani drachmas quatuor; argenti spuma ex oleo trita coquitur; quum autem coëunt, pix & ærugo immittuntur, deinde ladanum, galbanumque; atque sic in mortarium transfusa molliun-
D tur, & vsui sunt. Quidam, vt boni coloris sit & fuscum, miscent etiam squamæ drachmas octo, nam alioqui fit nigerrimum. Hoc in podagris etiam non semel vsus sum, & cessit felicissimè. Oportet autem tædas lignorum loco vsurpare. Manifestum est autem viros inter se dissentire in aliis paulum, in olei verò symmetria plurimum; nam duplo copiosius, quàm Heras, Andromachus immittit. Potest item præparari aliter, quum sciamus, si plus olei iniectum fuerit, diuturniorem fore coctionem innuere, ipsumque medicamentum magis exiccans futu-
E rum, sin minus, remorari coctionem futuram, & medicamentum inualidius exiccaturum.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Αἱ ὑπὸ Δαμοκράτους γεγραμμέναι πολύχρηστοι.
Τυρία ἀνεπίδετος.

Τούτοις ἀκολούθως βούλομ' ἐμπλάστρων φράσαι,
Ἀνεπιδέτων χρήσεις τε καὶ τὰς συνθέσεις.
Ποιοῦσι πρὸς τὰς μὴ μεγάλας διαιρέσεις,
Καὶ πρὸς τὰ μείζω σαρκὸς αὐτῆς τραύματα,
Τά τ' ἐξ ἐπιπολῆς τῶν τετραπόδων δήγματα,
Αἵ καὶ δοθιῆνας διαφοροῦσι προσφάτους.
Σπομοῦσι δὲ τοὺς ἔχοντας ἤδη καὶ πύον,
Κομίζουσαί τε, τὰς ἐπ' αὐτοῖς ἐσχάρας
Τάχιστ' ἐπουλοῦσι δίχα χειρουργίας.
Καὶ τῷ μετώπῳ ἐπιτεθεῖσαι, ῥεύματα
Ὀφθαλμιώντων ῥᾷστ' ἐπίσχουσι μόναι.
Τούτου δ' ἀμείνω τοῦ γένους, πρώτην φράσω

CAPVT XII.

Quæ scripsit Damocrates vsus multiplicis medicamenta. Tyrium emplastrum.

Post hæc referam emplastrorũ adhærescentium,
Sine fasciis, quis vsus, & confectio.
Ad diuisiones faciunt non magnas bene,
Et carnis ipsius ampliora vulnera.
F *Medicantur à quadrupede & morsos corpore*
Summo; recentes discutiunt furunculos,
Quibusque iam pus est, vapore digerunt.
Item auferendo crustas, iis celerrimè
Cicatricem inducunt opera nulla manus.
In fronte posita fluxus quàm promptissimè
Lippientium cohibent, sola quanuis ceperis.
Huius generis, præstantius primum efferam
Emplastrum

Emplastrum facile inuentu, cui color bonus, A
Atque efficacia, Tyriam nos dicimus,
Tyriam colore referat id quòd purpuram,
Si quo decet, modo fiat. Sic præpara.
Sit libra iniecta quinquies lithargyri
Boni, semel ceræ capiatur, insuper
Ter pityinæ pinguis lignosæ, ac neutique.
Æruginis præstantis æris, galbani,
Ærisque combusti, pariter squamæ bonæ,
Cuiusque misceto quaternas uncias.
Pinguis olei sex & decem pondo addito.
At curiosè emplastrum coquito in hunc modum.
B *Lithargyrum mitte ex oleo læuissimam,*
Fictilem in ollam nouam, sed hanc maiusculam.
Vbi conteres manibus, mouebis ac spatha,
Deinde flamma acri, atque continua coquens.
Quum mellis accipit iam spissitudinem,
Ærugo & squama misceantur, incoqui
Permittito satis, dehinc æs adiungito.
Rursus coqui paruo relinquens tempore,
Paululum defundens ex olla medicaminis,
Refrigeratum manibus, & digitis teras.
Boni coloris, atque durum, ubi conspicis,
Sic pityinam ceramque reliquis indito.
Deinde cunctis ritè unitis paululum,
C *Stillato rursus; & colorem si bonum*
Et temperamentum vides, mox tollito
Ab igne fictilem, & subactum galbanum
Apponito. Si pharmacum sit durius
Multo, resolues oleo, faciens sic bonam
Temperiem. In aliud inde vas transfundito;
Frigidum, & subactum manibus, ita reponito.

Aliud eiusdem cum superiore generis subiiciam.

Medetur, antè quos citaui, affectibus;
Nec est, quod ulceribus malis, diutinis,
Calloque pressis, applicet fœlicius
D *Cicatricem: etiamque ore natas pustulas*
Persanat absque rosione, rhagadas
Ani, nodosas duritiës, callos demit.
Sic præpara. Lithargyri minam boni,
(Sed mina libra est, eius & pars tertia)
Mina semis probatæ ceræ ponticæ, &
Æruginis minæ quadrantem rasilis:
Atri chamæleontis octauam probi
Partem, radix bona est regione Cretica:
Nascens primùm, Cilicia deinde: præter hæc.
Olei vetusti plusquam mina paululo.
Quòd si non fuerit, usurpato, vel recens.
E *Lithargyron læuem, simulque oleum, noua*
Totum figlina conditum, rudicula
Mouens coquito. Vbi constiterit, & melinon
Fuerit, adiicito æruginem, ceram dein:
Qua iam liquente ab igne tollens ollulam,
Chamæleontis paululum conspergito.
Vnita quum, refrigerataque, quod satis,
Transfundito in pilam: post sic reponito.

Ægyptium.

Ægyptium perseuerans absque phlegmone
Diuisa quælibet, contusaque omnia,
F *Quadruplum morsus cunctorum, & serpentium,*
Item subortas absque ulceribus phlegmonas,
Neruos dolentes citra causam, & musculos
Laudans hoc Andromachus dabat sodalibus
Suis, in pharmacis peritus maximè.
Aiebat esse ter quadraginta quidem
Denarios lithargyri, & duodecim
Bis alteros, ceræ quoque albæ ponticæ

Ἔμπλαστρον, εὐπόριστον, εὔχροον, δραστικὸν,
Καλῶ δὲ Τυρίαν. λαμβάνει γὰρ πορφύρας
Τὸ χρῶμα Τυρίας, ἂν γένηθ' ὃν δεῖ τρόπον.
Σκεύαζε δ' οὕτως. τῆς καλῆς λιθαργύρου
Ἔμβαλλε λίτρας ε'. καὶ κηροῦ α'.
Καὶ πιτυΐνης γ'. τῆς λιπαρᾶς καὶ ἀξύλου.
Ἰοῦ δὲ χαλκοῦ τοῦ καλοῦ, καὶ χαλβάνης,
Χαλκοῦ τε κεκαυμένου, καὶ λεπίδος καλῆς
Τέσσαρας ἑκάστου μίγματος βάλλ' οὐγγίας.
Λιπαροῦ δ' ἐλαίου ιε'. λίτρας καὶ μίαν.
Ἕψει δὲ τὴν ἔμπλαστρον οὕτως ἐπιμελῶς,
Βαλὼν μετ' ἐλαίου λειοτάτην λιθάργυρον,
Εἰς κεραμίαν τε μείζω, καὶ καινὴν χύτραν,
Ἀνάτριβε χερσὶν, εἶτα κίνει καὶ σπάθῃ,
Ἕψε τ' ἐπὶ λάβρας καὶ διηνεκοῦς φλογός.
Ὅταν δὲ μέλιτος λαμβάνῃ τὴν σύστασιν,
Ἰόν τε καὶ τὴν λεπίδα προσβαλὼν, ἄφες
Ἕψεσθ' ἐφ' ἱκανόν. εἶτα χαλκὸν πρόσβαλε,
Πάλιν τ' ἀφεὶς ἐπὶ ταχὺν ἕψεσθαι χρόνον,
Ἀπόχεον ὀλίγον χύτρας τοῦ φαρμάκου.
Ψύξας τ' ἀνάτριψον χερσὶ καὶ τοῖς δακτύλοις,
Εὔχροον τ' ἰδὼν καὶ σκληρὸν, οὕτως πρόσβαλε
Τὴν πιτυΐνην καὶ κηρόν. εἶθ' ἡνωμένων
Πάντων ἐπιμελῶς, πάλιν ἀπόσταξον βραχύ.
Κἂν μὲν βλέπῃς εὔχροον τε καὶ κεκραμένην,
Ἆρον παραχρῆμα τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,
Καὶ χαλβάνην πρόσβαλλε προμεμαλαγμένην.
Ἂν δ' ᾖ παρὰ πολὺ σκληρότερον τὸ φάρμακον,
Ἔλαιον αὐτῷ πρόσβαλ' εἰς εὐκρασίαν
Οὕτω καταθεὶς, εἶτ' εἰς ἕτερον ἀγγεῖον
Ψυχρὸν, μάλασσε χερσὶ, καὶ οὕτως τ' ἀποτίθου.

Ἄλλην ὑπογράψω, τῇ πρὸ ταύτης ὁμογενῆ.

Ποιεῖ δὲ πρὸς ἃ εἶπον ἔμπροσθεν πάθη,
Πάντων ἐπουλοῖ κρεῖττον αὕτη φαρμάκων,
Ἕλκη δυσαλθῆ, καὶ τυλώδη, καὶ χρόνια.
Τ' ἐν τῷ προσώπῳ γινόμενα ἐξανθήματα,
Αὕτη θεραπεύει δίχα τινὸς δηγμοῦ κακοῦ,
Ἕδρας τ' ἐχούσας ῥαγάδας, καὶ σκληρίας
Τὰς κονδυλώδεις, καὶ τύλους ἀποβάλλεται.
Σκεύαζε δ' οὕτως. μνᾶν λιθαργύρου καλῆς.
Μνᾶ δέ ἐστι λίτρα, καὶ τρίτον λίτρας μέρος.
Κηροῦ δὲ καλοῦ Ποντικοῦ μνᾶς ἥμισυ,
Ἰοῦ τέταρτον μνᾶς, μέρος ξυστοῦ καλοῦ,
Χαμαιλέοντος μέλανος ὄγδοον μέρος.
Ῥίζα δέ ἐστιν ἡ καλὴ ἡ Κρητικὴ,
Τὸ α'. εἶτα Κιλίκιος. παλαιοῦ
Τε ἐλαίου μνᾶς ἐπιῤῥεπέστερον βραχύ
Ἐὰν δὲ μὴ παρῇ, κέχρησο προσφάτῳ.
Ἕψει δὲ λείαν, τὴν λιθάργυρον βαλὼν
Καὶ πᾶν ἔλαιον εἰς χύτραν, κινῶν σπάθῃ.
Ὅταν δὲ συστῇ καὶ γένηται μηλίνη,
Ἰὸν παράπασον, εἶτα κηρὸν πρόσβαλε,
Τήξας τε τοῦτον, βαστάσας τ' ἀπὸ τοῦ πυρὸς
Χαμαιλέοντος ὀλίγον παράπασον.
Ὅταν δ' ἑνωθῇ πάντα καὶ ψυγῇ ποσῶς,
Κατέρασον εἰς θυΐαν, οὕτως τε ἀποτίθου.

Αἰγυπτία.

Αἰγυπτία τηροῦσα χωρὶς φλεγμονῆς
Πᾶσαν διαίρεσιν, καὶ πάντα θλάσματα,
Καὶ δήγματα πάντων τετραπόδων, τῶν θ' ἑρπετῶν,
Ὅσαι τ' ἐγένοντο χωρὶς ἑλκῶν φλεγμοναὶ,
Πόνους τε νεύρων καὶ μυῶν, δίχ' αἰτίας.
Ταύτην ἐπαινῶν Ἀνδρόμαχος ἐν φαρμάκοις
Ἔχων μεγίστην ἕξιν, ἐδίδου φίλοις.
Εἶναι δὲ δραχμὰς ἔλεγε μὲν λιθαργύρου,
Τρὶς μ'. καὶ ἑτέρας δὶς ιβ'.
Κηροῦ δὲ λευκοῦ Ποντικοῦ ταύταις ἴσας,

Αμμωνιακοῦ δὲ τοῦ καθαροῦ τρὶς κ'.
Καὶ δώδεκ' ἄλλας, λιβάνου δὲ δὶς δ'.
Λεπίδος δὲ χαλκοῦ, καὶ λεπίδος στομώματος,
Πάλιν δ' ἑκάστου μίγματος δὶς δ'.
Τερμινθίνης τε τῆς καθαρᾶς τρὶς ιβ'.
Δέκ' ὀκτὼ δ'. ἐλαίου κικίνου κοτύλας μέτρῳ,
Ερίων ιη'. τῶν ῥυπαρῶν κεκαυμένων.
Καίειν δ' ἔφασκεν αὐτὰ τοῦτον τὸν τρόπον,
Εἰς λοπάδα καινὴν, ἢ χύτραν πλατύστομον,
Ενθέντα ἔριον οἰσυπηρὸν δαψιλὲς,
Τὸ στῶμα περιχρίσαντ', ἢ γύψῳ, ἢ κόνει,
Η γῇ κεραμικῇ, μεθ' ὕδατος μεμιγμένῃ
Εν πυρὶ λάβρῳ καίοντα, ὅταν ᾖ ῥᾴδιον,
Κόψαντα σῆσαι. τό γε δοκεῖν καλῶς ἔχειν,
Καίειν δ' ὁμοίως αὐτὰ κἀν τοῖς κριβάνοις,
Κἀν τοῖς ἴπνοις τοῖς ἄγαν πεπυρωμένοις,
Οὕτως τε λειῶν, λάμβανε ὃν δεῖ σταθμόν.
Εψεῖν δὲ κελεύει, λειοτάτην λιθάργυρον,
Καὶ πᾶν κίκινον, καὶ μίξαντ' ἐν καινῇ χύτρᾳ,
Μέλιτός γε πάχος γενομένου τοῦ φαρμάκου,
Λεπίδα παραπάσσειν καὶ συνεψεῖν ἐφ' ἱκανὸν,
Εως ἂν γένηται ἀμόλυντον, βάλλειν τότε
Τερμινθίνην καὶ κηρὸν, εἶθ' ἡνωμένοις,
Αμμωνιακὸν μαλαχθὲν ὑπὸ τῶν δακτύλων.
Μέλλοντα δ' αἴρειν τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,
Λεῖον προσεμπάττειν λίβανον, ἐμβάλλειν τε
Καὶ τῶν οἰσυπηρῶν τὴν κόνιν παρ' ἐσχάτην,
Πρὸ τοῦ λιβανωτοῦ δὲ μικρὸν ὕστερον.
Τινὲς δὲ βουλόμενοι τοῦτο τὸ φάρμακον
Ιδιον λέγεσθαι, βαστάσαντες τὴν μίαν
Λεπίδος, μιᾶς βάλλουσι τὰς ἑκκαίδεκα,
Χρῶνται δὲ χαλκοῦ λεπίδος, οὐ στομώματος.

Αλλη.

Οὐδέν τι χεῖρον τῆς προτέρας Αἰγυπτίας,
Ποιοῦσα ταὐτὰ, ποτὲ δὲ καὶ κρεῖττον, παχὺ
Αν σκευάσῃ τις ἐπιμελῶς τὸ φάρμακον,
Χρῆσται αὐτῷ μὴ παρέργως πρὸς ταὐτά.
Εχει δὲ ἐλαίου ε'. λίτρας, κικίνου ἴσας,
Λιθαργύρου δὲ τέσσαρας, χρυσίτιδος,
Λεπίδος δὲ χαλκοῦ μη'. δραχμὰς,
Τερμινθίνης τε τῆς καλῆς τρὶς ιβ'.
Μάννης, λιβάνου τε ταὐτὸ τῇ τερμινθίνῃ,
Αμμωνιακοῦ δὲ τοῦ καθαροῦ λίτρας β'.
Κηροῦ δὲ λευκοῦ Ποντικοῦ λίτρας β' S".
Εψε δ' ἔλαιον, λεπίδα, τὴν λιθάργυρον,
Εως συνέλθῃ καὶ γένητ' εὔχροον ἄγαν,
Σκληρά θ' ἱκανῶς ἔμπλαστρος, εἶθ' οὕτως βαλεῖν
Τερμινθίνην καὶ κηρὸν, εἶτα δακτύλοις
Αμμωνιακὸν μαλαχθὲν, εἶτα τὴν χύτραν
Από τοῦ πυρὸς ζέουσαν ἄρας, τότε βαλεῖς
Τὴν μάνναν, ἤδη ψυχομένου φαρμάκου.
Εποίησα ταύτην πολλάκις λιθαργύρου
Χωρὶς, μολυβδαίνης ἐμβαλὼν καλῆς ἴσον,
Ηδιστά τ' ἐχρησάμην πρὸς ἃ προειπόμην.
Πεποιημένην τε χρώματος βελτίονος.

A Totidem, ammoniaci ter viginti lucidi
Et duodecim alios, thuris & bis quatuor.
Squamæ verò æris, & squamæ stomomatis,
Cuiusque rursus mixturæ bis quatuor.
Pura terebinthinæ ter addas duodecim,
Octodecim heminas oleique ciceos,
Combustæ totidem sordidæ lanæ heminas.
Docebat ipsam isto modo comburere;
Ollæ recenti, quæ sit ore latior,
Impone lanam copiosè succidam,
Operculum gypso prius vel glutino
Vel terra figulari, cui sit commixta aqua,
B *Illinito; sed largo igne mox comburito;*
Contusa, facile quando cribro incernere
Fuerit, habere rectè tunc videtur.
In clibanis quoque ipsa & in fornacibus
Ignitis, nimium similiter exurere.
Ita capiebat triterum, quem est par, modum.
Coquere lithargyron iubet læuißimam,
Totumque ricinum; temperatis inuicem,
Mellisque facta tandem spißitudine,
Squamam aspergere; concoquere, & quantũ sufficit,
Vsque adeò, dum non inquinet, & tunc addere
Terebinthinam & ceram; dein quum coiuerint,
Ammoniacum confectum digitis mollius.
C *Posturus ab igne ollam, thus tritum inspergito.*
Penultimum, ac lanæ immundæ puluisculum,
Sed antè thus, pauxillulo, aut post tempore.
Quidam volentes istud proprio pharmacum
Dici titulo, quum depositus est cacabus,
Squamæ vnius bis octo indunt denarios.
Squama autem vtuntur æris, non stomomatis.

Aliud.

Nihil priore peius agit Ægyptio,
Eadem at melius, & quandoque; si confecerit
Crassum accuratè medicamentum quispiam,
D *Vtetur ad eadem ipso non impresperè.*
Olei libras & ricini quinque continet,
Chrysitidisque argenti spumæ quatuor,
Squamæ æris terque sexdecim denarios,
Terebinthinæ præstantis ter duodecim,
Mannæque thuris tantundem, pondo duo
Ammoniaci synceri, ceræ ponticæ
Albæ duas libras semissem, & insuper.
Coquito oleum, squamam, nec non lithargyron,
Donec coierint, & color sit optimus,
Fiatque satis emplastrum durum; deinde sic
Terebinthinam pones ceramque; hinc mollius
E *Ammoniacum digitis confectum; postea*
Feruente ab igne cacabo deposito
Mannam iniicies iam frigerato pharmaco.
Frequenter hoc feci citra litargyron,
Molybdænæ bonæ pari sumpto modo,
Vsusque sum, ad quæ dixi, iam suauißimè,
Probatiorisque id coloris condidi.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῶν διαφορητικῶν καὶ ἐπισπαστικῶν ἐμπλάστρων.

ΟΙ τὰς τῶν συνθέτων φαρμάκων δυνάμεις γράψαντες, ἐκάλεσαν τινας τῶν ἐμπλάστρων ἐπισπαστικὰς, ὥσπερ ἑτέρας διαφορητικάς. ἐνίαις δ' αὐτῶν ἑκάτερον ἐμαρτύρησαν ἐπισπᾶσθαί τε καὶ διαφορεῖν. καὶ γὰρ πλησίον ἀλλήλων εἰσὶν αἱ δυνάμεις, ἥ θ' ἑλκτικὴ τῶν ἐκ τοῦ βάθους, ἥ τε διαφορητικὴ τῶν ἑλχθέντων. αἵ τε γὰρ ἕλκουσαι, καὶ διαφοροῦσί τι πάντως, αἵ τε διαφοροῦσαι, καὶ ἕλκουσιν. ἀλλ' ἐπι-

CAPVT XIII.

De emplastris discutientibus, & extrahentibus.

F QVi compositorum medicamentorum facultates descripserunt, emplastra quædam extrahentia, sicut alia discutientia, nominarunt; alij vtraque extrahere, & discutere testati sunt; etenim vicinæ sibi facultates sunt eorum, quæ in alto latent, attractrix, & attractorum discutrix. Nam quæ trahunt, etiam nonnihil omnino discutiunt; & quæ discutiunt, pariter trahunt; verùm in

in discutientibus medicamentis discussoria facultas, in trahentibus attractrix, præpollet. Constant itaque attractrices simplicibus medicamentis, quę humorum superfluitates ex profundo in cutē extimam possunt extrahere. Discussoriæ ex iis conflantur, quæ attractum possunt suaptè natura discutere. Vt autem emplastrum fiat, quemadmodum supra dictum est, huic argenti spuma, illi resina, alij oleum, reliquo pix admiscetur; quæ nec insignem discutiendi facultatem, nec extrahendi continent, sicut vel propolis, vel calx, vel medulla, vel galbanum, vel Asiæ petræ flos, vel spuma nitri, vel aphronitrum, vel acetum, vel lixiuia stacte, piper, sinapi & struthium; salesque tum qui edi possunt, tum ammoniaci; ad hæc pleraque alia, de quorum facultate in commentario Simplicium medicamentorum dictum est. Nunc autem emplastra, quæ iam experimento satis probata sunt, exequar, tantùm adhuc ipsis adiiciens, quòd nonnulli etiam astringentia medicamenta extrahentibus miscuerunt, veriti, quod accidit, vbi humorum superfluitas fuerit; trahunt siquidem plus interim, quàm conuenit, vt non solum ex parte quæ curatur, attractionem in alto, sed etiam ex omnibus vicinis, moliantur. Cōprehensum est & antea, quum de carnē generantibus facultatibus ageremus, extrahentia & discutientia, velut omnia, quæ magis quàm oportet detergunt, carnis explentia fieri cerati mixtura; in quibus facultas quidem valida est, copiosioris; in quibus imbecilla, paucioris. Quod si compositum extrahendi, vel discutiendi præditum facultate medicamentum, astringens quoque aliquid habeat, tali medicamento ad carnem generandam, propter vim astrictoriam vtendum non est; quæ ad vulnera glutinanda, & sinus, tum ad vlcerum cicatricem ducendam vtilis est, ad carnis productionem non ita. Dictum mihi est abundè iam de hoc.

CAPVT XIV.

Andromachi emplastra ad discutiendum, & extrahendum. Halicon, idest, salsum ad multa.

℞. Salis communis lib. iv. squamæ æris vncias quatuor, magmatis selibram, mannæ lib. j. ceræ libras xiv. olei Cyprini libras xvj. acetum *adiicitur. Aliud Theuda Sarcophagi ad maligna, fistulas, teredines, & strumas.* ℞. resinæ terebinthinæ ℥. iv. thuris ℥. iv. ceræ vncias quatuor, argenti spumæ vnciam j. quidam auripigmenti æquale pondus pro argenti spuma ponunt; squamæ rubræ ℥. iv. æruginis rasæ ℥. viij. salis ammoniaci ℥. sex, aceti heminam vnam. Ego amplius capio, nempe olei heminam, vini heminam, aceti scillitici tantundem. *Aliud ad discutiendum Candidi, quo vtor.* ℞. terebinthinæ lib. iij. ceræ lib. l. galbani vnc. ij. nitri ℥. ij. Asij vncias ij. thuris lib. iv. medullæ ceruinæ ℥. iv. guttæ ammoniaci selibram, propolis vncias tres, olei laurini ℥. vj. seui taurini selibram. Quæ sicca sunt liquidis admiscentur. *Aliud ad strumas authore Nymphodoto.* ℞. Asij lapidis drachmas octo, aphronitri drachmas octo, seui vitulini drach. sedecim, calcis viuæ drachmas sedecim, ceræ drachmas viginti quatuor, terebinthinæ drachmas triginta duas. *Aliud discutiens bronchocelen, idest, gutturis tumorem, quo Clemens Sertorius curatus est, & ad duritias.* ℞. argenti spumæ drach. l. resinæ pityinæ drach. xl. olei veteris he-

A κατεῖ κατὰ μὲν τὰ διαφορητικὰ τῶν φαρμάκων ἡ διαφορητικὴ δύναμις, κατὰ δὲ τὰ ἑλκτικὰ ἡ ἑλκτική. σύγκεινται μὲν οὖν ἑλκτικαὶ διὰ τῶν ἁπλῶν φαρμάκων, ὅσαι δύναμιν ἔχουσιν, ἐκ τοῦ βάθους ἐπὶ τὸ δέρμα τὰς περιουσίας τῶν ὑγρῶν ἐπισπᾶσθαι, αἱ διαφορητικαὶ δὲ ἐκ τῶν διαφορεῖν τὸ ἑλχθὲν πεφυκυιῶν. ἵνα δὲ ἔμπλαστρος γένηται, καθάπερ ἐν τοῖς ἔμπροσθεν ἐρρέθη, ταῖς μὲν γὰρ λιθαργύρου μίγνυται, ταῖς δὲ ῥητίνης, ταῖς δὲ κηροῦ, ταῖς δὲ ἐλαίου, ταῖς δὲ πίττης, οὔτε διαφορητικὴν δύναμιν ἀξιόλογον, οὔθ' ἑλκτικὴν ἐχόντων τῶν τοιούτων, ὥσπερ ἡ πρόπολις, ἡ τίτανος, ἡ μυελὸς, ἡ χαλβάνη, ἢ B τὸ τῆς Ἀσίας πέτρας ἄνθος, ἢ ἀφρὸς νίτρου, ἢ ἀφρόνιτρον, ἢ ὄξος, ἢ κονία στακτὴ, πέπερί τε καὶ νάπυ, καὶ στρουθίον, οἵ τ' ἐδώδιμοι τῶν ἁλῶν, οἵ τε ἀμμωνιακοὶ, καὶ πρὸς τούτοις ἄλλα πολλὰ, περὶ ὧν τῆς δυνάμεως ἐν τῇ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ λέλεκται. νυνὶ δὲ τὰς πεῖραν ἱκανὴν ἤδη δεδωκυίας ἐμπλάστρους ἐρῶ, τοσοῦτον ἔτι περὶ αὐτῶν εἰπὼν, ὡς ἔνιοι καὶ τῶν στυφόντων φαρμάκων τοῖς ἐπισπαστικοῖς προσέμιξαν εὐλαβούμενοι τὸ γιγνόμενον, ἐφ' ὧν ἔστι περιουσία χυμῶν. ἕλκουσι γὰρ ἐνίοτε πλέον, ἢ προσῆκεν, ὡς μὴ μόνον ἐκ τῶν κατὰ τὸ θεραπευόμενον μέρος ἐν βάθει τὴν ὁλκὴν, ἀλλὰ κἀκ τῶν πέριξ ἁπάντων ποιεῖσθαι. λέλεκται δέ μοι καὶ C πρόσθεν ἐν τῷ τῶν σαρκωτικῶν δυνάμεων λόγῳ, τὰς ἐπισπαστικάς τε καὶ διαφορητικὰς, ὥσπερ γε καὶ τὰς ἐπὶ μᾶλλον ἢ χρὴ ῥυπτούσας ἁπάσας, γίγνεσθαι σαρκωτικὰς μίξει κηρωτῆς, ἐφ' ὧν μὲν ἡ δύναμις ἰσχυρὰ πλέονος, ἐφ' ὧν δὲ ἀσθενὴς ἐλάττονος· ἐὰν δὲ φθάσῃ τὸ σύνθετον ἐπισπαστικὸν, ἢ διαφορητικὸν φάρμακον ἔχειν τι καὶ στυπτικὸν, οὐ χρὴ τῷ τοιούτῳ φαρμάκῳ χρῆσθαι σαρκωτικῷ, διὰ τὸ τὰς στυπτικὰς δυνάμεις, εἰς μὲν τὰς κολλήσεις τῶν τραυμάτων τε καὶ κόλπων, καὶ τὰς ἐπουλώσεις τῶν ἑλκῶν εἶναι χρησίμους, εἰς δὲ τὰς σαρκώσεις ἀχρήστους. εἴρηται γὰρ ἱκανῶς ἡμῖν ἤδη περὶ τούτου. D

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Αἱ ὑπ' Ἀνδρομάχου γεγραμμέναι διαφορητικαί τε καὶ ἐπισπαστικαί. ἁλυκὴ πρὸς πολλά.

℞. Ἁλῶν κοινῶν λίτρας δ'. λεπίδος χαλκοῦ ℥ δ'. μάγματος λίτρας S''. μάννης λίτραν α'. κηροῦ λίτρας ιδ'. κυπρίνου ἐλαίου λίτρας ις'. ὄξος. Ἄλλη Θευδᾶ σαρκοφάγου, πρὸς κακοήθη, σύριγγας, τερηδόνας, χοιράδας. ℞. ῥητίνης E τερμινθίνης ℥ δ'. λιβάνου ℥ δ'. κηροῦ ℥ δ'. λιθαργύρου ℥ α'. οἱ δὲ ἀρσενικοῦ ἴσον ἀντὶ τῆς λιθαργύρου, λεπίδος ἐρυθρᾶς ℥ δ'. ἰοῦ ξυστοῦ ℥ η'. ἁλὸς ἀμμωνιακοῦ ℥ ϛ'. ὄξους κοτύλην α'. ἐγὼ πλέον ἐλαίου κοτύλην α'. οἴνου κοτύλην α'. ὄξους σκιλλητικοῦ κοτύλην. Ἄλλη διαφορητικὴ Κανδίδου ᾗ χρῶμαι. ℞. τερμινθίνης λίτρας γ'. κηροῦ λίτρας ν'. χαλβάνης οὐγγίας β'. νίτρου οὐγγίας β'. Ἀσίου οὐγγίας β'. λιβάνου λίτρας δ'. μυελοῦ ἐλαφείου ℥ δ'. ἀμμωνιακοῦ θυμιάματος λίτρας S''. προπόλεως οὐγγίας γ'. ἐλαίου δαφνείου οὐγγίας ϛ'. στέατος ταυρείου λίτρας ἥμισυ, F τὰ ξηρὰ κατὰ τῶν τηκτῶν. Ἄλλη πρὸς χοιράδας παρὰ Νυμφοδότου. ℞. Ἀσίου λίθου < η'. ἀφρονίτρου < η'. ἀσβέστου < ις'. στέατος μοσχείου < ις'. κηροῦ < κδ'. τερμινθίνης < λβ'. Ἄλλη διαφορητικὴ βρογχοκηλῶν, ᾗ Κλήμης Σερτώριος ἐθεραπεύθη, καὶ πρὸς σκληρίας. ℞. λιθαργύρου < ν'. πιτυίνης ῥητίνης < μ'. ἐλαίου παλαιοῦ κο-

τύλας ι΄. χαλβάνης < δ΄. ἐν ἄλλῳ ℥ α΄. χαλκοῦ κεκαυμένου < κ΄. ἀμμωνιακοῦ θυμιάματος < μ΄. σχιστῆς < δ΄. μάννης λιβάνου < δ΄. κηροῦ < ν΄. ἔσχατον τὴν χαλβάνην καὶ τὴν μάνναν. Ἄλλη ἡ διὰ τῶν ἀσπίδων διαφορητικὴ χοιράδων, καὶ πρὸς ποδάγρας. ℞. τερμινθίνης, λίθου Ἀσίου, ἀσφάλτου, ἀνὰ < τξ΄. ἀφρονίτρου, μοσχείου, κηροῦ, δαφνίδων, ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ < τμ΄. λίθου πυρίτου < π΄. ἀσβέστου < ρη΄. ἄλλως μνᾶν α΄. ἀσπίδων σποδοῦ < ρμ΄. ἐλαίου παλαιοῦ κοτύλας β΄. ἔσχατον τὴν σποδὸν, ψυχθέντος τοῦ φαρμάκου, εἰ δὲ μὴ, ἀπόλλυται. Ἄλλη ἐπισπαστικὴ ἡ τοῦ Σαρκευθίτου. ℞. τερμινθίνης μνᾶν α΄. κηροῦ μνᾶν α΄. νίτρου μνᾶς β΄. βδελλίου < λβ΄. ἀμμωνιακοῦ θυμιάματος < λβ΄. ἐλαίου κοτύλας β΄. θαλάσσης, ἢ ἅλμης κοτύλας β΄. μίλτου < λβ΄. Ἄλλη ἡ Κτησιφῶντος, ἃ μὲν διαλύων, τὰ δὲ συνάγων, καὶ ῥύπτων. ℞. ἀφρονίτρου λίτραν α΄. μάννης λιβάνου λίτραν α΄. κονίας στακτῆς λίτραν α΄. τινὲς καὶ ὄξους λίτραν α΄. Ἄλλη δι᾽ ἁλῶν ἐπισπαστική. ℞. ἁλῶν κοινῶν < π΄. ψιμμυθίου < π΄. ἐλαίου παλαιοῦ κοτύλας μ΄. ἄλλως γ΄. χαλκάνθου < κδ΄. ὄξους κοτύλης ἥμισυ. Ἄλλο ἡ δι᾽ ἁλῶν ἄλλως. ℞. ψιμμυθίου < η΄. ἁλῶν κοινῶν < ν΄. ἐλαίου παλαιοῦ κοτύλας η΄. ἄλλως β΄. ἀριστολοχίας < η΄. προπόλεως < ι΄. ταύτην Σίλων ἐπῄνει. Ἄλλη ἡ διὰ πελαγίας γῆς διαφορητική. ℞. λιθαργύρου μνᾶς δ΄. γῆς πελαγίας τέταρτον, ἁλὸς ἀμμωνιακοῦ τέταρτον, ψιμμυθίου τέταρτον, κηροῦ τέταρτον, ὄξους κοτύλην α΄. ἐλαίου κοτύλας δ΄. Ἄλλη ἡ τοῦ Κύρτου ἐπισπαστική. ℞. ἴρεως Ἰλλυρικῆς < ν΄. μάννης < ν΄. τερμινθίνης < ν΄. ἀφρονίτρου < ν΄. κισσήρεως < ν΄. ἀμμωνιακοῦ θυμιάματος < κε΄. χαλβάνης < ιϛ΄. ἄλλως ϛ΄. κάγχρυος < ιβ΄. ἥμισυ, κηροῦ < ρ΄. οἱ δὲ η΄. ἐλαίου κοτύλην α΄. Ἄλλη ἡ διὰ δαφνίδων. ℞. ῥητίνης, νίτρου πυῤῥοῦ, κηροῦ νέου, δαφνίδων, κολοφωνίας, στέατος μοσχείου, ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ < ο΄. κυπρίνου κοτύλης ἑκκαιδέκατον, τινὲς δὲ ἰξοῦ < ν΄. Ἄλλη ἐπισπαστικὴ Ἁρπάλου. ℞. ἀμμωνιακοῦ θυμιάματος < η΄. κηροῦ < δ΄. ἴρεως < δ΄. μάννης < δ΄. πεπέρεως < δ΄. θείου ἀπύρου < δ΄. κισσήρεως < δ΄. τερμινθίνης < η΄. ἐλαίου ὀλίγον. Ἄλλη ἐπισπαστικὴ Ἁρπάλου. ℞. τερμινθίνης μνᾶς η΄. κισσήρεως < ιε΄. νίτρου < ιϛ΄. ἀμμωνιακοῦ θυμιάματος < ιϛ΄. κηροῦ < δ΄. ἐλαίου βραχὺ, μίλτου, ὥστε χρῶσαι, τὰ ξηρὰ σὺν ὄξει. Ἄλλη. ℞. σινάπεως < δ΄. νίτρου < δ΄. κηροῦ < η΄. τερμινθίνης < λ΄. δαφνίδων < δ΄. ἀσβέστου < δ΄. ἐλαίου κοτύλας ἑκκαιδέκατον, κυπρίνου < η΄. Ἄλλη πύον διαφοροῦσα. ℞. κηροῦ, τερμινθίνης ῥητίνης, πίσσης ξηρᾶς, στέατος μοσχείου, νίτρου πυῤῥοῦ, δαφνίδων, ἀσβέστου, κισσήρεως, ἀμμωνιακοῦ θυμιάματος, ἑκάστου ἴσον. Ἄλλη Κοδάμου, ἢ Νικοδήμου βασιλέως. ℞. κηροῦ < ρ΄. νίτρου πυῤῥοῦ < ρ΄. ῥητίνης φρυκτῆς < ρ΄. ἀμμωνιακοῦ θυμιάματος < κε΄. προπόλεως < κε΄. ἰξοῦ δρυΐνου < ιβ΄. ἥμισυ, ἐλαίου ξέστην α΄. κονίας στακτῆς ξέστην α΄. Ἄλλη διαφορητικὴ μελικηρίδων. ℞. ἐλαίου παλαιοῦ < ρ΄. λιθαργύρου < ϙα΄. ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης, ἀνὰ < ιθ΄. Ἄλλη. ℞. λιθαργύρου < ρ΄. ἁλῶν κοινῶν < ξ΄. ἐλαίου παλαιοῦ κοτύλας ϛ΄. ἄλλως α΄. Ἄλλη ἐπισπαστικὴ καὶ διαφορητικὴ πολύχρηστος. ℞. λιθαργύρου λίτραν α΄. ψιμμυθίου λίτραν α΄. χαλβάνης λίτραν α΄. ἁλὸς ὀρυκτοῦ λίτρας S″. ἰοῦ ξυστοῦ λίτρας ἥμισυ, ἐλαίου ξέστας γ΄. χαλκάνθου ℥ β΄.

A minas x. galbani drach. iv. in alio ℥. j. æris vsti ʒ. xx. guttæ ammoniaci drach. quadraginta, aluminis fissilis drach. iv. mannæ thuris drachmas iv. ceræ drach. l. postremò galbanum & mannam iniicito. *Aliud ex aspidibus, ad discutiendum strumas, item ad podagras.* ℞. terebinthinæ, lapidis Asij, bituminis, singulorum drachmas trecentas sexaginta, aphronitri, vitulini, ceræ, baccarum lauri, guttæ ammoniaci, singulorum drach. cccxl. lapidis pyrites drach. lxxx. calcis viuæ drach. cviij. aliàs minam vnam, aspidum cineris drach. cxl. olei veteris heminas duas; postremò cinis medicamento refrigerato inspergitur, sin minus, perit. B *Aliud ad extrahendum, Sarceuthitæ.* ℞. terebinthinæ minam j. ceræ minam j. nitri minas duas, bdellij drach. xxxij. guttæ ammoniaci ʒ. xxxij. olei heminas ij. marinæ, vel muriæ heminas duas, mini ʒ. xxxij. *Aliud Ctesiphontis, quædam dissoluens, quædam cogens, & detergens.* ℞. aphronitri lib. j. mannæ thuris lib. j. lixiuiæ stactæ libram vnam, quidam etiam aceti lib. j. addunt. *Aliud ex sale, ad extrahendum.* ℞. salis communis drach. lxxx. cerussæ ʒ. lxxx. olei veteris heminas xl. aliàs iij. atramenti sutorij ʒ. xxiv. aceti heminæ ß. *Aliud ex sale aliter.* ℞. cerussæ ʒ. viij. salis communis drach. l. C olei veteris heminas viij. aliter duas, aristolochiæ drach. viij. propolis drach. x. Hoc Silo commendabat. *Aliud ex terra pelagia discutiens.* ℞. argenti spumæ minas iv. terræ pelagiæ quartam portionem, salis ammoniaci quartam portionem, cerussæ, quartam portionem, ceræ quartam portionem, aceti heminam, olei heminas iv. *Aliud Cyrti ad attrahendum.* ℞. iridis Illyricæ drach. l. mannæ drach. l. terebinthinæ drach. l. aphronitri drach. l. pumicis drach. l. guttæ ammoniaci drach. xxv. galbani ʒ. xvj. alias vj. canchryos ʒ. xij. ß. ceræ drach. centum, alij octo; olei heminam vnam. D *Aliud dia daphnidon*, idest, *ex baccis lauri.* ℞. resinæ, nitri rufi, ceræ recentis, baccarum lauri, colophoniæ, seui vitulini, guttæ ammoniaci, singulorum ʒ. lxx. Cyprij decimam sextam heminæ partem; nonnulli autem visci ʒ. l. *Aliud attrahens, Harpali.* ℞. guttæ ammoniaci drach. viij. ceræ ʒ. iv. iridis ʒ. iv. mannæ ʒ. iv. piperis ʒ iv. sulfuris viui drach. iv. pumicis drachmas iv. terebinthinæ ʒ. viij. olei parum. *Aliud attrahens Harpali.* ℞. terebinthinæ minas viij. pumicis ʒ. xv. nitri ʒ. xvj. guttæ ammoniaci ʒ. xvj. ceræ ʒ. iv. olei parum, minij quod possit ea colorare; arida cum aceto subiguntur. *Aliud.* ℞. sinapeos ʒ. iv. nitri ʒ. iv. E ceræ drach. viij. terebinthinæ ʒ. xxx. baccarum lauri ʒ. iv. calcis viuæ drach. iv. olei decimam sextam heminæ portionem, Cyprij drach. octo. *Aliud ad pus discutiendum.* ℞. ceræ, terebinthinæ resinæ, picis siccæ, seui vitulini, nitri rufi, baccarum lauri, calcis viuæ, pumicis, guttæ ammoniaci, singulorum æquale pondus. *Aliud Codami, vel Nicomedis Regis.* ℞. ceræ ʒ. c. nitri rufi ʒ. c. resinæ frictæ drach. centum, guttæ ammoniaci ʒ. xxv. propolis drach. xxv. visci quercini drach. xij. ß. olei sextarium j. lixiuiæ stactæ sextarium j. *Aliud discutiens Meliceridas.* ℞. olei veteris ʒ. c. argenti spumæ ʒ. xcj. guttæ ammoniaci, galbani vtriusque ʒ. xix. *Aliud* ℞. argenti spumæ ʒ. c. salis communis ʒ. lx. olei veteris heminas sex, aliter vnam. *Aliud attrahens, & discutiens, ad multa vtile.* ℞. argenti spumæ lib. j. cerussæ lib. j. galbani lib. j. salis fossilis selibram, æruginis rasæ libram dimidiam; olei sextarios tres, atramenti sutorij ℥. ij.

Aliud

Aliud ad discutiendum è Struthio. ℞. argenti spumæ lib. ij. olei lib. iij. cerussæ ℥. iv. picis ℥. iv. terebinthinæ ℥. iv. ceræ ℥. ij. mannæ ℥. iij. aristolochiæ ℥. ij. struthij ℥. ij. gallæ ℥. iij. vini boni heminas iij. vinum vltimum infundito. *Aliud ad discutiendum vt Scribonius.* ℞. argenti spumæ lib. v. olei lib. v. pityinæ siccæ lib. v. propolis lib. viij. visci de quercu lecti ℥. iij. *Aliud trahens, & discutiens.* ℞. ceræ nouæ ʒ. c. resinæ pityinæ siccæ ʒ. c. nitri ʒ. c. olei heminas iij. nonnulli thuris ʒ. c. lixiuiæ stactæ heminas iij. *Ad duritias* guttæ ammoniaci ʒ. xij. misceto, galbani tantundem; æruginis rasæ, propoleos, visci de quercu lecti, paria pondera. *Aliud ad strumas Minutiani, quo vtor frequenter.* ℞. terebinthinæ lib. j. ceræ lib. viij. propolis lib. j. galbani lib. viij. visci de quercu lecti lib. viij. His liquefactis, fæcis vstæ ℥. ij. inspergito, aphronitri lib. viij. Deinde vbi carbonibus imposueris, olei heminas iij. inijcito; postea sublatis, cucumeris agrestis radicis vnciam inspergito, gladioli radicis ℥. iv. Asij floris tantundem. *Aliud Antipatri.* ℞. Nitri, terebinthinæ, olei veteris, singul. lib. j. aquæ sextarium, & amplius; vbi cocta non ebullierit, immittito guttæ ammoniaci ℥. ij. galbani ℥. j. bdellij ℥. j. thuris ℥. ij. sandarachæ ℥. ij. lapidis Asij ℥. ij. Asius & sandaracha ex oleo pauco læuigantur; liquabilia raduntur, & aridis miscentur. *Aliud ad digerendum Antipatri.* ℞. molybdænæ ʒ. ccc. ceræ ʒ. cl. terebinthinæ ʒ. xxx. chalcitidis ʒ. vj. galbani ʒ. viij. myrrhæ ʒ. viij. mannæ ʒ. viij. olei per hyemem heminas iv. per æstatem tres. *Aliud Xenocratis, dolorem sedans, ad discutiendum, vt Castus. Medicamentum Polystomi ad podagram.* ℞. cerussæ ʒ. cl. ceræ libras tres, terebinthinæ drachmas triginta, aphronitri drachmas triginta, olei veteris heminas tres. *Aliud ad digerendum meliceridas. Alexandri.* ℞. Salis Hispani libram vnam, argenti spumæ libram vnam, cerussæ libram vnam; ceræ vnciam vnam, terebinthinæ vnciam vnam, galbani vel etiam opopanacis vncias duas, sinapeos vncias sex, olei veteris libras tres, aceti sextarios octo. *Aliud, Sanitas, digerens, & extrahens, ad mammillas ex visco.* ℞. argenti spumæ libras duas, olei libras duas, visci quercini trientem, gallæ trientem. *Aliud pus vacuans sine ruptura, vt Asclepiades.* ℞. resinæ libras duas, ceræ libras duas, nitri libras octo, butyri libram vnam, adipis leonini libras sex, olei veteris libram vnam, simul liquefacito. Quotidie emplastri modo imponens medicamentum, vtitor. *Aliud expressorium, humores & abscessus, maximè in genu, & articulamentis sine incisione extrahens, à phlegmone præseruat, vulneribus vtiliter admouetur.* ℞. plumbi stercoris drachmas centum, terebinthinæ drachmas centum; olei veteris heminas duas, postremò resinam. *Aliud digerens, cutem rumpens, cicatricem ducit, humores euocat, quo vtor.* ℞. visci quercini drachmas sexaginta, picis drachmas quinquaginta, guttæ ammoniaci drachmas centum, ceræ drachmas quinquaginta, resinæ frictæ drachmas quindecim, lapidis pyritis drachmas decem, galbani drachmas octo, mannæ drachmas quatuor, iridis Illyricæ drachmas quatuor, canchryos drachmas quatuor, stercoris columbini drachmas quatuor, alibi & mellis heminas quatuor. In aliis quibusdam, & propoleos drachmas viginti, liquefactis, quæ liquabilia sunt, sicca insperge.

A Ἄλλη διαφορητικὴ ἡ διὰ τοῦ στρουθίου. ℞. λιθαργύρου λίτρας β'. ἐλαίου λίτρας γ'. ψιμμυθίου ℥ δ'. πίσσης ℥ δ'. τερμινθίνης ℥ δ'. κηροῦ ℥ β'. μάννης ℥ γ'. ἀριστολοχίας ℥ β'. στρουθίου ℥ β'. κηκίδων ℥ γ'. οἴνου καλοῦ κοτύλας γ'. οἶνον ἔσχατον καταῤῥαινε. Ἄλλη διαφορητικὴ, ὡς Σκριβώνιος. ℞. λιθαργύρου λίτρας ε'. ἐλαίου λίτρας ε'. πιτυΐνης ξηρᾶς λίτρας ε'. προπόλεως λίτρας η'. τῆς δρυΐνης ℥ γ'. Ἄλλη ἐπισπαστικὴ, καὶ διαφορητική. ℞. κηροῦ νέου < ρ'. ῥητίνης πιτυΐνης ξηρᾶς < ρ'. νίτρου < ρ'. ἐλαίου κοτύλας γ'. τινὲς λιβάνου < ρ'. κονίας στακτῆς κοτύλας γ'. B πρὸς σκληρίας δὲ μίσγεται ἀμμωνιακοῦ θυμιάματος < ιβ'. χαλβάνης ἴσον, ἰοῦ ξυστοῦ, προπόλεως, δρυΐνης ἴσον. Ἄλλη πρὸς χοιράδας Μινουκιανοῦ, ᾗ χρῶμαι κατὰ κόρας. ℞. τερμινθίνης λίτραν α'. κηροῦ λίτρας η'. προπόλεως λίτραν α'. χαλβάνης λίτρας η'. ἰξοῦ δρυΐνου λίτρας η'. τήξας ταῦτα, ἔμπασσε τρυγὸς κεκαυμένης ℥ β'. ἀφρονίτρου λίτρας η'. Εἶτα θεὶς ἐπ' ἀνθρακιᾶς, πρόσβαλε ἐλαίου κοτύλας γ'. Εἶτα καθελὼν, ἔμπασσε σικύου ἀγρίου ῥίζης ℥ α'. ξιφίου ῥίζης ℥ δ'. Ἀσίου ἄνθους ℥ δ'. Ἄλλη Ἀντιπάτρου. ℞. Νίτρου λίτραν α'. τερμινθίνης λίτραν α'. ἐλαίου C παλαιοῦ λίτραν α'. ὕδατος ξέστην α'. καὶ πλέον, ἑτοίμην ἑψόμενον μὴ πομφολύζῃ, πρόσβαλε ἀμμωνιακοῦ θυμιάματος ℥ β'. χαλβάνης ℥ α'. βδελλίου ℥ α'. λιβάνου ℥ β'. σανδαράχης ℥ β'. λίθου Ἀσίου ℥ β'. ὁ Ἄσιος, καὶ ἡ σανδαράχη σὺν ἐλαίῳ ὀλίγῳ λεαίνεται, τὰ τηκτὰ ἀναξύεται, καὶ μίσγεται τοῖς ξηροῖς. Ἄλλη διαφορητικὴ Ἀντιπάτρου. ℞. μολυβδαίνης < τ'. κηροῦ < ρν'. τερμινθίνης < λ'. χαλκίτεως < ϛ'. χαλβάνης < η'. σμύρνης < η'. μάννης < η'. ἐλαίου χειμῶνος κοτύλας δ'. θερείας κοτύλας γ'. Ἄλλη Ξενοκράτους ἀνώδυνος, διαφορητικὴ, ὡς Κάστος, ἡ D Πολυστόμου πρὸς ποδάγρας. ℞. ψιμμυθίου < ρν'. κηροῦ λίτρας γ'. τερμινθίνης < λ'. ἀφρονίτρου < λ'. ἐλαίου παλαιοῦ κοτύλας γ'. Ἄλλη διαφορητικὴ μελικηρίδων, Ἀλεξάνδρου. ℞. Ἁλὸς Σπανοῦ λίτραν α'. λιθαργύρου λίτραν α'. ψιμμυθίου λίτραν α'. κηροῦ ℥ α'. τερμινθίνης ℥ α'. χαλβάνης, ἢ καὶ ὀποπάνακος ℥ β'. σινάπεως ℥ ϛ'. ἐλαίου παλαιοῦ λίτρας γ'. ὄξους ξέστας η'. Ἄλλη, Ὑγεία διαφορητικὴ καὶ ἐπισπαστικὴ, πρὸς μαστοὺς διὰ ἰξοῦ. ℞. λιθαργύρου λίτρας β'. ἐλαίου λίτρας β'. ἰξοῦ δρυΐνου ℥ δ'. κηκίδων ℥ δ'. Ἄλλη κενωτικὴ πύων, ὡς Ἀσκληπιάδης χωρὶς E συῤῥήξεως. ℞. ῥητίνης λίτρας β'. κηροῦ λίτρας β'. νίτρου λίτρας η'. βουτύρου λίτραν α'. στέατος λεοντείου λίτρας ϛ'. ἐλαίου παλαιοῦ λίτραν α'. τῆκε ὁμοῦ, καθ' ἡμέραν χρῶ ἐμπλάσσων τοῦ φαρμάκου. Ἄλλη ἐξιπωτικὴ ὑγρῶν καὶ ἀποστημάτων, μάλιστα ἐν γόνασι καὶ ἄρθροις, ἄτερ τομῆς ἕλκουσα, ἀφλέγμαντος καὶ τραυματική. ℞. μολύβδου σκωρίας < ρ'. τερμινθίνης < ρ'. ἐλαίου παλαιοῦ κοτύλας β'. ἐσχάτην ῥητίνην. Ἄλλη διαφορητικὴ καὶ συῤῥήσσουσα, καὶ ἐπουλωτικὴ, προσκλητικὴ, ᾗ χρῶμαι. ℞. ἰξοῦ δρυΐνου < ξ'. πίσσης < ν'. ἀμμωνιακοῦ θυμιάματος < ρ'. κηροῦ < ν'. F ῥητίνης φρυκτῆς < ιε'. λίθου πυρίτου < ι'. χαλβάνης < η'. μάννης < δ'. ἴρεως Ἰλλυρικῆς < δ'. κάγχρυος < δ'. κόπρου περιστερῶν < δ'. ἐν τισὶ καὶ μέλιτος κοτύλας δ'. ἐν τισὶ καὶ προπόλεως < κ'. τὰ τηκτὰ τήξας, ἔμπλασσε τοῖς ξηροῖς.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι ἐπισπαστικαί.

Λευκὴ ἐπισπαστική. Ποιεῖ πρὸς χοιράδας, καὶ παρωτίδας, καὶ τὰ κατὰ μέρος ἀποστήματα, ποιεῖ πρὸς σύριγγας καὶ αἰγίλωπας, ὥστε χωρὶς τομῆς ἀπαλλάττειν, ποιεῖ πρὸς τὰ ῥευματικὰ, καὶ δυσαλθῆ, ποιεῖ ὑδρωπικοῖς. ℞. λιθαργύρου < π'. ψιμμυθίου < π'. ἁλῶν < π'. ἐλαίου παλαιοῦ ξέστην α'. τρίβε ἅλας, ψιμμύθιον, λιθάργυρον, ἐπιβάλλων τούτοις τὸ ἔλαιον, ἔπειτα μίξας ἐπιμελῶς, καὶ
B
βαλὼν εἰς ἄγγος κεραμοῦν, ἕψε κινῶν συνεχῶς μέχρις ἀμολύντου, καὶ εἰς θυίαν ἐξεράσας, καὶ ἀνακόψας, ἀνελόμενος χρῶ. Ἄλλη. ℞. λιθαργύρου < ρ'. ψιμμυθίου < ι'. ἁλῶν < ν'. ἐλαίου κοτύλας γ'. κηροῦ < ν'. τερμινθίνης < ιβ'. σκεύαζε κατὰ τρόπον. Ἄλλη. ℞. μάννης < ις'. στυπτηρίας σχιστῆς < η'. ἐλαίου παλαιοῦ κοτύλας β'. Ἄλλη. ℞. λιθαργύρου λίτραν α'. ψιμμυθίου λίτραν α'. ἁλῶν ὀρυκτῶν λίτραν α'. κηροῦ < ν'. τερμινθίνης < κε'. μάννης < ις'. στυπτηρίας σχιστῆς < η'. ἐλαίου παλαιοῦ κοτύλην α' S''. Ἄλλη Λουκίου πρὸς τὰς προειρημένας δια-
C
θέσεις, φάρμακον ἐπιτετευγμένον. ποιεῖ πρὸς τὰ ῥευματικὰ τῶν ἑλκῶν, καὶ τὰ χρόνια, καὶ δυσαλθῆ. ℞. λιθαργύρου < ρ'. ψιμμυθίου δραχμὰς ρ'. ἁλὸς ἀμμωνιακοῦ < ρ'. χαλκάνθου < ρ'. πιτυΐνης < ρ'. ἐλαίου παλαιοῦ ξέστας γ'. ὄξους ξέστην α'. κηροῦ < ν'. σκεύαζε κατὰ τρόπον. Ἄλλη Ὑγιεινὴ, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς προειρημένας διαθέσεις. ℞. λιθαργύρου < ρ'. ψιμμυθίου < ρ'. ἁλῶν < ρ'. στυπτηρίας ὑγρᾶς < ρ'. ἐλαίου παλαιοῦ ξέστας ι'. ὄξους ξέστην α'. κηροῦ λίτρας S''. ῥητίνης τερμινθίνης λίτρας S''. σκεύαζε κατὰ τρόπον. Ἄλλη μέλαινα ἐπι-
D
σπαστική, πρὸς χοιράδας ποιεῖ, παρωτίδας, καὶ τὰ κατὰ μέρος ἀποστήματα, διαλύει πᾶσαν σκληρίαν. ἔστι δὲ καὶ μάλαγμα ἀγαθὸν, ὡς ἐχρήσατο Ἀντώνιος ὁ ῥιζοτόμος. ποιεῖ πρὸς τὰς περὶ ἄρθρων διαθέσεις. ℞. ἁλῶν ὀρυκτῶν λίτραν α'. λιθαργύρου λίτραν α'. γλοιοῦ καθαρωτάτου λίτρας τέσσαρας, καὶ χαλβάνης < ν'. τρίβε ἅλας, λιθάργυρον, εἶτα ἐπιβαλὼν τὸν γλοιὸν ἀνακόπτε φιλοπόνως, καὶ βαλὼν εἰς ἄγγος κεραμοῦν, καὶ θεὶς ἐπὶ τὸ πῦρ, ἕψε κινῶν συνεχῶς, καὶ ὅταν ἀμόλυντον γένηται, ἄρας ἀπὸ τοῦ πυρὸς, ἐπίβαλλε τὴν χαλβάνην, κοπεῖσαν ὑπέρῳ ξυλίνῳ, καὶ
E
ὅταν διαλυθῇ, κατεράσας εἰς θυίαν, καὶ ἀνακόψας χρῶ. Ἄλλη ᾗ ἐχρήσατο Ἀνδρόμαχος, ποιεῖ πρὸς χοιράδας, παρωτίδας, καὶ τὰς ἐπὶ τῶν μαστῶν σκληρίας, καὶ τὰ κατὰ μέρος ἀποστήματα, τὸ παρακείμενον ὑγρὸν ἐπισπᾶται, καὶ κόλπους παρακολλᾷ. ποιεῖ πρὸς σύριγγας, αἰγίλωπας, ποιεῖ πρὸς ῥευματικὰ τῶν ἑλκῶν, χρόνια, καὶ δυσαλθῆ. ℞. ψιμμυθίου < π'. ἁλῶν ὀρυκτῶν < π'. χαλκάνθου < ιβ'. ἐλαίου παλαιοῦ κοτύλας γ'. ὄξους κοτύλας δ'. ἕψε λεωτάτους ἅλας, ψιμμύθιον μετὰ τοῦ ἐλαίου, καὶ κίνει μέχρις ἀμολύντου, καὶ ὅταν εὖ ἔχῃ, ἄρας ἀπὸ τοῦ πυρὸς, ἐπίβαλλε τὴν χάλκανθον
F
λεανθεῖσαν μετὰ ὄξους, καὶ μικρὸν ἐπιρραίνων συνεχῶς, καὶ προσέχων μὴ ἀναζέσῃ, ἔπειτα εἰς θυίαν ἐξεράσας, καὶ ἀνακόψας, ἀνελόμενος χρῶ.

CAPVT XV.

Quæ scripserit Asclepiades attrahentia.

Album attrahens; facit ad strumas, & parotidas, & particulares abscessus; curat fistulas, & ægylopas, vt sine incisione liberet; valet ad rheumatica, & curatu difficilia; benefacit hydropicis. ℞. argenti spumæ drachmas lxxx. cerussæ drach. lxxx. salis drachmas octoginta, olei veteris sextarium vnum. Sal, cerussa, argenti spuma ex oleo ipsis adiecto teruntur; deinde curiosè mixta, & in vas fictile coniecta, coquuntur; mouenturque assiduè, donec non inquinent; dehinc in mortarium transfusa, rursusque tunsa, excipiuntur, & vsui sunt. *Aliud.* ℞. argenti spumæ drachmas centum, cerussæ drachmas decem; salis drachmas quinquaginta, olei heminas tres, ceræ drach. quinquaginta, terebinthinæ drachmas duodecim; præparato ad modum prædictum. *Aliud.* ℞. mannæ drachmas sedecim, aluminis scissilis drachmas octo, olei veteris heminas duas. *Aliud.* ℞. argenti spumæ libram vnam, cerussæ libram j. salis fossilis libram vnam, ceræ drachmas quinquaginta, terebinthinæ drachmas vigintiquinque, mannæ drachmas sedecim, aluminis fissilis drachmas octo, olei veteris heminas duas, & dimidiam. *Aliud Lucij ad prædictas dispositiones medicamentum compositum; facit ad vlcera rheumatica, diuturna, & vix sanabilia.* ℞. argenti spumæ ʒ. c. cerussæ ʒ. c. salis ammoniaci ʒ. c. atramenti sutorij ʒ. c. pityinæ ʒ. c. olei veteris sextarios iij. aceti sextarium j. ceræ ʒ. l. præparato ad modum prædictum. *Aliud Salubre medicamentum ad prædictos affectus compositum.* ℞. argenti spumæ ʒ. c. cerussæ ʒ. c. salis ʒ. c. aluminis liquidi ʒ. c. olei veteris sextarios decem, aceti sextarium vnum, ceræ selibram, resinæ terebinthinæ selibram; conficito ad modum prædictum. *Aliud nigrum attrahens. Valet ad strumas, parotidas, & particulares abscessus, dissoluit omnem duritiem. Præstat item malagmatis boni vicem, sicut vsus est Antonius herbarius. Item facit ad articulorum vitia.* ℞. salis fossilis lib. j. argenti spumæ libram vnam, strigmenti purissimi libras quatuor, galbani drach. quinquaginta. Salem, & argenti spumam conterito, deinde strigmento adiecto studiosè rursus tundito; in vas fictile coniecta, ignique supraposita coquito, mouens sine requie; & quum non amplius inquinat, ab igne deposito galbanum ligneo pistillo tunsum addito; vbi soluta fuerint, in pilam transfundito, ibique contusis vtitor. *Aliud, quo vsus est Andromachus. Facit ad strumas, parotidas, mammarum duritias, particulares abscessus. Contentum humorem extrahit, sinus iungit, iuuat fistulas, ægylopas. Facit ad fluentia vlcera vetera, & vix sanabilia.* ℞. cerussæ drachmas octoginta, salis fossilis drachmas octoginta; atramenti sutorij drachmas duodecim, olei veteris heminas tres, aceti heminas quatuor. Salem in tenuissimum puluerem redactum cerussamque ex oleo coquito; ac dum non inquinet, moueto. Vbi bene habuerint, depositis ab igne atramentum sutorium aceto tritum immittito; & exiguum continuè inspergens, caue, ne efferuescat; deinde in mortarium transfusa, rursusque tunsa excipito, & vtitor.

CAP.

CAPVT XVI.

Quæ scripsit Asclepiades discutientia, ex illius verbis.

TVmoribus dissolutis, & in humorem digestis, infrascriptæ compositiones conueniunt. Cerine Ctesiphontis. Valet ad strumas, glanglia, parotidas, mammarum abscessus, vt nullum aliud medicamentum, tumores resoluit, & quicquid humidi continetur, rarefaciendo elicit. Sinus glutinat, iuuat fistulas, & ægylopas; vt citra incisionem liberet; est etiam malagma vtile ischiadicis, seu coxariis, idest coxæ morbo laborantibus, podagricis, arthriticis, post accessiones impositum toto affectu leuat.* Hæc recipit ceræ libram vnam, terebinthinæ libram vnam, nitri libram vnam, olei veteris libram vnam, aquæ heminam vnam. Nitrum & aquam terito, vt ex toto soluantur: & in vas fistile coniecta igni imponito; vase cooperto coquito, ex interuallis moueto. Quum autem strepere adeò desierit, liquabilia iniicito, mouens assiduè, donec non inquinent; in mortarium transfusa rursus tundito, inde excipiens vtitor. Vel hac ratione præparatur; quæ liquari possunt, prius liquefacimus; & quum dissoluta fuerint, nitrum ex aqua læuigatum adiiciemus, idque paulatim mouentes assiduè, cauentesque ne efferuescat. *Alia, qua vsus est Menecrates, præcipue in Strumis, & Mammarum duritie, quippe perforat eas, & contentum humorem excernit; sinus iungit, & ad cicatricem perducit.* ℞. Ceræ libram vnam, resinæ terebinthinæ, libram vnam, resinæ lignosæ, libram vnam, galbani, libram vnam, olei veteris libram vnam, aphronitri libram vnam, myrrhæ cineris sextarium, qui pendit vncias tres. Resinas in vas æreum, aut fictile iniectas, ignique impositas, liquefacito. Vbi percolaueris quantum satis est galbano emolliendo, postea liquabilia simul mixta, quousque non inquinent, coquito; deinde ab igne reposita refrigerari finito; & his aphronitrum adiungito, mouens continuè; & contusa cineribus læuissimis iniicito; postquam permiscueris, excipito, & vtitor; quinto quoque die soluito, deinde terito, donec tumores forati fuerint; postea quotidie inter curandum soluito. *Alia ex Aphronitro, à quibusdam Dionysia dicta, medicamentum ad prædictos affectus compositum, quo vsus est Largus.* ℞. ceræ libram vnam, terebinthinæ libram vnam, mannæ libram vnam, aphronitri libram vnam; olei sextarium vnum, aquæ lutulentæ sextarium vnum, misyos crudi vncias duas: componito, sicut dixi. *Aliud ex Asio, medicamentum ad prædicta vitia compositum.* ℞. ceræ lib. j. terebinthinæ lib. j. nitri lib. j. thuris selibram: lapidis Asij floris selibram; olei Cyprini, selibram: aquæ lutificæ, quod satis est. Arida cum aqua lutifica dissoluuntur, vt sordium crassitudinem habeant, & studiosè læuigantur; quæ liquari possunt, liquefiunt, & refrigerantur, tritis immittuntur: vbi contuderimus, excipientes vtimur. *Aliud Asianum Neapolitæ, facit ad eadem* ℞. ceræ lib. j. ß. nitri rubri libram vnam, lapidis Asij floris lib. j. ß. mannæ selibram, myrrhæ ℥. iij. olei veteris lib. j. aquæ lutificæ heminam j. præparatur superiore modo. *Aliud ad easdem affectiones.* ℞. celræ ʒ. c. terebinthinæ ʒ. c. nitri spumæ lib. i. olei veteris libram vnam, mannæ thuris libram vnam;

ΚΕΦΑΛΑΙΟΝ Ις΄.

Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι διαφορητικαί, κατὰ τὴν ἐκείνου λέξιν.

ΤΩν δὲ ὄγκων διαλυθέντων, καὶ εἰς ὑγρὸν ἀναδοθέντων, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. κηρίνη Κτησιφῶντος, πρὸς χοιράδας, γαγγλία, παρωτίδας, καὶ τὰς ἐπὶ τῶν μαστῶν ἀποστάσεις, ὡς οὐδὲν ἄλλο τῶν φαρμάκων, τούς τε ὄγκους διαλύει, τό τε περιεχόμενον πᾶν ὑγρὸν κομίζεται διὰ τῶν ἀραιωμάτων, καὶ τοὺς κόλπους παρακολλᾷ. ποιεῖ πρὸς σύριγγας, αἰγίλωπας, ὥστε χωρὶς τομῆς ἀπαλλάττειν. ἔστι δὲ καὶ μάλαγμα ἀγαθὸν, ἰσχιαδικοῖς, ποδαγρικοῖς, ἀρθριτικοῖς μετὰ τοὺς παροξυσμοὺς ἐπιτιθέμενον, τῆς ὅλης διαθέσεως ἀπαλλάττειν, τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ℞. κηροῦ λίτραν α΄. τερμινθίνης λίτραν α΄. νίτρου λίτραν α΄. ἐλαίου παλαιοῦ λίτραν α΄. ὕδατος κοτύλην α΄. τρίβε νίτρον καὶ ὕδωρ, ὥστε παντελῶς διαλυθῆναι, καὶ βαλὼν εἰς ἄγγος κεραμεοῦν, καὶ θεὶς ἐπὶ τὸ πῦρ, ἕψε πωμάσας τὸ ἄγγος, καὶ ἐκ διαλειμμάτων κινῶν. ὅταν δὲ ὁ πολὺς ψόφος ἀπολήξῃ ἐπίβαλλε τὰ τηκτὰ, κινῶν συνεχῶς μέχρις ἀμολύντου, εἰς θυίαν ἐξερά σας, καὶ ἀνακόψας ἀναιρούμενος χρῶ, ἢ σκεύαζε κατὰ τὸν τρόπον τοῦτον. τὰ τηκτὰ τήκεται, καὶ ὅταν διαλυθῇ, ἐπιβαλλόμεθα τούτοις τὸ νίτρον λεανθὲν μετὰ τοῦ ὕδατος, καὶ κατὰ μικρὸν ἐπιβάλλοντες, καὶ κινοῦντες συνεχῶς, καὶ προσέχοντες μὴ ἀναζέσῃ. Ἄλλη, ᾗ ἐχρήσατο Μενεκράτης, ἰδίως ἐπὶ τῶν χοιράδων, καὶ ταῖς ἐπὶ τῶν μαστῶν σκληρίαις, κατατιτρήσει γὰρ αὐτὰς, καὶ τὸ περιεχόμενον ὑγρὸν ἐκκρίνει, καὶ τοὺς κόλπους παρακολλᾷ, καὶ εἰς οὐλὴν ἄγει. ℞. κηροῦ λίτραν α΄. ῥητίνης τερμινθίνης λίτραν α΄. ῥητίνης ξυλώδους λίτραν α΄. χαλβάνης λίτραν α΄. ἐλαίου παλαιοῦ λίτραν α΄. ἀφρονίτρου λίτραν α΄. σμύρνης τέφρας ξέστην α΄. ὃς ἄγει οὐγγίας γ΄. τὰς ῥητίνας βαλὼν εἰς ἄγγος χαλκοῦν, ἢ κεραμεοῦν, καὶ θεὶς ἐπὶ τὸ πῦρ τῆκε, καὶ διυλίσας ἐκ τούτων, ὅσον ἐξαρκεῖ διαλῦσαι τὴν χαλβάνην, ἔπειτα ὁμοῦ τὰ τηκτὰ μίξας, ἕψε μέχρις ἀμολύντου, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς, ἔα ψυγῆναι, καὶ τούτοις ἐπίβαλλε ἀφρόνιτρον, καὶ κινῶν συνεχῶς, καὶ ἀνακόψας, ἐπίβαλλε ταῖς τέφραις λειοτάταις, καὶ ἀναμίξας ἀναιρούμενος χρῶ, λύων διὰ ε΄. εἶτα διὰ τρίτης, ἕως κατατρηθῇ τὰ περὶ τοὺς ὄγκους, εἶτα καθ' ἡμέραν λύων θεράπευε. Ἄλλη ἡ διὰ τοῦ ἀφρονίτρου ὑπό τινων δὲ Διονυσία λεγομένη, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς προειρημένας διαθέσεις, ᾗ ἐχρήσατο Λάργος. ℞. κηροῦ λίτραν α΄. τερμινθίνης λίτραν α΄. μάννης λίτραν α΄. ἀφρονίτρου λίτραν α΄. ἐλαίου ξέστην α΄. ὕδατος πηλοποιϊκοῦ ξέστην α΄. μίσυος ὠμοῦ οὐγγίας β΄. συντίθει κατὰ τὸν τρόπον. Ἄλλη ἡ διὰ τοῦ Ἀσίου, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς προειρημένας διαθέσεις. ℞. κηροῦ λίτραν α΄. τερμινθίνης λίτραν α΄. νίτρου λίτραν α΄. λιβάνου ἡμιλίτριον, λίθου Ἀσίου ἄνθους ἡμιλίτριον, ἐλαίου κυπρίνου ἡμιλίτριον, ὕδατος πηλοποιϊκοῦ τὸ αὔταρκες, τὰ ξηρὰ διαλύεται πηλοποιϊκῷ, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος, καὶ λεαίνεται φιλοπόνως. τὰ δὲ τηκτὰ τήκεται καὶ ψύχεται, καὶ τοῖς λεανθεῖσιν ἐπιβάλλεται, ἀνακόψαντες, καὶ ἀναιρούμενοι χρώμεθα. Ἄλλη Ἀσιανὴ τοῦ Νεαπολίτου, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℞. κηροῦ λίτραν α΄ S΄΄. νίτρου ἐρυθροῦ λίτραν α΄. λίθου Ἀσίου ἄνθους λίτραν α΄ S΄΄. μάννης ἡμιλίτριον, σμύρνης οὐγγίας γ΄. ἐλαίου παλαιοῦ λίτραν α΄. ὕδατος πηλοποιϊκοῦ κοτύλην α΄. σκεύαζε κατὰ τὸν τρόπον. Ἄλλη, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℞. κηροῦ < ρ΄. τερμινθίνης < ρ΄. νίτρου ἀφροῦ λίτραν α΄. ἐλαίου παλαιοῦ λίτραν α΄. μάννης λιβάνου λίτραν α΄.

λίθου Ἀσίου ἄνθους ἡμίλιτρον, χαλβάνης < ιβ'. προπόλεως < ιβ'. ἀμμωνιακοῦ θυμιάματος < ιβ'. ὕδατος πηλοποιϊκοῦ τὸ αὔταρκες. Ἄλλη κιρρὰ ἐκ τῶν Δαμοκράτους, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℞. λιθαργύρου λίτραν α'. ψιμμυθίου λίτραν α'. ἁλὸς ὀρυκτοῦ λίτραν α'. μίλτου σινωπίδος ἡμίλιτρον, κηροῦ ℥ β'. χαλβάνης ℥ β'. τερμινθίνης ℥ β'. ἐλαίου παλαιοῦ κο γ'. ὄξους, ὥστε τὴν Σινωπίδα λῦσαι, σκεύαζε κατὰ τρόπον. Ἄλλη, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℞. λιθαργύρου λίτραν α'. ψιμμυθίου λίτραν α'. ἁλὸς ὀρυκτοῦ λίτραν α'. μίλτου Σινωπίδος ἡμίλιτρον, κηροῦ ℥ δ'. χαλβάνης ℥ β'. ῥητίνης τερμινθίνης ℥ β'. ἐλαίου παλαιοῦ κο γ'. ὄξους, ὥστε τὴν Σινωπίδα διαλῦσαι, σκεύαζε κατὰ τρόπον. Ἄλλη ἡ διὰ τῆς μαστίχης, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℞. κηροῦ λίτραν α'. μαστίχης, μάννης λιβάνου, Σινωπίδος, ἀφρονίτρου, ἀνὰ ἡμίλιτρον, ἐλαίου μυρσίνου ℥ γ'. θαλάσσης κο γ'. Ἄλλη ἡ τοῦ Νεαπολίτου, ποιεῖ πρὸς τὰς προειρημένας διαθέσεις. ℞. λιθαργύρου λίτραν α'. ψιμμυθίου λίτραν α'. ἁλῶν ὀρυκτῶν λίτραν α'. μίλτου Σινωπίδος ἡμίλιτρον, κηροῦ ἡμίλιτρον, πιτυίνης ἡμίλιτρον, χαλβάνης ℥ β'. ἐλαίου κο γ'. ὄξους τὸ ἱκανόν.

A lapidis Asij floris selibram; galbani drach. duodecim, propolis drachmas duodecim, guttæ ammoniaci drachmas duodecim; aquæ lutificæ, quod sufficit. *Aliud giluum ex libris Damocratis, eadem efficiens.* ℞. argenti spumæ libram vnam, cerussæ libram vnam, salis fossilis libram vnam, minij sinopici selibram, ceræ vncias duas, galbani vncias duas, terebinthinæ vncias duas, olei veteris heminas tres, aceti quantum sinopico soluendo sufficit; conficito, vt superiora. *Aliud ad eadem.* ℞. argenti spumæ lib. j. cerussæ libram vnam, salis fossilis libram vnam; minij sinopici selibram; ceræ vncias quatuor, galbani vncias duas, resinæ terebinthinæ vncias duas, olei veteris heminas tres, aceti quo rubrica dissoluatur; conficito, vt dixi. *Aliud ex mastiche ad eadem.* ℞. ceræ libram vnam; mastiches, mannæ thuris, sinopidis, aphronitri, singulorum selibram; olei myrtei vncias iij. marinæ aquæ heminas tres. *Aliud Neapolitæ ad eadem.* ℞. argenti spumæ libram vnam, cerussæ libram vnam, salis fossilis libram vnam, minij sinopici selibram, ceræ selibram, pityinæ selibram: galbani vncias duas, olei heminas tres, aceti quantum satis est.

B

C

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Αἱ ὑπὸ Δαμοκράτους γεγραμμέναι διαφορητικαί.

Ἔμπλαστρος ἀγαθὴ διαφοροῦσα, μήλινη,
Τὰς μὴ παλαιὰς χοιράδας τῶν παιδίων,
Τὰς πρὸς μύας τε, καὶ τὸ δέρμα σκληρίας,
Καὶ τὰς μενούσας φλεγμονὰς πλέω χρόνον,
Πληροῖ τε σάρκα, καὶ εἰς ἐπούλωσιν ἄγει.
Σκευάζεται δ' οὕτως, καλῆς λιθαργύρου
Τὸ πολὺ λίτραν, ψιμμυθίου, ἡμίλιτρον,
Τούτοις παραδίδωσι λίτραν νέου
Ἐλαίου λιπαροῦ, τὴν λιθάργυρον βαλὼν,
Ἕψε μετ' ἐλαίου, καὶ ῥυπῶδες τῷ πάχει
Ποιῶν, προσαπόδος ψιμμυθίου λεῖον τότε.
Ὅταν δ' ἴδῃς ἀμόλυντον, εὔκρατόν τ' ἄγαν,
Μικρῷ γε μᾶλλον σκληροτέραν, προσέμβαλε
Κηροῦ, πιτυίνης, ὧν τακέντων, τὴν χύτραν
Ἀπὸ τοῦ πυρὸς ζέουσαν ἄρας, τότε
Βάλλ' ἀμμωνιακὸν, χερσὶ καὶ τοῖς δακτύλοις
Πλατυνθεὶς, ὡς εἴωθε, κηρὸς παρὰ πυρὶ,
Ἔπειτα κινῶν τῇ σπάθῃ τὸ φάρμακον,
Καὶ πάλιν μαλάσσων χερσίν· οὕτως ἀποτίθου.

Ἄλλη.

Ἄλλη πρὸς πάντα ταῦτα. τὰς δὲ χοιράδας
Μᾶλλον διαφορεῖ, τοὺς πονοῦντας δ' ὠφελεῖ,
Ἔχοντας εὐλάβειαν εἰς ἀπόστασιν
Ὑποχονδρίου μετά τινος ὄγκου καὶ φόβου.
Μέλαινα δ' οὖσα, σκευασίαν ταύτην ἔχει,
Πίσσης διύγρου, καὶ ξηρᾶς λίτρας β'.
Πυκνῆς τε ὑελώδους πρόσβαλ' ἀσφάλτου β'.
Φρυκτῆς πιτυίνης δ'. κηροῦ δὲ γ'.
Λιβάνου δὲ λίτραν α'. καὶ μέρος τρίτον,
Χαλκοῦ δὲ λεπίδος οὐγγίας δὶς δ'.
Κοινοῦ ἐλαίου προσφάτου ε'. οὐγγίας,
Λεῖε λίβανόν τε καὶ λεπίδα, παρεγχέων
Ὄξους τὸ μέτριον, καὶ λεαίας ἐπιμελῶς
Πάχος ποιήσας μέλιτος, ἕψησον τότε
Κηρόν τε καὶ τὰ λοιπὰ μετ' ἐλαίου νέου,
Οὕτως τε κατάχει θερμὰ τῶν λελεασμένων,
Μίξας τ' ἐπιμελῶς πάντα χερσὶν εὐτόνως,
Ἀπόθου, φυλάττων δέρματι σκεπασμένην,
Ποιεῖ γὰρ ἐπίπαγόν τε καὶ τραχύνεται.

CAPVT XVII.

Discussoria scripta à Democrate.

AD digerendum Melinum emplastrum efficax
Infantium strumas non veteres, insuper
Et duritias musculorum, item, & cutis,
Et phlegmonas, quæ durant multo tempore,
Carnem replet, ducit cicatricem probè,
Sic conficitur. Excellentis lithargyri
Plerunque libram, item cerussæ selibram,
Ad hæc recepta pondo libram quoque noui
D *Pinguis olei. Immissa est ollæ lithargyrus*
Ex oleo coquitur: vbi iam spißitudinem
Habet sordis, leuem cerussam tum capit.
Quum non inficiens, temperie, & bona admodum,
Pauloque durius videris, immittitur
Cera, & pityina: quibus liquatis ollula
Ab igne feruens tollitur; tunc protinus
Ammoniacum, tum cera manibus, vt solet,
Atque digitis subacta iuxta ignem, inditur.
Postea mouetur pharmacum rudicula.
Rursusque mollitur manibus; sic conditur.

Aliud.

E *Aliud ad omnia hæc. Strumas ipsas verò*
Magis resoluit, & laborantes iuuat,
Præcordia ne abscessus, quibus est cautio,
Tumore quopiam, atque metu exerceat.
Hanc obtinet confecturam, nigrum quia est
Picis humidæ, siccæ, pondo libras duas.
Densique vitrei duas bituminis,
Frictæ pityinæ quatuor, ceræ capit
Tres, thuris vnam libram, & partem tertiam,
Squamæ æris vncias pariter bis quatuor.
Recentis olei communis quinque vncias.
F *Thus, squama teritur, quibus aceti apponitur*
Mensura iuxta. Vt curiosè trita sunt,
Et craßitudinem mellis tenent, coques;
Ceram, reliquaque, tum simul oleo nouo;
Et sic læuigatis calida supra fundito.
Vbi diligenter manibus omnia robore
Commiscueris, contectum pelle condito.
Nam exasperantur, crustula, atque obducitur.

Damocratis

A Damocratis compositiones ex sale, discussoriæ.

Hoc præparato simul, vt præstans pharmacum.
Bonæ cerussæ, & argenti spumæ bonæ,
Cuiusque pondo, denasque salis vncias.
(Omnis verò est sal albus multum pharmaco
Futuro vtilis; atqui longè præstantior
Ammoniacus, confectus, & purus mari)
Et tres vetusti libras olei pondere.
Oleum coquito, reliqua, & trita simili modo
Quò duriora adusque sint malagmate:
Nam seposita multo remollescunt magis.

B Aliud.

Aliud melius, nam duritias discutit
Cunctis valentius inueteratas nimis.
Et bronchocelas, & magnas meliceridas,
Et contumaces strumas, nec non ancylas.
Sic conficitur. Libram salis leuissimi
Tenuis, duas cerussæ, tot at galbani,
Fac vncias, totidem puræ propoleos,
Aristolochiæ binas pariter vncias,
Præstantis olei libras annosi duas,
Crassissimum si fuerit, addes alteram.
Coquito similiter, temperatumque probè
C *Ab igne tollito; leuigatam tunc quoque*
Aristolochiam insperges, inieceris vbi
Mollita, propolim scilicet, atque galbanum.

Aliud ad discutiendum Damocratis ex calce viua.

Valdè bonum, strumas soluit per halitum,
Omnem tumorem reprimit; nec non hepatis
Vel splenis affectus aquosos curat, &
Excretionem vrinæ valdè promouet,
Et inueteratas dissoluit coxendices.
Nempe Vlpianus hoc iuuenis industrius
Vtens auxiliabatur ægris plurimis
D *Sed continet libram ceræ vnam ponticæ,*
Vnamque frictæ, præterea vnam pityinæ,
Calcis recentis viuæ quoque pondo vnciam,
Aluminis fissi similiter vnciam,
Æquale pondo arsenicique pontici.
His suaueolentis paulum aceti affundito.
Maiore tere in mortario, quoad sit satis.
Ceræque resinæ miscens paululum
Olei, liquato flamma ignis quamacerrimi.
Ac temperans omnia, faciens malagmata.
Nec pharmaci inquinantis crassitudinem
E *Reponito. Vtens excipe nouo splenio.*
Aiebat optimus medicamenti pater
Morbis diuturnis præsidium suscipi
Istud bonum, quibus item longa visceris
Cuiuslibet inflammatio præcordia
Indurauerit, auxiliari, vel maximè.
Quippe id sudores excitat, præcordiis
Duritiem tollit, morbos soluit protinus.
Retenta naturalia diu menstrua,
Paucis diebus adeo impositum prouocat.
Nos calce dempta, duplum alumen indimus,
Et melius pharmacum erat, haud faciens pustulas.

Αἱ δι' ἁλῶν διαφορητικαὶ Δαμοκράτους.

Σκεύαζε καὶ τοῦτ', ὡς κράτιστον φάρμακον.
Καλοῦ ψιμμυθίου, καὶ καλῆς λιθαργύρου,
Λίτρας ἑκάστης, καὶ ἁλῶν δέκ' οὐγγίας.
Ἅλας δὲ ἐστι πᾶν τὸ λευκὸν εἰς φάρμακον
Ἱκανῶς εὔχρηστον, ἀλλὰ βέλτιον πολὺ
Ἀμμωνιακόν τε, καὶ καθαρὸν θαλάσσιον,
Καὶ τρεῖς ἐλαίου πολυετοῦς λίτρας σταθμόν.
Ἕψε δὲ ἔλαιον, καὶ τὰ λοιπὰ ὁμοίως λεῖα,
Ἕως γένηται σκληρότερα μαλάγματος,
Ἀποκείμενα γὰρ γίγνεται μαλακώτερα.

Ἄλλη.

Ἄλλη ἀμείνων, διαφορεῖ γὰρ σκληρίας.
Πασῶν ἄμεινον τὰς ἄγαν κεχρονισμένας,
Καὶ βρογχοκήλας, καὶ μεγάλας μελικηρίδας,
Τὰς δυσμεταβόλους χοιράδας, τάς τ' ἀγκύλας.
Σκεύαζε δ' οὕτως, ἁλὸς λειοτάτου λίτραν,
Δύο τε λιτοῦ ψιμμυθίου, καὶ χαλβάνης
Οὐγγίας β'. τὸ δ' αὐτὸ καθαρᾶς προπόλεως,
Ἀριστολοχίας, χαλβάνης ἴσον μέρος,
Καλοῦ τ' ἐλαίου πολυετοῦς λίτρας β'.
Ἂν δ' ᾖ παχύτατον, πρόσβαλε ἄλλην μίαν,
Ἕψει δ' ὁμοίως καὶ καλῶς κεκραμένην.
Ἀπὸ τοῦ πυρὸς βάσταζε, καὶ λείαν τότε
Ἀριστολοχίαν ἐπιπάσσεις, προσεμβαλὼν
Μεμαλαγμένην πρόπολίν τε καὶ τὴν χαλβάνην.

Ἄλλη διαφορητικὴ Δαμοκράτους δι' ἀσβέστου.

Λίαν ἀγαθή, διαφοροῦσα χοιράδας,
Στέλλουσα πᾶν οἴδημα, καὶ τὰς ἥπατος,
Ἢ σπληνός γ' ὑδαρεῖς διαθέσεις ἰωμένη,
Οὔρων ἄγουσα δαψιλεῖς τὰς ἐκκρίσεις,
Τὰς ἰσχιάδας λύει τε τὰς κεχρονισμένας.
Ταύτῃ Οὐλπιανὸς εὐφυὴς νεανίας
Χρώμενος, ὠφέλει πολλοὺς πάνυ.
Ἔχει δὲ λίτραν Ποντικοῦ κηροῦ μίαν,
Μίαν τε φρυκτῆς, καὶ μίαν τῆς πιτυΐνης,
Ἀσβέστου τε προσφάτου οὐγγίαν α'.
Στυπτηρίας τε σχιστῆς οὐγγίαν α'.
Ἴσον δ' εἰς τούτων ἀρρενικοῦ τοῦ Ποντικοῦ.
Τούτοις παραχέας ὄξος εὐῶδες, βραχὺ
Λέαινε ἐφ' ἱκανὸν ἐν θυίᾳ μείζονι,
Κηρῷ δὲ ῥητίνῃ τε, προσβαλὼν βραχὺ
Ἔλαιον, τήξας ἐπὶ πυρὸς λάβρου φλογός,
Μιγνύς τ' ἐπιμελῶς πάντα, καὶ μαλάγματα.
Ποιῶν τ' ἀμολύντου τὸ πάχος, ἔχ' ἀποκείμενον.
Χρώμενος ἐφ' ὧν δεῖ προσφάτῳ τῷ σπληνίῳ.
Ἔλεγε δ' ὁ Κράτιστος, καὶ πατὴρ τοῦ φαρμάκου,
Καὶ πρὸς νόσων τε τῶν μακρῶν ἀπαλλαγάς,
Εὔχρηστον εἶναι καὶ καλὸν τὸ φάρμακον,
Ἐφ' ὧν τε χρόνιος φλεγμονὴ σπλάγχνων τινὸς
Ὑποχόνδριον πεποίηκε σκληρόν, ἢ μέγα
Σφόδρ' ὠφελεῖν, ἱδρῶτας γὰρ ἐπιφέρει,
Καὶ τὰς σκληρίας λύει τῶν ὑποχονδρίων,
Ἀπαλλαγάς τε τῶν νόσων ποιεῖ ταχύ,
Καὶ τὰς ἐποχὰς δὲ τῶν φυσικῶν καταμηνίων
Ἄγει βραχείαις ἡμέραις ἐπικείμενον.
Ἐγὼ δ' ἀφαιρῶν τὴν τίτανον, στυπτηρίαν
Διπλῆν ἔβαλλον, καὶ τὸ φάρμακον ποιοῦν
Ἄμεινον ἔγνων, οὐ ποιοῦν τὰ ψυδράκια.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΓΕΝΗ, ΒΙΒΛΙΟΝ Ζ'.

GALENI DE COMPOSITIONE MEDICAMENTORVM PER GENERA, LIBER SEPTIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Ζ'. ΒΙΒΛΙΩι.

Διέρχεται ὑπὲρ τῶν μαλακτικῶν τε καὶ χαλαστικῶν, καὶ ἀκόπων ἐμπλάστρων.

ARGVMENTVM LIBRI SEPTIMI.

Agit de emollientibus, laxantibus, & laborem tollentibus emplastris.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τίνα ἐστὶ τὰ μαλακτικὰ τῶν φαρμάκων, περὶ μεθόδου τῆς χρήσεως αὐτῶν· περὶ τῶν σκληρυνομένων μορίων, καὶ σκίῤῥου.



ΑΛΑΓΜΑΤΑ καλοῦσιν οἱ ἰατροὶ τὰ A τῶν ἐσκληρυσμένων σωμάτων παρὰ φύσιν μαλακτικά, θερμῆς μὲν ἅπαντα κράσεως ὄντα μετρίας, οὐ μὴν ξηραίνοντά γε, καθάπερ οὐδὲ ὑγραίνοντα σαφῶς. μέσα γάρ πως ὄντα τά γε ἀκριβῶς μαλακτικὰ τῶν ὑγραινόντων τε καὶ ξηραινόντων, οἷον χύσιν τινὰ τῆς οὐσίας τῶν σκληρυνομένων ἐργάζεται. καλεῖται δὲ μαλακτικά, κἂν ἐφ' ἑτέρων βραχὺ παραλλάττῃ, πρός τε τὸ ξηραίνειν καὶ ὑγραίνειν, ἐὰν μόνον αὐτοῖς ὑπάρχῃ τὸ χεῖν τὴν ὑποκειμένην οὐσίαν, ὧν ψαύει μορίων, ὃ γίνεται δηλονότι διὰ τὸ μετρίαν αὐτοῖς εἶναι θερμότητα. καὶ ὅτι γε μετὰ τὸ χυθῆναι B τὴν σκληρότητα, τῶν διαφορητικῶν ἐστι χρεία φαρμάκων, εἴρηται κατά γε τὸ ε'. τῆς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως, καὶ τὸ ιδ'. τῆς θεραπευτικῆς μεθόδου. ἡ μὲν οὖν ἀρίστη θεραπεία τῶν σκληρυνομένων, ἃ δὴ καὶ σκιῤῥοῦται, μὴ θεραπευθέντα διὰ τῆς κατὰ μέθοδον ἰατρικῆς, γίνεται τοῦ θεραπεύοντος θεωροῦντος ἐπὶ πόσον ἡ τοῦ θεραπευομένου σώματος οὐσία προήκει φύσεως, παρὰ τὴν σύμμετρον ὑγρότητα καὶ ξηρότητα, καθάπερ γε καὶ τὴν τοῦ πάθους αὐτοῦ σύστασιν, εἰς ὅσον ηὔξηται, καὶ πρὸς τούτοις ἐν αὐτοῖς τοῖς μαλάττουσι φαρμάκοις, τὸ μᾶλλόν τε καὶ ἧττον. εἰς ταῦτα γὰρ ἀποβλέποντι σοι στοχαστικὴ μὲν, ἀλλὰ μετὰ τέχνης ἡ πρώτη χρῆσις τοῦ μαλακτικοῦ ἔσται φαρμάκου. μετὰ δὲ μίαν, ἢ β'.

CAPVT PRIMVM.

Quæ sint medicamenta emollientia; de ratione vsus ipsorum; de indurescentibus partibus, ac de scirrho.



ALAGMATA vocant medici, quæ partes præter naturam induratas emolliunt, calida omnia temperamento mediocri prædita, non tamen exiccantia, quemadmodum nec humectātia manifestò. Nā quum exactè mollientia medium quodammodo ordinē inter humectantia, siccantiaque sortiantur, indurescentium substantiæ veluti fusionem quandam moliuntur. Nominantur autem malactica, idest, *mollientia*, licet in aliis paululum ad siccandi humectandique virtutem inclinent, si modò subiectā partium, quas contingunt, substantiam queant diffundere, quod nimirum propter moderatum in eis calorem accidit. Ac quòd vbi durities diffusa fuerit, discutientium medicamentorū vsus veniat, in quinto de simplicium facultate medicamentorum, & in decimo quarto therapeutices Methodi libro comprehensum est. Indurescentia igitur, quæ ex recta medendi methodo non curata scirrhum contrahunt, optimè curabuntur, si medicus spectet, quantum ægri corporis substantia à mediocri humiditate, ac siccitate recesserit; quemadmodum etiam si affectus constitutionem, quatenus sit aucta, inspiciat; præterea consideret inter ipsa medicamenta, quæ magis, quæ minus, emolliant. Huc namque spectanti primus vsus emollientis medicamenti, coniecturalis quidem erit, sed cum artificio. At post vnum, aut alterum diem

A diem num intendere medicamenti virtutem, an remittere conueniat, intelliges, vt in prioribus, & medendi Methodo dictum est. Quapropter medici emollientia, & discutientia medicamenta composuerunt, ceu scopos ambos sibi proponentes, tum vt partis duritiem, quæ iam in scirrhum degenerat, diffunderent; tum vt per halitum discuterent; non vicissim vtroque vtentes, quemadmodum me frequenter facere conspicitis, verùm semper duo ipsa composito medicamento mollientes. Notum porrò est omnibus, in mixtura, vel emollientia, vel discutientia esse copiosiora, tum maioris, minorisque rationem in ipsis esse non exiguam. B Constat quoque subinde paria facultatibus misceri; ac necesse est, sicut in aliis medicamentis, ita in his etiam, si probè mederi cupias, plura eiusdem generis medicamenta, vel certè duo parata habeas, validissimum puta totius generis, & moderatissimum, vt ex varia ipsorum mixtura conuenienti facta, multa quæ intra summa contineantur, medicamenta efficias. Non enim adeps eandem facultatem obtinet, quam bdellium, styrax, & gutta ammoniaci; quemadmodum nec inter ipsos adipes anserinus, & gallinaceus, vel pardi, vel leonis, vel hyænæ, vel alterius cuiuspiam animalis; C nam secundum animalis temperamentum etiam adeps est, nempè calidiorum magis calefacit, sicciorum verò euidentius siccat. At vulgus medicorum nouit leoninum adipem in vtroque calefaciendo dico, & digerendo, longè esse valentissimum. Proximum locum habet pardi adeps, adeò vt parum emolliat. Minore autem in calefaciendo, ac discutiendo præditus virtute est anserinus, habetque plus quiddam in molliendo; pari spatio ab hoc recedit adeps gallinaceus. Hi igitur omnes tenuiorum partium substantiam inter quadrupeda animantia obtinent. D At differentia rursus permagna in illis est, quum suillus quidem mollissimus, ac humidissimus, eoque aliorum imbecillimus sit, vt teneris corporibus conueniat, cuiusmodi habent mulieres, pueri, eunuchi, & viri delicatiores, in vmbra, ocio, & frequentibus potabilis aquæ balneis, effœminati. Caprarum verò, & boum pingue, quanto suillo est validius, tanto magis corporibus natura durioribus; & inter duriora scirrhosioribus conuenit; taurorum, hircorumque in validioribus, tum corporibus, tum affectibus proficit. Eadem verò, & aliis E in minoris, maiorisque ratione inter se est differentia. Porrò ab imbecillioribus auspicabor, si priùs de duritiei, ac scirrhi affectu quædam prælibauero. Nam quum phlegmone laborantibus, & indurescentibus commune sit accidens, digitis prementibus reniti, distinguuntur affectus doloris sensu, & indolentia; hoc enim non amplius vtrisque commune est. Quemadmodum verò in aliis omnibus, quæ suaptè natura recidere in se mutuò possunt, inest confinium vtriusque aliquatenus particeps, ita quoque vlcerum phlegmonosorum, cum scirrhis absque phlegmone, quales induratis accidunt, media quædã est dispositio, F doloris quidem expers, si non digitos imprimas, dolens antè si id facias; quam clarioris breuiorisque disciplinæ gratia, vel phlegmonẽ scirrhosam, vel scirrhum phlegmonosum dicemus, non hic tumoris magnitudini animum attendentes. Nã phlegmone, & scirrhus nomina sunt formæ affectuum, non quantitatis in altero ipsorum; quum phleg-

A ἡμέραν, εἴτ' ἐπιτεῖναι προσήκεν, εἴτ' ἐκλῦσαι τὴν δύναμιν τοῦ φαρμάκου νοήσεις, ὡς ἐπί τε τῶν ἔμπροσθεν εἴρηται, καὶ κατὰ τὴν θεραπευτικὴν μέθοδον. οἱ μὲν οὖν ἰατροὶ συνέθεσαν φάρμακα μαλακτικὰ καὶ διαφορητικά, ὡς πρὸς ἀμφοτέρους ἀποβλέποντες τοὺς σκοπούς, τόν τε τῆς χύσεως τοῦ ἐσκληρυσμένου καὶ σκιρρουμένου μορίου, τόν τε τῆς διαφορήσεως, οὐκ ἐναλλὰξ ἑκατέρῳ χρώμενοι, καθάπερ ἐμὲ πράττοντα βλέπετε πολλάκις, ἀλλ' ἀεὶ τὰ δύο διὰ τοῦ συνθέτου φαρμάκου ποιοῦντα. εὔδηλον δ' ὅτι κατὰ τὴν μίξιν, ἤτοι τὰ μαλάττοντα πλεονά ἐστιν, ἢ τὰ διαφοροῦντα, B καὶ τό γε μᾶλλόν τε καὶ ἧττον ἐν αὐτοῖς οὐκ ὀλίγον. εὔδηλον δὲ ὅτι πολλάκις ἴσα ταῖς δυνάμεσι μίγνυνται, καὶ χρὴ καθάπερ ἐπὶ τῶν ἄλλων φαρμάκων, οὕτως κἀπὶ τούτων παρασκευάσασθαι τὸν βουλόμενον καλῶς ἰατρεύειν, πλείω φάρμακα τῶν ὁμογενῶν, ἢ πάντως γε δύο μίγνυσθαι, τό τε ἰσχυρότατον ἐν τῷ γένει, καὶ τὸ μετριώτατον, ἵνα ἐκ τῆς διαφόρου μίξεως αὐτῶν, ἐπικαίρου γινομένης, ἐργάζηται τὰ μεταξὺ τῶν ἄκρων πάμπολλα φάρμακα. οὐ γὰρ τὴν αὐτὴν ἔχει δύναμιν τὸ στέαρ, βδελλίῳ τε καὶ στύρακι, καὶ ἀμμωνιακῷ θυμιάματι, καθάπερ οὐδὲ αὐτῶν τῶν στεάτων, τὸ χήνειόν τε καὶ ὀρνίθειον, ἢ C παρδάλειον, ἢ λεόντειον, ἢ ὑαίνης, ἢ τινος ἄλλου ζώου. κατὰ γὰρ τὴν κρᾶσιν τοῦ ζώου, καὶ τὸ στέαρ ἐστί, τῶν μὲν θερμοτέρων θερμαντικώτερον, τῶν δὲ ξηροτέρων ξηραντικώτερον, καὶ γινώσκουσί γε οἱ πολλοὶ τῶν ἰατρῶν, ἰσχυρότατον μὲν εἶναι κατ' ἄμφω, λέγω δὴ τὸ θερμαίνειν τε καὶ διαφορεῖν, τὸ τοῦ λέοντος στέαρ. ἑξῆς δὲ αὐτῷ τὸ τῶν παρδάλεων, ὡς ὀλίγον ἔχειν τὸ μαλακτικόν. ἧττονα δὲ ἐν τῷ θερμαίνειν τε καὶ διαφορεῖν, ἔχει τὸ χήνειον τὴν δύναμιν, ἔχει δέ τι πλέον ἐν τῷ μαλάττειν. ἀνάλογον δὲ ἀφέστηκε τοῦδε, καὶ τὸ τῶν ἀλεκτορίδων. τούτοις μὲν οὖν ἅπασι, καὶ τὸ λεπτομερέστερον εἶναι, τῶν ἐν τοῖς τετράποσι D ζώοις ὑπάρχει. διαφορὰ δὲ πάλιν ἐν ἐκείνοις ἐστὶ πάμπολλη, τοῦ μὲν ὑείου μαλακωτάτου τε καὶ ὑγροτάτου, καὶ διὰ τοῦτο ἀσθενεστάτου τῶν ἄλλων ὄντος, ὡς ἁρμόττειν ἐπὶ σωμάτων μὲν ἁπαλῶν, οἷα τὰ τῶν γυναικῶν ἐστι, καὶ παίδων καὶ εὐνούχων, καὶ τῶν ἀβροδιαίτων ἀνδρῶν ἐν σκιατροφίᾳ καὶ ἀγυμνασίᾳ, καὶ λουτροῖς πλείοσι ποτίμων ὑδάτων ἐκτεθηλυσμένων. τὸ δὲ τῶν αἰγῶν τε καὶ βοῶν, εἰς ὅσον ἰσχυρότερον τοῦ τῶν ὑῶν ἐστιν, εἰς τοσοῦτον σώμασί τε καὶ φύσει σκληροτέροις, καὶ τοῖς σκιρρωδεστέροις τῶν σκληροτέρων ἁρμόττει. τὸ δὲ τῶν ταύρων, καὶ τράγων ἐπὶ τῶν ἰσχυροτέρων σωμάτων τε καὶ παθῶν. ἡ δὲ αὐτὴ E καὶ τοῖς ἄλλοις ὑπάρχει πρὸς ἄλληλα διαφορά, κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. ἄρξομαι δὲ ἀπὸ τῶν ἀσθενεστέρων, πρότερον ὑπὲρ τοῦ κατὰ τὴν σκληρότητα καὶ σκίρρωσιν πάθους προειπών. κοινοῦ γὰρ συμβεβηκότος τοῖς φλεγμαίνουσι, καὶ τοῖς σκληρυνομένοις τοῦ κατὰ τὴν ἐπέρεισιν τῶν δακτύλων ἀντιβατικοῦ, διορίζεται τὰ πάθη, τῷ τ' ἐπωδύνῳ, καὶ τῷ ἀνωδύνῳ, τοῦτο γὰρ οὐκέτι κοινὸν ἀμφοῖν. ὥσπερ δὲ ἐν τοῖς ἄλλοις ἅπασιν ὅσα μεταπίπτειν εἰς ἄλληλα πέφυκεν, ἔνεστι μεθόριον ἀμφοτέρων ἠρέμα μέτοχον, οὕτως καὶ τῶν φλεγμονωδῶν ὄγκων πρὸς τοὺς ἄνευ φλεγμονῆς σκίρρους, οἷοί περ οἱ τῶν ἐσκληρυσμένων εἰ- F σίν, ὑπάρχει τις ἐν τῷ μεταξὺ διάθεσις, ἀνώδυνος μέν, εἰ μὴ τοὺς δακτύλους ἐπερείδοις, ὀδυνωμένη δὲ τοῦτο πραττόντων, ἣν σαφοῦς τε καὶ συντόμου διδασκαλίας ἕνεκα, ἤτοι φλεγμονὴν σκιρρώδη λεκτέον, ἢ σκίρρον φλεγμονώδη, μὴ προσέχοντας ἐνταῦθα τῷ κατὰ τὸν ὄγκον μεγέθει. τῆς γὰρ ἰδέας τῶν παθῶν ἐστιν, οὐ τοῦ κατ' ἕτερον αὐτῶν ποσοῦ φλεγ-

μονὴ καὶ σκίρρος ὀνόματα, μεγάλης μὲν φλεγμονῆς γινομένης, ἢ διὰ τὸ τοῦ φλεγμαίνοντος μορίου μέγεθος, ἢ διὰ τὴν τοῦ παρὰ φύσιν ὄγκου, μικρᾶς δὲ τῆς ἤτοι μικρὸν τόπον κατειληφυίας, ἢ βραχὺν ὄγκον ἐχούσης. εἰρήσεται δὲ νῦν ἐμοὶ μικρᾶς φλεγμονῆς, καὶ μικροῦ σκίρρου θεραπεία, καθάπερ καὶ μεγάλης τε καὶ μεγάλου, κατὰ τὰς τῶν παθῶν ἰδέας. νοηθήσεται γὰρ ἐκ τούτων, καὶ τῶν ἑτέρων λεγομένων μεγάλων τε καὶ μικρῶν ἡ θεραπεία. φλεγμονῆς μὲν οὖν μεγάλης, διὰ καταπλασμάτων ἴασις γίνεται, καὶ τινων ὑγρῶν φαρμάκων. τῆς δὲ μικρᾶς, ὅταν σκιρρώδει σκληρότητι μιχθῇ, καὶ διὰ καταπλασμάτων μὲν, ἔστιν ὅτε, καὶ διὰ φαρμάκων δὲ κηρωτοειδῶν τε καὶ ὑγρῶν, ἔτι τε τῶν μαλακτικῶν ἐμπλάστρων. διὰ τοιούτων δὲ, καὶ τῆς μικρᾶς σκληρότητος ἡ ἴασις γίνεται, ἀλλ' ἐπὶ ταύτης μὲν ἁπλοῦς ὁ σκοπὸς, ὥσπερ καὶ τῆς φλεγμονῆς συνισταμένης. ἐπὶ δὲ τῆς ἐχούσης φλεγμονῶδές τι σκληρότητος, σύνθετος καὶ ὁ σκοπὸς γίγνεται.

A mone, vel propter partis inflammatæ magnitudinem, vel ob tumorem præter naturam, magna euadat; parua autem, quum aut paruum locum possederit, aut exiguum tumorem habuerit. Dicetur nunc mihi paruæ phlegmones scirrhique parui curatio, sicut & magnæ magnique, pro affectuum specie; hinc enim, & aliorũ quæ magna, & parua dicuntur, curationis notio intelligetur. Itaque magna phlegmone cataplasmatis, ac humidis quibusdã medicamentis sanatur; parua, quum scirrhosa durities mixta fuerit, itidem cataplasmatis, interdum verò medicamentis cerati modo confectis, & liquidis, insuper & emollientibus B emplastris. Talibus autem, & parua durities tollitur, sed in hac quidem simplex scopus, quemadmodum, phlegmone consistente est; quum verò durities phlegmonosum quippiam habuerit, compositus quoque scopus efficitur.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς παρύγρου.

Καὶ διὰ τοῦτο καὶ φάρμακον σύνθετόν πώς ἐστιν, οἷον καὶ τοῦτο τὸ πᾶσι γινωσκόμενον, ἐπῃνημένον δὲ μεγάλως ὑπό τ' ἄλλων τέ τινων, καὶ μάλιστα τοῦ Ἡρα τὸ καλούμενον πάρυγρον. ἰᾶται γὰρ τοῦτο βραχεῖαν ἔτι φλεγμονὴν ἔχον τὸ μόριον, οὐ μετὰ πολὺν χρόνον τῆς σκευασίας, ἀλλ' εὐθέως ἐπιτιθέμενον. σκληρότητα δὲ ἀνώδυνον ἐπικτωμένου τοῦ πεπονθότος μορίου, κἂν ἔτι βραχεῖ χρονιώτερον ᾖ τοῦ προσφάτου, χρήσιμον ὑπάρχει. καθάπερ γε καὶ ἂν ἀπηλλαγμένον ᾖ παντάπασι τὸ πεπονθὸς μόριον τῆς φλεγμονώδους διαθέσεως, ἄμεινον ἐπ' αὐτοῦ τὸ χρονιώτερον φάρμακον. ἀνάλογον δὲ δηλονότι τῇ τῆς σκληρότητος ἐπιτάσει συναύξεσθαι τὸν χρόνον προσήκει τοῦ φαρμάκου, τὸ μέντοι λίαν ἐσκληρυσμένον μόριον, οὐδὲ τὸ χρόνιον μαλάξει φάρμακον. μικτὴν γὰρ ἐπαγγελίαν τε καὶ δύναμιν ἔχει τοῦτο δὴ τὸ πάρυγρον ὀνομαζόμενον, ὅτι καὶ τὴν ὕλην μικτήν. ἔστι γε τὸ μὲν ὕειον στέαρ καὶ ὁ κηρὸς, ἀσθενέστατα τῶν μαλακτικῶν ἐστι, λιθάργυρος δὲ καὶ ψιμμύθιον οὐδὲν ἔχει μαλακτικὸν, ὡς ἐμάθομεν. ὁ δὲ ἐπαινέσας τὸ φάρμακον τοῦτο μάλιστα πάντων Ἡρας, ἐκ τῶνδε συντίθησιν αὐτὸ κατὰ τήνδε τὴν λέξιν. ℞. στέατος προσφάτου ὑείου ἐξινισμένου οὐγγίας μδ'. κηροῦ οὐγγίας κδ'. ψιμμυθίου οὐγγίας ϛ'. λιθαργύρου οὐγγίας ϛ'. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, χρόνῳ δὲ συνίσταται. καθάπερ γε καὶ κηρὸν καὶ στέαρ ὕειον, ἔφην ἀσθενοῦς εἶναι δυνάμεως μαλακτικῆς, οὕτω κἂν ἐλαίῳ μίξῃς βραχύ τι κηροῦ, τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν κηρέλαιον ποιήσεις. εἶναι δὲ χρὴ δηλονότι, τὸ ἔλαιον, οὔτε τὸ καλούμενον ὀμφάκινόν τε καὶ ὠμοτριβὲς, οὔτε τὸ θαλλοὺς ἐλαιῶν ἐν τῇ ἐργασίᾳ προσειληφός.

CAPVT II.

De medicamento liquido.

Ac ideò quoq; medicamentum quodãmodo cõpositum est, veluti & hoc, quod Parygron C nominant, omnibus cognitum; magnificè verò, cum ab aliis quibusdam, tum Hera, cõmendatum. Medetur enim id parti parua adhuc phlegmone conflictanti, non multo post confectionem tempore, sed protinus impositum; vbi verò duritiem à dolore alienam pars affecta acquisierit, vel paulo recenti vetustius vtile est; quemadmodum etiam, si phlegmonoso affectu omnino sit libera, melius in ea vetustius medicamentum proficit. Enimuerò medicamenti tẽpus pro duritiei intentione videlicet æqualiter augere conuenit, & si partem valdè induratam ne vetus quidẽ medica- D mentum emollierit. Quippè varia hoc parygrum dictum medicamentũ, & promittit, & potest, quoniam materiam mixtam quoque, seu variam obtinet. Siquidem adeps suillus, & cera mollientium sunt imbecillima; argenti spuma verò, & cerussa nihil habent, quod emollire possint, quemadmodum antea didicimus. Porrò Heras, qui medicamentum hoc omnium maximè laudauit, ex hisce ipsum conficit his verbis. ℞. adipis suilli recentis curati pondo ℥. xliv. ceræ pondo ℥. xxiv. cerussæ pondo ℥. vj. argenti spumæ tantundem. Quæ liquari possunt, siccis superfunduntur; temporis autem spatio medicamentũ cõsistit, spissaturque. Si- E cut ceram, & adipem suillum imbecillæ molliendi virtutis esse dixi, ita quoque si oleo pauxillum ceræ misceas, id quod à medicis Cerelæon dicitur efficies. Oleum autem videlicet esse conuenit, nec quod vocant omphacinum, & omotribes, quasi dicas immaturum, & crudum, nec quod oleæ surculos in confectione assumpsit.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Αἱ τῶν μαλακτικῶν φαρμάκων κατὰ γένος διαφοραὶ καὶ δυνάμεις.

Τὰ μὲν οὖν οὕτως ἀσθενῆ μαλακτικὰ, καὶ τὰς μικρὰς θεραπεύει φλεγμονάς. τὰ δὲ τούτων ἀτονώτερα, τὰς ἄνευ φλεγμονῆς βραχείας σκληρότητας. τὰ δὲ καὶ τούτων ἰσχυρότερα, τὰς μείζους, ὥσπερ καὶ τὰ τῆς ἐγγὺς ἡκούσης σκίρρου σκληρότητος ἰατικὰ, δραστικώτατά ἐστιν, ὁποῖον ὑπάρχει τό τε τῶν

CAPVT III.

Generalis mollientium medicamentorum differentia, ac facultas.

F Itaque tam imbecillia mollientia etiam paruis medicantur inflammationibus; his autem vehementiora breuẽ duritiem sine phlegmone persanant: his adhuc validiora maiores; quemadmodum, & quæ duritiem in scirrhum propè degenerantem curant, efficacissima sunt, cuiusmodi est medullarum

sed nobis coniiciendũ relinquẽs; nam ceu ad artis peritos præscriptiones semper cõscripsit. Verùm quoniã nonnulla acopa inuicẽ sibi similia, in symmetriis discrepant, ideo hæc quoq; apposui, quòd lectores ex iis, quę Asclepiades docuit, de iis, simul ratiocinari queant, cuiusmodi acopa, quibus affectibus potissimũ cõducant. Dicemus autẽ & nos, vbi vniuersales quosdã sermones de ipsis retulerimus, vnde accuratiore via, ac ratione ad eorundẽ vsus, qui mentẽ dicendis adhibebunt, peruenietur.

CAPVT XIII.

Quæ Andromachus acopa scripserit.

ACopum viride Haliei. ℞. ceræ, terebinthinæ, olei veteris singulorum lib. j. ß. aphronitri ℥. iv. galbani vncias iij. æruginis rasæ ℥. iij. opopanacis ℥. vj. guttæ ammoniaci ℥. iij. mannæ ℥. iij. aceti vncias ij. melini ℥. ij. cyprini ℥. ij. irini vnc. ij. seui caprini vnciam vnam. *Aliud acopum bonum.* ℞. ceræ libras sedecim, aphronitri drach. octo, baccas lauri numero viij. piperis albi ʒ. j. crocomagmatis quantum sufficit, medullæ ceruinæ ʒ. ij. myrrhæ ʒ. j. ceræ ʒ. j. vini rhodiaci ʒ. j. aceti parum aridis adiicitur. *Aliud Basi Stoici.* ℞. cucumeris agrestis radicis libram vnam, castorij vncias duas, medullæ ceruinæ vncias sex, olei veteris lib. ij. ceræ libram vnam, aphronitri vncias tres, baccarum lauri sextarios duos, rutæ viridis fasciculum manipularem, rorismarini tantundem, olei sabini veteris libras decem. Radices & herbæ oleo incoquuntur, deinde exprimuntur, postea liquata superfunduntur. *Aliud.* ℞. opopanacis ℥. j. resinæ ℥. i. resinæ pityinæ lib. ii. ceræ lib. i. guttæ ammoniaci vncias vi. œsypi ℥. ii. olei veteris sextarium vnum & dimidium, salis floris ℥. ii. *Aliud.* ℞. ceræ lib. i. medullæ ceruinæ ℥. ii. vnguenti babylonii lib. i. hedychroi lib. i. stactæ lib. i. malabathri ℥. i. nardi vnciam vnam, opobalsami ℥. vj. In marina vel muria medullam liquato, liquabilia curata simul committito, postremò opobalsamum; at si liquidum sit acopon, plus ceræ indito. *Aliud acopon Quadrati.* ℞. irini vnguenti vnciam vnam, ceræ ℥. i. cyprini ℥. i. laurini ℥. i. olei veteris ℥. iii. terebinthinæ ℥. i. medullæ ceruinæ ℥. i. œsypi ℥. i. piperis ℥. i. nitri ʒ. iv. sulfuris ignem non experti ʒ. iv. pyrethri ʒ. iv. mellis ℥. i. liquata siccis miscentur. *Aliud acopon fœtidum.* ℞. terebinthinæ ʒ. lvi. ceræ drach. xxviii. œsypi ʒ. vi. mellis ʒ. vi. medullæ ceruinæ ʒ. vi. guttæ ammoniaci drach. sex, galbani ʒ. vi. aphronitri ʒ. vi. interdum opopanacis ʒ. vi. baccarum lauri ʒ. vi. olei veteris sextarium i. vini heminas ii. quidam castorii ʒ. iii. addunt. *Aliud ex sampsucho.* ℞. ceræ lib. i. olei omphacini sextarios iii. sampsuchi sextarium i. fœnigræci sextarium vnum, vini veteris sextarios iv. maluæ fasciculum, mercurialis fasciculum, cucumeris agrestis radices. *Aliud, vt Antimachus.* ℞. sampsuchi noui, rorismarini, aspalathi, brathyos, idest, herbæ sabinæ, fœnigræci, singulorum sextarios duos, ceræ libram j. vini veteris sextarios tres, gleucini sextarios tres. *Aliud à Philocle acceptum.* ℞. olei decocti permultum, radicum cucumeris agrestis sextarios tres, ceræ minam i. terebinthinæ minam i. medullæ ceruinæ ʒ. xxv. adipis anserini ʒ. xxv. galbani ʒ. xii. ß. sampsuchi sextarium i. rorismarini sextarium i. Hæc postrema cum vino odorato tum læuigantur, tum miscentur; fit autem & malagma cera copiosiore iniecta.

A ἀλλ᾽ ἡμῖν ἐπιτρέπων, ὡς πρὸς τεχνίτας γὰρ ἀεὶ πεποίηται τὰς γραφάς. ἐπεὶ δ᾽ ἔνια τῶν ἀκόπων ἀλλήλοις ὄντα παραπλήσια, κατὰ συμμετρίας διαφέρει, διὰ τοῦτο καὶ ταῦτα προέγραψα, δυναμένων τῶν ἀναγινωσκόντων, ἐξ ὧν ὁ Ἀσκληπιάδης ἐδίδαξε, καὶ περὶ τούτων λογίσασθαι ποῖα τῶν ἀκόπων, πρὸς ποῖα πάθη μάλιστα ἁρμόσει. λέγω δὲ κἀγὼ, μετὰ τὸ διελθεῖν καθόλου τινὰς λόγους περὶ αὐτῶν, ἐξ ὧν μεθοδικώτερον ἐπὶ τὰς χρήσεις αὐτῶν οἱ προσέχοντες τὸν νοῦν τοῖς λεχθησομένοις ἀφίξονται.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

B *Τὰ ὑπ᾽ Ἀνδρομάχου ἄκοπα γεγραμμένα.*

ΑΚοπον χλωρὸν τὸ τοῦ Ἁλιέως. ℞. κηροῦ, τερμινθίνης, ἐλαίου παλαιοῦ, ἀνὰ λίτρας α΄ S΄΄. ἀφρονίτρου ℥ δ΄. χαλβάνης ℥ γ. ἰοῦ ξυστοῦ ℥ γ΄. ὀποπάνακος ℥ ϛ΄. ἀμμωνιακοῦ θυμιάματος ℥ γ΄. μάννης ℥ γ΄. ὄξους ℥ β΄. μηλίνου ℥ β΄. κυπρίνου ℥ β΄. ἰρίνου ℥ β΄. αἰγείου στέατος ℥ α΄. Ἄλλο ἄκοπον καλόν. ℞. κηροῦ λίτρας ιϛ΄. ἀφρονίτρου < η΄. δαφνίδας ἀριθμοῦ η΄. πεπέρεως λευκοῦ < α΄. κροκομάγματος τὸ ἱκανὸν, μυελοῦ ἐλαφείου < β΄. σμύρνης < α΄. κηροῦ < α΄. οἴνου C ῥοδιακοῦ α΄. ὄξους ὀλίγον εἰς τὰ ξηρά. Ἄλλο τὸ Βάσσου τοῦ Στωϊκοῦ. ℞. σικύου ἀγρίου ῥίζης λίτραν α΄. καστορίου ℥ β΄. μυελοῦ ἐλαφείου ℥ ϛ΄. ἐλαίου παλαιοῦ λίτρας β΄. κηροῦ λίτραν α΄. ἀφρονίτρου ℥ γ΄. δαφνίδων ξε β΄. πηγάνου χλωροῦ δέσμην χειροπληθῆ, λιβανωτίδος ἴσον, ἐλαίου Σαβίνου παλαιοῦ λίτρας ι΄. τῷ ἐλαίῳ αἱ ῥίζαι ἐναφέψονται, καὶ αἱ βοτάναι, εἶτα ἐκθλίβονται, εἶτα τὰ τηκτὰ καταχεῖται. Ἄλλο. ℞. ὀποπάνακος ℥ α΄. ῥητίνης ℥ α΄. ῥητίνης πιτυΐνης λίτρας β΄. κηροῦ λίτραν α΄. ἀμμωνιακοῦ θυμιάματος ℥ ϛ΄. οἰσύπου ℥ β΄. ἐλαίου παλαιοῦ ξε α΄ S΄΄. ἁλὸς ἄνθους ℥ β΄. Ἄλλο. ℞. κηροῦ λίτραν α΄. D μυελοῦ ἐλαφείου ℥ β΄. μύρου Βαβυλωνίου λίτραν α΄. ἡδυχρόου λίτραν α΄. στακτῆς λίτραν α΄. μαλαβάθρου ℥ α΄. νάρδου ℥ α΄. ὀποβαλσάμου ℥ ϛ΄. ἐν θαλάσσῃ τὸν μυελὸν τῆκε, ἢ ἐν ἅλμῃ, θεραπεύσας τὰ τηκτὰ ὁμοῦ, ἔσχατον ὀποβάλσαμον. ἐὰν δὲ ὑγρὸν ᾖ τὸ ἄκοπον, κηροῦ πλεῖον ἀπόδος. Ἄλλο ἄκοπον Κουαδράτου. ℞. ἰρίνου μύρου ℥ α΄. κηροῦ ℥ α΄. κυπρίνου ℥ α΄. δαφνίνου ℥ α΄. ἐλαίου παλαιοῦ ℥ γ΄. τερμινθίνης οὐγγίαν α΄. μυελοῦ ἐλαφείου ℥ α΄. οἰσύπου ℥ α΄. πεπέρεως ℥ α΄. νίτρου < δ΄. θείου ἀπύρου < δ΄. πυρέθρου < δ΄. μέλιτος ℥ α΄. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Ἄλλο τὸ δυσῶδες ἄκοπον. ℞. τερμινθίνης < νϛ΄. κηροῦ E < κη΄. οἰσύπου < ϛ΄. μέλιτος < ϛ΄. μυελοῦ ἐλαφείου < ϛ΄. ἀμμωνιακοῦ θυμιάματος < ϛ΄. χαλβάνης < ϛ΄. ἀφρονίτρου < ϛ΄. ἔστιν ὅτε ὀποπάνακος < ϛ΄. δαφνίδων < ϛ΄. ἐλαίου παλαιοῦ ξέστην α΄. οἴνου κοτύλας β΄. τινὲς καστορίου < γ΄. Ἄλλο τὸ διὰ σαμψύχου. ℞. κηροῦ λίτραν α΄. ἐλαίου ὀμφακίνου ξέστας γ΄. σαμψύχου ξέστην α΄. τήλεως ξέστην α΄. οἴνου παλαιοῦ ξε δ΄. μαλάχης δέσμην, λινοζώστεως δέσμην, σικύου ἀγρίου ῥίζας. Ἄλλο, ὡς Ἀντίμαχος. ℞. σαμψύχου νέου, λιβανωτίδος, ἀσπαλάθου, βράθυος ὅ ἐστιν ἕρβα σαβίνα, τήλεως ἀνὰ ξέστας β΄. κηροῦ λίτραν α΄. οἴνου παλαιοῦ ξέστας γ΄. F γλευκίνου ξέστας γ΄. Ἄλλο παρὰ Φιλοκλέους. ℞. ἐλαίου ἀφηψημένου ἐπὶ πολὺ, ῥιζῶν σικύου ἀγρίου ξέστας γ΄. κηροῦ μνᾶν μίαν, τερμινθίνης μνᾶν α΄. μυελοῦ ἐλαφείου < κε΄. χηνείου στέατος < κε΄. χαλβάνης < ιβ΄ S΄΄. σαμψύχου ξε α΄. λιβανωτίδος ξέστην α΄. ταῦτα ἔσχατα λεαίνεται σὺν οἴνῳ εὐώδει, καὶ συμμίσγεται, γίνεται δὲ μάλαγμα κηροῦ πλείονος μιγέντος.

Ἄλλο ἄκοπον ἐπιτετευγμένον, ὡς Ἀφροδᾶς. ℞. ἀφρονίτρου < γ'. πεπέρεως κόκκους μ'. καὶ μακροῦ τὸ ἴσον, λιβάνου < ιϛ'. ταῦτα τρίψας, ἐπίχεε οἴνου εὐώδους Χίου, ἢ Ῥοδίου κοτύλην α'. μέλιτος < θ'. εἶτα τῆκε ἐν λοπάδι, κηροῦ Τυῤῥηνικοῦ < ιβ'. στέατος ταυρείου < μβ'. Ἄλλο, ὃ ἦν Ἀσφαλαρτήσιος. ℞. κροκομάγματος < δ'. μυελοῦ ἐλαφείου < ιβ'. οἰσύπου < ϛ'. στέατος χηνείου, ἢ ὑείου < ιβ'. τερμινθίνης < ιβ'. ἰρίνου < ιη'. κυπρίνου, γλευκίνου, ἀνὰ < ιη'. τῆκε τὸ μέλι, εἶτα μίσγε τοῖς ξηροῖς καὶ συλλεαίας ὁμοῦ τοῖς ἐν τῇ θυίᾳ, χρῶ. Ἄλλο ἄκοπον τὸ βαρβαρικὸν, δι' εὐφορβίου πρὸς ἰσχιαδικοὺς, καὶ πρὸς ἄλλα πολλά. ℞. ὀποπάνακος ℥ α'. Τυῤῥηνικοῦ ℥ α'. τερμινθίνης ℥ β'. χαλβάνης ℥ α'. ἀμμωνιακοῦ θυμιάματος ℥ β'. εὐφορβίου ℥ β'. καστορίου ℥ β'. πεπέρεως λευκοῦ ℥ β'. μυελοῦ ἐλαφείου ℥ δ'. οἰσύπου ℥ δ'. λιμνηστρίδος ℥ S''. στυρακίνου, δαφνίνου, ἀμαρακίνου, ἀνὰ ℥ γ'. ἐλαίου παλαιοῦ ξε β'. ἡδυχρόου ℥ ϛ'. σκευάσας χρῶ, ποιεῖ πρὸς ἀπηλπισμένας νεύρων διαθέσεις, ἰδίως δὲ καὶ πρὸς ἰσχιαδικούς. Ἄλλο ἄκοπον ᾧ Ἀῤῥούντιος Ἀκύλας ἐθεραπεύθη: πρὸς ἰσχιάδα ποιοῦν, καὶ πρὸς πᾶσαν νεύρων παρέκτασιν. ℞. ὀποπάνακος οὐγγίας β. χαλβάνης ℥ α'. τερμινθίνης οὐγγίας β'. πεπέρεως λευκοῦ, καστορίου ἀνὰ ℥ β'. οἰσύπου ℥ δ'. κασσίας ℥ δ'. μυελοῦ ἐλαφείου ℥ δ'. κηροῦ λίτραν α'. στυρακίνου οὐγγίας ϛ'. ἰρίνου οὐγγίας ϛ'. δαφνίνου οὐγγίας ϛ'. ἐλαίου παλαιοῦ λίτραν α'. εὐφορβίου οὐγγίας β'. ἀμμωνιακοῦ θυμιάματος οὐγγίας β'. τὸ εὐφόρβιον μετ' ὀλίγου μέλιτος ἀνάμιξον. Ἄλλο ἄκοπον τὸ τοῦ Γλυτοῦ, ὡς Φιλόξενος ὁ γραμματικός. ℞. κηροῦ λίτρας β'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. χαλβάνης λίτραν α' S''. στύρακος λίτραν α'. βδελλίου λίτραν α'. σμύρνης ℥ β'. λιβάνου ℥ θ'. οἰσύπου Ἀττικοῦ λίτραν α'. προπόλεως λίτραν α'. ῥητίνης τερμινθίνης λίτραν α'. ἐλαίου παλαιοῦ λίτρας β'. κυπρίνου, ἰρίνου μύρου, ἀμυγδαλινοῦ, ἀνὰ λίτρας β'. Συριακοῦ λίτρας γ'. ὀποπάνακος λίτραν α'. σκεύαζε. Ἄλλο ἄκοπον χλωρὸν, ὡς Κλήμης Σερτώριος ᾧ χρῶμαι. ℞. ἰοῦ ξυστοῦ οὐγγίας ϛ'. ῥητίνης φρυκτῆς οὐγγίας δ'. ἐλαίου μυρσίνου λίτραν α'. σχινίνου λίτραν α'. ἐλαίου παλαιοῦ λίτραν α'. δαφνίνου λίτρας β'. Συριακοῦ λίτραν α'. γλευκίνου λίτρας γ'. στέατος ἀρνείου ℥ γ'. κηροῦ Ποντικοῦ λίτρας γ'. χαλβάνης λίτραν α'. μυρσίνης ἁπαλῶν φύλλων, πηγάνου φύλλων χλωρῶν, λιβανωτίδος χλωρᾶς, δάφνης φύλλων ἁπαλῶν, ἀνὰ οὐγγίας ϛ'. βοτάνης σαλβίας ἡμιλίτριον. τὰ χλωρὰ κόπτε, καὶ τοῖς ἐλαίοις ἔμβρεχε νύκτα καὶ ἡμέραν, εἶτα ἕψε μετὰ τῶν τηκτῶν. ἀπὸ τοῦ πυρὸς ὅταν λάβῃς, τὸν ἰὸν βάλλε, καὶ διηθήσας, ἀπόθου, ποιεῖ πρὸς πάντα πόνον νεύρων. Ἄλλο ἄκοπον θερμαντικὸν, ὡς Κάστος πρὸς χρονίους διαθέσεις, σπασμούς. ℞. πισσελαίου ξε α'. Συριακοῦ μύρου τὸ ἴσον, ἴρεως Ἰλλυρικῆς ἴσον, τερμινθίνης λίτραν α'. ἀξουγγίου λίτραν α'. ξύσματος πλοίου οὐγγίαν α'. κινῶν ἕψε πηγάνῳ χλωρῷ. Ἄλλο ἄκοπον, τὸ Ὠρίωνος τοῦ κτενιστοῦ καλόν. ℞. κηροῦ λίτρας ϛ'. προπόλεως λίτρας ε'. ἴρεως Ἰλλυρικῆς λίτρας δ'. τερμινθίνης λίτρας δ'. ὀποπάνακος λίτρας γ'. ἐλαίου παλαιοῦ λίτρας δ'. χαλβάνης λίτρας β'. ἐλαίου σχινίνου λίτρας γ'. μυρσίνου λίτρας γ'. ἀμμωνιακοῦ θυμιάματος λίτραν α'. μυελοῦ ἐλαφείου λίτρας γ'. οἰσύπου λίτρας ϛ'. δαφνίδων λίτραν α'. στυρακίνου λίτρας γ'. ἀμυγδαλίνου λίτρας γ'. στέατος μοσχείου λίτρας γ'. καὶ λεοντείου λίτραν α' S''. ὀποβαλσάμου λίτραν α' S''. σκεύαζε ἐπιμελῶς. Ἄλλο μυράκοπον καλόν. ℞. μαλαβάθρου, ἡδυχρόου, νάρδου κροκίνου, Βαβυλωνίου, ἀνὰ ἡμιλίτριον, στακτῆς ℥ ϛ'. ὀποβαλσάμου ℥ ϛ'. κηροῦ ℥ ϛ'. Κομμαγηνοῦ ℥ ϛ'. ἀλόης ℥ β'.

A *Aliud acopon confectum, ut Aphrodas.* ℞. aphronitri drachmas tres, piperis grana quadraginta, & longi totidem, thuris drach. xvj. his tritis vini odori Chij, vel Rhodij heminam superfundito, mellis drach. ix. deinde in patella liquato ceræ tyrrhenicæ drach. xxij. seui taurini drach. xlij. *Aliud, quod erat Asphalarchsij.* ℞. crocomagmatis drach. iv. medullæ ceruinæ drach. xij. œsypi drach. vj. adipis anserini, vel suilli drach. xij. terebinthinæ ℨ. xij. irini drach. xviij. cyprini, gleucini, singulorum drach. xviij. Mel liquatur, deinde siccis admiscetur; ac vbi simul cum his, quæ in mortario sunt, læuigaueris, in vsus condes. *Aliud acopon* B *barbaricum, ex euphorbio, ad ischiadicos, aliaque multa.* ℞. opopanacis ℥. j. Tyrrhenicæ vnciam j. terebinthinæ ℥. ij. galbani vnciam j. guttæ ammoniaci vncias ij. euphorbij vncias ij. castorij ℥. ij. piperis albi vncias ij. medullæ ceruinæ ℥. iv. œsypi vncias iv. limnestridis viciæ ß. styracini, laurini, amaracini, singulorum vncias tres, olei veteris sextarios duos, hedychroi vncias sex, præparato vtitor; valet ad desperatos neruorum affectus, item propriè ad ischiadicos. *Aliud acopon, quo Aruntius Aquila curatus est; benefacit ischiadi, omnique neruorum distensioni.* ℞. opopanacis vncias ij. galbani C vnc. j. terebinthinæ vnc. ij. piperis albi, castorij, vtriusque vnc. ij. œsypi ℥. iv. cassiæ vncias iv. medullæ ceruinæ vncias iv. ceræ lib. j. styracini ℥. vj. irini vncias sex, laurini vncias vj. olei veteris lib. j. euphorbij vncias duas, guttæ ammoniaci vnc. ij. Euphorbium cum pauco melle misceto. *Aliud acopum Glyti, vt Philoxenus grammaticus.* ℞. ceræ libras ij. guttæ ammoniaci lib. j. galbani lib. j. ß. styracis libram i. bdellij lib. i. myrrhæ vncias duas, thuris vncias ix. œsypi Attici lib. j. propolis lib. i. resinæ terebinthinæ lib. i. olei veteris lib. ii. cyprini, irini vnguenti, amygdalini, singulorum lib. ii. syriaci lib. iii. opopanacis libram i. præpara. D *Aliud acopon viride, vt Clemens Sertorius, quo vtor.* ℞. æruginis rasæ vncias sex, resinæ frictæ vncias quatuor, olei myrtei lib. i. lentiscini libram vnam, olei veteris lib. i. laurini lib. ij. syriaci libram i. gleucini libras tres, adipis agnini vncias tres, ceræ ponticæ libras tres, galbani libram i. myrtei tenerorum foliorum, rutæ foliorum viridium, rorismarini viridis, lauri foliorum tenerorum, singulorum vncias sex, herbæ saluiæ selibram; viridia tunduntur, & oleis per noctem & diem macerantur, deinde cum liquabilibus incoquuntur; E quum ab igne deposueris, ærugo inditur, percolata reponuntur; facit ad omnem neruorum laborem. *Aliud acopon calefaciens, vt Castus, ad diuturnos affectus, & conuulsiones.* ℞. pyssėlæi sextarium vnum, syriaci vnguenti tantundem, iridis Illyricæ parem modum, terebinthinæ lib. i. axungiæ lib. i. rasuræ naualis vnciam vnam. Incoquito, ruta viridi mouens. *Aliud acopon Orionis Pexoris bonum.* ℞. ceræ lib. vi. propolis lib. v. iridis Illyricæ lib. iv. terebinthinæ lib. iv. opopanacis lib. iij. olei veteris lib. iv. galbani lib. ii. olei lentiscini lib. iii. myrtei lib. iii. guttæ ammoniaci lib. i. medullæ ceruinæ F lib. iii. œsypi libras sex, baccarum lauri libram vnam, styracini libras tres, amygdalini lib. iii. seui vitulini libras tres, & leonini libram i. ß. opobalsami libram i. ß. Præparato diligenter. *Aliud myracopon bonum.* ℞. malabathri, hedychroi, nardi crocini, babylonii, singulorum selibram, stactæ vncias sex, opobalsami vncias vi. ceræ vncias sex, commageni vncias sex, aloës vncias duas, mellis

mellis vncias iii. conficito. *Aliud myracopon, quo vtor.* ℞. ceræ candidæ ℥.ii. adipis anserini odoramentis conditi vnciam vnam, seui taurini odoramentis conditi ℥. i. adipis leonini odoramentis conditi ℥. ii. crocodili odoramentis conditi ℥. i. medullæ ceruinæ vnciam i. salis ammoniaci vn. ii. piperis albi ℥. ii. thuris ℥. i. cinnamomi vncias iii. aphronitri vnc. i. iridis Illyricæ sextarios ii. nardi vnguenti sextarium i. malabatri Alexandrini sextarios ii. stactæ libras duas, syriaci crocini libras ii. mellis lib. iv. opobalsami sextarium i. commageni libras duas. Parato, vti nouisti. *Aliud myracopon.* ℞. ceræ Tyrrhenicæ ℥. vi. ammoniaci ℥. iv. euphorbii lib. iv. piperis albi vncias iv. limnistridis vncias iv. magmatis malabathri vncias sex, opobalsami lib. i. malabathri lib. i. stactes vncias sex, foliati vncias sex, nardi libras tres.

CAPVT XIV.

Gleucini mustei vnguenti confectiones.

GLeucini confectio iuxta Andromachum. post prædicta acopa Andromachus gleucini confectionem descripsit, non malè ipsa acopis vnguentis adiungens; quippe ad dolorem lassitudinemque tollendam longe est accommodatissimum. Traditur autem ab eo sic ad verbum. *Gleucini confectio, qua vtor.* ℞. myrrhæ lib. ii. nardi Indicæ libras duas, costi lib. iii. styracis lib. i. bdellii, sampsuchi, xylobalsami, lentisci, cardamomi, spathæ, iridis Illyricæ, misyos, asari, singulorum libras duas, meliloti lib. i. nardi cełticæ libram i. aspalathi, calami, singulorum selibram; aristolochiæ longæ lib. i. ß. rorismarini seminis sextarios duos, thuris lib. iii. cassiæ libras tres, fœnigræci sextarios ii. sphagni lib. duas, amomi libras duas, corticis thuris libram vnam, rosarum siccarum libras duas, brathyos vncias sex, fœniculi libras duas, balsami fructus libras duas, croci vncias iii. baccarum lauri lib. i. piperis albi lib. i. opobalsami vncias iii. malabathri foliorum lib. ii. nucleos pineos virides ii. rutæ viridis vncias ii. salis ammoniaci drach. iv. nitri ℥. iv. vini veteris sextarios xii. musti boni fictilia ii. ß. olei veteris lib. v. præparato diebus quadraginta. Hæc præfatus Andromachus non adhuc confectionis modum, sicut Crito, adiecit. Insuper quot libris Italicis fictile, aut sextariis æstimet, silentio præteriit. *Gleucini Confectio Critonis in secundo de Ornatu.* Crito ad libri calcem, gleucini confecturam his verbis tradidit. *Gleucinum vim habet calefactoriam, ac remittentem. Ad vteri affectiones & neruorũ sympathiam.* Huius confectiones multæ sunt, quæ verò simplex dicitur, hunc in modum habet. ℞. musti recentis vuæ maroneæ metretam in vas stanneum coniectam, supra prunas incoquito; ac vbi ter, quaterve efferbuerit, metretam in fictile demissam, Soli exponito; olei omphacini congios sex addito, lentisci minas sex, alii minæ dimidium; nardi par, calami par, aspalathi par pondus, palmæ elatæ minam vnam, cyperi minam vnam, cardamomi octauam minæ partem, amomi tantundem, meliloti vncias v. sint autem omnia læuia; deinde diebus octo commouens, mustumque repurgans vtitor. *Gleucini confectio secundum Dioscoridem libro primo de materia. Scripsit autem Dioscorides in hanc sententiam.* Gleucinum simplex componitur ex oleo omphacino, lentisco, nardo

A μέλιτος ℥ γ'. σκεύασον. Ἄλλο μυράκοπον, ᾧ χρῶμαι. ℞. κηροῦ λευκοῦ ℥ β'. στέατος χηνείου ἡρωματισμένου ℥ α'. στέατος ταυρείου ἡρωματισμένου ℥ α'. στέατος λεοντείου ἡρωματισμένου ℥ β'. κροκοδείλου ἡρωματισμένου ℥ α'. μυελοῦ ἐλαφείου ℥ α'. ἁλὸς ἀμμωνιακοῦ ℥ β'. πεπέρεως λευκοῦ οὐγγίας β'. λιβανωτοῦ οὐγγίαν α'. κινναμώμου οὐγγίας γ'. ἀφρονίτρου οὐγγίαν α'. ἴρεως Ἰλλυρικῆς ξέστας β'. νάρδου μύρου ξε α'. μαλαβάθρου Ἀλεξανδρίνου ξέστας β'. στακτῆς λίτρας β'. Συριακοῦ κροκίνου λίτρας β'. μέλιτος λίτρας δ'. ὀποβαλσάμου ξέστην α'. Κομμαγηνοῦ λίτρας β'. σκεύαζε, ὡς οἶδας. Ἄλλο μυράκοπον. ℞. κηροῦ Τυρ-

B ρηνικοῦ οὐγγίας ϛ'. ἀμμωνιακοῦ οὐγγίας δ'. εὐφορβίου λίτρας δ'. πεπέρεως λευκοῦ ℥ δ'. λιμνηστρίδος οὐγγίας δ'. μάγματος μαλαβάθρου οὐγγίας ϛ'. ὀποβαλσάμου λίτραν α'. μαλαβάθρου λίτραν α'. στακτῆς ℥ ϛ'. φουλιάτου οὐγγίας ϛ'. νάρδου λίτρας γ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Γλευκίνου σκευασίαι.

ΓΛευκίνου σκευασία, ὡς Ἀνδρόμαχος. ἐφεξῆς τῶν προγεγραμμένων ἀκόπων, ὁ Ἀνδρόμαχος ἔγραψε γλευκίνου

C σκευασίαν, οὐ κακῶς ἐπιζεύξας αὐτὴν τοῖς ἀκόποις χρίσμασιν· ἀνωδυνώτατον γάρ ἐστι καὶ ἀκοπώτατον. γράφεται δὲ παρ' αὐτοῦ κατὰ λέξιν οὕτως. γλευκίνου σκευασία, ᾗ χρῶμαι. ℞. σμύρνης λίτρας β'. νάρδου Ἰνδικῆς λίτρας β'. κόστου λίτρας γ'. στύρακος λίτραν α'. βδελλίου, σαμψύχου, ξυλοβαλσάμου, σχίνου, καρδαμώμου, σπάθης, ἴρεως Ἰλλυρικῆς, μίσυος, ἀσάρου ἀνὰ λίτρας β'. μελιλώτου λίτραν α'. νάρδου Κελτικῆς λίτραν α'. ἀσπαλάθου, καλάμου, ἀνὰ ἡμίλιτρον, ἀριστολοχίας μακρᾶς λίτραν α' S'. λιβανωτίδος σπέρματος ξε β'. λιβάνου λίτρας γ'. κασσίας λίτρας γ'. τήλεως ξε β'. σφάγνου λίτρας β'. ἀμώμου λίτρας β'.

D φλοιοῦ λιβάνου λίτραν α'. ῥόδων ξηρῶν λίτρας β'. βράθυος ℥ ϛ'. μαράθρου λίτρας β'. βαλσάμου καρποῦ λίτρας β'. κρόκου ℥ γ'. δαφνίδων λίτραν α'. πεπέρεως λευκοῦ λίτραν α'. ὀποβαλσάμου ℥ γ'. μαλαβάθρου φύλλων λίτρας δύο, στροβίλους χλωροὺς δύο, πηγάνου χλωροῦ ℥ β'. ἁλὸς ἀμμωνιακοῦ < δ'. νίτρου < δ'. οἴνου παλαιοῦ ξε ιβ'. γλεύκους καλοῦ κεράμια β' S'. ἐλαίου παλαιοῦ λίτρας ε'. σκεύαζε ἡμέρας μ'. ταῦτα γράψας ὁ Ἀνδρόμαχος, οὐκέτι τὸν τρόπον τῆς σκευασίας, ὥσπερ ὁ Κρίτων ἐποίησεν. ἔτι δὲ καὶ πόσων εἶναι βούλεται λιτρῶν Ἰταλικῶν τὸ κεράμιον, ἢ ξεστῶν οὐκ ἐδήλωσεν. γλευκίνου σκευασία, ὡς Κρίτων

E ἐν τῷ δευτέρῳ τῶν κοσμητικῶν. ὁ Κρίτων ἐν τῷ τέλει τοῦ βιβλίου τὴν σκευασίαν ἔγραψε τοῦ γλευκίνου, κατὰ τήνδε τὴν λέξιν. γλεύκινον δύναμιν ἔχει θερμαντικὴν, ἀνετικήν. ποιεῖ πρὸς τὰς ἐν ὑστέρᾳ διαθέσεις, καὶ πρὸς τὴν νευρικὴν συμπάθειαν, τούτου δὲ αἱ σκευασίαι πολλαί. ἡ δὲ λεγομένη ἁπλῆ, ἔχει οὕτως. ℞. γλεύκους προσφάτου, Μαρωνείας σταφυλῆς μετρητὴν βαλὼν εἰς ἀγγεῖον κασσιτέρινον, ἕψε ἐπ' ἀνθράκων, καὶ ὅταν τρὶς, ἢ τετράκις ἀναζέσῃ, ἐξεράσας εἰς ὀστράκινον μετρητὴν, τίθει ἐν ἡλίῳ, καὶ ἐπίβαλλε ἐλαίου λευκοῦ ὀμφακίνου χοᾶς ϛ'. σχίνου μνᾶς ϛ'. οἱ δὲ μνᾶς S. νάρδου τὸ ἴσον, καλάμου

F τὸ ἴσον, ἀσπαλάθου τὸ ἴσον, ἐλάτης μνᾶν α'. κυπέρου μνᾶν α'. καρδαμώμου μνᾶς η'. ἀμώμου τὸ ἴσον, μελιλώτου ℥ ε'. ἔστω δὲ πάντα λεῖα, ἔπειτα συγκινήσας ἐπὶ ἡμέρας η'. καὶ τὸ γλεῦκος ἀποκαθάρας, χρῶ. γλευκίνου σκευασία, ὡς Διοσκορίδης ἐν τῷ α'. περὶ ὕλης. Διοσκορίδης δ' οὕτως ἔγραψε. γλεύκινον δὲ σκευάζεται τὸ ἁπλοῦν, ἔκ τε ὀμφακίνου, καὶ σχίνου, καὶ νάρδου

Κελτικῆς, καὶ καλάμου, καὶ σπάθης, καὶ ἀσπαλάθου, καὶ μελιλώτου, καὶ κόστου, καὶ γλεύκους συμπεριτειβομένων μέσων στεμφύλων τῷ ἔχοντι ἀγγείῳ τὰ ἀρώματα, καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, κινεῖται δὲ ἐπὶ ἡμέρας λ΄. δὶς τῆς ἡμέρας, εἶτα ἐκπιεσθὲν, ἀποτίθεται. δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, ἀνετικὴν, ποιοῦσαν πρὸς τὰ ῥίγη, καὶ τὰ νευρικὰ πάντα, καὶ τὰ ἐν ὑστέρᾳ. παντὸς δὲ ἀκόπου μᾶλλον ὠφελεῖ, μαλακτικὸν ὄν. γλευκίνου σκευασία, ὡς Ἡρας. ἐπεὶ δὲ σαφέστερον αὐτὴν ἔγραψεν ὁ Ἡρας τὴν τοῦ γλευκίνου σκευασίαν, ἐπὶ τῷ τέλει τῆς φαρμακίτιδος βίβλου, καὶ τὴν ἐκείνου γραφὴν παραθήσομαι κατὰ λέξιν οὕτως. ἐλαίου γλευκίνου σύνθεσις ποιοῦντος πρός τε τὰς ψύξεις, καὶ τὰ νευρικὰ μάλιστα, ὠφελεῖ τοὺς ὀπισθοτονικοὺς, καὶ ἐμπροσθοτονικοὺς, θερμὸν δι᾽ ἐρίου καθαροῦ ἐλαίῳ βεβρεγμένου, ἐπιρριπτομένου τοῖς τόποις. ℞. ἐλαίου Βενεφρανοῦ λίτρας ση΄. ἄλλως σν΄. οἴνου Φαλερίνου παλαιοῦ εὐώδους ξέστας λ΄. γλεύκους ἀμιναίου ξε ρη΄. ἑλενίου λίτρας ιβ΄. σπάθης λίτρας ε΄. ἀσπαλάθου λίτρας ε΄. ἡδυσάρου λίτρας β΄ S΄΄. μητρῴας ἀρτεμισίας λίτρας β΄ S΄΄ κυπέρου λίτρας β΄. σμύρνης λίτρας γ΄. οἱ ῃ λίτραι α΄. πεπέρεως λευκοῦ λίτρας β΄ S΄΄ σχοίνου λίτρας β΄ S΄΄. ξυλοβαλσάμου λίτρας β΄ S΄΄. ἀριστολοχίας μακρᾶς λίτραν α΄. Γο γ΄. μυρσίνης φύλλων ξηρῶν Γο α΄. λιβανωτίδος ξηρᾶς Γο ε΄. δάφνης φύλλων ξηρῶν Γο ιβ΄. βδελλίου λίτρας β΄ S΄΄ ἴρεως Ἰλλυρικῆς λίτρας β΄ S΄΄. στύρακος λίτραν α΄. Γο γ΄. κασσίας ξηρᾶς λίτραν α΄. Γο γ΄. λαδάνου λίτραν α΄. Γο γ΄. καρδαμώμου λίτραν α΄. Γο γ΄. κρόκου λίτραν α΄. Γο γ΄ S΄΄. βαλσάμου καρποῦ λίτρας β΄ S΄΄. λιβάνου λίτρας ε΄. κροκομάγματος λίτρας ε΄. πάνακος λίτραν α΄. Γο γ΄. καλάμου ἀρωματικοῦ λίτρας ε΄. ἀσάρου λίτρας β΄ S΄΄. κασσίας μελαίνης λίτρας β΄ S΄΄. ἀμώμου σταφυλῆς λίτραν α΄. Γο γ΄. σχοίνου ἄνθους λίτρας ε΄. κόστου λίτρας ε΄. Γο γ΄. νάρδου Κελτικῆς λίτρας ε΄. μελιλώτου λίτραν α΄. Γο γ΄. σαμψύχου λίτραν α΄. Γο γ΄. ῥόδων ξηρῶν λίτραν α΄. Γο γ΄. τήλεως λίτρας S΄΄. ἢ λίτρας β΄ S΄΄. ὀποβαλσάμου ἀγγεῖα μικρὰ ε΄. μαλαβάθρου μύρου λίτραν α΄. κόψας τὰ ξηρὰ, καὶ ἀραιοτέρῳ κοσκίνῳ σήσας, βρέχε ἐν οἴνῳ. βδέλλιον καὶ ἂν μὴ ξηρὸν ᾖ, καὶ αὐτὸ κόπτε· ἐὰν δὲ λιπαρὸν εἴη, τῷ οἴνῳ αὐτὸ διάλυε ὁλμοκοπῶν. βαλὼν εἰς μικρὸν ἀγγεῖον μυρεψικὸν κασσιτερινὸν, πωμάσας ἐπιμελῶς, ἔα ἐπὶ δώδεκα ἡμέρας, καὶ δώδεκα νύκτας. συγχρονισάτω δὲ τὸ γλεῦκος καθαρῶς σταφυλῆς ἐκτεθλιμμένης, ἵνα μηδὲν ἔχῃ δρόσου. βαλὼν δὲ τὸ γλεῦκος εἰς μέγα χαλκεῖον, ὥστε καὶ εἰς τὸ ζέμα τοῦ γλεύκους χώραν ἔχειν, ἐπιβάλλειν πάντα ἐν τῷ οἴνῳ βεβρεγμένα, καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον δὶς τῆς ἡμέρας ἐν σπάθῃ μυρεψικῇ σαλευέσθω ἐπὶ ὥραν. ἡ δὲ σπάθη ἀπομασσέσθω ἐπιμελῶς, ἵνα μὴ τὸ προσμένον ἐν αὐτῇ ὀξύσαν, βλάπτῃ τὸ φάρμακον πάλιν καταθείσης τῆς σπάθης. ἐσκευάσθω δὲ τὸ σκεῦος πώματι, καὶ ἄνωθεν κεντρῶσι πλείοσι, καὶ περιδείσθω ἐπιμελῶς. ὑποκείσθω δὲ τῷ ἀγγείῳ σπεῖρα. ὅταν δὲ ἡμέραι ιε΄. διέλθωσι, τὸ ἀμμωνιακὸν, καὶ αὐτὸ τὸ ἄμωμον ἀποδιδόσθω, ὁλοσχερέστερον κεκομμένον. λ΄. δὲ ἡμέρας ἐν διπλῷ ἀγγείῳ ἐπ᾽ ἀνθράκων δύο, ἢ τρία ζέματα δεῖ ἐνδιδόναι, τῷ μύρῳ ἀποδιδόντας καὶ τὸ ὀποβάλσαμον. καθελόντας δὲ τὸ ἀγγεῖον, καὶ ψύξαντας ἐπὶ ποσὸν ἀποχεῖν τὸ μύρον. τὰ δὲ λοιπὰ σπυριδίοις, ὡς ἔστι θερμὰ ἐκθλίβειν, τὸ μὲν πρῶτον διὰ χειρῶν, εἶτα διὰ πιεστῆρος ποιήσαντας τι διὰ τὸ μύρον ἀποβάλλειν εἰς αὐτὸ τὸ μαλάβαθρον, ἐὰν μύρον βάλωμεν κεχυμένον ἐπὶ θερμοῦ ὕδατος, καὶ ἀνακινεῖν τῇ σπάθῃ, ἵνα μιγῇ, εἶτα ἐάσαντας μίαν ἡμέραν, καὶ ἀποτίθεσθαι ἐν ὑελίνοις ἀγγείοις ὀστρακίνοις, κόμμι κεχρισμένοις.

Celtica, calamo, spatha, aspalatho, meliloto, costo, & musto; vinaceis vasi, quod aromata, vinum, & oleum continet, circundatis xxx. diebus, singulis bis mouetur; postea expressum vnguentum reponitur. Facultatem habet calefaciendi, emolliendi, & laxandi; benefacit rigoribus, neruorum, vterique cunctis affectibus; omni acopo efficacius est, vt quod emolliat. *Gleucini confectio vt Heras.* Quoniam Heras Gleucini confectionem luculentius ipsis iuxta finem operis medicamentarij edocuit, illius quoque præscriptionem ad verbum ita subiuncturus sum. *Olei Gleucini compositio ad perfrictiones, & neruorum vitia potissimum; iuuat opisthotonicos & emprosthotonicos, oleo puro lana irrigua, locis affectis iniecto.* ℞. olei Venefrani libras ducentas octo, aliàs cl. vini Falerni veteris odorati sextarios triginta, musti aminæi sextarios centumocto, helenij libras duodecim, spathæ libras quinque, aspalathi libras quinque, hedysari libras duas ß. artemisiæ maternæ libras ij. ß. cyperi libras duas, myrrhæ libras tres, alii libram j. piperis albi libras ij. ß. iunci odorati, vel musci libras duas & dimidiam, xylobalsami libras ij ß. aristolochiæ longæ libram vnam, & vncias tres; siccorum myrti foliorum vnciam vnam, rorismarini sicci vncias quinque, foliorum lauri siccorum vncias duodecim, bdellij lib. ij. ß. iridis Illyricæ lib. ij. ß. styracis libram j. vncias tres, cassiæ siccæ lib. j. vncias tres, ladani libram vnam, vncias tres, cardamomi libram vnam, vncias iij. croci lib. j. ℥. iij. ß. balsami fructus lib. ij. ß. thuris lib. v. crocomagmatis lib. v. panacis lib. j. ℥. iij. calami aromatici lib. v. asari lib. ij. ß. cassiæ nigræ libras duas & dimidiam, amomi vuæ libram j. vncias tres, iunci floris libras v. costi libras quinque, vncias tres, nardi Celticæ libras quinque, meliloti libram vnam, ℥. tres, sampsuchi lib. j. ℥. iij. rosarum siccarum lib. j. ℥. iij. fœnigræci libræ dimidium, vel lib. ij. ß. opobalsami vascula v. malabathri vnguenti lib. j. Arida tunduntur, & rariore cribro incernuntur, vinoque macerantur; bdellium, etsi aridum non fuerit, & ipsum contunditur; sin pingue extiterit, vino ipsum in pila contundendo soluitur. Hæc in vas exiguum vnguentarium stanneumque coniecta, sed ita vt nihil expiret opertum, diebus duodecim & duodecim noctibus sinuntur; mustum verò cum his permaneat, vua purè expressa, vt nihil roris contineat. Porrò mustum in magnum ahenum condito, vt etiam feruori ipsius locus sit; omnia in vino macerata adiiciuntur. Oleum vinumque bis de spatha vnguentaria ad horam agitantur; spatha verò accuratè detergatur, ne id quod acidum factum ei adhæret medicamentum offendat, dum rursus immittitur. Preparetur autem vas operculo, & desuper plusculis centonibus accuratè circundetur; vasi subsit restis. Quum iam dies quindecim præterierint, ammoniacum, & ipsum amomum inditur, crassius contusum. At triginta dies duplici vase supra prunas duas, vel tres feruere vnguentum permittendum est, opobalsamo adiecto. Vase autem deposito, ac modicè refrigerato vnguentum defundere, reliqua sportulis, vt sunt calida, exprimere oportet; primùm manibus, deinde prelo molientes aliquid vnguenti gratia, in ipsum malabathrum conijcere, si vnguentum in calente aqua fusum immittamus; item spatha permouere, vt misceantur; postea diem vnum sinentes, vitreis vasis, aut testaceis gummi illitis reponemus.

CAPVT XV.

Quæ scripsit Heras acopa.

ACopon ad Paralyticos, *summatim ad omnem dolorem.* ℞. rutæ viridis lib. j. pulegij sicci libram vnam, cyperi lib. j. nitri drach. l. fœnigræci lib. j. linozostis siccæ lib. j. marrubij lib. j. rorismarini libram vnam, aristolochiæ lib. vnam, amygdalarum amararum desquamatarum modij dimidium, iridis lib. ij. terebinthinæ lib. ij. baccarum lauri lib. ij. cucumeris agrestis radicis lib. ij. guttæ ammoniaci lib. ij. brathyos lib. ij. veratri albi lib. vi. myrti viridis lib. iij. lauri foliorum siccorum lib. iij. ceræ libras quatuor, bdellij lib. quatuor, vini heminas duas, alibi vini congios duodecim, olei congios quatuor. Contusis crassius iis quæ tundi debent, aquam affundito; ac rursus tunsis vinum oleumque adiungito, & noctem sic esse finito. Sequenti die incoquito, dum hæc innatantia decocta fuerint, & oleum à coctis qualitatem acceperit. Hæc omnia fiunt pedetentim. Dein sublatis, expressisque recrementis, ceram, resinam, & bdellium adiicito. *Aliud viride acopon ad ischiadas, & neruorum resolutionem; hoc vsus sum in Phorte.* ℞. resinæ terebinthinæ libram vnam, mannæ vncias quatuor, galbani vncias quatuor, aphronitri vncias quatuor, guttæ ammoniaci vncias quatuor, opopanacis vncias quatuor, seui caprini vncias sex, æruginis vncias quinque, cyprini heminam vnam, irini heminam j.ß. melini vncias quatuor, syriaci vncias tres, piperis vncias tres, quidam verò ℥. iv. olei veteris sesquisextarium, adarces vnciam i. aceti quod abundè sufficiat. Æruginem, opopanacem, & aphronitrum cum aceto terito, reliqua liquefacta superfundito. *Aliud. Acopon ad ischiadas diuturnas, articulorum contractiones, & paralysin admodum efficax.* ℞. olei veteris, & irini lib. vj. laurini lib. vj. pyracini lib. vj. ceræ lib. vj. terebinthinæ vncias ij. euphorbij ℥. ij. guttæ ammoniaci ℥. tres, castorij ℥. ij. opopanacis vncias duas, galbani ℥. ij. medullæ ceruinæ ℥. ij. piperis vncias duas. Liquabilia vbi liquefeceris, siccis affundito, ac vnitis vtitor. *Aliud acopon ad coxarum dolores, & in vniuersum ad omnia.* ℞. myrrhæ partem vnam, pyrethri partem dimidiam; læuigatis gleucinum affunditur, vt medicamentū strigmenti spissitudinem accipiat. Vbi opportunitas accidit rosaceo admixto vtitor.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Τὰ ὑπὸ Ἡρα γεγραμμένα ἄκοπα.

ΑΚοπον πρὸς παραλυτικοὺς καὶ καθόλου πρὸς πᾶν ἄλγημα. ℞. πηγάνου χλωροῦ λίτραι α'. γλήχωνος ξηροῦ λίτραι α'. κυπέρου λίτραι α'. νίτρου < ν'. τήλεως λίτραι α'. λινοζώστεως ξηρᾶς λίτραι α'. πρασίου λίτραι α'. λιβανωτίδος λίτραν α'. ἀριστολοχίας λίτραι α'. ἀμυγδάλων πικρῶν λελεπισμένων μοδίου S''. ἴρεως λίτρας β'. τερμινθίνης λίτρας β'. δαφνίδων λίτρας β'. σικύου ἀγρίου ῥίζης λίτρας β'. ἀμμωνιακοῦ θυμιάματος λίτρας β'. βράθυος λίτρας β'. ἐλλεβόρου λευκοῦ λίτρας ϛ'. μυρσίνης χλωρᾶς λίτρας γ'. δάφνης φύλλων ξηρῶν λίτρας γ'. κηροῦ λίτρας δ'. βδελλίου λίτρας δ'. οἴνου ℔ β'. ἐν ἄλλῳ τοῦ οἴνου χοᾶς ιβ'. ἐλαίου χοᾶς δ'. κόψας τὰ ὀφείλοντα κοπῆναι ἁδρομερῶς, ἐπίχεε ὕδωρ, καὶ ἔμπαλιν τὰ κεκομμένα, προσεπίχεε δὲ καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον, καὶ ἔασον ἐννυκτερεύεσθαι, καὶ τῇ ἑξῆς ἡμέρᾳ ἕψε, ἕως ταῦτα ἐμπλέοντα καθεψηθῇ, καὶ προσλάβῃ τὸ ἔλαιον τὴν ἀπὸ τῶν ἑψημένων ποιότητα. ταῦτα δὲ γὰρ ἅπαντα χρόνῳ, εἶτα ἄρας καὶ θλίψας τὰ σκύβαλα, προσέμβαλε τὸν κηρὸν καὶ τὴν ῥητίνην, καὶ τὸ βδέλλιον. Αλλο χλωρὰ ἄκοπον πρὸς ἰσχιάδας καὶ παραλύσεις. τούτῳ ἐχρησάμην ἐπὶ Φόρτῃ. ℞. ῥητίνης τερμινθίνης λίτραι α'. μάννης ℥ δ'. χαλβάνης ℥ δ'. ἀφρονίτρου ℥ δ'. ἀμμωνιακοῦ θυμιάματος ℥ δ'. ὀποπάνακος ℥ δ'. στέατος αἰγείου ℥ ϛ'. ἰοῦ ℥ ε'. κυπρίνου ℔ α'. ἰρίνου ℔ α' S''. μηλίνου ℥ δ'. Συριακοῦ ℥ γ'. πεπέρεως ℥ γ'. τινὲς δὲ οὐγγίας δ'. ἐλαίου παλαιοῦ ξε α' S''. ἀδάρκης ℥ α'. ὄξους τὸ αὐταρκέστατον. τὸν ἰὸν καὶ τὸν ὀποπάνακα, καὶ τὸ ἀφρόνιτρον σὺν τῷ ὄξει λειοτρίβει, τὰ δὲ λοιπὰ τήξας, κατάχει. Αλλο ἄκοπον πρὸς ἰσχιάδας χρονίας, πρὸς ἀγκύλας, καὶ παραλύσεις, ἔστι λίαν ἐνεργές. ℞. ἐλαίου παλαιοῦ καὶ ἰρίνου λίτρας ϛ'. καὶ δαφνίνου λίτρας ϛ'. πυρακείνου λίτρας ϛ'. κηροῦ λίτρας ϛ'. τερμινθίνης ℥ β'. εὐφορβίου ℥ β'. ἀμμωνιακοῦ θυμιάματος οὐγγίας γ'. καστορίου ℥ β'. ὀποπάνακος ℥ β'. χαλβάνης οὐγγίας β'. μυελοῦ ἐλαφείου ℥ β'. πεπέρεως ℥ β'. τὰ τηκτὰ τήξας κατὰ τῶν ξηρῶν, κατάχει, καὶ ἑνώσας χρῶ. Αλλο ἄκοπον πρὸς ἰσχιάδας, καὶ καθόλου πρὸς πάντα. ℞. σμύρνης μέρος ἕν, πυρέθρου μέρος S''. λείοις παράχει γλεύκινον, ὥστε γλοιῶδες γενέσθαι τὸ φάρμακον, ἐπὶ δὲ τῆς χρείας ῥόδινον παραμιγνὺς, χρῶ.

CAPVT XVI.

Damocratis acoporum compositiones.

PLurima medicinæ quum studiosi dictitent
Acoporum de vsu myracoporumque omnium,
Hæc, quæ sient, dicam, & quo conferant modo,
Quáve ratione facias quodque pharmacum.
Ergo & dolores neruorum hæc omnia leuant,
Carnisque totius, & musculum, quibus
Molesta lassitudo est, aut perfrictio,
Aut his dolores similes, sine patentibus
Causis oborientes. Quin lassitudini
Obnoxios, & frigori, haud faciles parant,
Siqui vsi prius ita prodeant ad munia
Vitæ necessaria obeunda. Corporis
Et carne partes pabulo indigas suo
Explent, percunctis assumpto à cibo locis.
Qui conualescunt ægrè, hos, & senes iuuant,

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Δαμοκράτους ἀκόπων σκευασίαι.

ΟΝτος δὲ πολλοῦ τοῖς φιλιάτροις λόγου,
Ακόπων ἁπάντων χρήσεως καὶ μυρακόπων,
Φράσω τίν' ἐστὶ ταῦτα, καὶ πῶς ὠφελεῖ,
Πῶς τε καθ' ἓν αὐτῶν σκευάσαι δεῖ φάρμακον.
Ποιεῖ μὲν οὖν ἅπαντα πρὸς νεύρων πόνους,
Σαρκός τε πάσης καὶ μυῶν, ὅσα κόπος
Καθεῖξεν, ἢ ψύξις, ἢ δίχα αἰτίας
Φανερᾶς ἐγένετο. τοῖς δ' ὅμοι' ἀλγήματα,
Καὶ δυσπαθείας δεῖ φέρειν ταῦτα πολλάκις,
Τοῖς εὐαλώτοις ψύξεσίν τε καὶ κόποις,
Αν χρησάμενός τις πρότερον, οὕτως ἐξίῃ
Επὶ τὰς δι' ἀνάγκην τοῦ βίου λειτουργίας,
Σαρκοῖ τε ἀτροφοῦντά τινα μέρη τοῦ σώματος,
Αν τις ἀναχρίῃ μετὰ τροφὴν τὰ πεπονθότα,
Καὶ δυσαναλήπτοις ἁρμόσει, γέρουσί τε

Χειμῶνος αὐτοῖς χρωμένοις εἰς ἑσπέραν.
Ὅσα δὲ ποιεῖ τῶν ἀκόπων, δι' ἑτέρων
Ἐροῦμεν, ὑποτάξαντες αὐτῶν ταῖς γραφαῖς,
Ἢ καὶ προσθέντες τῆς γραφῆς τὸ χρήσιμον.
Νυνὶ δὲ φήσω πῶς τὸ πρῶτον δεῖ ποιεῖν.
Ἀμμωνιακοῦ μὲν γὰρ ℥ ι'.
Εἴτ' οὐγγίας ἐθέλει τις, εἴτ' ἄλλον σταθμὸν,
Τὸ δ' αὐτὸ λιβάνου, χαλβάνης δὲ δ'.
Ἐλαφείου μυελοῦ δ'. καὶ δ'.
Τῆς Ἀττικῆς πέμπουσιν ταὐτὸν οἰσύπου.
Τερμινθίνης τε τῆς διαυγοῦς δ'.
Μέλιτος καλοῦ τε προσφάτου πάλιν ι'.
Ἴσον τε τούτῳ Ποντικοῦ κηροῦ σταθμὸν,
Στέατός τε χηνὸς προσφάτου μαλακοῦ ι'.
Οἴνου φαλερίνου ε'. κοτύλας, ἢ βραχὺ
Ἐλάττονας, ἢ καὶ βραχὺ δαψιλεστέρας,
Παλαιοῦ τ' ἐλαίου τοῦ καλοῦ δὶς κ'.
Πειρῶ δὲ τοῦτο μὴ δυσῶδες προσβαλεῖν,
Οὕτως γὰρ ἔσται προσφιλὲς τοῖς χρωμένοις.
Σκευάζεται δ' οὕτως. ἐν θυίᾳ μείζονι,
Λίβανον καταθλάσας εἰς βραχεῖς χόνδρους πάνυ,
Ἀμμωνιακόν τε, παραχέων οἶνον, εὐθέως
Ἀφείς τε ταῦτα διαβραχῆναι συμμέτρως,
Λέαινε τῷ δοίδυκι. καὶ μέλιτος πάχος
Ποιῶν, ἀποδίδου τὸ μέλι καὶ τὴν οἴσυπον,
Καὶ τὸν ἐλάφειον μυελὸν, εἶτα ταῦθ' ἐῶν
Ἐν τῇ θυίᾳ, τῆκε κηρὸν ἐν χύτρᾳ,
Καὶ πᾶν ἔλαιον, καὶ στέαρ, καὶ χαλβάνην,
Τερμινθίνην τε, καὶ τακεῖσαν πάντ' ἀφεὶς,
Κατὰ τῶν ἐνόντων τῇ θυίᾳ καταχέων,
Καὶ μικρὰ δοίδυκι κινήσας ἵν' ἀποψυγῇ,
Ταῖς χερσὶν ἀνάτριβε τότε ταῦτα πάνθ' ὁμοῦ
Ἕως ἂν ἑνωθῇ πάντα, καὶ μέλιτος λάβῃ
Ὑγροῦ καλοῦ τε τὸ πάχος, οὕτως τ' ἀπόθου
Εἰς κασσιτέρινον σκεῦος, ἢ καὶ πύξινον,
Χρώμενος ἐπιμελῶς, ὡς κρατίστῳ φαρμάκῳ.
Ἔστιν δὲ καὶ γυναιξὶ συμφορώτατον
Ὅσαις ἐγένετο φλεγμονὴ τῆς ὑστέρας,
Τὰς σκληρίας φέρουσα καὶ σκίρρου φόβον,
Ἐφ' ὧν κελεύει πεσσαρίῳ τὸ φάρμακον
Ἐγχρισθὲν οὕτως προστιθέναι ταῖς ὑστέραις.
Ποιεῖ δὲ τοῦτο καὶ πρὸς ὤτων πόνους
Τοὺς χωρὶς ἕλκους, τοὺς σφοδροὺς δίχα ῥεύματος,
Σεργητικοῦ δὲ μίξον, μύρου ἰρίνου
Μέρος δ'. ἢ γ'. τῷ φαρμάκῳ.
Θερμῷ τε δεύσας ἔριον, ἔνθες τῷ πόρῳ.

Ἄλλο.

Καὶ χλωράκοπον τοῦτο δραστικὸν πάνυ,
Διὸ ταῖς καταρχαῖς τῶν πόνων μᾶλλον ποιεῖ,
Ἀρθριτικοῖς τε καὶ ποδαγρικοῖς συμφέρει,
Πρὸ τῶν βαλανείων τριβομένοις τῷ φαρμάκῳ,
Πόδας τε καὶ τὰ νεῦρα τὰ πεπαχυσμένα.
Οὕτω γὰρ ἔγνων ὑγιεῖς τινας γενομένους.
Ἔχει δὲ λιβανωτοῦ καλοῦ λίτραν α'.
Ἀμμωνιακοῦ δὲ θυμιάματος λίτρας β'.
Ἀφρονίτρου τε λευκοτάτου λίτραν α'.
Τὸ δ' αὐτὸ καθαρᾶς οἰσύπου τῆς Ἀττικῆς,
Σμύρνης τε χρηστῆς, χαλβάνης τε τῆς ἀξύλου,
Ὀποπάνακός τε καθαροῦ. τούτων καθ' ἓν
Στήσας ἐπιμελῶς ℥ δὶς δ'.
Εὐφορβίου ℥ δ'. τοῦ προσφάτου,
Ἴσας τε ταύτας τραχέος λιμνησίου
Καλοῦσι δὲ τοῦτο ἀδάρκην, οἱ τὰ μίγματα
Ἐν Ἰταλίᾳ πωλοῦντες, οἵτ' ὠνούμενοι,
Κηροῦ σφόδρα καλοῦ Ποντικοῦ λίτρας β'.
Τερμινθίνης τε τῆς καθαρᾶς λίτρας β'. S''.
Δαφνίνου ἐλαίου, καὶ κυπρίνου, καὶ γλευκίνου,
Λίτραν μίαν ἑκάστ', ἰρίνου Σεργητικοῦ,

A *Ipsis per hyemem ad vesperam linentibus.*
Quae porrò acopa faciunt, alio vobis loco
Exponam; & horum scripta subiungam ordine,
In quemvel usum quoque veniant, mox transigam.
Nunc referam, quo primum liceat facere modo.
Nanque ammoniaci bis quinas quidem uncias,
Siue uncias mauult quis, seu pondus aliud,
Idemque thuris, at quaternas galbani.
Cerui medullae tandem; parem modum
Simul Atticique deinde mittunt aesypi,
Terebinthinae perlucidae centum & bis duas,
Mellis recentis optimi rursus decem,
B *Aequalem tribuunt pontica cera modum,*
Adipis recentis anseris mollis decem,
Vini Falerni quinque pluresue heminas
Aut pauciores paulo coniiciunt quoque,
Itidem olei veteris bis viginti boni.
Id autem graueolens haudquaquam commiseris,
Sic nanque fiet, gratum ut sit hoc utentibus.
Paratur sic. Maiusculo in mortario
Simulatque thus in grumulos confregeris,
Et ammoniacum, vinum affundens protinus,
Atque haec dimittens macerari mediocriter,
Tere cochleari; in mellis spissitudinem
Cogantur; addito mel unà, atque aesypum,
C *Corui medullam, quae in pila coïnies.*
Ac deinde cera in ollula liquescito,
Oleumque totum iuncta & adipe & galbano;
Terebinthinamque colliquefacies, simul
Superfundens coëuntibus in mortario;
Sed spathula parua, ut refrigescant, permoue.
Tum subigito tantisper haec omnia manu,
Vnita bene dum appareant, & humidi
Mellis bonique crassitudinem habuerint.
In stanneum vas condito, vel buxeum,
Hoc sedulo usus optimo ceu pharmaco.
Est commodissimum & mulieribus quoque,
D *Queis est oborta phlegmone intus; uteri*
Duriciam abigit inde, simul & scirrhi metum,
Vbi pessulo usurpare pharmacum iubet
Litum utero, quod indere hoc solent modo.
Benefacit hoc idem ad dolores aurium
Expertium ulceris, sineque fluxu graues.
Sergetici autem mittis irini unguinis
Aut portionem quartam, aut trinam pharmaco.
Calidoque lanam intinctam addis foramini.

Aliud.

Et viridacopon hoc efficax supra modum,
E *Vnde & laborum exordiis facit magis*
Arthriticis, podagricis quoque efficax.
Hoc ante balneas medicamento litis
Et pedibus & neruis incrassatis simul,
Plures fuisse sanatos conspeximus.
Habet boni thuris pondo libram unam
Ammoniaci guttae pondo libras duas,
Aphronitri quàm albissimi solum libram,
Tantundem puriusculi Attici aesypi,
Myrrhaeque lectae, & non lignosi galbani,
Opopanacisque puri, singulûm omnium
Octo uncias exactè perpendens librae;
Quatuor euphorbij recentis uncias.
F *His asperi pares dato limnesij,*
Hoc nominant adarcen unguentarij
In Italia institores, quive coëmunt;
Cerae admodum bonae duo pondo ponticae,
Terebinthinae tot purae, semissem insuper;
Olei laurini, cyprinique, & gleucini,
Sergetici, irinique singulam libram,

Olei

Olei veteris, recentis quoque lentiſcini;
Cuiuſque rurſum horum immittes pondo duo;
Aceti modicum, quo mixturas ſimplices
Siccas abunde contritas contemperes
Liquidis vnguinibus, & ceræ, terebinthinæ,
Ac galbano, liquori panacis, & aliis.
Vbi calida, atque adhuc feruentia in pilam
Conieceris, cochleari & manibus contere
Valenter. Vnita omnia ſic reponito
In pyxidem, qualem paulo priùs.
Audacter inueteratiſque omnibus vtitor.

Aliud.

Et hoc parabile paſſis acopon, item bonum;
Potiſſimum per hyemem, ſi eſt profectio
Vſquam, malo opportunis facilè ſubuenit.
Quod puri recipit galbani tres vncias;
Sed vnam opopanacis recentis vnciam,
Floris ſalis tres, & quaternas œſypi,
Ammoniaci guttæ bonæ pondo libras
Octo, atque ceræ vnam; pityinæ torridæ
Non fœtidæ quaternas bis pone vncias,
Olei ſabini bis quaternas & libras,
Plus hyeme ceu libram oportebit indere;
Vini Falerni nigri denis vnciis.
Sic præparato. Ammoniacum in mortario
Contundito, atque deinde vinum affundito
Pauliſper macera, curioſè conterens
Florem ſalis; tunc etiam adiicias œſypum,
Terens tum, ac faciens mellis ſpiſſitudinem.
Liquatis colliquandis, inde galbanum,
Tum opopanacem adiunctum, rurſus lequefacito.
Lauigatiſque priùs in pila, vnitis probè
Superque fundito, & manibus miſcens ita
Pharmacum adhuc feruens vitreo vaſe condito.

Aliud myracopon.

Et hoc myracopon optimorum ineſt gregi.
Nam ſuauitatis plenum eſt. Iuuat inſigniter
Quos nominaui paulo affectus antea.
Stactæ bonæ receptat ternas vncias,
Opobalſami tres, & mellis tres Attici;
Ceræque puræ ponticæ tres, vnguinis
Crocini ſyriaci quoque quaternas vncias,
Ammoniaci quamalbiſſimi, & læuis ſalis
Sextantem; candidæ & puræ terebinthinæ
Vnam vnciam, atque partem ipſius vnicam;
Et cinnamomi, nec non malabathri quoque
Libram adde, & partem libræ tertiam inſuper.
Sin abſit autem malabathrum forſan tibi
Adiunge nardi tantundem gangitidis,
Iſtud bonis mediocriter vnguentum additur,
Abundè medicamentoſum, vt nullum inuenis
Aliud, vel irini tantum Sergetici
Vel cyziceni pondo, idem amaracini.
His vteris, vbi non adſit quod diximus
Malabathrum; arbitror moderatum myracopon
Nihil minus ſanè auxiliari vtentibus.
Sic conſit. Accuratè mel factum leue
Adiunge, & ſtacten tritam modicè miſceas,
Opobalſamumque, ac rurſum exactè contere.
Cera, crocino, terebinthina pura duplo
Iniectis vaſi, prædicta liqueſcant aqua
In alia olla; lequefactis inde malabathrum.

A Παλαιοῦ δ' ἐλαίου, σχινίνου τε προσφάτου,
Τούτων ἑκάστου δύο πάλιν λίτρας σταθμῷ,
Ὄξους τὸ μέτριον. τούτῳ καὶ τὰ μίγματα
Τὰ ξηρὰ τρίψας ἐπὶ τὸν αὐτάρκη χρόνον,
Λείου ἐπιμελῶς προσβαλεῖς, τήξας μύρα;
Κηρόν τε, χαλβάνην τε, καὶ τερμινθίνην,
Ὀπόν τε πάνακος, τἆλλα θ' ὑγρὰ μίγματα,
Καὶ κατακενώσας θερμὰ, καὶ ζέοντ' ἔπι
Κατὰ τῆς θυείας. τῶν γ' ἐν αὐτῷ μιγμάτων
Ἀνάτριβε τῷ δοίδυκι, χειρί τ' εὐτόνως,
Καὶ πάνθ' ἑνώσας, ἀποτίθου τὸ φάρμακον
Εἰς πυξίδ' οἵαν εἶπον ἔμπροσθεν βραχύ.
B Θαῤῥῶν δ' ἐπὶ πάντων κέχρησο τῶν κεχρονισμένων.

Ἄλλο.

Καὶ τοῦτο δ' ἄκοπον εὐπόριστον καὶ καλὸν,
Καὶ μάλιστα χειμῶνος, εἴ γε ταῖς ὁδοῖς
Τοῖς εὐαλώτοις βοηθεῖν δυνάμενον.
Ἔχει δὲ καθαροῦ χαλβάνου γ'. ℥.
Ὀποπάνακος δὲ προσφάτου ℥ μίαν.
Ἄνθους ἁλὸς γ'. οἰσύπου δὲ δ'.
Ἀμμωνιακοῦ θυμιάματος τοῦ καλοῦ
Λίτρας η'. κηροῦ λίτραν α'. πιτυίνης πεφρυγμένης,
Τῆς μὴ δυσώδους ℥ δὶς δ'.
Λίτραι τ' ἐλαίου τοῦ Σαβίνου δὶς δ'.
C Πλεῖόν τε τοῦ χειμῶνος, ὡς λίτραν βάλ' εἰς
Οἴνου φαλερίνου μέλανος ℥ ι'.
Σκεύαζε δ' οὕτως. ἐν θυίᾳ ἀμμωνιακὸν
Κατάθλασον, εἶτα οἶνον βαλὼν,
Διάβρεξον ὀλίγον· καὶ λεάνας ἐπιμελῶς,
Πρόσβαλλ' ἁλὸς ἄνθους, καὶ τὸν οἴσυπον τότε,
Εἶτ' ἐκλεαίνων καὶ μέλιτος ποιῶν πάχος,
Τὰ τηκτὰ τήξας, ὕστερον τὴν χαλβάνην,
Καὶ τὸν ὀποπάνακα προσβαλὼν τῆξον πάλιν,
Κατάχει τε τῶν ἔμπροσθεν λείων γεγονότων
Ἐν τῇ θυείᾳ, καὶ καλῶς ἡνωμένων,
Οὕτω τε μίξας θερμὸν ἔπι τὸ φάρμακον
D Ταῖς χερσὶν, ἀπόθου εἰς ὑελοῦν ἀγγεῖον.

Ἄλλο μυράκοπον.

Καὶ μυράκοπον δὲ τοῦτο τῶν ἄγαν καλῶν
Ἡδὺ γὰρ ὑπάρχει, καὶ βοηθεῖ δραστικῶς
Πρὸς τοὺς πόνους οὓς εἶπον ἔμπροσθεν βραχύ.
Στακτῆς δὲ ἔχει τῆς καλῆς τρεῖς οὐγγίας,
Ὀποβαλσάμου γ'. καὶ μέλιτος γ'. Ἀττικοῦ,
Κηροῦ τε καθαροῦ Ποντικοῦ γ'. κροκίνου,
Μύρου δὲ Συριακοῦ ℥ δ'.
Ἀμμωνιακοῦ λευκοτάτου, λείου τε ἁλός.
℥ β'. μίαν δὲ καὶ ἓν μέρος
E Τερμινθίνης λευκῆς τε καὶ κεκαθαρμένης,
Τοῦ κινναμώμου δὲ καὶ μαλαβάθρου λίτραν
Μίαν προσταπόδος, καὶ μέρος λίτρας τρίτον.
Ἂν μὴ παρῇ δὲ μαλάβαθρόν σοι κατὰ τύχην,
Πρόσβαλλε νάρδου ταὐτὸν τῆς Γαγγίτιδος.
Μύρον δὲ τοῦτο τῶν μετρίως ἐστὶ καλῶν,
Ἱκανῶς δὲ φαρμακῶδες, ὡς οὐκ ἄλλο τι.
Ἢ ταὐτὸν ὁμοίως ἰρίνου Σεργητικοῦ,
Ἢ Κυζικηνοῦ, τοῦτο δὲ ἀμαρακίνου.
Τούτοις δὲ χρήσῃ, μὴ παρόντος, ὡς ἔφην,
Τοῦ μαλαβάθρου. μέτριον γὰρ οἶμαι μυράκοπον
Οὐδὲν ἔλαττον ὠφελοῦν τοὺς χρωμένους.
F Σκεύαζε δ' οὕτως. ἀναλεάνας ἐπιμελῶς,
Πρόσβαλλε τὸ μέλι, καὶ λεάνας συμμέτρως,
Στακτήν τε μίξας, καὶ ὀποβάλσαμον, πάλιν
Λέαινε ἐπιμελῶς καθαρὰν τερμινθίνην,
Κηρόν τε, καὶ τὸ κρόκινον εἰς διπλοῦν ἀγγεῖον
Βαλὼν, ὕδατι τῆκε τὰ προειρημένα,
Περὶ δεῖλον ἐν ἑτέρᾳ χύτρᾳ.
Τήξας δὲ ταῦτα παρέγχει μαλάβαθρον,

Καὶ πάνθ' ἑνώσας συμμέτρως, ὡς μὴ ζέσαι,
Βάσταζε τὸ διπλοῦν σκευάριον ἐκ τῆς χύτρας,
Ψύξας τ' ἐπιμελῶς καὶ ξύσας τὸ φάρμακον.
Προσεμβαλών τε τοῖς πρότερον εἰρημένοις,
Ἐν τῇ θυΐᾳ πάλιν λέαιν' ἕως καλῶς
Ἅπαν ἑνωθῇ, καὶ γένηθ' ἓν φάρμακον.
Εἰ δ' αὐτὸ βούλει ποιεῖν δραστικώτερον
Πρὸς τὰ νευρά τε καὶ τὰ κεχρονισμένα,
Καὶ τὰς διαθέσεις, τάς τε τῶν μυῶν τάσεις,
Εὐφορβίου τε καλοῦ καὶ ἔτι προσφάτου
Γο β'. τῷ παντὶ κατάμιξον σταθμῷ,
Τοῖς θ' ἁλσὶ καὶ τῷ μέλιτι, τῷ τ' ὀποβαλσάμῳ
Συνεκλεάνας πρότερον αὐτάρκει χρόνῳ.

Οὕτως δ' ἑνώσας πάντα τὰ προειρημένα,
Εἰς πυξίδ' ἀπόθου, ἢ εἰς ὑελοῦν ἀγγεῖον,
Ἀπὸ τῶν βαλανείων μᾶλλον αὐτῷ χρώμενος.
Βασιλεῖ δὲ ποιῶν καὶ Σεβαστῷ μυράκοπον,
Σκεύαζε ῥᾷστα τοῦτο, καὶ χωρὶς πυρὸς,
Ἔχον ὀποβαλσάμου μέτρον, ὡς γ'. οὐγγίας.

Καὶ τοῦ κρατίστου δὲ μαλαβάθρου Γο
ΙΕ' κινναμώμου τοῦ καλοῦ ταὐτὸ,
Κηροῦ δ' ἀνόσμου λευκοτάτου δραχμὰς ι'.
Σκεύαζε δ' αὐτὸ μαλαβάθρου τρίτον μέρος.
Καὶ κηρὸν εἰς ἐλάχιστα κατατετμημένον,
Εἰς ἀργυρᾶν ἔμβαλε λεπτὴν φιάλην.

Τήξας ἐφ' ὕδατος θερμοτάτου ψύξας ξύσον,
Καὶ προσβαλὼν λεῖα ἐν τῷ ὀποβαλσάμῳ,
Καὶ κινναμώμῳ, τρίβε πάλιν ἑνῶν ἅπαν,
Τότε λοιπὸν αὐτοῖς μαλάβαθρον παρεγχέας,
Τρίβων, ἕνωσον χερσὶν, οὕτω τ' ἀπόθου
Εἰς ἀργυροῦν σκευάριον, ἢ ὑελοῦν παχὺ,
Οὕτως γὰρ ἕξεις ἀσφαλῶς τὸ φάρμακον.

Τρίτον δὲ λίτρας προσβαλὼν Γαγγιτικῆς,
Νάρδου ποιήσεις γλυκύτερον τὸ φάρμακον,
Καὶ κρεῖσσον πρὸς τὰς διαθέσεις τὰς προσφάτους
Σύγχρισμα. ἂν μὴ παρῇ δὲ κιννάμωμον, οὐ βαλὼν
Ἕξεις ἐλαχίστως μεῖον, ἀλλ' ὄντως καλὸν,
Καὶ παντὸς ἄλλου μυρακόπου κρεῖσσον πολύ.

Εἰ δ' αὐτὸ βούλει δραστικώτερον ποιεῖν
Πρὸς ἃς προεῖπον διαθέσεις, Ἀτλαντικοῦ
Εὐφορβίου πρόσβαλλε δραχμὰς δ'.

Ἔσται γὰρ οὕτως ἡδὺ καὶ δραστήριον,
Κἂν ᾖ δι' ὀλίγων μιγμάτων συγκείμενον.
Τινὰς δ' ἐπέγνων στέασι πολλοῖς χρωμένους,
Μυελοῦ τε πολλοῦ, καὶ τινῶν ἀρωμάτων,
Ὀποῖς τε, καὶ μύροις, καὶ ἐλαίοις τισὶν,
Οἷς πάλιν ἀμέλει χρησάμενος, ἔγνων ὅτι
Ἀπειροκάλων τοιαῦτα καὶ μὴ κεκρικότων
Τὰ μίγματα, τάς τε ἁπλᾶς τούτων φύσεις.

A *Et cunctis vnitis modicè, vt non ferueat,*
Duplex depone vas protinus ex cacabo.
Exactè frigerato, & raso pharmaco,
Et addito iis, quæ iam prius recensui,
Mortario læuigato rursus, dum probè
Totum vniatur, fiatque vnum pharmacum.
Voles at si ipsum reddere efficacius
Ad vitia neruorum, simul ad diutina,
Affectiones longas, tensos musculos,
Euphorbij recentis etiamnum & boni
Toti vncias duas admisceas ponderi,
Cum saleque, melleque, insuper opobalsamo
Elæuigatum ante, quo satis erit tempore.
B *Itaque omnia dicta in vnum quum redegeris,*
In pyxidem, vel vas vitreum, reponito.
A balneis in vsum potius ducito.
Cum Regi facies Principiue myracopon,
Perfacilè vel para ignis sine commercio,
Opobalsami collectis ternis vnciis,
Et optimi malabathri quindecim vncias,
Et cinnamomi tantundem boni cape,
Ceræque non olentis candidissimæ
Denarios decem. Sic ipsum præpara.
Partem malabathri tertiam, & ceram quoque
Concisam multa in frusta minutissimè,
C *Argentea in tenui reconde phiala.*
Aqua calente plurimum, vt liquaueris,
Ipsum refrigerato, deinde radito,
Tum læuia iungens rursus in opobalsamo,
Et cinnamomo totum contere vniens,
Quod restat ipsis supraffundens malabathrum
Terens adunito manibus, sic condito
Argenteum in vas, aut vitreum, sed crassius;
Sic nanque tutò habebis semper pharmacum.
Ac si trientem libræ addas Gangitidis
Nardi, medicamen reddes longè suauius
Præstantiusque ad vitia adhuc recentia.
Synchrysma, cinnamomon tibi ni suppetat,
D *Minimo quidem peius habebis, verè at bonum,*
Alio omni & multo myracopo præstantius.
At si proponis id facere efficacius
Ad quos retuli modò affectus, Atlantici
Euphorbij iunges quaternas vncias.
Nam sic erit suaue, nec inefficax,
Mixturis licet confectum paucioribus.
Cognouimus quosdam vti multis pinguibus,
Medulla multa, & nonnullis aromatis,
Liquoribus, vnguentis, & oleis aliquibus.
Quibus contra vsus, cognoui esse talia
Expertium boni, qui non probauerint
Mixturas, neque naturas horum simplices.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΝΤΙΔΟΤΩΝ ΒΙΒΛΙΑ ΔΥΟ.

ΒΙΒΛΙΟΝ Α'.

GALENI DE ANTIDOTIS LIBRI DVO.

LIBER PRIMVS.

CAPVT PRIMVM.

Quid sit Antidotus, & vnde theriaca originem habuerit.



QVÆ remedia non extrinsecus corpori imposita, sed intro assumpta prauis affectibus medentur, antidota Medici nominant. Tres autem in vniuersum ipsorum sunt differentiæ. Quædam etenim lethalium venenorum gratia offeruntur; quædam ad virulentas quas appellitant feras *proficiunt*; quædam affectibus ex prauo victu orientibus auxiliantur; nonnulla hunc triplicem vsum pollicentur, quemadmodum & quæ Theriace vocatur ab Andromacho Medico composita, quæque quod Mithridatium nominant, depulit ipsum etiam, ab eo qui id composuit, sic appellatum. Hic enim Mithridates, quemadmodum & apud nos Attalus, omnium propè simplicium medicamentorum experientiam habere studuit, quæ perniciosis venenis aduersantur, facultates ipsorum in facinorosis hominibus morte damnatis explorans. Quædam igitur eorum comperit aduersus phalangia priuatim conuenire, quædam in scorpiones, quemadmodum in viperas alia. Item aduersus perimentia venena quædam in aconitum, nonnulla in leporem marinum, alia in aliud quippiam, aut aliud *pugnāt*. His itaque omnibus contemperatis Mithridates vnum confecit medicamentum, sperans se aduersus omnia lethalia habiturum præsidium. Postea Andromachus Neronis primarius Medicus quibusdam adiectis, nonnullis ademptis, Theriacen dictum antidotum præparauit, haud exigua viperarum carne, quam Mithridatium non habebat, aliis admixta. Atque ob id Theriace ad viperarum morsus præstantior quàm Mithridatium vocatum existit. Ad alia verò Mithridatium nihilo minus valet, sed est in quibus etiam præstantius inueniatur. At non easdem facultates habent &

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐστιν ἡ Ἀντίδοτος, καὶ πόθεν τὴν γένεσιν ἔχει ἡ Θηριακή.



A ΤΑΣ ἰωμένας τὰ πάθη δυνάμεις, οὐκ ἔξωθεν ἐπιτιθεμένας, ἀλλ' εἴσω τοῦ σώματος λαμβανομένας ἀντιδότους ὀνομάζουσιν οἱ ἰατροί. τρεῖς δ' αὐτῶν εἰσιν αἱ πᾶσαι διαφοραί. τινὲς μὲν γὰρ ἕνεκα τῶν θανασίμων προσφέρονται φαρμάκων· τινὲς δὲ τῶν ἰοβόλων ὀνομαζομένων θηρίων· τινὲς δὲ τοῖς ἐκ φαύλης διαίτης γιγνομένοις πάθεσιν ἀρήγουσιν. ἔνιαι δὲ τὰς τρεῖς ἐπαγγέλλονται χρείας, ὥσπερ καὶ ἡ θηριακὴ καλουμένη, συντεθεῖσα μὲν ὑπὸ Ἀνδρομά-
B χου τοῦ ἰατροῦ, προσωσαμένη δὲ τὴν Μιθριδάτειον ὀνομαζομένην, καὶ αὐτὴν ἀπὸ τοῦ συνθέντος αὐτὴν οὕτω κληθεῖσαν. ὁ γάρ τοι Μιθριδάτης οὗτος, ὥσπερ καὶ ὁ καθ' ἡμᾶς Ἄτταλος, ἐσπούδασεν ἐμπειρίαν ἔχειν ἁπάντων σχεδὸν τῶν ἁπλῶν φαρμάκων, ὅσα τοῖς ὀλεθρίοις ἀντιτέτακται, πειράζων αὐτῶν τὰς δυνάμεις ἐπὶ πονηρῶν ἀνθρώπων, ὧν θάνατος κατέγνωστο. τινὰ μὲν οὖν αὐτῶν ἀνεῦρεν ἐπὶ φαλαγγίων ἰδίως ἁρμόζοντα· τινὰ δὲ ἐπὶ σκορπίων, ὥσπερ ἐπὶ τῶν ἐχιδνῶν ἄλλα. καὶ ἐπὶ τῶν ἀναιρούντων φαρμάκων, τὰ μὲν ἐπὶ ἀκονίτου, τὰ δὲ ἐπὶ λαγωοῦ τοῦ θαλαττίου, τὰ
C δ' ἐπ' ἄλλου τινὸς, ἢ ἄλλου. πάντα δ' οὖν αὐτὰ μίξας ὁ Μιθριδάτης ἓν ἐποίησε φάρμακον, ἐλπίσας ἕξειν ἀρωγὸν ἐπὶ πᾶσι τοῖς ὀλεθρίοις. ὕστερον δὲ Ἀνδρόμαχος ὁ Νέρωνος ἀρχιατρὸς, ἔνια μὲν προσθεὶς, ἔνια δὲ ἀφελὼν, ἐποίησε τὴν θηριακὴν ὀνομαζομένην ἀντίδοτον, οὐκ ὀλίγην ἐχιδνῶν σάρκα μίξας τοῖς ἄλλοις, ἣν οὐκ εἶχεν ἡ Μιθριδάτειος. καὶ διὰ τοῦτο πρὸς μὲν τὰ τῶν ἐχιδνῶν δήγματα, καλλίων ἐστὶν ἡ θηριακὴ τῆς Μιθριδατείου ὀνομαζομένης. πρὸς τὰ ἄλλα δὲ οὐδὲν ἥττων ἡ Μιθριδάτειος, ἀλλ' ἔστιν ἐφ' ὧν καὶ βελτίων. οὐ τὴν αὐτὴν δὲ δύναμιν ἔχουσιν

ἐπιλαμβανόμεναι, καὶ προλαμβανόμεναι τῶν ἀναιρούντων A φαρμάκων. ὃ γὰρ αὔταρκες αὐτῶν ἐστὶ μέγεθος εἰς τὸ μηδὲν παθεῖν προληφθέντων, τοῦτο αὐξηθὲν εἰς τετραπλάσιον, ἢ πενταπλάσιον ἐπιδιδόμενον, ὀνίνησι, καὶ οὐχ ἅπαξ γε τῆς ἡμέρας, ἀλλὰ δίς. Εἰ δέ τις ἤτοι καθ᾽ ἑκάστην τὴν ἡμέραν, ὡς ὁ καθ᾽ ἡμᾶς γενόμενος αὐτοκράτωρ Αὐρήλιος Ἀντωνῖνος· ἢ ὡς αὐτὸς ὁ Μιθριδάτης λαμβάνοι τοῦ φαρμάκου, παντάπασιν ἀβλαβὴς ὑπὸ τῶν θανασίμων τε καὶ δηλητηρίων φαρμάκων ὀνομαζομένων ἔσται. ὥσπερ φασὶ καὶ τὸν Μιθριδάτην αὐτὸν, ἡνίκα προείλετο δι᾽ ὀλεθρίου φαρμάκου μᾶλλον ἀποθανεῖν, ἢ ὑπὸ Ῥωμαίοις γενέσθαι, μηδὲν εὑρεῖν ἀνελεῖν αὐτὸν δυνάμενον. τὰ B μὲν οὖν κατὰ Μιθριδάτην ἀκούομεν. αὐτοὶ δ᾽ ἡμεῖς ἴσμεν κατὰ τὸν Ἀντωνῖνον, ὃς τὸ μὲν πρῶτον εἰς ἀσφάλειαν ἑαυτοῦ κατασκευάζων ἑκάστης ἡμέρας, ὅσον Αἰγυπτίου κυάμου μέγεθος ἐλάμβανεν, ἢ καταπίνων ἄνευ μίξεως ὕδατος, ἢ οἴνου, ἢ τοιούτου μιγνύς. ἐπεὶ δὲ συνέβαινεν αὐτῷ νυστάζειν καρωδῶς ἐν ταῖς ὁσημέραι πράξεσιν, ἀφεῖλε τὸν ὀπὸν τῆς μήκωνος. πάλιν οὖν αὐτὸν συνέβη διὰ τὸ πρόσθεν ἔθος, ὡς ἂν αὐτῷ τε φύσει ξηροτέρας ὄντι κράσεως, καὶ ξηραῖνον φάρμακον ἐκ πολλοῦ προσφερομένῳ, τό γε πλεῖστον μέρος τῆς νυκτὸς, ἄγρυπνον διατελεῖν, καὶ διὰ τοῦτο ἠναγκάσθη προσφέρεσθαι, καὶ τοῦ τὸν ὀπὸν C ἔχοντος, ἤδη πως κεχρονικότος. Εἴρηται γάρ μοι πολλάκις ἤδη τὰ τοιαῦτα φάρμακα χρονίζοντα, πρᾳότερα ἴσχειν αὐτῶν. ἦν δὲ τηνικαῦτα διὰ τὸν Γερμανικὸν πόλεμον ἐν τοῖς περὶ τὸν Ἴστρον χωρίοις, ἐμοῦ παραιτησαμένου τὴν ἀποδημίαν ἐκείνην. ἐπεὶ δὲ τὴν ὑπὸ Δημητρίου τοῦ ἀρχιάτρου σκευαζομένην ἀντίδοτον ἐπῄνει, μετὰ θάνατον αὐτοῦ γράψας Εὐφράτει τῷ καθολικῷ, παρ᾽ οὗ τὰ πρὸς τὴν σύνθεσιν ἐλάμβανεν ἁπλᾶ φάρμακα, δηλῶσαι, τίς αὐτῷ παρῆν τῶν λαμβανόντων σύνταξιν αὐτοκρατορικὴν, καὶ πυθόμενος ἐμὲ διὰ παντὸς αὐτῷ κατὰ πάσας τὰς συνθέσεις παραγεγονέναι, σκευάζεσθαι μὲν ἐκέλευσεν D ὑπ᾽ ἐμοῦ τὴν ἀντίδοτον. ἀρεσθεὶς δὲ αὐτῇ μόνῃ, παραγενόμενος εἰς Ῥώμην, ἐπυνθάνετο κατὰ τίνα συμμετρίαν τῶν ἁπλῶν φαρμάκων σκευάζοιμι. κἀγὼ τἀληθὲς αὐτῷ διῆλθον, ὡς οὐδὲν οὐδὲ τοὐλάχιστον, οὔτ᾽ ἐνέλιπον, οὔτε προσέθηκα τῶν ἐμβαλλομένων ἐξ ἔθους παλαιοῦ τοῖς κατὰ τὴν αὐλὴν ἰατροῖς, ἐδήλωσά τε τὴν αἰτίαν, δι᾽ ἣν ἀρέσκει μάλιστα αὐτῷ ἐμοὶ σκευασία, περὶ ἧς εἰπεῖν καὶ νῦν προθέμενος, ἐμνημόνευσα τῶν τότε πραχθέντων. ἅτε γὰρ ἑκάστης ἡμέρας λαμβάνων ὁ Ἀντωνῖνος ἅμα πολλῷ μέλιτι τοῦ φαρμάκου, ἀκριβέστατα διεγίνωσκε τήν τε κακίαν αὐτοῦ καὶ τὴν ἀρετήν. E

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πῶς ἂν καλλίστη σκευάζηται ἡ θηριακή.

Γίνεται δὲ κάλλιστον τοῦτο, καὶ τὰ ἄλλα σχεδὸν ἅπαντα φάρμακα, διὰ τὴν τῶν ἐμβαλλομένων ἀρετήν τε καὶ ἀναλογίαν τῆς πρὸς ἄλληλα δυνάμεως. οἱ πολλοὶ δ᾽ οὐδὲ τὴν ἀρχὴν ἴσασι δοκιμάζειν ἕκαστον αὐτῶν καταμόνας, εἰς ὅσον ἥκει κακίας, ἢ ἀρετῆς, ὥστ᾽ οὐδὲ τὴν ἀναλογίαν τῆς πρὸς ἄλληλα δυνάμεως ἐπίστανται. καὶ διὰ τοῦτο βάλλοντες ἐνίοτε τὰ πλεῖστα F τῶν φαρμάκων ἀσθενῆ, ἢ διὰ χρόνον, ἢ διὰ γένος, ἔμιξαν αὐτοῖς τῶν ἰσχυροτάτων. ἐμβαλὼν γοῦν τίς ποτε ἐκ τῶν Θηβῶν τῶν Αἰγυπτίων ὀπὸν ἰσχυρότατον ὄντα, παραπλήσιον Φιλωνείῳ φαρμάκῳ, καὶ τῇ γεύσει, καὶ τῇ δυνάμει, τὴν ἀντίδοτον εἰργάσατο. σμύρναν δὲ αὖθις ἐμβαλὼν, ἰσχυρότατον ἅμα τοῖς πλεί-

post deleteria medicaměta, & antè, assumpta. Quę enim magnitudo ipsorũ, quum pręsumuntur, sufficit ad nihil patiendum; ea quadruplo, aut quintuplo aucta, quum postea datur, adiuuat; idque non semel quotidie, sed bis. Verùm si quis vel singulis diebus, quemadmodum nostra tempestate factus Imperator Aurelius Antoninus, vel vt ipse Mithridates, medicamentum capiat, omnino à lethalibus & deleteriis appellatis medicamentis erit securus & immunis; sicuti aiunt & Mithridatem ipsum, quum lethali medicamento interire potiùs, quàm Romanorũ subiici imperio maluit; nihil inuenisse quod ipsum interimere potuerit. Quæ iam Mithridati acciderunt, audimus. Nos autem ipsi nouimus Antonini tempore qui primùm theriacen in sui tutelam pręparans, quotidie Ægyptiæ fabæ magnitudiné assumebat, vel citra aquæ viníve, aut eiusmodi misturam deglutiens. Quum autem ipsum in quotidianis actionibus comate corripi contingeret, papaueris succum ademit. Rursus quum accideret, vt propter consuetudinem pristinam, ceu qui sicccioris temperamenti naturam haberet, & ob desiccans medicamentum à longo tempore oblatum, bonam noctis partem insomnem transigeret, coactus est propterea etiam, ex eo quod papaueris succum habet iam inueterato, adiicere. Dictum est autem à nobis sæpe eiusmodi medicamenta inueterata, mitiorem eum succum obtinere. Erat autem tunc imperator ob bellum Germanicum in Istri ripis, me profectionem illam auersato. At quum Antidotum ab Demetrio archiatro compositum laudaret, post mortem ipsius literis ad Euphratem catholicum à quo ad compositionem apta simplicia medicamenta accipiebat, missis vt indicaret quis ipsorum adesset, qui compositionem imperialem accepisset, rogauit me vt semper ei in omnibus compositionibus adessem, præpararíque Antidotum à me iussit. Sed quia hoc solum ei placuerat, Romam profectus inquirebat, quanam simplicium medicamentorum commoderatione conficerem, ac ego verum ei confessus sum. Nam nihil etiam minimum, vel reliqui, vel adieci iis, quæ ex veteri consuetudine aulici medici immittunt, causámque ostendi propter quam potissimum mihi ipsi confectio placeat, de qua impræsentiarum dicere instituens, eorum quæ tunc gesta sunt, commemini. Nam Antoninus, vt qui singulis diebus medicamentum vnà cum melle copioso assumeret, exactissime & malitiam eius, & virtutem dignoscebat.

CAPVT II.

Quomodo optima theriaca componatur.

Fit autem hoc præstantissimum, reliquáque propè vniuersa medicamenta, tum propter eorum quæ iniiciuntur probitatem, tum ob virtutis inter sese proportionem. Plerique neutiquam singula ipsa priuatim probare nouerunt, quantum maligna probáve existant. Quapropter neque virium inter se proportionem cognoscunt. Vnde factum est, vt pluribus medicamentis imbecillibus aut temporis spatio, aut genere nonnunquam iniectis, validissima ipsis admiscuerint. Quidam enim aliquando liquorem qui ex Thebis Ægypti affertur valentissimo immittens Antidoto, Philonio id medicamento & gustu & viribus persimile effecit. Rursus myrrha indita maximè valenti, simul cum pluribus

pluribus imbecillis, præstitit, vt antidotum ab illa vinceretur, ac alius quidam similiter in croco errauit, alius in sagapeno, quemadmodum rursus, alius in bitumine & galbano, nonnulli & duo & tria tam valida aliis imbecillibus admiscentes, antidotum quod ab illis superatur confecerũt. Quomodo igitur ipsum præparetur, vel vno verbo aliquis iam sagax homo ex facili addiscet. Porro medicamentorum dignotionem, ac discrimina, non semel aut bis, térve, sed admodum frequẽter spectasse conuenit, etsi accuratè à quodam indicante simul, & rationem docente quale optimum sit, poterit indipisci. At ei qui sine indice ex libro quodam perlecto, quales sunt Heraclidis Tarentini Theriacæ, Crateuæ, Dioscoridis, Nigri, Iollæ, Ruffi Ephesij, & aliorum quorundam, dignotioni ipsorum incumbit, multo magis suismet oculis inspicere opus est, quo cuiusque medicamenti virtutem & malitiam exactè internoscat. Nonnulla siquidem institores tam callide adulterant, assimilántque veris, vt etiam exercitatissimos in eis fallant, in quibus optimum est, ex longo tempore ea præparasse, atque per amicum syncerum ex regione qua præstantissimum nascitur medicamentum exhiberi, aut semel eò profectum, præparare quæ per totam vitam durare possent, qualia fere omnia sunt metallica nuncupata. Quum itaque Cyprum propterea inuisere statuissem, haberémque amicum in ea præpotẽtem, qui familiaris erat præfecti metallorum, commissarij Cæsaris, cadmiam copiosam illinc exportaui, item diphryges, spodium, pompholygem, chalcitidem, misy, sori, & chalcãthum, quemadmodum ex Palæstina Syria opobalsamum exactũ. Bitumen sanè ne adulterari quidem potest dolo, quemadmodum neq; opobalsami fructus: aut xylobalsamum. Nauigaui autem in Lemnum quoque ob nullam (ita me dij ament) aliam rem quàm Lemniam, siue terram quis nominare velit, siue sphragida, quod est sigillum. Porrò diximus de ea abundè nono de simplicium medicamentorum facultate libro. Hanc igitur siue Lemniam terram, siue sigillum malis appellare, adulterant, vt nemo veram à fucata falsáq; possit dignoscere. Quemadmodum & quod vocatur Indicum Lycium, aliáque multa dignosci ab adulteratis difficillima: quæ conuenit ab iis qui in regiones proficiscuntur, tum commissariis, tum senatoriis loci præsidibus colligere, vel ab amicis qui ea loca inhabitãt, quemadmodum me facere conspexistis. Nam alia ex magna Syria: alia ex Palæstina: alia ex Ægypto: alia ex Cappadocia: ex Ponto mihi alia afferũtur. Quemadmodum etiam ex Macedonia, & occidentalibus plagis, vbi Galli & Hispani habitant, à Mauris item qui oppositam illis regionem incolunt. Quæ verò in singulis regionibus præstantissima medicamenta gignantur, Dioscorides aliíque verè descripserunt. Nos autem, vt dicebam, præparare ea oportet, quo docui modo, & præsertim si Romæ habitemus, quò ex omnibus gentibus singulis annis permulta adueniunt. Nonnulla in ipsa quoque Italia, partim sua sponte gignuntur, partim præparantur, quemadmodum in Dicæarchia quæ nunc vocatur Puteoli, ærugo, cerusa, æs, squama æris, ac alia nonnulla. In ipsa autem Roma, argenti spuma. Nonnulla tantum non quotidie afferuntur, sicuti quæ ex Sicilia magnáque Libya & Creta singulis annis æstiuo tempore multa apportantur, quum herbarij viri, qui illic à Cæsare aluntur, non ipsi Cæsari solum,

A σοις ἀσθενέσιν, ἐπικρατηθῆναι τὴν ἀντίδοτον ὑπ᾽ ἐκείνης ἐποίησε, καί τις ἄλλος ὁμοίως ἐν κρόκῳ τοῦτον ἥμαρτεν, ὁ δὲ ἐν σαγαπηνῷ, καθάπερ γε πάλιν, ἄλλος ἐν ἀσφάλτῳ καὶ χαλβάνῃ. τινὲς δὲ καὶ δύο καὶ τρία τῶν οὕτως ἰσχυρῶν, ἀσθενέσι τοῖς ἄλλοις μίξαντες, ὑπ᾽ ἐκείνων ἐπικρατουμένην τὴν ἀντίδοτον εἰργάσαντο. τὴν σκευασίαν μὲν οὖν αὐτὴν κἂν ἅπαξ τις ἤδη δριμὺς ἄνθρωπος, εὐκόλως μαθήσεται. τὴν δ᾽ ἐμβαλλομένων φαρμάκων τὴν διάγνωσιν, οὐχ ἅπαξ, ἢ δίς, ἢ τρίς, ἀλλὰ πάνυ πολλάκις ἑωρᾶσθαι δεῖται, κἂν ἀκριβῶς ὑπό τινος δεικνύντος τε ἅμα καὶ λόγου διδάσκοντος, ὁποῖόν ἐστι τὸ ἄριστον ἐκμάθοι. τοῖς δὲ χωρὶς τοῦ δείξαντος ἐξ ἀναγνώσεως βιβλίου τινός, ὁποῖα τὰ θ᾽ Ἡρα-
B κλείδου τοῦ Ταραντίνου θηριακά, καὶ Κρατεύα, καὶ Διοσκορίδου, καὶ Νίγρου, καὶ Ἰόλλα, καὶ Ῥούφου τοῦ Ἐφεσίου, καὶ ἄλλων τινῶν ἐπὶ τὴν διάγνωσιν αὐτῶν ἥκοντι, πολὺ πλείονος αὐτοψίας δεῖ πρὸς τὸ διαγινώσκειν ἀκριβῶς ἑκάστου φαρμάκου τήν τε ἀρετὴν καὶ τὴν κακίαν. ἔνια μὲν γὰρ παραποιοῦσιν οἱ καπηλεύοντες οὕτω σαφῶς, ὡς καὶ τοὺς τριβακωτάτους ἐν αὐτοῖς λανθάνειν, ἐφ᾽ ὧν κάλλιστόν ἐστιν αὐτῶν ἐκ πολλοῦ προεσκευάσθαι διὰ φίλου ἀδόλου ἐκ τοῦ χωρίου, καθ᾽ ὃ κάλλιστον γίνεσθαι, πορίζεσθαι τὸ φάρμακον, ἢ ἅπαξ πορευθέντα παρασκευάσασθαι τὰ διαμεῖναι δυνά-
C μενα πρὸς ὅλον τὸν βίον, ὁποῖα σχεδὸν ἅπαντά ἐστι τὰ μεταλλικὰ καλούμενα. Κύπρον γοῦν ἱστορῆσαι βουληθεὶς ἐγὼ διὰ ταῦτα, φίλον τε ἔχων τὸν ἐν αὐτῇ πολὺ δυνάμενον, ἑταῖρον ὄντα τοῦ προεστῶτος τῶν μετάλλων ἐπιτρόπου Καίσαρος, καδμείαν τε πολλὴν ἐκεῖθεν ἐκόμισα, καὶ διφρυγές, καὶ σποδιόν, καὶ πομφόλυγα, χαλκῖτίν τε καὶ μίσυ, καὶ σῶρυ, καὶ χάλκανθον, ὥσπερ γε πάλιν ἐκ τῆς Παλαιστίνης Συρίας, ὀποβάλσαμον ἀκριβές. ἄσφαλτος μὲν γὰρ οὐδὲ δολωθῆναι δύναται πανούργως, ὥσπερ οὐδὲ ὁ τοῦ ὀποβαλσάμου καρπός, ἢ τὸ ξυλοβάλσαμον. ἔπλευσα δὲ καὶ εἰς Λῆμνον, ἴσασι δὲ οἱ θεοί, δι᾽ οὐδὲν ἄλλο, ἢ διὰ τὴν Λη-
D μνίαν, εἴτε γῆν ἐθέλει τις ὀνομάζειν, εἴτε σφραγῖδα. λέλεκται δὲ περὶ αὐτῆς αὐτάρκως ἐν τῷ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐννάτῳ. ταύτην οὖν εἴτε Λημνίαν γῆν, εἴτε σφραγῖδα καλεῖν ἐθέλεις, παραποιοῦσιν, ὡς μηδένα δύνασθαι διαγνῶναι τὴν ἀληθινὴν ἀπὸ τῆς πεποιημένης. καθάπερ γε καὶ τὸ καλούμενον Ἰνδικὸν Λύκιον, ἕτερά τε πολλὰ δυσχερεστάτην ἔχοντα διάγνωσιν, ἀπὸ τῶν νενοθευμένων, ἃ χρὴ παρὰ τῶν εἰς τὰ χωρία πορευομένων, ἐπιτρόπων τε καὶ συγκλητικῶν ἀρξάντων τῆς χώρας ἀθροίζειν, καὶ τῶν κατοικούντων ἐν αὐτοῖς φίλων, ὥσπερ ἐμὲ ποιοῦντα τεθέασθε. κομίζεται γάρ μοι
E τὰ μὲν ἐκ τῆς μεγάλης Συρίας, τὰ δ᾽ ἐκ τῆς Παλαιστίνης, τὰ δὲ ἐξ Αἰγύπτου, τὰ δὲ ἐκ Καππαδοκίας, ἐκ Πόντου δ᾽ ἄλλα, καθάπερ γε καὶ Μακεδονίας τε καὶ τῶν πρὸς τὴν δύσιν χωρίων, ἔνθα Κελτοὶ καὶ Ἴβηρες, οἵ τε κατὰ τὴν ἀντικειμένην χώραν οἰκοῦντες Μαυρούσιοι. τίνα μὲν οὖν ἐν ἑκάστῃ χώρᾳ γίνεται κάλλιστα φάρμακα, Διοσκουρίδης τε καὶ οἱ ἄλλοι γεγράφασιν ἀληθῶς. ἡμᾶς δ᾽, ὡς ἔφην, χρὴ παρασκευάσασθαι καθ᾽ ὃν εἴρηκα τρόπον αὐτά, καὶ μάλιστα ἐὰν ἐν Ῥώμῃ κατοικῶμεν, εἰς ἣν ἐξ ἁπάντων τῶν ἐθνῶν, καθ᾽ ἕκαστον ἐνιαυτὸν ἐξικνοῦνται πάμπολλα. τινὰ δὲ καὶ κατ᾽ αὐτὴν τὴν Ἰταλίαν, τὰ μὲν αὐτοφυῶς γίνεται. τὰ δὲ κατασκευάζεται, κα-
F θάπερ ἐν Δικαιαρχίᾳ τῇ νῦν καλουμένῃ Ποτιόλοις, ἰός, καὶ ψιμμύθιον, καὶ χαλκός, καὶ λεπὶς χαλκοῦ, καὶ ἄλλα τινά, κατὰ δὲ τὴν Ῥώμην αὐτὴν ἡ λιθάργυρος. ἔνια δὲ μόνον οὐχὶ καθ᾽ ἑκάστην ἡμέραν κομίζεται, καθάπερ τὰ τ᾽ ἐκ τῆς Σικελίας, καὶ τῆς μεγάλης Λιβύης καθ᾽ ἕκαστον ἐνιαυτὸν ὥρᾳ θέρους, ἀπό τε Κρήτης πολλὰ τῶν ἐκεῖ βοτανικῶν ἀνδρῶν ὑπὸ Καίσαρος τρεφομένων, οὐκ αὐτῷ Καίσαρι

μόνῳ, ἀλλὰ καὶ πάσῃ τῇ Ῥωμαίων πόλει, πλήρη πεμπόντων ἀγγεῖα ταυτὶ τὰ πλεκτὰ καλούμενα, διὰ τὸ τῶν λυγῶν εἶναι πλέγματα. φέρεται δὲ ἀπὸ Κρήτης τὰ τοιαῦτα, καὶ εἰς ἄλλα πολλὰ τῶν ἐθνῶν, ὡς μηδὲν τῶν ἀπ' αὐτῆς ἐνδεῖν, μήτε βοτανῶν, μήτε καρπῶν, μήτε σπερμάτων, μήτε ῥιζῶν, μήτε χυλῶν. τὰ μὲν οὖν ἄλλα πάντα εἰλικρινῆ· νοθεύονται δὲ ἔνιοι τῶν χυλῶν, ἀλλὰ καὶ τοῦτο σπανίως γίνεται. διὰ γὰρ τὸ πλῆθος τῶν γινομένων βοτανῶν ἐν τῇ νήσῳ, οὐ πάνυ τι πανουργεῖν ἐπιχειροῦσιν οἱ κατ' αὐτὴν βοτανικοί, οὐ μὴν οὐδ' ἡ κακουργία μεγάλη, καθάπερ ἐπ' ἄλλων, ἀλλ' αὐτὶ τοῦ χυλὸν ἀψινθίου μόνου ποιήσασθαι πρασίου μιγνύουσιν, ἤ τι τοιοῦτον παραποιοῦσι μικρόν, ὥστε τοὺς ἐν Ῥώμῃ μυροπώλας ὠνουμένους καθ' ἕκαστον ἔτος τὰ πλήρη τῶν φαρμάκων ἀγγεῖα τὰ πλεκτά, πρῶτον μὲν ἕκαστον αὐτῶν διδάσκεσθαι γνωρίζειν, εἰ καὶ μὴ πρότερον ἑωρακώς τις εἴη, πρὸς τούτῳ δὲ καὶ τὸ κάλλιστον ἐκ τῆς συνεχοῦς θέας, ὁποῖόν ἐστι διδάσκεσθαι. μεμνημένοι γὰρ ὧν ὠνήσαντο πέρυσι, ὅταν ἴδωσιν ἕτερον, ἄμεινον αὐτοῦ γνωρίζουσιν· ἐν μὲν ταῖς βοτάναις, ὅσαι μετὰ τοῦ καρποῦ προσκειμένου τοῖς ἀκρέμοσι κομίζονται, πολυκαρπότερον, εὐθαλέστερόν τε καὶ ἁδρότερον, ἐσφιγμένον τε κατὰ τὴν οἰκείαν οὐσίαν, ἔν τε τῷ χρόνῳ μὴ διαφθειρόμενον, ἐννοοῦντες εἶναι κρεῖττον, τῶν ἀτροφωτέρων τε καὶ ἀκαρποτέρων, ἀραιῶν τε καὶ κούφων, καὶ διαφθειρομένων ταχέως. ὄνος γὰρ ἂν εἴη σαφῶς, ὁ μηδὲν τούτων ἐννοῆσαι δυνάμενος. ὥσπερ γε καὶ κατὰ τὴν γεῦσιν τε καὶ ὄσφρησιν οὐδὲν χαλεπὸν ἐννοῆσαι τὸ ἄριστον, ἑωρακότας πολλάκις ταὐτόν. ἐν ᾧ γὰρ τῶν ἄλλων διαφέρει κατ' ὀσμήν, ἢ γεῦσιν ἕκαστον τῶν φαρμάκων, ἐν ἐκείνῳ σφοδρυνόμενον, πρωτεύει τῶν ὁμοειδῶν. οὕτω γοῦν καὶ τὸ μέλι λέγομεν ἄριστον εἶναι τὸ γλυκύτατόν τε καὶ δριμύτατον τῶν ἄλλων ἁπάντων, ἐπειδὴ τὸ γένος αὐτοῦ τὴν ἐν γλυκύτητι τοιαύτην ὑπεροχὴν ἔχειν φαίνεται. ὅταν οὖν ἐκ γλυκειῶν φύσει σταφυλῶν τὸ γλεῦκος εἰς ἥμισυ μέρος, ἢ καὶ τρίτον ἑψηθείη, γλυκύτητι μὲν οὐδὲν ἀποδεῖ μέλιτος, ἀμβλὺ δ' ἐστὶ καὶ ἄδηκτον, ὥσπερ τὸ ὕδωρ, ἀλλ' οὐ τό γε μέλι τοιοῦτον. ἔχει γάρ τινα δριμύτητα μετὰ τῆς γλυκύτητος, ὥστε ἄριστόν ἐστι τὸ πρωτεῦον ἐν τούτοις, καὶ πρῶτά γε αὐτῶν τὰ γνωρίσματα τῆς οἰκείας ἀρετῆς ἐκ τούτων ἔσται. κατὰ συμβεβηκὸς δέ τι καὶ παρεπόμενον αὐτῇ κατὰ χροιάν, καὶ σύστασιν, καὶ ὀσμήν, καὶ τὴν οἷον ἀλληλουχίαν τῶν μορίων. ὠχρὸν μὲν οὖν ἐστι τῇ χροιᾷ, τῇ συστάσει δέ, οὔτε παχὺ καὶ θρομβῶδες, οὔτε λίαν ὑγρόν, ἡνωμένον τε δι' ὅλου καὶ γλίσχρον, ὡς ἐάν γε βαστάσας ἀπ' αὐτοῦ τῷ δακτύλῳ ῥεῖν ἐπιτρέψῃς, κατατείνεσθαι συνεχὲς αὐτό, καθάπερ ἰξόν, οὐ διασπώμενον, οὐδὲ ἀπορρηγνύμενον, ἀλλ' οὐ διὰ ταῦτ' ἐστὶν ἄριστον, ἀλλ' ὅτι τὸ κατὰ τὴν οἰκείαν φύσιν ἄριστον μέλι ταῦτ' ἔχει συμβεβηκότα διὰ παντὸς ἑαυτῷ, καὶ διὰ τοῦτο γνωρίσματα γίγνεται τοῦ βελτίστου. διὸ καὶ πολλάκις ἑωρᾶσθαί φημι δεῖν ἕκαστον τῶν ἁπλῶν φαρμάκων, ἵνα διὰ μνήμης ἔχωμεν εἰς ὅσον ἥκει δριμύτητος, ἢ γλυκύτητος, ἤ τινος τῶν ἄλλων αἰσθητῶν ποιοτήτων, ὧν τὸ ποσὸν ἀδύνατον λόγῳ δηλωθῆναι. προσέρχεται δέ τις καὶ ἄλλη κρίσις τῆς ἑκάστου φαρμάκου δυνάμεως ἐξ ἐμπειρίας πολυχρονίου, μηδὲν ὑπὸ τοῦ λόγου βοηθουμένη. τὸ γοῦν ἀπὸ Κνίδου κάλλιστον μέλι φαινόμενον οἷς εἶπον ἄρτι γνωρίσμασιν, ὡς ἐγγὺς εἶναι τῷ Θασίῳ τε καὶ Ὑμηττίῳ, κακίαν οὐ μικρὰν ἐνδείκνυται χρονίζον, εἰς οἰνώδη μεταβάλλον ποιότητα. παραπλήσιον δέ τι πέπονθεν αὐτῷ, καὶ τὸ Ῥόδιον. ὥστε τις ἐμβαλὼν τούτου τοῦ μέλιτος εἰς τὴν θηριακήν,

A sed toti quoque Romanorum vrbi plena vascula transmittant, quæ πλεκτὰ dicuntur, quòd viminum plexibus constēt. Feruntur eiusmodi à Creta etiam ad alias plerasque gentes, vt nihil ex iis quæ ab ea proueniunt, desit, neque herbis, neq; fructibus, neque seminibus, neque radicibus, neq; succis. Alia igitur omnia syncera accipiuntur: nonnulli autem succi adulterantur, sed & hoc rarò accidit: nam propter copiam herbarum, in insula nascentium, herbarij incolæ non adeo fucum facere conantur, imò neq; nouitas magna quemadmodum in aliis existit, sed vt absinthij succū duntaxat faciant, marrubium miscent, aut eiusmodi
B quippiam exiguum immutant. Quare vnguentorum institores Romani, quum singulis annis plena medicamētorum vasa plectilia coëmunt, primum vnumquodque ipsorum cognoscere docentur, etiamsi non prius aliquis viderit. Ad hæc etiam quale pulcherrimum existat, ex continua inspectione apprehēdunt. Memores autem eorum quæ anno superiore emerunt, quum alterum eo præstantius viderint, agnoscūt: inter herbas sanè, quæ cum fructu surculis adhærente apportantur, fœcundius, germinantius, magis amplum, substantia ipsius compactum, & tempore non contabescens,
C intelligentes esse præstantius iis, quæ macriora, minus fructuosa, rara, leuia, & celeriter contabescentia visuntur. Asinus enim nimirum esset qui nihil horum possit intelligere, quemadmodum etiam gustu odoratúque, nihil negotij est optimū deprehendere, quum idem subinde viderimus. In quo enim singula medicamenta ab aliis odore, aut gustu differunt, in illo validum, principem inter similia specie, locum obtinet. Ita sanè & mel dicimus esse præstantissimum, quod dulcissimum & acerrimum inter omnia alia habeatur, quoniam genus ipsius eiusmodi in dulcedine excessum ob-
D tinere apparet. Quum itaque ex dulcibus natura vuis mustum ad dimidias, aut etiam tertias fuerit incoctum, dulcedine quidem nihil à melle deficit, hæbes autem est & morsus expers, quēadmodum aqua, verùm mel non huiusmodi existit, quippe acrimoniam quandam cū dulcedine refert. Quare laudatissimum est, quod in his præcellit ac primæ ipsorum notæ propriæ virtutis, ex his, ac ex accidenti eiúsque consequio petentur, iuxta colorem, substantiam, odorem, & veluti particularum compagem. Colore igitur pallidum est: substantia neque crassum & grumosum, neque nimis liquidum, vnitúmque per tota & viscosum, vt si ex eo non-
E nihil digito gestans fluere permiseris, distendatur, sibi contiguum, visci modo, ne diuellatur neq; abrumpatur: verùm non ideo est optimum, sed quia ex peculiari natura mel optimū hæc perpetuo sibi accidentia vendicat, eáq; de causa præstantissimæ notæ efficiuntur. Hinc igitur opus esse dico, singula medicamenta simplicia subinde inspexisse, vt in memoria habeamus, quantum acrimoniæ sortita sint, aut dulcedinis, aut alterius cuiusdam sensibilis qualitatis, quarum quantitas verbis nequit indicari. Iam & aliud quoddam cuiusq; medicamenti facultatis iudicium ex longa experien-
F tia accedit, quod nihil ratione adiuuatur. Nam mel à Cnidio excellentissimum notis quas dixi nuper, apparens, ceu propè accedat ad Thasium, & Hymettium, malitiam non mediocrem vetustate ostendit, in vinosam transiens qualitatem. Simile ipsi quippiam & Rhodio accidit. Quapropter quum aliquis mel hoc in theriacam misisset,

deinde post triennium ipsam vinum resipientem deprehendisset, non gustu modo, sed odore etiam, mihi ostendit, ac ego contemplatus dixi, id ei ex melle indito accidisse, ob quod homo me admirari cœpit: prætereà interrogaui, an largius ipsum incoxisset, despumassetque. Confitebatur autem & hæc, eoque admiratus est vt qui sapiens nonnihil à me audiuisset. Cæterùm suam ipse temeritatem ac præcipitantiam damnauit, quòd ex sola scriptura medicamentum præparare esset aggressus. Alius acidam quam præparauit theriacen effectam mihi indicauit, causam interrogans. Itaque quum à me audiuisset plus impendio vini esse iniectum, eiusque non optimi neque veteris, fortè etiam panis non probè confecti amplius quã conuenit carni viperarum esse immixtum, confessus ita se rem habere, temeritatis se damnauit.

CAPVT III.

Quod vinum in antidotis poni debeat.

QVare etiam prospiciendum venit, cuiusmodi genere id immittas, quale sane experientia notum est firmissimum existere; deinde validum, quod pluribus iam annis probatum fuerit, quod non amplius immutetur. Etenim imbecillima, & (vt sic dicam) aquatissima vina, aut vehementer austera, & maximè omnium vinorum acescentia, vbi primis annis exacuerint, reliquo tempore permanent. Verùm huiusmodi iudicij tempus aliud, alij vino existit: non multis sane annis aquosis id accidit. Ita verò nominant alba colore, tenuiaque substantia, & non multæ inter temperandum aquæ indiga. Omnino autem ea quæ talia sunt, vti nec caput omnino feriunt, ita neque corpus manifesto calefaciunt, neque concoctioni in ventriculo & venis euidenter quicquam conferunt, neque alendo corpori subministrant. Hæc ex omnibus vinis celerrime inueterantur. Vocant autem harum rerum periti, inueterari, prompte in talem veterascentium qualitatem immutari. Atque hæc acrimonia est cum calore manifesto. Postea vero amaror, in quem transit. Nonnunquam & aquosa vina perseuerantia est videre, quum non primis, aut tribus, aut quatuor annis subacuerint. At validis simul & austeris, albisque cum crassitie vinis, etiam post decennium interim, si non bene fuerint recondita, acescere accidit. Eadem quoque inueterari longo temporis spatio contingit. Eiusmodi in Italia sunt Tiburtinum, Signinum, Marsum, Surrentinum. Et quidem Tiburtinum Marsúmque austera sunt, & ex facili si imprudentius condantur, acescunt. Signinum verò & his valentius est, & minus acescit, inueteratúmque optimum redditur. De Surrentino quid opus est dicere? Omnibus enim hoc iam constat, id ante viginti propè annos adhuc esse crudum. Viget autem tot annis natum, diúque potulentum permanet, non ex procliui amarescens, falerno viribus persimile. Secus aquosis accidit, Sabino, Albano, Gauriano quod in Puteolorum colle nascitur. Item & quod in Neapoli in subiectis ei colliculis prouenit, Aminæum quidem appellatum,

A εἶτα μετὰ γ'. ἐνιαυτὸν εὑρὼν αὐτὴν οἰνίζουσαν, οὐ κατὰ τὴν γεῦσιν μόνον, ἀλλὰ καὶ κατὰ τὴν ὀσμὴν ἔδειξέ μοι, κἀγὼ θεασάμενος, εἶπον τὸ γεγονὸς αὐτῷ παρὰ τοῦ βεβλημένου μέλιτος, ὥστε θαυμάσαι τὸν ἄνθρωπον. ἔτι δὲ προσεπυθόμην, εἴ γε ἐπὶ πλέον ἥψησέ τε καὶ ἀπήφρισεν αὐτό. προσωμολόγει δὲ καὶ ταῦτα, καὶ διὰ τοῦτο ἐθαύμαζε μὲν, ὥς τι σοφὸν ἀκηκοὼς παρ' ἐμοῦ. κατέγνω δὲ τῆς ἑαυτοῦ προπετείας, ἐπιχειρήσαντος σκευάζειν φάρμακον ἐκ μόνης τῆς γραφῆς. ἄλλως δὴ ὀξώδη γινομένην, ἣν ἐσκεύασε θηριακὴν ἔδειξέ μοι, πυνθανόμενος τὴν αἰτίαν. ἀκούσας οὖν παρ' ἐμοῦ πλείονα
B τοῦ δέοντος ἐμβεβλῆσθαι οἶνον, καὶ τοῦτον οὐκ ἄριστον οὐδὲ παλαιὸν, ἴσως δὲ καὶ ἄρτου μὴ καλῶς κατεσκευασμένου, πλέον μεμίχθαι τῇ σαρκὶ τῶν ἐχιδνῶν, ὁμολογήσας οὕτως ἔχειν, ἑαυτοῦ κατέγνω τῆς προπετείας.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὁποῖον δεῖ τὸν οἶνον ἐμβαλεῖν ταῖς ἀντιδότοις.

ΔΙὸ καὶ προνοητέον ἐστὶν, οἶνον ἐμβάλλειν τὸν γοῦν τοιοῦτον, ὁποῖος μὲν ἐκ τῆς ἐμπειρίας ἔγνωσται μονιμώτα-
C τος ὑπάρχειν, ἔπειτα δ' ἰσχυρὸν, ἔτεσι πλείοσιν ἤδη δεδωκότα βάσανον, ὡς οὐκ ἔτι μεταβληθήσοιτο. καὶ γάρ τοι καὶ ἀσθενέστατοί γε, καὶ ὡς ἂν εἴποι τις ὑδατωδέστατοι τῶν οἴνων, ἢ σφόδρα αὐστηροὶ, καὶ μάλιστα πάντων οἴνων ὀξυνόμενοι, φθάσαντες ἐν τοῖς πρώτοις ἔτεσιν ὀξυνθῆναι, διαμένουσι τοῦ λοιποῦ. χρόνος δὲ τῆς τοιαύτης κρίσεως ἄλλος ἄλλῳ οἴνων ἐστὶν, οὐ πολλῶν μὲν ἐτῶν τοῖς ὑδατώδεσιν, οὕτω δ' ὀνομάζουσι τοὺς λευκοὺς τῇ χρόᾳ, καὶ λεπτοὺς τῇ συστάσει, καὶ μὴ πολλοῦ δεομένους ὕδατος ἐν τῷ κεράννυσθαι. πάντως δ' αὐτοῖς ὑπάρχει τοιούτοις οὖσιν, ὥσπερ οὐδ'
D ὅλως πλήττουσι τὴν κεφαλὴν, οὕτω μηδὲ θερμαίνειν σαφῶς τὸ σῶμα, μηδὲ πέψει τῇ κατὰ γαστέρα, καὶ φλέβας ἐναργῶς συντελεῖν τι, μηδὲ εὐτροφίᾳ συναίρεσθαι. τάχιστα πάντων οἴνων οὗτοι παλαιοῦνται. καλοῦσι δὲ οἱ περὶ ταῦτα δεινοὶ παλαιοῦσθαι, τὸ μεταβάλλειν ἑτοίμως εἰς τὴν τοιαύτην ποιότητα τῶν παλαιουμένων. δριμύτης δ' ἐστὶν αὕτη μετὰ τοῦ θερμαίνειν σαφῶς, ὕστερον δὲ καὶ πικρότης, εἰς ἣν μετέστη. ἐνίοτε δὲ καὶ τοὺς ὑδατώδεις οἴνους ἀφικνουμένους ἐστὶν ἰδεῖν, ὅταν γε μὴ φθάσωσιν ἐν τοῖς πρώτοις, ἢ τρισὶν, ἢ τέτρασιν ἔτεσιν ὀξυνθῆναι. τοῖς δ' ἰσχυροῖς τε ἅμα
E καὶ αὐστηροῖς, καὶ λευκοῖς μετὰ πάχους οἴνοις, καὶ μετὰ δεκαετίαν ἐνίοτε συνέπεσε μὴ καλῶς ἀποκειμένοις ὀξυνθῆναι. συνέβαινε δ' αὐτοῖς καὶ παλαιοῦσθαι χρόνῳ παμπόλλῳ. τοιοῦτοι κατὰ τὴν Ἰταλίαν εἰσὶν, ὅ τε Τιβουρτῖνος, καὶ Σιγνῖνος, καὶ Μάρσος, καὶ Σουρρεντῖνος. ὁ μέντοι Τιβουρτῖνος, καὶ Μάρσος αὐστηροί τε, καὶ ῥᾳδίως ὀξυνόμενοι κατὰ τὴν ἀπρονόητον ἀπόθεσιν. ὁ δὲ Σιγνῖνος ἰσχυρότερός τε τούτων ὑπάρχει, καὶ ἧττον ὀξύνεται, καὶ παλαιωθεὶς κάλλιστος γίνεται. περὶ δὲ τοῦ Σουρρεντίνου τί δεῖ καὶ λέγειν; ἅπαντες γὰρ τοῦτ' ἤδη γινώσκουσιν, ὡς σχεδὸν περὶ κ'. ἐτῶν ἔτι ἐστὶν ἄπεπτος. ἀκμάζει
F δὲ τοσούτων ἐτῶν γενόμενος, ἐπὶ πολύ τε παραμένει πότιμος, οὐκ εὐκόλως ἐκπικρούμενος, συνάμιλλος κατ' ἀρετὴν ὑπάρχων τῷ Φαλερίνῳ. ἐναντία δὲ τούτοις τοῖς οἴνοις, οἱ ὑδατώδεις πάσχουσιν, ὅ τε Σαβῖνος, καὶ ὁ Ἀλβανὸς, καὶ ὁ Γαυριανὸς ἐν τῷ Ποτιόλων λόφῳ γινόμενος, ὅ τε ἐν Νεαπόλει κατὰ τοὺς ὑποκειμένους αὐτῇ λόφους, Ἀμιναῖος μὲν ὀνομαζόμενος,

ἀλλὰ λεπτὸς μὲν ὑπάρχων, οὐχ ὥσπερ οἱ κατὰ τὴν Σικελίαν τε καὶ Βιθυνίαν Ἀμιναῖοι, καίτοι κἂν τούτοις τοῖς ἔθνεσιν, ὀλίγος μὲν ὁ ὑδατώδης, καὶ λεπτὸς οἶνος γίνεται, οὐ μὴν ἀποδεῖ γε, οὔτε τοῦ Σαβίνου κατὰ τὴν Ἰταλίαν, οὔτε κατὰ τὴν Ἀσίαν, Ἀρσινίου τε καὶ Τιτακαζηνοῦ, καὶ τοῦ παρ' ἡμῖν ὀνομαζομένου Τιβηνοῦ, διὰ τὸ χωρίον ἐν ᾧ γεωργεῖται Τίβας ὀνομαζόμενον, οὗτοι πάντες ῥᾳδίως μεταβάλλονται πρὸς τὰς ἐναντίας ποιότητας, ἤτοι τὴν ὀξεῖαν, ἢ τὴν πικράν, ἐν μὲν ἀρχῇ τὴν ὀξεῖαν, ἐὰν δὲ διαμένωσι, τὴν πικράν. πολὺ δὲ εἰς ἑκάτερα τὴν ἀλλοίωσιν αὐτοῖς συμβάλλεται τὸ χωρίον ἐν ᾧ κεῖνται. κατ' ἀρχὰς μὲν ἄριστόν ἐστι τὸ ψυχρόν, ὕστερον δὲ τὸ θερμόν, ἢ πάλιν, ἱκανῶς θερμὸν ἐξ ἀρχῆς, ὡς τό γε χλιαρὸν ὀξύνει ῥᾳδίως αὐτούς. ἐὰν δὲ ἐν τῷ ψυχρῷ κείμενοι διαμένωσιν ἔτεσι β'. καὶ γ'. τοὐντεῦθεν ἱκανῶς θερμαίνεσθαι δέονται, τοῦ χλιαροῦ δὲ χωρίου, καὶ τοῦ μέσου, κατὰ τὴν κρᾶσιν οὐδέποτε δέονται. τινές γε μὴν οὕτως ἀσθενεῖς εἰσι καὶ ὑδατώδεις, ὡς μηδ' ἐξ ἀρχῆς φέρειν τὸ ψυχρόν, ἐφ' ὧν ὁ πατήρ μου πείρας ἕνεκεν εἰς θερμότατον οἶκον ἐμβαλὼν στοιβὴν πολλήν, καὶ θερμήν, ἐνέκρυψεν αὐτῇ πληρώσας κεράμια, καὶ τυχὼν τῆς ἐλπίδος, οὐδέποτε ἔσχεν οἶνον ὀξυνόμενον, ἀλλὰ πάντας τάχιστα παλαιουμένους. ὅπως δ' ἄν τις οἴκημα παρασκευάσειε θερμόν, ὡς ἐκεῖνος παρεσκεύασεν, καὶ δὴ φράσω. κατὰ τοὺς ἀγροὺς ἅπαντας παρ' ἡμῖν οἶκοι γίνονται μεγάλοι, τὴν μὲν ἑστίαν, ἐφ' ἧς καίουσι τὸ πῦρ, ἐν μέσοις ἑαυτῶν ἔχοντες, οὐ πολὺ δὲ αὐτῆς ἀπέχουσιν αἱ τῶν ὑποζυγίων στάσεις, ἤτοι κατ' ἀμφότερα τὰ μέρη, δεξιόν τε καὶ ἀριστερόν, ἢ πάντως γε κατὰ θάτερον. εἰσὶ δὲ κρίβανοι συνεζευγμένοι ταῖς ἑστίαις, κατὰ τὸ πρόσω μέρος ἑαυτῶν, ὃ πρὸς τὴν θύραν βλέπει τοῦ παντὸς οἴκου. τοιοῦτοι μὲν οὖν ἅπαντες οἱ κατὰ τοὺς ἀγροὺς οἶκοι κατασκευάζονται, κἂν εὐτελεῖς ὦσιν. οἱ δ' ἐπιμελέστερον αὐτῶν κατασκευαζόμενοι, κατὰ τὸν ἔνδον τοῖχον ἔχουσι τὴν κατ' ἄντικρυ τῇ θύρᾳ τεταγμένην ἐξέδραν. ἑκατέρωθεν δ' αὐτῆς κοιτῶνα, καθ' ὃν ἄνωθέν ἐστιν ὑπερῷα οἰκήματα, καθάπερ καὶ κατὰ πολλὰ τῶν πανδοχείων, ἐν κύκλῳ κατὰ τρεῖς τοίχους τοῦ οἴκου τοῦ μεγάλου, πολλάκις δὲ καὶ κατὰ τέτταρας. ἐκ τούτων οὖν τῶν οἰκημάτων, τὸ μάλιστα σκεπόμενον ἑκατέρωθέν ἐστι, τὸ κατὰ τῆς ἐξέδρας ἐπικείμενον, ἐν ᾧ τὸν οἶνον ὁ πατήρ μου κατετίθετο, μετὰ τὸ κατὰ τοὺς πίθους ζέσαι. τὸ δὲ μονιμώτερον ἐπὶ τῶν κεραμίων ἀποτίθεται πρότερον, ὥσπερ καὶ τοὺς ἄλλους ἐστὶ παρ' ἡμῖν δι' ἔτους θερμαίνειν δι' ὅλου. ἀμείνων δὲ τῶν οἴκων ὁ πρὸς μεσημβρίαν μὲν ἐστραμμένος, ἀπεστραμμένος δὲ τὰς ἄρκτους. ἔστι δέ τις παρ' ἡμῖν γινομένη βοτάνη θαμνώδης, πάνυ θερμὴ καὶ δριμεῖα, καὶ ἀρωματίζον ἔχουσά τι, καλοῦσι δ' αὐτὴν οἱ ἐπιχώριοι κολυμβάδα, ἔνιοι δὲ στοιβήν, ἐπιτηδειοτάτην οὖσαν εἰς φυλακὴν οἴνου. συντίθεται οὖν ἐν ταύτῃ τῇ βοτάνῃ τὰ κεράμια, καὶ τῶν οἴκων τῶν ὑπερῴων τοῦ μέρους τὸν ἕνα τοῖχον διετίτρα τρήμασιν ἀξιολόγοις, ἐστραμμένοις εἰς τὸν μέγαν οἶκον, ἐν ᾧ τόν τε κρίβανον ἔφην εἶναι, καὶ τὴν ἑστίαν, προμηθούμενος, διὰ τῶν τρημάτων εἰσιέναι θερμασίαν εἰς τὸν οἶκον, ἐν ᾧ τὰ κεράμια κατετίθετο. ἔκ τε οὖν τῆς κατὰ τὸν μέγαν οἶκον θερμασίας ἡ ἀποθήκη θερμαινομένη, κἀκ τῆς στοιβῆς θαλπομένη, διεφύλαττε πάντα τὸν οἶνον, ὡς μηδέποτε ὀξυνθῆναι. πρὸς δὲ τὸ μᾶλλον ἐπιτυγχάνειν, καὶ μηδέποτε ἁμαρτεῖν τοῦ σκοποῦ, τοῖς κεραμίοις ἐνέχει τὸν οἶνον οὐ καινοῖς, ἀλλ' ἐξ ὧν ἐκεκένωτό τις τῶν πεπαλαιωμένων. παραπλή-

A ſed tenue, non ſicuti in Sicilia & Bithynia aminæa, etſi his gentibus paucum ſanè, aquoſum, ac tenue vinum gignatur, non tamen abeſt vel à Sabino in Italia, vel in Aſia, Arſinio, Titacazeno, & quod apud nos vocatur Tibenum propter regionem, in qua colitur Tibas, appellatam. Hæc omnia facilè in contrarias qualitates mutantur, vel acidam, vel amaram: inter principia quidem acidam; ſin autem permanſerint, amaram. At multum ad adulteram qualitatem regio in qua ſita ſint, confert. Initio ſanè optima eſt frigida, poſtea verò calida, aut econtra-
B rio, calida per initia. Nam tepida, facilè ipſa in acorem perducit. Si autem in frigidiore ſita loco permanſerint annis duobus & tribus, illinc abunde calefieri deſiderant, tepidum autem locum, & temperatura medium, nunquam requirunt; nonnulla tamen adeo ſunt imbecillia aquoſaque, vt ne initio quidem frigus tolerent; in quibus pater meus cauſa experientiæ ſtœbe copioſa calidaque in domum calidiſſimam iniecta vaſa repleta occultauit, & aſſequutus id quod ſperabat, nunquam vinum habuit acidum,
C ſed omnia celerrimè veteraſcentia. Quomodo autem domunculam calidam præpares, vt ille extruere ſolebat, etiam nunc indicabo: in agris omnibus apud nos domus fiunt prægrandes, focum in quo ignem excitant in medio ipſarum habentes, non multum autem ab eo diſtant iumentorum ſtabula, vel in vtraque parte: dextra & ſiniſtra, aut certè in alterutra. Sunt & fornaces focis coniuncti, iuxta anteriorem ipſorum partem, quæ totius domus oſtium reſpicit. In eum itaque modum omnes in agris domus conſtruuntur, etiamſi
D exiguæ exiſtant, quæ autem curioſius ex eis ædificantur, interiore pariete exedram habent, oſtio ex aduerſo oppoſitam: vtraque autem ipſius parte lectum, in cuius ſuperiore parte domunculæ ſublimes ſunt, quemadmodum in multis omnigenarum rerum receptaculis orbiculatim iuxta tres magnæ domus parietes, ſæpe etiam iuxta quatuor. Ex his igitur domunculis quæ maximè ſpectatur vtrobique, exedræ incumbit in qua vinum pater meus reponebat, poſtquam in doliis efferbuiſſet, at firmius in vaſis fictilibus prius reponitur, quem-
E admodum & alia licet apud nos per totum annum calefacere. Præſtantior autem domus eſt, quæ meridiem ſpectat, à ſeptentrione remota. Porrò herba quæ apud nos naſcitur fruticoſa admodum eſt, calida, acris & odoratum quippiam recipiens; vocant ipſam incolæ Colymbadem, nonnulli Stœben, ad vini conſeruationem aptiſſimam. Condebat autem hac herba vaſcula, & domuncularum ſuperiorum partis vnum parietem foraminibus notandis in maiorem modum diductis, qua & fornacem & focum eſſe dixi, diuidebat, conſi-
F derans calorem per eadem foramina in domunculam peruenire, qua vini dolia reponebat. Itaque ex magnæ domus calore & ſtœbe fotu, theca vinaria incaleſcens vinum totum conſeruabat, vt nunquam aceſceret. Quò autem magis id conſequeretur, & nunquam à propoſito aberraret, vaſis infundebat vinum non recentibus, ſed ex quibus aliquod inueteratum euacuarit. Perſimile

A simile iis quæ dixi in Italia quoque vidi circa Neapolim fieri, & collem eidem regioni vicinum, quem nominant Triphyllinum. Audiui etiam in multis Italiæ locis vinum ita calefieri, sed tale quemadmodum firmum & durabile, ita etiam doloris in capite efficax efficitur, propter qualitatem quæ ipsi ex fumo accedit. Itaque eiusmodi omnia vina in medicamentis componendis quæ intra corpus assumpturi sumus, euitabis. In emplastris autem, & aliis quæ extrinsecus imponuntur medicamentis, etiam talibus vti optimorum penuria nihil prohibet. Deligi itaque vina debent in antidota natura firma, inter quæ primum non ad hoc solùm, sed aliam quoque omnem virtutem falernum existit: assumendum verò & huius generis est, quod nondum præ vetustate amarescat, sicut nonnulli qui theriacen præparant, in hoc quoque falluntur. Quum enim audiuissent semper sermonem hunc celebrari circunferrique, puta alia omnia præter vinum tempore consenescere, vetustissimum iniiciunt: neque quantitatem aliqui coniectura assequentes, eo quòd neque in libris medicamentariis mensura ipsius scripta inueniatur. Quum autem duplices sint ipsius species, nihil viribus inter se differentes, suauius Antidotum, id quod dulcius est, efficit; ac vocant ipsum proprie Faustianum. In quibus igitur qui mutatum & acescens vinum miscent, errant. Si enim vel nullo infectum vitio per se Antidoti medicamentis contemperetur, subinde acescit, ita vt vetustissimum falernum, & præsertim quando paulo copiosius fuerit inditum, medicamentum reddit amarum.

CAPVT IV.

De melle componendis antidotis idoneo.

D IAm verò alius vnus medicus etiam mel admodum vetus falerno similiter iniecit, tali quadam ratiocinatione vsus. Vinosum quandoque mel aliquod euasit temperatum, quod præstantissimum antè apparebat. Tutius itaque visum quemadmodum in vino quod longitudine temporis indicatum est non corrumpi, medicamento admiscere. Erat autem hoc vtique propter tempus subamarum, deinde ex coctura largiore magis adhuc amarum est ostensum, quod omni melli vetustiori ex coctione accidit. At meri nihil est, quum & citra cocturam tempore amarius pro dulciori euadat. Atque apud patrem meum mel quoddam amarum adeo erat, quale in Ponto nascitur quibusdam locis, vbi apes ipsum ex absinthio congregant, id ipsum dicebat, mel quod apud Athenienses est præstantissimum, multo tempore inueteratum amarum euasisse. Quoniam verò inutile mihi visum est, etiam à patris obitu in hunc vsque diem seruo, amarius quidem adhuc multo quàm tunc erat redditum, sicuti & nigrius: non tamen multo crassius. Atque hoc optimo melli eximium adesse videtur. Quinetiam in Eleonte Cherronesi iuxta illam regionem, vbi monumentum est Protesilai mel natum, quod omnia diu eadem quæ Hymettion mel occupat, processu temporis præter quod crassius efficitur, etiam subinde in grumū concrescit. Itaq; mel omnium optimum Antidotis iniici debet Hymettion, aut Thasium, aut omnino Atticum. Quòd si penuria quandoq; sit ipsius, quod in

A σιον δὴ οἷς εἴρηκα, καὶ κατὰ τὴν Ἰταλίαν εἶδον ἐν τοῖς περὶ Νεάπολιν, καὶ τὸν γειτνιῶντα λόφον αὐτῇ τῇ χώρᾳ γινόμενον, ὃν ὀνομάζουσι Τριφύλλινον. ἐπυθόμην δὲ καὶ κατ' ἄλλα πολλὰ χωρία τῆς Ἰταλίας οὕτω θερμαίνεσθαι τὸν οἶνον. ἀλλ' ὅ γε τοιοῦτος, ὥσπερ μόνιμος, οὕτω καὶ κεφαλαλγὴς γίνεται. διὰ τὴν ἐκ τοῦ καπνοῦ προσεργασμένην αὐτῷ ποιότητα. φευκτέον οὖν σοι τοὺς τοιούτους ἅπαντας οἴνους ἐν τοῖς συντιθεμένοις φαρμάκοις, ἃ μέλλομεν εἴσω τοῦ σώματος λήψεσθαι. κατὰ δὲ τὰς ἐμπλάστρους, καὶ τὰ ἄλλα τὰ ἔξωθεν ἐπιτιθέμενα φάρμακα, καὶ τοῖς τοιούτοις, οὐδὲν κωλύει χρῆσθαι, μὴ παρόντων ἀρίστων. B αἱρετέον οὖν εἰς τὰς ἀντιδότους, οἴνους φύσει μονίμους, ὧν πρῶτος οὐκ εἰς τοῦτο μόνον, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν, ὁ Φαλερῖνός ἐστιν. αἱρετέον δὲ καὶ τούτου τὸν μήπω πικρὸν ὑπὸ παλαιότητος, ὡς ἔνιοι καὶ κατὰ τοῦτο σφάλλονται τῶν τὴν θηριακὴν σκευαζόντων. ἀκηκοότες γὰρ ἀεὶ τὸν περιφερόμενον λόγον τοῦτον, ὡς τἄλλα πάντα γηρᾷ τῷ χρόνῳ πλὴν οἴνου, τὸν παλαιότατον ἐμβάλλουσιν, οὐδὲ τῆς ποσότητος ἔνιοι στοχαζόμενοι, διὰ τὸ μηδὲ γεγράφθαι τὴν συμμετρίαν αὐτοῦ, κατὰ τὰς φαρμακίτιδας βίβλους. δυοῖν δ' ὄντοιν εἰδῶν αὐτοῦ, μηδὲν ἀλλήλων διαφερόντων ἀρετῇ, ἡδίονα τὴν C ἀντίδοτον ὁ γλυκύτερος ἐργάζεται. καὶ καλοῦσιν αὐτὸν ἰδίως Φαυστιανόν. καθάπερ οὖν οἱ τὸν μεταβάλλοντα, καὶ ὀξυνόμενον οἶνον ἐμβάλλοντες ἁμαρτάνουσιν, εἰ γὰρ καὶ μηδὲν ἔχων ἔγκλημα καθ' ἑαυτὸν, ἀναμιχθείη τοῖς τῆς ἀντιδότου φαρμάκοις, ὀξύνεται πολλάκις, οὕτως ὁ παλαιότατος Φαλερῖνος, καὶ μάλισθ' ὅταν βραχὺ πλείων ληφθῇ, πικρὸν ἐργάζεται τὸ φάρμακον.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ μέλιτος ταῖς ἀντιδότοις ἐμβληθῆναι δεομένου.

D Εἰς δέ τις ἰατρὸς, καὶ τὸ μέλι πάνυ παλαιὸν ἐνέβαλεν ὁμοίως τῷ Φαλερίνῳ, κατὰ τοιόνδε τινὰ λογισμόν. οἰνῶδές ποτε μέλι τι γέγονε τὸ κεκραμένον, ἔμπροσθεν ἄριστον αὐτὸ φαινόμενον. ἀσφαλέστερον οὖν ἔδοξε καθάπερ ἐπ' οἴνου τοῦ τῷ μήκει τοῦ χρόνου κεκριμένου, ὡς οὐ φθείροιτο, μῖξαι τῷ φαρμάκῳ. τὸ δὲ ἦν ἄρα, διὰ τὸν χρόνον ὑπόπικρον, εἶτα καὶ τὴν ἕψησιν προσλαβὸν ἐπὶ πλέον γενομένην, ἔτι μᾶλλον ἐδείχθη πικρὸν, ὅπερ ἅπαντι μέλιτι τῷ παλαιοτέρῳ συμβαίνει κατὰ τὴν ἕψησιν. καὶ θαυμαστὸν οὐδὲν, ὅπου γε καὶ χωρὶς τῆς E ἑψήσεως, ἐν τῷ χρόνῳ πικρότερον ἀντὶ τοῦ γλυκυτέρου γίνεται. καὶ παρά γε τῷ ἐμῷ πατρὶ μέλι τι πικρὸν οὕτως ἦν, οἷον ἐν τῷ Πόντῳ γίνεται κατά τινα τῶν χωρίων, ἐν οἷς αἱ μέλιτται συνάγουσιν ἀπὸ τῶν ἀψινθίων. αὐτὸ τοῦτο δὴ ἔφασκε τὸ μέλι τὸ παρὰ Ἀθηναίοις ἄριστον, χρόνῳ παμπόλλῳ παλαιωθὲν γεγονέναι πικρόν. ἐπεὶ δ' ἄχρηστον ἐφαίνετό μοι, καὶ μετὰ τὴν τελευτὴν τοῦ πατρὸς ἄχρι νῦν φυλάττω, πικρότερον μὲν ἔτι καὶ μᾶλλον, ἢ τότε ἦν γεγονὸς, ὥσπερ γε καὶ μελάντερον, οὐ μὴν παχύτερόν γε πολλῷ. καὶ τοῦτ' ἔοικεν ἐξαίρετον ὑπάρχειν τῷ καλλίστῳ μέλιτι. καὶ γάρ τοι, καὶ τὸ ἐν Ἐλεοῦντι τῆς Χερρονή- F σου κατὰ τὴν χώραν ἐκείνην ἔνθα τὸ ἡρῷόν ἐστι τοῦ Πρωτεσιλάου γινόμενον μέλι, πάντ' ἔχον Ὑμηττίου μέλιτος, μέχρι πολλοῦ τὰ αὐτὰ, τῷ χρόνῳ προϊόντι, πρὸς τὸ παχύτερον γίνεσθαι, καὶ θρομβοῦται πολλάκις. μέλι μὲν οὖν πάντως ἐμβλητέον ἐστὶ τὸ κάλλιστον ταῖς ἀντιδότοις, Ὑμήττιον, ἢ Θάσιον, ἢ πάντως γε Ἀττικόν. εἰ δὲ ἀποροῖμέν ποτε αὐτοῦ, τοῦ ἐν

τοῖς Κυκλάσι νήσοις γινομένου, ὅ τι περ ἂν ὁμοιότατον ᾖ τούτῳ. A γίνεται δὲ κατὰ τὸν Ἰσθμὸν μέλι ἀγαθὸν, καὶ καλεῖταί γε τοῦτο Ἰσθμιακὸν ἰδίως ἀπὸ τοῦ χωρίου, καθάπερ καὶ Τοίβρεον, καὶ αὐτὸ τὴν ἀπωνυμίαν ἔχον. ἔνδοξα μὲν οὖν ταῦτα. γίνεται δὲ καὶ κατ᾽ ἄλλα χωρία κάλλιστον μέλι, διὰ βραχύτητα δ᾽ ἅπαν δαπανώμενον ὑπὸ τῶν ἐγχωρίων, ὡς μὴ περιττεύειν εἰς ἄλλην χώραν ἐξάγεσθαι, καὶ διὰ τοῦτ᾽ ἀγνοεῖσθαι. καὶ γὰρ οὖν ἐν τῇ παρ᾽ ἡμῖν χώρᾳ τῇ μεταξὺ Περγάμου τε, καὶ τῆς ἐπὶ θαλάττῃ πόλεως Ἐλαίας, ἔστι τις λόφος θύμων μεστὸς, ἐν ᾧ κάλλιστον αἱ μέλιτται συντιθέασι μέλι, δαπανώμενον αὐτόθι. κεῖται δὲ ὁ λόφος οὗτος ἀπὸ Περγάμου πορευομένῳ εἰς Ἐλαίαν B ἐν τοῖς ἀριστεροῖς μέρεσιν, οὐ μὴν ἐγγὺς τῆς ὁδοῦ, καὶ κατὰ τὴν ὑπερκειμένην δὲ τῆς ἡμετέρας χώρας Μυσίαν, ἣν ὀνομάζουσι Βρῖττον, ἐθαύμασα θεασάμενος μέλι παραπλήσιον ἀκριβῶς Ἀττικῷ, καίτοι τοῦ ἄλλου μέλιτος ἀκριβῶς ἐν αὐτῷ φαυλοτάτου γινομένου. ἀλλὰ γὰρ κἀκεῖ λόφος τις ἦν οὐ μέγας, πετρώδης ὅλως, θύμων τε καὶ ὀριγάνων μεστός. ἄλλοθι δὲ κυτίσου μὲν ἦν τὸ χωρίον μεστόν. ἐγεώργει δ᾽ ὁ δεσπότης αὐτοῦ μέλι γλυκύτατον, ὡς ὑπερβάλλειν ἐν τούτῳ τὸ Ἀττικὸν, οὐ μὴν δριμύ γε, καὶ διὰ τοῦτο ταχέως μὲν ἀποτρέφον τοὺς χρησαμένους αὐτῷ, ταχέως δὲ ναυτίαν κινοῦν, εἰ καὶ βραχὺ C πλέον ληφθείη. καὶ γὰρ οὖν καὶ τοῖς γράψασι περὶ τῆς κυτίσου, τοῦθ᾽ ὁμολογεῖται πᾶσιν, ὡς πλεῖστον μέλιτος ἐκ τῶν ἀνθέων αὐτῆς αἱ μέλιτται δρέπονται. θαμνῶδες δ᾽ ἐστὶ φυτὸν ἡ κύτισος, εἰς ὕψος ἀνῆκον ὅσον αἱ μυρρῖναι. εἴρηται δέ μοι ταῦτα χρησιμώτατα τοῖς μὴ μόνον ἐν Ῥώμῃ κατοικοῦσιν ἰατροῖς, εἰς ἣν τὰ πανταχόθεν ἥκει καλὰ διὰ παντὸς ἔτους, ἀλλὰ καὶ τοῖς ἐν ἅπαντι μέρει τῆς οἰκουμένης, ὅπως εἰδότες τὰ γνωρίσματα τῶν ἀρίστων, ἐκλέγοιντ᾽ ἂν τῶν παρ᾽ ἑαυτοῖς, ἢ πάντως γε τῶν ἀστυγειτόνων, ἢ ὁμοεθνῶν τὰ κάλλιστα. Φιλώνειον μὲν οὖν τις ἀντίδοτον, ἢ τινα ἄλλην τῶν εὐτελῶν συν- D τιθεὶς, οὐ πάνυ τι δεῖται τῶν εἰς ἄκρον ἀρίστων φαρμάκων. εἰ δὲ τὴν Μιθριδάτειον, ἢ τὴν θηριακὴν, ἢ τινα ἄλλην τῶν πολυμιγμάτων τε καὶ κιννάμωμον ἐχουσῶν συντιθείη, πάντων τῶν ἀρίστων δεῖται φαρμάκων. καὶ οὐκ ἂν εὐπορήσειεν ἐν ἄλλῳ χωρίῳ, καὶ διὰ τοῦτο ἐν Ῥώμῃ σκευάζουσι τὰς τοιαύτας ἀντιδότους, οὐχ οἱ ἄριστοι μόνοι τῶν ἰατρῶν, ἀλλὰ καὶ οἱ μυροπῶλαι, πάντες μέντοι τῶν ἐν αὐταῖς ἁμαρτάνοντες ἔλαττον, ἢ μεῖζον, ὅμως μὴ συντιθέντες ἄχρηστον φάρμακον. Ἀντωνίνου μὲν οὖν βασιλεύοντος, τῶν πλουσίων ἡ θηριακὴ ἐσκευάζετο πολλοῖς, καὶ διὰ τοῦτο ἐνίοτε τῶν δυσπορίστων ἀπέλιπέ E τινα. θαυμαστὸν γὰρ ὅπως οἱ πλούσιοι τὰ τῶν αὐτοκρατόρων ζηλοῦσιν, ἢ βούλονταί γε φαίνεσθαι ζηλοῦντες. ἐπεὶ δ᾽ ἐκεῖνος ἐξ ἀνθρώπων ἀπῆλθεν, ὀλίγιστοι κατασκευάζουσι τὴν ἀντίδοτον ταύτην, ὥσπερ γε καὶ τὴν Μιθριδάτειον. ὡς οὖν ἐν Ῥώμῃ τῶν ἀρίστων φαρμάκων ἁπάντων εὐπορῆσαι μᾶλλόν ἐστιν, ἢ κατ᾽ ἄλλο χωρίον, οὕτως ἐν αὐτῇ τῇ Ῥώμῃ Καίσαρι σκευάζων τις, ἔτι μᾶλλον εὐπορεῖ πάντων τῶν εἰς ἄκρον ἀρετῆς ἡκόντων, οἴνου μὲν τοῦ Φαλερίνου, καὶ μέλιτος Ὑμηττίου, ὀποβαλσάμου τε τοῦ Συριακοῦ καλουμένου. διὰ δὲ τὸν τόπον ἐν ᾧ γεννᾶται, πλεῖστόν τε καὶ κάλλιστον, ἕτερον ὄνομα F δεύτερον ἔχον, τὸ Σιγαδινὸν γὰρ ὀνομάζεται, κρεῖττον ὂν τῶν ἐν ἄλλοις χωρίοις τῆς Παλαιστίνης γινομένων. ὅσῳ δ᾽ ὁ οἶνος ὁ Φαλερῖνος ἀμείνων ἐστὶ τοῦ κατὰ τὰ καπηλεῖα, τοσούτῳ τοῦ κατ᾽ Αἴγυπτον γινομένου. τῷ τοίνυν ἐπισταμένῳ γνωρίζειν ἀκριβῶς ἑκάστου τῶν φαρμάκων τὴν ἀρετὴν, ἐὰν ὑπάρξῃ Καίσαρι

Cycladibus insulis nascitur, quódque huic simillimum fuerit, admittendum est. Quin & in Isthmo mel bonum gignitur, ac id à regione Isthmiacum proprie nuncupatur, quemadmodum Tibenum & ipsum denominationem sortitum. Egregia nobiliáque hæc sunt. Cæterùm & in aliis regionibus optimum mel prouenit. Propter paucitatem autem ab incolis insumptum, vt non possit superfluum in aliam efferri regionem, ignoratur. Etenim in nostro agro qui inter Pergamum & Elæam vrbem in mari sitam habetur, collis quidam est thymis refertus, in quo apes laudatissimum mel componunt, quod inibi consumitur. Iacet autem hic collis à Pergamo proficiscenti ad Elæam in sinistra, non tamen propter viam. Ac in Mysia quæ supra nostrum agrum est, nominant Britton, demiratus sum quum viderem mel omnino Attico persimile, etsi illud mel longe prauissimum in ea nascatur. Sed enim & illic tumulus quidam erat non grandis, in totum petricosus, thymis, & origanis consitus. Alibi locus erat Cytisi plenus. Colebat autem dominus eius mel dulcissimum, vt excelleret hic Atticum, non tamen acre, atque ideo celeriter vsos eo auertit, subitóque nauseam commouet, si etiam paulo copiosius fuerit assumptum. Etenim & iis qui de Cytiso scripserunt: hæc in confesso sunt omnibus, quòd bonam mellis partem ex floribus ipsius apes decerpunt. Fruticosa autem planta est Cytisus in altum excrescens, myrtis similiter. Hæc sanè diximus vtilissima iis, qui non solum Romam incolunt medicis, quò ex omni terra quotannis bona veniunt, sed qui in qualibet orbis parte habitant, vt cognitis optimorum notis, ex iis quæ apud suos, aut certè vicinos, aut eiusdem gentis homines existunt, optima deligant. Qui igitur Philonium Antidotum, aut aliud quoddam exiguum componit, non adeo summè bonis medicamentis indiget. Si verò Mithridation, aut Theriacen, aut aliud quoddam multæ misturæ & Cinnamomum recipiens, conficiat, omnium præstantissimis opus medicamentis habet. Atque alio in loco eorum copia non datur; eóque Romæ eiusmodi Antidota præparant, non solùm optimi medici, sed etiam Myropolæ: omnes vtique in eis magis, aut minus peccantes, non tamen inutile medicamentum componentes. Itaque Antonino imperante à diuitibus plerisque Theriaca præparabatur, atque ideo nonnunquam aliqua quæ difficilè poterant comparari, reliquerunt. Mirum enim quàm diuites principis studia imitentur, aut cupiant saltem imitantes videri. Quum autem ille è vita excessit, paucissimi hoc Antidotum veluti & Mithridation præparabant. Quemadmodum igitur Romæ optimorum medicaminum omnium copia facilius quàm alibi suppeditatur, ita in ipsa Roma alicui Cæsari Antidotum præparanti multo magis adhuc omnia præstantissima suppetunt, vinum sanè Falernum, mel Hymettium, opobalsamum quod Syriacum appellatur: ex loco autem in quo generatur copiosissimum optimúmque, aliud nomen secundum obtinet, vocatur enim Sigadinum præstantius iis, quæ in aliis Palæstinæ locis gignuntur. At quanto vinum Falernum excellentius est, eo quod in tabernis venditur, tanto etiam eo quod in Ægypto nascitur. Quapropter si exactè cognoscenti vniuscuiusque medicamenti virtutem, liceat Cæsari præparare,

quem-

quemadmodum mihi licuit, optimum conficiatur. Nam quum regibus præstantissima quæque ex omni terra adferantur, ex his rursus ipsis optimum eligetur. Ego vero vini Falerni vniuscuiusque ætatem vasculis inscriptam relegens, gustu deprehendi, quæ plures quàm viginti annos haberent, à quibus processi vsque ad ea quæ nihil subamari saperent. Nam vetus ex iis quæ nondum amaritudinem assumpserunt, optimum est, quantum ad ætatem attinet. Hymettium autem mel quum in scriniis imperatoriis copiosum habeatur, bimulum gustans, delegi, ex eo quòd esset dulcissimum & acerrimum, vt quod recenti & vetustiori sit præstantius. Quia verò non solum iis qui regiam huius confecturæ copiam habent, sed & aliis quoque omnibus medicis scripturam vtilem esse conuenit, sermo mihi fit prolixior. Statim namque multa quæ Athenis emuntur, particulas habent plerasque in imo reconditas, & propter hoc inspiciuntur: acrimoniam melli exhibentes. Tempore autem in superficie thymi erumpunt, quemadmodum etiam alia quæ alterius generis melli respondent: ac multa quæ Romæ venduntur, talia apparent: præterquam si exercitati qui adferunt ea exemerint, quæ thymis supernatant, vt vulgares qui mel degustant, præpollenti thymorum qualitate præditum, decipiantur. Hoc autem non accidit in eo quod dolum non sensit. Si itaque aliquando thymum senseris mel olfaciens, commemoratam modo fraudem coniicito. Nam optimum mel acrimoniam thymorum attrahit: odorem verò non exhaurit, sicuti nec gustus vehementiam. Etenim quatenus incoquere conuenit, vbi de confectura agetur, exponemus. De mellis igitur virtute satis est disputatum. De vinis autem deinceps dicentur, quæ paulo ante reliquimus.

A σκευάζειν, ὡς ὑπῆρξεν ἐμοὶ, τὸ κάλλιστον σκευασθήσεται. κομιζομένων γὰρ τοῖς βασιλεῦσι τῶν ἀρίστων ἁπανταχόθεν, ἐξ αὐτῶν πάλιν τούτων τὸ κάλλιστον αἱρήσεται, ἔγωγέ τοι τῶν οἴνων τῶν Φαλερίνων ἑκάστου τὴν ἡλικίαν ἀναγινώσκων ἐπιγεγραμμένην τοῖς κεραμίοις, εἰχόμην τῆς γεύσεως, ὅσοι πλειόνων ἐτῶν ἦσαν εἴκοσι, προσερχόμενος ἀπ' αὐτῶν ἄχρι τῶν οὐδὲν ὑπόπικρον ἐχόντων. ὁ γὰρ παλαιὸς τῶν οὐδέπω πικρότητα προσειληφότων, ἄριστός ἐστιν, ὡς ἐφ' ἡλικίᾳ. τοῦ δὲ Ὑμηττίου μέλιτος ἐν ταῖς αὐτοκρατορικαῖς ἀποθήκαις ὄντος πολλοῦ, τοῦ διετοῦς γευόμενος, ἐκλέγων ἐξ αὐτοῦ πάλιν τὸ γλυκύτατον,
B καὶ δριμύτατον. ἄμεινον γὰρ τοῦτο τοῦ προσφάτου, καὶ παλαιοτέρου. ἐπεὶ δὲ οὐ μόνοις τοῖς βασιλικὴν ἀφθονίαν ἔχουσι τῆς τοιαύτης παρασκευῆς, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἰατροῖς ὠφέλιμον εἶναι χρὴ τὴν γραφὴν, ὁ λόγος μοι γέγονε μακρότερος. αὐτίκα γέ τοι πολλὰ τῶν Ἀθήνησι πιπρασκομένων, ἔχει μόρια πολλὰ κατακεκρυμμένα μὲν ἐν τῷ βάθει, καὶ διὰ τοῦτο μὴ βλεπόμενα, δριμύτητα δὲ τῷ μέλιτι παρέχοντα, τῷ χρόνῳ δὲ ἐπιπολῆς γίγνεται τὰ θύμα, καθάπερ καὶ τἆλλα ὅσα τῶν ἑτερογενῶν ἐμφέρεται τῷ μέλιτι, καὶ πολλὰ τῶν πιπρασκομένων ἐν Ῥώμῃ τοιαῦτα φαίνεται, πλὴν εἰ πεί-
C ρωνες ὄντες οἱ κομίζοντες, αὐτὰ φθάσειαν ἀφελεῖν ὅσα τῶν θύμων ἐπεπόλασεν, ὡς τοὺς πολλοὺς ἐξαπατᾶσθαι γευομένους τοῦ μέλιτος, ἐπικρατοῦσαν ἔχοντος τὴν τῶν θύμων ποιότητα. τοῦτο δὲ οὐ γίγνεται κατὰ τὸ μὴ δολωθέν. ἐὰν ποτ' οὖν αἴσθῃ θύμου ὄζον τὸ μέλι, τὴν εἰρημένην ἄρτι πανουργίας τεκμήριον. τὸ γὰρ ἄριστον μέλι, τὴν μὲν δριμύτητα τῶν θύμων ἐπισπᾶται, τὴν ὀσμὴν δὲ οὐκ ἐκμάττεται, καθάπερ οὐδὲ τὸ τῆς γεύσεως σφοδρόν. περὶ μὲν οὖν τῆς μέλιτος ἀρετῆς αὐτάρκως εἴρηται. μέχρι γὰρ πόσου χρὴ ἕψειν αὐτὰ, ἐν τῷ τῆς σκευασίας εἰρήσεται λόγῳ. περὶ δὲ τῶν οἴνων λεκτέον ἐφεξῆς, ὅσα μι-
D κρῷ πρόσθεν ἀπελίπομεν.

CAPVT V.

Conquirenda esse quauis in regione mella, vina, simplices medicinas.

NAm si in Asia, aut apud alias quasdam gentes Antidotum præparans, vinum medicamento vtile desideres, colore vermiculum quærere oportet. Quippe nullum vel nigrum, vel album, vel rubrum ad huiusmodi Antidota est accommodatum: verùm substantia tenue, vt pelluceat, gustu, sicut in falerno dictum, necdum amarescens, non tamen crudum adhuc propter nouitatem. Scribam autem eiusmodi vinorum nominatim tibi exemplum quæ in Asia nostra proueniunt, & priusquam Romanorum potentia esset adaucta, ac falernum inclaruisset, veteres medici appellationes eorum literis prodiderunt. Sunt autem tria in Asia. Ariusium sanè quod ab ipsis est commendatum, nascitur in Chio, nomenclaturam à loco vbi gignitur, sortitum. Quemadmodum & Lesbium à totius insulæ nomine vocatur. Tmolites à colle cui Tmolus nomen est, vbi nascitur. Porrò constat ex his ipsis optimum deligi secundum prædictas notas oportere, veluti in melle dictum à me est. Quum enim omne propemodum in Attica bonum existat, in hoc rursus ipso Hymettion est laudatissimum, mox Thasium, sic etiam inter multa vina quæ in

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅτι κατὰ πάσας τὰς χώρας ζητεῖν χρὴ τό τε μέλι, καὶ τὸν οἶνον, καὶ τὰς ἁπλᾶς δυνάμεις.

ΕΑν γὰρ ἐν Ἀσίᾳ σκευάζων, ἤ τινι τῶν ἐθνῶν τῶν ἄλλων, δεηθῇς οἴνου χρησίμου τῷ φαρμάκῳ, τὴν μὲν χροιὰν ζητεῖν τὸν κιρρόν. οὐδεὶς γὰρ οὔτε τῶν μελάνων, οὔτε τῶν λευκῶν, ἀλλ' οὐδὲ τῶν ἐρυθρῶν ἐπιτήδειος εἰς τὰς τοιαύτας ἀντιδότους
E ἐστὶ, τῇ συστάσει δὲ τὸν λεπτὸν, ὡς διαυγεῖσθαι. τῇ γεύσει δὲ, ὡς ἐπὶ τοῦ Φαλερίνου προείρηται, τὸν μηδέπω μὲν πικρὸν, οὐ μὴν ἄπεπτον ἔτι διὰ τὴν νεότητα. γράψω δέ σοι καὶ παράδειγμα τῶν τοιούτων οἴνων ὀνομαστὶ, τῶν γε κατὰ τὴν ἡμετέραν Ἀσίαν γινομένων, καὶ πρὶν αὐξηθῆναι τὴν Ῥωμαίων δύναμιν, ἔνδοξον γενηθῆναι τὸν Φαλερῖνον, οἱ παλαιοὶ τῶν ἰατρῶν ἔγραψαν τὰς προσηγορίας. εἰσὶ δὲ οὗτοι τρεῖς ἐν Ἀσίᾳ. γίνεται δὲ ὁ μὲν ἐπαινούμενος ὑπ' αὐτῶν Ἀριούσιος ἐν Χίῳ, τὴν προσηγορίαν ἀπὸ τοῦ χωρίου κτησάμενος ἐν ᾧ γίγνεται. καθάπερ καὶ ὁ Λέσβιος ἀπὸ τοῦ τῆς νήσου πάσης ὀνόματος. ὁ δὲ
F Τμωλίτης ἀπὸ τοῦ λόφου καθ' ὃν γίγνεται. Τμῶλος γὰρ αὐτῷ τοὔνομα. δῆλον δὲ ὅτι τὸν ἄριστον αὐτῶν τούτων, ἐκλέγεσθαί σε χρὴ κατὰ τὰ προειρημένα γνωρίσματα, καθάπερ ἐπὶ τοῦ μέλιτος εἶπον. ὄντος γὰρ ἄπλετος σχεδὸν τοῦ κατὰ τὴν Ἀττικὴν καλοῦ, τούτου πάλιν αὐτοῦ τὸ Ὑμήττιόν ἐστι κάλλιστον, εἶτ' ἐπ' αὐτῷ τὸ Θάσιον. οὕτως οὖν καὶ τῶν οἴνων πολλῶν ὄντων τῶν ἐν

A Λέσβῳ γινομένων, ὁ κιῤῥὸς καὶ μὴ παχὺς, εὐώδης δὲ καὶ σύφων μὲν ἥκιστα, βραχυτάτην δὲ γλυκύτητα ἔχων, οὐ μὴν ἀσαφὲς τοῦτο, καλεῖται μὲν ἰδίως Λέσβιος. ἄριστος δὲ ἐστὶν ἐν Ἐρεσσῷ γινόμενος τοιοῦτος, εἶτα δεύτερος ὁ ἐν Μηθύμνῃ, καὶ τρίτος ὁ ἐν Μιτυλήνῃ. τὸν ἄριστον οὖν ἐν τούτοις ἐκλέξῃ, τοῖς εἰρημένοις γνωρίσμασι κρίνων. ὃς γὰρ ἂν ἐν τοῖς εὐωδεστέροις ᾖ τοῦ παραλαμβανομένου, καὶ γλυκύτερος, καὶ κατὰ τὴν σύστασιν λεπτότερος, οὗτος ἐστὶν ἄριστος. τοῦ μὲν οὖν Λεσβίου τοιοῦτο τὸ εἶδός ἐστιν, ὥσπερ γε καὶ τοῦ Ἀριουσίου, βραχείαν διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἐχόντων. οὐ μὴν τοῦτό γε

B Τμωλίτου, οὐδὲ τοῦ Φαλερίνου. δύο γὰρ αὐτῶν εἴδη, γλυκὺς μὲν ὁ ἕτερος, ὁ δὲ ἕτερος, ὥσπερ οὐ γλυκὺς, οὕτως οὐδ' αὐστηρὸς, ἀλλ' ἐν τῷ μέσῳ κατά γε ταῦτα τῶν τε αὐστηρῶν, καὶ τῶν γλυκέων οἴνων. ἐμβάλλοις οὖν τῇ θηριακῇ τὸν γλυκὺν, οὐχ ὡς εἰς τὴν ὅλην τοῦ φαρμάκου δύναμιν ὄντα βελτίονα προαιρούμενος, ἀλλ' ἕνεκα τῆς ἐν τῷ γεύεσθαι χάριτος, ἧς χρὴ φροντίζειν ἐν τοῖς καταπινομένοις φαρμάκοις. ἐπεὶ ἐν αὐτοῖς ἔχει πάμπολλα πικρὰ, καθάπερ ἡ Μιθριδάτειός τε καὶ ἡ θηριακή. καὶ τὰ ἄλλα δὲ πάντα φάρμακα διὰ πολλῆς πείρας κεκριμένα, τοῖς ἰοβόλοις θηρίοις ἀντιτετάχθαι, πικρὰ

C ταῖς ποιότησίν ἐστιν, ὡς κἂν τῷ περὶ αὐτῶν λόγῳ φανεῖται. Ὅμηρος δ', ὡς ἔοικεν, οἴεται καὶ τὰ ὀδύνας ἰώμενα, τοιαῦτ' εἶναι πάντα. λέγει γοῦν οὕτως.

Ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
Χερσὶ, διατρίψας ὀδυνήφατον. ἥ οἱ ἀπάσας
Ἔσχ' ὀδύνας.

ἔμπειρον εἶναι συμβουλεύω τὸν ἰατρὸν, εἰ οἷόν τε πάντων φυτῶν. εἰ δὲ μὴ, ἀλλὰ τῶν πλείστων γε, καὶ ὧν ἡ χρεία πολλή. γένη δ' αὐτῶν, εἰ δὲ βούλει διαφορὰς ὀνομάζειν, αἵδε εἰσὶν, δένδρα καὶ θάμνοι, καὶ πόαι, καὶ ἄκανθαι, καὶ φρύγανα. δυνάμενος

D γὰρ αὐτὰ γνωρίζειν ἀπ' ἀρχῆς εἰς τέλος, ἐν πολλοῖς τῆς γῆς εὑρήσεις τόποις, ὥσπερ κἀγὼ κατὰ τὴν Ἰταλίαν εὗρον ἐν πολλοῖς χωρίοις, ὅσα μήτε φυόμενα, μήτε αὐξανόμενα γνωρίζουσιν, οἱ τὰ ξηρανθέντα μόνα διαγινώσκουσιν. οὐδεὶς γοῦν ἐστι τῶν μυρεψῶν, ὃς οὐκ οἶδεν τὰς ἐκ Κρήτης κομιζομένας βοτάνας, ὥσπερ καὶ τοὺς καρποὺς αὐτῶν, ἀλλ' ἐν τοῖς προαστείοις Ῥώμης ἐξ αὐτῶν οὐκ ὀλίγας φυομένας παντάπασιν ἀγνοοῦσι, καὶ διὰ τοῦτο κατὰ τὸν καιρὸν, ἐν ᾧ τοὺς καρποὺς αὐτῶν ἐκφέρουσιν, οὐκ ἐπιτηδεύουσιν. ἐγὼ δ' εἶδον καὶ χαμαιπίτυν, καὶ χαμαίδρυν, καὶ θλάσπι, καὶ κενταύριον, ὑπερικόν τε καὶ πόλιον, ἄλλα τε τοιαῦτα κατὰ τὸν καιρὸν ἐπιτηρῶν, ἀκμαῖα λαμ-

E βάνων, μηθ' ὑπὸ ξηρανθέντα κατὰ τὸν θερινὸν ἥλιον, ἀλλὰ μηδὲ θᾶττον, ἢ προσήκει ληφθέντα, τῶν καρπῶν ἀπέπτων ἔτι καὶ ἀτελῶν ὑπαρχόντων. ἡ γάρ τοι τῶν συνθέτων φαρμάκων ἀρετὴ, ταῖς τῶν ἁπλῶν ἀρεταῖς ἕπεται, βραχείας τινὸς τῆς ἐν αὐτῇ τῇ σκευασίᾳ γιγνομένης διαφορᾶς, ἐφ' ἣν ἤδη μεταβήσομαι, προσγράψας τὴν συμμετρίαν τῶν μιγνυμένων ἀλλήλοις ἁπλῶν φαρμάκων. ἐπεὶ δ' ἔνιαι κακῶς εἰσι γεγραμμέναι, τινῶν μὲν ἐν τῷ τοῖς αἰτήσασι διδόναι τὰς γραφὰς ἑκοντὶ ψευδομένων, ἐνίων δὲ καὶ διαστρεφόντων ἃ παρ' ἄλλων

F ἔλαβον ἀντίγραφα. τὰ δὲ δὴ βιβλία τὰ κατὰ τὰς βιβλιοθήκας ἀποκείμενα, τὰ τῶν ἀριθμῶν ἔχοντα σημεῖα, ῥαδίως διαστρέφεται, τὸ μὲν πέντε ποιούντων ἐννέα, καθάπερ καὶ τὸ ο, τὸ δὲ ιγ, προσθέσει μιᾶς γραμμῆς, ὥσπερ γε καὶ ἀφαιρέσει μιᾶς ἑτέρας, διὰ τοῦτο ἐγὼ, καθάπερ ὁ Μενεκράτης ἔγραψε βιβλίον, ἐπιγράψας ὁλογράμματα αὐτοκράτορος, καθότι τὰ μὲν ζ, διὰ

A Lesbo nascuntur, vermiculum, non crassum, odorum, minimè astringens, non exiguæ admodum dulcedinis compos, quod nulli ignotum est: vocatur propriè Lesbium. Excellentissimum est, quod tale in Eresso prouenit. Ab hoc deinde, quod in Methymna. Tertium quod in Mitylena. Ex his optimum deliges, superius enumeratis notis iudicans. Quod namque inter odoratiora fuerit, eo quod assumitur & dulcius, & substantia tenuius, hoc est præstantissimum. Itaque Lesbij talis est species, quemadmodum & Ariusij, quæ exiguo discrimine secundum maioris minorísque rationem discrepant. Non tamen hæc

B Tmolitis, neque Falerni existit. Quippe duæ ipsorum habentur species: alterum quidem dulce: alterum vt non dulce, ita neque austerum, sed in medio hic austerorum, dulciúmque vinorum consistit. Iniicias itaque Theriacæ dulce: non tanquam ad totam medicamenti virtutem melius deligens, sed gratioris gustus causa, cuius solicitudo in medicamentis quæ deglutiuntur, est habenda: quum in se multa habeant amara, quemadmodum Mithridation & Theriace. Reliqua autem omnia medicamenta ex longo vsu virulentis bestiis aduersari iudicata, qualitatibus

C amara sunt, vt sermone de ipsis apparebit. Homerus autem, vt videtur, omnia quæ doloribus medentur talia esse autumat. Scribit itaque hunc in modum:

Radicem adiecit amaram
Contritam manibus, omnes quæ auferre dolores
Apta.

Medicum igitur peritum esse consulo, si fieri potest, omnium stirpium: sin minus, at plurimarum: & quarum vsus multus est. Genera ipsarum, aut si malis differentiæ hæ sunt, arbores, frutices, herbæ, spinæ, sarmenta. Nam quum ea ab initio ad

D finem poteris cognoscere, in multis terræ regionibus reperies, quemadmodum & ego in Italia offendi variis locis, quæ neque nascentia, neque aucta nouerunt, siccata tantùm agnoscunt. Nullus itaque est vnguentariorum, qui ignoret herbas quæ ex Creta apportantur, sicuti & fructus ipsarum. Verùm in suburbiis Romæ earum non paucas nascentes omnino nesciunt, ac ideo quum fructus ipsarum efferunt, non inquirunt. Ego autem noui & chamæpityn, & chamædryn, & thlaspi, & centaurium, hypericúmque & polium, ad hæc alia eiusmodi quum tempus est inquirens, florentia capio neque resiccata æstiuo sole, sed ne-

E que citius quàm conuenit sumpta, dum fructus adhuc crudi imperfectíque existunt. Nam compositorum medicaminum virtus, simplicium vires comitatur, exigua quadam in ipsa confectione, differentia obueniente, ad quam modò digrediar, vbi simplicium medicamentorum, quæ inuicem miscentur, mensuram decentem adscripsero. Quoniam verò nonnulla perperam sunt scripta, dum quidam vbi petentibus scripturam exhibēt, sponte mentiuntur, aliqui etiam peruertunt, quæ à nonnullis acceperunt exemplaria, isti libri qui in

F bibliothecis sunt repositi, numerorū notas habentes, ex facili peruertuntur, dum quinque mutantur in nouem, sicut & ο quod est, octoginta, in ιγ, id est, tredecim, vnius literæ apposit, quēadmodum & alterius ablatione. Quapropter ego, sicut Menecrates librum conscripsit, titulum imponens, Hologrāmatos Autocrator: quasi dicas integris literis descriptis imperator, in quo ἑπτὰ, id est, septem

duabus

duabus syllabis scripta sunt, non per ζ solum: viginti, tribus syllabis, vt εἴκοσι, non per κ duntaxat exprimit: τριάκοντα, id est, triginta, quatuor syllabis effert, non per λ tantùm, aliáque similiter, ita faciam & ipse. At laudo etiam Andromachum, qui carmine Theriacam ipsam, quemadmodum alij nonnulli, descripsit. Damocrates etiam alia omnia, numeris inclusit, rectè nimirum faciens. Minimè siquidem fraudulenti illi possunt eos peruertere. Ac primùm tibi illius scripturam versibus comprehensam hic apponemus.

A δυοῖν γέγραπται συλλαβῶν, οὐ διὰ τοῦ ζ μόνου, τὰ δὲ κ, διὰ τριῶν, οὐ διὰ τοῦ κ μόνου. τὰ δὲ τριάκοντα διὰ τεττάρων, οὐ διὰ τοῦ λ μόνου, καὶ τἆλλα ὁμοίως, οὕτω ποιήσω καὶ αὐτός. ἐπαινῶ δὲ καὶ τὸν Ἀνδρόμαχον ἐμμέτρως γράψαντα τὴν θηριακὴν αὐτήν, ὥσπερ καὶ ἄλλοι τινές. ὁ δὲ Δαμοκράτης, καὶ τἆλλα πάντα διὰ μέτρων ἔγραψεν ὀρθῶς ποιήσας. ἥκιστα γὰρ οἱ πανοῦργοι δύνανται διαστρέφειν αὐτά. καὶ πρῶτόν γέ σοι τὴν ἐκείνου γραφὴν ἔμμετρον ἐνταῦθα παραθησόμεθα.

CAPVT VI.

Andromachi senioris Theriace ex viperis, Galene dicta.

ACcipe quas habeat vires, clarißime Cæsar,
Antidotus multis consociata modis.
Accipe securæ Nero libertatis alumne
Magna salutiferæ, robora Theriaces.
Dicitur hæc graiis Hilare, Eudios, atque Galene,
Ad portus diros, haud medicina leuis.
Nec, si Meconis perfrigida pocula succi
Hauseris, insignem vim negat illa suam.
Nulla cicuta potest hanc vincere, nullum aconitum,
Nullus frigidior succus hyoscyami.
Feruida non thapsus, letalia pharmaca Medæ,
Sanguineúmque valent, vlcera cantharidum.
Vipera nigrescens ictu, infestúsque cerastes
Arida seu dipsas, non superare potest.
Scorpius aduersum hanc, itidem nil promouet aspis,
Quæ in reliquis virus exitiale tenet.
Improbus ille dryas, contra hanc occurrere pugna
Non audet, latebris sed manet vsque suis.
Dryinos, necnon hæmorrhun, sanguinis expers
Qui virus fundit, hæc medicina domat.
Non hoc offendunt inimica phalangia potu,
Quæ horrifico vexant sumpta dolore virum.
Non hydrus, aut Epichersus, aquis aut cancer oberrans,
Sub calido primùm sidere obesse potest.
Nulla tibi Amphisbæna nocet, siccósque subintrans
Campos, exitium nulla rubeta feret.
Huic fidens Cæsar, prato oblectare per æstum
Nec Libyæ curæ fiet harena tibi.
Quin stomachum curat medicamen, cũ æstuat ægrum
Aßiduè vexans, insuper asthma velox.
Non oberit labiis chersydrus pestifer atris,
Qui occurrens, animam non sinit esse diu.
Vel quum ventriculus turbatur flatibus, vndam vt
Interius surdam concitet ipse chyli.
Vel quum difficili vertuntur tormine venti
Intestina, colon pulsus vbi exagitat.
Vel quum iam totos confuso felle per artus
Vt proprius nequeat esse coles oculis,
Regius infestat morbus, non vlla ciborum
Cura adsit (quamuis Iuppiter annuerit
Tempora longa) animo sed tristes, limina vitent
Eius qui medicam pollicceatur opem.
Si videas pallore malo candentia membra,
Tollet hydropa suis viribus Antidotum.
Et fuscata statim lustrabit lumina, rebus
His quoque si incipiat, non vereare phthisin.
Sola etiam tetanum, tendonum spasma, profundi
Theriace hæc adimet pondus opisthotoni.
Vel quum succingens costas membrana laborat,
Pulmones reprimens desuper ipsa leues,
Vel quando horrificos patitur vesica labores
Vlceris, illius prædomitúsque porus
Impedit vrinam, coles & reddere eandem

B

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ἀνδρομάχου πρεσβυτέρου Θηριακὴ δι᾽ ἐχιδνῶν, ἡ καλουμένη Γαλήνη.

ΚΛῦθι πολυθρονίου βριαρὸν σθένος ἀντιδότοιο,
Καῖσαρ ἀδειμάντου δῶτορ ἐλευθερίης.
Κλῦθι Νέρων, ἱλαρήν μιν ἐπικλείουσι, Γαλήνην
Εὔδιον, ἢ κυανῶν οὐκ ὄθεται λιμένων.
Οὐδ᾽ εἴ τις μήκωνος ἀπεχθέα δράγματα θλίψας,
Χανδὸν ὑπὲρ στυγνῆς χεῖλος ἔχοι κύλικος.
Οὐδ᾽ εἰ κωνείου πλήσοι γένυν, οὐκ ἀκονίτου,
Μέμψατο δ᾽ οὐ ψυχροῦ χυλὸν ὑοσκυάμου.
C Οὐ θερμὴν θάψον τε, καὶ ὠκύμορον πόμα Μήδης,
Οὐδ᾽ ἔμεν αἱμηρῶν ἕλκεα κανθαρίδων.
Οὐ ζοφερῆς ἔχιός τε καὶ ἀλγεινοῖο κεράστου
Τύμματα, καὶ ξηρῆς διψάδος οὐκ ἀλέγοι.
Σκορπίος οὐκ ἐπὶ τήνδε κορύσσεται, οὐδέ μιν αὐτὴ
Ἀσπίς, ἀδηείτων ἰὸν ἔχουσα γόων.
Οὐ μὴν ἀπεχθόμενος καὶ δρύας ἀντιάσειε,
Καὶ κατὰ φωλειὸν θερμὸς ἔερθε μένοι.
Οὐκ ἀλέγοι δρυῖνα αἳ ἀναίμακτον δ᾽ ἔχει ἰὸν
Αἱμόρροις, τοίῳ δαμναμένη πόματι.
Οὐ μὴν ἀπεχθήεντα φαλάγγια σίνεται οὕτως
D Ἀνέρα, φρικαλέον δ᾽ ἄχθος ἔθηκε πόνων,
Οὐχ ὕδρος, οὐκ ἐπὶ χέρσον, ὅθ᾽ ὕδατα καρκίνος αἴθει
Βοσκόμενος, θερμῆς ἤρξατο πρῶτον ἄλης,
Χέρσυδρος, θανάτῳ πεπαλαγμένα χείλεα σύρων,
Ἀντόμενος, γλυκεροῦ τέρμα φέροι βιότου.
Τῇ πίσυνος, λειμῶσι θέρους ἐπιτέρπεο Καῖσαρ,
Καὶ Λιβυκὴν στείχων, οὐκ ἀλέγοις ψάμαθον.
Οὐδὲ μὲν ἀμφίσβαινα φέρει μόρον, οὐδέ τις ἤδη
Φρῦνος ἐνὶ ξηροῖς βοσκόμενος πεδίοις.
Ῥεῖα δὲ καὶ στομάχοιο φέροις ἄκος οἰδήναντος,
Καὶ θοὸν ἰήσαις ἆσθμα κυλινδόμενον.
Ἢ ὁπόταν περὶ γαστρὶ κυκώμενον ἔνδοθι πνεῦμα
Κυμαίνῃ, κωφὸν κῦμα βιαζόμενον.
E Ἢ ὅτ᾽ ἐνὶ στροφάλιγγι ἀπηνέϊ κυμήνειεν
Ἔντερον, ἢ ταναοῦ σφυγμὸν ἔχωσι κόλου,
Ἢ ὁπόταν χολόεντες ὅλον δέμας, ἔξοχα δ᾽ ὄσσε,
Καὶ μερόπων χροιὴν πάμπαν ἀμειβόμενοι,
Ἴκτερον ἱλάσκωνται ἀπηνέα, μηδ᾽ ἐπὶ θοίνας,
Εἰ καί σφιν μακρὸν Ζεὺς πετάσειε ὥρας
Νεύοιεν, μούνου δὲ κατηφέα θυμὸν ἔχοντες,
Φεύγωσι σφετέρων ἤθεα κηδομένων.
Εἰ δέ που, ἢ κακόεργον ἴδοις ἐπὶ σώμασιν ἄχρον,
Ῥύσαις ὑδρηλὴν νοῦσον ἐπεσσυμένην,
Καὶ φαέων ἀμβλεῖαν ἄφαρ λάμψειεν ὀπωπὴν
Τῷ, καὶ ἀρχομένης οὐκ ἀλέγοις φθίσιος.
F Οἴη καὶ τετάνοιο, καὶ ἀρχομένοιο τενόντων
Σπάσματος, ἦρε βυθοῦ ἄχθος ὀπισθοτόνου,
Ἢτ᾽ ἄρα καὶ θώρηκος, ὅσην ὠχρώσατο χώρην,
Λοξὸς ἀναθλίβων πνεύμονα κοῦφον ὑμήν.
Ἢ ὅτε φρικαλέην τις ἔχοι περὶ κύστιν ἀνίην
Ἕλκεος, ἢ καί που δαμναμένοιο πόρου
Οὖρον ἐπιφράσσοιτο, ὅτ᾽ ἔχετο πολλάκι καυλὸς

Ὁρμὴν, ἢ κενεὴν στεύμενος ἐς Κυθέρην.
Νεφρῶν δ' ἡνίκα φῶτα κατ' ἰξύος ἄλγος ἐπείγοι,
Θαρρῶν τοιαύτην ἐξελάσεις ὀδύνην,
Καὶ μογερῶν στέρνων ἀπολύσεται ἔμπυον ἰλὺν,
Πινομένη πολλοῖς μέχρις ἐπ' ἠελίοις.
Ἀλθαίνει, καὶ λοιμὸν ἀηδέα, πᾶσαν ἐπ' ἠῶ
Δύσπνοον, ἐκ ταύτης παρθέμενος πόσιος,
Καὶ κυνὸς ὑδροφόβην γενύων λυσσῶδες ἐρινὺν
Φεύξεται εὐόδμῳ γαῦρος ἐπ' ἀντιδότῳ.
Τῆς δή τοι κυάμοιο, τὸν ἔτρεφεν εὔσκιον ὕδωρ,
Τέλμασι, καὶ πολλοῖς κρυπτόμενον πετάλοις
Νειλώου κυάμοιο, διὰ βάρος ἄμμιγα χεύας,
Θερμὸν ὕδωρ τρισσῶν κιρνάμενος κυάθων.
Πίνοιεν δ' ὅτε κοῖτον ἄγοι κνέφας, ἄλλοτε δ' ἠοῦς,
Ἄλλοτε, καὶ διπλῆν ἐς πόσιν ὀρνύμενοι.
Ἠοῦς μὲν κεράσαιο παρηγορέων κακοῦ ὁρμὴν,
Ὅσσοις ἀλγεινὸς λάμπεται ἠέλιος.
Νυκτὶ δ' ὁμῶς ὅσσοις περ ἐπώδυνος ἔσσεται ὄρφνη,
Εὐνάτειραν ἔχοις τειρομένων πρὸ ποσίν.
Ἰοβόλων δ' εἰ καί τις ὑπὸ γναμπτῆσι δαμείη,
Ἢ μογερὸν κυανοῦ πῶμα λάβοι θανάτου,
Ἴσην δ' ἐντύνοιο κατ' ὀρφναίην τε καὶ ἠῶ,
Δαμναμένοις ἱλαρὴν παρθέμενος κύλικα.
Καί κεν ἀεὶ πνείοντας ἄγοις ἐπὶ κοῖτον ἑτοίμως
Γηθαλέους ταύτῃ Καῖσαρ ἀνωδυνίῃ.
Πρῶτα μὲν ἀγρεύσαιτο κακήθεας ἐμπείραμος φὼς,
Τολμηρῇ μάρπτων χειρὶ θοοὺς ὄφιας.
Τοὺς ἤδη κρυεροῦ ἀπὸ χείματος, οὐκέτι γαίης
Κρύπτουσι στεινοὶ πάμπαν ἔνερθε μυχοί,
Εἰαρινὴν ἐφ' ἅλωα, χυτὸν βόσκονται ἀν' ἄλσος
Διζόμενοι χλωροῦ σπέρμα λαβεῖν μαράθρου.
Ὀξυτέρην τὸ τίθησιν ἐφ' ἑρπυστῆρσιν ὀπωπὴν,
Πιαῖνον δειλοῖς ἄλγεα βουπελάταις.
Τῶν δ' αὐτὴν οὐραῖς τε καὶ ἰοβόλους ἀπὸ κόρσας
Τάμνοις, καὶ κενεὰς γαστέρας ἐξερύοις.
Οὖλα γὰρ ἀμφοτέρῳ φερέει ἐπὶ τύμμασι ἄχθη,
Λυγρὸν ὑπ' οὐραίην ἰὸν ἔχων φολίδα.
Τοὔνεκα οἱ τμήσαιο κατ' αὐχένα, ἠδὲ κατ' ἄκρα,
Ὅσσον πυγμαίης χειρὸς ἔνερθε βάθος.
Λοίγια δὲ σταλάουσι σὺν αἵματι, τὴν ἀπὸ πέζαν
Ἐκτὸς ἔχων, ἱλαρὴν δέρξεται Ἰταλίην.
Ὁππότε δὴ τὰ γένοιτο, τότ' ἐν κεραμηΐδι χύτρῃ
Καθθέμενος πυρσοῦ σάρκας ἐπιφλεγέτω,
Ὕδατι ἐγχεύσας ὅσσον ἄρκιον, καὶ ἀνήθου
Κλῶνας ἐχιδναίῃ σαρκὶ συνεψομένας.
Ἡνίκα δὲ σκολιαί γε ἀπερρείωσιν ἄκανθαι,
Καὶ κακὸν οἰδήνῃ νῶτον ὕπερθεν ἔχις
Ἐκτὸς ἕλοι, ζείοντα καταψύχων κυκεῶνα,
Ὄφρ' ἑκὰς ἐντύναις σάρκας ἀπεχθομένας
Ἑρπυστῶν τ' ἰόεντας ἀπορρίψειεν ἀκάνθας
Πάμπαν ὑπ' εὐδίφρου χειρὸς ἐλεγχομένας.
Αὐαλέου δ' ἐπὶ ταῖσι βάλοις εὐεργέος ἄρτου,
Ὅσσον τερσαίνει σάρκα, δυνάσατο τροχοὺς
Πλάσσασθαι, δ' ὅτε μίγδα κύτει περιαγέος ὅλμου
Θλασθείη, σκιεροῦ κάτθες ὑπὲρ δαπέδου.
Αὐτίκα δὲ σκίλλην τριχώδεσιν ἄμμιγα φλοιοῖς,
Σταιτὶ περιπλάσας, θάλπε κατὰ φλογιῆς.
Ὄφρα κεν ὀπταλέην τε, καὶ οὐ σκληρὴν περὶ κόρσην
Ἐντείνοις σποδιῆς ἠρέμα δαιομένης,
Καὶ ὁ' ὅτε θαλπομένη ῥῆξαι σέλας ἐκτόθι πυρσοῦ
Κάτθεο, καὶ τρισσὴν σαρκὸς ἔχεις μερίδα,
Ὅλμοις, καὶ στρυφνοῖο βάλοις δυοῖν ὀρόβοιο,
Ἐν δ' ὑπέρῳ μάξας συνδονέων μυχόθεν
Αἴνυσο, καὶ δινήεντας ἀνάπλασσε τροχίσκους,
Τοὺς δ' ἑκὰς ἠελίου ψύχεο τερσομένους.
Τῶν δ' ἤτοι δραχμὰς μὲν ὑπὸ πλάστιγγος ἀφέλκοις
Δοιὰς, τὴν πέμπτην παρθέμενος δεκάδα,
Ἥμισυ θηρείοιο βαλὼν προχεειδέος ἄρτου,
Καὶ δολιχὸν σταθμοῦ τόσσον ἔχοι πέρασι.

A *Appetit, & crebro proruit in Venerem.*
Quum renum sæuit crucians iniuria lumbos:
Hoc poterit potu tristis abire dolor.
Pectoris & labem saniosam pellitat ægri
Multos vsque dies potus hic antidoti:
Pestiferámque luem curat, quæ tempus in omne
Spiratu grauis est, intima conficiens.
Atque canis rabidi virus quod morsibus indit
Lætus odorata fugeris antidoto.

Hinc tu sume fabæ pondus, quam lympha creauit
Ex vmbra, cœno & tecta simul foliis
Nempe faba Nili, grauitatis nomine, ternis
B *Antidoto calidam consocians cyathis.*
Sumito quando capis somnum, vel luce reuersa,
Vno vel pariter pocula bina die.

Luce bibent ipsam, quibus est sol tristis, vt inde
Lenimenta mali quod furit, accipiant.
Nocte quibus tenebræ gratæ minus, ordine verso,
Ante thorum pulchrè sumpta medela facit.

Exitiale animans quos læsit vulnere diro
Aut cui letalis potio capta fuit,
Apponens Hilares affectis pocula, eodem
Noctu & luce simul fac medeare modo.
Quin & perpetuo spiranti nocte quietem
C *Præbebis Cæsar, hoc placidam antidoto.*

Principio expertus vir in arte venabitur angues
Audaci, miros celeritate, manu.
Hos quum tristis hyems abijt non amplius arctas
In terra latebras cernis habere suas.
Missis iam latebris subeunt nemora ampla virentis
Quæsitum marathri semina grata oculis.

Hæc visum refouent serpentibus, atque bubulcos
Quos metus exercet, sæpe dolore leuant.
His ipsis caudas, & colla referta veneno
Præcides, vacuos ventriculósque adimes.
Quippe venenatos vtraque ex parte dolores
D *Mittunt. nam caudis hi quoque virus habent.*

Ergo secas ipsis ceruicem, atque extima, quantum
Intus pygmæi tenditur arcta manus.
Namque cadit virus pariter cum sanguine; motis
Extremis, Hilarem feceris Italicam.
His tibi sic factis, carnes in fictile mittens,
Vnà compositas igne parabis acri.
Lymphæ quod satis est infundes, germen anethi
Cum anguina iunctum carne coquens pariter.

Ast vbi spina cadit cocta de carne recurua,
Desuper atque feræ noxia terga tument,
Exime, quò feruens frigescat mistio flammis:
E *Infestas carnes dimouéásque procul,*
Abstrahe serpentum spinas, virus redolentes,
Quas persentiscet non malè docta manus.

Carnibus adijcias panis sicci & bene pisti
Quantum pastillos fingere sufficiat.
Verum vbi iam ista pilæ fundo contusa rotundæ
Cuncta, super nigrum tu modò funde solum.

Protinus hic etiam cum cortice squilla piloso
Illita cui circum massa sit, incaleat:
Dum sic assetur, nec fiat durior inde
Cortice, nam ardescet leniter ille cinis:
F *At postquam calefacta nimis disrumpitur, ipsam*
Deponis, carnis portio tripla manet.
Atque eruum gyro duplici demittis acerbum.
Pistillóque moues, quod teris, inferius:
Aufers, & riguos pastillos inde figuras:
Quos, vt siccescant, sole repone procul.
Fac decadas vtriusque duas & quattuor æquè,
Pastilli drachmas pondere connumeres:

Tot

A *Tot piperis calidi, meconis, magmatis adde,*
Magmatis hedychroi par modus iniicitur.
Inde quater ternas mutato pondere drachmas
Iridis, & siccæ protinus adde rosæ.
Addatúrque tui radix dulcißima succi,
Et dulcis tantum seminis inde napi.
Scordion iungas, & odoribus inclyta semper
Balsama, qui Syrio mittitur orbe liquor.
Tum quæ suspendas æquata cinnama lance
Coniice, & agarici par quoque pondus eat.
Hinc superest myrrham, costumque, specuque reuulsum
Corycio fragrans imposuisse crocum.
B *Et casiæ calamos, & quam tulit India nardum,*
Téque Arabi schœnum gloria prima soli.
Inde nigrum coniunge piper, thurisque nitorem,
Diuite quod fœlix rure Sabæus alit,
Nec tu dictamnum, nec tu quoque pontica rheon
Desueris, stœchas, marrubiumque virens,
Atque apium petris quod nasceris, & calaminthe,
Afraque cum lachrimis ô terebinthe tuis.
Et foliis gramen quinis, & Zingiber ardens:
Singula sed drachmas sex tibi quæque trahant.
His etiam polium drachmis se quatuor addet,
Addet se polio proxima pinus humi.
C *Cumque racemifero Celtarum nardus amomo,*
Et styracis lentor, feruidáque herba meon.
Atque humilis quercus semen, Pontóque petita
Phu, quibus accedet Lemnia terra comes.
Nec non malabathri folium, miscebis & assam
Chalcitim, fibras gentiadasque simul.
Inde tenax gummi, pressaque hypocistide succus
Adsit, & hinc fructus balsame parua tui.
His etiam anisum, seselimque his iungere molem,
His cardamomum, fœniculumque velis.
Atque atram lachrimam, Nili quam spina remittit,
Quæque suo thlaspis semine nomen habet.
D *Hypericon rursum, pallens miscebis & ammin:*
Nec drachmis totidem plus sagapenus eat.
Pondere dimidio tum quos sibi Castor ad Istrum
Ore secat testes, imposuisse decet.
Quis nec Aristolochi radix, siccumque bitumen,
Candida nec desint semina dauce tua.
Denique cum panacis succum, centaurien atque
Addideris, finem galbanus ipsa dabit.
Antiquo primum solues tamen omnia vino,
Humida quæ fuerint, vt liquor & lachrimæ.
Tum quæ sicca vides, postquam contusa minutim,
Cecropio pariter iungere melle velis.
Hæc qui nos primus docuisti maxime Pean
E *Adsis, seu Triccæ te iuga summa iuuant,*
Seu Burrina magis, Rhodos, aut Epidauria tellus,
Adsis, & Regi fer tua dona meo,
Stirpe tua natam Panaceam, namque salutem
Ille datam puro semper honore colet.

CAPVT VII.

Andromachi iunioris theriaca ex viperis, Galene dicta.

HÆc quidem senior Andromachus literis mandauit, filius autem ipsius libro medicamentario quem de internis inscripsit, hanc scripturam tradidit pedestri vsus oratione. F *Antidotum quod vocatur Galene, ad omnem affectum interiorem: præsertim ad stomachi vitia, & aduersus letalia, & morborum circuitus.* ♃. Pastillorum scilliticorum ʒ xlviij. pastillorum Theriacorum drach. xxiv. magmatis hedychroi, piperis nigri, singulorum drach. xxiv. opij drach. xxiv. rosarum siccarum, scordij Cretensis, napi seminis, iridis Illyricæ,

Ἶσα δ' ὀποῦ μήκωνος ἔχοι, καὶ μάγματος αὔτως,
Μάγματος ἡδυχρόου τόσον ἐφελκομένου.
Δώδεκα δὲ ξηροῖο ῥόδου δραχμαῖσιν ἰσάζοις
Φύλλα, καὶ Ἰλλυρίην ἶριδα κατθέμενος,
Κυανέης μίξαιο μελιπτόρθου γλυκυρίζης
Τόσσον, καὶ γλυκερῆς σπέρματα βουνιάδος.
Σκόρδιον, καὶ κεῖνον ὀπὸν μίσγοιο θυώδη,
Βαλσάμου Ἀσσυρίης ἔνδοθεν αἰνύμενος.
Τοῖς δ' ἐπὶ κιννάμωμον ἰσάζεο, μηδέ σε λήθῃ
Ἀγαρικὸν τούτοις ἰσοβαρὲς θέμεναι,
Ἠ ἔτι, καὶ σμύρνης, καὶ εὐόδμου κόστοιο,
Καὶ κρόκου, ὃν ἄντρον θρέψατο Κωρύκιον,
Καὶ κασίην, Ἰνδήν τε βάλοις εὐώδεα νάρδον,
Καὶ σχοῖνον νομάδων θαῦμα φέροις Ἀράβων,
Καὶ λίβανον μίσγοιο, καὶ ἀγλαΐην στήσαιο
Ἄμμιγα κυανέῳ κατθέμενος πεπέρει,
Δικτάμνου τε κλῶνας, ἠδὲ χλοεροῦ πρασίοιο,
Καὶ ῥῆον. στοιχὰς δ' οὐκ ἀπάνευθε μένοι,
Οὐδέ νυ πετροσέλινον. ἠδ' εὐώδης καλαμίνθη,
Δειμύ τε τερμίνθου δάκρυ λιβυστιάδος,
Ζιγγίβερι θερμὸν, κ' εὔκλωνον πενταπέτηλον,
Τὰς δοιὰς δραχμὰς πάντα φέροι τριάδας
Αὐτίκα, καὶ πολίου πίσυρας ὁλκὰς βαρυέσσας.
Ἠδὲ χαμαιζήλου πτόρθους ἄγρις πίτυος,
Καὶ στύρακος, μήου τε καὶ βοτρυόεντος ἀμώμου,
Καὶ νάρδου, Γαλάτης ἣν ἐκόμισεν ἀνήρ,
Λημνιάδος μίλτοιο, καὶ ἐκ Πόντοιο βάλοιο
Φοῦ, καὶ Κρηταίης σπέρμα χαμαιδρυάδος,
Μαλαβάθρου καλὰ φύλλα, καὶ ὀπταλέην χαλκῖτιν,
Μίσγεσθαι ῥίζης οὐ δίχα γεντιάδος
Ἄνισον, χυλόν θ' ὑποκιστίδος, ἠδέ νυ καρπὸν
Βαλσάμου, λιπαρὸν κόμμι διηνάμενος,
Καὶ μαράθρου σπέρμα, καὶ Ἰδαῖον καρδάμωμον,
Καὶ ψαφαρὸν στήσῃς παρθέμενος σέσελι.
Δάκρυον εὖ μίσγοιο βαλὼν κυανωπὸν ἀκάνθης,
Θλάσπι σὺν τούτοις ἰσοβαρὲς τελέθοι.
Τόσσον δ' ὑπερικοῦ, τόσσον δ' ἐπιμίσγεται ἄμμι,
Καὶ σαγαπηνὸν ἄγρις τετράδα τοσσατίην,
Δοιὰς δ' εἰσάξεις, τὰ περ Ἴστριος ἔκβαλε κάστωρ
Μήδεα, καὶ λεπτὴν ῥίζαν ἀριστολόχου,
Δαύκου τε σπέρμα, καὶ αὐαλέην ἄσφαλτον
Ἰοβόλων κοίταις αἴτια δαιομένην.
Ἶσα δ' ὀποῦ πάνακος συμμίσγεο κενταυρείῳ.
Χαλβανίδος λιπαρῆς ἰσόμορον θέμενος.
Καὶ τὰ μὲν ἐν θυίῃ πολλῷ μαλθάσσεο οἴνῳ,
Ὅσσα περ ὑγροτέροις δάκρυσιν ἐμφέρεται.
Κόψαι δ' εὖ λεπτῶς, τὰ δέ κεν ξυλοειδέα πάντα
Ἀκταίῳ μίσγοις συγκεράσας μέλιτι.
Ἰλήκοις ὃς τήνδε μάκαρ τεκτήναο Παιών,
Εἴ τέ σε Τρικκαῖοι δαῖμον ἔχουσι λόφοι,
Ἢ Ῥόδος, ἢ Βούρινα, καὶ ἀγχιάλη Ἐπίδαυρος.
Ἰλήκοις, ἱλαρὴν δ' αἰεὶ ἄνακτι δίδου
Παῖδα τεὴν Πανάκειαν. ὃ δ' εὐαγέεσι θυηλαῖς
Ἱλάσεται τὴν σὴν αἰὲν ἀοιδιμίην.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἀνδρομάχου νέου θηριακὴ δι' ἐχιδνῶν, ἡ καλουμένη Γαλήνη.

ΤΑῦτα μὲν ὁ πρεσβύτερος Ἀνδρόμαχος ἔγραψεν· ὁ δὲ υἱὸς αὐτοῦ κατὰ τὴν φαρμακῖτιν βίβλον, ἣν τῶν ἐντὸς ἐπιγράφει, ταύτην ἐποιήσατο τὴν γραφὴν, λέξει πεζῇ χρησάμενος. ἀντίδοτος ἡ καλουμένη Γαλήνη, πρὸς πᾶν πάθος ἐντοσθίδιον, μάλιστα πρὸς τὰ τοῦ στομάχου πάθη, καὶ πρὸς τὰ θανάσιμα, καὶ περιόδους. ♃. Ἀρτίσκων σκιλλητικῶν < μη'. ἀρτίσκων θηριακῶν < κδ'. μάγματος ἡδυχρόου, πεπέρεως μέλανος, ἀνὰ < κδ'. ὀπίου < κδ'. ῥόδων ξηρῶν, σκορδίου Κρητικοῦ, βουνιάδος σπέρματος, ἴρεως Ἰλλυρικῆς,

ἀγαρικοῦ ποντικοῦ, κινναμώμου, γλυκυρρίζης χυλοῦ, ὀποβαλ- A σάμου ἀνὰ < ιβʹ. σμύρνης, κρόκου, ζιγγιβέρεως, ῥήου Ποντικοῦ, πενταφύλλου ῥίζης, νεπέτου, οὕτως οἱ Ῥωμαῖοι τὴν καλαμίνθην ὀνομάζουσι, πρασίου, πετροσελίνου, στοιχάδος, κόστου, πεπέρεως λευκοῦ, καὶ μακροῦ, δικτάμνου Κρητικοῦ, σχοίνου ἄνθους, λιβάνου, τερμινθίνης, κασσίας σύριγγος, νάρδου Ἰνδικῆς, ἀνὰ < ϛʹ. πολίου Κρητικοῦ, σεσέλεως, στύρακος, θλάσπεως, ἄμμεως, χαμαίδρυος, χαμαιπίτυος, ὑποκιστίδος, χυλοῦ μαλαβάθρου, νάρδου Κελτικῆς, γεντιανῆς ῥίζης, ἀνίσου, μήου ἀθαμαντικοῦ, μαράθρου σπέρματος, Λημνίας μίλτου, χαλκίτεως ὀπτῆς, ἀμώμου, ἀκόρου, φοῦ Ποντικοῦ, βαλσάμου καρ- B ποῦ, ὑπερικοῦ, ἀκακίας, κόμμεως, καρδαμώμου, ἑκάστου < δʹ. δαύκου σπέρματος, χαλβάνης, σαγαπηνοῦ, ὀποπάνακος, ἀσφάλτου, καστορίου, κενταυρίου λεπτοῦ, ἀριστολοχίας λεπτῆς, ἑκάστου < βʹ. μέλιτος Ἀττικοῦ < ρνʹ. τοῦ δὲ ὀρόβου < πʹ. Ταῦτα γράψαντος Ἀνδρομάχου τοῦ νεωτέρου πεζῇ, πάρεστι τῷ μὴ νοοῦντι τῶν εἰρημένων ὁτιοῦν ἐν τοῖς ἐλεγείοις τοῦ πρεσβυτέρου, τὴν εὕρεσιν ἐντεῦθεν ποιεῖσθαι. διὸ κἀγὼ τῶν δοκούντων ἀσαφέστερον ἐν αὐτῷ λελέχθαι, τὴν ἐξήγησιν οὐ προσέθηκα τὸ μῆκος τῆς γραφῆς εὐλαβούμενος. ἐθαύμασα δὲ ἓν μόνον τοῦ νεωτέρου Ἀνδρομάχου, γράψαντος ἐν τῷ καταλόγῳ τῶν C ἁπλῶν φαρμάκων, ἐξ ὧν συντίθησι τὴν ἀντίδοτον ἀντὶ καλαμίνθης τὸ νέπετον, Ῥωμαῖοι γὰρ οὕτως ὀνομάζουσι τὴν καλαμίνθην. οὐκ ἐχρῆν δ' αὐτὸν ἑλληνιστὶ πάντα γράψαντα, τοῦτο μόνον ἐνθεῖναι Ῥωμαϊκὸν ὄνομα τοῖς Ἑλληνικοῖς. ἐν ἑνὶ μέντοι διαφωνεῖ πρὸς τὴν ἔμμετρον γραφήν, τῷ τὴν ἔμμετρον < κδʹ. ἔχειν τοῦ μακροῦ πεπέρεως, τὴν δὲ πεζῇ γεγραμμένην ϛʹ. ἐπεὶ δ', ὡς ἔφην, πολλὰ τῶν ἀντιγράφων ἡμαρτημένας ἔχει τὰς ποσότητας τῶν φαρμάκων, διὰ τοῦτο αʹ. μὲν ὁλογραμμάτως αὐτὰς ἔγραψα, μιμησάμενος τὸν Μενεκράτην. δεύτερον δὲ ἐπὶ τῷδε, καὶ διὰ τῶν ἐμμέτρως γεγραμμένων. ἀσα- D φέστερον δὲ συγκειμένων τῶν τοῦ Ἀνδρομάχου ἐλεγείων, ἄμεινον ἔδοξέ μοι τὰ Δαμοκράτους προσθεῖναι πάνυ σαφῶς ἡρμηνευμένα. ἀλλὰ τοῦτο μὲν ὀλίγον ὕστερον ἔσται. νυνὶ δὲ ἐπεὶ τῶν ἐμβαλλομένων εἰς τὴν ἀντίδοτον φαρμάκων ἁπλῶν εἴρηταί μοι πολλά, προσθεῖναι βέλτιον αὐτοῖς τὰ λείποντα.

agarici pontici, cinnamomi, dulcis radiculæ succi, opobalsami, singulorum ʒ xij. myrrhæ, croci, gingiberis, Rheu pontici, quinquefolij radicis, nepitæ (sic Romani calamintham nominant) marrubij, petroselini, stœchados, costi, piperis albi, & longi, dictamni Cretensis, iunci odorati floris, thuris, terebinthinæ, cassiæ fistulæ, nardi Indicæ, singulorum ʒ vj. polij Cretensis, seselis, styracis, thlaspi, ameos, chamædryos, chamæpityos, hypocistidis, succi malabathri, nardi Celticæ, gentianæ radicis, anisi, mei athamantini, fœniculi seminis, terræ lemniæ, chalcitidis tostæ, amomi, acori, pheu pontici, balsami fructus, hyperici, acaciæ, gummi, cardamomi, singulorum ʒ iv. dauci seminis, galbani, sagapeni, opopanacis, bituminis, castorei, centaurij tenuis, aristolochiæ tenuis, singulorum drach. ij. mellis Attici drach. cl. erui drach. lxxx. Ex hac pedestri Andromachi iunioris scriptura licet intelligere, si quis quodcunque in elegiis senioris dictum non assequatur; quare & ego eorum quæ obscurius ab eo dicta videbantur, interpretationem non apposui, prolixitatem scripturæ deuitans. Vnum verò duntaxat miratus sum in iuniore Andromacho, quòd in simplicium medicamentorum vnde antidotum componit enumeratione, nepitam pro calamintha scripserit. Romani enim calamintham sic appellant; non conueniebat autem ipsum, quum omnia Græcè tradidisset, hoc solum Romanum nomen Græcis inserere. Cæterùm in vno inter se discrepant, quoniam metrica scriptura vigintiquatuor drachmas longi piperis obtinet: pedestris autem sex. Quia verò, vt dixi, multa exemplaria vitiatas medicamentorum quantitates habent, ideo primum quidem integris literis ipsas conscripsi, Menecratem imitatus: deinde autem post hoc etiam numeris expressas apposui. Porrò cùm Andromachi elegiaca obscurius sint composita, melius existimaui Damocratis versus admodum manifestò interpretatos apponere. Sed hoc quidem paulo posterius aggrediar, nunc quoniam multa ex simplicibus medicamentis quæ Antidoto immittuntur exposui, præstat ea quæ ipsis desunt adiicere.

ΚΕΦΑΛΑΙΟΝ Ηʹ.

Ἀρτίσκων θηριακῶν σκευασία.

Τὰς ἐχίδνας, οὐχ ὥσπερ ἔνιοι μέσου θέρους, οὐ μὴν οὐδ' ἄρτι τῆς φωλεᾶς παυσαμένας θηρεύειν προσήκειν. ἐν μὲν γὰρ τῷ E θέρει διψώδης ἡ σὰρξ αὐτῶν ἐστιν, ἐπὶ δὲ τῇ φωλεᾷ, ξηρά, καὶ ψυχρά, καὶ ἄτροφος. κάλλιστος οὖν ἐστι καιρός, ὁ μεταξὺ τούτων, ὃν καὶ αὐτὸς ὁ Ἀνδρόμαχος ἐδήλωσεν, ἡνίκα καὶ οἱ τῷ Διονύσῳ βακχεύοντες, εἰώθασι διασπᾶν τὰς ἐχίδνας, παυομένου μὲν τοῦ ἦρος, οὔπω δ' ἠργμένου θέρους, ἢ εἰ χειμέριον ἐπὶ πολὺ τὸ ἔαρ γίγνοιτο, κατὰ τὴν ἀρχὴν τοῦ θέρους, οὐ κατὰ πολὺ τὴν τῶν πλειάδων ἐπιτολῆς. ὅσαι δὲ ἐγκύμονές εἰσι τῶν ἐχιδνῶν, παραιτεῖσθαι ταύτας. ἀποτέμνειν δὲ τάς τε κεφαλάς, καὶ τὰς οὐρὰς αὐτῶν. πρὸς γὰρ τῷ δοκεῖν ἰωδέστερα ταῦτ' εἶναι τὰ μόρια, καὶ τὸ σκληρὸν, καὶ ὀλιγόσαρκον ὑπάρχειν αὐτοῖς πρόσεστιν. αὔταρκες δ' ἐπὶ F τῶν μεγάλων ἐχιδνῶν τὸ ἀφαιρεθησόμενον ἑκατέρωθεν, εἶναι δακτύλων δʹ. ὅλον δὲ τὸ λοιπὸν σῶμα, τῶν μὲν ἐντέρων ἐξαιρεθέντων, ἀποδαρέντος δὲ τοῦ δέρματος, ὕδατι περιπλυθέντα, ἐμβάλλειν κακάβῃ προσήκει καθαρὸν ὕδωρ, καὶ ἄνηθον χλωρόν, ἀκμάζει γὰρ τηνικαῦτα, καὶ ἕψειν ἐπ' ἀνθράκων

CAPVT XVIII.

Quomodo pastilli theriaci præparentur.

Viperas non quemadmodum nonnulli media æstate, neque tamen quum nuper secessum terræ reliquerint, venari conuenit. Etenim æstate caro ipsarum est sitis efficax: secessus tempore, sicca, frigida, & alimenti expers. Optimum itaque tempus est quod hæc intercedit, vt etiam Andromachus ipse indicauit, quum qui Baccho festa celebrant viperas solent discerpere, desinente quidem vere, nondum autem inchoata æstate, vel si ver admodum hyemale extiterit, æstatis initio non longe à Pleiadum ortu. Porrò fœtas viperas repudiare oportet. Cæterùm capita & caudas ipsis præcidere. Nam præterquam quòd hæ particulæ virulẽtiores esse videantur, etiam duræ & modicæ carnis compotes existunt. Sufficit autem in magnis viperis id quod auferetur vtrobique quaternos digitos æquare. Reliquum verò totum corpus intestinis exemptis & cute detracta aqua perlutum cacabo indere cum aqua pura viridique anetho (tunc enim viget) atque super carbones perustos,

perustos, aut ligna arida, quæ Græci vocant ἄκαπνα, incoquere conuenit, præstiterit autem vitium esse sarmenta. Iam verò salis iniici debet, si quidem conuenienti tempore viperas ceperis, momentum, sin autem æstate, nihil. At ex maritimis locis capere ipsas, aut salsa quadam aqua neutiquam tentabis. Quippe antidotum ex huiusmodi viperis confectum, sitim conciliat. Vbi verò diligenter ipsæ incoctæ fuerint, quemadmodum si quis comesturus esset, ex aqua oportet eximere, carnes autem auferre ita, vt nihil ex spinis simul exeat. Atque his accurate detritis, panis purissimi probè desiccati momentum admiscere. Præ omnibus autem panis bene fermentatus & diligenter tostus erit, testuaceus, non furnaceus. Nonnulli igitur dimidiam ponderis partem ex pane iniiciunt, nonnulli verò tertiam, ego etiam quartam quintámque nonnunquam indidi. Nisi enim probè fuerit tostus, periculum est, ne aliquid aciditatis medicamento obueniat. At satius est etiam diebus aliquot antea hoc pacto tostum in domo sicca exaruisse. Simulátque verò ea mista sit læuigatáque adamussim, vt nulla viperarum carnis portio non læuigata remanserit, orbiculos tenues efformabis. Nam crassi quum ægrè siccescant viperæ carnes putrescere permittunt, panem acescere, quare hunc siccum læuigare potius est, non quemadmodum qui ante me Cæsari præparantes antidotum composuerunt, viperarum decocto ipsum irrigantes: ac ego longo tempore id factitabam, verùm postea melius esse existimaui, panem in læuorem detritum ita viperarum carni diligenter prius in puluerem redactæ permiscere: citius enim hoc pacto orbiculi siccescunt: arido pane non humido illis admisto. Cæterùm domus in qua siccescere debent, omnino sit sublimis, ad meridiem conuersa, vel certè non ad septentrionem, vt solis radios bona diei parte accipiat. Siquidem in huiusmodi facilè siccescent: statim vbi fuerint conformati, ea domus parte locentur qua non radij solis erumpunt. Vertere autem eos continuè expedit, vt æquabiliter vtraque in parte desiccescant. Hoc enim nisi facias, altera pars plus (ac par est) siccabitur: altera humida diutius manens putredinem experiri periclitabitur. Simulátque iam siccata fuerint, aliis plurimis diebus in eadem domo extra solis radios cōdentur, ita vt continuè vertātur. Abundè verò tempus hoc est, longissimum dierum quindecim, secundum quos reponere orbiculos tempestiuum est, quousque medicamentum es præparaturus. Repones autem vase stanneo, aut vitreo, aut aureo. Vitreum itaque & aureum nullum dolum experitur, stāneum plumbi mistura adulteratur. Tale igitur vitare conuenit non in hoc solum, verùm in aliis quoque omnibus antidotis, veluti & quod ex argento non purgato: celerrimè enim & huic ærugo obnascitur. Vocant autem Romani argentum purgatum, candidum. At præstaret non multo tempore post vti pastillis. Non tamen multum obsunt, etiamsi post annum iniiciantur: imò post longius insuper hoc tempus. Nam probè initio siccati, & tribus annis, & quatuor in vigore permanent, si probè fuerint repositi: & puris linteis diebus aliquot puluis, qui ipsis obducitur, abstergatur. Si namque hic longiori spatio adhæreſcit, ipsos perforat. Clarum verò est omnibus, vbi hoc fuerint experti, inutiles euadere: nam priusquam hoc ipsis accidat, etiam si inueterentur plurimum, vtiles permanent.

A διακεκαυμένων, ἢ ξύλων ξηρῶν, ἃ καλοῦσιν ἄκαπνα. βέλτιον δ' αὐτὰ τὰ τῶν ἀμπέλων εἶναι κλήματα. προσεπεμβάλλειν δ' ἅλας, ἐὰν μὲν ἐν τῷ προσήκοντι καιρῷ λάβῃς τὰς ἐχίδνας, ἐλάχιστον, ἐὰν δὲ θέρους, μηδέν. φυλάττεσθαι δὲ τὰς ἐκ παραθαλαττίων χωρίων λαμβάνειν, ἢ τινος ἁλμυρᾶς ὑδάτων συστάσεως. διψώδης γὰρ ἡ ἀντίδοτος ἡ ἐκ τῶν τοιούτων ἐχιδνῶν γίνεται. καλῶς δὲ ἑψηθεισῶν αὐτῶν, ὥσπερ εἰ καί τις ἐσθίειν ἔμελλεν, ἐξαίρειν μὲν χρὴ τοῦ ὕδατος, ἀφαιρεῖν δὲ τὰς σάρκας, οὐδὲν τοῦ συναφαιρεῖν τι τῶν ἀκανθῶν, καὶ ταύτας ἀκριβῶς λειώσαντα, μιγνύειν ἄρτου καθαρωτάτου, καλῶς ἐξηρασμένου βραχύ τι. πρὸ

B πάντων δ' εὔζυμός τε καὶ καλῶς ὠπτημένος ὁ ἄρτος ἔσται κριβανίτης, οὐκ ἰπνίτης. ἔνιοι μὲν οὖν ἥμισυ μέρος σταθμοῦ βάλλουσι τοῦ ἄρτου, τινὲς δὲ τὸ τρίτον μέρος. ἐγὼ δὲ καὶ τέταρτον, καὶ πέμπτον ἐνίοτε ἔβαλλον. εἰ μὴ γὰρ καλῶς ὠπτημένος εἴη, κίνδυνος ὀξύτητός τι προστρίψασθαι τῷ φαρμάκῳ. κάλλιον δὲ καὶ προεξηρᾶνθαι τισὶν ἡμέραις ἐν οἴκῳ ξηρῷ, τὸν οὕτως ὠπτημένον. μιχθέντων δὲ αὐτῶν καὶ λειωθέντων ἀκριβῶς, ὡς μηδεμίαν τῆς σαρκὸς τῶν ἐχιδνῶν ἀλείωτον ὑπολείπεσθαι, κυκλίσκους ἀναπλάττειν λεπτούς. οἱ γὰρ παχεῖς δυσξήραντοι γινόμενοι, τὰς μὲν τῆς ἐχίδνης σάρκας σήπεσθαι συγχωροῦσι, τὸν δ' ἄρτον

C ὀξύνεσθαι. διὸ καὶ ξηρὸν λειοῦν τὸν ἄρτον ἄμεινόν ἐστιν, οὐχ ὡς οἱ πρὸ ἐμοῦ σκευάζοντες τῷ Καίσαρι συνετίθεσαν, ἐμβρέχοντες αὐτὸν τῷ τῶν ἐχιδνῶν ἀφεψήματι, κἀγὼ μέχρι πολλοῦ τοῦτο ἐποίουν. ἀλλ' ὕστερόν μοι βέλτιον ἔδοξεν εἶναι λειώσαντι τὸν ἄρτον, οὕτως ἀναμιγνύναι τῇ σαρκὶ τῶν ἐχιδνῶν ἀκριβῶς προλελειωμένῃ, θᾶττον γὰρ οὕτως οἱ κυκλίσκοι ξηραίνονται, τὸν ξηρὸν ἄρτον, οὐ τὸν ὑγρὸν ἀναμιξάντων ἡμῶν. ἔστω δὲ καὶ ὁ οἶκος ἐν ᾧ ξηραίνεσθαι μέλλουσι, πάντως μὲν ὑψηλός, ἐστραμμένος δὲ πρὸς μεσημβρίαν, ἢ πάντως γε μὴ πρὸς ἄρκτον, ὅπως δέχηται τὰς ἡλιακὰς ἀκτῖνας ἐν πολλῷ χρόνῳ τῆς ἡμέρας, ἐν τοιούτῳ γὰρ

D ἀλύπως ξηρανθήσονται. μετὰ τὴν ἀνάπλασιν εὐθέως ἐν ἐκείνῳ τῷ μέρει τιθέντες, ἔνθα μὴ προσβάλλουσιν αἱ ἀκτῖνες τοῦ ἡλίου. στρέφεσθαι δὲ αὐτοὺς χρὴ συνεχῶς, ὅπως ὁμαλῶς ξηραίνωνται καθ' ἑκάτερον μέρος. εἰ μὴ γὰρ τοῦτο πράττοι τις, τὸ μὲν ἕτερον μέρος ὑπερξηρανθήσεται, τὸ δὲ ἕτερον, ὑγρὸν ἕως πολλοῦ διαμένον, σηπεδόνι περιπεσεῖν κινδυνεύσει, καὶ μετὰ τὸ ξηρανθῆναι δὲ κείσθωσαν ἄλλαις ἡμέραις πλείοσι κατὰ τὸν αὐτὸν οἶκον, ἔξω τῶν ἡλιακῶν ἀκτίνων στρεφόμενοι συνεχῶς. ἀρκεῖ δ' ὁ χρόνος οὗτος ὁ πλεῖστος ἡμερῶν ιε'. μεθ' ἃς ἀποτίθεσθαί σοι καιρός ἐστιν, ἕως ἂν μέλλῃς σκευάζειν τὸ φάρμακον. ἡ δ' ἀπόθεσις ἐν ἀγγείῳ καττι-

E τερινῷ, ἢ ὑαλίνῳ, ἢ χρυσῷ γινέσθω. τὸ μὲν οὖν ὑάλινον καὶ τὸ χρυσοῦν, οὐδεμίαν ἔχει τὴν δόλωσιν, ὁ δὲ καττιτερινός, μίξει μολύβδου δολοῦται. τὸ τοιοῦτον οὖν φεύγειν προσήκει, οὐ μόνον ἐπὶ ταύτης, ἀλλὰ καὶ τῶν ἄλλων ἀντιδότων ἁπασῶν, ὥσπερ γε καὶ τὸ ἐξ ἀργύρου μὴ κεκαθαρμένου, τάχιστα γὰρ καὶ τοῦτο ἰὸν ἐπιτρεφόμενον ἔχει. καλοῦσι δ' οἱ Ῥωμαῖοι τὸν κεκαθαρμένον ἄργυρον κάνδιδον. ἄμεινον δὲ μὴ μετὰ πολὺν χρόνον χρῆσθαι τοῖς ἀρτίσκοις. οὐ μὴν πολύ γέ τοι βλάπτονται, κἂν μετ' ἐνιαυτὸν ἐμβληθῶσιν, κἂν μετὰ πλείονα χρόνον ἔτι τοῦδε. καλῶς γὰρ ξηρανθέντες ἐν ἀρχῇ, καὶ τριῶν ἐτῶν καὶ τεττάρων ἀκμαῖοι

F διαμένουσιν, ἐάν γε καλῶς ὦσιν ἀποκείμενοι, καὶ καθαροῖς ὀθονίοις δι' ἡμερῶν τινων ἀπομάττοιτο τὸ ἐπιτρεφόμενον αὐτοῖς κονιορτῶδες. ἐὰν γὰρ προσμείνῃ τοῦτο χρόνῳ πλέονι, διατιτρῆσιν αὐτούς. εὔδηλον δ' ὅτι τοῦτο παθόντες, ἄχρηστοι γίνονται, ὡς πρίν γε τοῦτο παθεῖν αὐτούς, κἂν χρονίσωσιν ἱκανῶς διαμένουσι χρήσιμοι.

A

ΚΕΦΑΛΑΙΟΝ Θʹ.

Ἀρτίσκων σκιλλητικῶν σκευασία.

Εἴτε σκιλλητικούς, εἴτε σκιλλίνους ἐθέλοι τις ὀνομάζειν τοὺς διὰ σκίλλης σκευαζομένους ἀρτίσκους, ἢ κυκλίσκους, ἢ τροχίσκους, διαφέρει οὐδέν. οὐδὲν γὰρ βλάψεις τὸ φάρμακον, ὅπως ἂν ὀνομάζῃς, ἐάν γε ἐν τῇ συνθέσει μηδὲν ἁμάρτῃς. ἐγὼ δέ σοι φράσω καὶ ταύτην σαφῶς. σκίλλαν εὔτροφον ἀναιρήσῃ μὲν ἐκ τῆς γῆς, ὁπόταν ἀκριβῶς αὐτῆς ξηρανθῇ τά τε φύλλα, καὶ ὁ καυλός. περιελὼν δὲ τὸ φλοιῶδες, εἶτα περιπλάσας τὶ πυρῶν νέων καλλίστων, ὡς ὅτι μάλιστα, μετὰ ταῦτα ὄπτησον ἐν B θερμῇ τέφρᾳ πολλῇ, μέχρις ἂν ἀκριβῶς ὀστρακωθῇ τὸ περιπλασθὲν σταῖς. εἰ δὲ καὶ κατὰ τὸ χωρίον ἐν ᾧ σκευάζεις, ἰπνὸς εἴη τις, ἐν ἐκείνῳ καταθέμενος ἅμα τοῖς ἄρτοις, ὅταν ξηρανθῇ τὸ σταῖς, ἀφελὼν αὐτό, λείωσον τὴν σκίλλαν. αὐτάρκως δ' ὠπτῆσθαι γνώσῃ, καὶ διὰ καταθέσεως κάρφους. ἑτοίμως γὰρ αὐτὸ καταδέχεται τὸ σῶμα τῆς σκίλλης, ἐπειδὰν καλῶς ὀπτηθῇ. λειωθείσης δὲ ἀκριβῶς αὐτῆς, μίγνυε τὸ τῶν λευκῶν ὀρόβων ἄλευρον, ἰσχυρῶς γάρ ἐστι τὸ τῶν μὴ λευκῶν πικρόν. εὔδηλον δ' ὅτι σεσῆσθαι τοῦτο χρὴ λεπτῷ κοσκίνῳ, καὶ μετὰ ταῦτα ἀκριβῶς λελειῶσθαι, τῷ σταθμῷ δὲ ἡμιολίαν εἶναι χρὴ C τὴν σκίλλαν. λέγω δὲ ἡμιολίαν, ὡς δύο μὲν ἀλεύρου μοίρας εἶναι, τρεῖς δὲ τῆς σκίλλης. ὡς δὲ ταυτὸν λέγων ὁ νεώτερος Ἀνδρόμαχος, οὐκ οἶδεν ὅπως π'. μὲν εἶναι δραχμὰς βούλεται τοῦ ὀροβίνου ἀλεύρου, τῆς σκίλλης δὲ ρκ'. ἤρκει γὰρ εἰπεῖν ἡμιόλιον. εἶτα λεπτοὺς κυκλίσκους ἐκ τῆς μίξεως ταύτης ἀναπλάσας, ἐν οἴκῳ τινὶ πρὸς μεσημβρίαν ἐστραμμένῳ, καθότι προειρήκαμεν, οὐ μὴν ἐν αὐταῖς γε ταῖς αὐγαῖς τοῦ ἡλίου ξήραινε. καὶ τὰ ἄλλα τὰ προειρημένα περὶ τῆς θηριακῆς, κἀπὶ τούτων πρᾶττε.

CAPVT IX.

Pastillorum scilliticorum compositio.

Siue scilliticos, siue scillinos malit aliquis appellare pastillos, aut orbiculos, aut rotulas quæ ex scilla præparantur, nihil refert; nam quocunque nomine appelles medicamentum non offendis, modò nullum in compositione errorem committas. Ego verò etiam hanc tibi manifestò exponam. Scillam bonæ habitudinis ex terra sumes, quum folia ipsius & caules exactè inaruerint. Cortice autem adempto, deinde tritici recentis quàm licet optimi exiguo circunlitam postea in calido cinere copioso torrefacito, vsque dum massa farinacea obducta, in crustam omnino indurescat. Quòd si etiam in loco quo præparas, fornax aliquis habeatur, in illum simul cum pane demissam, massa farinacea consiccata adempta, in læuorem cogito. At satis tostam esse deprehendes, quum festucam dimiserit, hanc enim scillæ corpus quum probè fuerit tostum promptè recipit. Vbi verò exactè ipsa fuerit detrita, farinam erui candidi immittes: nam eius quod non album est, vehementer amara est. Cæterùm liquet omnibus hanc tenui cribro esse incernendam, & deinde adamussim læuigandam. Scillam verò huius pondere sesquialteram esse conuenit, dico autem sesquialteram, vt duæ quidem farinæ partes, tres autem scillæ existant, nam idem dicés iunior Andromachus, haud noui, quomodo nonaginta drachmas erui farinæ esse velit, scillæ autem centumuiginti: satis enim erat dixisse sescuplum. Deinde tenues orbiculos ex hac mistura formatos in domo ad meridiem spectante (sicuti prædiximus) reponito, non tamen in ipso solis splendore siccato, aliáque de theriacis commemorata, in his etiam facito.

D

ΚΕΦΑΛΑΙΟΝ Ιʹ.

Ἡδυχρόου σκευασία.

Ἐν τῇ προγεγραμμένῃ συνθέσει τῆς θηριακῆς δυνάμεως, ὁ Ἀνδρόμαχος, ὅπως μὲν χρὴ σκευάζειν τούς τε θηριακούς, καὶ τοὺς σκιλλητικοὺς κυκλίσκους δεδήλωκεν· ὅπως δὲ τὸ ἡδύχροον, οὐδὲν εἶπεν. καὶ ἄλλοι δὲ πολλοὶ τῶν γεγραφότων σύνθετα φάρμακα, παρέλιπον εἰπεῖν τὴν σκευασίαν τοῦ ἡδυχρόου κατὰ τὴν περὶ τῆς θηριακῆς διήγησιν, ὥστε τὶς ἰατρὸς ἐν Ῥώμῃ τῶν μὴ τεθεαμένων σκευαζόμενον τὸ φάρμακον, ἐκ τῆς γραφῆς ἐπ' αὐτὸ παραγίνεσθαι E τολμῶν, ἐζήτει παρὰ τοῖς μυροπώλαις ἡδύχροον, οἰόμενος εἶναι βοτάνην, ἤ τι τοιοῦτο τῶν ἁπλῶν φαρμάκων. ἐγὼ δὲ καὶ τοῦτο δηλώσω, κατὰ τὴν Ἀνδρομάχου διαδοχὴν τῶν Καίσαρι σκευαζόντων αὐτὸ μέχρι νῦν, ὅπως συντιθέασιν. ἵνα δὲ καὶ αὐτὴ δυσπαραποίητος ᾖ, διὰ λέξεως ἐμμέτρου δηλωθήσεται τοῖς ὑπογεγραμμένοις.

Ἡδυχρόου δέ τι μάγμα, μάρου μὲν ἔχει δύο δραχμάς,
Ἴσας δ' αὖ ἀσάρου τε, καὶ ἀμαράκου, ἀσπαλάθου τε
Καὶ σχοίνου, καλάμου τ' εὐώδεος, ἐκ πόντου τε
Φοῦ, ξυλοβαλσάμου τ', ὀποβαλσάμου τε δραχμὰς τρεῖς, F
Καὶ κινναμώμου εἰσὶν ἴσαι, καὶ κόστου ἐπ' αὐτῷ.
Σμύρνης τ' ἓξ δραχμάς, καὶ φύλλου μαλαβάθροιο,
Ἴσον δ' αὖ Ἰνδῆς νάρδου ξανθοῦ τε κρόκοιο.
Καὶ μὴν καὶ κασίης ἴσαι, διπλαῖ δέ τ' ἀμώμου.
Λοιπὴ δ' ἐκ κραναῆς Χίου δραχμῆς βάρος εἴη,
Μαστίχη, οἴνῳ δ' αὖ φαλερίνῳ φυρήσασθαι.

CAPVT X.

Hedychroi confectio.

Svperiore Theriacæ facultatis compositione Andromachus quomodo sanè tum Theriacos tum scillinos orbiculos præparare conueniat, indicauit, quomodo autem hedychroon conficiatur non exposuit, ac alij plerique ex iis qui composita medicamenta conscripserunt, hedychroi confectionem in tractatione de Theriaca intactam reliquerunt. Quare medicus quidam Romæ ex iis qui medicamentum præparare non viderunt, ex scriptura confectionem eius aggredi ausus, quærebat apud vnguenarios hedychroon, putans herbam esse, aut aliquod tale simplex medicamentum, ego autem hoc quoque ostendam ceu Andromachi successor, inter eos qui Cæsari in hunc vsque diem id præparant, qua ratione componant. Porrò vt etiam ipsius scriptura ægrè vitietur, corrumpatúrque, ligata oratione inferius scripta explicabitur.

Hedychroi vult magma mari binas sibi drachmas,
Aequales & amaraci habens; asari, aspalatique,
Et iunci teretis, calami qui suauis odore est,
Phu ponti, ligni & succi quem balsamon edit,
Tres sunto drachmæ, totidem costi, cinnamomi:
Myrrhæ sex alias misces, folij malabathri.
Indorum nardi, flauique croci insuper æquas.
Quinetiam casiæ totidem, sed pondus amomi
Sume duplum, drachmam Chiæ sed masticha habebit.
Hæc vino debent conspergi cuncta falerno.

Quum

Quum hæc temperata fuerint, orbiculi nimirum finguntur & theriacis & scillinis persimiles, eodémque modo siccantur. Hæc sanè hæreditariò, vt dixi, hedychroi compositio ab Andromacho ad nos vsque peruenit. Aliæ autem diuersæ à nonnullis descriptæ sunt, iis nimirum qui medicamentorum experientiæ studuerunt, pondere eorum quæ iniiciuntur euariantes. Nonnullæ autem neutiquam habent amaracum & marum, nonnullæ alterum ex eis dumtaxat obtinent. Neque enim myropolæ omnes ea cognoscunt, quòd videlicet solas herbas quæ à Creta apportantur vnà cum seminibus succisque emant. Ego verò etiam herbas easdem in Asia generari noui, in aliis sanè locis paucas, in Cyzico autem plurimas, ac in Italia sicuti alias quasdam, ita & amaracum crescere vidi. Porrò hæc planta à maro permultum odore vincitur, nam marum vehementer odoratum, & quod amaracinum vnguentum vocatur, in Cyzico confectum quantum ad appellationem attinet, putauerit aliquis amaraci plurimum habere, & fortè hoc pactò à veteribus præparabatur. Nunc autem marum solum immittunt. Ego verò herba gustata, & amaritudine in ipsa permulta, acrimonia autem non item multa deprehensa, adhortatus sum aliquem ex iis qui amaracinum solent præparare, vt tantum amaraci, quantum etiam mari, confecturæ iniiceret. Ac mihi præparatum vnguentum ita minus quidem odorum, nihil autem minus efficax apparuit. Hæc igitur in transcursu obitérque dicta sint.

A ὅταν ταῦτα μιχθῇ, κυκλίσκοι δηλονότι γίνονται παραπλήσιοι τοῖς θηριακοῖς τε καὶ σκιλλητικοῖς, καὶ ξηραίνονται κατὰ τὸν αὐτὸν τρόπον. αὕτη μὲν ἐκ διαδοχῆς, ὡς ἔφην, εἰς ἡμᾶς ἦλθεν ἀπ' Ἀνδρομάχου σύνθεσις τοῦ ἡδυχρόου. διαφέρουσαι δ' ἄλλαι γεγραμμέναι πρός τινων εἰσὶν, ὑπὸ μὲν τῶν ἐπιμεληθέντων ἐμπειρίας φαρμάκων, ἐν τῷ σταθμῷ τῶν βαλλομένων διαλλάττουσαι. τινὲς δ' οὐδ' ὅλως ἔχουσι τὸ ἀμάρακον καὶ τὸ μάρον, ἔνιαι δὲ τὸ ἕτερον αὐτῶν ἔχουσαι μόνον. οὐδὲ γὰρ οἱ μυροπῶλαι πάντες αὐτὰ γινώσκουσι, διὰ τὸ μόνας ὠνεῖσθαι τὰς ἀπὸ Κρήτης κομιζομένας βοτάνας, ἅμα τοῖς B σπέρμασί τε καὶ χυλοῖς. ἐγὼ δὲ καὶ τὰς βοτάνας αὐτὰς ἠπιστάμην ἐν Ἀσίᾳ γινομένας, ἐν ἄλλοις μὲν χωρίοις ὀλίγας, ἐν Κυζίκῳ δὲ πλείστας, καὶ κατά γε τὴν Ἰταλίαν, ὥσπερ ἄλλας τινὰς, οὕτω καὶ τὸ ἀμάρακον εἶδον γινόμενον. ἀπολείπεται δὲ τὸ φυτὸν τοῦτο, τοῦ μάρου πάμπολυ κατὰ τὴν εὐωδίαν. ἱκανῶς γὰρ εὐῶδες τὸ μάρον, καὶ τό γε καλούμενον ἀμαράκινον μύρον ἐν Κυζίκῳ σκευαζόμενον, ὅσον μὲν ἐπὶ τῇ προσηγορίᾳ, δόξειεν ἄν τις ἀμαράκου ἔχειν πλεῖστον, καὶ ἴσως οὕτως ὑπὸ τῶν παλαιῶν ἐσκευάζετο, νυνὶ δὲ τὸ μάρον ἐμβάλλουσι μόνον. ἐγὼ μέντοι γευσάμενος τῆς πόας, εὑρών τε πικρότητα μὲν ἐν αὐτῇ C παμπόλλην, δριμύτητα δὲ οὐ πολλὴν, παρεκάλεσά τινα τῶν συνήθως ἀμαράκινον σκευαζόντων, ἐπεμβάλλειν ἀμαράκου τῇ σκευασίᾳ τοσοῦτον ὅσον καὶ τοῦ μάρου. καί μοι τὸ σκευασθὲν οὕτως ἧττον μὲν εὐῶδες ἐφάνη, χεῖρον δ' οὐδὲν ἐνήργει. ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἰρήσθω.

CAPVT XI.

De probatione integritatis quarumdam medicinarum.

DIgrediamur igitur iam ad huius antidoti confectionem, eodem ordine singula quæ ei immittuntur repetentes, quem Andromachus suprascriptis elegiacis versibus confecit, quinquaginta sanè drachmas minus duabus scilliticorum pastillorum iniiciendas censens: quod idem est ac si diceret quadragintaocto: horum dimidiatam partem, quod est vigintiquatuor drachmas theriacorum, opiíque, & hedychroi, & longi piperis. De tribus itaque dictum est. Longum autem piper fraudulenter præparatum deprehendes, aqua irrigans. Nam quod preparatum est soluitur: quod sua sponte prouenit, insolubile permanet. Porrò est id herba quædam flaua quæ à Xene adfertur aspectu quidem, sed non gustu tamen similis, quare etiam facillimum est à longo pipere ipsam discernere. Iam verò & sagapenum dictum deprehenditur, si aqua, aut vino superfundas, quippe verum statim dissoluitur, quod non tale est haud eliquescit, siue vt neutrum nomen, sagapenum, siue vt masculinum totum hoc sagapenum liquorem appellare malis (est enim reuera liquor ferulæ cuiusdam panaci similis) nihil interest, verùm panacis liquor nihil habet persimile ei, qui in galbano albior existit, altera autem eius pars in sagapenum degenerat, quæ spumosa leuisque est, altera in optimum galbanum, sagapenum resipiens. Hæc autem densa est, & multo magis quàm aliud galbanum constricta: vti ea conuenit, vt particula galbani præstátissima. Quoniam verò transire dixi ex galbano in sagapenum quod spumosum in eo cohærens albúmque est, próptè in aliquo soluitur.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ βασάνου τῆς ὠνητῶν δυνάμεων εἰλικρινείας.

D ΜΕταβάλωμεν δ' ἤδη πρὸς τὴν σκευασίαν ταύτης τῆς ἀντιδότου, κατὰ τὴν αὐτὴν τάξιν, ἑκάστου τῶν ἐμβαλλομένων αὐτῇ μνημονεύοντες, ἣν διὰ τῶν προγεγραμμένων ἐπῶν τῆς ἐλεγείας ὁ Ἀνδρόμαχος ἐποιήσατο, πεντήκοντα μὲν ἀξιῶν δραχμὰς, δυοῖν δεούσας ἐμβάλλειν τῶν σκιλλητικῶν ἀρτίσκων, ὅπερ ταὐτόν ἐστι τῷ φάναι μη'. τούτων δ' ἡμισείας, ὅπερ ἐστὶ κδ'. δραχμὰς τῶν θηριακῶν, ὀπίου τε καὶ ἡδυχρόου, καὶ μακροῦ πεπέρεως. περὶ μὲν οὖν τῶν γ'. εἴρηται. τὸ δὲ μακρὸν πέπερι, πανούργως κατασκευαζόμενον, ἐλέγξεις διαβρέχων ὕδατι, λύεται γὰρ τὸ σκευασθὲν, ἄλυτον δὲ E μένει τὸ αὐτοφυές. ἔστι δὲ αὐτὸ βοτάνη τις ξανθὴ ἀπὸ τῆς Ξένης κομιζομένη παραπλησία ἰδεῖν, οὐ μὴν τῇ γεύσει γε ἐοικυῖα, διὸ καὶ ῥᾷστόν ἐστιν αὐτὴν διακρῖναι μακροῦ πεπέρεως. ἐλέγξεται δὲ καὶ τὸ σαγάπηνον καλούμενον ὕδατι βρεχόμενον, ἢ οἴνῳ. διαλύεται γὰρ εὐθὺς τὸ ἀληθινὸν, ἀτήκτου μένοντος τοῦ μὴ τοιούτου. εἴτε δ', ὡς οὐδέτερον ὄνομα τὸ σαγάπηνον ἐθέλεις λέγειν, εἴτε δ', ὡς ἀρσενικὸν, ὅλον τοῦτο καλῶν σαγάπηνον ὀπὸν, ἔστι γὰρ ὄντως ὀπὸς νάρθηκός τινος ὁμοίου τῷ πάνακι, διήνεγκεν οὐδέν. ἀλλ' ὁ μὲν τοῦ πάνακος ὀπὸς, οὐδὲν ἔχει παραπλήσιον τῷ ἐν τῇ χαλβάνῃ λευκοτέρῳ. ἔστι δ' αὐτῆς τὸ μὲν F ὄντως εἰς σαγάπηνον μεταπίπτον, ὅσον ἀφρῶδές τε καὶ κοῦφόν ἐστι, τὸ δὲ τῇ καλλίστῃ χαλβάνῃ σαγαπηνιζούσῃ. πυκνὸν δ' ἐστὶ τοῦτο, καὶ πολὺ μᾶλλον ἐσφιγμένον τῆς ἄλλης χαλβάνης. κεχρῆσθαι δ' αὐτῷ προσῆκεν, ὡς ἀρίστῳ μορίῳ χαλβάνης. ἐπεὶ δὲ μεταπίπτειν εἶπον ἐκ χαλβάνης εἰς σαγάπηνον, ὅσον γὰρ ἀφρῶδες ἐν αὐτῷ, συστὰν καὶ λευκὸν, ἑτοίμως ἐν ὑγρῷ λύεται.

A προσθεῖναι μέντοι χρὴ τῷ λόγῳ, καὶ μάλιστα διὰ τὴν ὁμοιότητα τῆς μεταπτώσεως ἐκ τῆς ἀρίστης κασσίας εἰς κιννάμωμον. ἐθεασάμην γὰρ ἤδη πολλάκις, ὑψηλῆς καὶ εὐθαλοῦς κασσίας, ὡς εἰς θάμνου μέγεθος ἀνήκειν, ἀκρέμονάς τινας ἀκριβῶς ὁμοίους κινναμώμῳ, κατά τε τὴν ὄψιν, καὶ τοῦ φλοιοῦ τὴν λεπτότητα, καὶ πρὸς τούτοις ἔτι τὰ βεβαιότατα γνωρίσματα κινναμώμου, διά τε γεύσεώς τε καὶ ὀσφρήσεως γινόμενα. οὕτω δὲ καὶ κατὰ τὴν ἀρίστην σμύρναν, ὀποκάλπασον εὑρίσκεται, διαφέρον σμύρνης, καὶ κατά γε τὰ τρία ταῦτα. λέγω δὲ τό γε σαγαπηνόν, καὶ τὸ ὀποκάλπασον, καὶ τὴν κασσίαν, ἐν μὲν τῷ μεταξὺ γίνεταί τινα μηκέτι μένοντα, μήτε χαλβάνη, μήτε κασσία, μήτε σμύρνη, B μηδέπω ἀκριβῆ τὴν ἰδέαν ἔχοντα σαγαπηνοῦ, καὶ κινναμώμου, καὶ ὀποκαλπάσου. διὸ καὶ πολλάκις χρὴ τεθεᾶσθαι τὸν μέλλοντα διαγινώσκειν καὶ διακρίνειν ἀλλήλων τὰ παραπλήσια. καθάπερ γε ἐπὶ τῶν ὁμοίων ἀλλήλοις παιδαρίων διδύμων, οἱ μὲν ἀήθεις ὄντες, οὐ δύνανται διακρίνειν τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. ῥάστη δὲ ἡ διάγνωσις τοῖς ὁμοδιαίτοις, οὕτως ἔχει κἀπὶ τῶν φαρμάκων ἁπάντων. ὁ γὰρ ἐντεθραμμένος αὐτοῖς, καὶ πολλάκις ἑωρακώς, εὑρίσκει τε καὶ γνωρίζει ῥᾳδίως τὰς παρὰ μικρὸν διαφοράς. ὁ δ' ἅπαξ, ἢ δὶς ἑωρακώς, ὡς ἀπαράλλακτον τεθέαται τῷ ἑτέρῳ τὸ ἕτερον, ἔχον ἐνίοτε σαφεστάτην διάκρισιν, ἐναρ- C γῶς φαινομένην τῷ πολλάκις ἑωρακότι, ὥστε καὶ δι' ἑνὸς τῶν συμβεβηκότων αὐτοῖς γνωρίζεσθαι ῥᾳδίως. τὸ γοῦν ἐκ χαλβάνης σαγαπηνὸν, οὐκ ἔχει τὴν ὀσμὴν τῆς ἰδιότητος τὴν αὐτὴν τῷ κυρίως ὀνομαζομένῳ σαγαπηνῷ. τὸ γὰρ ὑπὸ τῶν περὶ τὰ τοιαῦτα δεινῶν, ὀνομαζόμενον ὀσμῆς εἶδος τραγίζον, οὐκ ἀποτίθεται τὸ ἐκ τῆς χαλβάνης σαγαπηνόν. ἀλλὰ ἐπὶ μὲν τοῦ τοιούτου σαγαπηνοῦ, καὶ τῆς χαλβάνης ταύτης, οὐ μεγάλη τίς ἐστιν ἡ διαφορὰ πρὸς τὴν τοῦ φαρμάκου σύνθεσιν. ἄμφω γὰρ ἁρμόττει, καὶ ἀντιτέτακται τοῖς ἰοβόλοις τε καὶ δηλητηρίοις, ἀλλ' ἧττον ἡ χαλβάνη τοῦ σαγαπηνοῦ. τὸ δὲ ὀποκάλπασον ἀναιρετικόν ἐστι, D καὶ πολλοὺς κατά τινα τύχην ἐν τοῖς τῆς ἡμετέρας ζωῆς χρόνοις ἀποθανόντας οἶδα, διὰ τὴν ἄγνοιαν τὸ ὀποκάλπασον ἐχούσης σμύρνης. ἐξεπίτηδες γὰρ ἔνιοι τῶν σκευαζόντων αὐτήν, ὡς ἀρίστην ἔβαλον, ἐπὶ τοῖς κολλυρίοις ἐμβαλλομένην ὁρῶσι κάλλιστον οὖσαν φάρμακον, ἀδήκτως γὰρ διαφορεῖ τὸ πύον. ἔστι δ' ὅτε καὶ ἀρχόμενον ὑπόχυμα λεπτὸν τῇ συστάσει. κἂν εἰς ἔμπλαστρον δέ, κἂν εἰς κηρωτήν, ἤ τι τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων διαφορητικῶν ἐμβάλῃς τὴν τοιαύτην σμύρναν, αὐξήσεις αὐτοῦ τὴν δύναμιν, ἀλλ' εἴσω τοῦ σώματος λαμβανομένη, θανάσιμόν ἐστι φάρμακον. ταῦτα μὲν οὖν ἐπὶ πλέον εἴρηται, E διά τε τὴν ἀκολουθίαν τοῦ λόγου, καὶ τὸ χρήσιμον τῆς θεωρίας.

A Apponere verò sermoni oportet, presertim quòd consimiliter optima cassia in cinnamomum degeneret. Spectaui enim iam subinde sublimis & ramosæ cassiæ vt in fruticis magnitudinem erumperet, surculos quosdam adamussim cinnamomi similes, tum aspectu, tum corticis tenuitate, & præterea firmissimis cinnamomi notis quæ & gustu & olfactu deprehenduntur. Pari modo in optima myrrha opocalpason inuenitur à myrrha diuersum: ac in tribus hisce, dico sagapeno, opocalpaso & cassia medio spatio nonnulla gignuntur, quæ non amplius remanent, aut galbanum, aut cassia, B aut myrrha, needum exactam sagapeni, cinnamomi & opocalpasi speciem referentia. Quapropter etiam subinde eum qui consimilia inter se dinoscet, vidisse oportet, quemadmodum in pueris gemellis inuicem similibus, qui quidem non eis assuerunt, alterum ab altero nequeunt discernere, iis autem qui vnà vixerunt facillima est dinotio, ita habet in omnibus quoque medicamentis. Nam qui inter ea educatus est, & frequenter vidit, ex facili paruitatis differentias & inuenit & cognoscit. Qui verò semel aut bis conspexerit, tanquam indifferens alterum ab altero spectabit, quod nonnunquam manifestissimum habet discrimen, ei C qui frequenter intuitus est manifesto apparens, vt etiam ex vno accedentium ipsis facile sit cognoscere. Nam sagapenum ex galbano, non habet proprietatis odorem eundem cum eo quod propriè sagapenum dicitur. Quod enim huiusmodi rerum periti sic nominant, odoris speciem hircinam, sagapenum ex galbano non exuit, verùm in tali sagapeno, atque hoc galbano, haud magna ad medicamenti compositionem differentia existit. Ambo siquidem conueniunt aduersantúrque virulentis & deleteriis, sed galbanum minus sagapeno. At opocalpason letale est, multósque forte D fortuna nostris tēporibus propter inscitiam myrrhæ quæ opocalpason habebat interiisse nouimus. Nam de industria nonnulli ipsam præparantium, vt laudatissimam iniecerunt, quòd collyriis inditam, optimum esse medicamentum viderent, vt quæ pus citra rosionem discutiat, nonnunquam etiam suffusionem incipientem substātia tenuem. Siue autem in emplastrum, siue in ceratum, aut aliquod digerens medicamentum quod intrinsecus imponitur, huiusmodi myrrham iniicias, virtutem ipsius augebis, verùm intra corpus assumptum letale est medicamentum. Hæc igitur fusius dicta E sunt, tum propter sermonem subsequentem, tum speculationis vtilitatem.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν ἐν τῇ τρίτῃ τάξει γεγραμμένων δυνάμεων.

Ἔτι δὲ τὴν ὑπὸ Ἀνδρομάχου τάξιν γεγραμμένων τῶν ἐμβαλλομένων ἁπλῶν φαρμάκων τῇ θηριακῇ, καιρὸς ἐπελθεῖν. γράφει οὖν τρίτην τάξιν φαρμάκων ἀνὰ < ιβ'. λαμβανόντων, ἃ προσκευάσεις ἅπαντα δηλονότι, κατὰ τὴν ἰδίαν ἀκμὴν ἐκλέγων, οἷον εὐθέως τὰ ῥόδα ξηραίνων μὲν, ὡς F ἐπὶ τῶν τροχίσκων εἴρηται, τὰ κάλλιστα, λαμβάνων δ' αὐτῶν ἅπερ εὐωδέστατα πάντως ἐστὶ, καὶ μέντοι καὶ ἐρυθρότερα τῶν ἄλλων. φυλαττόμενος δὲ τοὺς καταγείους οἴκους, ὡς μηδὲν αὐτοῖς φάρμακον ἀποτίθεσθαι, καὶ μάλιστα τοὺς ὑγροὺς αὐτῶν, ἐν οἷς εὐρὼς ἐν τάχει γίνεται. ἐφεξῆς δὲ τῆς Ἰλλυρικῆς ἴρεως

CAPVT XII.

De medicinis in tertio ordine positis.

PRæterea verò simplicium medicamentorum quæ Theriacæ immittuntur ordinem ab Andromacho scriptum persequi tempestiuum est. Tradit itaq; tertium ordinem medicamentorum singulorum duodecim drachmas recipientium, quæ omnia preparabis in suo ipsa vigore deligens, F exempli gratia rosas statim siccans quidem, vt in pastillis expositum est, prestantissimas, capiens autem ex eis quæ longè omnium suauissimæ sunt. Quinetiam aliis rubicundiores, diligentia adhibita ne vllum medicamentum in subterraneis domunculis præsertim humidis reponas, in quibus situs celeriter prouenit. Deinde verò Illyricam iridem

Andromachus rosis iniiciendam censet, quem sermonem ne obiter inaudias, ceu de alio quodam medicamento de quibus infra dicturus sum, optima in vnoquoque genere quale sit, edocens. Polium itaque & chamædrys Romam apportantur paulo præstantiora iis quæ in Italia nascuntur. In quibusdam enim locis Italiæ non multo inferiora crescunt, illis annis quibus ver totum non humidum euaserit, quemadmodum subinde fit in modum æstatis. Verùm quum siccior aëris constitutio oboritur ea quæ Italia profert Cretensibus similia, aut non multo deteriora quædam nascuntur, exempli gratia chamædrys, chamæpitys, hypericum, gentiana, thlaspi, nigrum veratrum, aliáque similia. At de iride non ita habet. Nam si conferas eam quæ ex magna Libya Romam copiosissima adfertur, tantum ab Illyrica abest quantum mortuum corpus à viuo, non tamen in aliis nationibus ita multum abesse apparet. Atque in huius genere odoratiorem deligito, quemadmodum in aliis medicamentis. Vnumquodque enim præstantissimum est quod proprium generis sui odorem habet valentissimum, quod ex multa inspectione singulis innotescit. Quinetiam de gustus qualitate similiter, proprietas in vnoquoque genere primas obtinens optimum declarat medicamentum: ignobilia autem habentur, quæ in suo genere & tenuiora, & minus procera: præstant enim in quolibet genere non rugosa neque exilia, quemadmodum quæ modum excedunt, deteriora iudicantur iis quæ bene nutritam constrictámque habent consistentiam. Quamobrem, vt dixi, multa subinde spectasse conuenit, præcipuè optima & quæ longo tempore experimenta ab origine suiipsius exhibuerunt, vnóque consensu à medicinalis materiæ peritis commendata. Omnes itaque prodiderunt irim quidem esse laudatissimam quæ in Illyricis nascitur: Petroselinum verò Macedonicum, bitumen Iudaicum, quemadmodum & opobalsamum, ac de aliis similiter, de quibus deinceps in peculiari singulorum sermone virtutem à regione proficiscentem non omittam: deinde verò dulcis radiculæ succi, & napi syluestris seminis meminit: quæ vtraque ex Creta præstantissima adferuntur, potissimúmque dulcis radicula, tum ipsa, tum ipsius liquor. Scordion optimum ex Creta nobis aduehitur, quanquam non malum in aliis nationibus sit inuenire. Porrò memoriæ traditum est à viris quibusdam fide dignis, quum bello mortui pluribus diebus inhumati iacuissent, corpora quæ super scordion forte fortuna procumberent, multo magis quàm alia à putredine immunia permansisse: & maximè illas corporis partes quæ herbam scordion contingerent; ac creditum est putriferis animalium venenis & medicamentorum deleteriis succurrere. sed traditum est abunde de tota medicinali materie quinque Dioscoridis libris, à quo præter alia etiam olfactus, gustatúsque, qualitates quibus potissimum probatiora medicamenta à deterioribus cognoscuntur discernuntúrque, licet tibi condiscere. In nonnullis etiam visorias qualitates non parum conferre reperies, sed mihi in præsenti opere institutum est, non quæ ab aliis rectè tradita sunt huc transferre, sed quæ desiderantur, manifestò interpretari.

A ὁ Ἀνδρόμαχος ἀξιοῖ βάλλειν τοῖς ῥόδοις· οὗ λόγου μὴ παρέργως ἀκούσῃς, ὡς περὶ ἄλλου τινὸς φαρμάκου, περὶ ὧν ἐφεξῆς ἐρῶ, τὸ κάλλιστον ἐν ἑκάστῳ γένει διδάσκων ὁποῖόν ἐστι. πόλιον μὲν οὖν καὶ χαμαίδρυς εἰς Ῥώμην κομίζεται, βραχὺ βελτίω τῶν ἐν Ἰταλίᾳ γινομένων. ἔν τισι γὰρ τόποις τῆς Ἰταλικῆς, οὐ πολύ τι λειπόμενα γίνεται κατ' ἐκεῖνα τῶν ἐτῶν, ἐν οἷς οὐκ ἐγένετο σύμπαν τὸ ἔαρ ὑγρόν, ὥσπερ πολλάκις γίνεται κατὰ τὸν τρόπον τοῦ θέρους. ἀλλ' ὅταν γε κατάστασις γένηται ξηροτέρα, τοῖς πλείστοις τῶν ἀπὸ Κρήτης ὅμοια τὰ κατὰ τὴν Ἰταλίαν, ἢ οὐ πολύ γε λειπόμενα γίνεταί τινα, καθάπερ ἥ τε
B χαμαίδρυς, καὶ ἡ χαμαιπίτυς, καὶ τὸ ὑπερικόν, ἥ τε γεντιανή, καὶ τὸ θλάσπι, καὶ ὁ μέλας ἐλλέβορος, ἕτερά τε τοιαῦτα. τὸ δὲ τῆς ἴρεως, οὐχ οὕτως ἔχει. παραβαλλομένη γὰρ ἡ ἐκ τῆς μεγάλης Λιβύης, ἥπερ εἰς Ῥώμην φέρεται πλείστη, τοσοῦτον ἀπολείπεται τῆς Ἰλλυρικῆς, ὅσον τὸ νεκρὸν σῶμα τοῦ ζῶντος, οὐ μὴν ἔν γε τοῖς ἄλλοις ἔθνεσιν, οὕτω πολὺ φαίνεται λειπομένη. καὶ ταύτης γοῦν ἐκλέγου τὴν εὐωδεστέραν, ὥσπερ γε τῶν ἄλλων φαρμάκων. ἕκαστον γὰρ ἄριστόν ἐστι τὸ τὴν τοῦ γένους ἰδίαν ὀσμὴν ἰσχυροτάτην ἔχον, ὅπερ ἐκ τοῦ πολλὰ τεθεᾶσθαι, γίνεται δῆλον ἑκάστῳ. καὶ μέντοι καὶ περὶ τῆς κατὰ τὴν γεῦσιν ποιό-
C τητος ὁμοίως τὸ ἴδιον ἐν ἑκάστῳ γένει πρωτεῦον, ἄριστον ἀποφαίνει τὸ φάρμακον, ἀδόκιμα δέ, καὶ τὰ λεπτότερα, καὶ ἀτροφώτερα τῶν ὁμογενῶν. ἀμείνω γὰρ ἐν ἅπαντι γένει τὰ μὴ ῥυσσά, μηδὲ ἄτροφα, καθάπερ γε καὶ τὰ ὑπερβάλλοντα τῶν συμμέτρων, χείρω τῶν εὐτροφόν τε καὶ ἐσφιγμένην τὴν σύστασιν ἐχόντων. διόπερ, ὡς ἔφην, ἑωρακέναι χρὴ πολλὰ πολλάκις, καὶ μάλιστα τὰ κάλλιστα, καὶ πολλῷ χρόνῳ πεῖραν ἐκ γενετῆς σφῶν αὐτῶν παρεσχηκότα, καὶ συμφώνως ὑπὸ τῶν ἐμπείρων ὕλης ἰατρικῆς ἐπῃνημένα. πάντες γοῦν ἔγραψαν ἶριν μὲν ἀρίστην εἶναι τὴν ἐν Ἰλλυριοῖς γινομένην, πετροσέ-
D λινον δὲ τὸ Μακεδονικόν, ἄσφαλτον δὲ τὴν Ἰουδαϊκήν, ὥσπερ γε καὶ ὀποβάλσαμον, ἐπί τε τῶν ἄλλων ὁμοίως, περὶ ὧν ἐφεξῆς κατὰ τὸν ἴδιον ἑκάστου λόγον οὐ παραλείψω τὴν ἀπὸ τῆς χώρας ἀρετήν. ἐφεξῆς δὲ γλυκυρρίζης τε χυλοῦ, καὶ βουνιάδος ἀγρίας σπέρματος μνημονεύει, καλλίστων ἡμῖν ἀμφοτέρων ἐκ Κρήτης φερομένων, καὶ μάλιστα τῆς γλυκυρρίζης αὐτῆς τε, καὶ τοῦ χυλοῦ. σκόρδιον δὲ κάλλιστον ἡμῖν ἐκ Κρήτης φέρεται. εὕροις δ' ἂν οὐ φαῦλον οὐδ' ἐν ἄλλοις τῶν ἐθνῶν. γέγραπται δ' ὑπό τινων ἀνδρῶν ἀξιολόγων, πολέμῳ νεκρῶν ἀτάφων ἡμέραις πλείοσι γινομένων, ὅσα
E τῶν σωμάτων ἐπὶ τοῦ σκορδίου κατὰ τύχην ἔκειτο, πολὺ τῶν ἄλλων ἀσηπτότερα διαμεῖναι, καὶ μάλιστα αὐτῶν ἐκεῖνα τὰ μόρια τοῦ σώματος, ὅσα τῆς πόας ἔψαυε τοῦ σκορδίου· καὶ δὴ καὶ πεπίστευται τοῖς σηπεδονώδεσιν ἰοῖς τῶν ζώων, καὶ φαρμάκων δηλητηρίοις ἀντιτετάχθαι. γέγραπται δὲ αὐτάρκως περὶ πάσης τῆς κατ' ἰατρικὴν ὕλης, ἐν ε'. βιβλίοις Διοσκορίδου, παρ' οὗ τά τε ἄλλα καὶ τὰς ὀσφρητάς, καὶ γευστὰς ποιότητας, αἷς γνωρίζεται μάλιστα, καὶ διακρίνεται τὰ δοκιμώτερα φάρμακα τῶν φαυλοτέρων, ἔνεστί σοι μανθάνειν. ἐπ' ἐνίων δὲ καὶ τὰς ὁρατὰς ποιότητας οὐ σμικρὰ συντελούσας
F εὑρήσεις. ἐμοὶ δ' οὐ πρόκειται κατὰ τὴν ἐνεστῶσαν πραγματείαν, ὅσα καλῶς ἑτέροις γέγραπται μεταφέρειν, ἀλλ' ἐξεργάσασθαι σαφῶς τὰ λείποντα.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τοῦ ὀποβαλσάμου τε, καὶ κινναμώμου.

Ἐφεξῆς ὀποβαλσάμου τε καὶ κινναμώμου, διὰ τῶν προγεγραμμένων ἐπῶν ἐμνημόνευσεν ὁ Ἀνδρόμαχος, ἐφ' ὧν ἐπὶ τοῖς γεγραμμένοις ὑπὸ τοῦ Διοσκορίδου γνωρίσμασι, μέγιστόν ἐστι τεθεᾶσθαι πρότερον αὐτὰ κατά τι χωρίον, ἕκαστον αὐτῶν ἄριστον γίνεται, καθάπερ ἐπειράθην ἐγώ, γνοὺς πολυειδῶς παραποιούμενον ὀποβάλσαμον, ὡς εἶναι δυσδιάγνωστον, αὐτὸς ἰδεῖν ὀπιζόμενον αὐτό, καὶ ῥεῖν ἐξ ἐκείνου, καθάπερ τινὰ κανόνα τῶν ἄλλων. ἔμαθον δὲ παραποιήσεις αὐτοῦ πολλάς, ὡς καὶ τοὺς τριβακωτάτους λαθεῖν, ἃς οὐκ ἀξιῶ δημοσιεύειν τοὺς γνόντας, ὅπως μὴ κατὰ τὸ πάρεργον οἱ πονηροὶ μανθάνοντες αὐτάς, ἐν ἔργῳ μεταφέρωσιν ἐπὶ τὰς κακὰς πράξεις. οὐδὲ γὰρ οὐδὲ τὰς τῶν δηλητηρίων φαρμάκων γραφὰς τοὺς δημοσιεύοντας ἐπαινῶ. τὰ γοῦν ὑπὸ τοῦ Διοσκορίδου τε καὶ τῶν ἄλλων, ὅσοι περὶ ὕλης ἔγραψαν ἑκάστου τῶν φαρμάκων, δοκιμασίας ἐπιφέροντες αὐτοῖς, ὅταν προσθῆτε τὴν ἰδίαν αὐτοψίαν ἐπὶ πολλῶν, ἀκριβῶς δυνήσεσθε διακρίνειν ἀλλήλων, ὅσα γε διακρίνεσθαι δύναται. τινῶν γάρ, ὡς ἔφην, ἢ οὐδ' ὅλως ἐστίν, ἢ οὐκ ἀκριβὴς ἡ διάκρισις, ἀλλὰ συγκέχυται τὰ γνωρίσματα τῶν πανούργως ἐσκευασμένων. περὶ δὲ κινναμώμου τἀναντία τοῖς εἰρημένοις ἐπὶ τοῦ ὀποβαλσάμου γινώσκω. πέπεισμαι γὰρ αὐτὸ πάντων εὐδιαγνωστότατον εἶναι τοῖς ἑωρακόσι πολλάκις ἄριστον κινναμώμον. τούτου δ' οὐχ οἷόν τέ τινα τυχεῖν, εἰ μή τις θεάσοιτο τὴν παρασκευὴν τῶν αὐτοκρατόρων κινναμώμων, σχεδὸν εἰς ἕξ που διαφορὰς γενικὰς ἡκόντων. ἔστι γὰρ κἀν τούτοις αὐτοῖς ἀξιόλογος ὑπεροχὴ τοῦ καλλίστου πρὸς τὸ χεῖριστον, ὥσπερ κἀν ταῖς κασσίαις, ὥστε τὴν καλλίστην κασσίαν ἀπολείπεσθαι βραχὺ τοῦ φαυλοτάτου κινναμώμου, καὶ ὅτι οὐ πάνυ μακροχρόνιος ἡ κατὰ τὴν χρῆσιν ἀρετὴ τοῦ κινναμώμου. οὐδὲ γὰρ μέχρι λ'. χρόνων ὁλόκληρον αὐτοῦ τὴν ἀπ' ἀρχῆς διασώζεσθαι δύναμιν. ληροῦσι δ' ἔνιοι, τῶν τοιούτων φαρμάκων τὸ κιννάμωμον ἀγήρω διαμένειν φάσκοντες. οὐδὲ γὰρ ρ'. οὐδὲ διακοσίων ἐτῶν μεταξὺ γεγενημένων, ἀλλ' ὀλίγων, ὡς πρὸς τοσοῦτον ἀριθμόν, ἤδη τινὰ μεταβολὴν ἑώρακα τῷ παλαιοτέρῳ κινναμώμῳ γεγενημένην. Ἀντωνίνῳ γοῦν σκευάζων τὴν θηριακήν, ἐθεασάμην ἀγγεῖα πολλὰ ξύλινα, τὰ μὲν ἐπὶ Τραϊανοῦ ταῖς ἀποθήκαις ἐγκατεθέντα μετὰ κινναμώμου, τὰ δὲ ἐπ' Ἀδριανοῦ, τὰ δὲ ἐπ' Ἀντωνίνου τοῦ μετὰ τὸν Ἀδριανὸν ἄρξαντος, καὶ πάντα γε τῷ ὁμογενεῖ κινναμώμῳ σαφῶς ἀλλήλων ὑπερεῖχε, κατά τε τὴν τῆς γεύσεως, καὶ τῆς ὀσφρήσεως ἀτονίαν καὶ εὐτονίαν, ὅσον καὶ τῷ χρόνῳ, καὶ μέντοι κομισθέντος ποτὲ ἐκ τῆς βαρβάρου, γλωττοκομίου μακροῦ πηχέων δ'. καὶ ἡμίσεος, ἐν ᾧ δένδρον ὅλον ἦν κινναμώμου τοῦ πρώτου γένους, ἐξ αὐτοῦ σύνθεσίν τινα τῷ αὐτοκράτορι Μάρκῳ Ἀντωνίνῳ ποιησάμενος, ὅλην εὗρον τὴν ἀντίδοτον ἱκανῶς τῶν ἄλλων ὑπερέχουσαν, ὥστε γευσάμενον αὐτῆς τὸν αὐτοκράτορα, μὴ περιμεῖναι χρόνον, ὥσπερ ἐπὶ τῶν ἄλλων, ἐν ᾧ πεφθήσεται τὸ φάρμακον, ἀλλ' εὐθέως χρῆσθαι, μηδὲ δύο μηνῶν ὁλοκλήρων ἐν τῷ μεταξὺ γενομένων. διαδεξαμένου δ' αὐτὸν Κομμόδου, μήτε τῆς θηριακῆς ἀντιδότου, μήτε τοῦ κινναμώμου πεφροντικότος, ἐκείνου τε τοῦ δένδρου τὸ περιττόν, ὅσον τ' ἄλλο μετὰ τοὺς Ἀδριανοῦ χρόνους ἐκομίσθη, διαπώλετο τὸ πᾶν, ὥστε τοῦ νῦν ὄντος ἡμῶν αὐτο-

CAPVT XIII.

De opobalsamo & cinnamomo.

Inde opobalsami & cinnamomi in prædictis versibus Andromachus meminit, in quibus post traditas à Dioscoride notas maximum est ea prius inspexisse, in qua regione vnumquodq; ipsorum præstantissimum gignitur, quemadmodum ego conatus sum, sciens opobalsamum variis adulterari modis, vt ægrè possit dinosci, ipse videre quomodo id liquorem fundat, ac inde ceu regulam B quandam aliorum obtinere. Porrò didici multas ipsius adulterationes, vt etiam exercitatissimos lateant, quas publicare scientes non dignum æstimo, ne praui ipsas in transcursu discentes, in opere ad malas actiones transferant. Neque enim eos qui letalium medicamentorum scripturas inuulgãt, probo. Si igitur probationes à Dioscoride ac aliis qui de singulorũ medicamẽtorum materie scripserunt, expositas ipsis adferatis, vestris ipsi oculis multa speculati, exactè inuicem poteritis discernere, quæ discerni est possibile. Quorundam enim (vt dixi) aut nulla prorsus, aut non exacta C est discretio, verùm notæ eorum quæ dolosè paratæ sunt, confunduntur. At de cinnamomo contraria iis quæ in opobalsamo dicta sunt, sentio. Persuasum namque mihi est, optimum cinnamomum iis qui crebro viderunt omnium facillimè posse dinosci. Hoc autem aliquem assequi non licet, nisi quis Principum cinnamomorum quæ in sex fere differentias generales diuiduntur, præparationem conspexerit. Est namque in his ipsis insignis optimi ad deterrimum excessus, quemadmodum in cassiis, vt optima cassia parum à prauissimo cinnamomo absit. Item quia cinnamomi vis D inter vtendum diuturna haud efficitur. Quippe ne ad triginta quidem annos facultas ipsius quam initio obtinebat, integra conseruatur. At nonnulli nugantur, qui ex huiusmodi medicamentis cinnamomum senij expers permanere pronũtiant. Neque enim centum, neque ducentis annis interea delapsis, sed paucis, si tantum numerum respicias, mutationem iam aliquam vetustiori cinnamomo obortam vidi. Quum itaque Theriacam Antonino præpararem, vascula multa lignea conspexi: alia Traiano imperante scriniis recondita cum cinnamomo: alia principatu Adriani: alia regnante Antonino qui Adriano in Imperio successit, ac E omnia cum congeneri cinnamomo manifesto se inuicem superabant, tum gustus, tum odoratus imbecillitate, & vehementia, quantum & tempore euariabant. Quinetiam quum asportatum esset, aliquando ex Barbaria scriniolum quatuor cubitos dimidiúmque longum, vbi arbor tota cinnamomi primi generis erat condita, vnde compositionem quandam Imperatori Marco Antonino molitus, totum expertus sum antidotum abunde aliis præcellere, vt, posteaquam imperator ipsum degustasset, tempus non expectauerit. Quemadmodum in aliis, in quo medicamentum concoF quetur, sed statim vsus sit, ne duobus quidem mensibus integris interea præteritis. Verùm vbi Commodus ipsi successisset, neque Theriaces antidoti, neque cinnamomi ratione ab ipso habita tum arboris illius reliquum, tum quodcunque alius post Adriani tempora apportatum est, totum interiit. Quare quum huius tempestatis nostræ

Imperator

Imperator Seuerus iniunxisset ipsum simili modo quo Antonino præparabam antidotum componi, coactus sum ex iis, quæ Traiani, Adrianíque tempore erant sepoſita, deligere, ac mihi euidenter imbecilliora euaſiſſe nunc apparebant, ne triginta quidem annis interea abſolutis. Quapropter ſermoni de optimo cinnamomo habito aliquid neceſſarium cogito adiicere, vt ſit odoratiſſimum, indicibilem quandam odoris gratiam ſuper alia omnia referat, guſtanti calidum admodum percipiatur, non tamen vt moleſtè rodat, colore autem tale, veluti ſi quis lactis colorem giluo admiſcuerit cum modico cæruleo nuncupato. Sumpto autem ex eo quantum volebam, ſicuti conſueui, paucos ramulculos apud me repoſui in ſcrinium, vbi omnia quæ mihi chara, & in pretio erant, continebantur. At eo combuſto, quando etiam Pacis delubrum incendio flagrauit, cùm aliis quinque cinnamomi generibus totum quod comparaueram intercidit, quam ob cauſam Imperatori noſtro qui nunc exiſtit, antidotum confeci cinnamomis quæ Adriani tempore erant apportata, ad hoc delectis; de quibus etiam ipſis quum vtile quippiam lectoribus poſſim adiicere, commemorare id non ſubterfugiam. Multa igitur ſunt lignea ipſius vaſcula, quæ in hunc etiam diem reſeruantur, omnia verò continent cinnamomorum, multis radicibus, aut multis ramis, ſiue quocunque modo libeat appellare, extantium differentias, nullum verò tanquam caudex in multos ramos fiſſus in longitudinem ampliorem eſt exporrectum, ſed qualis vtrique veratro ſpecies eſt, & magis adhuc ei quod damaſonium quidem appellatur, ex Creta autem nobis adfertur, ſingula verò ipſa, ex vno fundo veluti fruticulus quidam enaſcuntur: hic ſex, ille ſeptem ramorum propagines obtinens, aut paulo plures, aut pauciores, non æquales ſanè omnes longitudine, ſed maximus ipſorum dimidio pede Romano minor non eſt. Porro tota ipſius ſubſtantiæ natura præſtantiſſimæ caſſiæ propemodum eſt conſimilis, quæ ab importantibus ipſam barbarico nomine diſſyllabo nuncupatur, ita vt prima ſyllaba conſtet γ & ι: altera ex ζ & ι. Hæc nobis de cinnamomo dicta ſufficiant.

A κράτορος Σεβήρου, κελεύσαντος αὐτῷ κατὰ τὸν αὐτὸν τρόπον ὃν ἐσκεύαζον Ἀντωνίνῳ συνθεῖναι τὴν ἀντίδοτον, ἠναγκάσθην ἐκ τῶν ἐπὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ κατατεθειμένων ἐκλέγειν, καί μοι σαφῶς ἀσθενέστερα γεγονέναι νῦν ἐφαίνετο, μηδὲ λ'. πεπληρωμένων ἐτῶν τῶν μεταξύ. περὶ δ' οὖν τοῦ καλλίστου κινναμώμου προσθεῖναί τι τῷ λόγῳ βούλομαι τῶν ἀναγκαίων, εἶναι μὲν εὐωδέστατον, ἄρρητόν τέ τινα εὐωδίαν ὑπὲρ ἅπαντα τὰ ἄλλα ἔχειν, γευομένῳ δὲ θερμὸν ἱκανῶς, οὐ μὴν ὥστε δάκνειν, λυπηρῶς. τῇ χροιᾷ δὲ τοιοῦτον, ὡς εἴ τις μίξειε τὸ τοῦ γάλακτος χρῶμα τῷ φαιῷ, μετὰ βραχέος B τοῦ κυανοῦ καλουμένου. λαβὼν δ' ὅσον ἐβουλόμην ἐξ αὐτοῦ, καθάπερ εἰώθειν, ἀπεθέμην ὀλίγα παρ' ἐμαυτῷ κλωνία κατὰ τὴν ἀποθήκην, ἐν ᾗ πάντα μου τὰ τιμαλφέστατα κτήματα περιείχετο. κατακαυθείσης δ' αὐτῆς, ὁπότε καὶ τὸ τῆς Εἰρήνης τέμενος ἐκαύθη, καὶ τῶν ἄλλων πέντε διαφορῶν τοῦ κινναμώμου πᾶν ὅσον ἐκεκτήμην ἀπώλετο. τῷ μὲν οὖν νῦν ἡμῶν αὐτοκράτορι Σεβήρῳ τὴν ἀντίδοτον ἐσκεύασα, τῶν Ἀδριανείων ἐκλέξας κινναμώμων, περὶ ὧν καὶ αὐτῶν χρήσιμόν τι τοῖς ἀναγνωσομένοις ἔχων προσθεῖναι, διελθεῖν οὐκ ὀκνήσω. πολλὰ μὲν οὖν ἐστιν αὐτοῦ, καὶ νῦν ἔτι τὰ σω- C ζόμενα ξύλινα σκεύη. πάντα δ' ἔχει τῶν πολυρρίζων, ἢ πολυκλάδων, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ κινναμώμων τὰς διαφοράς. οὐδὲν δ' ὥσπερ πρέμνον εἰς πολλοὺς κλάδους σχιζόμενον εἰς μῆκος ἐκτέταται πλέον, ἀλλ' οἷα περὶ τῶν ἐλλεβόρων ἀμφοτέρων ἰδέα ἐστὶ, καὶ μᾶλλον ἔτι τοῦ καλουμένου μὲν δαμασωνίου, φερομένου δ' ἐκ Κρήτης ἡμῖν. ἕκαστον δ' αὐτῶν ἐστιν ἐξ ἑνὸς πυθμένος φυόμενον, οἷ θαμνίσκος τις, ὁ μὲν ϛ'. ὁ δὲ ζ'. τὰς ἐκφύσεις ἔχων, ἢ βραχὺ πλείους, ἢ ἐλάττους, οὐκ ἴσων μὲν ἁπάντων κατὰ τὸ μῆκος, ἀλλὰ τὸ μέγιστον αὐτῶν, οὐ μεῖόν ἐστιν ἡμίσεος ποδὸς D Ῥωμαϊκοῦ. ἡ δ' ὅλη τῆς οὐσίας αὐτοῦ φύσις, παραπλησία πώς ἐστιν ἀρίστῃ κασίᾳ, καλουμένῃ μὲν ὑπὸ τῶν κομιζόντων αὐτὴν ὀνόματι βαρβαρικῷ δισυλλάβῳ, τὴν μὲν προτέραν συλλαβὴν ἐκ τοῦ γ καὶ ι ἐχούσῃ, τὴν δὲ δευτέραν ἐκ τοῦ ζ καὶ ι. ταῦθ' ἡμῖν ἱκανὰ καὶ περὶ κινναμώμου λελέχθω.

CAPVT XIV.

De reliquarum medicinarum probatione, & electione.

CÆterùm quoniam agaricum deinceps ſcriptum nullam adulterationem recipit, hoc ſolum intellexiſſe erit abundè, quod etiam priores tradiderunt: leuiſſimum in ipſius genere eſſe laudatiſſimum; denſum autem, graue, lignoſúmque, deterrimum. Quantum verò in horum medio conſiſtens, ab vtroque notis receſſit, tantum quoque virtute deficit. Porrò quæ poſt commemorata habentur, nempe myrrha & coſtus, haud ægrè cognoſcuntur iis qui iam antea viderint; ſed ſciendum venit myrrham troglodyten dictam antidotis rectè accommodari: nonnulli eam vocant Minæam à regione vbi præſtantiſſimam gigni aſſeuerant. Gratiſſimi verò ſit odoris & nullo vitiata liquore, vti à nobis antea eſt commemoratum. Crocum ſanè omnes veteres, adeóque poëtæ ipſi coryceum commendant; ego verò tum coryceum antrum in quo naſcitur, tum

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς τῶν ὑπολοίπων δυνάμεων δοκιμασίας τε, καὶ ἐκλέξεως.

E

Γεγραμμένου δ' ἐφεξῆς ἀγαρικοῦ δόλωσιν οὐδεμίαν ἐπιδεχομένου, τοῦτ' ἀρκέσει μόνον ἀκούειν, ὃ καὶ παρὰ τοῖς πρόσθεν εἴρηται, τὸ κουφότατον ἐν αὐτῷ κάλλιστον εἶναι· τὸ πυκνὸν δὲ καὶ βαρὺ, καὶ ξυλῶδες, φαυλότατον. ὅσον δ' ἐν τῷ μεταξὺ τούτων ἀφέστηκε τοῖς γνωρίσμασιν ἑκατέρου, τοσοῦτον καὶ τῇ δυνάμει. τὰ δὲ ἐφεξῆς τῶν προγεγραμμένων, ἥ τε σμύρνα καὶ ὁ κόστος, οὐ χαλεπὰ γνωρίσαι τοῖς ἤδη προεωρακόσιν· εἰδέναι δὲ δεῖ ἐπιτήδειον οὖσαν εἰς τὰς ἀντιδότους F τὴν τρωγλοδύτιν λεγομένην σμύρναν· ἔνιοι δ' αὐτὴν ὀνομάζουσι Μιναίαν ἀπὸ χωρίου, καθ' ὃ γίνεσθαί φασι τὴν καλλίστην. εὐωδεστάτη δὲ ἔστω, καὶ ὡς πρόσθεν εἴρηται, μηδὲν ὑποκαλπάζον ἐχέτω. κρόκον δὲ τὸν κωρύκιον, ἐπαινοῦσι μὲν ἅπαντες οἱ παλαιοὶ, μέχρι καὶ τῶν ποιητῶν· ἐγὼ δὲ ἀκριβῶς τό, τε κωρύκιον ἄντρον ἐν ᾧ γίνεται, καὶ

τὸν κρόκον αὐτὸν ἐθεασάμην, εὐτραφῆ μὲν, οὐ μὴν παρ' ἅπαντας τοὺς ἄλλους, οὔτ' ἰσχύϊ τῆς ἐν τῷ παραυτίκα ὀσμῆς, οὔτ' ἐν τῷ μονίμῳ διαφέροντα. τούτοις δ' ἀξιῶ κρίνειν ὑμᾶς τὸν ἄριστον, οὐ τῷ κατὰ τὴν εὐτροφίαν παραβάλλειν. πρόδηλον δ' ὅτι καὶ ξανθότατός ἐστιν, ὥσπερ εὐωδέστατος ὁ ἄριστος, καὶ χρόνῳ πλείονι παραμένων ἀκμαῖος. ἐπεὶ δὲ καὶ τούτου τίς ἐστι παραποίησις, οὐκ εὔγνωστος τοῖς μὴ πάνυ πολλάκις ἑωρακόσι τὸν ἄριστον, ἄμεινον ἡμῖν ἐστιν ἐκ πολλοῦ προεωνημένοις, αὐτὸν ἔχειν ἀποκείμενον ἐν ἐπιτηδείῳ τινὶ τῶν κατὰ τὴν οἰκίαν οἰκήματι, ὡς πρόσθεν εἴρηται. μέγιστον γάρ ἐστι δοκίμιον, ἐὰν παραμένῃ τοιοῦτος ὢν ὁποῖος ἐλήφθη. τοῦ γὰρ νενοθευμένου, καὶ ἡ χρόα, καὶ ὀσμὴ διὰ ταχέως ἐκλύονται. περὶ δὲ κασσίας ἀναγκαῖόν ἐστι μοι μνημονεῦσαι τοῦ γεγραμμένου κατὰ πολλὰς τῶν φαρμακιτίδων βίβλων, ὡς ἄρα τοῖς ἀποροῦσι κινναμώμου, διπλάσιος ὁ τῆς κασσίας σταθμὸς ἐμβλητέος ἐστί. σκώπτων γὰρ τοῦτο Σάτυρος ὁ διδάσκαλος ἡμῶν, ἔλεγεν, ὡς Κοΐντου τῶν εὐτραπέλων λόγων ἕνα καὶ τόνδε λέγοντος, ὅμοιόν τι ποιεῖν τοὺς κελεύοντας διπλασίαν ἐμβάλλειν ἡμᾶς κασσίαν, ὅταν ἀπορῶμεν κινναμώμου τοῖς ἀξιοῦσιν, ὅταν μὴ ἔχωμεν οἶνον Φαλερῖνον, πίνειν διπλάσιον πίνειν τοῦ πιπρασκομένου κατὰ τὰ καπηλεῖα, κἂν ἄρτου ποτ' ἀπορῶμεν καθαροῦ, διπλάσιον ἐσθίειν τοῦ πιτυρίου καλουμένου. ἐμοὶ δ' ὁ λόγος οὗτος, ἂν μὲν περὶ ἑνός τινος αὐτοῦ καθ' αὑτὸ μόνου μέλλοντος εἰς χρῆσιν ἄγεσθαι, λέγηται, κατὰ πάντα ἀληθής τε καὶ ἄμεμπτος εἶναι δοκεῖ, ἐν συνθέσει δὲ πολλῶν, οὐκέθ' ὁμοίως ἀληθής. ἓν μὲν γὰρ ὁποιονοῦν εἰ δέοι προσενέγκασθαι, καθάπερ εἰ τύχοι ῥοῦν, ἢ ἀψίνθιον, ἢ ἶριν, ἢ γεντιανὴν, ἢ ὁποιονοῦν ἄλλο τοιοῦτο φάρμακον, εἰ διπλάσιον αὐτοῦ μοχθηρὸν ἀντὶ τοῦ καλλίστου προσφέροι τις, ἢ εἴσωθεν, ἢ ἔξωθεν ἐν τῷ σώματι, βλάψει διπλάσιον. ὅταν δὲ ἀναμῖξαι δέῃ πολλοῖς τοῖς κατὰ μέρος ἕν τι κάλλιστον, αὐξῆσαν τὴν τῶν ἄλλων δύναμιν ἐπιχορηγούμενον, ἂν ἀπορῶμεν τοῦ γενναιοτάτου, διπλασίῳ χρῆσθαι τῷ τὴν αὐτὴν ἔχοντι κατὰ γένος ἐπαγγελίαν, οὐδὲν ἂν εἴη χεῖρον, εἰ καὶ φαυλότερον φαίνοιτο τοῦ καλλίστου. ἔστι δ' ἡ κασσία πλησίον τοῦ κινναμώμου τῷ γένει. καὶ γὰρ καὶ γίνεταί ποτε κιννάμωμον ἐκ μεταβολῆς αὐτῆς, ὥστε ὅλον μὲν ὁρᾶσθαι τὸ οἷον δένδρον ἀκριβὲς κασσίαν, ἀκρέμονας δέ τινας ἐν αὐτῷ κινναμώμου, συνεχεῖς τοῖς κλάδοις τῆς κασσίας εὑρίσκεσθαι. παραπλήσιον δέ ἐστι τὸ τοιοῦτον, οὐ τῷ κατὰ τοὺς οἴνους, ἢ τοὺς ἄρτους, οἷα ὁ Κόϊντος ἔλεγεν, ἀλλὰ τῷ κατὰ τὰς ἐν τῷ βίῳ πράξεις, ἐν οἰκοδομίαις, ἐν ναυπηγίαις, ἐν ἄρσεσι βαρέων σωμάτων, καὶ μεταφοραῖς, ἐν πόλεσιν, ἐν ἁπάσαις ταῖς βοηθείαις, ἐν αἷς τὸ δι' ἑνὸς ἰσχυροῦ γινόμενον, ὅταν οὗτος μὴ παρῇ, διὰ δυοῖν ἀσθενεστέρων ἐπιτελεῖται. ταῦτα μὲν οὖν ἐκ τοῦ ἐναντίου ἐπικεχρήσθω τῷ τοῦ Κοΐντου λόγῳ, πρὸς τὸ μὴ πάντη δοκεῖν ἀπόβλητον εἶναι τὴν πρόσταξιν τῶν ἀξιούντων, ἀντὶ τοῦ κινναμώμου διπλάσιον ἐμβάλλειν τῆς κασσίας. ἐγὼ μέντοι διὰ παντὸς ἐνέβαλον κινναμώμου, πᾶσι γὰρ οἷς ἐσκεύασα τὸ φάρμακον, ἢ φίλοις αὐτοκράτορσιν, ἢ πλουσίοις οὐ χαλεπὸν ἦν, τοῖς μὲν αἰτῆσαι παρὰ τοῦ βασιλέως, τοῖς δὲ καὶ πρίασθαι παρά τινος. τὸ δὲ προσθεῖναι τούτῳ, ὅτι μηδ' ὁσάκις ἐσκεύασα τοῖς αὐτοκράτορσιν, ἠπόρησά ποτε κινναμώμου, προφανῶς ἐστι περιττόν. περὶ μέντοι τοῦ καρπησίου, τὴν Κοΐντου γνώμην, ἣν οὐ παρὰ Σατύρου μόνον, ἀλλὰ καὶ ἄλλων μαθητῶν ἤκουσα τοῦ Κοΐντου, διελθεῖν ἄμεινον. ἐνέβαλλε γὰρ ἐκεῖ-

A crocum ipsum exactè sum speculatus, procerum sanè, non tamen super vniuersos alios, aut robore odoris præsentanei, aut diuturni differentem. His autem optimum vos iudicare censeo, non quòd proceritate excellat. Iam verò omnibus constat optimum esse, tum flauissimum, tum odoratissimum, & longo tempore in vigore suo persistentem. Quoniam verò & hic adulteratur, ita vt haud facilè possit dinosci, præterquam ab iis qui sæpè admodum præstantissimum viderint, satius nobis est ex longo tempore antea coemptum in apto quodam ædium receptaculo repositum habere, sicuti prius à me dictum est. Maxima enim est B probatio, si talis permaneat qualis fuerit assumptus, nam adulterati & color & odor celeriter euanescunt. At de cassia necessarium est mihi commemorare id quod in multis medicamentoriis libris memoriæ proditum est, nempè cinnamomi penuria duplicatam cassiæ portionem esse iniiciendam. Quippe Satyrus præceptor noster hoc irridens dicebat, tanquam Quinto imperitam orationem vnam etiam hanc proferente, simile quippiam eos facere qui cassiam duplicatam iniicere præcipiunt cinnamomi inopia, quemadmodum qui iubent vini falerni penuria duplicatum id C quod in tabernis venditur esse bibendum. Et si panis nonnunquam desit purus, furfuracei dicti duplicationem esse ingerendam. Mihi verò ratio hæc placet, & si de vno quodam ipso quod per se priuatim in vsum perduci debeat dictum fuerit, in totum vera & vitij expers esse videtur. In compositione autem multorum, non item vera. Vnum enim quodcunque si assumere oporteat, verbi gratia Rhu, aut absinthium, aut iridem, aut gentianam, aut aliud eiusmodi medicamentum quodlibet, si duplum ipsius prauum loco præstantissimi adferas, vel extrinsecus, vel intus in corpore, du- D plicatum oberit, quum autem multis particularibus vnum excellentissimum miscere conuenit, aliorum virtutem augebit simpliciter inditum, si generosissimi copia non datur eo quod idem genere promittit, duplicato vti, malum nullum fuerit, etiamsi optimo videatur deterius. Cassia verò cinnamomo genere proxima est, vt quæ nonnunquam ex mutatione ipsa euadat cinnamomum, vt totum quidem veluti arbor exacta cassia videatur, surculi autem nonnulli in ea cinnamomi, ramis cassiæ continui reperiantur. Persimile autem est huiusmodi non ei quod in vinis, aut pane solet ac- E cidere, quẽadmodum Quintus aiebat, sed ei quod in vitæ actionibus, ædificationibus, nauium structuris, grauium corporum eleuationibus, translationibúsque, in vrbibus, in omnibus præsidiis accidit, in quibus quod per vnum validum efficitur, hoc absente, per duos imbecilliores administratur. Hæc igitur contra Quinti orationem tractata sint, ne omnino repudianda esse sententia eorum videatur, qui in vicem cinnamomi cassiæ duplum iniiciendum censent. Ego verò semper cinnamomum indidi. Nam omnibus quibus medicamentum præparaui, aut amicis imperatoribus, aut opulentis non difficile erat: aliis quidem à rege F petere: aliis etiam à quodam coemere. At huic adiicere quòd nunquam quoties imperatoribus confeci medicamentum cinnamomi laborauerim inopia, planè est superfluum. At verò de carpesio Quinti sententiam quam non à Satyro solùm, verùm etiam ex aliis quoque discipulis Quinti audiui, præstat commemorare. Ille siquidem iniiciebat

bat (vt aiunt) quum cinnamomi facultas non dabatur, carpesium, ceu optima cassia viribus nihil inferius, eóque magnam ipsius copiam quum ex profectione, quam in orientalibus regionibus subij apportatam diligenter reposuerim, in hunc vsque diem non paruam habeo, quod & odorem & gustum conseruet, licet non priori æqualem, certè non omnino euanidum. Est autem similis genere phu appellato, sed valentior, & nonnihil etiam odoratum repræsentans. Plurimum autem in Side Pamphyliæ carpesium hoc gignitur, atque adeo facillimè emitur, quare si quis vestrum illuc quandoque contendat, copiosissimum exportet, sciens diu id sibi sufficere. Porrò tenues festucæ sunt persimiles surculis cinnamomi, vocántque indigetes alterum ipsorum laertium; alterum amarum, quod etiam præstátius est. Vtriusque autem à monte vbi nascitur cognomentum existit, cuius sanè quum copiam haberem, etiam & alia pleraque particularia sum expertus, ad quæ & pheu dictum immittimus: est enim ipsum consimile quidem, sed valentius, & vt dixi odoratæ qualitatis nonnihil, & odore & gustu repræsentans. Cæterùm ex his omnibus quæ de cassia retuli maximè est necessarium, definire qualis cassia sit iniicienda, quum Gizi maximè commendant. Mox appellatam moton. Sunt qui arebo & daphniten. Quòd igitur Gizi cinnamomo in omnibus respondeat, dictum à me antea quoque est. Nam quæ maximè sibi continua ab huiusmodi rerum peritis ceu cinnamomum venditur, eiusdem generis existit. Sed fistulam dictam ab aliquibus, iunior Andromachus iniiciendam censet. Omnibus autem hæc cognoscitur, quinetiam facillimè omnium comparatur, exteriorem sanè corticem, quem & fistulam dicunt fortem, tum odoratu, tum gustu obtinet, medullam verò imbecillimam, vt nullus ipsius vsus esse nobis possit. Itaque præscriptis elegiis indistinctè cassiæ nomen prolatum est, in pedestri autem, filij ipsius scriptura adiectum inuenias cassiæ, nomen fistulæ, ac ab illo in hunc vsque diem tradita nobis successio eorum, qui imperatori antidotum conficiunt fistulæ nomen adiectum habet. Post commemoratam superius, Andromachus Indicam nardum indi iubet, quam & spicam nardi appellamus, licet radix existat, à formæ similitudine quam cum non spicatis obtinet. In qua cauendum est, nequis elotam dictam tradat. Est autem illa iis qui vnguenta præparant, in coctione ipsorum, sicuti consueuerunt, prius in vsum ministeriúmque adhibita, quæ acærios, quod est pura, venundatur. Quapropter etiam omphas appellatas, barbarica lingua accipere conuenit: quarum & circumlita terra radici decocta nardi odorem repræsentat. Prætereaiuncum rotundum Arabicum immitti præcipit, qui à vulgo, haud scio quomodo, iunci rotundi flos dicitur: etsi nos non adeo floris copiam habeamus, tota quæ aduehitur herba subinde ex parte superiori à camelis erosa. Libentissimè autem eam depascuntur, & copiosissimam in Arabiæ viis crescentem habent. Est item parui pretij medicamentum, & solo odoratus vigore discernitur, quum gratia illius odoris celeriter euanescit. Iam verò quum Andromachus scribit, Thus miscebis & aglaiam quod est pulchrum, statues, aglaiam non disquirendum est ceu alterius medicamenti nomen. Nam in compositione antidoti pedestri oratione ab Andro-

A νος, ὥς φασιν, ὅταν ἠπόρει κινναμώμου, τὸ καρπήσιον, ὡς οὐδὲν ἀπολειπόμενον εἰς δύναμιν ἀρίστης κασσίας, καὶ πλεῖστον γοῦν αὐτοῦ κομίσας ἐγὼ διὰ τοῦτο, κατὰ τὴν γενομένην μοι τῶν ἀνατολικῶν χωρίων ὁδοιπορίαν ἐπιμελῶς κατατιθέμενος, ἔχω μέχρι νῦν πάμπολυ, διασῶζον ὀσμήν τε καὶ γεῦσιν, εἰ καὶ μὴ τὴν ἴσην τῇ πρόσθεν, ἀλλ' οὐκ ἐξίτηλόν γε παντάπασιν. ἔστι δ' ὁμοία μὲν τῷ καλουμένῳ φοῦ κατὰ γένος, ἰσχυροτέρα μέντοι, καί τι καὶ ἀρωματίζον ἔχουσα. πλεῖστον δ' ἐν τῇ Σίδῃ τῆς Παμφυλίας τὸ καρπήσιον τοῦτο γίνεται, διὰ τοῦτο καὶ εὐωνότατόν ἐστιν, ὡς εἴ τις ὑμῶν ἐκεῖ ποτε γένοιτο, λαμ-

B βανέτω πλεῖστον, εἰδὼς ἐπὶ πλείονα χρόνον ἐξαρκοῦν αὐτῷ. λεπτὰ δέ ἐστι τὰ κάρφη, παραπλήσια τοῖς ἀκρέμοσι τοῦ κινναμώμου, καὶ καλοῦσιν οἱ ἐπιχώριοι, τὸ μὲν ἕτερον αὐτῶν λαέρκινον, τὸ δὲ ἕτερον, τὸ πικρόν, ὅπερ καὶ βέλτιόν ἐστιν. ἑκατέρου δὲ ἀπὸ τοῦ ὄρους ἡ ἐπωνυμία καθ' ὃ φύεται. πολὺ δ' ἔχων αὐτοῦ, καὶ εἰς ἄλλα πολλὰ τῶν κατὰ μέρος ἐπειράθην, εἰς ἅπερ καὶ τοῦ καλουμένου φοῦ βαλλόμεθα. ἔστι γὰρ αὐτὸ παραπλήσιον μέν, ἰσχυρότερον δέ, καὶ ὡς ἔφην, ἔχον τι ποιότητος ἀρωματιζούσης ἐν ὀσμῇ τε καὶ γεύσει. τούτων δ' ἁπάντων ὧν περὶ κασσίας εἶπον, ἀναγκαιότατόν ἐστι διορίσασθαι, ποίαν

C ἐμβλητέον ἐστὶ κασσίαν, ἐπειδὴ τὴν μὲν Γιζὶ μάλιστα ἐπαινοῦσιν, ἐφεξῆς δὲ τὴν μοτὼ καλουμένην, εἰσὶ δὲ οἳ καὶ τὴν ἀρηβὼ, καὶ τὴν δαφνῖτιν. ὅτι μὲν οὖν ἡ Γιζὶ παραπλήσιον κινναμώμῳ κατὰ πάντα ἐστίν, εἴρηταί μοι καὶ πρόσθεν. ἡ γοῦν συνεχέστατα παρὰ τῶν περὶ τὰ τοιαῦτα δεινῶν, ὡς κιννάμωμον πιπρασκομένη, ταύτης γένους ἐστίν. ἀλλὰ τῆς γε συριγγίδος ὑπό τινων ὀνομαζομένης, ὁ νεώτερος Ἀνδρόμαχος ἐμβάλλειν ἀξιοῖ. πᾶσι δ' αὕτη γινώσκεται, καὶ γὰρ καὶ εὐωνοτάτη πάντων ἐστί, τὸν μὲν ἔξωθεν φλοιόν, ὅνπερ καὶ σύριγγα καλοῦσιν ἰσχυρὸν ἔχουσα κατ' ὀσμήν τε καὶ γεῦσιν, τὸ δ' ἔνδον ἀσθενέστατον, ὡς

D μηδεμίαν αὐτοῦ χρείαν ἡμῖν γίνεσθαι. διὰ μὲν οὖν τῶν προγεγραμμένων ἐλεγείων, ἀδιορίστως εἴρηται τὸ τῆς κασσίας ὄνομα. κατὰ δὲ τὴν πεζῇ γεγραμμένην ὑπὸ τοῦ υἱέως αὐτοῦ, πρόσκειται τῷ τῆς κασσίας ὀνόματι τὸ τῆς σύριγγος, ἥ τ' ἀπ' ἐκείνου μέχρι νῦν ἡμῖν παραδεδομένη διαδοχὴ τῶν σκευαζόντων τῷ αὐτοκράτορι, τὸ τῆς σύριγγος ὄνομα προσκείμενον ἔχει. ἐφεξῆς δὲ τῆς προγεγραμμένης, ὁ Ἀνδρόμαχος Ἰνδικὴν νάρδον κελεύει βάλλειν, ἥνπερ καὶ στάχυν ὀνομάζομεν νάρδου, καίτοι ῥίζαν οὖσαν, ἀπὸ τῆς πρὸς τοὺς ἀστάχυας ὁμοιότητος κατὰ τὴν μορφήν, ἐφ' ἧς φυλάττεσθαι χρή, μή πως ἀποδῷ τις

E ἡμῖν τὴν ἔκπλυτον ὀνομαζομένην. ἔστι δ' αὕτη τοῖς τὰ μύρα σκευάζουσι προϋπηρετηκυῖα κατὰ τὴν ἕψησιν αὐτῶν, ὡς εἰώθασιν, ἀκέραιος πιπρασκομένη. διὸ καὶ τὰς ὄμφας ὀνομαζομένας, βαρβάρῳ γλώττῃ προσήκει λαμβάνειν, ὧν καὶ ἡ περιπεπλασμένη γῆ τῇ ῥίζῃ ἀφεψηθεῖσα, τὴν ὀσμὴν ἔχει τῆς νάρδου. Σχοῖνον δὲ ἐπὶ τούτοις τὴν ἐξ Ἀραβίας ἐμβάλλειν κελεύει, καλουμένην ὑπὸ τῶν πολλῶν, οὐκ οἶδ' ὅπως ἄνθος σχοίνου, καίτοι γ' ἡμῶν οὐ πάνυ τι τοῦ ἄνθους εὐπορούντων, ὅλης τῆς κομιζομένης πόας ἐπιβεβρωμένης πολλάκις ἄνωθεν ὑπὸ τῶν καμήλων, ἥδιστά τε γὰρ αὐτὴν νέμονται, καὶ πλείστην ἔχου-

F σιν ἐν ταῖς Ἀραβίαις ὁδοῖς γεννωμένην. ἔστι δ' εὔωνόν τε τὸ φάρμακον, καὶ μόνῳ τῷ τῆς ὀσμῆς ἀκμαίῳ κρινόμενον, ἐπειδὴ διὰ ταχέως ἀποπνεῖ τὸ εὐῶδες αὐτῆς. ἐφεξῆς δὲ γράφοντος τοῦ Ἀνδρομάχου, καὶ λίβανον μίσγοιο καὶ ἀγλαΐην στήσαιο, τὴν ἀγλαΐην οὐ χρὴ ζητεῖν ἡμᾶς, ὡς ἄλλου τινὸς φαρμάκου ὄνομα. διὰ γὰρ τῆς πεζῇ γεγραμμένης τῷ νεωτέρῳ Ἀνδρο-

μάχῳ συνθέσεως τῆς ἀντιδότου, καὶ διὰ τῆς ἄχρι νῦν εἰς ἡμᾶς καθηκούσης παραδόσεως, οὔτε φαρμάκου τινὸς ὄνομά ἐστιν ἡ ἀγλαΐα· καὶ τὰς < ιβʹ. ἕλκον τῷ σταθμῷ τὸ φάρμακον πάντα συμφώνως εἴρηται, τῷ τε πρεσβυτέρῳ, καὶ τῷ νεωτέρῳ Ἀνδρομάχῳ, καὶ οὐδὲν ἔξωθεν ἐκείνων πρόσκειται, καθ' οὗ τὸ τῆς ἀγλαΐας ὄνομα λέγεσθαί τις ἡγήσεται, ὥστ' ἴσως τὴν ἀγλαΐαν, ἐπίθετον τοῦ λιβανωτοῦ τῷ συντιθέντι τὴν ἐλεγείαν ἔδοξε προσθεῖναι. ἐφεξῆς δὲ μέλανός τε πεπέρεως, καὶ δικτάμνου, καὶ πρασίου, καὶ ῥήου μνημονεύει, γνωρίμων ἅπασι πραγμάτων. ἡ δ' ἐκ παραδόσεως ἡμῖν δεδομένη γραφὴ, προσκείμενον ἔχει τοῦ πεπέρεως τὸ βαρύσταθμον. μεῖζον δ' ἐστὶ τοῦτο τοῦ ἄλλου πεπέρεως, καὶ τὸν φλοιὸν ἔχει λεπτότερόν τε καὶ ἧττον ῥυσσόν. ἐπὶ δὲ τοῦ ῥήου καὶ αὐτοῦ παραποίησις μέν ἐστιν, ἐπειδὴ εὐθέως ἐν τοῖς χωρίοις ἐν οἷς γεννᾶται, πρόσφατον ἔνιοι λαμβάνοντες αὐτὸ, καὶ ἀφέψοντες, ὡς ἀφεῖναι τὸν χυλὸν, ἐκεῖνον μὲν ἑψήσαντες πέμπουσιν ἡμῖν, ὡς εἰλικρινῆ καὶ ἄμικτον ὕδατι. τὸ δὲ ῥῆον ξηράναντες, ὡς οὐδὲ αὐτὸ προαφεψημένον ἀποστέλλουσι. διὰ τοῦτ' ἐπίστασθαι χρὴ γνωρίζειν τὸ πανουργηθὲν, εὐγνωστότατον ὂν τοῖς ἑωρακόσι τὸ αὐτοφυὲς ῥῆον. οὔτε γὰρ τὸ διὰ τῆς ὄψεως αὐτοῦ κρινόμενον πυκνὸν, καὶ συνηγμένον ἔχει τῆς ὅλης οὐσίας, ἀλλ' ἔστιν ἀραιότερον, ἔν τῇ γεύσει τε τὴν στύφουσαν ποιότητα παντάπασιν ἀμυδρὰν, ἢ οὐδ' ὅλως ἔχει, καίτοι γε ἰσχυρὰν ἔχοντος τοῦ ἀκμαίου ῥήου, τιτρᾶται μέντοι καὶ αὐτὸ ταχέως. Στοιχὰς δὲ φύεται μὲν πολλὴ πολλαχόθι τῆς γῆς. πλείστης δ' οὔσης ἐν Κρήτῃ, καὶ ταῖς Κυκλάσιν ὀνομαζομέναις νήσοις, ἀφ' οὗ καὶ τοὔνομα αὐτῇ κατὰ τὴν Ἰβηρικὴν θάλασσαν κειμέναις. εὐτροφωτέρα δέ ἐστι, καὶ κρείττων ἡ ἐκ τῶν νήσων τῆς Κρητικῆς. Πετροσέλινον γινώσκεται μὲν πᾶσιν ἐπῃνημένον τὸ Μακεδονικὸν, ὃ καὶ καλοῦσί τινες Ἐστρεατικὸν, ἀπὸ τοῦ χωρίου καθ' ὃ φύεται τὴν ἐπωνυμίαν αὐτῷ τιθέμενοι. παντελῶς δ' ὀλίγον ἐστὶ τὸ γεννώμενον ἐν ἐκείνῳ τῷ χωρίῳ, κρημνώδει τε ὄντι καὶ οὐ μεγάλῳ. τὸ δὲ Ἐστρεατικὸν Μακεδονικὸν, ἐκ Μακεδόνων εἰς πάντα τὰ ἔθνη κομιζόμενον, ὀλίγον μὲν καὶ αὐτὸ κατὰ τὴν Μακεδόνων φύεται γῆν. ἀλλ' ὅπερ ἐπὶ τοῦ μέλιτος, καὶ τοῦ οἴνου τοῦ Φαλερίνου, τοῦτο καὶ ἐπὶ τοῦ πετροσελίνου συμβέβηκεν. εἰς ἅπασαν γὰρ σχεδόν γε τὴν οἰκουμένην οἱ ἔμποροι κομίζουσιν, ὡς Ἀττικὸν μέλι καὶ οἶνον Φαλερῖνον, οὕτω καὶ Μακεδονικὸν πετροσέλινον, οὐ τοσούτου αὐτοῦ γεννωμένου, ὡς ἅπασι τοῖς ἔθνεσιν ἐξαρκεῖν, ἀλλ' ἐν Ἠπείρῳ πλεῖστον γεννᾶται πετροσέλινον, ὥσπερ ἐν ταῖς Κυκλάσι νήσοις τὸ μέλι. καὶ κομίζεταί γε τὸ μὲν ἐκ τῶν νήσων Ἀθήναζε, τὸ δὲ ἐξ Ἠπείρου, πρότερον μὲν εἰς Μακεδονίαν, καὶ πλεῖστόν γε, καὶ σχεδὸν ἅπαν εἰς Θεσσαλονίκην, ἐκεῖθεν δ' ὡς Μακεδονικὸν ἐκφέρεται. καὶ κατὰ τὸν οἶνον δὲ τὸν Φαλερῖνον ὅμοιόν τι συμβέβηκεν. ἐν μικρῷ γάρ τινι χωρίῳ τῆς Ἰταλίας ὀλίγος γεννώμενος, ὡς δῆθεν αὐτὸς ἐκεῖνος ὢν εἰς ἅπασαν τὴν ὑπὸ Ῥωμαίοις γῆν εἰσκομίζεται, σκευαζομένων δ' ἄλλων οἴνων εἰς ὁμοίαν πανουργίαν, ὑπὸ τῶν περὶ ταῦτα δεινῶν. ἐὰν δ' ἀπορήσῃς ποτὲ Ἐστρεατικοῦ πετροσελίνου, μηδὲν ἡγοῦ χεῖρον ἔσεσθαί σοι τὸ τῆς θηριακῆς φάρμακον, ἐὰν ἕτερον ἐμβάλῃς. οὐ γὰρ, ὡς δηλητηρίοις φαρμάκοις, ἢ ἰοβόλων θηρίων τοῖς δήγμασιν ἐναντιοῦται, ἀλλ' ἐρριμμένοις τοῖς ὑδερικοῖς, καὶ ὅσα πάθη ἄλλα τοιαῦτά ἐστιν, οὐ μὴν τῷ κυριωτάτῳ γε τῆς θηριακῆς ἐπαγγέλματι. ποιεῖ δ' αὐτὴν καὶ πικροτέραν δηλονότι τὸ Ἐστρεατικὸν πετροσέλινον, καὶ μάλιστα ἐὰν πρόσφατον ᾖ. διαφέρει γὰρ ὥσπερ δριμύτατον τῶν ἄλλων πετροσελίνων, οὕτω καὶ πικρότατον. τὴν δὲ τερμινθίνην οὐκ οἶδ'

macho iuniore ſcripta, & ea traditione quæ huc uſque ad nos peruenit, neque medicamenti alicuius nomen eſt aglaia: & medicamentum duodecim drachmas pondere trahens omnino concordi ſententia & ſenior & iunior Andromachus deſcripſit, ac nihil extra illa additur, de quo aglaiæ nomen dici quis putauerit: quamobrem fortè aglaia epithetum thuris authori elegorum adiectum eſſe videtur. Deinde nigri piperis, dictamni, marrubij, rheu meminit, rerum omnibus cognitarum. At ſcriptura ex ſucceſſione nobis tradita, adiectum habet piperis æquale pondus. Cæterùm hoc maius eſt alio pipere, & corticem habet tenuiorem, minúſque rugoſum. At rheu quoque ipſum adulteratur: quandoquidem ſtatim ex regionibus vbi gignitur, recens nonnulli capientes ipſum, decoquentéſque, vt ſuccum demittat, vbi illum coxerint, nobis ceu purum, & aquæ non mixtum tranſmittunt: Rheon autem ſiccatum, tanquam neque id prius incoctum, ablegant: idcirco adulteratum cognoſcere oportet: iis facillimum deprehenſu, qui ſua ſponte naſcens rheon viderunt. Neque enim quod aſpectu ipſius iudicatur denſum, contractúmque, totam ita habet ſubſtantiam, ſed rariuś eſt, ac in guſtu aſtringentem qualitatem omnino obſcuram, aut nullam obtinet: etſi validam occupet rheon, quum viget: perforatur autem & ipſum celeriter. Stœchas naſcitur copioſa vbique terrarum. Quum autem copioſiſſima proueniat in Creta, & Cycladibus dictis inſulis, vnde etiam nomen ipſi ex Hiſpanienſi mari inditum, procerior melióṙque eſt quæ ex Cretæ inſulis petitur. Petroſelinon noſcitur quidem omnibus collaudatum Macedonicum, quod etiam nonnulli eſtreaticon à regione vbi gignitur, nomenclaturam ei imponentes, appellant. Omnino autem paucum eſt, quod in illo loco naſcitur præcipiti, neque magno. At Eſtreaticon Macedonicum, à Macedonibus in omnes nationes apportatur: paucum ſanè & ipſum in Macedonum terra prouenit: verùm quod in melle & vino falerno, id etiam in petroſelino accidit. Nam in omnem ferè terram mercatores, ſicut Atticum mel, & vinum falernum; ita quoque Macedonicum petroſelinum exportant; quum tamen ipſum non tantum generetur, vt vniuerſis gentibus ſufficiat, ſed in Epiro plurimum gignitur petroſelinum, quemadmodum in Cycladibus inſulis mel. Atque hoc ſanè ex inſulis Athenas importatur, illud ex Epiro prius quidem in Macedoniam, copioſiſſimúmque & propè totum in Theſſalonicen, inde verò tanquam Macedonicum effertur. Ac in vino falerno ſimile quid accidit. Nam quum in parua quadam Italiæ regione paucum generetur, ceu inde illud ipſum exiſtat, in omnem Romanorum Imperio ſubiectam terram infertur, ita vt alia vina in ſimilis adulterationem ab huiuſmodi rerum peritis præparentur. Quòd ſi verò eſtreaticum interim deſideres petroſelinum, nihilo peius tibi fore putato theriaces medicamentum, ſi alterum iniicias. Non enim deleteriis medicamentis, aut virulentarum beſtiarum morſibus adeo aduerſatur, ſed hydropicis imbecillibus, & ſi qui ſint huiuſmodi affectus, ſuccurrit: non tamen principaliſſimo theriaces promiſſo. Reddit autem ipſam amariorem indubiè eſtreaticum petroſelinum, maximè ſi recens exiſtat. Differt autem vt acerrimum ab aliis petroſelinis, ita quoque amariſſimum. At terebinthinam haud ſcio

quomodo

quomodo Libycã Andromachus immittere præceperit ea quæ ex Chio est posthabita, quum tamen ab omnibus propemodũ præponatur, quanquam & ex Libya optimam commendem; non enim quælibet est optima, sicuti quæ ex Chio adfertur. Iam verò quæ in Pontica terra, & aliis quibusdam gentibus præstantissima terebinthina resina nascitur; verùm Chia & odore & gustu omnibus præcellit. Post commemorata deinceps Andromachus in Theriaces compositione, scripsit: gingiber & pentaphyllon seu pentapetalon herbam, quod est quinquefolium, iniiciemus, medicamenta quæ neque adulterantur & omnibus sunt cognita. Deinde polij meminit omnibus noti, & quod nihil simile obtinet: mox chamæpityos, de qua tantum me in oratione adiicere oportet, nempe quòd vbique terrarum crescat, & odore & gustu ea quæ in Creta prouenit vehementior, adfertur autem nobis inde, vt etiam ij qui Cæsari medicamentum conficiunt, semper Cretensi vtantur, etsi in ipsa quoque Roma, in suburbiis, tum chamæpityn, tum chamædryn, offenderim, iis quæ ex Creta feruntur odoratiores, vbi non multo imbre fuissent irroratæ. Præterea etiam hoc scire expedit quòd herbarum ex Creta venientium, inuolutarúmque chartis quibus superscriptum est vniuscuiusque herbæ nomen, nonnullę quidem simplicem habent descriptionem: nonnullæ verò, cum additamento, campestris; inuenies autem campestrem generosiorem, etsi plurimæ herbarum in campis generentur imbecilliores. Styracem constat iniiciendum esse, qui in arundinibus ex Pamphylia adfertur, quíque paucissimus gignitur, & tanto discrimine à copioso hoc styrace euariat, quanto falernum vinum ab eo quod in tabernis venundatur. Cæterùm ex ipsius genere capere oportet calidissimum; constat autem & odore hũc esse valentissimum & gustu nihilo minus. Secundum hæc nardi Andromachus cõmeminit, vt ipse adscripsit, eius quę ex Galatia adfertur, quam consueto vocabulo, huiusmodi rerum periti Celticam nominant; confunduntur enim quodámodo hæc tria nomina de vna gente Celtica prolata, vocant vtiq; ipsos nonnulli Galatas, alij Gallos, sed familiarius nomen Celtarum est. De subsequentibus in scriptura medicamentis partim sanè prius dictum est, quemadmodũ in lemnia terra & Milto; præstat autẽ eam vocare non milton, sed terram; est enim aliqua Lemnia miltos in Milto proueniens, alios ad vsus idonea, non tamen ad quos Lemnia sphragis appellata, verùm de his quoque proditum est quemadmodum de aliis, in opere de simplicibus medicamentis. Insequentia medicamenta propè vniuersa, & cognoscuntur omnibus medicis, & dolum non recipiunt. Quædam ipsorum manifestius indicantur in Theriaca quæ prosa oratione scripta est. Item hoc:

Cærulea ast spinæ lachryma.

Innuit enim acaciam ex Ægyptia spina nascentem. Itaq; solũ adhuc restat vt de thlaspi dicamus, quoniam & ferè omnia iniiciunt, tũ quod ex Creta adfertur, tum quod vbiq; nascitur, quod colore quidẽ pallido flauum est, figura rotundum, admodum exiguum vt milij decima pars existat. Satius autẽ est id quod ex Cappadocia euehitur, immittere; quod colore ad nigrius permultum vergit, figura non exactè rotundũ, & magnitudine multo maius quàm supradictũ. Cæterùm habet in quadam sui parte etiam veluti infractum quendam

A ὅπως τὴν ἐκ Λιβύης ἐμβάλλειν ἐκέλευσεν ὁ Ἀνδρόμαχος, ἀτιμάσας γε τὴν ἐκ τῆς Χίου προκεκριμένην σχεδὸν ὑπὸ πάντων. ἐπαινῶ μὲν γὰρ καὶ τὴν ἐκ τῆς Λιβύης κομιζομένην ἀρίστην. οὐ γὰρ δὴ πᾶσά γε ἐστιν ἀρίστη, καθάπερ ἡ ἐκ Χίου. γῆ δὲ καὶ κατὰ τὴν Ποντικὴν γῆν, καὶ τισιν ἄλλοις ἔθνεσι καλλίστη τερμινθίνη ῥητίνη, ἀλλ' ὑπερέχει πασῶν ἡ Χία κατ' ὀσμήν τε καὶ γεῦσιν. ἐφεξῆς δὲ τῶν προγεγραμμένων ὁ Ἀνδρόμαχος ἐν τῇ συνθέσει τῆς θηριακῆς ἔγραψε, ζιγγίβερι καὶ πενταπέτηλον ὅπερ ἐστὶ πεντάφυλλον πόαν ἐμβαλλόμενοι, οὔτε παραποιούμενα φάρμακα, καὶ πᾶσι γιγνωσκόμενα. μετὰ δὲ
B ταῦτα πολίου μνημονεύει πᾶσι γνωρίμου, καὶ μηδὲν ἔχοντος ὅμοιον, εἶτα χαμαιπίτυος, ἐφ' ἧς τοσοῦτον χρὴ προσθεῖναί με κατὰ τὸν λόγον, ὡς πολλαχόθι τῆς γῆς γίνεται, καὶ κατ' ὀδμὴν, καὶ γεῦσιν ἀκμαιοτέραν τῆς ἐν τῇ Κρήτῃ. φέρεται δὲ ἡμῖν ἐκεῖθεν, ὡς καὶ τοὺς Καίσαρι σκευάζοντας ἀεὶ τῇ Κρητικῇ χρῆσθαι, καίτοι καὶ κατ' αὐτὴν τὴν Ῥώμην ἐν τοῖς προαστείοις, καὶ τὴν χαμαιπίτυν, καὶ τὴν χαμαίδρυν εὗρον εὐοσμοτέρας τῶν ἀπὸ τῆς Κρήτης, ὅτε μή γε μὴ πολλῷ καταλυσθῶσιν ὄμβρῳ. ἔτι τε καὶ τοῦτο χρὴ γινώσκειν, ὡς φερομένων ἀπὸ Κρήτης τῶν βοτανῶν, ἐνειλιγμένων χαρτίοις, εἰς ἐπι-
C γέγραπται τὸ τῆς ἑκάστης βοτάνης ὄνομα. τινὲς μὲν ἁπλῆν ἔχουσι τὴν ἐπιγραφὴν, τινὲς δὲ μετὰ προσθήκης τῆς πεδιάδος. εὑρήσεις δὲ τὴν πεδιάδα γενναιοτέραν, καίτοι τῶν πλείστων βοτανῶν ἐν τοῖς πεδίοις ἀσθενεστέρων γινομένων. στύρακα δὲ, δῆλον ὅτι τὸν ἐν τοῖς καλάμοις φερόμενον ἐκ Παμφυλίας, ἐμβάλλειν προσῆκεν, ὀλίγιστόν τε γινόμενον, καὶ τοσούτῳ διαφέροντα τοῦ πολλοῦ τούτου στύρακος, ὅσον ὁ Φαλερῖνος οἶνος τοῦ πιπρασκομένου κατὰ τὰ καπηλεῖα. λαμβάνειν δὲ αὐτοῦ χρὴ τὸν ὑγρότατον, εὔδηλον δ' ὅτι καὶ κατὰ ὀσμὴν οὗτός ἐστιν ἰσχυρότατος, καὶ κατὰ γεῦσιν οὐδὲν ἧττον.
D νάρδου δ' ἐφεξῆς ἐμνημόνευσεν ὁ Ἀνδρόμαχος, ὡς αὐτὸς προσέγραψε τῆς ἐκ Γαλατείας, ἣν συνήθως οἱ περὶ ταῦτα δεινοὶ, Κελτικὴν ὀνομάζουσι. συγκέχυται γάρ πως τὰ τρία ταῦτα ὀνόματα καθ' ἑνὸς ἔθνους φερόμενα τοῦ Κελτικοῦ. καλοῦσι γοῦν αὐτοὺς ἔνιοι μὲν Γαλάτας, ἔνιοι δὲ Γάλλους, συνηθέστερον δὲ τὸ τῶν Κελτῶν ὄνομα. περὶ δὲ τῶν ἐφεξῆς γεγραμμένων, τὸ μέν πού τι πρόσθεν εἴρηται, καθάπερ ἐπὶ Λημνίας γῆς καὶ μίλτου· καλεῖν δ' αὐτὴν ἄμεινον οὐ μίλτον, ἀλλὰ γῆν· ἔστι γάρ τις Λημνία μίλτος ἐν τῇ Μίλτῳ γινομένη, πρὸς ἄλλας χρείας ἐπιτήδειος, οὐ μὴν εἰς ἃς ἡ καλουμένη
E Λημνία σφραγίς. γέγραπται δὲ καὶ περὶ τούτων, ὥσπερ οὖν καὶ περὶ τῶν ἄλλων ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ. τὰ δ' ἐφεξῆς γεγραμμένα φάρμακα σχεδὸν ἅπαντα καὶ γινώσκεται πᾶσιν ἰατροῖς, καὶ δημιουργίαν οὐκ ἐπιδέχεται. τινὰ δ' αὐτῶν σαφέστερον δηλοῦται διὰ τῆς πεζῇ γεγραμμένης θηριακῆς. καὶ τό·

Δάκρυον εὖ μίσγοιο, βαλὼν κυανωπὸν ἀκάνθης.

δηλοῖ γὰρ τὴν ἐκ τῆς Αἰγυπτίας ἀκάνθης γινομένην ἀκακίαν. μόνον οὖν εἰπεῖν ἔτι περὶ θλάσπεως ἀναγκαῖόν ἐστιν, ἐπεὶ καὶ σχεδὸν ἅπαντα ἐμβάλλουσιν, τό, τε ἐκ Κρήτης φερόμενον, καὶ τὸ
F πανταχόθι γινόμενον, ὅπερ ἐστὶ τῇ χρόᾳ μὲν ὠχρόξανθον, τῷ σχήματι δὲ στρογγύλον πάνυ σμικρὸν, ὡς εἶ κέγχρου δέκατον μόριον. ἄμεινον δὲ τὸ ἀπὸ Καππαδοκίας κομιζόμενον ἐμβάλλειν, τῇ χρόᾳ μὲν ἐπὶ τὸ μελάντερον ἀποκεχωρηκὸς πάμπολυ, τῷ σχήματι δὲ οὐκ ἀκριβῶς στρογγύλον, καὶ τῷ μεγέθει πολλῷ γε μεῖζον, ἢ κατὰ τὸ προειρημένον. ἔχον δὲ κατά τι μέρος ἑαυτοῦ,

καὶ οἷον ἐνθλασμά τι μικρὸν, ἀφ' οὗ καὶ ὠνομάσθη θλάσπι. γίνεται δὲ ὥσπερ καὶ οὗτι, οὕτω καὶ ἕτερον ἐν Καππαδοκίᾳ πάμπολυ. ὥστε οὐχ ἁπλῶς τὸ ἀπὸ Καππαδοκίας φερόμενον ἄριστόν ἐστιν, ἀλλὰ τὸ ἰδίως ἐν αὐτῇ γινόμενον, ἀνόμοιον δὲ τῷ Κρητικῷ τε, καὶ πολλαχόθι τῆς γῆς φυομένῳ. εἰ δέ τι καὶ ἄλλο μὴ σαφῶς εἴρηται διὰ τῶν ἐλεγείων μέτρων ὑπὸ τοῦ πρεσβυτέρου Ἀνδρομάχου, τουτέστι κεκρυμμένον, γινώσκοντί σοι τὴν αὐτοῦ μέτρου γραφὴν ὑπὸ τοῦ υἱέως αὐτοῦ γεγραμμένην Ἀνδρομάχου, καθάπερ καὶ τὸ,

Ακταίῳ μίσγοις,
Συγκεράσας μέλιτι,

τουτέστι, μέλιτι τῷ Ἀττικῷ. Κενταύρειον γοῦν κατὰ μὲν τὴν ἔμμετρον γραφὴν, οὐ προσδιώρισται ποῖον λέγει, κατὰ δὲ τὴν πεζῇ γεγραμμένην, πρόσκειται τὸ λεπτὸν, διὰ τὸ καὶ ἄλλον τι εἶναι κενταύρειον ἁδρόν. οὕτω καὶ ἀριστολοχίας εἴρηται λεπτῆς, ἔστι γὰρ καὶ ἄλλη τις ἁδρὰν ἔχουσα τὴν ῥίζαν, ὥσπερ καὶ τρίτη τίς ἐστιν ἐπὶ ταῖσδε στρογγύλη.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς σκευασίας τῆς θηριακῆς.

Εἴρηταί μοι καὶ πρόσθεν, ὡς ἅπαξ μέν τις ἰδὼν σκευαζόμενον τὸ φάρμακον, οὐκέτι δεήσεται θεάσασθαι δεύτερον, ἢ γ'. εἰς δὲ τὴν διάκρισιν τῶν ἀρίστων ἐν ἑκάστῳ γένει φαρμάκου, οὐχ ἅπαξ, καὶ δὶς, καὶ τρὶς, ἀλλὰ πάνυ πολλάκις ἑωρακέναι χρὴ τὰ δόξαν ἔχοντα γίνεσθαι κάλλιστα καθ' ἑκάστην χώραν. ἔχειν δ' οὖν χρὴ καὶ πρὸς τὴν τούτων χρῆσιν παραγγέλματα, περὶ ὧν εἴπομεν ἤδη καὶ πρόσθεν, ἀλλὰ καὶ νῦν ἐν ὀλίγοις κεφαλαίοις περὶ πάντων ἐρῶ. τὰς μὲν ῥίζας, ὧν ἂν ὦσι χρήσιμοι, τεταμένον ἔχειν χρὴ τὸν φλοιὸν οὐ ῥυσὸν, ἀτρόφου γὰρ ῥίζης τοῦτο σημεῖον. τοὺς δὲ καρποὺς μετὰ τῶν ἀκρεμόνων τε καὶ βλαστημάτων ὀνομαζομένων εὐθαλεῖς, καὶ πολλοὺς ἅμα τοῖς περικαρπίοις. τὰ σπέρματα δὲ, ὥσπερ καὶ τὰς ῥίζας, εὔτροφα διὰ τοῦ τετάσθαι τὸν φλοιὸν γνωριζόμενα, τοὺς δὲ ὀποὺς, καὶ τοὺς χυλοὺς, μὴ κατεξηραμμένα ἐν τῷ χρόνῳ, μήτ' ἀμυδρὰς ἔχοντα ἑκάστου τὰς ἑαυτῶν ποιότητας, ὀσμῇ τε καὶ γεύσει κρινομένας. οἱ μὲν οὖν καρποὶ μετὰ τῶν βλαστημάτων τε καὶ περικαρπίων, ἀνθῶν τε καὶ φύλλων, ὅσα περὶ τούτων εἰς τὴν θηριακὴν ἐμβάλλονται. τῶν δὲ βοτανῶν, σκορδίου, καλαμίνθης, πρασίου, στοιχάδος, δικτάμνου, πολίου, χαμαίδρυος, χαμαιπίτυος, ὑπερικοῦ, κενταυρείου. αἱ ῥίζαι δὲ τῶνδε, ζιγγιβέρεως, ἴρεως, ῥήου, πενταφύλλου, κόστου, νάρδου Ἰνδικῆς, νάρδου Κελτικῆς, γεντιανῆς, μήου, ἀκόρου, φοῦ, ἀριστολοχίας λεπτῆς. σπέρματα δὲ ἐμβάλλεται τῷ φαρμάκῳ ταυτί. βουνιάδος, πετροσελίνου, θλάσπεως, ἀμμέως, ἀνήθου, μαράθρου, δαύκου, καρδαμώμου. ταῦτα μὲν οὖν πάντα τὰ τρία γένη τοῖς Αἰγυπτίοις ὅλμοις ἐμβάλλειν, προσήκει, ἐπειδὴ σκληρότατοι τυγχάνουσιν ὄντες, ὡς μηδὲν ἐν τῷ κόπτεσθαι τῆς ἑαυτῶν οὐσίας προστρίβεσθαι τοῖς κοπτομένοις. ἐμβαλλέσθω δὲ ἅμα τοῖσδε καὶ ταυτί, ἀρτίσκοι σκιλλητικοὶ, ἀρτίσκοι θηριακοὶ, ἡδυχρόου μάγμα, πεπέρεως τε τὸ μέλαν, καὶ τὸ λευκὸν, καὶ τὸ μακρὸν, καὶ ῥόδα ξηρὰ, καὶ πρὸς τούτοις ἀγαρικὸν, καὶ κρόκος ἐὰν ξηρὸς ᾖ, σφραγὶς, καὶ ἡ ὀπτὴ χαλκῖτις, ἄμωμόν τε καὶ κιννάμωμον, καὶ ἡ σύριγξ τῆς κασσίας, ὅ, τε τοῦ βαλσάμου ὀπὸς, ἥ τ' ἀκακίας, πλὴν εἰ μαλακή τις εἴη καὶ ὑγρὰ, τό τε καστόρειον, καὶ ἡ ἄσφαλτος, ἢ ὥς τινες ἀρρενικῶς ὁ ἄσφαλτος. εἴρηται γὰρ πολλάκις, ὡς οὐδὲν χρὴ φροντίζειν τῆς τοιαύτης λεπτολογίας. οἴνῳ δὲ διαβραχέντα λελειώσθω σμύρνα καὶ κρόκος, ἐάν γε ἀσφαλέστερον εἶναί σοι δόξῃ, μὴ κόπτειν αὐτὸν ὑγρὸν ὄντα.

A exiguum, vnde etiam thlaspi nominatū est. Crescit autem sicut & hoc, ita alterum quoq; in Cappadocia copiosum. Quare non omnino id quod adfertur à Cappadocia optimū est, sed quod proprie in ea nascitur dissimile Cretensi, & quod diuersis terrę locis prouenit. Porro si etiam aliud quippiam non perspicuè satis elegiacis numeris ab Andromacho seniore dictum sit, id declaratum tibi est, qui scripturam filij ipsius Andromachi prosâ expositam intelligas, quemadmodum & hoc:

Actæo melle perungens .
Omnia, quæ misces theriacæ antidoto.

B Id est, melle Attico. Centaurium itaque in scriptura ligata non distinctum est quale dicat: in pedestri verò, adiectum est tenue, eo quòd & aliud centaurium sit amplum. Pari modo etiam Aristolochiæ tenuis dictum est; nam alia quoquè inuenitur procera radice; quemadmodum etiam tertia quædam præter has est rotunda.

CAPVT XV.

Quomodo Theriace præparetur.

C Diximus etiam antea eum qui medicamentum semel confici spectauerit, non amplius opus habiturum vt iterum, aut tertiò inspiciat. Verùm vt optima in singulis medicamenti generibus discernat, non semel, bísve, & ter, sed admodum sæpe spectasse conuenit ea, quæ præstantissima in vnaquaq; regione gigni creduntur. Habendæ itaque sunt etiam ad horū vsum indicationes, de quibus iam antea quoque egimus, verùm etiam nunc paucis summatímque de omnibus tractabo. Radices quorumcunque fuerint vtiles, intentū habere corticē, non rancidū oportet: id nanq; macræ radicis est indicium. Fructus autē cum surculis ger-
D minibúsque dictis, præcellentes multósque, vnà cum iis quæ fructibus adhærescūt. Semina quemadmodum etiam radices, plena, proceráve, ex cortice intento cognoscuntur. Liquores succíque non exiccati tēpore neq; inualidas singuli suas quisq; habere qualitates, & gustu, & odore, iudicantur. Fructus itaque cum surculis, floribúsque, & foliis, quæ in his sunt, in Theriacen immittuntur: huiusmodi herbarum, scordij, nepitæ, marrubij, stœchados, dictamni, polij, chamædrys, chamæpityos, hyperici, centaurij. Radices autem horum: gingiberis, ireos, rheu, quinquefolij, costi, nardi
E Indicæ, nardi Gallicæ, gentianæ, meu, acori, phu, aristolochiæ tenuis. Semina autem medicamento iniiciuntur hæc: napi, petroselini, thlaspi, ameos, anethi, fœniculi, dauci, cardamomi. Hæc itaque omnia tria genera Ægyptiis pilis indere cōuenit, quoniam durissimæ existunt, ne quicquam inter contundendum, ex ipsarum substantia iis quæ læuigantur, confricetur. Immittantur. vnà cum his etiam hæc: pastilli scillini, pastilli theriaci, hedychroi magma, piper nigrum, album, & longum, rosæ siccæ, prȩterea agaricum. crocus si siccus fuerit, sphragis lemnia, tosta chalcitis, amomū, cinnamomum, fistula cassiæ, balsami liquor, acaciæ, præ-
F terquam si mollis sit & liquida, castoreum, bitumen, quod Græcis ἄσφαλτος & masculino & fœminino genere dicitur; sed dictum mihi subinde est, huiusmodi ineptiarum rationem nullam esse habendam. Porrò myrrha & crocus vino macerata læuigentur: si quidem tutius esse videatur, ipsum natura liquidum, non contundere.

Omnes

Omnes autem liquores vino debent perfundi, vt & soluantur, & ad læuigationem fiant idonei: vt sagapeni, panacis, papaueris, (quem & meconium & opium nominant) item acacia, quum liquidior tibi videatur, & tundi contumax sit, ad hæc hypocystidis succus, & dulcis radiculæ; at thapsi, & rapæ satiuæ semen, in prima confectione quemadmodum videbam eos qui ante me præparabant, etiam ipse vnà cum iis quæ contunduntur in pilam indidi: deinde aliquando conspicatus corpori pilæ interno propter viscositatem adhærescere, volui ipsa priuatim in mortario prius læuigare, ac deinde vinum eis superfundere, vsque dum ad amussim tota dissoluerentur: inde miscere iis quæ in vino seorsim commaduerant, detritáque erant. Ac thuris lachrymam præstat per se in mortario leuiter conterere, ne dilatescat: deinde vbi increueris, in promptu habere, vt inspergas si libeat, iis quæ ex vino læuigata sunt: gummi verò etiam irrigare vino oportet, idémque tum priuatim, tum cum thuris lachryma in puluerem redigere. Hæc quidem omnia quo dixi modo præparari debent: alia in mortario postquam pertrita fuerint: alia increta læuigatáque arida. Quum autem omnia vniri debent, liquescunt, cum melle in vase duplici: prima sanè resina: mox styrax, galbanúmque, prius confracta contusáque in pila pistillis, aut vectibus ferreis, ita vt mellis crudi momentum adiungatur: post hæc digitis nostris dilatata, iniiciatur etiam mellis crudi momentum adiungatur: post hæc digitis nostris dilatata, iniiciatur etiam mellis nonnihil resinæ liquefactæ, atque ita rursus operculo vasi imposito dissoluantur. Satius enim est non amplius mel his iniectis commouere, sed vase quod aquæ insistit operculato, coctionem moliri. His autem liquescentibus, immittantur ex vino læuigatis arida: misceantúrque dum abundè crassescant, atque ita paulo post liquefacta, iis quæ in mortario sunt, magno cochleari, tepida adfundantur: sic vt vir aliquis robustus, ipsa in vnitatem cogat. Posteaquam probè coïerint, ac iam crassum quod ex eis oritur, appareat: superiniicere mel decoctum mediocriter, & nimirum etiam despumatum oportet, mox increta: deinde rursus mel: postea iam liquefacta miscere tepida: & omnia in grãdi mortario, cochleari magno valenter conterere: adiectis quæ ex aridis supersunt, item melle. Vbi verò omnia in mortario cochleari vnita fuerint: indere, tunc pilæ oportet: & vectibus ferreis adamussim puris, vt nihil æruginis obtineant, continenter tundere: illinendo vectes opobalsamo: nam lentore medicaminis detinentur: & ægrè à tundentibus eleuantur. Quò igitur promptè opus absoluas, vectis extrema continuè opobalsamo perunges: in hoc ipsum totam eius portionem insumens. Præstaret autem in sole contundere: nam ita citius omnia in vnitatem coëunt; atque hoc vbi feceris, pilam quæ medicamentum in se continet, obtegere conuenit: atque secundum quatuor, aut quinque dies, similiter in sole contundere: atque id ex interuallo iterum atque iterum, dierum aut septem vsque ad duos menses, aut omnino ad quadraginta dies facere. Hæc itaque ceu ad medicamenti virtutem scripta sunt omnia. Vt autem nigrum ipsum euadat (hoc enim haud noui quomodo consuetum est, & qui hoc colore frustratur risui est (obseruare quidem oportet: scire autem facultatem medicamenti nihil ex colore immutari.

A πάντες δὲ οἱ ὀποὶ οἴνῳ διαβρεχέσθωσαν, ὥστε καὶ λυθῆναι, καὶ πρὸς τὴν λείωσιν ἐπιτήδειοι γενέσθαι, ὁ τοῦ σαγαπηνοῦ, ὁ τοῦ πάνακος, ὁ τῆς μήκωνος, ὃν δὴ καὶ μηκώνιόν τε καὶ ὄπιον ὀνομάζουσιν, ἥ τε ἀκακία, ὅταν ὑγροτέρα σοι δόξῃ, καὶ δύσχωλος ὑπάρχῃ, ὅ, τε τῆς ὑποκυστίδος χυλὸς, καὶ ὁ τῆς γλυκυρρίζης. τὸ δὲ θλάσπι, καὶ τὸ τῆς γογγυλίδος σπέρμα, κατὰ μὲν τὰς πρώτας σκευασίας, ὥσπερ ἑώρων τοὺς πρὸ ἐμοῦ σκευάζοντας, καὶ αὐτὸς ἐνέβαλον ἅμα τοῖς κοπτομένοις εἰς ὅλμον, εἶτά ποτε θεασάμενος ἐμπεπλασμένα διὰ γλισχρότητα τῷ κύτει τοῦ ὅλμου, κατ' ἰδίαν ἐδικαίωσα μόνα προλεάνας, B ἐπιχέαι οἶνον ἐπ' αὐτὰ, μέχρις ἂν ἀκριβῶς ὅλα διαλυθῇ, καὶ μετὰ ταῦτα μιγνύναι τοῖς ἐν τῷ οἴνῳ ἰδίᾳ βεβρεγμένοις τε καὶ λελειωμένοις. καὶ τὸν λιβανωτὸν δὲ λεαίνειν ἄμεινον ἰδίᾳ καθ' ἑαυτὸν ἐν θυίᾳ κούφως, ὡς μὴ πλατύνοιτο, κἄπειτα διαπλάσαντας, ἔχειν ἕτοιμον ὡς ἐπιπάττειν, εἴ τις ἐθελήσειας, τοῖς μετὰ τοῦ οἴνου λελειωμένοις. τὸ δὲ κόμμι, καὶ διαβρέχειν ἐν οἴνῳ ἀναγκαῖον, καὶ λεαίνειν αὐτό τε καθ' ἑαυτὸ, καὶ μετὰ τοῦ λιβανωτοῦ. ταῦτα μὲν οὖν ἅπαντα καθ' ὃν εἴρηται τρόπον προσκευαζέσθω, τὰ μὲν ἐν θυίᾳ μετὰ τὸ εἶναι λελειωμένα, τὰ δὲ διηττημένα καὶ λελειωμένα ξηρά. κατὰ δὲ τὸν καιρὸν αὐτὸν τῆς ἁπάντων C ἑνώσεως, τηκέσθω μετὰ μέλιτος ἐν ἀγγείῳ διπλῷ, πρώτη μὲν ἡ ῥητίνη, μετὰ ταύτην δὲ ὁ στύραξ, καὶ ἡ χαλβάνη προτεθλασμένα, καὶ προσκεκομμένα κατὰ τὸν ὅλμον ὑπέροις, ἢ μοχλοῖς σιδηροῖς, παραπασσομένου βραχυτάτου μέλιτος ὠμοῦ, καὶ μετὰ ταῦτα διὰ τῶν ἡμετέρων δακτύλων πλατυνόμενα, προσεμβαλλέσθω τι καὶ τοῦ μέλιτος τετηγμένη ῥητίνη, καὶ οὕτω πάλιν ἐπιτεθειμένου τοῦ πώματος τῷ ἀγγείῳ διαλυέσθω. βέλτιον γὰρ μηκέτι κινεῖν τὸ μέλι, τούτων ἐμβληθέντων, ἀλλὰ πωμάσαντας τὸ ἐνεστηκὸς ἀγγεῖον τῷ ὕδατι, τὴν ἕψησιν ποιεῖσθαι. τηκομένων δὲ τούτων, ἐπεμβαλλέσθω τοῖς μετὰ τοῦ οἴνου D λελειωμένοις τὰ ξηρὰ, καὶ ἀναμιγνύσθω μέχρι πάχους ἱκανοῦ, καὶ οὕτω μετὰ βραχὺ τετηγμένα, χλιαρὰ παραχείσθω τοῖς ἐν τῇ θυίᾳ διὰ μεγάλου δοίδυκος, ἰσχυροῦ τινος ἀνδρὸς ἑνοῦντος. καὶ ἐπειδὰν ἑνωθῇ καλῶς, ἤδη τέ πως παχὺ φαίνεται τὸ ἐξ αὐτῶν, ἐπεμβάλλειν τοῦ μέλιτος ἀφεψημένου τε μετρίως, καὶ δηλονότι, καὶ ἀπηφρισμένου, καὶ μετὰ τοῦτο τῶν διηττημένων, εἶτ' αὖθις τοῦ μέλιτος, εἶτ' ἤδη μιγνύναι χλιαρὰ τὰ τηχθέντα, καὶ τρίβειν ἰσχυρῶς πάντα κατὰ τὴν μεγάλην θυίαν μεγάλῳ δοίδυκι, προσεμβαλλομένων ὅσα περιττὰ τῶν ξηρῶν ἐστι, καὶ τοῦ μέλιτος. ὅταν δ' ὑπὸ τοῦ δοίδυκος ἑνωθῇ E πάντα κατὰ τὴν θυίαν, ἐμβάλλειν ὅλμῳ τηνικαῦτα, καὶ διὰ μοχλῶν σιδηρῶν ἀκριβῶς καθαρῶν, ὡς μηδὲν ἔχειν ἰοῦ, κόπτειν συνεχῶς ἐπαλείφοντα τοὺς μοχλοὺς ὀποβαλσάμῳ, κατέχονται γὰρ ἐν τῷ γλίσχρῳ τοῦ φαρμάκου, καὶ δυσκόλως ὑπὸ τῶν κοπτόντων ἀναφέρονται. ὅπως οὖν ἑτοίμως ἀνύοιτο τὸ ἔργον, χρίειν ὀποβαλσάμῳ χρὴ τὰ τοῦ μοχλοῦ πέρατα συνεχῶς, εἰς αὐτὸ τοῦτο δαπανῶντα πᾶν αὐτό. βέλτιον δ' ἐν ἡλίῳ κόπτειν, ἑνοῦται γὰρ οὕτω θᾶττον ἅπαντα, καὶ τοῦτο πράξαντας σκεπάζειν χρὴ τὸν ὅλμον ἔχοντα τὸ φάρμακον ἐν αὐτῷ, καὶ μετὰ δ'. ἡμέρας, ἢ ε'. κόπτειν ὁμοίως ἐν ἡλίῳ, καὶ τοῦτο ποιεῖν ἐκ διαλειμμά- F των αὖθις καὶ αὖθις, ἡμερῶν ς'. ἢ ζ'. μέχρι δύο μηνῶν, ἢ πάντως μ'. ἡμερῶν. ταῦτα μὲν οὖν, ὡς πρὸς τὴν ἀρετὴν τοῦ φαρμάκου γέγραπται πάντα. τὸ δὲ μέλαιναν αὐτὴν γίνεσθαι, τοῦτο γὰρ οὐκ οἶδ' ὅπως εἴθισται, καὶ ὅστις ἀποτυγχάνει τῆς χροίας ταύτης, καταγελᾶται, φυλακτέον μὲν ἡμῖν ἐστι, γνωστέον δὲ μηδὲν ἐκ τῆς χροιᾶς ὑπαλλάττεσθαι τῆς τοῦ φαρμάκου δυνάμεως.

γίνεται δὲ ἡ ἀποτυχία διὰ τὴν κεκαυμένην χαλκῖτιν ξανθὴν, καὶ πυῤῥὰν γινομένην. καὶ γὰρ ἐλάχιστον αὐτῆς ἐμβαλλόμενον, ὅμως ἐπικρατεῖ κατὰ τὴν χροιάν. ὅπως οὖν μηδὲ κατ' αὐτὸ τοῦτο δοκῇ τις σφάλλεσθαι, προσεχέτω τὸν νοῦν οἷς ἐρῶ. τέτταρας μὲν τὰς πάσας δραχμὰς ἡ ἀντίδοτος λαμβάνει τῆς χαλκίτεως, ὀπτὰν δὲ προσήκει αὐτὴν πολὺ πλέονα, κατὰ τόνδε τὸν τρόπον. ἔμβαλε εἰς χυτρίδιον δραχμὰς τῆς ὠμῆς χαλκίτεως οὐχ ἥττους τῶν μ΄. κἄπειτα διακεκαυμένοις ἄνθραξιν ἐντιθεὶς τὸ χυτρίδιον ἄνευ πωμάτων, ὅταν χυθῇ τὸ φάρμακον, ἐποχούμενόν τε θεάσῃ τὸ κουφότατον καὶ ἀφρωδέστατον αἶρε αὐτίκα, καὶ θέντα χαμαὶ, μὴ καθάπερ εἰώθαμεν ἐνίοτε, παραπλησίως τοῖς τὸ πῦρ ἐξάπτουσιν ἐμφυσᾶν αὐτῇ. θαυμαστὸν γὰρ ὅπως ἐν τῷδε τὸ πυῤῥὸν τῆς χροίας ἴσχει καὶ ξανθὸν, ἀλλὰ μηδ' ἐν ἡλίῳ τιθέναι. ψυγείσης δὲ λάμβανε ὅσον ἀφρωδέστερον ἐπόχειται, μηδὲν ἔχον ἐν ἑαυτῷ, μήτε πυῤῥὸν, μήτε ξανθὸν, μήτε ὠχρὸν, εἶτ' ἐξ αὐτοῦ πείρας ἕνεκα λαβόντα βραχὺ καὶ λειώσαντα, θεάσασθαι μή τι κατὰ τὴν λείωσιν ἐμφαίνοιτο τῶν εἰρημένων χρωμάτων. ἐὰν δὲ οἷον ἐλήφθη μένῃ πρασίζον, ἢ τεφρῶδες κατὰ τὴν χρόαν, ἐκ τούτου < δ΄. ἐμβάλλειν. ὀλίγον γὰρ τὸ τοιοῦτον εὑρήσεις ἐν πολλῷ τῷ κεκαυμένῳ. τὰ μὲν οὖν ἀναγκαῖα πρὸς τὴν τῆς ἀντιδότου σύνθεσίν τε καὶ κατασκευὴν, ἤδη λέλεκται πάντα. διαφωνησάντων δέ τι πρὸς τὴν γραφὴν ταύτην Δαμοκράτους τε καὶ Κρίτωνος, ἄμεινον ἔδοξέ μοι καὶ τὰ πρὸς ἐκείνων γεγραμμένα παραθέσθαι, καὶ πρότερον τὰ Δαμοκράτους, ἐπεὶ καὶ τὴν χρῆσιν αὐτῆς ὅλην ἔγραψε σαφῶς. ἔστι δὲ δι' ἐμμέτρου λέξεως, ὡς εἴωθεν, ἥτις οὐ μόνον τὸ μνημονεύεσθαι ῥᾳδίως, ἀλλὰ καὶ τὸ μὴ παραποιεῖσθαι τὰς συμμετρίας, ἀγαθὸν ἔχει. ἄρχεται τοίνυν ὁ Δαμοκράτης ἐν τῷ βιβλίῳ καθ' ὃ τὰς ἀντιδότους γράφει, τόνδε τὸν τρόπον ἀπὸ τῆς κοινῆς χρήσεως αὐτῶν, καὶ τῆς κατὰ τὴν θηριακὴν ἰδέας.

Τὰς ἀντιδότους ἔχε προπαρεσκευασμένας,
Πρὸ πάντων θ' ἁπλῶς τὰ φαῦλα δηλητήρια,
Ὧν καὶ χάριν δοκοῦσιν εὕρεσιν λαβεῖν,
Καὶ τοῖς θανασίμοις ἀντιδῶσεις φαρμάκοις.
Προδιδοὺς τι τοῖς ἔχουσιν ὑπόνοιάν τινα,
Μή τις μετὰ τροφὴν φάρμακον φαῦλον λάβῃ,
Ἐπί τῇ τροφῇ τε. προσφέρεσθαι δ' ὅταν δοκῇ,
Ἀναιρετικόν τις, μετὰ τροφὴν εἰληφέναι,
Ἐμέσαντι πάντως τὴν προσενεχθεῖσαν τροφὴν,
Καὶ δὶς δὲ διδόναι, καὶ τρὶς αὐτὰς ἐπίτρεπε,
Ὅταν μένῃ σημεῖα φαύλων φαρμάκων.
Δώσεις δὲ καὶ τοῖς ἐντυχοῦσιν ἑρπετοῖς,
Τῶν ἰοβόλων τε θηρίων τοῖς δήγμασιν,
Ὕδρων, κεραστῶν, ἀσπίδων, καὶ διψάδων,
Καὶ τῶν ἐχιδνῶν, τῶν τε λυσσώντων κυνῶν.
Καὶ γὰρ τὰ τούτων ἐστὶ φαῦλα δήγματα,
Τῶν τ' ἐν θαλάττῃ ἰοβόλων πάντων ἁπλῶς,
Καὶ τῶν τε λεπτῶν λεγομένων θηρίων
Σφηκῶν, μελιττῶν, σκορπίων, ἀνθηδόνων,
Φαλαγγίων τε θανασίμων, καὶ μυγαλῆς.
Τῆς ἀντιδότου μὲν πλεῖον, ἢ δραχμὴν μίαν,
Τοῦ καρύου τὸ μέγεθος, καὶ μικρῷ πλέον,
Κεκραμένων δὲ ζωρότερον κυάθων δέκα.
Οὐκ ἀρκέσει δὲ τοῖς κακῶς δεδηγμένοις
Ἅπαξ προσενεγκεῖν, ἀλλὰ διδόναι πολλάκις
Δεῖ, τοὺς θέλοντας ἐξαλεῖψαι τοὺς φόβους.
Δίδου δὲ πρὸς πάντα τὰ πάθη, καὶ τὰς νόσους,
Ὅσαι φέρουσι τῷ χρόνῳ καχεξίας,
Τοὺς περιοδικοὺς πυρετούς τε καὶ ῥίγεα,
Μάλισθ' ὅσα μένει μετὰ πόνου πολὺν χρόνον,
Ἀποστάσεις φέροντα κυρίων τόπων,
Ταῖς πνευματουμέναις τε μήτραις, ἢ κόλον,

A Accidit porrò coloris frustratio propter cõbustam chalcitidem flauescentem, ruffescentémque. Etenim quanuis minima ipsius portio indatur, colorem tamen aliorum superat. Ne igitur in hoc ipso quoque aliquis falli videatur, animum adhibeat iis quæ dicturus sum. Quatuor sanè in totũ drachmas chalcitidis antidotum recipit: verùm tostam multo copiosiorem, hoc modo capiet, indito ollæ crudæ chalcitidis drachmas non pauciores quadraginta: deinde perustis carbonibus ollam imponens sine operculo, quum medicamentum fusum fuerit, videásque supéruehi, id quod leuissimum, B & maximè spumosum est, statim tolles: & humi posito, non quemadmodum consueuimus interdũ similiter iis qui ignem excitant, inflare ipsi oportet. Mirum enim quàm interea ruffus flauúsq; color excellat: sed neq; in sole ponere consilium est: sed refrigerati capere quod spumosius insidet, nihil in se neque ruffum, neque flauum, neque pallidum, continens: deinde ex eo causa experientiæ sumens exiguum læuigánsque, spectabis num inter læuigandum aliquis ex prædictis coloribus appareat. Si verò quale sumptum est, maneat, porraceum aut cinereum colore, ex hoc drachmas quatuor iniicere conuenit. Tale siquidem exiguum in C multo combusto reperies. Itaque necessaria ad antidoti compositionem & structuram, omnia iam sunt exposita. Verùm quum in eadem scriptura Damocrates & Crito nonnihil dissentiant, satius mihi visum est, etiam ab illis prodita tradere: ac prius Damocratis sententiam, quandoquidem totum ipsius vsum manifestò descripsit: idque numeris, vt assolet: quæ non solùm quòd facilè teneri memoria, sed etiam quòd pondera ac mensuræ in ea adulterari nequeant, conducit. Damocrates itaque libro quo antidota hunc in modum tradit, à communi ipsorum vsu, & Theria- D ces specie incipit.

Antidota confert præparata condere
In primis ad horrenda deleteria,
Quorum videntur inuenta esse nomine:
Hæc pharmacis aduersantur lethalibus
Si præbeas nonnulla suspicantibus
Ne pharmacum quis inter cibum, aut postea
Assumat: vbi verò lethale ingesserit
Cibis modo inditis, hic prorsus omnibus
Vomitu reiectis, bis, ter, imperes ea
Quum manserint maligni signa pharmaci.
Item valet antidotum serpentibus malis
E *Et bestiarum virulentis morsibus*
Hydri, Cerastæ, dipsadis, sic aspidis
Et viperæ, & canis quem rabies occupat.
Sunt nanque morsus horum valde noxij
Et quæ mari degunt, simpliciter omnium
Mittentium virus, eorum quæ vocant
Insecta, vespæ, scorpionis atque apis,
Item phalangij nocentis plurimum,
Aranei muris, ipsâ drachmâ amplius
Prodest antidoti, vel nux quantum continet
Mixtis meracioribus cyathis decem.
At morsibus malignis non satis semel
F *Offerre antidotum, sed dabis frequentius,*
Si tu metus ex toto cures tollere.
Idem propina vitia aduersus omnia, &
Morbos qui spatio prauum præbent corpori
Habitum, ad febres redeuntes, item tempore
Longo rigores hærentes, doloribus
Qui conferunt locorum abscessus principum,
Item valet vuluis distorsis flatibus,

Aut

A Aut qui coli, vesicæ, renum, sentiunt
Longos dolores cum vlcere, aut cum calculis.
Et si iecur negotium præbet, dabis
Ritè, frequenter sanguinem educentibus
Et pectore, fæculentum & pus reddentibus
Ex qua id feratur parte, vel ex pulmonibus,
Adhæc quibus rupta aut quædam vulsa intima
Præbebis ipsis: nam dolores & metum
Tolles, etiam queis haud promptè coquitur cibus
Quantumuis exiguus, acescit autem protinus:
Necnon propina, quos cogit perfectio
Longinqua aquis vti longè deterrimis,
B His antidoti quantum tres pendent obboli
Aquæ calentis cyathos tres, aut quattuor,
Horis ante cibum ternis da, vel pluribus,
Aut qui malè vesica habent, aut sanguinem
Spuunt, aut stomachi languescant vlceribus,
Ex passo antidotum temperatum præbibent.

Et pectoris quos fluxiones totius,
Cruciant, fasciculum polij decoquens aqua,
Præstiterit autem Cretici, aut Scythici magis
Aut Pontici potius, nam sistes reumata,
Ternis (vt ante dixi) cyathis offeres.
Quidam doloribus permagnis aurium
C Passo subigentes Cretico, meatibus,
Per quos facultas audiendi spargitur
Lanam antidoti liquore irriguam collocant.

Porrò bonum cui antidotum curæ est reddere
Is cunctas habeat misturas siccas probè,
Et Theriacum elaboratum (sicut vocant)
Pastillum, ita paratum, vt indicabimus,
Nam constat hic bonis misturæ pharmacis:
Æstate veras prima sumis viperas
Captas recens, notandæ magnitudinis
Easque viginti, aut paulo plures item:
Hoc nanque non erit nimis medicamini.
D Quum præparas, tres digitos amputa caput
Paulóque caudam magis, hanc pòst, illud prius.
Sed aggredi istud donec viuunt, conuenit.
Hinc cute detracta vt anguillis facillimè
Totam eximes ipsarum pinguetudinem:
Ac postea quàm laueris, dimittito
Olla, & mediocrem anethi fasciculum aridi,
Affuso aquæ quod ipsis sufficit incoque,
Donec caro relinquat ossa promptius:
Et fictili remoto ab igne, condito
Carnem ossibus puram, pari addens pondere
E Panem triticeum haud sordidum, tritum probe,
Pauxillulum decoctionis iusculi
Fundens super, pastillos tenues fingito:
Siccato & orbiculis theriacis vtitor.

At scillinos hoc rursus effinges modo,
Scillam cum foliis magnitudinis bonæ
Albámque sumptam toto purga cortice,
Omnem eximens radicem lignosam vndique
Circumlitámque massa tritici, clybano
Ipsam reponas, quum verò coctam probè
Putaueris, tres eius libras sumito
F Huic iungito tenuissimæ libram semis
Erui farinæ paulum retorridi,
Ac læuigans subtiliter statim pilas
Effinge tenues admodum: siccas, vbi
Libet recondes, ne talis sit mistio
Ignota Theriacéque dicta persequar,
Vt vsum quoque fuisse Mithridatem ferunt

Ὅσοι τε κύστιν, ἢ νεφροὺς ἀλγήμασι
Χρονίοις ὀχλοῦνται, κἂν μεθ' ἑλκῶν, ἢ λίθων·
Δώσεις δὲ καὶ τοῖς ἡπατικοῖς αὐτὰς καλῶς,
Ἀνάγουσί τ' ἐκ τοῦ θώρακος αἷμα πολλάκις,
Καὶ τοῖς τρυγώδες ἀναφέρουσι καὶ πύον,
Ὅθεν ἂν φέρηται τοῦτο, κἂν ἐκ πνεύμονος.
Δίδου δὲ καὶ τοῖς ῥήγματα, ἢ καὶ σπάσματα
Ἐσχηκέναι λέγουσι τὴν ἐντός τινος,
Αἱρεῖς γὰρ αὐτὴν τοὺς φόβους τε τοὺς πόνους.
Προσενεγκτέον δὲ τὴν τροφὴν μὴ ῥᾳδίως
Πέττουσι, κἂν λάβωσιν ὀλίγην παντελῶς,
Ἀεὶ δ' ἀποξύνουσι, καὶ παραχυτικὰ
Ὅσοις τ' ἀνάγκη δι' ἀποδημίας μακρᾶς,
Χρῆσθαι πάνυ φαύλοις ὕδασι, καὶ τούτοις δίδου
Τῆς ἀντιδότου μὲν ὅσον ἄγειν τριώβολον,
Ὕδατος δὲ θερμοῦ τρεῖς κυάθους, ἢ τέσσαρας
Πρὸ τῆς τροφῆς, ὥραισι τρισίν, ἢ πλείοσι.
Τοῖς δὲ περὶ κύστιν, ἐκ γλυκέος κεκραμένης,
Αἱμοπτυϊκοῖς τε καὶ στόμαχον ἡλκωμένοις.
Τοῖς ῥευματιζομένοις δὲ τὸν θώρακ' ὅλον
Δώσεις, ἀφεψῶν εἰς ὕδωρ δεσμίδιον
Πολίου, τὸ μὲν βέλτιον, ἢ τοῦ Κρητικοῦ,
Ἢ καὶ Σκυθικοῦ τὸ κρεῖσσον, τοῦ Ποντικοῦ
Θᾶττον. τελεῖς γὰρ τὰς φορὰς τῶν ῥευμάτων,
Ἐν τρισὶ δὲ κυάθοις, ὡς προεῖπον, προσφέρε.
Τινὲς δὲ καὶ τοῖς σφόδρα πονοῦσιν ὠτίον,
Ἀνέντες αὐτὴν ἐν γλυκεῖ τῷ Κρητικῷ.
Εἰς τοὺς πόρους ἐνέθεσαν ἔριον διάβροχον.
Ἐχέτω δ' ὁ ποιεῖν ἀντίδοτον θέλων καλήν,
Πάντα μὲν ἄκρως τὰ μίγματά τ' ἐξηρασμένα,
Τὸν λεγόμενόν τε θηριακὸν πεπονημένον
Ἀρτίσκον οὕτω γεγονότα, ὡς ὑποδείξομεν.
Ἐστὶν γὰρ οὗτος τῶν καλῶν ἐκ μιγμάτων.
Λαβὼν ἐχίδνας τὰς ἀληθεῖς τοῦ θέρους
Τὰς ἀρτιθήρους, τὰς μεγάλας ὡς εἴκοσι,
Μικρῷ τε πλείους, οὐ γὰρ ἔστ' αὐτὴν πολύ,
Ὃ δεῖ λαβόντας σκευάσαι τὸ φάρμακον·
Τῶν μὲν κεφαλῶν ἀπόκοψον, ὡς τρεῖς δακτύλους,
Μικρῷ τε πλείους τῶν ἀπὸ τῆς οὐρᾶς μερῶν,
Πρῶτον κεφαλὰς μέν, εἶτα τὰς οὐρὰς τότε.
Τοῦτο δὲ ποιεῖν δεῖ πρόσφατον ζώων τ' ἔτι,
Εἶτα περιδείρας ῥᾳδίως, ὡς ἐγχέλεις,
Ἐκβαλλέ τ' αὐτὸς καὶ τὸ λίπος αὐτῶν ἅπαν,
Πλύνας τε καθαρῶς, εἰς λοπάδιον ἐντίθει,
Ξηροῦ τ' ἀνήθου σύμμετρον δεσμίδιον,
Ὕδατος δέ τ' ἀρκοῦν παραχέας, ἕψει μέχρι
Ἡ σὰρξ ἀποστῇ ῥᾳδίως τῶν ὀστέων.
Τὸ λοπάδιόν τε βαστάσας ἀπὸ τοῦ πυρός,
Τῶν ὀστείων τὴν σάρκα καθαρὰν ἀπόβαλε,
Στήσας ἀκριβῶς ἰσοβαρῆ ταύτης σταθμὸν
Τῆς σαρκός, ἄρτου τοῦ καθαροῦ τοῦ πυρίνου,
Πρόσμισγε καὶ λέαινε, παραχέων βραχὺ
Τοῦ ζωμαρίου, ποιῶν τὰ λεπτὰ πέμματα,
Ξήραινε καὶ χρῶ θηριακοῖς ἀρτίσκοις.
Σκιλλητικοὺς δὲ σκευάσεις οὕτω πάλιν.
Τῷ πυραμιτῷ σκίλλαν εὐμεγέθη λαβών,
Λευκήν τε, κάθηρον πάντα τὸν ξηρὸν φλοιόν,
Πᾶσαν δὲ ῥίζαν τὴν ξυλώδη περίελε,
Σταιτί τε περιπλάσας, ἔμβαλ' αὐτὴν εἰς ἰπνόν.
Ὅταν δὲ νομίσῃς πάνυ καλῶς ὀπτήν,
Τότε στήσας αὐτῆς ὅσον ἄγει λίτρας βάρος,
Ταύτῃ κατάμισγε λεπτοτάτη μίαν ἥμισυ
Λίτραν, ἀλεύρου γεγονότος πεφρυγμένου
Ὀρόβων ἐπ' ὀλίγον, καὶ παραχρῆμα λειοτριβῶν,
Ποίησον οὕτω λεπτὰ πάνυ κυκλίσκια,
Ξηρά τε γιγνόμενα, ὅσον ἢ σοι φίλον·
Βαλεῖν τοιοῦτον μίγμα γεγονὸς μὴ πάνυ,
Τὴν θηριακὴν τε λεγομένην, ἀπορῆς, φράσω,
Ἣ καὶ λέγουσι τὸν Μιθριδάτην χρώμενον,

Οτ' ἐγένετ' αὐτῷ θανάσιμα πιεῖν φάρμακα,
Απασ' ἀνάγκη μετὰ τέκνων πολεμουμένων,
Αὐτὸν μὲν οὐ λαβεῖν τινος αἴσθησιν βλάβης.
Ξίφει δ' ἀναιρεθέντα περιγραφῆς τυχεῖν,
Τὰς δ' αὖ θυγατέρας ἀποβαλεῖν τῷ φαρμάκῳ.
Σκεύαζε δ' αὐτὴν, σκιλλίνων κυκλισκίων
Δὶς εἴκοσι δραχμὰς, καὶ ἑτέρας δὶς τέσσαρας,
Αρτισκίων δὲ θηριακῶν δὶς δώδεκα,
Μέλανός τε πεπέρεως, καὶ ὀπίου, καὶ μάγματος
Ξηροῦ, πάλαι κληθέντος ἡδυχρόου μύρου,
Τῶν τ' ἐξ ἑκάστου μίγματος δὶς δώδεκα,
Ξηροῦ γλυκυρρίζου χυλαρίου δραχμὰς δέκα,
Καὶ δύο ἐπὶ ταύταις, καὶ ῥόδων ξηρῶν ἴσας,
Καὶ κινναμώμου, καὶ ὀποβαλσάμου καλοῦ,
Ης τ' Ιλλυριοὶ πέμπουσιν ἴσας ἴρεως,
Λευκοῦ τ' ἀγαρικοῦ, βουνιάδος τοῦ σπέρματος,
Τούτων ἑκάστου τὰς ἴσας δυώδεκα,
Καὶ Κρητικὸν σκόρδιον ἑνὶ τούτων ἴσον,
Σμύρνης, κρόκου, ῥᾶ, πετροσελίνου, στοιχάδος,
Ξηρᾶς καλαμίνθης, πενταφύλλου ῥιζίων,
Καὶ τοῦ πρασίου σπέρματος τῶν σφαιρείων,
Λευκοῦ πεπέρεως, καὶ μακροῦ τῆς Ινδικῆς,
Νάρδου στάχυος, λιβάνου τε καὶ τερμινθίνης,
Κόστου τε λευκοῦ, καὶ ἔπι δικτάμνου πόας,
Σχοίνου τε, μὴ τῶν καρφίων, τοῦ δ' ἄνθεος,
Ξηροῦ τ' ἀβρέκτου ζιγγιβέρεως τὰς ἴσας,
Κασίας μελαίνης τοῦ φλοιοῦ, τούτων πάλιν
Δὶς τρεῖς ἑκάστου μίγματος δραχμῆς σταθμῷ,
Πολίου τε καὶ φοῦ Ποντικοῦ, καὶ θλάσπεως,
Χαμαίδρυός τε καὶ στύρακος, καὶ κόμμεως,
Καὶ γεντιανῆς, καὶ ἀκόρου, μήου τ' ἔπι
Καὶ καρδαμώμου, καὶ μαράθρου τοῦ σπέρματος
Υποκυστίδος χυλοῦ τε, καὶ χαλκίτιδος
Οπτῆς, ὑπερικοῦ σπέρματος τοῦ Κρητικοῦ,
Χυλοῦ τ' ἀκακίας τῆς καλῆς ὑγρᾶς ἔπι,
Καθαρᾶς τε νάρδου Κελτικῆς, καὶ Λημνίας,
Χαμαιπίτυός τε καὶ ἄμμεως, καὶ σεσέλεως,
Ανισαρίου τε σπέρματος πεφρυγμένου,
Βότρυός τ' ἀμώμου, μαλαβάθρου φύλλων ἴσας,
Πάντων δ' ἑκάστου δύο δραχμὰς ρ'. ἐπιτίθει,
Καὶ βαλσάμου, καρποῦ τε τὰς αὐτὰς δύο.
Τινὲς δὲ τούτων οὐ καλῶς ἀνὰ τέτταρας.
Οποπάνακος δὲ τοῦ δακρύου, καὶ χαλβάνης,
Δαύκου τε καθαροῦ σπέρματος τοῦ Κρητικοῦ,
Καὶ καστορίου, καὶ σαγαπηνοῦ προσφάτου,
Κενταυρίου τε Κρητικοῦ, μὴ προσφάτου,
Αριστολοχίας τε λεπτῆς ξηρᾶς καλῶς.
Τούτων ἑκάστου πάλιν δραχμὰς β'. ἐπιτίθει
Ισον θ' ἑνὶ τούτων, στῆσον ἀσφάλτου καλῆς.
Τινὲς δ' ἀνὰ δύο φασὶν, ὅπερ οὐ βούλομαι.
Πολλάκι γὰρ αὐτὴν, ὡς ἔγραψ', ἐσκεύασα
Οἴνου Φαλερίνου τοῦ καλοῦ τὸ σύμμετρον,
Μέλιτος δέκα λίτρας Αττικοῦ τοῦ προσφάτου.
Τούτων δ', ἃ μέν ἐστι σπέρμαθ', ἃ δὲ χυλοί τινων,
Α δ' ἐστὶ φύλλα, καὶ δάκρυα, καὶ ῥιζία,
Ελάχιστα δ' αὐτῶν κἀν μετάλλοις γίνεται.
Χυλοὺς μὲν οὖν δάκρυα, καὶ μεταλλικὰ
Οἴνῳ λέαινε, καὶ μέλιτος ποιῶν πάχος.
Τὰ λοιπ' ἀποδίδου ξηρὰ πάντα μίγματα,
Κοπέντα καὶ σηθέντα λεπτῷ κοσκίνῳ,
Μίξας τ' ἐπιμελῶς αὐτὰ, προσχέων τότε,
Ζέσας δὶς, ἢ τρὶς τὸ μέλι, καὶ δεύσας πάλιν
Απόθου, φυλάττων μὴ ξυλίνοις ἀγγείοις,
Υαλίνοις δὲ μᾶλλον, κερατίνοις τε κἀργυροῖς,
Καὶ κασσιτερινοῖς, καὶ κεραμίοις τε πυκνοῖς.
Δίδου τε πίνειν, μήτε γεγονὸς ἀρτίως
Τὸ φάρμακον, μήτε πάλιν ἐξηρασμένον,
Οπερ εἰ γένοιτο διὰ τὸ μῆκος τοῦ χρόνου,
Πάλιν ζέσας πρόσβαλλε μέλιτος σύμμετρον,

A *Quum bibere medicamenta eum necessitas*
Omnis, nociua cum liberis bellantibus,
Nullius ipse noxæ sensum pertulit,
Sed ense detruncatus vitam perdidit,
Gnatæ verò pota interierunt pharmaci.

Ipsam parabis sic: scillinorum orbium
Drachmas viginti bis (aliàs bis quattuor)
Sed orbium theriacorum bis duodecim:
Nigríque piperis, opij, & sicci magmatis,
Quod Hedychroa quondam vocabant vnguina
Bis singulorum duodecim denarios,
Radiculæ dulcis succi, aridæ decem
B *Atque insuper duas, rosæ siccæ pares*
Et cinnamomi, ad hæc opobalsami boni
Atque ireos præterea, quam dat Illyris
Æquale pondus, agarici albi, seminis
Napi, vniuscuiusque drachmas duodecim.
Et scordij tantundem cretici addito.

Myrrhæ, croci, rheu, petroselini, stœchados,
Siccæ calaminthæ, quinquefolij, præter hæc
Radiculæ, atque galbulorum seminis
Marrubij, piperis albi, & longi, & Indicæ
Nardi spicæ, thuris, necnon terebinthinæ
Costique candidi, dictamni herbæ, insuper
C *Iunci rotundi floris, gingiberis pares*
Sicci, non rigui, nigræ casiæ corticis
Bis singulorum ternæ drachmæ pondere
Poliique & pontici phu, necnon thlaspeos,
Chamædryos, præterea styracis, commeos
Et gentianæ, & acori, meúque insuper
Et cardamomi, sic fœniculi seminis
Hypocystidis succi, tostæ chalcitidis,
Cretensis hyperici adde seminis, simul
Succi acaciæ humidæ, nardique gallicæ
Puræ, sphragidisque lemniæ, chamæpitys,
Ameos, seseleos, seminis retorridi
Anisi, amomi vuæ, foliorum malabathri.
D *Impone drachmas singulorum compares*
Duas, & totidem balsami fructus quoque.
Sed non probè aliqui singulis dant quattuor.

Opopanacis lachrymæ, præterea galbani
Daucique purgati Cretensis seminis,
Et castorei, sagapeni iungito noui
Aristolochiæque tenuis sicca probè
Horum vniuscuiusque drachmas fac duas
Æquale pondus ponito bituminis:
Sunt qui duas cuique dent, quod displicet.
Frequenter ipsam, veluti scriptum est, condidi:
E *Vini falerni mediocrem modum, boni*
Mellis recentis Attici libras decem.
Nonnulla at horum succi, quædam semina,
Sunt folia quædam, & lachrymæ, aliqua radiculæ,
Ipsorum minima, & in metallis inuenis.
Succos itaque cum lachrymis & metallicis
Vino teras, dum crassitudinem vides
Mellis: reliqua coniunges omnia arida,
Contusa, tenui increta cribro protinus:
Mixtisque exactè, mel adiicias postea
Bis terve feruefactum; vbi rursus rigaueris,
F *Reponito non ligneis, verùm magis*
In vasis vitreis, corneis, argenteis,
Et stanneis seruans, & densis ollulis.

Da potioni, nec recens factum nimis:
Nec rursus medicamentum quod peraruit:
Sin longiori hoc fuerit spatio temporis,
Subferuefacito rursus, addens paululum

Mellis

Mellis simúlque abundè temporis terens,
Tandémque habebis vtile, quod valuit nihil.
Sed inferius eo quod miscueris semel.

CAPVT XVI.

Theriaces alterius confectio.

QVòd itaque nonnulla cum Andromacho discordant, Damocrates ipse indicauit his versibus:

Sed non probè aliqui singulis dant quattuor.

Atque iterum.

Sunt qui duas cuique dent, quod displicet.

Quòd autem & manifestius dictum sit iis quæ Damocrates prodidit, hoc quoque constat: verùm quum alia ipsius Theriaces compositio numeris perscripta apud me habeatur, visum est mihi & illam ascribere, iuxta commoderationem medicaminum eam ingredientium, eò quòd clarior compendiosiórque modò traditis existat.

Theriacen ratione aliquis contemperet ista.
Dauci equidem fructus, panacis liquor, atque bitumen
Et sagapenum itidē, tum galbana rursus & ammi
Cum tenui terræ malo, cum castoris ipso
Testiculo, atque coma centaurei pondera sument
Æqua, duplum styracisque, ameosque & anisi,
Phu, poliique comæ pariter, meúque, acorique,
Atque chamæpityos, foliorum itidem malabathri,
Sphragidis ex Lemno, mox chalciteos, hypocistis
Flauentis succi, gummi, & quam Gallia donat
Nardi, præterea tenuis thlaspi atque perinde
Seminis ex seseli, marathri quod Creta ministrat
Et cardamomi, drachmæ cuiusque parantur
Quattuor, at myrrha & prasion, cum stœchade, costus.
Dictamnus, senas capient hæc singula drachmas,
Quinetiam piper oblongum, album præterea rheu.
Atque crocus qui corycio defertur ab antro.
Quinque simul folij radix & iuncus odorus,
Et calamus drachmas æquales, & terebinthi
Resina accipient, nardi simul Indica radix,
Fistula iam casiæ, insectum thus, petroselini
Montani tenuis semen, sex singula drachmis
Iunge, modo verùm duplicato scordion addes
Et rapæ semen syluestris & iris odora, &
Sicca rosæ folia, agaricum, succus glycyrizæ,
Balsamúsque liquor, cinamomum, gingiber ardens
Binas accipient drachmas, & magmatis esto
Bis tantum hedychroi, piperisq; nigri, insuper orbes
Theriaci æquabunt opium, hos bis vincere debent
Pondere scillini, & cunctis mel desuper adde,
Hedychroi vult magma mari binas sibi drachmas,
Æquales & amaraci habens, asari, aspalatique
Et iunci teretis, calami qui suauis odore est.
Phu ponti, ligni & succi quem balsamon ædit
Tres sunto drachmæ, totidem costi, cinamomi.
Myrrhæ sex alias misces, folij malabathri,
Indorum nardi, flauique croci insuper æquas.
Quinetiam casiæ totidem, sed pondus amomi
Sume duplum, drachmam chiæ sed masticha habebit:
Hæc vino debent conspergi cuncta falerno.

Reliquum esse mihi videtur, vt tota de theriace disciplina absoluatur, subiicere in quibus Crito vel à prius descriptis nonnihil dissensit, vel aliquid ex iis quæ omissa erant, addidit.

A Συνεχλεαίνας τ' ἐφ' ἱκανὸν τοῦτο χρόνον·
Εὔχρηστον ἕξεις τὴν ἄχρηστον τῷ χρόνῳ,
Πολλῷ δ' ἐλάττω τ' κεκραμένης ἅπαξ.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Θηριακῆς ἑτέρας σκευασία.

ΟΤι μὲν οὖν διαφωνοῦσί τινα πρὸς τ' Ἀνδρόμαχον, Δαμοκράτης αὐτὸς ἐδήλωσεν εἰπὼν,

Τινὲς δὲ τούτων οὐ καλῶς ἀνὰ τέτταρας·

B καὶ πάλιν.

Τινὲς δ' ἀνὰ δύο φασὶν, ὅπερ οὐ βούλομαι,

ὅτι δὲ καὶ σαφέστερον εἴρηται τῶν ὑπὸ Δαμοκράτους γεγραμμένων, καὶ τοῦτο πρόδηλον. οὔσης δὲ καὶ ἄλλης παρ' ἡμῖν, καὶ αὐτοῦ ἐμμέτρου συνθέσεως τῆς θηριακῆς, ἔδοξέ μοι κἀκείνην παραγράψαι, κατὰ τὴν ἐκ παραδόσεως τῶν ἐν αὐτῇ συμμετρίαν, διὰ τὸ σαφεστέραν τε καὶ συντομωτέραν εἶναι τῶν ἤδη γεγραμμένων.

Θηριακὴν ὧδ' ἄν τις ἐπικεράσαιτο,
Δαύκου μὲν καρπὸς, πάνακός τ' ὀπὸς, ἀσφάλτου τε
Καὶ σαγαπηνὸν ἴσον, καὶ χαλβάνη, ἄμμι δ' αὖτις,
C Λεπτὴ ἀριστολοχία, καὶ ὄρχις κάστορος εἴη,
Καὶ κενταυρείου κόμης ἶσον αὖτις ἐπ' αὐτοῖς
Διπλάσιον, στύρακός τε καὶ ἄμμεως, ἀνίσου τε
Καὶ φοῦ, καὶ πολίοιο κόμης, μήου τ', ἀκόρου τε.
Ἠδὲ χαμαιπίτυος, καὶ φύλλα μαλαβάθροιο,
Ἔστω καὶ σφραγὶς Λήμνου, ἀπὸ χαλκίτεώς τε
Χυλὸν καὶ ξανθὸν ὑποκιστίδος αὖτις ἐπ' αὐτοῖς,
Κόμμι τε καὶ νάρδου Κελτῶν, ἀπὸ θλάσπεως λεπτῆς·
Καὶ σεσέλεως τὸ σπέρμα, καὶ ἐκ Κρήτης μαράθροιο,
Καὶ καρδαμώμου, ἀπὸ πάντων τέτταρες ἔστων
Δραχμαὶ, σμύρνης δ' αὖ καὶ στοιχάδος, ἠδὲ πρασίου,
Κόστου, δικτάμνου τε δραχμὰς ϛ'. ἔμβαλ' ἑκάστου,
D Καὶ μὴν καὶ πεπέρεως μακροῦ, ἑτέρην δ' ἐπὶ τῇδε,
Ἀργεννὴν, ῥῆόν τε ἴσον, ξανθοῖό τε χάλτην,
Κωρυκίου τε κρόκου, καὶ ῥίζαν πενταπετήλου,
Καὶ δέ νυ, καὶ καλάμην, ἶσα σχοίνου τ' εὐώδους.
Τερμίνθου δ' ἀπὸ ῥητίνην, νάρδοιό τε ῥίζαν
Ἰνδῆς, καὶ κασίης σύριγξ, λιβάνοιο τ' ἀμύτου
Χόνδροι, σπέρμα τε λεπτὸν ἐν οὔρεσιν ἀλδήσκοντος,
Πετροσελίνου μίσγε δραχμὰς ϛ'. σταθμὸν ἰσάζων.
Διπλάσιον δ' ἔστω σκορδίου, γογγυλίδος τε
Σπέρματος ἀγροτέρης, ἴριδός τε, ῥόδων τε πέτηλα
Ξηρὰ, καὶ ἀγαρικὸν, ῥίζης ἐπὶ τοῖσι γλυκείης
Χυλὸς, καὶ βαλσάμου ὀπὸς, καὶ κινναμώμου,
E Καὶ δριμὺ ζιγγίβερι δραχμὰς β'. μάγματος ἔστω
Δὶς τόσσον ἡδυχρόου, πεπέρεώς τε μέλανος, καὶ αὐτοὶ
Ἀρτίσκοι θηρίων ἶσοι, μήκωνος ὀποῖο
Σταθμῷ, δὶς δέ τι τόσσον ἐν ἀρτίσκοις βάρος εἴη,
Πικρῆς ἐκ σκίλλης μέλιτος δ' ἐπὶ πᾶσι χέασθαι.
Ἡδυχρόου δέ τι μάγμα, μάρου μὲν ἔχει δύο δραχμάς·
Ἴσας δ' αὖτ' ἀσάρου, καὶ ἀμαράκου, ἀσπαλάθου τε,
Καὶ σχοίνου καλάμου τ' εὐώδεος, ἐκ πόντου τε
Φοῦ, ξυλοβαλσάμου τ' ὀποβαλσάμου τε δραχμὰς τρεῖς·
Καὶ κινναμώμου εἰσὶν ἴσαι, καὶ κόστου ἐπ' αὐτῷ·
Σμύρνης δ' ἓξ δραχμὰς καὶ φύλλα μαλαβάθροιο,
Ἶσον δ' αὖτ' Ἰνδῆς νάρδου, ξανθοῦ τε κρόκοιο,
Καὶ μὴν καὶ κασίης ἶσαι, διπλαῖ δέ τ' ἀμώμου·
F Λοιπὴ δ' ἐκ κραναῆς Χίου δραχμῆς βάρος εἴη
Μαστίχη, οἴνῳ δ' αὖ Φαλερίνῳ φυράσασθαι.

Ὑπόλοιπον εἶναί μοι δοκεῖ πρὸς τὸ συμπεπληρῶσθαι τὴν περὶ τῆς θηριακῆς ἅπασαν διδασκαλίαν, ἐν οἷς ὁ Κρίτων, ἤτοι διεφώνησε πρός τι τῶν πρόσθεν γεγραμμένων, ἢ προσέθηκέ τι τῶν παραλελειμμένων ὑπογραφήν.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

Περὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων περὶ τῆς θηριακῆς, ἐν τῷ γ΄. τῶν φαρμακιτίδων βίβλων.

ΕΝ μὲν τῇ συμμετρίᾳ τῶν φαρμάκων, βάλλει καὶ αὐτὸς < κδ΄. τοῦ μέλανος πεπέρεως, ὥσπερ τοῦ μακροῦ < ς΄. βάλλει δὲ καὶ χαλκίτεως κεκαυμένης < δ΄. καὶ μέλιτος Ἀττικοῦ λίτρας ι΄. τὰ δὲ θηρία, περὶ τὰ τελευταῖα τοῦ ἔαρος κατὰ τὸ θέρος, ἢ τῷ τρυγητῷ κελεύει συλλέγειν εὐλαβούμενος δηλονότι τό, τε τοῦ θέρους, μετὰ τὰ πρῶτα σύμπαντος, ἄχρι κυνὸς ἐπιτολῆς, καὶ τὸ μετὰ τοῦτο, ὃ καλοῦσί τινες ἰδίως ὀπώρας καιρὸν, ἡνίκα καὶ τοῖς ἀνθρώποις τὸ χολῶδες πλεῖστον ὑποτρέφεται. κατὰ δὲ τὸν τρυγητὸν, ὅπερ ἐστὶ τὸ μέσον τοῦ φθινοπώρου, συλλέγειν ἀξιοῖ, καὶ συλλαμβάνειν ἐξ αὐτῶν τὰ μεγάλα καὶ εὔτροφα, καὶ ἕψειν μετὰ ἀνήθου μόνου. τὸ δὲ τῆς σαρκὸς αὐτῶν ἐκ δέκα θηρίων ἀθροισθὲν, μιγνύειν ἀξιοῖ σιλιγνίτου ἄρτου μίαν οὐγγίαν, καὶ οὕτως ἀναπλάττειν τοὺς καλουμένους τροχίσκους θηριακούς. τοὺς δὲ σκιλλητικούς, τόνδε τὸν τρόπον σκευάζειν κελεύει. λαμβάνειν σκίλλας ἐν τῷ πυραμητῷ, τηνικαῦτα γὰρ εἶναι μάλιστα ἀκμαίας. εὔδηλον δ' ὅτι πυραμητὸν κέκληκε τὸν χρόνον, ἐν ᾧ τοὺς πυροὺς ἀμῶσιν, ὀπτῆσαι δ' αὐτὰς ἀποχρώντως ἐν ἰπνῷ κελεύει, περιπλασθείσας γύψῳ, ἢ πηλῷ ἐγκρύπτειν πυρὶ, μέχρις ἂν αὐτάρκως ὀπτηθῶσι, εἶτα ἀνελομένους, λαμβάνειν αὐτῶν τὸ ἐγκάρδιον, οὕτως γὰρ αὐτὸς ὠνόμασε, καὶ λεαίνειν τε μιγνύντας ὀρόβου μέρος ἓν τῷ διπλασίῳ τῆς σκίλλης, ἀναπλάσσειν τε μετὰ ταῦτα τροχίσκους, καὶ ψύχειν ἐν σκιᾷ. περὶ δὲ τῶν ἐν ὅλμῳ κοπτομένων φαρμάκων ἐπιμελῶς ἔγραψε, περιδεδέσθαι κελεύων δέρμα περὶ τὸν ὅλμον ἀσφαλῶς, κατὰ τὴν μεσότητα διατετρημένον τοσοῦτον, ὡς δύνασθαι μὴ μόνον τὸ κόπτον ἔλασμα διὰ τῆς ἐκτρήσεως καθίεσθαι, ἀλλὰ καὶ μετὰ τὸ ἀρθῆναι τὸ ἔλασμα, τὴν χεῖρα μετὰ τοῦ μύακος, ὥστε αἴρειν δι' αὐτοῦ τὸ κεκομμένον, καὶ ὀφεῖλον σήθεσθαι. δεήσει δέ, φησι, καὶ ἄλλο δέρμα εἶναι, τὴν ἔκτρησιν ἔχον μικροτέραν, ὡς δι' αὐτῆς μόνον τὸ ἔλασμα καθίεσθαι πρὸς τὸ κόπτειν τὰ ἐν τῷ ὅλμῳ, καὶ τοῦτο ἐπιβεβλῆσθαι τῷ προτέρῳ ἄνωθεν. καὶ μὴ εὐθέως ἀποκαλύπτειν αὐτὰ, πρὶν ἢ τὸ χνοῶδες καταστῆναι. κατὰ ταῦτα δὲ καὶ διαττώντων ἡμῶν διὰ τοῦ κοσκίνου, κεκαλύφθαι κελεύει τὸ διαττώμενον ἄνωθεν, ὅταν τε καταστῇ ἡ κίνησις, τότε ἀνοίγεσθαι, κἄπειτα αἰρόμενον τὸν κόσκινον, ἀπομάττεσθαι πτεροῖς.

CAPVT XVII.

De ſcriptis à Critone de Theriaca in tertio medicamentorum libro.

IN medicamentorum ſymmetria & ipſe nigri piperis drachmas vigintiquatuor quemadmodum longi ſenas immittit. Cæterùm chalcitidis vſtæ drachmas quatuor, mellis Attici drachmas decem imponit; feras autem vere deſinente in æſtatem, aut medio autumno, quod tempus trygetum dicunt, colligere præcipit, cauens nimirum & æſtatem ab initio totam vſque ad caniculæ exortum. B Item quod hoc tempus ſubſequitur, nonnulli id propriè vocant oporam, quum fugaces fructus eduntur: & bilis hominibus copioſiſſima ſuboritur. In trygeto autem, quod eſt autumni medio, colligendas cenſet: capiendáſque ex ipſis grandes & benè habitas, quæ cum anetho ſolum incoquantur. At carnem ipſarum decem accumulatam panis ſiliginei vnciæ miſceri vult: atque ita paſtillos Theriacos effingi. Scillinos autem hoc modo confici iubet; ſcillam quum triticum metunt, (tunc enim potiſſimum viget) accipere conſulit: deinde torrere ipſam abunde in clybano: illitámque gypſo aut luto igni condere, vſque dum ſatis toſta fuerit. C Poſtea vbi exemeris, medullam ipſius ſumere ac læuigare, miſcendo erui partem vnam ſcillæ duplicatæ, inde paſtillos fingere: & in vmbra refrigerare. Porrò de iis quæ in pila contunduntur medicamentis accuratè ſcripſit, dum pellem pilæ tutò circumligari iubet iuxta medium tantillo foramine pateſcenti, vt non ſolum contundens lamina per id poſſit demitti: ſed etiam vbi lamina fuerit ſublata manus cum cochleari, vt quod contuſum eſt & incerni deſiderat, per ipſum eximatur. Oportebit autem aliam quoque pellem (inquit) circumiici, minori peruiam foramine, quà ſola lamina demittatur ad ea quæ pilæ inſunt, contundenda: atque hæc D priori ex ſuperna parte iniici debet. Item non ſtatim ipſa detegere conuenit, prius quàm fuliginoſa portio ſubſiſtat, ſecundum hæc, vbi cribro diſcreuimus, id quod cretum eſt ſuperne iubet obtegi, ac quum motus conſtiterit, tunc adaperiri: poſtea cribrum ſublatum pennis abſtergi.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΝΤΙΔΟΤΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

GALENI DE ANTIDOTIS LIBER SECVNDVS.

CAPVT PRIMVM.

De Mithridaticis, & aliis quibusdam Andromachi Antidotis.



XPOSITA à nobis integro volumine Theriaca, vt reliquas antidotos breuibus explicemus, efficiet, quas mihi hoc in libro recensere propositum est, ab ea quam Mithridaticam vocant, initio sumpto, quæ quidem aduersus pleraque deleteria medicamenta efficacior est, in viperæ autem morsus curatione, theriacâ dicta inferior. Quoniam verò Andromachus & hanc, & deinceps optimas quasque fermè antidotos, literarum monumentis commisit, in libro de internis medicamentis, idcirco & ipse eas omnes, quo ordine ille conscripsit, subiungam.

Andromachi antidota.

Antidotus Mithridatica, priuatim ad lethalia præcipuè faciens, & ad internas corporis affectiones efficax. ℞. Radicis dulcis drach. vij. ß. obolos quatuor, opij drach. iv. obolos duos, castorij drach. sex, polij drach. quinque, obolos duos, costi ʒ. v. obolos ij. spicæ nardi drach. vj. obolos ij. cassiæ drach. v. obolos ij. thuris drach. sex, seseleos ʒ v. obolos duos, succi hypocystidis drach. sex, acori drach. duas, scordij drach. sex, obolos ij. folij drach. iv. gallij drach. v. obolos tres, alij drach. vj. immittunt: cypheos drach. sex, obolos ij. myrrhæ drach. sex, croci drach. vij. obolos duos, cinnamomi drach. vij. obolos duos, styracis drach v. obolos iv. seminis dauci drach. sex, obolos tres, zingiberis drach. vij. obolos duos, phu Pontici drach. ij. petroselini drach. iv. obolos tres, nardi Celticæ drach. iv. seminis fœniculi drach. iv. nardi Indicæ drach. iv. hyperici drach. duas, acaciæ ʒ. ij. gentianæ ʒ. iv. alij verò ʒ. ij. anisi ʒ. iij. thlaspeos ʒ. vj. obolos iv. meu Athamantici ʒ. iv. alij ʒ. ij. rosarum siccarum ʒ. iv. gummi ʒ. ij. cardamomi ʒ. iv. alij ʒ. ij. iunci odorati ʒ. sex, obolos duos, opopanacis ʒ. vj. obolos ij. opobalsami ʒ. vi. obolos iv. galbani ʒ. vii. scinci ʒ. ii. obolos ii. terebinthinæ ʒ. sex, obolos ii. vini Chii quod satis est: mellis Attici cocti quod sufficit.

ΚΕΦΑΛΑΙΟΝ Αʹ.

Περὶ τῶν Μιθριδατείων τε, καὶ ἄλλων τινῶν Ἀνδρομάχου ἀντιδότων.

A 

ΠΕΡΙ τῆς θηριακῆς λόγος εἰς ὅλον βιβλίον ἐκταθεὶς, σύντομον ἐργάζεται τὸν περὶ ἄλλων ἀντιδότων λόγον, ἃς ἐν τῷδε τῷ γράμματι πρόκειταί μοι διελθεῖν, ἀπὸ τῆς Μιθριδατείου καλουμένης ἀρξαμένῳ, πρὸς μὲν τὰ πλεῖστα τῶν δηλητηρίων φαρμάκων δραστικωτέρας ὑπαρχούσης, ἀπολειπομένης δ' ἐν τῇ τῶν ὑπ' ἐχίδνης δηχθέντων ἰάσει τῆς θηριακῆς ὀνομαζομένης. ἐπεὶ δὲ καὶ ταύτην, καὶ σχεδὸν ἁπάσας τὰς ἀρίστας ἔγραψεν ἐφεξῆς ὁ Ἀνδρόμαχος ἐν τῇ τῶν ἐντὸς φαρμάκων διδασκαλίᾳ, διὰ τοῦτο κἀγὼ πάσας αὐτὰς, ὡς ἐκεῖνος ἔγραψεν, ἐφεξῆς παραθήσομαι.

B

Ἀνδρομάχου ἀντίδοτοι.

Ἀντίδοτος Μιθριδάτειος, πρὸς τὰ θανάσιμα ἰδίως ποιοῦσα, καὶ πρὸς τὰ ἐντὸς πάθη πάντα. ℞. Γλυκυῤῥίζης < ζʹ S. καὶ τετρώβολον, ὀπίου < δʹ. ὀβολοὺς βʹ. καστορίου < ϛʹ. πολίου < εʹ. ὀβολοὺς βʹ. κόστου < εʹ. καὶ ὀβολοὺς βʹ. ναρδοστάχυος < ϛʹ. ὀβολοὺς βʹ. κασίας < εʹ. ὀβολοὺς βʹ. λιβανοῦ < ϛʹ. σεσέλεως < εʹ. ὀβολοὺς βʹ. ὑποκυστίδος χυλοῦ < ϛʹ. ἀκόρου < βʹ. σκορδίου < ϛʹ. ὀβολοὺς βʹ. φύλλου < δʹ. γάλλου < εʹ. τριώβολον. οἱ δὲ < ϛʹ. κύφεως < ϛʹ. ὀβολοὺς βʹ. σμύρνης < ϛʹ. κρόκου < ζʹ. ὀβολοὺς βʹ. κινναμώμου < ζʹ. ὀβολοὺς βʹ. στύρακος < εʹ. ὀβολοὺς δʹ. δαύκου σπέρματος < ϛʹ. τριώβολον, ζιγγιβέρεως < ζʹ. ὀβολοὺς βʹ.
C φοῦ Ποντικοῦ < βʹ. πετροσελίνου < δʹ. ὀβολοὺς γʹ. νάρδου Κελτικῆς < δʹ. μαράθρου σπέρματος < δʹ. νάρδου Ἰνδικῆς < δʹ. ὑπερικοῦ < βʹ. ἀκακίας < βʹ. γεντιανῆς < δʹ. οἱ δὲ < βʹ. ἀνίσου < γʹ. θλάσπεως < ϛʹ. ὀβολοὺς δʹ. μήου ἀθαμαντικοῦ < δʹ. οἱ δὲ < βʹ. ῥόδων ξηρῶν < δʹ. κόμμεως < βʹ. καρδαμώμου < δʹ. οἱ δὲ < βʹ. σχοίνου < ϛʹ. ὀβολοὺς βʹ. ὀποπάνακος < ϛʹ. ὀβολοὺς βʹ. ὀποβαλσάμου < ϛʹ. ὀβολοὺς δʹ. χαλβάνης < ζʹ. σκίγκου < βʹ. ὀβολοὺς βʹ. τερμινθίνης < ϛʹ. ὀβολοὺς βʹ. οἴνου Χίου τὸ ἱκανὸν, μέλιτος Ἀττικοῦ ἑφθοῦ τὸ ἱκανόν.

Ἄλλως ἡ Μιθριδάτειος ὡς Ἀντίπατρος, καὶ Κλεόφαντος.

℞. Σμύρνης < ζ' S. ὀβολοὺς δ'. οἱ δὲ γ'. νάρδου ἴσον, κρόκου < ζ'. ὀβολοὺς γ'. ὀπίου < δ'. ὀβολοὺς β' S. στύρακος < ε'. καστορείου < ϛ'. ὀβολὸν ἕνα, κινναμώμου < ζ'. ὀβολοὺς γ'. πολίου < ϛ'. ὀβολοὺς γ'. σκορδίου < ζ'. ὀβολοὺς γ'. ζιγγιβέρεως τὸ ἴσον, κόστου < ϛ'. ὀβολοὺς γ'. πεπέρεως λευκοῦ < ε'. ὀβολοὺς β'. πεπέρεως μακροῦ < ϛ'. ὀβολοὺς γ'. σεσέλεως < ε'. ὀβολοὺς β'. ἀβροτόνου < ε'. ὀβολοὺς β'. πετροσελίνου < ιδ'. δαύκου σπέρματος < ϛ'. ὀβολοὺς γ'. κασίας < ε'. ὀβολοὺς γ'. λιβάνου < ϛ'. ὀβολοὺς β'. ὑποκυστίδος χυλοῦ < ϛ'. ὀβολὸν α' S. νάρδου Κελτικῆς < δ'. μαράθρου σπέρματος < δ'. μαλαβάθρου φύλλων < δ'. νάρδου Ἰνδικῆς < δ'. ἀκόρου, φοῦ Ποντικοῦ, σαγαπηνοῦ, βαλσάμου καρποῦ, ὑπερικοῦ, Ἰλλυρίδος, ἀνὰ < β'. μίλτου Λημνίου < ϛ'. κύφεως, σκίγκου ὀσφύος, ἀνὰ < ϛ'. ἀκακίας, κόμμεως, καρδαμώμου, πελεκίνου, ἀνὰ < β'. θλάσπεως < ϛ'. ὀβολοὺς δ'. Γεντιανῆς < δ'. οἱ δὲ γ'. ἀνίσου < γ'. ῥόδων ξηρῶν < δ'. μήου ἀθαμαντικοῦ ἴσον, σχοίνου < ϛ'. ὀβολοὺς γ'. ὀποπάνακος < ϛ'. χαλβάνης < ϛ'. ὀβολοὺς γ'. ὀποβαλσάμου τὸ ἴσον, ἀριστολοχίας < α'. ὑσσώπου < γ'. πρασίου < α'. χαμαιπίτυος < γ'. λιβανωτίδος < ε'. τερμινθίνης < ϛ'. τριώβολον, μέλιτος Ἀττικοῦ τὸ ἱκανόν, οἶνον μὴ βάλε.

Ἀντίδοτος ἡ Ὀρβανοῦ λεγομένη τοῦ Ἰνδοῦ, πρὸς τὸ, τὰ ἐντὸς βρέφη ἐκβάλλειν.

℞. Σμύρνης < ιε'. κρόκου < ιϛ'. νάρδου Ἰνδικῆς < ιϛ'. κινναμώμου, κασίας, πάνακος, ἀνὰ < ιγ'. ἀμώμου < η'. σκορδίου < κε'. ἐν ἄλλῳ < ε'. σχοίνου ἄνθους < η'. μήου ἀθαμαντικοῦ < γ'. ῥόδων χυλοῦ < ιβ'. ὀβολοὺς γ'. φοῦ < ε'. ὀβολοὺς γ'. ὑπερικοῦ < ε'. ζιγγιβέρεως < ϛ'. πεπέρεως μέλανος < ϛ'. πεπέρεως λευκοῦ < η'. στύρακος < ε'. ὀβολοὺς γ'. μαράθρου ἀγρίου σπέρματος < γ'. ὀβολοὺς δ'. πεπέρεως μακροῦ < ε'. οἱ δὲ ϛ'. κόστου < ζ'. ὀβολοὺς γ'. τριφύλλου σπέρματος < ε'. Γεντιανῆς < δ'. ἀριστολοχίας στρογγύλης < δ'. πολίου < ε'. τριφύλλου ῥίζης < ε'. ὀβολοὺς γ'. καρδαμώμου < ε'. ἐχίου ῥίζης < δ'. λιβάνου δραχμὰς ϛ'. πετροσελίνου δραχμὰς ϛ'. φλόμου δραχμὰς ϛ'. σεσέλεως δραχμὰς ε'. κυμίνου Αἰθιοπικοῦ δραχμὰς γ'. βαλσάμου καρποῦ δραχμὰς δ'. νάρδου Κελτικῆς < ζ'. Λημνίας δραχμὰς δ'. μηκωνείου < δ'. ὀβολοὺς γ'. κάγχρυος σπέρματος δραχμὰς γ'. κύφεως δραχμὰς δ'. ἴρεως Ἰλλυρικῆς ἴσον, μανδραγόρου χυλοῦ δραχμὰς ϛ'. ὀβολοὺς γ'. σαγαπηνοῦ δραχμὰς δ'. ὀποπάνακος δραχμὰς γ'. ἀνίσου δραχμὰς δ'. ὑποκυστίδος χυλοῦ δραχμὰς ϛ'. τερμινθίνης δραχμὰς ε'. ὀβολοὺς γ'. καστορείου δραχμὰς ε'. ὀποβαλσάμου δραχμὰς ιϛ'. πηγάνου ἀγρίου σπέρματος δραχμὰς γ'. χαλβάνης δραχμὰς δ'. βουνιάδος σπέρματος ἴσον, ἐλαφείου μυελοῦ δραχμὰς ϛ'. ὀβολοὺς γ'. μύρου νάρδου δραχμὰς κ'. αἵματος ἐριφείου ξηροῦ δραχμὰς ε'. ὀβολοὺς τρεῖς, καὶ χηνείου ξηροῦ ἴσον, νήττης αἵματος δραχμὰς γ'. τριώβολον, βουφθάλμου Αἰγυπτίου χυλοῦ δραχμὰς η'. οἴνου Χίου ἀθαμαντικοῦ τὸ ἱκανόν.

A *Aliter Mithridatica vt Antipater, & Cleophantus.*

℞. Myrrhæ drach. vij. ß. obolos iv. alij iij. ſpicæ nardi tantundem: croci drach. vij. obolos iij. opij drachmas quatuor, obolos ij. ß. ſtyracis drach. v. caſtorij drach. ſex, obolos j. cinnamomi drach. vij. obolos iij. polij drach. ſex, obol. iij. ſcordij ʒ. vij. obolos iij. zingiberis tantundem: coſti drach. vj. obol. iij. piperis albi drach. v. obol. ij. piperis longi drach. ſex, obol. iij. ſeſelis drach. quinque obolos ij. abrotoni drach. v. obolos duos, petroſelini drach. xiv. ſeminis dauci drach. ſex, obolos tres, caſſiæ drach. quinque, obol. iij. thuris drach. ſex,
B obolos duos, ſucci hypocyſtidis drach. ſex, obol. j. ß. nardi Celticæ drach. quatuor, ſeminis fœniculi drach. iv. foliorum malabathri drachmas iv. nardi Indicæ drach. quatuor, acori, phu Pontici, ſagapeni, fructus balſami, hyperici, iridis Illyricæ ſingulorum drachmas duas, rubricæ Leminæ, cypheos, lumborum ſcinci, ſingulorum drachmas ſex, acaciæ, gummi, cardamomi, ſecuridacæ, ſingulorum drach. ij. ſeminis thlaſpeos drach. ſex, obolos iv. gentianæ drach. quatuor, alij tres, aniſi drach. tres, roſarum ſiccarum drach. quatuor, mei athamantici tantundem: iunci rotundi odorati
C drachmas ſex, obolos tres, opopanacis drach. vj. galbani drach. ſex, obolos tres, opobalſami tantundem: ariſtolochiæ drach. j. hyſſopi drach. iij. marrubij drach. j. chamæpityos drach. tres, roriſmarini ʒ. v. terebinthinæ ʒ. vj. obolos tres, mellis Attici quod ſufficit: vinum ne iniicito.

Antidotus Orbani Indi dicta ad fœtus eiiciendos.

℞. Myrrhæ drach. xv. croci drachmas ſexdecim, nardi Indicæ drachmas ſexdecim, cinnamomi, caſſiæ, panacis, ſingulorum drachmas xiij. amomi drachmas octo, ſcordij drach. xxv. in aliis v. florum iunci odorati drach. octo, mei Atha-
D mantici drach. tres, ſucci roſarum drach. duodecim, obolos tres, phu drachmas quinque, obolos tres, hyperici drach. quinque, zingiberis drachmas ſex, piperis nigri ʒ. vj. piperis albi drach. octo, ſtyracis ʒ. v. obolos tres, ſeminis fœniculi ſylueſtris drachmas tres, obolos iv. piperis longi drach. quinque, alij ʒ. ſex, coſti ʒ. vij. obolos tres, ſeminis trifolij drach. quinque, gentianæ drachmas iv. ariſtolochiæ rotundæ drach. iv. polij drach. quinque, radicis trifolij drach. quinque, obolos tres, cardamomi drach. quinque, radicis echij drach. quatuor, thuris drach. ſex, petroſelini drach. ſex,
E verbaſci drach. ſex, ſeſeleos drach. quinque, cumini Æthiopici drach. tres, fructus balſami ʒ. iv. nardi Celticæ drach. ſeptem, terræ ſigillatæ ʒ. iv. opij drach. quatuor, obolos iij. ſeminis canchryos, drach. tres, cypheos drach. quatuor, iridis Illyricæ tantundem: ſucci mandragoræ drach. ſex, obolos tres, ſagapeni drach. quatuor, opopanacis drach. tres, aniſi drach. quatuor, ſucci hypocyſtidis drach. ſex, terebinthinæ drachmas quinque, obolos tres, caſtorij drach. quinque, opobalſami drach. ſexdecim, ſeminis rutæ ſylueſtris drach. iij. galbani drachmas quatuor, ſeminis napi tantun-
F dem: medullæ ceruinæ drach. ſex, obolos tres, vnguenti nardini drach. viginti, ſanguinis hœdini ſicci drach. quinque, obolos tres, ſanguinis anſerini ſicci tantundem: ſanguinis anatis drach. tres, obolos tres, ſucci buphthalmi Ægyptij drach. viij. vini Chij Athamantici, quod ſufficit.

A *Antidotus Panacea, ex sanguinibus quatuor, multa promittens ab Aphroda accepta.*

℞. Cinnamomi drach. viij. amomi drach. iv. cassiæ fistulæ nigræ drach. xvj. croci drach. xvj. iunci rotundi odorati ʒ. v. thuris drach. v. piperis albi drach. iv. obol. iij. piperis longi ʒ. j. obolos iij. myrrhæ drach. xj. obol. ij. nardi Indicæ drach. xj. obol. iv. nardi Celticæ drach. xvj. obol. ij. rosarum siccarum ʒ. vj. costi drach. ij. obol. iij. ß. opobalsami ʒ. iv. obol. ij. succi Cyrenaici drach. iij. alij drach. iv. ß. stœchadis drach. v. obol. ij. radicis trifolij ʒ. iv. vel eius seminis drach. iij. florum scordij drach. xj. obol. ij. polij Cretici ʒ. vj. obol. ij.
B asari drach. ij. acori drach. iij. obol. iij. ß. seminis dauci tantundem: seminis anisi drach. ij. cumini Æthiopici tantundem: rhei Pontici ʒ. v. obol. iij. ß. seminis napi syluestris drach. iij. vel seminis napi satiui tantundem: phu Pontici drach. ij. mellis cocti quod satis est.

Antidotus incomparabilis quam ipse composui, faciens ad omnes internas corporis affectiones, ex Nicostrati traditione.

℞. Radicis dulcis, folij malabathri, opobalsami, agarici, cinnamomi, singulorum ʒ. xiij. zingi-
C beris, seminis trifolij, amomi, seminis rutæ syluestris, baccarum iuniperi immaturarum, & exiccatarum, singulorum ʒ. xv. petroselini singulorum, ʒ. viij. succi papaueris tantundem; castorij, piperis longi, succi hypocystidis, cypheos, singulorum drach. xij. obolos ij. polij, piperis albi, seseleos, bdellij, singulorum drach. xv. obol. iij. florum iunci odorati, costi singulorum drach. xij. ß. seminis dauci, thlaspeos, singulorum drach. xiij. spicæ nardi drach. xxiv. radicis cassiæ nigræ ʒ. xvj. thuris, panacis, opopanacis, singulorum ʒ. xij. acori ʒ. v. scordij ʒ. xvij. fœniculi, nardi Celticæ,
D gentianæ, florum rosarum, gummi succi Cyrenaici, cardamomi, ammoniaci, thymiamatis, radicis echij. succi aparines, singulorum drach. viij. sagapeni, hyperici, succi acaciæ, iridis Illyricæ, singulorum drach. xiv. myrrhæ stactæ ʒ. xx. croci drach. xxx. styracis drach. xj. obolis ij. phu, mei, dictamni, seminis napi, calami odorati, singulorum ʒ. viij. aut x. anisi, asari, agarici, scinci, singulorum ʒ. vj. terebinthinę singulorum drach. xiv. obolos iv. galbani drach. v. sanguinis anatis fœminæ, sanguinis hœdi, singulorum drach. vij. piperis nigri, piperis longi, singulorum ʒ. xxiv.
E crocomagmatis tantundem; radicis quinquefolij, origani syluestris, marrubij, stœchadis, ammeos, chamædryos, chamæpityos, centaureæ minoris, aristolochiæ tenuis, singulorum drachmas sex, sigilli Lemnij drach. xxx. sanguinis anserini, testudinis marinæ, rhei Pontici, singulorum ʒ. vij. mellis Attici quod sufficit. Datur ad magnitudinem fabæ ex aqua. Facit etiam est quartanam, cæterùm ad lethalia, plus aliis antidotis valet. *Antidotus Ælij Galli, qua Cæsar & Charmes vtebantur, ad lethalia morsusque illata venena faciens: quóque si loca in quibus reptilia diuersantur, aspersis, ea fugabis; facit ad omnem oculorum fluxum,*
F *& reliquarum partium fluxum desiccat fastidia, & longas intermittentesque febres soluit. Mulieribus præterea, quæ difficulter purgantur, auxiliatur. Fœtus sine dolore eiicit. Tabidis demum ex quatuor aquæ cyathis ad nucis auellanæ magnitudinem sumpta prodest: in viperæ morsibus ex vino.*

Ἀντίδοτος πανάκεια δι' αἱμάτων, ἣ χρῶμαι, πλείστην ἐπαγγελίαν ἔχουσα ἐκ τῆς Ἀφροδᾶ.

℞. Κινναμώμου < η'. ἀμώμου < δ'. κασσίας σύριγγος μελαίνης < ις'. κρόκου < ις'. σχοίνου < ε'. λιβάνου < ε'. πεπέρεως λευκοῦ < δ'. ὀβολοὺς γ'. καὶ μακροῦ < α'. ὀβολοὺς γ'. σμύρνης < ια'. ὀβολοὺς β'. νάρδου Ἰνδικῆς < ια'. τετρώβολον, Κελτικῆς < ις'. ὀβολοὺς β'. ῥόδων ξηρῶν < ϛ'. κόστου < β'. ὀβολοὺς γ' S''. ὀποβαλσάμου < δ'. ὀβολοὺς β'. ὀποῦ Κυρηναϊκοῦ < γ'. ἄλλοι < δ' S''. στοιχάδος < ε'. ὀβολοὺς β'. τριφύλλου ῥίζης < δ'. ἢ τοῦ σπέρματος < γ'. σκορδίου ἄνθους < ια'. ὀβολοὺς β'. πολίου Κρητικοῦ < ϛ'. ὀβολοὺς β'. ἀσάρου < β'. ἀκόρου < γ'. ὀβολοὺς γ' S''. δαύκου σπέρματος τὸ ἴσον, ἀνίσου σπέρματος < β'. κυμίνου Αἰθιοπικοῦ ἴσον, ῥήου Ποντικοῦ < ε'. ὀβολοὺς γ' S''. βουνιάδος σπέρματος ἀγρίας < γ'. ἢ γογγυλίδος σπέρματος ἴσον, φοῦ Ποντικοῦ < β'. μέλιτος ἑφθοῦ τὸ ἱκανόν.

Ἀντίδοτος ἀσύγκριτος ἣν συνέθηκα, ποιοῦσα πρὸς πάντα τὰ ἐντὸς πάθη, ὡς Νικόστρατος.

℞. Ῥίζης γλυκείας, μαλαβάθρου φύλλου, ὀποβαλσάμου, ἀγαρικοῦ, κινναμώμου ἀνὰ < ιγ'. ζιγγιβέρεως, τριφύλλου σπέρματος, ἀμώμου, πηγάνου ἀγρίου σπέρματος, ἀρκευθίδων μὴ πεπείρων ξηρῶν ἀνὰ < ιε'. πετροσελίνου ἀνὰ < η'. ὀποῦ μήκωνος ἴσον, καστορίου, πεπέρεως μακροῦ, ὑποκιστίδος χυλοῦ, κύφεως ἀνὰ < ιβ'. ὀβολοὺς β'. πολίου, πεπέρεως λευκοῦ, σεσέλεως, βδελλίου ἀνὰ < ιε'. ὀβολοὺς γ'. σχοίνου ἄνθους, κόστου, ἀνὰ < ιβ' S''. δαύκου σπέρματος, θλάσπεως, ἀνὰ < ιγ'. ναρδοστάχυος < κδ'. κασσίας μελαίνης ῥίζης < ις'. λιβάνου, πάνακος, ὀποπάνακος, ἀνὰ < ιβ'. ἀκόρου < ε'. σκορδίου < ιζ'. μαράθρου, νάρδου Κελτικῆς, Γεντιανῆς, ῥόδων ἄνθους, κόμμεως, ὀποῦ Κυρηναϊκοῦ, καρδαμώμου, ἀμμωνιακοῦ θυμιάματος, ἐχίου ῥίζης, ἀπαρίνης χυλοῦ, ἀνὰ < η'. σαγαπηνοῦ, ὑπερικοῦ, ἀκακίας χυλοῦ, ἴρεως Ἰλλυρικῆς, ἀνὰ < ιδ'. σμύρνης στακτῆς < κ'. κρόκου δραχμὰς λ'. στύρακος δραχμὰς ια'. ὀβολοὺς β'. φοῦ, μήου, δικτάμνου, βουνιάδος σπέρματος, καλάμου ἀρωματικοῦ, ἀνὰ δραχμὰς η'. ἢ ι'. ἀνίσου, ἀσάρου, ἀγαρικοῦ, σκίγκου, ἀνὰ δραχμὰς ϛ'. τερμινθίνης, ἀνὰ δραχμὰς ιδ'. ὀβολοὺς δ'. χαλβάνης δραχμὰς ε'. νήσσης θηλείας αἵματος, ἐριφείου αἵματος, ἀνὰ δραχμὰς ζ'. πεπέρεως μέλανος, καὶ πεπέρεως μακροῦ, ἀνὰ < κδ'. κροκομάγματος ἴσας, πενταφύλλου ῥίζης, ὀριγάνου ἀγρίου, πρασίου, στοιχάδος, ἄμμεως, χαμαίδρυος, χαμαιπίτυος, κενταυρείου λεπτοῦ, ἀριστολοχίας λεπτῆς, ἀνὰ < ϛ'. λημνίας σφραγίδος < λ'. χηνείου αἵματος, χελώνης θαλασσίας, ῥήου Ποντικοῦ, ἀνὰ < ζ'. μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν. ἡ πόσις κυάμου μέγεθος ἐν ὕδατι. ποιεῖ καὶ πρὸς τεταρταῖον, πρὸς δὲ τὰ θανάσιμα, ὡς οὐκ ἄλλη. Ἀντίδοτος Αἰλίου Γάλλου, ᾗ Καῖσαρ συμφώνως, ταύτῃ καὶ Χάρμης ἐχρήσατο, ποιοῦσα πρὸς τὰ θανάσιμα, καὶ ἰοβόλα, κἂν τόπον ἑρπετῶν καταρραίνῃς, φυγαδεύσεις. ποιεῖ πρὸς ῥεῦμα πᾶν ὀφθαλμῶν, καὶ τῶν λοιπῶν ἀναξηραίνουσα, δυσαρεστήματα λύει, πυρετοὺς χρονίους, καὶ περιοδικούς. ποιεῖ δὲ καὶ ἐπὶ τῶν δυσκαθάρτως καθαιρομένων γυναικῶν, ἀλύπως ἔμβρυα ἐκκρίνει, ποιεῖ καὶ πρὸς φθισικούς. ἡ δόσις καρύου Ποντικοῦ μεθ' ὕδατος κυάθων δ'. ἐπὶ δὲ τῶν ἐχεοδήκτων, σὺν οἴνῳ.

℞. Σμύρνης < ιβ'. κρόκου < ιδ'. νάρδου ιδ'. σχοίνου ιβ'. κινναμώμου β'. ἀμώμου δ'. χαλβάνης ια'. τερμινθίνης < ε'. πεπέρεως λευκοῦ ι'. καὶ μακροῦ λβ'. κόστου < η'. λιβάνου ιβ'. ὀποῦ μήκωνος ἴσον, σκορδίου < ν'. ἐν ἄλλῳ η'. πολίου δ'. ὑποκυστίδος χυλοῦ ιβ'. πετροσελίνου ιη'. σεσέλεως ιδ'. δαύκου σπέρματος ιϛ'. ὀποβαλσάμου ιβ'. ὀποπάνακος ἴσον, καστορίου η'. μέλιτος Ἀττικοῦ ξε β'. Ἀντίδοτος Ζωπύρειος. ℞. Κινναμώμου < γ'. σμύρνης στακτῆς < ε'. νάρδου ε'. δίδοται καρύου Ποντικοῦ μέγεθος σὺν ὕδατι, κυάθοις τρισὶν ἐπ' ἐνιαυτόν.

A ℞. Myrrhæ ʒ.xij. croci ʒ.xiv. nardi ʒ.xiv. iūci rotūdi odorati ʒ.xij. cinnamomi ʒ.ij. amomi ʒ.iv. galbani ʒ.xj. terebinthinę ʒ.v. piperis albi ʒ.x. piperis lōgi ʒ.xxxij. costi ʒ.viij. thuris ʒ.xij. succi papaueris tantundē, scordij ʒ.l. in alio ʒ.viij. polij ʒ.iv. succi hypocystidis ʒ.xij. petroselini ʒ.xviij. seselis ʒ.xiv. seminis dauci ʒ.xvj. opobalsami ʒ.xij. opopanacis tantundē, castorij ʒ.viij. mellis Attici sextarios ij. *Antidotus Zepyrea.* ℞. Cinnamomi ʒ.iij. myrrhæ, stactæ ʒ.v. nardi ʒ.v. Exhibetur ad nucis auellanæ magnitudinē, ex tribus aquæ cyathis, ad annū.

B

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς Μιθριδατείου ἀντιδότου, ὡς Δαμοκράτης.

Ταύτας μὲν οὖν τὰς ἀντιδότους τὰς γεγραμμένας, πάσας ὁ Ἀνδρόμαχος ἔγραψεν. ἐπεὶ δὲ τὰ διὰ μέτρων γεγραμμένα, καὶ πρὸς ἀκρίβειαν τὴν σταθμὸν τῶν φαρμάκων, καὶ πρὸς μνήμην ἐστὶ χρησιμώτατα, διὰ τοῦτο, καὶ τὰς ὑπὸ Δαμοκράτους συγγεγραμμένας ἀξιολόγους ἀντιδότους ἐφεξῆς ὑπέταξα, τὴν ἀρχὴν ἀπὸ τῆς Μιθριδατείου ποιησάμενος.

Αἱ ὑπὸ Δαμοκράτους ἀντίδοτοι γεγραμμέναι.

Ἀντίδοτος ἣν λέγουσι Μιθριδάτειόν τινες τῶν σφόδρα ἐπισήμων, δραστικὸν φάρμακον πρὸς πᾶν πάθος, πᾶσαν τ' ἀντίδοτον εἶπον ποιεῖν.

Σμύρνης Ἀραβικῆς Τρωγλοδύτιδος δραχ. ι'.
Κρόκου ι'. ἀγαρικοῦ ι'. ζιγγιβέρεως
Ι'. Κινναμώμου ι'. ναρδοστάχυος
Ι'. λιβάνου ι'. θλάσπεως ι'.
Καὶ σεσέλεως, ὀποβαλσάμου, σχοίνου τε καὶ
Στοιχάδος, κόστου, χαλβάνης, τερμινθίνης,
Μακροῦ πεπέρεως, καστορίου τε Ποντικοῦ,
Ὑποκυστίδος χυλοῦ τε, καὶ στύρακος καλοῦ,
Ὀποπάνακος, καὶ μαλαβάθρου φύλλων νέου,
Πάντων ἑκάστου τὰς ἴσας δὶς δ'.
Κασίας μελαίνης ζ'. πολίου ζ'.
Λευκοῦ πεπέρεως ταὐτὸ, σκορδίου τ' ἴσον,
Τοῦ Κρητικοῦ δαύκου τε ταὐτὸν σπέρματος.
Ἴσας δ' ἐπὶ τούτων, βαλσάμου καρποῦ δραχμὰς,
Καὶ κύφεως τῶν αὐτῶν ἐνίοτε τούτων σταθμόν.
Τινὲς δὲ καὶ βδελλίου ἐπὶ τούτοις ἴσον,
Νάρδου καθαρᾶς δὲ Κελτικῆς, καὶ κόμμεως,
Καὶ πετροσελίνου, καὶ ὀπίου, μηκωνείου,
Καὶ καρδαμώμου, καὶ μαράθρου τοῦ σπέρματος,
Καὶ Γεντιανῆς, καὶ ῥόδων φύλλων ἴσας,
Ἀνὰ ε'. δραχμὰς μικρὸν ἐπιρρεπέστερον.
Τοῦ Κρητικοῦ τε ταὐτὸ δικτάμνου μέρος,
Ἀνίσου τε καὶ ἀσάρου τε γ'. δραχ.
Ἀκόρου τε καὶ φοῦ, καὶ σαγαπηνοῦ τὰς ἴσας,
Ἀθαμαντικοῦ μήου τε, καὶ τῆς ἀκακίας,
Σκίγκου τε γαστρὸς, ὑπερικοῦ τε σπέρματος.
Τούτων ἴσα πάντων ἀνὰ β'. S''.
Ὁλκάδας, οἴνου τὸ μέτριον, καὶ μέλιτος
Τὸ σύμμετρον, ὡς τάσσ' ὁμοίως οὕτως σκεύασον.

Ἐπεὶ οὖν κύφεως ἐμνημόνευσεν ὁ Δαμοκράτης, ὃ καὶ αὐτὸς κατασκευάζεται, διὰ τοῦτο καλῶς ἐποίησε, προσγράψας αὐτοῦ τὴν κατασκευὴν, ἐφεξῆς γεγραμμένην.

Τὸ κῦφι δ' οὐδέν ἐστιν οὐδὲ μίγμα ἁπλοῦν,
Οὐδ' αὐτὸ γῆ φέρει τις, οὐδ' ὀπίζεται.
Αἰγύπτιοι δὲ τοῦτο τοῖς θεοῖς ποιῶν
Ἐπιθυμιῶσι σκευάσαντες, ὡς φράσω.
Λευκὴν λαβόντες σταφίδα τὴν λιπαρωτάτην,
Αἴρουσι τόν τε φλοιὸν καὶ τὸ σπέρμ' ἅπαν.
Τὴν σάρκα δ' αὐτῆς λεοτριβήσαντες καλῶς,

CAPVT II.

De Mithridatica Antidoto ex Damocratis traditione.

Has itaque scriptas antidotos omnes Andromachus prodidit. Quum verò quæ carminibus explicatæ sunt, ad ponderis sinceritatem, medicamentorúmque memoriam maximè conducant, idcirco conscriptas quoque à Damocrate antidotos memoratu dignas subiunximus, principio rursus à Mithridatica sumpto.

Antidoti à Damocrate conscriptæ.

C Antidotus quam viri quidam insignes admodum, Mithridatium vocant, medicamenta ad omnes malas corporis affectiones efficax, quámque omnis antidoti vicem præstare dixerunt.

Myrrhæ Arabicæ Troglodyticæ drachmas decem,
Croci decem, agarici decem, Zingiberis decem,
Cinnamomi decem, spicæ nardi decem,
Thuris decem, & item thlaspis decem,
At seselis, & succi balsami, & iunci odorati,
Stœchadis, costi, galbani, terebinthinæ,
Piperis longi, ac castorij Pontici,
Succi hypocystidis, styracis bonæ,
D *Opopanacis, & folij malabathri recentis,*
Pares singulorum bis quatuor drachmas capit.
Casiæ vero nigræ septem, & polij septem.
Piperis albi septem, scordij tantundem;
Cretici tamen, & seminum dauci tantum.
His pendet fructus balsami drachmas pares.
Æquale pondus cyphi prædictis dabit.
Sunt qui par velint bdelium adiicere.
Hinc nardi Celticæ repurgatæ, & gummi,
Et petroselini, & opij, meconium quod vocant,
Et cardamomi, & seminum fœniculi,
Et gentianæ, & foliorum rosæ,
E *Cuiusque drachmas quinque, paululo amplius.*
Sit Cretici dictamni æqualis portio.
Anisi, & asari pariter tres drachmæ
Acorique, phúque, sagapenique tres.
Meique Athamantici, & acaciæ,
Et ventris scinci, & seminum hyperici,
Singula drachmas hæc pendant duas semis.
Vini & mellis adde quantum est satis.
Satis est quantum hæc aptè iungas simul.

Quoniam verò Damocrates Cypheos mentionem facit, quod etiam ipse componit, rectè ideo illius quoque compositionem adscripsit, quam deinceps subiiciam.

F *Cyphi verò nec mixtum quicquam est, nec simplex*
Ipsum fert tellus vlla, non pressus herbæ succus.
Ægyptus quosdam hoc cùm placat Deos,
Incendit, & quo dicam parat modo.
Passam & albam sumunt, & pinguissimam,
Corticem demunt, eximunt vinacea.

Pulpa

Carnem ipsius perlæuigatam insigniter
Bis duodecim constituunt drachmis Atticis.
Crematæ terebinthinæ pondus & idem,
Myrrhæ duodecim, & cinnamomi quatuor,
Iunci duodecim, & vnicam ponunt croci.
Tres vnguium bdellij, aspalathi duas semis,
Tres spicæ nardi, tres casiæ bonæ,
Tres meri cyperi, baccas iuniperi quibus
Adiungunt æquas, pingues & magnas legunt;
Accedit drachmis calamus flagrans nouem,
Mellis quod sufficit, & vini prorsus parum.
Bdellium, vinum, myrrham, in mortarium
Mittunt, & terunt, quoad mellis crassitiem
Liquentis iuncta reddant. Tum mel postea
Affundunt, vuas miscent; demum cætera
Imponunt, sed contusa. Paruos inde
Confingunt orbes, quibus deos fumigant.
Rufus nos Cyphi sic parare docet,
Vir probus valde, & peritus medicus.
Quidam, si desit cinnamomum sibi,
Tantundem miscent cardamomi seminum,
Et hac vtuntur æquè ac priore.
Quidam, si pulmo, vel iecur, vel exectis
Aliud vllum, vlcus habet malum,
Huius propinant pharmaci denarium.

A Ἰςᾶσι δραχμὰς Ἀττικὰς δὶς δώδεκα
Τερμινθίνης τε ταὐτὸ τῆς κεκαυμένης,
Σμύρνης τε ιβ'. κινναμώμου δ'.
Σχοίνου ιβ'. καὶ κρόκου μία, βδελλίου
Ὄνυχας δραχ. γ'. ἀσπαλάθου β' S''.
Ναρδοςάχυος γ'. καὶ κασίας γ'. τῆς καλῆς
Καθαρᾶς, κυπείρου γ'. δραχμὰς, ἀρκευθίδων
Ἐκ τῶν μεγίστων καὶ λιπαρῶν ταύταις ἴσας,
Θ'. δὲ καλάμου τοῦ μυρεψικοῦ δραχμὰς,
Μέλιτος τὸ μέτριον, παντελῶς οἴνου βραχύ;
Βδέλλιον, οἶνον, σμύρναν εἰς θυΐδιον
Βαλόντες, εὖ τρίβουσιν ὡς μέλιτος πάχος
B Ὑγροῦ ποιῆσαι, καὶ προσαποδόντες μέλι,
Τὴν ςαφίδα συντρίβουσιν, εἶτα δὲ λεῖα
Ἅπαντα καταμίξαντες ἐκ τούτου κύκλοις
Βραχεῖς ποιοῦντες, θυμιῶσι τοῖς θεοῖς.
Ροῦφος μὲν οὕτω δεῖν ἔφασκε σκευάσαι,
Ἀνὴρ ἄριςος, ἐκτικὸς ἐν τῇ τέχνῃ.
Ἔνιοι δὲ κιννάμωμον οὐκ ἔχοντες βαλεῖν
Μίσγουσι ταὐτὸ καρδαμώμου σπέρματος.
Χρῶνται δ' ὁμοίως τῇ πρὸ ταύτης συνθέσει.
Τινὲς δὲ καὶ τοῖς ἧπαρ, ἢ τὸν πνεύμονα,
Ἢ καί τι γ' ἕτερον σπλάγχνον ἐξηλκωμένοις
Πίνειν διδόασιν, ὡς δραχμὴν τοῦ φαρμάκου.

C

CAPVT III.

De tribus Antidotis insignibus, duabus ad Phthisim, vna ad venena.

QVum verò Damocrates aliarum quoque antidotorum insignium meminerit, latius mihi visum est illas etiam propter eundem vsum, versibus ab eo proditas exponere. Quomodo igitur theriacam quam vocant, ipse componat, in præcedente libro docuimus; nunc quæ deinceps scriptæ sunt antidoti, eas subiiciemus.

Antiqua phthisi alia valde bona,
Et sputo sanguinis, & clam febrienti,
Nec non & pectus imbecille habentibus.
Stomacho, renibus, & iecori prodest.
Omnibus quæ dixi valet, delicatis tamen
Quod possit minus, conueniet magis.
Libenter sumpta hac Augustum ferunt
E longo morbo conualuisse breui,
Pectore multum costisque affectum malè.
Accipit, & psyllij, & subrubentis casiæ,
Spicæque nardi, & puræ Celticæ,
Et cinnamomi, atque recentis croci,
Drachmas duodecim, opobalsami decem;
Myrrhæ Arabicæ stactæ crassissimæ sedecim.
Hinc iunci tenuis, & sigilli lemnij,
Rheu Pontici, & seminum rutæ;
Syluestris melior multo est ruta tamen;
Amomi quoque, & siccæ rosæ tantum.
His album piper adde, semen napi;
Incultis locis hoc, non subactis lege.
Quater hæc duo drachmam, ter verò thus trahet.
Æquabit thus dictamnum Creticum, satis
Siccatum quidem, sed tamen adhuc recens.
Thuri cuminum exæques Thebaicum.
Alia cribro tusa excerne tenui,
Immitte solum in mortarium psyllium,
Multo plus tamen, vt inde quantum velis
Sumas, nam totum comminui nequit.
Confice hoc pacto; stacten mitte bonam
In pilam latam, vini quantum est satis
Falerni pinguis affunde, atque dilue

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τριῶν ἀντιδότων ἀξιολόγων, δυοῖν πρὸς τὴν φθίσιν, καὶ μιᾶς πρὸς τὰ δηλητήρια.

ΜΕμνημένου δὲ τοῦ Δαμοκράτους καὶ ἄλλων ἀντιδότων ἀξιολόγων, ἄμεινον ἔδοξέ μοι κἀκείνας διὰ τὴν αὐτὴν χρείαν ἐν μέτρῳ γεγραμμένας ὑπ' αὐτοῦ παραθέσθαι. τὴν μὲν οὖν θηριακὴν ὀνομαζομένην ὅπως συντίθησιν, ἐν τῷ πρὸ τούτου λόγῳ δεδήλωκα, νυνὶ δὲ τὰς ἐφεξῆς αὐτῆς γεγραμμένας
D παραθήσομεν.

Ἄλλη σφόδρα καλὴ, πρὸς φθισικοὺς κεχρονισμένους,
Τούς θ' αἷμ' ἀνάγοντας, καὶ πυρέσσοντας λάθρα,
Καὶ τοὺς ἔχοντας ἀσθενῆ θώρηκα,
Καὶ τοὺς ςομαχικοὺς, ἡπατικοὺς, νεφριτικοὺς,
Καὶ πρὸς ἃ προεῖπον πάντα. τοῖς τρυφερωτέροις
Μᾶλλον προσηνὴς, ἀλλ' ἔλαττον δραςική.
Ταύτῃ λέγουσι τὸν Σεβαςὸν ἡδέως
Χρησάμενον, ὑγιᾶ γεγονέναι ἐν βραχεῖ χρόνῳ,
Πλευροῖς τε καὶ θώρακι δυσχρηςούμενον.
Ἔχει δὲ ψυλλίου τε καὶ κασίας κιῤῥᾶς,
Ναρδοςάχυός τε, καὶ καθαρᾶς τῆς Κελτικῆς,
Καὶ κινναμώμου, καὶ κρόκου τοῦ προσφάτου,
E Ἀνὰ ιβ'. δραχμὰς, καὶ ὀποβαλσάμου δέκα,
Σπακτῆς Ἀραβικῆς παχυτάτης ις'.
Σχοίνου τε λεπτῆς, Λημνίας τε τῆς καλῆς,
Ρᾶ Ποντικοῦ τε, πηγάνου τε σπέρματος,
Τὸ δ' ἄγριόν ἐςι πήγανον κρεῖττον πολὺ,
Καλοῦ τ' ἀμώμου καὶ ῥόδων ξηρῶν ἴσον,
Λευκοῦ τε πεπέρεως, βουνιάδος τοῦ σπέρματος.
Ἔςω δ' ἀγρίας τοῦτο, μὴ τῆς ἡμέρου,
Τούτων ἀνὰ δραχμὰς δ'. λιβάνου τε γ'.
Ἰσόν τε λιβάνῳ προσβαλεῖς τὸ Κρητικὸν
Δίκταμνον, ἱκανῶς ξηρὸν, ἀλλὰ πρόσφατον.
Ταὐτό τε κυμίνου Θηβαϊκοῦ τοῦ σπέρματος.
F Τὰ μὲν ἄλλα κόψας σῆθε λεπτῷ κοσκίνῳ,
Μόνον δὲ τὸ ψύλλιον εἰς ὅλμον βαλὼν,
Κόψον πολὺ πλέον, ἵνα λάβῃς ὅσον θέλῃς.
Ἅπαν γὰρ αὐτὸ λεπτὸν ἀδύνατον ποιεῖν.
Σκεύαζε δ' οὕτω, τὴν καλὴν ςακτὴν βαλὼν
Εἰς πλατυτέραν θυΐαν, οἴνου παραχέων
Λιπαροῦ Φαλερίνου τὸ μέτριον, λέαινέ τε

Επ' ὀλίγον αὐτά, καὶ ὀποβάλσαμον τότε
Μιγνὺς, δίυγρον τοῦτο δ' ἐστὶ χρήσιμον,
Παρεμπάσσων τε τὰ ξηρὰ πάντα μίγματα,
Αφες δ' ὀλίγον συμπιεῖν τὸ φάρμακον,
Τό,τε μέλι ζέσας, δὶς ἢ τρὶς αὐτὴν καταχέας,
Ενῶν τε τὴν ἀντίδοτον ἀποθήσεις τότε,
Εἰς πυξίδ' οἵαν εἶπον ἔμπροσθεν βραχὺ,
Διδοὺς ὁμοίως κἀπὶ τῶν αὐτῶν παθῶν.

Αλλη σφόδρα καλὴ πρὸς ἃ εἶπον πάνθ' ἁπλῶς.
Φασὶν δ' ἀμείνω τήνδε πρὸς τὰ πνεύματα
Πολλοῖς χρόνοις λυποῦντα τὸν στόμαχον, ποιεῖν,
Καὶ βορβορυγμοὺς τοὺς ἐνοχλοῦντας ἀεὶ,
Τῶν ἐντέρων, κώλου τε, καὶ τῆς γαστέρος.
Ποιεῖ δὲ καὶ γέρουσιν ὀξυωπίαν.
Τοῖς θηριοδήκτοις δ' ἐστὶ συμφορωτάτη.
Σκεύαζε δ' αὐτὴν, ταῦτ' ἔχων τὰ μίγματα.
Κυρηναϊκοῦ τοῦ καλοῦ δραχμὴν ὀποῦ,
Ακόρου τε, καὶ φοῦ, καστορίου τε, καὶ ἀσάρου,
Καὶ καρδαμώμου σπέρματος καὶ κόμμεως,
Χυλοῦ τ' ἀκακίας, τῆς ἀρίστης ἴρεως,
Καθαροῦ σαγαπηνοῦ, ὑπερικοῦ τοῦ Κρητικοῦ,
Τούτων ἑκάστου β'. δραχμὰς ῥεπέστερον,
Οποβαλσάμου τε τοῦ διαυγοῦς γ'. δραχμὰς,
Οποβαλσάμῳ δὲ ταὐτὸ ψυλλίου βάρος,
Λευκοῦ τε πεπέρεως, πετροσελίνου, Κελτικῆς
Στάχυός τε νάρδου, μαλαβάθρου φύλλου νέου
Αἰθιοπικοῦ τε, καὶ κυμίνου σπέρματος,
Αθαμαντικοῦ μήου τε, κἀμώμου καλοῦ,
Μήκωνος, ὀπίου, γεντιανῆς καὶ βαλσάμου,
Στήσας ἑκάστου δραχμὰς δ'. σταθμῷ,
Στύρακος σταγόνας δὲ ε'. καὶ τριώβολον.
Κόστου δὲ λευκοῦ καὶ σεσέλεως, θλάσπεως,
Κασίας μελαίνης ε'. ἑκάστου β'. ὀβολοὺς,
Σχοίνου τε, πολίου ἀνὰ ε'. τριώβολον,
Καὶ Κρητικοῦ δὲ ταὐτὸ, δικτάμου πόας
Ταύτης ἴσον, πρόσβαλλε σκορδίου σταθμόν.
Μακροῦ πεπέρεως, καὶ λιβάνου, καὶ Λημνίας
Σμύρνης, γλυκυῤῥίζης, χαλβάνης, τερμινθίνης,
Ξηροῦ τε νήσσης αἵματος, τοῦ προσφάτου,
Οποπάνακός τε καὶ μαράθρου τοῦ σπέρματος,
Ξηρῶν ῥόδων φύλλων, καὶ τῆς ὑποκιστίδος
Χυλοῦ καλῶς γεγονότος, ἀγαρικοῦ τ' ἴσα,
Τοῦ Κρητικοῦ δαύκου τε καθαροῦ σπέρματος,
Ανισαρίου τε σπέρματος, σκίγκου τ' ἴσον,
Δὶς τρὶς ἑκάστου μίγματος βαλεῖς σταθμὸν,
Καὶ ζιγγιβέρεώς τε τοῦ ξηροῦ καλῶς,
Καὶ κινναμώμου καὶ κρόκου δὶς τέσσαρας,
Μέλιτός τε χρηστοῦ τὸν διπλοῦν πᾶσι σταθμὸν,
Οἴνου τε Χίου τοῦ καλοῦ τὸ σύμμετρον.
Η τοῦ Φαλερίνου ταὐτὸ τοῦ κεχρονισμένου.
Σκεύαζε δ' αὐτὴν, ὡς προεῖπον δεῖν ποιεῖν,
Τὴν θηριακὴν ἀντίδοτον ἔμπροσθεν βραχὺ,
Διδόναι θ' ὁμοίως πᾶσιν, ὡς ἐκείνην ἔφην.

Αλλη δι' αἱμάτων ἀντίδοτος, ἥν φασί τινες
Ποιεῖν ἄμεινον πρὸς τὰ δηλητήρια.
Εχει δὲ χηνὸς αἵματος ξηροῦ δύο,
Καὶ τρεῖς χελώνης τῆς θαλασσίας δραχμὰς,
Τὸ δ' αὐτὸ νήσσης, καὶ ἐρίφου γ'. τὰς ἴσας.
Νήσσης δ' ἄμεινον αἷμα θηλείας δοκεῖ,
Στακτῆς Αραβικῆς παχυτάτης δραχμὰς ι'.
Ναρδοστάχυός τε τὰς ἴσας σμύρνης δραχμὰς,
Καὶ κινναμώμου τοῦ καλοῦ δὶς τρεῖς δραχμάς.
Ρόδων δὲ φύλλων ξηροτάτων δὶς τέσσαρας,
Σχοίνου, λιβάνου, κόστου, μία ἑκάστου δραχμὴ,
Καὶ τρεῖς ἀμώμου, πεπέρεως λευκοῦ τὰς ἴσας,
Καὶ τοῦ μακροῦ δὲ πεπέρεως μίαν ἥμισυ,
Κρόκου δὲ δώδεκα καὶ κασίας δὶς δ'.
Ρίζης τριφύλλου ε'. πολίου τὰς ἴσας,
Οποβαλσάμου τρεῖς, πετροσελίνου δ'.

A *Myrrham parumper; opobalsamum dein*
Admisce translucidum, nam id est bonum.
Hinc, vbi mixta conserseris cuncta arida,
Combibant sines medicamen tantisper,
Donec feruorem bis terve mel efferat.
Affuso melle vnies antidotum.
Repone vase, qualem descripsi modo.
Peræquè bis ipsis in affectibus dato.

Alia, valde bona ad quæ dixi omnia,
Prorsúsque hanc dicunt ad flatus meliorem,
Stomachum longo qui infestarunt tempore.
Tollit rugitus, qui ventrem & colon
B *Perturbant, intestina discurrentes.*
Acutos quoque reddit oculos senum.
Viperis morsos summa leuat ope.
Ita hanc conficies, sed miscenda hæc habe.
Succi Cyrenaici boni drachmam cape,
Acori, phu, castoriique & asari,
Seminis cardamomi, gummi Arabici,
Liquoris acaciæ, iridis optimæ,
Sagapeni puri, Cretensis hyperici,
Propensa lance drachmas inijce duas.]
Tres opobalsami pellucidi, parem
Mensuram psyllij opobalsamo subdes.
Tum albi piperis, petroselini, Celticæ
C *Spicæque nardi, malabathri folij recentis,*
Æthiopicique seminum cumini;
Meique Athamantici, & amomi boni,
Meconis opij, gentianæ, & balsami,
Cuiusque pones drachmas pondere quatuor.
Styracis quinque liquidæ & triobolum:
At albi costi, thlaspeos, & seselis,
Nigraque casiæ, cuiusque duos obolos;
Schœni, & polij, drachmas quinque tres obolos;
Item dictamni, Cretæ quam tellus alit.
Pondere eodem conijcito scordium,
Masculum thus, Lemni terram, longum piper,
D *Myrrham, glycyrhizam, galbanum, terebinthinam,*
Anatis recentem, sed siccatum sanguinem,
Opopanacis, ac semen fœniculi,
Folium rosæ siccum, hypocistidis
Expressum pulchrè succum, dein agaricum,
Daucique semen Cretici electum adde,
Anisi quoque semen, & scincum quoque,
Bis tres cuiusque pondera denarios;
Demum Zingiberis cùm sicci, tùm boni,
Et cinnamomi, atque croci, bis quatuor.
Mellis probati pondus duplex indito
Cunctis, bonique vini Chij, quod satis,
E *Falerni aut veteris tantundem coniungito.*
At confice ipsam, vti parumper antea
Parandam antidotum Theriacen docui.
Vtque illam dixi, sic hanc omnibus dabis.

Alia ex sanguinibus, quam quidam aiunt
Cæteris amplius ad venena conferre,
Continet anserini sanguinis sicci duas
Drachmas, tres marinæ testudinis,
Hædini tres, tres anserini sanguinis;
Videtur autem melior anatis fœminæ,
Stactæ Arabicæ crassissimæ drachmas x.
Nardi spicæ pares, & myrrhæ drachmas,
Et cinnamomi drachmas bis ternas boni,
F *Bis quatuor foliorum siccæ rosæ,*
Iunci rotundi, costique, & thuris vnam,
Amomi tres, piperis albi totidem,
At longi piperis vnam, & dimidiam,
Croci duodecim, casiæ bis quatuor,
Quinque radicum trifolij, & polij pares,
Opobalsami tres, petroselini quatuor,

Baccarum iuniperi pinguium, & acori, duas,
Rha Pontici, mèique, & dictamni, duas,
Hoc est cuiusque binas, phu simul duas
Ammoniacique thymiamatis similiter,
Duas fœniculi, agarici duas semis,
Tres rutæ syluestris, dauci duas quoque,
Anisi, & asari, vnam cum dimidia,
Par pondus ammeos his, & his quoque,
Seminum cumini tantum Thebaici,
Tres seminum syluestris drachmas napi
Prædictis addes; quinque verò scordij,
Quod Creta gignit, diximus id melius.
Mellis probati duplex pondus indito.
Detrita cuncta quæ prædiximus nuper,
Et mersa cocto melle, vasis condito.

A Ἀρκευθίδων τῶν λιπαρῶν, καὶ ἀκόρου δύο,
Ῥᾶ Ποντικοῦ, μήου τε, δικτάμνου δύο,
Τουτέστι ἀνὰ δύο, φοῦ τε τὰς αὐτὰς β'.
Ἀμμωνιακοῦ τε ὡσαύτως θυμιάματος,
Μαράθρου δραχμὰς β'. ἀγαρικοῦ δύο ἥμισυ,
Τρεῖς τοῦ πετραίου πηγάνου, δαύκου β'.
Ἀνισαρίου τε καὶ ἀσάρου μίαν ἥμισυ,
Ἴσον δὲ τούτοις, τούτοις πάλιν
Ἴσον κυμίνου Θηβαϊκοῦ τοῦ σπέρματος,
Καὶ γ'. δραχμὰς βουνιάδος ἀγρίας σπέρματος,
Τούτοις προσαπόδος ε'. σκορδίου δραχμάς,
Τὸ Κρητικὸν δ' ἄμεινον ὡς προείπομεν,
B Μέλιτος ἅπασι τοῦ καλοῦ διπλοῦν σταθμόν.
Ἅπαντα λεπτὰ λεῖα τὰ προειρημένα,
Ἑφθῷ τε τῷ μέλιτι δεύσας ἀποτίθου.

CAPVT IV.

De Charme Antidoto.

POst antidotos hucusque descriptas Mithridaticam Damocrates scripsit, quam ego paulò ante apposui. Ea igitur omissa, quas deinceps conscribit adiiciam.

Antidotus, quam recentes Charmen vocant,
Affectus sanat, qui molestarunt diù,
Et quibus nullum medicamen profuit.
Myrrhæ hæc optimæ habet, & opobalsami,
Succi hypocistidis, & thuris boni,
Opopanacis sinceri, & croci noui,
Drachmas duodecim, in singulis pares.
Albentis costi, Pontici castorij,
Terebinthinæ puræ, iunci teretis pares
Drachmas bis quatuor singulorum; atque
Vuæque amomi quatuor, polij pares,
Et cinnamomi quatuor rursus boni:
Cretensis dauci seminis bis tres,
Dauco par pondus seminum seseleos,
Rufæque casiæ corticis bis nouem,
Et petroselini seminis drachmas pares.
Piperis longi, & noui bis duodecim,
Abrosum carie nam vetus reperies.
Albi decem, purgati galbani decem,
At spicæ nardi electæ drachmas sedecim,
Drachmas recentis bis viginti, & quinque
Adiunge scordii, quod tellus Creta parit.
Sed mellis aridis pondus triplum omnibus
Commisce, sicut antidotos alias
Te pridem monui, & similiter dabis.
Hanc Charmes auctor bis quingentis Atticis
Vendebat drachmis, nec totam libram dabat.
Daréque gratis videbatur insuper.

Quidam fide dignus Charmis discipulus,
Scripturam hanc dicebat probatissimam,
Nardi bis octo, spicæ Indicæ drachmas,
Myrrhæque probatæ, succi quoque papaueris,
Hypocistidis succi, succi balsami,
Opopanacis puri, recentis insuper,
Et thuris, & castorij, singulorum
Drachmas bis senas; at galbani quatuor,
Terebinthinæ quinque, polij quatuor,
Bonæ sed nigræ casiæ bis quatuor,
Albi piperis duas, oblongi vnam,
Et duos obolos, croci Coricij decem.
Vnam prædictis addes & bis quatuor
Schæni attriti, sed amomi quatuor,
Duas cinnamomi, item & seselis duas,
Sex dauci drachmas seminum Cretensis,

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ Χάρμου ἀντιδότου.

ΜΕτὰ τὰς γεγραμμένας ἀντιδότους ἄχρι δεῦρο, τὴν Μιθριδάτειον ἔγραψεν ὁ Δαμοκράτης, ἣν ὀλίγον ἔμπροσθεν ἐγὼ προτέθεικα. ὑπερβὰς οὖν αὐτὴν, ὡς ἐφεξῆς γράφει, προσθήσω.

C Ἀντίδοτος, ἣν φασιν οἱ νεώτεροι Χάρμιν,
Θεραπεύει δὲ διαθέσεις κεχρονισμένας,
Ἃς οὐδὲν ὠφέλησεν ἕτερα φάρμακα.
Σμύρνης ἔχει δὲ τῆς καλῆς, ὀποβαλσάμου,
Ὑποκιστίδος χυλοῦ τε, καὶ λιβάνου καλοῦ,
Ὀποπάνακος καθαροῦ τε καὶ νέου κρόκου,
Τούτων ἑκάστου μίγματος δυοκαίδεκα.
Κόστου δὲ λευκοῦ, καστορίου τε Ποντικοῦ,
Τερμινθίνης τε τῆς καθαρᾶς, σχοίνου τ' ἴσον.
Πάλιν δ' ἑκάστου μίγματος δὶς δ'.
Βότρυός τ' ἀμώμου τέσσαρας, πολίου τ' ἴσας,
Καὶ κινναμώμου δ'. πάλιν καλοῦ,
D Δὶς τρεῖς δὲ δαύκου Κρητικοῦ τοῦ σπέρματος:
Τὸ δ' αὐτὸ δαύκῳ σεσέλεως τοῦ σπέρματος,
Κασσίας δὲ κιῤῥᾶς τοῦ φλοιοῦ δὶς θ'.
Καὶ πετροσελίνου σπέρματος ταύταις ἴσας,
Μακροῦ πέπερεως προσφάτου δὶς δώδεκα,
Τὸ γὰρ παλαιὸν σητοκόπον εὑρίσκεται,
Λευκοῦ ι'. δραχμὰς, χαλβάνης καθαρᾶς ι'.
Ναρδοστάχυος δὲ τῆς καλῆς ἑκκαίδεκα,
Δὶς δ' εἴκοσιν καὶ ε'. Κρητικοῦ καλοῦ,
Καὶ προσφάτου. πρόσβαλλε σκορδίου δραχμὰς,
Τριπλοῦν δὲ μέλιτος πᾶσι τοῖς ξηροῖς βάρος.
Σκεύαζε δ' αὐτὸν, ὡς προεῖπον σκευάσαι.
E Ἄλλας τε δυνάμεις καὶ διδοὺς αὔτως πάλιν.
Ταύτην ἐπώλει Χάρμης Ἀττικῶν δραχμῶν
Δὶς πεντακοσίων, οὐδ' ὅλην λίτραν διδούς,
Ἐδόκει δὲ χάριτα διδόναι τοῖς ὠνουμένοις.
Τῶν δ' ἀξιοπίστων Χάρμιδός τις γνωρίμων
Ταύτην ἔφασκε τὴν γραφὴν δοκιμωτάτην.
Νάρδου δὶς η'. στάχυος Ἰνδικῆς δραχμὰς,
Σμύρνης τε χρηστῆς, καὶ ὀπίου, μηκωνείου,
Ὑποκιστίδος τε χυλοῦ, καὶ ὀποβαλσάμου,
Ὀποπάνακός τε τοῦ καθαροῦ καὶ προσφάτου,
Καὶ καστορίου καὶ λιβάνου πάντων ἴσα
Ἀνὰ ιβ'. δραχμὰς δ'. δὲ χαλβάνης,
Τερμινθίνης τε ε'. πολίου τέσσαρας,
F Κασσίας μελαίνης τῆς καλῆς δὶς δ'.
Λευκοῦ πεπέρεως β'. δραχμὰς, μακροῦ μίαν
Καὶ β'. ὀβολούς. κρόκου δὲ κωρυκίου ι'.
Μίαν δὲ πρὸς ταύταισι καὶ δὶς δ'.
Σχοίνου πάνυ λεπτῆς, τοῦτ' ἀμώμου δ'.
Β'. κινναμώμου, σεσέλεως δραχμὰς δύο,
Δαύκου δραχμὰς ς'. σπέρματος τοῦ Κρητικοῦ,

Καὶ πετροσελίνου σπέρματος δὶς θ'.
Δὶς δ'. δὲ σκορδίου κόμης δραχ. ζ'.
Βδέλλης ὄνυχός τε τοῦ διαυγοῦς, ὡς δραχμὴν,
Μέλιτός τε λίτρας ε'. καὶ μικρῷ πλέον.
Σκεύαζε δ' οὕτω, προδιαλύσας τοὺς ὀποὺς
Τῷ μέλιτι θερμῷ, τήν τε ῥητίνην καλῶς,
Τὰ ξηρὰ πάντα παραπλάσσεις σεσησμένα.
Οὕτω δ' ἑνώσας πάντα, δώσεις Ποντικοῦ
Καρύου τὸ μέγεθος τοῖς ὀφείλουσιν λαβεῖν.

A Petroselini seminum bis nouem.
Hinc scordij drachmas bis quatuor, coma vij.
Bdellij vnguium vnam sed pellucidi,
Mellis infunde libras quinque plus parum.
Confice hoc pacto; Succos dissolue priùs
In melle calido, atque resinam optimè.
Cuncta alijs asperges arida,
In vnitatem sic coactis omnibus,
Dabis rogantibus instar nucis Ponticæ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περί τινων ἄλλων ἀντιδότων τῶν ὑπὸ Δαμοκράτους γεγραμμένων.

Εφεκτικὴν δ' ἀντίδοτον εἰ βούλει ποιεῖν,
Αἵματος ἄνω τε καὶ κάτω πολλοῦ φορᾶς,
Ταύτην ἀκριβῶς σκευάσας, ἕξεις καλὴν,
Κρόκου Κιλικίου τοῦ καλοῦ καὶ προσφάτου
Δραχμὰς δὶς η'. καὶ ὀπίου, μηκωνείου,
Λιβάνου τ' ἀτμήτου, καὶ καθαρᾶς σμύρνης ἴσον,
Πάντων ἑκάστου πάλιν δραχμὰς ις'.
Φλοιοῦ δὲ ῥίζης μανδραγόρου δὶς δ'.
Υοσκυάμου δὲ σπέρματος τρὶς δ'.
Τρὶς β'. δραχ. μηκωναρίου τοῦ σπέρματος,
Τρεῖς κινναμώμου τοῦ καλοῦ δραχμὰς σταθμῷ.
Ροὸς δὲ χυλοῦ Παταρικῆς, ἢ Συριακῆς
Τρὶς κε'. καὶ ἑτέρας δὶς δώδεκα.
Σκεύαζε δ' οὕτω, τὸν κρόκον κεκαθαρμένον,
Απόβρεχε δ' οἴνῳ Κρητικῷ λευκῷ γλυκεῖ
Δίδου β'. τὸ πλεῖστον ἡμέρας. ὅταν ἴδῃς
Μαλακὸν ἄγαν εὔτριπτον εἰς ἴγδην βαλὼν,
Λέαινε τῷ δοίδυκι, καὶ λεῖον ποιῶν,
Πρόσβαλλε τὸν ὀπὸν τὸν λίβανον τῇ σμύρνῃ.
Χυλὸν δ' ὁμοίως κατ' ἰδίαν τὸν τοῦ ῥοὸς
Διάβρεχε καὶ πρόσβαλλε τοῖς εἰρημένοις,
Καὶ πάλιν ἑνώσας λεῖα καὶ σεσησμένα,
Τὰ λοιπὰ πάντα προσαποδώσεις μίγματα,
Εφθοῦ τε μέλιτος Ἀττικοῦ βαλὼν βραχὺ,
Πάλιν λέαινον ὡς γενέσθ' ἓν φάρμακον
Ἐκ τῆς θυίδος εἰς ὑαλοῦν ἀγγεῖον,
Καὶ κασσιτερινὸν μετακόμιζ' ἠλειμμένον.
Δίδου δὲ τοῖς μὲν ἐκ φάρυγγος καὶ γαστέρος
Ανάγουσι καὶ θώρακος, ἔτι δὲ πνεύμονος,
Τριώβολον τὸ πλῆθος, ἢ μικρῷ πλέον
Εν τρισὶ κυάθοις κράματος κεκραμένου.
Οἴνου δ' ἀπὸ μύρτων καὶ ὕδατος τοῦ ἀπολύτου,
Τοῖς ἀπὸ νεφρῶν οὐροῦσιν, ἢ τῆς κύστεως,
Δίδου λέον τε φαρμάκου κεκραμένου.
Απὸ νήστεώς τε καταφέρει καὶ κώλου,
Λεπτῶν τε πάντων ἐντέρων τῆς θ' ὑστέρας,
Τοῦ φαρμάκου δίδου μὲν ὡς δραχμὴν μίαν.
Δι' ὕδατος ὀμβρίου δὲ τοῖς πυρουμένοις,
Απυρέτοισι δὲ καὶ διὰ κράματος δίδου,
Ητοι δ' ἀπὸ μύρτων, ἢ γλυκέος τοῦ Κρητικοῦ.
Εἰ δέ τις ἔχειν βούλοιτο μὴ πολυμίγματον
Αντίδοτον, ἀλλ' ἔχουσαν ὀλίγα μίγματα
Ταύτην ἀκριβῶς σκευάσας, ἕξει καλὴν
Πρὸς τοὺς ἀτόνους στομάχους τε καὶ ἀνορέκτους,
Καὶ τοὺς καχέκτας, τούς τ' ἀπεπτοῦντας ταχύ.
Πρὸς πάνθ' ἁπλῶς ἀλγήματα, κύτος
Κεχρονισμένον τε καὶ κατασκευὴν ἔχον.
Ταύτῃ Τιβέριον τὸν Σεβαστὸν χρώμενον
Λέγουσιν, ἄλλην μὴ πεπωκέναι ποτέ.
Εχει δὲ μέλανος πεπέρεως πέντ' οὐγγίας,
Κροκομάγματος ιε'. καὶ ῥόδων ι'.
Σεσησμένα ταῦτα πάντα μέλιτ' ἀναλάμβανε.
Αλλη ποιοῦσα ταυτὰ τῇ προγεγραμμένῃ.
Εχει δὲ ῥόδων μὲν οὐγγίας δὶς τέσσαρας,
Κεκομμένα ταῦτα πάντα καὶ σεσησμένα,

CAPVT V.

De quibusdam aliis antidotis à Damocrate descriptis.

B

AT si voles tibi antidotum componere,
Quæ sanguinis supra infráq; arcet impetum:
Hanc si accuratè facis, habebis optimam.
Croci Cilicij tum recentis, tum boni
Drachmas bis octo, & tantundem opij;
Thurisque non secti, puræ myrrhæ pares,
Cuiusque rursus drachmas sexdecim,
Corticum & octo radicis mandragoræ,
Hyoscyami seminum ter quatuor.
Bis ternas adde seminum papaueris.
Tres boni cinnamomi drachmas pondere.
C Succi Pataricæ, aut Syriacæ rhois
Ter viginti quinque, alterius bis duodecim.
Miscebis ita. Primò selectum crocum
Cretico, & albo & dulci vino madeat,
Ad summum dies duos. Quum fracidum videris
Et mollem valdè, conijce in mortarium,
Et cochleari subige, dum læuigatum facis,
Adiunge myrrhæ, thus simul, & opium.
Seorsum rhois succus madescat quoque,
Quem maceratum prædictis adijcies.
At vnione facta læuiga & cribro
Iniecta reliqua permiscebis omnia,
D Coctique mellis temperans pauxillulum
Rursus teras vt vnum fiat pharmacum.
Aceruum è mortario in vas vitreum,
Vel stanno factum, transferes, & oblines.
Ex hoc ijs dabis, qui sanguinem reijciunt
In ventre, gutture, pectore, pulmone,
Quantum tres oboli pendunt, aut plus parum
E tribus vini cyathis diluti.
Sed qui remittunt ex vesica aut renibus,
Nonnulla vino myrtorum absque aqua addita,
Iis temperatum propinato pharmacum.
Quod si ieiunum, siue intestinum aliud
E Subtile, siue colon, siue vterus fluet,
Huius antidoti, quantum est drachma, dato.
Febriat si quis, pluuia ex aqua;
Non febrienti, ex vino dabis quoque
Diluto, vel myrtaceo, vel dulci Cretico.
Si quis non multis mixtam habere velit,
Sed paucis conditam antidotum rebus,
Istam componat sedulus aptissimam
Infirmo stomacho, nec appetenti cibum,
Squallidis, macris, tardè concoquentibus,
Dolores omnes inueteratos pectoris,
Et ventris tollit infixos iam diu.
Ferunt Augustum hac vsum Tiberium,
F Vllam nec vnquam perbibisse aliam.
Continet nigri piperis quinque vncias,
Crocomagmatis quindecim, rosæ decem,
Excussa cribro excipe melle omnia.
Alia faciens ad eadem, quæ & prior
Rosarum constat vncijs bis quatuor.
Contusa ea omnia, & per cribrum adacta,

Melle

A *Melle despumato excipe valdè bono.*
Ad magnitudinem ex hac Ponticæ nucis dabis
Cum mulso, vel recenti melicrato,
Benè decocto, & spumato benè.
Percussis à serpentibus, seu venenum
Epotis, exhibe nux quantum continet
Regia, cum septem vini cyathis diluti.

Pastilli rosacei confectio.

Hoc te oportet pulchrè struxisse prius
Quo dicam modo. Recentes carpe rosas.
Carptas siccato in vmbra dies duos,
B *Vel tres ad summum. Tres inde libras cape,*
Et tunde missas in pilam, quantum est satis.
Schœni viginti bísque sex myrrhæ benè
Contusæ, drachmas bis quatuor adde croci.
Inspergens simul commiscebis omnia,
Rotulas fingens magnas siccatas bene.
Desumens quantum satis in antidotum.

Crocomagmatis compositio.

Crocomagma si bonum nimis desideras,
Para studiosè. Ciliciј drachmas croci
Centum, miscebis myrrhæ pinguis simul
Bis xxv. tantundem siccatæ rosæ,
C *Sed candidi amyli l. pares gummeos:*
Iam amylum contunde cribrans curiosiùs,
Addes odori vini insulsi paululum,
Quo quum madescant rotulas fingas, frigera.
Et quum est necesse, vtere vt bono Crocomagmate.

Antidotus Prognostica.

Prognosticam Antidotum ita conficies.
Quam præbibentes, si venenum sumant,
Euoment ipsum statim, & cibum simul.
At qui timent ceu noxium iam ingesserint,
Hanc si superbibant, cibum cum pharmaco
D *Quod sumpserint, reddent vomitionibus.*
Quòd si nil prauum, nil noxium, inter
Dapes propositas sumpserit, nauseam
Ne sentit quidem, atque epulum retinet.
Hæc quoque medicina ad dolores facit
Lateris, dorsi, renum, & vesicæ. Impetum
Sanguinis cohibet absque molestia,
Vndecunque feratur, etiam è pulmone.
Ita præparato. Lemniam terræ bonæ,
Quæ quòd caret signo aparacharactos dicitur,
Drachmam vnam atque obolos constitue duos.
Æquent iuniperi baccæ drachmas duas.
E *Dissolue diù fundens olei parum,*
Quod dulce, & bonum, quódque sit recens satis.
E mulsa, quantum nux Pontica magna est,
Offeres, quibus offerre hanc erit opus.
Si profluentem sistere voles sanguinem,
E mulso aceto quod diu ferbuit, dabis.

CAPVT VI.

De Antidotis ab Asclepiade conscriptis in quinto Internarum affectionum libro, qui Asonis inscribitur.

F VOcare itaque consuetudo est iunioribus Medicis antidotos, non modo remedia quæ aduersus lethalia venena exhibent; sed etiam quæ ad virulentarum ferarum morsus, ac præterea prauos affectus, præsertimque diuturnos, alicui visceri insidentes, aut abscessus. Quum autem trifariam de ipsis Asclepiades disciplinam secue-

Αναλάμβαν' ἑφθῷ μέλιτι τῷ λίαν καλῷ,
Δίδου καρύου τὸ μέγεθος τοῦ Ποντικοῦ,
Μετ' οἰνομέλιτος, ἢ μελικράτου προσφάτου,
Εψημένου καλῶς τε καὶ πεφεισμένου,
Τοῖς θηριοδήκτοις, ἢ τὰ δηλητήρια
Πεπωκόσι προσένεγκε καρύου τὸ μέγεθος
Τοῦ βασιλικοῦ, μεθ' ἑπτὰ κυάθων κράματος.

Ροδίδος σκευή.

Αὐτὸν δ' ἐπιμελῶς δεῖ σε προδιασκευάσαι
Οὕτως ἀκριβῶς, ῥόδα λαβὼν τὰ πρόσφατα,
Τὸ φύλλον αὐτῶν ἐν σκιαῖς δυσὶ ψύξον,
Η τρισί, τὸ πλεῖστον, ἡμέραις, στήσας τε τρεῖς
Λίτρας, ἀπ' αὐτῶν ὅλμῳ κόπτων συμμέτρως,
Σχοίνου τε δραχ. κ'. εὖ κεκομμένης
Σμύρνης δέκα δύο καὶ κρόκου δὶς τέσσαρας,
Προσέμπασσον, καὶ κόπτε πάνθ' ὁμοῦ πάλιν
Ποιῶν κυκλίσκους εὐμεγέθεις, ψύξον καλῶς,
Οὕτω θ' ὅσον δεῖ λάμβαν' εἰς τὸ φάρμακον.

Κροκομάγματος σκευασία.

Κροκόμαγμα δ' εἰ βούλοιο καλὸν ἔχειν ἄγαν,
Σκεύαζ' ἐπιμελῶς, Κιλικίου κρόκου δραχμὰς
Εκατὸν καταμίξεις, τῆς λιπαρᾶς σμύρνης ἅμα
Δὶς κέ. καὶ ῥόδων ξηρῶν ἴσον,
Αμύλου δὲ ν'. λευκοῦ κόμμεως
Ισας, ἄμυλον δὲ κόπτε σήσας ἐπιμελῶς,
Πρόσβαλλ' ἀθάλασσον οἶνον εὐώδη βραχύ,
Δεύσας ἐπιμελῶς κἀναπλάσας, ψύξον κύκλους
Καὶ χρῶ δεόντως, ὡς καλῷ κροκομάγματι.

Αντίδοτος προγνωστική.

Προγνωστικὴν δ' ἀντίδοτον οὕτως σκευάσεις,
Ην οἱ προλαβόντες ἂν λάβωσι θανάσιμον,
Εμέσουσιν αὐτὸν μετὰ τροφῆς παραυτίκα.
Οἱ δ' εὐλαβῶς ἔχοντες ὡς εἰληφότες,
Αν ἐπιλάβωσιν ἐξεμοῦσι τὴν τροφὴν,
Σὺν τῷ μετ' αὐτῆς καταποθέντι φαρμάκῳ.
Ο δὲ μηδὲν ἄτοπον, μηδὲ δηλητήριον,
Συγκαταπεπωκὼς τοῖς δοθεῖσι σιτίοις,
Οὐ ναυτιάσει, καὶ καθέξει τὴν τροφήν.
Ποιεῖ δὲ ταὐτὸ φάρμακον καὶ πρὸς πόνους
Πλευρῶν, μεταφρένων, κύστεως, καὶ τῶν νεφρῶν,
Επέχει τ' ἀλύπως αἷμα φερόμενον πολὺ
Οθεν ἂν ἐκφέρεται τοῦτο, κἂν ἐκ πνεύμονος.
Σκεύαζε δ' οὕτω, Λημνίαν ἔχων καλὴν
Απαραχάρακτον, τὴν ὁμοίως εἰρημένην
Στήσας ἀπ' αὐτῆς δύ' ὀβολοὺς δραχμὴν μίαν,
Αρκευθίδων τε τῶν λιπαρῶν δραχ. β'.
Λεαίν' ἐπὶ πολὺ, παραχέων χρηστὸν βραχὺ
Ελαιον ἱκανῶς πρόσφατόν τε καὶ γλυκὺ,
Διὰ μελικράτου δ' ὡς καρύου τοῦ Ποντικοῦ
Μέγεθος προσοίσεις, οἷς ἐχρῆν σε προσφέρειν.
Επέχειν δὲ πλεῖον αἷμα φερόμενον θέλων,
Δι' ὀξυμέλιτος σφόδρα καθεψθοῦ πρόσφερε.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῶν ὑπ' Ασκληπιάδου γεγραμμένων, κατὰ τὸ ε'. τῶν ἐντὸς παθῶν, ὃ Ασωνος ἐπιγράφεται.

ΚΑλεῖν μὲν οὖν ἔθος ἐστὶ τοῖς νεωτέροις ἰατροῖς ἀντιδότους, οὐ μόνον ὅσα πρὸς τὰ θανάσιμα φάρμακα διδόασιν, ἀλλὰ καὶ πρὸς τὰ τῶν ἰοβόλων θηρίων δήγματα, καὶ προσέτι πάθη, καὶ μάλιστα χρόνια, κατά τι τῶν σπλαγχνῶν, ἢ ἀποστήματα. τριχῇ δὲ τριχῇ τὴν διδασκαλίαν αὐτῶν ὁ Ασκλη-

πιάδης, πρῶτα μὲν ἔγραψεν ὅσα φησὶ τοῖς κατὰ περίοδον πυρέττουσιν ἁρμόττειν, ἅμα ταῖς καὶ συγχρίσματά τινα, καλεῖ γὰρ οὕτως αὐτὸς ἐφεξῆς προσγράψαι. ταῦτα μὲν οὖν ἅπαντα ληξιφάρμακα καὶ ληξιπύρετα καλεῖ. τὸ δὲ β΄. γένος αὐτῶν θηριακὰ φάρμακα, πρὸς λυσσοδήκτους, καὶ σκορπιοδήκτους, ἔτι τε τοὺς τε ὑπὸ φαλαγγίων δεδηγμένους, καὶ ἐχιδνῶν. τὸ δὲ τρίτον γένος τῶν φαρμάκων διχῇ τεμὼν καὶ αὐτὸ, τὸ μὲν ἕτερον αὐτῶν πρὸς τοὺς τὰ θανάσιμα πεπωκότας ὀνομάζει· τὸ δ᾽ ἕτερον προφυλακτικὸν θανασίμων φαρμάκων, οὐ κατὰ τὴν αὐτὴν τάξιν τῷ Ἀνδρομάχῳ τὴν διδασκαλίαν ποιησάμενος. ἐκεῖνος γὰρ, ὡς ἐν ἀρχῇ τοῦδε τοῦ γράμματος εἴρηταί μοι κατὰ τὴν ἐντὸς ἐπιγραφομένην τῶν βιβλίων αὐτοῦ, προτάξας ἀντίδοτα πάντα, ἐφεξῆς γράφει τὰ πινόμενα φάρμακα πρὸς ἡντιναοῦν διάθεσιν, οὐ μόνον ἀποστημάτων, ἢ θανασίμων φαρμάκων, ἢ θηρίων ἰοβόλων, ἀλλὰ κἂν ἔμβρυον ἐκβαλεῖν δέῃ, καὶ τοῦτο τὸ φάρμακον ἀντίδοτον ὀνομάζει, καὶ πρὸς σπάσματα, καὶ ῥήγματα, καὶ συνελόντι φάναι, πρὸς πάντα τὰ ἐντὸς πάθη, περὶ ὅ τι ἂν ᾖ μέρος τοῦ σώματος ἡ σύστασις αὐτῶν γεγενημένη. τὰ δὲ πρὸς τὰ τοιαῦτα πάθη πινόμενα φάρμακα, καὶ ποτίσματα κέκληκεν ὁ Ἀσκληπιάδης ἐν τῷ δ΄. τῶν Ἄσωνος κατὰ τὸ τέλος αὐτὰ γεγραφώς. ὑστάτας μὲν οὖν ἔγραψεν ἀντιδότους ὁ Ἀσκληπιάδης ἐπὶ τῇ τελευτῇ τοῦ ἐν Ἄσωνος, τὰς πρὸς τοὺς τὰ θανάσιμα πεπωκότας, ἢ προφυλακτικὰ τοῦ μηδὲν παθεῖν ὧν πίωσιν. ἐγὼ δὲ πρώτας ἐνταῦθα γράψαι τὰς τοιαύτας ἔγνωκα, διά τε τὴν πρὸς τὰς γεγραμμένας κοινωνίαν, καὶ ὅτι πολύχρηστοι τυγχάνουσιν οὖσαι. καὶ γὰρ πρὸς τὰ ἀποστήματα καθ᾽ ὁποιονοῦν σπλάγχνον, καὶ μόριον ἐν τῷ βάθει κείμενον ἁρμόττουσι· καὶ πρὸς ἀτονίαν αὐτῶν ἔνιαι, καὶ πρὸς κακοχυμίαν, ἀνωδυνίαν τε καὶ πέψιν ἀπέπτων χυμῶν, δι᾽ ὅλης τῆς ἐπιφανείας κένωσιν ἄδηλον αἰσθήσει, καθάπερ καὶ τὰς αἰσθητὰς, δι᾽ οὔρων καὶ διαχωρημάτων, καὶ πτυσμάτων, ὅσα μετὰ βηχὸς συνεκκαθαίρει πνεύμονά τε καὶ θώρακα. τὰ πλεῖστα δ᾽ αὐτῶν καὶ λεπτύνειν τοὺς παχεῖς χυμοὺς πέφυκε, καὶ τέμνειν, καὶ ἀπορρύπτειν τοὺς γλίσχρους, οἷς ἕπεται καὶ τὸ τὰς ἐμφράξεις ὠφελεῖν, ὅσαι συνεχῶς μὲν καθ᾽ ἧπαρ εἰώθασι γίνεσθαι, συνίστανται δὲ καὶ κατὰ τὰ ἄλλα σπλάγχνα καὶ μόρια· σκοπὸς γὰρ ἐπ᾽ αὐτῶν ἐστι λεπτῦναί τε καὶ ἀπορρύψαι τοὺς χυμοὺς, ἀναστομῶσαί τε τὰ πεφραγμένα τῶν ἀγγείων πέρατα.

A rit. Prima quidem scripsit, quæ per circuitus febrientibus conuenire dicit, quum inunctiones quasdam (sic enim ipse vocat) deinceps adijcit. Atque hæc omnia lexipharmaca, & lexipyreta nuncupat. Secundum ipsorum genus, theriaca medicamenta aduersus rabiosorum morsus, & scorpionum ictus, prætereaque in phalangiorum, & viperarum morsus. Tertium autem medicamentorum genus, bipertito quoque id secuit, alterum iis qui lethalia biberunt *idoneum*; alterum ad lethalium medicamentorum præcautionem *proprium* appellat, non eodem ordine quo Andromachus disciplinã prosequutus. Ille siquidem, vt B per initia huius cõmentarij à me dictum est, quum interiore librorum ipsius inscriptione omnia antidota præposuisset, deinde medicamẽta subiungit, quę ad quemcunq; affectũ, non abscessuum duntaxat, aut lethaliũ medicamentorũ, aut virulentarũ ferarũ bibuntur; verùm si fœtum expellere oporteat hoc quoque medicamentũ antidotum nominat, item ad conuulsa, rupta, & vt vno verbo dicam ad omnes affectus internos, quacunque corporis parte constiterint. Quæ verò ad huiusmodi affectus bibuntur medicamenta, etiam potiones appellauit Asclepiades, in quarto Asonis ad finem C eas interpretatus. Quare postrema ad finem Asonis antidota Asclepiades conscripsit, quæ lethalibus potionibus assumptis auxiliantur; aut quæ, ne quid mali ab iis experiatur aliquis, præseruant. Ego verò tales antidotos primas hîc describere decreui; tum quòd cum descriptis communionem habeant; tum quòd vsum præstent multiplicem. Etenim ad abscessus cuiuscunque visceris & partis in alto sitæ conducunt. Nonnulla quoque ipsorum ad imbecillitatem, vitiosos humores, indolentiam conciliandam, & crudorum humorum concoctionem proficiunt. Insuper ad latentem D sensui per summa corporis tota euacuationem, quemadmodum ad eas conferunt quæ sensibus patent, per vrinas, aluum, & sputa, quæ cum tussi, & pulmonem, & thoracem pariter expurgant. Plurima verò ex iis crassos humores attenuare, incidere, & vitiosos abstergere solent, eóque obstructionibus succurrere, quæ frequenter in iecore oboriri consueuerunt. Fiunt etiam in aliis visceribus & partibus, in quibus hoc consilium dirigi debet, vt humores attenuemus, abstergamúsque & vasorum extrema reseremus.

ΚΕΦΑΛΑΙΟΝ ζ.

Ἀσκληπιάδου πρὸς τοὺς τὰ θανάσιμα πεπωκότας, ὡς αὐτὸς ἔγραψε κατὰ λέξιν.

Πρὸς τὸν τῆς μήκωνος ὀπόν.

Τοῖς μὲν οὖν τὸν τῆς μήκωνος ὀπὸν πιοῦσι, συνοίσει ὑδρέλαιον συνεχῶς θερμὸν διδόμενον πίνειν, καὶ ἀναγκαζόμενον ἐμεῖσθαι· ἢ θερμὸν ὕδωρ μετ᾽ ὀξυμέλιτος διδόναι, καὶ ἀναγκάζειν ἐμεῖν· ἁρμόσει δὲ καὶ διὰ κλυστῆρος τὴν κοιλίαν κενοῦν.

Πρὸς μηκώνιον.

Τοῖς δὲ μηκώνειον πίνουσιν, ἁρμόσει ἄκρατον πολὺ παραχρῆμα διδόμενον· ἢ πέπερι μετ᾽ οἴνου, ἢ κάρδαμον, ἢ καρδάμωμον. ἁρμόσει δὲ καὶ γάλα πίνειν ὄνειον, ἢ βόειον, καὶ τὰ περὶ τὴν κοιλίαν καταπλάττειν ἀλεύρῳ πυρίνῳ, ἢ κριθίνῳ ἑψημένῳ μετ᾽ οἴνου, καὶ κλύσμασι χρῆσθαι πραοτέροις.

E

CAPVT VII.

Asclepiadis antidota, ad eos, qui lethalia biberunt, vt ipse ad verbum scripsit.

Aduersus papaueris succum.

Itaque qui papaueris succum potauerint, iis conducet aquam cum oleo calentem sæpiùs potui dare, vomitúmque ciere; aut calidam aquam cum mulso exhibere, & ad vomitum irritare; conueniet etiam aluum clystere vacuare.

Ad meconium .i. Papaueris cocti succum.

F Qui meconium potarunt, iis merum copiosius statim exhibitum conuenit; aut piper cum vino; aut cardamum, vel cardamomum. Conducit etiam lac asininum bibere, aut vaccinum, & ventrem farina triticea oblinere, aut hordeacea vino cocta, & clysteribus vti mitioribus.

Ad

Ad aconitum.

Qui aconitum assumpserunt, ij rutæ manipulo cum vino meraciore læuigato, potóque adiuuantur. Item iure pinguis gallinæ.

Ad altercum.

Qui altercum, seu hyoscyamum biberunt, iis conducit lac potum, maximè tamen asininum, vel quodlibet aliud per se, & cum mulsa calida.

Ad coriandrum.

Qui viride coriandrum potauerunt, iis auxiliatur vinum meracum potum, & ius gallinaceum pingue.

Ad leporem marinum.

Qui leporem marinum assumpserint, iis prodest lac bibere, maximè asininum; sin minus, vaccinũ, aut caprinum. Dari autem debent esui etiam caules maluæ diligenter incocti, vel pulegij quantum manu comprehendi potest, cum passo triti, potandum; vel cyclamini radix trita cum vino; aut picis cedriæ obolus, aut semiobolus, passo subactus potui datur.

Ad toxicum.

Qui toxicum biberunt, eos vinum dulce adiuuat, oleum rosaceum, sanguis caprinus, semen napi contritum cum vino.

Ad ephemeron.

Qui ephemeron potarunt, eos iuuat succus polygoni, aut plantaginis, aut origani, aut thymi pars aliqua vino soluta.

Ad dorycnium.

Qui dorycnium hauserint, iis auxiliatur lac bubulum potum, & passum, & conchyliorum ius.

Ad fungos.

Fungis assumptis laborantibus, dentur raphani crudi, & quamplurimi edendi; dandum quoque vinum meracum, & lixiuij sarmentitij decoctum; nitrum cum aceto subactum; aut vsta vini fæx, tritáque cum aqua, potui datur; aut absinthium cum aceto; aut ruta trita cum aceto. Benefacit etiam ruta ipsa per se manducata.

Ad ixiam.

Qui verò ixiam epotarunt, iis succurrit absinthium potum cum vino, castorio, & ruta. Proderit etiam oxymel potare, & vomitiones ciere. Conferet origanum quoq; cum vino. Cæterùm vtendum est huiusmodi confectione. ℞. rutæ ʒ. vj. resinæ ʒ. iv. castorij ʒ. ij. chamæleontis cochlearia iij. Hæc contrita & calente aceto soluta propinato.

Ad buprestim.

Buprestí sorpta affectis opitulatur datus passi plurimi potus, ac deinde irritatus vomitus. Suillarum carnium ius decoctum; lac calidum plurimum edere, & ficuum decoctio potui data, aut nitri rubri ʒ. iv. tritæ mixtæque cum aqua, ac potæ.

Ad cantharides.

Qui cantharides deglutierunt, iis confert passum cum oleo bibere, & adipem coctum aqua percolatum, & ad vomitũ cogere; Confert etiam plurimum lactis potare, & strobilos plures edere; aut strobilos plurimos cum mulsa tritos potui dare; aut rutam in puluerem redactam, irinóque vnguento mixtam, bibendam exhibere; aut cantharidum alas pedésque cum melle tritos linctui dare.

A Πρὸς ἀκόνιτον.

Τοῖς δὲ ἀκόνιτον πεπωκόσι, βοηθεῖ ποθὲν πήγανον χειροπληθὲς, λεανθὲν μετ' οἴνου ἀκράτου, καὶ ζωμὸς ὄρνιθος λιπαρᾶς.

Πρὸς ὑοσκύαμον.

Τοῖς δὲ τὸν ὑοσκύαμον πιοῦσι, συμφέρει γάλα ποθὲν, μάλιστα μὲν ὄνειον. εἰ δὲ μὴ, ἄλλο κατ' ἰδίαν, καὶ μετὰ μελικράτου θερμοῦ.

Πρὸς κορίανον.

Τοῖς δὲ χλωρὸν κορίανον πιοῦσι, βοηθεῖ οἶνος ἄκρατος ποθεὶς, καὶ ζωμὸς ὄρνιθος λιπαρᾶς.

B Πρὸς λαγωὸν θαλάττιον.

Τοῖς δὲ λαγωὸν θαλάττιον εἰληφόσιν, ἁρμόττει γάλα πίνειν, μάλιστα μὲν ὄνειον, εἰ δὲ μή γε, βόειον, ἢ αἴγειον. δοτέον δὲ καὶ καυλοὺς μαλάχης ἑψημένους ἐπιμελῶς, φαγεῖν, ἢ γλήχωνος χειροπληθοῦς μετὰ γλυκέος τριβέντος πίνειν· ἢ κυκλαμίνου ῥίζαν τριβεῖσαν μετ' οἴνου· ἢ κεδρίας ὅσον ὀβολὸν ἑνὸς ἢ ἡμιωβόλιον, γλυκεῖ διεὶς πότιζε.

Πρὸς τοξικόν.

Τοῖς δὲ τοξικὸν πιοῦσι, βοηθεῖ οἶνος πινόμενος γλυκὺς, καὶ ῥόδινον ἔλαιον, καὶ αἴγειον αἷμα, καὶ σπέρμα βουνιάδος τριβὲν μετ' οἴνου.

C Πρὸς ἐφήμερον.

Τοῖς δὲ ἐφήμερον πεπωκόσι, βοηθεῖ χυλὸς πολυγόνου, ἢ ἀρνογλώσσου, ἢ ὀριγάνου, ἢ θύμου μέρος τι οἴνῳ διαλυθέν.

Πρὸς δορύκνιον.

Τοῖς δὲ δορύκνιον πιοῦσι, βοηθεῖ γάλα βόειον ποθὲν, καὶ γλυκὺ, καὶ ζωμὸς κογχυλίων.

Πρὸς μύκητας.

D Τοῖς δὲ μύκητας εἰληφόσι, δοτέον ῥαφανίδας ὠμὰς, ὥστε πλείστας ἐσθίειν· δοτέον καὶ οἶνον ἄκρατον, καὶ κονίας κληματίνης ἀφέψημα, καὶ νίτρον λεανθὲν μετ' ὄξους· ἢ τρύγα οἴνου καύσας, καὶ τρίψας μεθ' ὕδατος, δίδου πίνειν· ἢ ἀψίνθιον μετ' ὄξους· ἢ πήγανον λεῖον μετ' ὄξους· ποιεῖ δὲ καὶ αὐτὸ καθ' αὑτὸ ἐσθιόμενον πήγανον.

Πρὸς ἰξίαν.

Τοῖς δὲ τὴν ἰξίαν πεπωκόσι, βοηθεῖ ἀψίνθιον πινόμενον μετ' οἴνου καὶ καστορίου, καὶ πηγάνου. συνοίσει δὲ καὶ ὀξύμελι ποτίζειν, καὶ ἀναγκάζειν ἐμεῖν. συνοίσει δὲ καὶ ὀρίγανον μετ' οἴνου. χρηστέον δὲ καὶ τῇ τοιαύτῃ σκευασίᾳ. ℞. πηγάνου < ϛʹ. ῥητίνης < δʹ. καστορίου < βʹ. χαμαιλέοντος κοχλιάρια γʹ. ταῦτα τρίψας
E καὶ ὄξει θερμῷ διαλύσας, πότιζε.

Πρὸς βουπρῆστιν.

Τοῖς δὲ τὴν βουπρῆστιν πεπωκόσι, βοηθεῖ διδόναι γλυκὺ πλεῖστον πίνειν, καὶ ἀναγκάζειν ἐμεῖν· καὶ ζωμὸν καθεψημένον κρεῶν ὑῶν, καὶ θερμὸν γάλα, καὶ σῦκα ἄπληστα φαγεῖν. καὶ ἀφέψημα σύκων δοτέον πίνειν, ἢ νίτρου ἐρυθροῦ < δʹ. λεάνας καὶ μίξας ὕδατι δίδου πίνειν.

Πρὸς κανθαρίδας.

Τοῖς δὲ κανθαρίδας πεπωκόσι, συμφέρει πίνειν γλυκὺ μετ'
F ἐλαίου, καὶ στέαρ ἑφθὸν, ὕδατι διηθημένον, καὶ ἀναγκάζειν ἐμεῖν. συμφέρει δὲ καὶ γάλακτι πολλῷ ποτίζειν, καὶ κώνους πλείονας τρώγειν· ἢ κώνους πλείστους τρίψας μετὰ μελικράτου δίδου πίνειν· ἢ πήγανον λεάνας, καὶ ἰρίνῳ μύρῳ μίξας, δίδου πίνειν· ἢ τῶν κανθαρίδων τὰ πτερὰ καὶ τοὺς πόδας σὺν μέλιτι τρίψας, ἐκλείχειν δίδου.

A

Πρὸς ψίλωθρον.

Τοῖς δὲ ψίλωθρον πιοῦσι, συμφέρει θερμῷ ἐλαίῳ ποτίζειν, καὶ ἀναγκάζειν ἐμεῖν. συνοίσει δὲ καὶ γάλα αἴγειον πίνειν, καὶ μαλάχης ἑφθῆς χυλὸν μετὰ μελικράτου θερμοῦ, ἢ μετ' ἐλαίου· ἢ ἰσχάδων ἀφέψημα μετ' ἐλαίου, ἢ σήσαμον μετ' οἴνου τρίψας, δίδου πίνειν· ἢ κάρυα βασιλικὰ ε΄. λεάνας μετ' ἐλαίου δίδου· ἢ τέφρας κληματίνης ἀπήθημα δίδου πίνειν.

Πρὸς λιθάργυρον.

Τοῖς δὲ λιθάργυρον πεπωκόσι, βοηθεῖ πέπερι, σέλινον, B
σμύρνα, μετ' οἴνου λεωθέντα, καὶ πινόμενα.

Πρὸς γύψον.

Τοῖς δὲ γύψον πιοῦσι, δοτέον πίνειν τέφρας κληματίνης ἀπήθημα, καὶ θύμον μεθ' ὕδατος τριβέντα.

Πρὸς τὰς τοῦ γάλακτος ἐνθρομβώσεις.

Πρὸς δὲ τὰς τοῦ γάλακτος ἐνθρομβώσεις συμφέρει ποτίζειν ὄξος· διδόναι δὲ χρὴ καὶ πιτυὰν μεθ' ὕδατος κρηναίου,
ἢ σιλφίου, καὶ θείου τὸ ἴσον λεανθέντα μετ' ὀξυκράτου διδόναι C
πίνειν.

Πρὸς ταύρειον αἷμα.

Τοῖς δὲ ταύρειον αἷμα πιοῦσι, συμφέρει ὄξος θερμὸν διδόναι πίνειν, καὶ ἀναγκάζειν ἐμεῖν, ἢ σιλφίου ὀβολόν, ἢ ἡμιωβόλιον, ἢ νίτρου διώβολον, διεὶς οἴνῳ διδόναι πίνειν· ἢ ἐρινεῶν καρπὸν τρίψας μετ' ὄξους δίδου. ἁρμόσει δὲ καὶ τὴν κοιλίαν κενοῦν, καὶ θερμίνῳ ἀλεύρῳ, καὶ νίτρῳ, ἑψημένοις μετ' ὀξυμέλιτος καταπλάττειν.

Πρὸς βδέλλας.

Τοῖς δὲ βδέλλας καταπιοῦσιν, οἱ μὲν ἅλμην παρῄνουν D
B ♃. Myrrhæ ʒ. iv. piperis longi, vel albi ʒ. ij. meconij ʒ. ij. castorii obolos iij. ß. cardamomi ʒ. iv. sagapeni ʒ. ij. trita cum aqua in pastillos cogantur, qui obolos ij. pendeant, quibus morbus circuitu remeat, cum vini cyathis duobus Adriani, vel Aminæi, & aquæ fontanæ decoctæ cyathis iv. si febris vrget, cum hydromelite; valet etiam ad reliquas periodos. Quoniam verò Asclepiades, & Damocrates ad eos, qui virulento quodam animali morsi, punctiue sunt, vnà cum prædictis medicamentis remedia adscripserunt; mihi quoque satius visum est impræsentiarum ordine ea apponere, ac prima sanè quæ ad Asclepiadem authorem referuntur.
C

CAPVT XI.

Quæ Asclepiades in quinto Asonis tradiderit ad virulentorum animalium noxas.

Potio à rabiosorum morsu præseruans admodum generosa.

♃. LYcii Indici quàm optimi obolos iij. cum aqua propinato; item herbæ sacræ exiguum implicatum diebus sat multis dato. Iam & sine aqua lycium ouo sorbili inditum porrigitur.
D

Alia.

♃. Castorii ʒ. j. rosacei albi cyathum da potui, secundo die etiam intermisso, immittes absinthio decocto sale iniecto tantisper, vt quod diluitur, sit vehementius. *Antonini Coi.* Alysson herbam contusam, cribratámque reponito; in vsu, dato cochleare à rabioso morsis, cum aquæ & hydromelitis cyathis iij. ab vno die; præstat ad xl. vsque, sin minus ad primos dies septem exhiberi. Alyssus autem herba est marrubio persimilis, asperior autem & magis spinosa est circa
E galbulos, florem fert ad cæruleum spectantem. Hæc legenda est sub æstu caniculæ; siccata, contundi, cribrari, seruarique debet, ne difflетur. *Alia celebris admodum.* ♃. Tegminis cancrorum fluuiatilium in sarmentis albæ vitis vstorum tritorúmque mystra x. radicis gentianæ mystra iij. terebinthinæ mystra ij. dato morsis statim cum vini meracioris vetusti cyathis iij. vel paulò ampliori vel pauciori; nam pro ætate, & viribus morsorum metiri conuenit; propinato ad triduum; qui autem post primum, aut secundum, aut etiam tertium diem medicamentum sunt assumpturi, in iis
F conandū est, vt quod semel die exhibetur, id triplicatum duplicatúmque ex medicamento exhibeatur; etenim vinum sufficit. Expletis autem qui restãt diebus, cancrorum fluuiatilium mystrum j. dabitur; gentianæ mystra ij. ad alios dies iij. cum tribus vini cyathis. Quod autem dicitur eiusmodi est. Statim commorsis dato cancrorum mystrum, gentianæ mystra ij. & vini meraci cyathos iij.

quotidie

quotidie ad dies sex. At si quis curationem procrastinauerit, siquidem secundus dies est, duplum medicamenti capere oportet, nam vinum abundè est; si tertius, triplum. Posthæc ter ad alios dies capiat, quæ consuetudo est singulis diebus assumere. Medicamentum potum, magnam securitatem conciliat, ne in hydrophobiam .i. *aquæ metum* incidant.

Cratippi viri & celebris, & canum altoris.

℞. Cancrorum ʒ. xx. myrrhæ ʒ. ij. croci ʒ. j. ß. gentianæ ʒ. j. piperis albi gr. x. vini quod ad excipiendum satis est. Dosis ʒ. j. cum vini cyathis tribus temperati.

Aliud, quo vsus est Heras Cappadox.

℞. Scordii ʒ. ij. piperis albi ʒ. ij. ß. opii ʒ. iij. succi Cyrenaici ʒ. iij. ß. canchryos ʒ. iv. gentianæ, seminis rutæ syluaticæ, minii Lemnii, singulorum ʒ. v. myrrhæ drach. vij. opobalsami drach. viij. Præpara hæc vino, & excipe melle cocto; postea opobalsamum adiicito; dato valentioribus fabæ Ægyptiæ duplum, & aquæ calidæ cyathos iij.

Aliud Ælij Galli, ut Belchionius aiebat, à Cæsare acceptum.

℞. Polij, succi Cyrenaici, vtriusque ʒ. iij. ß. canchryos, rutæ syluestris seminis, singulorum ʒ. iv. gentianæ, minij Lemnij, singulorum ʒ. v. myrrhæ ʒ. vj. vel vij. opobalsami ʒ. viij. scordii, piperis, singulorum ʒ. xij. melle excipito.

Antidotus Zenonis Laodicæi ad rabiosorum morsus, est etiam bona theriaca.

℞. Seminis Petroselini, ammeos, anisi, serpilli, bryoniæ radicis, seminis fœniculi, erui farinæ, aristolochiæ longæ, seminis trifolij, opopanacis, fibrarum cardamomi sine medulla, singulorum ʒ. iv. opopanax vino solutus in promptu habeatur; arida contusa, & tenui cribro increta, consperguntur, & opopanaci miscentur, inde pastilli finguntur, siccantúrque in vmbra. Dato morsis à rabioso ʒ. j. cum ternis vini meraci cyathis ad triduum; iis autem qui iam detinentur, cum aqua frigida propinatur. Medicamentum ad Dionysium Milesium refertur.

Claudij Apollonij medicamentum ad rabiosorum morsus idoneum, est etiam theriaca.

℞. Seminum trifolij, radicis fœniculi vtriusque ʒ. vj. foliorum siccorum scillæ, aristolochiæ longæ, singulorum ʒ. v. scinci, ramorum serpilli, an. ʒ. iv. cardamomi purgati, glychyrrhizæ, singulorum ʒ. iij. ammeos, radicis rutæ, singulorum ʒ. ij. opopanacis, succi Cyrenaici, singulorum ʒ. j. vini Falerni sextarios iij. cancrorum marinorum crematorum lib. iij. In vino madescere finito, ac vbi combiberint, trita diligenter in procinctu habeto, arida verò tunsa & tenui cribro increta, mixtáque cancris, in pastillos redigito: ac tres obolos cum vini meraci sesquicyatho ad dies tres propinabis. Atque de his tantum. Porrò connectendæ ijs sunt confectiones quæ extrinsecùs imponuntur.

Menippi ad rabiosorum morsus, quo vsus est Pelops.

℞. Picis Brutiæ lib. i. opopanacis ℥. quatuor, aceti sextarium j. opopanacem etiam diluito in aceti cyathos quatuor, quod restat liquidum, cum pice incoquito, & vbi consumpta *fuerint,*

A καθ' ἑκάστην ἐπὶ ἡμέρας ϛ'. εἰ δέ τις ἀφυστερήσῃ τῆς θεραπείας, εἰ μὲν δευτεραῖος εἴη, λαμβανέτω τοῦ φαρμάκου τὸ διπλοῦν, ὁ γὰρ οἶνος αὐτάρκης. εἰ δὲ τριταῖος, λαμβανέτω τριπλοῦν. μετὰ δὲ ταῦτα τρεῖς ἐπ' ἄλλας ἡμέρας λαμβανέτω, ὅσπερ ἔθος ἔχει, καθ' ἑκάστην ἡμέραν λαμβάνειν. τὸ φάρμακον ποθὲν, ἰσχυρὰν ἀσφάλειαν ποιεῖ, ὥστε μὴ περιπεσεῖν τῷ ὑδροφόβῳ.

Κρατίππου ἀνδρὸς, καὶ ἐπισήμου καὶ κυνοτρόφου.

℞. Καρκίνων < κ'. σμύρνης < β'. κρόκου < α' S. γεντιανῆς < α'. πεπέρεως λευκοῦ κόκκους ι'. οἴνου ὅσον ἐξαρκεῖ εἰς ἀνάληψιν. ἡ δόσις < α'. μετ' οἴνου κυάθων γ'. κεκραμένου.

B Ἄλλη, ᾗ ἐχρήσατο Ἡρᾶς ὁ Καππαδόκης.

℞. Σκορδίου < β'. πεπέρεως λευκοῦ < β' S. ὀπίου < γ'. ὀποῦ Κυρηναϊκοῦ < γ' S. κάγχρυος < δ'. γεντιανῆς, πηγάνου ἀγρίου σπέρματος, μίλτου Λημνίας, ἀνὰ < ε'. σμύρνης < ζ'. ὀποβαλσάμου < η'. σκεύαζε οἴνῳ, καὶ ἀναλάμβανε μέλιτι ἑφθῷ, ὕστερον ἐπιβαλὼν τὸ ὀποβάλσαμον, καὶ δίδου εὐτονωτέροις κυάμου Αἰγυπτίου τὸ διπλοῦν, καὶ ὕδατος θερμοῦ κυάθους γ'.

Ἄλλη Αἰλίου Γάλλου, ὡς Βελχιόνιος ἔφη παρὰ Καίσαρος εἰληφέναι.

C ℞. Πολίου, ὀποῦ Κυρηναϊκοῦ, ἀνὰ < γ' S. κάγχρυος, πηγάνου ἀγρίου σπέρματος, ἀνὰ < δ'. γεντιανῆς, μίλτου Λημνίας, ἀνὰ < ε'. σμύρνης < ϛ'. ἢ ζ'. ὀποβαλσάμου < η'. σκορδίου, πεπέρεως, ἀνὰ < ιβ'. μέλιτι ἀναλάμβανε.

Ζήνωνος Λαοδικέως λυσσοδήκτοις. ἔστι δὲ καὶ θηριακὴ ἀγαθή.

℞. Πετροσελίνου σπέρματος, ἄμμεως, ἀνίσου, ἑρπύλλου, βρυωνίας ῥίζης, μαράθρου σπέρματος, ὀροβίνου ἀλεύρου, ἀριστολοχίας μακρᾶς, τριφύλλου σπέρματος, ὀποπάνακος, καρδα-
D μώμου τὰς λοβοὺς χωρὶς τῆς ἐντεριώνης, ἀνὰ < δ'. τὸν ὀποπάνακα οἴνῳ διαλύσας, ἔχε ἐν ἑτοίμῳ· τὰ δὲ ξηρὰ κόψας καὶ σήσας λεπτῷ κοσκίνῳ, φυράσας καὶ τῷ ὀποπάνακι μίξας, ἀνάπλασσε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ, καὶ δίδου λυσσοδήκτοις < α'. μετ' οἴνου ἀκράτου κυάθων γ'. ἐπὶ ἡμέρας γ'. τοῖς δὲ ἤδη κατεχομένοις, δίδου μεθ' ὕδατος ψυχροῦ. τὸ φάρμακον εἰς Διόνυσον ἀναφέρεται τὸν Μιλήσιον.

Κλαυδίου Ἀπολλωνίου φάρμακον ἐπιτετευγμένον λυσσοδήκτοις. ἔστι καὶ θηριακή.

E ℞. Τριφύλλου σπέρματος, μαράθρου ῥίζης, ἀνὰ < ϛ'. σκίλλης τῶν φύλλων ξηρῶν, ἀριστολοχίας μακρᾶς, ἀνὰ < ε'. σκίγκου, ἑρπύλλου κλάδων, ἀνὰ < δ'. καρδαμώμου κεκαθαρμένου, γλυκυρρίζης, ἀνὰ < γ'. ἄμμεως, πηγάνου ῥίζης, ἀνὰ < β'. ὀποπάνακος, ὀποῦ Κυρηναϊκοῦ, ἀνὰ < α'. οἴνου Φαλερίνου ξέστας γ'. καὶ καρκίνων θαλασσίων κεκαυμένων λίτρας γ'. εἰς τὸν οἶνον ἔα βρέχεσθαι, καὶ ὅταν συμπίωσι, λεάνας ἐπιμελῶς, ἔχε ἐν ἑτοίμῳ. τὰ δὲ ξηρὰ κόψας, καὶ σήσας λεπτῷ κοσκίνῳ, μίξας τοῖς καρκίνοις, ἀνάπλασσε τροχίσκους, καὶ δίδου τριώβολον μετ' οἴνου ἀκράτου κυάθου α' S. ἐπὶ ἡμέρας γ'. καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον. συναπτέον δὴ τού-
F τοις, καὶ τὰς τῶν ἔξωθεν ἐπιτιθεμένας σκευασίας.

Μενίππου πρὸς λυσσοδήκτους, ᾗ ἐχρήσατο Πέλοψ.

℞. Πίσσης Βρουτίας λίτρας α'. ὀποπάνακος ℥ο δ'. ὄξους ξέστην ἕνα. διάλυε τὸν ὀποπάνακα καὶ ὄξους κυάθοις δ'. καὶ τὸ λειπόμενον ὑγρὸν μετὰ τῆς πίσσης ἕψε, καὶ ὅταν ἀναλωθῇ,

ἐπίβαλλε τὸν ὀποπάνακα, καὶ τήρει μὴ ἀναζέσῃ· καὶ ὅταν εὖ ἔχῃ, ἐμπλάσας, ποίει σπληνία εὐμεγέθη, καὶ κατὰ τοῦ δήγματος ἐπιτίθει. δεῖ δὲ τὸ ἕλκος διαφυλάττειν ἐπὶ ἡμέρας μ'.

Μενελάου λυσσοδήκτοις, ποιεῖ καὶ πρὸς αἰγίλωπας καὶ παντὸς ἑρπετοῦ πληγήν.

℞. Νίτρου ἐρυθροῦ < β'. τρυγὸς οἴνου κεκαυμένης < ζ'. ἀμμωνιακοῦ θυμιάματος < ζ'. στέατος αἰγείου λίτρας α'. ἐλαίου λίτρας α' S'. κηροῦ λίτρας β'. ὕδατος ξέστην ἕνα. τρίβε ἀμμωνιακὸν μεθ' ὕδατος, ὥστε γλοιοῦ ἔχειν τὸ πάθος· τὸ δ' ὑπολειπόμενον τοῦ ὕδατος, ἕψε μετὰ νίτρου καὶ τῆς τρυγός. καὶ ὅταν συστῇ, ἐπίβαλλε τὰ τηκτά. καὶ ὅταν διαλυθῇ, ἄρας ἀπὸ τοῦ πυρὸς, ἐπίβαλλε ἀμμωνιακὸν, καὶ ἑκάτερα εἰς θυίαν, καὶ καταμαλάξας ἐπιμελῶς, ἀναλαβόμενος χρῶ. Λευκὴ Βαφύλλου, ἢ Ἥρα πρὸς λυσσοδήκτους ἔξωθεν ἐπιτιθεμένη, δίδοται καὶ καταπότιον ἐξ αὐτῆς καρύου Ποντικοῦ τὸ μέγεθος, καὶ καταπίνεται ἐπὶ ἡμέρας μ'. καὶ μάλιστα τοῖς κεκρατημένοις, ῥύεται γὰρ τοῦ κινδύνου. ἐπιτίθεται δὲ τῷ τραύματι, καὶ παρὰ μίαν ἡ λύσις γίνεται, καὶ διὰ τοῦτο δεῖ λύειν παρὰ μίαν, καὶ ἀποσπογγίζειν τὴν ἀπὸ τοῦ ἕλκους μελανίαν, καὶ τοῦτο ποιεῖν, ἄχρις οὗ λευκὸν παραμείνῃ τὸ φάρμακον. ἔχει δὲ οὕτως. ℞. Κηροῦ Ποντικοῦ λίτρας β'. λιθαργύρου, ψιμμυθίου, ἀνὰ λίτραν μίαν, ἐλαίου παλαιοῦ ξέστην ἕνα, σμύρνης, μυελοῦ ἐλαφείου, ἀνὰ < β'. λιβάνου ἄρρενος < α'. ἕψε τὴν λιθάργυρον ἐλαίῳ, καὶ ὅταν μεταβάλλῃ, κατάπασσε τὸ ψιμμύθιον, καὶ ἐπίβαλλε κηρόν· καὶ ὅταν ἀμόλυντος γίνηται, ὑφελὼν τὸ πῦρ, ἀποδίδου τὸν μυελὸν, ἐπιπάσσων σμύρναν, καὶ λιβανωτὸν, καὶ μαλάσσων χρῶ. Εν ἄλλαις γραφαῖς οὕτως ἔχει. ℞. Κηροῦ λίτρας β'. ψιμμυθίου, λιθαργύρου, ἀνὰ λίτραν μίαν, ἐλαίου παλαιοῦ ξέστην ἕνα, σμύρνης, λιβανωτοῦ, μυελοῦ ἐλαφείου, ἀνὰ < α'. ἐλαίου παλαιοῦ κοτύλην α'.

Εν ἄλλαις οὕτως ἔχει.

℞. Κηροῦ Ποντικοῦ λίτραν α'. ψιμμυθίου, λιθαργύρου, ἀνὰ < γ'. λιβάνου, σμύρνης, μυελοῦ ἐλαφείου, ἀνὰ ℥ο S'. < α'. ἐλαίου παλαιοῦ < δ'.

Βασιλικὴ πρὸς λυσσοδήκτους, φάρμακον ἐπιτετευγμένον, ὃ κωλύει περιπεσεῖν τῷ λεγομένῳ ὑδροφόβῳ. ταύτην Σεβαστὴ εἶχε συγκειμένην ἀεί.

℞. Αλὸς ἀμμωνιακοῦ, ὀποῦ Κυρηναϊκοῦ, ἀνὰ < β'. ἐὰν δὲ μὴ παρῇ Κυρηναϊκὸς, τοῦ Συριακοῦ τὸ διπλοῦν. πιτύας βάλλε λαγωοῦ < δ'. ἴρεως Ἰλλυρικῆς, καστορίου Ποντικοῦ, ἀνὰ < ε'. σύκων ὀλύνθων ὀποῦ πεπηγότος ξηροῦ, τὸ ἴσον. εἰ δὲ μὴ, ὑγροῦ τὸ διπλοῦν· στέατος ὑαίνης < η'. ῥητίνης τερμινθίνης < θ'. κυνὸς μελαίνης, ὑαίνης, ἀνὰ < ια'. κηροῦ Ποντικοῦ < λϛ'. ἐλαίου παλαιοῦ κυάθους δύο, ὄξους σκιλλητικοῦ κυάθους γ'. τὰ ξηρὰ τρίβε μετ' ὄξους, τὰ δὲ τηκτὰ τήκεται. εἶτα ἐπιβάλλεται τοῖς τετριμμένοις, καὶ εἰς χρῆσιν ἐπιτήδειον γίνεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Τὰ τῶν ἐντός τε, καὶ τῶν ἐκτὸς πρὸς σκορπιοδήκτους φάρμακα.

Πρὸς δὲ τὰς τῶν σκορπίων πληγὰς χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. σκορπιοδήκτοις, καὶ πρὸς φαλαγγίων δήγματα ἐχρήσατο Διόφαντος.

℞. Ἀριστολοχίας < δ'. πεπέρεως < β'. ὀπίου < α'. πυρέθρου < δ'. ἀνάπλαττε τροχίσκους κυάμου

A opopanacem addito, cura adhibita ne efferuescat; quum bene habuerit, emplastri modo splenia bonæ magnitudinis fingito, ac morsui imponito; oportet autem vlcus ad xl. dies apertum seruare.

Menelai ad rabiosorum morsus remedium efficax. Item ad ægilopas, & omnis serpentis ictum.

℞. Nitri rubri ʒ. ii. fæcis vini vstæ ʒ. vii. guttæ ammoniaci drach. vii. seui caprilli ℔. i. olei ℔. i. ß. ceræ ℔. ii. aquæ sextarium j. ammoniacum cum aqua terito, vt strigmenti habeat crassitudinem; quod restat aquæ cum nitro, &
B fæce incoquito. Vbi constiterint, ea quæ liquari possunt indito; postquam dissolueris, ab igne sublatis, ammoniacum iniicito, ac in mortarium defusa, emollitáque diligenter, excipiens in vsum ducito. *Album Baphulli vel Heræ, quod ad rabiosorum morsus extrinsecus imponitur; datur etiam catapotium ex eo nucis auellanæ magnitudine, & deglutitur ad dies xl. præsertim ab his, qui malo iam victi sunt; liberat enim à periculo. Imponitur autem vulneri, & die interposito soluitur, ac propterea diei interuallo soluendum est, ac nigrities ab vlcere per spongiam detergenda, idque faciendum est, vsque dum medicamentum album permaneat;*
C *sic autem habet.* ℞. Ceræ Ponticæ ℔. ii. spumæ lithargyri, cerusæ, singulorum ℔. i. olei veteris sextarium i. myrrhæ, medullæ ceruinæ, vtriúsque ʒ. ii. thuris masculi ʒ. i. Lithargyrum oleo coquitur, & quum mutatum fuerit, cerusa inspergitur, ac cera iniicitur. Vbi tam spissum euaserit, vt manus non inquinet, ab igne sublato, medulla iniicitur, myrrha & thus, emolliens vtitor. *In aliis scripturis sic habet.* ℞. Ceræ ℔. ii. cerusæ, lithargyri, singulorum lib. i. olei veteris sextarium i. myrrhæ, thuris, medullæ ceruinæ an. drach. i. olei veteris heminam 1.

D *In aliis ad hunc modum.*

℞. Ceræ Ponticæ lib. i. cerusæ, lithargyri, singulorum drach. iii. thuris, myrrhæ, medullæ ceruinæ, singulorum ℥. ß. ʒ. vnam, olei veteris drach. quatuor.

Basilice, ad rabiosorum morsus medicamentum accommodatum, quod ab aquæ metu asserit; hoc Augusta semper habebat compositum.

℞. Salis ammoniaci, succi Cyrenaici, an. ʒ. ii. si Cyrenaicus desideretur, Syriaci duplum, coaguli leporis ʒ. iv. ireos Illyricæ, castorii Pontici,
E vtriúsque ʒ. v. ficuum syluestrium succi coacti aridi tantundem, si desit, humoris duplum, adipis Hyænæ ʒ. viii. resinæ terebinthinæ ʒ. ix. canis nigræ, Hyænæ, vtriúsque ʒ. xi. ceræ Ponticæ ʒ. xxxvi. olei veteris cyathos ii. aceti scillitici cyathos iii. arida cum aceto teruntur; quæ liquefieri possunt, liquantur. Deinde contritis immittuntur; & in vsu redditur idoneum medicamentum.

CAPVT XII.

F *Remedia ad scorpiones sumenda & admouenda.*

Ad scorpionum ictus vtendum est subscriptis confectionibus. Diophantus etiam ad scorpionum ictus & phalangiorum morsus vsus est.

℞. Aristolochiæ ʒ. iv. piperis ʒ. ii. opii ʒ. j. pyrethri ʒ. iv. finguntur pastilli fabæ Ægyptiæ

Ægyptiæ magnitudine, dantúrque duo deglutiendi, & vini meraci cyathi ii.

Aliud ad scorpiones, & venenosa animalia.

℞. Aristolochiæ, zingiberis, vtriusque ʒ. viii. calaminthæ fructus, rutæ syluestris, singulorum tres obolos, piperis obolos ii. conspergito testudinis sanguine, & in pastillos trium obolorum cogito, datóque cum vino meraco.

Aliud.

℞. Cumini Æthiopici, sulphuris viui, piperis albi, singulorum ʒ. ii. castorii, laseris, trifolii, an. ʒ. i. vino formantur, & ex vino meraco offeruntur.

Ad eos qui periculosè icti sunt à scorpionibus, aut phalangiis, aut quolibet serpente.

℞. Rutæ syluestris fructus, seminis erucæ, pyrethri, styracis, sulphuris viui, singulorũ ʒ. vi. castorii ʒ. ii. sanguine testudinis fingito, ac ternos obolos ex vino meraco, aut aceti semi-hemina exhibeto.

Medicamentum anodynum ad scorpionum, phalangiorum, omnisque serpentis ictus efficax; benefacit etiam ægrè parturientibus; inscribitur autem Calliste. i. optimum.

℞. Myrrhæ, castorii, styracis, an. ʒ. vnam, opii ʒ ii. galbani ʒ. iii. seminis apii acetabulum, anisi tantundem, piperis ℈. xxx. forma ex vino, datóque ʒ. i. ex vini hemina i. medicamentum est præstantissimum.

Abascanti medicinam facientis Lugduni.

℞. Piperis albi ℈. xx. castorii, opii, croci, myrrhæ, ireos Illyricæ, staphidos syluestris, chamædryos, radicis bryoniæ, pyrethri, singulorum par pondus, vino formantur, ʒ. i. ex eis datur, cum tribus vini meraci cyathis. *Antidotum ad scorpiones & minimè fallax, nobis datum cum sedulitate à quodam in Libya degente; qui hoc vtens omni periculo à scorpionum ictibus læsos liberabat; At ad præcautionem bonum est; bibitur autem ab ijs, qui nondum icti sunt ad futurorum securitatem.* ℞. Sulphuris ignem non experti, sulphuris fossilis, vtriusque lib. ii. piperis albi ʒ. iv. opopanacis, sabinæ, thuris masculi, singulorum ʒ. iii. aristolochiæ rotundæ, peucedani, myrrhæ, centaurii, serpilli, chamædryos, chamæpityos, scorpiacæ herbæ, anagallidis, bituminis, singulorum ʒ. ii. Scriptum autem est in libro etiam Romanè, herbanicati cestri ʒ. ii. hoc est, betonicæ, medullæ ceruinæ, carnis crocodili terrestris, vel scinci dicti, singulorum ʒ. i. vnumquodque prædictorum contunditur, & tenuissimo cribro incernitur, deinde vnà miscetur, & ne difflетur, reseruatur. Quum vsus exigit, dato affectis cochleare, & vini meraci cyathos ii. Præcautionis autem gratia ad annum bibant, vt qui afficientur, tutò transeant. Oportet autem initio bibentes hoc medicamentum ad præseruationem, illo die neque lauare, neque venerem exercere.

Zoili medicamentum, quo vsus est Epaphroditus Carthaginensis, leuat protinus dolorem; est etiam ad præcautionem accommodatum ad annum epotum.

℞. Sulphuris viui lib. iv. thuris lib. i. sabinæ, stœchados, aristolochiæ, an. ʒ. vi. myrrhę ʒ. v. medullę

A Αἰγυπτίου τὸ μέγεθος, καὶ δίδου καταπίνειν β'. καὶ οἴνου ἀκράτου κυάθους β'.

Ἄλλο πρὸς σκορπίους καὶ τὰ δηκτά.

℞. Ἀριστολοχίας, ζιγγιβέρεως, ἀνὰ < η'. καλαμίνθης, πηγάνου ἀγρίου καρποῦ, ἀνὰ τριώβολον, πεπέρεως διώβολον. φύρα αἵματι χελώνης, καὶ ἀνάπλασσε τροχίσκους τριωβολιαίους, καὶ δίδου μετ' οἴνου ἀκράτου.

Ἄλλο.

℞. Κυμίνου Αἰθιοπικοῦ, θείου ἀπύρου, πεπέρεως λευκοῦ,
B ἀνὰ < β'. καστορίου, σιλφίου, τριφύλλου, ἀνὰ < α'. οἴνῳ ἀνάπλασσε καὶ δίδου μετ' οἴνου ἀκράτου.

Πρὸς τοὺς ἐπικινδύνως πεπληγμένους ὑπὸ σκορπίων, ἢ φαλαγγίων, καὶ παντὸς ἑρπετοῦ.

℞. Πηγάνου ἀγρίου καρποῦ, εὐζώμου καρποῦ, πυρέθρου, στύρακος, θείου ἀπύρου, ἀνὰ < ς'. καστορίου < β'. ἀνάπλασσε αἵματι χελώνης, καὶ δίδου τετρώβολον μετ' οἴνου ἀκράτου, ἢ ὄξους ἡμικοτυλίου.

Ἀνώδυνον φάρμακον ἐπιτετευγμένον πρὸς σκορπίων καὶ φαλαγγίων, καὶ παντὸς ἑρπετοῦ πληγὰς, ποιεῖ καὶ ταῖς δυστοκούσαις.
C ἐπιγράφεται δὲ Καλλίστη.

℞. Σμύρνης, καστορίου, στύρακος, ἀνὰ < α'. ὀπίου < β'. χαλβάνης < γ'. σελίνου σπέρματος ὀξύβαφον, ἀνίσου τὸ ἴσον, πεπέρεως κόκκους λ'. ἀνάπλαττε δι' οἴνου, καὶ δίδου < α'. μετ' οἴνου κοτύλης μιᾶς. τὸ φάρμακον ἄγαν ἐστὶ καλόν.

Ἀβασκάντου ἰατρεύοντος ἐν Λουγδούνῳ.

℞. Πεπέρεως λευκοῦ, κόκκους κ'. καστορίου, ὀπίου, κρόκου, σμύρνης, ἴρεως Ἰλλυρικῆς, σταφίδος ἀγρίας, χαμαίδρυος, βρυωνίας ῥίζης, πυρέθρου, ἑκάστου τὸ ἴσον, οἴνῳ ἀνάπλαττε, καὶ δίδου
D < α'. μετ' οἴνου ἀκράτου κυάθους γ'. Ἀντίδοτος σκορπιακὴ, καὶ ἀδιάπτωτος, μετὰ σπουδῆς ἡμῖν δοθεῖσα, ὑπό τινος τῶν τὴν Λιβύην οἰκούντων ταύτῃ χρωμένου· ἀπήλλαττε πάντας κινδύνου τοὺς σκορπιοδήκτους. ἔστι δὲ προφυλακτικὴ ἀγαθή. πίνεται δὲ ὑπὸ τῶν μηδέπω πεπληγότων πρὸς ἀσφάλειαν τῶν ἐσομένων. ℞. Θείου ἀπύρου, θείου ὀρυκτοῦ, ἀνὰ λίτρας β'. πεπέρεως λευκοῦ < δ'. ὀποπάνακος, βράθυος, λιβάνου ἄρρενος ἀνὰ < γ'. ἀριστολοχίας στρογγύλης, πευκεδάνου, σμύρνης, κενταυρείου, ἑρπύλλου, χαμαίδρυος, χαμαιπίτυος, σκορπιακῆς βοτάνης, ἀναγαλλίδος, ἀσφάλτου ἀνὰ < β'. γέγραπται δὲ ἐν
E τῇ γραφῇ, καὶ Ῥωμαϊστὶ ἐρβανικάτου κέστρου < β'. τουτέστι βετονικῆς, μυελοῦ ἐλαφείου, κροκοδείλου χερσαίου τῆς σαρκὸς, ἢ τοῦ λεγομένου σκίγκου, ἀνὰ < α'. ἕκαστον δὲ τῶν εἰρημένων κόπτεται καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ, εἶθ' ὁμοῦ μίγνυται καὶ ἀδιάπνευστον φυλάττεται. ἐν δὲ τῇ χρήσει δίδου τοῖς πεπονθόσι κοχλιάριον, καὶ οἴνου ἀκράτου κυάθους β'. προφυλακτικῆς δὲ χάριν ἐπ' ἐνιαυτὸν πινέτωσαν, ὥστε ἀκινδύνως διάγειν τοὺς παθησομένους. δεῖ δὲ τοὺς ἀρχῇ πίνοντας τοῦτο τὸ φάρμακον ἕνεκεν προφυλακῆς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, μήτε λούσασθαι,
F μήτε συνουσιάζειν.

Παρὰ Ζωΐλου, ᾗ ἐχρήσατο Ἐπαφρόδιτος ὁ Καρχηδόνιος. ἄπονον ποιεῖ παραχρῆμα, ἔστι δὲ καὶ προφυλακτικὴ ἀγαθὴ, ἐνιαυτὸν πινομένη.

℞. Θείου ἀπύρου λίτρας δ'. λιβάνου λίτραν α'. βράθυος, στοιχάδος, ἀριστολοχίας ἀνὰ < ς'. σμύρνης < ε'. μυελοῦ ἐλα-

φείου, ὀποπάνακος ἀνὰ < δ΄. δικτάμνου Κρητικοῦ < γ΄. A ἀσφάλτου, ἑρπύλλου, σκορδίου, ῥοῦ, τριφύλλου, κενταυρείου, χαμαίδρυος, πεπέρεως λευκοῦ, ἀβροτόνου, κέστρου, πολίου, πυτίας ἐριφείων, ἀναγαλλίδος ἀνὰ < β΄. κροκοδείλου χερσαίου < ι΄. σκεύαζε καθάπερ εἴρηται, καὶ δίδου τοῖς πεπονθόσι κοχλιάριον, καὶ οἴνου ἀκράτου κύαθον. ποιεῖ δὲ καὶ πρὸς φυλακὴν, ἐνιαυτοῦ ἅπαξ δοθεῖσα.

ceruinæ, opopanacis, ſingulorum ʒ. iv. dictamni Cretici ʒ. iij. bituminis, ſerpilli, ſcordii, rheu, trifolii, centaurii, chamædryos, piperis albi, abrotani, ceſtri, polii, coaguli hœdini, anagallidis, ſingulorum ʒ. ij. crocodili terreſtris ʒ. x Præparato quemadmodum dictum eſt, affectis cochleare, & vini meraci cyathum propinato: benefacit etiam ad præſeruationem ſemel anno exhibitum.

Ἐπίθεμα σκορπιοπλήκτων.

Epithema ad ſcorpionum ictus.

℞. Δάφνης φύλλα ἑψήσας μετ᾽ οἴνου, καὶ τρίψας ἐπιτίθει, ἢ κρίνων τὰς ῥίζας τρίψας μετ᾽ ὄξους, ἐπιτίθει.

Lauri folia cum vino cocta, tritáque imponito; B vel liliorum radices tritas cum aceto impone.

Ἄλλο.

Aliud.

℞. Ἀριστολοχίας ἐν οἴνῳ ἑψηθείσης, καὶ πηγάνου ἀκρεμόνων, καὶ νίτρου τὸ ἴσον τρίψας μετ᾽ οἴνου, ἐπιτίθει.

Ariſtolochiæ in vino coctæ & rutæ ſurculorum, nitrique æqualem portionem tritam ex vino impone.

Ἄλλο.

Aliud.

℞. Καρκίνων ποταμίων, κάγχρυος, σταφίδος ἀγρίας, πηγάνου τὸ ἴσον μετ᾽ οἴνου, ἐπιτίθει.

℞. Cancrorum fluuiatilium, canchryos, ſtaphidos ſylueſtris, rutæ, par modus, cum vino admoue.

Ἄλλο.

Aliud.

℞. Χαμαιμήλων, καὶ μελανθίου, καὶ νίτρου ἐρυθροῦ τὸ ἴσον, τρίψας μετ᾽ ὄξους, ἐπιτίθει.

℞. Chamæmeli, nigellæ, nitri rubri, paria C pondera, detrita ex aceto impone.

Ἀραβᾶ Θηβαίου, ἐπιπετευγμένον φάρμακον, πρὸς σκορπίου πληγάς.

Araba Thebani medicamentum, ad ſcorpionis ictus admouendum.

℞. Χαλβάνης, τερμινθίνης ἀνὰ < β΄. σταφίδος ἀγρίας, πυρέθρου, θείου ἀπύρου, ἀνὰ < α΄. σμύρνης, πεπέρεως, ἀνὰ < α΄ S. πίσσης ὑγρᾶς τὸ αὔταρκες.

℞. Galbani, reſinæ terebinthinæ, vtriuſque ʒ. ij. ſtaphidos ſylueſtris, pyrethri, ſulphuris viui, an. ʒ. i. myrrhæ, piperis, vtriuſque ʒ. i. ß. picis liquidæ, quod ſatis eſt.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Διάφορα, πρὸς τὰ τῶν φαλαγγίων δήγματα, φάρμακα.

Πρὸς φαλαγγίων δήγματα Χαρίτωνος ὀχλαγωγοῦ.

℞. Σφονδυλίου καρποῦ, καλαμινθίνης τὸ ἴσον, τρίψας ὁμοῦ, δίδου ὅσον < α΄. μετ᾽ οἴνου, κυάθων β΄. πλεονάκις τῆς ἡμέρας. ταύτῃ Χαρίτων χρώμενος περιήκει τὰς πανηγύρεις, βοηθεῖν βουλόμενος τοῖς δακνομένοις.

Ἄλλο. Σημμία τοῦ Μηδίου.

℞. Ὀποῦ Κυρηναϊκοῦ, δαύκου Κρητικοῦ σπέρματος, ἡδυόσμου ξηροῦ, νάρδου Ἰνδικῆς, ἑκάστου τὸ ἴσον, ἀνάπλασσε δι᾽ ὄξους, καὶ δίδου < α΄. μετ᾽ ὄξους κυάθων δ΄. καὶ πιόντα εἰς θερμὸν ὕδωρ κάθιε.

Ἀνδρέου, πρὸς φαλαγγιοδήκτους.

℞. Ἀσταφίδος ἀγρίας, πυρέθρου, σμύρνης, ὀπίου, βρυωνίας, χαλβάνης ἴσον ἑκάστου, ἀνάπλασσε μετ᾽ οἴνου εὐώδους, καὶ δίδους < α΄. μετὰ γλυκέος κοτύλης μιᾶς.

Ἄλλο, σφόδρα γενναῖον.

℞. Κάγχρυος, πηγάνου ἀγρίου καρποῦ, πεπέρεως λευκοῦ, ἀσταφίδος ἀγρίας, σμύρνης, ἑκάστου < α΄. κυπέρου ῥίζης < β΄. ἀνάπλαττε μετ᾽ οἴνου εὐώδους κυάθων δ΄. καὶ μέλιτος κυάθου α΄.

Πρὸς φαλάγγια, καὶ σκορπίους, καὶ παντὸς ἑρπετοῦ πληγάς, ὡς ἐχρήσατο Διόφαντος.

℞. Καστορίου, πεπέρεως λευκοῦ, σμύρνης, ὀποῦ μήκωνος, ἑκάστου τὸ ἴσον, οἴνῳ διαλύσας ἀνάπλαττε τροχίσκους καὶ δίδου τριώβολον μετ᾽ οἴνου ἀκράτου κυάθων γ΄. ὡς Διόφαντος.

CAPVT XIII.

Diuerſa ad phalangiorum morſus remedia.

D *Ad phalangiorum morſus Charitonis circulatoris antidotus.*

℞. Fructus ſpondylii, calaminthæ par pondus, trita ſimul drachmæ vnius pondere, cum duobus vini cyathis, ſæpe in die propinato. Hoc Chariton vtens, comitia circumibat, cupiens commorſis auxiliari.

Aliud Semmiæ Medi.

℞. Succi Cyrenaici, ſeminum dauci Cretici, mentæ ſiccæ, nardi Indicæ, cuiuſque par pondus, forma antidotum ex aceto, dáque ʒ. j. cum iv. E aceti ciathis; at qui biberit eum in aquam calidam demitte.

Andreæ ad phalangiorum morſus.

℞. Staphidos ſylueſtris, pyrethri, myrrhæ, opii, bryoniæ, galbani, ſingulorum par pondus. Forma antidotum ex vino odoro, & ʒ. j. cum paſſi hemina vna exhibe.

Aliud valde generoſum.

℞. Canchryos, ſeminum rutæ ſyluaticæ, piperis albi, ſtaphidos ſylueſtris, myrrhæ, ſingulorum ʒ. j. radicis cyperi ʒ. ij. formantur ex vini F odorati cyathis iv. & mellis cyatho j.

Ad phalangia, ſcorpiones, & omnis ſerpentis ictus, vt vſus eſt Diophantus.

℞. Caſtorii, piperis albi, myrrhæ, ſucci papaueris, ſingulorum æquale pondus; vino diſſoluta, in paſtillos cogito, ac iij. obolos cum tribus vini meraci cyathis propinato, vt Diophantus.

Aliud.

Aliud.

℞. Corticis mandragoræ radicis, piperis albi, castorij, succi papaueris, singulorum pares portiones. Præparato, exhibetóque quemadmodum prædictum est. *Aliud ex commentarijs Apollodori, quod etiam Tarentinus in opere ad Astydamantem inscribit ad omnis feræ ictum, & vehementissimos dolores, vterique strangulatus.* ℞. Succi cicutæ, hyoscyami, vtriusque ʒ. iv. castorij, piperis albi, costi, myrrhæ, opij, an. ʒ. j. Hæc læuigata ex duobus passi cyathis, terito in sole, donec coierint, ac effingito pastillos ad fabæ Græcæ magnitudinem; dato cum vini cyathis ij.

Aliud Heraclidis Tarentini ad phalangia, & omnis virulenti serpentis ictus; idem potum auxiliatur.

℞. Canchryos, seminum rutæ syluestris, piperis albi, myrrhæ, cocci Gnidij, costi, pyrethri, staphidis syluestris, singulorum æquale pondus, cyperi duplum, aceto dissoluta melléque excepta imponito.

Aliud ad phalangia & omnis venenosi serpentis ictum.

℞. Herbæ staphidos agriæ, pyrethri, myrrhæ, succi Libyci, singulorum ʒ. iv. radicis bryoniæ, galbani, par pondus; aceto dissoluta & melle excepta admoue. Idem etiam potum valde auxiliatur. *Epithema ad phalangiorum ictus, & omnis serpentis: idem quoque in potu auxiliatur. Hoc Simmias circulator vsus est.* ℞. Sulphuris viui, galbani, vtriúsque ʒ. iv. succi Libyci, nucum auellanarum purgatarum, singulorum ʒ. ij. vino dissoluta, & melle excepta imponuntur.

Aliud.

℞. Seminum rutæ syluestris, staphidis syluestris, seminum erucæ, canchryos, seminis viticis, galbulorum cupressi, singulorum acetabulum j. vino soluta & melle excepta applicato. Idem quoque in potu proficit.

CAPVT XIV.

Remedia ad viperas, in quibus Antiochi theriaca continetur, quam Plinius in foribus ædis Æsculapij descriptam fuisse tradit.

ET hæc quidem hactenus. At in viperarum morsibus, iis quæ subscribuntur confectionibus, vtendum est.

Ad viperarum morsus Dorothei Helij.

Dicit itáque hunc in modum; potionibus quidem vsus sum simplicibus, ex aceto; acetum nanque ad dimidiam heminam calefactũ potumque prodest. ℞. corticis aristolochiæ ʒ. ij. in vino aut aceto heminam dimidiam. *Item.* ℞. trifolii seminis obolos iij. in dimidio vini cyatho, panacis chironij ʒ. ij. in aceto, coaguli hinnuli ʒ. j. ex vino sanguinis testudinis marinæ exiccati ʒ. ij. ex aceto.

Inter composita, quod ab Apollodoro compositum est, & à Sostrato commendatum, ac omnibus qui ab eo acceperunt. Quod ex sanguine testudinis constat, ita habet.

℞. Seminum cumini syluestris acetabulum, sanguinis testudinis marinæ aridi drach. iv. stateres ij. coaguli hinnuli, sin minus leporini drach. iij. hœdini sanguinis ʒ. iv. omnia mixta,

A

Ἄλλη.

℞. Μανδραγόρου φλοιοῦ ῥίζης, πεπέρεως λευκοῦ, καστορίου, ὀποῦ μήκωνος, ἑκάστου τὸ ἴσον, σκεύαζε, καὶ δίδου καθὰ προείρηται. Ἄλλη ἐκ τῶν Ἀπολλοδώρου, ἣν καὶ ὁ Ταραντῖνος ἐν τῷ πρὸς Ἀστυδάμαντα ἀναγράφει, πρὸς παντὸς θηρίου πληγὴν, καὶ τὰ σφοδρότατα τῶν ἀλγημάτων, καὶ πνίγας ὑστερικάς. ℞. Κωνείου χυλοῦ, ὑοσκυάμου, ἀνὰ < δ'. καστορίου, πεπέρεως λευκοῦ, κόστου, σμύρνης, ὀπίου, ἀνὰ < α'. ταῦτα λεάνας καὶ ἐπιβαλὼν κυάθους β'. γλυκέος, τρίβε ἡλιάζων, ἕως συστραφῇ, καὶ ἀνάπλαττε τροχίσκους κυάμου Ἑλληνικοῦ τὸ μέγεθος, καὶ δί-

B δου μετ' οἴνου κυάθων β'.

Ἄλλη Ἡρακλείδου Ταραντίνου πρὸς φαλάγγια, καὶ παντὸς ἑρπετοῦ πληγὰς, τὸ δ' αὐτὸ πινόμενον βοηθεῖ.

℞. Κάγχρυος, πηγάνου ἀγρίου σπέρματος, πεπέρεως λευκοῦ, σμύρνης, κόκκου κνιδίου, κόστου, πυρέθρου, ἀσταφίδος ἀγρίας, ἑκάστου τὸ ἴσον, κυπέρου διπλοῦν, ὄξει διαλύσας καὶ μέλιτι ἀναλαβὼν, ἐπιτίθει.

Ἄλλη πρὸς φαλάγγια, καὶ παντὸς ἰοβόλου ἑρπετοῦ πληγήν.

℞. Ἀσταφίδος ἀγρίας, πυρέθρου, σμύρνης, ὀποῦ Λιβυκοῦ,

C ἀνὰ < δ'. βρυωνίας ῥίζης, χαλβάνης ἴσον, ὄξει διαλύσας, καὶ μέλιτι ἀναλαβὼν ἐπιτίθει. τὸ δ' αὐτὸ καὶ πινόμενον σφόδρα βοηθεῖ. Ἐπίθεμα πρὸς φαλαγγίων πληγὰς καὶ παντὸς ἑρπετοῦ. τὸ δ' αὐτὸ καὶ πινόμενον βοηθεῖ. τούτῳ Σιμμίας ὁ ὀχλαγωγὸς ἐχρήσατο. ℞. Θείου ἀπύρου, χαλβάνης ἀνὰ < δ'. ὀποῦ Λιβυκοῦ, καρύων Ποντικῶν κεκαθαρμένων, ἀνὰ < β'. οἴνῳ διαλύσας καὶ μέλιτι ἀναλαβὼν, ἐπιτίθει.

Ἄλλη.

℞. Πηγάνου ἀγρίου σπέρματος, ἀγρίας ἀσταφίδος, εὐζώμου

D σπέρματος, κάγχρυος, ἄγνου καρποῦ, κυπαρίσσου τῶν σφαιρίων, ἀνὰ ὀξύβαφον. ὄξει διαλύσας καὶ μέλιτι ἀναλαβὼν, ἐπίθες. τὸ δ' αὐτὸ καὶ πινόμενον βοηθεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Φάρμακα πρὸς ἐχιοδήκτους, ἐν οἷς καὶ ἡ Ἀντιόχου θηριακὴ περιέχεται; ἣν Πλίνιός φησι παρὰ πυλῶν Ἀσκληπιοῦ ἀναγεγράφθαι.

E

ΚΑὶ ταῦτα μὲν, ἐπὶ τοσοῦτον. ἐπὶ δὲ τῶν ἐχιοδήκτων, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις.

Πρὸς ἐχιοδήκτους Δωροθέου Ἠλίου.

Λέγει δὲ οὕτως, ποτήμασι μὲν οὖν ἐχρησάμην ἁπλοῖς τοῖς δι' ὄξους· ὄξος γὰρ ὅσον ἡμικοτύλιον θερμανθὲν, καὶ ποθὲν ὠφελεῖ. ℞. Ἀριστολοχίας ὅσον < β'. τοῦ φλοιοῦ ἐν οἴνῳ, ἢ ὄξει κοτύλας ἡμισείας. Καὶ. ℞. Τριφύλλου καρποῦ ὅσον τριώβολον ἐν οἴνῳ κυάθου ἥμισυ. καὶ πάνακος τοῦ χειρωνείου < β'. ἐν ὄξει. καὶ πιτυᾶς νεβρείας < α'. ἐν οἴνῳ. καὶ χελώνης θαλασσίας ἐξηραμμένου αἵματος < β'. ἐν ὄξει.

F Τῶν δὲ συνθέτων, ἡ μὲν παρ' Ἀπολλοδώρου τεθειμένη, καὶ ὑπὸ Σωστράτου ἐπαινουμένη, καὶ πάντων δὲ τῶν μετενεγκόντων παρ' αὐτοῦ, ἡ διὰ τοῦ αἵματος τῆς χελώνης ἐστὶν ἥδε.

℞. Κυμίνου ἀγρίου σπέρματος ὀξύβαφον, χελώνης θαλασσίας αἵματος ξηροῦ < δ'. στατῆρας β'. πιτυᾶς νεβροῦ, εἰ δὲ μὴ, λαγωοῦ < γ'. ἐριφείου αἵματος < δ'. πάντα μίξας,

καὶ οἴνῳ βελτίστῳ ἀναλαβὼν, ἀπόθου. ἐν δὲ τῇ χρήσει λαβὼν A ἐλαίας τὸ μέγεθος, τρίψας μετ᾽ οἴνου, ὡς βελτίστου, κυάθου ἥμισυ δίδου πίνειν. ἐὰν δὲ ἀπεμέσῃ τὸ φάρμακον, πάλιν δίδου ἐλαίας τὸ ἥμισυ, καθὰ προείρηται, καὶ πάλιν εἰ ἀποβάλλει, ἐκ τρίτου δίδου κυάμου Αἰγυπτίου τὸ μέγεθος, καθὰ προείρηται.

Η τοῦ ἀγροίκου ἐχιοδήκτου.

℞. Τριφύλλου, στάχυος, ὀρόβου ἡλεσμένου, πηγάνου ἀγρίου σπέρματος, ἀριστολοχίας στρογγύλης, ἀνὰ < η΄. οἴνῳ διαλύσας ἀνάπλαττε τροχίσκους, καὶ δίδου < α΄. μετ᾽ οἴνου κυάθων γ΄. δὶς καὶ τρὶς τῆς ἡμέρας. B

Αλλη τὴν παρ᾽ Εὐδήμου ἐμμέτρως ἀναγεγραμμένη, θηριακὴ Αντιόχου τοῦ Φιλομήτορος, ἧς ἡ ἀρχὴ ἥδε.

Ιησιν μάθε τήνδε πρὸς ἑρπετὰ, ἣν Φιλομήτωρ
Νικήσας, πείρᾳ κέκρικεν Αντίοχος.

Τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως.

Μήου ἀπὸ ῥίζης ὁλκὴν διδραχμίαν ὀρύξας,
Σὺν τῷ δ᾽ ἑρπύλλου κλῶνας ἰσοῤῥεπέας.
Σὺν δ᾽ ὀπὸν ἐκ πάνακος στήσας, ἶσον ἠδὲ τριφύλλου
Καρπὸν, ὅσον δραχμῆς σταθμὸν ἄγοντα δίδου,
Ανίσου, μαράθρου τε καὶ ἄμμιος, ἠδὲ σελίνου
Εξ εἰὸς, ἓν πληρῶν σπέρματος ὀξύβαφον. C
Σὺν δ᾽ ὀρόβου λείου δύο ὀξύβαφ᾽ ἔμπασ᾽ ἀλεύρου,
Παντα δ᾽ ὁμοῦ Χίῳ νέκταρι συγκεράσας,
Κυκλοτερεῖς ἀνάπλασσε τροχοὺς, ἰσότητι μερίζων,
Ημιδραχμοῖο ῥοπῆς, ὄφρ᾽ ἂν ἕκαστος ἔχῃ.
Χίῳ δ᾽ ἐγκεράσας τάδε μίγματα, πικρὸν ἐχίδνης,
Ημίσεως δραχμῆν, ἰὸν ἀποσκεδάσεις.
Τῷ δὲ ποτῷ καὶ δεινὰ φαλάγγια, καὶ σκολιοῖο
Σκορπίου ἐκφεύξῃ κέντρα φέροντ᾽ ὀδύνας.

Τὰ δὲ κατὰ μέρος ἐστὶ ταῦτα. ℞. Μήου ῥίζης, ἑρπύλλου, ὀποπάνακος, ἀνὰ < β΄. τριφύλλου σπέρματος < α. ἀνίσου, μαράθρου, ἄμμεως, σελίνου σπέρματος, ἀνὰ ὀξύβαφον, ἀλεύρου ὀροβίνου λεπτοτάτου ὀξύβαφα β΄. οἴνου παλαιοῦ εἰς ἀνάληψιν ὅσον ἐξαρκεῖ, ἀνάπλασσε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ, καὶ δίδου τριώβολον μετ᾽ οἴνου κυάθων γ΄. D

Ηρακλείδου Ταραντίνου ἐννεαφάρμακος· ταύτην ἔθηκεν ἐν τῇ περὶ θηρίων αὐτοῦ πραγματείᾳ. ἔχει δὲ οὕτως.

℞. Σμύρνης τρωγλοδύτιδος, ὀποπάνακος, ὀποῦ μήκωνος, ἀνὰ < β΄. βρυωνίας ῥίζης < δ΄. ταύτην οἱ μὲν ψιλώθρον, οἱ δὲ ἄμπελον ἀγρίαν, οἱ δὲ μάδον, οἱ δὲ χειρωνείαν, οἱ δὲ κερκίδα καλοῦσιν. ἀριστολοχίας μακρᾶς τοῦ φλοιοῦ < δ΄. καθόλου γὰρ τῶν ῥιζῶν χρησιμώτεροί εἰσιν οἱ φλοιοὶ μᾶλλον, ἢ τὰ ἐντεριώναι. πυρέθρου ῥίζης < δ΄. πηγάνου ἀγρίου σπέρματος, κυμίνου Αἰθιοπικοῦ, τριφύλλου σπέρματος, ἀνὰ ὀξύβαφον, πάντα κόψας καὶ σήσας, ἀναλάμβανε ὄξει, ἐναποβεβρεγμένου κόμμεως, ὥστ᾽ ἔχειν τι κολλῶδες, καὶ ἀνάπλασσε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ. ἐν δὲ τῇ χρήσει δίδου τροχίσκου ἥμισυ, ἤτοι μετ᾽ οἴνου, ἢ μετ᾽ ὄξους ἐναφεψημένων πηγάνου φύλλων. ποίει τοῦτο πολλάκις τῆς ἡμέρας, ὥστε εἶναι τὴν τελείαν δόσιν τοῦ φαρμάκου < β΄. πλεῖον γὰρ διδόμενον, ἔμετον κινεῖ, ὥστε μὴ πλέον διδόναι παραινοῦμεν. ἐμέτου δὲ γινομένου, πάλιν δοτέον πολλάκις τὸ φάρμακον τῆς ἡμέρας. δεῖ δὲ καὶ τρέφειν τὸν πεπονθότα, καὶ οἴνῳ κεκραμένῳ ποτίζειν, καὶ πολλάκις τοῦτο ποιεῖν. ἀλλὰ καὶ πυριᾶν ὕδατι πολλῷ, καὶ καταντλεῖν τοῖς ὠφελεῖν δυναμένοις. ἡ δὲ κατάκλισις ἔστω τοῦ πεπονθότος τόπου κατάῤῥοπος. F

vinóque optimo excepta reponito. In vsu magnitudinem oliuæ sumens, conterito, ex vino quàm præstantissimo cyathi dimidium potui dato. Si medicamentum euomat, rursus oliuę dimidium, sicuti prædictum est, exhibeto; ac rursus si eiicit, tertiò fabæ Ægyptiæ magnitudine porrigito, quemadmodum à me dictum est prius.

Medicamentum Rustici à vipera morsi.

℞. Trifolii, spicæ, erui insolati, seminum rutæ syluestris, aristolochiæ rotundæ, singulorum drach. viii. Vino soluta in pastillos redigito, datóque ʒ. i. cum tribus vini cyathis, bis térque die.

Alia ab Eudemo versibus conscripta, theriaca Antiochi Philometoris, cuius initium ita sonat.

Hoc cape præsidium ad serpentia, quòd Philometor
Vsu præcipuum repperit Antiochus.

His mistura constat.

Meu drachmas binas radicis ponito, tantum
Germina serpilli ponderis accipiant,
Et panacis totidem drachmas liquor asserit æquè
Triffolij, quantum drachmula fructus habet,
Oxybaphum marathri, necnon ammeos, & anisi,
Atque apij; sument semina quæque suum.
Ast erui pones acetabula bina farinæ;
Omnia cum Chio nectare consocians,
Orbiculos finges, iusto qui singuli in illis
Drachmæ dimidium pondere constituant.
Irrigans Chio medicamina, viperæ amarum
Æquali virus associato modo.
Hoc autem effugies horrenda phalangia potu.
Scorpi etiam stimulum non vereare grauem.

At in particulari hæc sunt. ℞. radicis meu, serpilli, opopanacis, singulorum ʒ. ii. seminis trifolii ʒ. i. anisi, fœniculi, ammeos, seminis apii, singulorum acetabulum i. farinæ erui tenuissimæ acetabula ii. vini veteris quantum ad excipiendum sufficit. Pastillos fingito siccatoque in vmbra, & tres obolos cum vini tribus cyathis dato.

Heraclidis Tarentini enneapharmacum; hoc in opere ipsius de feris descripsit; habet autem in hunc modum.

℞. Myrrhæ Troglodytidis, opopanacis, succi papaueris, singulorum ʒ. ii. bryoniæ radicis ʒ. iv. (hanc alii psilethton; alii vitem syluaticam; alii madon; alii chironiam; alii cercida vocant) corticis aristolochiæ longæ drach. iv. (in totum enim radicum cortices multo vtiliores sunt, quàm medullæ) pyrethri radicis ʒ. iv. seminum rutæ syluestris, cumini Æthiopici, seminis trifolii, singulorum acetabulum. Omnia contusa cribratáque aceto excipiuntur, gummi prius macerato, vt glutinosum aliquid habeat, pastillique finguntur, in vmbra siccantur; in vsu, datur pastilli dimidium, vel cum vino, vel cum aceto, foliis rutæ incoctis; idque frequenter die fiat, vt plurimum ʒ. ii. medicamenti existant; nam plus exhibitum vomitum proritat. Quare non amplius exhibere adhortantur; vomitu autem oborto rursus dari debet crebro medicamentum die. Quin etiam affectum nutrire conuenit, & vino temperato recreare, ac id multoties facere; imò etiam aqua calida fouere, & ea quæ iuuare possunt, superfundere. Cæterum affecti loci decubitus decliuis esto.

Dorothei medicamentum, cuiuslibet serpentis ictui accommodatum.

℞. Corticis radicis verbasci fœmellæ, seminis trifolii, singulorum ʒ. j. opopanacis, serpilli, meu, coaguli hinnuli, singulorum ʒ. ij. seminis apii, ammeos, seminis fœniculi, seminis anisi, singulorum acetabulum, eruorum insolatorum ʒ. ij. arida contusa, cribatáque, vino Aruisio excipiuntur, dissoluto in eo coagulo & opopanace, pastilli fiunt; dantúrque pro virium ratione; iis qui iam validè detinentur, ʒ. j. & vini hemina; aliis autem, oboli iij. Vsus est etiam medicamento ad intestinorum affectus, & quorum volebat affluxionem perducere, item ad tusses, & ad alios casus, ceu vehementer generoso vsus est, in virulentis quidem, ex vino; in aliis autem, ex aqua. *Aliud Hybristi Oxyrrhynchiti medicamentum, ad omnis venenati ictum vtile; inscriptum ab Apollonio Memphite. Hoc modo conficitur.* ℞. Aristolochiæ, panacis, seminis viticis, singulorum ʒ. iv. canchryos, myrrhæ, piperis, seseleos Massaleotici, nardi Indicæ, castorii, cinnamomi nigri quàm tenuissimi, piperis longi, succi Cyrenaici, iridis, seminum rutæ syluestris, singulorum ʒ. ij. hyperici ʒ. j. Omnia contusa & tenuissimo cribro increta in pastillos coguntur; vino marinæ experti imbuti siccantur in vmbra, ac datur ʒ. j. in vini meraci hemina j. & aquæ iv. Item morsui confractus vnus ex pastillis vinóque solutus imponitur. Iam adiectis aristolochiæ bonæ læuigatæ ʒ. ij. & polentæ rursus drach. iv. hæc læuigata, tritáque diligenter, imponito, fici folio extrinsecus cooperiens, & fasciola deligans. *Antidotus Theriaca ad viperæ morsus; facit etiam ad cuiusuis serpentis ictum; hanc Gallus profectus ex Arabia donauit Cæsari, quum multos commilitonum ipsius ictos à rabiosis, scorpionibus, phalangiis, aliisque serpentibus conseruasset; habet autem hunc in modum.* ℞. Erui in farinam redacti ʒ. xxv. radicis bryoniæ ʒ. xvj. seminum rutæ syluestris ʒ. xij. seminum trifolii, iridis Carthaginensis, opopanacis, aristolochiæ longæ, succi papaueris, zingiberis, singulorum ʒ. viij. cumini Æthiopici, myrrhæ, eryngii, succi Cyrenaici, croci, serpilli, costi, sagapeni, singulorum ʒ. vi. Vino Aminæo consperso, forma pastillos, ac pro viribus dato, fit autem ex tribus obolis perfecta dosis ex vini hemina vna; ad reliquos autem affectus, ex mulso.

Epithema ad viperarum morsus.

℞. Sagapeni, piperis, succi Cyrenaici, opopanacis, singulorum partem vnam, galbani, sulphuri viui, singulorum ʒ. ij. arida tundito, & tenuissimo cribro incernito. Succos autem solutos, aridis iniicito, fiátque emplastri crassities atque vulneribus admoue; extrinsecus autem folia fici, vel vrticæ.

Aliud.

℞. Cardamomi, radicis eryngii, sulphuris viui, piperis, singulorum partem vnam, myrrhæ, galbani, singulorum partes ij. præparato, vt prædictum est.

Aliud.

℞. Centaurii, aristolochiæ, radicis peucedani, singulorum par pondus; contusáque, cribrata, aceto superfusa, galbano excipito, & vtitor sicut prædictum est.

A Δωροθέου φάρμακον ἐπιτετευγμένον πρὸς παντὸς ἑρπετοῦ πληγήν.

℞. Ῥίζης φλόμου θήλεως τοῦ φλοιοῦ, τριφύλλου καρποῦ, ἀνὰ < α΄. ὀποπάνακος, ἑρπύλλου, μήου, νεβροῦ πιτυᾶς, ἀνὰ < β΄. σελίνου σπέρματος, ἄμμεως, μαράθρου σπέρματος, ἀνίσου σπέρματος, ἀνὰ ὀξύβαφον, ὀρόβων ἡλιασμένων < β΄. τὰ ξηρὰ κόψας καὶ σήσας, ἀναλάμβανε οἴνῳ Ἀρουσίῳ, ἐν τούτῳ διαλυθείσης τῆς πιτυᾶς, καὶ τοῦ ὀποπάνακος, ἀνάπλαττε τροχίσκους, καὶ δίδου πρὸς δύναμιν· τοῖς μὲν ἤδη συντόνως κατεχομένοις < α΄. καὶ οἴνου κοτύλην α΄. τοῖς δὲ ἄλλοις τριώ-

B βολον. ἐχρήσατο δὲ τῷ φαρμάκῳ, καὶ πρὸς τὰς περὶ ἔντερα διαθέσεις, καὶ ὧν ἐβούλετο τὴν κύσιν ῥευματίζειν, καὶ πρὸς βῆχας, καὶ ἄλλας περιστάσεις, ὡς σφόδρα γενναίῳ. ἡ χρῆσις ἐπὶ μὲν τῶν ἰοβόλων μετ᾽ οἴνου, ἐπὶ δὲ τῶν ἄλλων μεθ᾽ ὕδατος. Ἄλλη Ὑβρίστου Ὀξυρρυγχίτου, φάρμακον ἐπιτετευγμένον πρὸς παντὸς ἰοβόλου πληγήν. ἀνεγράφη ὑπὸ Ἀπολλωνίου τοῦ Μεμφίτου. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ℞. Ἀριστολοχίας, πάνακος, ἄγνου σπέρματος, ἀνὰ < δ΄. κάγχρυος, σμύρνης, πεπέρεως, σεσέλεως Μασσαλεωτικοῦ, νάρδου Ἰνδικῆς, καστορίου, κινναμώμου μέλανος, ὡς λεπτοτάτου, πεπέρεως μακροῦ, Κυ-

C ρηναϊκοῦ ὀποῦ, ἴρεως, πηγάνου ἀγρίου σπέρματος, ἀνὰ < β΄. ὑπερικοῦ < α΄. πάντα κόψας, καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ, ἀνάπλασσε τροχίσκους, οἴνῳ θαλάσσῃ φυράσας, ξήραινε ἐν σκιᾷ, καὶ δίδου < α΄. ἐν οἴνῳ ἀκράτῳ κοτύλης α΄. καὶ ὕδατος δ΄. ἐπιτίθει δὲ καὶ ἐπὶ τὸ δῆγμα θλάσας ἕνα τῶν τροχίσκων, καὶ οἴνῳ διαλύσας, καὶ προσβαλὼν ἀριστολοχίας τῆς καλῆς λείας, ὅσον < β΄. καὶ ἀλφίτου πάλιν < δ΄. ταῦτα συλλεάνας, καὶ τρίψας ἐπιμελῶς, ἐπιτίθει ἔξωθεν σκεπάσας συκῆς φύλλῳ, καὶ ταινιδίῳ καταδήσας. Ἀντίδοτος θηριακὴ ἐχιοδήκτοις. ποιεῖ δὲ καὶ πρὸς παντὸς ἑρπετοῦ πληγήν. ταύτην Γάλλος παραγενόμενος ἐκ

D τῆς Ἀραβίας ἔδωκε Καίσαρι, πολλοὺς τῶν συστρατευσαμένων αὐτῷ πληγέντας, ὑπό τε λυσσοδήκτων καὶ σκορπίων, καὶ φαλαγγίων, καὶ τῶν ἄλλων ἑρπετῶν διασώσας. ἔχει δὲ οὕτως. ℞. Ὀρόβων ἡλεσμένων < κε΄. βρυωνίας ῥίζης < ιϛ΄. πηγάνου ἀγρίου σπέρματος < ιβ΄. τριφύλλου καρποῦ, ἴρεως Καρχηδονίας, ὀποπάνακος, ἀριστολοχίας μακρᾶς, ὀποῦ μήκωνος, ζιγγιβέρεως, ἑκάστου < η΄. κυμίνου Αἰθιοπικοῦ, σμύρνης, ἠρυγγίου, ὀποῦ Κυρηναϊκοῦ, κρόκου, ἑρπύλλου, κόστου, σαγαπηνοῦ, ἑκάστου < ϛ΄. οἴνῳ Ἀμιναίῳ φυράσας, ἀνάπλαττε τροχίσκους, καὶ δίδου πρὸς δύναμιν. ἔστω δὲ ἡ τελεία δόσις τριώβολον ἐξ οἴνου κοτύλης α΄. πρὸς δὲ τὰς λοιπὰς

E διαθέσεις μετ᾽ οἰνομέλιτος.

Ἐπίθεμα ἐχιοδήκτοις.

℞. Σαγαπηνοῦ, πεπέρεως, ὀποῦ Κυρηναϊκοῦ, ὀποπάνακος ἀνὰ μέρος ἕν, χαλβάνης, θείου ἀπύρου, ἀνὰ < β΄. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, τοὺς δ᾽ ὀποὺς διαλύσας, ἐπίβαλλε τοῖς ξηροῖς, καὶ ποίει ἐμπλάστρου τὸ πάχος, καὶ ἐπιτίθει κατὰ τῶν πληγῶν, ἔξωθεν δὲ τούτων φύλλα συκῆς, ἢ κνίδης.

Ἄλλο.

℞. Καρδαμώμου, ἠρυγγίου ῥίζης, θείου ἀπύρου, πεπέρεως, ἑκάστου μέρος ἕν, σμύρνης, χαλβάνης, ἀνὰ β΄. μέρη, σκεύαζε

F καθὰ προείρηται.

Ἄλλο.

℞. Κενταυρείου, ἀριστολοχίας, πευκεδάνου ῥίζης, ἴσον ἑκάστου, κόψας, καὶ σήσας, καὶ ὄξει φυράσας, ἀναλάμβανε χαλβάνῃ, καὶ χρῶ καθὰ προείρηται.

A

Ἄλλο.

℞. Καγχρύος, σταφίδος ἀγρίας, βρυωνίας ῥίζης, ἀριστολοχίας, ἑκάστου μέρος ἕν, σμύρνης, ὀποπάνακος, ἀνὰ μέρη β'. ὄξει φυράσας ἀναλάμβανε, καθὰ προείρηται.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ἀντίδοτοι Δαμοκράτους πρὸς ἑρπετὰ καὶ λυσσοδήκτους.

Ἐπεὶ δὲ τὰ ἔμμετρα τοῦτ' εὐμνημόνευτον ἔχει, καὶ τὸ ἀναμάρτητον ἐν τῇ συμμετρίᾳ τῶν φαρμάκων, ἄμεινον ἔδοξεν εἶναί μοι καὶ τὰ Δαμοκράτους ἐνταῦθα γράψαι μέτρα, τόνδε τὸν τρόπον ἔχοντα. B

Νυνὶ δ' ἀποδοῦναι βούλομαι τὰς δυνάμεις,
Μόνον θεραπεύειν ἰοβόλων δήγματα,
Ἔχεων, κεραστῶν, ἀσπίδων, καὶ χερσύδρων,
Πληγάς τε θηρίων, καὶ δήγματα
Σφηκῶν, μελιττῶν, σκορπίων, φαλαγγίων.
Σκεύαζε δ' οὕτως. ἴρεως δὶς δ'.
Τῆς Ἰλλυρικῆς. τὸ δ' ἀπὸ ζιγγιβέρεως,
Ὀποπάνακός τε καὶ ὀπίου, μηκωνίου,
Λιβανωτίδος ῥίζης τε, καὶ τοῦ Κρητικοῦ
Παντὸς τριφύλλου σπέρματος δὶς δ'.
Ἀριστολοχίας τῆς μακρᾶς, καὶ πηγάνου
Σπέρματος ἀγρίου τε, τὰς ἴσας ἀνὰ δώδεκα.
Ἑκκαίδεκα ῥίζης λευκοτάτης βρυωνίας.
Ἑρπυλλαρίου δὲ τῆς πόας καὶ σμυρνίου,
Καστορίου τε Ποντικοῦ πάντων ἴσα.
Ἠρυγγίου δὲ καὶ σελίνου σπέρματος
Αἰθιοπικοῦ μάλιστα, καί τι ἐπὶ προσφάτου
Δραχμὰς ἑκάστου γ'. δύο ἐκ πάντων σταθμοῦ,
Ὀρόβου τε λευκοῦ, τοῦ καθαροῦ δύο δώδεκα.
Ἅπαντα ταῦτα ξηρὰ καὶ σεσησμένα,
Ἀναλάμβαν' οἴνῳ καὶ ποιήσας σφαιρία,
Ἢ καὶ τροχίσκους, δὸς δραχμὴν πιεῖν μίαν,
Τοῦ φαρμάκου κοτύλην τε μὴ κεκραμένην,
Οἴνου λιπαροῦ, καλοῦ τε καὶ μὴ προσφάτου.
Ποιεῖ δὲ καὶ δι' ὕδατος αἰθὲν ἥμισυ
Τοῖς πνευματουμένοισι κῶλον, ἢ γαστέρα,
Δίχ' αἰτίας φανερᾶς τε τοῖς πονοῦσί τι.

Ἄλλη.

Σφόδρα ἀγαθὴ δύναμις, ᾗ καὶ χρωμένους
Πίνοντας αὐτοὺς οἶδα, δηχθέντας κακῶς
Τοῖς ἀρτιθήροις ἔχεσι, τοῖς καλουμένοις
Ψυλλίοις. ἔθνος δέ φασι τοῦτο δυσπαθὲς
Φύσει γενομένον πρὸς τῶν δακετῶν φόβους.
Ἑτέροις δὲ δόντας, σφόδρα κακῶς δεδηγμένοις.
Μελισσόφυλλον μαλακὸν ἐν σκιᾷ ψυγεὶν,
Ξηρὸν γενόμενον κόψον, ἐκ τούτου λαβὼν
Δραχμὰς δὶς ὀκτὼ, πρόσβαλ' αὐτῷ στρογγύλης
Ἀριστολοχίας, ἢ μακρᾶς, δραχμὰς δέκα
Ξηρᾶς, χαμαίδρυος δὲ τὰς αὐτὰς δέκα,
Σμύρνης τε χρηστῆς Τρωγλοδύτιδος δραχμὰς δέκα.
Ταῦτ' ὁλμοκοπήσας, σῆθε λεπτῷ κοσκίνῳ,
Μέλιτός τε μέτριον προσβαλὼν αὐτοῖς, ἑνοῦ.
Δίδου τε δραχμῆς πλῆθος, ἢ μικρῷ πλέον
Ἐν ζωροτέροις κυάθοισι κράματα δέκα.
Τινὲς δὲ φύλλων τῶν μακρῶν καὶ προσφάτων
Τὸν χυλὸν ἀποθλίψαντες, ἴσον αὖ καλῷ
Οἴνῳ κατέμιξαν, καὶ ἔδοσαν πιεῖν αὐτίκα.
Πλῆθος τὸ πᾶν δὶς ε'. κυάθους, ἢ βραχὺ
Ἐλαττόνων, βραχύ τε δαψιλέστερον,
Τά τε φύλλα λεῖα κατέπλασαν τοῖς δήγμασι.

Aliud.

℞. Canchryos, staphidis syluestris, radicis bryoniæ, aristolochiæ, singulorum partem vnam, myrrhæ, opopanacis, singulorum partes ij. aceto conspersa excipito, vt prædictum est.

CAPVT XV.

Damocratis ad venenosorum ac rabiosorum morsus antidoti.

Qvum autem versibus conscripta facilè memoria contineantur, & ponderis medicamentorum symmetriam inculpatam sortiantur, satius mihi visum est, etiam Damocratis versus hîc adscribere, qui hoc modo se habent.

Nunc autem tradere medicinas volo,
Quæ morsus tantùm venenatos sanent
Cornutæ, viperarum, aspidum, & chersydrum;
Ictus ferarum & puncturas quoque
Apium, vesparum, scorpij, phalangij.
Sic præparato, drachmæ Illyricæ octo iridis,
Opopanacis, zingiberis, & meconij
C *Roris marini radicis, tum Cretici*
Omnis trifolij seminis, bis quatuor,
Aristolochiæ prælongæ, atque seminis
Syluaticæ rutæ, vtriusque duodecim,
Albissimæ radicis sexdecim bryoniæ,
At herbulæ serpilli, nec non smyrnij,
Castorijque Pontici, pares trium modi,
Eryngij verò, ad hæc apij seminis
Æthiopici recentis maximè insuper,
Drachmæ bis ternæ singulorum erunt,
Eruique candidi purgati bis duodecim.
D *Hæc omnia arida & cribro increta, excipe*
Vino pilulas, vel orbiculos effingito,
Drachmam vnam propinato medicaminis,
Et heminam, non commixtam vini optimi,
Pinguis, vetusti. Iam subactum aqua, facit
Drachmæ dimidio, coli, aut ventris flatibus,
Et citra manifestam causam dolentibus.

Aliud.

Valdè bonum remedium, quo vsos etiam
Ipsos bibendo noui commorsos malè
A viperis nuper captis, quos vocant
E *Psyllos (gens hæc natura non fermè solet*
Pati serpentes, neque assueta timet)
Dedisseque aliis valdè commorsis malè.
Mollem siccabis vmbra mellissophyllon:
Siccatum tunde, móxque drachmas accipe
Inde bis octo. Tum longæ vel rotundæ
Aristolochiæ, drachmas adde decem,
Sicca tamen: chamædryos decem quoque.
Myrrhæ & bonæ, & Troglodyticæ item decem.
Istæc contusa subtili cribro excute:
Mellis quod satis dulcis adde, & vnias.
Dato quod pendet drachmam vel plus parum,
E vini purioris cyathis decem.
F *Quidam è longo atque recenti folio*
Exprimunt succum, sicque mensura pari
Vinum coniungunt, vtque bibatur iubent.
Mensura vtriusque sint cyathi decem,
Parum vel minus, aut parumper amplius.
Impositum quoque folium attritum prodest.

Aliud.

Aliud.

Ad omnium venena pharmacum efficax
Serpentium, sed viperæ potissimum.
At semper habeas coagulum recentium
Cerui hinnulorum, idémque præcellit recens,
Hoc nanque stomacho vetusto gratum magis,
Denarium istius, cyathis binis cape
Vini phalerni & mediocris, aquæ & temperans,
Animalium ferorum morsibus applica.
Læsis obambulare & vigilare impera.
Quòd si locus commorsus hoc admiserit,
Et balnea ingredi, atque in his aliquandiu
Manere, necnon rursus paulò postea,
Quemadmodum prædixi, sumere coagulum,
Quod noxiis lethalibúsve sit efficax.

Alia.

Antidotus ad rabiosorum morsus canum.
Qui mentem alienantes vexant latratibus,
Metúque cuiusuis liquoris, maximè
Potus, idque sine ratione, vt si viderint
Vel paululùm prorsus aquæ, protinus
Tremore crucientur, conuulsionibus,
Peruigiliis continuis, & deliriis
Vitam peragentes, moriuntur citissimè;
Et si repente effugerint diros metus,
Eiusmodi manent diu symptomata,
Quæ sunt oberta confestim morsus nuper.
Proinde eiusmodi vt morsu te vindices,
Omnino antidotum sacrum habeas repositum.
Nam hoc qui biberint, sicut nos percensebimus,
In nullum facilè concident incommodum.
Ipsum parato, Cancros fluuiatiles
In candidæ vitis sarmentis vrito.

Seruáque diligenter tritum in pyxide,
Et gentianæ radicem incretam probè.
Altera sed in pyxide, quum vti velis,
Inspergito suauis vini cyathis tribus,
At mystra cineris magna sarmentum duo;
Sed gentianæ læuigatæ, veluti diximus,
Mystrum vnicum, sic bibere totum præcipe,
Quo quis die est morsus, ieiuno porrigens.
Sin fortè primum prætergressus est diem,
Et simplicem duobus aliis adferens
Modum, duplum secundo addes medicamini
In vini cyathos tres mittens, vt diximus
Vel in tribus si morsus fuerit grandior.
At gentianæ læuigatæ tres placet
Nonnullis obolos solùm viginti dies
Offerre, in cyathis cumulatis vel plus parum.

Alia.

Tritóque id vsu comperisse Niceratus
Aduersum aquæ metum, recensuit,
Ipsi atque amicis qui norunt medicaminum
Insignium proprietates discernere.

Lycij Patarici ternos obolos optimi,
Sed Indici præstaret, si copia datur,
Iubebit offerre dies viginti duos
Ieiuno, aqua, sicut vobis dictum est nuper.

Narratur hæc præstare quoque Bretanicæ
Potus similiter succus, veluti Lycium.

Atque hoc apud nonnullos est miraculum,
Vrsi bilis mystra duo, binis temperans
Aquæ cyathis, & mane ad tres dies dato,
Ad morsus rabiosorum. Sed quum plurimi
Magis laborant affectu, rabiunt canes,

A

Ἄλλη.

Πρὸς θηρείων μὲν πάντων ἰὸν ἑρπετῶν,
Μάλιστα δ' ἐχιδνῶν φάρμακον δραστήριον.
Ἔχε δὲ διὰ παντὸς πιτύαν ἀποκειμένην
Νεβρῶν ἐλάφου, καὶ μὲν αὖ τὴν πρόσφατον.
Τῆς γὰρ παλαιᾶς ἐστὶν εὐστομαχωτέρα,
Ταύτης δραχμῶν τὸ πλῆθος ἐν κυάθοις δυσὶν
Οἴνου φαλερίνου καὶ ὕδατος τοῦ συμμέτρου
Κεράσας, προσένεγκε τοῖς σφόδρα δεδηγμένοις,
Κέλευε τούτοις γρηγορεῖν, καὶ περιπατεῖν.
Ἂν ἐπιτρέπωσιν οἱ δεδηγμένοι τόποι,
Εἰς τὰ βαλανεῖα τ' εἰσιέναι χρόνους τινὰς
B Μένοντας ἐν τούτοισι, καὶ μετ' οὐ πολὺ
Πάλιν ὡς προεῖπον, λαμβάνειν τὴν πιτύαν·
Ἐκ τοῦ γένους τε τῶν πρὸς τοὺς θανασίμους.

Ἄλλη.

Ἀντίδοτός ἐστι πρὸς τὰ τῶν λυσσώντων κυνῶν
Δήγματα φέροντα παρακοπὰς ὑλακτικὰς,
φόβους ἀλόγους τε παντὸς ὑγροῦ καὶ ποτοῦ,
Ὡς κἂν ἴδωσι παντελῶς ὕδωρ βραχὺ,
Τρόμοισι καὶ σπασμοῖσι κατέχοντ' αὐτίκα,
Ἐν ἀγρυπνίαις τε καὶ παρακοπαῖς συνεχέσι
Διάγοντες, ἀποθνήσκουσι συντομώτατα.
C Κἂν τὸ παραχρῆμα δ' ἐκφύγωσι τοὺς φόβους,
Μένει τὰ τοιαῦτα κατὰ χρόνους συμπτώματα
Ἄφνω γενόμενα τοῖς πάλαι δεδηγμένοις.
Πρὸς τοὺς φόβους οὖν τῶν τοιούτων δηγμάτων
Ἱερὰν ἔχε πάντως ἀντίδοτον παρακειμένην.
Οἱ γὰρ πιόντες, ὡς ἐρῶ, ταύτην ἐγὼ,
Εἰς οὐδὲν ἄτοπον ἐμπεσοῦνται ῥᾳδίως.
Σκεύαζε δ' αὐτὴν, καρκίνους τοὺς ποταμίους
Ἐπὶ κληματίδων κατάκαιε λευκῆς ἀμπέλου,
Τήρει τε λειῶν ἐπιμελῶς ἐν πυξίδι,
Καὶ γεντιανῆς τὴν ῥίζαν εὖ σεσησμένην.
Ἐν πυξίδι δ' ἑτέρᾳ τῆς δὲ χρείας γενομένης
D Κατάπασον οἴνου τρισὶ κυάθοις ἡδέος,
Μύστρα δὲ β'. μακρὰ τῆς σποδοῦ τῶν καρκίνων,
Τῆς γεντιανῆς δ', ὡς ἔφην, λελειασμένης
Ἓν μύστρον, οὕτως ἐκπιεῖν κέλευ' ἄθρουν
Τρισὶν καθεξῆς ἡμέραις νήστει διδούς.
Πρώτην κατὰ τύχην δ' ὑστερήσας ἡμέραν,
Ἄλλαις δυσί τε προσφέρων ἁπλοῦν μέτρον,
Διπλοῦν προσοίσεις δεύτερον τῷ φαρμάκῳ,
Εἰς τρεῖς δὲ κυάθους, ὡς ἔφην, οἴνου βαλὼν
Ἢ κἂν τρισίν γε τοῖς σφοδρῶς δεδηγμένοις.
Τῆς γεντιανῆς δ' αὖ μόνοις τρισὶν δοκεῖ
Τριωβόλου τὸ πλῆθος ὁλκῆς προσφέρειν,
E Λείας ἐπιμελῶς ἡμέραις δυσὶν εἴκοσιν
Ἐν ζωροτέροις κυάθοις τρισὶν, ἢ μικρῷ πλέον.

Ἄλλη.

Καὶ τοῦτο πρὸς τοὺς ὑδροφόβους δεδοικότας
Ἔλεγε διὰ πείρας γεγονέναι Νικήρατος.
Αὑτῷ τε καὶ φίλοις κρίνειν δυναμένοις,
Τὰ τῶν παραδόξων φαρμάκων ἰδιώματα.
Λυκίου κρατίστου Παταρικοῦ τριώβολον,
Τοῦ δ' Ἰνδικοῦ, βέλτιστον αἲ ᾖ σοι παρὸν,
Διδόναι προσέταττεν ἡμέραις δυσὶν εἴκοσι,
Νήστεσι δι' ὕδατος, ὥσπερ εἶπον ἀρτίως.
Λέγεται δὲ ποιεῖν ταῦτα καὶ Βρεττανικῆς
F Δοθεὶς ὁμοίως χυλὸς, ὥσπερ τὸ Λύκιον.
Καὶ τοῦτο δ' ἱκανῶς παρ' ἐνίοις θαυμάζεται,
Ἄρκτου χολῆς β'. μύστρα καταμίξας δυσὶν
Ὕδατος κυάθοις, πρόσφερ' ἐπὶ τρεῖς ἡμέρας,
Μήπω λαβοῦσι τὴν τροφὴν, ὄρθρον τ' ἄγαν.
Πρὸς λυσσοδήκτοις ἔχε μάλισθ' ὅπου πολὺς
Εἰς τὸ πάθος ἐμπίπτει καὶ λυσσᾷ κύων.

Εμπλαστρος ἣ χρῶμαι πρὸς τὸ τῶν δηγμάτων
Ιχῶρ᾽, ἀρέσκει τι πελιόν τ᾽, ἢ καὶ μέλαν
Τοῖς τραύμασιν προσέστι, τοῦτο προσεκνίσας
Επίβαλλε τὴν ἔμπλαστρον ἐπὶ χρόνον πολὺν,
Δι᾽ ἡμερῶν τὸ τραῦμα πλατύτερον ποιῶν,
Ελκοῦν δυναμένῳ φαρμάκῳ ἐσχαρωτικῷ,
Ποιοῦσαν ἀμέλει καὶ πρὸς ἄλλων θηρίων
Τῶν ἰοβόλων πληγάς τε καὶ τὰ δήγματα,
Ακίδων τε φαύλοις φαρμάκοις βεβλαμμένων,
Καὶ πρὸς κακοήθη πάντα ἐξηλκωμένα,
Τῆς γῆς μελαίνης κἀμπελίτιδος δραχμὰς
Δὶς κέ. καὶ λιθαργύρου καλῆς
Σταθμὸν τὸν αὐτὸν, ταὐτό τ᾽ ἀσφάλτου βάρος
Ισας τ᾽ ἐλαίου. τοῖς τρισὶ τούτοις δραχμὰς
Τῆς Ατλικῆς τε προπόλεως δὶς εἴκοσι,
Αριστολοχίας, συμφύτου τ᾽ ἀνὰ τέσσαρας,
Δὶς δύο πρασίου, καὶ ἑλενίου τὰς ἴσας,
Χαμαιλέοντος τέσσαρας, τρεῖς σμυρνίου.
Τὸ δ᾽ αὐτὸ λευκῆς ἴρεως ξηρᾶς καλῆς.
Τρεῖς δ᾽ ὀμφακίνης κηκίδος, ἓξ στυπτηρίας,
Πολίου τε ταὐτὸ, χαλβάνης τ᾽ ὀβολοῦ πλέον,
Λιβάνου τ᾽ ἀτμήτου ιβ΄. ὁλκῆς ἥμισυ,
Χαλκίτεως ὀπτῆς τε τέσσαρας δραχμὰς,
Κενταυρείου λεπτοῦ τε δραχμὰς τρὶς β΄.
Δὶς πέντε καὶ δέκα μέλιτος Ατλικοῦ νέου.
Σκεύαζε δ᾽ αὐτὴν ἐπιμελῶς αὐτὸς παρών.
Καὶ γὰρ σφόδρ᾽ εἰ καὶ κατακαίεται ταχὺ,
Τὴν ἀμπελίτιν καὶ λιθάργυρον βαλὼν,
Εἰς λοπάδα καινὴν εὐμεγέθη προσέμβαλε,
Λεῖον ἔλαιον ἕψε μαλθακῷ πυρὶ,
Οταν δ᾽ ἴδῃς ῥυπῶδες, ἔμπασον τότε
Στυπτηρίαν, χαλκίτιν, ἑτέραν δ᾽ ἔτ᾽ ἔχων
Χύτραν τε, τῆκε τὸ μέλι καὶ τὴν χαλβάνην,
Πρόπολίν τε καὶ τὰ λοιπὰ τηκτὰ μίγματα
Κατάχει μετρίως ζέοντα τοῦ λιθαργύρου,
Καὶ συζέσας ἐπ᾽ ὀλίγον, ὅταν ἴδῃς ὅτι
Εμπλαστρος ἔσται ἀμόλυντος, ἐμπάσσεις τότε
Τὰς πόας τε καὶ τὰ λοιπὰ ῥιζία,
Αρας τε ταχέως τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,
Ψύξον, διακινῶν ἐπ᾽ ὀλίγον τὸ φάρμακον,
Συνεκμαλάσσων χερσὶν εὐτονωτέραις,
Απόθου, φυλάττων δέρματ᾽ ἐσκεπασμένην,
Καὶ τῶν ἀκίδων τῶν πεφαρμακευμένων,
Τὰ τραύματ᾽ ἔγνω ταὐτὰ ποιεῖν ἑρπετοῖς
Τῶν ἰοβόλων τε θηρίων τοῖς δήγμασι.
Διὸ καὶ θεραπείας ἐστὶν ὁμογενὴς τρόπος,
Καὶ γὰρ ἐπὶ τούτοις σάρκα τὴν τετρωμένην
Ταχέως περικόπτειν σμιλίῳ δεῖ, καὶ πυρὶ
Συκίας τ᾽ ἐπιβάλλειν εἰ δυνατὸν τοῖς τραύμασι,
Τοῖς δριμέσιν τε φαρμάκοις καὶ καυστικοῖς,
Τηρεῖν τὸ τραῦμα πλείονας χρόνους πλατὺ,
Ωσπερ ὑπέδειξα θἀτέρῳ ἐν συντάγματι
Ετέρῳ, γραφέντι τοῖς θέλουσι φάρμακα
Ποιεῖν ὅσα καύσοις σμιλίῳ τε γίγνεται.
Χρῆσθαι δὲ καὶ ταῖς ἀντιδότοις ποτήμασι
Τοῖς ἐχιοδήκτοις, ἃς ἐκέλευσα προσφέρειν,
Καὶ πιτύας δὲ τῶν νεβρῶν αὐτοῖς δίδου,
Καὶ γεντιανῆς, ὡς ἔφην, δεῖ προσφέρειν
Τοῖς λυσσοδήκτοις, καὶ τὰ λοιφ᾽, ὡς εἴπομεν
Ποιεῖν ἐπ᾽ ἐκείνων ταῦτα, καὶ τοῖς δ᾽ ἁρμόττει
Οπόν τε Κυρηναῖον αὐτοῖς προσφέρειν.
Οὗ μὴ παρόντος δὲ, διδόναι καὶ Μηδικὸν
Οβολοῦ τὸ πλῆθος μεθ᾽ ὕδατος κυάθων δυοῖν,
Τῆς γεντιανῆς δ᾽ ὅσον ἄγει τριώβολον,
Χυλὸς δ᾽ ἀμείνων ἐστὶ τῆς ῥίζης πολύ.

A *Emplastrum habeto quo vtor contra morsuum*
Tergendam saniem, si quid liuidum aut nigrum
Vulneribus adhaeret; quo albato pluribus
Diebus emplastrum iniectum permittito,
Latius efficiendo vulnus, medicamine,
Quod ducere possit crustam. confert insuper
Ferarum reliquarum virus iaculantium
Ad ictus, itidem morsus, atque spicula
Praui medicamentis infecta, & omnia
Maligna corporis totius vlcera,
Terrae nigrae ampelitidis, & bituminis,
Spumae bonae argenti, atque olei, denarios
B *Fac singulorum quinquaginta horum trium.*
Verùm propoleos bis vigenos, Atticae
Aristolochiae & symphyti ana quatuor,
Bis duo prassij & helenij pares
Chamaeleonis quatuor, tres smyrnij,
Tot candidae iris aridae drachmas bonae,
Tres omphacinae gallae, sex aluminis,
Polijque totidem, galbani obolo largius,
Thuris duodecim non secti drachmas semis,
Chalcitis autem testae drachmas quatuor,
Centaurij tenuis drachmas sex, mellis Attici
Denarios quinos denos mittes noui.
Sed fac diligenter ipse praesens praepares.
C *Siquidem ocyus etiam valdè comburitur,*
Terram ampelitidem mittens & lithargyron
In fictile nouum magnitudinis bonae
Adiunge leue oleum, mollique igne incoquas.
Quum sordidum videbis, tunc inspergito
Calcitem, alumen, alia rursus ollula
Mel, galbanum, propolim, reliquáque liquida
Liquato, modicè feruida superfundito
Lithargyro, calefaciens pauxillulum,
Quum videris manus ceu emplastro haud infici,
Tunc herbulas adde, & reliquas radiculas.
D *Sublato ab igne confestim iam fictili:*
Refrigera parùm, medicamen commouens,
Palmis valentioribus permolliens
Reponito, conseruans pelle conditum.
Valet sagittarum infectarum pharmaco
Vulneribus, veluti morsibus serpentium,
Item iaculantium virus animalium.
Quare medendi existit consimilis modus.
In his enim carnem oblaesam scalpro statim
Circuncidere necesse est, & cucurbitas,
Si liceat, admoueri flammis vulneri,
Acribus & medicamentis ac vrentibus,
E *Id longiore seruans latum tempore.*
Quod indicaui prius in commentario
Alio, ijs qui medicamina tradita desiderent
Efficere, quae scalpro fiunt, vrentibus.
Sunt vtiles antidoti in potionibus
Quas viperae applicari iussi morsibus.
Item coagulum ipsis offer hinnuli,
Et gentianae, vt rabiosorum morsibus
Adferre oportet reliqua, sicut docuimus
In illis facere: quippe haec istis congruunt.
Succúmque Cyrenaeum istis fac temperes:
Sin copia negetur, des etiam medicum,
F *Aquae duobus cyathis oboli pondere,*
At gentianae, quantum oboli tres pendeant,
Est autem melior succus, quàm radicula.

CAP.

A

CAPVT XVII.

Antidoti ab Hera conscriptæ theriacæ, quas etiam nos experti sumus.

THeriaca qua vsus est Marcus Imperator. ℞. Seminis trifolij bituminosi partem vnam, aristolochiæ rotundæ partem vnam, rutæ syluestris partem vnam, erui moliti partem vnam; vino excipe, & confice pastillos drachmarum iv. dato vnum ex vino & oleo.

Antidotum aliud ad eadem vehementer efficax.

Hoc cape præsidium ad serpentia, quod Philometor
Vsu præcipuum repperit Antiochus.
Meu drachmas binas radicis ponito, tantum
Germina serpilli ponderis accipiant,
Et panacis totidem drachmas liquor asserit aquè
Triffolij, quantum drachmula fructus habet,
Oxybaphum marathri, necnon ammeos, & anisi,
Atque apij; sument semina quæque suum.
Ast erui pones acetabula bina farinæ;
Omnia cum Chio nectare consocians,
Orbiculos finges, iusto qui singuli in illis
Drachmæ dimidium pondere constituant.
Irrorans Chio medicamina, viperæ amarum
Æquali virus associato modo.
Hoc autem effugies horrenda phalangia potu.
Scorpi etiam stimulum non vereare grauem.

Eadem exactè scripta ponderibus. ℞. Meu Cretici drach. ij. seminis trifolij drach. ij. serpilli sicci drach. iv. fœniculi drach. iv. ammeos ʒ. iv. seminis apij drach. iv. erui farinæ ʒ. viij. trita excipito vino Chio, & fingito pastillos triobolares, ac dato vnum ex vino. *Aliud antidotum, theriaca ad scorpionum ictus, & quæ morsu virus emittere videntur, ad rupta, & conuulsiones, inflationes coli, & multa similia; hanc medicinam Gallus ex Arabia profectus Cæsari donauit, multis ea commilitonibus seruatis.* ℞. Radicis bryoniæ albæ drach. viij. trifolij seminis drach. iv. ireos, chalcitidis, vtriúsque drach. iv. aristolochiæ tenuis drach. iv. roris marini radicis drach. iv. succi papaueris drach. iv. zingiberis drach. iv. seminum rutæ syluestris ʒ. vj. serpilli drach. iij. cumini Æthiopici drach. iij. radicis eryngij drach. iij. erui farinæ albæ drach. x. vini Chij marinæ expertis quod satis est; pastillos fingito qui pendent ʒ. singuli, & ex vini meraci hemina dato.

Aliud ad viperarum morsus.

℞. Fraxini foliis contusis expressisque succum ex vino potui dato, foliisque contractis vulnus obducito.

Aliud ad phalangiorum morsus.

Vni pastillo Trigonis misceto, piperis ℈. xiij. seminis phylli ℈. xl. ex diluta vini potione calida ad triduum propinato.

Aliud idem faciens.

℞. Aristolochiæ Creticæ longæ drach. j. cumini Ægyptij iij. obolos, rutæ syluestris seminis drach. vj. succi Cyrenaici drach. iii. ß. minij Lemnij drach x. myrrhæ drach. viij. opobalsami drach. viij. piperis albi drach. ij. ß. canchryos

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Αἱ ὑφ' Ηρα γεγραμμέναι ἀντίδοτοι θηριακαί· ὧν καὶ ἡμεῖς ἐπειράθημεν.

ΘΗριακὴ ᾗ ἐχρήσατο Μάρκος ὁ αὐτοκράτωρ. ℞. Τριφύλλου ἀσφαλτώδους σπέρματος μέρος ἕν, ἀριστολοχίας στρογγύλης μέρος ἕν, πηγάνου ἀγρίου μέρος ἕν, ὀρόβου ἠλεσμένου μέρος ἕν, οἴνῳ ἀναλάμβανε καὶ ποίει τροχίσκους < δ'. δίδου ἕνα μετ' οἴνου, καὶ ἐλαίου.

B Αντίδοτος ἄλλη ποιοῦσα πρὸς τὰ αὐτὰ λίαν καλῶς.

Ισθιν μάθε τήνδε πρὸς ἑρπετὰ, ἣν Φιλομήτωρ
Νικήσας, πείρᾳ κέκρικεν Αντίοχος.
Μήου ἀπὸ ῥίζης ὁλκὴν διδραχμίαν ὀρύξας,
Σὺν τῷ δ' ἑρπύλλου κλῶνας ἰσορρεπέας.
Σὺν δ' ὀπὸν ἐκ πάνακος στήσας, ἶσον ἠδὲ τριφύλλου
Καρπὸν, ὅσον δραχμῆς σταθμὸν ἄγοντα δίδου,
Ανίσου, μαράθρου τε καὶ ἄμμιος, ἠδὲ σελίνου
Εξ εἶος, ἓν πληρῶν σπέρματος ὀξύβαφον.
Σὺν δ' ὀρόβου λείου δύο ὀξύβαφ' ἔμπασ' ἀλεύρου,
Πάντα δ' ὁμοῦ Χίῳ νέκταρι συγκεράσας,
Κυκλοτερεῖς ἀνάπλασσε τροχοὺς, ἰσότητι μερίζων,
C Ημιδραχμαίοιο ῥοπῆς, ὄφρ' ἂν ἕκαστος ἔχῃ.
Χίῳ δ' ἐγκεράσας τάδε μίγματα, πικρὸν ἐχίδνης,
Ημίσεως δραχμὴν, ἰὸν ἀποσκεδάσεις.
Τῷ δὲ ποτῷ καὶ δεινὰ φαλάγγια, καὶ σκολιοῖο
Σκορπίου ἐκφεύξῃ κέντρα φέροντ' ὀδύνας.

Η αὐτὴ ἠκριβωμένη τῇ συσταθμίαις. ℞. Μήου Κρητικοῦ < β'. τριφύλλου σπέρματος < β'. ἑρπύλλου ξηροῦ < δ'. μαράθρου < δ'. ἄμμεως < δ'. σελίνου σπέρματος < δ'. ὀροβίνου ἀλεύρου < η'. λεῖα ποιήσας, ἀναλάμβανε οἴνῳ Χίῳ, καὶ ποίει τροχίσκους τριωβολιαίους, καὶ δίδου ἕνα μετ' οἴνου. Αλλη D θηριακὴ πρὸς σκορπίων πληγὰς, καὶ ὅσα τῶν δακνόντων, ἰὸν ἐνιέναι δοκεῖ, καὶ πρὸς ῥήγματα, καὶ σπάσματα, ἐμπνευματώσεις κώλου, καὶ πρὸς πολλὰ τῶν ὁμοίων. Ταύτην τὴν δύναμιν Γάλλος ἐκ τῆς Αραβίας παραγενόμενος Καίσαρι ἔδωκε, πολλοὺς αὐτῇ τῶν συστρατευσαμένων διασώσας. ℞. Βρυωνίας λευκῆς ῥίζης < η'. τριφύλλου σπέρματος < δ'. ἴρεως, χαλκίτιδος ἀνὰ < δ'. ἀριστολοχίας λεπτῆς < δ'. λιβανωτίδος ῥίζης < δ'. ὀποῦ μήκωνος < δ'. ζιγγιβέρεως < δ'. πηγάνου ἀγρίου σπέρματος < ς'. ἑρπύλλου < γ'. κυμίνου Αἰθιοπικοῦ < γ'. ἠρυγγίου ῥίζης < γ'. ὀρόβου ἀλεύρου λευκοῦ E < ι'. οἴνου Χίου ἀθαλάσσου τὸ ἱκανὸν, ἀνάπλασσε τροχίσκους, ἀνὰ δραχμιαίους, καὶ δίδου μετ' οἴνου ἀκράτου κοτύλης.

Αλλη πρὸς ἐχιοδήκτους.

Μελίας φύλλα κόψας, καὶ ἐκθλίψας τὸν χυλὸν, δίδου μετ' οἴνου πίνειν, καὶ τοῖς φύλλοις τοῖς ἀποτεθλιμμένοις τὸ τραῦμα κατάπλασσε.

Αλλη πρὸς φαλαγγιοδήκτους.

Ενὶ τροχίσκῳ τοῦ τριγώνος μίσγε πεπέρεως κόκκους ιγ'. σπέρματος φύλλου κόκκους μ'. ἐξ οἴνου κράματος πότιζε θερμοῦ F ἐπὶ ἡμέρας γ'.

Αλλη ὁμοίως ποιοῦσα.

℞. Αριστολοχίας Κρητικῆς μακρᾶς < α'. κυμίνου Αἰγυπτίου τριώβολον, πηγάνου ἀγρίου σπέρματος < ς'. ὀποῦ Κυρηναϊκοῦ < γ' S'. μίλτου Λημνίας < ι'. σμύρνης < ζ'. ὀποβαλσάμου < η'. πεπέρεως λευκοῦ < β' S'. κάγχρυος

< δ'. κόψας καὶ σήσας, φύρα μέλιτι, καὶ δίδου δι' ὕδατος θερμοῦ κυάμου Αἰγυπτίου τὸ μέγεθος. ἐὰν δ' εὐτονώτερον θελήσῃς χρήσασθαι, διπλοῦν δίδου.

ʒ.iv. contusa cribratáque, melle conspergito, & ad fabæ Ægyptiæ magnitudinem ex aqua calida propinato; quòd si valentiori vti velis, duplum exhibeto.

Ἄλλη μετὰ τὰς πρώτας γεγραμμένας ἀντιδότους, θηριακή.

Alia post commemorata prima antidota theriace.

Οὐκ οἶδ' ὅπως ἀτάκτως πρὸς ἰσχιαδικοὺς πότιμα γράψας β'. μετὰ ταῦτα πάλιν ἔγραψεν ἀντιδότους, τὴν Ζωπύρειον ὀνομαζομένην, καὶ ἄλλην τινὰ πολυμίγματον ἅπασι τοῖς θανασίμοις ἁρμόττουσαν, ὥς φησι, προλαμβανομένην τε καὶ ἐπιλαμβανομένην. ἁρμόττει δὲ καὶ λυσσοδήκτοις, καὶ πλευριτικοῖς, καὶ τοῖς ἐντὸς ἀλγήμασιν ἅπασιν, ὥσπερ γε καὶ τοῖς γυναικείοις πάθεσι. καὶ μετὰ ταύτην πάλιν ἑτέραν πολύχρηστον ἔγραψεν ἐξ ρ'. συγκειμένην, ἐξαιρέτως δέ, ὥς φησι, πρὸς τὰ θανάσιμα, καὶ τοὺς πνιγομένους ὑπὸ ψιμμυθίου. εἶτα μετὰ ταύτας, τὴν διὰ τῆς Λημνίας μίλτου, περὶ ἧς ἤδη καὶ πρόσθεν ἔγραψα, παραγράψας τὰ Δαμοκράτους ἔπη. τὴν ἄλλην οὖν παραλιπών, τὴν ἐξ ρ'. συγκειμένην, ἀρκεσθήσομαι τῇ τε Ζωπυρείῳ, καὶ τῇ μετ' αὐτὴν γεγραμμένῃ. καὶ προσέτι τὴν διὰ τῆς Λημνίας μίλτου παραλιπὼν τὴν ἑκατοντα μίγματον. ἡ αὐτὴ γάρ ἐστι τῇ ὑπ' Ἀνδρομάχου γεγραμμένῃ, Ζωπύρειος ἀντίδοτος, ποιοῦσα πρὸς ἅπαντα, ἰδιαίτερον δὲ πρὸς τὰ θανάσιμα, καὶ πρὸς ἡπατικούς, καὶ τὰς ἐμπνευματώσεις τῆς κοιλίας, καὶ τὰς ἀρχομένας ὑπεγχύσεις, καὶ μάλιστ' ἐφ' ὧν ἐστι πλέον πνεῦμα, τὸ παρακείμενον. ℞. Σμύρνης < ε'. νάρδου Συριακῆς < ε' S. κρόκου < δ' S. σχοίνου ἄνθους < β' S. κασσίας < δ'. κινναμώμου < γ'. πεπέρεως λευκοῦ < α' S. λιβάνου < α'. ὀβολὸν α'. κόστου < α'. μέλιτι Ἀττικῷ ἀναλάμβανε, καὶ ποίει τροχίσκους καρύου Ποντικοῦ τὸ μέγεθος, δίδου μετ' οἰνομέλιτος, ἢ μεθ' ὕδατος. Ἄλλη ἀντίδοτος, ποιοῦσα πρὸς πάντα τὰ θανάσιμα, καὶ προλαμβανομένη, καὶ ἐπιλαμβανομένη. ποιεῖ καὶ πρὸς λυσσοδήκτους· ποιεῖ δὲ καὶ πρὸς πλευριτικούς, καὶ τὰ ἐντὸς ἀλγήματα. εὐθετεῖ δὲ καὶ πρὸς τὰ γυναικεῖα ἀλγήματα, καὶ πάθη. ℞. Γλυκυρρίζης < ϛ'. καὶ ὀβολὸν α' S. δαύκου Κρητικοῦ σπέρματος < ϛ'. ὀβολὸν α' S. ὀπίου < δ'. ὀβολοὺς β'. καστορίου < β'. ὀβολὸν ἕνα, πεπέρεως μακροῦ < ϛ'. τετρώβολον, κόστου < ϛ'. ὀβολοὺς β'. ναρδοστάχυος < ϛ'. ὀβολὸν α' S. κασσίας μελαίνης < ε'. ὀβολοὺς β'. λιβάνου ἄρρενος < α' S. σεσέλεως < ε'. ὀβολοὺς β'. σκορδίου < ϛ'. ὀβολοὺς β' S. ὑποκυστίδος χυλοῦ < ϛ'. ἀκόρου < β'. μαλαβάθρου φύλλων < ϛ'. ὀβολὸν ἕνα, σαγαπηνοῦ < β'. βαλσάμου καρποῦ < ε'. ὀβολοὺς β'. σμύρνης < ϛ'. κρόκου < ζ'. ὀβολοὺς β'. στύρακος < ϛ'. κινναμώμου < ζ'. ὀβολοὺς β'. ζιγγιβέρεως < ζ'. ὀβολοὺς β'. πεπέρεως λευκοῦ < ε'. ὀβολοὺς β'. φοῦ < ε'. πετροσελίνου < δ'. νάρδου Κελτικῆς < δ'. ὀβολοὺς β' S. ὑπερικοῦ < β'. ἀκακίας χυλοῦ < β'. γεντιανῆς < δ'. Ἰλλυρικῆς < β'. ἀνίσου < γ'. θλάσπεως < ϛ'. ὀβολοὺς β' S. ῥόδων ξηρῶν < δ'. μήου < β'. κόμμεως < β'. καρδαμώμου < δ'. σχοίνου ἄνθους < ϛ'. ὀβολοὺς β'. ὀποπάνακος < ζ'. ὀποβαλσάμου < ϛ' S. χαλβάνης < γ'. ὀβολοὺς β'. τερμινθίνης < ϛ'. ὀβολοὺς β'. ἀγαρικοῦ < ζ' S. κύφεως < ϛ'. βδελλίου < ϛ'. σκίγκου < β'. ἀμώμου < γ'. πολίου < ε'. ὀβολοὺς β'. δικτάμνου < ϛ'. πηγάνου ἀγρίου σπέρματος < δ'. σφραγῖδος Λημνίας < β' S. ἐρυσίμου < δ'. οἴνῳ Φαλερίνῳ ἀναλάμβανε, καὶ μέλιτι Ἀττικῷ.

Haud noui quomodo potionibus ad coxendicum dolores duabus citra ordinem conscriptis, postea rursus antidota addiderit, Zopyrion dictū; ac aliud quoddam ex variis mixtis constans, omnibus (vt inquit) lethalibus accommodatum: siue antea, siue pòst assumatur. Cæterùm congruit etiam ad rabiosorum morsus, pleuriticos, & internos dolores vniuersos, quemadmodum & ad mulierum affectiones confert. Post hoc rursus aliud multiplicis vsus tradidit ex centum rebus compositum, eximium verò (vt ait) ad lethalia, & à cerusa suffocatos. Deinde post hæc, illud quod Lemnia terra constat apposuit, de quo iam priùs etiam egi, Damocratis carminibus adscriptis; itáque alio quod ex centenis medicamentis conficitur prætermisso, satis mihi erit Zopyrion, & post id scriptū adiicere. Præterea, eo quod ex Lemnia terra constat omisso, quod centum simplicia recipit. Respondet enim Zopyrion antidotum cum eo quod Andromachus tradidit, ad omnia efficax: sed peculiarius ad lethalia, hepaticos, inflationes ventris, & incipientes suffusiones, præsertim in quibus id quod insidet largior est spiritus. ℞. Myrrhæ drach. v. Syriacæ nardi ʒ.v.ß. croci ʒ.iv.ß. schœnanthi ʒ.ij.ß. cassiæ ʒ.iv. cinnamomi ʒ.iij. piperis albi drach. j.ß. thuris drach. j. & obolum j. costi drach. j. melle Attico excipe, ac finge trochiscos nucis auellanæ magnitudine, dantur ex mulso, vel aqua. *Aliud antidotum omnibus lethalibus faciens, & præsumptum, & postea datum; valet etiam ad rabiosorum morsus; facit & ad pleuriticos, internósque dolores; accommodatur etiam mulierum doloribus, & affectionibus.* ℞. Glycyrrhizæ drach. vj. & obolum j.ß. dauci Cretici seminis drach. vj. obolum j.ß. opij ʒ.iv. obolos ij. castorij drach. ij. obolum j. piperis longi drach. vj. obolos iv. costi drach. vj. obolos ij. spicæ nardi drach. vj. sesqui obolum, cassiæ nigræ drach. v. obolos ij. thuris masculi drach. j.ß. seseleos ʒ. v. obolos ij. scordij drach. vj. obolos ij.ß. succi hypocystidis drach. vj. acori drach. ij. foliorum malabathri drach. vj. obolum j. sagapeni drach. ij. fructus balsami drach. v. obolos ij. myrrhæ ʒ.vj. croci drach. vij. obolos ij. styracis drach. vj. cinnamomi drach. vij. obolos ij. zingiberis drach. vij. obolos ij. piperis albi drach. v. obolos ij. phu ʒ.v. petroselini drach. iv. nardi Celticæ drach. iv. obolos ij.ß. hyperici drach. ij. acaciæ succi drach. ij. gentianæ drach. iv. Illyricæ drach. ij. anisi ʒ.iij. thlaspeos drach. vj. obolos ij.ß. rosarum siccarum drach. iv. mei drach. ij. gummi drach. ij. cardamomi drach. iv. schœnanti drach. vj. obolos ij. opopanacis drach. vij. opobalsami drach. vj.ß. galbani drach. iij. obolos ij. resinæ terebinthinæ drach. vj. obolos ij. agarici drach. vij.ß. cypheos drach. vj. bdellij drach. vj. scinci drach. ij. amomi drach. iij. polij drach. v. obolos ij. dictamni ʒ.vj. rutæ syluestris seminis drach. iv. sigilli Lemnij drach. ij.ß. erysimi drach. iv. vino Phalernio, & Attico melle excipiuntur.

Aliud antidotum; valet ad lethalia præsumptum, & postea datum, nihilque reliqua medicamenta exhibita impedit; quum verò datum fuerit, nauseam mouet, quoad totũ quod perniciosum est, expellatur.

℞. Minij sigilli Lemnij ʒ. j. obolos ij. baccarum iuniperi ʒ. ij. oleo quamoptimo trita excipe, dáque nucis auellanæ magnitudine cum mulso.

Ex commentariis Aphrodæ ad aquæ metum.

℞. Lathyridis ℥. j. castorij ʒ. iij. læuigata cum hemina rosacei dantur potui.

Pilula eiusdem ad aquæ metum.

℞. Castorij ʒ. j. ß. lathyridum g̃. ix. dato.

Aliter, à Nicostrato.

℞. Castorij ʒ. viij. lycij Indici ʒ. iv. gentianæ ʒ. ij. cancrorum crematorum ʒ. j. ß. melle mixta dato.

Ad aquæ metum admirabile.

Si aqua in qua fabri ferrum abstergunt, inscio artifice, exhibeatur, mirum in modum proficit: at iis qui iam aquam extimescunt, vt bibant, poculo panniculum ex sella supponito, & bibitur. Confert etiam gentiana per se, tribus cochleariis cum aqua.

Amaranti Grammatici ad pedum dolores, quo etiam ipse vsus est.

℞. Rhei Pontici ʒ. x. piperis albi ʒ. viij. petroselini, agarici, hyperici, acori, eryngij, singulorum ʒ. xvj. cardamomi, thlaspeos, acaciæ, succi glycyrrhizæ ʒ. ij. rosarum siccarum, singulorum ʒ. xiv. seminis fœniculi ʒ. ij. aristolochiæ longæ ʒ. ij. & rotundæ, baccarum rusci, vtriusque ʒ. iij. seminis apij ʒ. iij. seminis napi syluestris ʒ. iij. zingiberis ʒ. iij. gentianæ ʒ. vj. scinci ʒ. ij. thuris ʒ. v. phu Pontici ʒ. iij. irionis ʒ. vj. iridis Illyricæ ʒ. xiij. cassiæ, ligustici, schœnanthi, spicæ nardi, sij, scorpiuri, singulorum ʒ. vj. mellis quod satis est: datur nucis auellanæ magnitudo ad annum.

Aliud, quo ego vtor.

℞. Chamædryos ʒ. lxxxiv. scordij ʒ. iij. petroselini ʒ. iij. cardamomi ʒ. iij. marrubij, gentianæ, vtriusque ʒ. iv. centaurij ʒ. iv. ß. aristolochiæ rotundæ tantundem, mellis quod sufficit: datur ad nucis auellanæ magnitudinem cum aqua ad annum.

A Ἄλλη ἀντίδοτος· ποιεῖ καὶ πρὸς θανάσιμα, προδιδομένη καὶ ἐπιδιδομένη, καὶ οὐδὲν ἐμποδίζουσα πρὸς τὰ λοιπὰ διδόμενα φάρμακα· ὅταν δὲ δοθῇ, ναυτίαν κινεῖ, ὥστε ἀναβάλλεσθαι πᾶν τὸ φθαρτικόν.

℞. Μίλτου σφραγῖδος Λημνίας < α'. ὀβολοὺς β'. ἀρκευθίδων < β'. λεῖα ποιήσας, ἀναλάμβανε ἐλαίῳ καλλίστῳ, καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος σὺν οἰνομέλιτι.

Ἐκ τῶν Ἀφροδᾶ, πρὸς ὑδροφόβους.

℞. Λαθυρίδος οὐγγίας α'. καστορίου < γ'. λεάνας, δίδου μετὰ κοτύλης δραχμῆς ῥοδίνου πίνειν.

B Καταπότιον τοῦ αὐτοῦ, ὑδροφοβικόν.

℞. Καστορίου < α' S. λαθυρίδων κόκκους θ'. δίδου.

Ἄλλως, παρὰ Νικοστράτου.

℞. Καστορίου < η'. λυκίου Ἰνδικοῦ < δ'. γεντιανῆς < β'. καρκίνων κεκαυμένων < α' S. μέλιτι μίξας δίδου.

Πρὸς δὲ ὑδροφόβον, θαυμαζόμενον.

Εἰ ὕδωρ εἰς ὃ ἀποκαταρρίπτουσιν οἱ σιδηρουργοὶ τὰ σίδηρα, ἀγνοοῦντος τοῦ τεχνίτου δίδοται, λίαν θαυμάζεται. τοῖς δὲ ἤδη φοβουμένοις τὸ ὕδωρ, ἵνα πίῃ, ὑπόθες τῷ ποτηρίῳ C ῥάκος ἀπὸ ἀφέδρου, καὶ πίεται. ποιεῖ δὲ καὶ γεντιανὴ καθ᾽ ἑαυτὴν, κοχλιάρια γ'. σὺν ὕδατι.

Ἀμαράντου Γραμματικοῦ πρὸς ποδαλγικούς, ᾧ καὶ αὐτὸς ἐχρῆτο.

℞. Ῥήου Ποντικοῦ < ι'. πεπέρεως λευκοῦ < η'. πετροσελίνου, ἀγαρικοῦ, ὑπερικοῦ, ἀκόρου, ἠρυγγίου, ἀνὰ < ις'. καρδαμώμου, θλάσπεως, ἀκακίας, γλυκείας χυλοῦ < β'. ῥόδων ξηρῶν, ἀνὰ < ιδ'. μαράθρου σπέρματος < β'. ἀριστολοχίας μακρᾶς < β'. καὶ στρογγύλης, ὀξυμυρσίνης καρποῦ, D ἀνὰ < γ'. σελίνου σπέρματος < γ'. βουνιάδος ἀγρίας σπέρματος < γ'. ζιγγιβέρεως < γ'. γεντιανῆς < ς'. σκίγκου < β'. λιβανωτοῦ < ε'. φοῦ Ποντικοῦ < γ'. ἐρυσίμου < ς'. ἴρεως Ἰλλυρικῆς < ιγ'. κασσίας, λιγυστικοῦ, σχοίνου ἄνθους, ναρδοστάχυος, σίου, σκορπιούρου, ἀνὰ < ς'. μέλιτος τὸ ἱκανόν. δίδου μέγεθος Ποντικοῦ καρύου ἐπ᾽ ἐνιαυτόν.

Ἄλλο, ᾧ ἐγὼ χρῶμαι.

℞. Χαμαίδρυος < οδ'. σκορδίου < γ'. πετροσελίνου < γ'. καρδαμώμου < γ'. πρασίου, γεντιανῆς ἀνὰ < δ'. κενταυρείου < δ' S. ἀριστολοχίας στρογγύλης ἴσον, μέλιτος τὸ E ἱκανόν. δίδου Ποντικοῦ καρύου μέγεθος σὺν ὕδατι ἐπ᾽ ἐνιαυτόν.



ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΠΙΣΟΝΑ ΠΕΡΙ ΤΙΣ ΘΗΡΙΑΚΗΣ ΒΙΒΛΙΟΝ Α'.

GALENI AD PISONEM DE THERIACA LIBER I.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Πίσωνι τὸν λόγον ἀνατίθησιν, Ἀνδρόμαχον ἐπαινεῖ, καὶ τῆς γραφησομένης πραγματείας τὸ αἴτιον ἐκδηλοῖ ὁ Γαληνός.



ΚΑΙ τοῦτόν σοι τὸν περὶ τῆς θηριακῆς λόγον ἀκριβῶς ἐξετάσας ἅπαντα, ἄριστε Πίσων, (A) σπουδαίως ἐποίησα, καὶ μάλιστα ἐπεί σε κατεῖδον περὶ τὴν γνῶσιν αὐτῆς μὴ παρέργως ἔχοντα. εἰσελθὼν γάρ ποτε πρός σε κατὰ τὸ ἔθος, πολλὰ μὲν καὶ ἄλλα τῶν συνήθων σοι παρακείμενα βιβλία εὗρον. καὶ γὰρ καὶ ἄλλως ἐστί σοι φίλον, μετὰ τὰς δημοτικὰς τῶν πράξεων ἀσχολίας, τοῖς παλαιοῖς τῶν φιλοσόφων ἀνδρῶν ὁμιλεῖν. γενόμενον δέ τι σύγγραμμα περὶ τῆς ἀντιδότου ταύτης οὐκ ἀηδῶς ἀνεγίνωσκες τότε, καί μοι παραστάντι σοι, εὐθέως μὲν φιλικοῖς ἐνέβλεπες τοῖς ὄμμασι, δεξιῶς δὲ καὶ προσηγόρευσας, καὶ μετὰ ταῦτα πάλιν (B) ἀνεγίνωσκες τὸ βιβλίον, ἀκροατὴν ἔχων ἐμέ. ἤκουον δὲ καὶ αὐτός, οὐκ ἀμελῶς γὰρ ἦν τὸ σύγγραμμα συντεταγμένον ὑπό τινος Ἀνδραμάχου καλουμένου, ἐντελῶς πεπαιδευμένου τὴν τέχνην, μὴ μόνον τῇ πείρᾳ τῶν ἔργων, ἀλλὰ καὶ τοῖς λόγοις, τὸν ἐπ' αὐτοῖς λογισμὸν ἀκριβῶς ἠσκημένου. τὸ γοῦν ἀρχὴν ἡμῶν, διὰ τὴν ἐν τούτοις ὑπεροχήν, ὑπὸ τῶν κατ' ἐκεῖνο καιροῦ βασιλέων ἦν πεπιστευμένος, ὥς ἔμοιγε δοκεῖ, τάχα τι καὶ τῆς πατρίδος αὐτῷ εἰς τὸ ἀκριβῶς ἐκμαθεῖν τὴν ἰατρικὴν συναραμένης. Κρὴς γὰρ τὸ γένος ἦν, καὶ εἰκὸς ἦν τὴν Κρήτην, ὡς ἄλλα πολλὰ τῶν βοτανῶν, οὕτω, καὶ εἴς τι φάρμακον ἀγαθὸν τοῖς ἀνθρώποις ἐνεγ- (C) κεῖν τὸν τοιοῦτον ἄνδρα. ἀναγινώσκοντος δέ σου τὰ γεγραμμένα, πάνυ γε ἐγὼ ἔχαιρον, ὅτι οὕτως ἀκριβῶς προσεῖχες τοῖς ὑπὸ τοῦ ἀνδρὸς λεγομένοις, καὶ ἀληθῶς μέγα με θαῦμα κατεῖχε, καὶ τῇ καθ' ἡμᾶς τύχῃ πολλὴν τὴν χάριν εἶχον, ὅτι σε φιλοπόνως οὕτως ἔχοντα περὶ τὴν τέχνην ἔβλεπον. οἱ μὲν γὰρ πολλοὶ τῶν ἄλλων ἀνθρώπων, μόνην τὴν ἀκοὴν ὑπὸ τῶν ταύτης λόγων εὐφραίνεσθαι θέλουσι. σὺ δέ, οὐ μόνον τῶν λεγομένων ἡδέως ἀκούεις, ἀλλὰ καὶ πολλὰ τῶν μὴ λεγομένων, ἐξ ἐμφύτου συνέσεως εὑρίσκεις εὐφυῶς. ἔνια δὲ καὶ τῶν ἔργων οὕτως ἀκριβῶς ἐπίστασαι, καὶ βλέπεις, ὡς οἱ φιλοπόνως μαθόντες ἡμεῖς· ὅπερ ὡς ἀληθῶς ἐγὼ θεασάμενος ἐπὶ σοῦ, καὶ πάνυ κατεπλάγην. ὁπότε γάρ σου τῶν παίδων ὁ φίλτατος, τὴν περὶ τὸ περιτόναιον διάθεσιν ἔσχεν ἔκ τινος τῶν

CAPVT PRIMVM.

Librum dicat Pisoni; Andromachum commendat; & causam operis conscribendi aperit Galenus.



LIBRVM hunc de Theriaca tibi (optime Piso) omnibus accuratè perpensis studiosè construxi, quum potissimùm te ad eius cognitionem haud frigidè affectum perspexerim. Profectus enim interdum ad te pro more, multos sanè & diuersos à consuetis libros tibi propositos offendi. Etenim tibi gratum est, ac præsertim à publicis negotiorum occupationibus cum veteribus philosophis viris consuetudinem habere. Imò commentarium quendam de Antidoto hac conscriptum, tunc non sine voluptate legebas; & me tibi astantem, illicò amicis intuitus oculis, comiter etiam alloquebaris; ac deinde iterum, me audiente, librum relegebas. Auscultabam verò & ipse, quoniam commentarius non oscitanter erat compositus à quodam Andromacho vocato, qui artem, non modò rerum experientia perfectè calluerit, sed etiam sermonibus ratiocinationem in ipsis prorsus exercuerit. Itaque præcellere ipsum nostratibus, quòd his in rebus præualeret, illius tempestatis reges, meo quidem iudicio, crediderunt, forsan patria quoque nonnihil ad medicinam exquisitè discendam ipsi opitulante. Cretensis siquidem erat natione; ac verisimile est Cretam, vt diuersas plerasque herbas, ita etiam ad quoddam medicamentum salutare hominibus talem virum tulisse. Quum autem illius scripta perlegeres, admodum ego gauisus sum, quòd ita accuratè mentem iis quæ ab illo dicebantur, intenderes; verèque magna me admiratio detinuit; Atque nostræ fortunæ multam gratiam habui, quòd te tanto artis studio teneri conspexerim. Siquidem plerique aliorum hominum, solas aures huius sententiis oblectari desiderant; tu verò non solùm ea quæ dicuntur, cum oblectatione audis, verùm etiam multa quæ non exprimuntur, insitâ prudentiâ ingeniosè inuenis; nonnulla opera quoque tam accuratè pernouisti, & perspicis, vt nos qui studioso labore didicimus. Quod quàm verissimè ego in te contemplatus, & magnoperè sum admiratus. Nam quum liberorum tuorum charissimus ex quadam equitandi necessitate peritonæi

affectu laboraret; vt qui sacris administrandis publicè esset præfectus, ceremoniarum gratia, quæ Diis Romanorum necessariò tunc fiebant; quamobrem & generosissimos pueros concinnè equitantes, saltantésque, tanquam equis sacra quædam & ipsos obire oportebat. Quum igitur filij tui natura admodum teneri, locus hic vndequaque contusus violenter, à subiectis partibus abscederet, ac deinde pure collecto, incisione etiam opus haberet; puer sanè tanquam vir quidam iam patienter omnia sustinens præter expectationem curabatur, ceu ex quodam philosophiæ studio, fortitudine, ac magnanimitate ad præsens malum probè instructus exercitatúsque. Tu verò adstans diligenter inspiciebas, animumque omnibus quæ à nobis fiebant, intendebas; vt siquando nonnihil etiam oscitanter fieret, statim instares, admoneresque secundum Hippocratem, nihil temerè agendum. Sed ego aliquid etiam laudabilius spectans difficilius à te fieri animaduerti, nempe siquando medicamentum quoddam à medente impositum, suo in loco minus rectè hærebat, id tuismet digitis transpositum, aptè vulneri applicabas, vt miraculum esse videretur, te tam repentè manibus ex tuo erga filium amore, & naturali dexteritate, absolutam artem ostendisse. Atque id ipsum tibi vsu venire comperio, quemadmodum etiam Plato sapientissimus in multis, vt est consentaneum, frequenter speculatus, & veritatis gaudens necessitate, & disciplinas, inquit, rerum esse recordationes, & animum omnium habere videri notitias; quæ tunc nimirum apparent, quum vsus postulat. Ita in te quoque ob filij solicitudinem, præsens tibi artis experientia, præter nostram opinionem apparebat. Nec id sanè immeritò, quum sis adeò honesti amans, atque ingeniosus. Neque in hoc medicamento theriacam neglexisti; verum & facultatem ipsius & temperamentum scire studuisti; ad hæc, tempus, mensuramque vsus adamussim perdiscere.

ὑπομένειν ἀνάγκης, ἐπειδή τις καὶ δημοτελὴς τῶν μυστηρίων ἱερουργὸς, διὰ θρησκείαν, τὴν περὶ Ῥωμαίων θεῶν ἀναγκαίως ἀγομένην τότε, ἐφ' ᾧ δὴ καὶ τοὺς εὐγενεστάτους παῖδας ἱππεύοντας εὐρύθμως, καὶ χορεύοντας, ὥσπερ τοῖς ἵπποις, ἔδει τινὰ τῶν μυστηρίων καὶ αὐτοὺς ἐπιτελεῖν. ὅτε δὴ καὶ τοῦ παιδὸς τοῦ σοῦ ἁπαλοῦ τυγχάνοντος πάνυ, ὁ τόπος ἐστὶ περιθλασθεὶς, βιαίως ἀπέστη τε τῶν ὑποκειμένων, καὶ μετ' αὐτὸ πύον συναγαγὼν, ἐδεήθη καὶ τομῆς, καὶ ὁ μὲν παῖς, ὥσπερ τις ἀνὴρ ἤδη, τλημόνως ἁπάντων ἀνεχόμενος, ἐπιεικῶς ἐθεραπεύετο, καθάπερ ἔκ τινος τοῦ φιλοσοφίας λόγου, καρτερίᾳ B τε καὶ ἀνδρείᾳ πρὸς τὰ παρόντα εὐφυῶς συνησκημένος. σὺ δὲ ἐφεστὼς, ἀκριβῶς οὕτως ἔβλεπες, καὶ τοῖς γιγνομένοις ὑφ' ἡμῶν ἅπασι προσεῖχες, ὡς εἴ ποτέ τι καὶ παρέργως ἐγίγνετο, εὐθέως ἐφεστάναι, καὶ παραινεῖν κατὰ τὸν Ἱπποκράτην, μηδὲν εἰκῇ ποιεῖν. ἐγὼ δέ τι καὶ φιλοτιμότερον θεώμενος, περιεργότερον τὸ ὑπὸ σοῦ γιγνόμενον ἔβλεπον. εἴ ποτε γάρ τι τῶν ἐπιτιθεμένων ὑπὸ τοῦ θεραπεύοντος φαρμάκων ἀτόπως ἔκειτο, τοῦτο τοῖς σαυτοῦ δακτύλοις μετετίθεις τε, καὶ δεόντως ἥρμοττες τῷ τραύματι, ὡς θαυμαστὸν εἶναι δοκεῖν, ἐκ τῆς περὶ τὸν υἱόν σου στοργῆς καὶ τῆς φυσικῆς ἐντρεχείας, αἰφνί- C δίον σοι οὕτω τῶν χειρῶν ἐνδεικνυμένων ἀκριβῆ τέχνην, καὶ τοῦτ' ἄρ' ἦν ἰδεῖν ἐπὶ σοῦ φαινόμενον ἐκεῖνο, ὥσπερ δὴ καὶ ὁ σοφώτατος Πλάτων, ὡς εἰκὸς ἐπὶ πολλῶν πολλάκις ἰδὼν, καὶ χαίρων τῇ τῆς ἀληθείας ἀνάγκῃ, καὶ τὰς μαθήσεις ἀναμνήσεις εἶναι λέγει, καὶ τὴν ψυχὴν, πάντων τὰς ἐννοίας ἔχειν δοκεῖν, ἐμφαίνεσθαι δὲ αὐτὰς τότε, ὅτε ἡ χρεία καλεῖ. ὥσπερ δὲ δὴ καὶ ἐπὶ σοῦ, διὰ τὴν περὶ τὸν παῖδα φροντίδα, ἀπροσδόκητος ἡμῖν ἡ προσοῦσά σοι τῆς τέχνης ἐμπειρία κατεφαίνετο, καὶ εἰκότως φιλόκαλός τε ὢν, οὕτω καὶ εὐφυής. οὐδὲ περὶ τὸ φάρμακον τοῦτο τὴν θηριακὴν ἔσχες ἀμελῶς, ἀλλ' ἐσπούδασας D αὐτοῦ εἰδέναι τήν τε δύναμιν καὶ τὴν κρᾶσιν, τόν τε καιρὸν, καὶ τὸ μέτρον τῆς χρήσεως ἀκριβῶς ἐκμαθεῖν.

CAPVT II.

Theriacæ commendatio, & dignotio, principúmque Romanorum hac in re studium.

ETenim, hoc est, vt reuera apud vniuersos homines celebratissimum, tum ob pollicitationis certitudinem, tum ob ipsius actionis facultatem. Nullus enim vnquam à feris quæ interimere consueuerunt, commorsus narratur, qui hac statim epota antidoto, interierit. Nullus eâdem præsumptâ, haud multò post morsu impetitus, feræ veneno ceu illam superante occubuit; quod sæpe nonnulli prætores etiam, penes quos vitæ & necis potestas est, experiuntur, atque medicamẽtum probare volentes, an quod promittat, præstare quoque possit, in reis iam ob praua quædam & illegitima facinora ad mortem iudicatis, id explorarunt; Nos autem quum in hominibus huius rei explorationem facere non possimus, in aliis quibusdam animantibus idem facientes, veram medicamenti probationem inuenire conamur. Gallis nanque qui domi non enutriti, neque nobis sunt contubernales, sed potius agrestibus, & sicciore præditis corporis temperamento captis, sic feras obiicimus, & qui inter illos non biberint ex medicamento, protinus intereunt; qui vero biberint, conualescunt, & à morsu vitam retinent.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Θηριακῆς ἔπαινος καὶ διάγνωσις, τῶν περὶ ταύτην ἀρχόντων Ῥωμαίων σπουδή.

ΚΑὶ γάρ ἐστιν ὡς ἀληθῶς, παρὰ τοῖς ἀνθρώποις ἅπασιν ἐνδοξότατον, διά τε τὸ ἄπταιστον τῆς ἐπαγγελίας, καὶ διὰ τὸ δυνατὸν τῆς ἐνεργείας. οὔτε γάρ τις δηχθείς E ποτε ὑπὸ τῶν ἀναιρεῖν εἰωθότων θηρίων, εὐθὺς πιὼν τὴν ἀντίδοτον, ἀποθανὼν ἱστόρηται, οὔτ' αὖ προπιών τις, εἶτ' οὐ μετὰ πολὺ δηχθεὶς, ἰσχυρότερον πρὸς τὸ ἀποκτεῖναι τὸν ἰὸν ἔσχε τοῦ θηρίου, ὅπερ πολλάκις καὶ τῶν ἀρχόντων τινὲς, ἐξουσίαν θανάτου, καὶ ζωῆς ἔχοντες. εἶτα τὸ κρῖναι τὸ φάρμακον θέλοντες, εἰ τοῦθ' ὅπερ ἐπαγγέλλεται, καὶ δρᾶν δύναται, ἐπὶ τῶν ἤδη διά τινας πονηρὰς καὶ παρανόμους πράξεις κατακριθέντων ἀποθανεῖν, δοκιμάζουσιν αὐτὸ, ἡμεῖς μὲν ἐπ' ἀνθρώπων τὴν κρίσιν αὐτοῦ ποιεῖσθαι μὴ δυνάμενοι, ἐπί τινων ἄλλων ζώων τὸ αὐτὸ δρῶντες, τὴν ἀληθῆ F τοῦ φαρμάκου κρίσιν εὑρίσκειν πειρώμεθα. ἀλεκτρυόνας γὰρ λαβόντες, τοὺς μὴ ὅσοι γέ τινες οἰκοδίαιτοί τε εἰσὶν, καὶ ἡμῖν ὁμορόφιοι, ἄγριοι δὲ μᾶλλον τυγχάνουσιν ὄντες, καὶ ξηρότερον κεκραμένοι τὸ σῶμα, οὕτως αὐτοῖς προσβάλλομεν τὰ θηρία, καὶ τὰ μὲν εὐθέως ἀποθνήσκει τὰ μὴ πιόντα, ὅσα δὲ πέπωκεν, ἰσχύει, καὶ μετὰ τὸ δῆγμα, τὴν ζωὴν ἔχει.

δοκιμάζειν δ' ἐνίοτε χρὴ τὸ φάρμακον, εἰ μή ἐστι δεδολωμένον, καὶ τούτῳ τῷ τρόπῳ. διδόντες γάρ τι τῶν διὰ γαστρὸς καθαίρειν δυναμένων φαρμάκων, προδίδομεν τῆς θηριακῆς, καὶ ὅταν δοθείσης αὐτῆς, μὴ καθαίρηται ὁ λαβὼν τὸ καθαρτικὸν φάρμακον, αὐτῷ δοκιμάζομεν τὴν ἀντίδοτον ἀρίστην οὖσαν, ἐπειδὴ ἐκώλυσε τὴν κάθαρσιν γενέσθαι τῷ λαβόντι τὸ καθαρτικὸν φάρμακον, ὡς διὰ τὴν τοιαύτην κρίσιν, μή ποτ' ἂν ἡμᾶς σφαλῆναι περὶ τὴν τοῦ ἀληθοῦς φαρμάκου εὕρεσιν. πολλὴ γάρ ἐστιν ὑπὸ τῶν πανουργούντων, καὶ ἡ περὶ αὐτὸ γινομένη πανουργία, καὶ οἱ πολλοὶ τῇ δόξῃ μόνῃ τῆς ἀντιδότου ἀπατώμενοι, παρὰ τῶν καπηλικῶς χρωμένων τῇ τέχνῃ, πλείστῳ ἀργυρίῳ, καὶ μὴ καλῶς ἐσκευασμένον ὠνοῦνται τὸ φάρμακον. εἰσὶ γὰρ καὶ τῶν ὑγιαινόντων τινὲς, οἳ ἐν ὅλῳ καὶ παντὶ τῷ ἑαυτῶν βίῳ, ἀσφαλείστως χρῶνται τῷ φαρμάκῳ, μάλιστα ὅσοι διὰ τὸ σκαιὸν, καὶ ἀνελεύθερον τοῦ τρόπου, μὴ ζῶσιν ἀμερίμνως, ἀλλ' ἀεὶ πρὸς τὸ ἐπιβουλεύεσθαι, τὴν ὑποψίαν τοῦ ῥᾳδίως ὑπὸ τῶν ἐχθρῶν ἀποθανεῖν ἔχουσιν. ἔνιοι δὲ δι' ὠφέλειαν τοῦ σώματος καθ' ἑκάστην ἡμέραν προσφέρονται τοῦ φαρμάκου, ὥσπερ δὴ τὸν θεῖον Μάρκον καὶ ἡμεῖς οἴδαμεν ἐνθέσμως ποτὲ βασιλεύσαντα, καὶ ἀκριβῶς ἑαυτοῦ, διὰ τὴν σύνεσιν τῇ συγκράσει τοῦ σώματος παρακολουθήσαντα, κατακόρως τε, καὶ ὡς τινι τροφῇ χρησάμενον τῷ φαρμάκῳ. ἐξ ἐκείνου γὰρ, καὶ μᾶλλον δεδόξασται τὸ φάρμακον, καὶ εἰς τὸ φανερὸν αὐτοῦ τοῖς ἀνθρώποις ἡ δύναμις τῆς ἐνεργείας ἐλήλυθε. τῇ γὰρ ἐπὶ τὸν βασιλέα γινομένῃ ὑγιεινῇ καταστάσει, τὴν πίστιν τῆς ὠφελείας ἡ ἀντίδοτος μᾶλλον προσείληφεν. ἀλλ' ἐπὶ μὲν ἐκείνου τοῦ βασιλέως, μόνον αὐτῆς τὸ ἔργον εἰς τὴν γνῶσιν τῶν εἰδότων κοινὸν ἦν, ἐπὶ δὲ τῶν νῦν μεγίστων αὐτοκρατόρων, ἡ χρῆσις εἰς τὸ κοινὸν ἔφθασε. πᾶσι γὰρ ὑμῖν ἔξεστι τοῖς παρ' αὐτῶν κεχρῆσθαι καλῶς, καὶ θεραπεύεσθαι ἀφθόνως, ἄλλου παρ' ἄλλου λαμβάνοντος τὸ φάρμακον, ἐπεὶ μὴ μόνον τῷ παρὰ θεῶν ἔχειν τὸ βασιλεύειν, ὑπερέχουσιν ἁπάντων, ἀλλὰ καὶ τῷ τῶν ἀγαθῶν ἁπάντων ἅπασι μεταδιδόναι ἡδέως, ὥσπερ καὶ αὐτοὶ οἱ θεοὶ, ἐν τῷ ἴσῳ καὶ τοσούτῳ τὴν εὐφροσύνην ἔχοντες, ἐν ὅσῳ περ καὶ οἱ ἀπ' αὐτῶν διασωζόμενοι διατίθενται, καὶ νομίζονται τὸ μέγιστον εἶναι τῆς βασιλείας μέρος, τὴν τοῦ κοινοῦ σωτηρίαν, ὅπερ δὴ καὶ μᾶλλον ἐπ' αὐτῶν τεθαύμακα. οὐ γὰρ περὶ τοῦτο τὸ φάρμακον μόνον τὴν σπουδὴν ἔχουσιν, ἀλλ' οὕτως εἰσὶ περὶ πάντα φιλότιμοι, ὡς εἴ ποτέ τινι τῶν φίλων αὐτοῦ χρεία γένοιτο, θαυμαστὸν ὅπως ἐξ ἑτοίμου, καὶ μετὰ πολλῆς τῆς προθυμίας κοινωνοῦσι τῶν φαρμάκων. οὐ γὰρ περιμένοντες τὴν ἀνάγκην τῆς χρήσεως, τότε καὶ σκευάζουσιν αὐτὰ, ἀλλὰ πρὸς τὸ τάχος τῆς τῶν καιρῶν ὀξύτητος, ἑτοίμην καὶ τὴν παρασκευὴν αὐτῶν φιλοκάλως ἔχουσιν. ὁπότε γοῦν Ἀντίπατρος, ὁ τὰς Ἑλληνικὰς ἐπιστολὰς αὐτῶν πράττειν πεπιστευμένος, καὶ διὰ τὸ σεμνὸν τοῦ ἤθους, καὶ διὰ τὴν ἐν τοῖς ῥητορικοῖς λόγοις ἐντελῆ παιδείαν, μεγάλως ὑπ' αὐτῶν τιμώμενος, τῇ νεφριτικῇ διαθέσει περιπεσὼν, δεινὰ καὶ ἀνήκεστα ὑπὸ τοῦ πάθους ἔπασχεν, ἀξιέπαινον αὐτῶν εἶδον τὴν περὶ τοὺς φίλους εἰς τὸ σώζεσθαι σπουδὴν, καὶ θαυμαστὴν τὴν περὶ τὴν ἰατρικὴν φιλοτιμίαν. οὕτω γὰρ πρὸς τὸ ποικίλον, καὶ διάφορον τῶν συμπτωμάτων ἐνιστάμενοι, ἀντηγωνίζοντο τῷ πάθει διὰ τῶν καλλίστων φαρμάκων, ὡς τῶν ἰατρῶν οἱ ἄριστοι, καὶ τὸν πάντα βίον περὶ τὴν ἄσκησιν αὐτῆς ἠσχολημένοι. τὴν δὲ πάντα μοι φιλτάτην Ἀρρίαν, καὶ αὐτὴν ὑπ' αὐτῶν ἐξόχως ἐπαινουμένην,

A Interdum verò, medicamētum num adulteratum sit, hoc quopue modo probare conuenit. Dantes enim portionem eorum quæ per ventrem purgare queant medicamentorum, priùs theriacam exhibemus; quicunque data ipsa non purgetur qui purgans sumpsit medicamentum, hoc ipso indicamus antidotum esse præstantissimam; quandoquidem purgationem ei qui medicamento vsus sit purgante, prohibuit, vt tali probatione à veri medicamenti inuentione nunquam aberrauerimus. Multæ siquidem à fraudulentis in hoc quoque fraudes fiunt; ac vulgus sola antidoti opinione deceptum ab iis, quibus ars est mercena- B ria, plurimo argento medicamentum etiam prauè confectum redimit. Sunt enim & ex sanis qui tota, omníque ipsorum vita assiduè medicamento vtantur, præsertim qui ob inhumanos, illiberalésque mores non citra solicitudinem degunt, sed perpetuò suspicionem habent, facilè ab inimicis sibi strui mortis insidias. Nonnulli verò corporis iuuandi gratia quotidie medicamentum assumunt, quemadmodum sanè diuum Marcum nos quoque nouimus, qui legitimè aliquando imperium gessit, & adamussim, vt erat vir prudens, corporis sui temperamentum intellexit, C abundè & veluti alimento quodam, medicamento esse vsum. Ab illo nanque viro potius medicamentum bonæ existimationis cepit initium, & facultas ipsius actionis hominibus innotuit; ex contracta nanque Imperatoris sanâ constitutione fidem vtilitatis antidotus maiorem consequuta est. Verùm illius principis tempore, ad eorum duntaxat cognitionem, qui viderant, theriacæ opus perueniebat; sub huius autem seculi maximis imperatoribus vsus eius prodiit in publicum. Omnibus enim licet nobis, ipsorum bonis probè vti, & liberaliter curare, alio ab alio medicamen- D tum capiente; quoniam non solùm hoc nomine cæteris omnibus præcellunt, quòd imperium à diis sint adepti, sed etiam quòd vniuersa bona vniuersis libenter impartiant, sicut & dij ipsi tantum ex æquo gaudij concipiunt, quantus eorum numerus extiterit, qui ab ipsis redduntur incolumes, censéntque maximam regni esse partem, communem omnium salutem; quod sanè in ipsis etiam magis sum admiratus. Non enim in hoc duntaxat medicamento conficiendo ponunt industriam, sed ita sunt in omnibus erga commune benigni, magnificique, vt si quando amicis aliquibus vsus venerit, mirum sit quàm promptè, ac E quanta alacritate medicamenta communicent; Non enim ea vbi vsus necessitas ingruit, tunc conficiunt; sed ad ipsum temporis articulum expromptam quoque illorum compositionem egregiè possident. Quum igitur Antipatrus qui græcas ipsorum epistolas facere creditus est, & propter morum grauitatem, & absolutam in dicendo facultatem, magno in pretio habitus, nephritico infestaretur affectu, grauémque ex eo & intolerabilem dolorem conciperet. studium ipsorum amicis seruandis quauis laude dignissimum cognoui, mirificámque circa medicinam, animi F contentionem. Ita nanque variis differentibúsque symptomatis obsistentes, cum morbo longè pulcherrimis medicamentis certabant, præstantissimorum medicorum instar, qui vel omnem vitam in ipsius exercitatione contriuerint. Iam vero Arriam multò omnium mihi charissimam, quæ & ipsa supra modum ab eis commendabatur,

quod diligentem philosophiæ nauaret operam, & Platonis maximè libris gauderet, ægrotantem quandoque grauiter sanarunt, stomachíque dissolutione affectam, iacentémque adeo supinam, vt ne cibos quidem potuerit capere, atque ideo in atrophiæ periculum veniret; non aliter quàm medici expertissimi mulierem curauerunt, propinantes ei vinum, meo consilio, ex absinthio confectum. Huius siquidem potu illico stomachum ab imbecillitate vindicauit, & sine mora appetentiæ opus recuperauit. Cæterùm quid in filio tuo euenerit, nimirum adhuc in memoria retines. Quum enim facto abscessu, tu quidem, vt benignus pater, tardior ad sectionem esses, tempus autem humorem contentum excerni postulasset, ipsi medicamento exhibito, magna nos ipsius solicitudine liberarunt. Applicatum nanque emplastrum, locum quidem incumbentem celerius quàm scalpellum, diuisit; totum vero humorem subiectum euacuauit, vt puer hinc non amplius dolorem persentisceret.

CAPVT III.

Cur è multis Antidotus componatur, insitámque rebus omnibus esse facultatem, quam ratione sensibúsque inuestigamus.

HAc igitur circa ista medicamenta, vti vides, honestate regia præditi, haud immeritò quoque Theriacen diligenter præparant, singula quæ miscent, accuratiùs probantes ipsi, quò nihil prætereant, atque hanc ob causam mirifica antidotum opera edere. Etenim varia est, vt nosti, mistura, & multiplicem in operibus vsum exhibet; quo nomine ego illum qui primus confecturam ipsius molitus est, admiror. Quippe mihi videtur non temerè, sed exacta quadam ratione, atque explorata admodum cura compositionem ipsius inuenisse. Non enim sicuti medici, qui se ab vnica experientia Empiricos appellauerunt, neglecta naturarum ratione, vnumquenque sine artificio curant, turpiter quædam ex insomniis, quædam verò ab ipsa fortunâ ad ipsam artem medicamenta capere se pronunciantes; ita nos quoque medicinam tractamus: verùm quæ ratio ipsa prima soláq; potest inuenire, eadem exactè omni consideratione disquirentes, magno studio comperimus. At quæ inuenire nequit, ea sensuum experimento iudicamus; plerunque ne ipsi quidem soli ac vnico sensui iudicium de eis concredentes. Neque enim calcem quòd candida sit, quemadmodum nix, visu duntaxat frigidam iudicare satis esse censemus; neque rosam quòd rubra sit, ideo etiam calefacere ipsam illico persuademur; sed vnà cum visu sensum quoque tactus adhibentes, illam quidem calefacere, adeo vt vrat, certò inuenimus; hanc verò rosam, quòd frigiditatem è contrario in ea tactu percipiamus, ex refrigerantium numero esse firmiter credidimus. Atq; hoc pacto reliquorum adamussim medicamentorum singulorum facultatem ipso sensu iudicantes inuenimus, aliud esse salsum vel acidum, aliud amarum, vel dulce, gustu ipsa explorantes. Quòd autem aliud calefaciat, aliud refrigeret, aliud humectet, aliud exiccet, tactus obiectio condiscere nobis efficit. Eorum verò multa ipso odoratu explorare statuimus, & facultatis robur ex vehementi exhalatione deprehendimus, imbecillitatem virtutis

A διὰ τὸ φιλοσοφεῖν ἀκριβῶς, καὶ τοῖς Πλάτωνος μάλιστα χαίρειν λόγοις, ἀρρωστοῦσάν ποτε νοσήσασαν οὐ παρέργως, καὶ τὸν στόμαχον ἐκλελυμένον ἔχουσαν, καὶ κειμένην οὕτως ὑπτίαν, ὡς μηδὲ τὰς τροφὰς δύνασθαι λαμβάνειν, καὶ διὰ τοῦτο, εἰς τὸν τῆς ἀτροφίας κίνδυνον ἐλθεῖν· ὅτε δὴ καὶ ὡς οἱ ἐμπειρότατοι τῶν ἰατρῶν ἐθεράπευσαν τὴν γυναῖκα, ὑποδείξαντος ἐμοῦ, τὸν ἀψινθίτην οἶνον προσφέροντες αὐτῇ πίνειν. πιοῦσα γὰρ, εὐθέως ἀνερρώσθη τε τὸν στόμαχον, καὶ ταχέως ἀπείληφε τῆς ὀρέξεως τὸ ἔργον. Τὸ δὲ ἐπὶ τοῦ σοῦ παιδὸς γενόμενον, εἰκὸς ὅτι καὶ μνημονεύεις ἔτι. ὁπότε γὰρ γενομένης τῆς
B ἀποστάσεως, σὺ μὲν, ὡς χρηστὸς πατὴρ, ὀκνηρότερον εἶχες πρὸς τὴν τομὴν, ἤπειγε δὲ ὁ καιρὸς ἀποκριθῆναι τὸ ἐγκείμενον ὑγρὸν, δόντες αὐτῷ τὸ φάρμακον, ἀπηλλάξαμεν ἡμᾶς τῆς μεγάλης ἐπ᾽ αὐτῷ φροντίδος. ἐπιτεθεῖσα γὰρ ἡ ἔμπλαστρος, διεῖλε μὲν τὸ ἐπικείμενον σῶμα, ὀξύτερον τῆς τομῆς, ἐκένωσε δὲ πᾶν τὸ ὑγρὸν τὸ ὑποκείμενον, ὡς μηκέτ᾽ ἔχειν διὰ τοῦτο τὸ παιδίον τὰς ἀλγηδόνας.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

C *Τίνος ἕνεκα ἐκ πολλῶν σύγκειται ἡ ἀντίδοτος· ἔμφυτον δὲ πᾶσιν δύναμιν ὑπάρχειν, ἣν λόγῳ τε καὶ αἰσθήσει κρίνομεν.*

TΑύτην οὖν ἔχοντες περὶ ταῦτα τὰ φάρμακα, ὡς ὁρᾷς, τὴν βασιλικὴν φιλοκαλίαν, εἰκότως καὶ τὴν θηριακὴν σκευάζουσιν ἐπιμελῶς, καὶ ἓν ἕκαστον, ὧν μιγνύουσιν ἀκριβῶς, δοκιμάζοντες αὐτοὶ, ὡς μηδὲν παρορᾷν, καὶ διὰ τοῦτο θαυμαστῶς τὴν ἀντίδοτον ἀποτελεῖν τὰ ἔργα. καὶ γάρ ἐστιν, ὡς οἶδας ποικιλίαν ἔχουσα τοῖς μίγμασι, καὶ πολυειδῆ τὴν χρῆσιν ἐν τοῖς ἔργοις. τεθαύμακα γοῦν ἐγὼ τὸν πρῶτον ποιησάμενον αὐτῆς τὴν σκευασίαν. καί μοι δοκεῖ μήτ᾽ ἀλόγως, ἀλλ᾽
D ἀκριβεῖ τινι λογισμῷ, καὶ βεβασανισμένῃ πάνυ τῇ φροντίδι πεποιῆσθαι αὐτῆς τὴν σύνθεσιν. οὐ γὰρ ὥσπερ οἱ ἀπὸ τῆς ἐμπειρίας ἰατροὶ, ἄνευ λόγου κατὰ τὰς φύσεις ἕκαστον ἀτέχνως ἰατρεύοντες, αἰσχρῶς, τὰ μὲν ἐξ ὀνειράτων, τὰ δὲ καὶ παρ᾽ αὐτῆς τῆς τύχης λαβεῖν φασιν εἰς τὴν τέχνην τὰ φάρμακα, οὕτω καὶ ἡμεῖς περὶ τὴν ἰατρικὴν σπουδάζομεν, ἀλλ᾽ ὅσα μὲν ὁ λόγος αὐτὸς πρῶτος, καὶ μόνος ἐξευρίσκειν δύναται, ταῦτα ἀκριβῶς πάντῃ τῷ λογισμῷ ζητοῦντες, φιλοπόνως εὑρίσκομεν. ὅσα δὲ εὑρεῖν ἀδυνατεῖ, ταῦτα διὰ τῆς αἰσθήσεων τῇ πείρᾳ κρίνομεν, πολλάκις μηδ᾽
E αὐτῇ μόνῃ καὶ μιᾷ τῇ αἰσθήσει πιστεύοντες αὐτῶν ποιεῖσθαι τὴν κρίσιν. οὔτε γὰρ τὴν τίτανον, ὅτι λευκή ἐστιν, ὥσπερ ἡ χιὼν τῇ ὄψει μόνον, ὡς ψύχουσαν κρίνειν αὔταρκες εἶναι νομίζομεν. οὐδ᾽ ὅτι τὸ ῥόδον, διὰ τὸ ἐρυθρὸν εἶναι, διὰ τοῦτο καὶ θερμαίνειν αὐτὸ εὐθέως πεπείσμεθα, ἀλλ᾽ ἅμα τῇ ὄψει καὶ τὴν αἴσθησιν τῆς ἁφῆς προσπαραλαμβάνοντες, τὴν μὲν, ὅτι θερμαίνει μέχρι τοῦ καίειν, ἀσφαλῶς εὑρίσκομεν. τὸ δὲ ῥόδον αὖ παρὰ λαμβανόμενοι τῆς ἐπ᾽ αὐτοῦ ψύξεως, ὅτι τῶν ἐμψυχόντων ἐστὶν, ἀκριβῶς ἐπιγευσάμενοι, καὶ οὕτω λοιπὸν ἀκριβῶς ἑκάστου τῶν φαρμάκων τὴν δύναμιν, διὰ τῆς αὐτῆς αἰσθήσεως κρίνοντες εὑρίσκομεν. τὸ μὲν,
F ὅτι τόδε ἐστὶν, ἁλμυρὸν, ἢ ὀξὺ, τὸ δ᾽, ὅτι πικρὸν, ἢ γλυκὺ, τῇ γεύσει δοκιμάζοντες αὐτά. τὸ δ᾽, ὅτι τὸ μὲν θερμαίνει, τὸ δὲ ψύχει, καὶ ἄλλο ὑγραίνει, ἕτερον δὲ ξηραίνει, ἡ διὰ τῆς ἁφῆς ἀντίληψις γνωρίζειν ἡμῖν παρέχει. πολλὰ δ᾽ αὐτῶν διὰ τῆς ὀδμῆς κρίνειν ἐπινοοῦμεν, καὶ τὸ μὲν εὔτονον τῆς δυνάμεως, ἐκ τῆς πληκτικοῦ τῆς ἀποφορᾶς εὑρίσκομεν. τὸ δ᾽ ἄτονον τῆς ἰσχύος, διὰ τῆς ἐκλύσεως

τοῦ ὀσφραντοῦ. γνωρίζομεν δ' εἰ δόκιμόν τε καὶ μή, κριτή- A ριον τῶν ἁπλῶν φαρμάκων τὰς ἑαυτῶν αἰσθήσεις ποιησάμενοι, καὶ ταύταις αὐτὰ πειράσαντες τὸ πρῶτον, καὶ διὰ τῆς χρήσεώς τε καὶ αἰσθήσεως τὸ πιστὸν αὐταῖς ἐργασάμενοι, οὕτω λοιπὸν προσάγοντες τῇ πείρᾳ τὸν λόγον, καὶ εἰς πάντα ὁδηγῷ χρώμενοι, καὶ τοῖς ἁπλοῖς φαρμάκοις δεόντως χρώμεθα, καὶ τὴν σύνθεσιν αὐτῶν τῇ τοῦ λόγου τέχνῃ ἀρίστην ποιούμεθα. ἐκμαθόντες γὰρ ἑκάστου τῶν παθῶν τὴν φύσιν, καὶ τὸ πολύ, καὶ διαφορὰν τῆς τῶν ἁπλῶν κράσεως εἰδότες, οὕτω σκευάζομεν τὰ σύνθετα τῶν φαρμάκων ἑκάστῳ τῶν νοσημάτων, τὸ συμφέρον διὰ τῆς ποικίλης αὐτῶν σκευασίας ποιού- B μενοι, καὶ πρὸς ἕκαστον τῶν ἀνθρώπων, ὅπως αὐτῷ κατεσκεύασται τὸ σῶμα, διὰ τοῦ τρόπου τῆς φαρμακείας ἐντέχνως ἁρμοσάμενοι. πολλὴ γάρ ἐστιν, ὡς οὐκ ἀγνοεῖς, παροῦσα ἡμῖν εἰς τὴν χρῆσιν ἡ τῶν φαρμάκων περιουσία, καὶ οὕτως διάφορος, ὡς μὴ μόνον αὐτῆς ἐν τῇ συνθέσει τὸ ποικίλον τῆς δυνάμεως ὁρᾶσθαι δύνασθαι, ἀλλὰ καὶ τῶν ἁπλῶν φαρμάκων, τὰ μὲν ἐξ ὅλης αὐτῶν τῆς οὐσίας, μίαν τινὰ καὶ ἁπλῆν ἐπιδείκνυται τὴν δύναμιν, ὥσπερ ἡ σκαμμωνία ξανθὴν χολὴν ἕλκουσα φαίνεται. τὸ δὲ ἀπὸ τῆς Ἀττικῆς ἐπίθυμον, τὸν τῆς μελαίνης χυμὸν διὰ τῆς κοιλίας καθαίρειν ὁρᾶται, καὶ ὁ κνίδιος C κόκκος τοῦ φλέγματος, καὶ παντὸς τοῦ ὑδατώδους περιφανῶς ἀγωγός ἐστι. ταῦτα γὰρ τὰ φάρμακα, ἐκ παντὸς αὐτῶν τοῦ μέρους, καὶ ἐξ ὅλης ἑαυτῶν τῆς οὐσίας τὴν ὁλκὴν τῶν χυμῶν τούτων ποιεῖσθαι φαίνεται. μὴ γὰρ πιστεύομεν Ἀσκληπιάδῃ τῷ ἀπὸ τῆς Βιθυνίας ἰατρῷ, παρὰ τὸν καιρὸν ἐκεῖνον λέγοντι, ὅτε ἤδη καὶ ὁ ἄνθρωπος καθαίρεται, τότε καὶ τοὺς χυμοὺς τούτους εὐθέως κατά τινα μεταβολὴν γίνεσθαι. διὰ τὴν γὰρ τῶν ὄγκων τε καὶ πόρων, ἐξ ἀρχῆς αὐτῷ γινομένην τοῦ σώματος ὑπόθεσιν, τούτῳ ἀνάγκην ἔχοντι τῆς φύσεως ἀναιρεῖν τὰ ἔργα, ἀκόλουθον ἦν καὶ τοῦτον περὶ τῶν χυμῶν λέγειν τὸν λόγον, ὡς ἀλόγου, D καὶ παντάπασιν ἀδυνάτου ὄντος τοῦ ὑπ' αὐτοῦ λεγομένου. τίς γὰρ ἂν πιστεύσειε νοῦν ἔχων, ἐν τοσούτῳ τάχει, ἅμα τῷ προσάγειν τοῦ σώματος τὸ φάρμακον, εὐθέως καὶ τοῦ μέλλοντος ἐκκρίνεσθαι χυμοῦ γίνεσθαι τὴν οὐσίαν; τίς δ' οὐκ ἂν πεισθείη ῥᾳδίως τοὺς χυμοὺς τούτους, καὶ πρότερον κατὰ φύσιν εἶναι τοῖς σώμασιν, ὁρῶν τὸν μὲν ἰκτεριῶντα παρὰ τὸν καιρὸν τοῦ λαβεῖν τὸ χολαγωγὸν φάρμακον, ταχέως τε καθαιρόμενον τὴν τοσαύτην χολήν, καὶ τοῦ πάθους εὐκόλως ἀπαλλασσόμενον; τὸν δ' ὑδεριῶντα οὐδαμῶς τινι φαρμάκῳ, πᾶν τὸ ἐγκείμενον ὕδωρ τῇ γαστρί, ἅμα τῷ λαβεῖν αὐτίκα μάλα κενούμενον, καὶ ἐκ τῆς τοσαύτης παρα- E χρῆμα κενώσεως, μηδ' ὁποσοῦν, ἢ ὀλίγιστόν γε πάνυ τὸ ὑγρὸν ἐγκείμενον τοῖς σώμασιν ἔχοντα. ἀλλὰ ταῦτα ὁ μὲν Ἀσκληπιάδης παιδαριωδῶς τῇ ἀνάγκῃ τοῦ δόγματος δουλεύων, ὡς ἔφην, διὰ τὸ φιλόδοξον, οὐ προσποιεῖται βλέπειν, καὶ πάντα μᾶλλον πιθανῶς πλαττόμενος εὑρίσκειν βούλεται, ἤπερ ἑκάστου τῶν φαρμάκων τὸ οἰκεῖον τῆς δυνάμεως φιλαλήθως ὁμολογεῖν. ἡμεῖς δὲ ταῦθ' ὁρῶντες, καὶ τῷ λόγῳ τῆς ἑκάστου φύσεως τῶν φαρμάκων, τὸ οἰκεῖον τῆς δυνάμεως φιλαλήθως ὁμολογεῖν τὸ δυνατὸν εἰδότες, κἂν ταῦθ' ὅτι φάρμακα φυσικῇ τινι δυνάμει ἕλκειν τὰ οἰκεῖα πέφυκεν, ἀκριβῶς ἐπιστάμεθα. ὥσπερ καὶ ἐν τῷ F τὴν Μαγνῆτιν λίθον ἕλκειν τὸν σίδηρον εἰς ἑαυτήν, δύναμίν τινα ἑλκτικὴν εἶναι αὐτῇ, τὴν ἔμφυτον δύναμιν εὐλόγως ἑαυτοὺς ἐπείσαμεν. θεὸς γὰρ οὖσα ὥσπερ ἡ ἐν ἡμῖν φύσις, κατὰ τὸν Ὅμηρον, καὶ ἄγουσα τὰ ὅμοια πρὸς τὰ ὅμοια, οὕτω τὰς θείας δυνάμεις ἑαυτῆς ἐπιδείκνυται.

ex odoris remissione. At probatum ne sit an minus quodlibet medicamentum simplex, sensus ipsius iudices statuentes cognoscimus; atque his primùm illa experti, & fide ex vsu sensúque astructa; ita deinceps experimento rationem adiungentes, ac in omnibus veluti ducem ipsam sequentes, tum simplicibus medicamentis congruè vtimur, tum compositionem ipsorum rationis artificio præstantissimam reddimus. Nam morbi cuiusque natura comperta, ac varietate, differentiáque temperamenti simplicium medicamentorum cognita, sic composita præparamus, vnicuique morbo quod congruum est, varia ipsorum compositione distribuentes, singulísque hominibus pro corporis ipsorum statu, vt pharmacia præcipit, artificiosè adaptantes. Multa nanque, vti non ignoras, penes nos est ad vsum parata medicamentorum copia, adeóque diuersa, vt non solùm in compositione facultatis diuersitas videri queat, sed etiam simplicium medicamentorum alia ex tota ipsorum substantia vnam quandam & simplicem facultatem indicent, quemadmodum Scammonum bilem flauam trahere apparet; epithymum Atticum, atræ bilis humorem ex ventriculo purgare cernitur; granũ gnidium pituitam, & totum aquosum humorem euidenter educit. Hæc siquidem medicamenta ex tota ipsorum parte, totáq; sua substantia huiusmodi humorum eductionem moliri cõspiciuntur. Non enim fidem Asclepiadi Bithyno medico adhibemus, data occasione dicẽti, quum homo iam purgatur, tunc etiã humores hos statim aliquam subire mutationem. Quippe quoniam author fuit de corpore hypotheseos, atomorum coaceruatione & meatibus contentæ, naturæ opera de medio tollens necessariò, consentaneum erat & hunc de humoribus sermonem ipsum dicere, tanquam id quod ab eo adducitur, à ratione sit alienum, & omnino fieri nequeat. Quis enim sanæ mentis crediderit tam subito quàm medicamentum corpori adhibeatur, humoris qui excernetur, substantiam generari? Quis contrà non facilè sibi persuaserit humores hosce priùs quoque secundum naturam corporibus inesse? quum videat ictero laborantem, eo tempore quo medicamentum biliosum humorem purgans cepit, & bilem subitò copiosam excernere, & affectu expeditè liberari? Eum verò qui hydrope laborat, neutiquam medicamento quodam simul ac fuerit assumptum, omnem aquam ventriculo insidẽtem citò admodum vacuare, atq; ex tam subita vacuatione nullum sanè humorem, aut certè paucissimum in partibus infarctum habere. Verùm hæc Asclepiades, pueriliter dogmatis necessitati inseruiens, ambitionis studio, vt dixi, videre se dissimulat, omniáque probabilibus potiùs figmentis conatur inuenire, quàm propriam cuiusque medicamenti facultatem verè confiteri. Nos autem quum hæc videamus, sciamúsque id quod possit ratione vniuscuiusque medicamentorum naturæ facultatis proprietatem verè agnoscere, hic quoque medicamenta natiua quadam facultate familiarem sibi succum attrahere, accuratè didicimus; quemadmodum etiam ex eo quòd Magnes lapis ferrum ad se attrahit, facultatem quandam attractricem ei inesse, natiuam facultatem meritò nobis ipsis persuasimus. Deus enim quum sit, quemadmodum natura in nobis (secundum Homerum) similia similibus adiungens, ita diuinas ipsius facultates ostendit.

CAP.

A

CAPVT IV.

Simplicia medicamenta plerúmque compositas facultates obtinere, diuersas corporis partes & lædere, & iuuare, diuersisque diuersa conuenire.

AC reliquorum omnium naturam pari studio examinamus, vt facultatem quoque ipsorum per quam operantur, exquisitè perdiscamus. Nam dum examen illorũ molimur, alia, quemadmodum dixi, per totas ipsorum substantias functionem obire depræhendimus, alia mixtam quoque in substantia facultatem habere, & duplici fungi actione tam manifestò sæpe, vt etiam quam maximè contraria ab eis fieri in corpore conspiciamus; atque id miraculum esse videntibus appareat. Lapathi igitur folia si quis edat, aluum subducet, si quis assumat, ipsam astrictam habebit. Similiter & brassicæ succus, & vetulorum gallorum ius, & cochlearum marinarum succi assumpti, aluum mouent. Olus autem ipsum brassicæ, & illarum carnes comestæ, ventrem comprimunt. Aloë, squamáque æris supercrescentes vlcerum carnes astringunt; & qui fluxus sub ipsis fiunt, eos subinde exiccant; assumpta verò per os, vniuersum corpus purgant. Lac vbi à nobis diuiditur, contrarias in vsu facultates demonstrat; nam serum ipsius bibitum, ventrem soluit; caseus ingestus, exactè ipsum cohibet. Nonnulla verò tam inopinabile quippiam in mixtione facultatum quæ commiscentur efficiunt, vt auditoribus quoque nullo fieri modo posse videatur, nisi suis ipsi oculis id quod accidit, contueantur. Trifolium itaque herba, quæ hyacintho similis est, quum vere parturit, & semen agresti cnico persimile obtinet, decocta admodum; deinde morsibus aranei, vel viperæ quoque ex aquæ fotu adhibita ipsis medetur, & dolores statim sedat. Sin autem in alio non commorso sanum locum eodem fotu circundederis, similem sensum, similésque dolores iis quos morsus inuehit, omnes conciliat; vt reuera miraculo dignum opus esse videatur, eandem herbam & morsum sanare, & ferarum pari modo sanam partem prauè afficere. Iam verò ex medicamentis quædam hominum nutritioni per initia minimè conueniunt. Cicuta enim sturnos quidem nutrit, & lethalem in ipsis vim non exercet; nos autem, quemadmodum probè nosti, interimit. Veratrum, etiam conturnicum cibus est, homines verò malè corrumpit. Nonnulla quoque reperimus, quæ partes quasdam corporis priuatim vitiant. Nam lepus marinus pulmonem exulcerat; cantharis vesicam peculiariter afficit. E contrariò pleráque medicamenta quibusdam corporis partibus eximiè curandis sunt idonea. Patienti igitur iecinori sæpè Eupatoria herba perstrenuè auxiliata est; & myrobalanus, lienem adiuuat; Sarxiphaga & Betonica, renibus probè faciunt; & similiter alia aliorum, vt experientia obseruauimus, propria sunt medicamenta, quæ nos, vt dixi, diligenter perscrutati, ita cuilibet morbo, vt conueniunt, admolimur, Hippocratem magistrum longè optimum in his quoque, vt in aliis omnibus, æmulantes. Quòd enim exactissimam de medicamentis artem fecerit, cùm ex aliis plerisque ab ipso conscriptis est cernere, tum maximè ex iis quæ secundo de Epidemiorum libro in hunc modum prodita reliquit.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὰ ἁπλᾶ τῶν φαρμάκων, σύνθετον, ὡς ἐπὶ τὸ πολὺ, ἔχειν ἰσχὺν, καὶ διάφορα τοῦ σώματος μόρια βλάπτειν τε καὶ ὠφελεῖν, καὶ διαφόροις διάφορα προσήκειν.

ΚΑὶ τῶν ἄλλων δὲ ἁπάντων τὴν φύσιν φιλοτίμως ἐξετάζομεν, ἵνα καὶ τὴν δύναμιν αὐτῶν καθ' ἣν ἐνεργεῖ, ἀκριβῶς μάθωμεν. εὑρίσκομεν γοῦν, ἐν τῇ ἐξετάσει αὐτῶν γενόμενοι, τὰ μὲν, ὡς ἔφην, καθ' ὅλας ἑαυτῶν ἐνεργοῦντα τὰς οὐσίας, τὰ δὲ, τὸ B μικτὸν ἐν τῇ οὐσίᾳ τὴν δύναμιν ἔχοντα, καὶ διπλῆν ἀποτελοῦντα τὴν ἐνέργειαν, οὕτω φανερῶς πολλάκις, ὡς καὶ τὰ ἐναντιώτατα ὑπ' αὐτῶν ἐπὶ τοῦ σώματος γινόμενα ἡμᾶς βλέπειν, καὶ θαῦμα τοῖς ὁρῶσι τὸ τοιοῦτον εἶναι δοκεῖν. λαπάθου γοῦν, εἴ τις μὲν τὰ φύλλα φάγοι, τὴν κοιλίαν ἐκταράττεται. εἰ δέ τις τὸ σπέρμα λάβοι, ἐπεχομένην αὐτὴν ἔχει. ὁμοίως δὲ οὖν καὶ ὁ τῆς κράμβης χυλὸς, καὶ τῶν γερόντων ἀλεκτρυόνων ὁ ζωμὸς, καὶ τῶν ἀπὸ τῆς θαλάττης κοχλιῶν οἱ χυμοὶ ληφθέντες, ἐκταράττουσι τὴν κοιλίαν. τὸ δὲ λάχανον αὐτὸ ἡ κράμβη, καὶ τούτων αἱ σάρκες ἐσθιόμεναι, ἐπέχουσιν αὐτάς. ἡ δὲ ἀλόη, καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, στύφει τε τὰς ὑπὸ τῶν C ἑλκῶν ὑπεραυξανομένας σάρκας, καὶ ἐπιξηραίνει πολλάκις τὰ ὑπ' αὐτοῖς γινόμενα ῥεύματα, ληφθέντα δὲ διὰ τοῦ στόματος, καθαρτικὰ τοῦ ὅλου σώματος γίνονται. τὸ δὲ γάλα διαιρούμενον ὑφ' ἡμῶν, ἐναντίας ἐν τῇ χρείᾳ δυνάμεις ἐπιδείκνυται. ὁ μὲν γὰρ ὀῤῥὸς αὐτοῦ πινόμενος, ἐκλύει τὴν γαστέρα, ἐσθιόμενος δὲ ὁ τυρὸς, ἐπέχει αὐτὴν ἀκριβῶς. ἔνια δὲ οὕτως τι παράδοξον ἐργάζεται ἐν τῇ μίξει τῶν ἐν αὐτῇ μιγνυμένων δυνάμεων, ὡς καὶ ἀδύνατον εἶναι γενέσθαι τοῖς ἀκούουσι δοκεῖν, εἰ μὴ τὴν παρὰ τῶν γινομένων διὰ τῆς ὄψεως πίστιν, παρὰ τοῦ γινομένου λάβωσι. τὸ γοῦν τρίφυλλον ἡ βοτάνη, ἥ τις ὑακίνθῳ ὡμοίωται, ὁπότε μὲν τοῦ D ἔαρος ἐγκύμων γένηται, καὶ τὸ σπέρμα ὅμοιον ἔχει τῇ ἀγρίᾳ κνίκῳ, ὅταν τις ἀφεψήσῃ πάνυ, εἶτα τῷ δήγματι τοῦ φαλαγγίου, ἢ καὶ τῆς ἔχεως τῷ ὕδατι ἐπαντλήσει, ἰᾶται αὐτὸ καὶ εὐθέως ἀνώδυνον ἐργάζεται. εἰ δέ τις, ἐπ' ἄλλου μὴ δεδηγμένου τὴν ὑγιῆ τόπον τῷ αὐτῷ ἐπαντλήσει καταντλήματι, τὴν αὐτὴν αἴσθησιν, καὶ τὰς αὐτὰς ὀδύνας ὁμοίας τῷ δεδηγμένῳ πάσας ἀποτελεῖ, ὡς εἶναι τὸ γινόμενον ἀληθῶς θαύματος ἄξιον, τὴν αὐτὴν βοτάνην καὶ ἰᾶσθαι τὸ δῆγμα, καὶ ὁμοίως τοῖς θηρίοις διατιθέναι τὴν ὑγιῆ τόπον, πονηρῶς. τινὰ δὲ τῶν φαρμάκων τὴν ἀρχὴν, οὐδὲ ὅλως ἐστὶ τοῖς ἀνθρώποις σύντροφα. τὸ γοῦν κώνειον, τοὺς μὲν ψᾶρας τρέφει, καὶ τὴν θανατι- E κὴν δύναμιν ἐπ' αὐτῶν οὐκ ἔχει, ἡμᾶς δὲ, ὡς οὐκ ἀγνοεῖς, ἀναιρεῖ. καὶ ὁ ἐλλέβορος τῶν μὲν ὀρτύγων ἐστὶ τροφὴ, τοὺς δὲ ἀνθρώπους διαφθείρει κακῶς. ἔνια δὲ εὑρίσκομεν καὶ μερῶν τινων ἐν τῷ σώματι τὴν κάκωσιν ἰδίως ποιούμενα. ὁ γοῦν θαλάττιος λαγωὸς, ἑλκοῖ τὸν πνεύμονα, καὶ ἡ κανθαρὶς, ἰδίως τὴν κύστιν κακοῖ. πολλὰ δὲ τῶν φαρμάκων πάλιν ἐξαιρέτως, τινὰ τῶν μερῶν τοῦ σώματος ὠφελεῖν πέφυκε. πάσχον γοῦν τὸ ἧπαρ πολλάκις, ἡ εὐπατόριος ἡ βοτάνη ἀγωνιστικῶς ὠφέλησε· καὶ ἡ μυροβάλανος τὸν σπλῆνα ὤνησε. τὸ δὲ σαξιφαγὲς, καὶ ἡ βετονίκη, τοὺς νεφροὺς διέθηκε καλῶς, καὶ ὁμοίως ἄλλα ἐστὶν ἄλλων, ὡς τῇ πείρᾳ τετηρήκαμεν, οἰκεῖα φάρ- F μακα, ἅπερ ἡμεῖς, ὡς ἔφην, ἀκριβῶς ἐξετάζοντες, οὕτως ἑκάστῳ τῶν παθῶν τὴν κατάλληλον προσφορὰν ποιούμεθα, διδασκάλῳ καὶ τούτων, ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων, Ἱπποκράτει τῷ ἀρίστῳ χρώμενοι. ὅτι γὰρ ἀκριβεστάτην τὴν περὶ τῶν φαρμάκων τέχνην πεποίηται, καὶ ἐξ ἄλλων πλείστων ὑπ' αὐτοῦ λεγομένων ἐστὶν ἰδεῖν, μάλιστα δὲ ἐξ ὧν φησιν ἐν τῷ β'. τῶν ἐπιδημιῶν οὕτω.

φαρμάκων δὲ τρόπους ἴσμεν, ἐξ ὧν γεννῆται ὁποῖα ἄττα. οὐ γὰρ πάντες ὁμοίως, ἀλλ᾽ ἄλλοι ἄλλως σύγκεινται, καὶ ἄλλα ὅσα προϊαίτερον, ἢ ὀψιαίτερον ληφθέντα, καὶ οἱ διαχρισμοὶ, οἷον ξηρᾶναι, ἢ κόψαι, ἢ ἑψῆσαι, καὶ τὰ τοιαῦτα ἕως τὰ πλεῖστα μειῶσαι πλείω. καὶ ὁκοῖα ἑκάστῳ, καὶ ἐφ᾽ οἷσι νοσήμασι, καὶ ἐφ᾽ ἧ τε τοῦ νοσήματος ἡλικία, ἰδέα, καὶ διαίτη ὁκοία, ἢ ὥρη ἔτεος, ὁκοίως ἄγωμεν, καὶ τὰ τοιαῦτα. διὰ γὰρ τούτων, ὡς ὁρᾷς, καθολικώτερον ἡμᾶς διδάσκει, προτρέπων καὶ τὰς φύσεις τῶν φαρμάκων εἰδέναι, καὶ τὸν καιρὸν ἐξετάζειν, ἐν ᾧ τις τὸ φάρμακον μέλλει λαμβάνειν, καὶ τὰς κράσεις τῶν λαμβανόντων ἐπιβλέπειν. εἰσὶ γὰρ, ὡς ἀληθῶς, οἱ μὲν εὐκόλως λαμβάνειν δυνάμενοι, ὡς καὶ πέττειν αὐτὰ πολλάκις, ἢ καὶ μηδὲν ὑπ᾽ αὐτῶν κακοῦσθαι, ἀλλ᾽ ἐνίοτε καὶ τροφὴν αὐτοῖς γίνεσθαι αὐτὸ τὸ φάρμακον. ἔνιοι δὲ ἀφυῶς οὕτως ἔχουσι πρὸς τὰς φαρμακείας, ὡς μηδὲ τὴν ἀρχὴν αὐτοῖς χρῆσθαι δύνασθαι, ἀποστρέφεσθαί τε αὐτοῖς τὸν στόμαχον, καὶ παρὰ τῆς χρήσεως ἐκλύεσθαι ῥαδίως.

A *Medicamentorum modos scire conuenit, ex quibus alia quædam conficiantur; non enim omnes similiter, sed alij aliter constituuntur; & alia medicamenta maturius, vel tardiùs capta, possunt præparari; nempe siccari, vel tundi, vel concoqui, & huiusmodi, donec plerunque plurima minuantur. Huc accedit explicandum quæ singulis conueniant, in quibus morbis, quo morbi tempore, qua specie, quali victu, vel anni tempore, quomodo tractemus, & id genus alia.* His enim, vti vides, generaliùs nos docet, vt qui & medicamentorum naturas discere nos adhortetur, & tempus exquirere, quo medi-
B camenta debent assumi; & eorum qui assumunt, temperaturas inspicere. Sunt enim nonnulli proculdubiò, qui tam facilè ea possunt capere, vt etiam multoties concoquant, vel nihil ab ipsis incommodi, sed aliquando ipsis nutrimento esse medicamentum experiantur. Quidam tam inepti medicamentis assumendis existunt, vt nequaquam vti ipsis possint, & stomachus auersetur, ac ante vsum facilè dissoluatur.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τί ποτ᾽ ἐπήγαγεν τοὺς ἰατροὺς πρὸς τὴν σύγκρασιν πολλῶν ἁπλῶν καὶ τίς ὁ πρῶτος ἐπιβαλὼν τῇ θηριακῇ τὰς ἐχίδνας.

Ταῦτα γοῦν, ὡς ἔγωγε νομίζω, καὶ τῶν παλαιῶν ἰατρῶν οἱ ἄριστοι παρ᾽ αὐτοῦ μαθόντες, οὕτως ἀρίστας καὶ τὰς συνθέσεις ἐποιοῦντο τῶν φαρμάκων, ἐκ τῆς ἑκάστου φύσεως αὐτῶν, τὴν τέχνην τῆς συνθέσεως ποιούμενοι, καὶ τὰ μὲν ἐπιτεταμένα ταῖς ποιότησιν αὐτοῖς, τῇ τῶν ἄλλων μίξει καθαιροῦντες, ὁμοίως δὲ καὶ ἀμβλύνοντες τὰ δριμέα, καὶ ὅλως πρὸς τὴν ἑκάστου λοιπὸν τῶν παθῶν διαφορὰν, καὶ τῶν ἀνθρώπων τὴν σύγκρισιν ἐντέχνως τοῖς φαρμάκοις χρώμενοι. διόπερ οἶμαι, καὶ ταύτην τὴν θηριακὴν, περὶ ἧς ἡμῖν ὁ πᾶς οὗτος λόγος φιλοτίμως τετεχνολόγηται, ἐκ πλείστων καὶ τῶν καλλίστων φαρμάκων ἐσκεύασαν. λογισάμενοι γὰρ τῶν πονηρῶν θηρίων τὰ δήγματα, ὅτι ἐστὶν ἄφυκτα, καὶ τῶν δηλητηρίων φαρμάκων τὰ συμπτώματα, ὅτι ἐστὶ θανατικὰ, προσεπιλογισάμενοι δὲ καὶ τὴν τῶν ἀνθρώπων ἐν ταῖς φύσεσι πολλὴν οὖσαν διαφορὰν, καὶ ὅτι ἄλλο φάρμακον ἄλλῳ ἁρμόζειν πέφυκεν, εἰκότως αὐτῆς ἀκριβῆ τε καὶ ποικίλην ἐποιήσαντο τὴν σκευασίαν, ὡς διὰ τοῦτο, καὶ ἁπλῶς αὐτὴν ἐπὶ τούτων ἁπάντων τυγχάνειν τοῦ τέλους, καὶ διὰ τὸ ἀναγκαῖον τῆς χρείας, καὶ περισπούδαστον πάνυ τοῖς ἀνθρώποις γενέσθαι. οὐδὲν γὰρ ἐμοὶ τῶν ἐν τῷ βίῳ χαλεπώτερον εἶναι δοκεῖ τῶν δηλητηρίων φαρμάκων, καὶ τῶν δακετῶν θηρίων. τὰ μὲν γὰρ ἄλλα τῶν δεινοτάτων, καὶ φυλακὴν ἔχει τὴν ἀπ᾽ αὐτῶν φυγὴν, ταῦτα δὲ τὴν μεγίστην τοῖς ἀνθρώποις ἐπιβουλὴν ἐργάζεται. διὰ γὰρ τὸ ἀφύλακτον, τὶς οὐκ εἰδὼς, ἑαυτῷ πολλάκις προσφέρει τὸ φάρμακον, καὶ ἄλλως ἀγνοῶν, εἶτα δηχθεὶς ὑπό τινος θηρίου, αἰφνίδιον τελευτᾷ. ἐμοὶ δὲ καὶ ἐξ ἱστορίας τις ἐμήνυσε λόγος, ὡς ἄρα πολεμεῖν Ῥωμαίοις τὶς ἐθέλων, καὶ τὸ δυνατὸν ἐκ τῆς στρατιωτικῆς τάξεως οὐκ ἔχων. ἄνθρωπος δὲ, φησὶ, Καρχηδόνιος οὗτος, ἐμπλήσας πολλὰς χύτρας θηρίων τῶν ἀναιρεῖν ὀξέως δυναμένων, οὕτως αὐτὰς προσέβαλε πρὸς τοὺς πολεμίους· οἱ δὲ τὸ πεμπόμενον οὐ νοοῦντες, καὶ διὰ τοῦτ᾽ ἀφύλακτοι μένοντες, οὐ γὰρ ἦν τὰ τοιαῦτα εἰθισμένα ἐν τοῖς πολεμίοις πέμπεσθαι βέλη, ταχέως πίπτοντες ἀπέθνησκον, καὶ διὰ τοῦτο πολλάκις ὁ ἄνθρωπος οὗτος τῇ τοιαύτῃ πρὸς τὸ πολεμεῖν πανουργίᾳ, ὥσπερ τι καὶ αὐτὸς θηρίον ὑπάρχων, διέφυγε τῶν ἐναντίων τὰς χεῖρας. διόπερ οἶμαι, καὶ εἰς τὰς τοιαύτας χρείας ὑμῖν τοῖς ὑπερέχουσι, καὶ τοῖς τῶν στρατοπέδων ἄρχουσιν, ἀναγκαῖον

CAPVT V.

C *Quid medicos induxerit, vt plura simplicia commiscerent; quique primus viperas theriacæ imposuit.*

HÆc igitur, vt ego arbitror, & veterum medicorum præstantissimi ab ipso edocti, optimas sic medicamentorum compositiones effecerunt, ex singulorum natura compositionis artificium inuenientes, quæque intensa sunt ipsis qualitatibus, aliorum mixtione remittentes, simili ratione acria hebetantes, & vt summatim comprehendam, pro reliquâ cuiusque affectus differentia, & hominum temperie, medicamentis cum artificio vtentes. Quare puto, hanc quoque theria-
D cen de quâ totus hic liber ampliter disserit, ex plurimis, optimísque medicamentis præpararunt. Quum enim considerarent morsus noxiarum ferarum esse ineuitabiles, & venenosorum medicamentorum symptomata lethalia; ad hæc, quum perpenderent hominum naturas permultum inuicem differre, & aliud alij medicamentum idoneum, meritò exactam ipsius, & variam fecerunt confectionem, vt huius rei gratia, certò ipsa in his omnibus finem assequeretur; atque ob vsus necessitatem, magno studio ab hominibus affectaretur. Nihil siquidem inter vitæ mala difficilius
E esse mihi videtur virulentis medicamentis, & feris noxiis. Etenim ab aliis etiam grauissimis fuga nos præseruamus, illa maximè hominibus imponunt, quòd videlicet aliquis nulla præmunitione adhibita, frequenter venenum nesciens imprudénsque assumit, deinde commorsus à fera quadam, subitò interit. Ego autem ex quodam historiæ libro accepi, quomodo aliquis bellum contra Romanos gerere voluerit nulla militaris ordinis potentia munitus. Homo verò hic (inquit) Carchedonius, complures ollas feris, quæ repente possunt occidere, refertas, aduersus hostes proiecit. Illi autem non intelligentes quid
F mitteret, eóque neutiquam sibi cauentes (quippe tales emitti sagittæ inter hostes non solebant) protinus collapsi perierunt; atque propterea homo ille frequenter eiusmodi astutia, tanquam & ipse fera quædam existeret, inimicorum manus effugit. Quamobrem putauerim & vobis primatibus, & exercituum ducibus ad tales vsus hoc

hoc esse habendum medicamentum; quòd nonnunquam bellandi incidat necessitas. Olim itaque citra ferarum quoque mixtionem confectum medicamentum, similiter ad huiusmodi strenuè faciebat. Quum autem medici semper in huius præparationem certatim incumberent, ac aliud commiscere cogitarent, in hunc modum quidam considerauit, miscuítque ipse beluas. Aiunt autem Andromachum hunc virum fuisse, medicum mehercule memoria dignum, haud multò ante nos natum. Quippe Neroni conuixit, cui etiam ipsam dedicauit, tum vires, tum confectionem carmine complexus. Quod tibi hic subiungam, ne ipsius historia careas, tam studiosus alioqui & cupidus literarum. Illud tamen præfabor, theriacen non solùm quòd ferarum morsibus probè conueniat, sed etiam quòd feræ ipsæ deinceps in confectione misceantur, congruè ex vtroque significato esse nominandam. Versus autem hi sunt.

A ἔχειν καὶ τοῦτο τὸ φάρμακον, διὰ τὸ τοῦ πολεμεῖν ἐνίοτε γινομένην ἀνάγκην. πάλαι μὲν οὖν, καὶ ἄνευ τῆς τῶν θηρείων μίξεως σκευαζόμενον τὸ φάρμακον, ὁμοίως ἐποίει πρὸς τὰ τοιαῦτα καρτερῶς. ἀεὶ δὲ τῶν ἰατρῶν φιλοτίμως πρὸς τὴν κατασκευὴν αὐτῆς ἐχόντων, καὶ ἄλλο συμμίσγειν ἐπινοούντων, οὕτως τις προσεπενόησε, καὶ ἔμιξεν αὐτῇ τὰ θηρεῖα. Ἀνδρόμαχος δέ, φασίν, οὗτος ἀνὴρ ἦν ἀξιόλογος ἰατρός, καὶ οὐ πολὺ πρὸ ἡμῶν γεγενημένος. συνῆν γὰρ τῷ Νέρωνι, ᾧ καὶ προσεφώνησε, γράψας αὐτὴν ἔπεσι, καὶ τὴν ἐπαγγελίαν, καὶ τὴν σκευασίαν, καὶ παραθήσομαί γέ σοι αὐτὰ τὰ ἔπη, ἵνα μηδὲ τούτων ἀνίστορος ἦς, οὕτω
B φιλόκαλος ὤν, ἐκεῖνο πρότερον εἰπών, ὅτι διὰ τὸ τὴν ἐπινοήσαντα μῖξαι τῷ φαρμάκῳ τὰ θηρεῖα εἰκότως, οὐχ ὅτι μόνον πρὸς τὰ ἀπ᾽ αὐτῶν δήγματα ἁρμόζει καλῶς, θηριακὴ ἂν λεχθείη πρὸς ἡμῶν, ἀλλ᾽ ὅτι καὶ αὐτὰ τὰ θηρεῖα λοιπὸν ἐν τῇ σκευασίᾳ μιγνύμενα ἔχει, προσηκόντως ἐξ ἀμφοτέρων τῶν σημαινομένων, ἑτοίμως ἂν θηριακὴ λέγοιτο. ἔστι δὲ τὰ ἔπη ταῦτα.

CAPVT VI.

Andromachi senioris, Neronis Archiatri, ex viperis theriace, appellata Galene. Pars prima poëmatis continet operis dedicationem, theriacæ nomina, facultates, dosin, modum assumptionis, & tempus.

ANtidotum multis insignem viribus audi
Cæsar, qui nobis ocia tuta facis.
Tranquilla hac, hilarisque suo, paritérque serena
Nomine, cyaneos non timet vna sinus.
Non, siquis cupidis expressa papauera labris
Hauserit, exitium pocula sumpta ferent.
Non, siquis gelida compleuerit ora cicuta,
Siquis hyoscyamum, siue aconita bibat.
Non si cantharides, aut præsens morte venenum
Colchi tuum sumat, feruida Thapse tuum.
Arida non dipsas, non clarus fraude cerastes,
Non feret impresso vipera dente necem.
Incassum cauda consurget scorpius vnca;
Nec subitos luctus aspis iniqua dabit.
Non dryas audebit calido progressa cubili,
Vt priùs aduersa comminus ire via.
Nullus ob hæmorrhi stillabit vulnera sanguis;
Nec tumidos faciet pressa dryina pedes.
Claudere non cogent odiosa phalangia summum
Concussu tremulo, frigoribúsque diem;
Non hydrus. Nec vbi torret Sol æquora cancro,
Quum petit arua minax, concitus atque furit.
Ora trahens multa chersydrus cæde cruenta,
Supremum vitæ ducet in exitium.
Hac fidens, æstu per rura vagabere Cæsar,
In Libyco quamuis progrediare solo.
Nil oberit sicci tibi ruris alumna rubeta;
Nil geminum tollens amphisibæna caput.
Hac rursus stomacho præsens medicina tumenti est;
Hæc ab anhelanti pectore tollit onus;
Aut intus toto quum spiritus vndique ventre
Fluctuat, & surdis viscera pulsat aquis:
Diraque cum miserum dirumpunt tormina ventrem,
Et saliunt longi membra dolore coli.
Sanat item croceo suffusos ora colore,
Regius is solito nomine morbus erit.
Hi positas nolunt miseri contingere mensas;
Nec, siquis vitæ tempora longa daret.
Sed sibi dissimiles oculis animique dolore,
Contemnunt medicæ, quis putet? artis opem.
Inuadet quoties hydrops mala, corpora liuor
Inficit, hac fies liber ab antidoto.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ἀνδρομάχου πρεσβυτέρου, Νέρωνος Ἀρχιάτρου θηριακὴ δι᾽ ἐχιδνῶν ἡ καλουμένη Γαλήνη. Μέρος αʹ. τοῦ ποιήματος περιέχον τὴν τῆσδε καθιέρωσιν, τά τε ὀνόματα τῆς θηριακῆς καὶ δυνάμεις, τήν τε δόσιν, καὶ τὸν τρόπον τοῦ λαμβάνειν, καὶ τὸν χρόνον τῆς χρήσεως.

Κλῦθι πολυθρονίου βριαρὸν σθένος ἀντιδότοιο
Καῖσαρ, ἀδειμάντου δῶτορ ἐλευθερίης.
Κλῦθι Νέρων, ἱλαρήν μιν ἐπικλείουσι, Γαλήνην
Εὔδιον, ἣ κυανῶν οὐκ ὄθεται λιμένων.
Οὐδ᾽ εἴ τις μήκωνος ἀπεχθέα δράγματα θλίψας,
Χανδὸν ὑπὲρ στυγνῆς χεῖλος ἔχοι κύλικος.
Οὐδ᾽ εἰ κωνείου πλήσοι γένυν, οὐκ ἀκονίτου,
Μέμψατο δ᾽ οὐ ψυχροῦ χυλὸν ὑοσκυάμου.
Οὐ θερμὴν θάψον τε, καὶ ὠκύμορον πόμα Μήδης,
Οὐδ᾽ ἐμὲν αἱμηρῶν ἕλκεα κανθαρίδων.
Οὐ ζοφερῆς ἔχιός τε καὶ ἀλγεινοῖο κεράστου
Τύμματα, καὶ ξηρῆς διψάδος οὐκ ἀλέγοι.
Σκορπίος οὐκ ἐπὶ τήνδε κορύσσεται, οὐδέ μεν αὐτὴ
Ἀσπὶς, ἀδηνείτω ἰὸν ἔχουσα γόων.
Οὐ μὲν ἀπεχθόμενος καὶ δρύας ἀντιάσειε,
Καὶ κατὰ φωλειὸν θερμὸς ἔνερθε μένοι.
Οὐκ ἀλέγοι δρυΐνα· ἂν ἀναίμακτον δ᾽ ἔχει ἰὸν
Αἱμόῤῥοις, πιῶ δαμναμένη πόματι.
Οὐ μὲν ἀπεχθήεντα φαλάγγια σίνεται οὕτως
Ἀνέρα, φρικαλέον δ᾽ ἄχθος ἔθηκε πόνων,
Οὐχ ὕδρος, οὐκ ἐπὶ χέρσον, ὅθ᾽ ὕδατα καρκίνος αἴθει
Βοσκόμενος, θέρμης ἤρξατο πρῶτον ἄλης,
Χέρσυδρος, θανάτῳ πεπαλαγμένα χείλεα σύρων,
Ἀντόμενος, γλυκεροῦ τέρμα φέροι βιότου.
Τῇ πίσυνος, λειμῶσι θέροις ἐπιτέρπεο Καῖσαρ,
Καὶ Λιβυκὴν στείχων, οὐκ ἀλέγοις ψάμαθον.
Οὐδὲ μὲν ἀμφίσβαινα φέρει μόρον, οὐδέ τις ἤδη
Φρύνος ἐνὶ ξηροῖς βοσκόμενος πεδίοις.
Ῥεῖα δὲ καὶ στομάχοιο φέροις ἄκος οἰδήναντος,
Καὶ θοὸν ἰήσαις ἆσθμα κυλινδόμενον.
Ἢ ὁπόταν περὶ γαστρὶ κυκώμενον εἴσοθι πνεῦμα
Κυμαίνῃ, κωφὸν κῦμα βιαζόμενον.
Ἢ ὅτ᾽ ἐνὶ στροφάλιγγι ἀπηνέϊ κυμήνειεν
Ἔντερον, ἢ ταναοῦ σφυγμὸν ἔχωσι κόλου,
Ἢ ὁπόταν χολόεντες ὅλον δέμας, ἔξοχα δ᾽ ὄσσε,
Καὶ μερόπων χροιὴν πάμπαν ἀμειβόμενοι,
Ἴκτερον ἱλάσκωνται ἀπηνέα, μηδ᾽ ἐπὶ θοίνας,
Εἴ καί σφιν μακρὸν Ζεὺς πετάσειε ὥρας
Νεύοιεν, μοῦνον δὲ κατηφέα θυμὸν ἔχοντες,
Φεύγωσι σφετέρων ἤθεα κηδεμόνων.
Εἰ δέ που, ἢ κακόεργον ἴδοις ἐπὶ σώμασιν ὕδρον,
Ῥύσαις ὑδρηλὴν νοῦσον ἐπασσυμένην.

Καὶ φαέων ἀμβλεῖαν ἄφαρ λάμψειεν ὀπωπὴν
 Τῷ, καὶ ἀρχομένης οὐκ ἀλέγοις φθίσιος.
Οἴη καὶ τετάνοιο, καὶ ἀρχομένοιο τενόντων
 Σπάσματος, ἦρε βυθοῦ ἄχθος ὀπισθοτόνου,
Ἤτ' ἄρα καὶ φάρυγγος, ὅσην ὠτειλάτο χώρην,
 Λοξὸς ἀναθλίβων πνεύμονα κοῦφον ὑμήν.
Ἤ ὅτε φρικαλέην τις ἔχοι περὶ κύστιν ἀνίην
 Ἕλκεος, ἢ καί που δαμναμένοιο πόρου
Οὖρον ἐπιφράσσοιτο, ὅτ' ἔχετο πολλάκι καυλὸς
 Ὁρμὴν, ἢ κενεὴν σεύμενος ἐς Κυθέρην.
Νεφρῶν δ' ἠνίκα φῶτα κατ' ἰξύος ἄλγος ἐπείγοι,
 Θαρρῶν τοιαύτην ἐξελάσεις ὀδύνην,
Καὶ μογερῶν στέρνων ἀπολύσεται ἔμπυον ἰλύν,
 Πινομένη πολλοὺς μέσφις ἐπ' ἠελίους.
Ἀλθαίνει, καὶ λοιμὸν ἀηδέα, πᾶσαν ἐπ' ἠῶ
 Δύσπνοον, ἐκ ποίης παρθέμενος πόσιος,
Καὶ κυνὸς ὑδροφόβην γενύων λυσσῶσαν ἐρινὺν
 Φεύξεται εὐόδμῳ γαῦρος ἐπ' ἀντιδότῳ.
Τῆς δή τοι κυάμοιο, τὸν ἔτρεφεν εὔσκιον ὕδωρ,
 Τέλμασι, καὶ πολλοῖς κρυπτόμενον πετάλοις
Νειλώου κυάμοιο, διὰ βάρος ἄμμιγα χεύας,
 Θερμὸν ὕδωρ τρισσῶν κιρνάμενος κυάθων.
Πίνοιεν δ' ὅτε κοῖτον ἄγοι κνέφας, ἄλλοτε δ' ἠοῖ,
 Ἄλλοτε, καὶ διπλῆν ἐς πόσιν ὀρνύμενοι.
Ἠοῖ μὲν κεράσαιο παρηγορέων κακοῦ ὁρμὴν,
 Ὅσσοις ἀλγεινὸς λάμπεται ἠέλιος.
Νυκτὶ δ' ὁμῶς ὅσσοις περ ἐπώδυνος ἔσσεται ὄρφνη,
 Εὐνάστειραν ἔχοις τειρομένων προὔποσιν.
Ἰοβόλων δ' εἰ καί τις ὑπὸ γναμπτῇσι δαμείη,
 Ἢ μογερὸν κυανοῦ πῶμα λάβοι θανάτου,
Ἴσην δ' ἐντυνάσαιο κατ' ὀρφναίην τε καὶ ἠῶ,
 Δαμναμένοις ἱλαρὴν παρθέμενος κύλικα.
Καί κεν ἀεὶ πνείοντας ἄγοις ἐπὶ κοῖτον ἑτοίμως
 Γηθαλέους ταύτῃ Καῖσαρ ἀνωδυνίῃ.

A *Hinc hebetes oculi sibi pristina lumina sument.*
 Hac phthisis incipiens victa recedit ope.
Sola potest in se collectos soluere neruos,
 Pendula tunc aliquis tentáve colla gerit.
Nec sinit, vt membrana, leues quæ pectore ab imo
 Sepsit pulmones, victa tumore premat.
Hac etiam magno vesica dolore leuari,
 Horrifici stimulis vlceris icta solet.
Sola potest clausos penis reserare meatus,
 Irrita quos vrit, sollicitátque Venus,
Cinxerunt lumbos renum quandoque dolores,
 Hauriat hæc aliquis pocula, sanus erit.
B *Sola potest eadem multis accepta diebus,*
 Tollere de læso pectore puris onus.
Neu te dira lues, neu lædat noxius aër,
 Hanc sæpe, quum primo est Sole reuecta dies.
Hacque canum rabiem fato impendente fugabis,
 Quum trepidat moriens, & sitit æger aquas.
Insomnes demum quibus est mos ducere noctes,
 Conciliat somnum, peruigilésque leuat.
Pondus erit quantum creuit faba, quam pater atro
 Ac restagnanti flumine Nilus alit.
Ipse tribus cyathis præscriptum dilue pondus
 Antidoti, cyathis igne calentis aquæ,
Sic commixta, tibi vel claro mane bibatur,
 Vel quum nox primam protulit orta facem.
C *Morbi certa dabit crudi solatia, mane*
 Sumpta, quibus tristis lux solet esse magis.
Vespere, cui magnos nox aduehit atra labores,
 Languenti custos, atque leuamen erit.
At qui calcati morsu serpentis anhelat,
 Ignarúsve doli toxica nigra bibit,
Et quum mane nouum, & quum se Sol abdidit vndis,
 Sumat, ab æquali pondere tutus erit.
Hactenus, & pondus, virésque, & tempora Cæsar.
 Quod superest, dicam quo facienda modo.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Μέρος β'. τῶν Ἀνδρομάχου ποιημάτων τὴν τῶν ἀρτίσκων σύνθεσιν περιέχον ἐξ ἐχιδνῶν, καὶ σκίλλης, τόν τε σταθμὸν τῶν τὴν θηριακὴν ἐπεισδυόντων, καὶ τὸν συμμίξεως τὸν τρόπον, καὶ τέλος τὴν Ἀσκληπιοῦ ἐπίκλησιν.

Πρῶτα μὲν ἀγρεύσαιτο κακήθεας ἔμπεραμος φὼς,
 Τολμηρῇ μάρπτων χειρὶ θοοὺς ὄφιας.
Τοὺς ἤδη κρυεροῦ ἀπὸ χείματος, οὐκέτι γαίης
 Κρύπτουσι στεινοὶ πάμπαν ἔνερθε μυχοί,
Εἰαρινὴν ἐφ' ἅλωα, χυτὸν βόσκονται ἀν' ἄλσος
 Διζόμενοι χλωροῦ σπέρμα λαβεῖν μαράθρου.
Ὀξυτέρην τὸ τίθησιν ἐφ' ἑρπυστῆρσιν ὀπωπὴν,
 Πιαίνον δειλοῖς ἄλγεα βουπελάταις.
Τῶν δ' αὐτῶν οὐραῖς τε καὶ ἰοβόλοις ἀπὸ κόρσας
 Τάμνοις, καὶ κενεὰς γαστέρας ἐξερύοις.
Οὖλα γὰρ ἀμφοτέρῳ φερέει ἐπὶ τύμμασι ἄχθη,
 Λυγρὸν ὑπ' οὐραίην ἰὸν ἔχων φολίδα.
Τοὔνεκα οἱ τμήσαιο κατ' αὐχένα, ἠδὲ κατ' ἄκρα,
 Ὅσσον πυγμαίης χειρὸς ἔνερθε βάθος.
Λοίγια δὲ σταλάουσι σὺν αἵματι, τῶν ἀπὸ πέζαν
 Ἐκτὸς ἔχων, ἱλαρὴν δέρξεται ἀντολίην.
Ὁππότε δὴ τὰ γένοιτο, τότ' ἐν κεραμηΐδι χύτρῃ
 Καθθέμενος πυρσοῦ σάρκας ἐπιφλεγέτω,
Ὕδατι ἐγχεύσας ὅσσον ἄρκιον, καὶ ἀνήθου
 Κλῶνας ἐχιδναίῃ σαρκὶ συνεψομένας.
Ἠνίκα δὲ σκολιαί γε ἀπορρείωσιν ἄκανθαι,
 Καὶ κακὸν οἰδήνῃ τοῦτον ὕπερθεν ἔχις
Ἐκτὸς ἕλοι, ζείοντα καταψύχων κυκεῶνα,
 Ὄφρ' ἑκὰς ἐντυνάαις σάρκας ἀπεχθομένας
Ἑρπυστῶν τ' ἰόεντας ἀπορρίψειεν ἀκάνθας
 Πάμπαν ὑπ' εὐδίφρου χειρὸς ἐλεγχομένας.

D

CAPVT VII.

Secunda pars pöëmatis Andromachi continet compositionem pastillorum ex viperis & scilla, pondus eorum, quæ ingrediuntur theriacam, modum commixtionis, & postremò Æsculapij inuocationem.

Vipera principio, cura obseruata procaci,
 Protinus est celeri corripienda manu.
Nanque vbi tristem hyemem pepulit clementior aura,
 Arcta solet cæcæ linquere lustra domus.
Et passim violis carpit vernantia prata,
 Dum viridis quærit semina fœniculi.
E *Nam facit hæc cernant serpentes acriùs herba,*
 Quos alit in cladem tarde bubulce tuam.
Deprensis igitur summum caput, imáque cauda,
 Demenda, hinc quicquid venter inanis habet.
Infert nam sæuos hinc, atque hinc vipera luctus,
 Et squamis caudæ dira venena tegit.
Ceruicisque ideo tantum caudæque secabis,
 In pugnum quantum est alta reducta manus.
Sanguine, sed mixtum caueas stillante venenum,
 Verè hilarem nam sic experiere diem.
Hæc vbi ritè tibi fuerint perfecta, subinde
 Vipereas carnes fictilis olla coquat.
Antè tamen misces frondem graue olentis anethi,
F *Et quantum satis est prouidus indis aquæ.*
At quum panda fluunt resoluti corporis ossa,
 Quumque tument flauæ noxia terga feræ,
Exime vipereas, confusa cadauera, carnes,
 Exemptas longâ ventilet aura morâ.
Hinc spinas tacita prudens subducito mente,
 Quas bene si tractes sentiet apta manus.

Adde

Adde laboratum panem, ne vipera formam A
Tusa nuget rotulis, ne pereat ve liquor.
Inque cauo dudum postquam hæc versaueris orbe,
Finge rotas, aptum det quibus vmbra locum.
Inde capillato scillam cum cortice sumptam,
Pulte linas, medio constituásque foco.
Ac cineris tutili camulos superingere, donec
Reddatur scillæ mollius igne caput.
Signa dabit, feruens positos quum discutit ignes:
Excute, & vt leues dempseris exuuias,
Tres scillæ partes, erui compone duabus,
Pistilloque crepet concaua pila diu.
Ac minimos tandem contusa premantur in orbes,
Quos procul à radiis mitior vmbra tegat. B
His igitur lancem primum cumulabis, & octo
Bisque decem drachmas accipe, bisque decem.
Dimidium superadde rotæ, quam vipera fecit,
Et piperis longi sit quoque pondus idem.
Sitque opij tantum, tantum medicaminis eius
Quod grati nomen magma coloris habet.
Inde quater ternas mutato pondere drachmas
Iridis, & siccæ protinus adde rosæ.
Addatúrque tui radix dulcissima succi,
Et dulcis tantum seminis inde napi.
Scordion iungas, & odoribus inclyta semper
Balsama, qui Syrio mittitur orbe liquor. C
Tum quæ suspendas æquata cinnama lance
Coniice, & agarici par quoque pondus eat.
Hinc superest myrrham, costumque, specuque reuulsum
Corycio, fragrans imposuisse crocum.
Et casiæ calamos, & quam tulit India nardum,
Teque Arabi schœnum gloria prima soli.
Inde nigrum coniunge piper, thurisque nitorem,
Diuite quod fœlix rure Sabæus alit.
Nec tu dictamnum, nec tu quoque pontica rheon
Defueris, stæchas, marrubiumque virens.
Atque apium petris, quod nasceris, & calaminthe,
Afraque cum lachrymis ô terebinthe tuis. D
Et foliis gramen quinis, & Zingiber ardens;
Singula, sed drachmas sex tibi quæque trahant.
His etiam polium drachmis se quatuor addet,
Addet se polio proxima pinus humi.
Quumque racemifero Celtarum nardus amomo,
Et styracis lentor, feruidáque herba meon.
Atque humilis quercus semen, pontoque petita
Phu, quibus accedet Lemnia terra comes.
Nec non malabathri folium, miscebis, & assam
Chalcitim, fibras gentiadasque simul.
Inde tenax gummi, pressaque hypocistide succus
Adsit, & hinc fructus balsame parua tui.
His etiam anisum, seselimque his iungere mollem, E
His cardamomum, fœniculumque velis.
Atque atram lachrymam, Nili quam spina remittit,
Quaque suo thlaspis semine nomen habet.
Hypericon rursum, pallens miscebis, & ammin,
Nec drachmis totidem plus sagapenus eat.
Pondere dimidio tum quos sibi castor ad Istrum
Ore secat testes, imposuisse decet.
Quin nec Aristolochi radix, siccumque bitumen,
Candida nec desint semina dauce tua.
Denique quum panacis succum, centaurion atque
Addideris, finem galbanus ipsa dabit,
Antiquo primùm solues tamen omnia vino, F
Humida, quæ fuerint, vt liquor, & lachrymæ.
Tum, quæ sicca vides postquam contusa minutim,
Cecropio pariter iungere melle velis.
Hæc qui nos primus docuisti maximè pæan
Adsis, seu Tricca te iuga summa iuuant.
Seu Burrina magis, Rhodos, aut Epidauria tellus,

Αὐαλέυ δ' ἐπὶ ταῖσι βάλοις εὐεργέος ἄρτυ,
Οσσον τερσωύαι σάρκα, δυώμτο προχοις
Πλάσσαθαι, δ' ὅτε μίγδα κύτει περιαγέος ὅλμου
Θλασθείη, σκιερῦ κάτθες ὑπὸ δαπέδου.
Αὐτίκα δὲ σκίλλην τριχώδεσιν ἄμμιγα φλοιοῖς,
Σταιτὶ περιπλάσας, θάλπε κατ' φλογιῆς
Οφρακεν ὀπταλέην τε, καὶ ὖ σκληρὴν περὶ κόρσην
Εντείνῃς ἀποδῆς ἠρέμα δαιομένης,
Καί ῥ' ὅτε θαλπομένη ῥῆξαι σέλας ἐκτόθι πυρσοῦ
Κάτθεο, καὶ τριοσὴν σαρκὸς ἔχειν μερίδα,
Ολμοις, καὶ τρυφνοῖο βάλοις δυοῖν ὀρόβοιο,
Εν δ' ὑπέρῳ μίξας σμωδονέων μυχόθεν
Αἴνυσο, καὶ δινήεντας ἀνάπλασσε προχίσκυς,
Τοὺς δ' ἑκὰς ἠελίυ ψύχεο τερσομένοις.
Τῶν δ' ἤτοι δραχμὰς μὲν ὑπὸ πλάστιγος ἀφέλκοις
Δοιάς, τὴν πέμπτην παρθέμενος δεκάδα,
Ημισυ θηρείοιο βαλὼν προχοειδέος ἄρτυ,
Καὶ δολιχὸν σαθμῷ τόσσον ἔχοι πέπερι.
Ισα δ' ὀποῦ μήκωνος ἔχοι, καὶ μάγματος αὔτως,
Μάγματος ἡδυχρόου τόσσον ἐφελκομένυ.
Δώδεκα δὲ ξηροῖο ῥόδου δραχμῇσιν ἰσάζοις
Φύλλα, καὶ Ιλλυρίην ἴειδα κατθέμενος,
Κυανέης μίξαιο μελιπλόρθυ γλυκυρίζης
Τόσσον, καὶ γλυκερῆς σπέρματα βουνιάδος.
Σκόρδιον, καὶ κεῖνον ὀπὸν μίσγοιο θυώδη,
Βαλσάμου Ασσυρίης ἔνδοθεν αἰνύμενος.
Τοῖς δ' ἐπὶ κιννάμωμον ἰσάζεο, μηδέ σε λήθη
Αγαρικὸν τούτοις ἰσοβαρὲς θέμεναι,
Η ἔτι, καὶ σμύρνης, καὶ εὐόδμου κόστοιο,
Καὶ κρόκου, ὃν ἄντρον θρέψατο Κωρύκιον,
Καὶ κασίην, Ινδήν τε βάλοις εὐώδεα νάρδον,
Καὶ σχοῖνον νομάδων θαῦμα φέροις Αράβων,
Καὶ λίβανον μίσγοιο, καὶ ἀγλαΐην σήσαιο
Αμμιγα κυανέῳ κατθέμενος πεπέρει,
Δικτάμνυ κλῶνας, τ', ἠδὲ χλοερῦ πρασίοιο,
Καὶ ῥῆον. στοιχὰς δ' οὐκ ἀπάνευθε μένοι,
Οὐδέ νυ πετροσέλινον. ἠδ' εὐώδης καλαμίνθη,
Δειμύ τε τερμίνθυ δάκρυ λιβυστιάδος,
Ζιγγίβερι θερμὸν, κ' εὔκλονον πενταπέτηλον,
Ταὶ δοιὰς δραχμὰς πάντα φέροι τριάδας
Αὐτίκα, καὶ πολίυ πίσυρας ὁλκὰς βαρυέασας.
Ηδὲ χαμαιζήλυ πόρθυς ἄγρις πίτυος,
Καὶ στύρακος, μήυ τε καὶ βοτρυόεντος ἀμώμου,
Καὶ νάρδου, Γαλάτης ἣν ἐκόμισεν ἀήρ,
Λημνιάδος μίλτοιο, καὶ ἐκ Πόντοιο βάλοιο
Φοῦ, καὶ Κρηταίης σπέρμα χαμαιδρυάδος,
Μαλαβάθρυ καλὰ φύλλα, καὶ ὀπταλέην χαλκῖτιν,
Μίσγεσθαι ῥίζης οὐ δίχα γεντιάδος
Ανισον, χυλὸν θ' ὑποκιστίδος, ἠδέ νυ καρπὸν
Βαλσάμου, λιπαρὸν κόμμι δινηνάμενος,
Καὶ μαράθρυ σπέρμα, καὶ Ιδαῖον καρδάμωμον,
Καὶ ψαφαρὸν στήσῃς παρθέμενος σέσελι.
Δάκρυον εὖ μίσγοιο βαλὼν κυανωπὸν ἀκάνθης,
Θλάσπι σὺν τούτοις ἰσοβαρὲς πελέθοι.
Τόσσον δ' ὑπερικοῦ, τόσσον δ' ἐπιμίσγεται ἄμμι,
Καὶ σαγαπηνὸν ἄγρις τετράδα τοσσατίην,
Δοιὰς δ' εἰσάξεις, τά περ Ιστριος ἔκβαλε κάστωρ
Μήδεα, καὶ λεπτὴν ῥίζαν ἀριστολόχου,
Δαύκου τε σπέρμα, καὶ αὐαλέην ἄσφαλτον
Ιοβόλων κοίταις ἀντία δαιομένην.
Ισα δ' ὀποῦ πάνακος συμμίσγεο κενταυρίῳ.
Χαλβανίδος λιπαρῆς ἰσόμορον θέμενος.
Καὶ τὰ μὲν ἐν θύῃ πολλῷ μαλθάσσεο οἴνῳ,
Οσσα περ ὑγροτέροις δάκρυσιν ἐμφέρεται.
Κόψαι δ' εὖ λεπτῶς, τὰ δέ κεν ξυλοειδέα πάντα
Ακταίῳ μίσγοις συγκεράσας μέλιτι.
Ιλήκοις ὃς τήνδε μάκαρ τεκτήναο Παίων,
Εἴ τι σε Τρικκαῖοι δαίμον ἔχουσι λόφοι,
Η Ρόδος, ἢ Βυρίννα, καὶ ἀγχιάλη Επίδαυρος.

Ιλήκοις, ἱλαρὴν δὲ αἰεὶ ἄνακτι δίδου
Παῖδα τεὴν Πανάκειαν. ὁ δ' εὐαγέεσι θυηλαῖς
Ιλάσεται τὴν σὴν αἰεὶ ἀνωδυνίην.

A *Adsis, & Regi fer tua dona meo.*
Stirpe tua natam Panaceam nanque salutem
Ille datam puro semper honore colet.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Διὰ τί ὁ Ανδρόμαχος τὴν ἔχιδναν μᾶλλον, ἢ ἄλλον τινὰ ὄφιν τῇ θηριακῇ ἐπέμιξε· καὶ περὶ Κλεοπάτρας θανάτου ἀκριβὴς ἱστορία.

Τούτων οὖν τῶν ἐπῶν οὐκ ἀφυῶς ὑπὸ τοῦ ἀνδρὸς γεγραμμένων, σκέψασθαι ἀναγκαῖον ἐμοί γε δοκεῖ, τί δή ποτε πολλῶν ὄντων τῶν τοιούτων θηρίων, οὐχὶ τῶν ἄλλων τινὸς, ἀλλὰ τῶν ἐχιδνῶν τὰς σάρκας ἐπιτηδείους εἰς τὴν μίξιν εἶναι νομίζομεν. αὐτὸς μὲν γὰρ, ὡς ὁρᾶς, περὶ τούτων οὐδὲν ἔγραψεν. ἐμοὶ δὲ δοκοῦσι τῶν ἄλλων θηρίων αὗται, μὴ τοσαύτην ἐν τοῖς σώμασι τὴν φθοροποιὸν δύναμιν ἔχειν. ὁ μὲν γὰρ βασιλίσκος, ἔστι γὰρ τὸ θηρίον ὑπόξανθον, καὶ ἐπὶ τῇ κεφαλῇ τρεῖς ὑπεροχὰς ἔχον, ὥς φασιν, ὅτι καὶ ὀφθεὶς μόνον, καὶ συρίττων ἀκουσθεὶς, ἀναιρεῖ τοὺς ἀκούσαντας, καὶ τοὺς ἰδόντας αὐτὸν. καὶ ὅτι τῶν ἄλλων ζώων, εἴ τι καὶ ἅψαιτο τοῦ ζώου ἀνῃρημένου, καὶ αὐτὸ τελευτᾷ εὐθέως, καὶ διὰ τοῦτο, πᾶν αὐτοῦ τὸ γένος τῶν ἄλλων θηρίων, ἐγγὺς εἶναι φυλάττεται. ὁ δὲ δρυῖνος ὄφις ἐν ταῖς τῶν δρυῶν ῥίζαις τὸν βίον ποιούμενος, οὕτως πονηρός ἐστι πρὸς τὸ διαφθεῖραι κακῶς, ὥστε εἴ τις, φασὶν, αὐτοῦ ἐπιβαίη, ἐκδέρεσθαι αὐτοῦ τοὺς πόδας, καὶ οἴδημα πολὺ γίνεσθαι καθ' ὅλων τῶν σκελῶν. καὶ ἔτι τὸ θαυμαστότερόν φασιν, ὅτι καὶ εἰ θεραπεύειν τις ἐθέλοι, τούτων τὰς χεῖρας ἐκδέρεσθαι. εἰ δέ τις καὶ ἀμιλλώμενος, αὐτὸ ἀποκτεῖναι βούλοιτο τὸ θηρίον, λέγουσιν αὐτὸν μοχθηρὸν νομίζειν εἶναι πᾶν τὸ εὔφραντον, καὶ μηδενὸς ἄλλου ὀσφραίνεσθαι δύνασθαι. ὁ δὲ αἱμόρρους, καὶ ἡ αἱμορροῒς, τοῖς ἑαυτῶν ὀνόμασιν ὁμοίας ποιοῦνται τῶν ἀνθρώπων τὰς διαφθοράς. αἱμορραγοῦντες γὰρ διὰ τοῦ στόματος, καὶ τῶν μυκτήρων, καὶ τοῦ παντὸς σώματος, οὕτως ἀπόλλυνται. ὥσπερ γε καὶ οἱ ἀπὸ τῆς διψάδος, ὑπὸ τοῦ καύσου διαφθειρόμενοι κακῶς, καὶ γὰρ οὗτοι διψῶντες πάνυ, καὶ διακαιόμενοι σφοδρῶς, ἐνίοτε καὶ διαῤῥηγνύμενοι, τελευτῶσιν. ὁ δὲ ἀκοντίας ἐκτείνας ἑαυτὸν πάνυ, καὶ ὥσπερ τι ἀκόντιον ἐφαλλόμενος τοῖς σώμασιν, οὕτως ἀναιρεῖ. καὶ τῶν ἀσπίδων ἡ λεγομένη πτυὰς ἐπανατείνασα τὸν τράχηλον, καὶ συμμετρησαμένη τὸ τοῦ διαστήματος μῆκος, ὥσπερ τὸ τε λογικὸν γιγνόμενον τὸ θηρίον, εὐστόχως ἐμπτύει τοῖς σώμασι τὸν ἰόν. τούτων γοῦν φασι τῶν θηρίων τινὶ, τριπλοῦν γάρ ἐστι τὸ εἶδος τῶν ἀσπίδων, ταύτης τε καὶ τῆς μὲν χερσαίας λεγομένης, τῆς τε χελιδονίας καλουμένης, τὴν βασιλίδα Κλεοπάτραν βουληθεῖσαν λαθεῖν τοὺς φυλάττοντας, ταχέως τε καὶ ἀνυπόπτως ἀποθανεῖν. ἐπεὶ γὰρ αὐτὴν ὁ Αὔγουστος νικήσας τὸν Αντώνιον, ζῶσαν λαβεῖν ἠβούλετο, καὶ ζῆν, καὶ διὰ σπουδῆς φυλάττειν ὡς εἰκὸς, ἵνα δείξῃ Ρωμαίοις ἐν τῷ θριάμβῳ τὴν οὕτω διάσημον γυναῖκα. ἡ δὲ συνεῖσα, φασὶ τοῦτο, καὶ ἑλομένη μᾶλλον, ἔτι βασίλισσα οὖσα ἐξ ἀνθρώπων γενέσθαι, ἤπερ ἰδιώτης Ρωμαίοις φανῆναι, τότε ἐμηχανήσατο τῷ θηρίῳ τούτῳ τὸν θάνατον αὐτῆς. καὶ φασὶν αὐτὴν καλέσαι τὰς πιστοτάτας δύο γυναῖκας, αὗται δὲ ἦσαν αἱ πρὸς τὸ κάλλος αὐτῆς εἰς τὸν κόσμον τοῦ σώματος ὑπηρετεῖν ἡρμοσμέναι, καὶ τοῖς ὀνόμασι λεγόμεναι, Νάειρα καὶ Καρμιόνη. ἡ μὲν ἀναπλέκουσα τὰς τρίχας εὐπρεπῶς, ἡ δὲ ἀποτέμνουσα τὰς ὑπεροχὰς τῶν ὀνύχων εὐφυῶς, εἶτα κελεύσασα σταφυλαῖς τε καὶ σύκοις κεκρυμμένον εἰσκομισθῆναι τὸ θηρίον, ἵνα, ὡς ἔφην, τοὺς φυλάττοντας λάθῃ, προπειρασαμένη αὐτὸ πρότερον ἐπὶ τούτων τῶν γυναικῶν, εἰ ὀξέως ἀναιρεῖν δύναται, καὶ μετὰ τὸ ταύτας ταχέως ἀνελεῖν, λοιπὸν αὐτῇ,

CAPVT VIII.

Cur Andromachus viperam potius quàm serpentem alium theriacæ admiscuerit, déque Cleopatræ morte diligens historia.

His itaque versibus non ineptè à viro compositis, necessarium mihi videtur inspicere, B cur tandem quum multæ sint eiusmodi feræ, non alterius quàm viperæ carnes in misturam esse idoneas censeamus. Ipse enim nihil de his, vti vides, scriptum reliquit. Ego verò has minùs aliis feris corrumpendi facultatem obtinere autumo. Nam basiliscus, bellua subflaua, & triplici frontis apice munita (vt aiunt) visus etiam solùm, conspectúsque, & sibilo auditus, homines qui ipsum viderint & audierint momentò perimit; etiam ex aliis animantibus siquod illum iam extinctum iacentémque attigerit, & ipsum subitò interimit; quare omne aliarum ferarum genus propinquitatem ipsius deuitat. C Dryinus serpens sic nominatus, quòd in radicibus querceuum vitam viuat, tam malignus ad perdendum proditur, vt eius qui supergreditur imprudens, cutis à pedibus excorietur, tota crura multùm intumescant, & quod magis mirificum proferunt, manus quoque ipsas curantium excorientur. Si autem quis aggrediatur hanc feram perimere, olfactu mulctatur adeo, vt quemlibet gratum odorem, prauum esse existimet, nec rem alteram præterea queat odorari. Hæmorrhus & hæmorrhois suis ipsorum nominibus similem hominibus perniciem inferunt; quippe D percussi, sanguine per os & nares totóque corpore effuso, intereunt; quemadmodum à dipsade commorsi, causo febre malè conficiuntur. Nam & multa siti, & æstu vehementi, interdum stomachi motu vexati, diem obeunt. Acontias serpens, vbi se multum extenderit, ceu iaculum quoddam corporibus insiliens, sic perimit. Inter Aspides nominata ptyas ceruicem exporrigens, & interualli longitudinem metita rationalis cuiusdam animalis modo, venenum corporibus inspuit. E Harum igitur ferarum vna (nam triplex Aspidum species est, hæc videlicet, & chersea .i. *terrestris*, & chelidonia) perhibent reginam Cleopatram quum vellet latere custodes, statim & citra suspicionem mortem sibi consciuisse. Quum enim Augustus, deuicto Antonio eam capere incolumem vellet, ac viuere, studiosiúsque (sicut par erat) seruare, vt Romanis tam insignem mulierem in triumpho ostenderet; hæc, aiunt, re intellecta, optauit regina adhuc ex humanis potiùs decedere, quàm priuata Romanis videri. Et tunc molita est sibi hac bestia mortem consciscere. Præterea memoriæ produnt ipsam duas omnium fidissimas mulieres ad se vocasse, quæ ad pulchritudinem corporis mundo subministrando erant F accommodatæ; nominabantur Naera, & Carmione; hæc comam decenter implicabat; illa extremos vngues dextrè præcidebat; deinde iussisse vt feram vuis ficubúsq; tectam importarent, quò, vt dixi, custodes falleret, priùs expertura in ipsis mulieribus, an subitò posset perimere; & hæ quũ actutum periissent, deinde ipsam sibi admouisse.

Ob

Ob quam rem Augustum vehementer fuisse attonitum commemorant, partim ob harum erga reginam amorem, vt cum ea mori non dubitarint; partim quòd illa generosam potiùs mortem oppetere maluerit, quàm in seruitute viuere. Etenim aiunt ipsam, manu dextra capiti admota, & diademà, sicut est consentaneum, tenente, fuisse inuentam, vt vel eousque spectatoribus regina esse videretur; quemadmodum & tragicus poëta scribit nobis Polyxenam & ipsam mortuam, quæ tamen accuratè prænouisset cum decoro se occasuram. Porrò qui mulieris prosperum vt falleret custodes, conatum, feræ autem ad occidendum pernicitatem sermone volunt ostendere, referunt ipsam suummet brachium magno morsu, eóque alto, vulnerasse, & belluæ virus in vase quodam ipsi allatum, vulneri infudisse, quo sic transmisso, haud multò post nesciis custodibus promptè interiisse. Verùm hanc historiam animi gratia commemorare visum est, quòd te in omnibus disciplinis diligentem dextrúmque videam. Ad hæc, vt intelligamus quàm subitam hæ feræ necem concilient; etenim exitio inferendo haud dubiè sunt præcipites. Ac in magna Alexandria subinde sum contemplatus, quàm celeriter perimerent. Quum enim quendam hac pœnæ lege damnatum, humaniter, citóque volunt occidere, adiicientes ipsius pectori feram, iubentésque paulùlum obambulare; ita sine mora hominem tollunt è medio. Vides igitur quàm nos decenter nullam ex huiusmodi feris, quòd tantam habeant in ipsorum corporibus vim noxiam, medicamento admiscemus.

CAPVT IX.

Cur vipera theriacæ integra non ponatur, multáque ex animalibus remedia haberi.

ATque ipsarum viperarum corpora non integra in antidotum immittimus, sed amputatis capitibus, caudísque, ita reliquis ipsarum partibus in mixtione vtimur, ídque non obiter, nec sine vlla facientes ratione, sed quoniam capita pessimum humorem, *nempe* ipsum virus in se continent, ideo ipsa præcidere conamur, vt minùs ex ipsorum facultate medicamentum recipiat, quum natura eorundem facultatem quandam mutatricem in virus obtineat; quemadmodum & in parastatis semen fit, in mammis lac dum mutatur. Vipera autem inter omnes alias feras ad prauè corrumpendum caput habet opportunius. Siquidem aiunt ipsam os aperire ad suscipiendam maris genituram; qua accepta, caput illius amputare. Atque hunc ipsis esse praui complexus modum. Deinde fœtus ex semine prognati, naturali quadam vltione, parentis ventrem erodere, & foras prorumpere feruntur; ac ita ipsos patris vindices, matrem perimere. Quod nobis egregius Nicander versibus suis ingeniosè scribit. Sunt autem hi versus,

Ne sis in triuiis quum morsus vipera coniunx
Fæmellæ fugiens agitata vulnera abhorret;

Et quum dente caput magno maris amputat atri
Fæmina dira nimis, labiis & mordicus hærens.

Sed catuli vltores patris sunt protinus, vt qui
Perrumpant latera occisæ iam rara parentis.

A ἐφ' ᾧ δὴ καὶ τὸν Αὔγουστον πάνυ καταπλαγῆναι λέγουσι, τὴν μὲν μέχρι τοῦ συναποθανεῖν αὐτῇ τοσαύτην φιλοστοργίαν, τῆς δὲ τὸ μὴ βουληθῆναι ζῆν δουλικῶς, ἀλλ' ἑλέσθαι μᾶλλον ἀποθανεῖν εὐγενῶς. καὶ γὰρ λέγουσιν αὐτῆς εὑρεθῆναι τὴν χεῖρα τὴν δεξιὰν ἐπὶ τὴν κεφαλὴν κειμένην, καὶ κρατοῦσαν τὸ διάδημα, ὡς εἰκὸς, ἵνα καὶ μέχρι τότε τοῖς ὁρῶσι βασίλισσα οὖσα βλέπηται. ὥσπερ καὶ ὁ τραγικὸς ποιητὴς ἡμῖν λέγει τὴν Πολυξένην, ὅτι καὶ αὐτὴ ἀποθνήσκουσα, ὅμως πολλὴν πρόνοιαν εἶχεν, εὐσχημόνως πεσεῖν. οἱ δὲ τὸ μὲν τῆς γυναικὸς πρὸς τὸ λαθεῖν εὐμήχανον, τοῦ δὲ θηρίου πρὸς τὸ ἀποκτεῖναι τάχος
B βουλόμενοι ἡμῖν δεῖξαι τῷ λόγῳ, λέγουσιν αὐτὴν μὲν ἐνδακεῖν τὸν ἑαυτῆς βραχίονα, μεγάλῳ πάνυ καὶ βαθεῖ τῷ δήγματι. ἐργασαμένην δὲ εἴς τι σκεῦος εἰσκομισθῆναι αὐτῇ τὸν ἰὸν τοῦ θηρίου, ἐγχέαι τῷ τραύματι, καὶ οὕτω διαδοθέντος αὐτοῦ, μετ' οὐ πολὺ λαθοῦσαν τοὺς φυλάσσοντας, εὐκόλως ἀποθανεῖν. ἀλλὰ τοῦτο μὲν οὐκ ἀτερπῶς ἱστορείσθω, διὰ τὴν σὴν ἐν πᾶσι τοῖς λόγοις φιλοτιμίαν, καὶ ἵνα διὰ τούτου τὴν ὀξύτητα πρὸς τὸ ἀποκτεῖναι τούτων τῶν θηρίων ὦμεν εἰδότες. ὀξέα γάρ ἐστιν ἀληθῶς πρὸς τὸ ἀναιρεῖν ταῦτα τὰ θηρία. καὶ πολλάκις γὰρ ἐθεασάμην ἐγὼ ἐν τῇ μεγάλῃ Ἀλεξανδρείᾳ, τὸ τά-
C χος τοῦ ὑπ' αὐτῶν γιγνομένου θανάτου. ὅταν γάρ τινα τούτῳ τῷ νόμῳ τῆς κολάσεως κατακριθέντα, φιλανθρώπως καὶ ταχέως ἀποκτεῖναι θέλωσι, προσβάλλοντες αὐτοῦ τοῖς στέρνοις τὸ θηρίον, καὶ ποιήσαντες ὀλίγον περιπατῆσαι, οὕτω ταχέως ἀναιροῦσι τὸν ἄνθρωπον. ὁρᾷς οὖν ὅπως ἡμεῖς δεόντως οὐδὲν τῶν τοιούτων θηρίων ἐγκαταμίγνυμεν τῷ φαρμάκῳ, διὰ τὴν τοσαύτην ἐν τοῖς σώμασιν αὐτῶν φθοροποιὸν δύναμιν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

D *Τί δήποτε τῇ θηριακῇ ὁλόκληρος ἡ ἔχιδνα οὐκ ἐπιτίθεται· πολλάς τε ἐκ τῶν ζώων ἡμᾶς λαμβάνειν τὰς θεραπείας.*

ΚΑὶ αὐτῶν δὲ τῶν ἐχιδνῶν, οὐχ ὅλα τὰ ζῶα εἰς ἀντίδοτον πέμπομεν, ἀλλ' ἀποτεμόντες τὰς κεφαλὰς, καὶ τὰς οὐρὰς, οὕτω τοῖς λοιποῖς αὐτῶν σώμασιν εἰς τὴν μίξιν χρώμεθα, καὶ τοῦτο οὐ παρέργως, οὔτ' ἄνευ λόγου τινὸς ποιούμενοι, ἀλλ' ἐπειδὴ αἱ κεφαλαὶ τὸν κάκιστον τῶν χυμῶν, αὐτὸν τὸν ἰὸν ἐν αὐταῖς ἔχουσι, διὰ ταῦτ' ἀποκόπτειν αὐτὰς πειρώμεθα, ἵν' ὀλιγώτερον τῆς ἀπ' αὐτῶν δυνάμεως ἔχῃ τὸ φάρμακον, τῆς τούτων φύσεως μεταβλητικήν τινα δύναμιν εἰς τὸν ἰὸν ἐχούσης· ὥσπερ δὴ καὶ ἐν τοῖς παραστάταις τὸ σπέρ-
E μα, καὶ ἐν τοῖς μαζοῖς τὸ γάλα μεταβαλλόμενον γίνεται. ἡ δὲ ἔχιδνα τῶν ἄλλων ἁπάντων, τὴν κεφαλὴν πρὸς τὸ διαφθεῖραι κακῶς, ἐπιτηδειοτέραν ἔχει. φασὶ γὰρ αὐτὴν ἀνοίγουσαν τὸ στόμα πρὸς τὸ δέξασθαι τοῦ ἄρρενος τὸν θορὸν, μετὰ τὸ λαβεῖν, ἀποκόπτειν αὐτοῦ τὴν κεφαλήν· καὶ τοῦτον αὐταῖς εἶναι τῆς πονηρᾶς συμπλοκῆς τὸν τρόπον. εἶτα ἀπὸ τοῦ σπέρματος τὰ ζῶα γινόμενα, κατά τινα φυσικὴν ἄμυναν, ἀναβιβρώσκειν μὲν τῆς μητρὸς τὴν γαστέρα, ἐκθρώσκειν δὲ εἰς τὰ ἔξω· καὶ οὕτως αὐτὰ εἰς ἐκδικίαν τοῦ πατρὸς, ἀναιρεῖν τὴν μητέρα. ἅπερ ἡμῖν ὁ καλὸς Νίκανδρος ἐν τοῖς ἔπεσιν αὐτοῦ, οὐκ ἀφυῶς γράφει, καὶ ἔστι τὰ ἔπη ταῦτα.

F Μὴ σύγ' ἐνὶ τριόδοισι τύχῃς ὅτε δῆγμα πεφυγὼς
Περκνὸς ἔχις θύνῃσι, τυπὴν χολόεσσαν ἐχίδνης.
Ἡνίκα θορνυμένου ἔχιος θολερῷ κυνόδοντι,
Θουρὰς ὀδὰξ ἐμφῦσα, κάρην ἀπέκοψεν ὁμεύνου.
Οἱ δὲ πατρὸς λώβην μετεκίαθον αὐτίκα τυτθοὶ
Γεινόμενοι ἔχιες, ἐπεὶ διὰ μητρὸς ἀραιὴν
Γαστέρ' ἀναρρήξαντες ἀμήτορες ἐξεγένοντο.

Τὰς δὲ οὐρὰς, καὶ αὐτὰ ἀφαιροῦμεν τὰ ἔσχατα τοῦ σώματος, ὥσπερ A οὐρᾶς ὄντα μέρη, καὶ, ὡς οἶμαι, τὸ ῥυπαρώτερον τῆς οὐσίας ἕλκοντα μᾶλλον, καὶ πλείονά γε τὴν ὁλκὴν διὰ τὴν κίνησιν ποιούμενα, ὥσπερ τὰ πρὸς ταῖς οὐραῖς τῶν ἰχθύων μέρη διὰ τὴν πολλὴν κίνησιν, τροφιμώτερα εἶναι λέγουσι. μὴ θαυμάζῃς δὲ, εἰ μετὰ τὴν τούτων ἀποκοπὴν, τὰ λοιπὰ σώματα τῶν ζώων ἰσχυρότερον ποιεῖ τὸ φάρμακον, τῆς ἐμφύτου πρὸς τὸ σώζειν δυνάμεως, καὶ ἐν αὐταῖς ταῖς σαρξὶν αὐτῶν καταμεμιγμένης. ὥσπερ δὴ καὶ ἐπ' ἄλλων ζώων πολλὰ τῶν μερῶν, οὐκ ὀλίγα τῶν παθῶν ἀγωνιστικῶς θεραπεύεσθαι οἴδαμεν. ἐνίοις γοῦν βοηθοῦσιν αἱ κεφαλαὶ τῶν μυῶν, καυθεῖσαι γὰρ καὶ μετὰ μέλιτος χριόμεναι, τὰς ἀλωπεκίας B ἰᾶσθαι δύνανται. καὶ τοῦ ἰκτίνου τὴν κεφαλὴν, φασὶν, ὁμοίως τοὺς ποδαγριῶντας ὠφελεῖν, εἴ τις αὐτῆς ξηρανθείσης δίχα τῶν πτερῶν, ὅσον ὑπὸ τοῖς τρισὶ δακτύλοις ἐπιπάσας ὕδατι πίνειν ἐθέλοι. καὶ τῶν μερῶν δὲ πολλάκις αὐτὰ μόνα τὰ μόρια, τινὰ τῶν παθῶν ἰᾶσθαι δύναται. ὁ γοῦν τῆς καμήλου ἐγκέφαλος ξηρανθεὶς, καὶ μετ' ὄξους πινόμενος, ἐπιληπτικοὺς ἰᾶται, καὶ ὁ τῆς γαλῆς ὁμοίως. ὁ δὲ τῆς χελιδόνος, μετὰ μέλιτος πρὸς ὑποχύσεις ποιεῖ. καὶ ὁ τῶν προβάτων σκευασθεὶς ὁμοίως, ταῖς τῶν παίδων ὀδοντοφυΐαις ἄκρως βοηθεῖ. τὸ δὲ ταυρείου κέρατος τὸ ξύσμα μεθ' ὕδατος πινόμενον, αἱμορραγίας ἐπέχει. καὶ οἱ μηροὶ δὲ καιόμενοι, ἐπέ- C χουσι τὸ αἷμα. πολλάκις δὲ καὶ τὴν γαστέρα λελυμένην, τὸ αὐτὸ τοῦτο ἵστησι. τὸ δὲ τοῦ ἐλάφου κέρατος ῥίνημα καιόμενον, καὶ μετ' οἴνου λειούμενον, εἶτα περιπλασσόμενον, τοὺς σειομένους ὀδόντας πηγνύουσιν, ὥσπερ δὴ καὶ τὸν ἀστράγαλον τοῦ βοὸς τοῦτο ποιεῖν δύνασθαι λέγουσιν. ἐξάγει δὲ καὶ στρογγύλην ἕλμινθα μετὰ μέλιτος πινόμενος, καὶ μετ' ὀξυμέλιτος σπλῆνα τήκει, καὶ τὰς λεύκας καταχριόμενος, συμμέτρως δὲ ἀφροδισιαστικός ἐστιν. οἱ δὲ τοῦ κάστορος ὄρχεις ὁμοίως πινόμενοι, σπασμοὺς ἰῶνται. πολλὰ δὲ τῶν ζώων, καὶ τὰς χολὰς ἑαυτῶν ἔχει βοηθεῖν τῷ ἀνθρώπῳ δυναμένας, καὶ τὰ στέατα, καὶ τοὺς μυελοὺς, καὶ τὸ γάλα, καὶ τὸ δέρμα, καὶ τὸ αἷμα αὐτὸ, καὶ τὸ τῶν ὄφεων τὸ γῆρας. D ἤδη δὲ καὶ τὰς ἀφόδους αὐτῶν, ὠφελούσας τινὰς εἴδομεν. ἡ γοῦν τοῦ βοὸς ἄφοδος ξηρὰ κεκαυμένη, τρισὶ κοχλιαρίοις ὑδρωπικῷ βοηθεῖ. καὶ ἡ τῶν μυῶν ἄφοδος λεία μετ' ὄξους, ἀλωπεκίας θεραπεύει· ἐν ποτῷ δὲ λαμβανομένη, τοὺς ἐν κύστει θρύπτει λίθους· τὸ δὲ τοῦ χηνὸς στέαρ, τὰς φλεγμονὰς μετὰ ῥοδίνου ἰᾶται· καὶ ὁ τοῦ ἐλάφου μυελὸς, παρηγορικώτατόν ἐστι φάρμακον. τὸ δὲ τῆς βοὸς γάλα πινόμενον, δυσεντερικοῖς βοηθεῖ. τῆς δὲ ὑαίνης ἡ χολὴ μετὰ μέλιτος πρὸς ὀξυδερκίαν ποιεῖ, καὶ τὰς ὑποχύσεις διαφορεῖ ἐγχριομένη. τοῦ δ' ἱπποποτάμου τὸ δέρμα καιόμενον, καὶ μεθ' ὕδατος λεῖον ἐπιτιθέμενον, φυμάτων σκορπιστικόν ἐστι. ὥσπερ δὴ καὶ τὸ ἔχεως δέρ- E μα, λεῖον ἐπιτιθέμενον ταῖς ἀλωπεκίαις, θαυμαστῶς ἀναφύει τὰς τρίχας. τὸ δὲ τῆς ἀσπίδος γῆρας, τριφθὲν μετὰ μέλιτος, καὶ ὑπαλειφόμενον, ὀξυδερκέστατόν ἐστιν. καὶ ὅλως πολλή τίς ἐστιν ἡ τῶν τοιούτων ὕλη, ἣν οὐκ εὔκαιρον εἶναι νομίζω νῦν ἀναγράφειν, ἵνα μὴ μακρὸς ὑμῖν ὁ λόγος γένηται, ἀρκούντων εἰς τὴν ἀπόδειξιν τῶν λεγομένων, καὶ μόνων μοι τῶν προειρημένων. ἐκεῖνο δὲ ἀναγκαῖόν ἐστιν εἰδέναι, ὅτι τῶν ζώων αὐτῶν ὅλα τὰ σώματα πολλάκις τοῖς ἀνθρώποις βοηθεῖ. καρκῖνος γοῦν ὁ ἀπὸ τῶν ποταμῶν, λειωθεὶς, καὶ καταπλασθεὶς, ἀνεκβάλλει τοὺς σκόλοπας καὶ τὰς ἀκίδας. καὶ ἡ καρὶς ὁμοίως λειωθεῖσα, μετὰ βρυωνίας ῥίζης πινομένη, ἕλμινθας ἐξάγει. ὁ δὲ σκορ- F πίος, σὺν ἄρτῳ ἐσθιόμενος ὀπτὸς, θρύπτει τοὺς ἐν τῇ κύστει λίθους. ὁμοίως δὲ καὶ τὸ γῆς ἔντερον μετ' οἴνου πινόμενον, τὸ αὐτὸ ποιεῖ. εἰ δέ τις αὐτὰ τρίβων ἐν μελικράτῳ λάβοι ἰκτεριῶν, εὐθέως καθαρθεὶς ἀπαλλάσσεται. πολλάκις δὲ καὶ σὺν ῥοδίνῃ κηρωτῇ ἐπιτιθέντα τῶν ποδαγρῶν ταῖς φλεγμοναῖς ἥρμοσεν. ὁ δὲ ἱέραξ ἑψηθεὶς μετὰ μύρου

Caudas, atque ipsa extrema corporis tollimus, tanquam caudæ partes, &, vt arbitror, sordidiorem substantiæ portionem magis trahentes; adeóque crebrius, motus gratia trahentes, quemadmodum partes quæ proximæ sunt caudis piscium, magis nutrire ob frequentem motum dicuntur. Ne mireris si his amputatis reliquæ animantium partes efficacius reddant medicamentum, natiua ad salutem facultate etiam carnibus ipsarum indita; veluti in aliis animantibus plerasque partes non paucos affectus strenuè sanare nouimus. Nonnullis igitur capita murium cremata, ex melle illita, alopeciam sanare possunt. Et milui caput, aiunt, similiter podagricis auxiliari, si quis ex eo vsto sine plumis, quantum sub tribus digitis inspergere possit, cum aqua volet bibere. Et partium nonnunquam solæ particulæ aliquos morbos sanare possunt. Itaque cameli cerebrum arefactum, potúmque ex aceto, comitialibus morbis medetur; & mustelæ similiter. Item hirundinis cerebrum ex melle ad suffusiones oculorum facit; & ouillum simili modo confectum, ad dentitionem infantium est vtilissimum. Taurini cornu rasura cum aqua pota, sanguinis eruptionem cohibet, femoráque vsta sanguinem stringunt, & sæpenumero solutam aluum ea ipsa sistunt. Ceruini cornu ramentum adustum, & cum vino tritum, deinde circunlitum, vacillantes dentes confirmat, sicut & bouis talus idem posse traditur; idem educit rotundos lumbricos cum lacte potus, ex oxymelite lienem consumit, & leucas tollit illitus; ad hæc mediocriter venereus est. Et castoris testiculi similiter poti, conuulsionibus medentur. Multa autem sunt animalia, quorum fel homines potest iuuare, adeps, medulla, lac, cutis, sanguis ipse, & serpentis senectus; quin & aliquando stercora ipsorum quibusdam auxiliata vidimus. Bouis itaque stercus aridum vstum, tribus cochleariis hydropicum iuuat; murium stercus cum aceto tritum, alopecias curat; in potu autem sumptum, vesicæ calculos comminuit; adeps anserinus, inflammationibus ex rosaceo medetur; & cerui medulla, blandissimum est medicamentum; vaccini lactis potus dysentericos adiuuat; fel hyænæ cum melle visum exacuit, illitum, suffusiones discutit; Hippopotami cutis vsta, & ex aqua læuigata, si corpori admouetur, tubercula discutit, quemadmodum & viperæ cutis in puluerem redacta, impositáque alopeciis, mirificè pilos regenerat; aspidis senile exuuium ex melle tritum, & illitum, acutissimum visum conciliat. In summa, multa est talium materia, quam nunc rescribere tempestiuum non esse iudico, ne liber vobis fiat prolixior; quum etiam sola quæ nos prædiximus, ad sermonis demonstrationem sufficiant. Illud verò scitu est necessarium, tota ipsorum animalium corpora frequenter hominibus auxiliari. Cancer enim fluuiatilis tritus, illitúsque, spicula & surculos extrahit. Caris.i. squilla piscis similiter læuigata, cum bryoniæ radice pota, lumbricos educit. Scorpius si assus cum pane comedatur, conterit vesicæ calculos. Terræ quoque intestinum ex vino assumptum, idem facit; si autem ea in melicrato contrita quis regio morbo laborans sumat, statim purgatus liberatur; sæpe etiam cum rosaceo cerato imposita, podagricorum inflammationibus conuenerunt. Accipiter in susino vnguento decoctus,

habetudini oculorum medetur. Scarabæus in A oleo decoctus, si in aurem stilletur, dolores ipsius medicatur. Alauda vsta si edatur, mirificè colicos subinde iuuat; & quò magis facultatem in ipsorum corporibus admireris, illud tibi studiosiùs percensebo; multa nanque & visa solùm, robur suum ostendunt. Stellio scorpiones visos sustringit frigore, atque ita perimit. Amphisbæna (est autem animal biceps, quemadmodum sanè & nauigia vtrinque proram habentia, cui natura ex superfluo substantiæ bina capita est largita) hoc inquam animal, aiunt, si mulier grauida supergressa fuerit, malè abortum facit. Quare non est B mirabile, si etiam viperarum corpora, amputatis illis partibus, adhuc auxiliandi robur obtineant. Nam ostendi, vt puto, diligenter & tota animalium corpora nonnunquam hominibus auxiliari; interdum etiam solas ipsas partes; aliquando partium quoque ipsarum particulas minimas.

σοισίνου, ἀμβλυωπίας ἰᾶται. καὶ ὁ κάνθαρος δὲ θεραπεύει τὰς ὠταλγίας, ἀποζεσθεὶς ἐλαίῳ, καὶ ἐνσταζόμενος εἰς τὸ οὖς. ὁ δὲ κορυδαλὸς ὀπτὸς τρωγόμενος, θαυμασίως τοὺς κωλικοὺς πολλάκις ὠφέλησεν, καὶ ἵνα μᾶλλον τὴν ἐν τοῖς σώμασιν αὐτῶν δύναμιν θαυμάσῃς, ἐκεῖνό σοι φιλοτιμότερον διηγήσομαι. πολλὰ γὰρ καὶ ὁραθέντα μόνον, τὴν ἑαυτῶν ἰσχὺν ἐπιδείκνυνται. ὁ μὲν ἀσκαλαβώτης ὁραθεὶς ὑπὸ τῶν σκορπίων, ὑποπήγνυσιν αὐτούς, καὶ οὕτως ἀναιρεῖ. ἡ δὲ ἀμφίσβαινα, ἔστι δὲ τὸ ζῶον ἀμφικέφαλον, ὥσπερ δὴ καὶ τῶν πλοίων τὰ ἀμφίπρῳρα, τῆς φύσεως τῷ περιττῷ τῆς οὐσίας δύο κεφαλὰς ἔχειν αὐτῇ χαρισαμένης, τοῦτο δή φασι τὸ ζῶον εἰ ὑπερβάλλῃ γυνὴ κατὰ γαστρὸς ἔχουσα, ἐκτιτρώσκει τὸ παιδίον κακῶς, ὥστε οὐδὲν θαυμαστόν, εἰ καὶ τὰ τῶν ἐχιδνῶν σώματα ἀποκοπέντων τοῖς τῶν μερῶν ἐκείνων ὁμοίως, ἔτι πρὸς τὸ βοηθεῖν τὴν ἰσχὺν ἔχει. ἐπέδειξα γάρ, ὡς οἶμαι φιλοπόνως, ὅτι καὶ ὅλα μὲν τὰ ζῶα τοῖς ἀνθρώποις βοηθεῖ ποτε, ἔσθ᾿ ὅτε δὲ καὶ αὐτὰ μόνα τὰ μέρη. ἐνίοτε δὲ καὶ τῶν μερῶν αὐτῶν τὰ οὕτω μικρὰ μόρια.

CAPVT X.

Quomodo noxia, interdum prodesse queant; vnámque in compositis medicamentis qualitatem ex omnibus resultare.

C

ILlud autem ratione perscrutari magis est necessarium, quod & multis admiratione dignùm esse videtur. Siquidem ipsæ feræ quum sint corporibus inimicæ, & tam subitò hominem perimant, quomodo è contrario morsibus ab ipsis factis possint succurrere, & solæ hominem ex tali periculo perseruare. Vetus quidam sermo est, quædam animalia vbi inter mordendum, sanguinem humanum ex vulnere manantem contigerint, commorsos occidere; vbi verò sanguinem non gustauerint, sed ita vo- D rantur, morsos seruare incolumes posse; sicut etiam de helenio à Græcis quidem, ab indigenis verò nico vel nino appellato, idem memoriæ proditum esse dicunt. Nam Dacas inquiunt & Dalmatas id telorum cuspidibus circunspergere, atque sic postquam sanguinem vulneratorum attigerit, posse necare; esum verò ab ipsis, esse innocuum, neque mali quicquam ipsis facere; Ad hæc ceruos ab ipsis sagittarum ictu trucidatos, neque ipsos comestos, mali quid edentibus afferre perhibent. Verùm hæc ratio non mihi videtur sufficere, vt quod quæ- E rimus, possit inueniri, quum experientia nitatur, & solùm quod accidit, commemoret. Etenim Empiricos non recipio, quoniam & ipsi idiotarum modo propositum speculantes, rem quidem admirantur, cæterùm causam ipsius ignorant. Hi neque principium id requirunt discere, imò detrectant ipsum ratione inuenire, ac solùm facta probantes, experientiam multoties visorum satis esse ipsis ad medendum affirmant, eundem admirationis modum cum idiotis, vti vides, obtinent. His autem diligentiores fatentur quidem medicos eruditius aliquid idio- F tis meritò habere, sed nequeunt inuenire, & inquirere superuacuum esse arbitrantur. At nos multò accuratiùs in medicinam incumbentes, ac quæ fiunt, vulgi duntaxat more nolentes inspicere; neque experientiam repudiamus, sed ei rationem consociantes, quum datur occasio, absolutam ita, & rationalem necessariò habemus

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Πῶς τὰ βλαβερὰ ἐνίοτε ἔχουσιν ὠφελεῖν· μίαν τε ἐκ πολλῶν γίγνεσθαι ποιότητα ἐν τοῖς μικτοῖς φαρμάκοις.

Ἐκεῖνο δὲ ἀναζητῆσαι τῷ λόγῳ μᾶλλόν ἐστιν ἀναγκαῖον, ὅπερ καὶ τοῖς πολλοῖς θαυμασίας ἄξιον εἶναι δοκεῖ. αὐτὰ γὰρ τὰ θηρία ὄντα τοῖς σώμασι πολέμια, καὶ οὕτω τὸν ἄνθρωπον ἀναιροῦντα ὀξέως, πῶς πάλιν αὐτὰ τοῖς ὑπ᾿ αὐτῶν γινομένοις δήγμασι βοηθεῖν δύναται, καὶ μόνα διασώζειν ἐκ τοῦ τοιούτου κακοῦ τὸν ἄνθρωπον; καί φησί τις ἀρχαῖος λόγος, ὅτι τινὰ τῶν ζώων, ὁμιλήσαντα μὲν ἐν τῷ δάκνειν τῷ ἐκ τοῦ δήγματος ἀποκρινομένῳ ἀνθρωπείῳ αἵματι, ἀναιρεῖ τοὺς δακνομένους. μὴ γευσάμενα δὲ τοῦ αἵματος, ἀλλ᾿ οὕτως ἐσθιόμενα, τοὺς δηχθέντας διασώζειν πέφυκεν. ὥσπερ καὶ ἐπὶ τοῦ ἑλενίου μὲν ὑπὸ τῶν Ἑλλήνων, ὑπὸ δὲ τῶν ἐπιχωρίων νίκου ἢ νίνου καλουμένου, τὸ αὐτὸ ἱστορεῖσθαι λέγουσι. φασὶ γὰρ τοὺς Δάκας καὶ τοὺς Δαλμάτας περιπάττειν αὐτὸ ταῖς ἀκίσι τῶν βελῶν, καὶ οὕτως ὁμιλῆσαν μὲν τῷ αἵματι τῶν τιτρωσκομένων ἀναιρεῖν δύνασθαι, ἐσθιόμενον δὲ ὑπ᾿ αὐτῶν, ἀβλαβὲς εἶναι, καὶ μηδὲ κακὸν αὐτοὺς ἐργάζεσθαι, καὶ τὰς ὑπ᾿ αὐτῶν γε ἀναιρουμένας ἐλάφους ἐν τῷ κατατοξεύεσθαι, μηδ᾿ αὐτὰς ἐσθιομένας, κακόν τι τοὺς ἐσθίοντας διατιθέναι λέγουσιν. ἀλλ᾿ οὗτος ὁ λόγος, οὐ δοκεῖ μοι αὐτάρκης εἶναι πρὸς τὴν εὕρεσιν τοῦ ὑφ᾿ ἡμῶν ζητουμένου, ἐμπειρικός τις ὤν, καὶ μόνον τὸ γινόμενον διηγούμενος. καὶ γὰρ αὐτοὺς τοὺς ἐμπειρικοὺς οὐκ ἀποδέχομαι, ὅτι καὶ αὐτοί, ὥσπερ ἰδιῶται μόνον ὁρῶντες τὸ βλεπόμενον, θαυμάζουσι μὲν τὸ γινόμενον, τοῦ δὲ γινομένου τὴν αἰτίαν ἀγνοοῦσιν. οἱ μὲν μηδὲ τὴν ἀρχὴν ἐπιζητοῦντες μαθεῖν, ἀλλ᾿ ἀποκνοῦντες αὐτὴν εὑρεῖν τῷ λόγῳ, καὶ μόνον τῶν γινομένων ἀποπειρώμενοι, καὶ τὴν τῶν πολλάκις ὁρωμένων ἐμπειρίαν ἀρκεῖν αὐτοῖς εἰς τὸ ἰατρεύειν λέγοντες, τὸν αὐτὸν ἔχουσιν, ὡς ὁρᾷς τοῖς ἰδιώταις τοῦ θαύματος τρόπον. οἱ δὲ τούτων φιλοτιμότεροι, ὁμολογοῦσι μέν, ὅτι χρή τι ἐπιστημονικώτερον τῶν ἰδιωτῶν εἰς τὰ τοιαῦτα ἔχειν τοὺς ἰατρούς, εὑρεῖν δὲ ἀδυνατοῦντες, καὶ τὸ ζητεῖν περιττὸν εἶναι νομίζουσιν. ἀλλ᾿ ἡμεῖς πλέον εἶναι τούτων τὸ φιλότιμον εἰς τὴν τέχνην ἔχοντες, καὶ τὰ γινόμενα μόνον βλέπειν ἰδιωτικῶς μὴ θέλοντες, οὔτε τὴν ἐμπειρίαν ἐκβάλλομεν, καὶ συναρμόζοντες αὐτῇ τὸν λόγον ὅταν ἐνδέχηται, τελείαν οὕτω καὶ λογικὴν ἀναγκαίως ἔχομεν

τὴν τέχνην, οὐχ ἵνα μόνον εὑρίσκωμεν, ὅπως γὰρ φιλοπονοῦντες εὕροιεν, ἀλλ' ἵνα τι καὶ εἰς τὴν θεραπείαν εὔχρηστον ἐκ τοῦ εὑρεθέντος μάθωμεν. κἀν τῷ νῦν οὖν ἐπαγωνισώμεθα τῷ λόγῳ, ἵνα εὕρωμεν τοῦ γινομένου τὴν αἰτίαν. θαυμαστὸν γάρ, ὡς εἴ γε ἐκ τῆς περὶ τὸ ζητεῖν αὐτὸ φιλοτιμίας, ἐξ ἑτοίμου καὶ αὐτό, ὥσπερ ἀμειβόμενον, ταχέως εὑρίσκεται· καὶ ἵνα σοι πιστότερον ποιήσω τὸν λόγον, ἀπ' ἄλλων τινῶν ἐν τοῖς ἔργοις σαφῶς ὁρωμένων, τὴν ἀπόδειξιν ποιήσομαι, καὶ ἔξωθέν γε ἐπιτιθεμένων μόνον, καὶ διὰ τοῦ στόματος λαμβανομένων. τοὺς γὰρ ὑπὸ τῶν κροκοδείλων βρωθέντας, ὑπ' αὐτοῦ τοῦ στέατος ἐπιτιθεμένου τοῖς τραύμασιν, ἄκρως βοηθουμένους οἴδαμεν· καὶ τῆς μυγαλῆς τὰ δήγματα, καὶ αὐτὰ ἀναιροῦντα, ὑπ' αὐτῆς πάλιν τῆς μυγαλῆς τριβομένης, καὶ ἐπιτιθεμένης, ἀνωδύνως θεραπεύεται. ὁμοίως δὲ αὐτοὶ οἱ ἐχιόδηκτοι ἀπαλλάττονται τοῦ κινδύνου, εἴ τις αὐτῶν λειώσας τὰ σώματα, ἐπιθείη αὐτοῖς τοῖς τραύμασιν. οὐκ ἀλόγως καθ' ἡμᾶς, ὡς ἔφην, καὶ τῶν τοιούτων γινομένων, μήτε τοσαύτην δύναμιν ἐχόντων, ὡς καὶ ἀποκτεῖναι δύνασθαι, κατὰ διάδοσίν τε τῆς δυνάμεως χωρούσης εἰς βάθος τῶν σωμάτων. ὥσπερ δὴ καὶ ἐπὶ τῶν καταπλασμάτων, καὶ αὐτὸ γινόμενον ὁρῶμεν, τῆς ἐν τοῖς σώμασιν αὐτῶν δυνάμεως συμμέτρου γινομένης, καὶ θεραπεύειν λοιπόν, ἀλλ' οὐκ ἀναιρεῖν δυναμένης. τὸ δὲ ἐπὶ τῆς θηριακῆς γινόμενον, φανερώτερον ἔχει τὸν λογισμόν. φημὶ γάρ, ὅτι διὰ τοῦτο ταῦτα ἀναιροῦντα τὰ θηρία, βοηθεῖ τοῖς ὑπ' αὐτῶν δακνομένοις, ἐπειδὴ πλείων ἐν τούτοις ἐνοῦσα ἡ φθοροποιὸς δύναμις, ταῖς κεφαλαῖς ἀφαιρουμέναις συναποκόπτεται. καὶ ἐπεὶ τὴν ἐν τοῖς ἄλλοις μέρεσιν αὐτῶν ὑπολειπομένην δύναμιν ταῖς σκευασίαις ἡμεῖς ἀπαμβλύνομεν ἕψοντες αὐτά, καὶ τῶν ἁλῶν, καὶ τοῦ ἀνήθου οὐκ ὀλίγα τῷ ὕδατι μιγνύντες, οὐχ ἡδύσματος μόνου χάριν τὴν μίξιν τῶν τοιούτων ποιούμενοι, ἀλλ' ἵνα ἐκτήξωμεν τὰ σώματα, καὶ οὕτως αὐτὰ ὀλίγον τὸν ἰόν, ἢ μηδ' ὅλως ἔχειν ἐργασώμεθα. τὸ δὲ πλεῖστον αὐτῇ τῆς δυνάμεως εἰς τὸ βοηθεῖν, ἡ σκευασία παρέχεται. τοσούτοις οὖν καὶ τοιούτοις μιγνύμενα φαρμάκοις τὰ θηρία, πῶς ἂν ἔτι καὶ ἀναιρεῖν δύναιτο, ἐκλυομένης τῆς οὔσης ἐν αὐτοῖς πρὸς τὸ διαφθεῖραι πονηρίας; ἔτι δὲ καὶ ἀληθέστερος ὁ λόγος φανήσεται, εἰ καὶ ἐπί τινων ὁμοίων τὴν ἀπόδειξιν αὐτοῦ ποιησόμεθα. ἡ γάρ τοι κανθαρὶς μόνη μὲν διδομένη, τὴν κύστιν ἑλκοῖ, καὶ πολέμιον αὐτῆς ἐστι τὸ φάρμακον, καὶ ἀναιρεῖ τῇ ἰσχυρᾷ δυνάμει τὸν ἄνθρωπον πολλάκις. μιχθεῖσα δ' ἄλλοις τισὶ πάλιν, αὐτῆς τῆς κύστεως γίνεται βοήθημα, καὶ ἔστι διουρητικὴ πάνυ. ὁ δὲ ὀπὸς τῆς μήκωνος, ὅτι μέν ἐστιν ἀναιρετικὸς μόνος ποθείς, οὐδεὶς ἀγνοεῖν μοι δοκεῖ. ὅτε δὲ μετ' ἄλλων τινῶν σκευασθείς, τοῖς νοσοῦσι βοηθεῖ πολλάκις, ὡς σωτηριωδέστατον αὐτοῖς εἶναι φάρμακον. τὰς γοῦν τῶν φρενιτικῶν παρακοπάς, οὐκ ὀλιγάκις ἀγωνιστικῶς ἰάσατο, καὶ τοὺς ἐξ ἀγρυπνιῶν τὴν δύναμιν ἀφῃρημένους, ὕπνον ἐργασάμενον, θαυμασίως ἀνεκτήσατο. τοῖς δὲ φαλαγγιοδήκτοις, αὐτὰ τὰ φαλάγγια λειωθέντα, καὶ μετ' οἴνου πινόμενα, ἀπαλλακτικὰ τοῦ κακοῦ γίνεται, ὡς ἐκ τούτου μάλιστά σε πιστεύειν δύνασθαι τῷ ὑπ' ἐμοῦ λεγομένῳ. εἰ γὰρ καὶ μόνος ὁ οἶνος μιχθεὶς τοῖς θηρίοις, τὸν ἀπ' αὐτῶν τῶν θηρίων κίνδυνον ἐκφεύγειν ποιεῖ, δηλονότι καὶ ἡ θηριακὴ ἐκ τοσούτων καὶ τοιούτων τὴν σκευασίαν ἔχουσα, παιώνιόν τι φάρμακον μᾶλλον, ἀλλ' οὐκ ἀναιρετικὸν τῶν ἀνθρώπων γίνεται. ἐκεῖνο γὰρ ἐν ταῖς μίξεσι τῶν φαρμάκων γινόμενον, εἰδέναι χρή, ὅτι μηκέτι ἀποσώζεται ἡ ἑκάστου τῶν μιγνυμένων δύναμις, ἡ αὐτὴ μένουσα καὶ ἄτρεπτος, εἰς τὸ μηδὲν ἀλλοιουμένη, ἀλλ' ἕνωσίς τις ἀποτελεῖται τῶν ἁπάντων, ὅλης δι' ὅλων τῆς κράσεως αὐτῶν μιγνυμένης,

A artem, non vt solùm disquirendi studio quomodo fiat, assequamur, verùm vt etiam aliquid ad vtilem curationem ex inuento condiscamus. At hìc ideo insistemus rationi, vt rei, quæ fit, causam inueniamus. Miraculum enim videri queat, quòd si ex inquirendi ipsius studio promptè, & ipsa tanquam respondens subitò reperiatur. Et vt magis sermoni fidem adhibeas, ex aliis quibusdam, quæ manifestò ex operibus apparent, demonstrationem producam; insuper ex iis quæ foris imponuntur duntaxat, & per os sumuntur. Nam à Cro-
B codilo læsis, ipsius adipem vulneribus impositam, summo esse præsidio nouimus. Item muris aranei morsus, æquè lethales, ab ipso rursus in puluerem redacto, superpositóque citra dolorem curari. Similiter qui à vipera sunt percussi, periculum effugiunt, si trita ipsarum corpora vulneribus ipsis applicuerint. Nec talia citra rationem in ipsis, vt dixi, eueniunt, nec tantam obtinent facultatem, vt possint perimere, si respicias distributionem facultatis in altum corporum penetrantis; quemadmodum sanè in cataplasmatis idem quoque fieri cernimus, facultate in corporibus ipsorum moderata, quæ
C mederi deinceps queat, non autem occidere. Verùm quod in theriaca accidit, manifestiorem habet rationem. Dico enim, propterea feras has noxias ab ipsis commorsos iuuare, quòd copiosior vis tabifica quæ in illis est, simul cum capitibus amputatis tollatur. Ad hæc vim in aliis partibus reliquam confectionibus nos obtundimus, dum ipsas coquimus, & salis, anethique non parum aquæ miscentes, nec condimenti solius gratia talia contemperantes, sed vt corpora eliquescant; atque hoc modo ipsa paucum virus, aut nullum prorsus habere facimus;
D plurimum autem facultatis auxiliatricis præparatio exhibet. Quomodo igitur feræ tot & talibus mistæ medicamentis, ampliùs queant perimere, quum malitia ipsorum corruptrix sit exoluta? Insuper verior ratio videbitur, si in quibusdam quoque similibus huius rei demonstrationem afferamus. Cantharis nanque sola exhibita, vesicam vlcerat, & inimicum est ipsi medicamentum, & valida sæpenumero facultate hominem iugulat; mixta verò aliis quibusdam è contrariò, ipsius vesicæ fit auxilium, & vehementer vrinam prouocat. Succus autem papaueris, quòd per se potus exitialis sit, neminem
E latere existimo; hic autem cum aliis nonnullis præparatus, ægrotos ita sæpe iuuat, vt maximè salutiferum ipsis medicamentum esse videatur; itaque phreniticorum deliria haud raro strenuè curauit, ex peruigiliis viribus priuatos, somno reconciliato mirificè restituit. Iam ab araneis commorsos, ipsi aranei triti, & cum vino poti, malo liberant; vt hinc maximè possis quod à me dicitur, credere. Si nanque vel solum vinum feris mixtum à periculo reddit securos, nimirum & theriaca ex tot talibúsque confecta, salutiferum quoddam medicamen-
F tum potius quàm hominibus exitiale redditur. Illud enim in medicamentorum mixtionibus fieri sciendum est, putà singulorum quæ miscentur facultatem non magis conseruari, ita vt eadem maneat, nec mutetur, nec in vllam qualitatem transeat, sed aliquam omnium vnionem effici, tota ipsorum temperie per tota mixta,

& vna

& vna quadam alia ex illis facultate profecta, quomodo etiam in mulso fieri conspicimus. Quum enim exacta vtriusque temperatura facta fuerit, neque mellis gustum, mel mixtum omnino repræsentat, neque vinum ampliùs vinum esse in mixtura apparet; verùm statim duobus congressis diuersum quiddam, id iam ipsum mulsi naturam induens, ex temperatura perficitur. Hoc vtique cùm in aliis omnibus medicamentis, tùm maximè in ipsa theriaca fieri arbitrator; non adhuc vniuscuiusque mixtorum facultatem & qualitatem eandem manere, sed, vniuersis omnibus confusis, & in vnitatem quandam natiuam coëuntibus, vnam, & superstitem diuersam ex omnibus permixtis medicamenti naturam procreari.

CAPVT XI.

Asclepiadis, Epicurique refutatio, qui alterationem negabant, & opera naturæ in atomos, & moles referebant.

SI etenim ex atomis & vacuo, secundum Epicuri & Democriti opinionem, constant omnia, vel ex quibusdam molibus, & meatibus secundùm medicum Asclepiadem (nam ita permutatis solùm nominibus, pro indiuiduis *vel atomis* corpuscula, pro vacuo meatus dicens, similem illis rerum essentiam esse voluit) meritò medicamenta manerent inalterabilia, quæ in nihil mutari, neque omnino suam ipsorum qualitatem exuere possent. Quum autem hic sermo verus non sit, vt ostendemus, imò omnia, vt dixi, alterentur, mutentúrque facilè, & mutuam inter se temperaturam suscipiant, necesse est omnibus quæ miscentur, per tota contemperatis, validius imbecilliori præpollere, cuius rei gratia nos artificialibus mixtionibus, quum vsus postulat, qualitates medicamentorum inalteramus; quod fieri non posset, si exigua quædam & impatibilia, immutabiliáque substantiæ corpora essent. Atque ideo iam sæpe ego sum demiratus, quomodo, quum in quocunque tam subitas fieri conuersiones, tantámque temperamentorum mutationem viderent, sustineant deinde talia rerum vniuersarum principia statuere, & præcipuè iam citatus medicus Asclepiades; ad hunc enim peculiariter verba potiùs habeo, quoniam manifestiores etiam in corpore conuersiones, mutationésque non indicat. Quid nanque dicendum est, quum solo digito in frigidam imposito, totius corporis mutatio actutum oriatur? vel quum pro ventorum variatione corpora nostra simul mutentur? Ego itaque ex familiaribus quendam noui in lecto adhuc decumbentem, ex capitis ipsius consensu venti flatum cognouisse. Quum enim capitis grauitate laboraret, statim ventum qui spirabat, Austrum esse deprehendebat. Iam mulier grauida solo tonitru exaudito, & horribili quodam spectaculo viso, infantem eiecit. Interdum quum repente volumus auxiliari, & velocem præsidij sensum ægro moliri, celerrimam in corporibus mutationem fieri videmus. In quibusdam igitur viribus admodum exolutis, admirandus Hippocrates, infirmo excandescentiam concitari consulit, vt concitationis robore, exolutionis imbecillitati medeamur; sæpe etiam paucum aliquod oblatum ipsis alimentum statim refocillat, viresque eorum restituit, corporis mutatione,

A καὶ μιᾶς τινος δυνάμεως ἄλλης ἐξ αὐτῶν γινομένης, ὅνπερ τρόπον ἐστὶν ἰδεῖν, καὶ ἐπὶ τοῦ οἰνομέλιτος γιγνόμενον. ὅταν γὰρ ἡ κρᾶσις ἀμφοῖν ἀκριβὴς γένηται, οὔτε τὴν τοῦ μέλιτος γεῦσιν, τὸ μέλι μηδὲν ὅλως ἔχει, καὶ ὁ οἶνος, οὐκέτ' ὢν οἶνος ἐν τῇ μίξει φαίνεται, ἀλλὰ παρ' ἑκάτερον τῶν συνελθόντων ἄλλο τι, αὐτὸ δὴ τοῦτο οἰνόμελι, γιγνόμενον ἐκ τῆς κράσεως ἀποτελεῖται. τὸ αὐτὸ δή μοι νόμιζε γίγνεσθαι ἐπὶ τῶν ἄλλων μὲν ἁπάντων φαρμάκων, καὶ ἐπὶ τῆς θηριακῆς δὲ μάλιστα αὐτῆς, μηκέτι τὴν ἑνὸς ἑκάστου τῶν μιγνυμένων δύναμίν τε καὶ ποιότητα αὐτὴν μένειν, ἀλλὰ συγκριναμένων πᾶσι πάντων, καὶ ἕνωσίν τινα φυσικὴν B λαμβανόντων, μίαν μὲν καὶ λοιπὴν ἄλλην, ἐξ ἁπάντων τῶν μιγνυμένων, τοῦ φαρμάκου γίνεσθαι τὴν φύσιν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἀσκληπιάδου τε καὶ Ἐπικούρου ἀντίρρησις, τῶν τὴν ἀλλοίωσιν ἀποφασκόντων, καὶ τὰ τῆς φύσεως ἔργα πρὸς τοὺς ἀτόμους τε καὶ ὄγκους ἀναφερόντων.

ΕΙ μὲν γὰρ ἐξ ἀτόμου καὶ τοῦ κενοῦ κατὰ τὸν Ἐπικούρου τε καὶ Δημοκρίτου λόγον, συνέστηκε τὰ πάντα, ἢ ἔκ τινων ὄγκων C καὶ πόρων, κατὰ τὸν ἰατρὸν Ἀσκληπιάδην. καὶ γὰρ οὕτως ἀλλάξας τὰ ὀνόματα μόνον, καὶ ἀντὶ μὲν τῶν ἀτόμων τοὺς ὄγκους, ἀντὶ δὲ τοῦ κενοῦ τοὺς πόρους λέγων, τὴν αὐτὴν ἐκείνοις τῶν ὄντων οὐσίαν εἶναι βουλόμενος, εἰκότως ἂν ἔμενεν ἀναλλοίωτα τὰ φάρμακα, κατὰ μηδὲν τρέπεσθαι, μηδ' ὅλως ἐξίστασθαι τῆς αὐτῶν ποιότητος δυνάμενα. ἐπεὶ δὲ οὐκ ἔστιν ἀληθὴς ὁ λόγος οὗτος, ὡς δείξομεν, ἀλλ' ἀλλοιοῦται, ὡς ἔφην, τὰ πάντα, καὶ τρέπεται ῥᾳδίως, καὶ εἰς ἄλληλα τὴν κρᾶσιν λαμβάνει, ἀνάγκη τῆς κράσεως δι' ὅλων τῶν κιρναμένων γιγνομένης, τὸ ἰσχυρότερον τοῦ ἥττονος κρατεῖν, καὶ διὰ τοῦτο D ἡμεῖς ταῖς ἐντέχνοις μίξεσι, πρὸς τὴν χρείαν τῆς ἐνεργείας τὰς ποιότητας τῶν φαρμάκων ἐναλλάσσομεν, οὐκ ἂν δυναμένου τούτου γίνεσθαι, εἰ μικρά τινα ἦν, καὶ ἀπαθῆ, καὶ ἄτρεπτα τῆς οὐσίας τὰ σώματα. διόπερ δὴ καὶ πολλάκις ἐγὼ τεθαύμακα· πῶς, ὁρῶντες ἐπὶ τοῦ παντὸς οὕτω γινομένας ταχείας τροπὰς, καὶ τὴν τοσαύτην ἐν ταῖς κράσεσι μεταβολὴν, εἶθ' ὑπομένουσιν ἀρχὰς τῶν ὅλων τὰς τοιαύτας τίθεσθαι, καὶ μάλιστα ὁ νῦν εἰρημένος ἰατρὸς Ἀσκληπιάδης. πρὸς τοῦτον γὰρ οἰκείως μᾶλλον ποιήσομαι τὸν λόγον, ἐπεὶ καὶ φανερωτέρας ἐν τῷ σώματι τροπάς τε καὶ μεταβολὰς οὐκ ἐνδείκνυται. τί γὰρ E ἐστιν εἰπεῖν, ὅταν μόνου τοῦ δακτύλου εἰς ψυχρὸν ὕδωρ κατατεθέντος, ὅλου τοῦ σώματος ἐν τάχει ἡ τροπὴ γίγνηται; ἢ ὅταν ταῖς τῶν ἀνέμων μεταβολαῖς, συμμεταβάλλεται ἡμῶν τὰ σώματα; ἔγωγ' οὖν οἶδα τῶν μὲν ἑταίρων τινὰ, ἐπὶ τοῦ σκίμποδος ἔτι κατακείμενον, ἐκ τῆς περὶ τὴν κεφαλὴν ἑαυτοῦ συναισθήσεως, διαγινώσκοντα τοῦ ἀνέμου τὴν πνοήν. εἴποτε γὰρ ἐκαρηβάρει, εὐθέως ἐγίνωσκεν, ὅτι νότος ὁ πνέων ἄνεμος ἦν. καὶ ἀκούσασα μόνον βροντῆς γυνὴ ἐγκύμων, καὶ θεασαμένη φοβερόν τι θέαμα, ἐξέβαλε τὸ παιδίον. ἔσθ' ὅτε δὲ καὶ βοηθεῖν ὀξέως θέλοντες, καὶ ταχεῖαν τῷ νοσοῦντι τοῦ βοηθήματος τὴν αἴσθησιν γίνεσθαι, F ταχίστην ὁρῶμεν γιγνομένην τῶν σωμάτων τὴν τροπήν. ἐπὶ γοῦν τινων ἐκλελυμένων σφόδρα, ὀξυθυμίαν τινὰ τῷ ἀρρώστῳ ὁ θαυμάσιος Ἱπποκράτης γίνεσθαι συμβουλεύει, ἵνα τῷ εὐτόνῳ τῆς ὁρμῆς, τὸ ἄτονον τῆς ἐκλύσεως ἰασώμεθα. πολλάκις δὲ, καὶ ὀλίγη τις αὖθις προσενεχθεῖσα τροφὴ, εὐθέως ἀνέρρωσε, καὶ τὴν δύναμιν αὐτῶν εὐτόνωσε, τῆς τροφῆς τοῦ σώματος,

ὡς οἶμαι, ταχέως ἐπὶ τὸ κρεῖττον γινομένης, ἀλλ' οὐχὶ τῶν ὄγκων ἀπαθῶν ὑπαρχόντων, καὶ διὰ τοῦτο, τὴν αἴσθησιν ἡμῖν τῶν τοιούτων παρέχειν μὴ δυναμένων. τίς γὰρ ἐν τοσούτῳ τάχει τοὺς ὄγκους συντεθεῖναι δυνήσεται; ἢ τίς οὕτως ἐξ ἀπαθῶν τῶν ὄγκων συγκείμενος, ταχέως τῶν παραπιπτόντων αἰσθήσεται; ἡ γὰρ ποιὰ τῶν ὄγκων μετατιθεμένων σύνθεσις, τοῦ μὲν σχήματος ἀλλαγὴν μόνην ἐργάζεται, ἀλλοίωσιν δὲ καὶ ποιότητα ἄλλην ἐξ ἄλλης γεννῆσαι ἀδυνατεῖ. καὶ διὰ τοῦτο ἐδόκει μοι, τὸν ἄνδρα, μὴ μόνον τὸ ἐπὶ τῶν φαρμάκων γινόμενον, ἀκολούθως ἀναιρεῖν διὰ τὴν ἀκολουθίαν τοῦ δόγματος, ἀλλὰ καὶ τὴν φύσιν αὐτὴν, τὴν διοικοῦσαν ἐν ἡμῖν τὰ πάντα, μηδὲν εἶναι οἴεσθαι. ἕκαστα γὰρ τῶν γινομένων ἐκ τῆς τῶν ὄγκων συνθέσεως, καὶ συμπλοκῆς γίνεσθαι βούλεται. διόπερ καὶ θαυμάζειν ἐπέρχεταί μοι, ὅταν αὐτὸν ὁρῶ, τὰ οὕτω θαυμαστὰ τῆς φύσεως ἔργα μὴ βλέποντα, καὶ μάλιστα τὰς ἐξ ἀρχῆς ἐν αὐτῇ τῇ γενέσει τοῦ ἀνθρώπου γινομένας τέχνας, ὅπως μὲν διαπλάττεται τὸ ἔμβρυον ἐν τῷ τῆς μήτρας τόπῳ, ὅπως δ' αὖ καὶ διαπλασθὲν εὐμηχάνως τρέφεται, ὅσοις δὲ καὶ οἵοις αὐτὸ τοῖς ἁπαλωτάτοις δεσμοῖς ἄχρι τοῦ ὡραίου τόκου ἔνδον κρατεῖ, οἵᾳ δέ τινι θείᾳ τέχνῃ καὶ ὁμοιότητι, τύπον ἐν τοῖς γεννωμένοις ἐργάζεται, ἐφ' οὗ μάλιστα, καὶ ἡ τῶν ὄγκων ὑπόθεσις αὐτοῦ ἀσχημόνως ἐλέγχεται. οὐ γὰρ μόνοις τοῖς γονεῦσιν, ἀλλὰ καὶ προγόνοις τισὶ, τὰ κυούμενα ὅμοια γίνεται. ἐμοὶ δὲ καὶ λόγος τις ἀρχαῖος ἐμήνυσεν, ὅτι τῶν ἀμόρφων τις δυνατὸς, εὔμορφον θέλων γεννῆσαι παῖδα, ἐποίησε γράψαι ἐν πλατεῖ ξύλῳ εὐειδὲς ἄλλο παιδίον, καὶ ἔλεγε τῇ γυναικὶ συμπλεκόμενος, ἐκείνῳ τῷ τύπῳ τῆς γραφῆς ἐμβλέπειν. ἡ δὲ ἀτενὲς βλέπουσα, καὶ ὡς ἔστιν εἰπεῖν, ὅλον τὸν νοῦν ἔχουσα, οὐχὶ τῷ γεννήσαντι, ἀλλὰ τῷ γεγραμμένῳ ὁμοίως ἀπέτεκε τὸ παιδίον, τῆς ὄψεως οἶμαι διαπεμπούσης τῇ φύσει, ἀλλ' οὐκ ὄγκοις τισὶ τοῦ γεγραμμένου τοὺς τύπους. ἐπεὶ δὲ ἀμύητος τῶν τοιούτων τῆς φύσεως μυστηρίων ὁ ἀνὴρ εἶναι διὰ τοὺς ὄγκους ὑπομένει, καὶ διὰ τὸ ἀφανές τε καὶ ἄδηλον τῆς ὄψεως, τοὺς ἑαυτοῦ μαθητὰς πιστεύειν τοῖς οὕτω θαυμασίοις ἔργοις οὐκ ἐᾷ, ἐπὶ τὰ ἔξωθεν αὐτὸν, καὶ παντάπασι φαινόμενα μεταβάλλειν βούλομαι. τίς γὰρ τὰς ὑπὸ τοῦ ζώου τῆς ἀράχνης γινομένας τέχνας βλέπων, ἀπιστεῖ, καὶ τὴν διὰ τῶν οὕτω διαφανῶν τε καὶ λεπτῶν νημάτων γινομένην ὑπ' αὐτῆς ὑφὴν, ὥς καί τινας λέγειν τὴν ὑφαντικὴν τοὺς ἀνθρώπους λαβόντας τὸ πρῶτον παρ' αὐτῆς, ἔχειν; τίνα δ' οὐ πείθει λέγειν θαυμάσιόν τι χρῆμα τὴν φύσιν ὑπάρχειν, ὁρῶντα τὸ ὑπὸ τῆς ἄρκτου γινόμενον ἔργον. ἀποτίκτει μὲν γὰρ ἡ ἄρκτος ἅπασι τοῖς γεννωμένοις ὁμοίως ζώοις. ἔστι δὲ σὰρξ μόνη γεννωμένη ἄπλαστός τε καὶ ἀδιάρθρωτος, μορφὴν μὲν οὐδεμίαν ἔχουσα, εὐθὺς δὲ ὑπὸ τῆς γεννώσης τῇ φυσικῇ τέχνῃ διατυπουμένη. τῇ γὰρ γλώττῃ, ὥσπερ χειρί τινι χρωμένη ἡ τεκοῦσα, οὕτω μεμορφωμένον ζῶον τὸ τεχθὲν ἀποτελεῖ. ἀλλὰ πρὸς μὲν τούτους παύσομαι λέγων. καὶ γὰρ εἴωθα ἐν τοῖς φιλοτίμοις λόγοις, ὥσπερ τινὶ χαλινῷ, καθάπερ ἵππου τινὸς γαύρου τρέχοντος τῷ μέτρῳ, τοῦ λόγου αὐτοῦ εὐτόνως κρατεῖν.

A vt opinor, statim vergente in melius; non autem corpusculorum impatibilium, eóque talium nobis sensus nequeunt imprimere. Quis enim in tantillo temporis momento corpuscula composuerit? aut quis sic ex impatibilibus corpusculis constructus repente occurrentia perceperit? Etenim certa corpusculorum transpositorum compositio, figuræ quidem solam efficit mutationem, cæterùm alterationem, qualitatémque aliam ex alia generare neutiquam potest. Atque huius rei gratia putabam virum non modò quod in medicamentis fieri apparet, congruenter ob B placiti rationem tollere; sed naturam quoque ipsam omnia in nobis dispensantem, nihil esse arbitrari. Singula enim quæ nascuntur, ex corpusculorum compositione & complexu fieri autumat. Quamobrem etiam mirari mihi subit, quoties ad ipsum mentem dirigo, qui tam mirifica naturæ opera, potissimúmque artes quæ in ipsius hominis generandi initio fiunt, non videat, quomodo quidem infans in vteri loco formetur, quomodo formatus iam aptè nutriatur, quot & qualibus vinculis tenerrimis ipsum ad maturum vsque partum intus contineat, quali verò diuina arte & similitudine imaginem in ge- C neratis efficiat, in qua re præsertim corpusculorum quoque hypothesis ipsius non citra dedecus coarguitur. Non enim solis parentibus, sed proauis etiam quibusdam fœtus redduntur similes. Porrò mihi vetus quædam historia indicauit, quòd quum deformis quidam opibus potens, formosum vellet procreare puerum, depinxit in lato ligno elegantem alium puellum, dicebátque mulieri inter coëundum, vt illam picturæ figuram inspiceret. Hæc autem defixis intuens oculis, &, vt ita dicam, totam illuc mentem aduertens, infantem non quidem patri, sed D picto similem peperit, visu opinor, naturæ non corpusculis quibusdam picti imaginem transmittente. Quoniam autem vir huiusmodi naturæ mysteriorum imperitus, esse corpusculorum gratia sustinet, & propter visus obscuritatem, incertitudinémque, suos ipsius discipulos tam mirificis operibus fidem accommodare non sinit, ad externa ipsum, omninóque apparentia traducere cogito. Quis nanque artes ab animalculo araneo factas inspiciens, non credit etiam telam per dilucida adeo, tenuiáque fila parari? vt etiam aliqui dicant texendi artem homines primum ipsi referre acceptam. Quis non adducitur vt mira- E bilem quandam rem naturam esse pronunciet, si opus videat quod ab vrsa efficitur? Etenim vrsa omnibus quæ generant animantibus similiter parit; caro autem sola generata, informis & inarticulata est, nullam obtinens figuram; statim verò à parente, naturali arte figuratur; nam lingua veluti manu quadam vtens, editum fœtum effigiatum reddit. Verùm contra hos sermonem finiam; quippe consueui in contentiosis orationibus ceu freno quodam equum solito ferocius currentem, mensura sermonem ipsum validè coërcere.

F

CAP.

CAPVT XII.

Singula quæ theriacam ingrediuntur diligenter exploranda esse: Andromachique descriptionem cæteris præferendam.

AT quum manifestò, vt auguror demonstrauerim, ne mirum amplius tibi sit, easdem feras & perimere, & auxiliari posse, propter variam tum confectionem, tum mixturam medicamentorum quæ ipsis contemperantur, deinceps antidotum præparare aggrediar. Non enim ars est exigua qua confectionem ipsius molimur. Siquidem & dolus quem in feris sæpe venatores ipsarum machinantur, & in aliis mixturis præparantium imperitia, inutile frequenter medicamentum effecerunt. Plerique enim ipsorum venandi artem volentes ostendere, & præsertim qui etiam medicamenta quædam ad res huiusmodi inuenire profitentur, habere quidem se medicamenta mentiuntur; haud enim vnquam nos, ipsos habentes inuenimus; dolo autem in belluis, videntibus imponunt, primùm ipsas haud congruo tempore venantes, sed multo post vernationem, quum non ampliùs vigent. Captas autem ipsas crebrò sibiipsis assuefaciunt, & cibis non solitis enutriunt, imò carnes ipsis permittentes, & continuò mordere cogentes, sic vt virus ex earum ore vacuetur, efficiunt. Quinetiam mazas quasdam obiiciunt, quæ dentium foramina obstruant; atque hac ratione morsus fiunt imbecilles, vt videntibus magnum sit miraculum, talis ipsorum ad fraudem parandam artificij imperitis. Simili modo etiam in medicamentis, mixtorum haud mediocris, vt dixi, est inscitia. Quid multis opus est, in optimis quæ immittuntur, cassia dico & cinnamomo ipso haud modica existit differentia, & multos ex iis qui præparant, solet decipere. Nam quod vocatur pseudo-cinnamomum, vero simile est, nisi quòd gustu & odore longè reperiatur inferius. Atqui xylocinnamomum hac re differt, quòd lignosum sit, valida habeat virgulta, nec similem suaueolentiam præ se ferat. Porrò inter ipsius veri cinnamomi genera, aliud in montibus nascitur, non tenue, nec longum, magis giluum colore. Aliud aliquantulum nigricat, & tanquam fibris quibusdam intertextum. Aliud adamussim album reperitur, non durum, ex facili fragile, parua radice. Est & aliud quoddam cassiæ giluæ simile, læue, & odoratum. Præstantissimum omnium est, quod ab indigenis mosyllon dicitur, cinereum colore, virgultis gracilibus, ramusculis frequentibus, vehementérque odoratum, quod etiam potissimum nos præponere consueuimus. Est enim odore longè optimum, suauissimúmque, & gustu acre nobis apparet, mordax admodum; mansum, rutam præ se ferre videtur; ad hæc, læue est, & facilè potest confringi. Cassia verò itidem nisi in diiudicando fueris expertus, frequenter solet imponere. Est enim & pseudocassia mirum quàm germanæ similis, sed odore minus grato coarguitur, corticem medullæ adhærentem obtinens. Quare optima giluа est, & rosam expirat, sicut etiam dulcem gustum præfert, fistulis plena, & vinum naribus obolens, & aromatum modo vehementer odorata, atque hæc zingiber ab indigenis sic nomi-

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ἕκαστα τὰ τὴν θηριακὴν συντιθέμενα ἀκριβῶς ἐξεταστέον. καὶ τὴν Ἀνδρομάχου γραφὴν προκριτέον.

ΕΠιδείξας δέ, ὡς οἶμαι, σαφῶς, μηκέτι εἶναι σοι θαυμαστὸν τὰ θηρία αὐτά, καὶ ἀναιρεῖν καὶ βοηθεῖν δύνασθαι, διὰ τὴν ποικίλην σκευασίαν τε καὶ μίξιν τῶν συμμιγνυμένων αὐτοῖς φαρμάκων, μετὰ τοῦτο λοιπὸν τὴν ἀντίδοτον σκευάζειν ἄρ- B ξομαι. οὐ γάρ ἐστιν ὀλίγη, καὶ ἡ ἐν τῇ σκευασίᾳ αὐτῆς γιγνομένη ὑφ᾽ ἡμῶν τέχνη. ἥ τε γὰρ ἐν τοῖς θηρίοις πολλάκις ὑπὸ τῶν θηρευόντων αὐτὰ γιγνομένη πανουργία, καὶ ἡ ἐν τοῖς ἄλλοις μίγμασι τῶν σκευαζόντων ἀπειρία, ἄχρηστον πολλάκις ἐποίησε τὸ φάρμακον. πολλοὶ γὰρ αὐτῶν τὴν περὶ τὸ θηρεύειν τέχνην ἐπιδείκνυσθαι βουλόμενοι, καὶ μάλισθ᾽ ὅσοι καὶ φάρμακά τινα πρὸς τὰ τοιαῦτα εὑρίσκειν ἐπαγγέλλονται, τὸ μὲν ἔχειν τὰ φάρμακα ψεύδονται. οὐ γὰρ εὕρομεν ποτε ἡμεῖς αὐτοὺς ἔχοντας, διὰ δὲ τοῦ πανουργεῖν τὰ θηρία, τοὺς ὁρῶντας πλανῶσι, πρῶτον μὲν αὐτὰ θηρεύοντες οὐ τῷ δέοντι καιρῷ, C ἀλλὰ μετὰ πολὺ τῆς φωλείας τὸν χρόνον, ὅτε μηκέτ᾽ ἐστὶν ἀκμαῖα. λαβόντες δὲ αὐτά, καὶ προσεθίζουσιν ἑαυτοῖς πολλάκις, καὶ τρέφουσιν οὐ ταῖς εἰθισμέναις τροφαῖς, ἀλλὰ σάρκας αὐτοῖς ἐπιδιδόντες, καὶ συνεχῶς ἐνδάκνειν ἀναγκάζοντες, οὕτως ἐκ τοῦ στόματος αὐτῶν κενοῦσθαι ποιοῦσι τὸν ἰόν, καὶ δὴ καὶ μάζας τινὰς ἐπιδιδόντες ἐμφραττούσας τῶν ὀδόντων τὰ τρήμματα, καὶ οὕτω τούτων ἀσθενῆ γίνεται τὰ δήγματα, ὡς θαυμάζειν πάνυ τοὺς ὁρῶντας, τὴν τοιαύτην αὐτῶν εἰς τὸ πανουργεῖν τέχνην οὐκ εἰδότας· ὁμοίως δ᾽ αὖ καὶ ἡ περὶ τὰ φάρμακα τῶν μιγνυμένων, ὡς ἔφην, ἀπειρία, οὐκ ἔστιν ὀλίγη. αὐτίκα γέ τοι περὶ τὰ κάλ- D λιστα τῶν ἐμβαλλομένων, κασίαν λέγω καὶ τὸ κιννάμωμον αὐτό, οὐκ ὀλίγη τίς ἐστι διαφορά, καὶ πολλοὺς τῶν σκευαζόντων εἴωθε πλανᾷν. τό, τε γὰρ καλούμενον ψευδοκιννάμωμον, ὅμοιόν ἐστι τῷ ἀληθεῖ, κατὰ δὲ τὴν γεῦσιν, καὶ τὴν ὀσμήν, πολὺ ἐνδεέστερον εὑρίσκεται. τὸ δὲ ξυλοκιννάμωμον διαφέρει τῷ ξυλῶδες εἶναι, καὶ ἰσχυρὰς τὰς ῥάβδους ἔχειν, καὶ οὐχ ὁμοίαν τὴν εὐωδίαν. καὶ αὐτοῦ δὲ τοῦ ἀληθινοῦ κινναμώμου, τὸ μὲν ἐν τοῖς ὄρεσι γιγνόμενον, οὐκ ὂν λεπτόν, οὐδὲ μακρόν, μᾶλλον κιρρόν ἐστι τῇ χροιᾷ. ἕτερον δέ ἐστι πως μέλαν, καὶ ὥσπερ ἶνας ἔχον τινάς. ἄλλο τι λευκὸν εὑρίσκεται ἀκριβῶς, καὶ οὐ σκληρόν, E ῥᾳδίως θραυόμενον, καὶ μικρὰν ἔχον τὴν ῥίζαν. ἔστι δέ τι καὶ τῇ κιρρᾷ κασίᾳ ὅμοιον ἕτερον, λεῖον καὶ εὐῶδες. τὸ δὲ πάντων κάλλιστόν ἐστι τὸ μόσυλλον ὑπὸ τῶν ἐγχωρίων οὕτω καλούμενον, τεφρῶδες τῇ χροιᾷ, καὶ λεπτὰ ἔχον τὰ ῥαβδία, καὶ τοὺς ὄζους πυκνούς, σφόδρα εὐῶδες, ὃ καὶ μάλιστα προκρίνειν ἡμεῖς εἰώθαμεν. ἔστι γὰρ πάνυ τῇ ὀδμῇ κάλλιστόν τε καὶ ἥδιστον, καὶ τῇ γεύσει δριμὺ ἡμῖν καταφαίνεται καὶ δηκτικὸν λίαν, καὶ διαμασώμενον πηγανίζειν δοκεῖ. ἔστι δὲ καὶ λεῖον, καὶ ῥᾳδίως θραύεσθαι δυνάμενον. ἡ δὲ κασία καὶ αὐτή, εἰ μή τις ἔμπειρος εἴη περὶ τὴν κρίσιν, πλανᾷν εἴωθε πολλάκις. ἔστι γάρ F τις καὶ ψευδοκασία, πάνυ μὲν ἐμφερὴς τῇ ἀληθινῇ κασίᾳ, οὐκ ἔχουσα δὲ τὴν τοιαύτην εὐωδίαν, ἀλλὰ καὶ ὁ φλοιὸς αὐτῆς συνηνωμένος τῇ ἐντεριώνῃ εὑρίσκεται, ὡς ἥ γε καλλίστη κιρρά τε καὶ ῥοδίζουσα, ὥσπερ καὶ ἡδὺ τὸ γευστικὸν ἐν τῇ γεύσει ποιουμένη, συριγγώδης τε οὖσα καὶ οἰνίζουσα, καὶ πολὺ τὸ ἀρωματίζον ἔχουσα, ζιγγίβερ ὑπὸ τῶν ἐπιχωρίων οὕτω λεγο-

μένη. εἰκὸς δέ σε καὶ τὴν περὶ τὸ μακρὸν πέπερι γιγνομένην πανουργίαν μὴ ἀγνοεῖν. ἀναπλάσσοντες γάρ τινες αὐτὸ, ἴσον τῷ ἀληθεῖ ἔχον τὸ μῆκος, καὶ ἐνθέντες αὐτῷ τοῦ πυρέθρου, ἢ τοῦ νάπυος ὀλίγον, οὕτω τῷ δηκτικῷ τῆς γεύσεως πλανῶσι τὸν γευόμενον. ἀλλ' ὁ περὶ ταῦτα τριβακὸς ὢν, καὶ τὸ ἥδιόν τε καὶ δριμὺ ἐν τῇ γεύσει μὴ ἀγνοῶν, ἔτι τε καὶ τὴν ἀπὸ τοῦ δένδρου ῥίζαν προσκειμένην αὐτῷ περιεργότερον βλέπων, εὑρίσκει τὸ ἀληθινὸν πέπερι, καὶ πλανᾶσθαι ὑπ' αὐτῶν οὐ δύναται. πολλῆς δ' οὔσης καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἀκριβείας, ὥσπερ καὶ ἐν τούτοις ἱστόρησά σοι, ἐγὼ μὲν καὶ ταῦτα, πρὸς τὴν τοῦ λόγου ὑπόμνησιν ἀρκεῖν νομίζω, ἵνα μὴ μακρὸν τὸ βιβλίον ἡμῖν γένηται. συμβουλεύω δὲ, ἕκαστον αὐτῶν ἀκριβῶς δοκιμάζοντα, οὕτω σκευάζειν τὸ φάρμακον. ἡ γὰρ ἑνός τινος κακία, πολλάκις διαφθείρει τὰ πάντα. ἔστι δὲ αὐτοῦ καὶ γραφὴ, ἵνα μηδὲ τοῦτο ἀγνοῇς, διαφόρως ὑπὸ τῶν ἰατρῶν γινομένη. ὁ μὲν γὰρ Ἀνδρόμαχος, ἀκριβὴς περὶ τὰ φάρμακα γενόμενος, οὗπερ καὶ πρότερον ἐμνημόνευσα, κατὰ ταύτην τὴν γραφὴν ἐσκεύαζε τὸ φάρμακον. ℞. Ἀρτίσκων θηριακῶν < κδ'. ἀρτίσκων σκιλλητικῶν < μη'. πεπέρεως μακροῦ < κδ'. ὀποῦ μήκωνος < κδ'. ἡδυχρόου μάγματος < κδ'. ῥόδων ξηρῶν < ιβ'. ἴρεως Ἰλλυρικῆς, γλυκυῤῥίζης, βουνιάδος ἀγρίας σπέρματος, σκορδίου, ὀποβαλσάμου, κινναμώμου, ἀγαρικοῦ ἀνὰ < ιβ'. σμύρνης, κόστου, κρόκου, κασσίας, νάρδου, σχοίνου ἄνθους, λιβάνου, πεπέρεως λευκοῦ καὶ μέλανος, δικτάμνου, πρασίου, ῥήου, στοιχάδος, πετροσελίνου Μακεδονικοῦ, καλαμίνθης, τερμινθίνης, ζιγγιβέρεως, πενταφύλλου ῥίζης, ἀνὰ < ϛ'. πολίου < δ'. χαμαιπίτυος < δ'. στύρακος < δ'. ἀμώμου βότρυος, μήου, νάρδου Κελτικῆς, Λημνίας σφραγῖδος, φοῦ Ποντικοῦ, χαμαίδρυος Κρητικῆς, φύλλων μαλαβάθρου, χαλκίτεως ὀπτῆς, γεντιανῆς, ἀνίσου, ὑποκιστίδος χυλοῦ, βαλσάμου καρποῦ, κόμμεως, μαράθρου σπέρματος, καρδαμώμου, σεσέλεως, ἀκακίας, θλάσπεως, ὑπερικοῦ, σαγαπηνοῦ, ἄμμεως, ἀνὰ < δ'. καστορίου, ἀριστολοχίας λεπτῆς, δαύκου σπέρματος, ἀσφάλτου Ἰουδαϊκῆς, ὀποπάνακος, κενταυρίου λεπτοῦ, χαλβάνου, ἀνὰ < β'. μέλιτος λίτρας ι'. οἴνου Φαλερίνου τὸ ἀρκοῦν. Ξενοκράτης δὲ, καὶ αὐτὸς σπουδὴν οὐκ ὀλίγην περὶ τὰ τοιαῦτα ποιησάμενος, ὁμοίως μὲν τὰ ἄλλα τῷ Ἀνδρομάχῳ ἐσκεύαζε τὴν ἀντίδοτον, μόνον δὲ ἀντὶ τῶν < δ'. τοῦ σαγαπηνοῦ, αὐτὸς < β'. ἔμισγε τῷ φαρμάκῳ. ὁ δὲ Δαμοκράτης, ἄριστος ἰατρὸς καὶ αὐτὸς γενόμενος, καὶ ὅλον βιβλίον φιλοτίμως συντάξας καὶ αὐτὸς ἔπεσι, περὶ τῆς τῶν ἀντιδότων σκευασίας· πάντα μὲν τὰ μίγματα τούτοις ὁμοίως μιγνύει ἐν τῇ σκευασίᾳ τοῦ φαρμάκου, διαφωνεῖ δὲ αὐτοῖς ἐν τοῖς τῶν μεμιγμένων μέτροις. τινὰ γὰρ ὧν ἐκεῖνοι πέμπουσι τῷ φαρμάκῳ, ἀνὰ < δ'. ἔχοντα, οὗτος ἀνὰ < β'. μιγνύει τῷ φαρμάκῳ, καὶ πάλιν τῶν ἀνὰ < β'. τὴν συσταθμίαν ἐχόντων, αὐτὸς ταῦθ' ἵστησιν ἀνὰ < α'. ἔχοντα. Μάγνος δὲ, ὁ καθ' ἡμᾶς Ἀρχίατρος γενόμενος, τὰ ἄλλα πάντα ὁμοίως τοῖς ἀνδράσι τούτοις ἐν τῇ σκευασίᾳ φυλάττων, ἐν τῷ κινναμώμῳ μόνον αὐτοῖς διαφωνεῖ. τὸ γὰρ διπλοῦν τῆς περὶ τούτων συσταθμίας, μιγνύει αὐτὸς τῷ φαρμάκῳ, οὕτως δὲ καὶ περὶ τῆς χαλκίτεως, οὕτως δὲ καὶ περὶ τοῦ σαγαπηνοῦ τῷ Ἀνδρομάχῳ διαφωνεῖ. τὰς γὰρ < β'. ὁμοίως τῷ Ξενοκράτει μιγνύει εἰς τὸ φάρμακον, τοῦ Ἀνδρομάχου < δ'. βάλλοντος. κατὰ δὲ τὸ σαγαπηνὸν, καὶ τῷ Δαμοκράτει. μίαν μὲν γὰρ δραχμὴν ὁ Δαμοκράτης μιγνύει τῷ φαρμάκῳ, ὁ δὲ Μάγνος β'. προστίθησι δὲ καὶ τῷ μιγνυμένῳ οἴνῳ ὁ Μάγνος τὸ μέτρον. δύο γὰρ ξέστας τοῦ βαλλομένου εἶναι βούλεται, τῶν ἄλλων, ὡς εἰκὸς πρὸς τὴν χρείαν,

A natur. Iam verò in pipere oblongo dolos fieri, te ignorare haud est verisimile. Siquidem nonnulli adulterantes ipsum, æquale cum vero pondus habens, pyrethri vel sinapi modico indito, ita gustus mordacitate gustantem fallunt. Verùm in his exercitatus, & qui gratius in cibis, acriúsque gustu nouit deprehendere, necnon arboris radicem ei adhærentem curiosiùs inspicit, germanum piper inuenit, & falli ab ipsis nequit. Porrò quum multa in aliis quoque vniuersis sit accurata examinatio, quemadmodum in his pariter tibi percensui, ego sanè vel hæc ad libri commentationem sufficere existimo, ne sermo B nobis fiat prolixior. Cæterùm consulo singulis ipsis accuratè exploratis, medicamentum præparari. Nam vnius cuiusdam vitium omnia sæpe corrumpit. Descriptio autem ipsius, ne hoc etiam ignores, variè apud medicos inuenitur. Etenim Andromachus in medicamentis accuratus est, cuius etiam priùs mentionem feci, secundum hanc descriptionem medicamentum præparabat. ℞. Pastillorum theriaces ʒ. xxiv. pastillorum scilliticorum ʒ. xlviij. piperis longi ʒ. xxiv. succi papaueris ʒ. xxiv. pastilli hedychroi ʒ. xxiv. rosarum siccarum ʒ. xij. ireos Illyricæ, glycyrrhizæ, C seminis napi syluestris, scordij, opobalsami, cinnamomi, agarici, singulorum drach. xij. myrrhæ, costi, croci, cassiæ, nardi, schœnanti, thuris, piperis albi & nigri, dictamni, marrubij, rheu, stechados, petroselini Macedonici, calaminthæ, terebinthinæ, zingiberis, quinquefolij radicis, singulorum ʒ. vi. polij ʒ. iv. chamæpyteos ʒ. iv. styracis ʒ. iv. amomi, vuæ, meu, nardi Celticæ, sigilli Lemnij, phu Pontici, chamædryos Creticæ, foliorum malabathri, chalcitidis tostæ, gentianæ, anisi, hypocistidis succi, balsami fructus, gummi, feniculi seminis, cardamomi, seselis, acaciæ, D thlaspis, hyperici, sagapeni, ammeos, singulorum drach. iv. castorij, aristolochiæ tenuis, dauci seminis, bituminis Iudaici, opopanacis, centaurij tenuis, galbani, singulorum ʒ. ij. mellis libras x. vini Phalerni, quod satis est. Porrò Xenocrates & ipse non mediocri studio in huiusmodi versatus, in reliquis sanè Andromacho similiter antidotum præparabat, solùm verò pro quatuor sagapeni drachmis, duas ipse medicamento commiscebat. At Damocrates præstantissimus ipse quoque medicus factus, integrum librum de antidotorum confectione versibus eleganter complexus, omnes quidem mixturas his similiter in E medicamenti præparatione temperat: sed in *simplicium* mixtorum mensuris ab ipsis discrepat. Nam quæ illi singula drachmis quatuor medicamento iniiciunt, hic drach. ij. sigillatim miscet, contrà quibus binas drachmas singulis temperant, ipse vnam drachmam immittit. Magnus autem qui nostro tempore Archiatros euasit, alia omnia sicut hi viri in confectione seruans, solo cinnamomo ab ipsis euariat. Nam duplicatum huius pondus medicamento ipse adiungit, ita verò in chalcitide, ita quoque in sagapeno, ab Andromachi sententia discordat; quippe duas F drachmas veluti Xenocrates, in medicamentum coniicit, quum Andromachus drachmas quatuor mittat. Verùm in sagapeno Damocrati etiam refragatur. Etenim hic vnam drachmam, Magnus duas medicamento iniicit, prætereáque immixto vino addit mensuram Magnus; quippe duos sextarios infundendum censet, aliis vt vsus postulat,

quali-

qualicunque vini mensura vtentibus. Demetrius, qui & ipse nostra tempestate primarius medicus constitutus est, in omnibus aliis iuxta Andromachi sententiam medicamentum præparat, solo scilliticorum pastillorum pondere ab eo discrepat, & aliis vniuersis scriptoribus. Siquidem illi cum drachmis xlviij. mensuram complectantur, solus hic xlvj. drachmas duntaxat antidoto admiscet. Nam quum tanta in descriptionibus sit differentia, nos Andromachi, tanquam præstantissima, vtimur, & in regios vsus ita præparamus. Porrò confectio ipsius hunc in modum fit. Etenim vtilem tibi ac dexteram ratione præparandam censeo, vt siquando medici inopia, dexteritate ingenij præditus voles conficere, quamoptimè conficias, loco magistri præparationis, ipso rationis adminiculo fretus.

CAPVT XIII.

Quo pacto componendi sint pastilli hedychroi, scillini, & viperini.

CÆterùm ante illam confectionem conueniebat etiam pastilli hedychroi, quæ ei inditur, præscriptionem pernouisse. Est igitur laudatissima præparatio apud Magnum hisce verbis expressa. ℞. Aspalathi radiculæ corticis, calami aromatici, schœni floris, phu, costi, asari, xylobalsami, asiæ, singulorum ʒ. vj. cinnamomi ʒ. xxiv. amomi ʒ. xxiv. amaraci ʒ. xx. nardi Indicæ ʒ. xvj. foliorum malabathri ʒ. vj. myrrhæ ʒ. xxiv. mastiches ʒ. vj. croci ʒ. xix. excipe vino phalerno, opobalsami contactu, finge pastillos, & in vmbra desicca. Simili modo scilliticos quoque orbiculos præpara. Sumitur scilla recens, paruæ magnitudinis, oblinitur non (vt quidam volunt) luto, nam id sordidum esse mihi apparet, sed fermento, nam facilè tenerrimo torrentur, vt interea nonnihil etiam ipsius assumat. Deinde vbi probè in furno, vel in patinis vbi panes coquuntur, vt æqualis fiat tostio, incaluerit, sumptis interioribus ipsius partibus tenerrimis, læuigare diligenter oportet; erui quoque farina laudatissima, recentissimáque, pari portione admiscebitur, vt Damocrates præcipit. Nam Magnus dimidiam partem immittens, parum mihi admiscere videtur; Andromachus autem duas iniiciens portiones, multum mittere mihi videtur. Æqualis autem modus fingendis pastillis optimus est, atque hac ratione trita cum eruo scilla, orbiculos formabis mediocres, & in vmbra repositos in vsum seruabis; deinde post hæc, viperæ ipsæ, quæ ad totius confectionis copiam sufficiant, sumendæ sunt, non quouis tempore, sed potissimum veris initio captæ, quum latebris relictis foras in apricum prodeunt, & non adhuc virus tam prauum occupant. Intus enim delitescentes, cum nulla ex parte digeruntur, maligniorem etiam vim tabificam in se contrahunt; quando etiam senium dictum solent, sicut omnis serpens, colligere, quod est crassissimum quoddam integumentum, tempore quo delituerunt, contractum; atque tunc magis quam animantis ætate senium existens. Quapropter non statim ipsas capere oportet, sed permittere aliquandiu & aëre frui, & consueto cibo vesci. Porrò vescuntur hæ feræ tum herbis quibusdam, tum animalibus, & quibus assuetæ solent nutriri, cuiusmodi sunt buprestes, cantharides,

A ὁπόσῳ μέτρῳ τοῦ οἴνου χρωμένων. Δημήτριος δὲ, καὶ αὐτὸς καθ' ἡμᾶς ἀρχίατρος γενόμενος, τῷ μὲν Ἀνδρομάχῳ ὁμοίως κατὰ πάντα τὰ ἄλλα συμφώνως σκευάζει τὸ φάρμακον, μόνῃ δὲ τῇ τῶν σκιλλητικῶν ἀρτίσκων συσταθμίᾳ τῷ Ἀνδρομάχῳ διαφωνεῖ, καὶ τοῖς ἄλλοις πᾶσιν. ἐκείνων γὰρ μη'. δραχμὰς βαλλόντων μέτρον, οὗτος μόνος μϛ'. δραχμὰς μόνας μίγνυσι τῇ ἀντιδότῳ. τοσαύτης γὰρ οὔσης τῆς περὶ τὰς γραφὰς διαφορᾶς, ἡμεῖς τῇ Ἀνδρομάχου, ὡς ἀρίστῃ χρώμεθα, καὶ εἰς γε τὰς βασιλικὰς χρείας οὕτως σκευάζομεν. ἔχει δὲ αὐτῆς ἡ σκευασία τὸν τρόπον τοῦτον. καὶ γὰρ εὔχρηστον νο-
B μίζω σκευάσαι σοι αὐτὴν τῷ λόγῳ, ἵνα ἤν ποτε καὶ μὴ παρόντος ἰατροῦ εὐφυὴς ὢν, σκευάζειν αὐτὴν ἐθέλῃς, ὡς ἄριστα σκευάσῃς, διδάσκαλον τῆς σκευασίας ἔχων αὐτὸν τὸν λόγον.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Πῶς κατασκευάζονται οἵ τε ἡδύχροοι, σκιλλητικοὶ καὶ θηριακοὶ ἀρτίσκοι.

ΠΡὸ δὲ τῆς κατασκευῆς αὐτῆς, ἐχρῆν σε, καὶ τὴν ἐμβαλλο-
C μένου εἰς αὐτὴν ἡδυχρόου μάγματος γραφὴν εἰδέναι. ἔστιν οὖν ἡ ἀρίστη σκευασία ἡ παρὰ Μάγνῳ, ἧς ἡ γραφὴ αὕτη. ℞. Ἀσπαλάθου ῥίζης φλοιοῦ, καλάμου ἀρωματικοῦ, σχοίνου ἄνθους, φοῦ, κόστου, ἀσάρου, ξυλοβαλσάμου, ἀσίας, ἀνὰ < ϛ'. κινναμώμου < κδ'. ἀμώμου < κδ'. ἀμαράκου < κ'. νάρδου Ἰνδικῆς < ιϛ'. μαλαβάθρου φύλλων < ϛ'. σμύρνης < κδ'. μαστίχης < ϛ'. κρόκου < ιθ'. οἴνῳ Φαλερίνῳ ἀναλάμβανε, ὀποβαλσάμου παραπτόμενος ἐν τῷ ἀναλαμβάνειν, καὶ ψύχε τοὺς τροχίσκους ἐν σκιᾷ. ὁμοίως δὲ καὶ τοὺς σκιλλητικοὺς ἀρτίσκους σκεύαζε οὕτως. λαβόντα χρὴ σκίλλαν νεαρὰν, καὶ μὴ πάνυ με-
D γάλην περιπλάττειν, μὴ ὥς τινες πηλῷ, ῥυπαρὸν γὰρ εἶναί μοι δοκεῖ, ἀλλὰ ζύμῃ, ὀπτᾶται γὰρ ῥᾳδίως τῇ ἁπαλωτάτῃ, ἵνα ἐν τῇ ὀπτήσει, καὶ αὐτοῦ τι μεταλαμβάνῃ. εἶτα ὅταν ὀπτήσῃ καλῶς ἐν τῷ καλουμένῳ ἴπνῳ, ἢ ἐν τοῖς κλιβάνοις, ἢ κακκάβοις ἐν οἷς οἱ ἄρτοι ὀπτῶνται, ἵνα ὁμαλὴ ἡ ὄπτησις γένηται, λαβόντα χρὴ τὰ ἔνδον αὐτῆς μέρη τὰ ἁπαλώτατα, λεαίνειν ἐπιμελῶς. μισγέσθω καὶ ὀρόβινον ἄλευρον καλλίστου, καὶ νεαρωτάτου τὸ ἴσον, ὡς ὁ Δαμοκράτης βούλεται. ὁ γὰρ Μάγνος τὸ ἥμισυ πέμπων, ὀλίγον μοι μιγνύναι δοκεῖ, καὶ ὁ Ἀνδρόμαχος δὲ δύο πέμπων μέρη, πολὺ μοι πέμπειν δοκεῖ. τὸ δὴ ἴσον ἐστὶ, τὸ πρὸς ἀνάπλασιν σύμμετρον,
E καὶ οὕτως συλλεανθέντα αὐτῷ τοσούτῳ, ἀναπλάττειν τροχίσκους συμμέτρους χρὴ, καὶ ἐν σκιᾷ ἀποτιθεμένους εἰς τὴν χρῆσιν φυλάττειν, εἶτα μετὰ ταῦτα χρὴ λαμβάνειν αὐτὰς τὰς ἐχίδνας, πρὸς τὸ πλῆθος τῆς ὅλης σκευασίας αὐταρκεῖς, μὴ ἐν παντὶ καιρῷ τεθηραμένας, ἀλλὰ μάλιστα περὶ τὴν ἀρχὴν τοῦ ἔαρος (τότε γὰρ τῆς φωλείας παύονται), προέρχονται δὲ λοιπὸν ἔξω εἰς τοὺς ὑπαιθρίους τόπους, καὶ οὐκέθ' οὕτως ἔχουσι πονηρὸν τὸν ἰόν. ἔνδον γὰρ φωλεύοντα, καὶ κατὰ μηδὲν διαφορούμενα, πονηροτέραν συνάγει καὶ τὴν ἐν αὐτοῖς φθοροποιὸν δύναμιν, ὅτε καὶ τὸ καλούμενον γῆρας συλλέγειν εἴωθε πᾶς ὄφις, ὅπερ ἐστὶν ἐπιπαγής τις παχύτατος,
F συναγόμενος ἐν τῷ τῆς φωλείας χρόνῳ, καὶ τῷ χρόνῳ τῆς φωλείας μᾶλλον, ἤπερ τῆς ἡλικίας τοῦ ζώου γῆρας τυγχάνον. διόπερ χρὴ μὴ εὐθέως αὐτὰ λαμβάνειν, ἀλλὰ ἐᾶν τινα χρόνον ἀπολαῦσαί τε τοῦ ἀέρος, καὶ τραφῆναι τὴν συνήθη νομήν. νέμεται δὲ ταῦτα τὰ θηρία, καὶ βοτάνας μέν τινας, καὶ ζῷα, καὶ τὰ συνήθως αὐτὰ τρέφειν δυνάμενα, ὥσπερ τὰς βουπρήστεις, καὶ κανθαρίδας,

καὶ τὰς καλουμένας πιτυοκάμπας. αὗται γὰρ αὐτῶν εἰσιν αἱ κα- A
τάλληλοι τροφαί. ἔστω δὲ καὶ ὑπόξανθα τὰ ζῶα, καὶ εὐκίνητα
σφόδρα, καὶ μάλιστα ἐπανατείνοντα τὸν τράχηλον, καὶ τοὺς ὀφθαλ-
μοὺς ὑπερύθρους ἔχοντα, καὶ ἀναιδεῖς, καὶ θηριῶδες βλέποντα, καὶ
τὰς κεφαλὰς πλατυτέρας, καὶ τὸ πᾶν σῶμα, καὶ τὴν γαστέρα
προκολπότερον, καὶ τὸν πόρον πρὸς ἄκρα μᾶλλον τῇ οὐρᾷ ἔχον-
τα, καὶ τὴν οὐρὰν μὴ περιειλημμένην, ἀλλὰ μᾶλλον συστρέφοντα,
καὶ ἠρεμαῖον τὸν περίπατον ποιούμενα. τούτῳ γὰρ τοῦ ἄρρενος ἡ
ἔχιδνα διήνεγκε, καὶ τῷ πλέονας τῶν δύο κυνοδόντων ἔχειν,
ὥσπερ δὴ καὶ Νίκανδρος διὰ τῶν ἐπῶν τούτων λέγει.

Τοῦ μὲν ὕπερ κυνόδοντε δύο χροῒ τεκμαίρονται. B
Ἰὸν ἐρευγόμενοι, πλέονες δέ τοι αἰὲν ἐχίδνης.

Καὶ δὴ λαβόντα αὐτὰ τῷ καιρῷ τούτῳ, πρῶτον μὲν αὐτῶν
χρὴ ἀποκόπτειν τὰς κεφαλάς τε καὶ τὰς οὐράς, τοσοῦτον ἀποκό-
πτοντας, ὡς εἶναι τὸ μέτρον τῆς ἀποκοπῆς τεσσάρων δακτύλων.
ἐπιβλέπειν δέ, καὶ ἐν τῷ ἀποκόπτειν τὰ μέρη ταῦτα ἀκριβῶς
πρᾶγμα, εἰ μετὰ τὴν ἀποκοπὴν ἄναιμά τε εὐθέως, καὶ ἀκίνητα,
καὶ πάντη νεκρὰ τὰ ζῶα εἶναι φαίνοιτο. εἰ γὰρ τοιαῦτα εὑρίσκοιτο
τὰ θηρία, ἄχρηστα αὐτὰ πρὸς τὴν τοῦ φαρμάκου μίξιν εἶναι
νόμιζε. εἰ δὲ βλέποις ἐν αὐτοῖς ἀποκοπέντων τῶν μερῶν ὑπο-
λειπομένην κίνησίν τινα, καὶ τὸ ἔναιμον ἐπί τινα χρόνον ἀποσώζειν C
δυνάμενα, ταῦτα ὡς ἄριστα ὄντα, μιγνύωσαι τῇ σκευασίᾳ τῆς ἀν-
τιδότου, οὐ γὰρ ἐξίτηλον, ἀλλὰ ἰσχυρὰν πρὸς τὸ σώζειν ἔχοντα
δύναμιν φαίνεται. εἶτα μετὰ τοῦτο ἀποδέρειν αὐτῶν ὅλον ἀκριβῶς
τὸ δέρμα, ἐξαιρεῖν δὲ καὶ τὸ στέαρ, ὡς ἄχρηστον, καὶ τὰ ἐντόσθια
ἅπαντα, ἔστι γὰρ τῶν περιττωμάτων δοχεῖα. καὶ μετὰ τοῦτο ἐμβάλ-
λειν αὐτὰ λοιπὸν εἴς τι κεραμοῦν ἀγγεῖον, ὡς κάλλιστα κατεσκευα-
σμένον, ἢ εἰς λέβητα γεγανωμένον καλῶς, καὶ τοῖς ἄνθραξιν ἀνα-
κεκαυμένοις ἐπικείμενον, ἵνα ἀκνίσως ἡ ἕψησις αὐτῶν γίνηται.
ἑψηθήτωσαν δὲ ἐν ὕδατι πηγαίῳ, καὶ προσεμβαλέσθωσαν ἅλες
νεαροί, καὶ ἀνήθου μὴ ξηροῦ κλῶνες σύμμετροι. εἶθ' ὅταν ἑψηθῶ- D
σιν αἱ σάρκες καλῶς, τὸ μέτρον δὲ τῆς ἑψήσεως ἔστω σοι, ὅταν αἱ
ἄκανθαι χωρισθῶσι τῆς σαρκὸς τῶν θηρίων, τότε ἀνελόμενος τὸν λέ-
βητα ἀπὸ τοῦ πυρός, ἀκριβῶς χώριζε τὰς σάρκας τῶν ἀκανθῶν,
καὶ λειώσας αὐτάς, ἄρτου ὡς μάλιστα τοῦ καθαρωτάτου, καὶ ἀπὸ
σεμιδάλεως τῆς καθαρωτάτης γινομένου, μίσγε τὸ σύμμετρον
πρὸς τὴν ἀνάπλασιν, ὥσπερ καὶ ὁ Ἀνδρόμαχος βούλεται. ὁ γὰρ
Μάγνος, καὶ ὁ Δαμοκράτης, καὶ μέτρον τι ὡρισμένον αὐτοῖς μί-
γνυσθαι θέλουσιν, ἴσοι γὰρ τοῦ ἄρτου, πρὸς ἴσον τῶν σαρκῶν ἀποστή-
σαντες, οὕτως αὐτὰς συλλειοῦσι τῷ ἄρτῳ. εἶτα παραχέας τὸ αὔ-
ταρκες τοῦ ζωμοῦ, οὕτως ἀνάπλαττε συμμέτρους τροχίσκους, E
παραπτόμενος ἐν τῇ ἀναπλάσει ὀποβαλσάμου ὀλίγου, καὶ ἐν
σκιᾷ ἀποτιθέμενος εἰς τὴν τοῦ ὅλου φαρμάκου σκευασίαν φύλαττε.

& quas vocant pityocampas; hæc enim idonea ipsarum sunt alimenta. Sint autem animalia colore sufflaua, admodum motu facilia, collum præcipuè extollentia, oculis subrubentibus, asperis, ferinum cernentibus, capite latiore, corpore & ventre crassiora, meatu magis ad extrema caudæ, quæ non inuoluta est, sed potius conuersa, incessu quieti proximo. Hac enim re fœmina à masculo differt, ad hæc quòd caninos dentes duobus plures habeat, quemadmodum sanè & Nicander hisce versibus dicit,

Sunt gemini dentes maribus, sua signa, canini
Virus fundentes: habet hos sed fœmina plures.

Et sanè hoc tempore captis, primùm capita & caudas amputare conuenit, ita vt amputatio fiat pro quatuor digitorum mensura. Dum autem partes has abscindis, inspicere consilium est, num his amputatis, exanguia protinus, immobilia, prorsúsque emortua esse animalia videantur. Nam si tales offenderis bestias, nihil ad medicamenti mixtionem conducere ipsas censeto. At si motum quendam in ipsis partibus residuum conspicias, & sanguinem conseruare aliquandiu posse, has ceu præstantissimas antidoto præparando immittes, vt quæ haud ignauam, exolescentémque, sed validam ad seruandum vim habere appareant. Deinde tota adamussim cute ipsis detracta, adeps ceu nullius momenti, omniáque interanea, tanquam excrementorum receptacula eximentur; mox reliquum corpus in vas quoddam fictile quàm elegantissimè constructum, vel in lebetem probè extersum, splendidúmque indetur, ac prunæ impositum, vt citra nidorem ac fumum illius concoctio fiat; incoquatur autem ex aqua fontis sale recenti, cum mediocribus anethi non aridi virgultis adiecto; deinde carnibus iam benè coctis (quod nimirum cognosces quum spinæ à viperarum carne separantur) & lebete ab igne deposito, diligenter carnes à spinis segrega, tritísque ipsis panis quammaximè puri, & ex syncera facti similagine, quantum pastillis formandis sufficiat, admisceto, quemadmodum etiam Andromachus autumat. Nam Magnus & Damocrates definitam quandam huius mensuram ipsis adiungi volunt, æquali siquidem panis modo, æqualem carnium adiungentes, ita ipsas cum pane simul conterunt; postea iusculi quod satis est affuso, pastillos mediocres confinges, atque opobalsami modico subactos, in vmbráque repositos, ad totius medicamenti confectionem reseruabis.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Θηριακῆς σκευασία, ἀποθήκη, ἡλικία, κρίσις, δόσις.

ΚΑὶ λοιπὸν τῶν ἄλλων ὅσα καὶ κόπτεσθαι καὶ σήθεσθαι
χρή, κοσκινεύειν κοσκίνῳ, ὡς ἔνι μάλιστα λεπτοτρήτῳ
γινομένῳ. πάνυ γὰρ τὸ λεῖον πρὸς τὴν ὠφέλειαν εἶναί μοι δο- F
κεῖ χρήσιμον, διὰ τὸ μᾶλλον εὐπρόσθετον εἶναι τοῖς σώμα-
σιν. ὅσα δὲ διαβρέχειν τε καὶ λειοῦν χρή, καὶ ταῦτα λείου, καὶ
τῷ οἴνῳ βρέχε. ἔστω δὲ ὁ οἶνος κάλλιστος, οἷος ὁ Φαλερῖνος, γλυ-
κύς, ὁ * μὴ Φαυστιανός, ἀλλ' ὁ δριμύς τε καὶ πᾶσι καλούμενος
ἄκτος. εἶθ' οὕτως πάντα λειώσας, πρόσβαλε τὸ αὔταρκες μέλι-

CAPVT XIV.

Theriacæ compositio, repositio, ætas, probatio, dosis.

RElíqua contundi, & cribro quàm licet subtilissimo concerni expedit; nam læuia admodum insigniter iuuare mihi videntur, quòd corporibus faciliùs apponantur. Porrò quæ conspergenda sunt læuigandáque, hæc conteres, & vino consperges; sit autem vinum laudatissimum Phalernum; non dulce Faustianum, sed acre, & quod omnibus vocatur Actum; Deinde omnibus hunc in modum contritis, mellis quantum satis est adiicitur; erit

erit autem satis, quemadmodum descriptiones continent, libræ decem discoctæ mediocriter, vt quicquid in eo cereum est, flatulentúmque, in coctione separetur; deligendum autem mel Hymettion nuncupatum, quod apes probatissimum efficiunt, thymum hoc in monte, cui nomen Hymetto, nascentem depastæ. Iam verò resinam, galbanúmque seorsum priùs eliquata medicamento in mortario sic adiunges, ac deinde omnibus in vnitatem redactis, tritísque diligenter; rursus manu in opobalsami modicum intincta, ita antidotum in vitreis aut argenteis vasis repones, non vehementer ipsa replens, sed relicto quodam spatio, quo medicamentum perspiret; ad hæc assiduè operculum detrahes, vt & liberiùs exhalet, & maturior vsus tibi ipsius contingat. Quippe haud modico tempore ad concoctionem indiget, vt quando vsus postulat, antidotum probè sit concoctum; concoquitur autem vt plurimùm, duodecim annorum spatio. Qui vigentiore ipsa, validioréque vti volunt, etiam quinto anno & septimo exhibuerunt, præsertim in his qui à virulentis feris, & à cane rabido commorsi sunt, præterea in medicamentis lethalibus; hi enim quum grauem ab eiusmodi noxam acceperint, potentiore etiam medicamenti præsidio indigent. Est autem potens medicamentum adusque triginta annos, vt in aliis affectibus, vbi tanta noxæ causa non est, sufficere videtur, quum vsus exigit, sexagenarium: nam in tanti interualli fine vehementer exolescit, & vt iuuare queat, imbecillum est medicamentum. Plerique igitur dum vim ipsius volunt experiri, primùm medicamentum quoddam purgans exhibentes, deinde nonnihil ex antidoto propinantes, sic de ipsa faciunt iudicium. Si nanque valida vigénsque fuerit, neutiquam purgationem fieri permittit, sua ipsius potentia medicamenti purgantis efficaciam euincens. Quòd si ita fuerit purgatus, vt qui antidotum non assumpsisset, liquidò constat vires esse inualidas, & exoletas, vt ne quidem medicamenti facultatem superare potuerit. Cæterùm mensura ipsius potus in omnibus eadem non est, quemadmodum neque liquor, quo ipsum exhibituri diluimus. Siquidem in prædictis auellanæ nucis magnitudine ex tribus vini cyathis dilutam, propinare affectis consueuimus; in aliis autem affectibus & mensura, & liquore variè vtimur. Nam ad affectuum differentiam ea adaptantes, tum medicamenti quantitatem metimur, tum congruum mixtionis humorem iudicamus. Non enim solùm ad ferarum morsus, & lethalia medicamenta auxiliari solet antidotum, verùm ad maximas etiam alias affectiones præsentaneum esse remedium, experientia ac vsu à nobis compertum est.

CAPVT XV.

Quot & quantis morbis auxiliatur theriaca.

ITaque galenen ipsam in propositis versibus Andromachus ideo arbitror vocauit, quoniam ceu ex quadam affectuum tempestate tranquillitatem quandam, ipsam nempe sanitatem corporibus conciliat. Capitis igitur dolores diuturnos & tenebricosas vertigines sanare, ad hęc auditus difficultatem, & oculorum hebetudinem sedare potest. Nonnunquam verò & gustus instrumentum laborans reficit; sæpe in phreniticis deliria, gene-

A ἔστω δὲ τὸ αὔταρκες, ὥσπερ αἱ γραφαὶ ἔχουσι, λίτραι δέκα ἀφεψημέναι μετρίως, ὥστε ἐν τῇ ἑψήσει πᾶν αὐτοῦ τὸ κηρῶδες καὶ πνευματῶδες χωρισθῆναι. ἔστω δὲ καὶ τὸ μέλι τὸ καλούμενον Ὑμήττιον. τὸν γὰρ θύμον τὸν ἐν τούτῳ τῷ ὄρει τῷ καλουμένῳ Ὑμηττῷ γινόμενον, νέμονται αἱ μέλισσαι, καὶ οὕτω κάλλιστον ποιοῦσι τὸ μέλι. πειρῶ δὲ, καὶ τὴν ῥητίνην, καὶ χαλβάνην προαποτήξας ἰδίᾳ, οὕτω πρὸς τὴν θυΐαν ἐπιβάλλειν τῷ φαρμάκῳ, καὶ λοιπὸν ἑνώσας τὰ πάντα, καὶ λειώσας ἐπιμελῶς, πάλιν διαβρεχόμενος τοῦ ὀποβαλσάμου συμμέτρως, οὕτως ἀποτίθεσο τὴν ἀντίδοτον εἰς ὑάλινα, ἢ ἀργυρέα σκεύη, B μὴ πάνυ πληρῶν αὐτὰ, ἀλλὰ καταλιπὼν τινὰ τόπον εἰς διαπνοὴν τῷ φαρμάκῳ, καὶ συνεχῶς γε ἀποπωμάτιζε αὐτὰ, ἵνα μᾶλλον διαπνέηται, καὶ ταχυτέρα σοι αὐτῆς ἡ χρῆσις γένηται. χρόνου γὰρ εἰς πέψιν οὐκ ὀλίγου χρείαν ἔχει, ἵνα πρὸς τὴν χρῆσιν ἡ ἀντίδοτος πεφθῇ καλῶς. πέσσεται δὲ, ὡς ἐπὶ τὸ πλεῖστον, τῷ μὲν ιβ΄ ἐτῶν χρόνῳ. οἱ δὲ ἀκμαιοτέρᾳ τε αὐτῇ καὶ ἰσχυροτέρᾳ χρῆσθαι θέλοντες, καὶ ἐτῶν που πέντε καὶ ἑπτὰ τὸν χρόνον ἐχούσῃ, οὕτως ἐχρήσαντο, καὶ μάλιστα ἐπὶ τῶν θηριοδήκτων τε καὶ λυσσοδήκτων, καὶ τῶν φαρμάκων τῶν δηλητηρίων. ἰσχυρὰν γὰρ οὗτοι τὴν ἀπὸ τῶν τοιούτων βλάβην C ἔχοντες, δυνατωτέρας καὶ τῆς ἀπὸ τοῦ φαρμάκου βοηθείας χρείαν ἔχουσιν. ἔστι δὲ δυνατὸν τὸ φάρμακον, ἕως ἐτῶν τριάκοντα. ὡς ἐπί γε τῶν ἄλλων παθῶν, ὅπου μὴ τηλικαύτη ἐστὶν ἡ τοῦ βλάπτειν αἰτία, αὐτάρκης εἶναι δοκεῖ, καὶ ἐτῶν ἑξήκοντα χρόνος εἰς τὴν χρῆσιν τοῦ φαρμάκου. πάνυ γὰρ τὸ πέρας τοῦ τοσούτου διαστήματος, ἐξίτηλόν τε καὶ ἄτονον πρὸς τὸ βοηθῆσαι ποιεῖ τὸ φάρμακον. πολλοὶ γοῦν τινες αὐτῆς τὴν δύναμιν κρῖναι θέλοντες, πρῶτον διδόντες τι τῶν καθαρτικῶν φαρμάκων, εἶτα ἐπιδιδόντες τι τῆς ἀντιδότου πιεῖν, οὕτως αὐτῆς ποιοῦνται τὴν κρίσιν. εἰ μὲν γὰρ εὔτονος καὶ ἀκμαία εἴη, οὐδ᾽ ὅλως ἀφίησι τὴν D κάθαρσιν γενέσθαι, ἐκνικῶσα τῇ ἑαυτῆς δυνάμει τοῦ καθαρτικοῦ φαρμάκου τὴν ἰσχύν. εἰ δὲ οὕτως καθαρθείη, ὡς μηδὲ τὴν ἀντίδοτον λαβὼν, κατάδηλος γίγνεται, ὅτι ἄτονός τε καὶ ἐξίτηλός ἐστιν ἡ ἰσχὺς, ὡς μηδὲ κρατῆσαι τῆς τοῦ φαρμάκου δυνάμεως. ἔστι δὲ αὐτῆς τὸ μέτρον τῆς πόσεως, οὐκ ἐπὶ πάντων τὸ αὐτὸ, ὥσπερ οὐδὲ τὸ ὑγρὸν, ᾧ διαλύοντες αὐτὴν δίδομεν. ἐπὶ μὲν γὰρ τῶν προειρημένων Ποντικοῦ καρύου τὸ μέγεθος, ἀνιέντες μετ᾽ οἴνου κυάθων τριῶν, οὕτως αὐτὴν διδόναι πίνειν τοῖς λαμβάνουσιν εἰώθαμεν. ἐπὶ δὲ τῶν ἄλλων παθῶν, καὶ τῷ μέτρῳ, καὶ τῷ ὑγρῷ διαφόρως χρώμεθα. πρὸς γὰρ τὴν E τῶν παθῶν διαφορὰν ἁρμοζόμενοι, καὶ τὴν ποσότητα τοῦ φαρμάκου μετροῦμεν, καὶ τὸ κατάλληλον ὑγρὸν τῆς μίξεως κρίνομεν. οὐ γὰρ μόνον πρὸς τὰ τῶν θηρίων δήγματα, καὶ τὰ δηλητήρια φάρμακα βοηθεῖν ἡ ἀντίδοτος πέφυκεν, ἀλλὰ καὶ πρὸς τὰ μέγιστα τῶν ἄλλων παθῶν ἀλεξιτήριον φάρμακον, ἐκ τῆς ἐν πείρᾳ χρήσεως ὑφ᾽ ἡμῶν οὖσα εὑρέθη.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Πρὸς πόσας νόσους βοηθεῖν πέφυκεν ἡ θηριακή.

ΓΑλήνην γοῦν αὐτὴν ἐν τοῖς προκειμένοις ἔπεσιν ὁ Ἀνδρόμαχος διὰ τοῦτο οἶμαι κέκληκεν, ἐπεὶ ὥσπερ ἔκ τινος F τοῦ κατὰ τὰ πάθη χειμῶνος, καθάπερ τινὰ γαλήνην, τὴν ὑγείαν τοῖς σώμασιν ἐργάζεται. Κεφαλαίας γοῦν τὰς χρονίας, καὶ τὰ σκοτώματα ἰᾶσθαι πέφυκε, καὶ δυσηκοΐας, καὶ ἀμβλυωπίας παύειν. ἐνίοτε δὲ καὶ τὸ τῆς γεύσεως ὄργανον ἀσθενοῦν καθίστησι. πολλάκις δὲ καὶ τὰς ἐπὶ τῶν φρενιτικῶν παρακοπὰς γινομένας

ἔπαυσεν, ὕπνον ἐπιφέρουσα. ἀπ' αὐτοῦ δὲ καὶ τὰς τῆς γνώμης ταραχάς τε, καὶ τὰς περιπλοκὰς φαντασίας παύουσα τοῖς ὕπνοις. καὶ τὰς ἐπιληψίας δὲ αὐτὰς ἀγωνιστικῶς εἴωθε βοηθεῖν, ἀναπίνουσα τὴν πολλὴν ἐκ τῆς κεφαλῆς ὑγρασίαν, καὶ ἀνεμπόδιστον ποιοῦσα τὴν ὁδὸν τῷ πνεύματι. βοηθεῖ δὲ καὶ τοῖς δυσπνοοῦσιν, ὅταν ἐγκείμενά τινα παχέα φλέγματα εἰς τὰς σήραγγας τοῦ πνεύμονος, ἀναπνεῖν κωλύωνται τὸν ἄνθρωπον, εὐκόλως τέμνουσα καὶ εὐανάγωγα ποιοῦσα, καὶ λεπτύνουσα τὰ συνεστῶτα, καὶ γλίσχρα τῶν ὑγρῶν. καὶ τοὺς αἷμα δὲ ἀνάγοντας πάνυ ὠφελεῖ, εἴ τις αὐτὴν σύμφυτον ἐφεψήσας, καὶ ἀνιεὶς τῷ ὕδατι, οὕτως ἐπιδώῃ. πολλάκις δὲ καὶ τὰς περὶ τὸν στόμαχον κακώσεις θεραπεύειν εἴωθε, καὶ ἀνόρεκτον αὐτὸν ὄντα, καὶ τὰς τροφὰς λαμβάνειν μὴ δυνάμενον, εἰς τὸ προσίεσθαι αὐτὰς ἡδέως κατέστησεν. ἐνίοτε δὲ, καὶ τὴν ἐπιτεταμένην ἀλόγως ὄρεξιν, ἔκ τινος παρακειμένης αὐτῷ δριμυτέρας καὶ δακνώδους οὐσίας, ἀγωνιστικῶς ἔπαυσεν, καὶ ἑλμίνθων τοῖς ἐντέροις ἐγκειμένων, καὶ διὰ τοῦτο, αὐτοῦ τοῦ στομάχου ἀπλήστως τῆς τροφῆς ὀρεγομένου, πνῖγον τὰ θηρία τὸ φάρμακον, τῆς πολλῆς πείνης γενναίως ἀπήλλαξεν. ἔτι καὶ τὴν μεγίστην, καὶ πλατεῖαν ἕλμινθα γινομένην, καὶ πᾶσαν τὴν εἰσφερομένην τροφὴν ἐκνεμομένην, καὶ διὰ τοῦτ' ἐκτήκουσαν τὸ ἄλλο πᾶν σῶμα, θαυμασίως ἐξάγει τῶν ἐντέρων. καὶ τὰς ἡπατικάς, καὶ σπληνικὰς διαθέσεις ἰᾶται πολλάκις, ἐκλύουσα τὰς ἐμφράξεις, καὶ τὰς περὶ τὸ ἧπαρ διαθέσεις, καὶ σπλῆνα ἰωμένη. καὶ τὸν ἴκτερον διά τινα περὶ τὸ ἧπαρ διάθεσιν γινόμενον, γενναίως θεραπεύει, ἀποκαθαίρουσα τὴν χολήν, καὶ ὥσπερ ἀπομάττουσα, καὶ ποιοῦσα τὸ ἧπαρ διακρίνειν αὐτὴν ἀκριβῶς ἀπὸ τοῦ αἵματος. τήκει δὲ ἐνίοτε καὶ τοὺς σπλῆνας τοὺς ἐσκιῤῥωμένους, κατ' ὀλίγον ἀναλίσκουσα τὴν ἐν αὐτοῖς ῥυπαρίαν καὶ περιττὴν οὐσίαν. θρύπτει δὲ καὶ τοὺς ἐν νεφροῖς λίθους, καὶ πᾶν τὸ γεῶδες ἐν αὐτοῖς καὶ ῥυπαρὸν ἀποκαθαίρει ῥᾳδίως, καὶ τὰς τῆς κύστεως δυσουρίας παύει, καὶ τὰς ἐν αὐτῇ ἑλκώσεις ἰᾶται πολλάκις, καὶ τὰς περὶ τὴν κοιλίαν δυσπεψίας τε καὶ ἀτονίας θεραπεύει, θερμαίνουσα καὶ τονοῦσα τῆς γαστρὸς τὸ σῶμα, καὶ τῶν ἐντέρων τὰς ἑλκώσεις, καὶ τὰς δυσεντερίας αὐτάς, καὶ τὰς λειεντερίας ἀπαλλάττειν εἴωθε. ὠφελεῖ δὲ καὶ τοὺς εἰλεωδῶς τὰ ἔντερα διατιθεμένους, καὶ τοὺς χρονίως τῇ κωλικῇ διαθέσει περιπεπτωκότας, μάλιστα ὅταν ἀφλέγμαντα ᾖ τὰ ἔντερα, ἐξαναλίσκουσα τὰς ἐν αὐτοῖς δριμύτητας τῶν ὑγρῶν, καὶ διατμίζουσα τὰς πνευματώσεις τῶν ἐντέρων. ἐνίοτε δὲ καὶ τοῖς χολεριῶσι γενναίως βοηθεῖ, τονοῦσα τὴν σύγκρισιν, καὶ ἐπέχουσα τὰ πολλὰ τῶν ῥευμάτων. τὸ μέγιστον δ' αὐτῆς ἔργον, πολλάκις ἐπὶ τῶν καρδιακῶν φαίνεται. ῥεομένου γὰρ τοῖς πολλοῖς καὶ συνεχέσιν ἱδρῶσι τοῦ σώματος, καὶ τῶν τόνων λελυμένων, μηδὲ τοῦ οἴνου πολλάκις κρατεῖν τοῦ πάθους δυναμένου, ἡ ἀντίδοτος πινομένη, καὶ τοὺς ἱδρῶτας ἵστησι, καὶ τὴν δύναμιν πεπτωκυῖαν, ὥσπερ ἐξανίστησι, καὶ ἰσχυρὰν ἀπεργάζεται. ἔστι δὲ ἐπὶ τῶν γυναικῶν, καὶ τῶν καταμηνίων αἱμάτων ἀγωγός, καὶ τὰς ἐν τῇ μήτρᾳ καὶ ἕδρᾳ γινομένας αἱμοῤῥοΐδας, ἐπισχεθείσας πολλάκις ἀναστομοῖ. θαυμασίως δέ, καὶ τὰς ἀμέτρους τῶν αἱμάτων ἀποκρίσεις εἴωθεν ἐπέχειν. μέμνησαι γάρ, ὅτι μικτὴν καὶ ποικίλην τὴν δύναμιν αὐτῆς ἐν τοῖς ἔμπροσθεν εἴπομεν, καὶ διὰ τοῦτο τὰ μέν, διαχέουσα καὶ λεπτύνουσα, ἐκκρίνεσθαι ποιεῖ, τὰ δὲ δι' ἀτονίαν τῆς ἐμφύτου δυνάμεως ἀποκρινόμενα περιττῶς, ταῦτα τονοῦσα τὴν δύναμιν τῶν σωμάτων, εἴωθεν ἐπέχειν. καὶ τοὺς ποδαγρῶντας δέ, καὶ τοὺς πάντα τὰ ἄρθρα ῥευματιζομένους ὠφελεῖ μάλιστα τότε, ὅταν ὁ τῆς ἐπιδόσεως καιρὸς παρέλθῃ, καὶ ἡ στάσις τῆς ἀκμῆς γένηται. παραμυθούμενον γὰρ τὰ ἀλγήματα τοῖς παρηγορεῖν δυναμένοις ἐπιθέμασι, διδόναι πίνειν χρὴ τοῦ φαρ-

A rosè somnum inducens sedauit; insuper animi perturbationes & implexas imagines somnis abigit. Comitialibus quoque ipsis vehementer solet auxiliari, copiosam ex capite humiditatem absorbens, & liberas spiritui vias efficiens. Iam & suspiriosos iuuat, quum crassæ quædam pituitæ in pulmonis fistulas impactæ respirare hominem prohibent, promptè incidens, vt facilè educantur, attenuánsque fixos viscosósque humores. Sanguinem reiicientes admodum iuuat, siquis ipsam cum symphyto decoctam, dilutámque aqua exhibuerit. Sæpe stomachi vitiis mederi solet, & nausea laborantem, cibúm- B que non capientem suauiter restituit; interdum etiam appetitum sine ratione intensum, ex mordaci quadam & acri substantia ipsum infestante, certatim repressit. Insuper lumbricis intestina occupantibus, eóque, stomacho insatiabiliter cibum appetente, medicamentum hoc propemodum enecatos magna fame, feliciter liberauit. Præterea maximum latúmque helminthem. i. *tæniam*, generatum, qui omnem assumptum cibum depascitur, eóque reliquum totum corpus emaciat, mirabiliter ab intestinis educit. Hepaticos quoque & lienosos affectus C sæpe sanat, obstructiones aperiens, & iecoris lienísque affectibus medetur. Item arquatum ex aliquo iecoris vitio oborientem, strenuè curat, bilem expurgans, & veluti abstergens, tum vt iecur bilem à sanguine examussim segreget, efficiens. Aliquando lienes scirrho induratos soluit, paulatim sordidam superfluámque in eis substantiam absumens. Conterit & renum calculos, & quicquid terreum sordidúmque in eis continetur, facilè expurgat. In vesica difficultatem vrinæ sedat, & exulcerationibus in ea plerunque est præsidio, & difficilem ventriculi concoctionem, imbecillitatémque reficit, ven- D tris corpus calfaciens, confirmánsque. Intestinorum vlcera, ipsásque dysenterias & lienterias tollere consueuit: ileosis quoque intestinorum torminibus affectis, ac diu in colicum affectum collapsis prodest, præsertim quum intestina vacant inflammationibus, acres ipsorum humores consumens, & intestinorum flatus per vaporem discutiens. Interdum quoque cholera laborantibus egregiè conducit, *corporis* coagmentum corroborans, multásque fluxiones sistens. Porrò maximum ipsius opus sæpe in cardiacis innotescit; quippe dum corpus mul- E tis continuísque sudoribus diffluit, & robur ipsius dissolutum est, neque vinum frequenter continere morbus potest, antidoti potio & sudores sistit, & facultatem collapsam veluti erigit, validámque efficit. Iam verò in mulieribus etiam menses educit, & vteri sedísque hæmorrhoidas suppressas multoties aperit. Mirificè verò & immoderatas sanguinis excretiones cohibere consueuit. Succurrat enim memoriæ quòd mixta variáque ipsius facultas, quam in superioribus sumus interpretati, ideo alia diffundens extenuánsque cogat ex- F cerni, alia ob natiuæ facultatis imbecillitatem superfluè excreta, viribus partium confirmatis soleat inhibere. Quinetiam podagricos, omnésque articulorum fluxionibus tentatos tunc potissimum adiuuat, quum augmenti tempus præterierit, & vigoris status accesserit. Nam dolores epithematis lenientibus mitigans medicamentum propi-

propinabis, vt fluxiones cohibeat; quippe hoc antidotum iam infarctas digerit, & alias inuehi prohibet. Maximè verò prodest quum quis sanus frequenter id assumit, nam humorum superflua consumit, & totam compagem alterat. Alia verò medicamenta, quæ podagrici in morbi propulsionem bibunt, ad pedes quidem fluxionem ferri vetant, sed huius superfluitatem non discutientia, maiorem quendam morbum faciunt. Nam fluxione per corpus oberrante, pulmo qui semper ob respirandi necessitatem mouetur, ac propter corporis sui raritatem ad illam excipiendam facilis, totam ipse ad se trahens, ita hominem suffocat, quod ego in multis contemplatus experientia didici, atque huius rei gratia omnino ab hisce medicamentis bibendis abstinere consuluerim. Theriaca verò in talibus vti etiam vehementer adhortor; etenim humorum superfluitates exiccans iuuat, & alias colligi non permittit. Plerique igitur initiò assiduè hac vsi potione, in totum ab affectu liberati sunt; atque hac, opinor, ratione etiam hydero laborantes, multum sæpe adiuuit, dum superuacaneum humorem absumeret, & insitum calorem perfrigeratum facultate calefaceret, præsertim hydropas, quos anasarcas & leucophlegmatias appellant, insigniter adiuuare consueuit, in totum sese corpus distribuens, & vndequaque carnium humiditatem exprimens. Quapropter etiam prauo corporis habitui, cachexiam dicunt, optimum est remedium, vt quæ corporis habitum coagmentet, superflua discutiat, naturam ad naturales functiones fortiter obeundas præparet. Hoc auxilij modo etiam elephanticis crebrò succurrimus, nam quum multus rheumaticus humor sit corruptus, cuius vis totam corporis molem putrefaciat, antidotum morbum solet euincere, dum rheumatismos sistit, & sanguinis fieri corruptionem prohibet. Ad hæc, tetanicos conuulsos haud rarò persanauit, neruos calefaciens, & tensiones ipsorum laxans; quemadmodum etiam partium paralyses sæpe curans, spiritu recreato, in naturalem statum reduxit, & motus obeundos partibus reddidit. Mirari verò antidotum licet, quum non modò ipsum corpus ægrotum sanare conspiciamus, sed etiam animo sæpe affectibus obnoxio posse auxiliari; quippe vitia ex melancholia oborta sedat hoc medicamentum continuò exhibitum, ceu exhauriens exugénsque atram ex vasis & liene bilem, sicut & bestiarum virus; quare ad febrem quartanam potissimum pulchrè conuenit. Siquidem febris hæc ab atra bile oborta, promptè antidoto tollitur, præsertim siquis artificiosè ipso vtatur. Ego igitur multos quartana laborantes, hoc præsidio vsus facilè à morbo vindicaui; nam vomitu priùs à ientaculo ipsos vacuans, deinde sequenti die absinthij succum exhibens, vt bilis edulcescat contemperetúrque, ita horis duabus ante accessionem antidotum exhibeo, ac mirificè ipsum frequenter vidi proficere, vt protinus qui caperet, sine morbi accessione maneret.

A μάκου, ἵνα ἐπέχηται τὰ ῥεύματα. ἐξαναλίσκει γὰρ ἡ ἀντίδοτος τὰ ἤδη ἐπενεχθέντα, καὶ ἄλλα κωλύει φέρεσθαι. μάλιστα δὲ ὀνίνησιν ὅταν τις αὐτὴν, καὶ ὑγιαίνων συνεχῶς λαμβάνῃ, ἐκδαπανᾶται γὰρ τὰ περιττὰ τῶν ὑγρῶν, καὶ τὴν ὅλην ἀλλοιοῖ σύγκρισιν. τὰ μὲν γὰρ ἄλλα τῶν φαρμάκων, ὅσα εἰς ἀπαλλαγὴν τοῦ νοσήματος οἱ ποδαγριῶντες πίνουσι, τὴν μὲν ἐπὶ τοὺς πόδας τοῦ ῥεύματος φορὰν κωλύει γίγνεσθαι, οὐκ ἐξαναλίσκοντα δὲ τὴν περιττὴν τούτων ὑγρασίαν, ἄλλου τινὸς μείζονος νοσήματος γένεσιν ἐργάζεται. πλανωμένου γὰρ ἐν τῷ σώματι τοῦ ῥεύματος, ὁ πνεύμων ἀεὶ κινούμενος διὰ τὴν τῆς
B ἀναπνοῆς ἀνάγκην, καὶ διὰ τὸ μανὸν τοῦ σώματος δέξασθαι τὸ ῥεῦμα ῥᾳδίως δυνάμενος, τὸ πᾶν αὐτὸς ἐφ᾽ ἑαυτὸν ἕλκων, οὕτω πνίγει τὸν ἄνθρωπον, ὅπερ ἱστορικῶς ἐπὶ πολλῶν ἐγὼ τῇ πείρᾳ κατέμαθον, καὶ διὰ τοῦτο, ἀποσυμβουλεύω μηδ᾽ ὅλως πίνειν ταῦτα τὰ φάρμακα. τῇ δὲ θηριακῇ ἐν τοῖς τοιούτοις χρῆσθαι καὶ πάνυ παραινῶ· καὶ γὰρ ξηραίνουσα τὰ περιττὰ τῶν ὑγρῶν ὠφελεῖ, καὶ ἕτερα συλλέγεσθαι οὐκ ἐᾷ. πολλοὶ γοῦν ἐν ἀρχῇ συνεχῶς πίνειν ἀρξάμενοι, ἀπηλλάγησαν τελέως τοῦ πάθους, καὶ τούτῳ γε οἶμαι τῷ λόγῳ, καὶ τοὺς ὑδεριῶντας πολλάκις μεγάλως ὠφέλησεν, ἐκδαπανῶσα τὸ ἐν αὐτοῖς ὑγρὸν καὶ
C κατεψυγμένον, τὸ ἔμφυτον θερμὸν ἀναθερμαίνειν δυναμένη, καὶ μάλιστα τοὺς ἀνὰ σάρκας, καὶ λευκοφλεγματίας λεγομένους ὕδρωπας, γενναίως εἴωθεν ὠφελεῖν, εἰς ὅλον τὸ σῶμα ἀναδιδομένη, καὶ πανταχόθι ἐκθλίβουσα τὴν σαρκῶν τὴν ὑγρασίαν. διόπερ καὶ τῆς καχεξίας λεγομένης ἄριστόν ἐστι φάρμακον, μετασυγκρίνουσα τὴν ἕξιν τοῦ σώματος, καὶ τὰ μὲν περιττὰ διαφοροῦσα, τὴν δὲ φύσιν ἐνεργεῖν εὐτόνως τὰς φυσικὰς ἐνεργείας παρασκευάζειν δυναμένη. τούτῳ δὲ τῷ τρόπῳ τῆς βοηθείας, καὶ τοῖς ἐλεφαντιῶσι πολλάκις ἐπικουρεῖν πέφυκε. πολλοῦ γὰρ ὄντος τοῦ διεφθορότος ῥεύματος, καὶ σηπούσης τῆς τούτου δυνάμεως
D τὴν ὅλην σύγκρισιν, ἐκνικᾶν εἴωθεν ἡ ἀντίδοτος τὸ νόσημα, ἐπέχουσα μὲν τοὺς ῥευματισμοὺς, κωλύουσα δὲ τὴν διαφθορὰν γίγνεσθαι τοῦ αἵματος. τοὺς δὲ τετανικῶς σπωμένους, καὶ αὐτοὺς πολλάκις ἐθεράπευσε, θερμαίνουσα τὰ νεῦρα, καὶ τὰς τάσεις αὐτῶν χαλῶσα, ὥσπερ δὴ καὶ τὰς παραλύσεις τῶν μερῶν ἐξιωμένη πολλάκις, καὶ ἀναζωπυρεῖν ποιοῦσα, τὸ πνεῦμα εἰς τὸ κατὰ φύσιν ἤγαγε, καὶ τὰς κινήσεις τοῖς μέρεσιν ἐνεργεῖν ἀπέδωκε. θαυμάζειν δὲ ἔστι τὴν ἀντίδοτον, ὅταν μὴ μόνον αὐτὴν τὸ σῶμα πάσχον θεραπεύουσαν βλέπωμεν, ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν, πολλάκις ὑπὸ τῶν παθῶν διατιθεμένην κακῶς, ὠφε-
E λεῖν δυναμένην. τὰς γοῦν ἐκ τῆς μελαγχολίας γινομένας αὐτῇ κακώσεις, παύει διδόμενον συνεχῶς τὸ φάρμακον, ὥσπερ ἐκπῖνον καὶ ἐξαναλίσκον ἐκ τῶν ἀγγείων, καὶ ἐκ τοῦ σπληνὸς τὴν μέλαιναν χολὴν, καθάπερ καὶ τὸν ἰὸν τῶν θηρίων, διόπερ καὶ πρὸς τὸν πυρετὸν τὸν τεταρταῖον μάλιστα ἁρμόζει καλῶς. ὑπὸ γὰρ τῆς μελαίνης χολῆς γενόμενος ὁ πυρετὸς οὗτος, εὐκόλως ὑπὸ τῆς ἀντιδότου ἀπαλλάττεται, μάλιστα δ᾽ ὅταν τις αὐτῇ τεχνικῶς ᾖ χρώμενος. ἔγωγ᾽ οὖν πολλοὺς τῶν τεταρταϊζόντων τῇ ἀγωγῇ ταύτῃ χρησάμενος, ἀπήλλαξα ῥᾳδίως τοῦ νοσήματος, προκενώσας αὐτοὺς τῷ ἀπὸ δείπνου ἐμέτῳ, εἶτα τῇ ἑξῆς ἐπιδοὺς τὸν χυλὸν
F τοῦ ἀψινθίου, ἵνα ἐπιγλυκάνω καὶ κατακεράσω τὴν χολὴν, οὕτως πρὸ ὡρῶν δύο τῆς ἐπισημασίας, τὴν ἀντίδοτον δίδωμι. καὶ θαυμαστῶς οἶδα πολλάκις ἐπιτυχοῦσαν αὐτὴν, ὡς ταχέως ἀνεπισήμαντον μεῖναι τὸν λαμβάνοντα.

A

ΚΕΦΑΛΑΙΟΝ ιϛʹ.

Μεθοδικῶν ἔλεγχοις, ἄχρηστον εἶναι νομιζόντων τὸ εἰδέναι τὰς τῶν νόσων αἰτίας· καὶ πάλιν τὰ χρήσιμα τῆς θηριακῆς διεξίησι.

ΚΑὶ τὸν ὑδροφόβον δὲ, τὸ κάκιστον τῶν νοσημάτων, τοῦτο τὸ φάρμακον πολλάκις ἀπαλλάττειν εἴωθε, καὶ θαυμασίως ἀνταγωνίζεσθαι τῇ τῶν τοσούτων κακῶν συνδρομῇ. οὐ γὰρ μόνον αὐτοῖς τὸ σῶμα ξηραίνεται, καὶ σπώμενον γίνεται ἐνίοτε, καὶ πυρετὸν δριμέως ἔνδοθεν καίεται, ἀλλὰ καὶ γνώμη παρανοεῖ, καὶ τὸ χαλεπώτατον αὐτοῖς φέρει σύμπτωμα. τὸ γὰρ ὕδωρ φοβοῦνται, καὶ διὰ μὲν τὴν πολλὴν ξηρότητα τοῦ ὑγροῦ ἐπιθυμίαν ἔχουσι, καὶ τοῦ πιεῖν ἀπέχονται, διὰ δὲ τὴν παρακοπὴν, τὸ ὠφελῆσαι δυνάμενον οὐκ ἐπινοοῦσι. φεύγοντες γὰρ τὸ ὕδωρ καὶ φοβούμενοι, τῷ οἰκτίστῳ θανάτῳ ἀποθνήσκουσι κακῶς, ἐφ' ὧν μάλιστα ἐγὼ καὶ τοὺς μεθοδικοὺς τεθαύμακα, ἀχρήστους γὰρ αἰτίας πρὸς τὰς θεραπείας εἶναι λέγοντες, οὐκ οἶδ' ὅπως καὶ θεραπεύειν ποτὲ τούτους δύνανται, ἁπλοῦ τοῦ δήγματος ὄντος, καὶ ὁμοίου φαινομένου τῷ ὑπὸ τοῦ μὴ λυσσῶντος δεδηγμένῳ κυνός. τίνα γὰρ καὶ θεραπείας τρόπον αὐτοῖς ἐνδείξεται, ἀπερισκέπτως ὁρώμενον τὸ τραῦμα τοῦ σώματος, μὴ ἐξεταζομένης ὑπ' αὐτῶν τῆς ἔνδον αἰτίας οὔσης, καὶ τοῖς μὲν ὀφθαλμοῖς τοῦ μεθοδικοῦ μὴ ὁρωμένης, ὑπὸ δὲ τοῦ λογικοῦ ἰατροῦ μόνῳ τῷ λογισμῷ, καὶ τῇ ἐξετάσει, ἀκριβῶς ἐξευρισκομένης; διὸ καὶ ὁ μεθοδικῷ θεραπεύοντι κακῶς ἐμπεσὼν ἄθλιος, ὥσπερ ἀλόγῳ τινὶ καὶ αὐτῷ ὄντι θηρίῳ, πάντως τεθνήξεται, ἀκολούθως ἀπολλύμενος αὐτοῦ τῇ αἱρέσει, ἐπεὶ διὰ τὴν ἀκολουθίαν τοῦ δόγματος ἐξετάζειν τὴν αἰτίαν οὐ βούλεται. ὁ δὲ εὐτυχῶς τῷ μετὰ λόγου θεραπεύοντι προσελθὼν, οὔτε τοῖς οὕτω πονηροῖς συμπτώμασιν ἁλώσεται ῥᾳδίως, καὶ τὸν θάνατον ἐκφεύξεται διὰ τὴν τοῦ λογικοῦ ἰατροῦ τέχνην. παραλαβὼν γὰρ αὐτὸν ὁ τοιοῦτος ἰατρὸς, εὐθέως ἀκριβῶς ἐξετάσει, ὁποῖός τις ἦν αὐτὸν ὁ κατεδηδοκὼς κύων. εἰ γὰρ ἀκούσεις ὅτι ἰσχνὸς μὲν καὶ κατάξηρος τῷ σώματι, καὶ τοῖς ὄμμασιν ἐξέρυθρος, καὶ τὴν οὐρὰν παρειμένος, καὶ τὸν ἀφρὸν ἐκ τοῦ στόματος ἔχων ῥέοντα, μάθοις δὲ ὅτι καὶ τὴν γλῶτταν ἔξω εἶχε προβεβλημένην, καὶ ὥσπερ χολὴν κεχρωσμένην, ἐμπίπτων τε τοῖς ἐντυγχάνουσι, καὶ ἀλόγως τρέχων, εἶτα πάλιν αἰφνίδιον ἑστάναι θέλων, καὶ δάκνων μετ' ὀργῆς τινος μανικωτέρας ἀπροοράτους αὐτοὺς γινομένους, εἰ ταῦτα ἀκούσῃς οὕτως ἔχοντα, εὐθέως μὲν συνήσεις λυττῶντα γεγονέναι τὸν κύνα. θεραπεύσεις δὲ οὐχ ἁπλῶς οὕτως, ὥσπερ ὁ μεθοδικὸς τὸ τραῦμα, ἀλλ' εὐθέως μὲν αὐτὸ καὶ μεῖζον ἐργάσῃ, περιτεμὼν τὴν σάρκα, ἐκ πολλοῦ τοῦ διαστήματος, καὶ κυκλοτερὲς αὐτοῦ τὸ σχῆμα ποιῶν, ἵνα μὴ ῥᾳδίως ἐπουλωθῆναι δύνηται, ἀλλ' ἔχῃ ἀνεῳγότα τὸν πόρον, εἰς πολὺ τοῦ χρόνου τὸ μῆκος τοὐλάχιστον εἰς τὰς τετταράκοντα ἡμέρας, καὶ ἐξέλθοι διὰ τούτου ἰὸς τοῦ κυνός. καυτηρίοις γοῦν εἰώθαμεν πάνυ πεπυρακτωμένοις ἐπικαίειν τὸν τόπον, καὶ κεχρῆσθαι τοῖς ἄλλοις φαρμάκοις ὅσα ἐπισπαστικά ἐστι, καὶ ἔνδον τῆς σαρκὸς τὸν ἰὸν μένειν οὐκ ἐᾷ. ἐγὼ δὲ ἐπινοήσας ποτὲ, καὶ τὴν ἀντίδοτον αὐτὴν ἀνῆκα τῷ ἀπὸ τῶν ῥόδων σκευαζομένῳ ἐλαίῳ, καὶ ὥς τι φάρμακον ἔμμοτον ἐπέθηκα τῷ τραύματι, ἵνα ὥσπερ τις σικύα ἐκμυζήσῃ, καὶ ἐκ τοῦ βάθους ἐπισπάσηται τὸ διαφθεῖραι δυνάμενον, καὶ ὅλως, καθάπερ τι παιώνιον φάρμακον ἡ θηριακὴ, καὶ ἔξωθεν ἐπιτιθεμένη, καὶ πινομένη, τοῖς λυσσοδήκτοις ἀκριβῶς βοηθεῖ. ἐφάνη δὲ ἡμῖν ἡ

CAPVT XVI.

Methodicorum reprehensio, qui morborum causas noscere superuacuum arbitrantur: & inde reliqua theriacæ remedia.

HYdrophobiam, id est, *aquæ metum*, morborum pessimum, hoc medicamentum sæpe tollere consueuit, & mirabiliter tantorum malorum concursui resistere. Non enim corpus duntaxat ipsis inarescit, & conuellitur in-
B terdum, febreque acri intus vritur, sed animus etiam delirat, & grauissimum ipsis adfert symptoma. Quippe aquam timent, ac propter multam siccitatem humidi tenentur desiderio, & à potu abstinent, quia mente alienati, id quod auxiliari possit, considerare nequeunt, fugientes enim aquam, pauentésque, miserrimo mortis genere intereunt, in quibus potissimùm methodicos sum demiratus, qui causas ad curationem esse inutiles dicunt; haud enim scio quomodo his queant mederi, quum simplex morsus existit, & similis à non rabioso cane illato apparet; quem enim curationis mo-
C dum ipsis indicabit vulnus corporis obiter inspectum, nec interiore causa ab eis examinata, nec ipsorum oculis animaduersa, à rationali autem medico sola ratione, & diligenti examine adinuenta? Quamobrem qui in methodicum malè curantem inciderit miser, ceu irrationalem quandam & ipsum bestiam existentem, omnino moriturus est, meritò per illius sectam occumbens, quoniam ob dogmatis sequelam, causam inquirere non dignatur. Qui verò in rationalem medicum feliciter inciderit, neque tam prauis symptomatis facilè corripietur,
D & mortem propter rationalis medici artificium euadet. Nam huiusmodi medicus eo qui commorsus est suscepto, statim accuratè perquiret qualisnam canis fuerit qui ipsum momordit. Si enim audieris gracilem corpore, siccum, oculis rubentibus, cauda demissa, spuma ex ore fluente, præterea lingua foras porrecta, & tanquam bile colorata, obuium quemque insiliisse, citráque rationem cucurrisse, deinde rursus subitò consistentem, cum ira quadam magis furenti, non ipsi præuisos momordisse; hæc, inquam, si in eo sic habere audieris, statim ra-
E bidum canem fuisse intelliges. Itaque vulnus haud simpliciter, quemadmodum methodicus, curabis, sed confestim ipsum etiam ampliùs efficies, carne multo interuallo orbiculari figura præcisa, ne facilè ad cicatricem perueniat; sed foramen diu, minimum quadraginta diebus patescat, vt per hoc canis virus emanet. Cauteriis igitur admodum candentibus locum adurere solemus, & aliis vti medicamentis, quæ extrahendi vim obtinent, nec virus intra carnem manere sinunt. Ego autem considerans aliquando antidotum ipsum oleo ex rosis confecto dilui, & ceu medicamentum, *linteolis concerptis*
F *excipitur* (emmotum, id est, *linamentum*) in vulnus indidi, vt cucurbitulæ cuiusdam modo exugeret, & ex alto, quod corrumpendo corpori erat, extraheret. In summa, theriace & extrinsecus imposita, & epota rabiosorum morsibus præsentanei medicamenti cuiusdam instar exactè opitulatur. Cæterùm nobis etiam in pestifera

fera lue solùm hoc antidotum malo correptis prodesse adeo visum est, vt nullum aliud præsidium tanto malo resistere fuerit idoneum. Nanque pestis, tanquam & ipsa existat quædam bellua, haud paucos aliquos, verùm ciuitates quoque totas depascens, malè conficit. Quippe praua quædam aëris ad corruptionem prompta mutatio efficitur, & homines quum respirationis necessitate periculum euitare nequeant, ipsum aërem veluti venenum quoddam ad se per os attrahunt. Quamobrem etiam Hippocratem illum multis modis admirandum laudo, qui pestem illam ex Æthiopia Græcos inuadentem non aliter curauerit, quàm aëris mutatione alterationéque, ne talis ampliùs inspiraretur. Quum igitur ignem per totam *Athenarum* vrbem incendi iussisset, non simplicem accensionis materiam, verùm serta florésque suauissimos alimentum ipsius esse consuluit, vnguentáque pinguissima & odorifera ipsis superfundi, vt aërem purum hoc modo redditum, homines in mali subsidium respirarent. Simili ratione theriacen, ceu ipsa quoque ignis quidam purgatorius existat, præsumentes in pestifero *aëris* statu, neutiquam malo corripi sinere nouimus, corruptis iam posse mederi, aëris inspirati malitiam inalterantem, mutantémque, vt quæ compagem infici magis prohibeat. Quapropter consilium tibi do, vt ob has tam repentinas aëris constitutiones, aliásque noxarum causas oborientes, in prospera quoque valetudine crebrò antidotum assumas, quò & externis accidentibus corpus resistat, ac vbi iam fuerit affectum, illud inuenias propitium: Hoc enim veluti bonam quandam temperiem salubrémque statum corporibus inducit, dum humorum superfluitates absumit, partes perfrictionibus emortuas recalefacit, & insitam facultatem naturæ functionibus probè obeundis corroborat. Quum enim natura valida est, tunc etiam sine impedimento ventriculus cibos concoquit, ac venæ ipsos promptè in sanguinem redigunt, iecur bilem ex facili secernit, cor purum sanguinem suscipiens, vniuerso deinde, vt iam nutrire queat, corpori transmittit, excretiones ipsas moderatè molitur, recrementa corporis per totam respirationem salubriter discutit. Maximè verò in peregrinationibus antidoti potionem consuluerim, quum in frigido aëre per hyemem iter aggrederis. Erit enim ceu salubre quoddam viscerum indumentum, & multum calorem præbere ipsis idoneum. Iam verò ad animi prudentiam aciémque non esse inefficacem pernoui; quippe sensus validè suo fungi munere efficit, mentémque vaporibus liberatam, subtiliorem reddit. Breuiter, totum corpus ita ab iniuriis securum facit, vt ne à deleterio quodam possit infici. Nam varia & tantæ mixtionis medicamenti facultas, eiusmodi firmitatem producit, præsertim quum bestiarum mixtura constat. Proditur enim Mithridatem magnum illum bellatorem, non theriacam, vt quæ necdum esset, sed aliud antidotum variis quoque mixtionibus compositum, ipsiúsque dictum nomine (Mithridatium enim appellatur) præsumentem, ob firmam corporis constitutionem ex illo præparatum, non potuisse veneno poto interire. Quum enim bellum aduersus Romanos gerens, à Pompeio

A ἀντίδοτος αὕτη, καὶ ἐν ταῖς λοιμικαῖς καταστάσεσι, μόνη τοῖς ἁλισκομένοις βοηθεῖν δυναμένη, μηδενὸς ἄλλου βοηθήματος τῷ μεγέθει τοῦ κακοῦ ἀντιστῆναι οὕτως πεφυκότος. ὥσπερ γάρ τι θηρίον καὶ αὐτὸς ὁ λοιμὸς, οὐκ ὀλίγους τινὰς, ἀλλὰ καὶ πόλεις ὅλας ἐπινεμόμενος, διαφθείρει κακῶς· τροπῆς τινος μοχθηρᾶς εἰς τὸ διαφθείρειν δύνασθαι περὶ τὸν ἀέρα γιγνομένης, καὶ τῶν ἀνθρώπων τῇ τῆς ἀναπνοῆς ἀνάγκῃ τὸ δεινὸν φεύγειν μὴ δυναμένων, ἀλλὰ αὐτὸν εἰς αὑτοὺς, ὥσπερ τι δηλητήριον διὰ στόματος ἑλκόντων τὸν ἀέρα. διόπερ ἐπαινῶ καὶ τὸν θαυμασιώτατον Ἱπποκράτην, ὅτι τὸν λοιμὸν ἐκεῖνον τὸν ἐκ τῆς Αἰθιοπίας εἰς τοὺς Ἕλ-
B ληνας φθάσαντα, οὐκ ἄλλως ἐθεράπευσεν, ἀλλ' ἢ τρέψας τὸν ἀέρα, καὶ ἀλλοιώσας, ἵνα μηκέτι τοιοῦτος ὢν ἀναπνέηται. κελεύσας οὖν ἀνὰ τὴν πόλιν ὅλην ἐξάπτεσθαι τὸ πῦρ, οὐχ ἁπλῆν τῆς ἀνάψεως τὴν ὕλην ἔχον, ἀλλὰ στεφάνων τε καὶ τῶν ἀνθῶν τὰ εὐωδέστατα, τοιαῦτα συνεβούλευσεν εἶναι τοῦ πυρὸς τὴν τροφὴν, καὶ ἐπιχεῖσθαι αὐτῇ τῶν μύρων τὰ λιπαρώτατα, καὶ ἡδίστην τὴν ὀσμὴν ἔχοντα, ἵν' οὕτω καθαρὸν γιγνόμενον, οἱ ἄνθρωποι ἀναπνεύσωσιν εἰς τὴν ἀπαλλαγὴν τὸν ἀέρα. τὸν αὐτὸν τρόπον, νομίζω καὶ τὴν θηριακὴν, ὥσπερ τι καὶ αὐτὴν οὖσαν πῦρ καθάρσιον, τοὺς μὲν προπίνοντας αὐτὴν ἐν τῇ λοιμικῇ καταστάσει, μηδ' ὅλως
C ἐᾶν ἁλίσκεσθαι τῷ κακῷ, τοὺς δὲ ἤδη φθάσαντας παθεῖν, ἐξιᾶσθαι δύνασθαι, ἀλλοιοῦσαν καὶ τρέπουσαν τὴν τοῦ ἀναπνευσθέντος ἀέρος πονηρίαν, καὶ μηκέτ' ἐῶσαν διαφθείρειν τὴν σύγκρισιν. διόπερ ἐγὼ συμβουλεύω σοι, καὶ διὰ ταύτας μὲν τὰς οὕτω γιγνομένας ἀφνιδίους περὶ τὸν ἀέρα καταστάσεις, καὶ διὰ τὰς ἄλλας τῶν βλαπτόντων αἰτίας λαμβάνειν τῆς ἀντιδότου συνεχῶς, καὶ ὑγιαίνοντι, ἵνα καὶ τοῖς ἔξωθεν προσπίπτουσιν ἀνθίσταταί σοι τὸ σῶμα, καὶ ὅταν ἤδη πάθῃ, εὐίατον εὕρῃς. αὕτη γὰρ, ὡς εὐκρασίαν τινὰ καὶ ὑγιεινὴν κατάστασιν περιποιεῖ τοῖς σώμασιν, ἀναλίσκουσα τὰ περιττώματα τῶν ὑγρῶν, καὶ ἀναθερμαίνουσα τὰ κατεψυγ-
D μένα τῶν μερῶν, καὶ τὴν ἔμφυτον δύναμιν τονοῦσα, πρὸς τὸ τὰς φυσικὰς ἐνεργείας ἐκτελεῖσθαι καλῶς. ὅταν γὰρ ἡ φύσις εὐρώστως ἔχῃ, τότε καὶ ἀνεμποδίστως ἡ κοιλία πέσσει τὰς τροφὰς, καὶ αἱ φλέβες ἐξαιματοῦσιν αὐτὰς εὐχερῶς, καὶ τὸ ἧπαρ ῥᾳδίως διακρίνει τὴν χολὴν, καὶ καθαρὸν παραλαβοῦσα ἡ καρδία τὸ αἷμα, ὅλῳ λοιπὸν, ὡς ἤδη τρέφειν δυνάμενον ἐπιπέμπει τῷ σώματι, τάς τε ἀποκρίσεις καὶ αὐτὰς ἀποδίδοσθαι συμμέτρως ποιεῖ, καὶ τὰ περιττὰ τῷ σώματι, δι' ὅλης τῆς ἀναπνοῆς ὑγιεινῶς διαφορεῖ. μάλιστα δὲ ἐν ταῖς ὁδοιπορίαις συμβουλεύω σοι τῆς ἀντιδότου λαμβάνειν, ὁπότε ψυχροῦ ὄντος τοῦ ἀέρος χειμῶνος ὁδεύῃς. ἔσται
E γὰρ, ὥσπερ τι τῶν σπλάγχνων ἀγαθὸν ἔνδυμα, καὶ πολλὴν τὴν θερμότητα αὐτοῖς παρέχειν δυνάμενον. οἶδα δ' αὐτὴν, καὶ εἰς τὸ τῆς ψυχῆς συνετόν τε καὶ ὀξύτητα μὴ οὖσαν ἀσύμβολον. τάς τε γὰρ αἰσθήσεις ἐνεργεῖν εὐτόνως ἀπεργάζεται, καὶ καθαρὸν τῶν ἀναθυμιάσεων ἀποφαίνουσα τὸν νοῦν, ἀκριβέστερον αὐτὸν διακεῖσθαι ποιεῖ. συνελόντι δ' εἰπεῖν, ὅλον δυσπαθὲς εἶναι τὸ σῶμα κατασκευάζει, ὡς μηδὲ ὑπὸ δηλητηρίου τινὸς διαφθείρεσθαι. ἡ γὰρ ποικίλη καὶ τοσαύτη τῆς μίξεως τοῦ φαρμάκου δύναμις, τὴν τοιαύτην δυσπάθειαν ἀποτελεῖ, καὶ μάλιστα ἐπεὶ τὸ τῶν θηρίων ἔχει μίγμα. φασὶ γὰρ καὶ τὸν Μιθριδάτην ἐκεῖνον τὸν μέγαν πο-
F λεμιστὴν, τὴν μὲν θηριακὴν μὴ λαμβάνοντα, οὐδέπω γὰρ ἦν, ἄλλην δ' ἀντίδοτον λαμβάνοντα πολυμιγματόν τινα, καὶ αὐτὴν τῷ ἐκείνου ὀνόματι οὕτω καλουμένην, Μιθριδάτειος γὰρ ὀνομάζεται, διὰ τὴν ἐξ αὐτῆς κατασκευασμένην τῷ σώματι δυσπάθειαν, μὴ δυνηθῆναι λαβόντα τὸ φάρμακον ἀποθανεῖν. ὁπότε γὰρ πολεμῶν πρὸς τοὺς Ῥωμαίους, ὑπὸ τοῦ Πομπηΐου

νικώμενος, καὶ ἐν τοῖς ἐσχάτοις ὤν, ὑπὸ τοῦ φαρμάκου τοῦ ἰοῦ, δρόσος ἀποθανεῖν ἠπείγετο, πιὼν τὸ φάρμακον, καὶ πολύ γε αὐτοῦ λαβών, αὐτὸς μὲν οὐκ ἀπέθνησκε, τὰς δὲ θυγατέρας πάνυ βουληθείσας αὐτῷ διὰ τὴν φιλοστοργίαν συναποθανεῖν, πιούσας τὸ αὐτὸ φάρμακον ταχέως ἀποκτεῖναι, εἶθ᾽ ὡς ἐβράδυνε μὴ ἀποθνήσκων, τοῦ φαρμάκου, δι᾽ ἣν προέπινεν ἀντίδοτον, μηδὲν ἰσχῦσαι δυναμένου, καλέσας Βιστοκον τοὔνομα τῶν φίλων αὐτοῦ ἕνα, ἐκέλευσεν αὐτὸν ἀποσφάξαι, καὶ οὕτω ποιήσας τῷ σιδήρῳ τοῦ φαρμάκου γενέσθαι τὸ ἔργον, ἀποθανεῖν αὐτὸν βιαίως ἠνάγκασεν.

A victus, in extremis medicamenti veneno sanus mori cogeretur, medicamento epoto, eóque copioso, ipse quidem non interiit; filiæ autem ob eximium erga patrem amorem, cum eo mortem volentes oppetere, eiusdem medicamenti potu subitò conciderunt; deinde quum mortem ille obire statim non posset, veneno propter antidotum præsumptum inefficace, vocato quodam ipsius amico nomine Bistoco, iniunxit, ipsum iugularet; atque sic medicamenti opus ferro absoluens, mori ipsum violenter coëgit.

B

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Πόσον, καὶ πότε καὶ ὑφ᾽ ὧν ληπτέον τὴν θηριακήν.

Ὁρᾷς οὖν ὅπως τὰ πολυμιγῆ τῶν φαρμάκων πολλὴν τὴν ἰσχὺν πρὸς τὸ ποιῆσαι τὴν δυσπάθειαν ἔχει, καὶ μάλιστα ἡ θηριακή, διὰ τὴν τοσαύτην δύναμιν, ὡς ἔφην, τῶν θηρίων. λαμβάνειν δέ σοι τὸ φάρμακον συμβουλεύω, ὅταν εὔπεπτος ᾖς, καὶ σιτίων μὴ πλήρης, καὶ τῷ μέτρῳ δὲ ἄλλοτε ἄλλως χρώμενος, εὖ ποιήσεις. ποτὲ μὲν γὰρ κυάμου τοῦ Αἰγυπτίου τὸ μέγεθος μετὰ κυάθων δύο ὕδατος λάμβανε, ὅταν ὀλίγον ᾖ τὸ μέλλον αὐτῆς πρὸς τὴν πέψιν γίνεσθαι διάστημα. ποτὲ δὲ καρύου Ποντικοῦ τὸ μέγεθος πίῃς, καὶ ἀνιεὶς κυάθοις τρισίν, οὕτως αὐτὸ πίνε, ὅταν πλείονα πρὸς τὴν διοίκησιν τοῦ φαρμάκου τὸν χρόνον ἔχῃς. ἐπίβλεπε δὲ ἅμα καὶ τὴν ὥραν, καὶ τὴν χώραν, ἐν αἷς μέλλεις λαμβάνειν τοῦ φαρμάκου. θέρους μὲν γὰρ ὅταν ᾖ, οὐδ᾽ ὅλως αὐτό σοι συμβουλεύω λαμβάνειν. θερμοῦ γὰρ ὄντος τοῦ καταστήματος, ἔτι καὶ μᾶλλον θερμότερον γιγνόμενον, βλάπτεται τὸ σῶμα, καὶ τοῦτό γε συνιδὼν ὁ θαυμασιώτατος Ἱπποκράτης, τὰς περὶ κύνα, καὶ πρὸ κυνὸς φαρμακίας, ἐργώδεας εἶναι λέγει. πυρετὸν γὰρ ὁ καιρὸς, ὡς ἐπὶ τὸ πλεῖστον, τοῖς ἀνθρώποις φέρει. διόπερ καὶ τοῖς ἀκμάζουσι τὴν ἡλικίαν, καὶ πολλὴν ἔχουσι τὴν φυσικὴν θερμότητα, μὴ πολὺ, μηδὲ πολλάκις προσφέρεσθαι τὸ φάρμακον παραινῶ. ὥσπερ γε τοῖς ἤδη τοῦ βίου τὴν παρακμὴν ἔχουσι, καὶ πλεῖον, καὶ μὴ ὀλιγάκις, οὐ μετὰ ὕδατος, ἀλλὰ μετ᾽ οἴνου μᾶλλον συμβουλεύω λαμβάνειν, ἵνα τὸ μαραινόμενον ἤδη τοῦ σώματος, καὶ τὸ ἀποσβεσμένον τοῦ ἐμφύτου θερμοῦ, ἀναζωπυρεῖν, καὶ ἀνάπτεσθαι ὑπ᾽ αὐτοῦ δύνηται. ἐπὶ δὲ τῶν παιδίων, παντάπασι δεῖ φυλάττεσθαι τὸ φάρμακον. μεῖζον γάρ ἐστιν αὐτῆς τῆς δυνάμεως τὸ μέγεθος τοῦ φαρμάκου, καὶ διαλύει ῥᾳδίως τὸ σῶμα, καὶ τὸ ἔμφυτον πνεῦμα ταχέως σβέννυσιν. ὥσπερ δὴ καὶ τὴν λυχνιαίαν φλόγα, τὸ ἔλαιον, τοῦ πυρὸς πλέον γενόμενον, εὐκόλως ἀποσβέννυσιν. ἐγὼ γοῦν ἱστόρησα διαλυθέν ποτε παιδίον ὑπὸ τῆς ἀκαίρου τῆς ἀντιδότου χρήσεως. τὸ μὲν γὰρ ἐπύρεττε χρονίως, καὶ ἦν ἰσχνὸν αὐτῷ πάνυ τὸ σῶμα, καὶ τὴν δύναμιν ἀσθενές, μόλις δὲ καὶ διὰ πολλῆς ἐπιμελείας διαζῆν δυνάμενον, ὅπερ ἐγὼ συνορῶν ἐκ τοῦ ἰατρικοῦ λογισμοῦ, καὶ πάνυ διεκώλυον αὐτῷ δίδοσθαι τοῦ φαρμάκου. κηδόμενος γάρ τις αὐτοῦ, καὶ πατὴρ εἶναι δῆθεν λέγων, καὶ τυραννικὴν ἐξουσίαν τοῦ κελεύειν ἔχων μᾶλλον, ἤπερ τὴν ἐκ τοῦ λόγου συμβουλίαν ἀκούων, ἀλόγως καὶ μετὰ πολλῆς ἀνάγκης, ἐξηνάγκασέ με τοῦ φαρμάκου διδόναι τῷ παιδίῳ. τὸ δὲ ληφθὲν μὲν, οὐκ ἠδυνήθη πεφθῆναι, κρεῖττον γὰρ ἦν τῆς ἰσχύος τοῦ λαμβάνοντος· διέλυσε δὲ αὐτοῦ τὴν σύμπασαν ἕξιν,

CAPVT XVII.

Quantum, & quando & à quibus theriaca sit accipienda.

Vides igitur quantum efficaciæ ad firmam corporis habitudinem conciliandam variæ mixtionis medicamenta obtineant, & potissimum theriace, ob tantam, vt dixi, ferarum facultatem. Cæterùm medicamentum hoc meo consilio sumes proba fruitus concoctione, nec cibis repletus; mensuráque aliàs alia vtens
C rectè facies. Interdum enim fabæ Ægyptiacæ magnitudinem cum duobus aquæ cyathis capies, vbi exiguum ad concoctionem ipsius interuallum erit; interdum verò auellanæ nucis magnitudine bibes tribus cyathis temperatum, quum plus temporis ad medicamenti distributionem habiturus es. Porrò inspice & anni tempus, & regionem, vbi medicamentum assumes. Nam per æstatem neutiquam id capere consuluerim; quippe statu aëris calido, etiam ex antidoto corpus longè calidius euadens, læditur, atque hoc mirabilis ille Hippocrates considerans,
D *medicamenti exhibitiones ante caniculæ ortum, & sub ea difficiles esse tradit*, quoniam febrem hoc potissimum tempus hominibus aduehit. Quapropter & ætate florentibus, & multo naturali calore præditis, neque multum, neque sæpe exhiberi medicamentum est consilium; quemadmodum iis qui iam vita declinant, & plurimum, & crebrò, non ex aqua, sed vino magis assumi profuerit, vt corporis virtus iam emarcescens, & genuinus calor extinctus, refocillari, accendíque ipsius possit beneficio. At in pueris omnino medicamentum est vitandum; quippe cuius magnitudo illorum
E virtute maior sit, & corpus ex facili dissoluat, natiuum spiritum citò extinguat; quemadmodum sanè & lucernæ flammam oleum igne copiosius adhibitum promptè extinguit. Ego itaque ex historia memini puellum aliquando ex intempestiuo antidoti vsu dissolutum. Etenim diuturna febre laborabat, gracilis admodum corpore, & viribus imbecillis, vt qui vix multa diligentia posset superesse; quæ quum ego ex medica ratione conspicerem, etiam vehementer ipsi medicamentum dari prohibebam. Nam quidam eius curationi præfectus, qui vi-
F delicet patrem se esse diceret, & tyrannicam imperandi facultatem potius haberet, quàm ex ratione consilium audiret, temerè & violenter admodum me compulit, vt infanti medicamentum exhiberem; quod iam assumptum concoqui non potuit, fortius videlicet eius virtute qui ceperat; verùm totum ipsius habitum dissoluit, aluúmque

aluúmque fecit profluentem; atque ita propter irrationalem medicamenti vsum, noctu infans periit. Porrò si in calidiore nonnunquam verseris regione, caue medicamento vtaris, aëris caliditate illic sufficiente, qua de causa etiam hominibus sub primo Solis ortu calidissimis, & multa inde siccitate præditis medicamentum esse mihi videtur dissentaneum.

CAPVT XVIII.

De salibus theriacis.

PRæparantur & sales quidam ex his feris. Nam illorum etiam meminisse necessarium mihi visum est, vt absolutissimus hisce de rebus tibi sermo fiat. Faciunt iidem ad omnia prædicta, modicè quidem longóque temporis spatio præsidium præbere habiles; frequenti autem vsu paulatim adiuuantes; quocirca plerique ex iis qui vtuntur, vbi non velox ab eis præsidium sentiunt, nequaquam posse opitulari arbitrantur, maximè quia igne corpus ipsorum in cinerem redigitur, dicentes auxiliatrices eorum facultates per vstionem euanescere. Ego quidem affirmo sales, etsi vim theriacæ imparem habeant, non tamen omnino robur auxiliarium in eis obliterari. Multa siquidem ignis commercio redduntur meliora; interdum latentem ipsorum naturam in apertum edunt, nonnulla verò ad quem volumus vsum accommoda efficiuntur. Aurum itaque ipso igne exploratur, & adulterum, igne si accendatur arguitur, atque flamma exactè purgatum, germanum esse apparet. Iam ferrum igne mollescit, & flexum nobis ad multos vitæ vsus habile esse videtur. Nunquid etiam plurima quæ in corpus ingeruntur, nutriendis nobis ignis beneficio redduntur idonea? Panis siquidem, & reliquorum animalium & piscium carnes crudæ adhuc, appetitus vsui sunt inutiles, coctæ, tunc etiam corporum alimenta fiunt. Iam vinum ipsum statim ab vuis expressum, crudum incoctúmque est; Solis autem æstu coctum, tunc & suauissimum & maximè potabile redditur. Porrò multa in arte medicamenta quandiu veterem ipsorum naturam retinent, acerrima esse, & corporibus inimica, experientia docet; domita verò ignis necessitate, curationi fiunt congrua. Itaque chalcitis, cruda quidem corpora contingens, facilè crustas excitat; tosta verò, cicatricem vlceribus inducit. Item lapis phrygius crudus, acerrimus est; ignitus autem, & cum aliis quibusdam tritus, præsens fit oculorum remedium. Spongiæ vstæ cinis, sanguinis fluxionem potenter inhibet; idem mihi etiam in theriacis salibus fieri apparet. Omnia enim simul vsta, ac integræ accensæ bestiæ; prauam vim corporibus inditam ex vstione deponunt, & ab igne auxilij symmetriam sortiuntur. Peculiariter autem & maximè sales medentur affectibus summa in cute obortis, leucis dico, lepris, impetiginíque agresti; nam superfluitates cutis subditas acrésque potissimùm discutiunt. Plurimi igitur ipsos manducantes, sudoribus largiter diffluentes, corruptam vacuant substantiam, vt pediculos quoque vocatos quosdam eiiciant, ex corruptio-

A καὶ τὴν γαστέρα ῥεῖν ἐποίησε, καὶ οὕτω διὰ τὴν ἄλογον τοῦ φαρμάκου χρῆσιν, νύκτωρ ἀπώλετο τὸ παιδίον. εἰ δέ ποτε καὶ ἐν θερμοτέρᾳ χώρᾳ διατρίβων εἴης, φυλάττου χρῆσθαι τῷ φαρμάκῳ, ἀρκούσης σοι τῆς ἐκεῖ τοῦ ἀέρος θερμότητος, διόπερ καὶ τοῖς ὑπὸ τῆς πρώτης ἀνατολῆς τοῦ ἡλίου ἀνθρώποις θερμοτάτοις οὖσι, καὶ πολλὴν ἔχουσι τὴν ἐκεῖθεν ξηρότητα, ἀκατάλληλον εἶναι μοι δοκεῖ τὸ φάρμακον.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

B *Περὶ ἁλῶν θηριακῶν.*

ΣΚευάζονται δέ τινες διὰ τῶν θηρίων τούτων καὶ ἅλες. ἀναγκαῖον γὰρ ἔδοξέ μοι καὶ τῶν ἁλῶν μνημονεῦσαι, ἵνα τελειότατος ὁ περὶ τούτων σοι λόγος γένηται, ποιοῦσι καὶ αὐτοὶ πρὸς πάντα τὰ προειρημένα, μετρίως μὲν καὶ χρόνῳ πολλῷ τὸ χρήσιμον παρέχειν δυνάμενοι. τὸ δὲ συνεχὲς τῆς χρήσεως, κατ' ὀλίγον τὴν ὠφέλειαν ποιούμενοι. διόπερ δὴ καὶ πολλοὶ τῶν χρωμένων, τὴν συναίσθησιν τῆς ἀπ' αὐτῶν βοηθείας ταχεῖαν οὐκ ἔχοντες, τὴν ἀρχὴν οὐδ' ὅλως βοηθεῖν δύνασθαι νομίζουσι, μάλιστα ἐπειδὴ, καὶ τῷ πυρὶ, σποδὸς αὐτῶν τὸ σῶμα γί-
C γνεται, ἐξαφανίζεσθαι λέγοντες τῇ καύσει τὴν πρὸς τὸ ἐπικουρεῖν δύναμιν αὐτῶν. ἐγὼ μὲν φημι, τὴν μὲν δύναμιν, αὐτὴν τῇ θηριακῇ μὴ ἔχειν τοὺς ἅλας, μὴ μέντοι τελέως αὐτῶν ἐξαφανίζεσθαι τὴν ἐπικουρικὴν ἰσχύν. πολλὰ γὰρ τὸ πυρὶ ὁμιλεῖν ἀποφαίνει κρείττονα, καί ποτε μὲν καὶ κρυπτομένην αὐτῶν τὴν φύσιν εἰς τὸ φανερὸν ἄγει. τινὰ δὲ καὶ πρὸς ἣν βουλόμεθα χρείαν, εὐαρμόστως ἔχειν παρασκευάζει. ὁ γοῦν χρυσὸς ὑφ' ἡμῶν δι' αὐτοῦ κρίνεται, καὶ ὁ μὲν κίβδηλος, πυρωθεὶς ἐλέγχεται. ὁ δὲ ἐν τῷ πυρὶ διὰ καθαρθεὶς ἀκριβῶς, δόκιμος εἶναι φαίνεται. καὶ ὁ σίδηρος πυρρούμενος μαλάττεται, καὶ καμπτόμενος ὑφ' ἡμῶν, εὔχρηστος
D εἶναι πρὸς πολλὰ τῶν ἐν τῷ βίῳ φαίνεται. οὐχὶ δὲ καὶ τῶν προσφερομένων τὰ πλεῖστα, πρὸς τὸ θρέφειν ἡμᾶς, διὰ τὸ πῦρ κατάλληλα γίγνεται; ἄρτος γέ τοι καὶ τῶν κρεῶν, καὶ τῶν ἰχθύων αἱ σάρκες, ὠμὰ μὲν ὄντα πρὸς τὴν χρείαν τῆς ὀρέξεως, ἄχρηστά ἐστιν, ὀπτηθέντα δὲ, τότε γίγνονται καὶ τῶν σωμάτων τροφαί. ὁ δὲ οἶνος, καὶ αὐτὸς, εὐθέως μὲν καὶ ἀπὸ τῶν βοτρύων ἐκθλιβεὶς, ὠμὸς καὶ ἄπεπτός ἐστιν, πεφθεὶς δὲ τῷ τοῦ ἡλίου πυρὶ, τότε καὶ ἥδιστος, καὶ ποτιμώτατος γίγνεται. ὅταν δὲ πολλὰ καὶ τῶν ἐν τῇ τέχνῃ φαρμάκων, τὴν ἀρχαίαν ἑαυτῶν φύσιν ἔχοντα, δριμύτατά τε ἐστι, καὶ πολέμια τοῖς σώμασιν, ἡ πεῖρα διδάσκει. κολασθέντα δὲ τῇ τοῦ πυρὸς ἀνάγκῃ,
E εὔχρηστα πρὸς θεραπείαν γίγνεται. ἡ γοῦν χαλκῖτις, ὠμὴ μὲν, καίει τὰ σώματα, καὶ ῥᾳδίως τὰς ἐσχάρας ἀπεργάζεται, ὀπτηθεῖσα δὲ, ἐπουλοῖ τὰ ἕλκη· καὶ ὁ ἀπὸ τῆς Φρυγίας λίθος, ὠμὸς μὲν ὢν, δριμύτατός ἐστιν, ἀνθρακούμενος δὲ καὶ λειούμενος μεθ' ἑτέρων τινῶν, ἀγαθὸν γίγνεται τῶν ὀφθαλμῶν φάρμακον. ἡ δὲ ἀπὸ τοῦ καιομένου σπόγγου γιγνομένη σποδὸς, καρτερῶς τὰς αἱμορραγίας εἴωθεν ἐπέχειν. τὸ αὐτὸ μοι δοκεῖ, καὶ ἐπὶ τῶν θηριακῶν ἁλῶν γίγνεσθαι νομίζειν. πάντα γὰρ ὁμοῦ καιόμενα, καὶ ὁλόκληρα συναπτόμενα τὰ θηρία, τὴν μὲν ὑποτεταγμένην, καὶ πονηρὰν τοῖς σώμασι δύναμιν, διὰ τῆς καύσεως ἀποτίθεται, τὴν δὲ ἀπὸ τοῦ πυρὸς πρὸς τὸ βοηθεῖν
F συμμετρίαν λαμβάνει. ἰδίως δὲ καὶ ἅλες θεραπεύουσι μάλιστα τὰ περὶ τὴν ἐπιφάνειαν γιγνόμενα πάθη, λεύκας λέγω, καὶ λέπρας, καὶ λειχῆνας τοὺς ἀγρίους· τά τε γὰρ ὑπὸ τῷ δέρματι περιττὰ καὶ δριμέα, μάλιστα διαφοροῦσιν. ἐσθίοντες γοῦν αὐτοὺς οἱ πλεῖστοι, ἱδρωτικώτεροι γίγνονται, καὶ τὴν διεφθαρμένην κενοῦσιν ὕλην, ὡς καὶ τοὺς καλουμένους φθεῖρας ἐκβάλλειν τινάς, ἐκ δια-

φθορᾶς ἰδίαν γένεσιν ἐχούσας, καὶ διὰ τοῦθ', ὡς οἶμαι, φθεῖρας καλουμένας. σμήχουσι δὲ καὶ ἄριστα τοὺς ὀδόντας, καὶ τὰ πλαδαρὰ τῶν σωμάτων πυκνοῦσι, καὶ τὸ ἐπ' αὐτοὺς ἐπιφερόμενον ἀναστέλλουσι ῥεῦμα, ἀσήπτους τε τοὺς ὀδόντας φυλάττουσι, τιτρώσκεσθαι, ἢ βιβρώσκεσθαι αὐτοὺς οὐκ ἐῶντες.

A ne propriè nascentes; quos ideo, vt autumo, phthiras appellant. Dentes optimè abstergunt, & flaccidas partes densant, fluorem ipsis illabentem reprimunt, imputres seruant, perforari aut erodi ipsos non sinunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ ἁλῶν θηριακῶν κατασκευῆς.

Γίνεται δ' αὐτῶν ἡ σκευασία τοῦτον τὸν τρόπον. πειράσομαι γάρ σοι πάλιν καὶ τούτοις σκευάζειν, τῇ ὑπογραφῇ τοῦ λόγου χρώμενος. B λαβόντα γὰρ χρὴ ἐχίδνας τοῖς προειρημέναις ὁμοίας, καὶ τῷ αὐτῷ χρόνῳ τεθηραμένας, ἔστωσαν δὲ τὸν ἀριθμὸν δ'. καὶ μὴ πλεῖον δύο ἡμερῶν μετὰ τὴν θήραν ἐχούσας, ἀλλ' εἰ δυνατὸν, αὐτῆς τῆς ἡμέρας, ἧς εἰσιν εἰλημμέναι. εἶτα τῶν ἁλῶν, καλὸν μὲν εἰ τῶν ἀμμωνιακῶν, εἰ δὲ μή γε τῶν κοινῶν, καὶ τῇ χρόᾳ λευκῶν, καὶ ἐξηφριασμένων ἠρέμα, μόδιον Ἰταλικὸν, εἶτα καὶ σὺν αὐτοῖς κόψας ἁδρομερῶς γεντιανῆς Κρητικῆς λίτραν α' S'. ἀριστολοχίας στρογγύλης λίτραν α' S'. κενταυρίου λεπτοῦ κόμης λίτρας β'. καρδαμώμου Ἀρμενιακοῦ, πρασίου, ἀνὰ Γο ς'. σκορδίου ὀρεινοῦ, σε- C λίνου, χαμαίδρυος Κρητικῆς λίτραν α'. πηγάνου ἡμέρου σπέρματος λίτραν α'. μέλιτι Ἀττικῷ ἑνώσας αὐτὰ, καὶ ἥμισυ λίτρας μέρος αὐτῶν εἰς χύτραν ἐξ ὀστράκου γεγονυῖαν κενὴν βαλὼν, εἶτα δ'. ἐχίδνας ζώσας προσεπιβαλὼν, σὺν αὐταῖς καὶ σκίλλας ἁπαλὰς, καὶ πάνυ νεαρὰς ε'. εἰς λεπτὰ κατατεμὼν, οὕτως ἐπίβαλε τὸ λοιπὸν ἥμισυ τῶν ἄλλων μέρος, καὶ πωματίσας, καὶ πηλώσας ἐπιμελῶς, τρῆσον τέσσαρσί που τρήμασιν αὐτῆς τὸ σῶμα, ἵνα δι' αὐτῶν ὁ ἀτμὸς διασημαίνῃ σοι τὸ μέτρον τῆς ὀπτήσεως. τὸ μὲν γὰρ πρῶτον φανήσεται καπνὸς ἐξιὼν, πολὺς, ζοφώδης καὶ τεθολωμένος D πάνυ, σημαίνων ὅτι τὸ πῦρ ἤδη ἅπτεται τῶν θηρίων, ὅτε σε καὶ προσέχειν ἀκριβῶς παραινῶ, μήποτε ἀναπνεύσῃς τοῦ τοιούτου καπνοῦ, κεκακωμένου τοῦ ἀέρος ὑπὸ τῆς ἀναθυμιάσεως τῶν ἐχιδνῶν. εἶθ' ὅταν παύσηται ὁ ἀτμὸς, ἀναβαλλομένην δέ τινα φλόγα λεπτὴν διὰ τῶν τρημάτων βλέπῃς, τότε νόμιζε, ὡς ἄριστα αὐτὰ ὠπτῆσθαι, καὶ οὕτω βάσταζε ἀπὸ τοῦ πυρὸς τὴν χύτραν, ψύξας ὅλην ἡμέραν τε καὶ νύκτα, εἶτα ἀνοίξας, καὶ ἀνελόμενος τοὺς ἄνθρακας, ἐπιμελῶς κόπτε καὶ σῆθε μετὰ τούτων τῶν μιγμάτων, πηγάνου ἀγρίου σπέρματος E Γο θ'. ὑσσώπου Κρητικοῦ Γο θ'. μαράθρου σπέρματος ἀγρίου Γο ς'. νάρδου Κελτικῆς, στάχυος Σκυθικοῦ, ἀνὰ Γο ς'. πετροσελίνου Μακεδονικοῦ Γο δ'. ἀμώμου βότρυος Γο γ'. ὀριγάνου Ἡρακλεωτικοῦ κορύμβων Γο θ'. ὁρμίνου σπέρματος πεφρυγμένου Γο γ'. θύμου κορύμβων Ἀττικοῦ Γο θ'. μαλαβάθρου φύλλων Ἰνδικοῦ Γο δ'. ἀρκευθίδων Λακωνικῶν σαρκὸς λίτρας β'. κρείου σπέρματος ἡμέρου Γο ς'. πεπέρεως λευκοῦ λίτρας β'. πεπέρεως μέλανος λίτρας β'. σιλφίου ῥίζης Γο ι'. ζιγγιβέρεως ἀτρήτου λίτρας β'. σατυρείου σπέρματος, ἢ ῥίζης οὐγγίας ς'. γλήχωνος ὀρεινοῦ Γο ς'. σεσέλεως Μασσαλεωτικοῦ πυρροειδοῦς Γο ς'. τορδύλου ὀρεινοῦ σπέρματος Γο ς'. ἡδυόσμου Γο ς'. κασσίας F τῆς καλλίστης Γο β'. κινναμώμου Γο α'. πυρῶ δ' αὐτὰ κόψας, καὶ σήσας, πάλιν ἐπικόπτειν, καὶ διακοσκινεύειν πολλάκις, ἵνα ἀκριβῶς λεῖα γένωνται, καὶ οὕτως ἐν ὑαλίνοις σκεύεσιν ἀποτιθέμενος, χρῆσθαι μὴ εὐθέως, ἀλλὰ μεθ' ἡμέρας που δέκα. ἐσκεύασα δ' αὐτοὺς ἐγὼ, μὴ καύσας τὰ θηρία, ἀλλὰ τοὺς ἐξ αὐτῶν ἀρτίσκους,

CAPVT XIX.

De salium theriacorum compositione.

HVnc in modum ipsi præparantur; conabor enim tibi rursus horum quoque confectionem sermone describere. ♃. Viperas prædictis similes, & eodem tempore captas, numero quatuor, non biduo plus post venationem, verùm si fieri possit, eodem die quo sunt captæ; deinde salis ammoniaci, sin minùs, communis, colore albi, & leniter splendescentis, modium Italicum; mox cum ipsis tunde minutatim gentianæ Creticæ libram vnam ß. aristolochiæ rotundæ libram vnam ß. centaurij tenuis comæ libras ij. cardamomi Armeniaci, marrubij, singulorum ℥ vj. scordij montani, apij, chamædryos Creticæ libram vnam, rutæ satiuæ seminis libram j. melle Attico hæc vnita excipe, & libram ß. mediam ipsorum portionem in ollam ex argilla factam vacuam præmitte, & cum ipsis coniice; deinde quatuor viperas viuas, mox scillas teneras, & recentissimas quinque in tenues partes concide; ita reliquam aliorum partem dimidiam adiice, ac vbi cooperueris ollam, lutóque diligenter oblìueris, quatuor ipsam foraminibus aperies, vt per ea vapor coctionis modum indicet. Nam primùm fumus exire videbitur copiosus, obscurus, admodúmque turbidus, notans ignem iam feras inuasisse; quando te animum quoque diligenter aduertere moneo, ne tandem huius fumi aërem ex viperarum exhalatione infectum inspires. Postea vbi vapor cessauerit, & tenuem quandam flammam per foramina eiici conspexeris, tunc ipsa cocta esse quamoptimè censeto, atque ita ollam de igne tollito, tota die & nocte refrigerans. Deinde apertos exemptósque carbones diligenter tundito, & cum hisce mixturis cribrato, rutæ agrestis seminis ℥ ix. hyssopi Cretici vncias nouem, fœniculi seminis agrestis ℥ vj. nardi Celticæ, spicæ Scythicæ, singulorum vncias sex, petroselini Macedonici vncias quatuor, amomi vuæ vncias tres, origani Heracliotici summitatum vncias nouem, hormini seminis torrefacti vncias tres, thymi Attici summitatum vncias nouem, malabathri Indici foliorum vncias quatuor, baccarum iuniperi Laconici carnis libras duas, adianti satiui seminis vncias vj. piperis albi libr. ij. piperis nigri libras duas, laseris radicis vncias decem, zingiberis non forati libras duas, satyrij seminis vel radicis ℥ vj. pulegij montani ℥ vj. seselis Massaliotici rufi ℥ vj. tordyli montani seminis ℥ sex, mentæ ℥ sex, cassiæ optimæ vncias duas, cinnamomi vnciam vnam. Conare autem ipsa contusa cribratáque rursus contundere, & cribro frequenter incernere, vt adamussim fiant læuia; atque sic in vasis vitreis reposita non statim vsurpare conuenit, sed post decem ferè dies. Porrò ego ipsos præparaui bestiis non vstis, sed ipsarum pastillis, quemad-

quemadmodum in theriaca ostendi confici, commiscens ipsos quoque iis quæ cum belluis comburuntur, vt quam habeant in se amarulentiam, eam in vstione deponant, tanta pastillorum mensura adiecta, quantam quatuor viperarum numerum habere coniecturabam, & facti sunt longè præstantissimi, nec cinereum ex vstione gustu referentes, nec colore nigri, sed etiam qualitate in vsu suauissimi redditi, & vires, ad quæ dixi peculiariter ipsos facere, euidentiores obtinentes. Hic est de theriaca & salibus theriacis liber, diligenter, vt iudico, à me examinatus, hac maximè causa, quoniam & tu in omnes disciplinas studiosè incumbis. Memini enim te, quum literarum studiis egregiè inter ciuilia adhuc negotia vacares, vel legeres quoddam problema iudicare oratores nonnunquam vt desinant multas conari occasiones inuenire, atque hoc agitare. Etenim deos aiebas dum non vaticinantur, nihil eloqui; interdum verò etiam oracula silent. Est quum & mare tempestatibus nauigari non potest, agmina fluuiorum sistuntur, & paulò post rursus fluere incipiunt. Item terra fructus non semper producit. Quare tuum ego exemplum imitatus, nihil ex his quæ de theriaca quæruntur, omisi; simúlque te adhortor, vt libenter medicamento vtaris, quoniam longæuum vitæ vsum ipsius exhibere obseruatum est; quod meritò vt tibi à diis contingat, exopto.

A ὥσπερ ἐπὶ τῆς θηριακῆς ὑπέδειξα σκευάζεσθαι, ἀναμίξας τοῖς μετὰ τῶν θηρίων καιομένοις, καὶ αὐτούς, ἵνα ἣν περ ἔχει πικρότητα ἐν αὐτοῖς, ἐν τῇ καύσει ταύτην ἀποβάλῃ, τοσοῦτον μέτρον τῶν ἀρτίσκων προσβάλλων, ὅσον περ ἐτεκμηράμην ἔχειν τὸν ἀριθμὸν τῶν τεσσάρων ἐχιδνῶν, καὶ ἀπέβησαν, ὡς ἀληθῶς ἄριστοι, οὔτε τὸ ἐκ τῆς καύσεως σποδῶδες ἐν τῇ γεύσει ἔχοντες, οὔτε μέλανες ὄντες τὴν χροιάν, ἀλλὰ καὶ τὴν ποιότητα ἐν τῇ χρήσει ἥδιστοι γινόμενοι, καὶ τὴν δύναμιν πρὸς ἅπερ εἶπον αὐτοὺς ἰδίως ποιεῖν, ἐνεργεστέραν ἔχοντες. οὗτος ἐστὶν ὁ περὶ τῆς θηριακῆς, καὶ τῶν θηριακῶν ἁλῶν λόγος, φιλοπόνως, ὡς οἶμαι, ἐξετασθεὶς ὑπ' ἐμοῦ μάλιστα, ἐπεὶ καὶ σὺ περὶ πάντας τοὺς λόγους φιλοτίμως ἔχεις. B μέμνημαι γάρ σε, ὁπότε τοῖς λόγοις ἐνδόξως ἔτι δημοσίων ἐσχόλαζες, ἤ τι λέγων πρόβλημα, κρῖναι τοὺς λέγοντας διαλιπεῖν ποτε, πολλὰς ἀφορμὰς εὑρίσκειν σὲ φιλοτιμουμένων εἰς τόδε διαλεγομένων. ἔλεγες γάρ, ὅτι καὶ οἱ θεοὶ μὴ χρῶντες, οὐ λαλοῦσιν. ἐνίοτε δὲ καὶ τὰ χρηστήρια σιωπᾷ, ποτὲ καὶ ἡ θάλασσα τοῖς χειμῶσι τὸ πλεῖσθαι οὐκ ἔχει. τὰ δὲ ῥεῖθρα τῶν ποταμῶν παύεται ῥέοντα, καὶ μετὰ χρόνον ἐπιῤῥεῖν πάλιν ἄρχεται, καὶ ἡ γῆ τοὺς καρποὺς οὐκ ἀναφύει πάντοτε. μιμησάμενος οὖν σε κἀγώ, οὐδὲν τῶν περὶ τῆς θηριακῆς ζητουμένων παρέλιπον, ἅμα καί σοι προτρεψάμενος ἡδέως χρῆσθαι τῷ φαρμάκῳ, ἐπεὶ καὶ πολυετῆ τῆς ζωῆς τὸν χρόνον ἡ χρῆσις αὐτοῦ παρέχεσθαι τετήρηται, ὃν περ εἰκότως ἐγὼ τὸν παρὰ θεῶν γενέσθαι σοι εὔχομαι.



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΘΗΡΙΑΚΗΣ ΠΡΟΣ ΠΑΜΦΙΛΙΑΝΟΝ.

GALENI DE THERIACA AD PAMPHILIANVM.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Θηριακῆς τὴν σκευασίαν καὶ τὴν χρῆσιν διδάσκει ὁ Γαληνός.

ARGVMENTVM LIBRI.

Theriacæ confectionem ac vsum edocet Galenus.

ΠΟΛΛΑΚΙΣ ἐπιζητοῦντί σοι (κρά- A
τιστε Παμφιλιανέ) τὴν μέθοδον τῆς θη-
ριακῆς ἀντιδότου, καὶ τὴν χρῆσιν παρ'
ἡμῶν ἀκοῦσαι, τὰ μὲν ἐκ τοῦ παραστάντος
ἡμῖν ῥηθέντα, οὔτε σὲ νομίζω διαμνη-
μονεύειν, οὔτε ἐμαυτὸν ἀποχρώντως εἰ-
ρηκέναι. νυνὶ δὲ ἐπὶ σχολῆς γενόμενος, καὶ διὰ τῆς μνήμης
ἀνακαλεσάμενος ὅσα κατὰ τὴν περιοδίαν εἶδον ἐν Ῥώμῃ, παρά
τε τοῖς ὑφηγησαμένοις ἡμῖν κατορθούμενα διὰ τοῦ φαρμά-
κου τούτου, καὶ ὅσα χρησάμενος αὐτὸς ἐπιτυχὼν κατώρθωσα,
ταῦτ' ᾠήθην δεῖν σοι προσφωνῆσαι συναγαγὼν, μετὰ τοῦ καὶ
τοὺς τρόπους τῆς χρήσεως ὑπογράψαι, καὶ τὰς διαφορὰς τῶν B
παθῶν, καὶ τοὺς καιροὺς ἐφ' ὧν τινων, καί ποτε χρώμενος αὐτῇ
τις, οὐκ ἂν διαμαρτάνοι. κομιδῇ γὰρ ἀμούσου τινὸς εἶναι δο-
κεῖ μοι, τὸ ἀποκρύπτεσθαί τι τῶν εἰς σωτηρίαν διαφερόντων,
ὑπὲρ ἧς ἅπαντες οἱ κατὰ τὴν μητρόπολιν εὔχονται δικαίως,
ἅτε δὴ κατ' ἰδίαν εὐεργετούμενοι, καὶ κοινῇ κοσμούμενοι, διὰ
τῶν ὑπὸ τῆς προνοίας τῇ πόλει πάσῃ κατασκευαζομένων κοι-
νωφελῶν ἔργων. οἶδα δὲ καὶ τὰς ἄλλας πόλεις ἁπάσας ὅσαι
Κρητικαὶ, τῆς σῆς γνώμης τὸ περὶ πάντας δεξιὸν καὶ ἐπιεικὲς οὐ
τιμώσας μόνον, ἀλλὰ καὶ ἀγαπώσας. εἰσὶ δὲ καὶ ἐπὶ τῆς Αἰγύ-
πτου, καὶ ἐπὶ τῆς βασιλίδος πόλεως, τοσοῦτοι τὸ πλῆθος φίλοι
σοι μόνῳ Κρητῶν, ὅσοι τοῖς ἄλλοις ἅπασιν οὐκ εἰσίν, ὥστ' εὐλό- C
γως ἄν τινα θαυμάσαι, καὶ τὴν τύχην οἰκείως σοι θεμένην
πρὸς τὴν φύσιν τοῦ τρόπου, καὶ τοῦ ὀνόματος τὸ ἐπίσημον, ὡς ἂν
προγινώσκουσαν, ὅτι μέλλεις ὑπὸ πάντων φιλεῖσθαι. ἡ μὲν οὖν
κτῆσίς σοι τῆς ἀντιδότου δαψιλὴς, καὶ παρὰ πολλῶν, ἡ δ' ἔντεχνος
χρῆσις παρ' ἡμῶν, καὶ τῆς ἡμετέρας περί σε σπουδῆς καὶ εὐνοίας ὑπό-
μνημα. ὅνπερ γὰρ τρόπον αὐλοὺς καὶ λύρας, καὶ τῶν ἄλλων μουσικῶν
ὀργάνων, οὐδὲν πλέον τοῖς κεκτημένοις μὲν, μὴ χρωμένοις δὲ, τὸν
αὐτὸν τρόπον, καὶ ἐπὶ τῶν ἀντιδότων ἔχει, οἶμαι καὶ ἐπὶ τῶν ἄλλων ἰα-
τρικῶν φαρμάκων, οὐδὲν ὀνίνησιν ἡ κτῆσις αὐτῶν, τῆς χρήσεως

TIBI multoties efflagitanti (Clarissime Pamphiliane) theriacæ antidoti methodum ac vsum ex nobis audire, quæ ex tempore à me dicta sunt, ea neque te in memoriam reuocare, neque me ipsum satis explicasse arbitror. Nunc verò otium nactus, & in memoriam reuocans quæcunque dum Romæ versarer didici, tum ab iis qui nobis enarrarunt, eo medicamento prosperrimè effici, quæque ex vsu ipse probè facta consequutus sum, ea collecta tibi consecranda esse duxi, simúlque præscribere vtendi modum, morborum differentias, ac tempora, in quibus, & quando aliquis ea vtens non aberrauerit. Ad modum enim rustici cuiusdam esse mihi videtur, aliquid occultare, quod ad salutem conferat, pro qua omnes in vrbe principe meritò vota faciunt; quippe quòd priuatim beneficiis, & publicè ornamentis afficiantur ex operibus, quæ vt toti ciuitati prouideant, ad communem vtilitatem præparantur. Noui autem tum alias vrbes omnes Creticas, tum tui ingenij dexteritatem in omnibus, & mansuetudinem non solùm venerari, sed etiam diligere. Sunt verò tum in Ægypto, tum in regia vrbe Alexandria tot multitudine amici tibi soli Cretensium, qui cæteris omnibus non sunt. Quamobrem iure quispiam fortunam quoque miraretur, cùm naturæ, tum tuis moribus consentaneum nomen insigne perinde imposuisse, ac si præsagiret te cunctis amabilem fore. Itaque comparatio quidem copiosæ huius antidoti tibi & à multis, artificialis verò vsus à nobis nostri in te studij, beneuolentiæque monumentum erit. Quo nanque modo qui fistulam, lyram, & cætera musica instrumenta compararunt, nec his vti queunt, hi plus non habent: eodem modo & in antidotis *se res habet*, vt & in cæteris medicis medicamentis, nihil iuuat eorum comparatio, si intempestiuus sit vsus.

sit vsus. Si nanque, vt apud plerosque fama præualescit, aduersus solos virulentorum serpentum morsus, & deleteriorum medicamentorum pocula vim habeat antidotus, oportebat seu pretiosum aliquod domi repositum circunspicere medicamentum tempore, vsu non postulante, euanescere. Quum verò ad hæc & prosperam senectutem, & vitæ diuturnitatem, & sensuum integritatem, & sanitatis perpetuitatem polliceatur, neque solùm præsentium morborum solutionem, verùm etiam imminentium futurorúmque fore obstaculum; par, arbitror, & in sanitate eum huius vsum haud negligere, qui pluris æstimat per initia in morbos non incidere, quàm vexantium morborum propulsationem moliri. Proinde multi Romæ summates, primo Lunæ die hoc medicamentum assumunt, quidam quartum Lunæ diem eligunt, quum priùs tribus subsequentibus diebus *interiectis* coctioni incubuerint, ac antè alui leuiter *soluendæ* curam dederint, circiter horam tertiam id capiunt Græcæ fabæ magnitudine, cum mellis cochleari vno, & aquæ calidæ cyathis duobus, non quò morbum aliquem infestantem auertant, sed vt à quocunque morbo immunes tutíque permaneant, & à propositi spe non decidant. Bonum enim ipsis theriaca conciliat sanguinem, non quòd eam quæ in eo fertur, prauitatem excernat, sed eius contumaciam, qualitate præter naturam domita in familiaritatem adducat. Cæterùm in profectionibus quum suspicantur regiones *quas adeunt* aliquas insalubres, & aquas esse prauas, ea ratione theriacam conferunt, eóque medicamento vtêtes corporis habitum, tanquam armatura quadam salutari, muniunt, ac illæsi permanent. At meorum præceptorum vetustissimus, artis (siquis alius) experientia, & animi æquitate præstans, Ælianus Meccius, affirmauit, aliquando Italam regionem à peste diuexatam, acutas mortes, & iacturam hominum multam subiisse, in æquali verò omnium metu, tum medicorum, tum optimatum virorum & principum, se authorem fuisse, vt sola theriaca vterentur, cæteris omnibus auxiliis nihil quicquam proficientibus; ac tum ægrotantium qui eam assumpserant, quosdàm conualuisse, nonnullos quoque interiisse, qui verò hanc priusquam ægrotarent assumpsissent, eos omnes non solùm vitę periculum effugisse, verùm etiam minimè morbum expertos fuisse. Nam si & lethale venenum epota theriaca possit euincere, euincet quoque cõtagiosam aëris corruptionem, quæ tantam homini vim infert. Quod certè & plerosque medicos, & priuatos omnes vulgo latere, ne mireris. Succi nanque sunt, & liquores, & cortices, & radices, & flores, & semina, & carnes ex quibus conficitur. Quemadmodum igitur vnum horum quodq; euanidum efficere tempus potest: sic & totam medicamenti compositionem: ídque deprehendêtes materiales medici præstantissimi, hanc admodum inueteratam quibusdam vendũt, aut dono largiuntur. Hi autem, vsu postulante, efficacissimo, & pulcherrimo vtuntur medicamento, non enim his opem ferentibus aberrare licet. Sed tibi definiam tum alias temporum pręscriptiones, tum morborum differentias, in quibus & quum aliquis ipsa vti voluerit, non frustrabitur. Nam viperarum, serpêtum, aspidum, & rabidorum canum morsibus, ac vniuersè ab aliquo venenoso animali commorsis, aut punctis, aut vehemẽter admodum refrigeratis recens potest auxiliari. (Est autem re-

A ὑπειξούσης. εἰ μὲν γὰρ, ὡς ἡ παρὰ τοῖς πολλοῖς ἐπικρα-
τοῦσα φήμη, πρὸς μόνα τὰ δήγματα τῶν ἰοβόλων, καὶ
πρὸς τὰς τῶν δηλητηρίων φαρμάκων ἐποίει πόσεις, ἔδει
καθάπερ τι κειμήλιον οἴκοι κατακείμενον περιορᾶν τὸ φάρ-
μακον, ὑπὸ τοῦ χρόνου δαπανώμενον, τῆς χρείας οὐ κα-
λούσης. ἐπεὶ δὲ, πρὸς τούτοις καὶ εὐγηρίαν ὑπισχνεῖται, καὶ
μακροβιότητα, καὶ ἀκρίβειαν αἰσθήσεως, καὶ διαμονὴν
ὑγείας, καὶ οὐ μόνον τῶν παρόντων νοσημάτων λύσιν, ἀλλὰ
καὶ τῶν ἔσεσθαι μελλόντων κώλυσιν, εὔλογον οἴομαι καὶ ἐν
ὑγείᾳ οὐκ ἀποστρέφεσθαι τὴν χρῆσιν αὐτῆς, τῆς ἀπαλ-
B λαγῆς τῶν ἐνοχλούντων παθῶν, τὸ τὴν ἀρχὴν μὴ πα-
θεῖν προτιμῶντα. πολλοὶ γοῦν τῶν ἐν Ῥώμῃ μεγάλα δυνα-
μένων, κατὰ νεομηνίαν τοῦ φαρμάκου προσφέρονται. οἱ
δὲ ἀπολεξάμενοι τὴν τετάρτην τῆς σελήνης, ἐπὶ τρεῖς κατὰ
τὰς ἑξῆς ἡμέρας προευπεπτηκότες, καὶ τῆς κοιλίας ἠρέμα
προεπιμεληθέντες, περὶ τὴν τρίτην ὥραν προσφέρονται
τοῦ Ἑλληνικοῦ κυάμου μέγεθος, σὺν μέλιτος κοχλιαρίῳ
ἑνὶ, καὶ ὕδατος θερμοῦ κυάθοις δυσίν· οὐχ ἵνα τι διοχλοῦν
νόσημα ἀποστρέψωνται, ἀλλ' ἵνα παντὸς νοσήματος ἀπερί-
πτωτοι μένωσι, καὶ τῆς προθέσεως οὐκ ἀποτυγχάνωσι. χρη-
C στὸν γὰρ αὖθις ἀποφαίνει τὸ αἷμα, οὐ τὴν φερομένην ἐν
αὐτῷ φαυλότητα ἀποκρίνουσα, ἀλλ' ἐξοικειοῦσα τὴν ἀτο-
πίαν, καὶ κρατοῦσα τῆς παρὰ φύσιν ποιότητος. κατὰ δὲ τὰς
ἀποδημίας, ὅταν ὑπονοήσωσι χώρας τινὰς νοσώδεις, ἢ μο-
χθηρίας ὑδάτων, τὸν αὐτὸν τρόπον προσφερόμενοι, ἐξα-
σφαλίζονται τὴν ἕξιν τοῦ σώματος, ὥσπερ ὅπλῳ τινὶ σω-
τηρίῳ τῷ φαρμάκῳ χρώμενοι, καὶ διαμένουσιν ἀπή-
μονες. τῶν δ' ἐμῶν διδασκάλων ὁ πρεσβύτατος ἀνὴρ, εἰ
καί τις ἄλλος ἐμπειρίᾳ τέχνης, καὶ ἐπιεικείᾳ γνώμης δια-
φέρων, Αἰλιανὸς Μέκκιος, ἔφη ποτὲ τὴν Ἰταλιῶτιν χώραν
D ὑπὸ λοιμοῦ πιεσθεῖσαν, ὀξεῖς θανάτους, καὶ φθορὰν ἀνθρώ-
πων πολλὴν παθεῖν, ἐν δέει δὲ πάντων ὁμοίως, καὶ τῶν ἰα-
τρῶν, καὶ ἡγουμένων ἀνδρῶν ὑπαρχόντων, εἰσηγήσασθαι
μόνῃ χρῆσθαι τῇ θηριακῇ, τῶν ἄλλων ἁπάντων ἀπρακτούν-
των βοηθημάτων, καὶ τῶν μὲν ἤδη νοσούντων λαβόντων τινὰς
ἀνασφῆλαι, τινὰς δὲ καὶ διαφθαρῆναι. τοὺς δὲ πρὸ τοῦ νο-
σῆσαι προσενεγκαμένους πάντας, οὐ μόνον τὸν κίνδυνον, ἀλλὰ
καὶ τὴν πεῖραν τοῦ πάθους διαφυγεῖν, καὶ θαυμαστὸν οὐ-
δέν· εἰ γὰρ καὶ θανασίμων φαρμάκων, πινομένη δύναται
κρατεῖν, νικήσει καὶ φθορὰν ἀέρος ἀδικοῦσαν τὸν ἄνθρωπον,
E ὅπερ δὴ καὶ τοὺς πολλοὺς τῶν ἰατρῶν, καὶ τοὺς ἰδιώτας ἅπαν-
τας κοινῇ διαλανθάνειν μὴ θαυμάσῃς, ὀποὶ γάρ εἰσι, καὶ
χυλοὶ, καὶ φλοιοὶ, καὶ ῥίζαι, καὶ ἄνθη, καὶ σπέρματα, καὶ
σαρκία, ἐξ ὧν συνέστηκεν. ὥσπερ οὖν καθ' ἓν τούτων ἕκα-
στον, ἱκανὸς ὁ χρόνος ἐξίτηλον ἀποφῆναι, οὕτω καὶ τὴν ὅλην
τοῦ φαρμάκου σύνθεσιν, τοῦτό τε ὑφορώμενοι τῶν ὑλικῶν
ἰατρῶν οἱ χαριέστατοι, πωλοῦσιν, ἢ δωροῦνταί τισι τὴν
ἄγαν παλαιουμένην. αὐτοὶ δὲ τῆς χρείας καλούσης, ἐνερ-
γεστάτῳ, καὶ ὡραιοτάτῳ χρῶνται τῷ φαρμάκῳ, οὐ γὰρ
ἔξεστιν ἑαυτοῖς βοηθοῦσιν, ἀποτυγχάνειν. ὁριῶ δέ σοι καὶ τὰς
F ἄλλας προθεσμίας τῶν χρόνων, καὶ τὰς διαφορὰς τῶν νο-
σημάτων, πρὸς ἅς τινας, καὶ ὁπότε χρώμενος αὐτῇ τις, οὐκ
ἀποτεύξεται. ἐπὶ μὲν γὰρ τῶν ἐχεοδήκτων, καὶ ὀφιοδήκτων,
καὶ ἀσπιδοδήκτων, καὶ λυσσοδήκτων, καὶ καθόλου τῶν ὑπό
τινος τῶν ἰοβόλων δηχθέντων, ἢ νυχθέντων, ἢ ψυγέντων ἰσχυρῶς
ἄγαν, ἡ πρόσφατος δύναται βοηθεῖν. (ἔστι δὲ πρόσφα-

τος, μέχρις ἐτῶν λς΄.) καὶ πρὸς τὰ θανάσιμα πάντα. μετὰ δὲ τὸν χρόνον τοῦτον, κατάλληλος ἅπασι τοῖς ἄλλοις πάθεσι, περὶ ὧν ὑπόμνημα γράφομεν, πολλῶν πλειόνων ὄντων ἄλλων εἰς ἀριθμὸν τῶν προειρημένων. δοκίμιον δὲ τοῦτο ἐνεργοῦς καὶ ἀπράκτου φαρμάκου· φάρμακον ὑπήλατον, ἢ ἐμετήριον, ἢ ἐλλέβορον, ἢ σκαμμωνίαν, ἢ ἄλλο ὅ, τι βούληταί τις ἀνδρικώτατον, ὡς μέλλον καθαίρειν, ἐπιδώσει· προσεπιδοὺς τῆς ἀντιδότου κυάμου Ἑλληνικοῦ τὸ μέγεθος, καὶ οὐ καθαρθήσεται, οὐδ᾽ ἐν τινι συναισθήσει καθάρσεως ὁ λαβὼν ἔσται. γενόμενος δὲ, ἐξελέγχει τῆς ἀντιδότου τὴν διὰ χρόνου ἀπραξίαν. δίδοται δὲ πρὸς τὰς τῶν θανασίμων φαρμάκων πόσεις, καὶ πρὸς τὰς τῶν ἰοβόλων πληγὰς μετ᾽ οἴνου κυάθους γ΄. τοῦ φαρμάκου καρύου Ποντικοῦ τὸ μέγεθος, καὶ ἐπιδιδομένη καὶ προσλαμβανομένη, εἴ δ᾽ ὑφοράσεώς τις ἔχει φαρμακείας. ὁμοίως καὶ πρὸς τοὺς ὑπό τινος αἰτίας ἀδήλου κινδυνεύοντας, τῆς ἐν τῷ σώματι διαφθορᾶς, μιμησαμένης θανασίμου φαρμάκου ποιότητα. βοηθεῖ καὶ τοῖς προσφάτοις, καὶ χρονίαις βηξὶ, καὶ ἐφ᾽ ὧν ἄλγημά τι τοῦ θώρακος, ἢ πλευρᾶς, ἀπυρέτοις μετ᾽ οἰνομέλιτος, πυρέσσουσι δὲ, μεθ᾽ ὑδρομέλιτος εἰς νύκτα, κυάμου τὸ μέγεθος Αἰγυπτίου. ὁμοίως καὶ πρὸς τοὺς ἐμπνευματουμένους στομάχους, ἢ στροφουμένους ἔντερα, ἢ κῶλον ὀδυνωμένους, ἐπὶ τούτων ἡ πόσις γινέσθω δι᾽ ὕδατος, τὸ δ᾽ αὐτὸ φάρμακον διδόσθω κυάμου τὸ μέγεθος ἕωθεν. δύναται καὶ ὄρεξιν ἐπιτεταμένην ἀναστεῖλαι, καὶ ὑπτιωμένην ἀναγεῖραι, τὸ οἰκεῖον ἑκάστῳ τῶν τῆς φύσεως ἔργων μέτρον ἀποκαθιστᾶσα. ἡ δὲ πόσις, καὶ ἐπὶ τούτων, ἰσομεγέθης τῇ προειρημένῃ δι᾽ ὕδατος, ἢ κράματος, μήτε πλειόνων κυάθων γ΄. μήτε ἐλασσόνων δύο· ἀγαθὴ καὶ παντὸς τύπου ῥῖγος ἀπαλλάξαι, καὶ περίψυξιν, καὶ χολημεσίαν τὴν ἐν ταῖς ἐπιβολαῖς ἔσθ᾽ ὅτε συνεδρεύουσαν τῶν παροξυσμῶν, κατὰ ταὐτὰ τοῖς προειρημένοις διδομένη. εἰ δέ τις αὐτῇ πρὸ τῶν ἐπισημασιῶν, τρὶς, ἢ τὸ πλέον τετράκις χρήσεται, περιγράφει τέλεον τοὺς πυρετοὺς, μετὰ τοῦ καὶ τὴν δίαιταν, τῇ ὠφελείᾳ τῇ ἀπὸ τοῦ φαρμάκου μὴ ἀντιπράσσειν. οὐδὲν γὰρ οὕτως ἐστὶν ἰσχυρὸν ἐν ἰατρικῇ βοήθημα, ὃ τὴν ἐξ αὐτοῦ γινομένην ὄνησιν δύναται ἐπαγαγεῖν, ἢ ἀντιπρασσόμενον ὑπὸ τῆς κατὰ δίαιταν, ἢ μὴ συνεργούμενον. πεπίστευται δὲ καὶ τὰς γυναιξὶ τὰς ἐπιμηνίους καθάρσεις κινεῖν, καὶ τὰ νεκρὰ τῶν ἐμβρύων ἐκβάλλειν, ἃ δι᾽ ἀσθένειαν οὐ δύναται ἡ φύσις ἀποτρίψασθαι πολλάκις θέλουσα. δίδοται δὲ ἐπὶ τούτων διὰ γλυκέος, ἢ μελικράτου προαφεψημένου, δικτάμνου, ἢ πηγάνου, κυάμου Αἰγυπτίου τὸ μέγεθος, ὃ τινες ἐπιχωρίως κίθη, καὶ κιβώριον καλοῦσι. χρήσιμος δὲ καὶ ὑδρωπικοῖς καὶ ἰκτερικοῖς μετὰ ἀσάρου ἀφεψήματος. ἐπὶ μὲν τῶν ὑδρωπικῶν, οἱ μὲν αὐτὸ καταπίνειν διδόασι τὸ φάρμακον πρὸ τῶν σιτίων, οἱ δὲ καὶ διιέντες ὀξυκράτου κυάθῳ ἑνὶ, τότε γὰρ δίψους ἄκος μέγα γίνεται, καὶ τὴν ὅλην ἕξιν εὐτονωτέραν ἀποδείκνυσι, καὶ τὴν πλεονεξίαν τῶν ὑγρῶν μετὰ τοῦ μειοῦν, καὶ ξηροτέραν ἀποφαίνει τῇ φύσει. ποιεῖ καὶ πρὸς τὰς τῆς φωνῆς ἀποκοπὰς, καὶ κατ᾽ ἰδίαν πινομένη, καὶ ἐν τῷ στόματι κατεχομένη, μιγνυμένης τραγακάνθου διπλῆς τῷ ποτῷ, μετ᾽ οἰνομέλιτος, ἢ γλυκέος. τοὺς δὲ ὑπὸ τῆς γλώττης κατέχοντας, ἀποτήκειν δεῖ τὸ φάρμακον κατ᾽ ὀλίγον, ὃν περ εἰώθαμεν χρῆσθαι τρόπον, κἂν ταῖς καλουμέναις ἀρτηριακαῖς. ἁρμόζει καὶ τοῖς αἱμοπτοϊκοῖς, ἐάν τε ἀπὸ θώρακος, ἐάν τε ἀπὸ πνεύμονος ἡ ἀναγωγὴ γίγνεται, προσφάτου μὲν οὔσης τῆς ἀναφορᾶς, μετ᾽ ὀξυκράτου διδομένη, κεχρονισμένης δὲ, μεθ᾽ ὕδατος κυάθων γ΄. πολλῷ δ᾽ ἄμεινον, εἰ προαφεψήσεις τι τῷ ὕδατι, τοῦ καλουμένου συμφύτου τῆς πόας. ἡ δὲ πόσις εἰς νύκτα καὶ πρωῒ, κυάμου

A cens ad annum vsq; xxxvj.) etiam aduersus lethalia vniuersa. At post id tempus idonea est cæteris omnibus affectibus, de quibus cõmentarium scribemus, quum multi, ac prædictis numero plures existant. Hæc sit itaque efficacis, ac inutilis medicamenti probatio. Medicamentum aluum subducens, aut vomitum concitans, vel elleborum, vel scãmonium, vel aliud quod quispiam voluerit validius, seu purgaturum porriget, móxque antidotum fabæ Græcæ magnitudine exhibeat; qui assumpserit, is neque purgabitur, neque vllum purgationis sensum percipiet. Secus contingens, conuincit antidoti vires tempore concidisse. Datur
B autem medicamentum ad lethalium venenorum pocula, & ad virus eiaculantium animalium ictus, ex vini cyathis tribus, nucis Ponticæ magnitudine, idque pòst exhibetur, etiam antè assumitur, siquis veneni suspicionem habeat. Eodem pacto his præscribitur, qui ab aliqua causa abdita, vt corporis corruptela periclitantur, lethalis veneni qualitatem imitante. Auxiliatur quoque tum recenti, tum diuturnæ tussi, & hinc succedenti thoracis, aut pleuræ dolori non febricitantibus ex mulso, & febricitantibus ex mulsa aqua, noctu fabæ Ægyptiæ magnitudine, exhibeatur. Similiter prodest
C stomachi inflationibus, & ventris torminibus, intestinum vel colum dolore cruciãtibus, in his potus fiat ex aqua; id verò medicamentum detur fabę magnitudine statim ab aurora. Potest & intensam orexin. i. *cibi appetentiam* coërcere, proiectámque excitare, proprium singulis naturæ functionibus modum instaurans. Potio autem adhæc prædictæ æqualis magnitudine, ex aqua, aut diluto vino, neque amplius tribus, neque minus duobus cyathis. Data quoque vim habet propellẽdi rigorem, partium extremarum frigus, biliosámq; vomitionem in febrilibus accessionibus paroxysmis assidentem Siquis verò ipsa ante febrium signifi-
D cationes, ter aut quater vtatur, febres penitus obliterat, modò seruata victus ratio medicamenti vtilitati non repugnet. Nullum enim est tam potẽs in medicina remediũ quod manãtem ex eo vtilitatem inducere queat, si victus ratio ei repugnet, aut nisi mutuas det operas. Creditur etiam mulieribus menstruales purgationes ciere, & mortuos fœtus eiicere, quos ob imbecillitatem non potest natura, licet sæpe foras protrudere tentauerit. Datur autẽ his ex passo, aut mulsa, in quibus ferbuerit dictamnum, aut ruta, fabæ Ægyptiæ magnitudine, quidam patrio vocabulo cithe & ciborium vocitant.
E Vtilis est hydropicis, & ictericis ex asari decocto. Hydropicis quidam id solum medicamẽtum deglutiendum ante cibum exhibent; nonnulli oxycrati cyatho vno diluunt; tunc enim sitis magnum fit remedium, totum corporis habitũ robustiorem efficit, hummorum redũdãtiam minuit, & naturæ statum sicciorem reddit. Facit & ad vocis interceptionem cùm seorsum pota, tum in ore retenta; admixto tragacanthi duplo potui ex passo; vel mulsa datur; sub lingua vero retinentibus medicamentum paulatim eliquãdum, quomodo etiam in arteriacis vocatis vti consueuimus. Conuenit quo-
F que hæmoptoicis sanguinem expuentibus siue à thorace, siue à pulmonibus sanguinis fiat eductio; quum recẽs est sanguinis reiectio, ex oxycrato exhibetur, quum verò inueterata, ex aquæ cyathis tribus. Multo tamen præstantius remedium fiet, si aliquam symphyti herbæ appellatæ portionem præcoxeris; sed potio vesperi, & in aurora, fabæ Ægy-

Ægyptiæ magnitudine. Romæ noui meos præceptores in talibus affectibus cófecto ex subere medicamento vti cõsueuisse, cuius texturã, si ita oporteat, opportuniori tempore tibi apponemus, eóq; copioso medicamento thoracem & in circuitu, & antè, & pôst circũfouentes, vt plurimùm hac arte morbum superasse. Conuenit verò nephriticis, & dysentericis, & calculo laborantibus, & ægrè spirantibus, scirrhosis hepatis & lienis affectibus, aut aliàs inueteratum morbum habentibus, quod ex aceto mulso in scirrhosis affectibus datur; (acetum autem mulsum ex fauis sumendum, id enim idoneum est, quod & Hippocrates in libro de diæta acutorum profert) ægrè verò spirantibus ex aceti scillitici cyatho vno & dimidio; calculo laborantibus, cum petroselini, aut apij decocto; nephriticis, ex mulso; dysentericis ex rhu Syriaci decocto; comitialibus, si per habitum sanguinis sit inopia, ex aqua mulsa, si verò copia sanguinis, & corpulentia, ex aceto mulso; his priùs quidem illustres Medici ex sinapi gargarismos præscribũt, deinde sub noctem tantum medicamenti ex aqua exhibent, quantum Græcæ fabæ complectitur magnitudo. Atque vt in vniuersum dicam, vbi cætera omnia nihil valuerint, imo vi morborum superata fuerint, his antidotus propinata præter vulgi opinionem summas promit vires. Quamobrem cholericis deficientibus, & cardiacis in extremis degentibus exhibita, tanquam nouum vitæ ortum nactis restituit. Sed de omnibus scribere, neque possibile, neque idoneum est. Quicunque enim ab iis quæ *à nobis* scripta sunt, concitatur, deducta ratione & in reliquis affectibus ipsa prospero successu vti poterit. Iam verò qui magis id medicamentum laudare student, improbandi sunt, quod ipsi non medicas, sed potiùs circulatorias pollicitationes attribuunt; quique ad aurium dolorem, audiendi difficultatem, amblyopias, *oculorum hebetudines*, cionidas & vocatas aphthas id cõducere proferunt. Eiusmodi nanque laus calumniam potius medicamento, quàm commendationem adferre videtur. Si enim vili materia, aut remedio tales morbi melius sanari queant, cum profusione minùs ipsi finem consequi superuacaneum est. At de *theriacæ* compositione aliquid dicere necesse est, quum etiam ipsa narrationis quadã sedulitate indigeat. Menecrates siquidẽ de ea nihil distinctè disseruit. Quum autem hæc hedychroi medicamentum assumat, alióśque trochiscos, scilliticos, & theriacos, prius horũ confectio proferenda est. *Hedychroi confectio.* ℞. Radicis aspalathi corticis, calami aromatici, costi, asari, xylobalsami, phu, amaraci, mastiches, singulorũ ʒ.vj schœnãthi ʒ.xij. (quidam ʒ.xxiv.) cinnamomi ʒ.vij amomi, cassię, rha Pontici, singulorum ʒ.xv. nardi Indicæ, foliorum malabathri, singulorum ʒ.xvj. myrrhæ, croci, singulorũ ʒ.xij. excipe hæc falerno vino, & infingendo inunge opobalsamo, & siccetur in vmbra. *De pastillis scilliticis* Orbiculos scilliticos sic conficias. Scillam luto circumline, & in flagrantem balnei caminum mitte, postridie quod intus est, huius accipe ʒ.cxx. erui farinæ ʒ.lxxx. atque ex his simul tritis orbiculos confice. *Orbiculi theriaci.* Orbiculi theriaci sic cõficiuntur. Viperas flauas iv. aut quinque accipe, esse recenter captas melius: nam inclusæ multo tempore virulentiores habitu sunt; hoc autem de ieiuno homine licet coniicere; deinde partis ad caput, & ad caudam cuiusque quatuor digitos exime, squamosam cutẽ detrahe,

A Αἰγυπτίου τὸ μέγεθος. ἐπὶ δὲ τῆς Ῥώμης οἶδα τοὺς καθηγησαμένους ἡμῶν ἐπὶ τῶν τοιούτων, χρωμένους καὶ τῇ διὰ φελλῶν δυνάμει, ἧς τὴν πλοκὴν, εἰ οὕτω δέῃ, εὐκαιροτέρᾳ σοι παραθήσομαι, καὶ ἐν κύκλῳ δὲ, καὶ ἔμπροσθεν, καὶ ὄπισθεν περιθάλποντας διαψιλῶς τῷ φαρμάκῳ τὸν θώρακα, καὶ τὰ πολλὰ ἐκράτουν τὸ πάθος διὰ τῆς τοιαύτης ἀγωγῆς. ἁρμόζει δὲ καὶ τοῖς νεφριτικοῖς, καὶ δυσεντερικοῖς, καὶ τοῖς λιθιῶσι, καὶ δυσπνοϊκοῖς, καὶ τοῖς περὶ τὸ ἧπαρ καὶ σπλῆνα, καὶ σκιῤῥώδη τινὰ πεῖσιν, ἢ ἄλλως κεχρονισμένην ἔχουσι, δι' ὀξυμέλιτος διδομένη ἐπὶ τῶν σκιῤῥωδῶν. ὀξύμελι δὲ ἀπὸ τῶν μελικηρίδων ληπτέον, τοῦτο γὰρ εὔθετον, καὶ Ἱπποκράτης ἐν τῷ περὶ διαίτης λέγει. ὅπου δὲ δι' ὄξους
B σκιλλητικοῦ κυάθου ἑνὸς ἥμισυ, ἐπὶ τῶν δυσπνοϊκῶν. ἐπὶ δὲ τῶν λιθιώντων, μετὰ ἀφεψήματος σελίνου, ἢ πετροσελίνου. ἐπὶ δὲ τῶν νεφριτικῶν, μετὰ οἰνομέλιτος, ἐπὶ δὲ τῶν δυσεντερικῶν, μετὰ Συριακοῦ ῥοὸς ἀφεψήματος. ἐπὶ δὲ τῶν ἐπιληπτικῶν, ὀλιγαιμίας μὲν περὶ τὴν ἕξιν οὔσης, μελικράτῳ, πολυαιμίας δὲ, καὶ πάχους, ἐν ὀξυμέλιτι· τινὲς δὲ τῶν δοκίμων ἰατρῶν ἐπὶ τούτων νάπυ διδόασι προαναγαργαρίζεσθαι, ἔπειθ' οὕτως τοῦ φαρμάκου προσφέρουσιν εἰς νύκτα μεθ' ὕδατος, ὅσον Ἑλληνικοῦ κυάμου τὸ μέγεθος. καθόλου δ' εἰπεῖν, ὅπου τὰ ἄλλα πάντα βοηθή-
C ματα μηδὲν ἰσχύσει, ἀλλ' ἡττᾶται πρὸς τῶν νοσημάτων, ἐπὶ τούτων ἡ ἀντίδοτος πινομένη, παραδόξως κατορθοῖ. ἤδη γοῦν καὶ ἐπὶ τῶν χολερικῶν ἀπαυδώντων, καὶ ἐπὶ καρδιακῶν ἐν ἐσχάτοις ὄντων, ἐπιδοθεῖσα, παλιγγενεσίαν, ὥσπερ τοῖς λαβοῦσιν ἐπεδωρήσατο. ἀλλ' οὔτε δυνατὸν, οὔτε ἁρμόζον περὶ πάντων γράφειν. ἀπὸ γὰρ τῶν γεγραμμένων τις ὁρμώμενος, δυνήσεται τοὺς λογισμοὺς μετατιθεὶς, καὶ ἐπὶ τῶν λοιπῶν ἐπιτυχῶς αὐτῇ χρῆσθαι. τοὺς δὲ ἐπὶ πλέον, ἤδη σπουδάζοντας ἐπαινεῖν τὸ φάρμακον, παραμεμπτέον, οὐχ ὡς ἰατρικὴν, ὀχλαγωγικὴν δὲ μᾶλλον ὑπόσχεσιν αὐτῷ προσάπτοντας, οἳ καὶ πρὸς ὠταλγίαν αὐτὸ
D φασι ποιεῖν, καὶ δυσηκοΐας, καὶ ἀμβλυωπίας, καὶ κιονίδας, καὶ τὰς καλουμένας ἄφθας. ὁ γὰρ τοιοῦτος ἔπαινος, διαβολὴν ἔοικεν φέρειν μᾶλλον τῷ φαρμάκῳ, ἢ σύστασιν. εἰ γὰρ ἔστι δι' εὐτελοῦς ὕλης ἄμεινον ἰᾶσθαι τὰ τοιαῦτα τῶν παθῶν, ἄπρακτον τὸ μετὰ πολυτελείας ἔλαττον περιγινόμενον τοῦ τέλους. Ὑπὲρ δὲ τῆς σκευασίας, εἰπεῖν τι ἀναγκαῖον, ἐπεὶ καὶ αὐτὴ δεῖταί τινος ἐντρεχείας. ὁ μὲν γὰρ Μενεκράτης, οὐδὲν ὑπὲρ αὐτῆς διέσταλκε. ἐπεὶ δὲ λαμβάνει ἡδυχρόου τὸ φάρμακον, καὶ ἑτέρων ἀρτίσκων, σκιλλητικῶν, καὶ θηριακῶν, πρότερον περὶ τῆς σκευασίας τούτων λεκτέον. Ἡδυχρόου σκευασία. ℞. Ἀσπα-
E λάθου ῥίζης φλοιοῦ, καλάμου ἀρωματικοῦ, κόστου, ἀσάρου, ξυλοβαλσάμου, φοῦ, ἀμαράκου, μαστίχης, ἀνὰ < ς΄. σχοίνου ἄνθους < ιβ΄. οἱ δὲ < κδ΄. κινναμώμου < ιβ΄. ἀμώμου, κασσίας, ῥᾶ Ποντικοῦ, ἀνὰ < ιε΄. νάρδου Ἰνδικῆς, μαλαβάθρου φύλλων, ἀνὰ <* ις΄. σμύρνης, κρόκου, ἀνὰ < ιβ΄. οἴνῳ Φαλερίνῳ ἀναλάμβανε, ὀποβαλσάμῳ παραπτόμενος ἐν τῷ ἀναπλάττειν, καὶ ἔα ξηραίνεσθαι ἐν σκιᾷ. Περὶ ἀρτίσκων σκιλλητικῶν. Τροχίσκους τοὺς σκιλλητικοὺς, οὕτω σκευάζομεν. σκίλλαν περίπλασσε πηλῷ, καὶ βάλλε εἰς κάμινον βαλανείου καιομένην, τῇ δ' ἐπιούσῃ ἡμέρᾳ, τοῦ ἐντὸς λαβὼν < ρκ΄. καὶ ὀροβίνου ἀλεύρου < ξ΄. λειώσας
F ὁμοῦ ποίει τροχίσκους. Ἀρτίσκοι θηριακοί. Ἀρτίσκοι δὲ θηριακοὶ οὕτω σκευάζονται, λαβὼν ἔχεις δ΄. ἢ πέντε πυῤῥάς. ἄμεινον δὲ εἶναι νεοθηράτους, αἱ γὰρ πολλῷ χρόνῳ καθειργμέναι, ἰωδέστεραι τὴν ἕξιν εἰσίν. ἔστι δὲ τοῦτο τεκμήρασθαι ἀπὸ τοῦ νηστεύσαντος ἀνθρώπου, ἔπειτα τοῦ πρὸς κεφαλὴν μέρους, καὶ τοῦ πρὸς οὐρὰν, ἀφαιρεῖν ἀνὰ τετραδάκτυλον, καὶ τὴν φολίδα πᾶσαν ἀποδέρειν,

καὶ πάντα τὰ ἔντερα ἐκβάλλειν· τὰ δὲ λοιπὰ ἕψειν ἐν καινῇ χύτρᾳ μετ' ἀνήθου· ἑψηθεισῶν δὲ τῶν σαρκῶν, καθαίρειν τὰς ἀκάνθας, ἐπιμελῶς δὲ τὰς σάρκας ἱστᾶν δεῖ, ἵνα μὴ διαλάθῃ ἄκανθα, καὶ ῥίψαι, καὶ ἄρτου καθαροῦ ξηροῦ τὸ ἴσον προσβάλλειν, καὶ συλλεαίνειν, ἔπειτα προσαπτόμενος ὀποβαλσάμου τροχίσκους ἀνάπλασσε, καὶ ψῦχε ἐν σκιᾷ. αὐτὴ δὲ ἀντίδοτος κατὰ Ἀνδρόμαχον τὸν πεποιηκότα αὐτὴν, συντίθεται τρόπῳ τοιῷδε. ὠνομάσθη δὲ παρὰ Ἀνδρομάχου γαλήνη. οἱ μετ' αὐτὸν δὲ παραλαβόντες, οἷον Κρίτων, καὶ οἱ κατ' αὐτὸν, διὰ τὸ ἔχειν αὐτὴν τῆς σαρκὸς τῶν ἐχιδνῶν, ὠνόμασαν αὐτὴν θηριακήν. ℞. Ἀρτίσκων σκιλλητικῶν < μη'. ἀρτίσκων θηριακῶν < κδ'. ἀρτίσκων ἡδυχρόου < κδ'. κινναμώμου, πεπέρεως μέλανος, ὀποῦ μήκωνος, ἀνὰ < κδ'. ἴρεως Ἰλλυρικῆς, γλυκυῤῥίζης, ὀποβαλσάμου, ῥόδων ξηρῶν, σκορδίου Κρητικοῦ, βουνιάδος σπέρματος, ἀγαρικοῦ, ἀνὰ < ιβ'. κρόκου, σμύρνης, ζιγγιβέρεως, ῥᾶ Ποντικοῦ, πενταφύλλου ῥίζης, καλαμίνθης, πρασίου, πετροσελίνου, στοιχάδος, κόστου, πεπέρεως λευκοῦ, ἀνὰ < ϛ'. δικτάμνου Κρητικοῦ, σχοίνου ἄνθους, λιβανου ἄῤῥενος, τερμινθίνης Χίας, κασίας σύριγγος μελαίνης, νάρδου Ἰνδικῆς, ἀνὰ < ϛ'. πολίου ἄνθους Κρητικοῦ, στύρακος, σελίνου σπέρματος, σεσέλεως, θλάσπεως, ἄμμεως, χαμαίδρυος, χαμαιπίτυος, ὑποκιστίδος χυλοῦ, μαλαβάθρου, νάρδου Κελτικῆς, γεντιανῆς ῥίζης, ἀνίσου, μήου, μαράθρου σπέρματος, λημνίας μίλτου σφραγῖδος, χαλκίτεως ὀπτῆς, ἀμώμου, ἀκόρου, καρποβαλσάμου, φοῦ Ποντικοῦ, ὑπερικοῦ, ἀκακίας, καρδαμώμου, κόμμεως, ἀνὰ < δ'. δαύκου σπέρματος, χαλβάνου, σαγαπηνοῦ, ἀσφάλτου, ὀποπάνακος, καστορίου, κενταυρίου λεπτοῦ, ἀριστολοχίας κληματίτιδος, ἀνὰ < β'. μέλιτος Ἀττικοῦ λίτρας ι'. οἱ δὲ ϛ'. οἱ δὲ δ'. οἴνου Φαλερίνου ξε. β'. βαλὼν εἰς ὅλμον ὀπὸν ὑποκιστίδος, σμύρναν, σαγαπηνὸν, γλυκύῤῥιζον, στύρακα, ἀκακίαν, ὀποπάνακα, παραστάζων κατὰ μικρὸν μέλι καθ' ἓν, κόπτε καὶ διάλυε, καὶ πρόσβαλε τὸν οἶνον, ὥστε ὑπερέχειν, καὶ ἔμβρεχε ἐπὶ ἡμέρας τρεῖς, εἶτα κιννάμωμον, κρόκον, κασίαν, στάχυν, θλάσπι, μαλάβαθρον, λημνίαν σφραγῖδα, χαλκῖτιν κεκαυμένην. (αὕτη γὰρ καὶ τὸ μέλαν χρῶμα χαρίζεται τῷ φαρμάκῳ καυθεῖσα ἐντέχνως) ἄμωμον, ἄσφαλτον, καστόριον κεκομμένον, καὶ σεσησμένον βαλὼν εἰς θυίαν, καὶ παραχέων οἶνον, λειοτρίβει, ὡς κολλύριον, ἔπειτ' ἐκ τοῦ ὅλμου προσβαλὼν τοῖς ἐν τῇ θυίᾳ, λειοτριβήσας καὶ παρεγχέας οἶνον πρόσμισγε τὰ ξηρὰ πάντα, καὶ ἀνάπλαττε. μετὰ δὲ ταῦτα τὸ μέλι καὶ τὴν ῥητίνην, καὶ χαλβάνην, καὶ ὀποβάλσαμον χλιάνας ἐν κακκάβῃ, κατάχει τῶν ἐν τῇ θυίᾳ, καὶ ἑνώσας, ἀπόθου εἰς ἀγγεῖον κασσιτερινὸν, ἢ ἀργυροῦν, καὶ χρῶ. Κρίτων δ' ἔγραψε περὶ αὐτῆς οὕτως, ὅτι τὰ θηρία περὶ τὰ τελευταῖα τοῦ ἦρος, ἢ τῷ τρυγητῷ συλλέγειν δεῖ, καὶ λαμβάνειν ἐξ αὐτῶν τὰ μεγάλα, καὶ εὔτροφα, καὶ ἕψειν μετ' ἀνήθου μόνου. τῷ δὲ τῆς σαρκὸς αὐτῶν ἐκ δέκα θηρίων ἀθροισθέντι, μιγνύειν ἀξιοῖ σιλιγνίτου ἄρτου μίαν οὐγγίαν, καὶ οὕτως ἀναπλάττειν τοὺς καλουμένους ἄρτους. τὰς δὲ σκίλλας ἐν τῷ πυρῶν ἀμήτῳ, τηνικαῦτα γὰρ εἰσὶ μάλιστα ἀκμαῖαι.

A & tota interanea abiice; reliqua coquantur in olla noua cũ anetho; coctæ carnes, spinis expurgandæ; accuratè verò carnes ponderandæ sunt, ne spina delituerit, ac examinandæ: tum panis puri & aridi par pondus accipiendum & conterendum, & adiecto opobalsamo orbiculos forma, & sicca in vmbra. Hæc autem antidotus ex Andromacho eius authore hoc modo componitur, & ab Andromacho nominata est galene. Qui verò hanc ab eo acceperunt, vt Crito, & eius coætanei, quòd viperarum carnem contineat, ipsam theriacam nominarunt. *Confectio antidoti.* ℞. Orbiculorum scilliticorum ʒ.xlviij. pastillorum theriacalium ʒ.xxiv.
B orbiculorum hedychroi ʒ.xxiv. cinnamomi, piperis nigri, opij, singulorum ʒ.xxiv. iridis Illyricæ, glycyrrhizę, opobalsami, rosarum aridarum, scordij Cretici, seminis rapæ agrestis, agarici an̄. ʒ.xij. croci, myrrhæ, zingiberis, rha Pontici, radicis quinquefolij, calaminthes, marrubij, petroselini, stæchados, costi, piperis albi, singulorum ʒ.vj. dictamni Cretici, schænanthi, thuris masculi, terebinthinæ Chiæ, cassiæ fistulæ nigræ, nardi Indicę, singulorum ʒ.vj. florum polij Cretici, styracis, seminum apij, seseleos, thlaspeos, ammeos, chamædryos, chamæpityos, succi hypocistidos, malaba-
C thri, nardi Celticæ, radicis gentianæ, anisi, mei, seminum fœniculi, lemnij minij sigillati, chalciteos vstæ, amomi, acori, fructuum balsami, phu Pontici, hyperici, acaciæ, cardamomi, gummi, singulorum ʒ.iv. seminum dauci, galbani, sagapeni, bituminis, opopanacis, castorij, centaurij minoris, aristolochiæ clematitidis singulorum ʒ.ij. mellis Attici lib. x. sed alij malunt vj. alij iv. vini Phalerni sextarios ij. In pilam conijce succum hypocistidos, myrrham, sagapenum, glycyrrhizam, styracem, acaciam, opopanacem, & paulatim instilla mel; omnia contunde, dissolue; tum vinum
D adiice, vt superemineat, & macerato dies tres; postea cinnamomum, crocum, cassiam, spicam, thlaspi, malabathrum, sigillum lemnium, chalcitim vstam. (Ipsa nanque artificiosè vsta, nigrum colorem medicamento conciliat) amomum, bitumen, castorium incisum & cribratum in pilam conijce, vinum affunde & sicut fit collyrium, contere; deinde *remota* ex mortario his adiice quæ in pila sunt tritis, & vino affuso arida omnia commisce & massam finge; postea mel, resinam, galbanum, & opobalsamum in cacabo tepefacta offunde his quæ in pila sunt & vnum forma corpus,
E & in vase stanneo aut argenteo repone, & vtere. Crito verò de ea ita scripsit, viperas in veris fine, aut vindemia colligendas, & ex his grandiusculas & corpulentas, & cum anetho solo esse coquendas, carnibus autem viperarum decem, admiscendam censet siliginei panis vnciam vnam, sicque fingendos pastillos appellatos; scillas denique messis tempore colligendas; tunc enim maximè vigent.

ΓΑΛΗΝΟΥ



ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΝΤΕΜΒΑΛΛΟΜΕΝΩΝ, ΒΙΒΛΙΟΝ.

GALENI DE SVCCEDANEIS, LIBER.



VVM de succedaneis *medicamentis* tractatum tum Dioscorides, tum maximè Philistio, & Euriphon construxerint, age nos quoque de his pauca dicamus. Ea verò vocamus succedanea medicamenta, quæ in aliorum locum succedunt. De his nanque vtilis erit sermo iis præcipuè, qui artis operibus incubuerunt, ac certas neque contemnendas moliuntur morborum curationes. Multi siquidem Medici, medicamentis ad ægros curandos idoneis plerunque indigentes, aliena quædam, neque eandem, quæ idoneis inest, facultatum rationem seruantia ingerunt. Atque eos decet, ne in huiusmodi incidant absurda, de simplicium medicamentorum facultatibus tractationem speculari. Quòd si neque eam ediscant, neque animum propositis rebus intentum præbeant, in curationibus iure falluntur. Tibi verò (Diogeniane) veritatis amatori, medicamentorum facultates ediscere volenti, paucis explicatis, ab iis quæ præposita sunt, exordiar. Erit autem mihi oratio vera ad te in memoriam reuocanti id quod olim mihi contigit Alexandriæ. Quum enim illuc accederem, statim mulier ad me iam moritura se contulit, vehementi affecta morbo, cuius narrationem proferre nunc haud propositum est. Quum autem lychnidem quærerem, vt opportunum illi remedium conciliarem, nisi statim acanthij semen reperissem, interiisset derepente mulier. Verùm vt repertum est lychnidi analogum succedaneum, quamprimum eo sum vsus, quod ad idem conuenit. At sequenti die, nonnulli Medicorum, qui priùs illam curauerant, accedentes, opportunum optabant medicamentum audire. Statim igitur audientes rogarunt, vt illis de succedaneis opus à me scriberetur. Incipiamus itaque ab iis quæ præposuimus, ex prædicta specie facientes operis initium. Idque etiam secundum literarum seriem, vt quidam volunt, faciamus.

A



ΠΕΙΔΗ περὶ τῶν ἀντεμβαλλομένων λόγον ἐνεστήσαντο μὲν καὶ οἱ περὶ τὸν Διοσκουρίδην, οὐχ ἥκιστα δὲ καὶ οἱ περὶ τὸν Φιλιστίωνά τε, καὶ Εὐρύφοντα, φέρε δὴ καὶ ἡμεῖς ὀλίγα περὶ τούτων εἴπωμεν. ἀντεμβαλλόμενα καλοῦμεν, τὰ ἀντὶ τῶν ἄλλων ἐμβαλλόμενα φάρμακα. χρήσιμος γὰρ ἔσται ὁ περὶ τούτων λόγος τοῖς μάλιστα τῶν ἔργων φροντίσασι, καὶ τοῖς βεβαίους καὶ οὐκ εὐκαταφρονήτους ποιουμένοις τὰς θεραπείας τῶν παθῶν. Γολλοὶ γὰρ τῶν ἰατρῶν ἀποροῦντες πολλάκις τῶν ἐπιτηδείων τοῖς θεραπευομένοις, ἀλλόκοτά τινα καὶ μὴ τὸν αὐτὸν λόγον σώζοντα τῆς δυνάμεως τῶν ἐπιτηδείων ἐμβάλ-

B λουσι φάρμακα. Καὶ τό γε δέον αὐτοῖς, ἵνα μὴ τοιούτοις περιπίπτωσιν ἀτόποις, τὴν περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐπισκέπτεσθαι πραγματείαν. Εἰ δὲ μὴ ταύτην ἐκμανθάνουσι, μηδὲ τοῖς προκειμένοις προσέχουσι τὸν νοῦν, δικαίως σφάλλονται περὶ τὰς θεραπείας. Σοὶ δή, ὦ Διογενιανέ, τῷ τῆς ἀληθείας ἐρῶντι, καὶ τὰς δυνάμεις τῶν φαρμάκων ἐκμανθάνειν βουλομένῳ, ὀλίγα διαλεξάμενος, ἄρξομαι τῶν προτεθέντων. ἔσται δέ μοι ὁ λόγος πρὸς σὲ ἀληθής, ἀναμνησθέντι τοῦ ποτέ μοι συμβάντος ἐν Ἀλεξανδρείᾳ. εὐθέως παραγενομένου ἐκεῖσε, γυναῖόν μοι προσῆλθε μέλλον ἀποθνήσκειν,

C ἔχον διάθεσιν ἰσχυράν, ἧς τὴν διήγησιν οὐ πρόκειται νῦν εἰπεῖν. καὶ ζητοῦντός μου λυχνίδα, ἵνα τὸ δέον αὐτῇ προσάξω φάρμακον, εἰ μὴ εὐθέως εὗρον ἀκανθίου σπέρμα, ἔμελλεν ἀπόλλυσθαι παραχρῆμα τὸ γυναῖον. ὡς δ' εὑρέθη τὸ ἀνάλογον τῇ λυχνίδι, εὐθέως ἐχρησάμην αὐτῷ, καὶ συνῆλθεν εἰς ταὐτό. τῇ δὲ ἑξῆς ἡμέρᾳ παραγενόμενοί τινες τῶν θεωμένων αὐτὴν πρότερον ἰατρῶν, ἠξίουν ἀκοῦσαι τὸ δέον φάρμακον. εὐθέως οὖν ἀκούσαντες, παρεκάλεσάν με γράψαι αὐτοῖς τὸν περὶ τῶν ἀντεμβαλλομένων λόγον. ἀρξώμεθα οὖν τῶν προκειμένων, ἐκ τοῦ προειρημένου εἴδους τὴν ἀρχὴν τοῦ λόγου ποιησάμενοι. Εἰ δὲ καὶ κατὰ στοιχεῖον, ὥς τινες ἐθέλουσι, τοῦτο ποιήσωμεν.

A

A.

ΑΝτὶ ἀκανθίου σπέρματος, λυχνίδος σπέρμα.
Ἀντὶ ἀβροτόνου, ὀρίγανον.
Ἀντὶ ἀγαλλόχου, κενταύριον.
Ἀντὶ ἀγαρικοῦ, ἐπίθυμον, ἢ εὐφόρβιον.
Ἀντὶ ἀγρίας σταφίδος, φοίνικες Συριακοί.
Ἀντὶ ἀγχούσης, ὑάκινθος.
Ἀντὶ ἀειζώου, φύλλα, ἢ χυλὸς θριδάκος.
Ἀντὶ αἰγείρου ἀκρεμόνων, σάμψυχον.
Ἀντὶ ἀκακίας, σχίνου χύλισμα.
Ἀντὶ ἀκάνθης, ἀκάνθου κεράτια.
Ἀντὶ ἀκάνθου κερατίων, ἀκάνθη.
Ἀντὶ ἀκονίτου, ἴρεως ἀγρίας ἡ ῥίζα.
Ἀντὶ ἀκόρου, ἀσάρου ῥίζα.
Ἀντὶ ἀκτέας, γλαύκιον, ἢ κόπρος οἴος.
Ἀντὶ ἀκτῆς βοτάνης, ἄκανθα, ἢ ἀκάνθου κεράτια.
Ἀντὶ ἁλικακάβου, δορυκνίου, ἢ στρύχνου σπέρμα.
Ἀντὶ ἁλὸς ἀμμωνιακοῦ, ἅλας Καππαδοκικόν.
Ἀντὶ ἁλὸς Καππαδοκικοῦ, ἅλας ἀμμωνιακόν.
Ἀντὶ ἁλὸς ἄνθους, σανδαράχη.
Ἀντὶ ἀλόης, κόπρος ἴβεως.
Ἀντὶ ἀλόης Ἰνδικῆς, ἀλόης χλωρᾶς φύλλα, γλαύκιον, λύκιον, ἢ κενταύριον.
Ἀντὶ ἀλώπεκος στέατος, στέαρ ἄρκειον.
Ἀντὶ ἄμεως, ἄνισον.
Ἀντὶ ἀμιάντου, ἀφροσέλινον.
Ἀντὶ ἀμύλου, γῦρις ξηρά.
Ἀντὶ ἀμυγδάλων πικρῶν, ἀψίνθιον.
Ἀντὶ ἀμμωνιακοῦ θυμιάματος, πρόπολις.
Ἀντὶ ἀμώμου, ἄκορος.
Ἀντὶ ἀνίσου, δαῦκος.
Ἀντὶ ἀράκου, σήσαμον.
Ἀντὶ ἀργεμώνης, σερίφιον.
Ἀντὶ ἀριστολοχίας, κληματὶς ξηρά.
Ἀντὶ ἀριστολοχίας στρογγύλης, ἀριστολοχία μακρά.
Ἀντὶ ἀρκευθίδων, κύπειρος.
Ἀντὶ ἀρμαλᾶ, καρδάμωμον Βαβυλώνιον.
Ἀντὶ Ἀρμενίου, μέλαν Ἰνδικόν.
Ἀντὶ ἀρσενικοῦ, σανδαράχη.
Ἀντὶ ἀρωματικῆς, κάλαμος ἀρωματικός.
Ἀντὶ ἀσάρου, ζιγγίβερ.
Ἀντὶ ἀσβέστου, ἡ εἰς τὰ βάφια ἄκανθα.
Ἀντὶ ἀσβέστου ὃ λέγεται τίτανος, ἀδάρκης.
Ἀντὶ Ἀσίου λίθου, λίθος γαγάτης, ἢ ἅλες ἀμμωνιακοὶ, ἢ σανδαράχη.
Ἀντὶ ἀσπαλάθου, ἐρείκης καρπὸς, ἢ ἄγνου σπέρμα.
Ἀντὶ ἀσφάλτου, πίσσα ὑγρὰ βρυττία, ἢ γῆ ἀμπελῖτις.
Ἀντὶ ἀσφοδέλου ῥίζης, σεύτλου χυλός.
Ἀντὶ ἀψινθίου, ἀβρότονον.

A.


Ro acanthij semine, lychnidis semen.
Pro abrotono, origanum.
Pro agallocho, centaurium.
Pro agarico, epithymum, vel euphorbium.
Pro agria staphide, dactyli Syriaci.
Pro anchusa, hyacinthus.
Pro semperuiuo, folia, vel succus lactucæ.
B *Pro populi gemmis, sampsuchus.*
Pro acacia, lentisci succus.
Pro spina, acanthi siliquæ.
Pro acanthi siliquis, spina.
Pro aconito, iridis agrestis radix.
Pro acoro, asari radix.
Pro sambuco, glaucium, vel stercus ouis.
Pro sambuco herba, spina, vel acanthi siliquæ.
Pro halicacabo, dorycnij, vel solani semen.
Pro sale ammoniaco, sal Cappadocicum.
C *Pro sale Cappadocico, sal ammoniacum.*
Pro salis flore, sandaracha.
Pro aloë, fimus ibis.
Pro aloë Indica, aloës viridis folia, glaucium, lycium, vel centaurium.
Pro axungia vulpina, axungia vrsina.
Pro ameos, anisum.
Pro amianto, aphroselinum.
Pro amylo, gyris sicca.
Pro amygdalis amaris, absinthium.
D *Pro ammoniaco suffitu, propolis.*
Pro amomo, acorus.
Pro aniso, daucus.
Pro araco, sesamum.
Pro argemone, seriphium.
Pro aristolochia, clematis arida.
Pro aristolochia rotunda, aristolochia longa.
Pro iuniperi baccis, cyperus.
Pro ruta syluestri, cardamomum Babylonicum.
Pro Armenio lapide, atramentum Indicum.
E *Pro arsenico, sandaracha.*
Pro aromatice, calamus odoratus.
Pro asaro, zingiber.
Pro asbesto, spina quæ iniicitur in tinctoria.
Pro asbesto qui calx viua dicitur, adarces.
Pro Asio lapide, gagates lapis, vel sal ammoniacus, vel sandaracha.
Pro aspalatho, erices fructus, aut viticis semen.
Pro asphalto, bitumine, pix liquida bruttia, vel terra ampelitis.
Pro asphodelo, succus betæ.
F *Pro absinthio, abrotonum.*

B.

ΑΝτὶ βαλαυστίου, ὑποκιστὶς, ἢ κυτίνη ῥόα.
Ἀντὶ βαλσάμου, λευκοῦ ἴου ῥίζα.

B.

PRo balaustio, hypocistis, vel malicorium.
Pro balsamo, albæ violæ radix.

Pro

Pro balsami succo, myrrhæ succus.
Pro bdellio, calamus odoratus.
Pro besasa, semen rutæ syluestris, vel domesticæ.
Pro bupresti, vermes panarij, vel hirudo.
Pro butyro, lac bubulum concretum.
Pro bryonia, asari radix.
Pro bruttia pice, coquatur communis cum aceto.

A Ἀντὶ βαλσάμου ὀποῦ, στακτὴ σμύρνης.
Ἀντὶ βδελλίου, σφάγνος ἀρωματικός.
Ἀντὶ βήσασα, σπέρμα πηγάνου ἀγρίου, ἢ ἡμέρου.
Ἀντὶ βουπρήστεως, σίλφαι βδέουσαι, ἢ βδέλλα.
Ἀντὶ βουτύρου, γάλακτος βοείου ἐπίπαγος.
Ἀντὶ βρυωνίας, ἀσάρου ῥίζα.
Ἀντὶ βρυττίας πίσσης, ἡ κοινὴ ἑψήσθω μετ᾽ ὄξους.

G.

PRo gentiana, helenium, vel petroselini radix.
Pro gentianæ radice, apij odorati radix, quod est petroselinum, vel rhædon, quod helenium est.
Pro terra molli, vel ampelitide, plumbago.
Pro terra stellari, terra cimolia.
Pro terra Eretria, calx Thebaica.
Pro terra Cretica, terra Eretria.
Pro terra Megarica, aloës spuma.
Pro terra Samia, leucographis Ægyptia.
Pro pulegio, hyssopum.
Pro glycyrrhizæ succo, mori succus, vel saccharum.
Pro rapa, heliotropij herbæ fructus.
Pro stercore vulturis, columbæ stercus.

Γ.

B ἈΝτὶ γεντιανῆς, ἑλένιον, ἢ πετροσελίνου ῥίζα.
Ἀντὶ γεντιανῆς ῥίζης, σελίνου ἀρωματικοῦ ῥίζα, ὑπάρχει δὲ τὸ πετροσέλινον, ἢ ῥαίδον, ἔστι δὲ τὸ ἑλένιον.
Ἀντὶ γῆς ἁπαλῆς, ἢ ἀμπελίτιδος, μολυβδαίνα.
Ἀντὶ γῆς ἀστέρος, γῆ κιμωλία.
Ἀντὶ γῆς ἐρετριάδος, τίτανος θηβαϊκός.
Ἀντὶ γῆς Κρητικῆς, γῆ ἐρετριάς.
Ἀντὶ γῆς μεγαρίας, ἀλόης ἄχνη.
Ἀντὶ γῆς σαμίας, λευκογράφις Αἰγυπτία.
C Ἀντὶ γλήχωνος, ὕσσωπον.
Ἀντὶ γλυκυρρίζης χυλοῦ, συκαμίνου χυλὸς, ἢ γλυκοκαλάμου χυλός.
Ἀντὶ γογγυλίδος, ἡλιοτροπίου βοτάνης καρπός.
Ἀντὶ γυπὸς κόπρου, περιστερᾶς κόπρος.

D.

PRo damasonio, carpesium, aut calamintha, vel eryngium.
Pro dauci semine, sij semen.
Pro lauri baccis, serpillum aridum.
Pro dictamno, pulegium, vel saluia.
Pro diphryge, misy crematum, vel lapis phrygius, vel æs vstum, vel lapis pyrites.
Pro dorycnio, alterci, vel saluiæ semen.
Pro dracontio, arum.

Δ.

ἈΝτὶ δαμασωνίου, καρπήσιον, ἢ καλαμίνθη, ἢ ἠρύγγιον.
D Ἀντὶ δαύκου σπέρματος, σίου σπέρμα.
Ἀντὶ δαφνίδων, ἕρπυλλον ξηρόν.
Ἀντὶ δικτάμνου, γλήχων, ἢ ἐλελίσφακος.
Ἀντὶ διφρυγοῦς, μίσυ ὀπτὸν, ἢ λίθος φρύγιος, ἢ χαλκὸς κεκαυμένος, ἢ λίθος πυρίτης.
Ἀντὶ δορυκνίου, ὑοσκυάμου, ἢ ἐλελισφάκου σπέρμα.
Ἀντὶ δρακοντίου, ἄρον.

E.

PRo ebeno, loti arboris lignum.
Pro ebisci radice, radix papyri, vel mori folia.
Pro oliuæ lacryma, hypocistidis succus.
Pro oliuæ Æthiopicæ lacryma, acaciæ duplum.
Pro oleo cicino, laurinum, aut vetus oleum.
Pro oleo vetere, sicyonium, olei duplum, adeps porcina vetus, duplum oleum coque cum axungia porci veteris.
Pro oleo rosaceo, oleum cydoneum.
Pro oleo pauco, fractos oleæ ramulos teneros oleo impone.
Pro oleo chamæmelino, oleum rosaceum.
Pro oleo rhaphanino, oleum cicinum.
Pro elaterij succo, porri succus, ficusque succus.
Pro ceruino adipe, suillum.
Pro saluia, calamintha.

E.

E ἈΝτὶ ἐβένου, λώτινον ξύλον.
Ἀντὶ ἐβίσκου ῥίζης, ῥίζα παπύρου, ἢ φύλλα μορέας.
Ἀντὶ ἐλαίας δακρύου, ὑποκιστίδος χυλός.
Ἀντὶ ἐλαίας Αἰθιοπικῆς δακρύου, ἀκακίας μέρη β.
Ἀντὶ ἐλαίου κικίνου, δάφνινον, ἢ ἔλαιον παλαιόν.
Ἀντὶ ἐλαίου παλαιοῦ, σικυώνιον, ἐλαίου τὸ διπλοῦν, στέαρ παλαιὸν χοίρειον, τὸ διπλοῦν ἔλαιον ἕψε μετὰ στέατος ὑὸς παλαιοῦ.
Ἀντὶ ἐλαίου ῥοδίνου, ἔλαιον μήλινον.
Ἀντὶ ἐλαίου ὀλίγου, θαλλοὺς ἐλαίας ἁπαλοὺς θλάσας ἐπίβαλλε.
F Ἀντὶ ἐλαίου χαμαιμηλίνου, ἔλαιον ῥόδινον.
Ἀντὶ ἐλαίου ῥαφανίνου, ἔλαιον κίκινον.
Ἀντὶ ἐλατηρίου χυλοῦ, πράσου χυλὸς, ἢ χυλὸς συκέας.
Ἀντὶ ἐλαφείου στέατος, ὕειον.
Ἀντὶ ἐλελισφάκου, καλαμίνθη.

Ἀντὶ ἐλλεβόρου μέλανος, στρουθίου, ἢ παπύρου ῥίζα.
Ἀντὶ ἐλενίου, κόστος.
Ἀντὶ ἐννεαφύλλου, κολοκυνθίδος σπέρμα, ἢ ποταμογείτων.
Ἀντὶ ἐπιθύμου, κολοκυνθίδος σπέρμα.
Ἀντὶ ἐρέγμου, στρούθιον.
Ἀντὶ ἐρείκης, κηκὶς ὀμφακῖτις.
Ἀντὶ ἐρείκης καρποῦ, κισσὸς ὄμφαξ.
Ἀντὶ ἐρίνου φύλλων, φύλλα μορέας, ἢ κόπρος ἴβεως.
Ἀντὶ ἑρπύλλου, ποταμογείτων, ἢ πύρεθρον.
Ἀντὶ ἐρισίμου, ἔρεγμον, ἢ στρούθιον.
Ἀντὶ εὐζώμου σπέρματος, ἐρυσίμου σπέρμα.
Ἀντὶ εὐπατορίου, χαμαίπιτυς.
Ἀντὶ εὐφορβίου, κόπρος περιστερᾶς ἀγρίας, ἢ ἀγαρικόν.

A Pro elleboro nigro, struthij, aut papyri radix.
Pro enula, costus.
Pro nouemfolio, colocynthidis semen, vel potamogeton.
